OPERVM

HIPPOCRATIS

COI, ET

GALENI


PERGAMENI, MEDICORVM

OMNIVM PRINCIPVM,

TOMVS VIII.

Τὰ Σημειωτικά, Κριτικά, Προγνωστικά, Προῤῥητικά.

RENATVS CHARTERIVS VINDOCINENSIS,
Doctor Medicus Paris. REGIS Christianissimi Cons. Medicus, ac Professor Ord. plurima interpretatus, vniuersa emendauit, instaurauit, notauit, auxit, edidit.



LVTETIÆ PARISIORVM.

M. DC. XXXIX.

TOMO VIII

Τὰ Σημειωτικὰ opera continentur.

GALENI, De pulsibus ad Tyrones, libellus. pagina 1.
Galeni, De pulsuum differentiis, libri IV. 14.
Galeni, De pulsibus dignoscendis, lib. IV. 103.
Galeni, De causis pulsuum, libri IV. 167.
Galeni, De præsagitione ex pulsibus, libri IV. 236.
Galeni synopsis librorũ suorũ XVI. de pulsibus. 309.
Galeno ascriptum pulsuum compendium. 330.
Galeni, ad Antonium philosophum de pulsibus, libellus. 333.
Galeno ascriptus liber, De vrinis. 337.
Galeni, De vrinis compendium. 349.
De vrinis, ex Hippocrate, Galeno, & aliis quibusdam, libellus. 352.
Theophili Iatrosophistæ, De vrinis, liber. 359.
Hippocratis, De iudicationibus, liber. 368.
Hippocratis, De diebus iudicatoriis, liber. 373.
Galeni, De crisibus, libri tres. 377.
Galeni, De diebus decretoriis, libri tres. 450.
Hippocratis, De humoribus liber, & Galeni in eum commentarij tres. 508.
Hippocratis Prognosticon, & Galeni in eum librum commentarij tres. 583.
Hippocratis, Prædictionum libri duo, & Galeni in primum librum commentarij tres. 692.
Galeni, De prænotione ad Posthumum, liber I. 829.
Hippocratis Coacæ prænotiones. 853.
Galeni, De prænotione, libellus. 891.
Galeni omnino vera, expertáque præsagitio. 895.
Galeni, De venæ sectione, fragmentum. 898.
Galeni, De ægrotantis decubitu prognostica ex mathematica scientia. 901.
Galeni liber, Quomodo morbum simulantes sint deprehendendi. 916.
Galeno ascripta quæsita in Hippocratem. 918.
Concisæ Notæ, ac variæ Lectiones. 919.

ΓΑΛΗΝΟΥ, περὶ σφυγμῶν τοῖς εἰσαγομένοις, βιβλίον. σελὶς α'.
Γαληνοῦ, περὶ διαφορᾶς σφυγμῶν, λόγοι δ'. ιδ'.
Γαληνοῦ, περὶ διαγνώσεως σφυγμῶν, λόγοι δ'. ργ'.
Γαληνοῦ, περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, λόγοι δ'. ρξζ'.
Γαληνοῦ, περὶ προγνώσεως διὰ σφυγμῶν, βιβλ. δ'. σλϛ'.
Γαληνοῦ σύνοψις βιβλίων αὐτοῦ ιϛ'. περὶ σφυγμῶν. τθ'.
Γαληνῷ προσγεγραμμένη σύνοψις τῶν σφυγμῶν. τλ'.
Γαληνοῦ, πρὸς Αντώνιον φιλόσοφον περὶ σφυγμῶν, βιβλίον. τλγ'.
Γαληνῷ προσγεγραμμένον βιβλίον, περὶ οὔρων. τλζ'.
Γαληνοῦ, περὶ οὔρων ἐν συντόμῳ. τμθ'.
Περὶ οὔρων, ἐκ τῶν Ιπποκράτους, καὶ Γαληνοῦ, καὶ ἄλλων τινῶν, βιβλίον. τνβ'.
Θεοφίλου Ιατροσοφιστοῦ, περὶ οὔρων, βιβλίον. τνθ'.
Ιπποκράτους, περὶ κρισίων, βιβλίον. τξη'.
Ιπποκράτους, περὶ κρισίμων, βιβλίον. τογ'.
Γαληνοῦ, περὶ κρίσεων, βιβλία τρία. τοζ'.
Γαληνοῦ, περὶ κρισίμων, βιβλία τρία. υν'.
Ιπποκράτους, περὶ χυμῶν, τὸ βιβλίον, καὶ τὰ εἰς αὐτὸ Γαληνοῦ ὑπομνήματα τρία. φη'.
Ιπποκράτους προγνωστικὸν, καὶ Γαληνοῦ εἰς τοῦτο ὑπομνήματα τρία. φπγ'.
Ιπποκράτους προῤῥητικῶν βιβλία δύο, καὶ Γαληνοῦ, εἰς τὸ πρῶτον, ὑπομνήματα τρία. χϟγ'.
Γαληνοῦ, περὶ τοῦ προγινώσκειν πρὸς Επιγένην, βιβλίον α'. ωκθ'.
Ιπποκράτους Κωακαὶ προγνώσεις. ωνγ'.
Γαληνοῦ, περὶ προγνώσεως, βιβλίον. ωϟα'.
Γαληνοῦ πρόγνωσις πεπειραμένη, καὶ πανμαληθής. ωϟε'.
Γαληνοῦ, περὶ φλεβοτομίας, τομίον. ωϟη'.
Γαληνοῦ, περὶ κατακλίσεως, προγνωστικὰ ἐκ τῆς μαθηματικῆς ἐπιστήμης. πα'.
Γαληνοῦ βιβλίον, περὶ τοῦ πῶς δεῖ ἐξελέγχειν τοὺς προσποιουμένους νοσεῖν. πιϛ'.
Γαληνῷ προσγεγραμμένα τὰ ζητηθέντα εἰς τὸν Ιπποκράτην. πιη'.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΣΦΥΓΜΩΝ ΤΟΙΣ ΕΙΣΑΓΟΜΕΝΟΙΣ.

GALENI DE PVLSIBVS LIBELLVS AD TYRONES.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰς τῶν σφυγμῶν διαφοράς τε, καὶ αἰτίας τὰς τῷ εἰσαγομένῳ ἐξαρκούσας ἀποτελεῖ.

ARGVMENTVM LIBRI.

Differentias, & causas pulsuum absoluit, quæ Tyroni introducendo sufficiant.

CAPVT PRIMVM.

Quibus in locis arteriarum motus apertior; ac de præstantia arteriarum carpi in dignoscendo pulsu.

A QVÆCVNQVE tyronibus (amantissime Teuthra) de pulsibus scire *fuerit* vtile, hic exponentur; omnem auté de his artem alibi descriptá habes. Omnes igitur arteriæ tum inter se, tum cum ipso corde, eodem modo pulsant; quamobrem ex earum vna, de omnibus possis concludere. Verùm, motũ non perinde omnium sentias, sed in partibus nulla tectis carne, clariùs, in carnosis, obscuriùs. Quę opertę crassa carne sunt, aut sub ossibus latent, aut quibus corpora sunt alia obiecta, harum, dum valet animal, motum non percipias. Quòd si vehementer emarcuerit, arteria quæ sita est secundùm dorsum, tangentibus abdomen, motum sæpenumero repręsentat. Et quidam sensu perceperunt eas quæ in artubus, quum priùs non apparerent. At semper arteriæ temporum, ac pedum secundùm plantas, manuum in carporum parte interna, sensibilem motum habent. His minùs, non illę tamen obscurè, pulsant arteriæ capitis post aures, & quę tenent brachij interiorem regionem, ac iam etiam aliæ nonnullæ, quæ non admodum multa carne obteguntur. Verùm aliam, neq; promptiùs, neque honestiùs, neque ad vsum commodiùs, tangat, si eas quæ carpis insunt prætereat; hæ nanque, quòd præsertim locus carnem non habeat, apertissimæ sunt; nec quòd propter alias multas est necessarium, detegere harum gratia vllam corporis partem necesse habeas; ad hæc, in rectum ductæ sunt, id quod non parum ad exactam notitiam refert.

ΚΕΦΑΛΑΙΟΝ Α´.

Ἐν τίσι χωρίοις ἡ τῶν ἀρτηριῶν ἐπιφανεστέρα κίνησις· καὶ περὶ τῆς τῶν κατὰ τὸν καρπὸν ἀρτηριῶν ὑπεροχῆς ἐν τῷ διαγινώσκειν τὸν σφυγμόν.

ΟΣΑ τοῖς εἰσαγομένοις (φίλτατε Τεύθρα) χρήσιμον ἐπίστασθαι περὶ σφυγμῶν, ἐν τῷδε λεχθήσεται. τὴν δ' ὅλην τὴν περὶ αὐτῶν τέχνην, ἑτέρωθι γεγραμμένην ἔχεις. πᾶσαι μὲν οὖν αἱ ἀρτηρίαι τὸν αὐτὸν τρόπον σφύζουσιν ἀλλήλαις τε, καὶ τῇ καρδίᾳ, ὥστ' ἐκ μιᾶς αὐτῶν, δύνασθαι περὶ πασῶν συλλογίζεσθαι, οὐ μὴν αἰσθέσθαι γε τῆς κινήσεως ὁμοίως ἁπασῶν, δυνατόν. ἀλλὰ τῶν μὲν ἐν τοῖς ἀσάρκοις μέρεσι σαφεστέραν, τῶν δ' ἐν τοῖς σαρκώδεσιν ἀμυδροτέραν. ὅσαι δ' ὑπὸ παχείας σαρκὸς καλύπτονται, ἢ ὀστῶν ἔνδον εἰσίν, ἢ ἐπίκειται αὐταῖς ἕτερα ἄλλα σώματα, τούτων οὐκ ἂν αἴσθοιο τῆς κινήσεως, ἕως γε τὴν κατὰ φύσιν ἔχῃ τὸ ζῷον. ἐκτακέντος δὲ τοῦ σώματος σφοδρῶς, ἥ τε κατὰ τὴν ῥάχιν ἀρτηρία πολλάκις τοῖς ἁπτομένοις τοῦ ἐπιγαστρίου τὴν κίνησιν διασημαίνει. καί τινες τῶν ἐν τοῖς κώλοις, ἤδη θᾶσσον, ἀφανεῖς πρότερον οὖσαι. διαπαντὸς δ' αἵ τε κατὰ τοὺς κροτάφους, καὶ τῶν ποδῶν αἱ ἐπὶ τοῖς ταρσοῖς, καὶ τῶν χειρῶν αἱ κατὰ τοὺς καρποὺς ἐντὸς αἰσθητὴν ἔχουσι τὴν κίνησιν. τούτων δ' ἔλαττον μὲν, οὐ μὴν ἀφανῶς οὐδ' αὗται σφύζουσιν, αἵ τε τῶν ὤτων ὄπισθεν ἐν τῇ κεφαλῇ, καὶ τῶν βραχιόνων ἐντός. καὶ ἤδη τινὲς ἄλλαι, αἱ μὴ πάνυ τῇ πολλῇ σαρκὶ καλύπτονται. ἀλλ' οὔτε ἑτοιμότερον, οὔτε εὐσχημονέστερον, οὔτε τῇ χρείᾳ συμφορώτερον, ἄλλης ἂν ἅπτοιο, τὰς ἐν τοῖς καρποῖς παρείς· αὗται γὰρ ἐπιφανεῖς μάλιστα ὑπάρχουσι διὰ τὸ ἄσαρκον τοῦ χωρίου, καὶ οὐδὲν δεῖ αὐτῶν γυμνοῦν τοῦ σώματος αἰσχρόν, ὥσπερ δι' ἄλλας πολλάς, καὶ ὅτι κατ' εὐθὺ τεταγμέναι εἰσίν· οὐ μικρὸν δὲ τοῦτο εἰς ἀκρίβειαν διαγνώσεως.

A

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ποσοῦ διαστολῆς.

Ἁπτομένῳ δέ σοι φανεῖται διαστελλομένη κατὰ πᾶσαν διάστασιν ἡ ἀρτηρία. τρεῖς δ᾽ εἰσὶ διαστάσεις παντὸς τοῦ σώματος, εἰς μῆκος, βάθος, καὶ πλάτος. ἀλλ᾽ ἐν τῷ κατὰ φύσιν ἔχειν τὸ ζῶον, συμμέτρως πάνυ διαστελλομένην εὑρήσεις τὴν ἀρτηρίαν· ἐν δὲ τῷ παρὰ φύσιν ἔχειν, ἔστιν ὅπῃ μὲν ἐλλείπει, ὅπῃ δ᾽ ὑπερβάλλει, καθ᾽ ἥντιναοῦν διάστασιν. ἐν τούτῳ χρὴ μεμνημένον σε, οἷος ἦν ὁ κατὰ φύσιν σφυγμός. καὶ εἰ μὲν τῷ πλάτει μείζων ὁ παρὰ φύσιν εὑρίσκοιτο, πλατὺν καλεῖν· εἰ δὲ τῷ μήκει, μακρόν, εἰ δὲ τῷ βάθει, ὑψηλόν. καὶ τοὺς ἐναντίους αὐτοῖς, τοὺς ἐλάττους τοῦ κατὰ φύσιν ὀνομάζειν ἀνάλογον, στενόν, καὶ βραχύν, καὶ ταπεινόν. τὸν δὲ ἐν πάσαις ταῖς διαστάσεσιν ὁμοίως εἰς τὸ παρὰ φύσιν τετραμμένον, ὁ μὲν πάντῃ μειωθείς, μικρός. ὁ δὲ πάντῃ αὐξηθείς, μέγας ὀνομάζεται. αὗται μὲν αἱ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν σφυγμῷ διαφοραί.

CAPVT II.

De quantitate diastoles.

Tibi autem tangenti videbitur distendi in omnem dimẽsionem arteria. Sunt autem cuiuscunque corporis tres dimensiones, in longitudinem, profunditatem, & latitudinem. Sed enim dum secundum naturam se habet animal, inuenies arteriam distendi sanè quàm moderatè; sin autem præter naturam se habeat, nunc deficit, nunc exuperat, in quacunq; dimensione. Hîc tibi memoria B tenendum est, qui pulsus naturalis esset. Atque si quidem eum reperias, qui præter naturam est, latitudine esse maiorem, appellabis latum; si longitudine, longum; si profunditate, altum; & cõtrarios his, qui naturali minores sunt, simili modo vocabis angustum, breuem, humilem. At de his, qui ad statum præter naturam tribus ex æquo dimẽsionibus deflectunt, qui vndequaq; est imminutus, paruus; qui auctus in omnem partem, magnus nominatur. Hæ quantitatis distentionis in pulsu differentiæ sunt.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ ποιοῦ τῆς κινήσεως.

Τῶν δὲ τῆς κινήσεως ἰδίων, ἥ τε ταχύτης ἐστί, καὶ ἡ βραδύτης, ἡ μὲν ἠπειγμένη ὡς οὖσα κίνησις, ἡ δὲ ἐκλελυμένη. κριτέον δὲ καὶ ταύτας τῷ κατὰ φύσιν παραβάλλοντες. ἐν δὲ τῷ ποιῷ τῆς προσβολῆς, ἥ τε σφοδρότης, καὶ ἀμυδρότης συνίστανται, βιαίως μὲν ὠθουμένης τῆς ἁφῆς ἡ σφοδρότης, ἀρρώστως δὲ ἡ ἀμυδρότης. μαλακότης δὲ καὶ σκληρότης, αὐτοῦ τοῦ χιτῶνος τῆς ἀρτηρίας ποιότητές εἰσιν· ἡ μὲν μαλακότης, ὅταν οἷον σαρκωδεστέρα κατὰ τὴν προσβολὴν ἡ ἀρτηρία φαίνηται· ἡ δὲ σκληρότης, ὅταν οἷον ξηροτέρα τε, καὶ βυρσωδεστέρα. συνδιαγινώσκεται μὲν οὖν εὐθὺς τῇ κινήσει τῆς ἀρτηρίας, καὶ ἡ τοιαύτη τῶν σφυγμῶν διαφορά. οὐκ ἔστι δὲ αὐτῆς ἰδία, καθάπερ αἱ προειρημέναι τρεῖς. ἐκείνων γὰρ ἡ μὲν τοῦ τάχους, καὶ τῆς βραδύτητος κατὰ τὸ ποιὸν ἦν τῆς κινήσεως. ἡ δὲ τῆς σφοδρότητος, καὶ τῆς ἀμυδρότητος κατὰ τὸ τῆς πληγῆς ποιόν. ἡ δὲ τοῦ μεγέθους, καὶ τῆς μικρότητος κατὰ τὸ ποσὸν τῆς διαστολῆς. ἡ διαστολὴ δὲ οὐκ ἄνευ κινήσεως. τὸ δὲ μαλακὸν σῶμα, καὶ σκληρὸν, οὐ προσδεῖται κινήσεως εἰς τὸ τοιοῦτον εἶναι. τέσσαρας οὖν ταύτας τὰς διαφορὰς τῶν σφυγμῶν κατὰ τὴν πληγὴν εὑρήσεις.

CAPVT III.

De qualitate motus.

Propriæ autẽ motus differentiæ sunt celeritas, & tarditas, quarũ hæc motus est exolutus, illa incitatus. De his faciendum est iudicium, ex comparatione cũ naturali pulsu. In qualitate occursus, vehementia consistit, & remissio; vehemẽtia quidem, quum violenter tactus impellitur; quum debiliter, remissio. Mollities autẽ & durities sunt tunicæ arteriæ qualitates; mollities quũ arteria quasi carnosior apparet in occursu; durities vbi veluti siccior rigidiorque in modum corij. Atque hæc D quidem etiam differẽtia pulsuum vnà statim cum arteriæ motu percipitur, non tamen eius est, vt tres antedictæ propria. Illarum enim differentia celeritatis, & tarditatis, posita erat in qualitate motus; vehementiæ & remissionis, in ictus qualitate; magnitudinis, paruitatisque, in quantitate diastoles. Atqui non caret motu diastole; molle verò corpus, atque durum, vt sit tale, non requirit motum. Quatuor ergo has pulsuum differentias inuenies in ictu.

E

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τοῦ περὶ τὸν χρόνον ἠρεμίας.

Πέμπτην δὲ ἄλλην κατὰ τὸ τῶν πληγῶν διάλειμμα. καλεῖν γὰρ ἔθος οὕτω τοῖς ἰατροῖς τὸν μεταξὺ δυοῖν πληγῶν χρόνον, ἐν ᾧ διαστέλλεται ἡ ἀρτηρία, καὶ συστέλλεται. καὶ προσήκειν ἡγοῦμαι τοῖς εἰσαγομένοις γυμνάσασθαι, πρῶτον μὲν, ὡς ἐπ᾽ ἀναισθήτου τῆς συστολῆς. καλείσθω μοι τὸ μέν τι πληγή, τὸ δὲ διάλειμμα. πληγὴ μὲν, ἡ ἀπὸ τῆς ἀρτηρίας κινουμένης προσβολὴ τῇ ἁφῇ γιγνομένη· διάλειμμα δὲ ἡ μεταξὺ δυοῖν πληγῶν ἡσυχία, καθ᾽ ἣν ὁ πυκνός, καὶ ἀραιός, καὶ μέσος ἀμφοῖν, ἐφ᾽ ὧν ὥσπερ οἱ κατὰ φύσιν συνίστανται σφυγμοί. γνωριεῖς δὲ καὶ τούτους τῷ ποσῷ τοῦ χρόνου. πυκνὸς μὲν γάρ ἐστιν, ὅταν μὲν βραχὺς ὁ τῆς ἡσυχίας ᾖ χρόνος. ἀραιὸς δὲ, ὅταν μὲν πολύς. ἡσυχίαν δὲ λέγειν, ἢ διάλειμμα πληγῶν, ἢ συστολὴν, οὐ διοίσει.

CAPVT IV.

De tempore quietis.

Qvintam aliam in ictuum interuallo; nam ita medici solent medium tempus inter duos ictus, quo distenditur contrahiturque arteria, appellare. Ego verò cõgruum esse duco Tyronibus, vt se primùm, quasi insensibilis systole sit, exerceant. Vocetur à me alterum quidem ictus; alterum autem interuallum: ictum, arteriæ motum tactui occurrẽtem; interuallum, quietem inter duos ictus, quæ crebrum complectitur, rarùmque, atque F medium vtriusque, in quo quidem naturales pulsus continentur. Quos etiam temporis quantitate cognosces; nam creber est, quum quietis sit breue tempus; rarus, quum longum. Quietem dicas, an ictuum interuallum, aut systolen, nihil intererit.

CAPVT V.

De æqualitate, & inæqualitate.

AEqualitas, & inæqualitas omnibus his dictis differentiis accidunt. Nam continuata harum paritas, est æqualitas; vt quum sese consequentium par est magnitudo, pulsus magnitudine æqualis dicetur; quum celeritas, æqualis celeritate. Ad eundem modum, si vehementia, remissio, crebritas. Inæqualitas, paritatis corruptela est, in quamcunque cadat differentiam pulsuum. Erit enim quidam magnitudine inæqualis, alius celeritate, nonnullus vehementia, & remissione, & crebritate; atque in reliquis similiter.

CAPVT VI.

De ordine, & ordinis perturbatione.

NOnnunquam etiam ordine quodam, certo ictuum numero, pulsibus paribus vnus intercurrit impar; quod multis modis fit. Etenim tribus paribus quartus impar consequitur, idque ita semper deinceps, aut quatuor quintus. Ad eundem modum, quouis in alio numero: siquidem comitatur sæpè quinque pares, impar sextus; & etiam sex pares, septimus impar. Itaque in his æqualitas non amplius seruatur; quamobrem pulsus inæqualis fit, tamen ordo retinetur quidam, ideoque ordinatus est. Quum enim pari semper numero, paribus pulsibus intercurrit vnus impar, æqualitatem corrumpit, sed proportio circuituum quendam ordinem conseruat; nam si circuitus prorsus seruetur nullus, inordinatus hic vocatur.

CAPVT VII.

De vnius pulsus inæqualitate.

ACcidit autem & in vno pulsu inæqualitas, tum pro mutua dissensione arteriæ partium in situ, & motu, tum pro vniuscuiusque pulsus peculiari motu. In situ partium consistit inæqualitas, ex eo quod sursum, deorsum, antrorsum, retrorsum, dextrorsum, sinistrorsum, traducta arteria videatur. In motu, quum celeriùs, tardiùs, maturiùs, seriùs, vehementiùs, languidiùs, aut longiore tempore, aut breuiore, aut perpetuò, aut nihil prorsus mouetur. In singulis partibus, quum intercisus est manifestè, in quibus caprizans est; item quum reciprocatur, de quibus est dicrotus. In motus impari celeritate, quum initio celerior, in fine tardior fit; & è contrario, quum tardior initio, in fine fit celerior, in vehementia, remissione, paruitate, magnitudine, ad eundem modum; neque in duo tantum tempora motus, sed & in plura, quoad assequi sensus possit, distribuitur. Atque hæ quidem simplices sunt, & vnius pulsus inæqualitates.

CAPVT VIII.

De pulsuum composita inæqualitate.

COmpositæ fiunt, quatenus altera potest cum altera, & vna cum vna, & cum pluribus vna, denique cum multis multæ commisceri. Quarum nonnullæ proprium nomen sunt sortitæ, vt vermiculans, formicans, & hecticus. Vermiculans,

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ὁμαλότητος, καὶ ἀνωμαλίας.

ΟΜαλότης δὲ καὶ ἀνωμαλία γίγνεται κατὰ πάσας τὰς εἰρημένας διαφοράς. ἡ γὰρ ἐφεξῆς ἰσότης τούτων, ὁμαλότης ἐστί· οἷον ὅταν τὸ μέγεθος τῷ ἐφεξῆς ἴσον ᾖ, λέγεται ὁμαλὸς εἶναι κατὰ τὸ μέγεθος ὁ σφυγμός· καὶ εἰ τὸ τάχος ἴσον, ὁμαλὸς κατὰ τὸ τάχος. ὡσαύτως δὲ καὶ εἰ κατὰ σφοδρότητα, καὶ πυκνότητα, καὶ ἀμυδρότητα. ἡ δὲ ἀνωμαλία διαφθορὰ τῆς ἰσότητός ἐστι, καθ᾽ ἣν ἂν τύχῃ διαφορὰν τῶν σφυγμῶν συνισταμένη. ἔσται γὰρ ὁ μέν τις κατὰ τὸ μέγεθος ἀνώμαλος, ὁ δέ τις κατὰ τὸ τάχος, ὁ δὲ κατὰ σφοδρότητα, καὶ ἀμυδρότητα, καὶ πυκνότητα, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ τάξεως, καὶ ἀταξίας.

ΕΣτι δὲ ὅτε καὶ διά τινος τάξεως, ἀριθμοῦ πληγῶν περιεχομένου, τοῖς ἴσοις σφυγμοῖς, εἷς ἄνισος παρεμπίπτει· καὶ τοῦτο γίγνεται πολυειδῶς. καὶ γὰρ τρισὶν ἴσοις ὁ τέταρτος ἄνισος ἕπεται, καὶ τοῦτο ἐφεξῆς ἀεί, ἢ τέτρασιν ὁ πέμπτος. καὶ κατὰ πᾶν ἄλλο πλῆθος ὡσαύτως. καὶ γὰρ πέντε πολλάκις ἴσοις, ὁ ἕκτος ἄνισος ἕπεται. καὶ πάλιν ἓξ ἴσοις ὁ ἕβδομος οὐκ ἴσος. ἡ μὲν οὖν ἰσότης ἐν τοῖς τοιούτοις οὐκέτι σώζεται· καὶ διὰ τοῦτο ἀνώμαλος ὁ σφυγμὸς γίγνεται, τάξις μέντοι τις σώζεται, καὶ διὰ τοῦτο τεταγμένος ἐστί. δι᾽ ἴσου γὰρ ἀεὶ πλήθους τοῖς ἴσοις σφυγμοῖς εἷς ἄνισος παρεμπίπτων, τὴν ἰσότητα διαφθείρει· ἡ γ᾽ οὖν κατὰ τὰς περιόδους ἀναλογία, φυλάττει τινὰ τάξιν. εἰ δ᾽ ὅλως μηδεμία σώζηται περίοδος, ἄτακτος ὁ τοιοῦτος καλεῖται.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίας.

ΓΙνεται δὲ καὶ καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλία, παρά τε τὰ μέρη τῆς ἀρτηρίας διαφερόντως ἔχοντα πρὸς ἄλληλα, θέσει τε καὶ κινήσει, καὶ παρὰ τὴν ἑνὸς ἑκάστου σφυγμοῦ καθ᾽ αὑτὸ κίνησιν. ἡ μὲν οὖν ἐν τῇ θέσει τῶν μορίων ἀνωμαλία συνίσταται παρὰ τὸ ἄνω καὶ κάτω, καὶ πρόσω καὶ ὀπίσω, καὶ δεξιὰ καὶ ἀριστερὰ μεθίστασθαι δοκεῖν τὴν ἀρτηρίαν. ἐν δὲ τῇ κινήσει θᾶττον, ἢ βραδύτερον, ἢ πρωϊαίτερον, ἢ ὀψιαίτερον, ἢ σφοδρότερον, ἢ ἀμυδρότερον, ἢ ἐπὶ πλείονα χρόνον, ἢ ἐλάττονα, ἢ ἀεί, ἢ οὐδ᾽ ὅλως κινουμένων. καθ᾽ ἕκαστον δὲ μέρος, ἐν μὲν τοῖς διακεκόφθαι σαφῶς, ἐξ ὧν ἐστι καὶ ὁ δορκαδίζων· ὡσαύτως δὲ καὶ ἐν τοῖς παλινδρομεῖν, ἐξ ὧν ἐστι καὶ ὁ δίκροτος. ἐν δὲ τοῖς τῆς κινήσεως οὐκ ἰσοταχεῖ, ὅταν ἀρχομένη μὲν ὠκυτέρα, τελευτῶσα δὲ, βραδυτέρα, καὶ ἀνάπαλιν, ἀρχομένη μὲν βραδυτέρα, τελευτῶσα δὲ ὠκυτέρα, καὶ κατὰ σφοδρότητα, καὶ ἀμυδρότητα, καὶ μικρότητα, καὶ μέγεθος ὡσαύτως, οὐκ εἰς δύο μόνους χρόνους τῆς κινήσεως μεριζομένης, ἀλλὰ καὶ εἰς πλείονας, ἐφ᾽ ὅσον ἂν ἡ αἴσθησις διαγνῶσαι. αὗται μὲν οὖν αἱ ἁπλαῖ, καὶ καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαι.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ συνθέτου ἀνωμαλίας σφυγμῶν.

ΣΥνθετοι δὲ καθ᾽ ὅσον ἂν δυνατὸν ᾖ ἄλλην ἄλλῃ, καὶ μίαν μιᾷ, καὶ μίαν πλείοσι, καὶ πολλὰς πολλαῖς μίγνυσθαι. καί τινες αὐτῶν ἰδίου τετυχήκασιν ὀνόματος. ὥσπερ καὶ ὁ σκωληκίζων, καὶ ὁ μυρμηκίζων, καὶ ὁ ἑκτικός. ὁ μὲν σκωληκίζων,

ὅταν οἱονεὶ ἕρποντος τὴν ἀρτηρίαν σκώληκος ἔμφασις γίνηται κυματωδῶς ἐγειρομένου, καὶ μὴ καθ' ἕνα χρόνον ὅλης διαστελλομένης τῆς ἀρτηρίας. Εἰ μὲν οὖν σὺν μικρότητι διαστολῆς τοῦτο γίγνοιτο, σκωληκίζων καλεῖται· εἰ δὲ σὺν μεγέθει, κυματώδης ἁπλῶς. δῆλον δὲ ὅτι καὶ ἀμυδρός, καὶ πυκνός ἐστιν ὁ σκωληκίζων. ὁ δ' εἰς ἐσχάτην καταπεπτωκὼς ἀμυδρότητα, καὶ πυκνότητα, καὶ μικρότητα, μυρμηκίζων καλεῖται, ταχὺς μὲν εἶναι δοκῶν, οὐκ ὢν δὲ ταχύς. ἑκτικὸς δέ, ὥσπερ πυρετός, οὕτως καὶ σφυγμὸς καλεῖται, ὁ μηδεμίαν τροπὴν μεγάλην ποιούμενος, ἀλλ' ἀεὶ παραπλήσιος μένων, συμπλεκόμενός τε, καὶ μηδέποτε λυόμενος, ὅλης τῆς ἕξεως τετραμμένης νοσωδῶς, ἐν τοῖς τοιούτοις πυρετοῖς τε, καὶ σφυγμοῖς. Ταῦτά μοι ἀρκεῖν δοκεῖ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς τοῖς εἰσαγομένοις εἰρῆσθαι. εἰ γάρ τις ἐπὶ τὸ ἀκριβέστερον αὐτῶν ἔρχεσθαι βούλοιτο, βιβλίον ὅλον ἔχει περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ὑφ' ἡμῶν γεγραμμένον. οὔκουν οὔτε περὶ πλήρους, καὶ κενοῦ σφυγμοῦ, νῦν λέγειν ἀναγκαῖον, οὔτε περὶ ῥυθμῶν, ἐν ἐκείνῳ γὰρ εἴρηται ἀκριβῶς περὶ αὐτῶν. καὶ ἔστιν ἀσαφέστερος ὁ λόγος τοῖς εἰσαγομένοις. ἀναλαβόντες οὖν ἐν κεφαλαίῳ τὰ προειρημένα, τῶν ἐφεξῆς ἐχώμεθα. μέγας τοίνυν ἐστὶ σφυγμός, ὁ κατὰ μῆκος, καὶ πλάτος, καὶ βάθος τῆς ἀρτηρίας ἐπὶ πολὺ διισταμένης γινόμενος. μακρὸς δὲ ὁ κατὰ μῆκος μόνον, πλατὺς ὁ κατὰ πλάτος, καὶ ὑψηλὸς ὁ κατὰ βάθος· σφοδρὸς δὲ σφυγμός ἐστιν ὁ πλήττων εὐρώστως τὴν ἁφήν· μαλακὸς δέ, ἐφ' οὗ ὁ χιτὼν τῆς ἀρτηρίας ἁπαλὸς ᾖ· καὶ ταχὺς μέν, ὁ ἐν ὀλίγῳ χρόνῳ διαστελλομένης τῆς ἀρτηρίας γινόμενος· πυκνὸς δέ, ὁ δι' ὀλίγου· καὶ ὁμαλὸς μέν, ὁ ἐφεξῆς ἴσος· τεταγμένος δέ, ὁ κατὰ περίοδον ἴσος· ὁ δὲ κατὰ μίαν πληγὴν ἄνισος, ἀνώμαλος λέγεται κατὰ μίαν πληγήν. Εἶεν δ' ἂν σαφεῖς, καὶ οἱ ἐναντίοι αὐτῶν, μικρός, καὶ βραχύς, καὶ στενός, καὶ ταπεινός, καὶ ἀμυδρός, καὶ σκληρός, καὶ βραδύς, καὶ ἀραιός, καὶ ἀνώμαλος, καὶ ἄτακτος. οὐκ ἄδηλον δέ, καὶ ὅτι τῶν μὲν ἄλλων ἐναντίων ἐστὶν ἑκάστου μέσος· ὁμαλοῦ δέ, καὶ ἀνωμάλου μέσος οὐδείς ἐστιν· οὐδὲ τεταγμένου, καὶ ἀτάκτου. καὶ ὅτι τῶν μὲν ἄλλων ἁπάντων οἱ μέσοι κατὰ φύσιν· ἐν τούτοις δὲ ὁ μὲν ὁμαλὸς κατὰ φύσιν μόνος, οἱ ἄλλοι οὐ κατὰ φύσιν, ὅ,τε ἀνώμαλος καὶ ἄτακτος.

quum species exhibetur quasi perreptātis arteriam vermis, vndarum in modum insurgentis, quúmque non vno & eodem tempore tota distenditur arteria. SI igitur cum diastoles paruitate hoc fiat, vocatur vermiculans; sin autem cum magnitudine, vndosus simpliciter. Est verò vermiculans, etiam apertè languidus, & creber. At qui ad extremam deuenit remissionem, crebritatem, & paruitatem, vocatur formicans: qui quum celer esse videatur haud tamen est celer. Hectica verò quemadmodum febris, ita & hecticus pulsus vocatur, qui non magnopere vllo modo variat, cæterum manet in perpetuum similis, cohærētque, nec soluitur vnquam; quòd totus habitus morbum induit in eiusceemodi febribus & pulsibus. Hæc tyronibus existimo de pulsuum differentiis sufficere: quòd si cognoscere hæc exactiùs cupias, librum habes integrum à nobis conscriptum de differentiis pulsuum. Nec verò etiam causa est, cur de pleno hîc, & vacuo pulsu dicam, vel de calido, & frigido, vel de rhythmis; illic enim accuratè de his disserui; etiam is sermo tyronibus est obscurior. Quare si quæ commemorauimus, summatim repetierimus, reliqua persequemur. Magnus pulsus est qui fit vbi in longum arteria, & latum profundúmque distenditur multum; longus, quum in longum duntaxat; latus, quum in latum; altus, quum in altum. Vehemens est pulsus, qui valenter ferit tactum; mollis, quum tunica mollis est arteriæ; celer fit, quum pauco tempore arteria distenditur; creber, quum paruo interposito spatio; æqualis, qui perpetuò sibi constat; ordinatus, qui per circuitum par est; qui in vno est ictu impar, inæqualis nominatur in vno ictu. Iam etiam horum contrarij sint aperti, paruus, breuis, angustus, humilis, languidus, durus, tardus, rarus, inæqualis, inordinatus. Nec verò hoc obscurum est, singulorum aliorum contrariorum medium esse; æqualis & inæqualis medium esse nullum, neque ordinati & inordinati. Præterea aliorum omnium, secundum naturam medios esse; at in his æqualis, solus secundum naturam est; alij non secundum naturam, præterea inæqualis & inordinatus.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ αἰτιῶν σφυγμοῦ, περὶ τριττῆς τῶν σφυγμῶν τροπῆς, καὶ πρῶτον τῆς κατὰ φύσιν.

Ἐπεὶ δὲ πολυειδῶς οἱ σφυγμοὶ τρέπεσθαι πεφύκασιν, οὐδὲν γὰρ εὑρεῖς, ὡς ἔπος εἰπεῖν, αἴτιον, ὃ μὴ καὶ τούτους τρέπει, δοκεῖ μοι τριττὴν αὐτῶν τῆς τροπῆς τὴν ἀνωτάτω διαφορὰν ποιησάμενον, οὕτως ὑπὲρ ἑκάστης ἰδίᾳ κατὰ μέρος εἰπεῖν. πρώτη μὲν οὖν ἡ κατὰ φύσιν αὐτῶν ἐστι τροπή. δευτέρα δέ, ἡ οὐ κατὰ φύσιν μέν, οὐ μὴν ἤδη παρὰ φύσιν. τρίτη δέ, ἡ παρὰ φύσιν. ἐπιγίνονται δ' αὗται πᾶσαι ταῖς φυσικαῖς διαφοραῖς· ἄλλως γὰρ ἄλλως αἱ ἀρτηρίαι φύσει κινοῦνται· καὶ χρὴ πρώτας ταύτας ἐπίστασθαι τὸν μέλλοντα γνωρίζειν ὑπό τινος αἰτίου, καὶ μέχρι πόσου τετράφθαι συμβέβηκε τὸν σφυγμόν· ἀλλὰ τὸ μὲν ἴδιον ἑκάστου, ἀκριβῶς ἄν τις πειραθεὶς μάθοι. καὶ δεῖ πολλάκις ἧφθαι τῆς ἀρτηρίας, μάλιστα μὲν ὑγιαίνοντος ἀμέμπτως, καὶ ἐν ἡσυχίᾳ πάσης σφοδρᾶς κινήσεως, ἤδη δέ, καὶ ἐν ταῖς ἄλλαις διαθέσεσιν. ἐπεὶ δὲ πάντων οὐκ ἐνδέχεται δι' ἐμπειρίας ἐληλυθέναι, πολλοὶ γὰρ ἤδη πολλάκις ἐδεήθησαν ἰατρῶν,

CAPVT IX.

De causis pulsuum, de triplici pulsuum mutatione, ac primùm de naturali.

QVum autem multis modis pulsus mutarī possint, nullam enim vt verum fatear, causam inuenias, quæ hos non immutet, placet mihi triplici ac generalissima mutationis ipsorum differentiâ constitutâ, ita demum singulas ipsas seorsim ac sigillatim pertractare. Prima igitur mutatio horum naturalis est; altera non illa quidem naturalis, nec tamen iam præter naturam; tertia est præter naturam. Verùm omnes hæ mutationes differentias naturales comitantur; alij enim aliter arteria naturâ mouetur; quas quidem tenere ante omnes debet, qui cognoscere cupit qua de causa, ac quatenus mutari pulsus contigit; at proprium cuiusque ad vnguem experiundo quis assequatur. Sanè frequenter tangenda arteria est, præsertim integra sanitate præditi, atque vacui omnis vehementis motus, iam verò & cæteris in statibus. At quum omnes experientia assequi non liceat (etenim multi iam medicos sæpè desiderauerunt,

cum

cum quibus sani nullum habuerunt commercium.) optimum herclè est etiam hîc imperito, præstare artificem. Præstiterit autem, si scientiam comparauerit eorum, quæ in multis ex æquo insunt. Est autem quædam, vt summatim dicam, communis virorum natura, alia mulierum. Etiam, qui calidiore sunt temperamento, quique frigidiore, habent hi suam vtrique communem naturam. Ad hæc omnium communis natura est gracilium, obesorum item communis est. Ac rarum in singulis est, quas memoraui, communitatibus; quod non assimile multis sit. Proinde etiam, qui probè commune tenet, rarò à vero aberret.

Viri mulieribus pulsum ferè habent longè tum maiorem, tum vehementiorem, paulò tardiorem, satísque rariorem.

Calidi naturâ, multò habent maiorem, celeriorem, & crebriorem; vehementiorem non item multò.

Naturâ graciliores maiorem, rariorémque multò; vehementiorem paulò. Atque naturâ sic differunt.

Porrò pro ætatibus hoc pacto immutantur. Infantis pulsus creberrimus est, rarissimus senis; omnes, qui inter hos intercedunt, proportionem seruant, provt, vel ad puerum, vel ad senem propius accedunt. Celerrimus item pueri pulsus, senis tardissimus; reliquarum ætatum *pulsus inter hos* medij sunt. At senex à puero longè magis raritate, quàm celeritate distat. In vehementiæ & magnitudinis differentia, maximus est, vt in ætatibus, pulsus iuuenum, minimus senum, medius, & paulò maior pulsus puerorum. Iam vehementissimus iuuenum, languidissimus senum, medius est inter hos puerorum pulsus. Atque pulsus in ætatibus sic habent.

Pro anni tempestatibus; medio vere pulsus maximi sunt & vehementissimi, vt in temporibus; celeritate, & crebritate moderati. Pari modo, medio autumno. Progrediens autem ver nonnihil de magnitudine, & vehementia detrahit, sed auget celeritatem, atque crebritatem; tandémque ineunte iam æstate languidi, parui, celeres, crebríque fiunt. Autumni processus cuncta imminuit, magnitudinem, vehementiam, celeritatem, crebritatem. Ita ineunte hyeme in paruitatem conuertuntur, & remissionem, & tarditatem, & raritatem. Respondet autem initium veris fini autumni; illius finis initio huius. Æstatis item principium suo, & principium hyemis suo fini. Proinde, quæ pari spatio à media æstate, & media hyeme in vtranque partem deflexerunt, similiter variant. Porrò media æstas partim conuenit cum media hyeme, partim dissidet. Nam parui vtrobique, & languidi sunt, sed celeres, atque crebri æstate, tardi rarique hyeme; non peræquè tamen parui æstate, vt hyeme; sed æstate minus; nec ita hyeme languidi, vt æstate, cæterum minus hyeme. Ad hunc modum pro temporibus pulsus variant.

Pro regionibus perinde, vt pro temporibus. In vehementer calidis, sicut media æstate. In magnopere frigidis, vt media hyeme. In temperatis, ita vt medio vere; ad horum proportionem in iis, quæ medium locum sunt sortitæ. Porro aëris nos circundantis alij status, qui calidi sunt, calidis temporibus; frigidi frigidis, medij medio veri respondent.

Prægnantium maiores, crebriores, celeriores

A οἷς ὑγιαίνοντες οὐκ ἐνέτυχον, ἄριστον δὴ κἀνταῦθα πλέον ἰδιώτου τὸν τεχνίτην ἔχειν. ἕξει δ᾽ ἂν πλέον, ἐπιστήμην πεποιημένος τῶν τοῖς πολλοῖς ὁμοίως ὑπαρχόντων. ἔστι δέ τις, ὡς τύπῳ φάναι, κοινὴ φύσις ἀνδρῶν· καὶ ἄλλη γυναικῶν, καὶ ὅσοι θερμότεροι εἰσὶ κεκραμένοι, καὶ ὅσοι ψυχρότεροι. καὶ τούτων ἑκατέρων κοινὴ φύσις· καὶ τῶν ἰσχνῶν πάντων κοινή, καὶ τῶν παχέων ὡσαύτως κοινή. καὶ σπάνιον ἐν ἑκάστῃ τῶν προειρημένων κοινοτήτων, τὸ μὴ τοῖς πολλοῖς ἐοικός. ὥστε καὶ τὸ ἁμαρτάνειν τοῦ ἀληθοῦς ἐστι σπάνιον, τῷ τὸ κοινὸν ἀκριβῶς ἐπισταμένῳ.

B Ἄνδρες μὲν γυναικῶν, ὡς ἐπίπαν μείζονα πολλῷ, καὶ σφοδρότερον ὡσαύτως πολλῷ, καὶ βραδύτερον ὀλίγῳ, καὶ ἀραιότερον ἱκανῶς ἔχουσι, τὸν σφυγμόν.

Οἱ δὲ φύσει θερμότεροι μείζονα μὲν καὶ ὠκύτερον, καὶ πυκνότερον πολλῷ, σφοδρότερον δὲ οὐ πολλῷ.

Οἱ δ᾽ ἰσχνότεροι φύσει μείζονα μέν, καὶ ἀραιότερον πολλῷ· σφοδρότερον δὲ οὐ πολλῷ. φύσει μὲν οὖν οὕτως διαφέρουσι.

Τρέπονται δὲ κατὰ μὲν τὰς ἡλικίας ὧδέ πως. ὁ μὲν τοῦ νεογνοῦ παιδίου σφυγμὸς πυκνότερος· ὁ δὲ τοῦ γέροντος, ἀραιότερος· οἱ δ᾽ ἐν τῷ μεταξὺ πάντες ἀνάλογον, ἐφ᾽ ὅσον ἂν, ἢ C παιδίου, ἢ γέροντος ἐγγύτεροι τυγχάνουσιν ὄντες. ὡσαύτως ταχύτατος μὲν ὁ τοῦ παιδίου, βραδύτερος δὲ ὁ τοῦ γέροντος· οἱ δὲ τῶν ἄλλων ἡλικιῶν μεταξύ. πολλῷ δὲ μείζων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον τῆς κατὰ τὸ τάχος. ἐν δὲ τῇ κατὰ μέγεθος καὶ σφοδρότητα διαφορᾷ, μέγιστος μὲν ἐν ἡλικίαις ὁ τῶν ἀκμαζόντων, μικρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ αὐτῶν βραχὺ μείζων ὁ τῶν παιδίων. καὶ σφοδρότατος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότατος δὲ ὁ τῶν γερόντων, μέσος δὲ αὐτῶν ὁ τῶν παιδίων. οὕτως μὲν ἐν ταῖς ἡλικίαις οἱ σφυγμοί.

Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος τὰ μέσα, μεγίστους, καὶ σφο-D δροτάτους, ὡς ἐν ὥραις. τάχει δὲ καὶ πυκνότητι συμμέτρους. ὡσαύτως δέ, καὶ τοῦ φθινοπώρου τὰ μέσα. προϊὸν δὲ τὸ ἔαρ ἀφαιρεῖται τοῦ μεγέθους, καὶ τῆς σφοδρότητος, προστίθησι δὲ τῷ τάχει, καὶ τῇ πυκνότητι. καὶ τέλος ἡνίκα ἂν ἐπιλάβοι τὸ θέρος, ἀμυδροί, καὶ μικροί, καὶ ταχεῖς, καὶ πυκνοὶ γίνονται. τὸ δὲ φθινόπωρον προϊὸν ἁπάντων ἀφαιρεῖ, μεγέθους, σφοδρότητος τάχους πυκνότητος. ὥστε καὶ τοῦ χειμῶνος ἐπελθόντος, εἰς μικρότητα, καὶ ἀμυδρότητα, καὶ βραδύτητα, καὶ ἀραιότητα τετράφθαι. ἔοικε δὲ τὰ μὲν πρῶτα τοῦ ἦρος τοῖς ὑστάτοις τοῦ φθινοπώρου, τὰ δὲ ὕστατα τοῖς πρώτοις, καὶ τὰ μὲν πρῶτα τοῦ θέρους τοῖς ὑστάτοις τοῦ θέρους, E καὶ τὰ πρῶτα τοῦ χειμῶνος τοῖς ὑστάτοις τοῦ χειμῶνος. ὥστε ὅσα θέρους μέσου, καὶ μέσου χειμῶνος ἴσον ἐφ᾽ ἑκάτερα ἀφέστηκεν, ὁμοίως τρέπει. μέσον δὲ θέρους, πῇ μὲν ὡσαύτως ἐστί, πῇ δὲ ἐναντίως ἔχει μέσῳ χειμῶνι, μικροὶ μὲν γὰρ καὶ ἀμυδροὶ καθ᾽ ἑκάτερον. ὠκεῖς δὲ καὶ πυκνοὶ θέρους, καὶ βραδεῖς, καὶ ἀραιοὶ χειμῶνος, οὐ μὴν οὕτω μικροὶ θέρους, ὡς χειμῶνος, ἀλλ᾽ ἧττον θέρους, οὐδ᾽ οὕτως ἀμυδροὶ χειμῶνος, ὡς θέρους, ἀλλ᾽ ἧττον χειμῶνος. αὗται μὲν οὖν αἱ κατὰ τὰς ὥρας τῶν σφυγμῶν τροπαί.

Περὶ δὲ τὰς χώρας, ὡσαύτως ταῖς ὥραις. ἐν μὲν ταῖς ἄγαν F θερμαῖς, οἷοι μέσου θέρους. ἐν δὲ ταῖς ἄγαν ψυχραῖς, οἷοι μέσου χειμῶνος. ἐν δὲ ταῖς εὐκράτοις, οἷοι μέσου τοῦ ἦρος. ἀνάλογον δὲ κἀν ταῖς μεταξύ. καὶ τῶν ἄλλων δὲ καταστάσεων τοῦ περιέχοντος ἡμᾶς ἀέρος, αἱ μὲν θερμαὶ ταῖς θερμαῖς ὥραις, αἱ δὲ ψυχραὶ ταῖς ψυχραῖς, αἱ δὲ μέσαι ταῖς μέσαις τοῦ ἦρος ἐοίκασιν.

Ἐν δὲ τῷ κύειν οἱ σφυγμοὶ μείζονες, καὶ πυκνότεροι, καὶ

ὠκύτεροι γίνονται· τὰ δὲ ἄλλα κατὰ φύσιν φυλάττουσιν. A

Εἶεν δ' ἂν εἴπερ τι καὶ ἄλλο, καὶ ὕπνοι κατὰ φύσιν. τρέπουσι δὲ καὶ οὗτοι τοὺς σφυγμούς, ἀρχόμενοι μὲν μικροτέρους, καὶ βραδυτέρους, καὶ ἀραιοτέρους, καὶ ἀμυδροτέρους ἀπεργαζόμενοι. προϊόντες δὲ βραδύτητα μὲν ἐπιτείνουσι, καὶ ἀραιότητα, καὶ μάλιστα κατὰ τροφήν, μείζους δὲ γίνονται, καὶ σφοδρότεροι. χρονίσαντες δὲ πάλιν τρέπονται εἰς ἀμυδρότητα, καὶ μικρότητα· φυλάττουσι δὲ βραδύτητα, καὶ ἀραιότητα.

Τῶν δ' ἐξ ὕπνου μεταπεπτωκότων εἰς ἐγρήγορσιν, ἐν μὲν τῷ παραχρῆμα, μεγάλοι, καὶ σφοδροί, καὶ ταχεῖς, καὶ πυκνοί, καί τινα κλόνον ἔχοντες. μετ' ὀλίγον δὲ εἰς συμμετρίαν ἔρχονται. B

Αἱ δ' ἐπίκτητοι σχέσεις τοῦ σώματος, ὁμοίως ταῖς φυσικαῖς τρέπουσι τοὺς σφυγμούς. ὁ μὲν γὰρ ἰσχνὸς φύσει, γενόμενος εὔσαρκος, ἀνάλογον τῷ τοιούτῳ φύσει τὸν σφυγμὸν ἔχει. ὁ δὲ εὔσαρκος, ἰσχνὸς γενόμενος, τοῖς ἰσχνοῖς φύσει παραπλήσιον ἔχει τὸν σφυγμόν. δῆλον δὲ ὅτι χωρὶς τοῦ τὴν δύναμιν ὑπαλλάττεσθαι, τὴν κατ' ἰσχνότητα, καὶ εὐσαρκίαν, διαφορὰν ἐξετάζειν χρή· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὥστε καθ' ἓν μόνον ὑπὲρ οὗ τὸν λόγον ἑκάστοτε ποιούμεθα τὴν τροπὴν γεγονέναι. ἃ περ δ' ἐπὶ τῶν εὐσάρκων εἴρηται, ταῦτα καὶ ἐπὶ τῶν παχέων εἰρῆσθαι δοκεῖν χρή, ἐπιτεταμένα μᾶλλον. C

Καὶ αἱ κράσεις δὲ τοῦ σώματος αἱ ἐπίκτητοι, ταῖς φυσικαῖς κράσεσιν ἀνάλογον τρέπουσι τοὺς σφυγμούς.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῆς τῶν σφυγμῶν τροπῆς ἐπὶ τοῖς οὐ φύσει γινομένοις αἰτίοις.

Ἑξῆς δὲ καιρὸς ἂν εἴη λέγειν τὰς ἄλλας τροπάς, τὰς ἐπὶ τοῖς οὐ φύσει γινομένας αἰτίοις. γυμνάσια κατ' ἀρχὰς μέν, καὶ μέχρι τοῦ μετρίου, σφοδροτέρους τε, καὶ μεγάλους, καὶ ταχεῖς, καὶ πυκνοὺς τοὺς σφυγμοὺς ἀπεργάζονται. πολλὰ δὲ καὶ ὑπὲρ τὴν δύναμιν τοῦ πονοῦντος, μικρούς, καὶ ἀμυδρούς, καὶ ταχεῖς, καὶ πυκνοτάτους ἐσχάτως. ὑπερβαλλόντως δ' ἄμετρα, ὥστε μόλις ἔτι κινεῖσθαι δύνασθαι, καὶ διὰ μακρῶν ἀναπαύσεων, ἢ μηδόλως· ἀλλ' ἱκανῶς ἐκλελύσθαι, πάνυ μικρούς, καὶ ἀμυδρούς, καὶ βραδεῖς, καὶ ἀραιοὺς ἐργάζεται τοὺς σφυγμούς. εἰ δὲ εἰς διάλυσιν τῆς δυνάμεως καταστρέφοι, τοὺς ἐκείνης ἰδίους. εἰρήσεται δὲ μικρὸν ὕστερον, ὁποίους διαλυομένη δύναμις ἐργάζεται σφυγμούς. D

Λουτρὰ δὲ θερμὰ μὲν μεγάλους, καὶ ταχεῖς, καὶ πυκνούς, καὶ σφοδρούς, ἔστ' ἂν εἴη σύμμετρα. τὰ δὲ ἄμετρα, μικρούς, καὶ ἀμυδρούς, ὠκεῖς δ' ἔτι, καὶ πυκνούς. εἰ δ' ἐν τούτῳ μὴ παύσαιντο, μικρούς, καὶ βραδεῖς, καὶ ἀραιούς, καὶ ἀμυδρούς. E

Λουτρὰ δὲ ψυχρὰ παραχρῆμα μὲν μικρούς, καὶ βραδεῖς, καὶ ἀραιούς, καὶ ἀραιοτέρους. εἰς ὕστερον δὲ οἷον ἄν τι, καὶ τύχῃ ἐργασάμενα. πάντως γάρ, ἢ νάρκωσιν, ἢ ῥῶσιν. ναρκώσαντα μὲν οὖν, καὶ καταψύξαντα, μικρούς, καὶ ἀμυδρούς, καὶ βραδεῖς, καὶ ἀραιούς. ἐκθερμήναντα δέ, καὶ ῥώσαντα, μεγάλους μέν, καὶ σφοδρούς, τάχει δὲ καὶ πυκνότητι συμμέτρους.

Σιτία πολλὰ μέν, ὥστε βαρύνειν τὴν δύναμιν, ἀνωμάλους τε, καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. Ἀρχιγένης δέ φησιν, ὠκυτέρους πλέον καὶ πυκνοτέρους. τὰ δὲ σύμμετρα, μεγάλους, καὶ σφοδρούς, καὶ ταχεῖς, καὶ πυκνούς. τὰ δὲ ἐλάττονα, ὥστε μὴ τρέφειν αὐτάρκως, οὐχ ὁμοίως τοῖς συμμέτροις, ἀλλ' ἐλάττονα τὴν τροπὴν ἐργάζεται, καὶ μέχρι χρόνου βραχέος. F

pulsus sunt; cætera secundum naturam seruantur.

Iam somni etiam sint, si quid aliud, naturales, qui & ipsi variant pulsus. Initio minores, languidiores, tardiores, rarioresque reddunt. Postea tarditatem pedetentim augent, & raritatem, præsertim à cibo; at maiores sunt, & vehementiores. Tandem ad languorem & paruitatem redeunt; tarditatem & raritatem retinent.

Qui expergiscuntur, euestigio pulsus magnos, vehementes, celeres, crebros, & cum quadam vibratione habent, qui mox mediocritatem assequuntur.

Adscititiæ habitudines corporis perinde vt naturales, pulsus immutant. Nam gracilis naturâ, si quadratus euaserit, huic, qui talis naturâ est, assimilem pulsum habet. Sin autem quadratus, factus gracilis sit, assimilem gracilibus naturâ. Constat verò gracilitatis & quadrati corporis, citra facultatis immutationem, æstimandam differentiam esse; etiam in omnibus eodem aliis modo, vt vnum id tantum vbique de quo in præsenti disputemus, mutetur. Quæ diximus de quadratis, eadem etiam de corpulentis dicta fuisse est putandum; nisi quòd magis sunt intensa.

Iam etiam temperamenta corporis adscititia pulsus ea proportione mutant, quâ naturalia temperamenta.

CAPVT X.

De pulsuum mutatione ex causa quæ dicitur non naturalis.

NVnc alias mutationes quæ causas habent non naturales, recenseamus. Exercitationes primò, quæ moderatæ sunt, vehementes, magnos, celeres, crebros pulsus efficiunt. Si multæ sint, & vires excedant laborantis, paruos, languidos, celeres, & crebros in summo. Nimium immodicæ, adeò vt ægrè iam se possit mouere, & multis interpositis quietibus, aut nihil prorsus possit, sed exolutæ vires impensè sint, pulsus mirè paruos, & languidos, tardosque, & raros. Quòd si ad virium dissolutionem perueniant, pulsus creant illi proprios. Quales autem excitet pulsus facultas, quæ dissoluitur, dicemus paulò inferius.

Balnea vero calida quidem quandiu sunt moderata, pulsus creant magnos, celeres, crebros, vehementes. Immoderata verò paruos, & languidos, tamen adhuc celeres, ac crebros. Quòd si hîc relinquantur, paruos, languidos, tardos, atque raros.

Balnea frigida illicò paruos, ac languidiores, & tardos, rarosque pulsus efficiunt; postea, provt id sit, quod induxerunt, omninò vel torporem inducent, vel robur. Quæ torporem intulerunt, & refrigerarunt, paruos & languidiores, & tardos, rarosque efficiunt. Quæ excalfecerunt, & robur conciliarunt, magnos, vehementes, celeritate, & frequentia moderatos.

Cibus largus, vt etiam grauet facultatem, pulsus inæquales, atque inordinatos concitat. Archigenes vult celeriores magis, quàm crebriores. Modicus, magnos, vehementes, celeres, crebros. Parcior quàm qui satis nutriat, non æquè ac moderatus, cæterùm minus mutat, neque id diù.

Vinum

Vinum pulsus cætera quidem, vt cibus, variat; hoc verò interest, quòd illicò immutet, & citius mutatio à vino profecta recedat, quàm illa, quæ à cibo: quòd item celeritatem amplius, & magnitudinem, quàm vehementiam, & crebritatem augeat. Quanto enim vehementiùs moderatus cibus constantiúsque robur conciliat, tantum ferè vinum extollit magnitudinem.

Aqua minimam omnium ciborum, & potuum mutationem inducit, quamquam perinde, vt cibi, & hæc mutet.

Reliqua omnia, quatenus nutrire valent, vel calefacere, vel refrigerare, hactenus arteriarum motum variant. Ad hunc modum ex causis, quæ non naturales appellantur, pulsus immutantur.

A Οἶνος τὰ μὲν ἄλλα, παραπλησίως σιτίοις τρέπει τοὺς σφυγμούς. διαφέρει δὲ τῷ παραχρῆμα τὴν τροπὴν ἐργάζεσθαι, καὶ τῷ θᾶττον παύεσθαι τὴν ἀπὸ οἴνου, τῆς ἀπὸ τῶν σιτίων, καὶ τῷ τὸ τάχος πλέον αὔξειν, καὶ τὸ μέγεθος, ἢ περὶ τὴν σφοδρότητα, καὶ τὴν πυκνότητα. σχεδὸν γὰρ ὅσῳ σφοδροτέραν τε, καὶ διαρκεστέραν τὴν ἰσχὺν τοῦ σώματος ἡ σύμμετρος τροφὴ παρέχει, τοσούτῳ τὸ μέγεθος ὁ οἶνος ἐξαίρει.

Ὕδωρ ἁπάντων τῶν προσφερομένων βραχυτάτην τροπὴν ἐργάζεται, πλὴν ἀνάλογον σιτίοις, καὶ τοῦτο τρέπει.

Τὰ δὲ ἄλλα πάντα, καθ' ὅσον ἂν, ἢ τρέφειν, ἢ θερμαίνειν, ἢ ψύχειν δύνηται, κατὰ τοσοῦτον, καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν μεταβάλλει. B οὕτω μὲν ἐπὶ τοῖς οὐ φύσει καλουμένοις αἰτίοις, οἱ σφυγμοὶ τρέπονται.

CAPVT XI.

De mutatione pulsuum ex causis præter naturam communissiomis.

NVnc mutationes ex causis præter naturam exponamus, illáque commemoremus priùs quæ iam de causis præter naturam communitate orationis conscripsimus. Ac aëris status; ciborum copia, vt facultatem grauet; ad hæc exercitationes, & balneæ, somníque immodici, præter naturam sunt. Excessus enim in quantitate naturalium causarum, & non naturalium, desciscunt ad statum præter naturam. At causarum quæ non quantitate modò, sed & genere sunt præter naturam, immensus est numerus; itaque nec potest comprehendi. Ars verò in his quoque constat generibus & speciebus, quantum fieri potest, certis, infinitum complectens. Etenim quamlibet causam præter naturam non abs re dixeris, vel dissoluere vitalem facultatem, & dissipare, vel quasi deprimere grauaréque. Dissoluitur facultas, alimenti inopia & morborum malignitate, animíque affectuum vi, atque vehementia dolorum, vel diuturnitate, denique immodicis vacuationibus. Grauatur à materiæ copia, & ab instrumentorum affectibus, vt inflammationibus, scirrhis, tumoribus, abscessibus, variísque corruptionibus. Itaque fatiscens facultas pulsum paruum, languidum, & crebrum admodum efficit. Depressa, & quasi grauata vertit in inæqualitatem pulsus, & in ordinem perturbatum cùm omnem alium, tum verò vehementiæ, & magnitudinis. Hæ siquidem in primis inæqualitates propriæ sunt facultatis pressæ; ac grauatæ insigniter, in pluribus differentiis; parùm in paucis. Etiam pulsus plures paruis magni sunt, & languidis vehementes, quum parua sit offensa; contrà, si magna. Iam nonnulli pereunt etiam integri motus in eiuscemodi affectibus, intercurrúntque; verùm minorem intercurrentes noxam, deperditi grauiorem significant. Communes igitur sunt hæ omnes tum dissolutionis, cùm oppressionis facultatis mutationes. Peculiares accipit quæque ex causa efficiente. Ergo, quum dissoluta à penuria facultas sit, fiunt pulsus primò languidi, parui, celeres, atque crebri; in medio languidi, parui, tardi, rarique; tandem extremè parui, languidi, & crebri, præbéntque celeritatis falsam speciem. Hic ille est, qui vocatur formicans. Vermiculans autem fit ille quidem etiam fatiscente iam facultate, sed nonnihil tamen reniten-

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς τῶν σφυγμῶν τροπῆς ἐπὶ τοῖς παρὰ φύσιν αἰτίοις κοινοτάτοις γινομένης.

ΤΑς δὲ ἐπὶ τοῖς παρὰ φύσιν αἰτίοις τροπὰς ἐφεξῆς λέγωμεν, ὑπομνήσαντες πρότερον ὅσα τῇ τοῦ λόγου κοι- C νωνίᾳ συνεγράφη τῶν παρὰ φύσιν. καταστάσεις οὖν ἀέρος, καὶ πλῆθος σιτίων, ὥστε βαρῦναι τὴν δύναμιν, καὶ γυμνασίων, καὶ λουτρῶν, καὶ ὕπνων ἀμετρίαι παρὰ φύσιν, αἱ γὰρ κατὰ τὸ ποσὸν ὑπερβολαὶ τῶν κατὰ φύσιν, καὶ τῶν οὐ φύσει λεγομένων αἰτίων, εἰς τὸ παρὰ φύσιν μεθίστανται. τῶν δὲ οὐ μόνον τῷ ποσῷ παρὰ φύσιν, ἀλλὰ καὶ τῷ γένει, τὸ μὲν πλῆθος ἄπειρον, καὶ διὰ τοῦτο ἀπερίληπτον. ἡ δὲ τέχνη κἀν τούτοις συνίσταται καθ' ὅσον ἐνδέχεται γένεσί τε, καὶ εἴδεσιν ὡρισμένοις περιέχουσα τὸ ἄπειρον. ἕκαστον γὰρ τῶν παρὰ φύσιν αἰτίων, οὐκ ἄν τις ἀπὸ τρόπου φαίη, τὸ μὲν οἷον λύειν τε, καὶ σκεδαννύειν τὴν ζωτικὴν δύναμιν, τὸ δὲ D οἷον θλίβειν τε, καὶ βαρύνειν. λύεται μὲν οὖν ἡ δύναμις, τροφῆς ἀπορίᾳ, καὶ νοσημάτων κακοηθείᾳ, καὶ ψυχικῶν παθῶν ἰσχύϊ, καὶ ἀλγημάτων σφοδρότησιν, ἢ μήκεσι, καὶ κενώσεσιν ἀμέτροις. βαρύνεται δὲ ὑπό τε πλήθους ὕλης, καὶ ὑπὸ τῶν ἐν τοῖς ὀργάνοις παθῶν, οἷον φλεγμονῶν, καὶ σκίρρων, καὶ ὄγκων, καὶ ἀποστάσεων, καὶ φθορῶν πολυειδῶν. ἡ μὲν οὖν λυομένη δύναμις, μικρόν, καὶ ἀμυδρόν, καὶ πυκνὸν ἄγαν ἐργάζεται τὸν σφυγμόν, ἡ δὲ θλιβομένη τε, καὶ οἷον βαρυνομένη, εἰς ἀνωμαλίαν τε, καὶ ἀταξίαν τρέπει τοὺς σφυγμούς, τήν τε ἄλλην ἅπασαν, καὶ τὴν κατὰ σφοδρότητα, καὶ μέγεθος. αὗται γὰρ ἴδιαι μάλιστα E θλιβομένης δυνάμεως ἀνωμαλίαι. καὶ τῆς μὲν μεγάλως βαρυνομένης ἐπὶ πλείοσι διαφοραῖς, τῆς δὲ ἐπ' ὀλίγον ἐν ὀλίγαις, καὶ πλείονες μὲν οἱ μεγάλοι σφυγμοὶ τῶν σμικρῶν, καὶ οἱ σφοδροὶ τῶν ἀμυδρῶν ἐπὶ μικρᾷ τῇ βλάβῃ. τὸ δὲ ἐναντίον ἐν τῇ μεγάλῃ. καὶ ἀπόλλυνται δέ τινες ὅλαι κινήσεις, καὶ παρεμπίπτουσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν. ἀλλ' αἱ μὲν παρεμπίπτουσαι μικροτέραν τὴν βλάβην, αἱ δὲ ἀπολλύμεναι μείζονα δηλοῦσιν. αὗται μὲν αἱ κοιναὶ τροπαὶ πάσης λύσεώς τε, καὶ θλίψεως. τὸ δὲ ἴδιον ἑκάστῃ προσλαμβάνει παρὰ τὴν ποιήσασαν αἰτίαν. τῆς μὲν οὖν ὑπ' ἐνδείας λυομένης δυνάμεως ἡ τροπὴ τῶν σφυγμῶν, κατὰ F ἀρχὰς μὲν εἰς ἀμυδρότητα, καὶ μικρότητα, καὶ τάχος, καὶ πυκνότητα γίγνεται. μεσούσης δὲ εἰς ἀμυδρότητα, καὶ μικρότητα, καὶ βραδύτητα, καὶ ἀραιότητα. τελευτώσης δὲ εἰς ἐσχάτην μικρότητα, καὶ ἀμυδρότητα, καὶ πυκνότητα, καὶ τάχους ψευδῆ φαντασίαν. ἔστι δὲ οὗτος ὁ μυρμηκίζων καλούμενος. ὁ δὲ σκωληκίζων σφυγμὸς γίνεται μὲν καὶ αὐτὸς λυομένης ἤδη τῆς δυνάμεως, ἀλλ' ἐπ' ὀλίγον ἀντεχού-

σης ἔτι. καὶ διαφέρει τοῦ μυρμηκίζοντος, τῷ μηκέθ' ὁμοίως εἰς ἐσχάτην ἀμυδρότητα, καὶ μικρότητα συνεστάλθαι, καὶ φανερὸν ἔχειν τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν, τὴν περὶ τὸ θᾶττον, ἢ ὀψιαίτερον τῶν μερῶν ἀρχομένων κινεῖσθαι γιγνομένην. ὅθεν ἧττον βραδὺς, ἢ μικρός ἐστι. ἐνίοτε δὲ οὐδ' ὅλως βραδύς. διόπερ καὶ ἥκιστα μοχθηρός ἐστι. αἱ μὲν οὖν ὑπὸ τῶν ὀλεθρίων, καὶ ὀξέων πυρετῶν γιγνόμεναι συγκοπαὶ, τὸν σκωληκίζοντα σφυγμὸν οὐκ ἴσχουσι, ταῖς δὲ ἄλλαις λύσεσι τῆς δυνάμεως, ὡς ἐπὶ τὸ πολὺ μὲν οἱ σκωληκίζοντες ἕπονται, καὶ τούτων μάλιστα ταῖς χωρὶς πυρετῶν γινομέναις, ἢ μετὰ μικρῶν πάνυ. ταῖς τ' ἄρα καρδιακαῖς μὲν συγκοπαῖς οἱ μυρμηκίζοντες, χολέραις δὲ καὶ ἰσχυροῖς ῥεύμασι κοιλίας, καὶ αἱμορραγίαις, καὶ γυναικείῳ ῥῷ, καὶ πᾶσι τοῖς ὀξέως κενωτικοῖς πάθεσιν, ἐπιπλεῖστον μὲν οἱ σκωληκίζοντες. ἐν ἐσχάτοις δὲ οἱ μυρμηκίζοντες ἕπονται. ὅταν δὲ χωρὶς πυρετῶν ταῦτα συμπίπτῃ, τότε δὴ καὶ μᾶλλον εὑρήσεις τὸν σκωληκίζοντα σφυγμὸν, σαφῆ τε ἅμα, καὶ μέχρι πλείστου παραμένοντα. τοιαῦται μὲν αἱ κοινόταται τῶν παρὰ φύσιν αἰτίων τροπαί.

te adhuc; dissidétque hac re à formicante, quòd non ita in extremam contractus est remissionem, & paruitatem, & quòd apertè in vno ictu inæqualis est partibus, vel citiùs, vel tardiùs incipientibus moueri; quamobrem minùs tardus, quàm paruus est, nonnunquam nequaquam tardus; quò circa minimè paruus est. Proinde quas exitiales febres, & acutæ concitant syncopas, hæ pulsum vermiculantem prorsus non habent. Reliquas facultatis dissolutiones ferè comitantur vermiculantes, has potissimum, quæ febribus non sunt coniunctæ, aut quàm minutis. Quare cardiacas syncopas, formicantes; choleras, & validos ventris fluxus, sanguinis profluuia, profluuium muliebre, omnes denique vehementer vacuantes affectus, plurimùm comitantur vermiculantes; extremos, formicantes. Et si his absint febres, tum verò multo magis vermiculantem pulsum inuenies cùm clarum, tum admodum diuturnum. Hæ causarum præter naturam communissimæ mutationes sunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τροπῆς τῶν σφυγμῶν ἐπὶ τοῖς παρὰ φύσιν αἰτίοις κατ' εἶδος.

Καὶ κατ' εἶδος δὲ αὐτὰς ἑξῆς ἐροῦμεν.

Θυμοῦ μὲν ὑψηλός ἐστιν ὁ σφυγμὸς, καὶ μέγας, καὶ σφοδρὸς, καὶ ταχὺς, καὶ πυκνός.

Ἡδονῆς δὲ μέγας, καὶ ἀραιὸς, οὐ μὴν σφοδρότητί γε διαφέρει.

Λύπης δὲ σμικρὸς, καὶ βραδὺς, καὶ ἀμυδρὸς, καὶ ἀραιός.

Φόβου δὲ τοῦ μὲν προσφάτου, καὶ σφοδροῦ ταχὺς, καὶ κλονώδης, καὶ ἄτακτος, καὶ ἀνώμαλος. τοῦ δὲ ἤδη κεχρονισμένου, οἷος ὁ τῆς λύπης. ἅπασι δὲ τούτοις εἰς μακρὸν χρονίζουσιν, ἢ σφοδροῖς ἄγαν γινομένοις, οἷοι διαλυομένης δυνάμεως ἕπονται σφυγμοί. καὶ γὰρ καὶ λύει τὴν δύναμιν ἅπαντα ταῦτα, συντόμως μὲν ὅσα ἰσχυρὰ, χρονίως δὲ ὅσα ἐναντία.

Ἄλγημα δὲ τὸ τρέπον τοὺς σφυγμοὺς, τρέπει δὲ, ἢ τὸ ἰσχυρὸν, ἢ τὸ ἐν μορίοις κυρίοις, ὥσπερ καὶ ἡ φλεγμονὴ, μικρὸν μὲν ὂν ἔτι, καὶ ἀρχόμενον μείζονα, καὶ σφοδρότερον, καὶ ὠκύτερον, καὶ πυκνότερον τὸν σφυγμὸν ἐργάζεται. αὐξηθὲν δὲ, καὶ ἰσχυρὸν πάνυ γενόμενον, ὡς ἀδικεῖν ἤδη τὸν ζωτικὸν τόνον, μικρότερον, καὶ ἀμυδρότερον, καὶ ταχὺν, καὶ πυκνόν. καὶ ὅσῳ ἂν ἐγχρονίζῃ μᾶλλον, ἢ σφοδρότερον γίνηται, τῶν εἰρημένων ἕκαστον ἐπιτείνεται. τὸ δὲ ἤδη διαλῦον τὴν δύναμιν εἰς ἀμυδρότητα, καὶ μικρότητα, καὶ τάχους ψευδῆ φαντασίαν, καὶ ὑπερβάλλουσαν πυκνότητα τὴν τροπὴν ἐργάζεται.

Φλεγμονῆς σφυγμὸς ὁ μὲν κοινὸς ἁπάσης οἷον ἐμπρίων ἐστὶν, ὡς δοκεῖν τὸ μέν τι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δὲ μὴ, σκληροτέρας δηλονότι φαινομένης αὐτῆς. ἔχει δέ τι, καὶ κλονώδες ὁ σφυγμὸς οὗτος. καὶ ταχύς ἐστι, καὶ πυκνὸς, οὐκ ἀεὶ δὲ μέγας. ὁ δὲ ἴδιος ἑκάστης, ὁ μὲν τῆς ἀρχομένης, μείζων τοῦ κατὰ φύσιν, καὶ σφοδρότερος, καὶ ὠκύτερος, καὶ πυκνότερος. ὁ δὲ αὐξανομένης ἔτι ταῦτά τε προσαυξάνει πάντα, καὶ σαφῶς τε ἤδη σκληρότερός ἐστι, καὶ κλονωδέστερος. τῆς δὲ ἀκμαζούσης σαφέστερος μέν ἐστι, καὶ σκληρότερος, καὶ κλονωδέστερος, μικρότερος δὲ, ἢ πρόσθεν, οὐ μὴν ἀμυδρότερός γε, πλὴν εἰ μὴ ὑπὲρ τὴν δύναμιν εἴη τὸ πάθος. ἀλλὰ καὶ πυκνότερος γίνεται, καὶ ταχύς. εἰ δ' ἱκανῶς χρονίζει, καὶ ἤδη σκληρύνοιτο σκιρρωδῶς, τοῖς εἰρημένοις

CAPVT XII.

De mutatione pulsuum ex causis præter naturam specialibus.

Nvnc speciatim eas explicabimus.

Iræ altus est pulsus, magnus, vehemens, celer, & creber.

Lætitiæ magnus, & rarus, at vehementiâ nihil differt.

Tristitiæ paruus, languidus, tardus, & rarus est.

Timoris recentis, & vehementis celer, & vibratus, & inordinatus est, inæqualísque. Inueterati iam talis qualis est tristitiæ. Hæc omnia, si valdè diuturna sint multúmque vehementia, pulsus, vt dissoluta facultate, consequuntur. Etenim dissoluunt etiam facultatem hæc omnia statim, si valida sint; diuturnitate, si non sint valida.

Dolor, qui quidem variat pulsus (variat autem ingens, aut qui principes partes tenet, vt etiam inflammatio) dum paruus est, atque initio, pulsum edit maiorem, vehementiorem, celeriorem, crebriorem; Auctus verò iam, & admodum validus, vt etiam vitale robur offendat, minorem, languidiorem, celerem, crebrum. Ac quò diuturnior fuerit, vel vehementior factus, hoc prædictum quodque magis intenditur. Qui verò facultatem iam dissoluit, in remissionem, & paruitatem, & falsam celeritatis speciem, ingentémque crebritatem commutat.

Inflammatio habet omnis communem pulsum veluti serrantem, vt pars quidem arteriæ dilatari videatur, alia vero minimè, quæ videlicet durior apparet. Habet etiam vibrationis aliquid hic pulsus; ac celer quidem, & creber est, non autem perpetuò magnus. At verò cuique est proprius, incipienti quidem maior eo qui secundum naturam, & vehementior, & celerior, & crebrior. Augescenti adhuc, quum illa omnia increscunt, tum clare iam durior, & magis vibratus est. Vigenti autem manifestior est, duriórque, atque vibratus magis; sed minor est, quàm dudum, non tamen languidior, nisi facultatem excedat affectus; sed & creberrimus fit, & celer. Quæ si diuturnior fit, atque in scirrhum iam indurescat, accedit illis gracilitas

gracilitas pulsus, & durities. Hæc inflammatio habet, quæ pulsum per totum corpus immutat, vel quia magna est, vel quia principem partem insidet. Si verò vniuersum corpus non afficiat, pulsus in parte inflammata talis erit, qualem diximus. Crescunt autem quæ commemorauimus singula, diminuuntúrque, aut pro inflammationis quantitate, aut pro ipsius instrumenti natura inflammati. Siquidem partes neruosiores duriores edunt pulsus, magísque serrantes, & minores. Quæ autem venosæ magis, & arteriosæ contrà; ac inter eos maior est in magis arteriosis, atque inæqualis facilè fit, inordinatúsque. Ex his liquet, qui pulsus sit illorum quibus inflammatum iecur est, vel lien, renes, vesica, colon, ventriculus; Præterea pleuriticorum, & peripneumonicorum, & breuiter omnium in quibus partis inflammationem comitatur febris; nisi quibus in locis ob symptomatum naturam, quæ tum necessariò illas consequuntur, tum casu adiuncta sunt, prout quodque possit mutare, ita pulsus contingat variari; vt mixta ibi mutatio fiat, & quæ inflammationi congrua est, & quam loci natura, vel præsentis inducit symptomatis. Quibus enim inflammatum est septum transuersum, hi conuulsionibus sunt opportuni; quibus pulmo, suffocationibus; quibus ventriculi os, syncopis; quibus iecur, atrophiæ; quibus ventriculus, cruditati; quibus renes, vrinæ suppressioni. Ad hæc partes exquisitiore præditæ sensu, etiam propter dolores pulsus mutant; quæ hebetiore sunt sensu, duntaxat propter affectum. Igitur in inflammationibus variè pulsus ex his omnibus mutantur. Quæ quemadmodum discernenda sint, cùm alio loco exactè tractauimus, tum verò in præsentia, quantum interest tyronibus, persequemur.

Pleuriticorum celer pulsus est, & creber, nec admodum magnus. Videbitur etiam vehemens esse. Est ille verò non languidus quidem, sed tamen non vehemens statim, quantum ad affectum refert. Siquidem vbique oportet meminisse, in quaque re mutationem esse quantum ad illam refert æstimandam, distinguendúmque id, quod propter aliud quidpiam, ac non propter illam accidit. Pulsus itaque pleuriticorum, quia neruosiorem quodammodo, duriorémque efficit arteriam, quasi converteret in vehementiam, imperitis imponit, qui durum ictum nequeunt à vehementi discernere. Ita quoque vulgus medicorum, quòd alias etiam differentias pulsuum discernere nesciat, has fortassis institutiones accusabit, atque ex sua ignorantia damnabit recta præcepta. Verùm non faciam, vt hîc longior sim, quum separatim de pulsibus dignoscendis scripserim. Quare vt rationem exerceas simul & tactum admoneo, vt in ipsis operibus pulsum possis cognoscere, non discernere solùm ratione. Principium verò exercitationis in ipsis operibus, sermone expressa doctrina. Quippe nequeas, vel crebritatis quantitatem verbis explicare, tametsi multum intersit, excedat iustum pleuritidis modum, an non assequatur. Siquidem excessus, vbi in peripneumoniam migrat, aut denuntiat syncopen, necesse est fieri. Defectus in soporem, vel neruorum desinere læsionem. Simili modo illa inæqualitatis species, quæ serrantis imaginem præbet, in primis pleuritidis proprium est signum: si remissa est, mollis, & quæ facilè maturetur: si verò magna; difficilis, & admodum crudæ pleuritidis. Tales

ἰσχνότης σφυγμοῦ, καὶ σκληρότης προσγίνεται. ταῦτα ἐπὶ μὲν τῶν ἐν ὅλῳ τῷ ζώῳ σφυγμὸν τρεπούσης φλεγμονῆς, ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ κύριον τοῦ μέρους ἐν ᾧ συνέστη. τῆς δὲ μὴ συγκινούσης τὸ πᾶν, ὅ γε ἐν τῷ φλεγμαίνοντι μορίῳ σφυγμὸς, οἷος εἴρηται. ἐπιτείνεται δὲ καὶ ἀνίεται τῶν εἰρημένων ἕκαστον, ἢ παρὰ τὸ ποσὸν τῆς φλεγμονῆς, ἢ παρὰ τὴν αὐτοῦ τοῦ φλεγμαίνοντος ὀργάνου φύσιν. τὰ μὲν γὰρ νευρωδέστερα μέρη σκληροτέρους, καὶ μᾶλλον ἐμπρίοντας, καὶ μικροτέρους τοὺς σφυγμοὺς ἐργάζεται. τὰ δὲ φλεβωδέστερα, καὶ ἀρτηριωδέστερα τοὺς ἐναντίους. αὐτῶν δὲ τούτων μείζων, ὁ ἐν τοῖς ἀρτηριώδεσι καὶ ῥᾳδίως ἀνώμαλος, καὶ ἄτακτος γινόμενος. δῆλος οὖν ἤδη, καὶ ὁ τῶν τὸ ἧπαρ φλεγμαινόντων σφυγμὸς, οἷος ἂν εἴη, καὶ ὁ τῶν τὸν σπλῆνα, καὶ ὁ τῶν τοὺς νεφροὺς, ἢ τὴν κύστιν, ἢ τὴν γαστέρα, ἢ τὸ κῶλον, καὶ πλευριτικῶν, καὶ περιπνευμονικῶν, καὶ πάντων ἁπλῶς εἰπεῖν, ὧν τῇ τοῦ μέρους φλεγμονῇ πυρετὸς ἕπεται. πλὴν ὅσα διὰ μὲν τὴν τῶν συμπτωμάτων φύσιν τῶν τε ἐξ ἀνάγκης ἑπομένων αὐταῖς, καὶ τῶν κατὰ τύχην συνδραμόντων, ὡς ἂν ἕκαστον τρέπειν δύνηται, καὶ τὸν σφυγμὸν ἐπὶ τοσοῦτον ἀλλοιοῦσθαι συμβήσεται, μικτῆς ἐν αὐτῇ τροπῆς γινομένης, τῆς δὲ κατὰ τὸν λόγον φλεγμονῆς, καὶ ἣν ἡ τοῦ τόπου φύσις, καὶ ἡ τοῦ παρόντος συμπτώματος ἐργάζεται. σπασθῆναι μὲν γὰρ τοῖς τὰς φρένας φλεγμαίνουσιν, ἕτοιμον. πνιγῆναι δὲ, τοῖς τὸν πνεύμονα. συγκοπῆναι δὲ, τοῖς τὸ στόμα τῆς γαστρός. ἀτροφῆσαι δὲ, τοῖς τὸ ἧπαρ. ἀπεπτῆσαι δὲ, τοῖς τὴν γαστέρα. ἐπισχεθῆναι δὲ τὰ οὖρα, τοῖς τοὺς νεφρούς. καὶ τὰ μὲν αἰσθητικώτερα μέρη, διὰ τὰς ὀδύνας τρέπει τοὺς σφυγμούς· τὰ δὲ ἀναισθητότερα, κατὰ τὴν διάθεσιν μόνον. ἐκ τούτων οὖν ἁπάντων πολυειδεῖς αἱ ἀλλοιώσεις γίνονται τῶν ἐπὶ ταῖς φλεγμοναῖς σφυγμῶν, καὶ ὡς χρὴ διορίζειν αὐτὰς, εἴρηται μὲν ἐν ἑτέραις τελείως, εἰρήσεται δὲ, καὶ νῦν, εἰς ὅσον τοῖς εἰσαγομένοις χρήσιμόν ἐστι.

Τῶν μὲν οὖν πλευριτικῶν ταχὺς, καὶ πυκνὸς, καὶ οὐ λίαν μέγας. δόξει δὲ εἶναι, καὶ σφοδρός. ὁ δὲ ἐστὶν οὐκ ἀμυδρὸς μὲν, οὐ μὴν ἤδη καὶ σφοδρὸς, ὅσον ἐπὶ τῷ πάθει. τούτου γὰρ ἐπὶ πάντων μεμνῆσθαι χρὴ, τοῦ δεῖν ἐφ' ἑκάστῳ τῶν πραγμάτων, ὅσον ἐπ' ἐκείνῳ, τὴν τροπὴν ἐξετάζειν, διορίζοντας τὸ διά τι ἄλλο· καὶ μὴ δι' ἐκεῖνο συμβεβηκός. ὁ τοίνυν τῶν πλευριτικῶν σφυγμὸς νευρωδεστέραν πως, καὶ σκληροτέραν ἐργαζόμενος τὴν ἀρτηρίαν, ὡς ἂν εἰς σφοδρότητα τρέπων ἀπατᾷ τοὺς ἀγυμνάστους, οὐ δυναμένους διακρίνειν σκληρὰν πληγὴν, σφοδρᾶς. οὕτω δὲ καὶ ἄλλας πολλὰς διαφορὰς σφυγμῶν, ἀδυνατοῦντες διακρίνειν οἱ πολλοὶ τῶν ἰατρῶν, τάχα ἂν μέμφονται τοῖς ἐνταῦθα γεγραμμένοις, ἐξ ὧν αὐτοὶ μὴ συνίασι τῶν ὀρθῶς λεγομένων καταγινώσκοντες. ἀλλ' οὐ χρὴ μηκύνειν ἐν τῷ νῦν λόγῳ περὶ αὐτῶν. γέγραπται γὰρ ἡμῖν ἰδίᾳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἀσκεῖν οὖν παρακελευόμεθα τόν τε λογισμὸν ἅμα, καὶ τὴν ἁφὴν, ὡς ἐπ' αὐτῶν τῶν ἔργων γνωρίζειν δύνασθαι τοὺς σφυγμοὺς, οὐ λόγῳ διακρίνειν μόνον. ἀρχὴ δὲ τῆς ἐπὶ τῶν ἔργων τριβῆς, ἡ διὰ τοῦ λόγου διδασκαλία. καὶ γάρ τοι καὶ τῆς πυκνότητος, οὐχ οἷόν τε τὸ ποσὸν λόγῳ ἑρμηνεῦσαι, καίτοι μεγάλην ἔχει διαφορὰν, ἢ ὑπερβαίνουσα τὸ εἰθισμένον μέτρον τῆς πλευρίτιδος, ἢ ἐλλείπουσα. τὰς μὲν γὰρ ὑπερβολὰς εἰς περιπνευμονίαν μεθισταμένης, ἢ συγκοπὴν ἀπειλούσης ἀνάγκη γίνεσθαι. τὰς δὲ ἐνδείας, εἰς καταφορὰν, ἢ νεύρων βλάβην τελευτᾶν. οὕτως δὲ καὶ τὸ τῆς ἀνωμαλίας εἶδος, τὸ μὲν οἷον ἐμπριστικόν. ἴδιον οὐχ ἥκιστα πλευριτικῶν ὑπάρχον, ἀνειμένον μὲν μαλακῆς, καὶ ῥᾳδίως πεφθησομένης. ἐπιτεινόμενον δὲ χαλεπῆς, καὶ δυσπέπτου γνώρισμα πλευρίτιδος. αἱ δὲ τοιαῦται

συν ἀσθενεῖ τῇ δυνάμει, κινδυνώδεις ὀξέως. συν ἰσχυρᾷ δέ, ἢ χρονίως ἐπέφθησαν, ἢ εἰς ἐμπύημα μετέπεσον, ἢ φθινώδης αὐτὰς μαρασμὸς διεδέξατο. τῆς μὲν οὖν πεττομένης ὁ σφυγμὸς, πᾶσαν ἀποτίθεται κατὰ βραχὺ τὴν παρὰ φύσιν τροπήν. τῆς δὲ εἰς ἐμπύημα μεταπιπτούσης, οἱ τῶν ἐμπυημάτων ἴδιοι γίνονται. κατὰ ταὐτὰ δὲ καὶ τοῖς φθινωδῶς μαρανθησομένοις, οἱ ἐπὶ τῶν μαρασμῶν.

Ἔστι δὲ τῶν ἐμπύων ὁ σφυγμὸς, ἄρτι μὲν ἀρχομένων, οἷος ὁ τῆς ἀκμαζούσης φλεγμονῆς. αὕτη γὰρ καὶ αὐτῶν τῶν ἐμπυημάτων ἐστὶν ἀρχή. ἔσθ' ὅτε δὲ καὶ ἀνώμαλος, καὶ ἄτακτος, ἑκτικὸς δὲ πᾶσιν. ἤδη δὲ τοῦ πύου παρακειμένου, τὰ μὲν ἄλλα παραπλήσιος, ἀλλ' ὁμαλώτερος. ἐπὶ δὲ ταῖς ῥήξεσιν ἀμυδρότερος, καὶ πλατύτερος, καὶ βραδύτερος, καὶ ἀραιότερος.

Ὁ δὲ τῶν μαραινομένων, οὐ καθ' ἓν εἶδος τρέπεται σφυγμός. χρὴ δὲ ἐφ' ὅσον ἐνδέχεται, διαφοραῖς εὐδήλοις διαιρεῖσθαι περὶ αὐτῶν. οἱ μὲν δὴ ταῖς μὴ λυθείσαις φλεγμοναῖς κατὰ βραχὺ συναπομαρανθέντες, ἀμυδροὺς, καὶ θάττονας, καὶ πυκνοὺς ἄγαν, καὶ μυούρους κατὰ μέγεθος ἐν μιᾷ πληγῇ τοὺς σφυγμοὺς ἴσχουσιν. οὓς Ἀρχιγένης ἐπινενευκότας τε καὶ περινενευκότας καλεῖ, σαφῶς δηλοῦν βουλόμενος, τὸ κατὰ τὴν διαστολὴν βραχὺ, μετὰ τῆς τῶν ἑκατέρωθεν περάτων ἐπινεύσεως, οὐ γὰρ ὡς ἀποκεκομμένων ἀθρόως, ἀλλ' ὡς ἐπικεκαμμένων τῶν ἑκατέρωθεν μερῶν εἰς βραχὺ συνέσταλται, μύουρος ὢν τῷ μεγέθει καθ' ἑκάτερα τὰ μέρη. τοῦτο μὲν οὖν οὐ τούτοις μόνοις, ἀλλὰ καὶ τοῖς πλείστοις τῶν ὁπωσοῦν μαραινομένων ὑπάρχει, τοῖς μὲν οὖν διὰ φλεγμονὰς πᾶσιν. ἤδη δὲ καὶ τῶν ἄλλων τοῖς πολλοῖς, εἰ μή τι ἄρα καὶ ἐκεῖνοι διά τινας φλεγμονὰς λανθανούσας μαραίνονται. καὶ εἴη ἂν οὗτος τῶν ἐπὶ φλεγμοναῖς μαραινομένων ἴδιος, οὐδενὶ τῶν ἄλλως μαρανθέντων ὑπάρχων. ἑκτικὸς δὲ ἅπασι τοῖς μαραινομένοις σφυγμός ἐστι, καὶ τοῦτο αὐτοῖς κοινότατον. ἐν δευτέρῳ δὲ ἡ κατὰ τὸ μέγεθος τῆς διαστολῆς ἀνωμαλία μυουρίζουσα. καὶ γὰρ καὶ τοῦτο τοῖς πλείστοις ὑπάρχει. τρίτον δὲ, τὸ τῆς πυκνότητος. ὑπάρχει γὰρ καὶ τοῦτο πᾶσι μὲν τοῖς ἐπὶ φλεγμοναῖς μαρανθεῖσιν ἀχώριστον. ἀλλὰ καὶ τοῖς ἐπὶ καρδιακαῖς διαθέσεσιν, ἢ στομαχικαῖς συγκοπαῖς ὀξέως κινδυνεύουσιν, εἶτ' ἀπὸ οἴνου πόσεως διαφυγοῦσι μὲν τὴν ὀξύτητα, μαρανθεῖσι δὲ τῷ χρόνῳ, εἰ μή τι ἄρα καὶ τούτους φαίη τις ἐπὶ μικραῖς φλεγμοναῖς ἀδήλοις ἡμῖν ἀπόλλυσθαι. καὶ γάρ τινες αὐτῶν τὸν ἐπινενευκότα σφυγμὸν ἔχουσιν, εἰ μή τι ἄρα πάλιν τούτους μὲν ἐπὶ φλεγμοναῖς, τοὺς δὲ ἄλλους ἄνευ φλεγμονῆς μαραίνεσθαι φήσει τις. τοῦτο μὲν οὖν ἄπορον. ἔχουσι δὲ ἤτοι σφυγμὸν ἑκτικὸν, ἤτοι ἀμυδρὸν, πυκνὸν ἄγαν, καί τινες αὐτῶν τὸν ἐπινενευκότα. δευτέρα μὲν δὴ αὕτη διαφορὰ σφυγμοῖς τοῖς μαραινομένοις. ἄλλη δὲ τρίτη τῶν ἀραιὸν ἰσχόντων. ἀλλὰ καὶ τούτοις πάντως ὅ, τε προηγησάμενος πυρετὸς ἐπύκνωσεν αὐτὸν, καὶ ἡ ἐσχάτη λύσις τῆς δυνάμεως ἱκανῶς πυκνοῖ. τοὐμμέσῳ δὲ πάντων μὲν πυρετῶν ἀποψυχθέντων, μηδέπω δὲ ἀπολλυμένων αὐτῶν τὴν εἰς ἀραιότητα τροπὴν εἰργάσατο. τοῦτο δὲ τὸ εἶδος τῶν μαρασμῶν πρεσβυτικῆς ἡλικίας ἴδιον, ἡνίκα ἂν μάλιστα τὸν κατὰ θώρακα, καὶ πνεύμονα πεπονθός τι τύχῃ. οὗτοι τὴν πυρεκτικὴν σκληρότητα τοῦ σφυγμοῦ φυλάττουσι, κἂν ἀραιὸς ᾖ. παντελῶς δὲ ὀλίγοις τῶν μαραινομένων εἰς ἄλλην ἀνωμαλίαν ὁ σφυγμὸς τρέπεται, πλὴν τῆς εἰρημένης κατὰ τὸ μέγεθος.

Ὁ δὲ τῶν φθισικῶν ὀνομαζομένων σφυγμὸς, μικρὸς, καὶ ἀμυδρός ἐστι, καὶ μαλακὸς, καὶ ταχὺς συμμέτρως, καὶ ἑκτικός.

Ὁ δὲ τῶν περιπνευμονικῶν μέγας ἐστὶ, καὶ κυματῶδές τι ἔχων, καὶ ἀμυδρὸς, καὶ μαλακὸς, ὁμοίως τῷ τῶν ληθαργικῶν, πλὴν ὅσα πλεονάζει τῇ ἀνωμαλίᾳ, τῇ τε

A cum imbecilla quidem facultate coniunctæ, periculum præſens habent; ſi cum firma, aut tardè concoquentur, aut ad ſuppurationem deflectent, aut tabidus eas excipiet marcor. Atque eius quæ concoquitur, pulſus pedetentim omnem deponit illam pręter naturã mutationem. Quæ deflectit ad ſuppurationẽ, habet pulſus ſuppuratorũ proprios. Ita quoq; quæ tabidè marceſcet, pulſus marcorũ.

Suppuratorum pulſus initio ſtatim pulſum refert vigentis inflammationis. Hoc enim initium eſt ſuppurationum. Nonnunquam inæqualis eſt, & inordinatus, ſed omnibus hecticus. Quum autem pus propè ſit maturum, cætera ſimilis eſt, niſi B quòd æqualior ſit; at quum erumpit, languidior, latior, tardior, rariórque.

Marceſcentium pulſus non vno modo variat. Quare differentiis hi quàm apertiſſimis diſcernendi ſunt. Qui vnà cum inflammatione quæ non diſcuſſa ſit, commarcuerint, languidos, & celeriores, miréque crebros pulſus habent, ac decurtatos magnitudine in vno ictu. Quos Archigenes innuentes, & circonnuentes appellat, vt apertè declaret diſtentionis breuitatem, cum vtriuſque extremitatis quaſi inclinatione. Neque enim vt præciſis affatim, ſed ceu partibus vtrinque inflexis, C contrahitur decurtatus magnitudine, & in vtriſq; partibus. Atque hoc quidem non hi modò, ſed marceſcentes qualibet ex occaſione habent ferè omnes; qui ex inflammatione marceſcunt, omnes; & alij item multi; niſi illi ſanè, qui ex occulta quapiam inflammatione marceſcunt. Eritque hic marceſcentium ex inflammatione proprius, nulli conueniens, qui aliam ob cauſam marcuerit. At hecticus omnibus marceſcentibus pulſus eſt; qui quidem iis eſt communiſſimus; ſecundùm illum, inæqualitas diaſtoles magnitudine decurtata, quæ etiam adeſt pleriſque, tertia verò crebritas. Etenim hæc quoque omnibus qui ex inflammatione D marcuerint, perpetua adhæret; omnibúſque adeo qui ob ſyncopen, ex corde, vel ſtomacho affecto profectam in præſens periculum venerunt, ac deinde vini potione declinauerunt periculum, ſed tempore tamen marcuerunt; niſi ſanè hos quoque dicas, ex paruis inflammationibus perire nobis incognitis. Siquidem ſunt inter eos qui innuentem habeant pulſum; niſi etiam hos dicas ex inflammatione alios citra inflammationem marceſcere. Verùm hoc in dubio eſt. Pulſum igitur hi habẽt hecticum, languidum, admodum crebrum, quem innuentem quidam appellant. Atque alte- E ram hanc marceſcentes differentiam pulſuum ſunt ſortiti. Alia item tertia eſt eorum qui raram habent; verùm & his quum antegreſſa febris pulſus reddidit crebros, tum facultatis extrema diſſolutio abundè efficit crebros. Quod autem intercedit, omnibus quidem refrigeratis febribus, nondum tamen extinctis iis, in raritatem commutat. Genus hoc marcoris ſenibus proprium eſt, præſertim quum aliquid vitij pulmo, & thorax contraxit. Hi febrilem retinent pulſus duritiem, etiam ſi rarus ſit. Omnino paucis marceſcentibus in F aliam inæqualitatem pulſus, ac illam quam diximus, magnitudinis vertitur.

Phthiſicorum, quos vocant, pulſus paruus, & languidus eſt, molliſque, & modicè celer, atque hecticus.

Peripneumonicorum magnus eſt pulſus, & vndoſi quid habens, & languidus, molliſque ſimiliter, atque lethargicorum pulſus; niſi quatenus præpollet

præpollet inæqualiter, & in vno pulsu, & collectiua, quam vocant. In vno ictu, quum veluti interpellatur, & vndosus est, ac dicrotus interdum fit; in collectiua, quum alias differentias habet, tum modò intermittit, modò intercurrit. Quum autem acutè omnes peripneumonici febricitant, tum nonnihil comatis habent; vtrum excellat horum, ex eius maximè ratione crebritatis quantitas inuenitur. Vbi ardentior febris adiuncta peripneumoniæ sit, pulsus abundè creber est; si comatosior, minùs creber.

Lethargicorum pulsus similis peripneumonicorum est magnitudine, imbecillitate, mollitudine; sed eo est tardior rariórque, ac minùs inæqualis, intermittens potiùs quàm intercurrens. Fit autem interdū dicrotus. At vndosus semper in altis quidē soporibus est, de quibus hæc dicuntur. Morborum enim pulsus exponimus, qui omnibus suis indiciis constent; quò, si qui aliquatenus deficiant, neque dum sint integri, satis cognoscere magnitudinem, & qua iam sunt præditi, & quæ accedere iis potest, valeamus. Sed quoniam inæqualitatis sæpè meminimus, rarò autem perturbationis ordinis, hoc in vniuersum sciendum est, ferè inæqualitates comitari perturbationem ordinis. Ac inæqualem pulsum, qui sit ordinatus, rarò inuenias. At nimirum minores offensæ inæquales, & ordinatos; maiores inæquales pulsus, atque inordinatos creant.

Phreniticorum paruus pulsus est; rarissimè autem conspectus est magnus esse. Validus est modicè. Durus & neruosus est; valdè est celer, & creber. Habet præterea nōnihil vndosi. Interdum subtremere tibi videbitur; interdum etiam præcisus cum conuulsione quadam. Quod enim febres, in celeritate proprium habent symptoma, hic obtinet clarè in vtroque termino distentionis, præcipuè externo. Inuenias etiam inæqualitatis in situ genus insigniter aliquando in illo apparere; imò totam subinde arteriam, sua sede deserta, conspicias attolli, potiùs cum vibratione ebullientem, quàm more pulsus distentam; pari modo delabi, detractam potiùs quàm contractam. At verò immodica eius crebritas proximam denunciat syncopen.

Iam etiam alius est affectus, quem an medium lethargi & phrenitidis oporteat appellare, vt qui cum neutro in totum conueniat; an communem vtrique, vt ex phrenitidis speciebus & lethargi mixtum, suo loco considerabimus. Nunc de eius pulsibus agemus. Ac ne quasi ænigma quoddam propositum sit, per signa assidentia, eum ob oculos ponam. Conniuent ferè oculis, somnolenti sunt, atque stertunt. Rursus oculis fixis ac inconniuentibus diutissimè, vt catochi, intuentur. Et si quid roges, atque ad colloquium compellas, difficiles sunt, & tardi ad respondendum. Plerunque etiam stultè loquuntur, nec rectè respondent, ac temerè nugantur. Is est affectus quem dico, qui ex signis sibi adiunctis defectu proprij nominis cognoscitur. Pulsus eius celeres sunt & crebri, perindè vt phreniticorum, minùs tamen. Et roboris item minus, ac illi, obtinent. Lati autem sunt & breues. Externum motum non habent subitò truncatum, sed alio modo, veluti intrò se proripientes, subterfugiunt, ac concitant contractionem, & quasi suffurantur diastolen; verùm in ea pulsui phreniticorum non sunt similes, quòd truncatione illa careant.

κατὰ μίαν πληγὴν, καὶ τῇ συστηματικῇ καλουμένῃ. κατὰ μὲν τὴν μίαν πληγὴν, ὅτι διακεκομμένος τε, καὶ κυματιζόμενος, καὶ δίκροτος ἔσθ᾽ ὅτε γινόμενος· ἐν δὲ τῇ συστηματικῇ τάς τε ἄλλας διαφορὰς ἔχει, καί ποτε μὲν διαλείπει, ποτὲ δὲ παρεμπίπτει. πυρεττόντων δὴ ἁπάντων τῶν περιπνευμονικῶν ὀξέως, καί τι καὶ κωματῶδες ἐχόντων, ὁπότερον ἂν αὐτῶν ἐπικρατῇ, καὶ ἐκ τούτου μάλιστα τὸ ποσὸν τῆς πυκνότητος εὑρίσκεται. πυρωδεστέρας μὲν ὑπαρχούσης τῆς περιπνευμονίας, ἱκανῶς ὁ σφυγμὸς πυκνός ἐστι· κωματωδεστέρας δὲ, ἧττον πυκνός ἐστι.

Ὁ δὲ τῶν ληθαργικῶν σφυγμὸς ὅμοιος ὢν τῷ τῶν περιπνευμονικῶν κατά τε μέγεθος, καὶ ἀμυδρότητα, καὶ μαλακότητα, καὶ βραδύτερος αὐτοῦ ἐστι, καὶ ἀμυδρότερος, καὶ ἧττον ἀνώμαλος, καὶ διαλείπων μᾶλλον, ἢ παρεμπίπτων. γίγνεται δὲ ἔσθ᾽ ὅτε καὶ δίκροτος. ἀεὶ μέντοι κυματώδης ἐστὶν, ἔν γε ταῖς βαθείαις καταφοραῖς, ἐφ᾽ ὧν ταῦτα λέγεται. τῶν γὰρ συμπεπληρωμένων ἅπασι τοῖς ἑαυτῶν γνωρίσμασι νοσημάτων τοὺς σφυγμοὺς διέξειμεν, ἵνα καὶ τῶν ἐλλειπόντων κατά τι, καὶ μηδέπω τελείων ἱκανῶς, γνωρίζειν δυνηθῶμεν τὸ μέγεθος, ὅσον τε ἤδη ἔχουσι, καὶ ὅσον ἔτι τε ἐστὶ προσδεχθῆναι αὐτοῖς. ἐπεὶ δὲ πολλάκις μὲν ἀνωμαλίας ἐμνημονεύσαμεν, ὀλιγάκις δὲ ἀταξίας, εἰδέναι χρὴ τοῦτο καθόλου, ταῖς ἀνωμαλίαις ὡς τὸ πολὺ τὴν ἀταξίαν ἑπομένην. σπανίως δὲ ἐστιν εὑρεῖν ἀνώμαλον σφυγμὸν τεταγμένον. αἱ μὲν οὖν μικρότεραι βλάβαι τοὺς ἀνωμάλους, καὶ τεταγμένους· αἱ δὲ μείζονες τοὺς ἀνωμάλους, καὶ ἀτάκτους σφυγμοὺς ἐργάζονται.

Ὁ δὲ τῶν φρενιτικῶν σφυγμὸς, μικρός ἐστι· σπανιώτατα δὲ ὤφθη ποτὲ μέγας, καὶ τόνου μετρίως ἔχει. καὶ σκληρὸς, καὶ νευρώδης ἐστὶ, καὶ πυκνὸς, καὶ ἄγαν ταχύς. ἔχει δέ τι καὶ κυματῶδες. ἐνίοτε δὲ καὶ ὑποτρέμειν σοι δόξει· ποτὲ δὲ καὶ ἀποκεκόφθαι σπασμωδῶς. τὸ γὰρ τῶν πυρετῶν ἴδιον ἐν τῷ τάχει σύμπτωμα, μάλιστα οὗτος ἐναργῶς ἐκτήσατο κατ᾽ ἀμφότερα τῆς διαστολῆς τὰ πέρατα, καὶ μᾶλλον τὸ ἔξω. ἔστι δὲ καὶ τὸ τῆς κατὰ τὴν θέσιν ἀνωμαλίας εἶδος εὑρεῖν ἐν αὐτοῖς σφοδρῶς γινόμενόν ποτε. ἀλλὰ καὶ ὅλη σοι δόξει πολλάκις ἡ ἀρτηρία καταλιποῦσα τὸν ἑαυτῆς τόπον, ἄνω φέρεσθαι κλονωδῶς, ἀναβρασσομένη μᾶλλον, οὐ σφυγματωδῶς διαστελλομένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ κάτω χωρεῖ κατασπωμένη μᾶλλον, ἢ συστελλομένη. τὸ δὲ ἄγαν πυκνὸν αὐτῆς, ἐφεδρεύουσαν ἀπειλεῖ συγκοπήν.

Ἔστι δέ τι καὶ ἄλλο πάθος ὅ εἴτε μέσον ληθάργου, καὶ φρενίτιδος χρὴ ὀνομάζειν, ὡς οὐδετέρῳ ταὐτὸν ὄν, εἴτε κοινὸν ἀμφοῖν, ὡς μικτὸν ἔκ τε τῶν φρενίτιδος εἰδῶν, ἔκ τε τῶν ληθάργου τοῦτο μὲν ἰδίᾳ σκεψόμεθα. περὶ δὲ τῶν σφυγμῶν αὐτοῦ, νῦν ἐροῦμεν. καὶ ἵνα μὴ, ὥσπερ αἴνιγμά τι προβεβλημένον εἴη, τοῖς συνεδρεύουσιν αὐτὸ δηλώσω. τὰ μὲν πολλὰ μύουσι τοὺς ὀφθαλμοὺς, καὶ ὑπνώδεις εἰσὶ, καὶ ῥέγχουσιν. αὖθις δ᾽ ἐπὶ πλεῖστον ἀτενὲς ὁρῶντες, διατελέσουσιν ἀσκαρδαμυκτὶ παραπλησίως τοῖς κατόχοις. καὶ εἰ πυνθάνοιτό τις, καὶ εἰ διαλέγεσθαι βιάζοιτο, δυσχερῶς ἀποκρίνεσθαι, καὶ ἀργοί. τὰ πολλὰ δὲ καὶ παραφόρως φθεγγόμενοι, καὶ οὐκ ὀρθῶς ἀποκρινόμενοι, καὶ ληρῶντες εἰκῆ. τοιοῦτον μὲν ἐστὶ τὸ πάθος, ὃ καὶ νῦν βούλομαι δηλοῦν τοῖς συνεδρεύουσι γνωρισθὲν, ἀπορίᾳ οἰκείου ὀνόματος. οἱ σφυγμοὶ δὲ αὐτοῦ ταχεῖς, καὶ πυκνοὶ παραπλησίως τοῖς φρενιτικοῖς, ἀλλ᾽ ἧττον. οὕτω δὲ καὶ ἰσχὺος ἧττον ἐκείνων ἔχουσι. πλατεῖς δὲ καὶ βραχεῖς, καὶ τὸ κατὰ τὴν ἔξω κίνησιν ἀθρόως ἀποκεκομμένον οὐκ ἔχοντες, ἀλλ᾽ ἑτέρῳ μὲν τρόπῳ, καθάπερ εἴσω σπεύδοντες ὑποφεύγουσιν, ἐπιταχύνοντες μὲν τὴν συστολὴν, ὑποκλέπτοντες δὲ τὴν διαστολήν. οὐ μὴν ὁμοίως γε κατ᾽ αὐτὴν τοῖς φρενιτικοῖς. τὸ γὰρ ἀποκεκομμένον οὐκ ἔχουσιν.

Οἱ δὲ τῶν κατόχων σφυγμοί, κατόχους γὰρ καὶ κατεχομένους ἐκάλουν αὐτοὺς οἱ παλαιοί, κατοχὴν δὲ καὶ κατάληψιν οἱ νεώτεροι τὸ πάθος ὀνομάζουσιν. ἐοίκασι μὲν τὰ ἄλλα τοῖς ληθαργικοῖς, μεγέθους τε καὶ βραδύτητος καὶ ἀραιότητος, ὥσπερ καὶ ὅλον τὸ πάθος τοῦ πάθους οὐ πόρρω τὴν ἰδέαν ἐστίν. οὐ μὴν ἀσθενὴς ὁ τῶν κατόχων σφυγμός, οὐδὲ μαλακός. ἀλλ' ἐν τούτοις δὴ καὶ πάνυ διαφέρουσιν, ὥσπερ καὶ ἐν τῷ λύεσθαι μὲν καὶ οἰδίσκεσθαι τὴν ὅλην ἕξιν τοῖς ληθαργικοῖς, ἐσφίγχθαι δὲ καὶ συνέχεσθαι τοῖς κατόχοις. οὕτω δὲ καὶ ἀνωμαλίᾳ καὶ ὁμαλότητι διαφέρουσιν ἀλλήλων. ὁμαλὸς γὰρ ὁ τῶν κατόχων σφυγμός. ἀνώμαλος δέ, ὁ τῶν ληθαργικῶν. Ἀρχιγένης δέ φησι τὸν τῆς ἀρτηρίας τόπον ἰδίως ἐπ' αὐτῶν θερμότερον εὑρίσκεσθαι. καθάπερ τοῖς σπασθησομένοις μετὰ καταφορᾶς.

Τῶν σπωμένων αὐτὸ μὲν τὸ σῶμα τῆς ἀρτηρίας συνῆχθαι δοκεῖ, καὶ πανταχόθεν ἐσφίγχθαι, οὐχ ὡς τεθλιμμένον ὑπό τινος, ἢ στενοχωρούμενον. οὐ μὴν οὐδ' ὅλως πεφρικὸς οἷον τὸ πυρεκτικόν, καὶ μάλιστα ὡς ἐν ἐπισημασίαις. οὐδὲ ὡς διὰ σκληρότητα δυσπέκταστον, οἷον τὸ ἐπὶ χρόνου μήκεσι, καὶ μάλιστα σὺν ἁμαρτήμασί τισιν, ἢ σπλάγχνων κακώσεσιν, ἀλλ' ὡς ἂν εἰ σῶμα νευρῶδες κοῖλον, οἷον ἔντερον, ἤ τι παραπλήσιον ἐξ ἀμφοτέρων τῶν περάτων τεταμένον. οὕτω δὲ καὶ ἡ κίνησις ἀνώμαλος, ἄνω καὶ κάτω μεθισταμένης τῆς ἀρτηρίας, ὥσπερ χορδῆς. οὐδὲ γὰρ διαστολῆς, ἢ συστολῆς ἔμφασίς ἐστιν. ἀλλὰ κλόνῳ μᾶλλον ἔοικεν, οἷον ἐκπηδώσης ἄνω, πάλιν δὲ εἴσω ἀπωθουμένης, καὶ οὔτε διακεκριμένως τοῦτο πασχούσης. ἀλλ' ἐν ἑνὶ χρόνῳ πολλάκις τὸ μέν τι μέρος αὐτῆς ἄνω φέρεσθαι δοκεῖ, καθάπερ ἐκτοξευόμενον. τὸ δὲ εἴσω φέρεσθαι, καθάπερ ὑπό τινος ἑλκόμενον. καὶ τὸ μὲν ταχέως κινεῖσθαι, τὸ δὲ βραδέως. δοκεῖ δὲ καὶ σφοδρὸς εἶναι, καὶ μέγας ὁ τῶν σπωμένων σφυγμός. ὁ δέ, ἐστὶ μὲν οὔτε ἀμυδρός, οὔτε μικρός. οὐ μὴν ἐφ' ὅσον φαντάζεται σφοδρός, ἢ μέγας. ἐξαπατᾷ γὰρ ἡ πληγή, διὰ μὲν τὴν τάσιν εὔρωστος φαινομένη, διὰ δὲ τὸν κλόνον ἐκπηδητική. ὅθεν καὶ ὑψηλότερος ἔσθ' ὅτε φαίνεται, καὶ οἷον ψόφον τινὰ τραχὺν ἀποτελεῖ πρὸς τὴν ἁφήν. καὶ οὐκ ἄν τινα λάθοι τῶν ἠσκημένων ὁ σφυγμὸς οὗτος. οὐδενὶ γὰρ ἔοικεν, οὔτε τὴν ἐφ' ἑκάτερα τάσιν, οὔτε τὸ σπασμῶδες τῆς κινήσεως. μιγνυμένου δὲ αὐτοῦ τῷ τῆς καταφορᾶς, δυσφώρατος ἡ κίνησις, καὶ μόνῳ τῷ καθ' ἑαυτὸν ἑκάτερον γνωρίζειν ἀκριβῶς ἠσκημένῳ, δυνατὸν καὶ τὴν μίξιν ἐπιγνῶναι.

Παραλύσεως σφυγμὸς μικρὸς καὶ ἀμυδρός, καὶ βραδύς. καὶ τισὶ μὲν αὐτῶν ἀραιός, τισὶ δὲ πυκνὸς μέν, ἀλλ' ὑποδιαλείπων ἀτάκτως.

Ἐπιληπτικῶν δέ, καὶ ἀποπληκτικῶν οἱ σφυγμοὶ παραπλήσιοι. ὅσα οὖν περὶ τῶν ἐπιληπτικῶν ῥηθήσεται, ταῦτα καὶ περὶ τῶν ἀποπληκτικῶν εἰρῆσθαι δοκεῖν χρή, ἐπιτεταμένα δὲ μᾶλλον. ἐν μὲν δὴ τῷ μετρίως ἐνοχλεῖσθαι, καὶ μηδέπω τῆς φύσεως ἰσχυρῶς ἰσχυρότερον εἶναι τὸ πάθος, οὐδεμίαν εὔδηλόν ἐστιν εὑρεῖν τροπὴν ἐν μεγέθει, καὶ σφοδρότητι, καὶ τάχει, καὶ πυκνότητι, καὶ σκληρότητι. μόνον δ', ὥσπερ τεταμένη καθ' ἑκάτερον ἐστὶν ἡ ἀρτηρία τοῖς σπωμένοις εἰκότως. εἰ δ' ἰσχυρὸν εἴη τὸ πάθος, ὡς βαρύνειν τὴν δύναμιν, ἀνωμαλίαν τέ τινα λαμβάνει καὶ τάσιν ἰσχυράν, καὶ μικρότερος γίνεται, καὶ ἀμυδρότερος, καὶ ἀραιότερος. μεγάλως δὲ θλίψαν, καὶ καταβαλὸν τὴν δύναμιν, ἀμυδρούς, καὶ πυκνούς, καὶ ταχεῖς ἐργάζεται.

Ὁ δὲ τῶν συναγχικῶν σφυγμός, τάσιν μέν τινα παραπλησίαν ἔχει τῷ σπασμῷ. μέγας δέ ἐστι καὶ κυματώδης, ὡς ὁ τῶν περιπνευμονικῶν. καὶ ὁπότερον ἂν ἐπ' αὐτῷ μεγάλως ἐπικρατῇ, κατ'

Catochorum pulsus (catochos enim & detentos veteres Græci appellant; iuniores ipsum affectum catochen, & catalepsin vocant) cætera lethargicis similes sunt magnitudine, tarditate, crebritate; vt nec totius huius affectus species latè ab illo dissidat. Catochorum tamen non imbecillus est pulsus, nec mollis; sed in his sanè multum differt, vt etiam in hoc, quòd laxatur lethargicis atque intumescit vniuersum corpus; contrà stipatur & cogitur catochis. Ad hæc æqualitate & inæqualitate distant; æqualis enim pulsus est catochorum, inæqualis lethargicorum. Archigenes arteriæ locum, auctor est propriè in iis inueniri calidiorem, sicut illis quibus conuulsio imminet cum sopore.

Conuulsorum ipsum corpus arteriæ videtur contractum, ac vndequaque coarctatum, non ceu compressum sit à quopiam, vel constipatum; nec etiam veluti rigidum, vt in febre, præsertim in accessionibus; nec verò vt præ duritie, ad intentionem contumax, veluti quod fit diuturnitate temporis, præsertim quum quid offensum sit, vel viscera vitiata; sed vt corpus neruosum, cauúmque veluti intestinum, aut simile, ex vtroque fine extensum. Ad eundem modum inæqualis motus est arteriæ, in modum chordæ, sursum deorsúmque agitatæ. Neque enim species distentionis, vel contractionis repræsentatur, verùm vibrationi potius similis est, ceu exilientis sursum iterúmque retractæ intrò; quod ne constituto quidem tempore habet, sed vno sæpè tempore altera eius pars videtur ferri sursum veluti eiaculata, altera intrò, ceu à quopiam attracta; atque vna moueri celeriter, altera tardè. Iam vehemens quoque & magnus conuulsorum pulsus videtur esse. Est verò hic non imbecillus, neq; paruus; non perinde tamen, vt videtur vehemens, vel magnus; ictus enim imponit, dum ob tensionem validus, ob vibrationem exilire appareat; quamobrem altior interdum videtur, ac veluti strepitum quendam ad tactum edit asperum. Sanè neminem qui quidem sit expertus, fugiat hic pulsus; quippe nulli est similis, vel tensione in vtranque partem, vel conuulsione motus. At quando cum pulsu cataphoræ commixtus est, difficillimè commixtio deprehenditur; solúsque qui adamussim vtrunque cognoscere separatim meditatus est, poterit confusos cognoscere.

Paralyticorum paruus pulsus, & imbecillus, tardúsque est; nonnullis rarus quoque; aliis creber, sed nonnihil inordinatè intermittens.

Comitialium, & apoplecticorum similes pulsus sunt; quare de comitialibus quæ exponemus, eadem de apoplecticis, sed intensa magis accipienda sunt. Dum modicè infestatur natura, neque dum eam multùm superauit morbus, nullam inuenies mutationem insignem magnitudinis, vehementiæ, celeritatis, crebritatis, duritiei; tantùm est conuulsis intenta iure vtrinque arteria. Sin autem grauis sit affectus, vt oneret facultatem, inæqualitatem quandam comparat, atque tensionem validam, ac minor, languidior, rariórque efficitur. Si comprimat magnoperè, & facultatem deiiciat, languidos, frequentes, ac celeres creat.

Anginâ laborantium pulsus tensionem quandam habet, conuulsioni persimilem; magnus est & vndosus, vt pulsus peripneumonicorum; ac vtrum insigniter in eo polleat, pro eo expectanda

pectanda mutatio est. Nam si peripneumonica species superior sit, in peripneumoniam; si verò conuulsiua, in conuulsionem, angina desinet. Quicunque autem ex illis vehementer suffocantur, paruum hi habent & rarum pulsum; vbi iam animam agant, crebrum atque inæqualem.

Orthopnœa acuta inæqualem & inordinatum pulsum habet, & nonnihil deficientem; quæ mediocriter est grauis, crebrum; quæ violentissima, tardum & deficientem; quæ iam perimit hominem, crebrum & languidum.

Vterinæ suffocationis pulsus, vt si conuelleretur, protensus est & rarus; quòd si exitialis sit suffocatio, creber, inordinatus, & nonnihil deficiens.

Stomachus affectus (vt sic vocemus in præsentia os ventriculi, quòd is vsus apud vulgus obtinuit) non vno modo commutat pulsum. Nam si inflammatus sit duntaxat, ita mutat pulsum, vt corporis neruosi diximus pulsum solere; si comprimatur, vellicetur, languescat, singultiat, vomat, nauseet, fastidiat, doleat, pro genere symptomatis. Nam vellicationes, vomitus, nauseæ, singultus, languor, non solùm paruum, & languidum efficiunt, & interim etiam modicè celeriorem, verùm etiam admodum crebrum; sola verò compressio, remotis illis omnibus, rarum, tardum, paruum, & languidum. Ea compressio tum à cibis oritur grauantibus, neque vlla insigni præditis virtute, sed sola abundantia molestis; tum ab humoribus quibusdam qui in eum confluant, non mordicantibus; qui ab his si semel refrigeretur, tum verò vel maximè talis pulsus existet. Ac bulimum patientium talis pulsus est. At omnes quidem affectus, qui in crebritatem mutant, si diuturni sint, vel euaserint grauiores, pulsum vermiculantem creant. Qui verò in raritatem, præterquam quòd commemoratas differentias adaugent, talem præterea speciem inæqualitatis in vno pulsu generant, vt multis locis pertusum corpus arteriæ videatur, neque esse continuum; ac sentit tactus in distentione veluti arenæ occursum.

Hydropum pulsus, ascitæ, paruus, crebrior, subdurus cum quadam tensione est; tympanitæ, longior, non imbecillus, celerior, creber, subdurus, cum quadam tensione; anasarcæ, vndosus, latior, mollisque.

Elephantiâ laborantium pulsus paruus, languidus, tardus, crebérque est.

Ictericorum pulsus est, si absit febris, minor, durior, crebrior, non languidus, nec celer.

Veratrum qui sumpserint, hi paulo ante vomitum, vbi comprimantur, pulsum habent latum, rarum, languidiorem, tardiorem. Interea dum vomunt & diuelluntur, inæqualem & inordinatum. Quum melius habere cœperint, ordinatum quidem, sed inæqualem adhuc, minùs tamen quàm antea. Vbi verò iam ad naturalem statum propè redierint, æqualem ac maiorem quàm dudum, vehementioremque. Qui horum syncope corripiuntur, conuelluntur, atque singultiunt; paruum hi & languidum inordinatúmque, & celeriorem, atque multùm crebrum habent. Qui ex his suffocantur, paruum, languidum, inordinatum, inæqualem; non autem crebrum, nec celerem, imò potiùs tardum; repræsentat etiam nonnihil vndosi, & lati, atque paruam quandam interdum arteriæ tensionem.

ἐκεῖνο χρὴ προσδοκᾷν τὴν μετάπτωσιν. εἰ μὲν γὰρ τὸ περιπνευμονικὸν εἶδος ἐπικρατήσειεν, εἰς περιπνευμονίαν. εἰ δὲ τὸ σπασμῶδες, εἰς σπασμὸν ἡ συνάγχη τελευτήσει. ὅσοι δ' ἂν ἐξ αὐτῶν ἰσχυρῶς πνίγονται, μικρὸς τούτοις καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται. τελευτώντων δ' ἤδη, πυκνὸς, καὶ ἀνώμαλος.

Ὀρθοπνοίας ὀξείας σφυγμὸς ἀνώμαλος καὶ ἄτακτος, καὶ ὑπεκλείπων. καὶ τῆς μὲν μέσης τῇ κακίᾳ, πυκνὸς, τῆς δ' ἐσχάτως βιαίας, βραδὺς καὶ ἐκλείπων. τῆς δ' ἀναιρούσης ἤδη, πυκνὸς καὶ ἀμυδρός.

Ὑστερικῆς δὲ πνίξεως ἀποτεταμένος σπασμωδῶς, καὶ ἀραιός. τῆς δ' ὀλεθρίας, πυκνὸς καὶ ἄτακτος, καὶ ὑπεκλείπων.

Στόμαχος πεπονθὼς, οὕτως γὰρ καλείσθω καὶ ὑφ' ἡμῶν ἐν τῷ παρόντι τὸ στόμα τῆς κοιλίας διὰ τὴν τῶν πολλῶν συνήθειαν, οὐ καθ' ἓν εἶδος τρέπει τὸν σφυγμόν. ἀλλ' ὁ μὲν φλεγμαίνων μόνον, οἵαν ἐπὶ φλεγμονῆς νευρώδους σώματος εἴπομεν γίνεσθαι, τὴν τροπὴν τοιαύτην ἐργάζεται. ὁ δὲ θλιβόμενος, ἢ δακνόμενος, ἢ ἐκλύων, ἢ ἐμετικὸς, ἢ ναυτιώδης, ἢ ἀνόρεκτος, ἢ ὀδυνώδης κατὰ τὸ τοῦ συμπτώματος εἶδος. αἱ μὲν γὰρ δήξεις καὶ οἱ ἔμετοι, καὶ ναυτίαι, καὶ οἱ λυγμοὶ, καὶ οἱ ἀλυσμοὶ, καὶ ἐκλύσεις, ἰσχυρῶς πυκνοῦσι τὸν σφυγμὸν, σὺν τῷ μικρὸν καὶ ἀμυδρὸν ἐργάζεσθαι. καί τισι μετρίως θάττονα. θλίψις δὲ μόνη χωρὶς τούτων τινὸς ἀραιὸν καὶ βραδὺν, καὶ μικρὸν, καὶ ἀμυδρόν. ἡ δὲ τοιαύτη θλίψις ἐπὶ τροφαῖς βαρυνούσαις γίνεται, μηδεμίαν ἐχούσαις ἰσχυρὰν δύναμιν, ἀλλὰ τῷ ποσῷ μόνῳ διοχλούσαις, καί τισιν ὑγροῖς συρρυεῖσιν εἰς αὐτὸν ἀδήκτοις. εἰ δὲ καὶ ψύχοιτο πρὸς αὐτῶν, τότε δὴ καὶ μάλιστα τοιοῦτος ὁ σφυγμὸς ἔσται. καὶ ὁ τῶν βουλιμιώντων δὲ τοιοῦτός ἐστιν. αἱ μὲν οὖν εἰς πυκνότητα τρέπουσαι διαθέσεις, ἅπασαι χρονίζουσαι, ἢ καὶ σφοδρότεραι γινόμεναι, τὸν σκωληκίζοντα σφυγμὸν ἐργάζονται. αἱ δὲ εἰς ἀραιότητα πρὸς τῷ τὰς εἰρημένας διαφορὰς ἐπιτείνειν, τοιοῦτόν τι σὺν αὐτοῖς εἶδος ἐν τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ γεννῶσιν, ὡς εἰς πολλὰ δοκεῖν τετρῆσθαι τὸ σῶμα τῆς ἀρτηρίας, ὡς μηδὲν συνεχὲς δοκεῖν εἶναι, ἀλλ' οἷον ψάμμου προσπιπτούσης αἴσθησιν γίνεσθαι τῇ ἁφῇ κατὰ τὴν διαστολήν.

Ὑδέρων ὁ σφυγμὸς τοῦ μὲν ἀσκίτου μακρὸς, καὶ πυκνὸς, καὶ ὑπόσκληρος σύν τινι τάσει· τοῦ δὲ τυμπανίτου, μακρότερος, οὐκ ἄρρωστος, θάττων, πυκνὸς, ὑπόσκληρος, σύν τινι τάσει· τοῦ δὲ ἀνὰ σάρκα κυματώδης πλατύτερος, καὶ μαλακός.

Ἐλεφαντιώντων σφυγμὸς μικρὸς, καὶ ἄρρωστος, καὶ βραδὺς, καὶ πυκνός.

Ἰκτεριώντων σφυγμὸς ἄνευ πυρετοῦ, μικρότερος, πυκνότερος, σκληρότερος, οὐκ ἀμυδρὸς, οὐ ταχύς.

Τῶν δὲ ἐλλέβορον εἰληφότων, ὀλίγον μὲν πρὸ τῶν ἐμέτων, ἡνίκα ἂν θλίβωνται, πλατὺς, ἀραιὸς, ἀμυδρότερος, καὶ βραδύτερος. ἐμούντων δὲ καὶ σπαραττομένων ἀνώμαλος, καὶ ἄτακτος. ἤδη δὲ καὶ βελτιόνων γινομένων, τεταγμένος μὲν, ἀλλὰ καὶ ἔτι ἀνώμαλος, ἧττον δὲ, ἢ πρόσθεν. ἐγγὺς δὲ τοῦ κατὰ φύσιν ἐλθόντων, ὁμαλὸς καὶ μείζων τοῦ πρόσθεν, καὶ σφοδρότερος. ὅσοι δὲ ἐξ αὐτῶν συγκόπτονται, καὶ σπῶνται, καὶ λύζουσι, μικρὸς τούτοις, καὶ ἀμυδρὸς, καὶ ἄτακτος ὁ σφυγμὸς, καὶ θάττων, καὶ πυκνὸς ἄγαν. τοῖς δὲ πνιγομένοις αὐτῶν, μικρὸς, καὶ ἀμυδρὸς, καὶ ἄτακτος, καὶ ἀνώμαλος, οὐ μὴν πυκνὸς, οὐδὲ ταχὺς, ἀλλ' ἐπιβραδύνων μᾶλλον. ἐμφαίνει δέ τι καὶ κυματῶδες, καὶ πλατὺ, καί ποτε, καὶ τάσιν τινὰ τῆς ἀρτηρίας βραχεῖαν.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Α'.

GALENI DE PVLSVVM DIFFEENTIIS LIBER PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Α' ΒΙΒΛΙΩι.

Τὰ πρῶτα γένη τε, καὶ τὰς ἑκάστου τῶν σφυγμῶν διαφορὰς ἀποδείκνυσι· κἀν τῷ πρώτῳ αὐτοῖς κατὰ τὴν ἰδίαν δόξαν μεταχειρίζεται.

ARGVMENTVM LIBRI PRIMI.

Genera prima, ac singulas pulsuum differentias declarat; ac in primo libro de his pertractat ex propria opinione.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὀνόματα μηδὲν μὲν πρὸς τὴν τῶν πραγμάτων ἐπιστήμην, ἀλλά γε πρὸς τὴν διδασκαλίαν μόνην ἐργάζεσθαι.

ΕΥΞΑΙΜΗΝ μὲν ἂν καὶ μαθεῖν, καὶ διδάξαι δύνασθαι τὰ πράγματα, χωρὶς τῶν ἐπ' αὐτοῖς ὀνομάτων, ἵνα μὴ πρὸς τῷ μακρὰν εἶναι τὴν τέχνην διὰ τὴν οἰκείαν θεωρίαν, ἐξ ἐπιμέτρου γίνοιθ' ἡμῖν ἡ περὶ τὴν λέξιν ἀσχολία. ἐπεὶ δὲ ἀνάγκη διὰ τῶν ὀνομάτων δηλοῦν ἃ βουλόμεθα, τοῖς μὲν σοφισταῖς ἀφθονία, κἀνταῦθα σοφισμάτων, καὶ διατριβῆς ἀχρήστου, τοῖς δὲ ἄλλοις ὅσοι πραγμάτων ἐπιστήμην, οὐκ ὀνομάτων ἐμπειρίαν ἐζηλώκαμεν ἄκουσι μὲν ἐξ ἀνάγκης δ' ὅμως, προσγίνεται διὰ τὰς τῶν σοφιστῶν ἐπηρείας ἡ περὶ τὴν λέξιν ἀσχολία. κάλλιστον μὲν γὰρ ἦν ὁπωσοῦν περὶ τῶν ὀνομάτων συνθεμένους, ἐπὶ τὴν θεωρίαν σπεύδειν, ὡς ἐπὶ τοῦ προγραφέντος ἡμῖν περὶ σφυγμῶν τοῖς εἰσαγομένοις ἐποιήσαμεν. τῶν δὲ ἐν ὀνόμασι μόνοις δεινῶν, ἐπ' αὐτῶν δὲ τῶν ἔργων τῆς τέχνης ἀμαθεστάτων ἐνοχλούντων ἀεὶ, καὶ μηδὲ ἀναπνεῦσαι χωρὶς ἐπηρείας ἐπιτρεπόντων, ἀναγκαία σχεδὸν ἤδη, καὶ ἡ περὶ τὴν λέξιν ἀσχολία. τοὺς μὲν οὖν παλαιοὺς ἁπλῶς ἐστιν εὑρεῖν χρωμένους τοῖς ὀνόμασιν, ἑνὸς μόνου φροντίζοντας ἀεὶ τοῦ δηλῶσαι τὸ νοούμενον. οἱ δὲ νεώτεροι μόνον καθ' ἑκάστην συλλαβὴν σοφίζονταί τε, καὶ φιλονεικοῦσι, καὶ οὐδὲ παύονται περὶ τῶν ὀνομάτων ἐρίζοντες, οἷον εὐθέως, ἵν' ἐξ ἑνὸς μορίου τῆς προκειμένης πραγματείας τὸ πᾶν ἐπιγνῶμεν, ὁ μέν τίς φησι τὸν ἰσχυρῶς πλήττοντα σφυγμὸν, σφοδρὸν εἶναι. προσελθὼν δὲ ἕτερος, οὐ τοῦτον, ἀλλ' ὃς ἂν καὶ μέγας ᾖ, καὶ πλήρης, καὶ ταχὺς ἐκεῖνον εἶναί φησι τὸν σφοδρόν. ἄλλος δέ τις τὸν ἰσχυρὸν ἅμα, καὶ ταχύν· καί τις μάλα σεμνῶς ἐπιτιμήσας τούτοις τὸν μέγαν ἅμα καὶ ταχὺν, σφοδρὸν εἶναί φησιν.

CAPVT PRIMVM.

Nomina nihil ad rerum scientiam, sed docendum duntaxat facere.

OPTAREM equidem & percipi, & tradi posse res citra ipsarum nomina, ne ad artis, vel ex sua ipsius commentatione, longitudinem, veluti cumulus nobis accederet ea, quæ circa dictionem est occupatio. Sed quum necesse sit nominibus, ea quæ volumus, significare, sophistis hinc commentorum, & inutilis disputationis copiosa materia suppeditatur: cæteri verò, quicunque rerum scientiam, non vsum vocum sectamur, inuiti quidem tamen compellimur propter sophistarum contumelias de nominibus laborare. Optimum siquidem esset, quauis conditione de nominibus conuenire, & ad contemplationem properare; quod in libro illo fecimus, quem antea tyronibus de pulsibus scripsimus. Sed quando qui in nominibus tantùm valent, in operibus artis interim imperitissimi, nunquam non interpellant, neque respirare non citra contumeliam sinunt, necesse propè iam nobis est nominibus vt immoremur. Maiores nostros simpliciter vocabulis videas vsos: hoc semper vnum curantes, sensum vt aperirent. Iuniores verò solum de singulis syllabis argute disputant atque contendunt; neque de nominibus desistunt digladiari: Exempli gratia (quò vna ex parte huius instituti summam perspiciamus) quidam pulsum ait valenter pulsantem, vehementem esse; adest alius qui non hunc, cæterum qui magnus sit, & plenus celerque illum affirmat vehementem esse; alius validum simul ac celerem; & qui hos mira grauitate insimulans; magnum pariter & celerem, vehementem esse ait: iam

iam alius hunc non ferens, acerbius etiam obiurgat, vúltque plenum simul ac velocem, vehementem esse. Et hercle præter hos sextus, magnum plenúmque esse vehementem contendit. Quòd si septimus huc, & octauus accedant, hic asserens inter plenum & hunc nihil interesse, ille eundem cum duro esse, quam censes pugnam fore? anne talem qualem frequenter in templo Pacis, & inter ipsos ægrotos conspicimus? adeò vt etiam ad manum res veniat; tantùm abest vt turpi dicto abstineant. Sed mihi qui nunc molesti sunt, minus stomachum faciunt, tametsi sunt importunissimi; qui verò ad commentandum appulerunt, quis ferat? Ad manum enim est, inutilis quæstionis confutatio: eam tamen illi non cernunt, sed sic omnes scribunt: Hic pulsus vehemens est, ille plenus est, is creber: quum, est, fit submouendum, adiungendum autem maximè si fieri possit, appellatur, quasi careant, appelletur, ac tum demum docendum est, quid soleat is pulsus, quem vehementem forte vocauerunt, significare. Neque enim, quò appellemus, aut nomen proprium instituamus, artem nos de pulsibus tractamus, aut alios docere conamur, sed vt præsentia cognoscamus, & futura ægrotis præsentiamus; at ex rebus hæc, non ex nominibus earum, inueniuntur. Omnino enim ad rerum cognitionem nihil nomina referunt: sed tantum ad doctrinam, quam & ex consensu possis absoluere. Siue enim rebus haudquaquam dederis nomina, eas tamen cognoscere possis, & quid denotare possis, planè teneas; hac in re certè nominantibus non concesseris: siue quando docere institueris, nomina quælibet ponas, ne sic quidem eris inferior. Equidem si vel Dionem, vel Theonem velit aliquis vehementem pulsum appellare: nec tamen fallatur in docendo, quæ illum causæ generant, & cuius est affectus indicium, & quo tandem euadet: nihil eum sic peccare censuerim. Proinde qui ita est aliquid docturus, huic satis sit nomina instituisse: qui ad veteres reiicit, illorum tradet institutum; nec hic curiosus sit, propriè an impropriè appellarint: nec audeat immutare, nec incuset, quod faciunt sophistæ: superuacanea sunt enim hæc omnia, & ab arte nostra remota. Neque sanè hæc nominum est constituendorum scientia, sed rerum: neque hos qui minus probum nomen dant, ad medicos mittunt homines, sed eos, qui opus habent sanitate. Quamobrem nihil hæc disputatio vltra vsitata & nobis, & aliis medicis nomina profitetur: sed præclare etiam cum ea agetur, si hæc mediocriter assequatur.

CAPVT II.

De nomine pulsus.

OMnium itaque quos nouimus, primus nomen pulsus Hippocrates literis mandauit, atque artem, quam complectitur, non videtur ignorasse: neque tamen hanc artis partem multum elaborauit; neque cuilibet arteriarum motui hoc tribuit nominis: Idem vero ac ipse fecisse videtur Erasistratus. Sed vbi de illis viris peculiariter sermonem habebo, referam cui potissimum nomen hoc attribuant, ac inter se quatenus dissentiant aut consentiant. Autor libri de palpitationibus, Ægimij nomine insigniti, siue ille Heliensis esset Ægimius, siue alius, proprie hoc nomen

A οὐκ ἀνασχόμενος δὲ τούτου πέμπτος τις ἄλλος ἔτι σφοδρότερον ἐπιπλήξας, τὸν πλήρη τε ἅμα, καὶ ταχὺν, σφοδρὸν εἶναι φησί. καὶ ναὶ μὰ Δία γε ἕκτος τις ἄλλος ἐπ' αὐτοῖς τὸν μέγαν ἅμα καὶ πλήρη, τοῦτον εἶναι φησι τὸν σφοδρόν. εἰ δὲ καὶ ἕβδομός τις, καὶ ὄγδοος προσέλθοιεν τούτοις, ὁ μὲν, μηδὲν διαφέρειν λέγων τοῦ πλήρους αὐτὸν, ὁ δὲ τῷ σκληρῷ τὸν αὐτὸν εἶναι, πηλίκην οἴει μάχην ἔσεσθαι, ἢ δηλονότι τηλικαύτην, οἵαν πολλάκις ὁρῶμεν ἔν τε τῷ τῆς εἰρήνης τεμένει, καὶ ἐπ' αὐτῶν τῶν ἀρρώστων· ὥστε τινὰς μηδὲ τὼ χεῖρε κατέχειν ἔτι. τοσοῦτον ἀποδέουσιν αἰσχρῶν ῥημάτων ἀποσχέσθαι. καὶ τὰ μὲν τούτων τῶν νῦν ἡμῖν ὀχλούντων ἧττον δεινὰ, καίπερ ὄντα δεινότατα. τὰ δὲ τῶν
B συγγράφειν ἐπιχειρησάντων, οὐκ ἀνασχετά. πρόχειρος μὲν γὰρ ὁ τῆς ἀχρηστίας τοῦ ζητήματος ἔλεγχος. οἱ δὲ οὐχ ὁρῶσιν αὐτὸν, ἀλλὰ πάντες ὧδί πως γράφουσιν. ὁ τοιόσδε σφυγμὸς, σφοδρός ἐστι. καὶ ὁ τοιόσδε, πλήρης ἐστί. καὶ ὁ τοιόσδε πυκνός ἐστι, δέον ἀφελεῖν μὲν τὸ ἐστι. προσθεῖναι δὲ μάλιστα μὲν εἰ οἷόν τε, ὃ καλεῖται. τούτου δ' ἀποροῦντας, ὃ καλείσθω, καὶ οὕτως ἤδη διδάσκειν, οἷόν τι δηλοῦν πέφυκεν ὁ σφυγμὸς ὁ τοιοῦτος, ὃν ἐκαλέσαμεν, εἰ τύχοι, σφοδρόν. οὐ γὰρ δὴ τοῦ καλέσαι γε χάριν, οὐδὲ τοῦ θέσθαι τοὔνομα κυρίως, τὴν περὶ τοὺς σφυγμοὺς τέχνην αὐτοὶ μετεχειρισάμεθα, ἢ ἑτέρους διδάσκειν ἐπιχειροῦμεν. ἀλλ' ὅπως ἡμῖν γνωρίζοιτό τε τὰ παρόντα, καὶ προ-
C γιγνώσκοιτο τὰ μέλλοντα συμβήσεσθαι τοῖς ἀρρώστοισι. ταῦτα δὲ ἐκ τῶν πραγμάτων, οὐκ ἐκ τῶν ἐπ' αὐτοῖς ὀνομάτων εὑρίσκεται. καθόλου γὰρ πρὸς μὲν τὴν τῶν πραγμάτων ἐπιστήμην, οὐδὲν ἡμᾶς ὠφελεῖ τὰ ὀνόματα, πρὸς δὲ τὴν διδασκαλίαν μόνον, ἣν καὶ κατὰ τὴν συνθήκην περαίνεσθαι δυνατόν. εἴτε γὰρ μηδόλως τις ὀνόματα θέμενος τοῖς πράγμασιν, γνωρίζειν τε αὐτὰ ἱκανὸς εἴη, καὶ ὅ, τι δηλοῦν πέφυκεν ἀκριβῶς ἐπίσταιτο, τῶν ὀνομαζόντων οὐδὲν ἂν ἧττον φαίνοιτο τούτου γ' ἕνεκα. εἴ τε διδάσκειν ἐπιχειρήσας ὀνόματα τίθεται τὰ δόξαντα αὐτῷ, καὶ οὕτως οὐδὲν ἂν ἔχοι μεῖον. ἐμοὶ μὲν οὖν οὐδ' εἰ Δίωνα, ἢ Θέωνά τις καλεῖν σφοδρὸν σφυγμὸν ἐθέλοι, μὴ σφάλλοιτο δ' ἐν τῷ
D διδάσκειν τίνες αἰτίαι γεννῶσιν αὐτὸν, καὶ τίνος διαθέσεώς ἐστι γνώρισμα, καὶ ἐς ὅ τι τελευτήσει, οὐδὲν οὐδὲ οὗτος δοκεῖ σφαλήσεσθαι. τῷ μὲν δὴ οὕτω μέλλοντι διδάσκειν ὁτιοῦν, ἀρκεῖ νομοθετεῖν ὀνόματα, τῷ δ' ἐπὶ τοὺς παλαιοὺς ἀναπέμποντι, τὸ ἐκείνων ἔθος διδακτέον. οὐδὲν πάλιν οὐδ' ἐνταῦθα πολυπραγμονοῦντα πότερον κυρίως, ἢ ἀκύρως ὠνόμασαν, ἢ ὑπαλλάττειν τολμῶντα, ἢ καταμεμφόμενον, οἷα δὴ δρῶσιν οἱ σοφισταί. περιττὰ γὰρ ταῦτα ἅπαντα, καὶ ἔξω τῆς ἡμετέρας τέχνης. οὐ γὰρ ὀνομάτων αὕτη γε ὀρθότητος ἐπιστήμη ἐστὶν, ἀλλὰ πραγμάτων, οὐδὲ τοὺς μὴ καλῶς ὀνομάζοντας εἰς ἰατροὺς πέμπουσιν οἱ ἄνθρωποι, ἀλλὰ τοὺς ὑγείας δεομένους.
E οὔκουν οὐδὲ ὁ λόγος ὅδε πλέον τῶν εἰθισμένων ἡμῖν τε, καὶ τοῖς ἄλλοις ἰατροῖς ὀνομάτων ἐπαγγέλλεται διδάξειν, ἀλλ' ἀγαπῴη ἂν εἰ τούτου μετρίως τυγχάνοι.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ ὀνόματος τοῦ σφυγμοῦ.

ΠΡῶτος μὲν οὖν ἁπάντων ὧν ἴσμεν Ἱπποκράτης, τό τε ὄνομα τοῦ σφυγμοῦ γράφει, καὶ τὴν ἐν αὐτῷ τέχνην οὐκ ἀγνοεῖν ἔοικεν. οὐ μὴν οὔτ' ἐπὶ πλέον ἐξειργάσατο τοῦτο τὸ μέρος τῆς τέχνης. οὔτ' ἐπὶ πάσης ἀρτηριῶν κινήσεως, τοὔ-
F νομα φέρει. παραπλήσιον δέ τι φαίνεται ποιεῖν αὐτῷ, καὶ ὁ Ἐρασίστρατος, ἀλλὰ ἐν ταῦθα μὲν, τοῖς ἰδίοις περὶ τῶν ἀνδρῶν λόγοις εἰρήσεται, καθ' ὅτου τε μάλιστα τοὔνομα τίθενται, καὶ ὅπῃ διαφέρουσι πρὸς ἀλλήλους, ἢ ὁμολογοῦσιν. ὁ δὲ τὸ περὶ παλμῶν ἐπιγεγραμμένον Αἰγιμίου βιβλίον συνθεὶς, εἴτ' οὖν αὐτὸς ἦν ὁ Ἠλεῖος Αἰγίμιος, εἴτ' ἄλλος τις, ἰδίως κέχρηται

τῷ ὀνόματι, καὶ πολὺ παρὰ τὸ τῶν ἄλλων οὐκ ἰατρῶν μόνον, ἀλλὰ καὶ ἰδιωτῶν ἔθος ἅπασαν ἀρτηριῶν κίνησιν, παλμὸν ὀνομάζει. ἡ δὲ Πραξαγόρου τε, καὶ Ἡροφίλου χρῆσις ἔτι καὶ εἰς τάδε κρατεῖ. σφυγμὸν γὰρ οὗτοι πᾶσαν ἀρτηριῶν κίνησιν τὴν αἰσθητὴν καλοῦσιν. οὕτως δὲ καὶ οἱ μετ' αὐτοὺς ἅπαντες, εἰ καὶ τοῖς ὁρισμοῖς διαφέρονται. διαλεχθήσεται δὲ τοῦτο ἑτέρωθι. ὥστε καὶ ἡμεῖς ἑπόμενοι τῇ κρατούσῃ συνηθείᾳ, σκοπῶμεν ἤδη, πόσαι μὲν αἱ πᾶσαι τῶν σφυγμῶν διαφοραί, τί δ' ἑκάστης αὐτῶν τοὔνομα. καίτοι καὶ κατ' αὐτὴν τὴν εἰρημένην ῥῆσιν φιλονεικοῦσιν, οἱ μὲν ὧδέ πως ἀξιοῦντες προβάλλειν, πόσα γένη τῶν σφυγμῶν, οἱ δὲ οὐ γένη φασὶ χρῆναι καλεῖν, ἀλλ' εἴδη. ποιότητας δ' ἄλλοι. καὶ διαφορὰς ἄλλοι. καὶ ὅ, τι ἂν ἑκάστῳ δόξῃ, τοῦτ' ὄνομα θέμενος, ἐρίζει μακρὰ καὶ ἀπέραντα, περὶ τῆς ὀρθότητος αὐτοῦ. καὶ ὡς περὶ γενῶν, οὕτω καὶ εἰδῶν, καὶ διαφορῶν, καὶ ποιοτήτων, οὐκ ἀναγκαίαν ἐπεισάγουσι ζήτησιν, ἐπιλαθόμενοι τῆς χρείας τοῦ τοιούτου προβλήματος. ἧκον μὲν γὰρ ἐπ' αὐτὸ πάντες, ὡς οἶμαι, τοὺς σφυγμοὺς ἐρευνῆσαι βουλόμενοι, τί δηλοῦν πεφύκασι. τυχεῖν δὲ οὗ προὔθεντο, καὶ χωρὶς τῆς περὶ γενῶν, καὶ εἰδῶν ζητήσεως δυνάμενοι, πάντα μᾶλλον, ἢ τοῦτο δρῶσιν. ἀλλ' ἡμεῖς κἀνταῦθα τὴν φλυαρίαν αὐτῶν φυγόντες, καὶ προβάλλειν ὅπως ἂν ἐθέλωσιν ἐπιτρέψαντες, ἐχώμεθα τοῦ χρησίμου, τοσοῦτον ἔτι προειπόντες, ὡς τοῖς βουλομένοις περὶ τῶν κατὰ τοὺς σφυγμοὺς ὅρων, ἢ καὶ περὶ τῶν ὀνομάτων αὐτῶν τῆς ὀρθότητος ἐκμαθεῖν, ἐν τοῖς μετὰ τοῦτο τὸ πρῶτον βιβλίον, ἅπαντα γέγραπται. τουτὶ γὰρ αὐτὸ μόνον ἔχει τὸ χρήσιμον, οὐδενὸς τῶν σοφιστικῶν ζητημάτων ἐφαπτόμενον. ὥστ' εἰ καὶ τελέως τις ἐθέλοι παραλιπεῖν ἐκεῖνα, δύναιτ' ἄν. εἰς γὰρ τὰς ἄλλας πραγματείας, τήν τε περὶ διαγνώσεως τῶν σφυγμῶν, καὶ τὴν περὶ τῶν αἰτίων, καὶ ἔτι τὴν περὶ τῆς δι' αὐτῶν προγνώσεως, τοῦτο μόνον ἀναγκαῖόν ἐστι τὸ βιβλίον. ἐκεῖνα δὲ πρός τε τὰς τῶν σοφιστῶν ἐνοχλήσεις γέγραπται, καὶ πρὸς τὸ παρακολουθεῖν τοῖς τῶν ἄλλων συγγράμμασιν, εἰδότας καθ' ὅτου σημαινομένου φέρουσιν ἕκαστον τῶν ὀνομάτων. λέγωμεν οὖν ἤδη πόσα μὲν τὰ πρῶτα γένη τῶν σφυγμῶν. ἐφεξῆς δὲ τὰς διαφορὰς αὐτῶν, ἀρχὴν τοῦ λόγου τήνδε ποιησάμενοι.

vsurpat: atque longè præter morem non medicorum tantum, sed & vulgi, quemuis motum arteriarum vocat palpitationem. Praxagoræ vsus, & Herophili etiam ad hunc vsque diem vigent. Pulsum enim, omnem arteriarum motum sensibilem appellant. Ita etiam omnes eorum successores, tametsi definitionibus dissideant. Sed hoc alio loco ostendemus. Ergo nos quoque vsum, qui inualuit, sequentes, videamus iam quot numero sint omnes pulsuum differentiæ, & quod singulis nomen. Etsi de hac etiam ipsa dictione quidam contendunt, quorum alij ita volunt, vt ponatur, quot genera sunt pulsuum? Alij non genera aiunt appellanda, sed species; quidam qualitates, nonnulli differentias. Et quod cuique visum est, hoc instituto nomine, diu disceptat de eius recto vsu, nihilque non mouet. Iam sicut de generibus, ita de speciebus, differentiis, qualitatibus, quæstionem inducunt non necessariam, obliti vsum talis quæstionis. Omnes enim id mea opinione spectauerunt, qui de pulsibus instituerunt commentari, quid significare possint; assequi verò quum nec, vel sine generum, & specierum quæstione, quod intenderent, possint, quiduis potius quàm hoc, agunt. Verùm omissis istorum nugis, quæstionem in medium pro suo arbitrio proferant, nos vtilitatem sectemur. Sed hoc prædicamus etiam qui pulsuum definitiones, & constitutionem eorum nominis discere volunt, in sequentibus hunc primum libris omnia eos tradita habere. Hic liber solùm complectitur quod conducit, nec vllam attingit sophisticam quæstionem. Ita siquis semel illa velit repudiare, licet certè. Ad cæteras lucubrationes de dignoscendis pulsibus, de causis, de præsagitione ex iis, vnus hic liber requiritur. Illi aduersus sophistarum importunitatem scripti sunt, & ad intelligenda aliorum scripta, vbi traditur, qua quodque nomen significatione vsurpent. Itaque exponamus primùm pulsuum prima genera, deinde eorum differentias, hinc auspicati.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τὰ πρῶτα γένη τῶν σφυγμῶν.

Τῆς ἀρτηρίας σώματος οὔσης κοίλου, καὶ μακροῦ, καὶ περιφεροῦς, κινουμένης τε διὰ παντὸς διπλῆν κίνησιν ἐξ ἐναντίων σύνθετον μορίων, ἢ γὰρ εἰς ἑαυτὴν συνιζάνει πάντοθεν, ἢ διαστέλλεται πανταχόσε, καὶ ταύτης τῆς διπλῆς κινήσεως ὀνομαζομένης σφυγμοῦ, διττὰς ἀναγκαῖον αὐτῇ συμπίπτειν ἠρεμίας ἐφ' ἑκάτερα. ἑτέραν μὲν, ἐπὶ τῷ διαστέλλεσθαι πρὸ τοῦ συστέλλεσθαι, δευτέραν δὲ ἐπὶ τῷ συστέλλεσθαι πρὸ τοῦ διαστέλλεσθαι, καὶ ταύτας τὰς δύο ἡσυχίας, ἥ τε τῶν γεγυμνασμένων ἁφὴ γνωρίζει, καὶ ὁ λόγος οὐδὲν ἧττον ἀποδείκνυσι. πρὶν γὰρ καταπαῦσαι τὴν προτέραν κίνησιν, οὐκ ἂν ὑπάρξαιτο τῆς ἐναντίας ἡ ἀρτηρία. ἀλλὰ μὴν τὸ καταπαῦσαι, στῆναί τε, καὶ ἡσυχάσαι ἐστίν. ὥστε ἡσυχία μεταξὺ ἐστὶ τῶν κινήσεων. ἀνάγκη οὖν πᾶσα τὸν μέν τινα χρόνον αὐτῶν εἶναι τῶν κινήσεων ἴδιον ἑκατέρας, τὸν δέ τινα τῶν ἡσυχιῶν, καὶ τούτων πάλιν ἑκατέρας ἴδιον. ἐπεὶ δὲ καὶ τρεῖς διαστάσεις ἡ ἀρτηρία κέκτηται, καθάπερ καὶ ἄλλο τι σῶμα, μῆκος, καὶ πλάτος, καὶ βάθος, ἀνάγκη πᾶσα καθ' ἑκάστην τῶν διαστάσεων γίγνεσθαί τινα ποσότητα τῆς διαστολῆς, καὶ τῆς συστολῆς, καὶ μὲν δὴ καὶ τόνου πως αὐτὴν ἔχειν ἀναγκαῖον, ὥστε ἢ μόγις, καὶ ἀρρώστως, ἢ ἑτοίμως τε, καὶ εὐρώστως ἐνεργεῖν.

CAPVT III.

Prima genera pulsuum.

QVum arteriæ corpus sit cauum, longum, & teres, habeátque perpetuum geminum motum ex contrariis constitutum partibus; aut enim in seipsam vndique considet, aut in omnem partem distenditur; qui duplex motus, pulsus appellatur: in vtroque ei gemina quies accidat necesse est, altera à distentione priusquam contrahatur; altera à contractione, antequam distendatur. Quas quidem binas quietes expertorum tactus cognoscit, nec minus demonstrat ratio. Nam prius contrarium motum arteria, quàm priorem sedauerit, non exorditur. Atqui sedare, consistere est, & in quiete esse. Sic motibus intercedit quies. Exprimit ergo necessitas quoddam esse tempus proprium vtriusque motus; aliquod etiam quietum; & harum item vtriusque proprium. Iam quia tres arteria dimensiones, vt omnia reliqua corpora, obtinet, longitudinem, latitudinem, profunditatem; non potest in singulis dimensionibus non fieri quantitas aliqua distentionis & contractionis. Et verò etiam contentionem quandam necessario habet, vt aut ægrè & languidè, aut promptè valentérque operetur.

Est

Est præterea ipsa arteriæ tunica, aut mollis, aut dura. Quin etiam capacitas interna, aut vacua quodam modo est, aut plena. Atque hæc omnia aliquando æqualia, aliquando inæqualia sunt. Temporis item distentionis aliqua proportio est cum tempore contractionis. Aliam in vno pulsu differentiam constituas, præter has, nullam. Siue enim motuum tempus est æstimandum, vel quietum: siue dimensionum in quibus mouentur quantitas; siue qualitas actionis, aut tunicæ arteriarum, aut cauitatis; siue qui mutuo conueniunt, quæ conferri queunt, queunt autem cognata; omnia hæc sunt, recensita nec quicquam præterea in vllam partem desiderat oratio: sed sunt omnes quæ in vnum pulsum incidunt, differentiæ generales quas retulimus. Quibus duæ accedunt aliæ, quas collectiuas appellant. Ex quibus in plurium pulsuum mutua comparatione æqualitatem, & inæqualitatem, ordinem atque eius perturbationem æstimamus.

A εἶναι δὲ καὶ αὐτὸν τὸν χιτῶνα τῆς ἀρτηρίας, ἢ μαλακὸν, ἢ σκληρόν. ἀλλὰ καὶ τὴν εὐρύτητα τὴν ἐντὸς, ἢ διακενόν πως, ἢ πλήρη. καὶ κατὰ ταῦτα πάντα ποτὲ μὲν ὁμαλότητα, ποτὲ δὲ ἀνωμαλίαν συνίστασθαι, καί τινα λόγον τοῦ χρόνου τῆς διαστολῆς πρὸς τὸν τῆς συστολῆς, καὶ παρὰ ταύτας, μηδεμίαν ἄλλην δύνασθαι συστῆναι καθ' ἕνα σφυγμὸν διαφοράν. εἴτε γὰρ ἐξετάσαι χρὴ τὸν χρόνον τῶν κινήσεων, ἢ τῶν ἡσυχιῶν, εἴτε τῶν διαστάσεων, καθ' ὧν κινοῦνται, τὸ ποσὸν, εἴτε τῆς ἐνεργείας τὸ ποιὸν, ἢ τοῦ χιτῶνος τῶν ἀρτηριῶν, ἢ τῆς κοιλότητος, ἢ τοῦ πῶς ἔχειν πρὸς ἄλληλα τὰ δυνάμενα παραβάλλεσθαι, δύναται δὲ δηλονότι τὰ ὁμογενῆ, B πάντ' εἴρηται ταῦτα, καὶ οὐδὲν ἔτι λείπει τῷ λόγῳ κατ' οὐδένα τρόπον, ἀλλ' εἰσὶν αἱ πᾶσαι καθ' ἕνα σφυγμὸν συνιστάμεναι διαφοραὶ γενικαὶ, αἱ νῦν εἰρημέναι. δύο δὲ ἄλλαι προσέρχονται συστηματικαὶ καλούμεναι, καθ' ἃς ἐπὶ πλειόνων σφυγμῶν ἀλλήλοις παραβαλλομένων, ὁμαλότητά τε καὶ ἀνωμαλίαν, καὶ τάξιν, ἢ ἀταξίαν σκοπούμεθα.

CAPVT IV.

Differentiæ pulsuum à tempore motus, & à quantitate distentionis sumptæ.

Cuiusque autem horum generum differentiæ speciatim plures sunt, quas iam exponemus, à genere ipsius motus ingressi: quem aut moderatum esse, & secundum naturam oportet, aut celeriorem, vel tardiorem. Itaque hoc genus efficit tres numero differentias pulsuum; celerem, qui fit, quum pauco tempore mouetur arteria; tardum, quum multo; moderatum, quum mediocri. Differentiæ verò pulsuum in distentionis quantitate, siquidem singulis concipiantur dimensionibus, nouem numero sunt, in vnaquaque trium dimensionum tres. In longitudine arteriæ, qui moderatus in ea est, & qui hunc excedit, vel eo est inferior; vocatur qui excedit, longus; qui inferior est, breuis. In latitudine, qui moderatus in ea, & duo immoderati; latus, qui moderatum excedit; contrarius huic, angustus. Itidem in dimensione profunditatis arteriæ, vnus moderatus est, alius altus, & alius humilis. Hæ quidem nouem sunt pulsuum in vna dimensione acceptorum differentiæ; at differentiæ pulsuum in trinis simul dimensionibus sunt vij & xx. Perspicies has manifestè in tabella. Vnus enim erit longus simul & latus, altúsque qui omnibus præponatur. Alius longus simul & latus, & profunditate moderata, scribatúrque secundus. Alius longus, latus, humilis, qui ordine tertius sit; similique omnes reliqui via, & ratione cognoscentur: vt duæ primæ dimensiones maneant immotæ, trifariam vltima variet, hoc pacto. Quartus longus, moderata latitudine, & altus. Quintus longus, moderata latitudine, símulque moderata profunditate. Sextus longus, laditudine moderata, humilis. Deinde alij tres, prima dimensione longum seruante, secunda angustum, tertia trifariam variante. In his nouem vna dimensio permanet longitudinis longæ, aliæ duæ omnino commutantur. Mox alij nouem dimensione longitudinis in mediocritate conseruata, variantibus reliquis. Ad hæc nouem, vbi longitudinis breuis maneat dimensio, & aliæ immutentur.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Αἱ τῶν σφυγμῶν διαφοραὶ ἀπὸ τοῦ κατὰ τὴν κίνησιν χρόνου τε, καὶ τοῦ κατὰ τὴν διαστολὴν ποσοῦ.

C Ἑκάστου δὲ τούτων τῶν γενῶν, αἱ κατ' εἶδος διαφοραὶ πλείους εἰσὶν, ἃς ἤδη δέξιμεν, ἀπὸ τοῦ κατ' αὐτὴν τὴν κίνησιν, ἀρξάμενοι γένους. ἀνάγκη γὰρ ταύτην, ἢ σύμμετρόν τε, καὶ κατὰ φύσιν ὑπάρχειν, ἢ ὠκυτέραν πως, ἢ βραδυτέραν γεγονέναι, ὡς εἶναι κατὰ τοῦτο τὸ γένος, τρεῖς τὰς πάσας διαφορὰς σφυγμῶν, ταχὺν μὲν τὸν ἐν ὀλίγῳ χρόνῳ κινουμένης τῆς ἀρτηρίας γινόμενον, βραδὺν δὲ τὸν ἐν πολλῷ, σύμμετρον δὲ τὸν ἐν συμμέτρῳ. αἱ δὲ κατὰ τὸ ποσὸν τῆς διαστολῆς διαφοραὶ σφυγμῶν, αἱ μὲν κατὰ μίαν νοούμεναι διάστασιν, ἐννέα τὸν ἀριθμόν εἰσι καθ' ἑκάστην τῶν τριῶν διαστάσεων, D τρεῖς, κατὰ μὲν τὸ μῆκος τῆς ἀρτηρίας, ὅστις σύμμετρος ἐν αὐτῷ, καὶ ὅστις ἂν ὑπερβάλλῃ τοῦδε, ἢ ἐλλείπῃ. καλεῖται δὲ, ὁ μὲν ὑπερβάλλων, μακρὸς, ὁ δὲ ἐλλείπων βραχύς. κατὰ δὲ τὸ πλάτος, ὅ, τε σύμμετρος ἐν αὐτῷ, καὶ οἱ ἄμετροι δύο, πλατὺς μὲν ὁ ὑπὲρ τὸ σύμμετρον, ὁ δ' ἐναντίος αὐτῷ, στενός. κατὰ ταῦτα δὲ κἂν τῇ κατὰ βάθος διαστάσει τῆς ἀρτηρίας, ὁ μὲν ἔσται σύμμετρος. ὁ δὲ ὑψηλὸς, ὁ δὲ ταπεινός. αὗται μὲν ἐννέα διαφοραὶ σφυγμῶν τῶν κατὰ μίαν διάστασιν νενοημένων, αἱ δὲ κατὰ τρεῖς ἅμα διαστάσεις διαφοραὶ σφυγμῶν, ἑπτὰ καὶ εἴκοσίν εἰσιν. γνώσῃ δ' αὐτὰ σαφῶς ἐπὶ διαγράμματος, εἷς μὲν γὰρ ἔσται μακρὸς ἅμα, καὶ πλατὺς, καὶ ὑψηλὸς, καὶ γεγράφθω E πρῶτος ἁπάντων. ἕτερος δὲ μακρὸς ἅμα, καὶ πλατὺς, καὶ κατὰ βάθος σύμμετρος, καὶ γεγράφθω δεύτερος. ἄλλος δὲ μακρὸς, καὶ πλατὺς, καὶ ταπεινὸς, καὶ γεγράφθω τρίτος. ἑξῆς δὲ τούτοις, οἱ λοιποὶ πάντες ὁμοίᾳ μεθόδῳ γνωριοῦνται τῶν δύο μὲν τῶν πρώτων διαστάσεων τῶν αὐτῶν μενουσῶν, τρὶς δὲ τῆς ἐσχάτης ὑπαλλαττομένης, οἵδε οὕτως, ὁ μὲν τέταρτος μακρὸς, καὶ σύμμετρος τῷ πλάτει, καὶ ὑψηλός· ὁ δὲ πέμπτος, μακρὸς καὶ σύμμετρος τῷ πλάτει, καὶ σύμμετρος τῷ βάθει. ὁ δὲ ἕκτος, μακρὸς καὶ σύμμετρος τῷ πλάτει, καὶ ταπεινὸς, εἶτ' ἄλλοι πάλιν τρεῖς ἐφεξῆς, τῆς μὲν πρώτης διαστάσεως, τὸ μακρὸν φυλαττούσης, τῆς δὲ δευτέρας τὸ στενὸν, τῆς F δὲ τρίτης, ὑπαλλαττομένης τριχῶς. οὗτοι μὲν ἐννέα τῆς μιᾶς διαστάσεως τῆς κατὰ τὸ μῆκος, μακρᾶς μενούσης, τῶν δὲ ἄλλων δυοῖν, παντοίως ὑπαλλαττομένων. ἕτεροι δὲ ἑξῆς ἐννέα, τῆς μὲν κατὰ τὸ μῆκος διαστάσεως συμμέτρου μενούσης. τῶν λοιπῶν δ' ὑπαλλαττομένων. καὶ αὖθις ἐννέα, τῆς μὲν κατὰ μῆκος διαστάσεως βραχείας μὲν οὔσης, τῶν δ' ἄλλων ὑπαλλαττομένων.

αἱ ὀνομασίαι τῶν σφυγμῶν

α'	μακρὸς	πλατὺς	ὑψηλὸς	μέγας
β'	μακρὸς	πλατὺς	σύμμετρος	
γ'	μακρὸς	πλατὺς	ταπεινός	
δ'	μακρὸς	σύμμετρος	ὑψηλὸς	
ε'	μακρὸς	σύμμετρος	σύμμετρος	ἰσχνός
ϛ'	μακρὸς	σύμμετρος	ταπεινὸς	ἰσχνός
ζ'	μακρὸς	στενὸς	ὑψηλός	
η'	μακρὸς	στενὸς	σύμμετρος	ἰσχνός
θ'	μακρὸς	στενὸς	ταπεινὸς	ἰσχνός
ι'	σύμμετρος	πλατὺς	ὑψηλὸς	ἁδρός
ια'	σύμμετρος	πλατὺς	σύμμετρος	
ιβ'	σύμμετρος	πλατὺς	ταπεινός	
ιγ'	σύμμετρος	σύμμετρος	ὑψηλὸς	κατὰ φύσιν
ιδ'	σύμμετρος	σύμμετρος	σύμμετρος	μέσος
ιε'	σύμμετρος	σύμμετρος	ταπεινός	
ιϛ'	σύμμετρος	στενὸς	ὑψηλός	
ιζ'	σύμμετρος	στενὸς	σύμμετρος	
ιη'	σύμμετρος	στενὸς	ταπεινὸς	ἰσχνός
ιθ'	βραχὺς	πλατὺς	ὑψηλὸς	ἁδρός
κ'	βραχὺς	πλατὺς	σύμμετρος	ἁδρός
κα'	βραχὺς	πλατὺς	ταπεινός	
κβ'	βραχὺς	σύμμετρος	ὑψηλὸς	ἁδρός
κγ'	βραχὺς	σύμμετρος	σύμμετρος	ἁδρός
κδ'	βραχὺς	σύμμετρος	ταπεινός	
κε'	βραχὺς	στενὸς	ὑψηλός	
κϛ'	βραχὺς	στενὸς	σύμμετρος	
κζ'	βραχὺς	στενὸς	ταπεινὸς	μικρός

1	Longus	Latus	Altus	Magnus
2	Longus	Latus	Moderatus	
3	Longus	Latus	Humilis	
4	Longus	Moderatus	Altus	
5	Longus	Moderatus	Moderatus	Gracilis
6	Longus	Moderatus	Humilis	Gracilis
7	Longus	Angustus	Altus	
8	Longus	Angustus	Moderatus	Gracilis
9	Longus	Angustus	Humilis	Gracilis
10	Moderatus	Latus	Altus	Turgidus
11	Moderatus	Latus	Moderatus	
12	Moderatus	Latus	Humilis	
13	Moderatus	Moderatus	Altus	Naturalis
14	Moderatus	Moderatus	Moderatus	Medius
15	Moderatus	Moderatus	Humilis	
16	Moderatus	Angustus	Altus	
17	Moderatus	Angustus	Moderatus	
18	Moderatus	Angustus	Humilis	Gracilis
19	Breuis	Latus	Altus	Turgidus
20	Breuis	Latus	Moderatus	Turgidus
21	Breuis	Latus	Humilis	
22	Breuis	Moderatus	Altus	Turgidus
23	Breuis	Moderatus	Moderatus	Turgidus
24	Breuis	Moderatus	Humilis	
25	Breuis	Angustus	Altus	
26	Breuis	Angustus	Moderatus	
27	Breuis	Angustus	Humilis	Paruus

Ὄντων δὴ τούτων ἑπτὰ καὶ εἴκοσι σφυγμῶν, τῶν κατὰ τὸ ποσὸν, ἐν ταῖς τρισὶν ἅμα διαστάσεσι συνισταμένων, δύο μὲν ἔχουσιν ἐξ αὐτῶν ὀνόματα, πρὸς ἁπάντων ὁμολογούμενα, ὅ, τε πρῶτος ἐν αὐτοῖς γεγραμμένος, καὶ ὁ ἔσχατος. ὁ μὲν γὰρ μέγας, ὁ δὲ μικρὸς καλεῖται, τὸ δ' ἄλλο πᾶν πλῆθος οὐκ ἔχει. οὐδὲ γὰρ οἱ ἰσχνοί τε, καὶ οἱ ἁδροὶ λεγόμενοι σφυγμοὶ, ἕνα τινὰ τῶν ἐκ τοῦ διαγράμματος δηλοῦσι, ἀλλὰ κατὰ πολλῶν ἅμα γενικῶς κατηγοροῦνται. ἐφ' ὧν γὰρ αὖ ἡ κατὰ τὸ μῆκος διάστασις πλεονεκτεῖ πως τῶν λοιπῶν δυοῖν, τούτους πάντας ἰσχνοὺς καλοῦσιν. ἐφ' ὧν δ' αὖ αἱ λοιπαὶ δύο ταύτης, ἅπαντας αὖ πάλιν ἐκείνους ἁδρούς. ὥστε καὶ τὸν πέμπτον ἐν τῷ διαγράμματι, καὶ τὸν ἕκτον, ἔτι δὲ πρὸς αὐτοῖς τὸν ὄγδοόν τε, καὶ ἔννατον, καὶ ιη' ἰσχνοὺς καλεῖσθαι. ἔμπαλιν δὲ τούτοις, ἁδροὺς, τόν τε δέκατον ἐν τῷ διαγράμματι, καὶ τὸν ἐννεακαιδέκατον, καὶ τὸν εἰκοστὸν, καὶ προσέτι τὸν δεύτερον καὶ εἰκοστὸν, καὶ τὸν τρίτον καὶ εἰκοστόν. ὥστε γενικώτερα ταῦτ' ἐστὶ τὰ ὀνόματα, καὶ πλειόνων κοινά. καλοῦσι δὲ ἤδη τοὺς αὐτοὺς τούτους σφυγμοὺς, καὶ ἑτέρως, λεπτὸν μὲν ἰσχνὸν, παχὺν δὲ τὸν ἁδρόν. ἀλλ' οὐδὲ τοῦ συμμέτρου κατὰ τὰς τρεῖς διαστάσεις, ὅσπερ μόνος ἐστὶν ὁ κατὰ φύσιν ἐν τοῖς ἑπτὰ καὶ εἴκοσιν, ἴδιον ἔχομεν ὄνομα. λόγῳ δὲ καὶ τοῦτον δηλοῦμεν, ἤτοι σύμμετρον εἶναι λέγοντες ἐν ταῖς τρισὶ διαστάσεσιν, ἢ μέσον μεγάλου τε, καὶ μικροῦ, ἢ κατὰ φύσιν ἐν τῷ ποσῷ τῆς διαστολῆς, ἢ σύμμετρον ἐν τῷ ποσῷ τῆς διαστολῆς, ἢ ὅπως ἂν μάλιστα ἄλλως, σαφὲς ἐλπίσωμεν ἔσεσθαι τὸ λεγόμενον. διό μοι καὶ θαυμάζειν ἐπέρχεται τῶν ἐν ὀνόμασι μόνον δεινῶν, καὶ τί χρὴ καλέσαι τὸν τοιοῦτον σφυγμὸν ἀεὶ ζητούντων, εἰ μὴ κἂν διὰ τοῦτο τῆς ἔριδος παύσαιντο, πολλοὺς ὁρῶντες σφυγμοὺς, ὄνομα μὲν ἴδιον οὐκ ἔχοντας, οὐδὲν δ' ἐκ τούτου τὴν διδασκαλίαν βλάπτοντας, ὅταν γε λόγῳ δηλοῦσθαι δύνωνται.

Atque quum hi vigintiseptem pulsus, secundum quantitatem, in tribus dimensionibus constent; duo sunt nomina sortiti ab omnibus approbata, qui primus relatus est, & qui postremus; hic paruus appellatur, ille magnus. Reliqui alij omnes nomen non habent. Neque enim pulsus qui graciles & turgidi vocantur, certum ex tabella vnum indicant, cæterum multis simul generatim tribuuntur. Nam in quibus longitudinis dimensio quodam modo duabus reliquis præstat, omnes hos graciles vocant. In quibus duæ reliquæ hac, contrà turgidos hos appellant. Proinde quintus in tabella, & sextus, insuper octauus, & nonus, ac octauusdecimus graciles vocantur. E diuerso turgidi decimus in tabella, & decimusnonus, vigesimus item, & vigesimus secundus, & xxiij. Hæc ergo sunt nomina generaliora, & pluribus communia. Iam vocant etiam hosce pulsus aliter, tenuem, gracilem; & crassum, turgidum. Quin nec moderati quidem in tribus dimensionibus, qui vnus naturalis inter xxvij est, peculiare nomen habemus, sed definitione hunc significamus, dicentes, aut moderatum tribus dimensionibus, aut medium magni, & parui, aut naturalem in quantitate distentionis, aut quacunque alia ratione sermonem potissimùm speramus fore clarum. Quare eos mihi in mentem venit mirari, qui in nominibus tantum excellunt, & quo nomine sit vocandus is pulsus, per totam vitam quærunt, si non vel hac de causa contentionem deponant, quòd multos videant pulsus qui proprium quidem requirunt nomen, nec hinc quicquam lædi tamen institutionem, cum definitione quidem indicari possit.

sit. Siquidem, quum pulsum appellent quidam breuem, angustum humilémque, perinde faciunt ac illi qui dicunt, animal pedestre bipes. Nam, vt hic definitio est, animal pedestre bipes: & rei nomen, cuius hæc est definitio, homo; ita in pulsibus, nomen est magnus; eius definitio, longus, latus, altus. Item alius pulsus definitio, breuis, latus, humilis, sed nullum habet nomen. Verùm de his agemus aliàs.

CAPVT V.

De differentiis pulsuum sumptis à corpore ipsius arteriæ, & ab humoribus in ea contentis, & à virtute ipsa.

IAm nunc ad tertium pulsuum genus, quod in robore consistit, descendamus, & huius etiam differentias exponamus. Sunt autem tres, vnus validus robore, qui vehemens vocatur; alter imbecillus, quem languidum appellant; medio inter eos proprium non est nomen, sed hunc quoque explicamus definitione. Quartum genus, quod in arteriæ consistit corpore, diuiditur etiam in tres differentias, vocatúrque à medicis plerísque maxime à iunioribus, plenum & vacuum; & quod inter vtrunque medium est, ne hic quidem sortitum est nomen. A nobis non ita, sed alter durus, alter mollis appellatur: & declarat vterque arteriæ statum. An verò rectius hoc sit modò appellandum, an illo; qui de hoc laborat, inferius discet. Nunc, quod instituimus, est absoluendum. Aliud genus erat pulsuum, arteriæ perfusionem, vt aiunt; declarans: quod longum requirit mea sententia sermonem ad absolutam notitiam; at quod ad propositum conducit, atque sufficit tyronibus, hoc loco exponemus; Tres & huius generis differentias pulsuum fingi, quorum vnus plenus, alter vacuus appellatur; nam medius vtriusque nomine peculiari caret. Plenus ergo pulsus est, vt definit Archigenes, qui arteriam ostendit pleniorem, & occursum humidè tumidum; vacuus, qui arteriæ eleuationem facit bullosam, vt digitorum impressioni egressus per vacua occurrat. Hæc quinque pulsuum genera in vno motu consistunt arteriæ, & singulæ eorum æqualitates, atque inæqualitates; quarum exponemus differentias, quum de altera agemus inæqualitate quæ in pluribus pulsibus posita est.

CAPVT VI.

De differentiis pulsuum qui in tempore quietis consistunt; & de secta, quæ se solam distentionem ait sentire.

ALiæ differentiæ pulsuum his qui se negant contractionem sentire, in tempore interuallorum consistunt, ita enim tempus, quod inter motus sensibiles intercedit, vocant; præterea in proportione temporis motus & quietis, nam ita etiam interuallum appellant. At illis qui se contractionem aiunt sentire, ac medium vtique quietis vtriusque, quam quietem remissionem, & cessationem à motu vocant, aliæ prodeunt, & longè efficiuntur plures. Sed faciendum mihi est, vt de vtrisque separatim planius agam, & primùm de his qui se solam dicunt distentionem sentire:

A τὸ γοῦν σφυγμὸν ὀνομάζειν τινὰς βραχὺν, καὶ στενὸν, καὶ ταπεινὸν, ὅμοιόν ἐστι τῷ λέγειν, ζῶον πεζὸν δίπουν. ὡς γὰρ ἐνταῦθα ὁ λόγος μὲν τὸ ζῶον πεζὸν δίπουν, τὸ δὲ ὄνομα τοῦ πράγματος, οὗ ὁ λόγος, ἄνθρωπος, οὕτω κἀν τοῖς σφυγμοῖς, ὄνομα μὲν ὁ μέγας λόγος δ' αὐτοῦ μακρὸς, καὶ πλατὺς, καὶ ὑψηλός. καὶ αὖθις ἑτέρου σφυγμοῦ, λόγος μὲν, βραχὺς, πλατὺς, ταπεινὸς, ὄνομα δὲ οὐδέν ἐστιν. ἀλλὰ περὶ μὲν τούτων καὶ αὖθις ἐροῦμεν.

ΚΕΦΑΛΑΙΟΝ Ε.

B Περὶ τῶν σφυγμῶν διαφορῶν τῶν ἀπὸ τοῦ τῆς αὐτῆς ἀρτηρίας σώματός τε, καὶ τῶν ἐν αὐτῇ χυμῶν, καὶ τῆς ἀρετῆς λαμβανομένων.

Νυνὶ δὲ μεταβάντες ἐπὶ τὸ τρίτον γένος τῶν σφυγμῶν τὸ κατὰ τὸν τόνον, εἴπωμεν καὶ τὰς τούτου διαφοράς. Εἰσὶ δὲ τρεῖς, ὁ μέν τις εὔρωστος τῷ τόνῳ. καλεῖται δὲ σφοδρός. ὁ δέ τις ἄρρωστος, ὃν ἀμυδρὸν ὀνομάζουσι. τοῦ μέσου δ' αὐτῶν, οὐκ ἔστιν ἴδιον ὄνομα, ἀλλὰ καὶ τοῦτον τῷ λόγῳ δηλοῦμεν. τὸ δὲ τέταρτον τῶν γενῶν τὸ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας συνιστάμενον, εἰς τρεῖς τέμνεται καὶ αὐτὸ διαφορὰς, καὶ καλεῖται, παρὰ μὲν τοῖς πλείστοις τῶν ἰατρῶν, καὶ μάλιστα τοῖς νεωτέροις, τῷ τοῦ πλήρους ὀνόματι, C καὶ τῷ τοῦ κενοῦ. τὸ γὰρ μέσον ἀμφοῖν ἀνώνυμον κἀνταῦθα. παρ' ἡμῖν δ' οὐχ οὕτως. ἀλλ' ὁ μὲν ἕτερος αὐτῶν, σκληρὸς, ὁ δὲ ἕτερος μαλακὸς ὀνομάζεται, καὶ δηλοῦσιν ἀμφότεροι τῆς ἀρτηρίας τὴν σύστασιν. εἰ δ' ὀρθότερον οὕτως, ἢ ἐκείνως ὀνομάζειν, ὅτῳ καὶ τούτων μέλει, διὰ τῶν ἑξῆς μαθήσεται. νυνὶ δὲ τὸ προκείμενον περαντέον. ἄλλο γένος ἦν σφυγμῶν, ἐμφαῖνον ὥς φασι τὸ τῆς ἀρτηρίας ἔγχυμα, μακροῦ δεόμενον, ὡς ἐμοὶ δοκεῖ εἰς διάγνωσιν ἀκριβῆ, λόγου. τὸ δ' οὖν εἰς τε τὰ παρόντα χρηστὸν, καὶ τοῖς εἰσαγομένοις ἱκανὸν, εἰρήσεται κἀνταῦθα, τρεῖς νοεῖσθαι τούτου τοῦ γένους διαφορὰς σφυγμῶν, ὀνομάζεσθαι δὲ τὸν μέν τινα D πλήρη, τὸν δὲ κενόν. ὁ γὰρ μέσος ἀμφοῖν, οὐδὲν ἴδιον ὄνομα κέκτηται. πλήρης μὲν οὖν ἐστι σφυγμὸς, ὡς ὁ Ἀρχιγένης ὁρίζεται, ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν, καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχύλως. κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥστε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν. ταῦτα μὲν οὖν τὰ πέντε γένη τῶν σφυγμῶν, κατὰ μίαν κίνησιν τῆς ἀρτηρίας συνίσταται, καὶ ἡ καθ' ἕκαστον ὁμαλότης αὐτῶν τε καὶ ἀνωμαλία, ἧς τὰς διαφορὰς ἐροῦμεν, ὅταν καὶ περὶ τῆς ἑτέρας ἀνωμαλίας τῆς ἐν πλείοσι συνισταμένης σφυγμοῖς λέγωμεν.

E

ΚΕΦΑΛΑΙΟΝ ϛ.

Περὶ διαφορῶν τῶν σφυγμῶν τῶν ἔν τε τῷ τῆς ἡσυχίας χρόνῳ συνισταμένων· καὶ περὶ αἱρέσεως λεγούσης ἑαυτὴν μόνης αἰσθάνεσθαι τῆς συστολῆς.

ΑΙ δ' ἄλλαι διαφοραὶ τῶν σφυγμῶν, τοῖς μὲν μηδ' ὅλως αἰσθάνεσθαι λέγουσι τῆς συστολῆς, ἔν τε τῷ χρόνῳ συνίστανται τῶν διαλειμμάτων, οὕτω γὰρ ὀνομάζουσι τὸν μεταξὺ χρόνον τῶν αἰσθητῶν κινήσεων, καὶ προσέτι τῷ λόγῳ, τοῦ τε τῆς κινήσεως αὐτῆς χρόνου, καὶ τοῦ τῆς ἡσυχίας. καλοῦσι γὰρ καὶ οὕτως τὸ διάλειμμα. F τοῖς δὲ καὶ τῆς συστολῆς αἰσθάνεσθαι λέγουσι, καὶ δηλονότι τῶν μεταξὺ δυοῖν ἠρεμήσεων, ἃς ἡσυχίας τε, καὶ ἠρεμίας, καὶ ἀκινησίας καλοῦσιν, ἕτεραί τε συνίστανται, καὶ πολλῷ πλείους γίνονται. δίκαιον οὖν ὑπὲρ ἑκατέρων ἰδίᾳ σαφέστερον εἰπεῖν. καὶ περὶ προτέρου γε τῶν μόνης τῆς διαστολῆς αἰσθάνεσθαι φασκόντων

ἵν' ἐν τοῖς ἐπιμοτέροις γνωσθῆναι γυμνασάμενοι, ῥᾷον ἑπώμεθα τοῖς χαλεπωτέροις. πληττομένης δὴ τῆς ἁφῆς κατὰ τὴν προσβολὴν τῆς ἀρτηρίας, τῶν τε ἄλλων ὧν εἶπον ἔμπροσθεν αἰσθανόμεθα, καὶ χρόνου τοῦ παρεκτεινομένου τῇ κινήσει. δευτέρας δ' αὖ κινήσεως ὑπαρξαμένης, ἄλλος ἡμῖν χρόνος ἐφωράθη μεταξὺ τοῦ τε τῆς προτέρας κινήσεως τέλους, καὶ ἀρχῆς τῆς δευτέρας, ὥστε εἶναι δύο χρόνων διάγνωσιν ἐν τῇ τοῦ σφυγμοῦ συμπληρώσει, προτέρου μὲν τοῦ τῆς κινήσεως, ἣν καὶ πληγὴν, καὶ διαστολὴν ὀνομάζουσι, δευτέρου δὲ τοῦ τῆς ἡσυχίας, ἣν καὶ διάλειμμα, καὶ συστολὴν καλοῦσιν. γίνεσθαι δὲ κατὰ μὲν τὸ τοῦ προτέρου χρόνου ποσὸν, ἢ ταχὺν, ἢ βραδὺν, ἢ τὸν μέσον αὐτῶν σφυγμόν. κατὰ δὲ τὸ τοῦ δευτέρου πυκνὸν, ἢ ἀραιὸν, ἢ τὸν μέσον αὐτῶν, ὥστε εἶναι ταχὺν μὲν σφυγμὸν, τὸν ἐν ὀλίγῳ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γινόμενον. πυκνὸν δὲ τὸν δι' ὀλίγου. καὶ βραδὺν μὲν τὸν ἐν πολλῷ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γινόμενον. ἀραιὸν δὲ τὸν διὰ πολλοῦ. καὶ μέσον μὲν ὠκέος, καὶ βραδέος τὸν ἐν συμμέτρῳ χρόνῳ τῆς ἀρτηρίας διαστελλομένης γινόμενον· μέσον δὲ πυκνοῦ καὶ ἀραιοῦ, τὸν διὰ συμμέτρου χρόνου τῆς ἀρτηρίας διαστελλομένης ἀποτελούμενον. εἴτε δὲ διαστελλομένης, εἴτε διισταμένης εἴποιμεν, εἴτε ἐξαιρομένης, εἴτε κινουμένης, οὐδὲν διαφέρειν ἡγοῦμαι. δῆλον οὖν ἤδη τίς τε ὁ πυκνὸς σφυγμὸς κατ' αὐτοὺς, καὶ ὅπῃ τοῦ ταχέος ἕτερος, ὅς τίς τε ἀραιὸς, καὶ ὅπῃ βραδέος διαφέρει. παραβαλλομένου δὲ τοῦ τῆς πληγῆς χρόνου τῷ τῆς ἡσυχίας, ὁ ῥυθμὸς γίνεται, λόγος ὢν τοῦ χρόνου τῆς πληγῆς πρὸς τὸν τῆς ἡσυχίας. εἴπομεν δὲ ὅτι μηδὲν κατὰ τούτους διαφέρει πληγὴν λέγειν, ἢ διαστολὴν, ἢ κίνησιν. καὶ ἡσυχίαν, ἢ διάλειμμα, ἢ συστολήν. καὶ μὲν δὴ καὶ ἀντὶ τοῦ λόγον φάναι τοῦ χρόνου τῆς διαστολῆς πρὸς τὸν τῆς συστολῆς, τὸν ῥυθμὸν εἶναι, τάξιν τινὲς ἔφασαν, ἕτεροι δὲ σχέσιν εἶναι δυοῖν χρόνοιν πρὸς ἀλλήλους, τοῦ τῆς πληγῆς πρὸς τὸν τοῦ διαλείμματος. αὕτη μὲν ἡ κατὰ τοὺς προτέρους διδασκαλία.

quò in facilioribus cognitu exercitati, difficiliora facilius assequamur. Vbi tactus ab arteria insultante feritur, quum alia quæ ante memoraui, sentimus tum tempus quod motu producitur. Inde quando alter inceperit motus, aliud nos tempus deprehendimus inter exitum prioris motus, atque alterius principium; vt duorum sit temporum in pulsu absoluto cognitio; prioris, quod motus est, quem & ictum & distentionem appellant; secundi, quod quietis est, quod & interuallum contractionémque vocant. Fieri autem ex prioris temporis quantitate, aut celerem, aut tardum, aut inter eos medium pulsum: ex quantitate alterius temporis, frequentem, aut rarum, aut horum medium. Vt sit celer pulsus, qui quum modico tempore arteria distenditur, fit; creber, qui quando paruo interposito interuallo; tardus, quum longo tempore arteria distenditur; rarus, quum interposito longo interuallo; medius velocis & tardi, qui quum moderato tempore distenditur arteria, fiat; medius crebri & rari, qui fit quum moderato interposito tempore arteria distenditur. Siue distenditur, siue dilatatur, siue attollitur, siue mouetur, dicamus, nihil interesse puto. Liquet igitur qui creber sit pulsus illis, & quemadmodum à veloci distet; tum qui rarus, quaque ratione à tardo discrepet. Comparato autem ictus tempore cum tempore quietis, gignitur rhythmus, qui proportio temporis est ictus ad tempus quietis. Diximus etiam nihil apud hos differre ictum, vel distentionem, vel motum dicere; nec quietem, vel interuallum, vel contractionem. Et verò etiam pro hoc, proportionem temporis distentionis ad contractionis tempus rhythmum esse, quidam ordinem dixerunt, alij conuenientiam duorum esse temporum inter sese, ictus cum interualli. Hæc sunt quæ priores tradunt.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς ἑτέρας αἱρέσεως φασκούσης ἑαυτὴν αἰσθάνεσθαι τῆς συστολῆς.

Μεταβῶμεν δ' ἐπὶ τοὺς αἰσθάνεσθαι φάσκοντας τῆς συστολῆς, βραδύτητα μὲν καὶ τάχος ὁμοίως ἐκείνοις ἐν τῷ τῆς διαστολῆς χρόνῳ τιθεμένους, ἤδη δὲ κἀν τῷ τῆς συστολῆς, οὐ μὴν τήν γε πυκνότητα, καὶ τὴν ἀραιότητα, καὶ τὸν ῥυθμὸν ἔθ' ὡσαύτως ἐκείνοις, ἀλλὰ τὴν μὲν πυκνότητα, καὶ τὴν ἀραιότητα κατὰ τὰς ἠρεμίας ἑκατέρας. τὸν ῥυθμὸν δὲ, κατὰ τὸν τῆς διαστολῆς χρόνον ἅμα τῷ τῆς μετ' αὐτὴν ἡσυχίας παραβαλλόμενον τῷ τῆς συστολῆς, ἅμα τῷ τῆς μετ' αὐτὴν ἠρεμίας. ἔσθ' ὅτε δὲ καὶ τὸν τῆς διαστολῆς μόνης χρόνον τῷ τῆς συστολῆς μόνης παραβάλλοντες, οὕτω τὸν ῥυθμὸν γίνεσθαι λέγουσι. καὶ γὰρ περὶ τῆς πυκνότητος ἔνιοι μὲν αὐτῶν, ὡς εἴρηται, τινὲς δὲ τοῖς πρόσθεν παραπλησίως, ἐν τῷ τῆς διαστολῆς χρόνῳ, τὸ τάχος, καὶ τὴν βραδύτητα γίνεσθαι φήσαντες, ἐν τῷ λοιπῷ παντὶ τῷ συγκειμένῳ ἔκ τε τῶν δυοῖν ἡσυχιῶν, καὶ τῆς συστολῆς, τὴν πυκνότητα, καὶ τὴν ἀραιότητα φασι συνίστασθαι. τινὲς δὲ καὶ τὸν ῥυθμὸν ὁμοίως τοῖς πρόσθεν συνῴκησαν ἐν τῷ λόγῳ τοῦ τῆς διαστολῆς χρόνου, πρὸς τὸν λοιπὸν ἅπαντα συνίστασθαι φάσκειν. οὐ μὴν οὐδ' ἐν τῷ πάσης αἰσθάνεσθαι τῆς διαστολῆς, ἢ τῆς συστολῆς ὁμολογοῦσιν ἀλλήλοις, ἀλλ' εἰσὶ μὲν οἱ πάσης ἑκατέρας, εἰσὶ δὲ οἱ μήτε τῶν πρώτων τῆς διαστολῆς, μήτε τῶν ἐσχάτων τῆς συστολῆς, εἶτα καὶ περὶ τῶν ὀνομάτων ἐρίζουσιν ἀλλήλοις. ἵν' οὖν ἡμεῖς, μήτε τι τῶν πραγμάτων αὐτῶν παραλεί-

CAPVT VII.

De altera secta quæ contractionem se dicit sentire.

TRanseamus iam ad eos qui contractionem sentire se dictitant, qui tarditatem quidem & celeritatem non aliter, atque illi in distentionis ponunt tempore, & in contractionis etiam; crebritatem verò, & raritatem rhythmúmq; non etiam perinde ac illi, cæterùm crebritatem atque raritatem in vtraque quiete; rhythmum in distentionis tempore vnà cum tempore insequentis, eam quietis, ad tempus collato contractionis simul cum tempore excipientis eam quietis. Nonnunquam solius distentionis tempus cum solius comparantes tempore contractionis, rhythmum ita dicunt gigni. Ac de crebritate quidam ex his, vt diximus, senserunt. Aliqui non aliter, ac priores, in distentionis tempore celeritatem generari & tarditatem confirmauerunt; in toto reliquo conflato ex binis quietibus, & contractione crebritatem, & raritatem aiunt consistere. Sunt etiam qui rhythmum, æquè ac priores, in temporis distentionis proportione ad omne reliquum non dubitent constituere. Verùm inter eos tamen non conuenit in sentienda omni distentione, vel contractione, sed quidam omnem sentiri vtranque aiunt, alij nec primas distentiones, nec contractiones extremas. Tum etiam de nominibus contendunt inter sese. Quare ne quam nos rem prætereamus,

mus, nec in rebus friuolis immoremur diutius, quod verum est & conducibile, exponamus. Nomina ponere his permittamus, qui de iis laborant, & artis vera negligunt opera, nec distentionis primas partes, nec contractionis postremas sentire valentibus. Quantum autem vtriusque sentiatur, & quamobrem, in libris de pulsibus dignoscendis ostendimus. Est verò vtile medico quod sensui occurrit, itaque distentionis tempus, vel contractionis sensibile necesse habet cognoscere. Quo fit vt quietem quam vocant superam, quæ secundum distentionem contractionem præcedit, quanta sit tactu queas ad vnguem assequi; inferam non item planè, quòd vtrinque sibi asciscat partes; ad initium, contractionis extremitatem; ad finem, principium distentionis. Recordari porrò horum temporum oportet naturalem cuiusque magnitudinem, & mutuam proportionem. Et posse cognoscere in morbo quantum immutentur: & quid quæque significare mutatio soleat. Quod & ex causæ inuentione, & ex longa experientia sumitur. De quibus alio nos loco disseruimus.

CAPVT VIII.

De differentiis pulsuum ratione quietis, & rhythmi.

NVnc simulátque duorum generum, de quibus iam verba fecimus, differentias tum quietis, tum rhythmi adiecerimus, ad ea quæ sequuntur, transibimus. In genere quietis arteriæ, tres pulsuum differentiæ consistunt, rarus, creber, medius; quorum paulo antè definitiones docuimus. At generis rhythmi, non est perinde absolutè explicare, quæ sint differentiæ; cæterùm præ omnibus pulsum omnem obtinere modulum quendam, est ostendendum: ne deceptus quis pulsuum, qui modulum non seruantes appellantur, nomine adducatur, vt omni esse orbatos rhythmo eos pulsus falsò existimet. Nam vt sine collo homo, atque citharœdus sine voce, ita etiam proportionem non seruans pulsus vocatur; vitium enim natiui rhythmi, non absolutam abolitionem significat. Atque contrarius est modulum non seruanti, non is qui proportionem habet (siquidem omnis in aliquo est rhythmo pulsus) sed ille, qui modulum seruans vocatur. Vtriusque porrò horum proportionem non seruantis & seruantis, is qui habet proportionem pulsus commune est genus: Atque proportionem habẽs quidem vnus, & indiuisus manet: proportionem non seruantis tres sunt omnes differentiæ, pararhythmus, heterorhythmus, ecrhythmus. Qualis verò quisque sit, exemplo disces. Suus est cuique ætati naturalis pulsus; qui iam de his rhythmum seruat, eurhythmus vocatur; qui labefactat, arhythmus. Atque labefactans, interim rhythmum vicinæ ætatis mutuatur, qui pararhythmus; interim cuiusuis alterius, ac heterorhythmus hic appellatur; at, qui rhythmum prorsus nullius ætatis retinet, hic ecrhythmus. Idem de naturis, ac anni temporibus, & locis, omnibúsque aliis statuendum. Suus est enim cuique horum certus quidam rhythmus, qui quum corrumpitur, arhythmum tum intelliges, & quas eius diximus differentias esse. Iam verò inter omnes rhythmos hi pari proportione, illi impari constant; pari, vbi distentionis tempus æquet tempus contractionis; impari, si alterutrum eorũ excedat.

πω μὲν, μήτ' ἐν τοῖς ἀχρήστοις ἐπὶ πλέον διατρίβωμεν, εἰπόντες δ' ἀληθές τε ἅμα, καὶ χρήσιμον, ἐπιτρέψωμεν ὀνόματα θέσθαι τοῖς τοῦτο ἔργον πεποιημένοις, τῶν δὲ ὄντως ἔργων τῆς τέχνης ἀμελοῦσιν, οὔτε τῆς διαστολῆς τῶν πρώτων, οὔτε τῆς συστολῆς τῶν ἐσχάτων, δυνατοῖς αἰσθάνεσθαι. πόσον δ' ἑκατέρου τὸ αἰσθητὸν, καὶ διὰ τί, δείκνυμεν ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἔστι δὲ δηλονότι χρήσιμον ἰατρῷ, τὸ ὑπὸ τὴν αἴσθησιν ἐρχόμενον· ὥστε καὶ χρόνον διαστολῆς, ἢ συστολῆς τὸν αἰσθητὸν, ἀναγκαῖον γνωρίζειν αὐτῷ. τὴν μὲν οὖν ἠρεμίαν τὴν ἄνω καλουμένην, τὴν ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς, ἀκριβῶς δυνατὸν ἡλίκη τίς ἐστι γνῶναι διὰ τῆς ἁφῆς, τὴν κάτω δὲ, οὐκ ἔτι ἀκριβῶς, διὰ τὸ προσλαμβάνειν ἑκατέρωθεν μόρια, κατὰ μὲν τὴν ἀρχὴν, τὸ τῆς συστολῆς πέρας, κατὰ δὲ τὴν τελευτὴν, τὰ πρῶτα τῆς διαστολῆς. μεμνῆσθαι δὲ χρὴ τῶν χρόνων τούτων, τό τε κατὰ φύσιν ἑκάστου μέγεθος, καὶ τὸν πρὸς ἀλλήλους λόγον, καὶ γνωρίζειν δύνασθαι πόσον ἐν τῷ νοσεῖν ἀλλοιοῦνται, καὶ τί δηλοῦν ἑκάστη τροπὴ πέφυκεν, ὃ τῇ τε τῆς αἰτίας εὑρέσει, καὶ τῇ μακρᾷ πείρᾳ λαμβάνεται, καὶ ἡμεῖς περὶ αὐτῶν ἑτέρωθι λέγομεν.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ διαφορῶν τῶν σφυγμῶν κατὰ τὴν ἠρεμίαν τε, καὶ ῥυθμόν.

ΕΝ δὲ τῷ παρόντι τὰς διαφορὰς ἔτι προσθέντες τῶν δύο τούτων γενῶν, τῶν νῦν εἰρημένων, τοῦ τε κατὰ τὴν ἠρεμίαν, καὶ τοῦ κατὰ τὸν ῥυθμὸν, ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβαίνωμεν. ἐν μὲν δὴ τῷ κατὰ τὴν ἡσυχίαν τῆς ἀρτηρίας γένει, τρεῖς διαφοραὶ συνίστανται σφυγμῶν, βραδὺς, πυκνὸς, μέσος, ὧν καὶ τοὺς λόγους ὀλίγῳ πρόσθεν ἐμάθομεν. ἐν δὲ τῷ κατὰ τὸν ῥυθμὸν, οὐχ ἁπλῶς οὕτως ἐγχωρεῖ εἰπεῖν τὰς συνισταμένας διαφορὰς, ἀλλὰ πρότερον, ὅτι πᾶς σφυγμὸς ῥυθμὸν ἔχει, δηλωτέον, ἵνα μή τινα τὸ τῶν ἀρύθμων καλουμένων σφυγμῶν ἐξαπατήσῃ ὄνομα, ψευδῶς ὑπολαμβάνειν ποιήσῃ, παντὸς ἐστερῆσθαι ῥυθμοῦ τοὺς τοιούτους σφυγμούς. ὡς γὰρ ἀτράχηλος ἄνθρωπος, καὶ κιθαρῳδὸς ἄφωνος, οὕτω καὶ σφυγμὸς, ἄρυθμος καλεῖται, κάκωσιν τοῦ κατὰ φύσιν ῥυθμοῦ δηλούσης τῆς προσηγορίας, οὐ στέρησιν παντελῆ. καὶ ἔστιν ἐναντίος τῷ ἀρύθμῳ, οὐχ ὁ ἔνρυθμος, πᾶς γὰρ σφυγμὸς ἔν τινι ῥυθμῷ, ἀλλ' ὁ εὔρυθμος καλούμενος. ἀμφοτέρων δὴ τούτων, ἀρύθμου λέγω, καὶ εὐρύθμου, κοινὸν γένος ἐστὶν, ὁ ἔνρυθμος σφυγμός. ὁ μὲν οὖν εὔρυθμος, εἷς μόνος καὶ ἄτμητος. τοῦ δὲ ἀρύθμου, τρεῖς εἰσι διαφοραὶ, παράρυθμος, ἑτερόρυθμος, ἔκρυθμος. οἷος δ' ἐστὶν ἕκαστος, ἐπὶ παραδείγματος μάθοις ἄν. ἑκάστῃ τῶν ἡλικιῶν ἐστί τις κατὰ φύσιν σφυγμός. τούτων οὖν ὁ μὲν σώζων τὸν ῥυθμὸν, εὔρυθμος καλεῖται. ὁ δὲ διαφθείρων, ἄρυθμος. καὶ τοῦ διαφθείροντος, ὁ μὲν τὸν τῆς πλησίον ἡλικίας ῥυθμὸν μεταλαμβάνων, παράρυθμος. ὁ δὲ τὸν τῆς ἑτέρας ἡστινοσοῦν, ἑτερόρυθμος. ὁ δὲ μηδεμιᾶς ὅλως ἡλικίας ἀποσώζων ῥυθμὸν, ἔκρυθμος ὀνομάζεται. οὕτω δὲ καὶ περὶ φύσεων, καὶ ὡρῶν, καὶ χωρῶν, καὶ τῶν ἄλλων ἁπάντων χρὴ νοεῖν. ἑκάστου γὰρ αὐτῶν ἐστί τις οἰκεῖος ῥυθμὸς, οὗ διαφθειρομένου, τό τ' ἄρυθμον χρὴ νοεῖν, καὶ τὰς εἰρημένας ἐν αὐτῷ διαφοράς. ἁπάντων δὲ τῶν ῥυθμῶν, οἱ μὲν ἐν ἴσῳ λόγῳ συνίστανται, οἱ δὲ ἐν ἀνίσῳ. ἐν ἴσῳ μὲν, ὅταν ὁ τῆς διαστολῆς χρόνος ἴσος ὑπάρχῃ τῷ τῆς συστολῆς· ἐν ἀνίσῳ δὲ, ὅταν θάτερος αὐτῶν ὑπερέχῃ.

γένους δὲ τούτου ποτὲ μὲν ἐν ῥηταῖς, ποτὲ δὲ ἐν ἀῤῥήτοις τῶν ὑπεροχαῖς· καὶ ἐν ῥηταῖς μὲν διχῶς, ἢ ὡς ἐν πολλαπλασίῳ λόγῳ, ἢ ὡς ἀριθμοῦ πρὸς ἀριθμόν, ὅσπερ καὶ ἐπιμόριος ὀνομάζεται. πολλαπλάσιος μὲν οὖν λόγος ἐστίν, ὁ διπλάσιος, ἢ τριπλάσιος, ἢ τετραπλάσιος, ἤ τις τῶν ἑξῆς. ὡς ἀριθμοῦ δὲ πρὸς ἀριθμόν, ὅταν ἡλίκων ἡ διαστολὴ δυοῖν ᾖ χρόνων, τηλικούτων ἡ συστολή, πέντε, ἢ ἑπτά, ἢ ἐννέα, ἢ ἕνδεκα. ἀῤῥήτοις δὲ τριχῶς μὲν καθόλου. ἢ γὰρ ὁ τῆς διαστολῆς χρόνος ἄῤῥητός ἐστιν, ἢ ὁ τῆς συστολῆς, ἢ ἀμφότεροι. κατὰ μέρος δέ, τούτων ἕκαστος, ποτὲ μὲν ἐπ᾽ ὀλίγον παρηυξημένους ἔχει τοὺς ἀῤῥήτους χρόνους, εἴ τε πλείους εἶεν, εἴθ᾽ εἷς, ὁ πρῶτος. ποτὲ δὲ ἐπὶ πλέον, ποτὲ δὲ ἐπὶ πλεῖστον. ὅτι δὲ πρῶτον χρόνον, οὐ πρὸς τὴν φύσιν αὐτήν, ἀλλὰ πρὸς αἴσθησιν ἀκούειν χρή, πρόδηλον. οὕτω γὰρ ἔχει καὶ παρὰ τοῖς μουσικοῖς. ταῦτ᾽ ἀρκεῖ τὸ νῦν περὶ ῥυθμῶν. ὅσον γὰρ ἐκ τούτου τοῦ γένους τῶν σφυγμῶν, τὸ δυνατόν τε, καὶ χρήσιμον, ἢ ἀδύνατόν τε, καὶ ἄχρηστον, ἔν τε τοῖς περὶ διαγνώσεως αὐτῶν, καὶ ἐν τοῖς περὶ προγνώσεως εἰρήσεται.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τῆς ὁμαλότητός τε καὶ ἀνωμαλίας, τάξεώς τε καὶ ἀταξίας.

ΑΛλ᾽ ἐπὶ τὰ λοιπὰ δύο γένη μεταβαίνωμεν ἤδη· τὸ μὲν ἕτερον ἐν ᾧ τήν τε ὁμαλότητα, καὶ τὴν ἀνωμαλίαν ἐπισκοπούμεθα· τὸ δ᾽ ἕτερον ἐν ᾧ τάξιν τε καὶ ἀταξίαν. ὁμαλότης μὲν οὖν, καὶ ἀνωμαλία καθ᾽ ἕνα τε σφυγμόν, καὶ περὶ πλείονας γίνεται. τάξις δὲ καὶ ἀταξία περὶ πλέονας μόνον. ἐπεὶ δὲ χαλεπή, καὶ δυσθεώρητός ἐστιν ἡ καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλία, περὶ τῆς ἐν πλείοσι συνισταμένης πρότερον εἴπωμεν, συναποδόντες αὐτῇ, καὶ τὸν περὶ τάξεως, καὶ ἀταξίας λόγον, ἐπειδὴ παράκειταί τε καὶ οἰκεῖός ἐστιν, οὕτω καὶ ἐπὶ τὴν καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαν ἐπανελθόντες, ἁπάσας αὐτῆς εἰπεῖν πειρασόμεθα τὰς διαφοράς. ἡ τοίνυν ἐν πλείοσι σφυγμοῖς θεωρουμένη ὁμαλότης τε καὶ ἀνωμαλία, ἃς καὶ συστηματικὰς καλοῦσιν, ἐν τῷ παραβάλλειν τὰς ἐν τῷ πρώτῳ σφυγμῷ διαφορὰς τὰς ἁπάσας, ταῖς ἐν τοῖς ἐφεξῆς νοοῦνται. εἰ μὲν γὰρ ἴσαι φυλάττοιντο κατὰ πάντα, ὁμαλὸς ἁπλῶς ὁ τοιοῦτος καλεῖται σφυγμός. εἰ δὲ ἄνισοι κατὰ πάντα, ἀνώμαλος ἁπλῶς. εἰ δὲ κατά τινα μέν, ἤ τινας ἴσαι, κατά τινα δέ, ἤ τινας ἄνισοι, καθ᾽ ἃς μὲν ἴσαι, κατὰ ταύτας ὁμαλὸς ὁ σφυγμὸς ῥηθήσεται, καθ᾽ ἃς δ᾽ ἄνισοι, κατ᾽ ἐκείνας ἀνώμαλος, πολὺ διαφερόντως, ἢ ἁπλῶς ὁμαλὸν καὶ ἀνώμαλον εἰπεῖν, ἢ καθ᾽ ἓν ὁποιοῦν γένος. ὁ μὲν γὰρ ἁπλῶς ὁμαλός, οὔτε μέγεθος, οὔτε τάχος, οὔτ᾽ ἄλλο οὐδὲν ἄνισον ἔχει. ὁ δὲ καθ᾽ ἓν ὁποιοῦν, ἅμα τῇ ἐκείνου προσηγορίᾳ λέγεσθαι βούλεται κατὰ μέγεθος ὁμαλός, κατὰ τάχος, κατὰ σφοδρότητα, καθ᾽ ἓν ὁποιοῦν ἄλλο. καὶ μέντοι καὶ ἀνώμαλος, ἤτοι κατὰ μέγεθος, ἢ τάχος, ἤ τι τῶν ἄλλων. ἔσθ᾽ ὅτε δὲ καὶ κατὰ δύο τούτων, ἢ τρία, ἢ πλείω, ἢ καὶ πάνθ᾽ ὁμοῦ πολλάκις, ὅταν ἁπλῶς ὁμαλός, ἢ ἀνώμαλος λέγεται· τοιοῦτος μὲν ὅ, τε ὁμαλὸς καὶ ἀνώμαλος. ὁ δὲ τεταγμένος καὶ ἄτακτος, τμηθέντος τοῦ ἀνωμάλου εἴς τε τὸ κατὰ περιόδους ἴσον, καὶ εἰς τὸ παντοίως ἄνισον, καθ᾽ ἑκάτερον τῶν τμημάτων τὴν γένεσιν ἴσχουσι. κατὰ μὲν τὸ τῶν περιόδων ἴσον, ὁ τεταγμένος. κατὰ δ᾽ αὖ τὸ παντοίως ἄνισον, ὁ ἄτακτος. ὧδε γὰρ δὴ τὸ πᾶν αὖθις ἀναλαβόντες εἴπωμεν, ὑπὲρ τοῦ μηδὲν ἔτι διαφεύγειν ἀσαφές. αἱ καθ᾽ ἕνα σφυγμὸν ἅπασαι διαφοραί, ταῖς ἐν τοῖς ἑξῆς ἴσαι καθ᾽ ἕκαστον γένος ἔστωσαν, ὁμα-

A Id quod modò certis, modò incertis fit excessibus; certis bifariam, aut multiplici proportione, aut vt numeri ad numerum, qui & superpartialis appellatur; proportio quidem multiplex est dupla, vel tripla, vel quadrupla, vel aliqua insequentium; vt numeri ad numerum, quum quanta sunt duo distentionis tempora, tanta sint contractionis tempora, quinque, vel septem, vel nouem, vel vndecim; incertis, in vniuersum tripliciter; nam aut distentionis est tempus incertum, aut contractionis, aut vtrunque. Sigillatim vero quisque horum interdum paululum amplificata habet incerta tempora, siue plura sint, siue vnum primum; interdum B plus: est, quum plurimum. Atqui tempus primum, planum est non natura ipsa esse, sed sensu accipiendum; sic etenim apud musicos etiam fit. Hæc quidem sufficiunt in præsentiarum de rhythmis. Nam ex hoc pulsuum genere quid fieri possit & conducat, aut non possit & inutile sit, in libris de his dignoscendis, & in libris de præsagitione dicemus.

CAPVT IX.

C *De æqualitate & inæqualitate, ordine & ordinis perturbatione.*

POrrò ad genera iam reliqua duo transeamus: alterum, in quo æqualitatem spectamus & inæqualitatem; alterum, in quo ordinem & ordinis perturbationem. Atque æqualitas & inæqualitas, tum in vno pulsu fiunt, tum in pluribus; ordo & perturbatio ordinis in pluribus duntaxat. Sed enim quòd difficilis sit in vno pulsu, neque facilè animaduertitur inæqualitas, primo loco de ea dicamus quæ ex multis pulsibus constat: simúlque de ordine & ordinis perturbatione explicemus, quando finitimum est hoc genus & affine; D mox ad inæqualitatem nos in vno pulsu referamus, demúsque operam vt omnes eius differentias recenseamus. Ergo quæ pluribus in pulsibus æqualitas atq; inæqualitas animaduertuntur, quas collectiuas vocitant, in comparatione omnium differentiarum æstimantur primi pulsus cum reliquorum differentiis. Nam pares si omnino maneant, æqualis absolutè is pulsus vocatur; sin omninò impares, inæqualis absolutè. Quæ si in vna sint, vel pluribus pares, & in vna vel pluribus impares: quatenus pares sunt, hactenus pulsus æqualis appellabitur; quatenus impares, hactenus in- E æqualis. Nam absolutè æqualem pulsum dicas & inæqualem, an aliquo in genere, multum refert; quòd absolutè æqualis, neque magnitudinem, neque velocitatem, neque aliud habet impar quicquam. Ille verò qui in aliquo, quum illius vult nomine dici, magnitudine æqualis, celeritate æqualis, vehementia, & alio quoquo modo: itidem inæqualis, aut magnitudine, aut velocitate, aut alio quopiam. Nonnunquam duobus horum, vel tribus, vel pluribus, vel omnibus sæpe simul, quum absolutè æquales, vel inæquales vocantur. Habes æqualem & inæqualem. Ordinatus verò & F inordinatus, diuisa inæqualitate in paritatem circuituum, & in absolutam imparitatem, in vtroque membro generantur; in circuituum paritate, ordinatus; in absoluta imparitate, inordinatus. Itaque vniuersum repetamus, ne quid obscuri nos fugiat. Sint omnes vnius pulsus differentiæ, sequentium differentiis omni in genere pares, absolutè

ſolutè æqualis hic appellabitur. Contrà omnes ſint omnibus impares, inæqualis abſolutè ille. Age ſint aliqua, vel aliquæ pares, & aliqua, vel aliquæ impares; in aliqua pulſus, vel aliquibus æqualis erit; in aliqua, vel aliquibus inæqualis. Qui abſolutè eſt æqualis, aut vna differentia pluribúſve, non recipit partitionem. Qui autem abſolutè inæqualis eſt, hunc per vnam, vel plures ſpecies diuidentes, circuituum paritate & imparitate ordinatum reperiemus, & inordinatum, vel abſolutè, vel pluribus in differentiis, vel in vna. Ac paritatem circuituum puto iam clarum eſſe, ab ſeſe ſequétibus diſtingui paritatibus. Cæterùm ne quid oratio deſideret, addam hoc etiam, atque exempli gratia proponam vnum pulſus in magnitudine genus. Sint primus pulſus, & ſecundus, & tertius magnitudine pares; contrà ſit in ſequentibus quartus impar; eum pulſum liquet magnitudine inæqualem eſſe; ecquid tamen inordinatus ſit, nondum clarum eſt; ſed alij ſunt quatuor expectandi: vbi ſi tres illi alteri mutuo ſint inter ſe, & illis prioris circuitus pares, ac mox quarto quartus, ordinatus eiuſmodi dicitur pulſus magnitudine; ſiquidem æquè primos duos circuitus, ſequentéſque retineat pares omnes. Quòd ſi non omnes alterius circuitus, primi circuitus pulſibus ſint pares, ibi pulſus iam dicitur inordinatus in magnitudine. Eadem eſt ratio in celeritate, crebritate, cæteriſque differentiis. Aliquando pulſuum duo, vel tres circuitus omnino inter ſe ſunt impares, proximi non item, eum pulſum in confeſſo eſt non appellandum eſſe abſolutè ordinatum, non tamen inordinatum abſolutè: ſed ecquis ex ordinatis per circuitus ſit, animaduertendum eſt. Eſt quum tres, vel quatuor inter ſe circuitus ſint impares, & inferiores obtineant proportione pares. Quare ſi fiat, vt quartus primo, & quintus ſecundo, & ſextus tertio, vndequaque adæquetur, ſolemus hunc pulſum ordinatum per circuitus appellare; qui quidem inter eos medius, qui abſolutè ordinati vocantur & inordinati, intercedit; nam vterque hic contrarij expers eſt, ordinatus perturbationis ordinis, inordinatus ordinis. At per circuitus, qui ordinatus eſt, aliquam ordinis partem, aliquam etiam perturbationis ordinis habet; ordinis, quatenus in omnibus eſt circuitibus ordo; perturbationis ordinis, quatenus hæc in ſingulis illis ineſt. Siquidem qui abſolutè eſt ordinatus, pares ſortitus eſt circuitus omnes; qui per circuitus ordinatus eſt, non omnes æquales, ſed certos. Rurſus inordinatus abſolutè, nec habet omnes deinceps pares circuitus, neque certos; per circuitus verò ordinatus ambo hæc non habet, alterum habet. Ita vtriuſque medius fit ordinati, & inordinati atq; illud vtriuſque commune habet, hoc non habet. Dicas etiam abſolutè ordinatos eiuſcemodi pulſus, ſi ſingulos circuitus, qui certo ſunt numero in ſequentibus pares, in vnum cogas vniuerſos magnum circuitum. Quanta verò & qualis fiat varietas, & concurſio circuituum ex diuerſis numeris conſtantium, facilè quis, maximè qui febrium circuitus complicare mutuo eſt exercitatus, animaduertet. Quare nihil eſt quòd pluribus etiam eorum differentias perſequamur: ſed ad differentias veniendum eſt inæqualitatis, declarandæque primùm collectiuæ, deinde vnius pulſus inæqualitates.

λὸς ἁπλῶς ὁ τοιοῦτος λεχθήσεται σφυγμός. ἀλλὰ πᾶσαι πάσαις ἄνισοι τυγχανέτωσαν οὖσαι. ἀνώμαλος ἁπλῶς ὁ τοιοῦτος. ἀλλά τις μὲν, ἢ τινες ἴσαι. τις δὲ, ἢ τινες ἄνισοι, κατά τινα μὲν, ἢ τινας, ὁ σφυγμὸς ὁμαλὸς ἔσται. κατά τινα δὲ, ἢ τινας ἀνώμαλος. ὁ μὲν οὖν ἁπλῶς ὁμαλὸς, ἢ ὁ κατά τινα διαφορὰν μίαν, ἢ καὶ πλείους, οὐ δέχεται τομήν. τὸν δ᾽ ἁπλῶς ἀνώμαλον, ἢ κατά τινας ἰδέας, ἢ τινα τέμνοντες, ταῖς κατὰ περιόδους ἴσῳ τε καὶ ἀνίσῳ, τὸν τεταγμένον τε, καὶ ἄτακτον εὑρήσομεν, ἢ ἁπλῶς, ἢ κατά τινας διαφορὰς, ἢ τινα. τὸ δὲ κατὰ περιόδους ἴσον, οἶμαι μὲν ἤδη σαφὲς ὑπάρχειν, ἀπὸ τῶν ἐφεξῆς ἴσων διωρισμένον, οὐ μὴν, ἀλλὰ ὑπὲρ τοῦ μηδὲν ἐλλείπειν τῷ λόγῳ, καὶ τοῦτο προσκείσθω παραδείγματος ἕνεκα, προχειρισαμένοις ἓν γένος σφυγμοῦ τὸ κατὰ τὸ μέγεθος. ἔστωσαν γὰρ ὁ μὲν πρῶτος σφυγμὸς, καὶ ὁ δεύτερος, καὶ ὁ τρίτος ἴσοι κατὰ τὸ μέγεθος, ἄνισος δ᾽ αὖ τοῖς ἐφεξῆς ἑπέσθω ὁ τέταρτος, δῆλον ὡς ἀνώμαλος κατὰ μέγεθος ὁ τοιοῦτός ἐστι σφυγμός, οὐ μὴν, ἤδη πω δῆλον, εἰ καὶ ἄτακτος, ἀλλὰ χρὴ περιμένειν ἄλλους τέτταρας, ἵν᾽ εἰ μὲν οἱ τρεῖς οἱ δεύτεροι, καὶ ἀλλήλοις, καὶ τοῖς ἐκ τῆς προτέρας περιόδου γενηθεῖεν ἴσοι, καὶ μετ᾽ αὐτοὺς ὁ τέταρτος τῷ τετάρτῳ, τεταγμένος ὁ τοιοῦτος λέγοιτο σφυγμὸς κατὰ μέγεθος, εἴ γε ὡσαύτως τὰς πρώτας δύο περιόδους, καὶ τὰς ἑξῆς ἁπάσας ἴσας διαφυλάττει. εἰ δὲ μὴ πάντες οἱ ἐκ τῆς δευτέρας περιόδου, τοῖς ἐκ τῆς προτέρας ἴσοι γίγνοιντο, τηνικαῦτα ἤδη, καὶ ὁ σφυγμὸς ἄτακτος λέγοιτο κατὰ μέγεθος. οὕτω δὲ καὶ κατὰ τάχος, καὶ πυκνότητα, καὶ τὰς ἄλλας διαφοράς. ἔσθ᾽ ὅτε δὲ δύο μὲν, ἢ τρεῖς περίοδοι σφυγμῶν, ἄνισοι κατὰ πολὺ ἀλλήλαις εἰσὶν, αἱ δὲ ἑξῆς οὐκ ἔτι· τὸν τοιοῦτον σφυγμὸν, ὅτι μὲν οὐ χρὴ καλεῖν τεταγμένον ἁπλῶς, ἄντικρυς δῆλον, οὐ μὴν, οὐδὲ ἁπλῶς ἄτακτον, ἀλλ᾽ ἐπισκέπτεσθαι χρὴ, καὶ διορίζεσθαι μή τις τῶν κατὰ περιόδους ἐστὶ τεταγμένων. ἔσθ᾽ ὅτε γὰρ τρεῖς, ἢ τέτταρες περίοδοι ἀλλήλαις ἄνισοι γενόμεναι τὰς ἑξῆς ἴσας ἀνάλογον ἴσχουσιν. ὥστ᾽ εἰ τύχοι τὴν μὲν τετάρτην τῇ πρώτῃ, τὴν δὲ πέμπτην τῇ δευτέρᾳ, τὴν δ᾽ ἕκτην τῇ τρίτῃ κατὰ πολὺ ἐξισοῦσθαι· τοιοῦτον τὸν σφυγμὸν εἰώθαμεν τεταγμένον κατὰ περίοδον καλεῖν, μέσον ὄντα τῶν ἁπλῶς λεγομένων τεταγμένων τε καὶ ἀτάκτων. τούτων μὲν γὰρ ἑκάτερος οὐδαμῇ τοῦ ἐναντίου μετέχει. οὔτ᾽ οὖν ὁ τεταγμένος ἀταξίας, οὔθ᾽ ὁ ἄτακτος τῆς τάξεως. ὁ δὲ κατὰ περίοδον τεταγμένος, ἔστι ᾗ τάξεως, ἔστι δὲ ᾗ ἀταξίας μετέχει, τάξεως μὲν τῆς ἐν ἁπάσαις ταῖς περιόδοις, ἀταξίας δὲ τῆς καθ᾽ ἑκάστην αὐτῶν. ὁ μὲν γὰρ ἁπλῶς τεταγμένος, ἴσας ἁπάσας ἔχει τὰς περιόδους. ὁ δὲ κατὰ περιόδους τεταγμένος, οὐχ ἁπάσας ἴσας, ἀλλὰ διά τινος ἀριθμοῦ. πάλιν δὲ ὁ μὲν ἄτακτος, οὔτε πάσας ἐφεξῆς ἴσας ἔχει τὰς περιόδους, οὔτε διά τινος ἀριθμοῦ. ὁ δὲ κατὰ περίοδον τεταγμένος, ἑκάτερον μὲν αὐτῶν οὐκ ἔχει, θάτερον δ᾽ ἔχει. καὶ οὕτω μέσος τε ἀμφοῖν γίνεται, τεταγμένου τε καὶ ἀτάκτου. καὶ τὸ μὲν ἔχει κοινὸν ἑκατέρου, τὸ δ᾽ οὔ. δύναιτο δ᾽ ἄν τις, καὶ ἁπλῶς τεταγμένους τοὺς τοιούτους ἡγεῖσθαι σφυγμοὺς, εἰ τὰς κατὰ μέρος περιόδους, τὰς διά τινος ἀριθμοῦ ταῖς ἑξῆς ἴσας, εἰς μίαν ἁπάσας μεγάλην συναριθμοίη περίοδον. ὅση δὲ καὶ οἵα ποικιλία, καὶ πλοκὴ γένοιτ᾽ ἂν τῶν περιόδων, ἐν διαφέρουσιν ἀριθμοῖς συνισταμένων, οὐ χαλεπὸν συνιδεῖν, καὶ μάλιστα τοῖς γεγυμνασμένοις, τὰς ἐν τοῖς πυρετοῖς περιόδους ἐπιπλέκειν ἀλλήλαις. οὐκοῦν ἐπὶ πλέον ἡμᾶς δεήσει ἔτι τὰς διαφορὰς αὐτῶν ἐπεξιέναι, ἀλλ᾽ ἐπὶ τὰς κατὰ τὴν ἀνωμαλίαν ἐλθόντας, εἰπεῖν προτέρας μὲν τὰς συστηματικὰς, ἑξῆς δὲ τὰς καθ᾽ ἕνα σφυγμόν.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ διαφορῶν τῆς συστηματικῆς ἀνωμαλίας, καὶ πρῶτον περὶ τῶν ὁμαλῶν ἀνωμαλιῶν.

Αἱ μέντοι συστηματικαὶ τῶν ἀνωμαλιῶν, ἐν ἀθροίσματι δή αὗται πλειόνων, ὡς ἔφαμεν, σφυγμῶν συνίστανται, πρώτην μὲν ἔχουσι διαφοράν, καθ' ἣν ὁτὲ μὲν ὁμαλῶς, ὁτὲ δὲ ἀνωμάλως γίγνονται, καὶ οὐ χρὴ θαυμάζειν εἰ ὁμαλήν τινα καλοῦμεν ἀνωμαλίαν. ἔχει γὰρ οὕτως οὐκ ἐν σφυγμοῖς μόνον, ἀλλὰ κἀν τοῖς ἄλλοις σχεδὸν ἅπασιν, ὅσα τρέπονται τὴν ἐξ ἀρχῆς φύσιν. εἴτε κατὰ μέγεθος, εἴτε κατὰ ποιότητα, ἢ ὁμαλὰς ποιεῖ τὰς αὐξήσεις, ἢ ἀνωμάλους. καθόσον μὲν γὰρ τρέπεται διαφθείροντα τὴν ἰσότητα, λέγοιτ' ἂν ἀνώμαλα, καθόσον δὲ τὸ ἴσον ἀεὶ τῆς τροπῆς ἐπιλαμβάνει, λέγοιτ' ἂν ὁμαλῶς τρέπεσθαι. τὰ δὲ μήτε ἐν τῷ πρόσθεν μένοντα, μήτε τὸ ἴσον ἀεὶ τῆς τροπῆς ἐπιλαμβάνοντα, τελέως ἀνώμαλα λέγεται. τοιοῦτον δή τι καὶ κατὰ τούσδε τοὺς σφυγμοὺς συμβέβηκεν, ἤτοι κατὰ βραχὺ, καὶ ὁμαλῶς ἐκλυομένης αὐτῶν τῆς ἰσότητος, ἢ ἀθρόως, καὶ κατὰ μεγάλα. γένοιτο δ' ἂν ἐφ' ἑνὸς γένους, ὡς ἐπὶ παραδείγματος, ὁ λόγος σαφής. ἔστω τοίνυν ὁ μὲν δεύτερος σφυγμὸς, τοῦ πρώτου βραχὺ μικρότερος, ὁ δὲ τρίτος τοῦ δευτέρου τοσούτῳ πάλιν, ἀλλὰ καὶ ὁ τέταρτος τοῦ τρίτου τῷ ἴσῳ, καὶ τοῦτ' ἄχρι πλείονος ἐφεξῆς γινέσθω. τοὺς τοιούτους σφυγμοὺς μειουρίζοντάς τε καὶ μειούρους καλοῦσιν, ἀπὸ τῶν εἰς ὀξὺ τελευτώντων σχημάτων, τοὔνομα μεταφέροντες. ὅσοι μὲν διὰ παντὸς αὐτῶν μειοῦνται, καὶ οὐδέ ποτε παύονται τοῦδε τοῦ παθήματος, εἰς ἀκινησίαν παντελῆ τελευτῶσι, καὶ καλοῦμεν αὐτοὺς ἐκλείποντας μυούρους. ὅσοι δὲ παύονται, διττὴν ἔχουσι τὴν διαφοράν. τινὲς μὲν γὰρ αὐτῶν ἐν ᾗ τὸ πρῶτον ἐπαύσαντο μειούμενοι σμικρότητι, ταύτην διὰ παντὸς φυλάττουσιν, τινὲς δ' αὐξάνονται πάλιν, οὓς μυούρους παλινδρομοῦντας καλοῦσι. τούτων δ' αὐτῶν, οἱ μὲν εἰς ἴσον τῷ κατ' ἀρχὰς ἐπανέρχονται μέγεθος, οἱ δ' εἰς ἔλαττον· καὶ τινὲς μὲν ἐν αἷς ἔμπροσθεν ἐμειώθησαν ὑπεροχαῖς, ἐν ταύταις αὖθις αὐξάνονται· τινὲς δ' ἐλάττοσιν, ἢ μείζοσι προσθέσεσι χρῶνται. τοιαῦται μέν τινες αἱ ὁμαλαὶ τῶν ἀνωμαλιῶν εἰσὶ διαφοραί.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ διαφορῶν τῶν ἀνωμάλων ἀνωμαλιῶν.

Τῶν δ' ἀνωμάλων ἀνωμαλιῶν, τινὲς μὲν οὐδεμίαν ὅλως φυλάττουσιν ἰσότητα, τινὲς δὲ μέχρι μὲν τριῶν, ἢ τεττάρων, ἢ πέντε σφυγμῶν φυλάττουσι, διαφθείρουσι δ' ὕστερον. ἐν ἑκατέραις δ' αὐτῶν ἤτοι τάξις, ἢ ἀταξία συνίσταται. τάξις μὲν εἰ περιόδους τινὰς ἴσας φυλάττοιεν. ἀταξία δὲ εἰ καὶ ταύτας διαφθείροιεν. ἐκλείπουσι δὲ κἀπὶ τούτων πολλάκις αἱ κινήσεις, ὥσπερ κἀπὶ τῶν ὁμαλῶς κινουμένων, ἀλλ' ἐκείνους μὲν μυούρους ἐκλείποντας ὀνομάζομεν, τούτους δὲ ἀνωμάλους ἐκλείποντας. ἐν μὲν δὴ τῇ κατὰ τὸ μέγεθος, καὶ σμικρότητα ἀνωμαλίᾳ, πάνυ συνήθες τοῖς ἰατροῖς ὄνομα, τὸ μύουρον. ἐν δὲ τῇ κατὰ σφοδρότητα, καὶ ἀμυδρότητα, καὶ τοῖς ἄλλοις γένεσιν, οὐκ ἔθ' ὁμοίως ἐν ἔθει. ἡ μέντοι τῶν πραγμάτων ἀναλογία, καθ' ἕκαστον γένος ἡ αὐτή. ἤτοι γὰρ ὁμαλῶς διαφθείρουσι τὴν ἰσότητα, ἢ ἀνωμάλως. καὶ τὰς ἄλλας τὰς ἐν μέρει διαφορὰς, τὰς αὐτὰς ἴσχουσιν ἀνωνύμους τὰς πλείστας αὐτῶν. πλὴν γὰρ τοῦ παρεμπίπτοντός τε καὶ διαλείποντος, οὐδενὸς τῶν ἄλλων ἐστὶν

CAPVT X.

De collectiuæ inæqualitatis differentiis: ac primò de æqualibus inæqualitatibus.

Collectiuæ quidem inæqualitates quæ in aceruo, vti diximus, plurium pulsuum constant, primam habent differentiam, qua interim æqualiter, interim inæqualiter fiunt. Neque admirationis habet quicquam, quòd æqualem quandam vocamus inæqualitatem; quum id vsu veniat non pulsibus modò, sed & aliis propè omnibus quæ pristinam naturam immutantia, siue magnitudine, siue qualitate, æqualia capiunt incrementa, vel inæqualia. Nam quatenus æqualitatem commutant, vocentur inæqualia; sed quatenus æquam semper mutationem assequuntur, æqualiter dicantur mutari; sed verò quæ nec pristino constant statu, nec accipiunt parem mutationem, hæc semel inæqualia vocantur. Ergo id ipsum pulsibus accidit, seu paulatim perdatur, & æqualiter ipsorum æqualitas, seu affatim, & insigniter. Ac in vno id genere, exempli gratia, planum fiat. Sit primo pulsu secundus paulò minor, & tertius tanto secundo, & verò etiam quartus tertio pari modo, ídque ad plures vsque deinceps perueniat, hos pulsus vocant mutilos & quasi decurtatos à figuris nomen, quæ in acutum terminant, mutuantes. Iam qui ex iis perpetuò diminuuntur, nec minui desistunt, ad quietem prorsus recidunt denique, & in immobilitatem desinunt, ipsósque deficientes decurtatos appellamus. At qui desinunt, duplici sunt differentia; quidam, in qua primùm paruitate diminui desiuerunt, hanc seruant constantissimè; alij de integro augentur, quos appellant reciprocos decurtatos. Quorum quidem ipsorum quidam ad parem pristinæ reuertuntur magnitudinem, aliqui ad minorem; ac nonnulli quibus antè excessibus sunt imminuti, his augentur rursus; alij minoribus, vel maioribus accessionibus vtuntur. Tot inæqualitatum sunt æquales differentiæ.

CAPVT XI.

De inæqualium inæqualitatum differentiis.

Inæqualium inæqualitatum quædam nullam prorsus æqualitatem retinent: aliquæ retinent ad tres vsque, vel quatuor, vel quinque pulsus, sed postea amittunt. In quorum inest vtrisque, vel ordo, vel perturbatio ordinis; ordo, si circuitus seruent aliquos pares; perturbatio ordinis, si & hos quoque violent. Atque hi quidem & ipsi motibus frequenter deficiuntur, vt illi, qui æqualiter mouentur; cæterum illos decurtatos deficientes appellamus, hos inæquales deficientes. Nam in magnitudinis & paruitatis inæqualitate admodum medicis est decurtatum nomen vsitatum; at in vehementiæ inæqualitate, & remissionis, aliisque generibus, non ita iam celebre est. Nihilominus eadem rerum est in quoque genere conuenientia; nam aut æqualiter æqualitatem, aut inæqualiter corrumpunt. Et cæteras habent quidem singulares easdem differentias, sed eas sine nomine plerasque: nam præter intercurrentem & intermittentem alius nomen proprium

prium habet nullus. Quorum intercurrens ex sola inæqualitate est crebritatis: intermittens verò ex inæqualitate constat raritatis atque paruitatis, alio atque alio vtrobique modo; in raritatis inæqualitate, quòd quies sit longissimè producta; in paruitatis, quòd distentio minimum sit dilatata: vel potius ex pulsuum paruitatibus deficientes constent: intermittentes ex raritatibus. Iam pulsibus intermittentibus affines sunt qui reciproci deficientes vocantur, vbi duorum spatium, vel trium, vel plurium etiam pulsuum motu omnino arteria non cieri visa, iterum agitari incipiat. Atque hæ sunt collectiuæ inæqualitatis species.

CAPVT XII.

De inæqualitate in vno pulsu secundum motionis genus in vna parte.

Reliquum iam est, vt de inæqualitatis dicamus vnius pulsus differentiis: éstque eadem etiam hic ratio in singulis generibus, & vniuersis. Hunc enim absolutè æqualem appellamus, illum absolutè inæqualem, alium pro quoque genere, in quo perdi paritatem contingit. Igitur explicemus primo loco generis motus differentias: nam ad hoc si exercitati simus, nullo iam negocio percipiamus reliqua. Ac inæqualitatis motus duæ constituendæ primæ differentiæ sunt; vna in vna arteriæ parte gignitur, in pluribus altera. Quarum iterum potest vtraque in plures distribui; quas sanè par sit omnes recensere: auspicabimúrque ab ea, quæ vnam partem tenet, sed non eodem tempore: qui enim vna eadémque pars vno, & eodem tempore non moueri similiter videatur? Cæterum temporibus distinctis motus eiusdem partis sæpenumero videtur non idem: quum initio tardior, postremò celerior fit: & contra, initio celerior, tandem tardior. Quæ certè admodum frequens inæqualitas, sæpéque in pulsibus inuenitur, multáque denotare consueuit, vt alio loco tradimus. Nunc iam singulas eius differentias ob oculos ponemus. Sunt autem tres primæ, modò, quum quies interpellat partis motum; modò, quum continuus ille apparet, non paris tamen velocitatis; nonnunquam quum recurrit. At hæ habent alias singulæ.

CAPVT XIII.

De prima differentia inæqualitatis in vno pulsu secundum motus rationem.

De prima ergo quæ primo loco est commemorata, agamus: in qua fit, vt abs quiete motus interpelletur. Nouem in hac differentiæ pulsuum inueniuntur, quæ hoc pacto fiunt. Sit prior motus celer: alter trifariam conuertatur, fiátque vel celer, vel tardus, vel moderatus. Hic tres differentiæ pulsuum emergunt. Rursus alteræ tres, vbi prior manet tardus, & trifariam secundus variat. Aliæ item tres, si permaneat moderatus primus, varietur autem tribus secundus modis.

A ἴδιον ὄνομα. τούτων δὲ, ὁ μὲν παρεμπίπτων ἐκ τῆς κατὰ πυκνότητα μόνης ἐστὶν ἀνωμαλίας· ὁ δὲ διαλείπων, ἔν τε τῇ κατὰ ἀραιότητα καὶ μικρότητα συνίσταται, καθ' ἕτερον ἐν ἑκατέρᾳ τρόπον, ἐν μὲν τῇ κατὰ τὴν ἀραιότητα, τῷ τὴν ἡσυχίαν ἐπὶ μήκιστον ἐκτετάσθαι, ἐν δὲ τῇ κατὰ σμικρότητα, τῷ τὴν διαστολὴν ἐπ' ἐλάχιστον διεστάλθαι. μᾶλλον δέ πως ἐπὶ μὲν ταῖς σμικρότησι τῶν σφυγμῶν, οἱ ἐκλείποντες, ἐπὶ δὲ ταῖς ἀραιότησιν, οἱ διαλείποντες γίνονται. παράκεινται δὲ τοῖς διαλείπουσι σφυγμοῖς, οἱ καλούμενοι παλινδρομοῦντες ἐκλείποντες, ὅταν δύο, ἢ καὶ τριῶν, ἢ καὶ πλειόνων ἔτι σφυγμῶν χρόνον ἀκίνητος
B εἶναι δόξασα παντάπασιν ἡ ἀρτηρία, πάλιν ὑπάρξηται κινεῖσθαι. ταυτὶ μὲν καὶ τὰ τῆς συστηματικῆς ἀνωμαλίας εἴδη.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας ἐπὶ τοῦ κατὰ τὴν κίνησιν γένους ἐν ἑνὶ μορίῳ.

Υπόλοιπον δ' ἂν εἴη τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας εἰπεῖν τὰς διαφοράς. ἔστι δὲ κἀνταῦθα παραπλήσιος ὁ λόγος, ἐφ' ἑκάστου τε τῶν γενῶν καὶ πάντων ὁμοῦ. τὸν μὲν γὰρ, ἁπλῶς ὁμαλὸν καλέσομεν. τὸν δὲ, ἁπλῶς ἀνώμαλον. τὸν δὲ,
C καθ' ἓν ὁποῖον γένος, ἐν ᾧ διαφθείρεσθαι συμβαίνει τὴν ἰσότητα. λέγωμεν οὖν ἐπὶ τοῦ κατὰ τὴν κίνησιν γένους πρώτως τὰς διαφοράς. εἰ γὰρ ἐπὶ τούτῳ γυμνασαίμεθα, ῥᾳδίως ἤδη καὶ περὶ τῶν λοιπῶν συνείσομεν. τῆς οὖν κατὰ τὴν κίνησιν ἀνωμαλίας, δύο μὲν χρὴ τὰς πρώτας διαφορὰς τίθεσθαι, τὴν μὲν ἐν ἑνὶ μορίῳ τῆς ἀρτηρίας τὴν γένεσιν ἴσχουσαν, ἐν πλείοσι δὲ τὴν ἑτέραν. ἑκατέρα δ' αὐτῶν αὖθις εἰς πλείους τέμνεσθαι πέφυκεν, ἃς δίκαιον ἂν εἴη πάσας εἰπεῖν, ἀρξαμένους ἀπὸ τῆς καθ' ἓν μόριον συνισταμένης, οὐ κατὰ τὸν αὐτὸν δηλονότι χρόνον. ἀμήχανον γὰρ ἓν καὶ ταὐτὸ μόριον, ἐν ἑνὶ καὶ ταὐτῷ χρόνῳ, μὴ ὡσαύτως
D φαίνεσθαι κινούμενον, ἀλλ' ἐν διαφέρουσι καιροῖς ἡ τοῦ ἑνὸς μορίου κίνησις, οὐχ ἡ αὐτὴ φαίνεται πολλάκις, ὅταν ἀρχομένη μὲν βραδυτέρα, τελευτῶσα δὲ, ὠκυτέρα. καὶ ἀνάπαλιν, ἀρχομένη μὲν ὠκυτέρα, τελευτῶσα δὲ βραδυτέρα, πάνυ πολλῆς τοιαύτης ἀνωμαλίας, καὶ πολλάκις ἐν τοῖς σφυγμοῖς εὑρισκομένης, καὶ πολλὰ δηλοῦν πεφυκυίας, ὡς ἑτέρωθι λέγεται. δείξομεν δὲ νῦν αὐτῆς, ἁπάσας τὰς κατὰ μέρος διαφοράς. εἰσὶ δὲ τρεῖς μὲν αἱ πρῶται. ποτὲ μὲν ἡσυχίας διακοπτούσης τὴν κίνησιν τοῦ μορίου, ποτὲ συνεχοῦς μὲν φαινομένης αὐτῆς, οὐ μὴν ἰσοταχοῦς, ποτὲ δὲ ἐπανερχομένης. ἐν ἑκάστῃ δ' αὐτῶν κατὰ μέρος ἕτεραι.
E

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ πρώτης διαφορᾶς τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας ἐπὶ τοῦ κατὰ τὴν κίνησιν λόγου.

Περὶ πρώτης οὖν εἴπωμεν τῆς πρώτης ῥηθείσης, ἐν ᾗ διακόπτεσθαι τὴν κίνησιν ὑπὸ τῆς ἠρεμίας συμβέβηκεν. εὑρίσκονται δὲ ἐν αὐτῇ διαφοραὶ σφυγμῶν ἐννέα, τόνδε τὸν τρόπον συνιστάμεναι. τῆς προτέρας κινήσεως ὠκείας οὔσης, ἡ δευτέρα τὰς τρεῖς τρεπέσθω τροπὰς, ἢ ὠκεῖα, ἢ βραδεῖα, ἢ σύμμετρος γενο-
F μένη· τρεῖς μὲν αὗται διαφοραὶ σφυγμῶν. αὖθις δ' ἄλλαι τρεῖς, τῆς προτέρας βραδείας μενούσης, ὑπαλλαττομένης δὲ τῆς δευτέρας τριχῶς, καὶ αὖθις δ' ἄλλαι τρεῖς, τῆς προτέρας μενούσης συμμέτρου, τῆς δὲ δευτέρας τριχῶς τρεπομένης.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Περὶ δευτέρας τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας ἐπὶ τοῦ κατὰ τὴν κίνησιν λόγου.

Τῶν δὲ μὴ διαλειπόντων κατὰ τὴν διαστολὴν ἀνωμάλων σφυγμῶν ἐν τῇ κινήσει, ἀλλ' ἑξῆς ἀεὶ, μίαν τὴν ἀνωμαλίαν ἐχόντων μηδαμοῦ διειργομένην ἀκινησίᾳ, τινὲς μὲν ὠκέως ἀρχόμενοι κινήσεως, βραδύνουσι τελευτῶντες, ἄλλοι δ' ἔμπαλιν, ἄρχονται μὲν βραδεῖς, ταχύνονται δὲ ἀεὶ καὶ μᾶλλον, ἑκατέροις δ' αὐτῶν, ἢ ὁμαλῶς, ἢ ἀνωμάλως, τὸ τοιοῦτο γίνεται. προείρηται γὰρ ὅπως ὁμαλή τις ἡ ἀνωμαλία γίγνεται. τῶν μὲν οὖν ὁμαλῶς ἐκλυόντων τὴν κίνησιν, ἢ ἐπιτεινόντων, οἱ μὲν ἀπὸ τῆς ἐσχάτης βραδύτητος, ἐπὶ τὴν σύμμετρον κίνησιν ἔρχονται. τινὲς δὲ ἀπὸ τῆς συμμέτρου κινήσεως ἐπὶ τὴν ἐσχάτην βραδύτητα, καί τινες μὲν ἀπὸ τοῦ πρώτου τάχους, τῆς συμμέτρου κινήσεως ἐπὶ τὴν ἐσχάτην βραδύτητα. τινὲς δὲ ἀπὸ ταύτης, ἐπὶ τὸ ἔσχατον τάχος. ἄλλοι δέ τινες ἐφ' ἑκάτερα τῆς συμμέτρου κινήσεως βραχὺ ἀποχωροῦσι διχῶς καὶ οὗτοι, ποτὲ μὲν ὠκύτεροι ποτὲ δὲ βραδύτεροι γιγνόμενοι. ὡς εἶναι τὰς πάσας αὐτῶν ἓξ διαφορὰς, καίτοι πλέονες ἐπινοηθῆναι δύνανται. ἀλλ' ἡμεῖς τὰς φαινομένας εἴπωμεν. οὐ γὰρ εὕρομεν, οὔτ' ἀπὸ τῆς ἐσχάτης βραδύτητος, εἰς ἔσχατον τάχος ἀφικνούμενον οὐδένα σφυγμὸν, τῶν ὁμαλὴν τὴν ἀνωμαλίαν ἐχόντων, οὔτ' ἔμπαλιν ἀπὸ τῆς ταχίστης κινήσεως εἰς τὴν βραδυτάτην. ἀλλ' ἐν τοῖς ἀνώμαλον τὴν τροπὴν ποιουμένοις, σπανίως γίνεται τοῦτο. οὐ γὰρ ἐπὶ τῇ τυχούσῃ διαθέσει τηλικαύτη μεταβολὴ γίνεσθαι πέφυκεν, ὥστε ἀρξαμένην βραδύτατα κινεῖσθαι τὴν ἀρτηρίαν, τελευτῶσαν εἰς ἔσχατον ἀφικέσθαι τάχος, ἢ τάχιστα κατὰ τὴν ἀρχὴν κινηθεῖσαν, εἰς ἐσχάτην βραδύτητα μεταστρέψαι. καὶ ὅταν τοῦτο γίνηται, καὶ ἡ τροπὴ τηνικαῦτα ἐξ ἀνάγκης ἀνώμαλός τε ἐστι, καὶ ἀθρόα κατὰ μεγάλας μεταβολὰς, καὶ οὐ κατὰ βραχὺ γινομένη, καθάπερ ἐξαλλομένης τῆς ἀρτηρίας, ὅταν ἐκ τῆς βραδύτητος εἰς τὸ τάχος μεταπίπτῃ. καὶ αὖθις εἰργομένης, καὶ δεσμουμένης, καὶ κατεχομένης ὑπό τινος, ὅταν ἐκ τοῦ ταχέως κινεῖσθαι, μεταπίπτῃ ποτὲ ἀθρόως εἰς βραδύτητα, τὴν ἐν μέσῳ συμμετρίαν ὑπερβᾶσα. τίνες μὲν οὖν αἱ διαθέσεις, καί τινες αὐτῶν αἱ αἰτίαι, καὶ εἰς ὅτι τελευτῶσιν οἱ τοιοῦτοι σφυγμοὶ, τηνικαῦτα λεχθήσεται, ὅταν καὶ περὶ τῶν ἄλλων ἁπάντων, ἢ τὰς αἰτίας, ἢ ὅτι δηλοῦν πεφύκασιν ἐπισκεπτώμεθα. νυνὶ δὲ τὰς διαφορὰς μόνον ἐπέξιμεν.

CAPVT XIV.

De secunda differentia inæqualitatis in vno pulsu secundum motum.

At verò inter non intermittentes in distentione inæquales motu pulsus, sed perpetuam habentes, nulla intercisam quiete inæqualitatem, quidam velociter motum exordientes, tarditate finiunt; alij contrà tardi sunt initio, celeres semper magis ac magis euadunt; ídque horum vtrique habent, aut æqualiter, aut inæqualiter: nam superius, quemadmodum inæqualitas quædam æqualis fiat, demonstratum est. Illorum ergo qui motum æqualiter minuunt vel augent, quidam ab extrema tarditate ad moderatum motum perueniunt; quidam à moderato motu ad vltimam tarditatem. Alij à prima celeritate ad tarditatem extremam: nonnulli ab hac ad summam celeritatem. Sunt præterea qui vtrinque à moderato motu paululum deflectunt, híque bifariam; modò enim celeriores, modò tardiores fiunt: vt sex sint earum cunctæ differentiæ, tametsi excogitari plures possunt; verùm nos quæ aduertuntur, referamus. Neque enim qui ab extrema tarditate ad extremam perueniret celeritatem, qui quidem de iis esset, qui æqualem habent inæqualitatem, pulsum inuenimus vllum; nec item, qui ad tardissimum motum ex velocissimo. Verùm qui variant inæqualiter, in iis illud, raró tamen accidit; non etenim quemlibet affectum tanta potest mutatio consequi, vt tardissimè initio agitata arteria, ad extremam denique celeritatem perueniat: aut primo concitata celerrimè, ad summam transeat tarditatem. Quod quum fit, mutatio tum non potest non esse inæqualis: eáque confertim magnis mutationibus, & non pedetentim fit, veluti exiliente arteria, quum ex tarditate demigrat in celeritatem. Itidem, vt si vinciatur & constringatur à quopiam, comprimatúrque, vbi ex celeri motu in tarditatem subito, mediocritate quæ intercedit superata, transit. Qui ergo affectus sint, & quæ causæ horum, atque quo tandem hi deueniant pulsus, illic dicemus, vbi etiam de aliis omnibus, vel causas, vel quid nunciare solent, commentabimur; nunc duntaxat differentias persequemur.

ΚΕΦΑΛΑΙΟΝ ΙΕʹ.

Διαφοραὶ τῶν καθ' ἓν μόριον ἀνωμάλως ἀνωμάλων σφυγμῶν.

Εἰρηκότες οὖν ἱκανῶς, ὅτι τῶν ἀνωμάλων καθ' ἓν μόριον σφυγμῶν, ὅταν ὁμαλὴν ποιῶνται τὴν ἀνωμαλίαν, ἓξ εἰσιν αἱ πᾶσαι διαφοραὶ, καὶ ὡς οὐχ εὑρήκαμεν οὐδένα τῶν τοιούτων, οὔτ' ἀπὸ τῆς βραδυτάτης κινήσεως εἰς τὴν ταχίστην, οὔτ' ἀπ' ἐκείνης εἰς τὴν βραδυτάτην τελευτήσαντα, περὶ τῶν ἀνώμαλον τὴν τροπὴν ποιουμένων, ἤδη λέγωμεν, ἐν οἷς ποτε μὲν δύο, ποτὲ δὲ τρεῖς σαφῶς φαίνονται διαφοραὶ τῆς κινήσεως. ἡμῖν δὲ καὶ τετάρτη ποτὲ ἀμυδρῶς ἐφαντάσθη. τάχα δ' ἄν τις ἐπὶ πλέον τριβόμενος, καὶ προσεδρεύων τῷ πράγματι, καὶ ἀσκῶν τὴν ἁφὴν, καὶ τέτταρας γνωρίσαι σαφῶς δυνηθείη. ἀλλὰ νῦν περὶ τῶν ἐναργῶς φανέντων πολλάκις καὶ ἡμῖν, καὶ τοῖς ἄριστα τὴν περὶ τοὺς σφυγμοὺς τέχνην μεταχειρισαμένοις πολλάκις ἐροῦμεν, ὅταν ἤτοι

CAPVT XV.

Differentiæ pulsuum vna in parte inæqualiter inæqualium.

Posteaquam igitur inæqualium vna in parte pulsuum abundè diximus, vbi moliuntur æqualem inæqualitatem, sex esse differentias omnes: nec vllum nos ex iis inuenisse, nec à tardissimo motu ad velocissimum, neque ab hoc deuenisse ad tardissimum; de illis nunc qui inæquali in mutatione sunt, verba faciamus; quorum interim duæ apertè, tres interim differentiæ motus manifestè apparent. Nos quartam præterea aliquando, sed obscurè animaduertimus. Possit, si quis diu versetur in hac re, studiúmque nanct assiduum, & exerceat tactum, cognoscere clare, vel quatuor. Sed de his nunc, quæ manifestè tum nobis, tum iis qui artem optimè de pulsibus coluerunt, apparuerunt frequenter, sermo erit; vbi differentias motus

motus arteriæ, duas ſenſibiles, vel tres efficit. Nam duæ ſi ſint, ſex erunt formæ connexionum: ſi tres, quatuor & viginti. Quid autem quum in vtroque diſparium motuum inſint tres pulſus, velox, tardus, moderatus, ex connexionibus eorum non nouem dicamus, ſed ſex prodire differentias; hac ratione intelliges, ſi noueris, qui eundem bis deinceps pulſum ponat, nulla intercedente quiete fieri, vnum eum totum æqualem pulſum effecturum. Itaque de nouem connexionibus tres detrahuntur, in quibus non inæqualis iam pulſus, ſed redditur æqualis, vel celer, vel tardus, vel moderatus: id quod eſt ex tabella apertum. Nam ſecundus in ea & quartus, & nonus ſunt æquales; celer ſecundus, tardus quartus, nonus moderatus. Quòd ſi qua eſt horum ipſorum mutua inter ſe diuerſitas, inter celerem, & celerem; inter tardum, & tardum, id in præſentia prætereatur; nimirum enim maiorem obſcuritatem afferret. Verùm quaſi iidem ſint atque inter ſe pares, noſtra oratio hæc inſtituatur.

1	Celer	Tardus
2	Celer	Celer
3	Celer	Moderatus
4	Tardus	Tardus
5	Tardus	Celer
6	Tardus	Moderatus
7	Moderatus	Tardus
8	Moderatus	Celer
9	Moderatus	Moderatus

Eadem ratione, ſi tribus poſitis inter ſe diſparibus motibus, in ſingulis iis ternos pulſus commutatos committas, viginti ſeptem numero formæ erunt, ex quibus tres neceſſe eſt, in æqualitatem recidant. Eſtque id etiam ipſum ex tabella planum.

1	Celer	Celer	Tardus
2	Celer	Celer	Celer
3	Celer	Celer	Moderatus
4	Celer	Tardus	Tardus
5	Celer	Tardus	Celer
6	Celer	Tardus	Moderatus
7	Celer	Moderatus	Tardus
8	Celer	Moderatus	Celer
9	Celer	Moderatus	Moderatus
10	Tardus	Celer	Tardus
11	Tardus	Celer	Celer
12	Tardus	Celer	Moderatus
13	Tardus	Tardus	Tardus
14	Tardus	Tardus	Celer
15	Tardus	Tardus	Moderatus
16	Tardus	Moderatus	Tardus
17	Tardus	Moderatus	Celer
18	Tardus	Moderatus	Moderatus
19	Moderatus	Celer	Tardus
20	Moderatus	Celer	Celer
21	Moderatus	Celer	Moderatus

A δύο διαφορὰς αἰσθητὰς ἡ κίνησις τῆς ἀρτηρίας, ἢ τρεῖς ποιεῖται. δύο μὲν γὰρ οὐσῶν, ἓξ ἔσται συμπλοκῶν σχήματα· τριῶν δὲ, τέτταρα καὶ εἴκοσι. τί δή ποτε δὲ τριῶν ὄντων σφυγμῶν ἐν ἑκατέρᾳ τῶν διαφερουσῶν κινήσεων, ὠκέος τε καὶ βραδέος, καὶ συμμέτρου, τὰς ἐκ τῆς συμπλοκῆς αὐτῶν οὐκ ἐννέα φαμὲν, ἀλλ' ἓξ γίνεσθαι διαφορὰς, ὧδ' ἂν μάθοις, εἰ γνοίης ὅτι τὸν αὐτὸν σφυγμὸν ἐφεξῆς δὶς ὑποθέμενος γίνεσθαι, μηδεμιᾶς ἡσυχίας μέσης αὖθις ὑπαρχούσης, ἕνα τὸν ὅλον ὁμαλὸν ἀπεργάσῃ, καὶ κατὰ τοῦτο τῶν ἐννέα συμπλοκῶν, τρεῖς ἀποχωροῦσιν, ἐν αἷς οὐκ ἔτ' ἀνώμαλος σφυγμὸς, ἀλλ' ὁμαλὸς B γίνεται, ἤτοι ταχὺς, ἢ βραδὺς, ἢ σύμμετρος, ὡς ἐπὶ τοῦ διαγράμματος ἐστὶ δῆλον. ὁ δεύτερος γὰρ ἐν αὐτῷ, καὶ ὁ τέταρτος, καὶ ὁ ἔννατος, ὁμαλοὶ γίνονται, ταχὺς μὲν, ὁ δεύτερος. βραδὺς δὲ, ὁ τέταρτος. σύμμετρος δὲ, ὁ ἔννατος. Εἰ δέ τις καὶ αὐτῶν τούτων πρὸς ἀλλήλους ἐστὶ διαφορὰ, τοῦ τάχεος, πρὸς τὸ ταχὺ, ἢ τοῦ βραδέος, πρὸς τὸ βραδὺ, τοῦτο νῦν παρείσθω· πλέονα γὰρ ἀσάφειαν παρέξει. ἀλλ' ὡς τῶν αὐτῶν, καὶ ἴσων ἀλλήλοις ὑπαρχόντων, ὁ παρὼν λόγος περαινέσθω.

α'	ταχὸς	βραδὺς
β'	ταχὺς	ταχὺς
γ'	ταχὺς	σύμμετρος
δ'	βραδὺς	βραδὺς
ε'	βραδὺς	ταχὺς
ς'	βραδὺς	σύμμετρος
ζ'	σύμμετρος	βραδὺς
η'	σύμμετρος	ταχὺς
θ'	σύμμετρος	σύμμετρος

C

Οὕτω δὲ καὶ εἰ τρεῖς ὑποθέμενος διαφερούσας ἀλλήλων κινήσεις, καθ' ἑκάστην αὐτῶν τρεῖς τρεῖς σφυγμοὺς ὑπαλλάττων D συμπλέκοις, ἑπτὰ μὲν καὶ εἴκοσιν ἔσται τὰ πάντα σχήματα. τρία δ' ἐξ αὐτῶν εἰς ὁμαλότητα μεταπεσεῖν ἀναγκαῖον. ἔστι δὲ καὶ τοῦτο δῆλον ἐπὶ διαγράμματος.

α'	ταχὺς	ταχὺς	βραδὺς
β'	ταχὺς	ταχὸς	ταχὺς
γ'	ταχὺς	ταχὸς	σύμμετρος
δ'	ταχὺς	βραδὺς	βραδὺς
ε'	ταχὺς	βραχὺς	ταχὺς
ς'	ταχὺς	βραδὺς	σύμμετρος
ζ'	ταχὺς	σύμμετρος	βραδὺς
η'	ταχὺς	σύμμετρος	ταχὺς
θ'	ταχὺς	σύμμετρος	σύμμετρος
ι'	βραδὺς	ταχὺς	βραδὺς
ια'	βραδὺς	ταχὺς	ταχὺς
ιβ'	βραδὺς	ταχὺς	σύμμετρος
ιγ'	βραδὺς	βραδὺς	βραδὺς
ιδ'	βραδὺς	βραδὺς	ταχὺς
ιε'	βραδὺς	βραδὺς	σύμμετρος
ις'	βραδὺς	σύμμετρος	βραδὺς
ιζ'	βραδὺς	σύμμετρος	ταχὺς
ιη'	βραδὺς	σύμμετρος	σύμμετρος
ιθ'	σύμμετρος	ταχὺς	βραδὺς
κ'	σύμμετρος	ταχὺς	ταχὺς
κα'	σύμμετρος	ταχὺς	σύμμετρος

E F

κβʹ σύμμετρος	βραδὺς	βραδὺς
κγʹ σύμμετρος	βραδὺς	ταχὺς
κδʹ σύμμετρος	βραδὺς	σύμμετρος
κεʹ σύμμετρος	σύμμετρος	βραδὺς
κϛʹ σύμμετρος	σύμμετρος	ταχὺς
κζʹ σύμμετρος	σύμμετρος	σύμμετρος

Ὁμαλῶν οὖν ἐν τούτοις τριῶν γινομένων, τοῦ δευτέρου κατὰ τὸ διάγραμμα, καὶ τοῦ τρισκαιδεκάτου, καὶ ἑβδόμου, καὶ εἰκοστοῦ, ταχὺς μὲν ὁ δεύτερος ἔσται. βραδὺς δὲ, ὁ τρισκαιδέκατος. μέσος δὲ, ὁ ὕστατος. ἤδη δὲ καὶ ἄλλοι δέκα δύο σφυγμοὶ, μεταπίπτουσιν εἰς τὸ πρῶτον διάγραμμα. τῷ μὲν γὰρ ἐκ τοῦ πρώτου διαγράμματος πρώτῳ, δύο ἂν γενηθεῖεν οἱ αὐτοὶ, τῶν ἐκ τοῦ δευτέρου πρῶτός τε, καὶ τέταρτος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ βραδύτητος ἔχων. τῷ τρίτῳ δὲ, ὁ τρίτος καὶ ὁ ἔννατος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ συμμετρίας ἔχων. τῷ πέμπτῳ δὲ, ὅ, τε ἑνδέκατος καὶ ὁ τεσσαρεσκαιδέκατος, ὁ μὲν τάχους τὸ πλέον, ὁ δὲ βραδύτητος ἔχων. τῷ ἕκτῳ δὲ, ὅ, τε πεντεκαιδέκατος καὶ ὁ ὀκτωκαιδέκατος, ὁ μὲν βραδύτητος τὸ πλέον, ὁ δὲ συμμετρίας κεκτημένος. τῷ ἑβδόμῳ δὲ, ὅ, τε εἰκοστὸς δεύτερος, καὶ ὁ εἰκοστὸς πέμπτος, ὁ μὲν τῇ βραδύτητι πλεονεκτῶν, ὁ δὲ τῇ συμμετρίᾳ. λοιποὶ δὲ δύο τῶν ἐκ τοῦ δευτέρου διαγράμματος, οἱ αὐτοί εἰσιν τῷ ἐκ τοῦ πρώτου διαγράμματος ὀγδόῳ, εἰκοστός τε καὶ εἰκοστὸς ἕκτος, ὁ μὲν τῷ τάχει πλεονεκτῶν, ὁ δὲ τῇ συμμετρίᾳ. καὶ γένοιτ' ἂν διαίρεσις ἐνταῦθα τῶν μὲν, εἰ δύο μόνον εἶεν ἐν τῇ διαστολῇ διάφοροι κινήσεις, εἰς τὸ πρότερον διάγραμμα, τοὺς τοιούτους σφυγμοὺς ἅπαντας τιθέντων, τῶν δὲ τὰ μεγέθη προσλογιζομένων, καὶ οὕτως, ἴσων μὲν αὐτῶν ὄντων, εἰς τὸ πρότερον τιθέντων, θατέρου δὲ διπλασίονος, εἰς τὸ δεύτερον. ἐπεχείρησα δή ἂν κρίναι τὴν μάχην, εἴ τι μέγα κερδαίνειν ἤλπιζον· ἐπεὶ δή ἀρκεῖ τοσοῦτο διῃρῆσθαι, τὸ ποτὲ μὲν τὴν ἑτέραν τῶν κινήσεων κατὰ μείζονος ἐκτείνεσθαι διαστάσεως, ποτὲ δὲ τὴν ἑτέραν, ἢ καὶ ἀμφοτέρας ἐξ ἴσου, τούτου τις μεμνημένος, ἵν' αὖθις μάθῃ τί δηλοῦν ἑκάστη πέφυκεν, εἰς ὁπότερον βούλεται τῶν διαγραμμάτων τιθέσθω τοὺς εἰρημένους σφυγμούς. ὅτι δὲ οἱ λοιποὶ δώδεκα, οἱ ἐκ τοῦ δευτέρου διαγράμματος, οἱ κατὰ πᾶν ἀνώμαλοι, κατ' οὐδὲν τοῖς ἐν τῷ προτέρῳ κοινωνοῦσιν, ἄντικρυς δῆλον, ἐφ' ὧν αὐτῶν γε τούτων προσγέγραπται τὸ τῆς ἀνωμαλίας, οὐχ ὡς τῶν ἄλλων τῶν δέκα δύο τῶν κοινωνούντων τῷ πρώτῳ διαγράμματι μὴ ὄντων ἀνωμάλων, εἰσὶ γὰρ, ἀλλ' ὅτι κατὰ τὰς τρεῖς διαφορὰς τῶν κινήσεων οὗτοι τὴν ἀνωμαλίαν ἔχουσι σαφῆ, τῶν ἄλλων κατὰ τὰς δύο διαφορὰς ἐχόντων, καί εἰσιν ἀπὸ τοῦ πρώτου κατὰ τὴν τάξιν ἀριθμουμένῳ, πέμπτος τε, καὶ ϛʹ, καὶ ζʹ, καὶ ηʹ, καὶ ιʹ, καὶ ιϛʹ, καὶ ιθʹ, καὶ καʹ, καὶ κγʹ, καὶ κδʹ.

22 Moderatus	Tardus	Tardus
23 Moderatus	Tardus	Celer
24 Moderatus	Tardus	Moderatus
25 Moderatus	Moderatus	Tardus
26 Moderatus	Moderatus	Celer
27 Moderatus	Moderatus	Moderatus

Itaque tres in his ſunt æquales, ſecundus in tabella, & tertiuſdecimus, & vigeſimusſeptimus. Celer quidem ſecundus eſt, tardus tertiuſdecimus, medius vltimus. Et iam alij duodecim pulſus in primam tabellam tranſeunt. Nam primo primæ tabellæ duo fient ſimiles, primus, ac quartus alterius tabellæ, hic tarditatis plus, ille celeritatis habens; & tertio, tertius & nonus, ille plus obtinens celeritatis, hic mediocritatis; Quinto, vndecimus, & quartuſdecimus, ille maiore celeritate, hic tarditate præditus; Sexto, decimuſquintus, atque decimuſoctauus, hic plus habens mediocritatis, ille tarditatis; Septimo, vigeſimus alter, & vigeſimuſquintus, hic mediocritate, ille tarditate excellens; Reliqui de ſecunda tabella duo, octauo ſunt primæ tabellæ ſimiles, vigeſimus, & vigeſimusſextus, hic mediocritate præſtans, ille celeritate. Atque controuerſia hîc fuerit, quòd aliqui, ſi duo tantùm diuerſi in diſtentione motus ſint, tales in priorem tabellam pulſus omnes referant; alij magnitudinum etiam rationem ducant, itaque illi ſi pares ſint, in priore ponant; ſed ſi alter duplus ſit, in altera. Equidem ſi magnopere ducerem ad rem pertinere hanc pugnam, darem operam vt dirimerem; verùm quandoquidem tantum ſatis eſt declaraſſe, interim alterum motum maiore ſpatio ferri, interim alterum, vel etiam vtrunque ex æquo; hoc qui meminerit (vt poſthac, quid ſolet ſignificare quiſque addiſcat) locet, in vtralibet tabella prædictos pulſus licet. Nam duodecim alterius tabellæ reliquos, qui prorſus ſunt inæquales, nihil cum illis prioris tabellæ conſentire clariſſimum eſt, in quibus ipſa eſt inæqualitas adſcripta; non quin alij illi duodecim, qui conueniunt cum prima tabella, inæquales ſint; ſunt enim; cæterùm quòd in ternis hi differentiis motuum aperta inæqualitate ſint præditi, quum in binis differentiis eam habeant alij. Sunt autem, ſi ordine à primo numeres, quintus, ſextus, ſeptimus, octauus, decimus, duodecimus, decimuſſextus, decimusſeptimus, decimuſnonus, vigeſimusprimus, vigeſimuſtertius, vigeſimuſquartus.

ΚΕΦΑΛΑΙΟΝ Ιϛʹ.

Περὶ τρίτης διαφορᾶς τῶν καθ' ἓν μόριον ἀνωμάλων σφυγμῶν.

Ἀρκεῖν μοι δοκεῖ καὶ περὶ τούτων τὰ τοσαῦτα. ἐπὶ γὰρ τὴν ἔτι λοιπὴν καὶ τρίτην διαφορὰν, τῶν καθ' ἓν μόριον ἀνωμάλων σφυγμῶν, ἐπάνιμεν αὖθις, οὓς Ἀρχιγένης μὲν, ὡς ἕνα γράφει, καὶ καλεῖ δίκροτον. εἰσὶ δὲ πλείους. ὅσοι δέ τινες καὶ οἷοι, μετ' ὀλίγον ἐροῦμεν, ἂν πρότερον ἐπισκεψώμεθα, πότερον τῶν κατὰ μίαν διαστολὴν τῆς ἀρτηρίας συνισταμένων ἐστὶν, ἢ δύο εἰσὶν ἐφεξῆς ἀλλήλων ἄνισοι σφυγμοί. τοῦτο δή οὐχ οἷόν τε κρίναι καλῶς, εἰ μὴ πρότερον ἀκριβῶς μάθοιμεν, οἷός ἐστιν ὁ σφυγμὸς οὗτος, ὁ πρὸς Ἀρχιγένους δίκροτος κεκλημένος.

CAPVT XVI.

De tertia differentia pulſuum in vna parte inæqualium.

Hæc ego de his eſſe ſatis puto. Siquidem ad reliquam iam & tertiam pulſuum vna in parte inæqualium differentiam redibimus; quos vt vnum Archigenes deſcribit, vocatque dicrotum. Sunt verò plures. Quot autem ſint & quales, paulo poſt explicabimus, ſi expenderimus prius, de illiſne ſit, qui ex arteriæ vna diſtentione conſtant, an duo ſint continentes impares pulſus. Sed id perbelle iudicare non eſt niſi ad vnguem, qui pulſus hic ſit, teneamus, quem Archigenes dicrotum appellauit.

Nam

Nam in iis esse eum qui iterum tactum feriunt, planè liquet. Atqui intermittentes in vno ictu obtinent idipsum. Et si solum quis ictum attendens, duos pulsus censeat esse eum qui bis feriat, in manifesto errore est: nam qui in vna distentione intermittunt, quanquam iterum feriunt, non dixeris duos pulsus esse; manifestè etenim in illis destitutus motus continuitate, quiete interrumpitur media. Dicrotorum genus non item: sed, simulátque omnem distentionem effecit, se paulisper subducit, ac mox pulsat iterum; vt intermittentium quies media ictus intercipiat: dicroti, contractio, vel congressus, vel reditus, vel vt libet appellare. Idcirco quidam duos pulsus esse dicrotum, non vnum autumant. Hoc affirmabunt illi potissimum qui arteriæ contractionem non animaduertunt, sed ex ictu aiunt pulsum, & interuallo constare. Iidem enim ab arteriæ primo occursu fieri breuem quietem contendunt, sub quam alterum occursum: atque crebritate dicent eum pulsum inæqualem esse. Nam qui impar habent, quod ictus diuidit, interuallum, hos crebritate inæquales vocant, vt dicemus paulo inferius. Quin nunc etiam, quòd distabunt, vel horum sententia ab intermittentibus in vna distentione pulsus dicroti, faciemus, vt demonstre..us: & quod ponunt illi, contractionem non posse sentiri, dabimus: nam vt hoc concedatur, quin arteria ab interuallis non videatur se efferre paribus, non negaueris certè. Iam in intermittentibus hoc perspicuum planè est; etenim infernè arteria nonnunquam auspicata motum, mox simulátque destiterit moueri, initium iterum facit alterius motus, vbi prior desiit. Dicroti verò non ita pulsant, sed manifestè ex altiore profunditate, & interuallo maiore prior motus videtur cieri, atque indidem continenter alter. Hanc ergo ab istis assensionem expressimus, non esse perinde in vna distentione pulsum intermittere, ac bis, vt dicrotus facit, ferire. At induci illi tamen inuiti, vt in vno ictu inæquales appellent dicrotos, non possunt. Defendent enim binorum ictuum sentiri apertè, nec magnitudinem parem, nec tempus, imò nec robur quidem. Et pauco tempore dicent secundum excipere priorem. Atque admittent inæqualem illi quidem esse hunc pulsum, non vno in ictu tamen; sed differentias huic inæqualitatis, crebritatis, & paruitatis, & contentionis accommodabunt. Qui contractionem autem sentiunt, desciscere hi manifestè à collectiua, quam vocant, inæqualitate dicrotum animaduertunt. Nam ista res instar habet geminorum ad incudem mallei ictuum, quum ex multo interuallo prior incutitur, validéque pulsat, secundus porrò, quum quasi resultat ab incude malleus, non ita multum, recidítque in eam non ita vt antea, valenter & breui interuallo. Ex eodem genere sunt dicroti; nam arteria in occursu quasi repellitur, móxque redit. Quod autem præ cæteris pulsuum dicrotorum clarissimè naturam doceat, & à collectiua inæqualitate seiungat, genus est recessus. Neque enim tum arteria contrahitur, sed quasi concuteretur, decidit; cuius delapsum à primæ distentionis termino nulla dirimit manifesta quies, vt animaduertitur in contractione: sed simulátque attolli destitit, recedit: atque illa paulisper vibrata, mox occurrit iterum: id quod

A ὅτι μὲν γὰρ τῶν δὶς παιόντων τὴν ἀφὴν, ἄντικρυς δῆλον. ἀλλὰ τοῦτο μὲν καὶ τοῖς διαλείπουσι κατὰ μίαν πληγὴν ὑπάρχει, καὶ εἴ τις μόνῳ τῷ πλήττεσθαι προσέχων, δύο σφυγμοὺς τὸν δὶς παίοντα νομίζει, φανερῶς ἁμαρτάνει. τοὺς γὰρ ἐν μιᾷ διαστολῇ διαλείποντας, οὐκ ἂν φαίη δύο σφυγμοὺς εἶναι, καίτοι δὶς πλήττουσιν. ἐναργῶς γὰρ ἐπ' αὐτῶν ἡ κίνησις ἀπολλῦσα τὸ συνεχὲς, ἀκινησίᾳ μέσῃ διακόπτεται. τὸ δὲ γένος τὸ τῶν δικρότων, οὐχ οὕτως, ἀλλ' ἐπειδὰν πληρώσῃ τὴν διαστολὴν ἅπασαν, εὐθὺς ἀποχωρεῖ πρὸς βραχὺ, καὶ αὖθις παίει τὸ δεύτερον, ὥστε τῶν μὲν διαλειπόντων ἡσυχίαν μέσην εἶναι τῶν πληγῶν. τοῦ δὲ δικρότου, συστολὴν ἢ σύνοδον, ἢ B ὑπονόστησιν, ἢ ὡς ἄν τις ἐθέλῃ καλεῖν. διὰ τοῦτό τινες δύο σφυγμοὺς εἶναί φασιν, οὐχ ἕνα, τὸν δίκροτον. ἐροῦσι δὲ αὐτὸ μάλιστα, οἱ μὴ παρακολουθοῦντες τῇ συστολῇ τῆς ἀρτηρίας, ἀλλ' ἐκ πληγῆς, καὶ διαλείμματος τὸν σφυγμὸν συνεστάναι φάσκοντες. οὗτοι γὰρ μετὰ τὴν προτέραν προσβολὴν τῆς ἀρτηρίας, ἀκινησίαν βραχεῖαν ἐροῦσι γίνεσθαι, καὶ μετ' αὐτὴν, ἑτέραν προσβολὴν, καὶ φήσουσιν ἀνώμαλον εἶναι τὸν τοιοῦτον σφυγμὸν κατὰ πυκνότητα. τούτους γὰρ ἀνωμάλους κατὰ πυκνότητα νομίζουσιν, ὑφ' ὧν ἄνισον τὸ μεταξὺ τῶν πληγῶν διάλειμμα, καθάπερ καὶ μετ' ὀλίγον ἐροῦμεν, ἀλλὰ νῦν γε, ὅτι καὶ κατὰ τούτους διοίσουσιν οἱ δίκροτοι σφυγμοὶ τῶν ἐν μιᾷ C διαστολῇ διαλειπόντων, πειραθῶμεν πρότερον ἀποδεῖξαι, συγχωρήσαντες αὐτοῖς τὴν ὑπόθεσιν, καθ' ἣν οὔ φασιν αἰσθητὴν εἶναι τὴν συστολήν. εἰ γὰρ καὶ τοῦτο δοθείη, τό γε μὴν οὐκ ἀπὸ τῶν ἴσων διαστημάτων ἀνιοῦσαν φαίνεσθαι τὴν ἀρτηρίαν, οὐκ ἄν τις ἀρνήσαιτο. τοῦτο δ' ἐπὶ τῶν διαλειπόντων ἐναργῶς φαίνεται· κάτωθεν γάρ ποθεν ἀρξαμένη τῆς κινήσεως ἡ ἀρτηρία, κἄπειτα παυσαμένη, τὴν ἀρχὴν αὖθις τῆς δευτέρας κινήσεως, ἵνα περ ἐτελεύτησεν ἡ προτέρα, ποιεῖται, τῶν δικρότων οὐχ οὕτως πληττόντων, ἀλλὰ φανερῶς ἐκ βάθους πλέονος, καὶ κατὰ μείζονος διαστάσεως ἡ προτέρα κίνησις ἐνηνέχθαι φαίνεται, αὐτόθεν δήπουθεν ἐλήλυθεν ἡ δευτέρα. D τούτους μὲν οὖν τοσοῦτον ὁμολογοῦντας ἕξομεν, ὡς οὐ ταὐτόν ἐστι διαλείπειν ἐν μιᾷ διαστολῇ σφυγμὸν, ἢ δὶς παίειν, ὡς ὁ δίκροτος. οὐ μὴν ἀναγκάσαι γε αὐτοὺς ἄκοντας οἷόν τε, κατὰ μίαν πληγὴν ἀνωμάλους ὀνομάζειν τοὺς δικρότους. ἐροῦσι γὰρ ἀπομαχόμενοι δύο πληγῶν φανερῶς αἰσθάνεσθαι, μήτε τὸ μέγεθος ἴσον, μήτε τὸν χρόνον, ἀλλὰ μηδὲ τὸν τόνον. καὶ δι' ὀλίγου φήσουσι χρόνου τὴν δευτέραν ἐπὶ τῇ προτέρᾳ γίνεσθαι. καὶ ἀνώμαλον μὲν συγχωρήσουσιν εἶναι τὸν τοιοῦτον σφυγμὸν, οὐ μὴν τὸν κατὰ μίαν πληγήν· ἀλλὰ ταῖς ἐν πυκνότητι καὶ σμικρότητι, καὶ τόνῳ τῆς ἀνωμαλίας διαφοραῖς αὐτὸν προσάψουσιν. τοῖς δὲ καὶ τῆς συστολῆς αἰσθανομένοις, φανερῶς ὁ δί- E κροτος ἐκπίπτει τῆς συστηματικῆς καλουμένης ἀνωμαλίας. ἔοικε γὰρ τὸ ἐπ' αὐτοῦ γινόμενον ταῖς τῆς σφύρας διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς, τῆς μὲν προτέρας ἐκ πολλοῦ μὲν διαστήματος καταφερομένης, καὶ σφοδρῶς παιούσης. τῆς δευτέρας δὲ οἷον ἀναπαλλομένης τῆς σφύρας ἀπὸ τοῦ ἄκμονος οὐκ ἐπὶ πολὺ, καὶ αὖθις αὐτῷ προσπιπτούσης ἀρρωστότερόν τε, ἢ πρόσθεν, καὶ ἐξ ὀλίγης διαστάσεως. τοιοῦτον γάρ τι καὶ οἱ δίκροτοι τυγχάνουσιν ἔχοντες τὸ εἶδος, οἷον ὠθουμένης τῆς ἀρτηρίας εἰς τοὐπίσω κατὰ τὴν προσβολὴν, εἶτ' αὖθις ἐπανερχομένης. ὃ δ' ἂν μάλιστα σαφέστατα τὴν τῶν δικρότων σφυγμῶν φύσιν ἐνδείξαιτο, καὶ χωρίσειε τῆς συστηματικῆς ἀνωμα- F λίας, τὸ τῆς ὑποχωρήσεώς ἐστιν εἶδος. οὐδὲ γὰρ συστέλλεται τότε ἡ ἀρτηρία, ἀλλά πως οἷον κλονουμένη καταφέρεται, καὶ τὴν καταφορὰν αὐτῆς ἀπὸ τοῦ πέρατος τῆς προτέρας διαστολῆς, οὐδεμία σαφὴς ἡσυχία διαιρεῖ, καθάπερ ἐπὶ τῆς συστολῆς φαίνεται, ἀλλ' εὐθὺς ἅμα τῷ παύσασθαι τῆς ἄνω φορᾶς, ἡ ὑποχώρησις γίνεται, πρὸς ὀλίγον κλονουμένης αὐτῆς, εἶτ' αὖθις ἐμπιπτούσης· οἷον τῇ

καὶ τοῖς πρὸς βίαν ἑλκυσθεῖσι κλάδοις, εἶτ' ἀφεθεῖσι γίγνεται. καὶ γὰρ ἐκεῖνοι φέρονται μὲν ἐπὶ τὸν ἐξ ἀρχῆς τόπον, οὐ μὴν εὐθὺς ἐν αὐτῷ μένουσιν, ἀλλ' αὖθις ἀναχωροῦσιν ἐπὶ ταὐτὸ, ὅθεν ὑπεχώρησαν, καὶ οὐδὲ ἴσον γε διάστημα ἐπιλαμβάνουσι τῷ πρόσθεν, ἀλλ' ἐλάττονα μικρῷ· καὶ πάλιν ἀπὸ τούτου τοῦ πέρατος, ἐπὶ τὸν οἰκεῖον ἀναφέρονται τόπον, καὶ δεύτερόν γε ὑποχωροῦσιν αὖθις· καὶ ἐπανέρχονται πάλιν, καὶ τρίτον τε, καὶ τέταρτον, καὶ πολλάκις, ἕως ἂν κατὰ βραχὺ μειοῦντες τὴν ἐπάνοδον, εἰς ἡσυχίαν παντελῆ τελευτήσωσι. τοιοῦτόν τι καὶ τῆς ἀρτηρίας κινήσει συμβέβηκεν ἐν τοῖς δικρότοις σφυγμοῖς. ὥστ' ἔγωγε οὐ μόνον ἅπαξ ἐπανιοῦσαν, ἀλλὰ καὶ δεύτερον εἶδόν ποτε. καὶ τὸ σύμπαν φάναι, κλονώδη πάντως δεῖ τὴν κίνησιν εἶναι τοῦ δικρότου σφυγμοῦ, ὥστε καὶ κατ' αὐτὴν τὴν προτέραν πληγὴν, οἷον ἐπαιρομένην, καὶ τὸν τόπον ὅλον ἀλλάττουσαν τὴν ἀρτηρίαν ἄνω φέρεσθαι μᾶλλον, ἢ διαστελλομένην· τοιοῦτοι γὰρ οἱ κλονώδεις. καὶ ὅταν γε σφοδρῶς αὐτοῖς τοῦτο τὸ πάθημα συμπίπτῃ, καὶ τὰ μόρια τῆς ἀρτηρίας διαφερόντως κινοῦνται, τοῦ μὲν εἰ τύχοι πρώτου, τοῦ δὲ δευτέρου, τοῦ δὲ τρίτου, καὶ πολλάκις τετάρτου, καὶ πέμπτου μέρους αὐτῆς ἀναφερομένου τε, καὶ αὖθις καταφερομένου. ὥστε ἐστὶν ὅτε καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, τὰ μὲν ἀναφέρεσθαί σοι δόξει μόρια, τὰ δὲ καταφέρεσθαι. τοιαύτης οὖν οὔσης τῆς τῶν δικρότων σφυγμῶν ἰδέας, αἱ διαφοραὶ γενήσονται κατὰ πάντα τὰ προγεγραμμένα γένη, πληρότητος, σκληρότητος, μεγέθους, σφοδρότητος, τάχους, καὶ τῶν ἐναντίων, ἐν αὐτῇ τε τῇ πρώτῃ κινήσει, καὶ τῇ κατὰ τὴν ὑποχώρησιν ἐπανόδῳ. δύναται γὰρ μεγάλη καὶ οὐ μεγάλη, καὶ σφοδρὰ καὶ οὐ σφοδρὰ, καὶ ταχεῖα καὶ οὐ ταχεῖα, καὶ τῶν ἄλλων ἕκαστον εἰδῶν γίνεσθαι, καὶ ἤτοι ὁμαλὴ, ἢ ἀνώμαλος, ὥστε τὰς τοιαύτας ἐπαλλάξεις πολλὰ ποιεῖν εἴδη τῶν δικρότων σφυγμῶν. αὗται μὲν αἱ κατὰ διαστολὴν τῶν δικρότων σφυγμῶν, τῆς ἐν ἑνὶ μορίῳ συνισταμένης ἀνωμαλίας διαφοραί.

etiam vi tractis ramis, inde dimissis, accidit; qui quidem contendunt ad pristinum locum: vbi non statim resistunt tamen, sed eodem, vnde abierunt, reuertuntur. Neque verò æquum sumunt ac antea interuallum, sed longè minus; iterúmque ab hoc termino ad propriam sedem se conferunt; iterúmque recedunt, & redeunt, & tertiò, & quartò, & sæpiùs; dum reditum paulatim imminuendo, ad absolutam aliquando euadant quietem. Tale etiam quid in dicrotis pulsibus motui arteriæ vsu venit. Ego itaque non iam semel vidi reuersum fuisse, sed iterum aliquando. Et breuiter vibrari omnino motum oportet pulsus dicroti, vt in ipso primo ictu veluti euecta, atque ex vniuerso loco arteria demigrans potius efferatur, quàm distendatur; huiuscemodi enim sunt vibrati. Quod illis, vbi cum vi aliqua accidit, partes arteriæ aliter atque aliter mouentur: vt verbi gratia, prima, secunda, tertia, & frequenter quarta, & quinta eius pars attollatur, & delabatur. Itaque fit aliquando vt vno eodémque tempore hæ partes attolli, decidere illæ appareant. Quæ forma quum dicrotorum pulsuum sit, differentiæ in illis omnibus, quæ retulimus, generibus erunt, plenitudinis, duritiei, magnitudinis, vehementiæ, celeritatis, & contrariorum; tam in ipso primo motu, quàm in reditu à discessu. Nam magnus potest, & non magnus, & vehemens, & non vehemens, & celer, & non celer, & aliarum quarumlibet specierum altera esse, etiam vel æqualis, vel inæqualis; quæ certè commutationes multas species constituunt dicrotorum pulsuum. Hæ dicrotorum pulsuum in vna distentione sunt, inæqualitate vnam partem occupante differentiæ.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Περὶ τῆς ἐν διαφέρουσι μορίοις κατὰ μίαν διάστασιν ἀνωμαλίας.

Μεταβάντες δὲ ἐπὶ τὴν ἐν διαφέρουσι μορίοις, εἴπωμεν ἤδη καὶ τὰς ἐκείνης ἁπάσας διαφορὰς, πρὸ τὰς μὲν δύο, καθ' ἃς ἢ συνεχής ἐστιν ἡ κίνησις, ἢ διαλείπουσα κατά τι, τὰς δὲ ἄλλας τὰς κατὰ μέρος ἐκ τῆς τούτων τομῆς συνισταμένας. ἡ μὲν γὰρ συνεχὴς, ἤτοι ὁμαλής ἐστιν, ἢ ἀνώμαλος. ἐμάθομεν γὰρ ὅπως ὁμαλὴς, καὶ ἀνώμαλος ἀνωμαλία γίγνεται. τῆς μὲν οὖν ὁμαλοῦς, ἢ ἐκλύεσθαι τὸ τάχος, ἢ ἐπιτείνεσθαι ἀναγκαῖον ἐξ ἀρχῆς, καθάπερ μικρῷ πρόσθεν ἐλέχθη. τῆς δὲ ἀνωμάλου, πλείους εἰσὶν αἱ διαφοραὶ παρὰ τὸ μακρὸν, ἢ βραχὺν, ἢ σύμμετρον κατὰ τὸ μῆκος εἶναι τὸν σφυγμόν. τοῖς μὲν γὰρ δύο δακτύλοις ὑποπιπτούσης τῆς κινήσεως, ἓξ ἔσονται διαφοραί. τοῖς δὲ τρισὶ, τέσσαρες καὶ εἴκοσι. τοῖς δὲ τέσσαρσιν, ὀκτὼ καὶ ἑβδομήκοντα. ὅπως μὲν οὖν ἐπὶ τοῖς δύο δακτύλοις ἡ κίνησις ὑποπίπτοι, τὰς διαφορὰς ἓξ ἀναγκαῖον γίνεσθαι, καὶ ἐπὶ τοῖς τρισὶ, τέσσαρας καὶ εἴκοσι, τὰ προγεγραμμένα δύο διαγράμματα διδάσκει. πῶς δὲ, καὶ ἐπὶ τοῖς τέσσαρσιν, ὀκτὼ καὶ ἑβδομήκοντα, μάθοις ἄν, εἰ πρότερον νοοίης ὅτι τεττάρων πραγμάτων ὡντινωνοῦν, τρεῖς ἑκάστου διαφορὰς ἔχοντος, ἀνάγκη τὰς πάσας συζυγίας γίνεσθαι μίαν καὶ ὀγδοήκοντα. τοῦτο δὲ οὐ χαλεπὸν εὑρεῖν, ἐκ τοῦ γιγνώσκειν, ὅτι τῶν τρεῖς ἐχόντων διαφορὰς, ἑπτὰ καὶ εἴκοσι συζυγίαι γίνονται. προσελθόντος γὰρ τοῦ τετάρτου τρεῖς ἔχοντος διαφορὰς, εὔλογόν ἐστι μίαν καὶ ὀγδοήκοντα, γίνεσθαι τὰς πάσας, ὧν εἰ ἀφέλοιμεν τρεῖς τὰς ὁμαλεῖς ποιούσας τοὺς σφυγμούς,

CAPVT XVII.

De inæqualitate diuersarum partium in vna distentione.

IAm ad inæqualitatem diuersarum partium transeamus, eiúsque explicemus omnes differentias, ac primas, duas, iuxta quas aut continuus est motus, aut intercisus aliqua ex parte; alias, singulares ex harum diuisione genitas. Nam continuus, aut est æqualis, aut inæqualis. Docuimus enim qua ratione æqualis fiat, & inæqualis inæqualitas. Æqualis itaque vel remittatur celeritas, vel increscat à primo sex modis, necesse est: vti paulo ante declarauimus. Inæqualis sunt plures differentiæ, pro pulsus magnitudine longa, vel breui, vel moderata. Nanque duobus digitis si motus occurrat, sex differentiæ existent; si tribus, quatuor & viginti, si quatuor, septuagintaocto. At quemadmodum si occurrat duobus digitis, erunt necessarò sex differentiæ: si tribus, vigintiquatuor; duæ illæ superius delineatæ tabellæ planum faciunt. Iam quanam ratione, si quatuor etiam, octo & septuaginta fient, assequeris, si prius perspexeris quatuor rerum quarumlibet, quarum ternas singulæ differentias assecutæ sint, coniugationes necesse esse, numero vt octoginta vna sint. Neque est difficile hoc inuentu, modò noris eorum quæ tres differentias habent, coniugationes esse viginti-septem. Si iam quartum accedat, cui tres sint differentiæ, vnam & octoginta numero ratio postulat esse. Quibus si tres, quæ creant æquales pulsus,

tripias;

eripias; reliqui quidem septuaginta octo erunt. Itaque ex ante descriptis duabus tabellis constat, horum vigintiquatuor quosdam primis sex futuros similes: atque illorum octo, & septuaginta, his vigintiquatuor. Præterea vt in illis, & item quoque in his duæ erunt sectæ: vt hi conuenire existiment inter se tabellas, illi secus.

CAPVT XVIII.

De differentiis motus interrupti.

Restat nunc vt differentias recenseamus motus interrupti. Erunt autem primæ quatuor; quarum singularum complures; atque quatuor in hunc modum. Aut primus & tertius digitus motum sentiunt, non secundus autem, & quartus; aut primus, & tertius, & quartus, at non secundus: aut primus, secundus, quartus, non tertius tamen: aut primus, atque quartus, secundus, & tertius minimè. Quum primus & tertius duntaxat sentiunt, nouem in singulis generibus differentiæ fiunt pulsuum; vbi verò primus & tertius, & quartus, viginti septem: totidem, quum primus, secundus, & quartus, quum primus & quartus, nouem. Atqui singularum apertus est numerus ex viis rationibúsque ante traditis. Hæc est iam etiam inæqualitatis diuisio, quæ diuersis in partibus fit. Commiscentur porrò variis modis ambæ inter se primæ differentiæ, vt non iam diuersas tantùm partes, verumetiam singulas teneat inæqualitas. Iam verò si quis vnius generis congruas differentias cum alterius confundere volet, nec id laboris, dum omnes connexuerit, deprecabitur, operam non luserit. Equidem censeo, nisi hæc obiter quæ hactenus sunt tradita, percurreris, id nullo te negocio consequuturum. Hac ratione inæqualitates motus in vna distentione omnes didiceris.

CAPVT XIX.

De inæqualitate quantitatis distentionis in diuersis arteriæ partibus.

At verò inæqualitas quantitatis distentionis, diuersas quidem arteriæ partes occupans, quum animaduertitur crebrò, tum percipitur facillimè, & interrupta, & continua, æqualiter, & inæqualiter. De quo genere, qui decurtati vocantur, in vna distentione sunt; & illi etiam qui ab aliquibus innuentes, & circumnuentes appellantur. In vna verò arteriæ parte, non recipiat huius generis inæqualitatem vnus pulsus, quòd priusquam finem motus attingat, nequaquam liqueat magnitudo; cæterùm quò innotescat, hoc vnum pulsuum genus requirit finem. Nam vehementiam, dum mouetur arteria, atque celeritatem, & duritiem, horúmque contraria, & media cognoscas; magnitudinis & paruitatis differentiam, nisi iam moueri arteria destiterit, non possis. Nam simul vt destitit, quantus est pulsus, apertum est; antea incertum etiam erat, quousque moueretur. Qui fieri igitur potest, vt vna efficiat pars inæqualem in hoc genere pulsum? Qui enim quò cognoscatur, quis sit, postulat motus exitum, hic in motu etiamnum quomodo perspiciatur?

A οἱ λοιποὶ δηλονότι, ὀκτὼ καὶ ἑβδομήκοντα γενήσονται. κατὰ ταὐτὰ δὲ τοῖς προγεγραμμένοις δύο διαγράμμασι δῆλον, ὡς καὶ τούτων τῶν εἴκοσι μὲν καὶ τεττάρων τινὲς, τοῖς ἓξ τοῖς πρώτοις οἱ αὐτοὶ γενήσονται, τῶν δὲ ὀκτὼ καὶ ἑβδομήκοντα, τοῖς τέσσαρσι καὶ εἴκοσιν, ὅτι τε καθάπερ ἐπ' ἐκείνων, οὕτω καὶ ἐπὶ τούτων αἱρέσεις δύο γενήσονται, τῶν μὲν οἰομένων, κοινωνεῖν ἀλλήλοις τὰ διαγράμματα, τῶν δὲ, μή.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ διαφορῶν τῆς διαλειπούσης κινήσεως.

B Λοιπὸν δ' ἂν εἴη τὰς διαλειπούσης τῆς κινήσεως γινομένης διαφορὰς ἐξαριθμῆσαι. γενήσονται δὲ, τέτταρες μὲν αἱ πρῶται, κατὰ μέρος δ' ἑκάστης αὐτῶν πλείους, αἱ μὲν τέσσαρες ὧδέ πως. ἢ γὰρ ὁ πρῶτος καὶ τρίτος δάκτυλος αἰσθάνονται τῆς κινήσεως, οὐ μὴν ὁ δεύτερος καὶ ὁ τέταρτος, ἢ ὁ πρῶτος καὶ τρίτος, καὶ τέταρτος, οὐ μὴν ὁ δεύτερος, ἢ ὁ πρῶτος καὶ δεύτερος, καὶ τέταρτος, οὐ μὴν ὁ τρίτος, ἢ ὁ πρῶτος καὶ τέταρτος, οὐ μὴν οὔθ' ὁ δεύτερος, οὔθ' ὁ τρίτος. ὅταν μὲν οὖν ὁ πρῶτος καὶ τρίτος αἰσθάνωνται μόνον, ἐννέα γίνονται διαφοραὶ σφυγμῶν καθ' ἕκαστον γένος. ὅταν δ' ὁ πρῶτος καὶ ὁ τρίτος, καὶ τέταρτος, ἑπτὰ καὶ εἴκοσιν. ἴσαι δὲ τὸν ἀριθμὸν C ταῖσδε, καὶ ὅταν ὁ πρῶτος καὶ δεύτερος, καὶ ὁ τέταρτος. ὅταν δ' ὁ πρῶτος καὶ ὁ τέταρτος, ἐννέα. σαφὴς δὲ ὁ καθ' ἑκάστην ἀριθμὸς ἐκ τῶν προγεγραμμένων μεθόδων. αὕτη καὶ ἡ τῆς κατὰ τὰ διαφέροντα μόρια γινομένης ἀνωμαλίας τομή. γίνονται δὲ καὶ μίξεις ἀμφοτέρων τῶν πρώτων διαφορῶν πρὸς ἀλλήλας πολυειδῶς, ὥστε μὴ μόνον ἐν διαφέρουσι μορίοις εἶναι τὴν ἀνωμαλίαν, ἀλλὰ καὶ καθ' ἓν ὁτιοῦν. εἰ δή τις τῶν ἐκ θατέρου γένους διαφορῶν, τὰς ἐνδεχομένας μιγνύναι βούλοιτο τῷ ἐκ θατέρου, καὶ τοῦτο ποιῶν μὴ κάμνοι πρὶν ἁπάσας συμπλέξαι, γυμνάσαιτ' ἂν οὐκ ἀχρήστως. ὑπομνῆσαι δὲ οὐδ' ἂν χαλεπῶς δράσαι τινὰ αὐτὸ, εἰ μὴ ἀργῶς τὰ μέχρι τοῦ- D δε ὑφ' ἡμῶν γεγραμμένα ἐπέδραμεν. οὕτως μὲν ἄν τις ἁπάσας μάθοι τὰς κατὰ τὴν κίνησιν, ἐν μιᾷ διαστολῇ γινομένας ἀνωμαλίας.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῆς κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἀνωμαλίας περὶ τοῖς διαφέρουσι μορίοις τῆς ἀρτηρίας.

Η δὲ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἀνωμαλία, περὶ μὲν τοῖς διαφέρουσι μορίοις τῆς ἀρτηρίας, καὶ φαίνεται γινομένη πολλάκις, καὶ νοηθῆναι ῥᾴστη διαλείπουσά τε καὶ συνεχὴς, E ὁμαλῶς τε καὶ οὐχ ὁμαλῶς, ἐξ οὗ γένους εἰσὶν οἵ τε μύουροι καλούμενοι κατὰ μίαν διαστολὴν, οἵ τε πρός τινων ἐπινενευκότες τε καὶ περινενευκότες ὀνομασθέντες. ἐν ἑνὶ δὲ μορίῳ τῆς ἀρτηρίας, οὐκ ἂν συσταίη κατὰ τοῦτο τὸ μέρος ἀνωμαλία καθ' ἕνα σφυγμόν. πρὶν γὰρ ἐπὶ τὸ τέλος ἀφικέσθαι τὴν κίνησιν, οὐδέπω τὸ μέγεθος δῆλον, ἀλλὰ μόνον τοῦτο τὸ γένος τῶν σφυγμῶν εἰς τὴν ἐπίγνωσιν, τοῦ τέλους προσδεῖται. σφοδρότητα μὲν γὰρ καὶ τάχος καὶ σκληρότητα, καὶ τἀναντία τούτων, καὶ τὰ μέσα, δυνατόν ἐστι κινουμένης τῆς ἀρτηρίας γνωρίσαι, τὴν δὲ κατὰ τὸ μέγεθος, καὶ σμικρότητα διαφορὰν, οὐχ οἷόν τε πρὸ τοῦ παύσασθαι F κινουμένην. ἅμα μὲν γὰρ τῷ παύσασθαι, πηλίκος ἐστὶν ὁ σφυγμὸς ἐγνώσθη. πρὸ τούτου δ' ἔτι ἄδηλον ἦν, μέχρι πόσου κινήσεται. πῶς οὖν οἷόν τε καθ' ἓν μόριον ἀνώμαλον ἐν τούτῳ τῷ γένει συστῆναι σφυγμόν; ὃς γὰρ, ἵν' οἷός τίς ἐστι γνωσθῇ, δεῖται συμπεπερασμένης τῆς κινήσεως, οὐδέπως ἂν γνωσθείη γινομένης ἔτι;

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Διαφοραὶ τῆς κατὰ τὸν ζωτικὸν τόνον ἀνωμαλίας.

Ἡ δὲ κατὰ τὸν ζωτικὸν τόνον ἀνωμαλία, τὴν αὐτὴν ἐπιδέχεται τομὴν, τῇ κατὰ τὴν κίνησιν. ἢ γὰρ περὶ τὸ αὐτὸ μόριον, ἢ ἐν διαφέρουσι συνίσταται. περὶ μὲν τὸ αὐτὸ, τριχῶς, ἢ διαλειπούσης τῆς κινήσεως, ἢ συνεχοῦς μενούσης, ἢ δικρότου γινομένης, περὶ δὲ τὰ διαφέροντα, διχῶς, ἢ συνεχοῦς μενούσης, ἢ διακοπτομένης. ἴσαι δὲ καθ' ἕκαστον τούτων τῶν γενῶν αἱ κατὰ μέρος διαφοραὶ, ταῖς ἐπὶ τῆς κινήσεως εἰρημέναις. καὶ μὲν δὴ καὶ μίγνυσθαι τὰς περὶ ἓν μόριον συνισταμένας ἀνωμαλίας ταῖς ἐν διαφέρουσι γιγνομέναις ὡσαύτως, ἀναγκαῖον.

CAPVT XX.

Inæqualitatis vitalis roboris differentiæ.

INæqualitas verò vitalis roboris eandem distributionem, ac inæqualitas motus, habet. Nam aut eandem partem, aut distinctas tenet; eandem tribus modis, aut interrupto motu, aut perpetuo, aut dicroto; distinctas bifariam, vel continuo motu, vel interciso. Singulorum præterea horum generum totidem sunt singulares differentiæ, quot motus. Quin commisceri etiam positas vna in parte inæqualitates necesse est, vt illas, quæ in diuersis fiunt.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ ἀνωμαλίας τῆς κατὰ τὸ σῶμα τῆς ἀρτηρίας.

Ἡ δὲ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας ἀνωμαλία, καθ' ἣν μαλακὸς, ἢ σκληρὸς ὁ σφυγμὸς γίνεται, καθ' ἓν μὲν οὐχ οἷόν τε μόριον γενέσθαι, κατὰ δὲ διαφέροντα φαίνεται συνισταμένη διττῶς, ὥσπερ ἥ τε κατὰ τὴν κίνησιν, καὶ ἡ κατὰ τὸν τόνον, ἤτοι συνεχοῦς μενούσης τῆς κινήσεως, ἢ διακοπτομένης. ὥστε καὶ τὰς διαφορὰς εἶναι τὰς αὐτὰς κατὰ τοῦτο τὸ γένος τοῖς ἐπ' ἐκείνων προειρημέναις. ἓν δὲ μόριον ἀρτηρίας οὐχ οἷόν τε κατὰ μὲν τὴν ἀρχὴν τῆς διαστολῆς μαλακὸν φαίνεσθαι, κατὰ δὲ τὴν τελευτὴν σκληρὸν, ἢ ἔμπαλιν, ἀρχομένης μὲν σκληρὸν, τελευτώσης δὲ μαλακόν. ὥστε κατά γε τοῦτο διαφόρως ἔχει τούτῳ τῷ γένει τῶν σφυγμῶν, ὃ κατὰ σκληρότητα καὶ μαλακότητα τὰ πρόσθεν δύο, τό τε κατὰ τὴν κίνησιν, καὶ τὸ κατὰ τὸν τόνον.

CAPVT XXI.

De inæqualitate corporis arteriæ.

SEd inæqualitas corporis arteriæ, ex qua pulsus aut mollis, aut durus redditur, in vna quidem non potest parte fieri; in diuersis fieri duobus modis videtur, non aliter ac inæqualitas motus, & roboris: vt aut continuus motus sit, aut intercisus. Quo fit vt & differentiæ huius generis sint eædem, atque prædictæ illorum. Verùm arteriæ pars vna non potest initio esse distentionis mollis, dura in fine; aut contrà primò dura, in exitu mollis. Quare hactenus quidem ab hoc pulsuum genere duritiei, & mollitiei, duo genera dissident priora motus, & contentionis.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'.

Περὶ ἀνωμαλίας τῆς κατὰ τὴν ἐγκεχυμένην οὐσίαν τῇ κοιλότητι τῆς ἀρτηρίας.

Τὸ δὲ κατὰ τὴν ἐγκεχυμένην οὐσίαν τῇ κοιλότητι τῆς ἀρτηρίας γιγνόμενον γένος σφυγμῶν, ἐν ᾧ καὶ ὁ πλήρης, καὶ ὁ κενὸς συνίσταται, τὰς αὐτὰς ἐπιδέχεται ζητήσεις ταῖς προειρημέναις, ταῖς κατὰ τὸ ποσὸν τῆς διαστολῆς. δόξει γὰρ κἀνταῦθα, περὶ μὲν τὰ διαφέροντα μόρια δύνασθαι συστῆναι καθ' ἕνα σφυγμὸν ἀνωμαλίαν, περὶ δὲ τὸ αὐτὸ μὴ δύνασθαι. μακροῦ δὲ ὅλον τὸ γένος τοῦτο τῶν σφυγμῶν δεῖται λόγου, καὶ οὐ τοῦ παρόντος καιροῦ. ῥηθήσεται γὰρ ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἔτι δὲ πλείονος δεῖται λόγου, τὸ κατὰ τὸ τρίτον σημαινόμενον τῆς πληρότητος, ὑπό τε ἄλλων τινῶν, καὶ τὴν περὶ τὸν Ἀρχιγένην λεγόμενον. ὥστε καὶ αὐτὸ εἰς αὖθις ἀναβεβλήσθω. τοσοῦτον δ' ἔτι τοῖς εἰρημένοις προσθέντες, ἐπὶ τὰ ἑξῆς ἴωμεν.

CAPVT XXII.

De inæqualitate ab infusa materia in cauitatem arteriæ.

POrrò pulsuum genus quod efficit infusa materia in arteriæ cauitatem, in quo plenus & vacuus est, easdem habet quæstiones ac superius, quod quantitate constabat distentionis; videbitur enim hic quoque obtinere diuersas partes posse in vno pulsu inæqualitas, eandem non posse. Sed postulat genus totum hoc pulsuum prolixam orationem, neque est huius loci; in commentariis de pulsibus dignoscendis explicabitur. Iam etiam longiore tractatu opus est ad tertiam notionem plenitudinis; cuius quum alij quidam, tum Archigenes author est. Proinde hoc quoque in aliud tempus reiiciamus. Adhuc tamen dictis tantùm adiiciamus, inde ad reliqua proficiscamur.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Περὶ σφυγμοῦ τὴν τῆς θερμότητος ποιότητα ἐνδεικνυμένου.

Ὅτι κατὰ τὸν τῆς ἀρτηρίας τόπον, ἐναργέστερον γνωριζομένης τῆς τοῦ πυρετοῦ θερμότητος οἵα τίς ἐστιν, ἢ εἰ κατ' ἄλλο τι μόριον ἅπτοιο, πιθανὸν ἔδοξεν εἶναί τισι, καὶ τοιοῦτον γένος σφυγμῶν συναριθμῆσαι τοῖς ἄλλοις, δι' οὗ τὴν ποιότητα τῆς θερμότητος γνωρίζομεν, οὗ δηλονότι γένους, ὁμαλότης τε καὶ ἀνωμαλία συστήσονται κατὰ μίαν διαστολήν. καὶ διαφοραὶ τῆς ἀνωμαλίας γενήσονται, πρώτη μὲν ἥ τε ἐν διαφέρουσι μορίοις, καὶ ἡ περὶ ἓν ὁποιοῦν συνισταμένη. τούτων δ' αὖθις τεμνομένων κατὰ τὰς προγεγραμμένας μεθόδους, ἕτεραι πλείους κατὰ μέρος.

CAPVT XXIII.

De pulsu caloris qualitatem indicante.

QVia euidentius in arteriæ sede febris calor qualis sit, quàm si aliam tangas partem, cognoscitur; ideo quibusdam probabatur inter alia hoc etiam genus pulsuum referri, quo caloris noscimus qualitatem; cuius quidem generis æqualitas, & inæqualitas versantur in vna distentione; ac inæqualitatis erunt differentiæ; prima, tum quæ diuersas partes, tum quæ singulas tenet. Quas iterum si ex prædictis viis, & rationibus seces, alteræ particulares plures.

CAP.

CAPVT XXIV.

De inæqualitate à ſede arteriæ.

ALiud genus eſt vno in pulſu inæqualitatis, nec vllum dictorum pulſuum amplectitur hoc, quod à ſede arteriæ proficiſcitur. Siquidem eſt, quum pars eius dextrorſum, pars deflectatur ſiniſtrorſum, alia etiam pars ſurſum, alia deorſum; quod accidit aut in duobus locis, aut pluribus. Eſt autem hoc ſpecie finitimum diſtentionis inæqualitati quantitatis; quæ, vt ſunt diſtinguenda, in libris de pulſibus dignoſcendis explicatur.

ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

Περὶ ἀνωμαλίας τῆς παρὰ τὴν θέσιν τῆς ἀρτηρίας.

ΑΛλο γένος ἀνωμαλίας τῆς καθ' ἕνα σφυγμόν, οὐδενὶ τῶν εἰρημένων ὑποπίπτον σφυγμῶν, τὸ παρὰ τὴν θέσιν τῆς ἀρτηρίας. φαίνεται γὰρ ἐνίοτε τὸ μέν τι μέρος αὐτῆς, εἰς τὰ δεξιὰ περιῆχθαι, τὸ δὲ εἰς τὰ ἀριστερά. καὶ τὸ μὲν ὑψηλότερον εἶναι, τὸ δὲ ταπεινότερον, ἤτοι κατὰ δύο τόπους, ἢ πλείονας, τοῦ τοιούτου πάθους συνισταμένου. παράκειται δὲ τοῦτο κατὰ τὴν φαντασίαν τῇ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἀνωμαλίᾳ, καὶ ὡς χρὴ διορίζειν αὐτὸ ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως λέγεται.

CAPVT XXV.

De pulſu vndoſo, & vermiculante.

ALiud item inæqualitatis vnius pulſus genus eſt, quod vocatur vndoſum: quod quale ſit, abunde declarat ipſum nomen. Nihil cauſæ eſt tamen quin quò res euadat apertior, aliquid & nos dicamus. Non videtur ſimul arteria in ea inæqualitate diſtendi vniuerſa, ſed primò prima eius pars, deinde ſecunda, mox tertia, ab hac quarta; neque id temere tamen, ſed cum eleuatione quadam vndoſa, altera vnda ſemper priorem excipiente. Neque verò ab interrupto motu, quid hoc genus abſit, vllius eſt negocij deprehendere; nam prioris partis arteriæ diſtentionem, ſecundæ conſequitur, vt intercedat pars à motu libera nulla: verùm propemodum quieti ſimilis eſt vndarum finis; at non reperias tamen vllam partem prorſus quieſcere; nam quæ motus connectunt in alto, veluti vndoſos æſtus, non illæ quidem prorſus immotæ, ſed breuem certè quendam retinent motum. A vermiculante hic pulſus magnitudine differt. Etenim maximum vndoſum ſi fingas perpetuò minui, tam puſillum inuenies aliquando redditum, vt vndoſus ſit, an vermiculans iam, dubites; neque enim qualitas eos, ſed quantitas diſiungit. Eſt vtrique tamen quiddam commune, atque ſpeciebus eorum omnibus; aliquid etiam proprium vtriuſque. Commune, vnde nomen vterque inuenit, vndoſo, exurgere quaſi vndas in arteria alteram ab altera; vermiculanti, vermis aſſimilem eſſe greſſui, quòd ipſum etiam animal in modum vndarum mouetur; vt Democritus quodam loco dicit, vbi de iis verba facit quæ in modum vndarum progrediuntur. Initium fluctuationis perſpicuum eſt ſuperne ſemper eſſe, & ad arteriæ fines terminari. Atque hoc eſt commune. Differentiæ verò eorum hoc modo ſpeciatim fiunt. Quibuſdam recta fertur vnda, quibuſdam in obliquum deflectit. Quidam etiam breui longitudine habent inſignem altitudinem; ſunt contra qui longiores, altitudinem humilem; aliqui latam, nonnulli anguſtam; alij etiam pari celeritate præditi, alij ſecus. Et roboris etiam hæc vnda plus, illa habet minus. Interim ſimul omnium eſt iſtarum differentiarum inæqualitas. Sed enim de nulla alia commemoratarum inæqualitatum, & habent vtrique hi tum vndoſi, tum vermiculantes, vt tales ſint ex ſola diſtentionis inæqualitate, quantitatis. Vna enim hæc inæqualitas,

ΚΕΦΑΛΑΙΟΝ ΚΕʹ.

Περὶ τοῦ κυματώδους τε, καὶ σκωληκίζοντος σφυγμοῦ.

ΑΛλο γένος ἀνωμαλίας τοῦ καθ' ἕνα σφυγμὸν τὸ κυματῶδες καλούμενον, οὗ τὴν ἰδέαν δηλοῖ μὲν ἱκανῶς, καὶ αὐτὸ τὸ ὄνομα, χεῖρον δ' οὐδὲν ὑπὲρ σαφηνείας εἰπεῖν τι καὶ ἡμᾶς. οὐχ ἅμα φαίνεται κατὰ τὴν τοιαύτην ἀνωμαλίαν, ἡ ἀρτηρία πᾶσα διαστελλομένη, ἀλλὰ τὸ μέντοι, πρῶτον αὐτῆς, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον, τὸ δὲ τέταρτον. καὶ οὐδὲ ταῦτα, ὡς ἔτυχεν, ἀλλὰ σὺν τῷ τὴν ἔπαρσιν κυματώδη γίνεσθαι, τοῦ δευτέρου κύματος ἀεὶ τὸ πρότερον ἐκδεχομένου. καὶ ὅπῃ διαφέρει τῆς διακεκομμένης κινήσεως τὸ τοιοῦτον εἶδος τῆς ἀνωμαλίας, οὐ χαλεπὸν φωράσαι. τὴν γὰρ τοῦ προτέρου μέρους τῆς ἀρτηρίας διαστολήν, ἡ τοῦ δευτέρου διαδέχεται, μηδενὸς ἀκινήτου μορίου μεταξὺ πίπτοντος, ἀλλ' ἐγγὺς μὲν ἀκινησίας ἔρχεται τῶν κυμάτων τὸ πέρας, οὐ μὴν παντελῆ γε φωράσαις ἂν ἡσυχίαν οὐδενὸς μορίου, τὰ γὰρ συνάπτοντα τὰς κινήσεις εἰς ὕψος, οἷον κυματώδεις ἀναστάσεις, οὐκ ἔστιν ἀκίνητα παντελῶς, ἀλλὰ βραχεῖαν γοῦν τινὰ διασώζει κίνησιν. διαφέρει δὲ τοῦ σκωληκίζοντος ὁ σφυγμὸς οὗτος, μεγέθει. τὸν γοῦν μέγιστον τῶν κυματωδῶν ἐπινοῶν ἀεὶ μειούμενον εἰς οὕτω ποτὲ μικρὸν ἀφίξῃ, ὥστε ἀπορεῖν εἴτε κυματώδης, εἴτε σκωληκίζων ἐστὶν ἤδη. οὐ γὰρ κατὰ τὸ ποιὸν ἐοίκασιν ἀλλήλων διαφέρειν, ἀλλὰ κατὰ τὸ ποσόν. ἔστι δὲ τὸ μέντοι κοινὸν ἀμφοτέροις τε αὐτοῖς, καὶ τοῖς εἴδεσιν ἅπασιν αὐτῶν, τὸ δὲ ἴδιον ἑκατέρων. κοινὸν μὲν ἀφ' οὗ καὶ τοὔνομα ἑκατέροις, τῷ μὲν κυματώδει, τὸ οἷον κύματα ἐπανίστασθαι κατὰ τὴν ἀρτηρίαν, ἕτερον ἐφ' ἑτέρῳ, τῷ δὲ σκωληκίζοντι, σκώληκος ἐοικέναι πορείᾳ, καὶ αὐτοῦ τοῦ ζώου τούτου κυματωδῶς κινουμένου, καθάπερ καὶ Δημόκριτος λέγει που περὶ τῶν τοιούτων διαλεγόμενος, τῶν ὅσα κυματοειδῶς, ἀνὰ τὴν πορείαν πλάζεται· καὶ δῆλον ὅτι ἡ ἀρχὴ τῆς ἐπιρροῆς, ἄνωθέν ἐστιν ἀεί, καὶ τελευτᾷ πρὸς τὰ πέρατα τῆς ἀρτηρίας. τοῦτο μὲν οὖν τὸ κοινόν. διαφοραὶ δ' αὐτῶν αἱ κατ' εἶδος, ὧδέ πως συνίστανται. τινὲς μὲν εἰς εὐθὺ τὸ κῦμα φερόμενον ἔχουσι. τινὲς δέ, καὶ εἰς τὸ πλάγιον ἐκκλῖνον. καί τινες μὲν ἐν βραχείᾳ τῇ κατὰ τὸ μῆκος διαστάσει, τὸ ὕψος ἱκανόν. τινὲς δ' ἔμπαλιν ἐν μακροτέρᾳ τῇ διαστάσει, τὸ ὕψος ταπεινόν, καὶ οἱ μὲν πλατὺ τοὶ δὲ στενόν. καὶ οἱ μὲν ἰσοταχεῖς, οἱ δ' οὔ. οὕτω δὲ καὶ τόνου, τῷ μὲν μᾶλλον, τῷ δὲ ἧττον μέτεστι τῶν κυμάτων. ἐνίοτε δὲ καὶ κατὰ πάσας ἅμα τὰς εἰρημένας διαφοράς, ἡ ἀνωμαλία συνίσταται. ἀλλ' οὐδὲ διὰ μίαν ἄλλην τῶν εἰρημένων ἀνωμαλιῶν, οὕτως ὀνομάζονται. οὐδ' ἔστιν οὐδ' ἑτέροις αὐτῶν, οὔτε τοῖς κυματώδεσιν, οὔτε τοῖς σκωληκίζουσι τὸ εἶναι τοιούτοις δι' ἄλλην τινὰ πλὴν τῆς κατὰ τὸ ποσὸν τῆς διαστολῆς. αὕτη γὰρ μόνη ἡ ἀνωμαλία

προσλαβοῦσα τὴν κατὰ τὸ πρότερον, καὶ ὕστερον τῶν μορίων κίνησιν, τοὺς τοιούτους συνίστησι σφυγμούς. ὥστ' εἶναι σύνθετον τὴν γένεσιν αὐτῶν, ἔκ τε τῶν ἀνωμάλων, κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐν διαφέρουσι μορίοις, καὶ τῶν μὴ ἅμα πάντα τὰ μόρια τῆς ἀρτηρίας ἐχόντων κινούμενα· οὐ μὴν εὕρηταί γέ πω καθ' ἑαυτὴν ἡ τοιαύτη ἀνωμαλία, ὥστε τὸ πρότερον μόριον τῆς ἀρτηρίας, πρότερον φαίνεσθαι κινούμενον, ἀλλ' ὅταν γίγνηται, πάντως τις αὐτῇ καὶ τῶν ἄλλων τῶν προειρημένων μίγνυται. τὸ γὰρ ὑπὸ Ἐρασιστράτου λεγόμενον, ὡς ἀεὶ τὸ πρότερον φαίνεται κινούμενον, οὐ τὸ τῆς αἰσθήσεως πάθος διδάσκει. πᾶν γὰρ τοὐναντίον, καὶ καταψεύδεται τοῦ φαινομένου, δόγματος δὲ ἕνεκα λέγεται, καθάπερ καὶ ἄλλα πολλά, πολλοὶ τῶν δόγμασι συναγορευόντων, ἀναπλάσαντες ἔγραψαν ὡς φαινόμενα, μηδ' ὄναρ πώποτε πεφηνότα.

A adiuncto sibi, vt partium motus alter anteuertat, alter cunctetur, huiuscemodi pulsus gignit. Quo fit vt hos constituant inæquales quantitate in diuersis partibus, & illi, qui non habent omnes simul partes motas. Attamen hæc inæqualitas haud dum est sola inuenta, vt prior arteriæ pars præ cæteris videretur moueri; quum autem incidat, omnino aliarum cum illa aliqua, quas ante commemorauimus, complicata est. Nam quod dicit Erasistratus, semper priorem moueri prius videri, sensus non probat. Imò verò longè aliud, ille adductus suo dogmate in re aperta mentitur. Sicut alia item multa commenta, multi qui pro placitis propugnant, pro B testatis prodiderunt, quæ ne per somnium quidem visa vnquam sunt.

ΚΕΦΑΛΑΙΟΝ Κϛʹ.

Περὶ τοῦ μυρμηκίζοντος σφυγμοῦ.

Ὥσπερ δὲ τὸν κυματώδη σφυγμὸν ὁ σκωληκίζων διαδέχεται μικρότερον γενόμενον, οὕτω τὸν σκωληκίζοντα ὁ μυρμηκίζων, ὅταν ἀπολλυμένων τῶν κινήσεων τῶν πολλῶν εἰς μίαν, καὶ ταύτην παντελῶς μικρὰν τελευτήσῃ, καὶ διὰ τοῦτο οὐδ' ἀνώμαλος παντελῶς φαίνεται, καίτοι πιθανόν ἐστιν ἐκ τοῦ γένους αὐτὸν εἶναι τῶν ἀνωμάλων, ἀλλὰ διὰ τὴν μικρότητα, λανθάνει ἡ ἀνωμαλία. κέκληται δ' οὗτος ὁ μυρμηκίζων, ἀπὸ τῆς πρὸς τὸ ζῶον τὸν μύρμηκα ὁμοιότητος, ὡς μέν τινές φασι κατὰ σμικρότητα, ὡς ἕτεροι δέ, διὰ τὸν τρόπον τῆς κινήσεως, ἵν' ὁμοίως τῷ σκωληκίζοντι, καὶ δορκαδίζοντι, καὶ οὗτος ᾖ κεκλημένος. ἐκεῖνοί τε γὰρ ὁμοιότητι κινήσεως τῆς πρὸς τὰ ζῶα ὧν τὴν ἐπωνυμίαν ἔχουσιν ἐκλήθησαν, οὗτός τε αὐτὸς ὁ μυρμηκίζων οὕτως. τινὲς δὲ καὶ δι' ἄμφω φασὶν αὐτὸν οὕτως ὀνομάζεσθαι, διά τε τὴν μικρότητα, καὶ τῆς κινήσεως τὸ εἶδος. ἡμῖν δέ, περὶ μὲν τούτων οὐ φιλοτιμητέον, ὁποῖος δ' ἐστὶν ὁ μυρμηκίζων λεκτέον. ἔστι δὲ μικρὸς ἄγαν, οὗ μικρότερος ἄλλος οὐκ ἔστιν, ὡσαύτως δὲ καὶ ἀμυδρότατος πάντως καὶ πυκνότατος, οὐ μὴν ταχύς γε, ὥς τισι δοκεῖ. δειχθήσεται δὲ τοῦτο ἐν τοῖς περὶ σφυγμῶν διαγνώσεται. ἀλλὰ νῦν γε τὸ λοιπὸν ἔτι προσθέντες, τῆς περὶ τὴν κατὰ μίαν διαστολὴν ἀνωμάλων σφυγμῶν διαφορᾶς, ἐπὶ τοὺς ἄλλους μεταβαίνωμεν.

CAPVT XXVI.

De pulsu formicante.

Iam verò vt vndoso pulsui succedit vermiculans imminuto, ita formicans vermiculanti, quum motibus amissis multis in vnum eúmque prorsus paruum terminet. Quocirca nec inæqualem omnino dicas; quanquam esse ex genere C verisimile est inæqualium, sed inæqualitas, propter exiguitatem, latet. Nomen inuenit hic formicans à similitudine, quæ sibi cum animante est formica, vt quidam volunt, paruitatis; vt alij, speciei motus; vt hic sit nominatus eadem ratione, ac vermiculans, & caprizans: quum illi enim à similitudine motus, quæ ipsis cum animalibus quorum habent cognomen, intercedit, sint nomen sortiti, tum ipse hic formicans. Sunt qui propter vtrunque sic aiunt appellari eum, & quòd paruus est, & ob speciem motus. Nos de his non contendemus: at formi-D cans qualis sit, explicabimus. Est mirè paruus, quo haud est minor alius, iuxtáque languidissimus planè, ac creberrimus, non tamen, vt quibusdam visus est, celer. At in libris de dignoscendis pulsibus hoc demonstrabitur. Nunc si reliquam partem differentiarum pulsuum in vna distentione inæqualium addiderimus, ad alios nos conferemus.

ΚΕΦΑΛΑΙΟΝ ΚΖʹ.

Περὶ τοῦ κλονώδους τε καὶ σπασμώδους σφυγμοῦ.

Εἰσὶ δὲ οἵ τε κλονώδεις ἔτι, καὶ οἱ σπασμώδεις, ἐοικότες μὲν ἀλλήλοις, τῷ μὴ φυλάττειν ἕνα τόπον τὴν ἀρτηρίαν, ἀλλ' ἄνω τε καὶ κάτω φέρεσθαι, τῆς κατὰ φύσιν θέσεως ἐξισταμένης, διαφέροντες δὲ καὶ κατὰ τοῦτο μὲν αὐτό, βραχὺ γὰρ τοῦ τοιούτου παθήματος οἱ σπασμώδεις μετέχουσι, μέγα δὲ καὶ σαφὲς ἐναργῶς τοῖς κλονώδεσιν ὑπάρχει, καὶ καθ' ὅσον δέ, οἱ μὲν σπασμώδεις ἑκατέρωθεν ἐκ τῶν περάτων ἀνθέλκεσθαι, καὶ τείνεσθαι, καὶ σπᾶσθαι φαίνονται, τοῖς κλονώδεσι δέ, οὐδὲν τοιοῦτον ὑπάρχει. καὶ προσέτι μεγάλη μὲν πολλάκις ἡ διαστολὴ τοῖς κλονώδεσι, μικρὰ δ' ἀεὶ τοῖς σπασμώδεσι. καὶ τῶν μορίων τῆς ἀρτηρίας, τὰ μὲν ἀναφέρεσθαι, τὰ δὲ καταφέρεσθαι καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, ἐν τοῖς κλονώδεσι φαίνεται ἐναργῶς, τῶν σπασμωδῶν παντελῶς ὀλιγάκις τε καὶ ἀμυδρῶς τοῦ τοιούτου συμπίπτοντος. καθ' ὅλου δὲ φαίην ἂν οἷον χορδῆς τινος τεταμένης αἴσθησίς ἐστιν ἐπὶ τοῦ σπασμώδους σφυγμοῦ, καθ' ὃ καὶ οὐδενὶ τῶν ἄλλων ἔοικεν· ἐπὶ τῶν κλονωδῶν, οὐδὲν τοιοῦτον φαίνεται. μάλιστα γὰρ

CAPVT XXVII.

De vibrato, & conuulsiuo pulsu.

E Supersunt autem vibrati & conuulsiui, qui hactenus quidem sunt inter se similes, quòd vnum locum arteria non teneat, sed sursum agitetur, atque deorsum, naturali sede deserta. Distant tamen vel hoc ipso, quòd non adeò is affectus in conuulsiuos cadat, in vibratos magnopere, & admodum perspicuè: iam etiam quatenus ex terminis vtrisque retrahi, contendique, & conuelli videntur conuulsiui, vibrati omni isto vacant. Ad hæc, magna frequenter est vi-F bratis distentio, parua semper conuulsiuis. Et partes arteriæ quædam superiora petere, quædam demitti vno eodémque tempore apertè in vibratis conspiciuntur; conuulsiuis verò id perpaucis & obscurè accidit. Breuiter, sentias veluti fidem quandam intensam in pulsu conuulsiuo, quæ illi res cum nullo alio conuenit; in vibratis nihil tale animaduertas. Maximè enim iaculis

iaculis motum eorum quæ magna vi emissa, celeri impetu vibrantur, assimiles; nam ita crebram illam & inæqualem concussionem appellant: qua quidem conuulsiui carent. Omnes autem hosce pulsus qui præter quinque illa prima genera in vna distentione inæquales sunt, duorum accessio horum constituit, quæ sunt, genus inæqualitatis in arteriæ sede, & quum maturiùs, aut seriùs motum partes auspicantur. Primum quidem horum, illum qui inæqualis est, quòd sedem partium commutet, hoc ipsum solum; cæteros quum hoc, tum aliæ quædam inæqualitatum adiunctæ differentiæ primorum quinque generum. Compositæ enim tam notiones horum, quàm generationes sunt, vndosi, vermiculantis, vibrati, conuulsiui. Formicans autem inæqualis quidem, vt diximus, est: non videtur tamen.

A ἂν τις αὐτῶν τὴν κίνησιν εἰκάσειε τοῖς ἀκοντίοις, ὅσα σφοδρῶς ἀφεθέντα, ταχέως φέρεται κραδαινόμενα. καλοῦσι γὰρ οὕτως τὸν πυκνὸν αὐτὸν, καὶ ἀνώμαλον σεισμὸν, ὅπερ οὐχ ὑπάρχει τοῖς σπασμώδεσι. τούτους δὲ πάντας τοὺς σφυγμοὺς, τοὺς ἔξω τῶν πέντε γενῶν τῶν πρώτων κατὰ μίαν διαστολὴν ἀνωμάλους γινομένους, δύο ταῦτα προσιόντα συνίστησι, τό τε παρὰ τὴν θέσιν τῆς ἀρτηρίας εἶδος τῆς ἀνωμαλίας, καὶ τὸ πρωϊαίτερον, ἢ ὀψιαίτερον ἄρχεσθαι τῆς κινήσεως τὰ μόρια, τὸν μὲν πρῶτον ἐν αὐτοῖς ῥηθέντα, τὸν παρὰ τὴν θέσιν τῶν μορίων ἀνώμαλον, αὐτὸ τοῦτο μόνον. τοὺς δὲ ἄλλους, καὶ τοῦτο μὲν, καὶ ἄλλαι δέ τινες ἀνωμαλιῶν προσιοῦσαι διαφοραὶ τῶν πρώτων πέντε B γενῶν. σύνθετοι γὰρ αἵ τε νοήσεις καὶ αἱ γενέσεις αὐτῶν, τοῦ τε κυματώδους, καὶ τοῦ σκωληκίζοντος, καὶ τοῦ κλονώδους, καὶ τοῦ σπασμώδους. ὁ δὲ μυρμηκίζων, ὡς ἔφαμεν, ἀνώμαλος μέν ἐστιν, οὐ μὴν καὶ φαίνεταί γε.

CAPVT XXVIII.

De pulsu capriZante.

Et qui pulsus caprizans ab Herophilo est appellatus, est ille de inæqualibus in vno pulsu; compositus item est, vtriusque expers, quæ primis quinque generibus adiuncta erat, inæqualitatis; verùm vbi motum arteria interpellat quapiam in parte, tum potissimè existit, non simpliciter; neque enim vniuersum hoc genus caprizans est pulsus, cæterùm vbi motus à quiete alter celerior primo, & vehementior sit. Ei siquidem soli ex similitudine quam cum animalibus habet capris, attributum hoc nomen est: quippe quæ hoc modo videntur salire, quasi geminum quendam motum facientes; quòd vbi aliquantulum sese extulerint, & speciem desiti alicubi motus præbuerint, alterum motus, nec opinatum impetum capiunt, priori longè citatiorem, veluti in se ipsas insilientes. Hæ quidem omnes in vna distentione inæqualitates sunt.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τοῦ δορκαδίζοντος σφυγμοῦ.

Καὶ ὁ δορκαδίζων δὲ κληθεὶς ὑπὸ Ἡροφίλου σφυγμὸς, ἔστι μὲν ἐκ τῶν κατὰ μίαν διαστολὴν ἀνωμάλων, C σύνθετος δὲ καὶ αὐτός ἐστιν, οὐδετέρας ἐφαπτόμενος τῶν προσιουσῶν τοῖς πρώτοις πέντε γένεσιν ἀνωμαλιῶν, ἀλλ' ὅταν καθ' ἓν μόριον ὁποιονοῦν διακόπτηται τὴν κίνησιν ἡ ἀρτηρία, τηνικαῦτα μάλιστα γινόμενος, οὐχ ἁπλῶς. οὐ γὰρ ὅλον τοῦτο τὸ γένος δορκαδίζων ἐστὶ σφυγμὸς, ἀλλ' ὅταν ἡ μετὰ τὴν ἡσυχίαν δευτέρα κίνησις, ὠκυτέρα τε καὶ σφοδροτέρα τῆς προτέρας ᾖ. τῷ γὰρ τοιούτῳ μόνῳ τοῦτο ἐπίκειται τὸ ὄνομα, κατὰ τὴν πρὸς τὰ ζῶα τὰς δορκάδας ὁμοιότητα. καὶ γὰρ ἐκεῖνα τοῦτον φαίνεται πηδῶντα τὸν τρόπον, οἷον διπλῆν τινα κίνησιν ποιούμενα. πρὸς βραχὺ γὰρ D ὑψώσαντα ἑαυτὰ, καί τινα δόκησιν, ὡς αὐτοῦ που τὴν κίνησιν καταπαύσαντα παρασχόντα, δευτέραν ἀδόκητον ὁρμὴν κινήσεως ποιεῖται, πολὺ τῆς πρόσθεν ὠκυτέραν, ὡς οἷον ἐπεμπηδῶντα ἑαυτοῖς. αὗται αἱ πᾶσαι κατὰ μίαν διαστολὴν ἀνωμαλίαι.

CAPVT XXIX.

De inæqualitate crebritatis, & raritatis, & rhythmi in diuersis pulsibus.

Nunc de inæqualitate crebritatis, & raritatis rhythmique agemus. Collectiuas dicunt tantùm esse eiuscemodi inæqualitates; ita enim quæ ex pluribus pulsibus conflatæ sunt, appellant. Primum de his dicemus, quæ aceruatim fiunt: deinde ad eas descendemus, quæ in vno pulsu. Atque hic vnam exempli gratia sectam de his quæ de crebritate sunt; quæ scilicet est clarissima, sumamus; quæ ex ictuum censet interuallo, hoc genus pulsuum effici. Vbi ergo omnia ordine æqua sint interualla per omnes pulsus, æqualem hunc dictitant esse; sin partim maiora, partim minora, inæqualem nimirum esse in crebritate & raritate. Rhythmum iam etiam eodem modo ex proportione temporis ictus ad interualli tempus constantem, quum deinceps maneat eadem, æqualem iam dicunt esse: qui primam proportionem si variet, esse inæqualem; quomodo si interuallorum, quas & quietes vocant, mutentur magnitudines, inæqualitatem crebritatis raritatisque fieri. Hæc sane

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Περὶ ἀνωμαλίας τῆς κατὰ πυκνότητα, καὶ ἀραιότητα, καὶ ῥυθμὸν ἐν τοῖς διαφέρουσι σφυγμοῖς.

Περὶ δὲ τῆς κατὰ πυκνότητα, καὶ ἀραιότητα, καὶ ῥυθμὸν, νῦν ἐροῦμεν. E οἴονται δὲ συστηματικὰς μόνας γίνεσθαι τὰς τοιαύτας ἀνωμαλίας. οὕτω δὲ καλοῦσι τὰς ἐν πλείοσι σφυγμοῖς συνισταμένας. εἴπωμεν δὲ πρότερον περὶ τῶν ἐν ἀθροίσματι γινομένων, εἶθ' οὕτως ἐπὶ τὰς καθ' ἕνα μεταβησόμεθα, προχειρισάμενοι παραδείγματος ἕνεκα μίαν αἵρεσιν τῶν περὶ πυκνότητος γεγενημένων, ἥπερ δὴ καὶ σαφεστάτη ἐστὶ, περὶ τὰ διαλείμματα τῶν πληγῶν συνίστασθαι νομίζουσα τὸ γένος τοῦτο τῶν σφυγμῶν. ὅταν οὖν ἑξῆς ᾖ πάντα τὰ διαλείμματα ἴσα κατὰ πάντας τοὺς σφυγμοὺς, ὁμαλὸν τοῦτον εἶναι φασί. εἰ δὲ τὰ μὲν μείζω, τὰ δ' ἐλάττω, δηλονότι ἀνώμαλον, ἐν πυκνότητι καὶ ἀραιότητι. καὶ F τὸν ῥυθμὸν δ' ὡσαύτως ἐν τῷ λόγῳ τοῦ χρόνου τῆς πληγῆς, πρὸς τὸν τοῦ διαλείμματος συνιστάμενον, ὅταν ἐφεξῆς ὁ αὐτὸς μένῃ, τότε εἶναι φασὶν ὁμαλόν. εἰ δὲ μεταβάλλοι τὸν ἐξ ἀρχῆς λόγον, ἀνώμαλον γίνεσθαι, καθάπερ εἰ καὶ τῶν διαλειμμάτων, ἃ καὶ ἡσυχίας καλοῦσι, μεταπέσῃ τὰ μεγέθη, τὴν κατὰ πυκνότητα, καὶ ἀραιότητα γίνεσθαι ἀνωμαλίαν. ταῦτα μὲν

οὕτω ὀρθῶς λέγουσιν, καὶ ἔστιν ἀπὸ τῆς εἰρημένης αἱρέσεως, ἐπὶ τὰς ἄλλας μετιόντα, γνωρίζειν ὁμαλότητά τε καὶ ἀνωμαλίαν ἐν ἀμφοτέροις τοῖς γένεσι, τὴν ἐν πλείοσι, ὡς ἔφαμεν σφυγμοῖς συνισταμένην, ἣν καὶ συστηματικὴν καλοῦσιν.

rectè dicunt: atque ab ista secta proficiscenti ad alias, æqualitatem perspicere licet, & inæqualitatem vtriusque generis, quæ complures, vt diximus, complectitur pulsus, quam collectiuam vocitant.

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ ἀνωμαλίας τῆς κατὰ πυκνότητά τε καὶ ἀραιότητα, καὶ ῥυθμὸν καθ' ἕνα σφυγμόν.

Περὶ δὲ τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας αὐτῶν ἣν ἅπαντες παραλελοίπασιν, οὐκ ἔθ' ὁμοίως σαφές, ἀλλ' ὑπὲρ τοῦ μηδὲν λείπειν τῇ προκειμένῃ πραγματείᾳ, καὶ περὶ τούτων πειράσομαι, καθ' ὅσον οἷόν τε σαφῶς εἰπεῖν, ἀρχὴν τοῦ λόγου τήνδε ποιησάμενος. τὰ μόρια τῆς ἀρτηρίας, ἤτοι πάντα ἅμα τῆς κινήσεως ἄρχεται, ἢ τὰ μὲν αὐτῶν πρωϊαίτερον, τὰ δὲ ὀψιαίτερον. εἰ μὲν οὖν πάντα ἅμα κινεῖσθαι ὑπάρξαιτο, εἶτα καὶ κινηθέντα μὴ ἐν ἴσοις χρόνοις αὖθις τῆς δευτέρας διαστολῆς ἅμα πάλιν ἄρξαιτο, τῶν δύο γενῶν ἀνωμαλία καθ' ἕνα σφυγμὸν συστήσεται, ὅτι μὲν ἐγένετο, γνωρισθεῖσα, τῆς δευτέρας διαστολῆς ἀρξαμένης, οὐ μὴν ἐν τῇ γε δευτέρᾳ τὴν ὕπαρξιν ἔχουσα, ὥσπερ οὐδὲ ὁ ῥυθμὸς αὐτός, οὐδὲ τὸ κατὰ πυκνότητα καὶ ἀραιότητα γένος. καὶ γὰρ καὶ ταῦτα, καθ' ἕνα μὲν σφυγμὸν γίνεται, δεῖται δὲ πάντως εἰς τὸ γνωσθῆναι τοῦ δευτέρου. πρὶν γὰρ ἄρξασθαι τοῦτον, οὐχ οἷόν τε τοῦ προτέρου τὸ πέρας γνωρίσαι. ἔτι δὲ ἀγνώστου μένοντος τοῦ πέρατος, οὔτε τὴν πυκνότητα δυνατὸν, ἢ τὴν ἀραιότητα, οὔτε τὸν ῥυθμὸν ἐπιγνῶναι. ὥστε καὶ περὶ τὴν τῆς ἀνωμαλίας γένεσιν, ἣν εἰρήκαμεν, οὐδὲν θαυμαστὸν ἀναμένειν τῆς δευτέρας διαστολῆς τὴν ἀρχήν. οὐ μὴν τούτου γε ἕνεκα, συστηματικὴν αὐτὴν χρὴ νομίζειν. ἀμέλει πρὶν συμπληρωθῆναι τὴν δευτέραν διαστολὴν, εὐθὺς ἀρχομένης αὐτῆς γνωρίζεται, μηδὲν μήτε τοῦ δευτέρου σφυγμοῦ δεηθέντων ἡμῶν, μήτε τοῦ τρίτου, μήτε τῶν ἑξῆς. οὕτως ἐν τῷ πρώτῳ μόνῳ γίνεται. διὰ τοῦτ' οὖν ἔφαμεν, ὅταν ἅμα πάντων τῶν μορίων ἀρξαμένων κινεῖσθαι κατά τε τὴν προτέραν, καὶ τὴν δευτέραν διαστολὴν, μὴ ἴσος αὐτοῖς ὁ τῆς κινήσεως γένηται χρόνος, τῶν δύο γενῶν ἀνωμαλίαν συνίστασθαι, τὴν μὲν κατὰ πυκνότητα καὶ ἀραιότητα, τῷ τῶν διαλειμμάτων ἀνίσῳ. τὴν δὲ κατὰ ῥυθμὸν, τῷ λόγῳ τοῦ χρόνου τοῦ πληγῆς πρὸς τὸν τοῦ διαλείμματος. ὁ μὲν γὰρ τοῦ πρώτου πάντων παυσαμένου τῆς κινήσεως μορίου χρόνος, ἐλάχιστος ἔσται. μέγιστος δὲ, ὁ τοῦ ὑστάτου. οἱ δ' ἐν τῷ μέσῳ, ἀνάλογον, ἐφ' ὅσον ἂν, ἢ τοῦ πρώτου, ἢ τοῦ ἐσχάτου ἀφεστηκότες ὦσιν. ἔμπαλιν δὲ τοῖς τῶν κινήσεων χρόνοις, οἱ τῶν ἡσυχιῶν, μείζους μὲν ἔσονται περὶ τὰ πρῶτα παυσάμενα. ἐλάττους δὲ, περὶ τὰ ὕστατα. ὥστε ὁ μὲν κατὰ τὸ πρῶτον παυσάμενον μόριον χρόνος τῆς κινήσεως ἐλάχιστος ὢν, μεγίστῳ παραβάλλεται χρόνῳ, τῷ τῆς κατὰ τὸ αὐτὸ μόριον ἡσυχίας. ὁ δὲ, κατὰ τὸ ὕστατον μέγιστος ὢν ἁπάντων τῶν τῆς κινήσεως χρόνων, ἐλαχίστῳ, τῷ τῆς κατὰ τὸ αὐτὸ μόριον ἡσυχίας παραβάλλεται, καὶ οὕτως ὁ ῥυθμὸς ὑπαλλάττεται καθ' ἕκαστον, εἰς ὅσον ὁ λόγος τοῦ τῆς κινήσεως χρόνου, πρὸς τὸν τῆς ἡσυχίας, οὐχ ὁ αὐτὸς ἐν ἅπασι μένει. εἰ μέντοι τῆς προτέρας διαστολῆς, ἅμα μὲν ἁπάντων τῶν μορίων τὴν ἀρχὴν τῆς κινήσεως ποιησαμένης, οὐκ ἰσοχρόνως δὲ πᾶσιν ἡ δευτέρα διαστολὴ μὴ ἅμα πάντων ποιήσηται τὴν ἀρχὴν τῆς κινήσεως, ἀλλὰ προτέρου μὲν τοῦ προτέρου παυσαμένου, καὶ τοσούτῳ γε προτέρου, ὅσῳ πρότερον ἐπαύσατο, δευτέρου δὲ, τοῦ δευτέρου, καὶ οὕτως ἑξῆς, ἡ μὲν κατὰ τὸν ῥυθμὸν ἀνωμαλία γένοιτ' ἂν οὕτως, ἡ δὲ κατὰ πυκνότητα καὶ ἀραιότητα οὐκ ἔτι. τὸ μὲν γὰρ τῆς ἡσυχίας ἴσον ἐν ἅπασι γινόμενον, οὐδεμίαν ἐργάσεται κατὰ πυκνότητα καὶ ἀραιότητα διαφοράν· οὐ μὴν

CAPVT XXX.

De inæqualitate crebritatis, raritatis, rhythmique in vno pulsu.

INæqualitas verò illorum in vno pulsu, quam neglexerunt omnes, non perinde iam est aperta. Sed vt præsens lucubratio ne quid desideret, faciam, hæc etiam vt quoad eius fieri poterit, clare explicem, hoc sermonis initium faciens. Partes arteriæ, aut omnes vnà motum exordiuntur, aut pars earum maturiùs, pars tardiùs. Si iam moueri omnes simul cœperint, mox motæ minus æquis temporibus, iterum distentionem alteram simul inceperint, duorum generum in vno pulsu inæqualitas erit; quæ quod fuerit, cognita quidem fit, vt secunda distentio cœpit, non tamen in secunda contineatur; sicut nec ipse rhythmus, nec genus crebritatis & raritatis: quum & hæc ipsa fiant in vno pulsu, tamen omnino desiderent, quò cognoscantur, secundum; quòd quidem ante huius initium, prioris nequeat finis cognosci. Iam incognito fine, nec crebritatem valeas, vel raritatem, vel verò rhythmum assequi. Quare ad inæqualitatem constituendam, quam diximus, nil mirum est si secundæ distentionis principium expectetur. Hac tamen de causa, non est collectiua nominanda. Scilicet priusquam altera distentio finiatur, statim in eius principio cognoscitur, vt nec altero nobis pulsu sit, nec tertio, nec reliquis opus. Atque sic in primo solo fit. Itaque diximus, si vniuersæ simul partes cœperint in prima & secunda distentione moueri, nec habeant par tempus motus, generari duorum generum inæqualitatem; vnam crebritatis & raritatis, imparitate interuallorum; alteram rhythmi, proportione temporis ictus ad interualli. Tempus enim partis quæ omnium partium prima moueri desinit, minimum erit; maximum postremæ; media, proportione, in quantum, aut à prima, aut à postrema absint. Contrà, ac tempora motuum, quietum tempora longiora sunt in illis, quæ primæ à motu desistunt: in illis, quæ postrema, breuiora. Quare tempus motus, quem habuit pars, quæ moueri prima desiit, minimum, cum maximo tempore quietis eiusdem partis comparatur, & vltimæ tempus, quod maximum erat omnium motus temporum, ad minimum confertur quietis eiusdem partis. Et ita rhythmus in singulis commutatur, quatenus proportio temporis motus ad quietis tempus non eadem in omnibus manet. Quòd verò, si prior distentio ex omnibus simul partibus moueri cœperit, sed non pari in omnibus tempore; deinde altera distentio motum auspicata sit non vnà omnium partium, sed prius quidem eius, quæ prior quieuerat, atque eo prius quo prius quieuisset; secundo motum eius quæ secunda, atque ita deinceps; inæqualitas quidem ita rhythmi fiet, crebritatis & raritatis non item. Nam quies, quum omnibus æqua sit, differentiam in crebritate & raritate efficit nullam; non respondebit

debit tamen motus tempus tempori quietis: siquidem motus non erat omnibus par tempus, quietis erat; nec ergo idem omnibus rhythmus. Quòd si, quum moueri arteriæ simul omnes partes cœperunt, non item simul omnes alteram distentionem ordiantur, neque priorem terminauerint simul, sed ne quies quidem in omnibus æqua sit, binas in eo necesse est differentias esse. Nam crebritatis & raritatis in alterutra differentia inæqualitas fit, at non rhythmi tamen necessario: possunt enim omnium partium tempora motus, quietum temporibus respondere: & si hoc, erit item rhythmus æqualis. Sin autem eadem in omnibus partibus proportio non constet (sanè enim potest etiam hoc fieri) simul perdetur rhythmus. Iam verò vbi vnà omnes partes moueri cœperint, motæque æquo sint tempore, si alteræ distentionis non idem omnes initium partes ordiantur, sed quædam maturius, quædam incœperint serius, non rhythmus iam æqualis erit, neque crebritatis raritatísque differentia; hanc enim impares quietes inæqualem efficiunt: rhythmum verò, proportionum commutatio, quum æquo tempore omnes partes motæ sint, non æquo tamen quieuerint tempore. Tot sunt inæqualitatis vtriusque vno in pulsu generis differentiæ, quum omnes vnà partes arteriæ distendi inceperint. At, vbi hæc primò, illa secundò distendi cœperit, si omnes simul quieuerint, ac deinde distentionem vnà alteram auspicatæ sint, inæqualitas in altero tantum genere necesse est, sit rhythmi; quandoquidem æqua omnibus partibus erunt interualla motuum: sic inæqualitas in hoc quidem genere nulla erit. Et, si cum tempore quietis, quod sit par in omnibus partibus, impar tempus conferatur cuiusque partis motus, diuersis proportionibus cuiuslibet rhythmum partis conficiet. Quòd si alteram distentionem arteria iuxta orsa sit, atque priorem, vt in vtraque distentione eadem pars prior altera pari interuallo incipiat, ídque in omnibus partibus sit constans, ac illæ vnà desierint priorem distentionem, non potest non esse in vtroque genere inæqualitas. Nam omne tempus, quod est ex motu & interuallo conflatum, omnibus est æquabile arteriæ partibus. Sed motuum proportiones, quod totum tempus in æquas partes non distribuatur, non respondent quietum proportionibus. Etenim partium quæ moueri primæ cœperint, tempus motus excedet earum tempus, quæ tardiores inceperint, interualli verò minus erit; contrà partes quæ cœperint posteriùs, tempus habent motus minus, quietis maius. Quare simul inæqualis rhythmus necessario erit singularum partium; & quatenus tempora interuallorum differunt, etiam crebritatis atque raritatis coniungi cum iis inæqualitatem est necesse. Si verò altera distentio perinde ac prior fecerat, initium motus partium sit orsa, id est si eadem vtrobique pars incipiat moueri, hæc primo loco, illa posteriore; non sit autem finis prioris distentionis in omnibus æquus, duæ erunt differentiæ; potest enim & longè quidem quiescere prius, quæ prior est pars motum auspicata, potest etiam posterius. Nam si tantò quieuerit prius, quantò cœpit, fiet ita æqualis in vtro-

ὅ γε λόγος ὁ αὐτὸς ἔσται τοῦ τῆς κινήσεως χρόνου πρὸς τὸν τῆς ἡσυχίας, εἴ γε ὁ μὲν τῆς κινήσεως οὐκ ἴσος ἦν ἅπασιν, ὁ δὲ τῆς ἡσυχίας, ἴσος. ὥστ' οὐδὲ ὁ ῥυθμὸς ἅπασιν ὁ αὐτός. εἰ δ' ἅμα πάντα τὰ μόρια τῆς ἀρτηρίας ἀρξάμενα κινεῖσθαι, μήθ' ἅμα πάλιν ἄρξαιτο τῆς δευτέρας διαστολῆς, μήθ' ἅμα παύσαιτο τῆς προτέρας, ἀλλὰ μηδὲ τὸ τῆς ἡσυχίας ἴσον ἐν ἅπασι γένοιτο, διττὴν ἐν τῷ τοιούτῳ διαφορὰν ἀνάγκη συστῆναι· τῆς μὲν κατὰ πυκνότητα καὶ ἀραιότητα, καθ' ἑτέραν τὴν διαφορὰν ἀνωμαλίας συνισταμένης, οὐ μὴν τόν γε κατὰ τὸν ῥυθμὸν ἐξ ἀνάγκης. ἐνδέχεται γὰρ ἐν τῷ αὐτῷ λόγῳ πάντων τῶν μορίων, τοὺς τῆς κινήσεως χρόνους πρὸς τοὺς τῶν ἡσυχιῶν γενέσθαι. καὶ εἰ τοῦτο συμβαίνοι, καὶ ὁ ῥυθμὸς ὁμαλὸς ἂν εἴη, μὴ σωζομένου δὲ τοῦ αὐτοῦ κατὰ πάντα τὰ μόρια λόγου· καὶ γὰρ καὶ τοῦτο ἐνδέχεται γενέσθαι, διαφθαρείη ἂν οὕτω καὶ ὁ ῥυθμός. εἰ δ' αὖ πάλιν ἅμα πάντων ἀρξαμένων τῶν μορίων κινεῖσθαι, καὶ κινηθέντων ἐν ἴσῳ χρόνῳ τῆς δευτέρας διαστολῆς, μὴ ἅμα πάντα τὰ μόρια τὴν αὐτὴν ἀρχὴν ποιήσαιτο, ἀλλὰ τὰ μὲν πρωϊαίτερον αὐτῶν ἄρξαιτο, τὰ δὲ, ὀψιαίτερον, οὔτε ὁ ῥυθμὸς ἔτι ὁμαλὸς, οὔτε ἡ κατὰ πυκνότητα καὶ ἀραιότητα διαφορά. ταύτην μὲν γὰρ ἀνώμαλον ποιεῖ τῶν ἡσυχιῶν τὸ ἄνισον. τὸν δὲ ῥυθμὸν, ἡ τῶν λόγων ἑτερότης, ἁπάντων μὲν τῶν μορίων ἐν ἴσῳ χρόνῳ κινηθέντων, οὐ μὴν καὶ ἡσυχασάντων ἐν ἴσῳ χρόνῳ. τοσαῦται μὲν ἀνωμαλίας αἱ διαφοραὶ, τῆς καθ' ἕνα σφυγμὸν ἀμφοῖν τοῖν γενοῖν, ὅταν ἅμα πάντα τὰ μόρια τῆς ἀρτηρίας ἄρξηται διαστέλλεσθαι. ὅταν δὲ τὸ μὲν, πρότερον αὐτῶν, τὸ δὲ δεύτερον ἄρξηται τοῦ διαστέλλεσθαι. παυσαμένων μὲν ἁπάντων ἅμα, καὶ αὖθις τῆς δευτέρας διαστολῆς ἀρξαμένων ἅμα, καθ' ἅτερον γένος τὸ τοῦ ῥυθμοῦ μόνον, τὴν ἀνωμαλίαν ἀνάγκη γίνεσθαι. τὰ μὲν γὰρ διαλείμματα τῶν κινήσεων, ἴσα πᾶσιν ἔσται τοῖς μορίοις. ὥστε οὐδεμία κατά γε τοῦτο τὸ γένος, ἀνωμαλία συστήσεται. ἴσῳ δὲ ὄντι τῷ χρόνῳ τῷ τῆς ἡσυχίας ἐν ἅπασι τοῖς μορίοις, ἄνισος παραβαλλόμενος, ὁ τῆς καθ' ἕκαστον αὐτῶν κινήσεως, ἐν διαφέρουσι λόγοις τὸν ἑκάστου μορίου ῥυθμὸν ἀποτελέσει. εἰ δὲ κατὰ τὸν αὐτὸν τρόπον ἄρξαιτο τῆς δευτέρας διαστολῆς ἡ ἀρτηρία, καθ' ὃν καὶ τῆς προτέρας, ὥστε καθ' ἑκατέραν τῶν διαστολῶν ταὐτὸ μόριον ἄρχεσθαι πρωϊαίτερον ἑτέρου τῷ ἴσῳ. καὶ τοῦτ' ἐν ἅπασι τοῖς μορίοις φυλάττοιτο, παυσαμένων αὐτῶν ἅμα τῆς προτέρας διαστολῆς, ἀνάγκη καθ' ἑκάτερον τῶν γενῶν γενέσθαι, τὴν ἀνωμαλίαν. ὁ μὲν γὰρ πᾶς χρόνος ὁ συγκείμενος ἔκ τε τῆς κινήσεως, καὶ τοῦ διαλείμματος, ἴσος ἔσται πᾶσι τοῖς μορίοις τῆς ἀρτηρίας. ἄνισοι δὲ οἱ τῶν κινήσεων λόγοι, πρὸς τοὺς τῶν ἡσυχιῶν, τῷ τὸν ὅλον χρόνον μὴ εἰς ἴσα τέμνεσθαι. τῶν μὲν γὰρ πρότερον ἀρξαμένων μορίων κινεῖσθαι, ὁ μὲν τῆς κινήσεως χρόνος, μείζων ἔσται τοῦ τῶν ὕστερον ἀρξαμένων. ὁ δὲ τοῦ διαλείμματος, ἐλάττων. τῶν δ' ὕστερον ἀρξαμένων ἔμπαλιν, ὁ μὲν τῆς κινήσεως χρόνος ἐλάττων, ὁ δὲ τῆς ἡσυχίας μείζων. ὥστε ἀνάγκη καὶ τὸν ῥυθμὸν ἄνισον εἶναι καθ' ἕκαστον τῶν μορίων. καὶ τὴν κατὰ πυκνότητα δὲ καὶ ἀραιότητα συνίστασθαι περὶ αὐτοὺς ἀνωμαλίαν, ἀναγκαῖον, εἰς ὅσον οἱ τῶν διαλειμμάτων χρόνοι διαφέρουσι. εἰ δ' ὁμοίως τῆς δευτέρας διαστολῆς τὴν ἀρχὴν τῆς τῶν μορίων κινήσεως ποιησαμένης, ἥνπερ ἡ προτέρα ἐπεποίητο, τουτέστιν ἵνα καθ' ἑκατέραν τὸ αὐτὸ μόριον ἄρχηται, τὸ μὲν πρότερον, τὸ δὲ ὕστερον τῆς κινήσεως, ἡ τελευτὴ τῆς προτέρας διαστολῆς, μὴ ἴση πᾶσι γένοιτο, δύο ἔσονται διαφοραί. δύναται γὰρ καὶ πολλῷ πρότερον παύσασθαι, τὸ πρότερον τῆς κινήσεως ἀρξάμενον, μόριον, δύναται δὲ καὶ ὕστερον. εἰ μὲν γὰρ ἐν ἴσῳ παύσαιτο τὸ πρότερον, ὅσῳ πρότερον ἤρξατο, κατ' ἄμφω τὰ γένη, γένοιτ' ἂν οὕτως ὁμαλὸς

σφυγμός. εἰ δὲ πολλῷ παύσαιτο πρότερον, ἤπερ ἤρξατο, τὴν ἀνωμαλίαν οὕτω γεννήσει τὴν δύο γενῶν. παυσάμενον δ' ὕστερον, τὸ πρότερον ἀρξάμενον, πάντως ἐργάσεται τὴν δύο γενῶν τὴν ἀνωμαλίαν, ἄν τε πολλῷ τύχῃ παυσάμενον ὕστερον, ἄν τε ὀλίγῳ. εἰ δὲ μήτε τῆς προτέρας διαστολῆς ἡ ἀρχὴ πᾶσιν ἅμα τοῖς μορίοις γένοιτο, μήτε τῆς δευτέρας, ἐνδέχεταί ποτε μὲν τὸν ῥυθμὸν ὁμαλὸν γίνεσθαι, ἐνδέχεται δὲ καὶ τὸ τῆς πυκνότητος καὶ ἀραιότητος γένος. εἰ μὲν οὕτω μερισθεῖεν οἱ τῶν κινήσεων χρόνοι, πρὸς τοὺς τῶν ἡσυχιῶν. ὥστε τὸν αὐτὸν ἐν ἅπασιν εἶναι λόγον, ὁμαλοῦ τοῦ ῥυθμοῦ γιγνομένου. εἰ δ' οἱ τῶν ἡσυχιῶν χρόνοι μόνοι ἴσοι γενηθεῖεν, ὁμαλότης ἐν θατέρῳ γένει. ταῦτα μὲν οὖν σπάνια. τὰ δὲ τῶν ἀνωμαλιῶν, ἱκανῶς πολλά. καὶ γὰρ ἅμα πάντα δύναται τῆς κινήσεως παύσασθαι τὰ μόρια, καὶ οὐχ ἅμα. κἂν τῷ μὴ ἅμα παύσασθαι, τὰ μὲν πρότερον, τὰ δ' ὕστερον. καὶ ἤτοι πολλῷ πρότερον, ἢ πολλῷ ὕστερον. οἷαι δὲ καὶ ὅσαι γένοιντ' ἂν αἱ ἀνωμαλίαι, κατὰ ταῦτα τοῖς προειρημένοις ἂν εὑρίσκοις. ὥστε οὐδὲν δεῖ μηκύνειν ἔτι. μόνον δὲ ὑπομνήσαντας, ὡς τὸ προτεθὲν ἀποδέδεικται, τὸ γίνεσθαί τινας καὶ καθ' ἕνα σφυγμὸν ἀνωμαλίας, ἔν τε τῷ κατὰ πυκνότητα καὶ ἀραιότητα γένει, κἂν τῷ κατὰ τὸν ῥυθμόν, ἐνταῦθά που καταπαῦσαι καιρὸς ἤδη τὸν πρῶτον λόγον. ἃ γὰρ ἐπὶ μιᾶς αἱρέσεως, τῆς μεριζούσης εἰς πληγὴν καὶ διάλειμμα τὸν σφυγμόν, ὡς ἐπὶ παραδείγματος εἰρήκαμεν, οὐδὲν χαλεπὸν καὶ ἐπὶ τὰς ἄλλας μεταφέρειν, ὁμοίως ἡμῶν καὶ κατ' ἐκείνας ἁπάσας ἀποδεῖξαι δυναμένων ἐν τοῖς δύο γένεσι τούτοις, περὶ ὧν δὴ πέπαυμαι λέγων, τὰς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας συνισταμένας.

que genere pulsus. Sin multò prius, atque est auspicata, quieuerit, duorum generum efficiet inæqualem pulsum. At, si quæ prior cœpit, desistat posterior, duorum generum omnino inæqualitatem creabit, siue multò tardius, siue paulò quieuerit. At verò, si neque prioris distentionis initium ex omnibus simul partibus fiat, neque secundæ est, quum rhythmus possit æqualis esse, possit & crebritatis & raritatis genus; & siquidem ita motuum tempora cum quietum temporibus sint partita, vt eadem sit proportio in omnibus, fit æqualis rhythmus; si verò tempora sola paria fuerint quietum, æqualitas erit in altero genere. Sed hæc infrequentia sunt, inæqualitates verò sunt permultæ; nam omnes possunt simul partes à motu cessare, & non simul; ac quum non cessant simul, hæ prius, illæ posterius; iam etiam, vel longè prius, vel longè tardius. At quæ & quot hac ratione differentiæ fient, ex superioribus inuenias; quo me oportet breuiorem esse. Itaque si commonuerim, quod institutum erat, esse demonstratum, habere suas etiam vnum pulsum inæqualitates, tum in genere crebritatis & raritatis, tum in genere rhythmi, finem hîc iam primi libri faciam. Nam quæ in vna nos secta, quæ in ictum, & interuallum pulsum partitur, exempli gratia retulimus, nullo negocio ad alias traducamus; possumus enim perinde per omnes etiam illas in generibus his duobus de quibus modo dixi, inæqualitates pulsus vnius demonstrare.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Β'.

GALENI DE PVLSVVM DIFFERENTIIS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β' ΒΙΒΛΙΩι.

Περιέχει λόγον τῶν ἰδίων τε καὶ συναρμοττόντων ὀνομάτων, καὶ διδάσκει ὅσον ἂν σφαλθῇ ὁ Ἀρχιγένης ἐν τοῖς τῶν σφυγμῶν ὀνόμασί τε, καὶ γένεσι, καὶ διαφοραῖς.

ARGVMENTVM LIBRI SECVNDI.

Continet rationem propriorum & accommodatorum nominum, ac docet quantùm aberrarit Archigenes in nominibus pulsuum, generibus, ac differentiis adhibendis.

CAPVT PRIMVM.

Vsus huius libri.

NON eundem vsum hic liber pollicetur ac primus; sed quam veratrum rationem habet, vel scammonium, cum pane, & carnibus, eandem quæ nunc dicemus, cum superioribus habent. Nutrire enim mentes illa sanas, hæc resecare prauas sententias valent, vt morbos quosdam. Æquum est autem eorum quæ perperam dicta sunt obiurgationibus, fidem rectè dictis firmam comparari. Quare hanc vtilitatem si propositæ disputationi addas, inueneris compendij nonnihil adiunctum.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Χρεία τούτου τοῦ βιβλίου.

Οὐ τὴν αὐτὴν χρείαν ἐπαγγέλλεται τόδε τὸ γράμμα τῷ πρόσθεν, ἀλλ' ἣν ἔχει λόγον ἐλλέβορος, ἢ σκαμμωνία πρὸς ἄρτον, ἢ κρέας, τοῦτο καὶ τὰ νῦν λεχθησόμενα πρὸς τὰ εἰρημένα. τρέφειν μὲν γὰρ ἐκεῖνα τὰς ὑγιαινούσας ἐδύνατο ψυχάς, ἐκκαθαίρειν δὲ ταῦτα τὰς μοχθηρὰς δόξας, ὥσπερ τινὰ νοσήματα. συγκατασκευάζεσθαι δ' εἰκὸς τοῖς ἐλέγχοις τῶν διημαρτημένων, πίστιν βεβαίαν τῶν ὀρθῶς εἰρημένων. ὥστ' εἴ τις τῷ παρόντι λόγῳ, καὶ ταύτην προσθείη τὴν χρείαν, εὑρήσει τινὰ καὶ ὠφέλειαν ἑπομένην.

CAPVT II.

De nominum vsu.

EST autem primum mihi cum sophistis sermo de nominibus vsurpandis. Græcorum nanque nos institutum (etenim apud eos sumus educati) tenemus, conamúrq; vt clarissimis semper nominibus sensum interpretemur. Neque nos tamen scilicet in eos querimur, qui hoc floccipendunt; imò verò, si vel singula quis velit verba vsurpare barbarè, modò interpretationis lucem non offendat, nihil laboramus. Nam linguę qua inter nos cōmentamur, hoc nomine vtimur proprietate, quò mentē alterius assequamur: atq; vt clarissimè quisque mentē suam potest significare, ita sermone cēsemus eū vti optimè. Nostrum id est institutū, modestum vt arbitror & humanū; verùm interpellant sophistæ, qui sicut mutuo de nominibus contendūt, res ipsas negligentes, & iterū nos semper con-

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς χρήσεως τῶν ὀνομάτων.

Ἔστι δὴ πρῶτός μοι λόγος πρὸς τοὺς σοφιστάς, ὁ περὶ τῆς χρήσεως τῶν ὀνομάτων. ἡμεῖς γὰρ ἑπόμεθα τῇ τῶν Ἑλλήνων συνηθείᾳ. καὶ γὰρ ἐτράφημεν ἐν αὐτῇ, πειρώμεθά τε διὰ τῶν σαφεστάτων ὀνομάτων, ἑρμηνεύειν ἀεὶ τὸ νοούμενον. οὐ μὴν ἐγκαλοῦμέν γε τοῖς ὀλιγωροῦσιν αὐτῆς, ἀλλ' εἰ καὶ καθ' ἑκάστην λέξιν ἐθέλοι τις βαρβαριστὶ φθέγγεσθαι, μὴ λυμαινόμενος τῷ σαφεῖ τῆς ἑρμηνείας, οὐδὲν ἡμῖν μέλει. τούτου γὰρ ἕνεκα χρώμεθα τῇ πρὸς ἀλλήλους διαλέκτῳ, τοῦ νοῆσαι τὰ δηλούμενα, καὶ τοῦτον ἡγούμεθα κάλλιστα χρῆσθαι λόγῳ, τὸν ἐναργέστατα δηλοῦν ἃ βούλεται δυνάμενον. ἡ μὲν ἡμετέρα προαίρεσις τοιαύτη, μέτριος, ὡς νομίζω, καὶ φιλάνθρωπος. οὐ μὴν ἐπιτρέπουσιν ἡμῖν οἱ σοφισταί, ἀλλ' ὥσπερ ἀλλήλοις ἐρίζουσι περὶ τῶν ὀνομάτων, ἀμελοῦντες αὐτῶν τῶν πραγμάτων, οὕτω καὶ ἡμῖν ἐπη-

ῥεάζουσιν ὑβρίζοντες ἀεὶ, καὶ καταγελῶντες, εἰ μὴ χρησαίμεθα τοῖς ἐκείνων ὀνόμασιν. Εἰ μὲν οὖν ἅπαντες συνθέμενοι μίαν διάλεκτον, ὥσπερ νόμισμα καινὸν ὑπὸ ψηφίσματος εἰσηγήσαιντο, τάχα ἂν ἐπειράθημεν ἐπιλαθέσθαι μὲν τῆς τῶν Ἑλλήνων, ἐκμαθεῖν δὲ τὴν πρὸς ἐκείνων νομοθετεῖσαν. ἀλλ᾽ οὐδ᾽ εἰ τῶν βαρβάρων τινὰ μιᾷ διαλέκτῳ συνέθεντο χρήσασθαι, μαθεῖν ἂν οὐδὲ ταύτην ὠκνήσαμεν, ὑπὲρ τοῦ πάντ᾽ αὖθις χαρίσασθαι. ἐπεὶ δὲ οὐχ Ἑλληνικὴν διάλεκτον εἰλικρινῶς οὐδεμίαν, οὐδὲ βάρβαρον ἁπλῶς, ἀλλά τινα μικτὴν ἐξ ἁπασῶν, οἷον καρύκην, ἤ τινα ποικιλωτέραν τε, καὶ ἀλλοκωτέραν Καρύκης συντιθέασιν, ὡς ἂν ἕκαστος αὐτῶν βούληται, τὰ μὲν ἐκ Φοινίκης τε καὶ Συρίας, τὰ δ᾽ ἐξ Αἰγύπτου τε καὶ Θρᾴκης, ἢ ποθὲν ἄλλοθεν συμφορήσας, εἶτα τοῖς τῶν Ἑλλήνων ὀνόμασι μιγνὺς, οὐδὲ τούτοις γνησίοις, ἀλλὰ πολυειδῶς διεφθαρμένοις, ἐγὼ μὲν οὐκ ἔχω μὰ τοὺς Θεοὺς, ὅ τι καὶ δράσω, μήτ᾽ ἐκμανθάνειν τὰς τοιαύτας διαλέκτους δυνάμενος, μήτ᾽ ἐκείνους πείθων μίαν ἐκμανθάνειν τὴν τῶν Ἑλλήνων, μήτ᾽ ἐπὶ τούτων οὐδ᾽ ἑτέρου τυγχάνω, τοῦ γοῦν τρίτου τε καὶ λοιποῦ τυχεῖν παρ᾽ αὐτῶν δυνάμενος, τοῦ συγχωρεῖν ἡμῖν, ἐν ᾗ τεθράμμεθα φωνῇ, ταύτῃ χρήσασθαι. τὸ μὲν δὴ περὶ τὴν τῶν ὀνομάτων χρῆσιν κακὸν τηλικοῦτον.

tumeliis insequuntur, nisi ipsorum vocabulis vtamur. Qui si vniuersi vnam linguam constituant, eámque vt nouam monetam, rogatione ferant, conemur fortassis Græcæ linguæ obliuisci, ediscere autem ab istis promulgatam. Quin, ne si barbaram quidem linguam aliquam statuerent vsurpandam, vt iis morem vbique geram, dubitem discere. Quando verò Græcam nullam integram linguam, nec etiam semel barbaram, sed confusam quandam ex omnibus, quasi Carycam, aut si qua Carycaria magis, & absurdior fieri potest, componunt: atque pro suo quisque voto partim ex Phœnicia & Syria, partim ex Ægypto & Thracia, aut aliunde contrahunt, inde Græcorum commiscent nominibus, nec iis sanè integris, & legitimis, cæterum variè corruptis; equidem quid agam me hercle non habeo; qui neque eas linguas possum ediscere, neque adducere illos, vt vnam addiscant linguam Græcam: nec posteaquam horum neutrum obtineo ab illis, tertium possum, & quod est vnum reliquum, vt in qua sumus lingua educati, hac vt vtamur, permittant. Atque hoc quidem habet tantum malum vsus vocum.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Περὶ τῆς τῶν ὅρων χρήσεως πρὸς τοὺς Σοφιστάς.

Ἕτερον δὲ τὸ περὶ τοὺς ὁρισμοὺς, μακρῷ τούτου χαλεπώτερον. ἔνιοι γὰρ αὐτῶν δοκοῦσί μοι μηδὲ λάχανον ἂν πρίασθαι χωρὶς ὅρου, καὶ ταῦτα μέντοι μηδ᾽ ὄναρ διαλεκτικῆς ἡμμένοι, καὶ προτείνουσιν, ὡς ἂν τοιοῦτοί τε κἀν τοιούτοις τεθραμμένοι, τῶν ὀνομάτων τι τούτων τῶν καλῶν τῶν ἐκ μέσης Συρίας, ἢ Κιλικίας, καὶ τοῦτο ὁρίζεσθαι κελεύουσιν, ὃ μὴ δ᾽ ἴσως ἤκουσε τὴν ἀρχὴν ἄνθρωπος Ἕλλην μηδὲ πώποτε. εἶθ᾽ ὁ μὲν, ὡς ἂν ξένον τε καὶ βάρβαρον ἀγνοεῖ. ὁ δ᾽ ἤδη καταγελᾷ τε, καὶ σκώπτει, καὶ τωθάζει, καὶ παῖδα, καὶ μειράκιον ἀποκαλεῖ. πολλάκις δὲ τὸ μὲν προταθὲν ὄνομα τῶν Ἑλληνικῶν ἐστιν, οὐ μὴν καθ᾽ οὗ γε παρὰ τοῖς Ἕλλησιν ἐπίκειται πράγματος, οὕτως αὐτὸ νοοῦσιν οἱ δαιμόνιοι Σοφισταί. κἄπειτα κελεύουσιν ὁρίσασθαι. καί τις ἴσως Ἕλλην ἀνὴρ ὁρίζεται κατὰ τὴν τῶν Ἑλλήνων συνήθειαν. οἱ δὲ οὐ μόνον οὐ πείσονται, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ καὶ καταγελάσουσι, καὶ διαπαίζουσιν. οὗτος μὲν ὁ δεύτερος τρόπος τῶν περὶ τοὺς ὁρισμοὺς κακῶν. ὁ δὲ δὴ τρίτος ὁ μηκέτι κατὰ τοὔνομα, καὶ τὸ σημαινόμενον, ἀλλ᾽ ἤδη γε κατ᾽ αὐτὸ τὸ ὑποκείμενον σφαλλόμενος, ὅταν ἐπιχειρῇ τις ἀνὴρ διαλεκτικὸς τοὺς ὅρους αὐτῶν, τοὺς μὲν ἐλλιπεῖς, τοὺς δὲ περιττοὺς, τοὺς δὲ ἀδιορίστους, τοὺς δὲ ἀσαφεῖς, τοὺς δὲ μακροὺς, τοὺς δὲ ψευδεῖς, τοὺς δ᾽ ὅλως οὐδ᾽ ὅρους δεικνύειν, ἐξαίφνης, ὥσπερ ἐνθουσιῶντες, πικροὶ τῆς διαλεκτικῆς ἀναφαίνονται κατήγοροι, καὶ τότ᾽ αὖθις μάτην, καὶ πρὸς κακοῦ δοκεῖ τῷ τε βίῳ παντὶ, καὶ ταῖς τέχναις ἐπιτηδεύεσθαι. ὥστ᾽ ἐγὼ μὲν πολλάκις, νὴ τοὺς Θεοὺς, ἐξεπλάγην, εἰ παρακαλούντων μὲν ἡμῶν, μὴ πάντα δι᾽ ὅρων πειρᾶσθαι μήτε διδάσκειν, μήτε μανθάνειν. οἱ δ᾽ οὐ πείθονται. συγχωρησάντων δ᾽ ὁρίσασθαι, κἄπειτα δεικνυόντων ἡλίκα σφάλλονται, τηνικαῦτα τοὺς ὅρους ἀχρήστους εἶναι φασι. καὶ ταῦτ᾽ οὐ μιᾶς ἡμέρας, ἢ δυοῖν ἐν τῷ μέσῳ γινομένων, ἀλλ᾽ ἐν ἀκαρεῖ χρόνῳ, τὸ λεγόμενον δὴ τοῦτο, μεταπεσόντος ὀστράκου, ποτὲ μὲν ὅρον ἐρωτῶσι προβάλλοντες ὄνομα, ποτὲ δὲ ἀχρήστους εἶναι τοὺς ὅρους φασί. τὸ δὲ τέταρτον αὖθις ἐν τοῖς τοιούτοις πλημμελήμασι, μηδ᾽ ὅτι πάντων οὐκ εἰσὶν ὅροι γνώ-

---

CAPVT III.

De definitionum vsu aduersus Sophistas.

Alterum de definitionibus longè hoc est difficilius. Sunt enim qui ne olus quidem citra definitionem mihi videantur empturi, idque quum nec per somnium dialecticam viderint; proferúntque, vt tales solent, & in talibus enutriti, ex nominibus aliquod illis præclaris, ex media petitis Syria, vel Cilicia, atque definiri hoc imperant; id quod non audiuit fortasse quisquam homo Græcus. Hoc si, vt peregrinum & barbarum, ignorat, ille iam ridet, cauillatur, exagitátque, & puerum & adolescentem appellat. Sæpe etiam nomen quod in medium adductum est, Græcum quidem est, at non vt est rei cuipiam assignatum, ita accipiunt miseri Sophistæ, móxque definitionem poscunt. Hîc si quis fortè Græcus pro consuetudine Græcorum definiat, tantum abest vt assentiantur (sanè enim tolerabile hoc sit) quin irrideant etiam & illudant, & hoc est alterum circa definitiones malum. At vero tertij qui non in nomine iam & significatione, sed in ipsa errant re: quum dialecticæ quispiam peritus, horum definitiones aggreditur, aut non plenas, aut superfluas, aut non distinctas, aut obscuras, aut prolixas, aut falsas, aut omnino definitiones non esse, probare; subitò tanquam insani, acerbè dialecticam accusant: ac tum frustra iis, & cum incommodo videtur illa in omnibus rebus artibúsque coli. Quare frequenter herclè obstupui, si quum rogamus, ne cum definitionibus omnia conentur, & docere & discere, illi quidem non adducuntur. Vbi verò definitiones damus, & postea quantùm falluntur, aperimus, ibi nihil conducere aiunt definitiones; neque id vno die, aut altero interposito, sed in puncto temporis (vt est in prouerbio) mutata pelle, modò definitionem positi nominis quærunt, modò esse definitiones inutiles confirmant. Quartum iam istorum in hisce rebus peccatum est, quòd non omnium nesciant esse definitio-

nes: simúlque vt qui id ignorant, definire studeant cuncta, & inter se altercentur, vociferentúrque ne quicquam de rebus quæ definitionem non recipiunt. Quintus porrò lapsus in definitionibus, quíque præter cæteros est singularis, anteaquam homonymiam explicauerint; vnam faciunt eorum quæ varia significant, definitionem; quasi verò non rerum sint, sed nominum definitiones. Me certè vnus aliquando de his præclaris Sophistis, parum absuit quin enecaret. Quum enim in hunc modum posuisset, Quid est plenus pulsus? subieci variæ significationis nomen esse; quare nec definitionem vnam habere, nisi distincta homonymia sit. Nondum hæc dixeram, quum ille, nescio, inquit, quid nugeris: satis est mihi, si de te disco, quid plenus sit pulsus; dialecticas mihi istas nugas quæ medicinam contaminant, mitte. At nihil me, inquam, audiuisti vnquam laborare, vt in dialectica definirem. Enimuero id ipsum, inquit, absurdissimum est, quòd neque definire audetis, & dialecticis nobis nugis non desistitis obstrepere, sed dic, loquere, responde, quis plenus est pulsus? Non potest fieri, inquam, priusquam homonymiam explicauerim. Hic ille exclamabat: rursúsque homonymiam aiebat, atque immensas nugas adesse, quę medicinam labefactassent, ac nos perdidissent. Imò non nos, inquam, sed vos, qui definire cuncta vultis, perdiderunt. Ecce autem, inquit, etiam conuitiis nos incessit. Non magis, inquam, quàm tu me. Ibi ille exiliit, manus allaturus; sed hic hominem, qui aderant, represserunt. Ille, vbi superbè insultasset, discessit. Senex autem quidam de illis qui adhuc remansissent, barba ad pectus promissa, atque cætera mirè tetricus (hæc enim nunc grauitas habetur) tacete, inquit, pueri: absque tumultu agite; sinite socium nostrum aperire nobis, quid dicat. Ego hominem intuitus, quid verò, inquam, rogas? Id, inquit, ipsum de quo disputatis, de pleno pulsu. Vis igitur, inquam, non properare nimium, vt te assequar? tardus enim natura sum, & festinantes non consequor facilè. Age, inquit, nihil properauero. Ergo concedes, inquam, mihi, vt exempli gratia nonnihil ex omnibus vobis in communi interrogem? nam, qui volet, respondeat, licebit. Permittit. Ego, vt hoc dedisset, quid est lingua? quærebam. Mox respondet quidam, instrumentum animalis gustui dicatum. Alter sermoni dicatum dixit. Tertius quidam, gustui & sermoni attributum: Quos ego respiciens, etiam calcei, inquam, & tibiæ lingua, instrumentum est animantis gustui & sermoni dicatum. Quum ad hoc obticuissent, & senex ille austerus, multò redderetur austerior, iterum orabam, vt vnum adhuc simile liceret quærere. Ille admodum quidem grauiter hoc & ægrè, tulit tamen. Ego verò ne cunctationem meam non ferret, veritus, festinabundus proposui, Quid est canis? Quum hic ex corona quidam responderet, animal quadrupes latrabile. itaque marinus, inquam, canis animal est quadrupes latrabile: & sydus item cæleste: denique morbus faciei. Ad hæc senex vt asinus, aures iam concutiebat. Cæteris qui aderant aliquid videbamur dicere, volebántq; omnes, vt quo tandem hæc spectarent, quę exquisiuerã, expedirem; quandoquidem à primo statim quæstionem exẽpli gratia sequentium receperam instituturum. Vbi silerent, & mihi aures darent, Tandem vos, inquam, animaduertere puto, accedere ad definiendum antequàm homonymiam distinxerimus, quanta sit offensio:

A σκέψιν· εἶθ' ὡς αὖ τοῦτο ἀγνοοῦντες ἐπιχειρεῖν ὁρίζεσθαι πάντα, καὶ πρὸς ἀλλήλους διαφέρεσθαι, καὶ κεκραγέναι μετὰ τὴν περὶ πραγμάτων ὁρισθῆναι μὴ δυναμένων. τὸ δὲ δὴ πέμπτον, καὶ θαυμασιώτατον αὐτῶν ἐν τοῖς ὁρισμοῖς ἁμάρτημα, πρὶν διελθεῖν τὴν ὁμωνυμίαν, ἕνα τῶν πολλαχῶς λεγομένων, ὁρισμὸν ποιοῦνται, ὥσπερ οὐ τῶν πραγμάτων τοὺς ὅρους, ἀλλὰ τῶν ὀνομάτων ὄντας. ἐμὲ γοῦν ποτε τούτων τις τῶν ἐπιπολαζόντων σοφιστῶν, ὀλίγου δεῖν ἀπέπνιξε. προβαλόντι γὰρ ὡδί πως αὐτῷ, τί ἐστι πλήρης σφυγμός, ἐγὼ μὲν ὑπολαβὼν εἶπον τῶν πολλαχῶς λεγομένων εἶναι τοὔνομα, καὶ διὰ τοῦτο μηδ' ἔχειν ὅρον ἕνα, πρὶν διελέσθαι τὴν ὁμωνυμίαν. B ὁ δ' ἔτι μου ταῦτα λέγοντος, οὐκ οἶδ', ἔφη, τί ληρεῖς. ἀρκεῖ μοι μαθεῖν παρὰ σοῦ τί ἐστι πλήρης σφυγμός. τοὺς δ' ἐκ τῆς διαλεκτικῆς λήρους, τοὺς ἐπιτρέψαντας τὴν ἰατρικὴν ἀπόλιπε. καὶ μήν, ἔφην, οὐδὲν πώποτε ἤκουσας ἐμοῦ σπουδάζοντος οὐδὲν τῶν κατὰ διαλεκτικὴν ὁρίζεσθαι. τοῦτο γάρ τοι, φησί, τὸ δεινότατόν ἐστιν, ὅτι μήθ' ὁρίζεσθαι τολμᾶτε, καὶ διαλεκτικῇ φλυαρίᾳ καταντλεῖν ἡμᾶς οὐκ ὀκνεῖτε. ἀλλ' εἰπέ, φθέγξαι, λάλησον, ἀπόκριναι τίς πλήρης ἐστὶ σφυγμός; οὐ δυνατὸν δ', ἔφην ἐγώ, πρὶν διαστείλασθαι τὴν ὁμωνυμίαν. ὁ δ' ἀνακραγών, ὁμωνυμίας πάλιν ἔφασκε, καὶ λήρους μακροὺς C ἀφῖχθαι, τὰ τῆς ἰατρικῆς ἐπιτρέψοντα, καὶ ἡμᾶς ἀπολέσοντα. οὐ μὲν οὖν ἡμᾶς, εἶπον, ἀλλ' ὑμᾶς ἀπώλεσε, τοὺς ὁρίζεσθαι πάντα βουλομένους. ἰδού φησι καὶ λοιδορεῖν ἡμᾶς ἐπιχειρεῖ. τί μᾶλλον, ἔφην, ἢ ἐμὲ σύ. κἀν τούτῳ διανίστατο τυπτήσων, ἀλλὰ τοῦτον μὲν ἐπέσχον οἱ παρόντες, καὶ σοβαρῶς ἐπεγγελάσας ἐκεχώρει. τῶν δ' ὑπολείπων ἤδη τις πρεσβύτης, πώγωνά τε μέγιστον ἄχρι τῶν στέρνων καθεικώς, καὶ τἄλλα πάνυ σκυθρωπός, τοῦτο γὰρ νῦν τὸ σεμνὸν νενόμισται, παύσασθε, ἔφη, καὶ μὴ θορυβεῖτε, ὦ παῖδες, ἀλλ' ἐάσατε τὸν ἑταῖρον ἡμῖν ἀποσαφῆσαι, τί ποτε καὶ λέγει. κἀγὼ προσβλέψας αὐτῷ, τί γάρ, ἔφην, πυνθάνου; τοῦτ' D αὐτό, εἶπεν, ὑπὲρ οὗ διελέγεσθε, τὸ περὶ τοῦ πλήρους σφυγμοῦ. βούλει τοίνυν, εἶπον, μὴ πάνυ σπεύδειν, ἵν' ἕπωμαί σοι. βραδὺς γάρ εἰμι φύσει, καὶ τοῖς ἐπειγομένοις οὐ ῥᾳδίως ἀκολουθῶ. ὡς οὐ σπεύσοντος ἔφη, διαλέγου. ἆρ' οὖν ἔφην βραχύ μοι συγχωρήσεις ἕνεκα παραδείγματος, ἐρέσθαι κοινῇ πάντας ὑμᾶς; ἐξέσται γὰρ ἀποκρίνασθαι τῷ βουλομένῳ. συνεχώρει. κἀγὼ συγχωρήσαντος, ἐπυνθανόμην τί ἐστι γλῶττα, καὶ μετ' ὀλίγον τις ἀποκρίνεται, ὄργανον ζώου γευστικόν. ἕτερος δέ, διαλεκτικὸν εἶπε. καί τις τρίτος γευστικόν θ' ἅμα, καὶ διαλεκτικόν. κἀγὼ πρὸς αὐτοὺς ἀποβλέψας, καὶ ἡ τοῦ ὑποδήματος, ἔφην, E καὶ ἡ τοῦ αὐλοῦ γλῶττα, ὄργανόν ἐστι ζώου γευστικόν, ἢ διαλεκτικόν. ὡς δὲ διεσιώπησαν ἐπὶ τούτῳ, καὶ ὁ σκυθρωπὸς γέρων, πολὺ δή τι σκυθρωπότερος ἐγεγόνει· πάλιν αὐτὸν παρεκάλουν ἓν ἔτι παραπλήσιον ἐρέσθαι. ὁ δὲ πάνυ μὲν σεμνῶς, καὶ μόγις, ὑπέσχετο δ' ὅμως. κἀγὼ φοβηθεὶς μὴ μεταγνῷ βραδύναντος, σπουδῇ προὔβαλον, τί ποτ' ἐστὶ κύων; ἀποκρινομένου δέ τινος ἐκ τῶν παρόντων, ζῷον τετράπουν ὑλακτικόν, καὶ ὁ θαλάττιος, ἔφην, κύων, ζῷόν ἐστι τετράπουν ὑλακτικόν, καὶ τὸ κατ' οὐρανὸν ἄστρον, καὶ τὸ κατὰ πρόσωπον πάθος; ἐπὶ τούτοις ὁ μὲν γέρων, ὥσπερ ὄνος ἔσειεν ἤδη τὰ ὦτα. καὶ τοῖς ἄλλοις δὲ τοῖς F παροῦσιν, ἐδοκοῦμέν τι λέγειν, καὶ πάντες ἠξίουν, ὧν περ ἕνεκα ταῦτα ἐπηρώτητο, φράζειν. ἐπεὶ καὶ κατάρξας εὐθὺς ὑπεσχόμην παραδείγματος ἕνεκα τῶν ἑξῆς, ποιήσασθαι τὴν ἐρώτησιν. ὡς δὲ σιωπῶντας αὖθις, καὶ ποθοῦντας ἀκούειν εἶχον, οἶμαι νοεῖν ὑμᾶς, ἔφην, ἤδη, πηλίκον ἐστὶν ἁμάρτημα, πρὶν διαστείλασθαι τὴν ὁμωνυμίαν, ἐπιχειρεῖν ὁρίζεσθαι·

τοῦτον

οὐ γὰρ δὴ τῶν ὀνομάτων, ἀλλὰ τῶν πραγμάτων οἱ ὅροι εἰσίν. ὅταν οὖν ὑφ' ἑνὸς ὀνόματος πολλὰ δηλοῦται πράγματα, τοσούτους ἀνάγκη τοὺς ὅρους ὑπάρχειν, ὅσα περ καὶ τὰ πράγματα. φέρε γὰρ ἐπὶ τῆς γλώττης ὄνομα μὲν ἕν, τρία δὲ ἐξ αὐτοῦ δηλοῦται, καὶ καθ' ἕκαστον αὐτῶν ἴδιός ἐστιν ὁρισμός. αὖθις δ' εἰ τύχοι, δύο μὲν ὀνόματα, καὶ πολλάκις γε τρία καθ' ἑνὸς πράγματος, ὡς ἐπὶ τοῦ, ξίφος τε, καὶ ἄορ, καὶ φάσγανον· ὁ δ' ὅρος, εἷς, οὐ τρεῖς, ὥσπερ τὰ ὀνόματα. ἴσον γὰρ ἀεὶ τὸ πλῆθος τῶν ὅρων, τῷ πλήθει τῶν πραγμάτων ἐστίν. ὥστ' οὐδ' ὅταν ἓν πρᾶγμα πολλοῖς ὀνόμασιν ᾖ κεκλημένον, ὅρους ἀξιώσεις λέγεσθαι πολλούς, οὔθ' ὅταν ἓν μὲν ὄνομα, πολλὰ δὲ τὰ δηλούμενα, τὸν ὅρον ἀξιώσεις ἕνα εἰρῆσθαι. μετρήσεις γὰρ ἀεὶ τὸν ἀριθμὸν τῶν ὅρων, τῷ πλήθει τῶν πραγμάτων. εἰ μὲν δὴ τὸ, πλῆρες, ὄνομα, καθ' ἑνὸς ὑποκειμένου λέγεται πράγματος, ἐνδέχεται προτεθέντος αὐτοῦ λέγειν ἤδη τὸν ὅρον. εἰ δ' οἱ περὶ τὸν Ἀρχιγένην μάλιστα δὴ πάντων, οὐκ εἴασαν ἓν ἐκ τοῦ πλήρους ὄνομα δηλοῦσθαι, ταράξαντές τε πολυειδῶς τὸν τόπον, καὶ πλῆθος ἐπεισκυκλήσαντες σημαινομένων, οὐχ ἡμῖν ἐγκαλεῖν χρὴ μὴ τολμῶσιν ὁρίζεσθαι, τοῖς δ' ἀπαρξαμένοις, εἴπερ ἄρα, τῆς τοιαύτης ταραχῆς. εὑρίσκω γὰρ τοὺς νεωτέρους ἰατρούς, τοὺς μὲν ὅταν ὁ τῆς ἀρτηρίας χιτὼν ὅπως ἔχει συστάσεως μηνύσαι θελήσωσι, τῷ τε τοῦ πλήρους ὀνόματι, καὶ τῷ τοῦ κενοῦ κατὰ τοῦτο χρωμένους, τοὺς δ' ὅταν τὴν ἐν τῇ κοιλότητι περιεχομένην οὐσίαν. καὶ ταύτης, οἱ μὲν τὸ ποσὸν διὰ τῶν ὀνομάτων δηλοῦσθαι νομίζουσιν. οἱ δὲ τὸ ποιόν, οἱ δ' ἀμφότερα. Ἀρχιγένει δ' ὡς ἔοικεν οὐκ ἀρκεῖ μόνον ταῦτα, προσεπεισάγει δ' ἡμῖν, καὶ τὸ τῆς τοῦ πνεύματος δυνάμεως σημαινόμενον. οὐκοῦν οὐδ' ὅρον ἕνα δυνατὸν ποιήσασθαι πλήρους σφυγμοῦ. ἀλλὰ τοῦ μὲν τὸ ποσόν, ἢ τὸ ποιόν, ἢ τὰ ἀμφότερα τῆς ἐγκεχυμένης οὐσίας δηλοῦντος, ἑτέρους ὁρισμοὺς ποιητέον. τοῦ δὲ τὴν δύναμιν τοῦ πνεύματος, ἑτέρους. τοῦ δὲ τὸ ποιὸν τοῦ χιτῶνος, ἄλλους. ταῦτ' εἰπών, ἐγὼ μὲν ἐσιώπων. ἤνυστο γάρ μοι τὸ προτεθέν. οἱ δ' ἠξίουν διελθεῖν αὖθις τὸν λόγον, ἐπειδὴ ἅπαξ ὑπηρξάμην. ἐκείνοις μὲν οὖν δεομένοις ἐχαρισάμην. ἐν δὲ τῷ παρόντι πάντα μὲν οὐ προσήκει λέγειν ἐκεῖνα, μέλλοντά γε τὸ πλεῖστον αὐτῶν, καὶ τὸ χρησιμώτατον ἐν τοῖς περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως ἐρεῖν.

neque enim nominum sunt, sed rerum definitiones. Quando igitur ab vno nomine res indicantur multæ, necessariò erunt totidem definitiones, quot sunt res. Age sanè, linguæ nomen est vnum, at tres sunt significationes, & sua cuique est definitio. Contrà fit vt duo vnius rei nomina, & verò non rarò tria sint: vt hîc, ensis, gladius, mucro: definitio verò vna, non perinde ac nomina, tres. Semper enim numero rerum respondet definitionum numerus. Quare vbi multis nominibus res vocatur vna, caue postules multas definitiones; neque quum vnum sit nomen, sed significationes multæ, vnam definitionem flagites; pro numero enim rerum, definitionum semper rationem subduces. Proinde si nomen, plenum, vni rei subiectæ seruit, tum eius, si proponatur, potest definitio dari. Si verò Archigenes omnium sanè minimè, denotare nomen, plenum, vnam rem admisit, noménque variè posuit atque multas in eo complexus est significationes, non sumus nos insimulandi, qui à definiendo deterreamur, sed princeps scilicet eius turbationis. Nam iuniores medicos inuenio aliquos, vbi declarare, quis status sit arteriæ tunicæ, statuerunt, nomine pleni ibi & vacui vti; alios, vbi materiam in capacitate contentam, cuius hi quantitatem significari per ista nomina, illi qualitatem, alij vtrunque ducunt. Verùm Archigeni hæc scilicet sola non satisfaciunt: adiungit enim significationem facultatis spiritus. Vnde relinquitur non vnam pleni pulsus fieri definitionem posse: sed eius qui quantitatem, vel qualitatem, vel vtranque infusæ substantiæ significat, aliæ definitiones faciendæ sunt; aliæ eius qui vim spiritus; illius qui qualitatem tunicæ, aliæ. His ego expositis tacui: quia quod institueram, confectum mihi erat. Illi commentationem instabant, quando semel institueram, vt persequerer. Illis igitur morem gessi rogantibus. Quæ hoc loco non debeo omnia referre; quòd eorum maximam partem, & vtilissimam sum expositurus in libris de dignoscendis pulsibus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

πότερον γενικὰ διαφορὰ σφυγμῶν ἢ τὰ πρῶτα γένη ῥητέον ἐστί, ἢ τὰς πρώτας ποιότητας

Πρὸς Ἀρχιγένην περὶ πρώτων τῶν σφυγμῶν γενῶν, ἅπερ καὶ αὐτὸς ὀνομάζει ποιότητας.

Ὅσον δ' εἰς τὰ προκείμενα χρηστόν, εἰρήσεται, τὸ μήθ' ὁρίζεσθαι πάντα ἀξιοῦν, μήτε πολλὰ σημαινόμενα προθέντα, τὸν ὁρισμὸν ἕνα ποιεῖν, ὅπερ ἐπὶ τοῦ πλήρους σφυγμοῦ διημάρτηται τῷ Ἀρχιγένει. διὰ τοῦτο οὐδ' αὐτὸς ὁ ὅρος αὐτοῦ σαφής ἐστι, οὐδ' ἔχει συμβαλεῖν, εἴτε περὶ τοῦ σώματος τῆς ἀρτηρίας, εἴτε περὶ τῆς ἐν τῇ κοιλότητι περιεχομένης οὐσίας διαλέγεται. κινδυνεύει γὰρ ὀνόματος ὁρισμόν, οὐ πράγματος ποιεῖσθαι. πάντως γὰρ ἂν εἴπερ ἐτεθέατο τὰ πράγματα, πλείονας ἐποίησεν ὅρους, ἀλλ' ὅτι γε τοὔνομα μόνον σκοπεῖ, μαθεῖν ἔνεστι κἀξ ὧν εὐθὺς κατ' ἀρχὰς τοῦ περὶ τῶν σφυγμῶν συγγράμματος, ὀκτὼ λέγει ποιότητας παρέπεσθαι τοῖς σφυγμοῖς, μέγεθος, σφοδρότητα, τάχος, πυκνότητα, πληρότητα, τάξιν, ἢ ἀταξίαν, ὁμαλότητα, ἢ ἀνωμαλίαν, ῥυθμόν. εἰ γὰρ τὸ τῆς πληρότητος ὄνομα κατὰ πλειόνων λέγεται ποιοτήτων, οὐκ οἶδα πῶς ἔτι μένουσιν ὀκτώ. φέρε γ' οὖν, εἴ τις ἐπὶ ταῖς ἑπτὰ ταῖς ἄλλαις προσ-

CAPVT IV.

Aduersus Archigenem de primis pulsuum generibus, quæ ipse appellat qualitates.

Quod ad institutum refert, non præteribo. Nolo definiri omnia: neque quum multas protuleris significationes, facias vnam definitionem; in quod Archigenes de pleno pulsu incurrit. Quare ipsa est eius obscura definitio, neque an de corpore arteriæ dicat, an de substantia, quæ in eius cauitate continetur, possum conijcere: videtur enim nomen definiuisse, non rem; omnino enim, si rerum duxisset rationem, plures faceret definitiones. Sed quod solum nomen consideret, vel ex illis perspicias, quæ statim initio libri de pulsibus sic dicit: *Octo qualitates pulsus comitari, magnitudinem, vehementiam, celeritatem, crebritatem, plenitudinem, ordinem, vel perturbationem ordinis, æqualitatem, vel inæqualitatem, rhythmum.* Nanque plenitudinis si nomen de compluribus rebus dicitur, miror, quî octo etiam maneant. Age enim, si septem illis aliis quali-

qualitatem corporis arteriæ addas, & infusionis quam vocant, & etiam ipsius spiritus, ac decem iam esse omnes qualitates pulsuum dicas, quid tibi respondebimus? Vt hercle, si in duo membra partiens infusam substantiam, vnam quantitati huius, alteram assignes qualitati qualitatem. Adeo in nominibus Archigenes, non distinguendis significationibus, videtur permanere. Ac par est iam prouerbium proferre, plebeium illud quidem, non à proposito tamen alienum. Quum aqua, inquiunt, suffocet, quid sorbebimus? Nam si ita Archigenes labitur, quem adibimus? quis huius nobis errata corriget? Etenim non in his tantum videtur, sed (si verum fateri oporteat) in aliis offendere passim: Vt nulla duritiei, & mollitiei facta mentione inter primas octo qualitates, postea de iis agit; primo enim loco de magnitudine, secundo de vehementia, tertio de plenitudine, quarto de duritie tractat. Quòd si compositam aliquam ex simplicibus eam faceret, defendere hominem possis, si rectè initio dicas prætermissam, vbi de simplicibus duntaxat meminit, sed mox iure in compositas relatam. Nunc quarto eam loco statuit mediam, quantum potest maximè, inter simplices qualitates quam exponens, quidnam sit, occursum dicit solidæ, vel dissolutæ arteriæ. Vnde certè de simplicibus illam esse vult. Hæc igitur Archigenes mox ab initio in recensendis primis qualitatibus errata commisit; quas ne demonstrare quidem, cur tot sint numero, voluit, verùm ita temerè sermonem effutiit. Octo dicuntur qualitates pulsus comitari αἱ διηχημέναι quidem apud puros. Ego verò, quid sit ipsum διηχημέναι, coniicere planè nequeo, neque enim nomen hoc apud quendam inueni Græcum. Quo minus, cui Archigenes rei tribuat, perspicio; idque quòd de sua ipse lingua librum non conscripsit; vt fecit Chrysippus de nominibus, quæ in dialectica finxit: hac enim sola via eum assequeremur. Tamen ex tota oratione pro eo, διηχημέναι, vti eum suspiceris, quod apud omnes est peruulgatum, & creditum. Quanquam ne id quidem suspicari planè potes; nam non apud omnes ait, sed puros, quos ne ipsos quidem, qui sint, scimus; etsi scire nos oporteat, vt disceptemus, an credendum iis citra demonstrationem sit, necne. Apud Aristotelem certè lemmata audiui probabilia, quæ omnibus hominibus, vel plurimis, vel sapientibus probantur; hîc an puri pro sapientibus accipiendi sint, me quidem præterit. Multò certè præstaret aliquam apponere si non firmam demonstrationem, at rationem sufficientem sermoni de octo qualitatibus, vt ne quis initio statim, quasi in Moysi, & Christi scholam impingat, leges audiat nulla constitutas demonstratione, idque vbi minimè deceat. Nam quum dicere de omnibus pulsibus (quod ex iis quæ ante scripsit, coniicias) instituisset, quot sint, nulla nobis rationali methodo voluit ob oculos ponere, sed disciplinam instituit empiricam, octo apud puros dicens peruulgatas qualitates esse. Quid si quasdam illarum negligentius puri prætererint, statimne erunt nec ipsa quidem sua natura plures? an, quæ puris placent, hæc satis est retulisse pro veris, idque quum incertum sit, quinam isti sunt puri? vtrum qui literas didicerint,

θεὶς τήν τε κατὰ τὸ σῶμα τῆς ἀρτηρίας, καὶ τὴν κατὰ τὸ καλούμενον ἔγχυμα, καὶ τὴν κατ᾽ αὐτὸ τὸ πνεῦμα, δέκα λέγει τὰς πάσας εἶναι ποιότητας τῶν σφυγμῶν, τί πρὸς τοῦτον ἐροῦμεν; ἵνα νὴ Δία, εἴ τις εἰς δύο τέμνων τὴν ἐγκεχυμένην οὐσίαν, ἑτέραν μὲν ἐπὶ τῷ ποσῷ τάττῃ, ἑτέραν δ᾽ ἐπὶ τῷ ποιῷ τιθῆται τὴν ποιότητα. οὕτως ἐπὶ τοῖς ὀνόμασιν ὁ Ἀρχιγένης ἔοικε καταμένειν, μὴ διαρθρῶν τὰ σημαινόμενα. καὶ δίκαιον ἤδη τὸ τῆς παροιμίας εἰπεῖν, ἰδιωτικὸν μὲν, ἱκανῶς δ᾽ ἐοικὸς τοῖς παροῦσιν. ὅταν γάρ φησι τὸ ὕδωρ πνίγῃ, τί ἐπιρροφήσομεν; εἰ γὰρ Ἀρχιγένης ἁμαρτάνει τοιαῦτα, πρὸς τίνα πορευθῶμεν; τίς ἡμῖν ἐπανορθώσεται τὰ τούτων σφάλματα; καὶ γὰρ οὐδὲ ταῦτα μόνον, ἀλλ᾽ εἰ χρὴ τἀληθὲς εἰπεῖν, ἀλλὰ πλείω φαίνεται σφαλλόμενος. αὐτίκα γέ τοι κατὰ τὰς ὀκτὼ τὰς πρώτας ποιότητας, οὐδαμοῦ μνημονεύσας σκληρότητος καὶ μαλακότητος, ἑξῆς ὑπὲρ αὐτῶν διαλέγεται. πρῶτον μὲν γὰρ περὶ μεγέθους, δεύτερον δὲ περὶ σφοδρότητος, καὶ τρίτον περὶ πληρότητος, τέταρτον δὲ περὶ σκληρότητος διείλεκται. εἰ μὲν οὖν σύνθετόν τινα ἐξ ἁπλῶν εἰργάζετο ποιοτήτων αὐτὴν, τάχ᾽ ἄν τις ἀπελογήσατο ὑπὲρ αὐτοῦ, δεόντως μὲν ἐν ἀρχῇ παραλελεῖφθαι φάσκων, ἡνίκα τῶν ἁπλῶν ἐμνημόνευσε μόνων, εὐλόγως δ᾽ ἑξῆς ἐν τοῖς συνθέτοις γεγράφθαι. νυνὶ δὲ περὶ τετάρτης αὐτῆς τὸν λόγον ἐποιήσατο, μέσην ὡς ἔνι μάλιστα τάξας ἁπασῶν τῶν ἁπλῶν ποιοτήτων. ἐξηγούμενος δὲ τί ποτ᾽ ἐστὶ, τὴν κατὰ σύστασιν, ἢ διάλυσιν τῆς ἀρτηρίας ἀντίληψιν εἶπεν, ἐξ ὧν δηλονότι τῶν ἁπλῶν αὐτὴν εἶναι βούλεται. ταῦτα μὲν οὖν εὐθὺς κατ᾽ ἀρχὰς ἡμάρτηται τῷ Ἀρχιγένει, περὶ τὴν ἐξαρίθμησιν τῶν πρώτων ποιοτήτων, ἃς οὐδ᾽ ἀποδεῖξαι, πῶς τοσαῦται τὸν ἀριθμόν εἰσιν, ἠξίωσεν, ἀλλ᾽ ἁπλῶς ὧδί πως ἔρριψε τὸν λόγον. ὀκτὼ λέγονται ποιότητες παρέπεσθαι τοῖς σφυγμοῖς, αἱ διηχημέναι παρά γ᾽ οὖν τοῖς καθαρείοις. ἐγὼ δὲ τί μὲν ἐστὶ τὸ διηχημέναι, ἀκριβῶς συμβάλλειν οὐ δύναμαι. οὐδὲ γὰρ εὗρον τοὔνομα παρά τινι τῶν Ἑλλήνων. ὥστε οὐδὲ καθ᾽ οὗ τέτακται πράγματος ὑπ᾽ Ἀρχιγένους ἐπίσταμαι, καὶ ταῦτα μηδὲ γράψαντος αὐτοῦ βιβλίον περὶ τῆς ἰδίας διαλέκτου, καθάπερ Χρύσιππος, ὑπὲρ ὧν ἔθετο κατὰ τὴν διαλεκτικὴν ὀνομάτων. μόνως γὰρ ἂν οὕτως συνίεμεν αὐτοῦ. ἐκ μέντοι τῆς ὅλης λέξεως ὑπονοήσειεν ἄν τις, κατὰ τοῦ παρὰ πᾶσι λεγομένου τε καὶ πεπιστευμένου τὸ διηχημέναι φέρειν αὐτόν. καίτοι γε οὐδὲ τοῦτ᾽ ἐστὶν ἁπλῶς ὑπονοῆσαι δυνατόν. οὐ γὰρ ἅπασιν, ἀλλὰ τοῖς καθαρείοις φησὶν, οὓς οὐδ᾽ αὐτοὺς πάλιν ἐπιστάμεθα, τίνες ποτέ εἰσι. καίτοι μαθεῖν γε ἐδεόμην, ἵνα σκεψώμεθα πότερον πιστευτέον αὐτοῖς χωρὶς ἀποδείξεως, ἢ μή. παρὰ μὲν γὰρ Ἀριστοτέλους ἔνδοξα λήμματα ἤκουσα, τὰ πᾶσιν ἀνθρώποις, ἢ τοῖς πλείστοις, ἢ τοῖς σοφοῖς δοκοῦντα. νυνὶ δὲ, εἰ τοὺς καθαρείους ἀντὶ τῶν σοφῶν χρὴ νοεῖν, οὐκ οἶδα. κάλλιον δ᾽ ἂν ἦν πολλῷ προσθεῖναί τινα, εἰ καὶ μὴ βεβαίαν ἀπόδειξιν, παραμυθίαν γ᾽ οὖν ἱκανὴν τῷ λόγῳ περὶ τῶν ὀκτὼ ποιοτήτων, ἵνα μή τις εὐθὺς κατ᾽ ἀρχὰς, ὡς εἰς Μωϋσοῦ καὶ Χριστοῦ διατριβὴν ἀφιγμένος, νόμων ἀναποδείκτων ἀκούῃ, καὶ ταῦτα ἐν οἷς ἥκιστα χρή. μέλλων γὰρ ἐρεῖν ὑπὲρ ἁπάντων τῶν σφυγμῶν, ὡς ἄν τις ἐξ ὧν προὔγραψεν, εἰκάσειεν, ὁπόσοι γ᾽ εἰσὶν, οὐδεμιᾷ μεθόδῳ λογικῇ προσβιβάζειν ἡμᾶς ἠξίωσεν, ἀλλ᾽ ἐμπειρικὴν ἐποιήσατο διδασκαλίαν ὀκτὼ τοῖς καθαρείοις λέγων διηχεῖσθαι ποιότητας. τί δὲ, εἰ ῥαθυμότερον οἱ καθαροὶ παρέλιπόν τινας ἐξ αὐτῶν, τούτου χάριν, οὐδὲ πρὸς τὴν φύσιν αὐτὴν, πλείους εἰσὶν, ἢ τὰ δοκοῦντα τοῖς καθαρείοις ἀπόχρη λέγειν, ὡς τἀληθῆ; καὶ ταῦτ᾽ οὐκ εἰδότα τίνες ποτ᾽ εἰσὶν οἱ καθαροὶ, πότερον οἱ γράμματα μεμαθηκότες,

ἢ οἱ τὰ πρῶτα μαθήματα, ἢ οἱ συνετοὶ, ἢ οἱ φρόνιμοι, ἢ οἱ σοφοί; ἀλλὰ καὶ τὸ ποιότητας ὀνομάζειν τὰς πρώτας, καὶ γενικὰς τῶν σφυγμῶν διαφορὰς, ὀλίγωρον. ἡ γοῦν κατὰ μέγεθος, καὶ μικρότητα διαφορὰ, ποιότης οὐκ ἔστιν, εἰ μὴ καὶ τὸ τρίπηχυ ποιὸν ἐρεῖς. ἐγὼ μὲν γὰρ ᾤμην, ποσόν. ἀλλὰ καὶ περὶ τοῦ μεγάλου, καὶ μικροῦ, οὐκ ὀλίγον οἶδα γεγονότα λόγον, πότερον ποσόν τι δηλοῦσιν, ἢ πρός τι. ἢ ὅπερ καὶ ἀληθὲς, πρός τι μὲν ἔν τε τῇ τοῦ ποσοῦ κατηγορίᾳ, οὐ μὴν τῇ τοῦ ποιοῦ γένους οὐδαμῶς, ὥσπερ οὐδὲ ῥυθμὸν, οὐδ᾽ ἀταξίαν, καὶ τάξιν, οὐδ᾽ ὁμαλότητα, καὶ ἀνωμαλίαν. φανερῶς γὰρ καὶ ταῦτα, τῶν πρός τι. τὸ δὲ καὶ κοινὸν γένος νομίζειν τὸ μὲν μέγεθος τοῦ μεγάλου τε καὶ μικροῦ σφυγμοῦ, τὴν δὲ σφοδρότητα τοῦ σφοδροῦ τε καὶ ἀμυδροῦ, τὸ δὲ τάχος τοῦ ταχέος τε καὶ βραδέος, τὴν δὲ πυκνότητα, τοῦ πυκνοῦ τε, καὶ ἀραιοῦ, καὶ αὖθις ἐφεξῆς ἐν τοῖς κατωτέρω, πληρότητα μὲν πλήρους τε καὶ κενοῦ, σκληρότητα δὲ σκληροῦ τε καὶ μαλακοῦ, πῶς οὐχὶ ταῦτα δεινῶς ἄτοπα; εἰ γὰρ ἐπιθυμεῖ πάντως ἑνὶ τὸ γένος ὅλον ὀνόματι κατηγορῆσαι, τί δή ποτ᾽ ἐπὶ τάξεώς τε καὶ ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας, οὐχ ὑπέμεινεν αὐτό; ἢ εἴπερ οὐκ ἐδεῖτο ἐπὶ τούτων κοινῆς κατηγορίας, τίς ἦν χρεία δεηθῆναι κατὰ τὰς ἄλλας διαφοράς; ἢ εἰ κατὰ τὰς ἄλλας ἅπαξ ἐτόλμησεν ὑπερβῆναι τὸ τῶν Ἑλλήνων ἔθος, τί δή ποτε πυκνότητα μὲν πυκνοῦ κατηγόρησε καὶ ἀραιοῦ σφυγμοῦ, ὁμαλότητα δ᾽ οὐκ ἐτόλμησεν ὁμαλοῦ τε καὶ ἀνωμάλου κατηγορῆσαι; ταῦτ᾽ οὖν ὅπως ἀλλήλοις ὁμολογεῖ, βουλοίμην ἂν μαθεῖν. τὰ μὲν γὰρ ὡς αἰδούμενος τὴν τῶν Ἑλλήνων συνήθειαν, τὰ δ᾽ ὡς καταφρονῶν, καὶ ταράττων γράφει. ἐφ᾽ ἑνὸς οὖν τοῦ πρώτου γένους παρείσδυσιν ποιησάμενος, ἐνεδείξατο μὲν ὡς ἐπὶ πάντα τὰ ἄλλα τὸν αὐτὸν ἕξει λόγον, οὐ μὴν ἐνέμεινέ γε τῇ τόλμῃ, δέον ἐξ ἀρχῆς, ἢ μὴ παρακόπτειν τῆς συνηθείας μηδὲν, ἢ τολμηρῶς καθ᾽ ὅλης ἰέναι. τὸ γάρ τοι μέγεθος τοῦ σφυγμοῦ γενικῶς φήσας λέγεσθαι, καὶ γὰρ τὸν μικρὸν ἔχειν ἴδιον μέγεθος, εἶτα καὶ τὴν σφοδρότητα γενικῶς εἰπών πως οὐ κατὰ τοῦ σφοδροῦ μόνου, ἀλλὰ καὶ κατὰ τοῦ ἀμυδροῦ κατηγορεῖσθαι, περὶ τῆς πληρότητος εὐθὺς ὀκλάζει γράφων ὡδί. τῷ πλήρει σφυγμῷ, καὶ τῷ κενῷ ἐστι τι κοινὸν γένος. τοῦτ᾽ ἔσθ᾽ ὅτε πληρότης καλεῖται. τὸ γὰρ ἔσθ᾽ ὅτε, προσέθηκεν ἐν τούτῳ τῷ γένει, μὴ προσθεὶς τοῖς ἔμπροσθεν, οἷ᾽ ἐπιτιμώμενος ἤδη τὴν τοῦ παλαιοῦ τῆς λέξεως ἔθους σύγχυσιν. ἐρωτῶντος γὰρ, οἶμαι, τινὸς πρὸς αὐτὸν τῶν παρ᾽ Ἕλλησι τεθραμμένων, ὦ ἄνθρωπε, τῷ κενῷ τίς ὑπάρχει πληρότης; τί ταῦτα παρανομεῖς εἰς τὰς κοινὰς τῶν Ἑλλήνων φωνάς; ἵνα μὴ τοῦτο γένηται προσέθηκεν, ἔσθ᾽ ὅτε καλεῖται. καὶ δῆλον, ὡς ἡμεῖς μὲν ἐρησόμεθα, πότε, καὶ ποῦ, καὶ πρὸς τίνων. τοῦτο γὰρ βούλεται τὸ, ἔσθ᾽ ὅτε. ὁ δ᾽ οὐδὲν μὲν ἕξει τῶν Ἑλλήνων δεῖξαι βιβλίον, ἐξ οὗ τὴν χρῆσιν πιστώσαιτο. μόνον δὲ ἴσως ἀρκέσει αὐτῷ λέγειν παρὰ τοῖς ναύταις, καὶ τοῖς ἐμπόροις, καὶ τοῖς καπήλοις, καὶ τοῖς βαλανεῦσιν. ἀεὶ γὰρ ἐπὶ τούτους καταφεύγουσι μάρτυρας, ὅταν ὑπὲρ ὀνόματος ἡ ζήτησις ᾖ.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πῶς χρηστέον τοῖς ὀνόμασι, καὶ περὶ τῆς ὑπεροχῆς τῆς Ἑλληνικῆς γλώττης.

ΤΑχα τις ἐρεῖ πρὸς ἡμᾶς· σὺ δ᾽ ὦ τᾶν, οὕτως ἄρα τὴν τῶν Ἑλλήνων συνήθειαν ὑπερτετίμηκας, ὥστε μηδ᾽ ἐπιτρέπειν μηδενὶ, μηδὲ τοὐλάχιστον αὐτῆς παρακόπτειν; οὐ μὴν

vel primas disciplinas, an cordati, vel prudentes, vel sapientes? vt nihili ducamus, quod qualitates appellauit principes & generales pulsuum differentias. Magnitudinis quidem & paruitatis certè differentia qualitas non est, nisi tricubitale etiam in qualitate pones; equidem quantum putarem. Sed & de magno & paruo non paruam scio disputationem extitisse, vtrum quale significent, an ad aliquid, an (id quod res habet) ad aliquid in quantitatis prædicamento sit, nullo tamen pacto in qualitatis, vti nec rhythmus, nec ordinis perturbatio & ordo, nec æqualitas & inæqualitas quæ item ex genere ad aliquid manifestæ sunt. Nam etiam commune genus existimare magnitudinem magni & parui pulsus, vehementiam vehementis, & languidi, celeritatem celeris & tardi, & crebritatem crebri & rari, itaque deinceps in sequentibus, plenitudinem pleni & vacui, duritiam duri & mollis, quis negabit maiorem in modum esse absurda? Quòd si vno cupiat nomine totum genus complecti, quin hoc in ordine & perturbatione ordinis, in æqualitate & inæqualitate sustinuit? Aut si in his commune prædicamentum non desiderat, quæ erat necessitas cur requireret in aliis differentiis? aut, si in aliis ausus semel est Græcorum præterire institutum, quid crebritatem de crebro dixit & raro pulsu, æqualitatem autem dicere de æquali & de inæquali non fuit ausus. Hæc ego, quemadmodum sibi constent mutuo, libenter didicerim; nam hæc, vt sic suspiciat Græcorum morem, illa, vt si contemnat & perturbet, scribit. In vno ergo primo genere, quia viam sibi muniuit, ostendit in aliis omnibus eandem rationem habiturum, sed in audacia non permansit. Oportebat verò à primo, aut nihil consuetudinem imminuere, aut perpetuò contra consuetudinem audacem esse. Nam qui magnitudinem pulsus generatim affirmauit dici, etenim paruum etiam habere suam magnitudinem, deinde etiam vehementiam confirmauit generatim, quodam modo non solùm de vehemente, sed & de languido dici, statim in plenitudine labascit, scribens sic. *Pleno pulsui & vacuo est commune quoddam genus, hoc nonnunquam plenitudo vocatur.* Nam in hoc genere, nonnunquam, addidit: quod superioribus non adiecit, quasi reprehendens iam veterem dictionis vsum confusum. Nam si illi quis obiiciat qui apud Græcos est educatus: quæ bone vir in vacuo plenitudo inest? quid hæc designas in communes Græcorum dictiones præter omnem morem. Vt hoc declinaret, addidit, *nonnunquam vocatur.* Enimuero nos rogabimus, quando autem? vbi? à quibus? hoc enim vult illud, *nonnunquam.* Ille verò librum producere Græcorum, ex quo vsum illum confirmet, habebit nullum; tantùm fortasse homini satis erit dicere, apud nautas, institores, cauponas, & balneatores; nam ad istos semper testes confugiunt, vbi de nomine quæratur.

CAPVT V.

Qua ratione nominibus vtendum, ac de Atticæ linguæ dignitate.

QVæres de nobis: quid? tibi tantine Græcorum est vsus, vt nemini permittas de eo ne latum quidem vnguem discedere? Non equidem

dem, dicam, me hercle & per omnes Deos; imò, si vel βέκος velis panem appellare more Phrygum, nostra nihil refert, tantum me hoc primum doce idioma linguæ tuæ, vt assequar: neque dixeris, *vocatur*: omnino enim quæram ex te, apud quos? certe quidem non apud Græcos. Sed forsitan dicunt, *vocetur*. At si quum hoc dixeris, hiscere me amplius audias, capitis me damno. Nunc verò à quibusdam vocatur, dicis, Græcorum morem falsi insimulans; à quibusdam autem non absolutè, sed addito, nonnunquam, vt in plenitudine. Nam quid tandem ait, hæc nonnunquam plenitudo vocatur? Verùm de plenitudine quidem hæc, quum falleretur iam, scripsit, de duritie quum nondum laberetur. Scilicet deiecti iam, victique prorsus ista verba sunt. Est autem mollitiei & duritiei pulsus commune quoddam genus; quæ durities, si receptum sit, vocetur fortasse. Neque hic amplius ausus est addere hoc, *nonnunquam durities vocatur*. Tametsi nihilo erat plenitudo duritie præstantior, vt quod ausus illic est, hic vereretur: sed quod dixi, paulatim labentibus similis est. Atqui maioris erat strenuitatis, puto, præcipitem ruere, non labi pedetentim, neque nobis, neque sibi negotia facessere. Quæ durities, inquit, si receptum sit, vocetur fortasse. A quibus fortasse, si receptum sit? à tuis fortassis hæredibus. Siquidem nos, quemadmodum monetam qualibet in vrbe tesseram esse scimus emptionis & venditionis, quam qui adulterant, in hos legislatores animaduertunt, sic linguarum insignia multa esse scimus, quarum tueri, quam quisque elegerit, volumus. Nos defendimus communem linguam, quam vocant; siue vna ea Atticorum est (multas enim sumpsit Atheniensium lingua mutationes) siue omnino alia quæpiam (nam alio in loco de hac te meam sententiam aperio) & hanc studemus linguam seruare, neque in eius leges quicquam committere, neque monetam inducere vocis adulterinam, neque deprauare; qua si mecum cupis colloqui, primum eam fac addiscas. Sin alia quapiam vteris, idipsum demonstra. Nam si de Græcis est, sane nec illa nos fugit; siquidem & Ionum, & Æoliorum, & Doriorum reuoluimus scripta. Sin autem nulla harum, sed est Barbara aliqua, id ipsum dic: tantum ago, eam vt serues integram & puram, quæcunque illa sit. Nec tria mihi ex Cilicia verba affer, quatuor ex Syria, ex Galatia quinque, Athenis sex. Equidem tot linguas ediscere nequeo, vt homines intelligam adeo multarum linguarum. Bilinguis olim aliquis dicebatur, quod habebatur miraculum, homo vnus duas callens linguas, tu multas nos vis ediscere, quum ediscere te oporteat vnam, tam propriam, tam verò communem omnibus, tam etiam facundam, tam denique humanam. Quòd si linguarum voces barbararum aduertas, perspicies planè, alias porcorum linguas, alias ranarum, vel graculorum, vel coruorum repræsentare, turpes & inhonestas, vel ipsa figura linguæ, labiorum, totiúsque adeo oris. Aut enim ex intimis ferè faucibus non aliter ac qui stertunt, loquuntur, aut labia distorquent, sibilántque, aut vbique vocem intendunt, aut nunquam prorsus, aut maximè hiant, & linguam iactant, & os aperire nequaquam valent, linguámque habent ociosam, nec facilè motam atque quasi vinctam. Et tu iu-

οὖν, φήσω, μὰ τὸν Ἡρακλέα, καὶ πάντας θεούς· ἀλλ', εἰ καὶ βέκος ἐθέλοις τὸν ἄρτον καλεῖν, ὥσπερ οἱ Φρύγες, οὐδὲν ἡμῖν διαφέρει. μόνον δίδαξόν με πρότερόν σου τὴν διάλεκτον, ἵν' ἕπωμαι, καὶ μὴ λέγε, καλεῖται. πάντως γὰρ ἐρήσομαί σε, παρὰ τίσιν; οὐ γὰρ δή γε παρὰ τοῖς Ἕλλησιν. ἀλλὰ πῶς φασι, καλείσθω. καὶ εἰ τοῦτό σου λέξαντος ἔτι γρύζων εὑρεθείην, ἐμαυτῷ θανάτου τιμῶμαι. νυνὶ δ' ἐπὶ μὲν τινῶν; καλεῖται, λέγεις, καταψευδόμενος τῆς συνηθείας τῶν Ἑλλήνων. ἐπὶ δέ τινων οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ, ἔσθ' ὅτε, καθάπερ ἐπὶ τῆς πληρότητος. τί γὰρ φὴς τοῦτ', ἔσθ' ὅτε πληρότης καλεῖται. ἀλλὰ περὶ μὲν δὴ τῆς πληρότητος, ὀκλάζων ἤδη ταῦτ' ἔγραφεν. περὶ δὲ τῆς σκληρότητος, οὐδ' ὀκλάζων ἔτι. καταπεπτωκότος γὰρ ἤδη, καὶ νενικημένου τελέως, ὁ τοιοῦτος λόγος. ἔστι δὲ μαλακότητος καὶ σκληρότητος σφυγμοῦ κοινόν τι γένος, ὃ τάχ', ἂν τριβείη, σκληρότης καλῆται. καὶ οὐκ ἔτ' ἐνταῦθα ἐτόλμησε προσθεῖναι τοῦτ'; ἔσθ' ὅτε, σκληρότης καλῆται. καίτοι οὐδὲν ἦν ἡ πληρότης τιμιωτέρα τῆς σκληρότητος, ἵν' ἐπ' ἐκείνης τολμήσας, ἐνταῦθ' αἰδεσθείη. ἀλλ', ὅπερ ἔφην, τοῖς κατὰ βραχὺ πίπτουσιν ἔοικεν. γενναιότερον δ' ἦν οἶμαι μὴ κατὰ μικρόν, ἀλλ' ἀθρόως πεσεῖν. καὶ μήθ' ἡμῖν, μήτ' αὐτῷ πράγματα παρέχειν. ὃ τάχ', ἂν τριβείη, φησὶ σκληρότης καλῆται. ὑπὸ τίνων τάχ', ἂν τριβείη; τῶν σῶν ἴσως κληρονόμων. ἡμεῖς μὲν γάρ, ὥσπερ νόμισμα καθ' ἑκάστην τῶν πόλεων ἴσμεν σύμβολον ὠνῆς, καὶ πράσεως, ὃ τοὺς παραχαράττοντας οἱ νομοθέται κολάζουσιν, οὕτω καὶ διαλέκτων χαρακτῆρας ἴσμεν πολλούς, οὓς φυλάττειν ἀξιοῦμεν ἕκαστον τῶν ἑλομένων ὁντιναοῦν ἐξ αὐτῶν. ἡμεῖς μὲν οὖν συνηρήμεθα τὴν κοινὴν καλουμένην διάλεκτον, εἴτε μία τῶν Ἀτθίδων ἐστί, πολλὰς γὰρ εἴληφε μεταπτώσεις ἡ τῶν Ἀθηναίων διάλεκτος, εἴτε καὶ ἄλλη τις ὅλως. δείκνυμι γὰρ ἑτέρωθι τὴν ἡμετέραν περὶ τούτου γνώμην. καὶ ταύτην τὴν διάλεκτον πειρώμεθα διαφυλάττειν, καὶ μηδὲν εἰς αὐτὴν παρανομεῖν, μηδὲ κίβδηλον ἐπεισάγειν φωνῆς νόμισμα, μηδὲ παραχαράττειν. σὺ δέ, εἰ μὲν ἐπιθυμεῖς κατ' αὐτὴν ἡμῖν διαλέγεσθαι, πρότερον ἐκμαθεῖν αὐτὴν πειράθητι. εἰ δ' ἄλλῃ τινὶ χρᾷ, καὶ τοῦτο μήνυσον. εἰ μὲν γάρ, τῶν Ἑλληνίδων ἐστὶ μία, πάντως που καὶ ταύτην γνωρίζομεν. καὶ γὰρ καὶ τὰ τῶν Ἰώνων, καὶ τὰ τῶν Αἰολέων, καὶ τὰ τῶν Δωριέων ἀνελεξάμεθα γράμματα. εἰ δ' οὐδεμία τούτων, ἀλλά τις τῶν βαρβάρων, καὶ τοῦτ' εἰπέ, μόνον πειρῶ φυλάττειν αὐτὴν ἄχραντον, ἥτις ἂν ᾖ. καὶ μή μοι τρία μὲν ἐκ Κιλικίας φέρειν ὀνόματα, τέσσαρα δ' ἐκ Συρίας, πέντε δ' ἐκ Γαλατίας, ἓξ δ' Ἀθήνηθεν. ἐγὼ γὰρ οὕτω πολλὰς ἐκμανθάνειν οὐ δύναμαι διαλέκτους, ἵν' ἀνδράσιν εἰς τοσοῦτον πολυγλώττοις ἕπωμαι. δίγλωττος γάρ τις ἐλέγετο πάλαι, καὶ θαῦμα τοῦτο ἦν, ἄνθρωπος εἷς, ἀκριβῶν διαλέκτους δύο. σὺ δὲ ἡμᾶς ἀξιοῖς πολλὰς ἐκμαθεῖν, δέον αὐτὸν ἐκμανθάνειν μίαν. ἔστω μὲν ἰδίαν, ἔστω δὲ κοινὴν ἅπασιν. οὕτω δ' εὔγλωττον. ἔστω δ' ἀνθρωπικήν. ὅπερ ἐὰν προσέχῃς τὸν νοῦν ταῖς φωναῖς τῶν βαρβάρων διαλέκτων, εἴσῃ σαφῶς, τὰς μὲν ταῖς τῶν συῶν, τὰς δὲ ταῖς τῶν βατράχων, ἢ κολοιῶν, ἢ κοράκων ἐοικυίας, ἀσχημονούσας τε, καὶ κατ' αὐτὸ τὸ τῆς γλώττης τε, καὶ τῶν χειλέων, καὶ παντὸς τοῦ στόματος εἶδος. ἢ γὰρ ἔσωθεν ἐκ τοῦ φάρυγγος τὰ πολλὰ φθέγγονται τοῖς ῥέγχουσι παραπλησίως, ἢ τὰ χείλη διαστρέφουσι, καὶ συρίττουσιν. ἢ κατὰ πᾶσαν αὔξουσι τὴν φωνήν, ἢ κατ' οὐδεμίαν ὅλως, ἢ κεχήνασι μέγιστον, καὶ τὴν γλῶτταν προσσείουσι, καὶ διανοίγειν οὐδαμῶς δύνανται τὸ στόμα, καὶ τὴν γλῶτταν ἀργήν, καὶ δυσκίνητον, καὶ ὥσπερ δεδεμένην ἔχουσιν. εἶτα σὺ

παρεὶς τὴν ἡδίστην τε, καὶ ἀνθρωπικωτάτην διάλεκτον, ᾗ τοσοῦτον κάλλος ὁρᾶται, καὶ χάρις ἐπανθεῖ, ἐκ πολλῶν ἀτόπων, καὶ δεινῶν ἀθροίζεις ὀνόματα. πολὺ ῥᾷον ἦν μίαν ἐκμαθεῖν τὴν καλλίστην, ἢ μυρίας μοχθηράς. ἀλλ' οὐ μόνον αὐτοὶ μανθάνειν ὀλιγωροῦσιν, ἀλλὰ καὶ ἡμᾶς ἀναγκάζουσιν, ἐν ᾗ τεθράμμεθα καὶ πεπαιδεύμεθα φωνῇ, ταύτην καταλιπόντας, ἐκμανθάνειν τὰς ἐκείνων. οὐ βούλει μαθεῖν ἄνθρωπε τὴν τῶν Ἑλλήνων διάλεκτον; ὡς ἐπιθυμεῖς, βαρβάριζε. μόνον, ὥσπερ ἐγὼ συγχωρῶ καθ' ὃν αὐτὸς προῃρήσω τρόπον λαλεῖν, οὕτω, κἀμοὶ συγχώρησον, ὡς ἔμαθον διαλέγεσθαι. πατὴρ ἦν ἐμοὶ ἀκριβῶν τὴν τῶν Ἑλλήνων διάλεκτον. καὶ διδάσκαλος, καὶ παιδαγωγὸς Ἕλλην. ἐν τούτοις ἐτράφην τοῖς ὀνόμασιν. οὐ γνωρίζω τὰ σά. μήτ' ἐμπόρων μοι, μήτε καπήλων, μήτε τελωνῶν χρῆσιν ὀνομάτων ἔπαγε, οὐχ ὡμίλησα τοιούτοις ἀνθρώποις. ἐν δὲ ταῖς τῶν παλαιῶν ἀνδρῶν βίβλοις διετράφην. καὶ ταῦτα λέγω, μηδενὶ πώποτ' εἰπών, μήθ' ὅτι βαρβαρίζεις ὦ οὗτος, μήθ' ὅτι σολοικίζεις, μήθ' ὅτι κακῶς καὶ οὐ κυρίως ὠνόμασας, ἀλλ' ἐπιτρέπω πᾶσιν, ὡς βούλονται φθέγγεσθαι. κἂν ὁ κυβερνήτης εἴπῃ φέρε τὸν ποῦν, οὐδὲν ἐμοὶ διαφέρει. ταῦτα Φαβωρῖνος, καὶ Δίων, οὐκ ἐγὼ μέμφομαι· συνιέναι μόνον βούλομαι τοῦ λεγομένου. ὅταν δέ ποτε καὶ κατ' αὐτὸ τοῦτο ταράττωμαι, τότε ἀναγκαίως πυνθάνομαι, τίς δηλοῦν βούλεται τοὔνομα, κἂν μηνύσαντος ὃ βούλεται, σιωπῶ, μήτ' ἐξελέγχων, μήτε μεμφόμενος, εἰ παρὰ τὴν τῶν Ἑλλήνων εἴρηται συνήθειαν. ἑνὸς γάρ μοι μόνου φροντίς, τοῦ γνῶναι τὸν νοῦν τοῦ λεγομένου. τοῖς δέ, ὡς ἔοικεν οὐκ ἀρκεῖ τὸ τοιοῦτον, ἀλλ' ὅταν ἡμεῖς τοῖς τῶν Ἑλλήνων ὀνόμασι χρησόμεθα, τότ' ἐκεῖνοι πρῶτον μέμφονται, τὰ μέν, ὡς διαλεκτικοί, τὰ δέ, ὡς φυσικοί τινες ἄνδρες, τὰ δ', ὡς ῥήτορες, τὰ δέ, ὡς γραμματικοί. πολυειδῶς γὰρ ἐπηρεάζουσιν. εἶθ' ὅταν τις αὐτούς, εἰς μακρότερον ἀναγκασθεὶς ἀφικέσθαι διάλογον, ἐξελέγχῃ μηδὲν γινώσκοντας, ὧν ὡς γινώσκοντες ἐθρασύνοντο, παραχρῆμα σφῶν αὐτῶν ἐπιλανθανόμενοι, κατηγοροῦσι τῶν αὐτῶν τούτων, ὑπὲρ ὧν ἐξ ἀρχῆς, ὡς χρησίμων διελέγοντο. τίς γὰρ ἡμῖν οὐκ ἐπιπηδᾷ τῶν θρασέων τούτων, ἐπειδὰν εἴπωμεν τὰς διαφορὰς τῶν κατὰ τοὺς σφυγμοὺς γενῶν εἶναι τοσαύτας, κακῶς φάσκων διαφορὰς ἡμᾶς εἰρηκέναι, καὶ πολὺ χεῖρον ἔτι γενῶν. φεύγοντες δὲ αὐτῶν ἡμεῖς τὴν ματαίαν ἐπήρειαν, ἀλλ' εἰ βούλει φαμέν, ποιότητας αὐτὰς κάλεσον, ἢ ὅτι ἂν ᾖ σοι φίλον. οὐ γὰρ ὑπὲρ ὀνομάτων ὁ λόγος ἡμῖν, ἀλλὰ περὶ πραγμάτων. πόσα γὰρ τὰ πρῶτα γένη τῶν σφυγμῶν χρηστὸν εἰδέναι, μή πως εὐθὺς ἐν τῇ πρώτῃ διαιρέσει γένος ὅλον παραλίπωμεν. οἱ δὲ οὐκ ἐπιτρέπουσιν ἡμῖν, οὐδ' αὐτὰ ταῦτα εἰπεῖν. ἀλλ' εὐθὺς ἐπιστομίζουσι πράγματος ὅλου λέγοντας, οὐκ ὀνόματος εἶναι τὴν ἄγνοιαν. εἶτα ἀναγκάζουσιν ἡμᾶς λέγειν πρὸς αὐτούς, ἃ μηδέ ποτ' ἂν ἑκόντες εἴποιμεν. κἄπειτ' ἐξελεγχόμενοι, πρῶτον μὲν ὅτι περὶ ὀνόματος, οὐ περὶ πράγματός ἐστιν ἡ ζήτησις. ἔπειθ' ὅτι κακῶς αὐτοὶ κέχρηνται τοῖς ὀνόμασιν, οὐχ ἡμεῖς, ἀγανακτοῦσι δεινῶς, καὶ ὥσπερ ἐξ ὕπνου διεγερθέντες, ἄχρηστον εἶναι λέγουσι τὴν ἐν τοῖς ὀνόμασιν μικρολογίαν, ὥσπερ ἡμῶν ἐξ ἀρχῆς ἄλλο τι λεγόντων, ἢ βουλομένων. ἢ οὐκ αὐτοὶ κατάρξαντες τῆς τοιαύτης ψυχρολογίας. ὀκτὼ λέγεις ποιότητας, ἄνθρωπε, τῷ σφυγμῷ παρέπεσθαι. συγχωρήσω σοι τῷ τῆς ποιότητος ὀνόματι καλῶς κεχρῆσθαι, μηδὲν περὶ τούτου φθεγξάμενος, ἐπιδείξω πῶς οὐκ εἰσὶν ὀκτώ. περὶ πράγματος αὕτη ἡ ζήτησις, εἰς ἣν ἐγὼ προσκαλοῦμαι τοὺς γενναίους τούτους σοφιστάς, οἶδ', ἵν' ἐκ ταύτης διαλύσεις πορίσωνται, λέγοντος ἄν μου μεταξὺ κατὰ τὸν λόγον, ὀνόματός τινος ἐπελάβοντο. εἶθ' ὅταν ἐξελεγχθῶσιν ὑπὲρ ἀμφο-

A cundissimam negligis humanissimámque linguam, ea florentem elegantia atque gratia; & ex multis importunis & absurdis congeris nomina? Vnam longè erat procliuius ornatissimam addiscere, quàm sexcentas deprauatas. At non tantum ipsi repudiant, sed & nos cogunt, in qua educati & instituti lingua sumus, hac dimissa, ediscere suam. Quid tu, non vis bone vir addiscere linguam Græcam? Barbarè, vt velis, sonaueris. Tantum, vt ego permitto pro tuo tibi arbitrio loqui; sic mihi, vt doctus sum, concede, vt dicam. Patrem habui, qui adamussim teneret Græcam lin-B guam, essétque doctor, & pædagogus Græcus; in his altus vocabulis sum, nescio tua. Nec mercatorum mihi, aut cauponum, aut publicanorum vsum nominum adducas. Non vsus sum istorum hominum consuetudine, à puero in veterum versatus sum libris. Atque hæc dico, nec vlli dixi tamen vnquam, vel heus tu barbarè sonas, vel solœcismum committis, vel parum bene & propriè appellasti. Imò loqui, vt volunt, omnibus per me quidem licet, vt etiam gubernator dicat; Adducas pes, nil laboro. Phauorinus hæc, & Dion, non ego reprehendo; tantùm sermonem volo intelligere. Qui si me quan-C do perplexum habet, ibi necessum quærere mihi est, qui interpretari nomen velit. Si aperit sensum, taceo: neque incuso, vel exprobro, quòd à consuetudine desciuerit Græcorum. Vna duntaxat mihi cura, capiendi sensum sermonis. Istis hoc, vt videtur, non satis est; sed quum nos vtamur Græcorum nominibus, tum nos illi primùm accusant; atque nunc dialecticos agunt, nunc physicos quosdam, aliàs oratores, nonnunquam grammaticos. Variis enim modis nos diuexant. Deinde quum quis in longiorem cum iis disputationem necessariò deductus, imperi-D tiam detegat omnium quæ quasi nossent, iactabant: statim sui ipsi obliti, quæ initio esse vtilia defendebant, hæc ipsa accusant. Quis est de istis audacibus, qui nobis non insultet, quando differentias dicamus pulsuum generum tot esse; malè differentias contendens nos dixisse, & multo etiam peius generum? Nos autem vt inanem contumeliam istorum vitemus: age qualitates, dicimus, eas vocaueris, aut quomodocunque cordi tibi sit; neque enim de nominibus nos, sed de rebus disputamus. Nam, quot pulsuum sint prima genera, nosse refert, ne iam in E prima fortè diuisione genus integrum prætereamus. Hi ne hæc quidem dicere nobis permittunt, sed statim os obturant, ac rei totius confirmant, non nominis, esse ignorationem. Inde ea nos in se cogunt dicere, quæ diceremus inuiti. Mox conuicti, primùm non de re, sed de nomine quæri; deinde nominibus vsurpandis ipsos offendisse, non nos: indignissimè ferunt, & inutilem vocant, velut de somno excitati, argutam illam & anxiam de nominibus sedulitatem; quasi verò aliud nos à primo diximus, aut contenderimus: ac non ipsi initium introduxerint istarum ineptiarum. Octo F dicis tu qualitates pulsum comitari? Dabo tibi hoc, qualitatis te nomine rectè vsum: de eo verbum non faciam. Ostendam non esse octo. Hæc de re quæstio est, ad quam ego egregios hos sophistas prouoco. Isti, quò hinc sese expediant, dum ego disputo, nomen aliquod prehendunt. Quum iam in vtrisque coarguti sint, rebus

rebus simul, & nominibus, stomachantur. Erat verò praua de rebus sententia abiicienda, & ipsi nobis, vt nos ipsis nominibus vti pro arbitrio permisimus, concedere deberent. Sed non permittunt. Quare & ego de voce illorum pauca, necessitate adductus, dixi.

CAPVT VI.

Quàm aberrarit Archigenes in nominibus pulsuum generibus adhibendis: ac quo pacto singula genera sint appellanda.

AC nunc etiam orabo, vt deposita de nominibus contentione, concedant nobis ex Græcorum instituto loqui: addiscántque malè octo se qualitates dicere. Neque enim omnia prima genera pulsuum qualitates, vt demonstrauimus, sunt. Quomodo igitur, inquiunt, dicendum est? Hoc non, quò discant, quærunt; sed ansam vt habeant controuersiæ. Tu ergo respondebis, differentias dicendum esse primorum generum pulsuum; aut sic certè differentiarum pulsuum prima genera. Illi qualia genera, necessariò rogabunt, & quæ, & quales differentias? Tu etiam ad hoc illis responde in hunc modum: Primùm quæso audi, quòd generum: inde audies, quòd primorum; postea, quòd differentiarum. Atque quod generum, hinc cognosces. Dicitur quidam magnus pulsus, & ei contrarius paruus, ac quidam inter vtrunque medius, moderatus in hoc genere. Et herclè est, qui longus vocatur, est qui breuis, & latus, & angustus, & altus, & humilis, & qui horum medij sunt moderati. Horum tibi, quos commemorauimus, vnum esse pulsuum genus censes qualitatem? Innuent scilicet audace & confidenti voce: tu caue, hac re commoueare; sume & recita Archigenis illis librum primum, qui capitis hunc habet primum titulum, De magnitudine pulsus. Deinde initium tractatus sic ad verbum scriptum: *Magnitudo pulsus generatim dicitur; obinet enim magnitudinem, & paruus pulsus, & magnus.* Tum paulum reuoluito librum, & rursus ex tractatu de vehementia hoc caput recita: *Igitur genus est vehementia; eius species, vehemens pulsus, & languidus, & medius.* Iterum librum aliquantum reuolue, ac principium recita tractatus de plenitudine, quod est huiusmodi: *Plenus pulsus, & vacuus commune habent genus: hæc nonnunquam plenitudo vocatur.* Ac paulisper intermitte recitationem libri, atque dic istis nihil nouare nos, sed sequi Archigenem. Est enim omni in pulsu commune plurium differentiarum genus: vt hoc loco sunt ab Archigene tria hæc genera commemorata, magnitudo, vehementia, plenitudo. Tum quartum dic deinceps eum scribere genus, duritiem. Atque caput recita, quod ita habet: *Mollitiei est, & duritiei pulsus commune genus, quæ durities, si receptum sit, vocetur fortasse.* Clarius iam etiam in tractatu de ordine, & perturbatione ordinis æqualitate & inæqualitate, genera dicens harum differentiarum nomen non sortita, hoc modo orditur Herophilus, qui generatim pulsuum protulit alias differentias hoc pacto: *Magnitudo, celeritas, vehementia, rhythmus: non coniunctim, sed speciatim ordinis meminit, & perturbationis*

A τέρων, τῶν τε πραγμάτων ἅμα, καὶ τῶν ὀνομάτων, ἀγανακτοῦσι, δέον, οἶμαι, περὶ μὲν τῶν πραγμάτων τὴν μοχθηρὰν ἀποθέσθαι δόξαν, τοῖς δὲ ὀνόμασιν, ὥσπερ ἡμεῖς ἐκείνοις χρῆσθαι συγχωροῦμεν, οὕτω καὶ αὐτοὺς ἡμῖν ἐπιτρέπειν. ἀλλ' οὐκ ἐπιτρέπουσι. διὰ τοῦτο κἀγὼ βραχέα περὶ τῆς φωνῆς αὐτῶν, ἀναγκασθεὶς εἶπον.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Οσον σφαλθῇ αὖ ὁ Ἀρχιγένης ἐν τῷ ἐπιθέσθαι τὰ ὀνόματα τοῖς τῶν σφυγμῶν γένεσι, καὶ πῶς ἕκαστον τῶν γενῶν ὀνομαστέον.

B ΚΑὶ νῦν ἔτι δεήσομαι παρέντας τὸ περὶ τῶν ὀνομάτων ἐρίζειν, καὶ συγχωρήσαντας ἡμῖν κατὰ τὸ τῶν Ἑλλήνων ἔθος διαλέγεσθαι, μαθεῖν ὅτι κακῶς ὀκτὼ ποιότητας λέγουσιν. οὐ γάρ ἐστιν ἅπαντα τὰ πρῶτα γένη τῶν σφυγμῶν ποιότητες, ὡς ἐδείξαμεν. ἀλλὰ πῶς λέγειν χρή φασιν. ἐρωτῶσι δὲ ταῦτα, οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵν' ἀρχὴν ἔχωσιν ἀμφισβητήσεως. σὺ τοίνυν ἀποκριθήσῃ, διαφορὰς χρῆναι λέγειν τῶν πρώτων ἐν τοῖς σφυγμοῖς γενῶν, ἢ καὶ νὴ Δία οὕτως, τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν τὰ πρῶτα γένη. οἱ δὲ ἐξ ἀνάγκης ποῖα πρῶτα γένη φήσουσι, καὶ τίνα, καὶ ποίας
C διαφοράς. σὺ δὲ, καὶ πρὸς ταῦθ' ὧδέ πως αὖθις ἀπόκριναι· πρῶτον ἄκουσον εἰπὼν ὦ τᾶν, ὅτι γενῶν, καὶ τότε ἀκούσῃς, ὅτι πρώτων, καὶ μετὰ τοῦθ', ὅτι διαφορῶν. ὅτι μὲν οὖν γενῶν, ἐντεῦθεν εἴσῃ. λέγεταί τις μέγας σφυγμός, καὶ ἐναντίως αὐτῷ, μικρός. καί τις ἀμφοῖν μέσος, ὁ σύμμετρος αὐτῶν. καὶ νὴ Δία γε μακρός τις καλεῖται σφυγμός. καὶ βραχὺς, καὶ πλατὺς, καὶ στενὸς, καὶ ὑψηλὸς, καὶ ταπεινὸς, καὶ οἱ μέσοι τούτων ἁπάντων οἱ σύμμετροι. δοκεῖ σοι τούτων τῶν εἰρημένων σφυγμῶν εἶναί τι κοινὸν γένος, ὁποῖον φήσουσι δηλαδὴ θρασυνόμενοι τῇ φωνῇ.
D σὺ δὲ, μὴ ταραχθεὶς ἐν τούτῳ, λαβὼν ἀνάγνωθι τὸ τοῦ Ἀρχιγένους βιβλίον αὐτοῖς, πρῶτον μὲν τὸ ἐπίγραμμα τοῦ κεφαλαίου τοιοῦτον ἔχον. περὶ μεγέθους σφυγμοῦ. εἶτα καὶ αὐτὴν τὴν ἀρχὴν τοῦ λόγου κατὰ λέξιν ὧδέ πως γεγραμμένην. τὸ μέγεθος τοῦ σφυγμοῦ γενικῶς λέγεται. ἔχει γὰρ μέγεθος, καὶ ὁ μικρὸς σφυγμὸς, καὶ ὁ μέγας. εἶτα μικρὸν ἐπειλίξας τὸ βιβλίον, αὖθις ἐκ τοῦ περὶ σφοδρότητος, ἀνάγνωθι ταύτην τὴν λέξιν. τὸ κοινὸν γένος μὲν ἡ σφοδρότης, εἴδη δὲ αὐτῆς, ὅ τε σφοδρὸς σφυγμὸς, καὶ ἀμυδρὸς, καὶ ὁ μέσος. εἶτα πάλιν ἐπειλίξας τὸ βιβλίον ὀλίγον, τὴν ἀρχὴν
E ἀνάγνωθι, τοῦ περὶ τῆς πληρότητος λόγου, τοιαύτην οὖσαν. τῷ πλήρει σφυγμῷ, καὶ τῷ κενῷ, ἔστι κοινὸν γένος. τοῦτ' ἔσθ' ὅτε πληρότης καλεῖται. καὶ μικρὸν ἐπισχὼν τὸν λόγον, τὴν ἀνάγνωσιν τοῦ βιβλίου, φάθι πρὸς αὐτοὺς, ὡς οὐδὲν ἡμεῖς καινὸν λέγομεν, ἀλλ' ὅσα περ εἴρηται καὶ Ἀρχιγένει. καθ' ἕκαστον γὰρ τῶν σφυγμῶν, ἔστι τι κοινὸν πλειόνων διαφορῶν γένος, ὥσπερ ἐν τῷ παρόντι, τρία ταυτὶ πρὸς Ἀρχιγένους εἴρηται, μέγεθος, σφοδρότης, πληρότης. εἶθ' ἑξῆς φάθι τέταρτον αὐτὸν γράφειν γένος τὴν σκληρότητα, καὶ τὴν λέξιν ἀνάγνωθι τόνδε τὸν τρόπον ἔχουσαν. ἔστι δὲ, μαλακότητος καὶ σκληρότητος σφυγμοῦ κοινὸν
F γένος, ὃ τάχ' ἂν τριβείη, καλεῖται σκληρότης. ἔτι δὲ σαφέστερον ἐν τῷ περὶ τάξεως, καὶ ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας λόγῳ, τὰ γένη τούτων τῶν διαφορῶν, ἀκατονόμαστα λέγων εἶναι, τόνδε τὸν τρόπον ἄρχεται. ὁ δὲ Ἡρόφιλος κατὰ γένος τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἐκθέμενος οὕτως. μέγεθος, τάχος, σφοδρότης, ῥυθμός. ἀσυζύγως κατ' εἶδος, τάξεως ἐμνήσθη καὶ

ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας. ἐγκαλεῖται τοίνυν ὑπὸ τῶν μικραιτιῶν, ὡς γένεσιν εἴδη ἀντιδιαστελλόμενος. ταῦτα μὲν κατὰ τὴν ἀρχὴν τοῦ λόγου. κατωτέρω δὲ οὐκέτι τὸ Ἡροφίλου δόγμα ἐξηγούμενος, ἀλλὰ τὴν ἑαυτοῦ γνώμην γράφων, ἐν τῷ περὶ τάξεως καὶ ἀταξίας λόγῳ, τί φησι; μᾶλλον δὲ ῥητέον, ὅτι τὸ γένος ἐστὶν ἀκατονόμαστον. τοῦτο δὲ δή, τί βούλεται αὐτῷ; ὅτι μεγέθους μὲν, καὶ μικρότητος τὸ κοινὸν γένος, ὠνόμασε μέγεθος. καὶ σφοδρότητος, καὶ ἀμυδρότητος, σφοδρότητα. καὶ πληρότητος καὶ κενότητος, πληρότητα. καὶ σκληρότητος, καὶ μαλακότητος, σκληρότητα. καὶ τάχους, καὶ βραδύτητος, τάχος. καὶ πυκνότητος, καὶ ἀραιότητος, πυκνότητα. τάξεως δὲ καὶ ἀταξίας τὸ γένος ἐπινοεῖ μέν, ὄνομα δὲ οὐδὲν ἔχει κατ᾽ ἀμφοῖν τοιοῦτον εἰπεῖν, οἷον κατὰ μεγέθους καὶ μικρότητος, τὸ μέγεθος. οὐ γάρ, ὥσπερ ἐκεῖ τῷ μικρῷ σφυγμῷ μέγεθος ὑπάρχειν ἔφησεν, οὕτω κἀνταῦθα τῷ ἀτάκτῳ τάξιν τολμᾷ φάναι συμβεβηκέναι. κατὰ ταῦτα δὲ οὐδὲ τῷ ἀνωμάλῳ ὁμαλότητα. ὅθεν οὐδὲ τούτων τὸ γένος τὸ κοινόν, ὁμαλότης ὠνόμασται. καὶ διὰ τοῦτο, ἀκατονόμαστά φησι τούτων τῶν διαφορῶν εἶναι τὰ γένη. γένη μὲν δὴ κατὰ τὰς τῶν σφυγμῶν διαφορὰς οὐχ ἡμεῖς μόνον, ἀλλὰ Ἀρχιγένης εἶναί φησι. καὶ Ἀγαθῖνος, καὶ πάντες σχεδὸν οἱ περὶ σφυγμῶν γράψαντες ὑπομνήματα. πῇ τοίνυν αὐτῶν διαφερόμεθα; ὅτι κυριωτέροις ἡμεῖς χρώμεθα τοῖς ὀνόμασιν. εἰπόντος γὰρ Ἀρχιγένους κατὰ μέγεθος εἶναί τινα ποιότητα, καὶ αὖθις ἑτέραν κατὰ σφοδρότητα, καὶ τρίτην κατὰ πληρότητα, καὶ τετάρτην κατὰ σκληρότητα, καί τινας ἐπὶ ταύταις κατὰ τάχος, καὶ πυκνότητα, τὴν μὲν κατὰ μέγεθος, ἡμεῖς κατὰ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάσομεν. οὐ γάρ ἐστι κοινὸν γένος μεγέθους, καὶ μικρότητος, μέγεθος· οὐ μᾶλλον, ἢ λευκότητος καὶ μελανότητος, λευκότης. ἀλλ᾽ εἴπερ τούτων γένος τι τὸ χρῶμα, ζητητέον τί ποτ᾽ ἐστὶ τοῦ μεγάλου, καὶ μικροῦ γένος. ἢ γὰρ τὸ ποσόν ἐστιν, ἢ τὸ πρός τι, ἢ σύνθετον ἅμα τῷ πρός τι, καὶ τὸ ποσόν. ἴσμεν γὰρ ὅτι κατὰ πολλὰ γένη συνίσταται τὸ πρός τι. καὶ γὰρ λευκότερον, καὶ μελάντερον, ἐν τῷ γένει τοῦ χρώματος. ποιὸν δὲ τὸ χρῶμα. καὶ ἀνωτέρω, καὶ κατωτέρω πάλιν ἐν τῷ τοῦ ποῦ γένει. καὶ πρωϊαίτερον, καὶ ὀψιαίτερον ἐν τῷ τοῦ πότε, καὶ κατ᾽ ἄλλας πλείους γενικὰς κατηγορίας τὸ πρός τι συνίσταται. τί δὴ θαυμαστόν, εἰ καὶ κατὰ τὴν τοῦ ποσοῦ συνέστη. μάλιστα γὰρ ἂν ἐβουλήθημεν, εἴπερ ἦν δυνατόν, ὡρισμένῳ μέτρῳ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάσαι. καθάπερ ἐπὶ πολλῶν ποδιαῖόν τε καὶ πηχυαῖον, ἢ διπηχυαῖον, καὶ τὰ τοιαῦτα καλοῦμεν. ἐπεὶ δὲ οὐδὲν εὕρομεν τοιοῦτον ἐκ τῶν ἐνόντων, ἐγγυτάτω προσήειμεν ὡρισμένου. γιγνώσκοντες γὰρ οἶμαι τόν τε ἁπλῶς, καὶ τὸν καθ᾽ ἕκαστον ἡμῶν σύμμετρον σφυγμόν, τοὺς ὑπερβάλλοντας, ἢ ἐλλείποντας, ὀνομάζειν σαφῶς πειρώμεθα, ποτὲ μὲν οὑτωσὶ λέγοντες, ἢ κἂν μὴ λέγωμεν πρὸς ἀλλήλους, ἐν ἡμῖν γοῦν αὐτοῖς νοοῦντες. οὗτος ὁ σφυγμὸς βραχὺ τοῦ συμμέτρου μείζων ἐστίν, αὖθις δὲ πάλιν, οὗτος ὁ σφυγμὸς οὐκ ὀλίγῳ τοῦ συμμέτρου μείζων ἐστί. τὸ δ᾽ αὐτὸ καὶ οὕτως λέγομεν, ἀξιολόγως τοῦ συμμέτρου μείζων, ἢ, ἱκανῶς μείζων. ἢ πάλιν ἁπλῶς, οὑτοσὶ μέγας ἐστὶν ὁ σφυγμός, ἢ καὶ οὕτως. ὁ σφυγμὸς οὗτος ἱκανῶς μέγας ἐστί. ἢ καὶ νὴ Δία οὕτως. πάνυ μέγας ὁ σφυγμὸς οὗτός ἐστι. ἢ μᾶλλον ἔτι προσαύξοντες τὴν νόησιν, πάνυ σφόδρα μέγαν εἶναί φαμεν, ἢ καὶ νὴ Δία, μέγιστον. ἅπασαι γὰρ αἵδε αἱ λέξεις τὸν τοῦ συμμέτρου μείζονα δηλοῦσαι, τὸ μᾶλλόν τε καὶ ἧττον ἐμφαίνουσιν, ὥστε τινὰ τὸ πρὸς τὴν χρείαν σύμμετρον αὐταρκέστατον δηλοῦν, εἰ μόνον ἐπιστάμενος εἴη τὸ σύμμετρον. ἀρκεῖ γὰρ ἐν αὐτῷ τῷ μείζονι

ordinis, atque æqualitatis & inæqualitatis. Vnde curiosiores illum, qui generibus in partitione species opponat, reprehendunt. Hæc ad initium tractatus. Inferius, quum non Herophili alterius, sed suam ipsius tradit mentem, in capite de ordine & perturbatione ordinis, quid ait? Citius enim affirmauerim genus esse sine nomine. Hoc autem quid sibi vult, quòd magnitudinis & paruitatis commune genus magnitudinem appellauit; vehementiæ & remissionis, vehementiam: plenitudinis & vacuitatis plenitudinem: duritiei & mollitiei, duritiem: celeritatis & tarditatis, celeritatem: crebritatis & raritatis, crebritatem: at ordinis, & perturbationis ordinis mente quidem concipit, sed nomen non potest amborum tale exprimere, quale magnitudinis, & paruitatis, magnitudinem? Neque enim, vt illic paruo pulsui magnitudinem ait suppetere, & hic dicere audet in inordinatum cadere ordinem; neque verò etiam in inæqualem, æqualitatem. Quare nec genus horum commune nominatur æqualitas. Itaque nomine ait vacare harum genera differentiarum. Genera ergo secundum pulsuum differentias non nos modo, sed Archigenes esse dicit, sed Agathinus, sed qui de pulsibus commentati sunt, penè omnes. Vbi ergo ab illis dissidemus? quòd vocabulis nos magis vtimur propriis. Nam quum quandam Archigenes magnitudinis qualitatem dicat esse, alteram vehementiæ, tertiam plenitudinis, quartam duritiei, & quasdam præterea celeritatis atque crebritatis, magnitudinis qualitatem nos quantitatem distentionis nominauimus. Neque est enim commune magnitudinis, & paruitatis genus magnitudo potius, quàm albedinis, & nigritiei albedo. Sed si harum est color genus, quodnam magni sit, & parui genus, quærendum est; nam aut quantitas est, aut ad aliquid, aut coniuncta cum ad aliquid quantitas. Neque enim sumus nescij multis generibus esse commune ad aliquid: siquidem albius, & nigrius sunt in genere coloris, & qualitas color est; iam superius atque inferius etiam in genere vbi, maturius item, & tardius in genere quando. Et verò etiam aliis in pluribus generalibus prædicamentis ad aliquid versatur. Quid igitur admirationis habet, si & in prædicamento quantitatis locum habet? Sanè nihil mallem, si quidem posset, quam certo termino quantitatem distentionis appellare, sicut in multis pedale, cubitale, bicubitale, & eiuscemodi vocamus. Atqui quando eiuscemodi ex accidentibus nihil inuenimus, quamproxime ad certos accessimus. Nam quum teneamus quidem pulsum moderatum absolutè, & moderatum ad singulos nos: excedentes modum, & qui infra modum sunt, damus operam vt clare nominemus: atque sic interim dicimus: aut, si cum nemine loquamur, nobiscum certè cogitamus: Hic pulsus aliquantò est moderato maior: aliàs, non paulò hic pulsu moderato maior est. Idem etiam sic dicimus, bene maior moderato, aut satis maior, aut etiam absolutè, hic magnus est pulsus: vel hoc modo, pulsus hic satis magnus est: vel hercle, admodum est magnus hic pulsus: aut, quum longius etiam intelligentiam protendimus, maiorem in modum dicimus magnum esse, aut deniq; maximum. Nam omnes hæ dictiones moderato maiorem denuntiantes, maiorem excessum & defectum ostendunt. Quare optimè valeas moderatum, qui requiritur, ostendere, modo moderatum cognoscas. In ipso enim maiore, quam

quam est moderatus, satis est quinque facere, aut certè sex differentias. Eum qui excedat omnes qui nobis animaduertendus etiam est, non secus ac moderatus, maximum vocabimus; qui medius est inter maximum & medium, magnum simpliciter. Iam interponendi huic, & illi vtrinque alij duo: vnus paulò maior moderato, alter, qui magno paulùm concedit; alius iam qui magnum superet; alius qui proximus sit maximo. Hæc adduxi, vt demonstrarem magnum & paruum, vt videantur esse quam maxime prædicamenti ad aliquid, quantitatem significare. Quocirca nos, qui vt clare intelligant discipuli, curamus, ex quantitate distentionis omnia dicimus illa nominata esse; simúlque vsum eos nominum docemus, nec perturbamus, quum paruitati dicamus magnitudinem inesse. Nam si vel idiota sis, & primarum disciplinarum imperitus, quiduis potius quàm hoc concedes; quas si antea attigisti, profectò millies offendisti scriptas apud Græcos, magnitudinem & paruitatem, ésque ad concipiendum assuetus, magnum habere magnitudinem, atque paruum paruitatem. Equidem noui quendam qui olim Archigenis mihi de pulsibus librum interpretaretur, qui paruo credebat nullam suppetere magnitudinem. *Nam si, inquit, cuipiam adsit paruitas, etiam eidem aderunt ambæ.* Hic ego quum tacuissem, quantitatem, inquit, aut tale aliquid paruo cogeris suppetere, magnitudinem nequaquam. Hæc ego, quia vt parum recta non valeo calumniari, neque instituendos tyrones volo importunè confundere, quando homonymum est magnitudo, & de his, quæ bifariam dicuntur, satius esse dicendum duxi, distentionis quantitatem multas differentias pulsuum complecti. Nam eum scio paruitatis esse apud Græcos vsum, vt quoddam accidens, & inseparatum à paruis. Itaque Plato etiam ideas efficiebat magnitudinis & paruitatis; ac harum vicissitudine magnum & paruum generabat ratione. Atque his si quis omnibus præteritis, magnitudinem paruis pulsibus aliquam inesse concedat secundum alteram homonymorum significationem rariorem: sed & longis iam & breuibus, & latis, & angustis, humilibúsque, & altis (quum eiusdem sint generis cum magno, & paruo) inesse dicat magnitudinem? Nam longus est, qui longitudinem naturalem excedit; latus, qui latitudinem: altus, qui profunditatem; quorum intelligitur nullus in tribus dimensionibus arteriæ, citra quas nulla constet magnitudo. Siquidem quantitas vnius dimensionis, non magnitudo, sed longitudo est, ex qua aliquos longos & breues vocitamus, non magnos vel paruos. Neque verò ita lineam vnquam appellamus, sed aut longam, aut breuem. Verumenimuero illa demum quæ trifariam corpora dimensa sint, magna dicimus & parua. Atque adeo ipse Archigenes magnitudinem esse pulsus ait, tumorem assurgentis arteriæ. Atqui tumore linea caret, quæ solis trifariam dimensis conuenit. Proinde omnes clarè, vel de illius sententia, à magnitudinis genere, qui ex vna dimensione nomen sortiti pulsus sunt, reiiciuntur. Quare aut peculiare faciat ipsis genus, vt magno & paruo magnitudinem; aut, nisi faciat, non magni tantùm & parui quærat commune genus, sed etiam longi & breuis, lati & angusti, alti & humilis, cæterorúmque adeo in iis

τοῦ συμμέτρου, πέντε ποιησάμενον, ἢ καὶ νὴ Δία, ἓξ διαφοράς, τὸν μὲν ὑπὲρ ἅπαντας ὄντα ἡμῖν, καὶ αὐτὸν ἐγνῶσθαι χρή. καθάπερ τὸν σύμμετρον ὀνομάζειν μέγιστον. τὸν δ' ὥσπερ μέσον τοῦ μεγίστου, καὶ τοῦ μέσου, μέγαν ἁπλῶς. μεταξὺ δὲ τούτου τε κἀκείνου καθ' ἑκάτερον ἄλλους δύο τάξαι, τὸν μὲν ὀλίγῳ τοῦ συμμέτρου μείζονα, τὸν δ' ἀπολειπόμενον ὀλίγῳ τοῦ μεγάλου, καὶ τὸν μὲν ὑπὲρ τὸν μέγαν, τὸν ἐγγυτάτω τοῦ μεγίστου. ταῦτα εἴρηταί μοι πρὸς ἔνδειξιν τοῦ δηλωτικὸν ποσότητος εἶναι τόν τε μέγαν, καὶ τὸν μικρόν, κἂν ὅτι μάλιστα δοκῶσι τῆς τοῦ πρός τι κατηγορίας ἔχεσθαι. διὰ τοῦτο οὖν ἡμεῖς τοῦ σαφοῦς τῶν μανθανόντων πεφροντικότες, κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἅπαντα τὰ τοιαῦτα ὠνομάσθαι λέγομεν, ἅμα μὲν τὴν χρείαν αὐτοὺς διδάσκοντες τῶν ὀνομάτων, ἅμα δέ, οὐ ταράττοντες, ὅταν τῷ μικρῷ τὸ μέγεθος ὑπάρχειν λέγωμεν. ἄν τε γὰρ καὶ ἰδιώτης τις ᾖ, καὶ ἀγύμνασος τῶν πρώτων μαθημάτων, πολὺ μᾶλλον, ἢ τοῦτο προσήσεται, ἂν δ' ᾖ τι καὶ προμεμαθηκώς, εὕρηκεν οἶμαι μυριάκις παρὰ τοῖς Ἕλλησι γεγραμμένα, μέγεθος καὶ μικρότητα. καὶ συνείθισται τῷ μὲν μεγάλῳ μέγεθος ὑπάρχειν νοεῖν, τῷ δὲ μικρῷ μικρότητα. καὶ τινα οἶδά ποτε ἐξηγούμενόν μοι τὸ τοῦ Ἀρχιγένους περὶ τῶν σφυγμῶν βιβλίον, ὑπολαβόντα μηδαμῶς ὑπάρχειν μέγεθος τῷ μικρῷ. εἰ γὰρ δὴ τούτῳ τινί, φησίν, ἡ μικρότης ὑπάρξει, καὶ ἀμφότερα τῷ αὐτῷ. διασιωπήσαντος δέ μου, ποσότητα μὲν ἔφησεν, ἢ πηλικότητα, ἤ τι τοιοῦτον ἄλλο δύνασθαι νοεῖν ὑπάρχειν τῷ μικρῷ, μέγεθος δὲ οὐδαμῶς. ταῦτ' ἐγὼ μήτε διαβάλλειν ἔχων, ὡς οὐκ ὀρθῶς εἰρημένα, μήτε παρὰ καιρὸν ταράττειν βουλόμενος τοὺς πρώτως μανθάνοντας, ἐν τῷ διδάσκειν αὐτούς, ὅτι τῶν ὁμωνύμων τε καὶ διχῶς λεγομένων τὸ μέγεθός ἐστιν, ὀρθότερον ἐνόμισα λέγειν δεῖν, κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνίστασθαι πολλὰς διαφορὰς σφυγμῶν. οὕτως γὰρ οἶδα τὴν μικρότητα δι' ἔθους τοῖς Ἕλλησιν οὖσαν, ὡς τι συμβεβηκός, καὶ ἀχώριστον τῶν μικρῶν. ὥστε που Πλάτων καὶ ἰδέας ἐποίει μεγέθους τε καὶ μικρότητος, καὶ τῇ τούτων μεταλήψει τὸ μέγα, καὶ τὸ μικρὸν ἐγέννα τῷ λόγῳ. καὶ ταῦτα εἴ τις πάντα παρελθών, συγχωρήσειε μέγεθος τι καὶ τοῖς μικροῖς ὑπάρχειν σφυγμοῖς, κατὰ θάτερον τῶν κατὰ τὴν ὁμωνυμίαν σημαινομένων τὸ σπανιώτερον. ἀλλὰ τοῖς γε μακροῖς, καὶ βραχέσι, καὶ πλατέσι, καὶ στενοῖς, καὶ ταπεινοῖς, καὶ ὑψηλοῖς ἐκ ταὐτοῦ γένους οὖσι τῷ τε μεγάλῳ καὶ μικρῷ, πῶς ἂν ὑπάρχειν λέγοιτο μέγεθος; ὁ μὲν γὰρ μακρός, ὁ κατὰ μῆκός ἐστιν ἐπιπλέον ηὐξημένος τῷ κατὰ φύσιν. ὁ δὲ πλατύς, ὁ κατὰ πλάτος· καὶ ὑψηλός, ὁ κατὰ βάθος. οὐδεὶς αὐτῶν κατὰ τὰς τρεῖς διαστάσεις νοούμενος τῆς ἀρτηρίας, ὧν οὐκ ἄνευ, μέγεθος συνίσταται. τὸ γὰρ κατὰ μίαν διάστασιν ποσόν, οὐ μέγεθος, ἀλλὰ μῆκός ἐστι, καὶ μακρούς, καὶ βραχεῖς, κατὰ τοῦτό τινας λέγομεν, οὐ μεγάλους, οὐδὲ μικρούς. οὐδὲ γὰρ γραμμὴν οὕτω ποτὲ καλοῦμεν, ἀλλ' ἤτοι μακράν, ἤτοι βραχεῖαν. ὅσα δὲ τριχῇ διέστηκε σώματα, ταῦτα μόνα μεγάλα τε, καὶ μικρὰ λέγεται. αὐτὸς γοῦν ὁ Ἀρχιγένης μέγεθος εἶναί φησι σφυγμοῦ, τὸν ὄγκον τῆς ἐπαναστάσεως τῶν ἀρτηριῶν. ὄγκος δὲ οὐχ ὑπάρχει γραμμῇ, ἀλλὰ μόνοις τοῖς τριχῶς διεστῶσι. φανερῶς γοῦν καὶ κατ' ἐκεῖνον τοῦ κατὰ μέγεθος γένους ἐκπεπτώκασιν ἅπαντες οἱ κατὰ μίαν διάστασιν λεγόμενοι σφυγμοί. ἢ τοίνυν ἴδιον ἐξῆς ποιησάτω γένος, ὥσπερ τῷ μεγάλῳ τε, καὶ μικρῷ τὸ μέγεθος, ἢ μὴ ποιῶν, ζητησάτω μὴ μεγάλου μόνον, καὶ μικροῦ κοινὸν γένος, ἀλλὰ καὶ μακροῦ, καὶ βραχέος, καὶ πλατέος, καὶ στενοῦ, καὶ ὑψηλοῦ, καὶ

ταπεινοῦ, καὶ τῶν ἄλλων ἐν ἅπασιν αὖθις συμμέτρων. ἀλλ' οὐδὲν ἕξει κατὰ πάντων κοινῇ κατηγορῆσαι πλὴν τοῦ ποσοῦ. γίγνοιτο δ' ἂν οὕτω καὶ ἡ διδασκαλία πᾶσα σαφὴς, καὶ διηρθρωμένη. τίς γὰρ εἰς τοσοῦτον σκαιός ἐστιν, ὡς μὴ συνιέναι τῶν οὑτωσὶ λεγομένων, τὸ ποσὸν τῆς διαστολῆς τῶν ἀρτηριῶν, ὅταν μὲν τὸ κατὰ μίαν διάστασιν ἡντιναοῦν δηλῶσαι βουληθῶμεν, ὀνόμασι τοῖσδε χρώμεθα, τὸν μὲν ὑπερβάλλοντα τὸ κατὰ φύσιν μῆκος, μακρὸν, τὸν δ' ἐλλείποντα, βραχὺν καλοῦμεν, ὡσαύτως δὲ, καὶ τὸν μὲν ὑπὲρ τὸ κατὰ φύσιν πλάτος, πλατὺν, τὸν δὲ ἐναντίον αὐτῷ, στενόν. καὶ ὑψηλὸν αὖ, καὶ ταπεινὸν, ἀνάλογον τούτοις ἐν τῇ κατὰ βάθος διαστάσει. τὸ δὲ κατὰ τὰς τρεῖς ἅμα διαστάσεις ποσὸν, ὧδέ πως ὀνομάζομεν, τὸν μὲν ἐπὶ πλέον τοῦ κατὰ φύσιν ηὐξημένον πάντη, μέγαν. τὸν δὲ πάντη μεμειωμένον, μικρόν. ὅστις δ' ἂν φυλάττῃ πάντη τὸ κατὰ φύσιν μέτρον, σύμμετρον τὸν τοιοῦτον καλοῦμεν. ὅταν δὲ μὴ φυλάττωσι τὴν ἀναλογίαν αἱ τρεῖς διαστάσεις, ἀλλά τις ἐξ αὐτῶν, ἤ τινες ἐλλείπωσιν, ἢ πλεονεκτήσωσι, τέτταρες καὶ εἴκοσι διαφοραὶ σφυγμῶν γίγνονται, ἃς ἡμεῖς ἐπὶ διαγράμματος ἐξεθέμεθα μετὰ τῶν προειρημένων τριῶν, ἵνα δείξωμεν ἑπτὰ, καὶ εἴκοσιν εἶναι τὰς πάσας τῶν κατὰ τὰς τρεῖς ἅμα διαστάσεις συνισταμένων σφυγμῶν διαφοράς. τοῦτο γὰρ ἦν, οἶμαι, χρήσιμον τοῖς ἀρχομένοις μανθάνειν τὴν κατὰ τοὺς σφυγμοὺς θεωρίαν, ἁπάντων γνῶναι τὸν ἀριθμὸν αὐτῶν καθ' ἕκαστον γένος, ὅπερ οἱ πρὸ ἡμῶν παραλελοίπασιν. ἀλλὰ τοῖς μὲν ἄλλοις συγγνώμη. τί γὰρ ἄν τις τοῖς τελέως καταπεπτωκόσι προσπαλαίοι, τοῖς δὲ περὶ τὸν Ἀρχιγένην πῶς οὐκ ἂν ἐγκαλέσαιμεν εἰκότως, οἷς δέον εἰς τὴν τῶν τοιούτων εὕρεσιν χρῆσθαι τῇ διαλεκτικῇ. οἱ δ' ἐν οἷς οὐ χρὴ, παρεπιδείκνυνται κακῶς αὐτὴν, ταράττοντες μόνον τοὺς μανθάνοντας, διδάσκοντες δ' οὐδέν. ἄμεινον γὰρ ἦν ἔχοντάς γε διαιρετικὴν καὶ συνθετικὴν μέθοδον, ἐξευρίσκειν μὲν αὐτῇ τὸ πλῆθος ἁπάντων τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν, μὴ μέντοι παρεπιδείκνυσθαί γ' ὀψιμαθῶς, ἀλλὰ μηδὲ δηλοῦν αὐτὸ τοῦτο τοῖς εἰσαγομένοις, ὡς ἔστι τις μέθοδος καθ' ἣν συνέστη τὸ διάγραμμα. τοῖς μὲν γὰρ μὴ μεμαθηκόσι τὰ παιδικὰ μαθήματα, μάτην ἐρεῖς. οἱ μεμαθηκότες δὲ, καὶ πρὸ τοῦ σε μηνύσαι, γνωρίζουσιν ἐκ τῶν ἔργων τὴν μέθοδον. τί δή ποτ' οὖν, οὐδεὶς αὐτῶν, οὐδὲ τῇ διαιρετικῇ φαίνεται κεχρημένος μεθόδῳ πρὸς τὴν ἐξαρίθμησιν τοῦ καθ' ἕκαστον γένος πλήθους, οὔτε τῇ συνθετικῇ πρὸς τὴν τῶν πρώτων εὕρεσιν; καίτοι διαλεκτικοῖς μόνοις ταύταις ἔστι χρῆσθαι μεθόδοις, ποτὲ μὲν ἀπὸ τῶν ἀτόμων τε, καὶ ἀπείρων τὸ πλῆθος, ἐπὶ τὸ ἓν ἐκεῖνο τὸ πρῶτον ἁπάντων γένος ἀνιόντα, διὰ τῶν ἐν μέσῳ γενικῶν τε, καὶ εἰδικῶν διαφορῶν, ποτὲ δ' ἀπ' ἐκείνου πάλιν, ἐπὶ τὸ ἄπειρον ἰόντα, διὰ τῶν αὐτῶν τῶν ἐν μέσῳ. ἀλλὰ τούτων οὐδεὶς ἐτόλμησεν οὐδεμιᾷ μεθόδῳ πιστώσασθαι τὸν ἀριθμὸν, ἢ τῶν πρώτων γενῶν, ἢ τῶν ἐκ τῆς τούτων τομῆς γινομένων διαφορῶν. ἀλλ' ἡμεῖς γε πεποιήκαμεν αὐτὸ, καὶ ὡς ἂν ὁδῷ βαδίζοντες εὕρομεν τῶν ἑπτὰ, καὶ εἴκοσι σφυγμῶν, τῶν κατὰ τὰς τρεῖς διαστάσεις λεγομένων, καὶ τῶν ἐννέα τῶν κατὰ μίαν, ἓν κοινὸν γένος τὸ ποσὸν ἐν τῇ διαστολῇ τῆς ἀρτηρίας. εἰ δὲ καὶ τὴν συστολὴν ἔνεστιν ἁφῇ γνωρίζειν, γένοιτο ἂν οἶμαι κἀν ταύτῃ τὸ ἴσον πλῆθος τῶν διαφορῶν. ἀλλὰ περὶ μὲν τούτου ζητήσομεν ἐν τοῖς περὶ διαγνώσεως.

moderatorum. Verùm præter quantitatem, quod de omnibus dicatur in communi, nihil habebit. Atque ita euadet quoque clara doctrina & distincta. Nam quis est tam plumbeus, vt non assequatur, quum dicitur, quantitas arteriarum distentionis? Vbi quantitatem vnius dimensionis demonstrare volumus, hæc vsurpamus nomina; eum qui superat naturalem longitudinem longum; qui inferior est ea, breuem appellamus. Simili modo qui iusta latitudine est latior latum; qui ei contrarius est, angustum; atque proportione horum altum, & humilem in profunditatis dimensione. At verò quantitatem in trinis dimensionibus ad hunc modum vocamus, maiorem in modum vndique vltra moderatum auctum magnum; & omni ex parte diminutum, paruum; qui modum seruet prorsus æquum, moderatum hunc appellamus. Quum verò à proportione tres illæ dimensiones discedunt, atque aliqua, vel aliquæ illarum imminuuntur vel exuperant, quatuor & viginti nascuntur differentiæ pulsuum; quas nos quò viginti septem esse obtinentium tres dimensiones pulsuum vniuersas differentias ostenderemus, cum prædictis tribus in tabella proposuimus. Namque hoc visum mihi est horum referre, qui iam primum ad commentationem addiscendam de pulsibus appulerunt, omnium tenere eorum singulis in generibus numerum; id quod priores neglexerunt. Sed his sanè venia danda est: quid enim cum istis lucteris qui omninò conciderunt? Archigenem verò, qui non iure accusem? quem ad ea oportebat inuenienda, dialectica vti; ille vbi minimè decet, illic malè eam ostentat, obtundens tantum discipulos, nihil interim docens. Atqui præstabat, parata diuidendi componendique via & ratione, numerum per eam omnium differentiarum pulsuum inuestigare; non tamen ostentare iis qui iam senes demum ad discendum sese conferunt, sed ne indicare quidem hoc ipsum tyronibus, esse rationem & viam qua constat tabella. Nam iis qui humanis studiis non sunt instituti, nequicquam dicas: qui illis imbuti sunt, prius ex rebus ipsis quam tu admoneas, rationem illam & viam cognoscant. Quî ergo factum est, vt nemo istorum quisquam diuidendi videatur ratione vsus ad numerum cuiusque generis differentiarum ineundum; neque ad inuenienda prima componendi? Quanquam dialecticis solis vtendi facultas datur harum viarum rationúmque, interim ab indiuisis & numero infinitis ad primum illud ascendentibus omnium genus, per eas quæ in medio sunt, genericásque ac speciales differentias; interim verò ab illo primo genere rursus ad infinitum pergentibus per easdemmet, quæ in medio sunt, differentias. Sed horum est ausus nullus vlla constituere via & ratione numerum, vel primorum generum, vel ab his distributis proficiscentium differentiarum. Verùm nos quidem hoc effecimus, & quasi via progredientes, viginti septem pulsuum reperimus qui tres habent dimensiones; & eorum nouem qui vnam; vnum commune genus, quantitatem distentionis arteriæ. Quòd si etiam contractionem est tactu cognoscere, & in hac quoque erunt, scilicet totidem differentiæ. Sed de hac re in libris De dignoscendis pulsibus disceptabimus.

CAP.

CAPVT VII.

Archigenem in enumerandis pulsuum differentiis non modò in nominibus, sed in rebus ipsis esse confusum & secum pugnare.

At verò Archigenes (huius enim solius æquum est meminisse, post Herophilum inclamantes Homericum illud.

Vnicus ille sapit, tibi mens inuoluitur vmbris) non in nominibus modò videtur, sed longè etiam in rebus prius confusus esse. Quo fit, vt passim se non percipiat secum pugnare. Discas id ex his ipsis verbis: *Sunt porrò alij pulsus, hique nec medij, nec magni, nec parui, ex magnitudine censentur, vel ex magnitudinis dimensionibus.* Mox subdit. *Est enim pulsus, quum longitudine arteria distenditur insigni, sed latitudine angusta, & humilius etiam sublata; vocetur longus. Alter quum lata quidem distentio, sed humilis, & longitudine breuis occurrit; appelletur latus. Tertius vbi admodum attollitur, angusta tamen & longitudine est breuis, est autem hic rarior; vocetur altus.* Hic erat illi de iis propositum dicere qui vnam habent dimensionem, remotis reliquis duabus: sed de instituto argumento abductus est, quòd de illis etiam scribat qui tribus dimensionibus intelliguntur. Nam eorum primum non longum modò, verumetiam angustum & humilem fecit, neque id tantùm conceptione, sed & verbis. Nam quid ait? Quum longitudine arteria distenditur insigni, sed latitudine angusta, & humilius est sublata. Nam latitudine angusta, angustum pulsum significat; & humilius sublata, humilem. Inde secundum, non latum tantùm, sed etiam humilem & breuem fecit, tam conceptu, quàm verbis. Eodem tertium modo, non altum solùm, verumetiam angustum & breuem; quum sint hi tres de iis qui trinis dimensionibus dicuntur viginti septem quos in tabella proscripsimus. Scriptus est autem, qui hic primus relatus est, in tabella nonus, hoc pacto; Longus, angustus, humilis. Qui hic secundus est, primus & vigesimus est in tabella descriptus in hunc modum; Breuis, latus, humilis. Tertius hic, in tabella est vigesimus quintus qui sic scriptus est; Breuis, angustus, altus. Quare aut initium de iis sermonis immutet, vbi magnitudinem dicit eorum spectari; aut magnitudinis certè dimensiones simpliciter tradat pro magnitudine; aut quãdo appositum est, *ex dimensionibus magnitudinis*, ne in magnitudinis amplius differentiis eos numeret. Nam quid quærit; vtrum de his illos esse qui trinis simul dimensionibus æstimantur, an de illis qui tantùm vna? Vtrobique est enim defectus. Si eos qui trinis æstimantur dimensionibus, accipimus, quum omnes prætermittuntur vnius dimensionis, qui nouem numero sunt; tum alij desiderantur octodecim qui trium simul æstimantur dimensionum. Ita enim nouem tantùm videbitur mentionem fecisse; trium qui primi commemorati sunt, magni, parui, mediique inter eos; deinde trium, quorum hîc meminit; ad hæc trium aliorum qui his sunt oppositi, quos postea adducit. Ad hæc frustra hoc orationi additum est, *ex magnitudinis dimensionibus*, sat enim dicere absolutè erat, *ex magnitudine.* Contrà si de his qui vna dimensione æstimantur, existimemus eum hæc scribere;

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ἀρχιγένην τὰς τῶν σφυγμῶν διαφορὰς διαριθμούμενον, οὐ μόνον ἐν τοῖς ὀνόμασιν, ἀλλὰ κἀν τοῖς πράγμασιν αὐτοῖς πεταράχθαι τε καὶ ἑαυτῷ τἀναντία λέγειν.

Ἀρχιγένης δὲ, τούτου γὰρ πρώτου δίκαιον μνημονεῦσαι, μετά γε τὸν Ἡρόφιλον, ἐπιφωνήσαντας τὸν Ὁμήρου·

Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν,

οὐ μόνον ἐν τοῖς ὀνόμασιν ἔοικεν, ἀλλὰ καὶ πολὺ πρότερον ἐν τοῖς πράγμασιν αὐτοῖς πεταράχθαι. καὶ διὰ τοῦτο, παρὰ πόδας ἑαυτῷ τἀναντία λέγων οὐκ αἰσθάνεται· μάθοις δ' ἂν ἐξ αὐτῆς τῆς λέξεως, ἐχούσης ὧδε. εἰσὶ δέ τινες ἄλλοι σφυγμοὶ, οὔτε μέσοι, οὔτε μεγάλοι, οὔτε μικροὶ κατὰ μέγεθος θεωρούμενοι, ἢ ταῖς γε τοῦ μεγέθους διαστάσεσι. εἶθ' ἑξῆς φησιν. ἔστι γὰρ σφυγμὸς κατὰ μῆκος τῆς ἀρτηρίας διισταμένης ἐφ' ἱκανὸν, στενουμένης δὲ κατὰ τὸ πλάτος, καὶ ταπεινότερον ἐγειρομένης. καλείσθω μακρός. ἕτερος δὲ πλατείας μὲν τῆς διαστολῆς, ταπεινῆς δὲ κατὰ τὸ μῆκος, βραχείας ὑποπιπτούσης, καλείσθω πλατύς. τρίτος ἱκανῶς εἰς ὕψος ἐπαιρομένης, στενῆς δὲ καὶ βραχείας κατὰ μῆκος σπάνιος ὤν, ὑψηλὸς λεγέσθω. ἐν τούτοις προὔθετο μὲν εἰπεῖν τοὺς κατὰ μίαν διάστασιν λεγομένους, μὴ συνεπινοουμένων τῶν λοιπῶν δυοῖν. ἀπεπλανήθη δὲ καὶ περὶ τῶν κατὰ τὰς τρεῖς διαστάσεις νενοημένων γράφων. τὸν μὲν γὰρ πρῶτον αὐτῶν, οὐ μακρὸν μόνον, ἀλλὰ καὶ στενὸν, καὶ ταπεινὸν πεποίηκεν, οὐ τῇ νοήσει μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ὀνόμασι. τί γάρ φησι; κατὰ μῆκος μὲν τῆς ἀρτηρίας διισταμένης ἐφ' ἱκανὸν, στενουμένης δὲ κατὰ πλάτος, καὶ ταπεινότερον ἐγειρομένης, τὸ μὲν γὰρ στενουμένης κατὰ πλάτος, τὸν στενὸν σφυγμὸν δηλοῖ. τὸ δὲ, καὶ ταπεινότερον ἐγειρομένης τὸν ταπεινόν. πάλιν δ' αὖ τὸν δεύτερον, οὐ πλατὺν μόνον, ἀλλὰ καὶ ταπεινὸν, καὶ βραχὺν ἐποίησεν, οὐ τῇ νοήσει μόνον, ἀλλὰ καὶ τούτον τῇ λέξει. καὶ τὸν τρίτον δὲ κατὰ τὰ αὐτὰ, οὐχ ὑψηλὸν μόνον, ἀλλὰ καὶ στενὸν, καὶ βραχύν. εἰσὶ δὲ οἱ τρεῖς οὗτοι, τῶν κατὰ τὰς τρεῖς διαστάσεις ἅμα λεγομένων τῶν ἑπτὰ καὶ εἴκοσιν, οὓς ἐπὶ τοῦ διαγράμματος ἐξεθέμεθα. γέγραπται δὲ, ὁ μὲν πρῶτος ἐν τούτοις εἰρημένος, ἔννατος ἐν τῷ διαγράμματι, τόνδε τὸν τρόπον· μακρὸς, στενὸς, ταπεινός. ὁ δὲ δεύτερος ἐν τούτοις, πρῶτος καὶ εἰκοστὸς ἐν τῷ διαγράμματι γέγραπται, τόνδε τὸν τρόπον· βραχὺς, πλατὺς, ταπεινός. ὁ δὲ τρίτος ἐν αὐτοῖς, πέμπτος καὶ εἰκοστός ἐστιν ἐν τῷ διαγράμματι, γέγραπται δὲ οὕτως· βραχὺς, στενὸς, ὑψηλός. ἢ τοίνυν τὴν ἀρχὴν τοῦ περὶ αὐτῶν ὑπαλλαξάτω λόγου, ἐν ᾧ φησι, κατὰ μέγεθος αὐτοὺς θεωρεῖσθαι, ἢ ταῖς γε τοῦ μεγέθους διαστάσεσιν ἁπλῶς γραψάτω κατὰ μέγεθος, ἢ προσκειμένου τοῦ κατὰ τὰς τοῦ μεγέθους διαστάσεις, μηκέτι ἐκ τῶν κατὰ μέγεθος διαφορῶν αὐτοὺς ἡγείσθω. τί γὰρ καὶ βούλεται, πότερα τῶν κατὰ τὰς τρεῖς ἅμα διαστάσεις, νοουμένων ὑπάρχειν αὐτοὺς, ἢ τῶν κατὰ μίαν μόνην; ἑκατέρως γὰρ ἄπορον, εἰ μὲν τῶν κατὰ τὰς τρεῖς ἀκούοιμεν, ἀπολύτων μὲν τῶν κατὰ μίαν διάστασιν παραλελειμμένων ἐννέα τὸν ἀριθμὸν ὄντων, ἄλλων δ' ὀκτωκαίδεκα τῶν κατὰ τὰς τρεῖς ἅμα. ἐννέα γὰρ οὕτω φαίνεται μόνων μνημονεύων, τριῶν μὲν τῶν πρώτων ῥηθέντων, μεγάλου τε καὶ μικροῦ, καὶ τοῦ μέσου αὐτῶν· τριῶν δὲ, τῶν νῦν ῥηθέντων, καὶ τριῶν ἄλλων τῶν τούτοις ἐναντίων, ὧν ἑξῆς μνημονεύει, καὶ πρὸς τούτοις ἔτι μάτην προσκείσεται τῷ λόγῳ, τῷ κατὰ τὰς τοῦ μεγέθους διαστάσεις. ἤρκει γὰρ ἁπλῶς εἰπεῖν κατὰ μέγεθος. ἂν δ' αὖ πάλιν περὶ τῶν κατὰ μίαν διάστασιν νοουμένων, οἰηθῶμεν αὐτὸν ταῦτα γράφειν·

πρῶτον μὲν ἄτοπον τὸ μεμνῆσθαι, καὶ τῶν λοιπῶν δυοῖν καθ' ἕκαστον· ἔπειτα δὲ οὐκ ὀκτωκαίδεκα μόνους, ἀλλὰ τέτταρας καὶ εἴκοσι φαίνεται παραλελοιπὼς τῶν ἐκ τοῦ διαγράμματος. καὶ τρίτον ὅτι μοχθηρῶς δόξει λέγειν κατὰ μέγεθος αὐτοὺς θεωρεῖσθαι, δέον οὐ κατὰ μέγεθος, ἀλλὰ κατὰ τὰς διαστάσεις τοῦ μεγέθους εἰπεῖν, εἴ γε ὡς αὐτὸς εἴρηκεν ὄγκος τίς ἐστι τὸ μέγεθος. οὐ μὴν τό γε μῆκος αὐτὸ καθ' ἑαυτὸ μόνον, ἀλλ' οὐδὲ τὸ βάθος, ἢ τὸ πλάτος ὄγκος ἐστὶν, ἀλλ' ὥσπερ καὶ ὀνομάζεται διάστασις. οὐ ταὐτὸν δὲ δήπουθεν ὄγκος τε, καὶ ὄγκου διάστασις μία. ἑκατέρως μὲν δὴ σφάλλεται πάντως ὁ τοῦ Ἀρχιγένους λόγος, διὰ τὸ συγκεχυμένως τε καὶ ἀδιαρθρώτως εἰρῆσθαι, καὶ δεῖν ἐπαμφοτερίζειν τῇ νοήσει. κατὰ τί δὲ μᾶλλον ἠθέλησεν εἰπεῖν, εἰ χρὴ μαντευσάμενον ἀποφήνασθαι, καὶ τοῦτο τολμήσω. δοκεῖ μοι τοὺς κατὰ μίαν διάστασιν νοουμένους, ἐπιχειρῆσαι γράφειν. καὶ διὰ τῆς ἀρχῆς γε αὐτὸ τοῦτο ἐνδείξασθαι, ἢ τάς γε τοῦ μεγέθους διαστάσεις εἰπεῖν, σφαλῆναι δὲ περὶ τὴν ἑρμηνείαν, ὡς ἂν ἐν ὅλῳ τῷ γράμματι συγκεχυμένος τε, καὶ τεταραγμένος τὴν διάνοιαν. τὸ γὰρ ἀγνοεῖν ἑπτά, καὶ εἴκοσιν εἶναι τοὺς κατὰ τρεῖς ἅμα διαστάσεις νενοημένους, μέγιστον τεκμήριον τοῦ παχεῖ λόγῳ, καὶ ἀδιαρθρώτῳ περὶ αὐτῶν ἀποφήνασθαι. ὅτι δὲ ταύτης μὲν ἔχεται τῆς προαιρέσεως, ἀποτρέπεται δ' αὐτῆς ἄκων, ἐκ τῶν ἐπιφερομένων ἐστὶ δῆλον. τί γάρ φησιν εὐθὺς ἐφεξῆς; συντρεχουσῶν γὰρ πολλάκις καὶ δυοῖν τινων διαστάσεων, ὥσθ' ἅμα βραχὺν, καὶ ταπεινὸν εἶναι, ἢ βραχὺν, καὶ στενὸν, ἐπί τε τῆς ἑτέρας συζυγίας μακρὸν καὶ πλατὺν, ἢ μακρὸν καὶ ὑψηλόν. δῆλος γὰρ ἐκ τούτων ἐστὶ τοὺς προειρημένους κατὰ μίαν μόνην διάστασιν νοεῖσθαι βουλόμενος. τούτου γ' οὖν κατὰ τὰς δύο μόνας γράφει, τὴν τρίτην ὅπως ἂν ἔχει παραλιπών. τί γάρ φησι, συντρεχουσῶν πολλάκις καὶ δυοῖν τινων διαστάσεων, ὥσθ' ἅμα βραχὺν καὶ ταπεινὸν εἶναι. δεῖ γὰρ ἐν τούτῳ τῷ λόγῳ προεγνῶσθαι, τίς ὁ βραχὺς ἁπλῶς, καὶ τίς ὁ ταπεινὸς ἁπλῶς. ἢ οὐκ ἔσται σαφὴς, ὁ βραχὺς ἅμα καὶ ταπεινός. ἀλλ' οὐδὲ μακρὸς ἅμα καὶ πλατὺς, γένοιτ' ἄν ποτε σαφὴς, μὴ προνοηθέντος ἰδίᾳ καὶ κατὰ μόνας ἑκατέρου. χρὴ γὰρ πρότερον μὲν νοῆσαι τὸν μακρὸν ἰδίᾳ, μετὰ ταῦτα δ' αὐτὸν πλατὺν ἰδίᾳ καὶ τοῦτον. ἔπειτα συντιθέναι τὰς νοήσεις αὐτῶν εἰς ταὐτόν. καὶ οὕτως λέγειν μακρὸν ἅμα, καὶ πλατὺν, ᾧ καὶ δηλονότι τεταραγμένος ἐναντία παρὰ πόδας αὐτῷ λέγει. τὸν μὲν γὰρ μακρὸν οὐκ ἠρκέσθη κατὰ μῆκος φάναι τῆς ἀρτηρίας ἐπὶ πολὺ διϊσταμένης γίνεσθαι, καίτοι γ' ἤρκει τοῦτο μόνον, ἀλλὰ προσέθηκεν ἐκ περιττοῦ, στενουμένης δὲ κατὰ πλάτος, καὶ ταπεινότερον ἐγειρομένης. τὸν δὲ πλατὺν πάλιν οὐδ' αὐτὸν ἠρκέσθη φάναι πλατείας τῆς διαστάσεως γινομένης, ἀλλὰ προσέθηκε, ταπεινῆς δὲ καὶ κατὰ μῆκος βραχείας. ἀλλ' εἰ ταύτας με χρὴ τὰς ἐννοίας φυλάττειν, ὦ Ἀρχίγενες, πῶς νοήσω τὸν αὐτὸν ἅμα γινόμενον μακρὸν καὶ πλατὺν, ὡς ἑξῆς γράφεις. ἀφεῖλες γὰρ αὐτὸς σὺ, τῆς μὲν τοῦ μακροῦ νοήσεως τὴν πλατύτητα, τῆς δὲ τοῦ πλάτεος, τὴν ὡς ἄν τις εἴποι μακρότητα. ταῦτα οὖν ἐναργῶς ἀλλήλοις διαφέρεται, κατὰ μὲν τὸν πρότερον λόγον, ἐξαιροῦντος αὐτοῦ τῆς κατὰ τὸν μακρὸν ἐννοίας τὴν πλατύτητα, κατὰ δὲ τὸν δεύτερον φυλάττοντος. καὶ κατὰ τὸν πλατὺν καὶ ὑψηλὸν ὡσαύτως, ἐν μὲν τῷ προτέρῳ λόγῳ τῶν ἀπολοίπων καθ' ἑκάτερον δυοῖν διαστάσεων, ὥστε τὴν ποσότητα, κατὰ δὲ τὸν δεύτερον φυλάττει. ταῦτα δὲ πάντα σφάλματα πέπονθεν ἐν τῇ τῶν ὀνομάτων ἐξηγήσει, διὰ τὸ πολὺ πρότερον ἐν αὐτοῖς τοῖς πράγμασιν ἐσφάλθαι. φαίνεται γὰρ οὔτε τῇ διαιρετικῇ μεθόδῳ κεχρημένος, οὔτε τῇ συνθετικῇ κατ' οὐδεμίαν τῶν διδασκαλιῶν. κινδυνεύω δ' εἰπεῖν, ὅτι τὸ τῶν πολλῶν, καὶ περὶ λόγους ἀγυμνάστων πέπονθεν, ὥστε πολλάκις μὲν ἐπι-

ἐνίως

A Primùm alienum sit reliquorum duorum in singulis meminisse; Deinde non iam octodecim cæterùm quatuor & viginti illos ex tabella reliquerit; Tertiò malè videbitur dicere ex magnitudine censeri eos: quum non ex magnitudine sit dicendum, sed ex magnitudinis dimensionibus; si quidem tumor, vt ipse asseruit, est magnitudo. Quanquam non solùm longitudo per se, sed nunc profunditas, vel latitudo est tumor, cæterùm, vt etiam appellatur, dimensio. Neque sanè perinde est tumor, & tumoris vna dimensio. In vtrunque igitur incurrit planè Archigenis oratio, quòd nec distinctè, nec distributè dixit, sed intelligentia veluti ambigua. B Cæterùm, in quam ille partem potiùs acceperit, si diuinando oportet pronunciare, vel id audebo. Equidem voluisse dixerim hos describere qui vna dimensione intelliguntur: idqueadeo ipsum initio innuisse, quum dicit, *Vel ex magnitudinis dimensionibus*; sed in narrando offendisse, vti toto in libro, & animo conturbato fuisse & attonito. Nam quòd hominem lateret esse septem & viginti eos qui tribus simul dimensionibus intelliguntur, maximum est argumentum, crassa ratione miniméque distincta de illis statuisse. Nam C eius esse hoc institutum, & ab hoc illum deflectere inuitum, ex suprapositis liquet. Nam quid tandem mox subdit? Etenim, quum etiam duæ aliquæ sæpenumero dimensiones concurrant, vt simul, & breuis sit, & humilis, vel breuis, & angustus; atque in alia coniugatione, longus, & latus, vel longus, & altus, profectò hinc planum est eos illum, quos diximus, vna tantùm dimensione accipi velle. Hos siquidem duabus dimensionibus dumtaxat scribit, tertiæ statum prætermittit. Nam quid dicit? Etenim quum etiam duæ aliquæ sæpenumero dimensiones concur- D rant, vt simul & breuis sit, & humilis. Nam in hac oratione, qui breuis simpliciter sit, cognoscendum est, & qui humilis simpliciter; alioqui nos fugiet breuis simul & humilis. Quin nec longus pariter ac latus, nisi antè vtrunque separatim commentêre, erit clarus. Primùm enim longus seorsum est intelligendus, deinde seorsum ipse etiam latus, postea illorum intelligentiæ committendæ vnà sunt; ac tum dices denique longum simul & latum. Quapropter fit, vt à se ipse quidem confusus manifestè dissideat. Nam longum non satis habuit dicere, *quum longitudine* E *arteria distenditur insigni*, fieri; etsi hoc vnum sufficiebat; sed frustra addidit, *sed latitudine angusta, & humilius etiam sublata.* Rursus latum parum erat dicere, *quum lata quidem distentio*; verùm subiicit, *sed humilis, & longitudine breuis occurrit.* At si hæ mihi sunt, Archigenes, notiones obseruandæ, quum longum eundem & latum intelligam, quod subdis fieri? Nam à longi notione tu ipse latitudinem disclusisti, & à lati longitudinem, vt sic dicam. Atqui hæc inter se pugnant planè, quum primo loco à longi notione abstrahat latum, retineat secundo. Non aliter in lato & alto, primùm à F reliquis duabus dimensionibus separat longitudinem, deinde seruat. In has ille omnes offensiones nominibus exponendis, eò quòd in ipsis rebus multò antè lapsus sit, incidit. In nulla enim disciplina videtur vsus ratione, vel diuidendi, vel componendi. Ne dicam illi vsu venisse, quod vulgo solet, & indoctis vt naturæ frequenter

quenter

quenter compositionem in prima, & simplicia dissoluere conetur; frequenter autem, quando nihil horum separatim, vel per se potest esse, resistat, & se ad compositum recipiat. Rursus quando compositum indigestam nec distinctam obtinet disciplinam, omninóque plebeiam & rudem, ni in prima dissectum sit, à diuisione nesciat manum abstinere, inde ad compositum iterum diuertat; quod intelligentia nequeat distinguere singula simplicia. Atque hunc orbem repetens, & volutatus semper inter extrema, intelligentiis ambiget, nec vlla ratione his se pugnantiis possit explicare. Omninò qui dialecticum se facit, hoc volo meditatum planè esse, vt quicquid aggrediatur, si sit compositum, redigat ad prima notione, & simplicia; non quòd separatim vnquam & sola appareant (nam hoc effici non possit) sed quòd mente sola concipi possint, nec cogitando hæc cum vlla coniungamus differentia, quibus sunt necessariò alligata. Nam vt simum hominem intelligimus & aquilum; neque magnus is sit an paruus; albus an niger; corpulentus an gracilis sit, nosse nobis est opus; sic altum quendam intelligimus pulsum, non desiderantes longitudinem, vel latitudinem eius cognoscere. Quapropter qui nullum aiunt longum simpliciter pulsum se complecti animo (nam omnino oportere eum aliqua præditum esse latitudine, & profunditate) rudes sunt primarum disciplinarum; quas didicisse eos, & in illis tritos oportebat esse, atque ad nos tum denique se conferre. Quia enim solus non possit longus consistere, continuò, nec intelligi confirmant solum posse. Quin ergo nec simum hominem cogitent separatim, nec aquilum, nisi eius norint omnia reliqua, magnus sit an paruus, corpulentus an gracilis, niger an albus, Græcus an barbarus, malus an bonus, valens an ægrotus, iuuenis an senex. Quid hoc autem? nonne importunum est, longum se quendam & altum, & latum simul fateri intelligere, ac vno nomine magnum appellare, longum non posse seorsum, & solum concipere? Quasi verò non eadem ratio sit cum toto pulsu magni ac longi cum magno. Nam vt longus separatim, & solus stat nullus sine aliqua profunditate & latitudine, ita neque magnus est vllus pulsus, nisi simul celer, vel tardus, vel vehemens, vel languidus sit, vel particeps aliarum sit differentiarum. Imò verò, vt cogites omnibus differentiis arteriam moueri, separatim non possit vnquam moueri; quis enim extra corpus arteriam etiam conspexit pulsare? Omninò itaque est in toto corpore, & neruo alicui incumbit, isque qualitatem habet & quantitatem; subiicitur porrò venæ, & hæc est qualitatis & quantitatis particeps; circumiiciuntur iam corpora illi multa atque omnia, hinc progressus sine quibus consistere pulsus non valet recenseas. Sed vir prudens, si hæc subaudiat differentem, de assistentibus aliquem rogauerit, Num iste scilicet ludit, vel insanit, qui hæc nugetur? Quid? quæ sine aliis esse non possunt, nonne mera fatuitas est, & magna vanitas, ne cogitatione quidem repræsentari citra illa profiteri? Nam longum quidem pulsum, nisi aliqua coniuncta sit profunditas & latitudo, non esse posse, nemo causam dicit. Atqui hoc non erat propositum, sed anne intelligi quidem possit absque illis. Nam hoc si quis dicat, artes imprudens euertat omnes, atque adeò omnem in vita vsum nominum.

A χρὴ τὸ τῆς φύσεως σύνθετον ἀναλύειν εἰς τὰ πρῶτά τε καὶ ἁπλᾶ, πολλάκις δὲ, ἐπεὶ μηδὲν τούτων ἰδίᾳ τε, καὶ καθ' ἑαυτὸ δυνατὸν ὑπάρχειν, ἵστασθαί τε καὶ παλινδρομεῖν ἐπὶ τὸ σύνθετον. αὖθις δ' αὖ πάλιν, ἐπειδὴ σύνθετον ἀδιάρθρωτόν τε καὶ ἀδιόριστον ἔχει τὴν διδασκαλίαν, καὶ παντάπασιν ἰδιωτικήν τε καὶ ἄτεχνον, μὴ διαιρεθὲν εἰς τὰ πρῶτα, τοῦ διαιρεῖν ἀποστῆναι μὴ δύνασθαι, εἶτ' ἐντεῦθεν πάλιν ἐπὶ τὸ σύνθετον ἀνακάμπτειν, ὡς ἂν ἀκριβῶς τῇ νοήσει τῶν ἁπλῶν ἕκαστον ἀδυνατοῦντα διορίζεσθαι· καὶ τοῦτον τὸν δίαυλον κάμπτοντά τε καὶ κυλινδούμενον ἐν τῷ μέσῳ τῶν ἄκρων, διὰ παντὸς ἐπαμφοτερίζειν τε ταῖς B νοήσεσι, καὶ ταῖς εἰρημέναις ἐναντιολογίαις ἐξ ἀνάγκης συνέχεσθαι. χρὴ δ' οἶμαι τόν γε διαλεκτικὸν εἶναι προσποιούμενον, ἕξιν ἱκανὴν ἔχειν, ὥστε τὸ προχειρισθὲν ἁπλῶς, ὅταν ᾖ σύνθετον ἀναλύειν εἰς τὰ πρῶτά τε, καὶ ἁπλᾶ κατ' ἐπίνοιαν, οὐχ ὡς ἰδίᾳ καὶ μόνα ποθ' ὑπάρξαντα, τοῦτο γὰρ ἀμήχανον, ἀλλ' ὡς νοηθῆναι μόνα δυνάμενα, μὴ συνεπιβαλλόντων ἡμῶν ἐν τῷ νοεῖν αὐτὰ, μηδεμιᾷ διαφορᾷ τῶν ἐξ ἀνάγκης ἐζευγμένων. ὡς γὰρ σιμὸν ἄνθρωπον νοοῦμεν καὶ γρυπὸν, οὔτ' εἰ μέγας ἐστὶν ὁ τοιοῦτος, οὔτε εἰ μικρὸς, οὔτε εἰ λευκὸς, οὔτ' εἰ μέλας, οὔτ' εἰ παχὺς, οὔτ' εἰ λεπτὸς, δεόμενοι, οὕτως ὑψηλόν τινα νοοῦμεν σφυ- C γμὸν, οὐ δεόμενοί πως ἔχει μήκους, ἢ πλάτους εἰδέναι. οὔτ' ἄρα καὶ οἱ φάσκοντες μηδένα μακρὸν ἁπλῶς ἐπινοεῖν σφυγμὸν, δεῖν γὰρ αὐτὸν ἐξ ἀνάγκης ἔχειν πως πλάτους τε καὶ βάθους, ἀγύμναστοι καὶ ἀμαθεῖς εἰσι τῶν πρώτων μαθημάτων, ἃ ἐχρῆν αὐτοὺς μεμαθηκότας, καὶ γεγυμνασμένους γε κατ' αὐτὰ πρὸς ἡμᾶς ἥκειν οὕτως. ἐκ γὰρ τοῦ μὴ δύνασθαι συστῆναι τὸν μακρὸν ἰδίᾳ, μηδ' ἐννοηθῆναι δύνασθαι, φασὶν αὐτὸν ἰδίᾳ. μὴ τοίνυν μηδὲ σιμὸν ἄνθρωπον, μηδὲ γρυπὸν ἰδίᾳ νοείτωσαν, ἂν μὴ μάθωσιν ἅπαντ' αὐτοῦ τἄλλα, πότερον μέγας, ἢ μικρός ἐστι, ἢ παχὺς, ἢ λεπτὸς, ἢ μέλας, ἢ λευκὸς, ἢ Ἕλλην, ἢ βάρβαρος, ἢ πονη- D ρὸς, ἢ ἀγαθὸς, ἢ ὑγιαίνων, ἢ νοσῶν, ἢ νέος, ἢ πρεσβύτης. πῶς δ' οὐκ ἄτοπον, μακρὸν μέν τινα, καὶ ὑψηλὸν, καὶ πλατὺν ἅμα νοεῖν ὁμολογεῖν, καὶ καλεῖν δι' ἑνὸς ὀνόματος μέγαν, μακρὸν δὲ μὴ δύνασθαι φάσκειν νοεῖν ἰδίᾳ καὶ μόνον, ὥσπερ οὐ τὴν αὐτὴν ἀναλογίαν ἔχοντος, καὶ τοῦ μεγάλου πρὸς τὸν ὅλον σφυγμὸν, ἣν ὁ μακρὸς πρὸς τὸν μέγαν. ὡς γὰρ μακρὸς ἰδίᾳ, καὶ καθ' ἑαυτὸν οὐδείς ἐστιν ἄνευ τοῦ πως ἔχειν βάθους τε καὶ πλάτους, οὕτως οὐδὲ μέγας σφυγμός ἐστι τις χωρὶς τοῦ τάχους, ἢ βραδύτητος, ἢ σφοδρὸς, ἢ ἀμυδρὸς ὑπάρχειν, ἢ τινα τῶν ἄλλων ἔχειν διαφορῶν. ἀλλ' οὐδ' εἰ μετὰ πασῶν τῶν διαφορῶν νοήσαις κι- E νουμένην τὴν ἀρτηρίαν, ἰδίᾳ δύναταί ποτε γενέσθαι κινουμένη. τίς γὰρ εἶδεν ἀρτηρίαν ἔξω τοῦ σώματος ἐπισφύζουσαν; ἀνάγκη τοίνυν αὐτὴν ἐν τῷ ὅλῳ σώματι οὖσαν, ἐπικεῖσθαι μέν τινι νεύρῳ, καὶ τοῦτο εἶναι ποιὸν, καὶ ποσὸν, ὑποκεῖσθαι δὲ φλεβὶ, καὶ ταύτην εἶναι, καὶ ποιὰν, καὶ ποσήν. περικεῖσθαι δ' αὐτῇ σώματα πολλά. καὶ πάντα τις ἐντεῦθεν ἀρξάμενος δύναται λέγειν, ὧν χωρὶς οὐχ οἷόν τε εἶναι τὸν σφυγμόν. ἀλλ' οἶμαι νοῦν ἔχων ἄνθρωπος, ἐὰν ὑπακούσῃ τοῦ ταῦτα λέγοντος, ἐρήσεταί τινα τῶν παρόντων, ἆρά γε παίζων, ἢ μεμηνὼς ὁ ἄνθρωπος τὰ τοιαῦτα ληρεῖ. πῶς γὰρ οὐ διωλύγιος ὄντως καὶ μακρὰ φλυαρία, τὰ χω- F ρὶς ἑτέρων ὑπάρχειν μὴ δυνάμενα, μηδ' ἐπινοεῖσθαι χωρὶς ἐκείνων ὁμολογεῖν; ὅτι μὲν οὖν ἄνευ τοῦ πως ἔχειν βάθους καὶ πλάτους, οὐ δύναται μακρὸς εἶναι σφυγμὸς, οὐδεὶς ἀντιλέγει. ἀλλ' οὐ τοῦτο ἦν τὸ ζητούμενον, ἀλλ' εἰ μηδὲ νοεῖσθαι χωρὶς ἐκείνων δύναται. τοῦτο γὰρ εἴ τις λέγοι, λέληθεν ἑαυτὸν, ἁπάσας μὲν ἀνατρέπων τὰς τέχνας, ἅπασαν δὲ τὴν ἐν τῷ βίῳ χρείαν τῶν ὀνομάτων.

τίς γὰρ ἡμῶν ποτε τὴν θεραπευτικὴν τέχνην ἔμαθε πλευριτικοῦ Δίωνος; οὐδείς. οὐ μὴν οὐδ᾽ ἁπλῶς ἀνθρώπου πλευριτικοῦ, ἀλλ᾽ ἐν ταῖς εἰδικαῖς τε καὶ γενικαῖς ἐπινοίαις, αἱ τέχναι συνίστανται, πρῶτον μὲν κατ᾽ αὐτὸ τὸ πάθος ἰδίων διορισμῶν παραληφθέντων. ἤτοι γὰρ πρὸς κλεῖν τὴν ὀδύνην, ἢ εἰς ὑποχόνδριον ἐνοήσαμεν τελευτῶσαν, καὶ οὐδαμοῦ Δίων ἐνταῦθα, ἢ Θέων συνεπινοεῖται. ἔπειτα δὲ τὰ προηγούμενα, καὶ τὰ συμπίπτοντα πληθωρικός ἐστιν ὁ πλευριτικὸς, ἢ τοὐναντίον ἐνδεῶς ἔχων χυμῶν, εὔχυμος, ἢ κακόχυμος. καὶ τούτων ἑκάτερον, ἆρά γε νῦν, ἢ πάλαι; καὶ εἰ πάλαι, πότερον ἐκ διαίτης, ἢ φύσει; καὶ οὐδαμοῦ πάλιν ἐνταῦθα Δίων, ἢ Θέων, ἀλλ᾽ οὐδ᾽ ὅταν περὶ κράσεως τοῦ νοσοῦντος ὁ λόγος ἡμῖν ᾖ Δίωνος, ἢ Θέωνος ἀνάγκη μνημονεύειν, ἢ ὅλως ἐπινοεῖν, ἢ δεῖσθαί τι. γεωμετρία δ᾽ ὅπως ἀπόλλυται, τί δεῖ καὶ λέγειν, ἐάν τις μήτε γραμμὴν φῇ νοεῖν, μήτ᾽ ἐπιφάνειαν, ὅτι χωρὶς στερεοῦ σώματος ἀδύνατον ὑπάρχειν αὐταῖς; τί δὲ τὰ κατὰ τὸν βίον σύμπαντα, τὰ χωρὶς ἀλλήλων εἶναι μὴ δυνάμενα, πῶς οὐκ ἄν τις ἄτοπος εἴη μηδὲ νοεῖσθαι κατὰ μόνας συγχωρῶν. ἀλλὰ τὴν μὲν τοιαύτην ἀγροικίαν, οὐκ ἄν ποθ᾽ ὑπέμεινεν ὁ Ἀρχιγένης. φαίνεται γοῦν αὐτὸς τοὐναντίον ἀεὶ δρῶν, ἀναλύων ἕκαστον εἰς τὰ πρῶτά τε καὶ ἁπλᾶ. σφάλλεται δὲ τοῦ σκοποῦ, καὶ διαμαρτάνει πολλάκις ἄκων, ὑπ᾽ ἀγυμνασίας, ἐμοὶ δοκεῖ. ἔνεστι γοῦν ἐπ᾽ αὐτοῦ τοῦ νῦν προκειμένου, σαφῶς ὃ λέγω τεκμήρασθαι. συντρεχουσῶν γὰρ, φησὶ, πολλάκις καὶ δυοῖν διαστάσεων, ὥσθ᾽ ἅμα βραχὺν, καὶ ταπεινὸν εἶναι. ἡμεῖς δὲ τούτους κατὰ τὰς δύο νοουμένους, τοὺς μὲν κατὰ μίαν, ὅτι τε τοὺς κατὰ τὰς τρεῖς διαστάσεις νοουμένους ἑπτὰ, καὶ εἴκοσιν ὄντας, οὐκ ἦν διδάξαι πρὸ τοῦ μίαν ἑκάστην τῶν διαστάσεων ἰδίᾳ νοεῖν ἐθίσαι, ποτὲ μὲν αὐξανομένην, ποτὲ δὲ μειουμένην, ποτὲ δὲ σύμμετρόν τε, κἀν τῷ κατὰ φύσιν διαμένουσαν, καὶ προσέτι διὰ τὸ πολλὰ δύνασθαι διαγινώσκειν ἡμᾶς ἀπὸ μιᾶς διαστάσεως. ὡς γὰρ ὁ μέγας σφυγμὸς ἴδιόν τι πέφυκε δηλοῦν, οὕτω καὶ ὁ ὑψηλὸς αὐτὸς καθ᾽ ἑαυτὸν, οὐ συνεπινοουμένων αὐτῷ τῶν ἄλλων διαστάσεων. οἱ δὲ κατὰ δύο διαστάσεις, οὔτε πρὸς τὴν τῶν κατὰ τὰς τρεῖς ἅμα νοουμένων ἔχουσί τι χρήσιμον, ἐκπεπτώκασί τε τῆς διαιρετικῆς μεθόδου, καὶ διὰ τοῦτο, καὶ διδασκαλίας ἀτέχνου, μάτην κατατρίβοντες τὸν εἰσαγόμενον, ὥσπερ εἰ καὶ οὕτως τις ἐδίδασκε σφυγμὸν εἶναι, λέγων τὸν μέν τινα μέγαν ἅμα καὶ ταχὺν, ἄλλον δὲ μέγαν ἅμα καὶ σφοδρὸν, καὶ ἄλλον ταχὺν καὶ σφοδρὸν, καὶ οὕτω κατὰ τὰς δύο προϊὼν, ἐξεύγνυεν, ὅπερ οὐδ᾽ αὐτὸς ὁ Ἀρχιγένης ἐποίησεν. ὡς ἂν ἄτεχνόν τε, καὶ ἀμέθοδον ἱκανῶς, καὶ ἄχρηστον. τό τε γὰρ ἐξ ἁπασῶν τῶν διαφορῶν σύνθετον, καὶ νοεῖν ἠβουλόμεθα, καὶ ἡ τέχνη ζητεῖ γνῶναι, πρὸς τὸ τὴν ὅλην εἰδέναι τοῦ προκειμένου πράγματος τὴν φύσιν, τότ᾽ εἰς τὰς ἁπλᾶς ἀναγόμενον διαφοράς. ἄνευ γὰρ τούτου, τὸ σύνθετον οὐχ οἷόν τε ἠκριβωμένως ἐκμαθεῖν. τὸ δὲ μήτε τὴν ὅλην τοῦ πράγματος φύσιν εἰς ἓν συλλαμβάνειν, μήτ᾽ ἐπὶ μιᾶς καὶ ἁπλῆς καταμένειν διαφορᾶς, ἄτεχνόν τε καὶ ἀμέθοδον, καὶ ἄχρηστον.

Etenim curandi artem quis vnquam vestrum pleuritici Dionis didicit? nemo verò. Omninò non in homine pleuritico, sed in commentatione specierum & generum artes positæ sunt, primùm pro ipso affectu certis sumptis distinctionibus. Siquidem vel ad clauiculam dolorem, vel ad præcordia pertinere cogitamus: neque hic Dionem vsquam, vel Theonem vnà concipimus; deinde superiorem statum & præsentem spectamus. Abundantia laborat pleuriticus, aut contrà defectu humorum; bonos succos habet, vel malos; atque vtrunque scilicet, nuncne primum, an iampridem? Et si iampridem, vtrum à victus ratione, an naturâ; neque hîc quidem vsquam Dion, vel Theon. Neque verò etiam, vbi de temperamento ægroti agimus, Dionem necesse est vel Theonem appellare, aut animo concipere, aut aliquo modo desiderare. Nam ea ratione Geometriam sustolli quid attinet referre, si quis se nec lineam, nec superficiem dicat concipere, quòd carere solido corpore non possint. Quid cunctas res mundi, quæ à se diuelli mutuò non possunt, anne absurdum, si ne intelligi quidem separatim admittas? Sed eam importunitatem nunquam ferret Archigenes, imò contrà facere ille semper aduertitur, dissoluens singula in prima & simplicia; verùm deflectit ab instituto interdum & aberrat inuitus, quòd parum, vt equidem censeo, sit exercitatus. Certè in re proposita, quod dico, perspicias non obscurè. *Etenim quum etiam duæ, inquit, aliquæ sæpenumero dimensiones concurrant, vt simul & breuis sit, & humilis*, nos separauimus hos, qui duabus intelliguntur, ab illis qui singulis dimensionibus: tum quòd hos, qui trinis dimensionibus intelliguntur, qui sunt viginti septem, prius docere non possem, quàm singulas dimensiones intelligere separatim assuefecissem, nunc augeri, nunc minui, nunc moderatas esse, & in naturali statu persistere; tum quòd multa nos ex vna dimensione cognoscere possumus. Nam vt certam rem demonstrare magnus pulsus solet, ita etiam altus solus, non simul cum ipso aliis dimensionibus animo conceptis. At verò pulsus duarum dimensionum, nec ad viam, & rationem quiquam faciunt eorum qui trinis simul dimensionibus intelliguntur: & à diuidendi sunt methodo abducti; vnde etiam disciplinam habent, quæ nulla arte constat, frustra tyronem detinentes; vt si quis ita doceat, pulsum dicens esse aliquem magnum simul, & celerem, alium magnum simúlque vehementem, alium item celerem & vehementem; itaque progressus duos copulet: quod ne ipse fecit Archigenes, vt quod nullius sit artis, nulliúsque propè rationis & vsus. Interdum enim ex omnibus differentiis tum nos volumus constitutum intelligere: tum ars requirit, vt cognoscamus vt propositæ rei totam naturam perspiciamus. Interdum in simplices reducimus differentias, quòd absque eo exactè compositum non intelligamus. Nam nisi totam rei naturam in vnum complecti, atque in vna differentia, & simplici valeas consistere, nulla erit ars, nulla via, vel ratio, nulla etiam vtilitas.

CAP.

CAPVT VIII.

Qua arte Galenus pulsuum differentias inuenerit in quantitate distentionis arteriæ.

QVamobrem nos primùm pulsuum vniuersam naturam deduximus in differentias, quæ ipsam constituunt, atque hanc quantitatis distentionis appellauimus, illam qualitatis ictus, aliam qualitatis tunicæ, aliásque ordine commemoratas. Deinde in his ipsis rursus simplices requisiuimus notiones, vt quam habet rationem differentia quantitatis distentionis ad totam pulsuum ex omnibus conflatam naturam, ita aliud reperiamus similiter habens ad hanc ipsam. Nam hoc genus, vt vniuersam pulsus naturam conficit, ita idem iterum dimensionem efficit quamlibet. Sed duas concipere dimensiones nihil refert, nec ad totum pulsum absoluendum, nec ad vnam quantitatem distentionis; vnde superuacaneum de iis fit sermonem habere, & nos dedita opera prætermisimus. Contrà malè Archigenes eum veluti dilacerauit, & sex duntaxat commemoratis coniugationibus, aliam vnam supra viginti præteriit. Siquidem differentiæ vniuscuiusque dimensionis sunt omnes omnibus aliarum copulandæ, vt in vnaquaque binarum dimensionum copulatione existant nouem differentiæ, omnes viginti septem. Adscribam vnam ex qua de reliquis etiam licebit discere.

1	Longus	Latus
2	Longus	Moderatus
3	Longus	Angustus
4	Latus	Moderatus
5	Moderatus	Moderatus
6	Angustus	Moderatus
7	Breuis	Latus
8	Breuis	Moderatus
9	Breuis	Angustus

In hac ergo tabella, longitudinis tres differentias complicantes cum tribus latitudinis, nouem effecimus differentias. Altera erit eodem modo tabella, cum tribus longitudinis differentiis coniunctas profunditatis tres habens. Tertia præterea, in qua profunditatis tribus tres copulabuntur latitudinis. Neque est obscurum quin singulæ tabellæ nouenas complectantur coniugationes, itaque omnes viginti septem sint. Iam igitur apertum, horum qui bini intelliguntur, prætermisisse Archigenem permultos, vt etiam aliorum. Nos autem hos omisimus ob causas quas exposuimus; sed tradidimus eos qui singulis dimensionibus intelliguntur, numero nouem; atque eos qui trinis simul, quos in tabella descripsimus, septem & viginti. Quorum fecimus omnium commune genus, non magnitudinem, verùm quantitatem distentionis; explicamúsque pulsuum differentias quasdam nominibus, aliquas definitionibus; neque enim nomina omnes sortitæ sunt: & imponere, abs re ducimus noua, quando definitiones commonstrare nihilò sanè secius valent. Equidem non multò peius existimem, sed multò etiam

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὅπως αἱ εὑρέθη τῷ Γαληνῷ ἡ τῶν σφυγμῶν διαφορὰ κατὰ τὸ ποσὸν τῆς διαστολῆς.

Διὰ τοῦθ' ἡμεῖς πρῶτον μὲν τὴν ὅλην φύσιν τῶν σφυγμῶν ἀνελυσάμεθα εἰς τὰς συντιθείσας αὐτὴν διαφοράς, τὴν μὲν μίαν κατὰ τὸ ποσὸν τῆς διαστολῆς ὀνομάσαντες, τὴν δὲ κατὰ τὸ ποιὸν τῆς πληγῆς. ἄλλην δὲ κατὰ τὸ τοῦ χιτῶνος ποιόν, καὶ τὰς ἄλλας τὰς ἑξῆς εἰρημένας. εἶτ' ἐν αὐταῖς ταύταις, πάλιν ἐζητήσαμεν ἁπλᾶς νοήσεις, ἵν' ὃν ἔχει λόγον ἡ κατὰ τὸ ποσὸν τῆς διαστολῆς διαφορὰ πρὸς τὴν ὅλην τοῦ σφυγμοῦ φύσιν, τὴν ἐκ πάντων συγκειμένην, οὕτως ἡμῖν εὑρεθῇ τι παραπλησίως ἔχον ἄλλο πρὸς αὐτὴν ταύτην. ὡς γὰρ τοῦτο τὸ γένος συμπληρωτικόν ἐστι τῆς ὅλης τοῦ σφυγμοῦ φύσεως, οὕτως αὐτὸ πάλιν τοῦτο τῶν διαστάσεων ἑκάστην συμπληροῖ. τὰς δύο δὲ διαστάσεις ἅμα νοεῖν, οὔθ' ὡς πρὸς τὴν τοῦ ὅλου σφυγμοῦ συμπλήρωσιν ἀναγκαῖον, οὔθ' ὡς πρὸς μίαν τὴν κατὰ τὸ ποσὸν τῆς διαστολῆς. διὰ τοῦτο περιττὸς ὁ περὶ αὐτῶν λόγος, καὶ καλῶς μὲν ὑφ' ἡμῶν ἑκόντων παρελήφθη. κακῶς δὲ ὁ Ἀρχιγένης διεσπάραξεν αὐτό, καὶ μόνας ἓξ εἰπὼν συζυγίας, τὰς ἄλλας μίαν οὔσας καὶ εἴκοσι παρέλιπεν. ἁπάσας γὰρ δεῖ τὰς διαφορὰς ἑκάστης τῶν διαστάσεων, ἁπάσαις ταῖς διαφοραῖς τῶν ἄλλων ζευχθῆναι. ὥστε γενέσθαι καθ' ἑκάστην δυοῖν διαστάσεων, σύζευξιν ἐννέα διαφορῶν. τὰς πάσας δή, ἑπτὰ καὶ εἴκοσι. παραγράψω δὲ μίαν, ἐξ ἧς καὶ περὶ τῶν λοιπῶν ἐνέσται μαθεῖν.

α'	μακρὸς	πλατύς
β'	μακρὸς	σύμμετρος
γ'	μακρὸς	στενός
δ'	πλατὺς	σύμμετρος
ε'	σύμμετρος	σύμμετρος
ς'	στενὸς	σύμμετρος
ζ'	βραχὺς	πλατύς
η'	βραχὺς	σύμμετρος
θ'	βραχὺς	στενός

ἐν τούτῳ μὲν οὖν τῷ διαγράμματι, τὰς κατὰ τὸ μῆκος τρεῖς διαφοράς, ταῖς κατὰ τὸ πλάτος τρισὶ συμπλέξαντες, ἐννέα συζυγίας ἐποιησάμεθα. ἕτερον δὲ αὖ διάγραμμα, κατὰ τὸν αὐτὸν γένοιτο τρόπον ταῖς τοῦ μήκους τρισὶ διαφοραῖς, τὰς τοῦ βάθους τρεῖς ἔχον ἐζευγμένας, καὶ ἄλλο τρίτον, ἐν ᾧ ταῖς τοῦ βάθους τρισίν, αἱ τοῦ πλάτους τρεῖς συμπλακήσονται. καὶ πρόδηλον, ὡς καθ' ἕκαστον αὐτῶν ἐννέα γενήσονται συζυγίαι. ὥστ' εἶναι τὰς πάσας ἑπτά, καὶ εἴκοσι. δῆλον οὖν ἤδη γέγονεν, ὡς καὶ τούτων τῶν κατὰ τὰς δύο νοουμένων, παμπόλλους παρῆκεν ὁ Ἀρχιγένης, ὥσπερ καὶ τῶν ἄλλων. ἡμεῖς δὲ τούτους μὲν παρήκαμεν, δι' ἃς εἴπομεν αἰτίας. ἐγράψαμεν δὲ τούς τε κατὰ μίαν διάστασιν νοουμένους ἐννέα τὸν ἀριθμὸν ὄντας, καὶ τοὺς κατὰ τὰς τρεῖς ἅμα, τοὺς ἐν τῷ διαγράμματι, τοὺς ἑπτὰ καὶ εἴκοσιν. ἁπάντων δὲ τούτων κοινὸν γένος ἐποιησάμεθα, οὐ τὸ μέγεθος, ἀλλὰ τὸ ποσὸν τῆς διαστολῆς, δηλοῦμέν τε τὰς κατὰ τοὺς σφυγμοὺς διαφοράς, τὰς μὲν ὀνόματι, τὰς δὲ λόγοις. οὔτε γὰρ ἔχουσιν ὀνόματα πᾶσαι, καὶ νομοθετεῖν καινὰ περιττὸν ἡγούμεθα, μηδέν γε δὴ χεῖρον τῶν λόγων δηλοῦν δυναμένων. ἐμοὶ μὲν γὰρ δοκοῦσι μὴ πολὺ χεῖρον, ἀλλὰ καὶ πολὺ βέλτιον

τῶν ὀνομάτων διδάσκειν οἱ λόγοι. τά τε γὰρ ἄλλα, καὶ τὰς πλείστας A τῶν διαφορῶν τέμνουσιν εἰς ἄλλας πλείους, καθάπερ εἰρήκαμεν ἐπὶ τοῦ μεγάλου σφυγμοῦ. τούτου γὰρ αὐτοῦ πάλιν ἓξ διαφορὰς ἔστι καὶ νοῆσαι, καὶ λόγῳ διερμηνεῦσαι, τὸν μὲν ἕνα μέγιστον ἐν αὐταῖς νοήσαντα, καὶ καλέσαντα τὸν πλεῖστον ἀπέχοντα τοῦ συμμέτρου, τὸν δὲ ἁπλῶς μέγαν, τὸν μεταξὺ τοῦ μεγίστου, καὶ τοῦ συμμέτρου. μεταξὺ δὲ ἑκατέρων ἄλλας θεῖναι δύο διαφορὰς ἐγχωρεῖ, τὴν μὲν ὀλίγῳ μείζονα τοῦ συμμέτρου, τὴν δὲ ἀπολειπομένην ὀλίγῳ τοῦ μεγίστου. τὸ δὲ οὕτως τέμνειν, ὅ,τι μὲν ἐστὶν εἰς τὰς προγνώσεις χρησιμώτατον, ἅπαντι δῆλον, ὅτῳ καὶ μικρὸν ἐμέλησε τῶν ἔργων τῆς τέχνης. καὶ γὰρ ἐπὶ θερμοῦ, καὶ ψυ- B χροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, καὶ πάντων ἁπλῶς τῶν κατὰ τὴν τέχνην, τὸ διαιρεῖν ἐπὶ σμικρότατα δύνασθαι, καὶ ταῖς κατ᾽ ὀλίγον ὑπεροχαῖς πειρᾶσθαι παρακολουθεῖν, ἀνδρός ἐστιν, ἄλλως τε συνετοῦ, καὶ προσέτι γεγυμνασμένου κατὰ τὰ ἔργα, καὶ περὶ παντὸς ποιουμένου τὸ στοχαστικὸν τῆς τέχνης εἰς στενόν, ὡς ἔνι μάλιστα συγκλείειν. οὐ μὴν ἔν γε ταῖς ἀρχαῖς τῆς διδασκαλίας τμητέον οὕτως. τοῖς μὲν γὰρ ἀσυνέτοις τῶν μανθανόντων, ταραχὴν οὐκ ὀλίγην παρέξει, τοῖς δὲ συνετοῖς εἷς ἐκ τῶν εἰρημένων ἐπινοηθήσεται. διὰ τοῦτο οὐδὲ ἡμεῖς ἐμνημονεύσαμεν αὐτῶν ἐν τῷ πρώτῳ τῶν ὑπομνημάτων, ἀλλ᾽ οὐδὲ νῦν ἂν C εἴπομεν, εἰ μὴ πᾶν τὸ πλῆθος τῶν κατὰ τὸ ποσὸν ὀνομαζομένων τε καὶ νοουμένων σφυγμῶν ἠβουλήθημεν ἐνδείξασθαι. καὶ γὰρ τῶν κατὰ μίαν διάστασιν νοουμένων τάς θ᾽ ὑπερβολάς, καὶ τὰς ἐνδείας ἐξ ἀρχῆς τέμνειν δυνατόν, ὥσπερ ἐπὶ τοῦ μεγάλου συνεδείξαμεν. ὁ γὰρ σύμμετρος μόνος ἐν ἑκάστῳ τῶν γενῶν, εἷς ἐστὶ καὶ ἄτμητος. οἱ δὲ ἄλλοι πλείστας τομὰς δέχεσθαι δύνανται, πρὸς μέν γε τὴν φύσιν αὐτῶν ἀπείρους, κατὰ γὰρ τὸ μᾶλλόν τε καὶ ἧττον ἐν παντὶ γένει τῷ δεξαμένῳ τὴν ὑπερβολήν, καὶ ἔλλειψιν ἀπείρους ἀναγκαῖον εἶναι τὰς διαφοράς, οὐ μὴν πρός γε τὴν αἴσθησιν οὕτως ἔχει, ἀλλὰ παρὰ τὸ βέλτιον, ἢ χεῖρον αὐτὰς ἠσκῆσθαι, τῇ μὲν καὶ τὰς παρὰ μικρὸν ἔνεστι διαφορὰς D γνωρίζειν, τῇ δὲ τὰς ἀξιολόγους μόνον. καὶ γὰρ καὶ τὰς τῆς φωνῆς ὑπεροχάς, ὁ μὲν μουσικὸς οὐκ ἄχρι τόνου, καὶ ἡμιτονίου μόνον, ἀλλὰ καὶ μέχρι διέσεως ἱκανῶς διαγινώσκει, ὁ δὲ ἰδιώτης, οὐδὲ δυοῖν τόνοιν ὑπεροχὴν ἀκούειν οἷός τε. καὶ γοῦν καὶ ἡμεῖς, τό γε νῦν εἶναι τὴν ἡμετέραν αἴσθησιν ἐξηγησάμεθα. παρακολουθοῦμεν γὰρ ἐν τῇ τοῦ συμμέτρου καθ᾽ ἕκαστον γένος ὑπερβολῇ τε καὶ ἐνδείᾳ, διαφοραῖς σφυγμῶν ἕξ. ἀλλ᾽ ἀρκεῖ τοῖς εἰσαγομένοις, τὰ μὲν πρῶτα μιᾶς ἑτέρας αἰσθάνεσθαι, καὶ χωρίζειν αὐτὰς δύνασθαι τῆς συμμέτρου. χρόνῳ δέ, ἂν οἶμαι, τριβο- E μένοις αὖθις περὶ τὸ πρᾶγμα, πρῶτον μὲν ἴσως διχῇ τέμνειν αὐτάς, εἶτα δὲ καὶ τριχῇ, καὶ τετραχῇ παρέσται. ταῦτα πάντα μάλιστα μὲν ὑπὲρ τοῦ δεῖξαι πολλῶν σφυγμῶν ἓν γένος κοινόν, εἴρηται. χρήσιμα δὲ ἐστὶ καὶ αὐτὰ καθ᾽ ἑαυτὰ γινώσκεσθαι, καὶ ἡμεῖς τοῖς ἤδη προήκουσιν ἐν τοῖς μαθήμασι, τὰ τοιαῦτα λέγομεν, ὧνπερ δὴ καὶ μόνων ἐστὶν ἀκούσματα. ὅτι μὲν οὖν ἐστί τι γένος σφυγμῶν τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων, αὐτάρκως δέδεικται.

docere quàm ipsa nomina definitiones melius, quòd vt alia omittam, plerasque etiam differentias in alias plures, vt in magno pulsu demonstrauimus diffindunt; quippe cuius rursus sex concipias differentias, & definitione explices, si quendam ex illis maximum, & conceperis & vocaueris eum qui à moderato distat quamplurimum; aliquem simpliciter magnum, qui inter maximum & moderatum medium locum tenet; ac inter vtrunque alias duas differentias statuas, licet vnam paulò moderato maiorem, alteram, quæ paulùm infra maximum sit. Nam huiuscemodi diuisionem, neminem fugit qui operam vel studium in operibus artis posuit, magno vsui esse ad præsagiendum. Etenim in calido, frigido, sicco, humido breuiter omnibus quæ ad artem pertinent, in minima facultas diuidendi, & paruorum excessuum obseruatio, viri est cùm prudentis, tum vero experti in operibus, nihilque potius ducentis, quam scopum artis in angustum, quàm maximè cogere. Non tamen in principio institutionis ea est sumenda diuisio, nam discipulis ea res minùs doctis non parum confusionis afferet; docti vnum ex commemoratis intelligent. Quæ causa fuit quamobrem nec eorum in primo commentario meminerimus: sed ne nunc quidem dixerimus, nisi omnem pulsuum qui ex quantitate nominantur & intelliguntur, statuissemus aceruum ob oculos ponere. Siquidem excessus pulsuum qui vna dimensione intelliguntur, & defectus à principio potes diuidere, vt in magno demonstrauimus. Nam moderati soli, singulis generibus singuli sunt & indiuisi; alij plures diuisiones recipiunt, sua quidem natura infinitas; quod enim genus maiorem vel minorem excessum & defectum obtinet, infinitas necesse est habeat differentias. At non ad sensum tamen sic habet, sed vt ad illos te meliùs vel peiùs exercitaueris, ita modò, vel minutulas differentias percipere poteris, modò insignes tantùm. Siquidem & musicus vocis excessus non ad tonum & semitonum tantùm, sed & ad elementum ipsum vsque, & minimum sonum satis assequitur; idiota nec duorum excessum tonorum potest audire. Nam nos quidem, vt nunc est, nostrum sensum exposuimus. Assequimur in moderati excessu, & defectu cuiusque generis differentias pulsuum sex; sed tyronibus primùm vnam aut alteram, satis est de illis sentire & discernere à moderato illas posse. Tractu certè temporis, si hac in re versentur diù, primùm in duas partes fortasse eas partiri, deinde in tres & quatuor poterunt. Hæc ideò omnia, vt multorum pulsuum esse declaremus vnum genus disseruimus. Refert tamen etiam suo nomine ea cognoscere: nosque his, qui in disciplinis profectum iam fecerunt, hæc dicimus, quibus scilicet solis dictauimus. Ergo esse quoddam genus pulsuum, qui in quantitate distentionis consistunt, satis ostensum est.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Τρόπος τοῦ διακρίνειν τά τε πρῶτα, καὶ τὰ κοινὰ τῶν σφυγμῶν γένη.

Ὅτι δὲ καὶ τῶν πρώτων ἐστὶ γενῶν, οἶδα γὰρ καὶ τοῦτ᾽ ἐπαγγειλάμενος δείξειν, ὧδ᾽ ἂν μάλιστα μάθοις, εἰ πειραθείης καθ᾽ ἕκαστον τῶν ἄλλων γενῶν, τὸ αὐτὸ ποιήσασθαι γυμνασίαν, ἣν ἐπὶ

CAPVT IX.

Ratio distinguendi prima & communia genera pulsuum.

IAm de primis esse generibus (memini enim hoc quoque recepisse demonstraturum) hac potissimùm ratione perspicias, si in singulis perinde aliis generibus coneris commentari, atque nūc in

in hoc fecimus. Id quod in hunc modum maximè feceris, si in singulis tractandis consideres, ecquod supremum genus esse possit, & huius generis, quod est quantitatis distentionis, & eius quod cum illo proponitur. Age enim, quandoquidem celer quidam est & tardus & moderatus in arteriæ motu pulsus, atque horum commune genus qualitas est motus (quod in commentariis De dignoscendis pulsibus demonstramus) ecquod inuenire commune genus valeamus qualitatis & quantitatis, attendendum nobis est. Si nequeamus, in prima referemus genera; tum quantitatem distentionis, tum qualitatem motus. Sed quando & qualitas corporis arteriæ, aliud genus sit pulsuum, scilicet, in quo mollis sit, & durus, & moderatus in statu arteriæ tunicæ, videndum est rursus quodnam horum sit commune genus: huius dico de quo nunc egimus, & illius qui in distentionis quantitate consistit. Si nihil reperiatur, ex primis etiam est hoc censendum. Nam quod exercitatum requirit in prædicamentis horum commentatio, apertum puto esse vt quum, quæ in quæstionem venerunt, in vnum ambo prædicamentum cogantur, non commune tamen vllum genus habeant, ne communitas nos prædicamenti moueat; vt plerosque, qui serò ad literas se conferunt, & inexercitatos pseudodialecticos, vbi prædicamentum sit commune, genus etiam reperies hic commune existimare esse, vt qui distinguere homonymiam non valeant. Sanè sic habet in qualitate motus, & corporis arteriæ. Prædicamentum est qualitatis commune vtrique generi, tamen genus non item ambo vllum obtinent commune. Nam per homonymiam vtrunque, non synonymiam qualitas dicitur, neque enim eadem est in ambobus qualitas, sicut in albo, & nigro, atque frigido, & calido. Cæterùm motui peculiaris est qualitas, & diuersa, & corpori arteriæ peculiaris diuersaque: scilicet non generis sunt eiusdem motus, & status corporis arteriæ. Verùm de his inferiùs fortassis amplius agetur. De pulsuum nunc genere in quantitate, qua ratione animaduertendum est, liquet: primorúmne generum, an secundorum sit. Nam à genere motus corporisque arteriæ planè distat, siquidem quantitas à qualitate dissidet; atque idcirco etiam à genere contentionis, in quo vehementes quidam, & languidi sunt pulsus (etenim qualitate hi, vel ictus, vel vitalis roboris constant) sed & à rhythmo etiam, & à genere ordinis, & perturbationis ordinis, æqualitatis, & inæqualitatis; quæ quidem prædicamento ad aliquid attribuuntur vniuersa. Hoc iam superest vt illud comparemus cum genere crebritatis & raritatis: nam hoc constituere quantitas videtur temporis quietis. Sed sub idem sic rursus prædicamentum reducentur, genus ambobus tamen non erit idem; nam genere toto quantitas dimensionis corporis à quantitate abest temporis. Ac nullum esse apertum est in pulsibus genus altius quantitatis genere distentionis, vt nec aliorum quoquam commemoratorum. At exercitatum oportet prius esse, qui assequi hæc volet, ad prædicamenta. Nam scitum est Arcesilai dictum: *Nemo vellus portat ad fullonem.* Ordo est enim vt lanificij, sic institutionis disciplinarum. Nec legere quisquam prius docetur, quàm syllabas omnes didicerit;

τούτου νῦν ἐποιησάμεθα. ποιήσεις δὲ μάλιστα οὕτως, εἰ καθ' ἕκαστον αὐτῶν διαχειριζόμενος, ἐπισκοποῖο τί κοινὸν γένος ἀνωτάτω ἐνδέχεται συστῆναι, τούτου τε κατὰ τὸ ποσὸν τῆς διαστολῆς, καὶ τοῦ σὺν αὐτῷ προτεινομένου. φέρε γὰρ ἐπειδὴ ταχύς τις ἐστι, καὶ βραδὺς, καὶ σύμμετρος ἐν τῇ κινήσει τῆς ἀρτηρίας σφυγμὸς, καὶ τοῦτο κοινὸν γένος ἐστὶ τὸ ποιὸν τῆς κινήσεως, ὡς κἀν τοῖς περὶ διαγνώσεως σφυγμῶν ἐπιδείκνυται, σκεπτέον ἡμῖν ἐστι, τί ποτε κοινὸν γένος εὑρεῖν δυνησόμεθα ποιοῦ τε καὶ ποσοῦ. μὴ δυνηθέντες γὰρ ἐν τοῖς πρώτοις γένεσι τάξομεν τό τε ποσὸν τῆς διαστολῆς, καὶ τὸ ποιὸν τῆς κινήσεως. ἀλλ' ἐπεὶ καὶ τὸ ποιὸν τοῦ σώματος τῆς ἀρτηρίας ἄλλο γένος τῶν σφυγμῶν, ἐν αὐτῷ γὰρ ὅ τε μαλακὸς, καὶ ὁ σκληρὸς, καὶ ὁ σύμμετρος κατὰ τὴν σύστασιν τοῦ χιτῶνος τῆς ἀρτηρίας ἦσαν, ἐπισκεπτέον αὖ πάλιν, τί καὶ τούτων ἐστὶ κοινὸν γένος, λέγω δὲ τούτου τε τοῦ νῦν εἰρημένου, καὶ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς. ἂν δὲ μηδὲν φαίνηται, τῶν πρώτων ἡμῖν καὶ αὐτὸ θετέον εἴη. ὅτι δὴ ἐν τῷ περὶ τῶν τοιούτων σκέπτεσθαι, γεγυμνάσθαι χρὴ διαγινώσκειν τὰς κατηγορίας, ἡγοῦμαι πρόδηλον ὑπάρχειν· ἵν' ὅταν ὑπὸ μίαν μὲν ἄμφω ἄγηται κατηγορίαν τὰ ζητούμενα, μὴ μέντοι κοινὸν γένος τι ἐπ' αὐτοῖς ᾖ, μὴ ταραττώμεθα τῷ κοινῷ τῆς κατηγορίας, ὡς τούς γε πλείστους τῶν ὀψιμαθῶν τε, καὶ ἀγυμνάστων ψευδοδιαλεκτικῶν, ἔνθα κατηγορία κοινὴ, καὶ γένος ἐνταῦθα κοινὸν εὑρήσεις νομίζοντας, ὡς ἂν μὴ δυναμένους διαιρεῖσθαι τὴν ὁμωνυμίαν. οὕτω γοῦν ἔχει κἀπὶ τοῦ κατὰ τὴν κίνησιν, καὶ τὸ σῶμα τῆς ἀρτηρίας ποιοῦ. κατηγορία μὲν ἡ τοῦ ποιοῦ κοινὴ κατ' ἀμφοῖν τοῖν γενοῖν, οὐ μὴν καὶ γένος γέ τι κοινὸν ἐπ' ἀμφοῖν. ὁμωνύμως γὰρ οὐ συνωνύμως ἄμφω ποιὰ λέγεται. οὐ γὰρ ἓν ταὐτόν ἐστιν ἐν ἀμφοτέροις τὸ ποιόν, καθάπερ ἐν λευκῷ, καὶ μέλανι, ἢ ἐν ψυχρῷ, καὶ θερμῷ, ἀλλὰ κινήσει μὲν τὸ ποιὸν ἴδιον, καὶ γένους ἄλλου. τῷ δὲ σώματι τῆς ἀρτηρίας ἴδιον, καὶ γένους ἄλλου. οὐ γάρ ἐστιν ἐν ταὐτῷ γένει, κίνησίς τε καὶ σύστασις ἀρτηρίας σώματος. ἀλλὰ περὶ μὲν τούτων τάχ' ἂν ἐν τοῖς ἑξῆς πλέον ῥηθείη. περὶ δὲ τοῦ κατὰ τὸ ποσὸν γένους τῶν σφυγμῶν ἤδη δῆλον ὅπως χρὴ σκέπτεσθαι, πότερα τῶν πρώτων ἐστὶ γενῶν, ἢ τῶν δευτέρων. τοῦ μὲν γὰρ κατά τε τὴν κίνησιν, καὶ τὸ σῶμα τῆς ἀρτηρίας, φανερῶς ἕτερον ὑπάρχει. εἴ γε καὶ τὸ ποσὸν ἕτερον τοῦ ποιοῦ. διὰ ταῦτά γε καὶ τοῦ κατὰ τὸν τόνον, ἐν ᾧ σφοδροί τέ τινες, καὶ ἀμυδροὶ γίνονται σφυγμοί. καὶ γὰρ οὗτοι κατὰ τὸ ποιὸν ἤτοι τῆς πληγῆς, ἢ τοῦ ζωτικοῦ τόνου συνίστανται. καὶ μὴν καὶ ῥυθμοῦ, καὶ τοῦ κατὰ τάξιν τε καὶ ἀταξίαν, ὁμαλότητά τε καὶ ἀνωμαλίαν. ὑπὸ γὰρ τὴν τοῦ πρός τι κατηγορίαν ἔρχεται ταῦτα σύμπαντα. λοιπὸν δὴ ἂν εἴη παραβάλλειν αὐτὸ τῷ κατὰ τὴν πυκνότητα καὶ ἀραιότητα γένει. φαίνεται γὰρ τοῦτο κατὰ τὸ ποσὸν τοῦ χρόνου τῆς ἡσυχίας συνιστάμενον. ἀλλὰ κἀνταῦθα πάλιν ὑπὸ μὲν τὴν αὐτὴν κατηγορίαν ἀναχθήσεται· γένος δὲ οὐ ταὐτὸν ἀμφοῖν γενήσεται. γένει γὰρ ὅλῳ διαφέρει τὸ ἐν διαστάσει σώματος ποσὸν, τοῦ κατὰ χρόνον ποσοῦ, καὶ δῆλον, ὡς οὐδὲν ἀνωτέρω γένος ἐν σφυγμοῖς ἐστι, τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ὥσπερ οὐδὲ τῶν ἄλλων τῶν εἰρημένων οὐδενός. ὅστις δὲ ἀκριβῶς τούτοις ἕπεσθαι βούλεται, γεγυμνάσθαι πρότερον αὐτὸν χρὴ περὶ τὰς κατηγορίας. τὸ γὰρ τοῦ Ἀρκεσιλάου καλὸν, ὡς οὐδεὶς πόκον εἰς γναφεῖον φέρει. τάξις γάρ ἐστιν, ὥσπερ ἐρίων ἐργασίας, οὕτω καὶ μαθημάτων διδασκαλίας. καὶ οὐδεὶς οὔτ' ἀναγινώσκειν διδάσκεται, πρὶν πάσας ἐκμαθεῖν τὰς συλλαβάς,

οὔτε τὰς συλλαβὰς αὐτὰς, πρὶν ἅπαντα τὰ στοιχεῖα τῆς φωνῆς. οὔτε τὰ σύντονα παλαίσματα πρὸ τῶν ἁπλῶν καὶ ῥᾳδίων, οὐδὲ ταῦτα, πρὶν τρίψασθαι καλῶς, οὐδὲ τοῦτο, πρὶν ἀλείψασθαι γυμναστικῶς, ἀλλ᾽ ἕκαστον αὐτῶν, τὸ μὲν πρῶτον, τὸ δὲ δεύτερον, τὸ δὲ τρίτον ἐστὶν, ἐν ἁπάσαις ταῖς τέχναις. οὕτω δὴ κἂν τοῖς κατὰ τὴν διαλεκτικὴν, οὐκ ἐνδέχεταί τινα, πρὶν ἐν τοῖς πρώτοις, καὶ οἷον στοιχείοις γυμνάσασθαι, ταῖς τῶν ἑξῆς ἀποδείξεσιν ἕπεσθαι. περὶ μὲν τούτων, εἴς γε τὸ παρὸν ἱκανὰ καὶ ταῦτα.

nec syllabas ipsas priùs, quàm vocis cuncta elementa. Neque validas luctas, ante simplices & leues; neque has antè, quàm probè sit frictus; imò ne id quidem, nisi præcesserit more Athletarum vnctio; sed omnium horum aliud primum est, aliud secundum, aliud tertium in omnibus artibus. Sic etiam in Dialectica, antequam quis ad prima se, & veluti elementa exercitauerit, sequentium non valeat assequi demonstrationem. Sed hæc hoc loco satis de his sunt.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τὸν Ἀρχιγένη μυριάκις χρώμενον τῷ τῆς διαφορᾶς ὀνόματι, κακῶς τὰ πρῶτα γένη τῶν ἐν σφυγμοῖς διαφορῶν ποιότητας ὀνομάσασθαι.

Λοιπὸν δ᾽ ἂν εἴη περὶ τοῦ τῆς διαφορᾶς ὀνόματος εἰπεῖν, πρῶτον μὲν ὅτι μὴ καινοτομοῦμεν ἡμεῖς περὶ τοὔνομα, δείξομεν. ἔπειτα δὲ, καὶ οἷόν τι δηλοῖ παρὰ τοῖς Ἕλλησιν ἐξηγησόμεθα. τοῦ μὲν δὴ μὴ καινοτομεῖν, πρῶτος Ἀρχιγένης μάρτυς, ὧδέ πως γράφων, κατὰ τὴν ἀρχὴν τοῦ περὶ τάξεώς τε καὶ ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας γένους. Ἡρόφιλος κατὰ γένος τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἐκθέμενος οὕτως· μέγεθος, τάχος, σφοδρότης, ῥυθμὸς, ἀσυζύγως κατ᾽ εἶδος τάξεως ἐμνήσθη καὶ ἀταξίας, ὁμαλότητός τε καὶ ἀνωμαλίας. ἐν ταύτῃ τῇ λέξει σαφῶς ὁ Ἀρχιγένης, οὐ μόνον ὅτι διαφοραὶ περὶ τοὺς σφυγμούς εἰσιν, ἀλλὰ καὶ ὡς αἱ μέν τινες αὐτῶν κατὰ γένος, αἱ δὲ κατ᾽ εἶδος ἐμνημόνευσεν. οὐ μόνον δὲ κατὰ τὴν ἀρχὴν τοῦτο ἐποίησεν, ἐπελάθετο δὲ ἐν τῷ μετὰ ταῦτα λόγῳ παντί. μυριάκις γὰρ μνημονεύει τοῦ τε τῆς διαφορᾶς ὀνόματος, τοῦ τε τῶν γενῶν, καὶ εἰδῶν ὀρθότατα φρονῶν, καὶ γινώσκων, ὅτι τῶν διαφορῶν αἱ μέν τινές εἰσι γενικαὶ, αἱ δὲ εἰδικαὶ, καὶ αὐτῶν γε τούτων, αἱ μὲν γενικώτεραι, αἱ δὲ εἰδικώτεραι. ὀλίγας οὖν παραγράψομεν ῥήσεις αὐτοῦ, εἰς ἀπόδειξιν τοῦ προκειμένου, πρώτην μὲν ταύτην, ἐκ τοῦ αὐτοῦ λόγου περὶ τάξεως καὶ ἀταξίας. οἱ μέν γε τὴν ὁμαλότητα ἐπί τινων διαφορῶν ἤκουον μόνον. ἐγὼ δ᾽ ἐπὶ πασῶν, ἐφ᾽ ὅσων καὶ τὴν τάξιν. εἶθ᾽ ἑξῆς. ἀνωμαλία μὲν ἀνισότης σφυγμῶν κατά τινα τῶν παρεπομένων αὐτοῖς διαφορῶν. ἀταξία δὲ, ἀσυστασία χρονικὴ κατά τινα τῶν τοῦ σφυγμοῦ διαφορῶν. ἐν ταύτῃ μέν γε τῇ ῥήσει, δὶς ἔγραψε τὸ τῆς διαφορᾶς ὄνομα. εἶτα μετ᾽ ὀλίγον οὐδ᾽ εἰρήκασιν, οὐδ᾽ ὑπὲρ τούτων, εἴ γε δεῖ τὸν κατὰ πᾶσαν διαφορὰν ἴσον ὁμαλὸν λέγειν. αὖθις δ᾽ ἐφεξῆς. καὶ ὁ μὲν καθάπαξ τεταγμένος, οὗτος καθ᾽ ἡμᾶς ἔσται ἴσος μεγέθει, σφοδρότητι, τάχει, ῥυθμῷ, καὶ εἴ τινι ἄλλῃ τοιαύτῃ διαφορᾷ σχέσιν ἔχων θεωρεῖται κατὰ πάσας. πρός τι δὲ, ὁ κατὰ μίαν τινὰ τούτων διαφορὰν ἐν σχέσει θεωρούμενος, ἢ κατὰ δύο, ἢ κατὰ πλείονας. ἐν ταύτῃ γὰρ πάλιν τῇ ῥήσει, δὶς ἐμνημόνευσε τοῦ τῆς διαφορᾶς ὀνόματος. συνάπτων δ᾽ αὐτῇ τὸν ἑξῆς λόγον, πρῶτον μὲν οὕτως ἐρεῖ. ἡ μὲν γὰρ καθάπαξ, καὶ ἀπολελυμένη πασῶν τῶν διαφορῶν ἐστιν ἰσότης. ποτὲ δὲ οὕτως. καὶ ἀνώμαλον μὲν σφυγμὸν τὸν καθάπαξ, καὶ κατὰ μίαν διαφορὰν ἄνισον λεγόμενον. ποτὲ δ᾽ οὕτως. ἔσθ᾽ ὅτε δὲ τὰ μὲν ἄλλα διὰ τριῶν, ὡς εἶπον, ἀναλογεῖ. ἡ σφοδρότης δὲ, ὡς ἂν ἀμφημερινός ἐστιν, ὁμαλὴς οὖσα καὶ ἴση. ἐφεξῆς, ἢ ἄλλη τις τῶν λοιπῶν διαφορῶν, ἢ ἄλλη. τούτοις δὲ συνάπτων τὸν ἑξῆς λόγον ἐρεῖ. ἀναλογούντων τῶν σφυγμῶν ὁμοῦ τε πάσαις ταῖς διαφοραῖς, καί τινι, ἢ τισιν. εἶτ᾽ ἐφεξῆς. ἔσθ᾽ ὅτε δὲ, τὰ μὲν ἄλλα πάντα τεταγμένα ἐστὶν, ἢ νὴ Δί᾽

CAPVT X.

Archigenem quanquam vsus est plerumque nomine differentia, perperam tamen primas pulsuum differentias qualitates appellasse.

RESTAT vt de nomine differentiæ dicam. Primùm in nomine nos nihil innouare ostendemus, deinde quid apud Græcos significet interpretabimur. Nam noui nos nihil designare primus est Archigenes testis, qui in hunc modum in principio scribit tractatus de ordine, & perturbatione ordinis, æqualitatis, & inæqualitatis; *Herophilus qui generatim pulsuum protulit alias differentias, hoc pacto: Magnitudo, celeritas, vehementia, rhythmus, non coniunctim, sed speciatim ordinis meminit, & perturbationis ordinis, æqualitatisque & inæqualitatis.* Hoc loco apertè Archigenes non modò differentias esse in pulsibus, sed & aliquas generum esse, quasdam specierum memorauit. Neque initio hoc tantum fecit, oblitus autem postea est in toto sermone; millies enim nominis meminit differentiæ, & generum, & specierum, rectissimè sentiens sciensque differentiarum quasdam genericas, quasdam esse specificas; ac harum etiam ipsarum has magis genericas, illas specificas magis. Quare paucula eius verba adscribamus ad confirmandum propositum: primum hoc ex eodem de ordine, & perturbatione ordinis tractatu; *Quidam sanè æqualitatem acceperunt in certis tantum differentiis; ego verò in omnibus, in quibus ordinem.* Mox addit: *Inæqualitas est imparitas pulsuum in aliqua succedentium eis differentiarum; perturbatio verò ordinis, conturbatio dispositionis temporaria in aliqua pulsus differentia.* Bis in hoc quidem capite scripsit differentiæ nomen. Paulò post: *Neque aperuerunt, ne de his quidem, an qui omni in differentia sit par, sit æqualis dicendus.* Inde rursus; *& qui est absolutè ordinatus, hic nobis erit par magnitudine, vehementia, celeritate, rhythmo; & si qua alia einscemodi differentia dispositus attenditur in omnibus esse, sed aliqua ex parte, qui in vna horum differentia dispositus videtur esse, vel duabus, vel pluribus.* Hoc rursus loco nomen differentiæ bis appellauit, cui annectens sequentem orationem, primùm sic dicit; *Nam illa integra, & omnium differentiarum absoluta paritas.* Interim sic: *Et inæqualem pulsum eum qui prorsus, vel vna differentia est impar vocamus.* Interim hunc in modum; *Nonnunquam alia per tres, vt dixi respondent. Vehementia verò, quasi quotidiana est, quum sit æqualis, & per deinceps, aut alia quæpiam reliquarum differentiarum, aut alia.* Hic subdens proximam orationem dicit; *Conuenientibus pulsibus, & simul omnibus differentiis, & vna, vel pluribus.* Postea; *interim sunt alia omnia ordinata, aut certè æqualia;*

æqualia; vna autem aliqua differentia, vt magnitudo: vel duæ, vel plures semel inordinatæ sunt. Post hæc in exitu tractatus; *Accipienda sunt enim, inquit, quæ retuli de celeritate, & tarditate; denique de omni pulsus alia differentia.* Atque hæc ex hoc tractatu adducta sint: quid enim plura cites? Digrediamur iam ad alium, vt ne ex vno loco testimonia videamur capere. Ascribamus igitur capita ex sequentibus, atque etiam ex præcedentibus. Ac sequitur quidem hic titulus; *quæ sit vno in pulsu inæqualitas.* Statimque scribit ab initio tractatus in hunc modum: *sunt enim plures differentiæ inæqualitatis, puta in vno pulsu.* Inde: *frequenter autem cum hisce differentiis, & cum magnitudinis coniunguntur inæqualitatibus.* Mox; *Alia porrò est differentia in magnitudine vnius pulsus inæqualis.* Hæc ex hoc tractatu proferas. Porrò adscribamus his pauca adhuc, ex ipso initio libri. Vnum quidem est caput hoc, Tractatus de pulsus vehementia. *In vehementia autem einscemodi inuenias præterea alias differentias.* Alterum iam; *Hunc in pulsus languidi differentias referas.* Et inde aliud; *Quidam non remissus quidem, sed quasi impeditus, & intrò vergente præditus grauitate, repressus & demersus, differentia erit vehementiæ pulsus.* Postea vbi de plenitudine agit, interim sic scribit; *Numerus tot differentiarum.* Interim sic; *Differentia tantum ad contrarium simpliciter æstimetur.* Rursus in tractatu de crebritate, & raritate in hunc modum scribit; *Nonnulli videntur turbare differentias.* Et ad finem totius tractatus; *Habes celeritatis & tarditatis differentias.* Rursus vbi agit qui sit pulsus per par, & non par; *At enim non est hæc peculiaris pulsus differentia, sed speciem ea complectitur, vel rhythmi, vel ordinis.* Sed satis iam de differentia, ne imprudentes fortè à proposito aberremus. Nam Archigenis si de pulsibus velis totum librum reuoluere, alterum ex eo librum conficias de nomine differentiæ; nam nunc quidem ne ex quinta parte quidem hæc excerpsimus; ac multa protulimus capita, non adeò quo de nomine differentiæ laboraremus, sed vt significationem esse variam ostenderemus. Etenim genera non rarò differentias appellauit cùm prima, tum secunda; & species item generum. Ac quæ neque genera, neque statuit species esse, quæ quidem differentiæ sunt solæ, etiam vocauit has differentias; quæ pseudodialecticis res imponit. Nam quando differentiæ, quum apud alios Græcos, tum apud priscos philosophos de tribus his quæ modò memoraui, accipiantur, de generibus & speciebus communius; sed de illis quæ in diuisionibus reperiuntur, quæ nec species sunt nec genera, peculiariùs; huius isti tantum significationis meminerunt, communi omninò neglecta. Enimuerò stimulante eos conscientia in suis ipsorum placitis non constant. Quapropter nunc non ex aliis Græcis nominum significata suggero, quum tamen mihi promptissimum esset ab omnibus mutuari, sed ex iis ipsis pseudodialecticis. Nam qui recipiant se nominum notiones expositūros, & dialecticæ hoc commentationis principium constituunt; quum non exponunt, sed quasi leges solum ferunt, hoc nomine sum solitus eos appellare. Nam Archigenes quidem, sat scio, omnia citiùs subeat quàm differentiæ nomen attribui speciebus quoque fateatur.

ὁμαλῆ· μία δέ τις διαφορά, ὅτι τὸ μέγεθος, ἢ δύο, ἢ πλείους, ἄτακτοι τελέως εἰσίν. εἶτα ἐπὶ τῇ τελευτῇ τοῦ λόγου· νοεῖσθαι γὰρ δεῖ, φησίν, ἃ ἔφην περὶ τάχους καὶ βραδύτητος ἐπὶ πάσης ἄλλης διαφορᾶς σφυγμοῦ. τοσαῦτα μὲν ἐκ τούτου τοῦ λόγου παραγεγράφθω. τί γὰρ ἄν τις πλειόνων μνημονεύοι. μεταβῶμεν δὲ αὖθις ἐφ᾽ ἕτερον, ὑπὲρ τοῦ μὴ δοκεῖν ἐξ ἑνὸς τόπου μαρτυρίας λαμβάνειν. παραγράψομεν οὖν ῥήσεις ἐκ τῶν ἑξῆς, καὶ πάλιν ἐκ τῶν ἔμπροσθεν. ἑξῆς μὲν οὖν ἐστι πρόγραμμα τοιοῦτον. τίς ἡ καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλία. γράφει δ᾽ εὐθέως μετὰ τὴν ἀρχὴν τοῦ λόγου, τόνδε τὸν τρόπον. εἰσὶ δ᾽ αὐτῆς πλείους διαφοραί, τῆς καθ᾽ ἕνα δηλονότι σφυγμὸν ἀνωμαλίας. εἶθ᾽ ἑξῆς. τὰ πολλὰ δὲ ταύταις ταῖς διαφοραῖς, καὶ τὸ κατὰ μέγεθος συντρέχουσιν ἀνωμαλίαις. καὶ πάλιν ἐφεξῆς. ἄλλη δ᾽ ἐστὶ διαφορὰ κατὰ μέγεθος ἀνωμάλου ἑνὸς σφυγμοῦ. ταῦτα μὲν καὶ ἐκ τούτου τοῦ λόγου λαβεῖν ἐστι. προσπαραγράψωμεν δ᾽ αὖθις ἔτι ὀλίγα, τῶν εὐθὺς κατ᾽ ἀρχὰς εἰρημένων τοῦ βιβλίου. μία μὲν οὖν ῥῆσις ἐν τῷ περὶ σφοδρότητος σφυγμοῦ λόγῳ τοιαύτη τις ἐστι· ἐν δὲ κατὰ τὴν σφοδρότητα τοιαύταις καὶ ἄλλαις ἐντυγχάνειν διαφοραῖς. ἑτέραν δὲ ταύτην ἀμυδροῦ σφυγμοῦ διαφορὰν θείης ἄν. καὶ ἑξῆς ἄλλην. εἰ δ᾽ οὐκ ἔκλυτος μέν, ἀλλ᾽ οἷον παραπεποδισμένη, καὶ εἴσω ῥέπον τὸ βάρος ἔχουσα, πεπεδημένη, καὶ δεδυκυῖα διαφορὰ κατὰ σφοδρότητα ἂν εἴη σφυγμοῦ. ἑξῆς δ᾽ ἐν τῷ περὶ πληρότητος λόγῳ, ποτὲ μὲν οὕτως γράφει, πλήθη τοσούτων διαφορῶν, ποτὲ δ᾽ οὕτως. ἡ διαφορὰ μόνον πρὸς τὸ διανενεμημένον ψιλῶς θεωρείσθω. πάλιν δ᾽ ἐν τῷ περὶ πυκνότητος καὶ τάχους, ὧδέ πως γράφει· ὀλίγοι δέ τινες ἐμφαίνουσι σαινόμενοι διαφοράς, καὶ κατὰ τὴν τελευτὴν τοῦ παντὸς λόγου. ταχύτητος μὲν δή, καὶ πυκνότητος διαφοραὶ αὗται. πάλιν δ᾽ ἐν τῷ, τίς ὁ διὰ ἴσου, καὶ οὐ διὰ ἴσου σφυγμός. οὐκ ἔστι δὲ ἰδία τις διαφορὰ σφυγμοῦ αὕτη, ἀλλ᾽ ἐν εἴδει κεῖται, ἢ ῥυθμοῦ, ἢ τάξεως. ἅλις ἤδη γε διαφορᾶς, μή πως λάθωμεν εἰς ἐκφορὰν ἐκπεσόντες. εἰ γάρ τις βούλεται τὸ περὶ σφυγμῶν βιβλίον ὅλον ἀναγινώσκειν τοῦ Ἀρχιγένους, ἄλλο βιβλίον ἐξ αὐτοῦ πληρῶσαι δυνήσεται τοῦ τῆς διαφορᾶς ὀνόματος· νῦν μὲν γὰρ ἡμεῖς, οὐδ᾽ ἐκ τοῦ πεμπτοῦ μέρους ἐξελεξάμεθα ταῦτα. καὶ πολλὰς παρεγράψαμεν ῥήσεις, οὐχ οὕτως ὑπὲρ τοῦ τῆς διαφορᾶς ὀνόματος σπουδάσαντες, ἀλλ᾽ ἵν᾽ ἐπιδείξωμεν τὸ σημαινόμενον πολυειδὲς ὄν. καὶ γὰρ τὰ γένη πολλάκις διαφορὰς κέκληκε, τά τε πρῶτα, καὶ τὰ δεύτερα, καὶ τὰ εἴδη τῶν γενῶν, οὐδὲν ἧττον. καὶ ὅσα δὲ μήτε γένη, μήτ᾽ εἴδη τέταχεν ὄντα, διαφορὰς δ᾽ αὐτὸ τοῦτο μόνον καὶ ταύτας διαφορὰς κέκληκεν, ἐν ᾧ καὶ ἡ παρακοὴ τῶν ψευδοδιαλεκτικῶν ἐστι. τοῦ γὰρ τῆς διαφορᾶς ὀνόματος παρά τε τοῖς ἄλλοις Ἕλλησιν ἅπασι, καὶ παρὰ τοῖς παλαιοῖς φιλοσόφοις, κατὰ τῶν τριῶν τούτων ὧν εἴπομεν ἄρτι λεγομένου, κατὰ μὲν τῶν γενῶν, καὶ τῶν εἰδῶν κοινότερον. κατὰ δὲ τῶν μόνον ἐν ταῖς διαιρέσεσιν εὑρισκομένων, ὄντων δὲ μήτ᾽ εἰδῶν, μήτε γενῶν ἰδικώτερον, τοῦτο μόνον τὸ σημαινόμενον ἐμνημονεύσαμεν, τοῦ κοινοῦ παντάπασιν ἐπιλαθόμενοι, ἀλλ᾽ ὑπὸ τῆς Ἀδραστείας νεμεσώμενοι ταῖς σφετέραις ἑαυτῶν οὐκ ἐμμένουσι νομοθεσίαις. διὰ τοῦτ᾽ ἐγὼ νῦν, οὐ παρὰ τῶν ἄλλων Ἑλλήνων τὰ σημαινόμενα τῶν ὀνομάτων ἀναμιμνήσκω, ῥᾷστον ὄν μοι παρὰ πάντων λαβεῖν, ἀλλὰ παρ᾽ αὐτῶν τούτων τῶν ψευδοδιαλεκτικῶν. τοὺς γὰρ ἐπαγγελλομένους μὲν ἐξηγεῖσθαι τὰς ἐννοίας τῶν ὀνομάτων, καὶ ταύτην ἀρχὴν τῆς διαλεκτικῆς θεωρίας τιθεμένους, οὐκ ἐξηγουμένους δέ, ἀλλὰ νομοθετοῦντας μόνον, οὕτως ὀνομάζειν εἴωθα. καὶ γὰρ Ἀρχιγένης, οἶδ᾽ ὅτι θᾶττον ἂν ὁτιοῦν παθεῖν ἕλοιτο, πρὶν ὁμολογῆσαι τὸ τῆς διαφορᾶς ὄνομα, καὶ κατὰ τῶν εἰδῶν λέγεσθαι.

τά τε γὰρ ἄλλα, καὶ ἡ αἵρεσις αὐτῶν θάττον πόλιν, ἢ δόγμα φησὶ χρῆναι προδιδόναι, ἀλλ' ἐὰν σιωπήσῃς νομοθετούντων, καὶ μηδόλως ἀντείπῃς, εἶτ' ἐπιτρέψῃς περί τινος διαλέγεσθαι, παραχρῆμα τοῖς ἑαυτῶν νομοθεσίαις ἐναντία φθέγγονται. πολὺ δὲ τοῦτ' ἐστὶ παρὰ τῷ προπάππῳ τῆς αἱρέσεως αὐτῶν Χρυσίππῳ. νομοθετεῖ μὲν γὰρ ὀνόματα πλέον, ἢ Σόλων Ἀθηναίοις ἱστὰν τοῖς ἄξοσι νομίσματα. συγχεῖ δ' αὐτὸς πρῶτος αὐτά. καὶ εἰ ἔροιο τοὺς διαδόχους αὐτοῦ τῆς νομοθεσίας, τί δή ποτε οὐκ ἐμμένει τοῖς ἑαυτοῦ παραγγέλμασι, καταχρῆται φασιν. ἔξεστιν οὖν, ὦ βέλτιστοι, καταχρῆσθαι, καὶ οὐχ ἁμαρτάνουσιν οἱ τοῦτο ποιοῦντες; ἔξεστι φασί. τί γὰρ ἄλλο εἰπεῖν ἔχουσιν, ὅταν ἐν φρέατι, τοῦτο δὴ τὸ τοῦ λόγου, συσχεθῶσι. τί δή ποτ' οὖν τοῖς ἄλλοις ἀνθρώποις οὐκ ἐπιτρέπουσιν; ἢ μόνῳ Χρυσίππῳ, καὶ τοῖς ἀπ' αὐτοῦ τοῦτο δρᾶν ἔξεστι; διὰ τί πρὸς τῶν θεῶν; ὅτι δηλαδὴ γνήσιος Ἀττικός ἐστι τῶν ἀμφὶ Κόδρον τε καὶ Ἐρεχθέα. ἀλλ' εἰ τῶν τοιούτων ὄντως ἦν, οὐκ ἂν παρεχάραττεν οὕτω νόμισμά τι τὸ τῆς παλαιᾶς φωνῆς ἔθος. νυνὶ δὲ τὸ δεινότατον, οὔτε γεννηθεὶς Ἀθήνησιν, οὔτε τραφεὶς, ἀλλὰ χθὲς καὶ πρώτως ἥκων ἐκ Κιλικίας, πρὶν ἀκριβῶς αὐτὸν ἐκμαθεῖν ἡντιναοῦν Ἑλλάδα φωνὴν, Ἀθηναίοις περὶ ὀνομάτων ἐπιχειρεῖ νομοθετεῖν ἀκίττα τὴν σειρῆνα μιμουμένη, ἵνα κίτταν εἴπωμεν, μὴ κολοιὸν, μηδὲ κόρακα. μηδ' ἄλλο μηδὲν, ὧν οἰκειότερον ἦν εἰπεῖν τὸν οὕτω θρασύν. ὅσα μὲν οὖν Χρυσίππος εἰς τὴν τῶν Ἀθηναίων ἐξύβρισε διάλεκτον, τάχ' ἄν ποτε καὶ αὖθις ἡμῖν διελθεῖν γένοιτο. τὰ δ' Ἀρχιγένους ταυτὶ τὰ νῦν ἡμῖν προκείμενα θαυμαστῶς ὁρᾷς ὁμόλογα, φοβηθέντος μὲν εἰπεῖν πρῶτα γένη καὶ πρώτας διαφορὰς, καὶ γενικὰς διαφορὰς, καὶ γένη διαφορῶν, καίτοι τούτων ἁπάντων συνήθων μὲν τοῖς Ἕλλησιν ὄντων, ὑπὸ Ἡροφίλου δὲ, καὶ τῶν Ἡροφιλείων σχεδὸν ἁπάντων μυριάκις εἰρημένων, ἐκκριθέντος δὲ τὸ τῆς ποιότητος ὄνομα κατὰ πάντων κοινόν. καίτοι τό γε μὲν τῆς διαφορᾶς ἐγχωρεῖ κατὰ πάντων λέγειν, καὶ τῶν ποιῶν, καὶ τῶν ποσῶν, καὶ τῶν πρός τι, καὶ ὅλως ἁπαξαπάντων. παρὰ γὰρ τὸ διαφέρειν ἕτερον ἑτέρου τὸ τῆς διαφορᾶς ὄνομα γέγονέ τε, καὶ νενόηται. διαφέρει δ' ἀλλήλων, τὰ μὲν εὐθὺς ἐν τοῖς πρώτοις γένεσι τῶν κατηγοριῶν, ὡς ἄνθρωπος, καὶ λευκὸν, καὶ δίπηχυ, καὶ δεξιόν. τὸ μὲν γὰρ αὐτῶν οὐσία· τὸ δὲ ποιὸν, τὸ δὲ ποσὸν, τὸ δὲ πρός τι. τὰ δ' ἐν τοῖς ὑπ' αὐτὰ, καθάπερ τὸ λευκὸν, καὶ τὸ τρίγωνον. τοῦ μὲν γὰρ, τὸ χρῶμα γένος, τοῦ δὲ, τὸ σχῆμα. πέπτωκε δ' ἄμφω ταῦτα πάλιν ὑπὸ τὴν τοῦ ποιοῦ κατηγορίαν. ὥστε τὸ λευκὸν τῷ τριγώνῳ, κατὰ μὲν τὴν πρώτην κατηγορίαν, ὡσαύτως ῥηθήσεται. ποιὸν γὰρ ἑκάτερον. ἐν γένει δ' ἔσται διαφέροντι, τὸ μὲν τῶν χρωμάτων, τὸ δὲ τῶν σχημάτων. ἄλλα δ' αὖ κατ' εἶδος διαφέρει, τῷ γένει μὴ διαφέροντα, καθάπερ τὸ λευκὸν, καὶ τὸ ξανθόν. τῷ μὲν γὰρ γένει ταὐτὰ, χρώματα γὰρ, εἰδικὴν δέ τινα ἔχει διαφοράν. εἴδη γὰρ χρώματος, ὥσπερ τὸ μέλαν, καὶ τὸ ἐρυθρὸν, καὶ τὸ κυανοῦν, οὕτω τὸ λευκόν τε καὶ ξανθόν. ἄλλα δ' αὖ κατὰ τὸ ἄτομόν τε, καὶ ἀριθμῷ ἓν, διαφέρει, καθάπερ καὶ τὸ λευκὸν, ὃ δειχθῆναι δύναται, τοῦ δὲ τοῦ λευκοῦ, τοῦ δειχθῆναι δυναμένου, διαφέρει μέν τινα διαφορὰν ἰδίαν, ὑπὸ δὲ ταὐτὸν πέπτωκεν εἶδος, τὸ λευκόν. ἀλλὰ καὶ γένος αὐτῶν ταὐτὸν, τὸ χρῶμα, καὶ κοινὴ κατηγορία, τὸ ποιόν. οὕτως πᾶν παντὸς, ἕτερον ἑτέρου πάντως κατά τι διαφέρει. ἐπεὶ οὖν ἡ διαφορὰ παρὰ τὸ διαφέρειν εἴρηται, καὶ νενόηται, τὸ διαφέρειν δὲ κἀν τοῖς ἀτόμοις, κἀν τοῖς εἴδεσι, καὶ τοῖς ὑπ' ἄλληλα γένεσιν εὑρίσκεται, καὶ περὶ πάνθ' ἁπλῶς τὰ ὁπωσοῦν ὄντα, ἀνάγκη καὶ τὴν διαφορὰν ἐν ἅπασιν ὑπάρχειν τοῖς οὖσιν, οὐ μὴν τήν γε ποιότητα.

Etenim, vt præteream alia, vel secta eorum, ciuitatem priusquam placitum, ait esse prodendam. At tu, si dum leges illi ferunt, sileas, nec resistas quicquam, inde de re quapiam facias potestatem disserendi, cum suis ipsi statim decretis pugnant. Quod sanè proauo huius eorum sectæ frequens est Chrysippo, de nominibus enim ipse diligentius sanxit, quam Atheniensibus de appendendis nummis Solon suis tabulis; confundit autem ipse ea primus. Et si quæras de successoribus eius placiti, quid non tueatur sua decreta? abutitur, inquiunt. At licet, ó viri boni, abuti, an ne qui hoc admittunt, peccant? licet, inquiunt; nam quid dicant aliud, vbi in puteo (vt in prouerbio est) sint oppressi? Qui autem aliis hoc hominibus minus permittunt? An vni Chrysippo istud, eiusque facere permissum est æmulis? At quam quæso ob rem? quòd terra sit natus scilicet Atticus de Codri familia & Erechthei? Atqui, si quidem illorum sit nepos, non adulteraret, quasi nummum aliquem, antiquæ institutum vocis. Nunc verò (quod quis ferat?) neque Athenis natus, nec altus, sed ex Cicilia nuper adueniens, priusquam probe Græcam vocem didicerit vllam, Atheniensibus studet legem de nominibus ferre, pica Sirenem imitans; vt picam, non graculum dicamus, vel coruum, vel quippiam aliud, quem veriùs appellaueris tam audacem. Sed Chrysippi in linguam Atticam contumelias posthac fortasse detegemus. Archigenis errata hæc quæ nunc in manibus habemus, mirè confitearis aperta esse; qui veretur dicere prima genera & primas differentias, genericásque differentias, & genera differentiarum, tametsi frequentia apud Græcos hæc sint nomina, ab Herophilo verò & Herophiliis propè omnibus millies prolata; sed omnibus commune nomen commentus est qualitatis. Atqui differentiæ nomen potest omnibus assignari qualitatibus, quantitatibus, relationibus, vno verbo vniuersis; nam ab eo quòd differat alterum ab altero, nomen differentiæ factum est & conceptum. Differunt autem quædam statim primis generibus prædicamentorum, vt homo, album, bicubitale, dextrum; nam vnum illorum est substantia, alterum qualitas, aliud quantitas, aliud ad aliquid. Quædam subiectis generibus sub his, vt album & triangulare; color enim illius est genus, huius figura. Hæc rursus ambo prædicamento subiecta qualitatis sunt, itaque albo primum prædicamentum cum triangulari conuenit; est enim vtrunque qualitas: cæterum generis sunt diuersi, hoc figurarum, illud colorum. Alia iam specie differunt quum non differant genere, vt album & flauum; genere sunt enim eadem, nam colores sunt; sed speciei habent quandam differentiam; nam species coloris, vt nigrum, rubeum, cœruleum, ita album & flauum sunt. Iam alia differunt indiuiduo & vno numero, verbi gratiâ, album, quod ostendi potest, ab hoc albo, quod potest ostendi, peculiari quadam distat differentia; sed eidem speciei tamen subditum est albo: & idem eorum etiam genus color est, atque commune prædicamentum qualitas; adeò quodlibet à quouis, alterum ab altero prorsus aliquatenus differt. Quandoquidem igitur differentia à differendo est appellata & inuenta, differre autem tum indiuidua, tum species, tum genera inueniuntur subalterna, & semel omnia quæ aliquo modo sunt; etiam differentia, oportet, in omnibus sit, quæ sunt; non item qualitas.

Malè ergo prima genera Archigenes differentiarum pulsuum vocauit qualitates, nos rectè atque ordine quum hæc, tum alia omnia, differentias; quare etiam vniuerso operi titulum fecimus. De pulsuum differentiis. Quid iam superest eorum, quæ distulimus? nihil, nisi vt veterum medicorum aliorúmque auctorum vsum nominis differentiæ declaremus. Nam superior quidem oratio ipsius testimonio Archigenis fidem fecit, neque ex omnibus tamen eius libris, ne ex illo quidem de pulsibus toto. Quòd si alia opera inspicias Archigenis, etiam febrium differentias reperias hominem appellare, & morborum, victuúmque: atque vti millies in his, quas memorauimus, rebus, nomine differentiæ. Quòd si aliorum medicorum vsum, & omninò Græcorum adscribam, res mihi tam fore videtur prolixa, vt libros conficere maximos possit. Omnium ergo primum sit, vt quisque excerpat; nam se statim authorum vocabulis assuefecerit, minúsque nobis exhibuerit negotij ad sequentem disputationem. Etiam duæ cuilibet ad manum sunt lucubrationes nostræ, & de Atticis nominibus, & de Medicis. Potest fieri vt de Ionicis quoque conscribam aliquando: vt quæ de dictione & omninò de nominibus quæruntur, discas ex illis. Nunc seriem orationis persequamur, atque hunc librum quidem hîc finiamus: in sequentibus libris addamus reliqua.

A διὰ τοῦτο Ἀρχιγένης μὲν κακῶς τὰ πρῶτα γένη τῶν ἐν τοῖς σφυγμοῖς διαφορῶν ποιότητας ὠνόμασεν, ἡμεῖς δὲ ὀρθῶς καὶ ταῦτα, καὶ τ' ἄλλα πάντα διαφοράς, ὅθεν καὶ τοὐπίγραμμα τῷ λόγῳ παντὶ περὶ σφυγμῶν διαφορᾶς ἐποιησάμεθα. τί λοιπὸν ἔτι λείπει τῶν ἀναβληθέντων; οὐδέν, ἢ τὸ δεῖξαι τήν τε παρὰ τοῖς παλαιοῖς ἰατροῖς, καὶ τοῖς ἄλλοις Ἕλλησι περὶ τοὔνομα τῆς διαφορᾶς συνήθειαν. ὁ μὲν γὰρ ἔμπροσθεν λόγος τοῦ Ἀρχιγένους αὐτοῦ τὰς πίστεις ἐποιήσατο, καὶ οὐδ' ἐξ ἁπάντων μέντοι τῶν βιβλίων αὐτοῦ, ἀλλ' οὐδ' ἐκ τοῦ περὶ σφυγμῶν ὅλου. ὡς εἴγε κἀπὶ τἄλλα τις ἔρχοιτο τοῦ Ἀρχιγένους συγγράμματα, καὶ πυρετῶν διαφορὰς εὑρήσει καλοῦντα τὸν ἄνδρα, καὶ παθῶν, καὶ διαιτημάτων, καὶ μυριάκις χρώμενον, καθ' ὧν εἴπομεν πραγμάτων, τῷ τῆς B διαφορᾶς ὀνόματι. τὸ δὲ καὶ παρὰ τῶν ἄλλων τε ἰατρῶν, καὶ ὅλως Ἑλλήνων χρήσεις παραγράφειν, οὕτω μοι δοκεῖ μακρὸν ὑπάρχειν, ὥστε βίβλους μεγίστας δύνασθαι πληρῶσαι. κάλλιστον οὖν αὐτῶν ἕκαστον ἐκλέγειν. αὐτὸς γὰρ καὶ τοῖς ἄλλοις τῶν Ἑλλήνων ὀνόμασιν ἐθισθήσεται, καὶ ἧττον ἡμῖν πράγματα παρέξει πρὸς τὸν ἑξῆς λόγον. καὶ ἡμετέρας δὲ δύο πραγματείας ὁ βουλόμενος ἔχει, τήν τε περὶ Ἀττικῶν ὀνομάτων, καὶ τὴν περὶ τῶν ἰατρικῶν. ἴσως δ' ἄν ποτε καὶ περὶ τῶν Ἰωνικῶν ποιησαίμην ἄν, ὥστε ἐξ ἐκείνων ὅσα περὶ λέξεώς τε καὶ ὅλως ὀνομάτων ζητεῖται, μανθάνειν. νυνὶ δὲ τὸ συνεχὲς τοῦ λόγου περαινέσθω. τοῦτο μὲν ἐνταῦθα καταπαυσαμένων ἡμῶν, ἐν δέ τοι τοῖς ἑξῆς, ὅσα λείπει προστεθέντων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Γ'.

GALENI DE PVLSVVM DIFFERENTIIS LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Γ. ΒΙΒΛΙΩι.

Τῷ παραδείγματι τοῦ σφοδροῦ τε καὶ ἀμυδροῦ, πλήρους καὶ κενοῦ, σκληροῦ καὶ μαλακοῦ σφυγμοῦ, ἡ τοῦ Ἀρχιγένους καὶ τῶν ἄλλων πνευματικῶν ἐξελέγχεται πραγματεία.

ARGVMENTVM LIBRI TERTII.

Exemplo vehementis pulsus & languidi, pleni & vacui, duri item & mollis, Archigenis & reliquorum Pneumaticorum tractatio redarguitur.

CAPVT PRIMVM.

Inutilem esse Archigenis de nominibus contentionem, ipsúmque aberrasse in vehementiæ pulsuum definitione.

Controversia nobis de rebus, cuipiam necessaria fortasse videatur esse, alij iusta esse, alicui etiam condonanda. Nam vt ait Poëta Tragicus,

Anceps foret contentio haud mortalibus
Esset si idem bonum atque sapiens omnibus.

ΚΕΦΑΛΑΙΟΝ Α'.

D Περιττὴν εἶναι τὴν τοῦ Ἀρχιγένους περὶ τῶν ὀνομάτων ἔριδα, καὶ τὸν αὐτὸν σφαλῆναι περὶ ὁρισμὸν τῆς σφοδρότητος τοῦ σφυγμοῦ.

ΤΟ μὲν δὴ περὶ τῶν πραγμάτων ἡμᾶς διαφέρεσθαι, τὸ μὲν ἴσως ἀναγκαῖον εἶναι δόξει, τὸ δ' εὔλογον, τὸ δέ τινι καὶ συγγνώμης ἄξιον. κατὰ μὲν γὰρ τὸν τραγικὸν ποιητὴν,

Εἰ πᾶσι ταὐτὸ καλὸν ἔφυ, σοφόν θ' ἅμα.
Οὐκ ἦν ἂν ἀμφίλεκτος ἀνθρώποις ἔρις.

νυνὶ δὲ οὐδὲ δοκεῖ πᾶσι ταὐτὸν, οὔτε καλὸν, οὔτε σοφὸν, οὔτε ἀληθὲς εἶναι, ἀναγκαῖον, οἶμαι, διαφέρεσθαι. κατὰ δὲ τὸν φιλόσοφον τὸν εἰπόντα. ἢν γὰρ καὶ τὰ μέγιστα τύχῃ τετελεσμένα, εἰπὼν αὐτὸς, ὅμως οὐκ οἶδε, δοκὸς δ' ἐπὶ πᾶσι τέτυκται. διὰ τὸ δοκεῖν τοῦτον εὔλογον διαφέρεσθαι. κατὰ δὲ τοὺς ἡγουμένους εἶναι βεβαίως τε καὶ ἀραρότως γνωστὸν, ἀλλὰ χαλεπὸν εὑρεθῆναι τοῖς πολλοῖς, συγγνωστὸς ὁ μὴ τυγχάνων αὐτοῦ, τὸ δὲ καὶ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, καὶ μηδὲ μετρίως τοῦτο, μηδ' ὡς ἔτυχε, ποιεῖν, ἀλλὰ βίβλους ὅλους μεγίστας ἀναπιμπλάναι τῆς περὶ ταῦτα τερθρείας, οὔτ' ἀναγκαῖον, οὔτ' εὔλογον, οὔτε συγγνώμης ἄξιον, ἐμοὶ γοῦν, εἶναι δοκεῖ. τοσαύτης γὰρ οὔσης τῆς ἐν τοῖς πράγμασιν ἀσαφείας, ὥστε εἰ καὶ τριπλασίονα βίον ζήσαιμεν, οὗ νῦν ζῶμεν; οὐδὲ τότ' ἂν ἴσως ἁπάντων ἡμῖν ἀκριβῶς γνωσθέντων, καὶ διὰ τοῦτ' εἰπόντος Ἱπποκράτους, ὁ βίος βραχὺς, ἡ δὲ τέχνη μακρὴ, πῶς οὐκ ἄτοπος ὁ περὶ τὰ μηδὲν προσήκοντα τρίβων τὸν χρόνον; ὥσπερ οὕτω πολὺν ἔχων, ὥστε καὶ τοῦτ' ἐκ περιττοῦ μανθάνειν, καὶ τἀναγκαῖα κατὰ σχολὴν ζητεῖν, ἆρ' οὖν οὐ τοῦτο δρῶσιν οἱ τὰ τοιαῦτα γράφοντες, οἷάπερ καὶ ὁ Ἀρχιγένης ἐν τῷ περὶ σφοδροῦ σφυγμοῦ λόγῳ. ἔστι δὲ ἡ ῥῆσις μακρὰ, καὶ πᾶσαν παραγράφειν ἐνταῦθα αὐτὴν, ἄτοπον, ἀλλ' ὅμως ὁ βουλόμενος, ἐκ τοῦ περὶ τῶν σφυγμῶν συγγράμματος ἀναγινωσκέτω. τέταρτον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς κεφάλαιον. ἄρχεται δ' αὐτοῦ τοῦτον τὸν τρόπον. τὴν σφοδρότητα τοῦ σφυγμοῦ οὐκ εἶναι ἁπλῶν ποιοτήτων φησὶ Μάγνος. ὡς οὖν ἀνεγνωκότι σοι τοῦτον ἅπαντα τὸν λόγον, τὸν περὶ τῆς σφοδρότητος, ἤδη πειράσομαι λέγειν ἃ γινώσκω. θαυμάζω γὰρ οὐ τοῦτο μόνον ὅτι περὶ ὀνόματος ἐρίζει. τοῦτο μὲν γὰρ τὸ ἁμάρτημα, σχεδὸν ἤδη τοῖς πλείστοις, οὐκ ἰατροῖς μόνον, ἀλλὰ καὶ φιλοσόφοις συνήθες, ἀλλ' ὅτι μηδ' αὐτὸ τοῦτ' αἰσθάνεται, ὅτι περὶ ὀνομάτων ἐρίζει, καὶ διὰ τοῦτο, οἶμαι, νομίζων περὶ πράγματος διαλέγεσθαι, μακροὺς ἀποτείνει λόγους. οἳ, πρὸς τοῖς ἄλλοις ἀτόποις, ἔτι καὶ ἀσαφῶς κειμένοις, βίβλου τινὸς ἑτέρας ἐξηγουμένης αὐτοὺς οὐ μικρᾶς δέονται, ἵν' ἀεὶ κατατριβώμεθα δηλαδὴ περὶ ὄνου σκιᾶς ἀμφισβητοῦντες, μηδὲ τοσοῦτον ἄρα πρὸς τῆς διαλεκτικῆς ὠφεληθέντες, ὡς γνωρίζειν δύνασθαι, τίς μὲν ὑπὲρ ὀνόματός ἐστι, τίς δὲ ὑπὲρ αὐτοῦ ζήτησις τοῦ πράγματος. ὄντος γάρ τινος σφυγμοῦ βιαίου κατὰ τὴν προσβολὴν, ὡς ὠθεῖν τε καὶ ἀνατρέπειν τὴν ἁφὴν, τὸ μὲν ὅπως ἄν τις αὐτὸν ἀκριβῶς διαγινώσκοι ζητεῖν, καὶ προσέτι τὰς αἰτίας ὑφ' ὧν γίνεται, καὶ τί δηλοῦν πέφυκεν ὁ τοιοῦτος σφυγμὸς, περὶ πράγματός ἐστι σκοπεῖσθαι. τὸ δέ τί κλητέον αὐτὸν, ὑπὲρ ὀνόματος. ἵν' οὖν σαφῶς ἐπιγνῶμεν, ὅτι τὸ μὲν ὑπὲρ ὀνομάτων ἐστί. τὸ μηδὲν ζητεῖν, τὸ δ' ὑπὲρ αὐτῶν τῶν πραγμάτων σκοπεῖσθαι, τὰς τέχνας αὔξει, καλέσωμεν τὸν προειρημένον σφυγμὸν Δίωνα. κἄπειτα λέγωμεν, ὅπως μὲν ἀκριβῶς διαγινώσκεται, τουτέστιν ὅτι θλιβόντων τὴν ἀρτηρίαν, οὐκ ἐπιπολῆς ψαυόντων, ἔπειτα, ὅτι γίνεται τῇ ῥώμῃ τῆς ζωτικῆς δυνάμεως, ὡς ἐν τοῖς περὶ σφυγμῶν αἰτίαις ἐνδείκνυμεν. εἶθ' ὅτι σημεῖόν ἐστιν ἐν νόσοις ἀγαθὸν, καὶ ἄλλα τέ τινα, καὶ κρίσεις οἵας πέφυκε δηλοῦν. εἰς τέτταρα γάρ τοι μέρη νενεμημένης ἁπάσης τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας, εἴς τε τὸ περὶ τῆς διαφορᾶς αὐτῶν, καὶ τὸ περὶ διαγνώσεως, καὶ τὸ περὶ τῶν αἰτίων, καὶ τέταρτον, τὸ περὶ τῆς δι' αὐτῶν προγνώσεως, οὐδὲν αὐτῶν παραβλάπτεται, καλεσάντων ἡμῶν τὸν ἰσχυρῶς πλήττοντα σφυγμὸν, Δίωνα. καὶ γὰρ ὅπῃ τῶν ἄλλων διαφέρει μεμαθήκαμεν. ἄν τε Θέων, ἄν τε Δίων, ἄν τ' ἄλλο τι καλῆται, καὶ ὅπως

Nunc quia non videtur omnibus idem neque honestum, neque sapiens esse, neque etiam verum, necessarium puto dissentire. Vt verò philosophus dixit, *Etenim si vel maxima sint*, inquit, *definita, non tamen scio, sed est in omnibus opinio*; ex opinione hac par est nasci dissidium. Vt autem sentiunt illi qui scientiam firmam esse & congruentem ducunt, sed non facilè inueniri; qui eam non assequitur, huic est habenda venia. At de nominibus pugnare, nec vllum hîc modum facere, & multum laborare, solidósque implere libros maximos hisce præstigiis, nec necesse esse, nec par, nec venia dignum mihi videtur. Nam rerum quum sit ea obscuritas, vt si vel in triplum hæc vita nostra prorogetur, ne tunc quidem exactè nos omnia cognoscamus, & hac adductus re dixerit Hippocrates, *Vita breuis, ars longa*: quomodo qui in his quæ abs re sunt, tempus suum ponit, non absurdus videatur? quasi verò tantum ei superesset temporis, vt & hunc ei liceat cumulum addiscere, & necessaria per otium indagare. Quid? hoc nonne faciunt qui eiuscemodi conscribunt, vt Archigenes in libro de vehemente pulsu? Est verò prolixa eius oratio, nec conuenit omnem hîc adscribere; nihilominus qui eam requirit, ex opere de pulsibus legat. Nam quartum est à principio caput, quod orditur in hunc modum. Vehementiam pulsus non esse simplicem qualitatem confirmat Magnus. Proinde, quasi hoc de vehementia caput legeris, quæ sentio, aggrediar dicere. Miror enim non hoc modo quòd de nomine certet; nam hoc quidem delictum plerisque propè non medicis tantùm, sed philosophis iam solenne est; verùm quòd ne id ipsum quidem percipiat, sibi de nominibus esse litem. Quapropter quum arbitretur, puto, de re disputare, extendit orationem, quæ præter alia absurda, etiam scripta obscurè, librum alium quærit; neque eum paruum, qui ipsam exponat; vt perpetuò hæreamus scilicet de asini vmbra ambigentes, neque tantum in dialectica nobis sit profectum, vt quæ de nominibus quæ de ipsa sit re quæstio, perspiciamus. Siquidem vbi pulsus aliquis sit violento occursu, vt impellat tactum & euertat, si qua ipsum ratione dignoscas quæris, & præterea causas, à quibus proficiscitur, & quid denunciare is pulsus solet, de re tum commentaris; sin autem, quo sit appellandus nomine, de nomine. Quò igitur intelligamus, de nominibus laborare, operam esse ludere: ipsas verò res considerare, artes augere; vocemus illum pulsum Dionem. Inde dicamus, quemadmodum exactè dignoscatur, hoc est, si comprimamus arteriam, non leuiter attingamus; deinde robore fieri vitalis facultatis, vt in commentariis docemus de causis pulsuum; postea signum in morbis salubre esse, & alia quædam; etiam quas iudicationes solet promittere. Nam quando in quatuor partes sit omnis distributa de pulsibus commentatio; in partem de differentiis eorum, de cognoscendis iis, de causis, & quartam de præsagitione per eos; vt pulsum valenter pulsantem, appellemus Dionem, illorum nihil labefactatur. Siquidem, quatenus ab aliis distat, perspeximus, siue Theon, siue Dion, siue quid aliud vocetur; & quomodo dignoscitur,

dignoscitur, & à qua gignitur causa, ac quid significat. Disputet iam licet de ipso in Magnum Archigenes, contaminantem & eum fortasse consuetudinem Græcorum in nomine, at tantùm certè intelligentem, controuersiam ferè cum veteribus sibi de nomine esse. Nam quæ sunt Magni verba? *Debent igitur magnitudinem pulsus insignem habere, & plenitudinem, velociterque digitis occurrere, si propriè voca e vehementem pulsum velis.* Probè igitur hoc nouit Magnus, non sibi de re, sed de proprio, vel non proprio nomine concertationem cum medicis esse. Apertius hoc etiam inferius declarat; nam Demetrium vult, cui libros hos de inuentis post Themisonis tempora dicauit, simul etiam hoc considerare; nempe qui quum philosophus etiam esset, & quod proprium nomen esset, & quod secus, exactius teneret. Atque eius hæc sunt verba; nihil enim causæ est quin ipsa verba adscribamus Magni. *Qua ratione ergo rectè in simplicibus differentiis hunc statuit, tu mihi expedi; nam ad te pertinet magis proprietatem verborum iudicare, & ex nominibus conijcere significatorum substantiam.* Postea clarius etiam facit hisce verbis. *Equidem de mea sententia hactenus non discedo. Tantum dico vehementiæ nomen significare non simplicem differentiam pulsuum, sed moderatum ex magnitudine, & celeritate, atque plenitudine.* Proinde hoc etiam loco se disceptare fatetur de hoc, quid scilicet hoc nomen, vehementia, significet. Ac omninò si quis totam velit disputationem colligere (scripta enim est in tertio inuentorum, post Themisonis tempora, libro) ipsum sentientem intelliget hanc esse de nomine quæstionem. Fortasse ergo cuipiam veniet in mentem innouationem mirari Magni. Quid enim transposuisse oportebat nominum significationes, siue rectè iis, siue secus prisci medici sint abusi? Nam meditationem indagare quæ ad artis opera interest; non solum Magno non est vertendum in vitium, sed nec cuiquam, qui facultatem eam habet, siue hodie sit is, siue à sexcentis annis nascetur. Verùm de nominibus pugnare, quibus tantarum rerum est proposita commentatio alienum est. Sed si hæc mireris ac reprehendas, facis tu quidem probè, cæterùm institutum te videtur istorum hominum fugere; nam omnibus qui Pneumatici vocantur, decreta Stoicorum placent. Proinde vt Chrysippus eos de nominibus contendere, quorum in philosophia vsus est, assuefecit, nec medicis ipsis nominibus hæc dubitant facere. Iam verò Zeno Citiensis prius etiam nouare sustinuit, & præterire Græcorum vsum in nominibus. Quare nihil habet admirationis, si eo deuenerunt contentionis de eis iuniores philosophi & medici. Sed quid habes quod de iis mireris, nisi quòd ne de nominibus se quidem animaduertunt digladiari? Quemadmodum nec Archigenes, alioqui prudens, noluit (quum hoc ipsum ostendisset in nomine vehementiæ Magnum innouationem facere) tum accedere denique ad vtiliora; sed sursum atque deorsum id loci versatur, quum in aliis offendens, tum quòd ipsa verba non semper Magni profert; quæ quum sunt iis quæ scripsit ipse, multò clariora immutat. Iam verò aliud maius crimen hac de nominibus curiositate committunt,

A διαγνωσθήσεται, καὶ ὑπὸ τίνος αἰτίας γίνεται, καὶ τί δηλοῖ. φιλονεικείτω δὴ λοιπὸν ὑπὲρ αὐτοῦ πρὸς Μάγνον Ἀρχιγένης, τάχα μὲν παρανομοῦντα καὶ αὐτὸν εἰς τὸ τῶν Ἑλλήνων ἔθος, τὸ περὶ τὰς προσηγορίας, ὅμως δὲ συνιέντα τό γε τοσοῦτον, ὡς τὸ πλεῖστον αὐτῷ τῆς πρὸς τοὺς πρεσβυτέρους ἀμφισβητήσεως ὑπὲρ ὀνόματός ἐστι. τί γὰρ δὴ καί φησιν ὁ Μάγνος αὐτῇ λέξει; χρὴ τοίνυν καὶ μέγεθος ἀξιόλογον εἶναι τοῖς σφυγμοῖς, καὶ πληρότητα, καὶ μετὰ τάχους προσπίπτειν τοῖς δακτύλοις, εἰ μέλλει τις κυριολογεῖν σφοδρὸν σφυγμὸν ὀνομάζων. οἶδεν οὖν σαφῶς ὁ Μάγνος ὅτι μὴ περὶ πράγματος, ἀλλὰ τοῦ κυρίως ὀνομάζειν, ἢ μὴ κυρίως, B πρὸς τοὺς ἄλλους ἰατροὺς ἀμφισβητεῖ. σαφέστατον δ' ἔτι ποιεῖ τοῦτο, διὰ τῶν ἐφεξῆς. ἀξιοῖ γὰρ τὸν Δημήτριον, ᾧ ταῦτα τὰ βιβλία τὰ περὶ τῶν ἐφευρημένων μετὰ τοὺς Θεμίσωνος χρόνους ἀνέθηκε, συνεπισκέψασθαι καὶ αὐτόν, ὡς ἂν φιλόσοφόν τε ὄντα, καὶ τί τὸ κύριον ὄνομα, καὶ τί τὸ μὴ τοιοῦτον, ἀκριβέστερον εἰδότα. λέγει δ' οὕτως, οὐδὲν γὰρ χεῖρον κἀνταῦθα παραγράψαι τὴν ῥῆσιν αὐτὴν τοῦ Μάγνου. πῶς οὖν τοῦτον καλῶς ἐν ταῖς ἁπλαῖς διαφοραῖς κατέταξαν, σύ μοι διαίτησον. σοὶ γὰρ ἐπιβάλλει μᾶλλον τὰς κυριολογίας κρίνειν, καὶ ἀπὸ τῶν ὀνομάτων τεκμήρασθαι τὴν ὑπόστασιν τῶν σημαινομένων. εἶθ' ἑξῆς C μᾶλλον σαφέστερον ποιεῖ, λέγων ὧδε. ἐγὼ δ' οὐκ ἀλλάττω τὴν ἐμαυτοῦ γνώμην μέχρι τοῦδε. φημὶ δέ, τὸ τῆς σφοδρότητος ὄνομα, σημαίνειν οὐχ ἁπλῆν διαφορὰν σφυγμῶν· σύμμετρον δὲ ἐκ μεγέθους καὶ τάχους, καὶ πληρότητος. οὐκοῦν κἀνταῦθα περὶ τοῦ τί σημαίνει τὸ ὄνομα τὸ τῆς σφοδρότητος, ἀμφισβητεῖν ὁμολογεῖ. καὶ ὅλως εἴ τις βούλεται τὸν πάντα λόγον ἀναλέξασθαι, γέγραπται δὲ ἐν τῷ τρίτῳ τῶν ἐφευρημένων μετὰ τοὺς Θεμίσωνος χρόνους, εὑρήσει αὐτὸν αἰσθανόμενον, ὅτι περὶ ὀνόματος ἡ ζήτησίς ἐστι. τάχ' οὖν τινι θαυμάζειν ἔπεισι, τῆς καινοτομίας τοῦ Μάγνου. τί γὰρ ἔδει μετατιθέναι τὰ σημαινόμενα D τῶν ὀνομάτων, εἴτε ὀρθῶς, εἴτε οὐκ ὀρθῶς οἱ πρόσθεν ἰατροὶ κατεχρήσαντο αὐτοῖς; θεωρίαν μὲν γάρ τινα ἐξευρίσκειν εἰς τὰ τῆς τέχνης ἔργα διαφέρουσαν, ἀνεμέσητον οὐ Μάγνῳ μόνον, ἀλλὰ καὶ παντὶ τῷ δυναμένῳ, κἂν τήμερον τις ᾖ τοιοῦτος, κἂν μετὰ μυριάδας ἐτῶν παμπόλλας γένηται. τὸ δ' ὑπὲρ ὀνομάτων ἐρίζειν οἷς τοσούτων πέρι ἡ σκέψις, οὐκ ὀρθόν. ἀλλ' εἴ τις ταῦτα θαυμάζει τε καὶ μέμφεται, καλῶς μὲν ἴσως ποιεῖ, δοκεῖ δὲ ἀγνοεῖν τὴν προαίρεσιν τῶν ἀνδρῶν. ἀρέσκονται γὰρ οὗτοι πάντες οἱ Πνευματικοὶ καλούμενοι, τοῖς ἀπὸ τῆς στοᾶς δόγμασιν. ὥστ' ἐπεὶ Χρύσιππος αὐτοὺς εἴ- E θισεν ἀμφισβητεῖν περὶ τῶν κατὰ τὴν φιλοσοφίαν ὀνομάτων, οὐδ' αὐτοὶ περὶ τῶν κατὰ τὴν ἰατρικὴν ταῦτα ποιεῖν ὀκνοῦσι. καὶ Ζήνων δὲ ὁ Κιτιεὺς, ἔτι πρότερον ἐτόλμησε καινοτομεῖν τε καὶ ὑπερβαίνειν τὸ τῶν Ἑλλήνων ἔθος ἐν τοῖς ὀνόμασιν. οὐκοῦν ἔτι θαυμαστὸν οὐδὲν, εἰς τοσοῦτον ἐκπεπτωκέναι, τῆς ἐν αὐτοῖς φιλονεικίας τοὺς νεωτέρους ἰατρούς τε καὶ φιλοσόφους. ἀλλὰ τί θαυμάζειν αὐτῶν ἄξιον, εἰ μηδ' ὅτι περὶ ὀνόματος ἐρίζουσι συνιᾶσιν. ὥσπερ οὖν οὐδ' ὁ Ἀρχιγένης, καὶ τἆλλα συνετὸς ὤν, οὐκ ἠξίωσεν αὐτὸ τοῦτο, ἐπισημηνάμενος, ὅτι καινοτομεῖ περὶ τοὔνομα τῆς σφοδρότητος F ὁ Μάγνος, οὕτω προελθεῖν ἐπὶ τῶν χρησιμωτέρων, ἀλλ' ἄνω καὶ κάτω στρέφεται κατὰ τὸν τόπον, τά τ' ἄλλα διαμαρτάνων, καὶ ὅτι μηδ' αὐτὴν τὴν ῥῆσιν ἑκάστοτε τοῦ Μάγνου παρατίθεται, πολὺ σαφεστέραν οὖσαν ὧν αὐτὸς γράφει, μεταλαμβάνων. ἄλλο δέ τι μεῖζον ἁμάρτημα τῆς ἐν τοῖς ὀνόμασι μικρολογίας, ἁμαρτάνουσι σχεδὸν ἅπαντες,

οἱ μεθ' Ἡρόφιλον περὶ τῶν σφυγμῶν γεγραφότες. δέον γάρ, ὡς ὀλίγῳ πρόσθεν ἡμεῖς διειλόμεθα, καὶ αὐτοὺς οὕτω διελομένους, ἰδίᾳ μὲν περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν, ἰδίᾳ δὲ περὶ τῆς διαγνώσεως αὐτῶν, ἰδίᾳ δ' ἔτι περὶ τῶν ἐν αὐτοῖς αἰτίων, κᾄπειθ' ἑξῆς ἰδίᾳ περὶ τῆς δι' αὐτῶν προγνώσεως διδάσκειν, οὐκ οἶδ' ὅπως ἅπαντ' ὁμοῦ συγχέουσί τε καὶ ταράττουσι· τὰ μὲν παραλιπόντες ὅλως, τῶν δ' ἐπὶ σμικρὸν κομιδῆ μνημονεύοντες, τὰ δ' ἀχρήστως τε, καὶ περιττῶς ἀπομηκύνοντες· τὰ δ' ἀλόγως εἰς ταὐτὸ συναγαγόντες, ὥσπερ ἓν ὄντα, καίτοι πάμπολυ διαφέροντα. κατὰ γοῦν ὅτι μὴ τύχῃ αὐτὸν λόγον τὸν περὶ τῆς σφοδρότητος, ὁ Ἀρχιγένης, ὅταν μὲν γράφῃ ὡς ἐκ τοῦ καθ' ἕνα χωρισμοῦ φανερὰ γίγνεται καθ' αὑτὴν ἡ σφοδρότης οὖσα, ὁ τόνος ὡς εἶπον τῆς τῶν ἀρτηριῶν κινήσεως, τὸ τῆς σφοδρότητος αἴτιον εἰπών, αὐτὴν οἴεται δεδηλωκέναι τὴν σφοδρότητα. Εἰ γὰρ δὴ τοῦτ' ἔστι, ὦ Ἀρχίγενες, ἡ σφοδρότης, ἀπόκριναι τὴν αἰτίαν ἡμῖν αὐτῆς. ἀλλ' οὐχ ἕξεις. ἢ πάλιν ταὐτὸν ἀναγκασθήσῃ λέγειν τὸν τόνον. καὶ ἔσται σοι ὁ τόνος τῆς τῶν ἀρτηριῶν κινήσεως, ἅμα μὲν αἰτία τῆς σφοδρότητος, ἅμα δὲ ἡ σφοδρότης αὐτή. πολλῷ τοίνυν ἄμεινον οἱ πρὸ Ἀρχιγένους περὶ σφυγμῶν γράψαντες, οἱ μὲν τὸ ἀντιβατικόν, οἱ δὲ τὸ βίαιον, οἱ δὲ τὸ ἰσχυρόν, οἱ δὲ τὸ ἀνατρεπτικὸν τῆς προσβολῆς τῶν ἀρτηριῶν, ἐκάλεσαν σφοδρότητα. καὶ τοῦτο καὶ αὐτὸς ὁ Ἀρχιγένης ἐπίσταται. τί γοῦν φησί; δοκεῖ δέ τισιν ἐν τῇ τῆς ἁφῆς πληγῇ κεῖσθαι, καθ' ὃ καὶ πληγὴν ἀπ' ἀρτηρίας φασὶν αὐτὴν τινές. εἶτ' οὐκ οἶδ' ὅπως, οἴεται διαβάλλειν αὐτῶν τὴν δόξαν, ὧδέ πως γράφων. φαίνεται δὲ καθ' ὅλην τὴν διαστολήν, τὸ στεγανὸν τῆς ὁρμῆς, καθ' ὃ καὶ εἰ προσαπέσαιμεν τοὺς δακτύλους, στερεωτέρα ὑποπίπτει ἡ πληγή, οὐ κατὰ τὸ πέρας τῆς διαστολῆς, ἀλλὰ κατωτέρω ποτὲ γινομένη. ἡ μὲν λέξις αὕτη. πάρεστι δὲ ἐπισκέψασθαι, ὡς οὐδὲν ἡ ἀντιλογία περαίνει. τί γὰρ πρὸς ἔπος, εἰ καὶ πρὸ τοῦ πέρατος τῆς διαστολῆς, ἡ τῆς πληγῆς ποιότης δήλη γίγνεται, τὸ μὴ οὐκ εἶναι πληγὴν ἀπ' ἀρτηρίας, τὴν σφοδρότητα. Εἰ μὲν γὰρ τοῦτ' ἔλεγον οἱ πρὸ Ἀρχιγένους, ὡς ἐστὶν ἡ σφοδρότης ἀντιβατικὴ πληγὴ κατὰ τὸ πέρας τῆς διαστολῆς γινομένη, καλῶς ἀντέλεγεν αὐτοῖς ὑπομιμνήσκων ὅτι καὶ πρὸ τοῦ πέρατος ἤδη φαίνεται τὸ βίαιον τῆς προσβολῆς, ἐπεὶ δὲ ἁπλῶς ἔφασαν ἀντιβατικὴν εἶναι πληγὴν τὴν σφοδρότητα, τὸ δεικνύειν, ὅτι, καὶ πρὸ τοῦ πέρατος τῆς διαστολῆς ἤδη φαίνεται τοιαύτη, μάταιον.

μὴ

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τὸν Ἀρχιγένην οὐκ ἐγνωκέναι τὸν σφοδρὸν σφυγμόν, καὶ τὸν αὐτὸν σὺν αἰτίᾳ ὑφ' ἧς γίνεται συγχεῖσθαι.

τί φησιν ἡρόφιλος, ἀθηναῖος, ἀσκληπιάδης περὶ σφοδροῦ σφυγμοῦ.

ΑΛΛ' ἔστω τοῦθ' ὅπερ ὁ Ἀρχιγένης βούλεται, τόνος μέν τις ἡ σφοδρότης, τὸ δ' ἰσχυρὸν τῆς πληγῆς, οὐκ εἶναι σφοδρότης. ἐρωτήσωμεν αὐτόν, τίς αἰτία σφοδρότητος σφυγμῶν; οὐ γὰρ δή που ταὐτόν ἐστι, σφοδρότης τε καὶ σφοδρότητος αἰτία. τὸ μὲν γὰρ φαίνεται, καὶ πᾶς ἰατρὸς ζητεῖ ἐπὶ νοσοῦντος. ὅ γε μὴν πάντων ἀγύμναστος, αὐτίκα γνωρίζει, τὸν σφυγμὸν ἢ σφοδρὸν εἶναι· οὐ μὴν ἥ γε αἰτία φαίνεται. καὶ διὰ τοῦτο, οὐδὲν ὑπὲρ αὐτῆς ὡμολόγηται. Ἡρόφιλος μὲν γάρ φησι ῥώμην τῆς κατὰ τῆς ἀρτηρίας ζωτικῆς δυνάμεως αἰτίαν εἶναι σφοδροῦ σφυγμοῦ. Ἀθήναιος δέ, τοῦ ζωτικοῦ τόνου τὴν ἰσχύν. Ἀσκληπιάδης δὲ ἀμφοῖν καταγελάσεται. καὶ τόνους, καὶ δυνάμεις, καὶ πάντα τὰ τοιαῦτα, κενὰ φάσκων ὑπάρχειν ὀνόματα. τὴν δ' αἰτίαν τῆς σφοδρότητος, εἰς πλῆθος, καὶ λεπτότητα πνεύματος ἀνάγει, καθάπερ οἶμαι καὶ Ἐρασίστρατος. οὐδὲ γὰρ οὗτος τοῖς χιτῶσιν αὐτοῖς τῶν ἀρτηριῶν μεταδίδωσι τῆς ψυχικῆς δυνάμεως, ἀλλὰ

qui post Herophilum de pulsibus scripserunt, propè omnes. Nam quum debuissent, vti paulò ante nos diuisimus, & ipsi item diuidentes, seorsim de pulsuum differentijs, seorsim do dignoscendis ijs, separatim etiam de eorum causis, separatim iam de præsagitione per eos, docere; omnia simul nescio quomodo confundunt, atque conturbant; ac partem eorum semel omiserunt, partem leuiter attigerunt; nonnulla abs re, & præter modum extenderunt; alia temerè coëgerunt, vt si vnum sint, in vnum, quum multum intersit inter illa. Atque hoc ipso in capite de vehementia Archigenes, vbi scribit, si per se æstimetur, manifestè apparere sua sponte vehementiam contentionem esse, vt dixi, arteriarum motus; quum causam explicauit vehementiæ, ipsam putat se aperuisse vehementiam. Nam quidem, si hoc, Archigenes, est vehementia, da mihi eius causam. At non poteris, aut eandem iterũ dicere cogeris contentionem, eritque contentio tibi motus arteriarum simul, & causa vehementiæ, & ipsa vehementia. Ita multò scripserunt rectiùs qui antecesserunt Archigenem, de pulsibus; quorum aliqui renisum, alij violentiam, alij robur, nonnulli impulsum occursus arteriarum vocitarunt vehementiam. Nec hoc quidem ipsum latet Archigenem, nam quid ait? *Sunt quibus in tactus ictu videtur posita esse: vnde & ictum quidam arteriæ illam appellant.* Mox haud scio, quomodo putat illorum se sententiam premere, vbi sic scribit. *Apparet verò per totam distentionem firmitas impetus, ex qua si obijciamus digitos, etiam firmior occurrit ictus, qui non ad finem distentionis, sed etiam ante eum fit.* Hæc eius sunt verba. Iam attendendum est, nihil eum efficere contradicendo. Nam quid ad rem facit, si etiam ante finem distentionis qualitas ictus fiat manifesta, nequaquam ictum arteriæ esse vehementiam? Nam hoc si illi ante Archigenem dixissent, vehementiam esse renitentem ictum, qui in fine distentionis fit, rectè contradiceret, ac ipse subijceret iam ante finem etiam apparere occursus violentiam, sed quãdoquidem dixerunt absolutè, renitentem ictum esse vehementiam, stultum fit iam ante etiam finem distentionis animaduerti talem, demonstrare.

CAPVT II.

Ignorasse Archigenem vehementem pulsum, ac ipsum cum propria causa confudisse.

VErùm demus hoc quod contendit Archigenes, contentionẽ & robur quoddam esse vehementiã, sed vim ictus non esse vehementiã; rogemus eũ quæ sit causa vehementiæ pulsuum, neq; enim idem vehementia est, & vehementiæ causa. Nam illa quidem aperta est, & omnis medicus in ægroto quærit; ac verè, quantũlibet imperitus, statim pulsum cognoscit, vel vehementẽ, vel languidum esse; causa tamẽ non statim perspicitur. Vnde fit vt de ea nihil conueniat. Siquidem Herophilus vitalis facultatis robur arteriarũ affirmat causam vehementis pulsus esse; Atheneus vitalis contentionis vim; Asclepiades vtrumq; deridet, & contentiones, & virtutes, eáq; dicit omnia esse inania nomina; at causam vehementiæ ad copiam refert, & subtilitatẽ spiritus, quemadmodũ etiam (vt opinor) Erasistratus. Nam nec hic quicquã tunicis ipsis arteriarũ contentæ virtutis assignat: sed quum

quum spiritum valenter cor exprimat, huius per arterias transitu renisum ait in ictu gigni. Sed quò hæc afferimus? quum Magnus, qui se quoque esse Pneumaticæ sectæ fingit, aliter dicat ac Archigenes, ictus fieri vim; verùm ea dissensio non est huius loci. Tantùm referamus tamen ad rem præsentem, quòd robur ictus in tactus impulsu, repulsu, subuersioneque positum esse, omnibus est in professo; at à qua causa fiat, controuersum est. Ridiculum verò est, vbi disceptatur, quidnam sit quispiam pulsus, non hoc docere, sed à quo fiat tradere; nam quid sit, clarum oportet esse; à quo gignatur, ratione inuestigare. Planum est ergo, nec quid inter pulsum vehementem intersit, & causam quæ ipsum constituit, probè Archigenem tenere. Quapropter in contentione motus arteriarum, vehementiam statuit, quum hanc causam debuisset vehementiæ dicere esse, & illam in ictus qualitate positam esse, ac violentum quendam esse, & renitentem occursum. Nam quòd confundat res, nec quicquam distinctè doceat, ex illis quæ infert, cernas, quum pulsus instituisset definire. Nam quid ait? *Vehemens ergo pulsus est, qui maiorem contentionem habet motus, & stridulus est; languidus, qui remissam habet contentionem, & ictum non incitatum.* Neque enim dixit simpliciter, *vehemens ergo pulsus est qui maiorem contentionem habet motus*, sed addidit, *& stridulus est*; quod medius fidius non intelligo quid significet: nam poëticum est nomen stridor, non ciuile; neque etiam vulgare est, nec quid denotat, ostendit. Verùm grammaticis si habenda fides est, enarrantibus, quod est apud poëtam de Cyclope;

Ad montem cogit pingues stridore bidentes.

celeritatem motus stridor significat. At non hoc sanè Archigenes ipse voluit, quando in Magnum disputat; nisi oratorem agit; frequenter reprehendit quæ non intelligit. Sed mihi quidem non fit verisimile. Quid tandē igitur est, quod significare vult stridor, nisi celeritatem, num vim ictus? Atqui ita duorum rursus fecerit definitionem, causæ efficientis, & effectus; ac maior erit hæsitatio, vtrunque ne horum esse velit vehementem pulsum, tū contentionis magnitudinem, tum vim ictus; an simul ambo. Nam siue vtrunque, siue simul ambo, non rectè; quòd nequeat, vt ostensum est, causa eadem esse cum suo effectu. Sed enim quod dicit maiorem contentionem motus habere vehementem pulsum, obscurū est. Nam quid vel hîc dicat equidem non assequor: vtrum à maiore cōtentione, & robore vehementem pulsum fieri, an maiorem cōtentionem esse vehementē pulsum. Nam priore significatione, non quid sit vehemens pulsus, cæterùm à quo fiat, explicatum sit; altera rem obscuram, & cōtrouersam inter sectas docet. Vehemētem verò pulsum oportet, si quid aliud, esse de rebus sensibilibus. Atqui contentio nō est sensibilis, aut omninò apud omnes esset pro confesso; quando sunt, qui se à nomine contentionis quid significetur, quum intelligant pulsum vehementem sentiántque, planè affirment non assequi; quidam se intelligentia assequi id quod dicitur, fatentur, sed negant esse. Adeò non idem est, contentio motus, & vehemens pulsus; siquidem hic sensu percipitur, illa non modò sensus latet, sed ambigua est & prorsus obscura.

τῆς καρδίας ἰσχυρῶς ἐκθλιβούσης τὸ πνεῦμα, τῇ τούτου διὰ τῶν ἀρτηριῶν φορᾷ, τὸ ἀντιβατικὸν ἐν τῇ πληγῇ φησι γίνεσθαι. καί τι δεῖ τούτων μνημονεύειν; ὁ γάρ τοι Μάγνος, καὶ αὐτὸς ἀπὸ τῆς πνευματικῆς αἱρέσεως εἶναι προσποιούμενος, ἑτέρως τὸ ἰσχυρὸν τῆς πληγῆς γίνεσθαί φησι, ἢ ὡς Ἀρχιγένης. ἀλλὰ περὶ μὲν τῆς τοιαύτης διαφωνίας, οὐ νῦν ὁ καιρός. ἀπομεμνήσθω δ' οὖν εἰς τὰ παρόντα, τό γε τοσοῦτον, ὡς τὸ μὲν ἰσχυρὸν τῆς πληγῆς, ἐν τῷ τὴν ἁφὴν ὠθεῖν καὶ ἀντιβαίνειν, καὶ ἀνατρέπειν, κείμενον ἅπασιν ὡμολόγηται. τὸ δ', ὑπὸ τίνος αἰτίας γίγνεται, διαφωνεῖται. γελοῖον δ' ἐστὶν ἐν τῇ διαφωνίᾳ τοῦ, τί ποτ' ἐστὶν ὁ δέ τις ὁ σφυγμὸς, μὴ τοῦτο διδάσκειν, ἀλλ' ὑπὸ τίνος γίγνεται γράφειν. τὸ μὲν γὰρ τί ποτ' ἐστὶ, φαίνεσθαι δεῖ, τὸ δ' ὑπὸ τίνος γίγνεται λόγῳ φωρᾶσθαι. δῆλον οὖν ὡς οὐδ' ἔφη διῃρημένως ἔσχεν ὁ σφοδρὸς σφυγμὸς τῆς αἰτίας, ὑφ' ἧς γίγνεται, διηρθρωμένως ἐγίγνωσκεν ὁ Ἀρχιγένης. καὶ διὰ τοῦτο, ἐν τῷ τόνῳ τῆς κινήσεως τῶν ἀρτηριῶν, τὴν σφοδρότητα τίθεται, δέον, τοῦτο μὲν αἴτιον εἰπεῖν σφοδρότητος, αὐτὴν δὲ, κατὰ τὸ ποιὸν τῆς πληγῆς φάναι συνίστασθαι βίαιόν τινα οὖσαν, καὶ ἀντιβατικὴν προσβολήν. ὅτι δὲ συγκέχυται περὶ τὰ πράγματα, καὶ διηρθρωμένων οὐδὲν λέγει, δῆλον ἐξ ὧν ἐπιφέρει, προελόμενος ὁρίζεσθαι τοὺς σφυγμούς. τί γάρ φησι; σφοδρὸς μὲν οὖν σφυγμὸς, ὁ μείζονα τόνον ἔχων τῆς κινήσεως, καὶ ῥοιζώδης ὤν· ἀμυδρὸς δὲ, ὁ ἐκλελυμένον τὸν τόνον ἔχων, καὶ ἀσύστροφον τὴν πληγήν. οὐ γὰρ ἁπλῶς εἶπε· σφοδρὸς μὲν οὖν ἐστι σφυγμὸς, ὁ μείζονα τὸν τόνον ἔχων τῆς κινήσεως, ἀλλὰ προσέθηκε, καὶ ῥοιζώδης ὤν· ὅ, τι ποτ' αὐτῷ βούλεται, μὰ τοὺς θεοὺς, οὐκ ἀκριβῶς συνίημι. ποιητικὸν γὰρ τοὔνομά ἐστιν ὁ ῥοῖζος, οὐ πολιτικὸν, οὔτε συνεχῶς λεγόμενον οὐδὲν, οὐδὲ τί ποτε σημαίνει προδηλοῦν. ἀλλ' εἰ μέν τι χρὴ τοῖς γραμματικοῖς πιστεύειν ἐξηγουμένοις τὸ παρὰ τῷ ποιητῇ λεγόμενον ἐπὶ τοῦ Κύκλωπος·

Πολλῷ δὲ ῥοίζῳ πρὸς ὄρος τρέπε πίονα μῆλα,

τάχος κινήσεως ὁ ῥοῖζος δηλοῖ. οὐ μὴν ἐβούλετό γε τοῦτο Ἀρχιγένης αὐτὸς, ὁπότ' ἀντέλεγε τῷ Μάγνῳ, πλὴν εἰ παραπλήσιόν τι τοῖς ῥήτορσι ποιεῖ, κατηγορεῖ πολλάκις ὧν οὐκ ἔγνωκεν. ἀλλ' οὐκ οἴομαι ἔγωγε. τί ποτ' οὖν ἐστιν ὃ βούλεται δηλοῦν ὁ ῥοῖζος, εἰ μὴ τὸ τάχος; ἀλλ' ἆρά γε τὸ ἰσχυρὸν τῆς πληγῆς; ἀλλ' οὕτως πάλιν ἅμα δυοῖν ἔσται τὸν ὁρισμὸν πεποιημένος, αἰτίου τε τοῦ ποιοῦντος, καὶ γιγνομένου πρὸς αὐτοῦ, καὶ μείζων ἡ ἀπορία. πότερον ἑκάτερον αὐτῶν βούλεται τὸν σφοδρὸν εἶναι σφυγμὸν, τό, τε τοῦ τόνου μέγεθος, καὶ τὸ βίαιον τῆς πληγῆς, ἢ τὸ συναμφότερον, ἄν τε γὰρ ἑκάτερον, ἄν τε συναμφότερον, οὐ καλῶς. ὅτι μὴ δυνατὸν, ὡς ἐλέχθη, τὴν αἰτίαν, τῷ γιγνομένῳ πρὸς αὐτῆς, ταὐτὸν εἶναι. καὶ γὰρ δὴ τὸ φάναι, μείζονα τόνον ἔχειν τῆς κινήσεως τὸν σφοδρὸν σφυγμὸν, ἀσαφές. οὐδὲ γὰρ οὐδ' ἐνταῦθα συνίημι τί λέγει, πότερον ὑπὸ μείζονος τόνου γίγνεσθαι τὸν σφοδρὸν σφυγμὸν, ἢ τὸν μείζονα τόνον σφοδρὸν εἶναι σφυγμόν. κατὰ μὲν γὰρ τὸ πρότερον τῶν σημαινομένων, οὐ τί ποτ' ἐστὶν ὁ σφοδρὸς σφυγμὸς, ἀλλ' ὑπὸ τίνος γίνεται, δεδηλωμένον ἂν εἴη· κατὰ δὲ τὸ δεύτερον, ἀδήλου τε καὶ ἀμφισβητουμένου κατὰ τὰς αἱρέσεις ἡ διδασκαλία. χρὴ δ' εἴπερ τι καὶ ἄλλο, καὶ τὸν σφοδρὸν σφυγμὸν, ἕν τι τῶν αἰσθητῶν εἶναι πραγμάτων. ἀλλ' ὁ τόνος οὐκ αἰσθητὸς, ἢ πάντως ἂν ἅπασιν ὡμολόγητο. τινὲς μὲν γὰρ, οὐδὲ συνιέναι φασὶν ὅλως, τί ποτε σημαίνεται πρὸς τοῦ τόνου ὀνόματος, καί τοι συνιέντες τε, καὶ αἰσθανόμενοι σφοδροῦ σφυγμοῦ. τινὲς μὲν ὁμολογοῦσι τὸ λεγόμενον, ὑπάρχειν δ' οὐ συγχωροῦσιν. οὕτως οὐ ταὐτόν ἐστι τόνος κινήσεως, καὶ σφοδρὸς σφυγμὸς, εἴγε τὸ μὲν αὐτῶν αἰσθήσει φαίνεται, τὸ δὲ οὐ μόνον ἄδηλον ταῖς αἰσθήσεσιν, ἀλλὰ καὶ διαμφισβητούμενον, καὶ ἀσαφὲς ὅλως ἐστίν.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Κατὰ τὸν ἀμυδρὸν σφυγμὸν σφαλῆναι τὸν Ἀρχιγένη, καὶ ὡς ἐκ περιττοῦ βαρέος σφυγμοῦ μνημονεύειν.

ΑΡʼ οὖν ἡ μὲν τοῦ σφοδροῦ σφυγμοῦ διδασκαλία, καὶ ἀσαφὴς, καὶ ψευδὴς κατὰ πάντα τὰ σημαινόμενα, σαφεστέρα δὲ καὶ ἀληθεστέρα ἡ τοῦ ἐναντίου αὐτοῦ τοῦ ἀμυδροῦ; τάχα γὰρ ἐκ τῆς ἀντιθέσεως, συνιέναι τινὸς τῶν ἐν τῷ προτέρῳ λόγῳ δυνησόμεθα. τί δή φησιν. ἀμυδρὸς δὲ, ὁ ἐκλελυμένον τόνον ἔχων, καὶ ἀσύστροφον τὴν πληγήν. ἐνταῦθα δὴ φανερῶς τῷ μὲν μεγάλῳ τόνῳ τὸν ἐκλελυμένον ἀντέθηκε, δέον οὐ τοῦτον, ἀλλὰ τὸν μικρὸν ἀντιθεῖναι. ἢ κακῶς ἐν τῷ σφοδρῷ, τὸν μέγαν εἶπε, τῷ δὲ ῥοιζώδει, ἀσύστροφον τῆς πληγῆς. εἰ μὲν οὖν ἐνόουν τί ποτʼ ἐστὶν τὸ ἀσύστροφον, ἴσως ἂν συνῆκα τοῦ ῥοιζώδους. νυνὶ δʼ, αὐτὸ τοῦτο πάλιν ἀσαφέστερόν ἐστι πολλῷ, τοῦ ῥοιζώδους. ὥστʼ οὐδέτερον αὐτῶν ἐξηγητικὸν γίγνεται θατέρου. πότερον γὰρ τὸ βραδὺ νομίσομεν λέγειν αὐτὸν ἀσύστροφον, ἢ τὸ ἄρρωστον, ἢ τὸ μαλακὸν, ἢ τὸ εὐανάτρεπτον, ἢ τὸ διαλελυμένον, οὐκ ἔχω συμβαλεῖν. ἓν δὲ μόνον ἐν τούτῳ τῷ τρόπῳ, πλέον μοι νομίζω γεγονέναι, τὸ, καὶ τὴν ποιότητα τῆς πληγῆς, αὐτὸν εἰς τὴν ἔννοιαν τῆς σφοδρότητος παραλαμβάνειν, καί τοι κατʼ ἀρχὰς, ὁπότʼ ἀντέλεγε τῷ Μάγνῳ, μόνον τόνον εἰπόντι τῆς τῶν ἀρτηριῶν κινήσεως. ἀλλὰ νῦν καὶ ἀσύστροφον ἔφη τὴν πληγήν· καὶ μὴν ἀντεῖπεν ὀλίγῳ πρόσθεν τοῖς ἐν τῇ τῆς ἁφῆς πληγῇ κεῖσθαι νομίζουσιν αὐτόν. ἐμοὶ μὲν δὴ καὶ ταῦτα πάντη τεταραγμένου καὶ μηδὲν ἀκριβὲς ἔχοντος εἰπεῖν, εἶναι δοκεῖ. σοὶ δʼ εἴπερ μὴ ταῦτα, τά γʼ οὖν ἐφεξῆς αὐτῶν, οἶδʼ ὅτι λῆρος εἶναι δόξει μακρὸς, ἄν γε μὴ σοφιστής τις ἦς καὶ αὐτὸς, ἀλλὰ τῶν τῆς ἰατρικῆς ἔργων ἐραστής. ἡ μὲν οὖν ῥῆσις αὐτὴ τοῦ Ἀρχιγένους, τόνδε τὸν τρόπον ἔχει. ἔστι δὲ, κατὰ τὴν σφοδρότητα, τοιαύταις καὶ ἄλλαις ἐντυγχάνειν διαφοραῖς, ἐν αἷς ἐκλελυμένη ἐμπίπτει ἡ πληγὴ καὶ ἀβαρὴς, ὃν ἀμαυρὸν σφυγμὸν ἤδη τινὲς ἐκάλεσαν. ἄλλη δὲ βαρεῖα μὲν ἔκλυτος, ταύτην ἀμυδροῦ σφυγμοῦ διαφορὰν θείη τις ἄν. ἡ δʼ οὐκ ἔκλυτος μὲν, ἀλλʼ οἷον παραπεποδισμένη, καὶ εἴσω ῥέπον τὸ βάρος ἔχουσα. πεπιεσμένη, καὶ δεδυκυῖα. διαφορὰ κατὰ σφοδρότητα εἴη ἂν σφυγμοῦ καὶ κατὰ τὸν σφοδρὸν, ἡ μέν τις πληγὴ εἴη ἂν ἐξερειστικὴ, ὑγρότερον ἐξωθοῦσα τὴν ἁφὴν, οἷα ἀπὸ τροφῆς μάλιστα νεαρᾶς ἐγγίνεται. ἡ δὲ δυσθραυστός ἐστι μᾶλλον, οἷον διηγκωνισμένου τοῦ κινοῦντος. ἡ δʼ ἐν πάθεσί τισι, καὶ ἐπὶ τοῖς ἐν σαρκὶ πλεονασμοῖς φαίνεται. ταῦτʼ, ὦ πρὸς θεῶν, πότερον θαυμαστά τις, ἢ ληρήματα φήσει; τὸν γοῦν βίον βραχὺν, ὡς πρὸς τὸ τῆς τέχνης ἄντα μέγεθος, οὐ βραχὺν οὗτός γε, ἀλλὰ τὸ μηδὲν ποιεῖ, τοσοῦτον ὄχλον ἐπεισάγων αὐτῇ ψευδοῦς θεωρίας, πόθεν γοῦν οὗτοι πάλιν ἥκουσιν ἡμῖν οἱ σφυγμοὶ, βαρὺς καὶ ἀβαρής. τί δʼ οὐ καὶ ταύτην ἐν ἀρχῇ τὴν διαφορὰν ἐδήλωσεν, ἡνίκʼ ὀκτὼ ποιότητας ἔλεγεν ὑπάρχειν τοῖς σφυγμοῖς. ὡς γὰρ μέγεθος, καὶ τάχος, καὶ σφοδρότητα, καὶ τἄλλα. τί τὸ κωλῦον ἦν, καὶ βαρύτητα προσγράψαι. πόθεν αὕτη πάλιν ἡ καινὴ τραγῳδία, βαρὺς σφυγμός ἐστί τις. πόσων μνῶν, ὦ Ἀρχίγενες, ἑρμήνευσον ἡμῖν, εἴ γε μὴ μόνον ὀνόματα γεγραφὼς ἔσῃ, πρᾶγμα δʼ οὐδὲν εἰρηκώς. ἔστι τις σφοδρὸς σφυγμὸς, ὡς οἱ μὴ τραγῳδοῦντες ἔγραψαν, ἀντιβατικὸς κατὰ τὴν πληγήν· διάγνωσις δʼ αὐτοῦ, θλιβόντων τὴν ἀρτηρίαν, οὐκ ἐπιπολῆς ψαυόντων. αἰτία δʼ ἄλλη μὲν κατʼ ἄλλον, ἄλλη δὲ κατὰ τοὺς πνευματικοὺς ὑμᾶς, ἡ ῥώμη τοῦ τόνου. λέξον μοι καὶ περὶ τοῦ βαρέος ὡσαύτως, τήν τε φύσιν αὐτοῦ, καὶ τὴν διάγνωσιν, καὶ τὴν αἰτίαν. ἢ γελοιότατος ἂν εἴης

CAPVT III.

In languido pulsu Archigenem aberrare, & abs re grauis pulsus fecisse mentionem.

QVid ergo? quod de vehementi pulsu docuit, & obscurum est & omnibus significationibus falsum; de eius contrario quod scribit languido, apertiúsne est atque verius? fortè enim ex oppositione, aliquid intelligere poterimus eorum, quæ in superiori oratione dixit. Cedo ergo eius verba. *Languidus est qui remissam habet contentionem, nec incitatum ictum.* Hic manifestè quidem magnæ contentioni remissam opposuit, par erat verò non hanc, sed paruam opponere, aut malè in vehemente magnam dixit; præterea stridulo, non incitatum ictum. Iam si quidnam non incitatum sit, caperem, fortassis stridulum intelligam; nunc stridulo hoc ipsum multò obscurius est. Itaque neutrum interpretatur alterum; an enim pro tardo accipiendum sit non incitatum, an pro imbecillo, an molli, an facilè subuerso, an dissoluto, quid conijciam, non habeo. Vnum quidem certè mihi quiddam profectum, hoc modo arbitror, qualitatem etiam illum ictus ad notionem vehementiæ assumere, tametsi à primo, quum refelleret Magnum, solam contentionem dixit arteriarum motus; hic autem etiam non incitatum dixit ictum; atqui cum illis paulò ante pugnabat qui in tactus ictu eum ponunt. Equidem hæc omnia attoniti esse, nihilque certi quod diceret, habentis, duco. Tu, si quidem sentis aliter, at proximo, non dubito, si non ipse sanè sophista es etiam, sed mediocrum operum studiosus, quin meras nugas dicas. Porrò caput hoc Archigenis huiuscemodi est. *In vehementia autem eiuscemodi inuenias præterea alias differentias, in quibus remissus occurrit ictus, & leuis quem obscurum pulsum nunc nonnulli vocitarunt. Alius grauis ille quidem, cæterùm remissus; hunc in differentias languidi pulsus referas. Quidam non remissus quidem, sed quasi impeditus, & intrò vergente præditus grauitate, repressus, & demersus; differentia erit vehementiæ pulsus. Atque in vehementi quidam fuerit ictus conniuens, humidius impellens tactum, qui maximè à cibo recente efficitur. Alius est qui ægrius frangitur, veluti motore cubitis propellente. Et qui in affectibus quibusdam, & in carnis superfluitatibus apparet.* Hæc per Deos vtrum miracula dices, an deliramenta? Vitam quidem pro artis prolixitate breuem, hic scilicet non breuem facit, sed nihili facit, qui tanto oneret eam aceruo falsæ meditationis. Vnde nobis ergo rursum hi adsunt pulsus grauis & leuis? Quin hanc initio prodidit differentiam, quum diceret octo pulsuum qualitates esse? Nam vt magnitudinem, celeritatem, vehementiam, & reliqua, quò minus grauitatem quoque adiungeret, quid causæ erat? Vnde hæc denuò noua tragœdia? Grauis pulsus quis est? quot ponderum? ô Archigenes, explica nobis, quod ni facias, nomina tantum scripseris, rem dixeris nullam. Est quidam vehemens pulsus, vt illi tradiderunt, qui monstra non prodiderunt, in ictu renitens. Cognoscas, si premas arteriam, non leniter tangas. Causam alius aliam facit, aliam etiam vos Pneumatici vim contentionis. De grauitate mihi itidem expedi, naturam, rationem, dignoscendi eius causam. Nã ridiculosissimus sis, quum,

quum, qui vehemens pulsus sit, qui celer, qui magnus exponas & definias, quos etiam citra definitiones intelligamus, nisi semel simus græcæ linguæ rudes; grauis verò hic pulsus qui sit, quem nouum inducis nobis, non exponas, sed si nomen scripseris tantùm, arbitreris aliquid consecuturum te. Enimuerò non est hoc dicere; sed blaterare. Si igitur vis, vt dixit Comicus, esse,

Garrire doctus, verùm ineptus dicere,

alia erit ratio; Quòd si non garrire velis, sed dicere aliquid ac docere, quonam sensu, quaque ratione in notitiam veniemus grauis huius pulsus, demonstres, fac nobis. Equidem certè ne lapidis quidem valeo grauitatem vel ligni cognoscere, nisi manibus sustollam, vel humeris imponam, vel appendam collo. Num igitur etiam manibus nostris arteria est ęgroti libranda, aut attollenda, vt cognoscamus ita demum pulsuum grauitatem? aut quid imperas, Archigenes? His quidam ab illius schola senex nonagenarius, Heus tu fili, respondit, remissus, & segnis, & tardus, & cunctans pulsus erit. Rursus hîc requisiuimus. Quemnam tu remissum pater appellas? tardúmne an rarum? nam non assequimur. Qui postquam aliquantisper conticuisset, tardum respondit. Sanè quidem de segni, inquam, te non rogarim, quem planè etiam dices tardum esse. Imò etiam cunctans, inquit, tardus mea sententia est. Hinc senex, quum ex omnibus his quatuor nominibus rem declarari vnam animaduertisset, tarditatem pulsus, stomachari cœpit rixaríque. Atque primùm, quem cunctantem appellasset pulsum, non in tarditate motus dixit, sed in quietis longitudine esse positum, nam cunctari, esse incipere tardare, deinde remissum & segnem veluti imbecillum esse, nam remitti, fatiscere, & imbecillum esse, atque debilem, idem denotare. Tum illi subieci; nil laboro. Etenim si iterum ac tertiò eandem rem narrare velis dabimus tibi; veritatem nos indagamus, non litigamus contentiosè. Age cunctantem, inquam, de quietis longitudine accipiamus, & remissum segnémque de imbecillitate. Proinde grauem pulsum memineris te remissum confirmasse esse, & segnem, & tardum, & cunctantem. Quúmque de significationibus explicatiùs cuperem discere, primo planè præter vnum tardum nihil demonstrabat. Hunc autem remissum & segnem diximus, quasi imbecillum esse; cunctantem de quietis longitudine accipi; tardum, tardum adhuc manere. Quare hoc quoque mihi denuò responde, an rarum esse languidum dicas. Verùm, inquit. Quid autem diu quiescentem, nonne hunc etiam dices rarum? Annuit. Igitur ex confessis, inquam, efficitur, grauem pulsum, languidum pulsum simul & tardum esse rarúmque. Conticuit ad hæc senex sanè cum magna grauitate. Verùm, si hoc, inquam, sic habet, non erit qualitas distincta ab ijs quas omnes in ore habent, ea quæ est grauitatis, sed nomen concursui trium qualitatum attributum; quandoquidem simul languidum & tardum, atque rarum esse dicimus grauem. Quid dicas, inquit, non intelligo, & rixas concitas inanes; simúlque his dictis discessit, oculísque nos acerbis intuitus est, ac minacibus. At paucis diebus apud ægrotum quendam quum hoc illo ipso præsente se-

A τίς μὲν ἐστι σφοδρὸς σφυγμὸς, καὶ ταχὺς, καὶ μέγας, ἐξηγούμενός τε, καὶ ὁριζόμενος, οὓς καὶ χωρὶς ὁρισμῶν ἐνοήσαμεν ἂν, εἴ γε μὴ παντάπασιν ἀηθεῖς ἦμεν Ἑλληνικῆς λέξεως; τίς δ' ἐστὶν ὁ σφυγμὸς ὁ βαρὺς ἐστὶ, ὃν ἐπεισάγεις ἡμῖν καινὸν, οὐκ ἐξηγούμενος, ἀλλ' ὑπολαμβάνων, εἰ τοὔνομα μόνον γράψειας, εἰρηκέναι τι πλέον. τοῦτο δὲ οὐ λέγειν, ἀλλὰ λαλεῖν, ἐστί. Εἰ μὲν οὖν βούλει κατὰ τὸν Κωμικὸν,

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν,

ἕτερος ἂν εἴη λόγος. Εἰ δ' οὐ λαλεῖν, ἀλλὰ λέγειν, τι καὶ διδάσκειν ἐθέλεις, δήλωσον ἡμῖν, τίνι τῶν αἰσθήσεων, καὶ πῶς διαB γνωσόμεθα τὸν βαρὺν τοῦτον σφυγμόν; ἐγὼ μὲν γὰρ οὐδὲ λίθου βάρος, οὐδὲ ξύλου δύναμαι διαγνῶναι, μὴ ταῖς χερσὶν ἀράμενος, ἢ ἀναθέμενος τοῖς ὤμοις, ἢ ἐξαρτησάμενος τοῦ τραχήλου. πότερον οὖν καὶ τὴν ἀρτηρίαν τοῦ νοσοῦντος ἐν ταῖς χερσὶ βαστάζοντας ἡμᾶς, ἢ ἀναθεμένους, δεήσει διαγιγνώσκειν οὕτως τὸ βάρος τῶν σφυγμῶν, ἢ τί κελεύεις ὦ Ἀρχίγενες; πρὸς δὲ ταῦτα, τῶν ἀπ' αὐτοῦ τις, γέρων σεμνὸς, ἐνενηκοντούτης, ὦ τὸν, ὦ τέκνον ἔφη, ἐκλελυμένος καὶ νωχελὴς, καὶ βραδὺς, καὶ μέλλων σφυγμὸς ἂν εἴη. πάλιν οὖν ἡμεῖς ἔφαμεν, ὦ πάτερ, ἐκλελυμένον τίνα λέγεις, ἆρά γε τὸν βραδὺν, ἢ τὸν ἀραιόν; οὐ γὰρ συC νίεμεν. ὀλίγον οὖν διασιωπήσας, τὸν βραδὺν ἀπεκρίνατο. καὶ μὴν περί γε τοῦ νωχελοῦς, ἔφην, οὐκ ἂν ἐροίμην σε. δῆλον γὰρ ὅτι καὶ τοῦτον βραδὺν εἶναι φήσειας. ἀλλὰ καὶ ὁ μέλλων, ἔφη, οἶμαι, βραδύς ἐστι. ἐκ τούτων συνεὶς ὁ γέρων, ὡς ἐξ ἁπάντων τῶν τεττάρων ὀνομάτων, ἓν ἐδείκνυτο δηλούμενον πρᾶγμα, βραδύτης σφυγμοῦ, παρατίθεσθαί τε, καὶ φιλονεικεῖν ὑπήρξατο. καὶ πρῶτον μὲν τὸν μέλλοντα, πρὸς αὐτοῦ κληθέντα σφυγμὸν οὐ κατὰ τὸ βραδὺ τῆς κινήσεως. ἀλλὰ κατὰ τὸ τῆς ἡσυχίας ἔφασκε μῆκος κεῖσθαι. τοῦτο γὰρ εἶναι τὸ μέλλειν, ὀκνεῖν ἄρξασθαι. μετὰ δὲ ταῦτα καὶ τὸν ἐκλελυμένον καὶ τὸν νωχελῆ, τὸν D οἷον ἄρρωστον ἔλεγεν. ἐκλελύσθαι γὰρ, καὶ ἀδυνατεῖν, καὶ ἀσθενεῖν, καὶ ἀρρωστεῖν, ταὐτὸν δηλοῦν. ἐγὼ τοίνυν πρὸς αὐτὸν ὑπολαβὼν, οὐδὲν, ἔφην, πρᾶγμα. καὶ γὰρ εἰ δεύτερον, καὶ τρίτον ἀναθέσθαι περὶ τῶν αὐτῶν ἐθέλεις, συγχωρήσομέν σοι. ζητοῦμεν γὰρ ἐξευρεῖν τἀληθὲς, οὐκ ἀμφισβητοῦμεν φιλονεικοῦντες. ἔστωσαν δὴ, ἔφην, ὁ μὲν μέλλων, κατὰ τὸ τῆς ἡσυχίας μῆκος γενόμενος, ὁ δὲ ἐκλελυμένος, καὶ νωχελὴς, κατὰ τὴν ἀρρωστίαν. ἀναμνήσθητι τοίνυν, ὡς βαρὺν ἔφησθα σφυγμὸν εἶναι τὸν ἐκλελυμένον, καὶ νωχελῆ, καὶ βραδὺν, καὶ μέλλοντα. σαφέστερον δέ μου περὶ τῶν σημαινομένων ἀξιώσαντος μαθεῖν, ἐν E ἀρχῇ μὲν οὐδὲν πλέον ἁπάντως τοῦ βραδέος ἐφαίνετο δηλοῦν. νυνὶ δὲ, τὸν μὲν ἐκλελυμένον, καὶ νωχελῆ, τὸν οἷον ἄρρωστον ἔφαμεν εἶναι, τὸν μέλλοντα δὲ, κατὰ τὸ μῆκος τῆς ἡσυχίας γενέσθαι. τὸν βραδὺν δὲ, βραδὺν καὶ νῦν ἔτι μένειν. αὖθις οὖν ἀπόκριναί μοι, τὸν ἀραιὸν, εἰ μὴ τὸν ἀμυδρὸν λέγεις; ἀλλὰ λέγω, φησί, τί δὲ τὸν ἡσυχάζοντα μέχρι πολλοῦ; ἆρ' οὐ καὶ τοῦτον ἀραιὸν ἐρεῖς; ὡμολόγει. συναιροῖτ' ἂν οὖν, ἔφην, ἐκ τῶν ὡμολογημένων, ὁ βαρὺς σφυγμὸς, ἀμυδρός τις ἅμα, καὶ βραδὺς εἶναι, καὶ ἀραιός. ἐσιώπησεν ἐπὶ τούτοις ὁ πρεσβύτης μάλα σεμνῶς. ἀλλ' εἰ καὶ τοῦτ', ἔφην, οὐκ ἂν εἴη ποιότης ἑτέρα τις, παρ' ἃς F ἅπαντες λέγουσιν, ἡ τοῦ βαρέος, ἀλλ' ὄνομα κατὰ τριῶν ποιοτήτων συνόδου κείμενον. τὸν γὰρ ἀμυδρὸν ἅμα, καὶ βραδὺν, καὶ ἀραιὸν, βαρὺν εἶναι φήσομεν. οὐκ οἶδ' ἔφη, τί λέγεις, καὶ φιλονεικεῖς μάτην, καὶ τοῦτ' εἰπὼν, ἀπηλλάττετο, προσβλέψας ἡμῖν ἐπιτιμητικόν τι, καὶ καταγνωστικόν. ἀλλ' ἡμεῖς μετ' ὀλίγας ἡμέρας, ἐπὶ νοσοῦντός τινος, αὐτοῦ τε παρόντος ἐκείνου τοῦ

γέροντος, καὶ ἄλλων πολλῶν εὐδοκίμων ἰατρῶν, καὶ πάντων ταραττομένων ἐπὶ τοῖς ὑπάρχουσι τῷ κάμνοντι συμπτώμασι, κοιλίαν ἐκταραχθήσεσθαι προειπόντες, εἶτ' ἐρωτώμενοι πρὸς αὐτῶν, ὁπόθεν αὐτὸ προειρήκαμεν, πόκον, εἴπομεν, εἰς γναφεῖον οὐδεὶς ἀποφέρει, δηλοῦντες αὐτοῖς, ὡς πολλοῦ δέουσι τὰ τηλικαῦτα μανθάνειν, μηδὲ τὰ βραχύτατα γινώσκοντες. ὀλίγων δ' ὕστερον ἡμερῶν, ἐξ ἀριστεροῦ μυκτῆρος αἱμοῤῥαγίαν προειπόντες, εἶτ' αὖθις παρωτίδας ἐσομένας, εἶτα ἄλλο τι καὶ ἄλλο, τὸ μὲν προεγνόντες, τὸ δὲ θεραπεύσαντες, ὧν ἠδυνάτουν ἐκεῖνοι, δεομένοις αὐτοῖς εἰπεῖν, ἐκ τίνος τὰς τοιαύτας θεωρίας προλέγετε, καὶ πράττετε, διὰ παντὸς ἐσιωπῶμεν, ἐκείνοις μὲν οὐδὲν ἀποκρινόμενοι, πρὸς δὲ ὑμᾶς αὐτοὺς λέγοντες τὸ τοῦ Κωμικοῦ,

Ὡς οὔτε στρεβλὸν ὀρθοῦται ξύλον,
Οὔτε γεράνδελον μετατεθὲν μοσχεύεται.

Θᾶττον γὰρ ἄν τις τοὺς ἀπὸ Μωϋσοῦ καὶ Χριστοῦ μεταδιδάξειεν, ἢ τοὺς ταῖς αἱρέσεσι προστετηκότας ἰατρούς τε καὶ φιλοσόφους. ὥστ' ἐγὼ τελευτῶν ἔγνων κερδαίνειν μακρὰν ἀδολεσχίαν περὶ μηδενὸς αὐτοῖς ὅλως διαλεγόμενος· καί μοι τοῦτο πέπρακται καὶ πραχθήσεται. καὶ τάδε τὰ γράμματα σαφῶς εἰδὼς ἀνωφελῆ πᾶσιν, ὀλίγου δεῖν, ἐσόμενα, πλὴν ἑνὸς ἴσως τινός, ἢ δυοῖν, οἳ ἂν καὶ φύσει θαυμαστῇ, καὶ διδασκαλίᾳ, καὶ μελέτῃ χρήσωνται, καὶ πρὸ τούτων ἁπάντων, ἔξω τῆς περὶ τὰς αἱρέσεις κατασχοῦσι μανίας, ὅμως γράφω, ἅμα μὲν παιδιὰν οὐκ ἄμουσον παίζων, ἅμα δὲ εἰς τὸ τῆς λήθης γῆρας, ὡς ὁ Πλάτων φησίν, ὑπομνήματα ἑαυτῷ παρασκευαζόμενος, ἅμα δὲ καί τισι τῶν ἑταίρων δεηθεῖσι χαριζόμενος. ἀλλὰ περὶ μὲν τῆς ἐπιπολαζούσης ἀμαθίας ἅμα καὶ φιλονεικίας, ἀρκεῖ καὶ ταῦτα.

γεράνδρυον

χάλῳ

ρ

A ne, tum alijs multis magni nominis medicis, quum de symptomatibus quæ tenerent ægrotum, omnes attoniti essent, ventris fluxum prædiximus. Mox illi, vnde id prædiceremus, requirebant. Quibus respondimus: vellus ad fullonem nemo portauit; innuentes ijs multùm abesse ipsos vt hoc intelligerent: qui leuissima quidem scirent. Paucis post diebus de sinistra nare præsagiuimus sanguinis profluuium, deinde etiam parotidas; postea alia atque alia tum prædiximus; tum curauimus; B quorum illi erant imperiti. Vbi quum illi instarent vt ex qua re eas commentationes prænunciatis, & obitis, aperirem, perpetuò silui, nec quicquam illis responsi dedi; sed nobis ipsis dixi Comici illud,

Vt ligna tortuosa nunquam corrigas
Virides nec arbor vetus, alio si transferas,
Produxerit stolones.

Potius enim alij Moysis & Christi sectatores decedant de sua disciplina quàm qui sectis sunt addicti & consecrati medici & philosophi. Itaque C tandem ego cognoui magnas me & importunas ineptias lucrari, de re nulla cum illis disputando; egóque in eo sum & ero; & hos libros quum certo sciam, nisi vni fortè, aut alteri, qui singulari ingenio sit, doctrináque vtatur, & meditatione, & præ his omnibus insania liber sit illa circa sectas, nemini propemodum fore vsui; attamen scribo, simul nec indoctè ludens, & præsidio obliuiosæ senectuti, vt dixit Plato; commentarios mihi ipse comparans; simul familiarium etiam quorundam precibus gerens morem. At de insigni imperitia, atque etiam contentione hactenus est satis.

D

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τὸ τοῦ βαρέος ὄνομα, καὶ τἄλλα πολλὰ οἷς ὁ Ἀρχιγένης κέχρηται, ἄδηλά τε, καὶ μὴ δηλωτικὰ τῶν γε τῶν σφυγμῶν διαφορῶν εἶναι.

Περὶ δὲ ὧν προὐθέμεθα λέγειν, ἐπάνιμεν αὖθις, ἐπιδεικνύντες τοῖς ἕπεσθαι δυναμένοις, ὡς ὁ βαρὺς σφυγμὸς ὄνομα μόνον ἐστί, πρᾶγμα δὲ οὐδὲ ἕν. εἰ γὰρ ὡς ὁ σοφώτατος τῶν καθ' ἡμᾶς Ἀρχιγενείων ἀναγκαζόμενος αὐτὸν ἐξηγεῖσθαι, μετελάμβανεν, ἀμυδρὸς ἔσται καὶ βραδὺς, καὶ ἀραιός. εἰ δὲ τὸν τοιοῦτον σφυγμὸν ἐνδείκνυσθαι φαῖεν ὑπὸ πλήθους βαρύνεσθαι τὴν φύσιν, καὶ διὰ τοῦτο καλεῖσθαι δεῖν βαρὺν σφυγμὸν, ὥρα καλεῖν αὐτοὺς οὐ βαρὺν μόνον, ἀλλὰ καὶ ὠμὸν αὐτὸν, καὶ ψυχρόν. ὃς οὐδὲν ἧττον πλήθους, ὠμότητα χυμῶν, καὶ κατάψυξιν ἐνδείκνυσθαι δύναιτ' ἄν. οὕτω δ' οἶμαι καὶ χολώδη τινὰ, καὶ φλεγματώδη σφυγμὸν ὀνομάζειν οὐκ ὀκνήσομεν δὴ ἅπαξ τῶν ποιούντων αὐτοὺς αἰτίων τὰς προσηγορίας αὐτοῖς τοῖς σφυγμοῖς ἐπιφέρειν ἐθισθῶμεν. ὅπερ οὖν ἀεὶ λέγω), τὸ μὴ διῃρῆσθαι παρ' αὐτοῖς, ἰδίᾳ μὲν τὴν περὶ διαφορᾶς σφυγμῶν πραγματείαν, ἰδίᾳ δὲ τὴν περὶ διαγνώσεως, ἰδίᾳ δὲ τὴν περὶ τῶν ἐν αὐτοῖς αἰτίων, ἰδίᾳ δὲ τὴν περὶ προγνώσεως, εἰς τὰς τοιαύτας ἀδολεσχίας ἐμβάλλει. ὁ γοῦν Ἀρχιγένης περὶ πρώτου πάντων γράφων τοῦ κατὰ τὸ μέγεθος γένους τῶν σφυγμῶν, οὔτε τῶν ποιούντων αὐτοὺς αἰτίων, οὔτε τῆς ἐξ αὐτῶν προγνώσεως ἐμνημόνευσεν, ἀλλὰ τὰς διαφορὰς τῶν κατὰ τὸ γένος τοῦτο συνισταμένων σφυγμῶν, καὶ τοὔνομα ἑκάστης αὐτῶν ἐδίδαξε. βραχέα μέν που παρεμβάλλων αὐτοῖς τῆς διαγνώσεως, ἀλλ' οὐδὲ αὐτὸ τοῦτο γινώσκων, ὡς ἐν τοῖς ἑξῆς ἀποδειχθή-

ἂν

CAPVT IV.

Grauis nomen & pleraque quibus Archigenes est vsus ad pulsuum explicandas differentias, obscura esse & inutilia.

IAm ad institutum redeamus, ac ostendamus illis qui id valent assequi nomen tantum esse grauem pulsum, rem verò nullam. Nam si vt ex Archigenijs nostra memoria sapientissimus, quum ad eum exponendum compelleretur, sumebat, languidus erit & tardus & rarus; ac, si E hunc pulsum ostendere dicant à repletione naturam onerari; atque eò esse appellandum grauem pulsum; eadem opera non grauem modò, sed & crudum vocent & frigidum, vt qui non secus, atque repletionem, cruditatem humorum possit, & frigiditatem arguere. Itidem certè biliosum quoque & pituitosum pulsum non dubitabimus appellare, si semel apud nos sit receptum causarum illos efficientium ad eos esse nomina transferenda. Quare quod semper testor, quia apud illos non distinctum est peculiariter de F differentiis pulsuum opus, separatim de dignoscendis iis, priuatim de eorum causis, priuatim etiam de præsagitione, eò in has ineptias impelluntur. Ac Archigenes quidem in primo omnium genere pulsuum quod in magnitudine consistit, de causis eos efficientibus, vel præsagitione per eos verbum nullum fecit: sed differentias docuit huius generis pulsuum, noménque earum cuiusq; tradidit: pauca quidem nonnullis locis de dignoscendo inferens, sed ne id quidē sciens, vt inferius demon-

demonstrabimus. At verò de secundo genere, quod in vehementia consistit, vbi agit, tres simul tractatus confundit, non tantum de differentia, & dignoscendo, sed & de causis eorum efficientibus disserens: vbi de plenitudine, confusior est etiam. Deinde, quando de rhythmo tractat, pauca de dignostica speculatione adiecit, vt plurimum verò in prima ferè perstitit. In solo verò tractatu de ordine, & perturbatione ordinis, æqualitate, & inæqualitate, primam partem de pulsibus commentationis seruare synceram potuit, nec dignoscendi rationem hîc, nec præsagitionem ex ijs, imò nec causas attigit. At, quo loco de graui & leui (vt vocat) narrat, inter alia etiam id mirificè scripsit ad hunc modum: *Quem obscurum pulsum nunc nonnulli vocitarunt.* Quinam, bone vir, erat dicendum; in quanam illi nati Scythia: vt cognoscant nomen obscurum vltra languidum nihil significare; Ambo enim eidem rei tribuunt Græci; sed apud eos τὸ ἀμυδρὸν est frequentius. Ita duobus his pulsibus graui & leui Archigenis muneribus tantum est profectum, vt prolati temerè sint: & nullum habeant, quo dignoscantur, vestigium. Qui consequuntur, longè adhuc absurdius conflati sunt. Nam, quæ sit differentia pulsuum, quæ grauitatem obtineat intrò vergentem, me sanè præterit. Quæ me res de integro coëgit ex illius discipulis quærere, quodnam sit ænigma. Qui quum intricatius, & absurdius responderent ipso authore, animaduerti plane esse homines, qui, quæ non intelligunt, suspiciant; quo Archigenes cognito, mihi videtur de industria scripta sua obscurare multis in locis. Equidem, quoties vergentis intrò grauitatis mihi in mentem venit, non possum me à risu abstinere. Apertum est enim aliam, quæ foràs vergit, grauitatem esse; atque hæc cuti scilicet hominis grauis est, altera ossibus; alioqui quomodo vna foràs, altera diceretur intrò vergere? Quid iam? impeditam, & repressam, & submersam appellare pulsuum aliquam differentiam, nonne interpretes etiam desiderat? Quænam impedita est? Sanè quæ tardius, ac par est, mouetur, impedita est; &, quæ rarior iusto est, tum quæ intermittit, & quæ deficit? Præterea omnis inæqualis & inordinata, arhythma etiam adhæc iusto minor atque languidior, omnino hæc scilicet in impeditis sunt: nam impediri quidem causam potius quàm differentiam pulsus, denunciat. Repressa verò vtrum ipsa quoque languida est, an parua? aut quid tandem à demersa vult differre? siquidem demersam dixeris paruam aliquam esse. At enim tardi prorsus nos fortasse sumus; Archigenes verò solus, ipse mercurius est, propter prudentiam. Ergo eum par erat, quasi Deus sit, homines vt doceret, operam dare non vt nomina tantum conscriberet: sed, quod in clarioribus fecit, & indicia quibus dignoscamus, adscriberet. Verũ si omnino studuisset apertis indicijs eos discernere, non tam inania verba fudisset imprudens, quasi verò non possimus nos itẽ alios verbo tenus plures fingere, ac iam dico primum volantem pulsum. Nam qui illi magis demersum licebit dicere, quàm volantem nobis? & hercle nutantem alium. Iam glutinosum etiam quendam, & friabilem dicam, præterea nigrum, splendidum, purum, turbidum, difficilem, hilarem. Quinetiam βλιτυεζόμενον pulsum dixero, & σκινδαψιζόμενον, si nomina tantùm requirunt.

A σεται. δευτέρου δὲ τοῦ κατὰ τὴν σφοδρότητα γένους μνημονεύων, τὰς τρεῖς ὁμοῦ διδασκαλίας συνέχεεν, οὐ περὶ διαφορᾶς μόνον, καὶ διαγνώσεως, ἀλλὰ καὶ περὶ τῶν ποιούντων αὐτὰς αἰτίων διαλεχθείς. κἀν τῇ περὶ πληρότητος ἔτι μᾶλλον ταραχθείς, ἑξῆς ἐν τῇ περὶ ῥυθμῶν, ὀλίγα μὲν προσήψατο, τῆς διαγνωστικῆς θεωρίας. τὰ πλεῖστα δὲ, ἐν τῇ προτέρῃ κατέμεινεν. ἐν μόνῃ δὲ τῇ περὶ τάξεώς τε καὶ ἀταξίας, ὁμαλότητός τε, καὶ ἀνωμαλίας, τὸ πρῶτον μέρος τῆς περὶ τοὺς σφυγμοὺς θεωρίας ἠδυνήθη φυλάξαι καθαρόν, μήτε περὶ διαγνώσεως, καὶ προγνώσεως τῆς ἐξ αὐτῶν, ἀλλ' οὐδὲ περὶ τῶν αἰτίων οὐδὲν εἰπὼν ἐνταυθοῖ.

B ἐν δὲ τῷ περὶ τοῦ βαρέος τε καὶ ἀβαροῦς, ὡς αὐτὸς ὀνομάζει, λόγῳ, πρὸς τοῖς ἄλλοις, ἔτι καὶ τοῦτο θαυμαστῶς οὕτως ἔγραψεν. ὃν ἀμαυρὸν σφυγμὸν ἤδη τινὲς ἐκάλεσαν. τίνες, ὦ οὗτος, ἐχρῆν εἰπεῖν; ἐκ ποίας Σκυθίας ἥκοντες; ἵνα γνῶσιν ὡς οὐδὲν πλέον δηλοῖ τὸ ἀμαυρὸν ὄνομα, τοῦ ἀμυδροῦ, ἄμφω γὰρ κατὰ τοῦ αὐτοῦ λέγουσιν οἱ Ἕλληνες, ἀλλὰ συνηθέστερον αὐτοῖς τὸ ἀμυδρόν. οὗτοι μὲν δὴ δύο σφυγμοί, βαρύς τε, καὶ ἀβαρής, Ἀρχιγένους δῶρα, μέχρι τοῦ λαληθῆναι παρελθόντες, οὐδεμίαν ἔχουσι διάγνωσιν. οἱ δ' ἐφεξῆς αὐτῶν, ἔτ' ἀλλοκοτώτερον σύγκεινται. τίς γάρ ἐστιν ἡ ἔσω

C ῥέπον τὸ βάρος ἔχουσα διαφορὰ σφυγμῶν, ἐγὼ μὲν οὐκ οἶδα. καὶ διὰ τοῦτο πάλιν ἠναγκάσθην ἐρωτᾶν τοὺς ἀπ' αὐτοῦ, τί ποτε εἴη τὸ αἴνιγμα. τῶν δ' αἰνιγματωδέστερόν τε, καὶ ἀλλοκοτώτερόν τε αὐτοῦ τοῦ συγγράφοντος ἀποκριναμένων, ἔγνων βεβαίως, ὡς εἰσὶν ἄρα τινὲς ἄνθρωποι θαυμάζοντες ἃ μὴ νοοῦσι. καί μοι δοκεῖ τοῦτ' αὐτὸ κατανοήσας ὁ Ἀρχιγένης, ἑκὼν εἶναι πολλαχόθι γράφειν ἀσαφῶς. ἐγὼ μὲν οὖν, οὐδὲ χωρὶς τοῦ γελᾶν δύναμαι μνημονεῦσαί ποτε τοῦ ῥέποντος ἔσω βάρους. δῆλον γὰρ ὡς ἕτερόν τι βάρος ἔξω ῥέπον ἐστί. καὶ τοῦτο μὲν, ὡς οἶμαι, τῷ δέρματι τοῦ ἀνθρώπου βαρύ. τὸ δ' ἕτερον τοῖς ὀστοῖς

D ἐστί. πῶς γὰρ ἂν ἄλλως τὸ μὲν ἔξω, τὸ δ' εἴσω ῥέπειν λέγοιτο, τὸ δὲ παραπεποδισμένην, καὶ πεπιεσμένην, καὶ δεδυκυῖαν ὀνομάζειν τινὰ διαφορὰν σφυγμοῦ, ἆρ' οὐ καὶ αὐτὰ τῶν ἐξηγησομένων δεῖται; τίς γάρ ἐστιν ἡ παραπεποδισμένη; καὶ γὰρ ἡ βραδυτέρα, ἢ χρή, κινουμένη παραπεπόδισται. καὶ ἡ ἀραιοτέρα, ἢ προσήκει, καὶ ἡ διαλείπουσα, καὶ ἡ ἐκλείπουσα, καὶ ἡ ἀνώμαλος πᾶσα, καὶ ἡ ἄτακτος, καὶ ἡ ἄρυθμος, ἀλλὰ καὶ ἡ μικροτέρα τοῦ δέοντος, καὶ ἡ ἀμυδροτέρα, πάντως δή που καὶ αὗται τῶν παραπεποδισμένων εἰσίν. ὅλως γὰρ τὸ παραπεποδίσθαι, μᾶλλον αἰτίας ἐστίν, ἢ διαφορᾶς σφυγμοῦ δηλωτικόν.

E ἡ δ' αὖ πεπιεσμένη, καὶ αὕτη πότερον ἀμυδρά τίς ἐστι, ἢ σμικρά. ἢ τί μέν τοι βούλεται κἀπὶ τῆς δεδυκυίας διαφέρειν; δόξειε γὰρ ἂν ἡ δεδυκυῖα μικρά τις ὑπάρχειν. ἀλλ' ἴσως μὲν ἡμεῖς σκαιοὶ παντάπασίν ἐσμεν. Ἀρχιγένης δὲ μόνος οὗ, αὐτὸς ὁ Ἑρμῆς, ἕνεκα συνέσεως. ἐχρῆν οὖν αὐτόν, ὡς Θεόν, ἀνθρώπους διδάσκειν ἐπιχειροῦντα, μὴ μόνον ὀνόματα γράφειν, ἀλλὰ καὶ διαγνώσεις, ὡς ἐπὶ τῶν σαφεστέρων ἐποίησεν. ἀλλ' εἴπερ ὅλως ἐπεχείρησεν, αἰσθητοῖς γνωρίσμασι διακρίνειν αὐτούς. οὐκ ἂν οὕτως μάταια λέγων ἐλάνθανεν, ὥσπερ οὖν καὶ ἡμῶν, ἑτέρους πλείονας ἄχρι λόγου συνθεῖναι δυναμένων. καὶ δὴ

F λέγω, πρῶτον μὲν τὸν ἀναπεπταμένον σφυγμόν. οὐ γὰρ δήπου δεδυκότα μὲν ἐκείνῳ λέγειν ἔξεστιν, ἀναπεπταμένον δ' ἡμῖν, οὔ. καὶ νὴ Δί', ἄλλον νηχόμενον, ἤδη δὲ καὶ γλίσχρον, καὶ κραυρὸν ἐρῶ, καὶ μέλανα, καὶ λαμπρόν, καὶ καθαρόν, καὶ θολερόν, καὶ δεινόν, καὶ ἱλαρόν. καί που καὶ βλιτυεζόμενον ἐρῶ σφυγμόν, καὶ σκινδαψιζόμενον, εἰ χρὴ λέγειν ὀνόματα μόνον.

ἀλλὰ καὶ τὸ βλίτυρι φασί, καὶ τὸ σκινδαψός, ἄσημα παντελῶς ἐστι· τὰ δ' Ἀρχιγένους, δῆλα. ὦ λῆρος αὐθαίρετε ἑκών, καὶ γὰρ τὸ βλίτυρι, κροῦμά τι δηλοῖ, καὶ τὸ σκινδαψός, οὐκ οἰκέτου μόνον, ἀλλὰ καὶ ὀργάνου τινός ἐστιν ὄνομα. τί δὴ τοῦτο φήσει τις, οἶμαι, πρὸς τοὺς σφυγμούς; τί δέ, ἃ σὺ λέγεις ὀνόματα, πρὸς αὐτούς ἐστι, τά τε μικρῷ πρόσθεν εἰρημένα, καὶ ὁ ἀποκεκρημνισμένος, καὶ ὁ τρύζων, καὶ ὁ ὑγροφανής, καὶ ὁ καρώδης, καὶ βομβῶν, καὶ ὁ ἐκτεθαμβημένος, καὶ ὁ αἰδηλυθής, καὶ ὁ ἀτενής, καὶ ὁ ἀδρανής, καὶ ὁ ἀποπεπηγώς, καὶ ὁ διαπεφυσημένος, καὶ ὁ διηγκωνισμένος, καὶ ὁ ἐγκαλυπτόμενος, καὶ ὁ ἐξώστης, καὶ ὁ ἐμβριθής, καὶ ὁ ἐγκρέκων, καὶ ὁ νότυλος, καὶ ὁ καταμεναγμένος, καὶ ὁ διαμεναγμένος, καὶ ὁ λαγαρίζων, καὶ ὁ ὑποκλεπτόμενος, καὶ ὁ ῥακώδης, καὶ ὁ σεσοβημένος, καὶ ὁ σκυθρωπῶς ἀποχωρῶν. ὅ, τε τῆς ἀρτηρίας ὁλκίμου προσπιπτούσης, ἄλλων τε τοιούτων ὀνομάτων πάμπολυ πλῆθος, ἃ παρ' ἰδίᾳ μέν τι καὶ καθ' αὑτὰ δηλοῖ. κοινὸν δὲ αὐτοῖς πρὸς τοὺς σφυγμοὺς οὐδέν ἐστιν. ὥσπερ οὐδὲ τὸ ὑγρότερον ἐξωθεῖν λέγεσθαί τινα σφυγμόν. ἐνταῦθα γὰρ πάλιν ἀποπλανᾶται τῆς τῶν σφυγμῶν διδασκαλίας ὁ Ἀρχιγένης, ὑγρότητος μνημονεύων, εἰς μὲν τὰς προγνώσεις χρησίμου πράγματος, ἀλλ' οὐκ ἐκ τῆς περὶ σφυγμῶν θεωρίας. μίξας οὖν αὐτὴν τῇ ἐξερεισικῇ πρὸς αὐτοῦ κληθείσῃ πληγῇ μηδὲν διαφερούσῃ τοῦ σφοδροῦ σφυγμοῦ, διαφοράν τινα προσποιεῖται ἑτέραν ταύτην διδάσκειν. οὖσαν οὐχ ἑτέραν, ἀλλὰ σφοδρὸν σφυγμὸν μεθ' ὑγρότητος. εἶτα ἐξαπατᾷ τὸν ἰδιώτην τῆς θεωρίας, ὡς μέγα τι προσγράψας, τό, οἷα ἀπὸ τροφῆς μάλιστα νεαρᾶς ἐγγίνεται· ἡ γὰρ ἐξερεισικὴ πληγή, φησίν, αὕτη μεθ' ὑγρότητος, ἀπὸ τροφῆς μάλιστα νεαρᾶς γίνεται; τίς λόγος καί φησιν, ὦ Ἀρχίγενες, ἀληθὲς τοῦτο λέγεις. ἀλλὰ ἀδιαρθρώτως τε καὶ συγκεχυμένως. καὶ διὰ τοῦτο, ἀσαφῶς. ἐχρῆν γὰρ οὕτως εἰπεῖν, ὅτι τροφαῖς προσφάτοις σφοδρὸς γίνεται σφυγμὸς μεθ' ὑγρότητος. τοῦτον δ' οὐκ ἔστιν ἄλλον τινά, παρὰ τὸν σφοδρὸν σφυγμὸν εἰπεῖν, ἀλλὰ σφοδρὸν σφυγμόν, καὶ ἄλλο τι, ὃ οὐκ ἔστι ὅλως σφυγμός, πρὸς τῷ καὶ ἀκαίρως ἅπτεσθαι κοινῆς θεωρίας, τοῦ τε περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων τόπου, καὶ τοῦ περὶ τῆς δι' αὐτῶν προγνώσεως. ἐν ἐκείνοις γὰρ ἄμεινον ἦν εἰπεῖν, ὅτι τροφῇ ποῖός τις σφυγμὸς γίνεται. καὶ ἡμεῖς λέγομεν, ὦ Ἀρχίγενες, οὐχ οὕτως ῥαθύμως, ὡς σὺ νῦν, ἀλλὰ μετὰ τῶν οἰκείων διορισμῶν. οὐ γὰρ ἁπλῶς ἐπὶ τροφῇ πάσῃ, σφοδρὸς μεθ' ὑγρότητος γίνεται σφυγμός, ἀλλὰ καὶ ἐπὶ τῇ συμμέτρῳ μὲν κατὰ ποσόν, ὑγρᾷ δὲ κατὰ τὸ ποιόν. οὔτε γὰρ ἡ πλείων τροφὴ σφοδρὸν τὸν σφυγμόν, ἀλλ' ἀνώμαλον ἐξ ἀμυδρῶν τε καὶ σφοδρῶν καὶ μέσων, οὔτε ἡ ξηρὰ τὸν ὑγρὸν ἐργάζεται, ὥστε τῇ μὲν ὑγρότητι τῆς τροφῆς, ὑγροτέρου ποτὲ γινομένου τοῦ δέρματος, οὐδὲ γὰρ διὰ τοῦτο διαπαντός, ἀλλὰ δεῖταί τινος διορισμοῦ. τῇ συμμέτρῳ δ' αὖ κατὰ τὸ ποσὸν τροφῇ, πάντως ἑπομένης σφοδρότητος, ἄμεινόν ἐστιν, ὑγρότητος μὲν μηδόλως μνημονεύειν, ἥ γε οὐδὲ τρέπει ποτέ, κατὰ τὸν ἑαυτῆς λόγον, τοὺς σφυγμούς. τροφῆς δὲ συμμέτρου μνημονεύσαντας, σφοδρὸν ὑπ' αὐτῆς λέγειν γίνεσθαι τὸν σφυγμόν. ἀλλὰ τοῦτο, κἂν ἀληθὲς ᾖ, πρώτης μὲν τῆς τῶν ἐν σφυγμοῖς αἰτίων ἐστὶ διδασκαλίας, ἐφεξῆς δέ, τῆς προγνωστικῆς. οὐ μὴν προὔκειτό σοι περὶ τούτων λέγειν. εἰ δ' ἀδιορίστως ἅμα, καὶ οὐκ ἐν καιρῷ γράφειν συγχωρεῖται, μὴ μόνον ἐπὶ νέᾳ τροφῇ τὸν τοιοῦτον ἴσθι γινόμενον σφυγμόν, ἀλλὰ κἂν τοῖς βαλανείοις ποτέ, κἂν τοῖς γυμνασίοις, καὶ τοῖς θυμοῖς. γίνεται γὰρ κἂν τούτοις ἔσθ' ὅτε. καὶ πῶς καὶ τίνι τρόπῳ,

Sed enim τὸ βλίτυρι, aiunt & τὸ σκινδαψὸς planè nihil significant, Archigenis clara sunt nomina. Quid tu bone vir dedita opera nugaris? Etenim τὸ βλίτυρι pulsationem quandam significat, & τὸ σκινδαψὸς non tantùm serui, sed etiam instrumenti cuiusdam est nomen. Sed quid (dices, ni fallor) hæc ad pulsus? Quid verò, quæ tu profers nomen ad illos faciunt quum illa, quæ paulo ante recensui tum præcipitatus, stridens, humidus apparens, soporosus, bombans, stupefactus, resolutus, intentus, inefficax, congelatus, difflatus, cubitis propellens, occultatus, expulsor, grauis, crepens, madidus, congregatus, disgregatus, languescens, subfuratus, lancinosus, exagitatus, tetrice recedens, & qui est cum arteria tractili occurrente, atque id genus nominum immensus numerus quæ separatim, & sola aliquid significant, sed cum pulsibus nihil ipsis conuenit, sicut nec quod dicitur humidius impellere quendam pulsum. Nam hoc rursus loco Archigenes à pulsuum doctrina deflectit, quum humiditatis meminit, rei illius quidem ad præsagiendum conducentis, at non ex pulsuum commentatione. Miscuit ergo eam cum connitente, quem ille vocat ictu, qui à vehemente pulsu nihil distat; ac differentiam quandam se hanc fingit aliam docere, quum non alia sit; cæterùm vehemens pulsus cum humiditate. Deinde ignaro speculationis huius imponit, quasi mirificum quid sit, quod adscripsit, qui à cibo potissimum recente efficitur; nam connitens ictus, inquit, cum humiditate ab humidiore cibo potissimùm recente fit. Hic subest aliqua Archigenes, ratio, dicisque verum: indistinctè tamen & confusè, itaque obscurè; Nam sic erat dicendum ex cibis recenter mactatis, vehemens generatur pulsus cum humiditate: atqui hoc non est alium pulsum à vehementi dicere, sed vsum vehementem vel aliud quiddam, quod omnino pulsus non est. Iam etiam importunè hoc loco tractat de commentatione, quæ tractatui communis est De pulsuum causis, & De præsagitione per eos. Sanè præstabat illic retulisse, à cibo qui fiat pulsus: nosque Archigenes, dicimus, non sic, vt nunc tu, negligenter, sed adhibitis proprijs distinctionibus. Neque enim omnino fit à cibo quidem omni, vehemens cum humiditate pulsus, sed modico quantitate & qualitate humido; nam copiosior cibus non vehementem pulsum, sed inæqualem ex languidis, & vehementibus mediisque. Neque humidum efficit siccus, proinde humiditate alimenti, quum humidior aliquando euaserit cutis. Neque enim ideo semper, sed inest aliqua discretio. Etiam moderatum quantitate quum cibum excipiat vehementia, humiditatem præstat nequaquam appellare, quæ per se quidem pulsus nunquam immutat; sed mentione cibi moderati facta, vehementem dicere ex eo pulsum oriri. At hoc, etsi verum sit, tamen præcipuè ad commentationem pertinet pulsuum causarum, deinde ad præsagia. Sed de his non institueras agere. Quod si confusè datur facultas simul & intempestiuè scribendi non tantum à recente cibo scito eum pulsum, sed & à balneis interdum, & ab exercitationibus, itaque generari; est enim, quum ex his generetur. Atque quomodo generatur & qua ratione,

ratione, si exposuisse tantùm habeamus satis, nihil ad docendum nobis profectum est; si distinctè explicemus, recesserimus ab instituta tractatione. Quare inanes istas nugas mittamus. At si quam nobis aliam potes differentiam pulsuum, ac scimus, tradere, trade; neque tantùm nomina profer, sed significationem etiam eorum: & totius modum dignoscendæ rei. Cæterùm rursus, vt hæc omittamus, ijs mox adiungit cubitis pulsantem pulsum discinctum, relinquens, & applicatum, & progressum, & regressum, & calcitrantem, & geniculantem, & ventriculantem. Nam quæ est ista nominum lex, quendam vocare cubitis pulsantem, & præterire cæteros? Quin cubitis pulsantem, inquit, quasi indignantem pulsum vocamus. Iam malè præteris quasi tristantem, irascentem, & succensentem. Extra iocum, inquit, nam validum sic appellamus. Seriò ago, bone vir, tu verò, quum validus dicendus sit, cubitis pulsantem vis nos dicere. Nam validum si diceres, qui sit hic validus te rogem, & qua illum ratione dignoscamus; nempè vehementem quidem, vbi quum premimus arteriam, renititur; & contrarium illi languidum, quum obscuratur prementibus nobis, dignoscimus. Validi verò, si etiam explices rationem dignoscendi, fructum tulerit aliquem tua doctrina; si minus, etiam nomen hîc modò, rem tradideris nullam. Vbi magna vi, inquit, subuertat tactum, & impellat. Atqui subuertebat, & vehemens. At minus, inquit, quàm hic, violenter. Ergo intensè vehementem appellas validum hunc, & cubitis pulsantem pulsum? Scilicet, inquit, hoc ipsum. Igitur iam etiam magnopere velocem, faciendum est nobis, vt non velocissimum, sed aliud quid appellemus, & magnopere magnum, non maximum, sed alio nomine; itáque reliquos. Quòd si illis hoc satis est, si velocissimum dicant, & maximum, tardissimum, rarissimum, creberrimúmque; quin hic quoque sufficiat vehementissimum dicere? Neque est ducendum, finitimam aliquam vehementiæ memorari aliam differentiam; nam quæ in vnoquoque genere fiunt intensiones, non sunt extra genus: neque enim admodum album aliud, ac album, est; neque admodum nigrum quicquam est præter nigrum: itaque nec admodum vehemens aliud est, atque vehemens. Quare sunt hæc omnia mera deliramenta, quæ necessario consequuntur, quòd isti ordine non distinguant ac digerant, nec notionem singulorum pulsuum, nec causas quæ eos efficiunt. Namque quòd sæpe iam diximus, qui veritatem spectat, debet ab ipsis rebus ingressus, quot hæ sint & quæ, explicare, deinde nomina ipsis ponere, mox de ijs dignoscendis agere, ab his de causis, postea de præsagitione; id quod nos fecimus. Atque in hoc opere, pulsuum differentias persequuti omnes sumus. In opere de pulsibus dignoscendis, quo pacto in quaque harum applicatis digitis, exactè debeant sentiri. Inde lucubrationem de causis composuimus. Secundum hanc de præsagitione. Sed hoc loco (quandoquidem agimus de prima, quæ quid referat ad artem colendam, primo in libro explicauimus) summam iam faciamus disputationis de vehementia.

γάρ, εἰ μὲν μόνον εἰπόντες ἀρκεσθείημεν, οὐδὲν δήπου πλέον ἐδιδάξαμεν, εἰ δὲ διαιριζόμεθα, τῆς προκειμένης ἀποστησόμεθα πραγματείας. μὴ τοίνυν παραφλυαρῶμεν. ἀλλ' εἴ τινα ἔχεις ἡμᾶς διδάξαι διαφορὰν σφυγμῶν, ἑτέραν ὧν ἴσμεν, δίδασκε· μὴ μόνον ὀνόματα λέγων, ἀλλὰ καὶ τὸ σημαινόμενον αὐτῶν, καὶ τὴν διάγνωσιν ὅλου τοῦ πράγματος. ἐπεί τοι πάλιν, ἵνα ταῦτά τις παραλίπῃ. συνάπτεις αὖθις ἑξῆς τὸν διηγκωνισμένον σφυγμὸν, παραλιπὼν τὸν διεζωσμένον τε, καὶ ἀποπεπλεγμένον, καὶ προβεβηκότα, καὶ ἀποβεβηκότα, καὶ λακτίζοντα, καὶ γονατίζοντα, καὶ γαστρίζοντα. τίς γὰρ ἡ νομοθεσία διηγκωνισμένον μέν τινα καλεῖν, τοὺς δ' ἄλλους παραλιπεῖν; ἀλλὰ διηγκωνισμένον μέν φησι, λέγομεν τὸν οἷον τεθυμωμένον. οὐκοῦν πάλιν κακῶς παραλείπεις τὸν οἷον λυπούμενον, καὶ ὀργιζόμενον, καὶ μηνιῶντα. μὴ παῖζε, φησί, τὸν γὰρ ἰσχυρὸν οὕτως καλοῦμεν. οὐ παίζω, βέλτιστε. σὺ δ' ἐπιτρέπεις ἡμᾶς, ἐὸν ἰσχυρὸν εἰπεῖν, διηγκωνισμένον λέγειν. εἰ γὰρ ἰσχυρὸν εἰρήκεις, ἐπυθόμην ἄν σου, τίς ποτέ ἐστιν οὗτος ὁ ἰσχυρός. καὶ πῶς αὐτὸν διαγνωσόμεθα. τὸν μὲν γὰρ σφοδρὸν, ὅταν ἐν τῷ θλίβειν ἡμᾶς τὴν ἀρτηρίαν, ἀντιβαίνῃ, καὶ τὸ ἐναντίον αὐτῷ τὸ ἀμυδρὸν, ὅταν ἀφανίζηται, θλιβόντων διαγινώσκομεν. τὸν δ' ἰσχυρὸν ἐὰν εἴπῃς, καὶ τοῦτον ὅπως διαγνωσόμεθα, διδάξεις τι πλέον. εἰ δὲ μὴ, κἀνταῦθα ὄνομα μόνον οὐ πρᾶγμα προσθήσεις; ὅταν βιαίως, φησὶν, ἀνατρέπῃ, καὶ ὠθῇ τὴν ἁφήν. ἀλλὰ καὶ ὁ σφοδρὸς ἀνέτρεπεν, ἀλλ' ἧττον, φησὶ, τούτου βιαίως. οὐκοῦν ἐπιτεταμένον σφοδρότητι λέγεις, τὸν ἰσχυρὸν δὴ τοῦτον, καὶ διηγκωνισμένον σφυγμόν; ναὶ, φησὶν, οὕτω λέγομεν. ὥρα τοίνυν ἡμῖν, καὶ τὸν ἐπιτεταμένον τῷ τάχει, μὴ τάχιστον, ἀλλ' ἄλλο τι καλεῖν. καὶ τὸν ἐπιτεταμένον μεγέθει, μὴ μέγιστον, ἀλλ' ἕτερόν τι, καὶ τοὺς ἄλλους ὡσαύτως. εἰ δ' ἐκείνοις ἀρκεῖ τάχιστον εἰπεῖν, καὶ μέγιστον, καὶ βραδύτατον, καὶ ἀραιότατον, καὶ πυκνότατον, ἀρκεῖ κἀνταῦθα σφοδρότατον εἰπεῖν, καὶ μὴ νομίζειν, παρακειμένης τινὸς τῇ σφοδρότητι μνημονεύειν ἑτέρας διαφορᾶς. αἱ γὰρ ἐν ἑκάστῳ τῶν γενῶν ἐπιτάσεις, οὐκ εἰσὶν ἔξω τοῦ γένους. οὔτε γὰρ τὸ λίαν λευκὸν, ἄλλο τι, καὶ οὐ λευκόν ἐστι. οὔτε τὸ λίαν μέλαν, ἄλλο τι, καὶ οὐ μέλαν. οὐκοῦν οὐδὲ τὸ λίαν σφοδρὸν, ἄλλο τι, καὶ οὐ σφοδρόν. ἀπλῶς δ' οὖν τὰ τοιαῦτα, λῆρός ἐστι μακρὸς, ἐξ ἀνάγκης ἑπόμενα τῷ μὴ διηρθρῶσθαι καλῶς ἀπ' αὐτῶν, μήτε τὴν ἔννοιαν ἑκάστου τῶν σφυγμῶν, μήτε τὴν οὐσίαν, μήτε τὴν διάγνωσιν, μήτε τὰς αἰτίας ὑφ' ὧν γίγνονται. χρὴ γὰρ, ὡς ἤδη πολλάκις εἴρηταί μοι, τὸν ἀληθείας ἐφιέμενον, ἀπὸ τῶν πραγμάτων αὐτῶν ἀρξάμενον, ὁπόσα τε ταῦτά ἐστι καὶ ὁποῖα, διαιρεῖσθαι. κἄπειθ' ἑξῆς αὐτοῖς ὀνόματα θέσθαι. καὶ μετὰ ταῦτα, περὶ τῆς διαγνώσεως εἰπεῖν. εἶτ' ἐπὶ τοῖσδε, τῆς αἰτίας, εἶτα τῆς προγνώσεως, ὥσπερ ἡμεῖς πεποιήκαμεν. ἐν μὲν τῇδε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ, τὰς διαφορὰς ἁπάσας ἐπελθόντες τῶν σφυγμῶν, ἐν δὲ τῇ περὶ διαγνώσεως, ὅπως χρὴ τοὺς δακτύλους ἐπιβάλλοντα, καθ' ἑκάστην αὐτῶν ἀκριβῶς αἰσθάνεσθαι. καὶ μετὰ ταῦτα, τὴν περὶ τῶν αἰτίων πραγματείαν συνθέντες, εἶτα τὴν προγνωστικήν, ἀλλὰ νῦν γε, περὶ μὲν τῆς πρώτης ὁ λόγος ἡμῖν ἐστι, ἧς τὸ χρήσιμον αὐτὸ πρὸς τὰ τῆς τέχνης ἔργα, διὰ τοῦ πρώτου βιβλίου δεδήλωται, κεφάλαιον ἐπιθῶμεν ἤδη τῷ περὶ σφοδρότητος λόγῳ.

A

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅστις ἐστὶ τῷ Γαληνῷ ὁ σφοδρὸς σφυγμός.

Ἔστι δέ τις σφυγμὸς ὁ ἀνατρέπων τὴν ἁφὴν, τουτέστι ἰσχυρῶς τε, καὶ ἀντιβατικῶς πλήττων. τοῦτον εἴτε σφοδρὸν, εἴτ' εὔτονον, εἴθ' ὅ, τι βούλεταί καλεῖν τις· οὕτω θέμενος, ἴστω διαγιγνωσκόμενον αὐτὸν, ἐρειδόντων ἐπὶ πλεῖον τοὺς δακτύλους, οὐκ ἐπιπολῆς ψαυόντων. αἰτία δὲ αὐτοῦ, ῥώμη τῆς τοὺς σφυγμοὺς ἐπιτελούσης δυνάμεως. εἰ μὲν οὖν ἡμεῖς πρῶτοι, τὴν ὅλην ἐξουσίαν εἴχομεν τῆς θέσεως τῶν κατὰ τὴν ἰατρικὴν ὀνομάτων, εὔτονον ἂν, οὐ σφοδρὸν ἐκαλέσαμεν τὸν τοιοῦτον σφυγμόν. ἐπεὶ δ' ἔφθασεν ὑπὸ τῶν πλείστων ὀνομάζεσθαι σφοδρὸς, οὐ μετατίθεμεν τοὔνομα. καί τοι γινώσκοντες, παρὰ τοῖς Ἕλλησι τὸ τῆς σφοδρότητος ὄνομα, κατ' ἐνεργείας ἀεὶ λεγόμενον, ἰσχυρᾶς τε ἅμα, καὶ ταχείας· παλαίσματά τε γὰρ ὀνομάζεται σφοδρὰ, τὰ μετὰ συντονίας τε ἅμα, καὶ τάχους γινόμενα. καὶ ἄνθρωποι κατὰ τὸν αὐτὸν τρόπον, ὅταν εὐτόνως τε ἅμα καὶ ταχέως ἐνεργῶσι, σφοδροὶ προσαγορεύονται. καὶ δὴ καὶ τὸ τῶν λεόντων γένος, ἅπαντες ὀνομάζουσι σφοδρὸν, ὅτι καὶ τοῦτο μετὰ συντονίας τε ἅμα, καὶ τάχους ἐνεργοῦν ὁρῶσιν, ὥστ', εἴπερ ἦν ἐπ' ἐμοὶ θέσθαι τοὔνομα, τὴν μὲν ἁπλῆν ποιότητα τῶν ἀντιβατικῶν τε, καὶ ἀνατρεπτικῶν τῆς ἁφῆς τῶν σφυγμῶν, ἰσχὺν ἂν, ἢ ῥώμην, ἢ εὐτονίαν, ἢ τι τοιοῦτον ἕτερον ὠνόμασα· τὴν δ' ἐκ ταύτης ἅμα καὶ τάχους σύνθετον, οὐκ ἐκάλεσα σφοδρότητα. νυνὶ δ', ἐπειδὴ τὸ τῆς σφοδρότητος ὄνομα δι' ἔθους ἐγένετο τοῖς πλείστοις τῶν ἰατρῶν, ἐπὶ μιᾶς τῶν πρώτων λέγεσθαι διαφορῶν, ἔγνων χρῆναι μὴ φεύγειν αὐτό· καὶ διὰ τοῦτο, τὸν μὲν εὐρώστως πλήττοντα σφυγμὸν, ὠνόμασα σφοδρόν· τὸν δ' ἀρρώστως, ἀμυδρόν· οὐδὲν διαφέρον, ἢ εὐρώστως ἢ ἰσχυρῶς, ἢ βιαίως, ἢ εὐτόνως εἰπεῖν. αἰτίαν δ' αὐτοῦ, ῥώμην τῆς κινούσης τὰς ἀρτηρίας δυνάμεως εἶναί φημι, διάγνωσιν δὲ, τῶν δακτύλων εἰς βάθος ἐρειδομένων. ἐν γὰρ τῷ τοιούτῳ τρόπῳ τῆς ἐπαφῆς, ὁ μὲν ἰσχυρὸς σφυγμὸς, ἰσχυρότερος φαίνεται, βιαιότερον ἀνθιστάμενος τοῖς θλίβουσι δακτύλοις· ὁ δ' ἀσθενὴς ἔστιν ὅτε ἐνίοτε καταπίπτει τε, καὶ νικᾶται πρὸς αὐτῶν, ὡς ἄσφυκτον δοκεῖν εἶναι τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τούτων, ἐν ταῖς ἐχομέναις πραγματείαις εἰρήσεται. ὁ δὲ νῦν ἐνεστηκὼς λόγος ἤδη μοι πέρας ἐχέτω.

CAPVT V.

Qui Galeno sit vehemens pulsus.

B

PVlsus est quidam qui tactum subuertit, id est valde, & cum renisu quodam pulsat. Hunc siue vehementem, siue contentum, siue quicquid visum est vocare; hoc constituto, dignosci scito eum, vbi plurimum digitos infigimus, non leniter palpamus. Causa eius, facultatis robur pulsus efficientis. Proinde si de medicis vocabulis primò omnis nostra potestas sit instituendis, contentum eum pulsum, non vehementem appellemus; nunc quia à plurimis iam pridem vehemens est vocitatus, nomen nihil mutamus; tametsi non simus nescij apud Græcos vehementiæ nomen actioni semper tribui validæ simul & citatæ; siquidem luctæ vocantur vehementes quæ cum contentione & celeritate fiunt. Ac eodem modo homines vehementes appellantur, qui cum contentione & celeritate operantur. Et hercle genus leonum appellant omnes vehemens, quoniam huius quoque contentam actionem, atque citatam conspiciunt. Quamobrem si mihi nomen sit instituere liberum, simplicem pulsuum qualitatem renitentiam, & euertentium tactum, vim, vel robur, vel contentionem appellem, vel quid tale aliud; quæ verò ex hac est & celeritate conflata, non vocem vehementiam. Nunc verò, quandoquidem vehementiæ nomen maxima pars medicorum vsurpauit, pro vna de primis differentijs esse, illud statui non vitandum; atque ea re pulsantem validè pulsum, nominaui vehementem; remissè languidum; neque quicquam interest, robustè dicas, an valenter, an violenter, an contentè. Huius causam, mouentis arterias robur dico facultatis esse: dignosci, si digitos altè infigas. Nam quum ita attrectes, validus pulsus videtur validior, quod acriùs digitis prementibus resistat; at imbecillus adeo nonnunquam concidit, & deijcitur ab illis, vt priuatum pulsu hominem dicas. Verùm in sequentibus lucubrationibus, de his tractabimus. Hîc mihi finis esto huius disputationis.

C

D

E

ΚΕΦΑΛΑΙΟΝ ς'.

Πρὸς τοὺς πνευματικοὺς περὶ τοῦ πλήρους τε καὶ κενοῦ σφυγμοῦ, καὶ περὶ τοῦ λόγου τῆς μεταφορᾶς τῶν ὀνομάτων.

Βούλομαι γὰρ ἑξῆς ἐπὶ τὴν πολυθρύλλητον ἀφικέσθαι πληρότητα, πολλὰ πράγματα παρεσχηκυῖαν ἅπασι τοῖς ἰατροῖς τοῖς νεωτέροις, μέλλουσάν γε δή που καὶ ἡμῖν οὐκ ὀλίγα παρέξειν, οὐκ ἐν τῇδε τῇ νῦν ἐνεστώσῃ πραγματείᾳ μόνον, ἀνεκτὸν γὰρ ἂν ἦν, ἀλλὰ πολὺ δὴ μᾶλλον ἐν τῇ διαγνωστικῇ. τὴν μὲν γὰρ ἔννοιαν αὐτῆς, ὁμολογοῦμεν ὑπάρχειν ἐναργῆ, διάγνωσιν δὲ, οὐδεμίαν αἰσθητὴν εἶναί φαμεν. ἀλλὰ περὶ μὲν τῆς διαγνώσεως, αὖθις εἰρήσεται· περὶ δὲ τῆς ἐννοίας, ἐπειδὴ καὶ ταύτην ἔνιοι συγχέουσιν, ἤδη λέγωμεν. ἀπὸ μὲν οὖν τῶν πραγμάτων ἀρξώμεθα, ἤτοι τοῦ τῆς ἀρτηρίας σώματος, ἔσται τις ποιότης ἡ πληρότης, ἢ τῆς ἐγκεχυμένης οὐσίας.

CAPVT VI.

Aduersus Pneumaticos de pleno & vacuo pulsu, ac de ratione nominum transferendorum.

NAm ad decantatam illam volo iam me conferre plenitudinem in qua omnes sudarunt medici iuniores, nec minùs nobis certè negocij exhibituram, non in hoc quidem solùm opere (nam hoc quidem feras) sed multò plus, vbi de dignoscendo differemus; cuius fatemur quidem esse euidentem notionem, sed notitiam eius repræsentari negamus sensui vllam; verùm de ea dignoscenda posthac dicemus. De notione nunc, quandoquidem & sunt qui hanc conturbent, verba faciamus. Itaq; à rebus ipsis exordiamur. Aut arteriæ corporis erit quędam qualitas, plenitudo, aut infusę substantię.

F

A nominibus

A nominibus hinc maximè incipias. Plenum dicimus dolium vini esse, & plenum farinæ culeum; sic etiam theatrum, sic curriculum, vel curiam esse plenam hominum dicimus: & contrà vacuam. Haud aliter ventrem, & os interdum dicimus plena esse, interdum vacua.

Os tibi sit plenum, Thyrsis mea, melle decorum,
Atque fauis plenum, Ægiali tibi carica cibus.

In summa quoduis vas, quod quidem internam habet vllam capacitatem, vel plenum, vel vacuum dicimus esse; quum eius ab alio corpore vno, vel pluribus capacitas occupetur, plenum; vacuum, si præter aërem contineat nihil. Ita propriè omnes mortales & præcipuè vocant. Hinc iam quidam ad suas artes, qui traducunt, non iam propriè vtique neque prima ratione, sed secunda & tropicè, hic lanam appellauit plenam, vinum ille, alius aliud, vsu quisque rem æstimans; nam illa quæ perseuerantem eum & constantem habet, hanc plenam vocant. Vt qui vinum gustarunt, quum diutissimè sentiant qualitatem perdurare, cuius si abeat extemplo & pereat vel qualitas, vel vis, vel vsus, vacuum illud vocant. Et verò sic sermonem quoque aliquando falsum, vacuum appellant. Non tamen quum quempiam mente vacuum esse dicant, metaphora iam vtuntur; nec item, quum graciles homines corpus habere vacuum carne dicant, & crassos plenum; sed intelligentiam in his vasis seruant, & contenti, in quibus (vt exposuimus) propriè, & præcipuè plenum & vacuum recepta sunt. Iam alia corpora fistulis inanibus cauernosa dicunt, non vacua, vt spongiam & pumicem; nanque aërem non numerant corpus, sed regionem quandam & locum vacuum ad excipienda corpora appositum. At non qui ratione quicquam sunt de aëre commentati medici iuxta ac philosophi, vacuum eum prorsus esse putant; sed quidam, in quorum etiam nos sententia sumus, vnum esse corpus vndique sibi continuum, quod nusquam habet quicquam intextum vacui; alij multa corpora in vacuo parua & prima committi, concurrere & repelli, non connecti tamen nec confundi. Sed enim vacuum pulsum ita non queas appellare, ac vulgus dicit verè vacuum; quippe tale non sit quicquam in orbe, ne per excellentiam quidem; nam quum nullum existat omninò vacuum in mundo, qui sit per excellentiam quicquam vacuum? Quare vacuum relinquitur, vt vocemus, quomodo culeum, vel vtrem, vel calathum, vel saccum, vel omninò quodlibet vas. Quòd si ita accipiamus, bifariam talem pulsum interpretabimur; vno modo, vt dolium, vbi aërem contineat tantùm; altero, vt vtrem, vel culeum, vel aliud tale, cuius possunt tunicæ considere, quemadmodum inflatus vter vino manet perpetuò vacuus, sed aëris plenus: quem si tamen euacues, vt vndique considat planè, ibi fit vacuus. Itaque arteriam esse, aut eo modo vacuam dicemus, vt quæ aërem contineat, vt quanquam sit plurimum inflata & distenta, vacua sit tamen appellanda, aut non sic, verùm vt de vtribus retulimus, quando & aërem iis exhaurias. Prima quidem significatione vacuus pulsus erit talis, qualem Erasistratus natura semper asserit ipsum esse; altera nihil à paruo differet; nam tertiam significationem, nec Archigenes, nec Agathinus, nec Magnus, nec Athenæus,

A ἀπὸ δὲ τῶν ὀνομάτων, ἔνθεν δὴ ἂν μάλιστα τις ὑπάρξαιτο. πλῆρες φαμὲν εἶναι τὸ κεράμιον οἴνου, καὶ πλήρη τὸν θύλακα ἀλφίτων. οὕτω δὲ καὶ τὸ θέατρον, ἢ τὸ στάδιον, ἢ τὸ βουλευτήριον, ἀνθρώπων πλήρη λέγομεν ὑπάρχειν, ὥσπερ αὖ καὶ κενά. οὕτω δὲ καὶ τὴν γαστέρα, καὶ τὸ στόμα, ποτὲ μὲν φαμὲν πλήρη εἶναι, ποτὲ δὲ κενά.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
Πλῆρές τοι σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις.

καὶ ὅλως ἅπαν ἀγγεῖον ἐντὸς αὐτοῦ περιέχον εὐρυχωρίαν, ἤτοι πλῆρες, ἢ κενὸν εἶναι φαμὲν· ἐπειδὰν μὲν ὑφ' ἑτέρου τινὸς σώματος, εἴθ' ἑνός, ἢ καὶ πλειόνων, ἡ εὐρύτης αὐτοῦ καταλαμβάνηται, πλῆ-B ρες. ἐπειδὰν δὲ μόνον ἀέρα περιέχῃ, κενόν. οὕτω μὲν ἅπαντες ἄνθρωποι, κυρίως τε καὶ πρώτως ὀνομάζουσι. μεταφέροντες δ' ἐντεῦθεν ἤδη τινὲς ἐπὶ τὰς ἑαυτῶν τέχνας, οὐκέτι δηλονότι κυρίως, οὐδὲ πρώτως, ἀλλὰ δευτέρως τε καὶ τροπικῶς, ὁ μὲν ἔριον ὠνόμασε πλῆρες, ὁ δὲ οἶνον, ὁ δ' ἄλλο τι τῇ χρείᾳ κρίνων ἕκαστος τὸ πρᾶγμα. τὸ μὲν γὰρ διαρκῆ τε καὶ μόνιμον ἔχον αὐτήν, ὀνομάζουσι πλῆρες, ὥσπερ τὸν οἶνον οἱ γευσάμενοι μέχρι πλείστου παραμενούσης αἰσθανόμενοι τῆς ποιότητος, εἰ δ' ἂν ἐν τάχει παύηταί τε, καὶ ἀπολύηται, ἢ ποιότης, ἢ δύναμις, ἢ χρεία, κενὸν ἐκ δίον προσαγορεύουσι. οὕτως οὖν καὶ τοὺς λόγους ἐνίοτε ψευδεῖς, ὀνομάζουσι κενούς,
C οὐ μὴν γε ὅταν κενὸν εἶναι τινα λέγωσιν νοῦ μεταφορᾷ χρῶνται τηνικαῦτα, καθάπερ οὐδ' ὅταν τοὺς μὲν ἰσχνοὺς ἀνθρώπους, κενὸν ἔχειν τὸ σῶμα σαρκῶν φάσκωσι, τοὺς δὲ παχεῖς, πλῆρες. ἀλλ' ἐν τούτοις φυλάττουσι τὴν ἀγγείου τε, καὶ περιεχομένου νόησιν. ἐφ' ὧν, ὡς ἐρρέθη κυρίως τε καὶ πρώτως εἴθισται λέγεσθαι τὸ πλῆρές τε, καὶ τὸ κενόν. ἕτερα δ' αὖ σώματα διάκενα λέγουσιν, οὐ κενά, καθάπερ σπόγγον τε, καὶ κίσσηριν. οὐδὲ γὰρ σῶμα νομίζουσι εἶναι τὸν ἀέρα, χώραν δέ τινα, καὶ τόπον κενόν, ἐπιτήδειον ὑποδέχεσθαι σώματα. οὐ μὴν οἵ γε λόγῳ διεσκεμμένοι τι περὶ τοῦ ἀέρος, ἰατροί τε καὶ φιλόσοφοι, κενὸν εἶναι παντάπασιν ὑπολαμβάνουσιν αὐτόν,
D ἀλλ' οἱ μέν τινες, ὧν τῆς δόξης καὶ ἡμεῖς μετέχομεν, ἓν ὑπάρχειν σῶμα συνεχὲς ἑαυτῷ πάντῃ, μηδαμόθι κενοῦ παραπλοκὴν ἔχον. οἱ δέ τινες ἐν κενῷ πολλὰ σώματα, τὰ σμικρά, τὰ πρῶτα προσφερόμενα, προσκρούοντά τε, καὶ ἀποπαλλόμενα, μὴ μέντοι περιπλεκόμενά τε, καὶ συγκρινόμενα. καὶ τοίνυν καὶ τὸν κενὸν σφυγμόν, οὕτω μὲν ἡμῖν ἀδύνατον ὀνομάζειν, ὡς οἱ πολλοὶ λέγουσι τὸ ὄντως κενόν. οὐδὲν γάρ ἐστιν ἐν κόσμῳ τοιοῦτον, ἀλλ' οὐδὲ κατ' ἐπικράτειαν. οὐδενὸς γὰρ ὑπάρχοντος ὅλως ἐν κόσμῳ κενοῦ, πῶς ἂν εἴη τι κατ' ἐπικράτειαν κενόν; ὑπόλοιπον δή, κενὸν ἡμᾶς λέγειν σφυγμόν, ὥσπερ θύλακον, ἢ ἀσκόν, ἢ τάλα-
E ρον, ἢ σάκκον, ἢ ὅλως ἀγγεῖον ὁτιοῦν. ἀλλ' εἴπερ οὕτω λέγοιτο, διχῶς ἐπινοηθήσεται τοιοῦτος γινόμενος, ἕνα μὲν τρόπον, ὥσπερ ὁ πίθος, ὅταν ἀέρα μόνον ἐν αὐτῷ ἔχῃ, ἕτερον δέ, καθάπερ ἀσκός, ἢ θύλακος, ἢ τι τοιοῦτον ἕτερον, οὗ δυνατόν ἐστι συμπίπτειν ἐπ' ἀλλήλους τοὺς χιτῶνας, ὥσπερ τὸν πεφυσημένον ἀσκόν, οἴνου μὲν εἶναι ἀεὶ κενόν, ἀέρος δὲ μεστόν. εἰ δὲ καὶ τοῦτον ἐκκενώσεις, ὡς συμπεσεῖν πανταχόθεν ἀκριβῶς, τηνικαῦτα ἀκριβῶς γίνεσθαι κενόν. καὶ τοίνυν καὶ τὴν ἀρτηρίαν, εἰ οὕτως ἐροῦμεν ὑπάρχειν κενήν, ὡς ἀέρα περιέχουσαν, ὥς τε κἂν ἐπὶ πλεῖστον ᾖ διαπεφυσημένη τε, καὶ διεστῶσα, κενὴν ὀνομάζεσθαι, ἢ οὐχ
F οὕτως. ἀλλ' ὥσπερ ἐλέγομεν ἐπὶ τῶν ἀσκῶν. ἐπειδὰν καὶ τὸν ἀέρα τις ἐξ αὐτῶν ἐκκενώσῃ. κατὰ μὲν δὴ τὸ πρότερον τῶν σημαινομένων, ὁ κενὸς σφυγμὸς ἔσται τοιοῦτος, οἷόν περ Ἐρασίστρατος ἀεὶ βούλεται κατὰ φύσιν ὑπάρχειν αὐτόν. κατὰ δὲ τὸ δεύτερον, οὐδὲν διοίσει τοῦ μικροῦ. τὸ γὰρ δὴ τρίτον τῶν σημαινομένων, οὔτε Ἀρχιγένης, οὔτε Ἀγαθῖνος, οὔτε Μάγνος, οὔτ' Ἀθήναιος,

οὔτε ἄλλος οὐδεὶς τῶν πνευματικῶν ἰατρῶν, ἀληθὲς ὁμολογήσει. λέγω δὲ, ὅτι μὲν ὀλίγα μὲν σώματα περιέχει ἐν αὐτῇ ἡ ἀρτηρία. πλείστην δὲ τὴν κενὴν χώραν. οὐ γὰρ εἶναι τοιαύτην οὐδεμίαν ἐν κόσμῳ νομίζουσιν. ἀλλ' ἡνῶσθαι τὴν ὅλην οὐσίαν ἑαυτῇ. λοιπὸν οὖν, ὡς ἔφαμεν, ἤτοι τὸν μικρὸν σφυγμὸν, ἢ τὸν ἀερώδη κενὸν ὀνομάσομεν. οὕτω δὲ καὶ τοὺς ἐναντίους αὐτοῖς, πλήρεις. τόν τε μέγαν, καὶ τὸν τῇ ἰδέᾳ ὑγροφανῆ. ἀλλὰ τούτους μὲν κατὰ τὴν ἐγκεχυμένην οὐσίαν. καθ' ἣν δὴ καὶ μάλιστ' ἄν τις ὀνομάσειε κυρίως, ἢ πλῆρες, ἢ κενὸν ἀγγεῖον. ἑτέρως δὲ, καθ' αὐτὸ τῆς ἀρτηρίας τὸ σῶμα, τουτέστι τοὺς χιτῶνας αὐτῆς. οὓς ἄμεινον ἦν, οἶμαι, σκληροὺς καὶ μαλακοὺς, οὐ πλήρεις, ἢ κενοὺς ὀνομάζειν. οὐδὲν γὰρ ὁμοιομερὲς σῶμα, κενὸν ἢ πλῆρες καλεῖται, πλὴν εἰ μὴ κατὰ μεταφοράν. ἧς οὐ χρὴ προσάπτεσθαι κατὰ τὰς ἐπιστημονικὰς διδασκαλίας. ἀλλ' εἰ μὲν ἔχοιμεν ὀνόματα κύρια, τούτοις χρῆσθαι προσήκειν. εἰ δὲ μὴ, λόγῳ μᾶλλον ἑρμηνεύειν ἕκαστον τῶν πραγμάτων, οὐκ ἐκ μεταφορᾶς ὀνομάζειν, ὅταν γε διδάσκειν τις βούληται, καὶ μὴ παραλαλεῖν. ἐπεὶ τῷ γε μεμαθηκότι τὸ πρᾶγμα, συντόμου δηλώσεως ἕνεκεν ἐγχωρεῖ, καὶ διὰ τῶν ἐκ μεταφορᾶς ὀνομάτων, καὶ διὰ τῶν ἐκ καταχρήσεως, ἐνδείκνυσθαι τὸ λεγόμενον. ἡ πρώτη μέντοι διδασκαλία τῶν τεχνικῶν ἁπάντων πραγμάτων, ὑπὲρ τοῦ σαφής τε εἶναι καὶ διηρθρωμένη, κυρίων ὀνομάτων δεῖται. τὸ τοίνυν σῶμα τῆς ἀρτηρίας, τουτέστιν ὁ χιτὼν αὐτῆς, ἤτοι σκληρότερός ἐστι τοῦ δέοντος, ἢ μαλακώτερος, ἢ δηλονότι σύμμετρός τε, καὶ κατὰ φύσιν ἔχων. οὐ γὰρ δὴ, κατ' αὐτό γε τοῦτο πάλιν, ἢ ἀερώδη τινὰ φήσομεν περιέχεσθαι οὐσίαν, ἢ ὑγράν. ἓν γάρ ἐστι, τὸ συνεχὲς ἑαυτῷ πανταχόθι. πλὴν εἴπου τρήματά τινα, πάνυ σμικρὰ κέκτηται. ἀλλὰ καὶ ταῦτα, ἢ ἀερώδη τινὰ περιέχειν οὐσίαν, ἢ ὑγράν, ἢ ἀτμώδη πάντως ἀναγκαῖόν ἐστιν. ἢ συμπεπτωκέναι παντάπασιν, ἀλλὰ συμπεπτωκότα μὲν, εἰς ἴσον τοῖς οὐδ' ὅλως ἔχουσι καθίσταται. περιέχοντα δὲ ὑγρὸν, ἢ ἀτμὸν, ἢ ἀέρα, μαλακώτερον ἐργάσεται τὸ τῆς ἀρτηρίας σῶμα. ὥστε ἐκ περιόδου πάλιν εἰς ταὐτὸν ἥκειν ἡμᾶς, ὅπερ ἐξ ἀρχῆς ἐλέγομεν. ὡς ἤτοι σκληρός ἐστιν, ἢ μαλακὸς ὁ τῆς ἀρτηρίας χιτών. ὁ γὰρ ἐν τῷ μεταξὺ λόγος, οὐκ ἄλλην τινὰ τρίτην ἐδήλωσε φύσιν, ἀλλὰ τῶν εἰρημένων δυοῖν, διαφόρους τῆς γενέσεως αἰτίας. ἦν δὲ οὐ τοῦτο τὸ προκείμενον, οὐδὲ χρήσιμον ὅλως εἰς τὰ παρόντα. ὡς ἔγωγε καὶ πάσας εἰπεῖν ἑτοιμός εἰμι τὰς τῶν σκληρῶν τε, καὶ μαλακῶν γενέσεις, εἰ μέλλοιμί τινος ἐντεῦθεν ἀπολαύειν εἰς τὰ παρόντα χρηστοῦ. πειράσομαι δ' ὡς ἔνι μάλιστα διὰ βραχυτάτων αὐτὰ πρᾶξαι. πάντων τῶν σωμάτων ἐκ γῆς, καὶ ὕδατος, καὶ ἀέρος. καὶ πυρὸς συνεστώτων, ἐν οἷς μὲν ἂν ὑπάρχῃ πλεῖστον, ἤτοι τὸ γεῶδες στοιχεῖον, ἢ τὸ ὑδατῶδες ὑπὸ ψύξεως πεπηγὸς, ἀναγκαῖον εἶναι τὰ τοιαῦτα σκληρά. ἐν οἷς δ' ἂν, ἢ τὸ πυρῶδες, ἢ τὸ ἀερῶδες, ἢ τὸ ὑγρὸν στοιχεῖον ἀπαγὲς ἐπικρατῇ, μαλακὰ ταῦτ' εἶναι πάντα. οὕτω δὲ καὶ εἰ τρήματά τινα, καὶ πόρους ἔχοιεν, εἰ μὲν ἤτοι γεώδους οὐσίας, ἢ ὑδατώδους πεπηγυίας ἐπικρατούσης ἐν αὐτοῖς, ἀναγκαῖον εἰς σκληρότητα τοῦ παντὸς σώματος συντελεῖν. εἰ δ' ἤτοι λεπτομεροῦς τινος, ἢ ὑγρᾶς ἀπαγοῦς, εἰς μαλακότητα. τούτων οὕτως ἐχόντων, ἤδη δίκαιον ἔρεσθαι τοὺς ἄνδρας, ἐπὶ τί μάλιστα φέρουσιν ὑποκείμενον πρᾶγμα, τὸ τῆς πληρότητος ὄνομα. πάντως γὰρ, ἢ τὴν σκληρότητα καλοῦσι πληρότητα ἁπλῶς, ἢ τινα τῶν εἰρημένων αὐτῆς διαφορῶν. αἱ διαφοραὶ δ' ἦσαν. ὅταν ἤτοι ξηρότης ἐπικρατῇ γεώδης, ἢ πῆξις ὑδατώδης. εἴτ' οὖν ἔχει πόρους τινὰς τὸ ὑποκείμενον ἐν ἑαυτῷ εἴτε μή. κατὰ ταῦτα δὲ καὶ τὴν κενότητα, πότερον τὴν μαλακότητα λέγουσιν, ἢ τινα τῶν διαφορῶν αὐτῆς.

A nec alius ex Pneumaticis medicis agnoscet vllus, quum pauca, inquam, corpora arteria contineat, regionem autem vacuam plurimam; nullam enim in mundo reperiri existimant talem; vnitam verò sibi totam substantiam. Restat ergo, sicuti diximus, vt aut paruum pulsum, aut aëreum vocemus vacuum; itemque contrarios iis, plenos, magnum & eum qui humidam speciem habet. Sed hos scilicet infusæ substantiæ ratione, cuius quidem maximè ratione appelles propriè vel plenum, vel vacuum vas; at aliter arteriæ corporis ratione, id est, eius tunicarum quas rectius sanè duras & molles, & non plenas voces vel vacuas, quòd similare B corpus (nisi per metaphoram quæ in disciplina quæ scientia est, locum non habet) quod vacuum vocetur, vel plenum, sit nullum. At si nomina propria suppetant, his vti nos par sit; si non definitione præstet singulas res explicare, quàm à metaphora nomina mutari: siquidem docere instituas, non obtundere. Tamen apud eum quidem, qui iam rem didicit, quò compendiosius explices nominibus à metaphora sumptis & abusu, nihil est causæ quin rem exprimas; verùm omnium doctrina prima rerum artificialium, quò aperta sit & distincta, pro- C pria nomina quærit. Ergo arteriæ corpus, hoc est eius tunica, aut iusto durior est, aut mollior, aut moderata certè & in natiuo statu. Nec verò in hoc ipso iam vel aëream quandam dicemus, vel humidam contineri substantiam; vnum est enim quod vndequaque sibi cohæret, nisi foraminibus quibusdam præditum sit valde minutis; quæ tamen omninò complectantur etiam, necesse est vel aëream substantiam, vel humidam, vel halituosam, vel considant vndique. Verùm quæ considerunt, instar sunt nulla planè obtinentium foramina; quæ humorem verò, D vel vaporem, vel aërem continent, mollius reddunt corpus arteriæ. Itaque eodem reuoluimur, quod dicebamus à principio, aut duram esse arteriæ tunicam aut mollem; nam qui intercurrit sermo, nullam demonstrat tertiam naturam aliam, sed duarum commemoratarum diuersas generationis causas. Sed hæc res quam dico, nihil ad institutum pertinet. Equidem vel omnes libenter exposuerim duorum & mollium generationes, si id mihi vllum fructum posset ad præsens institutum ferre; idque dabo operam, vt quantùm facere possim, breuissimè explicem. Quandoquidem omnia corpora ex E terra, aqua, aëre, & igne conflata sunt; in quibus exuperat vel terrestre elementum, vel aquosum, si gelu concreuerit, non possunt ea non dura esse; in quibus igneum, vel aëreum, vel humidum elementum inconcretum excellat, mollia hæc omnia esse. Et item si foraminibus sint prædita, vel meatibus: si superior ibi sit terrestris substantia, vel aquosa concreta; facit necessariò ad totius corporis duritiem; sin subtilis vel humida, sed non concreta, ad mollitiem. Quæ quum sic habeant, iure iam de illis quæsierimus, cuinam potissimum rei subiectæ assignent F nomen plenitudinis. Sanè enim aut duritiem vocant plenitudinem absolutè, aut aliquam decommemoratis eius differentiis; differentiæ erant, quum vel siccitas excellit terrestris, vel concretio humida. Aut ergo meatus quosdam hæc res habet, aut non habet. Similiter vacuitatem, vtrum mollitiem vocent, an quam eius differentiam; cuius

cuius quidem erant etiam differentiæ in excellentia, aut tenuis substantiæ, aut aquosæ inconcretæ. Verùm nullam harum committent, vt respondeant; nam ita nihil profectò esse plenitudinem aliud, ac duritiem statuerint, & vacuitatem nihil aliud ac mollitiem. Recedunt verò à ratione omnibus modis quidam impudentiùs, nonnulli sanè verecundè; fuga honesta quidem illa ad spiritus recipit se facultatem, nam quemadmodum vini, aiunt, qualitas dicitur plenitudo, sic spiritus quædam est plenitudo. Atqui quum iam hîc petimus, vini quam plenitudinem appellent, vt declarent; non posse dicunt rem explicari. Quomodo igitur, cedo audetis nominare, quòd explicari non valet, aut discere de vobis nos speratis? Nam si nec docere rem valetis, nec explicare oratione, quî tandem aliquid discamus de scriptis vestris, aut iudicemus? Enimverò en vobis, inquiunt, in ægrotis ostendo plenum pulsum. Rectè igitur feceris, mihi crede, si quidem exprimi oratione nequeat, sed monstrari, si nihil de eo conscripseris, rem autem nudam ostenderis nobis. At & scribis vt si explicare possis, & ostendere non vales; siquidem doctrina constare citra interpretationem in ostendẽdo nulla potest. Admouere igitur me digitos iubes; scilicet arteriæ inde subiicis. En tibi plenus hic pulsus est, quem nunc sentis. At hoc, si simplex accidat, & vna pulsibus qualitas, rectè dicatur: nunc quando variæ hæ vel vestra sententia sint, occurrant verò repentè omnes: absque interpretatione, non potest fieri, vt iam vllam ex illis intelligamus. Atqui iam tango, vt vis, arteriam, sed quia quid tu ex accidentibus eius voces plenitudinem, me latet, nihilo ego ex tua ostensione intelligo clariùs rem, ac nuper quum ostenderes nihil. Distendatur sanè quum admoueam pulsui digitos, plurimum in longitudinem, & circulatim: si stringam etiam & premam, violentiùs in tactum incurrat: videatur præterea durus & velox. Et si violentum eius occursum putem plenitudinem appellari, quid an non res ostensioni accidat absurda? nam quem ante didicimus vehementem pulsum vocare, hunc iam obliuiscimur, ac discimus appellare plenum. Quare aut aliud symptoma distentionis arteriæ adducas, cui plenitudinis me iubes vocabulum tribuere; aut si nullum præterea sit aliud, nomen inuehis pulsibus, rem doces nullam. Nam si tibi hoc satisfaciat, si rem dicas non posse explicari oratione, dabis certè mihi quoque, vt dicam alias esse præter illas, quas vos recensuistis, qualitates pulsuum, quæ in distentione arteriæ aduertantur, numero tres, malè à vobis neglectas. Si me rogetis quasnam has? nominibus propriis exprimi dicam non posse: sed metaphora, si vultis audebo docere. Nam vt vocem quandam albam, esse aliquam nigram dicimus, sic pulsum etiam quendam album dixero esse, quẽdam nigrum: atque hanc primam statim qualitatem à vobis esse prætermissam: alteram porrò secundam, ex qua vel dulcedo aliqua eorum, vel amaritudo conspicitur: Esse autem per metaphoram accipienda etiam hæc nomina, quod exprimi oratione res non possit, demonstrari possit tamen. Ecce tibi pulsum ostendo hunc amarum. Iam tertia qualitas est, non illa quidem verbis expressa, sed quæ tamen possit monstrari. Voco eam, vt eam describam, acerbitatem: nam in gustu vt animaduertimus acerbum succum, ita in tactu arteriæ occursum quasi acerbum.

A ἤπου δ' οἶμαι καὶ αἱ ταύτης διαφοραὶ κατ' ἐπικράτειαν, ἤτοι λεπτομεροῦς οὐσίας, ἢ ὑδατώδους ἀπαγοῦς. ἀλλ' οὐδεμίαν ἀποκρίνασθαι τούτων τολμῶσιν. εἶεν γὰρ ἂν οὕτως δήπου, μήτε τῆς σκληρότητος ἕτερόν τι τὴν πληρότητα, μήτε τῆς μαλακότητος τὴν κενότητα τιθέμενοι. φεύγουσι δ' ἀπὸ τοῦ λόγου πάντα τρόπον, ἔνιοι μὲν αὐτῶν ἀναισχυντότερον, εἰσὶ δ' οἳ καὶ μετ' αἰδοῦς τινος. ἡ δ' ἀπόδρασις, ἡ γοῦν εὐσχήμων εἰς τὴν τοῦ πνεύματος καταφεύγει δύναμιν. ὡς γὰρ οἴνου, φασί, ποιότης λέγεται πληρότης, οὕτω καὶ τοῦ πνεύματός ἐστί τις πληρότης. ἀλλ' ἐνταῦθα πάλιν ἡμῶν ἀξιούντων, οἴνου τίνα πληρότητα καλοῦσιν, ἀποσαφεῖν αὐτούς, ἄρρητον B εἶναι φασι τὸ πρᾶγμα. πῶς οὖν, ὦ πρὸς Διός, ἢ ὀνομάζειν ἐπιχειρεῖτε τὸ ἄρρητον, ἢ διδάξειν ἡμᾶς ἐλπίζετε; εἰ γὰρ μήτε διδάξαι δύνασθε τὸ πρᾶγμα, μήθ' ἑρμηνεῦσαι λόγῳ, πῶς ἄν, ἢ μάθοιμεν τι τῶν γραφομένων ὑφ' ὑμῶν, ἢ κρίναιμεν; καὶ μὴν ἰδού, φασίν, ἐπ' αὐτῶν τῶν νοσούντων δείκνυμί σοι τὸν πλήρη σφυγμόν. καλῶς τοίνυν ποιήσεις, ὦ οὗτος, εἴπερ ἐστὶν ἄρρητος μέν, δεικτὸς δέ, μηδὲν μὲν γράφων περὶ αὐτοῦ, δεικνὺς δὲ μόνον ἡμῖν τὸ πρᾶγμα. καὶ μὴν καὶ γράφεις, ὡς ἑρμηνεῦσαι δυνάμενος, καὶ δεικνύειν ἀδυνατεῖς. οὐδὲ γὰρ συστῆναι δύναται κατὰ δεῖξιν οὐδεμία διδασκαλία, χωρὶς ἐξηγήσεως. ἐπιβάλλειν οὖν με κελεύεις τοὺς δακτύ- C λους, ὡς οἶμαι ἐπὶ τὴν ἀρτηρίαν, εἶτ' ἐρεῖς, ἰδοὺ πλήρης ὁ σφυγμὸς ὁ τοιοῦτός ἐστιν, οὗ νῦν αἰσθάνῃ. τοῦτο δέ, εἰ μὲν ἁπλῆ τις ὑπῆρχε, καὶ μία ποιότης τοῖς σφυγμοῖς, ἀληθῶς ἂν ἐλέγετο. νυνὶ δέ, ἐπειδὴ πολλαὶ μὲν αὗται, καὶ καθ' ὑμᾶς εἰσιν. ἅπασαι δὲ ὑποπίπτουσιν ἀθρόως, οὐκ ἔθ' οἷόν τε χωρὶς ἐξηγήσεως, οὐδεμίαν αὐτῶν ἐκμαθεῖν. ἰδοὺ γοῦν ἅπτομαι τῆς ἀρτηρίας, ὡς κελεύεις, ἀλλ' οὐκ εἰδὼς ὅ, τί ποτε τῶν συμβεβηκότων αὐτῇ, πληρότητα καλεῖς, οὐδὲν μᾶλλον ἐπὶ τῇ δείξει συνίημι τοῦ πράγματος, ἢ πρόσθεν, ὅτ' οὐκ ἐδείκνυες. ἔστω γὰρ ὁπότ' ἐπιβάλλω τοὺς δακτύλους τῷ σφυγμῷ, διαιρεῖσθαι μὲν ἐπὶ πλεῖστον αὐτὸν εἰς μῆκός τε, D καὶ κύκλον. εἰ δὲ καὶ θλίψαιμι, καὶ πιέσαιμι, βιαιότερον ἐμπίπτει τῇ ἁφῇ. φαίνεσθαι δὲ καὶ σκληρόν, καὶ ταχύν. εἶτά με τὴν βίαιον αὐτοῦ προσβολὴν ὑπονοοῦσαι λέγεσθαι πληρότητα, πῶς οὐκ ἄτοπόν τι συμβαίη κατὰ τὴν δεῖξιν; ὃν γὰρ ἐν τοῖς ἔμπροσθεν ἐμάθομεν ὀνομάζειν σφοδρὸν σφυγμόν, τοῦτον νῦν μεταδιδασκόμεθα πλήρη καλεῖν. ἢ τοίνυν ἕτερόν τι σύμπτωμα τῆς διαστελλομένης ἀρτηρίας εἰπέ, καθ' οὗ κελεύεις με τὸ τοῦ πλήρους ὄνομα φέρειν, ἢ εἴπερ παρὰ ταῦτα οὐδὲν ἄλλο ἐστίν, ὄνομα μὲν ἐπεισάγεις τοῖς σφυγμοῖς, πρᾶγμα δὲ οὐδὲν διδάσκεις. εἰ δὲ ἀρκεῖ σοι λέγειν ἄρρητον εἶναι τὸ πρᾶγμα, συγχωρήσεις δήπου κἀμοί, λέγειν ἄλ- E λας ἐπὶ ταῖς εἰρημέναις ὑφ' ὑμῶν, ποιότητας ἐν τοῖς σφυγμοῖς ὑπάρχειν, κατὰ τὴν διαστολὴν τῆς ἀρτηρίας φαινομένας, τρεῖς τὸν ἀριθμόν, οὐκ ὀρθῶς ὑφ' ὑμῶν παραλελειμμένας. εἰ δὲ ἐρωτήσετέ με, τίνας ταύτας, ἀρρήτους εἶναι φήσω κυρίοις ὀνόμασιν. ἐκ μεταφορᾶς δὲ εἰ βούλεσθε, διδάξειν ὑφέξομαι. καθάπερ γὰρ φωνήν, τὴν μὲν λευκὴν εἶναι, τὴν δὲ μέλαιναν φαμέν, οὕτω καὶ τῶν σφυγμῶν, τὸν μέν τινα λευκὸν ὑπάρχειν ἐρῶ, τὸν δὲ μέλανα. καὶ ταύτην πρώτην εὐθέως τὴν ποιότητα παραλελεῖφθαι πρὸς ὑμῶν. ἑτέραν δὲ δευτέραν. καθ' ἣν ἤτοι γλυκύτης τις, ἢ πικρότης αὐτῶν ὁρᾶται. χρῆναι δέ, καὶ τούτων τῶν ὀνομάτων F ἀκούειν ἐκ μεταφορᾶς. ἄρρητον γὰρ εἶναι τὸ πρᾶγμα. δειχθῆναι μέντοι δυνάμενον. ἰδού γέ τοι δείκνυμί σοι τὸν σφυγμὸν τοῦτον τὸν πικρόν, ἀλλὰ καὶ ἡ τρίτη ποιότης, ἄρρητος μὲν ἐστι, δειχθῆναι μέντοι δυναμένη. καλῶ δὲ αὐτήν, ὑπογραφῆς ἕνεκα, στρυφνότητα. καθάπερ γὰρ ἐν τῇ γεύσει τὸν στρυφνὸν χυμὸν διαγινώσκομεν, οὕτω κἂν τῇ ἁφῇ, τὴν οἷον στρυφνὴν τῆς ἀρτηρίας προσβολήν.

τούτῳ δὲ τῷ τρόπῳ τις χρώμενος, οὐ τρεῖς μόνον, ἀλλὰ καὶ τριάκοντα **A** φήσει παραλελεῖφθαι διαφορὰς σφυγμῶν. καὶ περὶ πάντων ἐκείνῳ μοι πρόσεχε τὸν νοῦν, ὅτι στρυφνὸς μὲν τις χυμὸς, κυρίως ὀνομάζεται· πλήρης δὲ οἶνος, οὐδεὶς κυρίως. ἀλλ' εἴ τις οὕτω προσαγορεύει, μεταφορᾷ χρῆται, καθ' ὃν ὀλίγον ἔμπροσθεν ἐξηγησάμεθα τρόπον. ἀπὸ μὲν δὴ τῶν κυρίως ὀνομασμένων ἅπασιν ἀνθρώποις, ἐγχωρεῖ μεταφέρειν. οὐ μὴν ἀπὸ τῶν μετενηνεγμένων, αὖθις ἑτέρας ποιεῖσθαι μεταφοράς. οὐδὲ γὰρ ποιηταῖς τοῦτό γε συγχωρητέον ἐστίν. μήτι γε τοῖς ἐπιστημονικόν τι, καὶ τεχνικὸν ἐπαγγελλομένοις διδάξειν. ὥσθ' ὁ μὲν ἀπὸ τῶν χυμῶν ἐπὶ τὴν ἁφὴν μεταφέρων τὸ στρυφνὸν ὄνομα, συγγνωστὸς ἀπὸ τῶν **B** χυμῶν κυρίως ἀρχόμενος. ὁ δὲ ἀπὸ τοῦ κατὰ γεῦσιν πλήρους, ἐπὶ τὸ κατὰ τὴν ἁφὴν πλῆρες ἀξιῶν μεταβαίνειν, οὐδὲ κατὰ νόμον οὗτός γε ποιεῖται τὴν μετάβασιν, ἀλλὰ καὶ τῆς τῶν ποιητῶν ἐξουσίας ἐπέκεινα πρόεισιν, ἀπὸ τῆς προτέρας μεταφορᾶς, ἑτέραν ποιῶν δευτέραν μεταφοράν. εἰ γὰρ ἅπαξ τοῦτο συγχωρηθείη, καὶ τρίτην ἀπὸ τῆς δευτέρας, οἶμαι, τολμήσει, καὶ τετάρτην ἀπὸ τῆς τρίτης, καὶ πέμπτην ἀπὸ τῆς τετάρτης ποιήσασθαι μεταφοράν. ὥστε εἰς ἐκφορὰν ὄντως ἐμβάλλειν τοὺς ἐπιτριβομένους ὑπ' αὐτῶν. καίτοι γε οὐδὲ ἀπὸ τῶν κυρίων, ὡς ἔτυχε μεταφέρειν ἔξεστιν οὐδὲ τοῖς ποιηταῖς, ἀλλὰ κἂν Πίνδαρος εἴη τις, ἢ Ὠκεανοῦ τὰ πέταλα **C** τὰς κρήνας λέγων, οὐκ ἐπαινεῖται. καὶ πολὺ μᾶλλον ἐπειδὰν ἀψευδῆ πρὸς ἄκμονι χαλκεύειν γλῶσσαν, ἤ τι τοιοῦτον ἕτερον εἴπῃ. ἀλλὰ γὰρ, ὡς ἔοικεν, οὐδὲν οὕτω πολυλογίας ἐστὶ ποιητικὸν, ὡς ἐπιτολμῶν ἀνὴρ οἷς ἀγνοεῖ. διαφορὰς γοῦν ἑκάστου τῶν πραγμάτων ἐξευρεῖν, ὅσαι τ' εἰσὶ τὸν ἀριθμὸν, καὶ ὁποῖαι τὸ εἶδος, ἀνδρὸς ἔργον ἐστὶ θεωρίαν λογικὴν ἠκριβωκότος· ἐφεξῆς δὲ ὀνόματα κατ' αὐτῶν θέσθαι, ῥητορικοῦ τινος, ἢ τὰ ἀληθέστερα φάναι, διαλεκτικοῦ. ὅταν οὖν ἄνθρωποι, μήτε λογικὴν θεωρίαν ἠκριβωκότες, μήθ' ἑρμηνεύειν ἱκανοὶ, τολμῶσιν ἅπτεσθαι πολὺ μειζόνων, ἢ καθ' ἑαυτοὺς πραγμάτων, αὐτοί τε πολυλογοῦσι, καὶ τοὺς **D** ἐξελέγχοντας ἀναγκάζουσι, κἂν ὅτι μάλιστα βραχυλογίαν ἀσκῶσιν, εἰς τὴν αὐτὴν ἐκείνοις ἐμπίπτειν μακρολογίαν, ὅπερ οἶμαι κἀγὼ νῦν πάσχω. διέσπασε γάρ τοι τὸ πλῆθος ὧν ἡμαρτήκασιν, ἐξ ἧς ἐπιτηδεύω συνηθείας ἐμαυτοῦ βραχυλογίας. ἀλλὰ κἀνταῦθα καθ' ὅσον οἷόν τε, συντέμνειν πειράσομαι. γένοιτο δὲ ἂν τοῦτο τὰ μὲν καθόλου, καὶ κοινὰ πάντων ἁμαρτήματα διελέγξαντός μου, τὰ δὲ κατὰ μέρος ἑκάστου παραλείποντος. ἔστι δὲ κοινὰ, καὶ καθόλου ταυτὶ, πότερα ποιότητά τινα τοῦ τῆς ἀρτηρίας χιτῶνος ὁ πλήρης σημαίνει σφυγμὸς, ἢ τῆς ἐγκεχυμένης οὐσίας τὸ ποσὸν, ἢ τὸ ποιὸν, ἢ τοῦ συμφύτου πνεύματος· ὡς καὶ τοῦτό τινες ἐτόλμησαν **E** εἰπεῖν, ἤτοι δύναμίν τινα, ἢ ποιότητα. τοῦ μὲν γὰρ σώματος αὐτοῦ τῆς ἀρτηρίας αἱ ποιότητες, ὡς ὀλίγον ἔμπροσθεν ἐδείκνυμεν, οὐ πληρότης ἂν οὐδὲ κενότης, ἀλλὰ σκληρότης τε, καὶ μαλακότης ὀνομάζοντο δικαιότερον. τῆς δὲ ἐγκεχυμένης οὐσίας αὐτῆς τὸ ποσὸν, ὀρθῶς μὲν ἄν τις ὀνομάσειε πληρότητα, καὶ κενότητα. διαφέρουσι δὲ οὐδὲν αὗται μεγέθους τε, καὶ σμικρότητος. εἰ δὲ μὴ τὸ ποσὸν, ἀλλὰ τὸ ποιὸν τῆς περιεχομένης ἐν αὐταῖς οὐσίας ὑπὸ τῶν ὀνομάτων φάσκοιεν δηλοῦσθαι, κυρίως μὲν οὐκ ἂν ὀνομάζοιεν. ὑπάρχουσαν μέντοι τινὰ ἐροῦσι διαφοράν, οὐ μὴν αἰσθήσει γε διαγνωστήν, ὡς ἐν τοῖς περὶ διαγνώσεως **F** ἐπιδείξομεν. ἡ δὲ τοῦ πνεύματος πληρότης τε καὶ κενότης, ἔτι δὴ καὶ μᾶλλον ἀναίσθητός ἐστιν αὐτὴ καθ' αὑτήν, εἰ δ' ὡς αἴτιόν τις αὐτὴν ἐν δείξει λαμβάνοι, τῆς μὲν ῥώμης αὐτῆς τὸν σφοδρὸν σφυγμὸν θήσει σημεῖον, τῆς δ' ἀρρωστίας τὸν ἀμυδρόν. εἴη δ' ἂν ὁ ταῦτα τιθέμενος, ἐκ τῆς πνευματικῆς αἱρέσεως. ὥστε κἂν νῦν δῆλον, ὡς οὐ κοινὴν ἔν-

Qua siquis via insistat, non solùm tres, verùm etiam triginta dicet prætermissas esse pulsuum differentias. Et hoc mihi præter cætera, fac attendas, esse humorem qui propriè acerbus appelletur: plenum vinum propriè nullum, quòd si sic quis appellet, metaphora vtitur, quemadmodum superiùs exposuimus. Sanè omnibus hominibus à propriis nominibus potestas est transferendi: à translatitiis autem alias ducendi metaphoras, non item: neque enim hoc est permittendum, ne poëtis quidem, nedum his, qui scientiam aliquam, & disciplinam profitentur. **B** Quare ab humoribus transferenti ad tactum nomen acerbum, quod ab humoribus propriè incepit, ignoscendum est. At si à plenitudine, quæ in gustu est, ad plenitudinem velis traducere, quæ percipiatur tactu, parum legitimè sanè facies transitum. Quin etiam, qui ducit alteram à prima metaphora, licentiam is superat poëtarum. Nam hoc si semel concessum sit, hercle etiam tertiam à secunda audebit, & quartam à tertia, atque quintam à quarta facere metaphoram, vt planè eneceentur, quos obtundunt. Tametsi nec à propriis licet quibuslibet nec poëtis transferre; imò si quis vel Pindarus sit, & Oceani folia dicat **C** fontes, non collaudetur; ac multò magis, quum Veracem super incudem fabricare linguam, aut aliud quid tale dicat. Sed enim nihil ita loquacitatem efficit, vt qui designat quicquam, & temerarius est in illis quæ ignorat. Nam differentias cuiusque rei, quot sint numero, qualésque specie, viri est inuenire, logicam nauiter meditati; deinde nomina eis instituere, rhetoris partes, aut veriùs dialectici sunt. Vbi ergo homines, qui nec logicam speculationem exactè tenent, nec interpretari valent, ad res aspirare quæ superant ipsorum facultatem, audent: quum ipsi verba fun- **D** ditant, tum reprehensores impellunt, licet maximè studeant breuitati, in eandem orationis prolixitatem; id scilicet quod mihi nunc vsu venit. Siquidem à mea perpetua breuitate diuellit ipsorum me numerus erratorum; tamen faciam etiam hic, vt sim, quantum possum, breuis: quod quidem assequar, si generalia peccata, atque communia omnium reprehendam, & singulorum priuata prætermittam. Communia & generalia hæc sunt: vtrum certam qualitatem arteriæ tunicæ denunciet plenus pulsus, an infusæ substantiæ quantitatem, vel qualitatem, an innati spiritus (nam & **E** hoc sunt ausi quidam dicere) aut facultatem quandam, aut qualitatem. Ipsius enim corporis arteriæ qualitates, quod paulò ante demonstraui, neque plenitudo vocari, neque vacuitas, sed durities, & mollities iustiùs debuerunt: ipsius verò infusæ quantitatem substantiæ, rectè quidem plenitudinem voces, & vacuitatem: at inter has nihil interest, & magnitudinem paruitatémque. Quòd si non quantitatem, sed qualitatem substantiæ contentæ in illis denotari à nominibus istis dixerint, haudquaquam appellauerint propriè: esse tamen confirmauerint quandam differentiam, sed eam sensui incognitam: vt in libris De di- **F** gnoscendis pulsibus ostendemus. Spiritus verò plenitudo, & vacuitas sola, longè etiam minus percipi potest. Nam si quis, vt causam, eam in ostendendo sumat, roboris eius vehementem pulsum statuet signum, & imbecillitatis languidum: qui autem hæc posuerit, de secta erit Pneumatica. Quare vel hic, quod liquet, nec communem notionem,

tionem, nec sensus affectum ad cognitionem peruenientem proferet, sed suum placitum colet. Atqui non est in explicanda rei notione, neque in dignoscenda ea admittendum placitum, sunt enim communia omnium: sed in solis causis prædicandum: quod nos faciemus in commentariis De causis pulsuum: in quibus, vt causas, quæ pulsus variant, omnes referamus, placita attingere cogemur: hoc loco contrà, nullum debet oratio, vel leuissimè, attingere decretum. Hæc duco hîc de plenitudine, & vacuitate sufficere, quarum in libris de Dignoscendis pulsibus ampliorem mentionem faciemus. Et etiam quæ longissimè nugatur de eis Archigenes, in examinando eius libro De pulsibus explicabimus. Nam ita à primo statueram, vt quatuor his lucubrationibus essem contentus, quarum iam mentionem frequenter feci, primæ huius, quam nunc in manibus habemus, alterius de dignoscendis pulsibus, tertiæ de causis, quartæ de præsagitione. Verùm quia alij me multi induxerunt & impulerunt, vt in librum Archigenis De pulsibus scriberem: atque demonstrauerunt modò benè illum dixisse, alicubi etiam offendisse: reddiderunt hanc nobis compendiosiorem narrationem. Nam hîc à singulis separatim discedemus, ac ipsa generalia posthac persequemur: non perinde, vt in secundo ante hunc. Etiam hoc ipso in libro, quo loci de vehementia dixi, vt errata declararem, ipsa verba citaui Archigenis.

A νοιαν, οὐδ᾽ αἰσθήσεως πάθος εἰς διάγνωσιν ἧκον ἐρεῖ τις, ἀλλ᾽ ἑαυτοῦ δόγμα πρεσβεύσει. χρὴ δὲ, οὐδ᾽ ἐν τῇ τῆς ἐννοίας τοῦ πράγματος ἀποδώσεσιν, οὔτε ἐν τῇ διαγνώσει περιέχεσθαι δόγμα, κοινὰ γὰρ ἁπάντων ἐστὶν, ἀλλ᾽ ἐν μόναις ταῖς αἰτίαις λέγεσθαι, καθάπερ ἡμεῖς ποιήσομεν ἐν τοῖς περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ὑπομνήμασιν. ἐν ἐκείνοις μὲν γὰρ ἁπάσας διεξιόντες τὰς ἀλλοιούσας τοὺς σφυγμοὺς αἰτίας, ἀναγκασθησόμεθα δογμάτων ἐφάπτεσθαι. κατὰ μέντοι τὴν νῦν ἐνεστῶσαν, αὐτὸ τοὐναντίον, οὐδενὸς χρὴ ψαῦσαι τὸν λόγον, οὐδ᾽ ἐπ᾽ ἐλάχιστον δόγματος. ἀρκεῖν ἡγούμενοι ταῦτα καὶ περὶ πληρότητός τε καὶ κενότητος, εἴς γε τὰ παρόντα. λεχθήσεται B γὰρ ἐπὶ πλέον ὑπὲρ αὐτῶν, ἐν τοῖς περὶ διαγνώσεως. καὶ μὲν δὴ, καὶ ὅσα περὶ αὐτῶν ἐπὶ πλεῖστον Ἀρχιγένης περιλαλεῖ, καὶ ταῦτ᾽ ἐν τῇ κρίσει αὐτοῦ τοῦ περὶ τῶν σφυγμῶν βιβλίου εἰρήσεται. διεγνώκειν μὲν γὰρ ἐγὼ τό τε κατ᾽ ἀρχὰς ἀρκεσθῆναι τέτρασι ταύταις πραγματείαις, ὑπὲρ ὧν ἤδη πολλάκις ἐμνημόνευσα, πρώτης μὲν τῆς ἐνεστώσης. δευτέρας δὲ τῆς διαγνωστικῆς, καὶ τρίτης τῆς αἰτιολογικῆς. καὶ τετάρτης τῆς προγνωστικῆς. ἀλλ᾽ ἕτεροι πολλοὶ βιαζόμενοί τε, καὶ καταναγκάζοντες ὑπὲρ τοῦ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίου γράψαι με, καὶ δείξαντες, τινὰ μὲν ὀρθῶς αὐτῷ, τινὰ δὲ οὐκ ὀρθῶς εἴρηται, συντομωτέραν εἰργάσαντο τὴν νῦν C ἐνεστῶσαν ἡμῖν διέξοδον. ἀποχωρήσας γὰρ ἐν αὐτῇ τῶν κατὰ μέρος ἁπάντων, αὐτὰ τὰ καθόλου δίειμι κατὰ τὴν ἑξῆς λόγον. οὐχ ὥσπερ ἔν τε τῷ δευτέρῳ τοῦ πρὸ τοῦδε. καὶ κατ᾽ αὐτὸ δὲ τοῦτο τὸ βιβλίον, ἐν τῷ περὶ τῆς σφοδρότητος λόγῳ, τὰς ῥήσεις παρέγραψα τοῦ Ἀρχιγένους, ὑπὲρ τοῦ δεῖξαι τὰ κακῶς εἰρημένα.

CAPVT VII.

Quæ propriè sint duri & mollis significationes, quámque in ipsis intelligendis Pneumatici decepti sunt.

QVare ad disputationem iam de duritie, & & mollitie digressus, faciam, vt hic quoque istos ostendam in nominibus esse lapsos: quamobrem in dignoscendo etiam, præsagiendóque hallucinati. Nam quum vna significatio sit propria vtriusque nominis, miror è metaphoris hos metaphoras ducere. Nam quem fugit, ferrum, lapidem, lignum, dura nos corpora vocare: oleum verò, & lac, & aquam, mollia? Arbitrum enim omnes nos homines habemus duri corporis, & mollis, tactum. Hunc quum extrinsecus obiectis applicamus, quæ illum offendimus recipere, & quasi subeunti cedere, mollia appellamus: contra quæ vim afferunt cuti nostræ, & protrudunt, si hæc cedens vrgentia intus excipiat, dura illa vocamus. Nam omninò si cedat, & deijciatur ab vrgente, quod concidit, imbecillius omnes: quod deijcit validius vocant: nam hoc modo validus ventus non nos tantùm prosternere, & deturbare solet, verumetiam arbores maximas, atque naues. Et etiam nos ipsi, æs, ferrum, lapides, ligna, & si quid his sit durius, si modica sint mole, facilè diruimus. Atque hactenus distat à duro validum: hoc enim vt modò diximus, exturbat pristina sede, & euertit, si quid attingat: durum, sed non validum, non exturbat quidem, sed subit rem molliorem, excauans, suffodiens cogénsque eam. Atque hæc Plato etiam dixit dura esse, quibus cedit nostra caro: mollia quæ carni. At multò hæc Aristoteles elimatius, qui non quod cedit, vocat molle: sed ei addit, modò quod in seipsum, modò, quod loco non mouetur. Siue

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὅσα τοῦ τε σκληροῦ καὶ τοῦ μαλακοῦ κυρίως ἐστὶ σημαινόμενα, καὶ ὅσον περὶ τὴν αὐτῶν ἔννοιαν ἐσφάλησαν οἱ πνευματικοί.

MΕταβὰς οὖν ἤδη πρὸς τὸν περὶ τῆς σκληρότητός τε, καὶ μαλα- D κότητος λόγον, ἐπιδεῖξαι πειράσομαι κἀνταῦθα τοὺς περὶ τὰ ὀνόματα πλημμελήσαντας τῶν ἀνδρῶν. δι᾽ ἣν αἰτίαν ἴσως, καὶ περὶ τὴν διάγνωσίν τε, καὶ πρόγνωσιν ἐσφάλησαν. ἓν γὰρ κυρίως σημαίνοντος ἑκατέρου τῶν ὀνομάτων, οὐκ οἶδ᾽ ὅπως ἐκ μεταφορῶν οὗτοι μεταφορὰς ποιοῦσι. τίς γοῦν οὐκ οἶδεν, ὡς τὸν μὲν σίδηρον, καὶ τὸν λίθον, καὶ τὸ ξύλον, σκληρὰ σώματα εἶναί φαμεν. ἔλαιον δὲ καὶ μέλι, καὶ γάλα, καὶ ὕδωρ, μαλακά. κριτήριον γὰρ, οἶμαι, πάντες ἄνθρωποι σκληροῦ καὶ μαλακοῦ σώματος, ἔχομεν τὴν ἁφήν. ταύτην οὖν ἐπιβάλλοντες τοῖς ἐκτὸς ὑποκειμένοις, ὅσα μὲν ἂν αὐτὴν εὑρίσκωμεν ὑποδεχόμενα, καὶ οἷον ἐγκαταβαινούσῃ πως ὑπείκοντα, μαλακὰ προσαγορεύομεν. ὅσα E δ᾽ ἔμπαλιν αὐτὰ τὸ ἡμέτερον δέρμα βιάζηταί τε καὶ ὠθῇ, τὸ δ᾽ ὑπεῖκον εἰς ἑαυτὸ δέχεται τὰ βιαζόμενα, σκληρὰ ταῦτα προσαγορεύομεν. εἰ μὲν γὰρ ἁπλῶς εἴκοι τε καὶ ἀνατρέποιτο πρὸς τοῦ βιαζομένου, τὸ μὲν ἀνατρεπόμενον ἀσθενέστερον ἅπαντες ὀνομάζουσι. τὸ δ᾽ ἀνατρέπον, ἰσχυρότερον. οὕτω γὰρ καὶ ἄνεμος ἰσχυρὸς, οὐχ ἡμᾶς μόνον ἀνατρέπειν τε καὶ καταβάλλειν πέφυκεν, ἀλλὰ καὶ δένδρα μέγιστα καὶ πλοῖα. καὶ ἡμεῖς δ᾽ αὐτοὶ καὶ χαλκὸν, σίδηρον, καὶ λίθους, καὶ ξύλα, καὶ εἴ τι τούτων ἔτι ἢ σκληρότερον ἀνατρέπομεν, ἐπειδὰν τοῖς ὄγκοις ᾖ μέτρια. καὶ ταύτῃ διενήνοχε τὸ ἰσχυρὸν τοῦ σκληροῦ. τὸ μὲν γὰρ, ὡς εἴρηται νῦν ἤδη, τῆς ἀρχαίας ἕδρας ἐξίστησί τε καὶ ἀνατρέπει F τὸ πλησιάζον. τὸ δὲ σκληρὸν μὲν, οὐ μὴν καὶ ἰσχυρὸν, οὐκ ἐξίστησι μὲν, ἐγκαταβαίνει δὲ τῷ μαλακωτέρῳ, κοιλαῖνόν τε, καὶ βοθροῦν, καὶ πιλοῦν αὐτό. ταῦτά τοι καὶ ὁ Πλάτων ἔλεγε, σκληρὰ μὲν οἷς ἂν ἡ ἡμετέρα σὰρξ ὑπείκοι. μαλακὰ δὲ, ὅσα ἂν τῇ σαρκί. πολὺ δ᾽ ἀκριβέστερον ὁ Ἀριστοτέλης, οὐ τὸ ὑποκείμενον ὀνομάζων μαλακὸν, ἀλλὰ προστιθεὶς αὐτῷ, ποτὲ μὲν τὸ εἰς ἑαυτὸ, ποτὲ δὲ τὸ μὴ μεθιστάμενον. ἄν τε

γὰρ οὕτως εἴπωμεν, μαλακόν ἐστι τὸ ὑπεῖκον εἰς ἑαυτό· εἴθ' οὕτω, μαλακόν ἐστι τὸ ὑπεῖκον, ἀλλ' οὐ μεθιστάμενον, καλῶς ὁριούμεθα. καὶ μέντοι καὶ εἰ τὸ συναμφότερον ἅμα προσθέντες, ὡς ἐν τῷ δευτέρῳ περὶ γενέσεώς τε καὶ φθορᾶς, ὁ Ἀριστοτέλης ἐποίησε, μαλακὸν εἶναι φαίημεν τὸ ὑπεῖκον εἰς ἑαυτό, καὶ μὴ μεθιστάμενον, ἔτι σαφέστερον ὁριούμεθα, διὰ δυοῖν οἰκείων συμπτωμάτων ἐνδειξάμενοι τὸ μαλακόν. εἴς ἑαυτό τε γὰρ ὑπείκει, καὶ οὐ μεθίσταται. ἑκάτερον δ' ἐστὶν αὐτῷ μόνῳ συμβεβηκός. ὡς τό γε ὑπείκειν, κοινὸν ὑπάρχει σύμπτωμα μαλακοῦ τε καὶ ἀσθενοῦς. τὸ δὲ εἰς ἑαυτό, μόνου τοῦ μαλακοῦ. καθάπερ τὸ μὴ εἰς ἑαυτό, μόνου τοῦ ἀσθενοῦς. καὶ μὴν δή, καὶ ὥσπερ εἰς τὸ περιέχον μεθίστασθαι τοῦ ἀσθενοῦς ἴδιον, οὕτω τὸ μὴ μεθίστασθαι μόνου τοῦ μαλακοῦ. τὸ μὲν οὖν ὑπεῖκον εἰς ἑαυτό, καὶ μὴ μεθιστάμενον ἅπαντες Ἕλληνες ὀνομάζουσι μαλακόν. τὸ δ' οὕτως αὐτὸ διατιθέν, σκληρόν. οὐδὲ ἔστιν ὥσπερ ἄλλων τινῶν ὀνομάτων πλείω τὰ σημαινόμενα κυρίως ὀνομάζοντι, καὶ μὴ τροπικῶς, οὕτως καὶ μαλακοῦ, καὶ σκληροῦ. ἦ γὰρ ἂν αὐτά, καὶ ὁ πάντων δεινότατος εἰς σημαινομένου διαίρεσιν, εἶπεν Ἀριστοτέλης. ὥσπερ ἀμέλει, τούτων ἐφεξῆς ἐν ταὐτῷ βιβλίῳ τῷ δευτέρῳ περὶ γενέσεως καὶ φθορᾶς, ὑπὲρ ὑγροῦ τε καὶ ξηροῦ διαλεγόμενος, ἑκάτερον αὐτῶν ἐδίδαξε πλεοναχῶς λεγόμενον, ἀλλ' οὐ σκληρόν τε καὶ μαλακόν. οὐδ' ἐν ἐκείνῳ τῷ συγγράμματι πολλαχῶς ὀνομάζεσθαί φησιν, ὥσπερ οὐδὲ ἐν ἄλλῳ τινί. καθάπερ οὐδὲ ὁ Πλάτων. ἀλλ' ἓν ἑκατέρου τῶν ὀνομάτων ἄμφω τὼ ἄνδρε εὑρίσκετον σημαινόμενον. ὅταν γ', ὡς εἴρηται, κυρίως τις ὀνομάζῃ, καὶ μὴ τροπικῶς. ἐπεὶ κατά γε τὰς μεταφοράς, ἀναρίθμητον ἔσται τὸ πλῆθος σημαινομένων, οὐ τούτων μόνον τῶν ὀνομάτων, ἀλλὰ καὶ τῶν ἄλλων σημαινομένων ἁπάντων. αὐτίκα γέ τοι Πλάτων αὐτός φησιν ἐν σοφιστῇ, σκληροὺς λέγεις καὶ ἀντιτύπους ἀνθρώπους, οὐ κατὰ τοῦ σώματος δή που φέρων ἑκάτερον τῶν ὀνομάτων· οὔτ' οὖν τὸ σκληρόν, οὔτε τὸ ἀντίτυπον, ἀλλὰ καὶ τὸ τῆς ψυχῆς, καὶ ταύτης μάλιστα τοῦ ἤθους τε καὶ τοῦ τρόπου. οὕτω δὲ καὶ οἶνον ἔφη σκληρόν τις ἐκ μεταφορᾶς ὀνομάζων, καὶ φωνὴν σκληράν, ἐπιτήδευμά τε καὶ βίον, ἔθος τ' αὖ, καὶ νόμον, ἄνεμόν τε, καὶ ὕδωρ, ἤτοι τὸ ἀπηνές, ἢ τὸ δύσμικτον, ἢ τὸ δυσξύμβολον, ἢ τὸ ἀηδές, ἢ τὸ δυσκατέργαστον, ἢ τὸ δυσκαταγώνιστον, ἤ τι τοιοῦτον ἕτερον ἐκ μεταφορᾶς ὀνομάζων. τὸ δὲ σκληρὸν σῶμα τὸ κυρίως τε, καὶ πρώτως λεγόμενον, ἀντίτυπόν τέ ἐστι, καὶ κατ' οὐδὲν εἴκει τῷ πλησιάζοντι. τὸν αὐτὸν οἶμαι τρόπον, ἄνθρωπον μὲν σκληρὸν λέγουσι τὸν μονότροπον καὶ δυσπειθῆ, καὶ πρὸς ἅπαν ἀντιτείνοντα. νόμον τε σκληρὸν καὶ δικαστήν, οἷς μηδὲν μέτεστι συγγνώμης. οἶνον μὲν τι σκληρόν, ὅταν ἰσχυρὸς ᾖ τῇ ποιότητι. καὶ πλήττων βιαίως, ἤτοι τὴν κεφαλήν, ἢ τὴν αἴσθησιν τὴν γευστικήν, ὕδωρ δ' αὖ σκληρόν, τὸ δυσκατέργαστόν τε, καὶ βραδύπορον, ὡς ἐπιπλεῖστον ἐν τοῖς ὑποχονδρίοις μένον, ἕκαστόν τε τῶν ἄλλων ὅσα σκληρὰ λέγομεν οὐ κυρίως, οὐδὲ πρώτως. ἀλλὰ κατὰ συμβεβηκός τε, καὶ μεταφέροντες ἀπό τινος ὁμοιότητος, οὕτως ὀνομάζομεν. ἐπεὶ δὲ πολλὰ συμβέβηκε τῷ σκληρῷ σώματι, καθ' ἕκαστον αὐτῶν αἱ μεταφοραὶ γίγνονται. οὐ μὴν τούτου γε ἕνεκεν ἐπιλαθέσθαι προσήκει τοῦ πρώτου τε, καὶ κυρίου τῶν σημαινομένων. ἁπλῶν γάρ τοι τὸ σκληρόν ἐστι, καὶ ἡ σκληρότης ἁπλῆ ποιότης. ὅταν οὖν ἐπὶ γεῦσιν, ἢ ὄσφρησιν, ἢ ὄψιν, ἢ ἀκοήν, ὁ λέγων μεταφέρῃ τοὔνομα, τηνικαῦτα χρὴ τὸν ἀκούοντα, τῆς πρὸς τὸ κύριον ὁμοιότητος ἀναμιμνήσκεσθαι. καὶ γὰρ καὶ ἡ κρίσις αὕτη τῶν μεταφορῶν ἐστιν εἴτε ὀρθῶς, εἴτε οὐκ ὀρθῶς εἰσιν εἰρημέναι. τὰς μὲν γὰρ ἐναργῆ τὴν ὁμοιότητα, καὶ πρόδηλον ἐχούσας ἐπαινοῦμεν. ὅσαι δὲ ἀμυδραί τέ εἰσι, καὶ ἄδηλοι ἀπελείπομεν ἅπαντες. ἀλλ' οὐδ' ἄλλο τι τοῖς νεω-

A enim sic dicamus, Molle est quod in se ipsum cedit: siue hoc modo, Molle est, quod cedit, nec de loco migrat: bene definierimus. Iam si etiam simul vtrunque addamus, vt in secundo libro Aristoteles De generatione, & interitu fecit, ac Molle dicamus esse, quod cedit in se ipsum, nec migrat: adhuc definiemus apertius: quòd duobus propriis symptomatibus ob oculos ponamus: molle etenim tum in se ipsum cedit, tum loco non mouetur. Vtrunque autem soli accidit illi: nam cedere quidem commune symptoma est mollis, & imbecilli: at in se ipsum, solius est mollis: et non in seipsum, imbecilli tantùm. Itemque vt in vicinum locum migratio, proprium infirmi est: ita non demigrare vnius mollis. Proinde, quod cedit in seipsum, nec migrat tamen omnes Græci vocant molle, & id, quod eo illud adigit durum. Neque sunt, vt aliorum quorumdam nominum, diuersæ significationes, si propriè appelles, non tropicè, mollis & duri. Omninò enim ea peritissimus omnium in distinguendis significationibus exponeret Aristoteles: quomodo inferius hoc in ipso secundo libro De generatione, & interitu disserens, de humido, & sicco vtrunque docuit hoc varias significationes habere: non durum, & molle, nec illo in libro multis dixit attribui, neque verò alio in vllo: nec etiam Plato. Cæterùm nominis vnam vtriusque ambo illi viri repererunt significationem: siquidem propriè, vt diximus, vtaris non tropicè. Metaphora enim immensum significationum numerum suppeditabit, non horum tantum nominum, sed & significationum aliarum omnium. Adeoque Plato ipse ait in Sophista: Duros mihi narras, & renitentes homines, neutrum corpori quidem vocabulum tribuens, nec durum, nec renitens, verum animo, eiusque præsertim moribus. Ad eundem modum vinum dixeris durum, per metaphoram quidem: & vocem duram, studium etiam, & vitam: præterea institutum, legem, ventum, aquam, si aut sæuum, aut solitarium, aut morosum, aut triste, aut concoctu, aut superatu difficile, aut eiuscemodi quid aliud, ex metaphora voces: At durum corpus, quod propriè & primariè appellatur, renititur, & nihil tangenti cedit. Eodem verò modo hominem durum vocant, qui est solitarius, & difficilis, atque vbique repugnat: Legem etiam duram, & iudicem, qui à venia danda sunt omninò alieni; At vinum durum, quum forti sit qualitate, & violenter pungat, vel caput, vel sensum gustatorium: Iam aquam duram, quæ non facilè concoquitur, tardéque in corpus permeat, & diutissimè in præcordiis subsistit: & quicquid aliud, quod durum vocamus, non quidem propriè, vel præcipuè, sed per accidens, & à quadam traducentes similitudine, eo pacto appellamus. Quia verò multa corpori duro accidunt, vnumquodque eorum metaphoras suppeditat; nihilo magis iccirco tamen prima est negligenda significatio propria. Tangibile est etenim durum, ac durities qualitas tangibilis. Quum ad gustum iam, vel olfactum, vel visum, vel auditum deriues in oratione nomen, ibi auditorem oportet similitudinis cum proprio recordari. Etenim examen hoc est metaphorarum, rectè sint, an secus sumptæ: nam apertam quæ similitudinem illustremque habeant probamus: obscuras & tectas repudiamus omnes. At neque quicquam norunt aliud recentiores medici

medici probatæ interpretationis, quo illis fit, vt nihil sit obscurius: neque quòd metaphoræ, nisi in tempore, non sunt vsurpandæ. Sed enim si obscura sint duntaxat scripta istorum, minus fortasse culpes; nunc quando quidem ipsam veritatem rerum, quas aggrediuntur docere, ineptis istis metaphoris labefactant, acerbius eos iure reprehendas. Quum verò eo insuper quis deueniat stuporis, vt quum prima, & peculiarissima nomina suis assignet rebus, accipiat per metaphoram significationes qui feras? Nam vocem albam ex metaphora intelliges; cæterùm colorem album etiam æquè ex metaphora non accipere potes: nam hic nisi propriè albus dicatur, quid iam aliud ex illis, quæ propriè dicuntur? Sic etiam hominem acerbum vocamus per metaphoram: vinum verò acerbum non item per metaphoram, sed præcipuè & propriè. Nam vt si quis vinum Theræum, acerbum vocet: mox reprehensus sit perperam censere, qui vinum dulce, quod prorsus abest ab omni acerbitate, sic vocet: ineptus videatur, si ea se significatione dicat vsurpasse acerbum vinum, qua homines interim esse dicimus acerbos, perinde ac iniucundos: Ita si quis tangibile aliquod corpus appellauerit durum: ac eo modo vocabulum velit interpretari, quomodo vinum dicitur durum: hic sanè parum mihi sapere videatur. Nam posteaquam omnes qualitates tangibiles sortitæ nomina sunt, ex metaphora stultum est alia illis accommodare. In olfactu verò omnium qualitatum sunt nomina: vbi translatitiis nominibus permittas vti. In tactu omnibus sua nomina sunt: id quod quodam loco Aristoteles docuit, atque nomina eorum ordine omnia exposuit: quæ ipse quoque narrabo: Calor, frigus, siccitas, humiditas, grauitas, leuitas, durities, mollities, lentor, friabilitas, asperitas, læuor, crassities, tenuitas. Itaque exprimi tangibiles omnes qualitates possunt, & corpora non secus ijs prædita; quippe horum pariter septem sunt oppositæ coniugationes, & nomina xiiij. Prima est oppositio calidi, & frigidi, altera sicci, & humidi, tertia grauis, & leuis, quarta duri, & mollis, quinta lenti, & friabilis, sexta asperi, & læuis, septima crassi, atque tenuis. Quare insulsi nihil, obsecro, nugeris, nec vocabulis latinis, & omnium Græcorum communibus, priuatim & abs te imponas significationes: sed corpus arteriæ, vel durum, vel molle primùm, & præcipuè; at pulsum, eius statum denunciantem non propriè nec primò, sed per accidens durum, vel mollem voces licet. Siue enim ipse arteriarum motus pulsus est, non propriè dixeris, si motum appelles durum. Siue is quem tactui nostro infligit ictus: siue sensus ictus, nihilo magis hic propriè, & præcipuè durus dicitur: sed denominatur scilicet duri corporis durus pulsus: illud verò solum non aliunde denominantes, neque per accidens, aut per metaphoram, aut abusum, appellamus durum, sed propriè & præcipuè. Proinde vbi quis pulsum durum, aut ex qualitate spiritus dicat repræsentari talem, aut ex proprietate caloris, aut alia de re, quæ enunciari verbis valet, non doceri tamen, reijciemus eum, qui ista nugetur, & garriat: quod etiam facit Archigenes in suo de pulsibus libro, & in secundo de signis febris.

A τέροις ἰατροῖς ἀγαθὸν ἑρμηνείας ἔγνωσται· διὸ καὶ ἀσαφεῖς ἐσχάτως εἰσὶν, οὐθ' ὡς ἐν καιρῷ χρηστέον ἐστὶ ταῖς μεταφοραῖς. εἰ μὲν οὖν ἀσαφῆ μόνον ἦν αὐτῶν τὰ συγγράμματα, τάχ' ἄν τις ἧττον ἐμέμψατο. νυνὶ δ' ἐπεὶ καὶ τὴν ἀλήθειαν αὐτὴν τῶν πραγμάτων, ὧν διδάσκειν ἐπιχειροῦσι, διαφθείρουσι ταῖς ἀκαίροις μεταφοραῖς, δίκαιον ἤδη μέμψασθαι μειζόνως αὐτοῖς. ὅταν δ' ἔτι πρὸς τούτῳ, τίς εἰς τοσοῦτον ἐμπληξίας ἥκῃ, ὥστε αὐτὰ τὰ πρῶτά τε, καὶ κυριώτατα τῶν ὀνομάτων ἐπιφέρων τοῖς οἰκείοις πράγμασιν, ἐκ μεταφορᾶς λαμβάνῃ τὰ σημαινόμενα, πῶς ἄν τις ἀνάσχοιτο; φωνὴν μὲν γὰρ λευκὴν ἐκ μεταφορᾶς νοήσειεν ἄν τις, οὐ μὴν χρῶμά
B γε λευκὸν ἔθ' ὁμοίως ἐκ μεταφορᾶς ἀκούειν ἐγχωρεῖ. εἰ μὴ γὰρ τοῦτο λέγεται κυρίως λευκόν, οὐδ' ἄλλο τῶν κυρίως οὐδέν. οὕτω δὲ καὶ ἄνθρωπον μὲν στρυφνὸν ἐκ μεταφορᾶς. οἶνον δὲ στρυφνὸν οὐκέτ' ἐκ μεταφορᾶς, ἀλλὰ δηλονότι πρώτως τε καὶ κυρίως. ὥσπερ οὖν εἴ τις τὸν Θηραῖον οἶνον ὀνομάσας στρυφνόν. εἶτ' ἐξελεγχόμενος, ὡς ψευδῶς δοξάζει γλυκὺν οἶνον, ᾧ μηδὲ βραχὺ μέτεστι στρυφνότητος, οὕτω προσαγορεύων, ἀπίθανος ἂν εἶναι δόξειεν, εἰ κατ' ἐκεῖνο τὸ σημαινόμενον φαίη εἰρῆσθαι οἱ, στρυφνὸν τὸν οἶνον. ὥσπερ καὶ ἀνθρώποις ἐνίοτε λέγομεν εἶναι στρυφνοὺς, ἐν ἴσῳ τῷ ἀηδεῖς. οὕτω καὶ ὅστις ἁπλῶς ὁτιοῦν σῶμα σκληρὸν εἰπὼν, οὕτω κελεύσειεν
C ἀκούειν τῆς προσηγορίας, ὡς οἶνος λέγεται σκληρὸς, οὐκ ἄν οἶμαι δόξειε σώφρων εἶναι. πασῶν γὰρ τῶν ἁπτῶν ποιοτήτων ἐχουσῶν ὀνόματα, λῆρος μακρός ἐστιν ἐκ μεταφορᾶς αὐταῖς ἕτερα ἐπεισάγειν. κατὰ μὲν τὰς ὀσμὰς, ὄντως οὐκ ἔστιν ἁπασῶν τῶν ποιοτήτων ὀνόματα, καὶ συγχωρήσειεν ἄν τις ἀλλοτρίοις χρήσασθαι μεταφέροντα. κατὰ μέντοι τὴν ἀφὴν, ἅπαντα ὠνόμασται. καθάπερ που καὶ τοῦτ' Ἀριστοτέλης ἐδίδαξεν, ἁπάσας ἐκθέμενος ἐφεξῆς αὐτῶν τὰς προσηγορίας. ἃς κἀγὼ νῦν, ἐρῶ. θερμότης, ψυχρότης, ξηρότης, ὑγρότης, βαρύτης, κουφότης, σκληρότης, μαλακότης, γλισχρότης, κραυρότης, τραχύτης, λειότης, παχύτης, λεπτότης.
D οὕτω μὲν οὖν αἱ ἁπταὶ ποιότητες ἅπασαι ῥηταί. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ τὰ μετέχοντα αὐτῶν σώματα. καὶ γὰρ καὶ τούτων, ἑπτὰ μέν αἱ κατ' ἐναντίωσίν εἰσι συζυγίαι. τεσσαρεσκαίδεκα δὲ τὰ ὀνόματα. πρώτη μὲν οὖν ἐναντίωσις, θερμοῦ καὶ ψυχροῦ, δευτέρα δὲ, ξηροῦ καὶ ὑγροῦ, τρίτη δὲ, βαρέος τε καὶ κούφου, τετάρτη, σκληροῦ τε καὶ μαλακοῦ, πέμπτη, γλίσχρου καὶ κραύρου. ἕκτη, τραχέος καὶ λείου ἑβδόμη, παχέος καὶ λεπτοῦ. μὴ τοίνυν, ὦ οὗτος, ἔμπληκτα λήρει μηδ' ὀνόμασιν Ἑλληνικοῖς τε καὶ κοινοῖς ἁπάντων οἴκοθεν ἐπίφερε, καὶ παρὰ σαυτοῦ τὰ σημαινόμενα. ἀλλὰ τὸ μὲν σῶμα τῆς ἀρτηρίας, ἢ σκληρὸν, ἢ μαλακὸν εἰπὲ πρώτως
E καὶ μάλιστα. τὸν δ' ὅπως ἔχει τοῦτο δηλοῦντα σφυγμὸν, οὐ κυρίως μὲν, οὐδὲ πρώτως ἔτι. κατὰ συμβεβηκὸς δ' ἐξέσται σοι καλεῖν σκληρὸν, ἢ μαλακόν. εἴτε γὰρ ἡ κίνησις αὐτὴ τῶν ἀρτηριῶν ὁ σφυγμός ἐστι, οὐκ ἄν τις εἴποι κυρίως ὀνομάζων σκληρὰν κίνησιν, εἴθ' ἡ ἀπ' αὐτῆς πληγὴ κατὰ τὴν ἡμετέραν ἁφὴν. εἴτε ἡ τῆς πληγῆς αἴσθησις, οὐδὲν, οὐδὲ τοῦτο λέγεται κυρίως, οὐδὲ πρώτως σκληρὸν, ἀλλὰ παρονομάζεται δηλονότι τοῦ σκληροῦ σώματος ὁ σκληρὸς σφυγμός. ἐκεῖνο δὲ μόνον, οὐκ ἄλλῳ τινὶ παρονομάζοντες, οὔτε κατὰ συμβεβηκὸς, οὔτε μεταφέροντες, ἢ καταχρώμενοι, προσαγορεύομεν σκληρὸν, ἀλλὰ κυρίως τε καὶ πρώτως. ὅταν
F οὖν τις σκληρὸν σφυγμὸν, ἢ κατὰ τὴν τοῦ πνεύματος λέγῃ ποιότητα φαίνεσθαι τοιοῦτον, ἢ καὶ κατὰ τὴν ἰδιότητα τῆς θερμότητος, ἢ κατὰ ἄλλο τι τῶν λαληθῆναι μὲν δυναμένων, διδαχθῆναι δὲ ἀδυνάτων, οὐκ ἀνεξόμεθα τοῦ τὰ τοιαῦτα δηλονότι ληροῦντός τε καὶ περιλαλοῦντος. ὥσπερ οὐδ' Ἀρχιγένης ἔν τε τῷ περὶ σφυγμῶν αὐτοῦ γράμματι, κἀν τῷ δευτέρῳ τῆς τοῦ πυρετοῦ σημειώσεως.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΦΟΡΑΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Δ'.

GALENI DE PVLSVVM DIFFERENTIIS LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Δ' ΒΙΒΛΙΩι.

Τοὺς τῶν παλαιῶν τε, καὶ τῶν προεστηκότων τοῖς τῶν ἰδίων αἱρέσεων δόγμασιν ὁρισμοὺς ἐξελέγχεται, οἷς ἐνόμιζε τὴν τοῦ σφυγμοῦ ἔννοιαν παρέχειν.

ARGVMENTVM LIBRI QVARTI.

Refelluntur veterum definitiones quibus vnusquisque secta propria placitis adhærens, pulsuum se notitiam tradere opinabatur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Διότι ἀναγκάζηται ὁ Γαληνὸς τοῖς πνευματικοῖς ἀντιφλυαρεῖν, καὶ τί κυρίως ἐστὶν ὁ σφυγμός.

ΕΙΡΗΤΑΙ μοι καὶ κατὰ τὴν ἀρχὴν εὐθέως τοῦ δευτέρου γράμματος, ὅσον εἰς τὰ τῆς τέχνης ἔργα χρήσιμον ἐν τῷ πρώτῳ πεπλήρωται βιβλίῳ. καὶ γὰρ ὁπόσον ἐστὶ τὸ πᾶν πλῆθος τῶν σφυγμῶν, ἐδείχθη· καὶ τὰς προσηγορίας, ὅσαι γέ εἰσι προσηγορίαι, διῆλθον μέν· ἠξίωσά τε τὸν βουλόμενον τοῦ ἐπὶ τὸ χρήσιμον ἰέναι τῆς θεωρίας, τὴν περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν πραγματείαν, ἐφεξῆς τῇδε γεγραμμένην ἐν τέτταρσι βιβλίοις ἀναλεξάμενον, εἶτ' ἐπ' ἐκείνῃ τὴν περὶ τῶν αἰτίων ἐν τέτταρσιν ἄλλοις. οὕτως ἐπὶ τὴν ἐξ αὐτῶν ἡμῖν γινομένην ἀφικνεῖσθαι πρόγνωσιν, γεγραμμένην καὶ αὐτὴν ἐν τέτταρσιν ἄλλοις βιβλίοις. τὰ δὲ μετὰ τὸ πρῶτον ἐν τῇδε τῇ πραγματείᾳ τῇ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν εἰρημένα, καθάπερ καὶ ταυτὶ τὰ νῦν γραφησόμενα, διὰ τὴν περίεργον φλυαρίαν τῶν νεωτέρων ἰατρῶν εἴρηται, δεηθέντων τινῶν ἑταίρων, καίτοι γ' ἀντιτείνοντος αὐτοῖς ἐμοῦ μέχρι πολλοῦ. βέλτιον γὰρ ἐνόμιζον εἶναι μηδόλως ἄχρηστα γράφειν, καὶ περιττά, μήθ' ἑκόντα, μήτ' ἄκοντα τοῖς φλυαροῦσιν ἀντιφλυαρεῖν. ἀλλὰ γὰρ ὄντως ἀφόρητόν ἐστιν ἐνίων τὸ θράσος, ἀγνοούντων μὲν ὁπόσας ἀπορίας ἔχει τὰ κατὰ τοὺς ὁρισμούς, προχείρως δὲ ὁριζομένων, οὐ τοὺς σφυγμοὺς μόνον, ἀλλὰ καὶ τἄλλα ξύμπαντα. καίτοι γε οὐδεμιᾶς χρείας οὔσης τῶν ὅρων, ὅταν καὶ πρὸ ἐκείνων σαφῶς νοῆται τὰ πράγματα, καθάπερ ἐπὶ τῆς τοῦ σφυγμοῦ προσηγορίας, ἣν οὐ μόνον ἰατροὶ νοοῦσιν, ἀλλὰ καὶ πάντες ἄνθρωποι. ὅταν γοῦν ἐκτείνοντες τὴν χεῖρα προΐσχωσιν αὐτοῖς τὸν καρπόν, ἅψασθαι κελεύοντες τοῦ σφυγμοῦ τὸν ἰατρόν, ἆρ' οὕτως αὐτοὺς οἰηθῶμεν χρὴ λέγειν

CAPVT PRIMVM.

Quid Galenum coëgerit cum Pneumaticorum nugis pugnare ac quid propriè sit pulsus.

QVANTVM ad artis opera complexus sit vtilitatis primus liber, diximus initio statim secundi libri. Etenim quantus sit vniuersus numerus pulsuum, declarauimus: atque appellationes, quatenus quidem appellationes sunt, recensuimus; iussitque illi, qui ad commentationis huius voluerit commoditatem aspirare, opus reuoluere de pulsibus dignoscendis, quod secundùm hoc quatuor libris est explicatum: ab illo, de causis lucubrationem quatuor libris: denique ad præsagitionem ex iis institutam pergere, quæ quatuor etiam libris continetur. Nam quæ in hoc opere de differentiis pulsuum à primo libro disputaui, & hercle, quæ nunc institui scribere, propter recentiorum medicorum inanem loquacitatem disserui, amicorum, quibus equidem multum reluctatus sum, precibus, adductus. Satius enim statuebam esse nequaquam inania, & superuacanea attingere, nec volentem nolentem cum nugatoribus pugnare nugis: sed enim quidam audacia sunt intoleranda: qui nescij quum sint, quantum in definiendo insit difficultatis, temerè tamen definiunt non pulsus tantum, sed alia cuncta, tametsi definitionum sit nullus vsus, vbi res ipsæ & ante definitiones intelliguntur vt in pulsus nomine, quod intelligunt etiam omnes mortales, nedum medici. Nam vbi manum protendentes iis porrigunt carpum, medicosque iubent pulsum tangere, est verò tum arbitrandum pulsus

pulsus eos nomen vsurpare, vt si σκινδαψὸν dicerent, aut rem aliquam designantes, eam vocem proferrent? Equidem rectiùs dixerim, rem eos certam intelligere, illique assignare nomen pulsus. Vtrum iam ita proferunt pulsum, vt Hippocentaurum, & Sirenas, vel Scyllam: an rei certæ, quæ extat, nomen tribuunt? Rectius est hic quoque dicendum, si quid sentio, certæ rei, quæ reperiatur, eos attribuere nomen pulsus: atque hanc rem esse arteriarum motum: quas quidem moueri omnibus hominibus, dum viuunt, conspiciunt omni in parte corporis, vbi certè insunt. Iam in partibus etiam inflammatis pulsum quendam se aiunt animaduertere: ad hæc tempora pulsare per febres vrentes, & à potu meri largiore, præterea in quibusdam doloribus capitis, maximè à solis ardore profectis. Quæ quum sibi inuicem declarant, non requirunt multa verba, quibus scatent iuniorum medicorum libri cum præclaris istis confutationibus, quas inuicem instituunt de definitione pulsus, & de singulis eius differentiis, vt vehemente, magno, pleno æquali, ordinato, & reliquis: de quibus amplius in illis disputaui commentariis, quibus enarro pariter, & examino Archigenis de pulsibus librum: quando etiam cum aliis medicis iunioribus hunc virum, amoris definitionum morbus est depastus, vt nouam in re noua vocem vsurpem. Etsi isto malo Archigenes esset indignus, in colenda arte vir non ignauus. Sed vt psora, & lippitudine, qui propiùs accedunt, quidam corripiuntur inuiti, sic ad istas definitionum nugas vir ille illectus est, tametsi ad artem colendam præter cæteros ille contenderet. Quòd ergo, quæ maximè ignorant, hæc affectant, breui illis ostendo, iubeóque, vt nomen quorumlibet ponant. Deinde, vbi hæc egerint, versiculorum ab iis numerum requiro, quanto velint interuallo percurrere definitionem eius, qua de re agitur. Sanè quanquam mirè stupidi sunt, pungit hoc tamen illos specimen. Nam hæc si de omnibus perinde dicamus, singulis de nominibus, singuli libri conscribi possint: sint porrò versiculi amplius mille. At nunc indignam rem videar subiisse, qui inducar, quo illorum inanes nugas detegam, de pulsibus mihi aliquid proponere.

τοῦ σφυγμοῦ τὴν προσηγορίαν, ὡς εἰ καὶ σκινδαψὸν εἶπον, ἢ πρᾶγμά τι σημαίνοντες, ἐφθέγξαντο τὴν φωνὴν τήνδε; δοκεῖ μοι βέλτιον εἶναι φάναι, νοοῦντάς τι πρᾶγμα, κατ' ἐκείνου τίθεσθαι τοὔνομα τοῦ σφυγμοῦ. πότερον οὖν οὕτω λέγουσι τὸν σφυγμὸν, ὡς τὸν ἱπποκένταυρον καὶ τὰς Σειρῆνας, ἢ τὴν Σκύλλαν, ἢ κατά τινος πράγματος ὑπάρχοντος ἐπιφέρουσι τοὔνομα; ἐμοὶ μὲν κἀνταῦθα βέλτιον εἶναι δοκεῖ φάναι, κατά τινος ὑπάρχοντος πράγματος ὑπ' αὐτῶν λέγεσθαι τὸ τοῦ σφυγμοῦ ὄνομα. καὶ τοῦτ' εἶναι τὸ πρᾶγμα, τὴν κίνησιν τῶν ἀρτηριῶν, ἣν ὁρῶνται κινουμένην δι' ὅλου τοῦ βίου πᾶσιν ἀνθρώποις, ἐν ἅπαντι μορίῳ τοῦ σώματος, ἔνθα περ ἂν οὖσαι τύχωσι· καὶ μέντοι, καὶ κατὰ τὰ φλεγμαίνοντα μόρια, σφυγμοῦ τινος αἰσθάνεσθαί φασι. καὶ κροτάφων σφυζόντων, ἔν τε πυρετοῖς διαπύροις, καὶ πλέονος ἀκράτου πόσει, καὶ κεφαλαλγίαις τισί, καὶ μάλιστα ταῖς ἐξ ἐγκαύσεως ἡλίου. καὶ ταῦτα ἀλλήλοις ἑρμηνεύοντες, οὐ δέονται μακρῶν λόγων, ὧν ἐπλήρωσαν οἱ νεώτεροι τῶν ἰατρῶν τὰ βιβλία, μετὰ τῶν θαυμαστῶν ἀντιλογιῶν, ὧν πρὸς ἀλλήλους ποιοῦνται, περί τε τοῦ κατ' αὐτὸν τὸν σφυγμὸν ὅρου, καὶ τῶν ἐν μέρει διαφορῶν αὐτοῦ πασῶν. οἷον τοῦ σφοδροῦ, καὶ μεγάλου, καὶ πλήρους, ὁμαλοῦ τε, καὶ τεταγμένου, καὶ τῶν ἄλλων ὑπὲρ ὧν ἐπὶ πλέον εἴρηται δι' ἐκείνων τῶν ὑπομνημάτων, ἐν οἷς ἐξηγοῦμαί τε ἅμα, καὶ κρίνω τὸ περὶ σφυγμῶν Ἀρχιγένους βιβλίον, ἐπεὶ καὶ τοῦτον τὸν ἄνδρα σὺν τοῖς ἄλλοις ἰατροῖς τοῖς νεωτέροις, τὸ τῆς φιλορισίας ἐπενείματο νόσημα. καινὴν γὰρ ἐγὼ τήνδε τὴν προσηγορίαν ἐπὶ τῷ καινῷ πράγματι τέθειμαι. καίτοι γε οὐκ ἦν ἄξιος Ἀρχιγένης παθεῖν τοῦτο τὸ κακὸν, οὐκ ἀμελῶς ἐσχηκὼς ἀνὴρ περὶ τὰ τῆς τέχνης ἔργα, ἀλλ' ὥσπερ ψώρας, καὶ ὀφθαλμίας ἀπολαύουσιν ἔνιοι τῶν πλησιαζόντων ἄκοντες, οὕτω καὶ ὁ ἀνὴρ οὗτος εἰς τὴν περὶ τῶν ὁρισμῶν φλυαρίαν ὑπεσύρη. καίτοι μᾶλλον τῶν ἄλλων ἀντιποιούμενος τῶν ἔργων τῆς τέχνης. ὅτι τοίνυν ὧν μάλιστα ἀγνοοῦσι, τούτων ἐφίενται, δείκνυμι διὰ συντόμων αὐτοῖς, ἀξιῶν ὧν βούλονται προβάλλειν ὄνομα. ἐπειδὰν δὲ τοῦτο πράξωσι, κελεύων αὖθις ἀριθμὸν ἐπῶν εἰπεῖν, ἐν ὁπόσῳ βούλονται μέτρῳ, ἐλθεῖν ὑπὲρ τοῦ κατὰ τὸ προβληθὲν ὁρισμοῦ. τιτρώσκονται γὰρ ἐκ τῆς τοιαύτης ἐπιδείξεως. καίτοι γε ἀναισθησίας ἐπιπλέον ἥκοντες. ὡς γὰρ, ἐγχωρεῖ μὲν ὑπὲρ ἑκάστου τῶν ὀνομάτων ἓν ὅλον ποιεῖσθαι βιβλίον, ἔσται δὲ ἔπη πλείω τῶν χιλίων. ταῦτα περὶ πάντων ἡμῶν ὁμοίως διερχομένων, ἀλλὰ νῦν γε δεινὸν ἔοικα πείθεσθαι, προβάλλειν ἀναγκαζόμενος ἐμαυτῷ τι τῶν κατὰ τοὺς σφυγμοὺς, εἰς ἐπίδειξιν αὐτῶν τῆς ματαίας φλυαρίας.

CAPVT II.

Quàm variæ extiterint pulsus definitiones à veteribus traditæ, ac de ratione veræ definitionis inueniendæ.

SIt ergo hoc ipsum primum atque clarissimum pulsus: in quo si demonstrem, in quam inciderunt loquacitatem, simul de aliis apertus erit sermo. Pulsum igitur motum definiuerunt arteriarum esse. In quos disputantes aliqui, primùm peccatum esse in definitione contendunt, quòd præteritum sit, & cordis; nam in hunc modum definire oportebat; Pulsus est arteriarum & cordis motus. Alij non cordis aiunt, sed arteriosæ cordis partis addendum esse, vt hæc sit definitio: Pulsus est arteriarum motus, & ventriculi in corde arteriosi. Aut hercle sic;

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὡς διάφοροι ὑπάρχουσιν οἱ τοῦ σφυγμοῦ ὅροι ὑπὸ τῶν παλαιῶν ἀποτιθέμενοι, καὶ περὶ τρόπου τοῦ εὑρίσκειν τὸν ἀληθῆ ὅρον.

ΕΣτω δὴ τοῦτ' αὐτὸ τὸ πρῶτον καὶ σαφέστατον, ὁ σφυγμός. εἰ γὰρ ἐπὶ τούτου δείξαιμι, πόσην ἐποιήσαντο ματαιολογίαν, οὐδὲ περὶ τῶν ἄλλων ἔτ' ἄδηλος ὁ λόγος μένει. τὸν γοῦν σφυγμὸν κίνησιν ἀρτηριῶν ὡρίσαντό τινες, οἷς ἀντιλέγοντες ἔνιοι, πρῶτον μὲν ἡμαρτῆσθαι τὸν ὅρον ἔφασαν. ἐπεὶ παραλέλειπται τὸ, καὶ τῆς καρδίας. ἐχρῆν γὰρ οὕτως ὁρίσασθαι. σφυγμός ἐστιν ἀρτηριῶν, καὶ καρδίας κίνησις, ἔνιοι δὲ, οὐ καρδίας φασὶ δεῖν, ἀλλὰ τοῦ τῆς καρδίας ἀρτηριώδους μέρους προσθεῖναι, ὡς γίνεσθαι τὸν ὅρον τοιοῦτον, σφυγμός ἐστι κίνησις ἀρτηριῶν καὶ τῆς κατὰ τὴν καρδίαν ἀρτηριώδους κοιλίας. ἢ νὴ Δί' οὕτως.

σφυγμός ἐστι κίνησις ἀρτηριῶν, καὶ τῆς ἀρτηριώδους κοιλίας τῆς καρδίας. οἷς αὖθις ἕτεροι μεμφόμενοι, κακῶς εἰρῆσθαί φασι τὸν σφυγμὸν κίνησιν ἁπλῶς. εἶναι γὰρ καὶ ἄλλας κινήσεις ἀρτηριῶν, καὶ καρδίας, οἷον τήν τε πεπτικὴν τοῦ περιεχομένου κατ' αὐτὰς αἵματος, ἑλκτικήν τε τούτου, καὶ προσθετικὴν ἀποκριτικήν τε τῶν περιττωμάτων. ἐχρῆν οὖν, φασὶ, προσκεῖσθαι τῷ ὅρῳ, τὸ τῆς τῶν σφυγμῶν κινήσεως εἶδος, ἵν' ἴδιος αὐτῶν ᾖ, καὶ μὴ πολλῶν κινήσεων κοινός, καὶ τοίνυν αὐτοὶ τὸν ὅρον ἐποιήσαντο τοιόνδε. σφυγμός ἐστιν ἀρτηριῶν, καὶ καρδίας διαστολή τε καὶ συστολή, καὶ δηλονότι, καὶ τούτου πάλιν αὐτοῦ τοῦ ὅρου τοσαῦται γεγόνασιν ἐπανορθώσεις, ὅσαι τοῦ πρόσθεν. ἐνίων μὲν αὐτῷ προστιθέντων, καὶ τὸ τῆς καρδίας, ἐνίων δ' οὐχ ἁπλῶς καρδίας, ἀλλὰ τοῦ κατ' αὐτὴν ἀρτηριώδους μέρους, ἐνίων δὲ τῆς ἀρτηριώδους κοιλίας τῆς ἀριστερᾶς. εἰσὶ γὰρ οἱ καὶ τοῦτο προσέθεσαν, ὡς γίνεσθαι τοὺς ὅρους τοσούτους. σφυγμός ἐστιν ἀρτηριῶν καὶ καρδίας, διαστολή τε καὶ συστολή. σφυγμός ἐστιν ἀρτηριῶν, καὶ τοῦ τῆς καρδίας ἀρτηριώδους μέρους διαστολή τε καὶ συστολή. σφυγμός ἐστιν ἀρτηριῶν, καὶ τῆς ἀρτηριώδους κοιλίας τῆς καρδίας, διαστολή τε καὶ συστολή. πολεμοῦσι δὲ τούτοις ἅπασιν, ἕτερος χορὸς ἀνδρῶν, οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰς μήνιγγας σφύζειν λέγοντες. ἔνιοι δὲ, καὶ τὸν ἐγκέφαλον. ἄλλοι δὲ ἀμφότερον. τινὲς δὲ, πρώτως μὲν τὸν ἐγκέφαλον. κατὰ συμβεβηκὸς δὲ, τὰς μήνιγγας. ἄλλοι δὲ αὖ πάλιν, οὔτε τὰς μήνιγγας, οὔτε τὸν ἐγκέφαλον ἡγοῦνται σφύζειν πρώτως. ἀλλὰ ταῖς μὲν ἀρτηρίαις ὑπάρχειν τοῦτο, κατὰ συμβεβηκὸς δ' ἐκείνοις. συνεξαίρεσθαι γὰρ αὐτὰ, ταῖς ἐν αὐτοῖς ἀρτηρίαις φασὶ, παμπόλλαις οὔσαις. εἰ μὲν οὖν συνεξαίρεται μόνον, οὐδεμίαν αὐτὰ δύναμιν ἔχοντα τῆς προειρημένης τοιαύτης κινήσεως, οὐδὲν ἔτι δεήσει προστιθέναι τοῖς προειρημένοις ὅροις. εἰ δ' ἔχει τινὰ δύναμιν οἰκείαν ὁμοίαν ταῖς ἀρτηρίαις, ἀναγκαῖον ἔσται μνημονεύειν κατὰ τὸν ὅρον, ἐγκεφάλου καὶ μηνίγγων. ὡς γίνεσθαι τὸν ὅλον ὁρισμὸν τοιόνδε, σφυγμός ἐστι, διαστολὴ καὶ συστολὴ καρδίας, καὶ ἀρτηριῶν ἐγκεφάλου τε καὶ μηνίγγων. εἰ δὲ τὸ ἕτερον αὐτῶν μόνον, ἔχει τὴν τοιαύτην δύναμιν, ἐκείνου μόνου μνημονεύσωμεν, ἤτοι γ' οὕτω ποιοῦντες τὸν ὅρον. σφυγμός ἐστι, διαστολὴ καὶ συστολὴ καρδίας, καὶ ἀρτηριῶν, καὶ μηνίγγων, ἢ οὕτω. σφυγμός ἐστι, διαστολὴ καὶ συστολὴ καρδίας, καὶ ἀρτηριῶν, καὶ ἐγκεφάλου. καὶ καθ' ἕκαστον γένος τῶν ἔμπροσθεν εἰρημένων ὅρων, ὁμοία προσθήκη γενήσεται. τινὲς μὲν γὰρ, ὡς ἔφην, ἠρκέσθησαν εἰπεῖν. σφυγμός ἐστι, διαστολὴ καὶ συστολὴ καρδίας, καὶ ἀρτηριῶν. ἔνιοι δὲ, οὐχ ἁπλῶς οὕτως, ἀλλ' ἤτοι τῆς ἀρτηριώδους ἐν τῇ καρδίᾳ κοιλίας, ἢ τῆς ἀριστερᾶς, ἢ τοῦ μέρους αὐτῆς τοῦ ἀρτηριώδους προσέθεσαν. ἑκάστου δὴ τούτων τῶν ὅρων, οἱ μὲν ἐγκέφαλον, οἱ δὲ μήνιγγας, οἱ δ' ἀμφότερα προσθήσουσι καὶ γενήσεται πλῆθος ὅρων οὐκ ὀλίγων. ἠμφισβήτηται δὲ οὐδὲν ἧττον αὐτοῖς, καὶ περὶ τῶν τῆς καρδίας κοιλιῶν. ἔνιοι γὰρ ἡγοῦνται μὴ σφύζειν τὴν δεξιάν. εἰσὶ δὲ, οἳ σφύζειν μὲν, οὐ μὴν πρώτως, οὐδὲ δι' αὑτὴν, ἀλλὰ τῇ πνευματικῇ καλουμένῃ συγκινουμένην, ὥσθ' ὅσοι τῆς ἀριστερᾶς κοιλίας τῆς καρδίας, ἢ τῆς ἀρτηριώδους, ἢ ὁπωσοῦν ἄλλως ὀνομάζοντες μνημονεύουσι διενεχθήσονται τοῖς καὶ τὴν δεξιὰν ἡγουμένοις σφύζειν. ἔτι δὲ μείζων ἄλλη διαφορὰ τοῖς ἰατροῖς ἐκ παλαιοῦ, περὶ τῶν ἀρτηριῶν ἐγένετο. τινῶν μὲν ἡγουμένων αὐτὰς ἐξ ἑαυτῶν σφύζειν, σύμφυτον ἐχούσας ὁμοίως τῇ καρδίᾳ τὴν τοιαύτην δύναμιν, ὧν ἐστι καὶ ὁ Πραξαγόρας. ἐνίων δὲ σφύζειν μὲν αὐτὰς, τοῦ χιτῶνος αὐτῶν διαστελλομένου τε καὶ συστελλομένου, καθάπερ ἡ καρδία, τὴν δύναμιν δὲ οὐκ ἐχουσῶν σύμφυτον ᾗ τοῦτο δρῶσιν, ἀλλὰ παρὰ καρδίας λαμβανουσῶν. ἧς γνώμης ἔχεται, καὶ Ἡρόφιλος. Ἐρασι

Pulsus est arteriarum motus, & arteriosi ventriculi cordis. Quos rursus insimulant alij, qui volunt malè dictum esse, pulsum esse motum absolutè, esse scilicet præterea arteriarum alios motus & cordis; vt qui concoquit sanguinem in illis contentum, & attrahit eum apponítque, præterea qui excernit recrementa; quare definitioni adijciendum fuisse speciem arteriarum motus: vt propria illorum & non multorum motuum sit communis. Itaque hanc ipsi definitionem instituerūt; Pulsus est arteriarum & cordis distentio atq; contractio. Cuius quidem etiam definitionis tot fuerunt correctiones, quot superioris; quum ei quidam adiungerent cordis; alij non simpliciter cordis, sed arteriosæ partis cordis; nonnulli arteriosi ventriculi; alij sinistri ventriculi; sunt enim qui & hoc annectant vt tot existant definitiones. Pulsus est arteriarum, & cordis distentio contractióque. Pulsus est arteriarum, & cordis arteriosæ partis distentio ac contractio. Pulsus est arteriarum arteriosique ventriculi cordis distentio, & contractio. Pulsus est arteriarum & sinistri ventriculi cordis distentio contractióque. Iam cum omnibus his bellum est, alij virorum cateruæ, qui non tantùm hæc, sed & membranas cerebri confirmant pulsare; sunt qui etiam cerebrum; alij vtraque; aliqui præcipuè cerebrum, membranas per accidens. Contra alij nec membranas censent, nec cerebrum pulsare præcipuè, cæterùm ad arterias hoc pertinere, atque per accidens ad illa; nam attolli illa vnà cum arterijs aiunt, quas habent plurimas. Quamobrem si cum illis tantùm attolluntur, nullam ipsa obtinentia facultatem eius quem commemorauimus motus, nihil superiores definitiones amplius accessionis desiderant. Quòd siquam vt arteriæ, obtinēt facultatem peculiarem, cerebri & eius mēbranarum in definitione erit necessaria mentio, atque tota definitio hæc erit; Pulsus est distentio & contractio cordis & arteriarum atq; cerebri & eius membranarum. Sin autem alterum modò illorū ea est facultate, eius faciemus vnius mentionem atque vel hunc in modum definiemus, Pulsus est distentio & contractio cordis & arteriarum, atq; membranarum; vel sic: Pulsus est distentio & contractio cordis arteriarum, cerebrique. Ac similis vnoquoque in genere commemoratarum definitionum accessio fiet; nam quibusdā satis, vt dixi, fuit dixisse, Pulsus est distētio & contractio cordis & arteriarum; quidam non ita absolutè, sed vel arteriosi cordis ventriculi, vel sinistri, vel partis arteriosæ eius adiecerunt. Iam cuilibet harum definitionum, hi cerebrum, illi meningas; alij vtrunque adiungent, existétque definitionum numerus nō paucarum. At verò de cordis ventriculis est nō minor illis disceptatio, quia aliqui dextrum non arbitrantur pulsare, alij pulsare quidem, at non primò & sua sponte sed vnà cum illo qui spiritualis vocatur moueri. Proinde qui sinistri vētriculi cordis, aut arteriosi, aut quoquo modo aliter appellent, fecerint mentionem, ab illis hi dissidebunt, qui etiam putant dextrum pulsare. Alia præterea maior dissensio medicis iam olim de arterijs fuit, nam eas quidam sua spōte dicebant pulsare, ingenita præditas, perinde ac cor, ea vi: de quorum numero est Praxagoras. Alij pulsare quidem; nam ipsam distendi tunicam earum, contrahíque non secus ac cor; sed facultatem non habere, qua hoc agunt innatam, sed cordi referre acceptam; in qua opinione Herophilus est. Erasistratus

sistratus neutrum probat: contendit enim pulsare contrà, ac cor, arterias, illud quum distenditur, repleri eo quod consequitur ad vacuatum; arterias, quum replentur, distendi; repleri autem immisso à corde dicunt spiritu. Simul itaque fieri vtranque est necesse, distentionem & repletionem earum, verùm alteram antecedere alteri rationem causæ obtinentem, in corde distentionem, repletionem in arteriis; vt cernitur & in externis rebus. Folles fabrorum, quia distenduntur, proinde replentur; sacci, culei, vtres, quod impleantur, idcirco distenduntur. Quare definitio quæ totam rei essentiam est ob oculos positura; nihil debet eorum quæ illi præcipua sunt & propria maximè, omittere. Sed quandoquidem controuersia de essentia est, necessariò sua erit cuique sectæ definitio; proinde est Erasistrati discipulis ita definiendum, vt Erasistrati peculiare placitum ac dogma in pulsuum essentia simul appareat; Herophili asseclis, vt peculiare Herophili; aliisque similiter omnibus definitio sigillatim efficienda est suo placito constans; ac verò iam hoc ipsum qui sciat, est illorum propè nemo. Atque est operæpretium magis scire, definitionum esse genera duo prima; alterum quod planè rei notionem explicat; quam qui ponunt rei nomen habent; alterum vt dictum est, quod docet essentiam. Virtus est sua vtrique definitioni; illi quæ notionem explicat, vt omnibus probetur, qui eadem vtuntur lingua, nec ad rei essentiam aspiret; huic quæ essentiam docet, vt ei quæ notionem subiicit, consentiat; non sit tamen eadem cum ea; Itaque hoc tibi primum sit indicium hominum inanium & vanorum, vbi eos rei propositæ afferre vnam definitionem audias. Nam sunt in quibus non iam duas, sed tres præstat, vel quatuor facere; Primam quæ eiusdem linguæ omnibus hominibus probetur, quæ quidem de rei essentia nihil statuit, sed in nuda quiescit notione; alteram iam quæ aliquantum recedat à notione, atque nonnihil accedat ad essentiam; ad hæc tertiam, quæ amplius cùm de notione, tum de essentia ostendat ac aperiat; postremò quartam, quæ doceat totam essentiam. Atque hanc quidem ostendendum est ad tertiam referri, quam rursus ad secundam, atque illam quoque ad primam. Prima verò debet ex se ipsa habere fidem, res perspicuas explicans, manifestásque. Vnde definitionem eam Aristoteles nominis appellauit, vt si definitionem diceret nomen interpretantem; alteram definitionem (quidam essentialem vocauerunt) definitionem dicit esse quæ quid sit, explanat: nam quæ sit cuiusque definiti essentia, hâc dicit docere; propria verò accidentia eius, vnà complecti definitionem notionis. Putat aliam prætereà esse definitionem quæ essentiam rei doceat. Sed quid orationem produco tantis de rebus, quæ commentaria flagitauerunt duo; quæ in Aristotelis librum secundum conscripsi posteriorum analyticorum? In ipso tibi pulsu hæc faciam, vt sigillatim, quàm potero breuissimè, ob oculos ponam; qui verò versatus exercitatúsque priùs est in illis commentariis, faciliùs quæ paro dicere assequetur. Quibusdam in partibus cutis percipimus motum quendam, non modò si attingamus, sed interim oculis etiam. Hic in omnibus

A στράτῳ δὲ οὐδέτερον ἀρέσκει· βούλεται γὰρ ἔμπαλιν τῇ καρδίᾳ, τὰς ἀρτηρίας σφύζειν. ἐκείνης μὲν, ὅτε διαστέλλεται πληρουμένης τῇ πρὸς τὸ κενούμενον ἀκολουθίᾳ. τῶν δὲ ἀρτηριῶν, ὅτε πληροῦνται διαστελλομένων, πληροῦσθαι δὲ αὐτὰς τοῦ παρὰ καρδίας ἐπιπεμπομένου πνεύματός φησιν. ἅμα μὲν οὖν ἀναγκαῖόν ἐστιν ἀμφότερα γίνεσθαι τήν τε διαστολὴν, καὶ τὴν πλήρωσιν αὐτῶν, ἡγεῖσθαι δὲ τὸ ἕτερον θατέρου λόγον αἰτίας ἔχον. ἐν μὲν τῇ καρδίᾳ τὴν διαστολὴν, ἐν δὲ ταῖς ἀρτηρίαις τὴν πλήρωσιν, ὥσπερ ὁρᾶται κἀπὶ τῶν ἐκτός. αἱ μὲν γὰρ τῶν χαλκέων φῦσαι, διότι διαστέλλονται, διὰ τοῦτο πληροῦνται. B οἱ σάκκοι δὲ, καὶ οἱ θύλακοι, καὶ οἱ ἀσκοὶ, διότι πληροῦνται, διὰ τοῦτο διαστέλλονται. τὸν ὁρισμὸν οὖν εἴπερ ὅλην τὴν οὐσίαν ἀκριβῶς τοῦ πράγματος μέλλει δηλώσειν, οὐδὲν αὐτῆς τῶν κυριωτάτων παραλείπειν προσήκει. τῆς δ' οὐσίας ἀμφισβητουμένης, ἀναγκαῖον ἔσται καθ' ἑκάστην αἵρεσιν, ἴδιον ὁρισμὸν γίνεσθαι· ὥστε τοῖς Ἐρασιστρατείοις, οὕτως ὁριστέον ἐστὶν, ὡς ἐνδείκνυσθαι τὸ ἴδιον τὸ Ἐρασιστράτου δόγμα περὶ τὴν τῶν σφυγμῶν οὐσίας· τοῖς δ' Ἡροφιλείοις, ὡς τὸ ἴδιον Ἡροφίλῳ, καὶ τοῖς ἄλλοις ἅπασιν ὡσαύτως, οἰκεῖον ἑκάστοις ἐστὶν ὅρον ποιητέον τῷ σφετέρῳ δόγματι. τοῦτο δ' εὐθέως αὐτὸ, οὐδεὶς σχεδὸν αὐτῶν ἐπίσταται, καὶ τούτου γ' ἔτι μᾶλλον ἀναγκαῖον ἐγνῶσθαι, C δύο γένη τὰ πρῶτα τῶν ὁρισμῶν εἶναι, τὸ μὲν ἕτερον ἐξηγούμενον σαφῶς τὴν τοῦ πράγματος ἔννοιαν, ἣν ἔχουσιν οἱ ὀνομάζοντες αὐτὸ, τὸ δ' ἕτερον, ὡς εἴρηται, τὸ τὴν οὐσίαν διδάσκον. ἀρετὴ δ' ἑκατέρου τῶν ὅρων ἰδία. τοῦ μὲν τὴν ἔννοιαν ἑρμηνεύοντος ὁμολογεῖσθαί τε πᾶσι τοῖς ὁμοφώνοις, καὶ μὴ προσάπτεσθαι τῆς οὐσίας τοῦ πράγματος. τοῦ δὲ τὴν οὐσίαν διδάσκοντος, ὁμολογεῖν μὲν τῷ κατὰ τὴν ἔννοιαν, ἕτερον δὲ ὑπάρχειν αὐτοῦ. πρῶτον οὖν τοῦτό σοι γιγνέσθω γνώρισμα τῶν εἰκῆ φλυαρούντων, ὅταν ἕνα τοῦ προκειμένου πράγματος ἀκούσῃς αὐτῶν λεγόντων ὅρον. ἐπί τινων μὲν γὰρ, οὐ δύο μόνον, ἀλλὰ καὶ τρεῖς, καὶ D τέτταρας, ἄμεινόν ἐστι ποιεῖσθαι. πρῶτον μὲν τὸν ὁμολογούμενον ἅπασι τοῖς ὁμοφώνοις, ὅστις οὐδὲν ἀποφαίνεται περὶ τῆς τοῦ πράγματος οὐσίας, ἐπὶ ψιλῆς κειμένων τῆς ἐννοίας. ἕτερον δ' ἀπ' αὐτοῦ, βραχὺ μέντοι τῆς ἐννοίας ἀποχωροῦντα, βραχὺ δέ τι καὶ τῆς οὐσίας ἐφαπτόμενον. καὶ τρίτον ἐπὶ τῷδε, πλέον μὲν ἤδη τῆς ἐννοίας, πλέον δὲ καὶ τῆς οὐσίας ἑρμηνεύοντα, καὶ τέταρτον ἐπ' αὐτοῖς, τὸν τὴν οὐσίαν ὅλην διδάσκοντα. τοῦτον μὲν οὖν δείκνυσθαι δεῖ, τὴν ἀναφορὰν ἐπὶ τὸν τρίτον ἔχοντα. τοῦτον δ' αὖ πάλιν, ἐπὶ τὸν δεύτερον, κἀκεῖνον αὖθις, ἐπὶ τὸν πρῶτον. αὐτὸν δὲ τὸν πρῶτον ἐξ αὑτοῦ πιστεύεσθαι, φαινομένων ἐναργῶς πραγμάτων ἑρμηνείαν E ἔχοντα. διὸ καὶ λόγον αὐτὸν ὀνοματώδη κέκληκεν ὁ Ἀριστοτέλης, ὡς εἰ καὶ λόγον ὀνόματος ἑρμηνευτικὸν εἰρήκει. τὸν δ' ἕτερον ὅρον, οὐσιώδη τινὲς ἐκάλεσαν, λόγον εἶναί φησιν, τὸν, τί ἐστι, δηλοῦντα. τί μὲν γάρ ἐστιν ἕκαστον τῶν ὁριζομένων, τὸ εἶναι τοῦτον ἑρμηνεύειν φησί. τὰ συμβεβηκότα δὲ, ἰδίως αὐτῷ συνδιέρχεσθαι τὸν ἐννοηματικόν. ὑπολαμβάνει δὲ καὶ ἄλλον ὁρισμὸν εἶναι, τὸν καὶ τὴν οὐσίαν τοῦ πράγματος διδάσκοντα. καὶ τί με δεῖ λέγειν μακρότερον ἔτι περὶ τηλικούτων πραγμάτων, ἃ δυοῖν ἐδεήθη βιβλίων, τοῦ τρίτου, καὶ τετάρτου τῶν ὑπομνημάτων, ὧν ἐποιησάμην εἰς τὸ δεύτερον Ἀριστοτέλους τῶν δευτέρων F ἀναλυτικῶν. ἐπ' αὐτοῦ δέ σοι τοῦ σφυγμοῦ πειράσομαι δεῖξαι τούτων ἕκαστον, ὅσον οἷόν τέ μοι διὰ βραχυτάτων· ὅστις δὲ οἷς εἶπον ὑπομνήμασι πρότερον ὡμίλησεν, οὗτος ῥᾷον ἀκολουθήσει τοῖς λεχθησομένοις. αἰσθανόμεθα κατ' ἔνια μόρια τοῦ δέρματος κινήσεώς τινος, οὐ μόνον ἐπιβάλλοντες αὐτῷ τὴν ἁφὴν, ἀλλὰ καὶ τοῖς ὀφθαλμοῖς ἐνίοτε. καὶ ἤδη ἡ κίνησις ἐπὶ πάντων

φαίνεται τῶν ὑγιαινόντων, ἐν πολλοῖς μέρεσι τοῦ σώματος. ὧν ἕν ἐστι, καὶ τὸ κατὰ τὸν καρπὸν τῆς χειρός. ἐναργῶς μὲν οὖν ἀνιόντος τινὸς ἐκ βάθους ἐπὶ τὸ δέρμα, καὶ πλήττοντος ἡμᾶς, αἰσθανόμεθα. μετὰ δὲ τὴν πληγὴν, ἐνίοτε μὲν ἀποχωροῦντος αὐτοῦ σαφῶς. εἶθ' ἡσυχάζοντος, ἐνίοτε δ' εὐθέως ἀπ' ἀρχῆς ἡσυχάζοντος ἔμφασις γίγνεται. καὶ μετὰ ταῦτα πάλιν ἀνιόντος τε, καὶ πλήττοντος, εἶτ' αὖθις ἀπιόντος τε, καὶ ἡσυχάζοντος, καὶ τοῦτο διὰ παντὸς τοιοῦτος, ἀφ' ἧς ἂν ἡμέρας γεννηθῇ τις, ἕως θανάτου. τὴν τοιαύτην κίνησιν οἱ ἄνθρωποι πάντες ὀνομάζουσι σφυγμόν. καὶ ὅς τις ἂν αὐτὴν διὰ ταχέων ἑρμηνεῦσαι δυνηθῇ, κάλλιστα τὸν ἐννοηματικὸν ὅρον ὁ τοιοῦτος ἐργάσεται. μήτε παραλιπὼν δηλονότι, μήτε προσθεὶς ἐκ περιττοῦ παρ' ἃ διῆλθον ἀρτίως. εἰ δέ γέ τι προσθείη, κἂν ᾖ σμικρὸν, εἰ μὲν ἄχρηστον εἴη τὸ προστιθέμενον, ἀδολεσχήσει μάτην, εἰ δὲ χρήσιμον, ἀποχωρήσει κατ' ἐκεῖνο τῆς ἐννοίας, ἐπὶ τὴν οὐσίαν τοῦ πράγματος· οἷον εἰ φαίη τὴν τῶν ἀρτηριῶν τοιάνδε κίνησιν εἶναι σφυγμόν. ὁ γὰρ τοιοῦτος ὅρος, οὐ τὴν κίνησιν μόνον, ἀλλὰ καὶ τίνων ἐστὶν ἑρμηνεύει. καίτοι τῶν ἰδιωτῶν, ὅτι μὲν ἔστι τις ἐν τῷ σώματι τοιάδε κίνησις, ἐναργῶς αἰσθανομένων, ἀγνοούντων δ' αὐτὸ τὸ κινούμενον σῶμα. εἰ δέ τις οὐ μόνον εἶδε τὴν ἀρτηρίαν γυμνώσας τοῦ δέρματος ἁπλῶς οὕτως, καὶ κατὰ τὴν ἔξωθεν αὐτῆς περιγραφὴν, ἀλλὰ καὶ τοὺς χιτῶνας, ὁπόσοι τέ εἰσι καὶ ὁποῖοι, κατεσκέψατο, περαιτέρω προεχώρησεν οὗτος, ἢ κατὰ τὴν ἔννοιαν. ἔτι καὶ μᾶλλον ἐκείνου τοῦ πρόσθεν, ὃς ἔξωθεν αὐτὴν ἑώρα μόνον. εἰ δὲ δὴ καὶ τὴν δύναμιν εὕροι, καθ' ἣν αἱ ἀρτηρίαι σφύζουσι, καὶ πότερον ἐξ ἑαυτῶν ἔχουσι τὴν ἀρχὴν τῆς κινήσεως, ἢ παρὰ τῆς καρδίας· καὶ εἰ παρὰ ταύτης, ὅπως ἆρά γε πνευματικὴν ὕλην ἐπιπεμπούσης κατὰ τὴν ἐντὸς κοιλότητα τῶν ἀγγείων, ἢ δύναμίν τινα διὰ τῶν χιτώνων αὐτῶν, ἔτι τε πρὸς τούτοις, ἥ τις ποτέ ἐστιν ἡ χρεία τῆς κινήσεως αὐτῶν, οὗτος ἀκριβῶς εἴσεται τὴν οὐσίαν ὅλην τῆς τῶν σφυγμῶν γενέσεως. οὐ μὴν ἅπαντά γε ταῦτα δυνατὸν ὅρῳ περιλαβεῖν. οὐ γὰρ βούλονται μακροὺς εἰς τοσοῦτον γίνεσθαι τοὺς ὅρους, οἱ χαίροντες αὐτοῖς. ὥστε οὐδέ ἐστι πᾶς ὅρος σφυγμῶν οὐσιώδης ἀκριβῶς, ἢ πάνυ μακρὸς ἔσται. πρόσκειται δὲ τῷ λόγῳ τὸ ἀκριβῶς, ὅτι τῶν κατὰ τὴν οὐσίαν, ἄλλος ἄλλο προσθέντες ἔνιοι τῶν νεωτέρων ἰατρῶν, οὐσιώδη νομίζουσιν ὅρον εἰρηκέναι τοῦ σφυγμοῦ, πρὸς τῷ κἀκεῖνο μέγιστον ἡμαρτηκέναι, τὸ μόνον εἰρηκέναι τὸ ὀνομαζόμενον ὑπ' αὐτῶν οὐσιώδη, μὴ προειρημένου τοῦ κατὰ τὴν ἔννοιαν. ὃς ἐν τοῖς περὶ τούτων λογισμοῖς ἡμῖν ἐπιδέδεικται, κριτήριον γιγνόμενος τοῦ κατὰ τὴν οὐσίαν. ἀλλ' οὐδὲ τοῦτ' αὐτὸ γινώσκοντες, εἰκότως ἀποφαίνονται τὸ δόξαν ἀλόγως ἑαυτοῖς. ἀρξώμεθα οὖν αὖθις ἀπὸ τῶν ἐννοηματικῶν ὅρων, οὓς οὐδὲν ἔφαμεν ἑρμηνεύειν πλέον, ὧν ἅπαντες ἄνθρωποι γινώσκουσιν. ἔοικε δ' οὐδεὶς εἰρῆσθαι τοιοῦτος. οὐδ' ὑπὸ τῶν ἐμπειρικῶν, οἷς ἔπρεπε μάλιστα πάντων, ὅροις χρῆσθαι τοιούτοις, οὓς οἱ δεινοὶ περὶ τὰς προσηγορίας, οὐδ' ὅρους ἀξιοῦσιν, ἀλλ' ὑπογραφάς τε, καὶ ὑποτυπώσεις ὀνομάζειν. ἐγένοντο δ' ἂν αἱ ὑπογραφαὶ τοιαίδε τινές. κίνησις ἀπροαίρετος ἔν τισι μορίοις ὑπάρχουσα τῶν ἐναίμων ζώων, ἡσυχίᾳ διακοπτομένη. καὶ μὲν δὴ καὶ εἰ φυσικὴν εἴποι τις τὴν κίνησιν, ἢ οὐχ ἑκουσίαν, ἢ οὐ καθ' ὁρμὴν, οὐ διοίσει. εἰ δὲ καὶ ὅτι κατὰ τὰ σμικρὰ μόρια γίνεται τοῦ δέρματος, ἢ ὅτι βραχυχρόνιος, ἐν τῷ τῆς ὑπογραφῆς λόγῳ περιλάβοι, τελεώτερον ἀποδώσει τὴν ἔννοιαν. εἰ οὐδὲ καὶ τὰς τῶν σοφιστῶν ἐπηρείας φυλάττοιτο,

A valentibus motus, multis corporis partibus cernitur, de quibus est carpus manus. Atque palàm quidem animaduertimus quiddam de profundo ascendere, & nos ferire; ab ictu interdum apertè id recedere, inde requiescere. Interdum à primo statim species repræsentatur requiescentis, ac deinde ascendentis iterum ferientisque atque mox recipientis se rursus atque quiescentis; idque iam inde à natiuitate hominis ad obitum vsque facientis. Eum motum omnes homines pulsum appellant. Hunc qui breuibus poterit interpretari, optimè definitionem ille notionis effecerit; B modò vt prætereat nihil, nec quicquam addat superflui, vltra quæ commemoraui modò. Nam si quid etiam pusillum addiderit, si quidem additio sit inutilis, inaniter garriat, si verò sit vtilis, discedat ea re à notione ad rei essentiam; Vt si dicat, talem motum arteriarum esse pulsum. Ea enim definitio non motum tantùm, sed & quorum est, declarat; quum apertè sentiat quidem vulgus esse talem in corpore motum, sed non corpus ipsum cognoscat, quod mouetur. Quòd si quis non solùm sic leuiter arteriæ viderit detracta cute externam figuram, sed tunicas etiam C quot sint & quales perspexerit, hic prætergressus notionem est, & longè verò etiam illo priore magis, qui foris eam tantùm viderat. At verò si facultatem quoque repererit, qua pulsant arteriæ; atque motus vtrum principium à se ipsis habeant, an à corde: ac si ab hoc qui tandem spiritualémne materiam immittente in vasorum internam cauitatem, an facultatem quandam per tunicas illarum; ad hæc qui vsus demum sit earum motus, is planè tenebit vniuersam essentiam pulsuum generationis. Veruntamen ista quidem nequeas definitone vniuersa complecti; D neque enim volunt definitiones quibus illæ sunt cordi, adeo esse immensas, Vnde fit vt nulla pulsuum sit definitio prorsus essentialis, aut prælonga erit. Addidi prorsus, quòd quum illorum quæ ad essentiam pertinent, quidam ex iunioribus medicis, aliis aliud adiecerunt, essentialem arbitrantur se definitionem pulsus explicauisse. Vbi præterea in eo maximè peccant, quòd solam definitionem protulerunt, quam vocant ipsi essentialem, nec antè dederunt definitionem quæ explicet notionem, quàm vbi de his egimus, arbitram nos definitionis essentialis ostendimus. Ad huius etiam ignorationem meritò pronunciant, E quod stultè in mentem ipsis venit. Quare de integro exordiamur à notionis definitionibus, quas præter quod perspectum est omnibus hominibus, nihil demonstrauimus explicare. Talem autem inuenio nullam proditam, né ab Empiricis quidem, quorum erat præter cæteros hisce vti definitionibus, quas artifices isti graues in appellationibus, ne quidem definitiones dignantur, sed descriptiones & illustrationes vocare. Ac fiant quidem descriptiones tales: Motus inuoluntarius, qui in partibus est quibusdam animalium sanguine præditorum quiete interpellatus. F Quinetiam si naturalem dixeris eum motum, vel non voluntarium, vel citra appetitionem, nihil refert. Si item ad paruas partes cutis fieri, aut non diuturnum esse, in descriptione colligas, perfectiorem notionem reddas. Iam si nondum declinaueris sophistarum calumnias,

appones motus nomini, sensibilis; quanquam hercle stultum potius timorem istæ additiones, quam probatam fiduciam, arguunt. Nam motus nomen omnes homines, illi solent tribuere, quem apertè sensus animaduertit; quandoquidem illos quos ratione perspicimus, argumentum est quoddam probabile, quod semper adesse omnibus corporibus, licet non videantur moueri demonstrat. Iam ipsum nomen hoc, sensibile, duo denotat, rem sensui repræsentari iam nunc, quo tempore dicatur; alterámque etiam quæ licet non sentiatur in præsenti possit tamen: quomodo lapidem in alto dicimus sensibilem sua sponte esse nimirum; quòd de natura sit sensibilium. Sensibilis ergo motus, quem quibusdam in partibus corporis per totam vitam animaduertimus, pulsus appellatur. Hic quiete, vt diximus, interpellatur; quod cautius quidam medici putant dici, quàm distentione, & contractione constare totum motum. Et quidem nihil est apertius, quàm motum in altum, latum & longum extendi in gracilibus, magnisque pulsibus. Porrò, alij his timidiores, peculiares affectus sentire se tactus aiunt, pronunciare veriti rem externam vllam esse: quò illos scepticorum & hæsitantium, qui vocantur, induxit institutio. Quare ab his discedamus: fortassis enim ne vllum se percipere motum, dicere sustinebunt, si istis hæsitatoribus credunt vndequaque. Sunt quidem certè nonnulli in his qui ne suos quidem ipsorum affectus probè fatentur se agnoscere, quos vocant iure agrestes Pyrrhonios. Ad illos verò nos conferamus, qui non dissimulanter motum videre se putant cuiusdam subter cutem corporis in longum, latum, profundumque extensi, quando aliis sunt moderatiores; atque admoneamus eos discissa cute, vel de industria nostra, vel casu aliquando, vt attendant quid sit sub ea quod moueri videtur. Sanè enim vas apertè cernent assimile venæ, nisi quatenus duplicem tunicam, & longè robustiorem habet, quod arteriam vocamus. Clarè etiam quod obscurius videbant antea, perspicient, hoc vas in omnes partes distendi. Haud aliter denudatum moueri cor conspicietur, ac cerebrum etiam; vt audeant dicere tandem motum, quem in pulsuum generatione animaduertunt, in corporibus fieri quæ commemorauimus; sed an primò & per se cordis dexter ventriculus, an vnà simul cum sinistro motus, iisdem, atque ille modulis pulsare videatur, nolet inquirere, qui primo transitu à notione vulgari progressus est ad essentiam. Nec secus in pulsu, qui in cerebro animaduertitur, indagare deprecabitur, vtrum primo id, & per se agat, an vnà cum suis arteriis attollatur multis illis ac ingentibus. Qui autem hoc est audacior in decernendo de pulsibus, istud addet etiam. Integram definitionem pulsus facias, si superioribus coniungas vsum eorum generationis: quem in commentario nos de vsu pulsuum, innati caloris esse diximus tutelam; si quidem sciat, qui eam definitionem facit, quo fiat pacto, vt natiui caloris mediocritas seruetur; vtrum quòd motu ventiletur: an quòd frigidi aëris cogatur occursu, vt dissoluatur difficilius; an quòd fumosis purgetur atque fuliginosis excrementis.

[illegible]

χρεία δ' ἐδείχθη τὸ κατὰ τὰς ἀρτηρίας πνευματικῆς οὐσίας, καὶ πρὸς τὸ τοῦ ψυχικοῦ πνεύματος γένεσιν. τὸ δ' οὐσίας τὸν σφυγμὸν ἐστί, καὶ πότερον ὅταν αἱ ἀρτηρίαι διαστέλλωνται, τηνικαῦθ' ἕλκεσθαι συμβαίνει τὰς ὕλας αὐτὰς, ἢ ὅταν συστέλλωνται. καὶ πάλιν περὶ τοῦ ἐκκρίνεσθαί τι τῶν ἀρτηριῶν, ὁ αὐτὸς λόγος. ἡμεῖς γὰρ ἐδείξαμεν, ἕλκεσθαι μὲν διαστελλομένων, ἐκκρίνεσθαι δὲ συστελλομένων. οἱ δ' ἀπὸ τῆς πνευματικῆς καλουμένης αἱρέσεως, συστελλομένων μὲν ἕλκεσθαι νομίζουσι, διαστελλομένων δ' ἐκκρίνεσθαι. προσθήσει δ' ἄλλος τούτοις, ὁ ὁριζόμενος τὸν σφυγμὸν, καὶ τὴν ποιητικὴν αἰτίαν αὐτοῦ. περὶ ἧς αὖ τοῦτο ζητεῖται, πότερον ζωτική τίς ἐστιν, ἢ ψυχικὴ δύναμις, ἢ ὅλως οὐδὲ δύναμις, ὡς Ἀσκληπιάδης νομίζει. συνελόντι δὲ φάναι, δῆλον ἤδη ἐστὶν, ὡς ὅτι οὐσιώδης ὀνομαζόμενος ὅρος, ὅσπερ ἐστὶ λόγος διδασκαλικὸς τῆς τοῦ πράγματος οὐσίας, τό τε γένος ἐρεῖ τοῦ σφυγμοῦ, καὶ τὰς διαφορὰς, τήν τε χρείαν τῆς γενέσεως, καὶ τὴν ποιητικὴν αἰτίαν, ἔτι τε πρὸς τούτοις ὑλικὴν, ἢ ὀργανικὴν, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι. γένος μὲν, ἤτοι κίνησιν, ἢ ἐνέργειαν, ἢ πάθος ἀρτηριῶν. τὰς δὲ διαφορὰς, ὅτι κατὰ διαστολὴν καὶ συστολὴν. καὶ ὅτι χωρὶς προαιρέσεως. τὴν δὲ χρείαν, ὅτι τῆς ἐμφύτου θερμασίας ἕνεκεν, ἢ πνεύματος ζωτικοῦ γενέσεως, ἢ καὶ νὴ Δία ψυχικοῦ. τὴν ποιητικὴν δ' αἰτίαν, ὅτι δύναμίς τίς ἐστι, διαστέλλουσα τήν τε καρδίαν, καὶ τὰς ἀρτηρίας, ἤτοι ζωτική τις, ἢ ψυχικὴ, ἢ ἀμφότεραι. τὴν ὑλικὴν δὲ καὶ ὀργανικὴν, τὴν κατασκευὴν τῶν ἀρτηριῶν, εἰς τὴν εἰρημένην ἐνέργειαν ἐπιτηδείαν δεῖξαι. καὶ γενήσεται δηλονότι καθ' ἑκάστην αἵρεσιν λογικὴν, ἴδιος ὅρος. ὁ μὲν γὰρ Ἐρασίστρατος ἐρεῖ τὸν σφυγμὸν εἶναι κίνησιν ἀρτηριῶν κατὰ διαστολὴν καὶ συστολὴν, ὑπό τε ζωτικῆς τε καὶ ψυχικῆς δυνάμεως γινομένην, ἀναπληρώσεως ἕνεκεν ἀρτηριῶν, ἐχουσῶν ἐν αὐταῖς πνεῦμα ζωτικόν. ὁ δ' Ἀσκληπιάδης, κίνησιν ἀρτηριῶν κατὰ διαστολὴν καὶ συστολὴν, πληρουμένων μὲν πνεύματος τῇ πρὸς τὸ λεπτομερὲς φορᾷ, κενουμένων δὲ τῇ καταπτώσει τοῦ χιτῶνος αὐτῶν. ἡμεῖς δὲ φήσομεν, ἐνέργειαν εἶναι τὸν σφυγμὸν ἰδίαν, πρώτως μὲν τῆς καρδίας, δευτέρως δὲ τῶν ἀρτηριῶν κατὰ διαστολὴν καὶ συστολὴν κινουμένων ὑπὸ ζωτικῆς δυνάμεως, ἕνεκα τοῦ φυλάττεσθαι μὲν τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας, γεννᾶσθαι δ' ἐν ἐγκεφάλῳ πνεῦμα ψυχικόν. ἀνάλογον δὲ τοῖς ὅροις τοῖσδε, καὶ οἱ ἀπὸ τῶν ἄλλων αἱρέσεων ὁριοῦνται τὸν σφυγμὸν, ἕκαστος δηλονότι κατὰ τὰς οἰκείας ὑποθέσεις. ἐὰν μὲν οὖν τελέως ὁρίζωνται, συμφωνήσουσιν ἀλλήλοις. ἐὰν δὲ ἐλλιπῶς, ἢ περιττῶς, ἢ κατά τι μοχθηρῶς, διενεχθήσονται. τούτου δέ σοι πίστις μεγίστη, τὸ τοὺς Ἡροφιλείους, οἵπερ δὴ καὶ πρῶτοι τὸν σφυγμὸν ἐπεχείρησαν ὁρίζεσθαι, διενεχθῆναι πρὸς ἀλλήλους, ἀντιπαρεξάγοντας δὲ αὐτοῖς, καὶ τοὺς Ἐρασιστρατείους (ἤκμασε γὰρ ἄμφω ταῦτα τὰ διδασκαλεῖα, μετὰ τὸν Ἡροφίλου θάνατον) ἑτέρως πάλιν καὶ αὐτοὺς ποιήσασθαι τὸν ὅρον τοῦ σφυγμοῦ, διαφωνοῦντας ἀλλήλοις τε, καὶ τοῖς Ἡροφιλείοις. αὐτοὶ μὲν γὰρ οἱ παλαιοὶ, χωρὶς ὅρων ἐποιοῦντο τὰς διδασκαλίας. ἐνδεικνύμενοι τὰ σημαινόμενα τῶν ὀνομάτων ὧν ἔλεγον, αὐτῇ τῇ κατὰ τὴν ἑρμηνείαν ἰδέᾳ, καθ' ἣν δηλονότι, καὶ τὰς παρ' Ὁμήρῳ λέξεις, ἅπαντί τε τοῖς ἄλλοις παλαιοῖς, οἱ γραμματικοὶ σαφηνίζουσι. τὸ γὰρ τῇδε τῇ ἑρμηνείᾳ μή πω σαφὲς, ἐξ ἑτέρας εὔδηλον γίγνεται, καθάπερ ἐπὶ τοῦ πίσυρες. ἐν μὲν γὰρ τῷ,

— πίσυρες ἐριαύχενες ἵπποι,

σαφὲς οὐδέπω τὸ σημαινόμενόν ἐστιν, ἐν μέντοι τῷ,

Ἔνθεν τέσσαρα μὲν σάκε' εἷλεν, δούρατα δ' ὀκτὼ,

— καὶ πίσυρας κυνέας,

εὔδηλον ἐγένετο. τεττάρων γὰρ ὄντων τῶν καθοπλιζομένων, ὥσπερ σάκη τέσσαρα λαβεῖν αὐτούς φησιν, οὕτω καὶ περικεφαλαίας τέσ-

A Facere præterea ad animalem procreandum spiritum ostendimus substantiam, quam spiritualem habent arteriæ. Iam & ad essentiam pulsuum pertinet, virum quum arteriæ distenduntur, tum accidat in ipsas materias allici, an vbi considant. Atque de excretione alicuius ex arteriis, eadem est ratio, siquidem attrahi demonstrauimus quum distenduntur, & quum contrahuntur excerni. Qui verò de secta sunt, quam Pneumaticam vocant, in contractione putant attrahi, in distentione excerni. Alius porrò his in definiendo pulsu causam eius efficientem addet, de qua in quæstionem
B venit, vitalisne sit, an animalis facultas, an omninò ne facultas quidem, vt asserit Asclepiades. Quare definitionem, quam vocat, essentialem, quæ est oratio essentiam rei docens, planum est genus explicaturam esse, & differentias, & vsum generationis, causam item efficientem, ad hæc materialem aut instrumentalem, aut quoquo modo velis appellare. Vt genus aut motum, aut actionem, aut passionem arteriarum; Differentias quòd per distentionem, & contractionem, quodque sponte; Vsum quòd innati caloris nomine, vel spiritus vitalis generandi, aut hercle etiam animalis; Causam efficientem, quòd vis sit quædam cor
C distendens, & arterias, aut vitalis, aut animalis, aut vtraque; Materialem & instrumentalem, conformationem arteriarum ad actionem, quam dixi appositam. Ita suam quæque secta rationalis sortietur definitionem. Namque pulsum dicet Erasistratus motum esse arteriarum per distentionem & contractionem, quem facultas efficit vitalis & animalis, ad implendas arterias spiritum continentes vitalem; Asclepiades, motum esse arteriarum per distentionem & contractionem, quæ spiritu implentur, quum extenuantur, quum considunt earum tunicæ euacuantur; Nos verò
D dicemus actionem esse pulsum peculiarem, præcipuè cordis, deinde arteriarum, quæ distentione, & contractione mouentur à facultate vitali, quò caloris natiui mediocritas retineatur, generetur autem in cerebro spiritus animalis. Atque ad modum harum definitionum, qui de aliis sectis sunt, definient pulsum, vbique pro suis quisque suppositionibus. Proinde si perfectè definiant, consenserint mutuò; sin angustius, vel latius, vel aliqua ex parte minus benè, non conuenerint. Huius habes argumentum maximum, quòd Herophili discipuli, qui quidem pulsum
E aggressi primi sunt definire, inter se disceptarunt; tum verò etiam quòd cum his Erasistrati discipuli digladiantes (nam floruerunt ambæ hæ scholæ ab Herophili obitu) aliam etiam pulsus definitionem instituunt dissidentes, & inter se mutuò, & à discipulis Herophili. Nam veteres quidem relictis definitionibus docebant, significationes declarantes nominum, quibus vtebantur, ea interpretandi forma, qua Homeri dictiones grammatici, aliorúmque antiquorum omnium, explicant. Nam in hac interpretatione, quod haud dum liquet, ex altera declaratur; Vt in dictione πίσυρες, nam hoc in versu,
F
---Πίσυρες ἐριαύχενες ἵπποι.

nondum quid significet constat. Sed ibi:

Ἔνθεν τέσσαρα μὲν σάκε' εἷλον δούρατα δ' ὀκτὼ,
---& πίσυρας κυνέας.

explicatum est. Dum enim essent quatuor, qui armarētur, tū scuta illos quatuor accepisse dicit, tū galeas

leas etiã quatuor. Hoc modo, quãdo legimus apud veterem aliquẽ medicũ solam pulsare inflammatã partẽ, aut motũ tantum in inflammatione arteriarũ appellare eos pulsum, in corpore autẽ sano hoc vocabulo vti nunquam; non omnem motum arteriarum colligimus, sed aut magnũ, & vehementẽ, aut quem ipse potest ægrotus animaduertere, pulsum vocari. In hunc modũ videtur & Erasistratus pulsus nomen vsurpauisse. Sed enim vbi legimus rursus Ægimij De palpitationibus librũ, quẽ hic pulsum nos vocamus, palpitationẽ ab illo inuenimus appellari. At verò Herophilum contrà, videas statim à principio libri de pulsibus, à palpitatione pulsum separare; videtur enim omnem vir ille motũ arteriarũ, quem habere nos à primis vitæ tẽporibus ad mortem vsque perspicimus, pulsum appellare: ex quo præsentem statum cognoscimus, futurumque prouidemus: nec pulsum, qui in corde est, vel in cerebro, vel in mẽbranis eius, requirimus. Sic præcipua pulsus est omnibus huius ætatis medicis notio, quam nunc explicauimus: nempe hãc, vt modò dixi, desiderãt; quod hãc sequitur, omne iam cauillationibus plenũ est. Quò minus eiuscemodi res definiẽdæ sunt: nec se ipsum debet quisquam conijcere in definitiones, de quibus nec inter ipsos conuenit dialecticos: & quæ vt omnibus numeris absoluas, vsum magnũ postulant: ne dicã nihil opus esse ad tradẽdas disciplinas definitione essentiali. Definitiones, quas vocant, notionis, his, qui iam rem cognoscũt, sunt superuacaneæ; ignorantibus non necessariæ, quòd doceri certè pluribus verbis possunt apertius. Nam notionẽ qui rei significatæ à vocabulo, breui potest, & aperta oratione accuratè complecti, doctor sit hic quidem præstantissimus: non tamẽ, qui abest ab illa perfectione, malus est: nec verò, qui minus probè interpretatur. Nam ita apertè rem ob oculos ponere, vt Lysias, & Demosthenes oratores fecerunt, optimum sit; non contemnendi sunt tamen, qui nunc in iudiciis causas agunt. Equidem nihil obsisto illa facultate præditis, quin clarè simul, & cõpendiosè quæ singulis nominibus denotantur, declarent ignorantibus. Quippe qui hoc videor ipse agere: sed quòd inanem ibi laborem subeas, vbi omnes iam cognoscunt, quod instituis declarare. Omninò verò apud Tyrones cuiusuis disciplinæ, ne proferendæ quidem definitiones essentiales sunt; verùm vbi à notione exorsi, ad essentiæ eos notitiam deducamus, hîc iam promptæ memoriæ gratia rem vniuersam limitata complecti oratione fuerit commodum. Quare quicunque medici, & philosophi, initiatis primum cuiuspiam disciplinæ initium faciunt docendi ab essentialibus definitionibus, vt eloquentissimi sint, vt clarè interpretentur, obscuri euadunt tamen, quòd assequi auditores, quæ amplam explanationem, quò intelligantur, quærunt, quum breuibus hæc definitionibus referuntur, nequeant. Longa enim oratione prius rei, qua de agitur, aperienda essentia est; vt cognita iam, & perspecta breuibus tandem verbis accipiatur. Hæc ergo, quia iure exprobro illis semper; qui definitionibus omnia docere conantur, huc exempli gratia veni: qui re ipsa declaraui multis locis, quodcunque quis ponat nomen, solidum librum esse faciendum, vt declaret, quomodo sit res, quæ ab illo significatur definienda. Itaque de pulsus definitione agamus de integro, ac, qui rectè definire visi sunt eum, hos nominatim appellemus.

A γόρας. ὡσαύτως οὖν, ὅταν ἀναγνῶμεν ἔν τινι τῶν παλαιῶν ἰατρῶν βιβλίῳ, σφύζειν τὸ φλεγμαῖνον μόνον μόριον, ἢ τὴν ἐπὶ φλεγμονῇ κίνησιν τῶν ἀρτηριῶν, σφυγμὸν ὀνομάζοντας μόνην, ἐπὶ δὲ τοῦ κατὰ φύσιν ἔχοντος τοῦ σώματος, οὐδέποτε χρωμένους τῇ προσηγορίᾳ, λογιζόμεθα μὴ πᾶσαν ἀρτηριῶν κίνησιν, ἀλλ' ἤτοι τὴν μεγάλην καὶ σφοδρὰν, ἢ τὴν αἰσθητικὴν αὐτῷ τῷ κάμνοντι, προσαγορεύεσθαι σφυγμόν. οὕτω δὲ δοκεῖ τῇ προσηγορίᾳ τοῦ σφυγμοῦ κεχρῆσθαι, καὶ ὁ Ἐρασίστρατος. ὅταν δ' αὖ πάλιν ἀναγνῶμεν Αἰγιμίου τὸ περὶ παλμῶν βιβλίον, εὑρίσκομεν, ὃ νῦν ἡμεῖς καλοῦμεν σφυγμὸν, ὑπ' ἐκείνου παλμὸν ὀνομαζόμενον. B ἐναντίως δ' αὐτῷ τὸν Ἡρόφιλον εὕροις ἂν, εὐθὺς ἐν ἀρχῇ τῆς περὶ σφυγμῶν πραγματείας, διορίζοντα σφυγμὸν παλμοῦ. φαίνεται γὰρ ὁ ἀνὴρ οὗτος ἅπασαν ἀρτηριῶν κίνησιν, ἣν ὁρῶμεν ἐξ ἀρχῆς ἡμῖν ἕως τέλους ὑπάρχουσαν ὀνομάζων σφυγμὸν, ἐξ οὗ καὶ τὰς διαγνώσεις τῶν παρόντων, καὶ τὰς προγνώσεις τῶν ἐσομένων ποιούμεθα, μηδὲν τοῦ κατὰ τὴν καρδίαν, ἢ τὸν ἐγκέφαλον, ἢ τὰς μήνιγγας δεόμενοι σφυγμοῦ. κυριωτάτη μὲν οὖν ἔννοια τοῦ σφυγμοῦ πᾶσι τοῖς νῦν ἰατροῖς ἐστιν ἡ εἰρημένη. καὶ γὰρ δέονται ταύτης, ὡς εἶπον ἄρτι. τὸ δ' ἐπὶ τῇδε, πᾶν ἤδη σοφιστικόν. ὅθεν οὐδὲ ὁρίζεσθαι προσήκει τὰ τοιαῦτα τῶν πραγμάτων. οὐδ' αὐτὸν C ἐμβάλλειν εἰς λόγους, καὶ παρ' αὐτοῖς τοῖς διαλεκτικοῖς διαπεφωνημένους ἕξεώς τε μεγάλης δεομένους. ἵν' ἀκριβῶς τις αὐτοὺς κατορθώσῃ, πρὸς τῷ μηδ' ἀναγκαῖον εἶναι δι' ὅρων οὐσιωδῶν ποιεῖσθαι τὰς διδασκαλίας. οἱ δ' ἐννοηματικοὶ καλούμενοι τῶν ὅρων, τοῖς μὲν ἤδη γινώσκουσι τὸ πρᾶγμα, περιττοὶ, τοῖς δ' ἀγνοοῦσιν οὐκ ἀναγκαῖοι, δυναμένης γε δὴ τῆς διδασκαλίας διὰ μακροτέρου λόγου γίνεσθαι σαφεστέρου. εἰ μὲν γάρ τις δύναται, διὰ βραχέος θ' ἅμα, καὶ σαφοῦς λόγου περιλαβεῖν ἀκριβῶς τὴν ἔννοιαν τοῦ δηλουμένου πράγματος ὑπὸ τῆς προσηγορίας, ἄριστος ἂν εἴη διδάσκαλος. οὐ μὴν ὅ γ' ἀπολειπόμενος τῆς τοιαύτης D ἕξεως, ἄχρηστος, ὥσπερ οὐδ' ὁ μὴ καλῶς ἑρμηνεύων. ἄριστον μὲν γὰρ οὕτω σαφῶς ἑρμηνεύειν, ὡς οἱ περὶ Λυσίαν τε καὶ Δημοσθένη ῥήτορες. οὐκ ἄχρηστοι δέ εἰσι καὶ οἱ νῦν ἐν τοῖς δικαστηρίοις λέγοντες. οὐκ οὖν κωλύω τοὺς δυναμένους, τὰ σημαινόμενα πράγματα πρὸς ἑκάστου τῶν ὀνομάτων, ἐναργῶς τε ἅμα καὶ ταχέως ἑρμηνεύειν τοῖς ἀγνοοῦσιν. ὥς γε καὶ αὐτὸς ἔργῳ φαίνομαι τοῦτο σπουδάζων. ἀλλ' ὅτι περιττόν ἐστι πράττειν οὕτως, ἐν οἷς ἤδη γινώσκουσι τὸ ἑρμηνευθησόμενον ἅπαντες, οὐδ' ὅλως τε χρὴ τοὺς οὐσιώδεις ὅρους λέγεσθαι, τοῖς ἀρχομένοις ἡστινοσοῦν μαθήσεως. ἀλλ' ὅταν ἀπὸ τῆς ἐννοίας ἀρξάμενοι, προσάγωμεν αὐτοὺς ἐπὶ τὴν τῆς οὐσίας E γνῶσιν, εἴη ἂν ἤδη χρήσιμον, ἐν βραχεῖ λόγῳ περιλαβεῖν τὸ σύμπαν, ἕνεκα προχείρου μνήμης. ὅσοι τοίνυν ἰατροὶ, καὶ φιλόσοφοι τοῖς ἀρχομένοις ὁτιοῦν μανθάνειν, ἀπὸ τῶν οὐσιωδῶν ὅρων τὴν ἀρχὴν τῆς διδασκαλίας ποιοῦνται, κἂν ὅτι μάλιστα δυνατοὶ λέγειν ὦσι, κἂν σαφῶς ἑρμηνεύσωσιν, ὅμως ἀσαφεῖς γίνονται, μὴ δυναμένων νοεῖν τῶν ἀκουόντων, ἐν ὅροις βραχέσι λεγόμενα πράγματα, μακρᾶς ἑρμηνείας εἰς νόησιν δεόμενα. προαποδειχθῆναι γὰρ χρὴ διὰ λόγων πολλῶν τὴν οὐσίαν τοῦ ζητουμένου πράγματος, ἵνα γνωσθεῖσά τε καὶ πιστευθεῖσα, νοηθῇ ποθ' ὕστερον ἐν βραχείᾳ λέξει. F ταῦτα οὖν εἰκότως μεμφόμενος ἀεὶ, τοῖς ἐπιχειροῦσιν ἅπαντα δι' ὅρων διδάσκειν, εἵνεκα παραδείγματος, ἐπὶ τόνδε τὸν λόγον ἧκον, ἔργῳ πολλάκις ἐπιδειξάμενος, ὡς ὅ,τι περ ἂν προβάλλῃ τις ὄνομα, βιβλίον ὅλον ποιεῖν ἐπιδεικνύντα πῶς ὁριστέον ἐστὶ τὸ δηλούμενον ὑπ' αὐτοῦ πρᾶγμα. λέγωμεν οὖν αὖθις ἀναλαβόντες, περὶ τοῦ κατὰ τὸν σφυγμὸν ὅρου, μνημονεύοντες ὀνομαστὶ τῶν δοξάντων αὐτὸν, ὡρίσθαι καλῶς.

ἤρξαντο μὲν οὖν, ὡς ἔφην, τῆς τοιαύτης περιεργίας, οἱ Ἡροφίλειοι. διεδέξαντο δ' αὐτοὺς ἔνιοι τῶν Ἐρασιστρατείων. εἶθ' οἵ τε Πνευματικοὶ καλούμενοι, καί τινες τῶν μεθοδικῶν. εἰ μὲν οὖν ἁπάντων μνημονεύω, δυοῖν οὐχ ἑνὸς ἔσται χρεία βιβλίων. βουλομένῳ δέ μοι τὴν οὐκ ἀναγκαίαν ταύτην πολυλογίαν ἐν ἑνὶ καταπαῦσαι γράμματι, τοσούτους αὐταρκὲς ἐπὶ διελθεῖν ὅρους, ἅμα τοῖς εἰποῦσιν ἀνδράσιν αὐτούς, ὅσους ἂν ὑποδέξασθαι δύνηται τὸ βιβλίον. ἐκ τούτων γὰρ οὕτως ἔνεσται καὶ τοὺς ἄλλους ἅπαντας κρίνειν.

Ergo huius curiositatis discipuli Herophili, vt dixi, principes fuerunt: quibus successerunt de Erasistrati familia nonnulli: secuti sunt, qui Pneumatici vocantur, & ex methodicis quidam: quos omnes si appellem, duobus erit, non vno libro opus. Quia verò certum est mihi hanc verbosam, inanemque disputationem vno volumine limitare, tot sufficiet definitiones recensuisse, vnà cum earum authoribus, quot liber sit capiundis: nam ex his iudicium etiam de aliis facias licet.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὑπογραφὴ τοῦ κατὰ τὸν Ἡρακλείδην Ταραντῖνον σφυγμοῦ.

Ὁ μὲν οὖν Ταραντῖνος Ἡρακλείδης ἐμπειρικῷ πρέπουσαν ὑπογραφὴν ποιούμενος, τὸν σφυγμὸν εἶναί φησι κίνησιν ἀρτηριῶν καὶ καρδίας. ἴσμεν δ' ὅτι τὴν ἀρχὴν οὐδ' ὁρίζεσθαι σπουδάζουσιν οἱ ἀπὸ τῆς ἐμπειρικῆς αἱρέσεως, ἀλλ' ὑποτυπώσεσί τε καὶ ὑπογραφαῖς χρῶνται. καλοῦσι δ' οὕτως αὐτοὶ τοὺς λόγους, ὅσοι διὰ βραχέων ἑρμηνεύουσι τὴν ἔννοιαν τοῦ πράγματος, οὗ τὴν προσηγορίαν φθεγγόμεθα. ταύτην οὖν ἡγεῖται τοὺς ἀνθρώπους ἔχειν ἔννοιαν περὶ τὴν τοῦ σφυγμοῦ προσηγορίαν, αὐτούς τε προτείνοντας ἐνίοτε τὴν χεῖρα, καὶ τὴν σφυγμὸν ἀξιοῦντας ἅψασθαι τὸν ἰατρόν. ὅταν δέ τινα λέγωμεν ἄσφυκτον, ἐκ τῆς φωνῆς ταύτης ἡγούμεθα σημαίνεσθαι τὸν οὕτω διακείμενον ἄνθρωπον, ὡς μηδεμίαν ὑποπίπτειν κίνησιν ἐν μηδενὶ μέρει τοῦ σώματος ἀρτηρίας μηδεμιᾶς. εἰ δ' ἔστι τις ἄλλη κίνησις ἐν ταῖς ἀρτηρίαις αὐξανομέναις τε, καὶ τρεφομέναις, καὶ πληρουμέναις, καὶ κενουμέναις, οὐδὲν αὐτῷ μέλει, διότι μηδ' ὑποπίπτει μηδεμιᾷ τῶν ἡμετέρων αἰσθήσεων τὸ γένος τοῦτο τῶν κινήσεων, ἀλλ' ἔστι λόγῳ θεωρητόν. ᾧ λόγῳ, καὶ τὰ φυτὰ πάντα φασὶν οἱ φυσιολογοῦντες, ἀεὶ κινεῖσθαι, καὶ τό γε τούτου μεῖζον, ὅτι καὶ τἆλλα πάντα μέχρι τῶν σκληροτάτων λίθων, καὶ γὰρ καὶ τούτων ἀπορρεῖ τι διαπαντός. ἔνιοι δὲ καὶ προσκρίνεσθαί φασιν αὐτοῖς ἐκ τοῦ περιέχοντος. τὴν μὲν οὖν τοιαύτην κίνησιν οὐ μόνον ἔτι ζῶντος, ἀλλὰ καὶ τεθνεῶτος ἤδη τοῦ ἀνθρώπου, κατὰ τοὺς ταῦτα φυσιολογοῦντας, ἀναγκαῖον ὑπάρχειν, ὥστε οὐκ ὀρθῶς ἐροῦμεν ἀκινήτους ὑπάρχειν τὰς ἀρτηρίας ἐπὶ τῶν τεθνεώτων, οὐδ' ἀσφύκτους ἐνίους φαίνεσθαι τῶν ἔτι ζώντων. εἰ δὲ λέγοιντο πρὸς ἁπάντων οὕτως, δῆλον εἶναι κίνησιν ἡμᾶς νοεῖν τε καὶ ὀνομάζειν, οὐ τὴν λόγῳ θεωρητήν, ἀλλ' ἥ τις ἂν εἰς ἐνάργῃ γνῶσιν ἥκῃ διαθέσεως. ἐκ τοιούτων μὲν οὖν λογισμῶν, ὅ τε Ταραντῖνος Ἡρακλείδης, καὶ ἄλλοι τινὲς τῶν ἐμπειρικῶν ἑαυτοὺς πείσαντες, ὑπεγράψαντο τὸν σφυγμὸν εἶναι κίνησιν ἀρτηριῶν καὶ καρδίας. ἐπεὶ καὶ ταύτην ἑώρων αἰσθητῶς κινουμένην, ὡσαύτως ταῖς ἀρτηρίαις. ἀντεῖπον δ' αὐτοῖς ἔνιοι τῶν Δογματικῶν, οὐκ ἀξιοῦντες αἰσθήσει μόνῃ κρίνεσθαι τὴν κίνησιν, ἀλλ' ἐνίοτε καὶ τῷ λόγῳ. τὸν γοῦν ἥλιον, καὶ τὴν σελήνην, καὶ τοὺς ἀστέρας ἅπαντας, ὁμολογεῖσθαι μὲν ἅπασιν ἀνθρώποις κινεῖσθαι. μὴ γὰρ ἂν ἀπ' ἀνατολῆς εἰς δύσιν ἀφικνεῖσθαι τοσαύτην φορὰν, ἄνευ κινήσεως, οὐ φαίνεσθαι δὲ κινουμένους. ἐχρῆν οὖν, φασὶν, εἰ καὶ μηδὲν ἄλλο, τοῦτο γοῦν προσκεῖσθαι τῷ λόγῳ τῶν ἐμπειρικῶν, τὸ τὴν κίνησιν τῶν ἀρτηριῶν, καὶ τῆς καρδίας αἰσθητὴν εἶναι. καὶ λέγειν αὐτοὺς, τὸν σφυγμὸν εἶναι κίνησιν τῶν ἀρτηριῶν, καὶ καρδίας αἰσθητήν. ἔνιοι δ' ἀντιλέγοντες αὐτοῖς, κινήσεις αἰσθητάς φασι, κατά τε τὴν καρδίαν, καὶ τὰς ἀρτηρίας, οὐ τὰς σφυγμώδεις μόνον, ἀλλὰ καὶ τὰς παλμώδεις φαίνεσθαι, καὶ ταύτας οὖν ἐχρῆν περιλαμβάνεσθαι κατὰ τὴν ὑπογραφὴν τῶν σφυγμῶν. ἐάν θ' ἁπλῶς εἴπωσιν ἀρτηριῶν, καὶ καρδίας εἶναι τὸν σφυγμὸν κίνησιν, ἐάν τε προσθῶσι τὸ αἰσθητήν.

CAPVT III.

Heraclidis Tarantini descriptio pulsus.

Nam Tarantinus quidem Heraclides, Empirico descriptionem dignam faciens, Pulsum inquit motum arteriarum esse & cordis. Atqui non latet nos, qui sunt in Empirica secta, nequaquam de definitione laborare, sed delineationibus & descriptionibus vti. Ita enim orationes illi eas appellant, quæ breuiter notionem subiiciunt rei, cuius appellationem proferimus. Atque hanc ille homines putat notionem de pulsus nomine habere, eosque protendere manum interdum, ac tangendam præbere medico. Quum verò quem priuatum pulsu dicamus, hoc nomen designare illum arbitramur, qui ita est affectus, vt nullus motus sub nostrum sensum cadat in vlla corporis parte cuiuscunque arteriæ. Si quis alius est motus in arteriis augendis, nutriendis, implendis & vacuandis, hoc non laborat; quòd fugiat id genus motuum omnes nostros sensus, quod quidem assequimur ratione. Quò adducti stirpes omnes, qui de natura commentantur, perpetuò confirmant moueri, atque adeò cuncta alia, vel durissimos lapides; etenim & ab his defluit perpetuò aliquid. Quidam hæc etiam ex aëre autumant iis attribui. Quare hunc motum non modò adhuc viuenti, sed demortuo etiam homini, vt placet physicis, qui de horum natura tractant, oportet adesse. Itaque non moueri arterias malè dicemus demortuis, & non pulsare in quibusdam videri adhuc superstitibus. Quòd si omnes sic loquantur, motum constet nos eum, & appellare, & intelligere, non ratione perspectum, cæterùm qui apertam notitiam præbet status. His adducti rationibus quum Tarantinus Heraclides, tum Empirici nonnulli alij, pulsum descripserunt esse motum arteriarum & cordis; quando hoc planè videbant non secus ac arterias, moueri. Cum his pugnant quidam Dogmatici, qui nolunt æstimari solo sensu motum, sed interim, & ratione; nam Soli, Lunæ, Stellis omnibus motum ab omnibus mortalibus tribui; neque enim tantùm spatium videri citra motum ab oriente ad occidentem obire; tamen motus eorum non apparere. Quare, inquiunt, si nihil aliud, hoc certè Empiricorum definitioni oportebat adiectum, motum arteriarum cordisque sensibilem esse debebantque dicere, Pulsum esse motum arteriarum, & cordis sensibilem. Huic definitioni quidam contradicentes, motus sensibiles in corde, & arteriis confirmant, non tantum qui pulsent animaduerti, sed & qui palpitent. Itaque comprehendendi etiam hi erant in pulsuum descriptione, siue absolutè dicant arteriarum, & cordis esse pulsum motum: siue adiiciant sensibilem.

Sunt

Sunt qui conuulsiones, tremoresque narrent: quippe hos quoque interdum motus in arteriis fieri, & in corde, præter naturam quidem. Quamobrem addi definitioni volunt naturalis, atque totam eam efficiunt eiuscemodi: Pulsus est arteriarum, & cordis motus naturalis. Ab his dissident, qui pro definitione Tarentini propugnant; qui in arteriis negant, & corde tales vnquam motus existere, ad neruosa autem corpora pertinere. At conuulsionem tremoremque in solis fieri neruis equidem comprobo; palpitationem verò insidere perspicuè etiam in cute cernas; clarè autem etiam in carnosis partibus, quæ parte sunt musculorum; etiam in timore, & angore planè cor videtur palpitare. Iam contentio de affectibus his non parua Herophilo aduersus præceptorem suum extitit Praxagoram, qui non rectè pronunciauit affectus arteriarum, esse palpitationem, tremorem, & conuulsionem; ac non genere à motu earum pulsante differre, cæterùm magnitudine. Nam quum secundum naturam se habent extra omnem casum, fieri pulsum; aucto verò præter naturam motu, primum effici conuulsionem, deinde tremorem, mox palpitationem; magnitudine inter se omnes hos affectus differentes. Quamobrem Herophilus statim initio operis de pulsibus, magistri sui euertere sententiam molitur, verùm quod solenne Herophilo est, obscura oratione; quam ipsius discipuli mutantes, apertius scripserunt iis in lucubrationibus, quas de Herophili secta conscripserunt. Quòd si referre hîc ipsa verba Herophili velim, quæ in principio libri primi de pulsibus fecit, aut quæ attulerunt eius discipuli, requirant integrum librum qui hæc accuratæ persequatur; quum vel nulla de his facta mentione integer meus liber extet, De tremore, palpitatione, conuulsione & rigore. Mihi verò hoc quoque loco satis sit, numero definitionum explicato, quæ in præsentem quæstionem conuehi possunt, illa præterire. Tantum dicam, quum valemus cordis, & arteriarum motus, quando illa distenduntur vndequaque, rursusque in se considunt, obeuntur: sin autem ægrotemus, vt palpitans, vt concutiens, vel conuulsiuus, vel tremulus motus arteriarum appareat, quid noui est, si pulsum vocemus modò conuulsiuum, modò vibratum, interdum palpitantem, interdum tremulum? Quinimò vocare quendam solemus vibratum pulsum, qui apertè identidem conspicitur: cuius in libro primò huius operis declaraui naturam. Sic vel hac ratione apposueris parum rectè definitioni pulsus naturalis. De sensibili verò, posteaquam hoc quoque additum nonnulli volunt, quod sæpè apud Aristotelem refertur, operæpretium est meminisse. Nam rem ille vir cumulatè nonnunquam persecutus, addendum ei dicit, aliud quiddam ob sophisticas cauillationes externi, quod videatur semper ad definitionem facere. Atque ob id ego ferè pulsum describo arteriarum esse & cordis sensibilem motum, maximè quòd appellemus pulsu priuatos, quibus motus non sentitur; tametsi ille sæpè seruetur, quòd ad suam pertinet essentiam; neque enim viuerent, si omnis periisset motus cordis & arteriarum.

A ἔνιοι δὲ καὶ σπασμὸν, καὶ τρόμον μνημονεύουσιν. ὡς καὶ τοιούτων τινῶν κινήσεών ἐστιν, ὅτε γινομένων ἐν ἀρτηρίαις τε καὶ καρδίᾳ, παρὰ φύσιν δηλονότι. καὶ διὰ τοῦτο ἀξιοῦσι προσκεῖσθαι τῷ ὅρῳ, τὸ φυσική. τοιοῦτον ὅλον αὐτὸν ἐργαζόμενοι. σφυγμός ἐστιν ἀρτηριῶν τε, καὶ καρδίας κίνησις φυσική. τούτοις ἀντιλέγοντες οἱ συναγορεύοντες τῷ τοῦ Ταραντίνου ὅρῳ, φασὶ, μηδέποτ' ἐν ἀρτηρίαις, ἢ καρδίᾳ τὰς τοιαύτας γίνεσθαι κινήσεις, μόνων τῶν νευρωδῶν σωμάτων οὔσας. ἀλλ' ὅτι μὲν ὅ τε σπασμὸς, καὶ ὁ τρόμος ἐν νεύροις μόνον γίνονται, κἀγὼ σύμφημι. παλμὸς δὲ προφανῶς ὁρᾶται, καὶ περὶ τὸ δέρμα συνιστάμενος. ἐναργῶς δὲ κἀν τοῖς σαρκώδεσι μορίοις, ἅπερ ἐστὶ μυῶν μέρη· B καὶ κατά γε τοὺς φόβους, καὶ τὰς ἀγωνίας, ἐναργῶς ἡ καρδία φαίνεται παλλομένη. οὐ σμικρὰ δ' ἀντιλογία περὶ τῶν παθῶν τούτων γέγονεν Ἡροφίλῳ πρὸς τὸν διδάσκαλον Πραξαγόραν, οὐκ ὀρθῶς ἀποφηνάμενον ἀρτηριῶν πάθος εἶναι, καὶ παλμὸν, καὶ τρόμον, καὶ σπασμὸν, οὐ γένει διαφέροντα τῆς σφυγμώδους ἐν αὐταῖς κινήσεως, ἀλλὰ μεγέθει. κατὰ φύσιν μὲν γὰρ ἐχόντων, αὐτῶν πάσης περιστάσεως γίνεσθαι τοὺς σφυγμοὺς, αὐξηθείσης δὲ τῆς κινήσεως αὐτῶν εἰς τὸ παρὰ φύσιν, πρῶτον μὲν σπασμὸν ἀποτελεῖσθαι, δεύτερον δ' ἐπ' αὐτῷ τρόμον, καὶ τρίτον τὸν παλμὸν, C ἀλλήλων διαφέροντα μεγέθει πάντα ταῦτα τὰ πάθη. διὰ τοῦτ' οὖν Ἡρόφιλος εὐθέως ἐν ἀρχῇ τῆς περὶ σφυγμῶν πραγματείας, ἀνατρέπειν πειρᾶται τὴν τοῦ διδασκάλου δόξαν. ἀλλ' ὡς ἔθος Ἡροφίλῳ δι' ἑρμηνείας ἀσαφοῦς, ἣν ἐπὶ τὸ σαφὲς οἱ ἀπ' αὐτοῦ μεταλαμβάνοντες, ἔγραψαν ἐν αἷς ἐποιήσαντο πραγματείαις περὶ τῆς Ἡροφίλου αἱρέσεως. ὥς τε εἰ μνημονεύω νῦν αὐτῆς Ἡροφίλου ῥήσεως, ἣν ἐν ἀρχῇ τοῦ πρώτου περὶ σφυγμῶν ἔγραψεν, ἢ τῶν εἰρημένων τοῖς ἀπ' αὐτοῦ, μέγεθος ἑνὸς βιβλίου γενήσεται, περὶ μόνων τούτων ἐπιμελῶς διερχομένου. ὅπου καὶ χωρὶς τοῦ μνημονεῦσαι τούτων, ἓν ὅλον D ἐμόν ἐστιν ὑπόμνημα περὶ τρόμου, καὶ παλμοῦ, καὶ σπασμοῦ, καὶ ῥίγους. ἀρκεῖ δέ μοι κἀνταῦθα τὸ πλῆθος ἐνδεδειγμένῳ τῶν ἐπεισαχθησομένων λόγων εἰς τὸ προκείμενον ζήτημα, καταλιπεῖν αὐτό. τοσοῦτον μόνον εἰπόντι, κατὰ φύσιν μὲν ἐχόντων ἡμῶν, αἱ κατὰ τὴν καρδίαν τε καὶ τὰς ἀρτηρίας κινήσεις, διαστελλομένων τε κατὰ κύκλον αὐτῶν, καὶ αὖθις εἰς ἑαυτὰς συναγομένων γίνονται. παρὰ φύσιν δὲ ἐχόντων, κἂν παλμώδης, ἢ κλονώδης, ἢ σπασμώδης, ἢ τρομώδης ἡ κίνησις φαίνοιτο τῶν ἀρτηριῶν, οὐδὲν ἄτοπον εἶναι τὸν σφυγμὸν ὀνομάζεσθαι ποτὲ μὲν σπασμώδη, ποτὲ δὲ κλονώδη, ποτὲ δὲ παλμώδη, ποτὲ δὲ E τρομώδη. καὶ γὰρ οὖν καὶ καλεῖν ἔθος ἡμῖν ἐστί τινα κλονώδη σφυγμὸν, οὐκ ὀλιγάκις φαινόμενον ἐναργῶς, οὗ τὴν φύσιν ἡρμήνευσα κατὰ τὸ πρῶτον γράμμα τῆσδε τῆς πραγματείας, ὥστε καὶ κατὰ τοῦτον τὸν λόγον, οὐκ ὀρθῶς ἄν τις προσθείη τῷ ὅρῳ τοῦ σφυγμοῦ, τὸ φυσική. περὶ δὲ τῆς αἰσθητῆς, ἐπειδὴ καὶ ταύτην ἔνιοι τὴν προσθήκην ἀξιοῦσι ποιεῖσθαι, τὸ πολλάκις εἰρημένον ὑπ' Ἀριστοτέλους ἄξιον εἰπεῖν. ἐκεῖνος γὰρ ὁ ἀνὴρ αὐτάρκως ἐνίοτε διελθὼν, τί προστιθέναι φησὶ δεῖν αὐτῷ, διὰ τὰς σοφιστικὰς ἐνοχλήσεις. ἔξωθεν ἄλλο τι δοκοῦν ἑκάστοτε συμφέρειν τῷ λόγῳ, καὶ διὰ τοῦτο κἀγὼ τοὐπίπαν ὑπογράφομαι F τὸν σφυγμὸν, ἀρτηριῶν καὶ καρδίας κίνησιν αἰσθητήν. καὶ μάλιστα ὅτι καλοῦμεν ἀσφύκτους οἷς οὐκ ἔστιν ἡ κίνησις αἰσθητή. καίτοι σωζομένης αὐτῆς πολλάκις, ὡς πρὸς τὴν οἰκείαν ὕπαρξιν. οὐ γὰρ ἂν ἔζησαν εἰ παντάπασιν ἡ κίνησις ἀπώλετο τῆς καρδίας, καὶ τῶν ἀρτηριῶν.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ὁρισμοὶ Ἀλεξάνδρου τοῦ Φιλαλήθους.

Ὅγε μὴν Ἡροφίλειος Ἀλέξανδρος, ὁ Φιλαλήθης ἐπικληθεὶς, διττὸν ἐποιήσατο διὰ τὰς τοιαύτας ἐπηρείας τὸν ὁρισμὸν τοῦ σφυγμοῦ, τὸν μὲν ἕτερον ἐξ αὐτοῦ τοῦ πράγματος ἐξ οἰκείας φύσεως, ὃν, ὡς ἐν ὑποκειμένοις ὀνομάζει. τὸν δὲ ἕτερον, ὡς ἐν ἐπισκέψει. τὸν μὲν οὖν, ὡς ἐν ὑποκειμένοις σφυγμὸν εἶναί φησι καρδίας, καὶ ἀρτηριῶν συστολὴν, καὶ διάστασιν ἀπροαιρέτως, οἷάν τε φαίνεσθαι. τὸν δὲ ὡς ἐν ἐπισκέψει, τὴν ἐκ τῆς τῶν **B** ἀρτηριῶν διὰ παντὸς ἀπροαιρέτου κινήσεως, πρὸς τὴν ἁφὴν πληγὴν, καὶ τὸ μετὰ τὴν πληγὴν γινόμενον διάλειμμα. καὶ λέγει γέ τινας λογισμοὺς ἐπ᾽ αὐτοῖς, ὡς οἴεται πιθανοὺς ἐν τῷ ε. τῶν ἀρεσκόντων. ὥσπερ καὶ ὁ Ταραντῖνος Ἡρακλείδης ἐν οἷς ἀντιλέγει πρὸς τὸ περὶ σφυγμῶν Ἡροφίλου. ἀντιλογίαι δ᾽ οὐχ ἥκιστα πρὸς τοὺς τοῦ Φιλαλήθους ὅρους ἐγένοντο τοῖς μετ᾽ αὐτὸν, ἔνιαι μὲν ἀπίθανοι πάνυ, καὶ προφανῶς ἐριστικαὶ, τινὲς δὲ ἧττόν τε καὶ μᾶλλον πιθαναὶ, πρὸς ἃς ἀπήντησάν τινες τῶν ἀπ᾽ αὐτοῦ, καὶ μακρός γε λόγος ἑκατέροις περαίνεται. διὰ κεφαλαίων δὲ κἀγὼ περὶ αὐτῶν ἴσως ὀλίγον ὕστερον ὅλως ἐρῶ. **C** πρότερόν γε παραγράψας τοὺς τοῦ Δημοσθένους ὅρους, ὡσαύτως τῷ διδασκάλῳ Φιλαλήθους ἐπικληθέντος.

CAPVT IV.

Alexandri Philalethis definitiones.

AT Herophilius tamen Alexander, Philalethes cognomine, quò istas calumnias declinaret, definitionem duplicem pulsus fecit; alteram ex ipsius rei propria natura, quam vt in subiectis, appellat; alteram vt in consideratione. Ac pulsum vt in subiectis, esse cordis ait & arteriarum contractionem atque dilatationem spontaneam quæ animaduerti possit, pulsum verò, vt in consideratione, ictum ex arteriarum perpetuò spontaneo motu ad tactum, & interuallum, quod ictum excipit. Porrò confirmat hæc rationibus, vt putat probabilibus quinto in libro Placitorum. Quod etiam fecit Heraclides Tarantinus, vbi librum confutat Herophili De pulsibus, Multis autem argumentis Philalethis definitionem, qui eius memoriam secuti sunt, oppugnauerunt, quibusdam illis mitè leuibus, ac planè contentiosis, aliquibus plùs & minùs probabilibus, quæ quidam de illius familia confutauerunt, multáque verba vltrò citroque facta sunt. De his ego summatim paulò inferius fortasse pertractabo. Ascribam tamen prius definitiones Demosthenis, qui & ipse non secus, ac eius doctor, Philalethes cognominabatur.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὁρισμοὶ Δημοσθένους τοῦ Φιλαλήθους.

Οὗ καὶ τὰ τρία περὶ σφυγμῶν ἐστι συγγράμματα, παρὰ πολλοῖς εὐδοκιμοῦντα. διαιρεῖται δ᾽ οὖν, καὶ οὗτος τὸν σφυγμὸν, ὁμοίως τῷ Ἀλεξάνδρῳ· καί φησιν εἶναι, τὸν μὲν κατὰ τὸ ὑποκείμενον, καρδίας, καὶ ἀρτηριῶν διαστολὴν, ἢ συστολὴν φυσικὴν, φαίνεσθαι δυναμένην· τὸν δὲ ἐξ οὗ ποιούμεθα τὰς ἐπισκέψεις, καρδίας, ἢ ἀρτηριῶν πρὸς τὴν ἁφὴν, πλῆξιν φυσικὴν, καὶ τὸ μετὰ τὴν πληγὴν γινόμενον διάλειμμα. χρῆται δὲ κατὰ τοὺς ὅρους τῷ ἤ. συνδέσμῳ παραδιαζευκτικῷ· νομίζων τὸν καὶ συμπλεκτικὸν ὄντα, τὸ μὲν συγκείμενον ἐξ ἀμφοῖν ὁρίζεσθαι μόνον, ἰδίᾳ δ᾽ ἑκάτερον οὐχ ὁρίζεσθαι. βούλεται δ᾽ αὐτὸς τὴν τῶν ἀρτηριῶν κίνησιν εἶναι σφυγμὸν, αὐτὸν καθ᾽ ἑαυτὸν μόνον. εἶναι δὲ δηλονότι, καὶ τὴν τῆς καρδίας, αὐτὴν καθ᾽ ἑαυτὴν μόνην καὶ ταύτην. εἶναι δὲ καὶ τὸ συναμφότερον, σφυγμόν. ὡσαύτως δὲ, καὶ τὴν διαστολὴν μόνην, σφυγμὸν ὀνομάζεσθαι, καὶ τὴν **E** συστολὴν, καὶ τὸ συναμφότερον. ἐπείπερ δ᾽ οὕτως ὀνομάζεσθαι τὸν σφυγμὸν, ἐπειδὴ κατὰ τὴν διαστολὴν μέγας τε καλεῖται, καὶ μικρὸς, καὶ σφοδρὸς, καὶ ἀμυδρὸς, καὶ ταχὺς, καὶ βραδύς. κατὰ δὲ τὴν συστολὴν, ἀραιὸς καὶ πυκνός. ὅταν μὲν οὖν κατὰ τὸ ὑποκείμενον, τὰ μέρη λέγει τοῦ σφυγμοῦ, διαστολὴν ὀνομάζει καὶ συστολήν. ὅταν δ᾽ ὡς ἐν ἐπισκέψει, πληγὴν, καὶ διάλειμμα, νομίζων ἀδιάγνωστον αἰσθήσει τὴν συστολὴν εἶναι. μεγάλη δὲ πάλιν ἐνταῦθα γέγονεν ἀντιλογία τοῖς ἰατροῖς, οὐ περὶ ὀνόματος μόνον ἔτι, καθάπερ ἔνιαι τῶν εἰρημένων, οὐ μὴν οὐδὲ περίεργός τε, καὶ περιττὴ τὸν πολλαῖς αὐτῶν ὁμοίως. ἀλλὰ τὸ μέγιστον αὐτὸ καὶ κυριώτατον ἐπισκεπτομένη τῆς θεωρίας, καὶ κρίναι ἀδεκάστως ἐγὼ, καθάπερ **F** καὶ τἆλλα περὶ ὧν διεφώνησαν οἱ ἰατροὶ, προελόμενος, οὕτως καὶ τοῦτο παμπόλλοις ἔτεσιν ἀπορῶν διετέλεσα. χρόνῳ δ᾽ ὕστερον οὐκ ὀλίγῳ, τὴν τ᾽ αἰτίαν τῆς διαφωνίας αὐτῶν εὗρον, ἔν τε περὶ τούτου μόνου βιβλίον ἔγραψα, τὸ πρῶτον περὶ τῆς τῶν σφυγμῶν διαγνώ-

CAPVT V.

Demosthenis Philalethis definitiones.

HIc tres reliquit de pulsibus libros apud multos commendatos. Qui quidem etiam pulsum iuxta ac Alexander diuidit; dicitque illum quidem pro subiecto esse cordis & arteriarum distentionem, vel contractionem naturalem, quæ valeat animaduerti; alterum verò ex quo considerationes instituimus, cordis vel arteriarum ad tactum, ictum naturalem, interuallumque quod ictum excipit. Hic in definitionibus coniunctione vtitur disiunctiua, vel, arbitratus copulatiuam, & quod ex ambobus constituitur, tantum definire, vtrunque verò separatim non definire. Est autem eius sententia, arteriarum motum per se solum esse pulsum; & cordis item per se solum; esse etiam vtrunque simul pulsum; ita solam distentionem vocari pulsum, & contractionem; & vtranque simul. Inductus est sic pulsum appellari, quòd ex distentione magnus vocatur & paruus, veheménsque & languidus, celer & tardus; ex contractione rarus atque creber. Proinde vbi pro subiecto partes pulsus exponit, distentionem & contractionem vocat; quum verò pro consideratione, ictum & interuallum; sensu putans contractionem non posse percipi. At verò magna hîc denuò contentio medicis fuit, non iam de nomine tantùm, vti multæ superius: nec verò anxia & inanis, vt pleræque illarum, verùm quæ ad caput ipsum & summam pertinet commentationis. Equidem quum meo instituto expenderem, citra pronunciationem tamen, vt alia, quæ apud medicos sunt controuersa, sic hoc quoque per multos annos hæsitatio mea non potuit explicari; tandem aliquando reperi causam eorum dissensionis: vnumque de hoc solo librum scripsi, primum De dignoscendis pulsibus:

vbi explicatum est, qui contractionem pulsus sensibilem obtineant, & qui non. Vnde vniuersa disputatio illius libri ad eos planè dirigitur, qui ex ictu pulsum, & interuallo putant constare: nam sunt, qui etiam absque distinctione definitionis pro subiecto, à definitione pro considerationibus, absolutè dixerunt pulsum, ex ictu, & interuallo conflatum esse. Atqui vt dicatur ex distentione, & contractione constare, quæstio existit quædam de quietibus, & quam à distentione ante contractionem, & quam ante distentionem à contractione cor molitur, & arteriæ. Quòd si quando etiam cordis nomen prætereamus, solas autem commemoremus arterias, interpretandum est de illo dici eadem: quemadmodum, si de corde quid referamus, omissis arteriis, accipere oportet dictum de illis idem. Idem habet dubium in respiratione quies duplex respiratoriorum instrumentorum: quiescunt enim & thorax, & pulmo id temporis, quod intercedit inter ingressum spiritus, & exitum: atque pro tempore quidem harum quietum raram appellant, vel crebram respirationem. Veruntamen non similiter hæ quietes dignoscuntur, atque pulsuum: perspicuæ enim semper in respiratione sunt: at quietes in pulsibus quidam dixerunt nullo posse modo dignosci: quidam solam externam, quàm quidem & nos vocamus sensibilem, at non in omnibus tamen pulsibus. Itaque vt respiratio crebra & rara in signis est magnis, ita etiam pulsus creber atque rarus, vt disces in præsagitione ex iis: quietes autem partésne totius respirationis sint & pulsuum, in controuersia est. Etenim non primò, sed per accidens, qui in ea opinione sunt, in partibus numerant harum functionum quietes: nam in inspirationibus quidem expirationibusque perspicuò operari instrumenta respirationis; in pulsibus, distento, & contracto corde: quietes autem interpellantes has actiones instar esse quietis, quæ illis etiam instrumentis defunctis inest. Quemadmodum etiam, qui pulsum asserunt actionem esse arteriarum, & cordis, vel motum arteriarum, & cordis, vel distentionem, & contractionem arteriarum, atque cordis, omittere quietes videbuntur, quæ non paruum ad præsagiendum momentum habent. Rarus itaque & creber pulsus cum æqualitate sua, & inæqualitate, cum perturbatione ordinis, & ordine, sunt huius generis, qui non parua nunciant. Itidem intermittens pulsus, & intercurrens, ex eodem hoc genere, futurorum sunt non parua signa. Ergo si definiendo pulsui voles orationem de quietibus inserere, partésne habendæ illæ sint pulsuum, an secus: quòd si partes sint, vtrum primæ, & per se, an per accidens: multum profectò temporis in eo pones. Verùm quod in aliis fecimus, vt quum progressi, vsque ad cognitam ac detectam vbique loquacitatem essemus, ad aliud transiremus, idem nunc faciemus, reuersi ad Alexandri, & Demosthenis, quas De pulsibus fecerunt definitiones. Sanè videtur, si non verbis, at sententia, cum doctore suo Demosthenes consentire. Nanque functionem Alexander pulsuum spontaneam esse dixit, hic naturalem: & ille quæ possit animaduerti, hic quæ animaduerti valeat. Nec verò aliter in definitione pulsus pro subiecto, cum magistro videas Demosthenem sentire: eodem modo in definitione pro considerationibus.

A σεως. ἐν ᾧ διώρισται, τίνες μὲν σφυγμοὶ τὴν συστολὴν αἰσθητὴν ἔχουσι. τίνες δ' οὔ. φαίνεται δ' οὖν ὁ καὶ ἐν ἐκείνῳ τὸ βιβλίον ἅπας λόγος, ἐπεισαγόμενος τοῖς οἰομένοις αὐτὸν ἐκ πληγῆς τε καὶ διαλείμματος συγκεῖσθαι. τινὲς γάρ, καὶ χωρὶς τοῦ διελέσθαι τὸν ὡς ἐν ὑποκειμένῳ, τοῦ κατὰ τὰς ἐπισκέψεις, ἁπλῶς ἀπεφήναντο τὸν σφυγμὸν ἐκ πληγῆς καὶ διαλείμματος συγκεῖσθαι. καίτοι κἂν ἐκ διαστολῆς τε, καὶ συστολῆς λέγηται συγκεῖσθαι, ζήτημά τι γίνεται περὶ τῶν ἠρεμιῶν, ἥν τ' ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς· καὶ ἣν ἐπὶ τῇ συστολῇ πρὸ τῆς διαστολῆς, ἥ τε καρδία καὶ αἱ ἀρτηρίαι ποιοῦνται. κἂν παραλίπωμεν δέ ποτε τὸ τῆς καρδίας ὄνομα, μόνων B τῶν ἀρτηριῶν μνημονεύσαντες, ὑπακούειν χρὴ κατ' ἐκείνης εἰρῆσθαι τὰ αὐτά. καθάπερ κἂν ἐπὶ τῆς καρδίας εἴπωμέν τι, παραλιπόντες τὰς ἀρτηρίας, ἡγεῖσθαι χρὴ καὶ ἐπ' ἐκείνων λελέχθαι τὸ αὐτό. τὴν δ' αὐτὴν ἀπορίαν ἔσχηκε, καὶ ἡ κατὰ τὴν ἀναπνοὴν ἠρεμία διττὴ τῶν ἀναπνευστικῶν ὀργάνων. ἡσυχάζει γὰρ ὅ τε θώραξ, ὅ τε πνεύμων ἐν τῷ μεταξὺ χρόνῳ τῆς εἴσω τε, καὶ ἔξω φορᾶς τοῦ πνεύματος, καὶ κατά γε τὸν χρόνον τῶν ἡσυχιῶν τούτων, ἀραιάν, ἢ πυκνὴν ὀνομάζουσι τὴν ἀναπνοήν. ἥ γε μὴν διάγνωσις, οὐχ ὁμοία τούτων ἐστὶ τῶν ἡσυχιῶν, καὶ τῶν ἐν τοῖς σφυγμοῖς. ἐναργῶς μὲν γὰρ ἀεὶ ἐπὶ τῆς ἀναπνοῆς φαίνονται. τῶν δ' C ἐν τοῖς σφυγμοῖς ἠρεμιῶν, ἐνίοις μὲν ἔδοξεν οὐδ' ὅλως εἶναι διάγνωσιν, ἐνίοις δὲ τοῖς ἐκτὸς μόνοις. ἥνπερ δὴ αἰσθητὴν καὶ ἡμεῖς εἶναί φαμεν. οὐ μὴν ἐπὶ πάντων γε τῶν σφυγμῶν. ὅτι μὲν οὖν, ὥσπερ ἀναπνοὴ πυκνή, καὶ ἀραιὰ τῶν ἐπιχαίρων ἐστὶ σημείων, οὕτω καὶ σφυγμὸς πυκνός, καὶ ἀραιός· ὡς ἐν τῇ δι' αὐτῶν προγνώσει μαθήσῃ. τὸ δέ, μέρη τὰς ἡσυχίας εἶναι τῆς ὅλης ἀναπνοῆς τε καὶ τῶν σφυγμῶν, ἀμφισβητεῖται. καὶ γὰρ οἱ δοξάζοντες οὕτως, οὐ πρώτως, ἀλλὰ κατὰ συμβεβηκὸς εἶναι μέρη φασὶν ἐν ταῖς ἐνεργείαις ταύταις τὰς ἡσυχίας. ἐν μὲν γὰρ ταῖς εἰσπνοαῖς τε καὶ ἐκπνοαῖς, ἐνεργεῖ προφανῶς τὰ τῆς ἀναπνοῆς ὄργανα. κατὰ δὲ τοὺς D σφυγμοὺς διαστελλομένης τε καὶ συστελλομένης τῆς καρδίας, τὰς μεταξὺ τῶν ἐνεργειῶν τούτων ἡσυχίας, παραπλήσιόν τι πρᾶγμα εἶναι τῇ κἀπὶ τῶν τεθνεώτων αὐτοῖς ὑπαρχούσῃ. ὥσπερ καὶ οἱ λέγοντες ἐνέργειαν εἶναι ἀρτηριῶν τε καὶ καρδίας τὸν σφυγμόν, ἢ κίνησιν ἀρτηριῶν τε καὶ καρδίας, ἢ διαστολὴν καὶ συστολὴν ἀρτηριῶν τε καὶ καρδίας, δόξουσι παραλιπεῖν τὰς ἡσυχίας, οὐ μικρὰν μοῖραν ἐχούσας εἰς πρόγνωσιν. οἱ γοῦν, ἀραιὸς καὶ πυκνὸς σφυγμὸς κατὰ τοῦτο τὸ γένος εἰσί, μετὰ τῆς ἐν αὐτοῖς ὁμαλότητός τε καὶ ἀνωμαλίας, ἀταξίας τε καὶ τάξεως, οὐ σμικρὰ δηλοῦντες, ὥσπερ καὶ ὁ διαλείπων, καὶ ὁ παρεμπίπτων, κατ' αὐτὸ τὸ γένος E τοῦτο συνιστάμενοι, σημεῖον οὐ σμικρὸν οὐδ' αὐτοὶ τῶν ἐσομένων ὄντες. ἐὰν οὖν τις ἐθέλοι τὸν σφυγμὸν ὁριζόμενος ἐπεισάγειν αὐτῷ τὸν περὶ τῶν ἡσυχιῶν λόγον, εἴτε μέρη τίθεσθαι χρὴ τῶν σφυγμῶν αὐτάς, εἴτε μή· καὶ εἰ μέρη πότερον πρῶτα, καὶ κατὰ τὸν ἴδιον αὐτῶν λόγον, ἢ κατὰ συμβεβηκός, οὐκ ὀλίγον ἀναλώσει χρόνον, ἀλλ' ἡμεῖς, ὥσπερ ἐπὶ τῶν ἄλλων, ἄχρι τοῦ δεῖξαι τὴν καθ' ἕκαστα μακρολογίαν ἀφικόμενοι, μετέβημεν ἐφ' ἕτερόν τι, καὶ νῦν οὕτω πράξομεν, ἐπανελθόντες ἐπὶ τοὺς Ἀλεξάνδρου, καὶ Δημοσθένους ὅρους, οὓς ἐποιήσαντο τοῦ σφυγμοῦ. φαίνεται γάρ, εἰ καὶ μὴ τῇ λέξει, τῇ γε δυνάμει ταὐτὰ F τῷ διδασκάλῳ βουλόμενος ὁ Δημοσθένης. ὁ μὲν γὰρ Ἀλέξανδρος, ἀπροαίρετον ἔφη τὴν τῶν σφυγμῶν ἐνέργειαν ὑπάρχειν· ὁ δέ, φυσικήν· καὶ ὁ μὲν οἵαν τε φαίνεσθαι, ὁ δὲ φαίνεσθαι δυναμένην. οὕτως μὲν οὖν, ἐν τῷ κατὰ τὸ ὑποκείμενον ὅρῳ τοῦ σφυγμοῦ, φαίνεται τῷ διδασκάλῳ συμφερόμενος ὁ Δημοσθένης. ὡσαύτως δὲ κἂν τῷ κατὰ τὰς ἐπισκέψεις.

ἄδηλον γὰρ ὡς οὐδὲν διαφέρει πληγὴν, ἢ πλῆξιν εἰπεῖν. ὥσπερ οὐδ' ἀπροαίρετον, ἢ φυσικήν. ὅτι δὲ μόνῳ τῷ τ, η, σύνδεσμον εἰς τὸν ὅρον παρέλαβεν, ἀπέστη τοῦ διδασκάλου, πρόσθεν εἴρηται, καὶ καθ' ὅντινα λογισμὸν οὕτως ἔπραξεν. ἑξῆς οὖν ἐπισκεψώμεθα τοὺς ὑπὸ τῶν ἄλλων Ἡροφιλείων εἰρημένους ὅρους.

Constat enim, ictum dicas an percussum, nil interesse: nec etiam, spontaneam dicas, an naturalem. Nam eo tantum, quòd coniunctionem, vel, in definitionem intulit, ante diximus à præceptore eum dissidere, quaque id ratione fecit. Deinceps iam, quas attulerunt alij Herophilij, attendamus definitiones.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ὁρισμὸς τοῦ Βακχείου.

Ὁ μὲν οὖν Βακχεῖος ἐν ταῖς ἄλλαις ἀκροάσεσι τὸν σφυγμὸν εἶναί φησι συστολὴν, καὶ διαστολὴν, ἅμα ἐν ἁπάσαις ταῖς ἀρτηρίαις γιγνομένην. πρὸς ὃν ὅρον ἐπηρεαστικῶς μὲν ἀντεῖπον οἱ Ἐρασιστράτειοι, τὸ σφέτερον ἁμάρτημα κατηγορίας ἀρχὴν ποιησάμενοι. δοκεῖ γὰρ αὐτοῖς ἡ μὲν καρδία πρώτη διαστέλλεσθαί τε, καὶ συστέλλεσθαι τῶν ἀρτηριῶν ἁπασῶν. ἐπιπεμπομένου δὲ τοῦ πνεύματος ἀπ' αὐτῆς εἰς τὰς ἀρτηρίας, κατὰ τὴν ἐπιπλήρωσιν αὐτῶν γίνεσθαι τὴν διαστολήν. πρώτων μὲν τῶν πλησίον αὐτῆς τῆς καρδίας, δευτέρων δὲ τῶν ἐφεξῆς ταύταις. εἶθ' ἑξῆς τῶν ἐπὶ ταῖσδε. καὶ οὕτω κατὰ τὸ συνεχὲς, ἐπὶ τὰς ἐσχάτας ἁπασῶν ἀρτηριῶν διϊκνεῖσθαι τὴν κίνησιν. οὐδεμίαν αὐτῶν τῶν ἀρτηριῶν ἐχουσῶν δύναμιν, οὔτε ἰδίαν, οὔτε παρὰ καρδίας ἐπιπεμπομένην αὐταῖς, ᾗ χρώμεναι διαστέλλονταί τε καὶ συστέλλουσιν ἑαυτὰς, ὥσπερ ἡ καρδία. τοῖς δὲ περὶ τὸν Ἡρόφιλον, ἀρέσκει τὰς ἀρτηρίας συνεχεῖς οὔσας τῇ καρδίᾳ διὰ τῶν χιτώνων ἐπιρρέουσαν ἔχειν τὴν παρ' αὐτῆς δύναμιν, ᾗ χρώμεναι παραπλησίως αὐτῇ τῇ καρδίᾳ, διαστελλόμεναι μὲν ἕλκουσι πανταχόθεν, ὅθεν ἂν δύνωνται τὸ πληρῶσον αὐτῶν τὴν διαστολὴν, συστελλόμεναι δὲ ἐκθλίβουσι. καὶ διὰ τοῦτο φαίνεσθαι καθ' ἕνα χρόνον, ἅμα πάσας αὐτὰς διαστελλομένας τε καὶ συστελλομένας, τὴν αὐτὴν προθεσμίαν τῇ καρδίᾳ τῶν κινήσεων ἀμφοτέρων φυλαττούσας. Ἐρασιστράτῳ δὲ ἀκολουθεῖ μὲν, οὐχ ἅμα φαίνεσθαι τήν τε καρδίαν, καὶ τὰς ἀρτηρίας διαστελλομένας τε καὶ συστελλομένας. ἔχει δ' οὐχ οὕτως τὸ φαινόμενον. ὥστ' οὐκ ὀρθῶς ἐνεκάλεσαν οἱ Ἐρασιστράτειοι τῷ Βακχείῳ, τὸ φαινόμενον εἰπόντι. βέλτιον δ' ἀντεῖπον ὅσοι φασὶ μόνων τῶν κατὰ φύσιν σφυγμῶν, ὑπ' αὐτοῦ γεγονέναι τὸν ὁρισμόν. ἐν γὰρ τῷ παρὰ φύσιν ἔχειν τὸ ζῶον, ἐνίοτε φαίνεσθαι μὴ πάσας ἅμα διαστελλομένας τὰς ἀρτηρίας.

CAPVT VI.

Bacchij definitio.

Bacchius quidem aliis in auscultationibus pulsum dicit distentionem, & contractionem esse quæ simul fiat in omnibus arteriis. In hanc definitionem disputarunt cum contumelia Erasistratij, à suo errore criminationis ducentes exordium. Siquidem illorum est opinio, cor primum præ omnibus arteriis distendi, atque contrahi, immisso autem in arterias spiritu, ab illo, simul, atque impleantur, distendi primum ipsi cordi vicinas, deinde quæ has consequuntur, mox his proximas, atque ita continenter ad extremas omnium arterias motum penetrare, omni ipsis arteriis facultate vacantibus, tum peculiari, tum à corde ipsis suppeditata, cuius se ipsas ope distendant, vt cor, contrahantque. At Herophilo in arterias placet, quia sunt cum corde continuæ, per tunicas influere ab illo vim, cuius ope perinde, atque cor, dum distenduntur, ex omnibus partibus, vnde possint, attrahunt, quod impleturum sit suam capedinem; dum contrahuntur, excernunt: itaque eas simul vno tempore omnes videri distendi, & contrahi idémque præscriptum, ac cor, vtriusque motus seruare. Erasistrato autem consentaneum est, non vnà videri cor, & arterias distendi, contrahique: quod res ipsa apertè negat. Quò minus Erasistratij probè Bacchium accusarunt, id asserentem, quod res ipsa monstrat. Illi contrdicerent melius qui solorum naturalium pulsuum contendunt institutam ab eo definitionem: nam quum ægrotat animal, attendi interim non simul pulsare omnes arterias.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ὁρισμὸς τοῦ Ἀριστοξένου.

Ἀριστόξενος δὲ ὁ Ἡροφίλειος οὐ τοῦτο μόνον ἐνεκάλεσεν, ἀλλὰ καὶ τὸ παραλελεῖφθαι μὲν τὸ γένος τῶν σφυγμῶν κατὰ τὸν ὅρον, ἐκ διαιρέσεως δ' αὐτοῦ λελέχθαι τι περὶ διαστολῆς, καὶ συστολῆς. αὐτὸς γὰρ ἀξιοῖ τὸν σφυγμὸν λέγειν ἐνέργειαν ἀρτηριῶν. τοῦτο γὰρ εἶναι τὸ πρῶτον γένος. εἶτ' ἐπεὶ καὶ ἄλλαι τινὲς ἐνέργειαί εἰσι τῶν ἀρτηριῶν, αὐξανομένων τε καὶ τρεφομένων, προστίθησι τὴν ἰδίαν, ὡς εἶναι τὸν ὅλον ὅρον τοιόνδε. σφυγμός ἐστιν ἐνέργεια καρδίας, καὶ ἀρτηριῶν ἴδιος. ὅτι μὲν οὖν τὸ γένος τοῦ πράγματος, οὗ περ ἂν ὁριζόμενοι τύχωμεν, ἁπάντων πρῶτον λέγεσθαι χρὴ κατὰ τὸν ὅρον, ὀρθῶς εἶπεν ὁ Ἀριστόξενος. ἐπεὶ δ' ἐστὶ τὸ μέν τι προσεχὲς αὐτοῦ γένος, οὕτω γὰρ ὀνομάζουσι τὸ διὰ μηδενὸς ἑτέρου μέσου, τὸ δ' ἔτι δι' ἑνὸς, ἢ δυοῖν μέσων, ἢ καὶ τὸ πάντων ἀνωτάτω, ζήτησις οὐ μικρὰ γέγονε, ποῖον χρὴ γένος λέγεσθαι πρῶτον ἁπάντων κατὰ τὸν ὅρον. ἆρά γε τὸ ἀνωτάτω, μεθ' ὃ μηδέν ἐστιν ἔτι γενικώτερον, ἢ τὸ προσεχὲς, ἢ καί τι τῶν μεταξὺ τούτων. ὅταν ἀμφοτέρων τῶν εἰρημένων ᾖ σαφέστερον. εἰκότως οὖν ἐνίοις ἤρκεσε τὸ προσεχὲς γένος τῶν σφυγμῶν, κίνησιν εἰπεῖν.

CAPVT VII.

Aristoxeni definitio.

Qvod Aristoxenus Herophilius nõ solum reprehendit, verumetiam genus pulsuũ in definitione desiderari, ex eius verò diuisione aliquid dictum de distentione, & contractione esse. Nam pulsum ille dicere vult functionem arteriarũ esse scilicet primum hoc genus esse. Deinde quia functiones arteriis præterea aliæ sunt (crescunt enim, & nutriũtur) addit peculiarem. Ita hæc est tota definitio: Pulsus est functio cordis, & arteriarum peculiaris. Sanè genus rei, quamcunque definiamus, exprimendum in definitione esse ante alia, rectè Aristoxenus dixit. At quia quoddã eius est genus continuũ, ita enim vocant, ante quod nullũ aliud intercedit: quoddã autem vno, vel altero intercedente, aut etiam omnium supremum: quodnã genus, non parũ quæsitũ est, cæteris in definitione sit præponendum: supremũne genus, à quo amplius nullũ est generalius, an continuũ, an aliquod etiã, quod inter hæc intercedat, vbi sit vtroq; manifestius. Quamobrẽ meritò quidã contenti fuerũt cõtinuũ, & proximum genus pulsuum motũ dixisse.

Sed

Sed enim quòd motus varij sunt (nam latio, & alteratio, auctio, tabes, adhæc generatio interitusque, videntur motus esse) quemnam velint motum esse pulsum, par erat aperire. Dicent sanè lationem. Deinde quia multas habet latio differentias, addendum erat, quam lationem velint esse efficientium pulsus instrumentorum. Supernè aliquis à primo genere exorsus, si dialecticos sequi volet, definiat pulsum cordis, & arteriarum functionem esse, quæ motu lationis obitur distentis illis contractisque. Erit fortasse, qui his quietes censebit addendas, vt certe voluerunt, quidam: alij contra detrahunt, quasi quæ per accidens, non primo fiant. Verùm in Aristoxenum hæc sufficiunt, qui quum dialecticè voluit definire, leges præteriit ipse dialecticas. Volunt enim qui definiendi periti sunt à primo nos genere exordiri, deinde per media progredi, & ita facere definitionem. Equidem exemplum fortassis adducerem istiusmodi definitionum, nisi Platonis extarent duo libri, quos habent omnes in manibus; in quibus docet nos atque exercet, vt ex diuidendi via, & ratione faciamus definitiones. Titulum dedit horum librorum, alteri Sophista, alteri Politicus.

οὐσῶν δὲ κινήσεων πολλῶν, ἥ τε γὰρ φορά, καὶ ἡ ἀλλοίωσις, ἥ τε αὔξησίς τε καὶ φθίσις. ἔτι τε πρὸς τούτοις γένεσίς τε καὶ φθορά, κινήσεις εἶναι δοκοῦσιν, ἀκόλουθον ἦν εἰπεῖν ἥν τινα κίνησιν εἶναι βούλοιντο τὸν σφυγμόν. εἶπον γὰρ ἂν δηλονότι φοράν. εἶτα τῆς φορᾶς, πολλὰς ἐχούσης διαφοράς, ἐχρῆν ἐφεξῆς εἰπεῖν ἥν τινα φορὰν εἶναι βούλονται τὴν τοὺς σφυγμοὺς ἀποτελούντων ὀργάνων. ἄνωθεν δέ τις ἀρξάμενος ἀπὸ τοῦ πρώτου γένους, εἰ τοῖς διαλεκτικοῖς ἕπεσθαι βούλοιτο τὸν σφυγμὸν ἂν ὡρίσατο καρδίας, καὶ ἀρτηριῶν ἐνέργειαν εἶναι κατὰ κίνησιν τὴν κατὰ φορὰν γινομένην, ἐν τῷ διαστέλλεσθαι, καὶ συστέλλεσθαι. τάχα δὲ ἀξιώσει τις τούτοις προσθεῖναι, καὶ τὰς ἠρεμίας. ὥσπερ οὖν καὶ ἠξίωσαν ἔνιοι. τινὲς δ᾽ ἀφαιροῦσιν, ὡς κατὰ συμβεβηκὸς οὐ πρώτως αὐτῶν γινομένων. ἀλλὰ πρὸς Ἀριστόξενον ἱκανὰ καὶ ταῦτα, διαλεκτικῶς μὲν ὁρίζεσθαι βουλόμενον, οὐ φυλάττοντα δὲ τοὺς διαλεκτικοὺς νόμους οὐδ᾽ αὐτόν. ἀξιοῦσιν γὰρ οἱ δεινοὶ περὶ τοὺς ὁρισμοὺς ἀπὸ τοῦ πρώτου γένους ἀρξαμένους ἡμᾶς, εἶτα διὰ τῶν μεταξὺ προϊόντας, ποιεῖσθαι τὸν ὅλον ὅρον. ἔγραψα δ᾽ ἂν ἴσως τὸ παράδειγμα τοῦ τοιούτου τρόπου τῶν ὅρων, εἰ μὴ τὰ Πλάτωνος ἦν δύο βιβλία πᾶσι γνώριμα, καθ᾽ ἃ διδάσκει τε καὶ γυμνάζει, τῇ διαιρετικῇ μεθόδῳ χρωμένους ποιεῖσθαι τοὺς ὁρισμούς. ἐπιγράφει δὲ τῶν βιβλίων τούτων, τῷ μὲν ἑτέρῳ σοφιστής· τὸ δ᾽ ἑτέρῳ, πολιτικός.

CAPVT VIII.

Zenonis definitio.

Sed ad Zenonis nos definitionem, viri Herophiliorum nemini secundi, conferamus. Hic pulsum dicit esse partium arteriosarum mixtam ex contractione, & dilatatione functionem: ex qua eundem omnibus in partibus ordinem consonum fuit esse, siue æqualibus illa, siue inæqualibus temporibus absoluatur. Itaque functionem ille dicendo mixtam esse, non genus modò dixit pulsuum, sed & proximam, vt credit differentiam; vbi præteriit quòd motu functio obeatur, eóque lationis; meminit autem lationis specierum vel differentiarum, distentionis & contractionis, neque enim obscurum est dilatationem pro distentione eum accepisse. At non malè mixtum dixit esse motum, non simplicem, neque vnius formæ; siquidem ex contrariis partibus constat, vt motus in respiratione. Etiam illud liquet, alteram partem illum nolle compositi huius motus appellare pulsum, cæterùm pulsus partem. Num qui putant quia magnus pulsus ex distentione denominatur, continuò distentionem etiam totum appellari pulsum, hi non animaduertunt interdum ex his quæ accidunt partibus, totum inuenire cognomen; vt hic, simus homo, aquilus, cæsius, flauis oculis, caluus; in aliisque permultis, à partium affectu cognomen totum mutuatur. Iam quum alij Herophilij propè omnes, vel arteriarum, vel cordis, vel horum amborum distentionem, & contractionem appellent pulsum, hic non cordis & arteriarum, sed partium dixit arteriosarum, quæstione quam dixi superius, quæ de corde est, adductus. Exoritur enim animantis maxima arteria, ex cordis sinistro sinu. Ipsum autem corpus huius ventriculi non esse idem cum eo arteriarum, vel illi fatentur, qui arteriosum eum vocant.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ὁρισμὸς τοῦ Ζήνωνος.

Ἐπὶ δὲ τὸν ὑπὸ τοῦ Ζήνωνος εἰρημένον ὅρον ἔλθωμεν, ἀνδρὸς οὐδενὸς δευτέρου τῶν Ἡροφιλείων. οὗτος δὴ τὸν σφυγμόν φησιν εἶναι, τῶν ἀρτηριωδῶν μερῶν μικτὴν ἐνέργειαν ἐκ συστολῆς καὶ διαστάσεως, καθ᾽ ἣν ἐν ἅπασι τοῖς μέρεσι τὴν αὐτὴν ὑπάρχειν τάξιν ἠκολούθησεν, ἐάν τε ἐν τοῖς ἴσοις, ἐάν τε ἐν τοῖς ἀνίσοις ἐκείνη συντελῆται χρόνοις. καὶ οὕτως οὖν ἐνέργειαν μὲν εἰπὼν εἶναι μικτήν, οὐ μόνον τὸ γένος ἀπεφήνατο τῶν σφυγμῶν, ἀλλὰ καὶ τήν, ὡς οἴεται προσεχῆ διαφοράν. ὑπερβὰς μέν, ὅτι κατὰ κίνησιν ἡ ἐνέργεια γίγνοιτο, καὶ τῆς κινήσεως κατὰ φοράν. τῶν δὲ τῆς φορᾶς εἰδῶν, ἢ διαφορῶν μνημονεύσας, συστολῆς τε καὶ διαστολῆς. εὔδηλον γάρ, ὅτι τὴν διάστασιν ἀντὶ τῆς διαστολῆς εἴρηκεν. οὐ κακῶς δ᾽ εἶπε μικτὴν εἶναι τὴν κίνησιν, οὐχ ἁπλῆν, οὐδὲ μονοειδῆ, σύνθετος γάρ ἐστιν ἐξ ἐναντίων μορίων, ὡσαύτως τῇ κατὰ τὴν ἀναπνοήν. εὔδηλον δέ, καὶ ὅτι τὸ ἕτερον μέρος μόνον τῆς συνθέτου ταύτης κινήσεως, οὐ βούλεται σφυγμὸν ὀνομάζειν. ἀλλὰ μέρος σφυγμοῦ. τὸ γὰρ οἴεσθαι διὰ τοῦτο, καὶ τὴν διαστολὴν ὅλην ὀνομάζεσθαι σφυγμόν, ὅτι μέγας σφυγμὸς λέγεται κατ᾽ αὐτήν, οὐκ ἐννενοηκότων ἐστίν, ὡς ἀπὸ τῶν ἐν τοῖς μέρεσι συμβεβηκότων, ἐνίοτε τὴν ἐπωνυμίαν ἴσχει τὸ σύμπαν. ἐν γοῦν τῷ σιμὸς ἄνθρωπος, καὶ γρυπός, καὶ γλαυκός, καὶ χαροπός, καὶ φαλακρός, ἑτέροις τε παμπόλλοις, ἀπὸ τῆς κατὰ τὰ μόρια διαθέσεως ἐπωνυμία τῷ ὅλῳ γίγνεται. τῶν δ᾽ ἄλλων σχεδὸν ἁπάντων Ἡροφιλείων, ἢ ἀρτηριῶν, ἢ καρδίας, ἢ ἀμφοτέρων τούτων τὴν διαστολήν, καὶ συστολήν, σφυγμὸν ὀνομαζόντων, οὗτος οὐ καρδίας, καὶ ἀρτηριῶν, ἀλλὰ τῶν ἀρτηριωδῶν μερῶν ἔφη, διὰ τὴν περὶ τῆς καρδίας ζήτησιν ἣν ἔμπροσθεν εἶπον. ἐκπέφυκε γὰρ ἡ μεγίστη τῶν κατὰ τὸ ζῶον ἀρτηριῶν, ἐκ τῆς ἀριστερᾶς κοιλίας αὐτῆς. αὐτὸ δὲ τὸ σῶμα τῆς κοιλίας ταύτης, ὅτι μὴ ταὐτόν ἐστι τῷ τῶν ἀρτηριῶν, ὁμολογεῖται καὶ αὐτοῖς τοῖς ἀρτηριώδη καλοῦσιν αὐτήν.

ὡς γὰρ νευρῶδές τι σῶμα λέγομεν ἕτερον ὂν νεύρου, οὕτω καὶ ἀρτηριώδη τὴν κοιλίαν ταύτην ἐκάλεσαν, ἑτέραν προφανῶς ἔχουσαν οὐσίαν τῶν ἀρτηριῶν. οὐ συγχωρεῖται δ' αὐτοῖς ὑπὸ τῶν ἀντιλεγόντων, οὐδ' ἀρτηριώδης ὀρθῶς ὀνομάζεσθαι. τὴν αὐτὴν γὰρ ἔχει φύσιν τῇ δεξιᾷ, σαρκοειδεῖ τὴν οὐσίαν οὔσῃ. διὸ κἂν τοῖς μυσὶν, ἔνιοι τὴν καρδίαν ἐνηρίθμησαν. ἀλλ' οὗτοι μὲν ὅπως σφάλλονται, δι' ἑτέρων δέδεικται. λέγειν δ' οὕτως ἐτόλμησαν, διὰ τὴν ὁμοιότητα τῆς σωματικῆς οὐσίας αὐτῶν. ὁμοιότατον γάρ ἐστι τὸ τῆς καρδίας σῶμα, τῷ τῶν σκληρῶν μυῶν. καὶ μέντοι καὶ φαίνεται σαφῶς ἀμφοτέραις ταῖς κοιλίαις σφύζουσα. καὶ καθ' ὃν ἔγκειται καιρὸν ἔτι τῷ ζώῳ, καὶ μετὰ τὴν ἐξαίρεσιν ἄχρι χρόνου τινός. ἀλλὰ καὶ ὅτι τὸν κατὰ φύσιν μόνον ὡρίσατο σφυγμὸν ὁ Ζήνων, καὶ κατὰ τοῦτο εἰκότως ἐγκέκληται. τὸ γὰρ ἐν ἅπασι τοῖς μέρεσι τὴν αὐτὴν ὑπάρχειν τάξιν τῆς κινήσεως τῶν ἀρτηριῶν, ἐπὶ μὲν τῶν κατὰ φύσιν ἐχόντων, ἀληθές. ἐπὶ δὲ τῶν παρὰ φύσιν, ἐνίοτε ψεῦδος. ἐγκαλεῖ δ' Ἀριστόξενος εἰκότως τῷ Ζήνωνι, καθάπερ καὶ ἄλλοις πολλοῖς τῆς περιττῆς προσθήκης ἐν τῷ φάναι, ἐάν τε ἐν τοῖς ἴσοις, ἐάν τε ἐν τοῖς ἀνίσοις ἐκείνη συντελῆται χρόνοις. κατὰ γὰρ τὴν κοινὴν καὶ γενικὴν ἔννοιαν τῶν σφυγμῶν, μὴ περιέχεσθαι μήτε τοῦτο, μήθ' ὅλως ἄλλο τι τῶν κατὰ τὴν διαίρεσιν τοῦ προκειμένου πράγματος εἰς τὸν ὁρισμόν. ὁ γοῦν εἰπὼν τὸν ἄνθρωπον εἶναι ζῷον, εἶτα προσθεὶς αὐτῷ διαφορὰν τὸ πεζόν. εἶθ' ἑξῆς τὸ δίπουν, οὐκέτι δεῖται τὰς ἐν αὐτοῖς τοῖς ἀνθρώποις προσθεῖναι διαφοράς. ὡς γίνεσθαι τὸν ὅρον τοιοῦτον. ἄνθρωπός ἐστι ζῷον πεζὸν δίπουν, καθ' ὃ τεχνῖται, καὶ ἄτεχνοι, καὶ σοφοί, καὶ ἀμαθεῖς γίνονται. μόνων μὲν γὰρ ἀνθρώπων, ὄντως εἰσὶν αἱ τοιαῦται διαφοραί· περιτταὶ δέ, ὡς πρὸς τὸν οἰκεῖον ὁρισμόν. ἀρκεῖ γάρ, ἤτοι ζῷον πεζὸν, δίπουν εἰπεῖν, ἢ ζῷον λογικὸν θνητόν. οὐ γὰρ τὸ προκείμενον εἰς τὸν ὁρισμὸν πρᾶγμα τέμνεσθαι χρή, καθάπερ ἔφην. ἀλλὰ τὸ γένος αὐτοῦ, καὶ μέχρι τοσούτου τέμνεσθαι, μέχρις ἂν ἐπὶ τὸ προκείμενον ἀφικώμεθα πρᾶγμα. συμπληρωθείσης δ' ἀκριβῶς αὐτοῦ τῆς ἐννοίας, καὶ τοῦ λόγου τὴν οὐσίαν αὐτάρκως δηλοῦντος, ἄχρηστος ἡ μετὰ ταῦτα προσθήκη πᾶσα. καὶ μάλισθ' ἡ κατὰ τὴν διαίρεσιν αὐτοῦ τοῦ μέλλοντος ὁρίζεσθαι πράγματος γιγνομένη. τὸ γὰρ κοινὸν ἁπάντων σφυγμῶν, προσήκει δηλοῦσθαι κατὰ τὸν ὅρον. ὅπερ ἐστὶ καθ' ὃ σφυγμοὶ νοοῦνταί τε, καὶ λέγονται. οὐ καθὸ τοιοίδε τινὲς σφυγμοί. ὡς ἐάν γέ τινος ἐφάψηται διαφορᾶς ὁ κατὰ τὸν ὅρον λόγος, ὑποκάτω τοῦ προκειμένου πράγματος οὔσης, ἀφορμὴν παρέξει τοῖς ἐγκαλεῖν βουλομένοις, ὡς κακῶς τῶν ἄλλων παραλελειμμένων. ὡς γὰρ ὁ Ζήνων προσέθηκεν, ἐάν τ' ἐν τοῖς ἀνίσοις χρόνοις συντελῆται, τὴν κατὰ χρόνον ἔν γε τοῖς σφυγμοῖς διαφορὰν ἐνδεικνύμενος, οὕτως ἄλλος προσθήσει τὴν κατὰ μέγεθος, εἶτ' ἄλλος, τὴν κατὰ σφοδρότητα, καὶ ἄλλος μέν γε, τὴν κατὰ πυκνότητα, τὴν κατ' ἀριθμὸν δ' ἄλλος. ἁπάσας δὲ τὰς ὑπολοίπους διαφοράς, ἄλλος τις, καὶ ἄλλος. ταῦτα μὲν οὖν εἰκότως ἐμέμψαντο τῷ τοῦ Ζήνωνος ὅρῳ, πλεονασθέντι περιττῶς. εἶχον δ' ἐγκαλεῖν, εἴπερ ἐβούλοντο, καὶ τὰ παρὰ τοῖς διαλεκτικοῖς εἰρημένα περὶ τῶν πλεοναζόντων ὅρων κατὰ τὴν λέξιν. ἐπιδεικνύουσι γὰρ οἱ ἄνδρες ἐκεῖνοι, τὴν τῆς λέξεως αὔξησιν, μείωσιν ἐργαζομένην τοῦ κατὰ τὸν ὁρισμὸν πράγματος, καθάπερ εἰ καὶ τὸν ἄνθρωπόν τις εἴποι, πεζὸν δίπουν ζῷον γεωμετρικόν. οἱ γὰρ μὴ γεωμετροῦντες, οὐκ ἔσονται ἄνθρωποι. προδήλου γεγονυίας ἤδη, καὶ τῆς κατὰ τοῦτον τὸν ὅρον ἀντιλογίας αὐτῶν, εἰς ὅσον ἐκτείνεσθαι δύναται, μεταβῶμεν ἀπὸ τοῦ Ζήνωνος ἐπὶ τὸν Χρύσερμον, ὁριζόμενον οὑτωσὶ τὸν σφυγμόν.

A Nam vt neruosum appellamus aliquod corpus, quod tamen distat à neruo, sic arteriosum hunc sinum vocauerunt, substantia planè diuersa præditum ab arteriis. Verùm non obtinent ab aduersariis, vt rectè, vel arteriosus vocetur; quòd eadem natura sit ac dexter, qui est carneus; quocirca cor quidam in musculis posuerunt; quorum errorem, alio loco deteximus. Id autem vt dicere auderent, similitudo eos corporeæ substantiæ induxit, quæ illis est; simillimum enim est cordis corpus durorum musculorum corpori. Ac verumetiam manifestè vtroque sinu videtur B pulsare, & dum in corpore adhuc est, & quum exemptum est, aliquantisper. Quinetiam quòd pulsum naturalem tantùm Zeno definiuit, meritò & in eo est culpatus. Nam eundem in omnibus partibus esse ordinem motus arteriarum, in valentibus quidem verum est; in affectis, fit quum falsum sit. Insimulat porrò Aristoxenus Zenonem, vt multos alios, de additione superuacua hac, quum dicat, siue æqualibus illa, siue inæqualibus absoluatur temporibus, siquidem communem notionem, & generalem pulsuum non complecti nec hoc, nec aliud prorsus quicquam eorum quæ ex diuisione rei quæ definienda est, C proficiscuntur. Nam hominem qui animal esse dixit, inde ei addidit differentiam pedestre, postea bipes, non opus habet, etiam differentias ipsorum hominum vt addat; vt hæc sit definitio; Homo est animal pedestre bipes, in quo artifices, & inertes, sapientes & indocti continentur. Solotum enim hæ hominum quidem sunt differentiæ, inutiles illæ tamen, quòd ad propriam definitionem attinet, quòd sufficiat vel animal pedestre bipes dicere, vel animal rationale mortale. Neque enim definienda quæ res proponitur, est, vt dixi partienda, sed genus eius; atque hactenus diuidendum, dum quod intendimus assequa- D mur. Cuius si exactè notio completa sit, definitióque abundè essentiam declaret, inutile est quicquid deinde addatur, maximè si ex diuisione eius rei adiiciatur, quæ definienda est. Namque quod commune est omnibus pulsibus, id debet in definitione proferri, quæ est res, per quam pulsus concipiuntur & dicuntur; non per quam certi quidam pulsus. Nam siquam attingat differentiam definitio subiectam propositæ rei, reprehendendi cuius ansam præbebit, non rectè prætermissas cæteras esse. Nam E sicut Zeno adiecit, siue in æqualibus, siue in inæqualibus temporibus absoluatur, temporis pulsuum scilicet subiiciens differentiam, ita alius addet magnitudinis, alius vehementiæ: erit qui crebritatis, alius numeri; denique omnes differentias reliquas alius, atque alius. Quamobrem iure illi definitionem Zenonis nimium exuberantem, & superfluam criminati sunt. Habuissent etiam, si libuisset, illa obiicere, quæ dialectici prodiderunt de definitione, in qua dictio abundat. Demonstrant enim viri illi dictionis accessionem, de re quæ definitur, de- F trahere, vt hominem si dicas esse animal pedestre bipes geometriæ peritum, nam geometræ qui non sunt, non erunt homines. Nunc quando confutationem huius definitionis, quàm porrò possit produci, aperuimus, transeamus à Zenone ad Chrysermum, cuius hæc est definitio pulsus.

CAP.

CAPVT IX.

Chrysermi definitio.

PVlsus est dilatatio, & contractio arteriarum, exurgente vndique tunica, & in se ipsam rursus considente, ab animali facultate atque vitali, comitans perpetuò, tam sanitatem quam morbum, ad sensum perceptibilis. Videtur enim hic etiam vir præteriisse cor, & tunicæ arteriarum circularem eleuationem, & concidentiam pulsum appellare, quas plerique distentionem & contractionem vocauerunt. Quod verò prætermiserunt quidam de familia Herophili, hic addidit, ab animali enim & vitali, inquit, facultate hunc arteriarum motum proficisci; superfluè illud additum quidem, si definitioni, quam vocant notionis assignes; quod tamen non abundat his, qui definitiones essentiales postulant. Nam rerum quæ positæ in generatione sunt, definitio causam complectens efficientem, optima habetur; de quibus est pulsus, qui vt cæteri motus, dum fit est. At rectène an secus, ab animali & vitali facultate effici dixerit pulsum, non paruam ea oratio quæstionem habet; quam quidem, qui omnia vult, vbique dicere, præsenti lucubrationi insereret, etsi non sit necessarium. Nam quæ rei exponunt essentiam definitiones, placita consequuntur definientium; quæ confutari priuatim debent, nec ob illa definitionem quasi haud legitimè factam improbare: at vbi veritas illorum quæ dicta sunt, inuestigatur tum maximè longior omnis disputatio locum habet. Quòd si quis vitio vertendum ducat, quod in vnam ambas definitiones confuderit; & notionis vt vocant, quæ posita est in communi intelligentia, & essentialem, quam vocant, quæ essentiam rei aperit, rectè sanè accusabit: & verò etiam complures definitiones, quas retulimus, rectè criminabitur. Nam omnis disciplina ab aliqua notionis definitione ducere initium debebat; ab illa vel paulatim ad essentiales progredi, aut repente ad eam quæ adamussim explicet rei propositæ essentiam. Equidem initio statim dixi huius libri, qualis esse notionis definitio debeat; quales autem quæ pedetentim ab illa recedunt: quò est hîc minus nobis inhærendum, quòd quum hoc declaratum antè sit, tum alia etiam omnia, quæ in definitione Chrysermus posuit.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὁρισμὸς τοῦ Χρυσέρμου.

Σφυγμός ἐστι διάστασις καὶ συστολὴ ἀρτηριῶν, πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου, καὶ πάλιν εἰς ἑαυτὸν συμπίπτοντος, ὑπὸ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως, παρεπομένη διαπαντὸς ἔν τε τῷ ὑγιαίνειν καὶ νοσεῖν, πρὸς αἴσθησιν ληπτή. φαίνεται δὲ καὶ οὗτος ὁ ἀνὴρ παραλελοιπὼς μὲν τὴν καρδίαν, τὴν δὲ τοῦ χιτῶνος τῶν ἀρτηριῶν κατὰ κύκλον ἐπανάστασίν τε καὶ συνίζησιν, ὀνομάζων σφυγμὸν, ἅπερ οἱ πλεῖστοι συστολήν τε καὶ διαστολὴν ἐκάλεσαν. ὃ δ' ἄλλοι τινὲς ἐκ τῶν Ἡροφιλείων παρέλιπον, αὐτὸς προστέθηκεν. ὑπὸ γὰρ ψυχικῆς, καὶ ζωτικῆς δυνάμεως ἔφη γίνεσθαι τὴν εἰρημένην τῶν ἀρτηριῶν κίνησιν. ἐκ περιττοῦ μὲν προστιθέμενον, εἰς τὸν ἐννοηματικὸν ὀνομαζόμενον ὅρον ἀποδιδοίη τις, οὐκ ἐκ περιττοῦ δὲ τοῖς ἀξιοῦσι τοὺς ὅρους οὐσιώδεις λέγεσθαι. τῶν γὰρ ἐν γενέσει πραγμάτων ὁ περιέχων τὸ ποιοῦν αἴτιον ὅρος, ἄριστος εἶναι δοκεῖ. τῶν τοιούτων δ' ἐστὶ καὶ ὁ σφυγμὸς, ἐν τῷ γίνεσθαι τὴν ὕπαρξιν ἔχων ὥσπερ καὶ πᾶσα κίνησις. εἰ δ' ἀληθῶς, ἢ οὐκ ἀληθῶς ὑπὸ ψυχικῆς καὶ ζωτικῆς δυνάμεως ἔφη γίνεσθαι τὸν σφυγμὸν, οὐ μικρὰ ζήτησις ἐκδέχεται τὸν λόγον. ἣν ὁ πάντα ἐν πᾶσι λέγειν βουλόμενος ἐπεισάξει τῇ προκειμένῃ σκέψει. καίτοι γ' οὐκ οὔσης ἀνάγκης· οἱ γὰρ τὴν οὐσίαν τοῦ πράγματος ἑρμηνεύοντες ὅροι, κατὰ τὰ δόγματα τῶν ὁριζομένων γίγνονται, πρὸς ἃ τὴν μὲν ἀντιλογίαν ἰδίᾳ χρὴ ποιεῖσθαι, δι' αὐτὰ δὲ τὸν ὅρον, ὡς οὐ νομίμως γεγονότα μὴ συκοφαντεῖν. ἐν δὲ τῇ περὶ τῆς ἀληθείας σκέψει τῶν εἰρημένων, ἐν αὐτῇ περιέχεται καὶ ἡ τοιαύτη πᾶσα μακρολογία. εἰ δ' ἐγκαλεῖν τις ἐθέλοι δι' ὅ,τι συνέχεεν εἰς ἕνα λόγον ἀμφοτέρους τοὺς ὅρους, τόν τε ἐννοηματικὸν ὀνομαζόμενον, ὃς κατὰ τὴν κοινὴν ἔννοιαν προέρχεται, καὶ τὸν οὐσιώδη καλούμενον, ὃς τὴν οὐσίαν ἑρμηνεύει τοῦ πράγματος ὀρθῶς τ' ἐγκαλέσει, καὶ πολλοὺς τῶν εἰρημένων ὅρων ὑπευθύνους ἀποδείξει τῇ τοιαύτῃ κατηγορίᾳ. τὴν ἀρχὴν μὲν γὰρ ἁπάσης τῆς διδασκαλίας, ἀπό τινος κατὰ τὴν ἔννοιαν ὁρισμοῦ γίγνεσθαι προσήκει. ἀπ' ἐκείνης δ' ἤτοι κατὰ βραχὺ μεταβαίνειν ἐπὶ τοὺς οὐσιώδεις, ἢ ἀθρόως ἐπὶ τὸν ἀκριβῶς ἑρμηνεύοντα τὴν οὐσίαν τοῦ προκειμένου πράγματος. εἴρηται δέ μοι κατὰ τὴν ἀρχὴν εὐθέως τοῦδε τοῦ πράγματος, ὁποῖον μέν τινα τὸν ἀκριβῶς τὸν ἐννοηματικὸν ὅρον προσήκει εἶναι. ὁποίους δὲ τοὺς ἀποχωροῦντας αὐτοῦ κατὰ βραχύ. διόπερ οὐδὲ χρονίζειν ἔτι κατὰ τὸν λόγον ἀναγκαῖον. ὥσπερ γὰρ τοῦτο λέλεκται πρόσθεν, οὕτω καὶ περὶ τῶν ἄλλων ὅλων, ὅσα κατὰ τὸν ὅρον ὁ Χρύσερμος εἶπεν.

CAPVT X.

Heraclidis Erythræi definitio.

AT Erythræus Heraclides clarissimus eius discipulorum; parum videtur magistri definitionem probare; distentionem enim dixit & contractionem arteriarum atque cordis pulsum esse, à vitali, & animali facultate plurimum valente effectum. Nam quòd distentionem dixit pro dilatatione verbo tantum dissidet ab illo, non re; quòd verò de illa detraxit, comitans perpetuò tam sanitatem, quàm morbum, in re dissentit. Omittit hoc enim pro superuacaneo, sicut illud, sensu perceptibilem esse illum motum arteriarum & cordis tametsi perpetuò in sanitate animaduerti pulsum ad eius pertinet notionem, nec non in aliis plerisque ægritudinibus, at non in omnibus.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Ὁρισμὸς τοῦ Ἡρακλείδου Ἐρυθραίου.

Ὅγε μὴν Ἐρυθραῖος Ἡρακλείδης, ἐνδοξότατος τῶν μαθητῶν αὐτοῦ γενόμενος, οὐ πάνυ φαίνεται προσιέμενος τοῦ διδασκάλου τὸν ὅρον. συστολὴν γὰρ ἔφη καὶ διαστολὴν ἀρτηριῶν καὶ καρδίας, εἶναι τὸν σφυγμὸν ὑπὸ ζωτικῆς, καὶ ψυχικῆς δυνάμεως πλεῖστον δυναμένης ἀποτελούμενον. τὸ μὲν οὖν διαστολὴν ἀντὶ διαστάσεως εἰπεῖν ἐν φωνῇ μόνον, οὐκ ἐν πράγματι διαφωνοῦντός ἐστι. τὸ δ' ἀφελεῖν ἐξ αὐτοῦ τὸ παρεπομένην διαπαντὸς ἐν τῷ ὑγιαίνειν, καὶ νοσεῖν ἐν πράγματι. παραλείπει γὰρ, ὡς περιττὸν τοῦτο. καθάπερ γε καὶ τὸ πρὸς αἴσθησιν ληπτὴν εἶναι τὴν εἰρημένην κίνησιν τῶν ἀρτηριῶν, καὶ τῆς καρδίας. καίτοι τὸ μὲν διαπαντὸς ἐν τῷ ὑγιαίνειν φαίνεσθαι τὸν σφυγμὸν, κατὰ τὴν ἔννοιάν ἐστιν αὐτοῦ μάλιστα. καὶ μέντοι καὶ κατὰ τὰς πλείστας τῶν νόσων, οὐ γὰρ δὴ πάσας γε.

τὸ δὲ πρὸς αἴσθησιν ληπτὴν εἶναι τὴν κίνησιν αὐτῶν, εἴρηταί μοι πρόσθεν, ὁποίου χρήζει διορισμοῦ κατὰ τὸν λόγον ἐκεῖνον, ἐν ᾧ περὶ τῶν ὑπ' Ἀλεξάνδρου τε, καὶ Δημοσθένους εἰρημένων ὅρων ἐσκοπούμην. ἀφεῖλε δὲ καὶ τὸ πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου, καὶ πάλιν εἰς ἑαυτὸν συντρέχοντος, ὡς ἐν τῷ διαστέλλεσθαί τε, καὶ συστέλλεσθαι δεδηλωμένων αὐτῷ. τῷ δ' ὑπὸ ζωτικῆς καὶ ψυχικῆς δυνάμεως γίνεσθαι τὸν σφυγμὸν ὑπὸ Χρυσέρμου λελεγμένῳ προσέθηκεν ὁ Ἡρακλείδης, τὸ πλειστοδυναμούσης. ἐπειδὴ καὶ ἄλλα τινὰ συντελεῖν εἰς τὴν τῶν σφυγμῶν γένεσιν, ὁ Ἡρόφιλος αὐτός φησι, καὶ πάντες οἱ ἀπ' αὐτοῦ κληθέντες Ἡροφίλειοι. μέμφεταί γε μὴν ὁ Ἀριστόξενος καὶ τούτῳ, καὶ Ἀπολλωνίῳ τῷ Μυῒ προσθέντι, καὶ αὐτῷ τὸ πλειστοδυναμούσης. οὐ γὰρ ἐχρῆν, φησι, τὸ κοινὸν ἁπάσης ἐνεργείας φυσικῆς, ὡς ἴδιον τῶν σφυγμῶν λέγεσθαι. μέμφεται δὲ καὶ τῷ πάντη τὸν χιτῶνα τῆς ἀρτηρίας, κυκλοτερῶς διΐστασθαι, λελέχθαι κατὰ τὸν ὅρον, οὐ μόνον, ὥσπερ ὁ Ἡρακλείδης, ὡς περιττῷ, ἀλλ' ὅτι καὶ τῶν παρὰ φύσιν σφυγμῶν ἔνιοι, τὴν διαστολὴν τῆς ἀρτηρίας οὐχ ὁμαλὴν ποιοῦνται, καθάπερ ἑαυτῶν μέρος. ἐπηρεάζει δὲ τῷδε προδήλως, εἰ γὰρ αὐτὸς ὁ Χρύσερμος ἐνεγεγράφει τῷ ὅρῳ τὸ ὁμαλῶς, εἰκότως ἂν ἤλεγχεν αὐτὸν ἀναμιμνήσκων τῶν ἀνώμαλον ἐχόντων τὴν κίνησιν σφυγμῶν, ἐπεὶ δ' ἁπλῶς ἔφη, πάντοθεν τοῦ χιτῶνος ἐπανισταμένου, καὶ πάλιν εἰς ἑαυτὸν συντρέχοντος, οὐκέτ' εὐλόγως ἐγκαλεῖ. βέλτιον δ' ἦν, εἴπερ ὅλως ἐφιλοτιμεῖτο διελέγχειν τὸν Χρύσερμον, ἐπὶ τοὺς τοιούτους τῷ λόγῳ ἀφικέσθαι σφυγμούς, ἐν οἷς ὁ χιτὼν τῆς ἀρτηρίας, ὥσπερ χορδὴ φαίνεται τεταμένος. ἄνω μὲν καὶ κάτω τῆς ἀρτηρίας ὅλης φερομένης, οὐ μὴν διαστελλομένης γε. τοῦτο γὰρ εἴρηταί τισιν εἰς μὲν ἐξήγησιν τοῦ τοιούτου σφυγμοῦ, χρησίμως. οὐ μὴν εἰς ἀκριβῆ γε ἐπιστήμην. ἀδύνατον γοῦν ἐστι, μηδ' ὅλως διαστέλλεσθαί τε καὶ συστέλλεσθαι τὰς ἀρτηρίας, ἔτι ζῶντος τοῦ ζώου. δυνατὸν δὲ μὴ φαίνεσθαι τοῦτο παρούσας ἐναργῶς διά τε τὴν βραχύτητα τῆς διαστολῆς, καὶ τὸν ἐζευγμένον κλόνον ταῖς τοιαύταις ἀρτηρίαις. ἐλέγομεν γοῦν τηνικαῦτα, ταῖς τεταμέναις χορδαῖς, ὁμοίως φαίνεσθαι τὰς ἀρτηρίας, ἀνιούσας τε καὶ κατιούσας, οὐ μὴν διαστελλομένας τε, καὶ συστελλομένας σαφῶς. ὥστε οὐδὲ κατὰ τοῦτον τὸν λόγον, εἰκότως ἄν τις ἐγκαλέσειεν, ὡς ψευσαμένῳ τῷ Χρυσέρμῳ περὶ τῆς κατὰ κύκλον διαστολῆς τε, καὶ συστολῆς τῶν ἀρτηριῶν. οὐ περὶ τῆς αἰσθητῆς κινήσεως αὐτῶν ποιησαμένῳ τὸν ὅρον, ἀλλὰ περὶ τῆς οὐσιώδους ὑπάρξεως τοῦ σφυγμοῦ. ἀλλὰ γάρ, εἴ τις βούλοιτο, καὶ περὶ τούτων, ἢ αὐτὸς γνῶναι τὰ λελεγμένα τοῖς ἀνδράσιν, ἢ μεταστρέφειν εἰς ὑπομνήματα, τοῦ μὲν Ἐρυθραίου τὸ ἕβδομον ἀναγνώτω περὶ τῆς Ἡροφίλου αἱρέσεως. τοῦ Ἀπολλωνίου δέ, τὸ εἰκοστὸν ἔννατον. Ἀριστοξένου δέ, τὸ τρισκαιδέκατον. ἐμοὶ δ' ἀρκεῖ, καθ' ἑκάστην ἀντιλογίαν ἐνδεικνυμένῳ τὰ κεφάλαια τῶν λόγων, ἐφ' ἕτερόν τι μετέρχεσθαι. καὶ γὰρ καὶ οὕτω πράττοντι, τὸ βιβλίον ὅλον ὑποπληρώσεται. κάλλιον δὲ ἴσως μηδὲ τοῦτο παραλιπεῖν, ὡς αὐτὸς ὁ Ἀριστόξενος, Ἀλεξάνδρου τοῦ Φιλαλήθους γεγονὼς μαθητής, ἐλέγξας τε τοὺς τῶν πρεσβυτέρων ἑαυτοῦ πάντας ὅρους, ὡς οἴεται, κάλλιστα δ' ἔχειν εἰπὼν τόνδε. σφυγμός ἐστι, καρδίας, καὶ ἀρτηριῶν ἐνέργεια ἴδιος, ὅμως αὐτὸς ἐφεξῆς, οὐδὲν κωλύει, φησί, καὶ τοιοῦτον ὅρον ποιήσασθαι. σφυγμός ἐστι, καρδίας, καὶ ἀρτηριῶν ἐνέργεια ἴδιος, μικτή, ἀπροαίρετος. ἐπαινεῖ δὲ τοῦτον τὸν ὅρον, ὡς σαφέστερον τοῦ πρόσθεν. ἐκείνῳ μαρτυρεῖν τὸ σύντομόν τε καὶ τεχνικόν.

Illud verò, à sensu perceptibilem esse motum eorum, declarauimus anteaquàm requirat discretionem, eo loco, vbi definitiones Alexandri, & Demosthenis examinaremus. Demit præterea, insurgente vndique tunica, & in se ipsam rursus considente; quòd illa scilicet per distentionem & contractionem significentur. Ad illud verò quod dixit Chrysermus, à vitali & animali facultate effici pulsum, adiungit Heraclides, plurimum valente; quatenus alia etiam quædam facere ad generandum pulsum, cùm ipse confirmat Herophilus, tum omnes qui ab eo sunt Herophilij nominati; tametsi reprehendat Aristoxenus, & hunc, & Apollonium Murem, qui etiam addit, plurimum valente. Neque enim inquit, quod erat commune cuiuslibet naturalis functionis, par erat vt proprium pulsibus attribuere. Reprehendit etiam vndique tunicam arteriæ circulatim dilatari, in definitione dictum esse, non modò vt Heraclides, tanquam superuacaneum, sed quòd etiam pulsus quidam non naturales arteriæ distentionem non æqualem moliuntur, veluti sui partem. Sed verò calumniatur hunc planissimè. Nam si ipse in definitione Chrysermus poneret, æqualiter, iusta sit eius obiectio subiicientis præditos pulsus motibus inæqualibus, verùm quando simpliciter dixit, insurgente vndique tunica, & in se ipsam rursus considente, nullus crimini relictus est locus. Omninò si id agebat, vt Chrysermum reprehenderet, præstiterat orationem ad illos pulsus deflectere, in quibus in modum fidis videtur tensa arteriæ tunica, vbi fertur sursum deorsum arteria, non distenditur tamen, nam hoc dixerunt quidam ad declarandum eum pulsum, non abs re illi quidem, parum tamen ad absolutam scientiam. Atqui vt prorsus non distendantur nec contrahantur viuo adhuc animali arteriæ, planè fieri non potest, quò minus autem animaduertatur hoc arterias habere, fieri potest & breuitate distentionis, & adiuncta iis arteriis vibratione. Diximus itaque tum contentarum fidium arterias speciem habere, attollique atque demitti, non distendi tamen, & contrahi apertè. Sic ne hac quidem ratione mendacij postulet Chrysermum de circulari distentione & contractione arteriarum; qui non de sensibili eorum motu definitionem, sed de essentiali substantia pulsus fecerit. At cui etiam hæc cordi est, vel ipsi legere quæ illi viri scripta reliquerunt, vel in commentarios referre, Erythræi septimum librum legat de Herophili secta, Apollonij vigesimum nonum, Aristoxeni tertiumdecimum. Mihi quidem satis est si in singulis dissentionibus capita orationum prodam, itaque aliò me conferam, sic enim fiet tandem vt totum librum conficiam. Sed fuerit non incongruum, si hoc apponam. Ipse Aristoxenus, qui Alexandri Philalethis fuerit discipulus, & priorum se, omnes vt putabat, definitiones coarguisset, atque hanc confirmasset esse optimam, Pulsus est functio cordis, & arteriarum peculiaris: idem postea tamen, nihil causæ est, inquit, quin etiam talem definitionem faciamus: Pulsus est cordis & arteriarum functio peculiaris, mixta & inuoluntaria. Hanc etiam extollit definitionem, vt priore clariorem; illi compendium tribuit & artificium.

Ducit

Ducit enim sæpè inuoluntarios motus, habere tamen aliquid voluntarij; quod quidem non obscurum est, quam multis implicatum sit controuersiis & quæstionibus. Sed de istis cum aliis sectis, disceptat hic, & reliqui Herophilij. Ab ipso autem Herophilo dissidere in eo videatur, quòd pulsum esse existimet functionem arteriarum & cordis; & partes eius statuat distentionem, & contractionem, nonnunquam etiam quietes. Nam si vndequaque Herophili placita tueatur, contractio sit functio arteriarum, dilatatio in proprium statum, & naturalem earum corporis reditus, nam eius hæc est sententia, quemadmodum distenta in demortuis cernitur tunica arteriæ, & in viuis item, quantum ex se ipsa est, distentam esse. In contraria opinione est Asclepiades. Hic vir cor & arterias arbitratur distendi, quum spiritu implentur in ea influente per subtilem contextum, quo prædita intus sunt; vbi iam in eorum os repletorum nihil influat amplius, ibi recidere tunicam in priorem suum statum illum naturalem. Atque hæc obiter subire quæstio sophistis potest, qui sermonem in immensum volunt producere. Et vt verbosam materiam tibi hîc paratam habes, ita si quæ Philonides Siculus scripta reliquit in libro de medicina decimo octauo, in manus accipias (quorum etiam Agathinus breuibus meminit, ei obiiciens, primùm quòd malè pulsum asseruit in solis arteriis fieri: deinde quòd Bacchium parum rectè secum coniungat) magnum certè cumulum loquacitatis hac ratione addideris orationi. Primùm enim epicheremata sunt commemoranda, quibus adductus arteriarum solarum Philonides pulsum arbitratur; deinde illa refellenda; tertiò Bacchium demonstrabimus in hunc modum locutum in auscultationibus, Pulsum esse contractionem & distentionem omnium arteriarum. In compendio verò pulsuum sic ad verbum scribit; *Pulsus & omnis pulsus affectus, arteriis duntaxat, & cordi accidit.* Rursus paulò post: *Nam pulsus quod dictum est, dilatatio est arteriæ, vel arteriosæ partis cordis. In primis hoc tibi, fac, hæreat, hactenus solorum ferè Herophiliorum nos commemorasse definitiones, quum etiam Erasistratij multas, & Asclepiadij fecerint.* Etiam hercle Athenæi Attalensis asseclæ, quos Pneumaticos vocant, etsi non ita multas definitiones, tamen non quantas diximus fecerunt. Agathinus quidem certè de quo paulò ante feci mentionem, quanquam improbet istos, qui omnia definitionibus student docere, ipse tamen librum primum conscripsit de pulsibus, vbi singula quæ ad pulsum pertinent, nomina cum propriis definitionibus rerum interpretatur. Cæterùm alias quidem prætereo, nam hoc in libro solius pulsus statui definitionem memorare. Certè quidem demonstraui ego multis in locis, librum de singulis differentiis pulsuum posse, non secus ac hunc confici, si magnum pulsum definias vnà cum his quæ ei ex quantitate distentionis sunt coniuncta; & si paruum vnà cum adiunctis ex hac, atque hoc modo omnes alios. Sed in præsenti, vt dixi, de solo pulsu statui summatim verba facere.

οἴεται γὰρ ἀπροαιρέτους κινήσεις, πολλάκις ὅμως ἔχειν τι, καὶ προαιρετικόν. ὅπερ οὐκ ἄδηλόν ἐστιν, ὁπόσας ἀντιλογίας ἔχει, καὶ ζητήσεις. ἀλλὰ τὰ μὲν τοιαῦτα, πρὸς τοὺς ἀφ' ἑτέρων αἱρέσεων ἀμφισβητεῖται, καὶ τούτῳ, καὶ τοῖς ἄλλοις Ἡροφιλείοις. αὐτῷ δὲ τῷ Ἡροφίλῳ φαίνοιτ' ἂν διαφερόμενος, ἐν τῷ τὸν σφυγμὸν ἐνέργειαν μὲν εἶναι νομίζειν ἀρτηριῶν, καὶ καρδίας. μέρη δ' αὐτοῦ τίθεσθαι τήν τε διαστολὴν τε καὶ συστολήν. καί ποτε καὶ τὰς ἠρεμίας. ἐὰν γὰρ ἀκριβῶς ἕπηται τοῖς Ἡροφίλου δόγμασιν, ἡ συστολὴ μὲν ἐνέργεια τῶν ἀρτηριῶν ἐστιν, ἡ διαστολὴ δὲ εἰς τὴν οἰκείαν τε, καὶ φυσικὴν κατάστασιν τοῦ σώματος αὐτῶν ἐπάνοδος. βούλεται γὰρ, ὥσπερ ἐπὶ τῶν τεθνεώτων ὁρᾶται διεστὼς ὁ χιτὼν τῆς ἀρτηρίας, οὕτω κἀπὶ τῶν ζώντων, ὅσον ἐφ' ἑαυτῷ διεστάναι. τοὐναντίον Ἀσκληπιάδου δοξάζοντος· οἴεται γὰρ ὁ ἀνὴρ οὗτος, καὶ τὴν καρδίαν, καὶ τὰς ἀρτηρίας διαστέλλεσθαι πληρουμένας πνεύματος, εἰσρέοντος αὐταῖς διὰ λεπτομέρειαν ἣν ἐντὸς ἑαυτῶν ἔχουσιν, ὅταν δὲ πληρωθεισῶν εἰς τὸ ἔμπροσθεν οὐκέτι ῥέῃ, καταπίπτειν αὖθις εἰς τὴν ἔμπροσθεν ὑπάρχουσαν ἑαυταῖς κατάστασιν φύσει τὸν χιτῶνα, καὶ τοῦτο ἐν παρέργῳ τὸ ζήτημα, προσέρχεσθαι δύναται τοῖς ἀπέραντα μακρολογεῖν ἐθέλουσι σοφισταῖς. ὥσπερ δὴ ἐνταῦθα πολλῶν λόγων ὑπόθεσιν ἑαυτῷ τις ποιήσασθαι δύναται κατὰ τὸν αὐτὸν τρόπον, ἐὰν τὰ γεγραμμένα Φιλωνίδῃ τῷ Σικελῷ κατὰ τὸ περὶ τῆς ἰατρικῆς ὀκτωκαιδέκατον προχειρίζηταί τις. ὧν ἐπὶ βραχὺ, καὶ Ἀγαθῖνος ἐμνημόνευσε μεμφόμενος αὐτῷ. πρῶτον μὲν, ὡς μοχθηρῶς ἀποφηναμένῳ τὸν σφυγμὸν ἐν ἀρτηρίαις μόναις γίγνεσθαι. δεύτερον δὲ, ὡς καὶ τὸν Βακχεῖον οὐκ ὀρθῶς ἑαυτῷ συνεπισπωμένῳ, τὴν πολυλογίαν αὐξήσεις δηλονότι κἀκ τοῦ τοιούτου τρόπου τῷ λόγῳ. πρῶτον μὲν γὰρ δεήσει τὰ ἐπιχειρήματα λέγειν οἷς πεισθεὶς ὁ Φιλωνίδης, ἀρτηριῶν μόνων τὸν σφυγμὸν οἴεται εἶναι. δεύτερον δ', ἐξελέγχειν αὐτά. καὶ τρίτον ἐπιδεικνύναι τὸν Βακχεῖον, ἐν μὲν ταῖς ἀκροάσεσιν οὕτως εἰρηκέναι τὸν σφυγμὸν εἶναι συστολὴν καὶ διαστολὴν, ἐν ἁπάσαις ταῖς ἀρτηρίαις γινομένην. ἐν δὲ τῇ τῶν σφυγμῶν ἐπιτομῇ, κατὰ λέξιν οὕτως γράφει. σφυγμὸς δὲ, καὶ πᾶν πάθος σφυγμοῦ, μόνον ἐν ἀρτηρίαις, καὶ καρδίᾳ συμβαίνει. καὶ μετ' ὀλίγα πάλιν. ὁ μὲν γὰρ σφυγμὸς, καθάπερ ἐρρέθη, διάστασίς τέ ἐστι τῆς ἀρτηρίας, ἢ τοῦ ἀρτηριώδους μέρους τῆς καρδίας. καὶ πρὸ πάντων ἐκείνου μέμνησο τοῦ μέχρι δεῦρο, μόνων σχεδὸν τῶν Ἡροφιλείων ἡμᾶς τοὺς ὅρους προκεχειρίσθαι. πολλῶν καὶ τοῖς Ἐρασιστρατείοις, καὶ τοῖς Ἀσκληπιαδείοις γεγονότων. ὥσπέρ γε καὶ τοῖς ἀπ' Ἀθηναίου τοῦ Ἀτταλέως, οὓς Πνευματικοὺς ὀνομάζουσιν, εἰ καὶ μὴ τοσούτων ὅρων, ὅμως γοῦν οὐ τοσούτων εἰρημένων, ὁ γοῦν Ἀγαθῖνος οὗ σμικρὸν ἔμπροσθεν ἐμνημόνευσα, καίτοι τοῖς δι' ὅρων ἐπιχειροῦσιν ἅπαντα διδάσκειν ἐπιτιμῶν, ὅμως καὶ αὐτὸς ἓν ἔγραψεν ὅλον βιβλίον τὸ πρῶτον, περὶ σφυγμῶν, ἐξηγούμενος ἕκαστον τῶν ἐν τοῖς σφυγμοῖς ὀνομάτων, ἅμα τοῖς οἰκείοις ὅροις τῶν πραγμάτων. ἀλλὰ περὶ μὲν τῶν ἄλλων σιωπῶ. πρόκειται γὰρ ἐν τῷδε τῷ γράμματι, τοῦ κατὰ τὸν σφυγμὸν ὅρου μόνου μνημονεύειν. ἐπιδεδειχότος μου πολλάκις. οὐδὲν ἧττον τοῦδε καθ' ἑκάστην διαφορὰν σφυγμῶν, ὁμοίως δύνασθαι πληρωθῆναι βιβλίον, ἐάν τε τις ὁρίζηται τὸν μέγαν σφυγμὸν, ἅμα τοῖς παρακειμένοις αὐτῷ, κατὰ τὸ πηλίκον τῆς διαστολῆς, ἐάν τε τὸν μικρὸν, ἅμα τοῖς κατὰ τοῦτο παρακειμένοις. οὕτω δὲ καὶ τοὺς ἄλλους ἅπαντας· καὶ νῦν, ὡς ἔφην, ὑπὲρ αὐτοῦ μόνου τοῦ σφυγμοῦ πρόκειται διελθεῖν ἐπὶ κεφαλαίων.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΑʹ.

Ὁρισμοὶ τοῦ Ἀγαθίνου.

Ὁ τοίνυν Ἀγαθῖνος ἐπιτιμῶν τοῖς πάντως ὁρίζεσθαι τὸν σφυγμὸν βουλομένοις, ὅμως καὶ αὐτὸς εἰς μακρολογίαν οὐκ ἀναγκαίαν ἐνέπεσε μετὰ τοῦ καὶ σφάλλεσθαι φανερῶς. οἰόμενος ὁμωνύμως λέγεσθαι τὸν σφυγμόν. ἄλλως μὲν γάρ φησι, τὴν τῆς καρδίας, καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν λέγομεν σφυγμόν, ἄλλως δὲ τὴν ἐν ταῖς φλεγμοναῖς γινομένην αὐτῷ τῷ κάμνοντι συναίσθησιν. καὶ γὰρ καὶ ταύτην ὁμωνύμως φησὶ καλεῖσθαι σφυγμόν. ἀλλὰ καὶ τὴν διαστολὴν τῆς ἀρτηρίας μόνην, καὶ ταύτην ὀνομάζεσθαι σφυγμόν. ἐπειδὴν ἤτοι μέγαν, ἢ σφοδρὸν εἶναι λέγομεν αὐτὸν, οὐ γινομένων τούτων ἐν τῇ συστολῇ. καὶ μέντοι καὶ τὸν Ἀθήναιον, φησὶν οἴεσθαι, καὶ τὴν συστολὴν ὀνομάζεσθαι σφυγμὸν, ᾧ σημαινομένῳ κελεύει τὸν Ἡρόδοτον ἐπιστῆναι, τούτῳ γὰρ ἀνδρὶ προσεφώνησε τὸ βιβλίον ἑαυτοῦ μὲν ὄντι μαθητῇ, πάνυ δ' ἐπιφανῶς ἰατρεύσαντι κατὰ τὴν τῶν Ῥωμαίων πόλιν. ἀλλὰ τὸ σύνθετον ἐκ πλειόνων διαστολῶν, ὀνομάζεσθαί φησι σφυγμόν. ἔτι τε πρὸς τούτοις, οὐ μόνον τὸ ἐκ τῶν διαστολῶν, ἀλλὰ καὶ τῶν συστολῶν. ὅρα δὲ, φησὶ, μή τις καὶ ὁ κατὰ τὸν καρπὸν ἰδίως ὀνομάζεται σφυγμός. δοκεῖ δέ μοι, φησὶ, σφυγμὸς λέγεσθαι, καὶ ἡ τῶν ἐν προχείρῳ τεταμένων ἀρτηριῶν κίνησις. ἐπὶ τούτοις ἅπασι, καὶ τοῦ κατὰ τὰ ὑποχόνδρια γινομένου παλμοῦ μνημονεύει ζητῶν, εἰ καὶ τοῦτον ἄμεινόν ἐστιν ὀνομάζειν σφυγμόν. γίνεσθαι μὲν γὰρ αὐτὸν ἐνίοις τῶν παρακοπτικῶν. εἶναι δὲ τῆς κατὰ τὴν ῥάχιν ἀρτηρίας τῆς παχείας. καὶ εἴπερ καὶ ταύτην, φησὶ, τὴν κίνησιν ὀνομάζομεν οὐ σφυγμὸν, ἀλλὰ παλμὸν, ἔσται τις ἀρτηριῶν κίνησις, οὐ σφυγμὸς, ἀλλὰ παλμὸς ὀνομαζομένη. καθ' ὃ σημαινόμενον, καὶ ὁ Ἠλεῖος Αἰγίμιος ἐπέγραψε τὸ περὶ παλμῶν βιβλίον, ἐν ᾧ περὶ τῶν σφυγμῶν διαλέγεται. προσέρχεται δὲ κἀνταῦθα πάλιν λόγος ἕτερος, τοῖς μακρολογεῖν ἐθέλουσι. σκοπουμένοις εἰ γνήσιον ὄντως ἐστὶ Αἰγιμίου τὸ βιβλίον. ἢ εἰ πρῶτος Αἰγίμιος ἁπάντων ἔγραψε περὶ σφυγμῶν βιβλίον. ἢ καί τις ἄλλος πρὸ αὐτοῦ. τοῦτο μὲν ὄντως περιττόν. οὐ περιττὸν δ' ἴσως δόξει εἶναι, καίτοι περιττὸν ὂν ἐπισκέψασθαι πότερον ἕν τι σημαίνεται πρὸς τοῦ σφυγμοῦ ὀνόματος, ἢ πολλά. φαίνεται γὰρ καὶ ὁ Ἀρχιγένης, ἠκολουθηκέναι κατὰ τοῦτο τῷ διδασκάλῳ, πολλαχῶς οἰόμενος λέγεσθαι τὸν σφυγμόν. ἵνα δέ τις ἐπικρίνῃ τοὺς τοιούτους λόγους ἀναγκαῖόν ἐστιν αὐτὸν ἐν τῇ τῶν γενῶν, εἰς εἴδη τε καὶ διαφορὰς τομῇ γεγυμνάσθαι. μόνως γὰρ οὕτως τὰ ἴδια, καὶ τὰ κοινὰ σημαινόμενα τῶν ὀνομάτων ἑκάστου, δυνατὸν εὑρίσκειν ἐστί. πολλαχόθι γοῦν μοι δοκοῦσι, καὶ οἱ δόξαν ἐπὶ διαλεκτικῇ μεγάλην ἔχοντες ἡμαρτηκέναι, τοσαῦτα σημαινόμενα τῶν γενικῶν προσηγοριῶν οἰηθέντες ὑπάρχειν. ὅσαι περ εἰσὶν αἱ καθ' ἑκάστην αὐτῶν οἰκεῖαι διαφοραί· λέγω δὲ εἴ τις οἰηθείη τὴν, ζῶον, φωνὴν, οὐχ ἕν τι σημαίνειν. ἄλλως μὲν γὰρ λέγεσθαι ζῶον ἀθάνατον, ἄλλως δὲ θνητόν. καὶ λογικὸν μὲν, ἄλλως. ἄλογον δὲ ἄλλως. καὶ δὴ καὶ ἄγριόν τε, καὶ ἥμερον. ἀγελαῖόν τε, καὶ μονότροπον. ὅσα τ' ἄλλα τοιαῦτα. ὥστε ἐάν τις ἐπεξίῃ τῷ λόγῳ τῷδε, καὶ γυμνάζῃ τὸν μαθητὴν ἐπὶ παραδειγμάτων πλειόνων, ἑτοίμως ὁρᾶν, τό τε κοινὸν ἐν πολλοῖς, καὶ τὸ καθ' ἕκαστον ἴδιον, οὐκ ὀλίγον τριβήσεσθαι χρόνον. καὶ μὴν οὐχ οἷόν τε, χωρὶς τοιαύτης διδασκαλίας, ἐπιδεῖξαι τὴν τοῦ σφυγμοῦ προσηγορίαν ἕν τι σημαίνειν, ὥσπερ τὴν τοῦ ζώου,

CAPVT XI.

Agathini definitiones.

HIc ergo Agathinus qui eos accuſat, pulſum qui volunt omninò definire, tamen in loquacitatem & ipſe incidit inanem, atque etiam liquidò in eo lapſus eſt quòd homonymum pulſum putarit eſſe. Alio enim loco ait: *Cordis & arteriarum motum dicimus pulſum eſſe.* Aliàs: *ſenſum illum quem in inflammationibus ægrotus percipit; nam & hunc ait pulſum per homonymiam vocari; quinetiam ſolam arteriæ diſtentionem nominari pulſum, quando vel magnum, vel vehementem eum dicimus eſſe, qui in contractione non fiunt.* Et verò etiam Athenæum ait cenſere contractionem quoque pulſum appellari; quam ſignificationem iubet Herodotum attendere; huic enim viro ſuum librum nuncupauit, ſuo quidem diſcipulo, apud Romanos tamen in medicina exercenda claro. Sed conflatum ex compluribus diſtentionibus appellari pulſum dicit; ad hæc non ſolùm ex diſtentionibus conſtitutum, ſed & ex contractionibus. Quid, inquit, ſi etiam qui proprius eſt carpi, vocetur pulſus? Equidem exiſtimo, inquit, pulſum dici etiam euidentium arteriarum motum. Ab his omnibus palpitationis ſecundum præcordia meminit, ecquid hanc quoque par ſit appellare pulſum; quam quidem habeant nonnulli deliri; eſſe autem craſſæ dorſi arteriæ. Quem in motu, inquit, vocamus, non pulſum, verùm palpitationem: erit iam quidam arteriarum motus, qui non pulſus, ſed palpitatio appelletur; qua etiam ſignificatione Ægimius Helienſis inſcripſit librum de palpitationibus, in quo tractat de pulſibus. Sed hoc rurſus loco obrepit aliud argumentum his qui ſermones ſtudent ducere, ſi diſceptent, an Ægimij ille germanus liber ſit, aut vtrum cæterorum Ægimius ſcripſerit de pulſibus primus, an alius ante illum. Hoc verò omninò eſt friuolum, illud fortaſſe non inane cenſebitur, tametſi eſt inane, indagare vnúmne pulſus nomen, an multa ſignificet: videtur enim etiam Archigenes in eo cum præceptore ſentire, multis modis putans pulſum dici. De quibus ſermonibus quo aliquis cognoſcat, ad genera eum in ſpecies, & differentias partienda neceſſarium eſt exercitatum eſſe; nam propriarum & communium ſignificationum nominum, hæc vna eſt via inueniendi. Itaque multis mihi locis videntur, etiam qui illuſtres in dialectica ſunt, lapſi eſſe, qui totidem eſſe generalium nominum ſignificationes ſunt arbitrati, quot in iis ſingulis contineantur propriæ ſpecies. Dico autem ſi quis putauerit nomen animal non rem vnam ſignificare; aliter enim dici animal immortale, aliter mortale; & rationis particeps aliter, expers rationis aliter, & ferum etiam manſuetúmque, ad hæc gregale, & ſolitarium; & id genus reliqua. Proinde ſi hanc diſputationem perſequare, diſcipulumque exercites ad multa exempla, vt ſtatim quod multis commune eſt cernat, & quod vnicuique proprium, non parum impendes temporis. Atqui ſine tali inſtitutione oſtendi non poteſt, pulſus vocabulum vnam rem ſignificare, vt animalis, etſi

etsi ex vtriusque diuisione quàm plurimæ prodeant differentiæ. Itaque hic iam perspicias etiam longitudinem sermonis qui integrum item librum requiret, si exponere velis, vnde inducti illi pulsum multis modis putant dici; & quid sit quod iis imposuit. De quibus ego nonnihil etiam in primo commentariorum, quæ in librum Archigenis de pulsibus conscripsi, numero octo, dixi; hic satis erit, sicut antea, si vnam sermonis prolixitatem demonstrem, qui ei habebitur, si quis talia persequi omnia velit. Nam videtur Agathinus, etsi incuset illos quàm vehementissimè, qui pulsum conantur definire, ex suis ipsius verbis, nunc functionem arteriarum & cordis eum putare esse, nunc motum arteriarum & cordis, nonnunquam distentionem & contractionem arteriarum & cordis; non quòd inter se hæ definitiones pugnent, sed quòd vna est, vt ita dicam, generalior, aliæ speciales.

A κἂν ὅτι μάλιστα, κατὰ τὴν ἑκατέρου τομὴν, εὑρίσκωνται διαφοραὶ πολλαί. πρόδηλον οὖν ἤδη κἀνταῦθα τὸ μῆκος τῶν λόγων, καί τινος ἑνὸς ὅλου, καὶ αὐτοῦ δεόμενον βιβλίου τῷ βουλομένῳ διελθεῖν, ἀφ᾽ ὧν ὁρμηθέντες οἱ ἄνδρες οἵδε, νομίζουσι πολλαχῶς λέγεσθαι τὸν σφυγμόν. ὅ, τί τε τὸ παρακρουσάμενον αὐτούς ἐστι. εἴρηται μὲν οὖν μοι περὶ τούτων ἐπ᾽ ὀλίγον, κἀν τῷ πρώτῳ τῶν ἐξηγητικῶν. ὧν εἰς τὸ περὶ σφυγμῶν Ἀρχιγένους πεποίημαι, τὸν ἀριθμὸν ὄντων ὀκτώ. καὶ νῦν δὲ ἀρκέσει, καθάπερ ἐπὶ τῶν ἔμπροσθεν, ἓν δεδεῖχθαι τὸ μῆκος τῶν ἐσομένων λόγων, ἐάν ἅπαντά τις ἐπεξέρχηται τὰ τοιαῦτα. φαίνεται δὴ οὖν καὶ ὁ Ἀγαθῖνος, B εἰ καὶ ὅτι μάλιστα τοῖς ἐπιχειροῦσιν ὁρίζεσθαι τὸν σφυγμὸν ἐπιτιμᾷ, δι᾽ αὐτῶν τῶν λεγομένων ὑπ᾽ αὐτοῦ, ποτὲ μὲν ἐνέργειαν ἀρτηριῶν τε καὶ καρδίας αὐτὸν εἶναι νομίζων, ποτὲ δὲ κίνησιν ἀρτηριῶν τε καὶ καρδίας. ἔστι δὴ ὅτε καὶ διαστολὴν καὶ συστολὴν ἀρτηριῶν, καὶ καρδίας· οὐ μαχομένων ἀλλήλοις τῶν εἰρημένων λόγων, ἀλλὰ τοῦ μὲν, ὡς ἂν εἴποι τις ὄντος γενικωτέρου, τῶν δὴ εἰδικωτέρων.

CAPVT XII.

Archigenis definitio.

ET iam Archigenes, qui commentationem de pulsibus in vno prægrandi libro confecisse existimatur, in eiusdem initio definitionem hanc scripsit; Pulsus est cordis & arteriarum distentio, atque contractio naturalis. Addidit hanc dictionem, naturalis, ad definitionem Agathini, ob causam quam ante explicaui. Ex distentione atque contractione, vt partibus, arbitrantur constare pulsum Pneumatici omnes, actionem putantes vtrunque motum esse: quum Herophilus, & Asclepiades haud æquè sentire videantur. Ac Herophilus quidem de distentione, & contractione arteriarum peculiarem quæstionem instituere videtur prolixiorem; nam subinde putabis eum, & distentionem & contractionem censere actionem esse; ferè tamen vnam contractionem. Asclepiadis verò qui nullam ducit facultatem esse, abs qua cor & arteriæ moueantur, varia est oratio, quum in aliis functionibus naturalibus animalibusque omnibus, tum in hac. Dicas enim interim statuere eas illum ne actiones quidem esse; quanquam hoc consequens est suppositionibus ipsius; interim verò functiones esse ponere, veluti abutens nomine, aut consuetudini concedens. At verò familia Athenæi, vt dixi, omnis vtrunque motum in functionibus habet, & distentionis & contractionis. In qua etiam nos sententia sumus; neque tantum de arteriis, & corde, sed etiam de thorace; quippe quem etiam demonstrauimus agere distendendo se & contrahendo. Distinguo autem tum in thorace, tum in arteriis lationes in medium statum ab extremis, quæ nunc citra actionem, nunc cum illa fiunt. Horum si iam demonstrationes in hunc sermonem coniicias, hac re ad longitudinem tibi multum proficietur. Ad hæc, si nominum varietatem, qua in definiendo sunt vsi, & hercle quas adduxerunt probabiles causas recensueris, deinde quemadmodum eas quidem reprehenderunt, postea quomodò dicta sua alij defenderunt, hinc orationi accedet friuolæ prolixitatis cumulus.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὁρισμὸς Ἀρχιγένους.

C Ὅτι οὖν Ἀρχιγένης ἐξειργάσθαι δοκῶν τὸν περὶ τῶν σφυγμῶν λόγον, ἐν ἑνὶ μεγάλῳ βιβλίῳ κατὰ τὴν ἀρχὴν αὐτοῦ τόνδε τὸν ὅρον ἔγραψε. σφυγμός ἐστι, καρδίας καὶ ἀρτηριῶν διαστολή φυσική τε, καὶ συστολὴ φυσική· προσθεὶς δηλονότι τὸ, φυσική, τῷ τοῦ Ἀγαθίνου λόγῳ, δι᾽ ἣν ἔμπροσθεν αἰτίαν εἶπον. ἐκ διαστολῆς τε καὶ συστολῆς, ὡς μερῶν συγκεῖσθαι νομίζουσι τὸν σφυγμὸν οἱ Πνευματικοὶ πάντες, ἐνεργείας ἡγούμενοι τὰς κινήσεις ἀμφοτέρας εἶναι. τῶν περὶ τὸν Ἡρόφιλόν τε, καὶ Ἀσκληπιάδην οὐχ ὁμοίως δοκούντων φέρεσθαι. τὸν μὲν οὖν Ἡρόφιλον, περὶ διαστολῆς τε καὶ συστολῆς ἀρτηριῶν ζή- D τησιν ἰδίαν ἔχειν μακροτέραν. ἐνίοτε μὲν γάρ σοι δόξει, καὶ τὴν διαστολὴν, καὶ τὴν συστολὴν ἐνέργειαν νομίζειν. ὡς τὸ πολὺ δὲ, μόνην τὴν συστολήν. ὁ δὲ Ἀσκληπιάδης, οὐδεμίαν ὑπολαμβάνων δύναμιν, ὑφ᾽ ἧς ἥ τε καρδία, καὶ αἱ ἀρτηρίαι κινοῦνται, ποικίλος ἐστὶ κατὰ τὴν λέξιν, ὥσπερ ἐν ταῖς ἄλλαις ἁπάσαις ἐνεργείαις φυσικαῖς τε καὶ ψυχικαῖς. οὕτω κἂν τῇδε. ποτὲ μὲν γάρ σοι δόξει μηδ᾽ ἐνεργείας αὐτὰς τίθεσθαι· καίτοι γε ἀκόλουθον αὐτοῦ ταῖς ὑποθέσεσι τοῦτ᾽ ἐστι. ἐνίοτε δὲ ἐνεργείας αὐτὰς τίθεσθαι, ὡς καταχρώμενος, ἢ τῷ ἔθει συγχωρῶν. οἱ δὴ ἀπὸ Ἀθηναίου πάντες, ὡς εἴρηται τὰς κινήσεις ἀμφοτέρας ἐνερ- E γείας ἡγοῦνται, τήν τε ἐν τῷ διαστέλλεσθαι γιγνομένην, καὶ τὴν ἐν τῷ συστέλλεσθαι. οὕτω τε καὶ ἡμεῖς ὑπολαμβάνομεν, οὐκ ἐπὶ μόνων τῶν ἀρτηριῶν τε καὶ τῆς καρδίας, ἀλλὰ καὶ τοῦ θώρακος. καὶ γὰρ καὶ τοῦτον ἐνεργεῖν ἐδείξαμεν ἔν τε τῷ διαστέλλεσθαι, καὶ συστέλλεσθαι. διορίζομεν δὲ, ὡς ἐπὶ τοῦ θώρακος, οὕτω κἀπὶ τῶν ἀρτηριῶν τὰς ἐπὶ τὴν μέσην κατάστασιν ἀπὸ τῶν ἄκρων φορὰς, ἐνίοτε μὲν ἐνεργείας χωρὶς, ἐνίοτε δὲ σὺν ταύτῃ γινομένας. ἐὰν οὖν καὶ τὰς περὶ τούτων ἀποδείξεις ἐπεισάγῃ τις τῷ λόγῳ. καὶ κατὰ τοῦτ᾽ αὐτὸν εἰς μῆκος προάξει μακρότερον. ἐὰν δὲ καὶ τῆς τῶν ὀνομάτων ὑπαλλαγῆς, ἣν ἐποιή- F σατο κατὰ τοὺς ὅρους, ἃς αὖθις προσέθεσαν αἰτίας εὐλόγους διέρχηταί τις, εἶθ᾽ ἑξῆς ὅπως ἐμέμψαντό τινες αὐτάς, εἶθ᾽ ὅπως ἀπελογήσαντο περὶ τῶν εἰπόντων. ἕτερον μῆκος ἔτι κἀκ τοῦδε περιττὸν τῷ λόγῳ προστεθήσεται.

tis cumulus.

A

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ὁρισμὸς τοῦ Μάγνου.

Μάγνος δὲ οὐ διαστολὴν καὶ συστολήν, ἀλλὰ καὶ διόγκωσιν, καὶ συνίζησιν αἰσθητικὴν καρδίας, καὶ τῶν ὁμοιοπαθούντων αὐτῇ τὸν σφυγμὸν εἶναι φησιν.

CAPVT XIII.

Magni definitio.

MAgnus itaque non distentionem & contractionem, sed etiam inflationem & concidentiam sensibilem cordis, eorúmque quæ illi afficiuntur similiter, dixit pulsum esse.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ὁρισμὸς Ἀθηναίου.

B

Αὐτὸς δὲ ὁ τῆς αἱρέσεως αὐτῶν ἡγεμὼν Ἀθηναῖος τὸν σφυγμὸν ὁρίζεται κίνησιν κατὰ διαστολὴν φυσικήν, καὶ ἀπροαίρετον τοῦ ἐν ἀρτηρίαις, καὶ καρδίᾳ θερμοῦ, ἐξ ἑαυτοῦ τε, καὶ εἰς ἑαυτὸ κινουμένου, καὶ συγκινοῦντος καρδίαν καὶ ἀρτηρίας, οὐ μόνον οὐσιώδη τὸν ὁρισμὸν ποιησάμενος, ἀλλὰ καὶ μετὰ τοῦ τῆς αἰτίας λογισμοῦ. καθ᾽ ὃν τρόπον ὁρίζεσθαι κελεύουσιν οἱ διαλεκτικοί, τὰ ἐν τῷ γίγνεσθαι τὸ εἶναι κτώμενα. καὶ συντομώτερον δὲ τὸν σφυγμὸν εἶναι φησι, διάπνοιαν φανερὰν πρὸς αἴσθησιν ληπτήν, ὅσον ἐφ᾽ ἑαυτῇ καρδίας καὶ ἀρτηριῶν. ἔστι δὲ καὶ ὅδε ὁ ὅρος Ἀθηναίου. σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ κατὰ διάπνοιαν, καρδίας καὶ ἀρτηριῶν. ἔξεστι δὲ τῷ βουλομένῳ, καὶ τὸν περὶ τούτων τῶν ὅρων λόγον ἐκτείνειν ἐπὶ πλεῖστον, ἀνασκευάζοντί τε, καὶ κατασκευάζοντι. καὶ ἄλλοι δέ τινες τῶν ἀπὸ τῆς πνευματικῆς αἱρέσεως, ὅρους ἐποιήσαντο τοῦ σφυγμοῦ, βραχὺ τῶν προειρημένων παραλλάττοντας, ὡς εἶπον. ὥστ᾽ οὐ χρὴ μνημονεύειν αὐτῶν, ἐπειγομένους καθ᾽ ὅσον οἷόν τε, διαδραμεῖν τὸν λόγον.

C

CAPVT XIV.

Athenæi definitio.

AT ipse sectæ illorum princeps Athenæus, pulsum definiuit motum per distentionem naturalem, & inuoluntariam caloris, qui in arteriis est & in corde, quique ex se ipso & in se ipsum mouetur, vnáque cor mouet & arterias. Vbi non essentialem modò definitionem fecit, sed addidit & causam; quemadmodum definiri dialectici volunt ea quæ dum fiunt sunt. Et compendiosius etiam, pulsum dicit esse manifestum perspiratum, à sensu per se quidem perceptibilem, cordis & arteriarum. Iam Athenæi etiam hæc est definitio; Pulsus est distentio & contractio cum perspiratu cordis & arteriarum. Si cui autem cordi est, hisce definitionibus confutandis confirmandísque, longissimè orationem extendat licet. Iam verò alij quidam de Pneumatica secta definitiones pulsus fecerunt, aliquantum ab antedictis vt dixi variantes; quo minus eas commemorare statui, quòd perstringere quàm breuissime orationem studeam.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὁρισμοὶ τοῦ τε Ἀσκληπιάδου, καὶ τῶν περὶ αὐτόν.

D

Ὡσαύτως δὲ καὶ τοῖς ἀπ᾽ Ἀσκληπιάδου, διαφωνία ἐγένετο πρὸς ἀλλήλους· τοῖς μὲν προστιθεῖσί τι τοῖς εἰρημένοις ὑπ᾽ Ἀσκληπιάδου· τοῖς δ᾽ ἀφαιροῦσι· τοῖς δ᾽ ὑπαλλάττουσιν. αὐτὸς μὲν γὰρ ὁ Ἀσκληπιάδης τὸν μὲν σφυγμὸν εἶναι συστολήν, καὶ διαστολὴν καρδίας τε καὶ ἀρτηριῶν. οὐκ ὀλίγοι δὲ τῶν ἀπ᾽ αὐτοῦ γινομένων, προστιθέασιν. οὐχ ἅπαξ, ἀλλὰ πολλάκις γιγνομένην κατὰ μίαν εἰσπνοήν. ὡς εἶναι τὸν ὅλον ὅρον τοιόνδε· σφυγμός ἐστι διαστολὴ καὶ συστολὴ καρδίας τε καὶ ἀρτηριῶν, οὐχ ἅπαξ, ἀλλὰ πολλάκις γινομένη κατὰ μίαν εἰσπνοήν. ἐξηπατήθησαν δὲ ὑπὸ τοῦ γεγράφθαι κατὰ τὸ περὶ τῆς ἀναπνοῆς, καὶ τῶν σφυγμῶν αὐτοῦ βιβλίον οὕτως, τὴν λέξιν ἐπιλαθόμενοι τοῦ λόγου, ἐν ᾧ τοῦτ᾽ ἔγραψε. πρόκειται γὰρ αὐτῷ δεῖξαι. τίνα μὲν ὁμοίως γίγνεται κατά τε τὰς ἀναπνοάς, καὶ τοὺς σφυγμούς. τίνα δὲ ἑτέρως τε, καὶ διαφερόντως. ἐν ᾧ τοίνυν ἐπιδείκνυσι τὰ διαφέροντα, καὶ ἡ προκειμένη γέγραπται λέξις, εἰς διορισμὸν ἀναπνοῆς τε καὶ σφυγμῶν, ἔχουσα προσκείμενον, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις γιγνομένη κατὰ μίαν εἰσπνοήν.

E

CAPVT XV.

Asclepiadis eiusque discipulorum definitiones.

ASclepiadis etiam discipuli fuerunt inter se discordes, quòd definitionibus quidam Asclepiadis aliquid adijcerent, alij detraherent, alij immutarent. Nam ipse Asclepiades quidem pulsum dicit esse distentionem & contractionem cordis & arteriarum. Hîc multi eius discipuli addunt; quæ non semel, sed identidem in vna inspiratione fiat. Vt tota definitio hæc sit: Pulsus est distentio & contractio cordis & arteriarum quæ non semel sed identidem in vna inspiratione fiat. Sed decepti quidam sunt ab eo, quòd in libro suo de respiratione & pulsibus scripserit in eum modum ista verba, obliti orationis, vbi hoc scripsit. Nam demonstrare instituit, quæ simili modo fiunt in respirationibus & pulsibus, & quæ alio diuersoque; ac vbi diuersitatem declarat, ista commemorata verba sunt scripta; quò respirationem separaret à pulsibus, quibus hoc est adscriptum; quæ non semel, sed identidem in vna inspiratione fiat.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Ὁρισμὸς τοῦ Μοσχίωνος διορθωτοῦ.

F

Ἔνιοι δὲ καὶ αὖθις τούτοις προσέθεσάν τινα, καθάπερ καὶ Μοσχίων ὁ διορθωτὴς ἐπικληθείς. ἐπειδή τινα τῶν ὑπ᾽ Ἀσκληπιάδου λελεγμένων ἐπηνωρθοῦτο, μὴ πάντῃ πειθόμενος τἀνδρί. καθάπερ οὐδ᾽ ὁ Ἀλέξανδρος Ἡροφίλῳ. τίς οὖν ὁ τοῦ Μοσχίωνος

CAPVT XVI.

Moschionis correctoris definitio.

ALij porrò quædam adiecerunt præterea, de quibus Moschion est, cognomine corrector; quòd Asclepiadis scripta quædam corrigeret, non vbique cum eo sentiens; sicut nec cum Herophilo Alexander. Ego verò simul, vt Moschionis definitionem

definitionem narrauero, recedam à schola Asclepiadis: Pulsus est motus peculiaris cordis, arteriarum, venarum, cerebri, ambientisque hoc membranæ: qui in vna inspiratione non semel, sed identidem fiat. Atqui non puto desiderare te interpretem horum quæ definitio habet, si quid memor es hactenus dictorum.

ὅρος εἰπόντες, ἀπαλλαγώμεθα ἤδη καὶ τῆς Ἀσκληπιάδου σφυγμός ἐστι κίνησις ἴδιος καρδίας, καὶ ἀρτηριῶν, καὶ φλεβῶν, καὶ ἐγκεφάλου, καὶ τῆς περὶ αὐτῶν μήνιγγος, κατὰ μίαν εἰσπνοὴν, οὐχ ἅπαξ δὲ, ἀλλὰ πολλάκις γιγνομένη. καί σοι καὶ τῆς ἐξηγήσεως ἑκάστου τῶν κατὰ τὸν ὅρον εἰρημένων οὐκ οἶμαι δεήσειν, εἰ μέμνησαι τῶν ἄχρι δεῦρο λελεγμένων.

CAPVT XVII.

Erasistrati discipulorum definitiones.

QVare sit operæpretium fortasse transire ad Erasistrati discipulos, qui inter se non minus ac alij dissenserunt. Siquidem hoc quidem mireris, non tantùm diuersarum sectarum medicos, sed illos etiam qui vnum virum sectarentur, dissensisse plerosque. Quosdam etiam duas & tres definitiones conscripsisse, vt Apollonius Stratonis filius vnam hanc; Pulsus est dilatatio arteriæ quæ completione fit spiritus à corde emissi. Alteram hanc, Pulsus est arteriæ dilatatio & contractio, à facultate quæ illi coniuncta est, ac proportione respondet. Ac tertiam aliam; Pulsus est dilatatio quæ facit vt tactum arteria feriat. Atque hanc definitionem tertiam æquipollere definitioni pulsus in consideratione positi, nuper ab Alexandro allatæ, nemo est qui nesciat. Prima autem quam scripsit essentialis est, consentiens Erasistrati sententiæ; quandoquidem putat arterias, vt superius etiam memini, ideo distendi, quod compleantur spiritu à corde suppeditato. Nam completionem volunt nos, non impletionem dicere, ne quis omnem in contractionibus existimet spiritum euacuari. Secunda definitio facultatum etiam sermonem tangit; quàm alij rectius Erasistratij fecerunt, qui pulsum esse dixerunt distentionem & contractionem arteriarum & cordis, quam vitalis facultas & animalis efficit. Nam ipse Erasistratus in commentariis de febribus apertè affirmauit etiam animalem esse in corde, nedum vitalem facultatem. Nonnullis illorum satis fuit dixisse, pulsum communem actionem esse cordis atque arteriarum. Quidam anxiè magis distentionem arteriarum, cordi contrariam, esse pulsum affirmauerunt; quando attollitur cor, eodem tempore contrahi arterias existimantes, & quum illud contrahitur, tum distendi arterias. At verò Apollonij prima definitio solam declarat distentionem esse pulsum, quam dilatationem appellauit, hisce verbis; Pulsus est dilatatio arteriæ, quæ completione fit spiritus à corde emissi. Erasistratus verò videtur non naturalem arteriarum motum appellare pulsum, verùm motum duntaxat in inflammatione. id quod eius verba arguunt in primo commentario de febribus, vbi vocat motum arteriarum, quem naturalem nos pulsum appellamus; quem verò in inflammatione ille immutationem dicit habere, pulsum videtur vocare, non censens scilicet cuiuis arteriarum motui esse pulsus nomen attribuendum, sed soli ei qui ab affectu in inflammatione à naturali statu deducitur. Cernis igitur verborum copiam, qua abundabis, si cuncta hæc persequare, & quæ in se Erasistratij mutuò ac quæ in alios disputarunt, commemores; & quæ item illi responderunt his. Quum igitur in capitibus ego tantùm recensendis

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Ὁρισμοὶ τῶν περὶ τὸν Ἐρασίστρατον.

Ἄξιον οὖν ἴσως ἐστὶ, καὶ τῶν περὶ τὸν Ἐρασίστρατον μνημονεῦσαι διενεχθέντων, καὶ αὐτῶν πρὸς ἀλλήλους, οὐχ ἧττον, ἢ οἱ ἄλλοι. τὸ γάρ τοι θαυμάσιον, τοῦτ' ἐστὶ, ὅτι μὴ μόνον ἀπὸ διαφερουσῶν αἱρέσεων, ἀλλὰ καὶ αὐτῶν τῶν ἀφ' ἑνὸς ἀνδρὸς ἀνηγμένων, οἱ πλεῖστοι διεφώνησαν. ἔνιοι δὲ καὶ δύο, καὶ τρεῖς ὅρους ἔγραψαν. ὥσπερ Ἀπολλώνιος ὁ ἀπὸ Στράτωνος, ἕνα μὲν τόνδε. σφυγμός ἐστι κατὰ τὴν ἐπιπλήρωσιν τοῦ ἀπὸ καρδίας πνεύματος ἐκπεμπομένου, περὶ τὴν ἀρτηρίαν διάστασις γινομένη. δεύτερον δὲ τόνδε. σφυγμός ἐστιν ἡ ἀπὸ τῆς ἀρτηρίας διάστασις, καὶ συστολὴ ἀπὸ τῆς ἐν αὐταῖς παρακειμένης, καὶ ἀνάλογον δυνάμεως. τρίτον δ' ἄλλον. σφυγμός ἐστι διάστασις, καθ' ἣν πρὸς τὴν ἁφὴν ἡ ἀρτηρία παραπίπτει. οὐκ εὖ μὲν οὖν ὁ τρίτος ὅρος, ὅτι τὴν αὐτὴν ἔχει δύναμιν, τῷ κατὰ τὴν ἐν ἐπισκέψει σφυγμὸν ὁρισμῷ, πρόσθεν ὑπὸ τῶν περὶ τὸν Ἀλέξανδρον εἰρημένων, παντί δῆλον. ὁ δὲ πρῶτος ὑπ' αὐτοῦ γεγραμμένος, οὐσιώδης ἐστὶ κατὰ τὴν Ἐρασιστράτου δόξαν συγκείμενος. ἐπεὶ καὶ τὰς ἀρτηρίας, ὡς καὶ πρόσθεν ἔφην, οἴεται διαστέλλεσθαι κατὰ τὴν ἐπιπλήρωσιν τοῦ παρὰ τῆς καρδίας ἐπιπεμπομένου πνεύματος. ἀξιοῦσι γὰρ ἡμᾶς ἐπιπλήρωσιν, οὐ πλήρωσιν λέγειν. ἵνα μή τις ὑπονοήσῃ πᾶν ἐκκενοῦσθαι τὸ πνεῦμα τῶν ἀρτηριῶν ἐν ταῖς συστολαῖς. ὁ δὲ δεύτερος ὅρος ἐφάπτεται, καὶ τοῦ τῶν δυνάμεων λόγου, βέλτιον ὑπὸ ἄλλων Ἐρασιστρατείων συντεθείς. ὅσοι τὸν σφυγμὸν ἔφασαν εἶναι διαστολὴν καὶ συστολὴν ἀρτηριῶν τε καὶ καρδίας, ὑπὸ ζωτικῆς τε καὶ ψυχικῆς δυνάμεως ἐπιτελουμένην. αὐτὸς γὰρ ὁ Ἐρασίστρατος ἐν τοῖς περὶ πυρετῶν ἀπεφήνατο σαφῶς, οὐ μόνον ζωτικὴν δύναμιν εἶναι κατὰ τὴν καρδίαν, ἀλλὰ καὶ ψυχικήν. ἐνίοις δ' αὐτῶν ἤρκεσε τὸν σφυγμὸν εἰπεῖν εἶναι κοινὴν ἐνέργειαν καρδίας τε, καὶ ἀρτηριῶν. ἔνιοι δὲ περιεργότερον αὐτὴν διαστολὴν ἀρτηριῶν, πρὸς καρδίαν ἔφασαν εἶναι τὸν σφυγμόν. ἐν ᾧ μὲν χρόνῳ διαστέλλεσθαι συμβαίνει τὴν καρδίαν, ἐν τούτῳ συστέλλεσθαι τὰς ἀρτηρίας οἰόμενοι, καθ' ὃν δὲ ἐκείνη συστέλλεται τὰς ἀρτηρίας διαστέλλεσθαι. ὁ γε μὴν πρῶτος τῶν ἀπὸ τοῦ Ἀπολλωνίου ῥηθέντων, τὴν διαστολὴν μόνην σημαίνει σφυγμὸν εἶναι ἣν αὐτὸς ὀνόμασε διάστασιν, ὧδέ πως γράψας. σφυγμός ἐστι κατὰ τὴν ἐπιπλήρωσιν, τοῦ ἀπὸ καρδίας πνεύματος ἐκπεμπομένου, περὶ τὴν ἀρτηρίαν διάστασις γιγνομένη. ὅ γε μὴν Ἐρασίστρατος ἔοικεν οὐ τὴν κατὰ φύσιν ἐν ἀρτηρίαις κίνησιν ὀνομάζειν σφυγμὸν, ἀλλὰ μόνην τὴν ἐπὶ φλεγμονῇ. δῆλον δὲ ἐκ τῆς ῥήσεως αὐτοῦ, τῆς ἐν τῷ προτέρῳ περὶ πυρετῶν, ἐν αἷς κίνησιν μὲν ἀρτηριῶν ὀνομάζει τὴν κατὰ φύσιν ὑφ' ἡμῶν καλούμενον σφυγμόν. ὃν δ' αὐτὰς ἐπὶ φλεγμονῇ τὴν μεταβολὴν ἔχειν φησὶ, σφυγμὸν φαίνεται καλῶν. ὡς οὐ κατὰ πάσης κινήσεως ἀρτηριῶν, ἐπιφέρειν ἡγούμενος χρῆναι τὴν σφυγμοῦ προσηγορίαν, ἀλλ' ἐπ' ἐκείνης μόνης, ἥν τις ἐξίσταται τοῦ κατὰ φύσιν ὑπὸ τῆς κατὰ τὴν φλεγμονὴν διαθέσεως. εὔδηλον οὖν ἤδη τὸ πλῆθος τῶν ἐσομένων λόγων, ἐάν τις ἐπεξέρχηται ταῦτα πάντα, καὶ μνημονεύῃ τῶν τε πρὸς ἀλλήλους εἰρημένων τοῖς Ἐρασιστρατείοις, καὶ τῶν πρὸς τοὺς ἄλλους. ὅσα τε πάλιν ἐκεῖνοι πρὸς αὐτοὺς ἀντεῖπον. ὁ πρότερον τὰ κεφάλαια μόνον αὐτὰ λέγων ἐγὼ, νῦν ἐπλήρωσα ὅλον

βιβλίον, οὐδ᾽ οὕτω γε ἔτι πάντας ἐπελθὼν τοὺς εἰρημένους ὅρους. ἆρ᾽ οὐ πρόδηλον, ὡς τῷ πάντ᾽ ἐπεξέρχεσθαι βουλομένῳ, καὶ τρία, καὶ τέτταρα πληρωθήσεται βιβλία; καὶ τοίνυν νόμιζε πεπληρῶσθαι τὰ τοιαῦτα. καί τι μειράκιον εἰς φλύαρον ἐμπεσὸν σοφιστὴν ἅπαντα λέγειν ἐσπουδακότα, καὶ μηδὲν ὅλως παραλιπεῖν τῶν εἰρημένων τοῖς ἰατροῖς ἐν πολλῷ χρόνῳ, φιλοπόνως ἐκμαθεῖν αὐτά· κἄπειτα συντυχεῖν ἐπ᾽ ἀρρώστου τινὸς, ἑτέρῳ μειρακίῳ παρ᾽ ἑτέρου διδασκάλου, πῶς τε χρὴ διαγιγνώσκειν ἕκαστον τῶν σφυγμῶν, καί τι δηλοῦν πεφύκασι μεμαθηκότι. πότερόν σοι δοκεῖ χρήσιμόν τι πρὸς τὴν τέχνην εἰς πρόγνωσιν ἐπὶ τοῦ νοσοῦντος εὑρήσειν, ἢ πότερον εὐδοκιμήσειν παρ᾽ αὐτῷ τε τῷ κάμνοντι, καὶ τοῖς παροῦσι. τὸ μὲν γὰρ ἕτερον μειράκιον, ὅπως ὁρίζεσθαι χρὴ τὸν σφυγμὸν διέξει λόγους μακρούς. εἴτε δ᾽ ἀκινδύνως, εἴτε κινδυνωδῶς ὁ κάμνων ἔχει, καὶ πότερον εἰς χρόνου μῆκος αὐτῷ προελθεῖν, ἢ διὰ ταχέων κριθῆναι συμβήσεται, παντάπασιν ἀγνοήσει. τὸ δ᾽ ἕτερον μειράκιον, ἀκριβῶς μὲν ταῦτα προγνώσεταί τε, καὶ προερεῖ τοῖς παροῦσιν, ἀγνοήσει δὲ, πῶς ὁρίζεσθαι χρὴ τὸν σφυγμόν. ἐκ παραβολῆς δ᾽ οὕτως, ἐναργῶς διαγνωσθήσεται ποῖον μέν τι τὸ ἄχρηστόν ἐστι τῆς διδασκαλίας εἶδος, ὁποῖον δὲ τὸ χρήσιμον· ἀλλ᾽ ὡς ἡ παροιμία φησὶ, γλυκὺς πόλεμος ἀπείρῳ, οὕτω μοι δοκοῦσι καὶ οἱ πάνθ᾽ ὁρίζεσθαι προαιρούμενοι, μηδ᾽ ὅλως ἐγνωκέναι τὰς γεγονυίας ζητήσεις τοῖς διαλεκτικοῖς, περὶ τοῦ, πῶς ὁρίζεσθαι προσήκει. τὸ μὲν οὖν ἑρμηνεῦσαι λόγῳ τὸ δηλούμενον ἐκ τοῦ ῥηθέντος ὀνόματος, ὅταν γε μὴ πάνυ τι τοῦ προκειμένου πράγματος ἐναργῆ πάντες ἔχωσι τὴν νόησιν, οὐ μόνον χρήσιμον, ἀλλὰ καὶ ἀναγκαῖόν ἐστιν. ἀναγκαῖον δὲ κἀπειδὰν ἤτοι γ᾽ ἑκών τις αὐτὰ ὑπὸ πανουργίας, ἢ ἄκων ὑπὸ ἠλιθιότητος, ἐναλλάττῃ τὰ σημαινόμενα πρὸς τῶν ὀνομάτων, ἐπιφέρων αὐτὰ καθ᾽ ἑτέρων πραγμάτων, ἢ πάντες ἄνθρωποι. μηθ᾽ ἑτέρου δὲ τούτων ὄντος, οὐδὲ λόγῳ χρὴ δηλοῦσθαι τὸ πρᾶγμα, τῆς ἰδίας προσηγορίας αὐτάρκως αὐτὸ σημαινούσης. τὸ δὲ ὁρίζεσθαι πάντως ἐθέλειν ἅπαν πρᾶγμα, σοφιστικῆς διδασκαλίας ἔργον ἐστί. καὶ ταῦτα ἔξεστι λέγειν ἐμοί. μάλιστα πεῖραν ἱκανὴν ἐν αὐτοσχεδίοις προβλήμασι δεδωκότι. περὶ παντὸς γὰρ ἀεὶ τοῦ προβληθέντος εἰς ὁρισμὸν, ἔδειξα δι᾽ ὅλης ἡμέρας δύνασθαί τινα λέγειν. οὐκ οὖν ἀπορίᾳ λόγων εἰς ὅρους ἐπιτηδείων, ἐγκαλῶ τοῖς εὐποροῦσιν. ἀλλ᾽ ἐπιδείξας ἐμαυτὸν ἁπάντων εὐπορώτατον εἰς τὴν τοιαύτην ἀδολεσχίαν, φιλάνθρωπον ἡγησάμην εἶναι, τῶν μανθανόντων ἕνεκα τῆς ὠφελείας τὰς τέχνας, ἐπιδεῖξαι τὴν ἀλήθειαν. οὐχ ὥσπερ οἱ πολλοὶ τῶν ὁτιοῦν ἐπισταμένων, ἐπιχειροῦσιν αὐτὸ σεμνύνειν, ἀλλ᾽ ἐκεῖνοι καὶ σφᾶς αὐτοὺς ἡγούμενοι φαίνεσθαι σεμνοτέρους· ἀλλ᾽ ἀεὶ τῶν ἐγνωσμένων ἐμαυτῷ, διακρίνειν ἀπὸ τῶν ἀχρήστων τὰ χρήσιμα. πλὴν γὰρ ὀλίγων ἅπαντες οἱ διδάσκοντες τὰς τέχνας ἐν τοῖς ἀχρήστοις πλεονάζουσιν, ὧν ἓν καὶ τοῦτ᾽ ἐστιν, ὃ νῦν ἐν ἅπαντι τῷ διῳκισμένῳ λόγῳ προεχειρισάμην, ἐπινεμομένου τοῦ τῆς φιλορισίας νοσήματος, οὐ μόνον τοὺς ἰατροὺς καὶ φιλοσόφους, ἀλλὰ καὶ ῥήτορας, καὶ μουσικοὺς, καὶ γραμματικούς. ἅπασιν οὖν ἐὰν σωφρονῶσιν ἐφ᾽ ἑνὸς παραδείγματος τοῦ κατὰ τὸν σφυγμὸν, ὠφέλιμον ἡγοῦμαι πεποιῆσθαι βοήθειαν. ἐὰν δ᾽ αὖθίς ποτε δόξῃ, κατὰ πολλὴν σχολὴν, ἅπαντα τὰ περὶ τῶν ὅρων ἀμφισβητούμενα διελθεῖν τε καὶ κρῖναι, καὶ τοῦτ᾽ ἀόκνως πράξω. τινὲς μὲν γὰρ αὐτοὺς ἀχρήστους εἶναί φασι, τινὲς δὲ χρησίμους μὲν εἶναι λέγουσιν, ὅπως δ᾽ ὁρίζεσθαι χρὴ διαφέρονται. καὶ νῦν δὴ ἤδη δύο βιβλία περὶ αὐτῶν ἐστί μοι γεγραμμένα, τῶν εἰς τὰ περὶ ἀποδείξεως Ἀριστοτέλους ὑπομνημάτων τοῦ δευτέρου, τὸ τρίτον καὶ τέταρτον. ἐπιγράφεται δ᾽ ὑπὸ τῶν πλείστων ἀναλυτικῶν δευτέρων ἡ τοιαύτη πραγματεία, καθάπερ ἡ περὶ συλλογισμοῦ προτέρων ἀναλυτικῶν.

librum iam totum confecerim, idque multis etiam præteritis illorum definitionibus, quid qui exequi omnia velit, nonne tres libros, atque adeo quatuor habebit conficiendos? Fac verò confectos esse, & adolescentem quempiam qui in nugatorem incurrisset præceptorem, qui omnia dicere velit, nihilque præterire eorum quicquam quæ tradiderunt medici, longo tempore illa, & summo studio edidicisse, postea congressum apud ægrotum aliquem esse cum alio adolescente, qui ab alio præceptore didicerit rationem cuiusque pulsus dignoscendi & quid denuntiare soleant, vter tibi videatur commodi aliquid inuenturus ad præsagiendum de ægroto? aut vter nomen assecuturus apud ægrotum & præsentes? Nam alter adolescens qui pulsus sit definiendus, multis verbis aget; at morbus periculóne vacet, an cum periculo sit, & diuturnúsne sit futurus, an breui iudicatio sit expectanda, planè nesciet. Alter adolescens exactè hæc præsentiet, prædicetque præsentibus, sed eum ratio definiendi pulsus fugit. Hoc autem apertè declarabit comparatio, quæ ratio docendi vtilis, quæ inutilis sit. Verùm vt est in prouerbio, Dulce bellum inexperto, sic isti videntur mihi, qui omnia volunt definire, prorsus quæstiones ignorare, quas dialectici de ratione definiendi instituerunt. Nam definitione quidem significationem explicare propositi nominis, si quidem propositam rem non omnes planè assequantur, non dico conducit, sed necessarium est. Necessarium etiam vbi quis vel versutia de industria, vel imprudens præ stupiditate, significationes commutet nominum, tribuens aliis rebus ea ac omnes homines. Si absque vtroque horum sit, omninò res definitione non est aperienda, quòd suum ipsa nomen abundè declaret, nam definire planè omnia velle ad sophisticam disciplinam pertinet. Mihi quidem hæc licet dicere, qui frequentissimè in quæstionibus improuisis feci periculum; nam de quauis re ad definiendum proposita dici demonstraui posse totum diem. Quare non quò verbis deficiar ad definiendum accommodatis, in abundantes queror, sed quum probaui omnium me ad eam loquacitatem esse instructissimum, humanitatis duxi esse, si artibus insudantium haberem rationem, veritatémque aperirem, non quod plerique faciunt scioli, qui suspici, quòd sciant, quærunt, sed & ipsi se ipsos venerandos magis apud alios putant fore, sed quæ cognouissem semper, distinguerem vtilia ab inutilibus. Omnes enim (quum à paucis discessum est) qui artes tradunt, nugis omnia refarserunt: de quibus hoc est, quod hactenus tractauimus. Nam peruasit amoris definiendi morbus non medicos tantùm ac philosophos, sed oratores etiam & musicos, grammaticosque. Quibus ego, si sapiant, omnibus vno de pulsibus exemplo medicinam sanè præsentem feci. Quòd si quando per otium multum sit visum omnes persequi, & dijudicare controuersias de definitionibus, ne id quidem facere dubitabo; siquidem inutiles quidam dictitant illas esse, alij vtiles illas quidem, sed de ratione disceptant definiendi. Sed iam libros etiam de his duos conscripsi, tertium & quartum commentarium in secundum librum Aristotelis De demonstratione. Cui libro titulum multi indiderunt Analyticorum posteriorum, sicut & libro De syllogismo, priorum Analyticorum.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΙ Δ'.

ΒΙΒΛΙΟΝ Α'.

GALENI DE DIGNOSCENDIS PVLSIBVS LIBRI QVATVOR. LIBER I.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Α' ΒΙΒΛΙΩι.

Διδάσκει ἅπαντα ὧν περὶ τὴν ἀσαφῆ κατὰ τοὺς σφυγμοὺς διάγνωσιν ἔχομεν· κἀν τῷ μὲν πρώτῳ βιβλίῳ περὶ τῆς διαστολῆς τε καὶ συστολῆς, πρώτων καὶ κυριωτάτων τῶν σφυγμῶν μερῶν διὰ τὴν αἴσθησιν διαγνωσθησομένων διέρχεται.

ARGVMENTVM LIBRI PRIMI.

Docet quæcunque in pulsu in nostram notitiam veniant; ac in primo libro pertractat de Distentione ac Contractione, primis & principibus pulsus partibus per sensum dignoscendis.

CAPVT PRIMVM.

Partitio Commentationis de pulsibus: & quibus in partibus medici, quibus philosophi, elaborarunt: postea de difficultate dignoscendorum pulsuum.

DE pulsibus commentationem in quatuor partes sumus partiti. Prima specierum & generum illorum differentias recenset. Altera quæ est hæc ipsa, quam nunc in manibus habemus, agit de iis dignoscendis. Tertia causas aperit à quibus quisque generatur. Quarta & postrema, quid denunciare solent, medicis sanè præ cæteris honoratissima, quo fit vt reliquas partes huius nomine tractent, & à philosophis, qui scientiam naturalem inuestigarunt, non planè neglecta. Quamobrem meritò omnium prima pars, ad medicos iuxta & ad philosophos pertinet, sed secunda & quarta medicis est propria magis, vt tertia philosophis. Quocirca magnopere vtrique in tertia elaborarunt, quòd hi honoratissimam partem esse censerent, illi proximam statuerent honoratissimæ. In quarta non perinde quidem ac in hac eò quòd soli de ea medici scripserunt, plus tamen quàm in reliquis laboratum est. At in prima sophistis plus satis, medicis qui magis artis opera spectant quam nugas, satis inter disputandum laboris fuit. Reliquam secundam partem, nec philosophorum (neque enim ad tertiam, sed ad quartam faciebat) nec medicorum præter Archigenem, idque planè leuiter, attigit quisquam.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Διαχωρισμὸς τοῦ περὶ σφυγμῶν συγγράμματος· καὶ περὶ τίνα μὲν οἱ ἰατροὶ, περὶ τίνα δὲ οἱ φιλόσοφοι μετεχειρίσθησαν· ἔπειτα περὶ χαλεπότητος τῆς διαγνώσεως σφυγμῶν.

A

ΤΗΣ περὶ τοὺς σφυγμοὺς θεωρίας εἰς τέτταρα μέρη νενεμημένης, τὸ μὲν πρῶτον ἐξαριθμεῖται τὰς κατ' εἴδη τε καὶ γένη διαφορὰς αὐτῶν, τὸ δὲ δεύτερον αὐτὸ δὴ τοῦτο, ὃ νῦν ἐστὶν ἡμῖν προκείμενον, τὸ περὶ τῆς διαγνώσεως αὐτῶν. τὸ δὲ τρίτον τὰς αἰτίας τῆς γενέσεως ἑκάστου διδάσκει. τὸ δὲ τέταρτόν τε καὶ ἔσχατον, ὅσα τι δηλοῦν πέφυκεν ἰατροῖς μὲν ἁπάντων τὸ τιμιώτατον. ὥς τε καὶ τἄλλα διὰ τοῦτο μεταχειρίζονται, φιλοσόφοις δὲ, ὅσοι τὴν περὶ φύσεως ἐπιστήμην ἐζήτησαν, οὐ παντελῶς ἄτιμον· ὅθεν εἰκότως τὸ μὲν πρῶτον ἁπάντων μόριον, κοινὸν ἐξ ἴσου ἰατροῖς τε καὶ φιλοσόφοις. τὸ δὲ δεύτερόν τε καὶ τέταρτον, ἰατρῶν μᾶλλον ἴδιον. ὥσπερ τὸ τρίτον, φιλοσόφων. ταῦτ' ἄρα, τὸ μὲν τρίτον ἱκανῶς ἀμφοτέροις ἐσπούδασται. τοῖς μὲν αὐτὸ δὴ τὸ τιμιώτατον ὑπάρχον, τοῖς δ' ἐγγύτατα τοῦ τιμιωτάτου. τὸ δὲ τέταρτον, ἧττον μὲν τούτου, μόνων ἰατρῶν ὑπὲρ αὐτοῦ γεγραφότων, μᾶλλον δὲ τῶν ἄλλων. τὸ δὲ πρῶτον, ὑπὸ μὲν τῶν σοφιστῶν, ἀμετρότερον. ἰατροῖς δὲ ὅσοις τῶν ἔργων τῆς τέχνης πλείων

B

C

φροντὶς, ἢ τοῦ λήρου ἐν διατριβαῖς αὐτάρκως ἐσπούδασται. λοιπὸν δὲ τὸ δεύτερον, οὔτε φιλοσόφων τις ἔγραψεν. οὐ γὰρ δὴ τῷ τρίτῳ γε, ἀλλὰ τῷ τετάρτῳ χρήσιμον ἦν, οὔτε ἰατρῶν, πλὴν ἐπὶ βραχὺ παντελῶς, οἱ περὶ τὸν Ἀρχιγένην.

δεῖται δὲ λόγου μὲν ἥκιστα συχνοῦ τοῦτο, χρόνου δ' ὁμοῦ τῶν ἄλλων ἁπάντων μακροτέρου. πρὸς γὰρ τὸ χρῆναι τὴν ἁφὴν ἀσκῆσαι, ὥστε τῆς παρὰ μικρὸν ἀκριβῶς αἰσθάνεσθαι διαφορᾶς, οὐδ' ἐφ' ἡμῖν ἐστιν ἡ ἄσκησις αὐτῆς. τὴν μὲν γὰρ τῶν ἁρμονιῶν τε καὶ ὀργάνων χρῆσιν, ἔτι τε τὰς ἀνατομὰς, καὶ τὴν περὶ τοὺς ἐπιδέσμους τε καὶ βρόχους ἐμπειρίαν, ὅσαι τ' ἄλλαι χειρουργίαι τοῖς ἰατροῖς ἀναγκαῖαι, τάχ' ἄν τις καὶ χωρὶς τῶν ἔργων ἐκμάθοι. καὶ τά γε πολλὰ οὕτω δρῶμεν, μιμήματα τῶν ἀληθινῶν μηχανώμενοι, δι' ὧν εἰς μὲν τὸ τέλειον ἐλθεῖν οὐχ οἷόν τε, πλεῖστον δ' οὖν προελθεῖν, καὶ πλησίον τοῦ τέλους ἀφικέσθαι δυνατόν. ἐν δὲ τῇ περὶ τοὺς σφυγμοὺς τριβῇ, τί ἄν τις ἐξεύροι μίμημα, δορκαδίζοντος, ἢ σκωληκίζοντος, ἢ τινος τῶν ἄλλων τῶν σπανίως μὲν γινομένων, μέγα δέ τι δηλούντων; οὐδὲν οὐδ' ἐγγύς. ἀλλὰ λόγῳ μὲν αὐτῶν τὴν φύσιν ἑρμηνεῦσαι, δυνατώτεροι ἕτεροι ἑτέρων. ὥστε δ' ἀσκῆσαι γνωρίζειν ἐντυχόντα, ῥᾷστα καὶ ἀκριβέστατα, χωρὶς τῆς ἐπ' αὐτῶν τῶν ἔργων τριβῆς, οὐδὲν ἂν εὕροις τοιοῦτο μηχάνημα τοῖς ἰατροῖς ἐπινενοημένον, οἷα περὶ τὰς ἄλλας χειρουργίας. διά τε οὖν τοῦτο, χρόνου δεῖται μακροῦ. καὶ προσέτι διὰ τὴν τῆς φύσεως τῶν πραγμάτων ἀκρίβειαν. εἰ γὰρ οἱ πλαστικοὶ μὲν καὶ γραφικοὶ, τὴν ὄψιν, οἰνοπτικοὶ δὲ καὶ μαγειρικοὶ, τὴν γεῦσιν, τὴν ὄσφρησιν δὲ οἱ περὶ τὴν τῶν μύρων σκευασίαν, καὶ τὴν ἀκοὴν οἱ μουσικοὶ, καίτοι τὴν ὕλην τῆς τέχνης ἄφθονον ἔχοντες, οὐχ ἡμέραις, οὐδὲ μησὶν, ἀλλ' ἔτεσι συχνοῖς εἰς ἀκρίβειαν ἀσκοῦσιν, πόσου χρὴ δοκεῖν δεῖσθαι χρόνου τὸν ἰατρὸν εἰς τὴν τῆς ἁφῆς ἄσκησιν; ὃν, καθ' ἕνα χρόνον, πάμπολλα χρὴ γνωρίσαι παθήματα τῆς ἀρτηρίας, οὐχ ὡς οἱ πλαστικοὶ τὰ σχήματα μόνον, ἢ οἱ γραφικοὶ τὰς χρόας, ἀλλὰ πρῶτον μὲν τὸ ποσὸν τῆς διαστάσεως, εἶτα τήν τε ποιότητα, καὶ τὸν χρόνον τῆς κινήσεως. κἄπειθ' οὕτω τὸν τόνον τῆς κινούσης αὐτὰ δυνάμεως. εἶτ' αὐτὸν τὸν χιτῶνα τῆς ἀρτηρίας, ὅπως ἔχει. ταῦτα γὰρ πάνθ' ἅμα γνωρίζειν χρὴ, διαστελλομένης αὐτῆς. καὶ μὲν δὴ καὶ τὴν τῆς θερμασίας ποιότητα, σαφέστερον ἡ διὰ τῆς κινήσεως προσβολὴ τῆς ἀρτηρίας γνωρίζει. καὶ εἰ ὁμαλῶς, ἢ ἀνωμάλως ἅπαντα τὰ εἰρημένα γίγνεται, καθ' ἕν τι μόριον, καὶ κατὰ διαφέροντα. ταῦτα μὲν ἐν τῷ διαστέλλεσθαι, χρὴ γνωρίσαι. παραπλήσια δ' αὖθις ἐν τῷ συστέλλεσθαι, καὶ τὸν μεταξὺ χρόνον ἀμφοῖν ὃν ἠρεμεῖ διττὸν ὄντα. τὸν μὲν, ἐπὶ τῷ διαστῆναι, πρὸ τοῦ συστέλλεσθαι, τὸν δ' ἐπὶ τῷ συσταλῆναι, πρὸ τοῦ διαστέλλεσθαι, καὶ τὸν τούτων πρὸς ἀλλήλους λόγον, τοῦ τε τῆς κινήσεως χρόνου, πρὸς τὸν τῆς κινήσεως, καὶ τοῦ τῆς ἡσυχίας, πρὸς τὸν τῆς ἡσυχίας, καὶ συναμφοτέρου, πρὸς συναμφότερον, ἃ σύμπαντα, πρὸ τοῦ δεύτερον πλῆξαι τὴν ἀρτηρίαν, ἐγνῶσθαι χρὴ τοῦ πρώτου συμπληρουμένου σφυγμοῦ. τοῦ γὰρ δὴ δευτέρου ὑπαρξαμένου, ταῦτά τε χρὴ σκοπεῖσθαι περὶ ὧν ἐπὶ τοῦ πρώτου δεδήλωται, καὶ παραβάλλειν τὰ κατ' ἐκεῖνον ῥηθέντα τοῖς κατὰ τοῦτον, ἵν' ὁμαλότητα καὶ ἀνωμαλίαν αὐτῶν γνωρίσῃς, καὶ ἁπάσας τὰς διαφοράς. εἶτα καὶ τρεῖς καὶ τέτταρας, καὶ πέμπτους, καὶ πολλοὺς ἑξῆς ἰδεῖν σφυγμοὺς, ἵνα σοι τάξις τε καὶ ἀταξία γνωρισθῇ. ταῦτ' οὖν ἅπαντα, πόσης οἴει δεῖσθαι τριβῆς; ἐμοὶ μὲν γὰρ, εἰ χρὴ μὴ ψευσάμενον εἰπεῖν, ἅπαντος τοῦ ἀνθρωπίνου βίου δεῖσθαι δοκεῖ, πρός γε τὴν τελεωτάτην ἐπιστήμην. εἰς δὲ τοσαύτην ὅση καὶ ἡμῖν ἤδη ἐστὶν, οὐχ ἑξαμήνων μόνον ἐν ὅσοις οἱ σοφώτατοι μεθοδικοὶ τὴν ἰατρικὴν ὅλην ἐπαγγέλλονται διδάξειν, ἀλλ' ἐτῶν πάνυ πολλῶν, ἐγὼ μέν γε ἀφ' οὗ τὸ πρῶτον εἰς ἰατροὺς φοιτᾶν ἠρξάμην, παῖς ἔτι ὢν, θαυμαστήν τινα ἐπιθυμίαν ἔσχον τῆς περὶ τοὺς σφυγμοὺς τέχνης·

A Flagitat autem hæc non prolixam quidem orationem, sed tempus aliis simul omnibus longius. Nam quum tactu nobis opus est exercitato, vt paruam etiam exactè differentiam sentiamus, tum non est in manu nostra eius exercitatio. Nam compaginum vsum & instrumentorum, & verò dissectiones, vsúmque fasciarum & laqueorum; præterea reliquas chirurgias medico necessarias, citra tuam operam fortasse discas. Et sanè multa ipsi hoc pacto obimus, imitamenta molientes. per quæ etsi ad summam peruenire non possumus, at plurimùm tamen progredi, ac prope finem peruenire possumus. In meditando verò ad pulsus, B quid inuenias, quod caprizantem, vel vermiculantem, vel omninò quenquam imitetur minus frequentium, non vulgarem tamen rem indicantium? nihil hercle, nec quod accedat quidem. Sed ad naturam eorum alius alio præstat oratione declarandam: vt exerceas autem te ad quempiam facillimè simul, & exactè dignoscendum, nisi ipse tuam operam naues, nihil reperias machinæ à medicis, ita commentum, vt in cæteris fecerunt operibus manu obeundis. Itaque quum ob id, tempus requirit longum, tum ob absolutam naturæ rerum scientiam. Nam si figuli pictorésque visum, si caupones & coci gustum, C olfactum vnguentarij, auditum musici, tametsi artis habent vbique promptam materiam, multos non dies dico, aut menses, sed annos, vt accuratè artem calleant, exercent, ad tactum exercendum quantum scilicet censeas temporis medicum quærere? cui plurimi vno tempore affectus arteriæ sunt attendendi, non vt figulis solæ figuræ, aut vt pictoribus colores: sed primum distentionis quantitas, deinde qualitas, & tempus motus, tum mouentis eam contentio facultatis, postea ipsius tunicæ arteriæ status. Hæc simul atque illa attollitur, omnia sunt cognoscenda. Quinetiam caloris D qualitatem, occursus arteriæ motu excitatus apertius indicat; & etiam æqualiter an inæqualiter: illa quæ memorauimus omnia, vna in parte, & in diuersis fiant. Atque in distentione hæc consideranda sunt. In contractione sanè similia illis, præterea tempus inter vtranque medium, quo quiescit, duplex illud, vnum à distentione ante contractionem, alterum à contractione ante distentionem, & horum mutuam proportionem, temporis motus ad tempus motus, temporis quietis ad tempus quietis, & vtriusque simul ad vtrunque; quæ sunt vniuersa ante alterum arteriæ ictum cognoscenda E confecto primo pulsu. Nam quum iam alter inceperit, quum hæc ipsa sunt attendenda, quæ declarata iam primo sunt; tum verò, quo æqualitatem eorum, & inæqualitatem perspicias, omnesque differentias, quæ in illo sunt exposita cum iis quæ in hoc conferenda sunt. Inde tres, quatuor, quinque atque adeo multi deinceps pulsus sunt videndi, vt ordo tibi atque confusio fit explorata. Quid hæc quantæ censes esse omnia exercitationis? Equidem vt verum dicam, ad exactissimam quidem & absolutissimam cognitionem requiri totam humanam vitam putem: vt autem F tantam assequaris, quantam nunc parauimus nobis, non sex menses tantùm, quibus vniuersam medicinam profitentur sapientissimi se isti methodici traditúros, sed annos permultos. Mihi quidem certè, vt primum medicis cœpi operam dare, primis adhuc ætatis temporibus mirifica cupiditas incessit artis de pulsibus cognoscendæ: atque

atque inde vsque in hanc diem, eam commentatus, haud dum mihi omnem artem videor assecutus. Siquidem multos annos etiam dignosceréne esset tactu clarè arteriæ contractionem, incertus eram. Quin incertum mihi erat, an Archigenes, Herophilus, & qui Agathini temporibus erant, omnesque propè empirici vera dicerent; tantum aberat, vt planè scirem, possetne tota sentiri, an pars aliqua, eaque quanta. Iam in distentione de similibus perinde implicatus tenebar, quum tamen hæc fundamenta sint, & veluti elementa totius de pulsibus artis: quibus incognitis nihil esset præterea quicquam, quod cognosci certò possit. Tantum sensu noueram dignoscere distendi arteriam, non ascendere, & descendere, quod confirmant isti, qui Empirici vocantur, probari, atque id esse verum. Neque enim distentionem, sed ictum tantum percipere tactum: ascendentis ne cuiuspiam, an distenti, non item animaduerti. Hoc quidem multis annis propè solum assecutus sum: postea vnum etiam, vehementem pulsum: alia me omnia adhuc fugiebant. Itaque in profunda hæsitatione multos annos volutatus, nihilo magis indagare destiti: sed quum acrius etiam, atque etiam in id incubui, tandem aliquando species contractionis tactui apertè repræsentata est. Deinde quum in ea meditatione diutius immorarer, non speciem adhuc obscuram, sed clarissimam notitiam eius non concedentem distentionis notitiæ consecutus sum. Postea quid commemorem, quam alia sim citò assecutus? Omnia enim vltro se offerebant, & planè posthac perspicua erant, vt quum in summis tenebris lux subitò splendida eluxit. Quòd si quis hæc accipiat, vt vera & non vt fabulam, magnum fructum capit, ne eum desperatio subeat inueniendi, quæ indagat: neque eò deterreatur, quòd multis etiam annis inquirendo nihil dum profecerit. Nam quidam in quærendo clam obducitur callus, vsusque comparatur, qui progreditur pedetentim, neque prius, quàm absolutus sit, vnquam cœpisse apparet. Simul atque completus est, cumulatè fert omnium exhaustorū laborum quàm citissimè fructum, adeoque vt rudius dicam cum ipsa vsura. Iam quum posteris nostris non mediocre momentum accesserit promptitudo nostra, atque industria in hisce rebus, qui non dubitauerim, vel ipsos affectus tactus aperire oratione: breuiore tempore ad artem se exerceant pulsuum, & minore cum labore. Faciam enim vt præter alia viam muniam, qua votum assequaris potissimum: liceat tantum ab immensa diuitiarum atque gloriæ siti, quæ nunc dominatur, mortales abducere. Neque sanè quicquam erit profectum hac lucubratione, si veritatis studiosos desiderabit: quos scilicet hactenus desiderabit, dum voluptas superior sit, & regnet; honestas autem nulli curæ, nullo numero sit; neque enim voluptuarios hæc commentatio, sed egregie gnauos industriosque quærit. At talis quotusquisque est? Sed enim vt dixit Heraclitus, Vnus mihi instar est mille. Profectò libètius cum vno illo egero, ac cum istis mille, qui vnum, vel etiam nullum valent: nam non numero veritas, sed sapientia æstimatur. Ergo ad vnum hunç verba nunc facimus cupidum veritatis, quisquis ille siue nunc sit, siue posthac existet. Primum multa ad sensum pertinentia, fieri non posse, vt verbis explanentur: Deinde tametsi non possit fieri, nihil eo tamen causæ esse, quamobrem nostræ te diligentiæ pœniteat.

A Εἶτ' ἐξ ἐκείνου, μέχρι καὶ εἰς τόδε μελετῶν, οὐδέπω μοι δοκῶ πᾶσαν αὐτὴν ἐκμεμαθηκέναι. πολλοῖς μὲν γὰρ ἔτεσιν, οὐδ' εἰ σαφῶς ἐστι τῇ ἁφῇ διαγνῶναι τὴν συστολὴν τῆς ἀρτηρίας ἠπιστάμην. ἀλλ' ἦν ἀπορῶν μοι πότερον οἱ περὶ τὸν Ἀρχιγένην καὶ Ἡρόφιλον, ἢ οἱ περὶ τὸν Ἀγαθῖνον, ἢ σχεδὸν ἅπαντας τοὺς ἐμπειρικοὺς ἀληθεύουσι. τοσοῦτον ἀπελειπόμην τοῦ πότερον ὅλης αὐτῆς αἰσθάνεσθαι δυνατόν ἐστιν, ἢ μορίου τινός, καὶ πόσου τούτου, σαφές τι γινώσκειν. ἀλλὰ καὶ περὶ τὴν τῆς διαστολῆς, οὐδὲν ἧττον ἠπόρουν παραπλήσια. καίτοι ταῦτά γε τὰ πρῶτα, καὶ οἷον στοιχεῖα τῆς ἐν τοῖς σφυγμοῖς τέχνης ἐστίν, ὧν B ἀγνοουμένων, οὐδὲ τῶν ἄλλων οὐδὲν οἷόν τ' ἦν γνῶναι βεβαίως. τοσοῦτον δὲ μόνον ἠπιστάμην αἰσθήσει διαγινώσκειν, ὅτι διαστέλλεται ἡ ἀρτηρία, καὶ οὐκ ἀνέρχεται καὶ κατέρχεται, καθάπερ οἱ ἐμπειρικοὶ καλούμενοι λέγουσιν ἐνδέχεσθαι, καὶ τοῦτ' ἀληθὲς εἶναι. μὴ γὰρ διαστολῆς, ἀλλὰ πληγῆς μόνον αἰσθάνεσθαι τὴν ἁφήν· εἴτε δ' ἀνιόντος τινός, εἴτε διαστελλομένου, μηκέτι φαίνεσθαι. μόνον δὲ σχεδὸν τοῦθ' ἡμῖν ἐν πολλοῖς ἔτεσιν ἐγνώσθη. κἄπειτα τῶν ἐφεξῆς ἓν ἡ τοῦ σφοδροῦ σφυγμοῦ διάγνωσις, τῶν δ' ἄλλων οὐδὲν οὐδέπω γνώριμον ἦν, ἀλλ' ἐν βαθείᾳ τινὶ κυλινδουμένοις ἀπορίᾳ συχνῶν ἐτῶν, οὐ C μὴν ἀφισταμένοις γε τῆς ζητήσεως, ἀλλ' ἀεὶ καὶ μᾶλλον λιπαρῶς ἐγκειμένοις ἐφαντάσθη ποτὲ συστολὴ σαφὴς τῇ ἁφῇ. τοὐντεῦθεν ἀσκοῦσιν ἐπὶ πλέον, οὐ φάντασμα ἔτι ἀμυδρόν, ἀλλ' ἐναργὴς ἡ διάγνωσις αὐτῆς, οὐδὲν ἧττον τῆς διαστολῆς ἐγίνετο. ἐπὶ ταύτῃ δ' εἰπεῖν, οὔτ' ἔχω τὸ τάχος τῆς τῶν ἄλλων διαγνώσεως. ἐπιρρεῖ γὰρ ἅπαντα. καὶ σαφῶς λοιπὸν ἐφαίνετο, καθάπερ ἐν σκότῳ λαμπροῦ φωτὸς ἀθρόως ἐκλάμψαντος. εἴ τις δὲ τοῦτον τὸν λόγον, ὡς ἀληθῆ λόγον, καὶ μὴ μῦθον δέξαιτο, κερδανεῖ μεγάλα, μὴ προαπογινώσκων τῆς τῶν ζητουμένων εὑρέσεως, μηδὲ προαφιστάμενος κἂν ὅτι μάλιστα D παμπόλλῳ χρόνῳ ζητῶν ἔτ' ἀγνοῇ. λεληθυῖα γάρ τις ἐν αὐτῷ τῷ ζητεῖν ἕξις ὑποτρέφεται κατὰ βραχὺ προϊοῦσα, πρὶν μὲν τοῦ τελεωθῆναι, μηδ' εἰ ἄρχεταί πω δήλη τυγχάνουσα, τελεωθεῖσα δ' ἀθρόως, ἐκφαίνεται πάντων τῶν προπονηθέντων τὸν καρπὸν ἀποδιδοῦσα διὰ ταχέων, καὶ εἰ ἀγροικότερον φάναι, σὺν αὐτοῖς τοῖς τόκοις. προσγεγυμνασμένης δὲ τοῖς μεθ' ἡμᾶς ἀνθρώποις, οὐ σμικρᾶς μοίρας τῆς ἐμῆς εἰς ταῦτα προθυμίας ἄχρι τοῦ καὶ λόγῳ πάντα τὰ τῆς αἰσθήσεως ἐπιχειρεῖν ἑρμηνεῦσαι πάθη, ἐν ἐλάττονι ἂν χρόνῳ, καὶ ἀταλαιπωρότερον ἡ περὶ τοὺς σφυγμοὺς ἀσκοῖτο τέχνη. ἐγὼ γὰρ τά τ' ἄλλα, καὶ τὰς E ὁδοὺς πειράσομαι ἐνδεῖξαι, δι' ὧν ἄν τις μάλιστα τοῦ σκοποῦ τυγχάνοι. μόνον εἴη τῆς ἀπλήστου περὶ πλοῦτόν τε καὶ δόξαν σπουδῆς τῆς νῦν κατεχούσης, χαλάσαι τοὺς ἀνθρώπους. καὶ οὐδὲν οὐδὲ τῆσδε τῆς πραγματείας πλέον, ἕως ἂν ἀπορῇ τῶν σπουδαζόντων ἀλήθειαν. ἀπορήσει δὲ μέχρις ἂν ἡδονὴ μὲν κρατῇ καὶ βασιλεύῃ. τὸ καλὸν δ', ἀπερριμμένον τε καὶ ἄτιμον ᾖ. οὐ γὰρ τρυφώντων ὅδε ὁ λόγος, ἀλλ' ἱκανῶς συντεταμένων τε καὶ προθύμων δεῖται. τοιοῦτοι δ' εἰσὶ παντελῶς ὀλίγοι, τῶν νῦν. ἀλλὰ κατὰ τὸν Ἡράκλειτον, εἷς, ἐμοὶ μύριοι. καὶ ἥδιον ἂν τοὺς λόγους πρὸς τοῦτον τὸν ἕνα ποιησαίμην, ἢ πρὸς τοὺς μυρίους, τοὺς ἑνός, ἢ οὐδενὸς F ἀξίους. οὐ γὰρ δὴ πλήθει τὸ ἀληθές, ἀλλὰ φρονήσει κρίνεται. λεγέσθω οὖν ἤδη πρὸς τοῦτον τὸν ἕνα τὸν τῆς ἀληθείας ἐραστήν, ὅστις ποτ' ἄν, ἢ νῦν ᾖ τοιοῦτος, ἢ αὖθις γενήσεται. πρῶτον μέν, ὡς [illegible] ἀδύνατόν ἐστι λόγῳ πολλὰ τῶν τῆς αἰσθήσεως ἑρμηνεῦσαι παθῶν. ἔπειτα δ', ὅτι κἂν ἀδύνατον ᾖ, οὐ χρὴ τούτου γ' ἕνεκα τῆς ἡμετέρας σπουδῆς καταγινώσκειν.

εἰ γὰρ καὶ μὴ κατὰ πάνυ ἀκριβῶς, ἀλλ' ἐγγυτέρω γε τοῦ μηδόλως ἀφίκοιτ' ἄν τις διὰ τοῦ λόγου, πρὸς τὴν ἐπίγνωσιν αὐτῶν. τίς γοῦν ἀκριβῶς τὴν ἰδέαν ἑκάστου τῶν ἀνθρώπων διδάξαι λόγῳ δύναται; οὐδεὶς δήπουθεν. ἀλλ' ὅμως καὶ τοὺς ἀποδιδράσκοντας οἰκέτας, κηρύττουσιν ὁσημέραι κατὰ τὰ τῆς ἰδέας γνωρίσματα· καί τινι καὶ τοῦτο μόνον ἤρκεσεν ἀκοῦσαι.

Γυρὸς ἔην ὤμοισι, μελάγχροος, οὐλοκάρηνος,

κἀγὼ μηδέποτε τοῦ γλυκέος Φαλερίνου, πρὶν εἰς τὴν Ῥώμην ἀφικέσθαι γευσάμενος, ἡνίκα πρῶτον ἐνέτυχον, οὐκ ἠγνόησα, δι' ὧν ἀνεγνώκειν αὐτοῦ γνωρισμάτων ὀξυδορῶν. ἡμέτερος δέ τις ἑταῖρος τὸν ἐν τῇ Λυδίᾳ γινόμενον οἶνον γλυκὺν, τὸν Καρύϊνον ὑπὸ τῶν ἐπιχωρίων καλούμενον, ἐγνώρισε ῥᾳδίως, τοσοῦτον μόνον παρ' ἡμῶν προακηκοὼς, ὡς ἔοικε τῷ τε γλυκεῖ τῷ Κρητικῷ, καὶ τῷ Σκυβελλίτῃ καλουμένῳ, κατά τε τὴν χρόαν, καὶ γλυκύτητα, καὶ πάχος, στύψιν δέ τινα θαυμαστὴν, καὶ ἡδίστην παρ' ἐκείνους εἰσφέρεται. τοιαῦτ' οὖν καὶ ἡμεῖς ἐρεῖν ἐπαγγελλόμεθα τῆς τῶν σφυγμῶν διαγνώσεως σημεῖα. καὶ προσέτι, πῶς ἄν τις ἐπιβάλλοι τὴν χεῖρα καθ' ἕκαστον. ἐπὶ τινῶν μὲν γὰρ χρὴ βιαίως ἐρείδειν. ἐπὶ τινῶν δὲ μαλακῶς ἅπτεσθαι, καθάπερ ἐπὶ τοῦ σφοδροῦ τε καὶ ἀμυδροῦ, τὸν μὲν γὰρ οὐκ ἂν γνωρίσαις, εἰ μὴ θλίβοις τὴν ἀρτηρίαν, τὸν δ' οὐχ ὅπως ἂν γνοίης θλίβων, ἀλλὰ καὶ παντάπασιν ἀκίνητος εἶναί σοι δόξει τοῦτο δρῶντι. καὶ μὲν δὴ καὶ ὅσοι μεγάλοι θ' ἅμα, καὶ ἀμυδροὶ σφυγμοὶ, καθάπερ ἐπὶ τῶν ληθαργικῶν, καὶ τούτων τὸ μέγεθος οὐκ ἂν γνοίης, εἰ μὴ πάνυ μαλακῶς ἅπτοιο. ὅτι δὲ καὶ τοὺς ὑψηλοὺς, τῶν ἁδρῶν καὶ μεγάλων, καὶ σκληρῶν, καὶ σφοδρῶν, ἱκανῶς ὁ λόγος διδάξαι διακρίνειν, εἰ μέγαν εἴποιμί σοι τοῦτον ὑπάρχειν, ὃς ἂν εἰς τὰς τρεῖς διαστάσεις ἀνάλογον ηὐξημένος ᾖ, εἰς μῆκος, καὶ πλάτος, καὶ βάθος. ἁδρὸν δὲ, τὸν εἰς τὰς δύο μόνας, πλάτος τε καὶ βάθος. ὑψηλὸν δὲ, τὸν εἰς μίαν μόνην τὴν ἄνω. καὶ τὸν μὲν σκληρὸν βίαιον ποιεῖσθαι τὴν πληγὴν, τῇ τοῦ χιτῶνος τῆς ἀρτηρίας ποιότητι. τὸν δὲ σφοδρὸν τῇ ῥώμῃ τοῦ ζωτικοῦ τόνου, οὐκ ἂν εἴποις, ὡς οὐκ ἀρκεῖ τινι συνετῷ, καὶ μὴ ῥαθύμῳ παντάπασιν ἀπὸ τούτων ὁρμωμένῳ, κτήσασθαί ποτε βεβαίαν ἐπιστήμην τῆς διαγνώσεως αὐτῶν, εἰ μόνον περὶ τὰ πρῶτα, καὶ οἱονεὶ στοιχεῖα τῆς τέχνης, ἱκανῶς εἴη γεγυμνασμένος, ὑπὲρ ὧν καὶ ἡμεῖς πρῶτον εἰπόντες, οὕτως ἐπὶ τὰ λοιπὰ κατὰ τὴν προσήκουσαν τάξιν μεταβησόμεθα.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τεσσάρων τῶν τῆς διαγνώσεως τῶν σφυγμῶν στοιχείων.

Ἔστι δὲ τέτταρα ταῦτα. τὸ μὲν πρῶτον ἁπάντων, ὅπερ ἔφαμεν ἐρίζοντας μᾶλλον, ἢ ἀληθεύοντας λέγειν τοὺς ἐμπειρικοὺς, ὡς πληγῆς μόνης αἰσθάνονται, διαστολὴν δ' ἀρτηρίας, οὐ γνωρίζουσι. καὶ διὰ τοῦτο, τινὲς ἐξ αὐτῶν τὸν σφυγμὸν ὁρίζονται μνήμην παθῶν ἁφῆς, ἐκ κινήσεως ἀρτηριῶν. οὐ γὰρ ἐκ διαστολῆς ἀρτηριῶν, ἀλλ' ἐκ κινήσεως ἔφασαν. δι' οὐδὲν ἄλλο, ἢ ὅτι τὰ τῆς διαστολῆς οὐχ ὁμολογοῦσιν αἰσθάνεσθαι. ἀλλὰ λόγῳ μὲν, φασὶν, ἴσως ἄν τις πιστώσαιτο αὐτὴν, οὐ μὴν τῇ γ' ἁφῇ κατάδηλον γίνεσθαι. τοὐναντίον δ' ἄπαν ἐχρῆν αὐτοὺς λέγειν, εἴπερ ὅλως φιλονεικεῖν ἐσπουδάκασιν· ὡς ἡ μὲν ἁφὴ διαστελλομένης αἰσθάνεται τῆς ἀρτηρίας, εἰ δὲ καὶ κατ' ἀλήθειαν διαστέλλεται, τοῦτ' οὐκέτι γινώσκειν ἀκριβῶς. τὸ δ', ὅτι μὴ φαίνεται φάσκειν, καταψευδομένων ἐστὶ τῆς αἰσθήσεως. εἰ γάρ τις αὐτοὺς ἔροιτο, ποῖός τις ὁ σπασμώδης σφυγμὸς φαίνεται, τί ἂν ἄλλο ἔχοιεν εἰπεῖν, ἢ ὅτι τεταμένης ἐφ' ἑκάτερα

Nam si minus vndequaque accuratè sermone ad eorum notitiam, propius tamen quàm nihil aspiraueris. Nam quis tandem faciem cuiusque hominis depingere oratione exactè possit? haud sanè quisquam: tamen seruos fugitiuos quotidie ex notis faciei proclamant. Adeoque fuit, cui hoc esset satis tantum exaudisse;

Crassus erat, nigris humeris, crispisque capillis.

Atque ego quum prius quàm Romam profectus essem, dulce falernum nunquam gustassem; tamen me, quum est primum oblatum mihi, non fefellit, quòd signis deprehenderem ea quæ legeram. Quidam etiam meus familiaris vinum, quod crescit in Lydia (dulce Carynum vocatur ab incolis) facilè cognouit, hoc duntaxat à me admonitus, dulce vinum Creticum, & quod Scybellite appellant, colore repræsentare, & dulcedine, crassitiéque: præterea mirificam quandam iucundissimamque adstringendi vim præter illa habere. Huiuscemodi nos quoque signa recipimus pulsuum dignoscendorum traddituros: Ad hæc manus quanam ratione erit, cuique pulsui admouenda: siquidem hîc firmius infigenda est; illic lenius applicanda: vt in vehementi, & languido pulsu. Nam illum nisi premas arteriam, non dignoscas: hunc tantum abest, vt cognoseas premendo, vt semel etiam si ita facias, videatur immotus. Nec verò magnorum simul, & languidorum pulsuum, quos lethargici habent, cognoueris magnitudinem, nisi admodum attingas molliter. Quòd autem à turgidis, & magnis, & duris, vehementibusque altos discernere oratio possit docere, si magnum dicam tibi hunc esse qui increuit ex æquo in tres dimensiones, in longitudinem, latitudinem, profunditatemque; turgidum autem qui in duas tantum, latitudinem, & profunditatem; altum qui in vnam tantum, altam; & durum violentum ictum efficere qualitate arteriæ tunicæ; vehementem vitalis robore contentionis; haud dixeris prudentem virum atque gnauum, omninò ab his initiis ingressum, non posse dignoscendorum illorum confirmatam scientiam parare, modò ad principia, & veluti elementa artis huius probè exercitatus sit. De quibus nos primo loco dicemus, deinde congruo ordine ad reliqua progrediemur.

CAPVT II.

De quatuor elementis dignoscendorum pulsuum.

SVnt hæc quatuor. Omnium primum, quod empiricos diximus contentiosè potius quàm verè asserere, ictum se tantùm sentire, distentionem autem ignorare arteriæ. Quocirca pulsum quidam ex illis definiunt, memoriam affectuum tactus ex arteriarum motu. Nam non ex distentione arteriæ, sed ex motu dixerunt, nulla de re alia quàm quòd distentionem se negant sentire. Verùm ratione, inquiunt, constituas eam, licet; non percipit tamen eam tactus. Contra verò debebant omninò dicere, si id tantùm agebant vt contenderent, tactum arteriæ distentionem sentire, sed veréne distendatur, hoc se non planè scire; nam confirmare non percipi, mentientium est de sensu. Etenim si istos roges, quis tandem conuulsiuus pulsus videatur, quid aliud respondeant, ac intentæ vtroque arteriæ,

arteriæ, quasi fidis quendam occursum illum efficere tactui, quæ ne pristinam quidem sedem planè retineat, sed sensim sursum deorsumque iactetur? Iam etiam si de vibrato requiramus, fatebuntur hunc quoque, si quidem illis certè tactus affectus non exciderunt, fieri quum deseruit arteria suam sedem. Nam in iis pulsibus sursum ferri arteriam, atque deorsum sentimus planè. Quinimò pulsus inæqualitatem eam, in qua arteriæ quædam partes editiore loco appareant, quædam humiliore, si nescire se dicant, experientiæ deprehendentur inanes, quam semper venditant. Neque enim de illis hoc est, quæ ratione ostenduntur; cæterùm tactus id percipit dilucidè, in cuius quærenda causa medici, qui vocantur Dogmatici, dissentiunt mutuò, dissensuri etiam in eo, an percipiatur, nisi ea sit rei euidentia. Quinetiam est quum magnitudine inæqualis pulsus fiat in vna distentione, quum eius partes quædam plus, quædam minus distendantur, qui non fieret, nisi distendi arteriam reuera videremus. At intelligo producere illis me ingeniosius fortasse sermonem, quàm apertè agere; nam satis hoc sit dixisse, longum vel breuem, altum vel humilem, latum vel angustum, magnum vel paruum, crassum vel gracilem, & præterea horum medios fieri non posse, quum non omni ex parte distendi arteria conspiciatur, quoniam solum fieri motum arbitrantur; tantum vel altus, vel humilis fieret, vel eorum medius; alius nullus. Igitur qualis conuulsiuus pulsus est qui raro contingit, tales contendunt qui negant sensibilem distentionem esse, semper omnes videri, reuera enim in conuulsiuo, aut nequaquam sentitur distentio, aut parum & obscurè, arteria in fidis modum sursum deorsumque iactata. At verò, quod tradit Archigenes, hominum gracilium in partibus non carnosis, oculis cerni arterias distendi & contrahi, apud homines quidem verecundos rectè dicitur, apud eos verò qui de rebus conspicuis, quando sibi ipsis libuerit non laborant secus. Etenim vel conspici negabunt hoc, quòd quidem eorundem sit illorum hoc quoque inficias ire, aut si etiam annuant, oculis videri dicent arteriam distendi, tactu non item; atqui de hoc quæstionem esse. Quare non ad visum sermonem deriuemus, verùm propositis his quæ tactu percipiuntur, placare homines conemur. Atque vt verum dicam, non tam istorum nomine, quàm vt veram traderem rationem dignoscendi tyronibus huius meditationis affectus sensibiles, memini pulsuum manifestam distentionem arteriæ obtinentium, & obscuram de quibus conuulsiui sunt; præterea vt pulsuum qui in quantitate positi distentionis sunt, ne confundant considerationem: sed semper in memoria habitis tribus dimensionibus contendere præsentem pulsum cum superiori valeant in tribúsne dimensionibus illi, an in eorum aliquibus, vel aliqua respondeat. Nam qui ex distentionis quantitate viginti septem pulsus constant, quos in tabella libro primo De pulsuum differentiis proposui, hac maximè ratione cognoscas, si dimensionum quantitatem singularum teneas memoria. Porrò autem tum hæc ipsa quæ nunc commemorauimus, tum reliqua quæ posthac dicenda sunt, omnia præcedere ille liber debet, vt initio statim huius libri admonuimus. Itaque prius

A τῆς ἀρτηρίας, οἷον χορδῆς προσβολή τις ὑπ᾽ αὐτῆς γίνεται τῇ ἁφῇ, μηδὲ φυλαττούσης ἀκριβῶς τὴν ἀρχαίαν ἕδραν, ἀλλ᾽ ἠρέμα πως ἄνω καὶ κάτω φερομένης. εἰ δὲ δὴ καὶ περὶ τοῦ κλονώδους ἐροίμεθα, καὶ τοῦτον ὁμολογήσουσιν, εἴπερ ὅλως περιπεφυλάξαι τὰ πάθη τῆς ἁφῆς, ἀπολιπούσης τῆς ἀρτηρίας τὴν ἰδίαν χώραν, φαίνεσθαι γινόμενον. ἐναργῶς γὰρ ἄνω τε καὶ κάτω φερομένης αὐτῆς αἰσθανόμεθα, κατὰ τοὺς τοιούτους σφυγμούς. καὶ μὲν δὴ καὶ τὴν καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίαν, τὴν παρὰ τὰ μὲν ὑψηλότερα φαίνεσθαι κείμενα τῆς ἀρτηρίας μόρια, τὰ δὲ ταπεινότερα, εἰ μὴ ὁμολογοῖεν γνωρίζειν, ἀμαθεῖς ἐξελεγχθήσονται τῆς ἐμπειρίας ἣν ἀεὶ πρεσβεύουσιν. οὐ γὰρ δὴ τῶν ἐκ B λόγου δεικνυμένων ἐστὶ τὸ τοιοῦτον, ἀλλὰ φαίνεται μὲν σαφῶς τῇ ἁφῇ. τὴν δὲ αἰτίαν αὐτοῦ ζητοῦντες, οἱ δογματικοὶ κληθέντες ἰατροὶ διαφέρονται πρὸς ἀλλήλους, διενεχθέντες ἂν καὶ περὶ τοῦ φαίνεσθαι, εἰ μὴ πάνυ ἐναργὲς ἦν. ἀλλὰ καὶ κατὰ μέγεθος, ἀνώμαλός ποτε γίνεται σφυγμὸς ἐν τῇ μιᾷ διαστολῇ, τῶν μὲν ἐπιπλέον, τῶν δ᾽ ἐπ᾽ ἔλαττον αὐτοῦ μορίων διϊσταμένων, οὐκ ἂν γινόμενος, εἰ μὴ τὸ φαίνεσθαι διαστελλομένην τὴν ἀρτηρίαν ἀληθὲς ἦν. μακρολογῶν δ᾽ ἴσως σοφώτερον αὐτοῖς, ἢ ἐναργέστερον διαλεγόμενος φαίνοιμι. ἀρκεῖ γὰρ εἰπεῖν, ὡς μα- C κρὸς, ἢ βραχὺς, καὶ ὑψηλὸς, ἢ ταπεινὸς, καὶ πλατὺς, ἢ στενὸς, καὶ μέγας, ἢ μικρὸς, καὶ ἁδρὸς, ἢ ἰσχνὸς, καὶ δηλονότι, ὅτι οἱ μέσοι αὐτῶν οὐκ ἂν ἐγίνοντο σφυγμοὶ, μὴ κατὰ πᾶν μέρος φαινομένης διαστέλλεσθαι τῆς ἀρτηρίας, καθὸ δοξάζουσι μόνην κίνησιν γίνεσθαι, ἀλλὰ μόνον ἂν, ἢ ὑψηλὸς, ἢ ταπεινὸς, ἢ ὁ μέσος αὐτῶν ἐγίγνετο, τῶν δ᾽ ἄλλων οὐδείς. οἷος οὖν ὁ σπασμώδης σφυγμός ἐστι σπανίως γιγνόμενος, τοιούτους ἀξιοῦσιν ἀεὶ φαίνεσθαι πάντας, οἱ μὴ συγχωροῦντες αἰσθητὴν εἶναι τὴν διαστολήν. ὄντως γὰρ ἐπὶ τοῦ σπασμώδους, ἢ οὐδόλως αἴσθησις γίγνεται τῆς διαστολῆς, ἢ ἐπὶ βραχὺ καὶ ἀμυδρῶς, οἷον χορδῆς τῆς ἀρτηρίας ἄνω τε καὶ αὖθις κάτω φερομένης. τὸ δ᾽ ὑπὸ τοῦ Ἀρχιγένους λεγόμενον, ὅτι ἐπὶ D τῶν ἰσχνῶν ἀνθρώπων, αἱ ἐν τοῖς ἀσάρκοις μέρεσιν ἀρτηρίαι, φαίνονται τῇ ὄψει διαστελλόμεναι καὶ συστελλόμεναι, πρὸς μὲν αἰδήμονας ἀνθρώπους, ὀρθῶς λέγεται, πρὸς δὲ τοὺς ὅταν αὐτοῖς δόξῃ, μηδὲ τῶν φαινομένων πεφροντικότας, οὐκ ὀρθῶς. ἢ γὰρ οὐδὲ τοῦτο φαίνεσθαι φήσουσι, τῶν αὐτῶν γάρ ἐστιν ἐκείνων, καὶ τοῦτ᾽ ἀρνεῖσθαι. ἢ εἰ καὶ ὁμολογήσαιεν, ὄψει μὲν φαίνεσθαι διαστελλομένην ἐροῦσιν τὴν ἀρτηρίαν. ἁφῇ δ᾽ οὐκ ἔτι. περὶ ταύτης δ᾽ εἶναι τὴν ζήτησιν. ὅθεν ἡμεῖς, οὐκ ἐπὶ τὴν ὄψιν τὸν λόγον ἄγομεν, ἀλλ᾽ ἐξ αὐτῶν τῶν κατὰ τὴν ἁφὴν φαινομένων ὑπομιμνήσκοντες, αὐτοὺς πειρώμεθα δυσωπεῖν. εἰ δὲ χρὴ τἀληθὲς εἰπεῖν, οὐ τοσοῦτον ἐκεί- E νων ἕνεκεν, ὅσον τοῦ διορθουμένην ποιεῖσθαι, τοῖς εἰς τὴν θεωρίαν ταύτην εἰσαγομένοις τὴν διάγνωσιν, τῶν αἰσθητῶν παθῶν ὑπεμνήσαμεν, τῶν τε φανερὰν ἐχόντων τὴν διαστολὴν τῆς ἀρτηρίας σφυγμῶν, καὶ τῶν ἀφανῆ, καθάπερ οἱ σπασμώδεις. ἔτι δὲ καὶ ὅπως τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων σφυγμῶν, μὴ συγκεχυμένην ποιῶνται τὴν ἐπίσκεψιν. ἀλλ᾽ ἀεὶ μεμνημένοι τῶν τριῶν διαστάσεων, ἔχωσι παραβάλλειν τὸν νῦν γινόμενον σφυγμὸν, τῷ πρόσθεν ὑπάρξαντι πότερον κατὰ τὰς τρεῖς διαστάσεις, ὁ αὐτός ἐστι, ἢ κατά τινας αὐτῶν, ἢ τινα. τοὺς γὰρ ἑπτά, καὶ εἴκοσι σφυ- F γμοὺς, οὓς κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένους, ἐν τῷ προτέρῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ἐπὶ διαγράμματος ἐξεθέμεθα, κατὰ τοῦτον ἄν τις μάλιστα γνωρίζοι τὸν τρόπον, εἰ μεμνημένος εἴη τῶν διαστάσεων ἑκάστης ἰδίᾳ τὸ ποσόν. ὅτι δ᾽ αὐτῶν τούτων τῶν εἰρημένων, καὶ τῶν ἄλλων ἁπάντων τῶν ἑξῆς μελλόντων λέγεσθαι, προηγεῖσθαι χρὴ ἐκεῖνο τὸ βιβλίον. ὃ κατ᾽

ἀρχὰς εὐθὺς τοῦδε τοῦ λόγου προειρήκαμεν, ὥσθ' ὅστις ἂν ἐκεῖνα ἐκμαθεῖν ἐπὶ τάδε ἥκει τοῦ παντὸς ἁμαρτάνει. τοῦτο μὲν δὴ καὶ ἡμῖν παρὰ πάντα τὸν λόγον ὑπαρχέτω. νυνὶ δὲ τὸ προκείμενον περαινέσθω, τὸ σαφῶς ὑποπίπτειν τῇ ἁφῇ τὴν διαστολὴν τῆς ἀρτηρίας, οὐ πληγὴν μόνην, ὡς οἱ πρὸς ἅπαντας φιλονεικοῦντες ἐμπειρικοί, φασίν. ὥστε πεισθέντες ἐμοί, τἀναντία τοῖς ἔμπροσθεν λέγοντες, εἰ μή που σοφισταί τινες, καὶ πιθανοὶ εἶναι δοκεῖν γλίχονται, τὴν μὲν διαστολὴν τῆς ἀρτηρίας φαίνεσθαι πρός γε τὴν ἁφήν, οὐ μὴν εἴ γε καὶ πρὸς τὴν φύσιν οὕτως ἔχει γινώσκειν. ἢ γὰρ ἂν οἰκειότερα ταῦτ' εἴη τῇ αἱρέσει τῶν ἀνδρῶν, ἢ τί παθόντες, ἐν μὲν τοῖς ἄλλοις ἅπασι λόγοις τὸ φαίνεσθαι τιθέντες, ἀποροῦσι τὸ πρὸς τὴν φύσιν, ἐνταυθοῖ δέ, οὐκέτι ποιήσουσιν αὐτό; καὶ μὴν εἰ τοῦτο δράσουσιν, οὐκ ἐγχωρήσει λέγειν, ἴσως μὲν διαστέλλεται ἡ ἀρτηρία, οὐ μὴν καὶ φαίνεται, ἀλλ' ἔμπαλιν, ἴσως μὲν οὐ διαστέλλεται, φαίνεται μέντοι. τοῦτο γὰρ ἀκόλουθόν ἐστι τοῖς τὸ φαινόμενον μόνον, καὶ μὴ αὐτὸ πρὸς τὸ δοξαζόμενον αὐτῶν τιθεῖσιν. εἴ γε τὸ φαινόμενον πάντη σθένει, οὗ περ ἂν ἔλθῃ, κατὰ τὸν Τίμωνα. τί ποτ' οὖν νῦν παρελθὸν οὐ σθένει; καὶ μὴν ἐχρῆν γε, εἴπερ πάντη σθένει. κοινὴν οὖν ἀρχὴν λαβόντες τὸ φαίνεσθαι διαστελλομένην τὴν ἀρτηρίαν, ὅταν γὰρ μὴ σπασμωδῶς κινῆται, μετὰ τοῦτ' ἂν ἴσως διαφερώμεθα πρὸς ἀλλήλους, εἰ ἡμεῖς μὲν ἐκείνῳ πιστεύοιμεν, ἐκεῖνοι δ' ἀπιστοῖεν. ἴσως δὲ κἀνταῦθα πάλιν αὐτοὺς ὑπομνήσαντες τῶν σφετέρων λόγων, εἰς ὁμολογίαν κοινὴν προσκαλέσομεν, τί γὰρ δὴ καὶ βούλονται; μὴ ἄλλο τι, ἢ φαίνεσθαι μὲν ἕκαστον τῶν φαινομένων. ἀπιστεῖσθαι δὲ μάλιστα μὲν εἰ οἷα φαίνεται, καὶ ἔστιν, ἔπειτα δ', εἰ καὶ τὴν ἀρχὴν ὅλως ἐστί. λαβέτωσαν οὖν καὶ παρ' ἡμῶν ὁμολογούμενον τοῦτο. πάντα γὰρ αὐτοῖς βουλομένοις χαριζόμεθα. καὶ μήτ' εἰ ἔστιν ὅλως ἥλιος, ἢ σελήνη, ἢ γῆ, μήτ' εἰ θάλαττα, μήτ' εἰ ἐγρηγόραμεν, ἀλλ' εἰ μηδὲ φρονοῦμεν, ἢ ζῶμεν, μηδ' ὅλως μηδὲν ἁπάντων, ὡς ἔχει φύσεως γινώσκειν ἡμᾶς. οὐκ οἶδα εἰ ταύτης ἔτι μείζονος ἀπορίας ἐπιθυμοῦσιν, ἐχέτωσαν αὐτὴν παρ' ἡμῶν ἑκόντων, μὴ καμνέτωσαν τῷ λόγῳ δεικνύντες, ἀφθόνως ἀπολαυέτωσαν τῆς περὶ φύσιν ἀγνοίας. μόνον ἡμῖν ἀποκρινάσθωσαν βραχύ τι. πότερον καὶ πρὸς τὴν χρῆσιν τῶν πραγμάτων, τὴν κατὰ τὸν βίον ἀπορεῖν ἀξιοῦσι, καὶ μήθ' ὅταν ἀνατέλλων ὁ ἥλιος ἐναργῶς φαίνεται, πράττειν ἡμᾶς ἃ πράττομεν, ὡς ἐν ἡμέραις, ἀλλ' ἡσυχάζειν ἐπὶ τοῦ σκίμποδος κατακειμένους, ἀποροῦντας εἴτε νύξ ἐστιν ἔτι, εἴθ' ἡμέρα. μήθ' ὅταν ἐν πλοίῳ, καὶ πελάγει τυγχάνωμεν ὄντες, οὕτω καὶ πράττειν, ἀλλ' ἀπιστοῦντας ἐκπηδᾷν τολμᾶν εἰς τὴν θάλατταν, ὡς ἴσως μὲν οὖσαν θάλατταν, ἴσως δ' οὔ. μηδ' ὅταν ἤδη καταγώμεθα, καὶ ἡ ναῦς ἐν τῷ λιμένι πλησίον τῆς γῆς καταφέρηται. καὶ πάντας περὶ τὴν γῆν ἐξιόντας ὁρῶμεν, πιστεύειν ταῖς αἰσθήσεσι, καὶ μέχρι τῆς χρείας, ἀλλ' ἔνδον καθέζεσθαι σκεπτομένους, καὶ ἀποροῦντας, καὶ λέγοντας. ἴσως γε φαίνεται μὲν ἡμῖν γῆ. οὐκ ἔστι δὲ γῆ. καὶ κατ' αὐτοὺς ἐκείνους, ἅπαντα τὰ τοιαῦτα μέχρι μὲν τῆς χρείας πιστά. πρὸς δὲ τὴν φύσιν, ἀπορεῖται. καὶ ἡμεῖς δ' αὐτοὶ τοῦτο δήπου βουλόμεθα. χρῆσθαι δ' αὐτοῖς, ὡς πιστοῖς. τὸ δ' ἐπέκεινα τῆς χρήσεως, περιττὸν εἶναι φαμέν. εἰ οὖν ὃ βουλόμεθα συγχωροῦσιν ἡμῖν. οὐκ οἶδα περί τινος ἔτι διαφερόμεθα. περὶ τοῦ πρὸς τὴν φύσιν, φασί. παῦσαι αὖ θέσποτε. οὐδὲ φθεγξόμεθά ποτε τοῦτο, εἰ καὶ κελεύεις. ἀλλά σε καὶ εἰς σπονδὰς ἕτοιμός εἰμι προσκαλέσασθαι. καὶ τὸ λοιπὸν προσίτω, καθάπερ τοῖς ἄλλοις ἀνθρώποις.

huc qui se conferat quàm illa edidicerit, errat planissimè; atque hoc sit in toto sermone constitutum. Nunc quod instituimus, exigamus: apertè distentionem arteriæ à tactu, non ictum modò (quod, qui cum omnibus disceptant, affirmant Empirici) animaduerti. Quare adducti rationibus meis contrà ac prius dicentes, fateantur (ni sophistæ certè & arguti gestiant haberi) arteriæ animaduerti quidem à tactu distentionem, tamen ita ne reuera habeat, se hæsitare; sanè enim hæc consentanea magis sint cum eorum secta. Aut quamobrem cum omnibus aliis in disputationibus, quod cernunt, constituunt, de natura verò hærent, hic non faciunt idem? Atqui si hoc faciant, non est quod dicant, distenditur fortassis arteria, sed non est conspicuum. Verùm è diuerso; fortassis non distenditur illa, tamen percipitur; siquidem consentit hoc cum illis qui quod cernunt tantum, & non quod cohæret, cum placito suo ponunt. *Siquidem quod conspicimus, vbique locorum*, vt dixit Timon, *valet*, qui fit igitur, quo minus nunc quod cernitur valeat? Atqui siquidem valet vbique, pro communi igitur principio apertè dilatari arteriam sumpto, quum scilicet non conuulsione moueatur, inde dissentiamus fortasse inter nos, an fidem illi nos habebimus, illi non habebunt. Fortassis hic quoque, si suam illis authoritatem subiiciamus, ad concordiam in communi ineundam authores fuerimus. Quidnam igitur volunt? nihil aliud, quàm singula euidentia conspici, & scrupulum habere maximum, an, qualia videntur, etiam sint, deinde an vlla etiam ratione sint. Sumpserint sanè & id à nobis confessum, nihil enim illis denegatum volumus. Quin nec ecquid omninò sit sol, luna, terra, nec an mare, neque an vigilemus: sed ne an sapiamus quidem, vel viuamus: nec quicquam nobis prorsus, qua sit natura constare. Equidem haud sciam, hac quam desiderent maiorem hæsitationem. Obtinuerunt hanc à nobis libentibus, supersedeant hoc labore orationis, vt demonstrent: habeant suam naturæ ignorationem, ac abundè fruantur licet. Tantùm respondeant nobis rem non sanè prolixam, An simul de vsu nos rerum ad vitam pertinentium hæsitare velint; neque vbi Solem perspicuè oriri cernamus, obire solita nos negotia, quæ quum dies est, an in grabato conquiescere, dubitantes nox ne etiam an dies: Nec quum nauem conscenderimus, ac simus in alto hoc agere; sed nihil credentes, audere in mare prosilire, quasi id fortassis mare, fortassis non sit: Neque vbi in portum ex alto inuehamur, appellaturque nauis ad terram, omnesque videamus in terram exire, fidem dare sensibus vsque ad ipsum vsum: cæterum intus nos continere hæsitantes, & dubitantes, dicentesque, Fortè quidem videtur nobis terra, non est tamen. Atque omnia illa ipsis illis authoribus ad experientiam vsque fidem habent: at de natura in dubitationem adducuntur; Quin hoc nos scilicet ipsi volumus, vt eis pro certis vtamur: quod verò excedit vsum superfluum dicimus esse. Quamobrem si quod cupimus nobis dant, de quo amplius diffideamus inuenio nihil. Quod ad naturam pertinet, de eo scilicet inquiunt. Desine quæso, nec de eo verbum vnquam faciemus si voles. Imò vel ad fœdus feriendum te adhortemur,

&

& procedant posthac, si vultis, non minus nobis, quā aliis mortalibus, quà res, quà verba, quādo vos etiam ipsos animaduerto laborare, ne quid de illis, quæ omnibus hominibus testata in vita sunt, euertatis. Proinde sicut illi negocia obeunt, & item nos obeamus, nec curiosi simus vlla in re, quæ aperte conspicitur, sed statim credamus, & assentiamur. vt si quis annunciet ab imbribus, qui deciderunt, fluuium auctum euertisse pontem, hic quispiam, de vobis præsto ita vetet absolutè ab imbribus, qui deciderunt dicere, sed qui visi sunt decidere: neque fluuium, sed qui videtur & apparet: neque auctum, verum, qui videbatur auctus esse, neque diruisse pontem, sed videri diruisse, quis hunc sanum dicat? Quid igitur, quando cum cæteris omnibus mortalibus alio modo disputetis, negotia solis nobis facessitis, quum iisdem vtamur sensibus, tam in arte medica, quàm reliqua in vita? Et vtrem verbi gratia, & vesicam, culeum, atque fabrorum folles quid distendi dicitis ac contrahi, videri prætermittitis; arteriæ verò soli innocēti estis molesti, atque in ea de apparentibus scrupulum inijcitis, quominus absolutè pronuncietis distenta est, & distenditur, contracta est, & contrahitur, sed videtur distendi, veréne distendatur me latet. Desistite per Deos tandem aliquando inanibus nugis artem onerare, vel sua sponte longam. Si ociamini & vitam non labefactare, sed esse vsui instituistis: artemque non interpellare, sed augere conamini, rebus hanc commodioribus contentionem reseruate. Multa offendetis in medicina, quæ magnæ sint quæstionis, huc conferte vim vestram, hic ingenium ostendite, & dubitationem de rebus euidentibus tandem abiicite, quando nihil ea re profectus sitis facturi. Cōpellemini enim, velitis nolitis, euidentia pro certis habere, aut ne hiscere quidem nobis potestas erit: nam quum, siue quæramus, siue non quæramus, idem consequitur vsus, ne quicquam inquiramus. Sunt verò permultæ aliæ hominibus tum sensus, tum rationis exercitationes, hic laborate, in his tempus ponite: res autem euidentes citra scrupulum pro iis, quæ esse illæ videantur numerate, facite itaque, vt mihi arteriam concedatis in longum, latum, & profundum distendi: postea iam dispicite, an sentire contractionem, necne possitis. Vos verò, vt nec hoc, nec aliud inquireretis quicquam, sint ne omnino res euidentes, in dubium vocastis: vnde vobis suppeditat magnus quidem verborum aceruus, sed qui non possit labefactare tamen, neque conuellere vsum euidentium. Nos igitur contra faciemus ac vos. Omnibus quæ clarè cernuntur, vtemur, citra vllam hæsitantiam, & credemus talia esse, qualia videntur, quæ obscurius, hæc in quæstionem vocabimus, atque partim ratione, partim sensibus, partim etiam amborum ope aggrediemur eruere. Verùm horum viam inueniendi alio loco amplius tradimus: hic tantum, quod ad institutum nostrum interest referemus.

CAPVT III.

Contractionis inuestigatio Galeni.

Nam quum Agathinus dicat arteriæ nō posse cōtractionē sentiri: Herophilus autē cōstantissimè, vt de re sensibili disserat: res hercle plena erat difficultatis vni magis, quàm alteri, accedere, præsertim quorū tantū vterque studij quū ad alias

A οὕτω καὶ ἡμῖν, εἰ βούλεσθε, τά τε τῶν πράξεων, καὶ τὰ τῶν λόγων, ἐπεὶ καὶ ἡμᾶς αὐτοὺς ὁρᾶτε περὶ πολλοῦ ποιουμένους, μηδὲν τῶν κατὰ τὸν βίον ὡμολογημένων τοῖς ἀνθρώποις ἅπασιν, ἀνατρέπειν. ὡς οὖν ἐκείνοις περαίνεται τὰ κατὰ τὰς πράξεις, οὕτω καὶ ἡμῖν περαινέσθω, μὴ πολυπραγμονοῦσι περὶ τὸ φαινόμενον ἐναργῶς μηδέν, ἀλλ' ἐκ προχείρου πιστεύουσί τε καὶ ἑπομένοις. ὡς εἴ γέ τινος ἀπαγγέλλοντος ὑετοῦ γενομένου, τὸν ποταμὸν αὐξηθέντα τὴν γέφυραν ἀνατρέψαι, παρών τις ὑμῶν κωλύει οὕτως ἁπλῶς, ὑετοῦ γενομένου, λέγειν, ἀλλὰ τοῦ φαινομένου γεγονέναι, μηδὲ ποταμόν, ἀλλὰ τὸν φαινόμενον, καὶ δοκοῦντα, μηδ' αὐξηθέντα, ἀλλὰ ηὐξῆσθαι δόξαντα, μηδὲ B τὴν γέφυραν καταβαλεῖν, ἀλλὰ φαίνεσθαι καταβεβληκότα· πῶς οὐκ ἂν δόξειε μαίνεσθαι; τί ποτ' οὖν τοῖς ἄλλοις ἀνθρώποις ἅπασιν ἑτέρως διαλεγόμενοι, μόνοις ἡμῖν πράγματα παρέχετε, καίτοι ταῖς αὐταῖς αἰσθήσεσι χρώμενοι, ἐπί τε τῶν κατὰ τὴν ἰατρικήν, κἂν τῷ λοιπῷ βίῳ; εἶτα τὸν μὲν ἀσκόν, εἰ οὕτως ἔτυχε, καὶ τὴν κύστιν, καὶ τὸν θύλακον, καὶ τὰς τῶν χαλκέων φύσας, τί διαστέλλεσθαι λέγοντες καὶ συστέλλεσθαι, τὸ φαίνεσθαι παρελείψατε· τῇ δ' ἀρτηρίᾳ μόνῃ, τῇ τί ποθ' ὑμᾶς κακὸν ἐργασαμένῃ πράγματα παρέξετε, καὶ τὴν ἀπιστίαν τῶν φαινομένων κατ' αὐτῆς κινήσετε, καὶ οὐχ ἁπλῶς ἐρεῖτε, διέσταλται, καὶ διαστέλλεται, καὶ συνέσταλται, καὶ συστέλλεται, ἀλλὰ φαίνεται διαστελλομένη, εἰ δὲ καὶ ὄντως διαστέλλεται, οὐκ οἶδα. C παύσασθε πρὸς τοῦ Διὸς ἤδη ποτέ, μηδὲν προσήκουσι λήροις ἐπιφορτίζοντες τὴν τέχνην, ὡς οὖσαν καθ' ἑαυτὴν μακράν. εἰ σχολὴν ἄγετε, καὶ τὸν βίον οὐκ ἀνατρέπειν, ἀλλ' ὠφελεῖν προῄρησθε, καὶ τὴν τέχνην οὐ κωλύειν, ἀλλ' αὔξειν ἐσπουδάσατε, τὴν φιλοτιμίαν ταύτην εἰς τὰ χρηστότερα τρέψατε. πολλὰ τῆς ἰατρικῆς εὑρήσετε, ζητήσεως οὐ σμικρᾶς δεόμενα, περὶ ταῦτα δεινοὶ γίγνεσθε. τὴν σύνεσιν ἐν τούτοις ἐπιδείκνυσθε. τὴν δὲ τῶν ἐναργῶς φαινομένων ἀπιστίαν ἤδη ποτὲ μισήσατε, πλέον οὐδὲν ἕξειν ἀπ' αὐτῆς μέλλοντες, ἀναγκασθήσεσθε γὰρ ἑκόντες τε καὶ ἄκοντες, ὡς πιστοῖς χρῆσθαι τοῖς ἐναρ- D γέσιν, ἢ οὐδὲ φθέγξασθαι ὑμῖν, οὐδὲ τὸ βραχύτατον ἔσται. ὅταν οὖν ζητήσαντάς γε, καὶ μὴ ζητήσαντας, ἡ αὐτὴ χρῆσις ἐκδέχηται, περιττὸν τὸ ζητεῖν. εἰσὶ δ' ἕτεραι πολλαὶ τοῖς ἀνθρώποις, αἱ μὲν τῶν αἰσθήσεων ἀσκήσεις, αἱ δὲ καὶ τοῦ λογισμοῦ. περὶ ταύτας σπουδάσατε, τὴν σχολὴν περὶ ταῦτα διάθεσθε. τοῖς δ' ἐναργέσι χωρὶς ζητήσεως, ὡς τοιούτοις οὖσιν οἷα φαίνεται πιστεύετε. συγχωρήσαντες οὖν μοι λέγειν τὴν ἀρτηρίαν εἰς μῆκος, καὶ πλάτος, καὶ βάθος διαστέλλεσθαι, τὸ ἐπὶ τῷδε διασκέψασθε, πότερον αἰσθέσθαι δυνατόν ἐστι τῆς συστολῆς, ἢ οὔ. ἀλλ' ὑμεῖς, ἵνα μηδὲ τοῦτο, μηδ' ἄλλο ζητήσητε, τὴν περὶ τῆς ὑπάρξεως τῶν ἐναργῶν ἀπορίαν ἐκινήσατε, E συχνὸν μέν τινα λόγων ἑσμὸν ἔχουσαν, οὐ μὴν καταβαλεῖν γε δυναμένην, οὐδ' ἀνατρέψαι τὴν χρείαν τῶν ἐναργῶν. ἡμεῖς οὖν ἔμπαλιν ὑμῖν πράξομεν. ἅπασι μὲν τοῖς φαινομένοις ἐναργῶς χωρὶς ζητήσεως χρησόμεθά τε καὶ πιστεύσομεν, ὡς τοιούτοις οὖσιν οἷα καὶ φαίνεται. τὰ δ' ἀμυδρότερα, διασκεψόμεθα. τὰ μὲν τῷ λόγῳ, τὰ δὲ ταῖς αἰσθήσεσι, τὰ δ' ἀμφοτέροις ἐπιχειροῦντες ἑλεῖν. ἥτις μὲν οὖν ἡ ὁδὸς τῆς εὑρέσεως αὐτῶν, ἐπὶ πλέον ἑτέρωθι λέγομεν. ἐν δὲ τῷ παρόντι, τὸ χρήσιμον εἰς τὰ προκείμενα λεχθήσεται μόνον.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

F

Γαληνοῦ εὕρεσις τῆς συστολῆς.

Ἀγαθίνου τοίνυν λέγοντος, ἀναίσθητον εἶναι τὴν συστολὴν τῆς ἀρτηρίας. Ἡροφίλου δέ, διὰ παντός, ὡς ὑπὲρ αἰσθητῆς διαλεγομένου, χαλεπὸν ὄντως ἦν καὶ ἄπορον ἑτέρῳ πρὸ θατέρου πιστεῦσαι. τοσαύτην μὲν ἀμφοτέρων σπουδὴν εἰσενηνεγμένων, εἴς τε τἆλλα

τῆς ἰατρικῆς, καὶ τὴν περὶ τοὺς σφυγμοὺς τέχνην αὐξῆσαι, μακρῷ τε χρόνῳ, τόν τε λογισμὸν καὶ τὴν αἴσθησιν ἱκανῶς γεγυμνασμένων. ἐδόκει δή μοι δίκαιον εἶναι. πρῶτον μὲν ἀσκῆσαι τὴν ἁφὴν, τῆς παρὰ μικρὸν αἰσθάνεσθαι διαφορᾶς· ἵν᾽ εἴπερ ἡμῖν αὖθις ποτε καταφανὴς ἐναργῶς γένοιτο ἡ συστολὴ, μηκέτ᾽ ἄλλου δεοίμεθα μάρτυρος· δεύτερον δὲ, καὶ τὴν τῶν πρεσβυτέρων ἱστορίαν ἀναλέξασθαι. τῶν πλείστων μὲν γὰρ, καὶ τῶν ἀξιοπίστων, αἰσθητὴν λεγόντων, μηδ᾽ αὖ ὅτι μάλιστα πολλῷ χρόνῳ τριβομένοις ἡμῖν, ἔτ᾽ ἀναίσθητος φαίνηται, παραφίστασθαί τε, καὶ ἀπογινώσκειν τῆς εὑρέσεως. εἰ δὲ μηδεὶς ἄλλος, ἢ ὀλίγοι παντελῶς, καὶ ἄπιστοι, οὕτω λέγοιεν, ἡμῖν τε περὶ αὐτὸ ἔχουσιν ἀδιάγνωστον φαίνεται, τηνικαῦτ᾽ ἤδη καὶ ἀπογινώσκειν τῆς εὑρέσεως αὐτοῦ. καὶ ἀναίσθητον ὁμολογεῖν ὑπάρχειν. εὑρίσκοντες οὖν τοὺς μὲν Ἡροφιλείους σχεδὸν ἅπαντας, αἰσθητὴν εἶναι λέγοντας, τὸν δὲ περὶ τὸν Ἐρασίστρατον χορὸν, τοὺς μὲν ὁμολογοῦντας, τοὺς δ᾽ ἀρνουμένους, καὶ τρίτους τοὺς ἀπ᾽ Ἀθηναίου τοῦ Ἀτταλέως, ὧν εἷς ἦν καὶ Ἀγαθῖνος, ὡσαύτως πρὸς ἀλλήλους διαφερομένους. ὅσον μὲν ἐπὶ τῇ τῶν πρεσβυτέρων ἱστορίᾳ, πλέον οὐδὲν ἡμῖν ἐγνωμένον ἐσόμενον. ἴσων σχεδὸν ἀριθμῷ τε, καὶ ἀξιώματι, τῶν ὁμολογούντων, τοῖς ἀρνουμένοις ὑπαρχόντων. ἐφ᾽ ἡμῶν δ᾽ αὐτῶν ἅμα τοῖς διδασκάλοις διεσκοπούμεθα, μηδ᾽ αὐτοῖς ὁμολογοῦσι σαφῆ διάγνωσιν ἐσχηκέναι ποτὲ τῆς συστολῆς. ἐν τούτῳ δ᾽, οἷα εἰκὸς, καὶ λόγῳ τινὲς ἐκινοῦντο. καὶ πᾶσι μὲν αὐτοῖς ἐδόκει πιθανὸν εἶναι, μὴ δύνασθαι τῆς ἀποχωρούσης ἀρτηρίας αἰσθάνεσθαι τὴν ἁφήν. ἤτοι γὰρ τῆς κινήσεως αὐτῆς, ἢ τῆς ἅμ᾽ αὐτῇ πληγῆς αἴσθησιν ἡμῖν γίγνεσθαι κατὰ τὴν διαστολήν. ἀποχωρούσης δὲ, καὶ συστελλομένης. οὔτε πληγῆς ἐφ᾽ ἡμᾶς, οὔτε κινήσεως αἰσθάνεσθαι. τῶν γὰρ ὁμιλούντων αὐτῇ, καὶ προσιόντων, καὶ ψαυόντων, οὐ τῶν ἀφισταμένων εἶναι διαγνωστικήν. ἐπεὶ οὕτως ἂν καὶ τῶν ἐκ μακροῦ διαστήματος εἰς ἐπίγνωσιν ἐλθεῖν, εἴπερ ἅπαξ αὐτῇ συγχωρηθείη, τῶν οὐχ ἁπτομένων αἰσθάνεσθαι. ταῦτα καὶ τοιαῦτα λέγοντες, ἀνέπειθόν με ῥᾳδίως, ὡς ἂν καὶ αὐτὴν τὴν ἁφὴν, μάρτυρα ὧν ἔφασκον ἔχοντες. οὐ γὰρ ᾐσθανόμην τῆς συστελλομένης τῆς ἀρτηρίας, καὶ, ὀλίγου δεῖν, ἀπέστην ὡς οὐκ αἰσθητῆς αὐτῆς, εἰ μή μοί ποτε καθάπερ ἐκ παρατρίψεως πυκνῆς, πῦρ ἐξαφθὲν, καὶ λάμψαν ἐναργῶς, ἔδειξε τὸ ἀληθὲς, ὥστε μηκέτι ἑτέρων δεῖσθαι μαρτύρων καὶ κριτῶν, ἀλλ᾽ αὐτὸν ἱκανὸν ἐμαυτῷ γενέσθαι. δηλώσω δὲ τὸ σύμπαν, ἐντεῦθεν ἀρξάμενος, ὅθενπερ καὶ αὐτὸν ἐμὲ ὁ λόγος ἐποδήγησεν. ἐπεὶ τῶν ἁπτομένων σωμάτων, τὰ μὲν ἐπιπολῆς ἀλλήλων ἅπτεται ψαύοντα μόνον, ἕτερα τε βιάζεται, καὶ ὠθεῖ, καὶ ἀνατρέπει, κἀνταῦθα, τὸ μὲν ἰσχυρότερόν τε καὶ σκληρότερον οἷον ἐγκαταβαίνει τῷ ἀσθενεστέρῳ τε, καὶ μαλακωτέρῳ, θάτερον δ᾽, εἴκει τε, καὶ ἀνατρέπεται, καὶ οἷον περισχίσεται τῷ βιαζομένῳ τὴν διάλυσιν αὐτῶν ἀπ᾽ ἀλλήλων, οὐ τὸν αὐτὸν ἐνδέχεται γίνεσθαι τρόπον. ἀλλὰ τὰ μὲν ἐπιπολῆς ἁπτόμενα, καὶ ἀποχωρεῖ ἀθρόως, ὅσα δ᾽, εἴκοντος τοῦ μαλακωτέρου, προσωτέρω ἰόντα, οἷον ἐγκαταβαίνει αὐτῷ, ταῦτα οὐκ ἔτ᾽ ἀθρόως ἀφίσταται, ἀλλ᾽ ὅσον ἀπὸ τῆς πρώτης προσβολῆς ἐσωτέρω χωροῦντα, ἐβιάσατο· τοσοῦτον, ἀποχωριζομένοις αὖθις, αἰσθητὸν φυλάττεται. χρόνος γάρ τις ἐν τῷ μεταξὺ γενήσεται, τῆς τε πρώτης ὁρμῆς τοῦ ἀφίστασθαι, καὶ τῆς ἐσχάτης τελευτῆς, μεθ᾽ ἣν οὐκέτ᾽ ἀφίστασθαι, ἀλλ᾽ ἐφεστάναι ἤδη λεχθήσεται, ἐν ᾧ χρόνῳ παντὶ, κατὰ βραχὺ μὲν ἀποχωροῦντος τοῦ ἑτέρου, κατὰ βραχὺ δὲ τῆς θατέρου θλίψεως ἐκλυομένης, ἑκατέρων ἡ κίνησις αἰσθητὴ γενήσεται. εἰ δὲ δὴ καὶ τοῦτο προσείη, ὥστε τὸ μὲν κινούμενον κάτωθεν, ἄνω φέρεσθαι, τὸ δ᾽ ἁπτόμενον, ἄνωθεν ἐπικεῖσθαι, πρὸς τῷ τῆς θλίψεως ἀφαιρεῖσθαι τὸ ἐπικείμενον, ἔτι καὶ οἷον καταπίπτειν αὐτῷ συμβήσεται, τοῦ πρότερον ἀντερείδοντός τε καὶ ὠθοῦντος ἄνω, νῦν κάτω φερομένου.

partes medicinæ contulisset, tum ad artē de pulsibus augendam, ac etiam rationem multis annis sensúmque mirè exercitasset. Itaque operæpretium esse duxi, primùm quidem ita tactum exercere, vt parum abesset quin *pulsuum* differentias sentiret; vt si quando nobis ipsis manifestè contractio appareret, alium ne testem desideraremus; deinde vt veterum scripta reuolueremus. Nam, si plurimi hanc, atque probatissimi sentiri confirmarent, si ne quamdiutissimè quidem commentantibus, haud dum videretur tamen nobis sentiri, desisteremus, & deponeremus spem inueniendi. Sin autem nullus alius, aut planè pauci, ac leues hoc assererent, nobísq; in hoc incumbentibus nō dignosci videretur posse: abiiceremus iā tum eius spem inueniendæ, atque non sentiri posse fateremur. Ergo, quum familiā inueniremus Herophili propè omnē sentiri affirmantē: scholam autē Erasistratiorum partim annuentem, partim euntem inficias: ac tertios illos ab Athenæo Attalensi, de quibus Agathinus erat, inter se eodē modo dissidentes: nihil nos sanè ex veterum scriptis quidē consequuti opis sumus, quòd numero & dignitate, qui affirmarent & negarent propemodū æquarent. Itaq; apud me adhibitis præceptoribus considerabā, qui etiam se negabant ipsos in apertā cognitionē venisse vnquam contractionis. Iam hæc etiam nonnullos ratio, vt fit, mouebat, ac iis probabatur omnibus, vt recedentem tactus arteriam sentiat, fieri non posse: quippe aut motum ipsum in distentione, aut coniunctum cum eo ictum, nos sentire: atqui neq; ictum iam nos, vbi recipiat se illa contrahitúrq; neq; sentire motū: scilicet ea illum, quę consuetudinē habent secum, adeúntque ac cōtingunt, nō, quę discedant, dignoscere: alioqui ad remotorum aspirare notitiā posse, si hoc sit ei semel concessum, quæ non tangantur, sentire. His & talibus me verbis facilè in suam sentētiam adduxerunt, vt qui testem à se vt iactabant, tactū haberent; neq; enim contractionem sentiebā arterię. Sic nihil factum est propius, quàm vt ab illa me remouerem, vt ea, quę sentiri non posset: nisi mihi tandē, veluti ex assidua collisione, ignis incensus, & elucens clarè veritatem monstrasset: vt alios iam testes non quęrerē, nec arbitros, sed mihi ipse satisfacerē. Sed rem omnē explicabo hinc adeò exorsus, vnde me ipsum ratio duxit. Quādo corpora tangentia partim leniter sese mutuo tangunt, palpātia tantum: partim verò vrgent, impellunt, euertuntque, itáq; quod fortius est, & durius, veluti subit imbecillius, & mollius, alterum autem cedit, euertitúrque, ac veluti amplectitur id, quod vrget: discessus eorum mutuus non potest eodem modo effici. Cæterum, quæ in superficie tangunt, discedunt subito; at, quæ cedente molliore longius progressa illud veluti intrant, nō reuertuntur item subitò; sed, quanto à primo occursu progressa penitius vrgebant, tantum illis discedentibus sensibile superest. Tēpus namq; intercedet inter primum impetum discedendi, & extremū finem secundum quem non discedere amplius, sed discessisse iam dicentur. Quo tempore toto, paulatim discedēte altero, paulatim etiam alterius remisso pressu, vtriusque sentietur motus. Iam si hoc accedat, vt quod ab imo mouetur, feratur sursum; & quod tangit, supernè incumbat; pręter quod cōpressio ei quod incumbit detrahetur, etiā accidet ei, vt veluti subsidat; quia quod prius excipiebat & sursū impellebat, nūc defertur.

CAPVT IV.

Declaratio contractionis per alia vasa.

HÆc ex vesicis, vtribus, follibus & id genus instrumentis experientia ducta ei licet ediscere, cui non satis perspicua est ex oratione declaratio. Nam in omnibus inuenies, vbi languidus est tangentium concursus, ibi momento temporis fieri discessionem: at, alterum si validius sit, quanto spatio impellebatur infirmius, tanto mouebitur, scilicet vbi se, quod vrgeret, recipiat: at verò, si ex inferiore loco etiam premens ascendat, longè tunc procliuius sanè, & citius tunc imbecillius sequetur, id quod validius, socio ad persequendum adiuncto momento ad inferna. Poteris autem, si humida materia, vel aëre vtrem, vel vesicam, vel simile vas impleueris, leniter attingere, auferendis ac rursum admouendis digitis; deinde etiam trudere & impellere prorsum, admouendis hîc quoque vicissim, applicandísque digitis. Profectò alterum discessum, quum tantum palpaueris, clarissimè animaduertes, momento temporis fieri; alterum à compressione, nunquam citra aliquod spatium. Præterea in priore nihil moueri conspexeris, siue admoueas digitum, siue remoueas: at verò in altero moueri, non modò si imprimas digitum, sed & si retrahas. Age iam compares arteriam digito, & vasi corpus, quod arteriam contingit: ac eo, quod arteriam contingit, de loco suo nihil moto, arteria mota accedat, & recedat. Ac nunc occurrat arteria corpori, quod foris eam tangit, quasi palpet, contrectetque quod in languidis pulsibus vsu venit: nunc non palpet tantum, sed & in altum impellat, vt in vehementibus: Hic in priore occursu, necesse est, vbi arteria contrahitur, hoc possis dicere, recessisse illam ab eo, quod eam foris tangebat: hoc non possis, nunc recedere: tempus enim ea cognitio postulat: discedunt autem subito, quæ leuiter sese corpora tangunt, momentóque temporis, quod nequeas attendere: Sed in altero artiæ occursu in vehementibus pulsibus, à quo fit, vt tactus noster repellatur, prius recedere sentimus, deinde recessisse iam dignoscimus: id quod non sensus etiam animaduertit, sed mens ibi ex eo, quod affectus abijt ipsius sensus, colligit quod tum recederet, nunc recessisse. At leuiter attingentis animaduertere discessum non possis, discessisse etiam ibi conijcias.

CAPVT V.

Primùm sentimus affectus corporis nostri: deinde illa, quæ eos induxerunt.

POrrò autem non accedentis, vel prementis, vel tangentis, vel repulsi primùm nos sensum habere, sed affectuum corporis nostri, neminem etiam esse puto, quem fugiat. Sentimus enim ab impressione vehementium pulsuum carnem nostram vnà cum ambiente illam cute impelli; huic autem est adiuncta moti & prementis cognitio. Quinetiam recedente arteria sentimus in ipso corpore nostro motum, siquidem intrò compressa, siue ea cutis est, siue carnis pars, arteriam discedentem comitatur, pristinam sedem, qua deiecta erat, occupans; simulque fit, vt in recessus cognitionem veniamus. Nam sentimus primos omnium affectus

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἔνδειξις τῆς συστολῆς δι᾽ ἄλλων ἀγγείων.

Ταῦτα, διά τε κύστεων, καὶ ἀσκῶν, καὶ φυσῶν, καὶ τῶν τοιούτων ἁπλῶν τῶν ὀργάνων, ἔνεστι πείρᾳ μαθεῖν, ὅτῳ μὴ πάνυ ἐναργὴς ἡ διὰ τοῦ λόγου ἔνδειξις. εὑρεθήσεται γὰρ ἐπὶ πάντων, ἔνθα μὲν ἀβίαστος ἡ τῶν ἁπτομένων ὁμιλία, καὶ ἡ ἀποχώρησις ἄνευ χρόνου γιγνομένη· θατέρου δ᾽ ὑπάρχοντος ἰσχυροτέρου, εἰς ὅσον ἂν ὠθούμενον εἴη τὸ ἀσθενέστερον, εἰς τοσοῦτο καὶ τὸ κινούμενον, ὅταν ἀφίηται τὸ βιασάμενον. εἰ δὲ δὴ καὶ κάτωθεν ἄνω τὸ θλῖβον ἔρχοιτο, πολὺ δήπου ῥᾷόν τε καὶ θᾶττον, ἡνίκα δὴ τὸ ἀσθενέστερον ἀκολουθήσει τῷ ἰσχυροτέρῳ, σύμμαχον τῆς ἀκολουθήσεως προσλαβὸν τὴν εἰς τὸ κάτω ῥοπήν. δυνήσῃ δέ, πληρώσας, ἢ ἀσκὸν, ἢ κύστιν, ἢ τι τοιοῦτον ἄλλο ὑγρᾶς οὐσίας, ἢ ἀέρος, ἐπιπολῆς μὲν ψαύειν αἴρων τε, καὶ αὖθις προσφέρων μὲν δακτύλους, ἔπειτα δ᾽ ἤδη καὶ ὠθεῖν τε καὶ βιάζεσθαι πρόσω. κἀνταῦθα πάλιν ἐναλλὰξ αἴρων τε καὶ προσφέρων. ὄψει γὰρ ἐναργῶς τὴν μὲν ἑτέραν τῶν ἀποχωρήσεων, τὴν ἐπὶ τῇ ψαύσει χωρὶς αἰσθητοῦ χρόνου, τὴν δ᾽ ἑτέραν, τὴν ἐπὶ τῇ θλίψει, μετά τινος ἀεὶ χρόνου γιγνομένην. καὶ κατὰ μὲν τὴν προτέραν, ἀκίνητον ὄψει τὸ ἀγγεῖον. εἴτε προσάγοις, εἴτ᾽ ἀπάγοις τὸν δάκτυλον. ἐν δὲ τῇ δευτέρᾳ κινούμενον, οὐ προσβάλλοντος μόνον, ἀλλὰ καὶ ἀφαιροῦντος. ἀνάλογον δή μοι τίθει, τῷ μὲν δακτύλῳ ἀρτηρίαν τῷ δ᾽ ἀγγείῳ, τὸ ἐφαπτόμενον αὐτῆς σῶμα, καὶ μένοντος δηλονότι τοῦ ἁπτομένου καθ᾽ ἕνα καὶ τὸν αὐτὸν τόπον. ἡ ἀρτηρία κινουμένη προσίτω τε καὶ ἀποχωρείτω. γιγνέσθω δέ, ἡ μέν τις προσβολὴ τῆς ἀρτηρίας τῷ ἔξωθεν ἁπτομένῳ σώματι, οἷα ψαῦσίς τε καὶ ἐπαφή, καθάπερ ἐπὶ τῶν ἀμυδρῶν ἔχει σφυγμῶν. ἡ δέ τις, οὐ ψαῦσις μόνον, ἀλλὰ καὶ εἰς τὸ βάθος ὦσις, ὡς ἐπὶ τῶν σφοδρῶν. ἀνάγκη τοίνυν ἐπὶ μὲν τῆς προτέρας, ὅταν ἡ ἀρτηρία συστέλληται, τὸ μέν, ὅτι ἀπεχώρησε τοῦ ἔξωθεν ἁπτομένου δύνασθαι λέγειν, τὸ δ᾽, ὅτι νῦν ἀποχωρεῖ μὴ δύνασθαι. χρόνου γὰρ ἡ τοιαύτη χρήζει διάγνωσις. ἀθρόως δέ, καὶ χωρὶς αἰσθητοῦ χρόνου, τῶν ἐπιπολῆς ἁπτομένων σωμάτων αἱ ἀποστάσεις γίγνονται. κατὰ δὲ τὴν ἑτέραν προσβολὴν τῆς ἀρτηρίας, τὴν ἐπὶ τῶν σφοδρῶν σφυγμῶν, ὑφ᾽ ἧς ἀπωθεῖσθαι τὴν ἁφὴν ἡμῶν συμβέβηκε. πρότερον μὲν τοῦ χωρίζεσθαι ἡ αἴσθησις, ἐφεξῆς δ᾽, αὐτοῦ τοῦ κεχωρίσθαι ἡ διάγνωσις, οὐκέτι τῆς αἰσθήσεως τοῦτο γνωριζούσης. ἀλλὰ τῷ παύεσθαι τὸ ταύτης πάθος, τοῦ νοῦ, τότε, ὡς χωριζόμενον, νῦν κεχωρίσθαι συλλογισαμένου, τοῦ δ᾽ ἐπιπολῆς ἁπτομένου, τὸ μὲν χωρίζεσθαι παντάπασιν ἀδιάγνωστον, τὸ κεχωρίσθαι δὲ κἀπὶ τούτων συλλογισμῷ ληπτέον.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅτι πρῶτα μέν ἐστιν αἰσθητὰ ἐν τοῖς ἡμετέροις σώμασι τὰ παθήματα, δεύτερα δὲ τὰ τούτων ποιητικά.

ΟΤΙ δ᾽, οὐ προσιόντος, ἢ ἀπιόντος, ἢ θλίβοντος, ἢ ἁπτομένου, ἢ ἀπωθουμένου πρώτην αἴσθησιν ἔχομεν, ἀλλὰ τῶν κατὰ τὸ ἡμέτερον σῶμα παθημάτων, οὐδ᾽ αὐτὸ οἴομαι λανθάνειν. αἰσθανόμεθα μὲν γὰρ ἀνατρεπομένης ἡμῶν τῆς σαρκὸς, ἅμα τῷ περικειμένῳ δέρματι κατὰ τὴν προσβολὴν τῶν σφοδρῶν σφυγμῶν. συνέρχεται δὲ αὐτῷ, κινοῦντός τε καὶ βιαζομένου ἡ γνῶσις. καὶ μὲν δὴ καὶ ἀποχωρούσης τῆς ἀρτηρίας, ἡ μὲν αἴσθησίς ἐστι τῆς ἐν αὐτῷ τῷ ἡμετέρῳ σώματι κινήσεως. ἕπεται γὰρ τὸ εἴσω θλιβὲν, ἢ τοῦ δέρματος ἡμῶν, ἢ τῆς σαρκὸς μόριον, ἀφισταμένῃ τῇ ἀρτηρίᾳ. τὴν ἐξ ἀρχῆς χώραν, ὅθεν ἀπεώσθη, καταλαμβανομένη, ἡ δὲ τοῦ χωρίζεσθαι γνῶσις συνεπινοεῖται. πρῶτα γάρ ἐστιν αἰσθητὰ ἐν τοῖς ἡμετέροις

σώμασι τὰ παθήματα, δεύτερα δὲ, τὰ τούτων ποιητικὰ, ἐκτὸς ὑποκείμενα. ἔκ τε οὖν, μετὰ τὴν θλῖψιν ἀποχωρούσης τῆς ἀρτηρίας, γινομένης ἡμῖν ἐν τοῖς ἀπαθομένοις μορίοις κινήσεως αἰσθανόμενοι πρώτης, ἐπὶ τῶν σφοδρῶν σφυγμῶν, κατὰ τοῦτο καὶ τὴν συστολὴν τῆς ἀρτηρίας ὑποπίπτειν αἰσθήσει φαμὲν, ὡς τῶν ποιούντων δηλονότι τὰ ἐν ἡμῖν πάθη, συγκεχωρημένων αἰσθητῶν καλεῖσθαι· τό, τε τῆς θλίψεως ἄνισον, ἐνδείκνυται τὴν τοῦ θλίβοντος ἐπάνοδον. οὐδὲ γὰρ, οὐδὲ τὴν ῥώμην, οὐδὲ τὴν κίνησιν αὐτοῦ δι' ἄλλου τινὸς ἐγνωρίσαμεν, ἢ διὰ τοῦ τῆς θλίψεως ἀνίσου. ἐπιβαλλόντων γὰρ ἡμῶν τοὺς δακτύλους τοῖς σφοδροῖς σφυγμοῖς, ἡ μὲν πρώτη προσβολὴ, βραχὺ παντελῶς ὠθεῖ τὴν ἁφὴν, ἀπὸ ταύτης δ', ἀεὶ καὶ μᾶλλον, ἄχρι τῆς τελευτῆς, ἐπιτείνεται ἡ θλῖψις, ἥτις ἐνδείκνυται δηλονότι τήν τε κίνησιν καὶ τὴν ῥώμην τοῦ ἀπωθουμένου. θαυμαστὸν γὰρ δὴ, ὅπως οἱ ἀμυδροὶ σφυγμοί, κἂν μέγιστοι τυγχάνωσιν ὄντες, οὐχ ὅπως μικροὶ παντελῶς φαίνονται θλιβόντων, ἀλλὰ καὶ παντάπασιν ἀφανίζονται. καί τις ἴσως ἀγνοῶν, ὡς χρὴ τῶν τοιούτων ἐπιπολῆς ψαύειν, ἄσφυκτον εἶναι φήσει τὸν ἄνθρωπον, ἐξ ὧν αὐτὸς κακῶς ἥψατο, ψευδῶς ἀποφηνάμενος. οἱ σφοδροὶ δ', ἅπαν τοὐναντίον, ἐρειδόντων ἰσχυρῶς δέονται τῶν ἁπτομένων, εἰς τὴν τῆς ῥώμης αὐτῶν διάγνωσιν. ἀπωθεῖσθαι γὰρ τηνικαῦτά σοι μᾶλλον δόξουσιν, ὅταν ἐπὶ πλέον αὐτοὺς βιάζῃ. καὶ γοῦν καὶ τὴν συστολὴν αἰσθητὴν, οἱ σφοδροὶ μὲν ἅπαντες ἔχουσι, τῶν ἀμυδρῶν δ' οὐδείς. αὐτῶν δὲ τῶν σφοδρῶν, ἄλλος ἄλλου μᾶλλον, ἢ παρ' αὐτὸ τὸ μᾶλλόν τε, καὶ ἧττον ἐν τῇ σφοδρότητι. ἢ διὰ μέγεθος καὶ μικρότητα, ἢ διὰ σκληρότητα καὶ μαλακότητα. ἢ διὰ βραδύτητα καὶ τάχος. ὅστις γὰρ ἂν μέγιστός θ' ἅμα, καὶ σφοδρότατος, καὶ σκληρὸς, καθ' ὅσον οἷόν τε μεγέθει μιχθῆναι σκληρότητα, καὶ μὴ ταχὺς, σαφεστάτην οὗτος ἔχει τὴν συστολήν. οἱ δ' ἄλλοι πάντες, καθ' ὅσον ἂν, τούτων τινὸς, ἔλαττον ἢ πλέον μετέχωσι, κατὰ τοσοῦτον ῥᾷον, ἢ χαλεπώτερον γνωσθήσονται. προσετέθη καὶ μὲν δ' ἐπὶ τῆς κατὰ τὴν σκληρότητα καὶ τὸ μέγεθος μίξεως, τὸ, καθ' ὅσον ἐνδέχεται. τοῦδε χάριν, ἵνα μή τις ὑπονοήσῃ δύνασθαί ποτε γενέσθαι τὸν αὐτὸν ἅμα σφυγμὸν, ὥσπερ μέγιστόν τε καὶ σφοδρότατον, οὕτω καὶ σκληρότατον. οὐ γὰρ οἷόν τε συνελθεῖν, ὥσπερ σφοδρότητι τὸ μέγεθος, οὕτω καὶ σκληρότητι, μεγίστους μὲν γὰρ καὶ σφοδροτάτους σφυγμοὺς πολλάκις ἂν εὕροις, σκληροτάτους δ' ἅμα καὶ μεγίστους τοὺς αὐτοὺς, οὐκ ἂν εὕροις. ἀλλὰ μὲν οὐδὲ σκληροὺς ἅμα καὶ μεγίστους, ἀλλ' ὁ μέσος σκληροῦ καὶ μαλακοῦ σφυγμὸς, ὁ σύμμετρός τε κατὰ φύσιν, ἅμα τῷ μεγίστῳ πολλάκις εὑρίσκεται. καὶ μὲν δὴ, καὶ σκληρὸν θ' ἅμα καὶ σφοδρὸν τὸν αὐτὸν εὑρήσεις πολλάκις. καὶ σκληρὸς θ' ἅμα καὶ σφοδρότατος ἐστὶν ὅτε φαίνεται. σφοδρότατον δὲ καὶ σκληρότατον, οὐκέτ' ἂν εὕροις τὸν αὐτόν. ὥσπερ οὐδὲ μέγιστόν τε ἅμα, καὶ σφοδρότατον, καὶ ταχύτατον. ἀλλ' εἰ μέγιστοι, καὶ σφοδρότατοι, τοὐπίπαν μὲν καὶ ταχεῖς εἰσίν. εἰ δὲ μὴ, ἀλλ' οὐδὲ βραδεῖς γε. εἰ μὲν οὖν ἐνεδέχετο τὸν αὐτὸν ἅμα γενέσθαι σφυγμὸν, σφοδρότατόν τε, καὶ μέγιστον, καὶ σκληρότατον, καὶ βραδύτατον, ἡ πασῶν σαφεστάτη τῶν συστολῶν ἐπὶ τῶν τοιούτων ἐφάνη ἄν. ἐπεὶ δ' ἀδύνατος ἡ μίξις, ὁ σφοδρότατος ἔτι, καὶ μέγιστος, καὶ μὴ μαλακὸς, καὶ μὴ ταχὺς, ἐναργεστάτην ἕξει τὴν συστολήν. σαφῆ δὲ, καὶ ὁ σφοδρότατός γε, καὶ μέγας, καὶ σκληρὸς· καὶ μὲν δὴ καὶ ὅσοι σφοδροί θ' ἅμα, καὶ μεγάλοι, καὶ σκληροὶ, καὶ τούτων ἧττον μὲν, ἢ τῶν προειρημένων δ' ἔτι σαφῆς ἱκανῶς ἡ συστολή. τούτων δ' ἧττον, ἀλλὰ καὶ αὕτη σαφὴς ἡ τοῦ σφοδροῦ, καὶ μεγάλου, καὶ μαλακοῦ. σαφὴς δ' ἔτι καὶ ἡ τοῦ σφοδροῦ τε ἅμα, καὶ συμμέτρου κατὰ μέγεθος καὶ σκληρότητα· τούτου δ' ἀσαφεστέραν ἔχει τὴν συστολήν

corporum nostrorũ; deinde quæ hos induxerunt, foris obiecta. Quare quum recedit à premendo arteria, quia secundum partes nostras attingentes eam motam sentimus primum in vehementibus pulsibus, ea dicimus ratione contractionem etiam occurrere sensui: concesso scilicet vt, quæ affectus nobis creant, sensibilia appellemus: atq; compressionis inæqualitas prementis annunciat reditum; neque enim vel robur, vel motum eius, quicquam erat, quo cognosceremus, nisi compressio inęqualis. Nam, vehementibus pulsibus, vbi digitos iniicimus primus occursus admodum impellit parum tactum, ab hoc etiã atque etiam ad finem vsque comprimit magis: vnde sanè motus arguitur, & robur eius, quod repellitur. Mira enim res est, quonã modo languidi pulsus (vt sint maximi) non paruitantum, si premas, videantur, verũ etiam omnino sensum fugiant. Quòd, si quis leniter esse illos tangendos ignoret, fortasse abolitum homini pulsum dicat esse; qui quidem mentiatur inde, quod non rectè eos tetigerit. Contra planè vehementes, quo ipsorum deprehendatur robur, requirunt, vt, qui tangunt, digitos valide infigant: repelli enim hoc tibi, tum magis videbuntur, quò eos vrgeas magis. Vnde etiã contractionem omnes vehementes pulsus sensibilem habent: languidorum verò nullus; atque inter vehementes alius alio magis prout maior, vel minor sit vehementia, aut pro magnitudine & paruitate, aut pro duritie, & mollitie, aut pro celeritate, & tarditate. Nam, qui maximus simul, & vehementissimus, durúsque sit (quatenus coniungi cum magnitudine durities valeat) atque non velox, hic apertissimam habet contractionem. Omnes alij, quatenus plus, vel minus de illorum aliquo habeant adiunctum, hactenus facilius percipientur, vel ægrius. Addidimus autem eò in cõmiscenda duritie, & magnitudine, quatenus valeat, ne adducatur quis posse vnquam fieri, vt idem simul pulsus, tum maximus, & vehementissimus, tum euadat durissimus; neque enim coniungatur, sicut cum vehementia magnitudo, ita cum duritie. Maximos enim & vehementissimos pulsus subinde inuenias; at durissimos eosdémque maximos nunquam reperias, ac ne duros quidem pariter, & maximos: cæterum, qui inter durum, & mollem medius est pulsus, qui & moderatus est secundum naturã, cum maximo connexus frequenter inuenitur. Etiam durum simul, ac vehementem non rarò eundem cernas: adeóque durus, idémque vehementissimus nonnunquam existit; at vehementissimum, & durissimum nunquam eundem inuenias: neq; etiam, qui maximus, & idem vehementissimus, tardissimúsq; sit, sed maximi, & vehementissimi, plurimũ etiam celeres sunt; sin minus, at non tardi. Atqui si idem posset pulsus vehementissimus fieri, & maximus, & durissimus, & tardissimus, appareret in talibus pulsibus omnium apertissima contractio. Quæ quando non potest mixtio fieri, vehementissimus adhuc, & maximus, qui neque mollis, neque velox sit, clarissimam adducet contractionem. Claram etiam vehementissimus certè & magnus, & durus; Et etiam vehementes simul, & magni, & duri; quorum minus quidem quàm superiorum, manifesta adhuc satis tamen contractio est: Præterea his minus, sed euidens tamen contractio vehementis, magni, & mollis: Manifesta adhuc vehementis simul, & moderati magnitudine, & duritie; sed hoc obscuriorem habet contractionem,

non

non tamen quin possit dignosci magnus, & moderatus in reliquis duabus differentiis. Imò vero qui tribus differentiis est moderatus, perspicuam adhuc contractionem habet. Verùm non facilè vehementis & parui contractio cognoscitur, qui omnino etiam durus est. Ac parui durique, sed contentione moderata, etiam est obscurior. Iam, si paruus, nec durus sit, & moderato robore, vt deprehendatur is, sensum flagitat probè exercitatum: Atque adhuc magis, qui paruus, & mollis, contentúsque moderatè sit. At languidus pulsus, neque cum magno coniunctus, neque cum paruo, apertam obtinet contractionem. Omnino is cum maximo vnquam commiscetur, nec verò cum durissimo: cum magno fit, vt commisceatur, sed prorsus eum mollem oportet esse: quod, si cum duro coniungatur, is, necesse est, sit minimus. Quare, qui exercitare tactum volet ad manifestè sentiendam contractionem, hoc in primis scire debet, quod præteritum ab antiquis est, non cuiusuis pulsus posse contractionem sentiri: nec, quorum possit perinde omnium esse claram. Ad hæc distinctiones quas tradidi modò, memoria sunt tenendæ, vt ne, vbi sentiri nequeat, inuenire auens, deinde deposita spe, omnem tandem, vt non sensibilem, relinquat: neque vbi possit sentiri, non apertè tamen, hos primò aggrediens, quum horum desperet inuentionem, tum alios eum planè pigeat inuestigare. Verùm, in quibus apertissima cerni contractio solet, ab his initium sumat: atque manum, vt præscripsimus, applicet, cum memoria propositorum, quæ tradidimus, planè vel vehementem, vel non languidum certè oportere esse, qui sensibilem tangentibus sit representaturus contractionem, atque hoc habere fixum debet, & certum: ad clariorem autem notitiam, non parum magnitudinem referre, accidere item à duritie nonnullam opem, & herclè à tarditate etiam. Proinde nec in languido vnquam pulsu sentiri contractionem, nec in vehementi non sentiri: idque magis, & minus clarè, prout ipsa vitalis, vt vocant, contentio maior sit, vel minor, & pro distentionis quantitate, ac pro qualitate arteriæ tunicæ, & motus.

CAPVT VI.

Pulsus, qui apertam contractionem habent, quibus in sanis, & ægrotis insint.

QVare, vt studiosi absolutam exercitandi viam habeant, non solùm generale præceptum explicauisse contenti simus, à quibúsnam initium ordiendum sit tactus in contractione indaganda exercendi; sed etiam quibus hi insint in ægrotis, & valentibus, deinceps aperiamus. Nam hoc si etiam didicerint, minori negocio votum, arbitror, assequentur. Ac de sanis quidem qui moderato sunt habitu, & naturâ temperatâ, in vigore ætatis, maximè verò ex anni temporibus, regionémque incolunt temperatam, robustíque sunt, & omni mœrore, metu, saturitate, motu vacui, hi pulsum vehementem, & magnum omnes habent. Qui se moderatè si exercitauerint, fotíque sint modicis balneis, vel vini non permultum hauserint, vel irati sint, vel operam strenuam aliquam nauerint, non magnos iam & vehementes tantùm, sed quammaximos, vehementissimósque pulsus habebunt.

οὐ μὴν ἀδιάγνωστόν γ᾽ ὁ μέγας μὲν, σύμμετρος δ᾽ ἐν ταῖς λοιπαῖς δύο διαφοραῖς. καὶ ὅστις δὲ κατὰ τὰς τρεῖς διαφορὰς συμμέτρως ἔχει, δήλη καὶ ἡ τοῦδε συστολή. δυσγνώριστος δ᾽ ἥ τε τοῦ σφοδροῦ τε καὶ μικροῦ. πάντως δ᾽, ὁ τοιοῦτος, καὶ σκληρός ἐστι, καὶ ἡ τοῦ μικροῦ μὲν καὶ σκληροῦ, συμμέτρου δὲ κατὰ τὸν τόνον, ἔτι μᾶλλον ἀσαφής. εἰ δὲ μικρὸς καὶ μὴ σκληρὸς εἴη, καὶ σύμμετρος κατὰ τὸν τόνον, ἱκανῶς γεγυμνασμένης αἰσθήσεως ὁ τοιοῦτος δεῖται πρὸς τὴν γνῶσιν, ἔτι δὲ μᾶλλον εἰ μικρὸς, καὶ μαλακὸς ὢν, μετρίως ἔχοι τοῦ τόνου. ἀμυδρὸς δὲ σφυγμὸς, εἴτε μεγάλῳ μιγνύμενος, εἴτε μικρῷ, δήλην ἔχει τὴν συστολήν. τῷ μὲν οὖν μεγίστῳ, τὴν ἀρχὴν οὐδὲ μίγνυταί ποτε καθάπερ οὐδὲ τῷ σκληροτάτῳ, μεγάλῳ δὲ, μίγνυται μὲν ποτε. ἀλλὰ πάντως ὁ τοιοῦτος, ἐσχάτως μαλακός ἐστιν. εἰ δὲ τῷ σκληρῷ μιχθείη, μικρότατος ὁ τοιοῦτος ἐξ ἀνάγκης ἔσται. χρὴ τοίνυν τὸν βουλόμενον ἀσκῆσαι τὴν ἁφὴν, αἰσθάνεσθαι τῆς συστολῆς ἐναργῶς, αὐτό τε τοῦτο πρῶτον ἐπίστασθαι, τὸ παραληφθὲν ὑπὸ τῶν πρεσβυτέρων, ὡς οὔτε παντὸς σφυγμοῦ δυνατὸν αἰσθάνεσθαι τῆς συστολῆς, οὔθ᾽ ὧν αἰσθάνεσθαι δυνατὸν, ὁμοίως ἐστὶν ἁπάντων σαφὴς, ἔπειτα δὲ καὶ τοὺς διορισμοὺς μεμνῆσθαι, τοὺς ὑφ᾽ ἡμῶν ἄρτι γεγραμμένους, ἵνα, μήτ᾽ ἐφ᾽ ὧν ἀδύνατον αὐτῆς αἰσθέσθαι, γλιχόμενος ἐξευρεῖν, εἶτ᾽ ἀπορῶν, ἀποστῇ τελευτῶν ἁπάσης ὡς ἀναισθήτου, μήτ᾽ ἐφ᾽ ὧν δυνατὸν μὲν αἰσθέσθαι, μὴ σαφῶς δὲ, πρώτοις αὐτοῖς ἐγχειρεῖν, αὐτῶν τε τούτων ἀπογνῷ τῆς εὑρέσεως, καὶ πρὸς τὴν τῶν ἄλλων ζήτησιν ἀποκνέοι παντάπασιν. ἀλλ᾽ ἐφ᾽ ὧν ἐναργεστάτην συστολὴν φαίνεσθαι συμβέβηκεν, ἀπὸ τούτων ἄρξασθαι, τήν τε τῆς χειρὸς ἐπιβολὴν, ὡς εἴρηται, ποιούμενος, καὶ μεμνημένος ὧν εἴρηται σκοπῶν, ὡς χρὴ πάντως, ἢ σφοδρὸν, ἢ οὐκ ἀμυδρόν γε τὸν σφυγμὸν εἶναι, τὸν μέλλοντα ποιήσειν αἰσθητὴν τοῖς ἁπτομένοις τὴν συστολήν. καὶ τοῦτο μὲν ἀχώριστον ὑπάρχειν αὐτῷ δεῖ, πρὸς δὲ τὴν σαφεστέραν διάγνωσιν, οὐ σμικρὰ συντελεῖ τὸ μέγεθος, εἶναι δέ τινα καὶ παρὰ τῆς σκληρότητος ὠφέλειαν, καὶ τῆς βραδύτητος. ὥστε μήτ᾽ ἐν ἀμυδρῷ ποτε σφυγμῷ συστολὴν αἰσθητὴν δύνασθαι γενέσθαι, μήτ᾽ ἀναίσθητον ἐν σφοδρῷ, μᾶλλόν τε καὶ ἧττον ἐναργῆ παρὰ ταὐτὸν τὸν ζωτικὸν καλούμενον τόνον, ἧττόν τε καὶ μᾶλλον ἐνταθέντα, καὶ παρὰ τὸ ποσὸν τῆς διαστολῆς, καὶ παρὰ τὸ ποιὸν τοῦ τε χιτῶνος τῆς ἀρτηρίας, καὶ τῆς κινήσεως.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Σφυγμοὶ τὴν ἐναργῆ συστολὴν ἔχοντες, οἵ τινες νοσοῦσί τε καὶ ὑγιαίνουσιν ὑπάρχουσι.

ΙΝ᾽ οὖν ὁλόκληρον ἔχωσιν οἱ φιλομαθεῖς τὴν ὁδὸν τῆς ἀσκήσεως, μὴ τὸ καθόλου μόνον ἀρκεσθῶμεν αὐτῆς εἰρηκότες, ἀπό τινων ἄρξασθαι σφυγμῶν προσήκει γυμνάζειν τὴν ἁφὴν ἐν τῷ ζητεῖν τὴν συστολὴν, ἀλλὰ καὶ οἷστισιν ὑπάρχουσιν οὗτοι νοσοῦσί τε καὶ ὑγιαίνουσιν, ἐφεξῆς εἴπωμεν. εἰ γὰρ ἔτι τοῦτο μάθοιεν, ῥᾷον, οἶμαι, τοῦ προκειμένου τύχοιεν. ἐπὶ μὲν οὖν τῶν ὑγιαινόντων ὅσοι σύμμετροί τε τὴν ἕξιν εἰσὶ, καὶ τὴν φύσιν εὔκρατοι, καὶ τῆς ἡλικίας ἐν ἀκμῇ μάλιστα, καὶ τῶν ὡρῶν τοῦ ἔτους ἐν τῷ ἦρι καὶ γῆν ἐποικοῦσιν εὔκρατον, εὐρωστοῦσί τε, καὶ λύπης, καὶ δέους, καὶ πλησμονῆς, καὶ κινήσεως ἐκτὸς εἶεν· οὗτοι πάντες σφοδρὸν, καὶ μέγαν ἔχουσι τὸν σφυγμόν. εἰ δὲ καὶ γυμνάσαιντο σύμμετρα, καὶ λουτροῖς μετρίοις θαλφθεῖεν, ἢ οἶνον μὴ πολὺν πάνυ προσενηνεγμένοι τύχοιεν, ἢ θυμοῖντο, ἢ ἀνδρίζοιντο, οὐ μεγάλους ἔτι καὶ σφοδροὺς ἁπλῶς, ἀλλ᾽ εἰς ἄκρον μεγίστους τε καὶ σφοδροτάτους ἕξουσι τοὺς σφυγμούς.

οἱ αὐθις δὲ νοσοῦντες οὗτοι, τὸν ἀκριβῆ τριταῖον, ἢ καῦσον τὸν ἐπιεικῆ καὶ ἁπλοῦν, ἤ τινα ἄλλον θερμὸν ἰσχυρῶς, καὶ οἷον ζέοντα πυρετὸν, καὶ τῶν ἐφημέρων τινὰ τῶν ἐπὶ βουβῶσι, καὶ ἐγκαύσεσι, καὶ κόποις μετρίοις συνισταμένων, μεγίστους καὶ τότ' ἕξουσιν, καὶ σφοδροτάτους σφυγμούς. εἰ δέ τινα μὲν, ὧν εἶπον, παρείη αὐτοῖς, τινὰ δὲ μὴ, σφοδροὺς μὲν καὶ μεγάλους ἔτι ἔχοιεν ἂν, ἀλλ' ἧττον, εἰ οὕτως ἔτυχεν, εἴ τινος ἀκμάζοντος, καὶ ὑγιαίνοντος, οὐ μὴν σύμμετρον τὴν ἕξιν, ἀλλ' ἤτοι πίονος, ἢ ἰσχνοῦ, χωρίον οἰκοῦντος ψυχρὸν, ἅπτοιο τῶν σφυγμῶν. σφοδροὺς μὲν εὑρήσεις αὐτοὺς, καὶ μεγάλους. ἀλλ' οὐχ ὁμοίους τοῖς προειρημένοις. οὐ μὴν ἀλλὰ κἀπὶ τῶν τοιούτων ἁπάντων, ἐφ' ὧν ὁ σφυγμὸς ἔτι μένει σφοδρὸς καὶ μέγας, εἰ καθ' ὃν εἴπομεν τρόπον, ἅπτοιο τῆς ἀρτηρίας, αἰσθήσῃ τῆς συστολῆς, ἐναργέστατα δ', ἐφ' ὧν εἴρηται μέγιστός τε καὶ σφοδρότατος. ὅτι μὲν οὖν εἰ σφοδρότατος εἴη, μᾶλλον ἐμπίπτει τῇ ἁφῇ, καὶ διὰ τοῦτο, ἡ ἔφοδος αὐτοῦ σαφεστέρα γίγνεται, πρόσθεν ἐλέχθη. ὅτι δὲ καὶ εἰ μέγιστος, ὧδ' ἂν μάλιστα μάθοις, εἰ νοήσεις, ὅτι τοσοῦτον ἐν ταῖς συστολαῖς ἡ ἀρτηρία κάτω πέφυκε φέρεσθαι, ὅσον ἐν ταῖς διαστολαῖς ἄνω φέρεται. εἰ δὲ τοῦτο, μετὰ μεγίστης διαστάσεως, ἑκατέραν ἀνάγκη φέρεσθαι τὴν κίνησιν. ἄνω μὲν, ἐν τῷ διαστέλλεσθαι, κάτω δ' ἐν ᾧ συστέλλεσθαι. ὥστε, τὸ μὲν ἄνω, θεῖν ἐπὶ πλεῖστον, τὸ δ', ἀφίστασθαι. τοῦ δ' ἀφίστασθαι τὴν αἴσθησιν ἐλέγομεν, οὐ τοῦ ἀφεστάναι γίγνεσθαι, ἐφ' ὅσον οὖν αὐξηθῇ τὸ ἀφίστασθαι, τῷ τε τῆς διαστάσεως, καὶ τῷ τοῦ χρόνου μεγέθει, καὶ ἡ διάγνωσις ἐπὶ τοσοῦτον αὐτοῦ σαφεστέρα γενήσεται. διὰ τοῦτο ἔφαμεν εἶναι τὴν περὶ τὴν ἄσκησιν τῆς ἁφῆς, οὐκ ἐπὶ τῶν σφοδροτάτων μόνον, ἀλλὰ καὶ μεγίστων ἅμα ποιεῖσθαι σφυγμῶν. καὶ μηδ' ὠκέως πάνυ κινουμένων. ἐλέχθη δ' ὅτι καὶ ἡ σκληρότης συντελεῖ τι πρὸς τὴν τῆς συστολῆς διάγνωσιν. οὐ μὴν τὴν αἰτίαν εἴπομεν ἐκεῖ. νῦν δ' οὐδὲν κωλύει καὶ ταύτην ἤδη προσθεῖναι. τῷ γὰρ πληγῆς βιαίῳ, μέγα συμβάλλεται καὶ ἡ τοῦ χιτῶνος τῆς ἀρτηρίας σκληρότης. εἴσῃ δ' αὐτὸ κἀπὶ τῶν ἐκτὸς, σαφῶς, εἰ τῇ ἴσῃ ῥώμῃ χρώμενος, ἢ λίθον σκληρότατον ἐπερείδοις ὁτῳοῦν, ἢ ξύλον, ἤ τι τῶν μαλακῶν. ἀνάγκη γὰρ, οἶμαι, πολὺ θᾶττόν τε, καὶ μᾶλλον ὑπὸ τοῦ λίθου θλιφθῆναί τε καὶ ἀνατραπῆναι τὸ ἐπερειδόν, ἢ πρὸς τοῦ ξύλου. τῷ δ' ἀνάλογον ἔχειν ἀεὶ τῇ κατὰ τὸ διαστέλλεσθαι βίᾳ, τὴν αἴσθησιν τοῦ συστέλλεσθαι, σαφέστεραι γενήσονται τῶν συστολῶν αἱ διαγνώσεις, ὁπόσαι βιαιοτέραις ἕπονται διαστολαῖς. μέγας δὲ σφυγμὸς, οὔτε ῥᾳδίως μίγνυται τῷ σκληρῷ. καὶ τὰς διαθέσεις ἐν αἷς εἰς ταὐτὸν ἥκουσιν, ἔν τε τῇ περὶ τῶν κατὰ τοὺς σφυγμοὺς αἰτίων πραγματείᾳ, καὶ τῇ περὶ τῆς δι' αὐτῶν προγνώσεως ἐροῦμεν. ἐν δὲ τῷ παρόντι, τοσοῦτον ἀρκέσει τοῖς εἰσαγομένοις, παραδείγματος ἕνεκα, μαθεῖν, ὡς τοῖς ἰσχυροῖς μὲν τὴν ζωτικὴν δύναμιν, ἣν καὶ ζωτικὸν τόνον ἔνιοι τῶν ἰατρῶν καλοῦσι, πλημμελήσασι δὲ κατὰ τὴν δίαιταν, ἄλλα τέ τινα, οὐχ ἥκιστα δὲ, καὶ περὶ τὰς τῶν οἴνων οὐκ ἐν καιρῷ πόσεις, οἱ τοιοῦτοι συμπίπτουσι σφυγμοί. καὶ γὰρ οὖν καὶ ἐπὶ τούτων ὥσπερ κἀπὶ τῶν ἔμπροσθεν εἰρημένων, ἡ συστολὴ τῆς ἀρτηρίας ἐναργής. ὅτι δὲ καὶ ἡ βραδύτης ἐφ' ὅσον αὔξει τὸν χρόνον τῆς ἀποχωρήσεως, ἐπὶ τοσοῦτον ἐναργεστέραν ἐνδείξεται τὴν κίνησιν, οὐδ' αὐτὸ χαλεπὸν συλλογίσασθαι. καὶ διὰ τοῦτο, καὶ αὕτη συντελεῖ τι πρὸς τὴν διάγνωσιν. οἷον μὲν οὖν εἶναι χρὴ σφυγμὸν τὸν αἰσθητὴν μέλλοντα ποιήσειν τὴν συστολὴν, αὐτάρκως εἴρηται.

Itidem, si laborent syncera tertiana, vel ardente miti, & simplici, aut qua alia magnopere calida & veluti feruente febre, præterea diariarum aliqua, quæ ex bubone proficiscuntur, & ex adustionibus, modicisque lassitudinibus; maximos etiam tum, & vehementissimos pulsus habebunt. Porrò, si quædam horum quæ retuli, eos teneant, quædam non, vehementes quidem, & magnos, vel tum obtinebunt, non perinde tamen. Exempli gratia. Si cuius iuuenis, qui sanus sit, non tamen habitu moderato, sed vel pinguis, vel gracilis, loci incolæ frigidi pulsus tangas, vehementes eos, & magnos inuenies, at non similes tamen prioribus. Verùm enimuero in ijs omnibus, in quibus pulsus adhuc manet vehemens, & magnus, si, quo diximus modo tangas arterias, senties contractionem: clarissimè autem in illis, quibus maximum esse, & vehementissimum diximus. Atque, si sit vehementissimus, facere maiorem eum sic in tactu impressionem, itaque manifestiorem esse eius impetum, superius explicauimus. Quin etiam, si maximus sit, hac facillimè via cognoscas: si intelligas tantùm in contractionibus solere arteriam descendere, quantum in distentionibus ascenderit. Quod si est, non potest maximis interuallis non ferri vterque motus, sursum, dum distenditur: dum contrahitur, deorsum: ita vt ille quamlongissimè sursum currat, hic recedat. Diximus autem nos sentire recedere arteriam, non recessisse: itaque, vt maximum recessus spatium, & tempus erit, ita eius erit apertissima cognitio. Quod fuit in causa, cur dicerem esse primã tactus exercitationem, non in vehementissimis tantum, sed & in maximis simul pulsibus subeundam, qui non perinde moueantur velociter. Diximus etiam nonnihil ad contractionem percipiendam facere duritiem: cuius tamen illic causam præteriuimus, quam hoc loco, nihil causæ est, quin adscribamus; nam ad vim ictus magnopere refert durities quoque arteriæ tunicæ. Id etiam in rebus extra corpus positis apertè perspexeris, si æquis viribus, vel lapidem cuipiam durissimum impegeris, vel lignum, vel aliud, quod molle sit. Sanè multo citiùs, & magis prematur, necesse est à lapide, & euertatur, quod impetum sustinet, quam à ligno. Iam, quod violentiæ distentionis semper respondeat contractionis sensus, hoc contractiones clarius dignoscentur, quo violentioribus succedant distentionibus. At non facilè magnus pulsus commiscetur cum duro: & affectus, in quibus congrediuntur, in opere de causis pulsuum, & in opere de præsagitione per eos, explicabimus: hoc loco tantum satis sit tyronibus exempli gratia didicisse; Quibus valida facultas vitalis est (quam eandem quidam medici vitalem contentionem appellant) sed in victu offendunt, & nonnullis in aliis, in primis in vini intempestiuo potu, his tales pulsus accidunt. Itaque in his, ita vt in prioribus, aperta est arteriæ contractio. Iam etiam tarditatem, quantùm tempus auget recessus, tantò ostensuram esse manifestiorem motum, ne id quidem collectu est difficile; quam ob rem & hæc vsum ad cognitionem aliquem præstat. At qui debeat pulsus esse qui sensibilem contractionem est redditurus, abundè declarauimus.

CAP. VII

A

CAPVT VII.

Qua ratione debeat manum admouere is qui exactè vult cognoscere pulsus contractionem.

DEinceps quo modo sit applicanda manus, nobis inquirendum est; an perpetuò super arteriam, an subter, aliquando hoc modo, aliquando illo; & vtrum comprimendo, an palpando, an applicando tantum, an interdum hoc modo, interdum illo, vt natura pulsus ferat; nam nec de his quicquam maiores nostri explicarunt. Nos autem, his inquirendis, quæ ratione, & vsu consecuti sumus, in medium proferemus; quo, si sufficere quidem videantur, omnibus suis partibus, & numeris doctrina à nobis sit absoluta: sin minus, complurium quidem, & vtilium inuentorum certè ope, alius atque alius, quod reliquum est, inuenerit. Itaque, si comprimendo applicemus tactum nulla differentia sensibilis ex manus super arteriam, vel subter applicatione inueniatur: vel, si palpando tantùm, veluti suspensis digitis, ne tum quidem vllam animaduertamus differentiam: Ac tertius applicandi modus, qui medius est inter compressionem, & palpitationem leuem, ne obiri quidem potest, si infernè tangas arteriam; siquidem liberare oportet tum manum omnibus voluntariis motibus, & veluti languidam admouere: quod, si fecerimus, ne arteriam contrectet, à grauitate depressa delabetur. Proinde hoc modo attingendi supernè tantùm licebit, infernè nunquam tangere. In eo autem frequenter contractio multum apertè patet, sæpe etiam obscura existit, non tamen quin exercitatis animaduerti possit. In vehementibus, & magnis, nec velocibus manifesta est. In moderatis per omnia hæc dicta genera, obscura. Nam si vehementes, & magnos, vel veloces pulsus comprimamus, fore manifestissimam omnium contractionem nuper diximus. Quorum causas ex iis quæ de illis narrauimus, facilè inuenies. Nam, quatenus tactum ab arteriæ distentione accidit repelli, hactenus recedente ea sensibilis contractio fiat, necesse est: qui repellitur, si compressuris maiorem in modum, in pulsibus quidem commemoratis: sin palpaueris tantum, perinde ac nihil: at in manus applicationibus mediis inter illas, quas fieri quasi remissa manu diximus, moderatè repellitur. Quo magis contractionem comprimendo, quam tantùm attingendo, senties: nec minus, si infernè tangamus, quàm si supernè; quòd perinde vtrobique arteriæ contractionem tactus sequatur. At enim manus, quæ tangat, non modò promptè sentiat oportet, verùm etiam mollis sit: nam sic demum facilè consequatur, vt motus, vel minimos animaduertat. Nam hoc sanè quemadmodum natura est comparatum, vt alio alius videamus melius deteriusque, & audiamus, ita etiam tangere nos, equidem fugere neminem puto. Huc iam si status quidam mollis accedat carnosæ digitorum naturæ, promptius & magis in occursu arteriæ euersæ, interuallo maiore, dum contrahitur illa, fore vt ablegetur, nec hoc puto ante dictorum memori obscurum esse. Nec vero etiam quum per longius fertur interuallum, clarius sensuram esse contractionem, hoc fugit quenquam. Quare molliorem manum duriore, si reliquorum æqua sors sit, ratio dictat exactius contractionem

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ποίῳ τινὶ τρόπῳ τὴν ἐπιβολὴν τῆς χειρὸς προσήκει ποιεῖσθαι τὸν ἀκριβῶς μέλλοντα γνωρίσαι τὴν συστολὴν τοῦ σφυγμοῦ.

ΠΟίῳ δέ τινι τρόπῳ, τὴν ἐπιβολὴν τῆς χειρὸς προσήκει ποιεῖσθαι, μετὰ τοῦτο ἡμῖν ζητητέον ἐστίν, ἆρά γε διὰ παντὸς ἄνωθεν τῆς ἀρτηρίας, ἢ κάτωθεν. ἢ ποτὲ μὲν οὕτως, ποτὲ δ' ἐκείνως. καὶ πότερα θλίβοντας, ἢ ψαύοντας, ἢ ἐπιτιθέντας ἁπλῶς. ἢ ποτὲ μὲν οὕτως, ποτὲ δ' ἐκείνως, ὡς ἂν ἡ τοῦ σφυγμοῦ δέηται φύσις· οὐδὲ γὰρ οὐδὲ περὶ τούτων οὐδὲν διώρισται τοῖς πρὸ ἡμῶν. ἡμεῖς δέ, καὶ ταῦτα ζητήσαντες, ὅσα τῷ τε λογισμῷ καὶ τῇ πείρᾳ περὶ αὐτῶν ἐξεύρομεν, εἰς τὸ κοινὸν φέροντες καταθήσομεν, ἵν᾽, εἰ μὲν αὐτάρκη φαίνοιτο, πάντη ἤδη τὸ δέον ἔχοι παρ᾽ ἡμῶν ὁ λόγος. εἰ δὲ μή, ἀλλ᾽ ἐπὶ πλέοσί γε τοῖς χρηστοῖς εὑρημένοις, ἄλλος τις, καὶ ἄλλος, ῥᾷον ἐξευρίσκοι τὸ λοιπόν. εἰ μὲν δὴ μετὰ τοῦ θλίβειν ἐπιβάλλοιμεν τὴν ἁφήν, οὐδεμίαν εὑρίσκοιμεν αἰσθητὴν διαφοράν, ἐκ τοῦ κάτωθεν, ἢ ἄνωθεν τῆς ἀρτηρίας ἐπιφέρειν τὴν χεῖρα. καὶ εἰ ψαύοντες δὲ μόνον, οἷον αἰωροῦντες τοὺς δακτύλους, οὐδ᾽ οὕτως οὐδεμιᾶς αἰσθανόμεθα διαφορᾶς. ὁ δὲ τρίτος τρόπος τῆς ἐπιβολῆς, ὁ μεταξὺ τοῦ θλίβειν τε καὶ ψαύειν ἐπιπολῆς, οὐδὲ συστῆναι δύναται, κάτωθεν ἁπτομένοις τῆς ἀρτηρίας. ἐκλῦσαι γὰρ ἁπασῶν τηνικαῦτα χρὴ τὴν χεῖρα τῶν κατὰ προαίρεσιν κινήσεων οἷον παρεῖσαν ἐπιθέντα. τοῦτο δ᾽ εἰ δράσαιμεν, ὑπὸ τοῦ βάρους καταφερομένης τῆς κατὰ τὴν ἀρτηρίαν ἐπαφῆς, ἀποῤῥυήσεται. κατὰ τοῦτον οὖν τὸν τρόπον τῆς ἐπιβολῆς, μόνον ἄνωθέν ἐστιν ἅψασθαι, κάτωθεν δ᾽, οὐδέποτε. γίνεται δ᾽ ἐν αὐτῷ, πολλάκις μὲν καὶ πάνυ σαφὴς ἡ συστολή, πολλάκις δ᾽ ἀμαυρὰ μέν, οὐ μὴν ἄδηλός γε τοῖς ἠσκημένοις, ἐπὶ μὲν τῶν σφοδρῶν, καὶ μεγάλων, καὶ μὴ ταχέων ἐναργής, ἐπὶ δὲ τῶν συμμέτρων, ἐν ἅπασι τοῖς εἰρημένοις γένεσιν, ἀμαυρά. τὸ δ᾽ ὅτι θλιβόντων τοὺς σφοδροὺς, καὶ μεγάλους, καὶ μὴ ταχεῖς σφυγμοὺς, ἐναργεστάτη πασῶν ἔσται συστολή, πρόσθεν εἴρηται, τὰς δ᾽ αἰτίας τούτων, οὐ χαλεπὸν ἐξ ὧν ἐν ἐκείνοις εἶπον ἐξευρίσκειν. εἰς ὅσον γὰρ ὑπὸ τῆς ἀρτηρίας διαστελλομένης ἀνατρέπεσθαι συμβαίνει τὴν ἁφήν, εἰς τοσοῦτον ἀποχωρούσης αὐτῆς, αἰσθητὴν ἀνάγκη γίνεσθαι τὴν συστολήν. ἀνατρέπεται δ᾽ ἐν μὲν ταῖς θλίψεσιν, ἐπὶ πλέον γ᾽ ἐν τοῖς προειρημένοις σφυγμοῖς, ἐν δὲ ταῖς ψαύσεσιν, εἰς ἴσον τῷ μηδόλως. κατὰ δὲ τὰς μεταξὺ τούτων ἐπιβολάς, ἃς οἷον παρειμένης τῆς χειρὸς ἔφαμεν γίνεσθαι, συμμέτρως ἀνατρέπεται. ὥστε καὶ τῆς συστολῆς μᾶλλον ἐπὶ ταῖς θλίψεσι, ἤπερ ἐν ταῖς ἁπλαῖς ἐπιβολαῖς αἰσθήσεται. καὶ οὐδὲν ἧττον κάτωθεν ἁπτομένων, ἢ ἄνωθεν. ὁμοίως γὰρ ἀκολουθεῖ καθ᾽ ἑκάτερον, ἡ ἁφὴ συστελλομένῃ τῇ ἀρτηρίᾳ. χρὴ δὲ καὶ αὐτὴν εἶναι τὴν ἁπτομένην χεῖρα, μὴ μόνον εὐαίσθητον, ἀλλὰ καὶ μαλακήν. οὕτω γὰρ ὑπάρξει ῥᾳδίως αὐτῇ, καὶ τῶν ἐλαχίστων αἰσθάνεσθαι κινήσεων. ὅτι μὲν οὖν, ὥσπερ ὁρῶμέν τε καὶ ἀκούομεν ἕτεροι ἑτέρων φύσει βέλτιόν τε καὶ χεῖρον, οὕτω καὶ διὰ τῆς ἁφῆς αἰσθανόμεθα, πρόδηλον, οἶμαι, παντὶ τοῦτό γε ὑπάρχει. ὅτι δ᾽ εἰ πρὸς τούτῳ, καὶ μαλακή τις ἡ σύστασις εἴη τῆς ἐν τοῖς δακτύλοις σαρκώδους φύσεως, ἑτοιμότερόν τε καὶ μᾶλλον, ἐν τῷ προσαπαντᾶν τὴν ἀρτηρίαν ἀνατρεπομένην, κατὰ μείζονος ἐν τῷ συστέλλεσθαι διαστάσεως ἐνεχθήσεται· οὐδ᾽ αὐτὸ νομίζω τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων, ἀσαφὲς εἶναι. οὐ μὴν οὐδ᾽ ὅτι κατὰ μείζονος φερομένη διαστάσεως, ἐναργέστερον αἰσθήσεται τῆς συστολῆς, οὐδὲ τοῦτ᾽ ἄδηλον. ὥστ᾽ εὔλογον, τὴν μαλακωτέραν χεῖρα τῆς σκληροτέρας τῶν ἄλλων ἐπίσης ἐχόντων, ἀκριβέστερον αἰσθάνεσθαι τῆς

συστολῆς. κεφάλαιον οὖν ἤδη ἐπιθέντες τῷ λόγῳ, μεταβαίνωμεν ἐφ' ἕτερον. ζητήσεως οὔσης τοῖς ἰατροῖς, περὶ τῆς κατὰ τὰς ἀρτηρίας συστολῆς, καὶ τῶν μὲν λεγόντων αἰσθητήν, τῶν δ' ἀναίσθητον ὑπάρχειν αὐτήν, ἐδείξαμεν ἡμεῖς μήτε διαπαντὸς αἰσθητὴν μήτ' ἀναίσθητον εἶναι διαπαντός. καὶ πρῶτον μὲν τοὺς σφυγμοὺς εἴπομεν, ἀφ' ὧν ἐστιν αἰσθητή, δεύτερον δὲ τὰς διαθέσεις, ἐν αἷς τοὺς τοιούτους ἐξευρήσομεν σφυγμούς, μετὰ ταῦτα δέ, πῶς μὲν ἅπτεσθαι προσήκει, τὸν βουλόμενον ἀκριβῶς αἰσθάνεσθαι τῆς συστολῆς, ὁποίαν δ' εἶναι χρὴ τὴν ἐπιβαλλομένην χεῖρα.

sentire. Itaque si summam orationis fecerimus, aliò transibimus. Quandoquidem inter medicos controuersia est de arteriæ contractione, quorum pars eam sentiri confirmat, pars non sentiri; ostendimus nos neque perpetuò sensibilem, neque perpetuò insensibilem esse: vbi primùm pulsus, in quibus sentitur, aperuimus, deinde status, in quibus illos indagabimus pulsus: denique, qui sentire planè contractionem cupiat, quomodo tangere ille debeat, qualémque esse manum conueniat applicandam.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τὴν τῆς διαστολῆς ἀρχήν τε, καὶ τὸ τῆς συστολῆς τέλος οὐκ αἰσθάνεσθαι.

Τούτων δ' οὕτως ἐχόντων, ἑξῆς ἂν εἴη σκέψασθαι, πότερον ὅλης αἰσθανόμεθα τῆς τε διαστολῆς καὶ τῆς συστολῆς, ἢ μόριον ἡμᾶς ἑκατέρας διαλανθάνει. καὶ εἰ διαλανθάνει, τί τοῦτό ἐστι, καὶ πόσον; ἀρχὴν δὲ καὶ τούτου τοῦ λόγου τὴν περὶ τῆς διαστολῆς κίνησιν ποιησόμεθα, καὶ πρῶτόν γε, ἀναμνήσομεν ἡμᾶς αὐτούς, ὡς πολλάκις ἐπὶ πολλῶν ἀρρώστων, μικροὺς καὶ ἀμυδροὺς ἐχόντων τοὺς σφυγμούς, οἷοι μάλιστα τοῖς τε συγκοπτομένοις γίνονται, καὶ σχεδὸν ἅπασι τοῖς ἀποθνήσκουσι. τινὲς μὲν τῶν ἰατρῶν ἐπὶ βραχὺ τῆς κινήσεως αἰσθάνονται. τινὲς δ' οὐδ' ὅλως· δεύτερον δέ, ὅτι καὶ ὁ αὐτὸς ἰατρός, πολλάκις παρὰ τὸ προσηκόντως τε καὶ ἀκριβῶς, ἢ ῥαθύμως τε καὶ ἀμελῶς ἅπτεσθαι, ποτὲ μὲν αἰσθάνεται τῆς κινήσεως, ποτὲ δ' οὔ. ὅταν οὖν τὴν αὐτὴν ἀρτηρίαν, ὁ μέν τις τῶν ἰατρῶν ἄσφυκτον ὑπάρχειν, ὁ δέ τις σφύζειν ἔτι λέγῃ, καὶ πολλάκις ὁ αὐτὸς ἰατρὸς ἐν ἑνὶ καιρῷ παρὰ τὰς διαφόρους ἐπιβολὰς τῆς χειρὸς ἐν μέρει τἀναντία φησί, δῆλον ὡς διαφεύγει μόριόν τι τῆς κινήσεως τὴν ἁφήν. ἴσως τις ἐρεῖ τὸν ἄριστα μὲν πεφυκότα, κάλλιστα δ' ἐπιβάλλοντα τὴν χεῖρα, γεγυμνασμένον δ' ἀκριβῶς, ἁπάσης αἰσθάνεσθαι τῆς διαστολῆς. καὶ πῶς τοῦτον εὑρήσομεν; τίς ἡμῖν ἐγγυήσεται, φύσιν ἀνθρωπίνην εἰς τοσαύτην ἀκρίβειαν αἰσθήσεως ἥκειν; ὡς μηδὲν αὐτὴν μηδὲ τοὐλάχιστον παρήκειν; ἐγὼ μὲν γάρ, οὐδ' ἐπὶ τῶν ἐκτὸς τούτων σωμάτων, ὧν ἐστιν αὐτῶν ἅψασθαι, μηδενὸς ἐπιπροσθοῦντος ἑτέρου, δυναίμην ἂν ἀλαζονεύσασθαι βεβαίαν διάγνωσιν, οὐχ ὅπως ἐπὶ σώματος ὃ πιμελή, καὶ ὑμένες, καὶ δέρμα περιέχει, παχύτερον αὐτοῦ πολλάκις τοῦ τῆς ἀρτηρίας σώματος. εἰ δέ τις οὕτως ἐστὶ θρασύς, ὡς ἀπαυθαδίσασθαί τε, καὶ φάναι τὴν πρώτην ὁρμὴν τῆς κινήσεως γνωρίζειν ἐν ταῖς διαστολαῖς τῆς ἀρτηρίας, ἡδέως ἂν αὐτοῦ πυθοίμην, κατὰ ποίαν ἐπιβολὴν τῆς χειρὸς τοῦτο διαγινώσκει, πότερον ἐπιπολῆς ψαύων, ἢ θλίβων, ἢ ἀβιάστως ἐπιβάλλων. ἴσως μὲν οὖν, ἐάν τις τῶν μεγάλων ᾖ σοφιστῶν, ὅσοι, τὰ μὲν ἔργα τῆς τέχνης μέχρι τοσούτου ῥιζοῦντές εἰσιν, ὥστε μηδ' εἰ πυρέττει τὴν ἀρχὴν ὁ ἄνθρωπος εἰδέναι, τῷ λόγῳ δ' ὑπερθέουσιν. τὴν ἀλήθειαν, οὐδὲ εἰ πλείους εἰσὶν ἐπιβολαὶ τῆς χειρός, οὐδ' εἰ καθ' ἑκάστην αὐτῶν, διαφορά τινα ἀγαθόν ἐστιν, ὁ τοιοῦτος ἐπίσταται. καὶ λῆρος αὐτῷ μακρὸς εἶναι δόξει τὰ ἡμέτερα, καὶ οὐδ' ἀπομενεῖ τὴν ἀρχὴν ὑπακοῦσαι τοῦ λόγου. ἀλλ' ἡμεῖς, ὥσπερ καὶ τἆλλα τὰ πρόσθεν, οὕτω καὶ ταῦτα πρὸς τὸν τῆς ἀληθείας ἐραστήν, κἂν εἷς ᾖ, λέγωμεν. ὡς ἡ μὲν μέση τῶν ἐπιβολῶν, ἡ ἀβίαστος, τοσοῦτον αἰσθητὸν ἕξει τῆς κινήσεως, ἔν γε τοῖς οὐκ ἀμυδροῖς σφυγμοῖς, ὅσον καὶ ἡ ὄψις· ἐν γὰρ τοῖς ἀμυδροῖς, καὶ τῆς ὄψεως αὐτῆς ἔλαττον αἰσθήσεται. ἡ δευτέρα δέ, καθ' ἣν θλίβομεν, ἐν μὲν τοῖς ἀμυδροῖς, ἔτι καὶ μᾶλλον τῆς προτέρας, ἀφανῆ τὴν κίνησιν ἐργάσεται τῆς ἀρτηρίας. ἐν δὲ τοῖς σφοδροῖς, προτέρα διαγνώσεται. ἡ δὲ τρίτη καθ' ἣν οἷον αἰωροῦμεν τὴν χεῖρα, παντελῶς ὀλιγοχρονίου τῆς κινήσεως αἰσθήσεται.

CAPVT VIII.

Initiū distentionis, & finem contractionis non sentiri.

His constitutis, deinceps erit explicandum, totámne sentiamus distentionem atque contractionem, an pars nos vtriusque fugiat; &, si fugiat, quæ hæc sit & quanta. Atque huius etiam instituemus orationis initium à motu distentionis. Ac primùm nobiscum repetemus sæpenumerò in multis ægrotis, quibus pulsus parui sunt, languidíque (quales habent præ cæteris ij, qui syncope corripiuntur, & qui de vita decedunt, prope omnes) quosdam medicos motum aliquantisper sentire, alios haudquaquam: Secundo loco, prout acuratè, & sedulò, vel segniter, atque negligenter tangit, eundem medicum interdum motum sentire, interdum non sentire. Proinde, quum eandem arteriam quidam medicus non pulsare, alius pulsare etiamnum dicat; atque idem frequenter medicus eodem tempore, pro diuersis manus applicationibus viciſſim contraria dicat: partem motus fugere constat tactum. Dices, præclariſſima natura præditum, & manum rectiſſimè applicantem, experientémque, totam sentire distentionem. At hunc quomodo inueniemus? Quis nobis humanam naturam spondebit eam integritatem sensus assecutam, vt nihil illam ne subtiliſſimum quidem prætereat? Ego quidem certè nec exteriorum corporum horum, quæ, licet, præter vllum impedimentum ipsa tangas, iactem consummatam notitiam esse, nedum corporis, quod adeps, membranæ, cutis munit, craſſior ipso subinde corpore arteriæ. Quòd, si quis tam sit audax, & arrogans, vt dictitet in distentionibus arteriæ primum se motus cognoscere impetum, libenter de isto quæsierim, quanam ipse hunc manus applicatione deprehendat; vtrum leuiter palpando, an premendo, an nulla vi admouendo. Sanè, si de magis ille sophistis fortè sit, qui in operibus artis hactenus versati sunt, vt, omninò an homo febricitet, ignorent, verborúmque iactatione ipsam veritatem superent: haud iste scilicet, nec an plures sint applicandæ manus rationes, nec an inter se illæ mutuò distent, nouerit; nostráque stomachum illi fecerint, nec vllo modo me sustinuerit audire. Verum enimuero, vti alia, quæ ante tradidimus, ita hæc veritatis studioso, etiam si solus sit, dictemus. Nempè media applicatio quæ citra vllam vim fit, hactenus motum sentiet in pulsibus certè non languidis, quatenus visus: in languidis verò sentiendis etiam visui concedet: Altera, quum premimus, in languidis supra primam, motum arteriæ obscurabit: in vehementibus præ cæteris percipiet: At tertia, qua veluti suspendimus manum, motum sanè quàm breuiſſimum sentiet. Sed

Sed hæc faciamus quoque, vt demonstrationibus confirmemus, ab rebus euidentibus exorsi. Quid verò clarius hoc sit, quam omnium arteriarum, nec visu, nec tactu motum videri, sed earum duntaxat, quas cutis contegit, neque ea crassior? at sub carne abditas, aut sub alijs corporibus, occultum habere motum: nisi quando magnopere intabuerint, quibus sunt illæ subiectæ, corpora, itaque sentiantur? Imò verò, quarum sentitur motus, quo sunt arteriarum nudiores partes ipsi subiectæ cuti, hoc visui clariorem motum, tactuique repræsentant. At maxima quidem arteria, quæ secundum dorsum sita est cuius fugit pridem motus, simul atque contabuit animal, ad abdomen motus apparet. Vnde liquet leuiora corpora arterias facilè, vbi distenduntur, vnà secum attollere: grauiora ægrius: prægrauia verò non mouere prorsus. Quod dico multo animaduertes manifestius, si arteriis præditis illustri motu, foris corpus aliud subtile ad cutem imponas, vt folium, membranam, linteum, panniculum, aut aliud tale quid: scilicet vnà cùm arteria distenta moueri cernes: Si iterum priori tantundem apponas, iam multo amborum obscurior motus erit: Si verò tertium addas, adhuc longè obscurior: Itidem si quartum, & quintum, tandem impositorum motum omninò abolitum putabis. Iam, si vehementior pulsus sit, plurium onus corporum feret: sin minus vehemens, pauciorum: quod, si nequaquam sit vehemens, fieri potest, vt nullo onerari corpore sustineat. At verò, si præterea languidum esse finxeris, non modò foris cuti corpus impositum non mouebit, sed nec ipsam interdum cutem. Id quod sic constat habere: nam arteria quàm fuerit contentissima, tàm maximè cutem conspicies moueri: contra, quum exoluta multum contentio sit, planè non moueri videbis. Quum igitur arteriæ validior motus etiam multa corpora extrinsecus imposita, nedum cutem, secum mouere valuit: languidior autem tantum cutem: &, qui fit multo hoc imbecillior, ne cutem quidem: quid habet admirationis, si alius etiam hoc infirmior existat, qui neque membranas, quæ arterias contegunt, neque adipem subuehere possit? At quis tanget hunc motum tactus? nempe nullus. Neque verò ad hæc illud respondeant, comprimendam digitis cutem esse quæ arteriam tegit, vt pulsui non satis ascendenti occurramus; quum in his, quorum sentitur motus, sed languidis tamen, si cutem comprimas, omnino pulsus consistat: quid iam illa, cedo, arteria fiet, quæ ne cutem quidem potest mouere, si digitis eam insuper premas? an non reliquam partem motus etiam amittet? Omnem ignorare mihi videntur isti arteriarum sedem, quæ ex dissectione perspicitur, qui primam distentionis partem sensibilem putant esse, quum cutem nulla ex illis attingat. Imò, si quæ admodum videntur conspicuæ esse, eique propinquæ, has velis excoriatas vtrinque inspicere, multùm cernes spatij inter cutem & tunicam arteriarum interpositum. Etenim temerè hoc natura vnum condidisset, quæ tamen citra rationem molita nihil est: si instrumentum creasset, quod in omnem partem posset distendi: neque locum ei, vbi moueretur destinasset vllũ. Atqui aliter res se habet, & longè quidem. Siquidem monstrant dissectiones circũ arteriam spatiũ esse satis amplum,

A τούτων δὲ καὶ τὰς ἀποδείξεις πειρατέον ἤδη εἰπεῖν, ἀπ' αὐτῶν τῶν ἐναργῶν λαμβάνοντες τὰς ἀρχάς. τί δ' ἂν ἐναργέστερον εἴη τοῦ πάσας τὰς ἀρτηρίας, μήτ' ὄψει, μήθ' ἁφῇ φαίνεσθαι κινουμένας; ἀλλὰ μόνας ὅσας τὸ δέρμα καλύπτει, καὶ τοῦτο μὴ πάνυ παχύ. τὰς δ' ὑπὸ σαρκὸς κρυπτομένας, ἢ καί τινων ἄλλων σωμάτων, ἀφανῆ τὴν κίνησιν ἔχειν, πλὴν εἴ ποτε τῶν ἐπικειμένων ἐκτακέντων ἰσχυρῶς, αἰσθητὴ γένοιτο. καὶ αὐτῶν δὲ τῶν αἰσθητὴν ἀεὶ τὴν κίνησιν ἐχουσῶν ἀρτηριῶν, ὅσα γυμνότερα μέρια, καὶ ὑπ' αὐτῷ τῷ δέρματι, σαφεστέραν ὄψει τε καὶ ἁφῇ, τὴν κίνησιν ἐνδείκνυται. καὶ ἡ μεγίστη τῶν ἀρτηριῶν ἡ κατὰ τὴν ῥάχιν, B ἀφανῆ τέως ἔχουσα τὴν κίνησιν, ἐκτακέντος τοῦ ζώου, διασημαίνει κατὰ τὸ ἐπιγάστριον. ᾧ δῆλον, ὅτι τὰ μὲν κουφότερα σώματα, ῥᾳδίως συνεξαίρουσιν αἱ ἀρτηρίαι διαστελλόμεναι· τὰ δὲ βαρύτερα, δυσχερέστερον. ὅσα δ' ἱκανῶς βαρέα, ταῦτ' οὐδόλως κινοῦσιν. ἔτι δ' ἂν μᾶλλον ὃ λέγω μάθοις σαφῶς, εἰ ἐν ταῖς ἐπιφανῆ τὴν κίνησιν ἐχούσαις ἀρτηρίαις, ἔξωθεν ἐπιβάλλοις τι, κατὰ τοῦ δέρματος, ἕτερον σῶμα λεπτόν, οἷον φύλλον, ἢ ὑμένα, ἢ ὀθόνιον, ἢ ῥάκος, ἤ τι τοιοῦτον ἄλλο. φανεῖται γάρ σοι C κινούμενον αὐτῇ διαστελλομένῃ. δεύτερον δ' αὖθις ἴσον ἐπιβάλλοντι τῷ προτέρῳ. πολλῷ νῦν ἧττον ἄμφω φανεῖται κινούμενα, καὶ εἰ τρίτον ἐπιβάλλοις, ἧττον ἔτι μακρῷ, καὶ εἰ τέταρτόν γε καὶ πέμπτον. ὥστε καὶ εἰ παντάπασιν ἀκίνητα εἶναί τοι δόξει τὰ ἐπικείμενα γεγονέναι. καὶ εἰ μὲν ἔτι μᾶλλον σφοδρὸς ὁ σφυγμὸς εἴη, πλειόνων ἐπίθεσιν ἀνέξεται σωμάτων, εἰ δ' ἧττον, ἐλαττόνων, εἰ δὲ μηδόλως εἴη σφοδρός, ἴσως ἂν οὐδὲ τὴν ἑνὸς ἀνάσχοιτο σώματος ἐπιβολήν. εἰ δὲ καὶ ἀμυδρὸν αὐτὸν ἐπινοήσαις γινόμενον, οὐχ ὅπως τι τῶν ἔξωθεν ἐπικειμένων τῷ δέρματι, οὐ κινήσει σωμάτων, ἀλλ' οὐδ' αὐτὸ πολλάκις τὸ δέρμα. καὶ γὰρ D οὖν καὶ φαίνεται τοῦθ' οὕτως γιγνόμενον, εἰς ὅσον γὰρ ἂν εὐρωστότερος ὁ τόνος ᾖ τῆς ἀρτηρίας, εἰς τοσοῦτον ὄψει τὸ δέρμα κινούμενον. ἐκλυθέντος δ' ἱκανῶς τοῦ τόνου, παντάπασιν ἀκίνητον φαίνεται. ὡς οὖν ἡ μὲν ἰσχυροτέρα κίνησις τῆς ἀρτηρίας, οὐ τὸ δέρμα μόνον, ἀλλὰ καὶ πολλὰ τῶν ἔξωθεν ἐπικειμένων σωμάτων ἠδύνατο συγκινεῖν, ἡ δ' ἀσθενεστέρα, τὸ δέρμα μόνον, ἡ δ' ἔτι μᾶλλον ταύτης ἀρρωστοτέρα, οὐδὲ τὸ δέρμα. τί θαυμαστόν, εἶναι ταύτης ἑτέραν πάλιν ἀσθενεστέραν, ἣ μηδὲ τοὺς ὑποκειμένους ὑμένας ταῖς ἀρτηρίαις, μηδὲ τὴν πιμελὴν ἐξαίρειν δυνήσεται; τίς οὖν ἁφὴ τῆς τοιαύτης αἰσθήσεται κινήσεως; οὐδεμία δηλονότι. πρὸς γὰρ αὖ τοῖς εἰ- E ρημένοις, οὐδὲ τοῦτ' ἔστιν εἰπεῖν, ὡς θλῖψαι προσήκει τὸ κατὰ τὴν ἀρτηρίας δέρμα πιέσαντα τοῖς δακτύλοις, ἵν' ἀπαντήσωμεν ἐλλιπῶς ἀναφερομένῳ τῷ σφυγμῷ. καὶ γὰρ ἐπὶ τῶν ἐχόντων αἰσθητὴν κίνησιν ἀμυδρὰν μὲν, θλιψάντων ἡμῶν τὸ δέρμα, παντελὴς ἀσφυξία γίνεται. τί ποτ' οὖν οἴει πείσεσθαι, τὴν μηδὲ τὸ δέρμα κινεῖν δυναμένην ἀρτηρίαν, εἰ προσέτι βαρύνοιμεν αὐτὴν τοῖς δακτύλοις; ἢ δηλονότι καὶ τὸ σωζόμενον τῆς κινήσεως προσαπολέσει. τὸ δ' ὅλον ἀγνοεῖν μοι δοκοῦσι τὴν ἐκ τῆς ἀνατομῆς θέσιν τῶν ἀρτηριῶν, οἱ διστάζοντες ὡς τὸ πρῶτον μέρος τῆς διαστολῆς αἰσθητόν ἐστιν. οὐδεμία γὰρ αὐτῶν τοῦ δέρματος ἅπτεται, ἀλλ' εἰ καὶ τὰς πάνυ δοκούσας προφα- F νεῖς εἶναι, καὶ πλησίον αὐτοῦ παρὰ δείρας, ἑκατέρωθεν ἐθέλοις ἐπισκοπεῖσθαι, πολὺ τὸ μέσον φανεῖταί σοι, τοῦ τε δέρματος, καὶ τοῦ χιτῶνος τῶν ἀρτηριῶν. καὶ γὰρ ἂν ἦν ἀτόπως ἐπέπρακτο μόνον τοῦτο τῇ φύσει, καίτοι μηδὲν εἰκῇ δημιουργούσῃ, κατασκευάσαι μὲν ὄργανον, πάντῃ διαστέλλεσθαι δυνάμενον, χώραν δ' αὐτῷ μηδεμίαν παρασχεῖν ἐν ᾗ κινήσεται. ἀλλ' οὐκ ἔχει ταῦθ' οὕτως, πολλοῦ γε καὶ δεῖ· φαίνεται γὰρ ἐν ταῖς ἀνατομαῖς, εὐρυχωρία τις ἱκανὴ περὶ τὴν ἀρτηρίαν. εἰς ἣν, ἐν ταῖς ἀμετροτέραις σαρκώσεσιν,

ἡ σὰρξ ἀποχεομένη, κωλύει διαστέλλεσθαι τὸ ἀγγεῖον, εἰς ὅσον ἐπεφύκει. καὶ διὰ τοῦτο, μικρός ἐστιν ὁ τῶν παχέων σφυγμός. τὸ μὲν γὰρ μῆκος αὐτοῦ, βραχύτερον γίνεται, καὶ τὸ πλάτος στενότερον, τῷ πλήθει τῆς σαρκὸς θλιβόμενον· ἡ δ᾽ εἰς ὕψος ἄνοδος, κωλύεται, τῇ τῶν ἐπικειμένων σωμάτων εὐτροφίᾳ βαρυνθεῖσα. τῶν δ᾽ ἰσχνῶν μὲν τὴν ἕξιν, τἄλλα δ᾽ εὐρώστων, ἱκανὸν μὲν τό γε πλάτος, καὶ τὸ μῆκος ὁ σφυγμὸς ἔχει. ἀξιόλογον δὲ καὶ τὴν εἰς ὕψος ἀνάβασιν. ἔτι δὲ μᾶλλον, ἐφ᾽ ὧν χαλαρόν ἐστι τὸ δέρμα, κατάδηλον γίνεται τὸ τοῦ διαστήματος αὐτοῦ τε, καὶ τοῦ τῆς ἀρτηρίας χιτῶνος. εἰ γὰρ οὕτως ἔχοντος, σφοδρὸς ὁ σφυγμὸς, ἢ μὴ ἀμυδρός γ᾽ εἴη, δυνήσῃ, τὸ κῶλον ὑπαλλάττων καί ποτε μὲν ὕπτιον, ποτὲ δὲ πρηνὲς ποιούμενος, τὰς διαφορὰς τῶν τῆς ἀρτηρίας διαστάσεων, ἃς ἐγὼ νῦν εἶπον, φωρᾶσαι σαφῶς, τῇ θλίψει. τῷ μὲν γὰρ πλάτει, καὶ τῷ μήκει, τὸ πρηνὲς σχῆμα πλεονεκτεῖν σοι φανεῖται. τῷ δ᾽ ὕψει, καὶ τῷ χρόνῳ, τὸ ὕπτιον. αἴτιον δ᾽ ἀμφοῖν, τὸ χαλαρὸν τοῦ δέρματος, ἐν μὲν τοῖς ὑπτίοις σχήμασι τῆς χειρὸς, ὡς ἂν ἄνωθεν ἐπικείμενον, καὶ καταπῖπτον ἐπὶ τὴν ἀρτηρίαν, ἐν δὲ τοῖς πρηνέσιν, ὡς ἂν κάτω ῥέπον ἐκκρεμαννύμενόν τε, καὶ πλεῖστον ἀφιστάμενον. διὰ τοῦτο, ἐν μὲν τοῖς ὑπτίοις σχήμασιν, ἐν τῷ διΐστασθαι τὴν ἀρτηρίαν, ἀπὸ τῶν ὑψηλοτέρων ἐπὶ τὰ πλάγια περιρρέον, διπλοῦταί τε καὶ οἷον ῥυτιδοῦται, καὶ πλεῖστον ἀθροιζόμενον ἐνταῦθα, κωλύει κατὰ ταῦτα μάλιστα τὰ μέρη, τὸ μέγεθος τοῦ σφυγμοῦ. ἐν δὲ τοῖς πρηνέσιν, οὐδαμοῦ βαρῦνον, οὐδὲ διακωλῦον τὴν κίνησιν τῆς ἀρτηρίας, οὐδὲ τοῦ μεγέθους τοῦ κατὰ τὸν σφυγμὸν, ἀφαιρεῖται. πῶς οὖν οὐ καὶ κατὰ τὸ βάθος ἐπὶ πλέον ἐνταῦθα φαίνεται διαστελλόμενος ὁ σφυγμὸς, ἢ εἰ μὴ πλέον, ἀλλά τό γ᾽ ἶσον τῷ κατὰ τὸ ὕπτιον; ὅτι τῇ τοῦ πλάτους τε καὶ τῇ τοῦ μήκους αὐξήσει, κατακρύπτεται τὸ βάθος. καὶ ἄλλως, οὗπερ ἕνεκα πάντα ταῦτα λέγεται, χρόνῳ πλέονι φαινομένης, ὡς πρὸς τὴν ὄψιν κινεῖσθαι, τῆς ἐν τοῖς ἄνω μέρεσι τοῦ κώλου τεταμένης τῆς ἀρτηρίας, συμφαντάζεται, καὶ ἡ εἰς ὕψος ἄνοδος μείζων γίνεσθαι. τὸ γὰρ ἐν χρόνῳ πλέονι φαινόμενον ἄνω φέρεσθαι, ῥᾳδίως ἀναπείθει τὴν ὄψιν, ὡς κατὰ μείζονος διαστάσεως ἐνηνεγμένον. τὸ δὲ, φέρεται μὲν κατὰ τῆς ἴσης, πρός γε τὴν ἀλήθειαν, ὅπως ἂν ἔχῃ θέσεως ἡ ἀρτηρία, τῷ δὲ, πρότερον εἰς τὸ δέρμα διαδίδοσθαι τὴν ἐν τοῖς ὑπτίοις σχήμασι κίνησιν, ὁ χρόνος αὐξανόμενος, ὡς πρὸς τὴν ὄψιν, ὁ τῆς διαστολῆς, τὴν τοῦ βάθους οὕτως συναύξει φαντασίαν. ταῦτά τε οὖν τὰ φαινόμενα, καὶ ἄλλα τινὰ παραπλήσια, τὰ πρῶτα μέρη τῆς διαστολῆς, ἐκφεύγειν ἐνδείκνυται τὴν ὄψιν. ὅσον δὲ ἐστὶ ταύτης τῆς κινήσεως τὸ τῇ ὄψει αἰσθητὸν, τοσοῦτον καὶ τῇ ἀβιάστῳ ἁφῇ, κατά γε τοὺς σφοδροὺς σφυγμοὺς, ἐπὶ τῶν γε ἀμυδρῶν, ἔλαττον πολλάκις. φανερὸν μὲν γὰρ, ὡς οὐκ ἐνδέχεται, κατὰ τὸν τοιοῦτον τρόπον τῆς ἐπαφῆς, αἰσθέσθαι τῶν πρώτων τῆς διαστολῆς, ἀλλ᾽ οὐδ᾽ εἰ ψαύοις ἐπιπολῆς, οἷον αἰωρῶν τὴν χεῖρα. λοιπὸν οὖν, εἴπερ ἄρα, ἐν ταῖς θλιβούσαις ἐπιβολαῖς τῆς χειρὸς, αἰσθέσθαι δυνατὸν τῶν πρώτων τῆς διαστολῆς. ἀλλ᾽ ὅτι γε μὴ κατὰ πάντας τοὺς σφυγμοὺς, ἀλλ᾽ εἴπερ οἷόν τε, κατὰ μόνους τοὺς σφοδροὺς, αὐτίκα δῆλον εἴ τι μεμνήμεθα τῶν εἰρημένων. τοῦτο μὲν δὴ ἡμῖν μέχρι τοσούτου προελήλυθε, τὸ μηκέτ᾽ ἄλλην τινὰ ἐπιβολὴν, μήτ᾽ ἄλλον σφυγμὸν, ὁμολογεῖσθαι τὴν ἀρχὴν τῆς διαστολῆς αἰσθητὴν ἐγχωρεῖν ἐργάζεσθαι. πλὴν τῆς μετὰ θλίψεως, ἐν τοῖς σφοδροῖς γινομένης. ἑξῆς δ᾽ ἴδωμεν, εἰ τοῦτ᾽ αὐτὸ τὸ ἐνδεχόμενον, ὄντως ἀληθές ἐστιν, ἢ μόνον πιθανόν. ἐμοὶ μὲν γὰρ δοκεῖ κἀν τούτοις, διαφεύγειν ἔτι τὰ πρῶτα τῆς διαστολῆς, οὐ μὴν ὁμοίως γ᾽ ὥσπερ ἐπὶ τῶν ἄλλων σφυγμῶν, ἀλλὰ

A quod caro, dum eius moles augetur immodicè quum subeat, ne distendatur vas, quantum solet, interpellat. Vnde fit, vt crassis paruus pulsus sit, quòd longitudo eius imminuatur, & latitudo fiat angustior, quum à multa carne constringatur; ascensus item vbertate corporũ incumbentium depressus inhibetur. Illorum verò qui gracili corpore sunt, alioqui robusti, insignem latitudinem, & longitudinem pulsus habet, insignem etiam ascensum. Ac magis etiã in his, quibus cutis laxa est, perspicuum interuallum est inter eam, & arteriæ tunicam. Nam eius, qui in statu illo est, si vehemens pulsus, aut non languidus certè sit, poteris B membro conuertendo, atque interim supino, interim prono figurãdo, differentias, quas nunc retuli, arteriæ dimensionum, manifestè premendo assequi; nam longitudine & latitudine pronam figuram attendes præstare, altitudine & tempore supinam. Causa vtriusque cutis est laxitas: vt quæ in supinis manus figuris supernè incumbat, & decidat in arteriam: in pronis deorsum vergat, & dependeat, plurimúmque distet. Quamobrem in supinis figuris, quum distenditur arteria, in obliquum ex altioribus circumfluens complicatur, & quasi rugas agit: atque hic in magnum aceruum C collecta, magnitudini pulsus in his maximè partibus obsistit: In pronis verò, quia minimè deprimit, nec interpellat arteriæ motum, nihil quoque de pulsus detrahit magnitudine. Quomodo ergo non & hic plus in profunditate item distendi pulsus videtur: aut, si nõ amplius, at æque, vt in supina figura? quod scilicet sub latitudinis, longitudinísq; incremento latet profunditas. Et alioquî, quum (cuius hæc omnia nomine commemorantur) longiori tempore videatur, quantum, ad conspectum, arteria moueri, quæ in superioribus artus regionibus locata est, simul intelligitur maior in D altum etiam ascensus fieri. Quod enim in ascendendo longius tempus videtur ponere hoc facilè visum inducit longiore se spatio profectum esse. Atqui hoc vehitur, per æquale spatium, vt vult quidem veritas, quomodocunque locata arteria sit: sed, quia prior nimirum in supinis figuris motus sub cutem fuit dissipatus, tempus auctum distentionis quantum visus iudicat, speciem simul auget profunditatis. Atque hæc quidem euidentia exempla, aliáque id genus declarant distentionis primas partes effugere aciem. Quantum autem hoc in motu à visu sentitur, tantundem etiam E in non violenta tactione in vehementibus certè pulsibus: nam in lãguidis quidem subinde minus. Siquidem in conspicuo est non esse eo attingendi modo primas distentionis partes sentiendas: ac ne si palpes quidem leniter, velut suspensa manu. Restat igitur, si modò possit, vt manibus cum compressione applicatis sentiri primæ partes distentionis possint. Atqui non in omnibus pulsibus posse: sed, siquidem possint, tum in solis vehementibus: si quam memoriam habemus superiorum, planè testatum est. Ac hoc quidem hactenus ductum est, eò quòd aliam manus applicationem F nullam in confesso sit, nec alium pulsum (si à manus applicatione, quæ compressione in vehementibus pulsibus obitur, discessum sit) distentionis initium offerre sensibus posse. Deinceps verò videamus, an id, quod præstari videtur posse, planè sit verum, an verisimile tantùm. Equidem, vel in his latere nos censeo distentionis principium, sed non perindè tamen, atque alijs in pulsibus: verùm

esse

esse, quod fugiat, quàm minimum. Id intelliges, si cum animo tuo cogitaueris motum quem arteria orditur, impertiri necessariò primum corporibus, quę illam cingunt, deinde vniuersæ cuti, tum digitis nostris denique. Quamobrem non potest in illa distributione motus nihil poni temporis. Et, si hoc verè dictum est, necesse est, motus initium lateat. Imò etiam (quia tactus quietem percipit, quæ postquàm consederit arteria, ante distentionem fit, multò illa quiete longiorem, quæ à distentione prius, quàm consideat; fit) rectè putes hoc eò consequi, quòd interni motus nos aliquæ prætereant partes. Neque enim hoc obscurum est, si initium deprehendi distentionis non potest, quin contractionis quoque incognitus finis sit. Etenim ampliorem nunquam, aut maiorem motum in contractione sentiat arteria, pręclarè enim agitur scilicet, si parem liceat, ac in distentione sentire. Testes huic rei illi sunt, qui planè illam negant percipi posse sensu: quorum numerus latè patet, virorum sanè in artis commentatione nō contemnendorum. Nos verò sentiri illam, & quando potissimum, iādudum docuimus, simulque demonstrauimus ampliori motui non esse tactum sentiendo in contractionibus, quàm in distentionibus: nisi fiat, vt quantitas distentionis, vel contractionis incidat in mutationem, quod quidē in collectiuis inæqualitatibus vsu venit. Age iam hoc constitutum etiam esto, sensum aliquando ob internæ quietis magnitudinem, tum finem fugere contractionis, tum distentionis initium, sicq; iam altera nobis quæstio rectè atque ordine esto confecta. Nam quæstioni quam de distētione, an tota sentiatur, habuimus, proximum erat de cōtractione similiter quęrere; sed quum tractauerim de distentione, videor mihi etiam, quod de contractione erat dicēdum, assecutus esse. Nam maiorē motum si in cōtractionibus non sentimus, sed vel parē, ac in distentionibus, vel quod verum est, minorē: omnē aūt in distētionibus nō percipimus: planum est nec totū nos in cōtractionibus sensuros.

CAPVT X.

Quanta pars distentionis & cōtractionis nō sentiatur.

POrrò de duabus quæstionibus, quæ etiam restabant, vt quanta distentionis pars non sentiatur, explicaremus, & quanta contractionis, videmur ex antedictis summam iam consecuti. Tantam scilicet partem ostendit oratio non sentiri distentionis, quanta inter arteriæ primum impetum motus, & ictus vsque ad nostrum tactum distributionem, intercedit. Quam si speciatim dissecemus, plurimam in languidis simul, & magnis, quos tangimus leuiter, reperiemus, minimam in vehementibus, quos comprimēdo dignoscimus; mediam inter vtranque in manus mediis applicationibus, in hisque prout vehemens erit, vel non vehemens pulsus, imparem. Iam quando tantam sentimus contractionis partem, quantam distentionis, aut paulò minorem, erit etiam contractionis pars illa, quæ non sentitur, par distentionis parti, aut aliquanto maior. Habes de primis quæstionibus, & veluti elementis disputationis.

CAPVT XI.

De quietibus dignoscendis.

QVæ de pulsus principibus partibus dicenda erant, penè iam percurrimus, nam duæ quę

A παντελῶς ἐλάχιστον εἶναι τὸ λανθάνον. μάθοις δ' ἂν, εἰ νοήσαις, ὡς ἀναγκαῖόν ἐστι τὴν ἐκ τῆς ἀρτηρίας ἀρχομένην κίνησιν διαδοθῆναι, πρῶτον μὲν, τοῖς περικειμένοις σώμασιν, εἶτα τῷ δέρματι παντὶ, καὶ τότ' ἤδη τοῖς ἡμετέροις δακτύλοις. οὔκουν ἐνδέχεται παντάπασιν ἄχρονον εἶναι τὴν οὕτω γινομένην τῆς κινήσεως μετάληψιν. εἰ δὲ τοῦτ' ἀληθὲς εἴρηται, λανθάνειν ἀναγκαῖόν ἐστι τὴν ἀρχὴν τῆς κινήσεως. ἀλλὰ κἀκ τοῦ πολὺ μακροτέρας αἰσθάνεσθαι τὴν ἁφὴν, τῆς μετὰ τὸ συνιζῆσαι τὴν ἀρτηρίαν, πρὸ τοῦ διαστέλλεσθαι, γινομένης ἡσυχίας, ἤπερ τῆς μετὰ τὸ διασταλῆναι, πρὸ τοῦ συνιζάνειν. οὐκ ἀλόγως ἄν τις ὑπονοήσειεν, ἐκφευγόντων ἡμᾶς μορίων τινῶν τῆς ἐντὸς κινήσεως,
B τοῦτο γίνεσθαι. δῆλον γὰρ, ὡς εἴπερ ἄληπτον τὸ πρῶτον τῆς διαστολῆς, εἴη ἂν καὶ τὸ τῆς συστολῆς ἔσχατον ἀδιάγνωστον. οὐ γὰρ ἄν ποτε πλείονος, ἢ μείζονος αἴσθοιτο κινήσεως, κατὰ τὴν συστολὴν ἡ ἁφή. εἴ γε ἀσμενιστέον ἐστὶ κἂν τῆς ἴσης αἰσθέσθαι τῆς διαστολῆς. τῷ δηλοῦσι δὲ τοῦτο οἱ μηδόλως αὐτὴν αἰσθητὴν εἶναι λέγοντες, οὐκ ὀλίγοι τὸν ἀριθμὸν ὄντες, οὔτ' εὐκαταφρόνητοι κατὰ τὴν ἐν τῇ τέχνῃ τελείωσιν. ἡμεῖς δ', ὅτι μὲν αἰσθητὴ, καὶ πότε, μάλιστα φθάνομεν ἤδη δεδιδαχότες, συναπεδείξαμεν δὲ, καὶ ὡς οὐκ ἐνδέχεται πλείονος αἰσθάνεσθαι κινήσεως τὴν ἁφὴν ἐν ταῖς συστο-
C λαῖς, ἤπερ ἐν ταῖς διαστολαῖς, πλὴν εἰ μεταβολή ποτε, κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ἢ τῆς συστολῆς γίγνοιτο. τοῦτο δ' ἐν ταῖς συστηματικαῖς ἀνωμαλίαις συμβαίνει. κείσθω τοίνυν καὶ διὰ τὸ τῆς ἐντὸς ἠρεμίας μέγεθος, ἐκφεύγειν τὴν αἴσθησίν ποτε, τό, τε τῆς συστολῆς πέρας, καὶ τὴν τῆς διαστολῆς ἀρχήν. καὶ ἡμῖν ἤδη καὶ τὸ ἕτερον τῶν ζητημάτων, τὴν προσήκουσαν ἐχέτω τελευτήν. ἑξῆς γὰρ ἦν τῷ περὶ τῆς διαστολῆς, εἰ ἔστιν αἰσθητὴ πᾶσα, τὸ περὶ τῆς συστολῆς ὁμοίως ἐπισκέψασθαι. φαινόμεθα δ' ἐξ ὧν περὶ τῆς διαστολῆς, εἴπομεν, ἤδη καὶ τὸν περὶ τῆς συστολῆς πεπληρωκέναι λόγον. εἰ γὰρ οὐκ ἐνδέχεται πλείονος αἰσθέσθαι κινήσεως ἐν ταῖς
D συστολαῖς, ἀλλ' ἤτοι τῆς ἴσης τῇ κατὰ τὰς διαστολὰς, ἢ ὅπερ ἀληθὲς, ἐλάττονος, πάσης δ' οὐκ αἰσθανόμεθα τῆς ἐν ταῖς διαστολαῖς, δῆλον ὡς οὐδὲ πάσης αἰσθανόμεθα τῆς ἐν ταῖς συστολαῖς.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Πόσον ἀναίσθητόν ἐστι τῆς τε διαστολῆς καὶ συστολῆς.

ΛΟιπῶν δ' ὄντων δυοῖν προβλημάτων, τοῦ τε, πόσον ἀναίσθητόν ἐστι τῆς διαστολῆς εἰπεῖν, καὶ τοῦ πόσον τῆς συστολῆς, ἐοίκαμεν καὶ περὶ τούτων, ἐξ ὧν εἰρήκαμεν, ἔχειν ἤδη τὸ καθόλου. τοσοῦτο γὰρ ἀναίσθητον τῆς διαστολῆς ὁ λόγος ἀπέδειξεν, ὅσον ἐν τῷ
E μεταξὺ γίνεται, τῆς τε πρώτης ὁρμῆς τοῦ κινεῖσθαι τὴν ἀρτηρίαν, καὶ τοῦ διαδοθῆναι τὴν πληγὴν ἄχρι τῆς ἡμετέρας ἁφῆς. κατ' εἴδη δὲ τέμνοντες αὐτὸ, πλεῖστον μὲν ἐν τοῖς ἀμυδροῖς τε ἅμα καὶ μεγάλοις εὑρήσομεν, ὧν ἐπιπολῆς ἐψαύομεν, ἐλάχιστον δ' ἐν τοῖς σφοδροῖς οὓς θλίβοντες διεγνώσκομεν, μέσον δ' ἀμφοῖν ἐν ταῖς μέσαις ἐπιβολαῖς τῆς χειρὸς, κἂν ταύταις δὲ, παρὰ τὸ σφοδρὸν, ἢ οὐ σφοδρὸν εἶναι τὸν σφυγμὸν ἄνισον. ἐπεί τοι ἴσον αἰσθανόμεθα τῆς συστολῆς, ὅσον περ καὶ τῆς διαστολῆς, ἢ βραχεῖ τινι μεῖον. εἴη ἂν καὶ τὸ τῆς συστολῆς ἀναίσθητον, ἤτοι τοσοῦτον, ὅσον καὶ τὸ τῆς διαστολῆς, ἢ βραχεῖ τινι πλέον. τὰ μὲν οὖν πρῶτα
F ζητήματα καὶ οἱονεὶ στοιχεῖα τοῦ λόγου.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ διαγνώσεως τῶν ἡσυχιῶν.

ΤΑ περὶ τῶν κυριωτάτων μερῶν τοῦ σφυγμοῦ, σχεδὸν ἤδη τέλος ἔχει. τὰ γὰρ ὑπόλοιπα δύο, κατά τι συμ-

βεβηκὸς μᾶλλον, οὐ κυρίως, οὐδὲ πρώτως ἐστὶ μόρια τοῦ σφυγμοῦ, ἥ τ᾽ ἐντὸς, καὶ ἡ ἐκτὸς ἡσυχία τῆς ἀρτηρίας. ἐπεὶ δὲ καὶ διὰ τούτων προγινώσκεταί τινα, περὶ τῆς διαγνώσεως αὐτῶν, ἀναγκαῖον εἰπεῖν. τὴν μὲν οὖν ἐκτὸς ἡσυχίαν ἁπλῶς ἐπιβάλλων τὴν χεῖρα, μάλιστ᾽ ἂν γνωρίσαις πηλίκη τίς ἐστιν. ἢ εἰ καὶ θλίβειν ἐθέλοις ἐν τοῖς σφοδροῖς δηλονότι σφυγμοῖς, εἰς τοσοῦτον βιαζόμενος, εἰς ὅσον οὐδὲν κωλῦσαι τῆς κινήσεως. τὴν δὲ ἐντὸς εἰ θλίβοις, εἰς ὅσον ἡ παροῦσα σφοδρότης ἐγχωρεῖ, μάλιστ᾽ ἂν οὕτως διαγνοίης. καὶ τὴν μὲν ἐκτὸς ἠρεμίαν ὅλην, ἀκριβῶς διαγνώσῃ δεόντως ἁπτόμενος. τὴν δ᾽ ἐντὸς, ὡς καὶ πρόσθεν εἴρηται σὺν τοῖς ἀναισθήτοις μορίοις ἑκατέρας τῶν κινήσεων, τοῦ τε τῆς συστολῆς πέρατος, καὶ τῆς ἀρχῆς τοῦ διαστέλλεσθαι. τὰς δ᾽ αἰτίας τούτων, οὐ χαλεπὸν μὲν οὐδ᾽ αὐτῷ τινι τῶν ἐντυγχανόντων ἐξευρίσκειν, εἰ μὴ μάτην τῶν ἔμπροσθεν ἤκουσεν. εἰρήσονται δὲ καὶ πρὸς ἡμῶν οὐδὲν ἧττον, διὰ βραχέων. ἐπεὶ τοίνυν οὐκ ἐνδέχεται γνῶναι, εἰ τοιαύτην τινὰ τὴν ἐκτὸς ἠρεμίαν ὁ σφυγμὸς ποιεῖται, μὴ συγχωρήσαντες κινηθῆναι τὴν ἀρτηρίαν, ὡς ὅσον οἷόν τε, κωλύομεν δ᾽ ὅταν ἀμετρότερον ἐπιθλίβωμεν, δῆλον, ὡς οὐκ ἄν ποτε σαφῶς αἰσθησόμεθα τοῦ ποσοῦ τῆς ἐκτὸς ἠρεμίας, εἰ θλίβοιμεν παρὰ τὴν παροῦσαν σφοδρότητα. ἀλλὰ ἴσως τις ἐρεῖ, τὸ μὲν τῆς διαστολῆς μέγεθος, θλιβόντων κωλύεσθαι, τὴν δὲ κίνησιν ἐμφαίνεσθαι μέχρι παντὸς, ἀπωθεῖσθαι γὰρ ὑπὸ τῆς ἀρτηρίας ἀνιούσης τὴν ἁφὴν, καὶ τότε παύεσθαι πρῶτον ὠθουμένην τε, καὶ κινουμένην ὑπ᾽ αὐτῆς, ὅταν κἀκείνη παύσηται. τοῦτο δ᾽ ὅτι ψεῦδός ἐστιν ἐν τῷ καθόλου, καὶ διορισμοῦ δεῖται, γνωσόμεθα ῥᾳδίως ἂν τῶν ἔμπροσθεν ἀναμνησθῶμεν, ἡνίκ᾽ ἐλέγομεν, ὡς κινουμένην τὴν ἀρτηρίαν, ἐνίοτε συμβαίνει μὴ συγκινεῖν ἑαυτῇ τὰ ἐπικείμενα, νικηθεῖσαν ὑπὸ τοῦ βάρους αὐτῶν. οὐκ οὖν οὐδ᾽ ὁπόταν πιέζωμεν, εὔλογόν ἐστιν ἄχρι τοσούτου χρόνου προϊέναι τὴν κίνησιν αὐτῆς αἰσθητὴν ἐν ἅπασι τοῖς σφυγμοῖς, εἰς ὅσον ἄθλιπτός τε, καὶ ἀβίαστος οὖσα προΐῃ. ὥστε κινουμένης κατὰ τὸν ἑαυτῆς λόγον τῆς ἀρτηρίας, ἡσυχάζειν πολλάκις ἡμῖν ἤδη δόξουσιν οἱ σφυγμοί, καὶ τοσούτῳ θᾶττον ἄρχεσθαι τῆς ἠρεμίας, ὅσῳ τῆς αἰσθητῆς κινήσεως ἠκολούθησαν. ἐπεὶ δ᾽ ὅσον ὠθεῖ τὴν ἁφὴν ὁ σφυγμὸς ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν, τοσοῦτον κἂν τῷ συστέλλεσθαι γίγνεται τὸ αἰσθητὸν, ἀνάγκη πᾶσα μηδὲ τῶν πρώτων μορίων τῆς συστολῆς αἰσθάνεσθαι, ἀναισθήτων γινομένων τῶν ἐσχάτων τῆς διαστολῆς. πῶς οὖν δυνατὸν ἀκριβῶς διαγνῶναι τὴν ἐκτὸς ἠρεμίαν, τὸν οὕτως ἁπτόμενον, ὡς οὐκ ἐνδέχεται; μετρεῖν γὰρ δεῖ τὸ ποσὸν τῆς θλίψεως πρὸς τὴν ῥώμην τῆς ἀρτηρίας, εἰς τοσοῦτον θλίβοντας, εἰς ὅσον μηδὲν τῶν ἐσχάτων τῆς κινήσεως μορίων ἀναίσθητον ἔσται. δῆλον οὖν, ὡς οὐκ ἐνδέχεται θλίβειν ἐν ἅπασιν, ἀλλ᾽ ἐν τοῖς σφοδροῖς μόνοις, οὐδ᾽ ἐν τούτοις εἰς τοσοῦτον, ὡς κινῆσαι τῷ βιαίῳ τῆς ἐπιβολῆς τὴν ῥώμην τῆς ἀρτηρίας. ἀσφαλέστατον οὖν, ὅταν τὴν ἐκτὸς ἡσυχίαν διαγινώσκειν ἐθέλῃς, ἀβιάστως ἐπιβάλλειν τὴν ἁφήν. τὴν δ᾽ ἐντὸς ἐκ τῶν ἐναντίων, εἰ μὴ βιάζοιο, καὶ θλίβοις οὐκ ἂν γνωρίσαις. ἀκολουθῆσαι γὰρ δεῖ τὴν ἁφὴν μέχρι παντὸς συστελλομένῃ τῇ ἀρτηρίᾳ, θλίβειν δ᾽ ἐν τοῖς σφοδροῖς μόνοις ἐγχωρεῖ. δῆλον οὖν, ὡς καὶ ἐν τούτοις μόνοις διαγνωρίζει τὴν ἐντὸς ἡσυχίαν, οὐ μὴν οὐδ᾽ ἐν τούτοις ἀκριβῶς, ἀλλὰ πολλάκις μὲν συχνῷ μείζονος, ἤπερ ὄντως ἐστὶ, πολλάκις δ᾽ ὀλίγῳ μὲν, ὅμως δ᾽ οὖν ἔτι μείζονος αὐτῆς ἐπαισθήσει. προσέρχονται γὰρ ἐξ ἀνάγκης, δύο χρόνοι τῶν ἀναισθήτων μορίων ἑκατέρας τῶν κινήσεων. ὁ μὲν, ἐπὶ πέρατι τῆς συστολῆς. ὁ δ᾽ ἐν ἀρχῇ τῆς διαστολῆς, ὧν ἄλλοτ᾽ ἄλλο μῆκος ἐχόντων, ὡς ἔμπροσθεν ἐδείξαμεν, οὔτ᾽ ἴσον ἀεὶ τὸ προσιὸν ἔσται τῷ χρόνῳ τῆς ἐντὸς ἡσυχίας, οὔτ᾽ ἀκριβής ποθ᾽ ἡ διάγνωσις.

reliquæ ſunt, per accidens potius, non propriè, nec per ſe, partes pulſus ſunt, arteriæ externa, & interna quies: ſed quoniam quædam denunciant, de iis dignoſcendis operæpretium eſt, vt verba faciamus. Ac externam quidem quietem, ſimpliciter manum admouens, maximè, quanta ſit percipias, aut ſi premere etiam libeat, in vehementibus quidem pulſibus, hactenus vrgendo, vt ne motui obſis, internam autem, ſi premas, quoad tibi per præſentem vehementiã liceat, ita maximè dignoſces. Externam certè totam quietem, ſi ordine attingas, planè animaduertes: Internam quod etiam ante dictum eſt, vnà cum partibus, quæ non poſſint ſentiri, vtriuſque motus, fine contractionis, & initio diſtentionis. Quorum cauſas non magno negocio etiam quilibet inueniat, ſi attentè auſcultauit ſuperiora, faciam tamen, vt ſummatim ipſe quoque explicem. Nam poſtea quàm fieri non poſſit, vt cognoſcamus, quantam pulſus externam quietem effecturus ſit, ſi moueri arteriam, quatenus poteſt, prohibeamus (prohibemus porrò, vbi nimium comprimamus) profectò, quam magna ſit externa quies, ſi præterquàm concedit nobis præſens vehementia, premamus, non percipiemus perſpicuè vnquam. At fortaſſe dices diſtentionis magnitudinẽ compreſſione prohiberi, motum tamen perpetuò apparere, reiici enim ab aſcendente arteria tactum, ibique deſiſtere primùm impelli ab ea moueríque, vbi illa ſimul quieuerit. Sed hoc falſum eſſe, ſi vniuersè dicatur, ac requirere diſtinctionem facilè perſpiciemus, ſi quid priorum meminimus, quum diceremus, arteria dum mouetur, fieri interim, vt ſecum incumbentia ſibi corpora non moueat, eorum oppreſſa pondere. Quare nec quum premamus, ratio dictat tam diu ſenſum durare eius motus in omnibus pulſibus, quandiu, quum non premeretur, vel vrgeretur, progrediebatur. Proinde quum arteria ſua ipſius ratione mouetur, quieſcere iam nos ſubinde arbitrabimur pulſus, atque eò quietem ocyus ingredi, quò ſenſibili motu prohibiti fuerunt. Quum vero quantum pulſus tactum in diſtentione arteriæ impellit, tantum dum contrahitur, ſentiatur, omninò neceſſe eſt, quum finis non ſentiatur diſtentionis, nec contractionis initium ſentiri. Qui ergo non conueniẽter tangit, quomodo dignoſcere planè externam quietem poſſit? Nam quantitas compreſſionis ad robur metienda arteriæ eſt: vt eatenus comprimamus, quatenus extrema motus pars nulla ſenſum effugiat. Vnde conſtat non eſſe in quibuſuis premendum, ſed ſolis in vehementibus: neque hic tamẽ adeò, vt vi applicatæ manus, arteriæ ſuperetur robur. Quare cautiſſimum erit, vbi dignoſcere externam quietem voles, citra vllã vim applicare tactum, contrà internam, ni vrgeas, cõprimaſq;, non cognoſcas, nã contractioni arteriæ conſtantiſſimè tactus adhærere debet, premere verò niſi in vehementibus, non licet. Ita liquet in his etiam ſolis dignoſci poſſe internam quietem, imò ne hic quidẽ exactè, ſed nunc multò maiorẽ, quàm re vera eſt, nunc paulò attamẽ adhuc eam maiorem animaduertes. Neceſſariò enim duo ei tempora accedunt partium inſenſibilium vtriuſq; motus, & quod ad finem contractionis eſt, & quod in principio diſtentionis: quæ quum aliam aliàs longitudinem habeant, vt ante explicauimus, neque parem ſemper acceſſionem tempus internæ quietis habebit, neque exactè vnquam dignoſcetur.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Β.

GALENI DE DIGNOSCENDIS PVLSIBVS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β' ΒΙΒΛΙΩι.

Διδάσκει ὅπως ἄν τις τὰ τοῖς σφυγμοῖς ὑπάρχοντα γνωρίζειν ἱκανὸς εἴη· καὶ ἀπὸ τῆς διαστολῆς κυριωτάτου τῶν τοῦ σφυγμοῦ μερῶν ἄρχεται.

ARGVMENTVM LIBRI SECVNDI.

Docet quâ quis ratione poſsit ea cognoſcere quæ ipſis pulſus partibus inſunt, & ab ipſa diſtentione pulſus parte principe ducit exordium.

CAPVT PRIMVM.

Quemadmodum partes diſtentionis ſint dignoſcendæ.

SVPERIORE commentario de partibus pulſuum dignoſcendis egimus: nunc explicabimus rationem, qua in partibus ipſis, quæ inſunt, poſſis perſpicere, adeoque initio ducto orationis à diſtentione: quòd maximè princeps hæc pulſus partium ſit, & plurimam habeat cognitionis varietatem, plurimum etiam ad præſagiendum ex ſe præſtet vſum. Nam quando complura ſunt, quæ diſtentionibus inſunt, præter cætera eſt peculiaris, propriéque ad eas, ex ratione ſubſtantiæ pulſuum, mótus pertinet. Omnis porrò motus tempus habet quo fit; & celeritatem, vel tarditatem, & æqualitatem, vel inæqualitatem: ad hæc vbi feratur, ſpatium. Quare de his dicamus primùm. Neque enim putauit medicorum maxima pars, diſtinctam rationem eſſe tempus motus dignoſcendi, & celeritatis, tarditatiſque; nam ſi quantum tempus eſt, perſpectum ſit, ſtatim etiam celer ne, an tardus, an moderatus motus ſit, planum aiunt eſſe. Mihi verò aliter tempus videtur dignoſci, aliter tarditas, & celeritas: neque enim ſi motus ſit breuius tempus, continuò pulſum dixero celeriorem eſſe. Sanè quod illis impoſuit, qui in illa opinione ſunt, ego definitionem eſſe celeris, & tardi pulſus duco: quæ ſi vt illi accipiunt, ita ſignificat, non valet; ſint vt eam nos intelligimus, hæc conſtat; illi parum bene aſſequuntur. Definitio hæc eſt: Celer pulſus eſt, qui pauco tempore motum finit, tardus qui multò.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅπως χρὴ τὰ τῆς διαστολῆς μόρια διαγινώσκειν.

ΟΠΩΣ μὲν οὖν χρὴ τὰ μέρη τοῦ σφυγμοῦ διαγινώσκειν ἐν τῷ πρὸ τοῦδε λόγῳ δεδήλωται. ὡς ἂν δέ τις καὶ τὰ τοῖς μέρεσιν αὐτοῖς ὑπάρχοντα γνωρίζειν ἱκανὸς εἴη, νῦν ἐροῦμεν, ἀπὸ τοῦ τῆς διαστολῆς ἀρξάμενοι λόγου. καὶ γὰρ κυριώτατον τοῦτο τῶν τοῦ σφυγμοῦ μερῶν, καὶ πλείστην μὲν ἔχον τὴν ποικιλίαν τῆς διαγνώσεως, πλείστην δὲ τὴν δι' ἑαυτοῦ προγνώσεως τὴν χρείαν. ὄντων δὲ πλειόνων τῶν ὑπαρχόντων τῇ διαστολῇ, κυριώτατον ἁπάντων, καὶ κατὰ τὸν τῆς οὐσίας τῶν σφυγμῶν μάλιστα λόγον, ἡ κίνησίς ἐστιν. ἁπάσῃ δὲ κινήσει χρόνος τέ τις ἐν ᾧ γίγνεται συμβέβηκε, καὶ τάχος, ἢ βραδύτης, ἢ ὁμαλότης, ἢ ἀνωμαλία. καὶ πρὸς τούτοις ἔτι, διάστημα καθ' οὗ φέρεται. περὶ τούτων οὖν πρῶτον λεγέσθω. καὶ γὰρ οὐδὲ δοκεῖ τοῖς πλείστοις τῶν ἰατρῶν, ἑτέρα μὲν, ἡ τοῦ χρόνου τῆς κινήσεως εἶναι διάγνωσις, ἑτέρα δὲ ἡ τοῦ τάχους τε, καὶ τῆς βραδύτητος. εἰ γὰρ γνωσθείη πόσος τίς ἐστιν ὁ χρόνος, εὐθὺς καὶ πότερα ὠκέως, ἢ βραδέως, ἢ συμμέτρως κεκίνηται, δῆλον ὑπάρχειν φασίν. ἐμοὶ δὲ, ἑτέρα μὲν ἡ τοῦ χρόνου φαίνεται διάγνωσις, ἄλλη δὲ ἡ κατὰ βραδύτητα καὶ τάχος. οὐ γὰρ εἰ βραχύτερος ὁ τῆς κινήσεως εἴη χρόνος, ἤδη καὶ τὸν σφυγμὸν ὠκύτερον εἶναι φημί. τὴν δὲ ἀπάτην τοῖς οὕτως ὑπολαμβάνουσιν ἐκ τοῦ κατὰ τὸν ταχὺν, καὶ βραδὺν σφυγμὸν ὅρου νομίζω γεγονέναι, ὅς, ἐὰν μὲν τεθῇ ὃ νοοῦσιν οὗτοι δηλοῖ, μοχθηρός ἐστιν, εἰ δὲ, ὡς ἡμεῖς ἀκούομεν, ὁ μὲν ὅρος ὀρθὸς, οὗτοι δὲ οὐ συνιᾶσιν αὐτοῦ. λέγει μὲν γὰρ ὁ ὅρος ταχὺν εἶναι σφυγμὸν, τὸν ἐν ὀλίγῳ χρόνῳ τὴν κίνησιν διεξεργάζοντα, καὶ βραδὺν, τὸν ἐν πολλῷ. τοῦ δὲ ὀλίγου, καὶ τοῦ πολλοῦ πρός τι λεγομένων, οὗτοι μὴ οἴονται τοὺς τῶν σφυγμῶν χρόνους, ἀλλήλοις παραβάλλεσθαι.

τὸ δ' ἀληθὲς οὐχ οὕτως ἔχει. πολλάκις γὰρ ἡ τοῦ μακρότερον τὸν χρόνον ἔχοντος σφυγμοῦ κίνησις, ὠκυτέρα τῆς τὸν βραχύτερον ἐχούσης ἐστίν. καὶ τοῦτ' εἰ μή τις ἀκριβῶς διαγνοίη, πολλὰ καὶ μεγάλα, τῶν ἐκ τῆς διὰ σφυγμῶν προγνώσεως εὑρισκομένων ἀγνοήσει. τοῖς μὲν οὖν ἡμῶν πεπειραμένοις ἐπ' αὐτῶν τῶν ἀρρώστων, καὶ τόπους πεπονθότας πολλάκις εἰρηκότων, πρὶν γυμνῶσαι τὰ μέρη, καὶ τῶν ἐπιγιγνομένων τε, καὶ προγεγονότων αἰτίων, καὶ συμπτωμάτων ἕκαστον, οἶδ' ὅτι τῶν νῦν λεχθησομένων οὐδὲν ἄπιστον εἶναι δόξει· τὴν γὰρ ἀκριβεστάτην ἁπασῶν πίστεων ἐσχήκασιν οὗτοι, διὰ τῆς τῶν προρρηθέντων ἀληθείας. τοῖς δ' ἄλλοις, ἄπιστος, τάχα γε πρότερον ὁ λόγος φαίνεται, καὶ θρασύς, εἰ τοσούτους τε καὶ τοιούτους ἰατροὺς σφάλλεσθαι λέγοιμεν, ἐν ταῖς τοῦ τάχους τε καὶ τῆς βραδύτητος διαγνώσεσιν. εἰ δ' ἀνάσχοιτό τις, καὶ προθοῖτο τῶν νῦν λεγομένων ἐπακοῦσαι λόγων, οἶδ' ὅτι κἂν μὴ τελέως αὐτὸν πείσω πιστεύειν, ἀλλ' ἀποστήσω τοῦ παντάπασιν ἀπιστεῖν τοῖς λεγομένοις. οὐ γὰρ οἷόν τε μεταπεῖσαι ῥᾳδίως περὶ τῶν ἐκ μακροῦ χρόνου παμπόλλοις ὡμολογημένων, καὶ μάλισθ', ὅταν οὕτω παμπόλλης τε καὶ ἀκριβοῦς δέηται θεωρίας. καὶ εἰ τῇ θεωρίᾳ δέ τις αὐτῶν παρακολουθήσειεν, ἀλλ' ἵνα καὶ τῇ πείρᾳ γε κρίνῃ, παμπόλλης γε δεῖται κατὰ τὴν ἁφὴν τριβῆς. ὁ γοῦν μυρμηκίζων καλούμενος σφυγμός, ἀκριβοῦς αἰσθήσεως δεόμενος εἰς διάγνωσιν, ὡς ἂν εἰς ἐσχάτην ἀμυδρότητά τε καὶ μικρότητα καταπεπτωκώς, τὴν ἀρχὴν ὅλως ἐστὶ λανθάνων τοὺς ἀγυμνάστους τὴν ἁφήν. ὥς τε πολλάκις ἀσφύκτους εἶναι λέγουσι τοὺς ἀνθρώπους, ἐφ' ὧν ὁ τοιοῦτος εὑρίσκεται σφυγμός. εἰ τοίνυν τοῖς ταχὺν εἰποῦσιν αὐτὸν ἀντιλέγοιμι, καὶ πόθεν ἐσφάλησαν δεικνύοιμι, τίς ἄν μοι κριτὴς γένοιτο; τοὺς γάρ, εἰ μηδ' εἰ τὴν ἀρχὴν ὁ σφυγμὸς ὅλως ὑπάρχει τῷ νοσοῦντι, διαγνῶναι δυναμένους, πῶς ἂν ποῖός τις ἐστὶ διδάξαιμι. ταῦτ' ἄρα καὶ λέγειν ὀκνῶ περὶ τῆς τοιαύτης θεωρίας. ἀρκεῖ γάρ, ἐπὶ τῶν ἔργων δεικνύναι τὴν ὕπαρξιν αὐτῆς. ἐπεὶ δ' ὅπερ ἐλέχθη καὶ κατ' ἀρχάς, οὐ πρὸς τοὺς πολλοὺς ταῦτα τὰ γράμματα σύγκειται, ἀλλὰ τὸν ἕνα τῶν μυρίων ἄξιον ἀναμένει, δι' ἐκεῖνον γραπτέον τοὺς λόγους, οἳ μυριάκις πρότερον, ὡς ἀδύνατοί τε, καὶ ἀλαζόνες περιπλακισθήσονται, πρὶν εἰς τὸν ἄξιον ἀφικέσθαι. δέομαι γὰρ ἐγὼ νῦν ἀκροατοῦ τοιούτου τινὸς οἷος ἦν Ἀρχιγένης, ἵν' εἴπω πρὸς αὐτὸν οὑτωσί. τί δή ποτ', ὦ γενναιότατε, ταῦτα γράφεις ἐν τῷ περὶ σφυγμῶν σου γράμματι, περὶ τοῦ μυρμηκίζοντος σφυγμοῦ διαλεγόμενος ὧδέ πως κατὰ λέξιν. σύνθετος δέ μοι δοκεῖ εἶναι ἐκ μικρότητος, ἀμυδρότητος, πυκνότητος. ἀναγκαίως δὲ καὶ ταχύτητος. οὐ γὰρ οἶδά τί σοι βούλεται τὸ πάντων ἔσχατον εἰρημένον. ὥστε τά γε πρὸ τούτου, συνίημί τε καὶ ἀποδέχομαι πάντως μᾶλλον ἀληθῆ τε ὄντα, καί σοι πρέποντα. τὸ δ' ἀναγκαίως ἐξεῦχθαι ταχύτητα τῷ μυρμηκίζοντι, πῶς εἴρηται ζητῶ. πλέον γάρ ἐστι τοῦ ψιλῶς ῥηθέντος ἄν, χωρὶς τοῦ προσκεῖσθαι τὸ ἀναγκαίως. καὶ ἦν μὲν ἂν καὶ τοῦτο ψεῦδος. ἀλλ' ἄνευ προσθήκης εἰρημένον, ἐν μόνῃ τῇ τῆς ἁφῆς ἀμβλυτίᾳ, ἐφαίνετ' ἂν ἔχειν τὴν ἀπάτην. τὸ δ' ἀναγκαίως προσκείμενον, λογικήν τιν' ὑπόληψιν ἐμφαίνει. τίς οὖν ἐστιν αὕτη, μαθεῖν ἐδεόμην. ἐγὼ μὲν γὰρ οὐδὲ μίαν ἀνάγκην ὁρῶ, δι' ἣν ἄρρωστόν τε καὶ πυκνήν, καὶ μικρὰν κίνησιν, εὐθὺς καὶ ταχεῖαν εἶναι νομίζω. οὐδὲ γὰρ αὐτὸς ὁ μύρμηξ, ᾧ παρώνυμος ὁ σφυγμός, τῶν ὠκέως κινουμένων ἐστίν, ἀλλὰ βραχείας μὲν αὐτοῦ, καὶ ἀμυδράς, καὶ πυκνὰς τὰς κινήσεις ὁρῶμεν, ὠκείας δὲ οὐδαμῶς.

Nam quum paucum & multum ad aliquid referantur, hi pulsum tempora inter se mutuo arbitrantur conferri. At res se ita non habet: quia motus longiore tempore prædīti pulsus, est non rarò velocior eò, qui breuius obtinet. Sanè multas res, & præclaras, quæ ex præsagitione per pulsus aperiuntur, nisi hoc probè dignoscas ignorabis. At qui quidem nostri fecerunt periculum, quum in ipsis ægrotis sæpè locos affectos prius declararemus, quam partes inspexissemus: præterea vnamquanque causam, & symptomata, quæ consequebantur, antecesserantque his nihil, sat scio, eorum quæ nunc narrabo, nouum videbitur, nam hi habuerint fidem omnium certissimam, adducti prædictorum veritate, aliis autem primo suspecta erit oratio, & temeraria videbitur, si tot talésque medicos in pulsu celeri, & tardo dignoscendo lapsos dicemus. Quòd si quis sustineat, & animum inducat, quæ dicam audire, profectò si non omninò fidem faciam illi, eum dimouebo certè ne omnibus quæ à me dicentur fidem deneget, neque enim quæ apud multos confessa iamdiu, & certa habita sunt, de his facilè est quempiam abducere: idque maximè, quum adeo multam speculationem, accuratamque postulet. Quin si speculatione etiam ea assequaris, vt experientia tamen æstimes, omninò multum desideres tactum exercitatum. Nam pulsus, qui formicans appellatur, quum sensum, quo dignoscatur, exactum quærat (quippe qui in extremam recidat imbecillitatem paruitatemque) semel lateat in tangendo rudes adeò, vt homines frequenter confirment, in quibus talem pulsum animaduertunt, pulsum non habere. Itaque si hos qui celerem eum defendunt esse refutem, & vnde factum sit, declarem vt errarint: quemnam feram iudicem? Nam eos qui ne hoc quidem dignoscere valent, adsit ne omninò hic pulsus ægroto, qua ratione qualis sit docebo? Quamobrem non faciam, vt de istiusmodi speculatione narrem, satis est enim, si operibus comprobem esse eum. At verò quod initio testati sumus, quia hosce libros vulgo non paramus: sed vnum qui instar sit mille expectant, commentationem eius nomine scriptis mandabimus: quæ prius vt absurda & insolentia, sexcentis conuitiis conscindentur, quàm incident in dignum. Talem verò ego in præsentia, qualis Archigenes erat, desiderem auditorem, vt ita hominem appellem: Quid tu hæc tandem vir egregiè in libro tuo de pulsibus scribis, quum de pulsu formicante his verbis disseris? Constare mihi ex paruitate, imbecillitate, crebritate videtur, & verò necessariò ex celeritate. Non enim extremum illud omnium, satis, quid velit capio, nam priora assequor, proboque verissima esse, & personam tuam decere: hoc verò, Cum formicante coniunctam necessariò celeritatem esse, quomodo interpreteris quæro. Nam plus valet, ac si absolutè dictum sit, non addito necessario: tamen sit mendacium nihilominus; sed si nihil esset adiectum, error manasse ex tactus offensione videatur; nunc quando additum, necessariò est, rationalem præ se fert aliquam suspicionem. Quæ autem hæc sit, discere optarem. Equidem nullam video necessitatem, qua adductus imbecillum, crebrum, & paruum motum, statim putem celerem esse. Neque verò ipsa, de qua nomen pulsus inuenit, formica celeriter mouetur: sed breues eius esse, & languidos motus, crebrosque conspicimus: celeres autem nequaquam.

Quam

Quàm autem harum celeritas necessariò comitatur? imbecillitatemne? imò verò mirabor, si quicquam, quum cætera omninò pari momento sint, ob virium imbecillitatem mouebitur velociter, quum planè contra, aliis simili in sorte positis robur facultatis coniunctum, motum celerem reddat, quod in causis pulsuum ostendimus. Quin nec crebritas causa celeritatis est, nam quis Athenis iter Piræum crebrò faciens, continuò etiam currat necessariò? etenim crebræ actionis aliæ sunt causæ, aliæ celeris. Sed paruitatem fortasse dicet esse in causa, cur necessariò formicans pulsus celer sit, nam quid aliud excogites? Habet sanè hoc certam quandam rationem, sed verumne etiam sit, hic quærimus, nam fieri non potest, quin arteria quæ breuissimo vehatur interuallo, minus consumat temporis, quàm quum feratur maximo, nihilo magis tamen, qui pauco tempore motus circunscribitur, simul celer is necessariò erit. Quid tu quæres num ergo, qui multo tempore fiat, esse dicis celerem? Ego verò, neque hunc dico, omninò enim non modò dico rationem habendam quantitatis temporis, sed & spatij. Quum iam motum, qui pauco obitur tempore, de me quæras, qualem dicam esse, quò responsum tibi dem, continuò quantitatem, fac spatij addas. Si supprimes, addam ego, atque distinctè dicam, cauteque, motus, qui breui tempore obeuntur, non esse prorsus his citatiores, qui maiore efficiuntur. At si proportioni temporum, spatiorum respondeat proportio, neuter alterum anteuertit; si verò aut temporis ad tempus, aut interualli ad interuallum maior proportio sit, tum vnum celeriorem fore, alterum tardiorem motum dico. Habes rem vniuersam: quam tu si es assecutus, rectè forsitan hîc finem faciam orationis, si non intellexisti, accipe prolixius, quod paucis perstrinxi. Qui pari tempore par spatium conficiunt, motus hos appellamus, æquè diuturnos & celeres, qui verò pari tempore maiora interualla emetiuntur, hos celeriores: haud aliter, qui par spatium, sed minore tempore. Atque exempli gratia, duo quidam homines stadia quinquaginta, vna hora percurrant, æquè veloces hos dixeris. Sin alter vna hora hæc confecerit, alter triginta horis, liquet celerius se priorem mouisse, qui maius pari tempore spatium percurrerit. At verò si quinquaginta stadia, hic vna hora, alter tribus perficiat, planè prior celerior est: si quidem par spatium confecit citius. Nihil hic difficultatis inest, sed posthac erit fortasse, nisi animum intendas: nam nihilo secius, attendentibus illa non secus, atque hæc, aperta erunt. Ergo faciamus in duobus motibus, alterum vna hora quinquaginta, alterum horis tribus centum quinquaginta conficere stadia; quid hos, nónne æquè celeres esse dicemus? Verùm nam, si ille, qui confecerat vna hora, stadia quinquaginta, tres sit horas motus, omninò etiam supra quinquaginta confecisset centum. Si item qui tribus horis hæc percurreret, vnam tantum horam fuisset motus, hic scilicet quoque quinquaginta sola progressus esset. Sic æquè erunt celeres, qui paria spatia paribus temporibus obeunt. Quare aduertendæ spatiorum sunt longitudines, & temporum, vt si quomodo spatium spatio, ita tempori respondeat tempus, æquè celeres esse dicamus motus.

A τίνι γὰρ τούτων ἐξ ἀνάγκης ὠκύτης ἕπεται; πότερον τῇ ἀμυδρότητι; ἀλλὰ θαυμάζοιμ' ἄν, εἴ τις τῶν ἄλλων ἁπάντων ἐπίσης ἐχόντων, διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως ὠκέως κινήσεται, τοὐναντίον γὰρ ἅπαν, ἐπὶ τοῖς ἄλλοις ὡσαύτως ἔχουσιν, ἡ ῥώμη τῆς δυνάμεως προσιοῦσα, ταχεῖαν τὴν κίνησιν ἐργάζεται, ὡς κἀν τοῖς περὶ σφυγμῶν αἰτίοις ἀποδείκνυμεν. ἀλλ' οὐδ' ἡ πυκνότης αἰτία τοῦ τάχους. τίς γὰρ ἀνάγκη τὸν πυκνῶς Ἀθήνηθεν εἰς τὸν Πειραιᾶ πορευόμενον, εὐθὺς καὶ τρέχειν; ἄλλαι μὲν γὰρ αἰτίαι, τοῦ πυκνῶς τι πράττειν, ἄλλαι δὲ τοῦ ταχέως. ἀλλ' ἴσως διὰ τὴν μικρότητά φησιν ἐξ ἀνάγκης εἶναι τὸν μυρ-
B μηκίζοντα σφυγμὸν, ταχύν. τί γὰρ ἄλλο τις ἐπινοήσει; εὔλογον μὲν οὖν τό γε τοιοῦτον, εἰ δὲ καὶ ἀληθὲς ἤδη σκοπούμεν. ἀναγκαῖον μὲν γάρ ἐστι τὴν ἀρτηρίαν κατὰ βραχυτάτης διαστάσεως φερομένην ἐλάττονα χρόνον ἀναλοῦν, ἤπερ ὅτε κατὰ μεγίστης ἐφέρετο. οὐ μὴν ἥτις ἐν ὀλίγῳ χρόνῳ περιγράφεται κίνησις, ἀναγκαῖόν ἐστι ταύτην ὠκεῖαν εἶναι. τὴν οὖν ἐν πολλῷ χρόνῳ γινομένην ὠκεῖαν εἶναι λέγεις; ἴσως ἄν τις ἐπανέροιτο. ἐγὼ δ' οὐ ταύτην φημί. καθόλου γὰρ οὐκ ἀξιῶ τοῦ χρόνου τὸ ποσὸν ἐπισκοπεῖσθαι μόνον, ἀλλὰ καὶ τῆς διαστάσεως. ὅταν οὖν ἐθέλῃς πυθέσθαι μου τὴν ἐν ὀλίγῳ χρόνῳ γινομένην κίνησιν,
C ὁποίαν τινὰ εἶναί φημι, πρόσθες εὐθέως τὸ ποσὸν τῆς διαστάσεως, ἵν' ἀποκρίνωμαί σοι. εἰ δὲ μὴ, ἀλλ' ἐγὼ προσθήσω, καὶ διωρισμένως ἐρῶ, τὰς ἐν ἐλάττονι χρόνῳ γινομένας κινήσεις, οὐκ ἐξ ἅπαντος εἶναι τῶν ἐν πλέονι συντελουμένων ὠκυτέρας. ἀλλ' εἰ μὲν ὁ αὐτὸς ὑπάρχει λόγος τῷ τε χρόνῳ πρὸς τὸν χρόνον, καὶ τῇ διαστάσει πρὸς τὴν διάστασιν, ἰσοδρομοῦσιν. εἰ δ', ἤτοι τοῦ χρόνου πρὸς τὸν χρόνον, ἢ τῆς διαστάσεως πρὸς τὴν διάστασιν ὁ λόγος μείζων γένοιτο, τὴν μὲν ὠκυτέραν, οὕτως, τὴν δὲ βραδυτέραν ἔσεσθαί φημι κίνησιν. ἐμοὶ μὲν εἴρηται τὸ πᾶν. σὺ δ' εἰ μὲν ἐνόησας, ἔχοι τάχ' ἂν ἤδη τὴν προσήκουσαν ὁ λόγος
D τελευτήν. εἰ δ' οὐκ ἐνόησας, ἐξηγήσομαί σοι διὰ μακροτέρων τὸ ταχέως εἰρημένον. ὅσαι μὲν ἐν ἴσοις χρόνοις ἴσα μήκη διέρχονται, κινήσεις ταύτας ἰσοχρόνους τε καὶ ἰσοδρόμους ὀνομάζομεν. ὅσαι δ' ἐν ἴσῳ μὲν χρόνῳ, μείζονα δ' ἀνύουσι διαστήματα, ταύτας ὠκυτέρας. ὁμοίως δὲ καὶ ὅσαι διάστημα μὲν ἴσον, ἐλάττονι δὲ χρόνῳ. παραδείγματος δ' ἕνεκα δύο τινὲς ἄνθρωποι σταδίους πεντήκοντα διερχέσθωσαν ὥρᾳ μιᾷ, ἰσοδρόμους ἂν εἴποις τοὺς τοιούτους. εἰ δ' ὁ μὲν ἕτερος ὥρᾳ μιᾷ διανύσειεν, ὁ δ' ἕτερος τριάκοντα, δῆλον ὡς θᾶττον ἂν εἴη κινούμενος ὁ πρότερος, ὁ τὴν μείζονα διάστασιν ἐν ἴσῳ χρόνῳ διελθών. εἰ δὲ τοὺς
E πεντήκοντα σταδίους, ὁ μὲν, ὥρᾳ μιᾷ, ὁ δὲ τρισὶν, εἰ οὕτως ἔτυχε διέλθοι, δῆλον ὡς ὁ πρότερος, ὠκύτερος, εἴ γε τὸ ἴσον διάστημα θᾶττον ἤνυσεν. ἐν μὲν δὴ τούτοις, οὐδὲν ἀσαφές. ἴσως δ' ἐν τοῖς ἐφεξῆς, ἄν γε μὴ προσέχωσι τὸν νοῦν. προσέχουσι δὲ, κἀκεῖνα παραπλησίως τούτοις ἔσται σαφῆ. ποιήσωμεν γὰρ δυοῖν τινων κινήσεων, τὴν μὲν, ἐν ὥρᾳ μιᾷ, πεντήκοντα, τὴν δ' ἐν τρισὶν, ἑκατὸν πεντήκοντα διανύουσαν σταδίους. ἆρ' οὖν καὶ ταύτας ἂν εἴποιμεν ἰσοδρόμους; πάνυ μὲν οὖν. εἰ γὰρ ἡ τοὺς πεντήκοντα κινηθεῖσα σταδίους, ἐν ὥρᾳ μιᾷ, ταῖς τρισὶν ἔτυχε κινουμένη, πάντως ἄν που καὶ αὕτη πρὸς τοὺς πεντήκοντα, τοὺς ἑκατὸν ἐκινήθη. καὶ εἰ τούτους ἐν
F τρισὶν ὥραις κινουμένη, μιᾷ μόνον ὥρᾳ κινηθεῖσα ἔτυχε, πάντως ἂν καὶ ἥδε, τοὺς πεντήκοντα μόνους ἐκινήθη. ὥστ' εἶεν ἂν ἰσόδρομοι αἱ ἐν ἴσοις χρόνοις ἴσα διαστήματα περαίνουσαι. προσέχειν οὖν δεῖ τοῖς τε τῶν διαστάσεων μήκεσι, καὶ τοῖς τῶν χρόνων, ἵν' εἰ μὲν ὃν ἔχει λόγον ἡ διάστασις πρὸς τὴν διάστασιν, τὸν αὐτὸν ὁ χρόνος ἔχοι πρὸς τὸν χρόνον, ἰσοδρόμους εἶναι λέγωμεν τὰς κινήσεις.

Εἰ δ' ἤτοι μεῖζον ἔχοι τὸ διάστημα, πρὸς τὸ διάστημα, ἤπερ ὁ χρόνος πρὸς τὸν χρόνον, ἤπερ ἡ διάστασις πρὸς τὴν διάστασιν, μηκέτι ἰσοδρόμους αὐτὰς εἶναι νομίζωμεν. ἔστω γὰρ ἡ μὲν διάστασις, τῆς διαστάσεως τετραπλάσιος. ὁ δὲ χρόνος, τοῦ χρόνου διπλάσιος. δῆλον ὡς μείζονα λόγον ἡ διάστασις ἕξει πρὸς τὴν διάστασιν, ἤπερ χρόνος πρὸς τὸν χρόνον. καὶ οὕτως γένοιτ' ἂν ἡ ἑτέρα τῶν κινήσεων ὠκυτέρα. φέρε γὰρ εἶναι τῆς μὲν τὴν διάστασιν τετρακοσίων πηχέων, τῆς ἑκατόν. τὸν δὲ χρόνον τῆς προτέρας μὲν, δυοῖν. τῆς δ' ἑτέρας μιᾶς ὥρας· εἰ τοίνυν ἡ μὲν ἑτέρα τῶν κινήσεων ἐν δυοῖν ὥραις τετρακοσίους διῆλθε πήχεις. ἡ δ' ἑτέρα ἐν μιᾷ τοὺς ἑκατὸν, δῆλον ὡς ἐὰν μὲν τὴν προτέραν τοὺς ἑκατὸν μόνους κινουμένην νοήσωμεν, ἐν ὥρας ἡμίσει μέρει κινηθήσεται. καὶ οὕτως ὠκυτέρα τῆς δευτέρας γενήσεται, τὴν ἴσην διάστασιν ἐν ἐλάττονι χρόνῳ κινηθεῖσα. ἐὰν δὲ τὴν δευτέραν, τοὺς τετρακοσίους νοήσωμεν κινουμένην, τεττάρων ὡρῶν αὕτη δεήσει, καὶ οὕτως ἔσται βραδυτέρα τῆς προτέρας, εἴ γε τὸ ἴσον διάστημα πλέονι χρόνῳ κινήσεται. φανερὸν οὖν, ὡς ὅταν ἡ διάστασις τῇ διαστάσει παραβαλλομένη μείζονα λόγον ἔχῃ, τοῦ χρόνου τοῦ χρόνου παραμετρουμένου, τὴν τοιαύτην κίνησιν ὠκυτέραν ἀναγκαῖον ὑπάρχειν. εἰ δ' ἔμπαλιν ἡ τῆς προτέρας κινήσεως διάστασις, πρὸς τὴν τῆς δευτέρας ἐλάττονα λόγον εἶχεν, ἤπερ ὁ χρόνος πρὸς τὸν χρόνον, ἀναγκαῖον ἂν ἦν τὴν προτέραν εἶναι βραδυτέραν. εἰρήσεται δὲ καὶ αὐτοῦ τούτου παράδειγμα. νόησον γάρ μοι τῆς προτέρας κινήσεως τὸ μὲν διάστημα, τοῦ τῆς δευτέρας διαστήματος εἶναι διπλάσιον, τὸν δὲ χρόνον τοῦ χρόνου τετραπλάσιον, ὥστε εἰ τύχοι τὴν μὲν προτέραν τέτταρας πήχεις τέτταρσιν ὥραις κινεῖσθαι. τὴν λοιπὴν δὲ, δύο πήχεις ὥρᾳ μιᾷ, δῆλον ὡς ἐὰν τὴν προτέραν, τοὺς δύο μόνους πήχεις νοήσωμεν κινουμένην, δυοῖν ὥραιν κινήσετ' ἄν, καὶ οὕτως ἔσται τῆς δευτέρας. τῆς τοὺς αὐτοὺς δύο πήχεις ὥρᾳ μιᾷ κινουμένης, βραδυτέρα. αὖθ' ἡ δευτέρα τοὺς τέτταρας πήχεις κινηθῇ, δυοῖν ὥραιν κινηθήσεται. καὶ οὕτως ἔσται τῆς τοὺς τέσσαρας τέσσαρσι κινουμένης, ὠκυτέρα. τὸ γὰρ ἴσον διάστημα, θᾶττον ἀνύσει. τούτου τοίνυν ὑποκειμένου, δύο τινὰς ἐννοήσωμεν ἤδη σφυγμοὺς ἀνίσους τῆς εἰς ὕψος ἀνόδου. ταύτης γὰρ μάλιστα τῆς διαστάσεως εἰς τὸν λόγον δεόμεθα, καὶ ποιήσωμεν εἰ βούλει παραδείγματος ἕνεκα, τὸ μὲν βάθος τοῦ βάθους δεκαπλάσιον. τὸν δὲ χρόνον, τοῦ χρόνου διπλάσιον. ἆρ' οὐ φανερῶς ἡμῖν, εἴ τι μεμνήμεθα τῶν προειρημένων, ὁ σφυγμὸς, ὁ δεκαπλάσιον ἔχων τὸ ὕψος, ὠκύτερος ἔσται πολὺ θατέρου. εἰ γὰρ τὴν αὐτὴν κίνησιν διαφυλάττων ὁ ταπεινὸς δεκάκις αὐξηθείη κατὰ τὴν τοῦ βάθους διάστασιν, ὁμοίως μὲν ὑψηλὸς γενήσεται θατέρῳ, χρόνῳ δὲ πολλῷ πλέονι; ἢ καὶ ἐκεῖνος. εὑρέθη τοίνυν ταπεινός τις σφυγμὸς βραχυχρόνιος, ὑψηλοῦ πολυχρονίου βραδύτερος. καὶ τοῦτ' ἦν τὸ λεγόμενον ἐξ ἀρχῆς, ὡς ἑτέρα μὲν ἡ τοῦ χρόνου τῆς κινήσεως, ἑτέρα δ' ἡ τοῦ χρόνου τοῦ τάχους ἐστὶ διάγνωσις. ἀλλ' ἴσως μέχρι μὲν λόγου ἐπινοεῖται ταῦτα. τῆς δ' ἀληθείας οὐ φαίνεται. καὶ μὴν εἰ παραβάλλοις ἀκμάζοντος ὑγιαίνοντος σφυγμὸν, παιδὸς σφυγμῷ μυρμηκίζοντι, δεκαπλασίαν τὴν εἰς ὕψος εὑρήσεις ἄνοδον. εἰ δέ γε τὸν αὐτὸν τοῦτον ἀκμάζοντα διαθερμήνας μετρίως, ἢ λουτροῖς, ἢ τρίψεσιν, ἢ γυμνασίοις εἰς θυμόν τινα καὶ ἀγανάκτησιν ἐμβάλλοις οὐ δεκαπλάσιον, ἀλλὰ πέντε καὶ δεκαπλάσιον εὑρήσεις αὐτοῦ τὸ ὕψος, τῆς κατὰ τὸν ἐν τῷ παιδὶ μυρμηκίζοντα σφυγμὸν ταπεινῆς διαστάσεως. ἀλλ' ὁ μὲν ἐν τῷ παιδὶ μυρμηκίζων ὑπὸ τῆς ἡλικίας ἐπιβοηθεῖται, πρὸς τὸ μὴ παντελῶς βραδὺς εἶναι. τὸν δ' ἐν τῷ γέροντι μυρμηκίζοντα, τίς ἂν εἰδὼς ἅπτεσθαι σφυγμοῦ,

Si verò maiorem proportionem habeat spatium ad spatium, quàm tempus ad tempus: vel tempus ad tempus, quàm spatium ad spatium: non amplius æquè celeres hos motus esse existimamus. Nam sit spatium spatij quadruplum, tempus verò temporis duplum: certum est spatij proportionem ad spatium maiorem esse, quàm temporis ad tempus. Itaque alter motus velocior erit. Iam illius esto spatium cubitorum quadringentorum, huius centum, ac tempus prioris duarum, alterius vnius horæ: si iam duabus horis alter motus cubita quadringenta confecerit, alter centum vna: constat si priorem centum tantum cubita moueri fingamus, hora dimidia confecturum: itaque altero erit celerior, quòd par spatium breuiori tempore emensus sit. Si verò secundum quadraginta faciamus progredi, quatuor hic horas requiret, quo nomine erit priore tardior, quippe par spatium percurret longiore tempore. In conspicuo igitur est, vbi spatij cum spatio collati maior sit proportio, quam temporis comparati cum tempore, eum motum necessariò celeriorem esse. Contrà si prioris motus spatium minorem habeat proportionem ad spatium alterius, quàm tempus ad tempus, priorem necesse sit tardiorem esse. Atque huius etiam exemplum proponam. Fac mihi prioris motus spatium spatij secundi motus duplum esse, tempus autem temporis quadruplum. Si iam prior quatuor cubita progrediatur quatuor horis, alter vna hora duo, planum est, si duo tantum cubita priorem fingamus progredi, duabus ea horis confecturum, quo tardior altero erit, qui eadem duo cubita percurreret vna hora: Et alterum, si quatuor cubita emetiatur, duabus id horis facturum, vnde illo, qui quatuor cubita, quatuor progressus horis est, velocior erit, si quidem par spatium ocyus confecerit. Quo quidem constituto, duos iam fingamus ascensu impares pulsus (nam hanc in primis dimensionem in hac disputatione quærimus) ac faciamus, si lubet, exempli gratia, esse profunditatem, profunditatis decuplam, & tempus temporis duplum: nonne apertè perspicies, modò superiorum memineris, pulsum cuius decupla est altitudo, multo fore altero celeriorem? Nam humilis, si in eodem constans motu, decuplo in profunditatis dimensione increuerit, fiet ille quidem æquè, ac alter altus, sed tempore longè maiore quam ille. Inuentus igitur quidam est humilis pulsus breui tempore durans, qui alto diuturno sit tardior, id quod est, de quo initio agebatur, aliam rationem dignoscendi temporis esse motus, aliam temporis celeritatis. At enim hæc verbotenus fortassis finguntur, à vero autem absunt. Imò si iuuenis valentis compares pulsum cum pueri formicante, decuplum ascensum offendes. Quòd si hunc ipsum iuuenem excalfacias moderatè, vel balneis, vel frictionibus, exercitationibusve, ac tum bilem moueas illi, & stomachum facias, non decuplam, sed quindecuplam eius profunditatem inueneris humilis dimensionis pulsus in puero formicantis. Verùm in puero formicans, ne sit semel tardus, subsidium ab ætate habet, at in sene formicantem, si pulsum nosti tangere, celerem

celerem non magis dicas, quam vermiculantem. Nam hoc haud scio, an tardior clarè vllus pulsus videatur. Formicans enim qua est breuitate, apertam cognitionem fugit. vermiculans non obscurè quidem est tardus, sed si quis alius, abundè perspicuus. Quid igitur inter celeres hunc quoque plerique referunt, nisi consensionem cum formicante studentes seruare, eos non sentiri statuunt? Nam quando in se facile hi pulsus mutuo conuertuntur, & vermiculantis facilè extremus delapsus formicantem gignit, similiter primum formicantis incrementum vermiculantem, planè illi nouum putauerunt, si eorum alterum dicerent celerem, tardum alterum. Ac quia semel non probè celerem appellarunt formicantem, idcirco rem ex consequenti tam falsam, tam etiam planè dissonam sustinuerunt admittere, vermiculantem etiam celerem esse. Et quidem vermis eum gressui comparant, & formicantem item formicæ, animantium, vide quàm velocium? & qui simul ita comparant, simul esse celeres contendunt, nec animaduertunt, quàm secum pugnent. Postquam verò in tantos se errores semel demiserunt, non dubitant etiam in stomachicis affectibus confirmare omnes esse pulsus celeres, quum ne hi quidem sint celeres omnes, ac verò alios etiam sexcentos, de quibus alio loco dicere magis conuenit. Qui errores mutuo consecuti illos sunt ob notionem non distributam, nec distinctam celeritatis, prorsusque confusam. Nam quum illi de celeri pulsu ex sola temporis existimarent breuitate, neque etiam de eius magnitudine statuerent, quæ falsò illis in mentem venerant, hæc in errorem ipsos in dignoscendo impulerunt. Sed nos clarè, ni fallor, alium ostendimus breui tempore durantem esse, vt sic appellem pulsum, alium celerem, similiter contrarios his alium diuturnum, alium tardum esse. Hic tu putas fortasse absolutam omnibus partibus esse disputationem, teque manifesto cognoscere, celerem pulsum differre à tardo. Ego verò nihil magis in votis habeam, quàm vt de commentatione tanta disputatio detrahatur. At re vera ita non habet, sed est habita oratio ad celerem pulsum & tardum dignoscendum, veluti quoddam præludium. Nam per totam hanc quidem habitam orationem duobus inter se motibus conferendis vnum tardiorem esse, alterum celeriorem ostendimus: nusquam verba fecimus tamen de tardo & celeri. Sanè quamplurimum interest, tardiorem dicas motum an tardum, necnon celeriorem an celerem. Exempli gratia, si quis aliquem dicat motum tardiorem esse quærimus, quonam dicat esse tardiorem eum, semper enim qui tardior est, alio dicitur tardior: sin tardum dicat aliquem motum esse, haudquaquam interrogamus quonam, nam ridiculi habeamur. Sic si pulsum tardiorem esse dicamus aut celeriorem, erit omninò qui de nobis, quonam tardiorem dicamus, vel celeriorem, requiret; sed tardum quum dicimus, vel celerem, nullus iam rogat quonam. Nunquid igitur celer, & tardus absoluto sermone proferuntur, at celerior verò tardiorque referuntur ad alterum. Sanè hoc fortasse quis promptè pro vero probabit. Mea verò longè alia ratio est. Adeò multæ est res cogitationis, deliberationisque, quum aliis de causis, tum quòd ad plures res pertinet ea speculatio: neque enim de celeri, & tardo, vel celeriore, & tardiore, distincto & definito est opus:

ταχὺν εἶναι λέγουσι, οὐ μᾶλλον, ἢ τὸν σκωληκίζοντα; τούτου μέν γε βραδύτερος οὐκ οἶδ' εἴ τις ἄλλος ἐναργῶς φαίνεται σφυγμός. ὁ μὲν γὰρ μυρμηκίζων διὰ βραχύτητα, τὴν ἐναργῆ διάγνωσιν ἐκπέφευγε. ὁ δὲ σκωληκίζων, οὐδ' ἀσαφῶς ἐστι βραδὺς, ἀλλ' εἴπερ τις ἄλλος ἱκανῶς σαφής. τί δή ποτ' οὖν καὶ τοῦτον ἐν τοῖς ταχέσιν οἱ πλεῖστοι καταριθμοῦνται, εἰ μή τι πρὸς τὸν μυρμηκίζοντα διασώζειν ὁμολογίαν βουληθέντες, ὡς ὑπὲρ ἀναισθήτων ἑαυτῶν ἀποφαίνονται. μεταπιπτόντων γὰρ εἰς ἀλλήλους τῶν σφυγμῶν τούτων ῥᾳδίως, καὶ τῆς μὲν τοῦ σκωληκίζοντος ῥᾳδίως ἐσχάτης καταπτώσεως τὸν μυρμηκίζοντα γεννώσης, τῆς δὲ τοῦ μυρμηκίζοντος πρώτης αὐξήσεως τὸν σκωληκίζοντα, φανερῶς ἄτοπον αὖθις ἐδόκει, ταχὺν μὲν εἰπεῖν τὸν ἕτερον αὐτῶν, βραδὺν δὲ τὸν ἕτερον. ἐπεὶ τοίνυν ἐτύγχανον οὐκ ὀρθῶς ταχὺν εἰρηκότες τὸν μυρμηκίζοντα, διὰ τοῦτ' ἐξ ἀκολουθίας ὑπέμειναν, οὕτω ψευδῶς τε καὶ φανερῶς ἐναργῆ μαχόμενον ὁμολογῆσαι, ὃ καὶ τὸν σκωληκίζοντα ταχὺν εἶναι, καίτοι σκώληκος εἰκάζουσιν αὐτὸν πορείᾳ· καθάπερ τὸν μυρμηκίζοντα μύρμηκος, ὁρᾷ πως ὠκέων ζώων, εἶθ' ἅμα μὲν οὕτως εἰκάζουσιν, ἅμα δὲ ταχεῖς εἶναι φασὶν οὐκ αἰσθανόμενοι τῆς πρὸς ἑαυτοὺς μάχης. ἐπεὶ δ' ἅπαξ εἰς τηλικαῦτ' ἐνέπεσον ἁμαρτήματα, καὶ τοὺς ἐπὶ ταῖς στομαχικαῖς διαθέσεσι, σφυγμοὺς ἅπαντας ταχεῖς εἶναι λέγουσιν, οὐδ' αὐτοὺς ἅπαντας ὄντας ταχεῖς, καὶ ἄλλους μυρίους. οὓς ἑτέρωθι μᾶλλον εἰπεῖν οἰκειότερόν ἐστιν. ἅπαντα δ' αὖθις ἠκολούθησε τὰ τοιαῦτα σφάλματα, διὰ τὸ τῆς ἐννοίας τοῦ τάχους ἀδιάρθρωτόν τε καὶ πάντῃ συγκεχυμένον. μόνῃ γὰρ τῇ βραχύτητι τοῦ χρόνου, κρίνοντες τὸν ταχὺν σφυγμόν. μὴ προσδιορίζοντες δέ πως ἔχει μεγέθους, ἀφ' ὧν ψευδῶς ἐδόξασαν, ἀπὸ τούτων ἐν τῇ διαγνώσει σφάλλονται. ἀλλ' ἡμεῖς ἐπεδείξαμεν, οἶμαι σαφῶς ἕτερον μὲν εἶναι τὸν ὀλιγοχρόνιον, ὡς ἄν τις οὕτω καλέσειε σφυγμὸν, ἕτερον δὲ τὸν ταχύν. ὡσαύτως δὲ καὶ τῶν ἐναντίων αὖθις, ἕτερον μὲν τὸν πολυχρόνιον. ἕτερον δὲ τὸν βραδύν. ἴσως οὖν οἴει τὸ πᾶν ἤδη πεπληρῶσθαι τοῦ λόγου, καὶ γινώσκειν σαφῶς, ὅτι ταχὺς σφυγμὸς βραδέος διενήνοχεν. ἐγὼ δ' ηὐξάμην μὲν ἀποχωρῆσαι τῷ σκέμματι, τοσαύτην λέγων. οὐ μὴν γ' οὕτως ἔχει τἀληθές· ἀλλ' ἔστι τὰ νῦν εἰρημένα, προοίμιόν τι τῆς τοῦ τάχεός τε καὶ βραδέος σφυγμοῦ διαγνώσεως. ἐν ἅπαντι γὰρ τούτῳ τῷ προειρημένῳ λόγῳ παραβάλλοντες ἀλλήλαις δύο κινήσεις, τὴν μὲν βραδυτέραν, τὴν δ' ὠκυτέραν ἀπεδείξαμεν, οὐ μὴν περί τε βραδείας καὶ ταχείας εἴπομέν τι. πάμπολυ δ' ἴσον διενήνοχεν, ἢ βραδυτέραν λέγειν κίνησιν, ἢ βραδεῖαν. καὶ αὖθις ὠκυτέραν, ἢ ὠκεῖαν. αὐτίκα τὸν μὲν εἰπόντα βραδυτέραν εἶναι τήνδε τὴν κίνησιν, ἐπανερωτῶμεν ἧστινος φησὶν αὐτὴν εἶναι βραδυτέραν· ἀεὶ γὰρ ἑτέρας ἡ βραδυτέρα λέγεται βραδυτέρα. τὸν δ' εἰπόντα βραδεῖαν εἶναι τήνδε τινὰ κίνησιν, οὐκ ἔτ' ἐπανερωτῶμεν ἧς τινος, ἢ γελοῖοι δόξομεν εἶναι. καὶ σφυγμὸν δ' εἰ φαῖμεν εἶναι βραδύτερον, ἢ θάττονα πάντως τις ἡμᾶς ἐρήσεται, τίνος βραδύτερον λέγομεν, ἢ τίνος θάττονα. βραδὺν δ' εἰπόντων, ἢ ταχὺν, οὐκέτ' οὐδεὶς ἐπανερωτᾷ, τίνος. ἆρ' οὖν ὁ μὲν ταχὺς, καὶ βραδὺς τῶν ἁπλῶς λεγομένων εἰσὶν, ὁ δὲ θάττων τε καὶ βραδύτερος τῶν πρὸς ἕτερον. ἴσως μέν τις ἐκ προχείρου θήσει τοῦθ', ὡς ἀληθές, ἐμοὶ δ' οὐχ οὕτως ἔχειν δοκεῖ. ἀλλὰ παμπόλλης δεῖται σκέψεως, τά τ' ἄλλα καὶ ὅτι κοινὴ πλειόνων πραγμάτων ἐστὶν ἡ τοιαύτη θεωρία. οὐ γὰρ δὴ περὶ τάχεός τε καὶ βραδέος, ἢ θάττονος καὶ βραδυτέρου διωρίσασθαι χρή·

περὶ μεγάλου δὲ, καὶ μικροῦ, καὶ μείζονος, καὶ μικροτέρου, καὶ τῶν ἄλλων τῶν οὕτω λεγομένων παραλιπεῖν. ἀλλ' ἐπισκέψασθαι πότερα ταὐτόν ἐστι μείζονα φάναι, καὶ μέγαν σφυγμόν, καὶ μικρότερον αὖ, καὶ μικρόν, ἢ διαφέροντα πράγματα ὑπόκειται τούτοις τοῖς ὀνόμασι. καὶ τὸν μὲν μείζονα νοοῦμεν ἀεὶ τοῦ μικροτέρου μείζονα, καὶ τὸν μικρότερον, τοῦ μείζονος μικρότερον. τὸν μέγαν δ', οὐδενὸς μέγαν, ἀλλ' ἁπλῶς, ὥσπερ οὐδὲ τὸν μικρὸν, οὐδενὸς μικρὸν, ἀλλ' ἁπλῶς. τὰ δ' αὐτὰ, καὶ περὶ βραχυτέρου, καὶ βραχέος, καὶ μακροτέρου, καὶ μακροῦ, καὶ πλατυτέρου, καὶ πλατέος, καὶ στενοτέρου, καὶ στενοῦ, καὶ νὴ Δία μαλακωτέρου, καὶ μαλακοῦ, καὶ σκληροτέρου, καὶ σκληροῦ, καὶ τῶν ἄλλων ἁπάντων οὕτω λεγομένων, ἄξιον διορίσασθαι. σχεδὸν γὰρ εἰς ὅλην τὴν ἰατρικὴν, καὶ τὰς ἄλλας δὲ τέχνας ἁπάσας ἐκτείνεται τὸ σκέμμα. καὶ γὰρ θερμότερον λέγομεν, καὶ θερμὸν, καὶ ψυχρότερον, καὶ ψυχρὸν, καὶ ξηρότερον, καὶ ξηρὸν, καὶ ὑγρότερον, καὶ ὑγρόν. καὶ τό γ' ἐπὶ πᾶσι τούτοις πλέον γε, καὶ πολύ. καὶ πάλιν ἔλαττόν γε, καὶ ὀλίγον. ἐφ' ἑνὸς οὖν τινος τὸν λόγον, ὡς ἐπὶ παραδείγματος βασανίσαντες, εἰ μὲν τύχοιμεν εὑρόντες τι πλέον, οὕτως ἤδη κἀπὶ τἄλλα πάντα μεταφέρειν πειρασόμεθα τὴν μέθοδον. εἰ δ' ἀπορήσομεν, αὐτὴν γοῦν τὴν ἀπορίαν ἐπὶ πάντα μετοίσομεν, καὶ δυοῖν θάτερον, ἢ χρησιμωτάτην εἰς πολλὰ μέθοδον ἐξευρήσομεν, ἢ τὴν οἴησιν τοῦ δοκεῖν γιγνώσκειν, ἃ μὴ γινώσκομεν, ἀποθησόμεθα. φέρε δὴ προκεχειρίσθω γὰρ ἡμῖν, εἰς τὴν σκέψιν τό τε μέγα, καὶ τὸ μικρὸν, ὅπῃ διαφέρει τοῦ μείζονός τε, καὶ μικροτέρου. καὶ πρῶτον μὲν ἁπάντων, τῶν κατὰ τὸν βίον λεγομένων, ἐν οἷσπερ εἰθίσμεθά τε, καὶ τεθράμμεθα, τί νοοῦμεν τὸ μέγα, καὶ τί τὸ μικρὸν, ἀναμνήσομεν αὑτούς. ἆρά γε περὶ τὸ μεῖζόν τε, καὶ μικρόν. ἢ μεῖζον μὲν, οὐκ ἀνεχόμεθα τοῦ λέγοντος ἁπλῶς, εἰ μὴ προσθείη, τὸ τίνος λέγει μεῖζον, μέγα δ' ἁπλῶς αὐτοί τε λέγομεν, καὶ τῶν ἄλλων ἀκούομεν ἄνευ προσθήκης. ἆρ' οὖν τῶν καθ' ἑαυτὰ λεγομένων ἐστὶ, τὸ μέγα, καὶ τὸ μικρόν; ἀλλ' εἰ τοῦτο, πάντως δήπουθεν, ἢ οὐσίας ἐστὶ δηλωτικὰ, ἢ ποιότητος, ἢ τινος τῶν κατὰ τὰς ἄλλας κατηγορίας λεγομένων. οὐσίας μὲν οὖν οὐκ ἔστι δηλωτικὰ, καθάπερ Σωκράτης, ἢ Πλάτων, ἢ ἵππος, ἢ ἄνθρωπος. οὐ μὴν οὐδὲ ποιοῦ τινος, οὔτ' οὖν σχήματος, οὐδὲ χρώματος, οὐδὲ θέσεως, οὔτε διαπλάσεως, οὐδ' ὅλως οὐδενὸς τῶν οὕτω λεγομένων. ἀλλ' οὐδὲ τὸ ποῦ δηλοῦν πέφυκεν, ἢ τὸ ποτέ. οὐ μὴν οὐδὲ τὸ κεῖσθαι, ἢ ἔχειν, ἢ ποιεῖν, ἢ πάσχειν, ἀλλ' ἐν μόνοις αὐτὰ δεῖ ζητεῖν τοῖς κατὰ τὸ ποσὸν, ἢ πρός τι λεγομένοις. ἐὰν οὖν, ὥσπερ ὀλίγῳ πρόσθεν ἐφαίνετο, μὴ δοκῇ τῆς πρός τι κατηγορίας ἔχεσθαι, κατὰ τὴν τοῦ ποσοῦ ζητητέον αὐτά. καὶ μὴν ἀπορώτατόν ἐστιν, ὁρίσαι πηλίκον χρὴ νοεῖν ἑκάτερον αὐτῶν, ἆρά γε τὸ μὲν σταδιαῖον, μέγα. τὸ δὲ πηχυαῖον, μικρόν. καὶ μὴν τὸ μὲν ὄρος μικρὸν λέγομεν, κἂν σταδιαῖον ᾖ, τὸν δὲ μύρμηκα μέγαν, πάμπολυ δηλονότι πήχεος ἀπολειπόμενον. ἀλλ' ἴσως, φησί τις, ὅπερ τῶν ἡμετέρων ἑταίρων ἤρκεσέν τινι, ποσὸν μέν τι δηλοῦσθαι πρὸς αὐτῶν, οὐ μὴν ἀφωρισμένον γε τοῦτο. καθάπερ τὸ ποδιαῖον, ἀλλ' ὡς ἐκεῖνος ἔλεγεν, ἐν πλάτει τε, καὶ ἀορίστως. ἆρ' οὖν ἔχομεν ὅροις περιλαβεῖν τὸ πλάτος αὐτῶν, ὥσπερ τῶν ἄλλων τῶν οὕτως λεγομένων δὴ χοροῦ, καὶ πόλεως, καὶ ὄρους, καὶ στρατεύματος, καὶ λίμνης; ἕκαστον γὰρ τούτων μετὰ ποσότητος ἀορίστου λέγεται. δυνατὸν μὲν εἰπεῖν, ὡς οὔτε τοὺς τρεῖς, ἢ τέτταρας χορευτὰς ἤδη νοοῦμεν χορὸν, οὐ μὴν οὐδὲ τοὺς μυρίους ἔτι·

ἤρεσέ
πελίον

A de magno autem paruoque, & maiore atque minore, aliiſque quorum idem vſus eſt, negligere par eſt. Imò attendendum eſt, perinde ne ſit, ſi maiorem dicas, ac magnum pulſum, & item minorem ac paruum: an diuerſæ res ſub his nominibus lateant. Maiorem quidem ſemper accipimus minore maiorem, atque minorem, maiore minorem: magnum verò nullo magnum, ſed abſolutè, itemque paruum, nullo paruum, cæterùm abſolutè. Eodem modo de breuiore & breui, longiore & longo, latiore atque lato, anguſtiore anguſtoque, & hercle etiam de molliore & molli, duriore & duro, denique de omnibus aliis, quæ in in eum vſurpantur modum, B diſtinctione eſt opus. Quippe hæc conſideratio pene pertinet quum ad totam medicinam, tum verò ad alias artes omnes: etenim calidius dicimus, & calidum, frigidius, & frigidum, ſiccius, & ſiccum, humidius, & humidum denique plus, & multum, ſimiliterque minus & parum. Vna igitur in re ſermonem pro exemplo explorabimus, vbi ſi indagando, nobis quid profectum ſit, ad alia tum omnia viam, & rationem hanc faciemus, vt traducamus, ſin hæreamus, ipſam etiam hanc hæſitationem transferemus ad C omnia. Alterutrum quidem certè, aut viam, rationemque inuenerimus ad multa accommodiſſimam: aut inanem ſcientiæ eorum perſuaſionem, quæ ignoramus, depoſuerimus. Age iam ſumamus in manus magnum, & paruum, vt expendamus, quatenus à maiore, & minore diſtent. Et primum de rebus omnibus mundi, in quibus quidem verſati ſumus, & educati, quid intelligamus magnum, & quid paruum, nobis ipſis ſubijciamus: ſimili modo, quid maius, & minus. Nonne maius, vt quiſquam abſolutè dicat, non ferimus, niſi addat, quo dicat maius: magnum D autem abſoluto ſermone, & ipſi proferimus, & alios citra additionem audimus? Nunquid igitur per ſe dicuntur, & abſoluto ſermone magnum & paruum? At ſi eſt, nimirum, vel ſubſtantiam ſcilicet denotabunt, vel qualitatem, vel aliquod aliud prædicamentum? Atqui ſubſtantiam non ſignificant, vt Socrates, Plato, equus, homo. Nec verò etiam qualitatem vllam, neque figuram igitur, neque colorem, neque poſitionem, neque conformationem & paucis nihil iſtius generis. Quin nec vbi indicare vel quando poſſint, nec item ſitum, nec habitum, E nec actionem, nec paſſionem. Sed in illis hæc ſolis ſunt quærenda, quæ in prædicamento quantitatis, aut ad aliquid ſunt. Atque ſi (quæ nuper noſtra ſententia erat) non videantur ad prædicamentum relationis pertinere, in quantitatis erunt quærenda. Porrò plenum eſt difficultatis ſtatuere, quantum intelligere vtrunque oporteat, an ne inſtar ſtadij magnum, & cubitale paruum. Atqui montem etiam ſi magnitudine ſit ſtadij, paruum dicimus & formicam magnam, longe quidem cubito minorem. Dices fortaſſe (quod familiari cuidam meo ſatisfecit) quantitatem qui-F dem ab iis ſignificari, non certam tamen illam, vt pedale: cæterùm vt ille dicebat, latam & indefinitam. Nunquid igitur finibus altitudinem eorum complecti poſſumus, vt alia id genus, nimirum chori, ciuitatis, montis, exercitus, ſtagni? quippe quæ cum quantitate incerta omnia dicantur. Poſſumus dicere non tres nos, aut quatuor ſaltatores chorum intelligere, non tamen iam mille:

nec

nec etiam ciuitatem, si qua tribus constet domibus, nec quæ mille stadiis exporrecta est: neque montem, qui cubitalis sit, sed qui maior, neque tamen qui lunam attingat: neque stagnum, collectionem aquæ trium amphorarum, non tamen vt vniuersam terram inundet. Nam vniuscuiusque horum quanquam adamussim nequeas quantitatem constituere, multa tamen inuenias corpora, quæ ab eorum notione vtrinque deflexerunt: hæc quòd nondum: illa quòd non amplius sint talia.

CAPVT II.

Termini magni & parui.

QVi ergo termini magno & paruo statuantur, vt commemoratis omnibus, non est quid dicamus; imò verò adeò intelligentia patet latè magni, vt ipso etiam vniuerso mundo, verbi gratia, si quid excogitari maius possit, hoc magni sit obtenturum nomen. Nihilominus formica, culex, milium, & si quod hoc minus sit animal, vel granum, accipiat magni nomen: neque enim formica tantum, sed & milium, & culex magnus dicitur. Tantùm ergo constat, vnamquanque rem cum eiusdem generis rebus collatam, vel paruam, vel magnam dici, absolutè nihil. Atque hoc quidem inter maius interest, & magnum, quòd maius omni minore possit maius dici: magnum verò non quolibet maius, sed tantum eis, quæ sunt eiusdem generis. Eadem de minore, & paruo distinctio est, nec non de celeri, & celeriore, nec secus de tardo, & tardiore: siquidem equus quispiam tardus dicatur, & formica velox. Simili ratione alia cuncta videbis appellata esse quum in pulsuum omnibus generibus, tum per totam medicinam, & hercle per totam mortalium vitam, durum durius, molle mollius, crebrum crebrius, breuiter alia id genus omnia, partim cum altero quolibet comparata, partim cum iis tantum, cum quibus conueniunt genere. Quid iam igitur summamne assecuti sumus, an verò hic etiam sermo postulat distinctionem? neque enim si cum omnibus, quæ sunt eiusdem generis, magnum comparemus, statim sic nominamus. Neque enim simul Achilles & Aiax dicentur magni, nec Polydamas, & Milo, si quidem Aiace Achilles, Milone erat maior Polydamas: sed planè cum medio, & mediocri, atque moderato, quod vocant, vno quoque in genere, veluti cum regula, arbitroque, cætera conferemus: tum quæ illud excedunt, magna esse dicemus omnia: quæ contra, parua. Id quod vsu venit in omni vita, in artibus quidem vtique maximè, nam ad moderati omnes examen referuntur: atque hoc suppeditare essentiis, in quibus versantur student. Ac multum cibi dicit medicus sumpsisse quempiam, vbi corporis naturam nutriendi excedat: rursus parum, vbi infra mediocritatem eius sit. Nam ea ratione athletæ duas minas carnis parum dicimus esse: & frequenter ægroto interdicimus cremoris ptisanæ peluim exorbere, vt supra mediocritatem. Ita magnum etiam pulsum, & paruum dicimus, qui à mediocritate deflectit, atque huius vtriusque magnum numerum esse, moderatum vnum, qui indagandus nobis, & ob memoriam ponendus, omnibusque aliis applicandus est,

καθάπερ οὐδὲ πόλιν, οὔτε τὴν ἐκ τριῶν οἰκιῶν συγκειμένην, οὔτε τὴν εἰς χιλίους σταδίους ἐκτεταμένην, οὐδ' ὄρος οὐ τὸ πηχυαῖον μόνον, ἀλλά τι μεῖζον, οὐδ' αὖ πάλιν τὸ μέχρι τῆς σελήνης ἀνατεταμένον, οὔτε λίμνην συστασιν ὕδατος ἀμφορέων τριῶν, οὐ μὴν οὐδ', ὥς τε τὴν γῆν ὅλην ἐπικλύζειν. ἑκάστου γὰρ τούτων, εἰ καὶ μὴ δυνατὸν ἀκριβῶς ἀφορίσαι τὸ ποσὸν, ἀλλ' ἐξευρεῖν γε δυνατὸν, πολλὰ σώματα παντελῶς ἐκπεπτωκότα τῆς νοήσεως αὐτῶν ἐφ' ἑκάτερον, τὰ μὲν, τῷ μηδέπω, τὰ δὲ, τῷ μηκέτ' εἶναι τηλικαῦτα.

ΚΕΦΑΛΑΙΟΝ Β.

Ὅροι τοῦ μεγάλου τε καὶ μικροῦ.

Τίνες οὖν ὅροι τῷ μεγάλῳ τε καὶ σμικρῷ, καθάπερ ἑκάστῳ τῶν εἰρημένων οὐκ ἔχομεν εἰπεῖν. ἀλλ' εἰς τοσοῦτον ἐπὶ πλάτος ἡ νόησις ἐκτέταται τοῦ μεγάλου, ὥστε καὶ αὐτοῦ τοῦ κόσμου παντὸς εἰπεῖν, εἴ τι μεῖζον δύναιτό τις νοῆσαι, καὶ τοῦτο δέξεται τὴν τοῦ μεγάλου κατηγορίαν. ἀλλὰ καὶ μύρμηξ, καὶ κώνωψ, καὶ κέγχρος, καὶ εἴ τι τούτου μικρότερον εἴη ζῶον, ἢ σπέρμα, δέχηται τὴν τοῦ μεγάλου κατηγορίαν. οὐ γὰρ μύρμηξ μόνον, ἀλλὰ κέγχρος τις, καὶ κώνωψ, μέγας λέγεται. δῆλον οὖν τό γε τοσοῦτον, ὡς ἕκαστον τοῖς ὁμογενέσι παραβαλλόμενον, ἢ μικρὸν, ἢ μέγα λέγομεν, ἁπλῶς δ' οὐδέν. καὶ ταύτῃ διήνεγκε τὸ μεῖζον, τοῦ μεγάλου. τὸ μὲν μεῖζον, παντὸς τοῦ μικροτέρου δύναται μεῖζον λέγεσθαι. τὸ μέγα δ', οὐ παντὸς, οὐ τινὸς μεῖζον, ἀλλὰ τὸ μόνον τῶν ὁμογενῶν. οὕτω δὲ καὶ περὶ μικροτέρου, καὶ μικροῦ χρὴ διορίζεσθαι, καὶ περὶ τάχους, καὶ ταχίονος, καὶ βραδέος, καὶ βραδυτέρου, τὸν αὐτὸν τρόπον. εἴ γε καὶ ἵππος βραδὺς λέγεταί τις, καὶ μύρμηξ ταχύς. ὁμοίως δὲ, καὶ τῶν ἄλλων ἕκαστον ὀνομασμένων εὑρήσεις ἔν τε τοῖς τῶν σφυγμῶν γένεσιν ἅπασι, καὶ κατὰ τὴν ὅλην ἰατρικήν. ἤδη δὲ καὶ κατὰ τὸν σύμπαντα βίον τῶν ἀνθρώπων, καὶ σκληρὸν, καὶ σκληρότερον, καὶ μαλακὸν, καὶ μαλακώτερον, καὶ πυκνὸν, καὶ πυκνότερον, καὶ τἄλλα πάντα παραπλήσια, τὰ μὲν, πρὸς ἕτερον, ὅ, τι δήποτε παραβάλλεται, τὰ δὲ πρὸς μόνα, τὰ κατὰ τὸ ἐν αὐτοῖς γένος. ἆρ' οὖν ἤδη τὸ πᾶν ἔχομεν, ἢ καὶ τούτῳ τις τῷ λόγῳ λείπει διορισμός; οὐ γὰρ ἅπασι τοῖς ἐκ ταὐτοῦ γένους τὸ μέγα παραβάλλοντες, οὕτως ὀνομάζομεν. οὐ γὰρ ἂν Ἀχιλλεύς θ' ἅμα, καὶ Αἴας ἐλέγοντο μεγάλοι, καὶ Πολυδάμας, καὶ Μίλων. εἴ γε τοῦ μὲν Αἴαντος ὁ Ἀχιλλεὺς, τοῦ δὲ Μίλωνος, Πολυδάμας ἦν μείζων. ἀλλὰ δῆλον, ὅτι τῷ μέσῳ τε, καὶ μετρίῳ, καὶ συμμέτρῳ προσαγορευομένῳ, καθ' ἕκαστον γένος, ὥσπερ κανόνι, καὶ κριτηρίῳ τἄλλα παραβάλλοντες, ὅσα μὲν ὑπὲρ αὐτὸ, μεγάλα πάντ' εἶναι λέγομεν. ὅσα δ' ἐναντία, σμικρά. καὶ τοῦτ' ἔστιν μὲν κἀν τῷ βίῳ παντὶ, μάλιστα δ' οὖν ἐν ταῖς τέχναις, περὶ γὰρ τὴν τοῦ συμμέτρου θήραν ἔχουσιν ἅπασαι, καὶ τοῦτ' ἐκπορίζειν ἀεὶ σπεύδουσι ταῖς οὐσίαις περὶ ἃς καταγίγνονται. καὶ πολὺ σιτίον ἐδηδοκέναι τόνδε τινά φησιν ὁ ἰατρὸς, ὅταν ὑπὲρ τὴν τοῦ τρεφομένου σώματος ᾖ φύσιν, καὶ ὀλίγον αὖθις, ὅταν ἀπολίπηται συμμετρίας τοῦ τρεφομένου. οὕτω γοῦν ἀθλητῇ δύο μνᾶς κρεῶν ὀλίγον εἶναι λέγοντες, τῷ νοσοῦντι, πολλάκις ἀπαγορεύομεν, χυλοῦ πτισάνης ἐκροφῆσαι λεκάνιον, ὡς πλέον ὂν τοῦ συμμέτρου. καὶ μέγαν οὖν σφυγμὸν καὶ μικρὸν ἐροῦμεν, τὸν ἐξιστάμενον τῆς συμμετρίας, καὶ τούτους μὲν πολλοὺς ἑκατέρους. ἕνα δὲ τὸν σύμμετρον, ὃν χρὴ θηρᾶσαί τε, καὶ τῇ μνήμῃ παραθεμένους, ἐπάγειν τοῖς ἄλλοις ἅπασιν,

εἶναι μέτριον τι δίκαιον ὑπ' αὐτῆς τῆς φύσεως ὡρισμένον. ὅπως οὖν αὐτὸν ἐξευρῶμεν, ἤδη σκοπῶμεν. ἐπὶ τοῦτο γὰρ ὁ πᾶς σπεύδει λόγος, καὶ τούτου χάριν εἴρηται τὰ πρόσθεν ἅπαντα. εὕροιμεν δ' αὐτὸν εἴπερ δυναίμεθα μεθόδῳ. χρήσιμον γὰρ τοῦτο, πρὸς τὸ κατὰ πάντων τῶν συμμέτρων ἕνα λόγον ἔχειν, καὶ μὴ ζητεῖν αὖθις, ὅπως μὲν εὑρίσκειν χρὴ τὸν κατὰ τὴν κίνησιν σύμμετρον, ὅπως δὲ τὸν κατὰ τὴν ἡσυχίαν, ἢ τὸν τόνον, ἢ τὸ τῆς ἀρτηρίας σῶμα. καὶ πρότερον μὲν τοῦτ' ἴδωμεν, εἰ χρὴ καθ' ἕκαστον γένος, σφυγμὸν ἕνα ζητεῖν τὸν σύμμετρον, ἢ πλείους. ἄλλον μὲν, ὡς ἐν ἡλικίᾳ σύμμετρον. ἄλλον δ', ὡς ἐν ἕξεσι σωμάτων, ἄλλον δ', ὡς ἐν κράσεσιν, ἄλλον δ', ὡς ἐν ὥραις, ἢ χώραις, ἢ καταστάσεσιν, ἢ ἐπιτηδεύμασιν, ἢ ψυχικαῖς διαθέσεσιν. ἐν ἅπασι γὰρ τούτοις, τοὺς μὲν μεγάλους, τοὺς δὲ μικροὺς, τοὺς δὲ συμμέτρους λέγομεν εἶναι σφυγμοὺς, καὶ τοὺς μὲν ταχεῖς, τοὺς δὲ βραδεῖς, τοὺς δὲ συμμέτρους, καὶ κατὰ τὰς ἄλλας διαφορὰς ὡσαύτως. καὶ τάχ' ἄν τινι δόξειε τοῦτ' εὐλογώτερον εἶναι, καὶ τῇ χρείᾳ μᾶλλον ὁμολογοῦν, τὸ, καθ' ἕκαστον γένος σφυγμῶν, ἕνα ποιεῖν τὸν σύμμετρον. ἐπισκεψώμεθα οὖν ἀκριβέστερον αὐτὸ, καὶ προχειρισάμενοι γένος ἓν σφυγμῶν, ὡς ἐν παραδείγματι, τὸ τῶν μεγάλων τε καὶ μικρῶν, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν ἐλέγομεν, τὸν μέσον αὐτῶν, καὶ τὸν σύμμετρον ἐξευρεῖν πειραθῶμεν. ἰδίᾳ μὲν, ἐν ἡλικίαις, ἰδίᾳ δ', ἐν ὥραις τε, καὶ χώραις, καὶ φύσεσι, καὶ κράσεσι, καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τοιούτοις. ἀρκέσει γὰρ, εἰ τοῦθ' εὕροιμεν, εἰς τὴν χρείαν, εἴ γε πρόκειται μὲν ἡμῖν τὸν οἰκεῖον ἑκάστου τῶν εἰρημένων σφυγμῶν εἰδέναι, καὶ τὰς εἰς τὸ παρὰ φύσιν ἐκτροπὰς αὐτοῦ διαγινώσκειν. ἡ δὲ νῦν εἰρημένη διδασκαλία, φαίνεται τοῦθ' ἡμῖν ἐκπορίζουσα. σκεψώμεθ' οὖν ἀκριβῶς, εἰ δυνατὸν ἐξευρεῖν αὐτό. φαίνεται γὰρ ἐμοὶ μὲν χαλεπώτατον, ἴσως δὲ καὶ ἀδύνατον. ἡ χαλεπότης δ', ἐν τῷ μηδὲν τῶν εἰρημένων, ἰδίᾳ καὶ καθ' αὑτὸ λαβεῖν δύνασθαι. πότε γὰρ, ἰδίᾳ καὶ καθ' αὑτὴν, ἔστιν ἰδεῖν τὴν ἐν ταῖς ὥραις διαφορὰν τῶν σφυγμῶν ἄνευ σώματος, ὃ καὶ μὴ κράσεώς πως ἔχει καὶ ἕξεως, καὶ ἡλικίας, καὶ τῶν ἄλλων τῶν εἰρημένων; ὥστ' οὐκ ἂν ἔχοις εἰπεῖν, ἦρι μὲν τηλικοῦτος σφυγμὸς οἰκεῖος, θέρει δ' ὁ τηλικοῦτος. ἐρωτηθεὶς γὰρ ἐν τίνι καὶ λέγεις σώματι, πότερον ἐν θερμοτέρῳ τὴν κρᾶσιν, ἢ ψυχροτέρῳ, καὶ ἰσχνῷ, ἢ παχεῖ· καὶ ἀκμάζοντος, ἢ γέροντος. ἢ ψυχρᾷ χώρᾳ, ἢ θερμῇ. καὶ ἀνδρὸς, ἢ γυναικός. καὶ κατὰ τἄλλας διαφορὰς ὡσαύτως. ὥστε φαίνεται δεῖν κατὰ τὴν ὅλην τῶν ὑποκειμένων σωμάτων φύσιν ἐπισκέπτεσθαι, τὸν οἰκεῖόν τε, καὶ οὐκ οἰκεῖον σφυγμόν. ἵνα εἰδῶμεν, εἰ οὕτως ἔτυχεν, ὅτι Δίωνι μὲν ὁ σφυγμὸς τηλικοῦτος ἐστὶ φύσει, Θέωνι δὲ τηλικοῦτος. ἀλλὰ καὶ τοῦτ' ἄτοπον, οὐ μόνον τῷ χρῆναι καθ' ἕκαστον ἄνθρωπον ἰδίαν ἡμᾶς ἔχειν μνήμην τε τῶν οἰκείων σφυγμῶν, καὶ μὴ δύνασθαι περὶ μηδενὸς διαγνῶναι μηδὲν, ᾧ πρότερον οὐκ ἐντυγχάνομεν· ἀλλὰ καὶ τῷ μηδ' ἐπ' αὐτοῦ τοῦ Δίωνος, εἰ τύχοι τὸν ἕνα τοῦτον τὸν οἰκεῖον σφυγμὸν ἐν ἑκάστῳ γένει δυνατὸν ἰδίᾳ καὶ χωρὶς τῆς τῶν ἔξωθεν πραγμάτων περιστάσεως λαβεῖν. πότε γὰρ καὶ λήψει; πότερα τοῦ ἐν χειμῶνι Δίωνος, ἢ τοῦ κατὰ τὸ θέρος. καὶ πότερα τοῦ ἐν Ῥώμῃ, ἢ τοῦ ἐν Λιβύῃ, καὶ τοῦ ἰσχνοτέρου γεγονότος, ἢ τοῦ παχυτέρου, καὶ ἀργότερον, ἢ ἐπιπονώτερον διηγμένου, καὶ ἐνδεέστερον, ἢ δαψιλέστερον διῃτημένου. καὶ οἶνον, ἢ ὕδωρ πεπωκότος, ἢ διψῶντος. οὐ γὰρ ἔστιν ἄνευ τούτων, καὶ ἄλλων μυρίων περιστάσεων, ἰδίᾳ ποτὲ καὶ ταὐτὸ λαβεῖν τὸ Δίωνος σῶμα. μένει τοίνυν γὰρ νῦν ἔτι, ἡ ἐξ ἀρχῆς ἀπορία. τὸν γὰρ τῇ ὅλῃ φύσει τοῦ ὑποκειμένου σώματος, οἰκεῖον σφυγμὸν, ὃν δὴ καὶ σύμμετρον ἐκαλοῦμεν, ἐν ἴσῳ τῷ μέτριον εὑρεῖν ἀδυνατοῦμεν. ἄμεινον οὖν

veluti mensura quædam æqua ab ipsa constituta natura. Quem quomodo inuenire possimus, reliquum est, vt cõsideremus: nam eo tota oratio properat, cuius quidem nomine retulimus, quicquid ante dictum est. Inuenerimus autem illum, modò possimus, via & ratione. Quippe hoc ad illud interest, vt vnam viam ad omnia moderata, vnamq; rationem habeamus, nec denuo necesse habeamus quærere, quo pacto inueniẽdus sit in motu moderatus, quo pacto in quiete, vel in cõtentione, vel in arteriæ corpore. Ac primum hoc videamus, vtrum singuli in singulis generibus quærendi pulsus moderati sint, an plures, alius pro ætate moderatus, alius pro habitibus corporis, alius pro temperamẽtis, alius pro anni tẽporibus, alius pro locis, statibus vitæ institutis, vel animi affectibus. Pro his enim omnibus alios magnos, alios paruos, alios moderatos dicimus pulsus esse: iã hos celeres, illos tardos, quosdam moderatos: pariq; modo in cæteris differentiis. Forsan autẽ hoc probabilius alicui videbitur, magisq; cõsonum vsui, si cuilibet generi vnũ assignemus moderatũ. Ergo accuratius hoc disceptemus, atque vnum sumamus genus pulsuum pro exemplo, scilicet magnorũ, & paruorum, de quib. egimus paulò superius; ac medium eorum, & moderatũ demus operã, vt inueniamus, sigillatim pro ætatibus, sigillatim pro anni temporibus, regionibus, naturis, temperamentis, aliisq; id genus omnibus; nam hoc nihil desideremus ad vsum amplius, si inuentum sit, siue proprium instituamus cuiusq; memoratorum pulsum scire, siue etiam eius à natura recessus dignoscere. Quod præsens nobis doctrina videtur suppeditare. Quare etiam atq; etiã videamus, possitne hoc inueniri. Mihi quidẽ sanè difficillimum videtur, atq; adeò non posse fortasse inueniri; ac difficultas quidem in eo est, quòd nihil ex his, quæ commemorauimus, separatim licet, & solum sumere. Nam quando separatim, & solam cernas pulsuum pro temporibus anni differẽtiam citra corpus, quod iam suum temperamentum habeat, & habitum, & ætatem, & alia quæ diximus? Itaque fit vt nõ possis dicere, hic pulsus peculiaris veri est ille æstati: nam te quis roget, quo tu nam in corpore dicas, in calidiore tẽperatura, an frigidiore, gracili an corpulẽto: iuuenis an senis, in frigida regione, an calida; & viri an mulieris: nec secus in reliquis differẽtiis. Quocirca in omni natura videtur propositum corporum proprius esse animaduertẽdus pulsus, & non proprius, quo sciamus Dionis verbi gratia, pulsus talis natura est; Theonis talis. At hoc absurdum sit, non tantum quia necesse esset, qui peculiares singulis hominibus pulsus sint & qui nõ peculiares, separatim meminisse, & nihil nos posse de quoquam, nisi vsus nobis cum eo intercessisset, cognoscere; verùm etiam quòd ne in ipso Dione quidẽ verbi gratia, vnũ hunc propriũ pulsum in vnoquoque genere separatim possemus & præter rerum externas circunstantias sumere. Nam quãdo sumes tandem? Dionis ne hyeme, an Dionis æstate; & vtrũ Dionis Romæ, an in Africa; iam gracilioris, an corpulẽtioris: præterea eius qui ociosius egerit, an laboriosius; durius, an lautius vixerit? tum vinum, an aquam potauerit, an sitierit? Neq; enim est ab his aliisq; circunstantiis sexcẽtis separatũ sumere, & solum corpus Dionis. Itaque nondum explicata prima dubitatio est. Siquidem pulsum toti naturæ propositi corporis proprium; quem quidem moderatum, hoc est mediocrẽ appellauimus, nõ valemus inuenire. Præstiterit igitur

non ambire hac ratione pulsuum notitiam, sed vt præscripsi tyronibus, in singulis, quas narraui causis ediscere variationem. Nam aliquam possis eius viam, atque rationem inuenire, quam hoc loco prius adnotabimus; deinde inspiciemus vtrum omnia præstare queat, an aliqua ex parte etiam claudicet. Porrò via ratioque hæc, vt exempli gratia viam sumamus de causis quæ alterandis sunt pulsibus, vt exercitationem. Nam si considerandum venit, quemadmodum pulsus exercitatio immutet, delige hominem, cuius attendas prius omnes pulsus, inde exercites, tumque de integro attendas, qui illorum sit intensus, & quis exolutus, & quantum atque sic inuenies, quantum exercitatio pulsus possit immutare. Haud aliter in balneis, potu cibisque omnibus facto de singulis hominibus periculo, facilè alterationes inueniemus. Hæc facillima experientia est; verùm quæ ab experientia ineundæ rationes sunt, non perinde faciles. Nam quod est in omni experientia, id hic item, ne dum nihil distinguimus, & confusè rem tractamus, offendamus, periculum est. Quod fit bifariam, vt res non distributa, vel distincta sit; partim quòd commune non dispartiamus in suas omnes partes; partim quòd alterantibus causis non attendamus, quæ præcipuè, vel primò vel quocunque velis nomine vocare; & quæ per accidens successerunt. Atque commune non secare in omnes suas differentias tale est, nempe requirit oratio ad claritatem exemplum. Si quis exercitatorum tales dicat esse pulsus, neque distinxerit, nec cuinam dicat exercitato, nec quemadmodum exercitato, neque quando, neque quantum; hic eo quòd non diuisit commune in differentias lapsus est. Cuinam exercitato inquam, qua ætate, quo robore, aut infirmitate, quibus humoribus prædito, quo corpore, qua temperatura, qua compage corporis partium, quam ad exercitationem consueto: scilicet in tot membra diuiditur, cuinam. Iam quomodo exercitatus est, in alias etiam differentias scinditur, an validè, necne; celeriter necne; æqualiter necne; in quibus omnibus non eodem modo mutabitur. Iam etiam diuersam esse pro tempore alterationem oportet; neque enim à cibo subire exercitationem perinde est, ac ieiunum; nec perinde est tristem, atque hilarem; alacrem ac segnem; rigidum ac excalfactum; item eum qui plus iusto, ac qui intra modum vel mediocriter dormiuit. Similes immutationis differentiæ manabunt ex quantitate exercitationum, siquidem moderatæ aliter, atque plures, vel pauciores, commutant pulsus. At per accidens, an per se, mutatio fiat, ita est distinguendum; ecquid fuisset excrementis plenus, & quum cœpit exercitari, fluente in ventrem vitiosorum humorum copia, vellicari contigit os ventriculi humorum vitio, aut copia opprimi, aut euerti, ac nauseare, eoque vel fatiscere hominem, vel languescere, vel refrigerari, vel suffocari; horum enim alterat quodque pulsus, quos aliquis forsitan ab exercitatione existimabit profectos. Nam si qui plethoricus sit, ac thorace & pulmone affecto, simul vt cœpit velociter exercitari, in dispnœam inciderit, pro dispnœa variabunt pulsus; & tu putabis fortassis pro exercitationibus. Ergo vt in experiundo non fallaris quomodo sit distinguendum, etsi alio loco sim longiùs persecutus, summatim hîc tamen perstringam.

A ἴσως μὴ ταύτῃ μετιέναι τὴν περὶ τῶν σφυγμῶν διάγνωσιν, ἀλλ' ὡς τοῖς εἰσαγομένοις ἔγραψα μὲν, ἐφ' ἑκάστου τῶν εἰρημένων αἰτίων τὴν τροπὴν ἐκμαθεῖν. ἔστι γὰρ ἥν εὕρεσιν τοῦ τοιούτου μεθόδου, ἣν καὶ νῦν παραγράψαντες πρότερον ἐφεξῆς ἐπισκεψώμεθα, πότερ' αὐτάρκης ἐστὶν εἰς ἅπαν, ἢ καὶ αὐτὴ κατά τι ἐλλιπής. εἴη δ' ἂν ἡ μέθοδος τοιάδε, προχειρισαμένων ἡμῶν, ἕνεκα παραδείγματος, ἕν τι τῶν τρέπειν τοὺς σφυγμοὺς πεφυκότων αἰτίων, οἷον γυμνάσιον. προτεθέντος γὰρ σκοπεῖσθαι, τίνα τρόπον τῶν σφυγμῶν ἐργάσεται γυμνάσιον τὴν τροπὴν, λαβὼν οὖν τινὰ ἄνθρωπον, ἁπάσας αὐτοῦ τὰς διαφορὰς τῶν σφυγμῶν
B ἐπισκέψαι πρότερον, εἶτα γυμνάσας αὖθις, ἐπισκέψαι, τίς μὲν αὐτῶν ἐξετάθη, τίς δ' ἐξελύθη, καὶ μέχρι πόσου, καὶ οὕτως ἐξευρήσεις, ὁπόσον πέφυκε γυμνάσιον τρέπειν τοὺς σφυγμούς. ὁμοίως δὲ καὶ περὶ λουτρῶν, καὶ πομάτων, καὶ ἐδεσμάτων, καὶ τῶν ἄλλων ἁπάντων, ἐκ τῆς καθ' ἕκαστον ἄνθρωπον πείρας, ἕτοιμον εὑρεῖν τὰς τροπάς. οὕτω μὲν ἡ πεῖρα ῥᾴστη. τὰ δὲ τῶν ἐπὶ τῇ τοιαύτῃ πείρᾳ λογισμῶν, οὐκέτι ῥᾴδια. κίνδυνος γὰρ, ὥσπερ ἐν πάσῃ πείρᾳ σφαλῆναι παρὰ τὸ ἀδιόριστον, οὕτω κἀνταῦθα. διχῶς δὲ τοῦτ' αὐτὸ ἀδιόριστον γίνεται. τὸ μὲν, τῷ μὴ τεμεῖν τὸ κοινὸν εἰς τὰς ἐν αὐτῷ πάσας διαφορὰς, τὸ δὲ, τῷ μὴ σκέψασθαι
C τοῖς τρέπουσιν αἰτίοις, τίνα μὲν προηγουμένως, ἢ πρώτως, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, τίνα δὲ κατὰ συμβεβηκὸς ἠκολούθησε. τὸ μὲν δὴ μὴ τέμνειν τὸ κοινὸν εἰς τὰς ἐν αὐτῷ πάσας διαφορὰς, τοιόνδε. δεῖται γὰρ ὁ λόγος, ἵν' ᾖ σαφὴς, παραδείγματος. εἴ τις ἀποφήναιτο τῶν γυμνασαμένων τοὺς σφυγμοὺς τοιούσδε γίγνεσθαι, μὴ διορισάμενος, μήθ' ᾧ τινι λέγῃ τῷ γυμνασαμένῳ, μήτε πῶς γεγυμνασμένῳ, μήτε πότε, μήθ' ὁπόσα, παρὰ τὸ μὴ τέμνειν τὸ κοινὸν εἰς τὰς διαφορὰς ἐσφάλη. τίνι γὰρ καὶ λέγω τῷ γυμνασαμένῳ, πῶς ἡλικίας ἔχοντι, πῶς δὲ ἰσχύος, ἢ ἀσθενείας, πῶς δὲ χυμῶν, πῶς δὲ ἕξεως, πῶς δὲ κράσεως, πῶς
D δὲ τῆς τῶν μορίων τοῦ σώματος συμπηγίας, πῶς δὲ τοῦ πρὸς τὸ γυμνάσιον ἔθους. εἰς τοσαῦτα γὰρ διαιρεῖται τὸ, τίνι. τὸ δὲ, πῶς ἐγυμνάσατο, πάλιν εἰς ἄλλας τέμνεται διαφοράς. ἆρά γε συντόμως, ἢ οὔ. καὶ ὀξέως, ἢ οὔ. καὶ ὁμαλῶς, ἢ οὔ. καθ' ἕκαστον γὰρ τούτων, οὐχ ὡσαύτως τραπήσεται. ὁμοίως δὲ καὶ περὶ τὸ πότε, διαφέρουσαν ἀνάγκη γίγνεσθαι τὴν τροπήν. οὐ γάρ ἐστι ταὐτὸν ἐδηδοκότα γυμνάζειν, ἢ νῆστιν. καὶ λυπούμενον, ἢ χαίροντα. καὶ πρόθυμον, ἢ ῥᾴθυμον. καὶ ἐρριγωκότα, ἢ διατεθερμασμένον, καὶ πλέονα τοῦ δέοντος, ἢ ἐλάττονα, ἢ σύμμετρα κεκοιμημένον. ὁμοίως δὲ, καὶ περὶ τὸ ποσὸν τῶν γυμνασίων ἡ τροπὴ διάφορος γενήσεται.
E οὐ γὰρ ὡσαύτως τὰ σύμμετρα τοῖς πλείοσιν ἢ ἐλάττοσιν ὑπαλλάξει τοὺς σφυγμούς. τὸ δὲ κατὰ συμβεβηκὸς, ἢ πρώτως γίνεσθαι τὴν τροπὴν, ὧδε χρὴ διορίζεσθαι. μή τι ἄρα περιττωμάτων μὲν ἦν μεστὸς, ἀρξαμένῳ δ' αὐτῷ γυμνάζεσθαι ῥυέντων εἰς τὴν γαστέρα πλειόνων χυμῶν μοχθηρῶν, ἢ δάκνεσθαι τὸ στόμα συνέβη τῆς γαστρὸς τῇ κακίᾳ τῶν χυμῶν, ἢ βαρύνεσθαι τῷ πλήθει, ἢ ἀνατρέπεσθαί τε καὶ ναυτιᾶν, καὶ διὰ ταῦτα τὸν ἄνθρωπον, ἢ ἀναλύειν, ἢ ἐκλύεσθαι, ἢ καταψύχεσθαι, ἢ πνίγεσθαι. τούτων γὰρ ἕκαστον ἀλλοιώσει τοὺς σφυγμοὺς, καί τις ἴσως οἰήσεται κατὰ τὸν τοῦ γυμνασίου λόγον αὐτοὺς τετράφθαι. καὶ γὰρ εἰ
F πληθωρικὸς ὢν, καὶ τοῖς κατὰ θώρακα καὶ πνεύμονα νοσωδέστερος, ἀρξάμενος ὠκέως γυμνάζεσθαι, δύσπνους γένοιτο, τραπήσονται μὲν οἱ σφυγμοὶ κατὰ τὸν τῆς δυσπνοίας λόγον, ἴσως δ' οἰήσεται κατὰ τὰ γυμνάσια. πῶς οὖν χρὴ διορίζεσθαι, πρὸς τὸ μηδὲν ἐν τῇ πείρᾳ σφάλλεσθαι, εἴρηται μὲν ἑτέρωθι μακρότερον, εἰρήσεται δὲ κἀνταῦθα διὰ βραχέων.

A πάσας τὰς εἰρημένας διαφορὰς, εἰς τρεῖς ταύτας ἀναγαγεῖν χρὴ τὰς καθόλου, τὸ μὲν ὑποκείμενον σῶμα παραλαμβάνοντας εἰς τὴν πεῖραν, ὑγιαῖνόν τε καὶ κατὰ μηδεμίαν τῶν ἔξωθεν τροπὴν δυνασθόμενον, τὸ προσαγόμενον δ' αὐτῷ γυμνάσιον σύμμετρον τῇ ποσότητι φυλάττοντας, ἐν δὲ τῇ τροπῇ σκοπουμένους, μή τι κατὰ συμβεβηκὸς ἀπήντησεν, καὶ οὐ κατὰ ταύτην τοῦ γυμνασίου τὴν φύσιν. ἂν γὰρ εἰς ταῦτα τὰ τρία βλέπῃς, ῥᾳδίως ἐξευρήσεις, πῶς καὶ μέχρι πόσου τρέπει τὸ προσιὸν αἴτιον. καὶ οὕτως ἐξέσται σοι καθ' ἕκαστον εἶδος αἰτίου, τῇ πείρᾳ τὴν τροπὴν ἐκμαθόντι, χρῆσθαι πρὸς τὰς ἐν ταῖς νόσοις διαγνώσεις, ῥᾳδίως εὑρίσκοντι, πόσον μὲν ἀπὸ τῶν ἔξωθεν αἰτίων ἐτράπησαν οἱ σφυγμοὶ, πόσον δ' ἀπὸ τοῦ νοσήματος. B ὥστ' οὐκέτι σοι δεήσει προγιγνώσκειν ποῖος ὁ φύσει σύμμετρος, ἀλλὰ τὸν ἑκάστῳ τῶν ὑποκειμένων οἰκεῖον ἐπιστάμενος, εἰς ὅσον οὕτως ὑπό τε τῶν ἄλλων αἰτίων, καὶ αὐτοῦ τοῦ νοσήματος ἐτράπη, γνωρίζειν δυνήσῃ. καὶ μὴν, εἰ μὴ πρὸς ταῦτα δεοίμεθα τῆς τοῦ συμμέτρου γνώσεως, ἐκ περιττοῦ ζητήσομεν αὐτόν. πῶς οὖν ἐροῦμεν τινὰ μέγαν, ἢ ταχὺν, πρὶν τὸν σύμμετρον ἐξευρεῖν. ἔτι γὰρ ἔοικε τὸ ἐξ ἀρχῆς φυλάττεσθαι ζήτημα. τί δὲ καὶ δεόμεθα τοῦ μέγαν, ἢ ταχὺν λέγειν· ἀποχρήσει γὰρ ἡμῖν τῶν τροπῶν μόνων μνημονεύειν, ὧδέ πως λέγουσι. C γυμνάσια σύμμετρα τοὺς σφυγμοὺς, εἰς μέγεθος, καὶ τάχος, καὶ σφοδρότητα, καὶ πυκνότητα τρέπει. καὶ τοῦτο φήσομεν, καὶ τοὺς ἄλλους βουλομένους δηλοῦν ἐν γυμνασίοις φάσκειν μεγάλους, καὶ ταχεῖς, καὶ σφοδροὺς, καὶ πυκνοὺς γίγνεσθαι τοὺς σφυγμούς. ἀλλ' ἡμεῖς πρῶτον μὲν, οὐχ ἁπλῶς ἐροῦμεν ἐν γυμνασίοις, ἀλλ' ἐν τοῖς συμμέτροις προσθήσομεν. τὰ γὰρ πλείω τῆς φύσεως τοῦ γυμναζομένου σώματος, εἰς ἕτερον εἶδος τροπῆς μεθίστησι τοὺς σφυγμούς. ἔπειτα δ' οὐδ' ἁπλῶς οὕτω μεγάλους, καὶ ταχεῖς ἐροῦμεν, ἀλλὰ καὶ μείζονας, καὶ θάττονας, καὶ σφοδροτέρους, καὶ πυκνοτέρους, καὶ τἄλλα πάντα φήσομεν οὕτως χρῆναι λέγειν. D οἷον ὅτι κατὰ μὲν τὰς ἡλικίας, μέγιστοι μὲν, οἱ τῶν ἀκμαζόντων, μικρότατοι δ' οἱ τῶν γερόντων. οἱ δὲ τῶν παρακμαζόντων, μείζους μὲν, τῶν ἐν τοῖς γέρουσιν. ἐλάττους δὲ, τῶν ἐν τοῖς ἀκμάζουσιν. καὶ κατὰ τὰς ὥρας ὡσαύτως. καὶ κατ' ἄλλα πάντα τὴν αὐτὴν ποιησόμεθα διδασκαλίαν, ἐν ἑκάστῳ τῶν γενῶν τοὺς σφυγμοὺς ἀλλήλοις παραβάλλοντες, οὐχ ἁπλῶς ὑπὲρ αὐτῶν ἀποφαινόμενοι, τῷ μὲν οὖν ἐμπειρικῷ τάχα ἂν ἀρκέσειεν ἡ τοιαύτη διδασκαλία. καὶ μετ' ὀλίγον ἀκριβέστερον ὑπὲρ αὐτῆς ἐπισκεψόμεθα. τῷ δὴ τὰς πρώτας, καὶ συνεκτικὰς ὀνομαζομένας αἰτίας ἑκάστου τῶν σφυγμῶν ἐξευρεῖν βουλομένῳ, καὶ σὺν λόγῳ τε, καὶ μεθόδῳ τὴν τέχνην ἀσκοῦντι, τὸ σύμμετρον ἑκάστῳ τῶν γενῶν ἀναγκαῖον ἐπίστασθαι. E φέρε γὰρ ζητεῖσθαι διὰ τί μικρὸς ὁ τοῦ παιδίου σφυγμὸς, εἶτα ἀπορεῖν ἡμᾶς αἰτίας εὐλόγους. καὶ γὰρ καὶ ἀπορήσομεν, ἂν μὴ φθάνωμεν ἀκριβῶς ἐζητηκότες τὰς τῶν μεγάλων τε, καὶ μικρῶν σφυγμῶν τῆς γενέσεως αἰτίας. οὐ γὰρ εὑρήσομεν ἐπὶ τῶν παίδων, τὰς τοὺς μικροὺς γεννώσας. καὶ μὴν εἰ καὶ καθ' ἓν ὁτιοῦν ὁ τῆς αἰτίας λογισμὸς σφάλλοιτο, κἂν τοῖς ἄλλοις ἐν οἷς εὐπορεῖν δοκεῖ, δικαίως ὑποπτευθήσεται. πάντῃ γὰρ ὁμολογεῖν αὐτὸν, εἴπερ ἀληθής ἐστιν ἑαυτῷ προσήκει. διὰ ταῦτ' οὖν, ἀναγκαῖον ἐπίστασθαι τὸν σύμμετρον. F ἴσως γὰρ, καὶ ὁ τοῦ παιδὸς ὑπὲρ τὸν σύμμετρόν ἐστιν. Ἡρόφιλος γοῦν, ποτὲ μὲν εὐμεγέθη τὸν σφυγμὸν τοῦτον ὀνομάζει. τί δή ποτ' οὖν, φησί τις, ὁ Ἀρχιγένης μικρὸν αὐτὸν εἶναι φησιν; ἴσως ἂν εἴποιμί σοι τὴν αἰτίαν τῆς διαφωνίας, ἂν πρότερον γνῷς, ὅτι τὸ προκείμενον ἀποδέδεικται, τὸ, δεῖν εἰς τὴν περὶ τῶν ἐν σφυγμοῖς αἰτίων

Omnes commemoratas differentias ad tres has reducemus generales; corpus propositum designabimus ad experientiam, quum sanum sit, ac nulli obnoxium externæ alterationi, tum exercitationem, qua ad id vtemur, moderatam quantitate seruabimus, atque in mutatione hoc attendimus, ecquid casu inciderit, non ex ipsa natura exercitationis. Si enim tria hæc respicias, nullo negotio inueneris, quemadmodum & quatenus aduentitia causa immutet. Itaque si omni in genere causæ, alterationem experiundo addidiceris, vtendi tibi ad dignoscendos in morbis pulsus facultas erit, facilè quantùm ab externis causis alterati pulsus sunt, exploranti, quantùm item à morbo. Itaque nihil erit quòd labores, vt qualis sit qui natura moderatus est, præscias; sed si qui sit singulis, de quibus agitur, peculiaris, teneas, quatenus mutatus hic est, cùm ab aliis causis, tum verò ab ipso morbo, nosse poteris. Atqui nisi ad hæc vsus nobis moderati pulsus erit, nequicquam eum quæremus. Qua igitur ratione aliquem magnum dicemus, vel celerem incognito moderato? nam manere etiamnum videtur prima dubitatio. Quid autem magnum nobis opus est, aut celerem dicere, cum alterationum nobis tantummodo satis sit meminisse, vt dicamus in hunc modum? Exercitationes moderatæ pulsus in magnitudinem, celeritatem, vehementiam, & crebritatem conuertunt. Quod dicemus alios quoque, quum id significare volunt, in exercitationibus dicere, magnos, celeres, vehementes, crebrosque fieri pulsus. Nos verò primum, non absolutè in exercitationibus dicemus, sed in moderatis addemus. Nam naturam quæ corporis exercitati excedunt, pulsus in aliud vertunt genus mutationis. Deinde non ita dicemus absoluto sermone magnos & celeres, sed maiores celeriores, vehementiores, crebriores, aliaque dicemus ita esse omnia vsurpanda, vt, Pro ætatibus, maximos iuuenum esse, senum minimos; eorum quorum inclinat ætas, maiores quidem, quàm senum, tamen minores, quàm iuuenum. Pro regionibus eodem modo, & pro reliquis omnibus idem præscribemus, inter se omni in genere pulsus conferentes, non absolutè de iis decernentes. Ac empirico forsitan satisfaciat hæc institutio, de qua accuratiùs nos paulopost viderimus. At qui primas studeat, & continentes quas vocant, causas inuestigare cuiusque pulsus, & ratione artem viaque tractet, huic cuiusque generis moderatum operæpretium est nosse. Quæratur enim cur paruus pueris sit pulsus, deinde causæ nos probabiles deficiant, nempe enim nos deficient, ni sedulò prius causas quæ magnos pulsus, & paruos gignunt, expenderimus; neque enim in pueris causas reperiamus, quæ paruos generent. Atqui si vel vna in re, quamuis leui, causæ ratio claudicet. simul in reliquis, vbi videatur abundare, meritò titubabit, vbique enim sibi, si quidem vera est, constare illa debet. Quo magis necessarium est nosse moderatum, nam potest etiam pueri pulsus moderatum superare. Herophilus certè insigniter magnum interdum hunc pulsum vocat. Quid tandem igitur quæres, paruum Archigenes illum nominat? Fortasse causam tibi dissensionis aperiam, si noueris prius institutum probatum esse, debere ad commentandas pulsuum causas

virum

virum qui rationem sequatur, & cum causæ consideratione omnia instituat scire, pulsum moderatum tenere. Sed hoc leuius est fortasse, dices enim nolle rationalem te esse. Quod verò paulo antè reiecimus, vt rem magnæ considerationis, nunc discutiamus; nisi verè moderatum prius pulsum inuenerit, neminem posse empiricum diligenter obseruationem, & accuratè instituere. Nam posteaquam propositum est illi, non modò, an mutet in celeritatem pulsus, vel magnitudinem, vel quid aliud, præsens circonstantia, vt cognoscat, verùm etiam quatenus alteret (nam præsagiendi ex pulsibus in hoc potissimùm omnis vsus vertitur) quatenus autem alteret, nisi naturam perspexerit, nulla ratione cognoscat, necesse erit, cuiusque ægroti naturam præsciat, modò nosse magnitudinem velit præsentis alterationis. Atenim non omnium ægrotorum vsus est consuetudine per sanitatem, quo experientia eam addisceret, & inde memor, illius cum ægrotantibus compararet naturam. Qua igitur ratione poterit etiam experientia, quò intendit aspirare? an hic etiam ex communitatibus quibusdam erit obseruatio? At quomodo & quonam pacto? neque enim perinde hîc atque in causis externis, alia fixa serues, vnum quod obseruas immutes. Quippe colores, figuræ, odores, longitudines, latitudines, profunditates corporum, gracilitates, corpulentiæ, differentia generum, ætatum, regionum, temporum anni, præsentis etiam status, necessariò omnibus adsunt hominibus. Quare quandoquidem quin habeat hæc reperias neminem, difficulterque sub pauca illa, quæ paulò antè recensui, reducas horum obseruationem, in externarum causarum mutationibus, alia nobis opus est via & ratione. Iam quàm ardua sit horum obseruatio, cognosces, si non ratione tantùm, sed & velis experiundo inuestigare duos viros semper vna aliqua in re differentes, in aliis omnibus conuenientes, sanè enim ægrè inuenias, vt omittam quàm multæ existant alterationum coniugationes, & quantùm obseruatio temporis requirat, quantam autem memoriam, & quàm præclaram. Nam præter alia etiam quæ nihil referunt ad pulsuum mutationem, obseruare empiricos quàm diutissimè oportet, vt hoc saltem interesse nihil certò sciant; atque hoc illud est quod in primis obseruationem istam à ratione & compendio remotam in immensam prolixitatem temporis producit. Quod est cur semper clamemus, vt etiam aliàs docuimus, vt obseruatione tantùm artem constituas, remota ratione, fieri minimè posse. Et vt ista omnia admittantur certè, quòd nullum habeamus certum modum, ad quem excessus & defectus referamus, magnitudinem alterationis in iis singulis nunquam complectetur memoria. Quî enim possit quisquam memoria hæc omnia tenere, connexis inter sese his, quæ corporibus necessariò comitantur vna cum quantitate singulorum? Omninò connexio huiuscemodi erit; albo eatenus, lato pectore eatenus, item corpulento hactenus, corporis latitudine & profunditate tanta, masculo, & puero, tempore æstiuo, in loco naturâ frigido, in statu sicco talis pulsus erit. Eas enim complicationes infinitas numero (quas nemo mortalium nec obseruauerit, nec complexus memoria fuerit, sed in disputando tantùm comparari posse sophistæ iactent,

A θεωρίαν ἐπίστασθαι τὸν σύμμετρον ἀνδρὶ, λογικῷ τ' εἶναι βουλομένῳ, καὶ σὺν τῷ τῆς αἰτίας λογισμῷ, πάντ' ἐπίστασθαι προῃρημένῳ. καὶ ταῦτα μὲν ἴσως ἧττον, (ἐρεῖ γάρ τις μὴ βούλεσθαι λογικὸς εἶναι,) τὸ δ' ὀλίγῳ πρόσθεν ἀναβληθὲν, ὡς ἄξιον σκέψεως, ἤδη θεασώμεθα, τὸ, μηδένα τῶν ἐμπειρικῶν δύνασθαι τὴν τήρησιν ἀκριβῆ, καὶ διηρθρωμένην ποιήσασθαι, πρὶν τὸν ἁπλῶς σύμμετρον ἐξευρεῖν. ἐπεὶ γὰρ αὐτοῖς πρόκειται, μὴ μόνον εἰ τρέπει τοὺς σφυγμοὺς εἰς τάχος, ἢ μέγεθος, ἤ τι τῶν ἄλλων, ἡ παροῦσα περίστασις, ἀλλὰ καὶ μέχρι πόσου τρέπει γιγνώσκειν. ἡ γὰρ ὅλη χρεία τῆς διὰ τῶν σφυγμῶν προγνώσεως,
B ἐν τούτῳ μάλιστα περιέχεται. τὸ δ' ἄχρι πόσου τρέπει διαγινώσκειν, ἀμήχανον, ἀγνοοῦντα τὸ κατὰ φύσιν ἀνάγκη προεπίστασθαι τὸ, κατὰ φύσιν ἑκάστου τῶν νοσούντων, εἰ μέλλει τὸ ποσὸν τῆς παρούσης ῥοπῆς διαγνώσεσθαι. οὐ μὴν ἅπασί γε τοῖς νοσοῦσιν ὑγιαίνουσιν ἐνέτυχεν, ἵν' ἐκ τῆς πείρας μάθοι, εἶτα μεμνημένος, παραβάλλοι τοῖς νοσοῦσι τὴν φύσιν. πῶς οὖν ἔτι δυνήσεται δι' ἐμπειρίας ἔχειν τὸ προκείμενον; ἢ πάλιν κἀνταῦθα κατὰ κοινότητάς τινας, ἡ τήρησις ἔσται, πῶς καὶ τίνα τρόπον; οὐ γὰρ ἔθ' ὁμοίως ἐνταυθοῖ δυνατὸν, ὡς ἐπὶ τῶν ἔξωθεν αἰτίων, τὰ μὲν ἄλλα φυλάττειν ἄτρεπτα, μόνον δ' ὑπαλλάττειν
C καθ' ὃ τὴν τήρησιν ἐποιούμεθα. καὶ γὰρ καὶ χρώματα, καὶ σχήματα, καὶ ὀσμαὶ, καὶ μήκη, καὶ πλάτη, καὶ βάθη σωμάτων, καὶ λεπτότητες, καὶ πάχη, καὶ ἡ κατὰ γένη τε καὶ ἡλικίας, καὶ χώρας, καὶ ὥρας, καὶ τὴν παροῦσαν κατάστασιν διαφορὰ, πᾶσιν ἐξ ἀνάγκης ὑπάρχει τοῖς ἀνθρώποις. ὥστ' ἐπεὶ, χωρὶς μὲν τούτων, οὐκ ἂν εὕροις οὐδένα, τὴν τήρησιν τὴν ἐν αὐτοῖς χαλεπὸν ἀναγαγεῖν ὑπὸ τῶν ὀλίγον πρόσθεν εἰρημένων. ἐπὶ τῶν ἔξωθεν αἰτίων ῥοπῶν, ἑτέρας τινὸς ἡμῖν δεήσει μεθόδου. ὅτι δὲ χαλεπὸν ἐπὶ τούτου τὴν τήρησιν ποιήσασθαι, μάθοις ἂν, εἰ μὴ λόγῳ μόνον, ἀλλὰ καὶ δι' αὐτῶν τῶν ἔργων ἐθέλοις ἐξευρί-
D σκειν ἀνθρώπους δύο, καθ' ἕν τι μόνον ἑκάστοτε διαφέροντας, ἐν δὲ τοῖς ἄλλοις ἅπασιν, ὡσαύτως ἔχοντας. οὐ γὰρ εὑρήσεις ῥᾳδίως, πρὸς τῷ, καὶ παμπόλλας γίνεσθαι τὰς τῶν ἐπαλλάξεων συζυγίας, καὶ μακροῦ μὲν χρόνου δεῖσθαι πρὸς τὴν τήρησιν, ἀμηχάνου δέ τινος, καὶ θαυμαστῆς μνήμης. τά τε γὰρ ἄλλα, καὶ τὰ μηδὲν εἰς τὴν ῥοπὴν τῶν σφυγμῶν διαφέροντα παραφυλάττειν ἀναγκαῖόν ἐστι μέχρι πλείστου τοῖς ἐμπειρικοῖς, ἵν' αὐτό γε τοῦθ', ὅτι μηδὲν διαφέρει βεβαίως ἐπιγνῶσι. καὶ τοῦτ' ἔστι τὸ μάλιστα τὴν ἄλογόν τε καὶ ἀμέθοδον κίνησιν, εἰς ἄπειρον τι χρόνου μῆκος ἐκτείνον. καὶ διὰ τοῦτ' ἀεὶ φαμὲν, ὥσπερ
E οὖν καὶ δι' ἑτέρων ἐπεδείξαμεν, τηρήσει μόνῃ συστήσασθαι τὴν τέχνην, ἄνευ λογισμοῦ τῶν ἀδυνάτων ὑπάρχειν. κἂν εἰ συγχωρηθείη γε ταῦτα πάντα. τὸ γοῦν ποσὸν τῆς καθ' ἕκαστον αὐτῶν ῥοπῆς, ἀμνημόνευτον γενήσεται πρὸς μηδὲν μέτρον ὡρισμένον, ἀναφέρειν ἡμῶν, τάς θ' ὑπερβολὰς, καὶ τὰς ἐνδείας δυναμένων. πῶς γὰρ ἄν τις μνημονεύσειεν ἅπαντα ταῦτα, συμπλέξας ἀλλήλοις τὰ τοῖς σώμασιν ἐξ ἀνάγκης ὑπάρχοντα, μετὰ τοῦ καθ' ἕκαστον αὐτῶν ποσοῦ, πάντως γὰρ ἡ συμπλοκὴ τοιάδε τις ἔσται. τῷ λευκῷ μὲν ἐπὶ τοσοῦτον. εὐρυστέρνῳ δὲ, ἐπὶ τοσοῦτον. ὁμοίως δὲ, παχεῖ μέχρι τοσοῦδε. καὶ πλάτους, καὶ βά-
F θους τοῦ κατὰ τὸ σῶμα μέχρι τοσοῦδε προήκοντι. ἄρρενι ὄντι, καὶ παιδὶ, καὶ ἐν ὥρᾳ θερινῇ, καὶ ἐν χωρίῳ φύσει ψυχρῷ, καὶ ἐν καταστάσει ξηρᾷ, τοιόσδε τις ὁ σφυγμός ἐστι. τοιαύτας γάρ τινας συμπλοκὰς ἀπεράντους τὸ πλῆθος, ὑπὸ μηδενὸς ἀνθρώπων μήτε τηρηθῆναι, μήτε μνημονευθῆναι δυναμένας, ἀλλ' ἄχρι λόγου μόνον, ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς τὸ δυνατὸν ἐχούσας,

γένος

τρόπον

ἐπ' αὐτῶν δὲ τῶν ἔργων τῆς τέχνης, ἀδυνάτοις ἐξελεγχομένας, ἀναγκαῖον ἔσται συμπλέκειν. εἰ δὲ δὴ καὶ τὸ μᾶλλόν τε καὶ ἧττον, ἅπασι τοῖς εἰρημένοις, αἱ τοιαῦται συζυγίαι μέλλοιεν ἀλλήλων διαφέρειν, ὥσπερ οὖν διαφέρουσιν, εἰς ὅσην ἀμηχανίαν ἄξουσι τὸν τηρητικὸν, οἶμαι πρόδηλον ὑπάρχειν. ἄμεινον οὖν ἴσως, μὴ διατρίβειν ἔτι, μηδ' ἐγχρονίζειν, ἐνδεικνύμενον τὸ χαλεπὸν, καὶ ἄπορον τῆς ἐμπειρικῆς τηρήσεως, ἀλλ' αὐτὸν δεῖξαι μέθοδόν τινα λογικὴν, ᾗ χρώμενοι τὸ παρὰ τῆς ἐμπειρίας χρηστὸν, ἑτοίμως ληψόμεθα. τίς δ' ἂν εἴη μέθοδος; ἡ τοιάδε. μάλιστα τὴν ἀρίστην τοῦ σώματος ἡμῶν ἐξευρόντας κατασκευὴν, πρῶτα μὲν ἐπισκέψασθαι χρὴ, ποῖοί τινες οἱ κατ' αὐτὴν εἰσὶ σφυγμοὶ, καὶ τοῦθ' οὐχ ἁπλῶς, οὐδ' ὡς ἔτυχε ποιητέον, ἀλλ' ἐν τοιαύτῃ καταστάσει λαβόντας τὸν ἄνθρωπον, ἐν οἵᾳ τὴν οἰκείαν κίνησιν οἱ σφυγμοὶ φυλάττουσιν ὑπὸ μηδενὸς τῶν ἔξωθεν αἰτίων τετραμμένοι. γένοιτο δ' ἂν τοῦτο, μήτ' ἀργίᾳ μακρᾷ κατεχομένου, μήθ' ὑπόγυιον γεγυμνασμένου, ἀλλὰ μηδ' ἐν ἀσιτίᾳ μακρᾷ γεγονότος, ἢ ἀρτίως ἐδηδοκότος. εἶναι δὲ χρὴ καὶ τὸ περιέχον εὔκρατον δηλονότι, καὶ τὸν ἄνθρωπον ἔξω τῶν ψυχικῶν παθημάτων, ἐν γαλήνῃ καθαρᾷ τὴν ψυχὴν ἔχοντα. μετὰ δὲ ταῦτα τὰς μοχθηρὰς τοῦ σώματος κατασκευὰς εὑρόντα, πρῶτον μὲν ἐξαριθμήσασθαι τὰς διαφορὰς αὐτῶν, ἔπειτα δὲ τάς τε ὑπερβολὰς, καὶ τὰς ἐνδείας τὰς ἐν αὐταῖς κατιδόντα, τῇ συμμέτρῳ τε καὶ ἀρίστῃ παραβάλλειν. καὶ λογίσασθαι μὲν πρῶτον, ὅσον εἰκὸς διαλλάττειν τοὺς ἐν ταῖς τοιαύταις φύσεσι σφυγμοὺς, τῶν ἐν τῇ ἀρίστῃ. ἔπειτα καὶ δι' αὐτῆς τῆς πείρας βασανίσαι τὸν λόγον, εἰ ὁμολογεῖ τοῖς ἐναργέσι, καὶ τοῦτο πολλάκις ποιήσαντα, καὶ δι' ἀσκήσεως μακρᾶς τόν τε λογισμὸν, καὶ τὴν ἁφὴν γυμνάσαντα, τότε νομίζειν ἤδη βεβαίως ἐπίστασθαι, τόν τε σύμμετρον ἐν ἅπασι τοῖς γένεσι τῶν σφυγμῶν, καὶ τοὺς ὁπωσοῦν ὑπερβάλλοντας τοῦδε, ἢ ἐλλείποντας. ἐμοὶ μὲν εἴρηται, τὸ πᾶν. ὅστις δὲ, ἢ τὴν φύσιν τοῦ σώματος ἡμῶν, ἢ τὰς μοχθηρὰς οὐκ οἶδεν, ἢ λόγῳ μὲν αὐτὰς ἐπεσκέψατο, διαγινώσκειν δ' ἐντυγχάνων, οὐκ ἐμελέτησεν, οὐδὲ ἂν ἔχοι πλέον ἐκ τοῦ παρόντος λόγου. δικαίως οὖν ἐστιν ἐκεῖνα πρότερον ἐκμαθὼν, οὕτως ἐπὶ τάδε ἥκειν. καὶ γὰρ, οὐ τὴν τυχοῦσαν ἐν αὐταῖς εὑρήσει διαφωνίαν τοῖς τε παλαιοῖς ἰατροῖς πρὸς ἀλλήλους, τοῖς τε νεωτέροις, οὐ πρὸς ἀλλήλους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς παλαιούς. οὔτε γάρ τις ἡ ἀρίστη φύσις ὡμολόγηται πᾶσιν, οὔτε τῶν μοχθηρῶν ὁ ἀριθμὸς εὕρηταί πως. καὶ τὰ σημεῖα, δι' ὧν τις, ἢ τὰς ἀρίστας, ἢ τὰς μοχθηρὰς γνωρίζοι, παντάπασιν ὀλίγοι τῶν ἰατρῶν ἔγραψαν. Εἰ δὲ καὶ ταῦτα πάντα τοῖς ἔμπροσθεν ὡμολόγητό τε, καὶ δεόντως εὕρητο, διαγινώσκειν γοῦν ἐπ' αὐτῶν τῶν ἔργων τὰς φύσεις ἐχρῆν πρότερον ἀσκήσαντας, καὶ οὕτως ἐπιχειρεῖν τῇ περὶ τοὺς σφυγμοὺς τέχνῃ. τάχα τινὲς ἀχθεσθήσονται τῷ πλήθει τῆς ἐπεισαγομένης θεωρίας, ἀλλ' ἡμεῖς γ' οὐκ ἀχθεσθησόμεθα προπηλακιζομένου τοῦ πράγματος. οὐδὲ γὰρ ἤλπισα μήποτε πάντας ἀρέσειν, ἢ ὠφελήσειν αὐτό. πάνυ δὲ τοῦτο σαφῶς, καὶ ἀκριβῶς ἐπιστάμενοι, πλὴν ἑνὸς τοῦ τῆς ἀληθείας ἐραστοῦ, τοῖς ἄλλοις ἅπασι λῆρον εἶναι μακρὸν δόξαι τοὺς τοιούτους λόγους, τι τὴν διέξοδον αὐτῶν ἐτραπόμεθα, τὸν ἕνα τῶν πολλῶν προτιμήσαντες. Εἰ δὲ δὴ καὶ ἡμᾶς τις αὐτοὺς ἐθεάσατο περὶ τοῖς νοσοῦσι τά τε προγεγονότα καὶ μέλλοντα προλέγοντας, οἶμαι καὶ τοῦτον, εἰ μὴ παντάπασιν εἴη κηφὴν, ἐρασθήσεσθαι τῆς θεωρίας, εἰ καὶ μακροτέρα φαίνοιτο, χρήσιμον οὕτω καὶ καλὸν τέλος ἐπαγγελλομένης.

in arte verò administranda inanes deprehendantur, nec vlla posse facultate parari) erit contexere necesse. Iam secundum magis & minus in omnibus, quæ narrauimus, istæ inter se coniugationes different, vt certè differunt ad quem stuporem obseruationem adducent apertum esse censeo. Proinde satius fortasse sit, ne hic longior sim, nec immorer in demonstranda difficultate empiricæ obseruationis, & immensa longitudine: verùm rationem vt aliquam, & viam tradam, cuius præsidio omnem facilè, quem experientia ostendit, fructum capiamus. Quænam tandem est illa via? hæc est. Vbi optimam constitutionem inuenerimus corporis nostri, primum animaduertendum est, qui eius pulsus sunt, neque obiter id vel negligenter: sed in eo statu hominem accipiemus, vbi suum proprium motum pulsus à nulla externa causa immutati retineant. Hoc fiat si non in longo ocio sit versatus, nec recens exercitatus, nec verò etiam diu ieiunauerit, vel modò comederit, aër præterea temperatus sit, oportet, ipseque omnibus liber animi affectibus, & tranquillissimam mentem habeat. Postea inuestigandæ sunt corporum vitiosæ constitutiones, tumque primùm earum recensebis differentias, deinde quos in illis excessus repereris, atque defectus, hos ad moderatam & optimam conferes. Iamque quum animo reputabis primùm, quantum oporteat istarum naturarum pulsus dissidere ab optimæ pulsu, deinde ipsa experientia rationem hanc, si constet veritati explorabis. Quod quum subinde feceris, & longo vsu rationem exercitaueris, & tactum, tum putabis demum certo te moderatum tenere in omni genere pulsuum, illosque etiam qui aliquo modo vltra hunc sunt & citra. Habes summam. Proinde quicunque aut corporis nostri optimam naturam, aut vitiosas non nouit; aut ratione quidem perspexit eas, sed vsu vt dignosceret, non laborauit; nihil huic fructus feret hic sermo; siquidem illa priùs sunt ediscenda, postea huc veniendum. Etenim in non paruam incidet controuersiam, quam veteres medici de his inter se habuerunt; & iuniores non solùm inter se, sed cum veteribus etiam. Nam nec optima natura, quæ sit inter omnes conuenit; neque dum vitiosarum est inuentus numerus; & signa quibus vel optimas, vel prauas cognoscas, admodum pauci medici literis prodiderunt. Quòd si vel hæc omnia apud maiores nostros confessa sint & ordine inuenta, deberent tamen naturas discere prius experiundo, itáque ad artem se de pulsibus conferre. Erunt fortasse quibus longitudo displicebit huius, quam induco, contemplationis. Nos verò si institutum nostrum sugillent, non offendemur; neque enim probatum vnquam iri sperauimus omnibus, aut vsui futurum. Nam quum admodum liquidò & certò scirem, præter vnum veritatis amatorem, reliquos omnes pro nugis meris habituros quæ doceo, tamen aggressus sum ad hæc explicanda, ac vnum illum multis præposui. Porrò autem si nos ipsos quis de ægrotis vidit præterita & futura prædicere, hunc etiam puto, nisi planè sit fucus, etiam si videatur longior, quum tam vtilem exitum, tamque præclarum polliceatur, hanc commentationem amplexaturum.

CAP.

CAPVT III.

Optima natura moderatum pulsum habet, ad quem alij collati, excessuum & defectuum nominibus appellantur.

QVi ergo ante intellexit naturam corporis nostri optimam cognoscendam esse (cuius nos alio loco indicia prodidimus) huius sciat pulsum esse inter omnes alios medium; & veluti mensuram quandam regulamque, in omnibus lucubrationibus de pulsibus, hunc moderatum & medium à nobis meminerit appellari; cum quo vbi alios omnes comparamus, celeres, tardos, magnos, paruos dicimus esse. At pulsum moderatæ naturæ, & vndequaque optimæ, non rectè vocaueris magnum, paruum, celerem, tardum; nec etiam durum, vel mollem, nec quoquam alio nomine, quod immoderationem interpretetur. Imò vt in opere de temperamentis, omnium optimam temperaturam nec calidam esse docuimus, nec frigidam, nec siccam, nec humidam, neque mollem, neque duram, (quippe hasce omnes quibusdam excessibus defectibusque constare vnius illius temperatæ & moderatæ) sic nunc etiam nec magnum, nec paruum, nec celerem, nec tardum, nec quicquid aliud quod à mediocritate deflectit, pulsum optimæ naturæ vel appellabimus vel intelligemus. Nec verò etiam ipsum hominem in quo eum pulsum reperimus, vllo nomine quod quidem moderationem non significet, nominabimus. Non enim crassum, non gracilem, non calidum, frigidum, humidum, siccum, nullo denique alio nomine; verùm nominamus omnibus partibus corporis temperatum & moderatum. Ad quem quum dignoscere quidem illum didicisti, pulsuum omnes differentiæ perpensæ, caue excidant; & vbi æstimes ad illas reliquos omnes pulsus, vel duros ita, vel molles, vel raros, vel crebros, vel alio nomine ad eundem modum voca. Nunc ergo, quando summam consecuti videmur esse, non sanè incommodum erit si dubitationem quandam necessariam excitem; quò si nihil dum inuentum arbitremur, explicationem sermoni apponere conemur, quæ adducat nos, simúlque doceat, primùm summam nos iam obtinuisse; deinde absolutissimam eorum notitiam, de quibus agimus, commonstret. Ac exordienda quidē modò dubitatio est, dicendumque non posse omnes quæ in corpore sunt, arterias, neque esse æquales inter se, nec æqualiter distendi. Quî enim posset dorsi arteria arteriis colli, aut alarum, & inguinum, vel ipsa par esse, vel eius distentio illarum distentionibus? ac multò verò minùs arteriis vlnarum atque poplitum; adhucque etiam minùs arteriis carporum, & tarsorum; adhucque minùs arteriis temporum digitorumque. Non potest itaque pulsus vnus in quantitate distentionis moderatus esse, ne si optima quidem sit natura; sed in motu & robore, cæterisque generibus vnus esse per omnes arterias potest. Neque enim possunt, dum in natura sua constat homo, præsertim si optimam adeptus constitutionem sit, quædam celeriùs arteriæ, alię tardiùs, vehementiùs, languidiùs, duriùs, molliùs, crebriùs, rariùs pulsare; sed similem quum inter se mutuò, tum cum corde motum omnes, necesse est, habeant; magnitudine verò,

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

φύσις ἀρίστη σύμμετρον ἔχει τὸν σφυγμὸν, ᾧ παραβαλλόμενοι πάντες ἄλλοι, τοῖς τῶν ὑπερβολῶν τε καὶ ἐλλείψεων ὀνόμασι προσαγορεύονται.

ΜΑθὼν οὖν τις πρότερον, ὡς χρὴ τὴν ἀρίστην τοῦ σώματος ἡμῶν γνωρίζειν φύσιν, ἑτέρωθι δ᾽ αὐτῆς εἴρηται τὰ γνωρίσματα, τὸν ἐν ταύτῃ σφυγμὸν μέσον ἁπάντων τῶν ἄλλων ἴστω, καὶ οἷόν τι μέτρον καὶ κανόνα τοῦτον ἐν ἁπάσαις ταῖς περὶ σφυγμῶν πραγματείαις, τὸν σύμμετρόν τε καὶ μέτριον ὑφ᾽ ἡμῶν μεμνήσθω λεγόμενον, ᾧ παραβάλλοντες τοὺς ἄλλους ἅπαντας, ταχεῖς, καὶ βραδεῖς, καὶ μεγάλους, καὶ μικροὺς εἶναι φαμέν. ὁ δὲ ἐν τῇ συμμέτρῳ τε καὶ κατὰ πάντα ἀρίστῃ φύσει τοῦ σώματος οὐδὲ καλεῖσθαι δίκαιον, οὔτε μέγαν, οὔτε μικρὸν, οὔτε ταχὺν, οὔτε βραδὺν, ἀλλ᾽ οὐδὲ σκληρὸν, ἢ μαλακὸν, ἤ τι τῶν ἄλλων, τῶν τὰς ἀμετρίας δηλούντων ὀνομάτων. ἀλλ᾽ ὥσπερ ἐν τῷ περὶ κράσεων λόγῳ τὴν ἀρίστην ἁπασῶν κρᾶσιν, οὔτε θερμὴν ἔφαμεν, οὔτε ψυχρὰν, οὔτε ξηρὰν, οὔθ᾽ ὑγρὰν, οὔτε μαλακὴν, οὔτε σκληρὰν ὑπάρχειν (ἁπάσας γὰρ ταύτας ὑπερβολαῖς τέ τισι καὶ ἐλλείψεσι, τῆς τε μιᾶς ἐκείνης τῆς εὐκράτου τε καὶ συμμέτρου συνεστάναι) οὕτω καὶ νῦν, οὔτε μέγαν, οὔτε μικρὸν, οὔτε ταχὺν, οὔτε βραδὺν, οὔτ᾽ ἄλλ᾽ οὐδὲν ὅσα τῆς μετριότητος ἐξίσταται, τὸν ἐν τῇ καλλίστῃ φύσει σφυγμὸν, οὔτε προσαγορεύσομεν, οὔτε νοήσομεν. οὐδὲ γὰρ αὐτὸν τὸν ἄνθρωπον, ἐν ᾧ τὸν τοιοῦτον εὑρίσκομεν σφυγμὸν, οὐδενὶ τῶν τὰς ἀμετρίας δηλούντων ὀνομάτων προσαγορεύομεν· οὔτε γὰρ παχὺν, οὔτ᾽ ἰσχνὸν, οὔτε θερμὸν, οὔτε ψυχρὸν, ἢ ὑγρὸν, ἢ ξηρὸν, οὔτε ἄλλ᾽ οὐδὲν τοιοῦτον, ἀλλ᾽ εὔκρατόν τε καὶ σύμμετρον ἅπασι τοῖς μορίοις τοῦ σώματος ὀνομάζομεν. ἐν τούτῳ τοίνυν, ὅταν γε μάθῃς αὐτὸν διαγινώσκειν, ἁπάσας τὰς διαφορὰς τῶν σφυγμῶν ἐπισκεψάμενος, μέμνησό τε, καὶ κρίνων πρὸς αὐτοὺς τοὺς ἄλλους ἅπαντας σφυγμοὺς, ἢ σκληροὺς οὕτως, ἢ μαλακοὺς, ἢ ἀραιοὺς, ἢ πυκνοὺς, ἤ τι τῶν ἄλλων ἀνάλογον, κάλει. ὁπότ᾽ οὖν ἤδη ἔχειν τὸ πᾶν δοκοῦμεν, οὐ χεῖρον ἂν εἴη ζητῆσαί τινα ἀπορίαν ἀναγκαίαν, κἂν ἄρα δόξαντες μηδὲν εὑρῆσθαι μηδέπω, προσθεῖναί τινα τῷ λόγῳ πειραθῶμεν διορισμὸν, ὃς ἡμᾶς πείσῃ τε ἅμα, καὶ διδάξῃ, πρῶτον μὲν, ὡς ἤδη τὸ πᾶν ἔχομεν, ἐφεξῆς δὲ τὴν τελεωτάτην τῶν προκειμένων ἐνδείξεται διάγνωσιν. ἀρκτέον οὖν ἤδη τῆς ἀπορίας, καὶ ῥητέον, ὡς οὐκ ἐνδέχεται πάσας τὰς ἐν τῷ σώματι πεφυκυίας ἀρτηρίας, οὔτ᾽ ἴσας ἀλλήλαις ὑπάρχειν, οὔτ᾽ εἰς ἴσον διαστέλλεσθαι. πῶς γὰρ ἐνδέχοιτο τὴν ἐπὶ τῆς ῥάχεως ἀρτηρίαν, ταῖς κατὰ τὸν τράχηλον, ἢ τὰς μασχάλας τε, καὶ τοὺς βουβῶνας, ἢ αὐτὴν ἴσην ὑπάρχειν, ἢ τὴν διαστολὴν αὐτῆς, ταῖς ἐκείνων διαστολαῖς; πολὺ δὲ δὴ μᾶλλον, οὐδὲ ταῖς κατὰ τοὺς ἀγκῶνάς τε, καὶ τὰς ἰγνύας, καὶ μᾶλλον ἔτι, ταῖς κατὰ τοὺς καρπούς τε, καὶ τοὺς ταρσοὺς, καὶ πολὺ δὴ μᾶλλον ἔτι, ταῖς κατὰ τοὺς κροτάφους τε, καὶ τοὺς δακτύλους. οὐκ οὖν ἐνδέχεται κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ἕνα σφυγμὸν εἶναι τὸν σύμμετρον, οὐδ᾽ ἐν αὐταῖς ταῖς ἀρίσταις φύσεσιν, ἀλλὰ τὸ μὲν ἐν τῇ κινήσει τε, καὶ τῷ τόνῳ, καὶ τοῖς ἄλλοις γένεσιν, ἕνα τυγχάνειν εἰκὸς ὑπάρχοντα κατὰ πάσας τὰς ἀρτηρίας. οὐ γὰρ οἷόν τε κατὰ φύσιν ἔχοντος τοῦ ἀνθρώπου, καὶ μάλιστα τοῦ τὴν ἀρίστην κεκτημένου κατασκευὴν, τὰς μέν τινας τῶν ἀρτηριῶν θᾶττον, τὰς δέ τινας βραδύτερον, ἢ τὰς μὲν σφοδρότερον, τὰς δ᾽ ἀμυδρότερον, ἢ τὰς μὲν σκληρότερον, τὰς δὲ μαλακώτερον, ἢ τὰς μὲν πυκνότερον, τὰς δ᾽ ἀραιότερον σφύζειν· ἀλλὰ παραπλησίως ἀλλήλαις τε, καὶ τῇ καρδίᾳ πάσας ἀναγκαῖον κινεῖσθαι, τῷ δ᾽ ὄγκῳ

καθάπερ τὰ σώματα αὐτῶν διήνεγκεν, οὕτω καὶ τὰς διαστολὰς εἰκὸς εἶναι διαφερούσας. ἴσως οὖν τις ἡγήσεται πρόχειρον εἶναι τῆς ἀπορίας τὴν λύσιν. οὐδὲν γὰρ κωλύει, ἤτοι τῶν κατὰ τοὺς καρποὺς μόνων ἀρτηριῶν ἁπτόμενον ἀεὶ, πηλίκος μὲν ἐν ταῖς ἀρίσταις φύσεσιν ὁ ἐν αὐταῖς ἐστι σφυγμὸς, ἐπίστασθαι, πηλίκος δὲ τῶν ἐν ταῖς ἄλλαις ἕκαστος, ὁ τούτῳ παραβαλλόμενος, ἢ καὶ νὴ Δί' εἴ τις ἐθέλοι, καὶ τῶν κατὰ τοὺς ταρσοὺς, ἤ τι μέρος ἄλλο τοῦ σώματος, μεμνῆσθαι χρὴ τοῦ ποσοῦ τῆς διαστολῆς, ἐπί γε τῆς ἀρίστης φύσεως, ἵν' ἔχῃ μετρεῖν τούτοις, τοὺς ἐν τοῖς αὐτοῖς μέρεσιν, ἐν ταῖς ἄλλαις φύσεσι γιγνομένους σφυγμοὺς, οὐδὲν ἄτοπον, οὔτε χαλεπὸν, οὔτε δύσγνωστον ἔσεσθαι· ἀλλ' ὁ ταῦτα λέγων, οὐκ οἶδεν, ἐν τοῖς περὶ τῆς ἀρίστης τοῦ σώματος κατασκευῆς ἀποδεδειγμένον, ὡς ἔν τε μεγάλοις, καὶ μικροῖς σώμασιν, ὁμοίως συνίστασθαι πέφυκεν ἡ τοιαύτη φύσις. εἰ γὰρ τοῦτ' ἐγίνωσκεν, οὐκέτ' ἂν οὐδὲ τῶν ἀρτηριῶν αὐτῶν τῶν καθ' ἕκαστον μόριον, οὔτε τῶν κατ' αὐτὰς διαστολῶν, τὸν ἴσον ἐνόμιζεν ὄγκον ἐν ἁπάσαις εἶναι ταῖς ἀρίσταις φύσεσιν, ἀλλ' ἐξαλλάττεσθαι, κατά τε τὰ μεγέθη τῶν σωμάτων, καὶ τὰς μικρότητας. ὥστε μένει τὸ ἐξ ἀρχῆς ἄπορον, οὐ δυναμένων ἡμῶν ἕνα σύμμετρον εὑρεῖν κατὰ τὸ ποσὸν τῆς διαστολῆς. ἆρ' οὖν ἄξιον ἐπὶ τελέως ἠπορηκότων, ἁπάντων θαυμάσαι τῶν ἰατρῶν, μεγάλους μὲν ἀεὶ, καὶ μικροὺς, ὡς ἔτυχεν, ὀνομαζόντων σφυγμοὺς, πηλίκος δέ τις ὁ σύμμετρος, ᾧ παραβάλλοντες αὐτοὺς εὑρήσομεν, οὐ διδασκόντων. ἐοίκασι γὰρ, οὐδ' εἰς ἔννοιάν τινα διηρθρωμένην ἀφῖχθαι τοῦ τοιούτου σφυγμοῦ, ἀλλὰ μᾶλλον ἐν τῷ πρός τι κατηγορεῖν μέγα, ἢ μικρὸν, ἐν ἴσῳ τῷ μείζονά τε καὶ μικρότερον, ἐγὼ γοῦν, καὶ τῶν καθ' ἡμᾶς ἀρίστων ἰατρῶν, ὅταν ἁψάμενοί τινος, μέγαν, ἢ μικρὸν εἴπωσι τὸν σφυγμὸν, εἴωθα πολλάκις πυνθάνεσθαι, τίνος αὐτὸν μείζονα λέγουσιν, ἢ τίνος μικρότερον. οἱ δὲ τοῦ κατὰ φύσιν, φασίν. αὖθις δ' αὖ ἐρωτήσαντος ἐμοῦ, τοῦ τίνος κατὰ φύσιν, οὐχ ὅπως ἀξίαν ζητήσεως εἶναι νομίζουσι τὴν ἐρώτησιν, ἀλλὰ καὶ θαυμάζουσιν, εἴ τινος ἄλλου νομίζοιμι λέγειν, πλὴν αὐτοῦ τοῦ νοσοῦντος, οὗπερ ἂν ἐν τῷ παρόντι τυγχάνωσιν ἁπτόμενοι. ἐπὶ τοῦτό γε, καὶ τοὺς παῖδας ἤδη γιγνώσκειν φασὶν, ὡς ἄλλος ἄλλου, μείζονά τε καὶ μικρότερον ἐν αὐτῷ τῷ ὑγιαίνειν ἔχει σφυγμόν. ἆρ' οὖν οὗτοι μὲν, οὕτως· οἱ δὲ τούτων βελτίους, οἱ τὰ περὶ σφυγμῶν ἡμῖν συγγράμματα καταλιπόντες ἑτέρως ὑπολαμβάνουσιν, ἢ κἀκεῖνο παραπλησίως; οἵ γε δὴ λέγουσιν. ἦρος μὲν, καὶ φθινοπώρου τὰ μέσα, μεγίστους ἐργάζεσθαι τοὺς σφυγμοὺς, χειμῶνος δὲ καὶ θέρους ἐλαχίστους, οἱ δὲ μεταξὺ τῶν εἰρημένων καιροὶ, μέσους μεγάλων τε καὶ μικρῶν. οὐδὲ γὰρ οὐδ' οὗτοι δοκοῦσί μοι λέγειν ἁπλῶς, ἢ μεγάλους, ἢ μέσους, ἀλλ' ἐν τῷ πρός τι. διὰ τοῦτο γοῦν, καὶ προστιθέασιν αὐτῶν τινες ἐν τῷ λόγῳ, τὸ, ὡς ἐν ὥραις, ὡδί πως γράφοντες. ἦρος μὲν, καὶ φθινοπώρου τὰ μέσα μεγίστους, ὡς ἐν ὥραις ἐργάζεται τοὺς σφυγμούς. οἱ δ' αὐτοὶ κἀν ταῖς ἡλικίαις οὐχ ἁπλῶς γράφουσιν, ὥσπερ ἕτεροι, μεγάλους μὲν εἶναι τοὺς ἀκμαζόντων, μικροὺς δὲ τοὺς τῶν παίδων καὶ τῶν γερόντων, ἀλλὰ κἀνταῦθα προσγράφουσιν, ὡς ἐν ἡλικίαις. ὥσθ' οὕτως λέγουσι τοὺς μεγάλους καὶ μικροὺς, ὡς εἰ καὶ μείζονας ἔλεγον, καὶ μικροτέρους, ἀλλήλοις παραβάλλοντες δηλονότι αὐτοὺς, οὐκ ἐν τῷ συμμέτρῳ. ὅτι δ' ἀλλήλοις, δῆλον οἶμαι καὶ ἐξ αὐτῆς ὑπάρχειν τῶν πραγμάτων τῆς φύσεως, ὑπὲρ ὧν δια-

A vt eorum differant corpora ita distentiones par est esse diuersas. Putabis igitur ad manum esse solutionem hæsitationis, quod nihil causæ sit, quin qui carporum tantùm arterias semper tangat, quantus in optimis naturis sit pulsus earum noscat; & vero etiam quantus in aliis quisque, si cum hoc comparetur. Et hercle si velis arterias etiam tarsorum pedum tangere, aut partium aliarum corporis, distentionis retinenda quantitas est in optima quidem natura. quo possis ad hos æstimare earundem partium pulsus, qui in alias naturas incidunt; neque hic quicquam consecuturum absurditatis aut difficultatis, neque multùm laboris in cognoscendo fore. B Verùm hæc qui dicit, in libro De optima corporis constitutione ignorat demonstratum esse, æquè in magnis corporibus ac in paruis constare eam naturam posse. Quod si sciret, nequaquam neque ipsas arterias singularum partium putaret neque distentiones earum, parem possidere in omnibus optimis naturis magnitudinem; cæterùm prout magna sint corpora vel parua ita variare; Vnde fit vt nondum discussa prima sit hæsitatio, quia moderatum vnum inuenire in distentionis quantitate non valemus. Proinde C operæpretium est, quandoquidem hîc prorsus hæremus, omnes medicos demirari, qui magnos temerè appellant perpetuò, & paruos pulsus; quantus autem moderatus sit, ex cuius comparatione alios reperiemus, non tradunt. Videantur enim parum distinctè illi eiuscemodi pulsum concepisse, sed referentes potius ad aliquid, magnum vel paruum dicere, perinde vt maiorem & minorem. Equidem etiam nostræ memoriæ soleo præstantissimos medicos, vbi tangentes aliquem magnum vel paruum esse dicant, frequenter rogare, quonam illum D dicant maiorem, aut quò minorem. Illi naturali respondent. Iterum quum quæsiui, quò illo naturali? non modò existimant non dignam inuestigatione quæstionem, verùm etiam demirantur, cuius putem eos alius dicere ac ipsius ægroti, quem in præsenti tetigerint. Quin hoc latere ne pueros quidem autumant, alio alium per commodam valetudinem maiorem, & minorem pulsum habere. An sic quidem hi; qui verò his præstant, qui libros, nobis de pulsibus reliquerunt conscriptos, aliáne sunt in opinione, an in eadem illa? E Hi quidem certè dicunt veris medium & autumni efficere maximos pulsus, hyemis & æstatis minimos, quæ inter hæc tempora intercedunt, medios inter magnos & paruos. Nam videntur mihi ne hi quidem absoluto sermone proferre magnos, vel paruos, sed referre ad aliquid. Itaque ex illis sunt quidam qui sermoni addant illud (pro anni temporibus) & scribant in hunc modum; Veris medium & autumni maximos, pro anni temporibus quidem, pulsus efficiunt. Iidem nec in ætatibus scribunt absolutè, vt alij magnos F esse iuuenum, puerorum paruos, & senum; sed addunt hîc quoque pro ætatibus. Proinde sic pronunciant magnos & paruos, vt si maiores dicant, & minores; nimirum eos inter se inuicem conferentes, non cum ipso moderato. Nam mutuò ipsam puto demonstrare rerum, de quibus disserunt naturam, nam

nam non omnium mortalium medio vere æquè pulsus maximi sunt, sed cuiusque pro sua natura. Porrò id ipsum quoque crassa ratione omninò indistinctum est & confusum; nugæ enim sint meræ, si censeas illi, qui biliosa, sicca, calida, & adusta natura est; aut contrà, qui pituitosa atque frigida, maximos medio vere pulsus esse. In disputationibus ita vtique, & verbotenus forsitan videantur habere; quòd si periculum facias, non reperiantur. Quippe calidiores & ficciores temperamento non expectare conspicias medium ver, sed multò habere antè, suos maximos pulsus; iam contrarios his humidiores & frigidiores longè vltra medium ver, ineunte iam æstate; soli verò, qui optimam sunt nacti constitutionem corporis, inueniantur medio vere maximos suos pulsus obtinere. Eadem in ætatibus ratio est; inter quas temperatæ medio vere; intemperatæ ante vel post habent pulsus maximos. Verùm nullus hæc quisquam medicus distinxit; adeò vt si omnes homines parem statum in vnoquoque anni tempore haberent, ita respondeant. Tametsi Hippocratis scripta neminem puto latere, quæ ille, & quàm multa de anni temporibus reliquerit; qui apertè ostendit, nec naturas, nec ætates ab iisdem anni temporibus perinde omnes affici, quosdam enim robustiores simul hyems saniorésque, & in omnes partes meliores; aliquos æstas reddit. Quî fiet igitur vt quod commodat iuxta, atque id quod officit, mutet pulsus? Quin autem illos pudet adeo nobis nudè scribere, & præter omnem distinctionem; Medium ver pulsus creat maximos; nam ni additum sit, quibúsnam maximos, nihil didicerimus. Quin porrò, quum dicant, æstate & hyeme paruos pulsus fieri, hoc certè, vtrum tempus reddat minores pulsus, non sustinent adiungere? Neque verò paruum scilicet peccatum dicent, si hyeme putes æstatem minores pulsus efficere, hæc verò fortè maiores efficiat; vel si hyemem æstate, quum contrà se res habeat. Nam quodcunque dicas de his tribus, siue æstatem hyeme, siue hyemem æstate, siue pares vtrobique pulsus esse, nisi addas, quibus, mentieris. Sin apposueris, & distinxeris pro naturis corporum & ætatibus, vnumquodque ex tribus verum sit; quemadmodum nos vbi de his priuatim egimus, explicauimus. At neque se ipsum quisque, neque sese illi mutuò potuerunt hîc coarguere, quòd tum multa falsa, tum multa indistincta dixerint; quod illis nulla alia re vsu venit, præter quàm quod moderatum cuiusque generis pulsum ignorarent prorsus. Nam quamobrem, quum inter se mutuò tam decertent acerbè, de hoc ne verbum quidem faciunt, sed prætermittunt miserè? Nullam sanè aliam ob causam, nisi quia nihil eorum quum intelligerent liquidò, sed confusè omnia, & minimè distinctè, vnum scilicet qui primò hallucinatus est, sequuti omnes sunt; & de illis quæ nihil propè artis administrationibus nec obsunt nec accommodant, acriter non mutuò tantùm inter se, sed cum Herophilo etiam digladiantur, idque quum contentio illis de rebus obscuris existat, quæ longam quærunt, quo declarentur, & prolixam orationem;

λέγονται. οὐ γὰρ δὴ πάντων γε τῶν ἀνθρώπων, ὡσαύτως οἱ σφυγμοὶ μέγιστοι τυγχάνουσιν ὄντες ἐν τοῖς μέσοις τοῦ ἦρος, ἀλλ' ἑκάστου κατὰ τὴν ἰδίαν φύσιν. καὶ τοῦτο μέντοι καὶ αὐτὸ, παχεῖ λογισμῷ παντάπασιν ἀδιάρθρωτον καὶ συγκεχυμένον. λῆρος γὰρ οὐ σμικρὸς, εἴ τις οἴοιτο τῷ χολώδει τε, καὶ θερμῷ, καὶ διακαεῖ τὴν φύσιν, ἢ τὸ ἐναντίον αὐτοῦ, τῷ φλεγματώδει τε καὶ ψυχρῷ, μεγίστους ἐν ἦρος μέσῳ γίνεσθαι τοὺς σφυγμούς. ἐν μὲν γὰρ ταῖς διατριβαῖς, καὶ μέχρι λόγου, τάχ' ἂν ἴσως δόξειε γίνεσθαι, πειρωμένοις δ' οὐκ ἂν εὑρεθείεν. τοὺς μὲν γὰρ θερμοτέρους καὶ ξηροτέρους τὴν κρᾶσιν, οὐκ ἀναμένοντας ὄψει τὰ μέσα τοῦ ἦρος, ἀλλὰ πολὺ πρότερον τοὺς σφυγμοὺς μεγίστους σφῶν αὐτῶν ἴσχοντας, τοὺς δ' ἐναντίους αὐτοῖς, τοὺς ὑγροτέρους τε καὶ ψυχροτέρους, ἐπέκεινα πολὺ τῶν μέσων τοῦ ἦρος, ἤδη τοῦ θέρους ἀρχομένου. μόνους δὲ τοὺς τὴν ἀρίστην κατασκευὴν τοῦ σώματος ἔχοντας, ἐν τοῖς μέσοις τοῦ ἦρος ἔστιν εὑρεῖν μεγίστους σφῶν αὐτῶν τοὺς σφυγμοὺς ἴσχοντας. οὕτω δὲ καὶ κατὰ τὰς ἡλικίας ἔχει. καὶ γὰρ τούτων, αἱ μὲν εὔκρατοι τοῖς μέσοις τοῦ ἦρος· αἱ δὲ δύσκρατοι πρότερον, ἢ ὕστερον, μεγίστους ἴσχουσι τοὺς σφυγμούς. ἀλλ' οὐδεὶς τῶν ἰατρῶν οὐδὲν ἡμῖν τούτων διωρίσατο, ἀλλ' ὡς ἂν πάντων ἀνθρώπων ὁμοίως διατιθεμένων ἐν ἑκάστῃ τῶν ὡρῶν, οὕτως ἀποκρίνονται. καίτοι τά γ' Ἱπποκράτους οὐκ οἶμαί τινα λανθάνειν, ὅσα τε καὶ οἷα περὶ τῶν ὡρῶν εἴρηται πρὸς αὐτοῦ, σαφῶς ἐνδεικνυμένῳ, μήτε φύσεις, μήθ' ἡλικίας ἁπάσας πρὸς τῶν αὐτῶν ὡρῶν ὡσαύτως διατίθεσθαι. τοὺς μὲν γὰρ, ὁ χειμὼν, ἰσχυροτέρους καὶ ὑγιεινοτέρους, καὶ κατὰ πάντα βελτίους, τοὺς δὲ τὸ θέρος ἐργάζεται. πῶς οὖν ἐνδέχεται τὸ ὠφελούμενον, τῷ βλαπτομένῳ τὴν αὐτὴν ἔχειν τροπὴν τῶν σφυγμῶν. πῶς δ' οὐκ αἰδοῦνται γράφοντες ἡμῖν ἁπλῶς οὕτως, καὶ ἀδιορίστως, ἦρος τὰ μέσα μεγίστους ἐργάζεται τοὺς σφυγμούς. εἰ γὰρ μὴ προσθείη τίσι μεγίστους, οὐδὲν ἐμάθομεν. πῶς δ', ὅταν εἴπωσι θέρους, καὶ χειμῶνος, μικροὺς γίνεσθαι τοὺς σφυγμοὺς, οὐδ' ἄχρι του, πότερα τῶν ὡρῶν τοὺς σφυγμοὺς μικροτέρους ἐργάζεται, τολμῶσι προσπαραγράφειν; οὐ γὰρ δήπου μικράν γε φήσουσιν εἶναι τὴν διαμαρτίαν, εἴ τις τὸ θέρος τοῦ χειμῶνος οἴοιτο μικροτέρους ἐργάζεσθαι τοὺς σφυγμοὺς, τὸ δ' εἰ τύχοι μείζονας ἐργάζοιτο, ἢ εἰ τὸν χειμῶνα τοῦ θέρους, ἔμπαλιν ἔχοντος τἀληθοῦς. ὅ,τι γὰρ ἄν τις εἴπῃ τῶν τριῶν τούτων, εἴτε τὸ θέρος τοῦ χειμῶνος, εἴτε τὸν χειμῶνα τοῦ θέρους, ἢ ἐπίσης ἐν ἀμφοτέροις εἶναι τοὺς σφυγμοὺς, οὐκ ἀληθεύσει, μὴ προσθεὶς τὸ, τίσιν. εἰ δὲ προσθείη τε καὶ διορίσαιτο, κατά τε τὰς φύσεις τῶν σωμάτων, καὶ τὰς ἡλικίας, ἕκαστον τῶν τριῶν ἀληθὲς γενήσεται, καθάπερ ἡμῖν ἐν τοῖς ἰδίοις περὶ τούτων λόγοις δείκνυται. ἀλλ' οὔθ' αὐτὸν ἕκαστος, οὔτ' ἀλλήλους ἐξελέγξαι περὶ τούτων ἠδυνήθησαν, ὡς πολλὰ μὲν, ψευδῆ, πολλὰ δ' ἀδιόριστα λέγουσιν. οὐδὲ διὰ μίαν ἄλλην αἰτίαν τὸ τοιοῦτο παθόντες, ἢ ὅτι τοῦ συμμέτρου καθ' ἕκαστον γένος σφυγμοῦ παντάπασιν ἀμαθῶς εἶχον. ἢ διὰ τί, καίτοι περὶ πάντων οὕτω πικρῶς ἀλλήλοις ἐρίζοντες, περὶ τούτων οὐδὲ ζητοῦσιν ὅλως, ἀλλὰ ταλαιπώρως παρατρέχουσιν; δι' οὐδὲν ἄλλο, ἢ ὅτι πεφυρμένον τε καὶ ἀδιάρθρωτον ὑπὲρ αὐτῶν ἔχοντες τὸν νοῦν, ἑνί γε τῷ πρώτῳ σφαλέντι πάντες ἠκολουθήσαμεν. εἶτα περὶ τῶν ἀξιολόγων οὐδεμίαν εἰς αὐτὰ τὰ τῆς τέχνης ἔργα, βλάβην, ἢ ὠφέλειαν εἰσφερομένων, πικρῶς ἐριζόντων, οὐκ ἀλλήλοις μόνον, ἀλλὰ καὶ Ἡροφίλῳ. καὶ ταῦτα μέντοι τῆς ἔριδος ὑπὲρ ἀδήλων πραγμάτων συνισταμένης, καὶ πολλῶν, καὶ μακρῶν λόγων, ἵν' ἀποδειχθῇ, δεομένων.

περὶ τῶν οὕτως ἐναργῶν, ὡς καὶ διὰ μόνης τῆς αἰσθήσεως ἔνεστι λαβεῖν, οὔτ' αὐτοὶ διωρισμένως γράφουσιν, οὔτε τοὺς σφαλέντας ἐλέγχουσιν, οὐδ' εἴ τις τῶν παλαιῶν ἕτερόν τι παρὰ τὸ δοκοῦν αὐτοῖς ἔγραψε, μνημονεύουσιν. ἀλλὰ μικρὸν μὲν τὸν τοῦ παιδὸς εἰρήκασι σφυγμὸν, ὡσαύτως δὲ καὶ τὸν τοῦ γέροντος μικρὸν, ὁπότερος δ' αὐτῶν μικρότερος, οὐκέτι γράφουσι· καίτοι σαφῶς Ἡροφίλου τοῖς τε καὶ παρέργως ἐντυγχάνουσιν αὐτοῦ τοῖς βιβλίοις, ὑπὲρ ἀμφοτέρων γεγραφότος. ἢ καὶ γελοῖον ἴσως ποιῶ, τὰ τοιαῦτα ἐξελέγχεσθαι βουλόμενος αὐτοῖς. οἷς οὐδὲ τὰ πρῶτα, καὶ ἁπλούστατα καλῶς εἴρηται; μικρὸν γοῦν λέγουσι τὸν τοῦ παιδὸς σφυγμὸν, Ἡροφίλου μηδὲ πώποτε μικρὸν εἰρηκότος, ἀλλά ποτε μὲν ἱκανὸν τῷ μεγέθει, ποτὲ δὲ, ἀξιόλογον, ἢ πως οὕτως ὀνομάζοντος. εἶτα τὴν μὲν ἡ κινοῦσα τὰς ἀρτηρίας αἰτία ζητοῦσι, καὶ τῶν εἰς τοῦτ' Ἡροφίλῳ γεγραμμένων, οὐδὲν παραλείπουσι, τῶν δ' εἰς τὰ ἔργα τῆς τέχνης διαφερόντων θεωρημάτων οὔτ' εἰ καλῶς, οὔτ' εἰ μὴ καλῶς ἔγραψεν Ἡρόφιλος, οὐδενὸς ἔτι μέμνηνται. ὦ πρὸς τῶν θεῶν, οὐ πολὺ μέντοι βέλτιον ἦν, μὴ περὶ τῶν τεττάρων ὑφ' Ἡροφίλου λεγομένων τὰς διοικούσας τὰ ζῶα δυνάμεις ζητεῖν, μηδὲ πικρῶς ἐρίζειν τε καὶ ἀντιλέγειν αὐτῷ, περί γε τούτων· ἀλλ' εἴπερ ἐβούλοντο καταβάλλειν τε, καὶ διεξελέγξαι αὐτὸν εἰκῆ ληροῦντα, τῶν τοιούτων αὐτοῦ μνημονεύειν. ἃ φανερῶς τοῖς ἐναργέσι μάχεται, καὶ ταῦτα μαρτύρων ἀριθμὸν οὐκ ὀλίγον ἀθροῖσαι κατ' αὐτοῦ δυνάμενοι; τούς τε γὰρ μεθ' Ἡρόφιλον τὰ περὶ σφυγμῶν πραγματευσαμένους, καὶ σχεδὸν τοὺς νῦν ἅπαντας ἕξουσι μαρτυροῦντας, ὡς ὁ τῶν παίδων σφυγμὸς, μικρότερός ἐστι τοῦ τῶν γερόντων, καὶ πολλῷ γέ τις μικρότερος. ὥστε τις ἐμοὶ πρῴην ἔφασκε καταγελῶν ὅλου τοῦ ἐρωτήματος, οὐδὲ ζητήματος, ἄξιον εἶναι τὸ πρᾶγμα. πολὺ γὰρ μικροτέρους ὑπάρχειν τοὺς τῶν παίδων, καὶ διὰ τοῦτο καλῶς μηδὲ γεγράφθαι τι περὶ αὐτῶν. τοιούτους οὖν μυρίους ἔχοντες μάρτυρας, καὶ τἆλλα φιλονεικοῦντες ἀεὶ πρὸς Ἡρόφιλον, οὐκ οἶδ' ὅπως τὰ τοιαῦτα παραλελοίπασι τὴν ἀρχὴν, οὐδ' εἰ γέγραφεν αὐτὰ γιγνώσκουσιν. οὐδὲ γὰρ αὐτῆς τῆς ἰατρικῆς, αὐτοῖς πάνυ φροντίς ἐστιν, ἀλλὰ μόνον ἐκείνων τῶν δογμάτων, ἃ τὰς ἐν ταῖς διατριβαῖς φλυαρίας αὐξῆσαι δύναται. ταῦτ' οὖν ἐκλέγουσι μόνον τῶν Ἡροφίλου βιβλίων τὰ κεφάλαια, τὰ δὲ ἄλλα παντάπασιν ὑπερβαίνουσι, καὶ διὰ τοῦτ' οὐδ' ὅλως ἴσασι τί γέγραφεν Ἡρόφιλος, εἰς μὲν τὰ τῆς τέχνης ἔργα μεγάλως διαφέρον, ἐναντίον δ' οἷς οὗτοι λέγουσι. διὰ τοῦτο γοῦν, καὶ περὶ τῶν ῥυθμῶν, ὅσα μὲν ἐχρῆν αὐτοὺς ἔτι παῖδας ὄντας ἐν τοῖς τῆς μουσικῆς διδασκαλείοις ἐκμαθεῖν, ταῦτ' οὐδόλως εἰς τὰ τῆς ἰατρικῆς συγγράμματα φέρουσι, τὸ τῶν ὀψιμαθῶν πάθημα πάσχοντες. οὐδὲ σιωπῆσαι δυνάμενοι κἂν ἑτέρας ᾖ τέχνης. πῶς δ' ἀπὸ ῥυθμοῦ δεῖ σημειοῦσθαι, οὐκέτ' οὐδεὶς ἔγραψεν αὐτῶν. ἀλλ' Ἡρόφιλός γε τὴν ἐναντίαν ὁδὸν ἰὼν αὐτοῖς, παραλείπει μὲν ἃ παρὰ τοῖς μουσικοῖς ἐχρῆν μεμαθηκέναι τὸν ἀξίως τῆς τέχνης πεπαιδευμένον, ὡς ἐπισταμένοις δ' αὐτοῖς διαλέγεται, τὸ χρήσιμον εἰς τὴν ἰατρικὴν ἐξ αὐτῶν λαμβάνων. οἱ δ', ὅταν τὴν θαυμαστὴν ταύτην, ὡς αὐτοὶ καλοῦσι, τεχνολογίαν τὴν περὶ τῶν ῥυθμῶν διεξέλθωσιν, οὐκέτ' αὐτοῖς μέλει δεῖξαι, πῶς ἄν τις ἱκανὸς προγνῶναί τι δι' αὐτῶν, ἢ σημειώσασθαι δύναιτο. ταῦτ' ἄρα, καὶ τὸν παίδων σφυγμὸν μικρὸν λέγουσιν, Ἡροφίλου τὴν ἐναντίαν γράφοντος, οὐδὲ μέχρι τοσούτου διασκέψασθαι σπουδάζοντες, ὡς ἐννοῆσαι δυνηθῆναι, ποία τις παρὰ τοῖς ἀνθρώποις, μεγάλη καὶ μικρὰ διαστολὴ λέγεται. καὶ γὰρ ἐπὶ κύστεων, καὶ φυσῶν χαλκευτικῶν, καὶ ἀσκῶν, καὶ γαστέρων, καὶ μητρῶν,

de rebus verò tam claris, vt vel solo sensu deprehendi possint, neque scribunt elimate, neque reprehendunt errantes, nec verò si quis veterum quicquam scripsit, quod à sua sententia abhorreat, meminerunt. Cæterùm pueri esse confirmauerunt paruum pulsum; & item senis paruum; vtrius autem sit eorum minor, prætereunt, tametsi de vtroque Herophilus planè, si diligenter eius libros reuoluas, conscripsit. At ridiculus sim, qui hæc explicata ab illis postulem, quum ne prima quidem, nec simplicissima rectè atque ordine tradiderint. Itaque paruum dicunt pulsum pueri, quem nunquam Herophilus paruum appellauit, sed modò satis magnum, modo insigniter, vel eiusce modi quopiam nomine vocauit. Tum quæ causa sit, inquirunt, quæ arterias moueat, & eorum quæ de hoc scripsit Herophilus, prætermittunt nihil; de præceptis verò quæ ad artis opera intersunt, rectène Herophilus, an secus tractauerit, verbum nullum, ô Dij immortales, fecerunt. Atqui nónne longè præstiterat, si quòd quatuor statuit Herophilus facultates, quæ animalia gubernant & moderantur, de hoc nihil quærerent, nec atrociter rixarentur, vel eum oppugnarent: sed si confutatum hominem vellent, & conuictum inanium suarum nugarum, ea proferrent quæ refragantur his quæ sunt planè euidentia; idque quum aduersus illum tantum possint cogere testium numerum? Etenim quum illos, qui post Herophili ætatem de pulsibus sunt commentati, tum superstites penè omnes testes habebunt, pulsum puerorum minorem senum esse, atque adeò multo quidem minorem. Etiam quidam mihi nuper ridens, vniuersam quæstionem dictitabat non dignam esse rem, de qua disputaretur, longè siquidem puerorum minores esse, quo rectius nihil de his proditum literis esse. Tales quum habeant sexcentos testes, & alioqui Herophilum perpetuò oppugnent ista miror, quid semel præterierint, nec etiam, an hæc scripserit sciant. Nimirum non multum de medicina laborant, sed de his duntaxat sententiis quæ nugas cumulare in disputationibus possunt. Quare hæc tantùm ex Herophili scriptis capita decerpunt, cætera repudiant prorsus, quod in causa est, cur ignorent Herophili scripta, si quæ mirificè ad artis opera faciunt, sed repugnant suis decretis. Ideoque de rhythmis etiam quæ prima ætate debebant in musicis ludis addiscere, hæc temerè inserunt libris medicinæ. Quibus accidit quod serò discentibus solet. Nam tacere etiam si ad aliam artem spectet, non valent, rhythmus verò quæ suppeditet signa, nullus illorum scripsit. At Herophilus qui aliam viam ac illi secutus est, prætermittit quæ discenda de musicis erant, imbutis probè in arte, mox, vt si ea teneant, apud eos differit, quod medicinæ conducit ex iis accipiens. Illi verò vt præclaram istam, quemadmodum isti appellant, τεχνολογίαν de rhythmis enarrarunt, nihil postea student ostendere, qua ratione ex illis præsagiendi quid, vel denunciandi compares facultatem. Itaque etiam puerorum esse aiunt paruum pulsum, contradicente Herophilo, nec verò hactenus student perpendere, vt quæ apud mortales magna & parua distentio dicatur, queant assequi. Quippe vesicarum, follium fabrorum, vtrium, vterorum, omnium

omnium denique rerum quæ prædita cauitate aliqua sunt, magnas & paruas distentiones solemus vocare. Itaque paruum sæpe esse tumorem ventris dicimus, magnum etiam, verbi gratia vesicæ, & paruum vtris, ventris magnum. Dicemus etiam interdum magnopere vesicam intumuisse, & distentam esse maximè; vtrem autem & saccum qui viginti ex eiuscemodi vesicas capiant, nondum maximam distentionem esse consecutos. Censemus enim ni fallor, ad cuiusque cauitatem corporis esse distentionem æstimandam, non absolutè pronunciandam ad eundem vbique modum? nam est certus in qualibet re modus, in quo nec intendi tunicas, quæ cauitatem ipsam complectuntur, nec remitti contingit. Ergo vbi aduertitur tensio in illis, vel cauitas, tum magnas dicimus & paruas distentiones esse; quandiu nec sensibilem etiam cauitatem cernere possis, neque dum tunicæ laborent distentæ, modicam illam & moderatam & natiuam corporis distentionem dicimus esse. Quid ergo est difficultatis ex his progressos arteriam intelligere, quum sit corpus, & hoc concauum, habere terminos oportere motus sui in vtranque partem, nec nimium distendi (rumperetur enim) neque in arctissimum considere; obstare scilicet naturam tunicarum duram, quæ ægrè contrahitur?

CAPVT IV.

Quis sit moderatus pulsus in quantitate distentionis, & quæ sit eius dignotio.

QVare est quædam iusta arteriæ distentio, vt neque contendatur, neque laxam quampiam suam partem relinquat, quam esse moderatam & naturalem dicemus; sin minus, in vno eodemque homine dicamus, necesse erit, magnos, paruos, & moderatos pulsus esse. Atqui in optima natura absurdum est non omnes moderatos esse; & longè hercle absurdius, si idem sit pulsus magnus simul & paruus ac moderatus, magnus si cum minoribus comparetur; si cum maioribus, paruus; vtrisque simul moderatus. Oportebat verò, quum minori confertur, eum maiorem appellare, quum maioribus, minorem; quum vtrisque, medium. Eo enim pacto nobis vocare licet optimarum naturarum pulsus, inter se illos quidem maiores & minores, omnes tamen moderatos; si quid antedictorum meminimus, quum naturam diceremus propositi corporis spectandam esse, vbi indagare moderatum, magnum, & paruum instituimus. Quòd si corporum inter se simpliciter comparemus magnitudines, maius, minus, medium inter vtrunque nominabimus, magnum autem, vel paruum, vel moderatum haudquaquam; maius enim est, quod minus excedit; at magnum, quod moderatum sui generis. Itaque refertur vtrunque ad aliquid, sed maius ad cuncta minora comparamus, magnum ad vnum duntaxat eiusdem generis moderatum, quo si maius sit, vocatur magnum. Idem vice versa in minore, & paruo accipiendum est. Moderatum & mediocre esse dicendum est, quod in sua propria natura constat, & immoderatum immodicumque, quod naturam suam relinquit. Quando igitur corpus est cauum arteriæ, distentio eius necesse est interim propriè,

καὶ πάντως ἁπλῶς τὴν κοιλότητά τινα κεκτημένου, μεγάλας τε καὶ μικρὰς εἰώθαμεν διαστολὰς ὀνομάζειν. καὶ πολλάκις γε, μικρὸν μὲν τὸν ὄγκον εἶναί φαμεν τῆς γαστρὸς, μέγαν δ' εἰ τύχοι τὸν τῆς κύστεως. καὶ μικρὸν μὲν τὸν τοῦ ἀσκοῦ, μέγαν δὲ τὸν τῆς γαστρός. εἴποιμεν δ' ἄν ποτε καὶ τὴν κύστιν, εἰς ὄγκον τε μέγαν καὶ διαστολὴν ἀφικέσθαι μεγίστην, τὸν δ' ἀσκὸν, καὶ τὸν σάκκον, εἴκοσι πολλάκις ἑαυτῶν ἐντὸς τοιαύτας κύστεις δέξασθαι δυναμένους, μηδέπω τὴν μεγίστην ἔχειν διαστολήν. λογιζόμεθα γὰρ, οἶμαι, πρὸς τὴν ἑκάστου τῶν σωμάτων κοιλότητα, τὴν διάστασιν αὐτοῦ χρῆναι παραβάλλειν, οὐχ ἁπλῶς ἀποφαίνεσθαι κατὰ πάντων ἑνὶ μέτρῳ χρωμένους. ἔστι γάρ τι τὸ μέτριον ἐν ἑκάστῳ, καθ' ὃ μήτε τείνεσθαι τοὺς τὰς κοιλότητας ἑαυτῶν ἐντὸς ἔχοντας χιτῶνας, μήτε χαλαροὺς εἶναι συμβέβηκεν. ὅταν οὖν ἤτοι τάσις ἐν αὐτοῖς, ἢ κοιλότης ἐμφαίνηται, τότε μεγάλας, καὶ μικρὰς λέγομεν ὑπάρχειν τὰς διαστολάς. ἡνίκα δὲ, μήτε αἰσθητὴν κοιλότητα δυνατὸν ἔτι θεάσασθαι, μήτ' ἤδη πονοῦσιν οἱ χιτῶνες ὑπὸ τῆς διαστολῆς τεινόμενοι, μετρίαν τέ τινα καὶ σύμμετρον, καὶ κατὰ φύσιν τῷ σώματι τὴν τοιαύτην διάστασιν εἶναί φαμεν. τί δὴ οὖν χαλεπὸν ἐκ τούτων ὁρμηθέντας, ἐννοῆσαι περὶ τῆς ἀρτηρίας, ὡς καὶ ταύτην σῶμα κοῖλον ὑπάρχουσαν, ἀναγκαῖον ὅρους ἔχειν τῆς ἐφ' ἑκάτερα κινήσεως, καὶ μήτ' εἰς ἄμετρον διΐστασθαι (ῥαγείη γὰρ ἄν) μήτ' εἰς ἐλάχιστον συστέλλεσθαι· κωλύειν γὰρ τὴν τῶν χιτώνων φύσιν, σκληρὰν καὶ δυσσύμπτωτον ὑπάρχουσαν;

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τίς ἂν εἴη ὁ σύμμετρος σφυγμὸς κατὰ τὸ ποσὸν τῆς διαστολῆς καὶ τίς αὐτοῦ διάγνωσις.

Ἔστιν οὖν τις αὐτάρκης διαστολὴ τῆς ἀρτηρίας, ὡς μήτε διατείνειν, μήτ' ἀπολιπεῖν τι χαλαρὸν αὐτῆς μόριον, ἣν σύμμετρόν τ' εἶναι φήσομεν, καὶ κατὰ φύσιν. εἰ δὲ μὴ, καθ' ἕνα καὶ τὸν αὐτὸν ἄνθρωπον, ἀναγκασθησόμεθα λέγειν μεγάλους τε καὶ μικρούς, καὶ συμμέτρους ὑπάρχειν σφυγμούς. καίτοι δεινὸν ἐν ἀρίστῃ φύσει, τὸ μὴ πάντας εἶναι συμμέτρους, πολὺ δὲ δεινότερον τὸν αὐτὸν σφυγμὸν, μέγαν θ' ἅμα καὶ μικρὸν, καὶ σύμμετρον γίνεσθαι, τοῖς μὲν μικροτέροις παραβαλλόμενον, μέγαν, τοῖς δὲ μείζοσι, μικρὸν, ἀμφοτέροις δ' ὁμοῦ σύμμετρον. δέον, ὅταν μὲν τῷ μικροτέρῳ παραβάλληται, μείζονα καλεῖν αὐτόν· ὅταν δὲ τῷ μείζονι, μικρότερον· ἀμφοῖν δὲ, μέσον. οὕτως γὰρ ἡμῖν ἔξεστι καλεῖν τοὺς ἐν ταῖς ἀρίσταις φύσεσι σφυγμοὺς, ἀλλήλων μὲν, μείζονάς τε καὶ μικροτέρους, συμμέτρους δ' ἅπαντας, εἴπερ τι τῶν ἀνωτέρω λεχθέντων μνημονεύοιμεν, ὁπότεν πρὸς τὴν φύσιν τοῦ ὑποκειμένου σώματος ἀποβλέπειν ἐφάσκομεν δεῖν, ὅταν τὸ σύμμετρόν τε, καὶ τὸ μέγα, καὶ τὸ μικρὸν ἐξευρεῖν ᾖ προκείμενον. ὅταν δ' ἁπλῶς ἀλλήλοις παραβάλλωμεν τοὺς ὄγκους τῶν σωμάτων, μεῖζον μὲν, καὶ ἔλαττον, καὶ μέσον ἀμφοῖν ὀνομάζειν, μέγα δὲ, καὶ μικρὸν, καὶ σύμμετρον, μηδέπω. τὸ μὲν γὰρ μεῖζον τοῦ ἐλάττονός ἐστιν ὑπερέχον, τὸ δὲ μέγα τοῦ ὁμογενοῦς συμμέτρου, μεῖζον. ὥστ' ἄμφω μὲν ἐν τῷ πρός τι λέγεσθαι, ἀλλὰ τὸ μὲν μεῖζον, πρὸς ἅπαντα τὰ μικρότερα παραβαλλόμενον. τὸ δὲ μέγα, πρὸς ἓν μόνον τὸ ὁμογενὲς μέτριον· εἰ γὰρ ἐκείνου μεῖζον εἴη, μέγα καλεῖται. ἀντίστροφα δὲ τούτοις, ἐπί τε μικροτέρου, καὶ μικροῦ χρὴ νοεῖν. σύμμετρον δὲ, καὶ μέτριον εἶναι λεκτέον, τὸ κατὰ τὴν οἰκείαν φύσιν ἔχον, ὥσπερ ἀσύμμετρόν τε καὶ ἄμετρον, τὸ παρὰ τὴν φύσιν. ἐπεὶ τοίνυν ἐστὶ σῶμα κοῖλον ἡ ἀρτηρία, τὴν διάστασιν αὐτῆς ἀνάγκη ποτὲ μὲν οἰκείως τε,

καὶ συμμέτρως τῆς τε χρείας, ἧς ἕνεκα πρὸς τῆς φύσεως ἐγένετο τοιαύτη, καὶ πρὸς ἔτι τῶν χιτώνων τῶν αὐτῆς, ποτὲ δ', ἀμέτρως ἐπιτελεῖσθαι. δείκνυται δ' ἐν ἑτέροις, ὡς ἐν ταῖς ἀρίσταις φύσεσιν εἰς τοσοῦτον διαστέλλεσθαι πέφυκεν, εἰς ὅσον τήν τε χρείαν ἱκανῶς πληρῶσαι, καὶ μηδὲν τοὺς χιτῶνας λυπῆσαι. τὸν οὖν βουλόμενον ἑνὶ κανόνι προσέχειν ἐν ταῖς τῶν μεγάλων τε, καὶ μικρῶν σφυγμῶν διαγνώσεσι, τὴν ἀρίστην φύσιν ἐξευρόντα, καὶ γνόντα μιᾶς ἀρτηρίας ἡστινοσοῦν, ἐν αὐτῇ τόν τε τοῦ σώματος ὄγκον, τόν τε τῆς διαστολῆς, μεμνῆσθαι χρή, καὶ συλλογίζεσθαι, μέχρι πόσου, τὴν μείζονα ταύτης ἀρτηρίαν, εἰκὸς ἔχειν μείζονα, καὶ τὴν διαστολὴν ἐν ταῖς ἀρίσταις φύσεσιν. εἶτ' εἰ μὲν εὑρίσκοιτο τηλικαύτην ἡλίκην ἔσεσθαι στοχάζοιτο, σύμμετρον οὕτω καλεῖν τὸν σφυγμόν. εἰ δ' ἤτοι μείζονα ταύτης, ἢ ἐλάττονα, μέγαν, ἢ μικρόν. εἴσεται δὲ τὸ τῆς ἀρτηρίας μέγεθος ἐπὶ τῆς ἀρίστης φύσεως, ἤτοι διὰ τῆς ἀνατομῆς, ἤτοι κατὰ περίπτωσιν, εἴτε κατ' ἐπιτήδευσιν γιγνομένης, ἢ συλλογισάμενος, ἐκ τῶν ἐν τοῖς περὶ τῆς ἀρίστης κατασκευῆς εἰρημένων. καίτοι κἂν εἰ μὴ γιγνώσκῃ πηλίκη τίς ἐστιν ἡ ἀρτηρία τοῖς τὴν ἀρίστην φύσιν ἔχουσιν, ἀλλὰ τόν γε σφυγμὸν αὐτῶν μεμνημένος, εἶτ' αὖθις ἐντυχὼν ἑτέρῳ τινί, καὶ δυνάμενος συλλογίσασθαι, πότερον εἰκὸς μείζονας τοῦτον, ἢ μικροτέρας ἐκείνου τὰς ἀρτηρίας ἔχειν, οὕτως ἤδη παραβάλλειν τε τῷ κατὰ τὴν διαστολὴν ὄγκῳ δυνήσεται, καὶ στοχάζεσθαι, πότερα σύμμετρος, ἢ μέγας, ἢ μικρὸς ὁ σφυγμός ἐστιν. εἰ μὲν γὰρ, ὅσῳ φαίνεται μείζονας τὰς ἀρτηρίας ἔχειν ὁ παραβαλλόμενος ἄνθρωπος, τοσούτῳ καὶ τὴν διαστολὴν αὐτῶν ἔχοι μείζονα, σύμμετρον ἐροῦμεν τὸν σφυγμόν. εἰ δ' ἤτοι πλέονι τὸ τῆς ἀρτηρίας μέγεθος, ἤπερ τὸ τῆς διαστολῆς ὑπερβάλλειν δόξειεν, ἢ ἔλαττον εἴη, μέγαν οὕτως, ἢ μικρὸν καλέσομεν· εἰ μὲν τὸ τῆς ἀρτηρίας σῶμα φαίνοιτο μεῖζον ἤπερ τὸ τῶν σφυγμῶν, μικρόν· εἰ δὲ τὸ μὲν τῆς ἀρτηρίας ἔλαττον, τὸ δὲ τῶν σφυγμῶν μεῖζον, μέγαν. οὕτω δὲ καὶ κατὰ λοιπὰ γένη τῶν σφυγμῶν, τό τε κατὰ τὴν κίνησιν αὐτήν, ἐν ᾧ τάχος τε καὶ βραδύτητα διαγινώσκομεν· καὶ τὸ κατὰ τὴν ἠρεμίαν, ἐν ᾧ πυκνότητα, καὶ ἀραιότητα· καὶ τὸ κατὰ τὸν τόνον, ἐν ᾧ σφοδρότητα, καὶ ἀμυδρότητα· καὶ προσέτι τὸ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας· ἐν ᾧ σκληρότητα, καὶ μαλακότητα. ἐν ἅπασι γὰρ τούτοις, τόν τε σύμμετρον ἐπὶ τῆς ἀρίστης φύσεως ἐξευρήσομεν, τούς τε ἀμέτρους, ἢ δι' ὑπερβολήν, ἢ δι' ἔλλειψιν, οὐκ ἀλλήλοις, ἀλλὰ τῷ συμμέτρῳ παρεξετάσομεν.

& moderatè, vt postulat vsus, cuius gratia creata à naturâ talis est, præterea vt eius postulant tunicæ; interim immodicè perficiatur. Ostendi autem alio loco hactenus eam in optimis naturis solere dilatari, quoad vsus abundè impleatur, & nihil offendantur tunicæ. Proinde qui regulam velit attendere in magnis pulsibus & paruis dignoscendis, optima natura inuenta, cognitoque vnius in illa arteriæ cuiuscunque tumore, corporis atque distentionis, recordandum illi, & æstimandum est, arteriam hac maiorem quanto oporteat maiorem habere distentionem in optimis naturis. Quæ si tanta reperiatur esse, quantam fore conijciebat, sic moderatum pulsum appellabit; sin vel maiorem hac, vel minorem, magnum, vel paruum. Arteriæ deprehendat in optima natura magnitudinem, aut per dissectionem, siue ea casu, siue de industria fiat; aut colligendo ex signis, quæ in libello de optima corporis constitutione prodidimus. Quòd si nesciat etiam quanta sit arteria præditis optima natura, pulsus quidem certè eorum memor, si in alterum postea incidat, & colligere possit, vtrum par sit maiores hunc, an minores, quàm illum habere arterias, cum tumore iam distentionis conferre poterit, atque coniectare, an magnus, an paruus, an moderatus pulsus sit. Etenim si quò videtur arterias maiores habere homo qui comparatur, hoc maiorem etiam habeat distentionem, moderatum dicemus pulsum esse. Quòd si arteriæ magnitudo videatur superare magnitudinem distentionis, aut sit minor, magnum tunc vel paruum vocabimus; si arteriæ appareat maius corpus esse quàm pulsus, paruum; sin arteriæ minus & pulsus maior, magnum. Haud aliter in reliquis generibus pulsuum, vt in genere ipsius motus, in quo celeritatem & tarditatem dignoscimus, in genere quietis, in quo crebritatem & raritatem; contentionis in quo vehementiam & remissionem; ad hæc corporis arteriæ, in quo duritiem, & mollitiem. Nam per hæc omnia tum moderatum inueniemus in optima natura; tum immoderatos vel ob excessum, vel ob defectum, non inter se, sed cum moderato comparabimus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Γ.

GALENI DE DIGNOSCENDIS PVLSIBVS LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Γ' ΒΙΒΛΙΩι.

Διδάσκει εἰς τίνα χρὴ σκοπεῖσθαι γνωρίσματα, καὶ καθ' ὅντινα τρόπον χρὴ τὸν τοῖς σφυγμοῖς ἐπιβάλλοντα τοὺς δακτύλους, ἀσκεῖν τὴν ἁφὴν διαγνωστικὴν ἐξ ἑτοίμου γίνεσθαι τῆς τε συμμετρίας αὐτῶν, καὶ ἀμετρίας, καὶ ἐλλείψεως.

ARGVMENTVM LIBRI TERTII.

Docet quæ respicienda sint indicia & quomodo pulsibus applicandi digiti vt tactum exerceas ad facilè & promptè dignoscendam quum mediocritatem eorum tum excessus & defectus.

CAPVT PRIMVM.

Declaratio definitionum celeris & tardi pulsus: Ratioque eorum dignoscendorum.

MODERATVM pulsum in quouis genere, intelligentia & dignotione priorem immoderatis esse, atque arterias in corporibus optimè comparatis cum mediocritate quadam pulsare, in superiore libro declarauimus. At quæ respicienda sint indicia, & quomodo pulsibus applicandi digiti, vt tactum exerceas ad facilè prompteque cùm mediocritatem eorum dignoscendam, tùm excessus & defectus, deinceps dicemus, inducto à genere motus exordio. Atque temporis quantitatem solam moderati motus, & immoderati non idoneum signum esse, sed & per quæ vectum interualla sit, quod mouetur, respiciendum esse, supra abundè demonstrauimus, quo etiam loco illos confutauimus, qui definitionem perperam celeris pulsus interpretantur, at nos tamen ipsi, quemadmodum potissimùm accipienda sit, non aperuimus, sed nunc id faciemus. Neque enim multis verbis opus erit, quòd quæ ad eam pertinent intelligendã, iam antè exposuerimus; nam etiam interest ad rem præsentẽ hęc narrauisse. Quum ergo quis terminat pulsus pauco tempore motum, nobis celer vocetur: & tardus, qui multo. Ante horum nominum explicatas significationes non iniuria quidam sunt hallucinati, existimantes idem multum ac plus, paucũ & paucius significare, nunc quia ostendimus hæc quidẽ ad rem quamlibet semper referri, illa verò ad moderatũ tantum sui generis,

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἀπόδειξις ὅρων τοῦ τε βραδέος καὶ τοῦ ταχέος σφυγμοῦ· καὶ τρόπος τῆς διαγνώσεως αὐτῶν.

ΟΤΙ μὲν ἡ τοῦ συμμέτρου καθ' ἕκαστον γένος σφυγμοῦ νόησίς τε καὶ διάγνωσις ἡγεῖται τῆς τῶν ἀμέτρων, καὶ ὡς ἐν τοῖς ἄριστα κατεσκευασμένοις σώμασιν, αἱ ἀρτηρίαι πᾶσαι σύμμετρον σφύζουσιν, ἐν τῷ πρὸ τούτου λόγῳ δεδήλωται. εἰς τίνα δὲ χρὴ σκοπουμένους γνωρίσματα, καθ' ὅντινα χρὴ τρόπον ἐπιβάλλοντα τοῖς σφυγμοῖς τοὺς δακτύλους, ἀσκεῖν τὴν ἁφὴν διαγνωστικὴν ἐξ ἑτοίμου γίγνεσθαι, τῆς τε συμμετρίας αὐτῶν, καὶ τῆς ἀμετρίας, ἐφεξῆς ἐροῦμεν, ἀπὸ τοῦ κατὰ τὴν κίνησιν ἀρξάμενοι γένους. ὅτι μὲν οὖν τὸ ποσὸν τοῦ χρόνου μόνον, οὐχ ἱκανὸν γνώρισμα συμμέτρου τε καὶ ἀσυμμέτρου κινήσεως, ἀλλὰ καὶ τὰς διαστάσεις καθ' ὧν ἠνέχθη τὸ κινούμενον ἐπιβλέπειν χρὴ, διὰ τῶν ἔμπροσθεν αὐτάρκως ἐπεδείξαμεν, ἔνθα καὶ τοὺς ἐξηγουμένους κακῶς τὸν ὅρον τοῦ ταχέος σφυγμοῦ διηλέγξαμεν, οὐ μὴν αὐτοί γ' εἴπομεν ὅπως ἀκούειν χρὴ βέλτιον, ἀλλὰ νῦν ἐροῦμεν. οὔτε γὰρ μακροῦ δεησόμεθα λόγου, φθάνοντες ὅσα πρὸς τὴν νόησιν αὐτοῦ συντελεῖ, διὰ τῶν ἔμπροσθεν ἐξηγήσασθαι· καὶ ἄλλως χρήσιμος ἡμῖν ὁ λόγος ἔσται πρὸς τὰ παρόντα. τοῦ τοίνυν ἐν ὀλίγῳ χρόνῳ περιγράφοντος ἡμῖν τὴν κίνησιν σφυγμοῦ ταχέος λεγομένου, καὶ βραδέος αὖ τοῦ ἐν πολλῷ, πρὶν μὲν διορισθῆναι τὰ σημαινόμενα τῶν ὀνομάτων εἰκότως ἐσφάλλοντό τινες, οἰόμενοι ταὐτὸν ἔκ τε τοῦ πολλοῦ, καὶ τοῦ πλείονος, ὀλίγου τ' αὖ πάλιν, καὶ ὀλιγωτέρου δηλοῦσθαι. δειξάντων δ' ἡμῶν, τὰ πρὸς ὁποιονοῦν τυχὸν ἑκάστοτε λεγόμενα, τὰ δὲ πρὸς τὸ σύμμετρον ὁμογενὲς μόνον,

οὐκέτι χαλεπὸν, οὐδὲ νῦν εἶναι, πῶς ἐν ὀλίγῳ μὲν χρόνῳ, τὴν τοῦ ταχέος σφυγμοῦ κίνησιν περιγράφεσθαι λέγομεν, ἐν πολλῷ δὲ, τὴν τοῦ βραδέος. εἰ γὰρ φθάνοιμεν γιγνώσκοντες ἐπὶ πόσῳ χρόνῳ πόσην ἤνυσε διάστασιν ὁ σύμμετρος σφυγμὸς, εἶθ' ἑτέρου τὸν ἴσον ἔχοντος χρόνον, ἐλάττονα τὴν διάστασιν εὕροιμεν, ἐν πολλῷ χρόνῳ τὸν τοιοῦτον ἐροῦμεν κεκινῆσθαι. θαυμαζέτω δὲ μηδεὶς, εἰ δυοῖν κινήσεων τὸ ποσὸν τοῦ χρόνου ταὐτὸν ἐχουσῶν, τὴν ἑτέραν μόνον ἐν πολλῷ χρόνῳ γεγονέναι φαμὲν, οὐ μὴν ἀμφοτέρας ὁμοίως. καὶ γὰρ δυοῖν ἅμα παίδων πεμφθέντων εἰς διαφέροντας τόπους, εἶτ' ἐπανελθόντων ἅμα, τὸν μὲν ἕτερον ἐπῃνέσαμεν, ὡς ἐν ὀλίγῳ χρόνῳ τὴν ὁδὸν ἀνύσαντα, τὸν δὲ ἕτερον ἐμεμψάμεθα, ὡς ἐν πολλῷ. πρὸς γὰρ τὸ τῆς ὁδοῦ μῆκος ἀποβλέποντες, ὀλίγον, ἢ πολὺν τὸν χρόνον εἶναι φαμὲν, οὐχ ἁπλῶς. κατὰ τοῦτο μὲν δὴ καὶ σφυγμὸν ἐροῦμεν, ἐν ὀλίγῳ χρόνῳ γιγνόμενον ταχὺν εἶναι, καὶ βραδὺν ἐν πολλῷ, καὶ τοὺς ὅρους τοὺς εἰρημένους ἀποδεξόμεθα, καθ' ὃν εἰρήκαμεν τρόπον ἐξηγούμενοι. εἰ δέ τῳ βίαιος ὁ τοιοῦτος εἶναι δοκεῖ τρόπος, ἀναμνησθεὶς ὅτι κατὰ θάτερον σημαινόμενον ἀκουόντων τῆς λέξεως, ἀπεδείχθησαν ψευδεῖς οἱ ὁρισμοὶ, πειράσθω ποιεῖν ἑτέρους ὅρους. οὐ γάρ πως ἂν ὁρίσαιτο, νῦν ἡμῖν πρόκειται σκοπεῖν, ἀλλὰ τὰς ἐννοίας τῶν πραγμάτων ἀκριβῶς διαρθρῶσαι, μή πη σφαλέντες ἐν ταύταις, καὶ περὶ τὴν διάγνωσιν αὐτῶν τῶν σφυγμῶν σφαλλώμεθα. ὅπερ οὕτως ἀναγκαῖον ἦν εἰς τὴν διάγνωσιν, ὑφ' ἡμῶν εἴρηται. εἰ δέ τις βούλοιτο μαθεῖν, ἐπ' αὐτῷ συντιθέναι τινὰς ὁρισμοὺς, οὐκ ἄχαρι μὲν ἴσως γυμνάσιον γυμνάσαιτ' ἂν, οὐ μὴν τοῖς γε προκειμένοις ἀναγκαῖον. ὅθεν οὐδὲ ἡμεῖς περὶ τοῦ, πῶς ὁρίζεσθαι χρὴ τοὺς τοιούτους σφυγμοὺς ἐροῦμεν. οὔτε γὰρ ἀναγκαῖον ὅλως, οὔτ' εἴ τῳ καὶ ἀναγκαῖον φαίνοιτο, τῆς προειρημένης πραγματείας οἰκεῖον, ἀλλ' ἐν τῷ τετάρτῳ περὶ διαφορᾶς σφυγμῶν, ἱκανῶς εἴρηται περὶ αὐτῶν. τῆς δὲ ἐννοίας μόνης ἀξιώσαντες εἰς τὰ προκείμενα μνημονεύειν, ἐπὶ τὸ συνεχὲς τοῦ λόγου μεταβῶμεν. ἤδη γὰρ ὅπερ ἡμεῖς εὕρομεν ἐν αὐτοῖς, εἰπεῖν καιρὸς, εἰς τὴν διάγνωσιν αὐτῶν συντελοῦν μέγα. μᾶλλον δὲ εἰ χρὴ τἀληθὲς εἰπεῖν, τὸ πᾶν ἤδη ῥηθήσεται. ἀξιοῦμεν γὰρ οὐδὲ τοῦ χρόνου, καὶ τῆς διαστάσεως τὸ ποσὸν σκοπεῖν, ἀλλ' οὐδὲ τὰς ἐν αὐτοῖς ἀναλογίας, ὑπὲρ ὧν ἐν τῷ πρὸ τοῦδε βιβλίῳ διεληλύθαμεν, ἡνίκα τὸν θάττονα, καὶ τὸν βραδύτερον ἐδιδάσκομεν σφυγμόν. ἐκεῖ μὲν γὰρ ἀναγκαίως εἴρηται, πρὸς τὸ τῆς πλάνης ἐπισχεῖν τοὺς τῷ ποσῷ τοῦ χρόνου μόνῳ διακρίνοντας αὐτοὺς, εἰς δὲ τὴν διάγνωσιν χαλεπὰ, καὶ μακρὰ, καὶ δυσσυλλόγιστα, καὶ δύσκριτα, καὶ σχεδὸν ἀδύνατα ἐμοί γ' ὄντα ἐφάνη. τὸ μὲν γὰρ τάχος τε, καὶ τὴν βραδύτητα κατὰ τὴν πρώτην ὁρμὴν τῆς ἀρτηρίας γνωρίζομεν, τὸν δὲ λόγον τοῦ χρόνου πρὸς τὸν χρόνον, καὶ τῆς διαστάσεως πρὸς τὴν διάστασιν, ἵν' ἐξεύροιμεν, παμπόλλου δεόμεθα χρόνου. ὥστ' οὐδὲ ἀναμένομεν αὐτὰ λογίζεσθαι πρὸς τὴν ἐπὶ τῶν ἀρρώστων διάγνωσιν. ἀλλ' ὥσπερ εἰ καὶ τρέχοντά τινα θεασάμενοι τύχοιμεν, αὐτὸς ὁ ῥοῖζος τῆς ὁρμῆς ἱκανὸς τὸ τάχος ἐνδείξασθαι, οὕτως ἔχει κἀπὶ τῆς ἀρτηρίας. ἢ γὰρ, ἢ ἐπειγομένην, ἢ ἐκλελυμένην ἐστὶν εὑρεῖν τὴν κίνησιν αὐτῆς. ἕκαστον γὰρ τῶν κινουμένων σωμάτων ἐκ τῶν τόπων, ἐν οἷς ἑκάστοτε γίγνεται διαγινώσκομεν ὅπως κινεῖται. ὅταν μὲν γὰρ ἐγχρονίζῃ τοῖς τόποις βραδεῖαν εἶναι τὴν κίνησιν φαμέν. ὅταν δὲ ἀπαλλάττηται ῥᾳδίως, ὠκεῖαν. οἶδα δὲ φυσικὴν ἐκδεξομένην ζήτησιν τὸν λόγον, εἰ τὸ κινούμενον σῶμα, καὶ μένει κατά τι δείκνυται μὲν οὕτω καὶ αὐτὸ τοῦτο, πάντως μᾶλλον ἀληθὲς ἐν τοῖς περὶ τῆς κινήσεως.

omnis iam sublata est difficultas intelligendi, quemadmodum celeris pulsus pauco tempore motum dicamus terminari, & multo motum tardi. Nam si hoc prius nobis constet moderatus pulsus quanto tempore, quantum confecerit spatium; deinde alterius offendamus, qui par habuit tempus, minus interuallum, multo hunc tempore dicemus motum esse. Atqui nemo mirari debet, si duorum motuum, quorum temporis quantitas par sit, alterum tantum multo tempore dicamus factum esse, non perinde vtrunque. Etenim si duo pueri dimissi in diuersa loca sint, & simul reuersi, alterum quòd iter pauco tempore absoluerit, collaudamus, alterum culpamus, quòd multo. Nam ex viæ longitudine æstimamus, quum paucum vel multum temporis dicamus, non absoluto sermone. Eodem etiam modo pulsum dicemus, qui pauco tempore fit, celerem esse, ac tardum qui multo, definitionesque probabimus illas ita interpretando vt diximus. Quòd si cui modus ille videatur coactior, memoria repetat demonstrasse nos, si altera significatione, dictio accipiatur, definitiones falsas esse, detque operam, vt alias definitiones fingat. Neque enim quomodo definiendum sit, hic instituimus disceptare, cæterùm vt rerum diligenter, atque accuratè notiones constituamus: vt ne si in his offenderimus, simul in dignoscendis pulsibus offendamus. Proinde quid requiratur ad dignoscendum, declaratum à nobis est. Iam si discere etiam cupias hæc definire, non illa quidem fortassis ingrata exercitatio sit, non ad institutum tamen necessaria. Quo nos minus de istorũ pulsuum ratione definiendi agemus: etenim quum omnino non est necessarium, tum etiam si cui necessarium videatur, nihil cum hac instituta commentatione est coniũctum, verùm in quarto libro de pulsuum differentiis sufficienter nos de his tractauimus. Notionis tantum in præsenti, quando instituimus mentionem facere, seriem orationis persequamur, nam nunc quidem, quod in iis inuenimus, locus est dicendi, ad eum dignoscendum magnopere faciens, atque adeò, si verum dicendum est, summam iam aperiam. Nec quantitatem temporis, nec interualli respiciendam censemus: imò ne proportiones quidem illorum, de quibus verba fecimus in superiore libro, quum celeriorem pulsum, & tardiorem doceremus. Illic enim non potui illa præterire, quo errorem præciderem his qui ex solius temporis quantitate de iis existimant, quæ ad dignoscendum laboriosa mihi, & longa difficilisque æstimationis, & iudicij, adeoque impossibilia propè visa sunt. Nam celeritatem quidem, & tarditatem, vt primùm occurrit arteria, noscimus; rationem verò temporis ad tempus, & interualli ad interuallum, vt exploremus, opus nobis longo tempore est. Itaque ista nihil nos morantur, vt expendamus ad pulsus in ægrotis dignoscendos. Sed vt si ante oculos quempiam videamus, impetus motus celeritatem potest ostendere; ita vsu venit in arteria, nam aut incitatum, aut remissum eius motum inuenias. Omnia enim corpora quæ mouentur, ex locis, vbi mouentur semper, dignoscimus quomodo moueantur; quæ vbi in locis remorantur, tardum esse motum prædicamus, vbi facilè discedunt celerem. Hic scio futurum, vt quæstio se physica offerat, an corpus, dum mouetur, etiam maneat aliquo modo; atqui in commentariis de motu illud ita vt quod maximè, probatur verum esse.

At

At à tantis in præsens quæstionibus declinemus, ne implicemus nos. Quod informat tantùm sensus ad dignoscendos celeres & tardos pulsus, hoc satis est, si dicamus; nimirum vnum motum cedere videri locis facilè, in quibus semper fit, alium diutius inibi commorari; itáque hunc tardum illum celerem vocari. Nam ex locorum transitu sensus dignoscit, non ex totius motus tempore, nec separatim, & solo, nec quatenus cum quantitate comparatur. Itáque celeritatis & tarditatis facilè notitiam consequimur, non perinde consecuturi, si quantitate temporis, & interuallorum aucupata, eorum sustineremus proportiones obseruare. Enimverò non sustinemus, nam vt primùm aciem intendimus, momento temporis moram nos corporis quod mouetur, deprehendimus, ex quia conijcimus transitum. Quo fit vt quæ eminus cernimus, hæc nobis interim diutius videantur consistere, licet agitentur velocissimè; vnde liquet ratione nos motum colligere, non sensu deprehendere. Siquidem quum prima quæque sensibilis pars corporis quod mouetur, in primo sensibili loco subsistat, primò sensibili tempore, tum immobile, quod cernimus, videtur esse; at verò vbi prima sensibilis pars, in primo sensibili loco, quàm primo sensibili tempore, subsistat breuiore tempore, tum videtur moueri. Singula enim quæ diximus dissecari, quod ad naturam attinet, in infinitum possunt, sensu verò si æstimes, primas certas habent, & indiuisas partes. Quod planum facit, ratione omnem motum, non sensu dignosci. Quia verò sensui ratio coniuncta est, & mentis est transcursus velocissimus, sæpenumero non ratione, sed deprehendi sensu videtur. Nam quorum primo sensibili tempore, prima sensibilis pars, in primo sensibili loco manet, horum tantùm nos motus apertè fatemur non sensibus, sed ratione animaduertere, vt gnomonis vmbræ, Lunæ, Solis, omniumque siderum quæ à nobis longissimè remota sunt. Quorum autem, vt dixi, breuius est tempus primo sensibili, nullo tempore prædita horum mansio migratioque videtur; quippe quod minus primo sensibili tempus habet, omni mora hoc putatur carere. Sed hæc priuatim præstiterit commentari eum, qui cùm hæc de quibus agimus, aueat probè ediscere tum alia in medicina multa. Nobis verò satis hæc erunt ad demonstrandum non esse temporum, & interuallorum respiciendam quantitatem, sed ipsam qualitatem motus; quæ est explicatu quidem difficilis, sed horum quæ docuimus ope (nisi sis prorsus stupidus & iners) non magno negotio verum, vt homini licet, consequere. Multoque magis, si dignoscendos inæquales celeritate, & tarditate pulsus mediteris, originem ducere eos inuenias ex qualitate motus. Ac vnius quidem distentionis sæpe initium motus planè celerius videtur, proximum tardius, iterum finis celerior, nec hîc quantitates quasdam, aut temporum, aut interuallorum, sed ipsam vnam motus qualitatem attendimus. Quo minus leuiter palpandum est, vbi genus hoc perpendimus pulsuum, nimirum sic extremum motus finem sentiamus duntaxat, non integrum motum. Ex quibus iam liquet eiuscemodi pulsus prorsus non oportere paruos esse, nec languidos;

A ἀλλὰ νῦν φυλαξώμεθα τηλικούτοις ἡμᾶς αὐτοὺς περιάπτειν ζητήμασι. ὅσον δὲ φαντάζεται μόνον ἡ αἴσθησις, εἰς τὴν διάγνωσιν τῶν ταχέων τε καὶ βραδέων σφυγμῶν, τοῦτο ἀρκεῖ λελέχθαι, τὸ τὴν μὲν ἀπολείπουσαν φαίνεσθαι τοὺς τόπους ἐν οἷς ἑκάστοτε γίγνεται ῥᾳδίως, τὴν δ' ἐπὶ πλέον ἐν αὐτοῖς μένουσαν. καὶ καλεῖσθαι τὴν μὲν ὠκεῖαν οὕτως, τὴν δὲ βραδεῖαν, κατὰ τὰς ἐκ τῶν τόπων μεταβάσεις, τῆς αἰσθήσεως τὴν διάγνωσιν ποιουμένης, οὐ κατὰ τὸν τῆς ὅλης κινήσεως χρόνον, οὔτ' ἰδίᾳ καὶ μόνον, οὔθ' ὅσα τῷ ποσῷ παραβάλλεται. καὶ κατὰ τοῦθ' ἡμῖν ἑτοίμη τοῦ τάχους τε καὶ τῆς βραδύτητος ἡ διάγνωσις γίγνεται, οὐκ ἂν γενομένη, B εἴπερ ἀνεμένομεν, ποσότητα χρόνων τε καὶ διαστάσεων λαβόντες τὰς ἐν αὐτοῖς ἀναλογίας σκοπεῖσθαι, ἀλλ' οὐκ ἀναμένομεν δηλονότι. κατὰ γὰρ τὴν πρώτην ἐπιβολὴν τῆς ὄψεως, ἀρρήτῳ τινὶ χρόνου βραχύτητι προσχρησάμενοι, τὴν μονὴν τοῦ κινουμένου σώματος ἐγνωρίσαμεν, ἐφ' ᾗ συνελογισάμεθα τὴν μετάβασιν. ὅσα γοῦν πόρρωθεν ὁρῶμεν, ἔστιν ὅτε ταῦτα μέχρι πλείονος ἡμῖν μένοντα φαντάζεται, κἂν ὅτι τάχιστα κινῆται, ᾧ καὶ δῆλον ὅτι συλλογισμῷ τὴν κίνησιν, οὐκ αἰσθήσει γνωρίζομεν. ὅταν μὲν γὰρ ἕκαστον τῶν πρώτων αἰσθητῶν μορίων τοῦ κινουμένου σώματος, ἐν τῷ πρώτῳ αἰσθητῷ τόπῳ, τὸν πρῶτον C αἰσθητὸν χρόνον ὑπομένῃ, τηνικαῦτα ἀκίνητον εἶναι δοκεῖ τὸ βλεπόμενον. ὅταν δὲ τὸ πρῶτον αἰσθητὸν μόριον, ἐν τῷ πρώτῳ αἰσθητῷ τόπῳ, τοῦ πρώτου αἰσθητοῦ χρόνου βραχύτερον ὑπομένῃ χρόνον, τηνικαῦτα κινεῖσθαι δοκεῖ. ἕκαστον μὲν γὰρ τῶν εἰρημένων εἰς ἄπειρον τέμνεσθαι δύναται, πρός γε τὴν φύσιν, αἰσθήσει δὲ μετρούμενα, πρῶτά τινα καὶ ἄτμητα κέκτηται μόρια, ᾧ καὶ δῆλον, ὅτι συλλογισμῷ μὲν ἅπασα κίνησις, οὐκ αἰσθήσει διαγιγνώσκεται. τῷ δὲ παρακεῖσθαι μὲν αἰσθήσει τὸν συλλογισμόν, ταχίστην δ' εἶναι τοῦ νοῦ τὴν μετάβασιν, οὐ συλλογισμῷ πολλάκις, ἀλλ' αἰσθήσει διαγινώσκεσθαι δοκεῖ. ὧν γὰρ D ἐν τῷ πρώτῳ πρὸς αἴσθησιν χρόνῳ, τὸ πρῶτον αἰσθητὸν μόριον, ἐν τῷ πρώτῳ πρὸς αἴσθησιν τόπῳ μένει, τούτων μόνων τὰς κινήσεις ἐναργῶς ὁμολογοῦμεν, οὐκ αἰσθήσεσιν, ἀλλὰ συλλογισμῷ λαμβάνειν, ὥσπερ τῆς τε ἐπὶ γνώμονος σκιᾶς, καὶ σελήνης, καὶ ἡλίου, καὶ τῶν ἄστρων ἁπάντων, ὅσα τ' ἄλλα πλεῖστον ἡμῶν ἀφέστηκεν. ὧν δ', ὡς ἐρρέθη, βραχύτερος ὁ χρόνος τοῦ πρώτου πρὸς αἴσθησιν, ἄχρονος ἥ τε μονὴ καὶ ἡ ἐξάλλαξις τῶν τόπων δοκεῖ, [εἶναι] πᾶν γὰρ ὅ τι ἐν ἐλάττονι τοῦ πρώτου πρὸς αἴσθησιν χρόνῳ γίγνεται, τοῦτ' ἄχρονον εἶναι φαντάζεται. ταῦτα μὲν οὖν ἰδίᾳ κάλλιον πεφιλοσοφῆσθαι, τῷ προῃρημένῳ, τά τε νῦν προκείμενα E καλῶς ἐκμανθάνειν, ἄλλα τε πολλὰ τῆς ἰατρικῆς. ἡμῖν δ' ἀρκέσει καὶ τὰ τοσαῦτα πρὸς ἔνδειξιν τοῦ μὴ χρόνων, καὶ διαστημάτων ἐπισκοπεῖσθαι τὸ ποσὸν, ἀλλ' αὐτὸ τὸ ποιὸν τῆς κινήσεως, ὅπερ ἐστὶ μὲν δύσρητον, ἐξ ὧν δ' εἴπομεν ὁρμώμενος, ἄν γε μὴ παντάπασιν ἀδύνατός τε καὶ ἀταλαίπωρος ᾖς, οὐ χαλεπῶς τεύξῃ τἀληθοῦς, εἰς δύναμιν ἀνθρωπίνην. ἔτι δὲ μᾶλλον, εἰ τοὺς ἀνωμάλους κατὰ τάχος, καὶ βραδύτητα σφυγμοὺς διαγινώσκειν μελετῴης, εὕροις ἂν ὡς ἐν τῷ ποιῷ κινήσεως, ἡ γένεσις αὐτοῖς. μιᾶς γοῦν διαστολῆς πολλάκις, ἡ μὲν ἀρχὴ τῆς κινήσεως ἐναργῶς ὠκυτέρα φαίνεται, τὸ δ' ἑξῆς βραδύτερον, αὖθις δὲ τὸ πέρας ὠκύτερον οὐ ποσότητάς F τινας, ἢ χρόνων, ἢ δυνάμεων, ἢ διαστάσεων ἀριθμούντων ἡμῶν, ἀλλ' αὐτὸ μόνον τὸ ποιὸν τῆς κινήσεως σκοπουμένων. οὐκοῦν οὐδ' ἐπιπολῆς ψαυστέον, ὁπόταν τὸ γένος τοῦτο τῶν σφυγμῶν ἐπισκοποίμεθα. τοῦ γὰρ ἔξω πέρατος τῆς κινήσεως, οὕτως ἂν αἰσθανοίμεθα μόνον, οὐ πάσης αὐτῆς. ἐκ δὲ τούτων οὐκ ἄδηλον ἤδη, τὸ τοὺς τοιούτους σφυγμοὺς δεῖν εἶναι πάντως, μήτε μικρούς, μήτε ἀμυδρούς.

οὐ γὰρ οἷόν τε τριχῇ τέμνειν τὴν κίνησιν, οὔτε ἐν ταῖς μικραῖς διαστάσεσιν, οὔτ᾽ ἐν ταῖς ἀρρώστοις δυνάμεσι. κωλύει γὰρ ἐπὶ μὲν τῶν προτέρων ἡ σμικρότης, οὐχ ὑπομένουσα τομὴν εἰς αἰσθητὰ μόρια, ἐπὶ δὲ τῶν δευτέρων, ἡ ἀρρωστία τῆς φύσεως ὀκλάζουσα πρὸς τὴν θλῖψιν. διὰ τοῦτο γοῦν, οὐδ᾽ ἐπὶ τῶν ληθαργικῶν σφυγμῶν ἔστιν φωρᾶσαι τινὰ ἀνωμαλίαν, ἴσως οὖσαν, ὅτι δεῖται μὲν πάντως θλίψεως εἰς τὴν διάγνωσιν, οὐχ ὑπομένει δ᾽ αὐτὴν ὑπ᾽ ἀρρωστίας. συνετὸν οὖν ἱκανῶς καὶ τετριμμένον ἅμα, περὶ τὰς διαγνώσεις εἶναι χρὴ, τὸν μέλλοντα τὴν προσήκουσαν ἑκάστου τῶν σφυγμῶν ἐξευρήσειν ἐπαφήν. εἰ γὰρ ὁ μὲν μέγιστος θ᾽ ἅμα καὶ σφοδρότατος ἰσχυρὰς ἀνέχεται θλίψεως, τῶν δ᾽ ἄλλων ἕκαστος εἰς ὅσον ἂν, ἤτοι σφοδρότητος, ἢ μεγέθους ἐνδεῶς ἔχῃ, εἰς τοσοῦτον ἐλάττονος. πρῶτον μὲν ἀκριβῶς χρὴ πόσον ἀπολείπονται τοῦ μεγίστου θ᾽ ἅμα καὶ σφοδροτάτου διαγινώσκειν, δεύτερον δὲ συλλογίζεσθαι πόσον ἀρκεῖ τῆς θλίψεως ἐπενεγκεῖν τοῖς οὕτως ἔχουσιν. ἑκατέρως γὰρ ἁμαρτάνειν ἀναγκαῖον, εἴθ᾽ ὑπερβάλλοιμεν τῆς ἀναλογίας, εἴτ᾽ ἐλλείποιμεν. ἐφ᾽ ὧν μὲν γὰρ ἂν ἔλαττον ἤδη θλίψωμεν, ἐκφεύξεταί τι τῆς ἐντὸς ἡμᾶς κινήσεως, ἐφ᾽ ὧν δ᾽ ἂν πλέον, τῆς ἐκτός. ὥστε πρῶτον μὲν ἀνώμαλόν ποτε τὴν κίνησιν οὖσαν, οὐ γνωριοῦμεν· ἔπειτα δὲ καὶ ψευδῶς ὑπὲρ ὅλης ἀποφανούμεθα πολλάκις, ἀφ᾽ ὧν ἐν τοῖς μέρεσι κακῶς διέγνωμεν. εἰ γὰρ, ἤτοι τὸ πρότερον αὐτῆς μόριον ὠκύτερον, ἢ τὸ δεύτερον ὑπάρχει, γιγνώσκοιτο δ᾽ ἡμῖν αὐτοῖν θάτερον μόνον, ἀνάγκη πρῶτον μὲν, ὡς ἀνώμαλος ἔστιν ἡ σύμπασα κίνησις ἀγνοεῖν, ἔπειτα δ᾽ ἤτοι ταχεῖαν, ἢ βραδεῖαν αὐτὴν εἶναι νομίζομεν, οὐδ᾽ ἑτέραν ἁπλῶς ὑπάρχουσαν. ἧς γὰρ κινήσεως, τὸ μὲν πρότερον ἦ μόριον ὠκὺ, τὸ δὲ δεύτερον βραδὺ, ταύτην οὐκ ἄν τις, οὔτ᾽ ὠκεῖαν ἁπλῶς, οὔτε βραδεῖαν ἐν δίκῃ καλέσειεν. οὐκοῦν, κεφάλαιον γὰρ ἐπιθεῖναι τῷ λόγῳ χρὴ μεταβαίνειν ἐφ᾽ ἕτερα, τὸν σύμμετρον κατὰ τὴν κίνησιν σφυγμὸν ἐπὶ τῆς ἀρίστης κατασκευῆς ἐξετάσαι προσῆκεν, οὐ κατὰ διαστάσεως καὶ χρόνων ποσότητα, ἀλλὰ καὶ αὐτὸ τὸ ποιὸν, ὡς εἴπομεν, ὅπως ἀπαλλάττηται τῶν τόπων ἐφάσκομεν δεῖν σκοπεῖσθαι, καὶ τούτου μνημονεύοντας, ὃς μὲν ἂν θᾶττον ἀπαλλαττόμενος φαίνηται, ταχὺν, ὃς δ᾽ ἂν βραδύτερον, βραδὺν ὀνομάζειν. ἐμφαίνεσθαι δὲ τοῦτο, κατ᾽ αὐτὴν τὴν πρώτην ἐπιβολὴν τῆς ἁφῆς, πρὶν κατὰ πάσης τῆς διαστάσεως ἐνεχθῆναι τὴν ἀρτηρίαν. ὥσπερ εἰ ὁμαλὸς ὁ σφυγμὸς εἴη, οὐ περιμείναντας τὴν ὅλην διαστολὴν, ἐκ τοῦ μέρους αὐτῆς, περὶ πάσης ἔχειν τεκμήρασθαι. ἀνωμάλου δ᾽ ὄντος ἁπάσῃ τε χρῆναι παρακολουθεῖν ἐλέγομεν, ἐπιβάλλειν τε τὴν ἁφὴν διαφερόντως, ὡς ἂν ἔχῃ μεγέθους τε καὶ σφοδρότητος ὁ σφυγμός. περὶ μὲν δὴ τοῦ κατὰ τὴν κίνησιν γένους, ἱκανὰ καὶ ταῦτα πρός γε τὸ παρόν. αὖθις γὰρ ἡμῖν, ἐν τῇ περὶ τῶν σφυγμῶν διαγνώσεσιν, ἀναγκαῖον αὐτῆς ἔσται μνημονεῦσαι.

neque enim trifariam possis motum dissecare, nec in paruis interuallis, nec in facultatibus imbecillis; quòd obstet illis paruitas, quæ diuidi sensibiles partes non patitur: hîc impediat facultatis infirmitas, quæ concidit ad pressum. Quamobrem nec in pulsibus lethargicis deprehenderis inæqualitatem, quæ tamen adest forsitan, quia omninò quo dignoscatur, vult comprimi; at hoc præ imbecillitate non sustinet. Quare qui cuique pulsui inuenturus sit contrectationem appositam, hunc singulari prudentia esse, & expertum in dignoscendo oportet. Nam si maximus pariter & vehementissimus validam fert compressionem, atque alius quisque, quantùm à vehementia vel magnitudine abest, tantò minorem; primùm quantum à maximo & vehementissimo recesserunt, ad vnguem perspiciendum est; deinde ratio ineunda est quantum sufficiat compressionis id genus pulsibus impertiuisse; vtrobique enim offendamus, necesse est, siue excedamus proportionem, siue non assequamur; quòd vbi minus iam premamus, præteritura nos sit interni pars motus; vbi verò amplius, externi. Itaque primùm motum aliquando inæqualem esse non percipiemus, deinde malè etiam de toto motu sæpè iudicabimus, eo quòd malè perpenderimus partes. Si enim vel pars eius prima, vel altera celerior sit, & nobis earum tantùm altera sit explorata, non possumus primùm vniuersum inæqualem motum esse scire, deinde vel celerem, vel tardum arbitrabimur eum esse, quum neuter planum sit; siquidem cuius celeris erat pars prima, & altera tarda, hunc nec celerem absolutè, nec tardum iure vocaueris. Quare (vt oratione in summam collecta, alio me conferam) in optima constitutione moderatus motu pulsus erat, non ex interualli nec temporum quantitate explorandus; sed ex ipsa, vt diximus qualitate, quo pacto discedat ex locis, dicebamus animaduertendum esse; cuius memores, qui decedere celerius videatur, celerem; qui tardius, tardum appellemus; representari autem hoc, vt primum est admotus tactus, prius quàm totum arteria spatium confecerit. Proinde, si pulsus æqualis sit, non expectamus vniuersam distentionem, sed ex parte eius facere de tota coniecturam possumus; qui si inæqualis sit, omnem assequi dicebamus oportere, tactumque pro magnitudine pulsus, & vehementia variè explicare. Atque de genere motus hæc in præsentia satis sunt: eius enim nos iterum in pulsibus dignoscendis mentionem, necesse est faciamus.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ διαγνώσεως τοῦ ποσοῦ τῆς διαστολῆς.

Περὶ δὲ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ἐφεξῆς λέγωμεν. τριῶν δὴ διαστάσεων οὐσῶν τοῦ σώματος τῆς ἀρτηρίας, μήκους, καὶ πλάτους, καὶ βάθους, οὐδεμίας οἷόν τε πάσης αἰσθέσθαι. τὸ μὲν κατὰ τὸ μῆκος, ἀντικρὺς δῆλον, μέχρι μὲν γὰρ ἐσχάτου πέρατος, ἑκατέρωθεν ἡ ἀρτηρία σφύζει. βραχεῖ δ᾽ αὐτῆς μέρει τὴν ἁφὴν ὑπερβάλλομεν. ὅσον ἂν ὑποκύπτῃ τοῦ ὄγκου τοῦ προκειμένου σώματος. αὐτὸ δὲ τοῦτ᾽ ἐστὶ τὸ ποιοῦν, ἢ μακρὸν, ἢ βραχὺν εἶναι τὸν σφυγμὸν, τὸ μὴ πάσης ἅψασθαι δύνασθαι τῆς ἀρτηρίας κατὰ τὸ μῆκος.

CAPVT II.

De quantitate distentionis dignoscenda.

DEinceps de quantitate distentionis agamus, nam quum corporis arteriæ dimensiones tres sint, longitudo latitudo, & profunditas, nullam possumus totam sentire. De longitudine apertissimum est, vtrinque enim arteria vsque ad terminum extremum pulsat. At paruæ eius parti inijcimus tactum, quanta extat ex obiecti corporis mole; quæ quidem ipsa efficit vt longus vel breuis pulsus sit, eò quòd non possit attingi omnis arteriæ longitudo.

Sit

Sit tamen hîc etiam aliquid in qualibet corporis natura, quod elucescat sub cute, in optima natura moderatum; si quid supra hoc sit, longum; si quid infra, breuem reddit pulsum, qui non potest numero digitorum definiri; sicuti quidam, si quatuor digitis obuiet, esse dicunt longum; si tribus, medium; si duobus breuem. Neque enim corporis optimæ naturæ vna est mensura, sed in vna qualibet facilè quantitatem assequere, vnius ope, modò colligere proportionem possis; cum qua postea si alios homines conferas pares totius corporis magnitudine, dices vel longos vel breues pulsus habere; eodem modo latos, angustos, altos, humiles, ac in tribus simul dimensionibus, magnos, vel paruos; vbique enim ad moderatum referemus, quum alios æstimamus. Atenim singulos esse in singulis aliis pulsuum generibus moderatos; sed in sola quantitate non planè vnum, sed suum cuique corporis parti, antea explicauimus. Hoc tamen non est huius loci; sed volui dicti vos admonere; itaque ad institutum iam par est reuerti. Institui verò vt puto docere, sensu nullius dimensionis exactè dignosci posse quantitatem; cuius rei causa partim omnibus communis, partim sua cuique est. Primo loco communem exponam. Nam quandoquidem inter arterias, quæ nuda sit nulla est; sed vestiunt eas multis locis pauciora & subtiliora corpora, multis etiam locis plura & crassiora; planè in aperto est, non perinde omnes arteriarum motus posse sentiri, sed illarum magis, quas pauciora tenuioraque; harum minus, quas circumijciunt plura ac crassiora corpora. Atque hæc communis est. Propria verò singularum dimensionum, longitudinis quòd permultum intersit inter veram & apparentem; latitudinis quòd parum; profunditatis, quòd minimùm. Nam quum sæpè longa tres cubitos vniuersa arteria sit, tres vel quatuor duntaxat digiti percipiunt arteriæ motum; reliqua pars à corporum obiectorum numero occultatur. In latitudine quum præ corporibus, quæ illam vtrinque cingunt, multis illis, & crassis, neque tactus ipsi corpori arteriæ applicari possit, neque per crassitiem illorum, & multitudinem foràs motus perrumpat, multis locis omninò motus perit, multis etiam in maximè angustum cogitur; totum verò, quòd arteriam nullo loco videas nudam. At verò ne profunditas quidem vsquam planè est nuda, vt possit saltem in ea elucere eius vniuersus motus; sed si nihil aliud cutis certè ambit eam, per quam pulsum sentimus; itaque tecta fuerit hæc quoque certè aliquatenus. Quæ quum ita sint, dabimus operam, vt optimam rationem monstremus dignoscendarum singularum dimensionum; ac primò dicemus de longitudine. Atque esse hanc censendam optimam, quæ motus maximam partem sentiat, clarissimum est; nam vt si sentire omnis valeat, primum hoc sit; ita posteaquam hoc non potest, vbi nulla pars eius, quæ quidem animaduerti possit, lateat, tactum existimamus optimum esse. Quomodo autem eum possis instituere, faciam vt declarem; si ob oculos priùs proponam in tribus his omnes positas esse sensibilium cognitionum differentias, in natura, exercitatione, & modo applicationis.

ἀλλ' εἶναι τὴν πάλιν κἀνταῦθα καθ' ἑκάστην φύσιν σώματος ἐπιφανὲς ὑπὸ τῷ δέρματι, τῇ δ' ἀρίστῃ φύσει δηλονότι τὸ σύμμετρον, οὗ τὸ μὲν πλέον, μακρὸν, τὸ δ' ἔλαττον, βραχὺν ποιεῖ τὸν σφυγμόν, οὐκ ἀριθμῷ δακτύλων ὁρισθῆναι δυνάμενον, ὥσπερ τινὲς, εἰ μὲν τοῖς τέτταρσιν ὑποπίπτοι, μακρὸν εἶναι λέγουσιν, εἰ δὲ τοῖς τρισὶ, μέσον, εἰ δὲ τοῖς δύο, βραχύν. οὐ γάρ ἐστιν ἓν μέτρον σώματος ἀρίστης φύσεως, ἀλλὰ καθ' ἕκαστον, οὐ χαλεπῶς ἐξευρήσεις τὸ ποσὸν, ἀπὸ μιᾶς ὁρμηθεὶς, εἰ μόνον συλλογίσασθαι δυνατὸς εἴης τὸ ἀνάλογον. ἐκείνῃ δὲ πάλιν τοὺς ἄλλους παραβάλλων ἀνθρώπους, τοὺς ἴσους κατὰ τὸ τοῦ παντὸς τοῦ σώματος μῆκος, οὕτως ἐρεῖς, ἢ μακροὺς, ἢ βραχεῖς ἔχειν τοὺς σφυγμούς. ὡσαύτως δὲ, ἢ πλατεῖς, ἢ στενοὺς, ἢ ὑψηλοὺς, ἢ ταπεινοὺς, καὶ κατὰ τὰς τρεῖς διαστάσεις, ἅμα μεγάλους, ἢ μικρούς. πανταχοῦ γὰρ ἐπὶ τὸ σύμμετρον ἀναφέρων, τοὺς ἄλλους κρινεῖς. ὅτι δὲ καθ' ἕκαστον μὲν τῶν ἄλλων ἐν τοῖς σφυγμοῖς γενῶν, εἷς ὁ σύμμετρος, ἐν μόνῳ δὲ τῷ κατὰ τὸ ποιόν, οὐχ ἁπλῶς εἷς, ἀλλὰ καθ' ἕκαστον μέρος σώματος ἴδιος, ἔμπροσθεν εἴρηται. νυνὶ δ', οὐ τοῦτο προὔκειτο λέγειν, ἀλλ' εἰρημένων ὑπομνήσαντας, ἐπ' αὐτὸ τὸ προκείμενον ἐπανελθεῖν ἤδη προσήκει. προὔκειτο δ', οἶμαι, λέγειν, ὡς οὐδεμιᾶς διαστάσεως, ἀκριβῶς οἷόν τε τὸ ποσὸν αἰσθήσει διαγνῶναι. ἡ δ' αἰτία, τὸ μέν τοι κοινὸν ἐν ἁπάσαις ἔχει, τὸ δ' ἴδιον ἐν ἑκάστῃ, πρότερον δ' εἰρήσεται τὸ κοινόν. ἐπεὶ τοίνυν οὐδεμία μέν ἐστι τῶν ἀρτηριῶν γυμνὴ, περίκειται δὲ πάσαις αὐταῖς, πολλαχόθι μὲν ἐλάττω τε καὶ λεπτότερα σώματα, πολλαχόθι δὲ πλείω τε, καὶ παχύτερα· παντί που δῆλον, ὡς οὐκ ἴσον ἁπάσαις τὸ αἰσθητὸν ἔσται τῆς κινήσεως, ἀλλὰ ταῖς μὲν πλέον, ὅσαις ἐλάττονά τε καὶ λεπτότερα, ταῖς δ' ἔλαττον, ὅσαις πλείονά τε καὶ παχύτερα περίκειται σώματα. τὸ μὲν δὴ κοινὸν, τοῦτο. τὸ δ' ἴδιον ἑκάστης τῶν διαστάσεων, τῆς μὲν κατὰ τὸ μῆκος, παμπόλλην εἶναι διαφορὰν, τοῦ κατ' ἀλήθειαν ὑπάρχοντος πρὸς τὸ φαινόμενον, τῆς δὲ κατὰ τὸ πλάτος ὀλίγην, ἐλαχίστην δὲ τῆς κατὰ τὸ βάθος. ἐν μὲν γὰρ τῷ μήκει, δύο καὶ τρεῖς πήχεις πολλάκις ἐπεχούσης, ὅλης τῆς ἀρτηρίας, τρισὶν, ἢ τέτταρσι μόνοις δακτύλοις ἡ κίνησις φαίνεται τῆς ἀρτηρίας, τοῦ λοιποῦ παντὸς, διὰ τὸ πλῆθος τῶν περικειμένων σωμάτων ἐγκαλυπτομένου. κατὰ δὲ τὸ πλάτος, ἤτοι ὑπὸ τῶν ἑκατέρωθεν ἐν αὐτῇ περικειμένων πολλῶν, ἢ παχέων ὑπαρχόντων, μήτ' αὐτῷ τῷ σώματι τῆς ἀρτηρίας δυνατὸν ἡ τὴν ἁφὴν ἐπιβάλλειν, μήτε διὰ τὸ πάχος αὐτῶν, ἢ τὸ πλῆθος, εἰς τοὐκτὸς ἡ κίνησις διικνεῖται, πολλαχόθι μὲν ἀπόλλυται παντελῶς γίνεται, πολλαχόθι δ' εἰς ἐλάχιστον ἡ κίνησις στενοῦται, ὅλη δ' οὐδαμοῦ φαίνεται, διὰ τὸ μηδὲ τὴν ἀρτηρίαν εἶναί που γυμνήν. οὐ μὴν οὐδὲ τὸ βάθος ἀκριβῶς ἐστί που γυμνὸν ἵνα κατὰ τοῦτο γοῦν, ἡ κίνησις αὐτῆς ἅπασα σαφὴς φαίνηται· ἀλλ' εἰ καὶ μηδὲν ἄλλο, δέρμα γοῦν αὐτῷ περίκειται, δι' οὗ τὸν σφυγμὸν αἰσθανόμεθα, πάντως που καὶ αὐτὸ κατακρύπτον. ὁπότ' οὖν οὕτως ἔχει ταῦτα, πειρατέον ἐνδείξασθαι τὸν τρόπον τῆς ἀρίστης διαγνώσεως ἐν ἑκάστῃ διαστάσει· καὶ περὶ πρώτης γε λεγέσθω τῆς κατὰ τὸ μῆκος. ὅτι μὲν δὴ καὶ ταύτην ἀρίστην ἡγητέον, ἣ τῆς ἂν πλείστης αἰσθάνηται κινήσεως, ἄντικρυς δῆλον. ὡς γὰρ εἰ καὶ πάσης αἰσθέσθαι δυνατὸν ἦν, τοῦτ' ἂν ἦν ἄριστον· οὕτως ἐπεὶ τοῦτ' ἀδύνατον, ὅταν μηδὲν τῶν ἐνδεχομένων αὐτῆς γνωσθῆναι μορίων διαφεύγῃ, τὴν ἁφὴν ἀρίστην νομιστέον. ὅπως δ' ἄν τις αὐτὴν ποιήσαιτο, πειρατέον εἰπεῖν ὑπομνήσαντας πρότερον, ὡς ἐν τρισὶ τούτοις αἱ τῶν αἰσθητικῶν γνώσεων ἅπασαι συνίστανται διαφοραὶ, φύσει τε, καὶ ἀσκήσει, καὶ τρόπῳ τῆς ἐπιβολῆς.

ὅς μὲν γὰρ ἂν εὐαισθητότατον φύσει τε, καὶ τὸ αἰσθητήριον ἔχῃ γεγυμνασμένον ἱκανῶς, καὶ καθ' ὃν χρὴ τρόπον ἐπιβάλλῃ τοῖς αἰσθητοῖς, οὗτος ἂν ἄριστος εἴη γνώμων τῶν ἐντὸς ὑποκειμένων. ὃς δ' ἂν κατά τι τούτων ἀπολείπηται, καθ' ὅσον ἂν ἀπολείπηται, κατὰ τοσοῦτο χείρων εἰς ἀκριβῆ διάγνωσιν. εἰρήσεται δ' οὖν τῷ πεφυκότι μὲν ἄριστα, γεγυμνασμένῳ δὲ, μὴ ῥαθύμως, ὅπως ἂν ἐπιβάλλων τὴν ἁφὴν ἀκριβῶς αἰσθάνοιτο τῆς κατὰ τὴν ἀρτηρίαν κινήσεως εἰς δύναμιν ἀνθρωπίνην. καὶ ἐπειδὴ περὶ πρώτης τῆς κατὰ τὸ μῆκος διαστάσεως προὐθέμεθα λέγειν, τὸν εἰς ταύτην ἐπιτηδειότατον τρόπον τῆς ἐπαφῆς ἐροῦμεν. ἄθλιπτος μὲν οὖν πάντως ἔστω, πολλαχόθι δὲ καὶ ψαύων ἐπιπολῆς, καὶ οἷον αἰωρῶν τὴν χεῖρα. χρηστὸς δ' ὁ τοιοῦτος μάλιστα τρόπος, ἐν τοῖς μικροῖς ἅμα, καὶ ἀρρώστοις σφυγμοῖς. θλιψάντων γὰρ τούτους κατά τι, πολὺ τῆς κινήσεως ἀπόλλυται, πολλάκις δὲ, καὶ σύμπασα. παρά τε γὰρ τὸ ποσὸν τῆς θλίψεως, καὶ προσέτι τὸ ποιὸν τοῦ κατὰ τὴν ἀρτηρίαν τόνου, ποτὲ μὲν πολὺ ἀπολείπεται τῆς κινήσεως, ποτὲ δ' ἔλαττον, ἔστι δ' ὅτε καὶ πᾶσα, καὶ διὰ ταῦτα ἀσφαλέστατόν ἐστιν εἰς τὴν τοῦ μήκους διάγνωσιν, ἀθλίπτως ἐπιβάλλειν τὴν ἁφήν. καὶ γὰρ οἱ σφοδροὶ σφυγμοὶ, φέρουσι μὲν ἀλύπως τὴν μετρίαν θλίψιν, ἀλλ' οὐδὲν οὐδ' οὗτοι βλάπτονται ψαυόντων ἀθλίπτως. ὅταν οὖν ὁ τοιοῦτος τρόπος τῆς ἐπαφῆς, χρηστότατος μὲν ᾖ τοῖς ἀμυδροῖς σφυγμοῖς, ἀβλαβὴς δὲ καὶ τοῖς σφοδροῖς, οὐκ ἄν τις ἕτερον ἀντ' αὐτοῦ προέλοιτο. χρὴ δὲ καὶ τοῦτο προσδιορίσασθαι φαινόμενον ἐναργῶς, ὡς ἐν ταῖς κατὰ διαφέροντα μόρια τοῦ μήκους τῆς ἀρτηρίας θλίψεσιν, οὐχ ὁμοίως ἐν ἅπασιν ἡ κίνησις φαίνεται βλαπτομένη· ἀλλ' ἐν μὲν τοῖς ἀνωτέρω μέρεσι μείζων ἡ βλάβη, βραχεῖα δ' ἐν τοῖς κατωτέρω, καὶ λανθάνουσά γε πολλάκις ἐν τοῖς σφοδροῖς σφυγμοῖς, οὐ μὴν ἔν γε τοῖς ἀμυδροῖς. ἐν γε τούτοις εἰ τὸ κατώτερον μέρος θλίψαιμεν, εὔδηλος ἡ περὶ τῶν ἀνωτέρων γίνεται βλάβη. τὰ δ' ἀνώτερα, καὶ κατώτερά πως ἐνταῦθα χρὴ νοεῖν, οὐκ ἄδηλον. ὅτι τὰ πορρώτερα μὲν μέρη τῆς καρδίας, κατωτέρω, τὰ δ' ἐγγυτέρω καλοῦμεν ἀνωτέρω. τοῦτο ἐπὶ μὲν τῶν κώλων, καὶ πάνυ συνήθες. ἐπὶ δὲ τῶν ἐν τῇ κεφαλῇ μερῶν, καὶ κατὰ τὸν τράχηλον, οὐκ ἔθ' ὁμοίως. κοινὸν δ' οὖν ἐφ' ἁπάντων, ὡς εἴρηται, τὸ τὰ τῆς καρδίας ἐγγυτέρω θλιβόμενα, μεγάλην τὴν βλάβην ἐργάζεσθαι τοῖς ἐφεξῆς, τὰ δ' ἀπωτέρω, πολλάκις μὲν, οὐδ' ὅλως αἰσθητὴν, ὅταν ἱκανῶς ᾖ σφοδρὸς ὁ σφυγμὸς, ἔστι δ' ὅτε καὶ φαινομένην, ἐν τοῖς οὐ σφοδροῖς. περὶ μὲν οὖν τῆς κατὰ τὸ μῆκος διαστάσεως ἀρκέσει καὶ ταῦτα, περὶ δὲ τῶν λοιπῶν δυοῖν ἤδη λέγωμεν, ἃς οὐχ οὕτως εἶναι δύο χρὴ νομίζειν, ὡς ἐπὶ τῶν τετραπλεύρων καὶ κυβικῶν σωμάτων ἐστὶν ἰδεῖν, ἰδίᾳ μὲν τὸ πλάτος, ἰδίᾳ δὲ τὸ βάθος ἀφωρισμένον, ἀλλ' ὥσπερ ἐν κύκλῳ, καὶ σφαίρᾳ συγκέχυται πάντα, καὶ μία τις, ἢ γραμμῆς, ἢ ἐπιφανείας περιφέρεια φαίνεται, τὸν αὐτὸν τρόπον ἡγητέον ἔχειν, καὶ ἐπὶ τῆς ἀρτηρίας, φαίνεται γὰρ ἐν ταῖς ἀνατομαῖς, πολλαχόθι μὲν, κυλινδροειδὴς, πολλαχόθι δὲ, κωνοειδὴς τὸ σχῆμα. πῶς οὖν ἐπῆλθε τοῖς ἰατροῖς, ἰδίᾳ μὲν περὶ πλάτους, ἰδίᾳ δὲ περὶ βάθους ἀρτηρίας διαλέγεσθαι, δέον, ὥσπερ ἐστί τε καὶ φαίνεται κατὰ τὰς διαιρέσεις, τὸ μέντοι μῆκος αὐτῆς, τὸ δέ τι κύκλον ὀνομάζειν. ἀμέλει καὶ ὀνομάζουσιν οὕτω πολλοὶ πολλάκις, οὐ μὴν διὰ παντός γε δυνατὸν, οὔτε τούτοις, οὔτ' ἄλλῳ τινὶ περὶ τῶν ἐναργῶς φαινομένων διηγουμένῳ, μῆκος γὰρ καὶ κύκλον ὀνομάζειν μόνον, ἀλλ' ἀναγκασθήσονται) πολλάκις εἰπεῖν τινα διάστασιν αὐτῆς, ὑψηλὴν μὲν, στενὴν δέ. καὶ αὖθις ἑτέραν, ταπεινὴν μὲν, πλατεῖαν δέ· καὶ γὰρ φαίνεται ταῦθ' οὕτως ἐναργῶς, ὡς ἀμφισβητῆσαι

Nam qui tactum natura appositissimum ad sentiendum, & probè exercitatum habet, tum etiam sensibilibus decenter admouet, optimus hic explorator sit eorum quæ intus sunt condita; qui hoc est aliquatenus inferior, quàm maximè ab illo abest, tam pessimè absolutam cognitionem consequetur. Explicabo igitur huic, qui optimè naturâ comparatus est & exercitatus non segniter, qua applicatione tactus ad vnguem (vt homo potest) motum sentiat arteriæ. Et quia de prima dimensione, videlicet longitudine, institui dicere, accommodatissimum huic modum tactus aperiam. Omninò non premat, imò sæpè leuiter palpet, & veluti suspendat manum. Accommodatus est hic in primis modus paruis pariter, & imbecillis pulsibus; nam hos si aliquatenus premas, motus pereat magna ex parte, & sæpè verò etiam vniuersus. Nam pro quantitate compressionis, & qualitate præterea arteriæ contentionis, modò multum imminuitur eius motus, modò minus, est quum perit totus. Quocirca ad longitudinem dignoscendam summa cautio est, vt præter omnem compressionem, tactum admoueas, etenim modicam compressionem non grauiter ferunt quidem pulsus vehementes, non lædentur tamen ne hi quidem, si in palpando nihil premas. Quandoquidem igitur hic modus attingendi optimus est languidis pulsibus, nec incommodus etiam vehementibus, caue præponas illi alium. Porrò est illud etiam explicandum, quod non obscurè aduertitur, vbi diuersas partes premas longitudinis arteriæ, motum non perinde videri in omnibus offensum: cæterùm in partibus altioribus maior est noxa, minor in inferioribus. Et verò frequenter noxa non animaduertitur in vehementibus pulsibus, secus in languidis: nam in his si inferiorem partem presserimus, luculẽta superioribus noxa datur. Superiores autem, & inferiores quomodo hoc loco accipiendæ sunt, non est obscurum: vt remotissimæ à corde partes inferiores: & viciniores appellentur superiores: hoc in artubus quidem perquam est solemne, non item in capitis partibus & colli. Itaque ad omnes pertinet, vt diximus, cordi viciniores, si premantur, magnam iniuriam subiectis facere; remotiores, sæpenumero nullam, quæ animaduerti possit, si benè vehemens pulsus sit, interim tamen manifestam, in non vehementibus. Atque de longitudine hæc satis sint. Nunc de reliquis duabus agamus, quas non ita oportet duas numerare, vt sicut in quadrangularibus, & quadratis corporibus, videas separatim latitudinem, separatim profunditatem distinctam: sed sicut in circulo, & globo, confusa sunt omnia, vna verò quædam vel lineæ, vel superficiei videtur circunferentia: sic esse in arteria putes: cuius cernitur in dissectionibus figura, multis locis cylindrum, multis etiam conum referre. Quomodo igitur medicis in mentem venit seorsum de latitudine, seorsum de profunditate disserere, quum deberent, vt est, & conspicitur ex partitionibus, vnam longitudinem eius appellare, alterum circulum, vt certè multi frequenter vocant? Non perpetuò possunt tamen, nec hi, nec alius quisquam, quum de exemplis euidentibus narrant, longitudinem, & circulum tantum appellare; sed exprimet sæpè necessitas, vt distentionem altam quandam vocent, & angustam; contra etiam aliam, humilem, latamque, etenim hoc ita clarum est, vt ambigat nemo.

Sic

Sic propter hæc manifesta euenta habere diuersas latitudinis, & profunditatis notiones coacti sumus. Porrò ficut sensu percipimus eas differentias, ita circularem nos figuram sæpè animaduertere clarè fatemur. Itaque de vtraque iam differentia dicemus in communi; qua potissimum ratione applicandorum digitorum ad eas peruenire dignoscendas queas. Neque enim in iis dignoscendis mediocris inesse scrupulus videatur, quòd nulla admouendi tactus ratione valeamus sentire interuallum totum: neque quum leniter palpemus (nam ea extremas tantum partes sentiat motus: quæ præcedebat, ignoret vniuersam) neque quum premimus multum. Vt enim omittam hoc in vehementibus tantum pulsibus permissum esse, contra ac prior postremam partem ignorabit interualli, tantum sentiet primam. Iam si alia vtamur applicatione inter illas media, & prima pars interualli, & postrema nos fugiet. Hoc verum esse quisque experientia discat. Nam vehementes pulsus si premas (hos enim premere solos fas est) nescies quanti sint, quòd pereat ferè in compressionibus, vt ante significauimus, aliquid etiam de ipso motu, ac interuallum non iam parua ex parte, sed propè corrumpatur vniuersum. Contra si leniter palpes, per quantum interualli sit motus delatus, non diuines. Habes difficultatem quæ sic explicatur, si vt prorsus distentionis quantitatem sensu dignoscamus, non laboremus, sed & ratione quadam possimus nihil læsam esse existimare. Neque enim hoc non quærimus, vt sensu omninò, quæ accidunt pulsibus, cognoscamus, sed vt simpliciter cognoscamus. Ergo sensum requirit quidem omnis talis notitia, attamen non hunc solum, neque quasi semper valeat quidlibet inuenire: sed satis est frequenter, si sensibilis affectus vnus totius rei denunciet essentiam. Eadem ratio eorum est, de quibus nunc agimus. Nam si leniter palpes, aut pluribus in partibus occursum arteriæ necesse est sentias, aut in paucioribus: quo cognito, ad sensum ratio adiuncta, nobis magnam distentionem suggerit esse, quæ multis partibus mouet tactum; paruam, quæ paucis. Age fac circularem eius occursum esse, quid? nónne clarum est si insigni sit circunferentia circuli magnitudine, totam etiam crassam esse distentionem arteriæ, & vniuersam distentionem gracilem, si circunferentia sit parua? Neque enim magnis circunscribi circulis gracilis distentio potest, nec crassa minutis: cæterùm quantitati distentionis necessariò respondet circuli circunscribentis eam quantitas. Haud aliter etiam si verus non sit, & exactus circulus finis distentionis, sed quasi mutilus partim, id quod in altis, & angustis, vel humilibus, & latis vsu venit: ratio similiter subducitur quantitatis distentionis. Nam tum distentionis, tum ascensus fines, particulæ prorsus erunt circuli, hique prout appareant maiores, vel minores vtrinque, vel concaui magis hac circunferentia, vel gibbosiores omninò; vel longiorem, vel breuiorem, vel angustiorem, vel latiorem, quàm est exactè circularis, hanc lineam, quæ in præsentia cernitur, ostendunt. Vnde inæqualitatem nos latitudinis, & profunditatis totiusque quantitatem distentionis æstimabimus.

A μηδένα. καὶ διὰ τὰ τοιαῦτα φαινόμενα, διαφερούσας ἐννοίας πλάτους τε καὶ βάθους ἠναγκάσθημεν ἔχειν ἐπὶ τῶν ἀρτηριῶν. ὥσπερ δὲ τὰς τοιαύτας διαφορὰς αἰσθήσει διεγνώκαμεν, οὕτω πολλάκις ὁμολογοῦμεν ἀκριβῶς κυκλοτερῆ τὴν κίνησιν ἡμῖν φαίνεσθαι. καὶ νῦν ἐροῦμεν ὑπὲρ ἑκατέρων τῶν διαφορῶν κοινῇ, πῶς ἄν τις ἄριστα τὴν ἐπιβολὴν ποιούμενος τῶν δακτύλων, διαγινώσκειν αὐτὰς δύναιτο. καὶ γὰρ οὐ σμικρά τις ἀπορία δόξειεν ἂν ἐν τῇ διαγνώσει ταύτῃ περιέχεσθαι, κατὰ μηδεμίαν ἐπιβολὴν, ἁπάσης τῆς διαστάσεως ἡμῶν αἰσθάνεσθαι δυναμένων, μήθ᾽ ὅταν ἐπιπολῆς ψαύωμεν (ἡ γὰρ τοιαύτη μόνων τῶν ἐσχάτων τῆς κινήσεως αἰσθανομένη, τὸ πρὸ τοῦ πᾶν ἀγνοήσει) μήθ᾽ ὅταν ἱκανῶς θλίβωμεν (πρὸς γὰρ τῷ κατὰ τοὺς σφοδροὺς σφυγμοὺς μόνους ἐγχωρεῖν τοῦτο δρᾷν, ἔμπαλιν ἡ τοιαύτη τῇ προτέρᾳ, τῶν ὑστέρων τῆς διαστάσεως ἀναίσθητος ἔσται, τῶν πρώτων μόνον αἰσθανομένη) κατὰ ταὐτὰ δ᾽ ἱκανὸν εἰ μέσῃ τινὶ τῶν εἰρημένων ἐπιβολῶν ἑτέρᾳ χρησαίμεθα, τά τε πρῶτα, καὶ τὰ τελευταῖα τοῦ διαστήματος ἀγνοήσομεν. ὅτι δ᾽ ἀληθές ἐστιν ὃ λέγω, πειραθεὶς ὁ βουλόμενος γνώσεται. θλίψας γὰρ τοὺς σφοδροὺς σφυγμοὺς (τούτους γὰρ μόνους ἐγχωρεῖ θλίβειν) οὐκ εἴσεται πηλίκοι τινές εἰσιν. C ἀπόλλυται μὲν γάρ τι καὶ αὐτῆς τῆς κινήσεως, ἐν ταῖς πλείσταις τῶν θλίψεων, ὡς καὶ πρόσθεν εἴρηται. τὸ διάστημα δ᾽ οὐκέτι μικρὸν, ἀλλ᾽ ὀλίγου δεῖν ὅλον διαφθείρεται. ψαύσας δ᾽ αὖ πάλιν ἐπιπολῆς, οὐχ ἕξεις μαντεύσασθαι κατὰ πηλίκου διαστήματος ἡ κίνησις ἠνέχθη. ἡ μὲν οὖν ἀπορία τοιαύτη. λύσις δ᾽ αὐτῆς, τὸ μὴ ζητεῖν πάντως αἰσθήσει διαγνῶναι τὸ ποσὸν τῆς διαστολῆς, ἀλλ᾽ εἰ καὶ συλλογισμῷ τινι δυναίμεθα μηδὲν ἡγεῖσθαι βεβλάφθαι. πρόκειται γὰρ ἡμῖν, οὐκ αἰσθήσει πάντως γνῶναι τὰ συμβεβηκότα τοῖς σφυγμοῖς, ἀλλ᾽ ἁπλῶς γνῶναι. πᾶσα μὲν οὖν ἡ τοιαύτη γνῶσις, αἰσθήσεως δεῖται, οὐ μὴν μόνης γε ταύτης, οὐδ᾽ ὡς ἀεὶ τὸ πᾶν εὑρίσκειν δυναμένης· D ἀλλ᾽ ἱκανὸν πολλάκις, ἕν τι τῶν αἰσθητῶν παθημάτων, γνώρισμα ποιήσασθαι τῆς τοῦ πράγματος ὅλης οὐσίας. ἔχει γοῦν οὕτως κἀπὶ τῶν νῦν προκειμένων. εἰ γὰρ ἐπιπολῆς ψαύοις, ἀναγκαῖον ἤτοι κατὰ πλείονα μόρια προσπιπτούσης αἰσθάνεσθαι τῆς ἀρτηρίας, ἢ κατ᾽ ἐλάττονα, μεθ᾽ ἣν διάγνωσιν, συλλογισμὸς αἰσθήσει παρακείμενος, ἡμᾶς εἰσέρχεται, μεγάλην μὲν εἶναι διαστολὴν, τὴν κατὰ τὰ πολλὰ μόρια κινοῦσαν τὴν ἁφὴν, μικρὰν δὲ, τὴν κατ᾽ ὀλίγα. φέρε γὰρ εἶναι κυκλοτερῆ τὴν πρόσπτωσιν αὐτῆς, ἆρ᾽ οὐ πρόδηλον, εἰ μὲν ἀξιόλογος εἴη τὸ E μέγεθος ἡ τοῦ κύκλου περιφέρεια, καὶ τὴν ὅλην εἶναι διαστολὴν τῆς ἀρτηρίας ἁδράν. εἰ δ᾽ ἡ περιφέρεια μικρὰ, καὶ τὴν διαστολὴν ὅλην ἰσχνὴν εἶναι; οὔτε γὰρ τὴν ἰσχνὴν διαστολὴν, μεγάλοις ὁρίζεσθαι κύκλοις δυνατὸν, οὔτε τὴν ἁδρὰν μικροῖς. ἀλλ᾽ ἀνάγκη ἀνάλογον ἔχειν τῷ ποσῷ τῆς διαστολῆς, τὸ ποσὸν τοῦ περιγράφοντος αὐτὴν κύκλου. κατὰ ταὐτὰ δὲ, κἂν εἰ μὴ κύκλος ἀκριβὴς εἴη τὸ πέρας τῆς διαστολῆς, ἀλλ᾽ οἷον κολοβὸς κατὰ μέρος, ὅπερ ἐν τοῖς ὑψηλοῖς καὶ στενοῖς, ἢ ταπεινοῖς, καὶ πλατέσιν εὑρίσκεται σφυγμοῖς, ὁ συλλογισμὸς ὁ τοῦ ποσοῦ τῆς διαστολῆς ὁμοίως ἂν γίγνοιτο. τά τε γὰρ τῆς διαστολῆς, τά τε τῆς εἰς ὕψος ἀνόδου F πέρατα, τμήματα κύκλου πάντως ἔσται, καὶ ταῦτ᾽ ἤτοι μείζονα, ἢ μείονα καθ᾽ ἑκατέρωθεν, ἤτοι κοιλότερα τῆς περιφερείας ταύτης, ἢ κυρτότερα φαινόμενα, πάντως ἤτοι μακροτέραν, ἢ βραδυτέραν ἀποφαίνει τῆς ἀκριβῶς κυκλοτεροῦς, τὴν νῦν φαινομένην γραμμήν. καὶ οὕτως τό τ᾽ ἄνισον τῆς εἰς πλάτος τε καὶ βάθος διαστάσεως, τό τε διαστολῆς ὅλης τὸ ποσὸν ἀναλογιούμεθα.

φέρε γὰρ φαίνεσθαι κυρτοτέρας μὲν, καὶ περιπετεστέρας τὰς ἐν τοῖς πλαγίοις τῆς ἀρτηρίας προσβολάς, κοιλοτέραν δέ πως καὶ ταπεινοτέραν τὴν κατὰ βάθος, ὥστε μηδὲ κύκλου περιφέρειαν ἔτι δοκεῖν ὑπάρχειν, ἀλλ' οἷον εὐθεῖαν γραμμὴν εἶναι, δῆλον, ὡς ὁ τοιοῦτος σφυγμὸς πλατύς ἐστι καὶ ταπεινός. ἡ μὲν γὰρ εἰς τὸ πλάτος κίνησις ἐπὶ πλέον ἐκταθεῖσα πλατὺν εἰκότως ἐργάζοιτ' ἄν, ἡ δ' εἰς ὕψος κωλυθεῖσα ταπεινόν. ἔμπαλιν δέ, εἰ τὰ ἐν τοῖς πλαγίοις μόρια τῆς κινήσεως ἀπολείποιτο πολὺ τοῦ μέσου, τὸ μέσον δ' αὐτὸ κυρτὸν ἱκανῶς φαίνοιτο, δῆλον, ὡς ὁ τοιοῦτος σφυγμὸς ὑψηλὸς μὲν ἔσται, στενὸς δέ· παντάπασι δὲ στενῆς τῆς κατὰ τὸ πλάτος αὐτοῦ προσβολῆς γινομένης, ὡς μὴ δοκεῖν μεμειῶσθαι μόνον τὴν ἐν τοῖς πλαγίοις κίνησιν, ἀλλ' ὅλην τελέως ἀπολωλέναι, χαλεπὸν γνῶναι, μᾶλλον δ' ἀδύνατον, ὅσον γ' ἐπὶ τούτοις, ὁποῖός τίς ἐστιν ὁ σφυγμός. εἰ μὴ γὰρ διαιρέσεις τινὰς παραλάβοιμεν, οὐκ εἰσόμεθα πότερον ὑψηλὸς, ἢ ταπεινὸς, ἢ σύμμετρός ἐστι κατὰ τὸ βάθος. ἅπαντα γὰρ εἶναι δύναται. καὶ γὰρ εἰ ταπεινὸς ἅμα, καὶ στενὸς εἴη, τοιοῦτος φανήσεται, καὶ εἰ ὑψηλὸς ἅμα, καὶ στενὸς εἴη, τοιοῦτος φανήσεται, καὶ εἰ σύμμετρος κατὰ βάθος ἅμα καὶ στενός. τὸ μὲν γὰρ εἶναι στενῷ τῷ τοιούτῳ σφυγμῷ, πάντως ὑπάρχει διὰ τὴν εἰς τὸ πλάτος κίνησιν κεκωλυμένην. ἡ δ' ἀπορία περὶ τοῦ βάθους ἐστὶν, ὃ κἂν ἐκ πολλοῦ διαστήματος, κἂν ἐξ ὀλίγου, κἂν ἐκ συμμέτρου τὴν κίνησιν ἐρχομένην ἔχῃ, τὴν αὐτὴν τοῖς ἐπιπολῆς ἁπτομένοις φαντασίαν ἐργάσεται. στενῆς γὰρ αἰσθήσονται τῆς κινήσεως. πῶς οὖν διαιρεθήσεται; πολλαχῇ μὲν καὶ τοῖς τῆς ἁφῆς παθήμασι, διὰ παντὸς δὲ τῷ λογισμῷ. λεκτέα δὲ πρότερα τὰ τῆς ἁφῆς, ἐφ' ὧν ἐγχωρεῖ διὰ ταύτης τι λαβεῖν σαφές. ἐγχωρεῖ δ' ἐπὶ σφοδρῶν σφυγμῶν, ὑπὲρ ὧν εἴρηται πολλάκις, ὅτι μόνοι θλιβόντων τὴν ἀρτηρίαν οὐκ ἀπόλλυνται. ῥᾷστον οὖν ἐπί γε τῶν τοιούτων, γνωρίσαι τὸ βάθος τοῦ σφυγμοῦ. θλίψαντι γάρ σοι τάχα μὲν καὶ δι' αὐτῆς τῆς ἁφῆς, ἐὰν ᾖ γεγυμνασμένη τε καὶ ἁπαλὴ, καὶ ἀκριβῶς αἰσθανομένη φύσει, γενήσεταί τις διάγνωσις τοῦ διαστήματος τῆς κινήσεως. εἰ δὲ μὴ, ἀλλ' ὅ γε χρόνος ὁ τῆς κινήσεως, ἐνδείξεται τὸ ποσὸν τῆς διαστάσεως. εἰ γὰρ οἷός τ' εἴης διακρίνειν, ἰδίᾳ μὲν τὸ ποιὸν τῆς κινήσεως, ἐν ᾧ τὴν κατὰ τάχος τε καὶ βραδυτῆτα διαφορὰν εὑρίσκομεν, ἰδίᾳ δὲ τὴν κατὰ τὸν χρόνον, ἐν ᾧ βραχυχρονίους κινήσεις διαγιγνώσκομεν, οὐκ ἄν σε λανθάνοι κατὰ τὴν ἐπίθλιψιν αὐτῶν οὐδέτερον. εἰ δ' ἄμφω λάβοις, οὐ χαλεπῶς συλλογιῇ περὶ τῆς διαστάσεως. φέρε γὰρ εἶναι ταχεῖαν μὲν τὴν κίνησιν, πολυχρόνιον δὲ, παντί που δῆλον, ὡς κατὰ μεγίστης αὐτῇ διαστάσεως ἐνήνεκται. πάλιν οὖν ἔστω βραδεῖά τε καὶ βραχυχρόνιος, εἴη ἂν οἶμαι καὶ ἥδε κατ' ἐλαχίστης διαστάσεως ἐνηνεγμένη. σφοδροῦ μὲν ὄντος τοῦ σφυγμοῦ, κατὰ τόνδε τὸν τρόπον διαγινώσκειν τοῦ βάθους τὸ ποσὸν, ἀμυδροῦ δ' ὄντος, ἡ μὲν αἴσθησις ὠφελεῖν ἡμᾶς οὐδὲν ἔτι δύναται, θλιβόντων γὰρ ἀπόλλυται παντελῶς ἡ κίνησις ἐν τοῖς τοιούτοις σφυγμοῖς, τῷ λόγῳ δὲ τηνικαῦτα, τὸ πᾶν ἐξιχνευτέον. εἰρήσεται δὲ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὡς οὐ πᾶσι πάσαις διαφοραῖς μίγνυσθαι δύνανται, καὶ διαιρεθήσεται, τίνες εἰσὶ, καὶ ὁπότε, καὶ ὅπως. ὥστε ἐκ τῶν ἄλλων τῶν φαινομένων ἐναργῶς, εἰδέναι, τί καὶ περὶ τῶν οὐ φαινομένων, ἐν ἐκείνοις διδαχθήσεται. καὶ διότι στενός θ' ἅμα, καὶ ἀμυδρὸς σφυγμὸς, ὑψηλὸς οὐκ ἄν ποτε γένοιτο. περὶ μὲν δὴ τούτων ἀρκέσει καὶ τὰ τοσαῦτα.

Age enim videantur gibbosiores, ac præruptiores obliqui occursus arteriæ præterea, caua magis quodammodo & humilior in profunditate, adeo vt ne circuli quidem videatur circunferentia manere, sed veluti recta linea esse, profectò apertum est, talem pulsum latum fore, & humilem. Nam motus in latum amplius exporrectus, latum meritò efficiat: at motus ascensu prohibitus, humilem. E diuerso si motus obliqui partes longè citra medium constiterint, ac medium ipsum satis videatur gibbosum esse, planè is pulsus erit altus angustusque, si semel angustus eius in latitudine occursus euadat, vt non modò imminutus esse obliquus motus, sed & totus semel videatur periisse, difficilis cognitu est, vel potius cognosci non potest, quantum in his est; qualis sit pulsus. Nam nisi distinctiones adhibeamus quasdam, non assequemur, altusne sit, an humilis, an moderatus profunditate: nam omnia esse potest. Etenim si humilis sit pariter, & angustus, talis videbitur esse, & si altus simul, & angustus, eiuscemodi apparebit, denique si moderatus profunditate vnà, & angustus, talem dicas esse, nam angustiam is pulsus prorsus ex motu inhibito in latitudinem contraxit. Difficultas verò residet in profunditate, quæ & si ex longo interuallo, & si ex breui, vel moderato motum ordiatur, eandem tamen tangentibus repræsentabit speciem, nam angustum motum percipient. Qua ergo ratione explorabitur? frequenter quidem etiam tactus affectibus, perpetuò tamen ratione. Primùm de tactus affectibus dicemus, in quibus possis per eum manifesti deprehendere aliquid: licet autem in vehementibus pulsibus, qui vt sæpè monuimus, soli pressa arteria non labefactantur. Prompta ergo in illis quidem notitia profunditatis est pulsus. Nam si presseris, forsitan, vel ipso tactu, si exercitatus sit, & mollis suaque sponte exactè sentiat, in notitiam aliquam peruenies interualli motus, sin minus tempus certè motus, quantitatem declarabit interualli. Nam si discernere sigillatim motus qualitatem poteris, in qua differentiam celeritatis, & tarditatis reperimus, sigillatim etiam temporis quantitatem, vbi breues motus animaduertimus, neutra te harum, si premas fugiet. Quòd si ambas assecutus sis, facilè de interuallo conijcies. Esto celer motus & diuturnus, sanè apertissimum est maximo eum spatio delatum esse, contra tardus esto, & breuis, sit vtique & hic minimo spatio deuectus. Atque hoc pacto, si vehemens sit pulsus profunditatis quantitatem dignoscimus, qui si languidus sit, nihil iam nobis sensus adiumenti adferre poterit, quòd motus in eiuscemodi pulsibus compressione perditur vniuersus, quare ratione hîc tota res inuestiganda est. Dicemus autem de causis pulsuum, non omnes cum omnibus differentiis posse confundi, distinguemusque, quæ illæ sint, & quando, & quemadmodum. Itaque ex aliis, quæ apertè sunt conspicua, quomodo etiam aliquid de obscuris deprehendas, inibi docebimus, ad hæc cur angustus simul, & languidus pulsus altus nunquam sit. Sed de his hactenus.

CAP.

CAPVT III.

De rhythmis dignoscendis.

POsthac de rhythmis verba faciemus: quem ordinem secuti sumus docendi, quòd coniuncta eius cum superioris est exploratio. Nam natura quidem rerum ferebat, vt quæ vna in parte pulsus, maximè distentione, genera consistunt; prius exponeremus, quod in commentariis de differentiis pulsuum fecimus; verùm quia genera in vna parte posita, quæ de superioribus adhuc reliqua sunt, flagitant communem tractatum, rhythmorum autem genus adiunctam cum superioribus duobus generibus habet cognitionem (vt ipse de his sermo docebit) ideò posthac de rhythmis narrabimus, de duritie, & vehementia reijciemus in proximum librum, vt absolutam complectantur singuli commentarij generum disciplinam, quæ coniuncta cognitione sunt. Quia iam in comparatione temporis distentionis cum contractionis tempore rhythmus consistit, prius paranda separatim nobis vtriusque temporis notitia est. Hoc verò parum facilè est, nam (memoriam si conseruauimus eorum, quæ primo in libro retulimus, vbi quæreremus, ecquid sentire totam distentionem, & contractionem possimus, an pars nos fugiat vtriusque motus) sciemus, quàm sit laboriosum, adeoque præter omnem nostram facultatem, vt notitiam comparare omnis harum temporis possimus. Quo loco principium distentionis ostendimus, & finem contractionis non cognosci posse. Iam quatenus aliquid nos motus latet, hactenus etiam tempus scilicet præteribit. Primum id est ipsum repetendum, declarandumque idem non esse, quod in primo libro quæreretur, ac quod paulò superius, nam illic de distentione quærebatur absolutè, hic de temporis eius quantitate. Proinde quum absolutè quæritur, an omnis sentiri distentio possit; quæ tactum fugit motus pars, hanc confirmauimus non dignosci; in exploranda autem eius quantitate, quantum promota spatij sit, aduertimus. Ac non ita dudum diximus, modò finis distentionis habeamus veram notitiam, rationem nobis cum sensu coniunctam subiecturam esse eius quantitatem. Itaque possumus, quanuis nisi externum finem motus, partem aliam nullam sentiamus, quantum is habeat temporis ignorare; attamen scire, quantum interualli peruectus sit. Horum alterum in primo libro discussum est; alterum non ita diù est, quum explicauimus. Ergo iterum ad memoriam reuocemus, quòd in vehementibus pulsibus, si modicè arteriam compresserimus, perspiciemus quidem initiũ motus, sed quantitatem ignorabimus interualli. Nec verò hoc prætereamus, quod initio statim secundi libri tradidimus, non idem esse quantitatem temporis examinare, ac celeritatem, vel tarditatem dignoscere. His enim nobis in præsentia omnibus opus est, quo planè, & distinctè perspiciamus, ecquid inter spatij dignotionem, quo fertur arteria, & temporis intersit, & præter vtranque quandam esse aliam, vel celeritatis, vel tarditatis æstimatricem. Siquidem prima, quam commemorauimus, explorat interualli quantitatem, quantitatem altera motus temporis, tertia qualitatem motus.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ διαγνώσεως τῶν ῥυθμῶν.

ΠΕρὶ δὲ τῶν ῥυθμῶν, ἐφεξῆς ἐροῦμεν εἰς ταύτην τὴν τάξιν τῆς διδασκαλίας ἀγόμενοι, κατὰ τὴν οἰκειότητα τῆς διαγνώσεως· ἐπεί τοι κατά γε τὴν φύσιν αὐτῶν τῶν πραγμάτων, τὰ καθ' ἓν μόριον σφυγμοῦ, καὶ μάλιστα τὰ τῆς διαστολῆς συνιστάμενα γένη, πρότερον ἐχρῆν ἐπελθεῖν, ὡς ἐν τοῖς περὶ διαφορᾶς σφυγμῶν ἐποιησάμεθα. ἀλλ' ἐπεὶ τὰ μὲν ἐν ἑνὶ μορίῳ συνιστάμενα γένη, τὰ μὲν εἰρημένων ὑπόλοιπα, κοινῆς δεῖται διδασκαλίας, τὸ δὲ τῶν ῥυθμῶν, τοῖς προειρημένοις δύο γένεσιν ἔζευκται κατὰ τὴν διάγνωσιν, ὡς αὐτὸς περὶ αὐτῶν λόγος ἐνδείξεται, διὰ τοῦτ' ἐφεξῆς ἐροῦμεν περὶ ῥυθμῶν, τὸν περὶ σκληρότητος καὶ σφοδρότητος λόγον, εἰς τὸ μετὰ τοῦτο βιβλίον ἀναβαλλόμενοι. ὥσθ' ἕκαστον τῶν ὑπομνημάτων, τελείαν ἔχειν τῶν παρακειμένων ἀλλήλοις κατὰ τὴν διάγνωσιν τῶν γενῶν τὴν διδασκαλίαν. ἐπεὶ τοίνυν ὁ ῥυθμὸς ἐν τῷ παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς, τῷ χρόνῳ τῆς συστολῆς γίνεται, χρὴ δηλονότι διαγνωστικοὺς ἡμᾶς ὑπάρχειν, ἰδίᾳ πρότερον ἑκατέρου τοῦ χρόνου. τοῦτο δ' οὐ πάνυ τι ῥᾴδιον. εἰ γὰρ ἐν τῷ πρώτῳ βιβλίῳ λεχθέντων ἀναμνησθείημεν, ἡνίκ' ἐζητοῦμεν πότερα πάσης αἰσθέσθαι δυνατόν ἐστι τῆς διαστολῆς, καὶ τῆς συστολῆς, ἢ διαφεύγει τι τῆς κινήσεως ἡμᾶς ἑκατέρας, εἰσόμεθα ὅπως χαλεπόν ἐστι, μᾶλλον δ' ἀδύνατον, ἀπόντος τοῦ κατὰ ταύτας χρόνου τὴν διάγνωσιν ποιήσασθαι. δέδεικται γὰρ ἐκεῖ τά γε πρῶτα τῆς διαστολῆς, τὰ δὲ τελευταῖα τῆς συστολῆς ἄγνωστα. καθ' ὅσον δ' ἄν τι τῆς κινήσεως διαλανθάνῃ κατὰ τοσοῦτον οἶμαι, καὶ τοῦ χρόνου διαφεύξεται. πρῶτον δ' αὐτὸ τοῦτο πάλιν, ἀναμνηστέον τε, καὶ διοριστέον, ὡς ταὐτὸν ἦν τό τ' ἐν τῷ πρώτῳ βιβλίῳ ζητηθέν, καὶ τὸ νῦν ὀλίγον ἔμπροσθεν. ἐκεῖ μὲν γὰρ ἐζητεῖτο περὶ διαστολῆς ἁπλῶς, ἐνταυθοῖ δὲ περὶ τοῦ κατὰ τὸ ἐν αὐτῇ ποσὸν χρόνου. ἐν μὲν οὖν τῷ ζητεῖν ἁπλῶς εἰ πάσης αἰσθάνεσθαι δυνατόν ἐστι τῆς διαστολῆς, ὅσον ἂν διαφεύγῃ τῆς κινήσεως τὴν ἁφήν, τοῦτ' ἂν ἀδιάγνωστον εἶναι φήσομεν. ἐν δὲ τῇ διαγνώσει τοῦ κατ' αὐτὴν ποσοῦ, πηλίκον ἐστὶ τὸ διάστημα, καθ' οὗ κεκίνηται, σκοπούμεθα. καὶ δέδεικται μικρῷ πρόσθεν, ὡς εἰ μόνου τοῦ πέρατος τῆς διαστολῆς ἀκριβῆ τὴν διάγνωσιν σχοίημεν, συλλογισμὸς ἡμῖν, παρακείμενος αἰσθήσει τὴν ἔνδειξιν τοῦ κατ' αὐτὴν ποσοῦ ποιήσεται. δυνατὸν οὖν ἐστι μηδενὸς ἄλλου μέρους τῆς κινήσεως, πλὴν τοῦ ἔξω πέρατος αἰσθανομένοις, ὅσον μέν τίς ἐστι κατὰ τὸν χρόνον, ἀγνοεῖν, καθ' ὅσον ἐκτέταται διαστήματος, διαγιγνώσκειν. τούτων οὖν τὸ μὲν ἕτερον ἐν τῷ πρώτῳ βιβλίῳ τὴν ζήτησιν ἔσχε. τὸ δ' ἕτερον οὐ πρὸ πολλοῦ πεπαύμεθα διεξιόντες. ἀναμνησθῶμεν οὖν πάλιν, ὡς ἐν τοῖς σφοδροῖς σφυγμοῖς, εἰ θλίψαιμεν συμμέτρως τὴν ἀρτηρίαν, τὰ μὲν πρῶτα κινήσεως γνωριοῦμεν, ἀγνοήσομεν δὲ τὸ ποσὸν τοῦ διαστήματος. ἔτι δὲ καὶ τοῦτο προσαναμνησθῶμεν, ὃ ἐν τῷ δευτέρῳ βιβλίῳ κατ' ἀρχὰς εὐθὺς ἐδείχθη, μὴ ταὐτὸν εἶναι ποσότητα χρόνου κινήσεως ἐξετάζειν, καὶ τάχος, ἢ βραδύτητα διαγιγνώσκειν· τούτων γὰρ ἡμῖν εἰς τὰ παρόντα δεῖ πάντων, ἵν' ἀκριβῶς καὶ διηρθρωμένως εἰδῶμεν, εἰ διενήνοχεν ἡ τοῦ διαστήματος, καθ' οὗ τὴν κίνησιν ἐνηνέχθαι συμβέβηκεν διάγνωσις, τῆς τοῦ χρόνου, καὶ ὡς ἑκατέρων ἑτέρα τίς ἐστιν, ἡ τάχος, ἢ βραδύτητα σκοπουμένη. μετρεῖ γὰρ ἡ μὲν πρώτη λεχθεῖσα τοῦ διαστήματος, τὸ ποσόν. ἡ δὲ δευτέρα, τοῦ χρόνου τῆς κινήσεως τὸ ποσόν. ἡ δὲ τρίτη, τὸ ποιὸν τῆς κινήσεως.

εἰς οὖν τὴν περὶ τῶν ῥυθμῶν διάγνωσιν, οὔτε τῆς πρώτης, οὔτε τῆς τρίτης, ἀλλ᾽ αὐτῆς τῆς δευτέρας μόνης δεόμεθα. τοιαύτην τοιγαροῦν εἶναι χρὴ τὴν ἐπιβολὴν τῆς ἁφῆς, οἵα μάλιστ᾽ ἂν ἅπασαν ἀκριβῶς θεωρήσειε τὴν κίνησιν τῆς ἀρτηρίας. ὡς ὅσα κατὰ τὸ πρῶτον βιβλίον εἴρηται, ζητούντων ἡμῶν, εἰ πάσης αἰσθέσθαι δυνατόν ἐστι τῆς κινήσεως ἀναμνησθῆναι προσήκει γνόντας, ἕν καὶ ταὐτὸν ἐκεῖνό τε, καὶ τοῦτ᾽ εἶναι τὸ πρόβλημα, τῇ γε δυνάμει προβάλλεσθαι δὲ τῇ λέξει διαφερόντως. εἰ δὴ ταῦτα πάντα προνοήσαιμεν, εἰσόμεθα τὸ χαλεπὸν τῆς προκειμένης διαγνώσεως. ἔστω γὰρ τινα σφυγμὸν εἶναι μέγαν μὲν, ἀλλ᾽ ἀμυδρόν· οὐκοῦν οἷόν τε τούτου φωρᾶσθαι τῆς διαστάσεως ἅπασαν τὴν κίνησιν, ἀλλὰ μόνον τοῦ ἔξω πέρατος. ὡσαύτως δὲ καὶ τῆς συστολῆς, εἴπερ ἄρα, τὴν ἀρχὴν μόνην, καὶ τὴν ἀποχώρησιν, ἄλλο δ᾽ οὐδέν. ἐπιπολῆς οὖν ψαύειν τῶν τοιούτων χρὴ σφυγμῶν, ὡς πολλάκις εἴρηται. τῇ δὲ τοιαύτῃ τῆς ἁφῆς ἐπιβολῇ, τοῦ μὲν διαστήματος τῆς διαστολῆς τὸ ποσὸν, οἷόν τε διαγνῶναι, τοῦ δὲ χρόνου τῆς κινήσεως ἀδύνατον. ἐπὶ δὲ τῆς συστολῆς, οὐ μόνον τοῦ χρόνου τῆς κινήσεως ἀδύνατον ἐξευρεῖν τὸ ποσὸν, ἀλλὰ καὶ τοῦ διαστήματος αὐτοῦ. τελέως γὰρ αὐτῆς ἀναισθήτου γινομένης, ἀνάγκη πάντων ὁμοῦ τῶν ὑπαρχόντων αὐτῇ τὴν ἀπώλειαν γίγνεσθαι. ὥστ᾽ οὐ μόνον τὸ ποσὸν τοῦ διαστήματός τε, καὶ τοῦ χρόνου τῆς κινήσεως, ἀλλὰ καὶ τὸ ποιὸν, ἐν ᾧ τάχους τε καὶ βραδυτῆτος διάγνωσις ἡμῖν ἐγίγνετο, παντάπασιν ἡμῖν ἀναίσθητον ἔσται. πῶς γὰρ ἂν ἔτι καὶ δύναιτο διαγιγνώσκεσθαι τὸ ποσὸν τῆς κινήσεως, ὅπου μηδόλως αἴσθησις γίνεται κινήσεως. ἐπαρχὴν γὰρ δεῖ προτέραν τὴν οὐσίαν τοῦ πράγματος τῆς ποιότητος. ταύτης τοίνυν παντάπασιν ἐκφευγούσης τὴν αἴσθησιν, οὐχ οἷόν τε τὴν ποιότητα διαγιγνώσκεσθαι. πῶς οὖν ἐν τοῖς τοιούτοις σφυγμοῖς οἷόν τε διαγνῶναι τὸν ῥυθμὸν, ἐν οἷς ἄρδην μὲν ἀπόλωλεν ἡ συστολὴ, τῆς διαστολῆς δὲ, μόνον τὸ ἐκτὸς ἀποσώζεται πέρας; ἀλλ᾽ οὐδ᾽ ἐπ᾽ ἄλλου τινὸς τῶν ἀμυδρῶν οἷόν τε τῆς συστολῆς αἰσθέσθαι· μόνων τοίνυν τῶν οὐκ ἀμυδρῶν γνωρίζοντες τὴν κίνησιν, τὴν ἐν τῷ διαστέλλεσθαι καὶ συστέλλεσθαι τὴν ἀρτηρίαν, μόνων τούτων καὶ τὸν ῥυθμὸν διαγνωσόμεθα, συμμέτρως οὕτω δηλονότι τὴν ἐπιβολὴν τῶν δακτύλων ποιούμενοι, καθὰ πρόσθεν εἴπομεν, ὡς μηδὲν τῆς ἐκτὸς κινήσεως κωλῦσαι. μᾶλλον γὰρ, ἢ δεῖ θλίψαντες τὴν ἀρτηρίαν, παύσασθαι τὴν κίνησιν αὐτῆς ἀναγκάσομεν. εἰ μή τις κἂν τούτοις ἀδιάγνωστος ὁ ῥυθμός· εἴ γε διὰ παντὸς ἡμᾶς, τά τε πρῶτα τῆς διαστολῆς, καὶ τὰ τελευταῖα τῆς συστολῆς ἐκφεύγει, εἰ μή τι παντελῶς βραχέος ὄντος τοῦ διαφεύγοντος, οὐδὲν ὁ ῥυθμὸς μέγα βεβλάψεται. τάχα γὰρ ἄν τις εἴποι, καὶ τοῦτο. διορισμοῦ μέντοι δεῖ τῷ λόγῳ. κατὰ μὲν γὰρ τοὺς σφοδροτάτους σφυγμοὺς, ἀληθὲς ἂν εἴη τὸ λεγόμενον, κατὰ δὲ τοὺς ἄλλους οὐκέτ᾽ ἀληθὲς, καὶ μάλιστα ὅσοι σφοδρότητος ὀλίγον μετέχουσιν. ἱκανὸν γὰρ ἦν ἐπὶ τούτων τὸ διαφεῦγον τὴν αἴσθησιν, καὶ βλάπτειν ἤδη τὸν ῥυθμὸν δυνάμενον. ἐκ τῶν εἰρημένων οὖν ἁπάντων σαφὲς ἤδη γέγονεν, ὡς ἐν τοῖς σφοδροτάτοις μόνοις σφυγμοῖς ἡ διάγνωσίς ἐστι τῶν ῥυθμῶν. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων, ἢ καὶ παντάπασιν ἀδιάγνωστος, ὡς ἐπὶ τῶν ἀμυδρῶν, ἢ πόρρω τῆς ἀκριβοῦς, ὡς ἐπὶ τῶν ἧττον μὲν σφοδρῶν, οὐδέπω δ᾽ ἀμυδρῶν. ἡ μὲν οὖν ἀπορία, τοιαύτη. πειρατέον δ᾽ αὐτὴν ἰᾶσθαι καθ᾽ ὅσον οἷόν τε. πρῶτον μὲν οὖν, οὐκ ἐπὶ τῶν ἀμυδρῶν τε σφυγμῶν, οὐ μὴν ἱκανῶς γε σφοδρῶν, ὁμοίας τῆς βλάβης, ἔν τε ταῖς διαστολαῖς, καὶ ταῖς συστολαῖς γινομένης, ἔνεστί πως ἐντεῦθεν παραμυθήσασθαι τὴν ἀπορίαν. ὃν γὰρ ἔχει λόγον ὁ πᾶς τῆς διαστολῆς χρόνος, πρὸς τὸν πάντα τῆς συστολῆς,

A Ad rhythmum igitur dignoscendum, nec primam quærimus, nec etiam tertiam sed ipsam tantummodo secundam. Quare instituenda manus ea applicatio est, quæ arteriæ motum accuratissimè intuetur omnem. Itaque primo libro, quæ exposita sunt, quum quæreremus, possit ne sentiri vniuersus motus, memoria repetenda sunt: sciendumque vnam virtute esse, & eandem quæstionem illam atque hanc, licet diuersis verbis ponatur. Quæ omnia si cum animis nostris prius cogitemus, præsentis difficultatis assequemur explicationem. Sit enim pulsus quidam magnus, sed languidus, huius nequeas scilicet deprehendere B totius distentionis motum, cæterùm externi finis tantum, sic etiam contractionis (si modò tantùm possit) initium duntaxat, & recessum præterea nihil. Proinde leniter sunt istiusmodi pulsus, vt iam dixi sæpè palpandi: qua tactus applicatione quantitatem animaduertere interualli distentionis poteris, temporis motus non poteris. At verò in contractione non tantum temporis motus non inuenias quantitatem, sed ne ipsius quidem interualli, nam illa vbi insensibilis euadat, omnium simul, quæ ei insunt necesse est, fiat iactura. Adeò non modò interualli quantitas, at- C que temporis motus, sed & qualitas in qua celeritatis & tarditatis continentur indicia, nulla ex parte à nobis sentietur. Qui enim motus etiamnum qualitas dignoscatur, vniuerso sensum latente motu? nimirum requiritur prius essentia rei, quàm ipsa qualitas, quæ quando essentia prorsus sensum præterit, non potest qualitatis parari notitia. Quæ ergo iam est in his pulsibus ratio, qua consequi notitiam rhythmi possis, vbi funditus contractio periit, & de distentione saluus, & integer solus externus finis est? atqui nec sentire contractionem in vllo languido alio possis. Itaque quandoquidem motum disten- D tionis, atque contractionis arteriæ noscimus tantum in his qui languidi non sunt, in horum etiam solorum notitiam rhythmi veniemus, digitis ita moderatè applicandis (vti diximus antea) vt externi motus ne quid interpellent. Nam si plus iusto arteriam compresserimus, consistere eius motum cogemus; nisi etiam in his rhythmus non possit dignosci: siquidem perpetuò initium nos distentionis, & contractionis finis latet: & nisi omninò paruum, quod præterit, sit, magnopere rhythmus lædetur. Nam hoc quidem fortassis E etiam admittas, distincta oratione tamen opus est. In vehementissimis enim pulsibus vera est oratio, in aliis secus habet, præsertim qui vehementiæ paruam partem habent, quòd satis magna pars sensum in his effugiat, quæ iam offendere rhythmum valeat. Ita hoc iam omnia, quæ attulimus, fecerunt planum, dignosci in solis vehementissimis pulsibus rhythmos, in aliis verò omnibus, aut prorsus incognitos esse vt in languidis, aut longè ab absoluta notitia abesse, id quod vsu venit in minus vehementibus, non iam languidis tamen. F Atque scrupulus quidem hic est: hunc nos pro viribus faciemus, vt tollamus. Primùm quia non cadit in pulsus languidos, & eos qui non sunt vehementes, simile distentionis, & contractionis incommodum, lenit hoc difficultatem nonnihil. Nam quam habet rationem totum distentionis tempus ad totum contractionis,

candem

eandem quum rationem habeant inter se quidem partes, quæ tactum latent, etiam quæ saluæ sunt, eandem habebunt inter sese rationem. Itaque ex illis præsentire non multum interpellabimur. Nam quum duplum sit, verbi gratia, omne contractionis tempus cum omni distentionis comparatum, duplum item sit, quod est saluum, quum comparetur: per rhythmos præsensionibus non aliter abundabimus, ex partibus motus, quæ sentiuntur, ac si totus is saluus sit. At in languidis non perinde difficultatem explices: quippe, quod inuestigant, qui distentionis tempus cum toto reliquo conferunt, remedium, adulterinum est, quod vobis, prius faciam vt declarem, deinde aperiam vbi culpem id. Nam quum pulsus quatuor partes sint, distentio, contractio, & duæ quietes, vnà à distentione ante contractionem, altera à contractione ante distentionem: qui esse contendunt incognitam contractionem, priuatim quidem distentionis tempus ponunt, quod sanè motionis appellant: priuatim verò tempus reliquarum duarum partium, quod quietem, & contractionem vocant, horum trium temporum mutuam proportionem rhythmum esse confirmant. Qui verò contractionem dicunt sentiri, horum alij distentionis tantum tempore comparato cum tempore contractionis, rhythmum dicunt fieri: alij vtrique motui tempus attribuunt quietis, quæ ipsum sequitur. Atque quum tres hæ sint de pulsuum rhythmis opiniones: qui à secunda stant, at dubia illa apertè se fatentur, quid dicant non habere, qui à prima, & tertia, non defici consilio fortassis videantur: Illi quia conspicui motus tempus reliquo omni comparant quietis, vt ipsi vocant, hi verò quòd conspicui motus tempus vnà cum tempore consequentis quietis reliquo, initium contractionis statuentis terminum coniunctionis priorum duorum temporum. Operæpretium autem est vtrosque demirari: primos si ea tantum meminerunt, quæ de contractione sunt dicta, quæ de distentione, hæc eos latuerunt; nam quantum sit in distentione interuallum, in languidis pulsibus ratione demonstrauimus sciri, tempus verò motus non posse cognosci, quòd eius tantum externi fines ad sensum perueniant. Miror igitur quemadmodum comparare se dicant tempus distentionis cum tempore omni reliquo, cuius tempus quod sentiri possit, omninò sit paucum, nisi quidem hoc sanè ipsum tantum comparatum cum reliquo toto volunt. Itaque rhythmus illis proportio sit conspicui temporis motus in distentione ad reliquum omne. Quod si dicunt, rem dicunt illam quidem, quæ fieri possit, sed tamen inutilem, quòd præcognosci ex tali rhythmo nihil possit, in quo tempus manifestæ partis distentionis cum reliquo vniuerso cōparatur, quod ex tempore constat externæ quietis, contractionisque, & tertio internę quietis, præterea quarto partis distentionis, quæ conspicua non est. Præterquam verò, quòd nihil omnino commodi ex istiusmodi doctrina percipi potest, notionem & rhythmi hi confundunt, vt si quis se musicum esse simulans, nō temporis eleuationis ad positionis tempus proportionem esse diceret rhythmū, sed partis manifestæ eleuationis ad reliquum totum. Nec minus errant illi à tertia secta, qui eo duntaxat, quòd tempus externæ quietis tempori distentionis addunt, illis sunt sapientiores.

τὸν αὐτὸν ἔχει λόγον, καὶ τὰ διαφθειρόμενα αὐτῶν τῆς ἀφῆς μόρια, πρὸς ἄλληλα δηλονότι, καὶ τὰ σωζόμενα, τὸν αὐτὸν ἕξει πρὸς ἄλληλα λόγον. ὥστ᾽ εἰς τὴν ἀπ᾽ αὐτῶν πρόγνωσιν, οὐ μέγα βεβλαψόμεθα· διπλασίου γὰρ ὄντος, εἰ τύχοι, τοῦ παντὸς τῆς συστολῆς χρόνου, τῷ παντὶ τοῦ διαστολῆς παραβαλλομένου, διπλασίου δὴ ὁμοίως ὄντος καὶ σωζομένου παραμετρουμένου, τὴν ἀπὸ τῶν ῥυθμῶν πρόγνωσιν, ὁμοίαν ἕξομεν ἐκ τῶν αἰσθητῶν μερῶν τῆς κινήσεως, ἣν ἂν καὶ πάσης αὐτῆς σωζομένης ἔχομεν. ἐπὶ μέντοι τῶν ἀμυδρῶν, τὴν ἀπορίαν οὐκ ἔθ᾽ ὁμοίως οἷόν τε παραμυθήσασθαι. ἣν γὰρ, ἣν, οἱ τὸν χρόνον τῆς διαστολῆς τῷ λοιπῷ παντὶ παραβάλλοντες, εὑρίσκειν εὐπορίαν ζητοῦσιν, κίβδηλός ἐστι. πειρατέον δὲ πρότερον εἰπεῖν αὐτὴν σαφῶς, εἶθ᾽ οὕτως ὅπῃ μεμφόμεθα δεικτέον. ὄντων τοίνυν τεττάρων μορίων τοῦ σφυγμοῦ, διαστολῆς τε, καὶ συστολῆς, καὶ δυοῖν ἠρεμιῶν. ἑτέρας μὲν ἐπὶ τῇ διαστολῇ πρὸ τῆς συστολῆς, ἑτέρας δὲ ἐπὶ τῇ συστολῇ πρὸ τῆς διαστολῆς· ὅσοι μὲν ἀδιάγνωστον αἰσθήσει τὴν συστολὴν εἶναι φασιν, ἰδίᾳ μὲν τὸν τῆς διαστολῆς χρόνον τιθέασιν, ὃν δὴ κινήσεως καλοῦσιν, ἰδίᾳ δὲ τῶν ὑπολοίπων δυοῖν μερῶν, ἃ ἠρεμίαν τε καὶ συστολὴν ὀνομάζουσιν, καὶ τὸν τούτων τῶν τριῶν χρόνων πρὸς ἀλλήλους λόγον, ῥυθμὸν εἶναι φασιν. ὅσοι δὲ τῆς συστολῆς αἰσθάνεσθαί φασιν, οἱ μὲν τινες αὐτῶν, τὸν τῆς διαστολῆς μόνον χρόνον τῷ τῆς συστολῆς παραβάλλοντες, τὸν ῥυθμὸν γίγνεσθαί φασιν, οἱ δὲ τινες προσνέμουσιν ἑκατέρᾳ τῶν κινήσεων, τὸν χρόνον τῆς μετ᾽ αὐτὴν ἡσυχίας. τριῶν οὖν τούτων δοξῶν οὐσῶν περὶ τῶν ἐν τοῖς σφυγμοῖς ῥυθμῶν, οἱ μὲν ἀπὸ τῆς δευτέρας ὁμολογήσουσι μηδὲν εἰπεῖν ἔχειν πρὸς τὰς εἰρημένας ἀπορίας. οἱ δ᾽ ἀπὸ πρώτης τε καὶ τρίτης, ἴσως ἂν εὐπορεῖν δόξαιεν, οἱ μὲν, ὅτι τὸν τῆς φαινομένης κινήσεως χρόνον, ἅπαντι τῷ λοιπῷ, τῷ τῆς ἡσυχίας ὑπ᾽ αὐτῶν καλουμένης παραβάλλουσιν, οἱ δ᾽, ὅτι τὸν τῆς φαινομένης κινήσεως χρόνον, ἅμα τῷ χρόνῳ τῆς μετ᾽ αὐτὴν ἡσυχίας πρὸς τὸν λοιπὸν, τὴν ἀρχὴν τῆς συστολῆς, ὅρον τῆς τῶν προτέρων δυοῖν χρόνοιν συνθέσεως ποιούμενοι. ἄξιον δ᾽ ἑκατέρων θαυμάσαι, τῶν μὲν πρώτων, εἰ τὰ περὶ τῆς συστολῆς εἰρημένα μέμνηνται μόνα, τῶν ἐπὶ τῆς διαστολῆς ῥηθέντων ἐπιλαθόμενοι. ἐν γὰρ τοῖς ἀμυδροῖς σφυγμοῖς, τὸ μὲν ποσὸν τοῦ διαστήματος, ἐν ταῖς διαστολαῖς, συλλογισμῷ γνωστὸν ἐδείκνυμεν ὑπάρχειν. τὸν δὲ χρόνον τῆς κινήσεως ἀδιάγνωστον ὑπάρχειν, μόνων τῶν ἐκτὸς αὐτῆς περάτων εἰς αἴσθησιν ἡκόντων. οὐκ οἶδ᾽ οὖν ὅπως λέγουσι παραβάλλειν τὸν χρόνον τῆς διαστολῆς τῷ λοιπῷ παντὶ, καὶ γὰρ τοῦ ταύτης χρόνου τὸ αἰσθητὸν, ὀλίγον παντάπασιν, εἰ μή τι τοῦτ᾽ αὐτὸ μόνον ἐθέλουσι παραβάλλειν τῷ λοιπῷ παντί. καὶ γίνοιτ᾽ ἂν οὕτως ὁ ῥυθμὸς αὐτοῖς, λόγος τοῦ φαινομένου χρόνου τῆς κατὰ τὴν διαστολὴν κινήσεως πρὸς τὸν λοιπὸν ἅπαντα. τοῦτο δ᾽ εἰ λέγουσι, δυνατὸν μέντοι λέγουσιν, οὐ μὴν καὶ χρήσιμόν γε, μηδενὸς ἐκ τοῦ τοιούτου ῥυθμοῦ προγνωσθῆναι δυναμένου, καθ᾽ ὃν ὁ χρόνος τοῦ φαινομένου μέρους τῆς διαστολῆς τῷ λοιπῷ παντὶ παραβάλλεται, τῷ συγκειμένῳ ἔκ τε τοῦ τῆς ἐκτὸς ἠρεμίας, καὶ τῆς συστολῆς, καὶ τρίτου τοῦ τῆς ἐντὸς ἠρεμίας, καὶ τετάρτου τοῦ μὴ φαινομένου μέρους τῆς διαστολῆς. πρὸς δὲ τὸ μηδὲν χρήσιμον ἐκ τῆς τοιαύτης διδασκαλίας δύνασθαι λαβεῖν, ἔτι καὶ τὴν ἔννοιαν οὗτοι τοῦ ῥυθμοῦ συγχέουσιν, ὡς εἰ καὶ μουσικός τις εἶναι προσποιούμενος, οὐ τοῦ τῆς ἄρσεως χρόνου πρὸς τὸν τῆς θέσεως λόγον ἔφασκεν ὑπάρχειν τὸν ῥυθμὸν, ἀλλὰ τοῦ φαινομένου μέρους τῆς ἄρσεως πρὸς τὸν λοιπὸν πάντα. παραπλήσια δ᾽ αὖθις, καὶ οἱ ἀπὸ τῆς τρίτης αἱρέσεως ἁμαρτάνουσι, μόνῳ τῷ προσνέμειν τὸν χρόνον τῆς ἐκτὸς ἠρεμίας τῷ τῆς διαστολῆς, βέλτιον ἐκείνων φρονοῦντες.

λογισμῷ

καθ᾽ ὅσον δὴ ἐπελάθοντο καὶ αὐτοί, τὸν τῆς συστολῆς χρόνον ἀδιάγνωστον ὑπάρχειν αἰσθήσει κατὰ τοὺς ἀμυδροὺς σφυγμούς, ὁμοίως σφαλλόμενοι. τρίτον δὴ αὖ πάλιν ἐξαίρετον οὗτοι προσεπιτίθενται, τὸ καὶ τῆς συστολῆς τὴν πρώτην ὁρμὴν αἰσθητὴν εἶναι διὰ παντὸς, οὔσης οὐδὲ ταύτης ἐπὶ τῶν ἀμυδρῶν σφυγμῶν αἰσθητῆς. κατὰ ταῦτ᾽ οὖν ἅπαντα, ταῖς ἐν ταῖς αἱρέσεσι πολλὰς ἀπορίας ἀνάγκη συμπίπτειν ἐν ταῖς τῶν ῥυθμῶν διαγνώσεσι. καὶ διὰ τοῦτ᾽, οἶμαι, μηδ᾽ ἐπιχειρῆσαί τι γράψαι τοὺς μεθ᾽ Ἡρόφιλον, εἰς τὴν ἀπ᾽ αὐτῶν πρόγνωσιν. αὐτὸς δὲ ὁ Ἡρόφιλος πολλαχόθι μὲν, ῥυθμῶν εἰς τὰς προγνώσεις μνημονεύει. χαλεπὸν μὴν ἐξευρεῖν τί ποτε καὶ λέγει τὸν ῥυθμὸν, ἆρά γε τὸν λόγον τοῦ τῆς διαστολῆς μόνου χρόνου πρὸς τὸν τῆς συστολῆς μόνης, ἢ καὶ αὐτὸν τῆς ἑπομένης ἑκατέρᾳ τῶν κινήσεων ἠρεμίας προσνέμει. καὶ διὰ τοῦτο οὐδὲ τοῖς ὑπ᾽ αὐτοῦ κληθεῖσιν Ἡροφιλείοις ὁμολογεῖται, τί ποθ᾽ ὑπὲρ αὐτῶν φρονεῖ δεόντως. οὔτε γὰρ ἡ λέξις αὐτοῦ θάτερον ἐνδείκνυται σαφῶς, οὔθ᾽ ἡ τῶν πραγμάτων φύσις, ἱκανὴ πιστώσασθαι. εἰ μὲν οὖν τὴν ἑτέραν τῶν δοξῶν φυλάττωμεν, ἑπόμενοι τοῖς μουσικοῖς, τοὺς τῶν ἡσυχιῶν χρόνους προσθήσομεν τοῖς τῶν προηγουμένων κινήσεων. εἰ δὲ τὴν εἰς τὰς προγνώσεις χρείαν, τὴν κίνησιν τῇ κινήσει παραβάλλοντες, ἰδίᾳ τὸν τῶν ἡσυχιῶν χρόνον ἐπισκεψόμεθα. ὅταν οὖν δυοῖν θάτερον, ἢ τὴν ἔννοιαν τῆς προσηγορίας ἀναγκαῖον ᾖ διαφθείρειν, ἢ τὴν χρείαν ἀνατρέπειν, ἐν ἀπορίᾳ δυσμεταχειρίστῳ καθιστάμεθα. χρὴ δ᾽ ὅμως, ἐπεὶ τὸ ἕτερον αὐτῶν ἑλέσθαι προσήκει, προτιμῆσαι τὸ χρήσιμον εἰς τὰς προγνώσεις, καταφρονήσαντα τοῦ παρὰ τοῖς μουσικοῖς ὀνόματος. τί γὰρ καὶ βλαβησόμεθα, προγινώσκοντες μὲν ἐκ τοῦ λόγου τὸν κατὰ τὰς κινήσεις χρόνον, ὄνομα δ᾽ ἴδιον αὐτοῦ μηδὲν ἔχοντες. οὐ γὰρ ἐν οἷς ἀποροῦμεν ὀνόμασιν, ἀλλ᾽ ἐν οἷς προγινώσκειν ἀδυνατοῦμεν, ἡ τέχνη βλάπτεται. κείσθω τοίνυν διὰ τὴν χρείαν, ἐν τῷ λόγῳ τοῦ χρόνου τῶν κινήσεων τὸν ῥυθμὸν συνίστασθαι, ζητησόντων ἡμῶν ἰδίᾳ ποτὲ τὸ δοκοῦν Ἡροφίλῳ. ἀλλὰ κἂν τοῦτο θῶμεν, ἔοικεν ἔτι μένειν ἡ ἀπορία, μήτε παντὸς τοῦ τῆς διαστολῆς χρόνου δυναμένου γνωσθῆναι, πλὴν ἐν τοῖς σφοδροτάτοις σφυγμοῖς, μήτε τῆς συστολῆς τὴν ἀρχὴν ἐπὶ πάντων αἰσθητὴν ἐχούσης. πῶς οὖν Ἡρόφιλος πρῶτόν τινα πρὸς αἴσθησιν ὑποτίθεται χρόνον, ᾧ τοὺς ἄλλους μετρῶν, ἢ δυοῖν, ἢ καὶ τριῶν, ἢ καὶ πλειόνων εἶναι φάσκει. ἤτοι τελέων τε, καὶ ὡς αὐτοὶ καλοῦσιν ἀπαραύξων, ἢ καὶ ἀπηυξημένων ἐπ᾽ ὀλίγον, ἢ ἐπὶ πλεῖον, ἢ ἐπὶ πλεῖστον. ὡς γὰρ ἐπὶ πάντων ἀκριβῶς τῶν σφυγμῶν διαγινώσκων τοὺς χρόνους, εἴτε τῶν κινήσεων μόνων, εἴτε καὶ τῶν μετ᾽ αὐτὰς ἡσυχιῶν, οὐδὲν γὰρ διαφέρει πρός γε τὴν προκειμένην ἀπορίαν, ἔοικε ταῦτα γράφειν. εἰ μή τι οὐκ ἐπὶ πάντων, ἀλλ᾽ ἐφ᾽ ὧν δυνατὸν ἐπὶ τούτων μόνον ἡγητέον αὐτὸν τὰ τοιαῦτα γράφειν. τοῦτο μὲν οὖν τάχ᾽ ἂν ἰδίᾳ ποθ᾽ ὕστερον ἐπισκεψόμεθα. νυνὶ δ᾽, οὐ γὰρ πρόκειται τὸ δοκοῦν Ἡροφίλῳ ζητεῖν, ἀλλὰ τἀληθές τε ἅμα καὶ χρήσιμον ἐξευρεῖν, τοῦτο πειρατέον ἐνδείξασθαι σαφῶς, ὡς ἐπ᾽ αὐτῶν τῶν ἔργων ἡμῖν πειρωμένοις εὑρέθη. ἔχει δὲ ὧδε. τὸ ποιὸν τῆς κινήσεως κατὰ τὴν διαστολὴν τῷ ποιῷ τῆς κατὰ τὴν συστολὴν κινήσεως παραβάλλοντες, ἐννέα μὲν τὰς πρώτας εὑρίσκομεν διαφοράς, τὰς ἐν τῷ διαγράμματι δηλουμένας. ἐν ἑκάστῃ δ᾽ αὐτῶν, ἄλλας πολλὰς, ἀρρήτους μὲν λόγῳ, τῷ δὲ μᾶλλον καὶ ἧττον, ἐπ᾽ αὐτῶν τῶν ἔργων διαγινωσκομένας. εἰ δέ τι δηλοῦν ἑκάστη διαφορὰ πέφυκεν, ἐν τοῖς περὶ προγνώσεως ἐροῦμεν.

A Quòd verò etiam ipsi obliti fuerint contractionis tempus sensum in languidis pulsibus non dignoscere, æquè peccauerunt. Porrò tertium etiam hi insigne ponunt, contractionis primum motum perpetuò sentiri, cum ne ille quidem in languidis pulsibus sentiri possit. Itaque ex his omnibus dubitationes quàm frequentes in sectis concurrant in pulsibus dignoscendis, necesse est. Quo factum puto, vt non aggressi scribere quid sint Herophili successores in præsagitionem ex illis. Ipse Herophilus rhythmos frequenter ad præsagiendum adducit: B verùm quid interpretetur rhythmum, difficile est inuentu: temporisne distentionis solius ad tempus contractionis solius proportionem, an ipsum etiam quietis tempus, quæ comitatur vtrunque motum, iis attribuat. Vnde inter Herophilios; qui ab illo cognomen inuenerunt, non conuenit vtrum de illis decenter sentiat, neutrum enim eius oratio planè ostendit, neque confirmare rerum natura potest. Quòd si iam alteram sententiam tueamur instituto musicorum, tempora quietum præcedentibus motibus adiiciemus: sin quod facit ad præsagiendum, cum motu motum comparantes, C separatim quietum tempus æstimabimus. Quum igitur alterutrum fit necesse, aut notionem nominis labefactare, aut peruertere vsum, vtrum faciamus potius, implicati tenemur. Tamen quandoquidem alterum eligendum est, repudiato musicorum nomine, quod conducit ad præsagiendum potius ducam, nam quid tandem faciemus damni si quum motuum ex proportione tempus præsciamus, nomen nobis, quò id appellemus deficiat? Etenim non eò, quòd in nominibus hæreamus, sed quia præsagire nequeamus, ideò ars læditur. D Ergo faciamus vtilitatis nomine consistere rhythmum in proportione temporis motuum, ac expendamus suo loco Herophili sententiam. Tamen & si hoc positum sit, manere adhuc dubitatio videtur, quod nisi in vehementissimis pulsibus, nec omne tempus possit distentionis innotescere, nec contractionis vbique principium sentiatur. Cur ergo tempus quoddam ad sensum princeps Herophilus statuit, ad quod alia æstimans, duorum, trium, quatuor, vel plurium dicit esse: horumque aut integrorum, & vt vocant illi, ἀπαραύξων; aut diminutorum etiam aliquantum, vel plus, vel plurimum? E Quasi enim in omnibus pulsibus ad vnguem tempora dignosceret, siue motuum solorum, siue etiam comitantium illos quietum (nihil enim ad propositam dubitationem refert) ita videtur hæc scribere, nisi verò eum non de omnibus, sed in quibus possunt dignosci, de his tantummodo existimandum est ista scribere. At hoc quidem inferius fortasse aliquando suo loco considerabimus. Nunc (quia non instituimus, quid Herophilus sentiat, quærere, sed quid verum sit simul, & vtile indagare) hoc clarè aggrediar ad explicandum, quomodo in ipsis rebus experiundo inuenimus. Nam sic habeto, quum qualitatem motus distentionis cum qualitate conferimus contractionis motus, nouem inuenimus primas differentias, quas in tabella proposuimus, atq; sigillatim multas alias, quas oratione non exprimas, sed experiendo excessum, & defectū dignoscas. Quid verò soleat quæque denunciare differētia, dicemus in commentariis De præsagitione.

Sed

Sed nunc primum tabellam præscribemus, quam intelligerent facilè, qui in primo commentario se de differentiis pulsuum exercitauerint; deinde ostendemus, quemadmodum multas singulæ differentias constituant quantitate dispares, tametsi eiusdem generis sint.

A ἀλλὰ νῦν γε πρῶτον ὑπογράφομεν τὸ διάγραμμα, σαφὲς ἑτοίμως γενησόμενον τοῖς ἐν τῷ πρώτῳ περὶ διαφορᾶς σφυγμῶν γεγυμνασμένοις. ἐφεξῆς δὲ μηνύσομεν, ὅπως πάλιν ἑκάστῃ διαφορᾷ πολλαὶ συνίστανται τῷ ποσῷ διαφέρουσαι, κἂν ὁμογενεῖς ὦσι.

Distentio	*Distentio*	*Distentio*
Celer	Moderata	Tarda
Celer	Moderata	Tarda
Celer	Moderata	Tarda
Contractio	*Contractio*	*Contractio*
Celer	Celer	Celer
Moderata	Moderata	Moderata
Tarda	Tarda	Tarda

διαστολή	διαστολή	διαστολή
ταχεῖα	σύμμετρος	βραδεῖα
ταχεῖα	σύμμετρος	βραδεῖα
ταχεῖα	σύμμετρος	βραδεῖα
συστολή	συστολή	συστολή
B ταχεῖα	ταχεῖα	ταχεῖα
σύμμετρος	σύμμετρος	σύμμετρος
βραδεῖα	βραδεῖα	βραδεῖα

Ac quum primæ quidem descriptæ in tabella differentiæ, vterque celer motus est, potest motus distentionis maximè concitatus esse, at motus contractionis paulò moderato, & medio esse superior: Aut contra, paulum motus distentionis eum superare; motus verò contractionis permultum; Aut vterque paulum, aut vterque permultum: Aut hic paulum ille plus; aut paulò minùs, aut multo, aut alio quoquo modo, nam varietas aperta est. Neque dicas vel non hoc cerni fieri, vel significare nihil: imò & fit, & denunciat res maximas. Ex qua nos notitia potuimus præsentire: neque quicquam nobis opus fuit primis temporibus integris, & amplificatis. Nam eam cognitionem totum non desiderare motum, sed parari ex qualibet eius parte posse, nemini obscurum est, nisi si quando inæqualis sit, tum enim pars toto haudquaquam similis est. At nec in pulsibus ad summum languidis hac vti licet, in his enim ne primum quidem initium cognoscas contractionis, nedum insignem eius vllam partem.

τῆς τοίνυν πρώτης ἐν τῷ διαγράμματι γεγραμμένης διαφορᾶς, ἑκατέραν τῶν κινήσεων ταχεῖαν ἐχούσης, ἐνδέχεται μὲν τὴν ἐν διαστολῇ κίνησιν ἐσχάτως ἠπεῖχθαι, τὴν δ' ἐν τῇ συστολῇ βραχεῖ τινι τῆς συμμέτρου τε καὶ μέσης ὑπερέχειν. ἢ ἔμπαλιν, βραχεῖ μὲν ὑπερέχειν τὴν ἐν τῇ διαστολῇ, παμπόλλῳ δὲ τὴν ἐν τῇ συστολῇ. ἢ ἀμφοτέρας ὀλίγῳ, ἢ ἀμφοτέρας παμπόλλῳ. ἢ τὴν μὲν ὀλίγῳ, τὴν δὲ πλέονι μέν· ἢ κατ' ὀλίγον ἐλάττονι. C ἢ κατὰ πολύ, ἢ ὅπως οὖν ἑτέρως. ἡ γὰρ ποικιλία σαφής. καὶ οὐκ ἔστιν εἰπεῖν, ἢ ὡς οὐ φαίνεται τοῦτο γιγνόμενον, ἢ ὡς δηλοῦν οὐδὲν πέφυκε. καὶ γὰρ καὶ γίγνεται, καὶ δηλοῖ μέγιστα. καὶ ἡμῖν ἀπὸ τῆς τοιαύτης διαγνώσεως ἤρκε προγινώσκειν, οὐ δεομένοις τῶν πρώτων χρόνων ὁλοκλήρων τε καὶ παρηυξημένων. ὅτι δ' ἡ τοιαύτη διάγνωσις, οὐ δεῖται πάσης τῆς κινήσεως, ἀλλὰ καὶ διὰ μέρους αὐτῆς τοῦ τυχόντος δύναται γίγνεσθαι πρόδηλον παντί. πλὴν εἰ ἀνώμαλος ποτ' εἴη. τηνικαῦτα γάρ, οὐκ ἔθ' ὅμοιον τὸ μέρος τῷ ὅλῳ. κατὰ μέντοι τοὺς ἐσχάτως ἀμυδροὺς σφυγμούς, οὐδὲ τῇ τοιαύτῃ χρῆσθαι δυνατόν. οὐ γάρ ἐστιν ἐπ' ἐκείνων, οὐδὲ τὴν πρώτην ἀρχὴν τῆς συστολῆς γνωρίσαι. μήτι γε δὴ μόριον αὐτῆς ἀξιόλογον.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΔΙΑΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Δ.

GALENI DE DIGNOSCENDIS PVLSIBVS LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Δʹ ΒΙΒΛΙΩι.

Ἐξηγεῖται ὅπως χρὴ τὴν ἐν τῷ σφυγμῷ πληγὴν διαγνῶναι· καὶ τῷ τε Ἀρχιγένει, καὶ τῷ Ἀγαθίνῳ σφαλλομένοις ἐν τῷ διαγνῶναι τὸν πλήρη σφυγμὸν, ἀντιλέγει.

ARGVMENTVM LIBRI QVARTI.

Exponit quo pacto ictus in pulsu comprehendatur; ac refellit Archigenem, & Agathinum, qui aberrarunt in pleno pulsu dignoscendo.

ΚΕΦΑΛΑΙΟΝ Αʹ.

Περὶ διαγνώσεως τῆς πληγῆς.

ΟΣΑ μὲν ὑπάρχει τοῖς σφυγμοῖς κατὰ τὸν ἴδιον τῆς οὐσίας αὐτῶν λόγον, ἔμπροσθεν εἴρηται πάντα. περὶ δὲ τῶν ἄλλων, ὅσα μήτ' ἄνευ τῆς κινήσεως τῶν ἀρτηριῶν διαγνωσθῆναι δύναται, μήτ' ἐστὶν αὐτῆς ἴδια, νῦν ἐροῦμεν. ἔστι δή τις ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν, ἁπτομένοις ἡμῖν, οἷον πληγὴ γιγνομένη κατὰ τὴν ἁφὴν, ἣν, ὅταν μὲν βίαιος ᾖ, κυρίως σοι δόξουσι πληγὴν καλεῖν, οὐ μὴν οὕτως κἂν ἀβίαστος ᾖ. περὶ ταύτης δὴ τῆς ὄντως πληγῆς, ἣν βίαιον προσβολὴν εἶναί φαμεν, σκεπτέον ἀκριβῶς. ἕπεσθαι γὰρ οὐκ ὀλίγοις εἴδεσι σφυγμῶν δοκεῖ, σκληρῷ, καὶ σφοδρῷ, καὶ μεγάλῳ, καὶ ταχεῖ, καὶ ὑψηλῷ, καὶ σπασμώδει, καὶ κλονώδει. ἵν' οὖν τις μὴ ἐξαπατηθεὶς τῷ κοινῷ συμπτώματι, περὶ τὴν διάγνωσιν αὐτῶν σφαλῇ, σκεπτέον ὑπὲρ ἁπάντων ἐπιμελῶς. εἰ μὲν γὰρ ἄλλοις γνωρίσμασι διακρίνειν αὐτοὺς δυνατόν ἐστι, ἐκεῖνα μαθόντες ἔχοιμεν ἂν ἤδη τὸ πᾶν. εἰ δ' ἀδύνατον, ἀπαρκέσει γοῦν τὸ γιγνώσκειν, ὡς κοινὸν τοῦτο πλειόνων ἐστὶ σφυγμῶν. ἀρχὴ δὲ τῆς σκέψεως ἀρίστη, τὸ μαθεῖν τὴν αἰτίαν, δι' ἣν πολλοῖς οὕτω σφυγμοῖς ἓν κοινὸν ἕπεσθαι δοκεῖ πάθημα, τὸ βίαιον τῆς πληγῆς. ὧδε οὖν. ἐπειδὴ χρὴ μὲν ἀπωσθῆναι τὴν ἁφὴν ὑπὸ τοῦ σφυγμοῦ, μέλλουσαν αἰσθήσεσθαι τῆς προσβολῆς αὐτοῦ, ὠθεῖται δ' οὐχ ὁμοίως διὰ παντὸς, ἀλλά ποτε μὲν μᾶλλον, ποτὲ δ' ἧττον, ποτὲ δὲ, ὥστε ψαύειν μόνον. ὅσαι κινήσεις αὐτὴν ὠθοῦσι, καὶ ἀνατρέπουσιν ἐπὶ πολὺ, βίαιον αὗται φαντασίαν ἐργάζονται τῆς πληγῆς. ἐπὶ πολὺ δ' ὠθεῖν δύνανται κινήσεις, ἥ τε τῇ σκληρότητι τῆς ἀρτηρίας, οἷον θλῶσα τὴν ἁφὴν, καὶ ἡ τῇ ῥώμῃ τῆς κινούσης αὐτὰς δυνάμεως, οἷον ἀνατρέπουσα.

ἀποκωφῆσαι

CAPVT PRIMVM.

De ictu dignoscendo.

QVÆ pulsibus insunt pro substantiæ eorum propria ratione, antea omnia exposuimus: nunc de cæteris, quæ nec citra motum arteriarum possunt dignosci, neque eius tamen sunt propria, narrabimus. Est quidam in distentione arteriæ veluti ictus, qui quum tangimus, tactum ferit, hunc vbi violentus sit, propriè existimabis ictum vocari: vocant ita tamen, etsi careat violentia. De hoc igitur vero ictu, quem violentum occursum dicimus esse, magna diligentia attendendum est, neque enim parum multarum pulsuum specierum videtur comes esse, duri, vehementis, magni, celeris, alti, conuulsiui, & vibrati. Ne ergo deceptus quis communi symptomate in iis dignoscendis labatur, sedulo omnes, & accuratè æstimandi sunt, nam si aliis illi notis discerni possint, & has didicerimus, id quòd totum est, assecuti fuerimus, si non possint, hoc certè satis erit nosse, commune hoc compluribus pulsibus esse. Huius commentationis principium optimum sit, vt quamobrem vnus tam multis pulsibus communis comitari affectus videatur, violentia ictus, causam discamus, hoc modo. Quando impelli à pulsu tactum, modo sit eius occursum sensurus, necesse est, impellitur autem non perinde semper, sed nunc plus, nunc minus, interdum, vt palpet tantum, quicunque motus eum protrudunt, & submouent longè, violenti hi speciem ictus repræsentant. Ac protrudere longè potest motus, & duræ arteriæ, veluti contundens tactum, & qui robore mouentis illam facultatis veluti euertit:

præterea qui magnitudine distentionis plurimum progreditur; iam etiam qui qua fertur celeritate, impellit valenter, & qui præ altitudine veluti subit ac intrat; ad hæc qui quòd tensus sit, ægrè mouetur; denique qui ob vibrationem simul tensionis & duritiei, celerisque occursus speciem præbet. Quocirca incidas in multos quotidie medicos, qui illos omnes pulsus dicant vehementes esse. Qui si quidem animaduerterent, quam hi distent, quomodocunque in communi omnes velint appellare, non laboraremus; sed quia sicut nomen attribuunt commune, sic naturam putant vnam omnium esse, conabimur dolum illis detegere, à clarissimis & apertissimis ingressi, exempli gratia à veloci. Nam hinc facilè errorem deprehendat, qui certè intelligere potest, celeritatem occursus non eandem esse, & violentiam ictus, nam vt omittam alia, nec longius celer impellere valet tactum, ni simul magnus sit. Vnde liquet non hoc eum sua sponte obtinere symptoma, nam quod illi quum celer tantum esset, non etiam magnus, non aderat, sed præsentia magnitudinis ei accessit, qua ratione ei proprium dices? quippe celer simul, & paruus non longè tactum impellit, sed longè impellere, magis ad magnitudinem pertinet, vel etiam ad hanc per accidens. Nam si colligamus quæ de dignoscenda magnitudine diximus, non eò, quòd longius intret, sed quia multis in partibus longitudinis pariter & latitudinis, & profunditatis attingat tactum cognoscebatur. Vt enim circularem pulsus circunferentiam, quæ satis magna est sensu perceperimus: ex illo deinceps ascensum, qui ex multa profunditate venit conijciemus, vbi non totum tactus interuallum assequitur, cæterum externum tantum sentit finem. Itaque si inde vsque à primo impetu, quum distenditur arteria, velimus motum sentire, magnitudinem magna ex parte, vti ante diximus interpellabimus, vt ne magnum quidem iam pulsum esse arbitremur. Id quod non in omnibus tamen magnis facias, cæterum in his, qui cum magnitudine vehementiam aliqua ex parte coniunctam habent. Nam magnis quidem tantum, nec vehementibus tamen, ne occurrere quidem ascendentibus poteris, neque premere arteriam: pereunt enim mox toti. Vnde planum est non hinc magnum, quò longissimè intrò tactum protrudit dignosci, sed quòd multis partibus longitudinis, & circuli arteriæ occurrat. Quid igitur intimè nealtus impellit? atqui, quod in tribus dimensionibus magnus, hoc possidet hic in vna, proinde si non ille, minimè hic. At magnum ostendimus, nisi vehemens quoque sit, tactum non posse protrudere longius, quo minus altus. Quòd si cum magno frequenter imbecillitas adiuncta est, & cum alto, qui magnus non sit, ferè vehementia, imbecillitas nunquam, alia hæc ratio est. Habebit enim (vt dixi) semper hoc altus, vt longius impellat, verùm non sua tamen sponte, imò quòd omninò vehemens, aut non imbecillus certè sit. Omnes ergo illi pulsus, vt longè tactum impellant, planè vehementiam requirunt. Vnde etiam qui ex illis cum vehementia perpetuò coniuncti sunt, semper violenter feriunt, qui verò non semper, sed frequenter, hi quia videntur ferè violenti esse, qui hæc expendunt negligentius, adducuntur vt credant eos nunquam non tales esse. Iam alij pulsus, à quibus diuelli durities non potest, violẽter feriunt, vt vibratus, & conuulsiuus:

καὶ ἡ τῷ μεγέθει τῆς διαστολῆς ἐπὶ πλεῖστον ἐξικνουμένη· καὶ ἡ τῷ τάχει τῆς φορᾶς ὠθοῦσα συντόμως· καὶ ἡ διὰ τὸ ὕψος οἷον ἐγκαταβαίνουσα· καὶ ἡ διὰ τὸ τετάσθαι δυσκίνητος· καὶ ἡ διὰ τὸν κλόνον ἅμα τάσεώς τε καὶ σκληρότητος, καὶ ταχείας προσβολῆς ἔμφασιν ἔχουσα. τοῦτ' ἄρα παμπόλλοις ἐστὶν ἐντυχεῖν ὁσημέραι τῶν ἰατρῶν, ἅπαντας τοὺς εἰρημένους σφυγμοὺς σφοδροὺς εἶναι λέγουσιν. εἰ μὲν οὖν ᾐσθάνοντο τῆς ἐν αὐτοῖς διαφορᾶς, τοῦ καλεῖν ὅπως ἐβούλοντο κοινῇ πάντας, οὐδὲν ἂν ἐφροντίσαμεν. ἐπεὶ δ', ὥσπερ ὄνομα κοινὸν ἐπιφέρουσιν, οὕτω καὶ τὴν φύσιν ἁπάντων μίαν εἶναι νομίζουσι, πειρατέον αὖθις ἐνδείξασθαι τὴν ἀπάτην, ἀπὸ τῶν προφανεστάτων ἀρξαμένους, οἷον εὐθέως ἀπὸ τοῦ τάχους. πρόχειρον γὰρ ἐντεῦθεν τὸ σφάλμα, τῷ γε δυναμένῳ συνιδεῖν τὸ τάχος τῆς προσβολῆς, οὐ ταὐτὸν ὂν τῷ βιαίῳ τῆς πληγῆς. τά τε γὰρ ἄλλα, καὶ μέχρι πλείονος ὁ ταχὺς ὠθεῖν οὐ δύναται τὴν ἁφὴν, εἰ μὴ καὶ μέγας ᾖ. ᾧ δῆλον, ὅτι μὴ κατὰ τὴν ἑαυτοῦ φύσιν ἔχει τοῦτο σύμπτωμα. ὃ γὰρ ὅτε μὲν ἦν ταχὺς μόνον, οὐ διὰ τὸ μέγεθος ὑπῆρχον, τῇ δὲ τοῦ μεγέθους παρουσίᾳ προσγινόμενον αὐτῷ, πῶς ἄν τις ἴδιον εἶναι λέγοι. ὁ γοῦν ταχὺς ἅμα καὶ μικρὸς, οὐκ ὠθεῖ μέχρι πολλοῦ τὴν ἁφὴν, ἀλλὰ τὸ μέχρι τοῦ πολλοῦ, μεγέθους ἐστὶν οἰκειότερον, ἢ καὶ τούτου κατὰ συμβεβηκός. εἰ γὰρ ἀναμνησθῶμεν ὅσα περὶ τῆς τοῦ μεγέθους διαγνώσεως εἰρήκαμεν, οὐ τῷ μέχρι πλείονος ἔσω χωρεῖν, ἀλλὰ τῷ κατὰ πολλὰ μόρια, μήκους θ' ἅμα, καὶ πλάτους, καὶ βάθους ἅπτεσθαι τῆς ἁφῆς ἐγνωρίζετο. τὴν γὰρ κατὰ κύκλον τοῦ σφυγμοῦ περιφέρειαν, ἱκανὴν τὸ μέγεθος οὖσαν αἰσθήσει διαγνόντες, ἐπ' αὐτῇ λοιπὸν ἤδη συνελογισάμεθα τὴν ἐκ πολλοῦ βάθους ἄνοδον, οὐκ ἀκολουθησάσης πάντῃ τῷ διαστήματι τῆς ἁφῆς, ἀλλὰ τῆς ἐκτὸς τελευτῆς μόνης αἰσθανομένης. εἰ γοῦν ἀπὸ τῆς πρώτης ὁρμῆς τοῦ διαστέλλεσθαι τὴν ἀρτηρίαν τῆς κινήσεως ἐθελήσαιμεν αἰσθάνεσθαι, πολὺ τοῦ μεγέθους, ὡς καὶ πρόσθεν ἐρρέθη, κωλύσομεν. ὥσθ' ἡμῖν μηδὲ μέγαν ἔτι φαίνεσθαι τὸν σφυγμόν. ἀλλὰ καὶ αὐτὸ τοῦτ' οὐκ ἐν ἅπασιν εἶναί τε ποιεῖν τοῖς μεγάλοις, ἀλλ' ὅσοι πρὸς τῷ μεγέθει, σφοδρότητος μετέχουσι. τοῖς γὰρ μεγάλοις μόνον, οὐ μὴν καὶ σφοδροῖς, οὐδ' ἀπαντῆσαι δυνατὸν ἀνιοῦσιν, οὐδὲ θλίψαι τὴν ἀρτηρίαν. ἀπόλλυνται γὰρ εὐθὺς ὅλοι. δῆλον οὖν, ὡς οὐδ' ὁ μέγας διαγινώσκεται τῷ πλεῖστον ἔσω τὴν ἁφὴν ὠθεῖν, ἀλλὰ τῷ κατὰ πολλὰ μόρια τοῦ τε μήκους, καὶ τοῦ κύκλου τῆς ἀρτηρίας προσπίπτειν. ἆρ' οὖν ὁ ὑψηλὸς ἐπὶ πλεῖστον ἔσω βιάζεται. καὶ μὴν ὅπερ ὁ μέγας ἐν ταῖς τρισὶ διαστάσεσι, τοῦτο οὗτος ἐν μιᾷ κέκτηται. εἴπερ οὖν μηδ' ἐκεῖνος, οὐδὲ οὗτος. ἀλλὰ μὴν ὁ μέγας, ἐδείχθη, χωρὶς τοῦ καὶ σφοδρὸς εἶναι, μὴ δυνάμενος ἐπὶ πλέον ὠθεῖν τὴν ἁφήν. οὐκ οὖν οὐδὲ ὁ ὑψηλός. εἰ δὲ τῷ μεγάλῳ μὲν ὑπάρχει πολλάκις ἀμυδρότης, τῷ δ' ὑψηλῷ μὲν, μὴ μεγάλῳ δὲ, τὰ πολλὰ μὲν ἡ σφοδρότης, ἀμυδρότης δὲ οὐδέποτε, τοῦθ' ἕτερος λόγος. ἕξει μὲν γὰρ, ὡς εἶπον, μέχρι πλείονος ὠθεῖν, ὁ ὑψηλὸς, οὐ μὴν κατὰ τὸν ἴδιον λόγον, ἀλλ' ὅτι πάντως σφοδρὸς, ἢ οὐκ ἀμυδρός γέ ἐστιν. ἅπαντες μὲν οὖν οἱ εἰρημένοι σφυγμοὶ, φαίνονται σφοδρότητος δεόμενοι, πρὸς τῷ μέχρι πολλοῦ τὴν ἁφὴν ὠθεῖν. καὶ διὰ τοῦτο ὅσοις μὲν αὐτῶν διὰ παντὸς σύνεστι σφοδρότης, ἀεὶ βιαίως πλήττουσι. ὅσοις δ' οὐκ ἀεὶ μὲν, ὡς τὸ πολὺ δὲ, καὶ οὗτοι τὰ πολλὰ βίαιοι φαινόμενοι, τοῖς ἀμελέστερον τὰ τοιαῦτ' ἐπισκοποῦσιν, ἐπιστεύθησαν ἀεὶ τοιοῦτοί τινες ὑπάρχειν. ἄλλοι δ' αὖ σφυγμοὶ διὰ τὴν ἀχώριστον αὐτῶν σκληρότητα, βιαίως πλήττουσιν, ὥσπερ ὅ τε κλονώδης, καὶ ὁ σπασμώδης.

οὐδὲ γὰρ οὗτοι δι' ἄλλο τι βίαιον ἔχουσι τὴν πληγὴν, ἀλλὰ διὰ τὴν ἀχώριστον αὐτῶν σκληρότητα. καὶ δύο ταῦτ' ἔοικεν εἶναι μόνα σφυγμῶν εἴδη βιαίως πλήττοντα, τό τε τῶν σφοδρῶν, καὶ τὸ τῶν σκληρῶν. εἰσὶ δ' οἳ κἀν τούτοις, δεῖσθαι σφοδρότητος ἔφασαν πρὸς τὴν σκληρότητα· μὴ γὰρ δύνασθαι μόνην βίαιον ποιήσασθαι πληγήν· ὥσπερ οὐδ' εἰ λίθον ἀτρέμα προσάγοις. δεῖ γὰρ δὴ καὶ τούτῳ τόνου τινὸς, εἰ μέλλοι πλήττειν ἰσχυρῶς. ἀλλὰ τούτους μὲν ἐρέσθαι δίκαιον, τί ποτε καὶ βούλονται, πότερον οὐδὲν ὅλως εἶναι σῶμα σκληρὸν, ἀλλὰ τοῦτο τοὔνομα τὸ σκληρὸν, μάτην ὑπὸ τῶν ἀνθρώπων εἰρῆσθαι, καθ' οὐδενὸς ὑποκειμένου πράγματος, ἢ πρᾶγμα μὲν εἶναί τι καθ' οὗ λέγεται, διαγιγνώσκειν δ' αὐτὸ μηδεμίαν ὑπάρχειν αἴσθησιν, ἢ δι' ἄλλης τινὸς αἰσθήσεως, οὐ διὰ τῆς ἁφῆς γνωρίζεσθαι. πάντα γὰρ ἄτοπα τό τε μηδὲν εἶναι σῶμα σκληρὸν, τό τε λόγῳ μᾶλλον, ἢ αἰσθήσει διαγινώσκεσθαι, τό τ' αἰσθήσει μὲν, ἄλλῃ δέ τινι μᾶλλον, ἢ ἁφῇ. καὶ μὴν εἰ συγχωρηθείη γέ τι σκληρὸν εἶναι, καὶ διὰ τῆς ἁφῆς γνωρίζεσθαι, τί λοιπὸν, ἢ περὶ ὀνόματος ἐρίζοντες εὑρεθήσονται, φάσκοντες αὐτὸ τόνου μὴ δύνασθαι βίαιον ἀπ' αὐτοῦ γίνεσθαι τὴν πληγήν. εἰ γὰρ καὶ μὴ βίαιον ἐθέλοιεν καλεῖν, ἀλλ' εἶναι θλαστικήν γε πάντως, ἢ ἀπωστικὴν, ἢ ἀνατρεπτικὴν εἰπεῖν ἀναγκασθήσονται. ὁ μέν γε τοῦ τόνου διαμφισβητεῖται. τὴν ἀρχὴν γὰρ οἷός τίς ἐστιν ὁ τόνος ἐν τοῖς τῶν ζώων σώμασιν οὐχ ὁμολογεῖται, πρὸς τῶν εἰς ἐλάχιστα, ἢ εἰς ἄτομα, ἢ εἰς ἄναρμα τὴν ὅλην οὐσίαν καταθραυόντων. μόνοις γὰρ ὁμολογεῖται τοῖς ἑνοῦσθαι φάσκουσιν αὐτήν. ὥστ' οὐδ' αἰσθητῶς διαγνωστὸς ὁ τόνος, ἀλλ' εἴπερ ἄρα διὰ σημείου τινὸς, ἢ σημείων, ἢ τῇ κατ' ἔνδειξιν, ἢ κατ' ἀπόδειξιν πιστός. σκληρὸν δὲ καὶ μαλακὸν σῶμα, πάντες ἄνθρωποι διαγινώσκομεν αἰσθήσει. καὶ δίκαιον οὐ περὶ τῆς ὑπάρξεως αὐτῶν ζητεῖν, ἀλλὰ περὶ τῆς διαγνώσεως, μᾶλλον δ' οὐδὲ περὶ ταύτης, ἀλλὰ περὶ τοῦ πῶς ἄν τις ἑρμηνεύσῃ ἑτέρῳ, τὸ γιγνόμενον ἑαυτῷ πάθημα κατὰ τὴν ἁφὴν, ἐν τῇ προσβολῇ τῶν σκληρῶν σωμάτων, ὅπῃ τε διαφέρει τοῦτο τῶν σφοδρῶν. ἀλλ' ἐπεὶ τοῖς ἔμπροσθεν παραλέλειπται, πειρασόμεθα ἡμεῖς αὐτὸ ποιῆσαι, ἀρχὴν τῷ λόγῳ τὰ πᾶσιν ἀνθρώποις ὁμολογούμενα θέμενοι. ἐπεὶ τοίνυν σφοδρά τινα καλοῦμεν οὐ ζῶα μόνον, ὥσπερ λέοντάς τε, καὶ ταύρους, ἀλλὰ καὶ τῶν ἀψύχων ἔνια, καθάπερ τά τε τῶν ποταμῶν κατάντη ῥεύματα, καὶ ἀνέμους τοὺς μεγάλους. ἕτερα δὲ σκληρὰ, καθάπερ χαλκὸν, καὶ σίδηρον, καὶ λίθους, ἀναμνησθῆναι χρὴ, τί δή ποτ' ἐστὶν, ἀφ' ἑκατέρων αὐτῶν, ὅταν ὁμιλῶσιν ἡμῖν διάφορα ἐγγινόμενα τοῖς σώμασι παθήματα. τό τε γὰρ βίαιον τῆς προσβολῆς κοινὸν ἀμφοῖν, τῶν τε σφοδρῶν ἀνέμων, καὶ τῶν σκληρῶν σωμάτων. πλεονεκτεῖ δ', οἶμαι, κατὰ μὲν τοὺς ἀνέμους τε, καὶ τὰ τῶν ποταμῶν ῥεύματα, τὸ ἀνατρέπεσθαι πρὸς αὐτῶν, κατὰ δὲ τοὺς λίθους, καὶ τὰ ξύλα τὸ θλίβεσθαί τε καὶ θλᾶσθαι. ἐπὶ μὲν γὰρ τῶν προτέρων, εἰ καὶ πάνυ προθυμηθείημεν ἐναντίοι βαδίζειν πρὸς αὐτὰ, πάντως ἰσχόμεθά τε καὶ ἀνατρεπόμεθα, καὶ εἰς τοὐπίσω βιαίως ὠθούμεθα, χωρὶς τοῦ θλίβεσθαί τε καὶ θλᾶσθαι, καὶ πιέζεσθαι τὰ μόρια τοῦ σώματος. ἐπὶ δὲ τῶν δευτέρων, αὐτὸ τὸ θλίβεσθαί τε καὶ θλᾶσθαι, καὶ πιέζεσθαι πλεονεκτεῖ. μάλιστα δ' ἂν αὐτὸ μάθοις, εἴ τινι τῶν τοῦ σώματος μορίων ἐπιθείης λίθον μὴ πάνυ βαρὺν, ἀλλ' ὥστε βουληθέντας, ἀπορρῖψαι ῥᾳδίως. γνώσῃ γὰρ ὅπως ἐπικείμενος μὲν βαρύνει, θλίβει, καὶ θλᾷ, καὶ οἷον εἰσκαταβαίνει τῷ δέρματι. ἀπολιπεὶς δὲ καταλείπει τι περὶ τὸ μόριον ἴχνος, καὶ γνώρισμα τῆς θλίψεως. ἢ γὰρ κοιλότερον ἑαυτοῦ, καὶ μέχρι πολλοῦ διασῶζον τὴν ἕδραν, τὸ μέρος ἀπέφηνεν, ἢ πρὸς τούτῳ, καὶ πελιδνόν.

nec hi enim aliundè violentum ictum compararunt, quàm à perpetua sua duritie. Quamobrem duo hæc tantum genera habentur pulsuum violenter ferientium, vehementium atque durorum. Sunt tamen qui his etiam necessariam prǽter duritiem dixerunt vehementiam esse: nec enim posse solam violentum efficere ictum, veluti nec si lapidem admoueas leniter, qui etiam ad validè feriendum aliquid desiderat contentionis. Verùm de his, æquum est, vt quæramus, quid tandem sibi velint, nullumne prorsus corpus esse durum, nomen verò hoc duri nequicquam ab hominibus vsurpatum, cui nulla sit res subiecta? an rem esse certam, cui tribuatur, at dignosci nequaquam sensu posse: an alio illam sensu, non nosci tactu. Profectò sunt absurda omnia, & corpus nullum durum esse, & ratione potius quàm sensu dignosci, & sensu tamen alio quopiam potius quam tactu. Atqui si durum concedant esse, & dignosci tactu, quid aliud postea, quam de nomine contendere inuenientur, qui sine contentione negant violentum ab illo ictum edi? nam si nec violentum appellare volent omninò, contundentem certè, aut repellentem, aut subuertentem vocent necesse est: nam de contentione quidem controuersia est. Omninò enim quæ insit in animantium corporibus contentio, non statuitur ab illis, qui in minima, vel indiuidua, vel incompacta decerpunt totam substantiam: tantùm conuenit inter hos, qui vnitam esse defendunt eam. Vnde nec sensu dignosci contentio poterit, sed si poterit à signo quodam, vel à signis, vel ab indicatione, vel demonstratione, fidem capiet: at durum & molle corpus sensu omnes nos homines dignoscimus. Itaque quæstio instituì de essentia eorum non debet, sed de ratione dignoscendi: atque adeò non de hac, imo de eo qua potissimum ratione alteri interpretetur aliquis tactus sui affectum, in occursu durorum corporum, ac quatenus à vehementibus hæc distent. Verùm quia hoc neglexerunt, qui nos præcesserunt id nos faciamus, orationem exorsi ab iis, quæ inter omnes mortales constant. Quando vehementia quædam non animalia modò vocamus vt leones, & tauros, sed & inanimata quædam vt fluuiorum decursus, ventosque magnos; alia porrò dura; vt æs, ferrum, lapides, memorare oportet, cur ab vtrisque his, vbi nos attingant, diuersi corporibus affectus inferantur. Nam occursus violentus communis vtrisque est, tam vehementibus ventis, quàm duris corporibus. Sed habent hoc præ cæteris scilicet venti, & fluuiorum fluctus, vt euertamur ab iis: lapides & ligna, vt premantur, & contundantur. Aduersos illos enim etiam si magna vi contendamus ire contra, prorsus prohibemur: atque euertimur, repellimurque violenter, sed præter vllam compressionem, vel contusionem, vel repressionem corporis partium: in aliis verò pollet compressio, & contusio, & repressio. Perspicies maximè, si cui corporis parti lapidem imponas non ita grauem, quem si velimus, facilè abijciamus; cognosces profectò quemadmodum impositus grauet, premat, contundat & veluti cutem subeat: deiectus autem relinquat quoddam corpori vestigium, & compressionis signum; nam aut cauam magis reddet partem solito, & vt vestigium diù seruet, aut liuidam præterea.

At non ventus, & si vehementissimus sit, & si maximè euertat, ac deijciat, vllo modo comprimat aut excauet corpus, quippe qui mollis sit, facilè circum corpus diffunditur, & circunfluit. Quapropter maximas facilè naues impellit, & deturbat sæpè, tamen nullum cauat in iis lignum, vt si lapis, vel ferrum impingatur, hæc enim rumpere possunt, & comminuere: at repellere, vt venti, & euertere non possint. An igitur quibus carnis nostræ natura cedit, dura hæc nuncupamus, quæ ipsi carni, vt aqua; hæc vocata mollia sunt? Atque id est, quod Plato dicebat, dura esse quibus caro nostra cedit: & mollia quæ carni. Nam si incidat in humidam rem aliquam tactus noster, clarissimum est tactum eam diuisurum esse, humidam verò cessuram, & excepturam: at in duram si incurrat, omnino ille potius cedet cauabitúrque. Atque vt orationem tandem concludamus, fingamus manum nostram nunc aquæ rapido fluctui, vel vento vehementi ex aduerso occurrere: nunc lapidi, quem altera manus sensim admoueat, apertè à prioribus perspicies euerti, non pressam tamen: & lapidem ab hac euerti, sed pressa ab illo. Nam durum quidem, quominus progrediamur, obstare per se non potest, sed aut per pondus, aut motum acquisititium impedire interdum poterit: vehementis verò notio hoc ipsum obstaculum, impedimentum, repulsionem, atque euersionem complectitur. Liquet ergo aliud nos, quum vehementia tangimus, aliud quum dura sentire: nam hæc premunt carnem tantum, illa impediunt progressum. At quia sæpè fit, vt ambo conueniant, atque quod occurrit durum sit, pariterque vehementer moueatur, non potest sensus etiam non duplex nobis offerri, vnus veluti prementis, alter veluti euertentis. Quæ si sint ita, vt sunt certè, duri pulsus in premendo tactu dignotio ponenda est, vt violentia vtrisque conueniat: sed proprium duri sit premere, euertere vehementis. Hi sunt affectus tactus, hæc etiam vsitata Græcis illorum nomina.

A οὐ μὴν ἄνεμός γε, κἂν ἰσχυρότατος ὢν τύχῃ, κἂν ἀνατρέψῃ τινά, κἂν καταβάλῃ, πιλεῖ που καὶ κοῖλον ἀπεργάζεται τὸ σῶμα. μαλακὸς γὰρ ὤν, καὶ ῥᾳδίως περισχίζεταί τε, καὶ περιρρεῖ. διὰ τοῦτο μέγιστα μὲν πλοῖα ῥᾳδίως ὠθεῖ, καὶ καταβάλλει πολλάκις, οὐ μὴν κοιλότερόν γέ τι τῶν ξύλων τῶν ἐν αὐτοῖς εἰργάσατο, καθάπερ εἰ λίθος ἦν, ἢ σίδηρος τὸ προσπῖπτον. ταῦτα γὰρ θλάσαι μὲν καὶ συντρῖψαι δύναται, ἀπώσασθαι δὲ καὶ ἀνατρέψαι τοῖς ἀνέμοις παραπλησίως, οὐ δύναται. μή ποτ' οὖν, οἷς μὲν ἂν ὑπείκουσαν ἔχωμεν τὴν τῆς σαρκὸς φύσιν, ταῦτα μὲν σκληρὰ καλοῦμεν. ἃ δ' ἂν αὐτῇ ὑπείκοι τῇ σαρκί, καθάπερ τὸ ὕδωρ μαλακὰ κέκληται. καὶ τοῦτ' B ἄρ' ἦν τὸ πρὸς τοῦ Πλάτωνος λεγόμενον. σκληρὰ μέν, ὅσοις ἂν ἡμῶν ἡ σὰρξ ὑπείκοι· μαλακὰ δ', ὅσα ἂν τῇ σαρκί. φέρε γὰρ ἡμῶν τὴν ἁφὴν ὑποπίπτειν ὑγρῷ τινι, παντί που δῆλον, ὡς ἐγκαταβήσεται μὲν αὐτό, τὸ δ' ὑγρὸν εἴξει τε καὶ ὑποδέξεται. σκληρῷ δ' εἴ τινι προσπέσοι, δῆλον, ὡς αὐτὴ μᾶλλον εἴξει τε, καὶ κοίλη γενήσεται. ἵν' οὖν ἤδη συμπεράνωμεν τὸν λόγον, ἐπινοήσωμεν τὴν ἡμετέραν χεῖρα, ποτὲ μὲν ὕδατος ὀξεῖ ῥεύματι, ἢ ἀνέμῳ σφοδρῷ ἐξ ἐναντίας ἀπαντῶσαν, ποτὲ δὲ λίθῳ τινί, διὰ τῆς ἑτέρας χειρὸς ἀτρέμα προσαγομένῳ, ἆρ' οὐ πρόδηλον, ὡς ὑπὸ μὲν τῶν προτέρων ἀνατραπήσεται μὲν μὴ θλιφθεῖσα, τὸν δὲ λίθον αὕτη C μὲν ἀνατρέψει, θλιφθήσεται δ' ὑπ' αὐτοῦ. τὸ μὲν γὰρ σκληρόν, ὅσον ἐφ' ἑαυτῷ, κωλύειν οὐχ ἱκανὸν ἡμᾶς ἰέναι πρόσω, ἀλλὰ ἤτοι διὰ βάρος, ἢ διὰ τὴν ἔξωθεν αὐτῷ προσιοῦσαν κίνησιν ἴσχειν ποτὲ δύναται. τὸ δὲ σφοδρὸν κατ' αὐτὸ τοῦτο τὸ ἴσχειν τε, καὶ κωλύειν, καὶ ἀπωθεῖσθαι, καὶ ἀνατρέπειν νενόηται. δῆλον οὖν, ὡς ἑτέρα μὲν αἴσθησις ἡμῖν ἐν τῇ τῶν σφοδρῶν, ἑτέρα δ' ἐν τῇ τῶν σκληρῶν ὁμιλίᾳ γίγνεται. τὰ μὲν γὰρ θλίβει μόνον τὴν σάρκα, τὰ δ' ἴσχει που πρόσω. πολλάκις δ' εἰς ταὐτὸν ἀμφοτέρων συνιόντων, ὡς εἶναι τὸ προσπῖπτον ἅμα μὲν σκληρόν, ἅμα δὲ σφοδρῶς κινούμενον, ἀνάγκη καὶ τὴν αἴσθησιν ἡμῖν τὴν ἀπ' αὐτῶν διπλῆν γίνεσθαι, τὴν μέν, D ὡς θλίβοντος, τὴν δ', ὡς ἀνατρέποντος. καὶ εἴπερ ταῦθ' οὕτως ἔχει, καθάπερ οὖν ἔχει, τὴν τοῦ σκληροῦ σφυγμοῦ διάγνωσιν, ἐν τῷ θλίβεσθαι θετέον τὴν ἁφήν, ὡς εἶναι τὸ μὲν τῆς πληγῆς βίαιον κοινὸν ἀμφοτέροις, τὸ δ' ἴδιον ἑκατέρου. τὸ μὲν θλίβειν, τοῦ σκληροῦ· τὸ δ' ἀνατρέπειν, τοῦ σφοδροῦ. τὰ μὲν δὴ πάθη τῆς ἁφῆς ταῦτα, καὶ τὰ συνήθη τοῖς Ἕλλησιν ἐπ' αὐτοῖς ὀνόματα.

CAPVT II.

De pleno & Vacuo pulsu.

ATqui possis aliis quoque hæc nominibus interpretari: quod facilè illi facient certè, qui continuitatem totius substantiæ interpolant vacuo: idest omnes, qui corpora ipsa parua, & indiuisa, indiuiduaque & incompacta, quòd modò concrescant, modò diuellantur, ideò generationes & interitus contendunt efficere. Qui vt si nullam agnoscant vitalem contentionem, vbi confertim multa, & velociter ferantur hæc parua corpora, tum ictum creare hæc violentum confirmant, quemadmodum in ventis, & fluctibus contingit decurrentibus. Conferta dicere, & multa densaque, perinde esse dicunt, ac paucum immixtum esse vacui, quod tantum valere, quantum solidas substantias capacitatem implesse arteriarum: vacuitatem enim eius, vt ipsum declarat nomen esse à vacuo dictum, hoc enim in omnibus quidem concretionibus semper contineri;

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ πλήρους τε καὶ κενοῦ σφυγμοῦ.

E ΔΥναιτο δ' ἄν τις καὶ δι' ἑτέρων ὀνομάτων, ταῦτα τὰ πράγματα δηλοῦν, ὥσπερ ἀμέλει ῥᾳδίως αὐτὸ ποιήσουσιν, οἱ τὸ συνεχὲς τῆς ὅλης οὐσίας διακόπτοντες τῷ κενῷ. τοῦτ' ἔστιν ἅπαντες ὅσοι σώματα αὐτὰ σμικρά, καὶ ἀδιαίρετα, καὶ ἄτμητα, καὶ ἄναρμα, ποτὲ μὲν συγκρινόμενα, ποτὲ δὲ διακρινόμενα, τάς τε γενέσεις, καὶ τὰς φθορὰς ἐργάζεσθαί φασιν, οὗτοι γάρ, ὡς ἂν οὐδένα τόνον εἰδότες ζωτικόν, ὅταν ἀθρόα, καὶ πολλά, καὶ ταχέως φέρηται ταυτὶ τὰ σμικρὰ σώματα, τότε τὴν ἀπ' αὐτῶν πληγὴν σφοδρὰν φήσουσι γίνεσθαι, καθάπερ ἐπὶ τῶν ἀνέμων τε, καὶ τῶν εἰς τὸ κάταντες φε- F ρομένων συμπίπτει ῥευμάτων. τὸ δὲ ἀθρόα, καὶ πολλά, καὶ πυκνὰ λέγειν, ταὐτὸν εἶναι φήσουσι τῷ βραχὺ παρεσπάρθαι κενόν. τοῦτο δέ, τῷ πεπληρῶσθαι στερεᾶς οὐσίας τὴν εὐρυχωρίαν τῆς ἀρτηρίας ταὐτὸν ὑπάρχειν. τὴν γὰρ δὴ κένωσιν αὐτῆς, ὥσπερ καὶ αὐτὸ τοὔνομα δηλοῖ, παρὰ τὸ κενὸν ὠνομάσθαι. τοῦτο γὰρ ἐν ἅπασιν ἀεὶ τοῖς συγκρίμασι περιέχεσθαι,

τῷ δ' ἧττον, ἢ πλέον εἶναι· ποτὲ μὲν σκληρά, ποτὲ δὲ μαλακὰ γίγνεσθαι τὰ σώματα, καὶ νῦν μὲν πλήρεις αὐτῶν τὰς ἐντὸς κοιλίας, αὖθις δ' εἰ τύχῃ, κενάς. τὸν μὲν οὖν χιτῶνα τῆς ἀρτηρίας σκληρόν, ἢ μαλακὸν φήσουσι γίγνεσθαι, διὰ τὸ ποσὸν τοῦ παραπεπλεγμένου τῷ συγκρίματι κενοῦ. τὴν δ' ἐντὸς εὐρύτητα, πλήρη καὶ διάκενον, διὰ τὸ ποσὸν πάλιν κἀνταῦθα τῆς παρεσπαρμένης αὐτῇ κενότητος. μέγαν δέ τινα εἶναι φήσουσι σφυγμόν, οὐ μὴν τό γ' ἀντιβατικὸν ἔχειν κατὰ τὴν προσβολήν, ὅταν πολὺ μὲν τὸ κατὰ τὴν κοιλότητα τῆς ἀρτηρίας κενόν, ὀλίγα δὲ τὰ πρῶτα σώματα. μέγαν δ' ἅμα, καὶ ἀνατρεπτικόν, ὅταν ὀλίγον μὲν τὸ κενόν, πολλὰ δὲ τὰ σώματα. δῆλον οὖν ἤδη γέγονεν. ὡς οὐδὲν κατ' ἐκείνους διαφέρει, λέγειν πλήρη σφυγμὸν σφοδροῦ. καὶ γὰρ ἓν τὸ τῆς ἁφῆς πάθος, ἓν ὑπάρχειν, καὶ τοῦ σφυγμοῦ τὴν φύσιν μίαν εἶναι. κενοῦ γὰρ ὀλίγου ταῖς εὐρυχωρίαις τῶν ἀρτηριῶν παρακειμένου, διὰ μὲν τὸ πλῆθος τῶν ὄγκων πλήρη λέγεσθαι τὸν σφυγμόν, διὰ δὲ τὸ τῆς πληγῆς ἰσχυρόν, σφοδρόν. ὥστε τῶν ὀνομάτων τὸ μὲν ἕτερον, αὐτῆς τῆς οὐσίας δηλωτικὸν εἶναι τοῦ σφυγμοῦ. τὸ δ' ἕτερον, τοῦ ποιοῦ τῆς προσβολῆς. οὔκουν εἶναι σφυγμόν, ἄλλον μὲν πλήρη, σφοδρὸν δ' ἄλλον. δυοῖν γὰρ ὀνόμασιν ἓν πρᾶγμα δηλοῦσθαι, κατὰ διαφόρους ἐννοίας. ἀλλ' ἡμεῖς γε, ὅσοι ζωτικόν τινα τόνον εἶναι φαμέν, διττὴν μὲν ἐξ ἀνάγκης ὁμολογήσομεν ὑπάρχειν τὴν φύσιν τῶν σφυγμῶν. εἰ δὲ καὶ τὴν διάγνωσιν ἐπιμελέστερον τούτων ἐπισκεψαίμεθα. χαλεπὴ δὲ ἡ σκέψις μάλιστα γίνεται, τῷ μηδένα τῶν ἔμπροσθεν ἀξιόλογον μηδὲν γράψαι περὶ διαγνώσεως σφυγμῶν, ἀλλὰ τοὺς μὲν τελέως παραλιπεῖν, τοὺς δὲ ἐπὶ μικρὸν κομιδῇ προσάψασθαι. Ἡρόφιλος μὲν οὖν, ὡς ἂν τὰ τῆς αἰσθήσεως πάθη γράφων, οὐδαμῆ πληρότητος ἐμνημόνευσεν, ἧς οὐδεπώποτε ᾔσθετο. οἱ δ' ἀπ' αὐτοῦ μὲν κληθέντες Ἡροφίλειοι, πάντα μᾶλλον ὄντες, ἢ τοῦτο λέγεσθαι βούλονται, σοφισταὶ καὶ πολύλογοι γενόμενοι σχεδὸν ἅπαντες, οὔτ' ἄλλο τι τῶν Ἡροφιλείων θεωρημάτων, ἐπ' αὐτῶν τῶν ἔργων τῆς τέχνης προὐθυμήθησαν ἀσκῆσαι. καὶ πρὸς ἄλλοις πολλοῖς οἷς ἐλυμήναντο τὴν τέχνην, ἔτι τε καὶ τὸν πλήρη σφυγμὸν ἡμῖν ἐπεισήγαγον ταῖς διαγνώσεσιν, ἵνα δηλαδὴ μικρᾶς οὔσης τῆς τέχνης, ἔχωμεν ἡμεῖς νῦν ὃ πράττωμεν. οὔτε γὰρ παρελθεῖν οἷόν τε σφυγμὸν ὑπ' ἀνδρῶν οὕτως ἐνδόξων πεπιστευμένον, οὔθ' ὃν οὐδεπώποτε εὕρομεν ἐπὶ τῶν ἔργων, διαγνῶναι προχείρως ἡμῖν θετέον, ἀλλοτρίαις ἀκολουθήσασιν ἀποφάσεσιν. ἀλλ' ἀνάγκη δεῖξαι πρῶτον μὲν ὅτι μέχρι τῆς ἐννοίας ὁ σφυγμὸς οὗτος πρόεισιν, ἔπειτα, ὡς οὐδ' Ἡρόφιλος αὐτὸν αἰσθήσει διεγίνωσκεν. εἰ μὲν οὖν μὴ συγκεχύκεσαν αὐτοὶ τὸ σημαινόμενον τοῦ ὀνόματος, ἤδη εἶχόν τι κἀγὼ λέγειν, ὧν ἐπαγγέλλομαι. ἐπεὶ δὲ πολυειδῶς ἐτάραξαν αὐτὸ πρὸς ἀλλήλους τε, καὶ πρὸς ἑαυτὸν ἕκαστος οὐχ ὁμολογοῦντες, ἀναγκαῖόν ἐστιν ὑπὲρ τοῦ σημαινομένου πρότερον ἡμᾶς διασκέψασθαι, μή πῃ λάθωμεν ἡμᾶς αὐτοὺς ὡς κόρακες, ἢ κολοιοὶ φωνὰς μόνας προφερόμενοι, τὰ δὲ πράγματα, καθ' ὧν αὗται λέγονται παντάπασιν ἀγνοοῦντες. ὄντων οὖν πολλῶν τῶν γραφόντων τοὔνομα τοῦ πλήρους σφυγμοῦ, τοὺς μὲν ἄλλους παραλείψειν μοι δοκῶ, πλὴν εἴπου κατὰ τὴν ἀνάγκην τοῦ λόγου μνημονεύσαιμι διὰ βραχέων. ἀπαρκέσει δέ μοι τὰ πρὸς Ἀρχιγένους τε καὶ Ἀγαθίνου γεγραμμένα προχειρισαμένῳ, διασκέψασθαι. λέγει δὲ ὁ μὲν Ἀρχιγένης ὑπὲρ αὐτοῦ, τόνδε τὸν τρόπον. ἔστι δὲ πλήρης σφυγμὸς ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν, καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχύλως, κενὸς δὲ ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥς τε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν.

περὶ

ὀλίγα

ἐπ

μοί

συνέκεαν

ἐ

ἐτάραξαμεν

A at prout id augetur vel imminuitur, ita nunc dura, nunc mollia corpora effici, ac nunc plenos fieri eorum internos ventriculos, rursus forte vacuos. Ita tunicam quidem dicent arteriæ duram, vel mollem fieri ex quantitate admixti concretioni vacui: internam capacitatem plenam, & vacuam, ob quantitatem hic iterum commixti cum illa vacui. Magnum autem dicent quendam esse pulsum, sed innisum non habere in occursu, vbi multum in cauitate arteriæ vacui sit, ipsaque pauca sint prima corpora. At verò magnum esse, & euertere, quum parum vacui, & multa corpora sint. Itaque iam B apertum est, nihil apud illos interesse inter plenum pulsum, & vehementem, quippe tactus vnum esse affectum, & vnam naturam pulsus: Nam quum parum in capacitatibus arteriarum insit vacui, ob multitudinem tumorum, plenum pulsum dici, & ob ictus violentiam, vehementem: proinde ex nominibus illis alterum essentiam denotare pulsus, alterum qualitatem occursus: non igitur diuersos esse pulsus plenum, & vehementem, duobus enim vnam rem nominibus significari, pro diuersis notionibus. Nos verò qui contentionem quandam statuimus vitalem, geminam non poterimus non fateri pulsuum natu- C ram esse, si dignoscendi rationem eorum diligentius attendamus. Est autem plena difficultatis hæc commentatio, quòd nihil oratione dignum veteres de dignoscendis pulsibus scripserunt, sed alij prorsus præterierunt, alij sanè quàm leuiter attigerunt. Nam Herophilus vt qui affectus sensus conscriberet, nusquam plenitudinis, quam sensit nunquam, meminit. Qui verò dicti ab illo Herophilij sunt, omnia potius concedentes, quàm id quod dici volunt, sophistæ sanè, & loquaces homines penè omnes: & quum nullum D aliud Herophili præceptum in ipsis artis operibus probare studuerunt, tum præter alia quibus artem polluerunt, etiam plenum nobis pulsum inuexerunt, vt quasi parua sit ipsa ars, haberemus nunc quod ageremus. Neque enim pulsum præterire fas est, à viris constitutum tam claris: neque quem experiundo nunquam inuenimus, posse promptè dignosci statuendum nobis est, alienas sequentibus asseuerationes. Verùm ostendendum est primum ad notionem vsque hunc pulsum progredi: deinde ne Herophilum quidem in eius notitiam sensu vnquam peruenisse. Quòd si iam nihil illi significationem confu- E dissent nominis, haberem nunc aliquid dicere de illis quæ dicturum recipio: sed quando variis eam modis conturbarunt, nec inter se mutuò consentientes, nec secum quisque: cogimur primo loco dispicere de significatione, ne quid imprudentes, vt corui, & graculi, dum voces edimus tantum, res ipsas, quibus attributæ sunt, prorsus ignoremus. Et quum nomen pleni pulsus multi scripserint, cæteros certum mihi est prætermittere, nisi si quando, si ita series orationis ferat, strictim attingam: Archigenis autem, & Agathini, mihi satis erit F scripta in manus sumere examinanda. Ac de eo Archigenes in hunc modum loquitur: Ἔστι δὲ πλήρης μὲν σφυγμὸς ὁ ναστοτέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν, καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχύλως. κενὸς δὲ, ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος, ὥς τε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν.

In

In ea definitione primum quid τὸ ναστότερον denotet, parum liquidò noui, quòd insolens apud Græcos sit, vt eiuscemodi de re vsurpetur. Nam genus quoddam panis appellabant ναστὸν, aliud corpus ab iis ita vllum appellari haud scio. Ipse Archigenes (nam decet de illo nos eius vsum nominum discere) τὸ ναστὸν pro pleno mihi videtur vsurpare: nam in libro De vehementia pulsus, exponens Magni verba, sic ad verbum scribit: Omninò, inquit, vehemens ictus non fit, nisi ναστὸν sit, quod occurrat, & magnum, & celere inferatur. A quibus pàulò post in hunc modum scribit: Et vehementia pulsus, ex celeritate, & magnitudine, vehementia, plenitudine, conflata est: nam quod supra ναστὸν, id plenum hîc vocauit, vt nihil differat, hoc pacto, an illo dicas. Et verò vbique mihi ita videtur nomine τοῦ ναστοῦ vti. At mutemus iam τὸ ναστότερον in pleniorem, vt quid dicat, intelligamus. Verba eius hæc sunt: Plenus pulsus est, qui pleniorem ostendit arteriam. Atqui hoc vel sua sponte clarum est, nec nos noui quicquam docet. Præstat ergo totum hoc ναστότερον relinquere, ac quod in definitione sequitur considerare. Καὶ τὴν ὑπόπτωσιν αὐτῆς διασεσαγμένην ἐγχύλως. Tale quiddam significare hæc clausula videtur, plenum pulsum in occursu arteriam ostendere διασεσαγμένην ἐγχύλως. Hic iterum τὸ διασεσαγμένην, idemne sit, ac plenum, an aliud quid indicet, planè non habeo conijcere. Quinetiam quum opponeret postea definitioni pleni, & τοῦ ναστότερον definitionem vacui, nec contrarium τῷ ναστότερον sumpsit, neque τῷ διασεσαγμένην, quod quidem si rem contrariam definiret, sumendum erat. At non sumpsit, sed quid ait? Κενὸς δὲ, ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος. Hoc enim πομφολυγώδη, nec τῷ ναστότερον, nec τῷ διασεσαγμένην contrarium est, sed sicut alij, certè soli τῷ ἐγχύλῳ contrarium est: vt τὸ ἔγχυλον veluti humidius quodammodo sit, & τὸ πομφολυγῶδες magis aëreum. Iam vacui etiam definitioni additum est, ὥς τε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν, cui verbo in definitione pleni, quod contrarium sit, non reperias. Nam τῆς κενεμβατήσεως nomini rectissimè ἀντίβασιν opponeret; at hoc in pleni definitione prætermissum est vniuersum: idque quum in eundem modum posset dici, ὥς τε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων ἀντίβασιν ὑποπίπτειν. At non dixit, nisi id fortè, pleniorem ostendere arteriam, hoc est, vt in vtraque definitione, non quid plenus pulsus sit, declaretur, sed quæ sit eius dignoscendi ratio. Quod si est, assequamur fortassis. Nam si affectuum tactus nostri hæc definitio expositio est, nec rei ipsius vsquam naturam attingit, meminisse omnium possum, quæ in distentione arteriæ patitur tactus: fortasse itaque assequemur Archigenis mentem, nam quæ patitur, hæc sunt. Occurrens sibi sentit aliquandiù corpus motum: idque modo multis in partibus videtur sibi occurrere, modò non, ac nunc premere, nunc non premere, ac quum nos premimus, reniti, vel vinci. Hi primi affectus tactus sunt, veluti elementa totius de pulsibus commentationis: nam reliqua omnia, partim ex his constant, partim in relatione intelliguntur, siue partes commemoratas mutuò compares, siue tota cum totis.

A ἐν τούτῳ δὲ δὴ τῷ λόγῳ πρῶτον τί δηλοῖ τὸ ναστότερον οὐ πάνυ σαφῶς οἶδα, διὰ τὸ μηδὲ συνήθες εἶναι τοῖς Ἕλλησιν ὄνομα, κατὰ τοῦ τοιούτου πράγματος λέγεσθαι. ἄρτον μὲν γάρ τινα ναστὸν ἐκάλουν, οὐ μὴν ἄλλο γέ τι σῶμα πρὸς αὐτῶν οὕτως ὠνομασμένον ἐπίσταμαι. αὐτὸς δὲ ὁ Ἀρχιγένης, δικαιότατον γὰρ τὴν ἐν τοῖς ὀνόμασιν αὐτοῦ συνήθειαν παρ' αὐτοῦ μανθάνειν, δοκεῖ μοι τὸ ναστὸν ἀντὶ τοῦ πλήρους ὀνομάζειν, ἐν γοῦν τῷ περὶ σφοδρότητος σφυγμοῦ λόγῳ, διηγούμενος τὰ ὑπὸ Μάγνου εἰρημένα, κατὰ λέξιν οὕτω γράφει. ὅλως γάρ, φησίν, ἡ σφοδρὰ πληγὴ οὐ γίνεται, εἰ μὴ ναστοῦ ὄντος τοῦ προσπίπτοντος, μεγάλου καὶ τάχεος ἐπι-

B φερομένου. ἐφ' ἃ, μετ' ὀλίγον οὕτως ἄρα φησί. καὶ σφοδρότης σφυγμοῦ, ἐκ τάχους, μεγέθους, σφοδρότητος, πληρότητος, ἐστὶ σύνθετος. τὸ γὰρ ἀνωτέρω ναστὸν τοῦτο νῦν πλῆρες ἐκάλεσεν, ὡς οὐδὲν διαφέρειν, ἢ οὕτως, ἢ ἐκείνως εἰπεῖν. ἀλλὰ καὶ πανταχοῦ μοι δοκεῖ, κατὰ τὸν αὐτὸν τρόπον χρῆσθαι τῇ τοῦ ναστοῦ προσηγορίᾳ. μεταλάβωμεν οὖν ἤδη τὸ ναστότερον εἰς τὸ πληρέστερον, ἵνα καὶ γνῶμεν τί ποτ' ἐστὶν ὃ λέγει. ἔστι δὲ ἡ λέξις τοιάδε. ἔστι δὲ πλήρης μὲν σφυγμὸς, ὁ πληρεστέραν ἐπιδεικνὺς τὴν ἀρτηρίαν. ἀλλὰ τοῦτο μὲν δι' ἑαυτοῦ δηλούμενον, οὐδὲν ἡμᾶς διδάξει πλέον. ἄμεινον οὖν ἄμεινον ὑπερβάντας ὅλον τὸ ναστότερον, σκέψασθαι τὸ ἐπι-

C φερόμενον ἐν τῷ λόγῳ, καὶ τὴν ὑπόπτωσιν αὐτοῦ διασεσαγμένην ἐγχύλως. τοιοῦτον γάρ τι δηλοῦν ἔοικεν ἡ λέξις, ὡς τοῦ πλήρους σφυγμοῦ κατὰ τὴν προσβολὴν, δεικνυμένου διασεσαγμένην ἐγχύλως τὴν ἀρτηρίαν. αὖθις δὲ πάλιν τὸ διασεσαγμένην, πότερα ταὐτόν ἐστι τῷ μεμεστωμένην, ἢ ἄλλο τι δηλοῖ, σαφῶς οὐκ ἔχω συμβαλεῖν. οὐ γάρ τοι οὐ ἀντιθεὶς ἑξῆς τῷ τοῦ πλήρους, καὶ τοῦ ναστοτέρου, τὸν ὁρισμὸν τοῦ κενοῦ, οὔτε τῷ ναστοτέρῳ τὸ ἐναντίον ἔλαβεν, οὔτε τῷ διασεσαγμένῳ δέον οἶμαι λαβεῖν, εἴπερ ἐναντίον πρᾶγμα ὡρίζετο. νῦν οὐδὲν ἔλαβεν, ἀλλὰ τί φησι. κενὸς δὲ, ὁ πομφολυγώδη τὴν ἔγερσιν τῆς ἀρτηρίας ποιούμενος. τοῦτο γὰρ τὸ πομφολυγώδη, οὔτε τῷ ναστοτέ-

D ρῳ, οὔτε τῷ διασεσαγμένῳ ἐναντίον ἐστίν. ἀλλ' εἴπερ ἄρα μόνῳ τῷ ἐγχύλῳ, ἵνα τὸ μὲν ἔγχυλον, οἷον ὑγρότερόν πως εἴη, τὸ δὲ πομφολυγῶδες, ἀερωδέστερον. πάλιν δὲ, τῷ τοῦ κενοῦ λόγῳ πρόσκειται. ὥς τε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων κενεμβάτησιν ὑποπίπτειν, τίνι τῶν ἐκ τοῦ πλήρους ἐναντίον ἐστὶν, οὐκ ἂν εὕροις. τῷ μὲν γὰρ τῆς κενεμβατήσεως ὀνόματι, τὸ τῆς ἀντιβάσεως μάλιστ' ἀντιθείη. παραλέλειπται δ' ὅλον τοῦτο ἐν τῷ πλήρους λόγῳ. καίτοι γ' ἠδύνατο κατὰ τὸν αὐτὸν εἰρῆσθαι τρόπον, ὥς τε κατὰ τὸν ἐπιπιεσμὸν τῶν δακτύλων ἀντίβασιν ὑποπίπτειν,

E ἀλλ' οὐκ εἴρηται. εἰ μή τι ἄρα περὶ τὸ ναστοτέραν ἐπιδεικνύναι τὴν ἀρτηρίαν τοῦτό ἐστιν, ἵν' ἐν ἑκατέρῳ τῷ λόγῳ, μή τί ποτ' ἐστὶν ὁ πλήρης σφυγμὸς ᾖ δηλούμενον, ἀλλὰ πῶς διαγινώσκεται. καὶ εἰ τοῦτο τάχ' ἂν ἀκολουθεῖν ἤδη δυναίμην. εἰ γὰρ τῶν ἡμετέρων κατὰ τὴν ἁφὴν παθημάτων ἐξήγησίς ἐστιν ὁ λόγος, οὐδαμοῦ τῆς τοῦ πράγματος αὐτοῦ φύσεως ἁπτόμενος, ἀναμνησθῆναι δυναίμην πάντων, ὧν κατὰ τὴν διαστολὴν τῆς ἀρτηρίας ἡ ἁφὴ πάσχει. τάχα οὖν εὑρήσομεν οὕτως, τί ποτε βούλεται δηλοῦν ὁ Ἀρχιγένης. ἃ δὲ πάσχει, ταῦτ' ἐστίν. αἰσθάνεται προσπίπτοντος αὐτῇ κινουμένου σώματος ἐν χρόνῳ τινὶ, καὶ τοῦτό ποτε

F μὲν κατὰ πολλὰ μόρια προσπίπτειν ἑαυτῇ φαντάζεται, ποτὲ δ' οὔ. καὶ θλίβειν τε, καὶ αὖθις μὴ θλίβειν. καὶ ἡμῶν θλιβόντων ἀντιβαίνειν, ἢ νικᾶσθαι. ταῦτ' ἐστὶ τὰ πρῶτα, καὶ οἷον στοιχεῖα τοῦ παντὸς περὶ τῶν σφυγμῶν λόγου, πάθη τῆς ἁφῆς. τὰ γὰρ ἄλλα πάντα, τὰ μὲν ἐκ τούτων σύγκειται, τὰ δ' ἐν τῷ πρός τι νενόηται, ἤτοι καὶ τὰ μόρια τῶν εἰρημένων ἀλλήλοις παραβαλλομένων, ἢ ὅλων πρὸς ὅλα.

κατὰ τίνος οὖν λέγεται τούτων τὸ τοῦ πλήρους ὄνομα; πότερον κατὰ τῆς κινήσεως αὐτῆς; ἀλλ' ἐν ἐκείνῃ τάχος ἦν, καὶ βραδύτης, καὶ τῶν ῥυθμῶν αἱ γενέσεις. ἀλλ' ὅταν κατὰ πολλὰ μόρια τῆς διαστολῆς αἰσθάνεται ἡ ἁφή; ἀλλ' ἐνταῦθα μακροί, καὶ πλατεῖς, καὶ ὑψηλοί, καὶ μεγάλοι γίνονται σφυγμοί. ἀλλ' ὅταν κατ' ὀλίγα; οἱ ἐναντίοι δηλονότι, τῶν εἰρημένων. ἀλλ' ὅταν θλίβηται; σκληρός. ἀλλ' ὅταν ἀνατρέπηται; σφοδρός. τί γὰρ δεῖ περὶ τῶν ἐναντίων αὖθις, ἢ μέσων μακρολογεῖν; πότ' οὖν πλήρης γενήσεται; ἢ τί πάσχει πάθος ἡ ἁφή; πότερον, ὅταν θερμασίας πλείονος, ἢ δριμυτέρας αἰσθάνηται; ἀλλ' οὐκ ἔστιν ἐκ τῶν κατὰ τοὺς σφυγμοὺς διαφορῶν, ἡ τοιαύτη διάγνωσις. ἀλλ' ὅταν ὑγρότητος, ἢ ξηρότητος; ἀλλ' οὐδὲ ταῦτα τῆς τῶν σφυγμῶν διαφορᾶς ἐστι τὰ παθήματα. καὶ γὰρ καὶ χωρὶς τῶν σφυγμῶν ἔνεστιν αὐτὰ διαγινώσκειν, ἐπιβάλλοντα τὴν χεῖρα τῷ σώματι τοῦ νοσοῦντος. μή τι οὖν τὸ τῆς ἀντιβάσεως εἶδος, ἕτερον μὲν ἐν τοῖς σφοδροῖς, ἕτερον δὲ ἐν τοῖς πλήρεσιν ὀνομάζουσι; τάχα γὰρ καὶ ὁ Ἀγαθῖνος, τοιοῦτόν τι βούλεται. ἀλλ' εἰ τοῦτο, ἐχρῆν ἀποσαφῆσαι τοῦτ' αὐτὸ ἡμῖν, καὶ μὴ Σφιγγὸς προβάλλειν αἰνίγματα. ἢ βούλονται, μὴ μόνον περὶ τῶν πραγμάτων ἡμᾶς ζητεῖν οὕτω χαλεπῶν ὄντων, ἀλλ' ἐξ ἐπιμέτρου τί ποτε λέγουσι σκοπεῖν, καὶ πολλαπλάσιόν γε χρόνον εἰς τοῦτ' ἀναλίσκειν, ἢ εἰς αὐτὴν τὴν τῶν πραγμάτων τὴν εὕρεσιν; ἴδωμεν οὖν ἤδη, καὶ τὴν τοῦ Ἀγαθίνου ῥῆσιν, καὶ ζητήσωμεν εἰ τὸ τῆς ἀντιβάσεως εἶδος, ἕτερον μὲν ἐν τοῖς σφοδροῖς, ἕτερον δὲ ἐν τοῖς πλήρεσιν εἶναι βούλεται. γράφει οὖν καὶ αὐτὸς ὧδε. παρακολουθεῖ γὰρ ἐν ταῖς ἐπισκέψεσι πληρότητος, καὶ κενότητος σφυγμοῦ, τοῦ μὲν πλήρους τεταμένον, καὶ ἐξερειστικὸν δι' ὅλου τὸ πνεῦμα παριστάντος, τοῦ δὲ κενοῦ διαρρέον, καὶ ταῖς ἀντιβάσεσιν ἐναφανιζόμενον, ὡς ῥήξει τινὸς ὑδατίνης πομφόλυγος ἐοικέναι. τούτῳ μὲν τό γε τοσοῦτον ἤδη χάριν ἴσμεν, ὅτι γε μὴ Σφιγγὸς αἰνίγματα προβάλλει, καθάπερ Ἀρχιγένης τε καὶ πολλοὶ τῶν ἄλλων. εἰ μὲν γὰρ ὀρθῶς, ἢ μὴ λέγει κατὰ σχολὴν ἔνεστι σκοπεῖσθαι. τὸ δ' οὖν λεγόμενον αὐτό, σαφές ἐστιν ἤδη. βούλεται γὰρ τεταμένον, καὶ ἐξερειστικὸν δι' ὅλου τὸ πνεῦμα κατὰ τοὺς πλήρεις ἐμφαίνεσθαι σφυγμούς. ἄρρωστον δὲ καὶ καταπῖπτον ῥᾳδίως, καὶ μηδεμίαν ἔχον ἀντίβασιν ἐν τοῖς κενοῖς. εἴ τε δὲ τὸ σύμφυτον πνεῦμα, καὶ ζωτικὸν τὸ διὰ τῶν σωμάτων, ὡς αὐτοὶ βούλονται τεταμένον, εἴτε τὸ ἀερῶδές τε καὶ ὑλικόν, τὸ ἐν ταῖς εὐρυχωρίαις, οὐ πάνυ μὲν ἡ λέξις ἀποσαφεῖ, τῇ δ' ὅλῃ τῶν ἀνδρῶν γνώμῃ τεκμήραιτ' ἄν τις τὸ ζωτικὸν αὐτὸν λέγειν. ἀλλ' εἴ τε τοῦτο, ἢ ἐκεῖνο, τό γε τοσοῦτον ἐν τῷ παρόντι παρακλητέον αὐτόν τε, καὶ τοὺς ἀπ' αὐτοῦ μηδέπω δόγματα τοῖς τῆς αἰσθήσεως ἀναμιγνύναι πάθεσιν, ἀλλ' ὡς ἐμπειρικόν, οὐ γὰρ ἀτιμάζει τὴν ἐμπειρίαν, διαλεχθῆναι πρότερον ἡμῖν ὑπὲρ αὐτῶν τῶν λεγομένων κατὰ τὴν ἁφήν, εἶτ' αὖθις, ὅπως ἐξ αὐτῶν χρὴ διὰ τοῦ λόγου μεταβαίνειν ἐπὶ τὰ δόγματα, διδάξαι. τίνα τοίνυν τὰ τῆς αἰσθήσεως πάθη κατ' αὐτὸν εἰ μεταθείημεν τὸ τοῦ πνεύματος ὄνομα, καὶ πληγὴν εἴποιμεν; ἔσται γὰρ ὁ λόγος τοιοῦτος. ὁ πλήρης σφυγμός, τεταμένην καὶ ἐξερειστικὴν δι' ὅλου τὴν πληγὴν παρίστησιν. ὁ δὲ κενὸς εἶναι διαρρέουσαν, καὶ ταῖς ἀντιβάσεσιν ἐμφανιζομένην, ὡς ῥήξει τινὸς ὑδατίνης πομφόλυγος ἐοικέναι. τούτων δὲ οὕτω καλῶς μετειλημμένων, μικρὸν ἐπελίξαντες αὐτοῦ τὸ βιβλίον, θεασώμεθα τί λέγει περὶ σφοδροῦ καὶ ἀμυδροῦ σφυγμοῦ. ἔχει δὲ ἡ λέξις οὕτως. διότι μὲν οὖν σφοδρός ἐστιν ὁ σφυγμὸς βιαίως κρούων τὴν ἁφήν, καὶ κατὰ τὴν πρόσαλσιν ἰσχυρῶς αὐτὴν ἀνατρέπων, δῆλόν τ' ἐστὶν αὐτόθι,

ἐμφ

ἐνα

At de quonam horum pleni nomen dicitur; an de ipso motu? atqui celeritas in illo, & tarditas erant, rhythmique illic nascebantur. An vbi in multis partibus distentionem tactus sentit? imò longi hinc, lati, alti, magnique prodeunt pulsus. An quum in paucis? contrarij verò tum commemoratorum. An quum premitur? durus. An quum summouetur? vehemens. Quid enim de contrariis horum, & mediis multa disputem? Quando ergo existet plenus, aut quem patietur pulsus affectum? tumne vbi calorem largiorem, vel acriorem sentiat? atqui non ex pulsuum differentiis id dignoscitur. An quum humiditatem, vel siccitatem? sed nec hi sunt affectus differentiarum pulsuum, quum hæc vel citra pulsus, si manum admoueas corpori laborantis, explorare possis. Ecquod ergo renisus genus aliud in vehementibus, aliud in plenis appellant? nam potest tale quid etiam Agathinus sentire; verùm si hoc sentiebat, aperire debebat nobis, non Sphingis proponere ænigmata. An verò non solum res, volunt, vt inquiramus tam difficiles, sed vt pro cumulo, quid dicant, expendamus, ac infinitum tempus in eo ponamus, an in rebus ipsis inueniendis? At expendamus Agathini iam verba, atque hoc quæramus, an renisus aliud in vehementibus genus, aliud in plenis statuat. Adeoque hæc eius verba sunt; Consequitur enim in consideratione plenitudinis, & vacuitatis pulsus: pleno tensum, & contentum perpetuò spiritum repræsentante, vacuo diffluentem, & in renisu euanescentem, vt instar sit aquosæ bullæ, quæ rumpitur. Huic quidem eo nomine gratias habemus, quod Sphingis non ponat ænigmata, vt fecit Archigenes, aliique non pauci, nam rectè, an secus dixit, per ocium expendamus licet. Verba quidem certè eius clara sunt. Vult enim tensum, & contentum perpetuò spiritum in plenis apparere pulsibus: infirmum & fractum, nec quicquam renitentem in vacuis, at natiuusne spiritus, atque vitalis sit qui per corpora, vt illi contendunt, tensus est, an aëreus, & materialis, qui continetur in capacitatibus, parum verba declarant, tamen ex tota illorum virorum sententia ipsum vitalem coniicias dici. Sed siue hic sit, siue ille, tantum in præsenti admonebimus illum, eiusque asseclas, ne placita cum sensus affectibus commisceant, sed vt decet empiricum. Neque enim experientiæ imminuerint dignitatem, si explicauerint prius nobis hæc quæ de tactu attulerunt ipsi, ac deinde quomodo ab iis oratione ad placita proficisci oporteat docuerint. Qui igitur sensus affectus in ea erunt, si nomen spiritus immutemus, & ictum appellemus? erit enim hæc oratio: Plenus pulsus tensum, & contentum perpetuo ictum repræsentat: vacuus verò diffluentem, & in renisu euanescentem, vt instar sit aquosæ bullæ, quæ rumpitur. His tam benè mutatis, proferamus hic paruum eius librum, vt quid de vehemente, & languido pulsu dicat videamus. Verba eius sic habent; *Nam quòd vehemens etiam pulsus sit, qui violenter ferit tactum, & in occursu fortiter euertit eum, constat hinc, &*

& conuenit inter multos. Mox subijcit: *Contraria intelliguntur de languido: nam debiliter & languidè occurrit tactui.* Hæc rectè quidem Agathinus, sed nihil ab iis, quæ de pleno, & vacuo sunt dicta differunt, nam contentum perpetuò ictum esse, nihil est aliud, ac violenter ferire tactum, & fortiter euertere: quorum illud quidem de pleno, hoc verò vehemente, dictum est. Iam etiam in renisu euanescere, idem est, quod debiliter, & languidè occurrere tactui: quorum etiam illud de vacuo, hoc de languido est dictum. Atque Agathinus in hunc modum exposuit affectus tactus in vehementibus pulsibus & languidis. Archigenes alio modo, nam sic scribit: *Itaque si per se æstimetur, manifestè apparet sua sponte vehementiam contentionem esse, vt diximus, arteriarum motus.* Inde addit: Apparet porrò per totam distentionem firmitas impetus, ex qua, arteriam si comprimamus digitis, firmior occurrit ictus. Hæc quidem sic sunt aperta, quæ dixit de affectibus tactus: in quibus nullum habebimus proprium affectum monstrare plenitudinis, nisi sanè, vt quidam dixerunt huius ætatis homines, quum plurimum pulsus eleuatus renitatur. Atqui hæ duæ sunt species pulsuum, non vna, nam quum plurimum attollitur, si quidem in tribus dimensionibus fiat, magnum efficit pulsum, in vna duntaxat, vel longum, vel latum, vel altum; nam reniti idem est, quod vehementem esse. Quod si quis magnum simul, & vehementem volet vno nomine vocari, pleni vocet, licet, de nomine enim non contendimus, tantum sciat, nihil se nouæ differentiæ alicundè præter commemoratas in præsenti adducere. Nam si duas, aut tres earum accipiat differentias, quas peculiaribus nominibus appellet, nulla inuidia est: verùm de nominibus non agimus, sed de rebus: de quibus, si quis habeat, quod præter quæ nos diximus, afferat, libenter didicerimus. Excogitare verò differentiam quandam pulsuum ex arteriæ infusione (sic enim, quod in ea continetur humoris, appellant) equidem comprobo: ac intelligere eam possum modò crassiorem, modò tenuiorem, & hercle etiam lentiorem, vel aquosam, vel copiosiorem, vel pauciorem, vel aëream, vel aliam, qualisqualis sit: siquidem spiritum cogito tantum eas continere, atque hunc interim purum, & serenum, interim caliginosum nebulosumque. Sed hoc non est instituti nostri, vt animo concipiamus, quæ esse possunt, imò de essentia agimus eorum, quum vel contraria liceat concipere; vt simul sint, fieri non potest; vt sanguinem cogitemus continere arterias, & non continere, neque enim quæremus de eo, quod nequaquam concipimus animo. At non est huic quæstioni propositum, vt in notionem eorum veniamus, sed esse monstremus: neque enim est quisquam, quin in arteriis possit intelligere sanguinem contineri; sed an re vera, & quum naturæ lege dispensatur animal, sanguinem contineant, hoc quærimus. Ac multa de eo scio Archigenis sectatores verba facere; verùm si id potest deprehendere sensus, nequicquam multa nugantur, quum apertè mentiri dicere liceat Erasistratum, qui id agit, vt quæ sensu didicimus, hæc suadeat oratione aliter habere, verùm nemo ausus est confirmare peruenire ad tactum humorem, qui in arteriis est.

καὶ συμφωνεῖται τοῖς πλείοσιν, εἶτ' ἐπιφέρων φησί. τὰ ἐναντίως δ' ἐπινενοημένων δηλονότι περὶ τὸ ἀμυδρὸν σφυγμόν. ἀμενηνῶς γὰρ, καὶ ἐκλύτως προσέρχεται τῇ ἁφῇ. ταῦτ' ὀρθῶς ὁ Ἀγαθῖνος, ἀλλ' οὐ μὴν διαφέρει τῶν περὶ τοῦ πλήρους τε καὶ κενοῦ. τὸ μὲν γὰρ ἐξερειστικὴν δι' ὅλου τὴν πληγὴν εἶναι, ταὐτόν ἐστι τῷ βιαίως τε κρούειν τὴν ἁφὴν, καὶ ἰσχυρῶς ἀνατρέπειν, εἴρηται δ' αὐτῶν τὸ μὲν, ἐπὶ τοῦ πλήρους. τὸ δὲ ἐπὶ τοῦ σφοδροῦ. τὸ δ' αὖ ταῖς ἀντιβάσεσιν ἀφανίζεσθαι, ταὐτόν ἐστι τῷ ἀμυδρῶς, καὶ ἐκλύτως ἐναφανίζεσθαι τῇ ἁφῇ. εἴρηται δὲ τούτων τὸ μὲν πρότερον, ἐπὶ τοῦ κενοῦ. τὸ δὲ δεύτερον, ἐπὶ τοῦ ἀμυδροῦ. ἀλλ' οὖν ὁ μὲν Ἀγαθῖνος οὕτως ἐξηγήσατο τὰ τῆς ἁφῆς πάθη, κατά γε τοὺς σφοδροὺς σφυγμοὺς, καὶ τοὺς ἀμυδρούς, ὁ δ' Ἀρχιγένης ἑτέρως, οὐ μὴν, ἀλλὰ κἀκεῖνος ὧδε γράφει· ὥστ' ἐκ τοῦ καθ' ἕνα χωρισμοῦ, γίνεσθαι καθ' ἑαυτὴν τις οὖσα ἡ σφοδρότης, ὁ τόνος, ὡς εἴπον, τῆς τῶν ἀρτηριῶν κινήσεως. εἶθ' ἑξῆς. φαίνεται δὲ καθ' ὅλην τὴν διαστολὴν τὸ τελαιὸν τῆς ὁρμῆς, καθὸ καὶ εἰ πιεσαίμεθα τοῖς δακτύλοις, στερεωτέρα ὑποπίπτει ἡ πληγή. ταῦτα μὲν οὕτω φανερὰ τὰ περὶ τῶν τῆς ἁφῆς παθῶν, ἐν οἷς οὐχ ἕξομεν ἴδιον πάθος εἰπεῖν τῆς πληρότητος, εἰ μὴ ἄρα, καθάπερ τινὸς τῶν νῦν ἔλεγον, ὅταν ἐπὶ πλεῖστον ὁ σφυγμὸς ἐξαιρόμενος, ἀντιβατικὸς εἴη. τοῦτο δὲ δύο ἐστὶν εἴδη σφυγμῶν, οὐχ ἕν. τὸ γὰρ ἐπὶ πλεῖστον ἐξαίρεσθαι, κατὰ μὲν τὰς τρεῖς διαστάσεις γινόμενον, μέγαν ποιεῖ τὸν σφυγμόν. κατὰ δὲ μίαν μόνην, ἢ μακρὸν, ἢ πλατὺν, ἢ ὑψηλόν. τὸ δ' ἀντιβατικὸν εἶναι πάλιν ταὐτόν ἐστι τῷ σφοδρῷ. εἰ δέ τις τὸν μέγαν ἅμα, καὶ σφοδρὸν ἑνὶ καλεῖν ὀνόματι, τῷ τοῦ πλήρους βούλεται, καλείτω. περὶ γὰρ ὀνόματος, οὐ διαφερόμεθα. γιγνωσκέτω δ' οὐδεμίαν εἰσάγων ἔξωθεν, παρὰ τὰς εἰρημένας διαφοράς. κατὰ νῦν· δύο δὲ, καὶ τρεῖς ἐξ αὐτῶν λαμβάνων, ἰδίοις ὀνόμασι προσαγορεύειν εἰ βούλοιτο, φθόνος οὐδὲ εἷς. ἀλλ' ἡμῖν οὐ περὶ ὀνομάτων ἡ ζήτησις, ἀλλὰ περὶ πραγμάτων, ἐν οἷς εἴ τι πλέον ἔχοι τις λέγειν, ἡδέως μαθησόμεθα. τὸ μὲν γὰρ ἐπινοεῖσθαί τινα διαφορὰν σφυγμῶν, κατὰ τὸ τῆς ἀρτηρίας ἔγχυμα, καλοῦσι γὰρ οὕτως τὸ περιεχόμενον ὑγρὸν ἐν αὐτῇ, κἀγὼ σύμφημι, καὶ δύναμαι νοῆσαι ποτὲ μὲν παχύτερον, ποτὲ δὲ λεπτότερον αὐτό. καὶ αὖθις γλισχρότερον, ἢ ὑδατῶδες, ἢ πλέον, ἢ ἔλαττον, ἢ ἀερωδέστερον. ἢ ὅπως δὴ ἄλλως ἔχον. καὶ γὰρ πνεῦμα μόνον ἐν αὐταῖς περιεχόμενον νοῶ, καὶ τοῦτό ποτε μὲν καθαρὸν, καὶ αἰθριῶδες, ποτὲ δ' ἀχλυῶδές τε, καὶ ὁμιχλῶδες. ἀλλ' οὐ τοῦτο νῦν πρόκειται τὴν ἐνδεχομένων ἔννοιαν λαβεῖν, ἀλλὰ περὶ τῆς ὑπάρξεως αὐτῶν ζητεῖν. τὸ μὲν γὰρ ἐπινοεῖν τἀναντία δυνατόν. τὸ δ' ὑπάρχειν ἅμα, ἀδύνατον. αὐτίκα γέ τοι, καὶ περιέχειν νοοῦμεν τὰς ἀρτηρίας αἷμα, καὶ μὴ περιέχειν. ἢ οὐκ ἂν ἐζητοῦμεν ὑπὲρ οὗ μηδόλως ἐνενοοῦμεν. ἀλλ' οὐ ταύτης ἐστὶν ἐν οἷς ζητοῦμεν τὸ προκείμενον, εἰς ἔννοιαν ἐλθεῖν αὐτῶν, ἀλλ' ἀποδεῖξαι τὴν ὕπαρξιν. οὐδεὶς γάρ ἐστιν, ὃς οὐκ ἂν ἐπινοήσειεν ἐν ταῖς ἀρτηρίαις αἷμα περιεχόμενον, ἀλλ' εἰ κατ' ἀλήθειαν ἐν τῷ κατὰ φύσιν ἔχειν περιέχεται, ζητοῦμεν. καὶ πολλὰ περὶ αὐτοῦ λέγοντας, οἶδα τοὺς περὶ τὸν Ἀρχιγένην. καίτοι γ' εἴπερ αἰσθήσει διαγνωστὸν ἦν, μάτην πολλὰ ληροῦσιν, ἐνὸν εἰπεῖν ἄντικρυς ψεύδεσθαι τὸν Ἐρασίστρατον, ἃ διὰ τῶν αἰσθήσεων ἐμάθομεν, ταῦτα μεταπείθειν ἡμᾶς λόγῳ πειρώμενον. ἀλλ' οὐδεὶς ἐτόλμησεν εἰπεῖν, αἰσθάνεσθαι τὴν ἁφὴν τῆς ἐν ταῖς ἀρτηρίαις ὑγρότητος.

ὡς ἐβουλόμην δή μοι τοῦτο πάντος μᾶλλον ὑπάρχειν, ἵνα μὴ πράγματα ἔχοιμι, λόγῳ ζητῶν ἐξευρεῖν τὸ ἀληθές. τί ποτ' οὖν ἐστὶν ὃ βούλονται λέγειν, οὐ συνίημι. πλήρης ἐστὶν ὁ σφυγμὸς, ὁ τὴν ὑπόπτωσιν τῆς ἀρτηρίας διασεσαγμένην ἐγχύλως ἐμφαίνων. πότερον, ὡς αὐτῆς τῆς ἁφῆς τοῦτο γνωρίσαι δυναμένης, ἢ ταύτης μὲν πασχούσης, ὃ δὴ πάσχει, τοῦ πάθους δὲ, ἀφορμὴν συλλογισμοῦ, πρὸς ἔνδειξιν τῆς τῶν ἀρτηριῶν διαθέσεως, παρέχειν δυναμένου. ἀλλ' εἰ τοῦτο λέγουσιν, ὡς ἐστὶν ἐκ τῶν κατὰ τὴν ἁφὴν παθῶν συλλογίσασθαί τι περὶ τῶν κατὰ τὰς ἀρτηρίας διαθέσεων, οὐκ ἀντιλέγω. καὶ γὰρ Πραξαγόρας αὐτὸ ποιεῖ, καὶ Ἡρόφιλος, καὶ πάντες ὀλίγου δεῖν. οἱ μὲν μᾶλλον. οἱ δὲ ἧττον, καὶ οἱ μὲν χεῖρον. οἱ δὲ βέλτιον. τὸ μέν γε τοῦ Πραξαγόρου, καὶ θαυμαστὸν ἴσως σοι φανεῖται. μηδὲ γὰρ περιέχεσθαι λέγων ἐν ἀρτηρίαις τοὺς χυμοὺς, ὅμως ἐκ τῶν σφυγμῶν, ἰδέας τινὰς αὐτῶν ἀναλογίζεσθαι πειρᾶται. ἀλλ' οὐδαμῶς πάθος αἰσθήσεως ἐπεισάγει κοινόν. αἴνιγμα γὰρ ἂν οὕτως τὸν λόγον ποιήσειεν, ἵνα τις ἀναγινώσκων, εἶτα μὴ νοῶν, οἴηταί τι βύθιον ἐγκεκρύφθαι τῷ λόγῳ, καὶ θαυμαστὸν, εἶτα κατατρίβηται δηλαδὴ, ζητῶν μὲν διὰ παντὸς, εὑρίσκων δ' οὐδέν. πῶς γὰρ ἂν εὕροιτο μηδ' ὅλως φαινόμενον; ἄνθρωπε μὴ μόνον, εἰ βούλει χυμῶν ἰδέας διαγίνωσκε ταῖς τῶν σφυγμῶν διαφοραῖς; ἀλλὰ καὶ τὰ τῆς ψυχῆς ἤθη, καθάπερ Ἱπποκράτης ἐπιχειρεῖ. μόνον μοι φύλαττε τὰ τῆς αἰσθήσεως πάθη· καὶ μηθ' ἃ μηδ' ὅλως πάσχει καταψεύδεσθαι τόλμα, καὶ μήτ' ἐξ ἑνὸς παθήματος ἄλλοτ' ἀλλοῖον σφυγμὸν γνωρίζειν ἐπαγγέλλου. ἔστι τις σφυγμὸς, πολὺ τὸ ἀντιβατικὸν ἔχων. ὥστ' εἰ καὶ θλίβοις τὴν ἀρτηρίαν, μὴ νικηθῆναι πρὸς τῆς χειρός. ἕνα τοῦτον φύλαττε, καλῶν ὅ, τι βούλει. τὸ δὲ νῦν μὲν αὐτὸν σφοδρὸν, νῦν δὲ πλήρη καλεῖν, αὖθις δὲ ἴσως ἄλλο τι, καὶ τῷ πλήθει τῶν ὀνομάτων οἴεσθαι πολλὰ ποιεῖν πράγματα, δεινῶς ἄτοπον. ἔχω κἀγὼ γνωρίσματα διὰ σφυγμῶν, καὶ χυμῶν ἰδέας, καὶ παθῶν ψυχῆς, ἀλλ' ἀφ' ὧν εἶπον ἔμπροσθεν, αἰσθητῶν παθῶν, ἅπαντα διαγινώσκειν πειρῶμαι, μηδαμοῦ μήτ' ἀποκεχρημνισμένον σφυγμὸν λέγων, μήτε κοῦφον, μήτε βαρὺν, μήτε ὑγροφανῆ, μήτε πνευματώδη, μήτε διηγκωνισμένον, μήτε διατενῆ, μήτε μογυλὸν, ἢ στεγνὸν, ἢ κατανενυγμένον, ἢ περιλελωσμένον, ἢ ῥοπαλώδη, μήτ' ἄλλο μηδὲν, ὧν οὗτοι λογικαῖς ἐπινοίαις ἀναπλάττουσιν, οὐκ αἰσθητοῖς πάθεσι διαγινώσκουσιν. ὥστ' ἤδη καὶ τὰ τῆς ἀκοῆς μόνης αἰσθητὰ, μεταφέρει ἐπὶ τὴν ἁφήν. οὐδὲν γάρ ἐστιν ἄλλο, τὸ τρίζοντας λέγειν, καὶ ψοφοῦντας, καὶ βομβοῦντας σφυγμοὺς, ἢ περὶ τῆς ἁφῆς, ὡς ἀκοῆς διαλέγεσθαι; εἶθ' οὕτως ἀπιστεῖσθαι ποιοῦσι δηλαδὴ, καὶ αὐτὰ τἀληθῆ. καί τις τῶν νῦν ἀνὴρ οὐχ ὁ φαυλότατος, περιλάλησιν ἔφησεν εἶναι τὴν τῶν σφυγμῶν θεωρίαν, ὀρθότατα λέγων, τῷ πολλὰς μὲν φωνὰς φθέγγεσθαι, μηδὲν δὲ χρηστὸν διδάσκειν. ἀλλ' εἰ μὴ κἂν ταῖς διαλέξεσιν, ἐν γοῦν τοῖς συγγράμμασιν ἐχρῆν αἰδεῖσθαι παθεῖν, ὅπερ ὁ Κωμικὸς ἔφη;

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

Εἶτα γράφεις μοι πλήρη σφυγμὸν, μηδ' ἄχρι τοσούτου σαφῶς ἐξειπεῖν δυνάμενος ὃ φαντάζῃ. πότερα τοῦ χιτῶνος τῆς ἀρτηρίας ποιότητα δηλοῖς, ἢ τὸ ποσὸν τῆς ἐγκεχυμένης οὐσίας αὐταῖς, ἢ τὸ ποιόν. ἢ τοῦ πνεύματος. ἢ καὶ τῆς θερμασίας δύναμίν τινα, ἢ ποιότητα. πάντα γὰρ ταῦτα δοκεῖς μοι λέγειν ἀδιαρθρώτως τε, καὶ συγκεχυμένως. ἢ τί σοι βούλεται, πληρότητος οἴνου μνημονεύειν, ὡς ἐν παραδείγματι; τί δ' ἐν τῷ περὶ πληρότητος λόγῳ, ποτὲ μὲν λέγειν αὐτοῖς ὀνόμασιν οὕτως,

Sanè nihil malim quàm vt hoc obtinere possem ne quum inuestigo ratione veritatem, negotium mihi exhiberetur; at quid tandem dicant, planè non intelligo: Plenus est pulsus, qui occursum arteriæ humidæ tumidum ostendit. Vtrum ceu ipse hoc tactus possit cognoscere: an ceu hic patiatur quod patitur, affectus aperire viam possit status arteriæ cognoscendi? At hoc si dicat, ex affectibus tactus conijcere aliquid de statu arteriæ licere, ego non contradico: etenim Praxagoras hoc, & Herophilus facit, ac propè omnes partim plus, partim minus, partim etiam deterius, partim melius. Praxagoram autem forsitan etiam mireris, qui quum humores neget contineri in arteriis, ex pulsibus tamen colligere quasdam eorum species molitur, at affectum sensus haudquaquam communem adducit. Ea enim ratione ænigma faciat orationem suam, vt qui legat nec intelligat, profundi aliquid verbis, & mirandi arbitretur subesse, ibique ætatem conterat, nimirum perpetuò quærendo, nec tamen quicquam inueniendo: nam quomodo inueniatur, quod nusquam existit? Quin tu non tantum humorum species cedo ex pulsuum differentiis discerne, sed animi etiam mores, vt Hippocrates conatur; tantùm quæ sensus patitur mihi serua; nec quæ haudquaquam patitur, falso aude ei tribuere, neque ex vno affectu diuersos pulsus iacta te cognoscere. Est quidam pulsus, qui multum renititur; adeò vt si premas etiam arteriam, non vincatur à manu: hunc retine, ac quouis, vòca nomine, nam si modò vehementem, modò plenum vocas, interdum alio nomine, existimasque numero nominum multas te res efficere, quis te feret? Habeo signa ego etiam ex pulsibus de specie humorum, & de affectibus animi, tamen ex sensibilibus, quos nuper commemoraui, affectibus omnia conor dignoscere: nec dico vsquam pulsum præruptum, grauem, lenem, aquosæ speciei, flatuosum, διηγκωνισμένον, distentum, μογυλὸν, strictum, κατανενυγμένον, περιλελωσμένον, ῥοπαλώδη, neque quicquam aliud, quæ isti ratione excogitant, nec percipiunt affectibus sensibilibus. Adeò iam etiam, quæ sentit auditus tantum, ad tactum traducunt: nam quid aliud, quum stridentes dicant, & strepentes, & resonantes pulsus, quàm de tactu, ceu de auditu disputant? itaque efficiunt denique, vt fides etiam veris detrahatur. Ac vir quidam huius ætatis minimè malus, verbositatem dixit esse commentationem pulsuum, qui hercle dixit rectissimè, quòd multa verba funditent, nec quicquam doceant commodi. Qui hoc si non in disputationibus, in scriptis certè debebant vitare, quod dixit Comicus;

Garrire doctus, verùm ineptus dicere.

Et mihi plenum pulsum scribis, nec tantillum mihi potes, vt exponas mentem tuam: tunicæ ne arteriæ significes qualitatem, an quantitatem infusæ in eas substantiæ, an qualitatem spiritus, an denique caloris facultatem quandam, vel qualitatem, nam omnia mihi videris dicere non distributè, & confusè. Aut quò plenitudinis mihi vini mentionem facis pro exemplo? Quid etiam in tractatu de plenitudine in hæc verba loqueris?

Itaque

Itaque si plenum non substantia, sed facultate velis æstimare. Et paulò post: *Sopor facultatis in talibus plenum pulsum designat, quæ nomina sunt intemperiei spiritus. Et quemadmodum, vt gustarunt vinum gustatores vini, plenum dignoscunt: ita pulsum periti, plenum ex facultatis sopore, etiam si semiuacuus sit, animaduertunt.* In his ad facultatem referre mihi pleni pulsus notionem videtur: tamen vbi de plenitudine agit, vniuersa mihi videtur confundere, & miscere. Id adeò ex eius verbis intelliges, quæ hæc sunt: *Quemadmodum autem lanarum contextus inde perceptibilis est, ex quo vacuæ, & plenæ dicuntur, & vini qualitas non pungens, sed illinc admota lingua dignoscitur, qua plena, & vacua vina distinguimus, & ipsum etiam corpus apprehendimus, tum vacuum, tum plenum, tam in eo, quod naturaliter alius aliud habeat, quam in morbosis affectibus, vt in inflammatione, œdemate, inflatione: ita etiam inexercitatas carnes discernimus ab exercitatis.* Rursus in hac oratione, quæ de vino dicuntur, conuenire cum plenitudine facultatis videantur, & quæ de inflammatione, & œdemate, cum plenitudine, quæ in ipso est corpore arteriæ. At verò exemplum lanarum omnino non intelligo, neminem enim ego vnquam audiui, plenam, & vacuam lanam qui diceret, vt rogarem, quemadmodum diceret, imò nec de inflammatione, & œdemate, ex quoquam audiui nisi ex Archigene. Tamen ex his intelligere possum, quid significare velit nomen, plenum; nam quod contrarium laxo est, vocatur plenum. Vacua verò quædam & plena corpora mangones, & pædotribas audiui dicere, verùm non in modum œdematum, & inflammationum, sed vt in primis propriè, & vsitatè dicuntur, perinde ac vasa plena vacuaque appellabant, ac cutem prehendentes reuellebant, vt viderent, remissa esset, an contenta: itaque ex laxa vacuum, ex contenta plenum conijciebant, & verò eum etiam, qui grassilior crassiore esset, ex iis indiciis pleniorem vocabant. Has nugas cogimur agere propter eos, qui primi ea quæ nihil ad rem faciunt, sunt nugati. Quasi enim nomina Archigenes interpretaretur, & non declarare res institueret, multa coëgit in vnum exempla, & nomina, quæ nec vni rei omnia congrua sunt, nec ex vsu Græcorum appellata, nam apud quos Græcos, aut vinum, aut lanas plenas, & vacuas, inuenias scriptum? Restat ergo, vt cauponas, mulieresque adeamus & ab iis quæramus, quomodo interpretentur, & quónam hoc conducat. Certè si vti pleni nomine gestiebat, modò rem declarasset apertè, cui nomen tribueret, non essent necessaria exempla. Cæterùm de nominis vsu etiam tertio in libro De pulsuum differentiis abunde tractauimus, ac nunc etiam meminimus, vt Archigenis in docendo confusionem aperiremus. Neque enim multa complicare, & infinita garrire oportebat, quum pauculis versiculis totum tradi facillimè posset in hunc modum, nam quod obscurè ille multis verbis conscripsit, breuibus, faciam, vt planè explicem.

A ὥς τε καὶ εἴ τις τὸν πλήρη μὴ κατ' οὐσίαν, ἀλλὰ κατὰ δύναμιν θεωρεῖν βούλοιτο. καὶ μετ' ὀλίγον. τάχα δὲ τὸ ἐν δυνάμει καρῶδες, ἐπὶ τῶν τοιούτων τὸν πλήρη σφυγμὸν χαρακτηρίζει. ὀνόματα ὄντα τῆς δυσκρασίας τοῦ πνεύματος. καὶ ὃν τρόπον διαγευσάμενοι οἴνου τὸν πλήρη διαγινώσκουσιν οἱ οἰνογεῦσται, οὕτω καὶ οἱ σφυγμῶν ἔμπειροι τὸν πλήρη κατὰ τὸ καρῶδες τῆς δυνάμεως, κἂν μεσόκενος ᾖ, διαθεωροῦσιν. ἐν τούτοις μὲν ἐπὶ τὴν δύναμιν ἀναφέρων, τὸν πλήρη σφυγμὸν δοκεῖ μοι νοεῖν. ἐν αὐτοῖς δὲ τοῖς περὶ τῆς πληρότητος λόγοις, πάνθ' ὁμοῦ συγχεῖ καὶ ταράττει. μάθοι δ' ἄν τις ἐξ αὐτῆς τῆς λέξεως, ἐχούσης οὕτως. ὃν τρόπον δὲ καὶ ἐρίων ἡ σύστασις αὐτόθεν ἐστὶ ληπτή, καθ' ἣν, κενὰ καὶ πλήρη λέγεται, καὶ οἴνου

B ποιότης οὐ προσσάττουσα, ἀλλ' αὐτόθι παρακειμένη τῇ γλώττῃ διαγινώσκεται. καθ' ἣν τοὺς πλήρεις, καὶ κενοὺς οἴνους διαχωρίζομεν. καὶ τοῦ σώματος δ' αὐτοῦ κενοῦ, καὶ πλήρους ἀντιλαμβανόμεθα. ἔν τε τῷ κατὰ φύσιν τι ἔχειν ἄλλο, ἔν τε τῇ παρὰ φύσιν διαθέσει, καὶ ἐπὶ φλεγμονῆς, οἰδήματος, ἐμφυσήματος, οὕτω καὶ τὰς ἀγυμνάστους σάρκας τῶν γεγυμνασμένων διακρίνομεν. ἐν ταύτῃ πάλιν τῇ ῥήσει, τὰ μὲν περὶ τοῦ οἴνου λεγόμενα, τῇ κατὰ τὴν δύναμιν πληρότητι δόξειεν ἂν ὁμολογεῖν. τὰ δὲ περὶ φλεγμονῆς, καὶ οἰδήματος, τῇ κατὰ τὸ σῶμα τῆς ἀρτηρίας αὐτό. τὸ δὲ τῶν

C ἐρίων παράδειγμα, ἐγὼ μὲν οὐδ' ἐννοῶ τὴν ἀρχήν. οὐδένα γὰρ ἤκουσα τινος λέγοντος πλῆρες, καὶ κενὸν ἔριον, ἵν' ἐρωτήσω πῶς λέγει. καίτοι τὰ περὶ φλεγμονῆς, καὶ οἰδήματος, οὐδ' αὐτὰ πρός τινος ἤκουσα λεγόμενα, πλὴν Ἀρχιγένους. ἀλλ' ἐν τούτοις ἐπινοῆσαι δυνάμεθα, τί βούλεται δηλοῦν αὐτὸ τὸ πλῆρες ὄνομα. τὸ γὰρ ἐναντίον τῷ χαύνῳ, πλῆρες καλεῖται. κενὰ δέ τινα καὶ πλήρη σώματα, καὶ τὰ τῶν ἀνδραποδοκαπήλων, καὶ τῶν παιδοτριβῶν ἤκουσα λεγόντων, ἀλλ' οὐκ ἀνάλογον οἰδήμασι καὶ φλεγμοναῖς, ἀλλ' ὥσπερ καὶ κυριώτατα, καὶ συνηθέστατα λέγεται, παραπλησίως τοῖς ἀγγείοις τοῖς πλήρεσί τε, καὶ κενοῖς ὠνόμαζον, καὶ ἀπο-

D λαμβάνοντές γε τοῦ δέρματος ἐπειρῶντο, διαγινώσκοντες, εἰ χαλαρὸν, ἢ ἐσφιγμένον εἴη, καὶ οὕτως ἐκ μὲν τοῦ χαλαροῦ τὸ κενὸν, ἐκ δὲ τοῦ περιτεταμένου, τὸ πλῆρες ἐτεκμήραντο. καὶ πολλάκις γε τὸν ἰσχνότερον τοῦ ἁδροτέρου, πληρέστερον ἐκάλουν ἀπὸ τῆς τοιαύτης διαγνώσεως. ταῦτα ἀναγκαζόμεθα ληρεῖν, διὰ τοὺς προτέρους, τὰ μηδὲν πρὸς ἔπος ληρήσαντας. ὥσπερ γὰρ ὀνομάτων ἐξήγησιν γράφων ὁ Ἀρχιγένης, οὐ πράγματα διδάσκειν ἐπιχειρῶν, συνεφόρησεν εἰς ταὐτὸ πολλὰ παραδείγματά τε καὶ ὀνόματα, μήτε πάντα καθ' ἑνὸς πράγματος ἁρμόττειν δυνάμενα, μήτε συνήθως τοῖς Ἕλλησιν ὠνομασμένα. παρὰ τίσι

E γὰρ Ἑλλήνων, ἢ οἶνον, ἢ ἔρια πλήρη, καὶ κενὰ δυνατὸν εὑρεῖν γεγραμμένα. δεῖ τοίνυν ἡμᾶς ἐπί τε τοὺς τῶν οἴνων καπήλους, καὶ τὰς γυναῖκας ἰέναι, καὶ πυνθάνεσθαι, τί βούλονται δηλοῦν, καὶ ποῦ τοῦτο χρήσιμον. ἐκεῖνο γὰρ εἴπερ ὅλως ἐπεθύμει χρήσασθαι τῷ τοῦ πλήρους ὀνόματι, μηνύσαντα τὸ πρᾶγμα σαφῶς, καθ' οὗ τοὔνομα ἐπέφερε, μηδὲν ἔτι παραδειγμάτων δεηθῆναι. ἀλλὰ περὶ τῆς κατὰ τοὔνομα χρήσεως, κἀν τῷ τρίτῳ τῆς περὶ τῶν σφυγμῶν διαφορᾶς αὐτάρκως εἴρηται, καὶ νῦν ἐμνήσθημεν αὐτῆς, χάριν τοῦ δεῖξαι τὸ τεταραγμένον ἐν τῇ διδασκαλίᾳ τοῦ Ἀρχιγένους. οὐ γὰρ ἐχρῆν περιπλέκειν μακρὰ καὶ λαβεῖν ἀπέ-

F ραντα, δι' ὀλίγων ἐπῶν δυναμένης τῆς διδασκαλίας ῥᾳδίως περαίνεσθαι τόνδε τὸν τρόπον. εἰρήσεται γὰρ ὑφ' ἡμῶν διὰ βραχέων σαφῶς, ἃ διὰ πολλῶν ἐκεῖνος ἀσαφῶς ἔγραφεν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Γαληνοῦ ἐξήγησις περὶ τοῦ πλήρους σφυγμοῦ.

Ἔστι τι γένος σφυγμῶν αὐτὸ τὸ σῶμα τῆς ἀρτηρίας, ὡς ἔχει συστάσεως ἐνδεικνύμενον. ἕτερον δὲ τῆς ἐν αὐτῇ περιεχομένης οὐσίας ποιότητα. καὶ τρίτον, τοῦ συμφύτου πνεύματος αὐτῆς τὴν δύναμιν γνωρίζον. ὄνομα δὲ τοῖς τρισὶ τούτοις γένεσι, πληρότης. ταῦτα γράψας, καὶ σαφῶς ἂν ἔγραψε, καὶ ταχέως, καὶ οὐκ ἂν νῦν ἡμᾶς ἐπέτριβε, ζητοῦντας πρότερον μὲν, τί λέγει, δεύτερον δὲ, εἰ καλῶς λέγει, ἀλλ' αὐτίκα ἂν, ὃ λέγει νοοῦντες, ἐπὶ τὸ ζητεῖν εἰ καλῶς λέγει μετεβαίνομεν, ὧδέ πως πάλιν καὶ αὐτοὶ τὸν λόγον ποιούμενοι. τούτων τῶν τριῶν γενῶν, ὦ Ἀρχίγενες, τὸ μὲν πρῶτόν ἐστί τε, καὶ διαγινώσκεται, τὸ κατὰ τὴν σύστασιν τῆς ἀρτηρίας, οὐ μὴν πληρότης γε, πρὸς τῶν Ἑλλήνων ὀνομάζεται, καθάπερ ἐδείξαμεν ἐν τῷ τρίτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς. ἐν ἐκείνοις γὰρ περὶ ὀνομάτων ἦν ἡμῖν ὁ λόγος. ἐνταυθοῖ δὲ, οὐ γὰρ ἔτι περὶ ὀνομάτων, ἀλλὰ περὶ διαγνώσεως αὐτῶν τῶν σφυγμῶν σκεπτόμεθα, σὺ μὲν, ὡς ἐθέλεις, αὐτὸ κάλει. συγχωρήσεις δ' ἡμῖν τοῖς τῶν Ἑλλήνων ὀνόμασι χρῆσθαι, σκληρόν τέ τινα σφυγμὸν ὀνομάζουσι, καὶ μαλακὸν ἕτερον ἐναντίον αὐτῷ, καί τινα τρίτον ἀμφοῖν μεταξὺ τὸν σύμμετρόν τε, καὶ κατὰ φύσιν ἐν τῇ συστάσει τοῦ τῆς ἀρτηρίας σώματος. τοῦτον οὖν ὃν σὺ μὲν πλήρη καλεῖς, ἐγὼ δὲ σκληρὸν, τίσιν αἰσθητοῖς παθήμασι τῆς ἁφῆς γνωριοῦμεν; ὅτι μὲν γὰρ ἀναγκαῖόν ἐστιν, ἤτοι πεπιλημένον εἶναι τὸ σῶμα τῆς ἀρτηρίας, ἢ χαῦνον, οὐδεὶς ἀμφισβητεῖ. ἀλλ' οὐ τοῦτο νῦν ἐστι τὸ προκείμενον, ἀλλὰ πῶς αὐτὸ διαγνωσόμεθα. τοῦτ' οὖν ἡμᾶς δίδαξον σαφῶς, μὴ περιπλέκων. ἀλλ' οὐ ποιεῖς, οὐ μὴν ἡμεῖς γέ σοι μεμφόμεθα τούτου χάριν, οὐδ' ὅτι σαφῶς ἐξηγησάμεθα τὸ πάθημα τῆς ἁφῆς, ἕτερον μὲν ἐπὶ τοῖς σφοδροῖς, ἕτερον δὲ ἐπὶ τούτοις τοῖς σφυγμοῖς γινόμενον, ἀγαλλόμεθα. δι' ὑμᾶς γὰρ τοὺς πρεσβυτέρους, τοὺς περὶ τούτων ἐπιμελῶς ζητήσαντας, ἐξεύρηταί τι καὶ πρὸς ἡμῶν χρηστὸν, οὐκ ἂν ἄλλως εὑρεθὲν, εἰ μὴ πρὸς ὑμῶν τῶν προπονησάντων ἐν αὐτοῖς, καὶ προκαμόντων ἐγυμνάσθημεν. τοῦτο μὲν δὴ καταλελείφθω τῷ θλιπτικῷ τῆς ἁφῆς παθήματι, διαγινωσκόμενόν τε καὶ διακρινόμενον τοῦ σφοδροῦ. τὸ γὰρ ἀνατρεπτικόν τε, καὶ ἀντιβατικὸν ἀποδεδώκαμεν ἐκείνῳ. ζητήσωμεν δ' ἑξῆς ἐκεῖνα τὰ λοιπὰ δύο γένη τῆς πληρότητος. καὶ πρότερόν γε τὸ κατ' αὐτὸ τὸ πνεῦμα νοούμενον, ὡς φατέ, τί δή ποτ' ἐστιν, οὐδ' αὐτὸ μὲν οἷόν τε ἐννοῆσαι, καθάπερ καὶ τοῦτο ἐν τῷ τρίτῳ περὶ τῆς τῶν σφυγμῶν διαφορᾶς ἐδείξαμεν. ἀλλ' ἐπεὶ νῦν συντεμεῖν βούλομαι τὸν λόγον ἐν ἐκείνοις διὰ μακροτέρων εἰρημένον, ἤτοι τὸ τῆς θερμασίας πυρῶδες, ἢ τὸν τόνον αὐτοῦ λέγετε. ταῦτα γὰρ ἐκ τῶν ῥήσεων ὑμῶν, ὥσπερ Λοξίου χρησμῶν ἐξευρεῖν ἠδυνήθημεν. νῦν οὖν ἤδη καιρὸς, διδάσκειν αὐτῶν τὰ γνωρίσματα. τοῦ μὲν δὴ τόνου μεμαθήκαμέν τε, καὶ χάριν ἴσμεν. ἀντιβαίνει μὲν γὰρ θλιβόντων, ὥς φατε, καὶ ἀνατρέπει τὴν ἁφήν. τοῦ δὲ τῆς θερμασίας, τοῦ πυρώδους τούτου, μόνου δεόμεθα μαθεῖν, ἕως ἂν γε τὴν ἁφὴν αἰσθανομένην ἔχωμεν. οὐ γὰρ ἀγνοήσομεν, οἶμαι, ψαύσαντες, οὐδεμίαν ἐν θερμότητι διαφοράν. ἐκεῖνο δὲ θαυμάζομεν ὑμῶν, εἰ τὰ τοιαῦτα ἐν ταῖς τῶν σφυγμῶν διαφοραῖς, ἀλλ' οὐκ ἐν ταῖς τῶν πυρετῶν καταριθμεῖσθε. ἀλλ' ἔα, τό γε νῦν, περὶ τούτου μηδὲν διαφερώμεθα.

CAPVT III.

Explicatio Galeni de pleno pulsu.

Genus est pulsuum, quod ipsum arteriæ corpus, quo statu sit declarat, alterum quod qualitatem substantiæ, quam contineat, ac tertium natiui spiritus eius ostendit facultatem. His tribus generibus plenitudo nomen est. Hæc si scripsisset, & apertè scripsisset, & compendiosè, nec hic nos enecaret; dum inquirimus, primum quid dicat, deinde ecquid erret: sed mentem eius assecuti planè, ad inuestigandum nos, ecquid erret, conferremus, iterum in hunc modum rationem instituentes. Horum trium generum Archigenes primum, quod in statu positum est arteriæ, tum est, tum cognoscitur: verumtamen plenitudo à Græcis non appellatur: quod in tertio commentario de differentiis pulsuum demonstrauimus. Illic enim egimus de nominibus, non de nominibus hoc loco, at de ipsis pulsibus dignoscendis, disceptamus, tu id pro tuo arbitrio voca. Dabis autem nobis, vt vocibus vtamur Græcis, ac durum quendam pulsum appellemus, atque mollem alterum ei contrarium, præterea tertium, in medio vtriusque positum, moderatum, & natiuum in statu corporis arteriæ. Ergo quem plenum tu ego durum voco, quibusnam affectibus tactus, qui sentiri possint, deprehendemus? nam arteriæ tunicam nemo ambigit, quin necesse sit vel contentam esse, vel remissam, verùm hoc non quærimus, imò verò, quæ eius sit ratio dignoscendi. Hos nos clarè, fac doceas nullis inuolucris vtens. Atqui non facis, neque verò te eò accusamus, neque quia affici apertè tactum explicauimus aliter in vehementibus, aliter hisce in pulsibus, ideo iactamus. Nam vobis senioribus, qui hæc magna cura inuestigastis, referimus acceptum, si quid nos inuenimus boni, non inuenturi certè, nisi ab iis, qui ante nos in iis operam posuerunt & insudarunt, fuissemus exercitati. Quare hoc relinquamus, quòd affectu tactus, puta compressione, discernitur, & secluditur à vehemente: subuertendi enim vim illi & renisum tribuimus. Iam quæramus secundum illud de duobus plenitudinis reliquis generibus, quorum prius, quod de ipso spiritu, vt vultis, intelligitur, quidnam sit, nec hoc possumus intelligere, vt etiam tertio in libro De pulsuum differentiis demonstrauimus. Verùm (quia illic quæ sumus latius prosecuti, hic breuibus volo perstringere) aut caloris ardorem, aut contentionem eius dicitis: hæc enim ex verbis vestris, vt & ambiguis Apollinis oraculis eruere potuimus: iam horum, reliquum est, vt signa tradamus. Contentionis quidem iam indicia didicimus, gratiasque agimus, scilicet renititur prementibus, vt confirmatis, tactumque summouet. Ardorem autem hunc caloris nihil requirimus, nisi vt doceamur, quousque tactus noster animaduertat, neque sanè vlla tactum nostrum latebit differentia caloris. At non possumus hic nos non mirari, si in pulsuum differentiis ea, & non in febrium aggeretis. At hoc mittamus in præsentia, nec de eo contendamus.

Reliquum

A Reliquum genus quemadmodum dignoscatur, attendamus plenitudinis. Hic tactu non habeo, quid conijciam, nec an spiritus arteriis solus, nec an etiam quidam humores contineantur, imò non valetis, vt demonstraui antea, si quando Erasistratum refellitis, vel Praxagoram, quum asseritis sanguinem in arteriis esse, sensum appellare testem: haudquaquam id prætermissuri, si conspicuum sit. Nec verò illorum etiam ad sensum quisquam confugit testem, vt confirmaret arterias esse humoribus vacuas, spiritusque tantum instrumenta: & rectè sanè, quippe tactus spiritus ne in arteriis tantum sit, an simul humores B aliqui, non valet declarare. Itaque inanibus nugis horum repudiatis, ipsi dicamus apud nos soli, nullum prorsus sensum esse, quo dignoscas, in arteriis contentus sanguis quàm sit multus & qualis. Ac primò loco nobiscum repetemus non posse in hydrope nos, humor sit, an spiritus, qui in regionibus ventris continetur, tactu explorare, nisi cauata compressione cute. Et verò frequenter non cauari conspicias in synceris ascitis, & iis quos tympanites vocant: sed ad veram notitiam comparandam pulsare cogimur abdo- C men, vt attendamus, si veluti tympanum resonet, secundo loco aliter componere hominem, & in latera conuertere, quo fluctuationem aliquam exaudiamus: Ac nobis strepitus in modum tympani, spiritum annuntiat, fluctuatio humorem, vno verò admoto tactu distentum abdomen, non deprehendas, ex aëre sit, an ex aqua, tametsi cutis his, & quicquid carnosum erat secundum peritonæum contabuit, ac multò fuisset facilius, tum ob circumiectarum partium extenuationem, tum ob materiæ contentæ copiam, coniectari D tactu, vtrum humor, an spiritus sit id, quod in eis continetur: attamen hic etiam soli tactui parum tutò fidem habeas, quomodo igitur in arteria, tam crassa munita tunica, vt peritonæi sit sextupla, & quam cutis sæpe tegat bene crassa? nec enim ægroti, quos visimus, semper tabidi sunt. Quum præterea tertius accedat motus, qui etiam non parum ad confundendam notitiam valeat, quid tandem tactu compertire exactè poterimus? & si ad conturbandum notitiam eius, quod continetur, satis erat arteriæ perpetuus motus: quo ergo li- E cebit signo, aut quantitatem contenti in arteriis humoris, aut qualitatem cognoscere? nam magnitudine quidem pulsus, contenti humoris cognoscimus copiam, sed non perpetuo hinc nobis humidum esse ipsum humorem constat, duritie verò statum arteriæ corporis, renisus ictus non crassitiem substantiæ significat, sed robur vitalis contentionis. Nam ridiculum sit, si adeò continere vnquam crassum adducaris humorem, arteriarum capacitatem, vt renitatur compressioni, imò si vel sit lutum, facilè cedat prementi, nisi lapi- F des in arteriis, & arenam putamus contineri, nam ita renitetur denique materiæ crassities prementibus, aliter nullo modo. Equidem libenter vtrem repletum humida materia his, qui ita elimatum tactum iactabant, vt verbis veritatem superent, explorandum offerrem, quæ insit in illo materia,

τοῦ δὲ λοιποῦ γένους τῆς πληρότητος, ἐπισκεψώμεθα τὴν διάγνωσιν. οὐδὲ γὰρ ἐν τούτῳ διὰ τῆς ἁφῆς οὐδὲν ἔχω συμβαλεῖν, οὔτ' εἰ πνεῦμα μόνον ἐν ταῖς ἀρτηρίαις, οὔτ' εἰ καὶ χυμοὶ περιέχονταί τινες. ἀλλ' οὐδὲ δύνασθε, ὡς καὶ πρόσθεν ἔφην, ἐπειδὰν πρὸς Ἐρασίστρατον, ἢ Πραξαγόραν ἀντιλέγητε, περὶ τοῦ τὰς ἀρτηρίας αἷμα περιέχειν, τὴν αἴσθησιν ἐπικαλεῖσθαι μάρτυρα, πάντως ἂν αὐτὸ ποιήσοντες εἴπερ ἦν ἐναργὲς αὐτῇ. ἀλλ' οὐδ' αὐτῶν ἐκείνων οὐδείς, ἐπὶ τὴν αἴσθησιν μάρτυρα κατέφυγεν, ὡς εἶεν αἱ ἀρτηρίαι χυμῶν μὲν καθαραί, πνεύματος δ' ὄργανα μόνου δεόντως, ἁφὴ γάρ, οὔτ' εἰ πνεῦμα περιέχεται μόνον ὑπὸ τῶν ἀρτηριῶν, οὔτ' εἰ καὶ χυμοί τινες, ἐνδείξασθαι δύναται. καταλιπόντες οὖν ἤδη τὴν ματαίαν αὐτῶν φλυαρίαν, αὐτοὶ κατὰ μόνας εἴπωμεν, ὡς οὐκ ἔστιν ἅμα οὐδὲν τῶν αἰσθήσεων διαγνῶναι τὸ περιεχόμενον ἐν ταῖς ἀρτηρίαις αἷμα πόσον, εἴθ' ὁποῖόν τί ἐστι. πρῶτον μὲν γὰρ ἀναμνήσωμεν ἡμᾶς αὐτούς, ὡς οὐδὲ κατὰ τοὺς ὑδέρους ὑγρὸν ἢ πνεῦμα περιεχόμενον ἐν τοῖς κατὰ γαστέρα χωρίοις ἁφῇ διαγνῶναι δυνάμεθα, μὴ βοθρευμένου γε πιεζόντων τοῦ δέρματος. ὥσπερ οὖν οὐδὲ φαίνεται βοθρούμενον πολλάκις, ἔν τε τοῖς ἀσκίταις τοῖς ἀκριβέσι, καὶ τοῖς τυμπανίταις καλουμένοις ὑδέροις. ἀλλ' ἀναγκαζόμεθα πρὸς τὴν ἀκριβῆ διάγνωσιν, πρῶτον μὲν κρούειν τὸ ἐπιγάστριον, ἵνα γνῶμεν εἰ δὴ τύμπανον ἐπηχεῖ. δεύτερον δέ, καὶ μετασχηματίζειν, καὶ μεταβάλλειν ἐπὶ τὰς πλευρὰς τὸν ἄνθρωπον, ὑπὲρ τοῦ κλύδωνός αἰσθέσθαι τινός. καὶ ἡμῖν ὁ μὲν τυμπανώδης ψόφος, πνεύματος σημεῖόν ἐστιν. ὁ δὲ κλύδων, ὑγρότητος. τῇ δ' ἁφῇ μόνῃ κατὰ τὴν ἐπιβολήν, τὸ τεταμένον ἐπιγάστριον οὐκ ἔστι διαγνῶναι, πότερον ἐξ ἀέρος, ἢ ὕδατος τοῦτο πέπονθε. καίτοι συντέτηκεν ἐπὶ τούτων τό τε δέρμα, καὶ πᾶν εἴ τι σαρκῶδες ἐπὶ τῷ περιτοναίῳ, καὶ πολὺ ῥᾷον ἦν, διά τε τὴν λεπτότητα τῶν περικειμένων, καὶ τὸ πλῆθος περιεχομένης οὐσίας τεκμαίρεσθαι διά τε ἁφῆς, εἴθ' ὑγρὸν, εἴτε πνεῦμα τὸ περιεχόμενόν ἐστιν, ἀλλ' ὅμως, οὐδ' ἐπὶ τούτων ἀσφαλὲς ἁφῇ μόνῃ πιστεύειν. πῶς οὖν ἐπὶ τῆς ἀρτηρίας, οὕτω μὲν παχὺν ἐχούσης χιτῶνα, ὡς ἑξαπλάσιον εἶναι τοῦ περιτοναίου, δέρματος δ' ἱκανῶς παχέος ἐπικειμένου πολλάκις; οὐ γὰρ δὴ πάντας γε τοὺς νοσοῦντας φθινώδεις ἐπισκοπούμεθα, καὶ τρίτου προσιόντος τοῦ τῆς κινήσεως, οὐ μικρὰν οὐδ' αὐτοῦ δύναμιν εἰς τὸ συγχέειν μὲν τὴν διάγνωσιν ἔχοντος, εἰσόμεθά τι διὰ τῆς ἁφῆς ἀκριβές; καίτοι πρὸς τὸ συγχυθῆναι περὶ τὸ ὑποκείμενον, ἤρκει τὸ διὰ παντὸς ἐν κινήσει τὴν ἀρτηρίαν εἶναι. πόθεν οὖν γνῶναι δυνατόν, ἢ ποσότητα τοῦ περιεχομένου χυμοῦ κατὰ τὰς ἀρτηρίας, ἢ ποιότητα; τῷ μὲν γὰρ μεγέθει τοῦ σφυγμοῦ, τὸ πλῆθος τῆς περιεχομένης οὐσίας γνωρίζομεν, ἀλλ' οὐ πάντως ὑγρὸν εἶναι χυμὸν αὐτὴν ἐντεῦθεν διαγινώσκομεν, τῇ δὲ σκληρότητι τὴν σύστασιν τοῦ τῆς ἀρτηρίας σώματος. τὸ δ' ἀντιβατικὸν τῆς πληγῆς, οὐ πάχους οὐσίας σημεῖον, ἀλλὰ τῆς ῥώμης τοῦ ζωτικοῦ τόνου. καὶ γὰρ ἂν καὶ γελοῖοι εἶεν, παχεῖαν οὕτως ἐν ταῖς κοιλότησι τῶν ἀρτηριῶν ὑπολαμβάνειν ὑγρότητα περιέχεσθαί ποτε, ὡς θλιβόντων, ἀντιβαίνειν. εἰ γὰρ καὶ βόρβορος εἴη, ῥᾳδίως εἴξει θλιβόντων, εἰ μή τι λίθους τε καὶ ψάμμον ἐν ταῖς ἀρτηρίαις περιέχεσθαι νομίζουσιν. οὕτω γὰρ μόνως τὸ πάχος τῆς οὐσίας ἀντιβήσεται θλίβουσιν, ἄλλως δέ, οὐδαμῶς. ἐβουλόμην δ' ἂν ἀσκὸν πληρώσας ὑγρᾶς οὐσίας, τοῖς οὕτως ἀκριβοῦν ἐπαγγελλομένοις τὴν ἁφήν, ὡς τὴν ἀλήθειαν αὐτὴν ὑπερφθέγγεσθαι παρέχειν, εἰς διάγνωσιν ὁποία τίς ἐστιν ἡ περιεχομένη κατ' αὐτὸν οὐσία

μόνον γὰρ οὐκ ἂν διακρίναιεν ὕδωρ λεπτὸν οἴνου παχέος. ἀλλ' οὐδ' εἰ τῶν ἀσκῶν, ὁ μὲν εἴη πίττης ὑγρᾶς πλέως, ὁ δὲ ἀέρος, οὐδ' οὕτως διαγνώσονται. μόνοι γὰρ οἱ κλύδωνές τε, καὶ ψόφοι, δυνατοὶ διακρίνειν εἰσὶν, ὁποῖόν τι τὸ περιεχόμενόν ἐστιν. ἡ δὲ διὰ τῆς ἁφῆς αἴσθησις, ὁμοία κατὰ πᾶν. οὐ μὴν οὐδ' οἱ κλύδωνες τὰς ποιότητας τῶν ὑγρῶν οἷοί τε δηλοῦν, ἀλλ' αὐτὸ τοῦτο μόνον τὸ κοινὸν, ὅτι ὑγρὸν τὸ περιεχόμενον, καὶ οὐ πνεῦμα. καίτοι πῶς ἄν τις πιστεύσειε, τοῖς δι' ἑνὸς χιτῶνος τοῦ κατὰ τὸν ἀσκὸν μὴ δυναμένοις διαγνῶναι τοῦ περιεχομένου τὴν ποιότητα, δυνατοῖς εἶναι διά τε δέρματος, οὐχ ἧττον, ἢ κατ' ἀσκὸν παχέος, καὶ ὑμένων τοὐλάχιστον δυοῖν, καὶ χιτώνων ἐξ ἀνάγκης δυοῖν, τὴν ἐντὸς τῆς ἀρτηρίας διαγνῶναι ποιότητα. ταῦτ' οὖν αὐτοὶ μὲν λεγέτωσαν. Ἡροφίλου δὲ μὴ καταψευδέσθωσαν, μηδὲ δυσωπείτωσαν ὀνόματι σεμνῷ, τοὺς ἀμαθεῖς τῶν Ἡροφίλου γραμμάτων, μηδ' ἐκ τούτου τὴν πίστιν τῷ λόγῳ πορίζεσθωσαν. αἰσχρὸν γὰρ ἐπὶ μαρτύρων ἀγωνίζεσθαι, καθάπερ ἐν δικαστηρίῳ. εἰ λέγειν ἔχεις εἰς ἀπόδειξιν, ἡδέως ἀκουσόμεθά σου. τὸ δ' Ἡρόφιλόν τε, καὶ Ἡροφιλείους καλεῖν μάρτυρας, ἀποδιδράσκοντός ἐστι τὸν ἐξ εὐθείας ἀγῶνα, καὶ λόγον, καὶ διαδύσεις τε, καὶ μηχανὰς ἐξευρίσκοντος ἐλέγχου φόβῳ. δῆλον, ὡς ἕνεκα τοῦ μὴ περὶ πράγματος ἔτι ζητεῖν, ἀλλ' ἱστορίας οἱ καταψευσμένοι μάρτυρες ἐπεισάγονται. λέγει ταῦθ' Ἡρόφιλος; οὐ μὲν οὖν. ἀλλὰ σὺ δὲ ψεύσῃ. δεῖξον πῶς ψεύδομαι; δεῖξον πῶς λέγει, κἄπειτα λέξις, εἰ οὕτως ἔτυχεν, ἀμφίβολος προβάλλεται. καὶ πόλεμος ἀμφ' αὐτῇ συνίσταται. τί ποθ' ἡ λέξις λέγει. καὶ τί ποτε βούλεται, καὶ κατὰ ῥητὸν ἤδη, καὶ διάνοιαν ἐπιχειρήματα ῥητορικὰ κυλινδεῖται, καὶ κατ' ἀμφιβολίαν ἕτερα, καὶ κατὰ συλλογισμοὺς, νὴ Δία. ἀλλὰ καὶ πᾶσαν οὕτω μεταφέρουσιν τὴν ῥητορικὴν, ὥσπερ ὑπόθεσιν μελετῶντες, οὐ τὸ προκείμενον περαίνοντες. τί γὰρ οὐκ εἴρηται τοῖς νεωτέροις ἰατροῖς εἰς τὸ πρόβλημα, τοῖς μὲν κατασκευάζουσιν ἐπίστασθαι τὸν Ἡρόφιλον, καὶ ταύτην τοῦ σφυγμοῦ τὴν διαφορὰν, τοῖς δ', ὡς οὐκ οἶδεν ἐγχειροῦσι δεικνύειν. ἀταλαίπωροι μὲν οὖν ἑκάτεροι, καὶ ἐλεεῖσθαι δίκαιοι, τῆς μὲν ἀμαθείας οἱ πρότεροι, τῆς φιλονεικίας δ' οἱ δεύτεροι. ἀταλαίπωροι δὲ καὶ ἡμεῖς, οἷς γε οὐκ ἀρκεῖ τὴν ἰδίαν ἀσκεῖν θεωρίαν τῆς τέχνης, ἀλλὰ τί μὲν Ἡρόφιλος εἶπεν, τί δ' Ἡρακλείδης τε, καὶ Χρύσερμος, καὶ Ἡγήτωρ οὐκ ὀρθῶς ἐξηγήσαντο, τί δ' αὖ εἶπεν Ἀπολλώνιός τε, καὶ Βακχεῖος, καὶ Ἀριστόξενος εἰδέναι βουλόμεθα. καὶ εἰ μὴ βουλόμεθα δὲ, πάντως ἀναγκαζόμεθα, καὶ διττῶν ἀπολαύομεν κακῶν. ὅτι τε φλυαροῦμεν οὐδὲν δέον, ὅτι τε μὴ βουλόμενοι τοῦτο δρῶμεν, ὥσπερ ἐκεῖνοι. νῦν γοῦν ἐμὲ δεῖ δυοῖν θάτερον, ἢ δοκεῖν Ἀρχιγένει τε, καὶ Ἡροφίλῳ, καὶ μυρίοις ἄλλοις τἀναντία λέγειν, ἢ δεικνύειν, ὅτι καθ' Ἡρόφιλον, οὐδείς ἐστι πλήρης σφυγμός. εἰ μὲν οὖν, ὡς ἔργον αὐτὸ προὐχειρισάμην, ἦν ἂν ὁμοίως ἐκείνοις ἄξιος μέμψεως ἐπὶ τῇ ματαίᾳ σπουδῇ. νυνὶ δὲ κατ' αὐτὴν τῶν πραγμάτων τὴν ἀλήθειαν ἐξελέγξας αὐτῶν τὴν δόξαν, τοὺς μὲν πρὸς αὐτὰ τὰ ἔργα τῆς τέχνης σπεύδοντας, ἀπολύσω πρὸς ἐκεῖνα, συντετελεσμένης ἡμῖν ἤδη τῆς προκειμένης ζητήσεως. ὅσοι δὲ καὶ ἱστορίαν ἐκμανθάνειν παλαιὰν ἐθέλουσι, καὶ χρόνον εἰς τοῦτ' ἔχουσιν, ἅπαντα προσθήσω, δεικνὺς ὅτι μηδαμοῦ χρῆται πρὸς μηδὲν Ἡρόφιλος τῷ πλήρει σφυγμῷ. πρῶτον δ' ἀπ' αὐτῆς ἄρξομαι τῆς λέξεως, ἧς ἐκεῖνοι προβάλλουσιν ἐν τῷ πρώτῳ περὶ τῶν Ἡροφίλου περὶ σφυγμῶν γεγραμμένης, ἣν καὶ μόνην ἀνεγνωκέναι μοι δοκοῦσιν.

A nam ne aquam quidem tenuem à crasso vino discernant. Neque verò si vnus vter picis humidæ sit plenus, alter aëre, sic etiam deprehendant: solæ enim fluctuationes, & strepitus facultatem habent discernendi, quid sit, quod contineatur: sensus autem tactus vsquequaque manet similis. Quin qualitates humorum ne fluctuationes quidem annunciant, verum hoc ipsum duntaxat commune, humorem qui continetur, non spiritum esse. Et quomodo credas, qui nec valent per vnicam vtris tunicam dignoscere contenti qualitatem, per cutem posse non minus vtre crassam, membranasque minimum binas, ac per tunicas necessariò duas, humorem, qui in arteria est dignoscere? Atque hæc quidem illi dicant, nec Herophilum onerent mendaciis: neque graui nomine rudes territent Herophili librorum, neque hinc fidem verbis parent, turpe enim est, quasi ad subsellia, testibus certare. Si demonstrationem afferre potes, audiemus te libenter, Herophilum verò eiusque asseclas proferre testes, declinantis est rectum certamen, & caussas, exceptiones, artesque commentantis, ne detegaris. Constat non iam inquirendæ rei gratia, sed historiæ supponi falsò citatos testes. Hæcne dicit Herophilus? minimè verò, at an ne mentiris tu? ostende quemadmodum mentiar? ostende quomodo dicat; deinde dictio fortè ambigua profertur, eoque bellum conuertitur, quidnam significet dictio, & quid velit. Ibique in dicto, & sententia vertuntur epicheremata quædam rhetorica, in amphibologia item alia, & hercle in syllogismis etiam alia; imò omnem sic rhetoricam huc transferunt, vt si argumentum aliquod meditarentur, nec propositum studerent efficere. Quid enim non adduxerunt recentiores medici ad quæstionem, quum quidam scire Herophilum defendant, & hanc pulsus differentiam; contra quidam nescire conentur probare. Miseri certè vtrique, & misericordia digni; illi quòd imperiti, hi quòd sunt contentiosi. Non minus nos tamen infelices, quibus, si artis colamus commentationem, non est satis, sed & quid Herophilus, quid Heraclides, & Chrysermus, & Hegetor non probè exposuit, quid porrò Apollonius dixit, & Bacchius, Aristoxenusque volumus scire, & si deprecamur, compellimur planè, duobusque exercitamur malis; tum quòd abs re nugamur, tum quòd inuiti hoc facimus, quod illi. Nunc quidem certè alterutrum mihi necesse est, aut vt Archigeni videar, & Herophilo, sexcentisque aliis refragari, aut demonstrem, nullum de Herophili sententia plenum pulsum esse. Ac si id vt operæpretium, tractem, non aliter, ac illi de inani sedulitate reprehendendus sim. Nunc quando ex ipsa rerum veritate illorum sententiam coargui, qui ad ipsa artis opera properant, ad ea dimittam, quia iam propositam quæstionem absoluimus. Quòd si qui auent etiam veterum scripta cognoscere, temporeque ad id abundant, omnia adijciam, ac declarabo nusquam Herophilum ad vllam rem vti pleno pulsu. Et primum ab ipso capite exordiar, quod illi proferunt, quod ab Herophilo libro primo De pulsibus est scriptum, quod mihi solum videntur legisse.

Atque

Atque sic habet: *In summa, differre mihi videtur pulsus à pulsu, magnitudine, celeritate, vehementia, rhythmo.* Hoc in multis prolato, quid πλῆθος sit, quærunt, quasi verò si nesciamus, quid πλήθει significetur, quum necessariò πληρότης ab eo, id est, plenitudo, significetur. Itaque ego ipsis lepidè, ni fallor, respondeo: nam τῷ πλήθει crebritatem illum affirmo designare. Rursus vtique aliis respondeam, τῷ πλήθει vehementiam denotare, ac quiduis potius, quàm plenitudinem, dicam, vt videant, nugari volentibus quanta licentia sit. Nam cur plenitudinem potius, quam crebritatem, τὸ πλῆθος denotabit? num quia primam syllabam τῆς πληρότητος, & πλήθους iisdem elementis proferimus? Quod si est, etiam ἡ πληγὴ, τὸ πλησίον, ἡ πλησμονὴ, τὸ πλῆκτρον, τὸ πλημμυρεῖν, sexcentaque sunt alia, quorum ex iisdem elementis prima syllaba constat. At enim longè, inquiunt, remotæ horum significationes sunt à τοῦ πλήθους. Quî autem minus, plenitudinis significatio à τοῦ πλήθους significatione procul abest? Imò probabile est, inquiunt, differentiam plenitudinis, quæ est in pulsibus, commemorari nunc, atque ab Herophilo cognosci. Quin potius verisimile est duritiem cognosci, & appellari, quum & hæ pulsuum differentiæ sint, easque prorsus Herophilus cognosceret. Vnde igitur differentiam plenitudinis dicat, multo præstabat mea sententia, reuoluisse antea omnes eius de pulsibus libros. Mihi quidem hanc legem statui, vt vnumquemque scriptorem ex se ipso declarem, nec inanibus suspicionibus, & affirmationibus demonstratione vacuis delirem, quid aliquis dicat. Atque quo inuenisti apud Herophilum alio loco nomen pleni, quum crebri inuenias millies? Proinde quum differentia plenitudinis, & incognita sit (vt demonstrauimus) nec eius alibi Herophilus meminerit: differentia porrò crebritatis, quum apud omnes in confesso sit, tum eam Herophilus scribere millies comperiatur: probabilius multo sit crebritatem appellare putare illum, quam plenitudinem. Neque hoc dico τῷ πλήθει Herophilum pro crebritate scripsisse (hoc enim si dicam, ridiculus sim non secus, ac illi interpres) verum esse longè procliuius declaratu crebritatem, & duritiem, adeoque quiduis potius, quàm plenitudinem significari. Equidem, quid Herophilo τῷ πλήθει significet, aliàs puto apertè declaratum esse, nunc non denotare plenitudinem, quonam pacto demonstramus hoc? Primum statim hæc subdit, nam quo mireris magis hominum dementiam, qui pro plenitudine πλήθει accipiunt, apponam totum caput. *Atque in summa differre mihi videtur pulsus à pulsu* πλήθει, *magnitudine, celeritate, vehementia, rhythmo. Quia in his differunt, conspicuus interim fit, & proprius, & non proprius. Videtur porrò differre, & discerni vniuersè pulsus alter ab altero, vt dictum est, celeritate, magnitudine, vehementia:* quem possis locupletiorem adducere Herophilo testem Herophili sententiæ? Videtur, inquit, alter pulsus differre ab altero, vt est declaratum, rhythmo, magnitudine, celeritate, vehementia. Quanam igitur ratione, si omnino pulsuum certam differentiam τῷ πλήθει indicat, eam hoc loco præteriit,

ἔχει δὲ οὕτως. καθόλου μὲν οὖν δοκεῖ διαφέρειν σφυγμὸς σφυγμοῦ, πλήθει, μεγέθει, τάχει, σφοδρότητι, ῥυθμῷ. ταύτην γὰρ προβάλλοντες ἐρωτῶσι τί ποτ' ἐστὶ τὸ πλῆθος, ὥσπερ εἰ μὴ γιγνώσκοιμεν ὁποῖόν τι δηλοῖ τῷ πλήθει, τῆς πληρότητος ἐξ ἀνάγκης ὑπ' αὐτοῦ δηλουμένης. ἐγὼ τοίνυν, ὡς νομίζω, χαριέντως ἀποκρίνομαι. τὸ γὰρ πλήθει πυκνότητά φημι δηλοῦν. αὖθις δ' ἂν ἑτέροις ἀποκριναίμην, τὸ, πλήθει, σφοδρότητα δηλοῦν, καὶ πάντα μᾶλλον, ἢ πληρότητα φήσαιμ' ἄν, ἵνα γνῶσιν ὅση τοῖς φλυαρεῖν βουλομένοις ἐστὶν ἐξουσία. διὰ τί γὰρ πληρότητι μᾶλλον, οὐ πυκνότητι δηλώσει τὸ πλῆθος. ἢ ὅτι τὴν πρώτην συλλαβὴν, ἔν τε τῇ πληρότητι, καὶ πλήθει, διὰ τῶν αὐτῶν στοιχείων λέγομεν; ἀλλ' εἰ τοῦτο, καὶ ἡ πληγὴ, καὶ τὸ πλησίον, καὶ ἡ πλησμονὴ, καὶ τὸ πλῆκτρον, καὶ μυρία ἕτερα τὴν πρώτην συλλαβὴν ἐκ τῶν αὐτῶν ἔχει στοιχείων συγκειμένην. ἀλλὰ πόρρω, φασίν, ἐστι τὰ τούτων σημαινόμενα, τοῦ κατὰ τὸ πλῆθος. τί δ' οὐ καὶ τὸ τῆς πληρότητος σημαινόμενον, πάμπολυ τοῦ κατὰ τὸ πλῆθος διενήνοχεν; ἀλλ' εὔλογόν φασιν, ἐστὶ καὶ τὴν κατὰ πληρότητα διαφορὰν ὑπάρχουσαν ἐν τοῖς σφυγμοῖς, εἰρῆσθαι νῦν καὶ γινώσκεσθαι πρὸς Ἡροφίλου. τί δ' οὐκ εὔλογον, καὶ τὴν σκληρότητα γινώσκεσθαι, καὶ λέγεσθαι. καὶ γὰρ καὶ αὗται διαφοραί τέ εἰσι σφυγμῶν, καὶ πάντως αὐτὰς ἐγίνωσκεν Ἡρόφιλος. πόθεν οὖν τὴν κατὰ πληρότητα λέγει, κάλλιον ἦν, οἶμαι, μακρῷ πρότερον ἀναγνῶναι πάντ' αὐτοῦ τὰ περὶ σφυγμῶν συγγράμματα. καὶ γάρ μοι καὶ νόμος οὗτος ἐξηγήσεως, ἕκαστον τῶν ἀνδρῶν ἐξ ἑαυτοῦ σαφηνίζεσθαι, καὶ μὴ κεναῖς ὑπονοίαις, καὶ φάσεσιν ἀναποδείκτοις ἀπολῆρεῖν, ὅ,τι τις βούλεται. ποῦ τοίνυν εὗρες ἀλλαχόθι τὸ τοῦ πλήρους ὄνομα παρ' Ἡροφίλῳ. τὸ μὲν γὰρ τοῦ πυκνοῦ, μυριάκις. ὅταν οὖν ἡ μὲν κατὰ πληρότητα διαφορὰ, μήτ' εἰς διάγνωσιν ἥκει, καθότι δέδεικται, μήθ' Ἡρόφιλος αὐτῆς ἑτέρωθι μνημονεύει, ἡ δὲ κατὰ πυκνότητα, καὶ πρὸς ἁπάντων ὡμολόγηται, καὶ μυριάκις αὐτὴν Ἡρόφιλος εὑρίσκεται γράφων, εὐλογώτερον ἂν εἴη, πυκνότητα νομίζειν εἰρῆσθαι μᾶλλον, ἢ πληρότητα, καὶ οὐ τοῦτό φημι νῦν, ὡς τὸ πλήθει γέγραφεν Ἡρόφιλος, ἀντὶ τοῦ πυκνότητι, γελοῖος γὰρ ἂν εἴην ὁμοίως ἐκείνοις ἐξηγητὴς, εἰ τοῦτο λέγοιμι, ἀλλὰ ὅτι ῥᾷόν ἐστι, καὶ πυκνότητα, καὶ σκληρότητα, καὶ πάντα μᾶλλον, ἢ τὴν πληρότητα δεῖξαι δηλούμενα. ἐγὼ δὲ τί μὲν δηλοῖ τὸ πλήθει παρ' Ἡροφίλῳ, δι' ἑτέρων οἶμαι σαφῶς ἐξηγήσασθαι, νῦν δὲ, ὅτι οὐ δηλοῖ πληρότητα, πῶς οὖν ἀποδείκνυμεν αὐτό; πρῶτον μὲν ἐπιφέρων εὐθύς φησιν ὧδε. γράψω γὰρ τὴν ῥῆσιν ὅλην, ἵνα μᾶλλον θαυμάσῃς τὴν ἄνοιαν τῶν ἀνθρώπων, πληρότητι τὸ πλήθει νομιζόντων λέγεσθαι. καθ' ὅλου μὲν οὖν δοκεῖ διαφέρειν σφυγμὸς, σφυγμοῦ, πλήθει, μεγέθει, τάχει, σφοδρότητι, ῥυθμῷ. ἐκ τοῦ κατὰ ταῦτα διαφέρειν φανερὸς γίνεται ὁπότε ὁ, τε οἰκεῖος, καὶ οὐκ οἰκεῖος. φαίνεται δὲ διαφέρειν, καὶ ἐπιγινώσκεσθαι, καθόλου μὲν ἕτερος, ἑτέρου σφυγμὸς, ὡς εἴρηται, ῥυθμῷ, μεγέθει, τάχει, σφοδρότητι. εἰ δὲ ἐν τῷ αὐτῷ ῥυθμῷ φαίνεται διαφέρειν ἕτερος ἑτέρου, σφυγμὸς σφυγμοῦ, τάχει, μεγέθει, σφοδρότητι, τίνα βούλει πιστότερον Ἡροφίλου λαβεῖν μάρτυρα τῆς Ἡροφίλου γνώμης; φαίνεται, φησὶν, ἕτερος ἑτέρου διαφέρειν σφυγμὸς, ὥσπερ εἴρηται, ῥυθμῷ, μεγέθει, τάχει, σφοδρότητι. πῶς οὖν εἴπερ ὅλως διαφοράν τινα σφυγμῶν τὸ, πλήθει, δηλοῖ, παρέλιπεν αὐτὴν νῦν;

κατὰ

ἔννοιαν

ὁ

ἐπαναλαμβάνων τὸν λόγον, οὐχ ἁπλῶς, οὐδ' ἀργῶς, ἀλλὰ μετὰ τοῦ προσθεῖναι, ὡς εἴρηται. πῶς δὲ τοὺς ἐν ταὐτῷ ῥυθμῷ σφυγμούς φησι, τάχει, καὶ μεγέθει, καὶ σφοδρότητι διαφέρειν; πῶς δ' ἐφεξῆς τὰς καθ' ἡλικίαν διαφορὰς ἐκτιθέμενος, ταῖς μὲν ἄλλαις διορίζει τοὺς σφυγμούς, παρέλιπε δὲ τὴν πληρότητα. καὶ κατὰ τὰ πάθη δὲ, καὶ τὰς ὥρας, καὶ τὰ ἐπιτηδεύματα, καὶ τἄλλα πάντα διορίζων τοὺς σφυγμοὺς, τῶν μὲν ἄλλων πασῶν ἀεὶ μνημονεύει διαφορῶν, τῆς πληρότητος δ' οὐδαμοῦ. καὶ τὸ μεῖζον, αὐτὴν ταύτην τὴν λέξιν σχεδὸν καθ' ἕκαστον αὐτῶν προσγράφων, οὐδαμοῦ τὸ πλήθει προσέθηκεν, ἀλλ' ἐν τῷ α. βιβλίῳ μόνον, οὐκ ἐν τοῖς ἅπασι λόγοις, οὐκ ἂν παραλιπὼν, εἴπερ ὄνομα διαφορᾶς ἦν σφυγμῶν. ταῦθ' ὥσπερ ἐπιτομὴ τῶν εἰρημένων ἡμῖν, ἐν τοῖς περὶ τῆς καθ' Ἡρόφιλον ἐν τοῖς σφυγμοῖς διαφορᾶς, ἔστω λελεγμένα. δι' ἐκείνων γὰρ, ἐπὶ πλέον ἐξηγησάμεθα τὴν Ἡροφίλου τῶν κατὰ σφυγμοὺς ὀνομάτων συνήθειαν. ἤδη τοιγαροῦν καταπαύσω τὸν περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν λόγον. ὅσα γὰρ, ἢ περὶ τῆς διαστρόφου θέσεως τῶν ἀρτηριῶν, ἢ περὶ τινὸς ἄλλου τῶν κατὰ μέρος, εἰς τόνδε τὸν λόγον ἀνεβαλλόμην, ταῦτ' ἐν ταῖς ἐχομέναις δύο πραγματείαις εἰρήσεται, τῇ τε περὶ τῶν ἐν σφυγμοῖς αἰτίων, κἀν τῇ δι' αὐτῶν προγνώσει, τεττάρων ἑκατέρα βιβλίων ἐσομένη.

A quum orationem repetat non obiter, aut negligenter, sed addat, vt dictum est? Qui autem fit, vt eiusdem rhythmi pulsus dicat, celeritate, magnitudine, vehementiaque distare? Quomodo postea quum exponat differentias pro ætatibus, reliquas differentias pulsus distinguit, omisit autem plenitudinem? Præterea pro affectibus, temporibus anni, vitæ institutis, & pro ratione aliorum omnium quando discernit pulsus, cæteras vbique omnes memorat differentias, plenitudinem nusquam. Et quod maius est, qui hanc ipsam singulis iis ferè adscribit orationem, B nusquam addit τῷ πλήθει, sed in primo tantum libro, non in omnibus libris, certè non prætermissurus, siquidem nomen differentiæ sit pulsuum. Hæc pro compendio habeto eorum, quæ in libris de differentiis pulsuum secundum Herophilum disseruimus, in illis enim latius Herophili vsum nominum pulsuum explicauimus. Iam igitur finem faciam sermonis de pulsibus dignoscendis, nam si quæ de arteriarum peruerso situ, aut de qua alia singulari re ad hanc disputationem reieci, hæc in proximis duabus lucubrationibus declarabo, de pulsuum causis, & de præsagitione ex illis: quarum complectetur vtraque quatuor libros.

GALENI

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ ΛΟΓΟΙ Δ.

ΒΙΒΛΙΟΝ Α'.

GALENI DE CAVSIS PVLSVVM LIBRI QVATVOR. LIBER PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Α' ΒΙΒΛΙΩι.

Ἅτινα τοῦ τε σφοδροῦ, καὶ τοῦ σκληροῦ, καὶ μεγάλου, ταχέος τε καὶ πυκνοῦ σφυγμοῦ αἴτια· καὶ ὅπως αὖ αὐτοί τε, καὶ τούτοις ἐναντίοι ἀπὸ μιᾶς, ἢ πλειόνων γίνωνται αἰτιῶν.

ARGVMENTVM LIBRI PRIMI.

Quæ causæ sint vehementis, duri, magni, celeris, & crebri pulsus: tum quemadmodum hi, atque horum contrarij, ab vna, vel pluribus causis oriantur.

CAPVT PRIMVM.

Genera causarum pulsuum.

CAVSARVM quæ pulsus variant, aliæ generationis eorum sunt causæ, aliæ tantum alterationis. Generationis, tum vsus cuius gratia fiunt: tum facultas, à qua; tum instrumenta, per quæ distenduntur. Alterationis cæteræ omnes, & quæ antecedentes appellantur, & quæ his succedunt, externæ. Nam triplex quidem est causarum genus non in pulsibus modò, sed & in aliis cunctis: Vnum quod primum est, & præcipuum, quod quidem etiam continens appellant, cuius inde appellatio deducta est, quod illorum essentiam contineat, quæ (vt modò diximus) generationis est causa: Reliqua duo genera, vt fiant pulsus, in causa non sunt, sed causa sunt illorum, qui iam geniti sunt mutationis. Nam humorum crassities, abundantia, lentor, acrimonia efficere non valēt pulsus, alterare valēt; ita frigidum balneum, vel calidum, & hyems æstasque, breuiter frigus & calor, alterādorum pulsuum sunt, non generandorū causæ. Ac quas nunc cōmemorauimus, externæ appellantur, quæ has etiā præcedunt quæ quidē in humoribus sunt præcedentes. Breuiter sic habeto: quæcunq; extra corpus positę quicquā in corpore alterāt, externæ vocātur, quæ has ēt antecedūt, antecedētes causæ corporis affectuū. Hi affectus, vbi continentes moueant, euadūt antecedētes illarū causæ. Dé-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τὰ τῶν αἰτιῶν τῶν σφυγμῶν γένη.

A ΤΩΝ τοὺς σφυγμοὺς τρεπόντων αἰτίων τὰ μὲν τῆς γενέσεως αὐτῶν ἐστιν αἴτια, τὰ δὲ τῆς ἀλλοιώσεως μόνον. τῆς γενέσεως μὲν ἥτε χρεία δι᾽ ἣν γίνονται, καὶ ἡ δύναμις ὑφ᾽ ἧς, καὶ τὰ ὄργανα δι᾽ ὧν διατείνονται. τῆς δὲ ἀλλοιώσεως τὰ λοιπὰ πάντα, τά τε προηγούμενα καλούμενα, καὶ τὰ τούτων ἔτι προκατάρχοντα. τρίτον γὰρ δὴ τὸ γένος τῶν αἰτίων, οὐκ ἐν σφυγμοῖς μόνον, ἀλλὰ κἂν τοῖς ἄλλοις ἅπασιν, ἓν μὲν τὸ πρῶτόν τε καὶ κυριώτατον, ὃ δὴ καὶ συνεκτικὸν καλοῦσιν, ἀπὸ τοῦ συνέχειν B αὐτῶν τὴν οὐσίαν, ὠνομασμένον, ὅπερ, ὡς ἔμπροσθεν ἐρρέθη γενέσεως αἴτιον. τὰ δὲ ἄλλα δύο γένη, τοῦ μὲν γίνεσθαι τοὺς σφυγμοὺς ἀναίτια. τοῦ δὲ γεγενημένους τρέπειν, αἴτια. πάχος γοῦν χυμῶν, ἢ πλῆθος, ἢ γλισχρότης, ἢ δριμύτης ποιεῖν μὲν οὐ δύνανται σφυγμούς, ἀλλοιοῦν δὲ δύνανται. οὕτω δὲ καὶ ψυχρὸν λουτρὸν, ἢ θερμὸν, καὶ χειμὼν, καὶ θέρος, καὶ ὅλως κρύος, καὶ θάλπος, ἀλλοιώσεως μὲν σφυγμῶν αἴτια, γενέσεως δὲ οὐκ C ἐστι. ταυτὶ μὲν οὖν τὰ νῦν εἰρημένα, προκαταρκτικὰ λέγεται. τὰ δὲ ἔτι τούτων ἔμπροσθεν τὰ κατὰ τοὺς χυμοὺς, προηγούμενα. καθόλου γὰρ εἰπεῖν, ὅσα μὲν ἔξωθεν ὄντα τοῦ σώματος, ἀλλοιοῖ τι τῶν κατ᾽ αὐτὸ, προκαταρκτικὰ λέγεται. προκατάρχοντά γε δὴ τῶν ἐν τῷ σώματι διαθέσεων. αὗται δὲ αἱ διαθέσεις, ὅταν τὰ συνεκτικὰ τρέπωσι, προηγούμεναι γίνονται αὐτῶν αἰτίαι. φέρε

γὰρ τοῦ προσπεσόντος ἔξωθεν ψυχροῦ πυκνωθῆναι μὲν τὸ δέρμα, διὰ δὲ τὴν τούτου πύκνωσιν ἐπισχεθῆναι τὴν κατὰ φύσιν διαπνοήν, ἐπισχεθεῖσαν δ' ἀθροισθῆναι, κἄπειθ' οὕτως ἐξάψαι πυρετόν, ἐφ' ᾧ τὴν χρείαν τῶν σφυγμῶν ἀλλοιωθῆναι, καὶ διὰ τοῦτο καὶ τοὺς σφυγμούς· ἐνταῦθα προκαταρκτικὸν μὲν αἴτιον, τὸ προσπεσὸν ἔξωθεν ψυχρόν. τὰ δ' ἄλλα πάντα, τὰ μέχρι τῆς χρείας τῶν σφυγμῶν προηγούμενα. διὰ μέσων οὖν τῶν προηγουμένων, τὸ προκαταρκτικὸν αἴτιον, ἀλλοιοῦσαν τὴν χρείαν τῶν σφυγμῶν ἓν οὖσαν τῶν συνεκτικῶν αἰτίων, ἔτρεψεν οὕτω, καὶ αὐτοὺς τοὺς σφυγμούς. οὐ γὰρ ἐνδέχεται τραπῆναι μὲν τινὰ συνεκτικὴν αἰτίαν, ἄτρεπτον δὲ μεῖναι τὸ πρὸς αὐτῆς ἀποτελούμενον. πρὶν δ' ἐπί τι τῶν συνεκτικῶν διαδοθῆναι τὴν ἀλλοίωσιν, ἀδύνατον τραπῆναι τοὺς σφυγμούς. διὸ καὶ κυριώτατα καὶ μάλιστα, καὶ πρῶτα ταῦτ' αἴτια τῶν σφυγμῶν. τὰ δ' ἄλλα πάντα, διὰ ταῦτα. τῷ γὰρ τὴν ἔξωθεν γεγενημένην ἀλλοίωσιν, εἰς τὰ συνεκτικὰ διαδιδόναι, σφυγμῶν αἴτια λέγεται, καθ' ἑαυτά γε τὴν ἰδίαν τε οὐσίαν καὶ φύσιν, οὐδαμῶς τρέπειν αὐτοὺς δυνάμενα. χρὴ τοίνυν ὅστις βούλεται τὴν περὶ τοὺς σφυγμοὺς τέχνην ἱκανὸς γενέσθαι, γυμνάσασθαι πολυειδῶς ἐν ἅπασι τοῖς γένεσι τῶν αἰτίων, ὥσθ' ἑνὸς οὑτινοσοῦν αὐτῷ προτεθέντος, ἔχειν εἰπεῖν τὴν γινομένην ἐν τοῖς σφυγμοῖς ἀλλοίωσιν. ἀρχὴ δὲ τῆς γυμνασίας ἀρίστη, τὰς συνεκτικὰς αἰτίας ἐπισκέπτεσθαι, καθ' ὅτι γεννᾷν ἑκάστη πέφυκε σφυγμόν. ᾧ γὰρ λόγῳ τῆς γενέσεως αὐτῶν ἐξηγοῦνται, τούτῳ καὶ τῆς ἀλλοιώσεως. αἱ γὰρ κατὰ τὸ πόσον καὶ ποιὸν ἐν ταῖς αἰτίαις διαφοραί, τὰς κατὰ τὸ ποσόν τε καὶ ποιὸν ἐν τοῖς σφυγμοῖς ἐργάζονται διαφοράς.

setur enim ab occursu externi frigoris cutis, cuius densitas naturalem halitus digestionem impediat, impeditus ille coaceruetur, tandem accendat febrem, ob quam vsus pulsuum mutetur, itaque etiam ipsi pulsus, hic externa causa est occursus externi frigoris, cæteræ vsque ad vsum pulsuum omnes antecedentes. Causa igitur externa mediis causis antecedentibus, quia variat vsum pulsuum quæ vna ex continentibus causis est, etiam immutat ipsos pulsus, neque enim possit vlla continens causa mutari, vt immutabilis maneat effectus eius: sed prius, quàm continentes attingat alteratio, non possunt immutari pulsus. Ideoque principes hæ, & præcipuæ sunt primæ causæ pulsuum, cæteræ sunt harum gratia, nam quòd externa illa alteratio ad continentes penetrauit, propterea pulsuum causæ dicuntur, quum sua sponte, & per se alterare illos nequaquam possint. Quare qui peritus euadere artis de pulsibus volet, hic versatus in causarum omnibus generibus mirificè debet esse, vt quicquid propositum ipsi sit, explicare pulsuum alterationem possit. Principium exercitationis optimum est, vt continentes causas, quamobrem generare quæque pulsum possit, perpendas. Qua enim ratione generandorum eorum sunt causæ, eadem etiam alterandorum, siquidem causarum in quantitate, & qualitate differentiæ, pulsuum differentias in qualitate & quantitate efficiunt.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς αἰτίας τῶν σφυγμῶν κατὰ τὴν δύναμιν.

Φαίνεται δὴ διὰ παντὸς ἡ καρδία, μετὰ πασῶν τῶν ἀρτηριῶν τὴν σφυγμικὴν καλουμένην κίνησιν, ἐς ἀεὶ περιῇ τὸ ζῷον κινουμένη, ἀποθανόντος δ' οὔτε τῶν ἀρτηριῶν οὐδεμίαν, οὔτ' αὐτὴν τὴν καρδίαν ἔστιν ἰδεῖν ἔτι σφύζουσαν. ᾧ δῆλον, ὡς εἶναί τις αἰτία πρὸς ἧς ἐκινοῦντο. τίς δ' αὕτη, χαλεπὸν εὑρεῖν. ὁ μὲν γὰρ τὴν ἔμφυτον θερμασίαν, ὁ δὲ τὸν τόνον, ὁ δὲ τὴν ἰδιότητα τῆς κράσεως, ὁ δὲ τὴν ὅλην κατασκευὴν τῶν σωμάτων, ὁ δὲ τὸ πνεῦμα μόνον, ὁ δέ τινα τούτων. ὁ δὲ καὶ πάνθ' ἅμα φησί. ἤδη δέ τινες ἀσώματον εἰσηγήσαντο δύναμιν, οἰκείοις ὀργάνοις τῆς κινήσεως τοῖς εἰρημένοις χρωμένην, ἤτοι πᾶσιν, ἢ τισὶν, ἢ τινί. ταύτην οὖν τὴν αἰτίαν τὴν δημιουργοῦσαν τοὺς σφυγμούς, ἥτις ἂν ᾖ, κἂν τὴν οὐσίαν αὐτῆς ἀγνοῶμεν, ἀπὸ τοῦ δύνασθαι σφυγμοὺς ἐργάζεσθαι δύναμιν αὐτὴν ἐκαλέσαμεν, ὥσπερ οἶμαι καὶ πᾶσαν ἑτέραν δύναμιν ἀπὸ τοῦ δύνασθαι ποιεῖν ὃ ἂν δύναται, καλεῖν εἰθίσμεθα. τινὸς γὰρ ἡ δύναμίς ἐστι, καὶ τὴν νόησιν αὐτῆς ἐν τῷ πρός τι κεκτήμεθα, καὶ διὰ τοῦτο οὕτως αὐτὴν ὀνομάζομεν, ὅταν τὴν οὐσίαν ἀγνοῶμεν. ὅταν δὲ ῥώμην, ἢ ἀρετὴν δυνάμεως λέγωμεν, ἢ αὖ πάλιν ἀρρωστίαν τε καὶ κακίαν, ὡς πρὸς τὴν ἐνέργειαν ἀκούειν χρὴ τούτων τῶν ὀνομάτων. ἡ γὰρ δραστική τε, καὶ ποιητική, καὶ δημιουργικὴ τῆς ἐνεργείας αἰτία, ποτὲ μὲν βέλτιον, ὡς πρὸς ταύτην, ποτὲ δὲ χεῖρον διάκειται. καὶ διὰ τοῦτο νῦν ἄμεινον, αὖθις δ' εἰ τύχοι χεῖρον, ἡ ἐνέργεια συντελεῖται. τὸ μὲν οὖν βέλτιον, ὡς πρὸς τοὔργον ἔχειν τὴν δύναμιν, ἀρετή τε καὶ ῥώμη. τὸ δὲ χεῖρον, ἀρρωστία τε καὶ κακία. περὶ μὲν δὴ τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως, ἀρκεῖ καὶ ταῦτα διαγινώσκειν εἴς γε τὰ παρόντα.

CAPVT II.

De causa pulsuum ex facultate.

Videtur porrò perpetuò cum omnibus arteriis cor motum illum pulsatilem, vt vocant, dum superstes animans sit, habere, vbi interiit, nec vllam arteriam, nec verò ipsum cor amplius pulsare videas: Quo fuisse tum quandam constat causam, à qua moueretur, at quæ hæc sit, non procliue inuentu est. Vnus natiuum calorem, alius contentionem, alius temperamenti proprietatem, hic vniuersam structuram corporum, ille spiritum tantum, est qui quædam horum, alius etiam omnia simul affirmat. Et vero quidam etiam facultatem quandam nullo præditam corpore introduxerunt, quæ peculiaribus instrumentis motus, quæ retulimus, vtatur, vel omnibus, vel pluribus, vel vno. Hanc causam quæ pulsus molitur, quæcunque illa sit, licet eius nos fugiat essentia, quòd facultatem habeat pulsus efficiendi, facultatem illam vocauimus, vt quamlibet puto aliam facultatẽ à facultate faciendi, cuius habet facultatem, solemus nominare, alicuius enim est facultas, & eius notio est relationi subiecta. Itaque quãdo essentia ipsius incognita nobis sit, hoc appellamus eam nomine. At verò quum robur facultatis, vel virtutẽ dicimus aut contra; infirmitatem & vitium, ad functionem hæc nomina sunt referenda, quippe quæ obit & efficit creatq; functionem causa, interim ad eam melius est disposita, interim deterius. Quo fit vt modò præclarius, postea, si res ferat deterius functio administretur, ac præstãtior ad functionem dispositio facultatis, virtus est, & robur, deterior infirmitas atque vitium. Sed de facultate pulsus effectrice, hæc satis est hoc loco nosse.

CAPVT III.

De causa pulsuum ex vsu.

DE vsu eorum illa sunt, quæ alio loco demonstrauimus commemoranda; quòd tuendi causa caloris vniuersi corporis creati sunt, quem refrigerent, & si quid sit fuliginis ex succorum adustione contractum, id excernant è vestigio. Etiam illo loco hoc dictum est, ad gignendum hos referre animalem spiritum.

CAPVT IV.

De causa ex instrumentis.

RELiqua & tertia gignendorum pulsuum continens causa ipsum est arteriarum corpus, nam omnis facultas, quæ alicuius causa agit, instrumenta quærit ad opus apposita, erat autem hîc accommodatum instrumentum, quod spissis tunicis, & cauum esset intus. Nam vt artifices hi: quos in vrbibus conspicimus, sutores, excusores, pictores, certis instrumentis opus suum efficiunt, ita quæ pulsus efficit facultas, suum opus, tutelam natiui caloris, instrumentis peragit arteriis. Hoc tantum inter hanc, & alios opifices interest, quòd instrumentis hæc indita est, ac per ea tota permanauit; non foris vt illi attingit. Itaque vbi refrigerantem substantiam trahit, arteriarum distenditur corpus, quum fuliginosam expurgat, contrahitur. Iam præpollet modò distentionis vsus, modò contractionis, ac consequitur omninò alteram motus partem reliqua. Itaque quum ex his causis pulsus proficiscantur, necesse est omnes illarum diuersitates, sequi causarum alterationes, vnde tot primæ sunt, & generales pulsuum differentiæ, quot sunt causarum. Et facultatis quidem differentiæ robur, & imbecillitas; natiui caloris adustio, refrigeratioque, arteriæ tunicæ, durities ac mollities, atque præ his omnibus in singulis generibus commemoratorum mediocritates. Verùm mediocritates naturales efficiunt pulsus, qui medium locum obtinent inter excedentes, excessus verò, pulsus præter naturam, atque alij perspicui sunt. Qui autem in firmitate consistunt facultatis, quiddam dignum habent quæstione, quod progressus disputationis dispiciet. Porrò robur facultatis necessario vehementem pulsum facit, infirmitas languidum, & instrumentorum durities durum, mollities mollem. Non tamen incremento natiui caloris, vel imminutioni vnum semper, & idem pulsuum genus ex necessitate consequitur: nec enim celer, quod nonnulli sunt opinati, nec magnus, vel creber semper incidit, vbi aduritur natura, nec quum extinguitur, tardus, vel paruus, vel rarus. Sed de his, qui ambigunt, perinde, ac Archigenes, errant, qui in Magnum disputat de pulsus celeritate, quòd non à robore, potius quàm ab imbecillitate proficiscatur facultatis; nam neutrum sequitur necessariò. At tamen peculiaris magis est celeritas quidem robori facultatis, & caloris abundantiæ, præterea mollitiei instrumentorum, tarditas verò contrariis. Eodem modo validæ facultati magnitudo, & copiæ caloris, tum etiam mollibus instrumentis est familiaris; paruitas verò contrariis,

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῆς αἰτίας σφυγμῶν κατὰ τὴν χρείαν.

ΠΕρὶ δὲ τῆς χρείας αὐτῶν ἀναμνησθῆναι χρὴ τῶν ἐν ἑτέροις ἀποδεδειγμένων. ὅτι φυλακῆς ἕνεκα τῆς καθ' ὅλον τὸ σῶμα θερμασίας γεγόνασιν ἐμψύχοντές τε ταύτην, καὶ εἴ τι λιγνυῶδες ἐκ τῆς τῶν χυμῶν συγκαύσεως ὑποτρέφοιτο, τοῦτ' εὐθέως ἀποκρίνοντες. Εἴρηται δ' ἐν ἐκείνοις, ὡς καὶ τῇ γενέσει τοῦ ψυχικοῦ πνεύματος συντελοῦσι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς κατὰ τὰ ὄργανα αἰτίας.

ΛΟιπὴ δὲ ἡ τρίτη σφυγμῶν γενέσεως αἰτία συνεκτική, τὸ σῶμα τῶν ἀρτηριῶν ἐστιν αὐτό. πᾶσα γὰρ δύναμις ἐνεργοῦσά τινος ἕνεκεν, ὀργάνων ἐπιτηδείων δεῖται πρὸς τοὔργον. ἦν δ' ἐπιτήδειον ὄργανον πρὸς τὰ παρόντα, τὸ στεγανὸν μὲν τοῖς χιτῶσι, κοῖλον δ' ἔνδοθεν, οἷόνπερ τὸ τῶν ἀρτηριῶν ἐστι. ὥσπερ οὖν οἱ κατὰ τὰς πόλεις οὗτοι δημιουργοί, σκυτοτόμοι τε, καὶ χαλκεῖς, καὶ γραφεῖς, δι' ὀργάνων τινῶν ἐπιτελοῦσι τὸ σφέτερον ἔργον, οὕτως ἡ τοὺς σφυγμοὺς ἐργαζομένη δύναμις, δι' ὀργάνων τῶν ἀρτηριῶν, τὸ ἑαυτῆς ἔργον τὴν φυλακὴν τῆς ἐμφύτου θερμασίας, ἀποτελεῖ, τοσόνδε μόνον τῶν ἄλλων διαφέρουσα δημιουργῶν, ὅτι τοῖς ὀργάνοις ἐνδέδεται, καὶ δι' ὅλων αὐτῶν ἅπασα διελήλυθεν, οὐκ ἔξωθεν ἅπτεται, καθάπερ ἐκεῖνοι. καὶ τοίνυν ἐπειδὰν μὲν τὴν ψύχουσαν οὐσίαν ἕλκῃ, διαστέλλεται τὸ σῶμα τῶν ἀρτηριῶν, ἐπειδὰν δὲ τὸ αἰθαλῶδες ἐκκρίνῃ, συστέλλεται. πλεονεκτεῖ δέ, ποτὲ μὲν ἡ τοῦ διαστέλλεσθαι, ποτὲ δὲ ἡ τοῦ συστέλλεσθαι χρεία. πάντως δ' ἕπεται θατέρῳ μέρει τῆς κινήσεως, τὸ λοιπόν. κατὰ ταύτας δὲ τὰς αἰτίας, τῶν σφυγμῶν γινομένων, ἀνάγκη πάσας τὰς τροπὰς αὐτῶν ἕπεσθαι ταῖς τῶν αἰτίων ἀλλοιώσεσιν, ὥστε τὰς πρώτας μέν, καὶ γενικωτάτας τοσαύτας εἶναι διαφορὰς σφυγμῶν, ὅσαι περ καὶ τῶν αἰτίων. τῆς μὲν δὴ δυνάμεως αἱ διαφοραί, ῥώμη τε καὶ ἀρρωστία ἐστί. τῆς δ' ἐμφύτου θερμασίας, ἐκπύρωσίς τε καὶ κατάψυξις. τοῦ δὲ τῶν ἀρτηριῶν χιτῶνος, σκληρότης τε καὶ μαλακότης, καὶ περὶ τούτων ἁπάντων, αἱ καθ' ἕκαστον γένος τῶν εἰρημένων συμμετρίαι. ἀλλ' αἱ μὲν συμμετρίαι τοὺς κατὰ φύσιν ἐργάζονται σφυγμούς, τοὺς μέσους τῶν ὑπερβαλλόντων, αἱ δ' ἀμετρίαι τοὺς παρὰ φύσιν. αἱ μὲν ἄλλαι σαφεῖς. ἡ δὲ κατὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως, ἔχει τι ζητήσεως ἄξιον, ὃ προϊὼν ὁ λόγος διασκέψαιτο. ῥώμη μὲν οὖν δυνάμεως, σφοδρὸν ἐξ ἀνάγκης ἐργάζεται τὸν σφυγμόν, ἀρρωστία δ' ἀμυδρόν, καὶ σκληρότης μὲν ὀργάνων, σκληρόν, μαλακότης δὲ μαλακόν. οὐ μὴν ἐπί γε ταῖς αὐξήσεσιν, ἢ ταῖς μειώσεσι τῆς κατὰ φύσιν θερμασίας, ἓν εἶδος σφυγμῶν ἐξ ἀνάγκης ἕπεται ταὐτὸν ἀεί. οὔτε γὰρ ὁ ταχύς, ὥς τισιν ἔδοξεν, οὔθ' ὁ μέγας, οὔθ' ὁ πυκνός, ἐκπυρουμένης ἀεὶ γίνονται τῆς φύσεως, οὔθ' ὁ βραδύς, ἢ μικρός, ἢ ἀραιός, σβεννυμένης. ἀλλ' οἱ περὶ τούτων ἀμφισβητοῦντες, ὁμοίως ἁμαρτάνουσι Ἀρχιγένει, πρὸς Μάγνον διαφερομένῳ, περὶ τάχους σφυγμοῦ, ὡς οὐχ ὑπὸ ῥώμης μᾶλλον, ἢ ἀρρωστίας γίνεται δυνάμεως· οὐδετέρᾳ μὲν γὰρ ἐξ ἀνάγκης ἕπεται. μᾶλλον μὴν ἐστὶν οἰκεῖον, τάχος μὲν ῥώμῃ τε δυνάμεως, καὶ πλήθει θερμασίας, καὶ προσέτι μαλακότητι τῶν ὀργάνων, βραδύτης δὲ τοῖς ἐναντίοις. ὡσαύτως δέ, καὶ μέγεθος μὲν ἰσχυρᾷ δυνάμει, καὶ πλήθει θερμασίας, καὶ μαλακοῖς ὀργάνοις ἐστὶν οἰκεῖον· μικρότης δέ, τοῖς ἐναντίοις.

ὡσαύτως δὲ καὶ πυκνότης, οὐδενὶ μὲν τῶν εἰρημένων ἐξ ἀνάγκης ἕπεται. μᾶλλον μὴν ἐστὶν οἰκεία δυνάμεως ἀρρωστίᾳ, πλήθει δὲ θερμασίας, ὀργάνων δὲ σκληρότητι. καὶ ἀραιότης δὲ κατὰ ταῦτα τοῖς ἐναντίοις οἰκεία μᾶλλον, οὐ μὴν ἐξ ἅπαντος ἑπομένη. πειράσομαι δὴ ἀποδεῖξαι τῶν εἰρημένων ἕκαστον, ἀναλαβὼν τὸν λόγον ἐπ᾽ ἀρχήν.

Crebritas item nulli necessario ex commemoratis adhæret, magis tamen propria facultatis est imbecillitati, copiæ caloris, duritiei instrumentorum, & raritas item magis ad contraria spectat, non annexa illis est perpetuò tamen. Faciam autem vt hæc repetita ab initio oratione, sigillatim demonstrem.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Οὕστινας σφυγμοὺς ἀπεργάζεται ἡ θερμασία.

Πλείονος θερμασίας ἠθροισμένης ἐν τῷ σώματι, μείζονος μὲν χρῄζειν ἀνάγκη τὸ ζῶον τῆς ἀναπνοῆς, μειζόνων δὲ καὶ τῶν σφυγμῶν, ᾧ δὲ λόγῳ μειζόνων, τούτῳ καὶ θαττόνων τε, καὶ πυκνοτέρων· ὡς γὰρ οἱ διψῶντες οὐ τὸ πολὺ μόνον, ἀλλὰ καὶ ταχέως, καὶ πυκνῶς προσφέρονται τὸ πόμα, οὕτως καὶ οἱ τῆς ἐμψυχούσης οὐσίας δεόμενοι, πολλήν θ᾽ ἅμα ταύτην, καὶ ταχέως, καὶ πυκνῶς ἐπισπῶνται· καὶ τοῦτο δὴ ὅπερ ἔφαμεν οἰκείους εἶναι σφυγμοὺς πλήθει θερμασίας, τόν τε μέγαν, καὶ τὸν ταχύν, καὶ τὸν πυκνόν, οὐ μὴν δ᾽ ἐξ ἀνάγκης γ᾽ ἑπομένους αὐτῇ. χρῄζει γάρ, ἵνα τοιοῦτοι γένωνται, δυνάμεως μὲν ἐρρωμένης, ὀργάνων δὲ μαλακῶν· εἰ γὰρ ἀσθενὴς ἡ δύναμις, ἢ σκληρὸν ἦ τὸ ὄργανον, οὔτε μεγάλους αὐτούς, οὔτε ταχεῖς ἐνδέχεται γενέσθαι, τοῦ μὲν ὀργάνου διὰ σκληρότητα δυσπειθοῦς γινομένου τῇ κινούσῃ δυνάμει, τῆς δυνάμεως δ᾽ αὐτῆς, δι᾽ ἀρρωστίαν ἀδυνατούσης ἐξαίρειν τὰς ἀρτηρίας εἰς ὅσον προσήκει. χρὴ τοίνυν συνεργεῖν ἀλλήλοις τὰ τρία γένη τῶν αἰτίων, ἵν᾽ ὁ σφυγμὸς ταχύς, ἢ μέγας ἀποτελεσθῇ, τὴν μὲν χρείαν τῆς γενέσεως αὐτῶν ἐπείγουσαν, τὴν δὲ δύναμιν εὐεκτοῦσαν, τῶν δ᾽ ἀρτηριῶν τοὺς χιτῶνας μαλακούς, ἢ πάντως γε μὴ σκληροὺς ὄντας. ὡς γὰρ τὸ ὠθεῖν ὠκέως, ἢ μέγα προβαίνειν, οὔθ᾽ οἱ πάνυ γέροντες, οὔθ᾽ οἱ μικροὶ παῖδες δύνανται, κἂν ἔτι μάλιστα χρῄζωσιν ἠπειγμένης κινήσεως, οὕτως οὐδ᾽ ἡ ἄρρωστος δύναμις, οὔτε ταχέως, οὔτ᾽ εἰς μέγα τὰς ἀρτηρίας ἐξαίρειν δύναται, κἂν δέηται. ὥσπερ δὲ πάλιν ἡ μὲν μαλακὴ κύστις ἑτοίμως εἰς πολὺ διαστέλλεται, ἡ σκληρὰ δὲ οὐδ᾽ εἰ πάνυ σφόδρα βιάζοιο, οὕτω καὶ τῶν ἀρτηριῶν ὁ χιτών, ὁ μὲν μαλακὸς ῥᾳδίως ἐπὶ πλέον ἐξαίρεται, κἂν ἄρρωστος ἡ δύναμις ᾖ, ὁ δὲ σκληρὸς ἀντιπίπτει τε καὶ ἀντιβαίνει τῇ κινούσῃ δυνάμει, κἂν σφοδρότατα περὶ αὐτὸν ἐνεργοῦσα τύχῃ. μέθοδος δὲ καὶ κατὰ τούτων ἁπάντων μία. τῆς ἐξεταζομένης αἰτίας μόνης ὑπαλλαττομένης, τῶν δ᾽ ἄλλων ἐν ταὐτῷ μενουσῶν, τὴν διάκρισιν ποιεῖσθαι τῆς ἀλλοιώσεως τῶν σφυγμῶν. εἰ γὰρ ἅμα πολλῶν ὑπηλλαγμένων ἐπισκέπτοιο, πρῶτον μὲν ἄδηλον, ἢ διὰ τὸ πασῶν ὁμοῦ συνιουσῶν ἀθρόον κεφάλαιον ἡ τροπὴ γέγονεν, ἢ διά τινα, μίαν ἐξ αὐτῶν. ἔπειτα δ᾽ εἰ καὶ συγχωρηθείη διὰ μίαν, ἥτις ἐστὶν αὕτη μία, ἐξ αὐτῶν οὐδέπω δῆλον. ἂν γοῦν αὐξηθῇ μὲν ἡ θερμασία μόνη, φυλάττοιντο δέ, ἥ τε δύναμις, καὶ οἱ χιτῶνες τῶν ἀρτηριῶν ἄτρεπτοι, μείζους τε, καὶ θάττους ἐξ ἀνάγκης οἱ σφυγμοὶ γενήσονται, καὶ συναυξηθήσονταί γε τῷ πλήθει τῆς θερμασίας, ἄχρι περ ἂν ἐπὶ τὴν μεγίστην ἀφίκωνται διαστολήν. τάχιστοι δὲ οὐδὲ νῦν, οὐδέ ποτε φανοῦνται πρὶν τὴν θερμασίαν ὑπὲρ τὴν μεγίστην αὐξηθῆναι διαστολήν. τότε δ᾽ ὑπὲρ τὴν μεγίστην αὔξεται διαστολήν, ὅταν ἐνδεῶς ὑπ᾽ αὐτῆς ἀναψύχηται. τὸ τοίνυν λεῖπον ἐπανισοῖ τηνικαῦτα, τῷ τάχει τῆς κινήσεως. καὶ οὕτως οἱ σφυγμοὶ τάχιστοι γίνονται. ἀρκεῖ δ᾽ οὐδὲ ταῦτα τῇ μεγάλως ἐκπυρωθείσῃ, ἀλλ᾽ ὃν ἡσύχαζε πρότερον χρόνον μεταξὺ τῶν κινήσεων, ἤδη καὶ τοῦτον συντέμνει. πολλάκις δ᾽ οὕτως βραχὺν ἀπέφηνεν, ὡς συνεχεῖς ἀλλήλαις δοκεῖν εἶναι τὰς κινήσεις,

CAPVT V.

Calor quos efficiat pulsus.

SI amplior in corpore sit collectus calor, animanti opus erit cùm maiore respiratione, tum maioribus pulsibus, & quia maioribus, continuo etiam celerioribus, & crebrioribus; Sicut enim qui sitiunt, non multùm modò, sed & celeriter potant ac crebrò; sic qui indigent refrigerio, copiosum simul id, & celeriter crebroque attrahunt. Quamobrem peculiares dixi esse pulsus copioso calori magnum, celerem, crebrumque: non tamen necessario comitari, postulant enim quo tales euadant, facultatem validam, atque instrumenta mollia. Sin infirma facultas, aut durum sit instrumentum, neque magni esse, neque celeres possint, quod instrumentum fit per duritiem aduersus mouentem facultatem contumax: illa verò attollere, quatenus oportet, arterias per imbecillitatem impos. Quare vt celer pulsus, vel magnus fiat, tria oportet causarum genera inter se conspirent, vt vsus illorum generationis vrgeat, facultas valida sit, mollesque arteriarum tunicæ, aut certè non duræ. Vt enim impellere velociter, aut multum progredi, vt maximè concitato motu indigeant, nec senes valent, nec parui pueri, ita nec imbecilla facultas, etiam si vsus postulet, vel celeriter, vel multum attollere arterias potest. Iam etiam sicut mollis vesica promptè multum distenditur, dura ne si admodum quidem etiam atque etiam contendas, sic arteriarum tunica, mollis quidem perfacile attollitur plurimum, vel facultate infirma, at dura, licet facultas summopere illam impellat, resistit facultati motrici, renititúrque. Via omnium horum ratioque vna est; nam vt causa quæ in examen venit, sola conuertatur, reliquæ maneant omnes in eodem statu, ita discernes alterationes pulsuum. Nam si quum multæ immutatæ sunt, attendes, primum obscurum erit, propter aceruumne omnium in vnum coactarum, mutatio euenerit, an propter vnam quandam ex illis; deinde vt conueniat propter vnam, quænam sit hæc vna de illis, nondum constat. Nam si calor increuerit solus, & maneant facultas tunicæque arteriarum immotæ, pulsus necessariò maiores, & celeriores fient, vnaque cum calore, dum ad maximam perueniant distentionem, augebuntur, celerrimi verò ne sic quidem prius, quàm maximam calor distentionem superauerit, apparebunt. Tunc autem vltra maximam distentionem extendetur, quum ab ea refrigeratur parcius, quare celeritate motus resarcitur defectus, itáque pulsus fiunt celerrimi. Iam verò neque hæc satisfaciunt calori vehementer incenso, sed quòd temporis quo ante inter duos motus quiescebat, nunc quid præsecat etiam. Subinde etiam tam reddit breue, vt perpetuos putes motus esse, nulla

nulla quiete interpellatos; sed hoc accidit, vbi ad vltimum incensus calor fit. Et quum tres sint in omnibus excessibus rationes opis, omnibus simul vtitur, nam consequitur se refrigerantis substantiæ quum plurimum, tum celerrimè, & maximè continenter, quorum primum maximos pulsus creat, alterum celerrimos, creberrimos tertium. Neque vbi liberaliter illum magnitudo refrigerat distentionis, irritat celeritatem, neque crebritatem, vbi ab ambabus auxilium consequitur: alterius enim illarum semper defectus corrigitur altera, magnitudinis, celeritate, celeritatis, crebritate. Quid multis? crebritatis pulsuum causa vna est prioris actionis defectus. Accidit id quum aliis de causis, quas deinceps recensebimus: tum de copia caloris, vti modò est ostensum. Propemodum iam, quod erat institutum, confectum est. Declarauimus enim abundantiam caloris nullum consequi necessariò pulsum magnum, celerem, crebrum, sed peculiares esse illi in primis magnum, & celerẽ, & nonnunquam crebrum etiam, secundum accidens quoddam.

A μηδαμῇ διειργομένας ἡσυχίᾳ· τοῦτο δ' ὅταν ἐσχάτως ἐκκαυθῇ, γίνεται. τριῶν γὰρ ὄντων τρόπων ἐπικουρίας ἐν ἁπάσαις ὑπερβολαῖς, πᾶσιν ὁμοῦ χρῆται. καὶ γὰρ πλείστης ἀπολαύει τῆς ἐμψυχούσης αὐτὴν οὐσίας, καὶ τάχιστα, καὶ συνεχέστατα. τούτων δὲ τὸ μὲν πρῶτον μεγίστους ποιεῖ τοὺς σφυγμούς, τὸ δὲ δεύτερον ταχίστους, τὸ δὲ τρίτον πυκνοτάτους. οὔτε γάρ, ὅταν ἱκανῶς ἀναψύχηται τῷ μεγέθει τῆς διαστολῆς, κατεπείγει τὸ τάχος, οὔθ' ὅταν αὐτάρκως ὑπ' ἀμφοῖν ὠφελῆται, τὴν πυκνότητα. θατέρου δ' αὐτῶν ἀεὶ τὸ λεῖπον ἐπανισοῖ θατέρῳ, τοῦ μὲν μεγέθους τῷ τάχει, τοῦ δὲ τάχους τῇ πυκνότητι. καθόλου B γὰρ φάναι, πυκνότητος σφυγμῶν αἰτία μία, τὸ τῆς προτέρας ἐνεργείας ἐνδεές, γίνεται δὲ τοῦτο, καὶ δι' ἄλλας μὲν αἰτίας, ἃς ἐξῆς ἐροῦμεν. ἀτὰρ οὖν καὶ διὰ πλῆθος θερμασίας, ὡς νῦν ἀποδέδεικται. καὶ σχεδὸν ἤδη πέρας ἔχει τὸ προκείμενον. ἐδείχθη γάρ, ὡς οὐκ ἐξ ἀνάγκης ἕπεται πλήθει θερμασίας, μέγας, καὶ ταχύς, καὶ πυκνὸς σφυγμὸς οὐδείς, οἰκεῖοι δ' εἰσὶν αὐτῇ, μάλιστα μὲν ὁ μέγας, καὶ ταχύς, ἤδη δέ ποτε, καὶ ὁ πυκνός, κατά τι συμβεβηκός.

CAPVT VI.

Defectus caloris natiui quos habeat pulsus.

PVto iam quoque constare quinam è pulsibus caloris natiui defectum comitentur, hunc scilicet, nullum necessariò comitari. Familiares tamen sunt ei paruus, & tardus præcipuè, mox etiam rarus. Nam vt natura, quæ iam pridem refrigerata est, nec multum requirit, nec celere refrigerium, sic nec breuibus interuallis. Breuibus interuallis idem est, quod crebrum, & longis interuallis idem, quod rarum.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

C Τίνες σφυγμοὶ ταῖς ἐνδείαις τῆς ἐμφύτου θερμασίας ἕπονται.

Εἴη δ' ἂν οἶμαι δῆλον ἤδη, καὶ περὶ τῶν ἐν ταῖς ἐνδείαις τῆς ἐμφύτου θερμασίας, ἑπομένων σφυγμῶν. καὶ γὰρ καὶ ταύταις, ἐξ ἀνάγκης μὲν οὐδεὶς ἕπεται. οἰκεῖοι δ' εἰσίν, μάλιστα μὲν, ὅ τε μικρὸς καὶ βραδύς, ἤδη δὲ καὶ ὁ ἀραιός. ὥσπερ γὰρ οὔτε πολλῆς, οὔτε ταχείας τῆς ἐμψύξεως ἡ φθάνουσα κατεψῦχθαι δεῖται φύσις, οὕτως οὐδὲ δι' ὀλίγου. ταὐτὸν δ' ἐστὶ τὸ μὲν δι' ὀλίγου, τῷ πυκνῷ. τὸ δὲ διὰ μακροῦ, τῷ ἀραιῷ.

CAPVT VII.

An medius pulsus inter vehementem, & languidum, sit secundum naturam.

D

SEd quoniam satis de his dictum est, si quod produximus dudum, quantum disputationi conducat perspexerimus, seriem orationis prosequemur. Inter magnum pulsum, & paruum naturalis intercedit, & moderatus: cum quo comparantes, & æstimantes reliquos omnes, qui maiores sunt eo, hos magnos vocamus, qui minores, paruos. Itidem inter celerem & tardum, medius moderatusque naturalis est: sic inter crebrum & rarum. Ad hæc inter durum & mollem medij naturales sunt. At naturalis non item videtur, qui inter vehementem medius est, & languidum, validæ enim est facultatis opus vehemens pulsus, vt languidus infirmæ. Cuius sanè firmitas non est contra naturam, imò hæc virtus est, & secundum naturam, infirmitas verò facultatis, vitium præterque naturam est. Quantum iam in via, quæ intercedit inter robur, & imbecillitatem, est ab altero ad alterum, in confinio alicubi vtriusque positum, tanto id præstat infirmitate, quanto robore inferius est, contraque tantùm firmitati cedit, quantum superat infirmitatem. Proinde non hic quærendum aiunt esse naturalem pulsum, sed in summo & valido, atque ex hoc prouenire vehementem pulsum. Sunt qui verum fateantur hoc esse,

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Πότερον ὁ μὲν τοῦ σφοδροῦ τε, καὶ ἀμυδροῦ σφυγμοῦ μέσος ἐστὶ κατὰ φύσιν.

ΕΠεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, τὸ ἀναβληθὲν ὀλίγῳ πρότερον, ἐφ' ὅσον εἰς τὰ παρόντα χρήσιμόν ἐστι, διασκεψάμενοι, τὸ συνεχὲς τοῦ λόγου περαίνωμεν. τοῦ μὲν γὰρ μεγάλου τε, καὶ μικροῦ σφυγμοῦ, μέσος τις ἐστὶν ὁ κατὰ φύσιν τε, καὶ σύμμετρος, ᾧ παραβάλλοντές τε, καὶ παραμετροῦντες τοὺς ἄλλους ἅπαντας, ὅσοι μὲν ἂν μείζους ὦσιν αὐτοῦ, E τούτους μὲν μεγάλους ὀνομάζομεν· τοὺς δ' ἐλάττους, μικρούς. κατὰ ταὐτὰ δέ, καὶ τοῦ ταχέος τε, καὶ βραδέος ὁ μέσος τε, καὶ σύμμετρος, ὁ κατὰ φύσιν ἔχων ἐστίν, καὶ τοῦ πυκνοῦ δέ, καὶ τοῦ ἀραιοῦ, καὶ προσέτι σκληροῦ, καὶ μαλακοῦ κατὰ τὸν αὐτὸν λόγον, οἱ μέσοι κατὰ φύσιν. οὐ μὴν ἀμυδροῦ τε, καὶ σφοδροῦ μέσος ὁ κατὰ φύσιν εἶναι δοκεῖ. ἐρρωμένης γὰρ ἔργον δυνάμεως ὁ σφοδρὸς σφυγμός, ὥσπερ οὖν καὶ ὁ ἀμυδρός, ἀρρώστου. τὸ δ' ἐρρῶσθαι ταύτην, οὐ παρὰ φύσιν δήπουθεν, ἀλλὰ τοῦτο μέν, ἀρετή τε καὶ κατὰ φύσιν, ἡ δ' ἀρρωστία τῆς δυνάμεως, κακία τε καὶ παρὰ φύσιν. ὅσον δ' ἐν τῷ μεταξὺ ῥώμης τε F καὶ ἀρρωστίας, ὁδὸς ἐστὶν ἀπὸ θατέρου πρὸς θάτερον ἐν μεθορίῳ που τεταγμένον ἀμφοῖν, τοσούτῳ μὲν βέλτιον ἀρρωστίας, ὅσῳ χεῖρον εὐρωστίας. τοσούτῳ δ' αὖ πάλιν, εὐρωστίας χεῖρον, ὅσῳ βέλτιον ἀρρωστίας. οὔκουν ἐνταῦθά φασι χρῆναι τὸν κατὰ φύσιν ζητεῖν, ἀλλ' ἐν τῷ ἄκρῳ τε καὶ εὐρώστῳ, τούτου δ' ἔγγονον ὑπάρχειν τὸν σφοδρὸν σφυγμόν. εἰσὶ δ' οἳ τοῦτο μὲν ἀληθὲς εἶναι συγχωροῦσιν,

ἀμφισβητοῦσι δὲ πρὸς τὸ καθόλου, καὶ φάσκουσι, τὸν κατὰ φύσιν σφυγμὸν, τὸν ἐν τούτῳ μὲν τῷ γένει, γίνεσθαι καὶ αὐτὸν ὑπὸ τῆς ἄκρας τε καὶ ἀρίστης ἕξεως, ὥσπερ οὖν κἀν τοῖς ἄλλοις ἅπασι γένεσιν, οὐ μὴν ἄκρον γε, καὶ ἔσχατον ὑπάρχειν, ἀλλ' εἶναί τινα τῶν οὐ κατὰ φύσιν, ἕτερον τούτου σφοδρότερον. ἴδιον γάρ τι συμβεβηκέναι τούτῳ τῷ γένει τῶν σφυγμῶν παρὰ τἄλλα πάντα φασὶ, διὸ καὶ τὴν ἀπορίαν τε, καὶ τὰ σφάλματα, τοῖς μὴ δυναμένοις αὐτὸ συνιδεῖν, ἀπηντηκέναι. γίνεσθαι μὲν γὰρ εὐρωστούσης τῆς δυνάμεως τὸν σφοδρὸν σφυγμὸν, εἶναι μέντοι τι καὶ τούτου μέτρον τῆς σφοδρότητος, οὗ προσωτέρω χωροῦν ἐξίστασθαι τοῦ κατὰ φύσιν. ἐν γοῦν τοῖς θυμοῖς, φασὶ, καὶ πολλάκις ἐν τοῖς γυμνασίοις, καὶ ταῖς οἰνοποσίαις, εὑρίσκεσθαι σφοδρότερον τοῦ κατὰ φύσιν κινουμένας τὰς ἀρτηρίας. ὁμολογεῖσθαι δὲ πρὸς ἁπάντων, τὸν ὡς ἀκριβῶς κατὰ φύσιν ἔχοντα σφυγμὸν, ἐπὶ ζώου θεωρητέον, ἐν ἠρεμίᾳ καθεστηκότος ἁπασῶν τῶν μεγάλων τε, καὶ ἰσχυρῶν ἀλλοιώσεων. ἰσχυρὰ δὲ ἀλλοίωσις ἡ ἐκ θυμοῦ, καὶ γυμνασίου, καὶ οἴνου, οὐκ οὖν τοῦτον εἶναι τὸν κατὰ φύσιν, ἀλλ' ὡς ἂν ἐρρωμένης τε ἅμα τῆς φύσεως, καὶ πρὸς μηδενὸς τῶν ἔξωθεν αἰτίων βιαίως ταραττομένης γίνεται. οὕτως δὲ πῶς μὲν εἶναι μέσον, πῶς δὲ οὐκ εἶναι, τὸν κατὰ φύσιν ἐν τούτῳ τῷ γένει σφυγμόν. καθόσον μὲν γὰρ αὐτοῦ εἰσί τινες ἕτεροι σφοδρότεροι σφυγμοὶ, καὶ νὴ Δία ἕτεροί γ' ἧττον σφοδροὶ, κατὰ τοσοῦτον μὲν εἶναι μέσον, καθόσον δὲ τριῶν οὐσῶν διαφορῶν ἐν τούτῳ τῷ γένει, σφοδρότητός τε καὶ ἀμυδρότητος, καὶ τῆς ἀμφοῖν μεσότητος, οὐκ ἐκ τῆς μεσότητός ἐστιν, ἀλλὰ ἐκ μιᾶς τῶν ἀκροτάτων, κατὰ τοσοῦτον οὐκ ἔτι εἶναι μέσον. ὅλον οὖν τὸ λοιπὸν οἶμαι περὶ αὐτοῦ, καλῶς ἂν ἅμα καὶ ἀληθῶς ῥηθῆναι, τὸν κατὰ φύσιν ἐν τούτῳ τῷ γένει σφυγμὸν, μέσον ἐν θατέρῳ τῶν ἄκρων εὑρίσκεσθαι διαφορῶν. εἰσὶ δ' οἳ καὶ πρὸς τοῦτ' ἀντιλέγουσιν, οὐ γίνεσθαι σφοδροὺς ἐν τοῖς εἰρημένοις καιροῖς τοὺς σφυγμοὺς, ἀλλὰ φαίνεσθαι φάσκοντες, ἐξαπατᾶσθαι δὲ τοὺς ἀμελέστερον ἁπτομένους, ὑπὸ τοῦ προσγινομένου τάχους αὐτοῖς, καὶ μεγέθους, ἔστι δ' ὅτε, καὶ ὕψους, ὥσπερ ἐν τοῖς θυμοῖς· δῆλον δὲ, ὡς τῆς τοιαύτης διαφωνίας ἡ κρίσις, εἰς τὴν διάγνωσιν ἀναφέρεται. τίς οὖν ἡ ἀληθὴς διάγνωσις, χρὴ γὰρ ἀποφήνασθαι τὸ φαινόμενον ἡμῖν. ἐπὶ μὲν ταῖς τῶν οἴνων πόσεσι, ταῖς γοῦν μετρίαις, οἱ σφυγμοὶ σαφῶς, ὥσπερ μείζους καὶ θάττους, οὕτω καὶ σφοδρότεροι γίνονται. ἐπὶ μέντοι τοῖς θυμοῖς τε, καὶ τοῖς μετρίοις γυμνασίοις, οὐκ ἔθ' ὁμοίως σαφῶς, ἀλλ' εἰ ἄρα καὶ προσγίνεταί τι σφοδρότητος αὐτοῖς, ὀλίγον τοῦτο, καὶ δυσδιάγνωστόν ἐστιν. ὅπως δ' ἂν ἔχοι τὸ ἀληθὲς, οὐδὲν κωλυόμεθα περαίνειν τὸ προκείμενον, αὐτὸ τοῦτο μόνον ζητοῦντες, εἰ μέγεθος καὶ τάχος σφυγμῶν οἰκεῖα δυνάμεως ἐρρωμένης, ὅπερ εἶναι φαίνεται, τοῖς μὴ παρέργως σκοπουμένοις, ἐξ αὐτῆς τῶν πραγμάτων τῆς φύσεως. ὡμολογημένου γὰρ τοῦ διαστέλλεσθαι τὰς ἀρτηρίας ὑπὸ δυνάμεως, εὔλογον ἐπὶ πλέον ἐξαίρειν μὲν αὐτὰς τὴν ἰσχυρὰν, ἐπ' ὀλίγον δὲ τὴν ἀσθενῆ, καὶ θᾶττον μὲν τὴν ἰσχυρὰν, βραδύτερον δὲ τὴν ἀσθενῆ, ὥσπερ οὖν ἐφ' ἡμῶν αὐτῶν ἔχει, βαδιζόντων τε καὶ θεόντων, καὶ ἐρεσσόντων, καὶ σκαπτόντων, καὶ ὁτιοῦν ἄλλο δρώντων. ὁ γὰρ ἰσχυρότερος ἐν τούτοις, οὐ μείζονα μόνον, ἀλλὰ καὶ θάττονα τὴν ἐνέργειαν ἐπιδείκνυται, τῶν γ' ἄλλων ὡσαύτως ἀμφοτέροις ἐχόντων. εἰ γὰρ ὁ μὲν ἀσθενέστερος ἐπείγοιτο πρὸς τῆς χρείας ἐς τὴν ἐνέργειαν, ὁ δ' ἰσχυρότερος, ἤτοι μηδὲν αὐτῆς ὅλως, ἢ ὡς ἐλαχίστης δέοιτο, θᾶττον ἂν οὕτως ὁ ἀσθενέστερος ἐνεργήσειεν.

ſed dubitent hoc vndequaque ita habere: quorum hæc ſententia eſt, naturalem pulſum in hoc genere fieri quoque ipſum à ſummo, & optimo ſtatu non ſecus, ac alios in omnibus generibus, non ſummum tamen & extremum eſſe, ſed eſſe ex non naturalibus quendam alium hoc vehementiorem. Nam ſingulare quiddam huic pulſuum generi accidiſſe, ac extra ordinem autumant: quo factum eſſe, vt in hæſitationem illi, erroreſque, qui aſſequi illud non poſſent, incurrerint: ſiquidem fieri quidem valente facultate vehementem pulſum, attamen certum eſſe & huius modum vehementiæ, quem ſi prætereat, de natura recedat. Certè quidem in ira dicunt, ſubindeque in exercitationibus, atque potionibus vini, vehementius offendi, ac natura poſtulat, motas arterias: at hoc inter omnes conuenire, naturaliter pulſum ad vnguem comparatum, in animante eſſe ſpectandum, in quiete poſito omnium magnarum, ac validarum alterationum, validam autem alterationem ira, exercitatio, vinum concitant: quare non nunc eſſe naturalem, ſed qui valente natura ſimul, & per extraneam cauſam, quæ violenta ſit nullam, commota fiat, itaque quadam ratione eſſe medium, quadam non eſſe naturalem in hoc genere pulſum. Quatenus eo enim alij quidam ſunt vehementiores pulſus, & verò alij minus vehementes, hactenus eſſe medium: quatenus autem, quum tres ſunt huius generis differentiæ, vehementia, imbecillitas, & vtriuſque medium, non ex medio eſt, ſed vna de ſummis, hactenus medium non eſſe, omnino ergo eſſe reliquum, rectè de illo pariter, ac verè dictum eſſe, naturalem pulſum huius generis, medium locum in altera extrema differentia obtinere. Sunt, qui hoc impugnent etiam, qui aiunt vehementes pulſus non fieri iis temporibus, quæ commemorata ſunt, ſed videri fieri; falli autem illos, qui negligentius tangunt, à celeritate cum iis coniuncta, & magnitudine, atque interim etiam altitudine: vt fit in ira. At huius controuerſiæ conſtat iudicium ad dignotionem pertinere. Quæ eſt ergo vera dignotio? Dicendum eſt enim quod perſpicimus: vino potato, modicè certè pulſus apertè quum maiores, & celeriores, tum vehementiores euadunt, in ira verò, & in modicis exercitationibus, non perinde apertè. Imò ſi quid illis accedat vehementiæ, id adeò eſt minutum, vt animaduerti ægrè poſſit. Vtcunque ſit, quin, quod in manibus habemus, conficiamus, nihil cauſæ eſt, hoc ſi tantum quæramus: an magnitudo, celeritáſque pulſuum pertineant ad robuſtam facultatem: quod eſſe his videtur, qui ſumma cura æſtimant ex ipſa rerum natura. Quando enim in confeſſo eſt diſtendi à facultate arterias, plus eas probabile eſt validam attollere, & infirmam parum: celerius item validam, tardius infirmam: quod quidem vel in nobis ipſis conſpicitur, quum ambulamus, currimus, metimus, fodimus, denique quicquid agimus. Nam in his, qui fortior eſt, non maiorem modò, ſed & celeriorem operam præſtat, ſiquidem alia vtrique paria ſint, quòd ſi infirmiorem ad opus neceſſitas vrgeat, fortior autem, aut planè eo nihil indigeat, aut quàm pauciſſimo, celerius ſic imbecillior aget.

Sed

Sed inepta ista est comparatio, imò, si, vt ante est dictum, alia vtrique paria sint, & vnum tantummodo quodque, quod quoque loco in disquisitionem venit commutetur. Vt si imminentibus latronibus fugiendum sit, profectò non paria conficient spacia, nec æquali velocitate current iuuenis valens, atque imbecillus senex. Quòd si tamen motum senis, qui inuasionem timet latronum, ad iuuenis motum conferas, qui segniter in vrbe obambulat, velocior sic, atque maior tibi senis videatur, non quo celerius moueri iuuene possit, vel magis artus transferre, cæterùm quòd motu indigeat concitatiore ob metum, à quo compulsus omnes vires accommodat ad opus. Iuuenis viribus est quidem robustioribus, sed ad opus eas non requirit, nam si opus ipsi, vt seni, sit, hoc celerius aget, atque magis, quo vires illi sunt melius comparatæ. Quamobrem accusare hîc operæpretium est tum Archigenem, tum Magnum; tamen longè Archigenem magis: nam Magnus quidem, etsi non vndequaque verum, certè aliqua ex parte, animaduertit. Archigenes verò, quum quod desiderabatur, deberet addere, etiam quod rectè esset inuentum, studet labefactare, qui ita scribit, æquum est enim vt abscribam ipsa verba: *Nam infantes paruum prorsus pulsum habent, nec vehementem, tum mirè crebrum & celerem.* Magnus eum negat esse celerem, in perpetuum constituere volens hoc, non proprium imbecillitati celerem pulsum esse, sed crebrum; sunt enim imbecilli illi. Ac paulò inferius Archigenes, *Mihi quidem non in robore*, inquit, *videtur celeritas posita esse, quum in cholericis reperiam, & cardiacis arteriarum contractum motum.* Hæc Archigenis verba sunt, multum quidem probabilia, quæ facilè auditorem circumueniant, vtpote ex lemmatibus collecta, quæ vulgus medicorum comprobat, siquidem in hac sententia sunt penè omnes, cholericorum & cardiacorum celerem pulsum esse. Nos verò satis in primo libro De pulsibus dignoscendis diximus de celeritate, & tarditate: vbi alium monstrauimus celerem esse, alium non diuturnum pulsum, itidem de tarditate, non eundem tardum esse, atque diuturnum. Nihil est igitur, quòd eadem hic repetamus, sed conclusione duntaxat commemorata, in illis affectibus non diuturnum quidem pulsum esse, tamen non celerem, tum ad institutum est redeundum. Iam enim Archigeni nihil efficietur, quum negatum sit pulsus in cholericis, cardiacisque affectibus esse celeres. Et quidem (vt hoc concessum sit) non fuerit facultatis roboris certum signum celeritas, sed familiare illi quin sit, nihil obstat: quandoquidem iam satis apertè declarauimus, quosdam necessariò pulsus consequi continentes causas, aliquos esse illis familiares, necessariò coniunctos non esse. Nam quorum pulsuum postulat generatio vnam causam, hanc perpetuò illi comitabuntur, & hercle indicium erunt causæ fidelissimum, vt vehemens valentis facultatis, languidus infirmæ, at quorum, nisi plures concurrant causæ, constitui generatio nequeat, hos familiares esse causis dicemus, non autem significare certam ex illis aliquam. Eodem modo, si ex vna aliquando causa pulsus proficiscatur,

A ἀλλ' οὐ χρὴ κατὰ τοῦτον τὸν τρόπον παραβάλλειν, ἀλλ' ὡς καὶ πρόσθεν ἐρρέθη, τῶν μὲν ἄλλων ἁπάντων ὁμοίως ἀμφοῖν ὑπαρχόντων, καθ' ἓν δ' ὁποιονοῦν μόνον ὅπερ ἂν ἑκάστοτε τύχῃ ζητούμενον, τῆς παραλλαγῆς γινομένης. οὐδὲ γὰρ εἰ καὶ λῃστῶν ἐπιόντων, φεύγειν δέοιτο, οὐκ ἴσα δήπουθεν διαβαίνοντες. οὐδ' ἐν ὁμοίῳ τῷ τάχει δραμοῦνται νεανίσκος ἰσχυρὸς, καὶ γέρων ἀσθενής. εἰ μέντοι παραβάλλοις κίνησιν γέροντος, ἔφοδον λῃστῶν δεδιότος, νεανίσκου κινήσει ῥαθύμως ἐν ἄστει βαδίζοντος, ὠκυτέρα τε καὶ μείζων οὕτως ἡ τοῦ γέροντος φανεῖταί σοι, οὐχ ὅτι δύναται θᾶττον κινεῖσθαι τοῦ νέου, καὶ μᾶλλον τὰ κῶλα μεταφέρειν, ἀλλ' ὅτι δεῖται κινήσεως ἠπειγμένης, διὰ τὸν φόβον
B ὑφ' οὗ καταναγκαζόμενος, ἁπάσῃ χρῆται πρὸς τὸ ἔργον τῇ δυνάμει. τῷ νεανίσκῳ δὲ τὰ μὲν τῆς δυνάμεως ῥωμαλεώτερα, ἀλλ' οὐδὲν αὐτῆς δεῖται πρὸς τὴν ἐνέργειαν, ὡς εἴ γε δεηθείη παραπλησίως τῷ γέροντι, τοσούτῳ θᾶττόν τε καὶ μᾶλλον ἐνεργήσει, ὅσῳ καὶ τὰ τῆς δυνάμεως αὐτῷ βελτίω. ἄξιον οὖν ἐνταῦθα μέμψασθαι καὶ Ἀρχιγένει, καὶ Μάγνῳ. καὶ πολύ γε μειζόνως τῷ Ἀρχιγένει. ὁ μὲν γὰρ, εἰ καὶ μὴ πᾶν τὸ ἀληθὲς, ἀλλὰ μέρος τι καλῶς κατεῖδεν. ὁ δ' Ἀρχιγένης, δέον τὸ λοιπὸν προσθεῖναι, καὶ τὸ καλῶς εὑρημένον ἀνατρέπειν πει-
C ρᾶται, γράφων ὧδε. δίκαιον γὰρ αὐτὴν παραθέσθαι τὴν λέξιν. ἐπὶ μὲν οὖν τῶν βρεφῶν μικρὸς παντελῶς ὁ σφυγμός ἐστι, καὶ οὐ σφοδρὸς, καὶ πυκνὸς ἄγαν, καὶ ταχύς. Μάγνος δὲ οὐκ εἶναι ταχὺν αὐτόν φησι, δι' ὅλου συστῆσαι βουλόμενος, τὸ μὴ οἰκεῖον ἀσθενείᾳ τὸν ταχὺν σφυγμὸν εἶναι, ἀλλὰ τὸν πυκνόν. ἔστι γὰρ καὶ τὰ τηλικαῦτα ἀσθενῆ, καὶ μικρὸν ὁ Ἀρχιγένης προσελθὼν, ἐμοὶ μὲν, οὐ κατὰ τὴν ἰσχὺν, φησὶ, τὸ τάχος δοκεῖ κεῖσθαι, ὅταν εὕρω ἐπὶ χολερικῶν, καὶ ἐπὶ καρδιακῶν, συνῃρημένην τὴν κίνησιν τῶν ἀρτηριῶν. ἡ μὲν οὖν λέξις ἡ τοῦ Ἀρχιγένους τοιάδε, πιθανὴ πάνυ, καὶ παρακρούσασθαι ῥᾳδίως
D δυναμένη τὸν ἀκροατὴν, ὡς ἂν ἐξ ὧν οἱ πολλοὶ τῶν ἰατρῶν ἐπιδιδόασι λημμάτων συλλογιζομένη. πάντες γὰρ ὀλίγου δεῖν ὁμολογοῦσι, τὸν ἐπὶ τῶν χολερικῶν τε καὶ καρδιακῶν σφυγμὸν ταχὺν ὑπάρχειν. ὑφ' ἡμῶν δ' ἱκανῶς ἐν τῷ πρώτῳ περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν, εἴρηται περὶ τάχους τε καὶ βραδύτητος, ἕτερον μὲν δεικνύντων τὸν ταχὺν, ἕτερον δὲ τὸν ὀλιγοχρόνιον σφυγμόν. ὡσαύτως δὲ καὶ περὶ τῆς βραδύτητος, ἕτερον μὲν τὸν βραδὺν, ἕτερον δὲ τὸν πολυχρόνιον, οὔκουν ἔτι περὶ τῶν αὐτῶν ἐνταῦθα λέγειν προσήκει. ἀλλὰ τοῦ συμπεράσματος μόνου μνημονεύσαντας, ὡς ἐν τοῖς προειρημένοις
E πάθεσιν οἱ σφυγμοὶ, βραχυχρόνιοι μὲν εἰσιν, οὐ μὴν καὶ ταχεῖς, οὕτως ἐπὶ τὸ προκείμενον, ἐπανιέναι. περανθήσεται γὰρ οὐδὲν ἔτι τῷ Ἀρχιγένει, μὴ συγχωρηθέντων τῶν ἐν τοῖς χολερικοῖς, καὶ καρδιακοῖς πάθεσι σφυγμῶν ταχέων ὑπάρχειν. καίτοι κἂν εἰ τοῦτο συνεχωρεῖτο, σημεῖον μὲν ἀσφαλὲς οὐκ ἐγίνετο ῥώμης δυνάμεως τὸ τάχος, οἰκεῖον δ' αὐτῆς ὑπάρχειν οὐκ ἐκωλύετο, διωρισμένου γε ἤδη σαφῶς πρὸς ἡμῶν, ὡς τινὲς μὲν ἐξ ἀνάγκης ἕπονται σφυγμοὶ ταῖς συνεκτικαῖς αἰτίαις, τινὲς δ' οἰκεῖοι μὲν εἰσιν αὐταῖς, οὐ μὴν ἀναγκαίως ἀκολουθοῦσι. ὧν μὲν γὰρ σφυγμῶν μιᾶς αἰτίας ἡ γένεσις χρήζει, ταύτῃ
F διὰ παντὸς ἀκολουθήσουσιν οὗτοι. καὶ σημεῖον γὰρ ἄκρον ἔσονται τῆς αἰτίας, ὡς σφοδρὸς μὲν τῆς ἐρρωμένης δυνάμεως, ὁ δ' ἀμυδρὸς τῆς ἀρρώστου. ὧν δ' εἰ μὴ πλείους συνέλθοιεν αἰτίαι, οὐχ οἷόν τε τὴν γένεσιν συστῆναι, τούτους οἰκείους μὲν εἶναι ταῖς αἰτίαις ἐροῦμεν, οὐ μὴν καὶ δηλοῦν τινα ἐξ ἀνάγκης αὐτῶν μίαν. ὡσαύτως δ' εἰ καὶ πρὸς μιᾶς αἰτίας γίγνοιτό ποτε σφυγμὸς,

ἀλλὰ μὴ τῆς αὐτῆς διὰ παντὸς οἰκεῖος μὲν ἔσται πάσαις ταῖς ποιούσαις αἰτίαις, οὐ μὴν δηλώσει γε βεβαίως αὐτῶν οὐδεμίαν. οὐδὲ γὰρ εἰ τάχος σφυγμῶν, ἐξ ἀνάγκης, καὶ ῥώμη δυνάμεως, ἀλλ' ἔστι μὲν ὅτε πλείων ἡ χρεία τῆς γενέσεως τοῦ ψυχικοῦ πνεύματος, ἔστι δ' ὅτε πλεονεξία θερμασίας, ἢ ὀργάνων μαλακότης, ἢ τινὰ τούτων, ἢ πάνθ' ἅμα. κατὰ ταῦτα δὲ, καὶ εἰ μέγεθος σφυγμῶν, ἤτοι ῥώμη δυνάμεως, ἢ δαπάνη πλείων ψυχικοῦ πνεύματος, ἢ πλεονεξία τῆς ἐν τῇ καρδίᾳ θερμασίας, ἢ ὀργάνων μαλακότης, ἢ τινὰ τούτων, ἢ καὶ πάντα. Μάγνος μὲν οὖν, φήσας οἰκεῖον μὲν εἶναι δυνάμεως ἐρρωμένης τὸ τάχος, οὐδὲν ἁμαρτάνει. γίνεται γάρ ποτε, καὶ διὰ ταύτην ὠκύτερος ὁ σφυγμός. Ἀρχιγένης δ', ἁμαρτάνων ἀντιλέγει. πρῶτον μὲν, ὅτι καταψεύδεται τοῦ φαινομένου, τοὺς ὀλιγοχρονίους σφυγμοὺς πάντας ταχεῖς εἶναι νομίζων. ἔπειτα δ', ὅτι κἂν ταχεῖς ὦσιν, οἴεται συμβαίνειν τὸ μηδαμῶς οἰκείους αὐτοὺς ὑπάρχειν ἐρρωμένης δυνάμεως, φανερῶς ψεῦδος ὄν. οὐδὲ γὰρ, ὡς οὐδέποτε γίνονται σφυγμοὶ ταχεῖς δι' εὐρωστίαν δυνάμεως, ἀλλ' ὡς οὐ διὰ παντὸς ὑπ' ἐκείνης μόνης, συμβαίνοιτ' ἄν, εἰ καὶ τοὺς προειρημένους σφυγμοὺς ταχεῖς εἶναι συγχωρήσαιμεν. εἰ δ' οὐκ οἰκείους μόνης ἐρρωμένης δυνάμεως τοὺς ταχεῖς σφυγμοὺς ὁ Μάγνος ἐνόμιζεν, ἀλλ' ὡς καὶ σημείοις ἐχρῆτο διὰ παντὸς, ἐσφάλλετο. οὐ γὰρ εἰ τάχος σφυγμῶν, ἤδη καὶ ῥώμη δυνάμεως, ἀλλ' ὡς εἴρηται πρόσθεν, ἤτοι τῆς χρείας ἐπειγούσης, ἢ τῶν ὀργάνων μαλακωτέρων γινομένων, θᾶττον αἱ ἀρτηρίαι κινοῦνται, πότ' οὖν ἕπεται ῥώμῃ δυνάμεως τὸ τάχος, καὶ πότε πλήθει θερμασίας, ἢ δαπάνῃ ψυχικοῦ πνεύματος, ἢ ὀργάνων μαλακότητι, βέλτιον ἦν εἰπόντα τὸν Ἀρχιγένην προσθεῖναι τῷ τοῦ Μάγνου λόγῳ. τέλεος γὰρ ἂν οὕτως ἐγένετο, καὶ διαρκὴς εἰς ἁπάσας τὰς διαγνώσεις. ἐπεὶ τοίνυν ἐκεῖνος αὐτὸ παρέλιπε, καί τι πρόσθεν ὑφ' Ἡροφίλου κεκινημένον, ἡμεῖς οἷς καλῶς ὅ,τε Μάγνος ἔγραψε, καὶ ἔτι μᾶλλον ὁ Ἡρόφιλος, τὸ λοιπὸν προσθέντες, τελείαν τὴν διδασκαλίαν τῆς διαγνώσεως τῶν τὸ τάχος ἐργαζομένων αἰτιῶν ποιησόμεθα. πρότερον δ' ὑπομνῆσαι χρὴ, τῶν ἐν τῷ δευτέρῳ περὶ διαγνώσεως σφυγμῶν εἰρημένων, ἵνα τοῖς σημαινομένοις ὑπὸ τῶν ὀνομάτων ἑπόμενοι, μηδὲν παρακούωμεν ἐν τῷ λόγῳ. ταχεῖς γὰρ δὴ λέγομεν εἶναι τοὺς σφυγμοὺς, ὡσαύτως δὲ καὶ βραδεῖς, οὐ τοῖς νοσοῦσι μόνον, ἀλλὰ καὶ τῶν ὑγιαινόντων, ἔστιν οἷς, καὶ φύσει γε τοῦτο αὐτοῖς ὑπάρχειν φαμὲν, ὥσπερ οὖν ἑτέροις, οἳ ἂν ἄριστα τῆς κατασκευῆς τοῦ σώματος ἔχωσιν, οὔτε βραδεῖς οὔτ' ὠκεῖς, ἀλλὰ συμμέτρους ὑπάρχειν φύσει τοὺς σφυγμούς. τοῖς δ' αὐτοῖς τούτοις, οὐδὲ μεγάλους, οὐδὲ μικροὺς, ἀλλὰ τοὺς μέσους ἀμφοῖν τοὺς συμμέτρους, οὐδὲ πυκνοὺς, ἢ ἀραιοὺς, ἀλλὰ καὶ τοὺς ἐν τούτῳ γένει συμμέτρους. ἐπὶ τούτου τοίνυν πρότερον, τοῦ τὴν ἀρίστην κατασκευὴν ἔχοντος, ὁ λόγος περαινέσθω. καὶ γὰρ δὴ οἷον κανών τις, καὶ μέτρον ὁ τοιοῦτος ἁπάντων ἐστὶ τῶν ἄλλων ἀνθρώπων. μεγάλους γὰρ, καὶ μικροὺς, καὶ ταχεῖς, καὶ βραδεῖς, καὶ τοὺς ἀνάλογον τούτοις ὀνομαζομένους καθ' ἕκαστον γένος σφυγμοὺς, τοὺς τὰς ὑπερβολὰς δηλοῦντας, οὐ πρὸς ἄλλον τινὰ, ἢ τοῦτον ἀναφέροντες ὀνομάζομεν. ὁ δὴ τοιοῦτος ἄνθρωπος εἰ θερμότερος ἑαυτοῦ γένοιτο, καὶ τοῦτο μόνον ἀλλοιωθείη, τὴν μὲν σφοδρότητα τῶν σφυγμῶν οὐκ ἂν ὑπαλλάξειεν, ἀλλ' οὐδὲ τὸ κατὰ σκληρότητα, ἢ μαλακότητα γένος, εἰς μέγεθος μέντοι,

A sed non ab eadem perpetuò, familiaris quidem omnibus causis erit, quæ efficiunt eum, constanter verò ex illis indicabit nullam. Neque si celeritas sit pulsuum, statim robur quoque necessariò facultatis erit, imò est, quum maior sit vsus generationis animalis spiritus, & est quum caloris sit copia, vel instrumentorum, mollities, vel horum quædam, vel omnia simul. Haud aliter, si magnitudo sit pulsuum, erit vel robur facultatis, vel impendium animalis spiritus maius, vel calor in corde abundantior, vel instrumentorum mollities, vel quædam horum, vel etiam vniuersa. B Itaque Magnus, qui familiarem esse celeritatem dixit facultati validæ, nihil peccat: siquidem est quum velocior huius occasione pulsus fiat. Archigenes verò, qui eum oppugnat, errat primum, quòd in eo mentiatur, quod perspicuum est, qui omnes ducat non diuturnos pulsus esse celeres, deinde quòd si sint celeres, hoc existimat consequi, haudquaquam validæ facultati eos familiares esse, id quod planè falsum est. Neque enim quin pulsus celeres aliquando à robore facultatis proficiscantur, verùm quòd ab illo non semper solo, consequetur vt illos, quos diximus, C pulsus fateamur celeres esse. Quòd si existimauit non familiares esse tantum valenti facultati Magnus pulsus celeres, sed etiam, vt signis semper est vsus, lapsus est, etenim non si celeritas est pulsuum, continuò robur etiam est facultatis, imò verò (vt supra diximus) si vel vsus vrgeat, vel sint molliora instrumenta, velocius arteriæ mouentur. Omninò quando robur facultatis sequitur celeritas, & quando caloris copiam, aut exhaustum animalem spiritum, aut mollitiem instrumentorum, melius fecisset Archigenes, si Magni sermoni inuestigatum D adiunxisset: ita enim absolutus sit, satisque ad omnes dignotiones. Quod ille quando præteriit, etsi prius ab Herophilo motum, nos quibus bene Magnus, & melius etiam Herophilus scripsit, residuum addemus, ac doctrinam dignoscendarum, quæ celeritatem, efficiunt, causarum omnibus suis numeris absoluemus. Prius tamen faciendum mihi est, vt illorum admoneam, quæ in secundo De pulsibus dignoscendis libro docuimus, quo significationes assequentes horum nominum, nihil secus in sermone accipiamus. Celeres dicimus pulsus, itemque tardos non ægrotis mo-E dò, verùm etiam valentibus nonnullis, quod naturaliter quidem iis inesse dicimus, quemadmodum etiam alios, quibus comparatum optimè corpus est, nec tardos, nec citatos, sed moderatos natura habere pulsus, eosdemque, nec magnos, nec paruos, sed medios inter vtrosque moderatos, neque item crebros, vel raros, sed & in hoc genere moderatos. Atque de hoc, qui corpore optimè est constituto, priore loco dicamus, vt qui regula sit, & modus cæterorum omnium hominum, magnos enim & paruos pulsus, celeres, tardos, de-F nique qui ad hunc modum singulis in generibus appellantur, ac excessus denotant, ad nullum alium quenquam, præter hunc, quum illos nominamus referimus. Hic ergo homo si calidior solito euaserit, atque hac re fit tantum alteratus, vehementiam is pulsuum non immutauerit, imò nec duritiei, & mollitiei genus, at in magnitudinem,

& celeritatem vertet: interim etiam in crebritatem, provt magis, vel minus calor increuerit. Paulo enim si quàm solet, factus calidior sit, manifestò pulsus habebit maiores, verumtamen non celeriores apertè. Quòd si amplius illi calor increuerit, vnà cum illo magnitudo pulsuum proportione augebitur: ad hæc elucebit celeritas. At si calor plurimum auctus sit, maximi erunt pulsus, celerrimi verò nondum, sed vt antea tradidimus, tum demum, vbi maximam excesserit distentionem, iam tum crebritas quoque clarè animaduertitur. Horum cur ita appareant, rationem partim iam ante explicauimus, partim non magno negotio ex commemoratis inuenias. At si frigidior iusto is homo factus sit, primum raritas perspicua erit, deinde tarditas, postremo paruitas. Putauerit aliquis hæc euidentia euenta, & inter se, & cum positis causis pugnare, par esse enim vt quemadmodum in calore prima erat magnitudo, celeritas altera, crebritas tertia, & in frigiditate item prima paruitas, secunda tarditas, tertia raritas sit. Ergo quæ ratio est explicandi huius modi? Quòd quum valida facultas est, etsi paulò minor sit vsus, primam actionem nec paruam necesse est, nec tardam esse: alteram verò multo post, si vsus non flagitet, verisimile est fore. Vt enim quum vrgebat, facultatem stimulabat, & excitabat ad officium, ita etiam quietem longissimam concedit, vbi non vrgeat. Iam si maior refrigeratio sit, eoque vsus sit magnopere remissus, vnà elanguescet celeritas motus, atque minor statim erit distentio. Si plurimum progressa refrigeratio sit, rarissimi quidem, sed non tardissimi tamen, & minimi, necesse erit, vt sint pulsus. Sed sat est, si tardiores semper, & minores fiant natiuis, exactè quidem certè tardi, vel parui, si valida facultas sit, quamuis multum sit vsus remissus, nunquam fiant. Eadem cæteris actionibus videas vsui venire, vt ambulationi aucta necessitate, id est si multa singulis diebus sint stadia conficienda, velocius, & magis progredimur, nec in diuersoriis diu commoramur. Sin adeò sit imminuta, vt singulis diebus habeamus quina dena stadia, verbi gratia, duntaxat perficienda, diutissimè subsistimus in diuersoriis, attamen non ad extremam tarditatem, & paruitatem actionem remittimus. Eadem in respiratione ratio est, de qua latè egimus in commentariis De dyspnœa.

A καὶ τάχος ὑπαλλάξει πάντως, ἔστι δ' ὅτε καὶ εἰς πυκνότητα περὶ τὸ μᾶλλόν τε καὶ ἧττον, ηὐξῆσθαι τὴν θερμασίαν. ὀλίγῳ μὲν γὰρ ἤν τινι θερμότερος ἑαυτοῦ γένηται, ἐναργῶς μὲν ἕξει μείζους τοὺς σφυγμούς, οὐ μὴν καὶ θάττους ἐναργῶς. εἰ δ' ἐπὶ πλέον αὐτῷ τὸ τῆς θερμασίας αὐξηθείη, συναυξηθήσεται μὲν αὐτῷ, καὶ τὸ τῶν σφυγμῶν μέγεθος ἀνάλογον, ἐπίδηλον δ' ἔσται καὶ τὸ τάχος. ἐπὶ πλεῖστον δ' αὐξηθείσης τῆς θερμασίας, μέγιστοι μὲν οἱ σφυγμοὶ γενήσονται, τάχιστοι δὲ οὐδέπω. ἀλλ' ὡς καὶ πρόσθεν ἐρρέθη τότε πρῶτον, ὅταν ὑπὲρ τὴν μεγίστην αὔξηθῇ διαστολήν. τηνικαῦτα δ' ἤδη, καὶ ἡ πυκνότης ἐναργῶς διαγινώσκεται. τοὺς δὲ

B περὶ τούτων τῶν φαινομένων λογισμούς, τοὺς μὲν ἤδη φθάνομεν εἰρηκέναι, τοὺς δ' οὐ χαλεπὸν ἐκ τῶν εἰρημένων ἀνευρίσκειν. εἰ μέντοι ψυχρότερος ἑαυτοῦ ὁ τοιοῦτος ἄνθρωπος γένοιτο, πρώτη μὲν ἡ ἀραιότης ἐναργῶς φαίνεται, δευτέρα δ' ἡ βραδύτης, τρίτη δ' ἡ μικρότης. καὶ τινὶ τάχ' ἂν δόξειε μάχεσθαι τὰ φαινόμενα, καὶ ἀλλήλοις, καὶ ταῖς ὑποτεθείσαις αἰτίαις. χρῆναι γάρ, ὥσπερ ἐπὶ τῆς θερμασίας, πρῶτον μὲν τὸ μέγεθος, δεύτερον δὲ τὸ τάχος, τρίτην δ' ἡ πυκνότης ἦν, οὕτω καὶ ἐπὶ τῆς ψύξεως, πρώτην μὲν γίνεσθαι τὴν μικρότητα, δευτέραν δὲ τὴν βραδύτητα, τρίτην δὲ τὴν ἀραιότητα. τίς οὖν ἡ λύσις τῆς ἀπορίας; ὅτι τῆς

C δυνάμεως ἐρρωμένης, κἂν τὰ τῆς χρείας ἐλάττω βραχεῖ γένηται, τὴν μὲν πρώτην ἐνέργειαν, οὔτε μικράν, οὔτε βραδεῖαν ἀναγκαῖον γίνεσθαι, τὴν δευτέραν μέντοι, μετὰ πλείονα χρόνον, εἰ τὰ τῆς χρείας μὴ ἐπείγοι εὔλογον ὑπάρξεσθαι. ὡς γὰρ καὶ ὅτ' ἠπείγετο ἐκέντριζέ τε, καὶ ἀνίστη τὴν δύναμιν ἐπὶ τὴν ἐνέργειαν, οὕτως οὖν ὅτ' οὐκ ἐπείγει, μέχρι πλείονος ἡσυχάζειν ἐπιτρέπει. εἰ μέντοι πλείων ἡ ψύξις γένηται, καὶ διὰ τοῦτο τὰ τῆς χρείας ἰσχυρῶς ἐκλυθῇ, συνεκλυθήσεται μὲν οὕτως καὶ τὸ τάχος τῆς κινήσεως. μικροτέρα δ' εὐθὺς ἔσται καὶ ἡ διαστολή. ἐπὶ πλεῖστον δὲ προελθούσης τῆς ψύξεως, ἀραιοτάτους μέν, οὐ μὴν καὶ βραδυτάτους τε, καὶ μικροτάτους ἀνάγκη γίνεσθαι τοὺς σφυγμούς, ἀλλ' ἀρκεῖ βραδυτέ-

D ρους ἀεί, καὶ μικροτέρους τῶν κατὰ φύσιν γίνεσθαι. τελέως γὰρ βραδεῖς, ἢ μικροὶ τῆς δυνάμεως ἐρρωμένης οὐκ ἄν ποτε γένοιντο, κἂν τὰ τῆς χρείας ἰσχυρῶς ἐκλυθῇ. ταῦτα δὲ φαίνεται κἀπὶ τῶν ἄλλων ἐνεργειῶν ὡσαύτως ἔχοντα. αὐτίκα γοῦν ἐπὶ τῆς βαδίσεως, αὐξηθείσης μὲν τῆς χρείας, τοῦτ' ἔστιν εἰ δέοιτο καθ' ἑκάστην ἡμέραν πολλοὺς διανύειν σταδίους, καὶ θᾶττον, καὶ μεῖζον προβαίνομεν, καὶ τὰς ἐν ταῖς καταγωγαῖς διατριβὰς ὀλιγοχρονίους ποιούμεθα. μειωθείσης δ' εἰς τὸ τοσοῦτον, ὡς εἰ τύχοι, πεντεκαίδεκα μόνους αὐτὴν δεῖ ἑκάστης ἡμέρας σταδίους, ἐν μὲν ταῖς καταγωγαῖς ἐπὶ πλεῖ-

E στον διατρίβομεν, οὐ μὴν εἰς ἔσχατον βραδύτητός τε, καὶ μικρότητος, ἐκλύομεν τὴν ἐνέργειαν, ὡσαύτως δ' ἔχει κἀπὶ τῆς ἀναπνοῆς. ἀλλὰ περὶ μὲν ταύτης ἐν τοῖς περὶ δυσπνοίας αὐτάρκως εἴρηται.

CAPVT VIII.

Pulsus ab vsu vnà cum facultate profecti, quatuor habent coniugationes.

AD pulsus redeamus ac repetamus, quando aut per solum calorem, aut frigiditatem alterantur, nec causa alia continens à pristina natura desciscat vlla, alteratio eorum talis necessariò existet, qualem diximus. At vbi non modò vsus, verùm etiam mutatur facultas, quatuor tum in vniuersum differentiæ diuersæ erunt, in quarum singulis moueri arteriæ in hunc modum videntur. In debiliore pariter, & calida, si multum ab vtraque

ΚΕΦΑΛΑΙΟΝ Η.

Τοὺς σφυγμοὺς ἀπὸ τῆς τε χρείας, καὶ δυνάμεως γινομένους τέτταρας εἶναι συζυγίας.

ΠΕρὶ δὲ τῶν σφυγμῶν αὖθις ἀναλαβόντες εἴπωμεν, ὡς ἐπειδὰν μέν, ἢ διὰ θερμασίαν μόνην, ἢ διὰ ψύξιν ἀλλοιῶνται,

F μηδενὸς τῶν ἄλλων αἰτίων τῶν συνεκτικῶν, ἀρχαίας φύσεως ἐξισταμένων, ἀνάγκη τὴν ἀλλοίωσιν αὐτῶν οἵαν εἴρηκα μὲν γίνεσθαι. ἐπειδὰν δὲ μὴ μόνον τὰ τῆς χρείας, ἀλλ' ἤδη καὶ τὰ τῆς δυνάμεως ὑπαλλάττηται, τέσσαρες μὲν οὕτως ἅπασαι συζυγίαι διάφοροι γίνονται. καθ' ἑκάστην δ' αὐτῶν ὧδέ πως αἱ ἀρτηρίαι φαίνονται κινούμεναι, κατὰ μὲν τὴν ἀρρωστοτέραν ἅμα καὶ θερμήν, εἰ μὲν ἐπὶ πλέον ὑπ' ἀμφ-

φοτέρων τῶν αἰτιῶν δυναστεύοιτο, ἥ τε δύναμις ἱκανῶς ἄῤῥωστος εἴη, καὶ ὁ θερμὸν πυρῶδες, μικροὶ καὶ βραδεῖς οἱ σφυγμοὶ, καὶ πυκνότατοι γίνονται. μετρίας δ᾽ οὔσης τῆς βλάβης, πυκνοὶ μὲν ὁμοίως, σύμμετροι δὲ κατὰ τὴν διάστασιν, καὶ τὴν κίνησιν. τί δή ποτε πυκνοὶ μὲν ὁμοίως, μικροὶ δ᾽ οὐκ ἔθ᾽ ὁμοίως, οὔτε βραδεῖς; ὅτι τῆς ἐσχάτης πυκνότητος οὐδὲν ἐστι πυκνότερον, ἣν ὁμοίως ἔχουσιν ἀμφότεροι. εἰ δέ γε καὶ ταύτης δυνατὸν ἦν ἑτέραν γενέσθαι πυκνοτέραν, εἶχον ἂν πάντως αὐτὴν οἱ ἀσθενέστατοι, ὅσοι ἐπί γε τῷ μηδέπω τὴν χρείαν πληροῦν. διὰ τί δ᾽ ἐπὶ ταῖς μετρίαις βλάβαις, τῆς τε δυνάμεως ἅμα, καὶ τῆς θερμασίας οἱ σφυγμοὶ πυκνοὶ μὲν γίνονται, μικροὶ δ᾽ οὐκ ἔτι, οὐδὲ βραδεῖς, ἀλλὰ σύμμετροι; ἢ ὅτι τῆς δυνάμεως ἀῤῥωστούσης μὲν, οὐ μὴν εἰς τοὔσχατον συντετριμμένης, σύμμετρος διαστολὴ καὶ κίνησις γένοιτ᾽ ἂν ποτὲ, καθάπερ καὶ τῶν ἀσθενεστέρων μὲν ἀνθρώπων, ἐπειγομένων δὲ πρὸς τῆς χρείας ἡ σύμμετρος βάδισις. ὃ γὰρ τοῖς ἰσχυροῖς ἄνευ μεγάλης ἀνάγκης, τοῦτο τοῖς ἀσθενεστέροις ἀναγκαζομένοις γίνεται. τοῖς δ᾽ αὐτοῖς τούτοις, καὶ ὁ συνεχῶς ἐνεργεῖν, ὁπόταν ὑπὸ τῆς χρείας ἐπείγωνταί τε καὶ οἷον βιάζωνται, συμβαίνει. ἀλλ᾽ οὗτοι μὲν εἰ καὶ μόγις, ἀλλ᾽ οὖν πληροῦσί γε τὴν χρείαν. οἱ δ᾽ ἐσχάτως ἀσθενεῖς, κἂν ὅτι μάλιστα προθυμηθῶσιν, ὅσον πλεῖστον δύνανται προσθεῖναι μεγέθους τε, καὶ τάχους, καὶ πυκνότητος ταῖς ἐνεργείαις, οὐδ᾽ οὕτως ἐκπληροῦσι τὴν χρείαν. ὅτι δ᾽ ἀμυδρὸν ἅπαντες ἔχουσιν οἱ ἀσθενεῖς τῇ δυνάμει τὸν σφυγμὸν, ἔμπροσθεν εἴρηται. καὶ εἰς τοσοῦτόν γ᾽ ἀμυδρὸν, εἰς ὅσον καὶ τὰ τῆς δυνάμεως πεπόνθασι. περὶ μὲν δὴ τῆς διὰ πλῆθος θερμασίας, καὶ ἀῤῥωστίας δυνάμεως κακοσφυξίας, ἱκανὰ καὶ ταῦτα. μεταβαίνωμεν δ᾽ ἐπὶ τὴν ἑτέραν συζυγίαν, τὴν ἐξ ἀῤῥωστίας τε καὶ καταψύξεως συγκειμένην. ἐφ᾽ ἧς ἀμυδρὸς μὲν εἰς τοσοῦτον, εἰς ὅσον ἂν καὶ τὰ τῆς δυνάμεως ἔχῃ κακῶς, ὁ σφυγμὸς γίνεται, μικρὸς δὲ, καὶ βραδὺς, ὥσπερ καὶ οἱ ἐπὶ τῆς προτέρας συζυγίας, οὐ μὴν ὁμοίως γ᾽ ἐκείνοις εἰς ἐσχάτην ἀφικνεῖται πυκνότητα. πλὴν εἰ ποθ᾽ ἡ δύναμις ἐσχάτως εἴη κεκμηκυῖα, δῆλον, ὡς σμικρότατος ἐπὶ τῶν τοιούτων ὁ σφυγμὸς ἔσται, καὶ διαλείπων τε, καὶ ἐκλείπων τὰ πολλά. μετρίως μέντοι τῆς δυνάμεως ἀῤῥωστούσης, ἰσχυρᾶς δὲ τῆς κατὰ ψύξεως οὔσης, πυκνὸς οὐδόλως ὁ σφυγμὸς γίνεται, ὡς ἂν πληρουμένης τῆς χρείας αὐτάρκως, καὶ πρὸς τῆς τοιαύτης δυνάμεως. τρίτη δὲ συζυγία σφυγμῶν ἀλλοιώσεως, αὐξανομένης ὁμοῦ θερμασίας τε καὶ δυνάμεως, ἐν ᾗ σφοδρότατοι μὲν καὶ μέγιστοι, τάχιστοι δ᾽ οὐκ ἔθ᾽ ὁμοίως οἱ σφυγμοὶ γίνονται. πυκνότατοι δὲ, τὰ πολλὰ μὲν οὐκ ἐναργῶς, ἔστιν ὅτε μέντοι, καὶ σαφῶς ὑπὲρ τὸ κατὰ φύσιν εἰσί. καὶ γίνεται τοῦτο, ὅταν ἐπὶ πλεῖστον αὐξηθῇ τὰ τῆς θερμασίας. τηνικαῦτα γὰρ, καίτοι μέγιστος ὁ σφυγμὸς γινόμενος, καὶ ταχὺς, ὅμως οὐχ ὑπηρετεῖ τῇ χρείᾳ, διὰ τὸ πλῆθος τῆς θερμασίας. ἡ δὲ λοιπὴ, καὶ τετάρτη συζυγία τῆς κατὰ τοῦτο τὸ γένος τῶν σφυγμῶν ἀλλοιώσεως, ὅταν εἰς ταὐτὸν ἀφίκηται ῥώμη τε δυνάμεως, καὶ θερμασίας ἔνδεια. γίνονται δ᾽ οὗτοι σύμμετροι μὲν τοῖς μεγέθεσι, βραδύτεροι μέντοι καὶ ἱκανῶς ἀραιοὶ, καὶ μάλιστα ὅταν ἐπὶ πλέον ἡ ψύξις κρατῇ. βραχείας γὰρ οὔσης τηνικαῦτα τῆς τῶν σφυγμῶν χρείας, καὶ πάσης πληρουμένης ῥᾳδίως τοῖς μεγέθεσι τῆς διαστολῆς, εὐλόγως ἐπὶ πλεῖστον ἡσυχάζουσιν αἱ ἀρτηρίαι. ὡς γὰρ ὅτ᾽ ἤπειγεν ἡ χρεία συνεχὴς ἡ κίνησις αὐτῶν ἦν, οὕτω νῦν ὅτ᾽ ἐκλύεται, διὰ μακροῦ γίνεται. τὸ μέντοι τῆς διαστάσεως αὐτῶν ποσὸν, οὐ κωλύεται σαφῶς, οὐδ᾽ ἐναργῶς, διὰ τὴν ῥώμην τῆς δυνάμεως. οὐ μὴν οὐδὲ ἡ βραδύτης ἐπὶ πολὺ κρατεῖ, διὰ τὴν αὐτὴν αἰτίαν.

A causa vincatur, vt magnopere imbecillis sit facultas, & calor igneus, parui, & tardi pulsus creberrimique fiunt: sin modica noxa sit, æquè fiunt crebri, sed moderati in distentione & motu. Quid autem crebri perinde, non autem ex æquo parui, nec tardi? quoniam nihil extrema crebrius est crebritate vbi similiter habeant ambo. Quod quidem si hac fieri etiam alia frequentior posset, omnino eam imbecillimi haberent hoc quidem nomine, quòd nondum vsum compleant. Quid verò in modicis offensionibus, tum facultatis, tum caloris pulsus frequentes fiunt, B sed nequaquam parui, neque etiam tardi, verùm moderati? an quia quum imbecilla facultas sit, non planè tamen deiecta, moderata distentio, & motus nonnunquam fiet, sicut hominibus debilioribus quidem, sed compulsis necessitate, moderata est ambulatio? quod enim robustis citra insignem necessitatem accidit, eo compelluntur imbecilliores. Idem hi hoc habent, vt vbi vsus instet, & veluti compellat, in perpetua sint actione: nihilominus hi tametsi ægrè, at vsum implent. Qui verò planè sunt imbecilli, etiam si maximè contendant quam plurimum possint augere C actionis magnitudinem, celeritatem, crebritatemque, ne sic quidem respondent vsui. Porrò pulsum, quibus debilis est facultas, omnibus languidum esse diximus, antea & tam languidum, quam maximè affecta facultas sit. Atque de pulsu deprauato per caloris copiam, & infirmitatem facultatis hæc sufficiunt. Iam ad alteram coniugationem conferamus, quæ in imbecillitate constat, & refrigeratione, cui pulsus competit quum imbecillus pro offensa quidem facultatis, tum paruus tardusque D sicut pulsus prioris coniugationis, sed non æquè, vt illi ad extremam deuenit crebritatem: præterquam si quando omninò facultas prostrata sit, tunc planè pulsus minimus erit, intermittetque, & deficiet frequenter. At modicè si facultas infirma sit, validaque refrigeratio, creber minimè euadit pulsus, vtique quod satis efficiat, vel eiuscemodi facultas vsui. Tertia est coniugatio pulsuum alterationis, quum simul calor increscit, & facultas, quam vehementissimi pulsus & maximi comitantur, sed non perinde celerrimi, crebertimi verò ferè non E sunt apertè; est tamen, quum perspicuè naturam excedant, id quod accidit, vbi plurimum calor increuit; tunc enim etsi pulsus sit maximus celerrimusque, tamen quæ copia est caloris, non respondet vsui. Reliqua est & quarta alterationis, quæ in hoc incidit genus pulsuum, coniugatio, vbi coierint robur facultatis, & caloris defectus. Hi magnitudine moderata sunt, sed tardiores, & bene rari, maximè vbi præpolleat refrigeratio; nam quum sit paucus tum pulsuum vsus, vniuersumque magnitudo di- F stentionis facilè tueatur, rectè sanè diutissimè quiescunt arteriæ. Etenim, vt quum vsus flagitabat, illarum erat perpetuus motus, ita nunc quum est remissus, longis interuallis fit; tamen ob facultatis robur, distentionis non impeditur apertè, vel dilucidè quantitas. At nec multùm tarditas eadem de causa pollet; siquidem

siquidem valens facultas naturales motionis tuetur modos, etiam si non postulet vsus. Omninò vt manifestè pulsus euadat, magnopere dissolutum oportet vsum esse, frigore admodum superante; plerumque verò distentionis tuetur naturalem quantitatem; aut paulùm, neque id admodum perspicuò imminuitur. Cæterùm multo tardior, quam minor, in refrigerationibus apparet, perinde atque illi qui iter faciunt, quum non opus sit concitato motu; hi enim minus de magnitudine gressus, quam de celeritate, detrahunt; quòd si quando festinato opus sit, plus ad magnitudinem addunt, quàm ad celeritatem. Hìc ne malè hæc accipiamus, & quolibet in statu ducamus variationem magnitudinis, & paruitatis mutationem superare celeritatis, & tarditatis, animo etiam atque etiam opus est attento; neque enim perpetuò præstat, cæterùm promptior est, itaque prior; nam à moderato conuersionem ad magnitudinem, & paruitatem procliuius videas fieri hac, quæ ad celeritatem, tarditatemque. Attamen, si quum ad insignem magnitudinem mutatio peruenit, adhuc fiat vt crescat calor, celeritas tum affatim extenditur; quod sicut diximus priùs, non immeritò accidit: nam ad implendum vsum, satis est cordi si distentionis augeat magnitudinem; neque velocitatem perinde ac illam requirit auctam. Quum verò luculenta iam sit magnitudo, præterea vrgeat vsus, hic tum omne quod desideratur, adiicit celeritas; sin parum sit ea contentum, perpetuos ciet motus, quod perinde est, ac crebros facit. Atque de his hactenus.

CAPVT IX.

Pulsuum causæ ex differentiis instrumentorum.

Transeamus iam ad instrumentorum differentias, ac inspiciamus primùm peculiares vtriusque earum pulsus; deinde aliarum etiam causarum immutationes, vti fecimus paulò ante. Quòd igitur, quum durius solito, vel mollius euaserit corpus arteriæ, ipsos pulsus id ibi simul reddat, vel duros, vel molles, ante explicatum est; nec quærit hoc longiorem probationem quum id omnia perspicua euenta approbent, ferientis naturæ respondere qualitatem ictus. Quòd verò mollitiei instrumentorum familiaris sit magnitudo, paruitasque duritiei, quanquam de his antea verba fecimus, tamen quia ita fluit series orationis, etiam hoc loco exponemus. Molle instrumentum, quoniam promptè extenditur in omnem partem, facilè distenditur; durum non absque magno negotio. Iam comes est promptitudinis distentionis magnitudo; renisus & contumaciæ, paruitas. Itemque celeritas prioris, tarditas alterius generis est comes; non tamen ex æquo, ac magnitudo, & paruitas. Paulò enim celerior pulsus est ex mollitie profectus instrumentorum, pulsu quem creat duritIes; maior permulto. Quia corporis arteriæ membranositas, quamuis durior interim sit, ad celeritatem quandam motus parata est, & facilis; ad magnitudinem verò distentionis omnium ineptissima; nam opus est, vt in omnem partem extendatur facilè quod maximam distentionem sit effecturum; huiusmodi molle est. Quumque à natura longissimè, aut ad mollitiem,

ἐρρωμένη γὰρ ἡ δύναμις σώζεται τὰ κατὰ φύσιν τῆς κινήσεως μέτρα, κἂν ἡ χρεία μὴ καλῇ. μεγάλως μὲν γὰρ δεῖ τὴν χρείαν ἐκλυθῆναι τῆς ψύξεως ἰσχυρῶς κρατούσης, ἵν᾽ ὁ σφυγμὸς ἐναργῶς γένηται μικρότερος. ὡς τὰ πολλὰ δὲ τὴν κατὰ φύσιν σώζει ποσότητα τῆς διαστάσεως, ἢ ὀλίγῳ γέ τινι, καὶ οὐ πάνυ σαφεῖ γίνεται μικρότερος. ἐπὶ πλέον μέντοι βραδύτερος, ἢ μικρότερος ἐν ταῖς καταψύξεσι φαίνεται, παραπλησίως τοῖς βαδίζουσιν, ὅταν μὴ δέωνται τῆς κινήσεως ἠπειγμένης. ἧττον γὰρ οὗτοι τοῦ μεγέθους τῆς βαδίσεως ἀφαιροῦσιν, ἢ τοῦ τάχους. καὶ εἰ δεήσειε δέ ποτε θᾶττον αὐτοὺς βαδίσαι, τῷ μεγέθει πλέον, ἢ τῷ τάχει προστιθέασι. προσέχειν δὴ ἐνταῦθα χρὴ τὸν νοῦν ἀκριβῶς τῷ λεγομένῳ, μή τι παρακούσωμεν αὐτοῦ, καὶ δόξωμεν ἐπὶ πάσης διαθέσεως τὴν κατὰ μέγεθός τε, καὶ μικρότητα ῥοπὴν πλείονα γίνεσθαι τῆς κατὰ τάχος καὶ βραδύτητα. πλείων μὲν γὰρ οὐ γίνεται διὰ παντός, ἑτοιμοτέρα μέντοι, καὶ διὰ τοῦτο, καὶ προτέρα. τὴν γὰρ ἀπὸ τοῦ συμμέτρου μετάστασιν εἰς μέγεθος, ἢ μικρότητα ῥᾷόν ἐστιν ἰδεῖν γενομένην τῆς εἰς τὸ τάχος, καὶ βραδύτητα. προελθούσης μέντοι τῆς ῥοπῆς εἰς ἀξιόλογον μέγεθος, ἐὰν ἔτι συμβαίνῃ τὴν θερμασίαν αὐξάνεσθαι, τὸ τάχος τηνικαῦτα ἐπιδίδωσιν ἀθρόως. καὶ τοῦτ᾽ εὐλόγως συμβαίνει, καθάπερ καὶ πρόσθεν εἴπομεν. εἰς γὰρ τὸ πληρῶσαι τὴν χρείαν, ἀρκεῖ τῇ καρδίᾳ τὸ μέγεθος τῆς διαστολῆς αὐξάνειν, οὐδὲν δεομένῃ, καὶ τὸ τάχος ἀνάλογον αὐτῷ συναυξάνειν. ὅταν δὴ ἤδη τὸ μέγεθος μὲν ἀξιόλογον ᾖ, εἶτα δὲ καὶ τὰ τῆς χρείας ἐπείγῃ, τότε καὶ τῷ τάχει τὸ λοιπὸν πᾶν προστίθησιν. εἰ δὲ μηδὲ τοῦτ᾽ ἀρκοίη, συνεχεῖς ποιεῖται τὰς κινήσεις, ὅπερ ἐστὶ ταὐτὸν τῷ, πυκνούς. ἀλλὰ περὶ μὲν τούτων ἱκανὰ καὶ ταῦτα.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Αἱ τῶν σφυγμῶν αἰτίαι κατὰ τὰς τῶν ὀργάνων διαφοράς.

Μεταβάντες δὴ αὖθις ἐπὶ τὰς τῶν ὀργάνων διαφορὰς ἐπισκεψώμεθα πρῶτον μὲν τοὺς οἰκείους ἑκατέρας αὐτῶν σφυγμούς, ἔπειτα δὴ ἤδη καὶ τὰς κατὰ τῶν ἄλλων αἰτίων ὑπαλλάξεις, ὥσπερ ὀλίγῳ πρόσθεν ἐποιήσαμεν. ὅτι μὲν οὖν ἐπειδὰν σκληρότερον, ἢ μαλακώτερον ἑαυτοῦ γένηται τὸ τῆς ἀρτηρίας σῶμα, καὶ τοὺς σφυγμοὺς αὐτούς, ἢ σκληρούς, ἢ μαλακοὺς ἀπεργάζεται, πρόσθεν εἴρηται, καὶ οὐ δεῖται μακροτέρου λογισμοῦ τὸ τοιοῦτον, ὑπὸ πάντων τῶν ἐναργῶν μαρτυρούμενον, ὡς κατὰ τὴν τοῦ πλήττοντος φύσιν, καὶ ἡ τῆς πληγῆς ἀποτελεῖται ποιότης. ὅτι δὲ καὶ μέγεθος μὲν ταῖς μαλακότησι τῶν ὀργάνων, μικρότης δὲ ταῖς σκληρότησιν οἰκεία, λέλεκται μέντοι καὶ περὶ τούτων ἔμπροσθεν, εἰρήσεται δὲ καὶ νῦν διὰ τὴν ἀκολουθίαν τοῦ λόγου. τὸ μὲν μαλακὸν ὄργανον, ἑτοίμως ἐκτεινόμενον πάντῃ ῥᾳδίως διαστέλλεται. τὸ δὲ σκληρὸν σὺν αὐτῷ μεγάλης βίας. ἕπεται δὲ τῷ μὲν ἑτοίμῳ τῆς διαστολῆς, τὸ μέγεθος. τῷ δ᾽ ἀντιβατικῷ τε καὶ δυσπαθεῖ, σμικρότης. ὡσαύτως δὲ καὶ τάχος μέν, τῷ προτέρῳ, βραδύτης δὲ τῷ δευτέρῳ γίνεται, οὐ μὴν κατὰ τὴν αὐτὴν ἀναλογίαν μεγέθει τε καὶ μικρότητι. θάττων μὲν γὰρ ὀλίγῳ, παμπόλλῳ δὲ μείζων, ὁ ἐπὶ μαλακότητι τῶν ὀργάνων σφυγμός, τοῦ διὰ σκληρότητα. τὸ γὰρ ὑμενῶδες τοῦ σώματος τῆς ἀρτηρίας, κἂν σκληρότερόν ποτε γένοιτο, πρὸς μὲν τὸ τάχος τῆς κινήσεως ἑτοιμόν τε καὶ εὐπειθές, εἰς δὲ τὸ μέγεθος τῆς διαστολῆς ἁπάντων ἀφυέστατον, εἴ γε χρὴ ῥᾳδίως ἐκτείνεσθαι πάντῃ, τὸ μεγίστην διαστολὴν ποιησόμενον. τοιοῦτον δ᾽ ἐστὶ τὸ μαλακόν. καὶ ὅταν ἐπὶ πλεῖστον ἐκστῇ τοῦ κατὰ φύσιν, ἢ εἰς μαλακότητα,

ἢ εἰς σκληρότητα τὸ τῶν ἀρτηριῶν σῶμα, βραδύτερος ὁ μαλακὸς σφυγμὸς τοῦ σκληροῦ γίνεται. τὸ μὲν γὰρ βραχεῖ τοῦ κατὰ φύσιν μαλακώτερον σῶμα, τοῦ βραχεῖ σκληροτέρου, διότι πρὸς τὸ μέγεθος τῆς διαστολῆς εὐπειθέστερόν ἐστι, διὰ τοῦτο καὶ πρὸς τὸ τάχος τῆς κινήσεως, τὸ δ' ἐπὶ πλεῖστον ἐκλυθὲν εἰς μαλακότητα, καὶ οἷον καταρρέον τε καὶ καταπῖπτον εἰς ἑαυτὸ δι' ὑπερβολὴν ὑγρότητος, οὔτ' εἰς τὸ μέγεθος τῆς διαστολῆς ὁμοίως ἕτοιμον, οὔτ' εἰς τὸ τάχος τῆς κινήσεως· καὶ κατὰ τοῦτο ἀπολείπεται τῷ τάχει τοῦ σκληροῦ, μεγέθει δὲ καὶ νῦν ἔτι πλεονεκτεῖ, οὐ τοῦ σκληροῦ μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ κατὰ φύσιν. αἱ μέντοι τοιαῦται διαθέσεις, ἐν αἷς εἰς ἄμετρον ὑπερβολὴν ἥκουσιν αἱ ἀρτηρίαι, σκληρότητος, ἢ μαλακότητος, οὐκ ἄνευ καὶ τῆς τῶν ἄλλων συνεκτικῶν αἰτίων γίνονται μεταβολῆς. οὔτε γὰρ τὴν δύναμιν εὔρωστον ἔτι μένειν οἷόν τε, οὔτε τὴν θερμασίαν ἐν τοῖς κατὰ φύσιν ὅροις. ὅθεν οὖν αὐτῆς μόνης ἤτοι μαλακότητος, ἢ σκληρότητος ἄνευ τῶν ἄλλων αἰτίων, τοὺς οἰκείους σφυγμοὺς ἀποφαινώμεθα, μείζους μὲν καὶ θάττους ἐπὶ ταῖς μαλακότησιν ἐροῦμεν, ἐλάττους δὲ καὶ βραδυτέρους ἐπὶ ταῖς σκληρότησι γίνεσθαι, καὶ ἐπὶ πλέον γε μείζους, ἢ ὠκυτέρους δι' ἣν εἴπομεν ἔμπροσθεν αἰτίαν. πυκνότητι δὲ καὶ ἀραιότητι τοσοῦτον ἀλλήλων τε καὶ συμμέτρου παραλλάττειν, ὅσον ἐκ τοῦ μεγέθους, ἢ τῆς μικρότητος, ἢ τοῦ τάχους, ἢ τῆς βραδύτητος, ἐξίστανται τοῦ κατὰ φύσιν. ἐρρέθη δὲ καὶ πρόσθεν, ὡς ἐστιν αἰτία μία καθόλου πυκνότητος ἐνεργειῶν ἁπασῶν, ὅταν ἐλλιπέστερον τῆς χρείας ἑκάστης συντελῆται, τῶν μὲν οὖν σκληρῶν ὀργάνων ἡ διαστολὴ μικροτέρα, καὶ διὰ τοῦτ' ἐλλιπεστέρα τῆς χρείας ἡ ἐνέργεια. τῶν δὲ μαλακῶν τοὐναντίον, ἀξιόλογος μὲν ἡ διαστολή, πληροῦται δ' ἱκανῶς ἡ χρεία. εὐλόγως οὖν τοῖς μὲν σκληροῖς σφυγμοῖς, αἱ πυκνότητες. τοῖς δὲ μαλακοῖς, αἱ ἀραιότητες ἕπονται. εἰ δὲ συνδράμοι ποτὲ, τῇ μὲν σκληρότητι ψύξις. τῇ δὲ μαλακότητι θερμασία, γίνοιντ' ἂν οὕτω οἱ σκληροὶ σφυγμοί, τῶν μαλακῶν ἀραιότεροι. κατὰ συμπλοκὴν δὲ ἣν ἤδη τῶν ἐν τοῖς συνεκτικοῖς αἰτίοις διαφορῶν ἡ τοιαύτη τῶν σφυγμῶν ἀλλοίωσις γίνεται. ἐπεὶ δὲ κατὰ τὴν ἀκολουθίαν αὐτὴν τοῦ λόγου, πρώτης ἐμνημονεύσαμεν τῆς κατὰ σκληρότητα, καὶ ψύξιν συζυγίας, τὸ πᾶν ἤδη περὶ αὐτῆς λεγέσθω. σκληρότερον γὰρ τὸ σῶμα τῶν ἀρτηριῶν γινόμενον, ἅμα τῇ ψύξει τῆς ἐμφύτου θερμασίας, τοὺς σφυγμοὺς ποιήσει μικροτέρους τε καὶ βραδυτέρους τῶν κατὰ φύσιν. εἰ μὲν ἡ σκληρότης κρατοίη μικροτέρους πλέον, ἢ βραδυτέρους. εἰ δ' ἡ ψύξις, ἔμπαλιν βραδυτέρους πλέον, ἢ μικροτέρους. οὕτω δὲ καὶ πυκνοτέρους μὲν, εἰ ἡ σκληρότης πλεονεκτοίη τῆς ψύξεως, ἀραιοτέρους δὲ, εἰ ἡ ψύξις κρατοίη. εἰ δ' ἴση καθ' ἑκάτερον αὐτῶν ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ γίνοιτο, τοσούτῳ μικροτέρους, ὅσῳ καὶ βραδυτέρους· ἀραιότητι δὲ, ἢ πυκνότητι τῶν κατὰ φύσιν, οὐδὲν ἀλλοιοτέρους. ὅσον γὰρ ἡ χρεία τῆς γενέσεως αὐτῶν ἀφεῖλε διὰ τὴν ψύξιν, τοσοῦτον καὶ τοῦ ποσοῦ τῆς διαστολῆς, καὶ τοῦ χρόνου τῆς κινήσεως, συγκαθεῖλεν. οὔκουν δεῖται συνεχεστέρων κινεῖν τὰς ἀρτηρίας ἡ φύσις, ὥσπερ ἐν τοῖς πλείστοις τῶν μικρῶν σφυγμῶν, ἐφ' ὧν ἐλλιπεστέρα τῆς χρείας ἡ διαστολή, εἰ μέντοι ἡ σκληρότης μὲν ἰσχυρὴ, ὀλίγη δ' εἴη παντελῶς ἡ ψύξις, αὐτὸ δὲ τοῦτο ἔσται τηνικαῦτα τὸ προειρημένον, τὸ τῆς χρείας ἐλάττονα γινομένην τὴν διαστολὴν, συνεχεῖς τὰς κινήσεις ἐργάσασθαι. ὥσπερ οὖν εἰ καὶ τοὔμπαλιν γίνοιτο παμπόλλη μὲν ἡ ψύξις, ἐλάττων δ' ἐλαχίστῳ τοῦ κατὰ φύσιν ἡ σκληρότης. ἀνάγκη γὰρ τότε τοὺς σφυγμοὺς ἀραιοτέρους ἐπὶ πλέον, ἢ μικροτέρους γίνεσθαι, ἐπεὶ καὶ τὰ τῆς χρείας ἐπὶ πλέον ἠλάττωται τοῦ ποσοῦ τῆς διαστολῆς.

A aut ad duritiem corpus arteriarum recesserit, tardior fit mollis pulsus duro; nam corpus paulò mollius iusto, quia paulò duriore ad magnitudinem sequacius est, idcirco etiam ad motus velocitatem. At verò quod ad extremam dissolutum mollitiem est, & veluti laxum, & in se ipsum per nimiam humiditatem considet; neque ad distentionis magnitudinem perinde sequax est; neque ad celeritatem motus; itaque celeritate cedit duro, magnitudine tamen nunc non durum tantùm superat, sed ipsum etiam, quod in naturali statu est. B Et eiuscemodi certè status, qui ad immodicum arterias excessum adducunt duritiei, & mollitiei, non fiunt sine mutatione aliarum continentium causarum; neque enim constare amplius facultas in suo robore, nec in terminis calor à natura præscriptis poterit. Quamobrem, vbi ipsius solius, vel mollitiei, vel duritiei, remotis aliis causis, proprios pulsus pronunciamus, maiores, & celeriores dicemus à mollitie; minores, tardioresque à duritie fieri; & multo quidem maiores, quam celeriores, ob causam, quam explicauimus nuper; crebritate verò, ac raritate tantum à C se mutuo, & à mediocri variare, quantùm magnitudine, paruitate, celeritate, tarditate à natura recedunt. Dictum præterea ante est, vnam omninò causam esse crebritatis omnium actionum, quum quemque vsum non assequantur. Atque durorum instrumentorum est minor distentio, itaque minor vsus actio obitur; mollium contra insignis est distentio, impleturque abundè vsus: iure itaque cum duris pulsibus crebritates, cum mollibus raritates cohærent. Quòd si quando incidat, vt cum duritie refrigeratio concurrat, & calor cum mollitie, tum pulsus duri mollibus D euadent rariores; hæc tamen pulsuum alteratio fit, concurrentibus differentiis continentium causarum. Quando autem eò processit oratio, vt primam commemorarem duritiei, & refrigerationis coniugationem, summam eius explicemus. Si durum corpus arteriarum sit coniunctum cum innati caloris refrigeratione, pulsus efficiet iusto minores, & tardiores; si superet durities, minores magis, quàm tardiores; sin autem refrigeratio, contra tardiores magis, quàm minores. Ad eundem modum E crebriores, si durities refrigeratione superior sit; sin vincat refrigeratio, rariores; at si par fuerit vtriusque à natura recessus, tanto reddet minores, quanto tardiores, à raritate verò, & crebritate naturali non abducet; siquidem quantum vsus eorum generationis detraxit ob refrigerationem, tantumdem simul de quantitate distentionis, temporéque motus abstulit; quare nihil causæ est, cur arteriarum magis natura continuet motum, sicut in plerisque paruis pulsibus, vbi infra vsum manet distentio. Quòd si tamen insignis durities, & pauca omninò fuerit frigiditas, tum id ipsum exi- F stet, quod commemorauimus, nempe distentionem, quæ vsum non assequitur, perpetuos creare motus. At si contra accidat, vt permultum sit frigiditatis, duritiésque naturali pulsu quàm minimo minor, tum pulsus multò rariores necesse est, fint, quàm minores, quod vsus etiam longè inferior sit quantitate distentionis.

Habes

Habes causarum primam coniugationem. Altera erat, in qua cum calore pollebat mollities, quæ etiam tres necessariò primas differentias producit; interim enim par mollitiei est, & caloris mutatio, interim præpollet, vel mollities, vel calor. Quare si quantùm naturam mollities relinquat, tantundem desciscat ab ea etiam calor, magnos necesse est, & celeres fieri pulsus, non statim tamen crebros; verùm vbi generandorum eorum vsus superet magnitudinem distentionis, si mollities præstet, magnitudo etiam vincet celeritatem; si calor, non item statuendum est absolutè, sed distinctione est opus. Si ita abundet calor, vt vsum actio complere nequeat, multo celeriores fiant, necesse est, quàm maiores pulsus, simulque etiam crebri; vbi verò naturæ satisfacit vsus, æquè magni, atque celeres. Porrò autem tertia erit causarum coniugatio, quæ pulsum in hoc genere variant, vbi calori adiuncta durities sit. Atque quum vterque multum à natura recedit, pulsus erunt celerrimi creberrimique, minimi autem nequaquam, nisi simul facultas affecta sit (sed id hîc non posuimus) sed minores illi quidem iusto, non ad vltimam tamen paruitatem delabentur. At si immodicus calor sit, & instrumentum non magnopere durum, verùm paululum à moderato varietur, tantùm abest, vt iusto fiat distentio arteriarum minor, vt etiam maior euadat. Nam quum peculiaris duritiei instrumentorum paruus sit, & magnus immodico calori, iure pulsus in istis statibus fit magnus, assimilatus vincenti; sicut, quum præpolleat durities, paruus. At celer erit, vtra causarum excellat, maximè tamen quum calor; tum verò etiam luculentior erit crebritas. Restat coniugatio in propositis pulsuum generibus, vbi concurrant mollities, frigiditasque. Quia verò magnus pulsus hic quoque mollitiei peculiaris est, & paruus frigiditati, vtra longius à natura recedat, illi necesse est, pulsus assimilentur. Itaque magni instrumentorum præpollente mollitie, parui in frigiditatibus erunt; moderati autem, quum quantum à mollitie in magnitudinem producantur, tantumdem à frigore contrahantur in paruitatem. Nam vt semel dicam, moderati pulsus non ex hisce tantùm causis, sed & ex cæteris præter naturam omnibus fiunt, quum ambæ, quæ in contrarias partes distrahunt eos, parem vim habeant; vnde falso illos, qui in eum modum laborant, vulgus putat medicorum naturaliter comparatos esse; verùm de his fusiùs dicam in commentariis De præsagitione ex pulsibus. In præsentia hoc tantum satis est declarasse (quod quidem ad hanc commentationem pertinet) omnes naturales pulsus, inter excessus medios moderatosque esse; non tamen quicunque moderati sunt, etiam naturales omnes esse. Rari quidem & tardi certè id genus omnes sunt pulsus, maximè si superior sit frigiditas.

CAPVT X.

Pulsus quos instrumentorum differentiæ cum facultatis differentiis efficiunt.

SEd quandoquidem & de his, quæ par erat, exposuimus, deinceps instrumentorum diffe-

Τοιαύτη μέντοι ἡ πρώτη συζυγία τῶν αἰτίων. δευτέρα δ' ἦν, ἐφ' ἧς ἐκράτει μαλακότης ἅμα θερμότητι. τρεῖς δ' ἀνάγκη κἀνταῦθα γενέσθαι τὰς πρώτας διαφοράς. ποτὲ μὲν ὁμοίως, εἴς τε μαλακότητα καὶ θερμότητα τῆς ῥοπῆς γενομένης. ποτὲ δὲ ἤτοι τῆς μαλακότητος, ἢ τῆς θερμότητος κρατούσης. εἰ μὲν οὖν ὅσον ἡ μαλακότης, τοσοῦτον καὶ ἡ θερμότης τοῦ κατὰ φύσιν ἐξίστατο, μεγάλους ἀνάγκη καὶ ταχεῖς γίνεσθαι τοὺς σφυγμούς, πυκνοὺς δ' οὐκ εὐθέως, ἀλλ' ὅταν ἡ χρεία τῆς γενέσεως αὐτῶν ὑπὲρ τὸ μέγεθος ᾖ τῆς διαστολῆς. εἰ δ' ἡ μαλακότης κρατοίη, πλεονεκτήσει καὶ μέγεθος τοῦ τάχους· εἰ δ' ἡ θερμότης κρατοίη, οὐκ ἔθ' ἁπλῶς ἀποφήνασθαι δυνατόν, ἀλλὰ χρὴ διορίσασθαι. παμπόλλης μὲν γὰρ οὔσης τῆς θερμασίας, ὡς μὴ πληροῦσθαι τὴν χρείαν ὑπὸ τῆς ἐνεργείας, πλέον ὠκυτέρους, ἢ μεγάλους ἀνάγκη γίνεσθαι τοὺς σφυγμούς, εὐθὺς δὲ δηλονότι καὶ πυκνούς. ὅταν δ' ἱκανῶς ἀπολαύῃ τῆς χρείας ἡ φύσις, εἰς ὅσον μεγάλους, εἰς τοσοῦτον καὶ ταχεῖς. τρίτη δ' ἂν εἴη συζυγία τῶν κατὰ ταὐτὰ τὰ γένη τὸν σφυγμὸν ἀλλοιούντων αἰτίων, ὅταν εἰς ταὐτὸν ἥκῃ σκληρότης θερμότητι. μεγάλης μὲν οὖν τῆς καθ' ἑκάτερον εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γενομένης, οἱ σφυγμοὶ τάχιστοι μὲν ἔσονται καὶ πυκνότατοι, μικρότατοι δ' οὐκ ἔτι, πλὴν εἰ καὶ τὰ τῆς δυνάμεως ἔχοι κακῶς, ὅπερ οὐχ ὑπόκειται νῦν, ἀλλ' ἥττους μὲν τῶν κατὰ φύσιν, οὐ μὴν εἰς ἔσχατόν γε μικρότητος ἥκοντες. εἰ μέντοι τὰ τῆς θερμασίας ἀμέτρως ἔχοι, τὸ δ' ὄργανον μὴ πάνυ σκληρόν, ἀλλ' ὀλίγῳ δέ τινι τοῦ συμμέτρου παραλλάττον, οὐχ ὅπως ἐλάττων τῆς κατὰ φύσιν ἡ διαστολὴ τῶν ἀρτηριῶν, ἀλλὰ καὶ μείζων γένοιτ' ἄν. οἰκείων γὰρ ὄντων σφυγμῶν, τῇ μὲν σκληρότητι τῶν ὀργάνων τοῦ μικροῦ, τῇ δ' ἀμετρίᾳ τῆς θερμασίας τοῦ μεγάλου, κατὰ λόγον ἐν ταῖς τοιαύταις διαθέσεσιν ὁ σφυγμὸς μέγας γίνεται, συνεξομοιούμενος τῷ κρατοῦντι, ὥσπερ ὅταν ἡ σκληρότης κρατῇ, μικρός. ταχὺς μέντοι πάντως ὁποτέρου ἂν τῶν αἰτίων πλεονεκτῇ, καὶ πολὺ μᾶλλον, ὅταν ἡ θερμασία. τηνικαῦτα δὲ καὶ ἡ πυκνότης ἐπιφανεστέρα. λοιπὴ δ' ἂν εἴη συζυγία κατὰ τὰ νῦν προκείμενα γένη τῶν σφυγμῶν, ὅταν εἰς ταὐτὸν ἀφίκηται μαλακότητι ψύξις. ὄντος δὲ κἀνταῦθα τοῦ μὲν μεγάλου σφυγμοῦ ταῖς μαλακότησιν οἰκείου, τοῦ δὲ μικροῦ ταῖς ψύξεσιν, ὁπότερον ἂν αὐτῶν πλέον ἐξίστηται τῆς φύσεως, ἐκείνῳ συνεξομοιοῦσθαι τοὺς σφυγμοὺς ἀναγκαῖον. ὥστε μεγάλοι μέν, τῆς μαλακότητος τῶν ὀργάνων κρατούσης, μικροὶ δ' ἐν ταῖς ψύξεσιν ἔσονται. σύμμετροι δ', ὅταν ὅσον εἰς μέγεθος ὑπὸ τῆς μαλακότητος αὔξωνται, τοσοῦτον καθαιρῶνται πρὸς τῆς ψύξεως εἰς μικρότητα. καθόλου γὰρ εἰπεῖν οὐκ ἐπὶ τῶν νῦν προκειμένων μόνων αἰτίων, ἀλλὰ κἀπὶ τῶν ἄλλων ἁπάντων τῶν παρὰ φύσιν, οἱ σύμμετροι γίνονται σφυγμοί, τῶν εἰς τἀναντία τρεπόντων αὐτοὺς ἑκατέρων ὁμοίως δυναμένων, καὶ δόξαν γε ψευδῆ τοῦ κατὰ φύσιν διακεῖσθαι τοὺς οὕτω νοσοῦντας, οἱ πολλοὶ τῶν ἰατρῶν ἴσχουσιν· ἀλλὰ περὶ μὲν τούτων, ἐν τοῖς δι' αὐτῶν προγνώσεως ἐπὶ πλέον εἰρήσεται. ὃ δὲ νῦν εἰπεῖν, τοῦτ' ἀρκεῖ μόνον ἐνδεδηλωμένον, ὅσον τῆς προκειμένης πραγματείας ἴδιον, ὡς πάντες μὲν οἱ κατὰ φύσιν σφυγμοὶ μέσοι τῶν ὑπερβολῶν εἰσι, καὶ σύμμετροι, οὐ μὴν ἅπαντές γε οἱ σύμμετροι κατὰ φύσιν. ἀραιοὶ μέντοι καὶ βραδεῖς οἱ τοιοῦτοι σφυγμοὶ πάντες εἰσί, καὶ μᾶλλον ὅταν ἡ ψύξις κρατῇ.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Οὕστινας σφυγμοὺς αἱ τῶν ὀργάνων διαφοραὶ ἅμα ταῖς τῶν δυνάμεων διαφοραῖς ἀπεργάζονται.

ΕΠεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, ἐπαλλάξωμεν ἑξῆς τὰς ἀπὸ τῶν ὀργάνων διαφορὰς ταῖς ἀπὸ τῆς δυνάμεως,

ἐκεῖνο πρότερον ἀναμνησθέντες, ὡς ὅσα πλεονεξίᾳ θερμασίας ἕπεται πάθη σφυγμῶν, τοσαῦται καὶ χρεῖαι γενέσεως ψυχικοῦ πνεύματος. ὀργάνων οὖν σκληρότης ἅμα μὲν ἀσθενείᾳ δυνάμεως, μικρούς, καὶ βραδεῖς, καὶ πυκνοὺς ἀποτελεῖ τοὺς σφυγμούς· ἅμα δὲ ῥώμῃ, μικροὺς μὲν καὶ πυκνούς, οὐ μὴν καὶ βραδεῖς, ἀλλ' ἔστιν ὅτε πολὺ τῶν κατὰ φύσιν ὠκυτέρους. ὅσον γὰρ διὰ τὴν σκληρότητα τῶν ὀργάνων ἐλλιπὲς τῷ συμμέτρῳ τῆς διαστολῆς, τοσοῦτον ἀναπληροῦται πρὸς τοῦ τάχους τε καὶ τῆς πυκνότητος. εἰ δέ γε μαλακὸν μὲν εἴη τὸ ὄργανον, ἐρρωμένη δὲ ἡ δύναμις, μείζονες μὲν ἐπιφανῶς οἱ σφυγμοὶ γίνονται, ὀλίγῳ δέ τινι βραδύτεροι καὶ ἀραιότεροι. εἰ δ' ἀρρωστία δυνάμεως συνέλθοι μαλακότητι τῶν ὀργάνων, ἴσης μὲν ἀμφοτέρων, καὶ μετρίας ἅμα τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γινομένης, σύμμετροί τε καὶ πάνυ τοῖς κατὰ φύσιν ὡσαύτως ἔχοντες οἱ σφυγμοὶ φαίνονται, πλὴν ὅσα μαλακότητι διαλλάττουσιν. ἀμέτρου δ' ἱκανῶς, μικροὶ καὶ βραδεῖς, καὶ πυκνοὶ γίνονται. ὡσαύτως δ' εἰ καὶ τὰ τῆς ἀρρωστίας κρατοίη πολλῷ. καὶ γὰρ οὖν καὶ τότε μικροί, καὶ βραδεῖς, καὶ πυκνοὶ γίνονται. τῆς μέντοι μαλακότητος κρατούσης, ἐγγύς τι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ φαίνονται. βραχεῖ γὰρ ἀπολειπομένη τῶν κατὰ φύσιν ἡ δύναμις, οὐ κωλύεται διαφυλάττειν, οὔτε τὸ ποσὸν τῆς διαστολῆς, οὔτε τὸ ποιὸν τῆς κινήσεως, ὥσπερ ὅταν ὀργάνων συμπέσῃ σκληρότητι. τηνικαῦτα μὲν γὰρ κωλύεται ἡ διαστολή. πυκνοῦνται δ' ἐξ ἀνάγκης εἰς τοσοῦτον οἱ σφυγμοί, εἰς ὅσον ἐλλιπὴς ἑκάστη γίνεται τῶν ἐνεργειῶν. ὅταν δ' ἡ μὲν δύναμις ἐπ' ὀλίγον ἀσθενῇ, μαλακοὶ δ' οἱ χιτῶνες ὦσιν οἱ τῶν ἀρτηριῶν, οὔτε βραδυτέρας γινομένης τῆς κινήσεως, οὔτε μικροτέρας τῆς διαστολῆς, καὶ διὰ τοῦθ' ἱκανῶς τῆς χρείας πληρουμένης, οὐδ' εἰς πυκνότητά τις γίνεται μεταβολὴ τῶν σφυγμῶν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Συζυγίαι ἁπάντων τῶν συνεκτικῶν αἰτίων.

Λοιπὸν δ' ἂν εἴη πάσας ὁμοῦ συμπλέξαι τὰς τῶν συνεκτικῶν αἰτίων διαφοράς, γίνονται δὲ τὸν ἀριθμὸν ὀκτώ. δύο μέν, ὅταν ἐκλυθείσης ἅμα τῆς τε δυνάμεως καὶ τῆς χρείας, ποτὲ μὲν μαλακώτερον αὐτοῦ γίνηται τὸ ὄργανον, ποτὲ δὲ σκληρότερον. δύο δ' ἄλλαι, τῆς μὲν δυνάμεως ἐκλυθείσης, τῆς δὲ χρείας ἐπιταθείσης, τῶν δ' ὀργάνων, ἢ μαλακῶν, ἢ σκληρῶν γινομένων, καὶ ἄλλαι δύο τῆς μὲν δυνάμεως ἐρρωμένης, τῆς χρείας δὲ ἐκλελυμένης ἅμα τῇ τῶν ὀργάνων ὑπαλλαττομένῃ διαφορᾷ. δύο δὲ λοιπαὶ τῆς μὲν δυνάμεως ἐρρωμένης, τῆς δὲ χρείας ἐπιτεταμένης, ἅμα τῇ προειρημένῃ τῶν ὀργάνων διαφορᾷ. ἐκλυθείσης μὲν οὖν τῆς δυνάμεως ἅμα καὶ τῆς χρείας, εἰς μικρότητα μὲν καὶ βραδύτητα πάντως οἱ σφυγμοὶ τρέπονται, καθ' ἑκατέραν τῶν ὀργάνων τὴν διαφοράν. πυκνοῦνται δ' οὐκ ἐξ ἀνάγκης ὥσπερ οὐδ' ἀραιοῦνται, ἀλλὰ τούτων ἑκάτερον αὐτοῖς ἐν μέρει προσγίνεται, παρά τε τὴν τῶν ὀργάνων διαφοράν, καὶ τὸ ποσὸν τῆς βλάβης, καθ' ἕκαστον τῶν συνεκτικῶν αἰτίων. ὀλίγης μὲν γὰρ οὔσης τῆς ἐν τῇ δυνάμει βλάβης, καὶ τῶν ὀργάνων μὴ πάνυ σκληρῶν ὑπαρχόντων, οὐδεμία γίνεται κατὰ πυκνότητα σφυγμῶν ἀλλοίωσις. ἐρρέθη γὰρ καὶ πρόσθεν, ὅτι μὴ τοὺς σφυγμοὺς μόνους, ἀλλὰ καὶ πάσας ἁπλῶς τὰς ἐνεργείας πυκνοῦσθαι συμβαίνει, διὰ τὸ καθ' ἕκαστον αὐτῶν ἐλλιπές, τὸ δ' ἐλλιπές, ὡς τῇ χρείᾳ μετρεῖται, καὶ τοῦτ' εἴρηται πρόσθεν. ὅταν οὖν ἐκλυθῇ μὲν αὐτή, βραχεῖα δ' ἡ τῆς δυνάμεως ἡ βλάβη, τηνικαῦτα μὲν οὐκ ἂν ἐλλιπὴς ἡ ἐνέργεια γένοιτο, πλὴν εἰ δι' ὀργάνων ἀμέτρων σκληρότητα. ἐὰν τοίνυν μεγάλως μὲν ἡ δύναμις βλαβῇ

rentias varias faciamus ex differentiis facultatis, illud prius in memoriam reuocantes quot excellentiam caloris affectus sequuntur pulsuum, tot generandi animalis spiritus vsus. Igitur instrumentorum durities coniuncta imbecillitati facultatis, paruos pulsus, & tardos, & crebros concitat; robori, paruos, atque crebros, non etiam tardos, imò longè interim iusto celeriores; quod quantum distentionis mediocritati propter duritiem organorum desit, tantùm à celeritate resarcitur, & à crebritate. Si verò instrumentum molle sit, facultas autem valida, maiores quidem manifesto pulsus fiunt, at aliquanto tardiores, rarioresque. Quòd si ad mollitiem instrumentorum infirmitas adiuncta sit facultatis, si quidem æquus vtriusque, simulque modicus fuerit à natura recessus, & moderatos videntur, & naturales planè hi pulsus referre, nisi quantum variant mollitie, sin valdè immodicus sit, parui, & tardi, & crebri fiunt. Haud aliter si multo imbecillitas præpolleat; etenim tum quoque generantur parui, tardi, crebri. Verùm si superior mollities sit, accedunt pulsus ad moderatos, quòd facultas, quum paulò, quàm naturæ lex postulat, debilior sit, non impediatur quin retineat, & quantitatem distentionis, & qualitatem motus, sicut quum incurrit in duritiem instrumentorum; siquidem quum impeditur ibi distentio, tum verò tanto fiunt necessariò crebriores pulsus, quanto actio quoque fiat imperfectior. Quum autem facultas aliquantum imbecilla, & molles tunicæ arteriarum sint, quia nihilo fit tardior motus, neque minor distentio, ideoque satis vsui efficitur, nulla fit pulsuum in crebritatem mutatio.

CAPVT XI.

Complexiones omnium causarum continentium.

Restat iam vt omnes simul corrigamus continentium causarum differentias, & fiunt coniugationes numero octo; duæ quum remissa facultate pariter, & vsu modò mollius solito fit instrumentum, modò durius; duæ alteræ, vbi languescat facultas, & vsus auctus sit instrumentaque, vel mollia, vel dura, præterea aliæ duæ, quando valida sit facultas, sed remissus vsus, vnà cum variante instrumentorum differentia; reliquæ duæ; quum valens facultas sit, auctus vsus, accedátque instrumentorum, quam diximus, differentia. Ac languida quidem facultate simul, & remisso vsu, omninò in paruitatem, & tarditatem mutantur in vtraque differentia instrumentorum pulsus; cæterùm non redduntur necessariò crebri, vel rari; sed viciſſim hoc pro instrumentorum iis differentia contingit, & pro quantitate læsionis singularum causarum continentium. Nam si parua facultatis læsio sit, nec insignis instrumentorum durities, nihil crebritate pulsus immutantur, nam hoc docuimus ante, non pulsus modò, sed omnes planè actiones fieri crebriores ex defectu, qui accidit cuique. Iam defectum vsu æstimari, id supra exposuimus. Quum ergo remissus hic sit, paruáque læsio facultatis, nisi per instrumentorum nimiam duritiem, nihil desiderabitur in actione. Atqui si facultas magnopere sit læsa,

modicè

modicè remissus vsus, instrumenta bene dura euaserint, non poterunt pulsus non fieri, quàm vsus postulat, minores; itaque imperfectum simul officium, ac quanto quidem imperfectius, tanto etiam crebrius. Iam verò nec ipsa horum pulsuum paruitas, & tarditas potest perpetuo similis esse; nam prout facultas plus, vel minus, aut vsus offensus est, etiam pulsus ipsi, necesse est, plus vel minus ad paruitatem transeant, & ad tarditatem; minores enim redduntur, & ob facultatis imbecillitatem, & ob vsum remissum, & duritiem instrumentorum. Hoc tamen pro quantitate alterationis causarum aut singularum, aut binarum, aut vniuersarum affectarum, plus vel minus habent. Singularum, vbi minimus factus pulsus sit, vel vsu penitus remisso, vel instrumentis durioribus redditis, vel facultate prorsus infirma; valet enim, vel alterutrum eorum, vt dictum est, si ostensum sit, minorem efficere pulsum; Binarum vt quum prorsus factus paruus sit, neutra tamen ex memoratis causis summè læsa sit, sed vtraque earum hactenus absit ab extrema offensione, vt pulsus, quem ambæ constituunt, perinde alteretur, atque is, quem altera summè offensa. Ita etiam si tria genera causarum ad vnum concurrant pulsum constituendum, inducant interim tantam alterationem quantam committat etiam vna de illis maximè offensa; quod memoria per omnem disputationem tenendum est, vt ne deceptus quispiam alterationem putet, quæ ex omnibus offensis causis constat, maiorem oportere ea esse, quam facit vna; valent enim sicut docuimus, vel de vna qualibet causa, quæ prorsus læsa sit, ad vltimam pulsus deuenire alterationem. Facultatis igitur ad extremum deiectio minimos efficit pulsus, etiam si molles quidem tunicæ sint instrumentorum, vrgeat autem vsus. Quare vel huius iterum operæpretium est in vniuersum meminisse, ad pulsus extremos constituendos identidem plures causas requiri, identidem satis esse vnam; nam maximus fieri ob facultatis summum robur non possit citra cæterarum opem, minimus autem nonnunquam ob imbecillitatem possit; & quod eo magis mirandum est, licet reliquæ causæ frequenter diuersissimum pulsum habeant peculiarem, tamen ex vnius earum victoria fit mutatio. Vincit autem aliàs alia; modò verbi gratia, imbecillitas facultatis, ex qua ortus minimus pulsus est; modò instrumentorum durities; interdum remissio vsus. Nam vt languida semel facultate, magnitudinem nec mollities instrumentorum, nec incitatio vsus augeat, sic instrumentis exsiccatis, nil conferet ad magnitudinem, nec facultas valida, nec vsus incitatio. Et vt per vnam causam, quæ offensa omninò sit, pulsuum sæpe extrema mutatio accidit, sic interdum, etiam si coniunctæ sint cunctæ causæ ad vnum pulsum generandum, pulsus quem constituunt, haudquaquam summam assequatur alterationem. Nam si simul, & imbecilla facultas, & dura sint instrumenta, & verè etiam dissolutus vsus, tametsi omnes hæ valent causæ pulsum paruum reddere, tamen ne sic quidem minimum necesse est pulsum fieri; verùm si nec vlla inter illas summè læsa sit, neque collectus ex omnibus aceruus æquet maximam vnius offensionem, non poterit fieri pulsus minimus. Quamobrem, vt dixi, ante omnia in pulsuum alterationibus attendenda quantitas est causarum offensionis.

A μετρίως δ' ἡ χρεία ἐκλυθῇ, σκληρὰ δ' ἱκανῶς ἀποτελεσθῇ τὰ ὄργανα, μικροτέρους ἀνάγκη γίνεσθαι τοὺς σφυγμοὺς τῆς χρείας, καὶ διὰ τοῦτ' ἐλλιπῆ τὴν ἐνέργειαν. εἰς ὅσον δ' ἐλλιπεστέραν, εἰς τοσοῦτον καὶ πυκνοτέραν. ἀλλὰ καὶ αὐτὴν τὴν μικρότητά τε καὶ βραδύτητα τῶν τοιούτων σφυγμῶν, οὐχ ὡσαύτως ἔχειν διὰ παντὸς οἷόν τε. παρὰ γὰρ τὸ μᾶλλόν τε καὶ ἧττον, ἤτοι τὴν δύναμιν, ἢ τὴν χρείαν βεβλάφθαι, ἀνάγκη καὶ αὐτοὺς τοὺς σφυγμοὺς, ἢ μᾶλλον, ἢ ἧττον εἰς μικρότητά τε καὶ βραδύτητα μεταβάλλεσθαι. μικρότεροι μὲν γὰρ, καὶ διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως γίνονται, καὶ διὰ τὴν χρείαν ἐκλελυμένην, καὶ διὰ τὴν τῶν ὀργάνων σκληρότητα, B ἀλλ' ἧττόν τε καὶ μᾶλλον πάσχουσι τοῦτο, παρὰ τὸ ποσὸν τῆς ἀλλοιώσεως ἑκάστου τῶν αἰτίων, ἢ κατὰ μόνας, ἢ κατὰ συνδύο, ἢ πάντων ὁμοῦ βεβλαμμένων. κατὰ μόνας μὲν, ὅταν μικρότατος ὁ σφυγμὸς γίνηται, ἤτοι τῶν ὀργάνων σκληροτάτων ἀποτελεσθέντων, ἢ τῆς δυνάμεως ἀρρωστούσης ἐσχάτως. ἀρκεῖ γὰρ καὶ τὸ ἕτερον αὐτῶν ὁποτερονοῦν, ὡς εἴρηται βλαβὲν, μικρότερον ἐργάσασθαι τὸν σφυγμόν. κατὰ συνδύο δὲ, ὥσπερ ὅταν ἐσχάτως μὲν γίνηται μικρὸς, οὐκ εἰς ἔσχατον δὲ βλάβης ἥκῃ τι τῶν εἰρημένων αἰτίων, ἀλλ' ἑκάτερον αὐτῶν τοσοῦτον ἀπολείπεται τῆς ἄκρας βλάβης, ὥστε τὸν ἐξ ἀμφοῖν ἀποτελούμενον σφυγμὸν, ὁμοίως ἠλλοιῶσθαι τῷ διὰ θάτερον ἐσχάτως βεβλαμμένῳ. C οὕτω δὲ καὶ εἰ τὰ τρία γένη τῶν αἰτίων εἰς ἑνὸς σφυγμοῦ γένεσιν συνδράμοι, ποιήσειεν ἄν ποτε τηλικαύτην ἀλλοίωσιν, ὅση καὶ δι' ἓν ἐξ αὐτῶν ἄκρως βεβλαμμένον ἐγένετο. καὶ χρὴ τούτου μεμνῆσθαι παρὰ πάντα τὸν λόγον, ὅπως μή τις ἐξαπατηθεὶς τὴν ἐξ ἁπάντων τῶν αἰτίων ἐσχάτως βεβλαμμένων γινομένην ἀλλοίωσιν, ἐξ ἀνάγκης ἡγῆται μείζονα τῆς ἐξ ἑνὸς ὑπάρχειν. ἀρκεῖ γὰρ, ὡς εἴρηται, δι' ἓν ὁτιοῦν αἴτιον ἀκριβῶς βεβλαμμένον, εἰς ἐσχάτην ἀλλοίωσιν ἀφικέσθαι τοὺς σφυγμούς. ἡ γοῦν τῆς δυνάμεως εἰς τοὔσχατον κατάπτωσις, μικροτάτους ἐργάζεται τοὺς σφυγμοὺς, κἂν μαλακοὶ μὲν οἱ χιτῶνες D οἱ τῶν ὀργάνων ὑπάρχωσιν, ἐπείγῃ δὲ ἡ χρεία, ὥστε καὶ τούτου πάλιν ἐν τῷ καθόλου μεμνῆσθαι χρήσιμον, ὡς πολλάκις μὲν εἰς τὴν τῶν ἐσχάτων σφυγμῶν γένεσιν πλειόνων αἰτίων δεῖ, πολλάκις δ' ἓν ἀπόχρη. μέγιστος μὲν γὰρ οὐ γένοιτο δι' εὐρωστίαν ἄκραν δυνάμεως, εἰ μὴ καὶ τἄλλα συντελῇ. μικρότατος δ' ἄν ποτε γένοιτο δι' ἀρρωστίαν. καὶ τό γε τούτου θαυμασιώτερον, τῶν λοιπῶν αἰτίων πολλάκις τὸν ἐναντιώτατον σφυγμὸν οἰκεῖον ἐχόντων, καὶ καθ' ἓν ἐξ αὐτῶν τὸ κρατοῦν ἡ ῥοπὴ γίνεται. κρατεῖ δ' ἄλλο, νῦν μὲν εἰ τύχοι, δυνάμεως ἀρρωστία, δι' ἣν μικρότατος ὁ σφυγμὸς ἐγένετο. αὖθις δ' ὀργάνων σκληρότης, καὶ αὖθις πάλιν χρείας κατάλυσις. E ὥσπερ γὰρ ἀρρωστούσης ἐσχάτως τῆς δυνάμεως, οὐκ ἂν οὔθ' ἡ μαλακότης τῶν ὀργάνων, οὔθ' ἡ τῆς χρείας ἔπειξις αὐξήσει τὸ μέγεθος, οὕτω καὶ κατασκληρυνθέντων τῶν ὀργάνων, οὐδὲν οὔθ' ἡ δύναμις ἐρρωμένη συντελέσει πρὸς τὸ μέγεθος, οὔθ' ἡ τῆς χρείας ἔπειξις. ὥσπερ δὲ δι' ἓν αἴτιον ἐσχάτως βεβλαμμένον, ἐσχάτη σφυγμῶν ἀλλοίωσις γίνεται πολλάκις, οὕτως ἔστιν ὅτε πάντων ἅμα τῶν αἰτίων εἰς ἑνὸς σφυγμοῦ γένεσιν συντελούντων, οὐδέ πω τὴν ἐσχάτην ἀλλοίωσιν ἔσχηκεν ὁ πρὸς αὐτῶν ἀποτελούμενος. εἰ γὰρ ἅμα μὲν ἄρρωστος ἡ δύναμις, ἅμα δὲ ἡ σκληρότης μὲν τῶν ὀργάνων, ἔκλυσις δὲ τῆς χρείας, οὐδ' οὕτως ἀναγκαῖον μι- F κρότατον γενέσθαι τὸν σφυγμὸν, καίτοι πάντων τῶν εἰρημένων αἰτίων μικρὸν γεννᾶν πεφυκότων. ἀλλ' ἐὰν μήτε ἓν ὁποιονοῦν ἐξ αὐτῶν ἔσχατον ἥκῃ βλάβης, μήτε τὸ ἐξ ἁπάντων ἀθροιζόμενον κεφάλαιον ἴσον ᾖ τῇ καθ' ἓν μεγίστῃ κακώσει, τὸν σφυγμὸν οὐκ ἐνδέχεται γενέσθαι μικρότατον. ὅπερ οὖν ἔφην, οὐδὲν οὕτω σκοπεῖν χρὴ κατὰ τὰς ἀλλοιώσεις τῶν σφυγμῶν, ὡς τὸ ποσὸν τῆς βλάβης τῶν αἰτίων.

ἀλλὰ τοῦτο μὲν κἀν τοῖς περὶ τῆς δι' αὐτῶν προγνώσεως ἐροῦμεν, ἐν δὲ τῷ παρόντι λόγῳ, μεταβαίνωμεν ἐπὶ τὴν τρίτην τε καὶ τετάρτην συζυγίαν τῶν ὀκτὼ τῶν προειρημένων, ἐνταῦθά που καταλιπόντες ἤδη τὸν περὶ τῶν προτέρων δυοῖν λόγον. εἰ γάρ τι καὶ παρεῖται κατὰ ταύτας, ῥᾳδίως ἐκ τῶν προειρημένων ἂν εὑρεθήσεται. ὅταν οὖν ἄρρωστος μὲν ἡ δύναμις, ἐπείγῃ δὲ ἡ χρεία, σκληρὸν δὲ ᾖ τὸ ὄργανον, μάλιστα μὲν εἰς πυκνότητα, δεύτερον δὲ εἰς μικρότητα, τρίτον δὲ εἰς βραδύτητα τὴν τροπὴν τῶν σφυγμῶν εὑρήσεις γινομένην. οὐ μὴν γ' ἐξ ἀνάγκης, οὔτε διὰ παντὸς, οὔτε καθ' ἕκαστον αὐτῶν ὁπωσοῦν, οὔθ' ἅμα, συμπίπτει πάντα. μεγάλης μὲν γὰρ οὔσης καθ' ἕκαστον τῶν αἰτίων τῆς βλάβης, μικρότατοι, καὶ πυκνότατοι, καὶ βραδεῖς οἱ σφυγμοὶ γίνονται. βραδεῖς μὲν, ὅτι καὶ ἡ δύναμις ἀσθενής. μικρότατοι δὲ, διά τε ταύτην, καὶ διὰ τὴν τῶν ὀργάνων σκληρότητα. ὅτι δὲ τοιοῦτοι, διὰ τοῦτο καὶ πυκνότατοι, καὶ πολὺ μᾶλλον, ὡς ἂν τῆς χρείας ἐπειγούσης. καὶ τοίνυν καὶ χωρὶς ταύτης, ἀρρωστία δυνάμεως ὀργάνων σκληρότητι συνελθοῦσα, ἱκανὴ μικροτάτους τε καὶ πυκνοτάτους ἐργάσασθαι τοὺς σφυγμούς. ἐξ ἐπιμέτρου δὲ τούτοις τὸ ἀπὸ τῆς χρείας βίαιον προσιὸν, εἰς ὄλεθρον μὲν οὐ μικρὰ συντελεῖ, πυκνοτέρους δὲ οὐκ ἂν ἔτι τοὺς σφυγμοὺς ἐργάσαιτο. καὶ γὰρ καὶ χωρὶς ταύτης ἦσαν ἤδη πυκνότατοι. εἰ μέντοι βραχεῖα μὲν ἥ τε τῶν ὀργάνων εἴη βλάβη, καὶ ἡ τῆς δυνάμεως, πολλὴ δὲ ἡ χρεία τῆς γενέσεως αὐτῶν, οὔτε μικρότεροι τῶν κατὰ φύσιν οὗτοί γε, οὔτε βραδύτεροι γένοιντ' ἂν, ἀλλ' ἔστιν ὅτε θάττους μὲν σαφῶς, μείζους δὲ κἂν μὴ σαφῶς, ἀλλ' ἴσοι γε ἐναργῶς τοῖς κατὰ φύσιν. ἐπειγούσης γὰρ ἱκανῶς τῆς χρείας, κἂν ἀρρωστοτέρα τοῦ κατὰ φύσιν ἡ δύναμις ᾖ, κινεῖται ταχέως. πολὺ δὲ ἂν μᾶλλον ηὔξησε τὸ μέγεθος τοῦ τάχους, εἰ μὴ πρὸς τῆς σκληρότητος ἐκωλύετο. νυνὶ δὲ διὰ τοῦτ' ἐπιδηλότερον γίνεται τὸ τάχος τοῦ μεγέθους, ὅτι τὸ μὲν, οὐδὲν ἐμποδίζει βραχεῖ σκληρότερον ἑαυτοῦ γινόμενον τὸ ὄργανον· τῷ μεγέθει δὲ ἐναντιοῦται μάλιστα πάντων, πυκνοὶ δὲ ἐπὶ τῶν τοιούτων οἱ σφυγμοὶ γίνονται, τῷ μὴ πληροῦσθαι τὴν χρείαν. εἰ δέ γε βραχεῖα, καὶ ταύτης ἡ εἰς τὸ παρὰ φύσιν ἐκτροπὴ γένοιτο, παντελῶς ὀλίγη τε, καὶ δυσδιάγνωστος ἔσται καὶ ἡ πυκνότης, πληροῦται γὰρ αὐτάρκως τηνικαῦτα τῷ τάχει τε, καὶ τῷ μεγέθει, καὶ καθόλου φάναι, χρὴ παραβάλλειν ἐπὶ τῆς τοιαύτης συζυγίας τῷ ποσῷ τῆς χρείας, τὴν ὑπὸ τῆς δυνάμεως διὰ τῶν ὀργάνων ἀποτελουμένην ἐνέργειαν. ὅσον γὰρ ἀπολείπεται τῆς χρείας ἡ ἐνέργεια, τοσοῦτον ἐπιδιδόασιν εἰς πυκνότητα. μικρότεροι δὲ αὖ πάλιν εἰς τοσοῦτον, καὶ βραδύτεροι γίνονται τοῖς οὕτω διακειμένοις, εἰς ὅσον ἂν ἤτοι τὰ τῆς δυνάμεως, ἢ τὰ τῶν ὀργάνων ἐξίστηται τοῦ κατὰ φύσιν. ἀλλὰ περὶ μὲν τῆς τρίτης ἐπαλλάξεως τῶν αἰτίων, ἱκανὰ καὶ ταῦτα. περὶ δὲ τῆς τετάρτης συζυγίας ἤδη λεκτέον, ἐφ' ἧς ἄρρωστος μὲν ἡ δύναμις, ηὔξηται δὲ ἡ χρεία σὺν τῇ τῶν ὀργάνων μαλακότητι. δῆλον οὖν κἀπὶ ταύτης, ὡς εἰ μὲν ἡ κατὰ τὴν χρείαν αὔξησις, παμπόλλη γένοιτο, βραχὺ δὲ ἀπολείποιτο τοῦ κατὰ φύσιν, ἥ τε δύναμις, καὶ τὰ ὄργανα, πολὺ μᾶλλον εἰς μέγεθος, ἤπερ εἰς τὸ τάχος ἐπιδώσουσιν οἱ σφυγμοί. κατὰ μὲν γὰρ τὴν πρὸ ταύτης εἰρημένην συμπλοκὴν, ἡ σκληρότης τῶν ὀργάνων ἀντέπραττε τῷ μεγέθει τῆς διαστολῆς. κατὰ δὲ τὴν νῦν προκειμένην, οὐχ ὅπως ἀντιπράττει πρὸς τὴν διαστολὴν ἡ μαλακότης αὐτῶν, ἀλλὰ καὶ συνεργεῖ πάντων μάλιστα. μείζων οὖν ἐναργῶς ἔσται τοῦ κατὰ φύσιν ὁ σφυγμὸς, οὐ μὴν ὁμοίως γε καὶ θάττων ἐναργῶς ἔσται, καὶ πυκνότερος ὁ τοιοῦτος σφυγμὸς τοῦ κατὰ φύσιν. οὐ μὴν ὡσαύτως, οὐδ' οὕτως τῷ κατὰ τὴν τρίτην συζυγίαν. ὅτι νῦν ἡ χρεία μᾶλλον, ἢ κατ' ἐκείνην πληροῦται.

Sed de hoc etiam in libris de præsagitione ex pulsibus agemus. Nunc ad tertiam, & quartam octo commemoratarum coniugationem digrediamur, atque hîc aliquando dicendi finem faciamus de duabus primis; etenim, si quid sit in iis præteritum, facilè ex iis, quæ ante diximus inuenies. Ergo vbi languescat facultas, vrgeat vsus, durumque instrumentum sit, potissimum ad crebritatem, deinde ad paruitatem, postea ad tarditatem pulsus videbis vergere; non necessariò tamen nec perpetuò, nec etiam in quolibet illorum, nec simul concurrunt omnia. Siquidem vbi læsæ insigniter sint omnes causæ, minimi, & creberrimi, & tardi pulsus fiunt; tardi quòd sit infirma facultas; minimi quum ob hanc, tum verò ob duritiem instrumentorum; qui quòd tales sint, idcirco sunt ijdem creberrimi, adeoque quia impellit vsus; quinetiam citra eum facultatis imbecillitas, & instrumentorum durities coniunctæ minimos possunt creberrimosque pulsus reddere. Huc si cumulus accesserit vis vsus, non paruum erit illud quidem ad exitum momentum, nihilo tamen pulsus efficiet crebriores; quum sint, vel sine hoc frequentissimi. At si offensio sit instrumentorum & facultatis parua, ac generationis eorum multus vsus, hi non erunt iusto minores, nec tardiores, imò interdum manifestè celeriores, maiores autem, si non apertè, pares certè perspicuo moderatis. Etenim vbi multum instat vsus, quamuis sit imbecillior iusto facultas, celeriter mouetur; ac longè verò aucturus vltra celeritatem magnitudinem erat, ni durities impedimento fuisset, nunc eo apertior euadit celeritas magnitudine, quòd huic nulli impedimento sit instrumentum paulò durius solito; ac hoc magnitudini repugnat præter cætera. Crebri porrò in eo genere pulsus fiunt, vt vsus impleatur; qui quidem si etiam paulum diuertat à natura, omninò parua, vt dignosci vix possit, erit crebritas, quòd vsui tum satisfaciat celeritas, & magnitudo. Et quid multis? in hac coniugatione comparanda cum quantitate vsus functio est, quam per organa obit facultas. Quanto enim inferior functio vsu est, tantum crescit in crebritatem; contrà tanto minores fiunt, & tardiores ita comparatis, quantum vel facultas, vel instrumenta naturalem relinquant modum. At de causarum tertia variatione satis hæc sunt. Accedamus iam ad quartam coniugationem, vbi infirma facultas est, & maior est vsus, vnà cum instrumentorum mollitie. Sanè in hac quoque si permultum vsus increscat, & non multum à natura facultas discedat, & instrumenta, omninò longè magis in magnitudinem increscent pulsus, quàm in celeritatem. Nam durities instrumentorum in proxima superiore coniugatione magnitudini distentionis resistebat; in hac non tantum non officit distentioni mollities illorum, sed præ cæteris, adiuuat etiam. Itaque iusto maior planè pulsus erit, sed non perinde celer apertè. Iam crebrior etiam iusto erit is pulsus, nec tamen hic, perinde, ac ille, tertij complexus, quòd vsu hic magis, quam illic, satis fiat.

Quòd

Quòd si paululum vsus, & facultas à naturali statu recedant, instrumenta verò multum ad mollitiem desciscant, ad mediocritatem pulsus horum affectuum accedent, tum quantitate distentionis, tum motus qualitate, præterea quietis tempore, vna tantum occursus mollitie (nam hoc proprium iis inseparabile) excedent statum naturalem. Quòd si non ita deflectant multum vsus, & instrumenta, facultas autem vehementer laboret, tales pulsus satis parui erunt, & crebri, modicè verò tardi. Atque hactenus satis etiam sit de hac concursione egisse. Conferamus nos iam ad proximas duas, quæ commune habent robur facultatis, vsumque pulsuum generandorum remissum, sed distant instrumentis. Itaque altera illarum, in qua durum instrumentum est, valida facultas, minor vsus, minores planè pulsus creat, non tardiores tamen, nec crebriores necessariò. Verùm si admodum remissus sit vsus, & dura modicè instrumenta, non minores modò, verumetiam perspicuo tardiores, rarioresque fient. Sin vitium instrumentorum vincat vitium vsus, abundè fit is pulsus paruus, itaque creber, eademque de causa minus tardus illo prioris status; si enim nec vsus completur, & valida est facultas, non ita insigniter fiet tardus. Atqui non completur vsus propter distentionis paruitatem, quæ quidem duritiem comitabatur instrumentorum; hæc enim si mollia essent non minor, quod animaduerti posset, foret naturali, nisi singulariter vsus sit imminutus; & omninò hoc rarior apparebit, quo dissolutior sit vsus. Et verò etiam tardus apertè quidem in mutationibus insignibus vsus, non apertè in minoribus. At quando & satis de his concursibus disputauimus, ad reliquos iam duos accedamus; in quibus tunicæ arteriæ, vsu aucto, valente facultate, nunc molles sunt, nunc duræ. At molles si sint prorsus pulsus magni, & celeres erunt; crebri non semper, sed vbi immodicum vsus sit incrementum; nam tum quidem, nec magnitudo distentionis, nec celeritas motus, complendo est vsui; vbi verò paruus excessus sit, abundè, vel sola suppeditat magnitudo. Nam si arteriarum duræ sint tunicæ, variè in eiuscemodi statibus mutantur pulsus. Parua enim si durities sit, sed vsus insignis mutatio, maiores, celeriores, crebrioresque, quàm iustum sit, euadent. Sin autem æquo vtraque causa interuallo recesserit à natura, neutraque admodum longo, pares quidem naturalibus, sed celeriores, atque crebriores fiunt. Iam si insignis offensio vsus, & instrumentorum sit, vt hæc planè duriora sint reddita, ille vrgeat nimium, celeriores etiamnum erunt moderatis, at minores, ac crebriores.

CAPVT XII.

Vsus exercitationis in causis pulsuum.

QVia verò, quæ de his dicenda erant, diximus, superest vt pulsum vnum aliquem proponamus, in quo doceamus vsum, & fructum huius exercitationis. Sit verò celer, quem peculiarem robori facultatis esse vsuique vrgenti, & mollitiei instrumentorum docuimus. Quónam hunc

εἰ δὲ τὰ μὲν ἀπὸ τῆς χρείας τε καὶ τῆς δυνάμεως ὀλίγον τι παραλλάττοιτο τοῦ κατὰ φύσιν, ἡ δ᾽ εἰς μαλακότητα τροπὴ τῶν ὀργάνων εἴη συχνή, πλησίον τῶν κατὰ φύσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν οἱ σφυγμοὶ γενήσονται, καὶ τῷ ποσῷ τῆς διαστολῆς, καὶ τῷ ποιῷ τῆς κινήσεως, καὶ τῷ χρόνῳ τῆς ἡσυχίας. ἑνὶ δὲ μόνῳ τῷ μαλακῷ τῆς προσβολῆς, τοῦτο γὰρ ἴδιον ἀχώριστον αὐτῶν, διαλλάξουσι τῶν κατὰ φύσιν. εἰ δὲ τὰ τοῦ μὲν ἀπὸ τῆς χρείας τε καὶ τῶν ὀργάνων μὴ μεγάλην ἔχοι τὴν ἐκτροπήν, ἡ δύναμις δ᾽ ἰσχυρῶς κάμνοι, μικροὶ μὲν ἱκανῶς καὶ πυκνοί, μετρίως δ᾽ ἂν εἶεν οἱ τοιοῦτοι βραδεῖς. ἀρκεῖ καὶ περὶ ταύτης τῆς συμπλοκῆς τοσαῦτα. μεταβῶμεν δ᾽ ἐπὶ τὰς ἑξῆς δύο, κοινὸν μὲν ἐχούσας τήν τε ῥώμην τῆς δυνάμεως, καὶ τὴν χρείαν τῆς γενέσεως τῶν σφυγμῶν ἐκλελυμένην. διαφερούσας δ᾽ ἐν τοῖς ὀργάνοις, ἡ μὲν δὴ ἑτέρα αὐτῶν, ἐφ᾽ ἧς σκληρὸν μὲν τὸ ὄργανον, εὐρωστία δ᾽ ἐστὶ δυνάμεως, ἐλάττων δ᾽ ἡ χρεία, μικροτέρους μὲν πάντως ἐργάζεται τοὺς σφυγμούς. οὐ μὴν οὔτε βραδυτέρους, οὔτε πυκνοτάτους ἐξ ἀνάγκης. ἀλλ᾽ εἰ μὲν ἱκανῶς ἐκλυθείη τὰ τῆς χρείας, μετρίως τῶν ὀργάνων ἐσκληρυσμένων, οὐ μικρότεροι μόνον, ἀλλὰ καὶ βραδύτεροι σαφῶς, καὶ ἀραιότεροι γενήσονται. εἰ δὲ πλείων ἡ τῶν ὀργάνων εἴη κάκωσις, ἤπερ ἡ τῆς χρείας, μικρὸς ἱκανῶς ὁ τοιοῦτος σφυγμὸς γίγνεται, καὶ διὰ τοῦτο πυκνός. διὰ δὲ αὐτὸ τοῦτο, καὶ ἧττον βραδὺς τοῦ κατὰ τὴν προτέραν διάθεσιν. εἰ γὰρ μήθ᾽ ἡ χρεία πληροῦται, καὶ ἡ δύναμις εὔρωστός ἐστιν, οὐκ ἄρ᾽ ἀξιολόγως γένοιτο βραδύς. οὐ πληροῦται δ᾽ ἡ χρεία, διὰ τὴν μικρότητα διαστολῆς. αὕτη δ᾽ εἵπετο τῇ σκληρότητι τῶν ὀργάνων. μαλακὰ δ᾽ εἴπερ ἦν, οὐκ ἂν ἐλάττων σαφῶς τοῦ κατὰ φύσιν ὁ σφυγμὸς ἦν, πλὴν εἰ μὴ μεγάλως ἠλάττωτο τὰ τῆς χρείας. καὶ πάντως ἂν εἰς τοσοῦτον ἀραιότερος ἐφαίνετο, εἰς ὅσον ἂν καὶ τὰ τῆς χρείας καθήρητο. καὶ μέντοι καὶ βραδύς, σαφῶς μὲν, ἐπὶ ταῖς ἀξιολόγοις τῆς χρείας ὑπαλλαγαῖς, οὐ σαφῶς δ᾽ ἐπὶ ταῖς ἐλάττοσι. ἀλλ᾽ ἤδη καὶ περὶ τούτων τῶν συμπλέξεων αὐτάρκως διειλεγμένοι, τῶν ὑπολοίπων δυοῖν μνημονεύσωμεν, ἐφ᾽ ὧν αὐξηθείσης μὲν τῆς χρείας, ῥωσθείσης δὲ τῆς δυνάμεως οἱ χιτῶνες τῶν ἀρτηριῶν, ποτὲ μὲν μαλακοί, ποτὲ δὲ σκληροὶ γίνονται. μαλακῶν μὲν δὴ ὄντων αὐτῶν, πάντως μὲν οἱ σφυγμοὶ μεγάλοι τε, καὶ ταχεῖς γενήσονται. πυκνοὶ δ᾽ οὐκ ἐξ ἅπαντος, ἀλλ᾽ ὅταν ἐξαίσιος ἡ τῆς χρείας αὔξησις ᾖ. τηνικαῦτα γὰρ, οὔτε τὸ μέγεθος τῆς διαστολῆς, οὔτε τὸ τάχος τῆς κινήσεως, ἱκανὰ πληρῶσαι τὴν χρείαν. ὀλίγης δ᾽ οὔσης τῆς ὑπερβολῆς, ἀποχρώντως ὑπηρετεῖ καὶ τὸ μέγεθος μόνον. εἰ μέντοι σκληροὶ γενηθεῖεν οἱ τῶν ἀρτηριῶν χιτῶνες, πολυειδῶς ἐν ταῖς τοιαύταις διαθέσεσιν οἱ σφυγμοὶ τρέπονται. βραχείας μὲν γὰρ οὔσης τῆς σκληρότητος, ἀξιολόγου δὲ τῆς κατὰ τὴν χρείαν ὑπαλλαγῆς, καὶ μείζους, καὶ θάττους, καὶ πυκνότεροι τῶν κατὰ φύσιν ἔσονται. ἴσης δὲ καθ᾽ ἑκάτερον τῶν αἰτίων τῆς εἰς τὸ παρὰ φύσιν ἐκτροπῆς γενομένης, καὶ μηδὲ πάνυ τι μηδ᾽ ἑτέρας ἰσχυρᾶς, ἴσοι μὲν τοῖς κατὰ φύσιν, ὠκύτεροι δὲ καὶ πυκνότεροι γίνονται. εἰ δ᾽ ἰσχυρὰ βλάβη καὶ τῆς χρείας, καὶ τῶν ὀργάνων γένοιτο, τῶν μὲν σκληρυνθέντων ἐπὶ μᾶλλον, τῆς δ᾽ ἐπειγούσης ἀμετρότερον, θάττους μὲν ἂν ἔτι γε νῦν εἶεν τῶν κατὰ φύσιν, μικρότεροι δὲ καὶ πυκνότεροι.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Χρεία τῆς γυμνασίας τῶν ἐν τοῖς αἰτίοις σφυγμῶν.

Ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, λοιπὸν ἂν εἴη προχειρισαμένους ἕνα τινὰ σφυγμόν, ἐπ᾽ αὐτοῦ διδάξαι τὸ χρήσιμον τῆς αὐτοῦ γυμνασίας. ἔστω δὴ ὁ ταχύς, ὃν οἰκεῖον ῥώμης τε καὶ δυνάμεως ἐλέγομεν ὑπάρχειν, καὶ χρείας ἐπειγούσης, καὶ ὀργάνων μαλακότητος. πῶς οὖν περὶ

εὑρεθεὶς ἐφ' ἑνὸς ἀρρώστου διεξελεγχθήσεται, πηνίκα μὲν ὑφ' ἑνὸς τῶν εἰρημένων αἰτίων, πηνίκα δ' ὑπὸ δυοῖν, ἢ καὶ πάντων γέγονε; τόνδε τὸν τρόπον. ἐπεὶ τῆς μὲν ἰσχυρᾶς δυνάμεως ὁ σφοδρὸς ἀχώριστός ἐστι, τῶν δὲ μαλακῶν ὀργάνων ὁ μαλακὸς, ὅταν μὲν χωρὶς ἀμφοτέρων τούτων τὸ τάχος, ἐκ τῆς χρείας ἐπειγούσης μόνης γέγονεν. ὅταν δὲ μετὰ θατέρου, πάντως μὲν καὶ ἐφ' ἐκείνου, τοῦτο γνώρισμα παρέχοντος· ἐξ ἀνάγκης δὲ, καὶ διὰ τὴν τῆς χρείας αὔξησιν. ἐδείχθη γὰρ ἔμπροσθεν, ὡς οὐχ οἷόν τε γενέσθαι ταχεῖς σφυγμοὺς, ὥσπερ οὐδὲ μεγάλους ἄνευ τοῦ τὴν χρείαν καλεῖν. ὁπόσον μὲν οὖν ἢ μετέβαλεν εἰς ῥώμην, ἢ εἰς ἀρρωστίαν ἡ δύναμις, ἐκ τῶν ἰδίων αὐτῆς σφυγμῶν ἔνεστι διαγινώσκειν. οὕτω δὲ καὶ περὶ τῶν ὀργάνων τῆς ποιότητος. καὶ γὰρ καὶ ταύτης ἐνδεικτικοὺς ἔχομεν σφυγμούς. ὁπόσον δὲ ἡ χρεία τῆς γενέσεως αὐτῶν, τεκμήρασθαι χρὴ συλλογιζόμενον ἐκ τῆς κατὰ τὸ μέγεθός τε, καὶ τὴν πυκνότητα, καὶ τὸ τάχος μεταβολῆς. εἰ γὰρ καὶ μέγιστος, καὶ πυκνότατος ἅμα αὐτὸς εἴη καὶ τάχιστος, ἐσχάτως ἐπείγεται τῆς χρείας. εἰ δ' ἁπλῶς μέγας τε καὶ θάττων βραχεῖ, μὴ μέντοι μέγιστός τε καὶ πυκνὸς, οὐκ ἂν εἴη μεγάλη τῆς χρείας ἡ μεταβολή, πρὸς τῷ καὶ ἀπὸ τῶν ἄλλων γνωρισμάτων, χωρὶς τῶν σφυγμῶν δύνασθαι προγινώσκεσθαι τὰ τῆς χρείας πῶς ἔχει. εἴτε γὰρ θερμασίας εἴη πλῆθος, εἴτε δαπάνη τοῦ ψυχικοῦ πνεύματος, οὐ χαλεπὸν διορίσασθαι. ἡ μὲν γὰρ θερμασία τὴν ἁφὴν οὐκ ἂν λάθη, τὰ πολλὰ δὲ καὶ τῷ τῆς δυσπνοίας ἤδη σαφέστατα γνωρίζεται, καὶ δίψει, καὶ τῇ ἔνδον αἰσθήσει τοῦ κάμνοντος. ἡ δὲ τοῦ ψυχικοῦ πνεύματος ἀνάλωσις, ἔν τε τοῖς γυμναζομένοις, καὶ διαφορουμένοις, καὶ τοῖς εἴσω ῥεύμασι γίγνεται, ὧν οὐδὲν λάθοι τὸν ἰατρόν. οὐδὲ χρὴ νῦν ἡμᾶς ἐπὶ πλέον ὑπὲρ αὐτῶν λέγειν, οὐ γὰρ τῆς ἄρτι προκειμένης πραγματείας, ὅτι μὴ πάρεργον, ἀλλὰ τῆς προγνωστικῆς ἐστιν ὁ τοιοῦτος λόγος. ἐμνημονεύσαμεν δ' αὐτοῦ νῦν, ἐνδείξασθαι τοῖς περὶ τὸν Ἀρχιγένην βουλόμενοι, πρὸς τοῖς περὶ τῆς γενέσεως τοῦ τάχεος σφυγμοῦ κακῶς αὐτοῖς εἰρημένοις, ὡς οὐ χαλεπόν ἐστιν ἐξευρίσκειν ἑκάστοτε τὴν ποιήσασαν αἰτίαν. ἔσται δὲ καὶ διὰ τῶν ἑξῆς ἔτι σαφέστερον ταὐτὸ τοῦτο, περὶ τῶν ὑπολοίπων σφυγμῶν τῆς γενέσεως εἰ διέλθοιμεν πρότερον, οἷον τῶν τε ἀτάκτων, καὶ ἀρρύθμων, καὶ ἀνωμάλων καλουμένων. καὶ μάλιστα εἰ καὶ κατὰ μίαν διαστολὴν τῆς ἀρτηρίας εἶεν τοιοῦτοι.

pacto quum eum offenderimus, in vno ægroto explorabimus, quando ex vna illarum causarum, quando ex duabus, quando etiam ex omnibus natus sit? ad hunc modum. Quandoquidem à valida facultate vehemens non potest seiungi, nec à mollibus instrumentis mollis, si cum neutro horum sit celeritas coniuncta, ab vsu solo prouenit vrgente. Vbi verò cum altero, omninò ex illo oritur, quod signum hoc edit, & etiam necessariò ex vsus incremento; ostensum enim est ante, celeres pulsus non posse existere, nec verò etiam magnos, nisi postulet vsus; at quatenus ad robur, vel imbecillitatem facultas transit, ex propriis eius pulsibus dignoscas licet. Eadem est ratio in qualitate instrumentorum; etenim hanc etiam, pulsus habemus, qui prodant. Quantus autem generationis eorum sit vsus, coniectandum est, atque colligendum ex commutatione magnitudinis, crebritatis & celeritatis. Si enim maximus pariter, & creberrimus idem sit, & celerrimus etiam, summè vrget vsus; sin magnus tantum, & paulò celerior, nec etiam maximus, & creber, vsus non sit magna immutatio. Etiam poterit ex aliis quoque signis citra pulsus, vt vsus habeat præsciri. Siue enim copiosus sit calor, siue exhauriatur animalis spiritus, haud id magno negotio explorabis, quod tactum calor non fugiat, & hercle sæpenumero etiam ex forma difficultatis spirandi, sitique prodatur, atque interno laborantis sensu; animalis autem spiritus consumitur in exercitationibus, & immodicis per halitum digestionibus, fluxionibusque intro vergentibus, quorum nihil est, quod medicum præterire possit. Nec hoc loco ista longiorem quærunt orationem, neque enim ad propositam commentationem, nisi obiter, sed ad præsagitionem pertinet ea disputatio. Attigimus autem hîc eam, quo Archigeni ostenderemus, quum errasse ipsum in prodenda celeris pulsus origine, tum in promptu semper esse efficientis causæ inuentionem. Eritque id ipsum ex sequentibus multò apertius, si priùs de origine narremus reliquorum pulsuum, vt inordinatorum, arrhythmorum, & inæqualium, quos vocant; præcipuè si tales in arteriæ vna distentione sint.

GALENI

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ ΛΟΓΟΣ Β.

GALENI DE CAVSIS PVLSVVM LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β' ΒΙΒΛΙΩι.

Τὰς τῶν ἀνωμάλων τε καὶ ἀτάκτων, καὶ τεταγμένων σφυγμῶν αἰτίας ἐξηγεῖται.

ARGVMENTVM LIBRI SECVNDI.

Inæqualium pulsuum causæ, ac eorum quoque qui ordinem & rhythmum seruant vel euertunt, explicantur.

CAPVT PRIMVM.

De causis inæqualium pulsuum, ac primùm de inæqualitate ex vsu.

AC de vehementi quidem pulsu, & duro, atque magno, præterea celeri, crebro, contrariisque horum, in primo libro explicauimus, quæ cuiusque origo sit, & quot indigeat causis, tum quemadmodum inter se conspirantibus; ad hæc qui illorum necessariò efficientes comitentur causas, ac qui familiares quidem sint iis, non consequantur tamen necessariò. Reliquum est de cæterorum pulsuum, vt agamus generatione; atque primùm inæqualium. Quia verò quidam de his æqualitatem in arteriæ vno motu labefactant, alij in pluribus, quàm medici collectiuam inæqualitatem solent appellare; quoniam est longè hæc apertior inæqualitate vnius pulsus, satius primo loco sit de hac tractare. Sanè comites sunt eiusmodi pulsus, vt vno verbo dicam, inæqualis temperiei cordis, atque vitiorum instrumentorum vel facultatis; nam aut obstructiones, aut compressiones, aut durities, aut plenitudines subsequuntur; vt plenitudinem nunc accipias, quæ ad facultatem æstimatur. At non satis est hoc de illis nosse, sed sunt singulæ partes explicandæ, suisque confirmandæ demonstrationibus. Itaque quum tres causæ sint continentes pulsuum generationis, instrumentum, facultas, vsus; non poterit ex vsus alteratione constitui in pulsibus collectiua, quæ aperta sit inæqualitas; quod nec repente, nec cumulatè adeò vnquam immutari vsus possit,

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ αἰτιῶν τῶν ἀνωμάλων σφυγμῶν, καὶ πρῶτόν γε περὶ τῆς παρὰ τὴν χρείαν ἀνωμαλίας.

A ΠΕΡΙ μὲν οὖν τοῦ σφοδροῦ σφυγμοῦ, καὶ τοῦ σκληροῦ, καὶ τοῦ μεγάλου, καὶ προσέτι ταχέος τε, καὶ πυκνοῦ, καὶ τῶν ἐναντίων αὖθις, διὰ τοῦ προτέρου δεδήλωται λόγου, τίς θ' ἡ γένεσις ἑκάστου, καὶ πόσων αἰτίων δεῖται, καὶ πῶς ἀλλήλοις συμπραττόντων, καὶ τίνες μὲν ἐξ ἀνάγκης αὐτοῖς ἕπονται ταῖς γεννώσαις αἰτίαις, τίνες δὲ οἰκεῖοι μὲν εἰσὶν αὐταῖς, οὐ μὴν ἀναγκαίαν γε τὴν ἀκολουθίαν ἔχουσιν. ἑξῆς δ' ἂν εἴη περὶ τῶν ὑπολοίπων σφυγμῶν τῆς γενέσεως διελθεῖν, καὶ πρῶτόν γε τῶν ἀνωμάλων. B ἐπεὶ δὲ τούτων, οἱ μὲν ἐν μιᾷ κινήσει τῆς ἀρτηρίας τὴν ἰσότητα διαφθείρουσι, οἱ δ' ἐν πλείοσιν, ἣν δὴ καὶ συστηματικὴν ἀνωμαλίαν ἔθος ἐστὶ τοῖς ἰατροῖς ὀνομάζειν. καὶ ἔστιν αὕτη πολὺ σαφεστέρα τῆς καθ' ἕνα μόνον σφυγμὸν γινομένης, κάλλιον ἂν εἴη περὶ προτέρας ταύτης ποιήσασθαι τὸν λόγον. ἕπονται δὴ πάντες οἱ τοιοῦτοι σφυγμοὶ, καθόλου μὲν φάναι, ταῖς τε τῆς καρδίας ἀνωμάλοις δυσκρασίαις, καὶ κακώσεσιν ὀργάνων, ἢ δυνάμεων. ἢ γὰρ ἐμφράξεσιν, ἢ θλίψεσιν, ἢ σκληρότησιν, ἢ πλήθεσιν ἐπιγίνονται. πλήθους νῦν ἀκουομένου, τοῦ πρὸς τὴν δύναμιν C μετρουμένου. οὐ μὴν ἀρκεῖ τοῦτο μόνον γιγνώσκειν ὑπὲρ αὐτῶν, ἀλλὰ χρὴ τά τε κατὰ μέρος ἅπαντα διηγεῖσθαι, καὶ τὴν οἰκείαν ἀπόδειξιν ἑκάστῳ προσθεῖναι. τριῶν οὖν ὄντων συνεκτικῶν αἰτίων γενέσεως σφυγμῶν, ὀργάνου καὶ δυνάμεως, καὶ χρείας, διὰ μὲν τὴν τῆς χρείας ἀλλοίωσιν, οὐχ οἷόν τε γενέσθαι τὴν ἐν τοῖς σφυγμοῖς ἀνωμαλίαν συστηματικὴν ἐναργῆ. οὐδὲ γὰρ ἐξαίφνης, οὐδὲ ἀθρόως εἰς τοσοῦτόν ποτε μεταβάλλειν ἐγχωρεῖ τὴν χρείαν,

ὥστε εἰ τύχοι τὸν σφυγμὸν τὸν πρότερον μὲν γενέσθαι μέγαν, ἢ ταχὺν, ἢ πυκνότερον, τὸν δὲ δεύτερον μικρὸν, ἢ βραδὺν, ἢ ἀραιόν. εἴτε γὰρ αὔξησις εἴη τῆς κατὰ φύσιν θερμότητος, εἴτε μείωσις, εἴτε πλείων, εἴτε ἐλάττων, δαπάνη τοῦ ψυχικοῦ πνεύματος, οὐδὲν τούτων ἀθρόαν οὕτως ἴσχει μεταβολὴν, ὡς τοὺς σφυγμοὺς ἀνίσους ἐργάσασθαι. μάθοις δ' ἂν ἀκριβῶς ἐκ τῶν γινομένων παροξυσμῶν ἐν ἅπασι τοῖς ἐπιεικέσι πυρετοῖς, οἷοι τοῖς τ' ἐπὶ βουβῶσι, καὶ τριταίοις τοῖς ἀκριβέσι, καὶ τοῖς δι' ἔγκαυσιν, ἢ ψύξιν, ἢ ὁποιονοῦν ἄλλο τοιοῦτον. ἅπας γὰρ ὁ ἀπὸ τῆς ἀρχῆς αὐτῶν ἕως τῆς ἀκμῆς χρόνος, ἀνάλογον τῇ κατὰ θερμασίαν αὐξήσει, καὶ τοὺς σφυγμοὺς εἰς μέγεθος, καὶ τάχος, καὶ πυκνότητα τρέπων, οὐδέποτε τὸν δεύτερον σφυγμὸν τοῦ προτέρου σαφῶς ἐνδείκνυται διαφέροντα. ἀλλ' εἰ μὲν χρόνον τινὰ συχνὸν διαλείποις, καὶ μείζων ἐναργῶς, καὶ θάττων, καὶ πυκνότερος φαίνεται, παραυτίκα δ' οὐδὲ ἀνομοιότερος, πλὴν εἰ συνέλθοι ποτὲ τῶν προειρημένων τι, ἢ πλῆθος λέγω τὸ πρὸς τὴν δύναμιν νοούμενον, ἢ σφήνωσις, ἢ θλίψις, ἢ σκληρότης ὀργάνων, ἢ τῆς καρδίας αὐτῆς δυσκρασία τις ἀνώμαλος ἅπερ οὐκ ἔτ' ἐπιεικοῦς νοσήματος. καὶ γάρ τοι καὶ αὖθις τοῖς ὑγιαίνουσιν, ὅταν ἤτοι λουσάμενοι τύχωσιν, ἢ γυμνασάμενοι, δαπανωμένου μὲν τοῦ πνεύματος, αὐξανομένης δὲ τῆς θερμασίας, μείζους, καὶ θάττους, καὶ πυκνότεροι τῶν κατὰ φύσιν οἱ σφυγμοὶ φαίνονται. σαφῆ δὲ οὐδέποτε ὁ δεύτερος τοῦ προτέρου τὴν διαφορὰν ἴσχει. ὅς τις δ' ἀνωμάλους, καὶ τοὺς τοιούτους εἶναι λέγει σφυγμοὺς, κἂν μὴ φαίνωνται, τῆς μὲν ἐν τοῖς ὀνόμασι συνηθείας ὑποφορᾷ, σαφέστερον δ' οὐδὲν διδάσκει, οὐδὲ γὰρ οὓς ἂν ὁ λόγος ἐξεύρῃ κατά τινα συλλογισμὸν ἀνίσους τούτους ἀνωμάλους εἰώθαμεν καλεῖν, ἀλλ' οὓς ἂν ἐναργῶς αἰσθήσει διαγινώσκοιμεν ὄντας τοιούτους. καλείτω δὲ οὖν εἰ βούλοιτό τις, καὶ τούτους ἀνωμάλους. ἀλλ' ἐκεῖνό γ' ἴστω, ὡς οὐδεμία τῶν αἰσθητῶν ἀνωμαλιῶν διὰ τὴν τῆς χρείας ἀλλοίωσιν γίνεται. τάχα μὲν οὖν ἤρκει καὶ τοσαῦτ' εἰς ἔνδειξιν, τοῦ μηδέποτε τὴν συστηματικὴν καλουμένην ἀνωμαλίαν ἀλλοιώσει χρείας ἕπεσθαι. προσκείσθω δ' ἔτι τὸ κατὰ τοὺς θυμοὺς ἐνίοτε φαινόμενον, ἐπεὶ καὶ οὗτοι τῆς ἐμφύτου θερμασίας οἷον ζέσις τις εἶναι δοκοῦσιν. ἀνώμαλοι τοίνυν καὶ τούτοις οἱ σφυγμοὶ γίνονταί ποτε, κατὰ μὲν τὸν ἴδιον αὐτῶν λόγον οὐδαμῶς, ἦσαν γὰρ ἂν ἀεὶ τοιοῦτοι, φόβου δέ τινος συνδραμόντος αὖθις. εὐλόγως δὴ τηνικαῦτα ποικίλοι τε καὶ ἀνώμαλοι φαίνονται, ὡς ἂν οὐ μόνον ὑπὸ διαφερόντων αἰτίων, ἀλλὰ καὶ τῇ φύσει ἐναντίων ἀλλοιούμενοι. διὰ μὲν γὰρ τὴν τῆς ἀντιτιμωρήσεως ὄρεξιν, ὑψηλοὶ, καὶ μεγάλοι, καὶ ταχεῖς, καὶ σφοδροὶ, διὰ δὲ τὴν τοῦ τι παθεῖν μᾶλλον, ἢ δρᾶσαι προσδοκίαν, μικροὶ, καὶ ταπεινοὶ, καὶ ἀμυδροὶ, καὶ βραδεῖς γίνονται. ἐναλλὰξ οὖν ἀλλήλοις ἑκάτεροι φαίνονται κατὰ τὴν τοῦ κρατοῦντος αἰτίου φύσιν ὑπαλλαττόμενοι. κρατεῖ δέ ποτε μὲν ὁ θυμὸς μᾶλλον, ποτὲ δὲ τὸ δέος. ἀλλὰ καὶ αὐτὸς ὁ φόβος, ὁ γοῦν ἰσχυρὸς ἀνωμάλους ἐργάζεται τοὺς σφυγμοὺς, κακώσει δυνάμεως, μὴ ἀλλοιώσει χρείας. πῶς οὖν ἡ δύναμις κακουμένη τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζεται; τοῦτο γὰρ ἐφεξῆς ἐστιν εἰπεῖν. τῷ μὴ πάντῃ τῶν ὀργάνων κρατεῖν, ὡς ὅταν γε κρατῇ, πάντας ὁμοίους τε, καὶ ἴσους ἀποτελεῖ. εἰ δέ που σφάλλεται περὶ τὴν ἐνέργειαν, οἷον ὀκλάσασα, διαφθείρει ταύτῃ τὴν ἰσότητα. χρὴ δὲ προσέχειν ἀκριβῶς τῷ λεγομένῳ τὸν νοῦν, ἵνα μή τις οἰηθῇ πάσῃ κακώσει δυνάμεως ἐξ ἀνάγκης ἕπεσθαι τὴν συστηματικὴν ἀνωμαλίαν. οὐ γὰρ οὕτως ἔχει. ἀλλ' ὅταν μὲν κατὰ τὸν ἑαυτῆς λόγον ἀρρωστῇ, σπανίως ποτὲ τοὺς σφυγμοὺς ἀνωμάλους ἀποτελεῖ. ὅταν δ' αὐτὴ μὲν ἰσχυρὰ καθ' ἑαυτὴν ᾖ, βαρύνηται δ' ὑπὸ πλήθους, ἢ δυσπαθῆ παντάπασιν ἔχῃ τὰ ὄργανα,

A vt pulsus verbi gratia, prior sit magnus, vel celer, vel crebrior; alter tardus, paruus, vel rarus. Siue enim augeatur innatus calor, siue imminuatur; siue plus animalis spiritus, siue minus exhauriatur, horum nihil adeò affatim mutetur, vt inæquales efficiat pulsus. Id quod planè ex accessionibus in omnibus lenibus febribus perspicias, veluti iis, quæ ex bubonibus concitantur, & synceris tertianis, iisque etiam quæ ex adustione, vel frigore, vel quocunque alio eius generis oriuntur. Totum enim inde vsque à principio eorum tempus ad vigorem pro incremento caloris pulsus conuertens in magnitudinem, celeritatem, crebritatemque nusquam secundum B pulsum clarè à primo variat: verùm si multum temporis interponas, dilucidè maior, celerior, crebrior apparet. E vestigio autem diuersus non videbitur, nisi quando ex illis, quæ commemorauimus aliquod accesserit; vel plenitudines, illæ inquam, quæ ad facultatem intelliguntur; vel obstructio, vel compressio, vel durities instrumentorum, vel ipsius cordis aliqua inæqualis intemperies; quæ certè excedunt iam lenem morbum. Siquidem ipsis etiam valentibus, vbi lauerint, vel exercitationem subierint, exhausto C spiritu, calore aucto, maiores, celeriores, crebriores iusto, videntur pulsus esse; at manifestè nunquam à primo differt secundus. Si quis inæquales esse etiam eos pulsus contendat, licet non videantur; hic dum vsum nominum repudiat, nihil tamen ad doctrinam affert lucis; neque enim, quos ratio esse collegit impares, eos solemus inæquales vocare, cæterùm quos dilucidè sensu comperimus tales esse. At vocaueris vel hos inæquales, verùm hoc scito, in sensibilibus inæqualitatibus, quæ ex alteratione vsus fiat, esse nullam. Ac fortasse quidem hæc D sufficiebat dixisse ad probandum collectiuam, quam vocant inæqualitatem variationi nunquam vsus succedere: adiiciamus tamen & hoc quod animaduertitur nonnunquam in ira, quando videtur, & hæc innati caloris esse veluti quidam feruor. Sanè habet inæquales interdum hæc quoque pulsus, non illos quidem sua sponte (semper enim haberet tales) sed vbi adiunctus ad eam aliquis timor sit. Iure ergo varij tunc, & inæquales apparent, quum non tantum à diuersis causis alterentur, sed etiam natura contrariis; nam propter vindictæ cupiditatem alti, magni, celeres, vehementes; quia E verò timor est maior accipiendi mali, quàm spes dandi, parui, humiles, languidi, & tardi fiunt. Quare inuicem vtrique pro causæ præpollentis natura videntur euariari; ac excellit modò ira, modò metus; quinimò ipse timor, si quidem ingens sit, quòd lædatur facultas, & alteretur vsus, pulsus reddit inæquales. Quomodo ergo pulsus facultas affecta inæquales facit? nam hoc deinceps est dicendum. Quòd non omnino imperet instrumentis; nam quum imperat, cunctos similes efficit, & pares; sicubi autem offendat in agendo, & veluti claudicet, ibi euertit qualita- F tem. Quod dico, diligenter attendendum est, ne omni putes offensioni facultatis necessariò succedere collectiuam inæqualitatem; nam aliter se res habet; sed quum per se infirma sit, creat pulsus non ita crebro inæquales; vbi verò valida sit sua sponte, opprimatur autem à copia humorum, aut planè contumacia habeat instrumenta, ibi

ibi illam efficit inæqualitatem. Mentem meam exemplo perspicies faciliùs. Ob oculos ponamus duos homines, qui incedunt pedetentim; sit alter robustissimus simul, & florentissima ætate, verùm pondus portet grauissimum; alter prorsus nihil baiulet, at valdè sit imbecillis ex morbo, aut ex senectute; iam nec multùm progrediantur hi, nec celeriter; itaque nihil different in actione; sed in eo different, quòd æquis plerumque passibus procedet imbecillis; diuersis validus, ac inæqualibus, & aliàs aliis. Nam ille quidem, ne si contendat quidem, poterit vnquam, vel magnam, vel celerem actionem obire; robustus verò etiam ferè perinde, interim tamen maiore alacritate celerius aliquantisper, & magis aget, deinde ab onere pressus, ad primam tarditatem, & actionis paruitatem redibit. Idem vsu venit arteriarum actioni. Nam quum est delapsa in imbecillitatem facultas insignem, pulsus eduntur languidi, parui, tardi; sin illa, quantum in ea est, valeat, sed alia copia grauetur, varios tum, inæqualesque efficit; plurimos quum graui onere pressa sit, languidos & tardos, & paruos; quum leui, plerosque vehementes, celeres, magnos; quum verò nec admodum grauis, nec nimium leuis offensio sit ferè, vt in copia, contrarios; vt nec plures possis dicere, nec pauciores, vel vehementes esse imbecillibus, vel magnos paruis, vel celeres tardis. Atque hunc in modum pulsus inæquales facultatis noxæ efficiunt.

CAPVT II.

Instrumentorum vitia quomodo inæquales pulsus efficiant.

INstrumentorum vitia in hunc modum. Vbi circumiectas regiones arteriæ, quæ ad hoc creatæ sunt, vt eam distentam excipiant, aliud corpus insederit; non possunt per illud coarctatæ arteriæ satis distendi. Itaque singularum actionum defectio summam interim magnam coaceruat, vt longè ab vsu absit officium. Ibi iam violenter agere, & vehementer facultas cogitur, reiicere, & propellere illa studens, quæ sua instrumenta obsederunt, & motu prohibuerunt; vbi maiorem prioribus, & vehementiorem, & etiam celeriorem necesse est pulsum euadere; crebrior non nunc primùm, sed statim à principio fuerat. Ostendimus enim in superiori libro, imparium vsui actionum, necessariò comitem esse crebritatem pulsuum. Itaque si parem impetum facultas in omnibus, quæ consequuntur, distentionibus retineret, æquè magni semper fierent, & vehementes, & celeres; nunc quia non seruat, sed refert se ad pristinum motum, varia hic inæqualitas existit, & continua. Quo minus conseruet in causa est, quòd quum nihil ferè proficiat, nequicquam defatigetur. Ac si humor sit aliquis effusus in arterias, vehementibus, & violentis motibus propulsus, de loco in locum cogitur defluere dum in meatum impingat, qui educere ipsum possit, itaque emanet ex corpore; vel etiam tempore tenuatus, aut totus resolutus, in halitum digeratur. Vbi diuersa etiam & continens inæqualitas necessariò fit, quòd nec pari copia

τηνικαῦτα τὴν εἰρημένην ἀνωμαλίαν ἐργάζεται. μαθεῖν δ' ἔνεστιν ὃ βούλομαι σαφέστερον, διὰ παραδείγματος. ἀναμνησθῶμεν γὰρ δυοῖν ἀνθρώπων, βαδιζόντων ἀτρέμα. ἔστω δὲ ὁ μὲν ἕτερος ἰσχυρότατός τε ἅμα, καὶ νεώτατος, ἀλλὰ βασταζέτω μέγιστον φορτίον. ὁ δ' ἕτερος μηδὲν ὅλως βασταζέτω, πάνυ δ' ἀσθενὴς ἔστω διὰ νόσον, ἢ γῆρας. οὔτ' αὖ μέγα προβαίνοντες, οὔτε ταχέως οὗτοι, καὶ ταύτῃ μηδὲν ἀλλήλων διαφέροντες εἰς τὴν ἐνέργειαν ἐκείνῳ διοίσουσιν, ᾗ τὰ πολλὰ μὲν ὡσαύτως ὁ ἀσθενὴς βαδιεῖται, διαφερόντως δὲ καὶ ἀνωμάλως, καὶ ἄλλοτε ἀλλοίως ὁ ἰσχυρός. ὁ μὲν γὰρ οὐδ' εἰ προθυμηθείη δυνατός ἐστιν, ἢ μεγάλην, ἢ ταχεῖαν ποτε τὴν ἐνέργειαν ποιήσασθαι, ὁ δ' ἰσχυρὸς τὰ πολλὰ μὲν καὶ αὐτὸς ὁμοίως, ἔστι δ' ὅτε πλείονι προθυμίᾳ χρησάμενος, καὶ θᾶττον, καὶ μᾶλλον ἐνήργησε. πρὸς βραχὺ ὀλίγον, εἶτ' αὖθις ὑπὸ τοῦ φορτίου κινηθεὶς εἰς τὴν ἐξ ἀρχῆς βραδύτητά τε καὶ μικρότητα τῆς ἐνεργείας ὑπενέχθη. ταὐτὸν δὴ τοῦτο συμπίπτει καὶ τῇ διὰ τῶν ἀρτηριῶν ἐνεργείᾳ. καταπεπτωκυίας μὲν γὰρ εἰς ἰσχυρὴν ἀσθένειαν τῆς δυνάμεως, ἀμυδροί, καὶ μικροί, καὶ βραδεῖς οἱ σφυγμοὶ γίνονται. εἰ δ' ἐρρωμένη μὲν εἴη κατὰ τὸν ἑαυτῆς λόγον, ὑπὸ δέ τινος πλήθους βαρύνοιτο, ποικίλους ἤτοι καὶ ἀνωμάλους ἀποτελεῖ, τοὺς πλείστους μὲν ἀμυδροὺς, καὶ βραδεῖς, καὶ μικρούς, ὅταν ἰσχυρῶς βαρυνθῇ, τοὺς πλείστους δ' αὖ πάλιν σφοδρούς, καὶ ταχεῖς, καὶ μεγάλους, ὅταν ἐπ' ὀλίγον. ὁπόταν δὲ μήτ' ἰσχυρῶς πάνυ, μήτ' ἄγαν ἐπιεικὴς ἡ κάκωσις γίνηται, ἐγγύς τι τῷ πλήθει τοὺς ἐναντίους, ὡς μήτε πλείους ἔχειν εἰπεῖν, μήτ' ἐλάσσους, ἢ τοὺς σφοδροὺς τῶν ἀμυδρῶν, ἢ τοὺς μεγάλους τῶν μικρῶν, ἢ τοὺς ταχεῖς τῶν βραδέων. οὕτω μὲν αἱ τῆς δυνάμεως βλάβαι, τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζονται.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅπως αὖ αἱ τῶν ὀργάνων βλάβαι τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζονται.

ΑΙ δὲ τῶν ὀργάνων τόνδε τὸν τρόπον. ὅταν αἱ περικείμεναι χῶραι τῆς ἀρτηρίας ἕνεκα τοῦ διαστελλομένας αὐτὰς ἐκδέχεσθαι, καταληφθῶσιν ὑπό τινος ἑτέρου σώματος, ἀνάγκη στενοχωρουμένας ἐν τούτῳ τὰς ἀρτηρίας, ἀδυνατεῖν αὐτάρκως διαστέλλεσθαι. ὃ καθ' ἑκάστην οὖν ἐνέργειαν ἐλλιπὲς, ἀθρόον ἔν ποτε κεφάλαιον ἀξιόλογον ἀποτελεῖ, ὥστε πολὺ τῆς χρείας ἀπολείπεσθαι τὴν ἐνέργειαν. τότε δ' ἤδη καὶ ἡ δύναμις ἀναγκάζεται βιαίως τε καὶ σφοδρῶς ἐνεργεῖν, ἀπώσασθαι καὶ ὤσασθαι σπεύδουσα τὰ περικείμενα τοῖς ὀργάνοις αὐτῆς, καὶ κωλύοντα τὰς κινήσεις. κἀν τούτῳ μείζονά τε τῶν ἔμπροσθεν, ἀνάγκη, καὶ σφοδρότερον, καὶ ὠκύτερον γίνεσθαι τὸν σφυγμόν. πυκνότερος δ' οὐ νῦν πρῶτον, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ἐγίνετο. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου λόγῳ ταῖς ἐλλιπεστέραις τῆς χρείας ἐνεργείαις, ἐξ ἀνάγκης ἑπομένη πυκνότης σφυγμῶν. εἰ μὲν οὖν τὴν ἴσην ὁρμὴν ἡ δύναμις ἐπὶ τούτων ἐφύλαττεν ἐν ἁπάσαις ἐφεξῆς διαστολαῖς, ὁμοίως ἂν ἀεὶ μεγάλοι, καὶ σφοδροί, καὶ ταχεῖς ἐγίνοντο. νυνὶ δ', οὐ γὰρ φυλάττει, ἀλλὰ πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς φέρεται κίνησιν, ἐν τούτῳ πολυειδής τε καὶ συνεχὴς ἡ ἀνωμαλία γίνεται. τοῦ δὲ μὴ φυλάττειν αἴτιον ἐστι, τὸ μηδὲν ἀνύσασαν τὴν αὐτὴν μέγα, κάμνειν ματαίως. εἰ δὲ καὶ ὑγρότης εἴη τις περικεχυμένη ταῖς ἀρτηρίαις, ταῖς σφοδραῖς, καὶ βιαίαις κινήσεσιν ὠθουμένη, μεταρρεῖν ἄλλοτ' εἰς ἄλλους ἀναγκάζεται τόπους, ἔστ' ἂν ἤτοι κατά τινα πόρον ἐνεχθεῖσα τὸν ἐξοχετεῦσαι δυνάμενον αὐτήν, ἐκπέσῃ τοῦ σώματος, ἢ ἐν πλείονι τῷ χρόνῳ, ἢ τελέως εἰς ἀτμοὺς λυθεῖσα διαπνευσθείη. κἀν τούτῳ τέως ἀνάγκη πολλήν τε καὶ συνεχῆ γίνεσθαι τὴν ἀνωμαλίαν, μήτ' ἴσον τὸ πλῆ-

θος ἐν παντὶ τῷ μεταξὺ χρόνῳ τῶν ὑγρῶν φυλαττομένων, μήτε τὰς αὐτὰς στενοχωρούντων ἀρτηρίας, ἀλλ' ἐξ ἀκυρωτέρων πολλάκις μορίων εἰς τὰ κυριώτερα, κἀκ τούτων αὖθις εἰς ἀκυρώτερα μεθισταμένων. εἰ δ' ἤτοι φλεγμονή τις, ἢ ἀπόστασις, ἢ σκίρρος εἴη τὸ πάθημα τῶν παρακειμένων ταῖς ἀρτηρίαις σωμάτων, ὑφ' οὗ θλίβονταί τε καὶ στενοχωροῦνται, διὰ μακροτέρων οὕτως ἀνάγκη χρόνων τοῖς ἴσοις σφυγμοῖς παρεμπίπτειν τοὺς ἀνίσους. ἀεὶ γὰρ τὰ αὐτὰ μόρια τῶν αὐτῶν ἀρτηριῶν θλίβεται πρὸς τῶν αὐτῶν, ἢ ἴσων τοῖς μεγέθεσιν, ἢ καὶ παραπλησίων ὄγκων. γίνεται δέ ποτε, καὶ διὰ πλῆθος αἵματος, ἤτοι ταῖς φλεψὶν, ἢ ταῖς ἀρτηρίαις αὐταῖς ἐγκεχυμένου ἀνωμαλία σφυγμῶν. ἀλλ' αὕτη γε, ταῖς φλεβοτομίαις τάχιστα καθίσταται. τὸ μὲν γὰρ ἐν ταῖς φλεψὶ πλῆθος, ὡς ἂν παρακειμένων ἑαυταῖς ἀρτηριῶν, θλῖβον τε καὶ στενοχωροῦν αὐτὰς, ὁμοίως τῷ παρὰ φύσιν ὄγκῳ κενωθὲν ταῖς φλεβοτομίαις, αὐτίκα μὲν συγκαθεῖλε τὸν ὄγκον τῶν φλεβῶν· εὐθὺς δὲ, καὶ ταῖς ἀρτηρίαις χώραν εὐπετῆ πρὸς τὴν κίνησιν παρέσχεν, ἐφ' ᾗ τὴν κατὰ φύσιν ἐνέργειαν ἀκώλυτον λαβοῦσαι, τὴν ὁμαλότητα τῶν σφυγμῶν ἅμ' αὐτῇ τὴν κατὰ φύσιν ἀνεκτήσαντο. τὸ δ' ἐν ταῖς ἀρτηρίαις αὐταῖς αἷμα, τοῦτο μὲν ὅπως ἐνίσταται ταῖς ὁδοῖς τοῦ πνεύματος, οὐδὲ λόγου δεῖται. καὶ μάλιστα ἢν καὶ παχύ πως, ἢ γλίσχρον, ἢ κἂν τοῖς ἐσχάτοις αὐτῶν πέρασιν ἐσφηνωμένον εἴη. τηνικαῦτα γὰρ, οὔθ' ἕλκειν, οὔτ' ἐκπέμπειν τὸ πνεῦμα δυνάμεναι, πολυειδῆ θ' ἅμα καὶ χαλεπωτάτην ἐργάζονται τὴν ἀνωμαλίαν, καὶ μάλιστ' ἐὰν ἤτοι τῆς καρδίας αὐτῆς ἐγγὺς, ἢ καὶ πόρρω μὲν, ἀλλ' ἐν κυρίοις μέρεσιν ἡ σφήνωσις τῶν ἐμφραττόντων χυμῶν γίνηται. καθόλου τοίνυν εἰπεῖν, ἢ θλιβομένων ἰσχυρῶς τῶν ἀρτηριῶν, ἢ ἐμφραττομένων ἀνωμαλία τις γίνεται περὶ τοὺς σφυγμοὺς, κἂν μηδὲν ἡ δύναμις πέπονθεν. εἰ μέντοι καὶ ἡ δύναμις ἔχει φαύλως, ἐπὶ τῇ τοιαύτῃ τῶν ὀργάνων διαθέσει, παντί που δῆλον, ὡς πολυειδεστέραν ἀνάγκη γίνεσθαι τὴν ἀνωμαλίαν, ὥσπερ γε καὶ εἰ κατὰ τὴν καρδίαν αὐτὴν ἀνώμαλος ὑπάρχει δυσκρασία, περὶ ἧς ἅπαντα τὸν λόγον ἀκριβώσαιμι ἐν τῇ προγνωστικῇ πραγματείᾳ. εἰ δὲ τὰ μὲν τῶν ὀργάνων ἔχοι καλῶς, ἡ δύναμις δ' ἀσθενὴς εἴη μεγάλως, ἡ προειρημένη μὲν οὐκ ἂν εἴη, ἡ μέντοι μύουρος ὀνομαζομένη γένοιτ' ἂν ἀνωμαλία. κατὰ γὰρ τὴν ἐπιβολὴν τῶν δακτύλων ἡ δύναμις νικωμένη, μικροτέρους ἀεὶ καὶ ἀμυδροτέρους ἐργάζεται τοὺς σφυγμούς. ἀποδείξεως δ' οὐκ ἔτι δεῖ τῷ λόγῳ. δέδεικται γὰρ ἐν τοῖς περὶ διαγνώσεως αὐτάρκως. ἀλλ' ὃ χρὴ προσθεῖναι χρήσιμον εἰς τὰ παρόντα, τοῦτο προσκείσεται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Κατὰ τὰς τῆς δυνάμεως βλάβας, ἀνωμαλίας σφυγμῶν ἄλλας τε καὶ ἄλλας ἐργάζεσθαι.

ΤΗν ἀσθένειαν τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως, οὐκ ἴσην ἐν πάσαις ταῖς διαθέσεσιν ὑπάρχειν ἀναγκαῖον. ἀλλὰ πάμπολυ δή τι τὸ μᾶλλόν τε, καὶ ἧττον ὑπάρχειν. ἡ μὲν δὴ πρώτη, καὶ βραχεῖα, μικροτέρους μὲν καὶ ἀμυδροτέρους, οὐ μὴν γε μυούρους ἐργάζεται τοὺς σφυγμούς. ἡ δὲ ἐπὶ ταύτῃ τοσούτῳ μείζων, ὡς ἤδη καὶ τοὺς ἐπιβαλλομένους δακτύλους ἄχθος εἶναι τῇ δυνάμει, τῶν μυούρων ἐστὶ σφυγμῶν ἀποτελεστική. διττῆς δ' οὔσης ἐν αὐτοῖς τούτοις διαφορᾶς, οἱ μὲν γὰρ αὐτῶν εἰς τὴν ἐξ ἀρχῆς κίνησιν ἐπανέρχονται, καὶ καλοῦσιν αὐτοὺς μυούρους παλινδρομοῦντας, οἱ δ' αὐτόθι που καταστρέφουσιν, ἰστέον ὡς οἱ μὲν πρότεροι μικρο-

humores perpetuò deinceps maneant, nec easdem coarctent arterias, sed ex partibus sæpè ignobilioribus in nobiliores, atque ex iisdem rursus migrent in ignobiliores. Quòd si qua inflammatio, aut abscessus, aut scirrhus arteriis circunfusa corpora afficiat, à quo comprimantur, & coarctentur, tum longioribus coguntur interuallis inæquales pulsus interpolare æquales; semper enim earumdem arteriarum premuntur eædem partes ab iisdem, vel paribus magnitudine, vel similibus tumoribus. Accidit etiam pulsuum inæqualitas interim ex sanguinis copia, qui aut in venas aut arterias ipsas sit infusus, at hæc quidem sanguinis missione sedatur facillimè; etenim copia illa in venis, arterias non secus, ac tumor præter naturam, vtpotè iis vicinas, premit & coarctat; vacuata per sanguinis missionem, illicò venarum tumorem contrahit, statimque etiam locum arteriis amplum ad motum dat; vbi quia solitam functionem, nemine interpellante, tenent, simul cum ea æqualitatem naturalem pulsuum recuperant. At verò hic sanguis, qui in arteriis est, quemadmodum occupet spiritus riuos, quid refert narrare? potissimum si crassus, vel lentus, vel si extremis earum finibus sit impactus; tunc enim quia nec allicere spiritum, nec reddere valent, diuersas simul, & difficillimas faciunt inæqualitates, præcipuè si vel propè ipsum cor, vel procul quidem, sed in nobiles partes impingant, obstruantque illi succi. Quare vt vno verbo dicam, quum aut validè comprimuntur arteriæ, aut quum obstruuntur, vt integra omnino facultas sit, inæqualitas quædam corripit pulsus. At si facultas vnà sit affecta cum eo affectu instrumentorum, clarissimum est magis variam oportere inæqualitatem existere; itemque si ipsum cor infestet inæqualis intemperies, de qua accuratissimè in libris de præsagitione scribam. At verò si instrumentorum illæsus status sit, sed magnopere facultas infirma, inæqualitas illa, de qua iam diximus, non existet, sed mutila, & decurtata, quam vocant, inæqualitas; ab admotis enim digitis victa facultas, minores semper, imbecillioresque pulsus creat. Demonstrationem oratio ampliorem non quærit, quum abundè in libris de dignoscendis pulsibus declarauerim; quòd verò refert ad hunc locum, hoc faciam, vt adijciam.

CAPVT III.

Pro facultatis offensione, aliæ atque aliæ inæqualitates oriuntur.

FAcultatis, quæ creat pulsus, non est necesse imbecillitatem in omnibus affectibus parem esse; sed in ea permagnus est excessus, & defectus; nam prima quidem, & parua minores languidioresque, non autem decurtatos pulsus facit; quæ verò est hac tanto maior, vt iam facultati sint oneri applicati digiti, hæc pulsuum decurtatorum author est. Sed quia duplex est in his ipsis differentia) quidam enim illorum ad pristinum motum reuertuntur, quos decurtatos vocant reciprocos; aliqui illic alibi permanent) priores scito minorem indicare

care imbecillitatem; adhuc enim resistit quodammodo facultas, & veluti colligens se ipsam, & sæpè concitans, magnitudinem ita auget pulsuum; auget item contentionem. At qui permanent in extrema paruitate, nec omninò recipiunt sese, languidiorem, quam in his, ostendunt facultatem esse. Sic si prorsus deficiant, significabunt vltimam quandam imbecillitatem. Verùm hæc explorari omnia applicandis digitis arteriæ, nequaquam suspensis, apertissimum est, nam si eleuatis iis, & mox applicatis inueniamus in singulis applicationibus motum deficientem, veram abolitionem pulsus vocamus, non deficientem pulsum. Equidem longè abesse abolitionem puto à pulsu deficiente; illa enim velut est defectus, vt sensus quidem indicat, totius functionis, hic dimidiatæ amissio. Ergo vbi admouenti digitos videatur motus exolutus, & tenenti applicatos paulatim prorsus desinat, eos pulsus vocamus deficientes; illumque statum medium numeramus inter decurtatos pulsus, & perfectam pulsus abolitionem; & quanto decurtatis grauiorem, tanto leuiorem pulsus abolitione. Ac hi quidem tres status quantitate noxæ differunt. Quartus reciprocorum est decurtatorum, qui est omnium leuissimus. Quintus his addatur, intermittentium, qui præcedit deficientium statum; quod enim in vno, aut altero erat, aut certè in numero pulsuum certo, id status deficientium in omnibus efficit. Manifestæ etiam ipsorum intermittentium differentiæ sunt; grauius enim facultas offensa est, vbi plures; leuius, vbi pauciores motus deficiunt. Iam verò intercurrentium, quos vocant pulsuum affectio contraria est affectioni intermittentium; qui quidem item inter inæquales, qui aceruatim fiunt, sunt; inciduntque, vbi facultas valens copia humorum, vel instrumentorum obstructione impeditur. Vt ergo ad repellenda, quæ molestant, maiores sæpè, & vehementiores edit, celerioresque pulsus, ita plures quoque, in eiuscemodi præsertim statibus, atque alti pulsus fiunt, itaque portendunt decretoriam excretionem. Porrò non solùm facultatis infirmitas inducit intermittentem pulsum, sed & instrumentorum valida obstructio, aut compressio, & constrictio; vbi in se nihil prorsus arteriæ allicere valeant. Hactenus de pulsuum inæqualitate collectiua satis dictum est.

CAPVT IV.

Causæ inæqualitatis vnius pulsus.

NVnc de inæqualitate vnius pulsus agendum est, cuius sunt complures singulares differentiæ. Has laborandum nobis est, vt ad vniuersales reducamus cunctas; quibus perspectis, etiam si quid desideretur singulare, ex ante dictis promptè reliqua inuenientur. Orationis etiam idem sit initium, quod in sermone de differentiis illorum fuit, vbi initium fecimus à diuidenda primùm motus inæqualitate, qui vel interpellatur, vel perpetuus est, vel reciprocus. Ac nouem differentias docuimus fieri, quum distentionem arteriæ quies aliqua intersecas; totam eam in tria partiatur tempora. Ergo hic singulas ordine consideremus, vt causas inueniamus; ac primo quidem loco, quam illarum primam exposuimus:

A τέραν διαδείκνυσι τὴν ἀσθένειαν. ἀντιμάχεται γάρ πως ἡ δύναμις ἔτι, καὶ οἷον ἀθροίζουσα, καὶ συστρέφουσα πολλάκις ἑαυτὴν, αὔξει μὲν τὸ μέγεθος οὕτω τῶν σφυγμῶν, αὔξει δὲ καὶ τὸν τόνον. οἱ μέντοι καταμένοντες ἐν ἐσχάτῃ μικρότητι, καὶ μηκέτι ἐπανερχόμενοι, μειζόνως, ἢ κατὰ τούτους ἐμφαίνουσι λελύσθαι τὴν δύναμιν, ὥσπερ εἰ καὶ τελέως ἐκλείποιεν, ἐσχάτην τινὰ τὴν ἀῤῥωστίαν ἐνδείξονται. ὅτι μέντοι τούτων ἁπάντων ἡ διάγνωσις ἐπικειμένων τῶν δακτύλων ταῖς ἀρτηρίαις, καὶ μηδόλως αἰρομένων γίγνεται, πάντῃ που πρόδηλον. εἰ γὰρ αἴροντες αὐτοὺς, εἶτα μετ᾽ ὀλίγον ἐπιφέροντες, εὑρίσκοιμεν καθ᾽ ἑκάστην ἐπιβολὴν
B ἐκλελοιπυῖαν τὴν κίνησιν, ἀσφυξίαν τε τοὺς καλοῦμεν παντελῆ, καὶ οὐκ ἐκλείποντα σφυγμόν. πολὺ δ᾽ οἶμαι διαφέρειν ἀσφυξίαν, ἐκλείποντος σφυγμοῦ. ἡ μὲν γὰρ οἷον στέρησις ἁπάσης τῆς ἐνεργείας, πρὸς γοῦν τὴν αἴσθησιν, ὁ δ᾽ ἐξ ἡμισείας ἀπώλεια. ὁπόταν οὖν ἐπιβάλλοντι μέν σοι τοὺς δακτύλους ἡ κίνησις ἐμφαίνηται, φυλάττοντι δ᾽ ἐπικειμένους, ἐκλυθεῖσα, κατὰ βραχὺ παύσηται παντάπασι, τοὺς μὲν σφυγμοὺς, τοὺς τοιούτους ἐκλείποντας ὀνομάζειν· τὴν διάθεσιν δ᾽ ἡγεῖσθαι μέσην τῆς τε τῶν μυούρων σφυγμῶν, καὶ τῆς παντελοῦς ἀσφυξίας. ὅσῳ δὲ τῶν μυούρων χαλεπωτέραν, τοσούτῳ τῆς ἀσφυξίας ἐπιεικεστέραν.
C τρεῖς μὲν οὖν αὗται διαθέσεις τῷ ποσῷ τῆς βλάβης διαφέρουσαι. τετάρτη δ᾽ ἡ τῶν παλινδρομούντων μυούρων, ἡ πασῶν ἐπιεικεστάτη. πέμπτη δ᾽ ἔτι προσκείσθω ταύταις, ἡ τῶν διαλειπόντων, προηγουμένη δηλονότι τῆς τῶν ἐκλειπόντων. ὃ γὰρ ἐφ᾽ ἑνὸς, ἢ δυοῖν, ἢ ὅλως ἀριθμοῦ τινος σφυγμῶν ἦν, τοῦθ᾽ ἡ τῶν ἐκλειπόντων ἐπὶ πάντων ἐργάζεται. πρόδηλοι δὲ καὶ αὐτῶν τῶν διαλειπόντων αἱ διαφοραί. μείζονες μὲν γὰρ αἱ βλάβαι τῆς δυνάμεως, ὅταν πλείονες. ἐλάττονες δ᾽, ὅταν ὀλιγώτεραι κινήσεις ἐκλείπωσιν. ἡ δὲ τῶν παρεμπιπτόντων καλουμένων σφυγμῶν διάγνωσις, ἐναντία τῇ τῶν διαλειπόντων ἐστίν· εἶεν δ᾽ ἂν δηλονότι
D καὶ οὗτοι τῶν ἀνωμάλων ἐν ἀθροίσματι, καὶ γίνονται τῆς δυνάμεως ἐῤῥωμένης μὲν, ἀλλ᾽ ὑπὸ πλήθους χυμῶν, ἢ ἐμφράξεως ὀργάνων ἐνοχλουμένης. ὡς οὖν, ἵνα διασώσηται τὰ λυποῦντα μείζονας πολλάκις, καὶ σφοδροτέρους, καὶ ὠκυτέρους ἐργάζεται τοὺς σφυγμοὺς, οὕτω καὶ πλέονες, ἐν ταῖς τοιαύταις διαθέσεσι μάλιστα, καὶ ὑψηλοὶ γίνονται σφυγμοί. καὶ διὰ τοῦτο, κριτικῆς ἐκκρίσεώς εἰσι σημεῖα. οὐ μόνον δὲ δι᾽ ἀῤῥωστίαν δυνάμεως, ὁ διαλείπων γίγνεται σφυγμός, ἀλλὰ καὶ δι᾽ ἔμφραξιν ὀργάνων ἰσχυρὰν, ἢ θλίψιν τινὰ καὶ στενοχωρίαν, ὅταν μηδ᾽ ὅλως εἰς ἑαυτὰς ἕλξαι τι δυνηθῶσιν αἱ ἀρτηρίαι. περὶ μὲν οὖν τῆς ἐν ἀθροίσματι τῶν σφυγμῶν ἀνωμαλίας, ἱκανὰ καὶ ταῦτα.

E

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Αἰτίαι τῆς καθ᾽ ἕνα σφυγμὸν ἀνωμαλίας.

ΠΕρὶ δὲ τῆς καθ᾽ ἕνα, λεκτέον ἐφεξῆς. εἰσὶ δὲ ταύτης πάμπολλαι μὲν αἱ κατὰ μέρος διαφοραί. πειρατέον δ᾽ ἡμῖν εἰς τὰς καθόλου πάσας ἀναγαγεῖν, ὧν σαφῶν γινομένων, κἂν εἴ τι τῶν κατὰ μέρος ἀπολείποιτο, ῥᾳδίως ἐκ τῶν προειρημένων εὑρεθήσεται, καὶ τὰ λοιπά. καὶ ἡ γ᾽ ἀρχὴ τοῦ λόγου ἡ αὐτὴ γιγνέσθω, ἥπερ καὶ τοῦ περὶ διαφορᾶς αὐτῶν.
F ἠρξάμεθα δ᾽ ἐν ἐκείνῳ διαιρούμενοι τῆς κινήσεως αὐτῆς πρότερον τὴν ἀνωμαλίαν, ἤτοι διακοπτομένης, ἢ συνεχοῦς μενούσης, ἢ ἐπανερχομένης. καὶ ταύτην ἐννέα διαφορὰς ἐδιδάξαμεν γινομένας, ὁπόταν διαστελλομένης τῆς ἀρτηρίας, ἡσυχία τις ἐν τῷ μέσῳ γινομένη τὴν ὅλην διαστολὴν εἰς τρεῖς τέμνῃ χρόνους. ἑξῆς οὖν ὑπὲρ ἑκάστης αὐτῶν ἐνταῦθα σκεψώμεθα τὰς αἰτίας ζητοῦντες.

καὶ πρῶτόν γε τῆς πρώτης ἐν αὐταῖς ῥηθείσης, ὅταν ὠκέως ἀρξαμένη τῆς κινήσεως ἡ ἀρτηρία, κἄπειτα μικρὸν ἡσυχάσασα τὸ λοιπὸν τῇ διαστολῇ, μετὰ ταῦτα προσθῇ, βραδέως κινηθεῖσα. γίνεται γὰρ τοῦτο μὲν χρείας ἐπειγούσης, τῆς δυνάμεως δὲ ὑπηρετούσης μὲν ὅσον ἐφ' ἑαυτῇ, κωλυομένης δ' ἤτοι δι' ὀργάνων βλάβην, ἢ πλῆθος ἀξιόλογον. ἐπεὶ εἴ γε μὴ διεκόπτετό ποτε τῆς ἡσυχίας ἡ διαστολή, πάντως ἂν ἦν μεγάλη. τοιαύτη δ' οὐκ ἂν γένοιτο, χωρὶς τοῦ καὶ τὴν χρείαν καλεῖν, καὶ τὴν δύναμιν ὑπηρετεῖν. ὅτι δὲ οὐκ ἐνδέχεται μικρὰν διαστολὴν ἡσυχίᾳ μεσολαβεῖσθαι, μάθοις ἂν ἐννοήσας, ὡς οὐδεὶς τῶν μικρῶν σφυγμῶν εἰς δύο αἰσθητὰ μόρια τμηθῆναι δύναται. οὗτος δέ γε ὑπὲρ οὗ νῦν ὁ λόγος, εἰς δύο τέτμηται σαφεῖς σφυγμούς, τόν τε πρὸ τῆς ἡσυχίας τὸν ταχύν, καὶ τὸν ἐπὶ ταύτῃ τὸν βραδύν. εἰ μὲν δὴ καὶ ἑκάτερος αὐτῶν ἀξιόλογον ἔχοι μέγεθος, οὗτος ἂν ὅλος εἴη τῶν μεγίστων. εἰ δὲ μή, ἀλλ' οὐ μικρός γε πάντως ἐστί, κἂν ἐκ μικρῶν δυοῖν συννοῆται. δηλοῖ δὲ τὴν ῥώμην τῆς δυνάμεως, καὶ τὸ τῆς προτέρας κινήσεως τάχος, ὥσπερ γε καὶ τὸ τῆς χρείας ἐπεῖγον, ἡ μετὰ τὴν ἡσυχίαν κίνησις ἐνδείκνυται. οὐ γὰρ ἄνευ τούτου, συνεπλήρωσεν ἄν ποτε τὴν ἐξ ἀρχῆς ὁρμὴν ἡ δύναμις, ἀλλ' ἔνθα πρῶτον ἐπεσχέθη κινουμένη, κατέπαυσεν ἂν ἐνταῦθα τὴν διαστολήν, μικρὸν ἕνα τοῦτον ἐργασαμένη σφυγμόν. ὥσπερ οὖν καὶ φαίνεται μυριάκις ἐν ταῖς συστηματικαῖς ἀνωμαλίαις μικρὸς γινόμενος ὁ σφυγμός, οὐ τῷ μὴ δύνασθαι κινεῖσθαι τὴν δύναμιν, ἀλλὰ τῷ κωλύεσθαι. πολλάκις οὖν τὸν ἐφεξῆς αὐτῷ μέγιστον εἰργάσατο, συστρέψασα, καθάπερ ἂν εἴποι τις ἑαυτήν, καὶ οἷον ἀθροίσασα, καὶ ἀνακτησαμένη, καὶ πάντῃ τῷ τόνῳ βιαίως χρησαμένη. ἐνὸν οὖν αὐτῇ, καὶ νῦν ἐργάσασθαί τι τοιοῦτον, οὐκ ἐργασαμένη, τὴν χρείαν ἐπείγειν ἐνεδείξατο. πόθεν οὖν ὅτι πλῆθος ἄμετρον, ἢ θλίψις ὀργάνων, ἢ ἔμφραξις ἐμποδίζουσι τὴν κίνησιν; πρῶτον μὲν ἐκ τοῦ τήν τε δύναμιν ἐρρῶσθαι, καὶ τὴν χρείαν ἐπείγειν. οὐ γὰρ ἂν ἔτι λοιπὸν οὐδὲν εἴη τῆς βλάβης αἴτιον, ἔξω τῶν εἰρημένων, ἔπειτα δὲ κἀξ αὐτῆς τῆς φύσεως αὐτῶν. εἴτε γὰρ πλῆθος εἴη τὸ βαρῦνον, οὐκ ἀδύνατον ἐν τῷ μέσῳ τῆς διαστολῆς στᾶσαν τὴν δύναμιν, καὶ οἷον ἀναπαυσαμένην, οὕτω τὸ λοιπὸν προσθεῖναι, εἴτ' ἔμφραξις τῶν ὀργάνων ἰσχυρά, ἢ θλίψις τις βίαιος, ἴσχεσθαι τὴν κίνησιν εἰς τοσοῦτον εὔλογον, εἰς ὅσον ἀπορρεῖ τοῦ πληρώσοντος πνεύματος τὴν χώραν τῆς διαστολῆς. ἀλλ' ἐπεὶ τὸ τελέως ἴσχεσθαι, τοῦ τελέως ἀποκεκλεῖσθαι τὰς ὁδοὺς τοῦ πνεύματος ἐνδεικτικόν ἐστιν· διὰ τοῦτο καὶ τὴν θλίψιν, καὶ τὴν ἔμφραξιν ἰσχυρὰς εἶναί φαμεν. τοῦτο μὲν δὴ κοινὸν ἁπασῶν τῶν ἐφ' ἡσυχίας τεμνομένων διαστολῶν. ἴδια δὲ ἑκάστης αὐτῶν, τὰ νῦν λεχθησόμενα. τῆς μὲν πρώτης, ἰσχυρῶς βαρύνεσθαι τὴν δύναμιν ὑπὸ τοῦ πλήθους, ὅταν γε διὰ πλῆθος ὁ σφυγμὸς γίνηται τοιοῦτος. ἡ γὰρ ὑστέρα κίνησις ἡ μετὰ τὴν ἡσυχίαν, οὐκ ἂν ἄλλως ἐγίνετο βραδεῖα, τῆς προτέρας οὔσης ὠκείας, εἰ μὴ ἐνενίκητό τε καὶ ἰσχυρῶς ἐβεβάρητο πρὸς τοῦ πλήθους ἡ δύναμις. ἔμπαλιν δ' ἐπὶ τῆς δευτέρας ἔχει διαφορᾶς, ἐφ' ἧς ἀμφότερα τὰ μέρη τῆς κινήσεώς ἐστι ταχέα. φαίνεται γὰρ ἀναφέρουσα, καὶ διασώζουσα τὸν τόνον ἡ δύναμις, καὶ διαμαχομένη τῷ πλήθει. μέση δ' ἀμφοῖν ἐστι δηλονότι διάθεσις, ἐφ' ἧς καὶ ἡ κίνησις ἡ δευτέρα μέση ταχείας τε καὶ βραδείας, ὅπερ ἐστὶ σύμμετρος. αὗται μὲν οὖν τρεῖς διαφοραὶ τῶν ἡσυχίᾳ σχιζομένων διαστολῶν. ἕτεραι δὲ τρεῖς, ὅταν τῆς προτέρας κινήσεως βραδείας γινομένης, ἡ δευτέρα ταῖς τρισὶ τρέπηται τροπαῖς, ἤτοι βραδεῖα, ἢ ὠκεῖα, ἢ σύμμετρος γινομένη. καὶ δηλονότι, καὶ ταύταις χειρίστη μέν, ἐφ' ἧς αἱ κινήσεις ἄμφω βραδεῖαι.

quum celeriter primum concitata arteria, deinde parua interposita quiete, residuum denique addat distentioni tardè mota. Hoc enim accidit, quum vsus vrgeat, & facultas, quantum in ea est, obsequatur, sed aut à vitio interrumpatur instrumentorum, aut ab humorum insigni abundantia; nam ni interrumpatur vsquam distentio quiete, omninò magna sit; qualis nunquam, nisi flagitet vsus, & morem gerat facultas fiat. Nam paruam distentionem quiete intercipi non posse perspicias, si intelligas nullum esse paruum pulsum, qui dissecari in partes duas, vt animaduertere possis valeat; at hic verò, de quo nunc agimus, in duos manifestos est diuisus pulsus, alterum ante quietem, qui celer est, & alterum à quiete, qui tardus. Ac siquidem insigni vterque magnitudine præditus sit; tum erit totus ex maximis; sin minus, non paruus certè est prorsus, licet ex paruis quidem duobus constare intelligatur. Porrò facultatis robur prioris motus demonstrat celeritas & vsum etiam vrgentem motus indicat ille secundum quietem; nam si absque eo esset, nunquam inceptum motum facultas absolueret; sed vbi inhibitus primùm motus eius esset, ibi desineret distentionem, vnumque hunc faceret paruum pulsum. Quomodo millies in collectiuis inæqualitatibus paruum factum cernas pulsum, non quin moueri facultas possit, sed quòd impediatur; vnde sequentem sæpe maximum afficit, concitans, vt ita dicam, se ipsam, & veluti colligens, virésque recuperans, denique omnem contentionem, vimque aduocans. Hoc autem quum posset etiam hic moliri, quia non fecit, vsum declarauit vrgere. At vnde quòd immodici humores, vel instrumentorum compressio, aut obstructio motum impediant? primùm hinc quòd valeat facultas, & vsus instet, neque enim extra illa, quod noxam inducat, reliquum quicquam sit. Deinde etiam ex ipsa natura illorum; nam siue copia sit humorum, quæ grauet, nihil obstabit, quo minus in media distentione subsistat facultas, & quasi respiret, atque inde residuum apponat; siue sit valida instrumentorum obstructio, siue compressio violenta, retineri hactenus verisimile est motum, quatenus spiritu deficitur locum distentionis impleturo. At quia omninò consistere, & retineri, omninò significat obstructas esse semitas spiritus, ideò etiam compressionem, & obstructionem validam esse dicimus. Atque hoc omnibus distentionibus commune est, quas quies diuidit; singulis autem separatim ea, quæ nunc exponemus; primæ, admodum onerari à copia humorum facultatem, quum ex abundantia certè humorum gignatur is pulsus; posterior enim motus, qui secundum quietem fit, quum prior esset celer, non posset tardus fieri, nisi oppressa tum, & grauiter onerata facultas sit ab humorum copia. Contrà est in altera differentia, in qua motus vtrinque celer est; videtur enim attollere facultas, & retinere contentionem, copiæque humorum repugnare. Iam medius est inter vtrunque status, vbi motus quoque secundus medius est inter celerem, & tardum, qui est moderatus. Hæ sunt distentionum quiete interpellatarum tres differentiæ. Aliæ tres sunt differentiæ, vbi priore motu tardo, alter trifariam variet, vt aut tardus, aut celer, aut moderatus fiat. Sanè hic quoque pessimus est, qui vtrunque motum tardum habet; ac

ac longè hoc commodior, in quo celer alter; medius inter vtrumque, vbi sit moderatus. Haud aliter, quum à primo motu moderato alter tribus modis conuertatur, commodiorem significabit statum celer motus, perniciosiorem tardus, medium moderatus. Omnium harum nouem differentiarum, à quacunque causa proficiscantur, quæ est vtroque motu tardo, deterrima est; commodissima, cuius celer est vterque motus; media in qua vterque moderatus; iam aliæ, quæ intercedunt inter mediam, & extremam vtranque, proportione. Quin etiam tempus hoc quietis, quo sit in quaque nouem harum differentiarum longius, hoc est deterius; è diuerso diuturnius motuum tempus meliorem declarat statum. Præterea vtriusque distentionis magnitudo optima; contra pessima est paruitas. Similiter vehementia optima remissio pessima. Quòd si omnia quæ commemorauimus mala, in vno pulsu conueniant, hic illorum scilicet pessimus erit: contrà si omnia commoda, optimus. Ille enim si copia humorum sit quæ facultatem oneret, valdè declarat superatam naturam esse, si obstructio arteriarum, quum præcipuarum esse harum, nec remotarum longè à principio, tum hanc obstructionem indicat insignem esse; si compressio sit, & constrictio, innuit arteriarum locum occupatum penè omnem. At verò commodissimus inter illos, cuius inquam, vterque est motus celer, magnus vehemens, ac quietis breue tempus, quum facultatem denunciabit superiorem abundantia humorum esse, tum obstructiones, & compressiones arteriarum, vel paruas, vel non in nobilioribus partibus, vel procul à principio. Sed hæc ad contemplationem propriè pertinent præsagiendi, nos quod à proposito non essent aliena, adscripsimus.

πολὺ δ' ἐπιεικεστέρα ταύτης, ἐφ' ἧς ἡ δευτέρα ταχεῖα. μέση δ' ἀμφοῖν, ἐφ' ἧς σύμμετρος. οὕτω δὲ κἂν εἰ τῆς προτέρας κινήσεως συμμέτρου γινομένης, ἡ δευτέρα τὰς τρεῖς τρέποιτο τρόπους. ἐπιεικεστέραν μὲν ἐνδείξεται διάθεσιν ἡ ὠκεῖα κίνησις. ὀλεθριωτέραν δ', ἡ βραδεῖα. μέσην δ' ἡ σύμμετρος. πασῶν δὲ τῶν ἐννέα διαφορῶν, ὑφ' ἧς τινος ἂν αἰτίας γίνωνται, χειρίστη μὲν ἡ ἀμφοτέρας ἔχουσα τὰς κινήσεις βραδείας. ἐπιεικεστάτη δ', ἡ ἀμφοτέρας ταχείας. μέση δ', ἐφ' ἧς ἀμφότερα σύμμετρα. καὶ ἄλλαι δὲ μεταξὺ τῆς τε μέσης καὶ τῶν ἄκρων ἑκατέρας, ἀνάλογον. ἀλλὰ καὶ χρόνος οὗτος ὁ τῆς ἡσυχίας, ὅσῳ περ ἂν πλείων γίγνηται καθ' ἑκάστην τῶν εἰρημένων ἐννέα διαφορῶν, τοσούτῳ χαλεπώτερος. ἔμπαλιν δὲ τῶν κινήσεων ὁ χρόνος αὐξανόμενος, ἐπιεικεστέραν ἐμφαίνει τὴν διάθεσιν. ὡσαύτως δέ, καὶ τὸ τῶν διαστολῶν ἀμφοτέρων μέγεθος ἄριστον. ὥσπερ οὖν ἡ μικρότης χείριστον. οὕτω δὴ καὶ ἡ μὲν σφοδρότης ἄριστον, ἡ δ' ἀμυδρότης, χείριστον. εἰ δ' ἅπαντα ἅμα συνέλθοι τὰ εἰρημένα κακὰ περὶ ἕνα σφυγμόν, οὗτος ἂν ὁ χείριστος εἴη αὐτῶν. ὥσπερ εἰ καὶ πάντα τὰ ἐπιεικέστατα, ὁ βέλτιστος. ὁ μὲν γάρ, εἴτε πλῆθος εἴη τὸ βαρῦνον τὴν δύναμιν, νενικῆσθαί φασιν αὐτὴν ἀξιολόγως, εἴτε ἔμφραξίς τις ἐν ταῖς ἀρτηρίαις, ἐν κυρίαις μὲν ταύταις, καὶ οὐ πόρρω τῆς ἀρχῆς, μεγάλην δὲ καὶ αὐτὴν τὴν ἔμφραξιν ἐπιδείκνυται, εἴτε θλίψις τις, καὶ στενοχωρία, πᾶσαν μὲν ὀλίγου δεῖν κατειλῆφθαι δηλοῖ τὴν χώραν τῶν ἀρτηριῶν. ὁ δ' ἐπιεικέστατος ἐν αὐτοῖς, ἐφ' οὗ δηλονότι καὶ αἱ κινήσεις ἀμφότεραι ταχεῖαί τε, καὶ μεγάλαι, καὶ σφοδραί, καὶ ὁ χρόνος ὁ τῆς ἡσυχίας βραχύς, τὴν μὲν δύναμιν κρατεῖν τοῦ πλήθους ἐνδείξεται, τὰς δ' ἐμφράξεις τε καὶ θλίψεις τῶν ἀρτηριῶν, ἢ μικράς, ἢ οὐκ ἐν κυρίοις, ἢ πόρρω τῆς ἀρχῆς. ταῦτα μὲν οὖν τῆς καλουμένης ἰδίως προγνωστικῆς θεωρίας ἔχεται, τῇ κοινωνίᾳ τοῦ λόγου συναναγραφέντα.

CAPVT V.

Continuorum motuum, sed disparis celeritatis causæ.

NVnc ad pulsus commentandos transeamus, qui totius distentionis habent quidem perpetuum motum, non vniuersum tamen pari celeritate; de quibus in libro de differentiis pulsuum abundè diximus, & quot omnes huius generis differentiæ sint, quotque in quaque earum pulsus. Quominus horum hic numerus recensendus est, sed ad causas illorum accedamus, easque quo breuior tota disputatio sit, quo ad eius assequi poterimus, generatim explicemus. Ac qui iam inde ab initio ad finem vsque in celeritatem insurgunt, minus onerari annunciant facultatem; qui contrà, magis, verùm tamen soluta quidem facultate nullus horum existit; siquidem omnes magni sunt, præsertim quatenus in tria interualla, triáque tempora, aut quatuor, quæ sentiri possint, motus valet extendi. Est autem proprium iis, qui in contraria affatim mutantur, non solùm grauari facultatem, sed etiam obstrui & premi instrumenta. In contraria affatim mutari dico, si quum moueantur celeriter, subito fiant tardi; aut qui ex tardo primo motu euadant celeres. Oriuntur enim hi quum ex obstructionibus quibusdam, & constrictionibus, sed minus difficilibus, quàm intermittentibus; tum ex facultate ipsa copiosis humoribus onerata; minùs illa tamen, quam in intermittentibus, etenim non æquè magnum est incommodum mutari motum, ac impediri.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Αἱ τῶν μὲν συνεχῶν, ἀλλ' οὐκ ἰσοταχῶν γε κινήσεων αἰτίαι.

ΜΕταβάντες δ' ἤδη σκεψώμεθα περὶ τῶν συνεχῆ μὲν τὴν κίνησιν ὅλης αὐτῆς τῆς διαστολῆς ἐχόντων σφυγμῶν, οὐ μὴν ἰσοταχῆ τε πᾶσαν. εἴρηται δὲ καὶ περὶ τούτων ἱκανῶς ἐν τοῖς περὶ διαφορᾶς τῶν σφυγμῶν, ὁπόσαι μὲν αἱ πᾶσαι τούτου τοῦ γένους διαφοραὶ γίνονται, πόσοι δὲ καὶ οἱ καθ' ἑκάστην αὐτῶν σφυγμοί. ὥστε οὐδὲ τούτων τὸν ἀριθμὸν ἔτι χρὴ νῦν ἐπεξιέναι, ἀλλ' ἐπὶ τὰς αἰτίας αὐτῶν ἰτέον, ὡς οἷόν τε, καὶ ταύτας ἐν τῷ καθόλου διεξιόντας, ὑπὲρ τοῦ βραχύτερον γίνεσθαι τὸν ἅπαντα λόγον. ὅσοι μὲν δὴ αὐτῶν ἀπὸ τῆς ἀρχῆς ἄχρι τοῦ τέλους εἰς τάχος διαδιδόασιν, ἧττον βαρύνεσθαι τὴν δύναμιν ἐμφαίνουσιν, ὅσοι δ' ἔμπαλιν, μᾶλλον. οὐ μὴν λυομένης γε τῆς δυνάμεως οὐδεὶς τούτων γίνεται. μεγάλοι γὰρ ἅπαντές εἰσι, καὶ μάλισθ' ὅσον εἰς διαστήματα τρία, καὶ χρόνους τρεῖς, ἢ τέτταρας αἰσθητοὺς ἐγχωρεῖ οἷόν τε τὴν κίνησιν. ἴδιον δὲ τῶν ἀθρόαν εἰς τἀναντία ποιουμένων τὴν μεταβολήν, τὸ μὴ τῆς δυνάμεως μόνης βαρυνομένης, ἀλλὰ καὶ ἔμφραξιν, ἢ θλίψιν ὀργάνων γίνεσθαι, λέγω δ' εἰς τἀναντία ποιεῖσθαι μεταβολὴν ἀθρόως, εἰ κινούμενοι ταχέως ἐξαίφνης γένοιντο βραδεῖς, ἢ ἔμπαλιν ἐκ βραδείας τῆς πρόσθεν κινήσεως, ὠκεῖς. γίνονται γὰρ οὗτοι δι' ἐμφράξεις μέν τινας, καὶ στενοχωρίας, ἀλλ' ἧττον χαλεπὰς τῶν διαλειπόντων, καὶ τῆς δυνάμεως δ' αὐτῆς ὑπὸ πλήθους βαρυνομένης, ἀλλ' ἧττον, ἢ ἐν τοῖς διαλείπουσιν. οὐ γὰρ ἴσον δή που τὸ κακόν ἐστιν, ἢ ὑπαλλαγῆναι τὴν κίνησιν, ἢ κωλυθῆναι.

οἱ γὰρ κατὰ μέρος μέντοι τούτου τοῦ γένους τῆς ἀνωμαλίας σφυγμοί, A ὅπῃ περ ἀλλήλων διαφέρουσι, καὶ τίνες μέν εἰσιν αὐτῶν ὀλεθριώτεροι, τίνες δέ, καὶ αὐτοί, καὶ ἐπιεικέστεροι, ῥᾴδιον μὲν καὶ αὐτόν τινα τῶν ἐντυγχανόντων ἐξευρεῖν ἐκ τῶν ἐπὶ τῶν διαλειπόντων εἰρημένων ὡρμημένον. εἰρήσονται μέντοι καὶ πρὸς ἡμῶν ἐν τοῖς περὶ τῆς διὰ σφυγμῶν προγνώσεως. ὁ γάρ τοι παρὼν λόγος οὐδὲν αὐτῶν ἔτι δεῖται, ὡς κατὰ τὸ κοινὸν τοῦ γένους, κοινὰς καὶ τὰς τῆς γενέσεως ἐχόντων αἰτίας, ἃς δὴ νῦν πέπαυμαι λέγων.

Sed enim huius generis inæqualitatis singuli pulsus qua re mutuò differant, quique inter eos exitialissimi sint, quique lenissimi, quiuis promptè, vel de vulgo, adminiculo illorum, quæ de intermittentibus tradidimus inueniat; faciam tamen, vt in commentariis de præsagitione ex pulsibus aperiam; nam proposita quidem disputatio non requirit iam eos, vt qui pro communi genere communes habeant generationis causas, de quibus modo dixi.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Αἱ τῶν τε κλονωδῶν, καὶ τῶν δικρότων σφυγμῶν αἰτίαι. B

Ἀλλ᾽ ἐπὶ τὸ λοιπὸν ἔτι γένος τῆς καθ᾽ ἓν μόριον τῆς ἀνωμαλίας, οὓς δικρότους ὀνομάζομεν σφυγμούς, ἤδη μετιτέον. ἐλέγομεν δ᾽ αὐτοὺς ἐξ ἀνάγκης εἶναι κλονώδεις. οὐκοῦν οἷόν τε τὰς αἰτίας αὐτῶν ἐξευρεῖν ἀκριβῶς, πρὶν τὰς τῶν κλονωδῶν ἐπιμελῶς διασκέψασθαι. γίνονται τοίνυν οὗτοι, ὅταν ἡ μὲν δύναμις εὔρωστος ᾖ, τὸ δ᾽ ὄργανον σκληρόν, ἐπείγῃ δ᾽ ἡ χρεία. εἰ γὰρ ἕν τι τούτων ἐκλείπει, κλονώδης οὐκ ἂν γένοιτο. τὸ γάρ τοι συνέχον αὐτοῦ τὴν γένεσιν, ἔστι βίαιος διαστολὴ σκληρᾶς ἀρτηρίας. οὐ γὰρ ἂν ἄλλως κραδαίνοιτό τε καὶ διασείοιτο πάντῃ, μὴ οὐκ ἀμφοτέρων τούτων συνελθόντων. εἴτε γὰρ ἡ ἀρτηρία μόνη σκληρυνθείη, μὴ μέντοι βιάζοιτο διαστέλλειν αὐτὴν ἡ δύναμις ἐπὶ πλεῖστον, οὐκ ἂν οὐδεὶς δή που γένοιτο κλόνος, ἀλλ᾽ αὐτὸ δὴ τοῦτο μόνον ὁ καλούμενος σκληρὸς σφυγμός. εἰ δ᾽ ἐπὶ πλεῖστον μὲν ἡ δύναμις ἐθέλοι διαστέλλειν τὰς ἀρτηρίας, αἱ δ᾽ ἕποιντο μαλακότητι συμμέτρῳ, μέγας μὲν ἂν οὕτως, ἀλλ᾽ οὔ τι γε κλονώδης, οὐθ᾽ ὅλως σκληρὸς ἔσται. εἴπερ οὖν μέλλει κλονώδης ἔσεσθαι, δῆλον, ὡς διαστέλλειν αὐτὰς ἡ δύναμις ἐπὶ πλεῖστον, ἢ πεφύκασι βιάζεται. ἀλλ᾽ οὐκ ἂν εἰ μὴ πρὸς τῆς χρείας ἐπειγούσης ἠναγκάζετο, βιαίως ἄν ποθ᾽ ὥρμησεν ἐνεργεῖν ἡ δύναμις. ὥστ᾽ εὐλόγως ἐρρῶσθαι μὲν ἔφαμεν χρῆναι τὴν δύναμιν, ἐσκληρῶσθαι δὲ τὰς ἀρτηρίας, ἐπείγειν δὲ τὴν χρείαν. αὐτὴν δὲ ταύτην τὴν ἔπειξιν, ὑπὸ τίνος ποτὲ αἰτίας γίγνεται λεκτέον. οὐδὲ γὰρ οὐδὲ τοῦτο χρὴ παραλιπεῖν. ἔστι δὲ μία μέν, ὡς ἂν οὕτω τις εἴποι, προσεχὴς αἰτία. πολλαὶ δ᾽ αὐτῆς δημιουργοί. τίς οὖν ἡ μία, καὶ τίνες αἱ πολλαί; ἡ μία μέν, ὅταν ἀπλήρωτος ἡ χρεία μένῃ πρὸς τῆς ἐνεργείας. αἱ πολλαὶ δὲ ταύτης ποιητικαί, καθόλου μὲν φάναι δυνάμεως ἀρρωστία, καὶ ὀργάνων δυσπάθεια, καὶ τῆς χρείας αὔξησις. ἀλλ᾽ ἐπὶ τοῦ νῦν προκειμένου γένους τῶν σφυγμῶν, ἀφελεῖν χρὴ τὴν ἀρρωστίαν τῆς δυνάμεως, ἐδείχθη γὰρ ἐρρῶσθαι. λοιπὸν οὖν ἤτοι τῆς χρείας αὐξανομένης, ἢ τῶν ὀργάνων ἀπειθούντων, ἢ καὶ ἀμφοῖν ἅμα συνελθόντων ἐλάττων ἡ διαστολὴ τῆς χρείας, ἐν τοῖς κλονώδεσιν ἔσται σφυγμοῖς. ἀλλ᾽ ἡ μὲν χρεία τῇ πλεονεξίᾳ τῆς θερμότητος, ἢ τῇ δαπάνῃ τοῦ ψυχικοῦ πνεύματος αὐξάνεται. δυσπαθῆ δὲ γίγνεται τὰ ὄργανα, δι᾽ ἐμφράξεις, ἢ θλίψεις, ἢ σκληρότητας. αὗται δὲ αἱ σκληρότητες, ἢ φλεγμαινόντων, ἢ σκιρρουμένων, ἢ σκληρυνομένων, ἢ ξηραινομένων, ἢ ψυχομένων, ἢ τεινομένων γίνονται τῶν ὀργάνων. καὶ οὕτως ἤδη πάσας εὑρίσκομεν τὰς αἰτίας τῶν κλονωδῶν σφυγμῶν τῆς γενέσεως. ἡ γάρ τοι δύσκρατος ἀνωμαλία, προσιοῦσα μὲν αὐξήσει τὸν κλόνον, οὐ μὴν αἰτία γε αὐτῶν ἐστι τῆς γενέσεως. ἀλλὰ ἡ κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας ἀνωμαλία τῶν σφυγμῶν, ταῖς τοιαύταις ἕπεται προσεχῶς δυσκρασίαις. ἔνθα μὲν γὰρ ὑγρότερον θ᾽ ἅμα, καὶ θερμότερον ἦ τὸ μόριον τῆς ἀρτηρίας, ἐνταῦθα καὶ μείζονος, καὶ θάττονος τοῦ σφυγμοῦ γινομένου, ἔνθα δ᾽ αὖ ἤτοι ψυχρότερον, ἢ ξηρότερον, ἐνταῦθ᾽ ἐλάττονός τε καὶ βραδυτέρου. καὶ δὴ καὶ προεξορμᾶται μὲν εἰς τὴν κίνησιν τὸ πρότερον εἰρημένον, ὕστερον δ᾽ ἄρχεται τὸ δεύτερον,

CAPVT VI.

Vibratorum, & dicrotorum pulsuum causæ.

Porrò ad reliquum iam genus inæqualitatis in vna parte positæ, quos dicrotos pulsus vocamus pergendum est. Hos diximus non posse esse, nisi vibrati sint; quamobrem eorum causas nulla ratione exactè inuenias priùs, quàm vibrati causas accuratè perspexeris. Fit autem hic, vbi valida sit facultas, instrumentum durum, vrgeatque vsus; quorum certè vnum si absit, non fiat vibratus: quæ enim constituit eius generationem, est violenta distentio duræ arteriæ; nam nisi ambo sint hæc coniuncta, C non vibretur, & vndequaque concutiatur. Quòd si arteria indurata sit sola, nec cogatur distendere eam plurimùm facultas, nulla erit planè vibratio, sed hoc tantùm, durus, quem vocant, pulsus. Sin plurimum dilatare arterias facultas studeat, illæ autem moderata mollitie sequantur, magnus tunc erit, non vibratus, miniméque durus. Quare si fiet, vt vibratus sit, planè distendere ampliùs eas, quam possint, facultas molietur. Atqui nisi ab vsu vrgeatur, & compellatur, violentam facultas actionem nunquam obeat. Rectè ergo robusta facultate diximus opus esse, induratis arteriis atque vrgente vsu. D Vt autem vrgeat, à quanam procedat causa, exponendum est; hoc enim minimè est prætermittendum; vna est, vt sic dicam, finitima causa, cuius multæ authores sunt. Quæ tandem hæc vna est, & quæ multæ illæ? vna hæc est, quum vsum functio non impleat; multæ illæ huius authores, breuiter imbecillitas facultatis, instrumentorum contumacia, & maior vsus. At de proposito pulsuum genere demenda facultatis imbecillitas est, nanque eam probauimus firmam esse. E Relinquitur igitur, vt vel vsu increscente, vel instrumentis renitentibus, vel vtrisque copulatis distentio in vibratis pulsibus non assequatur vsum. Atqui vsus abundantia caloris augetur, vel exhausto animali spiritu; contumacia instrumenta fiunt per obstructiones, compressiones, & duritiem; atque hæc durities existit, si inflammata sint, induruerint, desiccata sint, refrigerata, contenta instrumenta. Itaque omnes iam inuenimus causas originis vibratorum pulsuum; nam intemperata inæqualitas si progrediatur, augebit quidem vibrationem, non tamen causa est eorum generationis. F Cæterùm inæqualitas pulsuum in diuersis arteriæ partibus comitatur proximè talem intemperiem; quòd vbi humidior simul, & calidior sit pars arteriæ, maior illic, citatiórque fiat pulsus; vbi vel frigidior, vel durior, ibidem minor & tardior. Iam etiam ad motum priùs concitatur pars illa prior, postea orditur altera.

Quare

Quare ex eo quum augebit simul vibratos, tum erit finitima causa inæqualis in partibus diuersis arteriarum motus. Igitur pulsus, qui vocatur Dicrotus (vt tandem aliquando ad hunc veniamus) ad hunc modum fit. Vbi partes arteriæ, quam attingimus, duriores sint frigidioresque, & ob id difficiliùs etiam moueantur partes vtrinque, quas non attingimus; ac deinde partem mediam præ ipsis in distentione concitatam retrahant intrò, iterúmque secum attollant; his necesse est, feriatur tactus. Eiuscemodi pulsus dicrotus est duntaxat, non autem vibratus perspicuè. Alter qui iuxta, & satis vibratus est, & dicrotus, fit ad hunc modum. Vbi cum vibratione sublatæ arteriæ pars ea, quæ sola cute tecta est, facile attollatur; aliæ autem vtrinque partes crassitudine, numeróque onerentur corporum incumbentium, adeò vt ne motus quidem earum tangentibus occurrat; necesse tum ex parte hac, quæ aperta est, omni iam sublata, partes illas non manifestas; quæ vtrinque sunt adhuc attolli. Itaque mediam, quæ delata iam dudum est, de integro vnà cum illis, quæ vtrinque sunt, attolli ita, vt redeat, & occurrat iterum foris ipsam tangentibus. Proinde constat eum dicrotum futurum, qui in eo tantùm vincit vibratum, quòd motus inæqualitatem in magnis obtineat partibus arteriæ, quum enim pars, quæ digitis occurrit, omnis, nisi quatenus vibratur, æqualiter moueatur, ac partes ex vtroque latere ab illa differant, efficitur dicrotus; vibratus cui nihil suppetit amplius, quàm quòd vibrantur, concutiuntúrque paulatim omnes partes, motus in tam magnis partibus diuersitate; quam habet dicrotus vacat. Planum est igitur ex prædictis dicrotum interim ex magna intemperie oriundum esse, paruaque duritie arteriæ in eum modum motæ, interim ex ingenti duritie coniuncta cum quadam intemperie, vel crassitudine, vel abundantia humorum & carnis.

A ὥστε κατὰ τοῦτο μὲν, καὶ τοὺς κλονώδεις συναυξήσει. παραπλήσιον δ' αἴτιον γενήσεται τῆς κατὰ διαφέροντα μόρια τῶν ἀρτηριῶν ἀνωμάλου κινήσεως. ὁ τοίνυν δίκροτος καλούμενος σφυγμὸς, ἤδη γάρ ποτε, καὶ περὶ τούτου λέγωμεν, ὧδέ πως γίνεται. ὅταν τοῦ μέρους τῆς ἀρτηρίας, ᾧ τὴν ἁφὴν ἐπιβάλλομεν, σκληρότερα καὶ ψυχρότερα, καὶ διὰ τοῦτο δυσκινητότερα τὰ ἑκατέρωθεν, ὧν οὐχ ἁπτόμεθα, γένηται, κἄπειτα προεξορμῆσαν αὐτῶν εἰς τὴν διαστολὴν τὸ μέσον, ἀντισπάσῃ πάλιν ἔσω, καὶ αὖθις συνεξαίρῃ, δὶς ἀνάγκη πλήττεσθαι τὴν ἁφήν. ὁ μὲν οὖν τοιοῦτος σφυγμὸς, δίκροτός ἐστι μόνον, οὐ μέντοι καὶ κλονώδης σαφῶς. B ἕτερος δέ τις ἅμα, καὶ κλονώδης ἱκανῶς ἐστι, καὶ δίκροτος γίνεται κατὰ τοιόνδε τινὰ τρόπον. ὅταν κλονωδῶς ἀναφερομένης τῆς ἀρτηρίας, ὅσον μὲν ὑπὸ τῷ δέρματι μόνῳ γυμνὸν ἑτοίμως ἀναφέρηται, τὰ δ' ἑκατέρωθεν τοῦδε βαρῶνται διὰ πάχος, ἢ πλῆθος τῶν ἐπικειμένων σωμάτων, ὡς μηδὲ τὴν κίνησιν αὐτῶν ὑποπίπτειν τοῖς ἁπτομένοις, ἀνάγκη τηνικαῦτα τοῦ φανεροῦ μέρους ἤδη παντὸς ἀνενηγμένου, τὰ μὴ φαινόμενα τὰ ἑκατέρωθεν ἔτ' ἀναφέρεσθαι. καὶ οὕτω φθάνον καταφέρεσθαι τὸ μέσον, αὖθις συνεξαίρεσθαι τοῖς ἑκατέρωθεν. ὡς ἐπανέρχεσθαί τε καὶ προσπίπτειν ἐκ δευτέρου, τοῖς ἔξωθεν C ἁπτομένοις. εὔδηλον οὖν ὅτι δίκροτος ὁ τοιοῦτος ἔσται, ταύτῃ πλεονεκτῶν τοῦ κλονώδους μόνον, ὅτι κατὰ μεγάλα μόρια τῆς ἀρτηρίας, τὴν ἀνωμαλίαν τῆς κινήσεως ἐκτήσατο. τοῦ μὲν γὰρ ὑποπίπτοντος τοῖς δακτύλοις ἅπαντος ὁμοίως κινουμένου, πλὴν ὅσα κλονεῖται. τῶν δ' ἑκατέρωθεν αὐτοῦ διαφερόντων, ὁ δίκροτος γίνεται, τῷ κλονώδει δὲ μόνῳ οὐδὲν πλέον ὑπάρχει τοῦ κραδαίνεσθαι, καὶ διασείεσθαι κατὰ μικρὸν ἅπαντα τὰ μόρια, τὴν δὲ ἐν οὕτω μεγάλοις μέρεσι διαφορὰν τῆς κινήσεως, ὥσπερ ὁ δίκροτος, οὐκ ἔχει. δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὡς ὁ δίκροτος, ἔσθ' ὅτε μὲν ἐπὶ δυσκρασίᾳ γίνεται μεγάλῃ, καὶ σκληρότητι βραχείᾳ τῆς οὕτω κινουμένης ἀρτηρίας, ἔσθ' ὅτε δ' ἐπὶ σκληρότητι μεγάλῃ μετά D τινος δυσκρασίας, ἢ πάχους, ἢ πλήθους χυμῶν τε καὶ σαρκῶν.

CAPVT VII.

Caprizantis pulsus causæ.

CAprizans verò, quem vocant, hoc cum dicroto commune habet, quòd bis pulsat; nõ communem tamen causam habet, Neque enim cum instrumentorum duritie necesse illi est, nec cum intemperie vt coniungatur. Verùm vbi retinet facultas; quantum illa quidem præstare potest contentionem natiuam, arcetur autem à motu, vel ob humorum immodicam copiam, vel propter obstructionem, vel compressionem instrumentorum; quies tunc distentionem interpellat. Iure itaque altera eius pars secundum quietem robustior illa, quæ eam antecedit videtur. Siquidem vbi sese facultas, quæ prius fuit victa, collegit, vt ita dicam, & confirmauit, viresque reparauit, imminet grauius, & vt superet, reijciatque quæ molesta sunt contendit, id quod frequenter facit. Quòd si in altero etiam impetu sit inferior, fuerit is sanè Caprizante deterior pulsus. Nomen hic non est sortitus, tametsi hos quidam omnes, quorum continuitatem distentionis interpellat quies, appellent caprizantes. Nos verò de nominibus nihil solliciti sumus, nisi quatenus flagitat institutionis perspicuitas.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Αἰτίαι τοῦ δορκαδίζοντος σφυγμοῦ.

Ο Μέντοι δορκαδίζων καλούμενος, κοινὸν μὲν ἔχει πρὸς τὸν δίκροτον, τὸ δὶς πλήττειν, οὔτε κοινὴν δὲ τὴν αἰτίαν. οὔτε γὰρ τῆς σκληρότητος τῶν ὀργάνων, οὔτε τῆς δυσκρασίας ἐξ ἀνάγκης ἐφάπτεται, ἀλλ' ὅταν ἡ δύναμις ὅσον μὲν ἐφ' ἑαυτῇ σώζῃ E τὸν κατὰ φύσιν τόνον, ἴσχηται δὲ τῆς κινήσεως, ἤτοι διὰ πλῆθος ἀμέτρων, ἢ δι' ἔμφραξιν, ἢ θλίψιν τῶν ὀργάνων, ἡσυχία τηνικαῦτα διακόπτει τὴν διαστολήν. δεόντως ἄρα τὸ δεύτερον μέρος αὐτῆς τὸ μετὰ τὴν ἡσυχίαν, εὐρωστότερον φαίνεται τοῦ πρὸ τῆς ἡσυχίας. ἀθροίσασα γὰρ, ὡς ἂν εἴποι τις ἑαυτὴν, καὶ συλλέξασα, καὶ ῥώσασα, καὶ ἀνακτησαμένη ἡ τέως νενικημένη δύναμις, ἐπιτίθεται σφοδρότερον, ἐκνικῆσαί τε καὶ διώσασθαι τὰ λυποῦντα σπεύδουσα. καὶ δὴ καὶ δρᾷ τοῦτο πολλάκις. ἢν δέ ποτε καὶ κατὰ τὴν δευτέραν ὁρμὴν νικηθῇ, χείρων μὲν ἂν οὕτως εἴη τοῦ δορκαδίζοντος ὁ τοιοῦτος σφυγμὸς, ἀνώνυμος δὲ ἐστι. καίτοι τινὲς F ἅπαντας τούτους, ὧν τὸ συνεχὲς τῆς διαστολῆς ἡσυχία διακόπτει, δορκαδίζοντας καλοῦσιν. ἡμῖν δὲ ὀνομάτων γὰρ οὐδὲν μέλει, πλὴν ὅσα τοῦ σαφοῦς τῆς διδασκαλίας ἕνεκα.

A

ΚΕΦΑΛΑΙΟΝ Η'.

Διαφορά τε καὶ αἰτία τῶν κυματωδῶν τε, καὶ τῶν σκωληκιζόντων σφυγμῶν.

Δεδηλωμένου τοῦ πράγματος ἤδη σαφῶς, ἐφ' ἕτερον εἶδος ἀνωμάλων σφυγμῶν ἰτέον ἐστὶν, οὓς καλοῦσιν κυματώδεις ποτὲ καὶ σκωληκίζοντας. ἐδείχθη γὰρ οὖν καὶ περὶ τούτων, ὅτι τῷ ποσῷ μόνῳ διαφέρουσιν ἓν εἶδος ἄμφω κεκτημένοι. καί εἰσι δηλονότι τῶν κατὰ διαφέροντα μόρια τῆς ἀρτηρίας ἐν μιᾷ διαστολῇ τὴν ἀνωμαλίαν ἐχόντων. αἰτίαι δ' αὐτῶν τῆς γενέσεως, ἀρρωστία τῆς δυνάμεως, ἢ πλῆθος χυμῶν, ἢ μαλακότης ὀργάνων ἐσχάτη. ὅταν μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς διικνούμενος εἰς τὰς κατὰ μέρος ἀρτηρίας ὁ τόνος, ἰσοσθενῶς ὅλον ἐξαίρειν ἀδυνατῇ τὸ ἀγγεῖον, ἐν τούτῳ τὸ μὲν ἐγγυτέρω τῆς ἀρχῆς πρότερον ἄρχεται τῆς κινήσεως, τὸ πορρωτέρω δ' ὕστερον. εἰ μὲν οὖν ὁμαλῶς τὸ τοιοῦτον γίγνοιτο δι' ὅλων τῶν ἀρτηριῶν, ἀεὶ τὸ πρότερον αὐτοῦ μόριον, πρότερον φανεῖται κινούμενον, ὡς εἰ καὶ ῥέοντός τινος ἀκωλύτως δι' αὐτῶν, ἤτοι πνεύματος, ἢ ὑγροῦ, τοὺς σφυγμοὺς ἐπιτελεῖσθαι συνέβαινε. καὶ τοῦτ' Ἐρασίστρατος μὲν ἀεὶ γίνεσθαί φησι, καταψευδόμενος τοῦ φαινομένου. τῶν δ' ἄλλων οὐδεὶς μὴ ὅτι ἰατρῶν, ἀλλὰ μηδὲ τῶν φιλοσόφων, ἢ ἰδιωτῶν. ἅπασι γὰρ ἐναργῶς φαίνεται ἅπαντα τὰ μόρια τῶν ἀρτηριῶν, ἐν ταὐτῷ χρόνῳ διαστελλόμενα. σπανίως δὲ καὶ οὐδὲ κατὰ φύσιν ἔτι, τὸ τὰ μὲν ἐγγυτέρω τῆς καρδίας πρότερον φαίνεσθαι κινούμενα, τὰ δ' ἀπωτέρω, δεύτερα. οὐ μὴν ἤδη γέ πως κυματώδης, ἢ σκωληκίζων ὁ τοιοῦτος σφυγμός, ἀλλ' ὅταν αὐτῷ προσγένηται τὸ διὰ τῶν ἀρτηριῶν ῥεῖν φανταζόμενον, ἴσχεσθαί πη, καὶ μένειν, καὶ ἡσυχάζειν δοκεῖν, εἶτ' αὖθις ῥεῖν, καὶ πάλιν ἴσχεσθαι, καὶ τοῦτο γίγνεσθαι δι' ὅλης τῆς ἀρτηρίας, ὁ τοιοῦτος σφυγμός, ἤτοι κυματώδης, ἢ σκωληκίζων ἐστί. περιγραφομένων γὰρ ἀεὶ τῶν κατὰ μέρος κινήσεων ἡσυχίας, τὴν οἷον κυμάτων διαδοχὴν, ἢ σκώληκος διέρποντος φαντασίαν γίνεσθαι συμβαίνει. εἰ μὲν οὖν ὑπὸ πλήθους βαρύνοιτο, τοῦτ' ἴσχει, καὶ διακόπτει, καὶ διασχίζει τὸν τόνον, ἔνθα ἂν ᾖ πλεῖστον ἠθροισμένον, καὶ οὕτω πολλαὶ διαστολαὶ γίνονται δίκην κυμάτων, ἀλλήλας ἐκδεχόμεναι, καθ' ὅ τι ἂν ὁ τόνος σχεθῇ, τῆς ἀκινησίας ἐνταῦθα περιγραφούσης τὸ κῦμα. εἰ δὲ καὶ χωρὶς ὑγρότητος ἡ δύναμις αὐτὴ μόνη κάμνοι, πᾶσαν μὲν ἀθρόως ἀδυνατοῦσα διαστέλλειν τὴν ἀρτηρίαν, κατὰ μόρια δὲ ἐργαζομένη τοῦτο, γένοιντ' ἂν καὶ οὕτως οἷον κυμάτων τινῶν περιγραφαὶ πολλαὶ, διαδεχομένων ἀλλήλας τῶν διαστολῶν. τό γε μὴν διάφορον τούτων γε τῶν σφυγμῶν, καὶ τῶν διὰ πλῆθος γινομένων, μέγεθός ἐστι. καὶ διὰ τοῦτο σκωληκίζοντες μὲν οὗτοι διὰ τὴν μικρότητα, κυματώδεις δ' ἐκεῖνοι διὰ τὸ μέγεθος ὠνομάσθησαν. αἰτία δὲ τοῖς μὲν, ἡ τῆς δυνάμεως ἀρρωστία. τοῖς δ' ἡ περὶ τῆς ὑγρότητος πλεονεξία. καὶ μὴν καὶ διὰ μαλακότητα τῶν ὀργάνων ἐσχάτην γίνονται οἱ τοιοῦτοι σφυγμοὶ, παραπλησίου τοῦ συμβαίνοντος τῷ κατὰ τὰς μαλακὰς καὶ νεαρὰς ῥάβδους, ὧν αἰρομένων ἐξ ἄκρου, τὰ μὲν τινα τῶν μερῶν, καὶ μάλιστα τὰ πλησίον τῆς λαβῆς συνεξαίρεται. τὰ δέ τινα λυγιζομένων αὐτῶν ἔτι μένει ταπεινὰ, κἂν τῷ κάτω. οὐ μὴν ἔν γε ταῖς σκληραῖς, καὶ ξηραῖς ῥάβδοις φαίνεταί τι τοιοῦτον, ἀλλ' ὁμοτόνως ἅπασα καθ' ὅ τι ἂν αὐτῆς λαβόμενος ἐξαίρειν ἐθέλοις, συνεξαίρεται. τοιοῦτον δέ τι συμπέπτωκε, καὶ ταῖς ἀρτηρίαις, ὅταν ὑγρότητι πολλῇ διάβροχοι γένωνται.

CAPVT VIII.

Vndosorum pulsuum, & vermiculantium differentia & causæ.

NVnc quum res apertè declarata sit, ad aliud genus pulsuum veniendum est inæqualium, quos vndosos nonnunquam etiam vermiculantes vocant. Diximus verò de his quoque sola eos distare quantitate, sub vno tamen ambos genere positos esse; ac sunt quidem in eorum numero, qui in diuersis partibus arteriæ inæqualitatem, idque in vna distentione habeant. Causæ sunt illorum generationis, facultatis imbecillitas, vel copia humorum, vel summa instrumentorum mollities, nam quum à principio in singulas arterias permeans contentio, pari firmitate totum attollere vas nequeat, hic propinquior principio motum orditur primum, remotior serius; atqui æqualiter si hoc fiat per omnes arterias, eius semper prior pars prius videbitur moueri; veluti si fluente quopiam per eas liberè, vel spiritu, vel humore, pulsus contingeret effici. Quod quidem Erasistratus perpetuum autumat esse, in quo mentitur de rebus euidentibus; aliorum verò nullus non modò medicorum, sed nec philosophorum, nec imperitorum; omnes enim clarè cernunt omnes partes arteriarum eodem distendi tempore; rarò & iam præter naturam, partes cordi viciniores moueri priùs, deinde longinquiores. At talis pulsus non vndosus iam, nec vermiculans est; verùm quum ei hoc accesserit, vt quod speciem habet fluentis per arterias, morari alicubi, & subsistere videatur, quiescereque mox iterum fluere, iterumque retineri, atque per totam hoc arteriam accidere; is pulsus, vel vndosus, vel vermiculans est; nam quum singuli motus semper terminentur quiete, seriem veluti vndarum, vel vermis perrepentis speciem contingit repræsentari. Si igitur *facultas* à copia humorum oneretur, hæc moratur contentionem, ac interpellat, atque diffindit illic, quò plurima confluxit. Itaque existunt multæ distentiones in modum vndarum sese mutuò excipientes; atque quo loci diuisa contentio est, illic terminat vndam quies. Quòd si ipsa facultas etiam citra humorem languescat sola, nec vniuersam possit arteriam distendere, sed hoc particulatim faciat, & tum existent veluti vndarum quarundam multæ circumscriptiones succedentium mutuò distentionum. Porrò quod inter hos pulsus interest, & illos quos copia humorum constituit, magnitudo est; vnde hi ob paruitatem vermiculantes, ob magnitudinem illi vndosi vocati sunt. Et causam habent illi facultatis imbecillitatem, hi humorum abundantiam. Iam consequuntur etiam extremam mollitiem instrumentorum eiuscemodi pulsus, simili modo, ac in mollibus, ac tenellis virgis, quæ quum ex vertice apprehenduntur, quædam partes, præcipuè vicinæ parti prehensæ, vnà attolluntur, quædam quum flectuntur, adhuc demissæ manent, & humi; at verò duris virgis, & siccis hoc non accidit; sed pari contentione si attollere velis, quacunque parte prehendas, tota simul attollitur. Idem arteriis vsu venit, quum multa humiditate imbutæ sunt.

Neque

Neque enim tum à principio contentionem æqualiter omnibus partibus accipiunt, sed quasi flecterentur, & frangerentur, multis partibus dissecant, in eóque vndosus plerumque, nonnunquam vermiculans erit. Nam validam facultatem habet vndosus, quippe magnas sic partes arteriarum poterit attollere, imbecilliorem vermiculans, quòd paruis interuallis tum contentio vincatur. Cæterùm statim hunc necesse est inæqualem alioqui, & etiam intermittentem fieri, vt fit in hydropicis, quibus quum resistat adhuc contentio, quemadmodum inferiùs, vbi tractabimus de illis dicemus, latus vndosusque est; vbi verò sit victa, variè fit inæqualis.

CAPVT IX.

Decurtatorum pulsuum causa.

SEd quia satis est dictum de his, de decurtatis iam agamus qui imbecillitatem consequuntur facultatis, à qua pulsus creantur, quum enim à corde permeet in singulas arterias contentio, & magis, ac magis in partibus remotioribus dissoluatur, minores tum languidioresque necessario earum motus fiunt. Quî tandem igitur in partibus quidam principio propinquioribus inueniri aiunt nonnunquam minores motus? neque enim hic poterimus dicere, contentionem, quæ ex principio oritur, in vicinioribus magis, quàm in remotioribus remitti. Equidem puto iis, aut propter arteriarum inæqualem situm eam speciem oblatam esse; aut si planè vera prædicant, intemperiei inæqualitati origo omnium istorum pulsuum referenda accepta est; vt à principe parte facultas in arterias diffusa, partibus earum temperatis meritò vtatur melius, intemperatis deterius; siquidem instrumentum à pari robore eodemque, si humiditate, & calore sit modico temperatum, faciliùs ac magis mouetur; squalidum, aut nimium humidum, aut frigidum, tardius minusque.

CAPVT X.

Innuentium, & circumnuentium pulsuum causæ.

IGitur naturam innuentium, & circumnuentium pulsuum simili ratione commentabimur. Possint forsitan pari modo ac simili aliquando fieri? nam sæpè luculenter mihi certè apparuerunt aliis de causis accidisse. Vbi enim imbecilla sit facultas, corpora autem, quæ ambiunt arterias, marcescant; qua parte illorum maximè marcida, atque eo leuissima, emicare motus possit, ibi etiam maximè elucescit eius magnitudo; comparata enim huius partis distentione aliis vtrinque minoribus, decurtatum in vtrisque partibus motum ostendit. Hoc fieri in validissimis facultatibus non potest, quòd immotam oporteat eam esse, nec sustinere incumbentium corporum pondus, vt manifestam efficiat excellentiam distentionis in partibus nudioribus præ illis, quæ sunt in partibus oneratis.

οὐκ ἔτι γὰρ δέχονται τὸν ἀπὸ τῆς ἀρχῆς τόνον, ὁμοίως ἅπασι τοῖς μορίοις. ἀλλ' οἷον λυγιζόμεναι καὶ κλώμεναι πολλαχόθι διακόπτουσι, κἂν τούτῳ τὰ πολλὰ μὲν κυματώδης, ἔστι δ' ὅτε καὶ σκωληκίζων ὁ σφυγμὸς ἔσται. σὺν μὲν γὰρ ἐρρωμένῃ τῇ δυνάμει κυματώδης, μεγάλα γὰρ ἐξαίρειν οὕτω δύναται μέρη τῶν ἀρτηριῶν, σὺν ἀρρωστοτέρᾳ δὲ σκωληκίζων, ἐκ μικροῦ δηλονότι διαστήματος τηνικαῦτα νικωμένου τοῦ τόνου. ἀλλ' εὐθὺς ἀνάγκη τοῦτον ἀνώμαλόν τε ἄλλως, καὶ προσέτι, καὶ διαλείποντα γίνεσθαι, καθάπερ καὶ ἐπὶ τῶν ὑδεριώντων ἔχει. ἐφ' ὧν ἔτι μὲν ἀντέχοντος τοῦ τόνου, καθάπερ καὶ ἐν τοῖς περὶ αὐτῶν λόγοις ἐφεξῆς εἰρήσεται, πλατὺς καὶ κυματώδης ἐστὶ, νικωμένου δὲ, πολυειδῶς ἀνώμαλος γίνεται.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Αἰτία τῶν μυούρων σφυγμῶν.

ἈΛλ' ἐπεὶ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, τῶν μυούρων ἐφεξῆς μνημονεύσωμεν, ἀσθενείᾳ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως ἑπομένων. ὅταν γὰρ ὁ ἀπὸ τῆς καρδίας ἐπὶ τὰς κατὰ μέρος ἀρτηρίας διήκων τόνος, ἀεὶ καὶ μᾶλλον ἐν τοῖς πορρωτέρω μέρεσιν ἐκλύηται, μικροτέρας οὕτω καὶ ἀμυδροτέρας ἀναγκαῖον γίνεσθαι τὰς ἐν αὐταῖς κινήσεις. πῶς οὖν ἐν τοῖς ἐγγυτέρω μέρεσι τῆς ἀρχῆς εὑρηκέναι τινές φασιν ἐνίοτε τὰς ἐλάττους κινήσεις; οὐκέτι γὰρ οἷόν τε λέγειν ἐπὶ τούτων, ὡς ὁ παρὰ τῆς ἀρχῆς τόνος, ἐν τοῖς ἐγγυτέρω μᾶλλον, ἢ ἐν τοῖς πορρωτέρω διαλύεται. ἐμοὶ μὲν δοκοῦσιν, ἢ διὰ τὴν τῆς θέσεως τῶν ἀρτηριῶν ἀνωμαλίαν οὕτως φαντασθῆναι, ἢ εἰ καὶ ὄντως ἀληθεύουσιν, εἰς δυσκρασίας ἀνωμαλίαν ἀναφέρειν χρὴ τῶν τοιούτων σφυγμῶν ἁπάντων τὴν γένεσιν, ἵν' ἡ παρὰ τῆς ἀρχῆς εἰς τὰς ἀρτηρίας ἐκτεταμένη δύναμις, τοῖς μὲν εὐκράτοις αὐτῶν μορίοις εὐλόγως βέλτιον ᾖ χρωμένη, τοῖς δυσκράτοις δὲ χεῖρον. ὑπὸ γὰρ ἴσου τε καὶ ταὐτοῦ τόνου, τὸ μὲν ὑγρότητί τε καὶ θερμότητι μετρίᾳ κεκραμένον ὄργανον, ἑτοιμότερόν τε καὶ μᾶλλον κινεῖται. τὸ δ' αὐχμῶδες, ἢ ὑγρὸν ὑπερβαλλόντως, ἢ ψυχρὸν, ἀργότερόν τε καὶ ἧττον.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Αἱ τῶν τε ἐπινενευκότων, καὶ περινενευκότων σφυγμῶν αἰτίαι.

ἌΡ' οὖν καὶ τοὺς οἷον ἐπινενευκότας τε, καὶ περινενευκότας σφυγμοὺς ὡσαύτως φυσιολογήσομεν. ἢ δύνανται μὲν ἴσως ποτὲ καὶ οὕτως γίνεσθαι, πολλὰ μὴν ἐναργῶς ἐφάνησάν ἐμοὶ γοῦν, δι' ἑτέρας γιγνόμενοι προφάσεις. ὅταν μὲν γὰρ ἡ δύναμις ἄρρωστος ᾖ, σύντηξις δὲ τῶν περικειμένων ταῖς ἀρτηρίαις σωμάτων. καθ' ὅ τι ἂν αὐτῶν μάλιστ' ἐκτετηκὸς, καὶ διὰ τοῦτο κουφότατον ὂν, ἡ κίνησις ἀνακύψαι δυνηθῇ, κατὰ τοῦτο μάλιστα, καὶ τὸ μέγεθος αὐτῆς ἐμφαίνεται. παραβαλλομένη γὰρ ἡ ἐν τούτῳ διαστολὴ ταῖς ἑκατέρωθεν μικροτέραις οὔσαις, μύουρον κατ' ἄμφω τὰ μέρη τὴν κίνησιν ἀποφαίνει. τοῦτο δ' ἐν ταῖς ἰσχυροτάταις δυνάμεσιν οὐκ ἐνδέχεται γίνεσθαι, χρὴ γὰρ ἀκίνητον αὐτὴν εἶναι, καὶ μὴ φέρειν τὸ βάρος τῶν ἐπικειμένων σωμάτων, ἵν' αἰσθητὴν ποιήσῃ τὴν ὑπεροχὴν τῆς ἐν τῷ γυμνοτέρῳ μορίῳ διαστάσεως, παρὰ τὰς ἐν τοῖς βεβαρημένοις.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Αἱ τῆς παρὰ τὴν θέσιν τῆς ἀρτηρίας ἀνωμαλίας αἰτίαι.

Πῶς οὖν ἡ παρὰ τὴν θέσιν τῆς ἀρτηρίας ἀνωμαλία γίνεται τῶν σφυγμῶν; τοῦτο γὰρ ἔτ' ἐνδεῖν ἔοικε τῷ λόγῳ. πῶς δ' ἄλλως, ἢ ὥσπερ Ἱπποκράτης εἶπε καθόλου περὶ πάσης ἡμᾶς διδάσκων διαστροφῆς; καὶ γὰρ καὶ ἡ τῆς μήτρας ὡσαύτως, καὶ αἱ τῆς ῥάχεως, καὶ τῶν μυῶν γίνονται, τεινομένων εἰς ἐκεῖνα τὰ μέρη τῶν σωμάτων, εἰς ἅπερ καὶ διαστρέφεται. τῷ δ' εἶναι πολλὰς τὰς τεινούσας αἰτίας, δυσφώρατον τὸ καθόλου τοῖς πλείστοις τῶν ἀρχαίων ἰατρῶν ἐγένετο. καὶ γὰρ φλεγμοναὶ, καὶ σκίρροι, καὶ ἀποστήματα, καί τινων ἀπέπτων φυμάτων γενέσεις, καὶ ὅλως ἅπαντες οἱ παρὰ φύσιν ὄγκοι τείνειν πρὸς ἑαυτοὺς δύνανται τὰ συνεχῆ. ἤδη δὲ καὶ σκληρότης αὐχμώδης, καὶ ψύξις ἄμετρος, ὅμοιόν τι πήξει δρῶσα, καὶ σπασμώδης σύντασις, ὧν ἄλλοτ' ἄλλο διαστρέφει τὰς ἀρτηρίας. μάλιστα δὲ τὴν ἀνώμαλον δυσκρασίαν ἡγητέον διαστρέφειν.

CAPVT XI.

Inæqualitatis ex situ arteriæ causa.

AT quomodo ex situ arteriæ fit pulsuum inæqualitas? hoc enim deesse orationi adhuc videtur. Quî verò aliter, ac dixit Hippocrates, qui de omni nos distortione in communi docuit? Etenim vterus similiter, & spina, musculique distorquentur, quum in corporis illas partes tenduntur, in quas distorqueantur, sed quia multæ causæ sunt, quæ tensionem inducunt, vniuersum plerisque veteribus medicis difficillimum fuit inuestigatu. Inflammationes enim, scirrhi, abscessus, ac crudorum quorundam generatio tuberculorum, breuiter omnes præter naturam tumores, vicinas partes ad se retrahere valent. Præterea squalida siccitas, frigusque immodicum, quiddam faciat in modum gelu, & conuulsiua intentio, quorum aliàs aliud arterias distorquet. Præter cætera distorquere inæqualis intemperies censenda est.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Αἱ τοῦ σπασμώδους σφυγμοῦ αἰτίαι.

Ἀλλ' ἐπεὶ καὶ περὶ τούτων εἴρηται τὰ εἰκότα, προσθεῖναι χρὴ τὸν περὶ τοῦ σπασμώδους σφυγμοῦ λόγον, ᾧ τὸ μὲν ὄνομα πρέπον, ἀπό τε τῆς ἰδέας αὐτῆς, καὶ τοῦ παθήματος ὃ δηλοῦν πέφυκε. τείνεσθαι μὲν γὰρ ἐπ' ἄμφω τὰ πέρατα δόξεις τὴν ἀρτηρίαν, καὶ μικρὸν ὕστερον σπασμὸς τὸν ἄνθρωπον καταλαμβάνει. τί οὖν δὴ τὸ ἄπορον ἐνταῦθα, καὶ τίνος ἕνεκα προβέβληται; εἰ μὲν ἡ καρδία, καθάπερ ἀρτηριῶν, οὕτω καὶ νεύρων ἐστὶν ἀρχὴ, οὔτ' ἄπορον οὐδὲν, καὶ μάτην προβέβληται. εἰ δ' ἄλλη μὲν ἀρχὴ νεύρων, ἄλλη δ' ἀρτηριῶν, καὶ ταῖς μὲν σφυγμὸς ἐνέργεια, τοῖς δ' αἴσθησίς τε καὶ κίνησις ἑκούσιος, ὥσπερ οὐκ ἔστι τῶν ἐνεργειῶν αὐτοῖς οὐδεμία μετουσία, οὕτως οὐδὲ τῶν παθημάτων ἔσται τις κοινωνία. ἢ κακῶς τοῦτο καὶ ψευδόμενοι λέγουσιν, ὅσοι γε δοκοῦσιν οὐκ εἶναι σφίσιν ἐπιμιξίαν. ὁ γάρ τοι πατὴρ τοῦ δόγματος ὁ θεῖος ἐκεῖνος Ἱπποκράτης, σύρροια μία φησὶ, σύμπνοια μία, πάντα πᾶσι συμπαθέα, φύσις κοινή. ἢ γὰρ ἂν εἰ μὴ τοῦτ' ἦν, δύο ἦσαν οὕτω ζῶα, καὶ οὐχ ἓν ἕκαστος ἡμῶν. νυνὶ δὲ καρδία μὲν ἀρτηρίας ἐγκεφάλῳ μεγάλας ἐκπέμπει δεσμὸν τῆς κοινωνίας, νεῦρα δ' ἐγκέφαλος καρδίᾳ, κἂν εἰ μὴ μεγάλα, τὸ γοῦν ἐκ τοῦ λόγου πρόσταγμα διαστέλλειν δυνάμενα. οὕτω δὲ καὶ ταῖς κατὰ μέρος ἀρτηρίαις, αἱ παρὰ τῶν νεύρων ἶνες εἰς κοινωνίαν ἔρχονται, δι' ὧν οὐκ ἔργων μόνων, ἀλλὰ καὶ παθημάτων ἀλλήλοις μεταδιδόασι. καὶ οὐδὲν ἔτι θαυμάσιον, εἰ τοῦ νευρώδους γένους ἅπαντος ἑνουμένου ταῖς ἀρτηρίαις, ἡ κοινωνία τοῦ παθήματος ἐμφαίνεται, τῶν γε κατὰ μέρος ἀποφύσεων ἀλλήλαις ἐπιμιγνυμένων, καὶ τῶν ἀρχῶν, ὡς εἴρηται, ξυνημμένων.

CAPVT XII.

Conuulsiui pulsus causæ.

SEd quoniam de his quæ nobis visa sunt, exposuimus, iam de conuulsiuo pulsu etiam disputandum est; qui nomen rectè inuenit ex ipsa specie, & affectu, quem solet denotare; tendi enim ad vtrunque terminum arteriam putaueris, & statim corripit hominem conuulsio. At quis tandem hic scrupulus est, & ob quid propositus? Si vt arteriarum cor, sic neruorum est fons, nihil est scrupuli, & frustra est propositus; sin aliud principium neruorum, aliud arteriarum, atque harum pulsus functio est, illorum sensus & motus voluntarius; vt functionum illis nulla societas est, ita nec erit affectuum. An verò errant in eo & mentiuntur, qui putarunt, illis nullum commercium esse? Nam princeps quidem huius placiti diuinus ille Hippocrates, *Confluxio vna*, inquit, *est conspiratio vna, omnia omnibus consentiunt, natura communis, nam nisi hoc esset, duo animalia esset, nec vnum vnusquisque nostrum.* Nunc arterias magnas cor cerebro vinculum societatis transmittit, cerebrum neruos cordi; qui quanquam non magni sint, mandatum tamen rationis possunt transmittere. Ad hæc singulis arteriis fibræ à neruis deductæ ad societatem veniunt, per quas se sinunt mutuo in consensum venire, non modò actionum, sed affectuum etiam. Nec iam quicquam habet admirationis, si quum vniuersum neruosum genus coniunctum cum arteriis sit, singulique eorum ramuli sibi mutuo immixti, principiaque (vt dictum est) inter se coniuncta sint, communis appareat affectus.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Αἰτίαι τοῦ τε ὑψηλοῦ, καὶ ταπεινοῦ, καὶ πλατέος, καὶ στενοῦ, μακροῦ τε, καὶ βραχέος σφυγμοῦ.

Ἀλλὰ γὰρ ἐπεὶ καὶ τὰ περὶ σπασμώδους εἴρηται σφυγμοῦ, τὸ λοιπὸν ἔτι προσθετέον ἡμῖν ἐστιν, εἰς τὴν περὶ τῶν ἀνωμάλων ἁπάντων φυσιολογίαν. λείπεται δ', ὡς οἶμαι, πῶς ὑψηλοὶ,

CAPVT XIII.

Causa alti, humilis, lati, angusti, longi, & breuis pulsus.

SEd quia de conuulsiuo pulsu diximus, residuũ ad commentationem omnium inæqualitatum adijciam. Superest nimirum quemadmodum alti, humiles,

humiles, lati, angusti, longi, & breues pulsus fiant, maximus est enim horum numerus, & variant maximè omnes inæqualitates quum in vno pulsu, tum verò longè magis in aceruo. Accidit autem tale quippiam, dum distenduntur arteriæ, & in valentibus omnibus & ægrotis plerisque, vt supernam ipsam superficiem moueri clariùs sentiamus, quàm partes obliquas, quòd proprior illa sit nostro tactui, & congrediatur paucioribus interpositis corporibus; partes ex vtroque latere huius quum remotiores sunt, tum pluribus corporibus, quæ interposita sunt, indutæ. Proinde ipse naturalis pulsus, si diligenter expendas, altior est; quòd deficiat semper eius in latum motus, præpolleat autem motus in altum. Verùm quia mensura nobis hæc est, reliquorumque regula aliorum, nec altum eum, nec angustum appellamus; sed vt par est, & postulat æquitas, moderatum, & inter omnes excessus medium. Cui quia assueti nos sumus, & vnà cum eo creuimus, ac sæpè eum inuenimus, non in sanis modò, sed & in ægrotis facilè cognoscimus, qui superantur ab eo, & qui eum superant in quacunque dimensione; etenim longus, & breuis ad hunc collatus dicitur. Ac quicunque non est in hoc versatus, non tantùm non alti, humilis, lati, angusti, sit probus explorator, sed nec longi & breuis. Nam vt hominem dicimus aliquem vndequaque moderatum, non obuia illa ad sensum paritate longum cum lato, & profundo comparantes, sed paritate in potestate, neque enim tam est quisquam breuis, vt concedat longitudo latitudini; sic vocamus moderatum pulsum, naturalem proportionem, & mediocritatem, normam æqualitatis, non sensum facientes. In hoc omninò longitudo præstat profunditati, atque hæc latitudini. Nam si ipsam solam arteriam fingamus omnibus circumiectis corporibus nudatam, æquabit profunditatem latitudo, atque adeò in ea certè nec dicere poterimus quidem, quæ latitudo, quæ profunditas sit; sed sicut vndique sibi est simile corpus planè circulare, ita nulla dimensionum differentia est. At si in alio sit corpore ea collocata, deorsum iàm dicetur, quibus partibus sustentatur, & defixa est; sursum quod est è regione, quod interponitur his interuallis ex imo sursum, intelligunt altitudinem; & desuper deorsum profunditatem; vbi autem altitudo, & latitudo est, illic alterutra dimensionum profunditas, & latitudo est. Quòd si non tantùm fulciatur aliqua parte, sed etiam ex ipsis obliquis partibus, & superioribus complectatur quædam corpora, planissimè partes, quas per pauciora tegumenta contingimus, apertiorem motum, quàm quæ tangimus per plura edent. Atqui quæ arteriæ sub cute positæ sunt (tales autem sunt, quas dignoscendis pulsibus attingimus) harum superiorem partem interposita sola cute tangimus; partes vtrinque alias, quantum recedunt in obliquum, tanto per longius interuallum, & per plura interposita corpora. Qua necessitate fit, vt omnis pulsus, qui naturalis sit, si mutuò compares dimensiones, sit semper longior; vocatur autem moderatus, & aliorum regula, vt Polycleti regula; nam vt quum alias statuas ad hanc conferimus, crassas, graciles, latas, & angustas vocamus, aut si quo alio excessus nomine; sic pulsus, cum naturali comparantes,

καὶ ταπεινοί, καὶ πλατεῖς, καὶ στενοί, καὶ μακροί, καὶ βραχεῖς γίνονται σφυγμοί. πλεῖστοι γὰρ δὴ οὗτοι, καὶ μάλιστα ποικίλλουσι τὰς ἀνωμαλίας πάσας τάς τε καθ' ἕνα σφυγμόν, καὶ πολὺ δὴ μᾶλλον τὰς ἐν ἀθροίσματι. συμβαίνει δή τι τοιοῦτον, ἐν τῷ διαστέλλεσθαι τὰς ἀρτηρίας, ἐπί τε τοῖς ὑγιαίνουσιν ἅπασι, καὶ τοῖς πλείστοις τῶν νοσούντων τῆς ἄνω περιφερείας αὐτῆς μᾶλλον αἰσθανόμεθα κινουμένης, ἢ τῶν ἐν τοῖς πλαγίοις μερῶν. ἡ μὲν γὰρ ἐγγυτέρω τῆς ἁφῆς ἡμῶν ἐστι, καὶ δι' ἐλαττόνων ὁμιλεῖ σωμάτων, τὰ δ' ἑκατέρωθεν αὐτῆς αὐτά τε πλέον ἄπεστι, καὶ πλείω περιβέβληται τὰ διὰ μέσου σώματα. καὶ τοίνυν αὐτὸς ὁ κατὰ φύσιν σφυγμός, εἰ ἀκριβῶς ἐξετάζοι τις ὑψηλότερός ἐστιν, ἀπολειπομένης μὲν ἀεὶ τῆς εἰς τὸ πλάτος ἐν αὐτῷ κινήσεως, πλεονεκτούσης δὲ τῆς εἰς ὕψος, ἀλλ' ἐπεὶ μέτρον ἐστὶν ἡμῖν, καὶ κανὼν ἁπάντων τῶν ἄλλων, οὔθ' ὑψηλόν, οὔτε στενὸν ὀνομάζομεν αὐτόν, ἀλλ' ὥσπερ οὖν πρέπει, καὶ δίκαιόν ἐστιν, σύμμετρόν τε καὶ μέσον ἁπασῶν τῶν ὑπερβολῶν. εἰθισμένοι δὲ τούτῳ καὶ συντεθραμμένοι, καὶ πολλάκις εὑρίσκοντες αὐτὸν οὐκ ἐπὶ τῶν ὑγιαινόντων μόνων, ἀλλὰ καὶ ἐπὶ τῶν νοσούντων, ῥᾳδίως γνωρίζομεν τοὺς ἀπολειπομένους, ἢ ὑπερβάλλοντας αὐτόν, καθ' ἥν τινα οὖν τῶν διαστάσεων. καὶ γάρ τοι καὶ ὁ μακρός, καὶ ὁ βραχύς, ὡς πρὸς τοῦτον λέγονται. καὶ ὅστις μὴ εἴθισται τῷδε, οὐχ ὅπως ὑψηλοῦ, καὶ ταπεινοῦ, καὶ πλατέος, καὶ στενοῦ γένοιτ' ἂν ἀκριβὴς γνώμων, ἀλλ' οὐδὲ μακροῦ, καὶ βραχέος. ὡς οὖν ἄνθρωπόν τινα πάντη σύμμετρον εἶναί φαμεν, οὐ τῇ προχείρῳ κατὰ τὴν αἴσθησιν ἰσότητι, τὸ μῆκος τῷ πλάτει καὶ βάθει παραβάλλοντες, ἀλλὰ τῇ κατὰ δύναμιν· οὐδεὶς γὰρ οὕτως εὑρεθείη βραχύς, ὡς ἀπολείπεσθαι τὸ μῆκος τοῦ πλάτους. οὕτω καὶ σφυγμὸν σύμμετρον ὀνομάζομεν, τὴν κατὰ φύσιν ἀναλογίαν τε καὶ συμμετρίαν, κανόνα τῆς ἰσότητος, οὐ τὴν αἴσθησιν ποιούμενοι. πάντως δὲ ἐν αὐτῷ τὸ μὲν μῆκος ὑπερέχει τοῦ βάθους, τοῦτο δ' αὖ τοῦ πλάτους. αὐτὴν μὲν γὰρ εἰ νοήσαιμεν καθ' αὑτὴν τὴν ἀρτηρίαν, γυμνὴν ἁπάντων τῶν περικειμένων σωμάτων, ἴσον ἔσται τὸ πλάτος τῷ βάθει. μᾶλλον δ' οὐδ' εἰπεῖν ἕξομεν ἐπί γε τῆς τοιαύτης, τουτὶ μὲν εἶναι τὸ πλάτος, τουτὶ δὲ βάθος, ἀλλ' ὥσπερ ὅμοιον ἑαυτῷ πάντη τὸ σῶμα κυκλοτερὲς ἀκριβῶς ὑπάρχει, οὕτω καὶ τῶν διαστημάτων, οὐδεμία διαφορά. τεθείσης μέντοι κατά τινος ἑτέρου σώματος αὐτῆς, κάτω μὲν αὖ ἤδη λέγοιτο καθ' ὧν στηρίζεται μορίων, ἄνω δὲ τὸ κατ' ἀντικρύ. τὸ δ' ἐν τῷ μέσῳ τῶν διαστημάτων, κάτωθεν μὲν ἄνω, νοοῦσιν ὕψος. ἄνωθεν δὲ κάτω, βάθος. ἔνθα δ' ὕψος καὶ πλάτος, ἐνταῦθα θάτερον τῶν διαστημάτων βάθος καὶ πλάτος. εἰ δὲ μὴ μόνον στηρίζοιτο κατά τινος, ἀλλὰ κἀκ τῶν πλαγίων αὐτῶν, καὶ προσέτι τῶν ἄνω περιλαμβάνοι τινὰ σώματα, πάντη που δῆλον, ὡς τὰ δι' ἐλαττόνων σκεπασμάτων ἡμῖν ὁμιλοῦντα μόρια, σαφεστέραν ἐνδείξεται τὴν κίνησιν, ἢ τὰ διὰ πλειόνων. ἀλλὰ μὴν ὧν γε ἐστὶν ἀρτηριῶν ἡ θέσις ὑπὸ τῷ δέρματι, τοιαῦται δ' εἰσὶν ὧν ἐφαπτόμεθα, τοὺς σφυγμοὺς διαγινώσκοντες, τούτων τὸ μὲν ἄνω διὰ μόνου τοῦ δέρματος ἡμῖν ὁμιλεῖ, τὰ δ' ἑκατέρωθεν εἰς ὅσον ἀποχωρεῖ πρὸς τὸ πλάγιον εἰς τοσοῦτο διά τε μακροτέρου τε τοῦ διαστήματος, πλειόνων τε τῶν ἐν τῷ μέσῳ σωμάτων. καὶ διὰ ταύτην τὴν ἀνάγκην ὑψηλότερος μὲν ἀεὶ πᾶς σφυγμός ἐστιν ὁ κατὰ φύσιν, εἰ παραβάλλοις ἀλλήλοις τὰ διαστήματα. λέγεται δὲ σύμμετρος, καὶ κανὼν τῶν ἄλλων ὁμοίως τῷ Πολυκλείτου κανόνι. ὡς γὰρ ἐκείνῳ παραβάλλοντες τοὺς ἄλλους ἀνδριάντας, ἁδρούς, ἢ ἰσχνούς, ἢ πλατεῖς, ἢ στενούς, ἤ τι τῶν ἄλλων ἀμετριῶν ὄνομα προσαγορεύομεν· οὕτω καὶ τοὺς σφυγμοὺς τῷ κατὰ φύσιν ἀντεξετάζοντες,

ὑψηλούς, ἢ ταπεινούς, ἢ πλατεῖς, ἢ στενούς, ἢ μακρούς, ἢ βραχεῖς, ἢ ἁδρούς, ἢ ἰσχνούς, ἢ μεγάλους, ἢ μικρούς ὀνομάζομεν. τίνες οὖν αἰτίαι τῆς γενέσεως αὐτῶν; τοῦτο γὰρ εἰπεῖν προὔκειτο. παρῆγεν μὲν τὴν ἤτοι δυσκρασίαν ἀνώμαλον αἰτιᾶσθαι τῶν ὀργάνων, ἢ διαστροφὴν ἐν τῇ θέσει. δέδεικται γάρ, ὅπως ἐν ταῖς τοιαύταις διαθέσεσιν αἱ κινήσεις ἀνώμαλοι φαίνονται. ἀλλ' ἐγὼ τοὺς μὲν ὑψηλοὺς ἔν τε τοῖς θυμοῖς, καὶ πρὸ τῶν κρίσεων εὑρίσκω γινομένους, τοὺς δὲ πλατεῖς τοὐπίπαν ἐπὶ ταῖς κριτικαῖς ἐκκρίσεσιν. οὐκ ἔτι δὲ δύναμαι δυσκρασίαν ὀργάνων, ἢ διαστροφὴν θέσεως αἰτιάσασθαι μόνας, γένοιτο γὰρ ἄν ποτε, καὶ διά τι τούτων, ἀλλ' αἱ πλεῖσται διαθέσεις ἐφ' ὧν οἱ τοιοῦτοι φαίνονται σφυγμοὶ τῶν εἰρημένων αἰτίων ἐκτὸς εἰσιν. οὔτε γὰρ ἀνωμαλία κράσεως ἤρεμα εἰς τοσοῦτο τὴν φύσιν ὑπαλλάττουσα τῶν ὀργάνων, ὡς ἀνωμάλους ἐργάσασθαι τοὺς σφυγμούς, οὔθ' ἡ τῆς θέσεως ἐξαλλαγὴ δύναιτ' ἂν συστῆναί ποτε χωρὶς μεγάλης βλάβης, ἢ χρόνου μακροῦ, ὧν οὐδὲν οὔτε τοῖς θυμουμένοις, οὔτε τοῖς ἤδη κεκριμένοις, οὔτε τοῖς ὅσον οὐδέπω κριθησομένοις ὑπάρχει. ἀλλ' ἔστι τὸ γινόμενον ἐπ' αὐτῶν, τοῦτο. μείζονα τὸν σφυγμὸν ἐργάζεται τοῖς θυμουμένοις τε καὶ κριθησομένοις. οὐ μὴν ὅσον γε μείζων γίγνεται, τοσοῦτον καὶ φαίνεται. τῇ μὲν γὰρ εἰς ὕψος κινήσει τε, καὶ διαστολῇ τῆς ἀρτηρίας ὅσον προσέρχεται φαίνεται πᾶν, τῇ δ' εἰς τὸ πλάγιον, τὸ πλεῖστον ἀφανίζεται, κατὰ τὸν αὐτὸν οἶμαι λόγον, καθ' ὃν καὶ τοῖς ἄνευ περιστάσεώς τινος ὑγιαίνουσιν, ἀεὶ πλεονεκτεῖν ἐδείκνυτο ἡ εἰς ὕψος κίνησις. μεμνημένοι τοιγαροῦν τῆς τότε καταστάσεως τῶν σφυγμῶν οὓς συμμέτρους ὀνομάζομεν, εἶτα νῦν εὑρίσκοντες ἱκανὸν μὲν εἰς ὕψος, οὐχ ἱκανὸν δ' εἰς πλάτος, ἀλλ' ἤτοι παντάπασιν ὀλίγον, ἢ οὐδὲν ὅλως ἐπιδεδωκυῖαν τὴν κίνησιν, εὐλόγως ὑψηλοὺς ὀνομάζομεν τοὺς τοιούτους σφυγμούς, εἰ μὲν τι καὶ τῷ πλάτει σαφὲς προσεγένετο, μεγάλους ἅμα, καὶ ὑψηλοὺς καλοῦντες. εἰ δ' οὐδὲν ὅλως αἰσθητὸν ὑψηλοὺς μόνον, εἰ δ' εἰς ἄμφω μὲν ηὐξήθησαν ὕψος τε καὶ πλάτος, οὐκ ἀξιόλογος δ' ἡ τοῦ ὕψους εἴη παρὰ τὸ πλάτος ὑπεροχή, μεγάλους μόνον τοὺς τοιούτους ὀνομάζοντες. ὅταν γὰρ ἐν τῷ αὐτῷ λόγῳ τὸ προσαυξόμενον ὕψος ὑπερέχῃ τοῦ πλάτους, ᾧ κἂν τῷ κατὰ φύσιν ὑπερέχῃ, τὴν αὐτὴν ἰδέαν τῷ συμμέτρῳ κληθέντι διασώζειν ἀνάγκη τὸν νῦν γινόμενον. οὐκ οὖν ὑψηλός, ὥσπερ οὐδ' ἐκεῖνος, ἀλλὰ μείζων μόνον αὐτοῦ φαίνεται. τῶν γὰρ τὸ αὐτὸ εἶδος διασωζόντων, οὐκ ἐνδέχεται τὸν μὲν σύμμετρον, τὸν δ' ὑψηλὸν καλεῖν. ἀλλ' εἰ πάντη κατὰ τὴν αὐτὴν ἀναλογίαν ὁ ἕτερος ηὐξήθη, μείζονα μόνον. ἔτι γὰρ οὖν καὶ περὶ τοῦ μήκους ὡσαύτως ἔχει. κατὰ μὲν γὰρ τὴν αὐτὴν ἀναλογίαν, καὶ τοῦτο συναυξανόμενον τῷ βάθει τε, καὶ τῷ πλάτει, τὸν ὅλον σφυγμόν, ὡς ἤδη λέλεκται μείζονα φαίνεσθαι ποιεῖ. οὐκοῦν ἴσων ἁπλῶς δεῖ τῶν ἐπαυξανομένων ἐν τοῖς τρισὶ διαστήμασι κινήσεων, ἀλλ' ἀνάλογον ἴσων, ἵν' ὁ σφυγμὸς μείζων γένηται. τοῖς οὖν εἰθισμένοις τῇ τοῦ κατὰ φύσιν ἀναλογίᾳ, ῥᾳδίως τὸ περισσόν, ὅσον ἔξω τοῦ λόγου, γνωρίζεται. καὶ τοιαῦται μὲν τινὲς εἰσιν αἱ γενέσεις τῶν προκειμένων σφυγμῶν. ἑξῆς δ' ἂν εἴη τὰς αἰτίας εἰπεῖν, δι' ἃς, ἢ σώζεσθαι τὴν φυσικὴν ἀναλογίαν ἐπ' αὐτῶν, ἢ διαφθείρεσθαι πέφυκε. σώζεται μὲν οὖν, ὅταν μηδεμία μεγάλη τοῦ κατὰ φύσιν εἰς πολυσαρκίαν, ἢ λεπτότητα τῆς ἕξεως γίνηται μεταβολή, ἀλλὰ μηδὲ ξηρότης ἄμετρος, ἢ ὑγρότης, ἢ τις ἀνάγκη μεγάλη ἐσχάτης διαστολῆς. φθείρεται δὲ καὶ συγχεῖται, διά τι τούτων παρόν, οἷον αὐτίκα, τὰ μὲν ἄλλα πάντα καλῶς ἐχέτω, μεγάλην δ' οὕτως ἡ δύναμις ἐπειγέσθω ποιήσασθαι διαστολήν, ὡς μὴ χωρεῖσθαι τὸν ὄγκον αὐτῆς ὑπὸ τῶν περιεχουσῶν τὰς ἀρτηρίας χωρῶν.

altos, humiles, latos, angustos, longos, breues, crassos, graciles, magnos, atque paruos appellamus. At quænam sunt causæ, vnde oriantur? quod instituerämus dicere. Ad manum erat quidem, vt in instrumentorum intemperiem inæqualem causam conferremus, aut distortionem situs; siquidem, quemadmodum appareant in eiusmodi affectibus motus inæquales, declaratum est. Sed altos ego in ira, & ante iudicationes comperio fieri; latos plurimum in decretoriis excretionibus. Non possum igitur instrumentorum iam intemperiem, aut distortum situm solos in culpa ponere, sanè quidem interim etiam de aliqua harum causarum incidat. Verùm plerique affectus, in quibus inueniuntur eiuscemodi pulsus, sunt expertes causarum, quas diximus; neque enim temperamenti inæqualitas, quæ immutat adeò naturam instrumentorum, vt inæquales efficiat pulsus, nec verò situs immutatio vnquam inueniatur citra ingentem noxam, tempusque longum; quorum suppetit nihil nec iratis, nec modò iudicatis, nec iam iamque iudicandis. Sed quod illis accidit hoc est. Magnus pulsus fit iratis, & iudicandis; non tamen, quanto quicquid maius euadit, tantùm etiam animaduertitur; motus enim in altum, & distentio arteriæ, quousque progrediatur, vniuersa conspicua est; motus obliquus ferè occultatur, eodem scilicet modo, quo inculpata valetudine præditis semper ostendimus præpollere motum in altum. Itaque memores illius status pulsuum, quos moderatos appellamus, si iam comperiamus bene auctam altitudinem motus, nec multum latitudinem, sed omninò parum, vel nihil prorsus, rectè vocamus eos pulsus altos. Quòd si manifestum accedat incrementum latitudini, magnos simul, & altos vocamus; sin omninò obscurum, altos tantùm. Si ambo increuerint altitudo, & latitudo, sed non multùm latitudinem vincat altitudo, hos vocamus magnos tantum; quum enim eadem proportione altitudo adaucta vincat latitudinem, qua etiam in naturali pulsu superaret, eandem speciem, ac moderatus, quem vocant, retineat hic oportet. Itaque non altus, vt nec ille, sed maior tantum illo videtur; siquidem eorum, quæ eandem seruant formam, non decet vnum moderatum, alterum vocare altum, sed si eadem vndequaque proportione alter creuit, maiorem tantùm. Quinetiam in longitudine eadem est ratio; quæ quum eadem proportione augetur, qua profunditas, & latitudo, vniuersum pulsum, vti diximus modò, maiorem repræsentat. Vnde vt magnus fiat pulsus, non requiritur, vt planè pares sint motus, qui in tribus dimensionibus augentur, verùm vt proportione sint æquales. Quare qui naturalem proportionem explorare consueuerunt, nullo negotio, quantum accessio discessit à proportione perspicient. Hoc pacto generantur propositi pulsus. Restat, vt causas aperiamus, quamobrem naturalis eorum proportio constare, vel perire solet. Constat sanè, vbi nulla præter naturam insignis in crassitudinem mutatio, aut in gracilitatem corporis fiat; præterea nec siccitas immodica, vel humiditas, vel necessitas quædam maximæ prorsus distentionis; perit verò, atque conturbatur, cuiuspiam horum præsentia, Exempli gratia; Reliqua omnia se rectè habeant, facultas autem compellatur ita magnam distentionem facere, vt eius tumorem circumiecta arteriis loca non capiant; in

in eo vtique statu, vt alia sint inculpata omnia, altus pulsus appareat oportet. Dum enim in eam attollitur magnitudinem distentio arteriæ, vt nōdum coarctetur, naturalem tuebitur trium dimensionum proportionem: coarctata verò tantùm detrahet de illa dimensione, quantum progressu prohibita est. Quocirca iratis, licet corpore sint optimè comparato, fit pulsus altus; distentionis enim summum excessum ne is quidem commodè ferat habitus; sed iam ex imò premitur, & ex obliquo arteria. Sola ergo pars illius ea, quæ instrata sola cute est, omnem calorem excipit. Vbi verò in aliis omnibus impedita distentio fit, pars autem eius duntaxat superna seruetur soluta & libera, non poterit illius motus non præstare cæteris, quod aliud erat nihil, ac altus pulsus. Quia porrò valentibus cunctis, & ægrotantibus plerisque, in maximis distentionibus arteriarum manifestarum, quas tangimus, partes comprimuntur aliæ omnes, & in angustum coguntur, ac suo motu libero prohibentur; partes autem eminentes liberum obtinent, & haud impeditum motum; hinc factum est, vt obseruauerint medici, & scriptis prodiderint, pulsum iratorum altum esse. Qui certè aut rarum exemplum non animaduerterunt, aut negligenter attenderunt, aut hunc duxerunt singulis affectibus pulsum proprium, quem cum iis cernerent frequenter esse coniunctum. Quidam etiam vltro rara exempla, vbi causa deficiuntur, reticent, quos hoc sanè nomine accuses, si alia omnia ignoscas, ita enim scitu digna infinita silentio prætermittentur. Oportet enim veritatis studiosum, omne quod planum est, etiamsi eius causam ignoret, sedulo exponere. At quod tandem est illud euidens exemplum? Multis gracili corpore, nec facultate admodum firma, pulsus, si irascantur, magni, & non alti videntur esse. Quæ verò tandem huius est causa? neque enim multum videtur ab illis, quæ initio iam posita sunt, abesse; siquidem robur facultatis diximus esse tantum debere in altis pulsibus, vt maximam distentionem possit moliri, nec loca cingentia arterias capere eam valeant. Quod si est, in commemoratos affectus planissimum est non posse altum pulsum incidere, quum nec valeat facultas, & circum arterias loca sint amplissima ex marcore. Sed hoc quum præter expectationem celerius sit inuentum, apertum arbitror simul cum hoc esse, quænam latorum pulsuum sit causa, nam quum naturali robore facultas aliquatenus deficiatur, & latitudo sit insignis locorum, pondusque accedat arteriis ex superioribus partibus, hic pulsus collatus ad moderatum latior est. Pondus hoc quod accessit, sæpe sunt ipsius cutis rugæ; quod accidit senibus, & gracilibus, qui tamen habitu non sunt exsiccato; de quo genere sunt, & qui recenter sunt iudicati. Sæpe etiam ex humiditate, præcipuè si irrigua sint ipsa corpora arteriarum, vt fit in hydropicis; partes enim earum, quæ in summo cacumine sunt positæ, delabuntur, demittunturque partim in ipsam arteriarum cauitatem, partim in obliquum. Quare hactenus ascensu, necesse est, pulsus prohibeantur, quatenus infra arteriæ dorsum demittitur. Ac nimirum latitudinem iam bifariam oportet præpollere, tum quod in obliquum dilabantur arteriæ partes, ac comprimant, atque eo inferiorem regionem dilatent; tum verò quòd imminuta ipsa altitudo sit;

A ἀνάγκη γὰρ ἐν τῇ τοιαύτῃ καταστάσει τὸν σφυγμὸν ὑψηλὸν φαίνεσθαι, κἂν μηδὲν τῶν ἄλλων ἔχῃς μέμψασθαι. ἄχρι γὰρ ἂν εἰς τοσοῦτον αἴρηται μέγεθος ἡ διαστολὴ τῆς ἀρτηρίας, ὡς μηδέπω στενοχωρεῖσθαι μηδαμοῦ, τὴν κατὰ φύσιν ἐν τοῖς τρισὶ διαστήμασιν ἀναλογίαν ἀποσώζει. στενοχωρηθεῖσα δὲ τοσοῦτον τῆς καθ' ἐκείνην τὴν διάστασιν ἀφεῖλεν, ὅσον ἔτυχε κωλυθεῖσα τοῦ πρόσω. διὰ τοῦτο τοῖς θυμουμένοις, κἂν ἀμεμπτότατον ἔχωσι τὴν ἕξιν, ὁ σφυγμὸς ὑψηλὸς γίνεται. τὸ γὰρ τῆς διαστολῆς ἐσχάτως ἄμετρον, οὐδ' ἡ τοιαύτη πέφυκεν ἕξις ἀλύπως ἀνέχεσθαι, ἀλλ' ἤδη θλίβεται κάτωθέν τε κἀκ τῶν πλαγίων ἡ ἀρτηρία. μόνον οὖν ὅσον γυμνὸν αὐτῆς ὑπὸ τῷ B δέρματι, τὴν θέρμην ἅπασαν ἐκδέχεται, ὅταν δ' ἐν τοῖς ἄλλοις μὲν ἅπασιν ἡ διαστολὴ κωλυθῇ, τὸ δ' ἄνω μόνον αὐτῆς ἀπαραπόδιστον φυλαχθῇ, πλεονεκτεῖν ἀνάγκη τῶν ἄλλων, τὴν κατ' ἐκεῖνο κίνησιν. ὅπερ ἦν οὐδὲν ἄλλο, ἢ ὑψηλὸς σφυγμός. ἐπεὶ δὲ τοῖς θ' ὑγιαίνουσιν ἅπασι, καὶ τῶν νοσούντων τοῖς πλείστοις ταῖς μεγίσταις διαστολαῖς τῶν ἐπιπολῆς ἀρτηριῶν ὧν ἁπτόμεθα, τὰ μὲν ἄλλα πάντα μόρια θλίβεταί τε καὶ στενοχωρεῖται, καὶ κωλύεται τὰς καθ' αὐτὰ κινήσεις, τὰ δ' εἰς ὕψος ἀνέχοντα μόρια πᾶσαν ἐλευθέραν τε, καὶ ἀπαραπόδιστον ἐπιδέχεται τὴν διαστολήν, διὰ τοῦτο καὶ τοῖς ἰατροῖς τετήρηταί τε καὶ γέγραπται τῶν θυμουμένων σφυγ- C μὸς ὑψηλός. ἢ γὰρ οὐκ εἶδον τὸ σπάνιον, ἢ ἀμελῶς εἶδον, ἢ τοῦτον οἰκεῖον ἐνόμιζον ἑκάστου τῶν παθῶν σφυγμόν, ὃν καὶ συνεδρεύοντα αὐτοῖς ἑώρων πλειστάκις. εἰσὶ δ' οἳ καὶ σιωπῶσιν ἑκόντες τὸ σπάνιον, ὅταν ἀπορῶσι τῆς αἰτίας, ἀλλὰ τούτου μὲν ἕνεκα κἂν μέμψαιτό τις αὐτοῖς, τῶν ἄλλων ἁπάντων συγγνώμην νείμας. μυρία γὰρ οὕτως ἄξια γινώσκεσθαι, σιωπηθήσεται. χρὴ δὲ τῆς ἀληθείας ἐραστὴν, ἅπαν ἀκριβῶς τὸ φανὲν ἐκδιηγεῖσθαι κἂν ἀπορῇ τῆς αἰτίας. τί δὴ οὖν τὸ φαινόμενόν ἐστι; πολλοῖς τῶν ἰσχνῶν, καὶ οὐ πάνυ τὴν δύναμιν ἐρρωμένων οἱ σφυγμοὶ θυμουμένοις, μεγάλοι μὲν, οὐκέτι δὲ καὶ ὑψηλοὶ φαίνονται. τίς γοῦν καὶ ἡ τοῦδε αἰτία, οὐδὲ γὰρ D οὐδὲ πόρρω που τῶν ἐξ ἀρχῆς ὑποκειμένων ἔοικεν ὑπάρχειν, εἴ γε δὴ τὴν ῥώμην τῆς δυνάμεως τηλικαύτην ἐλέγομεν εἶναι δεῖν ἐν τοῖς ὑψηλοῖς σφυγμοῖς, ὡς δύνασθαι μὲν ἐργάσασθαι μεγίστην διαστολὴν, μὴ χωρεῖσθαι δὲ ὑπὸ τῶν περιεχουσῶν τὰς ἀρτηρίας χωρῶν. εἰ γὰρ τοῦτο, πάντῃ που δῆλον, ὡς ἐν ταῖς προειρημέναις διαθέσεσιν, οὐκ ἐγχωρεῖ γίνεσθαι τὸν σφυγμὸν ὑψηλὸν, μήτε τῆς δυνάμεως εὐρωστούσης, καὶ τῶν περὶ τὰς ἀρτηρίας χωρῶν εὐρυτάτων διὰ τὴν ἔκτηξιν γεγενημένων. ἐπεὶ δὲ καὶ τοῦτο θᾶττον, ἢ κατὰ τὴν προσδοκίαν εὕρηται, δῆλον οἶμαι σὺν αὐτῷ, καὶ τὸ τῶν πλατέων γεγονέναι σφυγμῶν. ὁπόταν γὰρ ἀπολείπηταί πως ἡ E δύναμις τῆς κατὰ φύσιν εὐρωστίας, εὐρύτης δ' ἀξιόλογος ᾖ χωρῶν, προσγένηται δέ τι βάρος ἐκ τῶν ἄνωθεν μερῶν ταῖς ἀρτηρίαις, πλατύτερος ὁ τοιοῦτος σφυγμὸς φαίνεται τοῦ συμμέτρου παραβαλλόμενος. τὸ δὲ βάρος τοῦτο τὸ προσγινόμενον, πολλάκις μὲν ἡ τοῦ δέρματός ἐστιν αὐτοῦ ῥυσότης, ὥσπερ ἐπὶ τῶν γερόντων ἔχει, καὶ τῶν ἰσχνῶν μὲν, οὐ μὴν τῶν κατεξηρασμένων γε τὴν ἕξιν, ἐξ οὗ γένους εἰσὶ οἱ κεκριμένοι προσφάτως. πολλάκις δὲ δι' ὑγρότητας, καὶ μάλιστα ὅταν αὐτὰ τὰ σώματα τῶν ἀρτηριῶν γένηται διάβροχα, καθάπερ ἐν τοῖς ὑδέροις. καταρρεῖ γὰρ αὐτῶν τὰ ἐπ' ἄκρου τοῦ ὕψους τεταγμένα μόρια, καὶ φέρεται κάτω, τὰ μὲν εἰς F αὐτὴν τῶν ἀρτηριῶν τὴν κοιλότητα, τὰ δ' εἰς τὰ πλάγια. τοσοῦτον οὖν ἀνάγκη τῆς εἰς ὕψος ἀνόδου κωλύεσθαι τοὺς σφυγμοὺς, ὅσον ὑπορρυῇ κάτω τὸ νῶτον τῆς ἀρτηρίας. καὶ δὴ καὶ πλεονεκτεῖν διχόθεν ἀναγκαῖον ἤδη τὸ πλάτος, ἔκ τε τῶν εἰς τὰ πλάγια παραρρεόντων τῆς ἀρτηρίας μερῶν θλιβόντων τε καὶ διὰ τοῦτο πλατυνόντων τὰ κάτω, κἀξ ὧν αὐτὸ τὸ ὕψος ἔφθανε κα-

κωλύεσθαι. ἤρκει δ', οἶμαι, καὶ θάτερον αὐτῶν τὸν σφυγμὸν ἀποφῆναι πλατύν, ἢ μειωθὲν τὸ ὕψος, ἢ αὐξηθὲν τὸ πλάτος. ἐπεὶ δ' ἄμφω συνέπεσε, διὰ τοῦτ' ἐναργὴς καὶ ἀξιόλογος ἐν ταῖς τοιαύταις διαθέσεσιν ἡ πλατύτης ἐμφαίνεται. πῶς οὖν ὁ μακρὸς καλούμενος γίνεται σφυγμός; εὑρίσκεται γάρ ποτε τοῖς μὲν τέτταρσι δακτύλοις ἡ κίνησις ὑποπίπτουσα, στενὴ μέντοι καὶ ἀμαυρὰ εἰς τοσοῦτον, ὡς χορδῆς ἔμφασιν εἶναι λεπτῆς. ἢ καὶ τοῦτο χαλεπὸν οὐδὲν ἐξευρεῖν, ἐξ αὐτῶν ὧν εἴπομεν ὁρμωμένοις. εἴτε γὰρ οὖν ἰσχνῆς τινος χορδῆς, εἴτε οὖν τριχὸς ἡ προσβολὴ φαίνοιτο, σκληρότης ἐξ αὐτοῦ τούτου μεγάλη τις ἐμφαίνεται τοῦ χιτῶνος τῶν ἀρτηριῶν. ἀλλ' οὐ μόνη. οὕτω μὲν γὰρ ἂν σκληρὸς ἁπλῶς ἦν ὁ σφυγμός. ἐπεὶ δὲ καὶ στενὸς, καὶ ταπεινός ἐστιν, ἀναγκαῖον ἀρρωστοτέραν εἶναι τὴν δύναμιν, ἢ ὥστε διαστέλλειν βιαίως, δυσπαθὲς ὑπὸ σκληρότητος ὄργανον. τί δ' οὖν εἰ τοῦτ' ἐστιν ἀληθές, οὐχὶ καὶ βραχὺς εὐθέως ὁ τοιοῦτος γίνεται σφυγμός; ἢ καὶ τούτου τὴν αἰτίαν εὑρήσομεν, ἀναμνήσαντες τὰς διαθέσεις ἐφ' ὧν οἱ τοιοῦτοι γίνονται σφυγμοί. τίνες οὖν αἱ διαθέσεις; ἡ μὲν ἕξις τοῦ σώματος λεπτή, περιτεταμένον δὲ τὸ ξηρότερόν πως τὸ δέρμα. εἴπερ οὖν τὸ χαλαρὸν ἅμα, καὶ παχὺ κατακρύπτει πολὺ τῆς κινήσεως, τὸ λεπτὸν καὶ τεταμένον ἀκριβῶς ἅπαν διασώζει. καὶ δῆλον ἤδη γέγονεν, ὡς χρὴ συνελθεῖν, λεπτότητα μὲν ὅλης τῆς ἕξεως, ξηρότητα δὲ τοῦ δέρματος, σκληρότητα δὲ τῶν ὀργάνων, ἀρρωστίαν δὲ τῆς δυνάμεως, ἀλλ' οὐκ ἐσχάτην. ἄσφυκτος γὰρ ἂν οὕτως ἦν ὁ ἄνθρωπος, οὐ μακρόσφυκτος. οὐδ' ὅλως γὰρ εἰς αἰσθητὴν ἐξαίρει κίνησιν, ἡ παντελῶς ἐκλελυμένη δύναμις, μὴ ὅτι τὸ σκληρὸν ἀγγεῖον, ἀλλ' οὐδὲ τὸ μαλακόν. ὁ μὲν οὖν οὕτως μακρὸς σφυγμὸς κατ' ἐξοχήν τινα προσαγορεύεται, λεπτὸς δ' αὐτῷ καὶ ἰσχνὸς, ὄνομα, τό γε ἴδιον. ὁ δ' ἁπλῶς καὶ κυρίως μακρός, ᾧ μὴ συνεπινοεῖται τῶν ἑτέρων δυοῖν διαστάσεων τὸ ποσόν, ἤτοι διὰ λεπτότητα τοῦ σώματος, ἢ δι' οἰκεῖον μέγεθος ἀποτελεῖται τοιοῦτος. ὁ δὲ δὴ βραχύς, ὅταν καθ' ἓν ὁποιονοῦν μόριον μικρὸν ἡ ἀρτηρία μόνῳ τῷ δέρματι σκέπηται, τὸ δ' ἑκατέρωθεν ἐκείνου πᾶν, αὖθις ἀθρόως εἰς τὸ βάθος δύηται. τό τε γὰρ ἀνάγκη ἐπιπολῆς μόριον αὐτῆς τὸ ὑπὸ τῷ δέρματι, σαφῆ τὴν κίνησιν ἅπασαν ἐνδείκνυσθαι, τὰ δ' ἐν τῷ βάθει, πολλῶν ἐπίπροσθεν ὄντων σωμάτων κατακρύπτεσθαι. τοῦτο δὲ φύσει μὲν πολλοῖς ὑπάρχει, κατὰ διαθέσεις μέντοι νοσώδεις ὀλίγοις, ὅταν ἐν τῇ διαθέσει διαστροφή τις τῆς ἀρτηρίας γίνηται, καὶ μικρὸν μὲν ἐπιφανὲς αὐτῆς ᾖ μόριον, τὰ δ' ἄλλα πάντα πρὸς τὸ βάθος ἔσω κατασπασθῇ. ἔστι δὲ καὶ ὁ τοιοῦτος σφυγμὸς τῶν κατ' ἐξοχὴν λεγομένων βραχέων, ἐπεὶ τό γ' ἴδιον ὄνομα, καὶ τοῦδε παχὺς καὶ ἀδρός. ὁ δ' ἁπλῶς βραχύς, ἢ πολυσαρκίας, ἢ μικρότητος ἔκγονος ὑπάρχει. εἴρηταί μοι σχεδὸν ὑπὲρ ἁπάντων ἤδη τῶν ἀνωμαλίαν ἐργαζομένων αἰτίων, εἰ γάρ τι καὶ παραλέλειπται μικρόν, οὐδὲν ἂν εἴη χαλεπὸν ἐκ τῶν εἰρημένων ἀνευρίσκειν.

quarum certè vel altera reddere pulsum latum valeat, aut imminuta altitudo, aut latitudo aucta, quia verò ambæ coniunctæ sunt, hinc clara in eiuscemodi affectibus, & ampla conspicitur latitudo. Quomodo iam pulsus fit longus, quem vocant? inuenitur enim motus nonnunquam, qui quatuor digitis occurrat, sed ita angustus & obscurus, vt speciem tenuis fidis referat. At ne hoc quidem ex iis, quæ diximus, inuentu difficile est, siue enim fidem tenuem quandam occursus, siue pilum repræsentet, durities ex eo arteriarum tunicæ ingens significatur. Verùm non ea modò, durus enim tantùm pulsus fit; imò, quia angustus humilisque est, oportet imbecilliorem facultatem esse, quàm quæ magna vi instrumentum distendere propter duritiem contumax possit. Quid iam, si hoc verum est, num & breuis continuò is pulsus est? an huius etiam causam inuenerimus, si affectus commemoremus, qui præditi eo pulsu sunt? Qui tandem sunt illi affectus? habitus corporis tenuis, circumtenta, aliquantòque siccior cutis; proinde si laxa & crassa magnam partem motus tegit, tenuis contentáque prorsus omnem conseruat. Vnde liquet conspirare gracilitatem totius habitus oportere, & duritiem cutis, ad hæc duritiem instrumentorum, tum imbecillitatem facultatis, non vltimam tamen; perdiderit enim sic pulsum homo, non longum habuerit, omnino enim non attollit in sensibilem motum facultas prorsus languida, ne vas quidem molle, nedum durum. Sanè per excellentiam longus pulsus hoc nomen sortitus est; proprium autem nomen est tenuis & gracilis. Qui absolutè est, & propriè longus, cum quo quantitatem non concipimus dimensionum duarum reliquarum, aut ex corporis tenuitate, aut ex sua ipsius magnitudine talis euadit. Porrò autem breuis fit, vbi in parte quapiam parua, arteria sola cute muniatur, & partes ex vtroque illius latere omnes in profundum affatim demergantur; namque pars eius illa sublimis, quæ subter cutem est, apertè omnem motum prodat, oportet, profundæ contra, quòd multa obiecta sint corpora occultentur. Hoc multis inest à natura; in morbosis affectibus, sanè paucis, quum situ distorqueatur aliquo modo arteria, ac parua sit eius pars conspicua, reliquæ intro omnes in profundum depressæ sint. Est verò & hic pulsus de illis, qui breues per excellentiam dicuntur; nam proprium huius nomen est, crassus, & turgidus; quandoquidem, qui simpliciter breuis est, vel ex corpulentia nascitur, vel ex paruitate. Percurri iam omnes penè, quæ inæqualitatem inducunt causas, quod si qua res parua præterita sit, facilè inuenias ex commemoratis.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Αἰτίαι τοῦ τεταγμένου τε καὶ ἀτάκτου σφυγμοῦ.

Περὶ δὲ τῶν ἀτάκτων τε καὶ τεταγμένων, ἤδη ῥητέον. ἐπεὶ τοίνυν ἀνώμαλοι πάντες εἰσὶν οἱ τοιοῦτοι σφυγμοί, καθάπερ καὶ ἐν τοῖς περὶ διαφορᾶς αὐτῶν δεδήλωται, διαλλάττουσι δὲ τῷ τοὺς μὲν ἐν περιόδοις τισὶ διασώζειν τὴν ἰσότητα, τοὺς δὲ πάντη συγχεῖσθαι, ἓν κοινὸν κατὰ πάντων αὐτῶν ἐν βραχεῖ τόδε χρὴ διαγινώσκειν. ὡς τῆς αἰτίας ἥτις ἂν ἑκάστοτε τὴν ἀνωμαλίαν ἐργάζηται, ἐστηριγμένης μὲν ἐν τοῖς τεταγμένοις, ἀστηρίκτου δ' ἐν τοῖς ἀτάκτοις οὔσης. καὶ μέντοι καὶ τῆς φύσεως εἴπερ τι ἄλλο,

CAPVT XIV.

Ordinati, & inordinati causæ.

Proximum est, vt de inordinatis, & ordinatis dicamus. Hi pulsus quando inæquales omnes sunt, commodè docuimus in libris de differentiis pulsuum; sed in eo variant, quod paritatem in certis circuitibus tueantur, illi confusi vndequaque sint. Hoc in communi vnum breue caput de omnibus iis cognoscendum est, causam quæcunq; inæqualitatem efficiat, semper firmam in ordinatis & fixam esse; in pulsibus inordinatis, non fixam. Insuper ordo, vt æqualitas, naturæ si quid aliud, familiaris

familiaris est; quare si alterum eorum sit conturbatum, minorem designat offensam; sin vtrunque, maiorem; concurrunt autem in inordinatis ambo; alterum in ordinatis, qui inæquales sunt.

A καὶ ἡ τάξις οἰκεῖον, ὥσπερ δὴ καὶ ἡ ὁμαλότης. ἐὰν δὴ θάτερον αὐτῶν συγχυθῇ, μικροτέραν ἐνδείκνυται τὴν βλάβην, ἐὰν δ' ἄμφω, μείζονα, συγχεῖται δ' ἄμφω μὲν ἐν τοῖς ἀτάκτοις. θάτερον δ' ἐν τοῖς τεταγμένοις μὲν, ἀνωμάλοις δὲ δηλονότι.

CAPVT XV.

Rhythmorum mutatorum causa.

PORRÒ, & mutationum rhythmorum causas (hæ enim restant explicandæ) si persequare superiora, facilè inuenias. Si enim rectè demonstratum est, allici per distentiones arteriarum aëream quandam substantiam; in contractionibus autem excrementa excerni, & quasi fuligines adustorum humorum; necesse est, quum distentionis vsus instet, maiorem fieri, celeriorèmque distentionem, quum contractionis, contractionem. Quamobrem quibus in ætatibus multi humores insumuntur, quæ sunt vsque ad iuuentutem, in his parum distentio cedit contractioni; in quibus paucissimi, quod in senibus fit, longè in his maius est contractionis tempore distentionis tempus; siquidem difflatus per totum corpus contractionis est arteriarum munus. In distentionibus enim in se attrahunt, vt aliis omnibus oscillis, ita illis etiam, quæ ad cutem pertinent; nihil ergo hîc quicquam ex corpore excernitur, imò verò prorsus intrò trahitur. Contra in contractionibus ipsis excernitur quidem, attrahitur autem nihil. Iam in quibus ætatibus humores natura non ad nutrimentum modò, sed etiam ad incrementum conficit, in his excrementa oportere magis affluere, in apetto est; semper enim quantitati confectorum succorum quantitas respondet excrementorum. Proinde vbi plurimi conficiuntur, illic plurima sunt excrementa; & vbi plurima excrementa, perpetua hic, & multa opus est excretione; vt scilicet in ventris, & vesicæ excrementis fit. Cæterùm horum excretiones perspicimus sensibus, illorum verò, quæ in arteriis sunt, assequitur ratio. Ac miror, ecquis erit, qui aut per externam superficiem negabit arterias vacuari, aut non, quo diximus, modo. Demonstraui autem hæc, quantum opus erat, in libro de vsu pulsuum; ad propositam disputationem hæc sunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Αἰτίαι τῶν ἐν ταῖς ἐξαλλαγαῖς ῥυθμῶν.

ΤΑ δ' ἐν ταῖς τῶν ῥυθμῶν ἐξαλλαγαῖς αἴτια, ταῦτα γὰρ ὑπόλοιπα διελθεῖν, οὐ χαλεπῶς ἂν οὐδ' αὐτά τις εὑρίσκοι τῶν ἐξ ἀρχῆς ἐχόμενος. εἴπερ γὰρ ὀρθῶς ἡμῖν ἀποδέδεικται, B κατὰ μὲν τὰς διαστολὰς τῶν ἀρτηριῶν ἕλκεσθαί τις ἀερώδης οὐσία, κατὰ δὲ τὰς συστολὰς ἐκκρίνεσθαι τὸ περιττόν τε, καὶ οἷον καπνῶδες τῆς ἐκ τῶν χυμῶν συγκαύσεως, ἀναγκαῖον ἔσται. τῆς μὲν τοῦ διαστέλλεσθαι χρείας ἐπειγούσης, μείζω τε καὶ θάττω γίνεσθαι τὴν διαστολὴν, τῆς δὲ τοῦ συστέλλεσθαι τὴν συστολήν. ταῦτ' ἄρα καὶ τῶν ἡλικιῶν ἐν αἷς μὲν πλείστη δαπάνη χυμῶν, αὗται δ' εἰσὶν αἱ μέχρι τῆς ἀκμῆς, ἐν ταύταις μὲν ὀλίγον ἀπολείπεται ἡ διαστολὴ τῆς συστολῆς. ἐν αἷς δ' ἐλαχίστη, τοῦτο δ' ἐν ταῖς πρεσβυτικαῖς γὰρ, παρὰ πολὺ πλείων ἐν ταύταις ὁ τῆς συστολῆς ἐστὶ χρόνος τοῦ τῆς διαστολῆς. εἰ γὰρ ἡ τοι καθ' ὅλον τὸ σῶμα διαπνοὴ, τῆς συστολῆς τῶν ἀρτηριῶν ἔργον ἐστίν. ἐν μὲν γὰρ ταῖς C διαστολαῖς ἕλκουσιν εἰς ἑαυτὰς, ὥσπερ δὴ διὰ τῶν ἄλλων ἁπάντων στομάτων, οὕτω καὶ διὰ τῶν εἰς τὸ δέρμα περαιουμένων. οὐκ οὖν ἐκκρίνεταί τι τηνικαῦτ' ἐκ τοῦ σώματος, ἀλλ' εἴσω μᾶλλον πάντως ἕλκεται. ἐν δ' αὐταῖς ταῖς συστολαῖς ἔμπαλιν, ἐκκρίνεται μὲν, ἕλκεται δ' οὐδέν. ὅτι δ' ἐν αἷς ἡλικίαις, οὐκ εἰς τὸ τρέφεσθαι μόνον, ἀλλὰ καὶ εἰς τὸ αὔξεσθαι κατεργάζεται τοὺς χυμοὺς ἡ φύσις, ἐν ταύταις ἀνάγκη καὶ τὰ περιττώματα πλείω γίνεσθαι, πρόδηλόν ἐστιν. ἀνάλογον γὰρ ἀεὶ τῷ ποσῷ τῶν κατεργαζομένων χυμῶν, τὸ ποσόν ἐστι τοῦ περιττώματος. ἔνθα δὴ ἡ πλείστη κατεργασία, πλεῖστον ἐνταῦθα καὶ τὸ περίττωμα. ἔνθα δ' αὖ πλεῖστον περίττωμα, συνεχοῦς τε ἅμα τούτῳ καὶ πολλῆς δεῖται D τῆς ἐκκρίσεως. ὥσπερ, οἶμαι, καὶ ἐν τοῖς κατὰ τὴν γαστέρα τε καὶ τὴν κύστιν ἔχει περιττώμασιν, ἀλλὰ τὰς μὲν τούτων ἐκκρίσεις ταῖς αἰσθήσεσι διαγινώσκομεν, τὰς δὲ τῶν ἐν ταῖς ἀρτηρίαις, ὁ λόγος ἐξευρίσκει. καὶ οὐκ οἶδ' εἴ τις, ἢ οὐ καὶ διὰ τῆς ἐκτὸς ἐπιφανείας ὁμολογήσει κενοῦσθαι τὰς ἀρτηρίας, ἢ οὐ καθ' ὃν εἴπομεν τρόπον. ἀποδέδεικται δ' εἰς ὅσον ἐχρῆν ὑπὲρ αὐτῶν ἐν τῷ περὶ χρείας σφυγμῶν. εἰς δὲ τὸν παρόντα λόγον, ἀρκεῖ καὶ τὰ νῦν εἰρημένα.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ ΛΟΓΟΣ Γ.

GALENI DE CAVSIS PVLSVVM LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Γ' ΒΙΒΛΙΩι.

Λέγει περὶ τῶν κατὰ φύσιν τε καὶ τῶν οὐ φύσει καλουμένων αἰτίων, ὅσα μὴ δι᾽ ἑαυτῶν, ἀλλὰ τῷ τὰ συνεκτικά τε καὶ πρῶτα τρέπειν αἴτια σφυγμῶν λέγεται· καὶ τὰ ἐκ τοῦ τοῖς εἰσαγομένοις κεφάλαια ἐπιτίθεται καὶ ἐξηγεῖται.

ARGVMENTVM LIBRI TERTII.

Agit de naturalibus ac non naturalibus causis, quæ non per se, sed continentibus, ac primis mutatis, causæ pulsuum dicuntur; apponuntur capita ex introductorio pulsuum, & explicantur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τοῖς ἔμπροσθεν εἴρηται, τί ἐν τῷδε λεκτέον.

Τὰς μὲν ἀπὸ τῶν πρώτων τε καὶ κυριωτάτων αἰτίων ἀλλοιώσεις τῶν σφυγμῶν, ὁ πρόσθεν λόγος αὐταρκῶς ἐξηγήσατο, τὰς δ᾽ ἀπὸ τῶν ἄλλων ἁπάντων, ὅσαι μὴ δι᾽ ἑαυτῶν αὐτίκρυς, ἀλλὰ τῷ τὰ πρῶτα τρέπειν αἴτια σφυγμῶν λέγεται, νῦν ἐπέξιμεν. ἐπεὶ δὲ τούτων, τὰ μέν ἐστι παρὰ φύσιν, τὰ δὲ κατὰ φύσιν, τὰ δὲ ἐν τῷ μεταξὺ τούτων, ἃ δὴ καὶ οὐ φύσει καλοῦσιν, εὔλογον ἀπὸ τῶν κατὰ φύσιν ἄρξασθαι, καὶ τάξιν γε τὴν αὐτὴν ἐπιθεῖναι τῷ λόγῳ, ἥνπερ κἂν τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ πεποιήμεθα, τά τε γὰρ ἄλλα, καὶ γένοιτ᾽ ἂν ἐξήγησις θ᾽ ἅμα τῶν ὀρθῶς ἐν αὐτῷ λεγομένων, ἔνδειξίς τε τῶν εὐλόγως παραλελειμμένων. παραλέλειπται δὲ τὰ μὲν ὅλως, τὰ δ᾽ ἐν τῷ μὴ διορίσαι. πολὺ γὰρ ὅσον ἔμελλεν ἀσαφὲς ἔσεσθαι τοῖς ἀρχομένοις τῆς θεωρίας, ἐδόκει χρῆναι παραλιπεῖν. παραλέλειπται δ᾽ οὐχ ἥκιστα, καὶ ὁ τῆς αἰτίας λογισμός. ἄμεινον γὰρ ἦν τοῖς εἰσαγομένοις ἐπ᾽ αὐτῶν τῶν ἔργων γυμνάσασθαι πρότερον ἐμπειρικῶς, ἔπειθ᾽ ὕστερον ἅπασαν ἐκδιδαχθῆναι τῷ λόγῳ τὴν οὐσίαν τοῦ πράγματος. ὡς τοίνυν γεγυμνασμένοις αὐτοῖς, καὶ μανθάνειν τοὺς τελεωτέρους λόγους δυναμένοις, ἥδε ἡ πραγματεία σύγκειται, διὰ μὲν τῶν προτέρων δυοῖν ὑπομνημάτων, εἰς ὅσον αὔταρκες, ὑπὲρ τῶν συνεκτικῶν ὀνομαζομένων αἰτίων διαλεχθεῖσα, διὰ δ᾽ αὐτῶν λοιπῶν δυοῖν, τούτου τε καὶ τοῦ μετ᾽ αὐτόν, περὶ τῶν ἄλλων ἁπάντων ἐκδιδάξουσα. ἀρκτέον οὖν ἤδη τοῦ λόγου προχειριζομένοις ἑκάστην ῥῆσιν τῶν ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένων, ἔπειτ᾽ ἐξηγουμένοις. εἴη δ᾽ ἂν ἡ πρώτη τῶν εἰς τὸν παρόντα λόγον ἐπιτηδείων, ἥδε.

CAPVT PRIMVM.

Quid actum superioribus libris, quid hîc agendum.

Postquam de pulsuum alterationibus, quæ ex primis, & præcipuis causis proficiscuntur, satis superiori sermone disputauimus, illas nunc explicabimus, quæ ab aliis omnibus fiunt; quæ non per se planè, quòd mutent primas, causæ pulsuum vocantur. Hæ autem quia partim præter naturam sunt, partim naturales, partim etiam inter has mediæ, quas non naturales vocant, vt à naturalibus exordiamur par est, eodémque ordine dicamus, quem in libro tyronibus scripto instituimus. Nam præter alia, enarrabuntur etiam, quæ illic rectè tradidimus; simulque ostendentur, quę congruè illic sunt præterita. Ac reliquimus quædam prorsus; aliqua hactenus, vt nō distinctè explicaremus; quicquid enim initiatis huic commentationi allaturum erat obscuritatem, hoc visum est prętererire: potissimum autem omissa est causarum explicatio. Præstabat enim initiatis in ipsis exerceri operibus primùm per experientiam; deinde vniuersam aliquando perdiscere ratione essentiam rei. Itaque vt exercitatis iam illis, & assequentibus absolutiorem narrationem hanc lucubrationem conscripsi; quæ prioribus duobus commentariis, quantum de causis, quas continentes appellant, satis erat, disseruit; duobus reliquis hoc & proximo, cętera omnia plana faciet. Itaque aggrediamur narrationem, ac singula capita, quæ in illo libro conscripsimus, proponamus, eáque inde interpretemur. Primum ex iis quæ accommodata instituto nostro sunt, hoc sit.

CAPVT II.

Virorum pulsus.

Viri mulieribus pulsum ferè habent longè tum maiorem, tum vehementiorem, paulò tardiorem, satisque rariorem.

Hoc est caput. Cur autem accommodatior hæc oratio sit, vt primo loco referatur, in illo libro est explicatum. Itaque quia non est nostri instituti sæpius de rebus iisdem scribere, ad causas iam pergendum est: declarandumque, quæ imponatur necessitas naturæ rei, quamobrem virorum, & mulierum pulsus aliter atque aliter comparati sint, ad hunc modum. Quandoquidem calidior, & siccior fœmina mas est, vt præstantissimi quique senserunt veterum medicorum, & philosophorum, nosque aliàs demonstrauimus, vsum generationis pulsuum, & instrumentorum præparationem differre in illis oportet; quòd si hæc, tum ipsos etiam pulsus; etenim copioso calori, in superioribus libris ostendi magnum pulsum familiarem esse. Itaque si calidior mas fœmina est, etiam pulsus statim habebit maiores; si multò calidior, multò maiores; at enim tum calidior, tùm multò est calidior, proinde & maiores, & multò maiores pulsus obtinebit. Nam calidiorem esse, cùm in libris, quos De temperamentis iam edidimus, tum verò antea etiam in veterum scriptis, satis probatum est; iam verò multò calidiorem, id nondum nec vos, nec quisquam demonstrauit alius; quare faciendum nunc id nobis est, vt demonstremus, alioqui nequaquam constituta erit, & confirmata tota oratio. Primùm initium capitis commemorandum est, atque ipsum totum legendum, singuláque verba attendenda. Nam quid dicit? *Viri mulieribus pulsum in vniuersum habent multo maiorem.* Quid hoc sit, *in vniuersum*, summa diligentia expendendum est; certè enim non temerè quidem appositum est, sed totum firmamentum in eo, & cardo versatur orationis. Nam quia nec inde ab initio perinde nos temperati omnes sumus, nec vitæ institutis iisdem, nec victu vsi, vniuersalis affirmatio tollitur, quum inueniri interim possit mulier, cuius non solùm non multò minor pulsus, sed omninò ne paruus quidem sit, nec par, sed planè etiam, quam quorundam virorum maior. Fac virum mihi fingas natura pituitosiore; frigidum hoc erit temperamentum humidumque, si cum muliere conferas natura biliosiore idest calidiore & ficciore. Nec hic consistamus, sed incolat ille Pontum, hæc Ægyptum, præterea vir in vmbra viuat, & otio, ac multis in delitiis, molliterque; mulier ruri agat, ac multa in exercitationibus sit, & victu vtatur modico, huius mulieris pulsus, quàm viri, maior erit. Verùm si vt postulat natura, viuentem vtrumque obserues, & in sua propria ab initio temperie constitutum, vnáque & eadem commorantem in regione, non maior tantum, sed multò etiam maior sit huius viri pulsus; nam pro naturali quidem temperamento, maior tantum, non multò maior erit. Verùm quum accessit à peculiaribus vitæ institutis vtrique differentia; illa initio viuat, hic in multis laboribus;

ΚΕΦΑΛΑΙΟΝ Β'.

Οἱ τῶν ἀνδρῶν σφυγμοί.

Ἄνδρες μὲν οὖν γυναικῶν, ὡς ἐπίπαν μείζονα πολλῷ, καὶ σφοδρότερον ὡσαύτως πολλῷ, καὶ βραδύτερον ὀλίγῳ, καὶ ἀραιότερον ἱκανῶς τὸν σφυγμὸν ἔχουσιν.

Ἡ μὲν λέξις αὕτη. καὶ διότι πρῶτος οὗτος ὁ λόγος ἐπιτηδειότερος ἦν λέγεσθαι, δι' ἐκείνου τοῦ γράμματος δεδήλωται. ὥστε οὐ γὰρ ἔθος ἡμῖν περὶ τῶν αὐτῶν γράφειν πολλάκις, ἐπὶ τὰς αἰτίας ἰτέον ἤδη, καὶ δεικτέον τὴν ἀνάγκην τῆς φύσεως τοῦ πράγματος, δι' ἣν οὕτω μὲν ἀνδράσιν, οὕτω δὲ γυναιξὶν ἔχει τὰ κατὰ τοὺς σφυγμούς. ὧδε δὴ οὖν. ἐπεὶ θερμότερον ἐστι καὶ ξηρότερον τὸ ἄρρεν τοῦ θήλεος, ὡς καὶ τοῖς ἀρίστοις τῶν ἔμπροσθεν ἰατρῶν τε καὶ φιλοσόφων εἴρηται, καὶ ἡμῖν δὲ δι' ἑτέρων ἀποδέδεικται, τήν τε χρείαν ἀναγκαῖον ἤδη τῆς τῶν σφυγμῶν γενέσεως, καὶ τὴν τῶν ὀργάνων κατασκευὴν ἑτεροίως ἔχειν αὐτοῖς. εἰ δὲ τοῦτο, καὶ αὐτοὺς τοὺς σφυγμούς. ἐδείχθη γὰρ ἐν τοῖς ἔμπροσθεν λόγοις, ὡς πλήθει θερμασίας οἰκεῖός ἐστιν ὁ μέγας σφυγμός. εἴπερ οὖν θερμότερον τὸ ἄρρεν τοῦ θήλεος, εὐθὺς ἂν καὶ μείζους ἔχει τοὺς σφυγμούς. καὶ εἰ πολλῷ θερμότερον, πολλῷ μείζους. ἀλλὰ μὴν καὶ θερμότερον, καὶ πολλῷ θερμότερόν ἐστιν, ὥστε καὶ μείζους, καὶ πολλῷ μείζους ἕξει τοὺς σφυγμούς. ἀλλ' ὅτι μὲν θερμότερον, ἔκ τε τῶν περὶ κράσεων ἡμῖν ἤδη γεγραμμένων, καὶ τῶν ἔτι πρότερον τοῖς παλαιοῖς εἰρημένων, αὐτάρκως ἀποδέδεικται. ὅτι δὲ καὶ πολλῷ, τοῦτ' οὐκέτι, οὔτε ὑμεῖς, οὔτε ἄλλος τις ἀπέδειξε. νῦν οὖν ἀποδεικνύσθω, ἢ οὐδέπω πιστὸς ὁ σύμπας λόγος. πρῶτον μὲν ἀναμνησθῆναι χρὴ τῆς προκειμένου τῇ λέξει, καὶ πᾶσαν αὐτὴν ἀναγνῶναι, καθ' ἕκαστον ὄνομα προσέχοντα τὸν νοῦν. τί γάρ φησιν; ἄνδρες μὲν οὖν γυναικῶν, ὡς ἐπίπαν μείζονα πολλῷ τὸν σφυγμὸν ἔχουσι. τί δὴ τοῦτ' ἐστι, τὸ ἐπίπαν ἐπιμελῶς χρὴ διασκέψασθαι. οὐ γὰρ δὴ μάτην γε πρόσκειται, ἀλλ' ἔστιν ἐν αὐτῷ τὸ πᾶν κῦρος τοῦ λόγου. τῷ γὰρ μήτε ἐξ ἀρχῆς εὐθὺς ὡσαύτως ἅπαντας ἡμᾶς κεκρᾶσθαι, μήτ' ἐπιτηδεύμασι, μήτε διαίταις ὁμοίαις κεχρῆσθαι, τὸ καθόλου τῆς ἀποφάσεως διαφθείρεται, δυναμένης ποτὲ γυναικὸς εὑρεθῆναι, μὴ ὅτι πολλῷ μικρότερον, ἀλλὰ μηδὲ μικρὸν ὅλως, μηδ' ἴσον, ἀλλὰ καὶ σαφῶς μείζονα τινῶν ἀνδρῶν ἐχούσης τὸν σφυγμόν. ἄνδρα γάρ μοι νόει φλεγματικώτερον φύσει, ψυχρὰ δ' ἂν ἥδε κρᾶσις εἴη, καὶ ὑγρά, παραβαλλομένη γυναικὶ χολωδεστέρᾳ φύσει, τοῦτ' ἔστι θερμοτέρᾳ τε καὶ ξηροτέρᾳ. ἀρκείτω δὲ μὴ τοῦτο μόνον, ἀλλ' ὁ μὲν, τὸν Πόντον. ἡ δὲ, τὴν Αἴγυπτον ἐποικείτω, καὶ σκιατροφείσθω μὲν, καὶ ἀργείτω, καὶ διαθρυπτέσθω κατὰ τὴν δίαιταν ὁ ἀνήρ. θηραυλείτω δ' ἡ γυνὴ, καὶ γυμναζέσθω πολλὰ, καὶ μετρίως διαιτάσθω. μείζων ὁ τῆς τοιαύτης γυναικὸς, ἢ ὁ τοῦ ἀνδρὸς ἔσται σφυγμός. ἀλλ' ἐὰν ἐν τῇ φύσει διαιτώμενον ἑκάτερον φυλάξῃς, καὶ τὴν οἰκείαν κρᾶσιν ἐξ ἀρχῆς κεκτημένον, ἐνί τε χωρίῳ καὶ ταὐτῷ χρώμενον, οὐ μείζων μόνον, ἀλλὰ καὶ πολὺ μείζων, ὁ τοῦ τοιούτου ἀνδρὸς σφυγμὸς γένοιτ' ἄν. ὅσον μὲν γὰρ ἐπὶ τῇ φυσικῇ κράσει, μείζων ἁπλῶς, οὐ μὴν πολλῷ μείζων γένοιτ' ἄν. ἐπεὶ δὲ τὸ ἀπὸ τῶν οἰκείων ἐπιτηδευμάτων ἑκατέρῳ προσέρχεται διαφορὰ, ἡ μὲν γὰρ ἀταλαίπωρον, ὁ δὲ, ἐν πόνοις πλείοσι διαιτᾶται,

πολὺ δή τι θερμότερος ὁ ἀνὴρ οὕτω γίνεται, καὶ διὰ τοῦτο τοὺς A σφυγμοὺς πολλῷ μείζους ἴσχει τῆς γυναικός. πρόσκειται δὲ, τὸ ἐπίπαν, ἐν τῇ ῥήσει τοῖς εὐφυεστέροις τῶν εἰσαγομένων οἷον κέντρον τι, διεγεῖρόν τε καὶ παρορμῶν ἐπὶ τὴν ἔρευναν ἁπάσης τοῦ πράγματος τῆς φύσεως. εὐθὺς γὰρ τὸ περὶ τῆς κατὰ φύσιν ἐν ἀνδρὶ καὶ γυναικὶ διαφορᾶς ἐννοήσουσί τε, καὶ πρὸς ἐπιβλέψουσιν, τὸ κατὰ πάντα ζῶα γένος ἄρρεν, ὡς ἰσχυρότερον ἐστι τοῦ θήλεος· καὶ ὡς τοῦ μὲν θήλεος, τὸ κύειν τε καὶ θηλάζειν, καὶ ὅλως ἐκτρέφειν τὰ γεννηθέντα κατὰ φύσιν. τοῦ δὲ ἄρρενος, τό τε τροφὰς ἐκπορίζειν αὐτοῖς, καὶ προμαχεῖν ἐπιβουλευομένοις, ἐξ ὧν εἴσονται τὴν μὲν, ὡς ἄρρενος ἀεὶ πρὸς θῆλυ διαφορὰν, μεί- B ζονας ἁπλῶς τοὺς σφυγμοὺς ἐργαζομένην, τὴν δὲ, ὡς ἀνδρὸς πρὸς γυναῖκα πολλῷ μείζονας. οὕτω δὲ καὶ σφοδροτέρους μὲν ἁπλῶς ὅσον ἐπὶ τῇ φύσει, τοὺς τῶν ἀρρένων σφυγμοὺς, πολὺ μέντοι σφοδροτέρους τοὺς τῶν ἀνδρῶν παρὰ τὰς γυναῖκας, ὅτι τοῖς μὲν αὐξάνεσθαι τὸν φυσικὸν τόνον ἐν τοῖς πόνοις ἀνάγκη, ταῖς δὲ ἀργούσαις, ἐκλύεσθαι. εἰ δὲ καὶ μηδὲν τούτων αὐτὸς τις ἐξεύροι σαφῶς, ἀλλ' εἰς ὑπόνοιαν γε αὐτῶν ἀφίκοιτ' ἂν ζητῶν, ἢ τοὐσχατόν γε οἷον διψῶν ὧν ἐπιθυμεῖ μὲν εὑρεῖν, οὐδέπω δὲ εὕρηκεν, ἐπὶ τὸν διδάξαι δυνάμενον ἀφικόμενος, τάχιστά τε ἂν οὕτω μάθοι, καὶ μάλιστα μνημονεύσειεν. ἀλλὰ ταῦτα μὲν οὕ- C τως. ἡ δὲ ῥώμη τῆς δυνάμεως, ἡ τοῖς ἄρρεσιν ὑπάρχουσα, δοίη ἄν τι καὶ αὐτὴ τοῖς σφυγμοῖς μεγέθους. ὥστ' οὐ μόνον διὰ τὸ πλῆθος τῆς θερμασίας, ἀλλὰ καὶ διὰ τὴν ῥώμην, οἱ τῶν ἀρρένων σφυγμοὶ μείζους γενήσονται. δέδεικται γὰρ οὖν καὶ τοῦτ' ἐν τῷ πρώτῳ λόγῳ, τὸ ταῖς εὐρώστοις δυνάμεσι τοὺς μεγάλους σφυγμοὺς οἰκείους ὑπάρχειν. ἆρ' οὖν ταύτῃ μόνον ἄνδρες γυναικῶν εἰς σφυγμῶν αἰτίας διαλλάττουσιν; ἢ καὶ τὸ περὶ τῆς ἕξεως τοῦ σώματος τοῖς ἑκατέροις πάμπολυ προσέρχεται. τοῖς μὲν γὰρ ὅλον σῶμα εὔπνουν τε, καὶ καθαρὸν, καὶ ἀπερίττον, καὶ ἀθλιπτον. ταῖς δὲ τἀναντία, στεναὶ μὲν αἱ μεταξὺ τῶν ἀγγείων χῶραι, πι- D μελῆς αὐτὰς, καὶ σαρκὸς μαλακῆς, καὶ τινων φλεγματωδῶν περιττωμάτων καταλαμβανόντων, πυκνόν τε, καὶ δύσπνουν τὸ σῶμα, καί τινες συστάσεις πολλαχόθι τοῦ σώματος ἀργῶν, καὶ παχέων, καὶ ἀπέπτων ὑγρῶν, ὑφ' ὧν ἁπάντων θλίβεσθαί τε, καὶ στενοχωρεῖσθαι τὰς ἀρτηρίας αὐτῶν ἀναγκαῖον, οὔσας καὶ φύσει πολὺ τοῖς ὄγκοις ἐλάττους. ὥστε πάντη πάντοθεν εἰς μικρότητα σφυγμῶν αὐταῖς παρεσκευάσθαι τὴν ἕξιν. ἓν δὲ μόνον εἰς τὸ μέγεθος ἐπιτήδειον ἔχουσαι τὴν μαλακότητα τῶν ὀργάνων, οὐδὲν οὐδ' ἀπὸ ταύτης ὀνίνανται. πρῶτον μὲν ὅτι πλείω τε καὶ ἰσχυρότερα τὰ τῆς μικρότητος αἴτια γίνεται, δεύτερον δὲ, E ὅτι πολλὴ μὲν ἡ περὶ ἐκεῖνα διαφορὰ τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας. ἐλαχίστη δὲ, ἡ διὰ τὴν μαλακότητα τῶν ὀργάνων. οὐ γὰρ οὕτω ξηρότερον λέγεται τὸ τῶν ἀνδρῶν σῶμα, τοῖς τῶν γυναικῶν παραβαλλόμενον, ὡς ἂν εἴ τύχοι, λίθος τις εἴη πηλοῦ ξηρότερος. οὐδ' ἂν εὕροις ἐν αὐτοῖς τοῖς χιτῶσι τῶν ἀρτηριῶν πολλὴν τὴν ὑπεροχὴν, ἀλλὰ καὶ τὸ τῶν ἀνδρῶν ὄργανον, οὕτως ἔχει κατασκευῆς, ὡς εὐπειθὲς εἶναι πρὸς τὴν ἐνέργειαν. εἰ δὲ καὶ μεγάλη τις ἦν ὑπεροχὴ, καὶ πολλῷ τὸ τῆς γυναικὸς ὄργανον ὑπῆρχε μαλακώτερον, αὐτὸ δὴ τοῦτο μικροτέρους ἂν εἰργάσατο τοὺς σφυγμούς. ἔνθα μὲν γὰρ οὐδὲν ἐστι τὸ βαρῦνον, ἢ θλῖβον, ἢ στενοχωροῦν, F ἐνταῦθα τὸ μαλακώτερον ὄργανον ἐπιτηδειότερον εἰς μέγεθος διαστολῆς. ἔνθα δὲ, ὡς ἔμπροσθεν ἐπὶ τῆς γυναικείας ἕξεως ἐρρέθη, τὰ θλίβοντα, καὶ βαρύνοντα, καὶ στενοχωροῦντα πολλά, ἐνταῦθα τὸ μαλακώτερον ὄργανον, ἀφυέστερον εἰς τὴν διαστολὴν, ὡς ἂν ῥᾷον ὑπὸ πάντων τῶν λυπούντων νικώμενον.

multò sanè ita calidior vir efficitur, itaque pulsibus est multò, quàm mulier maioribus. Additum est autem capiti, *in vniuersum*, quod sagacioribus tyronibus pro stimulo quodam excitante est, & ad totius rei perscrutandam naturam instigante. Statim enim de naturali differentia viri & mulieris meditabuntur, & intuebuntur vniuersum genus in omnibus animantibus, masculinum valentius fœminino esse; atque fœmellæ esse officia concipere, lactaréque, denique fœtus naturales educare; maris verò nutrimenta iis suppeditare, & si petatur insidiis defendere. Vnde perspicient semper differentiam, vt maris ad fœmellam, maiores tantùm pulsus creare; at differentiam, vt viri ad mulierem, multò maiores. Sic etiam vehementiores tantùm, si naturam spectes, pulsus marium; longè verò vehementiores virorum quàm mulierum; quia contentionem illis naturalem in laboribus crescere oportet; his quia ociantur, remitti. Horum etiam si apertè nihil tua sponte inueneris, at in opinionem eorum inquirendo venies; aut certè, veluti siti eorum ardens, quæ cupis inuenire, neque dum inuenisti, si ad magistrum, qui docere ea valeat, applicaueris, & citissimè disces, & optimè memoria complectere. Atque hæc sic habent. Robur iam facultatis, quod maribus adest, conferet aliquid & ipsum pulsibus magnitudinis; quare non solùm ex caloris abundantia, verùm etiam ex robore, marium maiores pulsus fient. Sed hoc etiam in libro primo probaui, validis facultatibus esse magnos pulsus peculiares. Quid iam viri nunquid hactenus tantùm à mulieribus distant in causis pulsuum; an etiam momentum vtrisque ex corporis habitu non leue accedit? Illi enim totum corpus ad perspiratum habent probè comparatum, purum, excrementis vacuum, non compressum; His contra arctæ inter vasa regiones sunt, quas adeps, mollisque caro, atque excrementa quædam occupant pituitosa; ad hæc spissum est, & quod difficile perspiret corpus; prætereà coguntur quidam in plerisque corporis partibus, illaborati, crassi, crudique humores, à quibus comprimi omnibus arterias earum sua natura alioqui longè minore mole præditas coarctarique necesse est. Quare habitus iis omninò est vndequaque ad paruitatem pulsuum dispositus. Vnum modò ad magnitudinem consecutæ sunt appositum, mollitiem instrumentorum quæ illis etiam nulli vsui est; primùm quia sunt plures paruitatis fortioresque causæ: deinde, quòd quum latè in illis viri à mulieribus distent, minimum dissideant in mollitie instrumentorum. Neque enim perinde siccius virorum dicitur corpus, collatum ad mulierem, vt si verbi gratia, lapis sit cœno siccius; neque multum inuenias excessum in arteriarum ipsis tunicis; imò verò instrumentum virorum ita comparatum est, vt ad functionem sit sequax. Quin si maior excessus sit, & multò mulieris instrumentum mollius, id ipsum sanè sit in causa, cur minores fiant pulsus. Siquidem, vbi nihil est, quod grauet, vel comprimat, vel coarctet, illic accommodatius ad magnam distentionem est mollius instrumentum; at vbi (vt modò in mulierum ostendimus habitu) pressus, pondera, atque coarctationes multæ, hic instrumentum mollius, vt quod omnibus, quæ infestant, facilè cedat, ad distentionem est ineptius.

Verùm

Verùm de corporibus hæc omnia optimè constitutis referri, & constitutioni viuentibus conuenienter, vel ex his planum est, quæ commemorauimus; at absoluta de his & integra disputatio, ac demonstratione confirmata, in secundo libro de pulsibus dignoscendis prodita est; quare, qui commemorationem probè de pulsibus gestit assequi, ei illo opere opus est reuoluto. Iam verò etiam de celeri pulsu est in tertio illorum commentariorum demonstratum, quantus error sit plurimorum in eo dignoscendo, qui pulsum breui tempore durantem statim etiam velocem arbitrantur esse. Et nimirum mulieris pulsum (nam causa præsentis disputationis memini, quæ demonstraui illic) bene celerem putant esse; est verò ille celerior quidem, non insigni tamen, & magna differentia excellit pulsum virorum. Sic se res habet, & rectè tyronibus scriptum est, paulo esse virorum tardiorem pulsum, quàm mulierum; at causa illic, vt in omnibus eo loco traditis, omissa est, quam nunc aperiemus. Quatenus quidem infirmior facultas est, & calor parcior mulierum, debebat tardior etiam pulsus esse, quod eum vtrique huic causæ ostendimus esse peculiarem; cæterùm, quia multo est minor, eoque minus vsui satis fit, auget, quantum potest, celeritatem; quippe hoc primus liber esse necessarium probauit; itaque, cui illa exciderunt, quæ in illo libro docuimus, nequicquam hæc legit. At si quidem celeritatis tanta accessio sit, vt omni vsui foret complendo, non quæreretur crebritas; sed, quoniam multum vsui cedit functio ob distentionis paruitatem, aliquantum autem adiuuatur à celeritate, oportet, iam satis pulsus sit creber; id quod etiam in primo libro est declaratum. Ergo mulieres ad hunc modum à viris pulsu distant. Masculi infantis ad fœminam similis ratio est; non vndique tamen eadem, sed quomodo diximus antea; nam maiorem tantum, vehementiorem, rariorem, non multo item, pulsum habet masculus, quam fœmina. Atque de his hactenus. Nunc ad proximum caput digrediamur, quod de differentia docet ex temperamento.

CAPVT III.

Calidi natura pulsus.

Calidi natura multo habent maiorem, celeriorem crebriorem, vehementiorem non item multo.

Complectitur, & hæc oratio quæstionem maximam, cui ne adhibere quidem, nisi præditus singulari prudentia sit, vllus tyronum animum potest; etenim qui natura calidi sunt, partim eos esse humidos aiunt, partim siccos. Quo minus absoluto sermone pronunciatos oportuit eorum pulsus, qui natura calidi sunt; sed prius illorum, qui simul humidi sunt, secundo loco eorum, qui sicci. neque enim qui natura calida sunt, eundem omnes pulsum edunt; imò verò sunt quidam tertij, temperati illi quidem humiditate, & siccitate, at calore intẽperati; at eos neglexisse parum rectè, qui ante nos temperamenta discreuerunt, in commentariis, quos scripsi de temperamentis, ostendi.

A ὅτι μέν τοι ταῦτα πάντα περὶ τῶν ἄριστα μὲν κατεσκευασμένων σωμάτων, οἰκείως δὲ ταῖς κατασκευαῖς διαιτωμένων λέγεται, δῆλον μὲν, κἀξ ὧν ἤδη προειρήκαμεν. ὁ μέν τοι σύμπας, καὶ τέλειος ὑπὲρ αὐτῶν λόγος, ὁ μετ' ἀποδείξεως περαινόμενος, ἐν τῷ δευτέρῳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως γέγραπται. ὥστε κἀκείνην τὴν πραγματείαν ἀναγνωστέον ἐστὶ τοῖς ὀρθῶς μέλλουσι μετιέναι τὰ περὶ τοῦ σφυγμοῦ. καὶ μέν τοι καὶ περὶ τοῦ τάχεος σφυγμοῦ διὰ τοῦ τρίτου τῶν ὑπομνημάτων ἐκείνων ἀποδέδεικται, πηλίκον ἁμαρτάνουσιν οἱ πλεῖστοι τῶν ἰατρῶν εἰς τὴν διάγνωσιν αὐτοῦ, βραχυχρόνιον, B εὐθὺς καὶ ταχὺν εἶναι νομίζοντες. ἀμέλει καὶ τὸν τῆς γυναικὸς σφυγμόν· ἕνεκα γάρ τοι τῶν νῦν προκειμένων, ἐμνημόνευσα τῶν ἐν ἐκείνοις ἀποδεδειγμένων, ἱκανῶς ταχὺν εἶναι νομίζουσιν. ὁ δ' ἐστὶ μὲν θάττων, οὐ μὴν ἀξιολόγῳ γέ τινι καὶ μεγάλῃ διαφορᾷ τοῦ τῶν ἀρρένων ὑπερέχει. τὸ μὲν οὖν ἀληθὲς τοῦτο, καὶ γέγραπται καλῶς τοῖς εἰσαγομένοις, βραχεῖ βραδύτερος ὁ τῶν ἀνδρῶν εἶναι σφυγμὸς, τοῦ τῶν γυναικῶν. οὐ μὴν ἥ γ' αἰτία πρόσκειται, καθάπερ οὐδ' ἄλλῳ τινὶ τῶν ἐκεῖ γεγραμμένων. C ἀλλὰ νῦν εἰρήσεται. ὅσον μὲν ἐπὶ τῷ καὶ τὴν δύναμιν ἀρρωστοτέραν εἶναι, καὶ τὴν θερμασίαν ἐλάττονα τὴν τῶν γυναικῶν, ἐχρῆν καὶ τὸν σφυγμὸν εἶναι βραδύτερον, ἀμφοτέροις γὰρ τοῖς εἰρημένοις αἰτίοις οἰκεῖος ὁ τοιοῦτος ἐδείχθη. ἀλλ' ἐπεὶ πολλῷ μικρότερός ἐστι, καὶ διὰ τοῦτο, καὶ τὸ τῆς χρείας οὐχ ἱκανῶς πληροῦται, προστίθησιν ὅσον δύναται τῷ τάχει. τοῦτο γὰρ ὁ πρῶτος λόγος ἔδειξεν ἀναγκαῖον ὑπάρχειν, καὶ ὅστις οὐ μέμνηται τῶν ἐν ἐκείνῳ γεγραμμένων, μάτην καὶ τούτοις ἐντυγχάνει. εἰ μὲν οὖν τὸ προσιὸν τοῦ τάχους τοσοῦτον ἦν, ὡς αὐτάρκως ἅπασαν τὴν χρείαν πληροῦν, D οὐδὲν ἂν ἔδει πυκνότητος. ἐπεὶ δὲ πολλῷ μὲν ἀπολείπεται τῆς χρείας ἡ ἐνέργεια, διὰ τὴν μικρότητα τῆς διαστολῆς, βραχὺ δ' ἐπωφελεῖται διὰ τὸ τάχος, ἀναγκαῖον ἤδη πυκνὸν ἀξιολόγως γενέσθαι τὸν σφυγμόν. καὶ γὰρ καὶ τοῦτο διὰ τοῦ πρώτου δέδεικται λόγου. γυναῖκες μὲν οὖν, ἀνδρῶν, οὕτω διαφέρουσι τοῖς σφυγμοῖς, τὸ δ' ἄρρεν βρέφος, τοῦ θήλεος ἀνάλογον μὲν, οὐ μὴν πάντη γε ὡσαύτως, ἀλλ' ὡς ἔμπροσθεν εἴπομεν. ἁπλῶς γὰρ μείζονα, καὶ σφοδρότερον, καὶ ἀραιότερον, οὐκέτι δὲ καὶ πολλῷ, τὸν σφυγμὸν ἔχει τὸ ἄρρεν, τοῦ θήλεος. περὶ μὲν δὴ τούτων ἀρκεῖ καὶ ταῦτα. μεταβῶμεν δ' ἐπὶ τὴν ἑξῆς ῥῆσιν περὶ τῆς κατὰ τὴν κρᾶσιν διαφορᾶς διδάσκουσαν. E

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Οἱ τοῦ φύσει θερμοῦ σφυγμοί.

Οἱ δὲ φύσει θερμοὶ, μείζονα μὲν, καὶ ὠκύτερον, καὶ πυκνότερον πολλῷ. σφοδρότερον δὲ οὐ πολλῷ.

Καὶ ἔστιν ὁ λόγος ἐν ἑαυτῷ περιέχει ζήτημα μέγιστον, ᾧ μηδ' ἐπιβάλλειν τις δύναται τὴν διάνοιαν, τῶν εἰσαγομένων, εἰ μὴ πάνυ συνετὸς ὑπάρχει. τῶν γὰρ φύσει θερμῶν, F τοὺς μὲν ὑγροὺς εἶναι λέγουσι, τοὺς δὲ ξηρούς. ἐχρῆν οὖν οὐχ ἁπλῶς εἰρῆσθαι τῶν φύσει θερμῶν τοὺς σφυγμούς. ἀλλὰ πρότερον μὲν τῶν μεθ' ὑγρότητος, δεύτερον δὲ τῶν μετὰ ξηρότητος. οὐ γὰρ δὴ πάντες οἱ θερμοὶ φύσει, τοὺς αὐτοὺς ἔχουσι σφυγμοὺς, ἀλλὰ καὶ τρίτοι τινές εἰσιν, εὔκρατοι μὲν, ὅσον ἐφ' ὑγρότητι, καὶ ξηρότητι, δύσκρατοι δ', ὅσον ἐπὶ θερμότητι. καὶ ὡς οὐκ ὀρθῶς αὐτοὺς παρῆλθον, ὅσοι πρὸ ἡμῶν διείλοντο τὰς κράσεις, ἀποδέδεικται διὰ τῶν γραφέντων ἡμῖν περὶ κράσεων ὑπομνημάτων.

τούτους δὴ καλεῖν ἔθος ἐστὶ θερμούς, τοὺς τῶν τεττάρων δυνάμεων, μίαν μόνην ταύτην παρὰ τὰς ἄλλας ἔχοντας· οὗτοι τοίνυν εἰς ὅσον θερμότεροι τῶν εὐκράτων εἰσὶν, εἰς τοσοῦτον, καὶ μείζονας, καὶ ὠκυτέρους, καὶ πυκνοτέρους ἔχουσι τοὺς σφυγμούς. καὶ ἡ αἰτία πρόδηλος τοῖς μεμνημένοις τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων. ἀλλὰ διὰ τί, σφοδροτέρους οὐ πολλῷ τοὺς τοιούτους εἴπομεν σφυγμούς; καίτοι γ' ἐν τῷ πρώτῳ λόγῳ τῆσδε τῆς πραγματείας ἀπορήσαντες, εἰ δύναται γίνεσθαι σφοδρότερος ὁ σφυγμὸς, ἄνευ τοῦ τὴν δύναμιν εἰς ῥώμην ὠφεληθῆναι· ὅτι τοῖς εἰσαγομένοις, οἱ τοιοῦτοι πάντες σφυγμοὶ σφοδρότεροι φαίνονται. παράκειται γάρ πως ὁ ταχὺς ἅμα καὶ μέγας σφυγμὸς, κατά γε τὴν ἀδιάρθρωτον φαντασίαν τῷ σφοδρῷ, ὥστε καί τινες τῶν αὐτῶν τὰ συγγράμματα καταλελοιπότων ἡμῖν ἰατρῶν, οὐδ' ἄλλον τινὰ σφοδρὸν ἔφασαν εἶναι σφυγμὸν, ἢ τὸν ἐκ μεγέθους τε καὶ τάχους σύνθετον, οὐκ οὖν ἐχρῆν τοῖς εἰσαγομένοις κινεῖν τηλικαῦτα ζητήματα. συμφέρει γὰρ αὐτοῖς ἐπὶ πολλῶν, τὸ ἀδιάρθρωτόν τε, καὶ συγκεχυμένον, μᾶλλον τοῦ διηρθρωμένου, ὅταν γε βαθείας τοῦτο δέηται θεωρίας, καὶ λόγων μακρῶν, καὶ χρόνου πολλοῦ. ἀλλ' ἡμεῖς ἐν τῷ πρώτῳ λόγῳ τῆσδε τῆς πραγματείας, αὐτάρκως περὶ τούτου διειλεγμένοι, μέλλοντες δὲ κἀν τοῖς ἑξῆς, ὅταν ὁ περὶ τῶν ῥυθμῶν ἀφίκηται λόγος, αὖθις ἐρεῖν τι, κατὰ μὲν τὸ παρὸν ἐνταυθοῖ καταπαύσομεν τὴν ἐξήγησιν. ἑτέραν δ' ἤδη λέξιν προχειριούμεθα.

Ergo hos moris est calidos vocari, qui de quatuor temperamentis vnum hoc solùm vincens reliqua obtinent: qui quidem, quo calidiores sunt temperatis, hoc maiores habent, & celeriores pulsus; crebrioresque. Causa, si retinuisti quæ prodidimus in primo libro, aperta est. At quid vehementiores diximus non multo esse eos pulsus, quum in huius operis primo libro quæsierimus, ecquis possit pulsus, citra opem roboris facultatis vehementior fieri? Quoniam si pulsus tyronibus omnes videntur vehementiores esse, adiacet enim quodammodo prima specie celer simul, & magnus pulsus vehementi; quare quidam etiam medici, qui libros nobis scriptos reliquerunt, alium negauerunt esse vehementem pulsum, ac conflatum ex magnitudine, & celeritate. Proinde tyronibus non erant mouendæ tantæ quæstiones; incertum enim identidem illis, nec distributum confusumque, conducibilius certo est, & definito, vbi profundam hoc contemplationem postulet, declarationemque prolixam, ac longum tempus. Verùm, quandoquidem abundè in primo libro huius operis disseruimus de his, dicturi etiam nonnihil posthac, quum perduxerimus ad rhythmos sermonem, hic enarrationem in præsentia finiam, ac me iam conferam ad aliud caput.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Οἱ τῶν ἰσχνοτέρων σφυγμοί.

Οἱ δ' ἰσχνότεροι, μείζονα μὲν καὶ ἀραιότερον πολλῷ, σφοδρότερον δ' ὀλίγῳ. φύσει μὲν οὖν οὕτως διαφέρουσιν. Πάλιν ἐνταῦθα τοὺς ἰσχνοτέρους ἀκουστέον, ἄνευ τινὸς ἄλλης διαθέσεως. εἰ γὰρ ἤτοι τῆς κράσεως ὑπαλλαγείσης, ἢ τῆς δυνάμεως, ἢ διά τι πάθος ἰσχνότερος γένοιτο, σύνθετος ἡ τροπὴ τῶν σφυγμῶν ἔσται, καὶ οὐκ ἔτι διὰ μόνην τὴν ἰσχνότητα. ἰσχνότης οὖν αὐτὴ μόνη κατὰ τὸν ἑαυτῆς λόγον, εὐρυτέρας μὲν τὰς χώρας τῶν ἀρτηριῶν ἐργαζομένη, κουφότερα δὲ τὰ ἐπικείμενα σώματα, μέγεθος ἱκανὸν προσδίδωσι τοῖς σφυγμοῖς. ἔνθα δ' αὖ ἴσης τῆς χρείας μενούσης αὐξάνεται τὸ μέγεθος, ἀραιοτέρους ἐνταῦθα ἀναγκαῖον γίνεσθαι τοὺς σφυγμοὺς, εἰς τοσοῦτον, εἰς ὅσον καὶ μείζονας. μείζους δ' ἦσαν πολλῷ, γένοιντ' ἂν οὖν οὕτω καὶ ἀραιότεροι πολλῷ. σφοδρότεροι δὲ τοσοῦτον φανοῦνται, ὅσῳ διὰ λεπτοτέρων ὁμιλοῦσι τοῖς ἁπτομένοις σωμάτων. οὐκ οὖν τῷ προσκτᾶσθαί τινα τόνον, ἀλλὰ τῷ μᾶλλον ὃν ἔχουσιν ἐνδείκνυσθαι, τοιοῦτοι φαίνονται. περὶ δὲ τάχους καὶ βραδύτητος, οὐδὲν παρ' αὐτῶν εἴρηται, οὐδὲν γὰρ εἰς οὐδέτερον τούτων, ἐκ τῆς ἰσχνότητος προσλαμβάνουσιν, ἀλλ' ὡσαύτως ἔχουσι τοῖς παχυτέροις, ὅταν καὶ ῥώμης καὶ χρείας αὐτοῖς ὡσαύτως ἔχωσιν. ἑξῆς δὲ περὶ τῶν ἡλικιῶν ὧδέ πως γέγραπται.

CAPVT IV.

Gracilium pulsus.

Graciliores maiorem, rarioremque multo, vehementiorem paulo. Atque natura sic differunt.

Accipiendi hîc etiam absque vllo affectu alio graciles: nam si ex conuerso temperamento, vel facultate; vel ex alio affectu graciliores facti sint, pulsuum composita immutatio erit, non verò ex vna gracilitate. At gracilitas, quia sua spontè sola magis regiones arteriarum dilatat, atque leuiora imposita corpora reddit, magnitudinem pulsibus non contemnendam conciliat. Atqui, vbi pari relicto vsu crescit magnitudo, hic rariores, necesse est, pulsus fiāt, idq; tanto, quanto scilicet sint maiores; maiores verò erant multo, proinde rariores etiam multo erunt; at vehementiores hoc inuenientur, quo tangentibus per subtiliora occurrant corpora. Quamobrem, non quòd acquisierint vllam contentionem, sed quòd magis, quàm obtinent, prodant, tales videntur esse. De celeritate, & tarditate nihil hîc memini, quod neutram de his gracilitati acceptam referant, sed perindè habeant, vt crassiores; quum illis robore, & vsu respondeant. De ætatibus deinceps in hunc modum est scriptum.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ὅπως οἱ κατὰ τὰς ἡλικίας σφυγμοὶ τρέπονται.

Τρέπονται δὲ κατὰ μὲν τὰς ἡλικίας ὧδέ πως. ὁ μὲν τοῦ νεογνοῦ παιδίου πυκνότατος. ὁ δὲ τοῦ γέροντος, ἀραιότατος. οἱ δ' ἐν τῷ μεταξὺ πάντες, ἀνάλογον. ἐφ' ὅσον ἂν ἢ παιδίου, ἢ γέροντος ἐγγύτεροι τυγχάνουσιν ὄντες, ὡσαύτως δὲ τάχιστος μὲν ὁ τοῦ παιδὸς, βραδύτατος δὲ ὁ τοῦ γέροντος. οἱ δὲ τῶν ἄλλων ἡλικιῶν, ἐν τῷ μεταξύ. πολλῷ δὲ μείζων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον, τῆς κατὰ τάχος.

CAPVT V.

Quî pulsus pro ætatibus mutentur.

Porrò pro ætatibus hoc pacto immutantur. Infantis pulsus creberrimus est; rarißimus senis; omnes, qui inter hos intercedunt, proportionem seruant, prout, vel ad puerum, vel ad senem, propiùs accedant, celerrimus item pueri pulsus; senis tardißimus; reliquarum ætatum pulsus, ambigunt inter hos; at senex à puero longè magis raritate, quàm celeritate, distat.

In

In vehementiæ, & magnitudinis differentia maximus est, vt in ætatibus, pulsus iuuenum; minimus senum; medius, & paulo maior pulsus puerorum. Iam vehementißimus iuuenum: languidißimus senum; medius est inter hos, puerorum pulsus.

Bifariam crebritatem, & raritatem intelligi, aliter ab illis, qui & contractionem confirmant sentiri, aliter ab illis, qui negant, apertius in libris de differentiis pulsuum disputauimus; & verò etiam in ipso hoc tyronibus descripto libro declaratum est. Sanè illos volebamus priùs in contractione, quasi insensibili, versari. Ac multo quidem tutius est, pariterque commodius, si in quietum quantitate, ponas genus hoc pulsuum; ita enim fiet, vt simul in notitiam exactam veniamus rhythmorum; verùm quòd status, qui crebri, vel rari pulsus sunt authores, ferè talem eum vtrique huic sectæ repræsentant, erit causæ etiam vtrique assignatio communis. At præstiterit, vt eam ad veritatem reducamus, hancque in hoc sermone sectemur; quandoquidem propositum opus minimè ad Tyrones dirigitur, sed planè docet verum. Ergo, quum calore pueri non pauco præditi sint, substantiam quoque, quæ refrigeret illum, non paucam requirunt; quapropter magnis egent pulsibus. Quia verò humores etiam exhauriunt quamplurimos (quippe qui illis non ad nutrimentum modò, verumetiam ad incrementum suppetant) necessariò in conficiendis iis contrahent per totum corpus vaporosorum, & vt ita dicam, fuliginosorum aceruum excrementorum; itaque etiam desiderant maximas arteriarum contractiones. Et verò etiam animalis spiritus non tantum nutriri substantiam oportet, sicut in adultis, sed vnà etiam cum instrumentis augeri; itaque vel hoc nomine maiores distentiones flagitabunt. Adeoque vsus contractionis arteriarum in infantibus æquat penè vsum distentionis; etenim sunt plurima excrementa, itaque maiorem quærunt contractionem. Calor autem, vt non sit omnino copiosissimus, at quòd augeatur animalis spiritus, æquat in illis distentionis vsum ei, quem postulat plurimus calor: quo enim iuuenibus cedunt exuperantibus aduentitio calore, hoc vsu, quem imponit spiritus, resarcitur. Maximum ergo simulque celerrimum pueri vtrunque motum requirunt; sicque infra vsum est functio in iis, nam, licet quàm maximè celeres sint & magni, non satis tamen faciunt vsui; quare hic crebris opus motibus est. In senibus planè contra habet; calor paucus, cui par est generatio fuliginosorum excrementorum; spiritusque animalis nutritio; iure habent ergo contrarios illis pulsus paruos, tardos, raros. Hic meminisse oportet eorum, quæ in secundo libro De pulsibus dignoscendis diximus; vt quo adducti errore, intelligamus complures medici puerorum pulsus putauerunt paruos esse, tametsi sint magni, si cum magnitudine eos arteriarum compares; parui, si ex prima specie æstimes id est si quantitatem tantum distentionis spectes, eamque conferas ad iuuenum pulsus. Sed tamen non maximos habent pulsus pueri, ne si ad magnitudinem quidem eos arteriarum perpendas; siquidem, quod nec facultas eorum perueniat ad summum robur,

A ἐν δὲ τῇ κατὰ σφοδρότητα καὶ μέγεθος διαφορᾷ, μέγιστος μὲν ἐν ἡλικίαις, ὁ τῶν ἀκμαζόντων. μικρότατος δὲ, ὁ τῶν γερόντων. μέσος δὲ, βραχεῖ μείζων ὁ τῶν παιδίων. καὶ σφοδρότατος μὲν, ὁ τῶν ἀκμαζόντων. ἀμυδρότατος δὲ ὁ τῶν γερόντων. μέσος δὲ αὐτῶν ὁ τῶν παιδίων.

Ὅτι πυκνότης, καὶ ἀραιότης σφυγμῶν κατὰ διττὸν νοεῖται τρόπον, ἑτέρως μὲν ὑπὸ τῶν καὶ τῆς συστολῆς αἰσθάνεσθαι λεγόντων; ἑτέρως δὲ, οἷς ἀναίσθητος αὕτη, σαφέστερον μὲν ἐν τοῖς περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν εἴρηται λόγοις. οὐ μὴν ἀλλὰ, καὶ ἐν αὐτῷ τούτῳ τῷ βιβλίῳ, τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ δεδήλωται, καὶ ἠξιοῦμεν γε αὐτοὺς, ὡς ἐπ' ἀναισθήτῳ πρότερον γυμνάσασθαι τῆς συστολῆς. ἔστι μὲν οὖν ἀκριβέστερόν τε ἅμα, καὶ μακρῷ B χρησιμώτερον, ἐν τῷ τῆς ἠρεμίας ποσῷ συνίστασθαι νομίζειν τοῦτο τὸ γένος τῶν σφυγμῶν· οὕτω γὰρ ἡμῖν καὶ τὰ κατὰ τοὺς ῥυθμοὺς εἰς ἀκριβῆ διάγνωσιν ἀφίξεται. ἀλλ' ἐπεὶ τοὐπίπαν αἱ διαθέσεις, αἱ πυκνὸν, ἢ ἀραιὸν ἐργαζόμεναι τὸν σφυγμὸν, ἑκατέραις αὐτῶν ταῖς αἱρέσεσι τοιοῦτον φαίνεσθαι ποιοῦσιν, εἴη ἂν καὶ ὁ τῆς αἰτίας λογισμὸς κοινὸς ἀμφοῖν. ἀλλ' ἄμεινον αὐτὸν ἐπὶ τὸ ἀληθέστερον ἀνάγοντας, καὶ ἐκεῖνο προσιέναι τῷ λόγῳ, τῆς γε νῦν δὴ προκειμένης ἡμῖν πραγματείας μηκέτι τῶν εἰσαγομένων στοχαζομένης, ἀλλ' ἁπλῶς τὸ ἀληθὲς ἐκδιδασκούσης. οἱ τοίνυν C παῖδες, ἔχοντες μὲν καὶ τὸ θερμὸν οὐκ ὀλίγον, οὐδὲ τῆς ἐμψυχούσης αὐτὸ χρήζουσιν οὐσίας ὀλίγης, καὶ διὰ τοῦτο, μεγάλων δέονται τῶν σφυγμῶν. ἔχοντες δὲ καὶ τὴν τῶν χυμῶν δαπάνην πλείστην, ὡς ἂν οὐκ εἰς θρέψιν μόνον, ἀλλὰ καὶ εἰς αὔξησιν ὑπηρετοῦσαν, ἐν ταῖς κατεργασίαις αὐτῶν, ἀναγκαίως ἀθροίζουσιν ἐν ὅλῳ τῷ σώματι πλῆθος ἀτμωδῶν τε, καὶ ὡς ἂν εἴποι τις, λιγνυωδῶν περιττωμάτων, ὥστε καὶ διὰ ταῦτα, τῆς συστολῆς τῶν ἀρτηριῶν δέονται μεγίστης, καὶ μέντοι καὶ τὴν τοῦ ψυχικοῦ πνεύματος οὐσίαν οὐ τρέφεσθαι μόνον, ὡς τοῖς τελείοις, ἀλλὰ καὶ συναυξάνεσθαι τοῖς ὀργάνοις ἀναγκαῖον. ὥστε καὶ διὰ ταύτην μειζόνων δεήσονται τῶν διαστολῶν. καὶ σχεδὸν D εἰς ἴσον ἥκει τοῖς βρέφεσιν, ἡ τοῦ συστέλλεσθαι τὰς ἀρτηρίας χρεία, τῇ τοῦ διαστέλλεσθαι. πλεῖστα μὲν γὰρ τὰ περιττώματα, καὶ διὰ τοῦτο, μεγίστης δεόμενα τῆς συστολῆς, τὸ θερμὸν δ', εἰ καὶ μὴ πλεῖστον ἁπλῶς, ἀλλά τοι καὶ διὰ τὴν τοῦ ψυχικοῦ πνεύματος αὔξησιν, ἥκει τῇ τοῦ πλείστου χρείᾳ θερμοῦ τῆς διαστολῆς αὐτοῖς. ὅσον γὰρ τῶν νεανίσκων ἀπολείπεται τοῦ πλεονάζοντος ἐν ἐπικτήτῳ θερμότητι, τοῦτο ἐκ τῆς διὰ τὸ πνεῦμα χρείας προσέρχεται. μεγίστων οὖν ἅμα καὶ ταχίστων οἱ παῖδες ἀμφοτέρων χρήζουσι τῶν κινήσεων, καὶ διὰ τοῦτ' ἐλλιπεστέρα τῆς χρείας ἐστὶν ἐπ' αὐτῶν ἡ ἐνέργεια. καὶ γὰρ εἰ ὅτι μάλιστα ταχεῖς εἰσι καὶ μεγάλοι, ἀλλ' οὐδέπω τῆς χρείας ἀξίως· ἀναγκαῖον οὖν ἐν τούτῳ E πυκνὰς γίνεσθαι τὰς κινήσεις. ἐπὶ δὲ τῶν γερόντων ἐναντία πάντα, τὸ μὲν θερμὸν ὀλίγον. ἀνάλογον δὲ τούτῳ, καὶ ἡ τῶν αἰθαλωδῶν περιττωμάτων γένεσις, καὶ ἡ τοῦ πνεύματος τοῦ ψυχικοῦ θρέψις, ὥστε ἐναντίους αὐτοῖς εὔλογον εἶναι καὶ τοὺς σφυγμοὺς, μικροὺς, καὶ βραδεῖς, καὶ ἀραιούς. ἀναμνησθῆναι δ' ἐνταῦθα χρὴ τῶν ἐν τῷ δευτέρῳ περὶ διαγνώσεως σφυγμῶν εἰρημένων, ἵν' ἴδωμεν ἐκ τίνος ἀπατώμενοι πολλοὶ τῶν ἰατρῶν, μικροὺς ὑπέλαβον εἶναι τοὺς τῶν παιδίων σφυγμοὺς, καὶ ὅτι μεγάλοι μέν εἰσιν, εἰ τοῖς ὄγκοις τῶν ἀρτηριῶν αὐτοὺς παραβάλλοις, F μικροὶ δὲ, εἰ κατὰ τὴν προτέραν ἐξετάζοις φαντασίαν, τουτέστιν, εἰ τὸ ποσὸν τῆς διαστάσεως μόνον ἐν αὐτοῖς σκοποῖο, τοῖς τῶν ἀκμαζόντων παραβάλλων. οὐ μὴν μεγίστους γ' ἔχουσιν οἱ παῖδες τοὺς σφυγμοὺς, οὐδ' εἰ πρὸς τοὺς ὄγκους τῶν ἀρτηριῶν ἐξετάζοις αὐτούς. τὸ γὰρ μήτε τὴν δύναμιν ἥκειν εἰς ἄκρον ῥώμης αὐτοῖς,

καὶ τὸ στενοχωρεῖσθαί τε καὶ θλίβεσθαι τοὺς χιτῶνας τῶν ἀρτηριῶν ἔτι μαλακοὺς ὄντας, ἀφαιρεῖται πολὺ τῆς μεγίστης διαστολῆς. ὅμως μὴν ἔτι τηλικοῦτός ἐστιν αὖθις ὁ σφυγμός, ὡς ὑπὲρ τὸ μέσον ὑπάρχειν. τὸ τάχος δ' ὡσαύτως ἔχει, κατά τε τὴν διαστολὴν καὶ συστολήν, ὅτι καὶ ἡ χρεία τῶν κινήσεων ἀμφοτέρων ἴση, οὐχ ὥσπερ ἐπὶ τῶν γερόντων· εἰς ὅσον γὰρ ἡ τοῦ συστέλλεσθαι χρεία λείπεται τοῦ τοῦ διαστέλλεσθαι, εἰς τοσοῦτον καὶ ἡ συστολὴ τῆς διαστολῆς ἐστι βραδυτέρα. λείπεται δ' εὐλόγως τοῖς πρεσβύταις, ὅτι βραχὺ παντελῶς, ἢ οὐδὲν ἐκ τῆς τῶν χυμῶν συγκαύσεως γίνεται περίττωμα, διὰ τὴν ἀρρωστίαν τοῦ θερμοῦ. καὶ ὅτι μήτε ἀξιολόγως τρέφονται, μήτε ὅλως αὐξάνονται. ἡ μέν τοι τοῦ διαστέλλεσθαι χρεία, καὶ εἰ μὴ μεγάλη, μέτριος γοῦν ἔτι μένει τοῖς πρεσβύταις, ῥιπίζεσθαι μὲν γὰρ δεῖται τὸ ἔμφυτον θερμόν, καὶ τρέφεσθαι τὸ πνεῦμα τὸ ψυχικόν. πολὺ δὲ πλείων ἡ εἰς ἀραιότητα ἐστὶ τροπὴ τῶν γερόντων, τῆς εἰς βραδύτητα, διὰ τὸ τὴν χρείαν τῶν σφυγμῶν οὐ μόνον πληροῦσθαι τελέως ὑπὸ τῆς ἐνεργείας, ἀλλὰ καὶ κατὰ τὸν ἑαυτῆς λόγον ἐκλελύσθαι παντελῶς. μακροτάτην οὖν εὔλογον ἐν τούτῳ γίνεσθαι τὴν ἡσυχίαν. ὥσπερ γε καὶ ὅτε οὐκ ἐνεπληροῦτο μετὰ τοῦ μεγάλως ηὐξῆσθαι, συνεχεῖς ἠνάγκαζεν εἶναι τὰς κινήσεις. ὅτι γὰρ ἐπὶ τῶν βρεφῶν, οὐκ ηὔξηται μόνον εἰς ἔσχατον ἡ χρεία τῆς γενέσεως τῶν σφυγμῶν, ἀλλὰ καὶ τῆς μεγίστης διαστολῆς, ἣ μόνη τάχ' ἂν ἐπλήρωσε τὴν χρείαν, οὐκ ὀλίγον ἀφῄρηται, πρότερον εἴρηται, τοσοῦτον εἶναι τὸ ἀφαιρούμενον εἰπόντων ἡμῶν, ὅσον ἥ τε δύναμις ἀπολείπεται τῆς ἄκρας ῥώμης, καὶ βαρύνεται, καὶ στενοχωρεῖται τὰ ὄργανα, μαλακὰ δι' ὑγρότητα τοῖς τηλικούτοις ὄντα. καὶ γὰρ οὖν καὶ τοῦτ' ἔμπροσθεν εἴπομεν, ὡς αἱ μαλακότητες τῶν ὀργάνων, αἱ μὲν χωρὶς τοῦ θλίβεσθαι καὶ βαρύνεσθαι, καὶ στενοχωρεῖσθαι, μεγέθεσι σφυγμῶν συντελοῦσιν, αἱ δὲ σὺν τούτοις, μικρότησι, καὶ μάλιστα ὅταν ἡ δύναμις ἐνδεέστερον ἔχῃ τόνου. εἰς ὅσον δὲ μεταπέπτωκεν ὁ τῶν γερόντων σφυγμὸς ἐκ τῆς τῶν παιδίων πυκνότητος εἰς ἀραιότητα, σχεδὸν εἰς τοσοῦτο, καὶ ἡ τῆς συστολῆς κίνησις ἐκ τοῦ τάχους εἰς τὴν βραδύτητα. καὶ ἡ αἰτία πρόδηλος, εἴγε δὲ τελέως ἐκλελύσθαι τὴν χρείαν τῆς συστολῆς ἐν ταῖς τοιαύταις ἡλικίαις ὀρθῶς ἐλέγομεν, οὐ μὴν εἴ γε τῆς διαστολῆς χρεία τελέως ἀπόλωλεν, ὡς καὶ τοῦτο ἐδείξαμεν. ὅθεν ἧττόν ἐστιν ἡ ἐν ταύτῃ κίνησις βραδεῖα, τῆς ἐν τῇ συστολῇ. ταύτης δ' ἦν διαγνωστικὸς ὁ εἰσαγόμενος μόνης. ὥστ' εὐλόγως ἐρρέθη πλείων ἡ κατὰ τὴν ἀραιότητα διαφορὰ γέροντος πρὸς παιδίον, τῆς κατὰ βραδύτητα. ἀλλὰ νῦν γε τὸ λοιπὸν πᾶν ἤδη προσδιώρισται, περί γε αὐτῆς ταύτης τῆς διαφορᾶς, καὶ προσέτι τῆς κατὰ τοὺς ἐν ταῖς ἡλικίαις ῥυθμοὺς μεταβολῆς, ὑπὲρ ὧν, ἀσαφέστερον εἶναι νομίσαντες, ἢ κατὰ τοὺς εἰσαγομένους τὸν λόγον, οὐδὲν εἰρήκαμεν. ὡς γὰρ περὶ τῆς πυκνότητος, οὕτω καὶ περὶ τῶν ῥυθμῶν διτταὶ γεγόνασιν αἱρέσεις, τῶν μὲν δὴ μηδόλως αἰσθάνεσθαι λεγόντων τῆς συστολῆς, τὸν τῆς διαστολῆς χρόνον τῷ λοιπῷ παντὶ παραβαλλόντων, ὃς οὐκ ἐκ τῆς συστολῆς μόνον, ἀλλὰ κἀκ τῶν δυοῖν ἠρεμιῶν σύγκειται. τῶν δέ, καὶ ταύτης αἰσθάνεσθαι φασκόντων ἐν τοῖς τῶν κινήσεων χρόνοις τοὺς ῥυθμοὺς συνιστάντων. ὅσῳ δὲ ἀκριβεστέρα ἥδε ἡ αἵρεσις, καὶ εἰς τὰς προγνώσεις χρησιμωτέρα, δῆλον ἔσται πολὺ μᾶλλον ἐν τῇ μελλούσῃ γράφεσθαι πραγματείᾳ. οὐκ ἄδηλος δ' οὐδὲ νῦν ἐστιν, εἰ μὴ παρέργως τις ἤκουσε τῶν εἰρημένων. ἐκ τῶν αὐτῶν δέ, καὶ τὰς ἐν ταῖς ἡλικίαις διαφορὰς τῶν ῥυθμῶν, παρ' ἥν τινα γίνονται τὴν αἰτίαν ἐξευρίσκειν οὐδὲν ἔτι χαλεπόν. ἐπεὶ γάρ, πλείστη μὲν ἑκατέρας τῶν κινήσεων τῆς ἀρτηρίας χρεία τοῖς βρέφεσιν ἐλαχίστη δὲ τοῖς γέρουσιν, ὁ δ' ἐν τῷ μεταξὺ χρόνος πᾶς τῶν ἡλικιῶν, ἐκλύει μὲν ἀμφοτέρας τὰς χρείας, ἀλλὰ μᾶλλον τὴν τῆς συστολῆς, εὐλόγως ὅσῳ περ ἂν ἀποχωρῶσι τῶν βρεφῶν, ὡς ἐπὶ τοὺς γέροντας,

A & coarctentur etiamnum molles arteriarum tunicæ, multum de maxima distentione detrahitur; nihilominus tamen tantum retinent pulsum, vt medium superet. Ac celeritatem habent parem in distentione & contractione; nam & motus vtriusque par vsus est, non vt in senibus; quo enim minor contractionis vsus est, quàm distentionis, hoc contractio tardior distentione est. Nec iniuria quidem senes minorem habent, quoniam parum omnino, aut nihil ex adustis humoribus excrementi prouenit; est enim imbecillus calor; præterea, quod non magnopere nutriantur, nec vllo modo augeantur. B Tamen vsus distentionis, etsi non magnus, mediocris tamen adhuc senibus manet; etenim ventilari oportet innatum calorem, atque nutriri animalem spiritum. Quia verò vsus pulsuum non completur tantùm vndequaque à functione, sed & exolutus per se est omnino, longè magis in raritatem immutant pulsus senes, quàm in tarditatem; quare hic oportet longissimam quietem fieri; quomodo quum non impleretur, præter quod magnopere augebat, perpetuos etiam concitabat motus. Nam non solùm in infantibus non esse auctum ad summum, vsum generandorum pulsuum, C verum etiam de maxima distentione, quæ compleret forsitan vnà vsum, non parum discessisse, ante demonstrauimus, quum tantùm detrahi diceremus, quantum facultas à summo robore absit, ac degrauentur, coarctenturque instrumenta, quæ infantes ex humiditate habent mollia. Sanè hoc quoque diximus supra, instrumentorum mollitiem, quæ remota est à cõpressione, nec grauatur, vel coarctatur, referre ad pulsuum magnitudinem; quæ verò his coniuncta est, ad paruitatem, præcipuè si robore facultas deficiatur. At quantum senum pulsus ex D puerorum degenerauit crebritate in raritatem, tantumdem propè motus contractionis in tarditatem ex celeritate. Nec obscura est causa; siquidem semel vsum contractionis exolutum esse rectè docuimus in iis ætatibus, non tamen distentionis vsus periit totus; nam hoc etiam tradidimus; quo minus est in hac tardus motus, quàm in contractione; atqui hanc tyro solam poterat dignoscere. Probe ergo dictum est; *senex à puero longe magis raritate, quàm celeritate distat.* Iam omne declaratum est, quod deficiebat huic ipsi differentiæ; præterea, quod mutationi rhythmorum pro ætatibus; quo (quoniam obscuriorem E esse sermonem, quam qui tyronibus accommodatus esset, arbitratus sum) non attigimus. Nam vt de crebritate, ita de rhythmis extiterunt duæ sectæ; vnà prorsus negabat sentiri contractionem, quæ distentionis tempus comparat cum toto reliquo, quòd non tantum constat ex contractione; sed ex binis etiam quietibus; altera sentiri contendebat, ac rhythmos in motuum temporibus ponebat. Hæc quanto secta sit perfectior, & vtilior ad præsagiendum, clariùs in proxima lucubratione aperiemus; nec tamen nunc obscurum est, nisi obiter superiora & negligenter attendisti; F nam ex iisdem, etiam differentiæ rhythmorum pro ætatibus, à qua proficiscuntur causa, nullo negocio inuenias. Quum enim vtriusque motus plurimus infantibus vsus sit, minimus senibus & omne interpositum tempus ætatum vtrunque vsum exoluat, magis tamen contractionis; rationi consonum est, vt, quantum à pueris recedant ad senes, tanto

tanto semper vtrunque motum habeant tardiorem, magis autem contractionis. Ex his nascuntur differentiæ rhythmorum pro ætatibus, de quibus latiùs in commentariis De præsagitione ex pulsibus agemus. Iam etiam quamobrem vehementissimus sit iuuenum pulsus, senum contra languidissimus, in aperto est; iuuenibus enim validissima facultas est, senibus verò debilissima. Eadem etiam aliis in ætatibus ratione, pro robore earum, vel imbecillitate pulsus remissione, & vehementia different.

CAPVT VI.

Pulsuum pro temporibus mutatio.

PRo anni temporibus. Medio verè pulsus maximi sunt, & vehementißimi, vt in temporibus; celeritate, & crebritate moderati; pari modo medio autumno; progrediens autem ver, nonnihil de magnitudine, & vehementia detrahit, sed auget celeritatem, atque crebritatem; tandemque ineunte iam æstate languidi, parui, celeres, crebrique fiunt. Autumni progressus cuncta imminuit, magnitudinem, vehementiam, celeritatem, crebritatem; ita ineunte hyeme, in paruitatem conuertuntur, & remißionem, & tarditatem, & raritatem. Respondet autem initium veris fini autumni, illius finis initio huius; Æstatis item principium suo, & principium hyemis suo fini. Proinde quæ pari spatio à media æstate, & media hyeme in vtranque partem deflexerunt, similiter variant. Porrò media æstas partim conuenit cum media hyeme, partim dissidet; nam parui vtrobique, & languidi sunt; sed celeres, atque crebri æstate, tardi rarique hyeme; non perinde tamen parui æstate, vt hyeme, sed æstate minus; Nec ita hyeme languidi, vt æstate, ceterùm minùs hyeme.

Quæ accidunt ex temporibus, in tres referuntur hasce causas, in vsum, facultatem, & instrumenta. Nam prout in iis hæc singula variant, mutantur pulsus. Ac medio vere status aëris nos amplectentis temperatissimus est, itaque corpora etiam sunt salubria. Hoc enim semper memoria tenendum est, hoc tempore præ cæteris, à quibus viuens afficitur, facultatem robustissimam esse, & calorem temperatissimum, & etiam instrumenta in summa mediocritate esse, quod nec humiditate immodica madeant, nec siccitate squalleant, neque veluti rigeant gelu, ac congelascant, neque calore quasi remittantur, languescantque. Vnde, & pulsus corporibus quidem optimè comparatis maximi, & vehementissimi fiunt. Nam in illis pulsuum pro ætatibus, temporibus, regionibus, & id genus aliis mutationes prodidisse literis medicos declaraui, vt alia loca ne citem, in secundo libro De pulsibus dignoscendis; Itemque eos, qui eius status sunt, magnos esse edituros, & vehementes pulsus, in primo libro docuimus. Siquidem hi facultati validæ peculiares sunt, & moderato vsui, instrumentisque naturali lege constitutis. Nam si quid mediocritatem vsus excedat, non magni solùm, & vehementes, sed & celeres fient. Si verò longiùs excedant, vt vsum iam actio non compleat, illico mutatio addetur in crebritatem. Quia verò vsus est moderatus, non tendunt, nec ad celeritatem, nec ad crebritatem.

ἀμφοτέρας μὲν ἔχουσιν ἀεὶ τὰς κινήσεις βραδυτέρας, ἀλλὰ μᾶλλον τῆς συστολῆς. ἐκ τούτων δὲ, αἱ κατὰ τὰς ἡλικίας γίνονται τῶν ῥυθμῶν διαφοραὶ, περὶ ὧν ἐπὶ πλέον ἐροῦμεν ἐν τοῖς περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως ὑπομνήμασιν. ἀλλὰ καὶ διὰ τί σφοδρότατος μὲν ὁ τῶν ἀκμαζόντων, ἀμυδρότερος δ' ὁ τῶν γερόντων, εὔδηλον. ἰσχυροτάτη μὲν γὰρ ἡ δύναμις ἐν τοῖς ἀκμάζουσιν, ἀσθενεστάτη δ' ἐν τοῖς γέρουσιν. οὕτω δὲ καὶ ἐν ταῖς ἄλλαις ἡλικίαις, ὡς ἂν ἰσχύος ἔχωσιν, ἢ ἀσθενείας, οἱ σφυγμοὶ, διοίσουσιν ἀμυδρότητί τε, καὶ σφοδρότητι.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Τροπὴ τῶν κατὰ τὰς ὥρας σφυγμῶν.

ΚΑτὰ δὲ τὰς ὥρας, ἦρος μὲν τὰ μέσα, μεγίστους καὶ σφοδροτάτους, ὡς ἐν ὥραις, τάχει δὲ καὶ πυκνότητι συμμέτρους, ὡσαύτως δὲ καὶ φθινοπώρου τὰ μέσα. προϊὸν δὲ τὸ μὲν ἔαρ ἀφαιρεῖ τι μεγέθους καὶ σφοδρότητος, προστίθησι δὲ τῷ τάχει, καὶ τῇ πυκνότητι. καὶ τέλος ἡνίκα ἂν ἐπιλάβοι τὸ θέρος, ἀμυδροὶ, καὶ μικροὶ, καὶ ταχεῖς, καὶ πυκνοὶ γίνονται. τὸ δὲ φθινόπωρον προϊὸν, ἁπάντων ἀφαιρεῖ, μεγέθους, σφοδρότητος, τάχους, πυκνότητος· ὥστε τοῦ χειμῶνος ἐπελθόντος εἰς μικρότητα, καὶ ἀμυδρότητα, καὶ βραδύτητα, καὶ ἀραιότητα τετράφθαι. ἔοικε δὲ τὰ μὲν πρῶτα τοῦ ἦρος, τοῖς ὑστάτοις τοῦ φθινοπώρου. τὰ δ' ὕστατα, τοῖς πρώτοις. καὶ τὰ μὲν πρῶτα τοῦ θέρους τοῖς ὑστάτοις τοῦ θέρους. τὰ δὲ τοῦ χειμῶνος πρῶτα, τοῖς ὑστάτοις τοῦ χειμῶνος. ὡς ὅσα θέρους μέσου καὶ μέσου χειμῶνος, ἴσον ἐφ' ἑκάτερον ἀφέστηκεν, ὁμοίως τέτραπται. μέσον δὲ θέρους ἐστὶν, ᾗ μὲν ὡσαύτως, ᾗ δὲ ἐναντίως ἔχει μέσῳ χειμῶνος. μικροὶ μὲν γὰρ, καὶ ἀμυδροὶ, καθ' ἑκάτερον, ὠκεῖς δὲ καὶ πυκνοὶ θέρους, καὶ βραδεῖς καὶ ἀραιοὶ, χειμῶνος. οὐ μὴν οὕτως μικροὶ θέρους, ὡς χειμῶνος. ἀλλ' ἧττον θέρους. οὐδ' οὕτως ἀμυδροὶ χειμῶνος ὡς θέρους. ἀλλ' ἧττον χειμῶνος.

Καὶ τὰ κατὰ τὰς ὥρας, εἰς τρεῖς ταύτας αἰτίας ἀνάγεται, τὴν χρείαν, τὴν δύναμιν, τὰ ὄργανα. παρὰ γὰρ τὸ διαφερόντως ἔχειν ἕκαστον τούτων ἐν αὐταῖς, καὶ αἱ τῶν σφυγμῶν ἀλλοιώσεις γίνονται. τοῦ μὲν οὖν ἦρος, ἐν τοῖς μέσοις, εὐκρατοτάτη κατάστασίς ἐστι τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ὅθεν καὶ τὰ σώματα ὑγιεινά. τούτου γὰρ ἀεὶ χρὴ μεμνῆσθαι, μάλιστα ἐφ' ὧν αὐτὸς ζῶν διάκειται, καὶ ταῖς δυνάμεσιν εὐρωστότατα, καὶ ταῖς θερμασίαις εὐκρατότατα, καὶ τοῖς ὀργάνοις ὄντα συμμετρότατα, ὡς ἂν μήθ' ὑγρότητι περιττῇ τεγγόμενα, μήθ' ὑπὸ ξηρότητος αὐχμοῦντα, μήθ' οἷον πεφρικότα τε καὶ πεπηγότα τῷ κρύει, μήθ' οἷον ἐκλελυμένα τε, καὶ παρειμένα τῷ θάλπει. ταῦτ' ἄρα καὶ οἱ σφυγμοὶ μέγιστοί τε καὶ σφοδρότατοι γίνονται, τοῖς ἄριστα κατεσκευασμένοις δηλονότι σώμασιν. Ὅτι γὰρ ἐπὶ τῶν τοιούτων, αἱ κατὰ τὰς ἡλικίας, καὶ ὥρας, καὶ χώρας, καὶ τὰ ἄλλα τὰ παραπλήσια, τροπαὶ τῶν σφυγμῶν ἐγράφησαν τοῖς ἰατροῖς αὐτάρκως, ἐν ἄλλοις τε, καὶ τῷ δευτέρῳ τε περὶ σφυγμῶν διαγνώσεως ἐπιδέδεικται. ἀλλὰ καὶ τοῖς οὕτως ἔχουσιν, οἱ σφυγμοὶ μεγάλοι καὶ σφοδροὶ γενήσονται, διὰ τοῦ πρώτου δεδήλωται λόγου. οὗτοι γὰρ οἰκεῖοι δυνάμεως ἐρρωμένης, καὶ χρείας συμμέτρου, καὶ ὀργάνων κατὰ φύσιν ἐχόντων. ὡς εἴ γε τὰ τῆς χρείας ἦν ἀμετρότερα, οὐ μεγάλοι μόνον καὶ σφοδροὶ, ἀλλὰ καὶ ταχεῖς ἂν ἐγίνοντο. καὶ εἰ ἐπὶ πλέον ἄμετρα, ὡς μὴ πληροῦσθαι πρὸς τὰς ἐνεργείας αὐτήν, εὐθὺς ἄν τις καὶ εἰς πυκνότητα, μεταβολὴ προσεγίγνετο. ἀλλ' ἐπεὶ τὰ τῆς χρείας ἔχει συμμέτρως, οὔτ' εἰς τάχος οὔτ' εἰς πυκνότητα γίνεταί τις τροπή.

προσέκειται δὲ τῷ λόγῳ τὸ, ὡς ἐν ὥραις, δεόντως. οὐ γὰρ ἁπλῶς μέγιστοι καὶ σφοδρότατοι τηνικαῦτα γίνονται, πολλοὶ γὰρ αὐτῶν ἐν ταῖς φύσεσιν ἕτεροι, σφοδρότεροί τε, καὶ μείζους εὑρίσκονται, ἀλλ' ὡς ταῖς ἄλλαις ὥραις παραβαλλόμενοι οἱ σφυγμοὶ, τοιοῦτοι γίνονται μεσοῦντος τοῦ ἦρος. θέρους μὲν γὰρ ἐπιτείνεται μὲν τὰ τῆς χρείας, ἐκλύεται δὲ τὰ τῆς δυνάμεως. ὥστε διὰ μὲν ταύτην ἀφαιροῦσί τι τῆς εἰρημένης σφοδρότητος, ὡσαύτως δὲ καὶ τοῦ μεγέθους, ἀλλ' ἔλαττον. ἡ γὰρ τῆς χρείας ἔπειξις προστίθησί τι. διὰ τοῦτο δέ τι καὶ τῷ τάχει, καὶ τῇ πυκνότητι προσθήσειν ἀξιόλογον. χειμῶνος δ' αὖ πάλιν τοὐναντίον, ἢ τοῦ θέρους ἐστὶν, ἰσχυροτέρα μὲν ἡ δύναμις, πλὴν οὐκ εἰς τοσοῦτον, εἰς ὅσον ἦρος, ἐκλέλυται δὲ καὶ ἡ χρεία τῆς τῶν σφυγμῶν γενέσεως. ὅθεν ἀμυδροὶ μὲν μᾶλλον, ἢ τοῦ ἦρος, σφοδροὶ δὲ μᾶλλον, ἢ τοῦ θέρους, οἱ ἐν τῷ χειμῶνι σφυγμοὶ, μέσοι πως ὄντες ἀμφοτέρων, τῶν ὡρῶν, ὅτι καὶ ἡ δύναμις ἐν τῷ μέσῳ, ἱκανῶς μέντοι μικροὶ, διὰ τὸ καὶ τὴν δύναμιν ἀπολείπεσθαί τι τῆς ἄκρας εὐρωστίας, καὶ τὴν χρείαν ἀξιολόγως ἐκλελύσθαι. διὰ δὲ τὴν αὐτὴν ταύτην ἔκλυσιν, καὶ βραδεῖς, καὶ ἀραιοί. μεμνῆσθαι δὲ χρὴ πάλιν κἀνταῦθα τῶν ὑφ' Ἱπποκράτους εἰρημένων, ἃ δι' ἑτέρων ἐξηγησάμεθα. χρεία γὰρ αὐτῶν ἐστὶν ἐπί τε τῶν κατὰ τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τὰς χώρας, καὶ τὰς καταστάσεις, καὶ πάντα τὰ τοιαῦτα μεταβολῶν, ἵνα μή τις ἐναντίον με λέγειν αὐτῷ νομίσῃ. οὐδὲ γὰρ ἐκεῖνος ἁπλῶς εἶπε, τὰ αὐξανόμενα πλεῖστον ἔχει τὸ θερμὸν, ἀλλὰ, τὸ ἔμφυτον, προσέθηκεν, ὡς ἂν ἕτερον εἰδὼς θερμὸν ἐπίκτητον, ᾧ πλεονεκτοῦσιν οἱ ἀκμάζοντες. εὔκρατον μὲν γὰρ τὸ ἔμφυτον θερμὸν, ἄκρατον δὲ, καὶ οἷον πυρῶδες ἤδη, τὸ ἐπίκτητον. οὕτω δὲ καὶ αἱ κοιλίαι, φησὶ, χειμῶνος καὶ ἦρος θερμόταται φύσει. οὐχ ἁπλῶς οὖν, οὐδὲ αὗται θερμόταται, ἀλλὰ τῷ ἐμφύτῳ θερμῷ. ἐν δὲ τῷ θέρει, τούτου μὲν ἥκιστα μετέχουσι, κρατεῖ δ' ἐν αὐταῖς τὸ ἐπίκτητόν τε, καὶ αὐχμῶδες θερμὸν, ὃ συντήκει μᾶλλον, ἢ τρέφει τὸ σῶμα. καὶ τὰς ἐνεργείας μὴ ὅτι κρείττους, ἀλλ' οὐδ' ὁμοίας ἐργάζεται ταῖς ἐπὶ τοῦ συμμέτρου γινομέναις. ταῦτ' οὖν μεμνημένοις τοῖς ἀναγινώσκουσιν, οὔτ' ἐν τοῖς παροῦσι λόγοις, οὔτ' ἐν τοῖς ἔπειτα, δόξει τις εἶναι πρὸς Ἱπποκράτους διαφωνία. ἑξῆς δὲ περὶ τῶν χωρῶν τε καὶ καταστάσεων γέγραπται τοῖς εἰσαγομένοις. καὶ ἔστιν ὁ λόγος σαφὴς ἐκ τῶν ἤδη προειρημένων, καὶ τὴν αἰτίαν ἔχων γνωριμωτάτην. ὥστε αὐτὴν μόνην παραγράψω τὴν ῥῆσιν. ἔστι δὲ ἥδε.

Atenim adiecimus orationi, vt in temporibus, rectè sanè. Neque enim simpliciter maximi tum, atque vehementissimi fiunt, quum multò aliis alij pulsus in naturis vehementiores, atque maiores reperiantur. Sed si pulsus cum aliis temporibus compares, tales medio vere euadunt. Nam æstate quidem crescit vsus, sed languescit facultas. Quamobrem aliquatenus decrescit illa vehementia simul, & magnitudo; sed tamen hæc minus; nam quia vrget vsus, augetur nonnihil; idemque momentum celeritati, & crebritati non lene adfert. Contra hyeme est, ac estate validior facultas, non æquè tamen, ac vere; sed vsus remittitur generationis pulsuum. Quare languidiores pulsus hyeme, quàm vere sunt, & vehementiores quàm æstate; atque veluti medium locum occupant inter vtraque tempora, nempè quòd, & facultas teneat locum medium, Verum satis sunt parui; quoniam quum facultas infra summum robur est, tum vsus insigniter est remissus. Quæ ipsa in causa remissio est, cur simul tardi, & rari sint. Hic rursus memoria tenendum est dictum, quod aliquando declaraui, Hippocratis; Vsus est enim eius in mutationibus ex ætatibus, temporibus, regionibus, statibus, omnibusque eius generis; ne me quis cum illo existimet pugnare. Neque enim ille absolutè dixit: *Quæ augentur, plurimum habent calidi*, sed, *innati*, addidit, vt qui alterum sciret calidum acquisititium esse, quod plurimum iuuenibus suppeditat. Nam temperatus est natiuus calor; acquisititius autem intemperatus, & quasi igneus est. Sic etiam; *Ventres*, inquit, *hyeme, & vere calidißimi natura sunt.* Imò ne hi quidem calidissimi absolutè, sed calore natiuo. Æstate paucissimum hunc habent; abundant verò aduentitio calore, & squalido, qui colliquat potius, quàm nutriat corpus. Præterea functiones tantum abest, vt meliores reddat, vt illæ ne æquent quidem illas, quæ in moderato obeuntur. Hæc si retinuerint lectores, nihil me, nec in hac oratione, nec in reliquis dissidere ab Hippocrate vllus arbitrabitur. Posthac de regionibus, & statibus præscriptum est tyronibus. Quæ oratio ex superioribus clara est, ac causam habet apertissimam. Itaque solum ipsum adscribam caput, quod hoc est.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τροπὴ τῶν κατὰ τὰς χώρας τε, καὶ τὰς τοῦ ἀέρος καταστάσεις σφυγμῶν.

Παρὰ δὲ τὰς χώρας, ὡσαύτως ταῖς ὥραις, ἐν μὲν ταῖς ἄγαν θερμαῖς, οἷον μέσου θέρους. ἐν δὲ ταῖς ἄγαν ψυχραῖς, οἷον χειμῶνος. ἐν δὲ ταῖς εὐκράτοις, ἦρος. ἀνάλογον δὲ καὶ ταῖς μεταξύ. καὶ τῶν ἄλλων δὲ καταστάσεων τοῦ περιέχοντος ἡμᾶς ἀέρος, αἱ μὲν, θερμαὶ, ταῖς θερμαῖς ὥραις, αἱ δὲ ψυχραὶ, ταῖς ψυχραῖς. αἱ δὲ μέσαι, ταῖς μέσαις τοῦ ἦρος ἐοίκασιν.

CAPVT VII.

Pulsuum pro regionibus, & aëris constitutionibus mutatio.

Pro regionibus perinde, vt pro temporibus. In vehementer calidis, sicut media æstate. In magnopere frigidis, vt media hyeme. In temperatis, ita vt medio vere. Ad harum proportionem in iis, quæ medium locum sunt sortita. Porrò aëris nos circundantis alij status, qui calidi sunt, calidis temporibus; frigidi frigidis, medij medio veri respondent.

CAPVT VIII.

Prægnantium pulsus.

PRægnantium maiores, crebriores, celerioresque pulsus sunt. Præterea nihil mutatur.

In prægnantibus præter vsum, mutatum priorum nihil est. Quicunque hic sit, omninò increscit, & augetur; quod mulier non sibi iam soli respiret, & pulset, sed fœtui etiam cogatur. Rationis ergo est, vt celeriores, & maiores sint, crebrioresque. Nihilo tamen vehementiores sunt, vel languidiores, vel duriores, vel molliores, pro ipsa sanè conceptus ratione. Neque enim, vt ex eo, vlla facultatis, vel instrumenti, prægnantium facta mutatio est.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Σφυγμοὶ τῶν κυουσῶν.

ΕΝ δὲ τῷ κύειν, οἱ σφυγμοὶ μείζονες, καὶ πυκνότεροι, καὶ ὠκύτεροι γίνονται. τὰ δὲ ἄλλα φυλάττουσιν.

Ἐπὶ τῶν κυουσῶν οὐδὲν παρήλλακται τῶν πρόσθεν, ἢ τὰ τῆς χρείας. ἥτις δ' αὕτη ἐστί, πάντως ἐπιτείνεταί τε καὶ προσαύξεται, μηκέτι τῆς γυναικὸς ἑαυτῇ μόνον ἀναπνεῖν τε, καὶ σφύζειν, ἀλλὰ καὶ τῷ κυουμένῳ δεομένης. ὥστ' εὐλόγως ὠκύτεροι μὲν, καὶ μείζονες ἔσονται, καὶ πυκνότεροι. οὐ μὴν σφοδρότεροί γε, ἢ ἀμυδρότεροι, ἢ σκληρότεροι, ἢ μαλακώτεροι, κατ' αὐτόν γε τὸν τοῦ κύειν λόγον. οὐδὲ γὰρ, ὅσον ἐπὶ τούτῳ, τὰ τῆς δυνάμεως, ἢ τῶν ὀργάνων, ταῖς κυούσαις ὑπαλλάττεται.

CAPVT IX.

Pulsuum ex somno mutatio.

IAm somni etiam sint, si quid aliud, secundum naturam, qui & ipsi variant pulsus; dum incipiunt, minores, languidiores, tardiores, rarioresque reddunt. Dum procedunt, tarditatem pedetentim augent, & raritatem, præsertim à cibo; at maiores sunt, & vehementiores. Tandem cum diuturniores fuerint ad remissionem, & paruitatem redeunt, tarditatem, & raritatem retinent.

Quæ sit causa, cur concoctiones per somnum meliores sint non in ventriculo modò, verumetiam in venis, in arteriis, in omni denique animalis habitu, non est huius loci explicare. Neque enim de causa, quænam illa sit, conuenit inter omnes medicos; æquidem hoc in præsentiarum de illa breuiter dico. Facultas concoctrix se intrò per somnum recipit magis, & in altum, ergo, quia intrò mouetur, & materiam conficit; primò veluti imbecillior redditur, ac oneratur; paulò post quum fruitur alimento, quod conficit, roboratur ipsa, ac calor crescit animantis; vt qui frigidiores cibos comederunt, illico frigidiores se animaduertunt, multique adeò illorum manifestè, & horrent, & rigent, haud multò post fiunt calidiores. Proinde si natiuus calor est, qui concoquit cibos; ac qui huic præsunt motus, vt ratio fuit Hippocratis, qui foras tendunt, vigilias: qui intrò, somnos conciliant; facillimè rationem, ac naturam commentemur pulsuum mutationis, quæ ex somno proficiscitur. Quòd si qua est alia huius effectrix facultas, certe, quia consensum esse traditum est mutuum omnium facultatum, quæ animali moderantur; non mirum est, si quid hæc facultas naturalis consentiat cum illa. Sed hoc si semel admissum sit roborari, & debilitari vicissim facultatem, quæ pulsum creat, promptè expedias causam. Nam quia oneratur illa initio somni, atque debilitatur, minores, & languidiores pulsus oportet existere. At mox ea roborata, è diuerso, maiores vehementioresque. At enim quid simul tardiores, & rariores fiunt? Erasistratus quidem causam confert in motuum voluntariorum quietem, quæ idcirco concoquat probè; non somnum in causa ponit. Hippocrates ac cæteri, qui vergere *calorem intrò ferunt per somnum*, qui quidem medicorum, ac philosophorum sunt planè

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Τροπὴ τῶν περὶ τοὺς ὕπνους σφυγμῶν.

ΕΙεν δ' ἂν, εἴπερ τι ἄλλο, καὶ ὕπνοι κατὰ φύσιν. τρέπουσι δὲ καὶ οὗτοι τοὺς σφυγμούς, ἀρχόμενοι μὲν, μικροτέρους, καὶ ἀμυδροτέρους, καὶ βραδυτέρους, καὶ ἀραιοτέρους ἐργαζόμενοι· προϊόντες δὲ, βραδυτῆτα ἐπιτείνουσι, καὶ ἀραιότητα, καὶ μάλιστα μετὰ τροφήν. μείζους δὲ γίνονται καὶ σφοδρότεροι. χρονίσαντες δὲ πάλιν, τρέπονται εἰς ἀμυδρότητα, φυλάττουσι δὲ βραδύτητα, καὶ ἀραιότητα. Τίς μὲν ἡ αἰτία, δι' ἣν ἐν τοῖς ὕπνοις αἱ πέψεις ἀμείνους, οὐ τῶν κατὰ γαστέρα μόνον, ἀλλὰ καὶ τῶν κατὰ τὰς φλέβας τε, καὶ ἀρτηρίας, καὶ πᾶσαν τοῦ ζώου τὴν ἕξιν, οὐ τοῦ παρόντος καιροῦ διελθεῖν. οὐδὲ γὰρ ὡμολόγηται πᾶσι τοῖς ἰατροῖς περὶ τῆς αἰτίας, ἥτις δ' αὕτη. τοῦτο δ' οὖν ἤδη καθόλου περὶ αὐτῆς ἀποφαινόμεθα, ὡς ἡ δύναμις, ἡ τὰς πέψεις ἐργαζομένη, εἴσω μᾶλλον ἑαυτὴν, καὶ πρὸς τὸ βάθος ἐπιστρέφει κατὰ τοὺς ὕπνους. διά γ' οὖν τὴν ἔσω κίνησιν, καὶ ὅτι περὶ τὴν ὕλην ἐνεργεῖ, τὸ μὲν πρῶτον, ἐστὶν ἀρρωστοτέρα καὶ βεβαρημένη γάρ, μικρὸν δὲ ὕστερον, ἀπολαύουσα τῆς τροφῆς, ἣν κατεργάζεται, ῥώννυταί τε αὐτή, καὶ τὸ θερμὸν αὔξεται τὸ ἐν τῷ ζώῳ, ὥσπερ γε καὶ οἱ τὰ ψυχρὰ σιτία προσενεγκάμενοι, παραχρῆμα μὲν ψυχροτέρων ἑαυτῶν αἰσθάνονται, καὶ πολλοί γε αὐτῶν, καὶ φρίττουσι, καὶ ῥιγοῦσι φανερῶς, μικρὸν δὲ ὕστερον, θερμότεροι γίνονται. εἰ μὲν δὴ τὸ ἔμφυτον θερμόν ἐστι τὸ πέττον τὰς τροφάς, καὶ τούτου κρατοῦσαι κινήσεις, ὡς Ἱπποκράτης ὑπελάμβανεν, αἱ μὲν ἔξω, τὰς ἐγρηγόρσεις, αἱ δὲ ἔσω, τὸν ὕπνον ἐργάζονται, ῥᾷστ' ἂν ἡμῖν ἐφυσιολογεῖτο τὰ κατὰ τὰς ἐν τοῖς ὕπνοις τῶν σφυγμῶν ἀλλοιώσεις. εἰ δ' ἄλλη τις δύναμίς ἐστιν ἡ ταύτης δημιουργός, ἀλλ' ὅτι γε δεδίδακται, συμπάσχειν ἀλλήλαις ἁπάσας τὰς διοικούσας τὸ ζῷον δυνάμεις, οὐδὲν θαυμαστὸν, οὐδὲ τὴν φυσικὴν ταύτην δύναμιν συνδιατίθεσθαί πως ἐκείνῃ. ἀλλ' εἰ τοῦθ' ἅπαξ συγχωρηθείη, τὸ ῥώννυσθαι καὶ αὖθις χείρω γενέσθαι τὴν τοὺς σφυγμοὺς ἐργαζομένην δύναμιν, εὔπορος ὁ τῆς αἰτίας λογισμός. ἐν μὲν γὰρ ταῖς ἀρχαῖς τῶν ὕπνων, βαρυνομένης τε, καὶ χείρονος γινομένης αὐτῆς, μικροτέρους, καὶ ἀμυδροτέρους εὔλογον γίνεσθαι τοὺς σφυγμούς. μετ' ὀλίγον μέντοι ῥωσθείσης, τῆς αἰτίας, μείζονάς τε καὶ σφοδροτέρους. τί δήποτ' οὖν, καὶ βραδύτεροι, καὶ ἀραιότεροι γίνονται; Ἐρασίστρατος μὲν φησι διὰ τὴν ἠρεμίαν τῶν κατὰ προαίρεσιν κινήσεων, ἣν καὶ τοῦτο πέττειν καλῶς, οὐκ αὐτοὺς τοὺς ὕπνους αἰτιᾶται. Ἱπποκράτης δὲ, καὶ ὅσοι τὸ θερμὸν ἔσω συννεύειν ἐν τοῖς ὕπνοις φασὶ, σχεδὸν δ' εἰσὶν ἁπάντων ἰατρῶν τε καὶ φιλοσόφων οἱ δοκιμώτατοι,

τοῦ φύτου μειώσεσί τε, καὶ αὐξήσεσι, καὶ διαφερούσαις κινήσεσιν, ἀνοίσουσι τὰς αἰτίας. ἔλαττον μὲν γὰρ ἑαυτοῦ γίνεσθαι, καὶ οἷον καταπνίγεσθαι φήσουσιν, ἐμπεσὸν ἀθρόως εἰς τὸ πλῆθος, τῆς ἐντὸς ὕλης, ὥσπερ γε καὶ τὸ πῦρ, ὅταν εἴς τι πλῆθος ξύλων σεσωρευμένων ἐμπέσῃ. ὥσπερ δὲ αὖθις τοῦτο τὸ πῦρ, ὅταν ἐπικρατὲς τῆς ὕλης γένηται, ῥώννυταί τε, καὶ εἰς μέγεθος αἴρεται, οὕτω καὶ τὸ ἔμφυτον θερμὸν, ὅταν ἀπολαύσῃ τῆς τροφῆς, κατεργασάμενον τοὺς χυμοὺς οἷς ἐνέπεσεν, ἑαυτοῦ τε πλέον ἤδη, καὶ ῥωμαλεώτερον γίνεται. ἀλλ᾽ οὐδέπω βραδύτητος, οὐδ᾽ ἀραιότητος αἰτίας εἰρήκαμεν. ἄλλως δ᾽ ἔχει τὸ ἀληθὲς, ἐμοὶ γοῦν κριτῇ. ἐπεὶ τοῖς κοιμωμένοις, ἡ μὲν ἔξω κίνησις τοῦ θερμοῦ μεμείωται, κρατεῖ δ᾽ ἡ ἔσω, τὴν μὲν συστολὴν εὔλογον γίνεσθαι θάττονα, τὴν δὲ διαστολὴν, βραδυτέραν. ἀτὰρ οὖν καὶ φαίνεται γινόμενον ὧδε, καὶ ὅσοι μὴ παρακολουθοῦσι τῇ συστολῇ τῶν ἀρτηριῶν, ἀλλ᾽ ἐκ μόνης τῆς διαστολῆς, τὰς διαγνώσεις ποιοῦνται, βραδὺν ἁπλῶς ἀποφαίνονται τῶν κοιμωμένων τὸν σφυγμόν. ὁ δ᾽ ἐστὶν οὐ βραδὺς ἁπλῶς, ἀλλὰ κατὰ θάτερον μέρος τῆς κινήσεως βραδὺς, ὅλος δὲ, οὐδὲ μᾶλλον βραδὺς, ἢ ταχύς. οὗ γὰρ ἡ μὲν διαστολὴ βραδεῖα, ταχεῖα δ᾽ ἡ συστολὴ, τοῦτον οὐδέτερον, ἁπλῶς χρὴ καλεῖν, οὔτε ταχὺν, οὔτε βραδὺν, ἀλλὰ διαιρούμενον τοῖς μορίοις, ὥσπερ καὶ Ἱπποκράτης ἐπὶ τῆς ἀναπνοῆς ἐποίει. καὶ μὲν δὴ καὶ μικρὸς κατὰ θάτερόν ἐστι τῶν ἑαυτοῦ μορίων τοῖς κοιμωμένοις ὁ σφυγμός. ἐπιπλεῖστον μὲν γὰρ συστέλλεται, διαστέλλεται δ᾽ οὐκ ἐπὶ πλεῖστον, ἀλλ᾽ ὅσον ἀνάγκη τὴν ἐναντίαν ἀποδοῦναι κίνησιν τῇ συστολῇ. κινεῖται μὲν οὖν καὶ ἴσου διαστήματος ἡ ἀρτηρία, διὰ παντὸς, ἔν τε τῷ συστέλλεσθαι, καὶ τῷ διαστέλλεσθαι, πλὴν εἰ μεταβάλλοι ποτὲ ἐξαίφνης τὸν ῥυθμόν· ἀλλὰ τοῖς ὅροις ὅθεν τε ἄρχεται, καὶ οἷς τελευτᾷ, διαλλάττει. πλεονεκτούσης μὲν γὰρ τῆς ἔσω κινήσεως, εἰς ἐσχάτην δ᾽ ἐρχομένης σύμπτωσιν, ἐντεῦθέν τε πάλιν ἀρχομένης τῆς ἔξω, τὴν διαστολὴν οὐκέτ᾽ ἐπιπλεῖστον ποιεῖται. κρατούσης δ᾽ αὖ πάλιν τῆς ἐκτὸς κινήσεως, ἀσθενοῦς δ᾽ οὔσης τῆς ἐναντίας, οὐκ ἔτι μὲν ἀπὸ τῆς ἐσχάτης ἄρχεται συμπτώσεως, ἐν τῷ διαστέλλεσθαι, τελευτᾷ δ᾽ εἰς ἔσχατον μέγεθος. ἐντεῦθεν δὲ πάλιν ὑπαρξαμένης τῆς ἔσω κινήσεως, τὴν τελευτὴν τῆς συστολῆς, ὅθενπερ ἤρξατο διαστέλλεσθαι, ποιεῖται. καὶ οὕτως οἷον δίαυλόν τινα τῆς κινήσεως ἀεὶ ποιουμένη, ποτὲ μὲν ἔσω μᾶλλον, ποτὲ δὲ ἔξω φέρεται. τοῖς οὖν μόνοις αἰσθανομένοις τῆς διαστολῆς, ἀναγκαῖον ἐν τοῖς ὕπνοις τὸν σφυγμὸν φαίνεσθαι, καὶ μικρὸν, καὶ βραδύν· ἀναγκαῖον δὲ τοῖς αὐτοῖς τούτοις ὡς ἂν καὶ ἀγυμναστοτέροις οὖσι περὶ τὰς διαγνώσεις, ὀλίγον μέν τι φαίνεσθαι τῆς κατὰ τὴν διαστολὴν κινήσεως, λανθάνειν δὲ τὸ πλεῖστον. ἐπὶ γὰρ τῆς οὕτως κινουμένης ἀρτηρίας, οὐδ᾽ οἱ σφόδρα γεγυμνασμένοι, τοῖς ἔσω πέρασι τῆς κινήσεως ἀκολουθοῦσιν, ἀλλὰ καὶ τῆς συστολῆς καὶ αὐτοὺς ἡ τελευτὴ λανθάνει, καὶ τῆς διαστολῆς ἡ ἀρχή. ὥστε τούς γε ἀγυμνάστους, ἀμήχανον ὅσον εἰκὸς ἐκφεύγειν τῆς κινήσεως, τὴν μὲν συστολὴν σχεδὸν ἅπασαν, μέρος δ᾽ οὐκ ἐλάχιστον οὐδὲ τῆς διαστολῆς. ὅσον δ᾽ οὖν ἐκφεύγει τῆς κινήσεως, ἀναίσθητον τοῖς ἁπτομένοις γινόμενον, τῷ χρόνῳ τῆς ἡσυχίας προστιθέμενον, ἀραιὸν ποιεῖ φαίνεσθαι τὸν σφυγμὸν, ἐπεὶ, πρός γε τὴν ἀλήθειαν αὐτὴν, οὐδαμῶς ἀραιότερος ὁ τῶν κοιμωμένων ἐστὶ σφυγμὸς, ὥσπερ οὐδ᾽ ἡ ἀναπνοή· ἀλλὰ σαφῶς μὲν κἀπὶ ταύτης ἡ ἐκπνοὴ πλεονεκτεῖ, μετ᾽ ἐκφυσήσεως γινομένη· τῆς δ᾽ ἡσυχίας ὁ χρόνος οὐδὲν προσαυξάνεται. Εἴρηταί μοι σχεδὸν ἤδη τὸ σύμπαν, ὕπνων πέρι. σαφηνείας δ᾽ ἕνεκα, προσκείσεται τὸ ὑπόλοιπον. ὁ σφυγμὸς ὁ τῶν κοιμωμένων, κατὰ μὲν τὴν ἐκτὸς ἠρεμίαν, ὅμοιός ἐστι τοῖς τῶν ἐγρηγορότων. κατὰ δὲ τὴν ἐντὸς, ἱκανὸν φαίνεται διαλλάττειν, οὐκέτ᾽ ἀκολουθούσης ἡμῶν τῆς

A omnium probatissimi, in huius incrementa, & decrementa, motusque diuersos causas conferunt. Imminui enim dicunt, ac veluti suffocari, vbi in aceruum subitò incurrat ingestæ materiæ; quomodo ignem quoque, quum in lignorum ingentem struem incidat. Atque vt idem ignis, vbi superior euasit materia, roboratur, ac in magnitudinem eleuatur: sic innatus calor quum fruatur alimento, confectis iam succis, in quos inuaserat, copiosior, quàm antè fit, & validior. At causas adhuc tarditatis, & raritatis non expediuimus; imò verò aliter me iudice res habet. B Quando dormientibus motus caloris, qui foras tendit, imminutus est, viget autem qui intrò; contractionem oportet celeriorem fieri, distentionem verò tardiorem. Ac sic quidem manifestò fit. Qui contractionem non assequuntur arteriarum, sed discernunt ex sola distentione pulsus, hi tardum absolutè volunt dormientium pulsum esse. Ille autem absolutè non est tardus, sed altera ex parte tardus, totus non tardus potius, quàm celer. Nam cuius tarda distentio, & celeris est contractio, is neutro horum nominum appellandus est, nec celer, nec tardus, sed sunt distinguendæ eius partes. Quod C in respiratione fecit Hippocrates. Iam verò etiam altera sui parte paruus est dormientium pulsus: siquidem plurimum contrahitur, distenditur autem non plurimum, sed quantum contrarius motus necesse habet reddere contractioni. Porrò arteria in pari semper interuallo mouetur in contractione, ac distentione; nisi quando rhythmum subitò immutet; terminis verò vnde proficiscitur, & quibus finitur, variat. Nam quum motus, qui intrò pergit, præpolleat, atque prorsus consideat, rursusque inde incipiat, qui foras tendit motus, haudquaquam hic distentionem plurimum producit. D Contra quum præpolleat motus qui foras concitatur, contrario existente debili, minimè tunc ab extremo orditur collapsu in distentione, ac summam tandem magnitudinem assequitur. Qúmque inde cœperit denuò qui intrò fertur motus, finem contractionis, vnde incepit distendi, facit. Ita quum facit semper veluti motuum quendam orbem, modò intrò magis, modò foras fertur. Quamobrem, qui duntaxat distentionem sentiunt, his pulsus necesse est in somnis paruus, & tardus E videatur. Iisdem necesse est, vt imperitioribus in dignoscendo, pusillam partem conspici motus distentionis, & fugere maximam. Quippe in eo motu arteriarum, internos motuum terminos ne exercitatissimi quidem attendunt; sed contractionis hos finis fugit, & principium distentionis. Quò magis imperitos immensam partem motus præterire par est, totam propè contractionem, & partem non mediocrem distentionis. Quæ autem pars motus lateat, quam non sentiant, qui tangunt, ea quum adiungatur ad tempus quietum, speciem præbet pulsus rari; F tametsi re vera dormientium pulsus nihilo rarior fit; vt nec respiratio; sed apertè etiam in hac expiratio, quæ cum efflatione fiat, maior est; quietis tempori nullum accedit incrementum. Explicaui iam summam ferè de somnis; tamen quò res clarior sit, addam reliquum. Pulsus dormientium, in externa quidem quiete similes sunt vigilantium pulsibus; in interna verò, permultùm videntur distare, qui terminos internos motuum

motuum non assequitur noster sensus: sed tum minor est, tum languidior quam pulsus vigilantium, præsertim à principio statim. Nam postea magnitudo ei quædam, & vehementia adiungitur, & iam tardus in distentionibus est, in contractionibus velox; & in summa, intrò magis mouetur. Quare si vehementem in contractionibus eum dicas, nihil erres. Etenim excrementum succorum confectorum veluti fuliginosum excernere arteria per somnos, quòd copiosius tum collectum sit, vehementius auet; vnde motus, qui intrò fertur, vel hoc nomine præpollet. At verò vbi absolutè succi confecti sunt, si in somno homo permaneat, immoderatus erit vtique talis somnus. Motus autem meritò fit vterque minor, tardus, imbecillus, rarus. Somnus enim (quod vel ex poëtis audias) mortis est frater. Vna illi hæc conuenit cum viuentibus, confectio alimenti. Reliqua mortuis sunt similia, non videre, non audire, nihil intelligere, vel cogitare, vel loqui, vel sentire, ratione carere, prostratum esse. Et verò quid aliud, (si illud vnum quod commune adhuc cum viuentibus habet, sit ablatum) nisi rectà via ad mortem dicatur? Iam etiam primum esse, & natiuum caloris motum, quum foras, & extra seipsum mouetur; secundum, quum intrò, & in seipsum, qui propter nutrimentum comparatus est, id iam pridem multis locis diximus. Qui vbi non ampliùs in nutrimento detineatur, neque proprium suum motum, quo fertur foras, repetat, sed ociosus sit vtrinque; habet tum certè imaginem mortis, exoluiturque eius contentio, vnde oritur languidus pulsus; dissoluitur porrò motus, quàm ob rem paruus, & tardus, & etiam rarus fit. Quòd si increscat etiam atque etiam paruitas, tarditas, raritasque, propemodum nihil mouebitur, at hæc mors erat. Habes omnia de somnis. Quanquam præterea Archigenes plenissimos dicat pulsus in somnis videri, Apollonides maximè vacuos, mihi videtur de his non producere orationem, quum in superioribus lucubrationibus falsò hoc probauerimus genus pulsuum inductum ab Herophili successoribus esse, sicut multa alia. Neque quicquam habet admirationis, si in re, quæ planè discerni nequit, inter se Archigenes, & Apollonides dissideant. Neque enim communis sensus affectum, sed suas vterque opiniones scripsit.

A αἰσθήσεως τοῖς ἔσω πέρασι τῶν κινήσεων. ἀλλὰ καὶ μικρότερός ἐστι, καὶ ἀμυδρότερος, ἢ ὁ τῶν ἐγρηγορότων, καὶ μάλιστα κατ' ἀρχὰς εὐθύς, ὕστερον γὰρ αὐτῷ προσέρχεταί τι μεγέθους τε, καὶ σφοδρότητος. ἀλλὰ καὶ βραδὺς μὲν ἐν ταῖς διαστολαῖς, ταχὺς δὲ ἐν ταῖς συστολαῖς ἐστι. καὶ ὅλως εἴσω μᾶλλον κινεῖται. ὥστε καὶ σφοδρὸν αὐτὸν ἐν ταῖς συστολαῖς εἰπὼν, οὐκ ἂν ἁμάρτοις. καὶ γὰρ οὖν καὶ τὸ περίττωμα τῆς τῶν χυμῶν ἐργασίας, τὸ οἷον αἰθαλῶδες ἐκκρίνειν ἐφίεται σφοδρότερον ἡ ἀρτηρία, κατὰ τοὺς ὕπνους, ὡς ἂν καὶ πλέον τότε γινόμενον. ὥστε καὶ διὰ τοῦτο, τὰ τῆς ἔσω κινήσεως πλεονεκτεῖ. B ὅταν μέν τοι καταπαύσηται μὲν ἡ ἐργασία τῶν χυμῶν, μένῃ δ' ὑπνώττων ὁ ἄνθρωπος, ἄμετρος ἂν δήπουθεν ὁ τοιοῦτος ὕπνος εἴη, μικρότεραι δ' αἱ κινήσεις ἑκάτεραι, καὶ βραδεῖαι, καὶ ἄρρωστοι, καὶ ἀραιαὶ γίνονται κατὰ λόγον. ὕπνος γὰρ, ὡς καὶ τῶν ποιητῶν ἐστιν ἀκοῦσαι λεγόντων, ἀδελφός ἐστι θανάτου. καὶ ἓν αὐτῷ κοινὸν ὑπάρχει μόνον πρὸς τοὺς ζῶντας, ἡ περὶ τὴν τροφὴν ἐργασία, τὰ δ' ἄλλα πάντα, τοῖς ἀποθνήσκουσιν ὅμοια, μὴ βλέπειν, μὴ ἀκούειν, μὴ φρονεῖν, μὴ νοεῖν, μὴ λαλεῖν, ἀναίσθητον, ἀκίνητον, ἀλόγιστον, ἐρρίφθαι. ἂν τοῦτο τοίνυν, ὃ κοινὸν ἔτι μόνον ἔχει πρὸς τοὺς ζῶντας, ἀπόλλυται, C τί ἄλλο ἢ ὀρθῶς ἐπὶ θάνατον ὁδὸς ἂν λέγοιτο; καὶ γὰρ οὖν καὶ ὅτι προτέρα μέν ἐστι, καὶ κατὰ φύσιν, ἡ ἔξω τε καὶ ἀφ' ἑαυτοῦ κίνησις τοῦ θερμοῦ, δευτέρα δ', ἡ εἴσω τε, καὶ εἰς ἑαυτὸ, διὰ τὴν τροφὴν γινομένη, πολλάκις ἤδη φθάνομεν εἰρηκέναι. ὅταν οὖν μήτε περὶ τὴν τροφὴν ἔτι πραγματεύηται μηδὲν, μήτε τῆς ἔξω οἰκείας ἀναμιμνήσκηται κινήσεως, ἀλλ' ἀργὸν ἑκατέρωθεν ᾖ, θανάτῳ δηλονότι πελάσει. καὶ λύεται μὲν ὁ τόνος αὐτοῦ, καὶ διὰ τοῦτο ἀμυδρὸς ὁ σφυγμὸς γίνεται. καταλύεται δ' ἡ κίνησις, καὶ διὰ τοῦτο μικρὸς, καὶ βραδὺς, καὶ ἀραιός. D κἂν ἐπὶ πλέον γε προέλθοι μικρότητός τε, καὶ βραδύτητος, καὶ ἀραιότητος, ἐγγὺς ἂν ἥκοι τοῦ μηδόλως κινεῖσθαι. τοῦτο δ' ἦν ὁ θάνατος. οὕτω μὲν ἔχει πάντα τὰ κατὰ τοὺς ὕπνους. εἰ δ' Ἀρχιγένης μὲν, πρὸς τοῖς εἰρημένοις, καὶ πληρεστάτους φησὶ φαίνεσθαι τοὺς σφυγμοὺς, Ἀπολλωνίδης δὲ κενωτάτους, οὔ μοι δοκεῖ μηκύνειν ἔτι δεῖν ἡμᾶς περί γε τῶν τοιούτων, ἱκανῶς ἀποδεδειχότας ἐν ταῖς ἔμπροσθεν πραγματείαις, ὡς μάτην τοῦτο τὸ γένος τῶν σφυγμῶν, οἱ μεθ' Ἡρόφιλον ἐπεισήγαγον, ὥσπερ καὶ ἄλλα πολλά. καὶ θαυμαστὸν οὐδὲν, ἐν πράγματι μηδόλως διαγινωσκομένῳ τἀναντία λέγειν Ἀρχιγένην τε καὶ Ἀπολλωνίδην, οὐ γὰρ αἰσθήσεως κοινῆς τὸ πάθος, E ἀλλὰ φαντασμάτων ἰδίων ἑκάτερος ἔγραψεν.

CAPVT X.

Expergiscentium pulsus.

Qvi expergiscuntur, è vestigio pulsus magnos, vehementes, celeres, crebros, & cum quadam vibratione habent: qui mox mediocritatem assequuntur.

Non perinde in somnum incidimus vigiles, ac ex somno euigilamur; quod hoc ferè subito, illud omnino pedetentim fiat. Etenim turbulenta insomnia, vel si quis vociferetur, perstrepat, tangat dormientem, celerem, & subitaneam concitat mutationem. Quocirca pulsus illos, quos commemorauimus, qui in eum modum immutantur, clarissimè percipiunt. Nec tamen in aliis, qui, motu innati caloris foras progrediente, excitati sunt, fugiunt exercitatos.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Οἱ τῶν ἐξ ὕπνου μεταπεπτωκότων εἰς ἐγρήγορσιν σφυγμοί.

Τῶν δ' ἐξ ὕπνου μεταπεπτωκότων εἰς ἐγρήγορσιν, ἐν μὲν τῷ παραχρῆμα, μεγάλοι, καὶ σφοδροὶ, καὶ ταχεῖς, καὶ πυκνοὶ καί τινα κλόνον ἔχοντες, μετ' ὀλίγον δ' εἰς συμμετρίαν ἔρχονται.

F Οὐχ ὡσαύτως εἰς ὕπνον ἐξ ἐγρηγόρσεως, κἀξ ὕπνου πάλιν εἰς ἐγρήγορσιν μεταπίπτομεν, ἀλλὰ τὸ μὲν κατὰ βραχὺ πάντως, τὸ δ' ἀθρόως ὡς τὸ πολὺ γίνεται. καὶ γὰρ ἐνύπνια ταραχώδη, καὶ φωνήσας τις, καὶ ψοφήσας, καὶ ἀψάμενος τοῦ κοιμωμένου, ταχεῖάν τε κἀξαίφνης εἰργάσατο τὴν μετάπτωσιν. τοιγάρτοι καὶ οἱ προγεγραμμένοι σφυγμοὶ, τοῖς μὲν οὕτω μεταπίπτουσιν, ἐναργέστατα φαίνονται. οὐ μὴν οὐδ' ἐπὶ τῶν ἄλλων, ἐφ' ὅσων αὐτῇ πρὸς τοὐκτὸς κινήσει τῆς ἐμφύτου θερμασίας, ἡ ἐγρήγορσις ἐγένετο, λανθάνουσι τοὺς γεγυμνασμένους.

ὁ μὲν γὰρ ὕπνος γίγνεται, τῆς ἐμφύτου θερμασίας, ἤτοι διὰ κάματόν τινα, καὶ ξηρότητα πλέονα πρὸς τὴν τροφὴν ἐπιστραφείσης, ἢ δι᾽ ἀμετρίαν ὑγρότητος, ἀδυνατούσης ἐκτὸς ἀποτείνεσθαι. ἔστι δ᾽ ὁ μὲν πρότερος ὑγιεινός τε καὶ κατὰ φύσιν. ὁ δὲ δεύτερος ῥηθεὶς, οἷος ὁ ἐν κώμασί τε καὶ ληθάργοις, ᾧ πάλιν ἀντίκειται ἡ ἐν φρενίτισί τε καὶ ταῖς παρὰ φύσιν ἀγρυπνίαις ἀπάσαις ἐγρήγορσις, ὑπερξηρανθείσης τε τῆς ἐμφύτου θερμασίας τηνικαῦτα, καὶ οἷον ἐκπυρωθείσης, καὶ διὰ τοῦτο, καὶ ἐκτὸς ἀμέτρως κινουμένης. ἀλλὰ τὰς μὲν παρὰ φύσιν διαθέσεις, ἃς οὐδ᾽ ἐγρήγορσιν, οὐδ᾽ ὕπνον, ἀλλ᾽ ἀγρυπνίαν, καὶ κῶμα κάλλιον ὀνομάζειν ἐστὶν, ἐατέον ἔν γε τῷ παρόντι. τῶν δ᾽ ὕπνων τῶν κατὰ φύσιν, ὥσπερ οὖν καὶ τῶν ἐγρηγόρσεων ἡ γένεσις, οἵα πρόσθεν εἴρηται, δεομένου μὲν ἅμα καὶ ἀπορέοντος ὑγρότητος δαψιλοῦς, τοῦ κατὰ φύσιν ἐν τοῖς ζώοις θερμοῦ, καὶ διὰ τοῦτο συννεύοντος εἰς τὰ σπλάγχνα, καὶ τὴν γαστέρα, τῶν ὕπνων γινομένων, αὐτάρκως δ᾽ ἀπολαύσαντος ταύτης, ὡς ἤδη τὴν κατὰ φύσιν ἔχειν ποιότητα, τῆς ἐγρηγόρσεως ἀποτελουμένης· ἐν ᾧ δὴ καιρῷ τὰς μεταστάσεις γινομένας, ἀναγκαῖόν ἐστιν ἔχειν τι βίαιον. ἐν γὰρ τῇ κατεργασίᾳ τῆς τροφῆς, ὑγρότητος ἀτμώδους πολλῆς ὑποτρεφομένης, κατά τε τὸ δέρμα αὐτὸ, καὶ τοὺς πόρους, καὶ πάντα τὰ μεταξὺ σώματα, μέχρι τῆς ἐκτὸς ἐπιφανείας, οὐκέτ᾽ εὐπετὴς ὁμοίως ἡ ἐπὶ τὰ ἐκτὸς κίνησίς ἐστι τῷ θερμῷ. δεῖται τοίνυν, ἵνα ταύτην ἀποσείσηταί τε καὶ διώσηται, καὶ τοὺς πόρους ἐκκαθάρῃ, καὶ πάντῃ πόριμον ἑαυτῷ τὸ σῶμα παράσχῃ, σφοδρῶν, καὶ βιαίων τῶν πρώτων κινήσεων. ὅταν δὲ εὔπνουν ἤδη τοῦτο, καὶ καθαρὸν ἔχῃ, τῆς κατὰ φύσιν ἀναμιμνήσκεται συμμετρίας. διὰ ταῦτα τοίνυν, ἐν μὲν τῷ παραχρῆμα, τοῖς ἐπεγερθεῖσιν ἐκ τῶν ὕπνων οἱ σφυγμοὶ μεγάλοι, καὶ σφοδροὶ, καὶ ταχεῖς γίνονται, καὶ προσέτι βραχύ τι κλόνου προσλαβόντες διὰ τὸ βίαιον τῆς κινήσεως. ὀλίγῳ δ᾽ ὕστερον εἰς τὴν κατὰ φύσιν ἐπανέρχονται συμμετρίαν. ἑξῆς δὲ τούτων, περὶ τῶν ἐπικτήτων σχέσεων τοῦ σώματος γέγραπται τοῖς εἰσαγομένοις, σχέσεις μὲν αὐτὰς ὀνομασάντων ἡμῶν, ὥσπερ καὶ Ἱπποκράτης ἐν τῷ περὶ τῶν ἄρθρων εἰπὼν, διαφέρει μέν τοί τι καὶ σχέσις σώματος. σφυγμοὺς δ᾽ ἐφ᾽ ἑκατέρας αὐτῶν γραψάντων ἡμῶν, τοὺς ἐναργῶς φαινομένους, ὧν τὰς αἰτίας οὐ χαλεπὸν ἂν εἴη νῦν προσθεῖναι, τοῖς εἰρημένοις ἑπομένας. ἃ γὰρ ἐπὶ τῶν φυσικῶν διαφορῶν τοῦ σώματος, ταῦτα κἀπὶ τῶν ἐπικτήτων ῥηθήσεται. ὥστ᾽ οὐ χρὴ μηκύνειν, ἀλλὰ μόνον αὐτὴν γράψαι τὴν ἐκεῖ ῥῆσιν, ὑπομνήσεως ἕνεκεν τῶν πραγμάτων, ἔχουσαν ὧδε.

Nam somnus incidit, quum natiuus calor aut ex fatigatione, & nimia siccitate ad alimentum se conuertat, aut ob immodicam humiditatem foras nequeat progredi. Quorum est salubris primus, & naturalis. Alter quem memorauimus, veluti somnus, qui est in comatibus, & lethargis. Cui opposita est phrenitidum, & vigiliarum præter naturam vigilantia; vbi supra modum siccatus natiuus calor est, & quasi ignitus, atque idcirco foras quoque mouetur immodicè. Sed affectus præter naturam, quos nec vigilantiam nec somnum, sed vigilias, & comata potiùs voces, relinquam in præsenti. At somni naturales simulque vigilantiæ ita, quomodo ante diximus, gignuntur. Nam quum indigeat, simulque desideret naturalis animalium calor copiosam humiditatem, ideoque in viscera conueniat, & ventrem, fit somnus; qui simul atque ea satis fruitus est, vt naturalem iam qualitatem recuperauerit, expergiscuntur; quo quidem tempore illæ conuersiones nullo modo citrà vim aliquam fiant. Nam in alimento concoquendo quia succrescit humiditas vaporosa largè quum in ipsa cute, tum in poris, corporibusque ad externam superficiem vsque interpositis omnibus, non perinde iam calori procliuis est ad externa motus. Quare vt hanc discutiat, remoueatque, & meatus repurget, & etiam corpus vndequaque sibi penetrabile reddat, postulat primos vehementes atque violentos motus. Quod vbi perspirabile, purumque reddidit, medioeritatis naturalis recordatur. Hinc pulsus illicò experrectis ex somno magni, & vehementes, & celeres eduntur. Præterea ob motus vim, nonnihil vibrantur. Paulò post ad natiuam mediocritatem reuertuntur. Deinceps tyronibus scripsimus de corporis aduentitiis habitudinibus, quas σχέσεις nos Hippocratem secuti appellamus, qui in libro De articulis dixit; *Cæterum refert etiam nonnihil corporis habitudo.* Ac pulsus nos vtraque illarum maximè conspicuos prodemus, quorum facilè nunc sit adiungere causas ex commemoratis: Nam quæ de naturalibus differentiis corporis tradita sunt, eadem dicentur de aduentitiis. Quò breuior ero, solumque ipsum illinc caput subiiciendarum causa rerum huc transferam, quod ita habet.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Οἱ κατὰ τὰς ἐπικτήτους σχέσεις σφυγμοί.

Αἱ δ᾽ ἐπίκτητοι σχέσεις τοῦ σώματος ὁμοίως ταῖς φυσικαῖς, τρέπουσι τοὺς σφυγμούς. ὁ μὲν γὰρ ἰσχνὸς φύσει γενόμενος εὔσαρκος, ἀνάλογον τῷ τοιούτῳ φύσει, τὸν σφυγμὸν ἴσχει. ὁ δ᾽ εὔσαρκος, ἰσχνὸς γενόμενος, τοῖς ἰσχνοῖς φύσει παραπλήσιον. δῆλον δὲ ὅτι χωρὶς τοῦ τὴν δύναμιν ὑπαλλάττεσθαι, τὴν κατ᾽ ἰσχνότητα, καὶ εὐσαρκίαν, διαφορὰν ἐξετάζειν χρή. καὶ ἐπὶ τῶν ἄλλων δὲ ἁπάντων ὡσαύτως. ὥστε καθ᾽ ἓν μόνον ὑπὲρ οὗ τὸν λόγον ἑκάστοτε ποιούμεθα, τὴν τροπὴν γεγονέναι. ἅπερ δ᾽ ἐπὶ τῶν εὐσάρκων εἴρηται, ταῦτα καὶ ἐπὶ τῶν παχέων εἰρῆσθαι χρὴ δοκεῖν, ἐπιτεταμένα μᾶλλον. Οὕτω μὲν ἐν ἐκείνοις περὶ τῶν σχέσεων τοῦ σώματος διώρισται. πρόσκειται δὲ καὶ περὶ τῶν κράσεων ὡσαύτως. καὶ μόνον ἀρκέσει κἀπὶ τούτων παραγράψαι τὴν ῥῆσιν ὑπομνήσεως ἕνεκα, τόνδε τὸν τρόπον ἔχουσαν.

CAPVT XI.

Pro ascititiis habitudinibus pulsus.

Ascititiæ habitudines corporis perinde pulsus, vt naturales immutant. Nam gracilis natura si quadratus euaserit, huic, qui talis natura est, assimilem pulsum habet. Sin quadratus factus gracilis sit, assimilem gracilibus natura. Constat autem gracilitatis, & quadrati corporis citra facultatis immutationem, æstimandam differentiam esse; itaque in omnibus aliis, vt vnum id tantum vbique, de quo in præsenti disputemus, mutetur. Quæ diximus de quadratis, eadem etiam de corpulentis à nobis esse dicta putandum est, nisi quod magis sunt intensa.

In eum illic modum de habitudinibus corporis disseruimus. Apposuimus itidem de temperamentis; caput etiam hic memoriæ gratia satis est adscripsisse. Est autem hoc.

CAP.XII.

A

CAPVT XII.

Pro ascititiis corporis temperamentis pulsus.

IAm etiam temperamenta corporis ascititia pulsus ea proportione mutant, qua naturalia temperamenta.

Scilicet ad eundem hîc modum, vt de anni temporibus diximus; Calida calidis, frigida frigidis assimiles pulsus creant. Nam temperamentorum in humiditate, & siccitate differentia continebatur in habitudinibus corporis; siquidem siccis gracilitas, corpulentia est humidis familiaris. Verùm hæc in libris De temperamentis declarauimus. Præterea hoc quoque, corporis duritiem temperamenta sicca, mollitiem comitari humida. Itaque pulsus his mollis est, illis durus.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Οἱ κατὰ τὰς ἐπικτήτους τοῦ σώματος κράσεις σφυγμοί.

ΚΑὶ αἱ κράσεις δὲ τοῦ σώματος, αἱ ἐπίκτητοι, ταῖς φυσικαῖς κράσεσιν ἀνάλογοι τρέπουσι τοὺς σφυγμούς.

Καὶ δηλονότι κατὰ ταὐτὸ, καθὰ καὶ περὶ τῶν ὡρῶν εἴπομεν, ὡς αἱ μὲν θερμαὶ, ταῖς θερμαῖς, αἱ δὲ ψυχραὶ, ταῖς ψυχραῖς ἐοικότας ἐργάζονται σφυγμούς. ἡ γὰρ καθ᾽ ὑγρότητα, καὶ ξηρότητα διαφορὰ τῶν κράσεων, ἐν ταῖς ἕξεσι τοῦ σώματος περιείχετο. ταῖς μὲν γὰρ ξηραῖς, αἱ ἰσχνότητες, ταῖς δ᾽ ὑγραῖς, αἱ παχύτητες οἰκεῖαι. δέδεικται δὲ ταῦτα ἐν τοῖς περὶ κράσεων. ὥσπερ γε καὶ ὅτι σκληρότης μὲν τοῦ σώματος, ταῖς ξηραῖς κράσεσι, μαλακότης δὲ ταῖς ὑγραῖς ἕπεται. καὶ διὰ τοῦτο, καὶ ὁ σφυγμὸς ταῖς μὲν, σκληρός· ταῖς δὲ, μαλακός.

B

CAPVT XIII.

Pulsuum pro exercitationibus mutatio.

NVnc alias mutationes, quæ causas habent non naturales, recenseamus. Exercitationes primò, quæ moderatæ sunt, vehementes, magnos, celeres, crebros pulsus efficiunt; si multa sint, & vires excedant laborantis, paruos, languidos, celeres, & crebros in summo. Nimium immodicæ, adeò vt ægrè iam se possit mouere, & multis interpositis quietibus; aut nihil prorsus possit, sed exolutæ vires impensè sint, pulsus mirè paruos, & languidos, tardosque, & raros; Quod si ad virium dissolutionem perueniant, pulsus creant illis proprios. Quales autem excitet pulsus facultas, quæ dissoluitur, dicemus paulò inferius.

Habes caput, quod illo in libro conscripsi. Nunc iam addam causam. Facultas in exercitationibus vniuersam adhibet contentionem, vnde pulsus vehementes excitantur; vsus autem increscit, vnde magni, celeresque. Hic quandoquidem binis accessionibus augetur, spiritu exhauriendo; & caloris incremento, ideò etiam, quoniam non satis magnitudine illorum, & celeritate completur, crebri fiunt. At quæ vires excedunt exercitantis se, efficiunt paruos, & languidos propter earum imbecillitatem; tamen illos quidem adhuc, quia vrget vsus, crebros; at non celerrimos, propter facultatis infirmitatem, sed pro his creberrimos; idque quatenus actio longè vsu inferior est. Quòd si adeò quis cogatur laborare, vt non modò superiores facultate labores sint, sed continenter necesse habeat interquiescere, huic refrigeratur vniuersum corpus. Pulsus autem ob imbecillam facultatem languidi sunt, & parui; ob frigus, nec celeres nec crebri. In aperto ratio est, si memineris priorum.

ΚΕΦΑΛΑΙΟΝ ΙΓʹ.

Τροπὴ τῶν κατὰ τὰ γυμνάσια σφυγμῶν.

C

ΕΞῆς δ᾽ ἂν εἴη λέγειν τὰς ἄλλας τροπὰς τὰς ἐπὶ τοῖς οὐ φύσει γινομένας αἰτίοις. γυμνάσια κατ᾽ ἀρχὰς μὲν, καὶ μέχρι τοῦ μετρίου, σφοδροὺς καὶ μεγάλους, καὶ ταχεῖς, καὶ πυκνοὺς τοὺς σφυγμοὺς ἐργάζεται. πολλὰ δὲ καὶ ὑπὲρ τὴν δύναμιν τοῦ πονοῦντος, μικροὺς, καὶ ἀμυδροὺς, καὶ ταχεῖς. καὶ πυκνοὺς ἐσχάτως. ὑπερβαλλόντως δ᾽ ἄμετρα, καὶ ὥς τε μόγις ἔτι κινεῖσθαι δύνασθαι, καὶ διὰ μακρῶν ἀναπαύσεων, ἢ μηδόλως, ἀλλ᾽ ἰσχυρῶς ἐκλελύσθαι, πάνυ μικροὺς, καὶ ἀμυδροὺς, καὶ βραδεῖς, καὶ ἀραιούς. εἰ δὲ εἰς διάλυσιν τῆς δυνάμεως καταστρέφοι, τοὺς ἐκείνης ἰδίους. εἰρήσεται δὲ μικρὸν ὕστερον ὁποίους διαλυομένη δύναμις ἐργάζεται σφυγμούς.

D

Αὕτη μὲν ἡ ῥῆσις ἡ ἐν ἐκείνῳ τῷ βιβλίῳ γεγραμμένη. προσκείσεται δὲ νῦν καὶ ἡ αἰτία. ἐν τοῖς γυμνασίοις, ἡ μὲν δύναμις, ἅπαντι χρῆται τῷ τόνῳ, καὶ διὰ τοῦτο, οἱ σφυγμοὶ σφοδροὶ γίνονται. τὰ δὲ τῆς χρείας αὐξάνεται, καὶ διὰ τοῦτο, καὶ μεγάλοι καὶ ταχεῖς. καὶ ἐπειδὴ διχῶς αὐξάνεται, τῇ τε τοῦ πνεύματος δαπάνῃ, καὶ τῇ τῆς θερμασίας αὐξήσει, διὰ τοῦτο, καὶ πυκνοὶ γίνονται, μὴ πληρουμένης αὐτάρκως τῆς χρείας πρὸς τοῦ μεγέθους τε καὶ τοῦ τάχους αὐτῶν. τὰ δ᾽ ὑπὲρ τὴν δύναμιν τοῦ γυμναζομένου, μικροὺς μὲν, καὶ ἀμυδροὺς, διὰ τὴν ταύτης ἀῤῥωστίαν, πυκνοὺς μὲν ἔτι διὰ τὴν τῆς χρείας ἔπειξιν, οὐ μὴν ταχίστους διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, ἀλλ᾽ ἀντὶ τούτων, πυκνοτάτους,

E

καὶ παρ᾽ ὅσον ἡ ἐνέργεια πάμπολυ τῆς χρείας ἀπολείπεται. ὅταν δ᾽ ἐπὶ τοσοῦτόν τις ἀναγκάζηται πονεῖν, ὥστε μὴ μόνον ὑπὲρ τὴν δύναμιν εἶναι τοὺς πόνους, ἀλλὰ καὶ συνεχῶν τῶν μεταξὺ διαναπαύσεων δεῖσθαι, καταψύχεται μὲν ἐν τῷ τοιούτῳ τὸ σύμπαν σῶμα. οἱ σφυγμοὶ δὲ, διὰ τὴν ἀῤῥωστίαν τῆς δυνάμεως, ἀμυδροὶ καὶ μικροί. διὰ δὲ τὴν ψύξιν, οὔτ᾽ ὠκεῖς, οὔτε πυκνοί. πρόδηλος γὰρ ὁ λογισμὸς τῷ μεμνημένῳ τῶν προτέρων.

CAPVT XIV.

Ex balneis calidis pulsuum mutatio.

BAlneæ calidæ, dum sint moderatæ, pulsus creant magnos, celeres, crebros, vehementes. Immodicæ, paruos, & languidos, tamen adhuc celeres, ac crebros. Quòd si hic relinquantur, paruos, languidos, tardos; atque raros.

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

F

Τροπὴ τῶν περὶ τὰ θερμὰ λουτρὰ σφυγμῶν.

ΛΟυτρὰ θερμὰ μὲν, μεγάλους, καὶ ταχεῖς, καὶ πυκνοὺς, καὶ σφοδροὺς, ἕως ἂν ᾖ σύμμετρα. τὰ δὲ ἄμετρα, μικρούς τε, καὶ ἀμυδρούς. ὠκεῖς δ᾽ ἔτι καὶ πυκνούς. Εἰ δ᾽ ἐν τούτῳ παύσαιτο, μικροὺς, καὶ ἀμυδροὺς καὶ βραδεῖς, καὶ ἀραιούς.

Ἐν τοῖς βαλανείοις, ὅταν γε κατὰ καιρὸν παραλαμβάνηται, πάντως τις ὠφέλεια γίνεται τῷ σώματι. ἤτοι γὰρ κεκμηκότες, ἢ τεθερμασμένοι, ἢ ἐψυγμένοι, ἢ ἐξηρασμένοι, ἢ ἄσης τινὸς, ἢ ἀνωμάλου κράσεως αἰσθανόμενοι, ἢ κενώσεως χρῄζοντες, εἰς ταῦτα παραγινόμεθα. ἀλλ' ἐν τοῖς εἰρημένοις ἅπασι καιροῖς, εἰς εὐκρασίαν μὲν ἐπανέρχεται τὸ σῶμα, βελτίων δ' ἡ δύναμις γίνεται, παρὰ καιρὸς δέ τις αὐξάνεται θερμασία, καί τι διαφορεῖται πνεύματος ἅμα τοῖς ἱδρῶσι. ὥστ' εὐλόγως τά γε σύμμετρα λουτρὰ τὰ θερμὰ, τοιαύτην τὴν τροπὴν ἐργάζεται σφυγμῶν, οἵαν ἀπεδείξαμεν γίνεσθαι τῆς τε δυνάμεως ὠφελουμένης, καὶ τῆς χρείας αὐξανομένης. τὰ δ' ἄμετρα, πρόδηλον, ὡς τὴν μὲν δύναμιν ἐκλύει, τὴν χρείαν δ' ἀμέτρως ἐπαυξάνει, καὶ διὰ τοῦτο πυκνοτάτους ἐργάζεται, ταχεῖς δ' ὁμοίως τοῖς πρόσθεν, ὅταν γε μὴ εἰς ἔσχατον ἥκῃ καταπτώσεως ἡ δύναμις. οὕτω γὰρ ἂν οἱ μυρμηκίζοντες καλούμενοι γίνοιντο. εἰ δ' ἀμέτροις βαλανείοις χρησάμενοι παύσαιντο, καὶ μηκέτι λούοιντο, δῆλον ὅτι καὶ ἡ ἕξις κατέψυκται, καὶ ἡ δύναμις καταλέλυται. ὥστε καὶ ἡ τροπὴ τῶν σφυγμῶν τοιαύτη γίνοιτ' ἄν, οἵαν ἐδείξαμεν ἐν τῷ πρώτῳ λόγῳ, δυνάμεως ἀῤῥωστίᾳ, καὶ χρείας ἀκολουθεῖν ἐκλύσει. τοῦτο γὰρ ἐν τῷ παρόντι μόνον ἀρκέσει, τὸ δεικνύναι, πῶς ἐξ ἑκάστου τῶν προηγουμένων τε καὶ προκαταρχόντων αἰτίων εἰς τὰ πρῶτα, καὶ κυριώτατα καὶ συνεκτικὰ κληθέντα διικνεῖται ἡ τροπή. τὸ δ', ὅπως ἐπ' ἐκείνοις ἀνάγκη τοὺς σφυγμοὺς ἀλλοιωθῆναι, διὰ τοῦ πρώτου δεδήλωται λόγου.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Τροπὴ τῶν παρὰ τὰ ψυχρὰ λουτρὰ σφυγμῶν.

Ψυχρὰ δὲ λουτρὰ, παραχρῆμα μὲν, μικροὺς, καὶ ἀμυδροτέρους, καὶ βραδεῖς, καὶ ἀραιοὺς, εἰς ὕστερον δὲ, οἷοι ἂν τι καὶ τύχῃ ἐργασάμενα. πάντως γὰρ ἢ ναρκώσει, ἢ ῥώσει. ναρκώσαντα μὲν οὖν, καὶ καταψύξαντα, μικροὺς, καὶ ἀμυδροὺς, καὶ βραδεῖς, καὶ ἀραιούς. ἐκθερμήναντα δὲ, καὶ ῥώσαντα, μεγάλους μὲν, καὶ σφοδροὺς, τάχει δὲ καὶ πυκνότητι, συμμέτρους.

Τὰ ψυχρὰ λουτρὰ, παραυτίκα μὲν ἐμψύχει πάντως, εἰς ὕστερον δὲ, ἤτοι ῥώννυσιν, ἢ καταλύει τὴν δύναμιν μετὰ καταψύξεως. τοῦτο γάρ ἐστι τὸ ναρκᾶν. ὥστε καὶ αἱ τροπαὶ τῶν σφυγμῶν, ἀνάλογον ταῖς εἰρημέναις αἰτίαις. ὅπερ δ' οὐχ οἷόν τ' ἦν προσδιορίσασθαι τοῖς εἰσαγομένοις, νῦν εἰρήσεται. ἡ ἔσω κίνησις τῶν ἀρτηριῶν, ἐπὶ τῶν ψυχρολουσίαις, πλεονεκτεῖ τῆς ἔξω, ὡς ἂν καὶ τοῦ θερμοῦ ταύτῃ μᾶλλον ἐν τῷ παραυτίκα κινουμένου. καὶ εἰ δυνατὸν ἦν ἔσωθεν ἅψασθαι τῶν ἀρτηριῶν, πάντα τὰ τέως ἐν ταῖς διαστολαῖς φαινόμενα, νῦν ἂν ἐφαίνετο κατὰ τὰς συστολὰς, τὸ μέγεθος, τὸ τάχος, ἡ σφοδρότης. ἐπεὶ δὲ τοῦτο ἀμήχανον, ἀπὸ τῶν ἐν ταῖς διαστολαῖς φαινομένων, τοὺς σφυγμοὺς ὅλους οὕτως ὀνομάζομεν, μικροὺς μὲν, ὅτι πολὺ μείων ἡ ἐν τοῖς τοιούτοις καιροῖς διαστολὴ τῆς ἔμπροσθεν. οὕτω δὲ καὶ βραδεῖς, ὅτι καὶ ἡ κίνησις ἐκλέλυται σαφῶς. ἀλλὰ καὶ ἀραιοὺς, ὅτι καὶ οἱ ἄλλοι πάντες, ἐφ' ὧν ἡ ἔσω πλεονεκτεῖ κίνησις, ἐφαίνοντο τοιοῦτοι, τοῖς τῆς συστολῆς οὐκ αἰσθανομένοις. καὶ ἡ αἰτία πρόσθεν εἴρηται. ἀμυδροὺς δὲ οὐχ ἁπλῶς εἴπομεν, ἀλλ' ἀμυδροτέρους ἐγράψαμεν, ἐνδεικνύμενοι διὰ τῆς λέξεως, τὴν βραχύτητα τῆς εἰς τοῦτο μεταβολῆς.

Ex balneis, si in tempore vtaris, omninò corpus commoditatem aliquam percipit. Nam quum defessi sumus, incaluimus; sumus refrigerati, exiccati, anxietatem, aut temperiem inæqualem sentimus, denique si vacuatione opus sit nobis, illas non subimus. In illis autem omnibus temporibus corpori restituitur mediocritas temperamenti, vires reparantur, opportunus augetur quidam calor, ac pars digeritur spiritus vnà cum sudoribus. Quare calidæ balneæ par est, si sint moderatæ, vt ad eum modum mutent pulsum, sicut declarauimus immutari, quum facultati commodatur, & augetur vsus. Immoderatas, planum est facultatem dissoluere, vsumque præter modum intendere; vnde fit vt creberrimos creent, celeres autem perinde, vt priores; nisi sanè facultas ad extremum vsum deuenerit; nam tum quidem formicantes, quos appellant, prodibunt. Quòd si ab immodicis balneis destiterint nec lauentur amplius, manifestum est quòd & corporis habitus refrigeratus est & facultas dissoluta. Quamobrem mutatio pulsuum ea existet, quam in libro primo docuimus excipere facultatis imbecillitatem, & vsus remissionem. Hoc enim in præsenti satis est si demonstrem, quemadmodum ex singulis antecedentibus, & extremis causas ad primas, & præcipuas, & continentes vocatas mutatio penetret, vt autem ex illis pulsus necessariò alterentur, in primo aperuimus libro.

CAPVT XV.

Ex balneis frigidis pulsuum mutatio.

Frigidæ balneæ ilicò paruos, ac languidiores, & tardos, rarosque pulsus efficiunt. Postea, prout id fit, quod induxerunt, omninò vel torporem inducent, vel robur. Quæ torporem intulerunt & refrigerarunt, paruos, & languidiores, & tardos, rarosque efficiunt. Quæ calefecerunt, & robur conciliarunt, magnos, vehementes, celeritate, & crebritate moderatos.

Balneæ frigidæ è vestigio refrigerant omninò, postea vel roborant, vel obruunt facultatem, vnaque perfrigerant; nam id est torporem inducere. Itaque, & pulsus pro ratione causarum immutantur. Quod verò non poterat tum tyronibus explicari, id nunc declarabo. In frigida lotione arteriarum motus plus intrò, quam foras fertur, quòd & calor illuc ilicò magis feratur. Quòd si intus arterias possemus contingere, omnia quæ aliàs in distentionibus animaduertimus, hæc in contractionibus hîc apparerent, magnitudo, celeritas, vehementia; sed hoc quia non potest vlla ratione, ab iis, quæ in distentionibus percipimus, totos pulsus sic appellamus. Paruos, quia multò minor distentio id temporis est, quàm ante; tardos item, quòd apertè exolutus est motus; iam raros quoque, quòd alij etiam omnes, in quibus plus motus intrò fertur, tales esse visi sint contractionem non sentientibus. Causa antè explicata est. Languidos non diximus absolutè, sed scripsimus languidiores, qua voce paruam mutationem significauimus in remissionem esse.

CAPVT XVI.

Pulsuum mutatio ex cibis.

Cibus largus, vt etiam grauet facultatem, pulsus inaequales, atque inordinatos concitat; Archigenes vult celeriores, quàm crebriores. Modicus, magnos, celeres, crebros, vehementes. Parcior, quàm qui satis nutriat, non aequè, ac moderatus, caeterùm minùs mutat, neque id diu.

Quum possimus in singulis capitibus hoc in libro praescriptis, primum, quae alij de iis censuerunt, commemorare, deinde esse falsos confutare, non hoc facimus; sed statim ad id, quod probatum, & verum est, accedimus, id agentes, vt operis, quoad eius fieri possit, prolixitatem contrahamus. Quod quum nunc & sua sponte longum sit, quid fiet, si veterum praeterea opiniones vnà cum confutatione congrua complectatur, nonne in immensum ducetur? At qui tempore ad disciplinas abundat, ardetque cupiditate medicorum omnes opiniones cognoscendi, huic lucubratio haec, certò scio, viam muniet, vt per se inueniat, vbi bene sentiant, & vbi errent. Et quidem alio ipsi loco multa scripsimus, quae his, qui in ea voluntate sint, conducent. De proposita quaestione in libris, vbi inquirimus in Erasistrati artem de pulsibus, opinionis errorem, vt puto, clarè prodidimus. Ad haec vbi discrepamus ab illis, qui peritissimi habentur in arte de pulsibus, de his item vir, qui sapientia sit praeditus, facilè mihi videtur horum praesidio, quae nunc tradidimus, existimaturus. Inueniet enim ea ferè partim in sola dictione, partim in exactis, & distinctis explicationibus consistere, vt etiam haec, de quibus nunc agimus. Nam quum scribat Archigenes in hunc modum de cibo facultatem onerante; *Hic quia premit, languidiores, minoresque pulsus concitat, & celeriores quàm crebriores.* Nos non sic, sed quomodo scripsimus? Cibus largus, vt etiam grauet facultatem, pulsus inaequales, atque inordinatos concitat. Qui autem opera artis diligenter obseruat, non in cibo tantùm, sed & in aliis affectibus omnibus, in quibus oneratur facultas, reperiet inaequales pulsus. Atque hoc scilicet ipsum est, quod imbecillam facultatem ab onerata distinguat; simulque cum eo proditur & noxae magnitudo. Si enim inter multos magnos, & vehementes, pauci offendantur parui; languidique, pusilla est offensio facultatis; contra, si pauci magni, & vehementes, parui autem atque languidi multi sint, ingenti in eiuscemodi affectibus onere opprimitur facultas. At verò parui, & languidi pulsus perpetuò fiunt, nullo interpellante contrariorum, non in iis, quae onerantur, sed in iis quae dissoluuntur facultatibus. Dum verò per se quidem validae sint, sed à quopiam grauentur, & premantur, omnino vehementes, & languidi pulsus commiscentur, etiam si summè offensae sint. Oscitanter igitur scribit Archigenes, languidiores, & minores pulsus fieri, quum facultates cibo grauantur; haec enim, quòd facultas dissoluatur, non quòd prematur, signa sunt. Atque vt in differentiis magnitudinis, & vehementiae sunt inaequales, sic in differentiis crebritatis, & celeritatis.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ΄.

Τροπὴ τῶν παρὰ τὰ σιτία σφυγμῶν.

Σιτία πολλὰ μὲν, ὥστε βαρῦναι τὴν δύναμιν, ἀνωμάλους τε, καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. Ἀρχιγένης δέ φησιν, ὠκυτέρους πλέον, ἢ πυκνοτέρους. τὰ δὲ σύμμετρα, μεγάλους, καὶ ταχεῖς, καὶ πυκνοὺς, καὶ σφοδρούς. τὰ δ' ἐλάττω, ἢ ὡς τρέφειν αὐτάρκως, οὐχ ὁμοίως τοῖς συμμέτροις, ἀλλ' ἐλάττονά τε τὴν τροπὴν ἐργάζεται, καὶ μέχρι χρόνου βραχέος.

Καθ' ἕκαστον κεφάλαιον τῶν ἐν τῷδε τῷ γράμματι προβαλλομένων, ἐνὸν ἡμῖν, πρῶτον μὲν τὰ τοῖς ἄλλοις ὑπὲρ αὐτῶν δόξαντα λέγειν, ἔπειθ' ὡς οὐκ ὀρθῶς ὑπέλαβον ἀντιλέγειν, οὐ ποιούμεθα οὕτως, ἀλλ' εὐθὺς ἐπ' αὐτὸ τὸ δόκιμόν τε καὶ ἀληθὲς ἐρχόμεθα, τὸ μέγεθος τῆς πραγματείας, ὡς ἔνι μάλιστα, ἐπιτέμνειν σπεύδοντες. ὅπου γὰρ καὶ νῦν αὕτη καθ' ἑαυτὴν ἐστὶ μακρά τι χρῆ νομίζειν, εἰ δὲ τὰς τῶν ἔμπροσθεν δόξας προσέλαβεν, μετὰ τῆς δεούσης ἀντιλογίας; ἆρ' οὐκ εἰς ἀπέραντόν τι μῆκος ἐκταθήσεται; ὅτῳ μέντοι καὶ σχολῆς τῆς πρὸς τὰ μαθήματα καιρὸς, καὶ προθυμία, τὰς δόξας τῶν ἰατρῶν ἁπάσας ἀναλέγεσθαι, τούτῳ σαφῶς οἶδα, τήνδε τὴν πραγματείαν ἐπιβάθραν τινὰ ἐσομένην εἰς τὸ καὶ καθ' ἑαυτὸν ἐξευρεῖν ὅπη μὲν ἀληθεύουσιν, ὅπη δὲ καὶ σφάλλονται. καὶ μέντοι καὶ ἡμῖν αὐτοῖς ἑτέρωθι γέγραπται πολλὰ, τοῖς οὕτω προῃρημένοις συντελέσοντα. περί γέ τοι τοῦ νῦν προκειμένου σκέμματος, ἐν οἷς ὑπὲρ τῆς Ἐρασιστράτου περὶ τοὺς σφυγμοὺς τέχνης ἐσκοποῦμεθα, σαφῶς οἶμαι δεδεῖχθαι τὸ μοχθηρὸν τῆς δόξης. ἀλλὰ καὶ ὅσα διαφερόμεθα, πρὸς τοὺς ἄριστα δοκοῦντας ἐγνωκέναι, τὰ κατὰ τοὺς σφυγμοὺς, καὶ ταῦτά μοι δοκεῖ συνετὸς ἀνὴρ, ἐκ τῶν ἐνθάδε γεγραμμένων ὁρμώμενος, οὐ χαλεπῶς διαιτήσειν. εὑρήσει γὰρ αὐτῶν τὰ πλεῖστα, τὰ μὲν ἐν τῇ λέξει μόνῃ, τὰ δὲ ἐν τῷ τῶν διορισμῶν ἀκριβεῖ συνιστάμενα, καθάπερ καὶ ταυτὶ τὰ νῦν προκείμενα. γράφοντος γὰρ Ἀρχιγένους οὕτω περὶ τῆς βαρυνούσης τὴν δύναμιν τροφῆς· ἡ δὲ, τῷ θλίβειν, ἀμυδροτέρους, καὶ μικροτέρους, ταχυτέρους τε πλέον, ἢ πυκνοτέρους. ἡμεῖς οὐχ οὕτως. ἀλλὰ πῶς ἐγράψαμεν; σιτία, πολλὰ μὲν ὥστε βαρῦναι τὴν δύναμιν, ἀνωμάλους τε, καὶ ἀτάκτους τοὺς σφυγμοὺς ἐργάζεται. καὶ ὅτῳ μέλει τῶν ἔργων τῆς τέχνης. οὐκ ἐπὶ τῶν σιτίων μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων ἁπασῶν διαθέσεων, ἐν αἷς ἡ δύναμις βαρύνεται, τοὺς σφυγμοὺς ἀνωμάλους εὑρήσει. καὶ τοῦτό γ' ἐστὶν αὐτὸ, τὸ διορίζον τὴν ἄρρωστον δύναμιν τῆς βαρυνομένης. εὐθὺς δὲ αὐτῷ συνεμφαίνεται καὶ τὸ ποσὸν τῆς βλάβης. εἰ μὲν γὰρ ἐν πολλοῖς τοῖς μεγάλοις τε καὶ σφοδροῖς, ὀλίγοι τινὲς εὑρίσκοιντο μικροὶ, καὶ ἀμυδροὶ, βραχεῖα ἡ βλάβη τῆς δυνάμεως. εἰ δ' ἔμπαλιν, ὀλίγοι μὲν οἱ μεγάλοι καὶ σφοδροὶ, πολλοὶ δ' οἱ μικροὶ καὶ ἀμυδροὶ γίνοιντο, μεγάλως ἐπὶ τῶν τοιούτων διαθέσεων ἡ δύναμις κάμνει βαρυνομένη. μικροὶ δὲ καὶ ἀμυδροὶ σφυγμοὶ διαπαντὸς γίνονται, μηδενὸς αὐτοῖς τῶν ἐναντίων παρεμπίπτοντος, οὐκ ἐν ταῖς βαρυνομέναις, ἀλλ' ἐν ταῖς διαλυομέναις δυνάμεσιν. ἔστ' ἂν δὲ κατὰ μὲν τὴν ἰδίαν οὐσίαν εὐρωστῶσι, βαρύνωνται δὲ ὑπό του καὶ θλίβωνται, πάντως παρεμπίπτουσιν οἱ σφοδροὶ καὶ ἀμυδροὶ σφυγμοὶ, κἂν ἐν ἐσχάτῳ βλάβης ὑπάρχωσιν. ὀλιγώρως οὖν ὁ Ἀρχιγένης, ἀμυδροτέρους τε καὶ μικροτέρους γράφει γίνεσθαι τοὺς ἐπὶ ταῖς βαρυνομέναις ὑπὸ τῶν σιτίων δυνάμεσι σφυγμούς. καταλυομένης γὰρ οὗτοι, καὶ οὐ θλιβομένης δυνάμεώς εἰσι γνωρίσματα. ὥσπερ δὲ ἐν ταῖς κατὰ μέγεθός τε καὶ σφοδρότητα διαφοραῖς, ἀνώμαλοι τυγχάνουσιν ὄντες, οὕτω κἂν ταῖς κατὰ πυκνότητα καὶ τάχος,

T

οὐκ οὖν οὐδὲ τοῦτ' ἔχω συμβαλεῖν, ὅπως ἔγραψεν ὁ Ἀρχιγένης, θάττονας αὐτοὺς πλέον, ἢ πυκνοτέρους ὑπάρχειν, εἰ μὴ ἄρα τοῦτο βούλεται δηλοῦν, ὡς ἀνωμάλων ὄντων αὐτῶν, ὅμως πλείους εἰσὶν οἱ ταχεῖς τῶν βραδέων, ἢ οἱ πυκνοὶ τῶν ἀραιῶν. καίτοι οὐδὲ τοῦτο ἀληθές ἐστιν, ἁπλῶς οὕτω καὶ ἀδιορίστως λεγόμενον. ἀλλ' αἱ μὲν ἐλάττους βλάβαι ταχεῖς μᾶλλον, ἢ πυκνούς, αἱ δὲ μείζους ἔμπαλιν, ἐπὶ πλέον πυκνούς, ἢ ταχεῖς ἀπεργάζονται τοὺς σφυγμούς. ἡ δ' αἰτία πρόδηλος ἐκ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ δεδειγμένων. εἴ γε τάχος μὲν οἰκεῖον εὐρώστου δυνάμεως. πυκνότης δ' ἀρρώστου. καὶ τῶν ἄλλων δὲ τῶν ἐφεξῆς εἰρημένων, ὁ τῆς αἰτίας λογισμὸς πρόδηλος, εἴ τις τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων εἴη μεμνημένος.

Quare ne istuc quidem queo coniicere, quemadmodum Archigenes scripserit, celeriores eos, quàm frequentiores esse; nisi si hoc dicere velit, licet sint hi inæquales, maiore numero tamen celeres tardos vincunt, quàm raros crebri. Etsi ne hoc quidem verum est, si ita nudè proferatur, nec distinctè; Imo offensiones leuiores, celeres magis, quàm crebros, grauiores è diuerso crebriores pulsus, quàm celeriores reddunt. Causa in aperto est ex demonstratis in primo libro. Siquidem celeritas facultati peculiaris validæ est, crebritas imbecillæ. Iam aliorum etiam, de quibus deinceps dicemus, nisi exciderunt ea tibi, quę primo in libro docuimus, in promptu est causa.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Τροπὴ τῶν παρὰ τὸν οἶνον σφυγμῶν.

Οἶνος τὰ μὲν ἄλλα παραπλησίως σιτίοις τρέπει τοὺς σφυγμούς. διαφέρει δέ, τῷ τε παραχρῆμα τὴν τροπὴν ἐργάζεσθαι, καὶ τῷ πρότερον παύεσθαι τὴν ἀπὸ οἴνου τῆς ἀπὸ σιτίων. καὶ τῷ, τὸ τάχος πλέον αὔξειν, καὶ τὸ μέγεθος, ἤπερ τὴν σφοδρότητα, καὶ πυκνότητα. σχεδὸν γὰρ ὅσῳ σφοδροτέραν τε, καὶ διαρκεστέραν ἰσχὺν ἡ σύμμετρος τροφὴ παρέχει, τοσούτῳ καὶ τὸ μέγεθος ὁ οἶνος ἐξαίρει.

Καὶ οὗτος ὁ λόγος αὐτὸς αὑτὸν ἐξηγεῖται, τὰ πρὸς ἁπάντων εἰρημένα τῶν ἰατρῶν ὑπὲρ οἴνου δυνάμεως, ἀναμιμνήσκων ἡμᾶς. ἔστι γὰρ ἡ ἀπ' αὐτοῦ πρόσθεσις ταχεῖα, διότι καὶ ὑγρὸς, καὶ θερμός. ὅσοι γὰρ ταχείης, φησί, προσθέσιος δέονται, ὑγρὸν ἴημα. ὅταν οὖν καὶ προηγῆται πρὸς τῆς θερμότητος ἡ ὑγρότης, ἔτι δὴ καὶ μᾶλλον. ἀλλὰ καὶ τῶν ἀθρόως, καὶ ταχέως τρεφόντων, ταχεῖα καὶ ἡ διαχώρησις γίνεται. διὰ τοῦτο οὖν, ὥσπερ ταχεῖα, οὕτω καὶ βραχυχρόνιος ἡ ἀπὸ τοῦ οἴνου προσθήκη τοῖς σώμασιν. εὐδιάπνευστος γάρ. ὅτι δὲ διὰ μὲν τὸ τρέφειν ὁμοίως τοῖς σιτίοις ἀλλοιώσει τοὺς σφυγμούς, διὰ δὲ τὸ θερμαίνειν μᾶλλον, ἢ ἐκεῖνα, μέγεθός τε, καὶ τάχος ἐπιφανέστερον αὐτοῖς προσθήσει, τοῖς μεμνημένοις τῶν ἐν τοῖς πρώτοις ὑποδείγμασι λελεγμένων, ἄντικρυς δῆλον. τῶν δ' ἑξῆς λεγομένων διὰ τῆς εἰσαγωγῆς, οὐδενὸς ἄδηλος ἡ αἰτία, τῷ μεμνημένῳ τῶν ἐν τῷ πρώτῳ βιβλίῳ γεγραμμένων. ὑπερβάντες οὖν αὐτῶν τὰ πολλά, μόνον τῶν ἀσαφεστέρας ἐχόντων αἰτίας μνημονεύσωμεν, ὧν ἓν καὶ τόδε ἐστίν. τί δή ποτε χολέραις μέν, καὶ ῥεύμασιν ἰσχυροῖς κοιλίας, καὶ τῷ καλουμένῳ γυναικείῳ ῥῷ, καὶ πᾶσι τοῖς ἐκ τοῦ κενοῦν τὸ σῶμα καταλύουσι τὴν δύναμιν, οἱ σκωληκίζοντες ἕπονται σφυγμοί, ταῖς δ' ὑπὸ κακοήθους πυρετοῦ καταλυομέναις δυνάμεσιν, οἱ μυρμηκίζοντες ἕπονται; ἢ ὅτι βραδὺν εἶναι δεῖ, καὶ ἀραιὸν τὸν σφυγμὸν πάντως, ἵν' ᾖ σκωληκίζων, οὔτε γὰρ οἷόν τε τὸ πρότερον τῆς ἀρτηρίας μόριον πρότερον φαίνεσθαι κινούμενον, οὔθ' οἷόν περιγραφάς τινας γίνεσθαι πολλὰς ἐν μιᾷ διαστολῇ, μὴ οὐ βραδείας τε ἅμα, καὶ ἀραιᾶς οὔσης τῆς κινήσεως. ἐν δὲ τοῖς ὀξέσι πυρετοῖς, ἐξ ἀνάγκης γὰρ οἱ κακοήθεις ὀξεῖς, οὐκ ἀνέχεται τὸ πλῆθος τῆς θερμασίας, οὔτε βραδὺν ἐσχάτως, οὔθ' ὅλως ἀραιὸν γίνεσθαι τὸν σφυγμόν. ἀλλὰ βραδὺς μέν ἐστιν, ἢ πάντως γε, οὐ ταχὺς ὁ ἐν ταῖς καταλυομέναις δυνάμεσι, κἂν τινες ἁμαρτάνωσι περὶ τὴν διάγνωσιν αὐτοῦ, οὐ μὴν ἐσχάτως γε βραδὺς· ἀραιὸς δ' οὐδ' ὅλως, ἀλλ' ἀεὶ πυκνός, καὶ ὅταν τὰ τῆς θερμασίας ἐπείγῃ, πάνυ σφόδρα πυκνός. καιρὸς εἶναι μοι δοκεῖ καὶ τουτονὶ τὸν τρίτον λόγον ἐνταυθοῖ καταπαῦσαι. ἐν δὲ τῷ τετάρτῳ, τὰ λείποντα προσθήσομεν, ἀπὸ τῶν ψυχικῶν παθῶν ἀρξάμενοι.

CAPVT XVII.

Pulsuum ex vino mutatio.

Vinum cætera quidem, peræque ac cibus pulsus variat; hoc verò interest, quòd illico immutet, & citiùs mutatio à vino profecta recedat, quàm illa quæ à cibo; quod item celeritatem ampliùs, & magnitudinem, quàm vehementiam, & crebritatem augeat. Quanto enim vehementius moderatus cibus constantiùsque robur conciliat, tantum ferè vinum extollit magnitudinem.

Hæc quoque oratio seipsam interpretatur, ac omnia subiicit nobis, quæ de vini facultate sunt ab omnibus medicis prodita. Quæ enim ab ipso fit appositio celeris est, quòd humidum sit, & calidum. *Quicunque enim celerem, inquit, requirunt appositionem, his humidum medetur. Quando verò calor etiam dux est humiditatis, multo iam magis. Ad hæc, quæ affatim subitoque nutriunt, hæc celeriter deiiciuntur.* Quamobrem vt celerem, ita minimè diuturnam à vino appositionem corpora accipiunt. Facilè enim digeritur per halitum. Porrò, quod nutriat, pulsus ita, vt cibus variabit, quòd autem ampliùs quàm ille calefaciat, insigniorem adiiciet illis, & magnitudinem, & celeritatem; id quod planè apertum est illis, qui retinuerunt, quæ in primis exemplis docuimus. Ac reliquorum, quæ in isagoge prodidimus, si memoria teneas, quæ in primo libro scripsimus, omnes claræ sunt causæ. Quare prætermissa illorum magna parte, causas tantùm illorum, quæ sunt obscuriora referamus; de quibus hoc est. Cur choleras, magnos alui fluores, profluuium muliebre vocatum, & omnia quæ ex vacuatione corporis facultatem dissoluunt, comitentur pulsus vermiculantes; at facultatem, quæ à febre maligna dissoluitur, formicantes consequantur? An quia pulsus, quò vermiculans sit, tardus esse omnino, & rarus debet? neque enim possit fieri, vt prior arteriæ pars priùs moueri videatur, neque vt fiant veluti circumscriptiones in vna distętione multæ, ni tardus simúlque rarus sit motus. At in acutis febribus (necesse enim est malignas acutas esse) non sustinet pulsum caloris copia, vel tardum in summo, vel semel fieri rarum; cæterùm tardus est, aut non celer certè pulsus, quum dissoluitur facultas, (tametsi in eo quidam dignoscendo hallucinentur) sed non summè tardus tamen; rarus autem haudquaquam; imò creber semper, ac vbi vis vrgeat caloris, magnopere est creber. Mihi quidem iam visum est tertij huius libri hîc finem facere. Reliqua in quarto persequar, ab affectionibus animi exorsus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΩΝ ΕΝ ΤΟΙΣ ΣΦΥΓΜΟΙΣ ΑΙΤΙΩΝ ΛΟΓΟΣ Δ.

GALENI DE CAVSIS PVLSVVM LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Δʹ ΒΙΒΛΙΩι.

Μνημονεύει τῶν παρὰ φύσιν αἰτίων τῶν τοὺς σφυγμοὺς τοῖς τε τῆς ψυχῆς, καὶ τοῖς τοῦ σώματος πάθεσιν ἀλλοιούντων.

ARGVMENTVM LIBRI QVARTI.

Agit de causis præter naturam, quæ tum animi, tum corporis affectione pulsus immutant.

CAPVT PRIMVM.

Quæ pulsuum causæ superioribus libris explicatæ sunt, quæ hoc libro explicandæ.

INTER causas, vnde pulsus alterantur, quæcunque mutationem moliuntur per se, continentes eorum generationem, ex quo sunt continentes appellatæ, prioribus duobus libris exposuimus. Quæ has præcedunt, quarum consistit pars in ipsis animalium corporibus, pars extrinsecus accidit, has quum instituissemus duobus proximis explicare, (quia antè etiam in libro illo, quem tyronibus scripsimus de pulsibus, summatim de his, & citra demonstrationem tractauimus) operæpretium mihi est visum, vt hîc quoque de iis agerem citatis ipsis capitibus, atque distinctè explicarem, simúlque causas adderem. Ac in tertio quidem libro de ætatibus, regionibus, anni temporibus, naturis, præterea de exercitiis, quæ vocant, & cibo, potuque diximus. In hoc quarto, qui huius commentationis est postremus, de causis præter naturam sermonem habebo, exorsus ab affectibus animi; deinde etiam de corporis affectibus dicturus. Iam hîc quoque ad singula capita clausulas traducam ex libro tyronibus scripto.

ΚΕΦΑΛΑΙΟΝ Αʹ.

Ἅτινα τῶν σφυγμῶν αἴτια διὰ τῶν προτέρων ὑπομνημάτων γεγραμμένα, ἅτινα ἐν τῷδε τούτῳ ἐξηγητέα.

A ΤΩΝ ἀλλοιούντων τοὺς σφυγμοὺς αἰτίων, ὅσα μὲν δι' ἑαυτὰ τὴν τροπὴν ἐργάζεται συνέχοντα τὴν γένεσιν αὐτῶν, καὶ διὰ τοῦτο συνεκτικὰ κεκλημένα, διὰ τῶν προτέρων δυοῖν ὑπομνημάτων ἐγράψαμεν. ὅσα δὲ ἐκείνων προηγεῖται, τὰ μὲν ἐν αὐτοῖς τῶν ζώων τοῖς σώμασιν ὑπάρχοντα, τὰ δ' ἔξωθεν προσπίπτοντα, ταῦτα ἐν τοῖς ἐχομένοις δύο προθέμενοι διελθεῖν, ἐπεὶ καὶ διὰ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου περὶ τῶν B σφυγμῶν, ἐφθάσαμεν εἰρηκέναι περὶ αὐτῶν ἐν κεφαλαίοις τε καὶ χωρὶς ἀποδείξεως, ἄμεινον ἐκρίναμεν εἶναι, καὶ νῦν αὐτῶν μνημονεύοντες αὐτοῖς ὀνόμασιν, ἅμα μὲν ἐπιδεῖξαι ἀκριβέστερον, ἅμα δὲ καὶ τὰς αἰτίας ἀποδοῦναι. διὰ μὲν οὖν τοῦ τρίτου γράμματος, τὸν περὶ τῶν ἡλικιῶν τε, καὶ χωρῶν, καὶ ὡρῶν, καὶ φύσεων, καὶ προσέτι τῶν καλουμένων ἐπιτηδευμάτων, ἐδεσμάτων τε, καὶ πομάτων ἐποιησάμεθα λόγον. ἐν δὲ τούτῳ τῷ τετάρτῳ τε, καὶ ὑστάτῳ τῆς προκειμένης πραγματείας ὄντι, περὶ τῶν παρὰ φύσιν αἰτίων ὁ λόγος ἡμῖν ἔσται, τὴν ἀρχὴν μὲν ἀπὸ τῶν ψυχικῶν παθῶν ποιησαμένοις, ἐφεξῆς δὲ καὶ C περὶ τῶν σωματικῶν διελθοῦσι. προσγράψομεν δὲ κἀνταῦθα καθ' ἕκαστον κεφάλαιον, τὰς ῥήσεις ἐκ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου βιβλίου.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Σφυγμὸς τοῦ θυμοῦ.

Θυμοῦ μὲν, ὑψηλός ἐστιν ὁ σφυγμός, καὶ μέγας, καὶ σφοδρός, καὶ ταχύς, καὶ πυκνός.

Καὶ τὰ περὶ θυμοῦ λεγόμενα, δῆλα τῷ μεμνημένῳ τῶν ἔμπροσθεν. ὑπὲρ οὗ δὲ οὐδέπω πρότερον ἀπεφηνάμεθα, νῦν μὲν ἀναγκαῖον ἤδη προσθεῖναι. πότερον φαίνεται μόνον σφοδρότερος ὁ τῶν θυμουμένων σφυγμός, ἢ ὄντως τοιοῦτος γίνεται. κατελίπομεν γὰρ αὐτό, καίτοι διελθόντες ἐπὶ πλέον ἐν τῷ προτέρῳ λόγῳ, σχεδὸν ἄκριτον. οὐδὲ γὰρ οὕτως ἄν τις ἐπείσθη τότε, λεγόντων ἡμῶν ὅτι μὴ φαίνεται μόνον, ἀλλὰ καὶ γίνεται σφοδρότερος, ὡς νῦν πεισθήσεται, προακηκοὼς ἐν τῷ μεταξὺ λόγῳ, πολλὰ συντελοῦντα πρὸς τὴν πίστιν, καὶ μάλιστα τὰ περὶ τῶν ἀνωμαλιῶν εἰρημένα. φαίνεται γὰρ ἐναργῶς, ἐναλλὰξ ἐν ταύταις ὁ σφυγμὸς ἀμυδρός, καὶ σφοδρὸς γινόμενος, οὐ δήπου τῆς δυνάμεως οὕτω ταχέως εἰς ἀρρωστίαν τε καὶ ῥώμην μεταπιπτούσης, ἀλλὰ διαμαχομένης μὲν τοῖς λυποῦσιν αἰτίοις, οὐκ ἀεὶ δ' αὐτῶν κρατούσης. ἐναργέστατα δ' ἐπὶ τῶν ἀγαθῶν κρίσεων οἱ σφυγμοὶ γίνονται σφοδροί, ἐπαγειρούσης τινὰ καθ' ἑαυτὴν τῆς δυνάμεως ὑπὲρ τοῦ διώσασθαι τὰ λυποῦντα. φαίνεται δὲ τοῦτο κἀπὶ τῆς ψυχικῆς δυνάμεως γινόμενον, οὐ μόνης τῆς ζωτικῆς. ἐκλελυμένοι γοῦν τινες ἐσχάτως, ἢ διὰ γῆρας, ἢ διὰ νόσον, ἢ διά τινα προηγησάμενον κάματον, εἶτ' ἐξαίφνης θεασάμενοι λῃστῶν ἔφοδον, ἢ πολεμίων, ἢ θηρίου τινός, ἔδραμον ὠκέως ἀποφεύγοντες τὸ δεινὸν οὐδὲν ἧττον τῶν ἰσχυρῶν. οὕτω δὲ καὶ διὰ σεισμόν, τινὲς ἐκπηδήσαντες τῆς οἰκίας, ἢ δι' ἐμπρησμόν, ὠκύτατα διαθέουσιν, ἔμπροσθεν μόλις ὑπὸ τῆς ἀρρωστίας προβαίνοντες. ἐν ἅπασιν οὖν τοῖς τοιούτοις, δῆλόν ἐστιν, ὡς αἱ διοικοῦσαι τὸ ζῶον δυνάμεις, ἀνάγκης τινὸς καταλαβούσης, σφοδρότερον ἐνεργοῦσι. καὶ οὐ χρὴ θαυμάζειν, οὐδ' εἰ ἐν τοῖς θυμοῖς τοῦτο γίνεται. καὶ γὰρ φαίνεται, καὶ λόγον ἔχει, ὥσπερ οὖν καὶ γυμναζομένων, καὶ ὁπωσοῦν ἀνδριζομένων, οὐκ εἰς μέγεθος μόνον, ἀλλὰ καὶ εἰς σφοδρότητα τοὺς σφυγμοὺς ἰδεῖν ἐστι τρεπομένους.

CAPVT II.

Iræ pulsus.

IRæ altus est pulsus, magnus, vehemens, celer, creber.

Qui superiorum est memor, huic etiam quæ de ira dicuntur, aperta sunt. At de quo ante haud dum diximus, hoc est, in præsentia adiiciendum, vehementiorne tantum appareat pulsus iratorum, an eiuscemodi sit verè. Id enim omisimus, etsi latiùs in primo libro disputaremus, ferè dubium. Neque enim ita quis fidem tum haberet, si diceremus non apparere solùm, sed esse etiam vehementiorem, vt iam adducetur, quum ante in sermone interposito multa ordine audierit, quæ conferunt ad fidem, præsertim quæ de inæqualitatibus narrauimus, in quibus pulsus vicissim clarè videtur fieri languidus, & vehemens; non quo tam repentè facultas in imbecillitatem variet, & robur, sed quòd cum causis, eam lædentibus, decertet, nec superet perpetuò eas. Apertissimè autem pulsus per bonas iudicationes vehementes fiunt. Etenim facultas tum, vt quæ molestiam exhibent, repellat, excitat seipsam, quod & in animali cernas facultate, non tantum vitali. Exoluti enim quidam extremè, vel per senectutem, vel per morbum, vel aliam quampiam, quæ antecesserit, lassitudinem, si latrones subitò conspiciant ingruere, vel hostes, vel feram aliquam, concitato cursu aufugiunt periculum, neque in eo validis concedunt. Itémque in terræ motu ex ædibus exiliunt, aut per incendium, atque ocyssimè discurrunt; quum anteà per infirmitatem progredi vix possent. Ex quibus omnibus liquet, facultates animalis moderatrices si quando impendeat necessitas, maiore vi obire suas functiones. Quò minùs mirum est, si in ira hoc contingat, quum videatur meritò fieri; vt & in his etiam animaduertas, qui exercitationem subeunt, aut quam aliam nauant operam, pulsus non in magnitudinem modò, sed & in vehementiam conuerti.

ΚΕΦΑΛΑΙΟΝ Γ΄.

Ἡδονῆς σφυγμός.

Ἡδονῆς δὲ μέγας, καὶ ἀραιός, καὶ βραδύς, οὐ μὴν σφοδρότητί γε διάφορος.

Διαχεῖται γὰρ τὸ θερμὸν τοῖς ἡδομένοις εἰς ἅπαν τὸ σῶμα, καὶ ἡ ἐκτὸς αὐτοῦ κρατεῖ κίνησις, ὥσπερ τοῖς λυπουμένοις, ἡ ἐντός. εὐλόγως οὖν μείζων μὲν αὐτῶν ὁ σφυγμὸς γίνεται, σφοδρότερος δ' οὐκ ἔτι. οὔτε γὰρ ἐπίκτητός τις προσγίνεται διὰ τὸ πάθος, οὔτ' ἰσχυροτέρας ἐνεργείας χρεία. δῆλον δ', ὡς ἐπὶ τῆς κατὰ τὸν ἴδιον λόγον τῆς συμμέτρου ἀλλοιούσης τοὺς σφυγμοὺς ἡδονῆς, εἴρηται ταῦτα. πολλάκις γὰρ κατὰ συμβεβηκός, καὶ οἱ ἐναντίοι γίνονται σφυγμοί, τῆς ἡδονῆς ἀμέτρου γινομένης, καὶ διὰ τοῦτο καταλυούσης τὴν δύναμιν. ἀλλὰ τότε γε οἱ ἐπὶ καταλύσεως δυνάμεως γίνονται σφυγμοί. προείρηται γάρ, ὡς τὰ σφοδρότερα τῶν παθῶν, καθ' ἑαυτὰ τὴν ὅλην τῶν σφυγμῶν ἀλλοίωσιν ἐργάζεται.

CAPVT III.

Lætitiæ pulsus.

LÆtitiæ magnus, rarus, & tardus est pulsus, at vehementia nihil differt.

Lætis diffunditur per vniuersum corpus calor; atque plus foràs eius motus fertur, at in tristibus intrò. Vnde maior fit meritò pulsus illorum, at non vehementior item. Neque enim ascititius ex affectu comparatur, neque validioris actionis vsus. Planum autem est, hæc intelligi debere, de moderata lætitia, quæ propria ratione pulsus alterat. Nam si nimia quidem lætitia sit, vt facultatem dissoluat, pulsus sæpè per accidens contrarij existunt. At tunc pulsus fient, qui dum virtus dissoluitur, fieri solent. Diximus enim ante, qui inter affectus sunt vehementiores, hos totam alterationem pulsuum per seipsos moliri.

CAP.

CAPVT IV.

Tristitiæ pulsus.

Tristitiæ paruus, languidus, tardus, & rarius est.

Et tristitia enim refrigerat, & calorem intrò concitat. Itaque non iniuria contrarios pulsus efficit superioribus quos consequi lætitiam dicebamus.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Λύπης σφυγμός.

Λύπης δὲ μικρὸς, καὶ ἀμυδρὸς, καὶ βραδὺς, καὶ ἀραιός.

Καὶ ἡ λύπη μετά τε καταψύξεως γίνεται, καὶ τῆς ἔσω τοῦ θερμοῦ κινήσεως. εὐλόγως οὖν ἐπ' αὐτῆς, οἱ ἐναντίοι σφυγμοὶ τοῖς προειρημένοις ἕπεσθαι, ταῖς ἡδοναῖς ἀποτελοῦνται.

CAPVT V.

Timoris pulsus.

Timoris recentis, & vehementis celer, & vibratus, & inordinatus est, inæqualisque. Inueterati iam similis ei quem habet iustitia.

Timor è vestigio, quia statim multam mentis conturbationem facit, iure inæquales edit pulsus. Nam ante de hoc verba fecimus. Temporis diuturnitate pulsus tales creat, quales tristitia. Neque quicquam à tristitia abest diuturnus timor. Omnibus autem his, si diuturna sint, aut admodum vehementia, pulsus succedunt, vt solent dum facultas dissoluitur. Etenim dissoluunt omnia hæc facultatem breui quidem vehementia, tempore verò contraria. Atqui paulò ante idem ex illis, quæ de lætitia retulimus, ostendebatur; nunc etiam adscripsimus, quòd illis hoc in isagoge subiunximus, & etiam quòd de similibus vniuersaliter statuendum est item. Longiorem verò interpretationem hæc oratio non quærit; quare ad ea iam, quæ consequuntur, transeamus.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Φόβου σφυγμός.

Φόβου δὲ, τοῦ μὲν ὑπογύου καὶ σφοδροῦ, ταχὺς καὶ κλονώδης καὶ ἄτακτος, καὶ ἀνώμαλος. τοῦ δὲ ἤδη κεχρονισμένου, οἷος ὁ τῆς λύπης.

Ὁ φόβος, ἐν μὲν τῷ παραυτίκα, πολλοῖς ταραχὴν τῆς διανοίας ἐργαζόμενος, εὐλόγως εἰς ἀνωμαλίαν τρέπει τοὺς σφυγμούς. εἴρηται γὰρ ἔμπροσθεν ὑπὲρ τούτου, ἐν δὲ τῷ χρόνῳ, τοῖς τῆς λύπης ἐξομοιοῖ, οὐδὲ γὰρ οὐδ' ἄλλο τι λύπης γίνεται, χρονίζων φόβος. ἅπασι δὲ τούτοις χρονίζουσιν, ἢ σφοδροῖς ἄγαν γινομένοις οἷοι διαλυομένης τῆς δυνάμεως ἕπονται σφυγμοί. καὶ γὰρ, καὶ λύει τὴν δύναμιν ἅπαντα ταῦτα, συντόμως μὲν, ὅσα ἰσχυρά, χρονίως δὲ, τἀναντία. τοῦτο δὲ καὶ μικρῷ πρόσθεν ἐκ τῶν ἐπὶ ταῖς ἡδοναῖς λεχθέντων ἐδηλοῦτο. καὶ νῦν προσγέγραπται, διά τε τὸ, κατὰ τὴν εἰσαγωγὴν, ἐφεξῆς ἐκείνων εἰρῆσθαι, καὶ διὰ τὸ περὶ τῶν ὁμοίων ἁπάντων ἀποφήνασθαι καθόλου προσήκειν. ἐξηγήσεως δὲ περιττοτέρας οὐ δεῖται τὰ λεγόμενα. ἀλλ' ἐπὶ τὰ συνεχῆ μεταβαίνωμεν ἤδη.

CAPVT VI.

Ex dolore pulsus variatio.

Dolor, qui quidem variat pulsus, (variat autem ingens, aut qui principes partes tenet, vt etiam inflammatio) dum paruus est, atque initio pulsum edit maiorem, vehementiorem, celeriorem, crebriorem. Auctus verò iam, & admodum validus, vt etiam vitalem contentionem offendat, minorem, languidiorem, celerem, crebrum. Ac quò diuturnior sit, vel vehementior efficiatur, hoc illorum quodque increscit magis. Qui verò facultatem iam dissoluit, in remissionem, & paruitatem, & falsam celeritatis speciem, ingentemque crebritatem commutat.

Vt in omni molestia facultas, ita in doloribus sese solet, ad depugnandum, & reiiciendum id, quod infestat, concitare. Optimo igitur iure in magnitudinem, & celeritatem, vehementiamque pulsus mutat. Quæ si in eo nihil perficiat; veluti ex inani labore vis eius, & contentio dissoluitur. Itaque in remissionem motus, superata ab infestantibus facultate, recidunt. Quid autem falsam celeritatis speciem dixerim, in tertio libro De dignoscendis pulsibus declaratum est. Iam etiam demonstrauimus in horum commentariorum libro primo, cur paruis pulsibus penè omnibus adiuncta crebritas sit.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Τροπὴ τοῦ ἀπὸ τοῦ ἀλγήματος σφυγμοῦ.

Ἄλγημα δὲ τὸ τρέπον τοὺς σφυγμούς. τρέπει δὲ τὸ ἰσχυρὸν, ἢ ἐν κυρίοις μορίοις, ὡς καὶ ἡ φλεγμονή. μικρὸν μὲν ὂν ἔτι, καὶ ἀρχόμενον, μείζονα, καὶ σφοδρότερον, καὶ ὠκύτερον, καὶ πυκνότερον τὸν σφυγμὸν ἐργάζεται, αὐξηθὲν δὲ καὶ ἰσχυρὸν πάνυ γινόμενον, ὡς ἀδικεῖν ἤδη τὸν ζωτικὸν τόνον, μικρότερον, καὶ ἀμυδρότερον, καὶ ταχὺν, καὶ πυκνόν. καὶ ὅσῳ ἂν ἐγχρονίζῃ μᾶλλον, ἢ σφοδρότερος γίνηται, τῶν εἰρημένων ἕκαστον ἐπιτείνει. τὸ δὲ ἤδη διαλῦον τὴν δύναμιν, καὶ εἰς ἀμυδρότητα, καὶ μικρότητα, καὶ τάχους ψευδῆ φαντασίαν, καὶ ὑπερβάλλουσαν πυκνότητα, τὴν τροπὴν ἐργάζεται.

Ὥσπερ ἐπὶ τῶν ἄλλων ἁπάντων τῶν λυπούντων, οὕτω καὶ τῶν ἀλγημάτων, ἡ δύναμις ἐπεγείρειν πέφυκεν ἑαυτὴν, καὶ διαμάχεσθαι, καὶ διωθεῖσθαι πᾶν τὸ διοχλοῦν, ὅθεν εὐλόγως εἰς μέγεθος, καὶ τάχος καὶ σφοδρότητα τρέπει τοὺς σφυγμούς. εἰ μέν τοι μηδὲν ἀνύσειεν, ἐν τῷδε δῆλον, ὡς ἐκ περιττοῦ καμάτου αὐτῇ καὶ κατάλυσις τοῦ τόνου γίνεται, καὶ οὕτως εἰς ἀμυδρότητα μεταπίπτουσιν αἱ κινήσεις, ἡττηθείσης πρὸς τῶν λυπούντων τῆς δυνάμεως. διὰ τί δὲ τάχους ψευδῆ φαντασίαν εἴπομεν, ἐν τῷ τρίτῳ περὶ τῆς διαγνώσεως εἴρηται. καὶ μέν τοι καὶ διὰ τί τοῖς μικροῖς σχεδὸν ἅπασι σφυγμοῖς ἔζευκται πυκνότης, ἐν τῷ πρώτῳ λόγῳ τῶνδε τῶν ὑπομνημάτων ἀποδέδεικται.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Ο τῆς φλεγμονῆς σφυγμός.

Φλεγμονῆς σφυγμὸς, ὁ μὲν κοινὸς ἁπάσης, οἷον ἐμπρίων ἐστὶν, ὡς δοκεῖν τὸ μέν τοι διεστάλθαι τῆς ἀρτηρίας, τὸ δὲ, μὴ, σκληροτέρας δηλονότι φαινομένης αὐτῆς. ἔχει δέ τι καὶ κλονῶδες, ὁ σφυγμὸς οὗτος, καὶ ταχὺς μέν ἐστι, καὶ πυκνὸς, οὐκ ἀεὶ δὲ μέγας. ὁ δὲ ἴδιος ἑκάστης. ὁ μὲν τῆς ἀρχομένης, μείζων τοῦ κατὰ φύσιν, καὶ σφοδρότερος καὶ ὠκύτερος καὶ πυκνότερος. ὁ δὲ αὐξανομένης ἔτι, ταῦτά γε προσαυξάνει πάντα, καὶ σαφῶς τε ἤδη σκληρότερός ἐστι· καὶ κλονωδέστερος. ὁ δὲ ἀκμαζούσης σαφέστερος μὲν ἔτι καὶ σκληρότερος, καὶ κλονωδέστερος. μικρότερος δὲ ἢ πρόσθεν, οὐ μὴν ἀμυδρότερός γε, πλὴν εἰ μὴ ὑπὲρ τὴν δύναμιν εἴη τὸ πάθος. ἀλλὰ καὶ πυκνότατος γίνεται καὶ ταχύς. εἰ δ' ἱκανῶς χρονίζοι, καὶ ἤδη σκληρύνοιτο σκιρρωδῶς, πρὸς τοῖς εἰρημένοις ἰσχνότης σφυγμοῦ καὶ σκληρότης γίνεται. ταῦτα ἐπὶ τῆς τὸν ἐν ὅλῳ τῷ ζώῳ σφυγμὸν τρεπούσης φλεγμονῆς, ἢ διὰ τὸ μέγεθος, ἢ διὰ τὸ κύριον τοῦ μέρους ἐν ᾧ συνέστη. τῆς δὲ μὴ συγκινούσης τὸ πᾶν, ὅγε ἐν τῷ φλεγμαίνοντι μέρει σφυγμὸς οἷος εἴρηται. ἐπιτείνεται δὲ καὶ αὔξεται τῶν εἰρημένων ἕκαστον, ἢ παρὰ τὸ ποσὸν τῆς φλεγμονῆς, ἢ παρὰ τὴν αὐτοῦ τοῦ φλεγμαίνοντος ὀργάνου φύσιν. τὰ μὲν γὰρ νευρωδέστερα μέρη σκληροτέρους, καὶ μᾶλλον ἐμπρίοντας, καὶ μικροτέρους τοὺς σφυγμοὺς ἐργάζεται, τὰ δὲ φλεβωδέστερα, καὶ ἀρτηριωδέστερα, τοὺς ἐναντίους. αὐτῶν δὲ τούτων μείζων, ὁ ἐν τοῖς ἀρτηριώδεσι, καὶ ῥαδίως ἀνώμαλος, καὶ ἄτακτος γινόμενος. δῆλον οὖν ἤδη καὶ ὁ τῶν τὸ ἧπαρ φλεγμαινόντων σφυγμὸς, οἷος ἂν εἴη, καὶ ὁ τῶν τὸν σπλῆνα, καὶ ὁ τῶν τοὺς νεφροὺς, ἢ τὴν κύστιν, ἢ τὸ κῶλον, ἢ τὴν γαστέρα, καὶ πλευριτικῶν, καὶ περιπνευμονικῶν, καὶ πάντων ἁπλῶς εἰπεῖν, ὧν τῇ τοῦ μέρους φλεγμονῇ πυρετὸς ἕπεται. πλὴν, ὅσα διὰ τὴν τῶν συμπτωμάτων φύσιν, τῶν τε ἐξ ἀνάγκης ἑπομένων αὐτοῖς, καὶ τῶν κατὰ τύχην συνδραμόντων, ὡς ἂν ἕκαστον τρέπειν δύνηται. καὶ τὸν σφυγμὸν ἐπὶ τοσοῦτον ἀλλοιοῦσθαι συμβήσεται, μικτῆς τροπῆς ἐν αὐτῷ γινομένης τῆς τε κατὰ τὸν λόγον τῆς φλεγμονῆς, καὶ ἣν ἡ τοῦ τόπου φύσις, ἢ τοῦ παρόντος συμπτώματος ἐργάζεται. σπασθῆναι μὲν γὰρ τοῖς τὰς φρένας φλεγμαίνουσιν, ἕτοιμον. πνιγῆναι δὲ, τοῖς τὸν πνεύμονα. συγκοπῆναι δὲ, τοῖς τὸ στόμα τῆς γαστρός. ἀτροφῆσαι δὲ, τοῖς τὸ ἧπαρ. ἀπεπτῆσαι δὲ, τοῖς τὴν κοιλίαν, ἐπισχεθῆναι δὲ τὰ οὖρα, τοῖς τοὺς νεφρούς. καὶ τὰ μὲν αἰσθητικώτερα μέρη, καὶ διὰ τὰς ὀδύνας τρέπει τοὺς σφυγμοὺς, τὰ δὲ δυσαισθητότερα, κατὰ τὴν διάθεσιν μόνην. ἐκ τούτων οὖν ἁπάντων πολυειδεῖς αἱ ἀλλοιώσεις γίνονται τῶν ἐπὶ ταῖς φλεγμοναῖς σφυγμῶν. καὶ ὡς χρὴ διορίζειν αὐτὰς, εἴρηται μὲν ἐν ἑτέροις τελέως. εἴρηται δὲ καὶ νῦν εἰς ὅσον τοῖς εἰσαγομένοις χρήσιμον.

Καὶ ἡ μὲν ῥῆσις ἐκ τῆς εἰσαγωγῆς αὕτη, σαφῶς ἐκδιδάσκουσα τὴν ὑπὸ τῶν φλεγμονῶν γινομένην ἀλλοίωσιν ἐν τοῖς σφυγμοῖς. ὅπως δὲ, τὰ πρῶτα, καὶ συνέχοντα τὴν γένεσιν αὐτῶν αἴτια, διατιθέμενα πρὸς τῆς φλεγμονῆς, τὴν εἰρημένην τροπὴν ἐργάζεται, λέγειν ἂν ἑπόμενον εἴη, τὴν ἀρχὴν ἔνθεν ποιησαμένοις. παντὶ τῷ φλεγμαίνοντι μορίῳ δύο ταῦτ' ἐξ ἀνάγκης συμβέβηκε, θερμότερον τοῦ κατὰ φύσιν ὑπάρχειν, καὶ τετάσθαι. ταῦτ' οὖν ἄμφω, παντὶ τῷ σώματι μεταδίδωσιν, ὅταν ἤτοι κύριον ὑπάρχῃ τὸ μέρος, ἢ μεγάλην ἱκανῶς ἔχῃ τὴν φλεγμονήν. ἀλλ' ἡ μὲν καθ' ὅλον τὸ ζῶον πλεονεξία τῆς θερμασίας, πυρετός ἐστιν, καὶ δῆλον ὡς τὴν χρείαν οὗτος ἀλλοιώσει τῶν σφυγμῶν. ἡ δ' ἐκ τοῦ φλεγμαίνοντος τάσις, διαδίδοται καὶ εἰς τὰς ἀρτηρίας. διὰ ταύτην μὲν δὴ, σκληρότερος ὁ σφυγμὸς ἔσται, καὶ μᾶλλόν γε σκληρότερος ἐπὶ τοῖς νευρώδεσι μορίοις, ὅτι καὶ τείνεται ταῦτα τῶν ἄλλων μᾶλλον, ἐν ταῖς φλεγμοναῖς,

CAPVT VII.

Inflammationis pulsus.

INflammatio habet omnis communem pulsum veluti serrantem; vt alia pars attolli arteriæ, alia non videatur, quum illa scilicet videatur durior. Habet etiam vibrationis aliquid hic pulsus, ac celer quidem, & creber est, non perpetuò magnus tamen. At singulis est suus proprius. Incipientibus quidem maior iusto, & vehementior, & celerior, & crebrior. Augescentibus adhuc quum illa omnia increscunt, tum clarè iam durior, & magis vibratus est. Vigentibus autem manifestior est duriorque, atque vibratus magis, sed minor est, quàm dudum, non tamen languidior, nisi facultatem excedat affectus; quinetiam creberrimus fit, & celer; quæ si diuturnior sit, atque in scirrhum iam induresçat, accedit illis gracilitas pulsus, & durities. Hæc inflammatio habet, quæ pulsum per totum corpus immutat, vel quia magna est, vel quia principi insidet. Si verò vniuersum corpus non afficiat, pulsus in parte inflammata talis erit, qualem diximus. Crescunt autem, quæ commemorauimus singula, minuunturque, aut pro inflammationis quantitate, aut pro ipsius instrumenti natura inflammati. Siquidem partes neruosiores, duriores edunt pulsus, magisque serrantes, & minores; venosiores verò & arteriosiores, contrarios. Ac inter hos maior est in arteriosioribus, atque inæqualis facilè fit inordinatusque. Ex his liquet, qui pulsus sit illorum, quibus inflammatum iecur est, vel lien, renes, vesica, colon, ventriculus; Præterea pleuriticorum, & peripneumonicorum, & breuiter omnium; in quibus partis inflammationem comitatur febris. Nisi quibus in locis ob symptomatum naturam, quæ tum necessariò ea consequantur, tum casu adiuncta sunt, prout quodque possit mutare, ita pulsus contingat variari; vt mixta ibi mutatio fiat, & quæ inflammationi congrua est, & quam loci natura, vel præsentis inducit symptomatis. Quibus enim inflammatum est septum transuersum, hi conuulsionibus sunt opportuni; quibus pulmo, suffocationibus; quibus ventriculi os, syncopis; quibus iecur, atrophiæ; quibus ventriculus, cruditati; quibus renes, vrinæ suppressioni. Adhæc partes insigniore prædita sensu, etiam dolorum nomine pulsus mutant; quæ minus sentiunt, pro affectu tantum. Igitur in inflammationibus variè pulsus ex his omnibus mutantur. Quæ quemadmodum discernenda sunt, quum alio loco exactè tractauimus, tum verò in præsentia, quantum inter est tyronibus, persequemur.

Hoc caput est ex isagoge, quod pulsuum profectam ab inflammationibus mutationem clarè docet. Porrò vt primæ causæ, & generationem eorum continentes afficiantur ab inflammatione, vt illam mutationem inducant, explicare consequens est hinc exorsos. Omni parti, quæ inflammata sit, hæc necessariò duo accidunt, calor immodicus, & tensio. Quæ vniuerso corpori impartit ambo, vbi pars nobilis sit, vel insigni prædita inflammatione. Atqui immodicus calor, qui vniuersum corpus occupet, febris est; quæ vsum pulsuum alterabit dilucidè. At partis inflammatæ tensio peruadit etiam arterias. Quamobrem durior pulsus erit, eoque sanè in neruosis partibus durior, quòd præter ceteras hę in inflammationibus tendantur,

vt

vt quæ sint sua sponte etiam tensæ; atque vnà secum partes vicinas, quia sunt scilicet fortiores, intendunt. Nimium calorem autem ostendimus efficere per se pulsum celerem, & maiorem; quòd si quid deficiat vsui, ibi etiam crebrum. Rectè igitur omnes, quos ex inflammatione febris arripuit, habent pulsum durum, & insuper etiam ob intemperiem arteriarum, in vno occursu inæqualem. Quæ si ambo coniuncta sint, existet dubio procul species illa pulsus, quæ veluti serrat tactum; eam enim oportet, qui tangit, vt imaginem concipiat, vbi inæqualiter instrumentum durum occurrat. Erit porrò, vt diximus, manifeste celerior; ac, nisi resistat durities, planè maior; Sin quid resistat, tantum sibi conciliabit vibrati motus, quantum imminuta magnitudo sit. Iam etiam tanto hunc fore crebriorem, quanto minus distentio vsum compleuit, nosti, si quæ ante demonstrauimus, recordaris. Præterea magnitudinibus paribus inflammationum, variationem pulsuum non parem comitari, sed inflammationes partium venosarum, pulsus creare maiores, partium neruosarum minores, sed eos duriores, magisque serrantes. Nihil est enim in his, quod non clarum sit, si retineamus arterias magis tendi oportere à partibus neruosis inflammatis. Partes autem arteriosæ planè etiam copiam caloris in arteriis, vtpotè calidioribus adaugebunt amplius, atque maximos idcirco excitant pulsus. Et si qua alicunde inæqualitas exoriatur, eam detegent manifestius. Duas, ni fallor, causas esse docuimus inæqualium pulsuum, facultatis, quæ arterias mouet, ob nimios humores, qui ipsam degrauent, imbecillitatem; præterea ob ipsorum instrumentorum affectus, obstructiones inquam, & constrictiones, atque tensiones, & compressiones. Quare nihil est mirum, si inæquales in arteriosis partibus inflammatis pulsus fiant; quum effectrix facultas illorum facillimè in talibus defatigetur, ipsaque instrumenta sint affecta. Reliqua, quæ in libro tyronibus nuncupato scripsimus de mutatis ab inflammatione pulsibus, non puto desiderare interpretem. Itaque ad vnum nunc de proximis capitibus est digrediendum.

A ὡς ἂν ἤδη φύσει τεταμένα. καὶ συντείνειν ἑαυτοῖς τὰ συνεχῆ μᾶλλον πέφυκεν, ὡς ἂν ἰσχυρότερα. ἡ δὲ τῆς θερμασίας πλεονεξία, ταχὺν ἐνεδείκνυτο, καὶ μείζονα κατὰ τὸν ἑαυτῆς λόγον ἐργαζομένη τὸν σφυγμόν. ἐπειδὰν δὲ ἐλλείπῃ τι τῇ χρείᾳ, τηνικαῦτα ἤδη καὶ πυκνόν. εὐλόγως οὖν σκληρότερος ἅπασι τοῖς ἐπὶ φλεγμονῇ πυρέττουσιν, ὁ σφυγμὸς γίνεται, καὶ προσέτι γε, διὰ τὴν δυσκρασίαν τῶν ἐν ταῖς ἀρτηρίαις, ἀνώμαλος κατὰ μίαν προσβολήν. καὶ δῆλον ὡς ἀμφοῖν συνελθόντων, τὸ εἰρημένον ὑπό τινων εἶδος ἔσται τῶν σφυγμῶν, τὸ οἷον ἐμπρίον τὴν ἁφήν. οὕτω γὰρ ἀνάγκη φαντασιοῦσθαι τὸν ἁπτόμενον ὀργάνου σκληροῦ, τὴν προσβολὴν ἀνώμαλον ἔχοντος. B ἔσται δ' ὡς εἴρηται θάττων ἐπιφανῶς, καὶ εἰ μὴ ἀντιβαίνοι γε ἡ σκληρότης, καὶ μείζων σαφῶς. εἰ δ' ἀντιβαίνοι κατά τι, τοσούτῳ προσλήψεται κλονώδους κινήσεως, ὅσῳ ἀφῃρέθη τοῦ μεγέθους. ὅτι δ' ἐν τούτῳ καὶ πυκνότερος ἔσται τοσοῦτον, ὅσον οὐχ ἱκανῶς ἐπλήρωσε τὴν χρείαν ἡ διαστολή, καὶ τοῦτο, ὧν μεμνήμεθα τῶν ἔμπροσθεν ἀποδεδειγμένων, πρόδηλον. ὥσπερ γε καὶ ὅτι τοῖς ἴσοις μεγέθεσι τῶν φλεγμονῶν, οὐκ ἴση τῶν σφυγμῶν ἀλλοίωσις ἕπεται, ἀλλ' ἐν μὲν τοῖς φλεβώδεσιν μέρεσιν αἱ φλεγμοναί, μείζους ἐργάζονται σφυγμούς, ἐν δὲ τοῖς νευρώδεσιν, ἐλάττους, ὥσπερ καὶ σκληροτέρους τε καὶ μᾶλλον ἐμπρίοντας. οὐδὲ γὰρ τούτων ἀσαφὲς C οὐδέν, εἰ μνημονεύοιμεν ὅτι μειζόνως τείνεσθαι τὰς ἀρτηρίας ἀναγκαῖον, ὑπὸ τῶν νευρωδῶν μορίων φλεγμαινόντων. τὰ δ' ἀρτηριώδη μέρη, δῆλον ὡς καὶ ταῦτα, τό τε πλῆθος τῆς ἐν τῇ ἀρτηρίᾳ θερμασίας, ὡς ἂν θερμοτέραις οὔσαις, ἐπὶ μᾶλλον παραυξήσει, καὶ διὰ τοῦτο μεγίστους ἀναγκάζει γίνεσθαι τοὺς σφυγμούς. καὶ εἴ τις ἀνωμαλία συνίσταιτο, καθ' ὁντιναοῦν λόγον, ἐπιφανεστέραν αὐτὴν ἀποδείξει. δύο γάρ, εἴ τι μεμνήμεθα, τὰς πρώτας αἰτίας ἐδείκνυμεν ἀνωμαλίας σφυγμῶν, ἀρρωστίαν τε τῆς κινούσης δυνάμεως τὰς ἀρτηρίας, διὰ πλῆθος βαρυνόν, καὶ προσέτι τῶν ὀργάνων αὐτῶν τὰς διαθέσεις. ἐμφράξεις δή τινας, καὶ σφηνώσεις, D καὶ τάσεις, καὶ θλίψεις. οὐδὲν οὖν θαυμαστόν, ἀνωμάλους ἐπὶ τοῖς ἀρτηριώδεσι μορίοις φλεγμαίνουσι τοὺς σφυγμοὺς ἀποτελεῖσθαι, τῆς τε δυνάμεως τῆς ἐργαζομένης αὐτοὺς ῥᾷον ἐν τοῖς τοιούτοις καμνούσης, αὐτῶν τε τῶν ὀργάνων κακῶς διακειμένων. τὰ δ' ἄλλα, τὰ εἰρημένα διὰ τοῦ τοῖς εἰσαγομένοις γεγραμμένου βιβλίου, τοῦ ἐπὶ φλεγμονῇ ῥοπαῖς τῶν σφυγμῶν ὑπάρχειν, οὐδεμιᾶς ἐξηγήσεως δεῖσθαι νομίζω. μεταβαίνειν οὖν ἤδη καιρὸς ἐπί τινα τῶν ἐξῆς ῥήσεων.

CAPVT VIII.

Pleuriticorum pulsus.

Pleuriticorum celer pulsus est & creber, nec admodum magnus, videatur etiam vehemens esse. Est ille verò non languidus quidem, sed tamen non vehemens statim, quod ad affectum refert. Siquidem vbique hoc memoria seruandum est; in vnaquaque re mutationem esse pro illa re æstimandam, distinguendumque quod alia de re, non de illa acciderit. Pulsus itaque pleuriticorum, quia neruosiorem quodammodo, durioremque efficit arteriam, quasi conuerteret in vehementiam, imperitis imponit, quos, quid intersit inter durum ictum, & vehementem, latet. Ita quoque vulgus medicorum, quòd alias etiam differentias pulsuum discernere nesciat, has fortaßis institutiones accusabit, atque ex sua ignorantia damnabit recta præcepta. Verùm non faciam, vt hic longior sim, quum separatim de pulsibus dignoscendis scripserim. Quare vt rationem exerceatis, simul, & tactum, admoneo, vt in experiundo pulsum

ΚΕΦΑΛΑΙΟΝ Η'.

E Ὁ τῶν πλευριτικῶν σφυγμός.

Τῶν μὲν πλευριτικῶν ταχύς, καὶ πυκνός, καὶ οὐ λίαν μέγας· δόξει δ' ἂν καὶ σφοδρός. ὁ δ' ἐστὶν, οὐκ ἀμυδρὸς μέν, οὐ μὴν ἤδη καὶ σφοδρός, ὅσον ἐπὶ τῷ πάθει. τοῦτο γὰρ ἐπὶ πάντων μεμνῆσθαι χρή, ὃ δεῖν ἐφ' ἑκάστου τῶν πραγμάτων, ὅσον ἐπ' ἐκείνῳ, τὴν τροπὴν ἐξετάζειν, διορίζοντας ὃ διά τι ἄλλο, καὶ μὴ δι' ἐκεῖνο συμβέβηκός. ὁ τοίνυν τῶν πλευριτικῶν σφυγμός, νευρωδεστέραν πως καὶ σκληροτέραν ἐργαζόμενος τὴν ἀρτηρίαν, ὡς ἂν εἰς σφοδρότητα τρέπων, ἀπατᾷ τοὺς ἀγυμνάστους, οὐ δυναμένους διακρῖναι σκληρὰν πληγὴν, σφοδρᾶς. οὕτω δὲ καὶ ἄλλας διαφορὰς σφυγμῶν F ἀδυνατοῦντες διακρίνειν οἱ πολλοί, τάχ' ἂν ἴσως μέμψαιντο τοῖς ἐνταῦθα γεγραμμένοις, ἐξ ὧν αὐτοὶ συνιᾶσι, τῶν ὀρθῶς λεγόντων καταγινώσκοντες. ἀλλ' οὐ χρὴ μηκύνειν ἐν τῷ νῦν λόγῳ περὶ αὐτῶν. γέγραπται γὰρ ἡμῖν ἰδίᾳ περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως. ἀσκεῖν οὖν παρακελευόμεθα τόν τε λογισμὸν ἅμα, καὶ τὴν ἁφήν, ὡς ἐπ' αὐτῶν τῶν ἔργων, γνωρίζειν δύνασθαι τὴν ἁφήν,

τοὺς σφυγμούς, οὐ λόγῳ διακρίνειν μόνον. ἀρχὴ δὲ τῆς ἐπὶ τῶν ἔργων τριβῆς, ἡ διὰ τῶν λόγων διδασκαλία. καὶ γάρ τοι καὶ τῆς πυκνότητος τὸ ποσόν, οὐχ οἷόν τε ἑρμηνεῦσαι, καίτοι μεγάλην ἔχει διαφορὰν ἡ ὑπερβαίνουσα τὸ εἰθισμένον μέτρον πλευρίτιδος, ἢ ἐλλείπουσα. τὰς μὲν γὰρ ὑπερβολάς, εἰς περιπνευμονίαν μεθισταμένης, ἢ συγκοπὴν ἀπειλούσης, ἀνάγκη γίνεσθαι. τὰς δὲ ἐνδείας, εἰς καταφοράν, ἢ νεύρων τελευτᾶν βλάβην. οὕτω δὲ καὶ τὸ τῆς ἀνωμαλίας εἶδος τὸ ἐμπριστικόν, ἴδιον οὐχ ἥκιστα πλευρίτιδος ὑπάρχον, ἀνιέμενον μέν, μαλακῆς καὶ οὐχ ἥκιστα πεφθησομένης, ἐπιτεινόμενον δὲ χαλεπῆς καὶ δυσπέπτου γνώρισμα πλευρίτιδος. αἱ τοιαῦται σὺν ἀσθενεῖ τῇ δυνάμει ὀξέως κινδυνώδεις, σὺν ἰσχυρᾷ δέ, ἢ χρονίως ἐπέφθησαν, ἢ εἰς ἐμπύημα μετέπεσον, ἢ φθινώδης αὐτὰς μαρασμὸς διεδέξατο. τῆς μὲν οὖν πεττομένης ὁ σφυγμός, πᾶσαν ἀποτίθεται κατὰ βραχὺ τὴν παρὰ φύσιν τροπήν. τῆς δὲ εἰς ἐμπύημα μεταβαλλούσης, οἱ τῶν ἐμπυημάτων ἴδιοι γίνονται, κατὰ ταῦτα δέ, καὶ τοῖς φθινωδῶς μαρανθησομένοις, οἱ τῶν μαρασμῶν.

Αὕτη μὲν ἐκ τῆς εἰσαγωγῆς ἡ ῥῆσις, αὐτὰ τὰ φαινόμενα συμπίπτειν τοῖς πλευριτικοῖς ἐκδιδάσκουσα, οὐ μὴν τὰς αἰτίας ἔτι ἐκδιηγουμένη. νῦν οὖν λεγέσθωσαν. ἡ πλευρῖτις, τοῦ ὑπεζωκότος τὰς πλευρὰς ὑμένος ἐστὶ φλεγμονή, καὶ διὰ τοῦτο, πυρέττουσι μὲν ὀξέως, ὡς ἂν πλησίον κειμένης τῆς καρδίας, ὅτι δ' οὕτω πυρέττουσι, ταχὺς αὐτοῖς ὁ σφυγμός. ὅτι δὲ καὶ νευρῶδες τὸ πεπονθὸς μόριον, ἐπιφανῶς σκληρός. ἐπεὶ δὲ τοῦτο, διὰ τοῦτο, καὶ μικρότερος ἢ κατὰ τὴν ἀξίαν τοῦ πυρετοῦ. δεόντως οὖν καὶ πυκνὸς ἀποτελεῖται, τῆς μὲν θερμασίας δεομένης μεγέθους σφυγμῶν, τῆς σκληρότητος δ', οὐχ ὑπακουούσης. ἐδείχθη δ' ἐν τοῖς ἔμπροσθεν ὅσον ἂν ἐλλίπῃ τῇ χρείᾳ τὸ μέγεθος τοῦ σφυγμοῦ, τοῦτ' ἐκ τῆς πυκνότητος ἀναπληρούμενον. ἄνισος δ' ἐπ' αὐτῶν ἡ πυκνότης, ὅτι καὶ τῶν ἐργαζομένων τὴν φλεγμονὴν χυμῶν, οὐχ ἓν εἶδος. εἰ μὲν οὖν χολωδέστεροι τύχοιεν ὄντες, ὅ, τε πυρετὸς ὀξύτερος ἂν γένοιτο, καί τις ἀκολουθήσει βλάβη τῆς δυνάμεως. εἰ δὲ φλεγματωδέστεροι πρᾳότερος μὲν ὁ πυρετός, ἑτοιμότερος δ' εἰς καταφοράν. ἀεὶ μὲν γὰρ ἐπὶ πλευρίτισι καὶ περιπνευμονίαις, ἡ κεφαλὴ κακοῦται, τῶν ἐν ταῖς φλεγμοναῖς σηπομένων χυμῶν ἐκδεχομένη τὴν λιγνύν. ἀλλ' ὅταν μὲν ὁ σηπόμενος χυμὸς ᾖ χολώδης, ἀτμίζων δριμύ, καθάπερ αἰθάλην τινά, δάκνει τοῦτο, καὶ διαβιβρώσκει, καὶ ἐρεθίζει τὰ κατὰ τὸν ἐγκέφαλον, καὶ οὕτως εἰς παραφροσύνην ἄγει. φλεγματώδης δ' ὑπάρχων, οὐ καπνῷ δριμεῖ παραπλήσιος, ἀλλ' ἀχλύϊ τινὶ παχείᾳ, καὶ θολερᾷ, καθάπερ τι νέφος ἐπὶ τὴν κεφαλὴν ἀναπέμπων, ὑγραίνει τε τοῦτο, καὶ βαρύνει τὸν ἐγκέφαλον, ἀναγκάζει τε καταφέρεσθαι, καὶ καρώδη γίνεσθαι τὸν ἄνθρωπον. εὐλόγως οὖν, ἡ μὲν εἰς πλείονα πυκνότητα τροπὴ τῶν σφυγμῶν, ἢ περιπνευμονίαν, ἢ συγκοπὴν ἐπιφέρει. περιπνευμονίαν μέν, ἐπιλαμβανούσης ἀεί, καὶ βλαπτούσης τὰ συνεχῆ τῆς ἐν τῇ πλευρᾷ φλεγμονῆς, ὡς ἂν ὑπὸ θερμοῦ καὶ ζέοντος, καὶ ῥᾳδίως κινουμένου χυμοῦ γεννωμένης. συγκοπὴν δ' αὖ, κακώσει τῆς δυνάμεως, ἤτοι διὰ νεύρων βλάβην, ἢ καταφοράν, ὅταν ἐκ τῶν φλεγματωδῶν χυμῶν ἀτμιζόντων ὁ ἐγκέφαλος πληρωθῇ. καὶ γὰρ αὖ καὶ τοῦτο, εἰ μὲν ἀπώσασθαι δυνηθείη τὸ βλάπτον εἰς τὰς ἀποφύσεις, ἡ τῶν νεύρων ἀκολουθεῖ κάκωσις. εἰ δ' ἀδυνατήσειεν, ἡ καταφορά. τοῖς μὲν οὖν τοιούτοις χυμοῖς ἀραιότεροι, τοῖς δ' ἐναντίοις τοῖς χολώδεσι, πυκνότεροι τοῦ συνήθους μέτρου τῆς πλευρίτιδος, οἱ σφυγμοὶ συμπίπτουσιν. τὸ δὲ δὴ μέσον ἀμφοῖν ἐστιν ἀραιότητός τε καὶ πυκνότητος ἐν πλευρίτιδι μέτρον, ὅταν αἱματικὸς ὁ τὸ πάθος ἐργαζόμενος ὑπάρχῃ χυμός. οὕτω δὲ καὶ τὸ τῆς σκληρότητος ὑπάρχον μέσον,

valeat tactus cognoscere, non discernere solum ratione. Principium verò est exercitationis, sermone expressa doctrina. Quippe nequeas, vel crebritatis quantitatem verbis explicare; tametsi multum intersit, excedat iustum pleuritidis modum, an non assequatur. Siquidem excessus, vbi in peripneumoniam migret, aut denuntiet syncopen, necesse est fieri; defectus in soporem, vel neruorum desinere læsionem. Simili modo illa inæqualitatis species, quæ serrantis imaginem præbet, in primis pleuritidis proprium est signum; si remissa est, mollis, & probè maturandæ; si verò magna, difficilis & admodum crudæ pleuritidis. Tales cum imbecilli facultate coniunctæ periculum præsens habent; cum firma autem, aut tardè concoquentur, aut ad suppurationem conuertentur, aut tabidus eas excipiet marcor. Atque eius, quæ concoquitur, pulsus pedetentim omnem deponit illam præter naturam mutationem. Quæ conuertitur ad suppurationem, habet pulsus suppuratorum proprios. Ita quoque quæ tabidè marcescet, pulsus marcorum.

Caput ex isagoge hoc est, ac quæ apertè accidunt pleuriticis, declarat, causas autem non item aperit. Quamobrem eas hic exponam. Pleuritis inflammatio est succingentis costas membranæ, itaque febricitant acutè; quippe vicina est cordi. Quia verò ad eum modum febricitant, ideò habent pulsum celerem. Quòd neruosa etiam pars sit, quæ est affecta, hinc insigniter durus est. Iam, quia ita habet, ideò minor est quoque, quàm febri conueniat. Quare, vt & creber fiat, par est; quòd magnos pulsus calor postulet, refragetur durities: diximus autem ante quantum ab vsu absit magnitudo pulsus, resarcire crebritatem. Inæqualis autem in iis est crebritas, quòd nec humorum qui inflammationem committunt, vna sit species. Quare si sint biliosiores, etiam febris acutior erit, ac offensio quædam consequetur facultatis. Sin pituitosiores, & lenior erit febris, & procliuior ad soporem. Nunquam enim in pleuritide, & peripneumonia fit, vt caput non lædatur, quòd humorum excipiat in inflammationibus putrium fuliginem. Verùm quum putris humor sit biliosus, vaporem habet in modum fuliginis acrem; qui mordicat, & erodit; irritatque cerebrum, itaque ad delirium perducit; si pituitosus sit, nec fumo acri similis, sed caligini crassæ turbulentæ, quasi nubem quandam ad caput attollens, humectat id, grauatque cerebrum, cogitque in grauem somnum deferri, ac sopiri hominem. Rectè ergo quum pulsus in maiorem crebritatem mutantur, aut peripneumoniam, aut syncopen annunciant: peripneumoniam, quòd occupet semper, offendatque lateris inflammatio vicinas partes; vt quæ à calido gignatur feruenteque humore, atque facilè moto. Syncopen verò ex affecta facultate, vel per neruorum læsionem, vel soporem: quum ex pituitosis humoribus vaporantibus cerebrum repletur. Iam hoc etiam si propellere offensam ad ramulos valeat, consequetur læsio neruorum; & sopor, si nequeat. Ac talibus quidem humoribus rariores, contrariis, puta biliosis, crebriores iusto modo pleuritidis pulsus eueniunt. Porrò autem medius est inter raritatem, & crebritatem modus in pleuritide, vbi qui morbum committit humor, sanguineus sit. Sic etiam modus medius duritiei ex tali

li humore, ac moderata inflammatione oritur, augetur verò aut ob inflammationis nimiam magnitudinem, aut ob humores biliosos. Itémq; per contraria minuitur. Iam hoc quoque liquet, duros pulsus euidentius consecuturam speciem occursus veluti serrantis.

CAPVT IX.

Suppuratorum pulsus.

SVppuratorum pulsus initio statim pulsum refert vigentis inflammationis; ipsa enim initium est suppurationum. Nonnunquam inæqualis est, & inordinatus, sed omnibus hecticus. Quum autem pus propè sit maturum, cætera similis est; nisi quod æqualior sit: at quum erumpit, languidior, latior, tardior, rarior.

Qui multum puris in capedine inter thoracem, & pulmonem collectum habent, hos quidam ἐμπύους, alij ἐμπυϊκοὺς suppuratos appellant, qui fiunt quum magna ad costas inflammatio suppurat. Interim etiam comitantur peripneumonias. Denique omnes quibus inflammatum viscus aliquod suppurauit, suppuratos vocant. Hoc ergo caput de suppuratis, quod ex isagoge proposuimus, quum præcipuè est in primis, quos commemorauimus, verùm tum verò in reliquis omnibus. Nam vbi suppurat inflammatio, quòd instrumenta vitiata, & debilitata sit facultas, non potest non pulsibus inæqualitas quædam, & ordinis perturbatio moueri, huic cumulus accedit naturæ cum symptomate certamen. Humor enim putridus, qui modò huc, modò illuc sine ordine confluit, tum spiritum transitu intercludit, tum ad propulsanda naturam incitat, quæ molesta sunt, vnde magni vehementesque & alti, celeresque pulsus oriuntur. Paulò post autem vbi defatigatur pugnando facultas, aut siqua firmius pars obstruatur, in contraria recidunt; dum seipsam concitet vitalis facultas, ac ad reiicienda, quæ sibi sunt infesta, se conuertat, vbi denuò altiores atque vehementiores prioribus euadunt pulsus. Ergo quum perpetua hæc sit mutatio, inæqualitas in iis necessariò quædam, & ordinis perturbatio nascitur, eaque dum fiat eruptio, perdurat. Quamobrem hecticus est dictus pulsus illorum; quod quidem nomen recentioribus medicis significat constanter manere illum eundem, & non in orbem veluti accessiones quasdam facere, rursúsque interualla, quod in aliis fit febribus. Perpetua est enim illa in motu arteriarum agitatio, donec fiat eruptio; at dirupta parte, quæ suppurat, planè erunt omnia contraria. Ac meminisse oportet eorum, quæ de lato pulsu in secundo libro, & de alto docuimus, neque hoc postulandum, vt de omnibus sæpius repetamus. Nam vasa iam erumpente pure desinunt tendi, facultasque defessa est ex colluctatione, ac necessariò homo est attenuatus, quæ vbi conuenerunt, latus fit pulsus. Augebit porrò multo magis ad sensum quidem eius speciem, ascensus ante eruptionem arteriarum. Siquidem quia illius adhuc sumus memores, eique comparamus, quæ nunc apparent, pulsum reddi bene latum arbitramur.

ἐπί γε τῷ τοιούτῳ χυμῷ, καὶ τῇ μέσῃ κατὰ τὸ μέγεθος τῆς φλεγμονῇ. ἐπιτείνεται δ' ἤτοι διὰ μέγεθος ὑπερβάλλον φλεγμονῆς, ἢ χολώδεις χυμούς. ὥσπερ γε καὶ καθαιρεῖται διὰ τἀναντία. δῆλον δὲ, ὡς καὶ τοῖς σκληροῖς σφυγμοῖς ἐναργέστερον ἀκολουθήσει τὸ ἐμπριστικὸν εἶδος τῆς προσβολῆς.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ὁ τῶν ἐμπύων σφυγμός.

Ἔστι δὲ τῶν ἐμπύων ὁ σφυγμὸς, ἄρτι μὲν ἀρχομένων οἷος ὁ τῆς ἀκμαζούσης φλεγμονῆς. αὕτη γὰρ καὶ αὐτῶν τῶν ἐμπυημάτων ἐστὶν ἀρχή· ἔσθ' ὅτε δὲ καὶ ἀνώμαλος, καὶ ἄτακτος. ἑκτικὸς δὲ πᾶσιν. ἤδη δὲ τοῦ πύου παρακειμένου τἄλλα μὲν παραπλήσιος, ἀλλ' ὁμαλώτερος. ἐν δὲ ταῖς ῥήξεσιν ἀμυδρότερος, πλατύτερος, βραδύτερος, ἀραιότερος.

Τοὺς ἐν τῇ μεταξὺ θώρακός τε, καὶ πνεύμονος εὐρυχωρίᾳ πλῆθός τι πύου περιεχόμενον ἔχοντας ἔνιοι μὲν ἐμπύους, οἱ δ' ἐμπυϊκοὺς ὀνομάζουσι. γίνονται δὲ οὗτοι, διὰ μέγεθος τῆς ἐν ταῖς πλευραῖς φλεγμονῆς εἰς πύον μεταβαλλούσης. ἔστι δ' ὅτε καὶ περιπνευμονίαις ἀκολουθοῦσι. ἤδη δὲ καὶ πάντας οἷς σπλάγχνον τι φλεγμῆναν ἐξεπύησεν, ἐμπύους ὀνομάζουσιν. ὁ τοίνυν προγεγραμμένος περὶ τῶν ἐμπύων λόγος, ἐκ τῆς εἰσαγωγῆς, μάλιστα μὲν ἐπὶ τῶν πρώτων εἰρημένων, ἤδη δὲ κἀπὶ τῶν ἄλλων ἁπάντων, ἀληθής. εἰς πύον γάρ τοι μεταβαλλούσης τῆς φλεγμονῆς, ἀναγκαῖον ἀνωμαλίαν γέ τινα, καὶ ἀταξίαν ἐν τοῖς σφυγμοῖς γενέσθαι, διά τε τὴν τῶν ὀργάνων κάκωσιν, καὶ τὴν τῆς δυνάμεως ἀσθένειαν. ἐξ ἐπιμέτρου δὲ προσέρχεται ἡ διαμάχη τῆς φύσεως πρὸς τὸ σύμπτωμα. τὸ γὰρ ἐκ τῆς σήψεως ὑγρὸν, ὡς ἂν ἄλλοτ' ἀλλαχόσε μεταρρέον ἀτάκτως, ἅμα μὲν ἐμποδὼν ἵσταται ταῖς διεξόδοις τοῦ πνεύματος, ἅμα δ' ἐπεγείρει τὴν φύσιν ἀπώσασθαι τὰ λυποῦντα, κἂν τούτῳ μεγάλοι τε, καὶ σφοδροὶ, καὶ ὑψηλοὶ, καὶ ταχεῖς οἱ σφυγμοὶ γίνονται. μικρὸν ὕστερον δὲ, ἤτοι καμούσης ἐν τῇ διαμάχῃ τῆς δυνάμεως, ἢ κατά τι μόριον ἐμφράξεως ἰσχυροτέρας γινομένης, εἰς τἀναντία μεταπίπτουσι, μέχρις ἂν ἡ ζωτικὴ δύναμις ἑαυτὴν ἐπεγείρουσα πρὸς τὸ διωθεῖσθαι τρέπηται τὰ λυποῦντα, κἂν τούτῳ πάλιν, ὑψηλότεροι καὶ σφοδρότεροι τῶν ἔμπροσθεν οἱ σφυγμοὶ ἀποτελοῦνται. συνεχοῦς οὖν τῆς τοιαύτης μεταβολῆς γινομένης, ἀνωμαλία τέ τις ἐξ ἀνάγκης ἐν αὐτοῖς συνίσταται, καὶ ἀταξία, καὶ ταῦτα παραμένει διηνεκῶς, ἄχρις ἂν ἡ ῥῆξις γένηται. διὰ τοῦτο καὶ ἑκτικὸς αὐτῶν ὁ σφυγμὸς εἴρηται. δηλωτικὸν γάρ ἐστι τοῦτο τὸ ὄνομα παρὰ τοῖς νεωτέροις ἰατροῖς, τοῦ διαπαντὸς μένειν αὐτὸν ὅμοιον, καὶ μὴ κατὰ περιόδους τινὰς καταβολάς γέ τινας ποιεῖσθαι, καὶ αὖθις διαλείμματα, καθάπερ ἐν τοῖς ἄλλοις πυρετοῖς. παραμένει γὰρ ὁ προειρημένος σάλος ἐν τῇ κινήσει τῶν ἀρτηριῶν, ἄχρις ἂν ἡ ῥῆξις γένηται. ῥαγέντος μέντοι τοῦ διαπυΐσκοντος μορίου, δῆλος, ὡς τἀναντία πάντα γενήσεται καὶ χρὴ μεμνῆσθαι τῶν ἐν τῷ δευτέρῳ λόγῳ περί τε πλατέος εἰρημένων καὶ ὑψηλοῦ σφυγμοῦ, καὶ μὴ περὶ πάντων ἐθέλειν ἀκούειν πολλάκις. ἐπὶ γάρ τοι ταῖς ῥήξεσι τῶν ἐμπυημάτων, ἥ τε τάσις ἤδη τῶν ἀγγείων παύεται, καὶ ἡ δύναμις ἐν τῇ διαμάχῃ κέκμηκε, καὶ ἰσχνὸς ὁ ἄνθρωπος ἐξ ἀνάγκης γέγονεν. ὧν συνελθόντων, ὁ πλατὺς ἐγένετο σφυγμός. αὔξει δ' αὐτοῦ μάλιστα τὴν, ὡς πρὸς τὴν αἴσθησιν φαντασίαν ἡ πρὶν ῥαγῆναι, τῶν ἀρτηριῶν εἰς ὕψος ἄνοδος. ἐκείνης γὰρ ἔτι μεμνημένοι, καὶ παραμετροῦντες αὐτῇ τὰ νῦν φαινόμενα, πλατὺν ἱκανῶς ἀποτελεῖσθαι τὸν σφυγμὸν ὑπολαμβάνομεν.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Ὁ τῶν μαραινομένων σφυγμός.

Ἑξῆς ἐστιν ὁ περὶ τῶν μαραινομένων λόγος, ἐφ' οὗ καὶ αὐτοῦ προγράψαντες ὅσα πρὸς τὴν τῆς αἰτίας εὕρεσιν ἐστὶ χρήσιμα, μετὰ ταῦθ' ὑπογράψομεν τὴν ἐκ τῆς εἰσαγωγῆς ῥῆσιν. ὠνόμασται δὲ τὸ πάθος ἀπὸ τῶν φλογῶν τῶν μαραινομένων, ἐνδείᾳ δ' αὗται τροφῆς ἀποσβέννυνται. ὅταν οὖν κατὰ τὸν αὐτὸν λόγον ἡ σύμφυτος τοῖς ζώοις θερμασία μαραίνηται, τοὺς σφυγμοὺς ἀναγκαῖον ἀμυδροὺς ὑπάρχειν, ὡς ἂν ἐξ ἀνάγκης ἀρρώστου τοῖς οὕτως ἔχουσι τῆς δυνάμεως ἀποτελουμένης. διὰ δὲ ταὐτὸ τοῦτο, καὶ μικροὶ γίνονται. καὶ μὴν καὶ τάχος ἔχειν τι φαίνονται, τῷ καὶ τοῦτ' ἀχώριστον εἶναι τῶν πυρεττόντων. ἐπεὶ καὶ πυρέττουσι μὲν, ἄρρωστοι δ' εἰσὶ τὴν δύναμιν, καὶ διὰ τοῦτο, καὶ τὸν σφυγμὸν ἔχουσι μικρὸν, ἀναγκαῖον αὐτοῖς ἐστι, καὶ πυκνὸν ἔχειν. ἐδείχθη γὰρ, καὶ τοῦτ' ἐν τοῖς ἔμπροσθεν λόγοις. ἀρρωστίᾳ δὲ δυνάμεως ἐδείκνυτο καὶ ὁ περινενευκὼς ἕπεσθαι σφυγμὸς, μύουρος ὢν, καθ' ἑκάτερα τὰ μέρη. δῆλον δ', ὡς καὶ διὰ παντὸς ὅμοιον ἑαυτῷ τὸν σφυγμὸν ἕξουσιν οἱ τοιοῦτοι, τῆς διαθέσεως οὐκ ἐκ τῶν ὑγρῶν, ἢ τοῦ πνεύματος ὁρμωμένης, ἀλλ' ἐν αὐτοῖς τοῖς στερεοῖς ὑπαρχούσης· ὅλη γὰρ ἐπὶ τούτων ἡ ἕξις τοῦ σώματος, οἷον ἄνθραξ τις γέγονε. καὶ διὰ τοῦτο ἑκτικοὺς οἱ νεώτεροι τῶν ἰατρῶν, ὀνομάζουσι τοὺς τοιούτους σφυγμούς. ἐφ' ὧν δ' ἤδη τελείως ἀποσβέννυται τὸ θερμόν· ἐπὶ γερόντων δὲ μάλιστα τοῦτο συμπίπτει, καὶ ἀραιότερος ὁ σφυγμὸς γίνεται. καλεῖ δὲ τὸν τοιοῦτον μαρασμὸν ὁ Φίλιππος ἐκ νόσου γῆρας, καὶ συμπίπτει μάλιστα μὲν τοῖς παρηβῶσιν, ἐνίοτε καὶ τοῖς ἔτι ἀκμάζουσι. καὶ καλῶς ὑπ' αὐτοῦ γέγραπται τῷ Φιλίππῳ, ὅτι τούτων ἡ διάθεσις, οὐ τοῖς ἀκριβῶς διαπύροις ἄνθραξιν ἔοικεν, ἀλλὰ τοῖς οὕτω σβεννυμένοις, ὡς εἰς τέφραν ἤδη μεταβάλλειν. ἀρκεῖ ταῦτα τῷ γε νοῦν ἔχοντι πρὸς τὸ παρακολουθῆσαι τοῖς ἑξῆς. ὑπογράψομεν οὖν ἤδη τὴν ἐκ τῆς εἰσαγωγῆς λέξιν.

Ὁ δὲ τῶν μαραινομένων, οὐ καθ' ἓν εἶδος σφυγμὸς τρέπεται, χρὴ γοῦν καθόσον ἐνδέχεται, διαφοραῖς εὐδήλοις διαιρεῖσθαι περὶ αὐτῶν. οἱ μὲν δὴ ταῖς μὴ λυθείσαις φλεγμοναῖς κατὰ βραχὺ συναπομαρανθέντες, ἀμυδροὺς, καὶ θάττονας, καὶ πυκνοὺς ἄγαν, καὶ μυούρους κατὰ μέγεθος ἐν μιᾷ πληγῇ, τοὺς σφυγμοὺς ἴσχουσιν, οὓς Ἀρχιγένης ἐπινενευκότας τε καὶ περινενευκότας καλεῖ, σαφῶς δηλοῦν βουλόμενος, τὸ κατὰ τὴν διαστολὴν βραχὺ, μετὰ τῆς τῶν ἑκατέρωθεν περάτων οἷον ἐπινεύσεως. οὐ γὰρ, ὡς ἀποκεκομμένων ἀθρόως, ἀλλ' ὡς ἐπικεκαμμένων τῶν ἑκατέρωθεν μερῶν, εἰς βραχὺ συνέσταλται, μύουρος ὢν τῷ μεγέθει, καὶ καθ' ἑκάτερα τὰ μέρη. τοῦτο μὲν οὖν οὐ τούτοις μόνοις, ἀλλὰ καὶ τοῖς πλείστοις τῶν ὁπωσοῦν μαραινομένων ὑπάρχει, τοῖς μὲν διὰ φλεγμονὰς πᾶσιν, ἤδη δὲ καὶ τῶν ἄλλων πολλοῖς, εἰ μή τι ἄρα κἀκεῖνοι, διά τινας φλεγμονὰς λανθανούσας μαραίνονται. καὶ εἴη ἂν οὗτος τῶν ἐπὶ φλεγμοναῖς μαραινομένων ἴδιος, οὐδενὶ τῶν ἄλλως μαρανθέντων ὑπάρχων. ἑκτικὸς δὲ πᾶσι τοῖς μαραινομένοις ὁ σφυγμός ἐστι, καὶ τοῦτο αὐτοῖς κοινότατον. ἐν δευτέρῳ δὲ ἡ κατὰ τὸ μέγεθος τῆς διαστολῆς ἀνωμαλία μυουρίζουσα. καὶ γὰρ καὶ τοῦτο τοῖς πλείστοις ὑπάρχει. τρίτον δὲ τὸ τῆς πυκνότητος. ὑπάρχει γὰρ καὶ τοῦτο πᾶσι μὲν τοῖς ἐπὶ φλεγμοναῖς μαρανθεῖσιν ἀχώριστον, ἅπασί τε τοῖς ἐπὶ καρδιακαῖς, ἢ στομαχικαῖς συγκοπαῖς ὀξέως κινδυνεύσασιν. εἶτα ὑπὸ οἴνου πόσεως διαφυγοῦσι μὲν τὴν ὀξύτητα, μαρανθεῖσι δὲ τῷ χρόνῳ.

CAPVT X.

Marcescentium pulsus.

Proximum est de marcescentibus caput, de quo etiam quæ ad causam inueniendam faciunt, primo loco tradam, deinde caput ipsum ex Isagoge ascribam. Nomen hic affectus inuenit à flammis marcescentibus, quæ defectu nutrimenti extinguuntur. Ac vbi calor eodem modo marcescit natiuus animantium, pulsus oportet esse languidos. Nam ita affectis facultas efficitur debilis. Quocirca etiam parui fiunt; iam celeritate etiam quadam videntur præditi; quòd nec hæc abesse à febricitantibus possit. Quia autem & febricitant, & facultate sunt imbecilla, itáque pulsum habent paruum, necessariò iam simul crebrum obtinent; id quod & in libris prioribus est ostensum. Imbecillitatem autem facultatis comitari item pulsum circumnutantem declarauimus, qui decurtatus est in vtraque parte. Atque planum est, eos semper pulsum habituros vndequaque similem: quòd non ex humoribus affectus, nec ex spiritu procedat, sed in ipsis consistat solidis partibus. In his enim corporis habitus vniuersus, vt carbo quidam factus est, qua de re hecticos iuniores medici hos pulsus appellant. At quibus iam calor extinctus est totus, quod accidit potissimum senibus, rarior quoque pulsus fit. Hunc marcorem Philippus vocat ex morbo senium; quem ferè habent senescentes, & interdum vigentes etiam. De quibus optimè Philippus scripsit, non planè ignitis carbonibus hunc affectum similem esse, sed his, qui ita extinguuntur, vt in cinerem iam vertantur. Hæc viro prudentia prædito certè ad reliqua intelligenda satis sunt, itaque caput nunc ex Isagoge adscribemus.

Marcescentium pulsus non vno modo variat. Quare differentiis hi quàm apertissimis discernendi sunt. Qui vnà cum inflammatione, quæ non discussa sit, emarcuerint, languidos, & celeriores valdeque crebros pulsus habent, ac decurtatos magnitudine in vno ictu; quos Archigenes nutantes, & circumnutantes appellat, vt apertè declaret distentionis breuitatem cum vtriusque extremitatis quasi inclinatione. Neque enim vt præcisis affatim, sed ceu partibus, vtrinque inflexis contrahitur decurtatus magnitudine, & in vtrisque partibus. Atque hoc quidem non hi modo, sed marcescentes qualibet de occasione habent ferè omnes; qui ex inflammatione marcescant, omnes; & alij item multi; nisi illi sanè, qui de occulta quapiam inflammatione marcescunt. Eritque hic marcescentium ex inflammatione proprius, nulli conueniens, qui aliam ob causam marcuerit. At hecticus omnibus marcescentibus pulsus est, qui quidem iis est communissimus. Secundum illum inæqualitas secundum magnitudinem distentionis decurtata, quæ etiam adest plerisque; deinde crebritas, etenim hæc quoque omnibus, qui ex inflammatione marcuerint, perpetua adhæret; omnibusque adeò, qui ob syncopen ex corde, vel stomacho profectam in præsens periculum venerunt, ac deinde vini potione præceps declinauerunt periculum, sed tempore tamen marcuerunt; nisi

nisi sanè hos quoque dicas ex paruis inflammationibus perire, nobis incognitis. Siquidem sunt inter eos, qui nutantem habeant pulsum; nisi etiam hos dicas ex inflammatione, alios citra inflammationem marcescere. Verùm hoc in dubio est. Pulsum igitur hi habent hecticum, languidum, admodum crebrum, quem nutantem quidam appellant; atque alteram hanc marcescentes differentiam pulsuum sunt sortiti. Alia item tertia est eorum, qui rarum habent; verum, & his quum antegressa febris pulsus reddidit crebros, tum facultatis extrema dissolutio abundè efficit crebros. Quod autem intercedit, omnibus refrigeratis febribus, nondum tamen extinctis iis, in raritatem commutat. Genus hoc marcoris senibus proprium est, præsertim quum aliquid vitij pulmo, & thorax contraxit. Hi febrilem retinent pulsus duritiem, etiam si rarus sit. Omnino paucis marcescentibus in aliam inæqualitatem pulsus, ac illam, quam diximus, magnitudinis, vertitur.

A εἰ μή τι ἄρα καὶ τούτους φήσειέ τις ἐπὶ μικραῖς φλεγμοναῖς ἀδήλοις ἡμῖν ἀπόλλυσθαι. καὶ γάρ τινες αὐτῶν, τὸν ἐπινενευκότα σφυγμὸν ἔχουσιν, εἰ μή τι ἄρα πάλιν, τούτους μὲν ἐπὶ φλεγμονῇ, τοὺς δ' ἄλλους χωρὶς φλεγμονῆς μαραίνεσθαι φασί. τοῦτο μὲν δὴ ἄπορον. ἔχουσι δ' οὖν οὗτοι σφυγμὸν ἑκτικὸν, ἀμυδρὸν, πυκνὸν ἄγαν, ὃν καί τινες αὐτῶν ἐπινενευκότα καλοῦσι. δευτέρα μὲν αὕτη διαφορὰ σφυγμῶν τοῖς μαραινομένοις. ἄλλη δὲ τρίτη τῶν ἀραιὸν ἐχόντων, ἀλλὰ καὶ τούτοις πάντως ὅ,τε προηγησάμενος πυρετὸς ἐπύκνωσεν αὐτοὺς, τῆς τε δυνάμεως ἡ ἐσχάτη λύσις, ἱκανῶς πυκνοί. τῷ μέσῳ δὲ πάντων πυρετῶν ἀποψυχθέντων, μηδέπω δὲ ἀπολλυμένων αὐτῶν, τὴν εἰς ἀραιότητα τροπὴν εἰργάσατο. τοῦτο δὲ εἶδος τοῦ μαρασμοῦ, πρεσβυτικῆς ἡλικίας ἴδιον, ἐπειδὰν μάλιστα τὸν κατὰ πνεύμονα καὶ θώρακα πεπονθός τι τύχῃ. οὗτοι τὴν πυρεκτικὴν σκληρότητα τοῦ σφυγμοῦ φυλάττουσι κἂν ἀραιὸς ᾖ. παντελῶς δὲ ὀλίγοις τῶν μαραινομένων, εἰς ἄλλην ἀνωμαλίαν ὁ σφυγμὸς τρέπεται, πλὴν τῆς εἰρημένης κατὰ τὸ μέγεθος.

CAPVT XI.

Phthisicorum pulsus.

Phthisicorum quos vocant, pulsus paruus, & languidus est, mollisque, & modicè celer, atque hecticus.

Proxima est oratio de phthisicis, quos vocant, qui pulsum facultatis imbecillitate paruum, & languidum habent, at non nimium celerem vt plerique febricitantes; quòd non detineantur vrente febre. Hi habent etiam pulsum hecticum, quòd & febrem habeant hecticam: sic à febre, quæ corporis occupauit vniuersum habitum, appellatur pulsus; ab his in libro ad Tyrones scripto caput sequitur de peripneumonicis. Quod quidem hîc visum mihi est ascribere: habet autem ad hunc modum.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὁ τῶν φθισικῶν σφυγμός.

C Οἱ δὲ τῶν φθισικῶν ὀνομαζομένων σφυγμὸς, μικρὸς καὶ ἀμυδρός ἐστι, καὶ μαλακὸς, καὶ ταχὺς συμμέτρως καὶ ἑκτικός.

Ἑξῆς περὶ τῶν φθισικῶν ὀνομαζομένων ὁ λόγος ἐστί: μικρὸν μὲν καὶ ἀμυδρὸν ἐχόντων τὸν σφυγμὸν, ἀῤῥωστίᾳ τῆς δυνάμεως, οὐ μὴν ἱκανῶς γε ταχὺν, ὥσπερ οἱ πολλοὶ τῶν πυρεττόντων, ὅτι μηδὲ περιττῶς πυρέττουσι πυρετόν. ἑκτικὸν δὲ καὶ οὗτοι τὸν σφυγμὸν ἔχουσιν, ὅτι καὶ τὸν πυρετόν. ἀπὸ γὰρ τοῦ κατειληφότος τὴν ὅλην ἕξιν τοῦ σώματος αὐτῶν πυρετοῦ, ὁ σφυγμὸς τοῦτ' ὀνομάζεται. ἑξῆς δὲ τούτων ἐν τῷ τοῖς εἰσαγομένοις γεγραμμένῳ βιβλίῳ περὶ D τῶν περιπνευμονικῶν ὁ λόγος ἐστί. προσγράψαι δὲ κἀνταῦθα τὴν ῥῆσιν ἄμεινον εἶναί μοι δοκεῖ, τοιαύτην ὑπάρχουσαν.

CAPVT XII.

Peripneumonicorum pulsus.

Peripneumonicorum magnus est pulsus, & languidus, mollisque similiter atque lethargicorum pulsus: nisi quatenus præpollet inæqualitate, & in vno pulsu, & collectiua, quam vocant. In vno ictu, quum veluti interpellatur, & vndosus est, ac dicrotus interdum fit; in collectiua, cum alias differentias habet, tum modò intermittit, modò intercurrit.

Hoc caput est, quod accuratè, quæ peripneumonicis accidunt, docet. Causas verò, si memoriam habes eorum, quæ docuimus in primis commentariis, nullo negocio inueneris. Neque enim est mirum, vel magnum esse pulsum illorum, vel languidum, vel inæqualem ob pulmonis inflammationem, visceris tam laxi, & mollis, locisque inanibus infinitis pleni, tam porrò vicini cordi. Nam quia laxum est, & molle, & vndique vacuum, à pituitosiore, atque crassiore sanguine inflammatur; quum tenuis, biliosúsque fluat ferè, nec in viscere vlla ratione densari possit, talis fluxio, pituitosa inquam, tunicam irrigat vasorum, frangit autem vim facultatis, quæ in illis est. Quò fit, vt magnos simul, & languidos pulsus reddat.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ὁ τῶν περιπνευμονικῶν σφυγμός.

Ὁ δὲ τῶν περιπνευμονικῶν μέγας ἐστὶ, καὶ ἀμυδρὸς, καὶ μαλακὸς, ὁμοίως τῷ τῶν ληθαργικῶν, πλὴν ὅσα πλεονάζει τῇ ἀνωμαλίᾳ, τῇ τε κατὰ μίαν πληγὴν, καὶ τῇ συστηματικῇ καλουμένῃ. κατὰ μὲν τὴν μίαν πληγὴν, οἷον διακεκομμένος τε, καὶ κυματιζόμενος, καὶ δίκροτος ἔσθ' ὅτε γινόμενος, ἐν δὲ τῇ συστηματικῇ, E τάς τε ἄλλας διαφορὰς ἔχων. καί ποτε μὲν διαλείπει, ποτὲ δὲ παρεμπίπτει.

Ἡ μὲν ῥῆσις αὕτη, τὰ συμπίπτοντα τοῖς περιπνευμονικοῖς ἀκριβῶς ἐκδιδάσκουσα. τὰς δ' αἰτίας αὐτῶν οὐ χαλεπὸν ἐξευρίσκειν τῷ μεμνημένῳ τῶν ἐν τοῖς πρώτοις ὑπομνήμασιν ἀποδεδειγμένων. οὐδὲν γὰρ θαυμάσιον, οὔτε μέγαν εἶναι τὸν σφυγμὸν αὐτῶν, οὔτε ἀμυδρὸν, οὔτ' ἀνώμαλον ἐπὶ φλεγμοναῖς τοῦ πνεύμονος, οὕτω μὲν χαύνου, καὶ μαλακοῦ σπλάγχνου, καὶ μεστοῦ κενῶν χωρίων μυρίων, οὕτω δὲ πλησίον τῆς καρδίας κειμένου. διότι μὲν γὰρ χαῦνον, καὶ μαλακὸν, καὶ πολύκενον, ὑπὸ φλεγματικωτέρου τε, καὶ παχυτέρου F τὴν σύστασιν αἵματος, εἰς φλεγμονὴν ἄγεται, τοῦ λεπτοῦ, καὶ χολώδους, ὡς τὰ πολλὰ, διαῤῥέοντός τε, καὶ σφηνωθῆναι μηδαμῶς κατὰ τὸ σπλάγχνον δυναμένου. τὸ δὲ τοιοῦτον ῥεῦμα, λέγω δὲ τὸ φλεγμονικὸν, διαβρέχει μὲν τὸν χιτῶνα τῶν ἀγγείων, διαλύει δὲ τὸν τόνον τῆς ἐν αὐτοῖς δυνάμεως, καὶ οὕτω μεγάλους τε ἅμα, καὶ ἀμυδροὺς ἀποτελεῖ τοὺς σφυγμούς.

ὅτι δὲ καὶ τῆς καρδίας ἐγγὺς τὸ σπλάγχνον, ἡ ἀνωμαλία πολυειδὴς γίνεται. θλίψεσι γὰρ ἀρτηριῶν, καὶ σφηνώσεσι, καὶ ὅλως πληθωρικαῖς διαθέσεσιν, ἐδείξαμεν ἕπεσθαι τὴν ἀνωμαλίαν, καὶ μᾶλλον, ἐπειδὰν ἐγγὺς ὦσι τῆς καρδίας. ὅτι δ' ἐν ταῖς περιπνευμονίαις θλίβονται, καὶ βαρύνονται, καὶ σφηνοῦνται, καὶ ἀρρωστοῦσιν αἱ ἀρτηρίαι τοῦ πνεύμονος, οὐ δεῖ λόγου. διὰ τοῦτο δὲ, καὶ ὁ δίκροτος ἐπ' αὐτῶν σφυγμὸς σπανίως γίνεται, καίτοι τῆς γ' ἄλλης ἀνωμαλίας πολλῆς συμπιπτούσης, ὅτι δεῖ τοὐπίπαν τῷ δικρότῳ προσεῖναί τι σκληρότητος ἀγγείου. ταύτην δ' ἐκ φλεγματικοῦ ῥεύματος οὐχ οἷόν τε κτήσασθαι. τοῦ γὰρ χολωδεστέρου, τὸ συνάγειν, καὶ ξηραίνειν, καὶ τείνειν, καὶ σκληρύνειν ἔργον. ἐπεὶ τοίνυν σπανίως τοῦτο διοχλεῖ τῷ πνεύμονι, δῆλον ὡς καὶ ἡ σκληρότης σπανίως ἔσται. εἰ δὲ τοῦτο, καὶ ὁ δίκροτος σφυγμός. ὅτι δὲ παρὰ τὸ τῆς βλάβης μέγεθος, ἤτοι διαλείποντες, ἢ παρεμπίπτοντες ἔσονται σφυγμοὶ, καὶ τοῦτ' ἐν τῷ δευτέρῳ λόγῳ δεδήλωται. καὶ ὅστις οὐ μέμνηται ἐκείνων, μάτην καὶ ταῦτα ἀναλέγεται. μεμνημένῳ δὲ, περιττοτέρας ἐξηγήσεως οὐκ ἡγοῦμαι δεῖν ἔτι. καὶ γὰρ τὰ τούτοις ἐφεξῆς εἰρημένα διὰ τῆς εἰσαγωγῆς, ὑπὲρ τῶν περιπνευμονικῶν, οὐκ ἔχει τὰς αἰτίας ἀσαφεῖς τῷ μεμνημένῳ τῶν προτέρων, ἀλλ' ἀπόχρη κἀνταῦθα τὴν ῥῆσιν αὐτὴν παραγράψαι μόνον. πυρεττόντων δ' ἁπάντων τῶν περιπνευμονικῶν ὀξέως, καί τι καὶ κωματῶδες ἐχόντων, ὁπότερον ἂν αὐτῶν ἐπικρατῇ, κατ' ἐκεῖνο μάλιστα τὸ ποσὸν τῆς πυκνότητος εὑρίσκεται. πυρετωδεστέρας μὲν γὰρ ὑπαρχούσης τῆς περιπνευμονίας, ἱκανῶς πυκνὸς ὁ σφυγμὸς, κωματωδεστέρας δὲ, ἧττον πυκνός ἐστι.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ο τῶν ληθαργικῶν σφυγμός.

Ὁ δὲ τῶν ληθαργικῶν σφυγμὸς, ὅμοιος ὢν τῷ τῶν περιπνευμονικῶν, κατὰ τὸ μέγεθος, καὶ ἀσθένειαν, καὶ μαλακότητα, βραδύτερός ἐστιν αὐτοῦ, καὶ ἀραιότερος, καὶ ἧττον ἀνώμαλος, διαλείπων μᾶλλον, ἢ παρεμπίπτων. γίνεται δ' ἔστιν ὅτε καὶ δίκροτος. ἀεὶ μέντοι κυματώδης ἐστὶν ἔν γε ταῖς βαθείαις καταφοραῖς, ἐφ' ὧν ταῦτα λέγεται. τῶν γὰρ συμπεπληρωμένων ἅπασι τοῖς ἑαυτῶν γνωρίσμασι νοσημάτων τοὺς σφυγμοὺς λέξομεν, ἵνα καὶ τῶν ἐλλειπόντων κατά τι, καὶ μηδέπω τελείων, ἱκανοὶ γνωρίζειν δυνηθῶμεν τὸ μέγεθος. ὅσον τε ἤδη ἔχουσι, καὶ ὅσον οἷόν τε προσγίνεσθαι αὖθις.

Ὅτι καὶ ὁ λήθαργος, ἐπὶ φλεγματώδει γίνεται χυμῷ, δέδεικται καὶ τοῦτ' ἐν τοῖς ἰδίοις ὑπὲρ τῶν νοσημάτων λόγοις. ὥστε καὶ εὐλόγως, ὁ σφυγμὸς ὁμοιότατός ἐστι τῷ τῶν περιπνευμονικῶν. βραδύτερος εἰς τοσοῦτον, εἰς ὅσον ἀποκεχώρηκε τῆς καρδίας οὐκ ὀλίγον ὁ ἐγκέφαλος. ὁ γὰρ δὴ πνεύμων, τῇ γειτνιάσει τῇ πρὸς ἐκείνην, εὐλόγως ὠκυτέρους τε, καὶ πυκνοτέρους ἀπεργάζεται τοὺς σφυγμοὺς, ἐπειδὰν θερμότερος ᾖ. ὅτι δὲ καὶ ἀνωμάλους μᾶλλον εὔλογον γίνεσθαι διὰ τὴν γειτνίασιν, οὐδὲ τοῦτο ἄδηλον τοῖς μεμνημένοις τῶν προτέρων. διὰ τοῦτο δὲ καὶ διαλείπων ἐστὶν, ἢ παρεμπίπτων μᾶλλον, ὁ τῶν ληθαργικῶν σφυγμός. ἐπὶ πλέον γὰρ ψυχρότερον, καὶ ὡς ἂν εἴποι τις, νεκρωδέστερον τοῦ τῆς περιπνευμονίας ἐστὶ τὸ τοῦ ληθαργικοῦ νόσημα. ψυχρᾶς δ' ἦν οἰκεῖος διαθέσεως, καὶ δυνάμεως ἐπὶ πλέον ἀπεψυγμένης ὁ διαλείπων σφυγμός.

Quia verò cordi etiam viscus est vicinum, multiformis generatur inæqualitas. Siquidem compressionibus arteriarum, & constrictionibus, denique affectibus plethoricis ostendimus inæqualitatem succedere, potissimum si finitimæ sint cordi. Atqui, quòd in peripneumonia comprimantur, & grauentur constringanturque, atque debiles sint pulmonis arteriæ, quid refert dicere? Quapropter pulsus iis dicrotus infrequens est, quanuis aliam habeant multam inæqualitatem; quod dicrotus ferè semper vasis requirat quandam duritiem, quam quidem non contrahat ex pituitosa fluxione. Siquidem biliosioris munus est cogere, siccare, tendere, indurare. Quæ quando minùs sæpe pulmonem infestat, sanè erit rara quoque durities, & si hæc, simul dicrotus pulsus etiam. Iam pro offensæ magnitudine, vel intermittentes pulsus, vel intercurrentes fore, etiam secundo libro declaratum est, quæ si exciderunt, nequicquam hæc leges; si retines, prolixiorem intepretationem non puto iam te desiderare. Nam, quæ in isagoge deinceps de peripneumonicis retulimus, si primorum memoriam retines, non habent obscuras causas: quandoquidem hic quoque ipsum satis est caput duntaxat adscripsisse.

Quum autem febre teneantur acuta omnes peripneumatici, atque habeant adiunctum nonnihil comatis, vtrum superius horum sit, pro eius ratione potissimum quantitas crebritatis inuenitur. Nam insigniorem si peripneumonia febrem habeat, pulsus erit multùm creber: sin maius coma, minùs creber erit.

CAPVT XIII.

Lethargicorum pulsus.

Lethargicorum pulsus similis peripneumonicorum est, magnitudine, imbecillitate, mollitie: sed eo est tardior, rariórque ac minùs inæqualis, intermittens potiùs quàm intercurrens. Est quum dicrotus fiat; at vndosus semper in altis quidem soporibus est, de quibus hæc dicuntur. Morborum enim pulsus exponimus, qui omnibus suis indiciis constent: quo, si qui aliquatenus deficiant, neque dum sint integri, satis cognoscere magnitudinem, & qua iam sunt prædìti, & quæ accidere iis potest, valeamus.

Lethargum quoque ex humore pituitoso gigni, in commentariis, quos separatim scripsimus. De morbis ostensum est; vnde merito eius pulsus simillimus est peripneumonicorum, verùm hoc tardior, quod procul à corde remotum est cerebrum. Nam pulmo quidem, ob viciniam, quæ ipsi intercedit cum corde, pulsus suo iure, quum calidior sit, celeriores, ac crebriores creat. Iam verò etiam magis inæquales eos meritò esse ob viciniam, ne hoc quidem est obscurum, si prima retinuisti. Itaque intermittens est potius, quàm intercurrens pulsus lethargicorum, longè enim frigidior, & vt ita dicam, magis lethalis peripneumonia est morbus lethargici. Atqui frigido erat affectui proprius, facultatique valde refrigeratæ pulsus intermittens.

CAPVT XIV.

Phreniticorum pulsus.

Phreniticorum paruus pulsus est (rarißimè autem conspectus est magnus esse) & contentus est modicè, durus, & neruosus est, valde est celer, & creber; habet præterea nonnihil vndosi, interdumque vel subtremere tibi videbitur, interdum etiam præcisus cum conuulsione quadam. Quod enim febres in celeritate proprium habent symptoma, hic obtinet clarißimè, in vtroque termino distentionis, præcipuè externo. Inuenias etiam inæqualitatis in situ genus insigniter aliquando in illo apparere; imò totam subinde arteriam sua sede deserta conspicias attolli potiùs cum vibratione ebullientem, quàm more pulsus distentam; pari modo delabi detractam potius, quàm contractam. At verò immodica eius crebritas proximam denunciat syncopen.

Neque hic quidem causas illorum, quæ diximus, inuenire magni laboris fuerit, si scias generari à bilioso humore phrenitidem, vt lethargum à pituitoso; si item hoc teneas, lethargum ex ipso potius cerebro, phrenitidem præcipuè gigni ex tenui meninge, & ex septo transuerso. Quæ si memineris, etiam paruos meritò pulsus, & duros esse, non habebis necesse discere; atqui si affectus calidus est, pulsus autem parui, omnino etiam crebri sunt. Etenim prioris distentionis defectum, demonstrauimus ante in crebritatem pulsus mutare. Porrò, vt peripneumonicus pulsus raro dicrotus fit, quòd nihil prorsus habeat duritiei: sic phreniticus rarissimè vndosus efficitur, propterea quòd, & hic planè careat mollitie. Nam quòd subtremere facultatis sit signum imbecillæ, aliis locis ostendimus. Vbi ergo, quæ in arteriis est facultas, ampliùs distendere eas conetur, (nam hoc ob caloris abundantiam desiderat) idque durities tunicæ prohibeat, videtur pulsus quodammodo subtremere. Planè tunc hoc potissimum accidit, vbi immineat syncope; quomodo vbi conuulsio, etiam motus est pulsuum conuulsiuus. At hoc phrenitici habent perpetuum, vt cum conuulsione quadam motus abrumpatur, non desinat paulatim; viget enim calor, suntque dura instrumenta. Quum enim cupiat arterias amplius facultas distendere, obstat tunicarum durities; vnde violentia procedit, & præcisio illa conuulsiua. Sic incipiunt etiam arteriæ distendi subitò, & affatim, quasi exilientes magis, quàm pedetentim distentæ. Sic etiam ex inflammatione febricitantibus cunctis id his plus, illis minus videtur accidere; non in motus tantum fine, sed ab initio statim. Omnium horum causa est communis, vsus pulsuum auctus, vna cum duritie tunicæ. Nam quum instet vsus, eóque quasi in magnam facultas, celeremque erumpat distentionem; renitatur autem durities instrumentorum, in ideam illam, quam retulimus, necesse est vt incidat motus. Quin etiam, ob eandem hanc siccitatem, & duritiem, tensionemque vasorum, non mirum est, si intelligant, qui priora meminerunt, videri pulsum in situ inæqualem: At ne hoc quidem, insignem crebritatem instare, significare syncopen. Ab imbecilla enim facultate ostendimus oriri crebritatem.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Ὁ τῶν φρενιτικῶν σφυγμός.

Ὁ δὲ τῶν φρενιτικῶν σφυγμὸς, μικρός ἐστι. σπανιώτατα δὲ ὤφθη ποτὲ μέγας, καὶ τόνου μετρίως ἔχει, καὶ σκληρὸς, καὶ νευρώδης ἐστὶ, καὶ πυκνὸς ἄγαν, καὶ ταχύς. ἔχει δέ τι καὶ κυματῶδες. ἐνίοτε δὲ καὶ ὑποτρέμειν σοι δόξει· ποτὲ δὲ καὶ ἀποκεκόφθαι σπασμωδῶς. τὸ γὰρ τῶν πυρετῶν ἴδιον ἐν τῷ τάχει σύμπτωμα, μάλιστα ἐνταῦθα ἐναργῶς ἐκτήσατο, καὶ ἀμφότερα τῆς διαστολῆς τὰ πέρατα, καὶ μᾶλλον τὸ ἔξω. ἔστι δὲ καὶ τὸ τῆς κατὰ τὴν θέσιν ἀνωμαλίας εἶδος εὑρεῖν ἐν αὐτῷ σφοδρῶς γιγνόμενόν ποτε. ἀλλὰ καὶ ὅλη σοι δόξει πολλάκις ἡ ἀρτηρία, καταλιποῦσα τὸν ἑαυτῆς τόπον ἄνω φέρεσθαι, κλονωδῶς ἀναβρασσομένη μᾶλλον, ἢ σφυγμωδῶς διαστελλομένη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ κάτω χωρεῖν, κατασπωμένη μᾶλλον, ἢ συσπωμένη. τὸ δὲ ἄγαν αὐτῆς πυκνὸν ἐφεδρευούσης ἀπειλεῖ συγκοπήν.

Οὐδ' ἐνταῦθα χαλεπὸν οὐδὲν, ἐξευρεῖν τὰς τῶν εἰρημένων αἰτίας, τῷ γιγνώσκοντι μὲν, ὡς ἐπὶ χολώδει χυμῷ φρενῖτις γίγνεται, καθάπερ ἐπὶ φλεγματώδει, λήθαργος, εἰδότι δὲ, ὅτι καὶ κατὰ μὲν αὐτὸν τὸν ἐγκέφαλον, ὁ λήθαργος μᾶλλον ἔχει τὴν γένεσιν, ἡ φρενῖτις δὲ κατά τε τὴν λεπτὴν μάλιστα μήνιγγα, καὶ τὸ διάφραγμα. τούτων γάρ τις μεμνημένος, καὶ ὅτι μικροὶ, καὶ ὅτι σκληροὶ κατὰ λόγον οἱ σφυγμοὶ γίνονται, μαθεῖν οὐ δεῖται. καὶ μὴν εἰ θερμὸν μὲν τὸ πάθος, μικροὶ δ' οἱ σφυγμοὶ, πάντως δήπου καὶ πυκνοί. δέδεικται γὰρ ἐν τοῖς ἔμπροσθεν, ὡς τὸ τῆς προτέρας διαστολῆς ἐλλιπὲς, εἰς πυκνότητα τρέπει τοὺς σφυγμούς. ὥσπερ δ' ὁ περιπνευμονικὸς σπανίως ποτὲ δίκροτος γίγνεται, διότι σκληρότητος ἥκιστα μετέχει, οὕτως ὁ φρενιτικὸς κυματώδης σπανιώτατα γίγνεται, διότι καὶ αὐτὸς ἥκιστα μετέχει μαλακότητος. τὸ δ' ὑποτρέμειν, ὅτι δυνάμεώς ἐστιν ἀρρωστούσης γνώρισμα, δέδεικται δι' ἑτέρων. ὅταν οὖν ἡ ἐν ταῖς ἀρτηρίαις δύναμις ἐπιπλέον διαστέλλειν αὐτὰς ἐγχειρῇ. δεῖται γὰρ τούτου διὰ τὸ πλῆθος τῆς θερμασίας, ἔπειτα μὴ δύνηται διὰ τὴν σκληρότητα τοῦ χιτῶνος, ὑποτρέμειν πως ὁ σφυγμὸς δοκεῖ. καὶ δῆλον, ὡς τηνικαῦτα μάλιστα γίγνεται τὸ τοιοῦτον, ἐπειδὰν καὶ συγκοπήσεσθαι μέλλωσιν, ὥσπερ ἐπειδὰν σπασθήσεσθαι, σπασμώδης ἐστὶ καὶ ἡ τῶν σφυγμῶν κίνησις. τὸ δ' ἀποκεκόφθαι σπασμωδῶς τὴν κίνησιν, καὶ μὴ κατὰ βραχὺ παύεσθαι, διὰ παντὸς ὑπάρχει τοῖς φρενιτικοῖς, ὡς ἂν καὶ τῆς θερμότητος ἐπικρατούσης, καὶ τῶν ὀργάνων σκληρῶν ὑπαρχόντων. ὀρεγομένης γὰρ ἔτι τῆς δυνάμεως διαστέλλειν τὰς ἀρτηρίας, ἡ τῶν χιτώνων ἀντιβαίνει σκληρότης, κἀντεῦθεν, τὸ βίαιον καὶ τὸ οἷον σπασμωδῶς ἀποκεκομμένον. οὕτω δὲ σκληρότης καὶ ἡ ἀρχὴ τοῦ διαστέλλεσθαι τὰς ἀρτηρίας, ἐξαιφνίδιός τέ τις, καὶ ἀθρόα, ὥσπερ ἐκθορνυμέναις γίγνεται μᾶλλον, οὐ κατὰ βραχὺ διαστελλομέναις. οὕτω δὲ καὶ τοῖς ἐπὶ φλεγμονῇ πυρέττουσιν ἅπασι, τοῖς μὲν, μᾶλλον, τοῖς δ' ἧττον, φαίνεται τὸ τοιοῦτο συμβαῖνον, οὐκ ἐν τῷ πέρατι μόνον τῆς κινήσεως, ἀλλὰ κατὰ τὴν ἀρχὴν εὐθύς. αἰτία δὲ κοινὴ τούτων ἁπάντων, ἡ τῆς χρείας τῶν σφυγμῶν αὔξησις, ἅμα τῇ τοῦ χιτῶνος σκληρότητι. ὅταν γὰρ ἐπείγῃ μὲν ἡ χρεία, καὶ διὰ τοῦθ', ἡ δύναμις ὡς ἐπὶ μεγάλην τε καὶ ταχεῖαν ἐξορμᾷ διαστολὴν, ἀντιβαίνει δ' ἡ τῶν ὀργάνων σκληρότης, ἀνάγκη τὴν προειρημένην ἰδέαν τῇ κινήσει συμπίπτειν. ἀλλὰ καὶ ὅτι διὰ τὴν αὐτὴν ταύτην ξηρότητά τε καὶ σκληρότητα, καὶ τάσιν τῶν ἀγγείων, ἀνώμαλος ὁ σφυγμὸς φαίνεται κατὰ τὴν θέσιν, οὐδὲν θαυμαστὸν ἐννοεῖν τοῖς μεμνημένοις τῶν ἔμπροσθεν. ὥσπερ οὐδ' ὅτι τὸ λίαν πυκνὸν ἐφεδρευούσης ἀπειλεῖ συγκοπήν. ἀρρώστου γὰρ δυνάμεως, ἡ πυκνότης ἔγγονος ἐδείκνυτο.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Σφυγμὸς τοῦ ἐκ φρενίτιδός τε καὶ ληθάργου πάθους μικτοῦ.

Ἐφεξῆς ὁ λόγος ἐστὶ περὶ τοῦ μικτοῦ δοκοῦντος εἶναι πάθους ἔκ τε φρενίτιδος, καὶ ληθάργου, καὶ διὰ τοῦτο, καὶ τοὺς σφυγμοὺς ἐν τῷ μέσῳ τῆς ἑκατέρου τῶν παθῶν ἔχοντος ἰδέας. ἥτις μὲν δὴ τοῦδε τοῦ πάθους ἐστὶν ἡ φύσις, ἐν ἑτέροις δεδήλωται. διότι δ' εὔλογον αὐτῷ καὶ τοὺς σφυγμοὺς ἔχειν μικτούς, ὡς ἂν καὶ αὐτῷ μικτὴν τὴν φύσιν ὑπάρχοντι, θαυμάσιον οὐδέν. ὥστε τις τοῦτο γινώσκων, οὐδὲν ἔτι δεῖται λόγου πλείονος. ἀλλ' ἀρκεῖ μοι κἂν ταύτην παραγράψαι τὴν ἐκ τῆς εἰσαγωγῆς ῥῆσιν, ὧδέ πως ἔχουσαν.

Ἔστι δέ τι καὶ ἄλλο πάθος ὃ εἴτε μέσον αὐτῶν ληθάργου καὶ φρενίτιδος χρὴ νομίζειν, ὡς οὐδετέρῳ ταὐτὸν ὄν, εἴτε κοινὸν ἀμφοῖν, ὡς μικτὸν ἔκ τε τῶν τῆς φρενίτιδος εἰδῶν, ἔκ τε τῶν τοῦ ληθάργου, τοῦτο μὲν ἰδίᾳ σκεψόμεθα. περὶ δὲ τῶν σφυγμῶν νῦν αὐτοῦ ἐροῦμεν. καὶ ἵνα μὴ ὥσπερ αἴνιγμά τι προβεβλημένον εἴη, τοῖς συνεδρεύουσιν αὐτῷ δηλώσω. τὰ μὲν πολλὰ μύουσι τοῖς ὀφθαλμοῖς, καὶ ὑπνώδεις εἰσί, καὶ ῥέγχουσιν. αὖθις δ' αὖ ἐπὶ πλεῖστον ἀτενὲς ὁρῶντες διατελοῦσιν ἀσκαρδαμυκτί, παραπλησίως τοῖς κατόχοις. καὶ εἰ πυνθάνοιό τι, καὶ εἰ διαλέγεσθαι βιάζοιο, δυσχερῶς ἀποκρίνονται, καὶ ἀργοί. τὰ πολλὰ δὲ παραφόρως φθεγγόμενοι, καὶ οὐκ ὀρθῶς ἀποκρινόμενοι, καὶ ληροῦντες εἰκῆ. τοιοῦτον μὲν ἐστὶ τὸ πάθος, ὃ νῦν βούλομαι δηλοῦν τοῖς συνεδρεύουσι γνωρισθέν, ἀπορίᾳ οἰκείου ὀνόματος. οἱ σφυγμοὶ δ' αὐτοῦ, ταχεῖς μέν, καὶ πυκνοί, παραπλησίως φρενιτικοῖς, ἀλλ' ἧττον. οὕτω δὲ καὶ ἰσχύος ἧττον ἐκείνων ἔχουσιν, πλατεῖς δέ, καὶ βραχεῖς. καὶ τὸ κατὰ τὴν ἔξω κίνησιν, ἀθρόως ἀποκεκομμένον οὐκ ἔχοντες, ἀλλ' ἑτέρῳ μὲν τρόπῳ, καθάπερ εἴσω σπεύδοντες ὑποφεύγουσιν, ἐπιταχύνοντες τὴν συστολήν, καὶ οἷον ὑποκλέπτοντες τὴν διαστολήν, οὐ μὴν ὅμοιοί γε κατ' αὐτὴν τοῖς τῶν φρενιτικῶν. τὸ γὰρ οἷον ἀποκεκομμένον οὐκ ἔχουσιν.

CAPVT XV.

Pulsus affectus ex phrenitide, & lathargo mixti.

POsthac sermo mihi est de affectu, qui mixtus esse ex phrenitide, & lethargo videtur; qui ideo etiam pulsus habet inter vtrunque affectum ambigentes. Naturam huius affectus alibi declarauimus. Itaque pulsus eum meritò habere mixtos, quum sit etiam ipse natura mixta, non mirum est. Quam ob rem si id noris, non requiras iam longiorem interpretationem; sed si caput hic quoque ascripsero ex isagoge, satis erit. Habet autem ad hunc modum.

Iam etiam alius est affectus, qui siue medio loco ponendus sit inter lethargum, & phrenitin, vt qui cum neutro in totum conueniat; siue communis esse ambobus existimandus, vt ex phrenitidis speciebus, & lethargi mixtus, suo loco considerabimus. Nunc de eius pulsibus agemus; at ne quasi ænigma quoddam propositum sit per signa, quæ cum eo sunt connexa, eum ob oculos ponam. Conniuent fere oculis, somnolenti sunt, atque stertunt, rursus oculis fixis, ac inconniuentibus diutissime, vt catochi, intuentur; & si quid roges, atque ad colloquium compellas, difficiles sunt ad respondendum, & tardi. Plerunque etiam stultè loquuntur, nec rectè respondent, ac temere nugantur. Is est affectus, quem dico, qui ex signis sibi adiunctis defectu proprij nominis, cognoscitur. Pulsus eius celeres sunt, & crebri, perinde vt phreniticorum, minus tamen; & roboris item minus, ac illi obtinent. Lati autem sunt, & externum motum non habent subito truncatum; sed alio modo veluti intro se proripientes subterfugiunt, ac concitant contradictionem, & quasi suffurantur distentionem; verùm in ea pulsui phreniticorum non sunt similes, quòd truncatione illa careant.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Οἱ τῶν κατόχων σφυγμοί.

Οἱ δὲ τῶν κατόχων σφυγμοί, κατόχους γὰρ αὐτούς, καὶ κατεχομένους ἐκάλουν οἱ παλαιοί, κατοχὴν δέ, καὶ κατάληψιν οἱ νεώτεροι, τὸ πάθος ὀνομάζουσιν. ἐοίκασι μὲν τὰ ἄλλα τοῖς ληθαργικοῖς, μεγέθους τε χάριν, καὶ βραδύτητος, καὶ ἀραιότητος, ὥσπερ καὶ ὅλον τὸ πάθος, οὐ πάθους οὐ πόρρω τὴν ἰδέαν ἐστίν, οὐ μὴν ἀσθενὴς ὁ τῶν κατόχων σφυγμός, οὐδὲ μαλακός, ἀλλ' ἐν τούτοις δὴ καὶ πάνυ διαφέρει, ὥστε κἂν τῷ λύεσθαι μέν, καὶ οἰδίσκεσθαι τὴν ὅλην ἕξιν τοῖς ληθαργικοῖς, ἐσφίγχθαι δέ, καὶ συνέχεσθαι τοῖς κατόχοις. οὕτω δὲ καὶ ἀνωμαλίᾳ, καὶ ὁμαλότητι διαφέρουσιν ἀλλήλων. ὁμαλὸς γὰρ ὁ τῶν κατόχων σφυγμός, ἀνώμαλος δὲ ὁ τῶν ληθαργικῶν. Ἀρχιγένης δέ φησι, τὸν τῆς ἀρτηρίας τόπον ἰδίως ἐπ' αὐτῶν θερμότερον εὑρίσκεσθαι, καθάπερ τοῖς σπασθησομένοις μετὰ καταφορᾶς.

Σύμπαντα σχεδὸν τἄλλα ταὐτὰ τοῖς κατόχοις ἐστὶ πρὸς τοὺς ληθάργους. πλὴν τοῦ διοιδίσκεσθαί τε, καὶ οἷον νεκροῦσθαι τὴν ἕξιν. ὅθεν καὶ οἱ σφυγμοί, τήν τε ἀμυδρότητα καὶ τὴν μαλακότητα, παραλλάττουσαν ἴσχουσι, τὴν μέν, ὅτι μήπω τῆς δυσκρασίας ὅλην τὴν ἕξιν διαδεδυκυίας, ἡ δύναμις εὔρωστός ἐστι, τὴν μαλακότητα δέ, οὐδ' αὐτὴν ἔχουσιν, ὅτι μηδὲ τὸν χιτῶνα τῆς ἀρτηρίας ἤδη μαλακόν. ὁ δὲ τῆς ἀρτηρίας τόπος, οὐκ ἀεὶ μὲν ἐναργῶς, ἐμοὶ γοῦν ἐφαίνετο θερμότερος, ὡς τὰ πολλὰ μέντοι, σαφῶς εὑρίσκεται θερμότερος.

CAPVT XVI.

Catochorum pulsus.

CAtochorum pulsus, (κατόχους enim, & κατεχομένους veteres appellabant; Iuniores ipsum affectum κατοχὴν, & κατάληψιν vocant) cætera lethargicis similes sunt, magnitudine, tarditate, crebritate; vt nec totius huius affectus species latè ab eo dissidet. Catochorum tamen non imbecillus est pulsus, nec mollis, sed in his sanè multum differt; vt etiam in hoc, quòd laxatur lethargicis, atque intumescit vniuersum corpus; contra stipatur & cogitur catochis. Ad hæc inæqualitate, & æqualitate inter se distant. Æqualis enim pulsus est catochorum, inæqualis lethargicorum. Archigenes arteriæ locum author est propriè in iis inueniri calidiorem; sicut illis, quibus conuulsio imminet, cum sopore.

Vniuersa penè alia cum lethargicis conueniunt catochis, præter quòd immutescat habitus, & veluti obstupescat, vnde, tum pulsibus mutatur tum remissio, tum mollities; illa quòd cum intemperies nondum vniuersum habitum occupauit, firma sit facultas. Nec verò mollitiem habent, quòd nec tunicam etiam arteriæ mollem. Arteriæ verò regionem non semper equidem reperi calidiorem, fere tamen inuenitur manifestè calidior.

Causa

Causa est, & in hoc affectu, & in aliis, vbi inuenitur idem symptoma, quòd refrigeratio habitus non æquè arterias attigerit. Etenim in inæquali intemperiei multa talia vsu veniunt. Ac videtur quidem calidior locus arteriarum finitimis circumcirca, modo quòd caleat magis; modò quòd minùs, quàm circumposita, sit frigidus.

CAPVT XVII.

Conuulsorum pulsus.

Conuulsorum ipsum corpus arteriæ videtur contractum, & vndequaque coarctatum, non ceu compressum sit à quopiam, vel constipatum, nec etiam veluti rigidum, vt in febre, præsertim in accessionibus, nec verò vt præ duritie ad intentionem contumax; veluti quod fit diuturnitate temporis, præsertim quum quid offensum sit, vel viscera vitiata; sed vt corpus neruosum, cauumque, veluti intestinum, aut simile, ex vtroque fine intentum. Ad eundem modum inæqualis motus est arteriæ in modum chordæ sursum deorsumque agitatæ. Neque enim species distentionis, vel contractionis repræsentatur: verùm vibrationi potius similis est, ceu exilientis sursum, iterumque retractæ intrò. Quòd ne constituto quidem tempore habet; sed vno sæpe tempore alia eius pars videtur ferri sursum, veluti eiaculata; altera intrò seu à quopiam attracta; atque vna moueri celeriter, altera tardè. Iam vehemens quoque, & magnus conuulsorum pulsus videtur esse. Est verò hic non imbecillus, neque paruus; non perinde tamen, vt videtur, vehemens, vel magnus. Ictus enim imponit, dum ob tensionem validus, ob vibrationem exilire appareat. Quamobrem altior interdum videtur, ac veluti strepitum quendam ad tactum edit asperum. Sanè neminem, qui quidem sit expertus, fugiat hic pulsus. Quippe nulli est similis, vel tensione in vtranque partem, vel conuulsione motus. At quando cum pulsu sopitorum commixtus est, difficillimè motus deprehenditur; solusque qui ad amussim vtrunque cognoscere separatim meditatus est, poterit confusos cognoscere.

Habes caput ex isagoge. Causa autem illorum aperta est, si memineris inter se principia consentire.

CAPVT XVIII.

Paralyticorum pulsus.

Paralyticorum paruus pulsus, & languidus, tardusque est. Nonnullis rarus quoque, aliis creber, sed nonnihil inordinatè intermittens.

Pulsus paralyticorum, quia frigidus morbus est, paruus est, & tardus; languidus etiam, quòd facultas imbecillior sit. Quòd si maior in illis dissolutio facultatis exoriatur, creber simul, & inæqualis erit intermittensque nonnihil inordinatè. Causa est ante exposita in secundo libro horum commentariorum.

CAPVT XIX.

Comitialium, & attonitorum pulsus.

Comitialium, & attonitorum similes pulsus sunt. Quare de comitialibus, quæ exponemus, eadem

αἴτιον δὲ κἀν τούτῳ τῷ πάθει, κἀν τοῖς ἄλλοις, ἐν οἷς ταὐτὸν εὑρίσκεται σύμπτωμα, τὸ τὴν ψύξιν τῆς ἕξεως οὐχ ὁμοίως ἧφθαι τῶν ἀρτηριῶν. πολλὰ γὰρ τοιαῦτα συμπίπτει ταῖς ἀνωμάλοις δυσκρασίαις. φαίνεται τοίνυν θερμότερος ὁ τῶν ἀρτηριῶν τόπος, τῶν πέριξ, ἐνίοτε μὲν αὐτῷ τῷ θερμαίνεσθαι μᾶλλον, ἐνίοτε δὲ τῷ τῶν παρακειμένων ἧττον ἐψῦχθαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΖʹ.

Ο τῶν σπωμένων σφυγμός.

Τῶν δὲ σπωμένων αὐτὸ μὲν τὸ σῶμα τῆς ἀρτηρίας συνῆχθαι δοκεῖ, καὶ πανταχόθεν ἐσφίγχθαι, οὐχ ὡς τεθλιμμένον ὑπό τινος, ἢ στενοχωρούμενον, οὐ μὴν οὐδ᾽ ὡς πεφρικὸς, οἷον τὸ πυρεκτικὸν, καὶ μάλιστα ὡς ἐν ἐπισημασίαις, οὐδ᾽ ἐν ἐπισημασίαις, οὐδὲ ὡς διὰ σκληρότητα δυσεκτατὸν, οἷον τὸ ἐπὶ χρόνου μήκεσι, καὶ μάλιστα σὺν ἁμαρτήμασιν, ἢ σπλάγχνων κακώσεσιν, ἀλλ᾽ ὥσπερ εἰ σῶμα νευρῶδες κοῖλον, οἷον ἔντερον, ἤ τι παραπλήσιον ἐξ ἀμφοτέρων τῶν περάτων τεταμένον. οὕτω δὲ καὶ ἡ κίνησις ἀνώμαλος, ἄνω τε κάτω μεθισταμένης τῆς ἀρτηρίας, ὥσπερ χορδῆς. οὐδὲ γὰρ διαστολῆς, ἢ συστολῆς ἔμφασίς ἐστιν, ἀλλὰ κλόνῳ μᾶλλον ἔοικεν, οἷον ἐκπηδώσης ἄνω, καὶ αὖθις εἴσω σπωμένης. καὶ οὐδὲ διακεκριμένως τοῦτο παθούσης, ἀλλ᾽ ἐνὶ χρόνῳ πολλάκις τὸ μέν τι μέρος αὐτῆς ἄνω φέρεσθαι δοκεῖ, καθάπερ ἐκτοξευόμενον, τὸ δὲ, ἔσω φέρεσθαι, καθάπερ ὑπό τινος ἑλκόμενον· καὶ τὸ μὲν ταχέως κινεῖσθαι· τὸ δὲ, βραδέως. δοκεῖ δὲ καὶ σφοδρὸς εἶναι, καὶ μέγας ὁ τῶν σπωμένων σφυγμός. ὁ δ᾽ ἔστι μὲν οὔτ᾽ ἄρρωστος, οὔτε μικρὸς, οὐ μὴν ἐφ᾽ ὅσον φαντάζεται σφοδρὸς, ἢ μέγας. ἐξαπατᾷ γὰρ ἡ πληγὴ, διὰ μὲν τὴν τάσιν εὔρωστος φαινομένη, διὰ δὲ τὸν κλόνον, ἐκπηδητική. ὅθεν καὶ ὑψηλότερος, ἔσθ᾽ ὅτε φαίνεται, καὶ οἷον ψόφον τινὰ τραχὺν ἀποτελεῖ πρὸς τὴν ἁφήν. καὶ οὐκ ἂν τινα λάθοι τῶν ἠσκημένων, ὁ σφυγμὸς οὗτος. οὐδενὶ γὰρ ἔοικεν, οὔτε κατὰ τὴν ἐφ᾽ ἑκάτερα τάσιν, οὔτε τὸ σπασμῶδες τῆς κινήσεως. μιγνυμένου δὲ αὐτοῦ τῷ τῆς καταφορᾶς, δυσφωρότατος ἡ κίνησις, καὶ μόνῳ τῷ καθ᾽ ἑαυτὸν ἑκάτερον γνωρίζειν ἀκριβῶς ἠσκημένῳ, δυνατὸν καὶ τὴν μίξιν ἐπιγνῶναι.

Η μὲν ῥῆσις ἡ ἐκ τῆς εἰσαγωγῆς αὕτη. πρόδηλος δὲ τῶν εἰρημένων ἡ αἰτία, τῷ μεμνημένῳ, διότι συμπάσχουσιν ἀλλήλαις αἱ ἀρχαί.

ΚΕΦΑΛΑΙΟΝ ΙΗʹ.

Ο τῶν παραλυτικῶν σφυγμός.

Παραλύσεως σφυγμὸς, μικρὸς, καὶ ἀμυδρὸς, καὶ βραδύς ἐστι. καί τισι μὲν αὐτῶν, καὶ ἀραιὸς, τισὶ δὲ καὶ πυκνὸς μὲν, ἀλλ᾽ ὑποδιαλείπων ἀτάκτως.

Μικρὸς μὲν καὶ βραδύς ἐστιν ὁ τῶν παραλελυμένων σφυγμὸς, ὅτι ψυχρὸν τὸ πάθος. ἀμυδρὸς δὲ, ὅτι καὶ ἡ δύναμις ἀρρωστοτέρα. μείζονος δὲ τῆς ἐν αὐτῷ γινομένης καταλύσεως, πυκνὸς ἅμα, καὶ ἀνώμαλος, καὶ ὑπολείπων ἀτάκτως. εἴρηται δ᾽ ἐν τοῖς ἔμπροσθεν ἡ αἰτία, κατὰ τὸ δεύτερον τῶνδε τῶν ὑπομνημάτων.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

Ο τῶν ἐπιλήπτων τε καὶ ἀποπλήκτων σφυγμός.

Ἐπιλήπτων δὲ, καὶ ἀποπλήκτων, οἱ σφυγμοὶ παραπλήσιοι. ὅσα οὖν περὶ τῶν ἐπιλήπτων εἰρήσεται, ταῦτα

καὶ περὶ τῶν ἀποπλήκτων εἰρῆσθαι χρὴ δοκεῖν, ἐπιτεταμένα μᾶλλον. ἐν μὲν δὴ τῷ μετρίως ἐνοχλεῖσθαι, καὶ μηδέπω τῆς φύσεως ἱκανῶς ἰσχυρότερον εἶναι τὸ πάθος, οὐδεμίαν εὔδηλόν ἐστιν εὑρεῖν τροπὴν ἐν μεγέθει, καὶ σφοδρότητι, καὶ τάχει, καὶ πυκνότητι καὶ σκληρότητι. μόνον δὲ ὥσπερ τεταμένη καθ' ἑκάτερον ἐστὶν ἡ ἀρτηρία, τοῖς σπωμένοις, εἰκότως. εἰ δ' ἰσχυρὸν εἴη τὸ πάθος, ὡς βαρύνειν τὴν δύναμιν, ἀνωμαλίαν τέ τινα λαμβάνει, καὶ τάσιν ἰσχυράν, καὶ μικρότερος, καὶ ἀμυδρότερος γίνεται, καὶ ἀραιός, καὶ βραδύς, μεγάλως δὲ θλίψαν, καὶ καταβαλὸν τὴν δύναμιν, ἀμυδρούς, καὶ μικρούς, καὶ πυκνοὺς ἐργάζεται. Ἡ μὲν ῥῆσις αὕτη, τοσούτῳ δὲ οὐ δεῖ νεωτέρας ἐξηγήσεως τοῖσδε τοῖς σφυγμοῖς εἰς εὕρεσιν αἰτίας, ὥστε καὶ μαρτυρεῖ σαφῶς τοῖς ἐν τῷ πρώτῳ, καὶ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων εἰρημένοις.

de attonitis, sed cumulatius accipienda sunt. Dum medicè infestatur natura, neque dum eam multum superauit morbus, nullam inuenias mutationem insignem, magnitudinis, vehementiæ, celeritatis, crebritatis, & duritiei: tantum est conuulsus, intenta iure vtrinque arteria. Sin autem grauis sit affectus, vt oneret facultatem, inæqualitatem quandam comparat atque tensionem validam, ac minor, languidior, rarus, tardusque efficitur. Si comprimat magnopere, & facultatem deiiciat, languidos, paruos, crebrosque creat.

Caput hoc est. At tantùm abest vt nouam interpretationem hi pulsus desiderent ad causas inueniendas, vt etiam dilucidè illa confirment, quæ in horum commentariorum primo, & secundo tradidimus.

ΚΕΦΑΛΑΙΟΝ Κ'.

Ὁ τῶν συναγχικῶν σφυγμός.

Ὁ τῶν συναγχικῶν σφυγμός, τάσιν μέν τινα παραπλησίαν ἔχει τῷ σπασμώδει, μέγας δ' ἐστὶ καὶ κυματώδης, ὡς ὁ τῶν περιπνευμονικῶν, καὶ ὁπότερον ἂν ἐν αὐτῷ μεγάλως ἐπικρατῇ, κατ' ἐκεῖνον χρὴ προσδοκᾶν τὴν μετάπτωσιν. εἰ μὲν τὸ περιπνευμονικὸν εἶδος ἐπικρατήσειεν, εἰς περιπνευμονίαν, εἰ δ' αὖ τὸ σπασμῶδες, εἰς σπασμὸν ἡ συνάγχη τελευτήσει. ὅσοι δ' ἂν ἐξ αὐτῶν ἰσχυρῶς πνίγωνται, μικρὸς τούτοις, καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται. τελευτώντων δὲ ἤδη, πυκνὸς καὶ ἀνώμαλος.

Πάσῃ μὲν φλεγμονῇ τὴν ἀρχὴν εἰς συμπάθειαν ἀγούσῃ, κοινὸν σύμπτωμα, τείνειν τὸν σφυγμόν. ἀλλὰ μᾶλλον τοῦτο δρῶσιν, αἵ τε τῶν νευρωδῶν σωμάτων, καὶ ὅσα πλησίον εἰσὶ τῆς ἀρχῆς. ταῦτά τοι καὶ ὁ τῶν συναγχικῶν σφυγμός, οὐκ ἀεὶ ἴσου μὲν τάσεως, ἀλλ' ἤτοι πλέον ἢ ἧττον αὐτῆς μετέχει. γίνεται γὰρ τοῦτο, διά τε τὸν ἐπιῤῥέοντα χυμόν, ἢ χολωδέστερον, ἢ φλεγματικώτερον ὑπάρχοντα, καὶ διὰ τὴν τῶν ὀργάνων αὐτῶν τῶν ἐν τῷ τραχήλῳ διαφοράν. τὰ μὲν γὰρ νευρωδέστερά τε, καὶ συντονώτερα, τείνει μᾶλλον τὸν σφυγμόν. ὅσα δὲ σαρκώδη τε καὶ χαῦνα, κυματωδέστερον ἀπεργάζεται ταῦτα. τὰ δ' ἄλλα τῆς λέξεως δῆλα, πλὴν τοῦ κατὰ τὸ τέλος εἰρημένου, τοῦ μικρὸν μὲν καὶ ἀραιὸν γίνεσθαι τοῖς πνιγομένοις ἐξ αὐτῶν, τὸν σφυγμόν, ἐπὶ τελευτῇ δέ, πυκνὸν καὶ ἀνώμαλον. ἔχει γὰρ οὕτως. ἐν μὲν ταῖς ἀρχαῖς τοῦ πνίγεσθαι, μικρότεραι καὶ ἀραιότεραι τῶν ἀρτηριῶν αἱ διαστολαὶ γίνονται, τῆς τε δυνάμεως ἀῤῥωστούσης ἤδη, καὶ τῆς χρείας μειουμένης. ἐφεξῆς δ' ὅταν ἤδη πλησίον ὦσι θανάτου. πειρᾶται ἡ δύναμις ἐπισπᾶσθαι συνεχέστερον, ὡς ἂν καὶ τῆς οὐσίας ἤδη τοῦ ψυχικοῦ πνεύματος ἐλλειπούσης. ἀῤῥωστοῦσα δέ, μικρὰς μὲν ἐξ ἀνάγκης ἐργάζεται τὰς διαστολάς. ὅτι δὲ μικράς, διὰ τοῦτο καὶ πυκνάς: εἴρηται γὰρ ὑπὲρ τούτου ἔμπροσθεν. εἶτ' ἐξαίφνης ὥσπερεὶ πεδηθεῖσα. πολλάκις μὲν ἔστη, πολλάκις δ' ἐμέλλησε στῆναι. τούτων δέ, τὸ μὲν ἕτερον διαλείποντα, τὸ δ' ἕτερον, ἀραιὸν ἐργάζεται τὸν σφυγμόν. ἄμφω δ' ἀνώμαλον, ἐν τῇ κατὰ τοῦτο τὸ γένος διαφορᾷ.

CAPVT XX.

Anginæ pulsus.

Anginæ pulsus tensionem quandam habet ei quam conuulsiuus habet persimilem, magnus est, & vndosus, vt pulsus peripneumonicorum; ac, vtrum insigniter in eo polleat, pro eo expectanda mutatio est. Nam si peripneumonica species superior sit, in peripneumoniam; si verò conuulsiua, in spasmum angina desinet. Quicunque autem ex illis vehementer suffocantur, paruum hi habent, & rarum pulsum; vbi iam animam agant, crebrum, atque inæqualem.

Omnis inflammatio, quæ consentiens sibi principium habet, commune obtinet symptoma, tensionem pulsuum; verùm hoc faciunt præcipuè inflammationes neruosorum corporum, & quæ sunt principio finitimæ; itaque nec anginæ pulsus vacat tensione, sed vel plus, vel minus eius habet; quòd ex humore fit confluente, qui vel biliosior, vel pituitosior sit, & ex ipsorum etiam instrumentorum ceruicis differentia. Siquidem neruosiora, & contentiora vehementiùs pulsum tendunt, carnosa & remissa vndosiorem reddunt. Cætera clara sunt huius capitis, nisi quod dictum ad exitum est, Qui illorum suffocantur, hos pulsum habere paruum, & rarum: inter moriendum crebrum, ac inæqualem. Sic enim res habet; quum incipiunt suffocari, fiunt arteriarum minores, & rariores distentiones; quod imbecilla iam facultas sit, & vsus imminutus. Inde vbi morti iam sunt proximi, molitur quidem facultas attrahere crebrius, quòd substantia deficiat iam spiritus animalis: sed quum imbecilla sit, paruas distentiones necessariò efficit; & quia paruas, ideo crebras. Nam de hoc diximus ante. Postea subitò veluti victa, sæpe subsistit, sæpe cupit subsistere. Quorum alterum intermittentem, alterum rarum pulsum creat, ambo inæqualem in huius generis differentia.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ὁ τῆς ὀρθοπνοίας σφυγμός.

Ὀρθοπνοίας ὀξείας σφυγμός, ἀνώμαλος, ἄτακτος, ὑπεκλείπων, καὶ τῆς μὲν μέσης τῇ κακίᾳ πυκνός, τῆς δ' ἐσχάτως βιαίας βραδύς, καὶ ἐκλείπων. τῆς δ' ἀναιρούσης ἤδη, πυκνὸς καὶ ἀμυδρός.

CAPVT XXI.

Orthopnææ pulsus.

Orthopnœa acuta inæqualem, & inordinatum pulsum habet, & nonnihil deficientem. Quæ mediocriter est grauis, crebrum; quæ violentissima, tardum, & deficientem; quæ iam perimit hominem, crebrum, & languidum.

Diuturni

Diuturni morbi, quem orthopnœam appellant, acutæ sunt accessiones, vt morbi comitialis. Ergo cùm in his, tum maximè in cæteris orthopnœis omnibus, quæ quocunque modo repente fiunt, pulsus omnino inæquales, & inordinati sunt, & nonnihil deficientes, propter causas, quas commemoraui paulo ante. Iam pro diuersitate offensæ, vel crebri magis, vel rari. Nam celeres quidem ob facultatis imbecillitatem fiunt nunquam. At si mediocris offensa sit, creber magis, simulque inæqualis, ac nonnihil deficiens. Nam in orationis principio hæc dicta sunt, vt inseparata. Quamobrem autem, vbi vrgeat vsus, & facultas sit imbecilla, crebrer fiat, antè declarauimus: sicut quum extincta iam facultas sit, tardus simul & deficiens; ambo enim adiunctæ hæc facultati sunt, quæ moueri amplius nequeat. At in morte iam, quum spiritum animalem natura impensissimè requirat, imbecilla autem facultas sit, ad mouendum impellente vsu se confert; quia verò attollere tantum arteriam, quantum postulat vsus, non valet, necessariò pulsus reddit crebros, ibique modico post tempore, quum omnes suas vires explicauerit, statim extinguitur vniuersa.

A Τοῦ χρονίου νοσήματος, ὃ δὴ προσαγορεύουσιν ὀρθόπνοιαν, ὀξεῖς εἰσιν οἱ παροξυσμοί, καθάπερ καὶ τῆς ἐπιληψίας. ἔν τε οὖν τούτοις, οὐχ ἥκιστα δὲ κἀν ταῖς ἄλλαις ἁπάσαις ὀρθοπνοίαις, ταῖς ὁπωσοῦν ἐξαιφνίδιον γινομέναις, οἱ σφυγμοὶ, πάντως μὲν ἀνώμαλοί τε, καὶ ἄτακτοι, καὶ ὑπεκλείποντες γίνονται, διὰ τὰς ὀλίγον ἔμπροσθεν εἰρημένας αἰτίας. ἤδη δὲ παρὰ τὰς διαφορὰς τῆς κακίας, ἢ πυκνοὶ μᾶλλον, ἢ ἀραιοί. ταχεῖς μὲν γὰρ οὐδέποτε, διὰ τὴν ἀρρωστίαν τῆς δυνάμεως. ἐν μὲν δὴ τῇ μέσως μοχθηρᾷ, πυκνὸς μᾶλλον, ἅμα τῷ καὶ ἀνώμαλος εἶναι δηλονότι, καὶ ὑπεκλείπων. ἐν ἀρχῇ γὰρ τοῦ λόγου, ταῦθ᾽ ὡς ἀχώριστα προείρηται. B διότι δὲ πυκνὸς γίνεται, τῆς χρείας μὲν ἐπειγούσης, τῆς δυνάμεως δ᾽ ἀρρωστούσης, ἐν τοῖς ἔμπροσθεν εἴρηται. καὶ μὲν δὴ καὶ ἤδη νεκρουμένης τῆς δυνάμεως, βραδὺς ἅμα καὶ ἐκλείπων. ἄμφω γὰρ ταῦθ᾽ ὑπάρχει τῇ μηκέτι κινεῖσθαι δυναμένῃ. κατ᾽ αὐτὸ δὲ τὸ ἀποθνήσκειν ἤδη, βιαιοτάτης μὲν τῆς τοῦ πνεύματος ἐπιζητήσεως τῇ φύσει γινομένης, ἀρρωστούσης δὲ δηλονότι τῆς δυνάμεως, ἐπὶ τὸ κινεῖσθαι μὲν ἔρχεται, τῆς χρείας καταναγκαζούσης, οὐ δυναμένης δ᾽ εἰς τοσοῦτον ἐξαίρειν τὴν ἀρτηρίαν, εἰς ὅσον ἡ χρεία ποθεῖ, πυκνοὺς ἐξ ἀνάγκης ἐργάζεται τοὺς σφυγμούς. καὶ τοῦτ᾽ ἐπ᾽ ὀλίγον τινὰ χρόνον, ἅπαν ὅσον εἶχε δυνάμεως ἐπι- C δειξαμένη, τελέως εὐθὺς ἀποσβέννυται.

CAPVT XXII.

Vterinæ suffocationis pulsus.

VTerinæ suffocationis pulsus, vt si conuelleretur, protensus est, & rarus; quòd si exitialis sit suffocatio, creber, inordinatus, & nonnihil deficiens.

Ne hic quidem difficilis est causa, si priorum memoriam retineas. Quum enim neruosus sit locus affectus, par est, vt protendatur pulsus quasi conuulsiuus sit. Quia verò affectus frigidus est, adiuncta est raritas. At vbi iam prorsus dissoluatur facultas, rectè creber fit, simulque inæqualis, & nonnihil deficiens. Nam de his ante declarauimus, vbi vrgeat vsus, & affecta facultas sit necessario eum pulsum generari.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

Ο τῆς ὑστερικῆς πνίξεως σφυγμός.

ΥΣτερικῆς πνίξεως, ἀποτεταμένος ἐστὶ σπασμωδῶς, καὶ ἀραιός. τῆς δ᾽ ὀλεθρίας, πυκνὸς, ἄτακτος, καὶ ὑπεκλείπων.

Οὐδ᾽ ἐπὶ ταύτης ἄπορος ἡ αἰτία, τῷ μεμνημένῳ τῶν πρόσθεν. διὰ μὲν γὰρ τὸ πεπονθὸς ὄργανον, νευρῶδες ὑπάρχον, εὐλόγως D ἀποτείνεται σπασμωδῶς ὁ σφυγμός. ὅτι δὲ τὸ πάθος ψυχρὸν, ἡ ἀραιότης συνεδρεύει. καταλυομένης δ᾽ εἰς ἔσχατον ἤδη τῆς δυνάμεως, εὐλόγως πυκνοῦταί τε, καὶ ἀνώμαλος ἅμα καὶ ὑπεκλείπων γίνεται. προείρηται γὰρ ἤδη καὶ περὶ τούτων, ὡς ὅταν ἐπείγῃ μὲν ἡ χρεία, κακῶς δ᾽ ἡ δύναμις ἔχῃ, τοιοῦτον ἀνάγκη γίνεσθαι τὸν σφυγμόν.

CAPVT XXIII.

Stomachi affecti pulsus.

STomachus affectus, (vt sic etiam vocemus in præsentia os ventriculi, quòd is vsus apud vulgus E *obtinuit) non vno modo commutat pulsum. Nam, si inflammatus sit duntaxat, ita mutat pulsum, vt corporis neruosi diximus inflammationem solere; si comprimatur, vellicetur, languescat, singultiat, vomat, nauseet, fastidiat, doleat, pro genere symptomatis. Nam vellicationes, vomitus, nauseæ, singultus & languor, non solùm paruum & languidum efficiunt, & interdum etiam modicè celeriorem, verùm etiam admodum crebrum. Sola verò compreßio, remotis illis omnibus rarum, tardum, paruum, & languidum; ea compreßio tum à cibis oritur grauantibus,* F *neque vlla insigni præditis virtute, sed sola abundantia molestis; tum ab humoribus quibusdam, qui in eum confluant, non mordicantibus. Quæ si ab his simul refrigeretur, tum verò vel maxime talis pulsus existet. Ac bulimo affectorum talis pulsus est. At omnes quidem affectus, qui in crebritatem mutant, si diuturni sint, vel euaserint grauiores, pulsum vermiculantem creant.*

ΚΕΦΑΛΑΙΟΝ ΚΓ΄.

Σφυγμὸς τοῦ πεπονθότος στομάχου.

ΣΤόμαχος πεπονθὼς, οὕτω γὰρ καλείσθω καὶ ὑφ᾽ ἡμῶν ἐν τῷ παρόντι, τὸ στόμα τῆς κοιλίας, διὰ τὴν τῶν πολλῶν συνήθειαν, οὐ καθ᾽ ἓν εἶδος τρέπει τὸν σφυγμόν. ἀλλ᾽ ὁ μὲν, φλεγμαίνων μόνον, οἷον ἐπὶ φλεγμονῇ νευρώδους σώματος εἴπομεν γίνεσθαι, τὴν τροπὴν τοιαύτην ἐργάζεται. ὁ δὲ, θλιβόμενος, ἢ δακνόμενος, ἢ λύζων, ἢ λύζων, ἢ ἐμετικὸς, ἢ ναυτιώδης, ἢ ἀνόρεκτος, ἢ ὀδυνώμενος, κατὰ τὸ τοῦ συμπτώματος εἶδος. αἱ μὲν γὰρ δήξεις, καὶ οἱ ἔμετοι, καὶ αἱ ναυτίαι, καὶ οἱ λυγμοὶ, καὶ ὁ ἀλυσμὸς, ἰσχυρῶς πυκνοῦ σὺν τῷ μικρὸν καὶ ἀμυδρὸν ἐργάζεσθαι, καί τισι μετρίως θάττονα. θλίψις δὲ μόνη, χωρὶς τούτων τινὸς, καὶ ἀραιὸν, καὶ βραδὺν, καὶ μικρὸν, καὶ ἀμυδρόν. ἡ δὲ τοιαύτη θλίψις, ἐπί τε τροφαῖς βαρυνούσαις γίνεται, μηδεμίαν ἐχούσαις ἰσχυρὰν δύναμιν, ἀλλ᾽ αὐτῷ μόνῳ τῷ ποσῷ διοχλούσαις, καί τισιν ὑγροῖς συῤῥυεῖσιν εἰς αὐτὸν, ἀδήκτοις. εἰ δὲ καὶ ψύχοιτο πρὸς αὐτῶν, τότε δὴ καὶ μάλιστα τοιοῦτος ὁ σφυγμὸς ἔσται. καὶ ὁ τῶν βουλιμιώντων τοιοῦτός ἐστιν. αἱ μὲν οὖν εἰς πυκνότητα τρέπουσαι διαθέσεις, ἅπασαι χρονίζουσαι, ἢ σφοδρότεραι γινόμεναι, τὸν σκωληκίζοντα σφυγμὸν ἐργάζονται.

αἱ δ' εἰς ἀραιότητα, πρὸς τῷ τὰς εἰρημένας διαφορὰς ἐπιτείνειν, τοιοῦτόν τι σὺν αὐταῖς εἶδος ἐν τῷ καθ' ἕνα σφυγμὸν ἀνωμαλίας ἐργάζονται, ὡς εἰς πολλὰ δοκεῖν τεθρύφθαι τὸ σῶμα τῆς ἀρτηρίας, ὡς μὴ καὶ συνεχὲς εἶναι. καὶ οἷον ψάμμου προσπιπτούσης αἴσθησις γίνεται τῇ ἁφῇ κατὰ τὴν διαστολήν. A

Ἡ μὲν ἐκ τῆς εἰσαγωγῆς ῥῆσις αὕτη. τὰς δ' αἰτίας τῶν εἰρημένων, ὅσαι μὲν πάνυ σαφεῖς εἰσι τοῖς μεμνημένοις τῶν ἔμπροσθεν, οὐ δέομαι λέγειν. ὅσαι δ' ἀσαφέστεραι, ῥηθήσονται. δυνάμεως γὰρ ἀρρωστούσης, τῆς μὲν κατὰ τὸν ἑαυτῆς λόγον ἐπὶ δυσκρασίᾳ δηλονότι, τῆς δὲ, διά τι τῶν ἔξωθεν, ἤτοι βαρυνομένης, ἢ ἐρεθιζομένης κακοήθως. ἐπὶ μὲν ταῖς βαρυνομέναις, μικρὸς, καὶ βραδὺς, καὶ ἀραιὸς ὁ σφυγμὸς γίνεται, μικρὸς μὲν, ὡς ἂν τῆς δυνάμεως κεκακωμένης, βραδὺς δὲ, διά τε τοῦτο καὶ τῆς χρείας ἐκλελυμένης. ψυχραὶ γὰρ αἱ βαρύνουσαι τὴν δύναμίν εἰσι διαθέσεις. διὰ τοῦτο δὲ καὶ ἀραιὸς, ἐδείχθη γὰρ, ἐκλυομένης τῆς χρείας, τοιοῦτος γινόμενος. ἐπὶ δὲ τῶν ἐρεθιζούσαις μόνον, καὶ λυπούσαις τὴν δύναμιν διαθέσεσιν, μικρὸς μὲν κἀπὶ ταύταις, καὶ ἀμυδρὸς διὰ τὴν κάκωσιν τῆς δυνάμεως, πυκνὸς δὲ, διότι καὶ ἀμυδρός. ἔστι δ' ὅτε καὶ βραχεῖ θάττων. ὥσπερ γὰρ καὶ ἡμεῖς αὐτοὶ, πολλάκις ἀσθενέστεροι γινόμενοι, κἄπειτα διά τινα χρείαν ἐπειχθέντες, ἐπὶ πλεῖστον μὲν διαβαίνειν τοῖς σκέλεσιν ἀδυνατοῦμεν, εἰς ὅσον δ' οἷοί τέ ἐσμεν ἀναγκάζομεν ἡμᾶς αὐτοὺς θᾶττόν τε καὶ πυκνότερον προβαίνειν, οὕτω καὶ ἡ τὰς ἀρτηρίας κινοῦσα δύναμις, ὅταν ἐπείγηται μὲν ὑπὸ τῆς χρείας εἰς τὰς κινήσεις, ἀσθενὴς δ' ᾖ, μεγάλας μὲν οὐχ οἵα τέ ἐστι ποιεῖσθαι τὰς διαστολὰς, ἐπ' ὀλίγον δέ πως ὠκυτέρας, πυκνὰς μὲν εἰς τοσοῦτον, εἰς ὅσον ἐνδεέστεραι τῆς χρείας αἱ διαστολαὶ γίνονται. κατὰ λόγον οὖν, ταῖς μὲν εἰς πυκνότητα ῥεπούσαις στομαχικαῖς διαθέσεσιν τὸν σφυγμὸν ἐπιτεινομέναις, ὁ σκωληκίζων καλούμενος ἐπιγίνεται, καταλυομένης γὰρ τῆς ἐστιν οἰκεῖος δυνάμεως, ταῖς δ' εἰς ἀραιότητα, οἷον διατεθρυμμένος, ἀνωμάλου δυσκρασίας αὐτῶν τῶν ὀργάνων ἔγγονος ὑπάρχων. B C D

Qui vero in raritatem, præter quòd commemoratas differentias adaugent, talem præterea speciem inæqualitatis in vno pulsu generant, vt multis locis pertusum corpus arteriæ videatur, neque esse continuum; ac sentit tactus in distentione veluti arenæ occursum.

Caput ex isagoge hoc est; Causas illorum quæcunque valde perspicuæ sunt memori priorum, præteribo: exponam autem obscuriores. Quum enim debilitetur facultas, aut per se, putà ex intemperie: aut de causa aliqua externa, vt vel grauetur, vel irritetur prauè; grauata quidem paruum, tardum, rarum pulsum edit; paruum, quòd facultas læsa sit; tardum, quum ob hoc, tum ob vsum dissolutum. Frigidi sunt enim, qui facultatem onerant affectus; itaque rarus quoque est. Nam dissoluto vsu, talem ostendimus pulsum gigni. At ex irritantibus duntaxat, & molestantibus facultatem affectibus paruus etiam fit, & languidus ob offensionem facultatis; & creber, quòd languidus sit. Nonnunquam aliquanto etiam celerior est. Quomodo scilicet nos etiam, vbi imbecilliores sumus, ac necessitate quapiam compellamur, plurimùm quidem pedibus progredi nequimus, sed quoad possimus, progressum nostrum magis concitamus, & continuamus: Ad eundem modum facultas, quæ arterias mouet, vbi ad motum adigatur ab vsu, & sit imbecilla, non poterit moliri magnas distentiones, sed aliquanto celeriores; ac tanto crebriores, quanto minus vsum compleant distentiones. Quare par est, vt quum affectus stomachi, qui in crebritatem pulsum conuertunt, increscant, hos vermiculans, quem vocant, consequatur pulsus. Hic enim facultati, quæ dissoluitur peculiaris erat; at iis, qui in raritatem, ille, qui veluti pertusus est, comitatur, qui ex intemperie ipsorum instrumentorum oritur.

ΚΕΦΑΛΑΙΟΝ ΚΔʹ.

Οἱ τῶν ὑδέρων σφυγμοί.

Ὑδέρων σφυγμοὶ, τοῦ μὲν ἀσκίτου, μικρὸς καὶ πυκνότερος, καὶ ὑπόσκληρος σύν τινι τάσει. τοῦ δὲ τυμπανίτου, μακρότερος, οὐκ ἄρρωστος, θάττων, πυκνὸς, ὑπόσκληρος σύν τινι τάσει. τοῦ δὲ κατὰ σάρκα κυματώδης, πλατύτερος, μαλακός.

Ὁ ἀσκίτης ὕδερος, ἐν τοῖς κατὰ τὴν γαστέρα χωρίοις, ἀθροίζων ὑδατώδους ὑγροῦ πλῆθος οὐκ ὀλίγον, εἰς συμπάθειαν ἄγει τὰς μεγάλας ἀρτηρίας, ὡς τείνειν τε ἅμα, καὶ βαρύνειν, καὶ καταψύχειν. τείνειν μὲν, ἅμα τοῖς ἄλλοις τοῖς τῇδε, βαρύνειν δὲ, διὰ τὸ βάρος. ψύχειν δὲ, διὰ τὴν πολλὴν ὑγρότητα. διὰ μὲν δὴ τὴν τάσιν, εὐλόγως τὸν σφυγμὸν ποιεῖ ὑπόσκληρον, σύν τινι τάσει. διὰ δὲ τήν τε τῆς δυνάμεως κάκωσιν, καὶ τὴν κατάψυξιν, μικρότερον. εἰς ὅσον δὲ μικρότερον τοῦ δέοντος, εἰς τοσοῦτον καὶ πυκνότερον, καὶ μᾶλλον ὅταν σὺν πυρετῷ. ὁ δὲ τυμπανίας ὕδερος ἧττον μὲν βαρύνει τὰς μεγάλας ἀρτηρίας, καὶ ὅλως τὴν δύναμιν, οὐχ ἧττον δὲ τείνει. διὰ τοῦτο οὖν ὑπόσκληρος μὲν σύν τινι τάσει, καθάπερ ἐν τοῖς ἀσκίταις ὁ σφυγμὸς γίνεται, θάττων δ' ἐκείνων, καὶ ἧττον ἄρρωστος, πυκνὸς δὲ κατὰ τὰς αὐτὰς αἰτίας ἐκείνῳ. μακρότερος δὲ, διὰ τὴν κουφότητα τῶν ἐπικειμένων ταῖς ἀρτηρίαις σωμάτων. ἐδείχθη γὰρ ἐν τῷ δευτέρῳ λόγῳ, βραχὺς μὲν ὁ σφυγμὸς γινόμενος, ἐπειδὰν τῷ βάρει τε καὶ πλήθει τῶν ἐπικειμένων τε καὶ περικειμένων αὐταῖς σωμάτων θλίβωνται, μακρὸς δὲ, ἐκ τῶν ἐναντίων αἰτίων, ὧν ἐστι κεφάλαιον ἡ κουφότης τῶν ἐπικειμένων, ἣ κἀν τοῖς τυμπανίαις γίνεται. E F

CAPVT XXIV.

Hydropicorum pulsus.

Hydropum pulsus; Ascitæ paruus, crebrior, subdurus cum quadam tensione est; Tympanitæ, longior, non imbecillus, celerior, creber, subdurus, cum quadam tensione; illius quem anasarca vocant, vndosus, latior, mollisque.

Hydrops Ascites, copiam aceruans non modicam in ventre humoris aquosi, vna secum magnas arterias afficit, vt intendat pariter, & grauet & refrigeret. Tendit autem vnà cum aliis, quæ eò loci sunt; grauat ob pondus; refrigerat ob nimiam humiditatem; ac tensionis quidem nomine pulsum reddit meritò cum quadam tensione subdurum. Quia verò facultas læsa, & refrigerata est, minorem; Iam quo minorem iusto, hoc etiam crebriorem, præsertim vbi adiuncta sit febris. Tympanites minus grauat, & magnas arterias, & semel vniuersam facultatem, verùm non minus tendit, quæ res facit, vt perinde ac in Ascitis pulsus subdurus sit cum quadam tensione. At aliquanto illo est celerior minusque imbecillus; creber verò iisdem de causis atque ille; longior ob leuitatem tegentium arterias corporum. Siquidem breuem pulsum in libro secundo ostendimus fieri, vbi pondere, & numero incumbentium corporum arteriæ, & circundantium ipsas premantur; longum ex contrariis causis, quarum est summa incumbentium corporum leuitas; quæ quidem fit etiam in tympanite.

Etenim

Etenim spiritu vniuersum corpus implet. Restat hydropes, qui κατὰ σάρκα, & ἀνασάρκα appellatur. Hæc, quia imbuit totum habitum humore copioso, tum tunicas reddit arteriarum molles, tum pulsus molles, vndosos, latioresque facit.

πνεῦμα γὰρ ἀποπιμπλᾶσιν ὅλον τὸ σῶμα. λοιπὸς δ' ὁ κατὰ σάρκα τε, καὶ ἀνὰ σάρκα προσαγορευόμενος, ὑγρότητι πολλῇ διαβρέχων ὅλην τὴν ἕξιν, ὡς τοὺς χιτῶνας τῶν ἀρτηριῶν ἐργάζεσθαι μαλακούς, οὕτω καὶ τοὺς σφυγμοὺς μαλακούς τε, καὶ κυματώδεις, καὶ πλατυτέρους ἀποφαίνεται.

CAPVT XXV.

Elephanticorum pulsus.

Elephanticorum pulsus paruus, languidus, tardus, creberque est.

Qui Elephantiasi laborant, pulsum habent, non statim ab initio, sed vbi plurimùm creuerit offensa, vt facultas infirma iis sit, paruum, languidum, tardum, & rarum. Hos enim facultati vnà cum frigiditate læsæ demonstrauimus puculiares esse.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Ὁ τῶν ἐλεφαντιώντων σφυγμός.

Ἐλεφαντιώντων σφυγμὸς, μικρὸς, ἀμυδρὸς, βραδὺς, πυκνός.

Ὁ τῶν ἐλεφαντιώντων σφυγμὸς, οὐκ εὐθὺς ἐξ ἀρχῆς, ἀλλ' ἐπειδὰν ἐπὶ πλεῖστον ἥκωσι κακώσεως, ὡς ἄρρωστον αὐτοῖς εἶναι τὴν δύναμιν, μικρὸς, καὶ ἀραιὸς, καὶ βραδὺς, καὶ πυκνὸς ἀποτελεῖται. ἐδείχθησαν γὰρ οὗτοι δυνάμεως ἅμα ψύξει κεκακωμένης οἰκεῖοι.

CAPVT XXVI.

Ictericorum pulsus.

Ictericorum pulsus est, si absit febris, minor, durior, crebrior, non languidus, nec celer.

Vi quadam præditus est flauæ bilis succus exiccandi, vt muria, & mare. Quamobrem tunicam arteriarum indurando, & exsiccando, pulsum quoque facit duriorem, simulque minorem; quòd dura instrumenta scilicet perfectè distendi nequeant. Proinde rationi consonum est, vt quanto fiat, quàm par est, minor, tantò etiam crebrior euadat: non languidus est tamen; neque enim imbecilla facultas est. Neque verò etiam celer, quòd absint febres; nam illæ si adiunctæ sint, propterea quòd vrgeat vsus, celer etiam fiat.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

Ὁ τῶν ἰκτέρων σφυγμός.

Ἰκτέρων ἄνευ πυρετοῦ, μικρότερος, σκληρότερος, πυκνότερος, οὐκ ἀμυδρὸς, οὐ ταχύς.

Ὁ τῆς ξανθῆς χολῆς χυμὸς, ἔχει τι φύσει ξηραντικὸν, ὥσπερ ἅλμη καὶ θάλαττα, καὶ διὰ τοῦτ' οὖν, καὶ τὸν χιτῶνα τῶν ἀρτηριῶν, σκληρότερον ἐργαζόμενος, ἅμα αὐτῷ καὶ τὸν σφυγμὸν ἀποφαίνει σκληρότερον. εὐθὺς δὲ καὶ μικρότερον, ἀδυνατούντων δηλονότι τελέως διαστέλλεσθαι τῶν σκληρῶν ὀργάνων. ὥστ' εὔλογος, εἰς ὅσον τοῦ προσήκοντος γίνεται μικρότερος, εἰς τοσοῦτο καὶ πυκνότερος. οὐ μὴν ἀμυδρός γε. οὐ γὰρ ἄρρωστος ἡ δύναμις. οὐ μὴν οὐδὲ ταχὺς, ὅτι χωρὶς πυρετῶν. ὡς τοῖς γε μετὰ πυρετῶν, καὶ ταχὺς, διὰ τὴν τῆς χρείας ἔπειξιν.

CAPVT XXVII.

Eorum qui veratrum sumpserunt, pulsus.

Veratrum qui sumpserunt, hi paulo ante vomitum, vbi comprimantur, pulsum habent latum, rarum, languidiorem, tardiorem. Interea dum vomunt, & diuelluntur, inæqualem, & inordinatum. Quum meliùs habere cœperint, ordinatum quidem, sed inæqualem adhuc, minùs tamen quàm antea. Vbi verò iam ad naturalem statum propè reuersi fuerint, æqualem, ac maiorem quàm dudum, vehementioremque. Qui horum syncope corripiuntur, conuelluntur, atque singultiunt; paruum hi & languidum, inordinatumque, & celeriorem, atque multùm crebrum habent. Qui ex his suffocantur, paruum, languidum, inordinatum, inæqualem, non autem crebrum, nec celerem, imò potius tardum. Repræsentat etiam nonnihil vndosi, & lati, atque paruam quandam interdum arteriæ tensionem.

Ne in his quidem, qui sumpserunt veratrum, à ratione alienum est, si pulsus, dum premuntur adhuc, tardiores, rariores, languidioresque fiant; nam sunt hi omnibus compressionibus communes. At propria iis est latitudo, quæ hinc oritur, quòd spiritus cum calore intrò retrahatur vniuersus. Nam motæ facultati ad extremitates familiaris est pulsus altus. Ruenti verò & intrò retractæ, humilis. Atque hic quidem est, qui speciem præbet latitudinis. Reliqua horum symptomata, si quæ tradidimus antea, retinuisti, plana sunt.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Ὁ τῶν ἐλλέβορον εἰληφότων σφυγμός.

Τῶν δὲ ἐλλέβορον εἰληφότων, ὀλίγον μὲν πρὸ τῶν ἐμέτων ἡνίκα θλίβονται, πλατὺς, ἀραιὸς, ἀμυδρότερος, βραδύτερος. ἐμούντων δὲ, καὶ σπαραττομένων, ἀνώμαλος καὶ ἄτακτος. ἤδη δὲ βελτίους γινομένων, τεταγμένος μὲν, ἀλλ' ἔτι ἀνώμαλος. ἧττον δὲ ἢ πρόσθεν. ἐπεὶ δὲ τοῦ κατὰ φύσιν ἐλθόντων, ὁμαλὸς καὶ μείζων τοῦ πρόσθεν, καὶ σφοδρότερος. ὅσοι δὲ ἐξ αὐτῶν συγκόπτονται, καὶ σπῶνται, καὶ λύζουσι, μικρὸς τούτοις, καὶ ἀμυδρὸς, καὶ ἄτακτος, καὶ θάττων, καὶ πυκνὸς ἄγαν. τοῖς δὲ πνιγομένοις αὐτῶν, μικρὸς, καὶ ἀμυδρὸς, καὶ ἄτακτος, καὶ ἀνώμαλος. οὐ μὴν πυκνὸς, οὐδὲ ταχὺς, ἀλλ' ἔτι βραδύνειν μᾶλλον. ἐμφαίνει δέ τι καὶ κυματῶδες, καὶ πλατὺ, καί ποτε τάσιν τινὰ τῆς ἀρτηρίας βραχεῖαν.

Οὐδ' ἐπὶ τῶν ἐλλέβορον εἰληφότων ἀλόγως οἱ σφυγμοὶ, θλιβομένων ἔτι, βραδύτεροι, καὶ ἀραιότεροι, καὶ ἀμυδρότεροι γίνονται. πάσης γὰρ θλίψεως ἤδη οὗτοι κοινοί. τὸ δ' ἴδιον αὐτῶν ἐστιν ἡ πλατύτης, ἣν ἐκ τοῦ, τὸ πνεῦμα πᾶν εἴσω μετὰ τῆς θερμασίας ἕλκεσθαι, συμβαίνει γίνεσθαι. τῆς μὲν γὰρ πρὸς τὰ πέρατα κινουμένης δυνάμεως, οἰκεῖος σφυγμὸς ὁ ὑψηλός, τῆς δ' ὀκλαζούσης τε, καὶ ἀποπιπτούσης ἐπὶ τὸ ἔντος, ὁ ταπεινός. οὗτος οὖν ἐστιν ὁ καὶ τὴν τοῦ πλάτους ἀποτελῶν φαντασίαν. τὰ δ' ἄλλα, τὰ συμπίπτοντα αὐτοῖς, δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΙ Δ'.

ΒΙΒΛΙΟΝ Α'.

GALENI DE PRAESAGITIONE EX PVLSIBVS LIBRI QVATVOR.

LIBER PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Α' ΒΙΒΛΙΩι.

Ὅπως τὴν ἐνεστῶσαν διάθεσιν καὶ τὰς αὐτῆς προηγουμένας καὶ προκαταρχούσας αἰτίας τῆς διαστολῆς τῆς ἀρτηρίας συνιστάμενοι ἐνδείκνυνται σφυγμοί.

ARGVMENTVM LIBRI PRIMI.

Quo pacto ex pulsibus qui in distentione arteriæ consistunt, præsens dispositio, & præcedentes ipsius causæ, & externæ deprehendantur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τρόπου τῆς προγνώσεως ἐκ τῆς τοῦ σφυγμοῦ εἰς τὸ μέγεθος μεταβολῆς.

ΟΤΙ μὲν οὐ τῶν μελλόντων ἡ πρόγνωσίς ἐστι μόνον, ἀλλὰ καὶ τῶν παρόντων τε, καὶ τῶν προγεγονότων, ἀρκεῖ τὸ πάλαι πρὸς Ἱπποκράτους δεδηλωμένον. ἐγὼ γὰρ, οὐ τί δύναται πρόγνωσις ἐρῶν ἔρχομαι νῦν, ὅτι μὴ πάρεργον, ἀλλὰ τοῖς εἰδόσιν ὃ δύναται, περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, ἃ γινώσκω φράσω. διττῆς δὲ οὔσης τῆς κατ' αὐτοὺς διδασκαλίας, ὥσπερ καὶ τῆς τῶν βοηθημάτων, ἑτέρας μὲν τῆς κατὰ τὰς οἰκείας αὐτῶν δυνάμεις, ἑτέρας δὲ, τῆς κατὰ τὸ πάθημα, βέλτιον ἡγοῦμαι κατ' ἀμφοτέρας γυμνάζεσθαι, ὥστε καὶ πάθους ὁτινοσοῦν προχειρισθέντος, ἑτοιμότατα δύνασθαι τοὺς σφυγμοὺς αὐτῶν διελθεῖν. ἑκάστου τ' αὖ πάλιν ἰδίᾳ ῥηθέντος σφυγμοῦ, τῶν παθῶν ἁπάντων ἀναμιμνήσκω διὰ ταχέων, ὅσοις συμπίπτειν εἴωθεν. εἰ γάρ τις ἐν ἀμφοτέροις ἱκανῶς γυμνασάμενος, ἀσκήσειεν ἑαυτὸν, ἕκαστον τῶν σφυγμῶν ἀκριβῶς διαγινώσκειν, οὗτος ἂν, οἶμαι, τελέως ἂν εἴη τὰ κατ' αὐτοὺς ἐκμεμαθηκώς. ὥστε καὶ εἴ τις εἰς δέον ὁμιλεῖ τοῖσδε τοῖς γράμμασιν, ἀναλέξασθαι χρὴ πρότερον αὐτὸν, ἣν ἐγράψαμεν περὶ τῆς τῶν σφυγμῶν διαγνώσεως πραγματείαν. ἐκείνης δὲ ἔτι πρότερον, τὴν περὶ τῆς διαφορᾶς αὐτῶν. ἔνθα, πόσοι τέ εἰσιν οἱ σύμπαντες, ποῖός τέ τις ἕκαστος, ᾧ τέ τινι προσαγορευόμενος ὀνόματι, διήλθομεν. ἔστι δὲ καὶ τρίτη τις ἑτέρα πραγματεία, περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὧν ἁπασῶν εἰς τὰ παρόντα δεῖ.

CAPVT PRIMVM.

De ratione præsagiendi ex pulsus in magnitudinem mutatione.

A NON esse futurorum tantum præscientiam, sed præsentium etiam, atque præteritorum, satis id olim demonstrauit Hippocrates. Neque enim dicere, quæ vis sit præscientiæ, hoc loco, nisi obiter, statui, sed quibus est perspectum, quid valeat, de præsagitione per pulsus, quæ mihi perspecta sunt, exponam. Quia verò bipartita est eorum disciplina, vt item remediorum, altera ex peculia- B ribus facultatibus eorum, altera ex ipso affectu; in vtraque operæpretium mihi visum est exercitari, vt quocunque proposito affectu, eius in promptu habeamus pulsus. Rursusque perpetuo qui pulsus, quos prodidi singulorum, breuiter admoneo quibus soleant accidere. Si quis enim in vtriusque probè versatus sit, ac in vnoquoque pulsu accuratè dignoscendo sese exercuerit, hic demùm eorum sit absolutam scientiam assequutus. Itaque etiam qui rectè volet in his- C ce libris versari, huic reuoluendum priùs est, quod conscripsimus opus de dignoscendis pulsibus, ac ante illud, de pulsuum differentiis; vbi quot sint vniuersi & qualis quisque, atque quod sortitus nomen, aperuimus. Tertium iam opus de pulsuum causis est; quæ omnia ad præsentem sermonem requiruntur. Nam

Nam si primum absit, nihil omnino quid dicatur assequere, quum quæ nomina quibus rebus assignentur, non teneas prius. Secundum verò si te lateat, omnis cum eo huius commentationis fructus perit. Etenim ego si celerem pulsum, vel magnum, vel vehementem, vel quem alium designare tradam certam rem præteritam, aut præsentem, aut impendentem, nisi eos norit lector in experiundo dignoscere, nec de veritate eorum, quæ dicuntur poterit iudicium facere, nec ex illis vnquam præsagire quicquam. Tertia lucubratio, quæ causas docet, vnde variantur pulsus, tum ad demonstrationem est his quæ dicenda sunt, necessaria, tum ad memoriam, & reminiscentiam. Id quod etiam intelligemus apertiùs, proposito aliquo pulsu, verbi gratia, magno. Hîc homonymiam primum distinguemus, quandoquidem bifariam dicitur pulsus magnus, deinde in vtraque attendemus significatione, quid annuntiare præsens, vel præteritum, vel futurum possit; quæ quidem duæ significationes hæ sunt. Magnus vocatur pulsus, nunc cum moderato comparatus, & naturali; nunc cum quolibet. Iam quæ præsciuntur ex vtroque partim in communi pertinent ad ambos pulsus, partim vtrique sunt propria. Ac verò iam omnia persequamur, exorsi à communibus. Sanè horum in primis est procliuis inuentio, si retinueris, quæ in lucubratione De pulsuum causis docuimus; vbi hæc demonstrauimus, causarum non esse vnum genus eos alterantium, sed vnum esse continuum, vt aiunt, generationi; quòd scilicet naturale est; alterum contrarium esse, ac est causarum præter naturam. Postea tertium existit aliud, causarum non naturalium. Atque hæc referuntur ad veram illorum essentiam, & naturam. Aliud quartum ad apparentem in specie; quòd quia proprium in primis est commentationi præsagiendi; diligentissimè est explicandum. Nam ex eo quod talis, vel talis quisque appareat pulsus, initium nobis datur præsagiendi. Atqui non apparet perpetuò is, qui verè est. De hoc etsi verba iam fecimus in libro secundo De pulsuum causis in fine libri; & etiam in tertio breuiter attigimus, vbi ageremus de gracilibus; tamen nunc quoque paulò inferiùs declarabimus, si priùs de causis, quæ immutant pulsus, disseruerimus. Non posse pulsum mutari vllum, in primo libro De causis pulsuum demonstrauimus, nisi etiam effectrix eius facultas, vel tunica arteriæ, vel vsus quamobrem fit, in aliqua sint mutatione, & alteratione. Ita etiam in proposita in magnitudinem pulsuum mutatione quodnam de illis, aut quænam immutata sunt, aduertemus; facultasne robustior sit (didicimus enim eam, quãtum in ipsa sit, pulsum maiorem reddere) an hæc eadem manserit, mollis autem euaserit tunica arteriæ; si quidem hoc quoque accepimus, in magnitudinem, molliorem tunicam attollere pulsum. An quòd increuerit vsus, ea mutatio inciderit. Ergo facultas si robusta sit, planè fit vehementior; posuimus autem maiorem duntaxat factum esse. Quod si tunica tantum arteriæ emollita sit, etenim hoc quoque didicimus, sicut & mollior arteriæ tunica pulsum in magnitudinem attollit, necessariò mollior erit. Iam si neutrum appareat, clarum est, nec facultatem, nec arteriæ tunicam immutatam esse. Restat igitur, mutatum aliquatenus esse, & variasse vsum

ἢ μὲν γὰρ τὸ πρῶτον τῆς χωρίς, οὐδὲ νοῆσαι τῶν λεγομένων οὐδὲν οἷόν τε, μὴ προγινώσκοντα, τῶν ὀνομάτων ἕκαστον ἐφ᾽ ὅτου πράγματος λέγεται. τοῦ δὲ δευτέρου ἀγνοουμένου, οἴχεται πᾶσα αὐτῷ τὸ χρήσιμον κάρπον, ἐκ τῆς νῦν προκεχειρισμένης θεωρίας. εἰ γὰρ ἐγὼ μὲν γράφοιμι τὸν ταχὺν, ἢ τὸν μέγαν, ἢ σφοδρόν, ἤ τινα τῶν ἄλλων σφυγμῶν, ἐνδείκνυσθαι τόδε τι προγεγονός, ἢ παρόν, ἢ μελλόμενον· ὁ δὲ ἀναγινώσκων, ἀγνοῇ διαγινώσκειν ἐπὶ τῶν ἔργων αὐτούς, οὔτε κρῖναι δυνήσεται τῶν λεγομένων τὴν ἀλήθειαν, οὔτε προγνῶναί ποτ᾽ ἐξ αὐτῶν οὐδέν. ἡ δὲ τρίτη πραγματεία, τὰς ἀλλοιούσας τοὺς σφυγμοὺς αἰτίας ἐκδιδάσκουσα, καὶ πρὸς ἀπόδειξιν τοῖς νῦν λεχθησομένοις ἐστὶν ἀναγκαία, καὶ πρὸς μνήμην, καὶ πρὸς ἀνάμνησιν. εἰσόμεθα δὲ καὶ τοῦτο αὐτὸ σαφέστερον, ἑνός τινος οὖν σφυγμοῦ προχειρισθέντος, εἰ τύχοι, τοῦ μεγάλου. διαιρησόμεθα γὰρ ἐν αὐτῷ, πρῶτον μὲν τὴν ὁμωνυμίαν, ἐπειδὴ διχῶς ὁ μέγας λέγεται σφυγμός. εἶτ᾽ ἐφεξῆς, καθ᾽ ἑκάτερον τῶν σημαινομένων ἐπισκεψόμεθα τί δηλοῦν πέφυκεν ἐνεστός, ἢ προγεγονός, ἢ μέλλον. τὰ μὲν δὴ σημαινόμενα δύο, τοιαῦτα ἐστί. μέγας λέγεται σφυγμός, ὁ μὲν, ὡς πρὸς τὸν σύμμετρόν τε, καὶ κατὰ φύσιν· ὁ δὲ, ὡς πρὸς ὁντιναοῦν τὸν ἐπιτυχόντα. τὰ δὲ ἐξ ἑκατέρου προγινωσκόμενα, τὰ μέν τινα κοινὰ τῶν σφυγμῶν ἀμφοτέρων ἐστί, τὰ δὲ ἴδια. καθ᾽ ἑκάτερον ἐφεξῆς δὴ ἅπαντα διέλθωμεν, ἀπὸ κοινῶν ἀρξάμενοι. ῥάστη δὲ αὐτῶν ἡ εὕρεσις, εἴ τις εἴη μεμνημένος ὧν ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ διήλθομεν, ἐπιδεικνύντες ὡς οὐχ ἓν τὸ γένος ἐστὶ τῶν ἀλλοιούντων αὐτοὺς αἰτίων, ἀλλὰ τὸ μὲν, ὡς ἂν οὕτως τις εἴποι, συνεκτικὸν τῆς γενέσεως, ὅπερ δὴ καὶ κατὰ φύσιν ἐστίν, ἕτερον δ᾽ ἐναντίον τῷδε τὸ τῶν παρὰ φύσιν αἰτίων, ἐφ᾽ οἷς τρίτον ἄλλο, τὸ τῶν οὐ φύσει. ταῦτα μὲν ὡς πρὸς τὴν ἀληθινὴν αὐτῶν ὕπαρξίν τε καὶ φύσιν. ἄλλο δὲ τέταρτον, ὡς πρὸς τὴν φαινομένην, ὃ μάλιστα νῦν ἀναγκαῖόν ἐστιν ἀκριβῶς ἐξηγήσασθαι τῆς προγνωστικῆς πραγματείας ἰδιαίτερον ὑπάρχον. ἐκ γὰρ τοῦ φαίνεσθαι ποῖον, ἢ ποῖον, ἕκαστον τῶν σφυγμῶν, ἡ ἀρχὴ τῆς προγνώσεως ἡμῖν ἐστιν. οὐκ ἀεὶ δὲ φαίνεται τοιοῦτος, οἷος καὶ ὄντως ἐστί. καὶ λέλεκται μὲν ἤδη καὶ περὶ τούτου, κατὰ τὸ δεύτερον τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ἐπὶ τελευτῇ τοῦ βιβλίου. καὶ κατὰ τὸ τρίτον δ᾽ ἐπ᾽ ὀλίγον, ἔνθα περὶ τῶν ἰσχνῶν διαλεγόμεθα, λεχθήσεται δὲ καὶ νῦν ὀλίγον ὕστερον, ἐπειδὰν πρότερον περὶ τῶν ἀλλοιούντων αὐτοὺς αἰτίων διέλθωμεν. ἐδείχθη δὲ ἐν τῷ πρώτῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ὡς οὐχ οἷόν ἐστιν ἀλλοιωθῆναι σφυγμὸν οὐδένα, χωρὶς τοῦ τὴν ἐργαζομένην αὐτὸν δύναμιν, ἢ τὸν χιτῶνα τῆς ἀρτηρίας, ἢ τὴν χρείαν δι᾽ ἣν γίνεται, μεταβολήν τινα καὶ ἀλλοίωσιν ἔχειν. οὕτως οὖν κἀπὶ τῆς νῦν προκειμένης ῥοπῆς, τῆς εἰς τὸ μέγεθος τῶν σφυγμῶν, ἐπισκεψόμεθα τί ποτ᾽ ἐστὶ τῶν εἰρημένων, ἤ τινα, τὰ τὴν μεταβολὴν εἰληφότα· πότερον ἡ δύναμις εὐρωστοτέρα γινομένη, μεμαθήκαμεν γὰρ, ὡς ὅσον ἐφ᾽ ἑαυτῇ τὸν σφυγμὸν ἐργάζεται μείζονα, ἢ ταύτης ὁμοίας διαμενούσης, ὁ χιτὼν τῆς ἀρτηρίας ἐμαλάχθη. καὶ γὰρ καὶ τοῦτ᾽ ἐμάθομεν, ὡς ὁ μαλακώτερος χιτών, εἰς μέγεθος ἐξαίρει τὸν σφυγμόν. ἢ διὰ τὴν τῆς χρείας αὔξησιν, ἡ τοιαύτη γέγονεν ἀλλοίωσις. εἰ μὲν οὖν ἡ δύναμις ἐρρώσθη, σφοδρότερος ἂν ἦν πάντως. ὑπόκειται δὲ γε μείζων μόνον γεγενημένος. εἰ δὲ ὁ χιτὼν τῆς ἀρτηρίας μόνον ἐμαλάχθη, καὶ γὰρ καὶ τοῦτο ἐμάθομεν, ὡς καὶ ὁ μαλακώτερος χιτὼν τῆς ἀρτηρίας, εἰς μέγεθος ἐξαίρει τὸν σφυγμόν, μαλακώτερος ἂν ἐξ ἀνάγκης ἐγένετο. εἰ γὰρ οὖν μηδέτερον φαίνεται, δῆλον ὡς οὔθ᾽ ἡ δύναμις, οὔθ᾽ ὁ χιτὼν τῆς ἀρτηρίας ὑπήλλακται. λοιπὸν οὖν ἀναγκαῖον ἐξηλλάχθαι κατά τι, καὶ μεταβε-

βεβλῆσθαι τὴν χρείαν τῆς τῶν σφυγμῶν γενέσεως. ἐδείχθη δὲ αὐτῶν ἡ χρεία διττή, πρώτη μὲν καὶ μεγίστη, φυλακὴ τῆς ἐμφύτου θερμότητος, δευτέρα δέ, γένεσις πνεύματος ψυχικοῦ. καλῶ δὲ οὕτω νῦν, ᾧ χρῆται πρὸς τὰς κατὰ προαίρεσιν ἐνεργείας ἡ ψυχή. τούτων ἄρα τι πάντως ὑπήλλακται παρὰ τὰ πρόσθεν, ὁπότ' εἰς μέγεθος ὁ σφυγμὸς μεταβέβληται. ἀλλὰ μὴν καὶ ὅτι βραχείας μὲν γινομένης τῆς διὰ τὴν χρείαν, ἐκ τοῦ κατὰ φύσιν ἀλλοιώσεως, τὸ μέγεθος τῶν σφυγμῶν μόνον ἐπιφανὲς ἔσται, τὸ δὲ τάχος οὐδέπω. πλέονος δέ, τὸ μέγεθος ἐπὶ μᾶλλον αὐξηθήσεται, καὶ τὸ τάχος ἐναργῶς φανεῖται. προσαυξανομένης δ' ἔτι, καὶ τὸ μέγεθος μὲν, καὶ τὸ τάχος ἐπιταθήσεται, προσέτι δὲ καὶ πυκνότης, ὡς ἐκ τῆς περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείας εὔδηλόν ἐστιν. εἰ τοίνυν κατὰ τὸ μέγεθος μὲν ὁ σφυγμὸς ἠλλοιῶσθαι φαίνεται, τοῦτο γὰρ ὑπόκειται νῦν, ἀναγκαῖον ἐπὶ βραχὺ τὴν χρείαν ὑπηλλάχθαι. εἰ δὲ μὴ γέγονε μείζων ὁ σφυγμός, ἀλλὰ φαίνεται μείζων, ἰσχνότερον ἑαυτοῦ τὸ σῶμα τοῦ ἀνθρώπου δι' ἥντινα οὖν αἰτίαν ἀπετελέσθη. ταῦτ' οὖν προεπιστάμενός τις, ἐπὶ τὰς διαγνώσεις ἡκέτω, πρῶτον ἐπὶ τὰς τῶν ἁπλῶς ὑγιαινόντων σωμάτων. εἶθ' ἑξῆς, ἐπὶ τὰς μετά τινος ἐπικτήτου κινήσεως. εἶτα ἤδη, καὶ ἐπὶ τὰς τῶν νοσούντων ἁπλῶς. καὶ τελευταῖον, ἐπὶ τὰς μετά τινος ἔξωθεν ἀλλοιώσεως. ἐν μὲν γὰρ τοῖς ἁπλῶς ὑγιαίνουσι σώμασιν, ὁ μέγας σφυγμός, ἐνδείξεται τήν τε κρᾶσιν τοῦ ἀνθρώπου, καὶ τὴν ἕξιν τοῦ σώματος. ἐν δὲ τοῖς μετ' ἐπικτήτου διαθέσεως, ἐκείνην τὴν κίνησιν ἐπικρατεῖν, ἧς οἰκεῖος ὁ μέγας ἐστὶ σφυγμός. εἴρηται δὲ ὑπὲρ τῶν τοιούτων ἁπασῶν κινήσεων, ἐν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ. οὕτω δὲ κἀν τοῖς νοσοῦσι, τοῖς μὲν ἁπλῶς, ὁ μέγας σφυγμὸς ἐνδείξεται θερμὴν τῆς νόσου τὴν διάθεσιν. τοῖς δὲ μετὰ προσφάτου τινὸς ἔξωθεν ἀλλοιώσεως, ἐκείνην τὴν κίνησιν ἐπικρατεῖν, ἧς αὖ οἰκεῖος ὁ μέγας εὑρίσκεται σφυγμός. οἷ αὐτίκα, τῶν ὑγιαινόντων ὅσοι τὸν σφυγμὸν ἔχουσι μέγαν, ὡς πρὸς τὸν σύμμετρον δηλονότι παραβαλλόμενοι, ἀναμνησθῆναι χρή, πρῶτον μὲν αὐτὸ δὴ τοῦτο, τίς ἐστιν ὁ σύμμετρος ἐν τούτῳ τῷ γένει, καὶ κατὰ τίνα φύσιν σώματος. ἐπιδέδεικται δ' ἐν τῷ δευτέρῳ τῆς τῶν σφυγμῶν διαγνώσεως, ἐν ταῖς ἀρίσταις κατασκευαῖς τοῦ σώματος, ὁ σύμμετρος ὑπάρχων σφυγμός, οὐδ' ἐπὶ τούτων διαπαντός, ἀλλ' ὅταν ἁπάσης ἐπικτήτου ποιότητος, καὶ κινήσεως ἀπηλλαγμένον ᾖ τὸ σῶμα τῶν ἐκ τοῦ γυμνασίου τινός, ἢ τροφῆς, ἢ πόματος, ἢ λουτρῶν, ἢ φαρμάκων, ἢ πάθους ψυχικοῦ γινομένων. ἀναμνησθέντα δή σε τοῦ συμμέτρου σφυγμοῦ, καὶ τὸν νῦν εὑρόντα, μέγαν, ὡς πρὸς ἐκεῖνον ἐννοεῖν προσήκει, ὑπό τινος αἰτίας εἰς μέγεθος ἐπέδωκεν. ἤτοι γὰρ διὰ τὴν ἰσχνότητα τοῦ σώματος, ἢ διὰ τὴν θερμότητα τῆς κράσεως, ἢ διὰ τὴν ἐπίκτητον κίνησιν, ἀλλ' αἱ μὲν ἐπίκτητοι κινήσεις, αὐτίκα καθίστανται, παραμένουσι δ' ἔτι διὰ τὴν ἰσχνότητα, καὶ τὴν κρᾶσιν. αὐτῷ τε οὖν τούτῳ διορίζεσθαι χρή, καὶ οἷς ὀλίγον ὕστερον ἐρῶ, μικρόν τι προειπὼν ἀναγκαῖον εἰς τὴν ἑξῆς ἅπασαν διδασκαλίαν. ἔστι δ' ὃ προειπεῖν βούλομαι, τοιόνδε. ἀκριβεστάτη διάγνωσις ἁπασῶν τῶν κατὰ τὸ σῶμα γινομένων ἀλλοιώσεων, ἐκείνων ἡμῖν ἐστι τῶν σωμάτων, ὧν ἐπιστάμεθα τὴν φύσιν. εἰς ὅσον γὰρ ἐξίσταται τῆς φύσεως, ἐπί γε τοῖς παρὰ φύσιν αἰτίοις, καὶ προσέτι τοῖς οὐ φύσει λεγομένοις, οὐκ ἔνεστιν ἄλλως ἐξευρεῖν ἀκριβῶς. οὐ μὴν ἀεί γε ταύτην γινώσκομεν, οὐκ οὖν οὐδ' ἀκριβῆ διάγνωσιν ἐπὶ πάντων ἕξομεν, ἀλλ' ἀεὶ τοσοῦτον ἀπολελειμμένην τῆς ἀκριβείας, εἰς ὅσον καὶ τῆς τοῦ κατὰ φύσιν γνώσεως.

pulsuum generandorum. Quorum esse docuimus vsum duplicem; primum atque maximum, conseruationem natiui caloris; alterum, animalis spiritus generationem: sic nunc voco, quo vtitur anima ad functiones voluntarias. Ac horum omnino præter superiora, aliquid est mutatum, vbi in magnitudinem conuersus pulsus sit. At verò si paruus fiat à natura recessus ob vsum, sola perspicua erit magnitudo, nondum autem celeritas; si maior, increscet magis magnitudo, & clarè celeritas apparebit; si adhuc amplificabitur, magnitudo, celeritasque augebuntur; atque accedet crebritas, vt planum est ex opere De causis pulsuum. Quare pulsus si diuersus esse magnitudine videatur (nam hoc nunc propositum est) necessarium est vsum paululum esse immutatum. Sin autem non sit factus maior pulsus, sed videatur maior, gracilius solito aliqua de causa euasit hominis corpus. His iam cognitis, ad examinandum accedas; primùm in corporibus simpliciter sanis; mox in iis, vbi adiunctus est aliquis ascititius motus; postea, in corporibus, quæ ægrotant simpliciter; postremò in iis, vbi alteratio quæpiam adest externa. In corporibus enim quæ sunt sanitate inculpata, docebit magnus pulsus, & temperamentum hominis, & corporis habitudinem. In corporibus, vbi adiunctus est aduentitius status, illum præpollere motum, cui peculiaris magnus pulsus est. De omnibus hisce motibus, in opere De causis pulsuum diximus. Nec aliter in ægrotantibus, si quidem ægrotant simpliciter, indicabit magnus pulsus morbi calidum affectum esse. Sin recens aliqua adsit alteratio extrinsecus, illum vincere motum, cui sit familaris magnus pulsus; vt exempli gratia, in sanis, qui pulsum magnum obtinent, ad moderatum scilicet relatum, ad memoriam est reuocandum, primùm hoc quidem, qui sit in hoc genere moderatus pulsus, & qua in corporis natura. Ostendimus in secundo libro De pulsibus dignoscendis, in corporibus optimè comparatis pulsum esse moderatum, non in his tamen perpetuò; verùm cùm omni qualitate aduentitia corpus liberum sit, omnique motu, quæ fiunt ex aliqua exercitatione, aut cibo, potu, balneis, medicamentis, animi affectu. Quare reuocandus est ad memoriam moderatus pulsus, & quem nunc inuenimus, magnus, vt in comparatione illius considerandus est, ex qua causa in magnitudinem increuit. Aut enim ex gracilitate corporis, aut ex calore temperamenti, aut ex ascititio motu. Cæterùm motus ascititij mox desinunt, permanent verò amplius ob gracilitatem, & temperamentum. Hac igitur ipsa re distinguendus est, aliique, quas dicam inferius; tantum præmonebo nonnihil, quod necessarium ad omnem sequentem doctrinam est; quod præmonere institui, hoc est. Omnium alterationum, quæ corpori accidunt, certissimam assequimur in illis corporibus cognitionem, quorum noscimus naturam. Quantum enim à natura discesserint ob causas præter naturam, & illas etiam, quæ non naturales appellantur, nulla poteris exactè inuenire alia ratione. Sedenim non cognoscimus hanc semper; quare nec in exactam vbique cognitionem veniemus; verùm à cognitione absoluta tantum aberimus, quantum à naturalis status cognitione.

At

At statuimus primum explorationem in hac disputatione fieri hominis naturæ, hocque habeat eximium vnum, vt maior sit pulsus moderato citra vllam alterationem ascititiam. Hunc hominem necesse est homine optime natura comparato, esse vel calidiorem, vel graciliorem, si quam habemus priorum duarum lucubrationum memoriam De dignoscendis pulsibus, & De pulsuum causis. Atque huius quoque duxi admonendum esse, in eiuscemodi omnibus orationibus, licet coniunctione disiunctiua vtamur, vel, omnes tamen posse partes in vnum conuenire; siue duæ, vt nunc, calor & gracilitas, siue plures videantur, quæ mutationem efficiunt. Ac pulsus quidem: qui absolutè dicitur magnus, quem ad eum, qui absolutè est moderatus, ostendimus conferri, aut temperamentum, aut præsentem declarabit corporis statum. Qui verò magnus dicitur comparatus cum naturali vniuscuiusque pulsu, etiam hic annunciabit, aut calorem aliquem accessisse illius corporis statui naturali, aut gracilitatem. At verò mutationes pulsuum ex causa externa in hunc modum sunt discernendæ. Quæ ex balneis, cursibus, frictionibus, cæterisque motibus fit, non est diuturna, sed mox ad pristinum statum reuertitur. Itaque tangendo pulsu, iterúmq; tangendo paulo post poteris in manifestã mutationis cognitionem venire, altera enim tactio, vt breuissimum interponatur spatium, à priore videtur diuersa esse. At magnitudo pulsuum ex vino, & cibo profecta, diuturna est. Hæc ex vehementia exploratur, quæ illi est coniuncta; neque enim his vehemens minus, atque magnus est pulsus. Nunc autem is positus est, qui duntaxat sit maior; itaque non est ab his immutatus. Iam etiam magnitudo, quam ira concitat, adiunctam habet vehementiam quæ alioqui prudentem non lateat, si oculos respiciat, vniuersumque vultum; quod, si quis reprimere iram, & tegere velit, fit inæqualis pulsus, magisque inæqualis his, qui anguntur, & verentur. Porrò magnitudinis incrementum, quod fit, quum semicocti in corpore humores concoquuntur, aluntque naturam, perinde, vt his, qui cibum sumpserunt, vnà secum auget vehementiam. Haud aliter, si quis in sole, aut ad ignem calefactus sit, non solum non durat diù alteratio, verum etiam cutis iis est squalida, nec humida, vt erit à balneis. Atque hi quidem quod ad mollitiem, & humiditatem cutis attinet, contrà se habent, ac loti. Medium inter vtrosque locum sunt sortiti in cutis mutatione humiditatis, ac siccitatis, fricti, atque exercitati. Iam verò etiam calor hic copiosior secundum pectus est exercitatis, & iratis, lotis parcior, adeoque ad extremas, vsque partes æquabiliter cum humiditate, & mollitie extensus. Sic etiam, si inunctus homo interea fuit medicamento calido, inter tangendum mordacem calorem senties; quanquam fortassis, nec illita cuti ex medicamento pinguedo te fallat. Hi sunt artificiales modi causarum dignoscendarum, quæ in magnitudinem pulsum sanis, & ægrotis conuertunt. Externi sunt, partim per inuestigationem quum scilicet apud inimicos, aut insidiatores aut malignos tentatores quæstionem habeatis, partim ex eo, quòd non discesserit ab ægroto medicus; quos quidem optimos confirmamus esse dignoscendi modos; nam, qui fiunt, quum non semper ægrotis medicus præsto fuerit,

Ὑποκείσθω δὴ πρῶτον ἐν τῷ προκειμένῳ λόγῳ, τὴν διάγνωσιν γίνεσθαι τῆς τοῦ ἀνθρώπου φύσεως, καὶ τοῦτ' αὐτῷ μόνον ἐξαίρετον ὑπαρχέτω, μείζων ὁ σφυγμὸς ἔστω τοῦ συμμέτρου, χωρὶς ἁπάσης ἀλλοιώσεως ἐπικτήτου. τὸν γὰρ τοιοῦτον ἄνθρωπον ἀναγκαῖόν ἐστιν τοῦ τὴν ἀρίστην ἔχοντος κατασκευὴν, ἤτοι θερμότερον, ἢ ἰσχνότερον ὑπάρχειν, εἴ τι μεμνήμεθα τῶν προγεγραμμένων ἡμῖν δυοῖν πραγματειῶν, τῆς τε περὶ διαγνώσεως σφυγμῶν, καὶ τῆς περὶ τῶν ἐν αὐτοῖς αἰτίων. ὑπομεμνήσθω δὲ καὶ τοῦθ' ἡμῖν, ἐν ἅπασι τοῖς τοιούτοις λόγοις, ὡς ἐν οἷς τῷ παραδιαζευκτικῷ χρώμεθα συνδέσμῳ, ἢ πάντα ἅμα τὰ κατὰ μέρος ἐγχωρεῖ συνελθεῖν, εἴτε δύο, καθάπερ νῦν, ἥ τε θερμότης καὶ ἡ ἰσχνότης, εἴτε καὶ πλείω φαίνοιτο τὰ τὴν ἀλλοίωσιν ἐργαζόμενα. ὁ μὲν δὴ μέγας σφυγμὸς ὁ ἁπλῶς λεγόμενος, ὥσπερ ἐδείκνυτο πρὸς τὸν ἁπλῶς σύμμετρον παραβαλλόμενος, ἤτοι τὴν κρᾶσιν, ἢ τὴν παροῦσαν σχέσιν δηλώσει τοῦ σώματος. ὁ δέ γ' ὡς πρὸς τὴν ἑκάστου κατὰ φύσιν μέγας ἐν ἐκείνῳ τῷ σώματι. δηλώσει καὶ αὐτὸς, ἤτοι θερμότητά τινα προσγινομένην τῷ κατὰ φύσιν, ἢ ἰσχνότητα. τὰς δὲ ἀπό τινος ἔξωθεν αἰτίου τροπὰς τῶν σφυγμῶν κατὰ τάδε διορίζειν. ἡ μὲν ἐκ βαλανείων τε, καὶ δρόμων, καὶ τρίψεων, καὶ τῶν ἄλλων κινήσεων γινομένη, βραχυχρόνιός τε ἐστὶ, καὶ οὕτω ταχέως εἰς τὴν ἀρχαίαν ἐπανέρχεται κατάστασιν, ὥστ' ἔνεστί σοι τῶν σφυγμῶν ἁψαμένῳ, κἄπειτα βραχὺ διαλιπόντι, καὶ πάλιν ἐφαψαμένῳ, σαφέστατα διαγνῶναι τὴν μεταβολήν. ἡ δευτέρα γὰρ ἁφὴ, τῆς προτέρας διαλλάττουσα φαίνεται, κἂν βραχύτατόν τις χρόνον διαλείπῃ. τὸ δὲ ἀπ' οἴνου, καὶ τροφῆς, μέγεθος τῶν σφυγμῶν, ἄχρι μὲν πλείστου παραμένει. διορίζεται δὲ τῇ συνούσῃ σφοδρότητι, σφοδρὸς γὰρ οὐχ ἧττον, ἢ μέγας, τούτοις ὁ σφυγμὸς γίνεται, νυνὶ δὲ ὑπόκειται μείζων μόνον γεγενημένος. οὐκοῦν ἀπὸ τούτων ἠλλοίωται. καὶ μήν γε καὶ ἡ ἀπὸ τοῦ θυμοῦ, μετὰ σφοδρότητος γίνεται, καὶ οὐδ' ἂν ἄλλως λάθοι, τόν γε συνετὸν, εἴς τε τοὺς ὀφθαλμοὺς, καὶ τὸ σύμπαν πρόσωπον ἀποβλέποντα. κατέχειν μέντοι, καὶ κρύπτειν βουλομένῳ τὸν θυμὸν, ἀνώμαλος ὁ σφυγμὸς γίνεται, καὶ μᾶλλον ἀνώμαλός ἐστιν τοῖς ἀγωνιῶσί τε καὶ αἰδουμένοις. ἡ δ' ἀπὸ τῶν ἡμιπέπτων ἐν τῷ σώματι χυμῶν πεττομένων τε, καὶ τρεφόντων τὴν φύσιν εἰς μέγεθος ἐπίδοσις, ὁμοίως τοῖς εἰληφόσι τροφὴν, συναυξάνει καὶ τὴν σφοδρότητα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἴ τις ἐν ἡλίῳ τε καὶ παρὰ πυρὶ θαλφθείη, πρὸς τῷ μὴ παραμένειν ἄχρι πολλοῦ τὴν ἀλλοίωσιν, ἔτι καὶ ὁ χρὼς αὐχμηρὸς αὐτοῖς, καὶ οὐχ ὑγρὸς, ὡς ἀπὸ βαλανείων ἐστίν. οὗτοι μὲν οὖν ἐξ ὑπεναντίου πως διάκεινται τοῖς λελουμένοις, ὅσον ἐπὶ μαλακότητι καὶ ὑγρότητι τοῦ δέρματος. μέσοι δ' ἀμφοῖν ἐν τῇ καθ' ὑγρότητά τε καὶ ξηρότητα μεταβολῇ τοῦ δέρματός εἰσιν, οἱ τριψάμενοί τε καὶ γεγυμνασμένοι. καὶ μὲν δὴ καὶ ἡ θερμότης αὕτη, πλείων μέν ἐστι περὶ τὰ στέρνα τοῖς γεγυμνασμένοις τε καὶ θυμουμένοις, ἐλάττων δὲ τοῖς λελουμένοις, καὶ μᾶλλον ἄχρι τῶν ἄκρων ὁμαλῶς ἐκτεταμένη μεθ' ὑγρότητός τε ἅμα καὶ μαλακότητος. ὡσαύτως δὲ καὶ εἰ ὁ ἄνθρωπος ἠλείψατο, μεταξύ τινι θερμαίνοντι φαρμάκῳ, δακνώδης δέ τις αἴσθησις ἀπὸ τῆς θερμότητος ἁπτομένῳ σοι γενήσεται, καὶ τάχ' ἂν οὐδ' ἄλλως λάθοι ἐμπεπλασμένον αὐτοῦ τῷ δέρματι λίπος ἐκ τοῦ φαρμάκου. αἱ μὲν δὴ τεχνικαὶ διαγνώσεις αὗται, τῶν εἰς μέγεθος τρεπόντων αἰτίων τοὺς σφυγμοὺς, ἐπί τε ὑγιαινόντων καὶ νοσούντων εἰσίν. αἱ δ' ἔξωθεν, αἱ μὲν ἐξ ἀνακρίσεως, ὡς ὅταν γε μὴν ἐν ἐχθροῖς τισὶν, ἢ ἐνεδρεύουσι, ἢ κακοήθως ἀποπειρωμένοις ἀνθρώποις ποιῆτε τὰς ἐπισκέψεις. αἱ δὲ ἀπὸ τοῦ μὴ κεχωρίσθαι τοῦ κάμνοντος αὐτὸν τὸν ἰατρὸν, ὥσπερ δὴ καὶ ἀρίστας φαμὲν τῶν διαγνώσεων. ὡς ὅσαι γε μήτε διαπαντὸς παρόντος τοῖς νοσοῦσι τοῦ θεραπεύοντος γίνονται,

μήτ' ἀληθῆ βουλόμενοι ἀπαγγέλλειν, αὗται χαλεπώτεραί τέ εἰσι, καὶ συνετοῦ πάνυ δέονται τοῦ ἰατροῦ. ἐμοὶ γοῦν συνέβη, τῶν ἄλλων ἁπάντων ἀφωρισμένων, αἷς πρόσθεν εἴρηκα διαγνώσεσιν, ὑπολείπεσθαι ζητῆσαι, εἴτε φάρμακον θερμαῖνον ὁ κάμνων προσενήνεκτο μεταξὺ μὴ παρόντων ἡμῶν, εἴτε καὶ τῷ τῆς ἐπισημασίας λόγῳ μέγεθος ὁ σφυγμὸς προσέλαβεν. ἐν μὲν δὴ τοῖς τοιούτοις καιροῖς ἀναγκαῖόν ἐστι πανταχόθεν ἐπιτεχνᾶσθαί τε, καὶ στοχάζεσθαι τἀληθοῦς. πρῶτος μὲν οὖν σκοπὸς ἐν τοῖς τοιούτοις, ὁ παροξυντικὸς ἐστὶ χρόνος. ἐφεξῆς δὲ, τοῦ κάμνοντος τὸ ἔθος τε καὶ τὸ ἦθος. εἰ μὲν γὰρ ἄλλῳ τινὶ χρόνῳ, καὶ μὴ τῷ παροξυντικῷ, μέγεθος ὁ σφυγμὸς προσεκτήσατο, πιθανὸν ἀπὸ τοῦ θερμαίνοντος φαρμάκου μᾶλλον, ἢ λόγῳ παροξυσμοῦ γεγενῆσθαι τὴν ἀλλοίωσιν. εἰ δ' ἐν τῷ παροξυντικῷ, πιθανώτερον ἐπισημασίας λόγῳ. διορισθήσεται δὲ ἀκριβῶς, εἰ βραχὺ διαλιπόντες, αὖθις ἁψαίμεθα. τὴν μὲν γὰρ ἀπὸ τοῦ φαρμάκου θερμότητα, δι' ἣν ὁ σφυγμὸς ἐπέδωκεν, ἀεὶ καὶ μᾶλλον ἐκλύεσθαι συμβαίνει, τοῦ χρόνου προϊόντος· ἐπιτείνεσθαι δὲ τὴν ἐκ τοῦ παροξυσμοῦ. αὕτη μὲν οὖν ἡ διάγνωσις ἐκ τῶν ἰδίων τῆς τέχνης ἐστίν. ἡ δ' ἀπὸ τοῦ ἔθους τε καὶ ἤθους τῶν καμνόντων, ἐξ ἐπιμέτρου προσέρχονται. τινὲς μὲν γὰρ ἀήθεις τ' εἰσὶ, καὶ φοβεροὶ πρὸς τὰς τῶν φαρμάκων πόσεις, ἔνιοι δὲ, συνήθεις τε καὶ χωρὶς φαρμάκων ζῆν οὐχ ὑπομένοντες. καὶ τοίνυν ἡ πρόγνωσις τοῦ προσενηνέχθαι τι φάρμακον θερμαῖνον, ἐπὶ μὲν τῶν ὑπόπτων πρὸς αὐτὰ, παντάπασιν ἀμυδρὰ, καὶ βραχεῖα, μεγάλη δὲ ἐπὶ τῶν εἰθισμένων. ἤδη δὲ καὶ τὸ ἦθος αὐτὸ τοῦ κάμνοντος, εἰς τὴν τοιαύτην πρόγνωσιν οὐκ ὀλίγα συντελεῖ. τινὲς μὲν γὰρ ἐνεδρευτικοί τ' εἰσὶν, καὶ καταβλητικοὶ τῶν πέλας, ἐξελέγχειν ἅπαντας, ὡς μηδὲν βέβαιον ἐπισταμένους, ἔργον πεποιημένοι. τινὲς δὲ ἁπλοῖ τε, καὶ χρηστοὶ καὶ πάντα φανερῶς διαπραττόμενοι, καὶ μηδὲν ὑποστελλόμενοι, μηδὲ κρύπτοντες. ἐπὶ μὲν δὴ τούτων, οὐδὲν ὑπονοεῖν χρὴ πεπρᾶχθαι λαθραίως. ἐπὶ δὲ τῶν ἐνεδρευόντων, ὑποπτεύειν προσήκει πάντα, καὶ περισκέπτεσθαι, καὶ διορίζεσθαι, τά τε κατὰ τὸν ἴδιον λόγον τῆς τέχνης ὑποπίπτοντα ταῖς διαγνώσεσι, καὶ τὰ παρὰ τῶν ἔξωθεν προσερχόμενα. καθάπερ ἐγώ ποτ' ἠναγκάσθην ἐπί τινος ἀνδρὸς πλουσίου ποιῆσαι, φιλοφαρμάκου τε καὶ προσφερομένου συνεχέστατα φάρμακα. ἦν δὲ καὶ τὸ ἦθος οἷος ἥδεσθαι μάλιστα τοῖς τῶν πέλας ἐλέγχοις, ὡς μηδὲν ἀκριβὲς ἐπισταμένων. εὑρὼν οὖν αὐτοῦ τοὺς σφυγμοὺς εἰς μέγεθος ἐπιδεδωκότας, εἶτα τῶν ἄλλων ἁπάντων αἰτίων τῶν εἰρημένων ἀφορίσας, ὑπολοίπου δὲ ἔτι μένοντος διορισμοῦ, πότερον ὑπὸ φαρμάκου θερμαίνοντος, ἢ λόγῳ παροξυσμοῦ, πυρετικοῦ δὲ, τοιοῦτον γέγονεν, καὶ γάρ πως καὶ ὁ καιρὸς αὐτὸς ἦν, ὁ τῆς εἰσβολῆς τοῦ πυρετοῦ, δεῖξαί μοι τὴν γλῶτταν ἐκέλευσα, καὶ κεχρωσμένην ὑπὸ φαρμάκου θεασάμενος, αὖθις ἡψάμην αὐτοῦ τῶν σφυγμῶν, οὐδεμίαν ὑποψίαν ἐνδούς. ἐν τούτῳ δὲ, καὶ ὅτι πιεῖν φαρμάκου βουλόμενον αὐτὸν ἐν τῇ προτεραίᾳ διεκωλύσαμεν, ἀνεμνήσθην. εἶπον οὖν εὐθέως πρὸς τὸν ἄνθρωπον, ὅτι πεπωκὼς εἴη φάρμακον. ὁ δὲ συνεὶς, ὡς ἀπὸ τοῦ κατὰ τὴν γλῶτταν χρώματος ἐτεκμηράμην, αὖθίς ποτε ποιήσας σφαιρία μικρὰ τοῦ φαρμάκου κατέπιεν, ὡς μὴ χρωσθῆναι τὴν γλῶτταν. ἀλλ' ἐγὼ καὶ τοῦτ' ἐξεῦρον αὐτοῦ τὸ σόφισμα. θεασάμενος γὰρ τὴν γλῶτταν, εἶτ' αὖθις ἁψάμενος τοῦ σφυγμοῦ, καὶ τἄλλα διορισάμενος, ἃ μικρὸν ἔμπροσθεν εἴρηται, μᾶλλόν πως ἐπὶ τὸ φάρμακον ἐφερόμην τῇ γνώμῃ. καὶ πάλιν διαλιπὼν, καὶ πάλιν ἁψάμενος, ἠπιστάμην τὸ φιλόνεικον τἀνδρὸς ἐτόπασά τε τὸ γεγονὸς, ἀποτολμήσας τε πρὸς αὐτὸν ἔφην.

neque verum illi declarare voluerint, hi sunt difficillimi, & medicum requirunt egregiè prudentem. Etenim mihi vsu venit, quum reliqua distinxissem vestigiis illis, quæ commemoraui antè, vt restaret quærendum, an ægrotus medicamentum calefaciens absentibus nobis sumpsisset, an ratione accessionis magnitudinem pulsus nactus esset. His verò temporibus vndique exploranda est & obseruanda veritas. Primus in illo genere scopus est, tempus accessionis; deinde ægroti consuetudo, & mores. Nam si alio tempore, & non accessionis, maior sit pulsus, à medicamento calefaciente probabilius est, quam ratione accessionis, incidisse alterationem; sin accessionis tempore, verisimilius est propter accessionem. Exploraueris autem exactè, si paulò post iterùm tetigeris; nam, si calor à medicamento processit, à quo auctus sit pulsus, diuturnitate magis semper, ac magis remittetur; qui verò ab accessione, increscet. Verùm hic modus dignoscendi pertinet ad artem. Huc notitia, quam consuetudo præbet, & mores ægrotorum, pro cumulo accedit. Quidam enim sunt insueti, & abhorrent à medicamentorum potione; alij sunt adeo assueti, vt viuere sine medicamentis non sustineant; itaque præsagitio sumptum esse medicamentum calefaciens, in his, qui ab illis abhorreant, difficilis est; in ijs verò, qui sunt assueti, facilis. At verò mores etiam ægrotantis ad talem præsagitionem non mediocriter intersunt. Quidam enim natura insidiantur, & familiaribus imponunt, atque laborant, vt coarguant nihil quemquam firmi scire; quidam simplices sunt, modestique, atque omnia faciunt apertè, nec quicquam dissimulant, vel tegunt. In his nihil factum clam suspicandum est; apud insidiantes omnia habenda sunt suspecta, ac circunspicienda sunt, & distinguenda, tum quæ propria artis ratione pertineant ad dignoscendum, tum quæ extrinsecus adueniant. Quod mihi fuit quondam necessarium facere in homine diuite, qui gaudebat medicamentis, eáque assiduè sumebat; qui eo erat ingenio, vt libenter argueret familiares nullius certæ scientiæ. Huius quum offendissem in magnitudinem pulsum increuisse, ab alijsque omnibus, quas commemorauimus, causis distinxissem, ac vna mihi maneret distinctio, vtrùm à calefaciente medicamento, an accessionis ratione febrilis id accidisset (circa tempus enim erat febrilis accessionis) ego iussi vt linguam mihi ostenderet; quam quum à medicamento conspexissem infectam, iterum attigi eius pulsum, nihil suspicans etiam. Interea occurrit mihi, medicamentum me, quum voluisset potare pridie, prohibuisse; atque homini dixi statim, eum medicamentum bibisse. Quod ille quum animaduertisset, à linguæ me colore coniecturam fecisse, alias iterum pilulas paruas medicamenti fecit, quas deuorauit, vt lingua ne tingeretur; at hoc quoque deprehendi eius commentum. Nam quum linguam inspexissem, ac tetigissem iterum pulsum, atque reliqua, quæ exposui paulo ante discussissem, equidem suspicionem ad medicamentum potissimum conuerti retraxique manum, ac iterum paulò post inieci pulsui (moueram enim hominis proteruiam) itaque deprehendi factum, nec dubitaui illi dicere. At tu

At tu medicamentum mihi sumpsisse videris; ille constantissimè inficias ibat, simúlque seruos, qui permanserant, appellabat testes. Ego manum eius tenens, & pulsum tangens. Ergo, inquam, sustinebis conceptis verbis iurare mihi, vt tibi dictabo? Ad hoc non promptè ille respondebat, ac arteriarum habebat, vt in angore, inæqualem motum. Profectò, inquam, tu medicamentum planè sumpsisti, caue iures. Igitur aduersus istos quidem ineptos, ingenio opus est medico, at idiotæ ferè non tantum medicis non renituntur in explicandis, & explorandis causis externis, sed & adiuuant, vltróque exponunt omnia. Sed de pulsuum nos incremento magnitudinis satis principia exposuimus; restat vt orationis seriem persequamur. Quia non ad vnum modum magnus pulsus dicitur, sed nunc vt ad moderatum nunc ad quemlibet confertur; ac quum duplex sit hic quilibet, aut minor moderato, aut maior, deinceps de magnitudinis incremento dicendum est vtriusque pulsus, minoris, inquam, eo, qui moderatus est, & maioris. Commune igitur est omnis incrementi ad magnitudinem solùm auctum calorem esse, quo scilicet tempore, nec facultas affecta sit, nec instrumenta, ac immotus sit ægrotus. Proprium autem est recessui eius à natura, vnius magnitudinis incrementum; reliquorum duorum etiam hoc, & celeritatis, nonnunquam crebritatis quoque. Age verò, illius hominis pulsus, exempli gratia, quem modò reliquimus, cui facti essent maiores, offendamus amplius auctos esse, huic calorem etiam necesse est esse auctum; siquidem incrementis omnibus magnitudinis hoc commune erat; ac proprium præter commune, immutatam celeritatem esse; & si adhuc magis crescat magnitudo pulsuum, non celeritatem modò, sed iam crebritatem etiam. Ostendimus enim in primo libro de causis pulsuum, sicubi paulò auctus calor sit, manifestum magnitudinis incrementum esse, celeritatis non manifestum. Si amplius crescat ille, non solùm magnitudinem accumulabit, sed crescet etiam euidenter celeritas; præterea nonnihil acquiret crebritatis. Sic si augeatur plurimum, & pulsuum vsus generandorum superet maximam distentionem, magnitudinem non auget, vbi auctus ad summum sit; sed celeritatem cum crebritate, quantum potest, accumulat, ac vbi augeri celeritas amplius nequeat, concitat crebritatem. Iam alius sit ægrotus, cuius nec facultas, nec instrumentum læsa sint, sed minorem naturali pulsum habeat; deinde huic quoque remoto externo motu, maior fiat; huic etiam liquidò dixeris ampliorem nunc calorem, quàm dudum esse. Ac in eo quidem commune habebit cum bis iam commemorato responsum; proprium autem habebit, non ex paruo tantum pulsum in magnitudinem increuisse (fieri enim non possit, nisi simul tardior, rariorque fiat, vt minor vnquam naturali reddatur) sed nec maiorem tantum fieri potuisse, nisi etiam fieret celerior, & crebrior. Nam affectum, in quo pulsus naturali minor sit, raritatem etiam, & tarditatem complecti, perspectum illi est, qui eorum meminit, quæ docuimus in libro primo De pulsuum causis.

A ἀλλὰ μέντοι σύ μοι δοκεῖς εἰληφέναι φάρμακον. τοῦ δ' ἀρνουμένου κατὰ τὸ καρτερώτατον, καὶ μάρτυρας τοὺς παραμένοντας οἰκέτας ἐπικαλουμένου, κατέχων αὐτοῦ τὴν χεῖρα, καὶ τῶν σφυγμῶν ἐφαπτόμενος, ἆρ' οὖν ἔφην, δύναιό μοι καὶ ὀμόσαι τινὰ ὅρκον, ὃν ἂν ἐγώ σε κελεύσω; ὁ δ' οὔθ' ἑτοίμως ἀπεκρίνατο πρὸς τοῦτο, καὶ τὴν τῶν ἀρτηριῶν κίνησιν ἀνώμαλον ἴσχεν, ὡς ἐπ' ἀγωνίᾳ. καὶ μὴν, ἔφην, ἀκριβῶς ἔλαβες τοῦ φαρμάκου, καὶ μὴ ὄμνυε. πρὸς μὲν δὴ τοὺς οὕτως ἀβελτέρους, καὶ αὐτὸν εὐμήχανον εἶναι χρή. τὰ πολλὰ δὲ, οὐ μόνον οὐκ ἀντιπράττουσιν οἱ ἰδιῶται τοῖς ἰατροῖς, εἰς τὸν ἀπὸ τῶν ἔξωθεν διορισμὸν, ἀλλὰ καὶ συμπράττουσιν, αὐτόματοι διηγούμενοι πάντα.

B καὶ ἡμῖν περὶ μὲν τῆς εἰς μέγεθος ἐπιδόσεως τῶν σφυγμῶν, αὐτάρκως εἴρηται τά γε πρῶτα· μετιέναι δὲ ἤδη καιρὸς ἐπὶ τὰ συνεχῆ τοῦ λόγου. ἐπεὶ γὰρ οὐ καθ' ἕνα τρόπον ὁ μέγας λέγεται σφυγμὸς, ἀλλ' ὁ μὲν, ὡς πρὸς τὸν σύμμετρον, ὁ δ', ὡς πρὸς ὁντιναοῦν τὸν ἐπιτυχόντα, διττὸς δ' ἐστὶν αὖθις ὁ ἐπιτυχὼν, ὁ μὲν ἐλάττων, ἢ κατὰ τὸν σύμμετρον, ὁ δὲ μείζων, ἐφεξῆς ἂν εἴη διελθεῖν περὶ τῆς εἰς μέγεθος ἐπιδόσεως ἑκατέρου τῶν σφυγμῶν. λέγω δὲ τοῦ ἐλάττονος, ἢ κατὰ τὸν σύμμετρον, καὶ τοῦ μείζονος. κοινὸν μὲν οὖν ἁπάσης τῆς εἰς τὸ μέγεθος ἐπιδόσεως, ηὐξῆσθαι τὴν θερμότητα μόνην καθ' ὃν δηλονότι χρόνον, οὔθ' ἡ δύναμις, οὔτε τὰ ὄργανα πέπονθε, ἀκίνητος δ' ἐστὶν ὁ κάμνων.

C ἴδιον δὲ τῆς μὲν ἐκ τοῦ κατὰ φύσιν ἐκτροπῆς, τὸ μόνον τὸ μέγεθος αὐξηθῆναι. τῶν δ' ἄλλων δυοῖν, τὸ καὶ τὸ τάχος, ἔστιν ὅτε δὲ καὶ τὴν πυκνότητα. φέρε γὰρ, εἰ οὕτως ἔτυχεν, ὃν ὀλίγον ἔμπροσθεν ἀπελίπομεν ἄνθρωπον, εἰς μέγεθος ἐπιδεδωκότας τοὺς σφυγμοὺς εὑρεῖν ἡμᾶς, ἐπὶ πλέον ἔτι τὴν αὔξησιν αὐτῶν ἐληλακότας, τούτῳ καὶ τὴν θερμασίαν μὲν ἀναγκαῖον ἐπιτετάσθαι. κοινὸν γὰρ τοῦτο ἦν τῶν εἰς μέγεθος ἐπιδόσεων ἁπασῶν. ἴδιον δὲ ἐπὶ τῷ κοινῷ, τὸ καὶ τὸ τάχος ἐξηλλάχθαι. καὶ ἔτι πλέον γε εἰ ἡ εἰς τὸ μέγεθος ἐπίδοσις γίγνοιτο τῶν σφυγμῶν, οὐ τὸ τάχος μόνον, ἀλλ' ἤδη καὶ τὴν πυκνότητα.

D δέδεικται γὰρ ἐν τῷ προτέρῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, ἐπὶ βραχὺ μὲν αὐξανομένης τῆς θερμότητος, εἰς μέγεθος μὲν ἐναργῶς ἐπιδιδοὺς ὁ σφυγμὸς, εἰς τάχος δ' οὐκ ἐναργῶς, ἐπιπλέον δ' αὐξηθείσης, καὶ τῷ μεγέθει μὲν ἔτι προσλαμβάνων, ἀλλὰ καὶ εἰς τὸ τάχος ἐναργῶς ἐπιδιδοὺς, καί τι πυκνότητος προσκτώμενος, ὥσπερ γε καὶ εἰ ἐπὶ πλεῖστον αὐξάνοιτο, καὶ ἡ χρεία τῆς τῶν σφυγμῶν γενέσεως ὑπὲρ τὴν μεγίστην εἴη διαστολὴν, εἰ μέγεθος μὲν οὐκ ἐπιδιδοὺς, ὅτ' εἰς ἔσχατον ηὔξητο, τῷ τάχει δ' ὅσον ἐγχωρεῖ προστιθεὶς ἅμα τῇ πυκνότητι, κἀπειδὰν μηδὲ

E τὸ τάχος ἔτ' ἐπιτείνεσθαι δύνηται, τὴν πυκνότητα κατεπείγων. ὑποκείσθω δὴ πάλιν ἕτερος ἄρρωστος οὐδὲν μὲν, οὔτε τὴν δύναμιν, οὔτε τὰ ὄργανα βεβλαμμένος, ἐλάττονα δὲ τοῦ κατὰ φύσιν ἔχων τὸν σφυγμὸν, εἶτα καὶ τῷ τοιούτῳ μείζων γιγνέσθω χωρὶς τῆς ἔξωθεν κινήσεως, ἀληθὲς μὲν εἰπεῖν, ὅτι καὶ τῷδε πλείων ἡ θερμότης ἐγίνετο τῆς ἔμπροσθεν, καὶ κατά γε τοῦτο κοινὴν ἀπόφασιν ἕξει τῇ δὶς ἤδη προειρημένῃ. τὸ δ' ἴδιον αὐτῆς ἔσται, τὸ μὴ ἐκ μικροτέρου μόνον τοῦ σφυγμοῦ γεγονέναι τὴν εἰς τὸ μέγεθος ἐπίδοσιν, ἀδύνατον γὰρ αὐτὸν τοῦ καὶ βραδύτερον, καὶ ἀραιότερον γίνεσθαι, μικρότερον ἀπεργασθῆναί ποτε τοῦ

F κατὰ φύσιν αὐτὸν, ἀλλὰ μηδὲ μείζονα μόνον οἷόν τε γίνεσθαι, χωρὶς τοῦ θάττονά τε καὶ πυκνότερον. ὅτι γὰρ ἡ τοιαύτη διάθεσις, ἐν ᾗ μικρότερος ὁ σφυγμὸς τοῦ κατὰ φύσιν ἐγίνετο, σὺν ἀραιότητί τε καὶ βραδύτητι συνίσταται, τῷ μεμνημένῳ τῶν ἐν τῷ προτέρῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων εὔδηλόν ἐστι.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἡ τοῦ σφυγμοῦ εἰς μικρότητα τροπή.

Μεταβάντες οὖν, περὶ τῆς εἰς μικρότητα τροπῆς τῶν σφυγμῶν ἐπισκεψώμεθα· τρεῖς μὲν δὴ καὶ ταύτης εἰσὶν ἅπασαι διαφοραί. ἤτοι γὰρ ἐκ τοῦ κατὰ φύσιν τε, καὶ συμμέτρου προσαγορευομένου, ἢ ἐκ τοῦ μείζονος, ἢ κατὰ τοῦτον, ἢ ἐκ τοῦ μικροτέρου τὰς εἰς μικρότητα συμβαίνει γίνεσθαι διαφοράς. καλεῖται γὰρ ὁ μὲν μείζων τοῦ συμμέτρου μέγας ἁπλῶς, ὁ δ' ἐλάττων, μικρός. ἀρξώμεθα οὖν πάλιν κἀνταῦθα ἀπὸ τῶν κοινῶν ἐν αὐτοῖς. εἶθ' ἑξῆς ἐπὶ τὰ καθ' ἕκαστον ἴδια μεταβαίνωμεν. εὐθὺς γὰρ ἐν τῷ τὸ κοινὸν ἐπισκοπεῖσθαι, καὶ ἡ τῆς τῶν ἰδίων εὑρέσεως ὁδὸς ἐγκαλύπτεται. ὑποκείσθω δή τις σφυγμὸς ἐπί τινος ἀνθρώπου, μικρότερος μὲν τοῦ πρόσθεν, ἑτέραν δὲ μηδεμίαν ἐσχηκὼς μεταβολὴν κατ' ἄλλο γένος μηδέν· καὶ ζητείσθω, τίς γ' ἔμπροσθεν ἦν διάθεσις αὐτοῦ, καὶ τίς νῦν ἐστιν. ἡ δὲ τῆς ζητήσεως ὁδὸς ἥδε. μικρότερος ἑαυτοῦ γίνεται σφυγμός, ἤτοι τῆς δυνάμεως ἀσθενεστέρας ἀποτελεσθείσης, ἢ τῶν ὀργάνων σκληροτέρων, ἢ τῆς χρείας ἐκλυθείσης. ἀλλ' οὔθ' ἡ δύναμις ἀσθενεστέρα γέγονε νῦν, ἢ πάντως ἀμυδρότης συνῆν τῇ μικρότητι, οὔτε τὸ σῶμα τῆς ἀρτηρίας σκληρότερον, οὕτω γὰρ οὐ μόνον μικρότερος, ἀλλὰ καὶ σκληρότερος ἦν ὁ σφυγμός. ἀπολείπεται οὖν ἡ χρεία μόνον ἠλλοιῶσθαι. καὶ εἴπερ ἀκίνητος ὁ ἄνθρωπος ἐν τῷ τέως ἐγένετο, κατὰ τὸ ποσὸν τῆς ψύξεως, τὸ ποσὸν τῆς μεταβολῆς γεγενῆσθαι. καὶ μὲν δὴ καὶ ὡς ἐκ τοῦ μείζονος, ἢ κατὰ φύσιν σφυγμοῦ τὴν τοιαύτην γεγονέναι τροπήν, εὔδηλόν ἐστι τοῖς μεμνημένοις ἐν τῷ πρώτῳ τῶν δεδειγμένων περὶ τῶν ἐν σφυγμοῖς αἰτίων. ἥ τε γὰρ ἐκ τοῦ κατὰ φύσιν εἰς μικρότητα τροπὴ διὰ ψύξιν, εὐθὺς καὶ ἀραιότερον αὐτὸν ἐργάζεται, καὶ βραδύτερον. ἥ τε ἐκ τοῦ μεγάλου ὑπὲρ τὸ σύμμετρον ηὐξημένου καθαίρεσις, τοῦ συμμέτρου εὐθὺς, καὶ τοῦ τάχους τι, καὶ τῆς πυκνότητος προσλαμβάνει, διὰ τὸ τὸν ἐπιπλέον ηὐξημένον ὑπὲρ τὸ κατὰ φύσιν, ἐν τοῖς τρισὶ γένεσι μεταβάλλειν. ὁ τοίνυν τοῦ μεγέθους μόνον ἀφῃρηκὼς, τἄλλα δὲ φυλάττων ἄτρεπτα σφυγμός, ὁ βραχεῖ μείζων ἐστὶ τοῦ κατὰ φύσιν. οὗτος γὰρ μόνος ἐπὶ βραχείᾳ θερμότητος αὐξήσει συνίσταται. τῶν δ' ἄλλων τῶν εἰς μέγεθος ἀλλοιουμένων οὐδεὶς ἄνευ τοῦ καὶ τάχος προσλαβεῖν ἢ πυκνότητα, τοιοῦτος ἀποτελεῖται. ὥστε οὐδὲ καθαιρήσει τις ἄλλος, πλὴν τοῦδε μόνον τὸ μέγεθος. ὁ γὰρ εἰς τοῦτο μόνον αὐξηθεὶς ἐπὶ θερμότητι, μειώσει τοῦτο μόνον ἐπὶ ψύξει. ὁ δέ γε εἰς τοσοῦτον ἀλλοιωθεὶς ὑπὸ θερμότητος, ὡς μὴ τὸ μέγεθος μόνον, ἀλλὰ καὶ τὸ τάχος ὑπαλλάξαι, καὶ τὴν πυκνότητα, τὴν εἰς τοὔμπαλιν ὁδὸν ἕξει διὰ τῶν αὐτῶν κατὰ γένος ἀλλοιώσεων. ὥστε οὐ μόνον μικρότερος, ἀλλὰ καὶ βραδύτερος, καὶ ἀραιότερος ἔσται τοῦ πρόσθεν. ὁμοίως δὲ, καὶ ἡ ἐκ τοῦ συμμέτρου πρὸς τὸν ἐλάττονα τροπὴ, καὶ ἡ ἐκ τούτου πάλιν ἐπὶ τὸν ἔτι μικρότερον ἀλλοίωσις, εὐθέως καὶ ἀραιότερον ἑαυτοῦ, καὶ βραδύτερον ἐργάζεται τὸν σφυγμόν. συμμετρίαν γάρ τινα διαστολῆς σφυγμὸς κέκτηται κατὰ φύσιν ἐχόντων, ἣν ἀπόλλεσι μὲν ἐξ ἀνάγκης. ἄν τε θερμότερον, ἄν τε ψυχρότερον ἑαυτοῦ γένηται τὸ σῶμα. οὐ μὴν ὅ γε τῆς ἀπωλείας τρόπος ὁ αὐτός. ἐν μὲν γὰρ τῷ θερμαίνεσθαι, τὸ μέγεθος ἐναργῶς πρῶτον, εἶτα τὸ τάχος, εἶθ' ἡ πυκνότης αὐτῷ προσγίνεται. ψυχομένων δ' ἔμπαλιν ἀραιότης μὲν ἐναργὴς πρώτη, δευτέρα δὲ βραδύτης, μικρότης ἐσχάτη. λέλεκται δ' ὑπὲρ αὐτῶν ἱκανῶς ἐν τῷ πρώτῳ τῶν ἐν σφυγμοῖς αἰτίων.

CAPVT II.

Pulsuum commutatio in paruitatem.

HIs ergo relictis, de pulsuum commutatione in paruitatem consideremus; cuius item sunt tres numero omnes differentiæ. Aut enim ex naturali, & moderato, quem vocant, aut ex maiore, quam hic sit, aut ex minore, mutationes in paruitatem contingit fieri, vocatur autem qui moderato maior est, absolutè magnus, qui minor, paruus. Exordiamur igitur hic de integro ab iis, quæ in his communia sunt, deinde iam ad propria sigillatim nos conferamus; statim enim communis commentatio complectitur propriorum inueniendorum viam. Sit pulsus cuipiam homini minor, quam dudum, mutatione præditus præterea nulla vllius generis, tum quæratur, quomodo nuper affectus esset, atque quomodo nunc. Via inquirendi hæc est. Minor solito pulsus fit, aut quum imbecillior facta sit facultas, aut instrumenta duriora, aut vsus remissus. Sed enim nec imbecillior facta nunc facultas est, alioquin omninò coniuncta sit cum paruitate remissio; nec corpus durius arteriæ, neque enim tum minor tantum, sed & durior pulsus esset; superest ergo solum alteratum esse vsum; ac si id temporis quietus homo fuerit, quantitati refrigerationis quantitatem respondere mutationis. Iam verò ex maiore, quam naturalis sit pulsus, eam mutationem necessariò accidisse norunt, qui retinent demonstrata in primo libro de causis pulsuum. Nam de naturali statu ob frigiditatem mutatio ad paruitatem, simul etiam rariorem eum, atque tardiorem reddit; & moderati imminutio ex magno supra modum aucto, statim adiungit sibi celeritatis aliquid, & crebritatis, quòd qui multum vltra modum sit auctus, tribus in generibus variet. Quamobrem qui magnitudinem tantum imminuit pulsus, & reliqua seruat immota, hic est, qui paulò maior fit iusto; hic enim solus ex paruo caloris incremento constat. Reliquorum qui in magnitudinem mutantur, nisi simul celeritatem assumat, vel crebritatem, talis euadit nullus; quare nec quisquam præter hunc alius magnitudinem minuet. Qui enim huius accepit solius incrementum ex calore, vnam eam ex refrigeratione minuet; qui verò hactenus est alteratus à calore, vt non magnitudinem modò, verùm etiam celeritatem, & crebritatem immutet, contrarium iter per easdem genere alterationes tenebit; ita non modò minor, sed & tardior erit, ac priùs, rariorque. Pari modo mutatio in minorem ex moderato; & mutatio quoque ex hoc in eum, qui minor etiam sit, continuò rariorem solito, & tardiorem efficit pulsum; siquidem mediocritatem habet quandam distentionis, pulsus hominum naturalem statum tenentium; quàm si calidius, aut frigidius solito euaserit corpus, necessariò amittit. Non idem tamen amissionis modus est; nam quum calefit, magnitudo planè prima, mox celeritas, inde crebritas accedit; contra quum refrigeratur, raritas manifestè prima, altera tarditas, postrema paruitas. De his abundè in primo libro De causis pulsuum diximus; quo

quò minus hic iam immorandum est. Itaque seriem orationis persequamur, ac secundum commemorata, explicemus causas quæ refrigerant, quæ totidem genere sunt, quot illæ quæ calcefaciunt. Aër etenim frigidus qui foris occurrit, quemadmodum & aqua frigida, vel balneum, vel medicamentum quo corpus inungitur refrigerat; quin etiam longa quies & veluti latebræ, frigidius corpus efficiunt; præterea quæ intrò recipiuntur, vt aër respiratione attractus, qui frigidus sit, cibus pituitosus, medicamentum natura frigidum, aquæ frigidæ immodicus vsus; ex animi affectibus, metus diuturnus; ex contentis in corpore humoribus, qui frigidi temperamento, quum antea quiescerent, nunc commoti sunt, aut omninò tenuiores quodammodo calidis facti sunt. Hæc separatim ita possunt distingui, vt de calefacientibus causis diximus; neque enim vt de similibus bis dicamus, necesse est. Atque pulsuum in magnitudine, & paruitate mutatio à talibus, & tot causis gignitur, quod certè ad naturam pertinet ipsius rei, quando quod ad nostram attinet cognitionem, adhuc desideret aliquid. Sæpè enim arteria, quod in se est, maximè distenditur, sed occultatur magnitudo distentionis, vel interpellatur à numero, vel crassitie, vel duritie circumiacentium corporum, vel obiectorum. Hæc enim essentia magnorum, vel paruorum pulsuum in arteriæ circulo consistit, vbi longitudo perpetuò par est; at non tamen apparet par, sed delitescit quædam eius pars. De quo quidem etsi iam secundo in libro De causis pulsuum exposuimus, nihilominus, quod ad propositum interest, reminiscentiæ gratia exponemus.

CAPVT III.

Dimensiones distentionis non semper tantæ apparent, quantæ sunt.

ARteriæ altitudo semper æqualem latitudini distentionem habet; sed fit vt occultetur, aut arceatur sæpè à corporibus circumiectis, & appositis, vel vniuersus motus, vel certè eius quædam pars; ac pars illa, quæ arcetur, aut in profunditate magis, aut in latitudine, aut simul in vtraque similiter apparet. Quum ergo non percipiatur nostro quidem tactui motus, atque hoc per totum animal accidat, vt nulla vsquam arteria videatur moueri, vocatur is affectus priuatio pulsus; quæ quidem, si ad veritatem exigas, in corpus nunquam viuum cadit, neque est enim vnquam; quin cor vnà cum arteriis omnibus agitetur, at si referas ad nostrum tactum foris iniectum, in multis reperiatur sanè frequenter, obiecta enim arteriarum corpori sunt, omninò certæ membranæ, & cutis, multis etiam locis adeps, atque caro, à quibus vsu venit pulsui, vt non occultetur modò, sed & impediatur. Ac sic quidem, si motus occultetur omnis, atque in omnibus id partibus accidat omnium arteriarum, pulsus priuationem appellant affectum, at si quibusdam in partibus videantur moueri, in quibusdam non videantur, hic differentiam in longitudine habent pulsus. Et nimirum vocantur longi, quibus sensibilis motus longitudo naturalem excedit; breues, quibus infra naturalem statum est; quibus par est naturali statui, moderati. Tantum enim animaduertitur semper de motu arteriarum,

A οὔκουν ἔτι χρὴ μηκύνειν περί γε τούτων. ἀλλ' ἐπὶ τὰ συνεχῆ τοῦ λόγου μεταβάντας ἑξῆς τοῖς εἰρημένοις διορίζεσθαι τὰς τὴν ψύξιν ἐργαζομένας αἰτίας, τοσαύτας κατὰ γένος οὔσας, ὅσαι περ αἱ θερμαίνουσαι. καὶ γὰρ ἀὴρ ψυχρὸς ἔξωθεν προσπεσὼν, ὥσπερ οὖν καὶ ὕδωρ ψυχρὸν, ἢ λουτρὸν, ἢ φάρμακον ἐπαλειφθὲν τῷ σώματι ψυχρὸν, ἢ καὶ μακρά τις ἡσυχία, καὶ δὴ φωλεία, ψυχρότερον ἐργάζεται τὸ σῶμα· καὶ τῶν εἴσω μεταλαμβανομένων, ὅτ' ἂν ἀναπνεόμενος ἀὴρ ψυχρὸς ὢν, καὶ τροφὴ φλεγματώδης, καὶ φάρμακον τὴν φύσιν ψυχρὸν, ὕδατός τε ψυχροῦ χρῆσις ἄμετρος· ἔκ τε τῶν παθῶν τῆς ψυχῆς, ὁ πολυ- B χρόνιος φόβος. ἔκ τε τῶν ἐν τῷ σώματι περιεχομένων χυμῶν, ὅσοι ψυχροὶ τὴν κρᾶσιν ἡσυχάζοντες πρότερον, ἐκινήθησαν νῦν, ἢ ὅλως ὑγρότεροί πως ἐγένοντο τῶν θερμῶν. διορίζεσθαι δ' αὐτὰ κατὰ μέρος, ἀνάλογον τοῖς εἰρημένοις εἴη ἐπὶ τῶν θερμαινόντων αἰτίων. δὶς γὰρ ὑπὲρ τῶν ὁμοίων λέγειν οὐκ ἀναγκαῖον. ἡ μὲν δὴ κατὰ μέγεθός τε, καὶ μικρότητα τροπὴ τῶν σφυγμῶν, ὑπὸ τοιούτων τε καὶ τοσούτων αἰτίων ἀποτελεῖται, πρός γ' οὖν τὴν φύσιν αὐτοῦ τοῦ πράγματος, ἐπεὶ πρός γε τὴν ἡμετέραν διάγνωσιν ἔτ' ἐνδεῖ, πολλάκις γὰρ ἡ μὲν ἀρτηρία διαστέλλεται μέγιστον, ὅσον ἐπ' αὐτῇ, ἀποκρύπτεται δ' ἢ κωλύεται τὸ μέγεθος C τῆς διαστολῆς διὰ τὸ πλῆθος, ἢ τὸ πάχος, ἢ τὴν σκληρότητα τῶν περικειμένων, ἢ προκειμένων σωμάτων. αὕτη μὲν γὰρ ἡ οὐσία τῶν μεγάλων τε καὶ μικρῶν σφυγμῶν, κατὰ τὸν κύκλον τῆς ἀρτηρίας συνίσταται, τοῦ μήκους ἴσου φυλαττομένου διὰ παντός. οὐ μὴν γε φαίνεταί γ' ἴσον, ἀλλ' ἀποκρύπτεταί τι μέρος αὐτοῦ, καὶ λέλεκται μὲν οὖν ἤδη περὶ τούτου κἀν τῷ δευτέρῳ τῶν ἐν σφυγμοῖς αἰτίων. εἰρήσεται δὲ καὶ νῦν, ὅσον εἰς τὰ παρόντα χρηστὸν ἀναμνήσεως ἕνεκεν.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

D Αἱ τῆς διαστολῆς διαστάσεις οὐκ ἀεὶ τοσαῦται φαίνονται ὅσαι περ εἰσίν.

ΤΗς ἀρτηρίας τὸ μὲν ὕψος, ἀναλόγως ἀεὶ τῷ πλάτει διαστέλλεται. καταχρύπτεται δὲ, ἢ κωλύεται πολλάκις ὑπὸ τῶν περικειμένων τε καὶ προσκειμένων σωμάτων, ἤτοι σύμπασα ἡ κίνησις, ἢ μοῖρά γέ τις αὐτῆς. καὶ τοῦτο τὸ κωλυόμενον, ἤτοι κατὰ τὸ βάθος μᾶλλον, ἢ κατὰ τὸ πλάτος, ἢ κατὰ τὸ συναμφότερον, ὡσαύτως φαίνεται. ὅταν μὲν οὖν ἀδιάγνωστος, ὡς πρὸς τὴν ἡμετέραν ἁφὴν, ἡ κίνησις ᾖ, καθ' ὅλον μὲν τὸ ζῶον συμβάντος τούτου, E ὡς μηδαμόθι μηδεμίαν ἀρτηρίαν φαίνεσθαι κινουμένην, ἀσφυξία τὸ πάθημα προσαγορεύεται, κατὰ μὲν τὴν ἀλήθειαν, οὐδέποτε ἐν ζῶντι σώματι γινομένη, κινεῖται γὰρ ἡ καρδία διαπαντὸς, ἅμα ταῖς ἀρτηρίαις ἁπάσαις, ὡς μέντοι πρὸς τὴν ἡμετέραν ἁφὴν ἔξωθεν ἐπιβαλλομένην, πολλάκις εὑρισκομένη. πρόκεινται γὰρ δὴ τοῦ τῶν ἀρτηριῶν σώματος, πάντως μὲν ὑμένες τέ τινες καὶ δέρμα, πολλαχόθι δὲ, καὶ πιμελὴ, καὶ σὰρξ, ὑφ' ὧν οὐ μόνον ἀποκρύπτεσθαι τὸν σφυγμὸν, ἀλλὰ καὶ κωλύεσθαι συμβαίνει. τελέως μὲν οὖν ἀποκρυπτομένης τῆς κινήσεως, εἰ μὲν ἐν ἅπασι τοῖς μέρεσι τῶν ἀρτηριῶν ἁπασῶν τοῦτο F συμβαίνη, τὸ πάθος ἀσφυξίαν ὀνομάζουσιν. εἰ δὲ κατὰ μέν τινα μέρη φαίνοιτο κινούμενα, τὰ δὲ μὴ κατὰ τὸ μῆκος ἐν τούτῳ διαφορὰν ἴσχουσιν οἱ σφυγμοί. καὶ δὴ καλοῦνται μακροὶ μὲν, οἷς ἂν τὸ τῆς αἰσθητῆς κινήσεως μῆκος ὑπὲρ τὸ κατὰ φύσιν, βραχεῖς δὲ, οἷς ἂν ἔλαττον τοῦ κατὰ φύσιν. οἷς δ' ἴσον τῷ κατὰ φύσιν, σύμμετροι. τοσοῦτον γὰρ ἀεὶ φαίνεται τῆς κινήσεως τῶν ἀρτηριῶν,

ὅσον ἐπιτρέπει τὰ περιβεβλημένα σώματα. καὶ διὰ τοῦτο τοῖς μὲν παχέσι, βραχεῖς οἱ σφυγμοί. τοῖς δ' ἰσχνοῖς, μακροί. καθάπερ καὶ τοῖς εὐσάρκοις τε καὶ συμμέτροις, σύμμετροι φαίνονται. τὸ αὐτῆς μέντοι τῆς φαινομένης κινήσεως, οὐκ ἀεὶ ὁμοίως κωλύεται τῷ βάθει τὸ πλάτος. ἀλλ' ἐπειδὰν μὲν αἱ κατὰ τὰ πλάγια χῶραι τῶν ἀρτηριῶν, ἤτοι πιμελῆς, ἢ σαρκὸς, ἢ ἀτμῶν, ἢ ὑγρῶν ὦσι πλήρεις, τὸ δ' ἐπικείμενον ἄνωθεν δέρμα, καὶ μηδὲν αὐτὰς βαρύνῃ τοῦ πλάτους ἡ κίνησις ἀμαυροῦται μόνον. καὶ μᾶλλον εἰ σφοδρὸς ὁ σφυγμὸς εἴη, καὶ μέγας, ὅσον ἐφ' ἑαυτῷ. ἐπειδὰν δὲ καθαραὶ μὲν αἱ παρακείμεναι χῶραι, ῥυσὸν δ' ᾖ τὸ ἐπικείμενον αὐταῖς δέρμα, τοῦ βάθους ἡ κίνησις ἐν τῷ τοιούτῳ σώματι πλέον ἀφανίζεται, καὶ μᾶλλον εἰ μήτε σφοδρὸς εἴη ὁ σφυγμὸς, καὶ μέγας, ὅσον ἐφ' ἑαυτῷ. ὅταν οὖν εὕρῃς μακρότερον τοῦ κατὰ φύσιν σφυγμὸν, εἰ μὲν καὶ τὸ πλάτος αὐτοῦ, καὶ τὸ βάθος εἴη συνηυξημένον, ἐπισκέπτου πότερον ὁ ἄνθρωπος ἰσχνότερος ἑαυτοῦ γέγονεν, ἢ θερμότερος, ἀφωρισμένης τῆς ἐπικτήτου κινήσεως. εἰ μὲν γὰρ ἰσχνότερος εἴη γεγενημένος, εἰ μὲν ἐπὶ τοσοῦτον ἐφ' ὅσον, καὶ ὁ σφυγμὸς μείζων, ἓν τοῦτο μόνον ἠλλοίωσεν αὐτὸν, εἰ δ' ἐπ' ἔλαττον, οὐ μόνον τοῦτ' ἔστιν αἴτιον, ἀλλὰ καὶ θερμότης. εἰ δ' ἐν αὐτῷ μένοι τὰ τῆς τοῦ σώματος ἕξεως, ἡ θερμότης ηὔξηται μόνον. εἰ δὲ καὶ παχύτερος εἴη γεγονὼς, διπλάσιον ηὐξῆσθαι λογίζου τὴν θερμότητα. τὸ δ' ὑπὸ τίνος αἰτίας ηὔξηται, διορίζεσθαι τοῖς ἔμπροσθεν εἰρημένοις. εἰ μέντοι μακρότερος ὁ σφυγμὸς εἴη γεγονὼς, καὶ πλατύτερος, μὴ μέντοι κατὰ τὴν αὐτὴν ἀναλογίαν εἰς ὕψος ηὐξημένος, ἀλλὰ διαμένων σύμμετρος, ἐπὶ τοῖς προειρημένοις διορισμοῖς, ἔτι καὶ τοῦτ' ἐξαίρετον ὑπάρχειν ἀναγκαῖον αὐτῷ, ῥυσότερον γεγονέναι τὸ κατὰ τῆς ἀρτηρίας ἄνωθεν ἐπικείμενον δέρμα. καὶ εἰ καταστρέφοις τὸ κῶλον, ὥσθ' ὅπερ ἄνωθεν ἦν αὐτοῦ πρότερον, εἶναι νῦν κάτωθεν, οὐδὲν οὕτως ἐκκεκολοῦσθαι φανεῖται τὸ βάθος. οὗτοι μὲν οὖν οἱ δύο σφυγμοὶ, πρῶτοι πάντων εἰσὶ γεγραμμένοι κατὰ τὸ διάγραμμα τῶν ἑπτὰ καὶ εἴκοσι σφυγμῶν, ἐν τῷ προτέρῳ περὶ τῆς διαφορᾶς αὐτῶν, ὃ περὶ τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ἐν ταῖς τρισὶν ἅμα διαστάσεσι συνισταμένων ἐποιησάμεθα. ἑξῆς δὲ αὐτῶν γέγραπται τρίτος, ὁ κατὰ τὸ μῆκός τε καὶ τὸ πλάτος ὑπερβάλλων τὸν κατὰ φύσιν, ἐν δὲ τῇ κατὰ βάθος διαστάσει ταπεινὸς, ὃς καὶ σπανιάκις εὑρίσκεται. μεγάλως γὰρ ὑπὸ τῶν ὑποκειμένων σωμάτων βαρυνομένης γίνεται τῆς ἀρτηρίας, ὅπερ οὐκ ἄν ποτε συμβαίη, χωρὶς τοῦ καὶ τὴν δύναμιν ἀσθενεστέραν γενέσθαι, καὶ τὸν χιτῶνα τῆς ἀρτηρίας ἐσχάτως μαλακὸν, ὧν τὸ μὲν ἀτονώτερον τοῦ κατὰ φύσιν, τὸ δὲ μαλακὸν ἱκανῶς ἐργάζεται τὸν σφυγμόν. ὥστε μετὰ μὲν τούτων γένοιτ' ἄν ποτε μακρὸς ἅμα, καὶ πλατὺς, καὶ ταπεινὸς, ἄλλως δ' οὐκ ἂν γένοιτο. καὶ μὲν δὴ καὶ ὁπότε φαίνεται τοιοῦτον, οὐδὲ τότε πολὺ τοῦ κατὰ φύσιν, οὔτ' ἐπὶ τὸ ταπεινότερον, οὔτε ἐπὶ τὸ πλατύτερον ἐξίσταται, οὐ γὰρ ἐγχωρεῖ κατὰ μὲν τὸ βάθος ἐσχάτως βαρύνεσθαι τὴν ἀρτηρίαν, κατὰ δὲ τὸ πλάτος οὐδ' ὅλως. ὥσπερ γε οὐδ' ἐπιπλεῖστον μὲν ὕψος ἀνέρχεσθαι, παντάπασι δ' ἐστενῶσθαι. πλέον μὲν γὰρ ἐπιδίδωσιν ὕψος, ὡς τὰ πολλὰ, καὶ μάλισθ' ὅταν ᾖ σφοδρὸς ὁ σφυγμὸς, οὐ μὴν εἰς τοσοῦτόν γε, ὡς τὸν αὐτὸν ὑψηλότατόν τε ἅμα, καὶ στενώτατον ὑπάρχειν. εἰ μέντοι περιστραφείη κἀπὶ τούτου σφυγμοῦ τὸ κῶλον, ὡς τὰ τέως ὑπερκείμενα μέρη, νῦν ὑποκείμενα γενέσθαι, καὶ ἡ κατὰ τὸ βάθος αὐτῶν διάστασις ἐπίδοσιν ἕξει, καὶ οὐκ ἔτι φαίνεται ταπεινός. ἀλλ' ὥσπερ μακρὸς, καὶ πλατὺς, οὕτω καὶ ὑψηλὸς, ὅπερ ἐστὶ μέγας. ὁ γὰρ κατὰ τὰς τρεῖς διαστάσεις αὐξηθεὶς, μέγας λέγεται.

A quantum opposita corpora permittunt; quamobrem fit, vt corpulentis pulsus breues; gracilibus verò longi, quemadmodum, & quadratis moderatisque esse videntur moderati. Iam etiam apparentis motus his non semper æque, vt profunditas, impeditur latitudo, verùm vbi arteriam regiones in latera, vel adipis, vel carnis, vel vaporum, vel humorum plenæ sint, ac incumbens supernè cutis nihil eas oneret, latitudinis tantum obscuratur motus; ac magis, si vehemens pulsus, & magnus, quantum in ipso est, fit, quum verò regiones vicinæ sunt mundæ, rugosa autem quæ eas tegit, cutis, magis profunditatis motus latet B in eo corpore, ac magis, si non vehemens pulsus, & magnus, quantum in eo est sit. Si ergo pulsum inuenias naturali longiorem; siquidem vnà latitudo eius, & profunditas increuerit, vide, gracilior homo solito, an calidior euaserit, remoto aduentitio motu; nam si factus gracilior sit, idque tanto, quanto est pulsus maior, vnum hoc tantùm eum immutauit; sin autem non tanto, non hoc modò est causa, verùm etiam calor. Quòd si in eadem constiterit corpus habitudine, solus mu- C tatus est calor; sin crassior euaserit, duplo auctum æstima calorem; at quánam de causa sit auctus, explorandum ex illis est, quæ exposuimus. Sin longior factus pulsus sit, & latior, non verò perinde profunditate auctus, sed permaneat moderatus, præter superiores notas, hoc illi etiam extra ordinem necesse est adsit, rugosiorem euasisse supernæ arteriæ incumbentem cutem; ac si conuertas membrum; vt quæ eius pars modò superior erat, nunc sit inferior, nulla tum profunditas re videbitur impedita. Atque hi quidem duo D pulsus in primo libro de eorum differentiis omnium primi inter vigintiseptem pulsus in tabellam sunt relati, quam de illis fecimus, qui constant externis simul dimensionibus quantitatis distentionis. Ab his descriptus tertius est, qui longitudine & latitudine excedit naturalem, ac in profunditatis dimensione est humilis; qui sanè rarò inuenitur. Fit enim quum arteria magnopere obiectorum corporum mole oneratur; id quod nunquam eueniat, nisi facultas simul imbecillior sit, & summè mollis tunica arteriæ; quorum illud imbe- E cilliorem naturali, hoc molliorem pulsum efficit. Itaque cum his quidem erit aliquando longus simul, & latus, & humilis, alia ratione nunquam fiet; imò verò, etiam quum videatur talis, ne tum quidem procul à natura, nec ad humilius, nec ad latius deflectit; neque enim ad summam arteria in profunditate grauetur, & in latitudine nequaquam; neque item plurimum ascendat altitudo, prorsus verò contrahatur in angustum, etenim ferè fit vt plus altitudo crescat, præsertim si vehemens sit pulsus, at non hactenus tamen, vt idem altissimus simul, & angustissimus sit. Quòd si F hîc quoque membrum inuertas, vt quæ modo partes superiores essent, sint nunc inferiores, & profunditatis eorum dimensio incrementum habebit, nec videbitur amplius humilis; sed vt longus, & latus, ita etiam erit altus, quod est magnus; nam qui tribus est dimensionibus auctus, magnus vocatur.

Proinde

Proinde distinctiones in hoc sunt adhibendæ præter has, quas nunc exposuimus, etiam illæ, quæ in primis omnium sunt adhibitæ. Iam illud quoque est animaduertendum, ecquid de latitudine simul detrahatur, quum inuersum sit membrum; etenim hoc fit nonnunquam; demonstratque, quantò antea vltra proportionem profunditatis dilataretur vas. Iam quartus, qui longus simul, & altus, & in latitudine est moderatus, quod ad se attinet, latus est; quemadmodum & altus; sed quia in lateribus coarctatur arteria, ideo sic eius motus impeditus est. Omninò enim vbi latitudo profunditatis proportionem excedat, aut profunditas proportionem latitudinis, altera impeditur earum, aut propter multitudinem, aut crassitiem, aut duritiem corporum obiectorum, quæ interposita sunt inter arteriam, & admotum tactum. Et herclè etiam rugositas numerum impositorum corporum auget, rugis cutem conduplicans. Itaque is pulsus, aut, quum verè magnus sit, secundum latitudinem obstaculum habet; aut, quum videri in macilento corpore magnus possit, non videtur tamen, quod secundum vnam dimensionem factus sit angustus. Qui quintum in tabella locum habet, longior naturali, in reliquis autem duabus dimensionibus moderatus, graciliorem annunciat solito hominem esse factum; & pulsum, quantum in eo est, naturali minorem. Quando enim longus pulsus, aut ob propriam suam magnitudinem, aut propter tenuitatem videatur eiuscemodi esse; nunc verò non appareat talis ex magnitudine esse (esset enim simul altus, & latus, aut alteruter certè horum) restat, vt per maciem factus sit longus. Cæterùm quum graciliores habere videantur pulsus naturali maiores, planè pulsus, quod ad se pertinet, angustior æquo est, & humilior, itaque etiam minor, quod ad se attinet. Qui sub hunc scriptus est, sextus, putà longus, & humilis, atque latitudine moderatus, quum ob causas ante expositas minor sit naturali; quantum in ipso est, ob gracilitatem apparet longus esse. Sed hoc commune cum quinto habet, proprium autem hoc peculiariter, profunditatem ob causam paulò ante memoratam esse imminutam. Septimus in tabella pulsus erat, longus pariter, & angustus, altusque, qui videri, perinde ac omnium primus, magnus posset, nisi sit restricta latitudo; cætera hic ita, vt in primo omnium, sunt discernenda. Et etiam quæ in tertio explicauimus, ea sunt in hunc locum conferenda, non sæpenumero scilicet hunc pulsum esse, neque quum incidat, plurimum moderatum altitudine superare, & inferiorem latitudine esse. Ab illo octauum, longum vnà, & angustum, & moderata profunditate, natura quidem esse paruum ex iis constat, quæ in quinto iam retulimus, at quia mareuit corpus, longior videtur; eximium verò hoc præter quintum habet, quòd constrictam hic arteriam latitudinis angustia declarat. Nonus pulsus, longus, angustus, humilis, longè etiam magis ostenditur sua natura esse paruus; verum videri per marcorem corporis, longus; ferè adiuncta illi remissio est, duritiesque qui si neque durus sit, neque admodum languidus, à refrigeratione gignitur. Itaque nouem quos nunc percurrimus, pulsus omnes longitudinem habent æquo longiorem, duabus differentiis reliquis diuersi sunt.

A διοριστέον οὖν ἐπ' αὐτοῦ πρὸς τοῖς εἰρημένοις, καὶ τὰ τῶν πρώτων ἁπάντων εἰρημένα. προσεπισκεπτέον δὲ καὶ εἰ τοῦ πλάτους ἀφαιρεῖ τι περιστρεφομένου τοῦ κύκλου. γίνεται γὰρ καὶ τοῦτ' ἐνίοτε, καὶ δηλοῖ πόσον ὑπὲρ τὴν τοῦ βάθους ἀναλογίαν ἔμπροσθεν ἐπλατύνετο τὸ ἀγγεῖον. ὁ δ' ἐπὶ τοῖσδε τέταρτος, ὁ μακρὸς ἅμα, καὶ ὑψηλός, καὶ σύμμετρος κατὰ τὸ πλάτος, ὅσον μὲν ἐφ' ἑαυτοῦ πλατύς ἐστιν, ὥσπερ καὶ ὑψηλός, ἀλλὰ ὑπὲρ τοῦ στενοχωρεῖσθαι κατὰ τὰ πλάγια, κεκωλῦσθαι τὴν εἰς τοῦτο κίνησιν. ὅλως γὰρ ἐπειδὰν ἤτοι τὸ πλάτος ὑπὲρ τὴν τοῦ βάθους ἀναλογίαν, ἢ τὸ βάθος ὑπὲρ τὴν τοῦ πλάτους ᾖ, παραποδί- B ζεται τὸ ἕτερον αὐτῶν, ἤτοι διὰ πλῆθος, ἢ πάχος, ἢ σκληρότητα τῶν περικειμένων σωμάτων, ἃ μεταξὺ τῆς ἀρτηρίας ἐστί, καὶ τῆς ἐπιβαλλομένης ἁφῆς. καὶ γὰρ καὶ ἡ ῥυσότης, πλείονα τὰ ἐπικείμενα σώματα ποιεῖ. κατὰ τὰς ῥυτίδας ἐνδιπλοῦσα τὸ δέρμα. ὥστε καὶ ὁ τοιοῦτος σφυγμός, ἢ ὄντως μέγας ὑπάρχων, ἐμποδίζεται κατὰ τὸ πλάτος, ἢ φαίνεσθαι μέγας δυνάμενος, ἐπὶ λεπτότητος τοῦ σώματος, ὅμως οὐ φαίνεσθαι, διότι κατὰ μίαν τῶν διαστάσεων ἐστενοχώρηται. ὁ δὲ πέμπτος ἐν τῷ διαγράμματι γεγραμμένος, ὁ μακρότερος μὲν τοῦ κατὰ φύσιν, ἐν δὲ ταῖς ἄλλαις ταῖς δύο διαστάσεσι σύμμετρος, ἰσχνότερον μὲν δηλοῖ ἑαυτοῦ C τὸν ἄνθρωπον γεγονέναι, τὸν σφυγμὸν δὲ ὅσον ἐφ' ἑαυτῷ, μικρότερον τοῦ κατὰ φύσιν. ἐπεὶ γὰρ ὁ μακρὸς σφυγμός, ἢ διὰ μέγεθος οἰκεῖον, ἢ διὰ λεπτότητα φαίνεται τοιοῦτος, οὐ μὴν νῦν γε διὰ μέγεθος ἐγένετο μακρός, ἦν γὰρ ἂν οὕτω καὶ ὑψηλὸς ἅμα, καὶ πλατύς, ἢ πάντως γε τὸ ἕτερον αὐτῶν ἀπολείπεται διὰ λεπτότητα μακρὸς γεγονέναι. ἀλλ' ἐπεὶ τοῖς ἰσχνοτέροις τοῦ κατὰ φύσιν, οἱ σφυγμοὶ μείζους φαίνονται, δῆλον, ὡς στενότερός τε, καὶ ταπεινότερος ὁ σφυγμός ἐστι, τοῦ κατὰ φύσιν, ὅσον ἐφ' ἑαυτῷ. εἰ δὲ ταῦτα, καὶ μικρότερος, ὅσον ἐφ' αὐτῷ. ὁ δ' ἐφεξῆς τῷδε γεγραμμένος ἕκτος ὁ μακρός, καὶ ταπεινός, καὶ σύμ- D μετρος κατὰ τὸ πλάτος, διὰ τὰς προειρημένας αἰτίας, ἥττων τοῦ κατὰ φύσιν ὑπάρχων, ὅσον ἐφ' ἑαυτῷ, διὰ λεπτότητα φαίνεται μακρός. ἀλλὰ τοῦτο μὲν αὐτῷ κοινὸν πρὸς τὸν πέμπτον. ἴδιον δ' ἐξαίρετον κεκωλῦσθαι τὸ βάθος, δι' ἣν ὀλίγον ἔμπροσθεν εἶπον αἰτίαν. ἕβδομος δ' ἦν ἐν τῷ διαγράμματι σφυγμὸς μακρὸς ἅμα, καὶ στενός, καὶ ὑψηλός, ὃς ἐφαίνετ' ἂν ὁμοίως τῷ πάντων πρώτῳ μέγας, μὴ τὸ πλάτος ἐστενοχωρεῖτο. τὰ δὲ ἄλλα καὶ περὶ τοῦδε παραπλησίως τῷ πρώτῳ πάντων, δεῖ διορίζεσθαι. καὶ μὲν δὴ καὶ ὅσα κατὰ τὸν τρίτον εἴρηται, καὶ ταῦτ' ἐνταῦθα προσθεῖναι, τὸ μήτε πολλάκις φαί- E νεσθαι τὸν τοιοῦτον σφυγμόν, μήθ' ὅταν φαίνηται, πλεῖστον ὅσον ὑπερβάλλειν μὲν τοῦ συμμέτρου κατὰ τὸ ὕψος. ἀπολείπεσθαι δὲ κατὰ τὸ πλάτος. ὁ δ' ἐφεξῆς αὐτῷ γεγραμμένος ὄγδοος ὁ μακρὸς ἅμα, καὶ στενός, καὶ σύμμετρος κατὰ τὸ βάθος. ὅτι μὲν μικρός ἐστι κατὰ τὴν οἰκείαν οὐσίαν, εὔδηλον ἐκ τῶν ἐπὶ τοῦ πέμπτου προειρημένων. ἰσχνοῦ δὲ τοῦ σώματος γινομένου, φαίνεται μακρότερος. τὸ δὲ ἴδιον ἐξαίρετον αὐτῷ παρὰ τὸν πέμπτον, ἡ τοῦ πλάτους στενότης, ἐστενοχωρῆσθαι κατὰ τοῦτο δηλοῦσα τὴν ἀρτηρίαν. ὁ δὲ ἔννατος σφυγμὸς ὁ μακρός, καὶ στενός, καὶ ταπεινός, ἔτι δὴ καὶ μᾶλλον ἐνδείκνυται μικρὸς μὲν ὤν, F ὅσον ἐφ' ἑαυτῷ, φαινόμενος δὲ μακρός, δι' ἔκτηξιν τοῦ σώματος. ὡς ἐπὶ τὸ πολὺ δέ, αὐτῷ σύνεστιν ἀμυδρότης καὶ σκληρότης. εἰ δὲ μήτε σκληρὸς ᾖ, μήτ' ἄγαν ἀμυδρὸς ἐπὶ καταψύξει τοιοῦτος ἀποτελεῖται. οὕτως μὲν οὖν ἅπαντες οἱ εἰρημένοι νῦν ἐννέα σφυγμοί, μακρότερον ἔχουσι τὸ μῆκος τοῦ κατὰ φύσιν, ἐξαλλάττονται δὲ κατὰ τὰς λοιπὰς δύο διαστάσεις.

οἱ δ' ἐφεξῆς ἐννέα σύμμετροι κατὰ τὸ μῆκος ὄντες, ὑπαλλάττονται κατά τε τὸ βάθος, καὶ τὸ πλάτος. ὁ μὲν οὖν δέκατος, ὑψηλὸς ἅμα καὶ πλατὺς φαινόμενος, ἐφ' ἑνὸς μὲν ἀνθρώπου τῷ συμμέτρῳ παραβαλλόμενος ἀδύνατος συστῆναι, πλὴν εἴ ποτε κατὰ τὸ σπάνιον ἡ θέσις ὅλη τῆς ἀρτηρίας ἐξαλλάττοιτο, πρὸς δὲ τὸν ἁπλῶς σύμμετρον εἰ παραβάλλοιτο, καὶ γενέσθαι δυνατός ἐστι. καὶ αἰτία τῆς γενέσεως αὐτοῦ, κατὰ τὴν τῆς διαπλάσεως ἰδιότητα. σύμπτωμα γάρ ἐστιν ἀρτηρίας, ἑκατέρωθεν μὲν ὑπὸ βαθείᾳ σαρκὶ κρυπτομένης, κατὰ δὲ τὸ μέσον ὀλίγον ἐκκειμένης περιπετοῦς. ὁ δὲ ἑνδέκατος τοῦ προγεγραμμένου παραλλάττων ἑνὶ μόνῳ, τῷ βάθος ἴσον ἔχειν τῷ κατὰ φύσιν, ἐκ περιττοῦ προσειργασμένην ἔχει τὴν τοῦ ταπεινοῦσθαι αἰτίαν. τὰ δ' ἄλλα τῷ δεκάτῳ ταὐτά. ὁ δὲ δωδέκατος, ὁ πλατὺς καὶ ταπεινὸς ἐπὶ συμμέτρῳ μήκει, περιστραφέντος τοῦ κώλου γίγνεται. ἤτοι γὰρ φανεῖται πάντῃ σύμμετρος, ἢ μέγας. εἰ μὲν οὖν πάντῃ σύμμετρος φαίνοιτο, δηλώσει τὸ μὲν ὕψος ἔμπροσθεν ἐπ' ὀλίγον τεθλίφθαι. τὸ δὲ πλάτος ἐκτετάσθαι διὰ μαλακότητα τῆς ἀρτηρίας. εἰ δὲ μέγας, ἐπὶ πλεῖστον τεθλίφθαι τὸ ὕψος. ὁ δὲ ιγ'. ὑψηλὸς ἅμα καὶ σύμμετρος ἐν ταῖς λοιπαῖς δύο διαστάσεσιν, ὅμοια μὲν τῷ δεκάτῳ κατά τε τὴν φυσικὴν διάπλασιν ἀποτελεῖται, καὶ προσέτι τὴν τῆς κατὰ φύσιν θέσεως ἀλλοίωσιν. ἐκ περιττοῦ δ' αὐτῷ πρόσεστι παρ' ἐκεῖνον, ἡ στενοχωρία τοῦ πλάτους. ὁ δὲ ιδ'. ὁ κατὰ τὰς τρεῖς διαστάσεις σύμμετρος, ὅτι μὲν τῷ κατὰ φύσιν ὁ αὐτὸς φαίνεται, πρόδηλον. εἰ δὲ καὶ ὄντως ἐστὶν ἴσος τῷ κατὰ φύσιν, ἐκ τῆς τοῦ σώματος ἕξεως διορίζεται. εἰ μὲν γὰρ ἰσχνότερος εἴη τοῦ κατὰ φύσιν, τότ' ἂν ὅσον ἐφ' ἑαυτῷ μικρότερος ὢν ὁ σφυγμός, ἴσος φαίνοιτο τῷ συμμέτρῳ. εἰ δὲ παχύτερον εἴη τὸ σῶμα τοῦ κατὰ φύσιν, ὁ σφυγμός, ὅσον μὲν ἐφ' ἑαυτῷ μέγας ἐστί, φαίνεται δὲ σύμμετρος ὑπὸ πολυσαρκίας κωλυόμενος. εἰ δὲ μήτ' εἰς ἰσχνότητα, μήτ' εἰς παχύτητα παραλλάττοι τὸ σῶμα, σύμμετρον ἐν τῷ τοιῷδε τὸν σφυγμὸν ἀναγκαῖον οὐ φαίνεσθαι μόνον, ἀλλὰ καὶ εἶναι. καὶ δέδεικταί γε ἡμῖν ἐν τῷ δευτέρῳ περὶ σφυγμῶν διαγνώσεως, ὅτι πρὸς τοῦτον οἱ ἄλλοι πάντες παραβαλλόμενοι, μεγάλοι, καὶ μικροί, καὶ μακροί, καὶ βραχεῖς, καὶ πλατεῖς, καὶ στενοί, καὶ ὑψηλοί, καὶ ταπεινοὶ λέγονται. ὁ δὲ πεντεκαιδέκατος ὁ ταπεινὸς μὲν κατὰ τὸ βάθος, σύμμετρος δὲ ταῖς λοιπαῖς δύο διαστάσεσιν, ὁ αὐτός ἐστιν τῷ προγεγραμμένῳ τεσσαρεσκαιδεκάτῳ κατὰ πάντα, πλὴν ὅσα τὸ βάθος αὐτοῦ τέθλιπται. ὥσθ' ὅσα ἐπ' ἐκείνου προείρηται, ταῦτα κἀπὶ τούτου χρὴ δοκεῖν εἰρῆσθαι. μεμνῆσθαι δὲ περὶ τῶν τοιούτων ἁπάντων προσήκει, τὸ δὲ καταστρεφομένου τοῦ κώλου μηκέτι φαίνεσθαι ταπεινόν. ὁ δὲ ἑκκαιδέκατος, ὁ σύμμετρος μὲν ἐν τῷ μήκει στενὸς δὲ καὶ ὑψηλός, ἤτοι κατὰ τὴν τῆς διαπλάσεως ἰδιότητα γίγνεται φύσιν τοιοῦτος, ἢ κατὰ τὸ πλάτος, ἐπὶ τῇ κατὰ τὰ πλάγια θλίψει τῶν ἀρτηριῶν. ὁ δὲ ιζ'. σύμμετρος μὲν κατὰ τὸ μῆκός τε καὶ τὸ βάθος, ἐν δὲ τῇ λοιπῇ διαστάσει στενός· ὅτι μὲν στενοχωρεῖται κατὰ τὰ πλάγια, πρόδηλον ἐκ τῆς τοῦ βάθους συμμετρίας. τὰ δ' ἄλλα πάντα, κἀπὶ τούτου τοῖς κατὰ τὸν ιδ'. τε καὶ πεντεκαιδέκατον ὡσαύτως ἔχει. ὁ δὲ ιη'. ὁ σύμμετρος μὲν κατὰ τὸ μῆκος, στενὸς δὲ καὶ ταπεινὸς κατὰ μὲν τὴν οἰκείαν οὐσίαν, μικρός ἐστι. φαίνεται δὲ τῷ μήκει σύμμετρος ἐπ' ἰσχνότητα. συλλήβδην γὰρ εἰπεῖν, ὅταν ὑπὲρ τὴν τοῦ βάθους τε, καὶ τοῦ πλάτους ἀναλογίαν, ἐκταθῇ τὸ μῆκος ἰσχνότητα τοῦ σώματος ἐνδείκνυται, οὐ μὴν ὅταν γε μειωθῇ παρὰ τὴν ἀναλογίαν τοῦ βάθους πολυσαρκίαν σημαίνει. ἀλλ' ἤτοι φυσικήν τινα διάπλασιν, ἢ θέσιν τῆς ἀρτηρίας ἀνώμαλον.

nouem proximi longitudine moderata sunt, profunditatem autem, & latitudinem immutant. Ac decimus quidem, qui altus simul, & latus videtur, vno in homine, si cum moderato comparetur, nunquam existat; nisi quando (id quod rarum est) omnino arteria de sede sua migret. Sin autem conferatur ad eum, qui est absolutè moderatus, potest incidere, ac causa eius generandi in proprietatem conformationis confertur; siquidem symptoma arteriæ est, quæ sub profunda carne vtrinque occultetur, sed in media parua parte sublimis extet. Vndecimus qui vna re differt à superiore, quòd profunditatem moderato parem habeat, pro cumulo causam demittendi huius habet adiunctam; cætera cum decimo conueniunt. Duodecimus latus, humilis cum moderata longitudine inuerso fit membro; aut enim vndequaque videbitur moderatus, aut magnus. Ac si omnino videatur moderatus, altitudinem declarabit priùs nonnihil compressam esse, productamque ob mollitiem arteriæ latitudinem; sin magnus, plurimum fuisse compressam altitudinem. Decimus tertius, altus, idémque dimensionibus duabus reliquis moderatus, perinde vt decimus, & ex naturali conformatione conficitur, & etiam ex naturalis sedis mutatione; eximium autem habet, præter illum, latitudinis angustiam. Decimumquartum, qui omnibus tribus dimensionibus moderatus est, omnibus apertum est referre naturalem; an verò sit par reuera naturali, exploratur ex corporis habitudine. Nam macrior si naturali sit, sic quum sit pulsus sua natura minor, par apparet moderato esse; sin crassius æquo sit corpus, pulsus tum de sua quidem natura magnus est, sed quòd per corpulentiam coërceatur, esse moderatus videtur; quòd si nec ad gracilitatem corpus, nec ad corpulentiam deflectat, moderatum in eo non solùm repræsentari pulsum, verùm etiam necesse est esse. Sanè demonstrauimus in secundo libro De pulsibus dignoscendis, cæteros pulsus ad hunc omnes relatos, magnos, paruos, longos; breues, latos, angustos, altos, humiles appellari. Quintusdecimus, qui humilis profunditate est, reliquis duabus dimensionibus moderatus, omnino similis superiori est decimoquarto, præter quòd huius compressa est profunditas; proinde, quæ illic prius exposuimus, ea duces hic quoque dicta esse. Hoc verò est in hisce omnibus memoria tenendum, non amplius conuerso membro videri humilem. Sextusdecimus, qui moderatus est longitudine, angustus, altusque, aut ex conformationis proprietate fit talis natura, aut per affectum aliquem compressis ad latera arteriis. Septimumdecimum, qui est moderatus longitudine, & profunditate, in reliqua dimensione angustus, in latera contractum esse declarat moderata profunditas; in reliquis omnibus decimoquarto & decimoquinto respondet. Octauusdecimus, qui longitudine moderata est, & angustus, humilisque, sua quidem natura paruus est; videtur autem esse ob gracilitatem moderata longitudine. Breuiter enim quum præter profunditatis proportionem, & latitudinis, extensa longitudo sit, significat corporis gracilitatem; non tamen vbi contracta præter proportionem profunditatis est, corpulentiam denotat, sed vel naturalem quampiam conformationem, vel situm arteriæ inæqualem.

Nonus-

Nonus decimus, breuis, latus, & altus, aut ob conformationis proprietatem talis natura videtur, aut ex affectu arteriæ in situ distortæ. Vigesimus iam in aliis duabus dimensionibus similis est nonodecimo, sed profunditate est moderata. Hic habet hoc præcipuum, rescisam suam altitudinem. Vigesimus primus, breuis, latus, & humilis, præter easdem causas, etiam illas adiunget sibi, quæ latum simul & humilem efficiunt pulsum. Ad eundem modum vigesimussecundus, breuis simul, & altus, atque latitudine moderata, assumet ad easdem causas, eas quæ moderatum latitudine creant, humilemque pulsum. Sic etiam vigesimustertius, breuis ille quidem longitudine, verùm dimensionibus duabus reliquis moderatis, ad easdem causas reducetur. Vigesimusquartus sortietur præter easdem causas, extra ordinem causam, quæ altitudinem deprimit. Ad eundem modum proximi duo ad antedictas referentur causas, vt memoria teneamus, in quibuscunque pulsibus cedat longitudo proportioni latitudinis & profunditatis, in his causam, aut naturali conformationi, aut arteriæ peruerso situi esse attribuendam. Demonstrauimus porrò, vbi latitudinis, vel profunditatis proportionem longitudo vincat, aut obsistere alteri earum solam angustiam, aut auctam etiam alteram esse; atque obstaculum frequenter accidere, incrementum rarò, in latitudine quidem, vbi per mollem arteriæ tunicam grauetur altitudo, simulque nec vehementem esse eiuscemodi pulsum; in profunditate verò, vbi coarctetur latitudo, & pulsus vehemens simul, & magnus ex sua natura sit. Reliquus est post omnes vigesimusseptimus, breuis, angustus, humilisque, qui vtique paruus, vel apparet esse, vel sua natura est, ac quæ quidem in omnium primo distincta sunt, magno, eadem sunt hic quoque distinguenda. Si naturaliter comparata corporis sit habitudo, hic pulsus non modò videtur paruus, sed etiam est verè. At quum crassior sit, si quo homo euasit se ipso crassior, hoc sit pulsus minor, erit tum quidem, quod ad ipsum attinet, moderatus; sed per corporis crassitudinem minor videtur moderato. Si longè sit crassior, quam pulsus minor, is pulsus, quantum in ipso est, mediocri erit maior. Sin autem minus sit crassus, quàm paruus, pulsus hic, si eius naturam spectes, minor erit naturali. Quòd si gracilius corpus sit, quàm videatur pulsus paruus, is sanè est natura paruus, sed non perinde videtur paruus, ac verè est; quòd corporis gracilitas, quatenus decessit de natura, hactenus ei magnitudinis addit speciem. Quæ de paruo, & magno pulsu adhibita distinctio est, eadem in aliis est adhibenda omnibus; sciendumque illorum quemque vel paruum esse natura, vel magnum, vel moderatum. Ac tres hi pulsus in quantitate distentionis positi sunt, quod attinet ad ipsius rei naturam. Videntur verò esse vigintiseptem ob crassitudinem, vel gracilitatem corporis, vel ob cutem rugosiorem, vel regionum arteriarum inæqualem angustiam, vel proprietatem conformationis. Ita vnumquemque oportet, qui non inania verba ambit, sed ipsa opera studet meditari, omnium memorem, quæ iam percurri, simul,

A ὁ δὲ ιθʹ. βραχὺς, καὶ πλατὺς, καὶ ὑψηλὸς, ἤτοι φύσει φαίνεται τοιοῦτος ἐπὶ διαπλάσεως ἰδιότητα, ἢ κατὰ τὸ πάθος ἐν τῇ θέσει διαστρεφομένης τῆς ἀρτηρίας. καὶ εἰκοστὸς δὲ, κατὰ μὲν τὰς ἄλλας δύο διαστάσεις ὁ αὐτὸς τῷ ιθʹ. φαινόμενος. ἐν δὲ τῷ βάθει σύμμετρος. ἐξαίρετον, ὡς ἐπ' ἐκείνου προείρηται, τὸ κεκολοῦσθαι τὸ ὕψος ἔχει. ὁ δὲ καʹ. ὁ βραχὺς, καὶ πλατὺς, καὶ ταπεινὸς ἐπὶ τοῖς αὐτοῖς αἰτίοις. ἔτι κἀκεῖνα προσλήψεται τὰ πλατὺν ἅμα καὶ ταπεινὸν ἀπεργαζόμενα τὸν σφυγμόν. ὡσαύτως δὲ ὁ κβʹ. ὁ βραχὺς ἅμα, καὶ ὑψηλὸς, καὶ σύμμετρος κατὰ τὸ πλάτος, ἐπὶ ταῖς αὐταῖς αἰτίαις, προσλήψεται B τὰ ποιοῦντα σύμμετρον ἐν τῷ πλάτει, καὶ ὑψηλὸν σφυγμόν. ὥσπερ γε καὶ ὁ κγʹ. ὁ βραχὺς μὲν κατὰ τὸ μῆκος. ἐν δὲ ταῖς λοιπαῖς δύο διαστάσεσι σύμμετρος. εἰς τὰς αὐτὰς αἰτίας ἀναχθήσεται. ὁ δὲ κδʹ. ἐξαίρετον ἐπὶ ταῖς αὐταῖς αἰτίαις προσλήψεται τὴν ταπεινοῦσαν τὸ ὕψος αἰτίαν. οὕτως δὲ καὶ οἱ ἐφεξῆς δύο, κατὰ τὸν αὐτὸν τρόπον εἰς τὰς προειρημένας αἰτίας ἀναχθήσονται, μεμνημένων ἡμῶν, ὡς ἂν ἐν οἷς σφυγμοῖς ἀπολείπεται τὸ μῆκος, τῆς κατὰ τὸ βάθος, καὶ κατὰ τὸ πλάτος ἀναλογίας, ἐν τούτοις, ἤτοι φυσικῇ διαπλάσει τὴν αἰτίαν ἀνατιθέναι προσήκεν, ἢ διαστρόφῳ θέσει τῆς ἀρτηρίας. εἴρηται δὲ C κἀπειδὰν ὑπερέχῃ τὸ μῆκος τῆς κατὰ τὸ πλάτος, ἢ τὸ βάθος ἀναλογίας, ἤτοι κεκολοῦσθαι τὸ ἕτερον αὐτῶν μόνον ὑπὸ στενοχωρίας, ἢ καὶ τὸ ἕτερον ηὐξῆσθαι. καὶ ὡς τὸ μὲν κεκολοῦσθαι πολλάκις συμπίπτει, τὸ δὲ ηὐξῆσθαι σπανιάκις ἐπὶ μὲν τοῦ πλάτους, ὅταν βαρύνηται τὸ ὕψος ἐπὶ μαλακῷ τῷ χιτῶνι τῆς ἀρτηρίας, εὐθὺς δὲ, καὶ ὡς οὐδὲ σφοδρὸς ὁ τοιοῦτός ἐστι σφυγμός. ἐπὶ δὲ τοῦ βάθους, ὅταν στενοχωρῆται μὲν τὸ πλάτος, ὁ σφυγμὸς δὲ ᾖ σφοδρός τε ἅμα, καὶ μέγας, ὅσον ἐφ' ἑαυτῷ. λοιπὸς δὲ ἐπὶ πᾶσιν ὁ κζʹ. ἐστὶν ὁ βραχὺς, καὶ στενὸς, καὶ ταπεινὸς, ὥσπερ δὴ καὶ μικρός ἐστιν, ἤτοι φαινόμενος τοιοῦτος, ἢ D κατὰ τὴν ἑαυτοῦ φύσιν ὑπάρχων. ἃ γὰρ ἐπὶ τοῦ πρώτου πάντων διώρισται τοῦ μεγάλου, ταῦτα κἀπὶ τούτου διορίζεσθαι χρή. κατὰ φύσιν μὲν γὰρ ἐχούσης τοῦ σώματος τῆς ἕξεως, ὁ τοιοῦτος σφυγμὸς οὐ μόνον φαίνεται μικρὸς, ἀλλὰ καὶ ὄντως ἐστί. παχυτέρας δὲ γινομένης, εἰ μὲν ὅσον περ ἑαυτοῦ παχύτερος ὁ ἄνθρωπος ἐγένετο, τοσούτῳ καὶ ὁ σφυγμὸς μικρότερος, εἴη ἂν οὕτω γε σύμμετρος μὲν ὅσον ἐφ' ἑαυτῷ, διὰ δὲ παχύτητα τοῦ σώματος, ἐλάττων τοῦ κατὰ φύσιν φαινόμενος. εἰ δὲ πλέονι παχύτερος, ἤπερ ὁ σφυγμὸς μικρότερος, μείζων ἂν εἴη τοῦ κατὰ φύσιν, ὁ τοιοῦτος σφυγμὸς, ὅσον ἐφ' ἑαυτῷ. εἰ δ' ἔλατ- E τον παχύτερος, ἤπερ ὁ σφυγμὸς μικρότερος, ἐλάττων ἂν εἴη τοῦ κατὰ φύσιν ὁ τοιοῦτος, ὅσον ἐφ' ἑαυτῷ. λεπτοτέρου μέντοι τοῦ σώματος ὄντος, ἤπερ ὁ σφυγμὸς φαίνοιτο μικρὸς, ἔσται μὲν καὶ ὄντως τῇ φύσει μικρὸς, ἀλλ' ἔλαττον φαίνεται μικρὸς, ἢ ὄντως ἐστίν. ἡ γὰρ ἰσχνότης τοῦ σώματος, εἰς ὅσον ἐξίστη τοῦ κατὰ φύσιν, εἰς τοσοῦτον μέγεθος αὐτῷ προσδίδωσι φαντασίαν. ἃ δ' ἐπὶ τοῦ μικροῦ τε καὶ μεγάλου σφυγμοῦ διώρισται, ταῦτα κἀπὶ τῶν ἄλλων ἁπάντων διορίζεσθαι χρή, γινώσκοντας, ὡς κἀκείνων ἕκαστος, ἤτοι μικρὸς, ἢ μέγας, ἢ σύμμετρός ἐστιν ὅσον ἐφ' ἑαυτῷ. καὶ τρεῖς οὗτοι σφυγμοὶ κατὰ τὸ ποσὸν τῆς διαστο- F λῆς εἰσὶν, ὡς πρὸς τὴν φύσιν αὐτοῦ τοῦ πράγματος. φαίνονται δ' ἑπτὰ καὶ κʹ. διὰ πάχος, ἢ λεπτότητα τοῦ σώματος, ἢ ῥυσσοτέρου τοῦ δέρματος, ἢ στενοχωρίαν ἀνώμαλον τῶν περὶ τὰς ἀρτηρίας χωρίων, ἢ διαπλάσεως ἰδιότητα. χρὴ τοίνυν ἕκαστον ὅστις μὴ μέχρι λόγου ψιλοῦ μετέρχεται, ἀλλ' ἐπ' αὐτῶν τῶν ἔργων ἀσκεῖν προαιρεῖται, μεμνημένον ἁπάντων, ὧν νῦν δὴ πέπαυμαι λόγων,

ἐπειδὰν ἐπισκέπτηταί τινα τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς συνισταμένων σφυγμῶν, πρῶτον μὲν ἐπισκοπεῖσθαι, τίς ἐστι τῶν ἑπτὰ καὶ εἴκοσιν, εἶθ' ἑξῆς αὐτοῦ χωρίσαντα τὰς διὰ τὰ παρακείμενα σώματα γινομένας ἀλλοιώσεις, ἐξευρεῖν, εἴτε σύμμετρός ἐστιν, εἴτε μέγας, εἴτε μικρὸς, εἶθ' ἑξῆς τὰς διαθέσεις ὑφ' ὧν τοιοῦτος ἐγένετο. διδάσκουσι γὰρ αὗται τά τε προγεγονότα, καὶ τὰ μέλλοντα. ἔστω εὐθέως ἐπὶ τοῦ μακροῦ, καὶ στενοῦ, καὶ ταπεινοῦ, παραδείγματος γὰρ ἕνεκα τὸν λόγον ἐπὶ τούτου διδάξομεν· ὅτι μὲν ἐστιν ὅσον ἐφ' ἑαυτῷ μικρὸς, εὔδηλον ἐκ τοῦ τὴν μὲν κατὰ κύκλον αὐτοῦ μεμειῶσθαι διάστασιν, ηὐξῆσθαι δὲ τὴν κατὰ μῆκος. εἰ γὰρ ὑπὸ δυοῖν αἰτίων ὁ κύκλος τῆς διαστολῆς ἐλάττων φαίνεται, διά τε πολυσαρκίαν, καὶ ὅτι μικρότερος ὄντως ὁ σφυγμὸς ἐγένετο. νυνὶ δὲ οὐκ ἔστι πολυσαρκία. πάντως γὰρ ἂν μόνον οὐδὲν ηὔξητο τοῦ μήκους, ἀλλὰ καὶ ἐμεμείωτο. δῆλον, ὡς κατὰ τὴν οἰκείαν οὐσίαν ὁ σφυγμὸς μικρὸς ἐγένετο. ὁπότ' οὖν κεχώρισται τὸ παρὰ τὴν τοῦ σώματος σχέσιν ἐγγινόμενον αὐτῷ φάντασμα τοῦ μήκους, ἐκ τῶν μικρῶν ὑπάρχοντι κατὰ τὴν ἰδίαν οὐσίαν, ἑξῆς ἐπισκεψώμεθα διὰ τίνα ποτ' αἰτίαν ἐγένετο μικρός. μέγιστον δ' εἰς τοσοῦτον συντελεῖ, τὸ διαγινώσκειν δύνασθαι τὸ ποσὸν τῆς τε μικρότητος, καὶ τοῦ μήκους. ἤτοι γὰρ ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν ἐγένετο μικρότερος, ἢ πολλῷ, ἢ ὡς ἂν εἴποι τις μετρίῳ, καὶ δὴ καὶ κατὰ τὸ μῆκος, ἢ ὀλίγον, ἢ μέτριον, ἢ πολὺ τὸν κατὰ φύσιν ὑπερβάλλει. ἔστω δὴ τὸ ἕτερον ἐπὶ πλεῖστον μὲν εἰς μῆκος ἐκτεταμένος, ἐπὶ πλεῖστον δὲ καὶ μικρότητος ἥκων, τουτέστι στενὸς καὶ ταπεινός· ὁ τοιοῦτος σφυγμός ἐστι μὲν τῇ φύσει πολὺ μικρότερος, ἢ φαίνεται. ὑπάρχει δ' αὐτῷ, τὸ μὲν φαίνεσθαι τοιοῦτος δι' ὑπερβάλλουσαν ἰσχνότητα. τὸ δὲ εἶναι φύσει μικρότερον διὰ τὰς μικροτέρας γεννώσας αἰτίας, ψύξιν, ἀτονίαν, ἰσχνότητα. τίς οὖν ἐκ τούτων ἐστὶν, ἢ τίνες ποιήσασαι τὸν νῦν φαινόμενον σφυγμὸν, μακρὸν, καὶ στενὸν, καὶ ταπεινόν; λέλεκται μὲν ἤδη καὶ πρόσθεν, ὡς ἀχώριστόν ἐστι σημεῖον τῆς μὲν σκληρότητος τῶν ἀρτηριῶν ὁ σκληρὸς σφυγμὸς, τῆς δὲ ἀρρώστου δυνάμεως ὁ ἀμυδρὸς, ὅσπερ δὴ καὶ ἄτονός τε, καὶ ἄρρωστος ὀνομάζεται, καθάπερ γε καὶ ὁ ἐναντίος αὐτῷ, σφοδρὸς, καὶ εὔτονος, καὶ εὔρωστος. ἀλλ' ἐπὶ τοῦ προκειμένου σφυγμοῦ κἀκεῖνο χρὴ γινώσκειν. ὡς ἐξ ἀνάγκης ἐστὶν ἀμυδρός. οὐδέποτε γὰρ ἐσχάτως μικρὸς γίνεται σφυγμὸς, εὐρωστούσης δυνάμεως. ἡ μέντοι σκληρότης, οὐκ ἐξ ἀνάγκης σύνεστι. περὶ δὲ τῆς ψύξεως οὐχ ἁπλῶς εἰπεῖν ἐγχωρεῖ, ἀλλὰ χρὴ πρῶτον μὲν γινώσκειν, ὡς ἕτερον μέν τί ἐστι τὸ ἐψύχθαι τὴν καρδίαν ἅμα ταῖς ἀρτηρίαις, ἕτερον δὲ τὸ ψύχεσθαι. καὶ ὡς τὸ μὲν ἐψύχθαι, κεκακῶσθαι τὴν δύναμίν ἐστι. τὸ δὲ ψύχεσθαι, τὴν χρείαν ἠλλοιῶσθαι. πάνυ δ' ἀκριβῶς χρὴ προσέχειν τῷ λεγομένῳ τὸν νοῦν, εὖ εἰδότας, ὡς οὐ μόνον εἰς τὰς διὰ τῶν σφυγμῶν προγνώσεις, ἀλλὰ καὶ τὰς ἄλλας σχεδὸν ἁπάσας, οὐδέν ἐστιν αὐτοῦ χρησιμώτερον. εἴρηται δ' ἅπας ὁ λόγος οὗτος, ἐκ τοῦ γινώσκειν τὴν οὐσίαν τῆς δυνάμεως, ὑπὲρ ἧς ἐν μὲν τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων πραγματείᾳ διὰ τὸ μηδεμίαν ἀνάγκην εἶναι παρελίπομεν εἰπεῖν. ἐνταυθοῖ δὲ, πρὸς γὰρ ἐπιστήμην ἀκριβῆ τῶν λεχθησομένων ἡ γνῶσις αὕτη συντελεῖ, καιρὸς εἶναί μοι δοκεῖ διελθεῖν, οὔτ' ἐνταῦθα μετὰ τῶν οἰκείων ἀποδείξεων, ἑτέρωθι γὰρ εἴρηται μακρότερον, ἀλλ' ὅσον ἐν κεφαλαίῳ ῥηθὲν εἰς τὰ ἐνεστῶτα χρήσιμον.

μικροτάτην

atque aliquem animaduertat pulsum, qui in quantitate consistit distentionis, primùm, qui sit de vigintiseptem attendere; deinde vbi ab eo, quæ ex vicinis corporibus oriuntur, alterationes secreuerit indagare an moderatus sit, an magnus, an paruus; postea status, qui talem genuere, siquidem docent hi, & præterita, & futura, vt in longo, & angusto, & humili; nam exempli gratia in hoc, quod dico, docebimus. Hunc quantum in ipso est, liquet paruum esse, ex eo, quòd eius imminuta est circularis dimensio, & aucta dimensio longitudinis. Si enim duabus de causis minor circulus distentionis apparet ob corpulentiam, & quòd minor re vera sit pulsus, nunc autem abest corpulentia, sanè enim non solùm longitudo non creuisset, sed etiam imminuta esset; planum est, pulsum sua natura esse paruum. Quum igitur remota sit longitudinis species, quam contraxit ex corporis habitudine, quum sua natura paruus sit, videamus iam, quanam de causa sit factus paruus. Hic plurimi interest nosse paruitatis quantitatem, & longitudinis, aut enim paulò est naturali minor, aut multo, aut vt ita dicam modico; sic etiam in longitudine, aut parum, aut modicè, aut longè naturales superat. Iam altera ex parte ad maximam longitudinem producatur, etiam ad maximam deueniat paruitatem, id est, angustus, & humilis sit; hic pulsus natura longè est, quam apparet, minor, sed eam quidem ex nimia gracilitate comparauit speciem, vt verò sit natura minor, ex causis, quæ efficiunt minorem, frigiditate, imbecillitate, gracilitate. At quæ tandem causa est, vel causæ inter has, vnde pulsus, qui nobis nunc cernitur, longus, angustus, humilisque generetur? Declarauimus quidem antè, signum esse perpetuum arteriarum duritiei pulsum durum, infirmæ facultatis languidum, qui etiam remissus, & imbecillus vocatur; vt qui ei est contrarius, vehemens, contentus, validus. Verùm sciendum & hoc est in hoc pulsu, necessariò eum languidum esse, nunquam enim valente facultate paruus ad summum pulsus fiat; at duritiem nihil est necesse coniunctam esse. De frigiditate verò non absolutè est statuendum; sed illud primum nosse oportet, interesse, cor vnà esse cum arteriis refrigeratum, & refrigerari; ac quòd refrigeratum esse, læsam esse facultatem sit, refrigerari autem mutari vsum. Hic animo mihi opus est planè attento, sciendumque non modò ad præsagitiones ex pulsibus, sed ad alias etiam penè omnes eo nihil esse conducibilius. Procedit autem vniuersus hic sermo ex cognitione essentiæ facultatis, quam in commentariis De causis pulsuum, quod nullomodo esset necessaria, præteriuimus. Hoc loco, quia ad exactè intelligenda ea, quæ posthac docebimus, hanc refert nosse, visum mihi est illam exponere; neque hîc tamen cum suis demonstrationibus (quippe alio eam loco prosecuti latius sumus) sed quantum summatim explicatum ad institutum nostrum conducat.

CAP.

CAPVT IV.

De essentia facultatis; ac de reliquis pulsibus, qui in quantitate distentionis consistunt.

FAcultatis essentia singularum partium, in singularum illarum posita commodo temperamento est; nam tum demum suum quæque munus obit strenuè, vbi sit temperatissima; contra malè fungitur, si intemperata sit, atque hactenus malè, quatenus sit intemperata. Ad eundem modum cordis corpus, quum immodicè refrigeratum sit, calefactum, humectatum, exiccatum, pulsus pro suæ intemperiei modo facit languidos; id quod illi est, offensam facultatem esse. At verò consuetudinem habere cum sanguine contento in illius sinibus, & cum spiritu, qui calidior longè, ac naturalis status requirit sit, aut cum eo, qui in inuolucro cor ambiente est, vel in pulmone; aut cum ipso etiam inuolucro cor ambiente, & pulmone; vsum est tantum variasse citra offensionem facultatis. Eandem habet rationem refrigeratum esse, & refrigerari; vbi in ipso cordis corpore temperando præpolleat elementum frigidum, læditur facultas; sin in tunica cor ambiente, & in pulmone, & sanguine, spirituque, quos eius ventriculi continent, vsus est remissio. Iam humiditates, & siccitates, si in ipso corpore cordis consistant, nocent facultati; si in quopiam vicino, non immutant vsum; siquidem proba temperies, & intemperies ex quatuor fiunt elementis; vsus verò accessiones, vel remissiones ex calido, & frigido duntaxat. Vbi iam ad vltimam vsus exolutionem deueniat, corporibus vicinis cordi vehementer refrigeratis, non poterit etiam cordis corpus non intemperatum esse; id quod nihil est aliud, quam debiliorem fieri facultatem. Quamobrem dicebam fieri non posse, vt de frigiditate vno verbo pronuntiarem. Neque vt sola prostratione facultatis, vel induratione sola instrumentorum, pulsus interdum minor fit, ita etiam ob solam frigiditatem, quomodo nunc diximus, non accepta refrigeratione pro vsus exolutione; neque enim eò vnquam cor, vt refrigeretur vehementer, deueniat, nisi sit ipsum refrigeratum. Quod dico intelligas clarissimè, si eos, qui in itinere ex ingenti frigore obeunt, consideres, omnes enim simul, vt frigidum exspirāt aërem, pulsum quoque minorem habent; minimum tamen illorum prius nullus, quam ad extremam refrigerationem sit perductus obtinet, vbi non tantum vsus est immutatus generandorum pulsuum, quod aderat ipsis à principio, verùm etiam, quia perditur iam naturale cordis temperamentum, debilitatur facultas; id quod solet plerumque iis subitò accidere, non vt in aliis affectibus, paulatim; de quibus est vnus, quem hoc loco habemus in manibus, per quem pariter, & lōgus pulsus apparet, & angustus, humilisque in longis morbis. Qui enim ita habent, in periculum hi non minùs præsens veniunt, quam illi, qui in itinere decedunt; non repentè his tamen paruus pulsus, sed pedetentim venit marcescentibus; vnum enim & hoc genus est marcoris, quod Philippus senium ex morbo appellat. Nam non ex frigiditate torridus marcor, cæterùm ex facultatis sola imbecillitate, imbecillos pulsus, & paruos creat.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ οὐσίας τῆς δυνάμεως, καὶ περὶ τῶν λοιπῶν τῶν κατὰ τὸ ποσὸν τῆς διαστολῆς σφυγμῶν.

Η Οὐσία τῆς δυνάμεως ἑκάστου τῶν μορίων, ἐν τῇ καθ' ἕκαστον αὐτῶν εὐκρασίᾳ τέτακται. τότε γὰρ ἐπιτελεῖ τὸ ἴδιον ἔργον εὐρώστως, ὅταν εὐκρατότατον ᾖ. καὶ μέντοι καὶ κακῶς ἐργάζεται δύσκρατον γινόμενον, καὶ εἰς τοσοῦτόν γε κακῶς, εἰς ὅσον δύσκρατον. οὕτως οὖν καὶ αὐτὸ τὸ τῆς καρδίας σῶμα ψυχθὲν μὲν, ἢ θερμανθὲν, ἢ ὑγρανθὲν, ἢ ξηρανθὲν ἀμέτρως εἰς ὅσον δύσκρατον ἐγένετο, καὶ τοὺς σφυγμοὺς εἰς τοσοῦτον ἀμυδροὺς ἀποτελεῖ· καὶ τοῦτο μέν ἐστιν αὐτῷ βεβλάφθαι τὴν δύναμιν. τὸ δὲ ὁμιλεῖν, ἤτοι τῷ περιεχομένῳ κατὰ τὰς κοιλίας ἑαυτῆς αἵματι, καὶ πνεύματι θερμοτέρῳ πολὺ τοῦ κατὰ φύσιν, ἢ τῷ κατὰ τὸ περικάρδιον σκέπασμα, ἢ τὸν πνεύμονα, ἢ καὶ αὐτῷ τῷ περικαρδίῳ, καὶ τῷ πνεύμονι, τὴν χρείαν ἐστὶ μόνον ὑπηλλάχθαι, χωρὶς τοῦ βεβλάφθαι τὴν δύναμιν. ὡσαύτως δὲ κἂν τῷ κατεψῦχθαι τε, καὶ ψύχεσθαι, κατὰ μὲν αὐτὸ τὸ σῶμα τῆς καρδίας, ἐπικρατοῦντος ἐν τῇ κράσει τοῦ ψυχροῦ στοιχείου, βλάβη τῆς δυνάμεως. κατὰ δὲ τὸν περικάρδιον χιτῶνα, καὶ τὸν πνεύμονα, καὶ τὸ κατὰ τὰς κοιλίας αὐτῆς αἷμα, καὶ τὸ πνεῦμα, τῆς χρείας ἔκλυσις, αἱ δ' ὑγρότητες, καὶ ξηρότητες, αἱ μὲν κατ' αὐτὸ τῆς καρδίας τὸ σῶμα, βλάβαι τῆς δυνάμεώς εἰσιν. αἱ δὲ κατά τι τῶν ὁμιλούντων, οὐκ ἐξαλλάττουσι τὴν χρείαν. αἱ μὲν γὰρ εὐκρασίαι, κατὰ τὰ τέτταρα γίνονται στοιχεῖα. αἱ δὲ τῆς χρείας ἐπιτάσεις τε καὶ ἀνέσεις, ἐν τῷ θερμῷ καὶ ψυχρῷ μόνοις. ὅταν οὖν εἰς ἔσχατον ἐκλύσεως ἥκῃ τὰ τῆς χρείας, ἐψυγμένων ἰσχυρῶς τῶν ὁμιλούντων τῇ καρδίᾳ σωμάτων, ἀνάγκη πᾶσα, καὶ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἴσχειν δυσκράτως, ὅπερ ἐστὶν οὐδὲν ἄλλο τοῦ τὴν δύναμιν ἀρρωστοτέραν γίνεσθαι. καὶ διὰ τοῦτ' ἔλεγον, ἀδύνατον εἶναι περὶ τῆς ψύξεως ἁπλῶς εἰπεῖν. οὐ γὰρ, ὥσπερ ἐπὶ μόνῃ καταπτώσει δυνάμεως, ἢ ὀργάνων σκληρότητι μόνῃ, γίνεταί ποτε μικρότερος ὁ σφυγμὸς, οὕτω καὶ διὰ κατάψυξιν μόνην, ὡς εἴρηται νῦν, οὐ τῆς καταψύξεως ἀκουομένης ἐπὶ τῆς κατὰ τὴν χρείαν ἐκλύσεως. οὐ γὰρ ἐνδέχεταί ποτε, τὴν καρδίαν εἰς τὸ καταψύχεσθαι μὲν σφοδρῶς ἀφῖχθαι, μὴ κατεψῦχθαι δὲ καὶ αὐτήν. ἐναργέστατα δ' ἂν ὃ λέγω μάθοις, εἰ πειραθείης ποτὲ τῶν ἐν ὁδοιπορίαις ἀποθνησκόντων ἐπὶ κρύει καρτερῷ. πάντες μὲν γὰρ εὐθέως, ἅμα τῷ ψυχρὸν ἐκπνεῖν τὸν ἀέρα, καὶ τὸν σφυγμὸν ἴσχουσι μικρότερον. οὐ μὴν μικρότατόν γε οὐδεὶς αὐτῶν ἴσχει, πρὶν εἰς ἔσχατόν γε ἀφικέσθαι καταψύξεως, ἡνίκ' οὐ μόνον ἡ χρεία τέτραπται τῆς τῶν σφυγμῶν γενέσεως, ὅπερ ἐξ ἀρχῆς ὑπῆρχεν αὐτοῖς, ἀλλὰ καὶ ἡ δύναμις ἀρρωστεῖ, μηκέτι φυλαττομένης ἐν τῇ καρδίᾳ τῆς φυσικῆς εὐκρασίας. καὶ ἀθρόως γε τοῦτ' αὐτοῖς εἴωθεν, ὡς τὸ πολὺ συμβαίνειν, οὐ κατὰ βραχὺ, καθάπερ ἐν ἄλλαις διαθέσεσιν, ὧν ἐστι μία καὶ ἡ νῦν προκειμένη, καθ' ἣν ἅμα τε μικρὸς ὁ σφυγμὸς φαίνεται, καὶ στενὸς, καὶ ταπεινὸς ἐν νοσήμασι χρονίοις. οἱ γὰρ οὕτω διακείμενοι, τὸν μὲν κίνδυνον οὐχ ἧττον ἐφεδρεύοντα τῶν ἐν ὁδοιπορίαις ἔχουσιν, οὐ μὴν ἐξαίφνης γε μικρὸς αὐτοῖς ὁ σφυγμὸς, ἀλλὰ κατὰ βραχὺ γίνεται μαραινομένοις. ἓν γὰρ καὶ τοῦτ' εἶδός ἐστι μαρασμοῦ, τὸ πρὸς τοῦ Φιλίππου καλούμενον γῆρας ἐκ νόσου. ὡς ὅ γε περιφρυγὴς μαρασμὸς, οὐ διὰ ψύξιν, ἀλλὰ δι' ἀρρωστίαν μόνην δυνάμεως ἀσθενεῖς, καὶ μικροὺς ἀποτελεῖ τοὺς σφυγμούς.

διαφέρει δὲ τοῦ προτέρου τῷ τε τάχει τῆς κινήσεως, καὶ τῇ πυκνότητι, καὶ τῇ σκληρότητι, καὶ τῷ πυρώδει τῆς θερμότητος. ἀλλὰ περὶ μὲν τούτων, οὐ τοῦ νῦν ἐνεστῶτος λόγου διελθεῖν. ἐπὶ δὲ τὸ προκείμενον ἐπάνειμι. ὁ μικρὸς, καὶ στενὸς, καὶ ταπεινὸς σφυγμὸς, ὁ ἐπὶ πλέον ἐξεστηκὼς τοῦ κατὰ φύσιν, ἐν ταῖς τρισὶ διαστάσεσιν, ἐπειδὰν μὲν ἄνευ σκληρότητος φαίνηται τοιοῦτος, ὑπὸ τίνων γίνεται, καὶ πόσων αἰτίων, αὐτάρκως διήρηται. ἐπειδὰν δὲ μετὰ σκληρότητος, εὐθὺς μὲν καὶ ταύτῃ σύνεστιν, ἤτοι γ' ὁ ἀμυδρὸς σφυγμὸς, ἢ ὁ μέσος ἀμυδροῦ, καὶ σφοδροῦ, ὁ μήτ' ἀνατρέπων τὴν ἁφὴν, μήτ' ἀνατρεπόμενος ὑπ' αὐτῆς, μεμνημένων γε ἡμῶν, ὡς καθ' ἕτερον τρόπον, οὐδείς ἐστι μέσος ἀμυδροῦ καὶ σφοδροῦ· δηλοῦται δ' ἐπικρατεῖν ἐν τῷ σώματι διάθεσις, ἡ σκληρὰν ἀποτελοῦσα τὴν ἀρτηρίαν. τοῦτο δ' ἐστὶν ἤτοι ξηρότης, ἢ πῆξις ὑπὸ ψύξεως, ἢ τάσις. ξηρότης μὲν ἐν τοῖς καυσωδεστάτοις πυρετοῖς, ὅταν κακοήθως χρονίσωσιν, καὶ μάλιστα τῷ περιφρυγεῖ μαρασμῷ, καί τισιν εἴδεσι μελαγχολικῶν τε, καὶ τεταρταίων πυρετῶν. πῆξις δ' ἐκ ψύξεως, ἐπί τε τοῦ ψυχροῦ πόσεσιν ἀκαίροις, ἢ ἀμέτροις, ἢ λουτροῖς ὁμοίοις, ἐπί τε ταῖς ψυχούσαις ὀπώραις ἀκαίροις, ἢ ἀμέτροις, ἢ ὅλως ὅσα τὸ ψυχρὸν φλέγμα γεννᾶν πέφυκεν ἱκανῶς, ὅνπερ ὑαλώδη χυμὸν ὁ Πραξαγόρας ὀνομάζειν εἴωθεν. τάσις δὲ κατά γε τὰς σπασμώδεις διαθέσεις, καὶ τὰς μεγάλας φλεγμονάς. ἐν δὲ τοῖς σκίρροις, καὶ πῆξις, καὶ τάσις γίνεται τῶν ἀρτηριῶν. συμβαίνει δὲ τὸ τοιοῦτον ἐφ' ἥπατι μάλιστα, καὶ σπληνί. ἐπὶ τούτοις γὰρ τοῖς σπλάγχνοις, οἱ σφυγμοὶ σαφέστατα καὶ συνεχέστατα σκληροὶ φαίνονται, μάλιστα μὲν σκιρρουμένοις, ἤδη δὲ κἂν ταῖς μεγάλαις φλεγμοναῖς. ἀλλὰ τὰ μὲν τοιαῦτα πάθη, καὶ διὰ τῆς ἁφῆς ἐστι γνωρίσαι, καὶ δι' οὔρων, καὶ διαχωρημάτων, καὶ τοῦ χρώματος, ὅλου τε τοῦ σώματος, καὶ τῆς γλώττης. ἤδη δὲ καὶ διὰ τῆς ἰδέας τῶν πυρετῶν. ὅσαι δ' ἄλλαι διαθέσεις τὸν σφυγμὸν σκληρὸν ἀποτελοῦσιν, αἱ μὲν ἐξ ἁμαρτημάτων προσφάτων ἐξαίφνης ἴσχουσι τὴν γένεσιν. αἱ δ' ἄλλαι πᾶσαι κατὰ βραχύ. τὰ δ' ἁμαρτήματα, τὰ τὰς τοιαύτας ἐργαζόμενα διαθέσεις οἴνου πόσις ἄκαιρός ἐστι. καὶ ψυχροῦ. πολλάκις δὲ καὶ ὀπῶραι ψύχουσαι, καὶ ψυχρὸν λουτρόν. διαγνώσῃ δὲ τὴν μὲν ἀπ' οἴνου βλάβην, ὅταν ἐξαίφνης ὁ σφυγμὸς μὴ μόνον ᾖ σκληρὸς, ἀλλὰ καὶ μείζων, καὶ θάττων γίνηται, καὶ σφοδρότερος. τὰς δὲ ἄλλας κοινῇ μὲν ἁπάσας οἴνου διακρινεῖς, τῷ μήτε μέγεθος αὐταῖς προσγίνεσθαι, μήτε σφοδρότητα, μήτε τάχος. ἰδίᾳ δ' ἑκάστην, ἔστιν ὅτε μὲν ἐπιφανεστέρως, ἔστιν ὅτε δὲ ἀμαυροτέρως τε καὶ στοχαστικωτέρως. ἐπιφανεστέρως μὲν ὅταν καὶ σύμπτωμά τι συμπαρέπηται τῶν ὀπώραις ἕπεσθαι πεφυκότων, λέγω δὲ ἐμφύσωσιν γαστρὸς, ἢ δῆξιν διαφθαρέντων, ἢ θλῖψιν τινὰ κατὰ τὸν στόμαχον, ἢ παραφροσύνην, ὡς ἐπὶ ταῖς οἰνώδεσιν ὀπώραις, ἢ ἔμετον, ἢ διαχώρησιν ὑγροτέραν τε καὶ πλείονα. ταῦτα μέν γε οὐδὲ διὰ σημείων, ἀλλ' ἄντικρυς αὐτὴν τὴν οὐσίαν τῶν ἐδηδεσμένων ἐνδείκνυται. ὅταν δὲ μήτε τούτων τι παρῇ, μήτε τῶν ἀπ' οἴνου σημείων, ὕδωρ ψυχρόν ἐστι τὸ τὴν βλάβην ἐργασάμενον, ἤτοι ποθὲν, ἢ οὐ προσηκόντως ἐν αὐτῷ λουσαμένοις. εἰς δὲ τὴν ἀσφαλεστέραν ἐπὶ τούτων ἁπάντων ἀπόφασιν, οἱ τῶν φοβουμένων τε, καὶ ἀγωνιώντων σφυγμοὶ μέγιστον γνώρισμα. καὶ εἰ τοῖς εἰρημένοις ἔμπροσθεν ὕστερον ἐπάγοις ἀεὶ τοῦτο, ὅτι ἠτάκτησεν ὁ νόσος, βεβαιοτέραν τε, καὶ θαυμασιωτέραν ἐργάζεται τὴν πρόρρησιν. ὡς ἐνίοτε τοὺς ἀκούοντας ἀπιστεῖν, καὶ νομίζειν οὐκ ἐκ τῶν σφυγμῶν εἰρῆσθαί τι τῶν τοιούτων, ἀλλ' ἐξαγγείλαντός τινος τῶν εἰδότων τὸ πλημμεληθὲν τῷ κάμνοντι. χρὴ δὲ προσαψάμενον ἀκριβῶς τῶν σφυγμῶν,

Separatur à priore, motus velocitate, & crebritate & duritie, calorisque feruore. Verùm de his non est huius disputationis disserere, sed ad institutum reuertor. Longus, angustus, humilisque pulsus, quum longiùs à natura trinis dimensionibus discesserit, si talis citra duritiem appareat, à quibusnam procedat, & quot caussis, abundè aperuimus. At vbi cum duritie coniunctus est, vnà iam hic adest; vel languidus pulsus, vel medius inter languidum, & vehementem; qui nec euertat tactum, nec ab eo euertatur, vt memores simus nullum alioquin inter languidum, & vehementem medium esse; declaratur autem in corpore is affectus esse, qui reddit arteriam duram. Hæc est siccitas, vel constrictio à frigore, vel tensio. Siccitas quidem in ardentissimis febribus, vbi malignè producuntur, & præcipuè ex torrido marcore, certisque melancholiæ, & quartanæ febris generibus. Constrictio ex frigore fit per frigidæ intempestiuum potum, & immodicum, vel per balneas similes, ex refrigerantibus item pomis intempestiuè ingestis, vel præter modum; denique ex iis, quæcunque multum solent frigidæ pituitæ gignere, quem Praxagoras vitreum succum solet appellare. Tensio ex conuellentibus affectibus, & ingentibus inflammationibus. Ex scirrhis verò constrictio arteriarum, atque tensio nascitur, quod quidem accidit potissimum ex iecinore, & liene; ex his enim visceribus pulsus apertissimè videntur, & perpetuò duri, scirrho præsertim affectis; & verò etiam in magnis inflammationibus. Sed tactu eiusmodi affectus deprehendentur, & per vrinas, & alui excrementa, per vniuersi corporis denique colorem, & linguæ; iam etiam per febrium genus. Qui porrò alij corporis affectus pulsum creant durum, partim originem ex recentibus offensionibus repentinam trahunt, reliqui omnes pedetentim. Offensiones quæ inducunt eiuscemodi affectus, sunt vini potio intempestiua, & frigidæ, sæpè etiam poma refrigerantia, & frigidum balneum. Deprehendes noxam à vino illatam, quum subitò pulsus non durus modò fit, sed maior etiam, & celerior, & vehementior. Cæteras à vino in communi discernes, quòd nec magnitudinem adiunctam, nec vehementiam, nec celeritatem habeant. Singulas seorsum, nunc clarius, nunc obscurius, & per coniecturam. Clarius vbi symptoma aliquod consequatur, quod pomis solet succedere, inflatio ventris inquam, aut mordicatio corruptorum, aut stomachi aliqua compressio, aut delirium, vt à pomis vinosis, aut vomitus, aut alui deiectio humidior, & largior. Hæc scilicet non per signa, sed ipsam apertè demonstrant substantiam comestorum; quòd nisi horum quid adsit, nec à vino signorum, aqua frigida est, quæ offendit, vel pota, vel intempestiuè in ipsa lotos. At verò vt hæc securiùs omnia confirmare possis, metuentium, & angore correptorum pulsus magno indicio sunt. At si prius dictis postea hoc semper addas, ægrotum aliter, ac præscriptum sit, fecisse, magis confirmatam præstabis, & suspiciendam prædictionem, vt subinde fidem astantes non habeant; nec ex pulsibus credant tale quid dictum esse, sed consciorum aliquem detulisse ægroti peccatum. Tangendi autem accuratè sunt pulsus, deinde

deinde quod indicant signa, proferendum: ac tum denuò sunt tangendi, animaduertendumque, ecquid ægrotus commotus sit. Qui si omni sit perturbatione liber, vide nunquid commemoratorum signorum, aut omiseris, aut parum probè perpenderis. Si verò sit perturbatus, atque videatur angi, vel vereri, caue mox signo adhibeas fidem; frequenter enim fit, vt non, quò conscij sibi talis admissi sint, angantur ægroti, sed quòd ita ferè sint comparati, vt statim expauescant; at his mox pulsus consistit. Qui verò planè in culpa sunt, quàm tu diù de eo confirmes quicquam, tam diù metus proprius pulsus apparet. Atque peccata, quæ hactenus exposuimus, omnia, aut inflammationibus, aut scirrhis, aut siccitatibus, aut viscerum per frigiditatem constrictionibus augendis, alterationem, quam diximus, inducunt. Neruorum verò originem si quid occupet tale, affectum conuulsiuum creat: sic appello illos affectus, qui ante mortem necessariò conuulsionis aliquod habent symptoma. Qui quidem moriuntur omnes etiam calidi, contrà ac illi, qui corripiuntur syncope; hi enim vehementer etiam frigidi viuunt adhuc. Quibus vero neruorum propaginem occupauit conuulsiuus affectus, quum planè iam expirauerunt, diutissimè permanent calidi. Horum pulsus omnium statim primo occursu exercitatis in tangendo tensionem produnt, & motum veluti conuulsiuum detegunt. Quòd si quis, cui commemoratus pulsus est, ab aluo plura deiiciat (id quod euenit ex iecinoris scirrhis) non ampliùs hi habent pulsum longum, sed aut moderato assimilem longitudine, aut etiam breuiorem. Iam hoc quoque in omnibus duris pulsibus, pariterque paruis operæpretium est nosse, citissimè vibratos eos effici; & qui vibrati non sunt, vel ob vitalis facultatis imbecillitatem vel ob remissionem vsus, vel amborum concursum non recipere illos eum motum. Nam siquidem vsus magnam distentionem postulet, facultasque vitalis efficere valeat, sed vnum refragetur corpus arteriæ, quod attolli in magnam distentionem per duritiem nequeat; vibratio in eum statum incidit. Nulla præterea ratione fiat arteriæ vibratus motus. Quocirca hic pulsus, qui videtur vibratione vacare, aut extremam imbecillitatem facultatis, aut exolutionem vsus declarat maximam. At vibratus si sit, contentionis continuò nonnihil annunciat facultatem obtinere, nec pulsuum vsum generandorum semel esse exolutum; nec verò deuenit ad maximam paruitatem, sicuti diximus propositum pulsum facere. Ad eundem modum, si pulsus citra vibrationem longior iusto sit, angustiorque & humilior, non longissimè tamen à natura in singulis his recesserit, sed aliquantum, attendendum est, durusne sit, & non vibratus, aut planè duritie liber sit; si enim durus sit, sed absque vibratione, frigiditatem, vel facultatis imbecillitatem indicat, vel vtranque simul. Hæc discernito ex consequentibus; nam cui talis pulsus ex sola refrigeratione sit, statim adiunctam tarditatem habet raritatemque, cui ex imbecillitate facultatis, sociam sibi remissionem habet. Quòd si iam vsus constet immotus, tanto erit pulsus celerior naturali, & crebrior, quantum à modo deflexerit paruitas. Sin autem quo facultas sit imbecillior, eo exolutior vsus sit, pulsus esse similis in vtraque differentia moderato videbitur,

A εἶτα δὲ φανὲν ὑπὸ τῶν σημείων ἀποφηνάμενον, ἅπτεσθαι πάλιν ἐπισκοπούμενον εἰ τετάρακταί πως ὁ κάμνων. εἰ μὲν γὰρ ὅλως μὴ ταραχθείη, σκόπει μή τινα τῶν προειρημένων γνωρισμάτων, ἢ παρέλιπες, ἢ ὀρθῶς οὐκ ἐπεσκέψω. εἰ δὲ ταραχθείη, καί σοι δόξειεν ἀγωνιᾶν, ἢ φοβεῖσθαι, μὴ παραχρῆμα πίστευε τοῖς σημείοις. πολλάκις γὰρ οὐχ ὑπὸ τοῦ συνειδέναι τοιοῦτόν τι πεποιηκόσιν ἑαυτοῖς, οἱ κάμνοντες ἀγωνιῶσιν. ἀλλὰ φύσει πως ὄντες δειλότεροι. τούτοις μὲν οὖν ὀλίγον ὕστερον ὁ σφυγμὸς καθίσταται. τοῖς δὲ ὄντως εἰργασμένοις εἰς ὅσον ἂν ἀποφαίνηταί τι περὶ αὐτοῦ, εἰς τοσοῦτον καὶ ὁ τοῦ φόβου σφυγμὸς ἴδιος ὑπάρχει. πάντα δὲ τὰ εἰρη-

B μένα νῦν ἁμαρτήματα τῶν καμνόντων, ἤτοι ταῖς φλεγμοναῖς, ἢ τοῖς σκίρροις, ἢ ταῖς ξηρότησιν, ἢ ταῖς διὰ τὴν ψύξιν πήξεσι τῶν σπλάγχνων ἐπιτείνοντα, τὴν ἀλλοίωσιν, ἣν εἰρήκαμεν, ἐργάζεται. κατὰ δὲ τὴν τῶν νεύρων ἀρχήν, εἴ τι τούτων ἀποτελεσθείη, τὴν σπασμώδη διάθεσιν ἐργάζεται. καλῶ δὲ ἐκείνας τὰς διαθέσεις ὅσαις ἐξ ἀνάγκης πρὸ τοῦ θανάτου σπασμῶδές τι γίνεται σύμπτωμα. καὶ ἀποθνήσκουσί γε οἱ τοιοῦτοι πάντες ἔτι θερμοί, ἔμπαλιν τοῖς συγκοπτομένοις. οὗτοι μὲν γὰρ ἰσχυρῶς ὄντες ἤδη ψυχροί, ζῶσιν ἔτι. οἷς δὲ ἡ σπασμώδης διάθεσίς ἐστιν ἐν τῇ τῶν νεύρων ἀρχῇ, νεκροὶ κείμενοι παντάπασιν, ἐπιπλεῖστον διαμέ-

C νουσι θερμοί. εἰσὶ μὲν τῶν τοιούτων ἁπάντων οἱ σφυγμοί, τοῖς γεγυμνασμένοις τὴν ἁφὴν, εὐθὺς ἐν τῇ πρώτῃ προσβολῇ, τήν τε τάσιν ἐνδεικνύμενοι, καὶ τὴν οἷον σπασμώδη κίνησιν ἐμφαίνοντες. εἰ δέ τισι τῶν τὸν προειρημένον ἐχόντων σφυγμὸν, αἱ διαχωρήσεις γίνονται πολλαί, συμβαίνει δὲ τοῦτο μάλιστα κατὰ τοὺς σκίρρους τοῦ ἥπατος, οὐκ ἔτι τούτοις ὁ σφυγμὸς μακρός ἐστιν, ἀλλ' ἤτοι τῷ κατὰ φύσιν ἐν τῷ μήκει παραπλήσιος, ἢ καὶ βραχύτερος ἔτι. καὶ μὴν καὶ τοῦτο περὶ ἁπάντων τῶν σκληρῶν τε ἅμα, καὶ μικρῶν σφυγμῶν ἐπίστασθαι καλόν, ὡς κλονώδεις γίνονται τάχιστα, καὶ ὡς ὅσοι γε οὐκ εἰσὶ κλονώδεις, ἤτοι δι' ἀρρωστίαν τῆς ζωτικῆς δυνάμεως, ἢ δι' ἔκλυσιν τῆς χρείας, ἢ δι' ἄμφω συνελθόντα, τὴν τοιαύτην κίνησιν οὐ

D προσλαμβάνουσιν. ὡς ὅταν γε καὶ ἡ χρεία δέηται μεγάλης διαστολῆς, καὶ ὁ τόνος ὁ ζωτικὸς ἐργάζεσθαι δύνηται, μόνον δὲ ἀντιλέγῃ τὸ σῶμα τῆς ἀρτηρίας, ὑπὸ σκληρότητος ἀδυνατοῦν εἰς μεγάλην ἐξαίρεσθαι διαστολήν, ὁ κλόνος ἐν τῇ τοιαύτῃ καταστάσει γίνεται. ἄλλως δὲ ἀμήχανον γενέσθαι κλονώδη κίνησιν ἀρτηρίας. ὥστε καὶ ὁ προκείμενος σφυγμὸς ἄκλονος μὲν φαινόμενος, ἢ ἀρρωστίαν ἐσχάτην τῆς δυνάμεως, ἢ τῆς χρείας μεγίστην ἔκλυσιν ἐνδείκνυται. κλονώδης δὲ γινόμενος, εὐθὺς μὲν καὶ τόνου τι προσειληφέναι δηλοῖ τὴν δύναμιν. εὐθὺς δὲ καὶ τὴν χρείαν τῆς τῶν σφυγμῶν γενέσεως,

E οὐκ εἰς ἔσχατον ἐκλελύσθαι. καὶ μὴν δὴ καὶ μικρότητος οὐκ ἐπὶ πλεῖον ἥκει, ὥσπερ ὁ προκείμενος σφυγμὸς ἥκειν ἐλέγετο. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ καὶ χωρὶς κλόνου, μακρότερος μὲν εἴη τοῦ κατὰ φύσιν ὁ σφυγμός, στενώτερος δὲ, καὶ ταπεινότερος, οὐ μὴν ἐπιπλεῖστόν γε καθ' ἕκαστον αὐτῶν ἀποκεχωρηκὼς τοῦ κατὰ φύσιν, ἀλλ' ἐπ' ὀλίγον ἐπισκέπτεσθαι προσήκει, πότερα σκληρὸς ὢν οὐκ ἔτι κλονώδης, ἢ ὅλως οὐ μετέχει σκληρότητος. εἰ μὲν γὰρ σκληρὸς ὢν ἄκλονος εἴη, ψύξιν, ἢ ἀρρωστίαν δυνάμεως, ἢ τὰ συναμφότερα ἐνδείκνυται. διορίζεσθαι δὲ ἐκ τῶν ἑπομένων. ὅτῳ μὲν γὰρ ἐπὶ καταψύξει μόνῃ τοιοῦτος ὁ σφυγμός ἐστιν, εὐθὺς καὶ βραδύτης αὐτῷ, καὶ ἀραιότης συνυπάρχει.

F ὅτῳ δὲ ἐπ' ἀσθενείᾳ δυνάμεως, ἡ ἀμυδρότης ἀχώριστος. ἀλλ' εἰ μὲν τὰ τῆς χρείας ἀτρεμεῖ τὰ διεφυλάττετο, τοσούτῳ τοῦ κατὰ φύσιν ὁ σφυγμὸς ἔσται θάττων τε καὶ πυκνότερος, ὅσον ἡ μικρότης ἐξετράπετο τοῦ συμμέτρου. εἰ δ' ὅσῳ περ ἡ δύναμις ἀρρωστοτέρα, τοσούτῳ καὶ ἡ τῆς χρείας ἔκλυσις, ὅμοιος τῷ κατὰ φύσιν ὁ σφυγμὸς φανεῖται κατ' ἀμφοτέρας τὰς διαφοράς,

καὶ οὔτε θάττων, οὔτε βραδύτερος, οὔτε πυκνότερος, οὔτε ἀραιότερος. εἰ δὲ θατέρου ὑπερέχει, κατὰ τὴν τῆς ὑπεροχῆς ἀναλογίαν, ὡς ἔμπροσθεν εἴρηται. εἰ δὲ ἅμα τε σκληρὸς εἴη, καὶ κλονώδης, τὰς μὲν αὐτὰς ἐνδείξεται διαθέσεις, ὑφ' ὧν ἔμπροσθεν ἐλέγομεν ἀποτελεῖσθαι τὸν σκληρὸν σφυγμὸν, οὐ μὴν οὔτε ἄτονον, ὡς ἐπ' ἐκείνων τὴν δύναμιν, οὔτε ἐκλελύσθαι τὴν χρείαν. εἰς ὅσον δὲ ἑκάτερον αὐτῶν βεβλαμμένον, ἐπὶ μὲν τῆς δυνάμεως, ἡ κατὰ σφοδρότητά τε καὶ ἀμυδρότητα δηλώσει διαφορὰ, σὺν τῷ ποσῷ τοῦ κλόνου. ἐπὶ δὲ τῆς χρείας ἡ κατὰ τάχος τε καὶ πυκνότητα κἀνταῦθα, σὺν τῷ ποσῷ τοῦ κλόνου, τὰ δ' ἄλλα ἐκ τῶν προειρημένων συντεκμαίρεσθαι. ὡσαύτως δὲ κἂν μήτ' ὀλίγῳ, μήτε πολλῷ τοῦ κατὰ φύσιν ἐξίσταται κατὰ τὰς τρεῖς διαφορὰς, ἀλλὰ μετρίως πως καὶ μέσως, ἐκ τῶν εἰρημένων διαιρεῖσθαι. πολλάκις δ' ἐπὶ τῶν τοιούτων σφυγμῶν, λέγω δὲ τῶν ὀλίγῳ τινὶ τοῦ κατὰ φύσιν εἰς μῆκός τε, καὶ στενότητα, καὶ ταπεινότητα τὴν μεταβολὴν ἐσχηκότων, οὐ μόνον οὐδέν τι φαίνεται σκληρότητος, ἀλλὰ καὶ μαλακότης αὐτοῖς σύνεστιν ἐπιφανής. καὶ γὰρ μὲν καὶ τῇδε διὰ τὰς αὐτὰς κατὰ γένος αἰτίας, ἐξαλλάττεται δὲ τῷ ποσῷ καθ' ἑκάστην. εἴτε γὰρ διὰ τὴν τῆς δυνάμεως ἀσθένειαν ἐλάττων ὁ σφυγμὸς ἀποτελοῖτο τοῦ συμμέτρου, μείζων ἡ βλάβη δηλοῦται τῆς δυνάμεως, εἴτε διὰ τὴν τῆς χρείας ἔκλυσιν, ἐπιπλέον ἥκειν καὶ ταύτην κακώσεως. εἰς ὅσον γὰρ ἡ μαλακότης τοῦ χιτῶνος ἑτοιμοτέρα πρὸς τὸ μέγεθος τῆς διαστολῆς ἐστιν, εἰς τοσοῦτο τὴν μικρὸν ἐργαζομένην τὸν σφυγμὸν αἰτίαν ἐπιτετάσθαι δηλώσει. τὸ μὲν οὖν κατὰ τὴν δύναμιν ἀρρωστίας τὸ ποσὸν, αὐτάρκως ἐδηλοῦτο διὰ τοῦ ποσοῦ τῆς ἀμυδρότητος. ἐξ ἐπιμέτρου δ' ἂν εἴη, καὶ τὸ νῦν εἰρημένον. ἡ δὲ τῆς χρείας ἔκλυσις εἰς ὅσον ἥκει κακώσεως, ἐκ μόνων τῶν εἰρημένων σημείων εὑρίσκεται. περὶ ὧν εἰρήσεταί τι καὶ διὰ τῶν ἐφεξῆς, ὅταν ἐπιπλέκωμεν ἀλλήλοις τὰ γένη τῶν σφυγμῶν. νυνὶ γὰρ οὐ τοῦτ' ἡμῖν τὸ προκείμενον, ἀλλὰ περὶ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς ἐγχειρήσαντες λέγειν, ἠναγκάσθημεν ἐφάψασθαι καὶ τῶν ἄλλων. αὖθις οὖν ἐπὶ τὸ προτεθὲν ἐξ ἀρχῆς ἐπανέλθωμεν, ἐπὶ τὰ λοιπὰ γένη μεταβαίνοντες. οὐδὲν γὰρ οἶμαι δεῖν, ἐπὶ τοὺς ἄλλους ὁμοίως ἐπανέρχεσθαι σφυγμοὺς ἐκ τοῦ διαγράμματος. ἀλλὰ κατὰ τὴν αὐτὴν μέθοδον ἣν νῦν ἐπὶ τοῦ μακροῦ, καὶ στενοῦ, καὶ ταπεινοῦ πεποιήμεθα, καὶ περὶ τῶν ἄλλων ἑκάστου διαιρεῖσθαι, πρῶτον μὲν ἀποχωρίζοντας ὅσα διὰ τὴν τοῦ σώματος σχέσιν ἐξαλλάττονται κατὰ μῆκος, ἢ πλάτος, ἢ βάθος, ὡς μὴ μεγάλοι μόνον, ἢ μικροὶ φαίνεσθαι· δεύτερον δὲ τὰς αἰτίας ἐπισκεπτομένους, δι' ἃς ἤτοι μείζονες τοῦ κατὰ φύσιν, ἢ μικρότεροι γίνονται. περὶ μὲν δὴ τοῦ κατὰ τὸ ποσὸν τῆς διαστολῆς, γένους τῶν σφυγμῶν αὐτάρκως εἴρηται πρός γε τὰ παρόντα.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τί ταχύς τε καὶ βραδὺς ὁ σφυγμὸς ἐνδείκνυται.

Περὶ δὲ τῆς εἰς τάχος τε καὶ βραδύτητα μεταβολῆς αὐτῶν, ὅπερ ἰδιαίτατόν ἐστι γένος αὐτῆς τῆς κινήσεως τῶν ἀρτηριῶν, ἑξῆς ἂν εἴη ῥητέον. ἀρκτέον δὲ κἀνταῦθα πάλιν, ἀπὸ τοῦ διαστείλασθαι τὴν ὁμωνυμίαν. λέγεται δὴ ταχὺς σφυγμὸς, ὁ μὲν, ὡς πρὸς τὸν σύμμετρον, ὁ δὲ, ὡς πρὸς ὅντινα οὖν τὸν ἐπιτυχόντα. καὶ μὲν δὴ καὶ αὐτὸς ὁ σύμμετρος. ὁ μὲν ἁπλῶς ἐστιν, ὁ κατὰ τὴν ἀρίστην δηλονότι φύσιν, ὁ δὲ καθ' ἕκαστον ἄνθρωπον ἀμέμπτως ὑγιαίνοντα. κρίνεται δ' οὖν ἐν τῇ πρὸς τὸν ἁπλῶς σύμμετρον παραβολῇ, καὶ διδάσκει τὴν κρᾶσιν ὁποία τίς ἐστιν. ὁ μὲν οὖν θάττων θερμοτέραν, ὁ δὲ βραδύτερος, ψυχροτέραν ἐνδείκνυται τὴν κρᾶσιν. οὐ μὴν εὑρεῖν γ' ἀκριβῶς ἐστι, μόνην εἰς τάχος, καὶ βραδύτητα μεταβολὴν, οὔτ' ἐν τοῖς κατὰ φύσιν, οὔτ' ἐν

nec celerior, nec tardior, vel crebrior, vel rarior; at si excedat alterum, pro excessus ratione, sicut ante est dictum, si verò simul, & durus, & vibratus sit, significabit eosdem affectus, à quibus diximus supra durum pulsum constitui, verùm non imbecillam facultatem tamen, vt in illis, neque exolutum vsum. Quanta verò vtriusque sit noxa in facultate, declarabit vehementiæ, & remissionis differentia, vnà cum quantitate vibrationis, in vsu verò, differentia celeritatis, & crebritatis cum vibrationis item quantitate. Reliqua ex ante dictis etiam conijcito. Haud aliter si non paulum, nec multum tribus differentiis à natura recedat, sed sic mediocriter, & modicè ex dictis discrimina notato. At sæpè in eiuscemodi pulsibus, iis dico qui exiguam à natura in longitudinem, angustiam, & humilitatem habent mutationem, non modò nihil animaduertitur duritiei, verùm mollitie etiam præditi sunt insigni, id quod & huic accidit ob easdem genere causas: variatur autem quantitate in singulis. Siue enim propter facultatis imbecillitatem minor moderato pulsus fiat, facultatis ostenditur maior offensio; siue propter exolutionem vsus, maius & huius esse vitium, quo enim tunicæ mollities ad distentionis magnitudinem est promptior, hoc causam, quæ moliatur paruum pulsum, declarabit esse maiorem. Sanè imbecillitas facultatis quam sit magna; satis ex quantitate remissionis apparebat; huc cumulus accessit, quod nunc diximus. At vsus exolutio inquantum inciderit vitium, ex solis, quæ diximus, signis inuenitur; de quibus dicemus etiam inferiùs nonnihil, vbi connectemus mutuò pulsuum genera, in præsentia enim hoc non instituimus, sed quum exponere de genere quantitatis distentionis cœpissemus, simul alia attingere sumus coacti. Quare redeamus ad primum institutum, ac ad reliqua genera transeamus, neque enim quòd alios item ex tabella pulsus percurramus, causam arbitror vllam esse; verùm eadem ratione, & via quam instituimus in longo, angusto, & humili, reliquos singulos explorabimus. Ac primùm remouebimus, qui propter corporis habitudinem longitudine, vel latitudine, vel profunditate variant, vt non magni tantum, vel parui videantur, deinde causas considerabimus, per quas, aut iusto maiores fiunt, aut minores. Atque de genere pulsuum quidem, quod consistit in quantitate distentionis, satis in præsentia.

CAPVT V.

Celer, & tardus pulsus, quid denotent.

Posthac de illorum in celeritatem, & tarditatem mutatione, quod ipsius motus est arteriatum genus in primis proprium, agemus. Porrò sumendum hîc quoque est ad distinguenda homonyma initium. Nam dicitur celer pulsus, nunc vt cum moderato comparatur, nunc vt cum quolibet alio. Præterea ipse ille moderatus interdum absolutè dicitur, quem in optima conspicimus natura; interdum de vnoquoque homine, qui inculpata sit sanitate. Hic ex comparatione absolutè moderati existimatur, docetque quodnam sit temperamentum; ac celerior quidem calidius, tardior frigidius declarat temperamentum. Verùm solam planè non est inuenire mutationem in celeritatem, & tarditatem, nec in sanis, nec in

in affectis corporibus; nam qui calidiore est temperamento, quàm simpliciter moderatus, si pulsum habere videatur celeriorem, eum habet necessariò etiam maiorem; & cui pulsus est aliqua occasione solito celerior, omninò etiam maior est. Neuter tamen est horum necessariò crebrior, siquidem crebritas illis, vbi calor cumulatur copiosior accedit. Itaque cum celeritate modò magnitudo, modò etiam crebritas coniuncta est, atque etiam interdum sola crebritas; quum aliquem prætereuntes, qui maximam, quæ eo tempore contingat, distentionem obtineat, deinde reuersi parem offendamus magnitudinem, sed celeritatem maiorem; huic enim simul crebritatem necesse est increuisse. Quòd si quem relinquamus, qui vsum habeat pulsuum exolutum, ac reuersi in celeritatem pulsum inueniamus auctum, tum non auctus tantum celeritate est, sed & crebritate planè, & magnitudine, quandoquidem vsus exolutio in raritatem clariùs, deinde in tarditatem, postea in paruitatem, pulsum conuertit. Et item quoque mutationes in paruitatem pulsuum, partim ex moderato statim in raritatem simul mutantur, subinde etiam in paruitatem, vbi amplius vsus sit imminutus; partim ex statibus non naturalibus nunc aucto vsu, sæpè vnà cum mutatione in paruitatem, interdum cum raritate, nonnunquam cum mutatione in vtramque, nunc diminuto vsu mutationes fiunt pulsuum in tarditatem cum raritate, & paruitate. Habes primas, & simplicissimas pulsuum mutationes in celeritatem, & tarditatem; harumque causæ antecedentes, & externæ eâdem inueniuntur ratione, atque illæ, quas de magnitudine, & paruitate exposuimus. Mixtæ verò mutationes, atque compositæ, cum vehementia, & remissione, vel duritie, vel mollitie constant. Quæ etiam examinandæ sunt, atque discernendæ eadem via, rationéque, quam quum de longo, angusto, & humili disputaremus, declarauimus; quo cognoscamus, quæ causa sit, quamobrem in celeritatem, vel tarditatem pulsus variauit; potest enim vti diximus, ob vsum auctum pulsus in celeritatem creuisse; potest etiam ob mollitiem arteriæ, & facultatis robur. Sed enim quum non diuersus sit mollitie, duritie, vehementia, remissione, solus mutationem vsus induxerit; at si cum horum aliquo, causa inquirenda, & exploranda præpollens est, sicut antè declarauimus. Exempli gratia si simul, & celerior esse, & mollior videatur, animaduertendum est, tanto ne celerior sit, quanto mollior an magis. Nam si quanto est mollior, tanto etiam celerior sit, alterationem à sola mollitie mutuauit; sin multò celerior quàm mollior, non à mollitie tantum; sed & ab vsu aucto; contra si multo mollior, quàm celerior, quanto mollior est, tantum detraxit solius vsus exolutio. Ad hunc modum, si pariter celerior, & vehementior sit, num tanto celerior sit, quanto vehementior, considerandum est; ita enim celeritatis solùm facultatis robur causa sit; sin celerior quàm vehementior, quo celerior est, hoc de vsu aucto accepit; at si vehementior multo, quàm celerior, non robur tantum facultatis, sed etiam frigiditas aliqua alterauit pulsus. Si iam celerior simul, & mollior vehementiorque

τοῖς οὐ κατὰ φύσιν ἔχουσι σώμασιν. ὁ γὰρ θερμότερος τῆς ἁπλῶς συμμέτρου κράσεως εἰ θάττονα φαίνοιτο τὸν σφυγμὸν ἔχων, ἐξ ἀνάγκης αὐτὸν ἔχει μείζονα, ὅ τε τοῦ κατὰ φύσιν ἑαυτοῦ σφυγμὸν κατά τινα καιρὸν ἔχων θάττονα, καὶ μείζονα πάντως ἔχει. οὐ μὴν πυκνότερός γε οὐδέτερος αὐτῶν ἐξ ἀνάγκης. ἐν γὰρ τῷ περιαθροίζεσθαι τὴν θερμασίαν, ἐπὶ πλέον ἡ πυκνότης αὐτοῖς προσγίνεται. τῷ τάχει τοίνυν, ὁπότε μὲν καὶ τὸ μέγεθος, ἔστι δ' ὅτε καὶ ἡ πυκνότης σύνεστι. ὥσπερ αὖ πάλιν ἐνίοτε πυκνότης μόνον, ὅταν ἀπολιπόντες τινὰ τὴν ἐνδεχομένην ἐν ἐκείνῳ τῷ καιρῷ μεγίστην διαστολὴν ἔχοντα, μετὰ ταῦτ' ἐπανελθόντες εὕρωμεν ἴσον μὲν τὸ μέγεθος, ἐπιτεταμένον δὲ τὸ τάχος. ἐξ ἀνάγκης γὰρ τῷ τοιούτῳ καὶ ἡ πυκνότης συνεπιτέταται. εἰ δὲ ἐκλελυμένην τὴν χρείαν τῶν σφυγμῶν ἔχοντά τινα καταλιπόντες, ἐπανελθόντες εὕρωμεν εἰς τάχος ἐπιδεδωκότα τὸν σφυγμόν, οὐδὲ τότε μόνον εἰς τάχος ἐπέδωκεν, ἀλλὰ καὶ εἰς πυκνότητα μὲν πάντως ἐγχωρεῖ, καὶ εἰς μέγεθος. ἐπειδὴ γὰρ ἡ τῆς χρείας ἔκλυσις εἰς ἀραιότητα μὲν ἐναργέστερον, ἐφεξῆς δὲ εἰς βραδύτητα, καὶ τρίτον εἰς μικρότητα τρέπει τὸν σφυγμόν. οὕτω δὲ καὶ αἱ εἰς βραδύτητα μεταβολαὶ τῶν σφυγμῶν, αἱ μὲν ἐκ τοῦ κατὰ φύσιν, εὐθὺς καὶ εἰς ἀραιότητα τρέπονται. πολλάκις δὲ καὶ εἰς μικρότητα, ὅταν ἐπιπλέον ἡ χρεία μεμείωται. αἱ δ' ἐκ τῶν οὐ κατὰ φύσιν καταστάσεων, αἱ μὲν ἐπὶ προηυξημένῃ τῇ χρείᾳ, πολλάκις μὲν μετὰ τῆς εἰς μικρότητα ῥοπῆς, ἔστι δ' ὅτε μετὰ τῆς ἀραιότητος, καί ποτε μετὰ τῆς εἰς ἀμφότερα. αἱ δ' ἐπὶ μεμειωμένῃ τῇ χρείᾳ μεταβολαὶ τῶν σφυγμῶν, εἰς βραδύτητα μετὰ ἀραιότητός τε καὶ μικρότητος γίνονται. αὗται μὲν αἱ πρῶταί τε, καὶ ἁπλούσταται τροπαὶ τῶν σφυγμῶν, εἰς τάχος καὶ βραδύτητα, καὶ τούτων αἰτίαι προηγούμεναί τε καὶ προκατάρχουσαι, κατὰ τὸν αὐτὸν τρόπον εὑρισκόμεναι, ταῖς ἐπὶ μεγέθους τε καὶ μικρότητος εἰρημέναις. αἱ δ' ἐπίμικτοί τε, καὶ σύνθετοι τροπαὶ μετὰ σφοδρότητός τε, καὶ ἀμυδρότητος, ἢ σκληρότητος, ἢ μαλακότητος συνίστανται. περὶ ὧν καὶ αὐτῶν ἐπισκέπτεσθαί τε, καὶ διορίζεσθαι προσήκει κατὰ τὴν αὐτὴν μέθοδον, ἣν ἐν τῷ περὶ τοῦ μακροῦ, καὶ στενοῦ, καὶ ταπεινοῦ λόγῳ διήλθομεν, ἕνεκα τοῦ γνῶναι διὰ τίνα τὴν αἰτίαν εἰς τάχος, ἢ βραδύτητα τὴν ἀλλοίωσιν ὁ σφυγμὸς ἐποιήσατο. δυνατὸν μὲν γάρ ἐστιν, ὡς εἴρηται, διὰ τὴν χρείαν ἐπιταθεῖσαν, εἰς τάχος ἐπιδοῦναι τὸν σφυγμόν. οὐκ ἀδύνατον δὲ καὶ διὰ τὴν μαλακότητα τῆς ἀρτηρίας, καὶ τὴν ἰσχὺν τῆς δυνάμεως. ἀλλ' ὅταν μὲν ἄτρεπτος ᾖ, κατὰ μαλακότητα, καὶ σκληρότητα, καὶ σφοδρότητα, καὶ ἀμυδρότητα διὰ τὴν χρείαν μόνην ἡ ἀλλοίωσις. ὅταν δὲ καὶ μετὰ τούτων τινός, ἐπισκέπτεσθαί τε, καὶ διορίζεσθαι προσήκει τὸ ἐπικρατοῦν αἴτιον, ὡς ἔμπροσθεν ἐδείκνυμεν, οἷον αὐτίκα εἰ μετὰ τοῦ θάττων εἶναι μαλακώτερος φαίνοιτο, προσήκει σκοπεῖσθαι, πότερον τοσούτῳ θάττων, ὅσῳ μαλακώτερος, ἢ πλέονι. εἰ μὲν γὰρ ὅσῳ περ μαλακώτερος τοσούτῳ καὶ θάττων, ἐπὶ τῇ μαλακότητι μόνῃ τὴν ἀλλοίωσιν ἔσχεν. εἰ δὲ πλέονι θάττων, ἢ μαλακώτερος, οὐκ ἐπὶ τῇ μαλακότητι μόνον, ἀλλὰ καὶ διὰ τὴν χρείαν ἐπιταθεῖσαν. εἰ δ' αὖ πλέονι μαλακώτερος, ἤπερ θάττων, ὅσῳ πλέονι μαλακώτερος, τοῦτ' ἐκ τῆς κατὰ μόνην τὴν χρείαν ἐκλύσεως ἀφῃρέθη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, εἰ μετὰ τοῦ θάττων γίνεσθαι, καὶ σφοδρότερος γίνοιτο, σκεπτέον εἰ τοσούτῳ θάττων ὅσῳ σφοδρότερος. οὕτω μὲν γὰρ αὖ ἡ ῥώμη μόνη τῆς δυνάμεως τοῦ τάχους αἰτία εἴη. εἰ δ' ἔλαττον σφοδρότερος, ἤπερ θάττων, ὅσῳ θάττων, τοῦτ' ἐκ τῆς χρείας αὐξηθείσης προσῆλθεν. εἰ δὲ πλέονι σφοδρότερος, ἤπερ θάττων, οὐχ ἡ ῥώμη τῆς δυνάμεως μόνον, ἀλλὰ καὶ ψύξις τις ἠλλοίωσε τοὺς σφυγμούς. εἰ δὲ θάττων τε ἅμα, καὶ μαλακώτερος, καὶ σφοδρότερος

φαίνοιτο, ἱκανῶς γεγυμνασμένου δεῖται, γνωσομένου πότερον τοσούτῳ θάττων ἐστὶ τοῦ κατὰ φύσιν, ὅσον ἐξ ἀμφοῖν τῶν αἰτίων ἐγένετο τῆς τε μαλακότητος, καὶ τῆς εὐτονίας, ἢ οὐ τοσούτῳ. εἰ μὲν γὰρ τοσούτῳ δι' ἐκεῖνα μόνα τὴν ἀλλοίωσιν ἔσχεν. εἰ δὲ πλέονι, καὶ διὰ τὴν τῆς χρείας ἐπίτασιν. εἰ δ' ἐλάττονι, καὶ διὰ τὴν τῆς χρείας ἔκλυσιν. οὕτω δὲ κἀπὶ τῆς εἰς βραδύτητα ῥοπῆς τῶν σφυγμῶν ἐπισκεπτέον, εἴτε διὰ τὴν χρείαν μόνην ἐκλυθεῖσαν, εἴτε δι' ἀρρωστίαν τῆς δυνάμεως, εἴτε διὰ σκληρότητα τῶν ὀργάνων, ἡ ἀλλοίωσις ἐγένετο. διὰ μὲν οὖν τὴν χρείαν μόνην εὔλογον ἠλλοιῶσθαι τὸν σφυγμόν, ὅταν μήτε σκληρότερος εὑρίσκηται, μήτ' ἀτονώτερος. διὰ δὲ τὴν ἀρρωστίαν τῆς δυνάμεως, ὅταν ὅσῳ περ ἀμυδρότερος, τοσούτῳ καὶ βραδύτερος. οὕτω δὲ καὶ διὰ τὴν σκληρότητα τῶν ὀργάνων, ἐπειδὰν ὅσῳ σκληρότερος τοσούτῳ καὶ βραδύτερος. Εἰ μέντοι φαίνοιτο πλέονι τοῦ συμμέτρου βραδύτερος, ἐλάττονι δ' ἀμυδρότερος ἐξ ἀτονίας τε, καὶ καταψύξεως ἐγένετο τοιοῦτος. καὶ τό γε δυναστεῦον ἐν αὐτῷ τῶν αἰτίων, εὑρήσεις ἐκ τῆς πρὸς τὸ κατὰ φύσιν τε, καὶ σύμμετρον παραβολῆς. Εἰ μὲν γὰρ ἡ ἀμυδρότης, ἀριθμοῖς εἰ τύχοι πέντε τοῦ κατὰ φύσιν ἐξίστασθαι φαίνοιτο, πέντε καὶ δέκα ἀριθμοῖς ἡ βραδύτης, ἐπικρατεῖν ἐν τῇ τοῦ τοιούτου σφυγμοῦ γενέσει, τὸ ψυχρὸν αἴτιον οὐ τὴν ἀτονίαν τῆς δυνάμεως αἰτίαν ὑποληπτέον. εἰ δὲ πεντεκαίδεκα μὲν ἀριθμοῖς ἡ βραδύτης φαίνοιτο, δέκα δ' ἀριθμοῖς ἡ ἀμυδρότης, ἡ ἀτονία πλέον ἐν τῇ τοῦ σφυγμοῦ γενέσει δύναται τῆς ψυχρότητος. εἰ δ' ἐλάττονι μὲν εἴη βραδύτερος, ἀμυδρότερος δὲ πλέονι, διά τε τὴν ἀτονίαν τῆς δυνάμεως, καὶ προσέτι θερμότητα τοιοῦτος ἐγένετο. καὶ τό γε μέγεθος ἑκατέρου τῶν αἰτίων ἐκ τῆς κατὰ τὴν ἀναλογίαν ὑπεροχῆς εὑρήσεις, μεμνημένων ἡμῶν, ὡς ἅπαντα ταῦτα λέγεται τῆς ἐπικτήτου κινήσεως ἀφωρισμένης. ὡσαύτως δὲ κἀπειδὰν εἰς βραδύτητα τῆς ῥοπῆς γενομένης εὑρίσκεταί τις σκληρότης, ἐπισκεπτέον, εἴθ' ὑπὸ μόνης τῆς σκληρότητος ἡ ἀλλοίωσις, εἴθ' ὑπ' ἀμφοῖν ἐγένετο. εἰ μὲν γὰρ ὅσῳ περ ὁ σφυγμὸς βραδύτερος ἐγένετο, τοσούτῳ καὶ σκληρότερος φαίνοιτο, διὰ τὴν σκληρότητα μόνην ἡ ἀλλοίωσις. εἰ δὲ πλέονι βραδύτερος, ἤπερ σκληρότερος, οὐ διὰ τὴν σκληρότητα μόνην, ἀλλὰ καὶ διὰ τὴν ψύξιν. εὑρήσεις δὲ κἀνταῦθα τὸ ἰσχυρότερον αἴτιον, ὡς ὀλίγον ἔμπροσθεν εἴρηται. εἰ δὲ πλέονι μὲν εἴη σκληρότερος, ἐλάττονι δὲ βραδύτερος, οὐ διὰ τὴν σκληρότητα μόνον, ἀλλὰ καὶ διὰ τὴν θερμότητα, τοιοῦτος ἐγένετο. γνώσῃ δὲ κἀνταῦθα τὸ μέγεθος ἑκατέρου τῶν αἰτίων, ἐκ τῆς κατὰ τὴν ἀναλογίαν ὑπεροχῆς. εἰ δὲ βραδύτερός τε ἅμα, καὶ σκληρότερος, καὶ ἀμυδρότερος εἴη, γεγυμνασμένου κἀνταῦθα χρεία τοῦ γνωσομένου, πότερον τοσούτῳ βραδύτερός ἐστι τοῦ κατὰ φύσιν, ὅσον ἐξ ἀμφοῖν τῶν αἰτίων ἐγένετο τῆς ἀτονίας τε καὶ σκληρότητος, ἢ οὐ τοσούτῳ. εἰ μὲν γὰρ τοσούτῳ, δι' ἐκεῖνα μόνα τὴν ἀλλοίωσιν ἔσχεν, εἰ δὲ πλέονι, καὶ διὰ τὴν τῆς χρείας ἔκλυσιν. εἰ δ' ἐλάττονι, καὶ διὰ τὴν τῆς χρείας ἐπίτασιν.

appareat, singulari experientia opus est cogniturũ, vtrum tanto celerior sit moderato, quanta ex ambabus causis facta accessio est ex mollitie, & contentione, an non tanto. Nam si tanto, ob illa sola est immutatus; si magis, accessit incrementum vsus, sin minus etiam propter vsum exolutum. Eadem ratio in pulsuum mutatione in tarditatem ineunda est, ex vsune dumtaxat exoluto, an ex imbecillitate facultatis, an ex duritie instrumentorum orta alteratio sit. Ac ob vsum solum variatum fuisse probabile est pulsum, si quando nec durior, nec imbecillior inueniatur, ob facultatis infirmitatem, vbi quanto languidior sit, tanto etiam tardior, atque ob duritiem item instrumentorum, quum tanto sit tardior, quanto durior. Sin autem multo tardior moderato videatur, quàm languidior, in eum statum ex imbecillitate, & frigiditate incidit, causamque in eo exuperantem ex collatione reperies ad naturalem, & moderatum. Si enim numeris fortè quinque de natura remissio deflectere videatur, & quindecim tarditas, præstare in eo pulsu constituendo frigidam causam, non imbecillitatem facultatis esse causam dicendum est. Sin quindecim tarditas numeris appareat, decem autem remissio, in huius pulsus constitutione frigiditatem excedit imbecillitas. Si verò minori excessu sit tardior, maiori verò sit languidior, ex facultatis imbecillitate, & calore quoque is natus sit. Ac magnitudinem quidem vtriusque causæ ex proportionis excessu inuenies. Atque hoc memoria tenendum est, hæc omnia dici amoto ascititio motu. Pari modo, vbi cum mutatione in tarditatem inuenitur aliqua durities, attendendum est, ex sola duritie mutatio, an ex ambabus, incidat. Si enim quanto tardior sit pulsus, tanto etiam videatur durior, alterationis sola durities causa est; si verò multo tardior, quàm durior, non modo durities, verùm etiam frigiditas, atque inuenias ad eundem modum hic fortiorem causam, atque declaratum est paulò ante. At si magis sit durior, quàm tardior, non nomine duritiei tantum, verùm caloris etiam, talis euasit; ac verò hic quoque ex proportionis excessu perspicies causæ vtriusque magnitudinem. Iam verò si tardior simul, & durior fit, atque languidior, exercitatum hic quoque oportet esse, qui sit perspecturus, an tanto tardior sit moderato, quantum accessit ex vtrisque causis imbecillitate, & duritie, nécne. Etenim si tanto, ob illas est solas mutatus; quòd si magis, adiuncta iam est vsus exolutio, si minus, etiam propter vsus incrementum.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῶν τεττάρων γενικῶν διαφορῶν ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν.

Ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, πρός γε τὰ παρόντα βραχύ τι τὸν λόγον ἐπιστήσαντες, ἐνταῦθα πρὶν ἐπ' ἄλλο τι μεταβῆναι γένος, εἴπωμέν τινα πρός τε τὰ προειρημένα, καὶ πρὸς τὰ μέλλοντα λεχθήσεσθαι, χρήσιμα. τεττάρων γὰρ οὐσῶν γενικῶν διαφορῶν ἐν τῷ διαστέλλεσθαι τὴν ἀρτηρίαν, πρώτης μὲν οἰκειοτάτης τοῖς σφυγμοῖς τῆς κατὰ τὸ ποιὸν τῆς κινήσεως, δευτέρας δὲ τῆς κατὰ τὸ ποσὸν τῆς διαστολῆς, ἡμεῖς καὶ νῦν,

CAPVT VI.

De quatuor generalibus differentiis quæ sunt in distentione.

Qvum verò iã satis de his tractauerimus, quod ad hũc locũ attinet, hic disputationẽ aliquãtisper sistamus, ac prius, quã aliud genus in manus sumamus, quædã faciamus, vt cõmemoremus, & ad superiorem, & sequentem sermonem accommoda. Nã quatuor quum sint in distẽtione arteriæ generales differentiæ, prima eademque ante cæteras pulsuum propriæ, quæ in qualitate cõsistit motus; altera quę in quãtitate distẽtionis; neq; hic nos neque

neque in primo De pulsuum differentiis libro de priori magis propria, verba fecimus, quòd cognitu difficilior sit, sed de illa quam dignoscant tyrones clariùs, & quæ ideò sit ad denunciandum aliquid, vtilior. Hæc habet extra ordinem illud quoque præter alias omnes, vt complecti septem, & viginti videatur pulsuum differentias, sint verò re vera tres; nam in cæteris quidem omnibus generibus, quot natura sunt differentiæ, tot apparent. Reliqua sunt in distentione duo genera pulsuum, alterum facultatem, alterum arteriæ indicat tunicam, quod quidem est postremum, imò verò nec proprium, nec affine, sed genus pulsuum aduentitium. Habent autem hoc duo hæc genera, vt causam semper, à qua generantur, ostendant apertè; duo illa genera superiora non perpetuò. Etenim duobus obuenit generibus posterioribus, vt ab vna vtrumque causa constituatur: primis verò duobus, vt ab omnibus causis, quas tres frequenter demonstrauimus esse; quo etiam in generibus duobus primis difficilior est oratio, ac pluribus ad causam inueniendam distinctionibus indiget. In reliquis duobus quum genus est causæ vnum vtrobique, tum verò quantitatis notitia certa.

CAPVT VII.

Causæ continentes vehementis, languidi, mollis, & duri pulsus.

VEhemens pulsus à facultatis semper robore fit, ac quo sit vehementior, tanto robur significat maius esse facultatis; languidus ex facultatis imbecillitate, ac quò sit languidior, hoc facultatem quoque imbecilliorem esse demonstrat. Haud aliter durus pulsus efficitur ab arteriæ tunica dura, mollis à molli. Præterea quantitas pulsus duritiei, & mollitiei, arteriæ declarat quantitatem duritiei, & mollitiei. Sed verò qui medius est inter durum & mollem, qui etiam vocatur moderatus, primus natura est inter eos, solusque naturalis. At inter languidum, & vehementem ac ratione medius est nullus; quòd languidus sit oriundus ex facultate imbecilla, & à natura descìscente, vehemens autem ex firma, & rectè habente. Verùm alio modo, vt ante retulimus, medius sit aliquis inter languidum, & vehementem; modus autem dignoscendi per tactum adhibitum est. Nam quum à pulsu euertitur, vehementem eum vocamus; quum ille euertat pulsum, languidum; vbi neutrum fit, medium dicimus hunc sortitum locum esse inter languidum & vehementem; qui quidem non aliter, atque languidus, præter naturam est. Alterationes pulsuum quædam in remissionem, & vehementiam, & solæ fiunt frequenter, & ab vna causa; quum enim tunica arteriæ vnà cum vsu in naturali constent statu, & nonnihil facultatis contentio alterata sit, languidior hic, quàm vehementior priore, pulsus redditur; de aliis verò generibus cum eo nihil mutatur; atque hoc pacto solæ fiunt, & ab vna causa. Alio modo ab vna quidem causa, sed non solæ, nam vbi dissoluta admodum facultas sit, vel contenta, vt nondum à causis aliis continentibus sit immutatus, mutari pulsus ab vna causa accidet, genus verò non vnum commutatum esse.

κἂν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς τῶν σφυγμῶν, οὐ τῆς κυριωτέρας διαφορᾶς ἐμνημονεύσαμεν, ὅτι χαλεπωτέραν ἔχει τὴν διάγνωσιν, ἀλλὰ τῆς τοῖς εἰσαγομένοις διαγνωσθῆναι σαφεστέρας, καὶ διὰ τοῦτο, καὶ δηλῶσαι τι χρησιμωτέρας. ὑπάρχει δ᾽ αὐτῇ καὶ τοῦτ᾽ ἴδιον ἐξαίρετον, ὅπερ οὐδεμιᾷ τῶν ἄλλων, τὸ φαίνεσθαι μὲν ἑπτὰ καὶ εἴκοσι διαφορὰς σφυγμῶν ἐν αὐτῇ, κατ᾽ ἀλήθειαν δ᾽ εἶναι τρεῖς. ἐν γὰρ τοῖς ἄλλοις ἅπασι γένεσιν, ὅσαι περ εἰσὶν αἱ διαφοραὶ φύσει, τοσαῦται καὶ φαίνονται. λοιπὰ δὲ ἄλλα δύο γένη σφυγμῶν ἐστι κατὰ τὴν διαστολήν, τὸ μὲν ἕτερον ἐνδεικτικὸν τῆς δυνάμεως, τὸ δὲ ἕτερον τοῦ χιτῶνος τῆς ἀρτηρίας, ἔσχατόν τε, καὶ ὡς ἄν φαίη τις, οὐκ οἰκεῖον, οὐδὲ συγγενές, ἀλλ᾽ ἐπίκτητον γένος σφυγμῶν. ὑπάρχει δὲ τοῖς μὲν δύο τούτοις γένεσιν ἀεὶ τὴν αἰτίαν, ὑφ᾽ ἧς γίνεται, σαφῶς ἐνδείκνυσθαι. τοῖς δ᾽ ἄλλοις δύο τοῖς προειρημένοις οὐκ ἀεί. καὶ γὰρ καὶ συμβέβηκε τοῖς μὲν δύο τοῖς ὑστέροις γένεσιν, ὑπὸ μιᾶς αἰτίας ἑκάτερον δημιουργεῖσθαι. τοῖς πρώτοις δὲ δύο πρὸς ἁπασῶν τῶν αἰτιῶν, ἃς τρεῖς εἶναι πολλάκις ἐδείξαμεν. ὅθεν καὶ χαλεπώτερος ἐπὶ τῶν πρώτων δύο γενῶν ὁ λόγος ἐστίν, καὶ διορισμῶν χρῄζων πλειόνων εἰς τὴν τῆς αἰτίας εὕρεσιν. ἐπὶ δὲ τῶν ὑπολοίπων δυοῖν, τό τε γένος τῆς αἰτίας ἓν καθ᾽ ἑκάτερον, ἥ τε τοῦ ποσοῦ διάγνωσις ἀφωρισμένη.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Αἴτια συνεκτικὰ τοῦ τε σφοδροῦ, καὶ ἀμυδροῦ, καὶ μαλακοῦ, καὶ σκληροῦ σφυγμοῦ.

ΣΦοδρὸς μὲν ὁ σφυγμὸς ὑπὸ ῥώμης ἀεὶ γίνεται δυνάμεως, καὶ ὅσῳ γε σφοδρότερος, τοσούτῳ καὶ τὴν ῥώμην τῆς δυνάμεως ἐπιτετάσθαι δηλοῖ. ἀμυδρὸς δὲ διὰ τὴν ἀσθένειαν τῆς δυνάμεως, καὶ ὅσῳ γ᾽ ἂν ἀμυδρότερος ᾖ, τοσούτῳ καὶ τὴν δύναμιν ἀσθενεστέραν ὑπάρχειν ἐνδείκνυται. κατὰ ταῦτα δὲ καὶ ὁ μὲν σκληρὸς σφυγμός, ὑπὸ σκληροῦ χιτῶνος τῆς ἀρτηρίας ἀποτελεῖται. ὁ δὲ μαλακός, ὑπὸ τοῦ μαλακοῦ. καὶ δὴ τὸ ποσὸν τῆς κατὰ τὸν σφυγμὸν σκληρότητός τε, καὶ μαλακότητος, ἐνδεικτικόν ἐστι τοῦ ποσοῦ τῆς κατὰ τὴν ἀρτηρίαν σκληρότητος, καὶ μαλακότητος. ἀλλ᾽ ὁ μὲν τοῦ σκληροῦ, καὶ μαλακοῦ μέσος, ὅσπερ καὶ σύμμετρος ὀνομάζεται, πρῶτός τ᾽ ἐστὶν αὐτῶν τῇ φύσει, καὶ μόνος κατὰ φύσιν. ἀμυδροῦ δὲ καὶ σφοδροῦ κατὰ τοῦτον μὲν τὸν λόγον, οὐδείς ἐστι μέσος. ὁ μὲν γὰρ ἀμυδρὸς ἀρρωστούσης τε, καὶ παρὰ φύσιν ἐχούσης τῆς δυνάμεώς ἐστιν ἔγγονος, ὁ δὲ σφοδρὸς εὐρωστούσης τε καὶ κατὰ φύσιν διακειμένης. καθ᾽ ἕτερον δὲ τρόπον, ὡς κἀν τοῖς ἔμπροσθεν ἐλέγομεν, εἴη ἄν τις μέσος ἀμυδροῦ, καὶ σφοδροῦ. ὁ δὲ τρόπος ὁ κατὰ τὴν διάγνωσίν ἐστι τῆς ἐπιβαλλομένης ἁφῆς, ἡνίκα μὲν ἀνατρέπηται πρὸς τοῦ σφυγμοῦ, σφοδρὸν ἡμῶν αὐτὸν ὀνομαζόντων, ἡνίκα δ᾽ ἀνατρέπῃ τὸν σφυγμόν, ἀμυδρόν, ἡνίκα δὲ οὐδέτερον, ἐν τῷ μέσῳ τοῦτον εἶναι λεγόντων, ἀμυδροῦ τε καὶ σφοδροῦ παρὰ φύσιν ὄντα καὶ αὐτόν, ὥσπερ καὶ τὸν ἀμυδρόν. αἱ δ᾽ ἀλλοιώσεις τῶν σφυγμῶν, αἱ μὲν εἰς ἀμυδρότητα καὶ σφοδρότητα, καὶ μόναι γίνονται πολλάκις, καὶ ὑφ᾽ ἑνὸς αἰτίου. ὅταν γὰρ τοῦ χιτῶνος τῆς ἀρτηρίας ἅμα τῇ χρείᾳ κατὰ φύσιν ἔχοντος, ἐπὶ βραχύ πως ἀλλοιωθῇ τὰ τοῦ τόνου τῆς δυνάμεως, ἀμυδρότερος μὲν ἢ σφοδρότερος ἐν τούτῳ τοῦ πρόσθεν ὁ σφυγμὸς γίνεται. τῶν δὲ ἄλλων γενῶν, οὐδὲν αὐτῷ συμμεταβάλλει. οὕτως μὲν δὴ μόναι γίνονται, καὶ ὑφ᾽ ἑνὸς αἰτίου. καθ᾽ ἕτερον δ᾽ αὖ τρόπον ὑπὸ μιᾶς μὲν αἰτίας, οὐ μόναι δέ. τῆς μὲν οὖν δυνάμεως ἐπὶ πλέον ἐκλυθείσης, ἢ ἐπιταθείσης, εἰ καὶ τῶν ἄλλων αἰτίων τῶν συνεκτικῶν μηδέ ποτε ἀλλοιωθείη, τὴν μὲν τροπὴν τῶν σφυγμῶν ὑφ᾽ ἑνὸς αἰτίου γίνεσθαι συμβήσεται, γένος δ᾽ οὐχ ἓν ἀλλοιωθῆναι μόνον.

ἥ τε γὰρ ἐπὶ πλέον ἀῤῥωστοτέρα δύναμις, οὐ μόνον ἀμυδρὸν, ἀλλὰ καὶ μικρὸν ἐργάζεται τὸν σφυγμόν. καὶ διότι μικρὸν, διὰ τοῦτο καὶ πυκνόν. ἥ τ' ἐπὶ πλεῖστον ῥωσθεῖσα, σφοδρότατον μὲν εὐθέως καὶ μείζονα τὸν σφυγμὸν ἀποτελεῖ, καὶ εἰ μηδὲν ὑπαλλάττοιτο ἡ χρεία, καὶ ἀραιότερον. ἡ δ' εἰς σκληρότητά τε καὶ μαλακότητα μεταβολὴ τῶν σφυγμῶν, εἰ μὲν ὑφ' ἑνὸς αἰτίου γένοιτο, πάντως καὶ τῶν ἄλλων τι συμμεταβάλλοι γενῶν. εἰ δὲ μόνη συνίσταται, τῶν πλειόνων αἰτίων συνελθόντων ἀποτελεῖται. ἅμα δὲ μόνη τε, καὶ ὑφ' ἑνὸς αἰτίου κατ' οὐδένα τρόπον γίνεται, πλὴν εἰ παντελῶς ἐλάχιστον ἐκτραπείη τοῦ κατὰ φύσιν, ὥστε βραχυτάτῳ μέν τινι γενέσθαι σκληρότερον τὸν σφυγμόν. ἴσον μέντοι κατὰ τὸ μέγεθος. οὕτω γὰρ οὐδὲ τὸ τάχος, οὐδ' ἡ πυκνότης ὑπαλλαχθήσεται. σαφεστέρας δὲ καὶ μείζονος τῆς σκληρότητος γινομένης, ἀνάγκη καὶ τὸν σφυγμὸν γενέσθαι μικρότερον, καὶ τοσοῦτόν γε πυκνότερον, ὅσον μικρότερον. εἰ δ' ἅμα τε σκληρότερος ὁ χιτὼν τῆς ἀρτηρίας γένοιτο, καὶ ἡ θερμότης αὐξηθείη, σκληρότερος μὲν αὖ ὁ σφυγμὸς ἐπὶ τοσοῦτον εἴη τοῦ κατὰ φύσιν, ἐφ' ὅσον καὶ ὁ χιτὼν τῆς ἀρτηρίας. ἐν μέντοι τῷ μεγέθει τῷ κατὰ φύσιν ἴσος, εἴπερ ὅσον τὸ θερμὸν ἐγένετο τοῦ συμμέτρου, τοσούτῳ καὶ ὁ χιτὼν τῆς ἀρτηρίας σκληρότερος τοῦ κατὰ φύσιν. ἐπεὶ δὲ καὶ περὶ τούτων εἴρηται τὰ μέτρια, πρός τε τὴν ἐνεστῶσαν ὑπόθεσιν, ἑξῆς ἂν εἴη τὰς προηγουμένας, καὶ προκαταρχούσας αἰτίας τῶν προειρημένων δύο γενῶν διελθεῖν.

Nam si longè facultas imbecillior sit, non languidum modò, verùm etiam paruum pulsum creabit; & quia paruum, statim etiam crebrum; at robustissima, quum vehementissimum, tum etiam maiorem excitat pulsum, simúlque, si nihil immutatus sit vsus, rariorem. Mutatio iam pulsuum in duritiem & mollitiem, siquidem ab vna causa procedat, omnino aliquod vnà de aliis generibus mutabitur; quòd si sola constet, ex concursu plurium causarum constituitur. Simul autem & sola, & ab vna causa nequaquam fiat, nisi minimo planè spatio à natura recesserit, vt quàm minimo fiat pulsus durior, pari tamen magnitudine; at sic nec celeritas mutabitur, nec crebritas. Verùm apertior si fiat maiórque durities, non poterit pulsus non esse minor, tantóque etiam crebrior, quanto minor. Si verò simul & durior facta sit tunica arteriæ, & calor increuerit, hoc pulsus moderato durior erit, quo arteriæ tunica, at magnitudine æqualis moderato; modò quantum calor mediocritatem excesserit, tanto tunica arteriæ naturali sit durior. Quando iam de his quoque satis dictum est, quantum requirit præsens argumentum, deinceps de antecedentibus & externis duorum generum, quæ nunc explicauimus, causis agemus.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Αἱ προηγούμεναι αἰτίαι αὔξουσαί τε καὶ βαρύνουσαι τὴν ῥώμην.

Αἱ μὲν οὖν αὐξάνουσαι τὴν ῥώμην τῆς δυνάμεως αἰτίαι προηγούμεναι, αἱ μὲν ἐν αὐτῷ τῷ σώματι, χυμοί τέ τινές εἰσιν ἡμίπεπτοί τε, καὶ ἄπεπτοι, πεττόμενοι νῦν, ἥ τ' ἐπὶ τὴν κρίσιν ὁρμὴ τῆς φύσεως, εἰ μὴ ἄρα καὶ ἥδε κατὰ τὸ αὐτὸν εἴρηται τρόπον. ἔτι δὲ πρὸς τούτοις, θυμός. αἱ δ' ἔξωθεν, οἶνός τε, καὶ τροφαί, καὶ γυμνάσια μέτρια, καὶ πρὸς ἔτι τὰ τὴν δυσκρασίαν ἐπανορθούμενα τοῦ σώματος αὐτοῦ τῆς τε καρδίας, καὶ τῶν ἀρτηριῶν, εἴτουν ἐδέσματα, εἴτε πόματα, εἴτε καὶ φάρμακα εἴη. καταλύουσι δὲ τὴν δύναμιν, ἀσιτίαι τε καὶ ἀγρυπνίαι, καὶ φροντίδες, καὶ λῦπαι, καὶ κενώσεις ἄμετροι διὰ γαστρὸς, ἢ οὔρων, ἢ ἐμέτων, ἢ μήτρας, ἤ τινος αἱμορραγίας, καὶ αἱ σφοδραὶ τῶν ὀδυνῶν, ἢ μετά τινος ἰδιότητος γινόμεναι, καθάπερ ἡ καὶ στομαχικὴ καλουμένη διάθεσις, ἐφ' ᾗ συγκόπτονται. ἔτι τε πρὸς τούτοις ἁπλῶς ὅσα δυσκρασίαν ἐργάζεται κατὰ τὴν καρδίαν, ἢ τὰς ἀρτηρίας, εἴτουν ἐν τῷ σώματι περιεχόμενα, τὰ μὲν ἐν ὑγροῖς, τὰ δ' ἐν τοῖς στερεοῖς, εἴτε καὶ τούτων ἔξωθεν προηγούμενα. καὶ ταῦτα σύμπαντα καταλύει τὴν δύναμιν, ἀμέτρως ὑγραίνοντα, καὶ ξηραίνοντα, καὶ θερμαίνοντα, καὶ ψύχοντα, καὶ διαφοροῦντα. ὅσαι δὲ αἰτίαι προηγούμεναί τε, καὶ προκατάρχουσαι τὸν σφυγμὸν ἐργάζονται σκληρότερον, εἴρηνται πρόσθεν ἐν τῷ περὶ τοῦ μακροῦ τε ἅμα, καὶ στενοῦ, καὶ ταπεινοῦ λόγῳ. ὥστ' οὐδὲν ἔτι δεῖ νῦν αὐτὰς ἐπεξέρχεσθαι. μόνας δὲ τὰς τοῦ μαλακοῦ προσθέντες, ἐνταῦθά που καταπαύσω ἤδη τὸν λόγον.

CAPVT VIII.

Causæ antecedentes, quæ robur augent & opprimunt.

Causæ antecedentes, quæ robur facultatis augent, partim in ipso sunt corpore; ac humores quidam sunt semicocti & crudi, qui iam concoquuntur; & naturæ ad iudicationem impetus, nisi hic sit etiam in eodem genere, ad hæc ira, partim extrinsecus adueniunt, vt vinum, cibus, exercitationes modicæ; & etiam quæ intemperiem corrigunt ipsius corporis, & cordis, & arteriarum, siue illi cibi sint, siue potus, siue etiam medicamenta. Dissoluunt verò facultatem inedia, vigiliæ, solicitudines, mœrores, vacuationes immodicæ per aluum, vel per vrinas, vel vomitum, vel alterum profluuium sanguinis; vehementes dolores, vel cum quadam proprietate euenientes, vt quem stomachicum affectum vocant qui syncopen inducit. His adiunge omnia, quæ cordis, vel arteriarum creant intemperiem, siue in corpore illa contineantur, vt in succis, vel solidis partibus; siue foris etiam hæc antecedant: quippe hæc dissoluunt omnia facultatem, immodicè humectando, siccando, calefaciendo, refrigerando, digerendo. At verò, quæ causæ antecedentes, & externæ pulsum duriorem efficiunt, supra exposuimus, quum de longo simul, & angusto, & humili dissereremus. Nihil est ergo, cur easdem hoc loco recenseamus, sed tantùm si mollis causas addiderimus, finem hic faciemus libri.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Αἱ προηγούμεναί τε καὶ προκατάρχουσαι τοῦ μαλακοῦ σφυγμοῦ αἰτίαι.

Μαλακὴν οὖν ἐργάζονται τὴν ἀρτηρίαν, αἵ θ' ὑγραὶ τροφαί, καὶ τὰ πλείω λουτρά, καὶ ὕπνοι πολλοί, καὶ ἡ ἁβροτέρα

CAPVT IX.

Causæ precedentes, & externæ mollis pulsus.

Mollem reddunt arteriam humidus cibus, ac frequentiores balneæ, somni multi, mollior vita,

vita, & voluptates, atque hæc quidem intra septa manent naturæ. Præter naturam, in comate, lethargo, hydrope, & si quæ sunt alia, quæ arteriarum tunicas imbuunt larga humiditate, maximè pituitosa, de quibus infra, quum de morbis dicam, prolixius agam. Nunc iam tempus est, vt hunc librum finiamus, si in summam, qui in eo sit fructus, subduxerimus, est autem hic. Præsentem dispositionem singularum causarum continentium pulsus primam indicant, qua cognita antecedentes, & externæ causæ deprehenduntur ipsius primæ inter illas, atque in hoc constat præteritorum præsagitio, futurorum verò ex iis, quæ dispositiones comitantur, petuntur præsagia, quorum quemadmodum vnumquodque potissimum fiat, in sequentibus libris declarabo, priùs in secundo tamen horum commentariorum, quod restat adhuc, instituimus persequi.

δίαιτα, καὶ ἡ εὐθυμία. ταῦτα μὲν ἐν τοῖς κατὰ φύσιν ἔχει. ἐν δὲ τοῖς παρὰ φύσιν ἐν κώμασι, καὶ ληθάργοις, καὶ ὑδέροις, ὅσα τ᾽ ἄλλα τοὺς χιτῶνας τῶν ἀρτηριῶν ὑγρότητι πολλῇ, καὶ μάλιστα φλεγματώδει διαβρέχει, περὶ ὧν ἐπὶ πλέον εἰρήσεται διὰ τῶν ἑξῆς, ὁπόταν ὑπὲρ τῶν παθῶν ὁ λόγος γίγνηται. ἤδη καιρὸς ἐστὶ καταπαύειν τὸν ἐνεστῶτα λόγον εἰς ἓν ἀθροίσαντα κεφάλαιον, ὅσον ἐξ αὐτοῦ χρήσιμον. ἔστι δὲ τόδε· τὴν ἐνεστῶσαν διάθεσιν ἑκάστου τῶν συνεκτικῶν αἰτίων, οἱ σφυγμοὶ πρώτην ἐνδείκνυνται. γνωσθείσης δὲ ταύτης, αἵ τε προηγησάμεναι, καὶ αἱ προκατάρξασαι τῆς πρώτης αὐτῶν αἰτίαι λαμβάνονται. καὶ τούτῳ τῶν προγεγονότων ἡ πρόγνωσις. ἡ δὲ τῶν μελλόντων πρόγνωσις, ἐκ τῶν ἑπομένων ταῖς διαθέσεσι λαμβάνεται. καθ᾽ ὃν δὲ μάλιστα τρόπον ἕκαστον τῶν εἰρημένων γίγνοιτο ἄν, ἐν τοῖς μετὰ ταῦτα λόγοις διαιρήσομαι, πρότερον γε κατὰ τὸ δεύτερον τῶνδε τῶν ὑπομνημάτων, ὅσον ὑπόλοιπόν ἐστι τῶν ἡμῖν προτεθέντων διελθών.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Β.

GALENI DE PRAESAGITIONE EX PVLSIBVS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩΙ Β' ΒΙΒΛΙΩΙ.

Πρόγνωσις ἐκ τῶν σφυγμῶν τῶν ἐν τῇ τῆς ἀρτηρίας συστολῇ τε, καὶ τῷ τῆς ἡσυχίας χρόνῳ, κἀν τῇ ἀνωμαλίᾳ, κἀν τῇ τάξει, κἀν τῇ ἀταξίᾳ.

ARGVMENTVM LIBRI SECVNDI.

Præsagitio ex pulsibus qui in contractione arteriæ in tempore quietis, in inæqualitate, in ordine, ac in ordinis perturbatione intelliguntur.

CAPVT PRIMVM.

Quid celeritas, & tarditas contractionis significent.

DE primis quidem, & vt dixerit aliquis, maximè elementariis pulsibus, quorum in distentione arteriæ dignotio superiore libro explicata est; de reliquis verò deinceps exorsi à contractione, tractabimus. Habet quatuor hæc quoque genera pulsuum quot scilicet distentio; velocior etenim & tardior, maior minor, vehementior, languidior, si naturam ipsam spectes rei, contractionis motus fit; & hercle etiam arteriæ corpus, aut durum efficitur, aut molle, quare & ob id pulsus durus, vel mollis efficitur; haud dignoscas tamen horum generum, præter tarditatem vnam & celeritatem, vllum, imò ne has quidem vbique sed in illis pulsibus, vbi sensu contractio animaduerti possit, vt in primo libro De pulsibus dignoscendis docuimus. Iam etiam in libro de vsu pulsuum ar-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί τὸ τάχος τε, καὶ ἡ τῆς συστολῆς βραδύτης ἐνδείκνυται.

ΠΕΡΙ μὲν δὴ τῶν πρώτων τε, καὶ ὡς ἂν εἴποι τις, στοιχειωδεστάτων σφυγμῶν, ὧν ἐν τῇ διαστολῇ τῆς ἀρτηρίας ἡ διάγνωσις, ἐν τῷ πρὸ τούτου λόγῳ διήρηται. περὶ δὲ τῶν ὑπολοίπων, ἑξῆς ἂν εἴη ῥητέον ἀπὸ τῆς συστολῆς ἀρξαμένοις. ἔστι μὲν οὖν κἀν ταύτῃ τὰ τέσσαρα γένη τῶν σφυγμῶν, ὅσαπερ κἀπὶ τῆς διαστολῆς. καὶ γὰρ ὠκυτέρα, καὶ βραδυτέρα, καὶ μείζων, καὶ μείων, καὶ σφοδροτέρα, καὶ ἀμυδροτέρα κατά γε τὴν φύσιν αὐτὴν τοῦ πράγματος, ἡ ἐν τῇ συστολῇ κίνησις γίγνεται. ὥσπερ γε καὶ τὸ σῶμα τῆς ἀρτηρίας, ἤτοι σκληρὸν, ἢ μαλακὸν ἀποτελεῖται, οὐ μὴν διαγνῶναί γε δυνατόν ἐστι τῶν εἰρημένων γενῶν οὐδὲν, ὅτι μὴ βραδύτητα μόνην καὶ τάχος. οὐδὲ ταῦτ᾽ ἐπὶ πάντων, ἀλλ᾽ ἐν ἐκείνοις τοῖς σφυγμοῖς, ἐν οἷς αἰσθητὴ διάγνωσίς ἐστι τῆς συστολῆς. ὡς ἐν τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν ἐπιδέδεικται. καὶ μὴν δὴ κἀν τῷ περὶ χρείας σφυγμῶν,

ἐδέδεικτο τῆς ἀρτηρείας ἐνέργειά τις εἶναι, καὶ ἡ συστολὴ τῆς διαστολῆς οὐδὲν ἧττον. ἀμφότεραι γὰρ διαφυλάττουσι τὴν συμμετρίαν τῆς κατὰ φύσιν θερμότητος. ἡ μὲν γὰρ διαστολή, καθάπερ εἰσπνοή τις ἐμψύχουσά τε τὸ ὑπερβάλλον τῆς φλογώσεως, καὶ τῷ ῥιπίζειν ἀνάπτουσα τὸ σβεννύμενον. ἡ δὲ συστολή, τὸ λιγνυῶδες ἀποχέουσα δίκην ἐκπνοῆς. δηλώσει τοιγαροῦν τὸ μὲν τάχος τῆς συστολῆς, ἀξιόλογόν τι πλῆθος αἰθαλωδῶν περιττωμάτων ἀθροίζεσθαί τε ἅμα καὶ ἐκκρίνεσθαι, κατ' ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ περ ἂν εὑρίσκηται. ἡ δὲ βραδύτης τοὐναντίον, οὔτε ἀθροίζεσθαι πολὺ τὸ τοιοῦτο περίττωμα, καὶ διὰ τοῦτο μηδὲ κενώσεως δεῖσθαι. πάμπολυ μὲν γὰρ ἀθροίζεται κατὰ τὰς σήψεις τῶν χυμῶν, ἐφ' αἷς ἀνάγκη πυρετοὺς ἀνάπτεσθαι. παντάπασι δ' ὀλίγον, ὅταν εὔχυμον ᾖ τὸ σῶμα. κατὰ δὲ τὰς ἄλλας διαθέσεις ὁπόσαι μεταξὺ τούτων εἰσίν, ἀνάλογον ἑκάστης τῶν διαθέσεων, ἐπὶ μὲν ταῖς ἐδωδαῖς τε καὶ τοῖς ὕπνοις πλέον, ἐγρηγορούντων δὲ καὶ ἀσιτούντων, ἔλαττον. οὕτως δὲ καὶ κατ' αὐτὴν τῶν ἐδεσμάτων τὴν φύσιν, ἐπὶ μὲν τοῖς κακοχύμοις πλέον, ἐπὶ δὲ τοῖς εὐχύμοις ἔλαττον. ἀνάλογον δὲ καὶ κατὰ τοὺς πυρετούς, ἐν μὲν ταῖς ἐπισημασίαις, πλέον· ἐν δὲ τοῖς ἄλλοις καιροῖς ἧττον. καὶ πλέον μὲν ἐπὶ τοῖς παχέσι, καὶ γλίσχροις χυμοῖς, οἷοί περ οἱ φλεγματώδεις εἰσί, καὶ οὓς ὀνομάζουσιν ὠμούς, ἧττον δὲ ἐπὶ τοῖς πικροχόλοις τε καὶ μελαγχολικοῖς. ἐν δὲ τῷ μεταξὺ τούτων, ἐφ' αἵματι. καὶ γὰρ καὶ τοῦτο σήπεται κατὰ τὰς φλεγμονάς, ἐφ' αἷς πυρέττουσι, τάς τε ἄλλας, καὶ ὧν ἡ φλόγωσις εἰς τοσοῦτον ἄμετρος, ὡς κατακαίειν τε τὸ δέρμα, καὶ πάθος ἐργάζεσθαι τὸ προσαγορευόμενον ἄνθρακα. τῆς αὐτῆς δέ πως εἰσι φύσεως, καὶ οἱ μετ' ἀναβρώσεως ἕρπητες, οὓς ἐσθιομένους Ἱπποκράτης ὠνόμαζεν. ἐν ἅπασι γὰρ τοῖς τοιούτοις οἱ χυμοὶ σήπονται. καθ' ἕτερον δ' αὖ τρόπον, οἱ ἐν ταῖς τραχείαις ἀρτηρείαις χυμοὶ σηπόμενοι, μεταδιδόασι γὰρ τοῦ σφετέρου κακοῦ τῷ πνεύμονι, καὶ σήπεται καὶ τοῦτο τὸ σπλάγχνον ἐν τῷ χρόνῳ. ἀθροίζονται μὲν οὖν ἐν ταῖς τραχείαις ἀρτηρείαις, ἤτοι διὰ τὸν ἀπὸ τῆς κεφαλῆς κατάρρουν, ἢ ἐκ πλευρίτιδος, ἢ περιπνευμονίας, ἢ τοῦ πνευμονώδους πάθους, ἢ συνάγχης, ἢ ἐξ ἐμπυήματος μεταληφθέντος. τὴν δ' ἀρχὴν τοῦ σήπεσθαι, λαμβάνουσι διὰ τὸ μὴ καλῶς ἀναπτύεσθαι. δέονται γὰρ ἐν τάχει κενοῦσθαι, διά τε τὴν σφετέραν μοχθηρείαν, καὶ τὴν ἐν τῷ χωρείῳ θερμότητα, πολλάκις δὲ καὶ ῥῆξις ἀγγείου κατὰ τὸν πνεύμονα γινομένη, παρέχει τι τοῦ αἵματος εἰς τὰς τραχείας ἀρτηρείας. ὃ δὴ σηπόμενον ἐν τῷ χρόνῳ φθόην ἐργάζεται. θᾶττον δ' εἰς τοῦτ' ἔρχεται, τὸ κατὰ διάβρωσιν τῶν ἀγγείων ἐκχυθέν. ἐν ἁπάσαις δὴ ταύταις, αἷς κατέλεξα, διαθέσεσιν, ὅσαι τἄλλαι σηπεδόνα τινὰ χυμῶν ἔχουσιν, ἡ ἔσω κίνησις αὐξάνεται τῶν ἀρτηριῶν, καὶ κατὰ τὸ ποσὸν μέν, ὡς ἐπιπλέον αὐτὰς συστέλλεσθαι, ἀλλὰ τοῦτό γε οὐκ ἂν αἰσθήσει διαγνοίης ἀκριβῶς. ἡ γοῦν εἰς τάχος ἐπίδοσις, ἐναργής τ' ἐστί, καὶ διαγνῶναι ῥᾳδία τῷ τετριμμένῳ περὶ τοὔργον. ὃν οὐδ' ἄρξασθαι τριβῆς οἷόν τε, πρὶν τὰ περὶ διαγνώσεως ὑφ' ἡμῶν γεγραμμένα μαθεῖν, ὧν οὐδὲν οὐδεὶς τῶν ἔμπροσθεν ἰατρῶν ἐδίδαξεν ἡμᾶς. ἀλλ' ἔνιοι μὲν ἄχρι λόγου πιθανοῦ προέρχονται, τεχνολογίας δή τινας Ἡροφιλείας ὑπὲρ τῶν ἐν τοῖς σφυγμοῖς ῥυθμῶν γράφοντες. ἔνιοι δὲ περιλάλησίν τε τὴν τοιαύτην θεωρείαν ἀποκαλοῦσι, καὶ τελέως αὐτῆς ἀφίστανται. τὸ δ' ἀληθές, οὐδέτεροι κατεῖδον, ὡς εἰς τάχος τε, καὶ βραδύτητα χρὴ βλέπειν τῆς διαστολῆς, καὶ τῆς συστολῆς, ἑκατέρας πολλὰ σημαίνειν δυναμένης, ὥσπερ γε ἤδη νῦν εἴρηται ἡμῖν διὰ κεφαλαίων. ἔν τε τοῖς ἑξῆς ἐπιπλέον εἰρήσεται κατὰ τὸν περὶ τῶν νοσημάτων λόγον.

teriæ functionem demonstrauimus contractionem esse non secus, ac distentionem; vtraque enim naturalis caloris tuetur commoderationem, distentio veluti inspiratio quædam excessum ardoris refrigerando, & ventilatione, quod extinguitur incendendo, contractio in modum expirationis fuliginem expurgando. Ergo celeritas contractionis indicio erit, fuliginosorum excrementorum ingentem colligi copiam, expurgaríque id temporis, quandocunque inueniatur; tarditas contrà, nec eius multum excrementi coaceruari, eoque nec requirere euacuationem. Magna enim copia per putredines humorum aceruatur; quæ febres accendunt necessariò; quum corpus bonos humores habeat, pauca omnino; in aliis statibus, qui medij inter hos sunt, pro proportione singulorum statuum, inter edendum & dormiendum plus; per vigilias, & inedias, minus. Eadem planè ratione pro ciborum natura; in illis qui prauos humores gignunt, plus; in his minus, qui probos. In febribus ad eundem modum, in accessionibus, plus; aliis temporibus, minus. Adeoque plus ex crassis & lentis humoribus, cuiusmodi pituitosi sunt, & quos appellant crudos; ex biliosis minùs, & melancholicis, medio modo ex sanguine, qui scilicet etiam putrescit in inflammationibus; vnde oriuntur febres, quum aliis, tum illis, quarum adeo est immodicum incendium, vt cutem deurant, & affectum generent, quem carbunculum vocant. Eiusdem ferè naturæ sunt herpetes depascentes, quos appellauit Hippocrates edentes; scilicet in omnibus his affectibus putrescunt humores. Alio autem iam modo illi, qui putrescunt in asperis arteriis, succi; pulmoni enim sua vitia impertiunt, ac putrescit temporis progressu hoc etiam viscus. Ac coaceruantur in asperis arteriis, vel per distillationem è capite, vel ex pleuritide, vel peripneumonia, vel pulmonis affectu, vel angina, vel ex empyemate transumpto. Originem hinc ducunt putredinis, quod minùs probè expuantur, nam vt sunt vitiosi, & locus calidus, maturam desiderant euacuationem. Subinde etiam fit, vt, quum pulmonis rumpatur vas aliquod, immittat sanguinis in asperas arterias aliquid, qui quidem putrescens diuturnitate, excitat tabem, quo etiam deuenit celeriùs, quem vasa exulcerata emittunt. In omnibus his, quos collegi, affectibus, aliisque qui putredine sunt aliqua humorum præditi, arteriarum motus, quo intro feruntur, augetur & in quantitate, vt arctius illæ contrahantur, sed hoc quidem sensu planè non dignoscas. At celeritatis clarè animaduertitur incrementum, faciléque viro experto in hoc opere, qui nec ingredi quidem ad experiendum priùs possit quam quæ de dignoscendo prodidimus, didicerit, quorum nos nihil ex priscis medicis docuit vllus, sed progrediuntur quidam vsque ad verisimilem orationem, commentationes scilicet Herophilias quasdam de pulsuum rhythmis conscribendo; aliqui inanem loquacitatem vocant eam meditationem, penitusque eam repudiant, veritatem autem neutri cognouerunt, quòd scilicet in celeritatem & tarditatem distentionis contractionisq; respicere oportet, quarum multa valet vtraque indicare, vt summatim nũc declarauimus, explicaturi posthac, quum de morbis agemus latiùs.

CAPVT II.

Quid crebritas, & raritas indicent.

NVnc quidem ad crebritatem me, raritatémque conuertam; quarum duplex est vtraque quòd etiam quieti contigit arteriæ duplici esse, vni à distentione ante contractionem, alteri post contractionem ante distentionem. At quiddam ambabus est commune, aliquid proprium vtrique, commune quod duabus de causis breuiantur, vel quod productus sit motus, vel quòd sequens anticipet; contra protenduntur, si vel breuior fuerit prior motus, vel si moretur posterior. Vtrique proprium, quod denotare solent, illud autem ab iis planum est significari, quod ex producto altero motu, vel anticipante altero, potest prodi; aut contra à breuiato altero motu, & morante altero. Quando enim syncerus calor, paucissimisque inquinatus excrementis distentionem concitat maiorem, simúlque celeriorem; contrà qui confusus excrementis est putribus, contractionem; vbi ex anticipatione & magnitudine distentionis pulsus crebrior fiat, calorem purum indicabit multum in corpore increuisse; vbi verò, quòd maturiùs incipiat contractio, impuri copiam, atque excrementis referti caloris arguet. Nec aliter, quum rarior pulsus externa quiete sit, si quidem ob distentionis breuitatem, refrigeratum calorem demonstrabit esse; sin ob moram contractionis, fumosa imminuta esse excrementa, in quiete interna è diuerso, si ex productione contractionis, creber sit pulsus, ali abundantiam fumosorum excrementorum; si ob maturiorem distentionis exorsum, auctum calorem esse. At verò quum rarior in hac quiete pulsus est, si ob imminutam contractionem, pauciora annunciabit excrementa; imminutum calorem esse, si ob distentionis moram. Quòd si coniuncta ambo sint, vt & protendatur motus prior, & alter anticipet, siue in externa hoc quiete, siue accidat in interna, compositum declarauerit affectum ex illis, quorum sigillatim significabat vtrunque. Itidem si pulsus sit rarior, in vtra hæc coierint ambo quiete, contractus prior motus, & multùm tardans alter, erit status, tum quoque duplex atque compositus ex vtroque, quæ iam ante declarauimus; quum alteruter diminutus sit motus, tardet autem, ac multo post incipiat alter. Verumenimuerò non perinde est aperta vtriusque quietis cognitio, externa enim clarè sentitur; internam verò ne obscurè quidem, nedum euidenter, sensu dignoscas; at sola ad hanc aspires coniectura, si colligas ex impetu vtriusque motus, præcipuè in iis pulsibus in quibus clarè sensus valet assequi contractionem. Ac de hoc quoque genere pulsuum, quantum refert ad propositum, diximus.

ΚΕΦΑΛΑΙΟΝ Β΄.

Τί ἐνδείκνυται ἡ πυκνότης καὶ ἀραιότης.

ΕΝ δὲ τῷ παρόντι, μετιτέον ἐστὶν ἐπὶ τὸν περὶ πυκνότητός τε καὶ ἀραιότητος λόγον. διττῆς δὴ οὔσης ἑκατέρας, ὅτι καὶ τὰς ἠρεμίας τῆς ἀρτηρίας δύο εἶναι συμβέβηκε. τὴν μὲν ἐπὶ διαστολῇ πρὸ τοῦ συστέλλεσθαι, τὴν δὲ ἐπὶ τῷ συσταλῆναι πρὸ τοῦ διαστέλλεσθαι. ὃ μέντοι κοινὸν ἀμφοτέραις ὑπάρχει, ὃ δὴ ἴδιον ἑκατέρᾳ. κοινὸν μὲν, ὅτι βραχύνονταί τε κατὰ διττὴν αἰτίαν, ἤτοι τῆς προηγουμένης κινήσεως μηκυνθείσης, ἢ τῆς ἑπομένης προθυμότερον ἀρξαμένης. μηκύνονταί τε πάλιν, ἤτοι τῆς προηγουμένης κινήσεως βραχυνθείσης, ἢ τῆς ἑπομένης ὀψιζούσης. ἴδιον δὴ ἑκατέρας, ὃ σημαίνειν πεφύκασιν. δῆλον δὴ, ὡς ἐκεῖνο σημαίνουσιν, ὅπερ αὖ ἐκ τοῦ μεμηκύνθαι τὴν ἑτέραν κίνησιν, ἢ προθυμότερον ἄρχεσθαι τὴν ἑτέραν ὑπάρχει δηλούμενον, ἢ πάλιν ἐκ τοῦ βραχεῖαν μὲν γεγονέναι τὴν ἑτέραν, βραδύνειν δὲ τὴν λοιπήν. ἐπεὶ γὰρ ἡ μὲν καθαρὰ θερμότης, καὶ ἥκιστα περιττωματικὴ τὴν διαστολὴν ἐργάζεται μείζονά τε ἅμα καὶ ὠκυτέραν, ἡ δὲ τεθολωμένη σηπεδονώδεσι περιττώμασι, τὴν συστολὴν, ὅταν δὲ ἐπὶ τῷ προθυμότερον μὲν, ἐπὶ τῷ μεγέθει τῆς διαστολῆς ὁ σφυγμὸς γένηται πυκνότερος, ηὐξῆσθαι δηλώσει θερμότητα πολλὴν ἐν τῷ σώματι καθαράν, ὅταν δὴ ἐπὶ τῷ προθυμότερον ἄρχεσθαι τὴν συστολὴν, ἀκαθάρτου τε καὶ περιττωματικῆς θερμασίας ἐνδείξεται πλῆθος. ὡσαύτως δὲ, κἂν ἀραιότερος ὁ σφυγμὸς γένηται κατὰ τὴν ἐκτὸς ἠρεμίαν. εἰ μὲν ἐπὶ βραχύτητι τῆς διαστολῆς, ἐψύχθαι τὴν ἐν τῷ ζώῳ θερμότητα δηλώσει. εἰ δὲ διὰ τὸ βραδύνειν τὴν συστολὴν, ἐλάττω γεγονέναι τὰ καπνώδη περιττώματα, κατὰ δὲ τὴν ἐντὸς ἠρεμίαν ἔμπαλιν, εἰ μὲν ἐπὶ τῷ μηκυνθῆναι τὴν συστολὴν ὁ σφυγμὸς πυκνωθείη, πλῆθος ὑποτρέφεσθαι καπνωδῶν περιττωμάτων, εἰ δὲ διὰ τὸ προθυμότερον ἄρχεσθαι τὴν διαστολὴν, ηὐξῆσθαι τὴν θερμότητα. πάλιν δὴ αὖ κατὰ τὴν ἠρεμίαν ταύτην ἀραιούμενος ὁ σφυγμὸς, εἰ μὲν διὰ τὸ μεμειῶσθαι τὴν συστολὴν, ἠλαττῶσθαι τὰ περιττώματα δηλώσει, εἰ δὲ διὰ τὸ βραδύνειν τὴν διαστολὴν, μεμειῶσθαι τὴν θερμότητα. συνελθόντων δὲ ἀμφοῖν, ἅμα τοῦ τε μεμηκύνθαι τὴν προτέραν κίνησιν, καὶ τοῦ προθυμότερον ἄρχεσθαι τὴν δευτέραν, εἴτε κατὰ τὴν ἐκτὸς ἠρεμίαν, εἴτε κατὰ τὴν ἐντὸς τοῦτο συμβαίνει, σύνθετον ἐνδείξεται διάθεσιν ἐξ ἐκείνων, ὧν ἑκάτερον ἐδήλου κατὰ μόνας. ὁμοίως δὲ κἂν ἀραιὸς ὁ σφυγμὸς γένηται, καθ' ὁποτέραν οὖν τῶν ἠρεμιῶν ἀμφοῖν ἅμα συνελθόντων τοῦ τε συνῃρῆσθαι τὴν προτέραν κίνησιν, καὶ τοῦ μετὰ πλέον ἄρχεσθαι τὴν ἑτέραν, ἡ διάθεσις ἔσται καὶ οὕτω διττή τε, καὶ σύνθετος ἐξ ἑκατέρας τῶν ἤδη προδεδηλωμένων. ὑπομεμειωμένης μὲν ὁποτέρας οὖν τῶν κινήσεων, ἀναβεβλημένης δὲ καὶ μετὰ πλέον ἀρχομένης τῆς ἑτέρας. οὐ μὴν ἥ γε διάγνωσις εἰς ἴσην ἐνέργειαν ἥκει καθ' ἑκατέρας τὰς ἡσυχίας. ἡ μὲν γὰρ ἐκτὸς, ἐναργῶς αἰσθητή, τὴν δὴ ἐντὸς οὐχ ὅπως ἐναργῶς, ἀλλ' οὐδ' ἀμυδρῶς ἔνεστιν αἰσθήσει διαγνῶναι. στοχασμῷ δὴ ἂν μόνῳ τις αὐτὴν ἐξεύροι, συλλογισάμενος ἐκ τῆς καθ' ἑκατέραν τὴν κίνησιν ὁρμῆς, καὶ μᾶλλον ἐπ' ἐκείνων τῶν σφυγμῶν, ἐν οἷς ἐναργῶς ἐστιν αἰσθήσει διαγνῶναι τὴν συστολήν. εἴρηταί μοι καὶ περὶ τούτου τοῦ γένους τῶν σφυγμῶν, ὅσον ἱκανὸν εἰς τὰ παρόντα.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τί ἐνδείκνυνται οἱ ῥυθμοί.

Ἑξῆς δ' ἐστὶν ἐπί γε τῇ τάξει τοῦ λόγου περὶ ῥυθμῶν διελθεῖν, ὑπὲρ ὧν Ἡροφίλῳ μὲν ἐπὶ πλέον εἴρηται τήρησίν τινα, καὶ ἐμπειρίαν ἱστορίαν τι μᾶλλον, ἢ λογικὴν μέθοδον ἐκδιδάσκοντι. τοὺς γὰρ καθ' ἑκάστην ἡλικίαν, ὡς τὸ πολὺ φαινομένους ῥυθμοὺς τῶν σφυγμῶν ἔγραψε, πρῶτον μὲν οὐδ' ἐφ' ὧν τινων φύσεων ἐτήρησεν αὐτοὺς, οὐδὲν ἡμῖν εἰπών. εἶτ' ἐξ αὐτῶν ὧν διδάσκει, δῆλον ὅτι συγκέχυταί τε, καὶ ἀδιάρθρωτός ἐστι περὶ τὴν τῆς συστολῆς τε, καὶ τῶν ἠρεμιῶν διάγνωσιν. εἴπερ γὰρ ἡγεῖταί ποτε δύνασθαι γενέσθαι συστολὴν ἐπὶ τῶν γεγηρακότων, ἄχρι δὴ τῶν δέκα πρώτων χρόνων ἐκτεταμένην, οὐ δῆλός ἐστι τῆς ὄντως συστολῆς αἰσθητῶς ἔχων. αὕτη γὰρ, ἐνίοτε μὲν ὀλιγοχρονιωτέρα τῆς διαστολῆς ἐστιν. ἐνίοτε δ' ἰσόχρονός ἐστιν. ὁτὲ δὲ, ὡς ἐκεῖνος γράφει, πολυχρονιωτέρα μὲν, οὐ μὴν, ὡς οἴεται πενταπλασίων, ἀλλὰ βραχεῖ τινι μείζων. ὅσα δ' ἄλλα μοχθηρὰ, καὶ ἀδιάρθρωτα, καὶ ἀδύνατα πρὸς τὰς προγνώσεις ἔχει, τὰ περὶ ῥυθμῶν ὑφ' Ἡροφίλου λεγόμενα. τὰ μὲν ἐκ τοῦ τρίτου περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν ἔνεστι μαθεῖν. τὰ δ' ἐξ ὧν ἰδίᾳ γράφομεν ~~ὑπὲρ τῆς~~ Ἡροφίλου περὶ τοὺς σφυγμοὺς τέχνης. νῦν δὲ, οὔτε γὰρ ἱστορικὴν, οὔτ' ἀντιλογικὴν ποιοῦμαι πραγματείαν, ἀλλὰ τῶν ἡμῖν ἐγνωσμένων διδασκαλικὴν, ἐπὶ τὸν περὶ τῶν ἀνωμάλων σφυγμῶν ἤδη μεταβήσομαι λόγον.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τί ἐνδείκνυνται οἱ ἀνώμαλοι σφυγμοὶ, καὶ πρῶτόν γε περὶ τοῦ διαλείποντος.

Διττὸν δ' αὐτῶν ἐστι τὸ γένος. ἔνιοι μὲν ἐν μιᾷ πληγῇ τὴν ἀνωμαλίαν λαμβάνοντες. ἄλλοι δ' ἐν ἀθροίσματι. καὶ καλεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἰατροῖς, συστηματικὴν τὴν τοιαύτην ἀνωμαλίαν, ὅτι οἶμαι καὶ τὸ ἄθροισμα σύστημα προσαγορεύουσιν. ἰστέον οὖν ὑπὲρ τῶν ἀνωμάλων σφυγμῶν, κοινῇ μὲν τοῦτο κατὰ πάντων, ὅπερ ἐν τῷ δευτέρῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπιδέδεικται, δι' ἐμφράξεις αὐτοὺς, ἢ θλίψεις ὀργάνων, ἢ πλῆθος τὸ πρὸς τὴν δύναμιν νοούμενον, ἢ τὴν τῆς καρδίας ἀνώμαλον δυσκρασίαν συνίστασθαι. χαλεπωτέραν δ' εἶναι τὴν καθ' ἕνα σφυγμὸν ἀνωμαλίαν, τῆς ἐν ἀθροίσματι. καὶ μὲν δὴ καὶ τὸ μηδόλως κινεῖσθαι τὴν ἀρτηρίαν, ὅπερ ὀνομάζεται διαλείπειν, ἄν τε καθ' ἕνα σφυγμὸν, ἄν τε κατὰ σύστημα γένηται, χαλεπόν ἐστιν, ὡς οὐδὲν ~~ἁπάντων τῶν εἰδῶν~~ ἄλλο τῶν ἀνωμάλων γινομένων. ἰδίᾳ δὲ καθ' ἑκάτερον γένος ὑπὲρ ἁπάντων τῶν εἰδῶν ἐπίστασθαι χρὴ, ἀπὸ τῆς ἐν ἀθροίσματι τῶν σφυγμῶν ἀνωμαλίας ἀρξαμένους. γυμνάσωμεν δὲ τὸν λόγον, καὶ πρῶτον ἐν τῇ κατὰ σύστημα, ἐπειδὴ σαφεστέρα τῆς καθ' ἕνα τετύχηκεν οὖσα. τοὺς μὲν δὴ διαλείποντας σφυγμοὺς, ἤτοι διὰ τὸ βαρύνεσθαι πρὸς τοῦ πλήθους ἡ δύναμις ἐργάζεται, κωλυομένη κατὰ τὸν προσήκοντα καιρὸν ἐπὶ τὴν κίνησιν ἐξορμᾶν διὰ πάχος, ἢ πλῆθος χυμῶν, ἐμφράττον, ἤτοι τὰ στόματα τῶν πλησίων τῆς καρδίας ἀρτηριῶν, δι' ὧν ἕλκει τε καὶ αὖθις ἐκπέμπει τὰς ὕλας, ἢ καὶ μέχρι τινὸς ἀπὸ τῶν στομάτων, ὅλην τῶν ἀγγείων τὴν εὐρύτητα. πολλάκις δ' ἔξωθεν αὐτῶν περιχυθὲν τὸ τοιοῦτον πλῆθος, οἷον δεσμὸς γίνεται. τὸ μέν πού τι βαρῦνον αὐτὰς οἷον φορτίον. ἔστι δ' ὅτε καὶ τὰς χώρας, εἰς ἃς διαστέλλονται, καταλαμβάνον. ἐνίοτε δὲ καὶ φλεγμονή τις, ἢ σκίρρος, ἢ τις ἕτερος ὄγκος τοιοῦτος ἐν τοῖς περιέχουσι τὰς ἀρτηρίας σώμασι συνιστάμενος,

CAPVT III.

Quid rhythmi annuncient.

Nunc postulat ſermonis ſeries vt de rhythmis exponamus, de quibus prolixius Herophilus diſputauit, obſeruationem potius & experientiam prodens, quam rationalem docens methodum. Nam rhythmos pulſuum per ſingulas ferè animaduerſos ætates conſcribit, nec primùm, quibus illos in naturis obſeruauerit, nobis declarat, deinde ex ipſa inſtitutione manifeſtus eſt, quod confuſam habuerit, nec diſtributam contractionis, atque quietis notitiam. Nam ſi contractionem in ſenibus vſque ad decem prima tempora extendi putet poſſe, planiſſimè veram contractionem ſenſit nunquam. Hæc enim interdum non tam diuturna eſt, quàm diſtentio; interdum æquè diuturna, interdum vt ſcribit ille, diuturna quidem eſt, non quintuplo tamen, vt autumat, ſed paulò maior. Reliqua errata & confuſiones, inauditaſque abſurditates, quibus ſcripta ſcatent Herophili de rhythmis dignoſcendis, partim ex tertio commentario De dignoſcendis pulſibus, partim ex illis, quæ ſeorſum in Herophili artem de pulſibus ſcribam, cognoſcas licet. Nunc verò (quia nec hiſtoriam hac lucubratione, nec confutationem complector, ſed quæ perſpexi doceo) ad inæquales pulſus conuertam orationem.

CAPVT IV.

Inæquales pulſus quid ſignificent, & primò de intermittente.

Horum duplex eſt genus; quidam in vno ictu inæqualitatem habent, alij in aceruo, quàm iuniores medici inæqualitatem ſolent appellare collectiuam quod & vt opinor aceruum collectionem appellant. Igitur de inæqualibus pulſibus hoc in communi omnibus ſciendum eſt, quòd in ſecundo libro de pulſuum cauſis oſtendimus, ex obſtructionibus eos, aut ex compreſſionibus inſtrumentorum, aut humorum abundantia ad facultatem quidem collata, aut ex cordis inæquali intemperie conſtare; difficiliorem porrò eſſe vnius pulſus inæqualitatem ea, quæ in aceruo conſiſtit. Quinetiam haudquaquam moueri arteriam, quod vocatur intermittere, ſiue in vnum pulſum, ſiue in aceruum inciderit, periculoſum eſt, vt nulla omnium ſpecierum alia, quæ inæquales ſunt. At ſeorſum de vtriuſque generis omnibus ſpeciebus dicendum eſt, incipiendumque à pulſuum collectiua inæqualitate. Meditemur verò orationem, primùm in inæqualitate collectiua, quòd apertior inæqualitate ſit vnius pulſus. Intermittentes pulſus facultas, vel quòd grauetur ab humorum copia, creat impedita, quo minus motum debito tempore auſpicetur, vel per craſſitudinem, vel per copiam humorum, quæ obſtruat, aut oſcilla cordi vicinarum arteriarum, quà attrahit materiam, rurſuſque emittit; aut ex oſcillis quodamtenus vniuerſam vaſorum capacitatem. Sæpè etiam foris illis, quaſi vinculum ſit, copia eiuſcemodi offunditur, nonnunquam inſtar oneris grauat; interdum etiam ſpatia, in quibus diſtenduntur occupat. Eſt quum inflammatio, vel ſcirrhus, vel alius id genus tumor, qui cingentia arterias corpora teneat,

earum

earum arceat distentiones; si verò ipsarum arteriarum tunicis tale quid insederit, maius est discrimen; at verò, si ipsius corpus cordis, hoc iam malum est extremum, etenim hi subito syncope corripiuntur. At intemperies cordis non est perinde exitialis, imò verò inflammatione longè mitior; cuius quidem imbecillitas facultatis comes est, pulsus languidus, prætérque eum affectum indicat nihil. Nam moderato cor præditum temperamento, pulsum edit vehementem, prauo, languidum; ac est in vtroque excessus, & defectus, prout maior, vel minor sit temperamenti mediocritas, etenim latitudinem demonstrauimus habere, quàm pulsus habent etiam non minus ex maiore, vel minore intemperie. Verum paruum, & languidum sola intemperies pulsum reddit, non statim inæqualem tamen; nisi cum humoribus facultas comparata contentis in ipso corde, & in continentibus cum ipso arteriis, venisque robore iis cedat; quod aliud nihil est, ac copia humorum facultate maior. In eiuscemodi enim affectibus adiuncta necessariò ad paruos, ac languidos pulsus inæqualitas est. At quum debilitata duntaxat facultas est cordis, non grauatur tamen ab humoribus, hic omnino pulsus parui sunt, & languidi ex facultatis imbecillitate; nulla verò illis adest inæqualitas, nisi quando ipsum etiam corpus cordis inæquali intemperie detineatur, de qua paulò post dicemus. Nunc ad intermittentes me refero, qui rarioribus finitimi sunt, verùm ab iis secernuntur, quòd rhythmum pulsus totum intermittentes perdiderunt. Quòd si non vnius modò tempus quiescat, sed diutius etiam, clarius is intermittere videatur; periculosiorque hoc erit priore, quo quiescat diutius. Itaque quum duorum pulsuum tempus arteria quiescat, haud scio, an superstes esse quisquam possit. Vnius certè tempus pulsus, aut paulò amplius sæpenumero conspeximus, intermittente motu arteriarum superstitem hominem fuisse, præsertim quum ætatem ageret senilem, quanquam hoc videri absurdum possit; etenim si vel sua sponte imbecillus senex est, laborantque eius etiam ante valetudinis infirmitatem facultates, quem expectemus euentum, si ad ætatis imbecillitatem, altera accesserit ex morbo? Nempè hac de re non est periculosum, sed eo potius leue, quòd imbecillæ facultates à paruis sæpe causis, fiat, vt offendantur, at firmæ tantum deijciuntur à maximis. Itaque qui habitu sunt valente, & admodum diu in morbos non inciderunt, periclitantur, si incidant, at verò imbecilli, quique assiduè obiecti ad omnes causas sunt, facillimè seruantur; quòd scilicet, de his nemo, quum à qualibet lædatur, vel minima, expectet causam magnam; robur validorum omnem excipit causam paruam, vt à solis magnis vincatur. Quamobrem intermittentes pulsus minùs habent senes, quàm iuuenes, perniciales: mox pueri ab illis, quòd (quia quum concoctrice facultate sint validissima, tum corpore mollissimo, atque facile perspirabili) concoquant, digerantque per halitum intemperies inæquales, copiamque humorum, & crassitudinem. Quare etiam hi in minus periculum veniunt, quàm iuuenes, quum pulsus intermittunt, duobus nominibus; nam tum, quòd facultate quæ pulsibus præsidet, imbecilliore, quàm iuuenes sint,

A ἐμποδὼν ἵσταται ταῖς διαστολαῖς αὐτῶν. Εἰ δὲ καὶ κατὰ τοὺς χιτῶνας αὐτῶν τῶν ἀρτηριῶν τοιοῦτόν τι συσταίη, μείζων ὁ κίνδυνος. Εἰ δὲ καὶ κατὰ τὸ τῆς καρδίας αὐτῆς σῶμα, τοῦτο μὲν ἤδη κακὸν ἔσχατον, ἐξαιφνίδιον γὰρ οἱ τοιοῦτοι συγκόπτονται. οὐ μὴν ἥ γε δυσκρασία τῆς καρδίας, ὁμοίως ὀλέθριος, ἀλλ' ἐπιεικέστερα μακρῷ φλεγμονῆς. ἕπεται δ' αὐτῇ δυνάμεως ἀρρωστία. καὶ ὅ γε ἀμυδρὸς σφυγμὸς, οὐκ ἄλλου τινός ἐστιν, ἢ τῆς τοιαύτης διαθέσεως γνώρισμα. συμμέτρως μὲν γὰρ ἔχουσα κράσεως ἡ καρδία, τὸν σφοδρὸν σφυγμὸν ἀπεργάζεται, μοχθηρῶς δὲ, τὸν ἀμυδρόν. τὸ δ' ἧττόν τε καὶ μᾶλλον, ἑκατέρῳ, διά τε τὴν τῆς δυσκρασίας B ἐπίτασίν τε καὶ ἄνεσιν. ἐδείχθη γὰρ πλάτος ἔχειν, καὶ διὰ τὴν τῆς δυσκρασίας οὐδὲν ἧττον ὑπάρχον τοῖς σφυγμοῖς. ἀλλὰ μόνη μὲν ἡ δυσκρασία, μικρὸν καὶ ἀμυδρὸν ἀποτελεῖ τὸν σφυγμὸν, οὐ μὴν ἤδη γέ πω καὶ ἀνώμαλον, εἰ μὴ παραβαλλομένη τοῖς χυμοῖς ἡ δύναμις, ὅσοι τε κατ' αὐτὴν τὴν καρδίαν εἰσὶ, καὶ ὅσοι κατὰ τὰς πλησίον αὐτῆς ἀρτηρίας τε καὶ φλέβας, ἐλάττων αὐτῶν φαίνοιτο κατὰ τὴν ἰσχὺν, ὅπερ οὐδὲν, ἀλλ' ἐστὶν, ἢ τὸ πρὸς τὴν δύναμιν πλῆθος. ἐν γὰρ ταῖς τοιαύταις διαθέσεσιν, ἀνωμαλία τις ἐξ ἀνάγκης συνυπάρξει τοῖς μικροῖς, καὶ ἀμυδροῖς σφυγμοῖς. ἔνθα δ' ἀρρωστεῖ μόνον ἡ τῆς καρδίας δύ- C ναμις, οὐ μὴν βαρύνεταί γε πρὸς τῶν χυμῶν, ἐνταῦθα μικροὶ καὶ ἀμυδροὶ πάντως εἰσὶν οἱ σφυγμοὶ, διὰ τὴν ἀτονίαν τῆς δυνάμεως, ἀνωμαλία δ' οὐδεμία σύνεστιν αὐτοῖς, εἰ μή ποτε ἄρα καὶ αὐτὸ τῆς καρδίας τὸ σῶμα, δυσκρασίαν ἀνώμαλον ἐπιδέξεται, περὶ ἧς ὀλίγον ὕστερον εἰρήσεται. νυνὶ δ' ἐπὶ τοὺς διαλείποντας ἔρχομαι, παρακειμένους μὲν τοῖς ἀραιοτέροις, διαιρουμένους δ' αὐτῶν τῷ ῥυθμὸν ὅλον ἀπολωλεκέναι σφυγμοῦ κατὰ τοὺς διαλείποντας. εἰ δὲ μὴ μόνον ἑνὸς σφυγμοῦ χρόνον ἡσυχάσειεν, ἀλλὰ καὶ πλέονα, σαφέστερόν τ' ἂν ὁ τοιοῦτος διαλείπων φαίνοιτο, καὶ κινδυνωδέστερος εἰς τοσοῦτον ἔσται τοῦ πρόσθεν, εἰς D ὅσον ἂν ἐπὶ πλέον ἡσυχάζῃ. ὥστε, οὐκ οἶδα, εἴ τινα σωθῆναι δυνατόν ἐστι δυοῖν σφυγμῶν χρόνον, ἡσυχαζούσης τῆς ἀρτηρίας. ἑνὸς δὲ σφυγμοῦ χρόνον, ἢ καὶ βραχεῖ πλέον πολλάκις ἐθεασάμεθα, διαλειπούσης τῆς κινήσεως τῶν ἀρτηριῶν, ἀναῤῥωθέντα τὸν ἄνθρωπον, καὶ μάλισθ' ὅταν ἄγῃ πρεσβυτικὴν ἡλικίαν, καίτοι τάχ' ἂν δόξειεν ἄλογον εἶναι τὸ τοιοῦτον. εἰ γὰρ καὶ ἄλλως ἀσθενής ἐστιν ὁ γέρων, καὶ κάμνουσιν αἱ δυνάμεις αὐτοῦ καὶ πρὸ τοῦ νοσεῖν, τί ποτε χρὴ προσδοκᾶν ἀποβήσεσθαι, τοῦ διὰ τὴν ἡλικίαν καμάτου προσγινομένου τοῦ διὰ τὴν νόσον; ἀλλ' ὡς ἔοικεν οὐ ταύτῃ χαλεπόν ἐστιν, ἀλλ' ἐκείνῃ μᾶλλον ἐπιεικές, ὅτι τὰς ἀσθενεῖς δυνά- E μεις, ὑπὸ μικρῶν πολλάκις αἰτίων ἐπηρεάζεσθαι συμβαίνει, τὰς δ' ἰσχυρὰς ὑπὸ τῶν μεγίστων μόνον νικᾶσθαι. ταῦτά τοι καὶ ὅσοι ταῖς ἕξεσιν ἰσχυροὶ, καὶ χρόνῳ παμπόλλῳ διετέλεσαν ἄνοσοι, κινδυνεύουσι νοσήσαντες. οἱ δ' ἀσθενεῖς, καὶ συνεχῶς ὑπὸ παντὸς αἰτίου βλαπτόμενοι, ῥᾷστα διασώζονται, ὅτι δηλαδὴ τούτων μὲν, οὐδεὶς ἀναμένει μέγεθος αἰτίου, φθάνων ὑπὸ παντὸς ἐπηρεάζεσθαι, καὶ τοῦ σμικροτάτου, τῶν δ' ἰσχυρῶν ἡ ῥώμη, πρὸς ἅπαν ἀπομάχεται τὸ μικρὸν κακὸν, ὥσθ' ὑπὸ μόνων νικᾶσθαι τῶν μεγάλων. γέροντες μὲν οὖν, διὰ τοῦτο τοὺς διαλείποντας σφυγμοὺς ἧττον ὀλεθρίους ἔχουσι τῶν ἀκμαζόντων. οἱ δὲ δὴ παῖδες ἑξῆς, ὅτι F τήν τε πεπτικὴν δύναμιν ἰσχυρότατοι, καὶ τὸ σῶμα μαλακώτατοί τε, καὶ ῥᾳδίως διαπνεόμενοι. ἐκπέττουσί τε οὖν, καὶ διαφοροῦσι τάς τε ἀνωμάλους δυσκρασίας, καὶ τὸ πλῆθος, καὶ τὸ πάχος τῶν χυμῶν. συμβαίνει δὴ καὶ τούτοις ἧττον κινδυνεύειν τῶν ἀκμαζόντων, ἐν τοῖς διαλείπουσι σφυγμοῖς, διὰ διττὴν αἰτίαν, ὅτι τε τὴν σφυγμικὴν δύναμιν ἀσθενεστέραν ἔχουσι, τῆς τῶν ἀκμαζόντων,

ὥσθ' ὑπὸ βραχυτέρων αἰτίων ἑτοιμότερον νικᾶσθαι, καθάπερ οἱ γέροντες, καὶ ὅτι τὴν πεπτικὴν ἰσχυροτέραν, ὡς ῥᾷον ἐπανορθοῦσθαι τὰ λυποῦντα. προσέστι δὲ καὶ τὸ τῆς διαπνοῆς ἕτοιμον, οὐ μικρὸν ἀγαθὸν εἰς ἐπανόρθωσιν νοσημάτων. ὡς καὶ πρὸς Ἱπποκράτους ἐλέγετο. εἰ μὲν οὖν ἀρέσκοιτό τις τοῖς εἰρημένοις λογισμοῖς, ἔνεστιν αὐτοῖς χρῆσθαι, εἰ δ' οὐκ ἀρέσκοιτο, τὸ γοῦν ἐκ τῆς πείρας φαινόμενον, ἴστω τοιοῦτον ὑπάρχον οἷον εἴρηται. μάλιστα μὲν οὖν οἱ ἀκμάζοντες. ἧττον δ' αὐτῶν οἱ παῖδες. ἥκιστα δ' οἱ γέροντες ἐν τοῖς διαλείπουσι κινδυνεύουσιν. οὐδὲν δὲ θαυμαστὸν, ὀλεθριωτάτην εἶναι τῶν ἀνωμαλιῶν τὴν διαλειπτικήν. αἱ μὲν γὰρ ἄλλαι πλημμελεῖς πώς εἰσι κινήσεις, ἡ δὲ κατὰ τὸ διαλείπειν ἐν στερήσει κινήσεως γίνεται. καθ' ὃν γὰρ χρόνον ὁ σφυγμὸς διαλείπει, κατὰ τοῦτον οὐδόλως ἡ ἀρτηρία κινεῖται. καὶ σχεδὸν εἰς ὅσον ἀλλήλων διαφέρουσιν ὑγεία, καὶ θάνατος, καὶ νόσος, εἰς τοσοῦτον καὶ ἡ κατὰ φύσιν κίνησις, ἀκινησίας τε καὶ μοχθηρᾶς κινήσεως. ἡ μὲν γὰρ κατὰ φύσιν κίνησις, οἷόν περ ὑγεία. ἡ δὲ μοχθηρὰ κίνησις, οἷόν περ ἡ νόσος. ἡ δ' ἀκινησία, θανάτῳ προσέοικεν. οἷς μέντοι δοκεῖ κατὰ τὰς ἐνεργείας αὐτὰς γίνεσθαι τό θ' ὑγιαίνειν, καὶ τὸ νοσεῖν, οὐ κατὰ τὰς τοῦ σώματος διαθέσεις, ἀφ' ὧν ἐνεργοῦμεν, τούτοις οὐχ οἷόν περ ὑγεία τις ἡ κατὰ φύσιν κίνησις τῶν ἀρτηριῶν, ἀλλ' ἄντικρυς ὑγεία λεχθήσεται. κατὰ ταῦτα γοῦν, καὶ ἡ πλημμελὴς κίνησις οὐχ οἷόν περ νόσος, ἀλλ' αὐτὸ δὴ τοῦτο νόσον, ἡ δ' ἀκινησία, νέκρωσίς τις, εἰ μὲν ἐπὶ πλέον γένοιτο παντελής, εἰ δ' ἄχρι τοῦ δοκεῖν ἑνὸς σφυγμοῦ χρόνοιν δυοῖν ἡσυχάζειν, οἷόν περ κάρος, ἢ ἀποπληξία τις, ἢ παράλυσις τῶν καθ' ὁρμὴν ἐνεργειῶν. οἷα γὰρ ταῦτα περὶ ἑτέραν ἀρχήν ἐστι τὴν ἐν ἐγκεφάλῳ, τοιοῦτό τι καὶ ἡ τῶν σφυγμῶν ἡσυχία περὶ τὴν ἐν τῇ καρδίᾳ. καὶ ὥσπερ ἐπ' ἐκείνης ὀρθῶς εἴρηται λύειν ἀποπληξίην, ἰσχυρὴν μὲν, ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον, οὕτω κἀνταῦθα καλῶς εἰρήσεται, λύειν ἀκινησίαν σφυγμῶν μακροχρόνιον μὲν, ἀδύνατον, βραχυχρόνιον δὲ, οὐ ῥᾴδιον. μακροχρόνιος μὲν οὖν ἐστιν, ἡ δυοῖν σφυγμοῖν χρόνον ὑπερβαίνουσα, βραχυχρόνιος δὲ ἡ τοῖν δυοῖν ἐντός. ἡ δὲ περὶ τὸν ἑνὸς σφυγμοῦ χρόνον ἡσυχία, μετριωτάτη τῶν διαλήψεών ἐστι· καὶ πολλοὶ διεσώθησαν ἐκ ταύτης γέροντές τε καὶ παῖδες, ἀκμάζων δ' οὐδεὶς οὐδὲ ἐκ ταύτης. ἀλλ' ὑπ' ἀγνοίας ἔνιοι τὴν μακρὰν ἀραιότητα διάληψιν εἶναι νομίζοντες, ἡγοῦνται σεσῶσθαί τινας ἀκμάζοντας ἐκ τῆς τοιαύτης κακοσφυξίας. ἔστι μὲν οὖν καὶ ἥδε χαλεπὴ, καὶ μάλιστα τοῖς ἀκμάζουσιν, οὐ μὴν ὀλέθριος πάντως. ἐπὶ μέντοι τῶν παίδων τε καὶ τῶν γερόντων, ἔτι δὴ καὶ μᾶλλον ἐπιεικής. ὅ γε μὴν θάνατος, ἐξαίφνιδιος ἐπὶ τοῖς διαλείπουσι γίνεται σφυγμοῖς, ἀνάλογον ἀποπληξίᾳ. σβέννυται γὰρ ἐν ἀμφοτέροις ἡ ἐν τῇ καρδίᾳ θερμότης, ἀναπνοῆς στερηθεῖσα. ἀραιότης μὲν οὖν, διαλείποντος σφυγμοῦ διώρισται, τῷ μήκει τοῦ χρόνου. προσδιορισθήσεται δ' ἐνίοτε, καὶ τῷ τὴν μὲν ἀραιότητα, καὶ μεθ' ὁμαλότητός ποτε συνίστασθαι πάντων τῶν πληγῶν. τὸν διαλείποντα δὲ σφυγμὸν, ἐξ ἀνάγκης ἀνώμαλον γίνεσθαι, ἐνίοτε μὲν γὰρ διὰ τριῶν, ἐνίοτε δὲ διὰ τεσσάρων, ἔστι δ' ὅτε διὰ πέντε πληγῶν, ἢ καὶ πλειόνων, εὑρίσκεται διαλείπων τε, καὶ ἡσυχάζων ἕνα χρόνον, ἢ καὶ πλείονα, κινήσεως, συμμεταβάλλεται δ' εὐθὺς αὐτῷ, καὶ τῶν ἄλλων τι γενῶν, εἰς ἀνωμαλίαν τρεπόμενον. οὐ μὴν, ἀλλὰ καὶ τοῦτο ταῖς ἐκτεταμέναις ἐπὶ πλείονα χρόνον ἀραιότησιν ἀχώριστον ὑπάρχει, τὸ βραδυτέραν τοῦ προσήκοντος ἀποτελεῖσθαι τὴν κίνησιν. ἐνίοτε μὲν εἰς τοσοῦτον, εἰς ὅσον περ καὶ ἡ ἀραιότης. ἐνίοτε δ' ἐπὶ πλέον, ἢ ἔλαττον, ὡς ἂν ἡ τὴν τοιαύτην κακοσφυξίαν ἐργαζομένη διάθεσις ἔχῃ.

vt à minoribus causis, sicut senes, superentur procliuius, tum quod concoctrice firmiore, vt facile offensæ corrigantur. His additur perspiratus facilitas, non mediocre ad tollendos morbos momentum, quod etiam Hippocrates confirmauit. Hæ si tibi rationes probantur, vtaris, licet; sin secus, at vt docet experientia, rem scito ita, vt diximus, habere. Itaque præter cæteros in pulsibus intermittentibus iuuenes, minus his pueri, minimè senes in periculum vocantur. Neque verò quicquam habet admirationis inæqualium perniciosissimum esse intermittentem; nam cæteri quidem vitiosi aliquatenus sunt motus; at intermittens in motus positus est abolitione; siquidem quo tempore intermittit pulsus, tum nihil arteria mouetur. Ac ferè, quantum inter se sanitas, mors & morbus differunt, tantum naturalis motus ab immobilitate, & prauo motu; quòd naturalis motus sit instar sanitatis, vitiosus motus morbi, & immobilitas, imaginem referat mortis. Nam qui in ipsis functionibus statuunt sanitatem, & morbum, non in corporis dispositionibus, ex quibus functiones obimus, his non instar est sanitatis motus arteriarum naturalis, cæterùm apertè dicetur sanitas; itemque vitiosus motus non instar morbi, sed ipse scilicet morbus; ac immobilitas extinctio quædam, atque mors, siquidem integra diutius constet; nam si hactenus procedat, vt vnius pulsus, vel alterius videatur tempus quiescere, instar veterni est, aut apoplexiæ cuiuspiam, aut resolutionis actionum voluntariarum. Qualia enim hæc in aliud principium sunt, quod sedem habet in cerebro; tale quiddam pulsuum est quies aduersus principium, quod in corde situm est. Et vt rectè de illo est dictum, *apoplexiam soluere impossibile esse, si ingens sit, sin leuis sit, non sine magno negotio*, ita etiam dicetur hic rectè, quies pulsuum, si sit diuturna, vt tollatur non fieri posse; sin breuis sit, non citra negotium. Porrò diuturna est, quæ excedit duorum pulsuum tempus; breuis quæ intra duorum pulsuum tempus manet. Quies vero temporum vnius pulsus inter omnes intermissiones, moderatissima est, multique ex ea senes pariter, & pueri euaserunt, iuuenum autem ne ex hac quidem vllus. Verùm longam raritatem quidam imperitia adducti, quòd intermissionem existimarent esse, ex hoc pulsus vitio quosdam arbitrati sunt iuuenes fuisse superstites. Est quidem hæc quoque grauis, præcipuè iuuenibus, non tamen planè exitialis, pueris & senibus multo etiam leuior. Porrò autem mors à pulsibus intermittentibus repentina corripit, non aliter, ac ab apoplexia, vtrobique enim cordis calor extinguitur destitutus respiratione. At raritas quidem ab intermittente pulsu discernitur prolixitate temporis, interdum etiam, quòd raritas interim habet æqualitatem coniunctam omnium ictuum: Intermittens autem pulsus necessariò est inæqualis; nunc enim in trinis, nunc in quaternis, ac nonnunquam in quinis ictibus, vel etiam in pluribus intermittere inuenitur, & quiescere vnum motus tempus, aut etiam plura. Iam simul cum illo aliquod mutatur aliud genus, conuertiturque ad inæqualitatem. Et hoc etiam in raritatibus diuturnioribus est perpetuum, vt tardior, quam par est, reddatur motus, nunc tanto, quanto raritas, nunc plus, aut minus, prout, qui id pulsus vitium concitat, comparatus affectus sit.

Est

Est autem eorum pulsuum ingens frigiditas causa generandorum, quæ occupet, vel corpus cordis, vel spiritum, & sanguinem, quem continent eius sinus, vel partem aliquam vicinam. Atque si corpus ipsum cordis teneat ingens frigiditas, ita languidissimos reddit pulsus, & tardissimos, & minimos, vt maximè hæc viget, quæ verò proficiscatur ex parte alia, raritatem longius, quàm cætera, quæ diximus, genera à natura auertit. Itaque quidam in illis sunt, qui quum pulsus habeant, non longè minores iusto, & tardiores languidioresque tamen è vestigio pereunt. Mors autem tum minus potest declinari, quum teneat frigiditas corpus ipsum cordis, repentina porrò & in altera differentia fit. Ac moriuntur priores illi inter dormiendum potius, vt iam non amplius expergiscantur; alteri hi quum illo modo; tum etiam inter loquendum nonnulli eorum, vt imperitis commodè videantur habere, subitò, vt qui animo deficiunt, expirant; quorum quibusdam simul prorupit sudor, aliquibus non prorupit. Hoc symptoma atque hic affectus quosdam ægrotantes, quum febre liberantur præter rationem, ac etiam nonnullos sanos potissimum in senectute, arripit. Ac raritas quidem pulsuum tantam habet perniciem; ac intermittentes multo maiorem, siquidem generantur hi producta raritate, ac quum procurantur, reuertuntur per raritatem ad pristinam mediocritatem. Nullus enim fuit, qui ab intermittentibus pulsibus alia ratione superstes esset, verùm quomodo dixi, omnes, producta enim primum admodum raritas excipit intermittentem pulsum, ab illa quies fit etiam, atque etiam breuior, dum reditum sit ad naturalem mediocritatem.

CAPVT V.

Crebri, & intercurrentes pulsus quid denotent.

Illis pulsibus, quos commemorauimus, aduersantur alteri duo, raro creber, intermittenti intercurrens, quos illis Archigenes arbitratur perniciosiores esse, à crebris falsus, quòd & præcedant & socij sint syncopes, atque ab intercurrentibus, quòd peripneumonicis interim, qui in statu periculoso sunt accidant, nonnunquam item febribus, in quibus obstructæ, vel compressæ sunt principes arteriæ. Atqui si originem respicias horum pulsuum, vanam reperias sententiam Archigenis; nam intercurrens ex crebritate fit inæquali, quòd functionem obiit cor minùs plenam, ac postularet vsus. Iam id ipsum fit, vbi à copia humorum oneratum cor sit, aut instrumenta obstructa, aut in arctum coacta, quæ quidem causæ erant etiam intermittentium. At dissident hæc re inter sese, quòd repugnat in intercurrentibus, & decertat cum noxiis causis facultas, in intermittentibus hoc piget illam facere. Sanè iudicationem sæpè pulsus intercurrentes attulerunt; est enim & veluti conatus quidam naturæ ad pugnandum paratæ. Quòd si qui ex eiusmodi iudicationibus extincti sunt, non hoc arguit maioris periculi esse affectum pulsuum intercurrentium, quàm intermittentium; multo enim maior numerus perit ex intermittentibus, & item quoque ex valde raris, quàm ex crebris. Certè quidem febres omnes valde vrentes pulsum habent crebrum,

A κατάψυξις δ' ἐστὶν ἰσχυρὰ τῶν τοιούτων σφυγμῶν αἰτία τῆς γενέσεως, ἤτοι κατὰ τὸ σῶμα τῆς καρδίας, ἢ κατὰ τὸ πνεῦμά τε καὶ αἷμα, τὸ ἐν ταῖς κοιλίαις αὐτῆς, ἢ κατά τι τῶν ὁμιλούντων μορίων. ἡ μὲν οὖν κατὰ τὸ σῶμα τῆς καρδίας αὐτὸ κατάψυξις μεγάλη, εἰς τοσοῦτο καὶ τοὺς σφυγμοὺς ἀμυδροὺς ἐργάζεται, καὶ βραδεῖς, καὶ μικρούς, εἰς ὅσον ἂν καὶ αὐτὴ δυναστεύῃ. ἡ δ' ἀπό τινος τῶν ἄλλων ὡρμημένη, τὴν ἀραιότητα πλέον, ἢ τὰ ἄλλα τὰ εἰρημένα γένη τοῦ κατὰ φύσιν ἐξίστησιν. ὥστ' ἔνιοί τινες ἐξ αὐτῶν, οὐ πολὺ τῶν κατὰ φύσιν ἐλάττους τε, καὶ βραδυτέρους, καὶ ἀμυδροτέρους ἔχοντες τοὺς σφυγμούς, ὅμως ἀπόλλυνται διὰ ταχέων. B ὁ δὲ θάνατος ἀφυκτότερος μὲν ἐστιν, ὅταν αὐτὸ τὸ σῶμα τῆς καρδίας δέξηται τὴν κατάψυξιν. ἐξαιφνίδιος δὲ γίνεται, καὶ κατὰ τὴν ἑτέραν διαφοράν. καὶ ἀποθνήσκουσιν, οἱ μὲν πρότεροι κοιμώμενοι μᾶλλον, ὡς μηκέτ' ἐξαναστῆναι, οἱ δὲ δεύτεροι, καὶ οὕτως μὲν, ἀλλὰ καὶ διαλεγόμενοί τινες ἐξ αὐτῶν, ὡς δοκεῖν τοῖς ἰδιώταις μηδὲν ἔχειν ἄτοπον, ἐξαίφνης οἷον λειποθυμήσαντες, ἀπέθανον, οἱ μὲν, ἐφιδρώσαντες, οἱ δὲ, καὶ χωρὶς τούτου. καὶ καταλαμβάνει τὸ σύμπτωμα τοῦτο, καὶ ἡ διάθεσις αὕτη, καὶ τῶν ἐν νόσοις μὲν τινας, ὅταν ἀπύρετοι γίνωνται παραλόγως, καὶ τῶν ὑγιαινόντων δὲ τινας ἐν πρεσβυτικῇ μάλιστα τῇ ἡλικίᾳ. ἀραιότης μὲν οὖν σφυγμῶν, εἰς τοσοῦτον ὀλέθριος. C καὶ μὴν δὴ καὶ οἱ διαλείποντες ἔτι καὶ μᾶλλον, εἴ γε καὶ ἡ γένεσις αὐτῶν ἐπιτεινομένης τῆς ἀραιότητος, καὶ ἡ λύσις, ἐπάνοδος εἰς τὴν ἀρχαίαν συμμετρίαν ἐστὶ δι' ἀραιότητος, οὐδεὶς γὰρ τῶν σωθέντων ἐπὶ διαλείπουσι σφυγμοῖς ἑτέρως ἐσώθη, ἀλλὰ καθ' ὃν εἴρηται τρόπον ἅπαντες. ἀραιότητος μὲν πρῶτον ἰσχυρῶς ἐκτεταμένης, διαδεξαμένης τὸ διαλείποντα σφυγμόν. ἐπ' αὐτῇ δ' ἀεὶ καὶ μᾶλλον, ὀλιγοχρονιωτέρας γινομένης τῆς ἡσυχίας ἄχρι τοῦ τὴν κατὰ φύσιν ἀπολαβεῖν συμμετρίαν.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

D *Τί ἐνδείκνυνται οἵ τε πυκνοί, καὶ παρεμπίπτοντες σφυγμοί.*

Ἐναντίοι δ' εἰσὶ τοῖς εἰρημένοις σφυγμοῖς ἕτεροι δύο, τῷ μὲν ἀραιῷ, πυκνός, τῷ διαλείποντι δ', ὁ παρεμπίπτων, οὓς ὁ Ἀρχιγένης ἔοικεν οἴεσθαι χαλεπωτέρους εἶναι τῶν προειρημένων, ἐξαπατώμενος ὑπὸ τῶν πυκνῶν, ὅτι καὶ προηγοῦνται, καὶ συνεδρεύουσι συγκοπαῖς. ἐπὶ δὲ τῶν παρεμπιπτόντων, ὅτι περιπνευμονικοῖς ἐνίοτε προσπίπτουσιν ὀλεθρίως ἔχουσι. καὶ πυρετοῖς ἐστιν ὅτε καθ' οὓς ἔμφραξις, ἢ θλίψις ἐστὶν ἀρτηριῶν κυρίων. οὐ μὴν εἴς γε τὴν γένεσιν ἀποβλέψαντι τῶν τοιούτων σφυγμῶν, ἀληθὴς ἡ δόξα φαίνεται τοῦ Ἀρχιγένους. E ὁ μὲν γὰρ παρεμπίπτων ἐπ' ἀνωμάλῳ γίνεται πυκνότητι, διὰ τὸ πολλάκις ἐνδεέστερον τῆς χρείας ἐνηργηκέναι τὴν καρδίαν. αὐτὸ δὲ τοῦτο πάλιν, ἤτοι βαρυνομένης γίνεται τῆς καρδίας ὑπὸ πλήθους, ἢ τῶν ὀργάνων ἐμπεφραγμένων, ἢ στενοχωρουμένων, ἅπερ, οἶμαι, καὶ τῶν διαλειπόντων ἦν αἴτια. διαλλάττουσιν οὖν ἀλλήλοις, τῷ τοὺς μὲν παρεμπίπτοντας ἀπομαχομένην τε, καὶ διαγωνιζομένην τοῖς ἐνοχλοῦσιν αἰτίοις ἔχειν τὴν δύναμιν, τοὺς δὲ διαλείποντας ὀκνοῦσαν τοῦτο πράττειν. ἀμέλει πολλάκις οἱ παρεμπίπτοντες σφυγμοί, κρίσιν ἤνεγκαν. εἰ γὰρ καί ἐστιν, ὥσπερ κατ' F ἄπειρον τῆς εἰς ἀγῶνα παρασκευαζομένης φύσεως. εἰ δὲ ἐκ τῶν τοιούτων κρίσεων ἀπόλλυνταί τινες, οὐδὲν τοῦτο πρὸς τὸ χαλεπωτέραν εἶναι τὴν τῶν παρεμπιπτόντων διάθεσιν, τῆς τῶν διαλειπόντων. πολὺ πλείους γὰρ ἐκ τῶν διαλειπόντων ἀπόλλυνται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, κἂν τῶν ἰσχυρῶς ἀραιῶν ἤπερ ἐκ τῶν πυκνῶν. οἱ γοῦν περικαεῖς ἅπαντες πυρετοί, πυκνὸν ἔχουσι τὸν σφυγμόν,

ἔνιοί τινες αὐτῶν ὄντες ἀκίνδυνοι. οἱ δ᾽ ἐν ταῖς συγκοπαῖς πυκνοί, διὰ τὴν ἀμυδρότητα κινδυνώδεις εἰσίν, ἀχώριστον οὖσαν ἁπασῶν συγκοπῶν, καὶ χρή, οἶμαι, τοὺς ἀμυδροτάτους σφυγμούς, εἴπερ τινὰς καὶ ἄλλους κινδυνώδεις νομίζειν, οἷοίπερ οἱ τῶν συγκοπτομένων εἰσίν, ὅλως δ᾽ ἐπισκέψασθαι καλῶς ἔχει, περὶ τῶν ἐν ἅπασι τοῖς τῶν σφυγμῶν γένεσιν ἀκροτήτων. ὅτι μὲν γὰρ ὀλέθριοι, καὶ πρὸς Ἀρχιγένους ὡμολόγηται. ποία δ᾽ ὀλεθριωτάτη πασῶν ἐστιν, οὔτ᾽ ἐκεῖνος, οὔτ᾽ ἄλλος τις ἀκριβῶς ἐπεσκέψατο. καίτοι δῆλον, ὡς ὅσηπερ ἂν ἀκρότης σφυγμῶν φαίνηται τῶν ἄλλων ὀλεθριωτάτη, καὶ τὸ κατ᾽ ἐκείνην γένος, ὀλεθριώτατον εἰκότως νομισθήσεται τῶν ἄλλων γενῶν. οὕτω δὲ καὶ εἰ παραβάλλοντες ἓν ἑνί, τὸ κατὰ θάτερον αὐτῶν ἄκρον εὑρίσκοιμεν ὀλεθριώτερον, οὐκ ἂν ἀλόγως, οὐδὲ τὸ γένος ὅλον, τοῦ γένους ὀλεθριώτερον εἴποιμεν. ἡ μὲν οὖν ἄκρα πυκνότης, οὐδὲν ἧττον τῶν συγκοπτομένων ὑπάρχει τοῖς περικαῶς πυρέττουσιν, οὐκ ἐξ ἅπαντος ὀλεθρίως διακειμένοις, ἡ δ᾽ ἀραιότης, οὐκ ἔστιν ὅτε ἀκίνδυνος ὑπάρχει. καθάπερ οὐδ᾽ ἡ ἀμυδρότης, οὐδ᾽ ἡ σμικρότης. αἱ μὲν γὰρ τρεῖς αὗται διαφοραὶ τῶν σφυγμῶν, εἰς ἄκρον ἥκουσαι, κινδυνώδεις εἰσὶ διαπαντός. οὐ μὴν τό γε μέγεθος, ὥσπερ οὐδ᾽ ἡ σφοδρότης, ἀλλ᾽ αὕτη μὲν μόνη πασῶν ἀκροτήτων, οὐχ ὅπως κινδυνώδης, ἀλλὰ καὶ μέγιστον ἀγαθόν, ἄνπερ τις αὐτὴν ἐπίστηται διαγινώσκειν. τὸ δ᾽ ἔσχατον μέγεθος, ἐπειδὰν μὲν ἅμα νοσώδει μαλακότητι συνίστηται, κινδυνῶδες, ἐπειδὰν δὲ μετά τινος ὑγιεινῆς τοῦ χιτῶνος συστάσεως, οὐδὲν ἄτοπον ἔχει. μυριάκις γὰρ ἐν τοῖς πυρετοῖς ἀκινδύνοις μὲν θερμοῖς δέ, καὶ περικαέσιν ὁ σφυγμὸς γίγνεται μέγιστος, ὅταν ἡ δύναμις εὐρωστῇ. οὐκοῦν οὐδ᾽ ἐκ τῆς τῶν ἀκροτήτων παραβολῆς, οὔτε τὸ τῶν πυκνῶν σφυγμῶν γένος ὀλεθριώτερον ἂν ἐπιδείξειέ τις τῶν ἀραιῶν. οὔτε τὸ τῶν παρεμπιπτόντων, τοῦ τῶν διαλειπόντων. ἐπεὶ δὲ ὁ λόγος ἔσπευδε μὲν ἐπὶ τὴν περὶ τούτων ἀπόδειξιν μόνων, ἐν παρέργῳ δέ, καὶ περί τινων ἄλλων ἐσκέψατο γενῶν, οὐδὲν ἂν εἴη χεῖρον ἔργον τὸ πάρεργον ποιησαμένους, τῇ μνήμῃ παραθέσθαι τὰ διδαχθέντα περὶ μεγάλου τε, καὶ μικροῦ, καὶ σφοδροῦ, καὶ ἀμυδροῦ σφυγμοῦ. κάλλιον δ᾽ εἰ καὶ τὴν λοιπὴν διαφορὰν αὐταῖς προσθείημεν τὴν κατὰ βραδύτητα, καὶ τάχος. φαίνεται γὰρ κἀνταῦθα, τὸ τῶν ταχέων γένος ἀκινδυνώτερον ὑπάρχον τῶν βραδέων. εἴ γε δὴ καὶ ἡ ἄκρα ταχύτης, τῆς ἄκρας βραδύτητος. ἡ μὲν γὰρ ἄκρα βραδύτης, ὥσπερ γε καὶ ἡ ἀραιότης, σβεννυμένης ἀποτελοῦνται τῆς ἐμφύτου θερμασίας. ἡ δ᾽ εἰς τὸ τάχος αὔξησις, διά τε τὴν χρείαν ἐπείγουσαν γίγνεται, καὶ πάντως ὑπὸ δυνάμεως ἐρρωμένης. Ἀρχιγένης δέ, κἀν τούτῳ σφάλλεται τὸν μυρμηκίζοντα σφυγμὸν ὑπολαμβάνων ταχὺν ὑπάρχειν. οὔτε γὰρ ταχὺ ὅλως ὁ τοιοῦτός ἐστι σφυγμός, οὔτ᾽ εἰς ἄκρον ἥκει πυκνότητος. ὅτι δ᾽ ἐπιεικεῖς αἱ κατὰ πυκνότητα, καὶ μέγεθος, καὶ τάχος ἀκρότητες, ἔνεστί σοι κἀνθάδε καταμαθεῖν. ἐπιλεξάμενος ὑγιαίνοντα νεανίσκον, ὀξύτατα κέλευσον δραμεῖν, καὶ τὰς τρεῖς εὐθέως εὑρήσεις γινομένας ἀκρότητας, οὐδὲν οὔτ᾽ ἔχοντος, οὔθ᾽ ἕξοντος κακὸν ἀνθρώπου. ὁ δὲ σκληρότατος σφυγμός, εὔλογον γὰρ καὶ περὶ ταύτης ἀποφήνασθαί τι τῆς διαφορᾶς, ὅπως μηδὲν ἐλλείπῃ τῷ λόγῳ, παραπλησίως ἐστὶ τῷ μαλακωτάτῳ κινδυνώδης. ὁ μὲν γάρ ἐστιν, ἤτοι διὰ σκίρρον, ἢ φλεγμονὴν τοῦ σπλάγχνου μεγάλην, ἢ πῆξιν ἐκ ψύξεως, ἢ ξηρότητα τὴν ἐκ καυσωδεστάτου πυρετοῦ γινομένην, ἢ σπασμὸν ἰσχυρόν. ὁ δὲ διά τε κῶμα βαθύ, καὶ τοὺς λευκοφλεγματίας ὕδερους, καὶ συλλήβδην εἰπεῖν ἄμετρον ὑγρότητα τῆς ἕξεως τοιοῦτος ἀποτελεῖται. ἀναλαβόντες οὖν αὖθις ἐν κεφαλαίοις τὰ λεχθέντα, τελευτὴν

quarum extra periculum quædam sunt. Qui verò in syncope sunt crebri, propter remissionem sunt periculosi, quæ perpetuò coniuncta est cum omnibus syncopis. Et verò languidissimi pulsus, si qui alij, periculosi sunt habendi; quales in syncope sunt. Omnino attendere conuenit extremitates in omnibus generibus pulsuum; nam exitiosas esse, vel Archigenes fatetur. At quæ sit exitiosissima, nec ille, nec alius gnauiter expendit quisquam; & quidem in confesso est, quæ pulsuum extremitas cæterarum perniciosissima videatur, genus etiam illius exitiosissimum meritò existimandum reliquorum generum. Ita etiam si quum alterum alteri comparamus, extremitatem alterius inueniamus exitiosiorem, non immeritò totum genus affirmemus exitiosius esse. At crebritas quidem summa non secus, ac syncopis, adest febribus vehementer vrentibus, quæ non prorsus sunt perniciosæ. Raritas verò nunquam vacat periculo, sicut nec remissio, nec paruitas; siquidem tres hæ pulsuum differentiæ, quum ad summum perueniant, perpetuò periculosæ sunt; at non magnitudo, nec verò etiam vehementia; sed hæc omnium sola extremorum non modò libera periculo est, verum etiam summum commodum est, si dignoscere eam queas. Vltima magnitudo, vbi coniuncta sit cum mollitie morbosa, periculum creat, sin cum salubri aliquo arteriæ statu, tum nihil ei subest mali, millies enim in febribus, tutis illis quidem, at calidis, & valde vrentibus, pulsus fit, quum robusta facultas fit, maximus. Quare nec ex comparatione extremorum pulsuum genus crebrorum perniciosius esse raris, vel genus intercurrentium genere intermittentium. Quum verò huic orationi proposita esset horum demonstratio solorum, nunc autem etiam attigit obiter alia quædam genera; nihil est factum damni, quòd accessorium, vt si instrumentum sit, persecuta; ob oculos disciplinam illam proposuit de magno, paruo, vehementi, languidoque pulsu. Iam præstiterit etiam, vt reliquam illis differentiam addamus tarditatis, celeritatisque. Videtur enim & hîc quoque velocium genus tardis esse securius, siquidem extrema celeritas extrema tarditate, etenim summa tarditas, non secus, atque raritas, tum incidit, quum calor natiuus extinguitur. Celeritatis procedit incrementum ab vsu vrgente, atque omnino à facultate valida. Archigenes verò etiam hic labitur, qui formicantem pulsum habeat pro celeri, neque is enim pulsus prorsus celer est, neque summum attingit crebritatis; nam leues esse crebritatis, magnitudinis, celeritatisque extremitates hinc perspicias. Delige iuuenem sanum, ac velocissimè iube currere; tres mox extremitates citra vllum incommodum hominis, vel præsens, vel imminens, deprehenderis. Durissimus iam pulsus (neque enim hæc prætereunda differentia est, quo sit integer & absolutus sermo) perinde est, vt mollissimus, periculosus. Nam ex scirrho ille, aut inflammatione insigni visceris, aut ex constrictione per frigus, aut ex siccitate ab ardentissima febre profecta, aut ex valida conuulsione; hîc ex alto comate, & hydrope, leucophlegmatia, vnoque verbo ex immodica humiditate habitus gignitur. Quare oratione summatim repetita, sermonis hic finem faciamus.

cianus. Omnes pulsus, qui longè à naturali mediocritate discesserant, non sunt boni; languidissimus verò, & tardissimus, rarissimusque omnium pessimi sunt; ab illis minimus, mollissimus, durissimus; inde creberrimus, at non celerrimus, vel maximus, sed sunt hi modicè periculosi, vnus verò inter omnes extremos optimus est, vehementissimus. Verùm de his aliter sensit Archigenes, nec vllam tamen demonstrationem in sermone protulit, quam enim haberet? nec ei assentiebatur experientia; sed impositum ei est ab illis, quæ paulò ante connumeraui. Cui ergo stat opera artis gnauiter obseruare meditando ad ægrotos, quæ docuimus, expendat, quod quidem, certò scio, facient, qui veritatem colunt. Sed quoniam satis hæc explicauimus, nunc iam de inæqualitate in vno pulsu dicendum est.

CAPVT VI.

De intermittente in vno pulsu.

Est periculosissima hîc quoque omnium, intermittens. Hæc fit, vbi distentionem interpellat quies, cuius multæ sunt species, omnes illæ quidem periculosæ, sed inter se secundum magis aut minus dissidentes. Vbi enim vehementior secundus motus sit priore, commodius est; vbi languidior, periculosius. Iam tardior item, signum est periculosius; celerior, commodius. Hi enim pulsus generantur, quum simul, & certat natura, & impeditur ab insalubribus causis. Ergo quum reiicere illas quodammodo valet, atque veluti vinculo aliquo soluta, motum à quiete præstat priore potiorem, signum est commodius; quum deteriorem, periculosius. Melior autem motus est vehemens, & celer, languido, & tardo. At verò prior motus alterum nihil excedit penè in magnitudinis, & paruitatis differentia, potest enim simili parique affectu, nunc præcedens quietem pars motus maior esse, nunc sequens, nunc ambæ esse pares. Cæterùm duritie, & mollitie nunquam distent arteriæ duo occursus, eò quòd maius spatium requirat ea mutatio, quum vel in collectiuis inæqualitatibus rarò in vna consideratione pulsum offendas duritie, & mollitie inæqualem. Vibratus tamen magis alter sæpe occursus, tum in vnius pulsus inæqualitate, tum in collectiua apparet priore: quocirca imperitiores fallat fortasse, quasi durior sit. Symptoma verò est vibratio duræ arteriæ, quum amplius cogitur vi distendi; atqui non fit tum re vera durior, sed violenter impulsa, vt distendatur amplius, hoc habet symptoma. Atque est quidem vibratus occursus æquali deterior, nisi tunica arteriæ ex causa repentina induruerit; pessimus verò, cuius tempus quietis sit prolixius. Intermittens in vno pulsu inæqualitas omnium inæqualitatum est incommodissima; causas enim habet genere easdem, ac collectiua, sed deterior illa est multo, nam illa si nihil aliud, at simplices motus confici præter vllum obicem permittit,

ἐπιθῶμεν ἤδη τῷ λόγῳ. πάντες οἱ σφυγμοὶ τῆς κατὰ φύσιν ἐπὶ πολὺ συμμετρίας ἀποχωροῦντες οὐκ ἀγαθοί, ἀλλ' ὁ μὲν ἀμυδρότατός τε, καὶ βραδύτατος, καὶ ἀραιότατος ἁπάντων χείριστος. ἑξῆς δ' αὐτῶν ὁ μικρότατος, καὶ μαλακώτατος, καὶ σκληρότατος. εἶθ' ὁ πυκνότατος, οὐ μὴν ὁ τάχιστός γε, οὐδέ γ' ὁ μέγιστος, ἀλλὰ μετρίως οὗτοι κινδυνώδεις. μόνος δ' ἐκ τῶν ἄκρων, ἄριστος ἁπάντων ὁ σφοδρότατος. Ἀρχιγένης δὲ περὶ τούτων ἑτέρως ἀπεφήνατο, μήτ' ἀπόδειξίν τινα τῷ λόγῳ προσθείς, οὐδὲ γὰρ εἶχε, μήτε τὴν ἐμπειρίαν ὁμολογοῦσαν ἔχων, ἀλλὰ παραλογισθεὶς ὑφ' ὧν ὀλίγον ἔμπροσθεν εἶπον. ὅστις οὖν ἐθέλει τῶν ἔργων τῆς τέχνης ἔχεσθαι φιλοπόνως, ἐξεταζέτω τὰ νῦν ὑφ' ἡμῶν εἰρημένα διὰ τῆς τῶν καμνόντων ἐμπειρίας. ἀλλὰ τοῦτο μὲν οἶδ' ὅτι πράξουσιν, οἷς ἀλήθεια σπουδάζεται. ἐπεὶ δὲ καὶ περὶ τούτων αὐτάρκως εἴρηται, καιρὸς ἂν εἴη λέγειν ἤδη τι, καὶ περὶ τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τοῦ καθ' ἕνα σφυγμὸν διαλείποντος.

Ἔστι δὲ κἀνταῦθα χαλεπωτάτη πασῶν ἡ διαλείπουσα. γίνεται δ' αὕτη διακοπτούσης ἡσυχίας τὴν διαστολήν. ἰδέαι δὲ πλείους αὐτῆς, ἅπασαι μὲν χαλεπαί, διαφέρουσαι δ' ἀλλήλων, τῷ μᾶλλόν τε καὶ ἧττον. ὅταν μὲν γὰρ ἡ δευτέρα κίνησις σφοδροτέρα γίνηται τῆς προτέρας, ἐπιεικέστερον. ὅταν δ' ἀμυδροτέρα, χαλεπώτερον. οὕτω δὲ καὶ ἡ μὲν βραδυτέρα, χαλεπώτερον σημεῖον, ἡ δὲ θάττων, ἐπιεικέστερον. γίνονται γὰρ οἱ τοιοῦτοι σφυγμοὶ διαγωνιζομένης τε ἅμα καὶ ἐμποδιζομένης τῆς φύσεως ὑπὸ τῶν νοσωδῶν αἰτίων. ὅταν μὲν οὖν ἀποσείσασθαί πως αὐτὰ δυνηθεῖσα, καὶ οἷον ἐκ δεσμοῦ τινος ἀπολυθεῖσα, τὴν μετὰ τὴν ἡσυχίαν κίνησιν ἀμείνονα ποιήσεται τῆς ἔμπροσθεν, ἐπιεικέστερόν ἐστιν, ὁπόταν δὲ χείρονα, χαλεπώτερον. βελτίων δὲ κίνησις ἡ σφοδρά, καὶ ταχεῖα, τῆς ἀμυδρᾶς, καὶ βραδείας. ἡ μέντοι κατὰ μέγεθός τε, καὶ σμικρότητα διαφορὰ τῆς προτέρας κινήσεως πρὸς τὴν δευτέραν, οὐδεμίαν ἀξιόλογον ὑπεροχὴν ἔχει. ἐνδέχεται γὰρ ὁμοίως, καὶ ἴσης οὔσης τῆς διαθέσεως, ποτὲ μὲν τὸ πρὸ τῆς ἡσυχίας μέρος τῆς κινήσεως μεῖζον, ποτὲ δὲ τὸ μετὰ τὴν ἡσυχίαν, ἔστιν ὅτε δ' ἄμφω γίνεσθαι παραπλήσια. κατὰ μέντοι σκληρότητά τε, καὶ μαλακότητα διαφορὰ τῶν δύο προσβολῶν τῆς ἀρτηρίας, οὐκ ἄν ποτε γένοιτο, διὰ τὸ χρόνου πλέονος ἀεὶ δεῖσθαι τὴν τοιαύτην μεταβολήν, ὅπου γε κἀν ταῖς συστηματικαῖς ἀνωμαλίαις σπάνιόν ἐστι, κατὰ μίαν ἐπίσκεψιν ἀνώμαλον κατὰ σκληρότητά τε, καὶ μαλακότητα περιτυχεῖν σφυγμῷ. κλονωδεστέρα μέντοι πολλάκις ἡ δευτέρα προσβολὴ φαίνεται τῆς προτέρας, ἔν τε τῇ καθ' ἕνα σφυγμὸν ἀνωμαλίᾳ, κἀν τῇ συστηματικῇ. καὶ διὰ τοῦτ' ἂν ἴσως ἐξαπατήσειεν τοὺς ἀνασκητοτέρους, ὡς σκληροτέρα. σύμπτωμα δ' ἐστὶν ὁ κλόνος ἀρτηρίας σκληρᾶς, ἐπιπλέον ἀναγκαζομένης βιαίως διαστέλλεσθαι. γίνεται δ' οὐ σκληροτέρα τηνικαῦτα κατά γε τὴν ἀλήθειαν, ἀλλ' ἐπιπλέον ἀναγκαζομένη βιαίως διαστέλλεσθαι, τὸ τοιοῦτον σύμπτωμα πάσχει. καί ἐστιν ἡ κλονώδης προσβολή, χείρων τῆς ὁμαλοῦς, ὅταν μὴ διά τινα πρόσφατον αἰτίαν ὁ χιτὼν τῆς ἀρτηρίας ἐσκληρυμμένος ᾖ, χειρίστη δὲ ἧς ὁ τῆς ἡσυχίας χρόνος ἐπιμηκέστερος. ἡ μὲν οὖν διαλείπουσα καθ' ἕνα σφυγμὸν ἀνωμαλία, χαλεπωτάτη πασῶν ἐστιν ἀνωμαλιῶν. γίνεται μὲν γὰρ ὑπὸ τῶν αὐτῶν κατὰ γένος αἰτιῶν, ὑφ' ὧνπερ καὶ ἡ συστηματική, πολὺ δὲ χείρων αὐτῆς ἐστιν. ἐκείνη μὲν γάρ, εἰ καὶ μηδὲν ἄλλο, τάς γοῦν ἁπλᾶς κινήσεις ἀπαρεμποδίστους ἐᾷ συντελεῖσθαι.

αὕτη δὲ, οὐ ταύτας ἐᾷ γίγνεσθαι κατὰ φύσιν, ἀλλ' ἐμποδὼν ἵσταται, καὶ στερίσκει τῆς κινήσεως τὰς ἀρτηρίας, οὐ διὰ τριῶν, ἢ τεττάρων, ἢ διά τινων ἔτι πλειόνων σφυγμῶν, ἀλλὰ κατὰ τὸν πρῶτον εὐθὺς αὐτῶν. ἅπερ οὖν ἐπ' ἐκείνης εἴρηται, ταῦτα πάντα, κἀπὶ ταύτης εἰρῆσθαι χρὴ δοκεῖν ηὐξημένως, κἂν τούτῳ μόνῳ παραλλάττοντα, τῷ τὸν θάνατον ὑπόγυον ἀπειλεῖν. ἐκ τούτου τοῦ γένους τῶν σφυγμῶν ἐστι καὶ ὁ δορκαδίζων. ἐξηγήμεθα δ' αὐτοῦ τὴν ἰδέαν, ὥσπερ οὖν καὶ τῶν ἄλλων ἁπάντων, ἐν τῷ πρώτῳ περὶ τῆς διαφορᾶς αὐτῶν.

hæc ne hos quidem pro lege naturæ obiri finit, sed obstat, motúque priuat arterias, non in tertio quoque, vel quarto, vel pluribus etiam pulsibus, sed in ipso statim primo. Quæ igitur diximus de illa, hæc sunt ad hanc omnia transferenda, sed cum accessione, vnaque hac diuersitate, quòd præsentem mortem denunciat. In hoc genere pulsuum caprizans est, cuius exposuimus naturam, aliorumque omnium in libro primo De eorum differentiis.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τί ἐνδείκνυνται σφυγμοὶ κατὰ μίαν διαστολὴν δὶς παίοντες.

ΕΤερον δέ ἐστι γένος σφυγμῶν ἀνωμάλων κατὰ μίαν διαστολήν. κοινὸν μὲν ἐχόντων, τὸ δὶς παίειν, οὐ κοινὴν δὲ τὴν αἰτίαν. ἀλλ' ὡς καὶ ἐν τῷ δευτέρῳ τῶν ἐν σφυγμοῖς αἰτιῶν εἴρηται, τρεῖς εἰσιν αἱ πρῶται τῆς γενέσεως αὐτῶν αἰτίαι. περὶ μὲν δὴ τῶν δυοῖν, εἴρηται μὲν καὶ δι' ἐκείνου τοῦ γράμματος. εἰρήσεται δὲ καὶ νῦν, ἀναμνήσεως ἕνεκα. περὶ τῆς τρίτης αἰτίας, εἴρηται μὲν ἤδη καὶ περὶ ταύτης, τό γε τοσοῦτον, ὡς ἀνώμαλός ἐστι δυσκρασία τοῦ σώματος αὐτοῦ τῆς καρδίας, ὑπερεβαλλόμεθα δὲ τὸν σύμπαντα λόγον ὑπὲρ αὐτῆς ἐνταῦθα ποιήσασθαι, καὶ τοίνυν ἥκει καιρὸς αὐτῷ, καὶ λεγέσθω. διὰ δὲ τὴν κοινωνίαν τοῦ λόγου, καὶ τοὺς ἄλλους ἅπαντας ἀνωμάλους σφυγμούς, ὅσοι ταῖς τοῦ σώματος αὐτοῦ τῆς καρδίας, ἀνωμάλοις ἀκολουθοῦσι δυσκρασίαις, ἐν τῷδε τῷ λόγῳ διέξειμεν, ἀρξάμενοι κἀνταῦθα πάλιν ἀπὸ τῶν σαφεστέρων ἀνωμαλιῶν, ἃς ὀνομάζουσι συστηματικάς. τὸ σῶμα τῆς καρδίας, ἐν ἑαυτῷ τινα δύναμιν ἔχει διασταλτικήν τε, καὶ συσταλτικήν, οὐ μάτην, οὐδ' ὡς ἔτυχεν, οὔτε δοθεῖσαν ὑπὸ τῆς φύσεως, οὔτ' ἐνεργοῦσαν, ἀλλ' ὡς ἐν ἑτέροις ἐπιδέδεικται, τοῦ φυλάττειν ἕνεκα τὴν ἔμφυτον θερμότητα. κατὰ μὲν οὖν τὰς συστολάς, ἀποχεῖ τὸ λιγνυῶδες περίττωμα, κατὰ δὲ τὰς διαστολάς, ἐπισπᾶται τὸ ἀναψῦχον αὐτήν. ὅταν μὲν οὖν ὁμαλῶς θερμόν, ἢ ψυχρόν, ἢ καθαρόν, ἢ τεθολωμένον ᾖ, πάντ' αὐτοῦ τὰ μόρια πρὸς τὴν ἐνέργειαν ὡσαύτως ἐξορμᾷ. ὅταν δ' ἤτοι τὰ μὲν θερμότερα, τὰ δὲ ψυχρότερα τύχοι τῶν μορίων αὐτοῦ, καὶ τὰ μὲν ἀκριβῶς καθαρά, τὰ δὲ τεθολωμένα τῷ πλήθει τῶν περιττωμάτων, οὐ τὴν αὐτὴν ὁρμὴν ἴσχει πρὸς τὴν ἐνέργειαν ἅπαντα, ἀλλὰ τὰ μὲν αὐτῶν φθάνει, τὰ δὲ μέλλει. κἂν τούτῳ τοῖς πλείοσί τε, καὶ ἰσχυρότερον ἐξορμήσασι πρὸς τοὔργον, ἕπεται τά τ' ὀλιγώτερα, καὶ ἀσθενέστερα. οὐ γὰρ δὴ διασπασθῆναί τε καὶ χωρισθῆναι δυνατὸν αὐτοῖς ἀπ' ἀλλήλων, ἑνὸς ὀργάνου μέρεσιν οὖσιν: ὥσπερ δὲ τὰ πλείω τε, καὶ σφοδρότερον ἐνεργεῖν ἐπειγόμενα, σύμπασαν ἐξορμᾷ τὴν καρδίαν, οὕτω πάλιν, ὅταν ἐλάττω μὲν ᾖ τὰ πρὸς τὴν κίνησιν ἐπειγόμενα, πλείω δὲ τὰ μένοντα, σύμπασαν ἐν ἡσυχίᾳ κατέχει πλείονι. καὶ δὴ καὶ τὸ τῆς κινήσεως ποιόν, ἐκ τῶν κρατούντων ἐν αὐτῇ μερῶν ὅλῳ τῷ σπλάγχνῳ γίνεται. εἰ μὲν γὰρ τὰ θερμότερα τῆς κινήσεως ἐξηγεῖται, πρωϊαίτερόν τε ἅμα, καὶ θᾶττον, καὶ μείζων ἡ διαστολὴ γίνεται, τῶν ψυχρῶν δ' ἡγουμένων, ὀψιαίτερόν τε, καὶ βραδυτέρα, καὶ μικροτέρα. πολλάκις μὲν οὖν τῷ πλήθει τῶν μορίων ἡ τῆς κινήσεως ἡγεμονία συνέπεται. πολλάκις δέ, τῷ μεγέθει τῆς χρείας. ὅσα γὰρ ἱκανῶς δεῖταί τινος, ἑτοιμότερόν τε, καὶ σφοδρότερον ἐπὶ τοὔργον ἐξορμᾷ μέν, κἂν ἴσα τῷ πλήθει ὑπάρχῃ τοῖς μὴ δεομένοις. ὅταν μὲν οὖν πολὺ πλείω τὰ ἕτερα τῶν ἑτέρων

CAPVT VII.

Quid significent pulsus, qui in vna distentione duos habent ictus.

POrrò aliud pulsuum genus est in vna distentione inæqualium, qui in communi habent binos ictus, causam tamen non habent communem. Cæterùm horum sunt, vt declarauimus in secundo libro De pulsuum causis, tres vnde generantur causæ. De duabus certe in illo libro diximus; nunc verò etiam, commemorandi gratia, dicemus de tertia causa: de qua tantum iam dictum est, inæqualem eam esse intemperiem ipsius corporis cordis, verum totam eius explicationem in hunc locum reiecimus. Nunc iam locus est eius declarandæ, atque etiam reliquos omnes pulsus inæquales, quia oratio cohæret, qui ipsius corporis cordis succedant inæquali intemperiei, hoc sermone percurram, exordiarque hic rursus orationem ab apertissimis inæqualitatibus, quas collectiuas appellant. Corpus cordis facultatem quandam obtinet, quæ distendit, & contrahit, non temerè illam quidem, nec fortuitò à natura donatam, neque ociosam, sed sicut aliis locis demonstrauimus, tuendi gratia innati caloris. Hæc in contractionibus fuliginosum excrementum effundit, in distentionibus allicit refrigerium. Itaque quum ex æquo calidum, vel frigidum, vel purum, vel turbidum sit, omnes eius partes pari impetu ad functionem contendunt: vbi verò aliæ calidiores, aliæ frigidiores sint eius partes; ac hæ omnino mundæ, illæ abundantia excrementorum confusæ; non eodem omnes impetu ad munus feruntur, sed hæ anteuertunt, illæ cunctantur. Atque hic maiorem numerum, & validius ad opus contendentem, pauciores, imbecillioresque consequuntur, neque enim diuelli illæ, neque distrahi à se mutuò, quæ vnius instrumenti sint partes possunt. Vt autem plures, & maiori vi ad actionem properantes, vniuersum cor excitant; ita contrà, vbi pauciores sint, quæ ad motum properant, quæ consistunt, plures, vniuersum in longiori quiete continent. Iam verò etiam motus qualitatem ex præpollentibus in se partibus comparat totum viscus; nam calidiores si motui præsint, maturior simul, & celerior, maiorque fit distentio, sin frigidæ, serior, tardior, atque minor, ac subinde motus principatus maiori numero partium defertur; sæpe etiam magnitudini vsus, quæ enim efflictim quippiam desiderant, hæc expeditiores ad opus, & intentiores sunt, etiam si numerum æquent non requirentium. Quum igitur longè alteræ plures sint alteris,

pro illarum ratione mouetur perpetuò viscus, & agit; at si paulo alteræ alteris, vel plures sint, vel planè pares, non possunt perpetuò alteræ esse superiores, sed vicissim vincunt, atque vincuntur; itaque varios efficiunt, & inæquales totius visceris motus. Sint enim exempli gratia, plures, at non multo, partes frigidæ calidis; hic primam actionem necesse est minorem, tardioremque esse; nec non quietem in harum victoria longiorem, quam si superarent calidæ. Iam etiam altera cordis actio vincentibus frigidis fiat; à qua iterum quies. Quin etiam tertia, & quarta præterea actio, & quies ex frigidarum victoria obeatur, quid partes calidiores, quibus maiore, pariterque celeriore atque crebriore motu est opus, nonne deficient eo, quo indigent? Itaque interea fient calidiores, ac nonnihil impartient caloris etiam vicinis; quo minùs cordis primus status seruabitur, siquidem & plures fient calidiores partes, & magis, quam antea, calidæ. Quod quia perpetuò fit, erit aliquando, quum hæ etiam victuræ contraria sint, vt & maturiùs se ad opus conferant ob vsus stimulum, ipsamque reddant actionem celeriorem, atque maiorem omnibus prioribus motibus, quibus præerant frigidæ. Accidet igitur interea, vt quæ excellebant, iusto fruantur refrigerio; quæ verò erant frigidiores, largiùs iam refrigerentur; itaque diuturnitate immutetur iterum totius cordis status, vt vincant frigidiores. Nam, quum abundè calidiores fruantur refrigerio, ipsæ verò frigidiores præter modum refrigerentur, vnaque finitimis frigiditatem impertiant, non poterunt sic frigidiores non fieri plures; simulque interdum motum totius cordis necesse est denuò ad talium vsum fingi; fierique eius raras, tardas, & paruas distentiones, quales posuimus primò fieri. Proinde quæ retulimus paulo ante de illarum immutatione, hæc nunc commemorentur iterum; simulque de reditu in pristinum statum, quæ diximus ante, ad memoriam reuoca; nam ita demum probaturum me puto tibi pulsuum continentem variationem, dum intemperies illa in corde consistat. Eodem modo, posteaquam ob fumosorum excrementorum multitudinem intemperie inæquali viscus corripiatur, in collectiuam inæqualitatem motus pulsuum erumpet. Neque verò mirum est, vel inæqualitatem vnius pulsus fieri ob cordis intemperiem; etenim partes arteriarum calidioribus eius partibus obductæ, & calidiores fient aliis, & dilatabuntur magis, celeriusque mouebuntur; frigidioribus verò obductæ, & ipsæ erunt frigidiores, & mouebuntur tardiùs, atque minùs dilatabuntur. Quum verò obductum fuerit totum vas calidioribus cordis partibus, tum celeriùs mouebitur, tum magis distendetur hoc, quàm illa, quæ frigidioribus obducta sunt. Et etiam præter cor, intemperies quædam arteriarum peculiariores, inæqualitates illas commemoratas concitant magnitudinis, paruitatis, celeritatis, tarditatis, raritatis, crebritatis; quæ si longè à natura recedant, etiam vehementiæ, & remissionis. Iam verò etiam in ipso corde, omnibusque præterea arteriis,

A ἢ, κατ' ἔνδεια διαπαντὸς κινεῖται, καὶ ἐνεργεῖ τὸ σπλάγχνον· ὅταν δὲ ἤτοι βραχεῖ τινι, τὰ ἕτερα τῶν ἑτέρων, ἢ πλείω, ἢ ἀκριβῶς ἴσα, διαπαντὸς μὲν οὐκ ἐνδέχεται κρατεῖν τὰ ἕτερα, νικῶντα δὲ ἐν μέρει τε καὶ νικώμενα, ποικίλας τε καὶ ἀνωμάλους ἐργάζεται τὰς ὅλου τοῦ σπλάγχνου κινήσεις. ἔστω γὰρ, εἰ τύχοι, πλείω μὲν, οὐ μὴν πολλῷ γέ τινι, τὰ ψυχρὰ μόρια τῶν θερμῶν, ἀνάγκη τὴν πρώτην ἐνέργειαν ἐλάττονά τε, καὶ βραδυτέραν γίνεσθαι· καὶ μὲν δὴ καὶ τὴν ἡσυχίαν ἐν τούτοις κρατοῦσι μακροτέραν, ἢ εἴπερ ἐκράτει τὰ θερμά. καὶ τοίνυν καὶ ἡ δευτέρα τῆς καρδίας ἐνέργεια, τῶν ψυχρῶν κρατούντων γινέσθω, καὶ μετ' αὐτὴν αὖθις ἡσυχία. B καὶ τρίτη γε, καὶ τετάρτη πρὸς ταύταις ἐνέργειά τε καὶ ἡσυχία κατὰ τὰ ψυχρὰ νικῶντα συντελείσθω, ἆρ' οὐ πρόδηλον, ὡς τὰ θερμότερα μόρια, τὰ μείζονός τε ἅμα, καὶ θάττονος, καὶ πυκνοτέρας δεόμενα τῆς κινήσεως, ἐνδεῶς ἀπολαύσει τῆς ἑαυτῶν χρείας; ὥστε ἐν τούτῳ θερμότερα γενήσεται, καί τι καὶ τοῖς ὁμιλοῦσι μεταδώσει θερμότητος. οὐκοῦν ἔτι φυλαχθήσεται τῆς καρδίας ἡ ἐξ ἀρχῆς διάθεσις, εἴπερ καὶ πλείω γενήσεται τὰ θερμότερα μόρια, καὶ μᾶλλον, ἢ πρόσθεν θερμά. τούτου τοίνυν ἀεὶ συμβαίνοντος, ἔσται ποτὲ χρόνος, ἐν ᾧ καὶ αὐτὰ κρατήσει τῶν ἐναντίων, ὥστε καὶ προθυμότερον ἐπὶ τὴν ἐνέργειαν ἐξορμῆσαι, διὰ τὴν τῆς χρείας ἔπειξιν, αὐτήν τε τὴν κίνησιν ποιήσασθαι θάττονά τε, καὶ μείζονα τῶν C ἔμπροσθεν ἁπασῶν κινήσεων, ὧν ἡγεῖτο τὰ ψυχρά. συμβήσεται τοιγαροῦν ἐν τούτῳ, τὰ μὲν κρατοῦντα συμμέτρως ἀπολαύειν ἐμψύξεως. ὅσα δ' ἦν ψυχρότερα, πλέον ἤδη καταψύχεσθαι. καὶ οὕτως μεταπεσεῖν αὖθις ἐν τῷ χρόνῳ τὴν διάθεσιν ὅλης τῆς καρδίας, ὡς κρατῆσαι τὰ ψυχρότερα. τῶν μὲν γὰρ θερμοτέρων, ἱκανῶς ἀπολαυόντων ἐμψύξεως, τῶν δὲ ψυχροτέρων αὐτῶν τε πλέον, ἢ δεῖ, ψυχομένων, καὶ τὰ πλησιάζοντα συγκαταψυχόντων, ἀναγκαῖον οὕτω γενέσθαι πλέονα τὰ ψυχρότερα· πάλιν δ' αὖ, ἐν τούτῳ τῷ χρόνῳ τὴν κίνησιν ὅλης τῆς καρδίας ἀναγκαῖον ἔσται D κατὰ τὴν τοιούτων χρείαν τυπωθῆναι, καὶ γενέσθαι τὰς διαστολὰς αὐτῆς ἀραιάς, καὶ βραδείας, καὶ μικράς, οἷαίπερ ὑπέκειντο γίνεσθαι κατ' ἀρχάς. ἅπερ οὖν ὀλίγον ἔμπροσθεν εἴρητο περὶ τῆς μεταπτώσεως αὐτῶν, ταῦτα χρὴ λεγέσθω καὶ νῦν· ὡσαύτως καὶ ὅσα περὶ τῆς εἰς τὴν ἐξ ἀρχῆς κατάστασιν ἐπανόδου λέλεκται πρόσθεν, ἀναμνήσθητι νῦν. οὕτω γὰρ οἶμαί σε πεισθήσεσθαι περὶ τῆς τῶν σφυγμῶν συνεχοῦς μεταπτώσεως, ἄχριπερ ἂν ἡ εἰρημένη δυσκρασία, κατὰ τὴν καρδίαν περιμένῃ. κατὰ δὲ τὸν αὐτὸν λόγον, ἐπειδὰν ἐν τῷ πλήθει τῶν λιγνυωδῶν περιττωμάτων, ἀνώμαλος ἡ δυσκρασία κατὰ τὸ σπλάγχνον, εἰς τὴν συστη- E ματικὴν ἀνωμαλίαν, καὶ ἡ τῶν σφυγμῶν κίνησις ἀχθήσεται. οὐδὲν δὲ δήπου θαυμαστὸν, οὐδὲ τὴν καθ' ἕνα σφυγμὸν ἀνωμαλίαν ἐπὶ ταῖς τῆς καρδίας δυσκρασίαις γίνεσθαι. τὰ μὲν γὰρ τοῖς θερμοτέροις αὐτῆς μέρεσι, κατευθὺ τῶν ἀρτηριῶν μόρια, θερμότερά τε γενήσεται τῶν ἄλλων, καὶ διαστήσεται μεῖζον, καὶ κινήσεται θᾶττον. τὰ δὲ τοῖς ψυχροτέροις, αὐτά τε ἔσται ψυχρότερα, καὶ βραδύτερον κινήσεται, καὶ διαστήσεται μεῖον. ὅταν δ' ὅλον ἀγγεῖον, ποτὲ κατευθὺ γένηται τοῖς θερμοτέροις μέρεσι τῆς καρδίας, θᾶττόν τε κινήσεται, καὶ μεῖζον διαστήσεται τοῦτο, τῶν τοῖς ψυχροτέροις κατευθὺ τεταγμένων. καὶ χωρὶς δὲ τῆς καρδίας, F οἰκεῖαί τινες γινόμεναι ταῖς ἀρτηρίαις δυσκρασίαι, τάς τε εἰρημένας ἀνωμαλίας ἀποτελοῦσι, τὰς κατὰ μέγεθος, καὶ μικρότητα, καὶ τάχος, καὶ βραδύτητα, καὶ ἀραιότητα, καὶ πυκνότητα, καὶ εἰ πολὺ τοῦ κατὰ τὴν φύσιν ἐκτρέποιντο, καὶ τὰς κατὰ σφοδρότητά τε, καὶ ἀμυδρότητα. καὶ μὲν δὴ καὶ κατὰ αὐτήν γε τὴν καρδίαν, καὶ προσέτι τὰς ἀρτηρίας ἁπάσας,

ἐκ τῆς κατὰ τὸ σπλάγχνον ἀνωμάλου δυσκρασίας, ἐν μιᾷ διαστολῇ πλείους γενήσονται διαφοραὶ τῶν κινήσεων, τῶν μὲν, εἰς τάχος αὐτὴν ἐξορμώντων, ἐνίων δ᾽ ἐπεχόντων τε καὶ βραδύνειν ἀναγκαζόντων. ὥστε ποτὲ καὶ στῆναι μεταξὺ κατὰ τὴν ἄνοδον, οἷόν τι συμβαίνει καὶ τοῖς ἐν ὁδοιπορίαις, ἢ καὶ ἄλλως ὁπωσοῦν ἕλκουσιν ἑτέρους βραδύνοντας. ἀντισπώμενοι γὰρ ὑπ᾽ αὐτῶν ἀτάκτως ἐκκόπτονταί τε καὶ διακόπτονται τὴν ὁρμὴν, ὡς μήτε διαπαντὸς ὁμοίαν ποιεῖσθαι τὴν κίνησιν, ἴσχεσθαί τε πολλάκις. εἰ δὲ καὶ ἀντιπράττοντάς τε καὶ ἀντισπῶντας ἕλκοιεν, οὐ μόνον ἴσχονται τῆς κινήσεως, ὡς ἤτοι βραδύτερον, ἢ μηδόλως ἐνίοτε βαδίζειν, ἀλλὰ καὶ ἀνθελκυσθῆναί ποτε εἰς τοὐπίσω. ταῦτ᾽ οὖν ἅπαντα συμβαίνει, τῇ τε καρδίᾳ, καὶ ταῖς ἀρτηρίαις, ἐν ταῖς ἀνωμάλοις δυσκρασίαις.

ex visceris illius inæquali intemperie plures in vna distentione motuum differentiæ prodibunt, partim illam ad celeritatem concitantium, partim sustinentium & motuum cogentium adeò, vt etiam in medio interdum ascensu subsistat. Id quod & illis vsu venit, qui in itinere, vel alio quouis modo alteros cunctantes trahunt; retracti enim ab illis inordinatè frangunt impetum, & interpellant, vt non eodem semper modo moueantur, imò resistant frequenter. Qui si obnitentes, ac retrahentes trahant, non modò eorum impeditur motus, vt vel tardiùs, vel nequaquam interdum procedant, verùm etiam retrahuntur aliquando rursum. Atque hæc quidem cordi, & arteriis omnia accidunt per inæqualem intemperiem.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τί ὁ δορκαδίζων τε καὶ ὁ δίκροτος ἐνδείκνυνται σφυγμός.

Καὶ ὅ γε δορκαδίζων σφυγμὸς, ἐκ τοῦ γένους μέν ἐστι τῶν ἐν ἡσυχίᾳ διαλαμβανομένων, ἐπιγίνεται δ᾽ ἐνίοτε τοιούτοις πάθεσι καρδίας, ὥσπερ γε καὶ ὁ δίκροτος ἐκ τοῦ γένους μέν ἐστι τῶν ἀνθελκομένων ἔσω, συνεδρεύει δὲ καὶ αὐτὸς, ἔστιν ὅτε ταῖς ἀνωμάλοις τῆς καρδίας δυσκρασίαις, καὶ μᾶλλόν γε, ὅταν ἀξιόλογον ᾖ κατ᾽ αὐτὴν τὸ πλῆθος τῶν αἰθαλωδῶν περιττωμάτων, ἐν πολλοῖς τῶν μορίων αὐτῆς. ἂν γὰρ ἅμα συμβῇ, τὰ μὲν ἁπλῶς εἶναι πάνυ θερμὰ, τὰ δὲ καταπνίγεσθαι καπνώδει λιγνύϊ, πρὸς τὰς ἐναντίας ἐξορμήσει κινήσεις, ὡς διαστέλλεσθαι μὲν ἐπιχειρεῖν τὰ ἕτερα, συστέλλεσθαι δὲ θάτερα. καὶ οὕτως ἤτοι διαστελλομένης τῆς ἀρτηρίας ἐνεργησάντων τῶν συστελλόντων, διαδέξεταί ποτε τὴν διαστολὴν ἡ συστολὴ, καὶ χωρὶς τῆς ἐκτὸς ἠρεμίας, ἢ συστελλομένης ἐνεργησάντων τῶν διαστελλόντων, ἢ διαδέξεται τὴν συστολὴν ἡ διαστολὴ, χωρὶς τῆς ἐντὸς ἡσυχίας. ἑκάτερον δὲ αὐτῶν ἔσται κατὰ πλείονας τρόπους, ἤτοι γὰρ ἐκνικήσει τελείως ἡ δευτέρα κίνησις τὴν προτέραν, ἢ ἐπ᾽ ὀλίγον μὲν ἀντισπάσει, νικήσασα δ᾽ ἡ προτέρα πληρώσει τὸ προκείμενον ἑαυτῇ μέτρον, ὥστε γίνεσθαι τρεῖς τὰς πάσας διαφορὰς σφυγμῶν, ἔν τε τῷ διαστέλλεσθαι, κἂν τῷ συστέλλεσθαι. προτέραν μὲν ἐπειδὰν ἐν τῷ διαστέλλεσθαι, πρὶν πληρῶσαι τὸ μέτρον ἡ συστολὴ διαδέξηται, δευτέραν δ᾽, ὅταν ἀκριβῶς πληρωθεῖσαν ἐκδέξηται, τῆς ἐκτὸς ἠρεμίας ἀπολλυμένης. τὴν τρίτην δ᾽, ὅταν ἔτι γινομένην τὴν διαστολὴν, ἀντισπάσῃ μὲν ἡ ἐναντία κίνησις, ἀσθενεστέρα δὲ γενομένη, συγχωρήσει τὸ λοιπὸν ἐκπληρῶσαι. κατὰ ταῦτα δὲ καὶ τὴν συστολὴν ἡ διαστολὴ, ποτὲ μὲν ἤδη γεγενημένην ἐκδέχεται, μὴ συγχωρήσασα στῆναι, ποτὲ δὲ καὶ πρὸ τοῦ πληρωθῆναι, κολούσασά τε καὶ νικήσασα διεδέξατο. ποτὲ δ᾽ ἀντέσπασε μὲν ὀλίγον, ἐνικήθη δέ. τοιαῦται κινήσεις ἀρτηριῶν γίνονταί ποτε, καὶ χωρὶς τοῦ τὴν καρδίαν πεπονθέναι, ἤτοι διὰ δυσκρασίαν ἀνώμαλον ἐν αὐταῖς συστᾶσαν, ἢ δι᾽ ἀρρωστίαν τῆς δυνάμεως, ἢ διὰ σκληρότητα τοῦ χιτῶνος, ὑπὲρ ὧν εἴρηται μὲν ἤδη καὶ, κἀν τῷ δευτέρῳ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, εἰρήσεται δὲ καὶ νῦν ἐν κεφαλαίοις, ἐκεῖνο πρότερον ἐπισημηναμένων ἡμῶν, ὡς τὸν περὶ τῆς κατὰ τὴν καρδίαν ἀνωμάλου δυσκρασίας λόγον, ὃν νῦν διήλθομεν, εἰς τήνδε τὴν πραγματείαν ἀνεβαλλόμεθα, διά τε τὸ ζητεῖν ἔτι καὶ βασανίζειν αὐτὸν ἐμπειρίᾳ μακρᾷ, καθάπερ καὶ τὰ ἄλλα ἅπαντα, τὰ εἰρημένα τε, καὶ λεχθησόμενα, καὶ διότι κατ᾽ ἐκείνην τὴν πραγματείαν, οὐδέπω περὶ δυνάμεως οὐσίας οὐδὲν εἰρήκαμεν. οὐδὲ γὰρ οὐδὲ τοῦτο τὸ δόγμα, πρὶν ἐν ἅπασι τοῖς κατὰ μέρος ὁμολογούμενοις εὑρεῖν, ἐτολμήσαμεν ἀποφήνασθαι.

CAPVT VIII.

Caprizans pulsus, & Dicrotus quid denotent.

Caprizans autem ex genere est illorum quidem, qui in quiete intercipiuntur; nonnunquam tamen fit in eiuscemodi cordis affectibus; vt etiam dicrotus, qui ex genere est intrò retractorum; comitatur tamen nonnunquam, & ille cordis inæqualem intemperiem; atque adeò quum collectus sit in multis eius partibus ingens excrementorum fuliginosorum aceruus. Nam si vnà contingat, vt quædam omnino sint præcalidæ, aliæ fumosa fuligine præfocentur, ad contrarios prosilient motus; vt alteræ distentionem moliantur, alteræ considant. Itaque siue quia dum distenditur arteria, partes, quæ contrahunt, actione sint functæ, succedet contractio interdum distentioni, vel citra externam quietem, siue quia, dum contrahitur, partes, quæ dilatant, actione sint functæ. Quorum vtrunque pluribus modis fiet. Aut enim planè vincet secundus motus priorem; aut aliquantum retrahet, victor autem prior modum institutum complebit; vt tres numero differentiæ fiant, & in distentione, & contractione, prima, quum distentionem, priusquam mensuram impleuerit, contractio excipiat; altera, quum prorsus completæ succedat externa quiete perdita; tertia quum distentionem motus contrarius nondum absolutam retrahat, qui debilior redditus reliquum sinat compleri. Haud aliter etiam contractionem distentio nunc absolutam consequitur, nec permittit consistere; nunc etiam, priusquam confecta sit, impeditam, & victam excipit; nonnunquam retrahit nonnihil, superatur tamen. Hi motus arteriarum fiunt interdum, vel extra affectum cordis, aut propter earum inæqualem intemperiem, aut facultatis imbecillitatem, aut propter duritiem tunicæ; de quibus, & si sermonem iam ante habuimus in secundo libro De causis pulsuum, tamen hic exponam, sed summatim; si huius primum admonuerimus, quod de inæqualis cordis intemperie modò explicauimus, in hanc nos commentationem produxisse, quum vt etiam inuestigaremus eam, & expenderemus longa experientia, sicut alia omnia, quæ dixi, & sum dicturus; tum quòd nihil dum in illis commentariis attulimus de facultatis essentia. Neque enim prius hoc decretum, quam omnibus particularibus reperissem consentiens, pronunciare fui ausus.

Nunc

Nunc quando essentiam facultatum persuasi sumus nihil esse præter qualitatem temperamenti, omniáque & in dignoscendo, & præcognoscendo, & curando, conuenire cum hoc decreto animaduertimus, non absurdè nos arbitramur fecisse, qui pulsus hic comitantes cordis inæqualem intemperiem explicauimus. In quibus, sunt nonnulli vti dicebamus, qui etiam absque illa constent. Itaque dicrotus quidam est pulsus vibratus, quem primò quidem vnum bis ferire putaui, verbis deceptus Archigenis, geminis ipsum mallei ictibus ad incudem assimilans. Quum enim durum quiddam resultare ab altero duro statuissem, à quibus adductus sum circa notionem rei in errorem, ex iisdem in dignoscenda ipsa sum lapsus. At posteaquàm incumbens semper, & instans sedulò, vt contractionem dignoscerem, tandem arteriam manifestò sensi modò mollem, & non vibratam considere aliquantum, moxque distentionem conficere, posthac affectus obseruaui, qui habent eos pulsus, & tandem aliquando à multa obseruatione, hæc potui constanter, quæ nunc expono affirmare. Sanè mihi videtur etiam Achigenes accuratè pulsus bis ferientes obseruasse, sed parum bene eos declarare; & affectus, quos comitantur, ignorare. Neque enim ita nudè eos, neque mallei geminis ictibus ad incudem assimilaret; neque præteriret, vnde procedant, originem. Id quod etiam nos multo post tempore assecuti sumus, necnon huius commentationis alia complura. Túque rem esse ita comperies, si modo diligentiam aliquam & studium in opus conferre volueris, quale nos adhibuimus; nam absque eo, nec cognoscere de illis quicquam veri valeas, & ipse operam ludas. Tres ergo affectus hactenus, originesque bis ferientium pulsuum inuenimus; Vnam vibratorum, hac sola re ab illis distinctam, quòd quum breuem pulsus longitudinem habeat ex vtraque parte arteriæ, obscura vibratio fit; quamobrem dicrotus, non vibratus videtur; Alteram, in qua non vibratus est pulsus, sed arteria dura, adeóque facultas imbecilla, vt à corporibus incumbentibus grauetur, tamen aliqua parte sita ad cutem attollatur liberè; hanc enim quum solam sensu percipiant tangentes, erit aliquando pulsus dicrotus, vbi præ oneris leuitate exilientem illam partes vtrinque considentes, nec consequentes retrahant, à corporibus impositis grauatæ; quæ idcirco nec sensibilem concitant motum, nec quem concitant, hunc concitant similiter parti arteriæ conspicuæ, cæterùm cunctantem, & morantem, interea enim fit, vt ab illis, quæ priùs exiliit, retrahatur, quum dura est arteria, nam aliàs in eiuscemodi affectibus non fiat retractio. Atque hi quidem duo pulsus, tum dicroti sunt, tum duri. Tertius, qui ex intemperie nascitur, haud est dicrotus, sed bis modò pulsans, neque necessariò durus, quem si velit quis dicrotum appellare, nihil refert, hoc tantùm meminerit, non esse similem corporibus duris, quæ à duris repercutiantur, sed vt paulo ante diximus, concertantibus fit, mutuo, duabus facultatibus,

νῦν δ᾽ ἐπεὶ πεπείσμεθά τε τὴν οὐσίαν τῶν δυνάμεων, οὐδὲν ἄλλο παρὰ τὴν ποιὰν εἶναι κρᾶσιν, ἅπαντά τε τὰ κατὰ τὰς διαγνώσεις τε, καὶ προῤῥήσεις, καὶ θεραπείας ἐπὶ τούτῳ τῷ δόγματι συμφωνοῦνθ᾽ εὑρίσκομεν, εὐλόγως οἶμαι καὶ τοὺς ἑπομένους ταῖς ἀνωμάλοις δυσκρασίαις τῆς καρδίας σφυγμοὺς, ἐνταῦθα διήλθομεν. Εἰσὶ δ᾽, ὡς ἐλέγομεν, ἔνιοί τινες ἐξ αὐτῶν, καὶ χωρὶς ἐκείνης συνιστάμενοι. δίκροτος οὖν τίς ἐστι σφυγμὸς κλονώδης, ὃν δὴ καὶ μόνον ᾤμην, τό γε κατ᾽ ἀρχὰς εἶναι πλήττοντα δὶς, ἐξαπατώμενος ὑφ᾽ ὧν ἔλεγεν Ἀρχιγένης, εἰκάζων αὐτὸν ταῖς τῆς σφύρας διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς. ἀποπάλλεσθαι γάρ τι σκληρὸν ἀφ᾽ ἑτέρου σκληροῦ, κατὰ τὰς τοιαύτας πληγὰς ὑποθέμενος, ἐξ ὧν ἐσφάλην περὶ τὴν ἔννοιαν τοῦ πράγματος, ἐκ τούτων καὶ περὶ τὴν διάγνωσιν ἐσφαλόμην. ἐπεὶ δὲ ἐν τῷ χρόνῳ προσεδρεύων ἀεὶ, καὶ λιπαρῶς ἐγκείμενος τῇ διαγνώσει τῆς συστολῆς, ἐναργῶς ᾐσθόμην ἀρτηρίας ποτὲ μαλακῆς, καὶ ἀκλόνου συσταλείσης ἐπὶ βραχὺ, κᾄπειτ᾽ αὖθις ἐκπληρωσάσης τὴν διαστολὴν, ἐκ τούτου τάς τε διαθέσεις, ἐφ᾽ αἷς οἱ τοιοῦτοι γίνονται σφυγμοὶ παρεφύλαξα, καὶ χρόνῳ ποτὲ μακρῷ, σὺν πολλῇ τῇ σκέψει, βεβαίως ἠδυνήθην ἀποφήνασθαι ταῦθ᾽, ἅπερ νῦν διεξέρχομαι. φαίνεται δέ μοι καὶ ὁ Ἀρχιγένης, ἐπιμελῶς μὲν παραπεφυλακέναι τοὺς δὶς παίοντας σφυγμοὺς, οὔτε δ᾽ ἑρμηνεῦσαι αὐτοὺς ὀρθῶς, οὔτε τὰς διαθέσεις, αἷς ἕπονται διαγινώσκειν, ἢ οὐκ ἂν ἁπλῶς οὕτως, οὔτε ταῖς τῆς σφύρας διπλαῖς πρὸς τὸν ἄκμονα πληγαῖς εἴκασεν αὐτοὺς, οὔτε παρέλιπεν εἰπεῖν, ὅς τις ὁ τρόπος ἐστὶ τῆς γενέσεως αὐτῶν. ἀλλ᾽ ἡμῖν γε καὶ τοῦτο εὑρέθη μετὰ χρόνον πολὺν, ὥσπερ καὶ ἄλλα πάμπολλα τῆς θεωρίας. καὶ σὺ οὕτως ἔχειν τὸ πρᾶγμα μὲν εὑρήσεις. εἰ μόνον ἐθελήσαις τινὰ φιλοπονίαν τε, καὶ σπουδὴν εἰσενέγκασθαι περὶ τοὔργον, οἵαν ἡμεῖς εἰσενεγκάμεθα. χωρὶς γὰρ ταύτης, οὔτε γνῶναι δυνήσεται, τὴν ἐν αὐτοῖς ἀλήθειαν, οὔτ᾽ αὐτὸς ὠφεληθῆναί τι. τρεῖς οὖν εὑρήκαμεν ἄχρι δεῦρο, καὶ διαθέσεις, καὶ γενέσεις τῶν δὶς παιόντων σφυγμῶν. μίαν μὲν τὴν τῶν κλονωδῶν, κατὰ τοῦτο μόνον αὐτῶν ἀποκεχωρηκυῖαν, ὅτι βραχέος γινομένου κατὰ τὸ μῆκος, τοῦ σφυγμοῦ τῶν ἑκατέρωθεν μερῶν τῆς ἀρτηρίας, ἀφανὴς ὁ κλόνος ἐστὶ, καὶ διὰ τοῦτο δίκροτος, οὐ κλονώδης φαίνεται. δευτέραν δὲ, καθ᾽ ἣν ὁ μὲν σφυγμὸς ἄκλονός ἐστιν, ἡ δ᾽ ἀρτηρία σκληρὰ, καὶ ἡ δύναμις ἀσθενὴς εἰς τοσοῦτον, ὡς βαρύνεσθαι μὲν ὑπὸ τῶν ἐπικειμένων σωμάτων, ὅμως δὲ κατά τι μέρος ἐν τῷ δέρματι τεταγμένον ἀκωλύτως ἀναφέρεσθαι. τούτου γὰρ μόνου τοῖς ἁπτομένοις εἰς αἴσθησιν ἥκοντος, ἔσται ποτὲ δίκροτος ὁ σφυγμὸς, ὅταν ἐξορμήσαν αὐτὸ διὰ τὴν τῶν ἐπικειμένων κουφότητα, πάλιν ἀντισπάσῃ κατέχοντά τε καὶ μὴ συνεπόμενα τὰ ἑκατέρωθεν μόρια, τὰ πρὸς τῶν ἐπικειμένων σωμάτων βαρυνόμενα, καὶ διὰ τοῦτο, καὶ μήτ᾽ αἰσθητὴν ὅλως ποιούμενα τὴν κίνησιν, μήθ᾽ ἣν ποιεῖται τὴν αὐτὴν τῷ φαινομένῳ μέρει τῆς ἀρτηρίας, ἀλλὰ μεμελλημένην τε, καὶ βραδύνουσαν. ἐν τούτῳ γὰρ ἀντισπᾶσθαι συμβαίνει πρὸς αὐτῶν τὸ φθάνον ἐξορμῆσαι, σκληρᾶς οὔσης τῆς ἀρτηρίας. ἄλλως γὰρ οὐκ ἐγχωρεῖ γενέσθαι τὴν ἀντίσπασιν, ἐν ταῖς τοιαύταις διαθέσεσιν. οὗτοι μὲν οὖν οἱ δύο σφυγμοὶ δίκροτοί τε εἰσὶ, καὶ σκληροὶ, ὁ δὲ τρίτος, ὁ ἐπὶ δυσκρασίᾳ γινόμενος, οὔτε δίκροτος, ἀλλὰ δὶς πλήττων μόνον, οὔτ᾽ ἐξ ἀνάγκης σκληρός. εἰ δὲ καὶ τοῦτόν τις ὀνομάζειν ἐθέλει δίκροτον, οὐδὲν διαφέρει. μεμνήσθω δὲ μόνον, ὡς οὐκ ἔστιν ὅμοιος τοῖς ἀποπαλλομένοις σώμασιν ἀπὸ σκληρῶν σκληροῖς, ἀλλ᾽ ὡς ὀλίγον ἔμπροσθεν εἴρηται, διαμαχομένων ἀλλήλαις γίγνεται τῶν δύο δυνάμεων,

τῆς τε διαστελλομένης, καὶ τῆς συστελλούσης τὴν καρδίαν. ἐν τίσι δὲ νοσήμασι, καὶ κατὰ ποίας αἰτίας τε, καὶ διαθέσεις εἰς ἀνώμαλον ἀφικνεῖται δυσκρασίαν ἡ καρδία, νῦν μὲν οὐκ ἐπείγει λέγειν. ἐν δὲ τοῖς ἑξῆς ὑπομνήμασιν, εἰρήσεται. κατὰ δὲ τὸ παρὸν, ἀρκέσει τό γε τοσοῦτον, ὡς ἐπὶ ταῖς ἀνωμάλοις δυσκρασίαις τῆς καρδίας, καὶ ὅσα γε κατ' αὐτὸ τὸ σῶμα τοῦ σπλάγχνου συνίστανται, γίνεται μὲν καὶ ὁ δὶς παίων σφυγμὸς, γίνεται δὲ καὶ ὁ τὴν ἐκτὸς ἠρεμίαν ἀπολλύς. ἔτι τε πρὸς τούτοις, καὶ ὁ κολουόμενος τὴν διαστολήν. ἐδείχθη δ' ὅτι καὶ οἱ διακοπτόμενοι τὴν κίνησιν ἡσυχίᾳ, καὶ αὐτοὶ γίνονται πάντες ἐπὶ ταῖς ἀνωμάλοις τῆς καρδίας δυσκρασίαις. οὐ μὴν, ἀλλὰ καὶ ὅσοι χωρὶς τοῦ διακόπτεσθαι τὴν διαστολὴν, ἀνώμαλοι φαίνονται κατὰ βραδύτητά τε καὶ τάχος, εὔδηλον ὅτι καὶ οὗτοι πρὸς ταῖς ἄλλαις αἰτίαις, ὑφ' ὧν ἐδείχθησαν γίνεσθαι, καὶ αὐτὴν ταύτην ἕξουσιν, ὑπὲρ ἧς ὁ λόγος ἐνέστηκε τὴν ἀνώμαλον τῆς καρδίας δυσκρασίαν, ὅταν ἐπὶ τοσοῦτον ἀλλήλοις διαμάχηται τὰ θερμὰ μόρια τοῖς ψυχροῖς, ὡς ποτὲ μὲν ἀναγκάζεσθαι βραδύνειν τὰ θερμὰ, πρὸς τῶν ψυχρῶν κατεχόμενα. ποτὲ δὲ θᾶττον κινεῖσθαι τὰ ψυχρὰ, πρὸς τῶν θερμῶν ἐφελκόμενα.

& quæ distendit, & quæ contrahit cor. At quibus in morbis, quibusque de causis, & affectibus ad inæqualem cor intemperiem deueniat, nihil est, quòd nunc dicam, sed in proximis commentariis explicabitur. Tantùm hoc loco satis sit, inæqualem intemperiem cordis, quæ quidem in ipso corpore visceris consistat, comitari pulsum bis ferientem, consequi etiam illum, qui perdidit externam quietem, ad hæc illum, cuius impeditur distentio. Præterea demonstrauimus, illos quorum motus interpellatur quiete, comitari omnes inæqualem cordis intemperiem. Quinetiam citra interpellatam distentionem, qui inæquali repræsentantur tarditate, & crebritate, planè etiam hi præter alias, à quibus gigni eos demonstrauimus, & hanc causam obtinebunt, de qua sermo habetur, inæqualem cordis intemperiem; si quando inter se adeò contendant calidæ partes cùm frigidis; vt subsistere interdum necesse habeant calidæ retentæ à frigidis; interdum celerius frigidæ moueri à calidis attractæ.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Κυματώδης καὶ σκωληκίζων σφυγμὸς, τί ἐνδείκνυται.

Ἕτερον ἐπὶ τοῖς εἰρημένοις γένος ἐστὶν ἀνωμαλίας, τῆς καθ' ἕνα σφυγμὸν, οὐκ ὀλιγάκις φαινόμενον, οὐδ' ἐπ' ὀλίγων παθῶν. ἀλλ' εἴπερ τι καὶ ἄλλο, πολλάκις τε καὶ ἐπὶ πολλῶν. εὑρίσκεται δὲ ἐν αὐτῷ τὸ ἐγγύτερον τῆς ἀρχῆς μέρος τῆς ἀρτηρίας, πρότερον κινούμενον. καὶ ὅ γε κυματώδης τε καὶ ὁ σκωληκίζων σφυγμὸς, ἐκ τούτου τοῦ γένους εἰσὶν, ἐπὶ μαλακῇ μὲν ἀρτηρίᾳ δυνάμει δ' οὐκ εὐρώστῳ, συνιστάμενοι. ὁ μὲν οὖν σκωληκίζων, οὐ μόνον οὐκ εὔρωστον, ἀλλὰ καὶ καταλελυμένην ἐνδείκνυται τὴν δύναμιν, ὁ δὲ κυματώδης ἐστὶν ὅτε μὲν αὐτὸ δὴ τοῦτο μόνον οὐκ εὔρωστον, οὐ μὴν ἤδη γέ πω καταλελυμένην. ἔστι δ' ὅτε καὶ τόνου μετρίου μετέχουσαν. ἡνίκα μάλιστα κρίσιμον ἱδρῶτα προδηλοῖ. εὑρίσκεται μὲν γὰρ ἐν ὑγροῖς τε καὶ φλεγματικοῖς νοσήμασιν, ὅταν αὐτὰ τὰ στερεὰ σώματα μαλακὰ γένηται τῷ πλήθει τῆς ὑγρότητος τεγχθέντα. συμβαίνει δὲ μάλιστα τοῦτο κατὰ τὰ ληθαργικὰ πάθη, καὶ τοὺς ἀμφημερινοὺς πυρετοὺς, καὶ προσέτι τοὺς ἑλώδεις τε καὶ τυφώδεις ὀνομαζομένους. καὶ δὴ καὶ βραδύτητα, καὶ ἀραιότητα, καὶ μέγεθος ἐν τοῖς τοιούτοις ἅπασιν ὁ σφυγμὸς προσλαμβάνει. εἰ δὲ καὶ ὕψος, ἢ σφοδρότητά ποτε προσκτήσαιτο, κρίσιμον ἱδρῶτα δηλώσει. μᾶλλον δ' ἐλπίζειν ἔσεσθαι τοῦτο, πλειόνων τῶν σφοδρῶν τε, καὶ ὑψηλῶν φαινομένων, ἤπερ τῶν ἐναντίων. εἰ δ' ὁμαλῶς τοιοῦτοι φαίνοιντο, χρηστὸν ἅμα καὶ διὰ ταχέων ἔσεσθαι τὸν ἱδρῶτα σημαίνουσι, καὶ μᾶλλον, εἰ καὶ τὰ τῆς πέψεως τοῦ νοσήματος ὑπάρχει γνωρίσματα. πρόδηλον δὲ δήπουθεν, ὡς οὔτε φλεγμονή τις, οὔτε σκίρρος, οὔτε πῆξις ἐκ ψύξεως, οὔτε ξηρότης ἄμετρος, οὔτε σπασμώδης διάθεσις ὑπάρχει κατὰ τὸ σῶμα τἀνθρώπου κυματώδους ὄντος τοῦ σφυγμοῦ. διότι μήτε σκληρύνεσθαι δυνατόν ἐστι, μήτε τετάσθαι τὴν ἀρτηρίαν ἐν τῷ τοιούτῳ σφυγμῷ. χρὴ γὰρ, ὡς ἀρτίως εἴρηται, μαλακὴν ἀκριβῶς ὑπάρχειν αὐτὴν, ἵν' ὅταν ὁ διεγείρων τε καὶ διαστέλλων τόνος ὀκλάσῃ κατά τι, κατ' ἐκεῖνο, καὶ αὕτη καταπίπτουσα τὴν τοῦ κύματος ἐργάζηται περιγραφήν. ἡ σκληρὰ δὲ, καὶ ἡ τεταμένη, κἂν ἐνδῷ κατά τι τῆς διαστελλούσης αὐτὴν δυνάμεως ἀρρωστούσης, ἀλλά τοι καὶ αὐτὸ τοῦτο τὸ μόριον αὖθις συνεξαίρεται τοῖς ἑκατέρωθεν.

CAPVT IX.

Vndosus, & Vermiculans, quid annuncient.

ALiud ad superiora genus est inæqualitatis in vno pulsu, quod non rarò animaduertitur, nec in paucis affectibus; imò præter cætera frequenter, atque in multis. Inuenitur hoc tum, quum arteriæ propinquior pars principio prius mouetur. In quo genere vndosus, atque vermiculans pulsus sunt, quos mollis arteria, & facultas non valida constituunt. Ac vermiculans non modò non validam, sed & infirmam facultatem denunciat. Vndosus interdum hoc ipsum duntaxat significat, non firmam esse, non statim tamen infirmam, interdum etiam mediocriter firmam, quum præsertim decretorium sudorem promittit, in humidis enim inuenitur, & pituitosis morbis, quum ipsa solida corpora nimia humiditate imbuta emollita sint, id quod potissimum accidit in morbis lethargicis, & febribus quotidianis, illisque etiam, quas palustres, & typhodes appellant. Iam etiam tarditatem, & raritatem, magnitudinemque in his omnibus acquirit pulsus; qui si præterea altitudinem, & vehementiam nactus sit, decretorium sudorem significabit. Magis hic sperandus est, si plures vehementes, & alti appareant, quam contrarij. Qui si æqualiter appareant, salubrem simul, & breui sudorem promittunt, maximè si indicia appareant concoctionis morbi; siquidem liquet vtique nec inflammationem vllam, nec scirrhum, nec constrictionem ex frigore, nec immodicam siccitatem, nec affectum conuellentem corpus hominis, si vndosus sit pulsus, tenere, quòd nec indurescere in eo pulsus, nec tendi arteria possit, etenim molli omninò, vt modò dictum est, ea est opus, quo quum robur, quod excitat, & distendit, claudicet alicubi, illic hæc decidat, atque velut vndæ formam efficiat. At dura, & contenta etiam sicubi, infirma, quæ ipsam attollit, facultate, cesserit, ea ipsa tamen pars vnà cum illis, quæ ex vtroque latere sunt attollitur.

Proinde in dura arteria, ne si quando reperias quidem eiuscemodi pulsum, vt prior semper eius pars priùs distendatur, vndosus, tum vel vermiculans fiet; verùm potius inæqualitatem habebit, quæ consistit in prima, & vltima parte arteriæ, quę mouetur, tunicæ. Vndosi & vermiculantes quum hoc habent, tum verò cumulum obtinent quasi vndarum formam, qui in humidis occurrunt affectibus, quum nulli visceri scirrhus inest, aut inflammatio. Verumenimuerò, & in hydrope, præcipuè qui anasarca, & leucophlegmatias vocatur, talem perpetuò pulsum reperies, nisi quia induruerint scirrho quædam viscera, acciderit (quod frequens est) hydrops. Nam illum quidem, quem suppressa hæmorrhois, vel menstruorum suppressio commisit, attendimus exactos sæpè vndosos, & vermiculantes pulsus comitari; quandoquidem frequenter in eiuscemodi hydrope nullum indurescit scirrho viscus. Itaque vt de integro sermonem summatim resumam, vndosus pulsus ex humida mollique arteria oritur, simulque ex facultate modicè affecta; vermiculans ex molli quidem, verùm ex debilitata insigniter facultate. Quamobrem etiam sine febribus verè solet largis vacuationibus succedere, sanguinisque profluuiis, & alui fluoribus, choleris, validis purgationibus, vomitibus vehementibus, vrinis copiosis, denique mensium immodicis profluuiis, ad hæc vacuationibus per hæmorrhoidas, sanguinisque ab vtero profluuiis. Iam fluorem etiam muliebrem, quem vocant, sudoresque prauos, hic pulsus excipit. Et verò etiam hos, quibus immodica humiditate computruit pulmo, id scilicet temporis, quum eorum iam laboret facultas. Verùm si qua tamen eum affectum inflammatio consequatur, additur illis durities, neque amplius videntur vermiculantes. Proinde nec hecticas, quas vocant, febres (in quarum numero marcidæ sunt omnes, & quæ tabi sunt adiunctæ) consequuntur pulsus vermiculantes; consequuturi omninò, quod ad affectam attinet facultatem, nisi coniuncta hisce affectibus siccitas, arterias redderet duras. Attamen habent illi prorsus huius generis pulsuum inæqualitatem, vbi fuerit insigniter facultas debilitata, ob quam in priore arterię parte diximus prius apparere motum; quod esse Erasistratus perpetuum confirmat, verùm secus se res habere cernitur, vt nunc declarauimus.

CAPVT X.

Decurtati quid significent.

POst prædictos pulsus sunt illi, quos decurtatos appellant. Horum duplex est genus, alterum in vna distentione arteriæ, alterum in aceruo. Quod in vna distentione fit, facultatis imbecillitatem vna cum corporis gracilitate arguit. Est autem admotis digitis arteria tangenda; deinde, si animaduertatur interea in arteriæ primis partibus maior pulsus vel vehementior, vel vterque; in postremis minor, vel languidior, vel ambo; primus digitorum applicatorum est attollendus, perspiciendumque, vtrùm similem illi, qui ante erat, quàm hic sustolleretur, sequentes digiti motum percipiant, an vehementiorem, & maiorem; nam languidiorem quidem certè, vel minorem, vbi eleuatus sit primus digitus, omninò sentire ne-

ὅθεν οὐδ' εἰ φανείη ποτὲ κατὰ τὴν σκληρὰν ἀρτηρίαν ὁ σφυγμὸς τοιοῦτος, ὡς τὸ πρότερον ἀεὶ μέρος αὐτῆς διαστέλλεσθαι πρότερον, οὐδὲ τότε κυματώδης, ἢ σκωληκίζων γενήσεται. ἀλλὰ μᾶλλον ἀνωμαλίαν ἔχων τὴν κατὰ τὸ πρότερόν γε, καὶ ὕστερον μέρος τῆς ἀρτηρίας τοῦ χιτῶνος κινουμένης γινομένην. οἱ κυματώδεις δὲ, καὶ οἱ σκωληκίζοντες, καὶ τοῦτο μὲν ἔχουσιν, ἀλλὰ καὶ τὴν τῶν κυμάτων περιγραφὴν ἐξ ἐπιμέτρου προσλαμβάνουσιν, εὑρίσκονται δ' ἐν τοῖς ὑγροῖς, ὡς εἴρηται, πάθεσιν, ὅταν μήτε σκίρρος ᾖ περὶ σπλάγχνον τι, μήτε φλεγμονή. ἐπεί τοι κἀν τοῖς ὕδεροις, καὶ μάλιστα τοῖς ἀνὰ σάρκα τε, καὶ λευκοφλεγματίαις ὀνομαζομένοις, τοιοῦτος ἂν ἐφαίνετο διαπαντὸς ὁ σφυγμὸς, εἰ μὴ διὰ τὸ σκιῤῥοῦσθαί τινα σπλάγχνα συνέβαινον οἱ ὕδεροι τὰ πολλά. τοῖς γὰρ ἐξ αἱμοῤῥοΐδος ἐπισχέσεως, ἢ καταμηνίων ἐποχῆς ἐθεασάμεθα πολλάκις ἀκριβῶς κυματώδεις τε, καὶ σκωληκίζοντας ἑπομένους σφυγμοὺς, ἐπειδὴ πολλάκις ἐν τοῖς τοιούτοις ὕδεροις, οὐδὲν τῶν σπλάγχνων σκιῤῥοῦται. ἐν κοινῷ, ἀναληπτέον γὰρ αὖθις ἐπὶ κεφαλαίων τὸν λόγον, ὁ κυματώδης σφυγμὸς ὑγρᾶς ἐστι, καὶ μαλακῆς ἀρτηρίας ἔγγονος, ἅμα δυνάμει καμνούσῃ μετρίως. ὁ δὲ σκωληκίζων ἀρτηρίας μὲν μαλακῆς, ἀῤῥώστου δ' ἱκανῶς δυνάμεως. διὰ τοῦτο γοῦν καὶ χωρὶς πυρετῶν, ὡς τὰ πολλὰ φαίνεται γινόμενος ἐπὶ κενώσεσι λάβροις, αἱμοῤῥαγίαις τε καὶ διαῤῥοίαις, καὶ χολέραις, καὶ καθάρσεσιν ἰσχυραῖς, ἐμέτοις τε σφοδροῖς, καὶ οὔροις παμπόλλοις, καὶ καταμηνίων ἀμέτροις καταῤῥήξεσιν. οὕτως δὲ καὶ ταῖς δι' αἱμοῤῥοΐδων κενώσεσι, καὶ ταῖς ἐκ μήτρας αἱμοῤῥαγίαις, ἔτι τε τῷ καλουμένῳ ῥῷ γυναικείῳ, καὶ μοχθηροῖς ἱδρῶσιν ὁ τοιοῦτος ἐπιγίνεται σφυγμὸς, οὐδὲν ἧττον δὲ καὶ τοῖς ὑγρότητι πολλῇ διασαπεῖσι τὸν πνεύμονα, καθ' ὃν ἤδη χρόνον ἂν, ἡ δύναμις αὐτῶν κάμνῃ. εἰ μέντοι τι φλεγμονῶδες ἐπιγένηται τῇ τοιαύτῃ διαθέσει, σκληρότητα προσλαμβάνοντες, οὐκ ἔτι φαίνονται σκωληκίζοντες. διὰ τοῦτο γοῦν οὐδὲ τοῖς ἑκτικοῖς ὀνομαζομένοις πυρετοῖς, ὧν εἰσι καὶ οἱ μαρασμώδεις ἅπαντες, καὶ οἱ ἐπὶ ταῖς φθόαις, οὐ γίνονται σκωληκίζοντες οἱ σφυγμοὶ, γενόμενοι πάντως ἂν, ὅσον ἐπὶ τῷ κάμνειν τὴν δύναμιν, ἀλλ' ἡ συνοῦσα τοῖς πάθεσι ξηρότης, σκληρὰς ἀποτελεῖ τὰς ἀρτηρίας. ἡ μέντοι τοῦ γένους τούτου τῶν σφυγμῶν ἀνωμαλία συμπίπτει πάντως αὐτοῖς, ὅταν ἰσχυρῶς κάμνωσι τὴν δύναμιν, ἐφ' ἧς εἴπομεν ἐν προτέρῳ μορίῳ τῆς ἀρτηρίας τὴν κίνησιν φαίνεσθαι πρότερον, ὅπερ Ἐρασίστρατος μὲν ἀεὶ βούλεται γίνεσθαι. φαίνεται δ' οὐχ ὧδε συμβαῖνον, ἀλλ' ὡς δὴ νῦν λέλεκται.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τί μύουροι σφυγμοὶ σημαίνουσι.

ΕΞῆς τοῖς εἰρημένοις σφυγμοῖς εἰσιν, οἱ προσαγορευόμενοι μύουροι. διττὸν δὲ τὸ γένος αὐτῶν ἐστι. τὸ μὲν ἕτερον ἐν μιᾷ διαστολῇ τῆς ἀρτηρίας, τὸ δὲ ἕτερον ἐν ἀθροίσματι. τὸ μὲν οὖν ἐν μιᾷ διαστολῇ γιγνόμενον, ἀσθένειαν ἐνδείκνυται δυνάμεως ἅμα σώματος ἰσχνότητι. χρὴ δ' ἐπιβάλλοντα τοὺς δακτύλους, ἅπτεσθαι τῆς ἀρτηρίας, εἶθ' ὅταν ἐν τούτῳ φαίνηται κατὰ μὲν τὰ πρῶτα μέρη τῆς ἀρτηρίας, μείζων ὁ σφυγμὸς, ἢ σφοδρότερος, ἢ συναμφότερον, ἐν δὲ τοῖς ὑποκάτω, μικρότερος, ἢ ἀμυδρότερος, ἢ ἄμφω, τὸν μὲν πρῶτον τῶν ἐπιβεβλημένων δακτύλων ἐπαίρειν, καὶ σκέπτεσθαι, πότερον ὁμοίας τῇ πρὶν ἀρθῆναι τοῦτον, αἰσθάνονται κινήσεως οἱ ἐφεξῆς, ἢ σφοδροτέρας τε, καὶ μείζονος. ἀμυδροτέρας μὲν γὰρ, ἢ μικροτέρας ἀδύνατον αἰσθάνεσθαι, τοῦ πρώτου δακτύλου

μετεωρισθέντος. εἰ μὲν οὖν ὁμοίας ἔτι κινήσεως, οἱ μετὰ τὸν ἐπαρθέντα δάκτυλον αἰσθάνονται, κατὰ τὸν ἑαυτῆς λόγον ἡ ἀρτηρία μυούρως διεστέλλετο, καὶ εἴη ἂν τοῦτο σημεῖον ἀτόνου δυνάμεως, ἣν ἀπὸ τῆς καρδίας ἐπιρρεῖν αὐταῖς ἐπεδείξαμεν. ἐν μὲν γὰρ τῷ κατὰ φύσιν ἔχειν, ἄχρι τοῦ πέρατος ἁπασῶν τῶν ἀρτηριῶν, ὁ διαστέλλων αὐτὰς τόνος ὁμοίως ἐξικνεῖται. κατὰ δὲ τοὺς μυουρίζοντας, ἐκλύεται κατὰ βραχὺ τοσοῦτον ἑαυτοῦ γινόμενος ἀσθενέστερος, ὅσον ἀποχωρεῖ τῆς ἀρχῆς. εἰ δ' ἐπαρθέντος σου τὸν πρῶτον δάκτυλον, μετ' αὐτὸν ἰσχυροτέρας τε, καὶ μείζονος, ἢ πρόσθεν αἰσθάνοιο τῆς κινήσεως. ἐνδείκνυται μὲν δήπου, καὶ νῦν ἀρρωστίαν τῆς κατὰ τὴν ἀρτηρίαν δυνάμεως. ἀλλ' ἐλάττονα τῆς προειρημένης. ἐν ἐκείνῃ μὲν γὰρ ἡ δύναμις ἐξελύετο τῆς ἀρχῆς ἀποχωροῦσα, νυνὶ δὲ διαμένει μὲν ἴση κατά γε τὸν ἑαυτῆς λόγον, ἡ δ' ἀρτηρία βαρυνομένη πρὸς τῆς τῶν δακτύλων ἐπιβολῆς, ἀσθενέστερον κινεῖται. ἧττον δ' ἔσται τοῦτο κινδυνῶδες. οὐ γὰρ αὐτῆς καρδίας τοσοῦτον, ὅσον τῆς ἀρτηρίας ἧς ἁπτόμεθα τὴν διάθεσιν ἐνδείκνυται. τὸ δ' ἕτερον αὐτὴν μᾶλλον ἀρρωστεῖν ἐνδείκνυται τὴν καρδίαν, μὴ δυναμένην, ὁμοίως ὡς πρόσθεν ἐκτείνειν ἀφ' ἑαυτῆς ἄχρι τῶν ἐσχάτων τοῦ ζώου μορίων τὴν ἐνέργειαν. πολυειδῶς οὖν ἐπιβάλλειν ἐν τοῖς τοιούτοις σφυγμοῖς χρὴ τοὺς δακτύλους, ὑπὲρ τοῦ μαθεῖν ἀκριβῶς ἁπασῶν τῶν ἀρτηριῶν τὴν διάθεσιν. ἡ μὲν γὰρ πιέζουσα τὴν ἀρτηρίαν ἐπιβολὴ τῶν δακτύλων, ἀσφυξίαν εἶναι δόξει κατὰ τὰς τοιαύτας διαθέσεις, ἡ δ' ἐπιπολῆς ψαύουσα, μυούρου φαντασίαν ἕξει τοῦ σφυγμοῦ, καὶ ἤτοι μόνοις δύο δακτύλοις, ἢ τρισὶν, ἢ καὶ τοῖς τέτταρσιν ὑποπίπτοντος. ἔσται δὲ τοῦτο παρά τε τὴν ἰσχνότητα τοῦ ζώου, καὶ τὴν ἀρρωστίαν τῆς δυνάμεως. εἰς ὅσον μὲν γὰρ ἰσχνότερόν ἐστιν, εἰς τοσοῦτον πλεῖον ἡ ἀρτηρία σημανεῖ. εἰς ὅσον δ' ἧττον ἰσχνόν, εἰς τοσοῦτον ἔλαττον. οὕτω δὲ καὶ κατὰ τὴν δύναμιν, εἰς ὅσον μὲν εὐρωστοτέρα, πλέον. ἔλαττον δ', εἰς ὅσον ἀσθενεστέρα. κατὰ δὲ τὴν τοιαύτην ἐπιβολήν, ὁπόταν ἀρθέντος τοῦ πρώτου δακτύλου μηκέτι παραπλήσιος ὁ σφυγμὸς διαμένῃ, κατὰ τὸν δεύτερον, ἀλλὰ μείζων τε φαίνεται καὶ ἰσχυρότερος, ὁ μὲν ἀπὸ τῆς καρδίας τόνος εὐρωστότερος. ὁμαλῶς γὰρ ἄχρι πέρατος ἐπιρρεῖ. βαρυνθεῖσα δ' ἡ ἀρτηρία κατὰ τὴν ἐπιβολὴν τοῦ πρώτου δακτύλου, χεῖρον ἐν τῷ μετ' αὐτὸν διαστέλλεται. καὶ διὰ τοῦτο τοῦ βαρύνοντος ἀρθέντος, ἄμεινον. εἰ δ' ὅμοιος ὁ σφυγμὸς φαίνοιτο κατὰ τὸν δεύτερον δάκτυλον τῷ φαινομένῳ, πρὶν ἀρθῆναι τὸν πρῶτον, τὸ μύουρον τῆς κινήσεως ἐν αὐταῖς ταῖς ἀρτηρίαις ἐστὶν, οὐκ ἐν τῇ πρὸς τὴν ἁφὴν διαγνώσει. καὶ γίνεται τοῦτο τῆς ἀπὸ καρδίας αὐταῖς ἐπιρρεούσης δυνάμεως, ἐκλυομένης κατὰ βραχύ. εἰ δὲ κρείττων μὲν ἡ κίνησις φαίνοιτο τῆς ἀρτηρίας, ἀρθέντος τοῦ πρώτου δακτύλου, μὴ μέντοι γε ἀκριβῶς ἴση τῇ κατὰ τὸν πρῶτον, ἀμφοτέρας ἐνδείκνυται τὰς διαθέσεις ὑπάρχειν ἅμα. καὶ ὡς τὰ πολλά γε, οὕτω συμπίπτειν εἴωθεν ἐν ἁπάσαις ταῖς τοιαύταις ἀνωμαλίαις. ἐπιβλέπειν οὖν χρὴ μετὰ τοῦτο πολλοὺς ἐφεξῆς σφυγμούς, καὶ παραβάλλειν ἀκριβῶς ἀλλήλαις τὰς κινήσεις. ἐνίοτε μὲν γάρ, οἷα περ ἦ κατὰ τὴν πρώτην ἐπιβολήν, τοιαῦται γίνονται πᾶσαι. πολλάκις δὲ ἐπὶ τὸ μικρότερόν τε, καὶ ἀμυδρότερον ἴασιν. ἐφ' ὧν δηλονότι καὶ ἡ δύναμίς ἐστιν ἀσθενεστέρα. εἰ δὲ καὶ τελέως ἐκλείποιεν, ἔτι δὴ καὶ μᾶλλον ἐνδείξονται τὴν ἀρρωστίαν τῆς δυνάμεως. ἐν τούτῳ δὲ χρὴ πάντας ἄραντας τοὺς δακτύλους, εἶτ' ὀλίγον τινὰ διαλιπόντας χρόνον αὖθις ἐπιβάλλειν. εὑρεθήσονται γὰρ τὰ πολλά, κατὰ τὴν δευτέραν ἐπιβολὴν αἱ ἀρτηρίαι σφύζουσαι. ὡς εἴ γέ ποτε παντελὴς ἀσφυξία φαίνοιτο, καὶ κατὰ ταύτην τὴν ἐπιβολήν,

queas. Ergo si motum similem digiti sequentes sublatum digitum sentiant, sua sponte arteria decurtatam distentionem habebat, quod nobis infirmæ facultatis erit vestigium, quàm in illas docuimus ex corde influere. Nam illa quando bene comparata est, vsque ad finem arteriarum omninò contentio, quæ attollit eas, similiter permeat, at in pulsibus decurtatis paulatim exoluitur, tantoque efficitur solito imbecillior, quantum est à principio remota. Quod si eleuato tu primo digito, postea motum percipias, quàm antea, validiorem, atque maiorem, declarat ille quidem etiamnum facultatis arteriæ debilitatem, sed minorem certè quàm ille, quem priùs diximus, quòd illic facultas exolueretur discedens à principio; hic maneat, quantum in ipsa est, par, sed grauata ab iniectis digitis imbecillius moueatur arteria; quod quidem minus habet periculi, neque enim ita ipsius cordis, vt arteriæ, quam tangimus, ostendit affectum, alterum ipsum potius debile esse cor significat, quòd protendere non perinde, ac priùs, à se actionem ad extremas vsque partes animantis queat. Quare in hoc genere pulsuum, vt exquirere ad vnguem possis totum arteriarum affectum, variè admotis opus est digitis. Nam arteriam digiti applicati si premant, abolitus esse pulsus in hisce affectibus apparebit, sin attingas leuiter, imaginem præbebit pulsus decurtati, & vel duobus duntaxat digitis, vel tribus, vel etiam quatuor occurrentis. Hoc ex gracilitate animantis accidet, & facultatis imbecillitate; quod quo sit gracilius, hoc plus arteria appareat, quo crassius, hoc minus. Et ex facultate item, quæ quanto est firmior, tanto plus; & tanto minus, quanto imbecillior est. Atque in ea ratione tangendæ arteriæ, quum sublato primo digito non iam similis ad secundum pulsus permaneat, sed appareat maior vehementiórque, est validior quidem cordis contentio, vt quæ æqualiter vsque ad finem influat; sed onerata admoto primo digito arteria deterius, quum ille adsit, distenditur, quocirca remoto illo, qui grauabat, melius. Quòd si assimilis pulsus ad secundum digitum videatur, ac videretur priùs, quàm eleuaretur primus, decurtatus motus in ipsis arteriis est, & non in exploratione per tactum, id quod fit quum ex corde quæ influit facultas, remittitur paulatim. Sin moueri arteria sublato primo digito melius videatur, non planè tamen similiter, vt ad primum digitum, ambos affectus denotat coniunctos esse. Et sanè sic ferè solet fieri in eiuscemodi inæqualitatibus. Quare multi postea sunt pulsus respiciendi, comparandique inter se accuratè motus, etenim qualis erat in prima applicatione, tales aliquando omnes fiunt. Sæpè verò minores redduntur, & languidiores, in quibus pariter debilis est facultas. Sin deficiant prorsus, tum multo sanè magis declarabunt facultatis imbecillitatem. Atqui hic sunt summouendi omnes digiti, deinde spatio paruo interposito de integro admouendi; etenim inuenies plerunque, quum iterum digitos admoueris, arterias pulsantes. Nam si omninò pulsus abolitus videatur etiam in hac applicatione, sciendum

ſciendum eſt, ipſo illo tempore primam applicationem factam eſſe, quo arteriis vſu venit, ad abolitionem pulſus tendentibus, paruam adhuc portionem motus retinere. Sed hoc, vt dixi, eſt rarum; nam ferè ſi paulo poſt iterum tangamus, offendimus pulſantes. Quare declaratur illas, quum admotos digitos non ferant, ad motus extremam remiſſionem deuenire; atque hoc in cauſa erat, cur nos pulſus lateret. Etenim bifariam, & ipſe aboletur pulſus, vel quia prorſus non pulſant arteriæ, quod extremum malum denotat; vel quia pulſant quidem, ſed ita languidè, & parum, vt ſenſum fugiant. Sanè eſt hic affectus, ſi remotus ſit ab omni animi defectu repentino, grauiſſimus; ſed verò multo etiam deterior alter, in quo verè non pulſant, deterior autem multo, imò exitioſiſſimus, & peſſimus, nimirum demortuis iam arteriis. At verò, ſi diutius applicatis leniter digitis palpent tantum, reciprocetur motus, is minùs exitialis affectus eſt. Reciprocatur modò ad vltimam pulſus abolitionem, modò ad paruum pulſum, & languidum; quamobrem vocantur etiam reciproci vtrique, ſed hoc intereſt inter hos, quod illi decurtati ſint reciproci, hi deficientes reciproci. In huiuſcemodi æſtimandis ita debemus partem componere, quamcunque tangamus, vt ſubter arteriam noſter tactus ſit; ita fiet enim, vt quàm minimum à digitis premantur, & ab obiecta cute. Poterit autem re ipſa quilibet perſpicere, quam hæc digitorum applicatio ad dignoſcendum conferat obſcurum motum. Equidem non raro, quum admouiſſem ſupernè digitos arteriis, nullum motum animaduerti; quem, vt primùm conuerti membrum, percepi ſtatim. Omnium verò ſunt peſſimi, qui ab amiſſo motu minimè reciprocantur inuerſo membro; minus his, qui inuerſo illo videntur moueri; quibus etiam minùs, qui ſunt decurtati, non tamen perdunt planè omnem motum; iam etiam his minùs reciproci decurtati, adeoque ſi multis ſimul digitis occurrant. Cui equidem maximè animum aduertendum cenſeo, & attendendum accuratè, qua ſit corpus gracilitate. Nam ſi corpore extremè gracili occurrat motus arteriarum pluribus digitis, non hoc facultatis robur, cæterùm corporis efficit colliquatio; ſed quum modicè eſt gracile, ſi tribus, vel quatuor digitis occurrat motus arteriæ, non mediocre, vt in talibus, bonum eſt; videtur enim in agendo aliquid retinere contentionis. Numerus autem digitorum, quibus motus eſt occurſurus, ſuus cuique arteriæ eſt; neque enim æquè omnes extant, & ſecundum cutem poſitæ ſunt. Ad hanc rem magnopere refert naturam tenere ipſius ægroti; quibuſdam enim ſua ſponte pulſus minor eſt, aliquibus breuior: vnicuique enim modus quantitatis ad ſuam naturam referendus eſt. Hæc ſi nos naturæ ipſius ægroti proprietas lateat, ex communioribus differentiis coniecturam facimus temperamenti corporis, & habitudinis; ac in temperamento præſertim calidi, & frigidi differentiam reſpicimus; in habitudine, gracilitatis, & corpulentiæ. Ac fit interdum, vt ambæ inæqualitates pulſuum, tum quæ in vno pulſu, tum quæ in aceruo conſiſtit, concurrant.

A ἰστέον ἐν ἐκείνῳ γ' αὐτῷ τῷ χρόνῳ πεποιῆσθαι τὴν προτέραν ἐπαφὴν, ἐν ᾧ συνέβαινε ταῖς ἀρτηρίαις εἰς ἀσφυξίαν ἀφικνουμέναις, ὀλίγον ἔτι τῆς κινήσεως ἀποσώζειν, ἀλλὰ τοῦτο μὲν, ὡς ἔφην, σπάνιον. ὡς τὰ πολλὰ δὲ διαλείποντες, εἶτ' αὖθις ἁπτόμενοι σφυζούσας εὑρίσκομεν, ᾧ καὶ δῆλον, ὡς οὐ φέρουσαι τῶν δακτύλων τὴν ἐπιβολὴν, εἰς ἐσχάτην ἀμυδρότητα κινήσεως ἀφικνοῦνται. καὶ τοῦτ' ἦν αἴτιον ἄρα τὸ διαλανθάνειν ἡμᾶς τὸν σφυγμόν. ὡς αὖ καὶ αὐτῆς τῆς ἀσφυξίας κατὰ διττὸν τρόπον γινομένης, ἢ τῷ μὴ σφύζειν ὅλως τὰς ἀρτηρίας, ὅπερ ἂν εἴη κακὸν ἔσχατον, ἢ τῷ σφύζειν μὲν, ἀλλ' οὕτως μὲν ἀμυδρόν τε καὶ μικρὸν, ὡς ἐκφεύ-
B γειν τὴν αἴσθησιν. ἔστι μὲν δὴ καὶ ἡ τοιαύτη διάθεσις εἰ χωρὶς λειποθυμίας τινὸς προσφάτου γίνοιτο, χαλεπωτάτη. πολὺ δὲ ἔτι χείρων ἡ ἑτέρα, καθ' ἣν ὄντως οὐ σφύζουσι, μᾶλλον δ' οὐ πολὺ χείρονα χρὴ λέγειν ἐκείνην, ἀλλ' ὀλεθριωτάτην τε, καὶ χειρίστην, ὡς ἂν ἤδη νενεκρωμένων τῶν ἀρτηριῶν. εἰ μέντοι πλέονι χρόνῳ τῶν δακτύλων ἐπικειμένων, ἀβιάστως τε, καὶ ὡς ψαύειν μόνον ἐπανέρχοιτο πάλιν ἡ κίνησις, ἧττον ὀλέθριος ἡ τοιαύτη διάθεσις. ἐπανέρχεται δὲ, ποτὲ μὲν εἰς ἀσφυξίαν ἐσχάτην ἀφικνουμένη. ποτὲ δ' εἰς μικροσφυξίαν τε καὶ ἀμυδρότητα. καὶ τοίνυν καὶ καλοῦνται παλινδρομοῦντες μὲν ἀμφότεροι, διαφέρουσι
C δὲ, τῷ τοὺς μὲν μυούρους εἶναι παλινδρομοῦντας. τοὺς δ', ἐκλείποντας παλινδρομοῦντας. ἄμεινον δ' ἐν ταῖς τοιαύταις ἐπισκέψεσιν, οὕτω σχηματίζειν τὸ μόριον, ὅπου περ ἂν ἁπτόμενοι τύχωμεν, ὡς ὑποκάτω τῆς ἀρτηρίας εἶναι τὴν ἡμετέραν ἁφὴν, οὕτω γὰρ ἥκιστα πρός τε τῶν δακτύλων θλίβοιτο, καὶ αὐτοῦ τοῦ περιβεβλημένου δέρματος. ἔνεστι δ' ἔργῳ μαθεῖν ἑκάστῳ τῶν βουληθέντων, ὁπόσον εἰς διάγνωσιν ἀφανοῦς κινήσεως ἡ τοιαύτη τῶν δακτύλων ἐπιβολὴ συντελεῖ. πολλάκις γοῦν ἡμεῖς, ἄνωθεν μὲν ἐπιβεβληκότες τοὺς δακτύλους κατὰ τὰς ἀρτηρίας, οὐδὲ μιᾶς αἰσθανόμεθα κινήσεως. ἐν δὲ τῷ καταστρέψαι τὸ κῶλον, εὐθέως ᾐσθό-
D μεθα. χείριστοι δὲ πάντων εἰσὶν, οἳ ἂν εἰς ἀκινησίαν τελευτήσαντες, αὖθις μηκέτι ἐπανέρχωνται τοῦ κώλου περιστραφέντος. ἧττον δὲ τούτων, οἳ ἂν ἐν τῷ περιστραφῆναι φαίνωνται κινούμενοι. τούτων δ' ἔθ' ἧττον, οἱ μύουροι μὲν γινόμενοι, μὴ μέντοι γ' εἰς ἀκινησίαν παντελῆ τελευτῶντες. καὶ τούτων ἔθ' ἧττον, οἱ ἐπανερχόμενοι μύουροι. καὶ μᾶλλον ἐπειδὰν ὑποπίπτωσιν ἅμα πλείοσι δακτύλοις. ᾧ καὶ αὐτῷ μάλιστα προσέχειν ἀξιῶ. καὶ σκοπεῖσθαι τὸ ποσὸν τῆς ἰσχνότητος τοῦ σώματος ἀκριβῶς. εἰ μὲν γὰρ ἐσχάτως ἰσχνοῦ τοῦ σώματος ὄντος, ἡ τῶν ἀρτηριῶν κίνησις ὑποπίπτει πλείοσι δακτύλοις, οὐ διὰ ῥώμην δυνάμεως,
E ἀλλὰ δι' ἔκτηξιν τοῦ σώματος οὕτω συμβαίνει. μετρίως δ' ὄντος ἰσχνοῦ, τρισὶν ἢ τέτταρσιν ὑποπίπτειν δακτύλοις τὴν κίνησιν τῆς ἀρτηρίας, οὐ μικρὸν ἀγαθὸν, ὡς ἐν τοιούτοις. ἐμφαίνεται γὰρ ἀποσώζειν τι τοῦ τόνου κατὰ τὴν ἐνέργειαν. ὁ δ' ἀριθμὸς τῶν δακτύλων, ὅσοις ὑποπίπτειν ἡ κίνησις μέλλει, καθ' ἑκάστην τῶν ἀρτηριῶν ἴδιός ἐστιν. οὐ γὰρ ἁπασῶν ἴσον ἐξέχει τε, καὶ διασυμβαίνει κατὰ τὸ δέρμα. κάλλιον δ' εἰς τοῦτο, τῆς φύσεως αὐτοῦ τοῦ κάμνοντος ἔχειν ἐμπείρως. τοῖς μὲν γὰρ φύσει μικρότερος ὁ σφυγμός ἐστι, τοῖς δὲ βραχύτερος. ἑκάστῳ δὲ τοῦ ποσοῦ τὸ μέτρον, ὡς πρὸς τὴν ἑαυτοῦ φύσιν ἐστίν. ἀγνοοῦντες οὖν τὸ κατὰ τὴν φύσιν ἴδιον
F αὐτοῦ τοῦ κάμνοντος, ἀπὸ τῶν κοινοτέρων διαφορῶν, στοχαζόμεθα τῶν κατά τε τὴν κρᾶσιν τοῦ σώματος, καὶ τὴν ἕξιν, ἐν μὲν τῇ κράσει μάλιστα τὴν κατὰ τὸ θερμόν τε, καὶ ψυχρὸν ἐπισκοπούμενοι διαφορὰν, ἐν δὲ ταῖς ἕξεσι, τὴν κατὰ λεπτότητά τε καὶ πολυσαρκίαν. ἐνίοτε μὲν οὖν ἅμα καὶ συμπίπτουσιν αἱ δύο ἀνωμαλίαι τῶν σφυγμῶν, ἥτε κατὰ μίαν κίνησιν, ἥτε ἐν ἀθροίσματι.

σώματος

κάλλιστον

μέτριον

πολλάκις δὲ, ἡ μὲν κατὰ μίαν οὐκ ἔστιν, ἡ δ' ἐν ἀθροίσματι, σαφῶς εὑρίσκεται. καὶ τοῦ μὴ φαίνεσθαι ποτὲ τὴν κατὰ μίαν, αἴτιον διττὸν, ἤτοι τῆς διαθέσεως ἡ σμικρότης, ἢ τῶν σφυγμῶν αὐτῶν ἡ βραχύτης. ἄν τε γὰρ ἡ διάθεσις, ἡ τοὺς ἐν ἀθροίσματι μυούρους ἐργαζομένη μὴ πάνυ τις ᾖ χαλεπὴ, κατὰ τὴν μίαν διαστολὴν ὁμαλὸς ἐστὶν, ἐν πλείοσι δὲ τὴν μυουρίζουσαν ἀνωμαλίαν λαμβάνει. ἄν τε μεγάλη μὲν ἡ διάθεσις ὑπάρχῃ, βραχὺς δ' ᾖ κατὰ τὸ μῆκος ὁ σφυγμὸς, ὡς ἑνὶ μόνῳ ὑποπίπτειν δακτύλῳ, κἂν ὅτι μάλιστα κατ' ἀλήθειάν τε, καὶ ὄντως ᾖ μύουρος, οὐχ ἕξει τὴν ἀνωμαλίαν αἰσθητήν. πλείοσι γὰρ ὑποπίπτειν χρὴ δακτύλοις, τὴν καθ' ἕνα σφυγμὸν ἀνωμαλίαν μυουρίζουσαν. ἐξ οὖν τῶν εἰρημένων εὔδηλον, ὡς ἄμφω μὲν τὰ γένη τῶν μυούρων σφυγμῶν, ἀσθένειαν ἐνδείκνυται δυνάμεως. ἀλλὰ τὸ μὲν κατὰ μίαν διαστολὴν, συνενδείκνυται λεπτότητα τοῦ κάμνοντος σώματος, τὸ δ' ἐν ἀθροίσματι, δύναιτ' ἄν ποτε καὶ χωρὶς ἰσχνότητος γενέσθαι. δέδεικται δὲ καὶ ὡς ἄν τις ἐξευρίσκοι τὸ ποσὸν τῆς βλάβης, ἐν ἑκατέρῳ τῷ γένει. περὶ μὲν οὖν τῶν μυουριζόντων σφυγμῶν, ἱκανὰ καὶ ταῦτα.

Sæpè quoque illa, quæ in vno pulsu consistit, non adest: quæ autem in aceruo, reperitur manifestè. Atque cur lateat inæqualitas vnius pulsus, causa duplex est; aut affectionis paruitas, aut ipsorum pulsuum breuitas. Nam si affectio, quæ decurtatos in aceruo concitat, non perindè grauis fit, in vna distentione est æqualis, in pluribus autem decurtatam inæqualitatem acquirit; sin ingens fit affectio, breui autem pulsus quantitate, vt vni duntaxat digito occurrat, etsi verissimus fit certissimusque decurtatus, non perceperis eius inæqualitatem; pluribus enim digitis occurrat, oportet, quæ in vno pulsu inæqualitas decurtata erit. Ex his igitur liquet, vtrunque genus decurtatorum pulsuum significare facultatis imbecillitatem; verùm, quod in vna distentione est, ægroti etiam gracilitatem corporis demonstrat: quod autem in aceruo est, posset nonnunquam, vel sine gracilitate fieri. Magnitudinis noxæ in vtroque genere rationem docuimus inueniendæ. Ac de decurtatis pulsibus hactenus.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Τί σημαίνουσιν οἱ ἀνεστραμμένοι τοῖς προειρημένοις σφυγμοί.

Γεγράφασι δέ τινες, ὡς ἀνεστραμμένον εὑρίσκοντές ποτ' εἶδος σφυγμοῦ τοῖς εἰρημένοις. ἐπὶ γοῦν τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας, ἧς δὴ καὶ συνηθέστατον ἅπτεσθαι, πεφαγκέναι φασὶν ἑαυτοῖς εὐρύτερον τὸν ἐν τῷ κάτω πέρατι σφυγμὸν. μύουρον μὲν ὄντα δηλονότι καὶ τοῦτον, ἀλλὰ τὸ λεπτότερον αὐτοῦ μέρος, οὐ κάτω τετραμμένον, ὡς ἐπὶ τοὺς δακτύλους, ἀλλ' ἄνω τε καὶ πρὸς τὰ κατ' ἀγκῶνα χωρία ἔχοντα. ἐγὼ δ' ἡγοῦμαι τοὺς ἀνθρώπους, ἐφ' ὧν εὑρηκέναι φασὶ τοὺς τοιούτους σφυγμοὺς, οὐ πρόσκαιρόν τινα τὴν αἰτίαν, ἀλλ' ἐπὶ φυσικῇ διαπλάσει τῶν κατὰ τὸν καρπὸν ἐσχηκέναι μορίων. σπανίως μὲν γὰρ, εὑρίσκεται δ' οὖν ποτε τοιαύτη διάπλασις, ὡς τὸ μὲν πρὸς τῷ καρπῷ μέρος τῆς ἀρτηρίας, ὑπ' αὐτῷ τῷ δέρματι τετάχθαι, τὸ δ' ἄνω πᾶν αὐτῆς, τὸ μὲν ἀνωτέρω κεκαλύφθαι πλέονι σαρκὶ, τὸ δὲ κατωτέρω τε καὶ κατ' αὐτὸν τὸν καρπὸν, ἀθρόον εἰς τὸ βάθος ἐνδύεσθαι. τοῖς τοιούτοις οὖν ἀνθρώποις, οὐ νοσοῦσι μόνον, ἀλλὰ καὶ ὑγιαίνουσιν, ὁ σφυγμὸς φαίνεται μύουρος, ἄνω μὲν, ὡς πρὸς τὸν πῆχυν ἔχων τὸ στενώτερον, ἐν δὲ τοῖς κάτω τε, καὶ πρὸς τὸν καρπὸν ὅσον εὐρύτερον. εὔδηλοι δέ εἰσιν οἱ γράψαντες ὑπὲρ τῶν τοιούτων σφυγμῶν, ὡς νοσωδῶν, οὐ προσεσχηκότες τῷ πράγματι τὴν διάνοιαν ἀκριβῶς, ἔκ τε τῶν ἄλλων ὧν γράφουσι, κἀκ τοῦ μηδ' ὅτι σημαίνουσι προσγράψαι τῷ λόγῳ. πρόδηλον γὰρ, ὡς οὐδὲν εὑρεῖν ἐξαίρετον ὑπ' αὐτῶν σημαινόμενον, ἐπὶ φυσικῇ διαπλάσει τοιούτων γινομένων, οὐ νοσώδει διαθέσει. διὸ καὶ πολλάκις εἴρηταί μοι πρὸς τὰς διαγνώσεις τῶν σφυγμῶν, οὐδὲν οὕτως εἶναι χρήσιμον, ὡς τὸ γινώσκειν ὁποῖός τίς ἐστιν ἑκάστῳ φύσει σφυγμός. καὶ γὰρ οὖν καὶ ἄλλαι τινὲς ἀρτηρίαι ταῖς εἰρημέναις ἔμπαλιν ἔχουσιν, ὡς ἐν μὲν τοῖς ἄνω μέρεσιν ὑπὸ τῷ δέρματι μόνῳ τετάχθαι γυμνῷ, κατωτέρω δ' ἐρχόμεναι, πρὸς τὸν καρπὸν, εἰς τὸ βάθος καταδύεσθαι. καὶ διὰ τοῦτο, καὶ τούτων ὁ σφυγμὸς φαίνεται μύουρος. ἑτέρων δέ γε φύσει περινενευκὼς τε καὶ ἐπινενευκὼς, ἑκατέρωσε πλέον, ἢ κατὰ τὴν κοινὴν φύσιν. οὐ νοσήματος, ἤ τινος ὅλως αἰτίας παρὰ φύσιν, ἀλλὰ φυσικῆς διαπλάσεως ἐργασαμένης αὐτόν. ἅπερ εἰ μὴ γινώσκοιμεν, ὁποῖ' εἴη φύσει, μέγιστα σφαλησόμεθα. γίνεται μὲν γὰρ, ὡς εἴρηται μύουρος ὁ σφυγμὸς, ἔν τισι παρὰ φύσιν αἰτίοις· εὑρίσκεται μέντοι τισὶ, καὶ κατὰ τὴν τῆς δια-

CAPVT XI.

Contrarius pulsus superioribus quid denotet.

Svnt qui memoriæ prodiderunt reperisse aliquando se cōmemoratis genus pulsus contrarium. Nam in carpi arteria, quæ ferè solet tangi, apparuisse sibi aiunt latiorem pulsum ad inferiorē terminum, decurtatū illum quidem etiam, verùm partem eius tenuiorem non deorsum versam veluti ad digitos esse, sed superiorem regionem, & secundum cubitum tenere. Equidem arbitror illos homines, quos cum eiuscemodi pulsibus se inuenisse aiunt, non ob temporaneam causam, sed propter natiuam conformationē partium secundum carpum ipsos habuisse. Siquidem rarò quidē talis conformatio, sed reperitur tamen, vt pars arteriæ, quæ ad carpum est, collocata sub ipsam cutem sit; superna pars eius tota, quæ superior est, tecta sit maiore mole carnis; inferior, quæ ad ipsum carpū tendit, affatim demergatur in profunditatē. Hisce hominibus, non per morbum solùm, verùm etiam per sanitatem pulsus decurtatus videtur; supernè quidem, & ad cubitum, quod angustiam habeat: infernè atque ad carpum, quod latitudinem. At istos, qui de hisce pulsibus, vt insalubribus, scripserunt, rem parum diligenter attendisse apertum sit quum ex aliis, quæ prodiderunt, tum quod non adscripserūt, quid denotēt. Scilicet hoc in aperto est, nihil eximium quod ab iis pulsibus denotetur, comperisse, quippe qui ex natiua conformatione, non ex insalubri affectione, proficiscantur. Quamobrem sæpenumero dixi, nihil perindè facere ad dignoscendos pulsus, vt pulsus natiui, quem quisq; habet, notitiam. Etenim aliæ etiam arteriæ sunt, quæ contra, ac illæ, comparatæ sunt, vt sola cute in superiore regione sint intectæ, quùm verò descenderint ad carpum, demergantur. Itaque horum etiam videtur decurtatus pulsus. Aliorum item natura circumnutans pulsus est, & nutans vtrinque præter communem naturam; quem non morbus, aut vlla denique causa præter naturam, sed creat conformatio natiua. Quæ nisi cognoscamus, quando ex natura proficiscuntur, in maximos errores impingemus. Fit enim vti docuimus, pulsus decurtatus in quibusdam ex causis præter naturam, in nonnullis tamen inuenitur etiam ex propria cōformatione;

formatione; quomodo etiam nutans, & circumnutans, quem vocant, atque hîc quidem, si arteria ita sit conformata, vt eius pars duntaxat media nudæ subiecta cuti sit, partes autem vtrinque altius demergantur. Fit etiam ob imbecillitatem facultatis, quæ attollere onus nequeat; qui affectus quum sit ipsa validior, flexum in alto quendam pulsus repræsentat, non circuli figuram; quem flexum non malè Archigenes appellauit angulositatem, nam altitudo arteriæ non vt circuli iam figura, sed vt vertex trianguli mouet tactum. Et magis iam ei hoc accidit horrescenti, & rigenti ex frigore, vel quomodolibet aliter induratæ. Itaque hunc subinde est cernere initio grauium accessionum, cum refrigeratione inuadentium; non in his tamen omnibus, vel solis, vt quidam putant. Nam si arteriarum durities flecti ægrè queat, facultasque imbecilla grauetur vtrinque, perdit circuli veluti circunferentiam, refert autem verticem trianguli, quòd propter duritiem arteria nequeat paulatim flecti, & ad profunditatem vtrinque inclinari, sed vibretur potius, quàm flectatur per duritiem. Qui quidem illi affectus frequentes in accessionibus bene refrigerantibus sunt; accidunt tamen interdum sine inuasione accessionis, vt contrà in accessiones, quæ non perfrigerant, pulsus talis prorsus non cadit. Sed quoniam de his latiùs posthac statuimus dicere, præstiterit non diutiùs huic loco immorari.

A πλάσεως ἰδιότητα, καθάπερ καὶ ὁ ἐπινενευκώς τε, καὶ περινενευκὼς ὀνομαζόμενός ἐστιν. ἅμα μὲν οὖν οὕτω τῆς ἀρτηρίας κατεσκευασθείσης, ὡς τὸ μέσον αὐτῆς μόνον ὑπὸ τῷ δέρματι τετάχθαι ψιλῷ, τὰ δ᾽ ἑκατέρωθεν ἀθροώτερον ἐγκαταβαίνειν τῷ βάθει. γίνεται δὲ καὶ δι᾽ ἀρρωστίαν δυνάμεως, ἀδυνατούσης ἐπαίρειν τὰ βαρύνοντα· καὶ ὅταν γε τὸ τοιοῦτον πάθος ἰσχυρότερον αὐτῆς γένηται, καμπήν τινα φαίνεται κατὰ τὸ ὕψος ἔχειν ὁ σφυγμὸς, οὐ κύκλου περιφέρειαν, ἥντινα καμπὴν, οὐ κακῶς ὁ Ἀρχιγένης ὀνομάζει γωνίωσιν. οὐκέτι γὰρ, ὡς κύκλου περιφέρεια τὸ ὕψος τῆς ἀρτηρίας, ἀλλ᾽ ὡς τριγώνου κορυφὴ κινεῖ τὴν ἁφήν. ἔτι δὲ μᾶλλον αὐτῇ γίνεται τοῦτο, φριττούσῃ τε καὶ πηγνυμένῃ διὰ ψύξιν, ἢ ὁπωσοῦν ἄλλως σκληρυνθείσῃ, καὶ διὰ τοῦθ᾽ εὑρεῖν αὐτόν ἐστι B πλειστάκις, ἐν ταῖς μετὰ ψύξεως ἐμβαλλούσαις ἰσχυραῖς ἐπισημασίαις. οὐ γὰρ δὴ ἐν ἁπάσαις γε, ἢ μόναις, ὡς ἔνιοι νομίζουσι. ἂν γὰρ ἥ τε σκληρότης τῶν ἀρτηριῶν ἔχῃ τὰ δυσκαμπῆ, ἥ τε δύναμις ἀσθενὴς οὖσα βαρύνηται καθ᾽ ἑκάτερα, τὴν μὲν οἷον κύκλου περιφέρειαν ἀπόλλυσιν, ὁμοιοῦται δὲ τριγώνου κορυφῇ, μὴ δυναμένης τῆς ἀρτηρίας διὰ σκληρότητα κατὰ βραχὺ κάμπτεσθαί τε, καὶ πρὸς τὸ βάθος ἐπινεύειν ἑκατέρωθεν, ἀλλὰ κλωμένης μᾶλλον, ἢ καμπτομένης διὰ τὴν σκληρότητα. ταῦτ᾽ C οὖν αὐτῇ τὰ παθήματα, πολλάκις μὲν ἐν ταῖς ψυχούσαις ἱκανῶς ἐπισημασίαις γίνεται. συμπίπτει μὴν ἐνίοτε καὶ χωρὶς εἰσβολῆς παροξυσμῶν· ὥσπερ αὖ πάλιν ἐν ταῖς ἀπεριψύκτοις ἐπισημασίαις, οὐδ᾽ ὅλως γίνεται τοιοῦτος ὁ σφυγμός· ἄμεινον δ᾽ ἴσως ἐστὶ μηδὲ χρονίζειν ἔτι κατὰ τὸν τόπον, ἐν τοῖς μετὰ ταῦτα μέλλοντας ἐπιπλέον ὑπὲρ αὐτῶν διεξέρχεσθαι.

CAPVT XII.

Pulsus tremulus quid significet.

PORrò ex horum etiam genere est pulsus tremulus, qui non perinde est conspicuus. Quando verò (vt in secundo libro De causis symptomatum declarauimus) imbecillitatem facultatis consequitur tremor, necessarium est ideò tremulum pulsum etiam languidum simul, & paruum esse, atque hac de re fugiunt tremuli motus, qui vt cognoscantur, insignem distentionem requirunt. At tremulus pulsus imperitis interdum videtur vibratus; vnde adducuntur sæpè eum vidisse. Verùm hoc loco non requirunt hæc prolixiorem orationem, quòd secundo libro De causis symptomatum, quid inter tremorem, & vibrationem intersit explicaui, ex quibus clarè, qui pulsus vibratus sit, intelliges; & hoc etiam tremulum infrequentem esse, & apparere id temporis tantum, quum nec facultas semel prostrata sit, atque arteriæ tunica mollis, habitudoque corporis gracilis. Ita enim futurum est, vt nec pulsus magnopere parui sint, sed parum distantes à naturalibus, nec planè languidi, sed vt innoxiè applicationem ferant digitorum, quorum ad hos pulsus dignoscendos necessariò opus est. Quòd siquando pulsus tremulus incidat, facultatem imbecillam, atque tunicam arteriæ renunciat mollem, & verò etiam corporis gracilem habitum. Sed de inæqualitate, causisque eam efficientibus hæc sufficiunt, etenim si quid prætermissum sit, facilè assequetur, qui hæc quæ nunc docuimus, diligenter didicerit, & illa quę in secundo libro De pulsuum causis exposuimus.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Τί ἐνδείκνυται ὁ τρομώδης σφυγμός.

D Ἔστι δὲ ἐκ τούτου τοῖς εἰρημένοις γένους, καὶ ὁ τρομώδης σφυγμὸς, οὐ πάνυ τι φαινόμενος ἐναργῶς. ἐπεὶ δὲ καθάπερ ἐπιδέδεικται διὰ τοῦ δευτέρου τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων, ἀσθενείᾳ δυνάμεως ἕπεται τρόμος, ἀναγκαῖον οὖν ἐστι διὰ τοῦτο, καὶ τὸν τρομώδη σφυγμὸν ἀμυδρόν τε ἅμα καὶ μικρὸν εἶναι. ἐν δὲ τῷ τοιούτῳ λανθάνουσιν αἱ τρομώδεις κινήσεις, ἀξιολόγου διαστολῆς εἰς τὸ γνωσθῆναι δεόμεναι. φαντάζεται δὲ ἐνίοτε τοῖς ἀγυμνάστοις ὁ τρομώδης σφυγμὸς, ὡς κλονώδης. καὶ διὰ τοῦτ᾽, οἴονται πολλάκις ἑωρακέναι τοιοῦτον. ἀλλ᾽ οὐ δεῖ μακρότερον ὑπὲρ αὐτῶν διεξέρχεσθαι κατὰ τὸν ἐνεστῶτα λόγον. εἴρηται γὰρ ἐν τῷ δευτέρῳ E τῶν ἐν τοῖς συμπτώμασιν αἰτίων, εἰς ὅσον ἀλλήλων διαφέρουσι τρόμος τε καὶ κλόνος, ἐξ ὧν ὁρμώμενος ἄν τις ὁποῖός γέ τις ὁ κλονώδης ἐστὶ σφυγμὸς, ἀκριβῶς εἴσεται. καὶ ὡς ὀλιγάκις ὁ τρομώδης ὁρᾶται κατ᾽ ἐκείνους μόνους τοὺς καιροὺς, ἐν οἷς οὔθ᾽ ἡ δύναμις ἐσχάτως ἀσθενής ἐστιν, ὅ τε χιτὼν τῆς ἀρτηρίας μαλακὸς, ἥ τε τοῦ σώματος ἕξις ἰσχνή. συμβήσεται γὰρ οὕτως, μήτε πάνυ μικροὺς εἶναι τοὺς σφυγμοὺς, ἀλλ᾽ ἐγγύς τι τῶν κατὰ φύσιν, μήτε ἐσχάτως ἀμυδροὺς, ἀλλ᾽ ὥστε φέρειν ἀλύπως ἐπιβολὴν δακτύλων, ὧν ἐξ ἀνάγκης εἰς διάγνωσιν δεῖται. καὶ εἴποτε ἄρα φανείη τρομώδης σφυγμὸς, ἐνδείξεται τήν τε δύναμιν ἀσθενῆ, F καὶ τὸν χιτῶνα τῆς ἀρτηρίας μαλακὸν, καὶ τὴν τοῦ σώματος ἕξιν ἰσχνήν. περὶ μὲν οὖν τῆς ἀνωμαλίας τε καὶ τῶν ἐργαζομένων αὐτὴν αἰτίων, ἱκανὰ καὶ ταῦτα. καὶ γὰρ εἴ τι παραλέλειπται ῥᾷστον εὑρίσκεσθαι τῷ, ταῦτά τε τὰ νῦν εἰρημένα μὴ κατὰ τὸ πάρεργον ἐκμαθόντι, καὶ ὅσα κατὰ τὸ δεύτερον εἴρηται τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Τί τάξις καὶ ἡ ἀταξία ἐνδείκνυνται.

Ὑπόλοιπον δ' ἐστὶ περὶ τάξεως, καὶ ἀταξίας διελθεῖν. δοκεῖ μὲν δὴ πᾶσα τάξις, ἀταξίας ὁμογενοῦς ἀμείνων εἶναι. προσέσκεπται δ' ὁμογενῶς τῷ λόγῳ, διὰ τὸ δύνασθαί ποτε τὴν ἐξ ἑτέρου γένους ἀταξίαν, αἱρετωτέραν ὑπάρχειν ἑτερογενοῦς τάξεως. οἷον εἰ οὕτως ἔτυχεν ὁ κατὰ μέγεθος, ἢ τάχος, ἄτακτος, ἧττον ἐστὶ χαλεπὸς, τοῦ διαλείποντος ἐν τάξει τινί. οὕτω δὲ καὶ ὁ μεμηκυσμένος ἀραιὸς, εἰ καὶ φυλάττοι τάξιν τινὰ, χείρων ἐστὶ τοῦ κατὰ σφοδρότητα, καὶ μέγεθος, καὶ τάχος ἀνωμάλου. ἀλλ' ἥ γε ὁμογενὴς τάξις ἐπιεικεστέρα τῆς ἀταξίας εἶναι δοκεῖ, διὰ τὸ τῆς φύσεως ἡμῶν, εἴπερ τι ἄλλο, καὶ τὴν τάξιν οἰκείαν ὑπάρχειν. οὐ μὴν ἁπλῶς γε οὕτως ῥητέος ὁ λόγος, ἀλλὰ μετὰ τοιοῦδε διορισμοῦ. ἡ μὲν τάξις ἐστηριγμένον πως εἶναι, δοκεῖ δηλοῦν τὸ αἴτιον. ἡ δ' ἀταξία μεταῤῥέον τε, καὶ μὴ μένον ἐφ' ἑνὸς, ἢ μεγέθους, ἢ εἴδους, ἢ χωρίου. τὸ δὲ τοιοῦτον αἴτιον, οὐκ ὀλεθριώτερον, ἀλλὰ σφαλερώτερον εἶναι χρὴ νομίζειν. ἐνδέχεται γὰρ αὐτὸ μεταῤῥέον, ἔστιν ὅτε μὲν εἰς ἀκυρώτερον, ἔστιν ὅτε δ' εἰς κυριώτερον ἀφικέσθαι χωρίον, ὥστε ἤτοι θάνατον ἐξαπιναῖον, ἢ σωτηρίαν ἐνεγκεῖν. τὸ μέντοι τῆς τάξεως, οὐκ ἀδόκητον, ἀλλ' ὡρισμένην ἔχει τὴν ἔκβασιν. ἡ μὲν γὰρ ἐπὶ χαλεπῆς ἀνωμαλίας τάξις, ὥσπερ εἰ οὕτως ἔτυχε τῆς διαλειπτικῆς, ὀλέθριος βεβαίως ἐστίν. ἡ δ' ἐπὶ μετρίας, ὥσπερ ἐπὶ τῆς κατὰ μέγεθος, καὶ μικρότητα βεβαίως ἐπιεικής. ἡ δ' ἀταξία, καὶ τὴν ἐπιεικῆ χαλεπὴν ἐργάσασθαι δύναται, μεταῤῥυείσης εἰς κυριώτερον χωρίον τῆς τὴν ἀνωμαλίαν ἐργαζομένης αἰτίας· καὶ μέντοι καὶ τὴν χαλεπὴν ἐπιεικῆ, μετελθούσης καὶ νῦν τῆς αἰτίας ἐκ τῶν κυριωτέρων εἰς ἀκυρώτερα. οὐδὲν οὖν ἀσφαλὲς, οὐδὲ βέβαιον ἐπὶ τῆς ἀταξίας ἐστὶν, οὔτε τοιοῦτον οἷον ἐπὶ τῆς τάξεως, οὔτε ἀγαθὸν, οὔτε κακόν. ἂν μέντοι μετὰ σφοδρότητος σφυγμοῦ γίγνηταί τις ἀταξία, εἴτ' οὖν ὁμαλοῦς, εἴτε καὶ ἀνωμάλου τῆς σφοδρότητος οὔσης, παρόντων καὶ τῶν τῆς πέψεως σημείων, ἐλπίζειν χρὴ κρίσιν ἔσεσθαί τινα, καὶ μᾶλλον εἰ καὶ τὰ ἄλλα σημεῖα κρίσεως γένοιτο. ὅτε καὶ κατὰ τοῦτο διαφέρουσιν αἱ ἀταξίαι τῶν τάξεων, καθ' ὅσον ἐπὶ τοῖς ἄλλοις ἅπασι τοῖς αὐτοῖς, ἑτοιμότερον ἐπὶ κρίσιν ἡ φύσις ἐξορμᾷ κατὰ τὰς ἀρτηρίας.

CAPVT XIII.

Quid ordo, & eius perturbatio annuncient.

Restat vt de ordine, & eius perturbatione dicamus. Sanè videtur quisque ordo perturbationi eiusdem generis præstare. Eiusdem generis addidi, quòd fieri possit, vt perturbatio ordinis ex altero genere præstet ordini alterius generis: Exempli gratia, qui magnitudine inordinatus est, vel celeritate, minùs incommodus est intermittente in ordine aliquo. Item productus rarus, licet ordinem aliquem seruet, deterior est inæquali in vehementia, & magnitudine, & celeritate. At eiusdem generis ordo potior esse perturbatione videtur, propterea quòd naturæ nostræ ordo, si quid aliud, familiaris sit. Non tamen ita absolute hoc pronunciandum est, sed hac adhibita distinctione, ordo fixam quodammodo causam, & perpetuam esse, videtur indicare, perturbatio ordinis variantem, nec in vna manentem, vel magnitudine, vel specie, vel regione. Talis autem causa non perniciosior, sed incertior censenda est; potest enim hæc commigrando nunc in regionem ignobiliorem, nunc in nobiliorem se conferre, itaque, vel mortem repentinam, vel salutem afferre, ordo verò non inexpectatum habet; sed certum euentum. Ordo enim in incommoda inæqualitate, vt exempli gratia, in intermittente, certo cum exitio coniunctus est; qui verò est in moderata, vt in æqualitate magnitudinis, & paruitatis, constanter est lenis. Perturbatio ordinis, si in nobiliorem partem causa migret, quæ concitat inæqualitatem, lenem potest periculosam reddere; & periculosam contra lenem, si hic quoque transeat causa in ignobiliores ex nobilioribus. Nihil igitur certi, nihil firmi perturbatio ordinis habet, neque tale, quale ordo, vel bonum, vel malum. Verumtamen, si cum vehementia pulsus fiat aliqua ordinis perturbatio, siue æqualis, siue inæqualis vehementia, quum signa coniuncta sint concoctionis, expectanda aliqua iudicatio est, multoque magis, si huc alia signa iudicationis accesserint. Itaque hac etiam re perturbationes ordinis antecellunt ordinibus, quatenus, quum cætera omnia paria sint, ad iudicationem procliuior natura fit, in ordinis perturbationibus.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Γ'.

GALENI DE PRAESAGITIONE EX PVLSIBVS LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Γ'. ΒΙΒΛΙΩι.

Λέγει περὶ τῆς προγνώσεως σφυγμῶν τῶν ἐν τοῖς τῆς καρδίας τε, καὶ τῶν ἀρτηριῶν οἰκείοις πάθεσι γινομένων.

ARGVMENTVM LIBRI TERTII.

Agit de Præsagitione ex pulsibus, qui in propriis cordis, & arteriarum affectibus deprehenduntur.

CAPVT PRIMVM.

Quid superioribus libris actum, quid hoc agendum, ac qui corporum similarium sint affectus.

Hactenvs quæ vis insit vnicuique pulsui antè declarauimus; nunc de his agemus, qui affectionibus sunt peculiares. Affectionem hic voco, quicquid præter naturam est; ac peculiares cuiq; pulsus, tum qui perpetuò illum comitentur, tum qui frequenter. Quoniam autem, quæcunque sunt prętер naturam, vt aliàs demonstrauimus, aut sunt quidã affectus, à quibus primò functio læditur, aut causæ horũ, aut symptomata, dicam primò de affectibus. Et quando hos etiam partim ostendimus similaribus corporibus proprios esse, partim instrumentalibus, exordiar à similarium affectibus. Hi sunt octo numero, ex intẽperie omnes profecti; sed inter eos hoc interest, quòd quidam simplices sunt, compositi alij. Simplices intemperies sunt, calor, frigiditas, siccitas, humiditas; compositæ, frigiditas vnà cũ siccitate, calor coniunctus cum siccitate, frigiditas cũm humiditate, calor cũ humiditate. Ostensum igitur est de hac intemperie in commentariis De temperamentis; explicauimúsque, quemadmodum interdum sanum esse, calidũ, & humidum dicamus, ac queadmodum morbum, qui functionem aliquam immodica humiditate, & calore offendat. Huius præterea admonendum est, pulsum per intemperiem, nisi affectæ arteriæ sint, vel cor, nunquam alterari, & posse etiam arterias nihil læso corde affectas esse; at affecto corde, vt innoxiæ permaneant arteriæ, haud fieri posse, sed in partem eas necesse esse venire intemperiei, vel maiorem, vel minorem. Igitur frigida, & calida intemperies cordis promptè permeat in omnes arterias; humida atque sicca, ægriùs.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τοῖς ἔμπροσθεν βιβλίοις εἰρημένον, τί ἐν τῷδε λεκτέον· καὶ τίνα εἰσὶ τὰ τῶν ὁμοιομερῶν σωμάτων πάθη.

Ἥτις μὲν ἑκάστου σφυγμοῦ δύναμίς ἐστιν, ἔμπροσθεν εἴρηται. περὶ δὲ τῶν οἰκείων τοῖς πάθεσιν, ἐν τῷδε λεχθήσεται. πάθος μὲν οὖν ὀνομάζω νῦν, ἅπαν τὸ παρὰ φύσιν. οἰκείους δ' ἑκάστῳ λέγω σφυγμούς, ὅσοι τε διαπαντὸς ὑπάρχουσιν αὐτῷ, καὶ ὅσοι πλειστάκις. ἐπεὶ δὲ τῶν παρὰ φύσιν ἁπάντων, ὡς ἐν ἑτέροις ἐπιδέδεικται, τὰ μέν εἰσι διαθέσεις τινές, ὑφ' ὧν πρώτως ἐνέργεια βλάπτεται, τὰ δὲ τούτων αἴτια, τὰ δὲ συμπτώματα. περὶ πρώτων τῶν διαθέσεων ῥητέον. ἐπεὶ δὲ καὶ τούτων ἐδείχθησαν, αἱ μέν τινες ἴδιαι τῶν ὁμοιομερῶν σωμάτων, αἱ δὲ τῶν ὀργανικῶν. ἀπὸ τῶν ἐν τοῖς ὁμοιομερέσιν ὑπαρχουσῶν ἀρκτέον. εἰσὶ δὲ ὀκτὼ τὸν ἀριθμόν, ἅπασαι μὲν κατὰ δυσκρασίαν γινόμεναι, διαφέρουσαι δὲ τῷ τὰς μὲν ἁπλᾶς εἶναι, τὰς δὲ συνθέτους. ἁπλαῖ μὲν οὖν εἰσι δυσκρασίαι, θερμότης τε καὶ ξηρότης, ὑγρότης καὶ ψυχρότης. σύνθετοι δέ, ψυχρότης ἅμα ξηρότητι, καὶ θερμότης ἅμα ξηρότητι, καὶ ψυχρότης ἅμα ὑγρότητι, καὶ θερμότης ἅμα ὑγρότητι. δέδεικται γὰρ οὖν ἡμῖν, καὶ περὶ τῆς δυσκρασίας, ἐν τοῖς περὶ τῶν κράσεων ὑπομνήμασι. καὶ διώρισται, πῶς μὲν ἐνίοτε τὸν ὑγιαίνοντα, θερμὸν καὶ ὑγρὸν εἶναι φαμέν, ὅπως δὲ τὸ νόσημα τὸ δι' ἀμετρίαν ὑγρότητός τε καὶ θερμότητος, ἐνέργειάν τινα βλάπτον. ἔτι δὲ πρὸς τούτοις ἀναμνηστέον ἐστίν, ὡς οὐκ ἄν ποτε σφυγμὸς ἀλλοιωθείη διὰ δυσκρασίαν, χωρὶς τοῦ τὰς ἀρτηρίας τι παθεῖν, ἢ τὴν καρδίαν. καὶ ὡς ἐνδέχεται, ποτὲ τὰς μὲν ἀρτηρίας τι πεπονθέναι, τὴν καρδίαν δὲ ὑπάρχειν ἀπαθῆ. τῆς μέντοι καρδίας πασχούσης, οὐκ ἐνδέχεται τὰς ἀρτηρίας ἀπαθεῖς διαμένειν, ἀλλ' ἀναγκαῖον ἀπολαύειν τι τῆς δυσκρασίας αὐτὰς ἔλαττον, ἢ μεῖζον. ἡ μὲν οὖν κατὰ ψυχρότητά τε καὶ θερμότητα δυσκρασία τῆς καρδίας, ἑτοίμως εἰς ἁπάσας διαδίδοται τὰς ἀρτηρίας. ἡ δὲ καθ' ὑγρότητά τε καὶ ξηρότητα, χαλεπώτερον.

A

ΚΕΦΑΛΑΙΟΝ Β′.

Οἵτινές εἰσι τῆς κατὰ θερμότητα δυσκρασίας οἰκεῖοι σφυγμοί.

Ἀρκτέον οὖν ἀπὸ τῆς κατὰ θερμότητα, καὶ διοριστέον ἐν αὐτῇ τόδε πρῶτον, ὡς ἐνδέχεται καθ' ὃν τοῦτο γίνεται καιρὸν, ἤτοι κατὰ φύσιν ἔχειν τὰς ἀρτηρίας, ἢ πεπονθέναι τι καὶ αὐτὰς, καὶ ἤτοι πάσας, ἤ τινας. αἱ μὲν δὴ κατὰ φύσιν ἔχουσαι τὴν ἐν τῇ καρδίᾳ δυσκρασίαν, ὁμοίως διαδέξονται. τῶν δὲ παρὰ φύσιν διακειμένων ἡ διάθεσις ἔσται μικτή. τὸ μὲν φυλάττουσα τῆς ἰδίας καταστάσεως. τὸ δ' ἔτι παρὰ καρδίας λαμβάνουσα. πρῶτον οὖν ὑποκείσθωσαν B ἀπαθεῖς εἶναι, τό γε κατ' ἀρχὰς, αἱ ἀρτηρίαι, θερμοτέρας γινομένης τῆς καρδίας. εἶθ' ἑξῆς σκεψώμεθα, τίνες ἐξ ἀνάγκης ὑπάρχουσι σφυγμοὶ τῇ τοιαύτῃ διαθέσει, καὶ τίνες, ὡς τὸ πολύ. πάλιν οὖν ἀναμνησθέντες ὧν ἔν τε τῷ πρὸ τούτου λόγῳ δεδηλώμεθα, κἀν τῇ περὶ τῶν ἐν σφυγμοῖς αἰτίων πραγματείᾳ, τοὺς οἰκείους θερμότητος πλεονεκτούσης σφυγμοὺς ἐπέλθωμεν, ἵν' ἐξ αὐτῶν ἐπισκεψώμεθα, τίνες μὲν ἀχώριστοι τῆς προκειμένης διαθέσεώς εἰσι, τίνες δ' ὡς τὸ πολὺ συμπίπτουσι. εἰσὶν οὖν οἰκεῖοι σφυγμοὶ πλήθους θερμότητος, ὅ τε μέγας, καὶ ὁ ταχὺς, καὶ ὁ πυκνὸς, ἀλλ' ὁ μέγας μὲν οὐ θερμότητος μόνης ἐπικρατούσης, ἀλλὰ καὶ ὀργάνων C δεῖται μαλακῶν, καὶ δυνάμεως εὐρώστου. ὥστ' οὐκ ἂν ἀχώριστος εἴη τῆς κατὰ θερμότητα δυσκρασίας. οὕτως δὲ καὶ ὁ ταχὺς ἐρρωμένης δεῖται δυνάμεως, καὶ ὀργάνων ἑτοίμως διαστελλομένων, ὥστ' οὐδ' οὗτος ἀχώριστος. ὁ δέ γε πυκνὸς, εἰ μὲν αὐτάρκως ὑπὸ τοῦ μεγέθους τε καὶ τάχους ἡ χρεία πληρωθείη, τὴν ἀρχὴν οὐδ' ἂν συσταίη. δέδεικται γὰρ καὶ τοῦτο, μὴ πληρουμένης δὲ γίγνοιτ' ἂν, ὥστ' οὐδ' οὗτος ἀχώριστος, οὐ μὴν οὐδ' ἐκ τῶν οἰκείων εἴη ἄν τις ἀχώριστος. ἐκ δὲ τῶν οἰκείων μὲν, οὐκ ἀχωρίστων δὲ κρατήσει, ποτὲ μὲν ὁ μείζων, ποτὲ δὲ ὁ θάττων, ποτὲ δὲ ὁ πυκνότερος. εἰ μὲν γὰρ ἡ θερμότης αὐξηθείη μόνη, κατὰ φύσιν δ' ἔχοιεν ἥ τε δύναμις, καὶ τὰ ὄργανα, D βραχείας μὲν τῆς ἐκτροπῆς γινομένης, εἰς μέγεθος μόνον ἐπιδώσουσιν οἱ σφυγμοί. πλέονος δὲ, καὶ εἰς τάχος. ἀξιολόγου δὲ, καὶ εἰς πυκνότητα. προσέχειν δ' ἐν τούτῳ δεῖ τὸν νοῦν ἀκριβῶς, τῷ μᾶλλόν τε καὶ ἧττον ἐν ἑκάστῳ γένει σφυγμῶν. εἰ μὲν γὰρ εἰς τὸ μέγεθος ἐξαλλάττοιντο πλέον, ἢ περὶ τὸ τάχος, καὶ τὴν πυκνότητα, μὴ πάνυ πολλὴν ἡγοῦ τὴν ἐν τῇ καρδίᾳ θερμότητα. εἰ δ' εἰς τὰ τρία παραπλησίως, εὐθὺς μὲν δήπου καὶ μεγάλως ἐξαλλαχθήσονται. εὐθὺς δὲ καὶ πολλὴν ἐνδείξονται τὴν θερμότητα. εἰ δ' ἐπὶ πλέον αὐξηθείη τὸ τάχος τοῦ μεγέθους, ἔτι δὴ καὶ μᾶλλον. εἰ δὲ καὶ ἡ πυκνότης, ἔτι μᾶλλον. εἰ δ' ἅμα μέγιστός τε, καὶ τά- E χιστος ὁ αὐτὸς εἴη σφυγμὸς, καὶ πυκνότατος, εἰς ἄκρον ηὐξῆσθαι δηλώσει τὴν θερμότητα. εἰ δὲ τάχιστος μὲν εἴη, καὶ πυκνότατος, μὴ μέντοι καὶ μέγιστος, ἄλλως μὲν οὐκ ἂν δύναιτο συμβῆναι τοῦτο, χωρὶς τοῦ τὴν δύναμιν ἀρρωστοτέραν, ἢ τὴν ἀρτηρίαν γενέσθαι σκληροτέραν. ἀδιόριστον δὲ τοῖς ἀχωρίστοις ἑκατέροις σφυγμοῖς, ἥ γε μὴν ἔνδειξις κἀνταῦθα τῆς ἐν τῇ καρδίᾳ θερμότητος ἡ αὐτή. καὶ μὴν καὶ ὅταν ἡ πυκνότης ἐπὶ πλεῖστον προήκῃ, μὴ συναυξάνηται δ' εἰς ἴσον αὐτῇ τὸ τάχος, καὶ τὸ μέγεθος, ἀνάγκη καὶ τότε θερμότητα μὲν εἶναι πολλὴν, ἤτοι δ' ἀρρωστίαν δυνάμεως, ἢ ὀργάνων σκληρότητα. σὺν ἀρρωστίᾳ μὲν οὖν F ἀμυδρὸς ὁ σφυγμὸς ἔσται. σὺν σκληρότητι δὲ, σκληρὸς ἅμα καὶ κλονώδης. εἰ δὲ καὶ χωρὶς κλόνου σκληρὸς εἴη πυκνὸς ὢν ἐσχάτως, ἀσθενῆ τὴν δύναμιν ἅμα τῷ πλήθει τῆς θερμότητος ἐνδείξεται. πάντως οὖν ὁ τοιοῦτος ἔσται, καὶ ἀμυδρὸς, καὶ κινδυνεύειν ἀπάξει συγκοπῆς. ἀναμνησθῆναι δὲ χρὴ κἀνταῦθα, τίνα τρόπον ἐγχωρεῖ

CAPVT II.

Caloris intemperiei, qui pulsus peculiares sint.

Exordiar igitur à calida intemperie, in qua hoc primùm distinguam, posse quo hoc tempore fiat, vel naturaliter arterias comparatas esse, vel aliquid perpessas, idque aut omnes, aut quasdam. Quæ in naturali sunt statu, ex æquo cordis intemperiem recipient; quæ verò præter naturam affectæ sunt, harum mixtus erit affectus, tum vt quæ retineant proprij status affectum, tum quæ præterea alium à corde accipiant. Faciamus primùm arterias ab initio liberas esse omni iniuria, quum cor incaluerit; deinde videamus iam, quos hic affectus pulsus habeat necessariò, & quos plerunque. Atque hoc rursus in memoriam reuocemus, in proximo nos libro explicauisse, & in opere etiam de pulsuum causis, præpollenti calori pulsus peculiares, eósque recenseamus, vt ex iis æstimemus, qui huic affectui sint perpetui, & qui ferè accidant. Peculiares copioso calori sunt, magnus, celer, creber. At magnus non tantùm calorem excellentem, sed instrumenta requirit mollia, atque facultatem validam, itaque non erit calidæ intemperiei perpetuus. Et celer item postulat firmam facultatem, ac instrumenta, quæ promptè distendantur; ita ne hîc quidem perpetuus est. Nam creber quidem, si largè vsui à magnitudine, & celeritate satisfactum sit, nulla fiat ratione, siquidem hoc etiam ostendimus, si non impleatur vsus, fiat. Proinde perpetuus ne hic quidem est, quare nec ex peculiaribus sit perpetuus vllus. At ex illis, qui peculiares sunt, non perpetui tamen, nunc maior vincet, nunc celerior, nunc crebrior. Nam si calor solus increuerit, & in naturali statu maneat facultas, instrumentáque, quum mutatio est parua, magnitudo tantùm pulsuum augetur; quum maior, etiam celeritas, quum insignis, iam etiam crebritas. Hîc animaduertendus est etiam, atque etiam in vnoquoq; genere pulsuum excessus, defectúsque. Nam si ad magnitudinem declinent plus, quàm ad celeritatem, & crebritatem, non ita copiosum puta esse calorem cordis. Si verò ad tres illas iuxta, continuò tum maiorem in modum immutabuntur, tum largum prodent calorem. Quòd si magnitudinem superauerit celeritas, multo iam magis; si item crebritas, adhuc magis. Si verò maximus pulsus, idémque celerrimus sit, & creberrimus, summum incrementum significabit caloris. Sin celerrimus, atque creberrimus sit non autem maximus, hoc nisi facultas sit imbecillior, vel arteria durior, nulla alia ratione accidat; at est in pulsibus indiscretis vtrunque explicatu facile, nihilominus cordis hic etiam calorem monstrat. Iam quoque vbi ingens sit crebritas, nec simul celeritatis, & magnitudinis par incrementum, calorem quidem etiam tunc oportet esse copiosum; sed vel facultatis imbecillitatem, vel instrumentorum duritiem. Imbecillitati autem adiunctus erit languidus; duritiei durus pariter, & vibratus. Si durus citra vibrationem sit, atque summè creber, imbecillem facultatem coniunctam multo calori nunciabit. Omninò verò hic languidus etiam erit, & in syncopes periculum adducet. At commemorandum hîc etiam est, quî fieri possit,

vt

vt calor cor teneat permultus, & valeat facultas. Nam si robur temperiem, imbecillitas intemperiem consequitur, intemperies in cor vnà cum immodico calore inuadet; proinde debilitari facultatem oportebit. Quî tandem igitur quum pulsus pariter, & maximus, & celerrimus, & creber, vehemensque sit, non modò calorem in corde amplum, verum etiam facultatis firmitatem esse diximus? nempe quod quum aliis locis, tum in febribus dignoscendis aliud esse demonstrauimus incalescere, & incaluisse. Nam vbi corpus cordis à substantia calefiat, quam continent eius ventriculi, potest firma facultas esse; quod etiam est in causa, cur plurimum, celerrimè, & creberrimè illi inspirent; ac maximè, celerrimè, creberriméque pulsent, repugnante adhuc calefacienti substantiæ corde, & foris alteram, quæ refrigeret, parem calori alliciente. Quòd si quando succubuerit, atque in eundem delapsum sit, in quo est substantia, quam ventriculi continent, calorem, iam tum incaluit, nec posthac incalescit tantum, cuius sequitur intemperiem imbecillitas facultatis. Ac si largius incaluerit, & per ipsum totum calor febrilis permanauerit, febrem excitat, quam hecticam vocant. Interim contra fit, ac nunc exposuimus, quum substantia iusto frigidior sit, quam continent sinus; corpus autem eius largius incaluerit; id quod his vsu venit, qui crudos, frigidosque humores, & pituitosos aceruarunt, aut vehementissima ira concitati sunt, aut nimium vigilauerunt cum graui solicitudine, aut ob aërem pestilentem spiritu attractum offenso cordis corpore, denique ob venenosæ cuiuspiam proprietatem qualitatis, quæ aliquo modo ad cor penetrauerit. Hæc ego commemoraui, vt nequis in admirationem adducatur, qui possit, dominante calore vigere cordis robur. Itaque vnde digressi sumus, reuertamur. Cordis calor pulsus, vt diximus, variat. Verùm quia specie duplex est, alter quidem à putredine humorum genitus, cuius qualitas acris, & fumosa est; alter cum humiditate suaui existit, quantitate sola à naturali statu remotus; ille prior constans, & ægrè solubilis est; hic non diuturnus, ac balneas, exercitationes, cibum calidum, vini potum, animique affectus, verecundiam etiam, atque iram comitatur. An verò in hoc genere sint vllæ febres, vt illæ quas lassitudo, vel feruor, vel frigus, vel bubo, vel ira committit, in controuersia est. De quibus, & si in commentariis de febribus longum sermonem habuimus, tamen hic tantum dicam; Calor, qui alterius generis est à natiuo, breuem habet externam quietem, celeriorem autem, quàm pro distentionis proportione, contractionem, qui autem quantitate sola variat, maiorem simul, & celeriorem distentionem quàm contractionem, siquidem eiuscemodi calor quærit solum refrigerium, quod ex distentione docuimus suppeditari. At fumosus, quum hoc maius requirit, tum verò multo maximè excrementorum expulsionem, quod munus erat contractionis; itaque distentionem quoque hic longè citatiorem reddet, & contractionem longè maximè. Qui eiusmodi non est, contractionem minimè commutabit, distentionem autem hactenus, quatenus septa transiliit moderati temperamenti. Cæterùm inferius hæc amplius declarabimus, vbi de febribus tractatio fiet.

A θερμότητα μὲν ὑπάρχειν ἐν τῇ καρδίᾳ παμπόλλην, ἐρρῶσθαι δὲ τὴν δύναμιν. εἰ γὰρ ἡ μὲν ῥώμη ταῖς εὐκρασίαις, ἡ δ' ἀρρωστία ταῖς δυσκρασίαις ἕπεται, δυσκρασία καταλήψεται τὴν καρδίαν, ἅμα τῇ πλεοναζούσῃ θερμότητι. ὥστ' ἐξ ἀνάγκης, καὶ ἡ δύναμις ἀρρωστήσει. πῶς οὖν, ὅταν ὁ σφυγμὸς ἅμα μέγιστός τε ᾖ, καὶ τάχιστος, καὶ πυκνὸς, καὶ σφοδρὸς, οὐ μόνον θερμότητα παμπόλλην ὑπάρχειν ἐν τῇ καρδίᾳ φαμὲν, ἀλλὰ καὶ δυνάμεως εὐρωστίαν; ὅτι διώρισται πολλάκις ἐν ἑτέροις ἡμῖν, κἀν ταῖς τῶν πυρετῶν διαγνώσεσι τὸ θερμαίνεσθαι, τοῦ τεθερμᾶνθαι διαφέρειν. ὅταν μὲν γὰρ θερμαίνηται τὸ σῶμα τῆς καρδίας, ὑπὸ τῆς περιεχομένης ἐν ταῖς

B κοιλίαις αὐτῆς οὐσίας, ἐγχωρεῖ τὴν δύναμιν ἐρρῶσθαι, καὶ δι' αὐτό γε τοῦτο πλεῖστον μὲν, καὶ τάχιστον, καὶ πυκνότατον εἰσπνέουσιν οἱ τοιοῦτοι. μέγιστον δὲ, καὶ τάχιστον, καὶ πυκνότατον σφύζουσιν, ἀπομαχομένης ἔτι τῆς καρδίας πρὸς τὴν θερμαίνουσαν οὐσίαν, καὶ ψύχουσαν ἑτέραν ἔξωθεν ἐπισπωμένης ἀντίρροπον τῇ θερμότητι. ὅταν δέ ποτε νικηθεῖσα τύχῃ, καὶ συνεκθερμανθεῖσα τῇ κατὰ τὰς κοιλίας οὐσίᾳ, τεθέρμανται μὲν ἤδη τηνικαῦτα, καὶ οὐκέτι μόνον θερμαίνεται. τῇ δυσκρασίᾳ δ' αὐτῆς, ἕπεται δυνάμεως ἀσθένεια. καὶ ἢν ἐπιπλέον θερμανθῇ, καὶ δι' ὅλης αὐτῆς τὸ πυρετῶδες δέξηται θερμὸν, τὸν καλούμενον ἑκτικὸν ἐπιφέρει πυ-

C ρετόν. ἐνίοτε δ' ἔμπαλιν, ἢ ὡς νῦν εἴρηται συμβαίνει. ψυχροτέρας μὲν τοῦ κατὰ φύσιν ἐν ταῖς κοιλίαις τῆς καρδίας οὐσίας περιεχομένης, τοῦ σώματος δὲ αὐτῆς ἐπιπλέον τεθερμασμένου. καὶ γίνεται τοῦτο, τοῖς ἠθροικόσι μὲν ὠμοὺς, καὶ ψυχροὺς, καὶ φλεγματώδεις χυμοὺς, ἤτοι δὲ σφοδρότατα θυμωθεῖσιν, ἢ ἀγρυπνήσασιν ἀμέτρως μετὰ φροντίδος ἰσχυρᾶς, ἢ διὰ λοιμώδη τινὰ εἰσπνοὴν, ἀπτομένου τοῦ σώματος αὐτοῦ τῆς καρδίας, ἢ τινος ὅλως δηλητηρίου ποιότητος ἰδιότητα, καθ' ὁντιναοῦν τρόπον ἐπὶ τὴν καρδίαν ἀφικομένης. ταυτὶ μὲν οὖν ἀναμνησθήτω. πρὸς τὸ μὴ θαυμάζειν τινὰ, πῶς ἐγχωρεῖ θερμότητος ἐπικρατούσης ἀκμάζειν τῆς

D καρδίας τὸν τόνον. ἐπανελθέτω μὲν οὖν αὖθις ἐφ' ἃ λέγοντες ἀπελίπομεν. ἡ γάρ τοι θερμότης, ἡ ἐν τῇ καρδίᾳ τρέπει μὲν, ὡς εἴρηται τοὺς σφυγμούς. ἀλλ' ἐπεὶ διττὴ κατ' εἶδός ἐστιν, ἡ μὲν ἑτέρα καὶ σηπεδόνος χυμῶν ἔκγονος, ἧς ἡ ποιότης δριμεῖά τέ ἐστι καὶ καπνώδης. ἡ δὲ ἑτέρα μεθ' ὑγρότητος ἡδείας, αὐτῷ μόνῳ τῷ ποσῷ τοῦ κατὰ φύσιν ἀποκεχωρισμένη. μόνιμος μέν ἐστι, καὶ δύσλυτος, ἡ πρότερον ῥηθεῖσα, ὀλιγοχρόνιος δὲ ἡ ἑτέρα, λουτροῖς, καὶ γυμνασίοις, καὶ τροφῇ θερμαινούσῃ, καὶ οἴνου πόσει, καὶ τῶν τῆς ψυχῆς παθῶν, αἰδοῖ καὶ θυμῷ συνεπομένη. εἰ δ' ἐκ τούτου τοῦ γένους τῆς θερμασίας εἰσί τινες πυρετοὶ, καθάπερ οἱ

E ἐπὶ κόποις, ἢ ἐγκαύσεσιν, ἢ ψύξεσιν, ἢ ἐπὶ βουβῶσιν, ἢ θυμοῖς, τῶν ἀμφισβητουμένων ἐστί. καὶ λέλεκται μὲν ἐπιπλέον ὑπὲρ αὐτῶν, ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ. λελέχθω δὲ καὶ νῦν εἰς τοσοῦτον, ὡς ἡ μὲν ἑτερογενὴς τοῦ κατὰ φύσιν θερμότης, ὀλιγοχρόνιον μὲν ἔχει τὴν ἐκτὸς ἠρεμίαν, ταχεῖαν δὲ τὴν συστολὴν ἐπιπλέον, ἢ κατὰ τὴν ἀναλογίαν τῆς διαστολῆς. ἡ δὲ τῷ ποσῷ μόνῳ διαλλάττουσα, μείζονά τε ἅμα, καὶ θάττονα τὴν διαστολὴν, ἤπερ τὴν συστολήν. ἡ μὲν γὰρ τοιαύτη θερμότης, μόνης ἐμψύξεως δεῖται, ἣν ἐδείξαμεν ἐν τῷ διαστέλλεσθαι γινομένην, ἡ καπνώδης δὲ καὶ ταύτης μὲν ἐπὶ πλέον, ἀλλὰ ἐπὶ

F πλεῖστον τῆς ἀποχύσεως τοῦ περιττοῦ, ὅπερ ἔργον ἦν τῆς συστολῆς. ὥσθ' ἡ μὲν τοιαύτη, καὶ τὴν διαστολὴν ὠκυτέραν ἐπιπλέον ἐργάσεται, καὶ τὴν συστολὴν ἐπὶ πλεῖστον. ἡ δ' οὐ τοιαύτη τὴν συστολὴν μὲν οὐδ' ὅλως ἀλλοιώσει, τὴν διαστολὴν δ' εἰς τοσοῦτον, εἰς ὅσον ἂν ἐκβῇ τὰ μέτρα τῆς κατὰ φύσιν εὐκρασίας. ἀλλὰ περὶ μὲν τούτων ἐπιπλέον ἐξῆς ἐροῦμεν, ἐν τοῖς περὶ τῶν πυρετῶν λογισμοῖς.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τίνες εἰσὶν οἱ τῆς θερμοτέρας καρδίας τε, καὶ τῶν ψυχροτέρων ἀρτηριῶν σφυγμοί.

Ἐν δὲ τῷ παρόντι, τὸν περὶ τῶν ἀρτηριῶν λόγον διέλθωμεν. ὅταν ἐναντίως ἔχωσι τῇ καρδίᾳ, λέγω δέ, ὅταν ἐκείνη μὲν ᾖ θερμοτέρα τοῦ κατὰ φύσιν, αἱ δ᾽ ἀρτηρίαι ψυχρότεραι, ἤτοι χυμῶν τινων ψυχρῶν ἐν αὐταῖς περιεχομένων, οὐδέπω διασηπομένων, ἢ καί τινος ἑτέρας ψύξεως ἐπικρατούσης. ἀνάγκη δὲ ταύτας τηνικαῦτα, τὸ μὲν ἐψῦχθαι κατὰ τὴν οἰκείαν ἔχειν διάθεσιν. ἐπίκτητον δ᾽ ἔτι παρὰ τῆς καρδίας, τὸ θερμαίνεσθαι. ἀλλ᾽ ἐπεὶ καὶ τὴν κινοῦσαν αὐτὰς δύναμιν ἐξ ἐκείνης ἐπίρρυτον ἔχουσιν, καὶ τόνος εἷς ἐστιν ὁ διαστέλλων τε καὶ συστέλλων ἅμα τῇ καρδίᾳ τὰς ἀρτηρίας, ἀναγκαῖόν ἐστι τὸ μέν τι ταὐτὸν ὑπάρχειν τῇ τε τῆς καρδίας κινήσει, καὶ τῇ τῶν κατὰ μέρος ἀρτηριῶν ἁπασῶν, τὸ δέ τι διαλλάττον. αἱ μὲν δὴ πρῶται τῶν κινήσεων ἀρχαί, κατὰ τὸν αὐτὸν ἔσονται χρόνον, ὅταν γε δέχωνται τὴν παρ᾽ αὐτῆς δύναμιν ἀμέμπτως. οὔτε δὲ τὸ μέγεθος, οὔτε τὸ τάχος, οὔθ᾽ ἡ σφοδρότης ὁμοίως ἀμφοτέραις ὑπάρξει, ἀλλ᾽ ἡ καρδία τηνικαῦτα, καὶ μείζονα, καὶ θάττονα, καὶ σφοδρότερον ἕξει τὸν σφυγμόν, ἁπασῶν τῶν κατὰ μέρος ἀρτηριῶν. ἡ μὲν γὰρ ἀρχὴ τῆς κινήσεως, αὐταῖς ἐκ τῆς καρδίας ἐστίν. ὁ δὲ τρόπος, ἑκάστῃ τῆς οἰκείας κινήσεως, ὡς ἂν καὶ τύχῃ τῇ καρδίᾳ συνδιατεθεῖσα. συνδιατίθεται γὰρ ἡ μὲν ὡσαύτως ἔχουσα τῇ κράσει, καθ᾽ ὃν ἂν ἡ καρδία τρόπον ἐνεργῇ, ἡ δ᾽ ἐναντίως, εἰς ὅσον ἂν καὶ τύχῃ δεξαμένη τὴν ἐξ αὐτῆς ἀλλοίωσιν. ἐνδέχεται τοιγαροῦν ἐνίοτε τὴν ψυχρὰν ἀρτηρίαν ὑπὸ τῆς καρδίας θερμαινομένην, οὔτε μικρὸν ἐργάσασθαι τὸν σφυγμόν, οἷός περ ὁ τῆς ψυχρᾶς ἐστι, οὔτε μέγαν, οἷός περ ὁ τῆς θερμῆς, ἀλλὰ τὸν ἀμφοῖν μέσον, ὅσπερ δὴ καὶ σύμμετρος, καὶ κατὰ φύσιν ἐστίν. οὕτω δὲ καὶ τῷ τάχει σύμμετρος, ἐν ταῖς τοιαύταις διαθέσεσιν ὁ σφυγμὸς ἔσται· καὶ τῇ σφοδρότητι μέτριος. ἐναργῶς δὲ διαγνώσῃ τὸ λεγόμενον, εἰ κατὰ τὸν αὐτὸν χρόνον ἅπτοιο, τῇ μὲν ἑτέρᾳ χειρὶ τῆς καρδίας, τῇ δὲ ἑτέρᾳ τῶν ἀρτηριῶν τινος. αἱ μὲν γὰρ ἀρχαὶ τῶν κινήσεων, ἅμα σοι φανοῦνται γίνεσθαι. διαλλάξουσι δὲ μεγέθει, καὶ τάχει, καὶ σφοδρότητι τηνικαῦτα. ἐνίοτε δὲ συμβαίνει, καὶ τὸ μὴ δέχεσθαι καθ᾽ ἕνα χρόνον ἁπάσας τὰς ἀρτηρίας, τὴν ἐκ τῆς καρδίας ἐπιρρέουσαν δύναμιν τοῦ σπλάγχνου, ἀλλὰ τὰς μὲν ἐγγυτέρω τοῦ σπλάγχνου προτέρας. ὑστέρας δέ, τὰς πορρωτέρω. γίγνεται δὲ μάλιστα τὸ τοιοῦτον, ἐπειδὰν εἰς ἕνα χρόνον συνέλθοι τάς τε ἀρτηρίας εἶναι ψυχροτέρας, ἄτονόν τε τὴν καρδίαν. ἐὰν δὲ καὶ αὐτῶν τῶν ἀρτηριῶν τὰ πορρωτέρω τῆς ἀρχῆς μέρη μᾶλλον ᾖ ψυχρά, καθάπερ ἐν ἐπισημασίαις τέ τισι, καὶ τοῖς λιπυρίαις συμβαίνει πυρετοῖς. οὐ μόνον ὑπάρξεται πρωϊαίτερον, ἀλλὰ καὶ τὴν κίνησιν αὐτὴν θάττονά τε, καὶ μείζονα ποιήσεται τὰ τῆς καρδίας ἐγγυτέρω. καὶ μὲν δὴ ὁ τόνος ἐν ταῖς τοιαύταις περιστάσεσιν ἀσθενὴς μὲν ἐν ἁπάσαις φαίνεται, μᾶλλον δ᾽ ἐν ταῖς πορρωτέραις, ὡς ἐναργῶς εἶναι τὸν σφυγμὸν ἐν αὐταῖς ἀμυδρότερον τοῦ κατὰ φύσιν τῶν ὑπερκειμένων. συμβαίνει δέ ποτε, καὶ κατὰ τὴν καρδίαν, ἡ τοιαύτη τῶν κράσεων ὑπεναντίωσις. ἐνίοτε μὲν γὰρ αὐτὸ τὸ σῶμα τοῦ σπλάγχνου, ψυχρότερόν ἐστι τοῦ κατὰ φύσιν. ἡ περιεχομένη δὲ ἐν ταῖς κοιλίαις οὐσία, θερμοτέρα. ἐνίοτε δ᾽ ἔμπαλιν, ἡ μὲν οὐσία ψυχροτέρα, θερμοτέρα δ᾽ ἡ καρδία. καὶ γίνονται καὶ τότε τῆς καρδίας οἱ σφυγμοί, τοῖς κατὰ φύσιν ὅμοιοι, μέση γάρ πως ἐν αὐτῇ κατάστασις ἀποτελεῖται, ἐκ δυοῖν ἐναντιοτήτων συγκειμένη, καὶ σφάλλουσί γε, καὶ τοὺς ἀρίστους ἰατρούς, αἱ τοιαῦται διαθέσεις. ὥσπερ καὶ νῦν ἐπὶ τοῦ μεγάλου λοιμοῦ συνέπεσεν.

CAPVT III.

Cor calidius, & arterias frigidiores qui sequantur pulsus.

NVnc de arteriis disputemus, quum contrà, ac cor, affectæ sint; quum illud, inquam, calidius iusto sit, arteriæ autem frigidiores, quòd aut humores contineant frigidos, nondum tamen putrescentes; aut si qua polleat alia frigiditas, his tum necesse est ex suo proprio affectu refrigeratis esse, ac calefieri à corde. Quia verò, & facultatem, quæ ipsas moueat, ab illo influentem habent; vnaque est contentio, quæ vnà cum corde distendat arterias, atque contrahat; quiddam, necesse est, motui cordis conueniat cum motu singularum arteriarum, & aliquid inter eos intersit. Nam motuum prima principia in idem incident tempus, siquidem ab illo facultatem citra omnem offensionem recipiant; at magnitudinem, & celeritatem, & vehementiam non ex æquo vtraque obtinebunt; sed cor tunc singulis arteriis maiorem, celeriorem, vehementioremque pulsum habebit. Etenim illæ motus principium à corde habent, rationem verò sui singulæ motus, prout cordi consentiant. Consentiunt autem quæ simili sunt temperamento, quocunque modo cor agat, quæ contrario, quatenus ex illo immutatæ fuerint. Quocirca contingit aliquando, vt arteria, quæ frigida est, sed à corde calefit, nec paruum pulsum, qui frigidæ est, edat; nec magnum, qui calidæ; sed inter vtrunque medium, qui moderatus est, & naturalis. Et celeritate etiam moderata pulsus erit horum affectuum, itemque vehementia moderata. Quod dico, clarè intelliges, si altera manu eodem tempore cor, altera aliquam arteriam tangas; principia enim motuum animaduertes vnà fieri; sed dissidebunt magnitudine, celeritate, & vehementia. Nonnunquam accidet, vt arteriæ eodem tempore non accipiant ex corde influentem facultatem; verùm quæ cordi propiores sunt, primæ; posteriores, quæ remotiores; quod potissimum accidit, vbi incidant in idem tempus arteriæ frigidiores, & cor imbecillius. Quòd si etiam ipsarum arteriarum frigidiores sint partes, quæ longius à principio distant; quod in accessionibus quibusdam & in febribus accidit lypiriis; non solum incipient maturius, verùm etiam ipsum motum reddent celeriorem, & maiorem partes cordi propinquiores. Ad hæc, contentio per eiusmodi status in omnibus imbecilla videtur, sed in remotioribus magis, ita vt in iis pulsus languidior sit, quàm pro natura superiorum. Nonnunquam percipitur in corde huiuscemodi pugnantia temperamentorum; nam modò frigidius visceris corpus æquo est, & in ventriculis contenta substantia calidior; modò è diuerso, substantia frigidior, cor autem calidius; vbi etiam pulsus fiunt moderatis similes, nam medius quodammodo status hic efficitur ex duobus contrariis conflatus. Qui sanè affectus, vel optimos medicos fallunt; quod nunc quoque in maxima pestilentia accidit.

Quidam

Quidam inde ab initio ad finem vsque, alij per totum morbum, probum pulsum habebant, qui perparum defiexisset à natura; qui quidem præter cæteros perierunt: Animaduertimusque eos primis statim diebus,& pestilentia laborare,& pessimè affectos esse ex acrimonia caloris, atque ipsa caloris specie, denique quòd pulsus parum præter naturam immutati,iis in eo statu perpetuò maneant;nam in speciem præcipuè hecticarum,quas vocant,febrium incidunt huiuscemodi pulsus. Si qui essent inter ægrotos, qui se negarent febricitare,his febris, occupato ipso cordis corpore, planè erat in habitu. Etenim febrium hecticarum duo hæc sunt propria signa, si perpetuò sibi illæ similes sint, nec inuasionem vllam accessionis, nec incrementum, nec vigorem, nec remissionem habeant, sique febricitare se non percipiat ægrotus. Hos pulsus nihil est necesse maiores iusto, atque interdum ne crebriores quidem esse, at omnino celeres tamen. Itaque iure sanè censuerunt plurimi medici,atque præstantissimi, celeritatem febricitantium pulsibus perpetuam esse, sed de his adhuc dicetur. Quòd verò in sermone prætermisimus, vbi aër, quem spirando attrahimus, infectus putredine sit, ac putredo corpus cordis attigerit, illi pulsus fiunt. Nec iam quicquam habet admirationis, si eos pulsus, quos memorauimus, tali affecti peste habeant, nec si pestilentem respirationem; nec si omninò morituri sint; quam enim excogites medicinam ad putredinem, quæ in corde sit? Nam quibus calor hic putredinosus ad humores,quos continent cordis sinus, magis deflexit, quam ad corpus ipsum visceris, multi horum fuerunt superstites. Deprehenduntur affecti hac peste, si febrem primùm percipiant, deinde si non æqualiter perpetuò febricitent, ad hæc si pulsum non habeant prævalidum, siquidem qui intemperiei comites sunt corporis ipsius cordis, imbecilli sunt omnes. Habes pulsus, quos cor intemperatum calore creat.

A ἔνιοι μὲν γὰρ ἀπὸ τῆς ἀρχῆς ἕως πλείστου, τινὲς δὲ καὶ δι' ὅλου τοῦ νοσήματος ἦσαν εὔσφυκτοι βραχύ τι τοῦ κατὰ φύσιν ἐξηλλαγμένους ἔχοντες τοὺς σφυγμούς. ἀλλ' οὗτοι μᾶλλον τῶν ἄλλων ἀπώλοντο· καὶ διαγινώσκομεν αὐτοὺς εὐθέως ἐν ταῖς πρώταις ἡμέραις ὅτι τε λοιμώττουσι, καὶ ὅτι χείριστα διάκεινται, τῷ τε τῆς θερμασίας δριμεῖ, καὶ αὐτῷ τῷ τῆς θερμασίας εἴδει, καὶ αὐτῷ βραχύ τι τοῦ κατὰ φύσιν ἐξηλλαγμένους ὄντας αὐτοῖς τοὺς σφυγμοὺς ἀεὶ διαμένειν τοιούτους. ἐν εἴδει γὰρ μάλιστα τῶν ἑκτικῶν ὀνομαζομένων πυρετῶν, οἱ τοιοῦτοι σφυγμοὶ συνίστανται. καὶ ὅσοι γε τῶν καμνόντων οὐκ ἔφασκον πυρέττειν, ἐν ἕξει τούτοις ἀκριβῶς ἦν ὁ πυρετός, αὐτὸ τῆς B καρδίας κατειληφὼς τὸ σῶμα. δύο γὰρ δὴ ταῦτα γνωρίσματα τῶν ἑκτικῶν πυρετῶν ἐστὶν ἴδια. τό τε διαπαντὸς ὁμοίους ἑαυτοῖς ὑπάρχειν αὐτούς, οὔτε εἰσβολὴν παροξυσμοῦ τινος, οὔτ' ἀνάβασιν, οὔτ' ἀκμὴν, οὔτε παρακμὴν οὐδεμίαν ἔχοντας, τό τε μὴ γινώσκειν ὅτι πυρέττει τὸν κάμνοντα. γίνονται δ' οἱ τοιοῦτοι τῶν σφυγμῶν, οὐκ ἐξ ἀνάγκης μὲν μείζονες τῶν κατὰ φύσιν, ἐνίοτε δ' οὐδὲ πυκνότεροι, θάττονες μέντοι πάντως. καὶ ὀρθῶς ἄρα τοῦτο τοῖς πλείστοις τε, καὶ ἀρίστοις τῶν ἰατρῶν ἐπιστεύθη, τῶν πυρεττόντων τοὺς σφυγμοὺς ἀχώριστον ἔχειν τὸ τάχος. ἀλλὰ περὶ μὲν τούτων, καὶ αὖθις. ὅπερ δὲ λέγοντες ἀπελίπομεν, ἐπειδὰν ὑπὸ σηπεδονώδους ποιότητος ὁ εἰσπνεόμενος ἀὴρ μιανθῇ, καὶ ἅψηται τοῦ σώματος τῆς καρδίας ἡ C σηπεδών, οἱ τοιοῦτοι γίνονται σφυγμοί. καὶ οὐδὲν ἔτι θαυμαστὸν, οὔθ' ὅτι τοὺς σφυγμοὺς ἔχουσιν ὁποίους εἰρήκαμεν οἱ οὕτω λοιμώττοντες, οὔθ' ὅτι λοιμώδη τὴν ἀναπνοὴν, οὔθ' ὅτι τεθνήξονται πάντως. τί γὰρ ἂν ἄκος εὑρεθείη τῆς ἐν τῇ καρδίᾳ σηπεδόνος. ὡς ὅσοις γε τὸ σηπεδονῶδες τοῦτο θερμὸν, εἰς τοὺς ἐν ταῖς κοιλίαις τῆς καρδίας ἐτράπετο χυμοὺς μᾶλλον, ἤπερ εἰς αὐτὸ τὸ σῶμα τοῦ σπλάγχνου, πολλοὶ τούτων ἐσώθησαν. ἡ διάγνωσις δ' αὐτῶν τῶν λοιμωττόντων, εἰ πρῶτον μὲν αἰσθάνονται πυρέττοντες. ἔπειτα δὲ εἰ μὴ διαπαντὸς ὡσαύτως πυρέττοιεν. ἔτι δὲ πρὸς τούτοις, εἰ μὴ διάτονον ἔχοιεν D τὸν σφυγμόν. οἱ γὰρ ἐπὶ δυσκρασίᾳ τοῦ σώματος αὐτοῦ τῆς καρδίας, ἅπαντες ἄτονοι. αἱ μὲν δὴ κατὰ θερμότητα δυσκρασίαι τῆς καρδίας, ὁποίους τινὰς ἐργάζονται τοὺς σφυγμοὺς, αὐτάρκως λέλεκται.

CAPVT IV.

Frigidæ intemperiei qui pulsus peculiares sint.

INtemperies frigidæ planè efficiunt contrarios, paruos, tardos, & raros; hos vel in tres proportione differentias commutant, vel aliquas earum, aut aliquam, plus, vel minus; alias aut aliam minùs, vel plùs. At hic eodem modo, vt prius declarauimus, attendenda est, quæ deficiat, vel exuperet. Primùm crebritatem immutabit, deinde celeritatem, postea magnitudinem; siquidem illæsa sit facultas, nam si quid ad hæc quoque offensa sit, perspicies illud ex propria pulsuum, & perpetua qualitate, quam remissionem appellamus,quæ ad paruitatem, & tarditatem potius, quàm ad raritatem, pulsus immutat. Nam quum facultas plurimùm laborat, etsi coniuncta sit frigiditas, pulsus extremè quidem parui fiunt; sed non tardi extremè, imò nonnunquam moderatis similes: crebritatem tamen non abiiciunt pristinam, sed etiam adaugent. At vbi paululum facultas debilitata sit, & frigiditas vigeat plurimum, longissimè ad raritatem pulsus deflectunt, minimum ad paruitatem, medio modo ad tarditatem. Eodem etiam arteriæ modo, si in natiuo temperamento constent, mouebuntur;

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τίνες εἰσὶν οἱ τῆς κατὰ ψυχρότητα δυσκρασίας οἰκεῖοι σφυγμοί.

ΑΙ δὲ κατὰ ψυχρότητα πάντως μὲν δήπου τοὺς ἐναντίους ἀποτελοῦσι, τοὺς μικροὺς, καὶ βραδεῖς, καὶ ἀραιοὺς, ἤτοι δ' ἀνάλογον εἰς τὰς τρεῖς διαφορὰς ἀλλοιοῦσιν, ἢ τὰς μέν τινας ἐξ αὐτῶν, ἢ τινα E μᾶλλον, ἢ ἧττον. ἑτέρας δέ τινας, ἢ ἑτέραν. ἧττον, ἢ μᾶλλον. ἀλλὰ χρὴ κἀνταῦθα κατὰ τὸν αὐτὸν τρόπον ἐπίστασθαι τὴν ἐλλείπουσαν, ἢ καὶ πλεονάζουσαν, ὡς καὶ πρόσθεν εἴρηται. πρῶτον μὲν γὰρ ὑπαλλάξει τὴν πυκνότητα, δεύτερον δὲ, τὸ τάχος, ἑξῆς δὲ, τὸ μέγεθος, ἀπαθοῦς γε τῆς δυνάμεως οὔσης. ὡς εἴ γε καὶ ἥδε τι πάθοι, γνωρισθήσεται μὲν ὑπὸ τῆς ἰδίας τε καὶ ἀχωρίστου ποιότητος τῶν σφυγμῶν ἣν ἀμυδρότητα καλοῦμεν, ἣ εἰς μικρότητά τε, καὶ βραδύτητα μᾶλλον, ἤπερ εἰς ἀραιότητα τὴν ἀλλοίωσιν ἐργάζεται τῶν σφυγμῶν. ὡς ὅταν γε ἐπὶ πλεῖστον ἡ δύναμις κάμνῃ, κἂν ψύξις συνῇ. μικροὶ μὲν ἐσχάτως οἱ σφυγμοὶ γίνονται, βραδεῖς δ' οὐκ ἐσχάτως, ἀλλ' ἔστιν ὅτε τοῖς κατὰ φύσιν F ὅμοιοι, πυκνότητα δ' οὐ μόνον ἀποτίθενται τὴν πρόσθεν, ἀλλὰ καὶ προσαυξάνουσι. ἐπειδὰν μέντοι τὰ τῆς δυνάμεως ἐπ' ὀλίγον ἀῤῥωστῇ, τὰ δὲ τῆς ψύξεως ἐπὶ πλεῖστον κρατῇ, μακροτάτη μὲν ἡ εἰς ἀραιότητα ῥοπὴ γίνεται τῶν σφυγμῶν, βραχυτάτη δ' ἡ εἰς μικρότητα, μέση δ' ἀμφοῖν ἡ εἰς βραδύτητα. τὴν αὐτὴν δὲ ἐπινόει, καὶ αἱ ἀρτηρίαι πᾶσαι κινηθήσονται κίνησιν, ἂν τῇ κράσει φύσιν ἔχωσιν.

αἱ δὲ τῆς καρδίας ψυχροτέρας γεγενημένης, αὗται θερμότεραι τοῦ κατὰ φύσιν ὦσιν, ἀλλοιώσουσι τὸν τῆς καρδίας σφυγμὸν εἰς τοσοῦτον, εἰς ὅσον αὐτῇ ἐξεστῶσι τοῦ κατὰ φύσιν. ὥστε ποτὲ καὶ ἀκριβῶς ὅμοιος ἔσται τῷ κατὰ φύσιν ὁ κατὰ τὰς ἀρτηρίας, ὅσον γε ἐπὶ μεγέθει, καὶ τάχει, τοῦ κατὰ τὴν καρδίαν, ἐλάττονός τε καὶ βραδυτέρου γιγνομένου. εὔδηλον δ', ὡς αἱ τοιαῦται διαθέσεις, ἄνευ πυρετῶν εἰσιν αὐτῆς τῆς καρδίας μόνης ψυχθείσης ὑπὸ χυμῶν, ψυχρῶν τε ἅμα, καὶ γλίσχρων, καὶ παχέων. σπανίως μὲν οὖν ἐστιν ἡ τοιαύτη διάθεσις, ἀλλὰ γιγνομένη ποτέ, καὶ μάλισθ' ὅταν ἐν πνεύμονι τοιοῦτοι περιέχωνται χυμοί. συμβαίνει δ', ὡς τὰ πολλὰ τοῖς ἐπὶ τῇ τοιαύτῃ διαθέσει σφυγμοῖς, εὐθὺς καὶ ἀνωμάλοις εἶναι διὰ τὰς ἐμφράξεις, ἃς οἱ προειρημένοι χυμοί, κατὰ τὰ στόματα τῶν ἐκφυομένων τῆς καρδίας ἀγγείων ποιοῦσιν. εἰ μέντοι συμβαίη ποτέ, καὶ τὰς ἀρτηρίας ὁμοίως τῇ καρδίᾳ ψυχροτέρας γίνεσθαι τοῦ κατὰ φύσιν, αὐξήσουσι τὴν ἀτονίαν τῶν κινήσεων αὐτῆς, ἐν ταὐτῷ φυλάττουσαι γένει· ὥστε τῆς καρδίας βραδύτερον τε καὶ μικρότερον, καὶ ἀραιότερον τοῦ κατὰ φύσιν σφυζούσης, αὐτὰς ἔτι δὴ καὶ μᾶλλον ἐκείνης, καὶ βραδύτερον, καὶ μικρότερον σφύζειν. εὐθὺς δ' ἤδη που καὶ ἀμυδρότερον. συμβαίνει δέ ποτε ψυχροτέραν τε ἅμα, τοῦ κατὰ φύσιν εἶναι τὴν καρδίαν καὶ πλήρη περιττωμάτων δακνωδῶν, ἐν ᾧ καιρῷ τὴν μὲν διαστολὴν μικροτέραν τε ἅμα, καὶ βραδυτέραν γίγνεσθαι συμβαίνει, τὴν δὲ συστολὴν ὠκυτέραν. ἐφαίνετο δ' ἂν καὶ μέχρι πλείονος ἔσω χωρεῖν ἡ ἀρτηρία, εἰ μέχρι παντὸς αἰσθητὴν εἶχε τὴν κίνησιν, νυνὶ δὲ τοῦτο μὲν ἀδιάγνωστον αἰσθήσει. τὸ δὲ τῆς ἐντὸς ἡσυχίας χρόνον ἐπιμηκέστερον τοῦ κατὰ φύσιν γίγνεσθαι, πρόδηλον καὶ ἁπτομένοις ἐστί. σύνθετος δ' ὁ χρόνος οὗτος ἅπας ἐκ τριῶν ἐδείκνυτο χρόνων, πρώτου μὲν τῶν ἐσχάτων τῆς συστολῆς, δευτέρου δὲ τῆς ἐντὸς ἠρεμίας, καὶ τρίτου τῶν πρώτων τῆς διαστολῆς. οὗτος μὲν ὁ χρόνος, ἱκανῶς ἐκταθήσεται κατὰ τὴν εἰρημένην διάθεσιν, ὁ δὲ τῆς ἐκτὸς ἡσυχίας, ἤτοι βραχύτερος ἔσται τοῦ κατὰ φύσιν, ἢ παραπλήσιος. ἐπειγομένης γὰρ ἀεὶ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης δυνάμεως, ἀποκρίνειν τὰ περιττώματα, καὶ σπευδούσης ἐπὶ τὴν ἐνέργειαν ἐκείνην, δι' ἧς ὑπάρχει τοῦτο πράττειν αὐτῇ, τὴν πρὸ τῆς ἐνεργείας ἡσυχίαν ὀλιγοχρονιωτέραν γίνεσθαι συμβαίνει καθάπερ καὶ τὴν πρὸ τῆς ἑτέρας ἐνεργείας, λέγω δὲ τῆς διαστολῆς μακροτέραν, τῷ ψυχροτέραν οὖσαν τὴν καρδίαν ἐκλελυμένως ἐπὶ τὴν ἐνέργειαν ἰέναι, διὰ μίαν ἔτι μόνην χρείαν τὴν τῆς ῥιπίσεως, ἀπολωλεκυῖαν ἤδη τὴν ἑτέραν τὴν μείζονα, τὴν τῆς ἐμψύξεως. ἡ μὲν γὰρ ὑπόλοιπος, ἡ τρίτη κατ' ἐκείνας μόνας τὰς διαθέσεις, ἐπεγείρει τὴν καρδίαν εἰς τὴν ἐνέργειαν, ὅταν ἤτοι κίνησίν τινα κινῆται τὸ ζῷον ἀξιόλογον, ἢ κένωσις πολλὴ ἐμπίπτῃ, τῶν ἀρτηριῶν ἐπὶ πλέον ἀνεστομωμένων μὲν εἰς τὰ ἐκτὸς, ἔν γε τοῖς βαλανείοις, καὶ εἰ δή τινες ἄλλοι καθ' ἥντινα οὖν αἰτίαν, ἱδρῶτες ἐκχέονται πολλοί. εἰ δὲ τὰ ἐντὸς, ἔν τε ταῖς καθάρσεσι, καὶ τῶν παθῶν, ἐν χολέραις, καὶ δυσεντερίαις, καὶ ἰσχυραῖς δήξεσι τῶν ἐντέρων. ἐπειδὰν μέντοι συμβῇ, καὶ αὐτὸ τὸ σῶμα τῆς καρδίας ἐν ἑαυτῷ τινα δυσκρασίαν ἀνώμαλον ἔχειν, ἀναγκαῖον ἔσται καὶ τοὺς σφυγμούς, αὐτῆς τε τῆς καρδίας, καὶ τῶν ἐν τῷ ζῴῳ πασῶν ἀρτηριῶν, εἰς ἀνωμαλίαν ἐκτραπῆναι πολυειδῆ. καὶ γὰρ καὶ ἡ συστηματικὴ καλουμένη, καὶ ἡ καθ' ἕνα σφυγμόν, ἁπάντων ἔσται τῶν γενῶν, εἰς μέγεθος καὶ μικρότητα, καὶ τάχος, καὶ βραδύτητα, καὶ ἀμυδρότητα, καὶ πυκνότητα, καὶ ἀραιότητα, συνεχοῦς τῆς μεταπτώσεως γινομένης. εἰς μέντοι σκληρότητα, καὶ μαλακότητα μεταβολὴ συνεχὴς οὐκ ἄν ποτε γένοιτο. δέδεικται γὰρ ὑπὲρ τούτου πολλάκις. ἄκλονος μέντοι ποτέ, καὶ κλονώδης ἐν ταῖς τοιαύταις διαθέσεσι, συνεχῶς ἀλλήλους διαδέχονται, συνελθούσης τῇ δυσκρασίᾳ τῆς καρδίας τῆς σκληρότητος,

A nam si quum cor sit frigidius, hæ calidiore, æquo sint, cordis pulsum tantum alterabunts quantum de natura desciuerint. Itaque interdum etiam similis erit moderato pulsus arteriarum, quod ad magnitudinem, & celeritatem attinet, quum cordis pulsus minor, & tardior sit. Iam hoc clarum est, vacare hosce affectus febre, refrigerato duntaxat ipso corde à succis frigidis, iisdemque lentis & crassis. Sanè infrequens est hic affectus, tamen incidit interdum; præsertim quum contineantur in pulmone eiuscemodi humores. Atque in eiuscemodi B affectu contingit ferè pulsibus simul esse inæqualibus per obstructiones, quas illi succi secundum oscilla moliuntur vasorum ex corde enatorum. Verùm arteriæ, si quando fiat vt perinde atque cor frigidiores iusto sint, augebunt remissionem eius motuum, in eodem retinentes genere, vt quum tardius cor, minusque, & rarius, quàm naturæ lex postulat, pulset, illæ etiam hoc pulsent tardius, minus, rariúsque; tum etiam languidius. Accidit verò aliquando iam frigidius iusto cor esse simul, & fumosorum plenum excrementorum, quo tempore pariter, & minor, & rarior fit distentio, C contractio celerior. Videretur etiam diutiùs se arteria intro recipere, si in perpetuum eius motus percipi posset. Nunc sensum id fugit, at produci internæ quietis tempus vltra, quam par est, patet vel tangentibus. Hoc tempus conflatum docuimus ex tribus esse temporibus, primo extremitatis contractionis, altero internæ quietis, tertio principij distentionis. Ergo prolixè hoc tempus per illum affectum producetur; tempus verò externæ quietis, aut breuius, quam conueniat, erit; aut moderato simile. Nam quum studeat semper pulsuum effectrix D facultas excrementa excernere, properétque ad illam actionem, cuius hæc nomine illi data facultas est, fit, vt quies, quæ actionem præcedit, minus fit diuturna; quemadmodum etiam fit, vt illa, quæ alteram actionem præcedit, dilatationem inquam, fit longior, quia cor, quod frigidius iam est, remissè ad actionem progreditur, vnius adhuc tantum gratia vsus ventilandi, altero iam, qui maior erat, refrigerandi amisso. Reliquus enim tertius cor in his solùm affectibus excitat ad actionem, vbi moueatur magnopere animal, E aut vacuatio accidat larga, arteriarum quidem admodum reseratis externis oscillis, vt in balneis, denique si quo modo largiter sit sudatum; internis verò, in purgationibus, prætereà in affectibus, vt choleris, intestinorum difficultatibus, ac quum vehementer vellicantur intestina. At verò vbi ipsum corpus cordis inciderit in intemperiem aliquam inæqualem, non poterunt pulsus quum ipsius cordis, tum omnium animantis arteriarum in variam non degenerare inæqualitatem. Quin etiam collectiua, quam vocant, illáque vnius pulsus omnium erit generum; quòd perpetua fiat in magnitudinem, F paruitatem, celeritatem, tarditatem, remissionem, vehementiam, crebritatem, raritatem mutatio. At in duritiem, & mollitiem haud fiat continens vnquam mutatio; id quod sæpenumero declarauimus. Non vibratus autem interdum, & vibratus perpetua sese vicissitudine in hisce affectibus excipiunt, adiuncta ad cordis intemperiem duritie, vel

tentione arteriarum. Ostendimus enim, si rectè memini, in huiuscemodi affectibus, vbi magnopere cor contendat arterias distendere, vibrationem in motum incurrere; quo tempore facilè dicrotus pulsus exoriatur. In qua distentione, multi sanè laboris est affectum planè explorare, quòd non intemperiem tantùm cordis illa inæqualitas, sed & instrumentorum læsionem, & copiam humorum comitatur. Nam hæ inæqualitates, posteaquam obstructionem sequuntur cordis oscillorum, comitantur porrò etiam eius intemperiem inæqualem, non est procliue deprehendere affectum. Ergo pulsus, qui bis feriat, corporis visceris proprium est symptoma intemperiei (sicut probauimus in proximo libro) ac à dicroto distat mollitie. Verùm si durities accesserit, iam etiam ex hoc dignotio labefactatur; etenim in dicrotum conuertitur communem plurium affectuum. Vibratum verò dicrotum generari docuimus, vbi pulsus, qui absolutè est vibratus, diminuta est longitudo. Dicrotus verò non vibratus, æquè est ac vibratus durus: sed talis per suam tarditatem efficitur, & corporum vnus incumbentium. Quocirca permultas vterque hic causas consequetur, numero tamen inter se facultatum, à quibus creantur, & occasionum differunt, permultos enim vibratus dicrotus, paucos non vibratus comitabitur. At commemorandum quidem primum est, quot causis absolutè vibratus succedat, quas ante omnes recensuimus, mox causam eius, quasi continentem, fit enim vbi amplius cogitur distendi durum corpus arteriæ, vel tensum, ad hæc tertium, quòd quum facultatis imbecillitas huc accessit, aut conformatio natiua, vibratum dicrotum pulsum demonstrauimus oriri. Iam dicrotus non vibratus fiebat ob duritiem arteriæ, tarditatem pulsus, & pondus corporum incumbentium ex vtraque parte sensibilis motus; etenim in huiuscemodi affectibus, vbi ab vtraque parte medium, dum attollitur, retrahatur, rursusque copuletur cum illis, generatur pulsus dicrotus. Hæ sunt illorum quasi continentes quædam causæ. Antecedentes autem multæ sunt cuiusque, quæ etiam expeditæ, & ad manum sunt habendæ illi, qui quicquam sit præteritorum exploraturus. Pulsus qui bis ferit, ex inæquali proficiscitur ipsius corporis cordis intemperie. Tactu verò ad dignoscendam contractionem planè est opus exercitato, cuius si rudis sis dignoscendæ, nihil inter hunc pulsum tibi, & illum intererit, qui in ascensu subsistit, & quiescit paulisper. Dignoscetur si quid habeat roboris: nam qui vndequaque est remissus, huius latet contractio. Sed fit plerunque, vt omnibus pulsibus, qui bis feriant, adsit contentio, neque enim ad eam altitudinem peruenian, si omninò deficiantur contentione, aut multo molliores sint, quàm conueniat, necesse est, vt languidi simul, & non parui appareant, qui quidem etiam in lethargicis affectibus animaduertuntur, at tum quiescentem paulisper nequeas distinguere à bis feriente, proinde nec ipsos quidem affectus, ex hoc quidem discernere poteris. Aliud tamen est indicium, quo poteris, atque hoc proprium est signum vitiosæ temperiei ipsius corporis cordis. Nec causa est, quin breuitatis gratia vt pulsum aliquem, vel febrem hecticam, ita inæqualitatem nos hecticam, appellemus; sicui minus nomē probetur, stabilem illam vocet; stabilis est, si deinceps permaneat par. At verò, si cætera simul omnia

A τάσεως ἀρτηριῶν. ἐδείκνυτο γάρ, εἴ τι μεμνήμεθα, κατὰ τὰς τοιαύτας διαθέσεις, ὅταν ἐπιπλέον ὁρμήσῃ διατεῖναι τὰς ἀρτηρίας ἡ καρδία, κλόνος ἐμπίπτων τῇ κινήσει. τούτου δὲ συμβαίνοντος, ἑτοῖμον δικρότῳ γενέσθαι τῷ σφυγμῷ. καὶ γὰρ δύσκολον ἐν ταύτῃ τῇ διατάσει τὴν διάθεσιν ἀκριβῶς ἐξευρεῖν, ὡς ἂν τῆς εἰρημένης ἀνωμαλίας οὐκ ἐπὶ δυσκρασίᾳ μόνῃ καρδίας, ἀλλὰ καὶ κακώσει τῶν ὀργάνων, καὶ πλήθει συνισταμένης. ἐπεὶ γὰρ αἱ τοιαῦται τῶν ἀνωμαλιῶν, ἐπὶ ἐμφράξεσι γίνονται τῶν κατὰ τὴν καρδίαν στομάτων, ἕπονται δὲ καὶ ταῖς ἀνωμάλοις αὐτῆς δυσκρασίαις, οὐκ ἔστι διαγνῶναι ῥᾳδίως τὴν διάθεσιν. ὁ μὲν οὖν δὶς πλήττων σφυγμός, B ἴδιόν ἐστι σύμπτωμα τῆς κατὰ τὸ σῶμα τοῦ σπλάγχνου δυσκρασίας, ὡς ἐν τῷ περὶ τούτου δέδεικται λόγῳ, διαφέρων τοῦ δικρότου μαλακότητι. σκληρότητος δὲ προσγινομένης ἀπόλλυται καὶ ἡ παρὰ τοῦδε διάγνωσις, εἰς γὰρ τὸν δίκροτον μεταπίπτει κοινὸν ὄντα πλειόνων διαθέσεων. ὁ μέντοι κλονώδης δίκροτος, ἐδείκνυτο τὴν γένεσιν ἴσχων, ἐπειδὰν ὁ κλονώδης ἁπλῶς σφυγμός, βραχὺς τῷ μήκει γενήσεται. ὁ δὲ ἄκλονος δίκροτος, ὁμοίως μὲν τῷ κλονώδει σκληρὸς ὤν, ἀλλὰ διὰ τὴν αὐτοῦ βραδύτητα, καὶ τὸ βάρος τῶν ἐπικειμένων σωμάτων ἀποτελούμενος τοιοῦτος. ὥσθ' ἑκάτερος μὲν αὐτῶν ἀκολουθήσει πλείοσιν αἰτίοις. διοίσουσι δ' ἀλλή- C λων τῷ πλήθει τῶν ἐργαζομένων αὐτοὺς δυνάμεων, καὶ προφάσεων. παμπόλλοις μὲν γὰρ ὁ κλονώδης δίκροτος, ἐλάττοσι δὲ ὁ ἄκλονος ἕπεται. χρὴ δ' ἀναμνησθῆναι, πρῶτον μὲν ὅσοις αἰτίοις ὁ κλονώδης ἁπλῶς ἀκολουθεῖ. πᾶσαι γὰρ εἴρηνται πρόσθεν. ἑξῆς δὲ τὴν οἷον συνεκτικὴν αἰτίαν αὐτοῦ. γίνεται γὰρ ἐπειδὰν ἐπιπλέον ἀναγκάζηται διαστέλλεσθαι σκληρόν, ἢ τεταμένον ἀρτηρίας σῶμα. τρίτον ἐπὶ τούτοις, ὅτι προσελθούσης τῷδε δυνάμεως ἀρρωστίας, ἢ φυσικῆς διαπλάσεως, ὁ κλονώδης δίκροτος ἐδείκνυτο γίνεσθαι. καὶ πρὸς τούτοις ὁ δίκροτος ἄκλονος ἐγίνετο διὰ σκληρότητα μὲν ἀρτηρίας, βραδυτῆτα δὲ τοῦ σφυ- D γμοῦ, βάρος δὲ τῶν ἐπικειμένων ἄνωθεν ἑκατέρωθεν τῆς αἰσθητῆς κινήσεως. ἐν γὰρ ταῖς τοιαύταις καταστάσεσιν, ὅταν ὑπὸ τῶν ἑκατέρωθεν μερῶν ἀντισπασθῇ τὸ μέσον ἀναφερόμενον ἔτι, κἄπειτ' αὖθις αὐτοῖς συνέρχηται, δίκροτος ὁ σφυγμὸς γίνεται. αὗται μὲν οὖν αὐτῶν εἰσιν οἷον συνεκτικαί τινες αἰτίαι. προηγούμεναι δ' ἑκάστου πολλαί. καὶ χρὴ κἀκείνας προχείρους ἔχειν τῇ μνήμῃ, τὸν μέλλοντά τι τῶν προηγησαμένων ἐξευρήσειν. ὁ μὲν οὖν δὶς παίων σφυγμός, ἀνωμάλοις τε ἕπεται δυσκρασίαις αὐτοῦ τοῦ σώματος τῆς καρδίας, ἠσκημένης δ' ἀκριβῶς ἁφῆς δεῖται διαγινώσκειν τὴν συστολήν, ὡς εἴ τις κἀνάσκητός ἐστι τῆς τοιαύτης E διαγνώσεως, οὐδὲν ὁ τοιοῦτος σφυγμὸς αὐτῷ διαφέρειν δόξει, τοῦ κατὰ τὴν ἄνοδον ἱσταμένου τε καὶ ἡσυχάζοντος ὀλίγον. διαγνωσθήσεται δὲ βραχύ τι μεταλαχὼν εὐτονίας. ὡς ὅ γε παντάπασιν ἄτονος, ἀδιάγνωστον ἔχει τὴν συστολήν. ὑπάρχει δ', ὡς τὰ πολλὰ τόνος ἅπασι τοῖς δὶς παίουσι σφυγμοῖς. οὐ γὰρ ἂν ἐπὶ τοσοῦτον ὕψος ἀνῄεσαν, εἰ μὴ μετεῖχον εὐτονίας τινός, ἢ πολὺ μαλακώτερους ἀναγκαῖον αὐτοὺς γενέσθαι τοῦ κατὰ φύσιν, ἵν' ἀμυδροί τε ἅμα, καὶ μικροὶ φαίνωνται. γίνονται μὲν καὶ οὗτοι κατὰ τὰς ληθαργώδεις διαθέσεις, ἀλλ' οὐκ ἔστι διακρῖναι τηνικαῦτα τὸν ἡσυχάζοντα βραχὺ τοῦ δὶς παίοντος, ὥστε οὐδὲ τὰς διαθέσεις οἷόν τε διακρῖναι κατά γε F τοῦτο. δι' ἄλλου μέντοι γνωρίσματος ἐγχωρεῖ. ἴδιον δ' ἐστὶ τοῦτο τὸ γνώρισμα, τοῦ κεκρᾶσθαι κακῶς τὸ τῆς καρδίας σῶμα. (καὶ οὐδέν γε χεῖρόν ἐστιν, ὡς πυρετόν τινα, καὶ σφυγμὸν ἑκτικόν, οὕτω καὶ ἀνωμαλίαν ἡμᾶς ὀνομάζειν ἑκτικήν, ἕνεκα συντόμου διδασκαλίας. ὅς τις δ' οὐ χαίρει τῷ ὀνόματι, μόνιμον αὐτὴν καλείτω. μόνιμος δ' ἐστίν, ὅταν ἑξῆς ἴση διαφυλάττηται). ἂν δὲ δὴ καὶ τἄλλα σύμπαντα

γνωρίσματα τὸν πυρετὸν ἑκτικὸν εἶναι σημαίνῃ, πολὺ μᾶλλον οἶμαι βεβαίως διαγνώσῃ κατὰ τὸ τοῦ σπλάγχνου σῶμα τὴν ἀνώμαλον εἶναι δυσκρασίαν. εἴρηται δὲ ὑπὲρ αὐτῶν, ἐν ταῖς διαφοραῖς τῶν πυρετῶν. ἐπιβλέπειν δὲ δήπου σε χρὴ, καὶ τἄλλα σύμπαντα, τά τε παρόντα, καὶ τὰ προηγησάμενα, καὶ τὰ προκατάρξαντα. περιπνευμονίας μὲν γὰρ, ἢ ἐμπυήματος, ἢ πλευρίτιδος, ἢ φθόης, ἢ τινος ὅλως ἀποστήματος αὐτόθι γεγονότος, ἢ ἄσθματος, ἢ καταρροϊκοῦ νοσήματος, ἢ αἵματος ἀναπτύσεως, ἢ πνευμονώδους τινὸς, ἢ συλλήβδην εἰπεῖν, ἐφ' οὗ πλῆθος, ἢ πάχος, ἢ γλισχρότης χυμῶν ἐν τῷ πνεύμονι περιέχεται, προσέχειν ἀκριβῶς χρὴ, μή τι δι' ἔμφραξιν ἀρτηριῶν ὁ σφυγμὸς ἀνώμαλος γίνεται. μηδενὸς δὲ τούτων προόντος, τὰ κατὰ τὸ σπλάγχνον αὐτὸ διασκέπτεσθαι, καὶ πολὺ δὲ μᾶλλον, ὅταν ὁ πρόσθεν βίος ὃν ὁ κάμνων ἐβίου, μήτε παχεῖς ἠθροικέναι κατὰ τὸ σῶμα, μήτε γλίσχρους ἐμφαίνῃ χυμοὺς, ὑφ' ὧν ἤτοι περιχυθέντων ἔξωθεν, ἢ φραξάντων τὰ στόματα τῶν ἀρτηριῶν, ἡ ἀνωμαλία συνίσταται. δέδεικται γὰρ, ὡς ἤτοι τούτων τινὸς, ἢ φλεγμονῆς, ἢ ἁπλῶς ὄγκου παρὰ φύσιν αὐτόθι συνισταντος, ἢ πλήθους βαρύνοντος τὴν δύναμιν, ἀνωμαλίαι συμπίπτουσι τοῖς σφυγμοῖς. ἐὰν τοίνυν, μήτε δι' ὧν τὰ τοιαῦτα πάθη γνωρίζεται παρῇ, μηδὲ ἑκτική τε, καὶ μόνιμος ἀνωμαλία διαμένῃ, δυσκρασίαν ἡγητέον ἀνώμαλον ἐν τῷ σώματι τῆς καρδίας εἶναι. οὔσης δὲ καὶ αὐτῆς ταύτης διττῆς, ἑτέρας μὲν ἐν τοῖς ὑγροῖς οἰκείοις αὐτῆς, ἑτέρας δὲ ἐν τοῖς στερεοῖς, ἡ μὲν ἐκ τῶν ὑγρῶν ὁρμωμένη μετὰ παλμοῦ γίνεται τῆς ὅλης καρδίας. ἡ δὲ ἐκ τῶν στερεῶν, ἄνευ παλμοῦ. ὅστις δὲ ἐπιστημονικῶς ἐκμαθεῖν βούλεται, τὰ νῦν λεγόμενα τὸν περὶ τῶν ἑκτικῶν πυρετῶν ἀναλεξάσθω λόγον ἀκριβῶς ἔκ τε τῆς περὶ τῶν πυρετῶν πραγματείας, κἀκ τοῦ περὶ τοῦ μαρασμοῦ γράμματος. ἡ μὲν δὴ τῆς καρδίας ἀνώμαλος δυσκρασία, διαγινώσκεταί τε, καὶ χωρίζεται τῶν παρακειμένων διαθέσεων, ἐξ ὧν εἴρηκα σημείων. ἡ δ' ἄλλη πᾶσα δυσκρασία κατὰ τὸ σπλάγχνον, ὅταν ἑτέρως μὲν ἔχῃ τὸ σῶμα αὐτὸ κράσεως, ἑτέρως δὲ τὸ κατὰ τὰς κοιλίας αὐτῆς αἷμα, καὶ πνεῦμα τοὺς ἀνωμάλους σφυγμοὺς οὐδέποτε ἐργάζεται, ἀλλ' ὡς εἴρηται πρόσθεν ἐκ τῆς τῶν διαθέσεων ἐπιμιξίας, εἰς μέσην τινὰ κατάστασιν οἱ σφυγμοὶ παραγίνονται. εἰσὶ δὲ αἱ μίξεις τῶν διαθέσεων, ἔστιν ὅτε μὲν ἀκριβῶς ἀλλήλαις ἐναντίαι, ἔστιν ὅτε δ' οὐκ ἀκριβῶς. λέγω δὲ ἀκριβῶς μὲν ἐναντίας ἀλλήλαις διαθέσεις κατὰ τὴν κρᾶσιν, ὅταν ὅσῳ θερμοτέρα τοῦ κατὰ φύσιν ἡ ἑτέρα, τοσούτῳ συμβῇ τὴν ἑτέραν εἶναι ψυχροτέραν. οὐκ ἀκριβῶς δὲ, ὅταν ἡ ἑτέρα τῆς ἑτέρας ἐξίσταται πλέον. ἐγχωρεῖ δέ ποτε ὁμογενῶν οὐσῶν ἀμφοτέρων, ἐν τῷ ποσῷ γίνεσθαι τὴν διαφορὰν, ἤτοι τῆς καρδίας αὐτῆς ἐπιπλέον οὔσης θερμοτέρας τῶν κατὰ τὰς κοιλίας ὑλῶν, ἢ τούτων μὲν ἐπιπλέον ἐξεστηκυιῶν τοῦ κατὰ φύσιν, ἔλαττον δὲ τῆς καρδίας. οὕτω δὲ καὶ ψυχρότερον, ἤτοι τὸ σῶμα τῆς καρδίας, ἢ τὰς ὕλας ἐγχωρεῖ γενέσθαι. διάγνωσις δὲ τῶν εἰρημένων ἐπιπλοκῶν, οὐχ ὁμοίως ἁπασῶν ἐναργής. ἀλλ' ἐνίοτε, καὶ τὰς οὐκ ἐναργεῖς, ἐξ ἄλλων ἔστι ποιήσασθαι συλλογιστικῶς. ἡ μὲν οὖν πρώτη ῥηθεῖσα μίξις, ἐν ᾗ τὸ μὲν σῶμα τῆς καρδίας θερμότερόν ἐστι τοῦ κατὰ φύσιν, αἱ δ' ὕλαι ψυχρότεραι, τρεῖς ἔχει τὰς διαφοράς. ἤτοι γὰρ τοσούτῳ θερμότερόν ἐστιν, ὅσῳ περ ἐκεῖναι ψυχρότεραι, ἢ πλέον τοῦτο θερμότερον, ἤπερ ἐκεῖναι ψυχρότεραι, ἢ ἔλαττον θερμότερον, ἤπερ ἐκεῖναι ψυχρότεραι. κατὰ μὲν οὖν τὴν πρώτην διαφορὰν, ὁ σφυγμὸς ὅμοιος ἀκριβῶς φαίνεται τῷ κατὰ φύσιν, ἔν τε μεγέθει, καὶ τάχει, καὶ πυκνότητι. παραλλάττει δὲ τοσοῦτον εἰς ἀτονίαν, ὅσον ἐξέστη τὸ σπλάγχνον ἐκ τῆς κατὰ φύσιν εὐκρασίας. ἐμοὶ δὲ ἐφάνη πολλάκις ἐν ταῖς τοιαύταις διαθέσεσι, καὶ τῷ τάχει προσεληλυθέναι τι σαφὲς, οὐ μὴν

indicia febrem hecticam esse declarent, multò hercle dignosces certius inæqualem intemperiem tenere visceris corpus. Sed hæc explicauimus in differentiis febrium. Omnia denique sunt reliqua animaduertenda, præsentia, præcedentia & externa. Nam quum peripneumonia, suppuratio, pleuritis, phthisis, denique aliquis illic abscessus exortus sit, vel asthma, vel morbus quispiam ex destillatione, vel cruentum sputum, aut reiectio partis alicuius pulmonis, aut breuiter quoduis, vnde redundantia, vel crassitudo, vel lentor humorum obsideat pulmonem, accuratè considerandum est, ecquid ex arteriarum obstructione pulsus inæqualis fiat. Sin horum nihil sit, ipsum est viscus explorandum, præsertim si anteacta ægroti vita, nec crassis succis, nec lentis videatur corpus impleuisse, à quibus, aut foris offusis, aut obstruentibus arteriarum oscilla, inæqualitas concitetur, nam, siquid horum, vti docuimus, vel inflammatio, vel omninò tumor præter naturam illic exurgat, aut affluentia humorum grauet facultatem, incidunt in pulsus inæqualitatem. Quare si nec adsint indicia, quibus noscuntur hi affectus, nec hectica inæqualitas, & stabilis duret, intemperies existimanda inæqualis in cordis corpore esse; quæ quum etiam sit duplex, altera in succis eius propriis, altera in partibus solidis; illa ex succis profecta, vnà cum totius cordis palpitatione fit; hæc ex solidis partibus absque palpitatione. Quare si quis hæc, quæ retulimus, ediscere cum arte cupiat, quæ de hecticis febribus scripsimus, colligat diligenter ex commentariis De febribus & libro De marcore. Atque his signis cordis inæqualis intemperies dignoscitur, & distinguitur à similibus affectibus. Si qua sit alia intemperies visceris, vt aliam ipsum corpus temperiem habeat, aliam sanguis, & spiritus, qui sunt in eius finibus, inæquales pulsus nunquam efficit; sed ex affectuum confusione medium quendam statum sortiuntur. Confusiones affectuum modò prorsus inter se contrariæ sunt, modò non prorsus. Prorsus dico affectus contrarios inter se, temperamento; vbi, quo calidior moderato alter sit, hoc sit frigidior alter, non prorsus, vbi alter plus altero deflexerit. Potest etiam, si eiusdem ambo generis sint, in quantitate esse differentia, quum vel calidius cor ipsum sit materia in finibus contenta; vel quum materia multum, cor autem parum à naturali statu recesserit, & frigidius item corpus cordis potest esse, vel materia. Hi concursus non perinde omnes dignoscuntur conspicuè; licet tamen interdum obscuros aliundè colligere. Prima commemorata mixtio, in qua cordis corpus præter modum calidum est, materiæ autem frigidiores, differentiis tribus constat. Aut enim tantò illud calidius est, quantò hæ frigidiores; aut multo illud calidius, quàm hæ frigidiores; aut minus illud calidius, quàm hæ frigidiores. Prima differentia pulsum repræsentat ad vnguem moderatum tum magnitudine, tum celeritate, atque crebritate; ad remissionem autem tantùm permutatur, quanto spatio naturalem temperiem viscus reliquit. Equidem animaduerti in hisce subindè affectibus, insignel etiam incrementum celeritati accessisse; non tamen hoc

hoc conspicuum perpetuò est. Atque hoc, alterum indicium maius tibi videtur suppeditaturum, quantum enim corpus ipsum arteriæ desciuerit à moderato temperamento, conijcere est ex celeritate: nam procliuius ad motum est calidius corpus, si reliqua sint paria. Quare si quòd corpus ipsum cordis in naturali statu constans, vel à materia, quam continent ventriculi eius, aut consuetudine pulmonis inflammati, vel alia quapiam parte vicina calefiat, pulsus refrigerij gratia in magnitudinem, celeritatem, crebritatem commutentur, prima tum erit in magnitudinem mutatio, altera in celeritatem, tertia in crebritatem. Sin calidius sit partibus se contingentibus, quæ in naturali statu sint, celeritas motus primùm increscit, deinde magnitudo. Vnde, quum pulsus manifestum incrementum celeritatis percipiamus, magnitudinis verò, atque crebritatis nullam mutationem, magnopere in hoc corpore desciuisse ad calorem cor censemus, vicinaque ei ad frigiditatem. Iam simul pulsuum insignis remissio, & conspicua in eiuscemodi corporibus animaduertitur. Quòd si nec celeritas clara, nec remissio sit, exiguo calore corpus visceris puta auctum. Hæ febres compluribus medicis imponunt, nimirum quòd febre ipsi se liberos esse ægroti affirment; neque febrem, quia parua est, & quia viscus incaluit, corpusque visceris calor inuasit, aduertunt. Sed de hoc frequenter diximus. Breuiter non est magna febris vlla hectica, maximè si paucum calorem viscus habeat. Qui igitur calor in vniuersum corpus deriuatur ex corde, hic sensum solus inducit ipsis inæqualitatis fastidiosæ; quamobrem balnea desiderant, vt alij fastidiosi omnes, & inæquales ex lassitudine, vel adustione, lotione intermissa, vel exercitatione, & plerique scilicet lætantur balneo, recrearique se dicunt; depulsam enim inæqualitatem esse totius corporis, nec magnopere quicquam se offendi, balneo referunt acceptum; & sanè non læduntur forsitan horum quidam. Verùm huius loci non est ista meditatio; in febrium enim curationibus de omnibus his disputabimus, siue separatim visum fuerit eas, siue in methodo medendi, tractare; nam ad præsens institutum solam dignoscendi viam tractabimus. Sanè videatur quibusdam perplexa, & incognita, siquando nec differentia vlla pulsuum à naturali statu deficiat, & se ipse ægrotus febrem non dicat percipere, at inæqualitatem, quæ vna molesta erat, balneis percurauerit. Et vt rem difficiliorem faciam, ne ex vrina quidem petere in eiuscemodi affectibus firmam notitiam semper licet; sed est etiam ferè anceps, colore, & sedimento similis naturali. Sexcentos tales in pestilentia diuturna conspeximus; vbi medicos cerneres nihilo plebe præstantiores, imò verò imperitiores multo nonnullos experiente plebeo. Vulgus enim ferè, si nihil aliud, at expirationem ægrotorum videas obseruare; quæ si fœteat, peiorem causam expectant. At illi quidem vsu tale signum in pestilentibus febribus inuenerunt; tu non vsu modò, sed & ratione æstima. Iam os etiam attendunt, quòd si illic aliquid coloris pestilentis cernant,

ἀεί γε φαίνεται τοῦτ' ἐναργῶς, καί μοι δοκεῖ κἀκ τούτου, τὶς ἂν ἑτέρου μείζονος εὐπορῆσαι γνωρίσματος. εἰς ὅσον γὰρ ἐξέστηκε τὸ σῶμα τῆς καρδίας αὐτό, τῆς κατὰ φύσιν εὐκρασίας, ἐκ τοῦ τάχους ἔνεστι τεκμήρασθαι. πρὸς γὰρ τὴν κίνησιν, ἑτοιμότερόν ἐστιν ἀεὶ τὸ θερμότερον σῶμα τῶν ἄλλων ἴσων ὑπαρχόντων. ἐπειδὰν μὲν οὖν αὐτὸ τῆς καρδίας τὸ σῶμα κατὰ φύσιν ἔχον, ἤτοι πρὸς τῶν ἐν ταῖς κοιλίαις ὑλῶν, ἢ καὶ τῇ τοῦ πνεύμονος ὁμιλίᾳ φλεγμαίνοντος, ἢ καὶ ἔκ τινος ἄλλου τῶν πλησιαζόντων μορίων θερμαινόμενον, ἀναψύξεως ἕνεκεν εἰς μέγεθος, καὶ τάχος, καὶ πυκνότητα τοὺς σφυγμοὺς ἀλλοιώσῃ, τηνικαῦτα πρώτη μὲν ἡ εἰς τὸ μέγεθος ἐκτροπή. δευτέρα δ' ἡ εἰς τὸ τάχος, ἐφεξῆς δὲ ἡ εἰς πυκνότητα τρίτη. ἐπειδὰν δὲ θερμότερον γένηται τῶν ψαυόντων αὐτοῦ κατὰ φύσιν ἐχόντων, εἰς τὸ τάχος μὲν πρῶτον ἡ κίνησις ἐπιδίδωσιν, εἰς μέγεθος δὲ δεύτερον. ὥσθ' ὅταν εὕρωμεν εἰς τὸ τάχος μὲν ἐναργῶς ἐπιδεδωκότα τὸν σφυγμόν, εἰς μέγεθος δὲ καὶ πυκνότητα μηδεμίαν ἀλλοίωσιν ἐσχηκότα, πολλὴν ἐν τῷ τοιούτῳ σώματι λογιούμεθα, τήν τ' εἰς θερμότητα τῇ καρδίᾳ γεγονέναι μεταβολήν, καὶ τὴν εἰς ψυχρότητα τῶν ψαυόντων αὐτῆς. εὐθὺς δὲ δή που, καὶ ἡ ἀμυδρότης τῶν σφυγμῶν ἐναργής, καὶ ἀξιόλογος ἐν τοῖς τοιούτοις φαίνεται σώμασι. εἰ δὲ μὴ τὸ τάχος ἐναργὲς εἴη, μήθ' ἡ ἀμυδρότης, ὀλίγην ἔλπιζε προσγεγενῆσθαι τῷ σώματι τοῦ σπλάγχνου θερμασίαν. οἱ τοιοῦτοι πυρετοὶ τοὺς πολλοὺς τῶν ἰατρῶν ἐξαπατῶσιν, ἅτε καὶ τῶν καμνόντων αὐτῶν ἀπυρέτους εἶναι λεγόντων. οὐ γὰρ αἰσθάνονται τοῦ πυρετοῦ διά τε τὴν μικρότητα, καὶ τὴν τοῦ σπλάγχνου θερμασίαν, καὶ ὅτι τοῦ σπλάγχνου τὸ σῶμα κατείληφεν. εἴρηται γὰρ ὑπὲρ τούτου πολλάκις. ὅλως μὲν οὖν, οὐδὲ γίγνεται μέγας πυρετὸς οὐδεὶς τῶν ἑκτικῶν. ἔτι δὲ καὶ μᾶλλον, ὅταν ὀλίγη τις εἴη κατὰ τὸ σπλάγχνον ἡ θερμότης. ὅσον οὖν ἀπὸ τῆς καρδίας ἐπιρρεῖ τῷ παντὶ σώματι θερμασίας, τοῦτο μόνον αἴσθησιν αὐτοῖς ἀνωμαλίας ἀσώδους φέρει, δι' ἣν καὶ λουτρῶν ἐπιθυμοῦσιν, ὥσπερ καὶ οἱ ἄλλοι ἀσώδεις τε καὶ ἀνώμαλοι, διὰ κόπον, ἢ ἔγκαυσιν, ἢ ἀλουσίαν, ἢ ἀγυμνασίαν. καὶ χαίρουσί γε οἱ πλεῖστοι τῷ λουτρῷ, καὶ βελτίους γίνεσθαί φασιν. ἅτε γὰρ ἀποθέμενοι μὲν ἀπὸ παντὸς τοῦ σώματος τὴν ἀνωμαλίαν, οὐδὲν δὲ ἀξιόλογον εἴς τε τὸ παραυτίκα βλαπτόμενοι, χάριν τοῦ λουτροῦ γινώσκουσιν. ἴσως δὲ οὐδὲ βλάπτονταί τινες αὐτῶν ὅλως. ἀλλ' οὐ τοῦ νῦν ἐνεστῶτος καιροῦ, τὰ τοιαῦτα σκοπεῖσθαι. διοριούμεθα γὰρ ὑπὲρ ἁπάντων τούτων, ἐν ταῖς τῶν πυρετῶν θεραπείαις, εἴτε ἰδίᾳ δόξει γράφειν αὐτάς, εἴτ' ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν. εἰς δὲ τὴν ἐνεστῶσαν ὑπόθεσιν, ἡ διάγνωσις μόνη προχειριζέσθω. καὶ γὰρ καὶ δόξει τισὶν ἴσως, ἄπορός τε καὶ ἄγνωστος ὑπάρχειν. ὅταν γε μήτε διαφορά τις σφυγμῶν ἐξαλλάττηται τοῦ κατὰ φύσιν. ὅ τε κάμνων αὐτὸς ἀναίσθητος μὲν εἶναι λέγῃ τοῦ πυρετοῦ, τὴν ἀνωμαλίαν δ' ἣν ἐμέμφετο μόνην ἐκ τῶν βαλανείων ἐκθεραπεύηται. ἵνα δ' ἀπορώτερον ἔτι ποιήσω τὸν λόγον. οὐδ' ἐκ τῶν οὔρων, ἔνεστιν ἀκριβῆ διάγνωσιν ἐν ταῖς τοιαύταις διαθέσεσιν ἀεὶ λαμβάνειν, ἀλλ' ἔστιν ἀμφίβολα, καὶ ταῦτα τοῖς πλείστοις αὐτῶν. καὶ χροιᾷ, καὶ ὑποστάσει τοῖς κατὰ φύσιν ἐοικότα. μυρίοι τοιοῦτοι κατὰ τὸν πολυχρόνιον λοιμὸν ὤφθησαν ἡμῖν, ἐφ' ὧν ἦν θεάσασθαι τοὺς ἰατροὺς ἰδιώταις ὁμοίους. ἐνίους δὲ καὶ πολὺ χείρους ἰδιώτου συνετοῦ. καὶ πολλούς γ' οὖν τῶν ἰδιωτῶν εἰ καὶ μηδὲν ἄλλο, τὴν γοῦν ἐκπνοὴν τῶν καμνόντων ἔστιν ἰδεῖν ἐπισκοπουμένους, καὶ εἰ δυσώδης φαίνοιτο τὰ χείρω προσδοκῶντας. ἐκείνοις μὲν οὖν ἐκ πείρας εὕρηται κατὰ τοὺς λοιμώδεις πυρετούς, τὸ τοιοῦτον γνώρισμα. σοὶ δ' οὐκ ἐκ τῆς πείρας μόνον, ἀλλὰ κἀκ τοῦ λόγου φαινέσθω. συνεπισκοποῦνται δὲ δή που, καὶ τὰ κατὰ τὸ στόμα μόρια, καὶ εἰ βραχύ τι τῆς λοιμώδους ἐμφαίνοιτο χροιᾶς

αὖθις, ἀποφαίνονται λοιμώττειν τοὺς οὕτως ἔχοντας. ἰατρῷ δέ γ' οἶμαι μᾶλλον ἰδιώτου φαίνεσθαι καὶ ταῦτα, τοῖς μὲν γὰρ ἐρυσιπελατώδης, τοῖς δ' ὁμοία τοῖς ἐσθιομένοις ἕρπησιν ἡ χροὰ φαίνεται, διεσπαρμένη κατὰ πλείονα μόρια τῆς κατ' ἀρχὰς, ὡς οἶμαι. καὶ εἰ ἐπιβάλοι τῷ θώρακι τὴν χεῖρα πεπειραμένος ἰατρὸς ἐν διαγνώσει πυρετώδους θερμασίας, οὐδὲ αὐτὸν λαθεῖν ἐάσει τὴν διάθεσιν. ἐπισκεπτέον δ' οὐχ ἥκιστα καὶ τὰ οὖρα. καὶ γὰρ ἀναπεταραγμένα τισὶν αὐτῶν φαίνεται, καὶ ὑδατωδέστερα, καὶ λεπτότερα πολὺ τῶν κατὰ φύσιν ἐνίοις. ταῦτα μὲν οὖν ἀναμφισβήτητα. καθάπερ καὶ ὅσα τοῖς κατὰ φύσιν ἐοίκασιν ἀκριβῶς, κατά τε χρόαν καὶ κατὰ πάχος, ἀναμφισβήτητα καὶ ταῦτα πρὸς τὴν βελτέραν ἐλπίδα, καὶ εἰ ἐναιώρημά γε ποιήσαιτο χρηστόν, ἔτι καὶ μᾶλλον ἀναμφισβήτητα, τήν γε ὑπόστασιν ἔχοντα λευκὴν, καὶ λείαν, καὶ ὁμαλήν. τοῖς δ' ἐναιωρήμασι μάλιστα προσεκτέον τὸν νοῦν. ἔνια γὰρ αὐτῶν ὑποπέλιδνά πως ὄντα λανθάνει. καθάπερ ἄλλα πλατείαις ἀράχναις ἐοικότα, δίκην ἐρίων ἐπιβεβλημένων ἀλλήλαις. εἰ μὲν οὖν τι τοιοῦτον εὑρίσκοις, ἢ ὅλως μηδὲν ἐμφερόμενον ἐναιώρημα τοῖς οὔροις, ἐν τῷ χείρονι μέρει ταῦτα πάντα τίθεσο. τῶν δ' ἐναντίων φανέντων ὁποῖα διῆλθον ἀρτίως, ἀδύνατόν ἐστιν ἐν κακῇ διαθέσει τὸν ἄνθρωπον εἶναι. ἔκ τε οὖν τούτων διορίζεσθαι, πότερον ἀνωμαλία τίς ἐστι περὶ αὐτόν, ἢ λοιμώδης εἰσβολὴ νοσήματος ὀλεθρίου πυρετὸν ἑκτικὸν ἔχοντος. ἐπί τε τοῖς μετὰ τὸ λουτρόν, ἀπόσιτοί τε γάρ εἰσι, καὶ διψῶσι πλέον ἢ προσῆκεν, ἐπιθυμοῦσί τε ψυχροῦ. προσεπιθεωρεῖν δὲ ἀκριβῶς αὐτῶν προσήκει καὶ τοὺς ὀφθαλμούς. ἐν γὰρ τῷ λούεσθαι μάλιστα γίνονται κατάδηλοι, θερμοὶ καὶ φλογώδεις ἀποτελούμενοι, ἔνιοι δ' ἐντεῦθεν ἀρξάμενοι διαμένουσιν, οὓς δὴ σαφῶς γνωριοῦμεν ὅτι λοιμώττουσι. ἀλλὰ λοιμοῦ μὲν ὁποῖος ἡμῖν ἐγένετο, καὶ ἔστιν ἔτι, μηδέ ποτ' εἴη πειραθῆναι τοῖς ἀνθρώποις. εἰδέναι μέντοι χρὴ, καὶ ἄλλως γινομένους ἄνευ λοιμῶν τοὺς αὐτοὺς τούτους πυρετούς, ὥσπερ καὶ γέγραπται περὶ αὐτῶν ἅπασι τοῖς ἀξιολόγοις ἰατροῖς, καὶ καλοῦσί γε λοιμώδεις αὐτούς, ὑπὲρ ὧν τῆς ἰδέας ἁπάσης ἐν ταῖς τῶν πυρετῶν διαφοραῖς ἐπὶ πλέον εἴρηται. νυνὶ μὲν γὰρ οὐχ ὡς ἄν τις κάλλιστα διαγινώσκῃ πυρετοὺς ὁ λόγος, ἀλλ' ὡς ἂν ἐκ σφυγμοῦ κάλλιστα. καὶ ἴσως καὶ πλείω τοῦ δέοντος εἴρηται περὶ τῶν ἀπὸ τοῦ σώματος αὐτοῦ τῆς καρδίας ἀναπτομένων πυρετῶν, αὖθις οὖν ἀνάγωμεν ἐπὶ τοὺς σφυγμοὺς τὸν λόγον, ὅσον ὑπόλοιπόν ἐστι τῶν ἑκτικῶν πυρετῶν ἐξηγούμενοι. γίνονται μὲν γὰρ, ὡς εἴρηται, καὶ τῶν λοιμωδῶν οὐκ ὀλίγοι, κατ' ἀρχὰς εὐθέως ἑκτικοὶ, διαφέροντες ἁπάντων τῶν ἄλλων πυρετῶν, οἳ ἐν ἰσχυρᾷ σηπεδόνι. γίνονται δὲ καὶ διὰ λύπην ἐνίοτε, καὶ θυμὸν ἐξ ἀρχῆς, ἔνιοι τῶν ἑκτικῶν. ἄλλως δ' οὐκ εἶδον γινόμενον οὐδένα πυρετὸν ἑκτικὸν, εὐθέως ἀπὸ τῆς ἀρχῆς. ἀλλ' ἐπεὶ προήκοντι τῷ χρόνῳ, πολλοῖς τῶν ἄλλων ἐπιγίνονται. καὶ διορίζει σαφῶς αὐτοὺς, ἥ τε μόνιμος ἰσότης, εἰ καί τινι τῶν ἄλλων ἐπιπλέκοιντο, καθάπερ ἐδείξαμεν, ὅσα τἄλλα κατὰ τὴν περὶ τῆς διαφορᾶς τῶν πυρετῶν εἴρηται πραγματείαν. ἡ δ' ἀπὸ τῶν σφυγμῶν διάγνωσις, ὡς ὀλίγον πρόσθεν εἶπον, ἐν ἀρχῇ μὲν ἔτι καὶ περὶ τὰς πρώτας ἡμέρας δύσγνωστός ἐστιν. ὁπότ' ἂν κοινὴν ἔχωσιν ἔτι τοῖς ἐφημέροις τὴν ἰδέαν, μετὰ δὲ τὴν τρίτην ἤδη σαφέστεροι γίνονται, καὶ τῇ διὰ τῶν σφυγμῶν διαγνώσει. καὶ γὰρ θάττους οὗτοί γε σαφῶς ἔχουσι τοὺς σφυγμοὺς τῶν κατὰ φύσιν, εἰ καὶ τἄλλα μηδὲν διαφέροιεν. ἥ τε θερμασία κατὰ τὸν θώρακα, καὶ σαφῶς ἐστι πυρετώδης αὐτοῖς. ἀμυδρότεροί τε τοσοῦτον οἱ σφυγμοὶ τῶν κατὰ φύσιν εἰσὶν, εἰς ὅσον ἡ θερμασία προσαύξηται. ταῦτα μὲν οὖν ἱκανὰ περὶ τῶν πυρετῶν. ὅσοις ἡ καρδία γέγονε θερμοτέρα τοσοῦτον τοῦ κατὰ φύσιν, ὅσον αἱ κατ' αὐτὴν

eos peste confirmant laborare. Equidem medico hæc puto clariora esse, quàm vulgo; partim enim illi colorem erysipelatosum, partim colorem habent depascentibus herpetibus assimilem, diffusum per plures partes scilicet, quàm à primo. Et si manum thoraci exercitatus medicus admoueat in explorando febrili calore, ne tum quidem prætereat eum affectus. Inspicienda porrò præ cæteris vrina est. Etenim conturbata quorundam eorum videtur esse, & aquosior, ac nonnullorum multo, quàm pro natura, tenuior, atque hæc quidem certissima est, necnon, quæ naturalibus vndequaque similis est colore, & crassitudine; hæc etiam ad secundam spem certissima est; quæ si enæoremate probo sit prædita, multo etiam est certior, si quidem sedimentum sit candidum, læue, & æquabile. Præcipuè verò enæorematis animus est adhibendus; nam quædam, quæ subliuida quodammodo sunt latent, & item alia, quæ aranearum latas telas referunt in modum lanæ congestæ. At si quid tale animaduertas, aut nullum planè suspensum innatare vrinis, in peiorem partem hæc interpretare, si contraria videas, quæ retuli modò, non potest fieri, vt malè affectus homo sit. Ex his igitur discernas, vtrum inæqualitate quapiam affectus sit, an pestilens morbus, & exitialis, qui hecticam febrem habeat, eum prehendat; præterea ex iis, quæ balneum consequuntur, etenim cibum respuunt, & sitiunt præter modum, ac frigidam postulant. Etiam oculi illorum sunt accuratè inspiciendi; nam inter lauandum manifestè redduntur calidi, & flammei quidam postea tales permanent, quos planè sciemus teneri peste. At in pestilentia, qualis nostra memoria fuit, & viget etiamnum, nunquam experiri quisquam homo possit. Sciendum tamen nonnunquam incidere sine peste has ipsas febres, vt de illis prodiderunt omnes insigniores medici, vocantque pestilentes, de quarum tota natura disputaui latius in differentiis febrium; nam hoc quidem loco, non quemadmodum quis optimè febres dignoscat, tractamus, sed quemadmodum ex pulsu optimè. Quinetiam dixi fortasse plus æquo de febribus ex ipso cordis corpore excitatis, quare ad pulsus nos referamus, & quod residuum est de febribus hecticis persequamur. Etenim sunt, vt docuimus, pestilentes non paucæ inde vsque ab initio hecticæ, distantque ab omnibus aliis febribus, quæ ex magna putredine oriuntur. Præterea etiam mœrorem interdum sequuntur, & iram à primo quædam hecticæ. Aliter nescio an vlla febris inde vsque ab initio fiat hectica. At temporis diuturnitate multis aliis succedunt, quas dilucidè distinguit, etiamsi cum aliis connectantur, sicut declarauimus, perpetua æqualitas, & alia, quæ in libris De differentiis febrium docuimus. Notitia autem ex pulsibus, quomodo nuper diximus, initio adhuc, atque primis diebus non facilè paratur, quum speciem adhuc communem habeant cum diariis febribus; verùm elapso triduo iam clariores fiunt etiam pulsuum indicio. Siquidem apertè hæ celeriores, quam deceat, pulsus habent, atque vt inter eas nihil intersit aliud, febrili quidem certè calore manifestè secundum thoracem præditæ sunt; pulsusq; tanto sunt languidiores iusto, quantum calor creuerit. Hactenus de febribus, in quibus cor tanto, quàm natura postulat, calidior est,

quanto

quanto quam continet, materia frigidior. Materiæ addamus securitatis gratia corpora illa omnia, quæ cor attingunt; putà ex visceribus pulmonem; ex membranis quum illam, quæ pericardium appellatur tum quicquid thoracem prope cor intersepit. Etiam consuetudo huic visceri intercedit cum aëre, quem continet membrana pericardium, necnon cum arteriis, & venis, quarum penetrare maxima ostia cernis ad sinus eius. Hæc omnia non aliter, atque materia, pulsum cordis immutant, vocenturque breuitatis gratia omnia, quæ recensuimus, vicina cordi.

CAPVT V.

Qui sint pulsus in iis febribus, quum cor calidius sit, quàm vicina ei, frigidiora, vel è contra.

DEinceps de illis febribus dicamus, in quibus cor calidius est quàm vicina ei, frigidiora; nam in huiuscemodi affectibus pulsus celeriores simul, & maiores, & crebriores, languidioresque iusto erunt; longiùs tamen ad remissionem, & celeritatem, minùs ad crebritatem, & magnitudinem, recedent à natura. Stabilis & constans harum generatio est, vt cæterarum hecticarum. Quòd si non ita longè viscus à natura desciscat ad calorem, vicina ei longius ad frigiditatem, minores pulsus in his, & rariores erunt; celeritate, vel similes erunt naturalibus, vel tardiores; similes, si non multo frigidiora vicina sint; tardiores, vbi multo longiore interuallo hæc ad frigiditatem à natura deflexerint, quàm ad calorem cor. Remissio hic etiam quantitati caloris respondebit. At verò, si frigidius iusto sit ipsum cordis corpus, materia porro, reliquaque vicina, illo calidiora; erunt & hic tres numero differentiæ, & variabunt pulsus in vnaquaque, sicut superiores. Primùm æquè refrigeratum sit cor, vt incaluerunt vicina, tardior æquo erit is pulsus, si insignis fuerit alteratio. Huic respondet remissio, nam magnitudine nihil de natura decedet, nec verò etiam crebritate, quod animaduerti possit, aut insigniter. At quum non multum de natura est discessum in vtranque partem, difficillimè, vt antè dixi, exploratur discrimen, atque in his præsertim corporibus obscurum est, quorum ignoramus naturalem statum, nam hunc si prius nouerimus, poterit etiam animaduerti breuis mutatio, siquis versatus sit in explorandis pulsibus. Vt autem paulò antè, quum visceris calidioris, & vicinorum ei frigidiorum consideraremus pulsum, febrem diximus esse hecticam: ita nunc, si viscus sit frigidius omninò, quàm naturalis modus permittat, & vicina calidiora, febricitabit quidem homo, non hectica tamen, quam vocant, febre, sed vel diaria, vel ea, quæ putredinem humorum consequitur. Signa verò sunt propria vtriusque. Diariæ quidem febris coniunctæ cum frigidiore corpore cordis, vbi ex æquo de natura vtrunque deflexerit, pulsus nihil magnitudine à naturali differt; nec etiam crebritate penè quicquam, quod perspici possit, nec item celeritate; nisi vtriusque insignis fiat mutatio, languidior verò

ὗλαι ψυχρότεραι. προσκείσθω δ' ἀσφαλείας ἕνεκα ταῖς ὕλαις ἔνια τὰ σώματα σύμπαντα, τὰ ψαύοντα τῆς καρδίας, εἴη δ' ἂν ταῦτα τῶν μὲν σπλάγχνων, ὁ πνεύμων. ὑμένων δέ, ὅ τε περικάρδιος ὀνομαζόμενος, ὅσοι τε τῶν διαφραττόντων τὸν θώρακα τῆς καρδίας ἐγγύς. ὁμιλεῖ δὲ δή που τῷ σπλάγχνῳ τούτῳ, καὶ ὁ περιεχόμενος ἀὴρ ὑπὸ τοῦ περικαρδίου σκεπάσματος, ὥσπερ γε καὶ ἀρτηρίαι, καὶ αἱ φλέβες, ὧν ἐν ταῖς κοιλίαις αὐτῆς φαίνεται μέγιστα στόματα. ταυτὶ γὰρ ἅπαντα ταῖς ὕλαις ἀνάλογον, ἀλλοιοῖ τῆς καρδίας τὸν σφυγμόν, καὶ καλείσθω συντόμου διδασκαλίας ἕνεκεν, ἅπαντα τὰ κατειλεγμένα, ψαύοντα τῆς καρδίας.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τίνες εἰσὶν οἱ σφυγμοί, ἐν ἐκείνοις τοῖς πυρετοῖς ἐν οἷς ἡ μὲν καρδία θερμοτέρα πλέονι μέτρῳ, τὰ δὲ ψαύοντα αὐτῆς ἐλάττονι μέτρῳ ψυχρότερα, ἢ ἀνάπαλιν.

ΕΞῆς οὖν λέγωμεν περὶ ἐκείνων πυρετῶν, ἐν οἷς ἡ μὲν καρδία θερμοτέρα πλείονι μέτρῳ, τὰ ψαύοντα δ' αὐτῆς, ἐλάττονι μέτρῳ ψυχρότερα. γενήσονται γὰρ ἐν ταῖς τοιαύταις διαθέσεσιν, οἱ σφυγμοὶ θάττους τε ἅμα, καὶ μείζους, καὶ πυκνότεροι, καὶ ἀμυδρότεροι τῶν κατὰ φύσιν. ἀλλὰ πλείονι μέν, εἰς ἀμυδρότητα καὶ τάχος. ἐλάττονι δέ, εἰς πυκνότητά τε, καὶ μέγεθος τῶν κατὰ φύσιν ἐξιστάμενοι. μόνιμος δὲ καὶ ἡ τούτων γένεσις, ὥσπερ καὶ ἡ τῶν ἄλλων ἑκτικῶν. εἰ δὲ τὸ μὲν σπλάγχνον, ἔλαττον ἐξίσταιτο τοῦ κατὰ φύσιν εἰς θερμότητα, τὰ δὲ ψαύοντα αὐτοῦ πλέον εἰς ψυχρότητα, μικρότεροι μὲν ἐπὶ τῶν τοιούτων οἱ σφυγμοί, καὶ ἀραιότεροι γενήσονται, τῷ τάχει δ', ἤτοι παραπλήσιοι τοῖς κατὰ φύσιν, ἢ βραδύτεροι, παραπλήσιοι μέν, ὅταν μὴ πολὺ πλέον ἐπὶ τὸ ψυχρότερον ἐξίστηται τὰ ψαύοντα. βραδύτεροι δέ, ὅταν πολὺ πλέον ἀποκεχωρήκῃ ταῦτα τοῦ κατὰ φύσιν, ἐπὶ τὸ ψυχρόν, ἤπερ ἡ καρδία πρὸς τὸ θερμόν. ἡ δ' ἀμυδρότης κἀνταῦθα κατὰ τὸ ποσὸν τῆς θερμότητος. εἰ δὲ τὸ μὲν σῶμα τῆς καρδίας αὐτό, ψυχρότερον εἴη τοῦ κατὰ φύσιν, αἱ δ' ὗλαι, καὶ ἄλλα τὰ ψαύοντα αὐτῆς, θερμότερα, γενήσονται μὲν δή που κἀνταῦθα τρεῖς αἱ πᾶσαι διαφοραί. τραπήσονται δ' οἱ σφυγμοί, καθ' ἑκάστην ἀνάλογον ταῖς προειρημέναις. ἔστω γὰρ πρῶτον ἐπὶ τοσοῦτον ἐψῦχθαι τὴν καρδίαν, ἐφ' ὅσον τεθέρμανται τὰ ψαύοντα, βραδύτερος ὁ τοιοῦτος ἔσται σφυγμὸς τοῦ κατὰ φύσιν, ὅταν ἀξιόλογος ἡ ἀλλοίωσις ᾖ. ἀνάλογον δ' αὐτῷ, καὶ τὸ τῆς ἀμυδρότητος ὑπάρξει. τῷ μεγέθει δέ, οὐδὲ ἓν ἐξαλλαχθήσεται τοῦ κατὰ φύσιν. ὥσπερ οὐδὲ τῇ πυκνότητι σαφές, οὐδὲ ἀξιόλογον οὐδέν. ἐν μέντοι ταῖς τοῦ κατὰ φύσιν βραχείαις ἐκτροπαῖς ἐφ' ἑκάτερα, δυσφωρατωτέρα ἡ διάκρισις, ὡς πρόσθεν καὶ εἴρηται, καὶ μάλιστα γε δύσγνωστος, ἐν οἷς σώμασι τὸ κατὰ φύσιν οὐ προεπιστάμεθα. γινωσκομένου δὲ τούτου, δυνατόν ἐστι καὶ τὴν βραχεῖαν ἐπιγνῶναι μεταβολήν, ὅταν ἠσκημένος ᾖ τις ἐν διαγνώσει σφυγμῶν. ὥσπερ δ' ὀλίγον ἔμπροσθεν, ἡνίκα τοῦ σπλάγχνου θερμοτέρου γενομένου, τῶν ψαυόντων δ' αὐτοῦ ψυχροτέρων, ἐσκοπούμεθα τοὺς σφυγμούς, ἑκτικὸν ἐλέγομεν εἶναι τὸν πυρετόν, οὕτως νῦν εἰ μὲν τὸ σπλάγχνον εἴη ψυχρότερον ἁπάντως τοῦ κατὰ φύσιν ὅλον, τὰ δὲ ψαύοντα θερμότερα, πυρέξει μὲν ὁ ἄνθρωπος. ἀλλ' οὐ τὸν ἑκτικὸν ὀνομαζόμενον πυρετόν, ἀλλ' ἤτοι τὸν ἐφήμερον, ἢ τὸν ἐπὶ σήψει χυμῶν. ἴδια δ' ἑκατέρου τὰ γνωρίσματα. τοῦ μὲν ἐφημέρου πυρετοῦ μιχθέντος ψυχροτέρῳ σώματι καρδίας, ὅταν ἴσως ἑκάτερος ἐξεστήκῃ τοῦ κατὰ φύσιν ὁ σφυγμός, οὐδὲν μὲν τῷ μεγέθει παραλλάττει τοῦ κατὰ φύσιν, ὥσπερ οὐδὲ πυκνότητι σαφὲς οὐδέν, οὐδὲ τάχει, πρὶν ἀξιόλογον ἑκατέρου γενέσθαι τὴν ἐκτροπήν, ἀμυδρότερος δ' εἰς

τοσοῦτον, εἰς ὅσον καὶ τὸ σπλάγχνον ψυχρότερον ἔσται. τῶν δ' ἐπὶ σήψει χυμῶν, ἴσον μὲν ἀεὶ καὶ τούτου τὸ μέγεθος. οὐκ ἴσον δὲ τῷ κατὰ φύσιν, οὐδὲ τῶν ἄλλων γενῶν, ἀλλ' ἐπειδὰν μὲν ὀλίγον ἐξεστήκῃ τοῦ κατὰ φύσιν, οὐδὲν ὅ τι καὶ ἀξιόλογον. πλέον δ' ἐκστάντων, ἐναργῶς θάττων ὁ σφυγμὸς γίνεται κατὰ τὴν συστολὴν, ὥσπερ ὁ πρότερος ἐν τῇ διαστολῇ. καὶ μὲν δὴ καὶ πυκνότερος ἐναργῶς κατὰ τὴν ἐκτὸς ἠρεμίαν, ἀμυδρότερος δὲ φαίνεται τοσοῦτον, ὅσον ἡ καρδία κατέψυκται. ἔστω δὴ πάλιν ἐπιπλέον ἐψῦχθαι τὴν καρδίαν, ἢ τεθερμάνθαι τὰ ψαύοντα, καὶ εἶναι τὸν πυρετὸν ἐφήμερον, ἐπιπλέον οἱ σφυγμοὶ μὲν τούτων σαφῶς ἀμυδροὶ γενήσονται, καὶ μικρότεροι. βραδεῖς δ' οὐχ ὁμοίως σαφῶς, ἀλλ' ὅσον ἐπιπλέον ἐψύχθη τὸ σῶμα τῆς καρδίας τῶν ψαυόντων ἑαυτοῦ. καὶ μὲν δὴ καὶ ἀραιοὶ, καὶ μικροὶ κατὰ τὴν ἀναλογίαν ἔσονται. ἔστω δὲ πάλιν ἐπὶ σήψει χυμῶν ὁ πυρετὸς, ὁ σφυγμὸς τούτων ἀμυδρὸς ἔσται ὡσαύτως τῷ προειρημένῳ. μικρότερος δ' ἔτι κἀκείνου κατά γε τὴν διαστολὴν, καὶ βραδύτερος. ἡ μέντοι συστολὴ, θάττων αὐτοῦ γενήσεται τοῦ κατὰ φύσιν. ἔτι δὲ μᾶλλον ἐν ἐκείνοις ἔσται τοῖς καιροῖς τοῦ παροξυσμοῦ τὸ τοιοῦτον, ἐν οἷς τε ἐστὶν ἀρχὴ καὶ ἐπίδοσις. ἐπεὶ κατά γε τὰς ἀκμὰς ἧττον. ἔτι δ' ἧττον ἐν ταῖς παρακμαῖς. ὑποκείσθω δὴ τὸ τρίτον εἶδος τῆς ἐπαλλάξεως, ὅπερ ἐστὶν ἔλαττον εἰς ψυχρότητα μεθεστηκέναι τὴν καρδίαν, ἤπερ εἰς θερμότητα τὰ ψαύοντα αὐτῆς. καὶ εἶναι τὸν πυρετὸν ἐφήμερον. οἱ σφυγμοὶ τῷ τοιούτῳ σώματι, τοσούτῳ μὲν ἀμυδρότεροι τοῦ κατὰ φύσιν, ὅσῳ περ καὶ τὸ σῶμα τῆς καρδίας δυσκρατότερον, ἔσονται μείζονές τε, καὶ θάττονες τοῦ κατὰ φύσιν, καὶ πλέον γε μείζονες, ὅσῳ περ ἢ θάττονες. ἔσονται δὲ καὶ πυκνότεροι. ταῦτα σύμπαντα λέλεκται, μήτ' εἰς σκληρότητα, μήτ' εἰς μαλακότητα τῶν σφυγμῶν ἐπιδήλως ἠλλοιωμένων. ὡς εἴ γε καὶ κατὰ τοῦθ' ὑπαλλαχθεῖεν, ἡ μὲν ἐπὶ τὸ μαλακὸν αὐτῶν ἐκτροπὴ, τὸ μέγεθος μὲν πάντως αὐξήσει, καὶ τὴν ἀραιότητα. προσθήσει δ' ἐνίοτε καὶ βραδύτητα. εἰ δ' ἐπὶ τὸ σκληρὸν, τἀναντία, μικρότητά τε, καὶ πυκνότητα, καίτοι καὶ τάχος ἐνίοτε προσθήσει. ἐγὼ μὲν δή μοι πάσας ἤδη δοκῶ τῶν πυρετῶν εἰρηκέναι τὰς ἐκ σφυγμῶν διαφοράς. εἴ γε δὴ τὴν οὐσίαν αὐτῶν ἐπὶ πλεονεξίᾳ τῆς ἐν τῇ καρδίᾳ θερμασίας ὀρθῶς ἐθέμεθα. καὶ σὺν τοῖς πυρετοῖς τε, καὶ ἄλλων οὐκ ὀλίγων ἐμνημόνευσα διαθέσεων, ἐναντίων τοῖς πυρετοῖς ἐφ' ὧν ἡ τῆς καρδίας διάθεσις ψύξις ἐστίν. ἀλλὰ καὶ περὶ τῶν μικτῶν διαθέσεων εἶπον, ὧν ἡ μίξις, ἐξ ἐναντίων ἐπιπλεκομένων ἀλλήλοις γίγνεται. καὶ ἦν ἤδη μοι καιρὸς, ἐφ' ἕτερόν τινα μετιέναι λόγον. ἐπεὶ δὲ οὐκ οἶδ' ὅπως, εἰς παμπόλλην διαφωνίαν ἐμπεπτώκασιν οἱ περὶ πυρετῶν πραγματευσάμενοι, δι' ἐκείνους ἀναλαβεῖν ἐπὶ κεφαλαίων ἔγνωκα τὰ προειρημένα κατὰ τόδε τὸ γράμμα, ἐν ᾧ περὶ τῆς τῶν πυρετῶν ἐκ σφυγμῶν διαγνώσεως, καὶ εἴ γε χρὴ τἀληθὲς εἰπεῖν, δι' Ἀρχιγένην μάλιστα τοῦτο ποιεῖν διέγνωκα. πάντων γὰρ ἐπιμελέστατος ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ δόξας γεγονέναι, κινδυνεύει μηδὲν ἡμᾶς διδάσκειν ὁμοίως Ἐρασιστράτῳ. διττὸς γάρ ἐστι τῶν μηδὲν διδασκόντων ὁ τρόπος, ἐνίων μὲν εἰς ἰδιότητα καταφευγόντων ἄρρητον, ἐνίων δὲ λεγόντων μὲν ὀνόματα, μήτε δ' ἃ σημαίνει φυλαττόντων, μήθ' ἃ βούλονται σημαίνειν ἑρμηνευόντων. ὁ γάρ τοι σκληρὸς σφυγμὸς, ὃν ἀχώριστον εἶναι βούλεται τῶν πυρεττόντων ὁ Ἀρχιγένης, ὄνομα μόνον ἐστὶν, οὐδὲν πρᾶγμα σημαῖνον, ἐπιστημονικῶς τε καὶ βεβαίως νοηθῆναι δυνάμενον. εἴρηται δ' ἐπιπλέον ὑπὲρ τοῦ τοιούτου σφυγμοῦ, κατά τε τὴν περὶ διαφορᾶς σφυγμῶν πραγματείαν ἔτι τε καὶ τὴν διαγνωστικὴν, οὐχ ἥκιστα δὲ, καὶ δι' ὧν ἐξηγούμεθά τε ἅμα, καὶ κρίνομεν, ὅσα κατά γε τὸ περὶ τῶν σφυγμῶν βιβλίον ὁ Ἀρχιγένης ἔγραψεν. ἀναγκαῖον δ' ἐστὶν, ὡς ἔοικεν εἰπεῖν τι καὶ νῦν ἐπὶ κεφαλαίων ὑπὲρ αὐτῶν.

tantò erit, quantò viscus frigidius. Eius autem febris, quæ ex putredine humorum fit, par quidem perpetuò est naturali, & ipsa pulsus magnitudo; non par autem perpetuò vllum ex aliis generibus, sed vbi parum quidem à natura recesserint, nihil quod effatu dignum sit, à naturali pulsus variat; vbi verò plùs recesserint, apertè in contractione pulsus celerior fit, sicut superior in distentione; iam etiam clarè in externa quiete crebrior, & languidior apparet tanto, quantum refrigeratum est cor. Contrà iam magis refrigeratum cor sit, quàm vicina incaluerunt, ac febris sit diaria; horum pulsus manifestè languidiores erunt, & minores, tardi non perinde apertè, sed quanto vicinis sibi frigidius sit corpus cordis; iam etiã rari, ac parui pro proportione erunt. At verò febris sit ex humorum putredine, horum pulsus languidus erit perinde, vt superior, sed illo etiam minor in distentione, tardiorque, at contractio naturali celerior erit, ac magis etiam incidet id in illa tempora accessionis, in quibus est initium, & incrementum, nam in vigoribus quidem minus, ac minus etiam in remissionibus. Porrò autem tertium genus commutationis ponatur, hoc est, minus ad frigiditatem cor declinauisse, quàm ei vicina ad calorem, ac febrem esse diariam: pulsus habebit hoc corpus tanto quam par est, imbecilliores, quanto corpus cordis sit intemperantius, atque maiores, & celeriores naturali, sed maiores, quàm celeriores, ad hæc crebriores erunt. Hæc omnia sunt accipienda pulsibus, nec in duritiem, nec in mollitiem apertè mutatis, nam si hic sint etiam mutati, discessus eorum ad mollitiem, omnino magnitudinem, & raritatem augebit, addet etiam, & tarditatem, discessus autem ad duritiem, contraria, nimirum paruitatem, & crebritatem, addet interdum & celeritatem. Equidem iam omnes mihi videor febrium, quas ex pulsibus sumas, differentias percurrisse; siquidem sanè earum essentiam rectè in cordis nimio calore posuimus. Iam inter febres affectus non paucos alios attigimus contrarios febribus, in quibus cordis affectus frigiditas est. Præterea de mixtis affectibus diximus, quorum ex contrariis inter se complicatis mixtio constat. Iamq; transeundum alio mihi erat, sed quando in magnam dissensionem, nescio quo pacto, qui de pulsibus commentati sunt, inciderunt propter eos visum mihi est, quæ hoc in libro iam tradidimus, in quo de febribus ex pulsibus dignoscendis tractaui, summatim repetere. Imò si verum fatendum est potissimum hoc propter Archigenem statui facere, nam quum habitus sit diligentissimus in commentatione de febribus nihil nos propè, non aliter ac Erasistratus docet. Nempe eorum, qui nihil docent, duplex est institutum, quidam ad proprietates quæ exprimi nequeant, confugiunt; alij proferunt quidem nomina, tamen nec, quæ significant, obseruant nec quam illis significationem attribuant, interpretantur. Namque durus pulsus, quem perpetuum Archigenes febricitantibus confirmat esse, nomen duntaxat est, nec rem denotat vllam nec planè, nec liquidò intelligi potest. De quo pulsu in libris De differentiis pulsuum latius disputauimus, & etiam in libris De dignoscendis iis maximè autem in iis commentariis, quibus interpretamur simul, & examinamus, quæ in libro De pulsibus Archigenes scripsit. Sed hic tamen etiam operæpretium est nonnihil de iis summatim exponere.

CAP.

A

CAPVT VI.

De propria nominum significatione & metaphora.

VT singula alia nomina apud omnes Græcos singulas res indicant, ita etiam, quæ occurrunt sensibus, his nomina quædam posuerunt; separatim, quæ differentias auditus significant; separatim, quæ differentias odoratus, vel gustus, vel tactus, neque igitur aliis tribuunt album, nigrum, flauum, rufum, pallidum, fuscum, cæruleum, reliquaque colorum nomina, præter quàm sensui visus obiectis, neque etiam aliis austerum, B dulce, amarum, acerbum, astringens, salsum, salsuginosum, præter quàm iis, quæ gustantur, nec iam vllis aliis calidum, frigidum, siccum, humidum, molle, durum, verùm iis quæ tanguntur, omnes attribuunt. Nam si alio traducas hæc nomina, illa vsurpatio vocatur metaphora. Habent verò, & alia item metaphoras ex similitudine aliqua, & conuenientia; ex qua similitudine pedes, vertices, lateraque montis dicuntur, nam vt animalium infimæ partes pedes sunt, vertex omnium suprema, sic in montibus permissum est poëtis supremas partes vertices vocare, & infimas, pedes. Si quis igitur, quum de animali loquatur, & pedes dicat, vel latera, noluerit pedes more omnium accipere, neque latera, vt institutum est, sed ita dicat latera accipienda esse, quomodo de monte Brilleso dixit Callimachus, C

Brillesi latera sunt ora, quem tenuere.

sanè quàm ridiculus fit, duplici vtens, & reciproca metaphora ab impropriis ad propria. Haud aliter, si quum de moribus, aut vino durum dicitur per metaphoram, de corporibus, quæ tanguntur, disputans, nolueris, vt solent omnes, nomen interpretari, verùm sicut vinum D dicitur durum, aut homo, aut mores. Huic simile est, si quum sermonem habeas de rebus visibilibus, atque album dicas, prohibeas ex omnium instituto accipi, sed quando febres aliquas Archigenes albas appellauit, ita esse etiam intelligendum colorem album. At quemadmodum quidem non videbitur is sanus esse, si quod propriè nomen colori tribuit, transferre duplici differentia ad eum ab impropriis studeat, sic sanè, qui de tangibili corpore sermonem instituit, & per metaphoram vult nomen durum accipi. Etenim in iis omnibus E fit orationibus, vt nihil auditores proficiant, quum & prohibeantur propriè dicto, nec quicquam intelligere aliud possint. Quem enim alium accipias colorem prolato albo, consueto prohibitus, & accipere ex metaphora albarum febrium iussus? Sic item durus pulsus, quem Archigenes in re tangibili induxit, nisi propriam significationem habeat, nimirum hanc vulgarem, sed vt ille ex metaphora vinorum vult, prorsus obscurus est, atque incognitus, talisque vt si scindapsus dicatur. F Etiam posset quoduis aliud nomen proprio febrium pulsui tribuere, & aliquid videretur dicere, apud homines scilicet in distinguendis significationibus imperitos, simplices autem, & qui facilè sibi persuaderent virum scilicet senem, qui tam clarus esset, artemque multum illustrasset, non facturum vnquam, vt talem obscuritatem temerè sermoni induceret, vt nomina proferret

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τῆς οἰκείας τῶν ὀνομάτων ἐπισημασίας καὶ μεταφορᾶς.

ΩΣπερ τῶν ἄλλων ὀνομάτων ἕκαστον, ἴδιόν δηλοῖ πρᾶγμα παρὰ τοῖς Ἕλλησι πᾶσιν· οὕτω καὶ κατὰ τῶν ὑποπιπτόντων ταῖς αἰσθήσεσιν, ἔθεντο προσηγορίας τινάς, ἰδίᾳ μὲν ἔσαι δηλοῦσι τὰς ἀκουστὰς διαφοράς, ἰδίᾳ δ' ὅσαι τὰς ὁρατάς, ἢ ὀσφρητάς, ἢ γευστάς, ἢ ἁπτάς. οὔτ' οὖν ἐπ' ἄλλην φέρουσιν αἴσθησιν τό τε λευκόν, καὶ μέλαν, καὶ ξανθόν, καὶ πυῤῥόν, ὠχρόν τε, καὶ φαιόν, καὶ κυανοῦν, ὅσα τἄλλα χρωμάτων ἐστὶν ὀνόματα πλὴν τῆς ὁρατῆς. B οὔτ' αὖ πάλιν ἐπ' ἄλλα τὸ αὐστηρόν, καὶ γλυκύ, καὶ πικρόν, καὶ στρυφνόν, καὶ στύφον, ἁλυκόν τε καὶ ἁλμυρόν, ὅτι μὴ τῶν γευστῶν. οὐ μὴν δ' ἐπ' ἄλλων τινῶν, θερμὸν καὶ ψυχρόν, ξηρὸν καὶ ὑγρόν, καὶ μαλακόν, καὶ σκληρόν, ἀλλ' ἐπὶ τῶν ἁπτῶν ἅπαντες. εἰ δέ τις ἐπ' ἄλλο μεταφέρει τῶν εἰρημένων ὁτιοῦν, ὁ μὲν τρόπος τῆς τοιαύτης χρήσεως ὀνομάζεται μεταφορά. γίγνονται δὲ δή που καὶ ἄλλαις ὡσαύτως μεταφοραῖς καθ' ὁμοιότητά τινα, καὶ ἀναλογίας, καθ' οἵας ὁμοιότητας, καὶ πόδες εἴρηνται, καὶ κορυφαί, καὶ λαγόνες ὄρους, ὡς γὰρ ἐπὶ τῶν ζώων, τὰ κατωτάτω μὲν οἱ πόδες, ἡ κορυφὴ δέ, τὰ ἀνωτάτω πάντων ἐστίν. οὕτως ἐπὶ τῶν ὀρῶν συγκεχώρηται τοῖς ποιηταῖς, C τὰ μὲν ἀνωτάτω, κορυφὰς ὀνομάζειν, τὰ κατωτάτω δὲ πόδας. ἐὰν οὖν τις ἐπὶ ζώου ποιούμενος τὸν λόγον, εἶτα πόδας εἰπών, ἢ λαγόνας ἀξιώσῃ μήτε τῶν ποδῶν ἀκούειν, ὡς ἅπαντες ἀκούουσιν, μήτε τῶν λαγόνων, ὡς σύνηθες, ἀλλ' οὕτως δεῖν φάσκῃ λαγόνων ἀκούειν, ὡς ἐπὶ τοῦ ὄρους τοῦ Βειλλησοῦ Καλλίμαχος εἴρηκε·

Βειλλησοῦ λαγόνες εἰσὶ νόμου, οἳ ἐκτήσαντο [illegible]

γελοιότατος ἂν εἴη, διττῇ τε καὶ παλινδρομούσῃ χρώμενος ἀπὸ τῶν οὐ κυρίων ἐπὶ τὰ κύρια, τῇ μεταφορᾷ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ ὅστις ἐπὶ ἤθους, ἢ οἴνου λεγομένου τοῦ σκληροῦ κατὰ μεταφοράν, ὑπὲρ τῶν ἁπτῶν σωμάτων ποιούμενος τὸν λόγον, οὐχ D ὡς σύνηθες ἅπασιν, οὕτως ἀξιοῖ τῆς προσηγορίας ἀκούειν, ἀλλ' ὡς οἶνος λέγεται σκληρός, ἢ ἄνθρωπος, τὸ ἦθος σκληρόν. ὅμοιος γὰρ ἐκείνῳ τοῦτο τὸ περὶ πραγμάτων ὁρατῶν διαλεγόμενον, εἶτα λευκὸν μὲν εἰπόντα μὴ συγχωρεῖν ἀκούειν οὕτως. ὡς εἴθισται πᾶσιν, ἀλλ' ἐπειδὴ πυρετούς τινας λευκοὺς αὐτὸς ὁ Ἀρχιγένης εἴρηκεν, οὕτως ἀκούειν χρῆναι, καὶ τὸ χρῶμα τὸ λευκόν. ὥσπερ οὖν ὁ τοιοῦτος, οὐκ ἂν δόξειε σωφρονεῖν, εἰ τὸ κυρίως ἐπὶ χρώματος λεγόμενον ὄνομα μετάγειν ἐπ' αὐτό, κατὰ διπλῆν μεταφοράν, ἀπὸ τῶν οὐ κυρίως, ἀξιώσειεν, οὕτως, οἶμαι, καὶ ὅς τις ἐπὶ σώματος ἁπτοῦ τὸν λόγον ποιούμενος, ἐκ μεταφορᾶς κελεύσει τὸ E σκληρὸν ὄνομα ἀκούειν, συμβαίνει γὰρ ἐν τοῖς τοιούτοις ἅπασι λόγοις, μηδὲν μανθάνειν τοὺς ἀκούοντας, ὅταν εἴργωνταί τε τοῦ κυρίως λεγομένου, μηδέν τ' ἄλλο νοῆσαι δύνωνται. τί γὰρ ἄλλο τις νοήσειε χρῶμα τὸ λευκὸν ἀκούσας ὄνομα, τοῦ τε συνήθους εἰργόμενος, ἀκούειν τε κελευόμενος, ἐκ τῆς τῶν λευκῶν πυρετῶν μεταφορᾶς. οὕτως οὖν καὶ ὁ σκληρὸς σφυγμός, ὑπὸ τοῦ Ἀρχιγένους εἰσαγόμενος ἐφ' ἁπτοῦ πράγματος, εἰ μὴ τὸ κύριον σημαίνει τοῦτο δὴ τὸ συνήθως ἅπασι λεγόμενον, ἀλλ' ὡς ἐκεῖνος ἐκ μεταφορᾶς τῆς τῶν οἴνων βούλεται, παντάπασιν ἀσαφής τε καὶ ἄγνωστος γίγνεται, καὶ τοιοῦτος, οἷος εἰ καὶ σκινδαψὸς ἐλέγετο. πρὸς τῷ F καὶ δύνασθαι πᾶν ὁτιοῦν ἄλλο, κατὰ τοῦ τῶν πυρετῶν ἰδίου σφυγμοῦ φέρειν ὄνομα, καὶ δοκεῖν τι λέγειν, ὡς πρὸς ἀνθρώπους μὲν ἀγυμνάστους ἐν διαιρέσεσι σημαινομένων, εὐγνώμονας δὲ καὶ πεπιστευκότας, ὅτι γέρων ἄνθρωπος, ἐν τοσαύτῃ γεγονὼς δόξῃ, καὶ πολλὰ τὴν τέχνην ὠφεληκώς, οὐκ ἂν ἑκὼν εἶναί ποτε τοιαύτην ἀσάφειαν ἐμηχανήσατο, κατὰ τὸν λόγον, ὡς ὀνόματα προσφέρεσθαι

μηδὲν σημαίνοντα. φέρε γὰρ εἴ τις εἴπῃ τὸν τοῦ πυρέττοντος σφυγμὸν εἶναι πικρὸν, ἀξιώσῃ οὕτως ἀκούειν τοῦ πικροῦ ὀνόματος, ὡς ἐπὶ γευστῶν ἐνίοτε λέγομεν, ἆρ' ἕξομέν τι νοῆσαι σαφές; οὐ μᾶλλον, ἢ στρυφνὸν, ἢ αὐστηρὸν, ἢ ὀξὺν ἀκούσαιμεν εἶναι τὸν σφυγμόν. ἐν ἅπασι μὲν γὰρ αὐτοῖς, ἀηδές τι, καὶ παρὰ φύσιν ἐμφαίνεται, τί δὲ τοῦτ' ἔστιν οὐ δηλοῦται, καίτοι κατὰ μὲν τὰς τοιαύτας μεταφορὰς ἀπὸ τῶν κυρίων, ἐφ' ἕτερον οὐ κύριον ἡ μετάθεσις γίνεται, συγκεχωρημένον ἅπασι καὶ εἰθισμένον πρᾶγμα. κατὰ δὲ τὸ τοῦ σκληροῦ σφυγμοῦ σημαινόμενον, ὅπερ ὁ Ἀρχιγένης ἐνομοθέτησεν, οὔτε συγκεχωρημένον, οὔτε εἰθισμένον, οὔτε ὅλως γεγονὸς, ἢ γενέσθαι δυνάμενον, ἀκοῦσαι χρὴ σημαινόμενον, ἀπὸ τῶν μεταφορικῶν ἐπὶ τὸ κύριον ἐπανερχομένους. διὰ γὰρ ὀνόματος μὲν ἔστιν ἀκοῦσαι, πρᾶγμα δὲ, οὐδ' ἐννοῆσαι. ἀλλ' οὐκ ἔτι δεῖ περί γε τούτου μηκύνειν, ἐν ἄλλοις ἐπιπλέον ὑπὲρ αὐτοῦ διειλεγμένους. ἀναλαβόντας δὲ τὰ προειρημένα διὰ κεφαλαίων, ὑπὲρ ἁπάντων τῶν πυρετῶν ἐπελθεῖν.

nullius significationis. Iam verò si quis pulsum febricitantis amarum dicat esse; ac nomen amarum, vt ad gustum referimus, interim velit accipi; nihil sanè, quod clarius intelligamus habebimus quàm si acerbum, vel austerum, acidum audiremus pulsum esse, quòd ex omnibus his res molesta, & præter naturam repræsentetur, quæ autem sit illa non declaretur. Quanquam in eiuscemodi metaphoris à propriis ad aliud non proprium traductio fit, res & permissa omnibus, & vulgaris, at in significatione duri pulsus, cuius author Archigenes est, quæ nec concessa est, nec vsitata, nec omninò fuit, aut poterit esse, intelligere oportet nos significationem, ad illam, quæ propria est, ex metaphoricis reuersos; quando ita nomen quidem audias, artem intelligas nullam. Verùm quid sermonem de his producam, quum alias diffusius de his disputauerim? At superiora summatim repetamus, ac de omnibus febribus dicamus.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ διαγνώσεως πυρετῶν ἐκ τῶν σφυγμῶν.

ΟΤι μὲν δὴ τρία ἐστὶ τὰ πάντα αὐτῶν γένη, δέδεικται δι' ἑτέρων· ὁποία δὲ τίς ἑκάστου διάγνωσις ἐκ σφυγμῶν, ἐνταῦθα δὲ ῥητέον. οἱ μὲν ἐφήμεροι πάντες εἰς μέγεθος, καὶ τάχος, καὶ πυκνότητα τρέπουσι τοὺς σφυγμοὺς, ὅσον ἐφ' ἑαυτοῖς. εἰ γὰρ ἐπιμιγνύοιτό τις ἄλλη διάθεσις, ἀνάγκη μικτὴν γενέσθαι τὴν τροπὴν, ἔξ ἐκείνης τε καὶ τῆς κατὰ τὸν λόγον τοῦ πυρετοῦ συνισταμένης. ὡσαύτως δὲ καὶ οἱ ἑκτικοὶ τῶν πυρετῶν, εἰς τὰς αὐτὰς διαφορὰς ἀλλοιοῦσι τοὺς σφυγμοὺς, ὅσον γ' ἐφ' ἑαυτοῖς, καὶ πλέον γ' ἐπὶ τούτοις ἐξαλλάττεται τὸ τάχος. οἱ δὲ ἐπὶ σήψει χυμῶν, ἐν μὲν ταῖς ἀκμαῖς ἀμφοτέρας ἔχουσι τὰς κινήσεις ταχείας, τήν τε τῆς διαστολῆς, καὶ τὴν τῆς συστολῆς. ὡσαύτως δὲ καὶ τὰς πυκνότητας ἀμφοτέρας ὁμοίως ἀλλοιοῦσι, τήν τε κατὰ τὴν ἐκτὸς ἡσυχίαν γινομένην, καὶ τὴν κατὰ τὴν ἐντὸς, ἐν δὲ ταῖς εἰσβολαῖς οὐχ ὁμοίως, ἀλλὰ μᾶλλον ἐπιτείνουσι τῆς συστολῆς τὸ τάχος. ἐν δὲ ταῖς ἀναβάσεσι, καὶ τοῦτο μὲν, καὶ τὴν ἐκτὸς ἡσυχίαν ἐπιπλεῖστον συνεργοῦσιν ὡς πυκνότατην φαίνεσθαι κατ' αὐτὴν τὸν σφυγμόν. οὗτοι μόνοι πυρετῶν εἰσιν ἴδιοι σφυγμοὶ, κατὰ τὸν ἑαυτῶν λόγον. οἱ δ' ἄλλοι πάντες, οἱ τοῖς πυρέττουσι συμπίπτοντες ἄλλῃ τινὶ διαθέσει μᾶλλον, ἢ τῇ τῶν πυρετῶν ἕπονται. δύο δ' ἐστὶ γένη κἀκείνων τῶν διαθέσεων, ἤτοι τῆς δυνάμεως, ἢ τῶν ὀργάνων ἡ κάκωσις. ἐδείχθη γὰρ, ὡς εἰς τρία χρὴ βλέποντας ταῦτα, ἐξευρίσκειν τὰς ἀλλαττούσας αἰτίας τὸν σφυγμὸν, ὄργανόν τε, καὶ χρείαν, καὶ δύναμιν. ἐπιδέδεικται γὰρ, καὶ ὅσα καθ' ἕκαστον αὐτῶν γένος, ἐξιστάμενον τοῦ κατὰ φύσιν, ἀναγκαῖόν ἐστι συμπίπτειν τοῖς σφυγμοῖς. οὐκέτι οὖν ἔτι θαυμαστὸν εἰ διαφέρονταί τε πρὸς ἀλλήλους οἱ σοφοὶ ἰατροὶ, περὶ τῶν ἰδίων τοῦ πυρετοῦ σφυγμῶν, ἁμαρτάνουσί τε πάντες, ἅτε μήτε τὰ γένη τῶν πυρετῶν διελόμενοι, τάς τε διὰ τὴν δύναμιν, ἢ τὴν τῶν ὀργάνων κάκωσιν ἀλλοιώσεις τῶν σφυγμῶν, αὐτῶν τῶν πυρετῶν ἰδίας εἶναι νομίζοντες. οἱ δ' αὐτίκα παροξυσμῶν εἰσβαλλόντων, οἱ μὲν τοὺς πυκνούς τε, καὶ μικροὺς, οἱ δὲ πρὸς τούτοις, καὶ τοὺς ἀμυδροὺς, ἔνιοι δὲ καὶ τοὺς ἀνωμάλους, εἰσὶ δ' οἳ καὶ τοὺς βραδεῖς, ὥσπερ ἄλλοι τοὺς ταχεῖς ἔθεντο γνωρίσματα καίτοι γ' ἔνιοι τῶν πυρετῶν ἀθλίπτους, ὡς αὐτοὶ καλοῦσι, ποιοῦνται τὰς εἰσβολὰς, ἐφ' ὧν εἰς μέγεθός τε, καὶ τάχος ἡ πρώτη τροπὴ γίνεται τῶν σφυγμῶν, εἶτ' ὀλίγον ὕστερον αὐξανομένοις τισὶ δὲ καὶ ἡ πυκνότης ἐπιγίνεται, τῶν δ' ἄλλων σφυγμῶν τῶν εἰρημένων οὐδεὶς αὐτοῖς, οὔτ' ἀρχομένων τῶν παροξυσμῶν, οὔτε αὐξανομένων, οὔτε ἀκμα-

CAPVT VII.

De febribus per pulsus dignoscendis.

TRia esse in summa genera illarum, alio loco docuimus; quemadmodum verò quodque ex pulsibus dignoscatur, declarabo hoc loco. Omnes diariæ in magnitudinem, celeritatem, crebritatemque pulsus, quantum in ipsis est, mutant; nam si concurrat alius affectus, mixtam oportebit esse mutationem ex illo, & hoc, qui comitatur febrem. Pari modo febres hæcticæ pulsus in easdem differentias conuertunt, quantum in iis est, ampliusque in his mutatur celeritas. At quæ ortæ sunt ex putredine humorum, in vigoribus vtrunque habent motum celerem, & distentionis, & contractionis, præterea vtramque crebritatem ex æquo mutant, quum externæ quietis, tum internæ; in initio accessionis non perinde, sed magis augent contractionis celeritatem; in incrementis quum hanc, tum etiam externam quietem plurimum concitant, vt pulsus in illa creberrimus videatur. Habes pulsus, qui soli febrium per se proprij sunt; reliqui omnes, qui febricitantibus accidunt alium, potius affectum, quàm febres sequuntur. Quorum etiam affectuum sunt duo genera, aut facultatis, aut instrumentorum vitium; quippe ad causas inueniendas, quæ mutant pulsum, tria hæc sunt animaduertenda; instrumentum, vsus, & facultas; demonstrauimus enim, quæ ex singulis horum generibus à natura recedentibus accidere pulsibus oporteat. Quo minùs est mirum, si inter sese præclari isti medici dissideant de febris propriis pulsibus, errentque omnes, vt qui nec genera partiuerint pulsuum, & profectas ex facultatis, vel instrumentorum vitio alterationes pulsuum arbitrentur proprias ipsis febribus esse; Vt inuadentis accessionis quidam crebros, & paruos, alij ad hæc languidos, iam nonnulli etiam inæquales, sunt qui tardos etiam, contra alij celeres, posuerunt indicia. Tametsi quædam febres incompressas, vt isti vocant, inuasiones faciunt, in quibus pulsuum prima mutatio in magnitudinem & celeritatem fit, mox his succedit augescentibus crebritas; reliquorum pulsuum, quos memoraui, in illis nullus apparet, nec initio accessionum, nec in incremento, neç vigore,

vigore. Verùm hos, nec rigor, nec horror, nec ferè vlla inæqualitas, quin ne frigus quidem partium extremarum, vel superficiei externæ, nec vellicatio, aut grauitas, aut compressio stomachi vnà incessit; plerosque verò, vel vnum de his, vel plura comitantur; nonnullos paulò post vomitus, qui apertè declarat, ex eo quòd in ventriculum vitiosi succi confluxerunt, quosdam illorum vellicatos esse, alios compressos, aliquos nauseasse. Clarissimè enim recedit in plerisque initiis de tota superficie externa sanguis, confluitque in viscera, vnde compressiones, & obstructiones fiunt, distentionesque arteriarum præcipuarum, propter quas initiis talium accessionum coniuncti sunt pulsus inæquales; quemadmodum etiam languidi ob stomachum, & facultatem affectam. Ad hunc modum fiunt, & parui ob imbecillitatem facultatis, & ob frigiditatem, & iam tardi quoque ex ingenti frigiditate. Verùm contractionem perinde, ac distentionem, nullus horum tardam fecit; sed hoc perpetuum est, & præ cæteris proprium inuasioni febris ex putredine humorum ortæ, vt arteriæ contractio efficiatur celerior. Et si quis in cognoscenda contractione est exercitatus, perpetuum hoc, & constans initij accessionis signum habebit, vbi contentione aliqua, vt frequenter admonuimus, pulsus præditus sit, nam in languidis contractionem docuimus dignosci non posse. Hoc igitur etiam, atque etiam exercitandum tibi est, siquidem cognoscere ad vnguem velis initium accessionis; quemadmodum autem ingredienda ea sit exercitatio, copiosissimè in libris De dignoscendis pulsibus declarauimus. Certissimum est hoc signum, illique maximè est fidendum, apertè ad dignotiones, conspicuo. Equidem in multis, quorum antea pulsum nunquam tetigeram, nec per sanitatem, nec per morbum, hoc fretus vno signo nunquam sum lapsus. Nam cæteris quidem omnibus; siue frigescat totum corpus, siue os ventriculi (quem per abusum vocamus stomachum) siue deferatur sanguis in profundum, vel ex mœrore, vel metu, vel alia de causa, similis tarditas est pulsus, & in arteriæ distentione, & contractione. Iam ei etiam coniuncta est in vtraque quiete raritas; in solis verò inuasionibus febrium, vt distentio interim tardior fiat priore, certè contractio celeritatem nanciscitur. Ad hæc restringit externas quietes, vt hîc pulsus crebrior euadat; at non in internas, sed vel perinde, vt in priore, vel paulò rarior id temporis videtur. Comparanda verò est prior quies, quantum ad tactum, præsenti; hocque memoria tenendum, conflatam esse eam ex fine contractionis, & initio distentionis, atque ex interposita inter has quiete; tum expendendum, quantum vtrinque ei ex parte motuum delitescente accessit, id quod exponendum est comparando cum contentione. Nam si æquè pulsus contentus nunc sit, ac ante fuit, quanto tempus sensibilis quietis longius fiat, tantum etiam est putandum esse reuera protractam quietem, si languidior, quàm priùs, effectus est, arbitrandum est, & ob hoc partem absconditam esse motuum, quæ quieti, quam sentimus, ad veram inueniendam detrahenda est. Nam si paulò pulsus, quàm ante, languidior appareat, multo autem rarior, veram quietem puta esse productam. sin multo remissior, & rarior paulò, vt sensus iudicat, minimè censebis protensam esse veram quietem,

ζόντων ἐπιφαίνεται. ἀλλὰ τούτοις μὲν, οὔτε ῥῖγος, οὔτε φρίκη τις, οὔτ' ἀνωμαλία σαφής. ἀλλ' οὐδὲ ψύξις ἄκρων, ἢ τῆς ἐκτὸς ἐπιφανείας, οὐδὲ δῆξις, ἢ βάρος, ἢ θλίψις στομάχου συνεισβάλλει. τοῖς πλείστοις δ' ἤτοι ἕν τι τῶν εἰρημένων, ἢ καὶ πλείω συνεδρεύει. καί τισιν αὐτῶν ὀλίγον ὕστερον ἔμετος, ἐναργῶς ἐνδεικνύμενος, ὡς ἐκ τοῦ συῤῥεῖν εἰς τὴν γαστέρα μοχθηροὺς χυμοὺς, οἱ μὲν ἐδήχθησαν αὐτῶν, οἱ δὲ ἐθλίφθησαν, οἱ δ' ἀσώδεις ἐγένοντο. προφανέστατα γὰρ ἐπὶ τῶν πλείστων ἀρχῶν, ἀποχωρεῖ μὲν ἁπάσης τῆς ἐκτὸς ἐπιφανείας τὸ αἷμα, συῤῥεῖ δ' εἰς τὰ σπλάγχνα, κἀκ τούτου, θλίψεις τε, καὶ σφηνώσεις, ἐμφράξεις τε, καὶ διατάσεις ἀρτηριῶν γίνονται κυρίων, ἐφ' αἷς οἱ ἀνώμαλοι σφυγμοὶ, ταῖς εἰσβολαῖς τῶν τοιούτων παροξυσμῶν συνεδρεύουσιν, ὥσπερ αὖ πάλιν οἱ ἀμυδροὶ διά τε τὴν τοῦ στομάχου τε, καὶ τῆς δυνάμεως κάκωσιν. οὕτως δὲ καὶ οἱ μικροὶ διά τε τὴν ἀῤῥωστίαν γίνονται τῆς δυνάμεως, καὶ διὰ τὴν ψύξιν. ὥσπερ γε καὶ οἱ βραδεῖς ἐπὶ ταῖς ἰσχυραῖς ψύξεσιν. ἀλλὰ τούτων γε οὐδεὶς, ὁμοίως τῇ διαστολῇ τὴν συστολὴν ἐποιήσατο βραδεῖαν. ἀλλ' ἔστιν ἀχώριστόν τε, καὶ ἰδιώτατον εἰσβολαῖς πυρετοῦ ἐπὶ σήψει χυμῶν, ἡ συστολὴ τῆς ἀρτηρίας ὠκυτέρα γινομένη. καὶ ὅστις ἤσκηται γινώσκειν συστολὴν ἀχώριστον ἀρχῆς παροξυσμοῦ τοῦθ' ἕξει τὸ σημεῖον, ὅταν, ὡς εἴρηται πολλάκις ὁ σφυγμὸς ἔχῃ τινὰ τόνον. ἐδείχθη γὰρ ἐπὶ τῶν ἀμυδρῶν, ἀδιάγνωστος ἡ συστολή. τοῦτ' οὖν ἀσκητέον ἐν τοῖς μάλιστα, τὸν ἀκριβῶς βουλόμενον ἀρχὴν γνωρίζειν παροξυσμοῦ. ὅπως δ' ἄν τις ὑπάρξοιτο τῆς ἀσκήσεως, ἐν τῷ πρώτῳ περὶ διαγνώσεως σφυγμῶν, ἐπὶ πλεῖστον εἴρηται. τοῦτο τὸ σημεῖον ἀψευδέστατόν ἐστι, καὶ χρὴ θαῤῥεῖν αὐτῷ μάλιστα, κατὰ τὰς διαγνώσεις ἐναργῶς φανέντι. ἐγὼ γ' οὖν ἐπὶ πολλῶν πολλάκις, ὧν οὐδεπώποτε πρόσθεν ἡψάμην τῶν σφυγμῶν, οὔθ' ὑγιαινόντων, οὔτε νοσούντων, τούτῳ τῷ σημείῳ μόνῳ πιστεύσας, ἥμαρτον οὐδέποτε. ταῖς μὲν γὰρ ἄλλαις ἁπάσαις, εἴτ' οὖν ψύξις εἴη ὅλου τοῦ σώματος, εἴτε καὶ τοῦ στόματος τῆς γαστρὸς, ὃ καταχρώμενοι στόμαχον ὀνομάζομεν, εἴτ' εἰς τὸ βάθος ῥοπαὶ τοῦ αἵματος, ἤτοι διὰ λύπην, ἢ φόβον, ἢ δι' ἄλλην τινὰ αἰτίαν γιγνόμεναι, παραπλήσιός ἐστιν ἡ βραδύτης τοῦ σφυγμοῦ, διαστελλομένης τε καὶ συστελλομένης τῆς ἀρτηρίας, εὐθὺς δ' αὐτῇ σύνεστι καὶ ἡ ἀραιότης, κατ' ἄμφω τὰς ἡσυχίας. μόναις δὲ ταῖς πυρετικαῖς εἰσβολαῖς, κἂν ἡ διαστολή ποτε γένηται βραδυτέρα τῆς ἔμπροσθεν, ἀλλ' ἥ γε συστολὴ τάχος προσκτᾶται. συναιρεῖται δέ τι καὶ τῆς ἐκτὸς ἡσυχίας, ὡς πυκνότερον ἐνταῦθα γίνεσθαι τὸν σφυγμὸν, οὐ μὴν κατά γε τὴν ἐντὸς, ἀλλ' ἤτοι τῷ πρόσθεν ὡσαύτως, ἢ βραχεῖ τινι κατὰ τὸν καιρὸν τοῦτον ἀραιότερος φαίνεται. παραβάλλειν δὲ δηλονότι χρὴ τὴν ἔμπροσθεν ἡσυχίαν, ὡς πρὸς τὴν ἁφὴν τῇ νῦν φαινομένῃ, μεμνημένον μὲν ὅτι σύνθετός ἐστιν, ἔκ τε τοῦ πέρατος τῆς συστολῆς, καὶ τῆς ἀρχῆς τῆς διαστολῆς, καὶ τῆς μεταξὺ τούτων ἠρεμίας, ἐκλογιζόμενον δ' ὅσον ἑκατέρωθεν αὐτῇ προσῆλθεν, ἐκ τοῦ μὴ φαινομένου μορίου τῶν κινήσεων, αὐτὸ δὲ δὴ τοῦτο πάλιν ἐκλογίζεσθαι τῷ τόνῳ παραμετροῦντα. εἰ μὲν γὰρ ὡσαύτως ἔχει τόνου, νῦν τε καὶ πρόσθεν ὁ σφυγμὸς, εἰς ὅσον αὖ ὁ χρόνος τῆς αἰσθητῆς ἡσυχίας γένηται μακρότερος, εἰς τοσοῦτο καὶ τὴν ὄντως ἡσυχίαν ἡγεῖσθαι μεμηκύνθαι. εἰ δ' ἀμυδρότερος, ἢ πρόσθεν γένοιτο, λογίζεσθαί τι καὶ διὰ τοῦτ' ἀποκεκρύφθαι τῶν κινήσεων, ὅπερ ὑφαιρεῖν χρὴ τῆς αἰσθητῆς ἡσυχίας εἰς τὴν τῆς ὄντως εὕρεσιν. εἰ γὰρ ὀλίγῳ μέν τινι τοῦ πρόσθεν ὁ σφυγμὸς ἀτονώτερος γένηται, πολλῷ δὲ ἀραιότερος, ἡγητέον ἐκτετάσθαι τὴν ὄντως ἡσυχίαν. εἰ δ' ἀτονώτερος μὲν πολλῷ, βραχεῖ δ' ἀραιότερος, ὡς πρὸς τὴν αἰσθητὴν διάγνωσιν, οὐκέτι καὶ τὴν ὄντως ἡσυχίαν τὴν ἔνδον ἡγητέον ἐκτετάσθαι.

κατὰ δὲ τὸν αὐτὸν τρόπον εἰ τοῦ σφυγμοῦ βραχεῖαν ἀτονίαν προσλαβόντος, ἀξιολόγως τινὶ φαίνοιτο τὰ τῆς πυκνότητος ἐπιτετάσθαι, συνῃρῆσθαι λογιστέον τὴν ὄντως ἡσυχίαν. ἐφ᾽ ὧν μὲν οὖν ἀμυδρότερος ὁ σφυγμὸς ἐγένετο κατὰ τὸν τῆς διαγνώσεως καιρὸν, ὡς εἴρηται, λογιστέον. ἐφ᾽ ὧν δὲ ὡσαύτως ἔχει τόνου, σαφεστάτη διάγνωσις ἐπὶ τούτων ἐστὶ, καὶ τῆς ἐντὸς ἡσυχίας, ὡς λέλεκται σκοπουμένοις. ὅταν οὖν ποθ᾽ ὁ σφυγμὸς ἄτρεπτος μὲν ὢν τἄλλα, θάττων γένηται κατὰ τὴν συστολὴν, ἀρχῆς παροξυσμοῦ σημεῖον ἀχώριστον τίθεσο. γίγνεται δὲ εὐθὺς τοιοῦτος σφυγμὸς, καὶ πυκνότερος κατὰ τὴν ἐκτὸς ἡσυχίαν, ἐπειγομένης τῆς φύσεως ἀποτρίψασθαι τὸ καπνῶδες περίττωμα, διὸ θᾶττον συνεστέλλετο. καὶ τὰ μὲν οὖν τὴν πρώτην ἀρχὴν τῆς γενέσεως αὐτοῦ, παρὰ τὸ τάχει τῆς συστολῆς μόνον ὁ σφυγμὸς παραλλάττων φαίνεται τοῦ πρόσθεν. ὀλίγῳ δ᾽ ὕστερον καὶ πυκνοῦσθαι κατὰ τὴν ἐκτὸς ἠρεμίαν, προϊαίτερον ἀρχομένης συστέλλεσθαι τῆς ἀρτηρίας. τοῖς δ᾽ ἐφημέροις πυρετοῖς, οὐχ ὑπάρχει τοῦτο, διὰ τὸ χωρὶς σήψεως γίγνεσθαι χυμῶν. οὐ μὴν οὐδὲ τοῖς ἑκτικοῖς, ὅτι μηδὲ ἄρχονταί ποτε, πλὴν εἰ συνέλθοι κατὰ τύχην, ἑτέρα τις διάθεσις αὐτοῖς, ὥστ᾽ ἐφ᾽ ὧν ζητεῖται μάλιστα πυρετῶν ἡ ἀρχὴ τῶν παροξυσμῶν, ἔχειν ἡμᾶς δεῖ διαρκὲς τὸ σημεῖον. εἰ δὲ κατὰ τὴν πρώτην ἡμέραν, ἄρτι μεταπίπτοντος ἐξ ὑγιείας εἰς νόσον ἀνθρώπου τινὸς ἁπτοίμεθα τῶν σφυγμῶν, εὐθὺς καὶ τὸ γένος ἡμῖν ἐνδείξεται τοῦ πυρετοῦ τὸ σημεῖον τοῦτο, συνεισβάλλειν γὰρ τῷ παροξυσμῷ τῶν ἐπὶ σήψει τινὶ χυμῶν τὸν πυρετὸν εἶναί φησιν. ἐδείχθησαν δ᾽ ἐν ταῖς τῶν πυρετῶν διαφοραῖς, ἐκ ταὐτοῦ γένους ὄντες τῷδε, καὶ οἱ ἐπὶ ταῖς φλεγμοναῖς. ἀλλὰ διοριστέον αὐτοὺς τῶν ἐπὶ σήψει χυμῶν, μόνῃ τῇ σκληρότητι. σκληρὰ γὰρ ἡ προσβολὴ τῶν ἐπὶ φλεγμοναῖς. εἰ μὲν οὖν διαγινώσκειν δύναιο τὴν ἐπὶ τάσει τῆς ἀρτηρίας σκληρὰν προσβολὴν, τῆς ἐπὶ ψύξει τε καὶ σκληρότητι, τρεῖς ἕξεις ἐκ τούτου προγνώσεις αἰτίων προγεγονότων, πότον ψυχρὸν, οἶνον ἀκρατέστερον, φλεγμονὴν, ἣν οὐ μόνον ἔμπροσθεν τοῦ παροξυσμοῦ γεγονὸς αἴτιον, ἀλλὰ καὶ παραμένον ἐροῦμεν. τὴν δὲ τοῦ ψυχροῦ τε, καὶ τοῦ πλέονος ἀκράτου πόσιν, αὐτὴν μὲν προγεγονέναι, τὴν δ᾽ ἀπ᾽ αὐτῆς διάθεσιν ἔτι φυλάττεσθαι. σκληρύνονται μὲν οὖν ἐπὶ ταῖς βλαψάσαις ψυχροποσίαις οἱ χιτῶνες τῶν ἀρτηριῶν, ἐξήρανται δὲ ἐπὶ ταῖς τοῦ πλείονος οἴνου πόσεσιν. εἰ δὲ καὶ τῆς τῶν νεύρων ἀρχῆς ὁ οἶνος ἅψαιτο, καὶ τείνονται παραπλήσιον τοῖς προδηλοῦσι τὸν σπασμόν. ἐπὶ δὲ ταῖς φλεγμοναῖς, ἄνευ τῆς τοῦ χιτῶνος οἰκείας σκληρότητος τείνονται, καὶ καλεῖται μὲν καὶ τότε σκληρὸς ὁ σφυγμὸς διὰ τὸ τῆς πληγῆς βίαιον, οὐ μὴν ἐσκλήρωταί γε κατὰ τὸν ἑαυτῆς λόγον ἡ ἀρτηρία, καθάπερ ὅταν ἤτοι ξηρανθῇ πως, ἢ ψυχθῇ βίαιον, ἢ οἷον σκιρρώδη τινὰ δέξηται διάθεσιν. ταυτὶ μὲν οὕτω διωρίσθω. τοὺς δ᾽ ἐν τῇ πρώτῃ τῶν ἡμερῶν μηδόλως ἔχοντας τὸ λελεγμένον γνώρισμα, τῶν μὲν ἐπὶ σήψει χυμῶν ἀφοριστέον ἐστὶν, ἤτοι δ᾽ ἐφημέρους νομιστέον, ἢ ἑκτικούς. σπανιώτατα μὲν οὖν, εὐθὺς ἐξ ἀρχῆς συνίσταται πυρετὸς ἑκτικός. οὐ μὴν ἀδύνατός γε οὐδ᾽ ἡ τοιαύτη γένεσις αὐτοῦ, ἀλλ᾽ ὤφθησάν που ἡμῖν καὶ οἱ τοιοῦτοι. τὰ μὲν οὖν ἄλλα πάντ᾽ αὐτῶν γνωρίσματα δι᾽ ἑτέρας εἴρηται πραγματείας, ἐν ᾗ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς ἐσκοπούμεθα. τὰ δὲ ἀπὸ τῶν σφυγμῶν, εἰρήσεται νῦν. οὔθ᾽ ὁ μέγας, οὔθ᾽ ὁ σφοδρὸς, μὴ σκληρὸς, σφυγμὸς ἅμα τοῖς ἑκτικοῖς ποτε συμβάλλουσι πυρετοῖς, ἀλλ᾽ ὅτι περ ἂν ὑπάρχῃ τούτων αὐτοῖς, οὐκ εἰσὶν ἑκτικοί. εἰ δὲ καὶ πάνθ᾽ ἅμα παρείη, προφανῶς εἰσιν ἐφήμεροι, τῆς γε συστολῆς αὐτῶν, ὡς εἴρηται, μὴ ταχυνούσης, ἴδιον γὰρ ἐκείνης τὸ τάχος ἐστὶ, τῶν ἐπὶ σήψει χυμῶν, ὧν τὰς κατὰ μέρος ἁπάσας διαφορὰς, ἐν τῇ προειρημένῃ πραγματείᾳ διῆλθον. εἰσὶ δ᾽, ὡς ἐπὶ κεφαλαίων φάναι, πάντες μὲν οἱ κατὰ περιόδους παρο-

eodem modo, si quum paruam remissionem assequutus pulsus est, insigniter tibi crebritas videatur aucta, contractam arbitrare veram quietem. Itaq; in quibus languidior pulsus est factus, tẽpore, quo exploramus, animaduertẽdum est; in quibus verò pari est contentione, in his facilè, vti diximus, si animum aduertas, interna quies dignoscitur. Proinde quum nihil pulsus variet nisi in contractione sit celerior, id habe initij accessionis signum perpetuum, simulque fit hic pulsus in externa quiete crebrior, natura incumbente ad excrementum fumosum propulsandum, quamobrem celerius contrahebatur. Ac sic quidem celeritate tantum contractionis, quum primum id generatur, variare à priore pulsus videtur; paulo post etiam fieri creber in externa quiete, quòd citiùs arteria cõsidere incipiat. At diariæ febres non habent hoc, quòd sine humorum putredine fiant, nec iam etiam hecticæ, quòd nisi alter cum iis affectus casu coëat ne incipiãt quidem vnquam. Ita in quibus præsertim febribus quæritur accessionum initium, tenere nos hoc inseparabile signum debemus. Quòd si primo die quum recens de sanitate homo in morbum incidit, pulsum tangamus, statim nobis genus etiam febris hoc signum ante oculos proponet, vnà enim inuadere cum febrium accessione, quæ putredinis alicuius humorum comites sint perhibent. Iam in differentiis febrium docuimus in eodem genere, quo hunc, pulsus esse, qui ab inflammatione excitantur, sed à pulsibus ab humorum putredine concitatis hi sola duritie discernentur, siquidem pulsuum ortorum ex inflammationibus durus est occursus. Quare si durum occursum, quem efficit cõtentio arteriæ, discernere ab eo vales, quem generat frigiditas & durities, tres prædicere hinc causas præteritas poteris, potum frigidæ, meracius vinum, inflammationem; quam non solum ante causam fuisse accessionis, sed permanere etiam dicemus; frigidæ, atque largioris meri potum antecessisse eum quidem, sed quem concitauit, affectum adhuc durare. Ac indurescunt quidem ex nocuis frigidæ potionibus arteriarũ tunicæ, & à vino immodicè poto desiccantur, nam si neruorum simul principium lædat vinum, etiam intenduntur non aliter, atque illæ, quæ conuulsionem prænunciant. In inflammationibus verò absque propria tunicæ duritie tenduntur, vocaturq; pulsus tum etiam durus ob vim ictus; non induruit tamen per se arteria, quomodo quum vel desiccata sit aliqua ratione, vel magnopere perfrigerata, vel affectum comparauerit scirrhosum. Atque hæc quidem sic distinguo. Quæ primo die nequaquam obtinent istud signum, à febribus putridis separabis, ac vel diarias censebis, vel hecticas. At febris hectica rarissima à primo existit, quin tamen id temporis possit nasci, nihil causæ est, sed vidimus etiam nonnunquam tales. Reliqua harum omnia signa alio in opere explicata sunt, vbi de differentiis febrium tractauimus. Quæ verò pulsus suppeditant, nunc persequemur. Nec magnus pulsus, nec vehemens cum hecticis febribus vnquam concurrunt, sed si alterutrum habeant horum, non sunt hecticæ; si simul vtrunque habeant, planè sunt diariæ, si quidem eorum contractio, quemadmodum diximus, non properet. Propria enim est eius, quæ consequitur putredinem humorum, celeritas; cuius singulas differentias in commentariis, quorum memini, sum persecutus. Hæ sunt, vt summatim commemorem, omnes quæ per circuitus incandescunt

candescunt, atque omnes continuæ, vbi tertium diem superent. Eiusdem generis sunt, quę inflammationes comitantur. Ac in declinationibus celeritas contractionis dissoluitur, præsertim quum ad integritatem, aut prope eam peruenerint; initio accessionum generatur, quum aliqua ratione humores intendantur; ac per incrementum augetur; vbi prope iam attigerint vigorem, succensis humoribus, feruescentibusque ingens incrementum suscipit distentionis celeritas, contractionis permanet par celeritas; vbi iam viget plane febris, in illa accessione ad summam celeritatem distentio peruenit, & minuitur celeritas contractionis. Verùm plerique medici, præcipuè qui sensu negant contractionem percipi posse, longè absunt à signo, quod exposuimus, omnium febrium ex putredine ortarum, initijq; in illis singularum accessionum. Nonnulli sed sanè pauci, obscuram imaginem rei videntur conspexisse; quamobrem adeo confusè, atque obscurè scribunt, vt qui conijcere valeat, quid dicant, sit nemo. In his Archigenes est, quod videbis, si librum eius de pulsibus legere velis, & commentarios de signis febrium, aut certè horum compendium; & verò nos etiam libros eius de pulsibus vnà cum interpretatione obscurorum locorum expendimus, atque examinauimus octo commentariis. At verò mihi quidam videntur optimè dixisse (si adiecerimus sermoni quandam distinctionem) pulsuum ex vtraque parte mutationem initij accessionis esse nunciam. Quam adiunctam distinctionem volo, ea hæc est, si mutatio citra aliam occasionem acciderit. Causæ autem partim externæ sunt non medicis modò, sed plebi etiam perspectæ, cibus & potus sumptus, quiuis motus, & animi affectus iratorum, aut metu percitorum, aut angore, aut quomodolibet aliter commotorum; partim ex ipso corpore originem ducunt, de quibus paulò ante verba feci, vbi horroris, rigoris, refrigerationis, atque confluentium in ventrem mentionem facerem. Nam si laboranti tale nihil acciderit, repentina, in quamcunque rem sit, mutatio accessionem præmonet; si celerior, maiorque pulsus fiat, calorem in arteriarum fonte subali; si tardior vel minor, frigiditatem. Itemque consentiet crebritas cum caloris abundantia, contra cum frigiditate raritas. Et remissio etiam, quamuis alio ex symptomate oriatur, peculiaris est accessionum initiis, quòd in ventrem tum confluant humores vitiosi, atque læso eius ore facultatem afficiant. At pulsuum inæqualitas, quæ ferè inuadit vnà cum accessionibus, compressarum, vel obstructarum non arteriarum, aut copiæ humorum ad facultatem relatæ, est signum, quæ etiam ratione accessionis possunt accidere. Quæ igitur pulsuum mutationes fiunt, quum cordis calor augetur, vel confluunt intrò humores, apertè hæ videbūtur accessionis initium annunciare, siquidē, vt diximus, ab aliis causis sint remotæ: quæ verò, quum crescit frigiditas, hæ non etiam necessariò videbūtur febris accessionem nunciare, sed si hîc quoque alias omnes causas secludamus, declarabit frigiditas nobis iam iámque febrem iri accensum, suffocatur enim tunc, quod materia, quæ in profundum confluit, mirè sit frigidior, vt periculum sit, ne semel principium extinguatur. Qualia exēpla extra corpus multa conspiciuntur, si quando materiam simul & multam, & quæ nō facile succendatur, affatim in modicū ignem coniiciamus, nam statim periculum est, ne extinguatur, si non extinctus sit, sed

A ξυνόμενοι, πάντες δὲ οἱ συνεχεῖς, ὅταν ὑπὲρ τὴν τρίτην ἡμέραν ἐκταθῶσιν. ἐκ ταὐτοῦ δὲ αὖθις εἰσὶ γένους, καὶ οἱ τῶν φλεγμοναῖς ἐπιγινόμενοι. κατὰ μὲν οὖν τὰς παρακμὰς, ἐκλύεται τὸ τάχος τῆς συστολῆς, καὶ μάλιστα ὅταν εἰς ἀπυρεξίαν, ἢ ἐγγὺς αὐτῆς ἀφίκωνται, κατὰ δὲ τὰς ἀρχὰς τῶν παροξυσμῶν γεννᾶται, τυφομένων πως τινὰ τῶν χυμῶν, ἐπιτείνεται δὲ κατὰ τὰς ἀναβάσεις. ἐγγὺς δὲ ἤδη τῆς ἀκμῆς, ἐξημμένων τε τῶν χυμῶν, καὶ ζεόντων ἀθρόαν μὲν αὔξησιν τὸ τάχος τῆς διαστολῆς λαμβάνει, διαμένει δὲ ἴσον ἑαυτῷ τὸ τάχος τῆς συστολῆς. ὅταν δὲ ἀκμάσῃ τελέως ὁ πυρετὸς, εἰς ἄκρον μὲν ἥκει τοῦ καθ' ἐκεῖνον τὸν παροξυσμὸν τάχους ἡ διαστολή, μειοῦται δὲ τὸ
B τάχος τῆς συστολῆς. οἱ μὲν οὖν πλεῖστοι τῶν ἰατρῶν, καὶ μάλιστα ὅσοι τὴν συστολὴν ἀδιάγνωστον αἰσθήσει φασὶν ὑπάρχειν, οὐδ' ἐγγὺς ἥκουσι τοῦ λελεγμένου σημείου, τῆς τε ἐπὶ σήψει χυμῶν ἁπάντων πυρετῶν τῆς τε καθ' ἕκαστον αὐτῶν παροξυσμὸν ἀρχῆς. ὀλίγιστοι δέ τινες, ἀμυδρὰν εἰκόνα τοῦ πράγματος ἐοίκασιν ἑωρακέναι. γράφουσι γοῦν ἀδιορίστως τε καὶ ἀσαφῶς εἰς τοσοῦτον, ὡς μηδ' εἰκάσαι μηδένα τί ποτε βούλονται δηλοῦν. ἐξ αὐτῶν ἐστι, καὶ ὁ Ἀρχιγένης, ὡς ἔνεστι γνῶναι τῷ βουληθέντι τό τε περὶ σφυγμῶν αὐτοῦ βιβλίον ἀναγνῶναι, καὶ τὰ περὶ τῆς τῶν πυρετῶν σημειώσεως, ἢ τήν γ' ἐπιτομὴν αὐτῶν. ἐπεσκέμμεθα δὲ καὶ ἡμεῖς, ἅμα τῇ τῶν ἀσαφῶν ἐξη-
C γήσει, ἐν ὑπομνήμασιν ὀκτὼ τὴν περὶ τῶν σφυγμῶν αὐτοῦ πραγματείαν. ἄριστα δέ μοι δοκοῦσιν ἀποφήνασθαί τινες, εἰ προστεθείη μὲν αὐτῶν τῷ λόγῳ διορισμόν τινα, τὴν ἐφ' ἑκάτερα μεταβολὴν τῶν σφυγμῶν, ἀρχῆς παροξυσμοῦ σημεῖον ὑπάρχειν. ὃν δέ φημι χρῆναι προστεθεῖναι διορισμὸν, ἔστιν εἰ χωρὶς ἑτέρας προφάσεως ἡ ἀλλοίωσις γένοιτο. προφάσεις δὲ ἔνιαι μὲν ἔξωθέν εἰσιν, οὐ μόνοις τοῖς ἰατροῖς, ἀλλὰ καὶ τοῖς ἰδιώταις γνώριμοι, σιτίων καὶ ποτῶν προσφορά, καὶ κίνησις ἡτισοῦν, καὶ πάθος ψυχικὸν ὀργισθέντων, ἢ φοβηθέντων, ἢ ἀγωνιασάντων, ἢ ὁπωσοῦν ἑτέρως ταραχθέντων. ἔνιαι δὲ ἐξ αὐτοῦ τοῦ σώματος ὡρμώμεναι, περὶ ὧν ὀλίγον ἔμπρο-
D σθεν εἶπον, ἡνίκα φρίκης τε, καὶ ῥίγους, καὶ καταψύξεως, ἔτι τε τῶν εἰς τὴν γαστέρα συρρεόντων ἐμνημόνευσα. μηδενὸς γὰρ τοιούτου περὶ τὸν κάμνοντα συμβαίνοντος, ἡ ἐξαιφνίδιος ἐφ' ὁτιοῦν μεταβολὴ παροξυσμὸν ἀγγέλλει, θάττονος μὲν καὶ μείζονος γινομένου τοῦ σφυγμοῦ, θερμασίας ὑποτρεφομένης τῇ τῶν ἀρτηριῶν ἀρχῇ, βραδυτέρου δὲ, ἢ μικροτέρου, ψύξεως. οὕτω δὲ καὶ ἡ μὲν πυκνότης ὁμολογήσει τῇ πλεονεξίᾳ τῆς θερμασίας, ἡ δὲ ἀραιότης τῇ ψύξει. καὶ ἡ ἀμυδρότης δέ, καίτοι δι' ἄλλο τι σύμπτωμα γινομένη ταῖς τῶν παροξυσμῶν εἰσβολαῖς ἐστιν οἰκεία, συρρεόντων ὑγρῶν μοχθηρῶν εἰς τὴν γαστέρα τηνικαῦτα, καὶ τῇ τοῦ στόματος αὐτῶν βλάβῃ κα-
E κούντων τὴν δύναμιν. ἡ δὲ ἀνωμαλία τῶν σφυγμῶν, ἡ πολλοῖς τῶν παροξυσμῶν συνεισβάλλουσα θλιβομένων, ἢ ἐμφραττομένων ὑπόγυον ἀρτηριῶν, ἢ πλήθους τοῦ πρὸς τὴν δύναμιν ἐστὶ γνώρισμα, λόγῳ καὶ τούτων τῶν παροξυσμοῦ γίγνεσθαι δυναμένων. ὅσαι μὲν οὖν μεταβολαὶ σφυγμῶν, ἤτοι τῆς ἐν τῇ καρδίᾳ θερμασίας αὐξανομένης, ἢ συρρεόντων ἔσω τῶν χυμῶν ἀποτελοῦνται, φανερῶς ἂν αὗται δόξαιεν ἐνδείκνυσθαι παροξυσμὸν ἀρχόμενον. ὅταν γ', ὡς εἴρηται τῶν ἄλλων ἀφαιρεθῶσι προφάσεων ὅσαι δὲ ψύξεως, οὐκ ἔτ' ἐξ ἀνάγκης αὗται δείξουσι πυρετὸν εἰσβάλλοντα σημαίνειν. ἀλλ' ἐὰν κἀνταῦθα τὰς ἄλλας προφάσεις ἀφαιρεσώ-
F μεθα ἁπάσας, ἕξομεν καὶ τὴν ψύξιν ἀγγέλλουσαν, ἴσον οὐδέπω πυρετὸν ἀναφθήσεσθαι. πνίγεται γὰρ κατ' αὐτὴν τῆς συρρεούσης ὕλης εἰς τὸ βάθος, ἱκανῶς ψυχρᾶς ὑπαρχούσης, ὡς κινδυνεύειν σβεσθῆναι τὴν ἀρχήν, οἷόν τι κἀκτὸς συμβαίνει πολλάκις, ὅταν ὕλην ἅμα τε πολλὴν, καὶ δύσκαυστον ἐπιβάλλωμεν ἀθρόως ὀλίγῳ πυρί, κινδυνεύει μὲν γὰρ αὐτίκα σβεσθῆναι, μὴ σβεσθὲν δὲ, ἀλλ'

αὐτίκα, ὑποτυφθῇ τε τῆς ὕλης ὀλίγον ὕστερον ἄρξεται, καί τινα θερμασίαν γεννᾶν, τὰ μὲν πρῶτα καπνώδη, προϊόντος δὲ τοῦ χρόνου, καὶ φλογώδη, μέχρι περ ἀκριβῶς κρατήσῃ τῆς ὕλης, καθαρὰν ἐργάζηται τὴν φλόγα. τῆς γὰρ τοιαύτης φλογός, οὐ καπνός ἐστι τὸ ἀπορρέον, ἀλλ᾽ αἰθάλη τε καὶ λιγνύς ἐστιν, ἄμφω γὰρ ὀνομάζεται τὸ κατοπτηθὲν τῆς ὕλης ἀνωφερὲς περίττωμα, καθάπερ γε τὸ κατωφερές, τέφρα τε καὶ σποδὸς καλεῖται. ἀνάλογον δή μοι νόει κἀπὶ τῶν πυρετῶν, ὅταν ἐν ἀρχῇ παροξυσμοῦ πλῆθος ὕλης ψυχρᾶς ἐπὶ τὴν καρδίαν ἀφίκηται, τὸν μὲν πρῶτον κίνδυνον γίνεσθαι θανάτου, καὶ προδηλώσει τὸν κίνδυνον τοῦτον ἡ ἐπὶ πλεῖστον εἰς ἀραιότητά τε, καὶ βραδύτητα, καὶ μικρότητα τροπὴ τῶν σφυγμῶν. ἂν γὰρ ἐπιγένηται τούτοις ἀμυδρότης ἀξιόλογος, αὐτίκα τεθνήξονται. μὴ γινομένης μέντοι τῆς ἀμυδρότητος, ἀναμάχεται τὴν ἧτταν ταύτην ἡ φύσις, ἐπεγείρει τε τὴν κίνησιν τῶν ἀρτηριῶν ἐπὶ τὸ μεῖζόν τε, καὶ θᾶττον, καὶ πυκνότερον, ὥστε τὰς κινήσεις ἀμφοτέρας μὲν γίνεσθαι θάττονας, ἀλλ᾽ ἐπιφανέστερον τὴν τῆς συστολῆς, καὶ προσαυξάνεσθαί γε διὰ ταχέων αὐτὴν αἰσθητῶς, ἄχρις ἂν ὁ παροξυσμὸς αὐξάνηται, τῷ χρόνῳ δ᾽ ὅταν ἐγκρατὲς τῆς ὕλης γίνηται τὸ θερμόν, ἡ οἷον φλὸξ ἀνάπτεται. καὶ τοῦτ᾽ ἔστιν ἡ ἀκμὴ τῶν παροξυσμῶν, τὸ μὲν αἰθαλῶδες περίττωμα διά τε τῆς ἐκπνοῆς, καὶ τῆς τῶν ἀρτηριῶν συστολῆς ἀποχεούσης τῆς φύσεως, τὸ δ᾽ οἷον τεφρῶδες διὰ πάχος μὲν οὐ δυναμένης ἐκκρίνειν ὁμοίως, αἰσθητοῖς δέ τισιν ἐξοχετευούσης πόροις. ἔστι δὲ τοῦτο κατὰ μὲν τὰ φλεγμαίνοντα μόρια τὸ πύον. ἐν δὲ τοῖς ἀγγείοις αὐτοῖς, ὅπερ ἐν τοῖς οὔροις ὑφίσταται. περὶ μὲν δὴ τούτων ἐν τῇ περὶ τῶν πυρετῶν πραγματείᾳ, ἐπὶ πλεῖστον εἴρηται· τοὺς σφυγμοὺς δ᾽, ὡς ἔφαμεν ἀναγκαῖόν ἐστι τὰς εἰρημένας τροπὰς, ἐν ἑκάστῳ τε καιρῷ τοῦ σύμπαντος ἔχειν παροξυσμοῦ. καὶ δὴ καὶ κατὰ τὴν ἀρχὴν, ὡς ἐλέγομεν, οὐ κακῶς ἀποφήνασθαί τινας ἅπασαν μεταβολὴν αὐτῶν ἐφ᾽ ἑκάτερα. πρὸς δὲ τὸ φυλάττειν ἀκριβῶς τὰς εἰρημένας διαγνώσεις, ἀσκητέον ἐστὶ διακρίνειν ἁπάσας τὰς ἀπὸ τῶν ἄλλων προφάσεων ἀλλοιώσεις τῶν σφυγμῶν, εἰς ἃς, καίτοι φυλαττόμενος ὁ Ἀρχιγένης ἐμπίπτει πολλάκις, ὥστε μακρολογεῖν τε ἅμα, καὶ ταράττειν τὴν διδασκαλίαν τοῖς ἰδίοις, καὶ ἀχωρίστοις ἑκάστου τῶν καιρῶν γνωρίσμασι τὰ συνακολουθοῦντα, πολλάκις ὁμοτίμως γράφων, καίτοι γ᾽ ἐν ἐλαχίστῳ κεῖται μεθόδῳ ληφθέντα. τὴν μὲν γὰρ καθαρὰν θερμότητα, ἡ τῆς διαστολῆς ἡ κίνησις ἐνδείκνυται. τὴν δὲ οἷον καπνώδη ἡ τῆς συστολῆς. αἱ δ᾽ ἄλλαι τῶν σφυγμῶν ἀλλοιώσεις, ἤτοι διὰ τὴν τῆς δυνάμεως, ἢ τὴν τῶν ὀργάνων γίνονται μεταβολήν. ἑκάτερον δὲ τούτων ἐπί τισιν ἑτέροις αἰτίοις προηγουμένοις, ὧν τὰ πλεῖστα πάλιν ἐφ᾽ ἑτέροις προκατάρξασιν. ὀνομαζέσθω γὰρ ἕνεκα σαφοῦς διδασκαλίας, ὅσα μὲν ἐκ τοῦ σώματος ὁρμᾶται τῶν ἀλλοιούντων αἰτίων, ἤτοι τὴν δύναμιν, ἢ τὰ ὄργανα προηγούμενα. τούτων δ᾽ αὐτῶν ἐστιν, ἃ πάλιν ἔξωθεν ὄντα τοῦ σώματος, αἴτια τῆς ἀλλοιώσεως ἐγένετο προκατάρχοντα. λέλεκται δ᾽ ἡμῖν ἡ περὶ ταῦτα μέθοδος ἅπασα, δι᾽ ἑτέρας πραγματείας, ἣν περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων ἐπιγράφομεν. οὐδὲν οὖν θαυμαστόν ἐστιν, εἴ ταῦτά τις ἅπαντα μνήμῃ πρόχειρα ποιησάμενος, ἀσκήσας τε διαγινώσκειν ἑτοίμως ἅπαντας τοὺς σφυγμοὺς ἐπιστημονικῶς, ἐνίοτε τὰ προγεγονότα τῶν αἰτίων ἐπὶ τῶν καμνόντων ἐξευρήσει. ἀλλὰ μὲν οὖν ὁ λόγος ἐνταυθοῖ τελευτάτω.

restiterit, paulò post succendere totam materiam incipiet, calorémque generabit, primò fumosum, tandem etiam flammeum, dum prorsus deuicta materia puram excitet flammam. Nam ab ea flamma, quod defluit, non fumus, sed fuligo & fumosum ignis excrementum est; vtrunque enim materiæ adustum excrementum, quod in sublime fertur, significat; quod verò decidit, cinis & fauilla. Ita finge in febribus, vbi aceruus materiæ humidæ initio accessionis ad cor peruenerit, primum mortis periculum esse; quod periculum maxima mutatio pulsuum in raritatem, tarditatem, paruitatemque prænunciet. Nam si his insignis remissio successerit, extemplò peribunt; sin autem absit remissio, contendit natura hanc superare, atque arteriarum motum maiorem, celeriorem, crebrioremque excitat, vt vterque motus celerior quidem fiat, sed clarior contractionis, increscatq; e hic breui manifestè, dum augescat accessio; tandem vbi materiam superauerit, calor quasi flamma incenditur. Atque hic est vigor accessionum, vbi fuliginosum excrementum expiratione, & contractione arteriarum natura expellit; quod verò est veluti cineritium, non perinde, quia crassum est, potest excernere, sed per insignes quosdam meatus educit; hoc in partibus inflammatis pus est, in ipsis vasis sedimentum vrinæ. At de his in commentariis De differentiis febrium latiùs diximus. Pulsus autem illas mutationes singulis temporibus accessionis, necesse est, habeant. Iam etiam in initio, vt diximus, non malè quidam mutationem eorum in vtranque partem statuerunt. Sed ad vniuersam illorum signorum certitudinem, danda opera est, vt scias discernere pulsuum omnes alterationes ex aliis ca fis; in quas, quanquam vitet, frequenter incurrit Archigenes. Itaque in loquacitatem, & institutionis confusionem incidit, quum propriis, & perpetuis singulorum temporum signis commisceat ea, quæ frequenter consequuntur; quamuis in minimo sita sint, si methodo percipiantur; nam purum calorem motus distentionis declarat, atque eum, qui est veluti fumosus, contractionis. Cæteræ pulsuum alterationes, aut ob facultatis, aut ob instrumentorum fiunt mutationem; harum autem vtraque ex causis quibusdam antecedentibus, quæ ferè alias etiam externas comitantur. Ac quò fit sermo clarior, appellabimus, quæ ex corpore procedunt, causas, vnde, vel facultas, vel instrumenta alterantur, antecedentes, harum ipsarum, quæ positæ extra corpus induxerunt alterationem, causæ sunt externæ. Harum nos methodum omnem in aliis commentariis, quos inscribimus de causis pulsuum, exposuimus. Itaque nihil miri est, si expedita hæc quis memoria complexus, meditatusque, via scientiam pariente ad promptè dignoscendos quosuis pulsus, causas interim, quæ præcesserunt in ægrotis, inueniat. Atque hîc quidem finem sermonis faciamus.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Ἡ τῶν σφυγμῶν τροπὴ ἐκ τῆς καθ᾽ ὑγρότητά τε, καὶ ξηρότητα τῆς καρδίας τε καὶ ἀρτηριῶν, δυσκρασίας.

Περὶ δὲ τῆς καθ᾽ ὑγρότητά τε, καὶ ξηρότητα δυσκρασίας, αὐτῆς τε τῆς καρδίας, καὶ προσέτι τῶν ἀρτηριῶν, ἑκάστης τε

CAPVT VIII.

Pulsuum mutatio ex intemperie siccitatis, & humiditatis cordis & arteriarum.

DE intemperie humida, & sicca, quæ cor teneat, ipsasque etiam arterias, & singulas separatim,

separatim, & omnes in communi, deinceps agam; de quibus etsi ante ego nonnihil attigi, tamen orationis seriem, quæ tractari hîc separa im postulat, ac si dixissemus nihil, ita absoluemus. Nam cor quandoque, si siccius euaserit, quam naturalis status fert, vnà omnes secum arterias alterabit; quandoque verò in vna hoc parte animalis arteriis, vel in pluribus accidet; est, quum sint contra quidem, ac cor, affectæ, quod ad se ipsas pertinet, arteriæ, sed tamen etiam recipiant eius affectionem, vt confletur illis medius quidam affectus in humiditate, & siccitate; sicut ante in caloris, & frigiditatis intemperie explicauimus. Causæ sunt antecedentes, quæ arterias indurent, aqua sulfurea, & aluminosa, & (ne multis) quæcunque vim habent exiccandi, non aquæ modò, sed & medicamenta, diu parti cuipiam corporis applicata, cuiuscunque arterias hæc intemperies tenuerit, ipsum pulsum reddit duriorem. Maximè verò in plerisque atrophiis, quum arteriæ partium nutritione defectarum fiunt duriores, tum pulsum creant duriorem. In ipso vero corde intemperiem creat victus, si diutius sicco vtaris; præterea medicamentorum exiccantium esus, & potio, in quibus est vinum merum, defectus cibi, vel alia quapiam de causa, vel ob famem publicam; interim etiam ob potum, vt in longis nauigationibus; ad hæc immodicus labor, senium, solicitudo, tristitia, diutinæ vigiliæ, febris hectica, præ cæteris marcida. Hæc igitur, quæ memorauimus omnia, nunc singula, nunc bina, nunc terna, nunc plura coniuncta, cor siccius efficiunt, tantoque quàm par est, duriorem pulsum, quanto sit siccitas maior. Causæ humidæ intemperiei sunt œdemata, quæ partes diutius tenuerunt, hydrops leucophlegmatia, qui item cor alterat; denique omnia principum viscerum œdemata, quum arterias humectant, & cor, tum pulsus efficiunt molles. Pulsuum causæ mollitiei mediocris, nec insignis hæ sunt; ciborum copia humidiorum, multum ocium, somnus longus, balneæ à cibo. Durorum pulsuum ante demonstrauimus esse paruitatem, mollium magnitudinem, iam etiam has consequi celeritatem, & tarditatem, ad hæc crebritatem, & raritatem. Declarauimus præterea aliarum causarum coniugationes; causas nunc dico primas, & quasi continentes generationis pulsuum, vsum, & facultatem. Itaque accidentium cordis ex intemperie nihil iam reliquum est. At non tamen tumores in illo excitantur, qui pulsus alterent in duritiem, quemadmodum in cæteris visceribus inflammationes, & scirrhi, priùs enim pereat homo syncope correptus in illorum tumorum ortu. Omnia igitur, quæ cordi accidunt, quæ pulsus mutent, retuli; quamobrem hic finire hunc librum tempestiuum visum est mihi; ac progresso ad quartum, omnium aliarum corporis partium exponere affectus, quicunque intemperiem, & tumorem præter naturam comitantur, ac qui pulsus singulos consequitur.

A κατὰ μόνας, ἁπασῶν τε κοινῶς, ἐφεξῆς δίειμι. εἴρηται μὲν οὖν τινα καὶ περὶ τούτων ἔμπροσθεν, ἀλλ' ἡ τοῦ λόγου τάξις ἰδίαν αὐτῶν ἀπαιτοῦσα διδασκαλίαν, ὡς οὐδενὸς εἰρημένου περαιωθήσεται. ποτὲ μὲν οὖν ἡ καρδία ξηροτέρα γινομένη τοῦ κατὰ φύσιν, ἁπάσας ἑαυτῇ συναλλοιώσει τὰς ἀρτηρίας, ἐνίοτε δὲ καθ' ἕν τι τοῦ ζώου μόριον, ἢ καὶ πλείω συμβήσεται τοῦτο ταῖς ἀρτηρίαις. ἔστι δὲ ὅτε τὴν ἐναντίαν μὲν ἔχουσι διάθεσιν, ὅσον ἐφ' ἑαυταῖς αἱ ἀρτηρίαι τῇ καρδίᾳ, δέχονται δὲ καὶ τὴν παρ' ἐκείνης, ὥστε συστῆναι μέσην τινὰ διάθεσιν αὐταῖς ἐν ὑγρότητί τε καὶ ξηρότητι, ὥσπερ ἔμπροσθεν ἐπὶ τῆς κατὰ θερμότητα, καὶ ψυχρότητα δυσκρασίας ἐλέγομεν,

B αἴτια δὲ προηγούμενα τὰ μὲν τὰς ἀρτηρίας ἀποφαίνοντα ξηροτέρας, ὕδατα θειώδη, καὶ στυπτηριώδη, καὶ ἁπλῶς εἰπεῖν, ὅσα ξηραίνειν πέφυκεν, οὐχ ὕδατα μόνον, ἀλλὰ καὶ φάρμακα πολυχρονίως ὁμιλήσαντα μορίῳ τινὶ τοῦ σώματος, ἐν ᾧ περ ἂν ἡ τοιαύτη δυσκρασία κατὰ τὰς ἀρτηρίας γινομένη, τὸν σφυγμὸν αὐτὸν ἐργάσεται σκληρότερον. οὐχ ἥκιστα δὲ κἂν ταῖς πλείσταις τῶν ἀτροφιῶν, αἵ τ' ἀρτηρίαι τῶν ἀτροφούντων μορίων γίνονται ξηρότεραι, καὶ τὸν σφυγμὸν ἀποφαίνουσι σκληρότερον. ἐν αὐτῇ δὲ τῇ καρδίᾳ, τὴν κατὰ ξηρότητα δυσκρασίαν ἀποτελεῖ. καὶ ἡ δίαιτα μὲν, εἰ πολυχρόνιος ἐπὶ τὸ ξηρότερον ἀχθείη. καὶ μέντοι καὶ τῶν

C φαρμάκων τῶν ξηραινόντων ἐδωδαί τε, καὶ πόσεις, ἐν οἷς ἐστι, καὶ ὁ ἄκρατος οἶνος, ἔνδειά τε τροφῆς, ἢ κατὰ ἄλλην τινὰ αἰτίαν, ἢ διὰ πάνδημον λιμὸν, ἐνίοτε δὲ καὶ ποτὸν, ὡς ἐν ἀπλοίαις μακραῖς. ἔτι δὲ πόνων ἀμετρία, καὶ γῆρας, καὶ φροντὶς, καὶ λύπη, καὶ ἀγρυπνία πολυχρόνιος, οἵ θ' ἑκτικοὶ πυρετοὶ, καὶ μάλιστα ὁ μαρασμώδης. ταῦτ' οὖν πάντα τὰ εἰρημένα, καὶ κατὰ μόνας γινόμενα, καὶ συνδύο, καὶ τρία, καὶ πλείονα συνιόντα, ξηροτέραν μὲν ἐργάζεται τὴν καρδίαν, σκληρότερον δὲ τοῦ κατὰ φύσιν, εἰς τοσοῦτον τὸν σφυγμὸν, εἰς ὅσον ἂν ἡ ξηρότης αὐξηθῇ. ὑγρᾶς δὲ δυσκρασίας αἴτια, τά τε τοῖς μορίοις ἐγγινόμενα πολυχρόνια τῶν οἰδημάτων, καὶ οἱ λευκοφλεγματίαι τῶν ὑδέρων, οἳ καὶ τὴν καρδίαν ἀλλοιοῦσι, καὶ

D μέντοι καὶ τὰ τῶν κυρίων σπλάγχνων οἰδήματα, πάντα ταῦτα τὰς μὲν ἀρτηρίας ὑγρὰς, ὥσπερ καὶ τὴν καρδίαν, τοὺς σφυγμοὺς δὲ, ἐργάζεται μαλακούς. αἴτια δὲ μαλακότητος σφυγμῶν ἐστι, μετρίας τε, καὶ οὐχ ἱκανῶς ἐκδήλου, καὶ τὰ τοιαῦτα, ἐδωδαὶ πλείους ὑγραινόντων ἐδεσμάτων, ἀργία τε πολλὴ, καὶ ὕπνοι μακροὶ, καὶ τὰ μετὰ τροφὴν λουτρά. τοῖς μὲν οὖν σκληροῖς σφυγμοῖς, ἐδείκνυτο πρόσθεν ἑπομένη ἡ μικρότης, ὥσπερ τοῖς μαλακοῖς τὸ μέγεθος. αὖθις δὲ τούτοις πάλιν ἑπόμενα, τάχος τε καὶ βραδύτης, ἔτι τε πυκνότης καὶ ἀραιότης. ἐδείχθησαν δὲ καὶ τῶν

E ἄλλων αἰτίων αἱ συζυγίαι. λέγω δὴ αἴτια νῦν, τά τε πρῶτά τε, καὶ οἷον συνεκτικὰ τῆς τῶν σφυγμῶν γενέσεως, τήν χρείαν τε, καὶ τὴν δύναμιν. ὥστε οὐδὲν ἔτι λείπει τῶν τῇ καρδίᾳ συμβαινόντων ἐπὶ δυσκρασίᾳ. οὐ μὴν οὐδ' ὄγκοι τινὲς ἐν αὐτοῖς γίνονται, τοὺς σφυγμοὺς ἀλλοιοῦντες εἰς σκληρότητα, καθάπερ ἐφ' ἑτέρων σπλάγχνων αἱ φλεγμοναί τε, καὶ οἱ σκίρροι. φθάνει γὰρ ἀπολέσθαι τὸ ζῶον, συγκοπὲν ἐπὶ τῇ τῶν τοιούτων ὄγκων γενέσει. πάντ' οὖν εἴρηται τὰ κατὰ τὴν καρδίαν, ὅσα τοὺς σφυγμοὺς ἀλλοιοῖ. ὥστε κἀμοὶ καιρὸς ἥκει, καταπαύειν μὲν ἤδη τὸν ἐνεστῶτα λόγον, ἐνταῦθα. μεταβάντι δὴ ἐπὶ τὸν τέταρτον, ἁπάντων τῶν ἄλλων μο-

F ρίων τῶν τοῦ σώματος ἐξηγήσασθαι τὰς διαθέσεις, ὅσαι τε κατὰ δυσκρασίαν τινὰ γίνονται, καὶ ὅσαι δι' ὄγκους παρὰ φύσιν, ὁποῖός τέ τις ἑκάστῃ σφυγμὸς ἕπεται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΣΦΥΓΜΩΝ ΛΟΓΟΣ Δ'.

GALENI DE PRAESAGITIONE EX PVLSIBVS LIBER QVARTVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩΙ Δ' ΒΙΒΛΙΩΙ.

Διέρχεται τὴν διὰ τῶν σφυγμῶν πρόγνωσιν κατὰ τὰς ἐν τοῖς ὑπολοίποις μορίοις τοῦ σώματος διαθέσεις, αἷς ἡ καρδία συμπάσχει.

ARGVMENTVM LIBRI QVARTI.

Explicatur præsagitio ex pulsibus, qui reliquis affectis corporis partibus, tracto in consensum corde, oriuntur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τῷδε τῷ βιβλίῳ λεκτέον, καὶ περὶ τοῦ τὸ κοινὸν ἐπίστασθαι ἐν τῷ τὴν καρδίαν τε, καὶ τὰς ἀρτηρίας ἀλλοιοῦσθαι.

ΤΕΤΑΡΤΟΣ ἡμῖν οὗτος ὁ λόγος ἐστὶ τῆς διὰ σφυγμῶν προγνώσεως. ἐν μὲν τοῖς προτέροις δύο καθ' ἕκαστον σφυγμὸν προβληθέντα, τὰς γεννώσας αὐτὸν ἐπεσκεψάμεθα διαθέσεις, ἐν δὲ τῷ τρίτῳ καθ' ἑκάστην διάθεσιν τοὺς οἰκείους σφυγμοὺς ἐξηύρομεν. ἠρξάμεθα δ' ἀπὸ τῶν τῇ καρδίᾳ συμβαινόντων, ἐν οἷς εἰσι καὶ πυρετοὶ πάντες, ὡς ἐν τοῖς περὶ αὐτῶν ἐπιδέδεικται λόγοις. ὅσον οὖν ὑπόλοιπον ἔτι τὰς ἐν τοῖς ἄλλοις ἅπασι μορίοις τοῦ ζώου διαθέσεις, αἷς ἡ καρδία συμπάσχουσα τοὺς σφυγμοὺς ἀλλοιοῖ, διέλθωμεν ἁπάσας ἑξῆς, ὥσπερ καὶ τἆλλα πρόσθεν εἰς μέθοδον ἄγοντες. ἓν μὲν δὴ τοῦτο μόνον ἁπασῶν αὐτῶν κοινὸν ἐπίστασθαι χρή, ὃ μηδέποτε δύνασθαι τοὺς ἐν ὅλῳ τῷ ζώῳ σφυγμοὺς εἰς κοινὴν ἀλλοίωσιν ἀχθῆναι, πρὶν τὴν καρδίαν συμπαθεῖν τῷ προτέρῳ πεπονθότι μορίῳ, κατὰ μέρη δέ τινα τοῦ σώματος, ἀλλοιωθῆναί τινας ἀρτηριῶν κινήσεις δύνασθαι, καὶ χωρὶς τοῦ πρὸς τὴν καρδίαν ἐξικέσθαι τὴν βλάβην. ἐπὶ δὲ τούτῳ μνημονευομένῳ, πρώτας μὲν ἐπέλθωμεν, ὅσαι τοῖς ἀναπνευστικοῖς ὀργάνοις ἐγγίνονται διαθέσεις, εἶθ' ἑξῆς, ὅσαι τοῖς θρεπτικοῖς ὀνομαζομένοις, εἶτ' αὖθις, ὅσαι τοῖς κατὰ κεφαλήν. καὶ τελευταίας, ὅσαι τοῖς κατὰ κῶλα, καὶ τὰ προφανῆ τοῦ ζώου μέρη. κἄπειθ' ὅσαι τοῖς γεννητικοῖς.

CAPVT PRIMVM.

Quid tractandum hoc libro, ac de communi præcepto animaduertendo in cordis, & arteriarum alteratione.

QVARTVS hic liber nobis est de præsagitione ex pulsibus. In primis duobus singulorum pulsuum positorum expendimus authores affectus. In tertio singulorum affectuum proprios pulsus inuestigauimus; cœpimus autem ab iis, quæ cordi accidunt, in quibus sunt omnes febres, vt in libris, quos de iis scripsimus, probauimus. Quod reliquum est adhuc, aliarum omnium partium affectus, quibus cor consentiens commutat pulsus, omnes ordine explicemus, contrahamusque in methodum eos, quomodo ante fecimus alios. Atque hoc primum de omnibus in communi est sciendum, totius corporis pulsus priùs, quàm consentiat cor parti priùs affectæ, in omnem alterationem fieri non posse vt trahantur; in parte aliqua, licet offensionem cor non sentiat, arteriarum motus variare posse. Postea quàm iam huius admonuimus, primo loco instrumentorum respirationi seruientium affectus exponamus, deinde nutritiorum, mox capitis, postea artuum, & propatularum animantis partium, postremò genitalium.

CAP.

CAPVT II.

Pulsus, quos creant pulmonis affectus.

AC partes animalis respirationi seruientes duæ duntaxat sunt, pulmo, & thorax; nutritionis multo plura, quàm duo instrumenta, iecur, ventriculus, intestina, lien, renes, vtraque vesica. Celerrimam cordi, & omnium maximam noxam dat pulmo; sedem enim habet omnium ei coniunctissimam, eique vasis quàm maximè affinis est, & confluxum habet per maxima ostia in vtrunque sinum. Quamobrem si quando euaserit solito calidior, continuò & cor calefacit, si frigidior sit, nec hoc prorogatur; humiditatis, autem & siccitatis intemperiem non perinde, ac illas, sed citius etiam has tamen, quàm cætera instrumenta, cordi impertit. Tum plethorici in ipso morbi, maximè quum erysipelas, vel inflammatio inuaserit viscus, cordis statim functiones alterant. Et affectus quoque, quos in ipso committit fluxio pituitosa, in consensionem secum cor trahunt. Sed ab intemperie initium exordiendum est, quæ absit à fluxione; ac primùm in manibus sumam eam, quæ ob calorem fit. Ergo si à pulmone excalefacto cor paruum calorem contraxerit, pulsus efficit, qui comites esse vsus pulsuum amplificati solent; qui affectus si diuturnior sit, in periculum vocabitur illud, ne in febrem hecticam incidat, cuius nos ante indicia declarauimus, atque perinde pulsus alterabuntur, siue solùm per se cor intemperatum sit, siue consentiat pulmoni. Iam etiam respirationis forma in eodem erit statu, siue febrili intemperie cor solum affectum sit, siue pulmoni consentiat. Maiorem tamen in toto sinu thoracis æstum percipiet, qui ex pulmone laborat, atque calidum planè expirabit, sitietque etiam altero magis, & calidioribus erit faucibus, atque lingua, eaque ferè sicciore; quòd si malum ingrauescat, inficietur lingua atro colore, quam omnino asperam habebit. At si pulmo sit refrigeratus, cor, quod ei consentit, pulsus primo in eam adducet alterationem, quam ante consequi ostendimus vsum, qui exoluitur, temporis longitudine, quum frigiditatem hecticam contraxit, pulsus excitabit, quos huic, si polleat, attribuimus. Ac nimirum cætera conueniunt his, quibus solum cor est refrigeratum, cum illis, quibus pulmo; alterum enim necessariò alteri consentit; quibus verò refrigeratus est primus pulmo, hoc habent extra ordinem, vt sentiant frigidam respirationem. Iam si siccitate intemperatus pulmo fuerit, à primo pulsus penè nihil alterabit, tandem consentiente illi corde, duriores efficiet. His fauces, tametsi nihil sitiant, promptè arescunt. Humida intemperies vuidas reddit fauces, sitim extinguit, & tempore ad mollitiem pulsus traducit. Hæ sunt pulmonis simplices intemperies: ex his cognosce compositas, nam ad aliud propero genus, quod ex fluxione dixi oriri. Communem habet hoc omnium inæqualitatem pulsuum; obstruuntur enim facilè, & constringuntur,

ΚΕΦΑΛΑΙΟΝ Β'.

Οὕστινας σφυγμοὺς ἀπεργάζεται τὰ τοῦ πνεύμονος νοσήματα.

ΤΑ μὲν οὖν ἀναπνευστικὰ μόρια τοῦ ζώου, δύο ἐστὶ μόνα, πνεύμων, καὶ θώραξ. τὰ δὲ τῆς τροφῆς ὄργανα πολὺ πλείω δυοῖν, ἧπαρ, καὶ γαστὴρ, ἔντερά τε, καὶ σπλὴν, οἱ νεφροὶ, καὶ αἱ κύστεις ἀμφότεραι, ταχίστην θ' ἅμα, καὶ μεγίστην ἁπάντων ἐπιφέρει τῇ καρδίᾳ τὴν βλάβην ὁ πνεύμων. καὶ γὰρ τῇ θέσει πάντων ἔγγιστα, καὶ τοῖς ἀγγείοις αὐτῇ συγγενέστατος ὑπάρχει, καὶ σύρροιας μεγίστοις στόμασιν εἰς ἀμφοτέρας τὰς κοιλίας ἐστίν. εἰ γοῦν ἑαυτοῦ γένοιτό ποτε θερμότερος, αὐτίκα καὶ τὴν καρδίαν θερμαίνει. κἂν ᾖ ψυχρότερος, οὐδὲ τοῦτ' ἀναβάλλεται. τάς τε καθ' ὑγρότητά τε, καὶ ξηρότητα δυσκρασίας, οὐχ ὁμοίως μὲν ταῖς εἰρημέναις, θᾶττον δ' οὖν καὶ ταύτας ἁπάντων τῶν ἄλλων ὀργάνων ἐπιπέμπει τῇ καρδίᾳ. καὶ τὰ πληθωρικὰ δ' ἐν αὐτῷ νοσήματα, καὶ μάλιστα ὅταν ἐρυσίπελας, ἢ φλεγμονὴ καταλάβῃ τὸ σπλάγχνον, αὐτίκα τῆς καρδίας ἀλλοιοῖ τὰς ἐνεργείας. ὡσαύτως δὲ, καὶ ὅσα διὰ φλεγματικὸν ῥεῦμα συνίσταται παθήματα κατ' αὐτὸν, εἰς συμπάθειαν ἐπισπᾶται τὴν καρδίαν. ἀλλ' ἀπὸ τῶν δυσκρασιῶν ἀρκτέον, ὅσαι ἄνευ ῥεύματος γίνονται. καὶ πρώτην γ' ἐξ αὐτῶν προχειριστέον ἐστὶ, τὴν κατὰ θερμότητα. τῷ τοίνυν πνεύμονι θερμανθέντι, νοσωδῶς ἡ καρδία συνθερμανθεῖσα, τοὺς ἐπὶ τῇ χρείᾳ τῶν σφυγμῶν αὐξηθείσῃ γιγνομένους ἐργάζεται σφυγμούς. εἰ δ' ἐν πλείονι χρόνῳ τοῦτο συμβαίνει, κίνδυνος αὐτῇ τὸν ἑκτικὸν ἀναδέξασθαι πυρετὸν, οὗ τὰ γνωρίσματα πρόσθεν εἴρηται. ἡ μὲν δὴ τῶν σφυγμῶν ἀλλοίωσις, ἡ αὐτὴ γενήσεται τῆς καρδίας μόνης, αὐτῆς καθ' ἑαυτὴν δυσκράτως ἐχούσης, ἐπί τε τῇ πρὸς τὸν πνεύμονα συμπαθείᾳ. καὶ μέντοι καὶ ἡ τῆς ἀναπνοῆς ἰδέα τὴν αὐτὴν ἕξει κατάστασιν, εἴθ' ἡ καρδία μόνη τὴν πυρετώδη πάθοι δυσκρασίαν, εἴτε τῷ πνεύμονι συμπάθοι. πλέονος δ' αἰσθήσεται καύματος ἐν ἅπαντι τῷ κύτει τοῦ θώρακος, ὁ διὰ τὸν πνεύμονα πάσχων, ἐκπνεύσει τε θερμὸν ἱκανῶς, ὡς καὶ διψήσει θατέρου μᾶλλον, καὶ θερμοτέραν ἕξει τήν τε φάρυγγα, καὶ τὴν γλῶτταν, ὡς τὰ πολλὰ δὲ, καὶ ξηροτέραν. εἰ δ' ἐπὶ πλέον ἥκοι τὸ κακὸν, χρωσθήσεται χρώματι μέλανι τὴν γλῶτταν, καὶ τραχεῖαν ἐσχάτως ἕξει. ψυχθέντος δὲ τοῦ πνεύμονος, ἡ καρδία συμπάσχουσα κατ' ἀρχὰς μὲν εἰς ἐκείνην ἄξει τοὺς σφυγμοὺς τὴν ἀλλοίωσιν, ἣν ἔμπροσθεν ἐδείξαμεν, ἐκλυομένης τῆς χρείας συνίστασθαι, προϊόντος δὲ τοῦ χρόνου ψῦξιν ἑκτικὴν ἀναδεξαμένη, τοὺς ἐπὶ ταύτῃ κρατούσῃ λελεγμένους γίγνεσθαι σφυγμοὺς ἀπεργάσεται. τὰ μὲν οὖν ἄλλα κοινὰ τοῖς τε τὴν καρδίαν μόνην ἐψυγμένοις ἐστὶ, καὶ τοῖς τὸν πνεύμονα, συμπάσχει γὰρ ἐξ ἀνάγκης τὸ ἕτερον τῷ ἑτέρῳ. πρόσεστι δ' ἐξαίρετον, οἷς ὁ πνεύμων ἔψυκται πρῶτος αἴσθησις ψυχρᾶς τῆς ἀναπνοῆς. εἰ δὲ καὶ κατὰ ξηρότητα δύσκρατος ὁ πνεύμων γένοιτο, κατ' ἀρχὰς μὲν οὐδέν τι σαφὲς ἀλλοιώσει τοὺς σφυγμοὺς, ἐν τῷ χρόνῳ δ' αὖ ποτε σκληροτέρους ἐργάσεται, τῆς καρδίας συμπαθούσης αὐτῷ. τούτοις ἡ φάρυγξ ἑτοίμως ξηραίνεται, καίτοι γ' οὐ διψῶσιν. ἡ δὲ καθ' ὑγρότητα δυσκρασία, πλαδαρὰν μὲν καὶ ἄδιψον ἐργάζεται τὴν φάρυγγα, τῷ χρόνῳ δ' ἀλλοιοῖ τοὺς σφυγμοὺς εἰς μαλακότητα. τοιαῦται μὲν αἱ ἁπλαῖ δυσκρασίαι τοῦ πνεύμονος. αἱ σύνθετοι δ' ἐκ τούτων γνωριζέσθωσαν. ἐμοὶ γὰρ ἤδη καιρὸς ἐπὶ θάτερον ἰέναι γένος, ὃ ῥευμάτων ἔγγονον ἔφην ὑπάρχειν. ἔστι δ' ἐν αὐτῷ κοινὸν μὲν ἁπάντων ἀνωμαλία τῶν σφυγμῶν, ἔμφραξίς τε γὰρ ἑτοίμως, καὶ σφήνωσις,

αὐτῇ

καὶ θλίψις τῶν κυριωτάτων ἀρτηριῶν, ἐπὶ τοῖς τοιούτοις γὰρ ῥεύμασιν. οὐχ ἧττον δὲ τούτων, καὶ τὸ πρὸς τὴν δύναμιν πλῆθος, ὡς ἂν ἐγγὺς οὕτω κειμένης τῆς καρδίας τῷ πνεύμονι, καὶ διὰ μεγάλων στομάτων ἐχούσης τὴν σύρροιαν. ἡ μὲν οὖν ἀνωμαλία κοινὴ πάντων ῥευμάτων, ὅσα κατασκήπτει τῷ πνεύμονι, τοῦ μᾶλλόν τε, καὶ ἧττον ἐν αὐτῇ, παρά τε τὴν σύστασιν, καὶ τὸ ποσὸν τοῦ χυμοῦ, γιγνομένου. ἐλάττων μὲν γὰρ ἐπί τε τοῖς λεπτοῖς, καὶ ὀλίγοις, ἀξιολογωτέρα δὲ ἐπί τε τοῖς παχέσι, καὶ γλίσχροις, καὶ πολλοῖς ἀποτελεῖται ῥεύμασι, καὶ γὰρ ἐμφράττει ταῦτα, καὶ θλίβει, καὶ βαρύνει μᾶλλον. αἱ δ᾽ εἰς τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἀλλοιώσεις, ἐπὶ μὲν τοῖς θερμοτέροις ῥεύμασιν, οἵας ἐπὶ πλήθει θερμασίας. ἐπὶ δὲ τοῖς ψυχροτέροις, οἵας ἐπ᾽ ἐνδείᾳ πρόσθεν ἔφαμεν συνίστασθαι. σκληρότεροι δὲ γίνονται τῶν κατὰ φύσιν, ἐπί τε ταῖς ξηραῖς δυσκρασίαις, καὶ τοῖς φλεγμονώδεσιν ὄγκοις ἢ σκιρρώδεσι τοῦ πνεύμονος. ὥσπερ γε καὶ μαλακώτεροι, διὰ τὰς οἰδηματώδεις διαθέσεις. οὐ μὴν οὐδὲ τὸ τῆς ἀναπνοῆς εἶδος ὅμοιον, ἐπί τε ταῖς δυσκρασίαις ἐστὶ, καὶ τοῖς ῥεύμασιν, αἱ μὲν γὰρ ψυχραὶ δυσκρασίαι, μικρὰν, καὶ βραδεῖαν, καὶ ἀραιὰν ἐργάζονται τὴν ἀναπνοὴν, ὥσπερ καὶ τοὺς σφυγμούς. τὰ μὲν δὴ ῥεύματα, τὰ ψυχρὰ τοὺς μὲν σφυγμοὺς ὁμοίως ἀλλοιοῖ, τὴν δ᾽ ἀναπνοὴν, οὔτε μικρὰν, οὔτε βραδεῖαν, οὔτ᾽ ἀραιὰν ἐργάζεται. διὰ γὰρ τὴν στενοχωρίαν, ὀλίγου πνεύματος ἐμπίπτοντος τῷ πνεύμονι, καὶ διὰ τοῦτο τῆς φύσεως ἐνδεῶς ἀπολαβούσης αὐτοῦ, συμβαίνει τὴν δευτέραν ἐνέργειαν αὐτίκα τε, καὶ ταχεῖαν ἅμα, καὶ μεγάλην ἀποτελεῖσθαι, καὶ μόναις ταύταις τῶν δυσπνοιῶν, ὡς κἀν τῇ περὶ αὐτῶν ἐδείχθη πραγματείᾳ, συμβέβηκεν ὑπεναντίως ἔχειν τῇ διαστολῇ τοῦ θώρακος τὸ ποσὸν τῆς εἰσπνοῆς. μέγιστον μὲν γὰρ ὁ θώραξ διαστέλλεται, πλεῖστον δ᾽ οὐκ εἰσπνεῖται, καθάπερ ὅτ᾽ ἄφρακτος ὁ πνεύμων ὑπῆρχεν. ἡ μὲν οὖν ἰδέα τῆς ἀναπνοῆς, ὁμοία τοῖς ῥεύμασιν ἅπασιν ὑπάρχει· τὸ πνίγεσθαι δ᾽ οὐχ ὁμοίως ἅπασιν, ἀλλὰ τοῖς θερμοῖς ἅπασι μᾶλλον ἕπεται, ἐπειδὴ πλείονος τῆς εἰσπνοῆς ἡ φύσις δεῖται τηνικαῦτα. διὰ δὲ τὰς δυσκρασίας μόνας, οὐδεὶς ἕπεται κίνδυνος πνίξεως. καὶ τοῖς σφυγμοῖς δ᾽ αὖθις, ἐγγίνεταί τις ἑτέρα διαφορὰ παρὰ τὰς ἔμπροσθεν εἰρημένας, ἐν τῷ τὸ ῥεῦμα, ποτὲ μὲν εἰς αὐτὰς μόνας ἐμπίπτειν τὰς τραχείας ἀρτηρίας, ποτὲ δ᾽ εἰς τὰς λείας τε, καὶ τὰς φλέβας, ἢ καὶ τὰς μεταξὺ χώρας αὐτῶν ἁπάσας μεταλαμβάνειν. ἐπὶ μὲν γὰρ ταῖς τραχείαις ἀρτηρίαις μόναις πληρωθείσαις, οὐδεμία κατὰ σκληρότητα γίνεται μεταβολὴ τοῖς σφυγμοῖς. ἐπὶ δὲ ταῖς λείαις, αἱ καθ᾽ ὅλον τὸ ζῷον ἀρτηρίαι τεινόμεναι, σκληρότερον ἐργάζονται τὸν σφυγμόν. τὰ δ᾽ οἰδήματα τοσοῦτον ἐνδεῖ τοῦ σκληρύνειν αὐτὸν, ὥς τε καὶ μαλακώτερον ἀποτελεῖν, διαβρέχοντα μὲν ἐν τῷ χρόνῳ τοὺς χιτῶνας τῶν ἀρτηριῶν, τάσιν δ᾽ οὐδεμίαν ἐργαζόμενα, καθάπερ ἐπὶ τῶν φλεγμονωδῶν τε, καὶ σκιρρωδῶν ὄγκων ἔχει. μὴ τοίνυν ὀνόματα ζήτει ἀκούειν ἔτι περιπνευμονιῶν, ἢ ἀσθμάτων, ἢ πνευμονωδῶν παθῶν, μεμαθηκὼς τὰς διαθέσεις τοῦ πνεύμονος. ὅτι γὰρ ἡ διὰ τῶν ὀνομάτων διδασκαλία, πρώτην μὲν ἔχει τὴν περὶ τὸ σημαινόμενον ἀμφισβήτησιν, δευτέραν δὲ τὴν τοῦ ἀριθμοῦ τῶν νοσημάτων ἔννοιαν, ἐν πολλαῖς πολλάκις ἐπιδέδεικται πραγματείαις.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Οἵους σφυγμοὺς ἀπεργάζεται τὰ τοῦ θώρακος νοσήματα.

Ἀλλ᾽ ἐπὶ τὰ τοῦ θώρακος ἰέναι καιρὸς ἤδη νοσήματα, κατὰ τὴν αὐτὴν μέθοδον. αἱ μὲν δὴ δυσκρασίαι, τὰς αὐτὰς

atque comprimuntur per eas fluxiones principes arteriæ ; nec minùs ob eam humorum copiam , quæ ad facultatem refertur, quòd scilicet tam coniunctum pulmoni cor sit , & confluxum habeat per magna ostia. Ac inæqualitas quidem communis est omnium fluxionum , quæ impingunt in pulmonem , eaque nunc maior , nunc minor est pro crassitie humoris , & abundantia : minor ex subtilibus , & paucis ; insignior , ex crassis , & viscidis , copiosisque fluxionibus efficitur , quòd hæ obstruant comprimantque, ac grauent magis. At alterationes pulsuum in cæteras differentias , ex calidioribus fluxionibus , quales à copioso calore ; ex frigidioribus , quales excitari ante à defectu docuimus ; Duriores , quàm oportuit , fiunt per siccam intemperiem , & inflammatorios, atque scirrhosos pulmonis tumores ; contra molliores ob œdematosas affectiones. Iam nec respirationis vnum genus est per intemperiem , & fluxiones. Frigida intemperies paruam , tardam , raramque respirationem creat , non aliter , atque pulsus ; at fluxiones frigidæ pulsus similiter mutant , respirationem , nec paruam , nec tardam , nec raram reddunt. Quia enim coarctatus pulmo est, paucus spiritus recipitur , qui quod naturæ non satis efficit , fit vt altera actio statim celeris efficiatur & magna. Quæ solæ dispnœæ habent (quod declarauimus in libris , quos de iis conscripsimus) vt thoracis distentioni quantitas attracti spiritus aduersetur , maximè enim thorax dilatatur , sed non attrahitur spiritus plurimum , vti quum apertus pulmo, nec obstructus esset. Genus igitur respirandi omnes fluxiones idem habent ; at non eadem omnibus suffocatio , sed calidiores comitatur potiùs , quandoquidem largiorem attrahi spiritum natura tum postulat , nam solam intemperiem nullum suffocationis periculum excipit. Ac ipsis etiam pulsibus præter superiores dictas , alia quædam inest differentia , ex eo quòd fluxio nunc in ipsas impingat solas asperas arterias nunc in læues , & venas ; vel inter eas occupet cunctas intercapedines. Si arteriæ tantùm asperæ sint oppletæ , nihil pulsus duritie variant ; sin læues , quia totius animantis arteriæ intenduntur , pulsum efficiunt duriorem. Oedemata , tantum abest , vt indurent eum , vt etiam molliant , diuturnitate arteriarum tunicas humectando , nec quicquam intendendo ; id quod in tumoribus inflammatoriis , & scirrhosis vsu venit. Quare noli iam nomina expectare peripneumoniarum , vel asthmatum , vel aliorum pulmonis morborum, quum affectus teneas pulmonis , nam institutionem per nomina primam habere significationis controuersiam , alteram , numeri morborum notitiam , multis sæpe locis declarauimus.

CAPVT III.

Pulsus , quos creat thorax affectus.

Sed ad thoracis morbos eadem via , & ratione progrediendum nobis est. Intemperies easdem

dem alterationes inducunt, ac paulò ante illæ pulmonis; tumores pro multitudine, & genere singulorum humorum, qui efficiant eos. Variant autem quòd citiùs cor, & magis pulmoni consentiat; minùs atque tardius thoraci. Alia prætereа erit varietas, quòd interdum affecta pars thoracis sit musculus, interdum succingens costas tunica; maior siquidem tensio est, vbi duræ partes, & spissæ intumescant; vnde etiam pleuritici semper duriorem pulsum, quàm peripneumonici habent. At æqualis est maxima ex parte pulsus in tumoribus, qui consistunt ad costas, non vt in pulmonis tumoribus, omnifariam inæqualis; neque enim magnis vasis, neque vicinitate propinqua cum corde coniunctus est thorax. De genere dispnœæ hoc loco nihil necesse habeo dicere, vt in pulmone oportebat distinguere; nam modò cor offenditur primùm, modò pulmo. Exposita est enim & facilis eius affecto thorace cognitio.

CAPVT IV.

Qui pulsus fiant affecto iecinore.

IEcinore affecto pulsus ex intemperie variant, vt superius docuimus. Si excitati sint tumores præter naturam, conueniunt ferè etiam in his, sed minùs ex inflammationibus indurescunt, quàm ex thoracis inflammationibus; & tanto quidem, quanto quàm ex pulmonis magis. Nunquam etiam ex thoracis, vel iecinoris tumore fit mollis pulsus, eo quòd nec innascitur his instrumentis œdema pituitosum. Compactior enim thorax est, quàm qui eam fluxionem admittat; iecur non compactius modò, sed & innata facultate alterat pituitam; at iecinori procliuius cor, etsi remotius, quàm thorax sit, vinculo cauæ venæ consentit.

CAPVT V.

Septo transuerso affecto, qui fiant pulsus.

COnsentit porrò & septo transuerso præ omnibus aliis thoracis partibus, quòd ex ipsa caua vena in hoc venæ inseruntur; tensionem verò nulla perinde alia pars infert arteriis, præcipuè si neruosa eius pars affecta sit. Ac si à solis excrementis in ipso existentibus, citra febres intendatur, dolor & dyspnœa à primo consequitur: posteà putrescentibus excrementis febricitant. Si ex fluxione, quæ incumbit in ipsum, omninò hæc sit vel flauæ bilis, vel calidi sanguinis, & tenuis, oportet; nam crassum sanguinem, & pituitam lentam propter densitatem nunquam recipiat. Hi delirabunt necessariò, pulsumque habebunt insigniter durum, itaque etiam paruum, quia verò ambo hæc, & calor est copiosus, proinde creberrimum quoque. Pulsus iam affecto septo transuerso citrà febrem, durus est, & paruus; non multò tamen crebrior, sed vel admodum parum, vel nulla ex parte, in eam incidit mutationem. At verò omnia, quæ magnis pleuritidibus accidunt, respondent symptomatibus partis neruosæ septi transuersi, tum quòd succingens costas tunica multis neruis prædita sit; tum quòd adhæreat septo transuerso, membranisque thoracem intersepientibus, per quas ad cor continuatur. Ac maximum sanè indicium exitialis pleuritidis est, si pulsus sit magnopere durus,

ἀλλοιώσεις ἐργάζονται τοῖς ὀλίγον ἔμπροσθεν ἐπὶ τοῦ πνεύμονος εἰρημέναις. οἱ δ' ὄγκοι κατά τε τὴν ποσότητα, καὶ τὴν ἰδέαν ἑκάστου τῶν ἐργαζομένων αὐτοὺς χυμῶν. διαλλάξουσι δὲ τῷ θᾶττον μὲν, καὶ μᾶλλον τῷ πνεύμονι συμπάσχειν τὴν καρδίαν, ἧττον δὲ καὶ βραδύτερον, τῷ θώρακι. διαλλάξουσι δὲ κἂν τῷ ποτὲ μὲν μῦν εἶναι τὸ πάσχον μέρος τοῦ θώρακος. ποτὲ δὲ τὸν ὑπεζωκότα τὰς πλευρὰς χιτῶνα. πλείων γὰρ ἡ τάσις ἐπὶ τοῖς σκληροῖς, καὶ πυκνοῖς μέρεσιν εἰς ὄγκον ἀρθεῖσιν. καὶ διὰ τοῦτο καὶ οἱ πλευριτικοὶ, τῶν περιπνευμονικῶν ἀεὶ σκληρότερον ἔχουσι τὸν σφυγμόν. ὁμαλὸς δὲ τοὐπίπαν, ἐπὶ τοῖς κατὰ τὰς πλευρὰς ὄγκοις ὁ σφυγμός, οὐχ ὥσπερ ἐπὶ τοῖς κατὰ τὸν πνεύμονα παντοίως ἀνώμαλος. οὔτε γὰρ διὰ μεγάλων ἀγγείων, οὔτ' ἐγγὺς τῆς καρδίας ἡ κοινωνία τῷ θώρακι πρὸς αὐτήν ἐστι. περὶ δὲ τῆς κατὰ τὴν δύσπνοιαν ἰδέας, οὐδὲν ἐν τῷδε τῷ λόγῳ δέομαι λέγειν, ὥσπερ ἐπὶ πνεύμονος ἐδεήθην διακρῖναι. ποτὲ μὲν ἡ καρδία πρώτη πάσχει, ποτὲ δὲ ὁ πνεύμων. ἑτοίμη γὰρ ἡ διάγνωσις ἐπὶ τῷ θώρακι πάσχοντι.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Οἵτινες σφυγμοὶ γίνονται νοσοῦντος τοῦ ἥπατος.

ΗΠατος δὲ νοσοῦντος ἀλλοιοῦνται σφυγμοὶ, κατὰ μὲν τὰς δυσκρασίας, ὡς ἔμπροσθεν εἴρηται, κατὰ δὲ τοὺς παρὰ φύσιν ὄγκους, ἀνάλογον μέν πως κἀν τούτοις, ἀλλ' ἧττον. ἐπὶ ταῖς φλεγμοναῖς γίνονται σκληροὶ τῶν ἐπὶ θώρακι τοσοῦτον, ὅσον τῶν ἐπὶ πνεύμονι μᾶλλον. οὐδέποτε δ' οὔτ' ἐπὶ θώρακος, οὔτ' ἐφ' ἥπατος ὄγκῳ, μαλακὸς ὁ σφυγμὸς γίνεται, διότι μηδ' ἐπιγίνεταί ποτε τοῖς ὀργάνοις τούτοις οἴδημα φλεγματικόν. ὁ μὲν γὰρ θώραξ πυκνότερος, ἢ ὥστε δέξασθαι τοιοῦτον ῥεῦμα, τὸ δ' ἧπαρ οὐ πυκνότερον μόνον, ἀλλὰ καὶ τῇ συμφύτῳ δυνάμει, ῥᾳδίως ἀλλοιοῖ τὸ φλέγμα. συμπάσχει δ' ἑτοιμότερον ἡ καρδία τῷ ἥπατι, καίτοι πορρώτερον τοῦ θώρακος κειμένῳ, διὰ τὴν τῆς κοίλης φλεβὸς κοινωνίαν.

ΚΕΦΑΛΑΙΟΝ Ε.

Οἵτινες σφυγμοὶ γίνονται νοσοῦντος τοῦ διαφράγματος.

ΣΥμπάσχει δὲ καὶ τῷ διαφράγματι, μᾶλλον τῶν ἄλλων ἁπάντων τοῦ θώρακος μερῶν, ὅτι περ αὐτῆς τῆς κοίλης αἱ φλέβες τούτῳ. τάσιν δ' οὐδὲν οὕτω μόριον ἄλλο ταῖς ἀρτηρίαις ἐργάζεται, καὶ μάλιστα ὅταν αὐτοῦ τὸ νευρῶδες αὐτοῦ πάθοι. εἰ μὲν οὖν ὑπὸ τῶν ἐν αὐτῷ περιττωμάτων διατείνοιτο, χωρὶς πυρετῶν, ὀδύνη τε καὶ δύσπνοια, τό γε κατ' ἀρχὰς ἐπιγίνεται. προϊόντος δὲ τοῦ χρόνου πυρέττουσι, σηπομένων τῶν περιττωμάτων. εἰ δὲ ἐκ ῥεύματος εἰς αὐτὸ κατασκήψαντος, εἴη μὲν χρὴ τοῦτο πάντως, ἤτοι χολῆς ξανθῆς, ἢ αἵματος θερμοῦ, καὶ λεπτοῦ, παχὺ γὰρ αἷμα, καὶ φλέγμα γλίσχρον, οὐκ ἄν ποτε δέξαιτο διὰ πυκνότητα. παραφρενήσουσι δ' ἐξ ἀνάγκης, ἕξουσί τε τὸν σφυγμὸν ἱκανῶς σκληρὸν, καὶ διὰ τοῦτο καὶ μικρόν. ὅτι δ' ἄμφω γε ταῦτα, καὶ ἡ θερμασία πολλὴ, διὰ τοῦτο καὶ πυκνότατος. ὁ δ' ἄνευ πυρετοῦ σφυγμὸς ἐπὶ διαφράγματι δυσπραγοῦντι, σκληρὸς μὲν γίνεται, καὶ μικρὸς, οὐ μὴν πυκνός τε ἐπὶ πλέον, ἀλλ' ἤτοι βραχεῖαν παντάπασιν, ἢ οὐδ' ὅλως εἰς ταύτην ἀφικνεῖται μεταβολήν. ἀνάλογον δὲ τοῖς ἐπὶ τῷ νευρώδει τοῦ διαφράγματος, ἕπεται πάντα τοῖς μεγάλαις πλευρίτισιν, ὅτι καὶ ὁ ὑπεζωκὼς τὰς πλευρὰς χιτὼν πλείστων τε νεύρων μετέχει, καὶ συνῆπται ταῖς φρεσὶ, καὶ τοῖς τὸν θώρακα διαφράττουσιν ὑμέσι, δι' ὧν κατὰ συνέχειαν, ἐγγὺς τῆς καρδίας ἀφικνεῖται. καὶ μέγιστον δὴ τοῦτ' ἔστι γνώρισμα πλευρίτιδος ὀλεθρίας, εἰ σκληρὸς ἱκανῶς ὁ σφυγμὸς γίνοιτο,

καὶ διὰ τοῦτο, καὶ μικρὸς, καὶ δι' ἄμφω τε ταῦτα, καὶ τὴν θερμότητα, πυκνότατος. οὐδεὶς ἐσώθη πλευριτικὸς ἐπὶ τοιούτῳ σφυγμῷ. παραπαίουσι δ' ἧττον οὗτοι, τῶν τὸ διάφραγμα φλεγμαινόντων. ἐγγυτέρα γάρ ἐστι τῆς ἀρχῆς ἡ τῶν τοῦ διαφράγματος νεύρων ἔκφυσις, ἀλλ' οὐ χρὴ μηκύνειν ἐν ταῖς ἄλλαις διαγνώσεσι περὶ σφυγμῶν προθεμένους λέγειν. ἐν γὰρ τοῖς τῶν πεπονθότων τόπων ὑπομνήμασιν, ἐπιπλέον ὑπὲρ τῶν τοιούτων διήρηται.

ἐγγύτερον

itaque paruus etiam, & ob ambo hæc, caloremque, creberrimus; pleuriticus cum tali pulsu nemo est seruatus vllus. Hi minus, quàm quibus inflammatum est septum transuersum, delirant, propius enim principium emittuntur nerui septi transuersi. Verùm quandoquidem de pulsibus dicere institui, non est mihi in cæteris signis immorandum; in commentariis enim de locis affectis, latiùs de his diximus.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Οἵτινες σφυγμοὶ γίνονται κακοπραγούσης τῆς γαστρός.

Γαστὴρ δὲ κακοπραγοῦσα, κατὰ δυσκρασίαν μὲν, ἀνάλογον τοῖς προειρημένοις, ἀλλοιώσει τοὺς σφυγμούς. δι' ὄγκον δέ τινα, κατὰ μὲν τὸν πυθμένα συμβαίνοντα, τοῖς ἄλλοις ἀνάλογον. εἰ δ' ἐν τῷ στόματι γένοιτο, σκληρότερος ὁ σφυγμὸς ἔσται διὰ τὸ πλῆθος τῶν νεύρων, οὐ μὴν οὕτω γε σκληρὸς, ὡς ἐπὶ διαφράγματι. παμπόλλῳ γὰρ ἀπολείπεται τοῦδε, καίτοι γ' οὐκ ἀπολειπομένου τοῦ μορίου τῷ μεγέθει τῶν νεύρων. ἀλλὰ διὰ μὲν ταῦτα τὰ νεῦρα, τὸ περιττὸν τῆς αἰσθήσεως ἔχει. μαλακὰ γάρ ἐστι, καὶ μεγάλα, καὶ ἀπ' αὐτῆς ἐκπέφυκε τῆς ἀρχῆς. διὰ δὲ τὸ τῆς τοῦ σώματος οὐσίας σαρκοειδὲς, ἀπολείπεται σκληρότητι, τοῦ θ' ὑπεζωκότος, καὶ τῶν φρενῶν. σύντονα γὰρ ἐκεῖνα τὰ μόρια, καὶ σκληρὰ, καὶ πυκνὰ, διὸ καὶ τείνεται μᾶλλον εἰς ὄγκον αἰρόμενα. καὶ τὰ νεῦρα δ' αὐτῶν ὁμοίως αὖθις τοῖς ὀργάνοις σκληρὰ, καὶ σύντονα. τὰ δὲ τῆς γαστρὸς, ὡς εἴρηται μαλακά. ταῦτά τοι, σκληρότατοι μὲν ἐπὶ διαφράγματι, καὶ ὑπεζωκότι, καὶ διὰ τοῦτο, καὶ μικροὶ γίνονται σφυγμοί. καὶ εἰ θερμασία τις αὖθις συνείη, καθάπερ ἐν φλεγμοναῖς τε, καὶ πυρετοῖς, εὐθὺς καὶ πυκνότατοι. κατὰ δὲ τὸ τῆς γαστρὸς στόμα, σκληρὸς μὲν οὐδέποθ' οὕτως ὁ σφυγμός· ὅτι μήτ' αὐτὰ τὰ νεῦρα, μήτε τὸ μόριον σύντονον. μικροὶ μέντοι, καὶ πυκνοὶ πολλάκις ἐπὶ τῷ περιττῷ τῆς αἰσθήσεως, ὅτι τάχιστα καμνούσης τε, καὶ καταλυομένης τῆς δυνάμεως. ἐμάθομεν γὰρ ὁποίους ἄλγημα, καὶ μάλιστα τὸ τῆς δυνάμεως ἁπτόμενον, ἐργάζεται τοὺς σφυγμούς. ὥσπερ δ' ἐπὶ τοῖς ἀλγήμασι, τοῖς κατὰ τὸ στόμα τῆς γαστρὸς, ἡ δύναμις τάχιστα κάμνει, κατὰ τὸν αὐτὸν λόγον, οὐκ ἀνέχεται πλήθους οὐδ' ἐπ' ὀλίγον, ἀλλὰ βαρύνεταί τε, καὶ κάμνει, καὶ τοὺς σφυγμοὺς ἀνωμάλους ἐργάζεται. λέλεκται δ' ἐν τοῖς ἔμπροσθεν, ὁποῖοι σφυγμοὶ γίνονται βαρυνομένης δυνάμεως ὑπὸ πλήθους ὕλης, ὥσπερ γε καὶ οἷοί τινες ἀῤῥωστούσης. ἀμφοτέρας οὖν τὰς βλάβας τῆς δυνάμεως, ἑπομένας ἔχον τὸ στόμα τῆς γαστρὸς, εὐλόγως ἐργάζεται τοὺς σφυγμοὺς, ἐνίοτε μὲν ἀμυδροὺς, καὶ μικροὺς, καὶ πυκνοὺς, ἐνίοτε δὲ ἀνωμάλους, ἔν τε τοῖς εἰρημένοις τρισὶ γένεσι, καὶ προσέτι τῷ κατὰ τάχος τε, καὶ βραδύτητα.

CAPVT VI.

Qui pulsus fiant ventriculo affecto.

Ventriculus affectus intemperie, pulsus ita, vt superiora, immutabit; ob tumorem verò quempiam, si is sanè in fundo constiterit, more aliorum; sin ad eius os is constiterit, pulsus ob neruorum multitudinem erit durior, non ita durus tamen, vt ex septo transuerso: multum enim concedit huic tametsi non cedat neruorum magnitudine, sed quia hi nerui insigni sensu sunt prædití; molles sunt enim & magni, atque ex ipso principio sunt enati. Verùm quia carnosa est corporis substantia, duritie inferior est, & succingente, & septo transuerso; quæ corpora contenta sunt, & dura, spissaque, vnde quum intumescunt, vehementius tenduntur, præterea illorum nerui non secus, atque ipsa instrumenta, duri contentique sunt, ventriculi (vt diximus) molles. Quare ex septo transuerso, & succingente tunica durissimi, itaque etiam parui fiunt pulsus, quòd si calor quispiam cum iisdem, vt in inflammationibus, & febribus, sit coniunctus, simul creberrimi. Ex ore ventriculi nunquam ita durus pulsus fit, quòd nec ipsi nerui, nec pars sit contenta; verùm parui, & subinde crebri, quia propter eximium sensum defatigatur quàm primum, & deijcitur facultas. Exposuimus enim quos pulsus dolor, præsertim si facultatem lædat, efficiat. Ac quemadmodum ob dolores, qui afficiunt ventriculos, statim debilitatur facultas, ita nec copiam humorum sustinet ne paulisper quidem, sed grauatur, & fatiscit, pulsusque efficit inæquales. Diximus in superioribus libris, facultatem copia materiæ grauatam, qui pulsus comitentur, atque etiam qui debilitatam, quæ offensiones facultatis quum ventriculi os ambæ comitentur, iure pulsus reddit interdum languidos, paruos, crebrosque, interdum inæquales cùm in illis tribus, quæ memoraui, generibus, tum verò in celeritate, & tarditate.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Οἵτινες αὖ γίνονται σφυγμοὶ νοσούντων τῶν ὑπολοίπων τῆς τροφῆς ὀργάνων.

Καὶ τοίνυν οὐδὲν ἔτι χαλεπὸν, οὐδὲ ἐπὶ τῶν ὑπολοίπων ὀργάνων τῆς τροφῆς, ἐξευρίσκειν τὰς τροπὰς τῶν σφυγμῶν, εἰς τὰ προειρημένα σύμπαντα, καθάπερ εἰς στοιχεῖα βλέποντας, ὡς μηδὲν αὐτῶν ἄσκοπον παραλιπεῖν. ὅσα μὲν γὰρ ἐγγυτέρω τε τῆς καρδίας ἐστὶ, καὶ διὰ μεγάλων ἀγγείων κοινωνεῖ, θᾶττόν τε, καὶ μᾶλλον αὐτὴν εἰς συμπάθειαν ἄξει. ὅσα δ' ἀπωτέρω τε, καὶ διὰ μικρῶν, ἧττόν τε, καὶ βραδύτερον. οὕτως δὲ, καὶ ὅσα μέν ἐστι

ἄσκεπτον

CAPVT VII.

Qui pulsus fiant affectis cæteris nutritionis instrumentis.

Porrò in nutritionis cæteris instrumentis, nihil iam laboris est, mutationes pulsuum inuenire, si priora omnia, quæ exposuimus, quasi elementa respiciamus, vt nihil obiter prætereamus, quæ enim propiora cordi sunt, & magnis vasis ei copulata, celerius, & magis in consensionem trahent; quæ remotiora sunt, & paruis vasis affixa, minùs & tardiùs. Eodem modo, quæ dura,

&

& contenta, neruisque prædita sunt plurimis duris, facilè pulsus hæc efficiunt duros; quæ contra, molles; quæ sensu vigent, vtroque incommodo facultatem afficiunt. Quare nulla difficultate ipse inuenias tua sponte, quem quæque pars quibus in affectibus pulsum creat; vt exempli causa, vesica & vterus loco inter se nihil differunt, sed durior vesica, & neruosior est, vnde pulsus inflammata duriores facit, quàm vterus; vterus celerius eos, & magis conuertet in magnitudinem, paruitatemque, atque reliquas differentias, maiores enim arterias habet venasque, & multò priùs ex magnis dorsi vasis expullulant, quàm quæ inseruntur vesicæ. Dolores vtrique instrumento, quatenus neruo ex æquo prædita sunt, pares sunt; quatenus spissius est, & durius vesicæ corpus, maiores sunt huius. Etenim, qui obsepti in spissioribus corporibus, & constipati sunt humores, hi maiorem dolorem, quàm qui in rarioribus sunt, & mollibus, concitant; nimirum qui tendant violentiùs, cuius comes erat doloris magnitudo. Hac ratione, & via omnium partium inuestigandæ sunt differentiæ.

CAPVT VIII.

Qui pulsus fiant partibus, quæ extra inguina, & alas sunt, affectis.

SEd, exercitandi gratia, differentias ego explicabo aliarum partium, quæ sunt extra inguina, & alas; quoniam & his aliquid quidem à prædictis omnibus differens est, quemadmodum & inter sese mutuò particulatim; aliquid verò tum sibi mutuò, tum cùm prædictis commune est. Nam, quòd distant multum à corde, ambobus est commune, magisque inferioribus; sed inter se substantiis, & officiis differunt, sicut quiddam habent inter se, & cum superioribus omnibus commune, in omnibus differentiis, quas commemorauimus. Etenim sunt in his ipsis quoque quædam duriores, & densiores, aliquæ rariores, & molliores, atque hæ pluribus & maioribus, illæ paucioribus minoribusque vasis, & neruis, præditæ sunt ac pars earum acutiorem sensum habent, pars secus. Diuersitatem verò in functionibus harum partium, ac præcipuè earum, quæ supra alas sunt, ignorat nemo. Crura enim & manus actionum voluntariarum gratia condita sunt genere inter se similium; oculi, aures, lingua, meninges, ipsum cerebrum, omnesque colli partes, longè sanè dissident functionibus ab artuum partibus. Quocirca adiunctam esse par est suam cuique speciem symptomatum, quæ non ex æquo pulsus alteret; vt sint licet eodem loci cerebrum, meningesque, ac cęteræ capitis partes, si inflammatæ illæ sint, febricitent, necesse est, & delirent; si aliæ, non necessariò; nam musculorum temporalium inflammationes, febres, deliria, spasmos, sopores frequenter inducunt, si magnæ sint, non semper; neque, quum paruæ sint, illa symptomata concitant. Cerebrum ipsum, vbi incurrerit in morbosam intemperiem, symptoma necessariò, quod intemperiei familiare est, inducit; in caloribus immodicis, si quando soli hi per se steterint, delirium; si coniuncti sint siccitate, vnà cùm vigiliis: quod scilicet est proprium siccitatis symptoma, vt humiditatis altus somnus vel coma.

A σκληρά, καὶ στιῤῥά, καὶ νεύρων πλείστων μετέχει σκληρῶν, ἑτοίμως ταῦτα τοὺς σφυγμοὺς ἐργάζεται σκληρούς. ὅσα δὲ ἐναντία, μαλακούς. ὅσα δ' αἰσθητικὰ, βλάπτει τὴν δύναμιν, ἑκατέραν τὴν βλάβην. ὥστε οὐδὲν χαλεπὸν ἐξευρεῖν αὐτόν τινα καθ' αὑτὸν, ἕκαστον τῶν μορίων, ὁποῖόν τινα τὸν σφυγμὸν ἐργάζεται καθ' ἕκαστον πάθος. οἷον αὐτίκα, κύστις, καὶ μήτρα τῇ θέσει μὲν, οὐδὲν ἀλλήλων διαφέρουσι. σκληροτέρα δ' ἐστὶ, καὶ νευρωδεστέρα ἡ κύστις· ὥστε καὶ τοὺς σφυγμοὺς φλεγμαίνουσα, μᾶλλον τῆς μήτρας ἐργάζεται σκληρούς. ἀλλοιώσει δὲ, θᾶττόν τε καὶ μᾶλλον αὐτοὺς, εἰς μέγεθός τε, καὶ μικρότητα, καὶ τὰς ἄλλας διαφορὰς, ἡ μήτρα. B μείζους τε γὰρ ἀρτηρίας ἔχει, καὶ φλέβας, καὶ πολὺ πρότερον ἀποφυομένας τῶν κατὰ ῥάχιν ἀγγείων τῶν μεγάλων, ἤπερ αἱ εἰς τὴν κύστιν ἥκουσαι. τὰ δὲ τῆς ὀδύνης, ἀμφοτέροις τοῖς ὀργάνοις, ὅσον μὲν ἐπὶ τῷ νεύρῳ, ἐξ ἴσου μετέχειν, ὡσαύτως, ὅσον δ' ἐπὶ τῷ πυκνότερον καὶ σκληρότερον εἶναι τὸ τῆς κύστεως σῶμα, μείζους ἐν τούτῳ. τὰ γὰρ ἐν πυκνοτέροις σώμασιν ἐμφραττόμενά τε, καὶ σφηνούμενα τῶν ὑγρῶν, ὀδυνηρότερα τῶν ἐν ἀραιοτέροις τέ ἐστι, καὶ μαλακοῖς, ὡς ἂν βιαιοτέραν ποιούμενα τὴν τάσιν, ᾗ τὸ τῆς ὀδύνης εἵπετο μέγεθος. οὕτως μὲν οὖν χρὴ μεθόδῳ ζητεῖν ἁπάσας τῶν μορίων τὰς διαφοράς.

C

ΚΕΦΑΛΑΙΟΝ Η'.

Οἵτινες ἂν γίνωνται σφυγμοὶ νοσούντων τῶν ἐκτὸς βουβώνων καὶ μασχαλῶν, μορίων.

ΑΛλ' ἐγὼ, γυμνασίας ἕνεκα, καὶ τὰς τῶν ἄλλων ἔπειμι, τῶν ἐκτὸς βουβώνων τε καὶ μασχαλῶν, ἐπεὶ καὶ τούτοις, ἔστι μέν τι παρὰ τὰ πρόσθεν εἰρημένα σύμπαντα διάφορον, ὥσπερ καὶ πρὸς ἄλληλα κατὰ μέρος· ἔστι δέ τι καὶ κοινὸν, ἀλλήλοις τε, καὶ τοῖς προειρημένοις. τὸ μὲν δὴ πόῤῥω τῆς καρδίας εἶναι, κοινὸν ἀμφοῖν ἐστι, καὶ μᾶλλον τοῖς κάτω. διαφέρει δ' ἀλλήλων, ταῖς οὐσίαις τε, καὶ ταῖς D ἐνεργείαις, ὥσπερ γε κοινόν τι πρὸς ἄλληλα, καὶ τὰ πρόσθεν εἰρημένα σύμπαντα κέκτηται, κατὰ τὰς προειρημένας ἁπάσας διαφοράς. ἔστι γάρ τοι καὶ τούτων αὐτῶν, τὰ μὲν σκληρότερά τε, καὶ πυκνότερα, τὰ δ' ἀραιότερά τε καὶ μαλακώτερα. καὶ τὰ μὲν, πλειόνων τε καὶ μειζόνων· τὰ δ' ἐλαττόνων τε, καὶ μικροτέρων, ἀγγείων τε, καὶ νεύρων μετέσχηκε. καὶ τὰ μὲν αἰσθητικώτερα τετύχηκεν ὄντα, τὰ δ' ἀναισθητικώτερα. τὴν δ' ἐν ταῖς ἐνεργείαις αὐτῶν διαφορὰν οὐδεὶς ἀγνοεῖ, καὶ μάλιστα τῶν ἄνω μασχαλῶν. σκέλη μὲν γὰρ, καὶ χεῖρες ἐνεργειῶν ἕνεκα προαιρετικῶν ἐγένοντο, παραπλησίων ἀλλήλαις κατὰ γένος. ὀφθαλμοὶ δὲ, καὶ ὦτα, καὶ γλῶττα, μήνιγγές τε, καὶ αὐE τὸς ὁ ἐγκέφαλος, ὅσα τε κατὰ τὸν τράχηλόν ἐστι μόρια, πολὺ δή τι ταῖς ἐνεργείαις διαφέρει, τῶν κατὰ τὰ κῶλα μορίων. ἕπεσθαι τοίνυν εἰκὸς ἑκάστῳ συμπτωμάτων, οἰκείαν ἰδέαν, οὐχ ὁμοίως ἀλλοιοῦσαν τοὺς σφυγμούς. οἷον αὐτίκα, καίτοι γ' ἐν ταὐτῷ κειμένων, ἐγκεφάλου τε μηνίγγων, ἅπασι τοῖς κατὰ τὴν κεφαλήν. ἐπὶ μὲν τῶν τούτων φλεγμοναῖς, ἐξ ἀνάγκης πυρέττουσί τε καὶ παραφρονοῦσιν. ἐπὶ δὲ τῶν τῶν ἄλλων, οὐκ ἐξ ἀνάγκης. αἱ γοῦν τῶν κροταφιτῶν μυῶν φλεγμοναὶ, καὶ πυρετοὺς, καὶ παραφροσύνας, καὶ σπασμοὺς, καὶ κάρους ἐπιφέρουσι πολλάκις, ὁπόταν μεγάλαι γένωνται, οὔτ' ἐξ ἅπαντος, οὐθ' ὅταν μικραὶ τύχωσιν οὖσαι, τὰ τοιαῦτα συμπτώματα φέF ρουσιν. ὁ δ' ἐγκέφαλος αὐτὸς, ὁπόταν εἰς δυσκρασίαν ἐμπέσῃ νοσώδη, τὸ τῆς δυσκρασίας οἰκεῖον ἐξ ἀνάγκης ἐπιφέρει σύμπτωμα, κατὰ μὲν τὰς ἀμέτρους θερμασίας, εἰ μὲν αὗται μόναι καθ' αὑτὰς ποτὲ γένοιντο παραφροσύνην. εἰ δὲ μετὰ ξηρότητος, ἅμα ταῖς ἀγρυπνίαις. οἰκεῖον γὰρ ξηρότητι τὸ σύμπτωμα τοῦτο, καθάπερ γε καὶ ὑγρότητι, βαθὺς ὕπνος, ἢ κῶμα.

A τῆς ψύξεως δ' αὐτοῦ, σύμπτωμά ἐστιν ἀΐδιον, ἡ καλουμένη μώρωσις. εἰ δὲ σὺν ὑγρότητι γίνοιτο, βαθεῖα τοῖς τοιούτοις ἕπεται καταφορά. πολλῷ γὰρ τοῦ κατὰ φύσιν ὑγρότερός τε, καὶ θερμότερος ἀποτελεσθεὶς, τὴν σὺν ἀγρυπνίᾳ τε, καὶ παραφροσύνῃ φέρει καταφοράν. εἴρηται γὰρ αὐτῆς ἡ ἰδέα πᾶσα, καθ' ἕτερον γράμμα τὸ περὶ τοῦ παρ' Ἱπποκράτους κώματος. ἰσχυρὰ δὲ ψύξις ἐγκεφάλου, μετὰ ξηρότητος γινομένη, ἀκινησίαν μὲν ἐπάγει τοῦ σώματος σύμπαντος, οὐ μὴν κωματώδεις εἰσὶν, ἀλλ' ἀνεῳγόσι τοῖς ὀφθαλμοῖς, ἀσκαρδαμυκτὶ βλέπουσιν. οἱ σφυγμοὶ δὲ, ὧν ἕνεκεν εἴρηται ταῦτα, θερμοῦ μὲν ἰσχυρῶς ἐγκεφάλου, χωρὶς ξηρότητος,

B ἐν μὲν τῇ συστάσει τῆς ἀρτηρίας, σύμμετροί τε καὶ τοῖς κατὰ φύσιν ὅμοιοι, μεγέθει δὲ ὑπερβάλλοντες, καὶ τάχει, καὶ πυκνότητι τοσοῦτον, ὅσον ἂν ἡ νοσώδης θερμότης, τὴν παρὰ τὸ κατὰ φύσιν ᾖ. εἰ δὲ μὴ μόνον εἴη θερμότερος, ἀλλὰ καὶ ξηρότερος νοσωδῶς, εὐθὺς μὲν δήπου, καὶ ἡ διαζωκυῖα μῆνιγξ αὐτὸν, ἡ λεπτὴ, παραπλησίως διάκειται. σὺν αὐτῇ δὲ, καὶ τὰ νεῦρα σύμπαντα, καὶ ἡ καρδία, καὶ αἱ ἀρτηρίαι, σκληρότερον ἔχουσι τὸν σφυγμὸν, ὅτι τε τείνονται τὸν χιτῶνα, καὶ ξηραίνονται. δέδεικται γὰρ ἑτέρωθι περὶ τῆς τῶν ἀρχῶν συμπαθείας. εἰ δ' ἐκ χολώδους χυμοῦ πλεονεξίας, εἰς θερμὴν καὶ ξηρὰν ἀφίκοιτο διάθεσιν ὁ ἐγκέφαλος, ἔτι δὴ καὶ μᾶλλον ἡ τάσις ἐπιγίνεται τῆς ἀρτηρίας.

C οὕτω δὲ καὶ ἡ ἐξ αἵματος θερμοῦ, καὶ οἷον ζέοντος, ἡ μὲν ξηρότης ἥττων, μείζων δ' ἡ τάσις αὐταῖς τε ταῖς μήνιγξιν ὑπάρχει, καὶ τοῖς νεύροις, καὶ ταῖς ἀρτηρίαις. ὁ μὲν χολώδης χυμὸς, ὁ γοῦν ὠχρὸς, οὗ νῦν μεμνήμεθα, λεπτομερὴς ὑπάρχων οὐχ ὁμοίως σφηνοῦται κατὰ τὰ μαλακὰ σώματα, ὥστε οὐδ' εἰς ὄγκον αἴρειν αὐτὰ δύναται. τὸ δ' αἷμα τὸ θερμὸν, ἐμφράττεταί τε, καὶ σφηνοῦται μᾶλλον, ὥστε καὶ τὸν ὄγκον ἐργάζεται μείζω, καὶ τὴν τάσιν ἰσχυροτέραν. καὶ τοίνυν προσέχειν ἀκριβῶς χρὴ τῇ τῆς ἀρτηρίας συστάσει, πότερον ἀπὸ ξηρότητος, ἢ τάσεως, ὁ χιτὼν φαίνεται σκληρός.

D εἶτ', εἰ μὲν ἐπὶ ξηρότητι φαίνοιτο, δυοῖν θάτερον ἡγεῖσθαι κατὰ τὸν ἐγκέφαλον ὑπάρχειν, ἢ δυσκρασίαν θερμὴν καὶ ξηρὰν, ἢ χολῆς πλεονεξίαν. εἰ δ' ἐπὶ τάσει, φλεγμονώδη διάθεσιν. εἰ δ' ἐπ' ἀμφοῖν, ἡγεῖσθαι χρὴ καὶ αὐτὴν τὴν διάθεσιν, εἶναι σύνθετον ἐξ αἱματώδους τε, καὶ πικροχόλου χυμοῦ. παραφρονοῦσι μὲν οὖν ἅπαντες οἱ τοιοῦτοι διηνεκῆ παραφροσύνην, διαλλάττουσι δ' ἀλλήλων, τῷ τοὺς μὲν ἐπὶ δυσκρασίᾳ μόνῃ, μετρίως τε πάσχειν τοῦτο καὶ ἀρρωστεῖν ἁπάσαις ταῖς προαιρετικαῖς ἐνεργείαις. τοὺς δ' ἐπὶ χολώδει χυμῷ, μήτ' ἀρρωστεῖν, ἐξίστασθαί τε κατὰ τὰς παραφροσύνας ἰσχυρῶς. ὅσοι

E δ' ἐπὶ μελαίνῃ χολῇ, ζεσάσῃ διὰ σηπεδόνα, τοιοῦτόν τι πάσχουσι, ῥᾳδίως ἐξίστανται, σκληροὶ δὲ καὶ τούτων εἰσὶν οἱ σφυγμοὶ, δι' ἀμφοτέρας τὰς αἰτίας ξηρότητά τε καὶ τάσιν. εὐθὺς δὲ δήπου καὶ μικροὶ διὰ τὴν σκληρότητα καὶ θάττους τῶν κατὰ φύσιν, ὅτι πυρέττουσι, καὶ πυκνοὶ, διὰ τὸ μὴ πληροῦσθαι τὴν χρείαν. αἱ δ' ὑγραὶ δυσκρασίαι, αἱ κατὰ τὸν ἐγκέφαλον, μαλακοὺς ἐν τῷ χρόνῳ τοὺς σφυγμοὺς ἀποτελοῦσι, καὶ κωματώδη τὸν ἄνθρωπον. εἰ δὲ πυρετώδης αὐταῖς συνείη θερμότης, λήθαργος μὲν ὀνομάζεται τὸ νόσημα, γίνεται δ' ὁ σφυγμὸς, οὐ μαλακὸς μόνον, ἀλλὰ καὶ μέγας. εἰ

F δ' ἐπὶ σηπομένῳ φλέγματι κατὰ τὸν ἐγκέφαλον, ἡ τοιαύτη γίνοιτο διάθεσις, εἴη μὲν ἂν καὶ οὕτως τὸ νόσημα λήθαργος, ἕξει δ' ὁ σφυγμὸς ἔμφασίν τινα τεινομένης τῆς ἀρτηρίας, καίτοι μαλακῆς ὑπαρχούσης. μεγάλοι δ' εἰς τοσοῦτον ἐν τοῖς τοιούτοις νοσήμασι πᾶσιν εἰσὶν, εἰς ὅσον ἂν ἡ θερμότης αὐξηθῇ. τὸ δὲ τάχος, ἤτοι παντάπασιν ἥκιστον, ἢ οὐδόλως ἐπιτείνεται τούτοις, ὡσαύτως δὲ, καὶ πυκνότης. ἅπαντα δὲ συναύξεται ταῦτα τῷ πλήθει τῆς θερμασίας. ἐπιμίκτου μέντοι τῆς διαθέσεως, ἐκ χολῆς καὶ φλέγματος γινομένης,

Refrigerationis eius symptoma est perpetuum fatuitas, quam vocant; si concurrat humiditas, iis comes est cataphora; quod si multò, quàm modus naturæ fert, humidius euaserit, & calidius, cataphoram inducit coniunctam cum vigiliis, & delirio. Cuius omnem speciem declarauimus alio in libro, qui est de comate, quod descripsit Hippocrates. Vehemens autem frigiditas cerebri, si accedat siccitas, motu priuat vniuersum corpus; non tantum hi comatosi sunt, sed apertis oculis intuentur & haud nictantibus. Iam pulsus, propter quos hæc retulimus, si abundè sit calidum cerebrum citra siccitatem, in consistentia arteriæ sunt moderati, & similes natiuis; magnitudine verò hactenus superant, & celeritate, & crebritate, quatenus morbosus calor natiuum excesserit. Si verò non modo sit calidius, sed & siccius præter naturam, statim vtique etiam meninx ipsa tenuis, quæ tegit cerebrum, in eandem venit affectionem; vnaque cum illa cuncti nerui & cor, atque arteriæ pulsum duriorem nanciscuntur, quod eorum tunica contendatur, atque desiccetur; nam de consensu principiorum disputauimus aliàs. Quòd si ex biliosi humoris affluentia in calidum, & siccum affectum cerebrum deuenerit, etiam magis tenduntur arteriæ. Ita quem inducit calidus sanguis, & quasi feruidus, siccitas minor, & maior tensio, quum ipsas meningas corripit, tum neruos, atque arterias. Biliosus verò succus, si pallidus sit, cuius hic mentionem facimus, quia tenuis est, & subtilis, non proinde in mollibus corporibus inhæroscit; ita nec in tumorem attollit ea. Sanguis calidus sepitur arctius, & obstruitur; quo excitat tumorem maiorem, & tensionem validiorem. Proinde etiam atque etiam obseruanda est arteriæ consistentia, per siccitatemne, an per tensionem, videatur durior: si ob siccitatem videatur, alterutrum est existimandum obsidere cerebrum, vel intemperiem calidam, & siccam, vel copiam bilis, si ob tensionem, inflammationem; si propter ambo; ipsum etiam affectum puta conflatum esse ex sanguineo & bilioso humore, qui perpetuò omnes delirant. Differunt inter se, quod qui intemperie sola affecti sunt, modicè hoc habeant, & infirmas omnes voluntarias actiones; qui bilioso humore, non eas habeant infirmas, & mirum in modum delirent. Qui ex atra bile feruente ob putredinem hoc patiuntur, mente ferinè mouentur; quorum etiam sunt duri pulsus vtraque de causa, siccitate, & tensione; simulque parui ob duritiem; & iusto celeriores, quia febricitant; etiam crebri, quod non satisfiat vsui. Humidæ intemperies cerebri, molles pulsus diuturnitate efficiunt, ac hominem comatosum; si ad illas accesserit febrilis calor, morbus appellatur lethargus, & pulsus est non modò mollis, sed & magnus. Si verò putrescens pituita ita cerebrum afficiat, erit tum etiam morbus lethargus; pulsusque arteriæ contentæ speciem quandam præbebit, tametsi sit mollis. At magni in morbis hisce omnibus hactenus erunt, quatenus auctus sit calor; celeritas, aut omninò minima est, aut his nihil prorsus crescit; eodemque crebritas modo. Hæc autem vnà cum caloris copia omnia increscent. Si verò commisceatur ex bile, & pituita affectus,

nec

nec prorsus vigilant, nec in profundo sunt comate; sed in soporem deferuntur, desipiuntque, nec palpebras valent attollere; ac breuiter, comatosi illi sunt, & vigilantes; itaque, & pulsum habent ambigentem inter complicatos mutuo affectus. Sin frigiditas morbosa cerebrum afficiat, quum illi cor consentiat, minores, tardiores, atque rariores æquo pulsus erunt; ac si absque materia sola intemperies cerebri fit, citra omnem tensionem. Sin autem vna cum materia, eaque melancholica, fiet, vt arteriæ tendantur, itaque pulsus durior videatur. Si cum pituitosa non simpliciter, sed si crassa, atque glutinosa pituita sit, intendentur, scirrhosos enim tumores excitat hic humor. Si humida, & flatuosa, à qua generatur potissimum œdema, quod vocant, sine tensione mollis pulsus erit. Si confusa pituita, & mixta ex vtroque illarum genere fuerit, simul mollis erit, & nonnihil intentus; neque hoc obscurum est, quin si pulsus fit mollior, erit etiam maior, quàm antea. Iam verò, quod genus illis aliorum symptomatum accidet, poteris per te ipse ex antedictis colligere. Mihi quidem non est consilium diutiùs hîc immorari, quum illa in commentariis de locis affectis prolixè explicauerim, nam nunc quidem non omnia indicia attendere, sed quæ ex pulsibus duntaxat comparantur, proposui; itaque pro cumulo, & obiter alia quædam symptomata adiecimus aliena. Quare finem hic faciens de his dicendi, ad aliud me conuertam, quod referat ad institutum; de quo tametsi longius egi in commentariis de locis affectis, tamen, vt hic quoque declarem, res postulat.

CAPVT IX.

Meningibus affectis, qui pulsus fiant.

Tenuis meninx, quæ cerebrum amplectitur, sola mihi nullum vnquam istorum affectuum subire videtur posse, nisi vna cum cerebro; nec etiam cerebrum citra meningem; sed siue citra fluxionem intemperies, siue etiam incubuerit fluxio in alterutrum horum, statim impertiri mea quidem sententia affectum oportet alteri. At dura meninx, quoniam longissimè à cerebro dissita est, affecta esse sola potest. Cuius affectus si insignis sit, vt cor ad consensum trahat, & arterias, pulsus in modum cerebri affectuum alterabuntur; calidi enim affectus vsum augent; frigidi quum hunc remittunt, tum arterias pedetentim indurant, præcipuè eas, quæ corde sunt altiores; sicci intentum, & durum pulsum reddunt; humidi mollem, attamen non ita mollem, & durum, vt cerebrum, sed magis quidem durum, minùs verò mollem, siquidem corpora sua spontè dura, quæ in affectus indurantes inciderunt, maximam contrahunt duritiem; sic, quæ natura mollia sunt, si in humectantes, & liquefacientes incurrant, semel exoluuntur, mollescuntque; sin dura arripiantur humectantibus affectibus, aut mollia indurantibus, nequaquam assequuntur extremum contrarij sibi status. Hac ratione nunquam ob meningum œdema pulsus fiet ita mollis, vt ob cerebri, & pulmonis, neque ex cerebro, & pulmone inflammatis perinde durus, ac ex meningibus.

οὔτ' ἄγρυπνοι τὸ σύμπαν ὑπάρχουσιν· οὔτ' ἐν βαθεῖ κώματι καταφερόμενοι εἰσί, παραπαίουσιν, ἐπαίρειν ἀδυνατοῦντες τὰ βλέφαρα. καὶ τὸ σύμπαν εἰπεῖν, οἱ τοιοῦτοι, κωματώδεις εἰσὶ καὶ ἄγρυπνοι. καὶ τοίνυν καὶ οἱ σφυγμοὶ τούτοις, ἐν μέσῳ τὴν ἰδέαν ὑπάρχουσι τῶν ἐπιπεπλεγμένων ἀλλήλαις διαθέσεων. ψύξεως δὲ νοσώδους ἐν ἐγκεφάλῳ γινομένης, εἴπερ εἰς συμπάθειαν ἀφίκηται ἡ καρδία, μικρότεροι, καὶ βραδύτεροι, καὶ ἀραιότεροι τῶν κατὰ φύσιν, οἱ σφυγμοὶ γενήσονται. καὶ εἰ μὲν ὕλης αὐτῆς, μόνῃ τῇ δυσκρασίᾳ τοῦ ἐγκεφάλου, χωρὶς ἁπάσης τάσεως. εἰ δὲ σὺν ὕλῃ, μελαγχολικῆς μὲν αὐτῆς ὑπαρχούσης, τείνεσθαί τε συμβήσεται τὰς ἀρτηρίας, καὶ διὰ τοῦτο, σκληρότερον φαίνεσθαι τὸν σφυγμόν. φλεγματικῆς δὲ, οὐχ ἁπλῶς. ἀλλ' εἰ μὲν παχὺ, καὶ γλίσχρον εἴη τὸ φλέγμα, ταθήσονται, σκιρρώδεις γὰρ ὄγκους ὁ τοιοῦτος ἐργάζεται χυμός. εἰ δ' ὑγρὸν, καὶ πνευματῶδες, ὑφ' οὗ μάλιστα τὸ καλούμενον οἴδημα γίνεται, χωρὶς τοῦ τείνεσθαι, μαλακὸς ὁ σφυγμὸς ἔσται. εἰ δ' ἐπίμικτον εἴη τὸ φλέγμα τῶν προειρημένων ἀμφοτέρων μετέχον εἰδῶν. ἅμα τε μαλακὸς, καὶ σὺν τάσει τινί. πρόδηλον δ', ὡς ὁπότε μαλακὸς ὁ σφυγμὸς γίνεται, καὶ μείζων ἀποτελεσθήσεται τοῦ πρόσθεν. ὁποία δέ τις ἡ τῶν ἄλλων συμπτωμάτων αὐτοῖς ἰδέα γενήσεται, στοχάζεσθαί τινι καὶ αὐτῷ δυνατὸν, ἐκ τῶν προειρημένων ὁρμωμένῳ. ἐμοὶ δ' ἐπὶ πλέον ἐνταῦθα μηκύνειν οὐκ ἀναγκαῖον, ἐν τῇ τῶν πεπονθότων τόπων πραγματείᾳ, τὰ τοιαῦτα πάντα ἐπὶ πλεῖστον ἐξειργασμένῳ. νυνὶ γὰρ, οὐχ ἅπαντα, ἀλλὰ τὰ ἐκ σφυγμοῦ μόνου διαγνώσεσθαι ἐπισκέψασθαι προυθέμην. ὥστε ἐκ περιουσίας τε, καὶ κατὰ τὸ πάρεργον εἴρηταί τινα τῶν ἄλλων συμπτωμάτων, οὐκ ἐν ἔργῳ. καταπαύσας οὖν ἤδη τὸν ἐνεστῶτα λόγον, ἐφ' ἕτερόν τι τῶν εἰς τὰ παρόντα χρηστῶν μέτειμι, μακροτέρας μὲν τῆς ἐπισκέψεως ἐν τῇ τῶν πεπονθότων τόπων πραγματείᾳ τετυχηκὸς, ἀναγκαῖον δὲ καὶ νῦν διελθεῖν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Οἵτινες ἂν γίνωνται σφυγμοὶ νοσουσῶν τῶν μηνίγγων.

Ἡ λεπτὴ μῆνιγξ, ἡ διεζωκυῖα τὸν ἐγκέφαλον, οὔ μοι δοκεῖ δύνασθαι μόνη ποτὲ παθεῖν τῶν εἰρημένων νοσημάτων οὐδὲν, ἐγκεφάλου χωρίς. ὥσπερ οὐδ' ἐγκέφαλος, ἄνευ τῆς μήνιγγος. ἀλλ' εἴτε δυσκρασία χωρὶς ῥεύματος, εἴτε καὶ ῥεῦμα κατασκήψειεν εἰς ὁπότερον αὐτῶν, εὐθὺς ἀναγκαῖον εἶναι νομίζω, μεταδίδοσθαι τοῦ πάθους εἰς τὸ λοιπόν. ἡ μέντοι σκληρὰ μῆνιγξ, οἵα τ' ἐστὶ καὶ μόνη πάσχειν, ἐπὶ πλεῖστον ἀφεστῶσα τοῦ ἐγκεφάλου. καὶ εἴπερ ἡ διάθεσις αὐτῆς ἀξιόλογος γινομένη, τήν τε καρδίαν εἰς συμπάθειαν ἐπισπάσοιτο, καὶ τὰς ἀρτηρίας, ἀνάλογον τῶν κατὰ τὸν ἐγκέφαλον διαθέσεσιν ὁ σφυγμὸς ἀλλοιωθήσεται, τῶν μὲν θερμῶν ἐν αὐτῇ διαθέσεων, τὴν χρείαν αὐξανουσῶν, τῶν δὲ ψυχρῶν ἐκλυουσῶν τε ἅμα ταύτην, καὶ σκληροτέρας ἀτρέμα τὰς ἀρτηρίας ἐργαζομένων, καὶ μάλιστα ὅσαι τῆς καρδίας εἰσὶν ἀνωτέρω. καὶ τῶν μὲν ξηρῶν, σύντονόν τε καὶ σκληρὸν ἐργαζομένων τὸν σφυγμὸν, τῶν δ' ὑγρῶν, μαλακόν. οὐ μὴν εἰς τοσοῦτόν γε μαλακὸν, καὶ σκληρὸν, εἰς ὅσον ὁ ἐγκέφαλος, ἀλλ' ἐπὶ πλεῖον μὲν σκληρὸν, ἐπ' ἔλαττον δὲ μαλακόν. ὅσα μὲν γὰρ φύσει σκληρὰ σώματα, σκληρυνούσας ἐδέξατο διαθέσεις, εἰς μεγίστην ἀφικνεῖται σκληρότητα. καθάπερ γε καὶ τὰ φύσει μαλακὰ, τὰς ὑγραινούσας τε, καὶ χεούσας δεξάμενα, τελείως ἔκλυτά τε γίνεται καὶ μαλακά. ὅσα δ' ἤτοι σκληρὰ, τὰς ὑγραινούσας ἐδέξατο διαθέσεις, ἢ μαλακὰ τὰς σκληρυνούσας, οὐκέτ' εἰς ἄκρον ἀφικνεῖται τὴν ἐναντίαν αὐτοῖς κατάστασιν. οὕτως οὖν, οὔτ' ἐπὶ μηνίγγων οἰδήματι, γένοιτ' ἄν ποτε ὁ σφυγμὸς εἰς τοσοῦτον μαλακὸς, εἰς ὅσον ἐπὶ ἐγκεφάλου τε, καὶ πνεύμονος, οὔτ' ἐπ' ἐγκεφάλῳ τε καὶ πνεύμονι φλεγμήνασιν, οὕτω σκληρὸς, ὡς ἐπὶ μήνιγξιν.

ἀλλὰ τοῖς μὲν ἐπὶ μήνιγξι σκληροῖς, ὅμοιος ὁ ἐπὶ διαφράγματι, καὶ ὑπεζωκότι. τοῖς δὲ ἐπὶ ἐγκεφάλῳ τε καὶ πνεύμονι, μαλακὸς μὲν ὁμοίως οὐδείς, ἐγγυτέρω δὲ τῶν ἄλλων, ὁ ἐφ᾽ ἥπατι, καὶ σπληνὶ κατὰ τὰς οἰδηματώδεις διαθέσεις. ὡς σκιρρωθέντα γε καὶ ταῦτα τὰ σπλάγχνα, σκληροὺς ἱκανῶς ἀποτελεῖ τοὺς σφυγμούς, ἧττον δὲ τῶν σκίρρων, ἐν ταῖς φλεγμοναῖς. ἐγκέφαλος δέ, καὶ πνεύμων, ἴσως ἂν οὐδ᾽ ἐδέξαντό ποτε διάθεσιν σκιρρώδη· σκληροῖς γὰρ καὶ πυκνοῖς σώμασιν, οὐκ ἀραιοῖς, καὶ μαλακοῖς ἡ τοιαύτη διάθεσις οἰκεία. κοινὰ δ᾽ ἐπὶ πᾶσι τοῖς εἰρημένοις ἐπίστασθαι, κἂν εἰ μὴ λελεγμένα καθ᾽ ἕκαστον τύχοι, τό τε τὰς ψυχρὰς διαθέσεις, ὅταν ὑπερβαλλόντως γένωνται τοιαῦται, σκληροὺς ἐργάζεσθαι τοὺς σφυγμούς, ἄλλως δ᾽ οὔ, καὶ τὸ τὰς ἀρτηρίας ὅσαι πλησίον, ἀλλοιοῦσθαι μᾶλλον εἰς μαλακότητά τε καὶ σκληρότητα, τὰς δ᾽, ἤτοι πόρρω τῶν πεπονθότων, ἢ διὰ μέσης τῆς καρδίας, ἧττον. τοῦτ᾽ οὖν ἐπιστάμενός τις, οὐδὲ περὶ τῶν ἄλλων ὅσα κατὰ πρόσωπον, ἢ τὸν τράχηλον, ἢ τὰ κῶλα, νοσήματα γίνεται, διδασκαλίας ἑτέρας δεήσεται. εἰ μὲν γὰρ πυκνόν, καὶ σκληρὸν εἴη τὸ πεπονθὸς μόριον, σκληροὺς ἐργάσεται τοὺς σφυγμούς, εἴτε φλεγμαῖνον, εἴτε σκιρρούμενον, εἴθ᾽ ὑπερβαλλόντως ψυχόμενον, εἰς συμπάθειαν ἄγει τὰς ἀρτηρίας. εἰ δὲ σαρκῶδες, εἰ μὲν ἤτοι φλεγμήνειεν, ἢ σκιρρωθείη, σκληρούς, ἀλλ᾽ ἧττον τῶν προειρημένων. εἰ δ᾽ οἰδήσειε, μαλακούς. συμπαθήσουσί τε τοῖς μὲν ἀρτηριώδεσι θᾶττον, αἵ τ᾽ ἐγγὺς ἀρτηρίαι πᾶσαι, καὶ ἡ καρδία. τοῖς δὲ φλεβώδεσιν, ἐφεξῆς τούτων. ἥκιστα δὲ τοῖς νευρώδεσιν. ἐν χρόνῳ τε γὰρ ταῦτα καὶ μεγάλως πάσχοντα, τὴν κίνησιν τῶν ἀρτηριῶν ἀλλοιοῖ. οὐδὲν οὖν θαυμαστόν, οὐδὲ διότι τοῖς κατὰ ἐπιγάστριόν τε καὶ θώρακα μυσὶ φλεγμήνασι πυρετοὶ μὲν ἑτοίμως ἕπονται, καὶ διὰ τοῦτο, καὶ οἱ σφυγμοὶ μεγάλοι γίγνονται, καὶ ταχεῖς, καὶ πυκνοί, σκληρὸς δ᾽ ἐπ᾽ αὐτῶν ἱκανῶς ὁ σφυγμός, ἢ σπασμώδης, οὐδέποτε γίγνεται. τῶν δ᾽ ἐν πήχει, καὶ κνήμῃ μυῶν φλεγμηνάντων, καὶ μάλιστα καθ᾽ ὃ μέρος αὐτῶν ἐκπεφύκασιν οἱ τένοντες, ἑτοίμως μὲν ἁλίσκονται καὶ σπασμῷ, ῥᾷστα δ᾽ οἱ σφυγμοὶ τείνονταί τε, καὶ σκληρύνονται. σαρκώδεις μὲν γὰρ οἱ περὶ τὸν θώρακά τε καὶ γαστέρα, νευρώδεις δ᾽ ἱκανῶς οἵ τ᾽ ἐν χερσί, καὶ ποσί. ἔτι δὲ μᾶλλον εἰ τένων φλεγμήνειε τῶν κατὰ χεῖρας ἄκρας ἢ πόδας, ἑτοίμως μὲν ὁ σφυγμὸς αὐτοῖς γίγνεται σκληρός. ἑτοίμως δὲ σπῶνται. γίγνονται δ᾽ ἱκανῶς σκληροὶ σφυγμοὶ καὶ δι᾽ ἥπατος ἢ σπληνὸς σκίρρον. ἀλλ᾽ ἐπὶ τοῖς οὕτω σκληροῖς, ἀδεὲς σπασθῆναι. σπληνὶ μὲν οὖν μεγάλως σκιρρωθέντι, πολλάκις ἐθεασάμεθα μηδόλως ἐπιγιγνόμενον ὕδερον. ἥπατι δ᾽ ἐξ ἀνάγκης ἕπεται, καὶ γίνεται τηνικαῦθ᾽ ὁ σφυγμός, θαυμαστόν, ὅπως ἀμφοτέρων τῶν διαθέσεων ἔχων τὰ σημεῖα, τὸν μὲν χιτῶνα τῶν ἀρτηριῶν αὐτὸν ὑγρότερόν τε καὶ μαλακώτερον, ἐνδεικνύμενον δὲ σαφῶς, τὴν ἐπὶ τῷ σκίρρῳ τάσιν, καὶ διὰ τοῦτο, καὶ σκληρότερον. αὐτὸς δὲ καθ᾽ ἑαυτὸν ὕδερος, ἄνευ σπλάγχνων φλεγμονῆς, οὐδεμίαν ἐργάζεται περὶ τὸν σφυγμὸν τάσιν. συνίστανται δ᾽ οἱ τοιοῦτοι, δι᾽ αἱμορροΐδος ἄμετρον κένωσιν, ἢ ἐπίσχεσιν ἀήθη. κατὰ δὲ τὸν αὐτὸν τρόπον, αἱ τῶν καταμηνίων ἐπισχέσεις τε, καὶ ἄμετροι κενώσεις, ὑδέρους ἐπιφέρουσιν. ὅσα δὲ κατὰ μήτραν πάσχουσι γυναῖκες, εἴρηται πρόσθεν, ὅπως ἀλλοιοῖ τοὺς σφυγμούς, ἡνίκα παρεβάλλομεν αὐτὴν κύστει.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Οἵτινες ἂν γίνωνται σφυγμοὶ νοσούντων τῶν ὄρχεων.

Λοιπὸν οὖν ἔτι, περὶ τῶν κατὰ τοὺς ὄρχεις μνημονεῦσαι προσήκει. ταυτὶ γὰρ τὰ μόρια καίτοι γ᾽ ἔξω ἐκτὸς ὄντα βουβώνων

Verùm his, qui duri per meninges sunt, similis ille est, qui ob septum transuersum, & tunicam succingentem. Qui cerebri, & pulmonis gratia molles sunt, ita sunt molles, vt nullus alius. His præ cæteris vicinior est ille, qui ex iecinore, & liene oritur, œdemate affectis; nam scirrho etiam hæc viscera obsessa pulsus satis duros efficiunt; minùs, si inflammata sint, quàm si laborent scirrho. Cerebrum, & pulmo fortassis ne admittunt quidem scirrhum; duris enim corporibus, & crassis hic affectus, non raris, & mollibus, familiaris est. In communi autem de omnibus, quæ commemorauimus, licet non referamus sigillatim, sciendum est, affectus, si nimium frigidi sint, & supra omnem modum, duros pulsus facere, alioquin non; prætereà arterias viciniores in mollitiem, & duritiem transire magis, quæ longè disiunctæ sunt à locis affectis, aut si interpositum sit cor, minùs. Quod si teneas, nihil est, de cæteris morbis faciei, colli, artuum, quòd alia præcepta requiras. Nam pars affecta, si crassa, & dura sit, pulsus efficiet duros, siue inflammata, siue scirrho affecta, siue supra modum refrigerata in consensum trahat arterias; si carnosior sit, eaque vel inflammata sit, vel scirrho induruerit, duros quidem sed minùs superioribus. sin œdema habuerit, molles. Ac consentient arteriosis celerius vicinæ omnes arteriæ, & cor; venosis secundum has; tardissimè autem neruosis; tempore enim hæ, & insigniter læsæ motum arteriarum immutant. Nil mirum ergo est abdominis, & thoracis inflammatis musculis facilè comitari febres; quamobrem, & pulsus fiunt magni, celeres, & crebri, sed durus illis pulsus, vel conuulsiuus nunquam fit. Si vlnæ, vel tibiæ musculi inflammati sint, maximè qua parte tendines exoriuntur, facilè conuulsione corripiuntur, facillimè etiam pulsus tenduntur, ac indurescunt; thoracis etenim, & ventris carnosi musculi sunt, neruosiores manuum, & pedum. Adeoque si tendo aliquis in summis manibus, vel pedibus inflammatus sit, promptè illis pulsus durus fit, promptè item conuelluntur. Iam verò admodum duri fiunt pulsus ex scirrho iecinoris, vel lienis; sed iis, quibus ad eum modum sunt duri, nullum conuulsionis periculum est. Ac, quum insigni lien scirrho affectus esset, frequenter conspeximus non consecutum hydropem; iecinori verò succedit necessario; fitque tum pulsus, mirum, præditus signis vtriusque affectus, tum tunica ipsa arteriarum humidiore mollioreque, tum indicante apertè tensionem ex scirrho, atque ita duriore. Ipse sua sponte hydrops citra viscerum inflammationem pulsum non intendit; ille exoritur propter hæmorrhoidum immodicam vacuationem, aut insolitam suppressionem, itemque menstruorum suppressiones, & immodicæ vacuationes aquam inter cutem gignunt, vteri affectus mulierum, declarauimus antè, quemadmodum varient pulsus, quum vesicæ eum compararemus.

CAPVT X.

Testibus affectis qui fiant pulsus.

VNum etiã reliquũ est, de testibus vt dicamus, nã hæ partes, etsi extra inguina sunt, ita tim vbi

vbi inflammata sunt; febres propter vasorum vicinitatem accendunt. Etenim supernè à renum regionibus vena, & arteria descendunt per peritonæi foramina ad testes, vasa sanè magnitudine insigni; etiam ipsa tunica elytroides adnata peritonæo est. Quare meritò, si hæc sit inflammata, pulsus durus fit; ac proinde minor; ex testibus non ita durus, & magnus, causa febris. Quæ enim partes arteriosæ, & venosæ sunt, febres excitant magis; quæ neruosæ, aut nullas omnino, aut paruas; at tetanos generant, & conuulsiones. Omnia iam, quæ instituerамus, absoluimus; nam singularum partium omnibus affectibus recensitis, declarauimus, quem quæque mutatio pulsum creet.

CAPVT XI.

Futura ex quibus sint præsagienda.

NVnc ergo, quod in primis operæpretium est, compendiosè hæc in pauca capita reducamus; nam præsentium cognitio, nihil aliud est, ac affectuum inuentio; cognitio præteritorum, nihil etiam aliud, atque inuentio causarum, quæ affectus inducunt. Quare si in his commentariis omnes affectus explicati sunt; omnes autem causas effectrices partim in aliis commentariis exposuimus, partim in superioribus de causis pulsuum, nihil iam desideretur ad præsentienda præterita vel præsentia. Nam futurorum sumi præsagia ex præsentibus etsi sæpe iam antè monstrauimus, tamen omnia nunc etiam summatim, necesse est percurramus, hinc inducto exordio de euentis, quæ expectantur, dignoscendis. Vnum est ac primum quidem, quo erumpet morbus, ad exitiumne an ad salutem; alterum ab hoc, quo potissimum hoc tempore accidet; tertium iam, quinam modus erit mortis, & salutis. Hæc omnia ex affectibus præsagiuntur; ex ipsis enim, vt ostendimus, morbi genus, & facultatis imbecillitas vel robur dignoscitur; hæc si inter se conferantur, futura præsentiuntur. Morbus enim cognoscitur ex loco affecto, eiusque affectu; facultas ex proba temperie, vel intemperie corporum solidorum; nam si imbecillitates quædam ob spiritum animalem accidant, breues sunt illæ, & symptomatum ratione consequuntur. Hæc si inter se conferantur, si facultas morbi vigorem possit sustinere, seruari hominem necesse est, siquidem nihil erratum sit extrinsecus, sin autem sit impar, moriatur, necesse est. Tempus, quo vtrunque horum accidet, ex his præscietur. Euadent, qui erunt superstites, illo tempore, quo morbosam affectionem semel superatura est natura; morientur tunc temporis, quo facultatem morbus adeo prosternet, vt functio aliqua ad vitam necessaria pereat. Et verò etiam modus tum mortis, tum salutis indidem præscietur. Functiones enim, quæ ad vitam requiruntur, abolitæ, partim suffocant, partim vitalem facultatem prosternunt, partim proportione & vitalem prosternunt, & suffocant. Vitalem facultatem suffocant affectus, qui ex thorace, pulmone, aspera arteria, gutture, faucibusque procedunt; nonnulli etiam ipsum statim cor occupant. Qui prosternunt facultatem, ex stomachicis, quos vocant, affectibus, vnde syn-

αὐτίκα πυρετοὺς ἐπιφέρει φλεγμήναντα, διὰ τὴν τῶν ἀγγείων γειτνίασιν. ἄνωθεν γὰρ, ἀπὸ τῶν κατὰ τοὺς νεφροὺς χωρίων, καταφέρεται φλὲψ, καὶ ἀρτηρία, διὰ τῶν τοῦ περιτοναίου τρημάτων, ἐπὶ τοὺς ὄρχεις, ἀξιόλογα τὸ μέγεθος ἀγγεῖα. καὶ ὁ ἐλυτροειδὴς δὲ χιτὼν, ἀπ' αὐτοῦ τοῦ περιτοναίου πέφυκεν, ὥστ' εὐλόγως ἐπὶ τούτῳ μὲν φλεγμήναντι, σκληρὸς ὁ σφυγμὸς γίγνεται. καὶ διὰ τοῦτο, καὶ μικρότερος. ἐπ' ὄρχεσι δ', οὐχ ὁμοίως σκληρὸς, καὶ μέγας διὰ τὸν πυρετόν. ὅσα μὲν γὰρ ἀρτηριώδη τέ ἐστι, καὶ φλεβώδη μόρια, πυρετοὺς ἐγείρει μᾶλλον. ὅσα δὲ νευρώδη, ἢ οὐδόλως, ἢ μικρούς. τετάνων δ' ἐστὶ καὶ σπασμῶν γεννητικά. τὰ μὲν οὖν προτεθέντα πάντα, ἤδη τέλος ἔχει, τὰς γὰρ ἐν ἑκάστῳ μορίῳ διαθέσεις ἁπάσας ἐπελθόντες, ἐδηλώσαμεν, ὁποῖόν τινα ἑκάστη τροπὴ ἐργάζεται σφυγμόν.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Οἵτινες ἂν γίνωνται σφυγμοὶ νοσούντων τῶν ὄρχεων.

ΟΠερ δ' ἀναγκαιότατόν ἐστιν, εἰς ὀλίγα κεφάλαια τὴν σύνοψιν αὐτῶν ἀναγαγεῖν πειραθῶμεν. ἡ μὲν δὴ τῶν ἐνεστώτων διάγνωσις, οὐδὲν ἄλλο ἐστὶν, ἢ διαθέσεων εὕρεσις. ἡ δὲ τῶν προγεγονότων, οὐδὲν αὖ πάλιν ἄλλο, ἢ τῶν τὰς διαθέσεις ἐργαζομένων αἰτίων. εἰ τοίνυν ἅπασαι μὲν αἱ διαθέσεις ἐν τῇδε τῇ πραγματείᾳ διῄρηνται, ἅπαντα δ' εἴρηται τὰ ποιητικὰ μὲν, ἐν ἑτέραις πραγματείαις, τὰ δ' ἐν τῇ προηγουμένῃ τῆσδε, τῇ περὶ τῶν ἐν τοῖς σφυγμοῖς αἰτίων, λείποιτ' ἂν οὐδὲν ἔτι, τῶν εἰς πρόγνωσιν ἀναγκαίων. ἤτοι τῶν προγεγονότων, ἢ τῶν παρόντων. ὅτι δὲ καὶ ἡ τῶν μελλόντων πρόγνωσις, ἐκ τῶν ἐνεστώτων γίγνεται, πολλάκις μὲν ἤδη καὶ διὰ τῶν ἔμπροσθεν εἰρημένων ἐνεδειξάμεθα, καὶ νῦν δ' ἀναγκαῖον, ἅπαντα διελθεῖν ἐπὶ κεφαλαίων τῶν λόγων, ἀρχὴν αὐτῶν, τὴν δὲ ποιησαμένους, τῆς περὶ τὸ μέλλον ἀποβήσεσθαι διαγνώσεως. ἓν μὲν καὶ πρῶτόν ἐστιν, εἰς ὅ, τι τελευτήσει τὸ νόσημα, πότερον εἰς ὄλεθρον, ἢ εἰς σωτηρίαν. ἕτερον δ' ἐπ' αὐτῷ δεύτερον, ἐν τίνι μάλιστα τοῦτ' ἔσται χρόνῳ. καὶ τρίτον δ' ἐπὶ τούτοις, τίς ὁ τρόπος ἔσοιτο τοῦ τε θανάτου, καὶ τῆς σωτηρίας. ἁπάντων δὲ τούτων ἡ πρόγνωσις ἐκ τῶν διαθέσεων ἐστιν. ἐξ αὐτῶν γὰρ, ὡς ἐδείξαμεν, ἥ τε τοῦ νοσήματος ἰδέα, καὶ τῆς δυνάμεως ἀρρωστία τε, καὶ ῥώμη διαγιγνώσκεται. τούτων δ' ἀλλήλοις παραβαλλομένων, τὰ μέλλοντα γενήσεσθαι προγιγνώσκεται. τοῦ μὲν γὰρ νοσήματος ἡ γνῶσις, ἐκ τόπου τοῦ πεπονθότος ἐστὶ, καὶ τῆς ἐν αὐτῷ διαθέσεως. τῆς δὲ δυνάμεως, ἐκ τῆς εὐκρασίας τε, καὶ δυσκρασίας τῶν στερεῶν σωμάτων. εἰ γὰρ ἀσθένειαι γίνονταί τινες, διὰ τὸ πνεῦμα τὸ ψυχικὸν, ὀλιγοχρόνιαί τ' εἰσὶ, καὶ συμπτωματικαί. ἀλλήλοις δὲ τούτων παραβαλλομένων, εἰ μὲν οἷά τε ἐστὶ τὴν ἀκμὴν τοῦ νοσήματος ἐνεγκεῖν ἡ δύναμις, ἀνάγκη σωθῆναι τὸν ἄνθρωπον, ἔξωθέν γε μηδενὸς ἁμαρτηθέντος. εἰ δ' οὐχ οἷά τε, πάντως τεθνήξεσθαι. τοῦ χρόνου δ' ἡ πρόγνωσις, ἐν ᾧ τῶν εἰρημένων ἑκάτερον ἔσοιτο, διὰ τῶνδε γνώσκεται. σωθήσονται μὲν οἱ μέλλοντες σώζεσθαι κατ' ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ περ ἂν ἡ φύσις ἐπικρατήσῃ τελεώτατα, τῆς νοσώδους διαθέσεως. τεθνήξεται δὲ κατ' ἐκεῖνον τὸν χρόνον, ἐν ᾧ περ, τὸ νόσημα, τῆς δυνάμεως εἰς τοσοῦτον ἔσται κρατῆσαν, ὡς ἐνέργειάν τινα τῶν πρὸς τὸ ζῆν ἀναγκαίων, ἀπολέσθαι. καὶ μὲν δὴ καὶ ὁ τρόπος, ὅ, τε τοῦ θανάτου, καὶ ὁ τῆς σωτηρίας, ἐκ τῶν αὐτῶν προγνωσθήσεται. τῶν γὰρ ἀπολλυμένων ἐνεργειῶν ἀναγκαίων εἰς τὸ ζῆν, ἔνιαι μὲν πνίξιν ἐπιφέρουσιν· ἔνιαι δὲ τῆς ζωτικῆς δυνάμεως καταπτῶσιν. ἔνιαι δ' ἀνάλογον, τῆς ζωτικῆς κατάπτωσίν τε καὶ πνίξιν. αἱ μὲν οὖν τῆς ζωτικῆς δυνάμεως ἐπιφέρουσαι πνίξιν, ἐκ τοῦ θώρακός τε, καὶ πνεύμονος, ἔτι τε τραχείας ἀρτηρίας, καὶ λάρυγγος, καὶ φάρυγγος ὁρμῶνται διαθέσεις. ἔνιαι δὲ, καὶ κατ' αὐτὴν εὐθέως συνίστανται τὴν καρδίαν. αἱ δὲ τὴν κατάπτωσιν, ἔκ τε τῶν στομαχικῶν ὀνομαζομένων διαθέσεων, ἐφ' αἷς

συγκόπτονται, καὶ προσέτι τῶν καθ' ἧπαρ χρονίων, ἐφ' αἷς ἀποφῦσι, καὶ ἀλγημάτων χρονίων, ἢ σφοδρῶν. ἔτι τε τῶν ἑκτικῶν ἁπάντων πυρετῶν. συνελόντι δὲ φάναι, αἱ τοῦ τῆς καρδίας σώματος αἱ μεγάλαι δυσκρασίαι, καθ' ὃν ἄν τινα τρόπον, ἢ αὗται καθ' ἑαυτὰς εὐθὺς ἐξ ἀρχῆς, ἢ δι' ἕτερα σπλάγχνα πάθωσι, καταβάλωσιν. ἐπάγουσι τῆς ζωτικῆς δυνάμεως. οὕτω δὲ, καὶ τῆς ψυχικῆς δυνάμεως, αἱ μὲν ἀρρωστίαι, ταῖς ἐγκεφάλου μεγάλαις ἕπονται δυσκρασίαις. αἱ δ' οἷον πνίξεις, ταῖς τε πληρώσεσι τῶν κοιλιῶν αὐτοῦ, καὶ ταῖς ἐμφράξεσι τῶν εἰς αὐτὰς ἡκόντων πόρων. ὥσθ' ὅστις ἀκριβῶς διαγινώσκει μέτρον τε δυνάμεως, καὶ τόπον πεπονθότα, καὶ τὴν ἐν αὐτῷ διάθεσιν, οὗτός ἐστιν ὁ προγνωστικώτατος τῶν ἐσομένων. ὅπως μὲν οὖν χρὴ διαγινώσκειν τὰ πεπονθότα μόρια, δι' ἑτέρας δεδήλωται πραγματείας. ὅπως δὲ καὶ τὰς διαθέσεις αὐτῶν, ἐν ἐκείνῃ τε συνεπιδέδεικται, κἀν τοῖς περὶ κρίσεων, οὐχ ἥκιστα, καὶ μέντοι κἀν τῇδε τῇ πραγματείᾳ. λέλεκται δὲ καὶ περὶ τῶν δυνάμεων, ἐν πολλοῖς πολλάκις, ὡς ἔκ τε τῶν ἐνεργειῶν αὐτῶν, ἡ διάγνωσις, ἔκ τε τῆς τῶν ἐνεργούντων δυσκρασίας. περὶ μὲν δὴ τῶν ἄλλων δυνάμεων, ἐν ἑτέρῳ διώρισται, περὶ δὲ τῆς τοὺς σφυγμοὺς ἐργαζομένης, ἣν δὴ καὶ ζωτικὴν ὀνομάζομεν, εἴρηται μὲν καὶ ἐν τούτοις οὐκ ὀλίγα, λεχθήσεται δὲ καὶ νῦν.

cope corripiuntur; ex iecinoris etiam diuturnis, propter quos cibum non sentiunt; præterea ex longis doloribus, vel vehementibus; ad hæc ex omnibus hecticis febribus; breuiter corporis cordis ingens intemperies, quoquo modo, siue per se hæc inde ab initio, siue propter alia viscera constituatur, deiicit vitalem facultatem. Iam verò etiam animalis facultatis imbecillitates, cerebri magnam intemperiem comitantur; eiusdem quasi suffocationes, impletionibus eius ventriculorum, & obstructionibus meatuum, qui in eos penetrant. Proinde cui mensura facultatis perspecta ad vnguem sit, locusque affectus, & eius affectus, hic ad futura præsentienda est peritissimus. Quemadmodum verò dignoscendæ sint partes affectæ, in aliis commentariis explicauimus. Ac quomodo etiam illarum affectus, cùm illis, tum maxime in libris de iudicationibus, & etiam in hac lucubratione: de facultatibus etiam sæpe diximus, multisque locis; atque ex actionibus cognoscuntur, & ex agentium intemperie. De cæteris facultatibus egimus alio loco: at de illa, quæ pulsus efficit, quam scilicet appellamus vitalem; & in his commentariis verba fecimus non pauca; & faciemus etiam nunc.

ΚΕΦΑΛΑΙΟΝ ΙΒʹ.

Περὶ διαγνώσεως τῆς ζωτικῆς δυνάμεώς τε, καὶ περὶ τῆς τῶν κρίσεων προγνώσεως διὰ τῶν σφυγμῶν.

Ἐπειδὰν μὲν ἅπαντες ἀμυδροὶ τυγχάνωσιν ὄντες οἱ σφυγμοί, κατὰ τὸν ἑαυτοῦ λόγον, ἡ δύναμις ἀρρωστεῖ. καθ' ὅλον μὲν τὸ σῶμα τούτου γινομένου, τοῦ τῆς καρδίας σώματος ἔχοντος δυσκράτως. καθ' ἓν δὲ μόριον, ἐκείνου μόνου τοῦ μορίου. ἐπειδὰν δὲ κατὰ τὰς αὐτὰς ἀρτηρίας, ἐνίοτε μὲν ἀμυδρὸς ὁ σφυγμός, ἐνίοτε δὲ ᾖ σφοδρός, οὐ κατὰ τὸν ἑαυτοῦ λόγον ἡ δύναμις ἀσθενής ἐστιν, ἀλλ' ὑπὸ πλήθους βαρύνεται μόνον. ἐγὼ δ' οὐδέποθ' εὗρον, οὔτ' ἐν ὅλῳ τῷ σώματι, τὴν τοιαύτην ἀνωμαλίαν, οὔτε καθ' ἕν τι μόριον, ἀλλὰ καὶ τἄλλα γένη συμμεταβάλλοντά τε, καὶ ἀνώμαλα γινόμενα. λέγω δὲ γένη, τό, τε κατὰ μέγεθος καὶ μικρότητα, καὶ τὸ κατὰ τάχος, καὶ βραδύτητα, καὶ τὸ κατὰ πυκνότητα, καὶ ἀραιότητα. καὶ γὰρ μεγάλοι, καὶ μικροί, καὶ μέσοι, καὶ ταχεῖς, καὶ βραδεῖς, καὶ μέσοι, καὶ πυκνοί, καὶ ἀραιοὶ καὶ μέσοι, καθάπερ γε καὶ ἀμυδροὶ καὶ σφοδροὶ καὶ μέσοι, ταῖς ὑπὸ πλήθους χυμῶν βαρυνομέναις γίνονται δυνάμεσιν. εἰ μὲν οὖν οἱ σφυγμοί, οἱ σφοδροί, καὶ μεγάλοι, πλείους τῶν ἐναντίων ὑπάρχοιεν, ἧττον ἡ δύναμις ὑπὸ τοῦ πλήθους κέκμηκεν. εἰ δ' οἱ μικροί, καὶ ἀμυδροί, μᾶλλον. οὕτω δὲ καὶ οἱ κατὰ μίαν πληγὴν ἀνώμαλοι, ὅσοι τε διακοπτομένης ἡσυχίᾳ τῆς κινήσεως, ὅσοι τε συνεχοῦς μενούσης ἐλέχθησαν γίνεσθαι. πάντες οὗτοι τὰ τέλη τῶν κινήσεων εὐτονώτερά τε, καὶ θάττονα ποιούμενοι, ῥωμαλεωτέραν ἐνδείκνυνται τὴν δύναμιν ὑπάρχειν ἁπάντων, τῶν ἀμυδροτέραν τε, καὶ βραδυτέραν ποιουμένων. ἐλέχθη δ' αὐταρκῶς, καὶ περὶ τῆς ἐν τοῖς μυούροις διαφορᾶς. ὅταν οὖν ποτε, ἐπὶ τῇ τοιαύτῃ καταστάσει τῶν σφυγμῶν, ὑψηλὸς ὁ σφυγμὸς φανῇ, δῆλον μὲν ἔτι μέγας ἱκανῶς ὁ τοιοῦτός ἐστιν, ὡς ἔμπροσθεν εἴρηται, δηλώσει δὲ τὴν φύσιν ἐπικρατεῖν ἤδη τοῦ πλήθους. ἀμυδρὸς μὲν οὖν σφυγμός, ὑψηλὸς οὐδέποτε γίνεται, μᾶλλον μέντοι καὶ ἧττον σφοδρός, ὅσῳ περ ἂν ὑψηλότερός τε ἅμα, καὶ σφοδρότερος ἀποτελεσθῇ, τήν τε ῥώμην ἐνδείκνυσι τῆς δυνάμεως, ἀκώλυτόν τε τὴν κίνησιν. εὐθὺς δὲ τῇ τοιαύτῃ μεταπτώσει συμμεταβάλλειν ἀναγκαῖόν ἐστι τὴν ἔμπροσθεν ἀνωμαλίαν, καὶ πρῶτον μὲν τοὺς μεγάλους, καὶ ὑψηλοὺς σφυγμοὺς πολὺ πλείους γίνεσθαι τῶν ἐναντίων. ἔπειτα δὲ, καὶ πάντας ἑξῆς ὁμαλεῖς. οὗτοι ἀνάγκης οὖν δι' ἐκκρίσεως κριθήσονται. καὶ οὐ μόνον τοῖς ὑψηλοῖς τε καὶ σφοδροῖς σφυ-

CAPVT XII.

De facultate vitali cognoscenda: & de iudicationibus per pulsus præsagiendis.

QVum omnes pulsus per se languidi sunt, infirma facultas est; quod per totum corpus fiet, quum ipsum cordis corpus intemperatum sit; in vna parte, quum sola illa pars. Vbi earundem arteriarum nunc languidus pulsus sit, nunc vehemens, facultas non est per se quidem imbecilla, sed abundantia humorum grauatur. Solam autem nec in toto corpore hanc inæqualitatem, nec vna in parte, inueni vnquam, sed alia simul tria genera immutari, fierique inæqualia; tria genera inquam, magnitudinis, & paruitatis, celeritatis, & tarditatis, crebritatis, & raritatis; etenim magni, parui, medij, celeres, tardi, medij, crebri, rari, medij, non aliter, ac languidi, vehementes, medij, facultatibus accidunt, quæ à copia humorum grauantur. Ac si pulsus vehementes, & magni numero contrarios vincant, minùs facultas offenditur à copia; sin parui, & languidi, magis. Et inæquales item in vno ictu, tum quos interpellato quiete motu, tum quos perpetuò manente, diximus fieri, hi omnes, si fines motuum validiores, & celeriores efficiant, nunciant facultatem esse robustiorem omnibus, qui languidiorem, & tardiorem efficiant. De differentia decurtatorum satis etiam est dictum. Quum ergo in tali statu pulsuum, altus pulsus videatur, apertum est, illum permagnum esse, vt ante diximus; declarabit etiam superiorem iam naturam copia esse. Languidus igitur pulsus nunquam altus est; cæterùm magis, & minus vehemens, quò altior simul, & vehementior euaserit, robur facultatis nunciabit, liberumque motum. Simul autem cum ea mutatione mutari prius necesse est inæqualitatem, ac primum magnos, & altos pulsus contrariis multo plures; deinde omnes ordine æquales; hi excretionibus, necesse est, iudicentur. Nec altos tantum, & vehementes pulsus hoc comitatur,

sed

sed etiã magnos pariter, & vehementes; at certiùs, & firmiùs, si alti sint. Hic cõtractionis motus est attẽdendus: semper enim abiicere inuenies eã, priorem celeritatẽ, & minùs hoc, & magis eam facere. Itaq; discretio tibi hinc modi iudicationis suppetit; melior enim iudicatio solet expectari cõtractionis celeritate plus remissa; & si huc alia signa accedant cõcoctionis (quæ sum omnia cõplexus in cõmentariis De iudicationibus) optimã iudicationẽ promittit hic status. Quòd si cõtractionis celeritas parum sit remissa, aut morbus haud dũ videatur concoctus esse, expectanda quidẽ est iudicatio per excretionem, non tamen vndequaque probata; sed aliquid habebit malarum iudicationũ, aut vnum, aut duo, aut etiam simul omnia. At, si pulsus sit magnus, & vehemens, nec præcedat illa inæqualitas, non semper portendit excretionem. Altus semper quidem, sed si non præcesserit inæqualitas, modicas excretiones spondet; copiosas, quum multas sequatur inæqualitates; quæ declarent facultatem copia onerari. Miraberis optimis iudicationibus altum vnà, & moderatum celeritate in contractione pulsum, præsertim consequentibus excretionibus, antecedere; & non in distentionibus arteriarum, quum in se attrahant, sed in contractionibus, quando excernunt. Quod mihi videtur præcipuè Archigenem adduxisse, vt putaret arterias in contractionibus attrahere aliquid in se ipsas, in distentionibus excernere; at fieri hoc non posse, in libro De vsu pulsuum docuimus. Quæ verò sit causa, quamobrem altus simul, & celer in contractione pulsus promittat decretorias excretiones, hoc loco explanabimus. Non eadem est facultas vitalis, quam vocãt, & nutrix naturalisque; illius enim hoc vnum opus est; generatio pulsus; naturalis id, quod familiare est ad nutritionem, allicere, & quod est alienum, excernere, preterea retinere, alterareque familiare alimentum; ad nutrienda enim corpora postulat hæc omnia, sicut ad natiui caloris tuendam mediocritatem, distentionem, & contractionem arteriarum, atque cordis. Quam facultatem, nec in stirpibus inuenias, nec in animalibus frigidis; cuius generis sunt ostrea, & quæ petris, vel aliis duris corporibus adnascuntur; animalia calida, potissimũ sanguine prædita, apertissimam hanc facultatem, & vehementissimam obtinent. Hæc ergo in contractionibus pulsuum eiicit solum fuliginosum excrementum, quod obstiterit naturalis caloris mediocritati; sicut in distentionibus, quod se refrigeret, allicit. Altera facultas nutrix conueniens attrahit alimentum, & inutile excernit. Distincta igitur facultatum principia sunt, vt in commentariis De Hippocratis, & Platonis placitis ostendi; cæterùm in singulis instrumentis inter se confunduntur. Nam arteriæ, quatenus nutriuntur, facultate nutrice gubernantur; cuius excernere alimenti excrementa munus est; sicuti alterius vitalis, fumosa excremẽta expellere. Quando igitur hæc abundant, arteriæ maximam simul, & celerem contractionem moliuntur. Quòd si fieri posset, vt digito intro in eas immisso, pulsus exploraremus; perciperemus eas penitissimè intro ferri; sed quoniam hoc non potest, celeritas primum potissimumque attendenda est; deinde contractionis quantitas, si probè ad eam dignoscendam sis exercitatus. Quum verò hæc excrementa nulla ampliùs sint, concoctique sint humores, qui antea putrescebant; altera facultate naturali concoctorum excrementa excernit.

A σμοῖς, ἀλλὰ καὶ τοῖς μεγάλοις ὁμοῦ καὶ σφοδροῖς, ἕπεται τοῦτο. βεβαιότερον δὲ καὶ ἀδιαψευστότερον, ὅταν ὑψηλοὶ γένωνται. ἐπισκέπτεσθαι δὲ τηνικαῦτα τὴν κίνησιν τῆς συστολῆς. ἀεὶ μὲν γὰρ ἀποτιθεμένην εὑρήσεις αὐτὴν τὸ πρόσθεν τάχος, ἧττον δέ, καὶ μᾶλλον, παρὰ τοῦτο. διορισμὸς οὖν ἐντεῦθέν σοι τῆς κρίσεως ἥξει ὑπάρξει. βελτίων γὰρ ἡ κρίσις ἀκολουθεῖν εἴωθε, τοῦ κατὰ τὴν συστολὴν τάχους ἐπιπλέον ἐκλυθέντος. εἰ δὲ καὶ τἆλλα τῆς πέψεως ὑπάρχοι γνωρίσματα, γέγραπται δ' ἐν τοῖς περὶ κρίσεων ἅπαντα, τὴν ἀρίστην κρίσιν ἡ τοιαύτη προδηλοῖ κατάστασις. εἰ δὲ τὸ τάχος τῆς συστολῆς ἐπ' ὀλίγον ἐκλυθῇ, ἢ καὶ μήπω φαίνοιτο πεπέφθαι τὸ νόσημα, γενήσεται μὲν ἡ μετ' ἐκκρίσεως κρίσις, οὐ μὴν ἀγαθή γε πάντως,
B ἀλλ' ἔχουσά τι τῶν κακῶν κρίσεων, ἢ ἕν, ἢ δύο, ἢ καὶ πάντα ἅμα συνόντα. χωρὶς μέντοι τοῦ προηγεῖσθαι τὴν προειρημένην ἀνωμαλίαν, ὁ σφυγμὸς μέγας τε, καὶ σφοδρὸς γινόμενος, οὐκ ἀεὶ σημαίνει τὴν ἔκκρισιν. ὁ δ' ὑψηλός, ἀεὶ μέν, ἀλλὰ χωρὶς τοῦ προγεγονέναι τὴν ἀνωμαλίαν, εἰ συσταίη, μετρίας ἐκκρίσεις ἔσεσθαι σημαίνει. παμπόλλας δ', ὅταν ἐπὶ ταῖς πολλαῖς, τὸ πρὸς τὴν δύναμιν πλῆθος ἐνδεικνυμέναις ἀνωμαλίαις, γένηται. θαυμαστὸν οὖν ἴσως δόξει, τό, τῶν ἀρίστων ἐκκρίσεων, ὑψηλόν τε ἅμα, καὶ σύμμετρον τῷ τάχει, κατὰ τὴν συστολὴν προηγεῖσθαι σφυγμόν, ἑπομένων γε τῶν ἐκκρίσεων, οὐκ ἐν ταῖς διαστολαῖς τῶν
C ἀρτηριῶν, ἡνίκα ἕλκουσιν εἰς ἑαυτάς, ἀλλ' ἐν ταῖς συστολαῖς, ἡνίκα ἐκκρίνουσι. καί μοι δοκεῖ τοῦτο, μάλιστα καὶ τοὺς περὶ τὸν Ἀρχιγένην πεῖσαι. κατὰ μὲν τὰς συστολάς, ἕλκειν τι τὰς ἀρτηρίας εἰς ἑαυτάς, κατὰ δὲ τὰς διαστολάς, ἐκκρίνειν. ἀλλ' ὅτι μὲν ἀδύνατον τοῦτο, δέδεικται διὰ τοῦ περὶ χρείας σφυγμῶν. ἥτις δ' ἐστὶν ἡ αἰτία, δι' ἣν ὁ ὑψηλός τε ἅμα, καὶ ὁ ταχύς, ἐν τῇ συστολῇ σφυγμὸς ἀγγέλλει κριτικὰς ἐκκρίσεις, ἐν τῷδε λεχθήσεται. οὐχ ἡ αὐτὴ δύναμίς ἐστιν, ἥ τε ζωτικὴ προσαγορευομένη, καὶ ἡ θρεπτική τε, καὶ ἡ φυσική. τῆς μὲν γάρ, ἔργον ἐστὶν ἓν τοῦτο μόνον, ἡ τοῦ σφυγμοῦ γένεσις. ἡ φυσικὴ δέ, τό, τὸ οἰκεῖον εἰς τὴν θρέψιν ἕλκειν, καὶ τὸ μὴ τοιοῦτον ἀποκρίνειν, σὺν τῷ καὶ κατέχειν
D δηλονότι καὶ ἀλλοιοῦν τὸ οἰκεῖον. εἰς γὰρ τὸ τρέφεσθαι, τὰ σώματα, τούτων ἁπάντων δεῖται, καθάπερ γε καὶ εἰς τὸ φυλάττεσθαι τὴν συμμετρίαν τῆς ἐμφύτου θερμασίας, τοῦ διαστέλλεσθαί τε, καὶ συστέλλεσθαι τὰς ἀρτηρίας, καὶ τὴν καρδίαν. ἥν τινα δύναμιν, οὔτ' ἐν τοῖς φυτοῖς ἐστιν εὑρεῖν, οὔτ' ἐν τοῖς ζώοις ὅσα ψυχρά, καθάπερ τὰ τῶν ὄστρεα. καὶ ὅσα προσπέφυκε πέτραις, ἢ τισιν ἄλλοις στερεοῖς σώμασιν. ὅσα δὲ θερμὰ τῶν ζώων ἐστί, καὶ μάλιστα τὰ ἔναιμα, φανερωτάτην τε καὶ σφοδροτάτην ἔχει τὴν τοιαύτην δύναμιν. αὕτη μὲν οὖν ἐν ταῖς συστολαῖς τῶν σφυγμῶν, ἀποχεῖ τὸ λιγνυῶδες περίττωμα μόνον, ὅσον ἂν ἐμποδὼν ἵστηται τῇ συμμετρίᾳ τῆς ἐμφύτου θερμασίας, ὥσπερ γε καὶ
E κατὰ τὰς διαστολάς, ἐπισπᾶται τὸ ἀναψῦχον αὐτήν. ἡ δὲ ἑτέρα δύναμις, ἡ θρεπτική, τό, τὸ οἰκεῖον εἰς τὴν θρέψιν ἕλκει, καὶ τὸ ἄχρηστον ἐκκρίνει. διάφοροι μὲν οὖν αἱ ἀρχαὶ τῶν δυνάμεών εἰσιν, ὡς καὶ τοῦτ' ἐν τοῖς περὶ τῶν Ἱπποκράτους τε καὶ Πλάτωνος ἐπιδέδεικται δογμάτων. ἐπιμίγνυνται δ' ἀλλήλαις ἐν τοῖς κατὰ μέρος ὀργάνοις. αἱ γοῦν ἀρτηρίαι, καθόσον τρέφονται τῇ θρεπτικῇ διοικοῦνται δυνάμει, καὶ ταύτης ἔργον ἐστὶν ἔκκρισις τῶν περιττωμάτων τῆς τροφῆς. ὥσπερ τῆς ἑτέρας τῆς ζωτικῆς ἡ τῶν καπνωδῶν περιττωμάτων ἔκκρισις. ὅταν μὲν οὖν ταῦτα πλεονάζῃ, μεγίστην τε ἅμα, καὶ ταχεῖαν, αἱ ἀρτηρίαι ποιοῦνται τὴν συστολήν, καὶ εἴπερ ἦν, ἐς αὐτὰς ἔσω καθέντα τὸν δάκτυλον, ἐπὶ τὴν τῶν
F σφυγμῶν διάγνωσιν ἥκειν, ᾐσθόμεθα ἂν αὐτῶν ἀκριβῶς, ἐπὶ πλεῖστον εἴσω φερομένων. ἐπεὶ δ' ἀδύνατον τοῦτο, τῷ τάχει μὲν πρώτως, καὶ μάλιστα προσέχειν τὸν νοῦν χρή. ἑξῆς δέ, καὶ τῷ ποσῷ τῆς συστολῆς, εἴ τις ἱκανῶς εἴη διαγινώσκειν αὐτό, γεγυμνασμένος. ἐπειδὰν δὲ ταῦτα μὲν τὰ περιττώματα μηκέτι ᾖ, πεφθῶσι δ' οἱ πρότερον σηπόμενοι χυμοί, ἑτέρα δυνάμει τῇ φυσικῇ τὰ περιττώματα τῶν πεφθέντων ἐκκρίνεται.

διαπεφοίτηκε δ' αὕτη διὰ παντὸς μορίου τοῦ ζώου, καὶ διὰ τῶν σαρκῶν, καὶ διὰ τῶν νεύρων, καὶ διὰ τῶν συνδέσμων, καὶ διὰ τῶν ὀστῶν. οὐ διὰ μόνων τῶν ἀρτηριῶν τε καὶ φλεβῶν διατέταται. αὕτη τοίνυν ἐστὶν ἡ δύναμις, ἣ καὶ τὰς κρίσεις ἐργαζομένη, καὶ καθόσον ταύτης μετέχουσιν αἱ ἀρτηρίαι, τὸ περιττὸν ἀποτρίβονται. διὰ δὲ τὴν ἑτέραν δύναμιν, τὴν σφυγμικήν, ἧς μόναι μετέχουσιν, ἀποκρίνουσιν ἐν ταῖς συστολαῖς τὸ καπνῶδες περίττωμα, καθάπερ ἐν ταῖς διαστολαῖς, ἕλκουσι τὸ ἀνάψυχον αὐταῖς. ἡ χρεία δ' οὐκ ἴση διὰ παντός, ἑκατέρων ἐστίν. ἀλλ' ἡ τοῦ πλεονάζοντος, ἔστιν ὅτε κρατεῖ. καὶ τοίνυν καὶ τυποῖ καθ' ἑαυτὴν τὸν σφυγμόν, εἰ καὶ τὰ τῆς δυνάμεως ὡσαύτως ἔχοι. τοῦ μέντοι καπνώδους περιττώματος κρατοῦντος, ἐπὶ πλεῖστον μὲν συστέλλεται, διαστέλλεται δ' οὐκ ἐπὶ πλεῖστον ἡ καρδία, μετὰ τῶν ἀρτηριῶν· ἀλλὰ τοσοῦτον μόνον, ὅσον αὔταρκες εἰς ἀνάψυξιν, ἀπὸ τῆς ἐσχάτης συστολῆς αὐταῖς ὑπάρχει. εἰ δὲ τὸ μὲν καπνῶδες θερμὸν ὀλίγον εἴη, πλεῖστον δέ, τὸ ἀπέριττόν τε καὶ καθαρόν, καὶ οἷον φλογῶδες, ἐπὶ πλεῖστον μὲν ἐξαίρονται διαστελλόμεναι, συστέλλονται δὲ τοσοῦτον μόνον, ὅσον ἱκανὸν εἰς τὴν τῆς ἑτέρας χρείας ἐκπλήρωσιν. ὥστε ἀεὶ μὲν ἴση κατὰ τὸ μέγεθός ἐστιν ἡ διαστολὴ τῇ συστολῇ, πλὴν εἰ κατά τινα τύχην ἐπιβαλλόντων ἡμῶν τοὺς δακτύλους, ἐξαίφνης ἡ μεταβολὴ γένοιτο. διαφέρει δὲ ἐν τῷ, ποτὲ μὲν τὴν ἔξω κίνησιν ἐπικρατεῖν, ποτὲ δέ, τὴν εἴσω. καὶ σημαίνει καθάπερ εἴρηται, καπνώδη μέν τινα κατὰ τὰς ἀρτηρίας εἶναι θερμασίαν, ἡ εἴσω κίνησις κρατοῦσα, πυρώδη δέ, καὶ καθαράν, ἡ ἔξω. διὰ ταύτην μὲν δὴ τὴν αἰτίαν, ὁ ὑψηλὸς σφυγμός, ἐκκρίσεώς ἐστι δηλωτικός, ἐπὶ πεπεμμένοις ἤδη τοῖς τὸν πυρετὸν ἐργαζομένοις, γινόμενος χυμοῖς. ἀεὶ δ' ἔκκρισις ἅπασα κατὰ λόγον φύσεως ἀποτελουμένη, πέψεσιν ἕπεται. καὶ γὰρ κατὰ τὴν γαστέρα τότε ἀποκρίνουσα φαίνεται τὸ περιττόν, ἡ φύσις, ὅταν πέψῃ. τὰς δὲ ἄλλας ἁπάσας ἐκκρίσεις, ὅσαι πρὶν πεφθῆναι τὴν τροφήν, γίνονται, ποτὲ μέν, τῷ δάκνεσθαι πρὸς τῶν ἐν αὐτῇ περιεχομένων, ποτὲ δέ, τῷ βαρύνεσθαι, πρὸ τοῦ καιροῦ τῆς πέψεως ἀναγκάζεται ποιεῖσθαι. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ ἡ καθ' ὅλον τὸ σῶμα δύναμις, ἐπειδὰν ἱκανῶς πέψῃ τὸν οἰκεῖον ἑκάστου μορίου χυμόν, ἀποκρίνει τηνικαῦτα τὸ περιττόν, ὅταν γε, ὡς εἴρηται, μηδὲν αὐτὴν ἐρεθίζῃ πρὸ τοῦ καιροῦ. τὸ πλῆθος δὲ τῆς ἐκκρίσεως, ἔκ τε τοῦ τὰ πληθωρικὰ προγεγονέναι σημεῖα, καὶ ἐκ τῆς παρούσης φλογώδους θερμασίας, προγινώσκεται. διὰ δὲ τὴν αὐτὴν ταύτην θερμασίαν, οἱ σφυγμοὶ μεγάλοι φαίνονται, καὶ ὑψηλοί. χείρισται τοιγαροῦν τῶν ἐκκρίσεών εἰσιν, ἐφ' ὧν ὁ σφυγμός, οὔτε μέγας ἐστί, καὶ ταχὺς ἐν τῇ συστολῇ φαίνεται. εἰ δὲ δὴ καὶ μέχρι πλείονος εἴσω χωροίη, τὸ καπνῶδες, τοῦτο μάλιστα σημαίνει, περίττωμα κρατεῖν. καὶ διὰ τοῦτ' ἄπεπτον ὑπάρχειν τὴν νόσον. εἰ δ' ἐν τούτῳ καὶ ἄτονος ὁ σφυγμὸς εἴη, κίνδυνος συγκοπῆναι. φλεγματωδεστέρου δὲ τοῦ νοσήματος ὑπάρχοντος, ὅταν ἐπὶ τοῖς ἀνωμάλοις σφυγμοῖς, ἡ μετάπτωσις, εἰς πλείους τοὺς σφοδρούς, καὶ μεγάλους, ἀποτελεσθῇ, δι' ἀποστάσεως ἡ κρίσις· καὶ μᾶλλον ὅταν ἤδη χρονίζῃ· καὶ μᾶλλον, ὅταν ἔτι κατὰ χειμῶνα, καὶ ψυχρὰν ἡλικίαν, καὶ φύσιν, καὶ χώραν. εἰς ὅ,τι δὲ μάλιστα τοῦ σώματος ὁρμήσει μόριον ἡ ἀπόστασις ἐκ τῶν σφυγμῶν οὐκ ἔνεστι προγινώσκειν. ἀλλ' ὡς κἀν τοῖς περὶ κρίσεων εἴρηται, σκέπτεσθαι χρὴ τὰς ῥοπὰς τῆς φύσεως, ἃς κἀν τοῖς περὶ κρίσεων λογισμοῖς, τὸν τρόπον τῆς κινήσεως ἔφαμεν ἐνδείκνυσθαι. ὅταν γὰρ ὁ σφυγμὸς ἐκκριτικὸς ἀκριβῶς ᾖ, συνόντων μὲν αὐτῷ τῶν αἱμορραγικῶν καλουμένων σημείων, ἐκ ῥινῶν αἱμορραγήσουσιν. ἀπόντων δὲ αὐτῶν, ἐξ ἄλλου τινὸς χωρίου διασκέπτεσθαι τὴν ἔκκρισιν. εἴρηται δὲ περὶ τοιούτων ἁπάντων αὐτάρκως, ἐν τοῖς τῶν κρίσεων ὑπομνήμασιν.

Hæc per omnia membra permanauit animantis, perq; carnē, & neruos, & ligamenta, ossaque; non per solas arterias, & venas est distensa. Atque hæc est illa facultas, quæ etiam iudicationes efficit; cuius quatenus participes arteriæ sunt, excrementum expellunt. Altera facultate pulsatrice, quam solæ hæ obtinent, in contractionibus fumosum excrementum excernunt, sicuti in distentionibus attrahunt refrigerium. Vsus non perpetuò par vtriusque est, sed præpollentis vsus excellit nonnunquam; itaque etiam ex se pulsum figurat, siquidem ei facultas respondeat. At verò si fumosum excrementum præpolleat, plurimùm contrahitur, distenditur autem non plurimùm cor cum arteriis; sed hactenus duntaxat, vt satis refrigerij ab extrema contractione suppetat iis. Sin autem paucus admodum fuerit fumosus calor, copiosissimus verò mundus, & purus, & quasi flammeus, in distentione plurimùm attolluntur, & contrahuntur eatenus tantum, quatenus satisfiat alteri vsui. Quare semper æqua magnitudine distentio est, atque contractio, nisi, quum digitos casu admouerimus, repentina fiat mutatio. Interest autem hoc, quod nunc foras motus magis feratur, nunc intrò; declaratque, quemadmodum diximus, si ille, qui intro fertur, præpolleat, esse in arteriis fumosum quendam calorem; igneum, & purum, si ille qui foras. Ob hanc sanè causam altus pulsus excretionem significat, concoctis iam humoribus, qui inducebant febrem, comitans. Semper porrò omnis excretio naturæ lege perfecta sequitur concoctionem; etenim in ventre conspicitur natura excrementum à cōcoctione excernere. Cæteras omnes excretiones, quæ ante quàm cibus coctus fuerit, fiunt, nunc quod vellicetur ab illis, quæ continet; nunc quia grauetur, ante tempus concoctionis cogitur moliri. Haud aliter totius corporis facultas, postea quàm satis familiarem succum concoxerit singularum partium, tum demum excrementum excernit, nisi quid eam, vt diximus, irritet ante tempus. Copia excrementorum tum ex plethoricis signis, quæ præcesserunt; tum ex præsente flammeo calore præsentitur; ob quem ipsum calorem pulsus magni videntur, & alti. Quare sunt pessimæ excretiones, quæ pulsum nec magnum obtinent, & celeriorem in contractione ostendunt. Porrò autem, si etiam se plus intro recipiat, fumosi hic excrementi affluentis in primis est nuncius, atque ob id crudi morbi. Si præterea sit pulsus languidus, periculum est syncopes. Si verò pituitosior morbus sit, quum ab inæqualibus pulsibus mutatio fiat in plures vehementes & magnos, iudicatio erit per abscessum; maximè si diuturnus sit, magisque etiam quum adhuc hyeme, & in frigida ætate, natura, & regione. At in quam potissimum corporis partem erupturus sit abscessus, non est præsagire ex pulsibus. Sed quod in commentariis De iudicationibus diximus, spectandæ sunt inclinationes naturæ, quas etiam in libris De iudicationibus à modo motus diximus declarari. Quum enim pulsus omnino ad excretionem spectat, si adiuncta habeat profluuij sanguinis signa, de naribus sanguis profluet; his si careat, ex alia quapiam parte dispicienda est excretio. Sed de his omnibus satis in commentariis De iudicationibus disseruimus.

GALENI SYNOPSIS LIBRORVM SVORVM SEXDECIM DE PVLSIBVS.

CAPVT PRIMVM.

In quo præstent Diexodici libri Epitomis, & cur priùs legendi ij sint. Curque Galenus hanc Synopsin conscripserit. Argumentum sexdecim librorum de Pulsibus.

PLERIQVE hominum appetunt quidem scientiam exquisitam eorum, quæ quotidie discunt; viam tamen, quæ ad ipsam ducit, adire grauantur. Et ob id, quum sermones per Diexodon, idest, fusam enarrationem expositos, tanquam prolixos effugiant; nonnulli quidem Isagogas, id est introductiones, seu institutiones, vel Hypographas, idest subscriptiones, vel Hypotyposeis, idest subfigurationes, legunt; nonnulli verò Epitomas, idest resectiones, seu breuiaria, vel Synopseis, id est compendia, vel Epidromas, idest transcursus. Posteà deinceps, quum aliquando in homines artis contradicendi peritos incidunt, nec quæ ab illis dicuntur, soluere queunt, propterea quòd nec eorum solutiones discere voluerint, desistunt à veris. Oportet ergo, vt ipsi (hoc præcipuè cognoscentes, diexodicam doctrinam cæteris præstare, quod non solùm vera docet, sed & ipsis demonstrationes adiungit, & contradictiones, & earum solutiones) quum ab huiusmodi doctrina destiterint, desistant etiam disputare cum aliis de veritate eorum, quæ didicerunt. Non tamen ita faciunt; & ob id euenit, vt per totam vitam eorum sententiæ agitentur, veluti nauis fluctibus iactata. Demonstrationes enim tanquam anchoræ sunt, vt scientiæ firmiter appellentur, nec dimoueantur. Ego igitur adhortor, vt discant quidem omnia perfectè, vel statim à principio; vel per hypotyposin, aut synopsin prius introducti; quum autem exquisitè didicerint, tunc & epitomas legant, quando paucis verbis eorum reminisci voluerint, quæ antea prolixè didicerant. Omninò sanè decreueram nullius meæ tractationis epitomen facere, satius esse existimans, vt qui diexodos accuratè perlegissent, sibi ipsis epitomas facerent; vtiles enim hoc modo, tum epitomæ tum synopseis fiunt, iuxta proprium captum vnicuique scriptæ. Quoniam autem animaduerti alios mearum tractationum epitomas non rectè facere; in quas dum incidunt, qui diexodos legere grauantur, non parum læduntur; ob id coactus ipse sum ad hoc negocium peruenire, præter eam, quam ab initio habui, sententiam. Ac primam quidem omnium, tractationem de pulsibus, in synopsin redegi. Erat autem tota ipsius diexodus in quatuor partes diuisa; quarum prima differentiam ipsorum, secunda dignotionem, tertia causas, quarta præcognitionem tradit. In prima ergo parte, quæ est de pulsuum differentia, quo modo quis methodo inueniat pulsuum omnium numerum, docetur; in secunda verò, quomodo vnumquenque ipsorum dignoscat; nam quidam ipsorum difficulter dignosci queunt, quidam dignosci ad tactum nequeunt. Tertia pars, à quibus causis vnusquisque pulsus fiat, docet. Quarta autem (cuius gratia omnia hæc tractantur) de præcognitione, quæ per ipsos fit, est.

CAPVT II.

Argumentum procœmij libri primi de differentia pulsuum, hoc est, cur rebus magis quàm nominibus in omni doctrina attendendum sit.

QVum igitur in vnaquaque parte quatuor à nobis conscripti sint libri, ita vt vniuersi sint sexdecim; nunc, vt dicebam, in hoc, synopsin ipsorum faciam, initio sumpto à prima parte, quæ est de differentia. In qua præpositum est procœmium, quod ostendit, melius esse, rebus ipsis mentem adhibere, neglectis nominibus; id quod non in hac tantùm tractatione, sed etiam in aliis omnibus, faciendum censeo. Qui enim rei substantiã, differentias, quæ in ipsa sunt, methodo inuenit, scientiam hic habet firmam, rem quampiam, nec prætermissam esse, nec superfluè dictam. Iis autem, qui à nominibus initium capiunt, incertum est, an aliqua prætermissa sit, an superfluè addita. Sæpè enim vnum nomen plures res significat; sæpè verò vna res plures habet appellationes; nonnullæ autem nullo prorsus modo nominatæ sunt à principio; quod vel non cognitæ fuerint superioribus, vel paucis omninò cognitæ. Periculum ergo est in iis, quæ æquiuocè dicuntur, ne aliqua res prætermissa sit. In multiuocis verò, ne nominum multitudini, rerum numerus æqualis esse videatur; in quibus autem nomen est, ne res quidem ipsa non sit. Et ob id prætermisso eo, quod à nominibus capitur principio, melius est, vt ab ipsa re auspicati, ad inquisitionem accedamus multitudinis differentiarum, quæ in ipsa sunt.

CAPVT III.

Pulsum ab hominibus vocari, sensibilem diastolen, & systolen arteriæ, duoque prima huic motioni inesse, spatium per quod fertur id quod mouetur, & tempus in quo mouetur. Quatuor generales differentias in diastole arteriæ considerari, quantitatem, tempus, tenorem, & corpus vasis. Et à quantitate vigintiseptem speciales differentias, à singulis verò aliis tribus tres tantum sumi.

EST sanè propositæ rei substantia, caui & prolixi corporis, sensibilis tum diastole, tum diastole, tum systole. Ac cauum quidem hoc corpus vocatur à medicis arteria. Prædictam autem ipsius motionem vocant pulsum non medici solùm, sed etiam vniuersi homines, & nisi hoc quis pulsum vocare voluerit, nihil vtique ad nos pertineat, non enim de nominibus altercaturi venimus: sed quo modo quis ex sensibili arteriarum motione, futura præcognoscat. Siue ergo pulsum, siue palpitationem, siue quodcunque aliud, vocare quis motionem ipsarum voluerit, nihil refert, dummodò præcognitio rectè ex ipsa fiat, ad quam à principio properamus. Quænam igitur sunt, quæ motioni arteriarum ex necessitate insunt, primùm considerare oportebit; postea, siquid ex aliis, quæ non ex necessitate insunt, accedit. Insunt sanè motioni arteriarum secundum propriam ipsius rationem duo hæc prima, spatium, dico, per quod fertur id quod mouetur, & tempus in quo mouetur. Ac spatium quidem motionis, quoniam secundum longitudinem, & latitudinem, & profunditatem fit, tres faciet simplices, ac primas differentias, vnam secundum longitudinem, alteram secundum latitudinem, & tertiam secundum profunditatem, seu altitudinem, vtroque enim modo nominatur. Si ergo pulsus qui nunc apparet, in altitudinem ascendat maiorem, quàm sit secundum naturam, altus vocabitur; quemadmodum sanè quum in latitudinem maiorem extenditur, quàm sit secundum naturam, latus: ita verò in longitudinem maiorem, quàm sit secundum naturam, tangentibus subiiciatur, longus. Manifesti etiam sunt, & qui his sunt contrarij, humilis, & angustus, & breuis. Qui verò secundum vnamquanque trium dimensionum secundum naturam se habet pulsus, symmetros, idest moderatus vocabitur secundum illam dimensionem. Necesse ergo est vniuersas pulsuum differentias, septem & viginti esse, quæ scilicet subscriptæ sunt.

	Longitudo	*Latitudo*	*Profunditas.*	
1	Longus	Latus	Altus	
2	Longus	Latus	Moderatus	Magnus.
3	Longus	Latus	Humilis	
4	Longus	Moderatus	Altus	
5	Longus	Moderatus	Moderatus	Gracilis.
6	Longus	Moderatus	Humilis	Gracilis.
7	Longus	Angustus	Altus	
8	Longus	Angustus	Moderatus	Gracilis.
9	Longus	Angustus	Humilis	Gracilis.
10	Moderatus	Latus	Altus	
11	Moderatus	Latus	Moderatus	Turgidus.
12	Moderatus	Latus	Humilis	
13	Moderatus	Moderatus	Altus	
14	Moderatus	Moderatus	Moderatus	Medius.
15	Moderatus	Moderatus	Humilis	
16	Moderatus	Angustus	Altus	
17	Moderatus	Angustus	Moderatus	Gracilis.
18	Moderatus	Angustus	Humilis	
19	Breuis	Latus	Altus	
20	Breuis	Latus	Moderatus	Turgidus.
21	Breuis	Latus	Humilis	Turgidus.
22	Breuis	Moderatus	Altus	
23	Breuis	Moderatus	Moderatus	Turgidus.
24	Breuis	Moderatus	Humilis	
25	Breuis	Angustus	Altus	
26	Breuis	Angustus	Moderatus	Paruus.
27	Breuis	Angustus	Humilis	

Ita sanè, quum hi septem, & viginti pulsus sint, qui secundum quantitatem in tribus simul dimensionibus consistunt; duo quidem ex ipsis habent nomina ab omnibus recepta medicis, primus in ipsis scriptus, & vltimus; nam alter magnus, alter paruus vocatur: Reliqua verò tota multitudo, non habet. Neque enim qui ἰσχνοί, idest graciles, & qui ἁδροί, idest solidi, seu turgidi dicuntur pulsus, vnum aliquem ex tabella ostendunt, sed de multis genericè prædicantur. In quibus enim dimensio secundum longitudinem reliquas duas excellit, hos omnibus graciles vocant; In quibus verò reliquæ duæ, hos omnes, ex aduerso illis, solidos. Ita vt & quintus in tabella, & sextus, adhuc verò præter hos octauus, & nonus, & decimusoctauus, graciliores vocentur. Ex aduerso autem his, solidi, decimus in tabella, & vndeuigesimus, & vigesimus, & præterea vigesimussecundus, & vigesimustertius. Ita vt generaliora sint hæc nomina, & pluribus communia. Vocant autem & hos ipsos pulsus etiam alio modo; λεπτόν quidem, idest tenuem eum, qui gracilis est; παχύν verò, idest crassum, eum qui solidus est. Sed neque eius, qui secundum tres dimensiones moderatus est (qui sanè solus ex viginti septem, est secundum naturam) proprium habemus nomen; verùm oratione, & hunc declaramus, siue moderatum esse dicentes in tribus dimensionibus, siue medium inter magnum, & paruum, siue secundum naturam in quantitate diastoles, vel moderatum in quantitate diastoles, vel quomodocunq; aliter maximè apertam speremus esse orationem. Qui verò secundum tempus diastoles consistunt, non amplius viginti, & septem, nec omninò multi sunt; sed quot sunt differentiæ, quæ ab vnaquaque trium dimensionum genericè concipiuntur, tot etiam hos inuenies. Quemadmodum enim in illis secundum longitudinem quidem, & moderatus erat, & longus, & breuis, secundum latitudinem verò, & moderatus, & latus, & angustus; secundum profunditatem autem, & moderatus, & altus, & humilis; eodem sanè modo in tempore diastoles, & moderatus in hoc genere est, & celer, & tardus. Aliud autem post prædicta est genus differentiæ pulsuum, quod secundum τόνον, idest tenorem, seu firmitudinem est; in quo rursus εὔτονοι idest tenore prædici seu bene firmi, & ἄτονοι, idest tenoris vacui, seu infirmi, fiunt pulsus: & tertius quidam, amborum medius, non æquè, ac superius dicti, secundum naturam, & moderatus. Nam qui tenore præditus est, in hoc genere secundum naturam est, increscens autem ex nutrimento, & vini potu, & ira, ab eo quod secundum naturam est recedit. Hunc ipsum etiam σφοδρόν, id est vehementem nominamus, medicorum

medicorum sequentes consuetudinem, quandoquidem scimus ab omnibus Græcis σφοδρὸν, de eo qui celer simul, & tenore præditus sit, vsitatiùs dici. Quartum genus differentiæ in diastole arteriæ, fit secundum ipsum corpus vasis, quòd vel durius, vel mollius, quàm secundum naturam sit, appareat. Erunt ergo, & hic tres pulsuum differentiæ, moderatus, durus, & mollis.

CAPVT IV.

Probat nullam aliam ex genere differentiam præter iam dictas quatuor inueniri posse in diastole arteriæ, impugnando eos, qui posuerant differentias pulsuum à re infusa.

ALia verò nulla, aut excogitari, aut experimento cognosci potest eueniens nobis sensibilis passio ex corporibus quæ mouentur; Ita vt in prædictis quatuor generibus vniuersæ pulsuum differentiæ, quæ secundum diastolen arteriæ considerentur, circunscribantur. Quod enim est in ipsis infusum, nec quantum, nec quale sit, sensu dignosci potest; Alioqui certè cessaret illa quæstio, An vacuæ sanguinis sint arteriæ, si sanè dici posset, non solùm sanguinem cum spiritu eas continere, sed qualem etiam sanguinem ipsæ contineant, vtrum serosum, ac tenuem, an crassum, & viscidum; an horum medium, qui certè est sanguis secundum naturam. Quanquam sanè aliqui affirmarunt, huius quoque dignotionem sensibilem esse; quemadmodum etiam de ipso spiritu, qualisnam facultate sit, is qui in arteriis continetur. Nonnulli verò his etiam absurdiora scribunt, quendam alium, vltra prædictos pulsus, introducendo, quem ipsi πλήρη, idest plenum appellant. Atque huius generis tres faciunt differentias; nominant autem hunc quidem plenum, hunc verò vacuum; medius autem vtrorumque nullum peculiare nomen sortitus est. Hos ergo si redarguere velis, bifariam aduersus ipsos sermonem diuides; primo circa significatum τῆς πληρότητος, id est plenitudinis, postea circa ipsius dignotionem. In vtroque enim ostendimus eos non parum errare; circa significatum quidem, non in hoc tantum genere pulsuum, sed etiam in aliis, in secundo, & tertio de differentia pulsuum libro; circa dignotionem verò, quæcunque quidem in plenitudine errant, in quarto diximus libro de pulsuum dignotione; quæcunque autem in aliis omnibus, in libris superioribus. Nunc autem, quoniam id duntaxat, quod vtile ad artem est, doceo, prætermissa aduersus eos, qui aliquo modo in ipsa errarunt, reprehensione, (hoc enim, vt dixi, in epitomis, & synopsibus spectamus) tempus est ad alias pulsuum differentias, quæcunque vtiles sunt, transire.

CAPVT V.

Systolen quomodo alij sensilem esse existimarint, alij sensilem: ac quos vtrique singulatim, raros, frequentes, & medios pulsus nominarint.

EXcipit autem nos maxima dissensio medicorum; quum nonnulli quidem arbitrentur sensilem esse systolen arteriæ, nonnulli verò insensilem. Ac illi quidem qui sensilem putant ipsam esse; inter finem diastoles, & principium systoles quiescere breui tempore aiunt arteriam, proportione habita quieti illi spirabilium instrumentorum, quæ post inspirationem fit ante expirationem; eodem modo, & post systolen ante diastolen quiescere rursus, quemadmodum etiam in respiratione, quies aliqua fit spirabilium instrumentorum, in A expirantibus ante inspirationes. Si ergo tempora quietum sint maiora, quàm sit id, quod secundum naturam est, rarum nominant pulsum; si minora, frequentem; vt duæ sint raritates, & frequentiæ, altera externa post diastolen ante systolen, altera interna, post systolen ante diastolen. Quicunque verò sibi ipsis insensilem esse aiunt systolen, totum hoc tempus, quod vtique sit inter sensiles motiones, ei quod secundum naturam est, comparantes, si minus sit, frequentem; si maius, rarum nominant pulsum; si æquale ei, quod est secundum naturam, moderatum. Dictum autem est mihi in primo de dignotione ipsorum, abundè de hac dissensione; quodque diù, & ipse non sentiebam systolen; quodque omnium pulsuum non est sensilis; ostensum quoque est, B quorumnam est sensilis, & quorum non: ac præterea quomodo vtique quis se ipsum exercere debeat in systole dignoscenda. Sed hęc quidē paulò post dicentur.

CAPVT VI.

Rhythmi speculationem fieri ex collatione temporis diastoles cum tempore systoles. Inæqualitatem esse, vel in pluribus pulsibus, tunc quod aut inordinatam; vel in vno tantum pulsu, tuncque, aut motu remanente continuo, aut interrupto.

ῥῶν, ἡλικιῶν μεμιγμένου καταστήματα, καὶ ἔτι εἰπεῖν, ἐπὶ μὲν τῶν ὡρῶν τοῦ ἔτους τεσσάρων ὄντων, οἷον ἔαρος, θέρους, φθινοπώρου, χειμῶνος· ἐπὶ τούτων εὔκρατοί εἰσι δύο, ἔαρ καὶ φθινόπωρον· δύσκρατοι δὲ δύο, χειμὼν καὶ θέρος. εἰκότως οὖν ἐπὶ τοῦ ἔαρος καὶ τοῦ φθινοπώρου, οἱ σφυγμοὶ μεγάλοι τέ εἰσι καὶ σφοδροί, διὰ τὸ εὔκρατον τοῦ καταστήματος· δῆλον ὅτι κατὰ τὸ τῆς ἡλικίας ἀνάλογον. ἐν δὲ τῷ θέρει ταχύτεροι καὶ πυκνότεροι, διὰ τὴν τοῦ περιέχοντος ἡμᾶς ἔξωθεν ἀέρος θερμότητα. ἐν δὲ τῷ χειμῶνι, μικροὶ μὲν διὰ τὸ βαρεῖσθαι τὴν δύναμιν· πυκνοὶ δὲ καὶ ταχεῖς διὰ τὴν κατεπείγουσαν χρείαν τῆς ἐγκυμονούσης καὶ τοῦ βρέφους, ἐπὶ δὲ τοῦ ὕπνου ἐπινενευκότες. Πῶς γίνονται οἱ σφυγμοὶ καὶ μικροὶ καὶ ἀμυδρότεροι; Δῆλον ὅτι τῆς ἐμφύτου θερμότητος εἰσδυούσης ἐπὶ τὸ βάθος· ἐπὶ δὲ τῶν ἐπικτήτων κράσεων πρὸς τὰ ἐπελθόντα μεταβάλλονται καὶ αἱ κράσεις. ὡσαύτως καὶ ἐπὶ τῆς ἰσχνότητος, ὡς ὅταν ἡ κατὰ φύσιν δύναμις πάσχῃ κατ' οὐσίαν τινὸς κυρίου μορίου, ἢ ὑπό τινος αἰτίου ποιοῦντος καὶ βαίνοντος αὐτήν. Ἔλθωμεν οὖν καὶ ἐπὶ τὰ οὐ φύσει, ταῦτά εἰσι· γυμνάσια, λουτρά, σιτία πολλά, οἴνου πόσις, ὕδατος πολλοῦ πόσις· ὡσαύτως δὴ καὶ ἐπὶ τὰ παρὰ φύσει, τουτέστιν αἴτια, νοσήματα, ἃ ὁμοίως κατὰ τὰ προλεχθέντα ἐπισκέπτεσθαι δεῖ. Ἰστέον δὲ, ὅτι τὰ κατὰ φύσιν καὶ οὐ φύσει ἀμέτρως γινόμενα, εἰς τὸ παρὰ φύσιν τρέπουσι τοὺς σφυγμούς. περὶ δὲ τῆς τῶν ἁπάντων ἀπολογίας τε καὶ διαφορᾶς τῶν κινήσεων. ὅταν οὖν ἐπ' ἀρρωστὸν κληθεὶς, ὃν οὔπω τεθέασαι, ἐπισκόπει πρῶτον μὲν ἢ ἄρσεν ἢ θῆλύ ἐστι· καὶ εἰ μὲν ἄρσεν, ἐννόει τὸν σφυγμὸν τοῦ ἄρρενος· εἰ δὲ θῆλυ, τῆς θηλείας· εἶτα τὴν φύσιν τοῦ κάμνοντος, καὶ τὴν ἡλικίαν αὐτοῦ, καὶ μετὰ ταῦτα, τὴν ὥραν τοῦ ἔτους, καὶ τὴν χώραν, καὶ συγκρίνας ἅπαντα, καὶ στοχασάμενος ὁποῖον ἔδει σφυγμὸν ἔχειν τὸν κάμνοντα, ὁπότε ὑγιὴς ἦν, οὕτω γνώσεις ἀκριβῶς τὸ μέγεθος τῆς παρὰ φύσιν γινομένης παρατροπῆς τοῦ σφυγμοῦ. τούτων οὕτω προτεθέντων, εἴπωμεν καὶ τὰ γένη τῶν σφυγμῶν. γένη τῶν σφυγμῶν εἰσι δέκα. πρῶτον μὲν γένος τῶν σφυγμῶν ἐστὶ τὸ παρὰ τὸ ποσὸν τῶν διαστάσεων· τὸ δὲ ποσὸν κατὰ τὸ τριχῇ διαστατὸν θεωρεῖται τυχὸν, κατά τε πλάτος, καὶ μῆκος, καὶ βάθος. εἰκότως οὖν ὁ οὕτως αὐξηθεὶς κατὰ τὰς τρεῖς διαστάσεις, καὶ ὑπερβὰς τὸ μέτριον, λέγεται μέγας. Δεύτερον γένος σφυγμῶν τὸ παρὰ τὸ ποσὸν τῆς κινήσεως τῆς ἀρτηρίας, τῆς τε διαστολῆς καὶ συστολῆς, ἐν ᾧ θεωρεῖται ὁ ταχὺς, καὶ ὁ βραδὺς, καὶ ὁ σύμμετρος. Τρίτον γένος τῶν σφυγμῶν, τὸ περὶ τὸν τόνον τῆς δυνάμεως ἐν ᾧ θεωρεῖται σφοδρὸς καὶ ὁ ἀμυδρὸς καὶ ὁ σύμμετρος. ἡ γὰρ πυκνότης παραλαβοῦσα τὸ μέγεθος, ποιεῖ τὸν σφυγμὸν σφοδρόν· ὅτε γὰρ ἐπικρατήσει ἡ δύναμις τῶν αἰτιῶν, τότε μᾶλλον γίνεται σφοδρὸς, καὶ τὸ ἀνάπαλιν. Τέταρτον γένος σφυγμῶν, τὸ παρὰ τὴν σύστασιν τοῦ ὀργάνου, λέγω δὴ τοῦ τῆς ἀρτηρίας σώματος, ἐν ᾧ θεωρεῖται ὁ σκληρὸς, καὶ ὁ μαλακὸς, καὶ ὁ σύμμετρος. Πέμπτον γένος σφυγμῶν τὸ παρὰ τὸ ποσὸν τῶν ἠρεμιῶν, ἐν ᾧ θεωρεῖται ὁ πυκνὸς καὶ ὁ ἀραιός· ὁ γὰρ βραχὺς χρόνος τῆς ἠρεμίας, σημαίνει τὸ πυκνόν· ὁ δὲ μακρὸς, τὸ ἀραιόν. ἀραιότεροι καὶ βραδύτεροι σφυγμοὶ γίνονται διὰ τὴν τοῦ περιέχοντος ψύξιν, ἤγουν πίλησιν. ὁμοίως δὲ καὶ ἐπὶ τῆς ἑκάστης χώρας κατὰ τὴν ἐκείνης κρᾶσιν καὶ οἱ σφυγμοὶ μεταβάλλονται. εἰ μὲν γὰρ θερμοτέρα ἐστί, μεγάλους τε καὶ ταχεῖς ποιεῖ τοὺς σφυγμούς· εἰ δὲ καὶ ψυχροτέρα, ποιεῖ τὸ ἀνάπαλιν. Εἴπωμεν καὶ περὶ τῶν ἡλικιῶν, ἐπεὶ οὖν καὶ αἱ ἡλικίαι διάφοροί εἰσι, καὶ οἱ σφυγμοὶ ἐπὶ τούτων διάφοροι κινηθήσονται. οἱ μὲν γὰρ τῶν παίδων σφυγμοὶ, ταχεῖς εἰσιν, ἀμυδροὶ καὶ πυκνοί· κατὰ δὲ μέγεθος καὶ σφοδρότητα, μέσοι· καὶ ταχεῖς μὲν ὅτι κατ' οὐσίαν πλεονάζει ἐν αὐτοῖς

A ætatum singularum constitutiones, & vt verbo dicam, in ipsis tẽpestatibus anni, quæ quatuor sunt, ver videlicet, æstas, autumnus hyems; quòd harum duæ sint temperatæ ver & autumnus, duæ verò intemperatæ, hyems & æstas; iure igitur in ipso vere & autumno pulsus magni sunt & vehementes, propter temperatam hanc tempestatem. Manifesta est ætatis analogia: Æstate verò celeres atque crebri, propter extrinsecus ambiẽtis nos aëris calorem; hyeme verò parui quia facultas ipsa premitur; in ijs quæ vterum gerunt crebri & celeres propter vrgentem vsum prægnantis & fœtus. B In somno verò supernutantes. Quomodo fiunt pulsus parui & imbecilliores? Fieri clarum est innato calore in profundum se recipiente. In ipsis autem tẽperamentis ascitijs, simul cum iis quæ superueniunt, mutãtur & tẽperamenta. Similiter & in macie, vt quãdoque secundũ naturam est facultas, in substantia partis cuiuspiam principis læditur, vel ab aliqua causa ipsam efficiente aut subeunte. Veniamus igitur ad ea quæ non naturâ, hæc sunt; exercitia, balnea, cibi multi, vini potus, aquæ multæ potus. C Similiter etiam & ad ea quæ præter naturam, hæc sunt, causæ, morbi, quæ similiter ac ea quæ dicta prius fuere, debemus animaduertere. Sciendum verò est ea quæ secundum naturam, & quę non naturâ, immoderata si fuerint, in id quod præter naturam est pulsus immutare. De apologia autem omnium & differentia motuũ. Quum igitur ad ægrum vocatus, quem nondum videris antea, primùm obserua, sitne mas an fœmina, ac si mas fuerit, mente concipias pulsum maris; si verò fœmina, pulsum ipsius fœminæ. Postea naturã ægrotantis, eius ætatem, ac post hæc tempestatem anni, & regionem; & omnia conferens, ac coniectans qualẽ oportebat habere pulsũ ipsum ægrotantem D quãdo sanus erat, tunc absolutè cognosces magnitudinem, præter naturam factæ mutationis ipsius pulsus. His igitur pręmissis pulsuum genera dicamus: genera pulsuũ sunt decem: primùm quidem pulsuum genus est, ex quantitate distentionũ: quantitas verò ex tribus dimensionibus constare videtur, ex latitudine & longitudine, & profunditate. Meritò igitur qui hoc modo auctus est secundũ tres istas dimensiones, & moderationem excedit, dicitur magnus. Secundũ genus pulsuum est, ex quãtitate motus arteriæ, secundũ diastolen & systolen, in quo celer, & tardus, & moderatus E obseruantur. Tertiũ genus pulsuum est, secundum robur ipsius facultatis, in quo obseruantur, vehemens, & imbecillus, & moderatus: etenim si frequentia nacta fuerit magnitudinẽ, pulsum efficit vehementẽ; quando enim facultas superat causas, tum maximè fit vehemens, & contrà. Quartũ genus pulsuũ est ex organi constitutione, dico verò corporis arterię, in quo obseruãtur durus & mollis & moderatus. Quintũ genus pulsuum est ex quãtitate quietũ, in quo obseruantur creber & rarus: breue enim tẽpus quietis, crebrũ indicat; longum F verò, rarũ; rariores & tardiores pulsus fiũt propter ambiẽtis frigus, vel ob densationẽ. Similiter verò & in vnaquaq; regione pro eius tẽperie pulsus immutantur; etenim si calidior est, magnos efficit & celeres pulsus, sin autẽ frigidior, contrarios. Dicamus & de ætatibus. Quum igitur & inter se dissideant ætates; differentes quoq; pulsus in his mouebuntur; puerorũ enim pulsus, celeres sunt, imbecilli & frequentes secundũ magnitudinẽ verò & vehementiã, medij; ac celeres quidem quoniã

in

in ipsis secundum substantiam abundat calidum innatum. Crebri verò, quia in ipsis secundum quantitatem exuperat caliditas; imbecillæ verò sunt & imperfectæ facultates in ipsis. Didicimus enim quòd ab imbecillitate facultatis fiant imbecilles. Senum verò pulsus, his contrarij, tardiores & rariores si cum puerorum pulsibus conferantur propter eam quæ in ipsis est frigiditatem; iuuenum verò, magni & vehementissimi, propterea quod in ipsis facultates sunt vegetiores, similiter autem & constitutiones, temperamenta commutant & pulsus: quemadmodum enim dictum priùs est continens ipsum, commutat secundum propriam suam temperiem id quod in eo continetur, quum & prægnantium mulierum pulsus parui sunt & crebri ac celeres. Sextum genus pulsuum est, secundum æqualitatem aut inæqualitatem, quæ vel in vno vel in pluribus pulsibus obseruatur; in vno, vt in caprizante, & dicroto seu bis feriente; quæ in pluribus fit, vocatur inæqualitas collectiua; vbi verò fuerit inæqualitas, illic vt plurimùm & inordinatio; si enim vel vnus ictus intercidat & intercaletur, atque hoc fiet grauata & oppressa facultate ab aliqua causa. Septimum genus pulsuum est, ab ordine & inordinatione; quum enim pulsus inæqualis diuidatur in eum qui circuitibus æqualis est & inæqualis, inordinatus fit, atque hic rursus in vno ictu obseruatur & secundum reditum ad idem. Octauum pulsuum genus est, ex plenitudine & vacuitate quod est secundum perfusiones arteriarum; omne enim vas aut plenũ aut vacuum est. Nonum genus pulsuum est à numero quo metimur proportionẽ tẽporis ad tempus, vñ de intercurrentes, deficientes. Decimum pulsuum genus est, à calore qui per corpus diffunditur arteriæ, in quo obseruatur qualitas subiectæ materiæ corporis per ipsum tactum; qualis est intemperatus & mordax. Enarratis autem decem pulsuum generibus, breuiter afferamus & paucas causas, atque differentias ipsorum; ne forte longior fiat tractatio; quæ tyronibus oneri possit esse, si quis enim in perfectam horum voluerit venire cognitionem, sexdecim sunt libri de tota pulsuum tractatione. Ego verò prolixitatem auersatus, paucis capitibus paucas quasdam differentias & causas pulsuum breuiter expono. Quam ob causam pulsant arteriæ? Vt seruent natiuæ commoderationem caliditatis tum in corde tum in omnibus partibus. Quid differt palpitatio à pulsu? Quod palpitatio ob eruptionem sanguinis, & in omni corpore fiat; pulsus verò vi facultatis moueatur, & in solis arteriis. Quid differt magnus pulsus à vehementi? Quod magnus quidem in tribus dimensionibus obseruatur, vehemens autem in motu, robur enim indicat facultatis. Quid differt creber pulsus à celeri? Secundũ continuitatem & intermissionẽ. Creber enim dicitur & continuus, celer verò definitus, quemadmodũ quis currit celeriter & quiescit. Quid differt rarus pulsus à tardo? Quod rarus ab imbecilliori magis facultate fit; & rari pulsus periculosiores. Quot sunt differentiæ in pulsus diastole? Octo, magnitudo, paruitas, vehementia, imbecillitas, celeritas, tarditas, durities, mollities. Quot sunt efficientes causæ pulsus? Duæ; facultas efficiens ac mouens corpus vasis, & vtilitas ob quam mouetur id quod mouetur. Quot sunt instrumẽta iudicandi de pulsibus? Duo, mẽs & sensus; ac sensus quidẽ de præsentibus, mẽs verò de præteritis iudicat & futuris.

A τὸ ἔμφυτον θερμόν. πυκνοὶ δὲ διὰ τὴν ὑπερβάλλουσαν αὐτοῖς κατὰ τὸ ποσὸν θερμότητα· ἀμυδροὶ δὲ καὶ ἀτελεῖς ἐπ' αὐτῶν αἱ δυνάμεις. μεμαθήκαμεν γὰρ ὅτι οἱ ἀμυδροὶ ἐπ' ἀρρωστίας δυνάμεως γίνονται. οἱ δὲ τῶν γερόντων, τοὐναντίον, βραδύτεροι καὶ ἀραιότεροι πρὸς τοὺς παῖδας διὰ τὴν ἐν ἑαυτοῖς ψυχρότητα. οἱ δὲ τῶν ἀκμαζόντων, μεγάλοι τε καὶ σφοδρότατοι, διὰ τὸ ἐρρῶσθαι ἔτι αὐτῶν μᾶλλον τὰς δυνάμεις. ὁμοίως δὲ καὶ τὰ καταστήματα συμμεταβάλλουσι ταῖς κράσεσι καὶ τοὺς σφυγμούς, ὡς γὰρ προείρηται, τὸ περιέχον συμμεταβάλλει τὸ περιεχόμενον πρὸς τὴν οἰκείαν αὐτοῦ κρᾶσιν. ἐπεὶ δὲ τῶν ἐγκυμονουσῶν γυ-
B ναικῶν οἱ σφυγμοὶ μικροί τέ εἰσι καὶ πυκνοὶ καὶ ταχεῖς. Ἕκτον γένος σφυγμῶν, τὸ παρὰ τὴν ὁμαλότητα καὶ τὴν ἀνωμαλίαν, ἥτις θεωρεῖται καὶ ἐν ἑνὶ σφυγμῷ καὶ ἐν πλείοσιν. ἐν ἑνὶ μὲν, τοῦ ἐπὶ δορκαδίζοντος καὶ τοῦ δικρότου· ἡ δὲ ἐν πλείοσι γινομένη λέγεται συστηματικὴ ἀνωμαλία. ὅπου δέ ἐστιν ἀνωμαλία, ἐκεῖ καὶ ἀταξία ὡς ἐπίπαν. εἰ γὰρ διαλείπει ἡ μία πληγὴ, ἢ παρεμπίπτει, καὶ τοῦτο γὰρ βαρυνομένης τῆς δυνάμεως καὶ θλιβομένης ὑπό τινος αἰτίας. Ἕβδομον γένος σφυγμῶν ἐστι τὸ παρὰ τὴν τάξιν καὶ ἀταξίαν. τμηθέντος γὰρ τοῦ ἀνωμάλου σφυγμοῦ εἰς τὸ κατὰ περίοδον ἴσον τε καὶ ἄνισον, ὁ ἄτακτος γίνεται, καὶ οὗτος θεω-
C ρεῖται πάλιν κατὰ μίαν πληγὴν, καὶ κατὰ τὰς ἀνταποδόσεις. Ὄγδοον γένος σφυγμῶν, τὸ παρὰ τὸ πλῆρες καὶ κενὸν, τουτέστι, τὸ παρὰ τῆς ἀρτηρίας χύματι, πᾶν γὰρ ἀγγεῖον ἢ πλῆρες ἢ κενόν ἐστι. Ἔνατον γένος σφυγμῶν τὸ παρὰ τὸν ῥυθμὸν, ἐν ᾧ μετρεῖται ἀναλογία χρόνου πρὸς χρόνον, ὅθεν οἱ παρεμπίπτοντες, οἱ διαλείποντες. Δέκατον γένος σφυγμῶν ἐστι, τὸ παρὰ τὴν θερμασίαν τὴν ἀναδιδομένην διὰ τοῦ σώματος τῆς ἀρτηρίας· ἐν ᾧ θεωρεῖται τὸ ποιὸν τῆς ὑποκειμένης ὕλης τοῦ σώματος διὰ τῆς ἁφῆς, οἷον τὸ δύσκρατον καὶ τὸ δακνῶδες. Εἰπόντες οὖν τὰ δέκα γένη τῶν σφυγμῶν, εἴπωμεν καὶ ἐν ἐπιτόμῳ ὀλίγας αἰ-
D τίας, καὶ διαφορὰς αὐτῶν διὰ τὸ μηκῦναι τὴν πραγματείαν ἵνα μὴ γένηται εἰσόγκον τῶν εἰσαγομένων. εἰ γάρ τις ἐπὶ τὸ ἀκριβέστερον αὐτῶν ἔρχεσθαι βούλοιτο, ἓξ καὶ δέκα εἰσὶ βίβλοι περὶ τῆς τῶν σφυγμῶν πάσης πραγματείας. ἐγὼ δὲ τοῦ μήκους φειδόμενος, ἐν ὀλίγοις κεφαλαίοις ὀλίγας τινὰς διαφορὰς καὶ αἰτίας σφυγμῶν ἐν ἐπιτόμῳ εἴπω. Διὰ ποίαν αἰτίαν σφύζουσιν αἱ ἀρτηρίαι; Διὰ τὸ φυλάττεσθαι σύμμετρον τὴν κατὰ φύσιν θερμότητα, τῇ τε καρδίᾳ καὶ πᾶσι τοῖς μέρεσι. Τί διαφέρει παλμὸς σφυγμοῦ; Ὅτι ὁ μὲν παλμὸς δι' ἔκπλωσιν τοῦ πνεύματος γίνεται καὶ ἐν παντὶ τῷ σώματι· ὁ δὲ σφυγμὸς ἐνεργείᾳ δυνάμεως κι-
E νεῖται, καὶ ἐν ἀρτηρίαις μόναις. Τί διαφέρει ὁ μέγας σφυγμὸς τοῦ σφοδροῦ; ὅτι ὁ μὲν μέγας κατὰ τὰς τρεῖς διαστάσεις θεωρεῖται, ὁ δὲ σφοδρὸς κατὰ τὴν κίνησιν, τόνον γὰρ δυνάμεως σημαίνει. Τί διαφέρει ὁ πυκνὸς σφυγμὸς τοῦ ταχέος; κατὰ τὸ συνεχὲς καὶ διωρισμένον, τὸ γὰρ πυκνὸν ὁ καὶ συνεχὲς λέγεται, τὸ δὲ ταχὺ διωρισμένον, οἷον τρέχει τις ὀξέως καὶ ἵσταται. Τί διαφέρει ὁ ἀραιὸς σφυγμὸς τοῦ βραδέος; ὅτι ὁ ἀραιὸς ἐπὶ ἀσθενεστέρας μᾶλλον δυνάμεως γίνεται, καὶ οἱ ἀραιοὶ σφυγμοὶ χαλεπώτεροι. Πόσαι γε διαφοραὶ γίνονται ἐν τῇ διαστολῇ τοῦ σφυγμοῦ; ὀκτὼ, μέγεθος, σμικρότης, σφοδρό-
F της, ἀμυδρότης, ταχύτης, βραδύτης, σκληρότης, μαλακότης. Πόσα ἐστὶ ποιητικὰ αἴτια σφυγμοῦ; δύο, ἡ δύναμις ἡ ποιοῦσα καὶ κινοῦσα τὸ σῶμα τοῦ ἀγγείου, καὶ ἡ χρεία δι' ἣν κινεῖται τὸ κινούμενον. Πόσα κριτήρια σφυγμῶν; δύο· νοῦς καὶ αἴσθησις, καὶ ἡ μὲν αἴσθησις κρίνει τὰ παρόντα, ὁ δὲ νοῦς τὰ παρεληλυθότα, καὶ τὰ μέλλοντα.

Ποσαχῶς θεωρεῖται ὁ σύμμετρος σφυγμός; τετραχῶς, κατὰ τὸ μέγεθος, κατὰ τὸ τάχος, κατὰ σφοδρότητα καὶ πυκνότητα. Τί διαφέρει ὁ ἀνώμαλος σφυγμὸς τοῦ ἀτάκτου; ὅτι ὁ μὲν ἀνώμαλος καὶ ἐν ἑνὶ σφυγμῷ θεωρεῖται καὶ ἐν πλείοσιν, ἢ γὰρ κατὰ μίαν διαστολὴν πρὸς συστολήν, ἢ κατὰ πλείονας συναθροιζομένας, ἥτις λέγεται συστηματικὴ ἀνωμαλία ἐν πλήθει σφυγμῶν θεωρουμένη, ὁ δὲ ἄτακτος γίνεται κατὰ ῥυθμόν. Τί διαφέρουσιν οἱ διαλείποντες σφυγμοὶ τῶν παρεμπιπτόντων; ὅτι οἱ διαλείποντες σφυγμοὶ ἐπὶ τῇ ἀσθενεστέρᾳ δυνάμει γίνονται, βαρυνομένης γὰρ καὶ ἐκλυομένης τῆς δυνάμεως γίνονται οἱ διαλείποντες, οἱ δὲ παρεμπίπτοντες, μαχομένης ἔτι καὶ ἀνθισταμένης. συντείνει γὰρ ἑαυτὴν ἐπαναστῆναι, βουλομένη ἐξωθεῖν τὰ λυποῦντα· καὶ δοκοῦσιν εἶναι οἱ διαλείποντες σφυγμοὶ τῶν παρεμπιπτόντων. Τί διαφέρει ὁ σπασμώδης σφυγμὸς τοῦ κλονώδους; ὅτι ἐπὶ μὲν τοῦ σπασμώδους τείνεται ἡ ἀρτηρία δίκην χορδῆς τεταμένης, ἐπὶ δὲ τοῦ κλονώδους μεταφέρεται ἐπὶ δεξιὰ καὶ ἀριστερά. Πῶς γίνονται κυματώδεις οἱ σφυγμοί; ἐκ πλεονεξίας τοῦ περιεχομένου ὑγροῦ, διατρέχοντος τὸ σῶμα τῆς ἀρτηρίας ὡς ἐπὶ τῶν ἀσάρκων. Τί διαφέρει ὁ δορκαδίζων τοῦ δικροτίζοντος; ὅτι ὁ μὲν δορκαδίζων ἐν μιᾷ συστολῇ διαφόρους ποιεῖται τὰς κινήσεις, ὡς ἡ δορκὰς ἀναπηδῶσα ἄλλεται τοῖς ποσὶν εἰς τὸν ἀέρα· τοῦτο δὲ γίνεται βαρυνομένης τῆς δυνάμεως, καὶ βαρυνομένης ὑπὸ τοῦ αἰτίου τοῦ θλίβοντος αὐτήν. ὁ δὲ δικροτίζων δὶς ἐν τῷ αὐτῷ κρούει τὴν πληγήν· τοῦτο δὲ γίνεται διὰ σκληρότητα τοῦ σώματος τῆς ἀρτηρίας, ἀνακρούοντος γὰρ καὶ παλινδρομοῦντος καὶ βίᾳ φερομένου τοῦ πνεύματος, ἐπὶ δευτέραν ἔρχεται πληγήν, ὡς ἐπὶ ἀγκῶνα σφαῖρα. Τί διαφέρει ὁ σκωληκίζων σφυγμὸς τοῦ μυρμηκίζοντος; ὅτι ὁ μὲν σκωληκίζων, πολλάκις ἀνακάμπτει καὶ ἔρχεται ἐπὶ τὸ κρεῖττον, καὶ φανερὰν μᾶλλον ἔχει τὴν ἀνωμαλίαν. ὁ δὲ μυρμηκίζων δυσχερῶς ἀνακάμπτει ἐπὶ τὰ μείζονα, ὑποκειμένων τῶν λειποθυμιῶν, ἀφανῆ δὲ ἔχει τὴν ἀνωμαλίαν, διὰ τὴν ὑπερβάλλουσαν τούτῳ κατάπτωσιν τῆς δυνάμεως, ἔτι δ' ὅτι καὶ θάνατον σημαίνει. Ποῖοι σφυγμοὶ κάκιστοι; οἱ ἀραιοὶ καὶ οἱ διαλείποντες, ἐπιτεινομένης γὰρ ἀραιότητος οἱ διαλείποντες γίνονται, χαλεπωτέρα δέ ἐστιν ἡ ἀραιότης τοῦ σφυγμοῦ, καὶ μάλιστα ἐπὶ τῶν ἀκμαζόντων. Περὶ τοῦ γνῶναι σφυγμῶν. Κράτησον τὸν σφυγμόν, καὶ εἰ μὲν ῥίπτει πυκνὰ καὶ πολλά, ἕως ὀψὲ τελευτᾷ· Κράτησον τὸν σφυγμόν, καὶ εἰ μὲν ῥίπτει δύο ἔξω καὶ μίαν ἔσω, ἕως ἡμέρας δύο ἐστὶν ἡ ζωὴ αὐτοῦ· Εἰ δὲ ῥίπτει μίαν ἔξω καὶ δύο ἔσω, ἀδυναμίαν ἔχει τὸ σῶμα καὶ ὑγιαίνει· εἰ δὲ γαληνόν ἐστι τὸ σύνολον, εἰς τὰς πύλας τοῦ θανάτου ἐστίν. Περὶ σφυγμῶν· οἱ σφυγμοὶ τῶν χυμῶν τοῦ αἵματος, κάθυγρος, μέγας, πυκνὸς καὶ γέμων· καὶ τὰ μὲν συμπτώματα αὐτοῦ, κεφαλῆς ὀδύναι σφοδρόταται, καὶ ὅλον τὸ σῶμα πυρῶδες. Τῆς ξανθῆς χολῆς ὁ σφυγμὸς λεπτός, ξηρὸς πίπτων· συμπτώματα δὲ αὐτοῦ, γαστρὸς στένωσις καὶ στρόφος περὶ τὴν κοιλίαν. Τῆς μελαίνης χολῆς ὁ σφυγμὸς λεπτότερος καὶ ξηρότερος καὶ ἀραιός, συμπτώματα δὲ αὐτοῦ, γονάτων βάρος καὶ πόνοι περὶ τὴν ψυχήν. Τοῦ φλέγματος ὁ σφυγμὸς μέγας καὶ σπαργμώδης, ὑγρός, ὑδατώδης, ἀραιός, καὶ ἰσοσταθμος· συμπτώματα δὲ τούτου, πλευρῶν πόνοι, καὶ ὑγρὰ τὰ διὰ γαστρὸς φερόμενα καθ' ἑκάστην ἡμέραν, καὶ ὀδύναι σφοδραὶ τὴν κεφαλὴν αὐτοῦ λαμβάνουσι, καὶ ὁ πυρετὸς ἐπὶ πλεῖον μακρύνει, καὶ ἐπὶ μὲν τοῦ αἵματος φλεβοτομείτω ὁ νοσῶν· ἐπεὶ δὲ αἷμα θερμὸν καὶ ὑγρὸν ὑπάρχει, μεταλύει ἡ τροφὴ αὐτοῦ, ψυχρὰ καὶ ὑγρὰ καὶ γλυκεῖα, ἡ χολὴ ἡ μέλαινα ἐστὶ ψυχρὰ καὶ ξηρὰ καὶ μεταλύει ἡ τροφὴ αὐτῆς κάτω ἄνωθεν· εἴπομεν θερμὰ καὶ ὑγρὰ καὶ γλυκέα, ὁμοίως καὶ τῶν ἑτέρων χυμῶν.

A Quot modis obseruatur pulsus moderatus? quatuor; secundum magnitudinem, secundum celeritatem, secundum vehementiam & secundum crebritatem. Quid differt pulsus inæqualis ab inordinato? quod pulsus inęqualis obseruatur in vno pulsu & in pluribus, vel enim secundũ vnam diastolen ad systolen, vel secundum plures simul collectas, quæ quidem vocatur inæqualitas collectiua in multitudine pulsuum obseruata; inordinatus verò fit secundum rhythmũ. Quid differunt pulsus intermittẽtes ab intercisis? quod intermittentes ab imbecilliore facultate fiant, oppressa enim B ac dissoluta facultate pulsus fiunt intermittentes: intercisi verò pugnante adhuc atque resistente, contendit enim seipsam erigere, ea quæ molesta sunt cupiens extrudere, ac intercisi pulsus intermittentes esse videntur. Quid differt pulsus conuulsiuus à vibrato? quod in pulsu cõuulsiuo tenditur arteria ad modum extentæ chordæ; in vibrato verò, in dextram partem & sinistram traducitur arteria. Quomodo fiunt pulsus vndosi? à redundantia contenti humoris percurrentis arteriæ corpus, quemadmodum in macilentis. Quid differt caprizans à dicroto? quod caprizans quidem in C vna systole motus efficit diuersos, quẽadmodum subsultans capra pedibus salit in aërem; hoc autem fit grauata facultate, & grauata à causa quadam ipsam opprimẽte. Dicrotus verò bis in eodem, pulsat; hoc autem fit propter siccitatem corporis arteriæ, retrocedente enim & recurrente ac vi quadãtenus acto spiritu, mox pulsat iterum, quemadmodum pila quum in sinuosum inciderit *parietem*. Quid differt vermiculans pulsus à formicante? quod vermiculans quidem incuruatur, ac mutatur in melius & manifestam magis habet inæqualitatem, formicans verò difficilius in maiorem abit, D quum subsint animi defectiones, obscuram verò habet inæqualitatem propter summam quæ in ipso est facultatis concidentiam, insuper quod & mortem significet. Qui pulsus pessimi? rari & intermittentes; intẽsa enim raritate fiunt intermittentes: periculosior autem est raritas maximè in ætate florentibus. De cognitione pulsus. Pulsum memoriâ complectere; si frequẽter & plurimum distendat arteriam, diu postea morietur. Pulsum memoriâ teneas, & si bis quidem extra, semel verò intrò feratur, ad duos dies vita producetur; si verò semel extra & bis intro feratur, imbecillum est corpus & sanum; sin autem totum fuerit tran- E quillum, ad mortis fores assistit. De pulsibus, pulsus humorum, sanguinis, vegetus, magnus, creber, & plenus; atque huius symptomata sunt, capitis vehementissimi dolores, & omne corpus febriculosum. Flauæ bilis pulsus tenuis, siccus contingit; huius symptomata sunt ventris astrictio, & circa aluum tormina. Melancholię pulsus tenuior & siccior & rarus; eius autem symptomata sunt, genuũ grauitas, & animi defectus. Pituitæ pulsus magnus & palpitabundus, humidus, aquosus, rarus & æqualis; huius autem symptomata, laterum dolo- F res, & quæ ab aluo quotidie feruntur liquidæ deiectiones, vehementissimi dolores caput prehendunt, & febris plurimum protrahitur. Et in ipso sanguine ægroti vena secetur; quum verò sanguis calidus sit & humidus, eius cibus frigidus & humidus *esse debet*, & dulcis. Melancholia autem frigida & sicca est, & eius cibus deorsum, supra. Diximus calida, humida, & dulcia similiter & aliorum humorum.

GALENO

ΓΑΛΗΝΩι ΠΡΟΣΓΡΑΦΟΜΕΝΟΝ ΒΙΒΛΙΟΝ ΠΕΡΙ ΟΥΡΩΝ.

GALENO ASCRIPTVS LIBER DE VRINIS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τί ἐκ τῆς τοῦ οὔρου συστάσεώς τε, καὶ χρώματος, καὶ ὀδμῆς, καὶ τῶν παρυφισταμένων ἐπὶ τῶν ὑγιαινόντων τε καὶ νοσούντων, κριτέον.

ARGVMENTVM LIBRI.

Quid ex vrinæ substantia, colore, odoréque, ac iis, quæ in ipsa continentur, in sanis, & ægrotantibus iudicandum.

CAPVT PRIMVM.

Quæ primæ sint, ac præcipuè vrinarum differentiæ.

VRINARVM differentiæ multæ quidem particulatim existunt; primæ tamen, *sunt* duæ, liquor, & contentum. Liquorem autem voco, ipsam vrinam, à liquari; contentum verò quod diuersè in vrina apparet. Rursus verò liquoris pares numero differentiæ contingunt; duæ siquidem sunt huius liquoris, prior quidem, consistentia; posterior verò, color. Vtrunque autem horum in alia partitur, consistentia enim alia est tenuis, alia crassa, alia mediocris. Eam verò quæ mediocris est, quum secundum naturam se habeat, diuidere non licet; cæterùm tenuis, & crassa bifariam diuiditur. Vrina quidem tenuis, aut mingitur tenuis, & permanet tenuis, aut meitur tenuis, sed turbatur tandem, & efficitur crassa.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Αἵτινες πρῶταί τε καὶ κυριώταται τῶν οὔρων διαφοραί.

A ΤΩΝ οὔρων αἱ διαφοραὶ, πολλαὶ μὲν κατὰ μέρος. αἱ δὲ πρῶται δύο, χῦμά τε καὶ περυφιστάμενον. καλῶ δὲ χῦμα, αὐτὸ τὸ οὖρον παρὰ τὸ κεχύσθαι. περυφιστάμενον δὲ τὸ ἐν αὐτῷ ἑτεροίως ἐμφαινόμενον. ἀλλὰ τοῦ χύματος πάλιν ἰσάριθμοι τυγχάνουσιν αἱ διαφοραί. δύο γάρ ἐστι, τούτου. τὸ μὲν, σύστασις. τὸ δὲ, χροιά. ἑκάτερον δὲ τούτων, εἰς ἕτερα διαιρεῖται: εἰ μὲν οὖν σύστασις, εἰς λεπτότητα, παχύτητα καὶ τὸ ἐξ ἀμφοτέρων σύμμετρον. ἀλλὰ τὸ μὲν σύμμετρον ἐπειδὴ κατὰ φύσιν ἐστὶν ἀδιαίρετον ὑπάρχει. B τὸ δὲ λεπτὸν, καὶ παχὺ τέμνηται διχῆ. τὸ μὲν λεπτὸν, ἢ οὐρεῖται λεπτὸν καὶ μένει λεπτὸν, ἢ οὐρεῖται λεπτὸν καὶ ἀναθολοῦται καὶ παχὺ γίνεται.

CAPVT II.

Quid indicet vrina quæ meitur tenuis, & manet tenuis, & quæ meitur tenuis, sed turbatur.

PRior quidem harum extremam indicat cruditatem, natura enim nondum prorsus coctionem tentauit, altera autem, quæ ex tenui reddita est turbida, indicat naturam iam primo aggressam esse coctionem. Et tenuis quidem vrina ita diuiditur, idque quod diximus significat.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τί δηλοῖ τὸ οὐρούμενον λεπτὸν, καὶ μένον, καὶ τὸ ἀναθολούμενον.

ΤΟύτων τὸ μὲν πρότερον, ἐσχάτην ἀπεψίαν δηλοῖ. οὐ γὰρ ἐνεχείρησεν ὅλως ἡ φύσις ἐπὶ τούτου πρὸς τὴν πέψιν· τὸ δὲ δεύτερον ὃ ἐστὶν λεπτὸν, ἀναθολούμενον δέ, δηλοῖ C τὴν φύσιν ἄρχεσθαι πέττειν. τὸ μὲν λεπτὸν οὕτως διαιρεῖται, καὶ ταῦτα σημαίνει.

CAPVT III.

Quid significet, quæ meitur crassa, & permanet crassa: & quæ meitur crassa, sed redditur clara.

AT crassa simili modo, aut meitur crassa, & permanet crassa: aut meitur crassa, sed red-

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Τί σημαίνει τὸ οὐρούμενον παχὺ, καὶ μένον παχὺ, καὶ τὸ καθιστάμενον.

ΤΟ δὲ παχὺ καὶ αὐτὸ παραπλησίως τῷ λεπτῷ, ἢ οὐρεῖται παχὺ καὶ μένει παχύ· καθίσταται δὲ καὶ γίνεται λεπτόν.

καὶ δηλοῖ τὸ μὲν πρότερον, ἀκμάζειν. τὸ δὲ δεύτερον, τὴν τῶν παχέων χυμῶν ζύμωσιν, ἄρχεσθαι δὲ τὴν διάκρισιν. καὶ αὗται μὲν αἱ τοῦ χύματος ἐν συστάσει διαφοραί. ἀλλ' ἐπεὶ τούτου ποιούμενοι τὴν διαίρεσιν, ἐλέγομεν οὖν καὶ ἐν χρώματι διαφορὰς αὐτῶν, φέρε δὴ καὶ ταύτας ἐφεξῆς ἐκθώμεθα. ἔστιν οὖν πρῶτον τὸ λευκόν. εἶτα τὸ ὠχρόν. ἐφεξῆς δὲ τούτων, τὸ πυῤῥόν. τέταρτον δὲ τὸ ξανθόν. μετὰ δὲ τούτων ἐστὶ τὸ ἐρυθρόν. ὕστατον δὲ τὸ μέλαν. καὶ ἔστιν ἄκρα μὲν δύο, τὸ λευκόν, καὶ τὸ μέλαν, τὰ δὲ λοιπὰ τούτων μεταξὺ τέτακται. ἔστι μὲν οὖν τὸ ὠχρόν, ἐγγὺς τοῦ λευκοῦ. τὸ δὲ πυῤῥὸν τοῦ μὲν λευκοῦ, πόῤῥωθεν, τοῦ δὲ ὠχροῦ, συνεγγύς. πάλιν δὲ τὸ ἐρυθρόν, συνεγγὺς μὲν τοῦ μέλανος, τοῦ δὲ πυῤῥοῦ καὶ ὠχροῦ ποῤῥωτάτω. τὸ δὲ ξανθόν, ἰδίαν ἔχει ἐξαίρετον τὸ μίγμα, ὡς εἶναι δύο χρωμάτων τοῦ τε πυῤῥοῦ, καὶ τοῦ ἐρυθροῦ, ὅθεν καὶ στίλβον αὐτὸ κέκληκεν ὁ Γαληνός, ἐν τῷ περὶ κρίσεων. εἰκότως γὰρ καὶ στίλβει. καταλάμπεται γὰρ ὑπὸ τοῦ πυῤῥοῦ. φαιδρύνεται δὲ ὑπὸ τοῦ ἐρυθροῦ. ἐφεξῆς οὖν ἐστιν ἀλλήλων ἐν χρώματι, οὖρα ταῦτα. λευκόν, ὠχρόν, πυῤῥόν, ξανθόν, ἐρυθρόν, μέλαν. γίνεται μὲν τὸ ὠχρόν, ὅταν ὀλίγη χολὴ τὸ ὑδατῶδες ἐπιχρώσῃ. τὸ δὲ πυῤῥόν, ὅταν πλείων. τὸ δὲ ἐρυθρὸν ἀπὸ αἵματος. τὸ δὲ μέλαν, ἀπὸ ὑπεροπτήσεως καὶ ἑτέρων τινῶν, καθὰ μετ' ὀλίγον εἰρήσεται. τὸ δὲ λευκόν, ἐσχάτην ἀπεψίαν δηλοῖ. αὗται μὲν οὖν εἰσιν αἱ ἁπλαῖ τοῦ ὑποχύματος διαφοραί, ἔν τε συστάσει καὶ χροιᾷ. λοιπὸν δ' ἂν εἴη καὶ τὰς τούτων συμπλοκὰς εἰπεῖν καὶ θεάσασθαι, ποῖαι μὲν δύνανται συναφθῆναι, τινὲς δὲ οὔ. καὶ συμπλεκόμεναι, τί σημαίνουσιν.

ditur tenuis. Prior quidem indicat vigorem agitationis. Altera autem ebullitionem crassiorum humorum, sed tamen naturam incipere secretionem eorum, indicat. Et hæ quidem sunt humoris, quoad substantiam, differentiæ. Quum verò in priore partitione mentionem etiam fecerimus differentiarum quæ à coloribus capiuntur, iam deinceps eas exponamus. Prima igitur est vrina alba, hanc sequitur pallida, deinceps rufa, quarta est flaua, post hanc rubra, vltimo nigra; & extremæ quidem sunt duæ, alba & nigra; reliquæ autem mediæ inter has. Est igitur pallida proxima albæ, rufa autem longius distat ab alba, propior pallidæ, è diuerso autem, rubea proxima est nigræ, longissimè distans à rufa, & à pallida, flaua autem peculiarem ac propriam habet mixtionem, ita vt gemini coloris esse videatur partim rufi, partim rubei. Quare & in libro De crisibus splendentem ipsam appellauit Galenus, iure enim splendet, splendorem enim à rufo, nitorem autem à rubeo accipit. Ergo ordine quodam mutuo à se inuicem vrinæ hæ coloribus differunt, alba, pallida, rufa, flaua, rubea, nigra. Fit autem pallida, quum modicum choleræ serosæ humiditati accedit; rufa autem fit, quando plus choleræ additur; rubea fit à sanguine, nigra verò à nimia exustione, & ab aliis causis, vt paulò post dicetur, alba autem indicat extremam cruditatem. Hæ igitur sunt liquoris simplices differentiæ in consistentia, & colore. Reliquum est vt complicatas connexasque dicamus, quales scilicet sint, quæ deinceps simul connecti possunt, quæ item non possunt, & si connectantur, quid significent.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ λεπτοῦ καὶ λευκοῦ οὔρου.

Ἔστω οὖν πρότερον ἐν τῇ συστάσει ἄπεπτον, καὶ γινέσθω λεπτόν, καὶ τούτου μένοντος λεπτοῦ, ἀμειφθείτω τὸ χρῶμα, καὶ ἔστω τελέως λευκόν, ὡς εἶναι αὐτὸ λεπτὸν καὶ λευκόν. τὸ τοιοῦτον οὖρον, πολλὰ σημαίνει, ἢ γὰρ ἀσθένειαν δυνάμεως, καθάπερ καὶ ἐπὶ τῶν γερόντων ἐπιφαινόμενον δηλοῖ. καὶ ἐπὶ τῶν χρονίων δὲ νοσημάτων, ὡς ἐπὶ τὸ πλεῖστον, φαίνεται λεπτόν, καὶ λευκὸν διὰ τὴν ἀσθένειαν, ὁμοίως καὶ ἐπὶ τούτων τῆς φύσεως. σημαίνει δὲ καὶ ἔμφραξιν, ὡς ἐπὶ τοῖς φρενιτικοῖς ἐπιφαινόμενον ἐνδείκνυται. καὶ ἐπὶ τῶν τεταρταίων πάλιν ἐν ταῖς ἀρχαῖς τοιοῦτον οὐρούμενον, ἔμφραξιν σημαίνει. τὸ γὰρ τῶν μελαγχολικῶν τῇ παχύτητι τὰς ὁδοὺς σφηνοῦν, ὥσπερ διηθούμενον τὸ οὖρον, φαίνεται λεπτὸν καὶ λευκόν. ἕτερον δὲ μέγιστον σημαίνει κακόν, καὶ τὸ τοιοῦτον οὖρον. κἂν γὰρ ἐπὶ διακαεῖ, καὶ καυσώδει πυρετῷ ἐπιφανῇ λευκόν, καὶ λεπτόν, σημαίνει φρενῖτιν. εἰ γὰρ ὁ πυρετὸς πλῆθος δηλοῖ χολῆς, οὐκ ἐπιχρώννυται δὲ τὸ οὖρον, εὔδηλον, ὡς ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις χολή, ἀλλ' ὅτι οἰκείᾳ κουφότητι περὶ τὸν ἐγκέφαλον ἀνέδρασεν. εἰ μὲν οὖν μὴ πάρεστιν ἡ φρενῖτις τοῦ οὔρου τυγχάνοντος λεπτοῦ καὶ λευκοῦ, ἀλλ' εἴη πυρετὸς καυσώδης, μαντευόμεθα φρενῖτιν. εἰ δὲ τοιοῦτον μὲν εἴη τὸ οὖρον, πάρεστι δὲ ἡ φρενῖτις προσαγγέλλει θάνατον, ὡς ἐπὶ τὸ πολύ. οὐ γὰρ ὑπομένει ἡ δύναμις ἡ ἐγκεφάλου σώζεσθαι κατὰ τῆς χολῆς ἀνιώσης, καὶ δακνούσης τῇ δριμύτητι. τοσαῦτα μὲν δηλοῖ τὸ λεπτόν, καὶ λευκὸν οὖρον.

CAPVT IV.

De tenui, & alba vrina.

Sit igitur quoad substantiam suam minimè cocta, talis verò est tenuis, cui ita permanenti tenui, annectatur color exquisitè albus, vt sit ea tenuis, & alba; hæc vrina multa significat. Aut enim imbecillitatem virtutis ostendit, sicut in senibus, & in morbis diuturnis, in pluribus, vt plurimum apparent vrinæ tenues & albæ. Tales etiam in nonnullis qui natura imbecilles vires habent, videntur. Interdum significat obstructionem, sicuti, quum in nephriticis apparet, indicat, & in quartanis similiter, quum in principiis talis meitur, obstructionem significat, ac rursus in ipsis quartanis talis quum micta fuerit vrina circa initia, obstructionem significat; humor etenim melancholicus quum sua crassitie venas obstruat, quasi percolata vrina, alba & tenuis apparet. Indicant verò tales vrinæ & aliud summum malum, si enim in causo, & vrente febre appareat vrina tenuis & alba, significat phrenitin. Quum enim febris ipsa vrens copiam bilis indicet, vrina verò non tingatur, manifestum est quòd biliosus humor non retinetur in vasis, sed leuitate sua cerebrum insilit. Siquidem igitur nondum adest phrenitis, vrina existente tenui & alba, febre verò ardente, prædicimus phrenitin futuram; si verò adest phrenitis, vrina verò eiusmodi est, prædicimus mortem, vt plurimum, neque enim poterit virtus cerebri seruari, cui ingruit tantus acutæ mordacisque choleræ impetus. Hæc igitur significat vrina tenuis & alba.

CAP.

CAPVT V.

Quid significet tenuis & pallida.

SIt iterum vrina, quoad substantiam, cruda, id est tenuis, quoad colorem autem, modicè cocta, vt sit pallida; talis imbecillitatem significat. Quoad colorem enim concoxit, quippe quum hoc facilius fit, nondum verò quoad substantiam, propterea quòd hoc difficilius est.

CAPVT VI.

Quid indicet tenuis & rufa.

SIt vrina tenuis, cui annectatur color rufus, talis melior quidem est priore, est tamen cruda quoad substantiam.

CAPVT VII.

Quid indicet tenuis, & flaua.

SIt vrina tenuis & flaua hæc non solùm cruditatem indicat, sed etiam defectum alimenti, id quod in iuuene ieiuno reperitur. Interdum ostendit calorem multum in profundo, biliosum succum gignere, id quod in febre tertiana; indicat & vigilias, ac animi perturbationes. Hæc omnia flauam vrinam efficiunt.

CAPVT VIII.

Quid significet tenuis & rubea

PRoponatur iterum vrina cruda, quoad substantiam tenuis, sed rubea, talis nunquam reperitur. Si enim rubeus color in vrina à sanguine fit, sanguis verò à coctione, coctio autem substantiam incrassat, manifestum est quòd rubor in vrina cum tenuitate consistere non potest. Quòd si aliquando reperiatur tenuis vrina cum rubore, color ille exquisitè rubeus non est, sed est quiddam ichoroides.

CAPVT IX.

Tenuis nigra.

VLtima autem est connexio tenuis & nigræ, hæc etiam nunquam reperitur. Color enim niger fit propterea quòd melancholicus humor per vrinas purgatur; aut fit à frigiditate nimia, aut à nimia sanguinis adustione; hæc verò tria crassitiem sibi vendicant.

CAPVT X.

Quomodo tenue cum nigro non potest consistere.

QVòd autem tres, quas diximus, vrinæ nigræ differentiæ, crassam sibi substantiam vendicent, manifestum est; in remissione enim febris quartanæ, & solutione melancholiæ, vrinæ apparent nigræ. Redduntur autem nigræ propterea quòd humor melancholicus per has expurgetur, qui sua substantia terreus est, & crassus; quare & vrinas efficit crassas. Simili modo & hæ vrinæ, quæ ex assatione adustioneque sanguinis nigræ

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τί δηλοῖ τὸ λεπτὸν, καὶ ὠχρόν.

Ἔστω πάλιν τῇ συστάσει ἄπεπτον, τουτέστι τὸ λεπτὸν, ἐν δὲ τῷ χρώματι μετρίως πεπεμμένον, ὡς εἶναι αὐτὸ ὠχρόν· τὸ τοιοῦτον ἀσθένειαν δηλοῖ. τῷ μὲν γὰρ χρώματι τὸ οὖρον ἔπεψεν, ὡς ἂν ῥᾷδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Τί δηλοῖ λεπτὸν, καὶ πυῤῥόν.

Πάλιν δὲ λεπτὸν ἔστω, ἀλλ' ἀμειβέσθω τῷ χρώματι, καὶ ὑπαρχέτω πυῤῥόν, βέλτιον μὲν τοῦ προτέρου τὸ τοιοῦτον τυγχάνει, ἔστι δὲ ἄπεπτον διὰ τὴν σύστασιν.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Τί δηλοῖ τὸ λεπτὸν, καὶ ξανθὸν οὖρον.

Ἀλλ' ἔστω λεπτὸν, ὡς ὑπόκειται, ἀλλὰ ξανθόν· τοῦτο σημαίνει οὐ μόνον ἀπεψίας, ἀλλὰ καὶ ὕλης ἔνδειαν δηλοῖ, ὡς νεωτέρους ἀσιτήσας. ἐκδιδάσκει δὲ καὶ θερμότητα πολλὴν ἐν τῷ βάθει τίκτειν χολὴν, ὡς ὁ τριταῖος. δηλοῖ καὶ ἀγρυπνίαν, καὶ φροντίδα. ἅπαντα ταῦτα ξανθὰ τὰ οὖρα ποιεῖ.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τί δηλοῖ λεπτὸν, καὶ ἐρυθρόν.

Ἔστω δὲ πάλιν ἄπεπτον τῇ συστάσει λεπτὸν, ἀλλ' ἐρυθρόν. τὸ τοιοῦτον, οὐ συνίσταται. εἰ γὰρ τὸ ἐρυθρὸν ἀφ' αἵματος γίνεται, τὸ δ' αἷμα πάλιν ἀπὸ πέψεως γίνεται, ἡ δὲ πέψις παχύνει τὴν σύστασιν· εὔδηλον ὅτι τὸ ἐρυθρὸν, οὐ συνίσταται μετὰ τοῦ λεπτοῦ. εἰ γὰρ καί ποτε μιγῇ μετὰ τοῦ ἐρυθροῦ χρώματος τὸ λεπτὸν, ἀλλ' οὐκ ἀπ' ἀκριβοῦς ἐρυθροῦ, ἀλλὰ καὶ ἰχωροειδοῦς.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Λεπτὸν μέλαν.

Ἡ δὲ τελευταία ἐστὶ συμπλοκὴ ἡ τοῦ λεπτοῦ καὶ μέλανος, οὐδ' αὐτὴ δυναμένη συστῆναι. ἔστι γὰρ τὸ μέλαν χρῶμα, ἢ διὰ τὸ ἐκκαθαίρεσθαι τὸν μελαγχολικὸν χυμὸν, ἢ διὰ ψύξιν, ἢ δι' ὑπερόπτησιν τοῦ αἵματος. ἔστι δὲ καὶ τὰ τρία παχέα.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Πῶς τὸ λεπτὸν μετὰ τούτου μὴ συνίσταται.

Ὅτι δὲ τοῦ μέλανος αἱ τρεῖς εἰρημέναι διαφοραὶ, παχυτάτης κέκτηνται συστάσεως, ἐντεῦθεν καταδῆλον. ἐπὶ τῇ παρακμῇ γὰρ τοῦ τεταρταίου, καὶ τῇ λύσει τῆς μελαγχολίας οὖρα φαίνεται μέλανα γινόμενα. γίνονται δὲ μέλανα διὰ τὸ ἐκκαθαίρεσθαι τὸν μελαγχολικὸν χυμόν. ὄντα δὲ γεώδης τῇ οὐσίᾳ, καὶ παχὺς κατὰ σύστασιν. ἐκείνου καὶ τὰ οὖρα ποιεῖ παχέα. ὁμοίως δὲ καὶ τὰ ἐξ ὑπεροπτήσεως αἵματος μέλανα γινό-

μένα οὖρα παχέα τυγχάνει. εἰ γὰρ ὄπτησις αὐχμοῦται τὴν ὑγρότητα τοῦ αἵματος, εὔδηλον ὡς παχύνει τὴν σύστασιν. καὶ φανερὸν, ὅτι καὶ τὰ οὖρα παχέα γίνεται. ἥ γὰρ τοῦ χρώματος μεταλαμβάνει, καὶ γίνεται μέλαινα, καὶ τῇ συστάσει, ὡς ἀποκαύσει τοῦ αἵματος· καὶ ἡ ψύξις δὲ φανερῶς τῇ πήξει παχύνει τὴν ὕλην, καὶ τὴν σύστασιν τοῦ οὔρου, ὁμοίαν ἀπεργάζεται τῇ τοῦ χύματος συστάσει, καὶ πάλιν τὰ οὖρα γίνονται παχέα, ὥσπερ ἐδίδαξα.

græ fiunt, crassæ sunt. Si enim vstio nimia exiccat humiditatem sanguinis, constat quòd etiam crassam efficit eius substantiam; quare manifestum est, quòd & vrinæ crassæ fient; à sanguine enim & coloris immutationem accipiunt, & substantiæ vsti sanguinis crassitiem referunt. Frigiditas verò, quia incrassat materiam, etiam vrinæ substantiam faciet humori similem. Ita igitur vrinæ fiunt crassæ, vt docui.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Παχὺ λευκόν.

Καὶ περὶ μὲν τὸ πλοκὸν τοῦ λεπτοῦ πρὸς τὰ χρώματα τοῦ οὔρου τὰ προειρημένα ἀρκείτω, νῦν δὲ λοιπὸν τὴν σύστασιν ἀμείψωμεν, καὶ ἔστω τὸ οὖρον παχὺ, καὶ τούτου μένοντος παχέος, ἀναλλαττέσθω τὸ χρῶμα, καὶ ἔστω λευκόν. τὸ τοιοῦτον δηλοῖ τὸν ὠμὸν χυμὸν πολὺν συνάγεσθαι κατὰ τὸ σῶμα.

CAPVT XI.

Crassa alba.

Et de connexione substantiæ tenuis cum diuersis vrinæ coloribus, hæc quæ diximus, sufficiant; superest vt de altera substantiæ differentia disseramus. Sit igitur vrina crassa, cui ita permanenti crassæ color albus accedat, talis vrina, magnam esse in corpore crudorum humorum copiam indicat.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Παχὺ πυῤῥὸν, παχὺ ξανθὸν, παχὺ ὠχρόν.

Ἀλλὰ δὴ ἔστω παχὺ καὶ ὠχρὸν, ἀλλ᾽ οὐ δύναται συνελθεῖν εἰς συμπλοκήν, οὔτε γὰρ παχὺ καὶ πυῤῥὸν, οὔτε παχὺ καὶ ξανθὸν συνελθεῖν δύνανται. τὰ τοιαῦτα γὰρ χρώματα, δι᾽ ἔνδειαν ὕλης γίνεται, καὶ δυνάμεως ἀσθένειαν. τὸ δὲ παχὺ, διὰ τὰ ἐναντία· φανερὸν ὅτι καὶ πυῤῥὸν, ἢ ὠχρὸν ἢ ξανθὸν, οὐ δύνανται ἅμα συστῆναι.

CAPVT XII.

Crassa rufa, crassa flaua, crassa pallida.

Proponatur crassa & pallida, hæc non potest in connexionem venire, neque enim crassa & rufa, neque crassa & flaua, simul consistere possunt. Colores enim hi, propter defectum materiæ fiunt, ac debilitatem virtutis, crassa autem à contrariis fit causis. Quare manifestum est, quòd rufa, aut pallida, aut flaua, simul cum crassa permanere nequeunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ΄.

Παχὺ ἐρυθρόν.

Ἀλλὰ δὴ ἔστω παχὺ καὶ ἐρυθρὸν, τὸ τοιοῦτον οὖρον συνίσταται, καὶ σημαίνει πλῆθος αἵματος, ὡς ἐν συνόχοις πυρετοῖς.

CAPVT XIII.

Crassa rubea.

Sit vrina crassa, & rubea, huiusmodi enim vrina reperitur, significat plenitudinem sanguinis, vt fit in synochis febribus.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

Παχὺ μέλαν.

Ἔστω δὴ παχὺ, καὶ μέλαν λοιπόν. καὶ αὐτὴ δὲ συνίσταται, καὶ σημαίνει τὸν μελαγχολικὸν χυμὸν ἐκκενοῦσθαι πολὺν, ὡς ἐπὶ τῇ παρακμῇ τοῦ τεταρταίου, καὶ ἐπὶ τῇ λύσει τῆς μελαγχολίας. περὶ δὲ τῶν διὰ ψύξιν, καὶ ὄπτησιν γινομένων μελαίνων, ὕστερον ἐροῦμεν· καὶ αὗται μὲν τοῦ παχέος μετὰ τῶν ἐνδεχομένων χρωμάτων αἱ συμπλοκαί. ἀρξόμεθα δὴ περὶ τῶν περιυφισταμένων.

CAPVT XIV.

Crassa nigra.

Sit crassa vrina & nigra, talis etiam reperitur, & significat euacuationem humoris melancholici; id quod multoties fit in declinatione quartanarum, & in solutione melancholiæ. De vrinis verò nigris, quæ fiunt aut ab adustione, aut à frigiditate, postea dicemus. Et hæc quidem sunt crassi cum iis, quos diximus, coloribus connexiones. Iam verò incipiamus agere de iis quæ contenta vocauimus.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ΄.

Πῶς ὑφίσταται, λευκὸν ἀπόστασις, λευκὸν, λεῖον, ἀνώμαλον.

Ἔστω δὴ πρότερον λευκὸν, καὶ τὴν ἄνω χώραν ἔχον, καὶ λεῖον, μηκέτι δὲ ὁμαλὸν, ἀλλὰ σήμερον μὲν πεπεμμένον, αὔριον δὲ οὔ· τὸ τοιοῦτον ἀσθένειαν δηλοῖ, καὶ μὴ δύνασθαι διὰ παντὸς ὁμοτίμως πέττειν τὴν ὕλην.

CAPVT XV.

Quomodo fiat sedimentum vrinæ, album, læue, & inæquale.

Esto igitur primum album, supremum locum occupans, planum, sed inæquale, id est vno die coctum, postero die non coctum; tale debilitatem indicat virtutis, quæ non potest ex æquo omni tempore materiam concoquere.

CAPVT XVI.

Consistentiâ album, non leue inæquale.

SIt verò album quidem, & inferiorem locum tenens, non amplius tamen planum, sed diuulsum, hoc deterius est priore; illud enim ostendebat naturam sustinere inæqualitatem multis interiectis diebus; hoc verò in vna coctione, id quod deterrimum est. Et veluti Autumnus propterea malus esse dicitur, quòd est inæqualis, si tamen inæqualis fiat quarto, vel quinto quoque die, minus est malus, si verò vna die, longè peior est, sic & sedimenta diuulsa peiora prioribus sunt, quoniam indicant naturam in vna coctione defecisse ob distractionem, distrahitur verò natura à flatibus, qui inter succos intercursant, ac dirimunt continuitatem succi qui concoquitur. Quoniam igitur supposuimus contentum habere se secundum naturam, quoad colorem & locum, præter naturam autem in substantia, manifestum est, quòd in substantia illius, quod hæc ita habet, æqualitas, vel inæqualitas est.

CAPVT XVII.

Non leue æquale.

SIt igitur prius, æquale diuulsum, tale proculdubio malum est, indicat enim copiam crassi flatus in profundo, qui à natura extenuari non potuit.

CAPVT XVIII.

Non leue inæquale.

SIt aliud diuulsum inæquale, idest alio tempore tale apparens, alio diuersum, hoc priore est melius, indicat siquidem flatuosos succos esse paucos, quos natura citò discutiet, & tenues reddet. Et mirum sanè est inter opera naturæ æqualitatem malum esse, inæqualitatem bonum; quod meritò sanè ita euenit, mala enim si eandem perpetuò vim habeant, deterrima sunt. Sicut & pulsus arteriarum, si semper & continuò intermittens existat, deterrimus est, si verò aliquando intermittens, aliquando non intermittens, minus est malum. Eodem modo sedimentum diuulsum inæquale, minus malum est sedimento diuulso & æquali. Et hæc quidem de hac complicatione dicta sufficiant.

CAPVT XIX.

Suspensum album, leue, æquale.

SIt autem alia complicatio hæc. Contentum quoad colorem sit coctũ & sit album, non obtinens tamen locũ inferiorem, sed mediũ, ac quod medium locum habet, sit prius & læue in substãtia, æquale in tempore, tale indicat coctionem, sed tamen non perfectam, id enim nõ est hypostasis, sed media coctio, aut claram ostendens, quod enim in medio est, naturæ hypostasis est, loco tamẽ differt ab hypostasi. Causa autem diuersitatis loci est abũdantia flatus, qui immiscetur succis; si enim flatus haud exactè per cõcoctionẽ fuerit extenuatus, sed ob crassitiẽ inclusus fuerit intra cõtentũ, flatus ipse trudit illud, atq; attollit, aut ad supremã superficiẽ, & tum vocatur nubecula, aut ad mediam regionẽ,

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Λευκὸν ὑπεστὸς, οὐ λεῖον, ἀνώμαλον.

Ἀλλὰ δὴ ἔστω λευκὸν μὲν καὶ τὸν κάτω κεκτημένον τόπον, μηκέτι δὲ λεῖον, ἀλλὰ διεσπασμένον· τοῦτο χεῖρον τοῦ προτέρου ὑπάρχον. ἐκεῖνο μὲν γὰρ δείκνυε τὴν φύσιν διὰ πολλῶν, τὴν ἀνωμαλίαν ὑπομένειν, τοῦτο δὲ ἐν μιᾷ πέψει, ὅπερ ἐστὶ μοχθηρότατον, ὥσπερ καὶ τὸ φθινόπωρον κακὸν, ὅτι ἀνώμαλον. ἀλλ' ἐὰν μὲν διὰ τεττάρων, ἢ πέντε ἡμερῶν γένοιτο, ἔλαττον τὸ κακόν. ἐὰν δὲ ἐν μιᾷ ἡμέρᾳ, χεῖρον ὑπάρχει. τὸν αὐτὸν τρόπον, καὶ τὰ διεσπασμένα τῶν πρώτων, χείρονα, εἴ γ' ἐν μιᾷ πέψει διακοπὴν φύσεως δηλοῖ. διακόπτει δὲ τὴν φύσιν, πνεῦμα παρεμπεσὸν, καὶ διασπᾷ τὴν συνέχειαν τοῦ πεπτομένου χυμοῦ. ἐπεὶ οὖν ὑποθέμεθα κατὰ φύσιν τὸ παρυφιστάμενον ἔν τε χροιᾷ, καὶ ἐν τόπῳ, παρὰ φύσιν δὲ ἐν τῇ συστάσει, δῆλον ὅτι τοῦ τοιοῦτ' ἔχοντος οὕτως, ἐν τῇ συστάσει ἡ ὁμαλότης ἐστὶν ἢ ἀνωμαλία.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Οὐ λεῖον ὁμαλόν.

Τὸ οὖν πρότερον ὁμαλὸν διεσπασμένον, κακόν. πλῆθος γὰρ ἐνδείκνυται πνεύματος παχέος ἐν τῷ βάθει μὴ δυναμένου λεπτυνθῆναι ὑπὸ φύσεως.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Οὐ λεῖον ἀνώμαλον.

Ἀλλὰ δὴ ἔστω διεσπασμένον ἀνώμαλον. τουτέστι ποτὲ μὲν φαινόμενον τοιοῦτον, ποτὲ δὲ οὐ τοιοῦτον τοῦ προτέρου τυγχάνει ἄμεινον. ὀλίγον γὰρ δηλοῖ πνεῦμα, καὶ τοῦτο λεπτὸν ἔσεσθαι ταχέως. καὶ θαυμαστὸν ὑπὸ τῆς φύσεως ἀκολουθεῖ, τὸ τὴν μὲν ὁμαλότητα εἶναι κακὸν, τὴν ἀνωμαλίαν δὲ ἀγαθόν. καὶ μάλιστα δὲ εἰκότως τὸ τοιοῦτον συμβαίνει. τὰ γὰρ κατὰ τὴν αὐτὴν ἔχοντα δύναμιν, μοχθηρὰ τυγχάνει. οὕτως οὖν καὶ ὁ διαλείπων σφυγμὸς, ἀεὶ μὲν ὁ αὐτὸς φαινόμενος, μοχθηρότατός ἐστι. ποτὲ δὲ φαινόμενος τοιοῦτος, ἄλλοτε δὲ, οὐ, ἔλαττον κακὸν τοῦ προτέρου δηλοῖ. οὕτως οὖν καὶ τὸ διεσπασμένον ἀνώμαλον τοῦ διεσπασμένου μὲν, ὁμαλῶς δὲ φαινομένου, μετριώτερόν ἐστι κακόν. καὶ περὶ μὲν ταύτης τῆς συμπλοκῆς, ἱκανὰ τὰ προειρημένα.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Ἐναιώρημα λευκὸν, ὁμαλὸν, λεῖον.

Ἔστω δὲ ἑτέρα ἤδη. τὸ παρυφιστάμενον πεπεμμένον ἔστω τῷ χρώματι, καὶ ὑπαρχέτω λευκὸν, μηκέτι δὲ τὴν κάτω χώραν ἐχέτω, ἀλλὰ τὴν μέσην. καὶ τὸ ἔχον τὴν μέσην χώραν, ἔστω πρότερον καὶ λεῖον ἐν συστάσει, καὶ ὁμαλὸν ἐν χρόνῳ. τὸ τοιοῦτον πέψιν σημαίνει ἀλλ' οὐ τελείαν, οὐ γὰρ ὑπόστασίς ἐστιν, ἀλλὰ μέση πέψις, ἤτοι σαφῆ δηλοῦσα, τὸ γὰρ ἐν μέσῳ ἐποχούμενον, ὑπόστασίς ἐστι τῇ φύσει, τῷ τόπῳ δὲ διαφέρουσα. τὸν δὲ τόπον ἀμείβουσα διὰ πνεύματος περιουσίαν. ἐὰν γὰρ μήτε τελείως ἐν τῇ πέψει λεπτυνθῇ τὸ πνεῦμα, ἀλλὰ τοῦ παρισταμένου ἐντὸς ἀποκλεισθῇ διὰ παχύτητα, ὠθεῖ τοῦτο καὶ φέρει μετεωρότερον πρὸς ἄκραν ἐπιφάνειαν, καὶ καλεῖται νεφέλη. ἢ πρὸς μέσην χώραν,

καὶ καλεῖται ἐναιώρημα. εἰ δὲ οὐδ' ὅλως ἐστὶ πνεῦμα, καὶ τῷ βάθει φαίνεται κάτω, καὶ ὀνομάζεται ὑπόστασις. περὶ μὲν ἐναιωρήματος εἴρηται τοσαῦτα.

ΚΕΦΑΛΑΙΟΝ Κʹ.

Περὶ τῆς ὑποστάσεως, καὶ τῆς νεφέλης.

ΤΑ γὰρ τοιαῦτα εἰρημένα τῇ θέσει μὲν διαλλάττουσι, τὴν δὲ χροιὰν ἀμείβει ἡ τοῦ πνεύματος περιέμπλωσις. ἀλλὰ τὸ πνεῦμα ἀπὸ τῆς πέψεως γὰρ, καὶ εἰ μὲν τελεία πέψις εἴη, καὶ ἡ φύσις τὸ πνεῦμα λεπτυνεῖ. διὸ καὶ ὑπόστασις τελεία δηλοῖ τὴν πέψιν. εἰ δὲ μὴ δυνηθείη τὸ πνεῦμα λεπτυνθῆναι, ἀλλὰ τῇ παχύτητι, καὶ μὴ διαφορούμενον ἐκ τοῦ χυμοῦ, διὸ καὶ ἀκατέργαστον ἔχει τὸν χυμὸν, ὅθεν καὶ οὐ τελείαν πέψιν δηλοῖ, ἀλλ' ἀσαφῆ καὶ μέσην, διὸ καὶ τὴν μέσην καταλαμβάνει χώραν, οὐ γάρ ἐστι πολὺ, εἰ γὰρ τὴν ἄνω πέψιν κατεῖχε καὶ ἐγίνετο νεφέλη, πέψιν μὲν σημαίνει, ὅτι ἐγεννήθη. ἀμυδρὰν δὲ, ὅτι πολὺ καὶ παχύ ἐστι τὸ τοιοῦτον. καὶ δῆλον ὅτι ἐκ τοῦ τόπου οὐδὲν πλέον μανθάνομεν, ἢ μέτρα τῶν δηλουμένων. εἰ μὲν γὰρ μέλαν εἴη τὸ περιυφιστάμενον, κακόν. ἀλλ' ἐὰν μέντοι εἴη νεφέλη, ἀμυδρὸν τὸ κακόν. ἐὰν δὲ ἐναιώρημα, ἔλαττον κακόν, ἐὰν δὲ ὑπόστασις εἴη, τέλειον. περὶ μὲν τῆς θέσεως, ἱκανὰ τὰ εἰρημένα. δεδήλωται γὰρ οὔτε ἀγαθὸν, οὔτε κακὸν, ἀλλὰ μέτρια ἀγαθοῦ τε καὶ κακοῦ. ἀλλ' ἐπεὶ τέσσαρα ζητοῦμεν, ἐν τῷ περιυφισταμένῳ, χρῶμά τε καὶ τόπον, σύστασίν τε καὶ χρόνον, εἴρηται δὲ περὶ τοῦ χρόνου, καὶ τῆς συστάσεως, καὶ τοῦ τόπου, τὸ λοιπὸν προσθήσωμεν, ὅ ἐστι περὶ τοῦ χρώματος, ἀλλ' ἐπεὶ λευκὸν μὲν τὸ κατὰ φύσιν, τοῦτο δὴ ἔστω λευκόν, τὸ δὲ παρὰ φύσιν περὶ ὧν ἐροῦμεν μέλαν, ἢ πελιδνὸν, ἢ ὠχρὸν, ἢ ἐρυθρόν.

ΚΕΦΑΛΑΙΟΝ ΚΑʹ.

Τί δηλοῖ τὸ ἐρυθρόν.

ΤΟ μὲν οὖν ἐρυθρὸν, ἀπὸ ἰχωροειδοῦς αἵματος γὰρ καὶ ἀπεψίαν σημαίνει, ἀλλ' οὐ θάνατον, ὅτι μὲν οὖν κίνδυνον οὐκ ἐπάγει τὸ χρηστὸν, καὶ οἰκεῖον τῆς ὕλης ἐνδείκνυται. εἰ δὲ ἀπεψίαν σημαίνει, καὶ διὰ τοῦτο καὶ χρόνιον. ἐκ τοῦδε φανερὸν τῶν χυμῶν, οἱ μὲν ἐκ τοῦ φλέγματος γίνονται, ὡς τὸ φλέγμα καὶ ἰχώρ. οἱ δὲ μετὰ τοῦ αἵματος, ὡς ἡ ξανθὴ χολὴ, καὶ ὁ μέλας χυμός. ὅταν οὖν τὸ οὖρον ἐρυθρὸν φανῇ, σημαίνει ἀπὸ ἰχῶρος ἔχειν τὸ χρῶμα, ὁ δὲ ἰχὼρ ἐστὶ πρὸ τοῦ αἵματος, οὐ γὰρ ἡ φύσις τελείαν ἐπέθηκε τῷ αἵματι τὴν βαφὴν, εὔδηλον, ὡς οὐδέπω ἐπέφθη. εἰς δὲ τοῦτο τοῦ χρόνου χρῄζει ἡ φύσις, πρὸς τὴν πέψιν τοῦ αἵματος. τί μὲν οὖν σημαίνει τὸ ἐρυθρὸν οὖρον, εἰρήκαμεν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

Τί δηλοῖ τὸ μέλαν.

ΤΟ δὲ μέλαν, ποτὲ μὲν ἐνδείκνυται ψύξιν, ποτὲ δὲ θερμότητα. διαιρεῖται δὲ ἂν οὕτως. εἰ μὲν οὖν προηγήσατο πελιδνὸν, εἶθ' οὕτως ἐγένετο μέλαν, ψύξιν ἔχει τὴν πρόφασιν. εἰ δὲ τὸ χλωρὸν προεγένετο, ἠκολούθησε δὲ τὸ μέλαν, φανερὸν ὅτι ἀπὸ θερμότητος ἐγένετο. καὶ τέσσαρα μὲν ἐστὶ τοῦ περιυφισταμένου ἐζητοῦμεν χρῶμά τε καὶ τόπον, καὶ σύστασιν, καὶ χρόνον. ἁπάντων δὲ τούτων πεποιήμεθα τὴν σύγκρισιν.

quod tum vocatur suspensum. At verò, si nulli sunt omninò flatus, ipsum grauitate sua deorsum fertur, vocaturque hypostasis. Et de suspenso quidem id mihi dicendum fuerat.

CAPVT XX.

De hypostasi, & nubecula.

TRia hæc igitur, quæ diximus, diuersa sunt tãtummodo situ; situs autem variatur per flatũ, flatus autem generatur coctione, coctio verò, quãdo perfecta fuerit, flatum attenuabit, & resoluet, propterea hypostasis perfecta perfectã indicat coctionem. Si autẽ ventositas illa extenuari, nec præ crassitie ex humore dissolui potuerit, ideo que succum non coctũ habeat, vnde & imperfectã ostendat coctionem, sed obscuram & mediã; ideo mediam quoque obtinet regionem, neque enim copiosus est, si nanque in superiori parte cocta fuerit, ac facta fuerit nubecula coctionem quidem significat factam, verùm obscuram, quoniam multa & crassa est eiusmodi ventositas. Clarum est igitur, quòd ex situ sedimentorum nihil plus discimus, quàm modũ & mensurã eorũ quæ indicantur. Si enim nigrũ erit cõtentũ, signũ est malũ, minus verò est malum, si solum id nigrũ est, quod in medio iacet; ac multo minus etiam, si nubecula, si verò id, quod in infimo est, veluti hypostasis, longè est pessimum. Sufficiant verò hæc dicta de situ, qui neq; bonũ, neq; malũ significat, sed modũ & mensurã boni & mali. Quum autẽ in contento quatuor nobis consideranda sint, color scilicet, locus, substantia, & tẽpus; superest vt de colore iam disseramus, cum de substãtia, tempore, & loco, iam satis diximus. Color autem alius est naturalis contento, & est albus; alius præter naturam, qualis est niger, liuidus, pallidus, rubeus; de quibus iam agamus.

CAPVT XXI.

Color rubeus quid significet.

SEdimẽtum rubeum fit à sanguine ichoroide: significat autẽ coctionis defectum, non tamen mortẽ, quum enim succus is sit benignus & amicus naturæ, *magnum* periculum inferre non solet; quia verò indicat cruditatẽ, ob id etiam morbum diuturnum, id autem ex eo quod dicturi sumus de liquore, intelliges. Humores quidam generantur ex phlegmate, sicut phlegma, & ichor: quidam generantur vnà cum sanguine, sicut flaua bilis, & nigra bilis. Quando igitur vrina videtur rubra, indicium est quòd ab ichore colorem accepit; ichor autem fit ante quàm sanguis fiat (neque enim natura perfectam sanguini tincturam dedit) manifestum est, quòd nondum coctus est; ad hoc autem tempore indiget natura, vt sanguis coquatur. Quid igitur significet sedimentum rubeum, iam diximus.

CAPVT XXII.

Quid significet nigrum.

SEdimentum autem nigrum aliquando frigiditatis est indicium, interdum caliditatis; discernetur verò alterum ab altero hoc modo. Si antecessit liuidus, postea subsecutus est color niger, indicationem facit frigiditatis, si verò antecessit viridis subsequitur verò niger, caliditatem indicat. Et quatuor quidem in contento inquisiuimus, colorem dico, & locum, & substantiam, & tempus, omnium autem horum syncrisin fecimus.

CAP.

CAPVT XXIII.

Quid significet liuidum.

LIuidum autem frigiditatem indicat, & extinctionem virtutis.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Τί δηλοῖ τὸ πελιδνόν.

ΤΟ δὲ πελιδνὸν, ψύξιν καὶ νέκρωσιν ἐμφαίνει τῆς δυνάμεως.

CAPVT XXIV.

De speciebus vrinarum oleaginarum.

EX oleaginis vrinis alia est elæochroa, alia elæophanes, alia elæodes. Prima principium indicat colliquationis adipis totius corporis, est verò ea colorem olei retinens. Elæophanes autem habet exquisitiorem mixtionem olei cum vrina, significatque augmentum colliquationis. Elæodes est, quæ tota sui substantia, & colore & consistentia, vndequaque est veluti oleum; quæ indicat statum, & summum vigorem colliquationis. Sunt autem hæ vrinæ etiam ex colliquatione adipis renum. Extant tamen cautiones, quibus hoc discernas, quarum meminit Hippocrates in Aphorismo de resolutione adipis renum, vbi dicit: *Quibus hypostasis pinguis, ac simul tota, iis renum vitium significatur.* Ipsemet docuit discernendi modum, cum addidit ἀθρόη, idest simul tota; in renum enim colliquatione, celeriter adipes excernuntur, in colliquatione autem totius corporis adipes colliquati paulatim, id est tardè, & non vniuersim, cum vrina exeunt. Quia enim recipitur adeps à venis membris vicinis, deinde ab iis, quæ continuantur, & rursus ab aliis, & aliis, & tandem à renibus, & à vesica; patet multo post tempore excerni, adipis verò in renibus colliquati, propter vicinitatem transitus, celerrima est excretio, & non paulatim. Hoc igitur est, quod dixit Hippocrates simul tota idest celeriter. Hæc de oleaginis.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'.

Διαφοραὶ τῶν ἐλαιωδῶν οὔρων.

ΤΩν ἐλαιωδῶν οὔρων, τὰ μέν ἐστιν ἐλαιόχροα, τὰ δὲ ἐλαιοφανῆ, τὰ δὲ ἐλαιώδη. ταῦτα δὲ σημαίνει ἀρχὴν τῆς συντήξεως πιμελῆς ὅλου τοῦ σώματος, ἔστι δὲ καὶ ἐλαιόχρουν αὐτό. τὰ δὲ ἐλαιοφανῆ, ἀκριβεστέραν μὲν ἔχει τὴν μίξιν τοῦ ἐλαίου πρὸς τὸ οὖρον, σημαίνει δὲ τοῦ πάθους ἐπίδοσιν. τὰ δὲ ἐλαιώδη ὅλα δι' ὅλων, τὰ οὖρα καὶ ἐν χρώματι, καὶ ἐν συστάσει οἷον ἔλαιόν ἐστι, καὶ σημαίνει ταῦτα ἀκμὴν τῆς ἐπιδόσεως. ἀλλ' ἤδη καὶ τὰ τῶν νεφρῶν πιμελῆς ἀναλυομένης γίνεται, τὰ δὲ ἐλαιώδη διορίσωμεν, διά τινων γνωρισμάτων. μέμνηται δὲ καὶ Ἱπποκράτης, ἐν ἀφορισμῷ περὶ τῆς τῶν νεφρῶν πιμελῆς ἀναλυομένης ἐν τῷ φάναι. ὁκόσοισι λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τουτέοισι νεφριτικὰ σημαίνει. αὐτὸς δὲ, καὶ τοὺς διορισμοὺς ἐργάσατο προσθεὶς τὸ ἀθρόη. ἐπὶ μὲν γὰρ τῶν νεφρῶν, ταχέως ἐκκρίνεται. ἐπὶ δὲ τῆς ἐν ὅλῳ τῷ σώματι πιμελῆς, οὐκ ἔτι ταχέως, ἀλλὰ καὶ βραδέως. τὸ γὰρ διαδίδοσθαι αὐτὴν ἀπὸ τῶνδε τῶν φλεβῶν ὑπὸ τὰ συνεχῆ, κἀκεῖθεν, ὑπὸ τὰ πλησίον, καὶ μετὰ χρόνον ὑπὸ τοὺς νεφρούς, καὶ τὴν κύστιν, εὔδηλον ὅτι μετὰ πολὺν ἐκκρίνεται χρόνον. ἐπὶ δὲ τῶν νεφρῶν διὰ τὸ συνεχὲς τοῖς διεξόδοις, ταχέως ἐκκρίνεται, τὸ γὰρ ἀθρόη παρὰ τῷ Ἱπποκράτει, νῦν ἐπὶ τοῦ ταχέως εἴρηται. καὶ περὶ μὲν ἐλαιωδῶν οὔρων ἱκανῶς διαίρεται.

CAPVT XXV.

Quid significet hypostasis oroboides.

CVm autē caro ipsa liquatur, facit hypostases oroboides, quas vt bene discernas, animum aduerte ad coctionem, aut cruditatem, aut febrem acutam præsentē. Si enim adest febris, totius corporis est passio, si verò non adest febris, est vitium renum. Et rursus, si adest cruditas vrinarum, totius corporis vitium est, si coctio adest, hypostases verò orobinæ appareant, vitium indicat renum. Nec sine causa cruditas incessit, quādo morbus est totius corporis, ea enim vasa, quæ coctionē conficiunt, malè affecta sunt, in vitio autem renum cruditas non adest, renes enim nō sunt instrumenta coctionis vrinæ. Hæc de colliquatione carnis & adipis.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ'.

Τί σημαίνουσιν αἱ ὀροβοειδεῖς ὑποστάσεις.

ΟΤαν δ' ἡ σὰρξ τήκηται, ὀροβοειδεῖς ὑποστάσεις γίνονται, ὁρίζονται δὲ ταῦτα πέψει τε καὶ ἀπεψίᾳ, καὶ τὸ παρεῖναι ὀξὺν πυρετὸν, εἰ μὲν γὰρ ἐστὶ πυρετὸς, ὅλου τοῦ σώματός ἐστι τὸ πάθος. εἰ δὲ μὴ, τῶν νεφρῶν. καὶ πάλιν εἰ μέν ἐστιν ἀπεψία τῶν οὔρων, τοῦ ὅλου σώματος κακόν. εἰ δὲ πέψις μὲν ᾖ, ὀροβοειδεῖς δὲ ὑποστάσεις, τῶν νεφρῶν δηλοῖ πάθος. εἰκότως δὲ ἀπεψία κρατεῖ, ὅταν ὅλου τοῦ σώματος πάθος ἐστί. τὰ γὰρ ποιοῦντα τὴν πέψιν ἀγγεῖα νενόσηκεν. ἐπὶ δὲ τῶν νεφρῶν οὐκ ἔστιν ἀπεψία. οὐ γὰρ ὁ νεφρὸς πέττει τὸ οὖρον. καὶ περὶ μὲν τῆς πιμελῆς, καὶ τῆς σαρκὸς ἱκανὰ τὰ εἰρημένα.

CAPVT XXVI.

Quid significet hypostasis petalodes.

QVando solida membra malè sunt affecta, abraduntur primum extimæ partes, & reddunt vrinas petaloides, sunt tamen & hæ aliquando à vitio vesicæ. Discernes autem hoc ex iis quæ iam diximus de vitio renum, si enim adfuerit febris, totius corporis est vitium, si non adfuerit febris, vitium est vesicæ. si cruditas adsit, totum corpus est affectum, si coctio adsit, vesica.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

Τί δηλοῖ τὰ πεταλώδη.

ΟΤαν δ' ἂν πάθωσι τὰ στερεὰ, πρῶτον μὲν ἐπὶ πολὺ διαξέονται καὶ γίνονται πεταλώδη τὰ οὖρα. ἀλλὰ καὶ τῆς κύστεως τοιαῦτα δηλωτικά. τοῖς δὲ προειρημένοις ἐπὶ τῶν νεφρῶν, διορίζεται. εἰ μὲν εἴη πυρετὸς, ὅλον κεκάκωται. εἰ δὲ μὴ ᾖ πυρετὸς, τῆς κύστεως τὸ πάθος. καὶ εἰ μὲν ἀπεψία τοῦ ὅλου. εἰ δὲ πέψις, τῆς κύστεως.

A

ΚΕΦΑΛΑΙΟΝ ΚΖʹ.

Τί δηλοῖ τὰ πιτυρώδη.

ΟΤαν δὲ ὁ πυρετὸς ἐν τῷ βάθει τῶν ἀγγείων καταδῇ, γίνονται πιτυρώδεις αἱ ὑποστάσεις, στενώτεραι μὲν τῶν πεταλωδῶν, ἀλλὰ παχύτεραι. καὶ τὰ τοιαῦτα δὲ πάλιν τῆς κύστεως σημαντικά. ἀλλὰ καὶ τοῖς εἰρημένοις, τὸ πάθος διακρίνεται. εἰ μὲν γὰρ παρῇ πυρετὸς, τοῦ ὅλου τὸ πάθος, εἰ δὲ μὴ, τῆς κύστεως.

CAPVT XXVII.

Quid significet furfuracea.

QVando febris, profunda corporis vasa corripit ac dilacerat, hypostases fiunt pityroides furfuraceæ, quæ strictiores quidem sunt squamosis, sed crassiores. id verò etiam vitium vesicæ aliquando indicat. Discernitur autem hoc eo, quo diximus modo; si enim adfuerit febris, vitium est totius corporis; sin minus vesicæ.

B

ΚΕΦΑΛΑΙΟΝ ΚΗʹ.

Πόσα σημαίνει τὰ κριμνώδη.

ΕΠειδὰν δὲ ὁ πυρετὸς μετὰ τοῦ καταληφθῆναι τὸ πάθος, μεῖζον ἐπιλάβῃ μῆκος καὶ πλάτος, ἀδρομερέστερα δὲ γίνονται τὰ τοιαῦτα τῶν πιτύρων, καὶ καλεῖται κριμνώδη. ἀλλὰ καὶ τὰ κριμνώδη, δύο σημαίνει. εἰ μὲν ὄπτησιν αἵματος, ἢ σύντηξιν ἰσχυρὰν, τῶν στερεῶν. εἰ δὲ λευκὰ μὲν εἴη τὰ παρυφιστάμενα, τῶν στερεῶν ἐστι πάθος, εἰ δ᾽ ἐρυθρὰ τοῦ αἵματος.

CAPVT XXVIII.

Quid significet crimnœdes.

POsteaquam verò febris ipsa longè, latéque maiori vi, quàm in superioribus vitiis, solida membra corripuerit, facit solidiora sedimenta, quàm erant illa quæ speciem furfuris referebant, quæ vocantur crimnώδη. Hæc verò duo significant, aut adustionem sanguinis, aut liquefactionem solidorum nimiam. Et siquidem alba fuerint, quæ resident, solidorum partium est vitium, si C verò rubea extiterint, sanguinis adustio.

ΚΕΦΑΛΑΙΟΝ ΚΘʹ.

Τί δηλοῖ τὰ ἰχωρώδη καὶ σανδαραχίζοντα.

ΗΠαρ ἡλκωμένον καὶ αὐτὴν τὴν οὐσίαν ἀναλύεσθαι, καὶ τὸ μὲν λεπτομερὲς αὐτῶν, τὴν ἰχωρώδη χροιάν. τὸ δὲ παχυμερὲς, τὴν σανδαραχίζουσαν, καὶ ὡς ἐπὶ τὸ πολὺ, θάνατον μηνύουσαν. εἰ δὲ περισώζοιντο, ὕδρωπα.

CAPVT XXIX.

Quid significet ichorosa vrina; & quæ sandarachæ similis est.

INdicat hepar esse vlceratum, cuius substantia dissoluitur. Et partes quidem huius sedimenti subtiliores habent colorem ichorosum, crassiores autem sunt similes sandarachæ, quæ vt plurimum portendunt mortem infirmis, aut si superuixerint, hydrωpem.

D

ΚΕΦΑΛΑΙΟΝ Λʹ.

Περὶ δυσώδους.

ΤΟ δυσῶδες οὖρον τὴν σῆψιν δηλοῖ, καὶ τῆς φύσεως νέκρωσιν.

CAPVT XXX.

Quid significet fœtida.

FOetida vrina indicat putrefactionem, & extinctionem virtutis.

ΚΕΦΑΛΑΙΟΝ ΛΑʹ.

Συμπλοκαὶ τοῦ χυμοῦ τε καὶ παρυφισταμένου.

ΛΕίπει δὲ τῷ λόγῳ λοιπὸν θεωρῆσαι, τὰς τοῦ χύματος καὶ τοῦ παρυφισταμένου συμπλοκὰς, καὶ τί σημαίνουσιν. αἱ γὰρ ἔμπροσθεν συζυγίαι, αἱ μὲν πρότεραι, τοῦ χύματός ἐστι μόνου: αἱ δὲ ἕτεραι, παρυφισταμένου. νυνὶ δὲ τὰς τοῦ χύματος, καὶ τὰς τοῦ παρυφισταμένου συμπλέξωμεν. καὶ τί σημαίνει τούτων ἑκάστη διαφορὰ παραθώμεθα.

CAPVT XXXI.

Complicationes humoris & sedimenti.

REstat verò nobis speculari de humoris vrinarij cum sedimentis connexionibus ac di- E cere, quid significent. Hæ enim connexiones, quas hucusque explicauimus, erat vt solius humoris vrinarij, quas primo loco edisseruimus; vel solius sedimenti, quas secundo loco exposuimus; Nunc autem & humoris, & sedimenti simul connexiones complicemus, & exponamus, quid significet quælibet complicationis differentia.

ΚΕΦΑΛΑΙΟΝ ΚΒʹ.

Περὶ λεπτοῦ καὶ λευκοῦ.

ΕΣτω οὖν πρῶτον ἐν τῇ συστάσει τοῦ χύματος, ἄπεπτον τουτέστι λεπτὸν, καὶ ἐν τῇ χροιᾷ, λευκόν. ἐπὶ τῷ τοιούτῳ οὔρῳ, οὐ δύναται ἐνστῆναι παρυφιστάμενον. ἡ γὰρ λεπτότης, ἔνδειαν ὕλης σημαίνει, πῶς ὑπὸ τούτων ἔχομεν ὑποθέσθαι γινομένην ὑπόστασιν; ἀλλ᾽ οὐδ᾽ ἂν ὠχρὸν γένηται, ἢ πυῤῥὸν, ἢ ξανθὸν, μένον δὲ λεπτὸν, ὑφίσταταί τε.

CAPVT XXXII.

De tenui & albo.

F PRoponatur igitur primò vrina non cocti humoris, qui est tenuis; nec cocti coloris, qui est albus, in tali vrina nũquam potest existere sedimẽtum, tenuitas enim significat defectum materię ex qua fit id quod residet. Ad hæc in tenui, quæ permanet tenuis, esse sedimentum, simulque esse vrinam pallidam, aut rufam, aut flauam, est impossibile,

bile, in iis enim natura priuata nutrimento, conuertit se ad colorem faciendum. Quare si volumus conficere connexiones humoris vrinarij cum sedimentis, tenue abiiciamus à proposito, proponamus verò crassum.

ἐπὶ τούτων γὰρ ἡ φύσις ἀποροῦσα ὕλης, εἰς χρῶμα μεταβάλλει τὸ οὖρον, ὥς τε θέλοντας ἐργάσασθαι συμπλοκὰς ὁμοῦ τε τοῦ χύματος, καὶ τοῦ ὑφισταμένου, τὸ λεπτὸν ἐκβάλλωμεν καὶ ὑποθώμεθα τὸ παχύ.

CAPVT XXXIII.

De crassa & alba, crassum album non laue.

SIt verò vrina colore alba, substantia crassa, in hac potest residere sedimentum quod sit album, sed non læue, in talibus enim crudorum succorum copia colligitur, quæ licet coctionem coloris admittat, substantiæ tamen minimè.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ παχέος καὶ λευκοῦ. παχὺ λευκὸν οὐ λεῖον.

ΕΣτω δὲ τῇ χροιᾷ λευκόν, τῇ συστάσει παχύ· ἐπὶ τούτου ὑφίσταται, καὶ τὸ ὑφιστάμενον ἔστω λευκόν, ἀλλ᾽ οὐ λεῖον. ὁ γὰρ ὠμὸς χυμὸς ἐπὶ τῶν τοιούτων ἀθροίζεται πολύς, ὡς τῇ μὲν χροιᾷ, πέπτεται. τῇ δὲ συστάσει, ἄπεπτον ὑπάρχει.

CAPVT XXXIV.

Crassum rubeum non laue.

SIt alia crassa, cui connexus sit color rubeus, pallido enim, rufo, & flauo, ob eas quas diximus causas crassum connecti non potest, si igitur rubeo misceatur crassum (id quod sæpius accidit in synochis febribus) signum est cruditatis, & in humore, & in sedimento, tum quoad substantiam, tum quoad colorem vtriusque, humoris scilicet & sedimenti.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Παχὺ ἐρυθρὸν οὐ λεῖον.

ΑΛλ᾽ ἔστω πάλιν παχύ, καὶ συναπτέσθω τῷ ἐρυθρῷ. τῷ γὰρ ὠχρῷ καὶ πυρρῷ, καὶ ξανθῷ τὸ παχὺ οὐ μίγνυται διὰ τὰς ἔμπροσθεν εἰρημένας αἰτίας. ἐὰν τοίνυν τῷ ἐρυθρῷ μιγῇ τὸ παχύ, καθάπερ ἐπὶ τῶν συνόχων, ἔσται σημεῖον ἀπεψίας, καὶ ἐν τῷ χύματι, καὶ ἐν τῷ ὑφισταμένῳ, καὶ κατὰ τὴν σύστασιν, καὶ τὴν χροιὰν ἀμφοτέρων τοῦ τε χύματος, καὶ τοῦ ὑφισταμένου.

CAPVT XXXV.

Crassum nigrum non laue.

SIt vrina alia crassa & nigra; hæc non cocta est, nec colore, nec substantia tam humoris vrinarij, quàm sedimenti. Et hæ quidem sunt connexiones vrinæ crassæ, quæ remanet crassa.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Παχὺ μέλαν οὐ λεῖον.

ΑΛλὰ δὴ ἔστω παχὺ μέν, ἀλλὰ μέλαν. ἐνταῦθα δὲ καὶ αὐτὸ πέπονθεν ἀπεψίαν, καὶ ἐν τῷ χρώματι, καὶ ἐν τῇ συστάσει τοῦ τε χύματος, καὶ τοῦ ὑφισταμένου. καὶ αὗται μὲν αἱ συμπλοκαὶ τοῦ οὔρου μένοντος παχέος.

CAPVT XXXVI.

Mediocris substantiâ cum quibus coloribus esse possit.

SIt verò vrina, quoad substantiam, mediocris, cui annectatur color aliquis; hæc alba esse non potest, si enim alba est, cruda est. Esto tamen appareat vrina mediocris substantiæ, & alba, mirum profecto erit, quomodo natura mediocrem substantiam faceret, colorem verò non decoqueret, quum illud maioris sit negocij & difficultatis. Mediocre igitur cum albo consistere non potest, raro autem cum pallido, nisi abundans humiditas aliundè bili aduenerit. Color quoque rufus, aut flauus eum mediocri vrinæ substantia non potest communionem habere; quòd si aliquando habeat, in illis tamen nihil residet; proinde, & has vrinarum cum hypostasi complicationes, vt inanes, omittamus.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ'.

Τὸ ἐν συστάσει σύμμετρον, μεθ᾽ οἵων χρωμάτων συστῆναι δύναται.

ΕΣτω δὲ σύμμετρον ἐν συστάσει, ἀμειβέσθω δὲ τοῖς χρώμασιν. ἀλλὰ λευκὸν τὸ τοιοῦτον οὐ δύναται εἶναι. εἰ γὰρ λευκόν ἐστιν ἄπεπτον ὑπάρχει. εἰ δὲ τοῦτο φαίνεται, καὶ τὸ χρῶμα πέψαι φύσις οὐ δεδύνηται, πῶς τὴν σύστασιν ἐπάχυνε, μείζονος καμάτου δεομένου; οὐκοῦν τὸ σύμμετρον μετὰ λευκοῦ συστῆναι οὐ δύναται. σπανίως δὲ μετὰ ὠχροῦ, εἰ μὴ πλείων ἢ δεδωκώς, καὶ τῇ περιουσίᾳ τῆς ὑγρότητος. ἡ χολὴ τὸ μὲν χρῶμα μὴ λάβοι πυρρόν, ἢ ξανθόν, τὴν δὲ σύστασιν φέροι σύμμετρον. ἀλλ᾽ ὅμως κἂν συστοιχῇ, οὐδὲ ἐπὶ τούτων ὑφίσταται, ὥς τε καὶ ταύτην ἐκβαλλόμεθα τὴν συμπλοκὴν μιγνυμένην μετὰ ὑποστάσεως.

CAPVT XXXVII.

Malæ vrinæ sunt hæ.

VIrides, seu liuidæ, nigræ, cruentæ, nimium crassæ, rufæ, supra modum impermixtæ, rufæ simul tenues, carentes hypostasi, prauæ sunt, fœtidæ, pingues, oleaginæ, & eæ, quæ excedunt copiam potus.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'.

Οὖρα δὲ πονηρά εἰσι ταῦτα.

ΧΛωρὰ ἢ πελιδνά, μέλανα, αἱματώδη, καὶ λίαν παχέα, τὰ πυρρά, λίαν ἄκρατα, τὰ πυρρά, καὶ λεπτά, καὶ μηδεμίαν ὑπόστασιν ἔχοντα. μοχθηρὰ δὲ τὰ δυσώδη. κακὰ δὲ τὰ λιπαρά, καὶ ἐλαιώδη, καὶ ὑπερβάλλοντα τὸ πλῆθος τοῦ πινομένου.

ΚΕΦΑΛΑΙΟΝ ΛΗ'.

Νεφέλαι δὲ καὶ ὑποστάσεις πονηραί.

Πελιδναὶ καὶ μέλαιναι, καὶ ζοφώδεις. ποικίλαι, διεσπασμέναι, κριμνώδεις, δίαιμοι, πυρετώδεις, καὶ χολεραί, φλεγματώδεις, καὶ δυσώδεις. τὰ δὲ ἀνυπόστατα οὖρα, πονηρὰ πάντως. καὶ ταῦτα μὲν τὰ εἴδη τῶν οὔρων σημαίνουσι πλῆθος αἰτιῶν διαφόρων νοσημάτων. καὶ αὔξησιν τούτων, καὶ μείωσιν. διάκρισίν τε καὶ σύγκρισιν, πέψιν τε καὶ ἀπεψίαν, καὶ τρόπους κινδύνων γινομένων. σκοπεῖν δὲ δεῖ τὸν ἰατρὸν ἐπὶ τούτων ἁπάντων τὸ πλῆθος, καὶ τὴν δύναμιν τῶν αἰτιῶν, καὶ τὴν ὑπεροχὴν ὑπὲρ τὸ ἀδιαμάρτητον φυλαχθῆναι.

CAPVT XXXVIII.

Nubecula, & hypostases malæ.

Liuidæ, nigræ, caliginosæ, variæ, diuulsæ, farinaceæ, sanguinolentæ, biliosæ, & exustæ, phlegmaticæ, & fœtidæ: Vrinæ verò, in quibus nihil residet, sunt omninò prauæ. Hæ igitur species vrinarum significant plurimas causas diuersorum morborum, eorumque augmenta, declinationem, discretionem, concretionem, coctionem, cruditatem, modum insuper periculorum, quæ futura sunt. Considerare autem medicus debet in his omnibus multitudinem, & vim causarum, ac exuperantiam, quo delictum omne euitetur.

ΚΕΦΑΛΑΙΟΝ ΛΘ'.

Ἕτερον περὶ διαφορᾶς οὔρων.

Ἐπὶ τῶν πυρεκτικῶν μάλιστα νοσημάτων ἡ ἐκ τῶν οὔρων σημείωσις, χρησιμωτάτη καθέστηκεν. ἐπειδὴ δὲ πᾶν τὸ παρὰ φύσιν, ἀπὸ τοῦ κατὰ φύσιν εὑρίσκεται, ἀπὸ τῶν κατὰ φύσιν ἀρξώμεθα. οὖρον οὖν ἄριστόν ἐστιν ἐπὶ τῶν ἐν ὑγείᾳ καὶ εὐεξίᾳ τελούντων ἀνθρώπων, ὑπόπυρρόν τε καὶ ξανθὸν, ἢ ὑπόξανθον, καὶ τῷ πάχει σύμμετρον, καὶ μόνον τοιοῦτον τῇ χροιᾷ οἷον ἀπουρηθῇ. λείαν δὲ καὶ ὁμαλὴν, καὶ λευκὴν ἔχον ὑπόστασιν παρὰ πάντα τὸν χρόνον. πλῆθος δὲ πρὸς λόγον τοῦ πινομένου. ἐπὶ δὲ τῶν γυναικῶν τὸ κατὰ φύσιν οὖρον τῇ χροιᾷ, λευκότερον τοῦ ἀνδρείου εἶναι χρὴ, καὶ ὑπόστασιν ἔχειν πλείονα. ἐπὶ δὲ τῆς παιδικῆς ἡλικίας, ἱκανῶς παχείας ἔχειν αὐτὰ ὑποστάσεις χρὴ διὰ τὰς τῶν παίδων ἀδηφαγίας, καὶ ἀτάκτους, καὶ ἀκαίρους κινήσεις. λείαν δὲ ὑπόστασιν Ἱπποκράτης καλεῖ, τὸ συνεχὲς καὶ ἀδιάσπαστον δηλῶσαι βουλόμενος, ὁμαλὴν δέ φησιν εἶναι ὃ δι' ὅλου ἀεὶ ὅμοιον οὐρεῖται, καὶ μὴ σήμερον πεπεμμένον τῇ δ' ἑξῆς ἄπεπτον. καὶ ὃ μὴ τὴν ὑπόστασιν, ἢ τὸ χύμα ἔχει ὅλον ἀνώμαλον. ζητοῦμεν οὖν ἐπὶ τοῦ κατὰ φύσιν οὔρου, χρῶμα, καὶ σύστασιν τοῦ σώματος, καὶ τὰ περιεμφαινόμενα τῷ χύματι, οἷον νεφέλην, ἐναιώρημα, καὶ τὴν ἐν τῷ πυθμένι ὑπόστασιν. εὔδηλον οὖν ὅτι κατά τι τούτων πεπόμενον τὸ οὖρον, ἀπεψίαν τὴν ἐν ταῖς φλεψὶν ἐνδείκνυται.

CAPVT XXXIX.

Aliud de differentiis vrinarum.

In morbis febrilibus vtilissima est vrinæ indicatio. Quoniam autem omne, quod est præter naturam, cognoscitur per id, quod est secundum naturam, idcirco vrinarum notitia incipere debet ab iis, quæ secundum naturam se habent. Optima igitur vrina est in iis hominibus, qui sani sunt, & bonam corporis habitudinem sortiti sunt, subrufa, aut subflaua, mediocris crassitiei, tali colore permanens, quali micta est: hypostasin retinens planam, æqualem, albam per omne tempus, multitudinem autem pro mensura, & ratione potus. In mulieribus tamen vrina secundum naturam albioris coloris esse debet, quàm in viris, habereque hypostasin copiosiorem. In puerili verò ætate necesse est crassiorem esse hypostasin, propter edacitatem puerorum, & motus eorum importunos, ac inordinatos. Quando autem Hippocrates dicit hypostasin læuem, vult significare non diuulsam, sed continuam: quando dicit æqualem, vult significare tum eam, quæ per omne tempus similis est sui ita, vt si vno die sit cocta, postero die non sit cruda, tum eam, quæ sedimentum, & liquorem habet totum sibi æqualem. In vrina naturali consideranda sunt hæc, substantia, color, & ea quæ in vrina apparent, qualis est nubecula, suspensum, & ea, quæ in fundo est, hypostasis: quòd si aliquid horum in vrina immutatum fuerit, indicium erit cruditatis in venis.

ΚΕΦΑΛΑΙΟΝ Μ'.

Ὁποῖον οὖρον ἄριστόν ἐστιν ἐπὶ τῶν νοσούντων.

Ἄριστον μὲν οὖν οὖρόν ἐστιν ἐπὶ τῶν νοσούντων, τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον ὑπάρχον, ἢ ὑπόξανθον. λευκὴν καὶ λείαν, καὶ ὁμαλὴν ἔχον ὑπόστασιν. ὑποδεέστερον δὲ, τὸ ἔχον ἐναιώρημα, λευκὸν καὶ λεῖον, καὶ ὁμαλόν. ἕτερον δὲ τούτου ἀπεπτότερον, τὸ νεφέλην τοιαύτην ἔχον. ἐφ' ὧν γὰρ τὸ πνεῦμά ἐστιν ἐν τῷ βάθει παχὺ, καὶ ἄπεπτον, εἰ μὲν ὀλίγον εἴη, συγχωρεῖ μὲν τὴν ὕλην ἐπὶ τὸν πυθμένα τοῦ ἀγγείου καταφέρεσθαι. εἰ δέ τι πλεονάσειεν, τὸ ἄπεπτον ἐν τῷ βάθει πνεῦμα πρὸς τὴν ἄνω ἐπιφάνειαν τοῦ χύματος φέρει τὴν ὑπόστασιν, καὶ ποιεῖ τὴν καλουμένην νεφέλην.

CAPVT XL.

Qualis vrina optima est in ægrotantibus.

Optima in ægrotis vrina est ea, quæ simillima est vrinæ sanorum hominum, subpallida, aut subflaua, habens hypostasin albam, læuem æqualem. Ab hac verò iam deficit, quæ suspensum habet album, læue, æquale. Adhuc verò magis deficit, quæ nubeculam habet albam, læuem, æqualem. In quibus enim flatus est in profundo crassus, & incoctus; si paucus is fuerit, permittit materiam ad matulæ fundum deferri: si verò abundauerit, effert hypostasin ad superficiem summam vrinæ, & facit eam, quam dicunt nubeculam. Quanto

Quãto igitur flatus præual uerit, & magis dissecuerit, ac magis in altum sussu lerit hypostasim, tanto minus cocta dicetur esse vrina. In tertianis tamen exquisitis & in ephemeris febribus, sola nubecula, aut suspensum ad solutionem morbi sæpe sufficit: interdum sufficit, & solus color vrinæ bonus.

CAPVT XLI.

Quod non omnis hypostasis alba bonum indicet.

SÆpè autem albus color eorum, quæ in vrinis apparent, rudes decipit ita, vt nesciant malam esse hypostasin, quæ illis videtur bona, ac è diuerso bonã esse, quæ illis videtur mala. Accidat enim aliquando, vt albus humor, & crudus excernatur simul cum vrina, ac in imo subsideat, instar bonæ hypostasis: aliquando affecto hepate, aut renibus, pus cum vrina excernitur, & subsidet, ita vt indoctos decipiat. Sed hoc discernetur primum per dolorem, qui præcessit in renibus, aut in hepate, aut in aliqua parte alia quæ solet per vrinas expurgari, deindè per fœtorem, quem obtinet pus. Crudus autẽ humor discernetur à bona hypostasi per inæqualitatem substantiæ ipsius contenti, neque enim humor crudus permanet sibi continuus, sed diuiditur in exiles, & minutas partes, veluti arenulas, neq; læuis est omnino, sicut vera hypostasis. In bonis autem vrinis, primum quod apparet, est nubecula: deinde facto aliquo descensu apparet id, quod vocatur suspensum, in fine autem quum iam percolata est, subsidet in profundo, facitque hypostasin, nimirum quum iam perfectè cocta fuerit. At in crudis humoribus à principio statim delabitur multitudo non pauca in profundum matulæ, interim & totius vrinæ color est malus: deinde paulatim concocta, & extenuata multitudo attollitur in medium humoris, facitquè suspensum. Posteaquam verò maximopere extenuata, coctaque fuerit, insidet in superficie liquoris, faciens nubeculam, quæ indoctis imponit, vt opinentur morbum labi in deterius.

CAPVT XLII.

Quid indicet tenuis & pallida vrina.

TEnuis & palida vrina cruda quidem est consistentiâ, concocta autem mediocriter colore, imbecillitatem autem hæc indicat naturæ, colore enim concoxit, quod sit facile, non etiam consistentiâ, quòd difficile sit.

CAPVT XLIII.

Quid significet tenuis & fulua.

TEnuis verò consistentiâ vrina, & colore flaua melior est quàm pallida, cruda tamen est propter consistentiam.

CAPVT XLIV.

Quid indicet rubra vrina.

VRina rubra cruditatem indicat non mortem, est enim ex sanguine seroso, qui nondum

ἐφ' ὅσον οὖν ἰσχύει τὸ πνεῦμα, καὶ μερίζει, καὶ μετεωρίζει τὴν ὑπόστασιν, ἐπὶ τοσοῦτον ἀπεπτότερον γίνεται τὸ οὖρον. ἐπὶ δὲ τῶν ἀκριβῶν τριταίων, καὶ τῶν ἐφημερῶν πυρετῶν, ἡ νεφέλη μόνη, ἢ ἐναιώρημα πολλάκις ἤρκεσε πρὸς λύσιν τοῦ νοσήματος. ἐνίοτε καὶ τὸ εὔχροιαν γίνεσθαι τὸ οὖρον μόνον.

ΚΕΦΑΛΑΙΟΝ ΜΑ'.

Ὅτι οὐ πᾶσα ὑπόστασις λευκὴ, ἀγαθόν τι σημαίνει.

ΠΟλλάκις δὲ καὶ τὸ λευκὸν χρῶμα τῶν παρεμφαινομένων ἐν τῷ χύματι, ἀπατᾷ τοὺς ἰδιώτας, ὡς ὑπόστασιν χρηστὴν νομίζεσθαι, οὐκ οὖσαν χρηστήν. συμβαίνει γὰρ ὠμὸν, καὶ λευκὸν χυμὸν συνεκκρινόμενον τὸ οὖρον ὑφίστασθαι, καὶ φαντασίαν ὑποστάσεως χρηστῆς παρέχειν. ἐνίοτε δὲ καὶ ἥπατος, ἢ νεφρῶν πεπονθότων, πύον ἐκκρίνεται σὺν τῷ οὔρῳ ὑφιστάμενον, καὶ ἀπατᾷ τὸν τεχνίτην, ἀλλὰ τοῦτο μὲν πρῶτον διαγνώζεται προπεπονημένον τὸν ἄνθρωπον τοὺς νεφροὺς, ἢ τὸ ἧπαρ, ἢ τι ἕτερον μόριον τῶν εἰωθότων ἐκκαθαίρεσθαι διὰ τῶν οὔρων. ἔπειτα δὲ καὶ δυσῶδες εὑρίσκεται τὸ μετέχον πύου. ὁ δὲ ὠμὸς χυμὸς διαγνώζεται τῆς χρηστῆς ὑποστάσεως, τῇ ἀνωμάλῳ συστάσει τοῦ ὑφισταμένου. οὐ γὰρ συνεχὲς ἑαυτῷ μένει, ἀλλὰ διαιρεῖται εἰς μικρὰ οἷον ψαμμία, καὶ οὐδ' ὅλως λεῖον ἐστὶ καθὼς ἡ ἀληθὴς ὑπόστασις. ἐπὶ μὲν τῶν χρηστῶν οὔρων, πρῶτα μὲν ἐπιφαίνεται νεφέλη. ἔπειτα ὑποκαταβαίνουσα, ποιεῖ τὸ ἐναιώρημα. ἐπὶ τέλει δὲ ὑφιζάνουσα ἐν τῷ πυθμένι τοῦ ἀγγείου ποιεῖ τὴν ὑπόστασιν, δηλονότι ὅταν τελείως πεφθῇ. ἐπὶ δὲ τῶν ὠμῶν χυμῶν εὐθὺς ἐξ ἀρχῆς εἰς τὸν πυθμένα τοῦ ἀγγείου ὑποχωρεῖ πλῆθος πολὺ, μετὰ τοῦ εἶναι κακόχρουν, καὶ τὸ χύμα ὅλον. ἔπειτα κατὰ βραχὺ πεττόμενον, καὶ λεπτυνόμενον, αἰωρεῖται κατὰ τὸ μέσον τοῦ χύματος, καὶ ποιεῖ τὸ ἐναιώρημα. ὅταν δ' ἐπὶ πλεῖστον λεπτυνθῇ καὶ πεφθῇ, ἐφίσταται ἐπὶ πολὺ τοῦ χύματος, καὶ ποιεῖ τὴν νεφέλην, καὶ πλανᾷ τοὺς ἰδιώτας, ὡς ὑπολαμβάνειν ἐπὶ τὸ χεῖρον προβαίνειν τὴν νόσον.

ΚΕΦΑΛΑΙΟΝ ΜΒ'.

Τί δηλοῖ τὸ λεπτὸν, καὶ ὠχρόν.

ΤΟ δὲ λεπτὸν καὶ ὠχρὸν οὖρον, ἄπεπτον μὲν ἐστὶ τῇ συστάσει πεπεμμένον δὲ μετρίως τῇ χροιᾷ. ἀσθένειαν δὲ, καὶ τοῦτο δηλοῖ τῆς φύσεως, τῷ μὲν χρώματι γὰρ ἔπεψεν ὡς ἂν ῥᾴδιον ὑπάρχον, οὐκέτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον.

ΚΕΦΑΛΑΙΟΝ ΜΓ'.

Τί σημαίνει τὸ λεπτὸν, καὶ πυῤῥόν.

ΤΟ δὲ λεπτὸν τῇ συστάσει, καὶ πυῤῥὸν τῷ χρώματι βέλτιον τοῦ ὠχροῦ, ὅμως ἄπεπτον διὰ τὴν σύστασιν.

ΚΕΦΑΛΑΙΟΝ ΜΔ'.

Τί δηλοῖ τὸ ἐρυθρόν.

ΑΠεψίαν σημαίνει, οὐ θάνατον, ἀλλὰ χρόνου δεῖται εἰς πέψιν. ἔστι δὲ ἐξ αἵματος ἰχωροειδοῦς μή ποτε λείαν πέψιν

λαβόντος, μηδὲ τὴν ἰδίαν χροιάν, καὶ διὰ τοῦτο χρονιώτερον σημαίνει τὸ νόσημα. ἐπὶ δὲ τῶν συνεχῶν πυρετῶν ἐπὶ πλήθει αἵματος συνισταμένων ἐκκρίνεται οὖρον ἐρυθρὸν καὶ παχύ. δηλονότι τοιοῦτόν ἐστι, καὶ τῷ χρώματι, καὶ τῇ συστάσει τοῦ χρώματος, καὶ τὸ περιυφιστάμενον ἄπλεται.

coctionem adeptus est, neque proprium colorem, ac propterea morbum diuturniorem significat; at in febribus continuis ob sanguinis copiam, qua fiunt, excernitur vrina crassa & rubra, quæ videlicet colore talis est, & consistentia coloris, & contentum habet.

ΚΕΦΑΛΑΙΟΝ ΜΕʹ.

Τί δηλοῖ τὸ λεπτὸν οὐρούμενον, καὶ ἔξω ἀναθολούμενον.

ΤΟ δὲ λεπτὸν οὐρούμενον, καὶ μετὰ ταῦτα ἔξω ἀναθολούμενον, ἄπεπτόν ἐστι διὰ περιουσίαν αἵματος παχέος. δηλοῖ δὲ τὴν φύσιν ἄρχεσθαι πέττειν.

CAPVT XLV.

Quid significet vrina tenuis micta & postea turbata.

VRina quæ tenuis meitur ac postea foris turbatur, cruda est propter crassi sanguinis exuperantiam; naturam autem coctionem aggredi significat.

ΚΕΦΑΛΑΙΟΝ Μϛʹ.

Τί δηλοῖ τὸ παχὺ οὐρούμενον, καὶ μένον παχύ.

ΤΟ δὲ παχὺ οὐρούμενον, καὶ καθιστάμενον, οἷα ὑποζυγίου δηλοῖ τὴν τῶν παχέων πνευμάτων τε, καὶ χυμῶν ζύμωσιν. ἐπὶ τούτων, κεφαλαλγίαι πάρεισιν, ἢ παρέσονται, διὰ τὴν ἐν τοῖς χυμοῖς ταραχήν, καὶ τὰς ἀναθυμιάσεις.

CAPVT XLVI.

Quid significet crassa micta & crassa permanens.

VRina verò quæ crassa meitur & non subsidet qualis est iumentorum, ostendit crassorum flatuum & humorum fermentationem. In his capitis dolores aut adsunt aut aderunt propter humorum perturbationem & euaporationes.

ΚΕΦΑΛΑΙΟΝ ΜΖʹ.

Τί δηλοῖ τὸ οὐρούμενον παχὺ, καὶ μετὰ ταῦτα ἀποκαθίστασθαι.

ΠΑύεσθαι μὲν τὴν ἐν τοῖς χυμοῖς ζύμωσιν, καὶ δηλοῖ πως ἄρχεσθαι τὴν διάκρισιν.

CAPVT XLVII.

Quid significet vrina crassa micta & postea subsidens.

SEdat equidem eam, quæ in humoribus fit, fermentationem, & indicat aliquo modo inchoari secretionem.

ΚΕΦΑΛΑΙΟΝ ΜΗʹ.

Τί δηλοῖ τὸ λεπτὸν καὶ λευκόν.

ΕΣχάτην ἀπεψίαν. οὐ γὰρ ἐνεχείρησεν ἐπὶ τούτων, οὐχ ὡς πρὸς τὴν πέψιν. γίνεται δὲ τοῦτο, ἢ δι' ἀσθένειαν τῆς δυνάμεως, ἢ δι' ἔμφραξιν, ἢ διὰ τὸ χρόνιον εἶναι τὸ νόσημα, ἐπὶ γὰρ τῶν τεταρταίων χρονιωτάτων ὄντων ἐν ἀρχαῖς διὰ τὸ πλῆθος, καὶ δυσπαθὲς τῆς ὕλης διηθούμενον τὸ οὖρον, γίνεται λεπτὸν καὶ δι' ἔμφραξιν ἥπατος, ἢ νεφρῶν, ἀλλὰ διαγινώσκεται ἐκ τῆς τοπικῆς ὀδύνης. οὐρεῖται δ' ἐνίοτε λεπτὸν, καὶ λευκὸν, καὶ ἐπὶ τῶν διακαῶν πυρετῶν, καὶ σημαίνει φρενῖτιν. καὶ γὰρ ὁ καυσώδης πυρετὸς, πλῆθος δηλοῖ χολῆς. οὐ χρώννυται δὲ τὸ οὖρον, δῆλον ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις ἡ χολὴ, ἀλλὰ τῇ κουφότητι, εἰς τὸν ἐγκέφαλον ἀνέδραμεν, εἰ μὲν οὐ πάρεστι φρενῖτις, ἐπὶ τούτων γίνωσκε αὐτὴν ἤδη ἔσεσθαι. εἰ δὲ καὶ παρούσης φρενίτιδος οὐρεῖται λεπτὸν, καὶ λευκὸν ἐπὶ διακαεστάτου πυρετοῦ, προσαγγέλλει θάνατον, ὡς ἐπὶ πολύ. οὐ γὰρ ὑπομένει ἡ ἐγκεφάλου δύναμις ἤδη προκαταβεβλημένη τοῦ διακαοῦς πυρετοῦ ἐνέγκαι δριμύτητα, καὶ δῆξιν χολῆς ἤδη σεσηπυίας.

CAPVT XLVIII.

Quid indicet tenuis & alba.

SVmmam cruditatem; non enim aggressa est in his natura coctionem, fit autem ea propter facultatis imbecillitatem, vel propter obstructionem, vel ob morbi diuturnitatem, in quartanis enim longissimis circa initia ob crassitiem & peruicaciam materiæ, vrina percolatur; fit & tenuis propter obstructionem hepatis, aut renum; verum cognoscitur ex dolore locali; meitur autem aliquando tenuis & alba, & in ipsis febribus ardentibus, & phrenitidem significat, etenim febris ardens copiam indicat bilis, non autem tingitur vrina, clarum est in venis bilem non manere, sed sua leuitate in cerebrum excurrit, sin igitur non adsit phrenitis, ex his cognosces statim affuturam, sin autem quum iam phrenitis adfuerit, tenuis & alba meiatur vrina in ardentissima febre, mortem portendit vtplurimum, neque enim cerebri vis iam ab ardenti febre prostrata sustinere potest acrimoniam ac mordacitatem bilis iam putrefactæ.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΟΥΡΩΝ ΕΝ ΣΥΝΤΟΜΩ.

GALENI DE VRINIS COMPENDIVM.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ἐν συντόμῳ τὰ τοῦ οὔρου μέρη τε καὶ τὰς διαφοράς, τὰς πρὸς διάγνωσίν τε καὶ πρόρρησιν, ἐξηγεῖται.

ARGVMENTVM LIBRI.

Concisa oratione vrinæ partes ac differentias quatenus ad diagnosin ac prædictionem spectant explicat.

MVLTÆ quidem vrinarum, vt priùs dictum est, generales sunt, multæ verò & speciales differentiæ. Primæ autem & generalissimæ duæ, liquor, & contentum. Ac liquor quidem vocatur tota vrina à liquari. Contentum verò in eo diuersum quid apparet. In hoc autem liquore duæ spectantur in concretione differentiæ, consistentia & color. Sed horum vtrumque in alias subdiuiditur differentias. Etenim consistentia in tenuitatem & crassitiem, & ex vtraque moderatam, quæ secundum naturam est. Tenuis autem & crassa bifariam secantur. Vel enim tenuis meitur, manetq; tenuis; aut turbatur & crassa fit, contrà verò & crassa meitur, & manet crassa, & postea residet. Ac quæ tenuis meitur, & tenuis permanet, summam indicat cruditatem venosi generis. Non enim omnino natura in melius conuertere exuperantem & agitatum in venis humorem aggressa est. Quæ verò tenuis vrina meitur, ac postea turbatur, naturam superiorem indicat; incipit autem mouere ac mitigare subiectam & exuperantem in venis materiam. Rursus autem quæ vrina crassa redditur, & crassa manet, augeri crassorum flatuum & humorum fermentationem indicat. Quæ autem crassa vrina excernitur, ac postea subsidet, præsentem ostendit tum crassorum humorum fermentationem, tum ipsam incipere fieri secretionem. Atque hæ in liquoris consistentia spectantur concoctionis & cruditatis humorum diffe-

ΤΩΝ οὔρων, ὡς προείρηται, πολλαὶ μὲν καθόλου αἱ διαφοραί, πολλαὶ δὲ καὶ εἰδικαί. καὶ πρῶτα μὲν καὶ γενικώτατα δύο, χύμα τε καὶ τὸ ὑφιστάμενον. καὶ χύμα μὲν καλεῖται ἀπὸ τοῦ οὖρον τὸ ὅλον ἐκκεχύσθαι. ὑφιστάμενον δὲ τὸ ἐν αὐτῷ ἕτερόν τι ἐμφαινόμενον. ἐν τούτῳ δὲ τῷ χύματι, δύο θεωροῦνται ἐν συγκρίσει διαφοραί, σύστασις καὶ χροιά. ἑκάτερον δὲ τούτων εἰς ἕτερα διαιρεῖται, καὶ ὑποδιαφορά. ἡ μὲν γὰρ σύστασις, εἰς λεπτότητα καὶ παχύτητα, καὶ τὸ ἐξ ἀμφοτέρων σύμμετρον ὅπερ κατὰ φύσιν ὑπάρχει. τὸ δὲ λεπτὸν καὶ παχὺ τέμνονται διχῆ, ἢ γὰρ ἐξουρεῖται λεπτόν, καὶ μένει λεπτόν· ἢ ἀναθολοῦται, καὶ γίνεται παχύ· καὶ τὸ ἀνάπαλιν, καὶ οὐρεῖται παχύ, καὶ μένει παχύ, καὶ ὕστερον ἀποκαθίσταται. καὶ τὸ μὲν οὐρούμενον λεπτόν, καὶ μένον λεπτόν, δηλοῖ ἐσχάτην ἀπεψίαν τοῦ φλεβώδους γένους. οὐ γὰρ ἐνεχείρησεν ὅλως ἡ φύσις ἐπιμαστεῦσαι πρὸς ἄμεινον τοῦ προσσωρευθέντος, καὶ πλεονεκτοῦντας ἐν φλεψὶ χυμούς. τὸ δὲ οὐρούμενον λεπτόν, καὶ ὕστερον ἀναθολούμενον δηλοῖ τὴν φύσιν ἐπιμαστάσασαν, ἄρχεσθαι δὲ κινεῖν, καὶ ἀναμοχλεύειν τὴν ὑποκειμένην, καὶ πλεονάζουσαν ἐν φλεψὶν ὕλην. πάλιν δὲ τὸ οὐρούμενον παχύ, καὶ μένον παχύ, δηλοῖ ἀκμάζειν τὴν τῶν παχέων πνευμάτων τε καὶ χυμῶν ζύμωσιν. τὸ δὲ οὐρούμενον παχὺ καὶ ὕστερον ἀποκαθιστάμενον, δηλοῖ παρεῖναι μὲν τὴν τῶν παχέων χυμῶν ζύμωσιν, ἄρχεσθαι γὰρ τὴν διάκρισιν γίνεσθαι. καὶ ταῦτα μὲν ἐν συστάσει τοῦ χύματος θεωροῦνται αἱ διαφοραὶ τῆς πέψεως, καὶ τῆς ἀπεψίας

τῶν χυμῶν. αἱ δὲ ἐν χρώματι διαφοραί, πολλαὶ μέν, ἐν συντόμῳ δὲ εἰπεῖν, εἰσὶ λευκόν, ὠχρόν, ξανθόν, πυῤῥόν, ἐρυθρόν, μέλαν. καὶ τὸ μὲν λευκὸν πολλὰ σημαίνει, ἢ γὰρ ἀσθένειαν τῆς δυνάμεως, καθάπερ ἐπὶ τῶν γερόντων καὶ τῶν χρονίων νοσημάτων, ἢ δι᾽ ἔμφραξιν τῶν ἀγγείων, ἢ διὰ πολυποσίαν. εἰ δὲ πάχος ἔχει τὸ λευκόν, σῆψιν ὠμῶν χυμῶν ἐν φλεψὶ κειμένην δηλοῖ. πάλιν δὲ τὸ ὠχρόν, ἀσθένειαν μὲν τῆς φύσεως δηλοῖ, μὴ δυναμένης δὲ οὕτως ἀλλοιῶσαι, καὶ πέψαι τὸν χυμὸν τὸν ἐν φλεψί. τὸ δὲ ξανθὸν οὖρον ἔνδειαν ὕλης σημαίνει, νεωτέρῳ μὲν ἀσιτίαν, ἢ ἀγρυπνίαν, ἢ θερμότητα ἐν τῷ βάθει ἔχοντι ἐναποκειμένην, ὡς ἐπὶ τῶν τριταίων. τὸ δὲ πυῤῥὸν ἄπεπτον μὲν ὑπάρχει κατὰ τὴν σύστασιν, ξηρότητα δὲ πολλὴν σημαίνει· εἰ δὲ καὶ πάχος ἔχει, πυρετόν. τὰ δὲ πολλὰ τῶν οὔρων εὐχερῶς χρώννυνται ἀπὸ χολῆς. πάλιν τὸ ἐρυθρὸν οὖρον γίνεται ἀπὸ πλείστου αἵματος, καταβαπτομένου τοῦ οὔρου, τοῦτο δὲ γίνεται καὶ περὶ τὰς φλεγμονάς. τὸ δὲ μέλαν οὖρον γίνεται, ἢ διὰ τὸ καθαίρεσθαι καὶ ἐκκρίνεσθαι τὸν μελαγχολικὸν χυμόν, ἢ δι᾽ ὑπερόπτησιν τοῦ αἵματος. ταῦτα δὲ πάντα τὴν διάθεσιν τῶν ἐν φλεψὶ κειμένων χυμῶν σημαίνουσι. τὸ δὲ κατὰ φύσιν οὖρον ἐν συμμετρίᾳ τῶν προειρημένων ποιοτήτων θεωρεῖται· κατὰ μὲν τὴν σύστασιν, μήτε λεπτὸν πολύ, μήτε παχύ· κατὰ δὲ τὸ χρῶμα, ξανθόν τε καὶ πυῤῥόν, ξανθὴν καὶ λείαν, καὶ ὁμαλὴν ἔχον ὑπόστασιν, καὶ ἐν τῷ πυθμένι τοῦ ἀγγείου ὑποκαθισταμένην· καὶ τοῦτο κυρίως λέγεται κατὰ φύσιν. εἰρηκότες τοίνυν τὰς ἐν συστάσει, καὶ κατὰ χροιὰν διαφοράς, ζητήσομεν ὁμοίως, καὶ τὰς τοῦ παρυφισταμένου· ἀλλὰ πρότερον μάθωμεν τί ἐστι τὸ παρυφιστάμενον.

Παρυφιστάμενον λέγεται τὸ ἐν αὐτῷ οὔρῳ ἕτερόν τι ἐμφαῖνον, καὶ οἱονεὶ μηδὲν ὁριζόμενον καὶ ὑφιστάμενον· περὶ τούτου δὲ τοῦ παρυφισταμένου τέσσαρά τινα θεωρεῖται πρὸς ἀκριβῆ διάγνωσιν, σύστασις, χροιά, τόπος, καὶ χρόνος. καὶ σύστασις μέν, ἢ ὁμαλή, ἢ ἀνώμαλος, καλεῖται δὲ καὶ τραχεῖα· χροιὰ δέ, ἢ κατὰ φύσιν ἐστὶ λευκὴ μὴ καταβαφεῖσα ὑπὸ χυμοῦ τινος, ἢ ἄλλως πως πλεονεκτήσαντος καὶ ἐπιχρώσαντος αὐτήν· καὶ ταῦτα μὲν ἐπὶ τοῦ κατὰ σύστασιν, καὶ χροιάν. τοῦ δὲ τόπου τρεῖς εἰσι λεγόμεναι διαφοραί, ἀνωτέρα, μέση, καὶ κατωτέρα. καὶ εἰ μὲν ἐν τῷ οὔρῳ ἄνω κρέμαται τὸ παρυφιστάμενον, καλεῖται νεφέλη· εἰ δὲ ἐν τῷ μέσῳ μετεωρίζηται, καλεῖται ἐναιώρημα· εἰ δὲ ἐν τῷ πυθμένι τοῦ ἀγγείου πάλιν παρυφίσταται, καλεῖται ὑπόστασις. καὶ πάλιν τὸ μὲν διεσπασμένον καὶ μετέωρον ἐν τῷ οὔρῳ λέγεται νεφέλη, σημαίνει πλῆθος παχέων πνευμάτων ἀποκλεισθέντων ἐν τῷ βάθει, καὶ δυναμένων ἐν τῷ τέως ὑπὸ τῆς φύσεως λεπτυνθῆναι· τὸ δὲ ὑποκατελθόν, καὶ κατὰ τὴν μέσην χώραν μεῖνον, λέγεται ἐναιώρημα, πέψιν μὲν τῶν χυμῶν σημαίνει, ἀλλ᾽ οὐ τελείαν. ὑπόστασις μὲν γὰρ τῇ φύσει γνωρίζεται τῷ τόπῳ, καὶ τῇ θέσει διαλλαττομένη. τὸν δὲ τόπον ἀμείβει ἡ τοῦ πνεύματος περιουσία. τοῦτο δὲ τὸ πνεῦμα ἀπὸ τῆς κατὰ μέρος πέψεως λεπτύνεται καὶ διαφορεῖται, καὶ ἡ μὲν τελεία πέψις γίνεται, καὶ ὑπὸ τῆς φύσεως τοῦτο τὸ πνεῦμα λεπτύνεται. καὶ τελείως διαπνευσθέν, τὸ ἐναιώρημα φαίνεται κάτω, καὶ ποιεῖ τὴν ὑπόστασιν, καὶ τότε τελεία δηλοῦται ἡ πέψις ἐκ τούτων τῶν τριῶν, λέγω δὴ συστάσεως, χρώματός τε καὶ τόπου, καὶ ὁ χρόνος τοῦ νοσήματος μερισθήσεται. εἰ μὲν γὰρ ἄνω ἐπιπολάζει ἡ λεγομένη

rentiæ. In colore verò multæ sunt differentiæ, quas compendiosè oportet recensere, vt alba, pallida, flaua, rufa, rubra, nigra. Ac alba quidem multa significat; vel enim facultatis imbecillitatem, vt in senibus, & morbis diuturnis, vel propter vasorum obstructionem, vel propter potum immodicum; Sed si crassamentum album habeat, crudorum humorum putredinem in venis sitam esse declarat. Rursus autem pallida naturæ imbecillitatem quidem significat quæ non potest sic alterare & concoquere eum qui in venis est humorem. Flaua verò vrina materiæ defectum indicat, iuueni quidem inediam, aut vigilias, aut calorem in alto delitescentem, quemadmodum in ipsis tertianis. At rufa consistentiâ quidem cruda est, siccitatem verò multam significat; si verò crassamentum quoque habeat, febrem. Multæ autem vrinæ facilè tinguntur à bile. Rursus vrina rubra fit à plurimo sanguine tincta ipsa vrina. Hæc autem fit & in inflammationibus. Nigra verò vrina fit, vel propter purgatum & excretum melancholicum humorem, vel propter sanguinis adustionem. Hæ autem omnes contentorum in venis humorum affectionem indicant. Quæ igitur secundum naturam est vrina, in earum priùs dictarum symmetria spectatur; consistentia quidem neque multùm tenuis, neque crassa; colore verò flaua, & rufa; flauum valde & æquale sedimentum habens, & in vasis profundo subsidens, atque hæc propriè secundum naturam esse dicitur. His igitur quæ in consistentia & in colore sunt differentiis expositis, quæremus similiter & contenti differentias. Sed priùs discamus quid sit contentum.

Contentum dicitur quod in ipsa vrina ab ea diuersum apparet, & quasi nihil circunscribens, ac subsidens. In hoc autem contento, ad perfectam cognitionem quatuor sunt consideranda, consistentia, color, locus, ac tempus. Consistentia quidem vel æqualis est, vel inæqualis, quæ & aspera vocatur. Color autem vel secundum naturam est albus à nullo humore, vel alio quouis modo exuperante, vel inficiente tinctus, atque hæc de contento, quod in consistentia & colore spectatur. Loci verò tres sunt dictæ differentiæ, superior, media, & infima. Atque si in parte quidem vrinæ superiori suspendatur contentum, nubecula vocatur; si verò in medio attollatur, vocatur suspensum; sed si in infima vasis parte rursus contineatur, vocatur sedimentum. Ac rursus quidem dispersum & eleuatum in vrina, quod dicitur nubecula, significat copiam crassorum flatuum in alto cōclusorum, qui tandem à natura possunt attenuari. Quod verò in imum descendit, & in media regione commoratur, dicitur suspensum, quod coctionem quidem humorum, non tamen perfectam significat. At enim sedimentum loco & situ discretum natura cognoscitur; locum verò mutat ipsa flatuum abundantia. Hic enim flatus à particulari coctione attenuatur atque discutitur, ac ipsa quidem perfecta coctio fit, & à natura flatus is attenuatur, & quum perfectè euanescit, suspensum apparet in imo, & efficit sedimentum; tuncque ex his tribus perfecta concoctio demonstratur, consistentia videlicet, colore, & loco; & ipsius morbi tempus partietur. Etenim si in parte superiori innatet dicta

nubecula, principium indicat secretionis morbi; si verò appareat in medio, ingruentem significat coctionem; sed si in imum secesserit, perfectam & tutam indicat morbi coctionem. Quantum igitur flatus attenuatur, & contentum descendit, tantum & morbus, & ipsa symptomata seipsis euadent mitiora. In his igitur morbi tempus consideratur ex *suspensis* signis coctionis & cruditatis. Vitiosæ verò & prauæ sunt hæ vrinæ, virides, liuidæ, sanguinolentæ, nigræ & admodum crassæ; virides & liuidæ, rufæ & valde puræ, crudæ & tenues, & nullum habentes sedimentum, malæ quidem sunt, & graueolentes; similiter & pingues & oleosæ; malæ quoque tenues & aquosæ. Nubeculæ autem, & sedimenta pessima sunt, liuida, nigra, flatulenta, varia, diuulsa, polentam referentia, sanguinolenta, furfuracea, viridia, pituitosa, & graueolentia. Vrinæ verò quæ nullum habent sedimentum, omnes malæ, hæque significant multitudinem causarum, morborum diuersitatem, & horum augmentum, & imminutionem, secretionem, crisin, coctionem & cruditatem, & futurorum periculorum modos. Oportet autem Medicum hæc omnia considerare, accuratam victus rationem, copiam causarum, & excessum haud noxium obseruare. Atque hæc omnia de his vrinis quatenus ex iis dignotio, aut prænotio potest institui.

νεφέλη, ἀρχὴν δείκνυσι τῆς τοῦ νοσήματος διακρίσεως· εἰ δ' ἐν τῷ μέσῳ θεωρεῖται, μετάζουσαν τὴν πέψιν δηλοῖ· εἰ δὲ κάτω ἀποκαταστήσεται, τὴν τελείαν καὶ ἀσφαλῆ πέψιν δηλοῖ τοῦ νοσήματος. ὅσον δὴ λεπτύνεται τὸ πνεῦμα, καὶ κατέρχεται τὸ παρυφιστάμενον, τοσοῦτον καὶ τὰ νοσήματα, καὶ τὰ συμπτώματα χαυνότερα ἑαυτῶν γενήσονται. ἐν τούτοις δὴ θεωρεῖται ὁ χρόνος τοῦ νοσήματος ἐκ τῶν μετεώρων τῆς πέψεώς τε καὶ τῆς ἀπεψίας. ἃ δὲ φαῦλα, καὶ πονηρὰ οὖρα εἰσι ταῦτα· τὰ χλωρὰ, καὶ τὰ πελιδνὰ, τὰ αἱματώδη, τὰ μέλανα, καὶ λίαν παχέα· τὰ χλωρὰ, τὰ πελιδνὰ, τὰ πυῤῥὰ καὶ λίαν ἄκρατα, τὰ ὠμὰ καὶ λεπτὰ, καὶ μηδεμίαν ἔχοντα ὑπόστασιν, μοχθηρὰ μὲν, καὶ δυσώδη· ὁμοίως τά τε λιπαρὰ καὶ ἐλαιώδη, φαῦλα δὲ ἔπι τὰ λεπτὰ καὶ ὑδατώδη. νεφέλαι δὲ καὶ ὑποστάσεις πονηραὶ, αἱ πελιδναὶ, αἱ μέλαιναι, αἱ ζοφώδεις, αἱ ποικίλαι, αἱ διεσπασμέναι, αἱ κριμνώδεις, αἱ δίαιμοι, αἱ πιτυρώδεις, αἱ χλωραὶ, αἱ φλεγματώδεις καὶ δυσώδεις. τὰ δὲ ἀνυπόστατα οὖρα πονηρὰ πάντα, καὶ ταῦτα μὲν σημαίνουσι, πλῆθος αἰτιῶν, διαφοράς τε νοσημάτων, καὶ αὔξησιν τούτων καὶ μείωσιν, διάκρισίν τε καὶ κρίσιν, πέψιν τε καὶ ἀπεψίαν, καὶ τρόπους κινδύνων γενησομένων· σκοπεῖν δὲ τὸν ἰατρὸν ἐπὶ πάντων τούτων, τὴν ἀκρίβειαν, τὴν δίαιταν, καὶ τὸ πλῆθος τῶν αἰτιῶν, καὶ τὴν ὑπεροχὴν εἰς τὸ ἀδιαμάρτητον φυλάττειν. καὶ ταῦτα δὲ πάντα ἐξ οὔρων τε, καὶ τῆς τούτων διαγνώσεως, καὶ προῤῥήσεως, καὶ θεωρίας.

ΠΕΡΙ ΟΥΡΩΝ ΕΚ ΤΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΑΙ ΓΑΛΗΝΟΥ, ΚΑΙ ΑΛΛΩΝ ΤΙΝΩΝ.

DE VRINIS EX HIPPOCRATE, GALENO, ET ALIIS QVIBVSDAM.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Ενταῦθα αἱ προγνώσεις τε καὶ σημειώσεις ἐξ οὔρων μεταλαμβάνονται.

ARGVMENTVM LIBRI.

Hic ex Vrinis prænotiones ac indicia depromuntur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ ἀρίστων τε καὶ πονηρῶν οὔρων, καὶ τῶν ἐξ αὐτῶν προγνώσεων.

ΟΥΡΟΝ δὲ ἄριστόν ἐστιν, ὅταν λευκή τε ἡ ὑπόστασις εἴη καὶ λείη, καὶ ὁμαλὴ περὶ πάντα τὸν χρόνον ἐς ἂν κριθῇ ἡ νοῦσος. σημαίνει γὰρ τὴν ἀσφάλειάν τε, καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. ἢν δὲ καὶ διαλείπει, καί ποτε μὲν καθαρὸν οὐρῇ, ποτὲ δ' ὑφίσταται τὸ λευκόν τε καὶ λεῖον, καὶ χρονιωτέρη γίνεται ἡ νοῦσος καὶ ἧττον ἀσφαλής. Εἰ δὲ εἴη τό τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ προτέρου, σωτήριον δὲ κάρτα. κριμνώδεες δὲ ἐν τοῖς οὔροις αἱ ὑποστάσιες πονηραί· τούτων δὲ ἔτι κακίους, καὶ πεταλώδεες· λεπταὶ δὲ καὶ λευκαὶ κάρτα φαῦλαι· τούτων δ' ἔτι κακίους αἱ πιτυρώδεες. νεφέλαι δὲ ἐναιωρεύμεναι καὶ ἐμφερόμεναι τοῖς οὔροις, λευκαὶ μὲν ἀγαθαί, μέλαιναι δὲ φαῦλαι. ἢν δὲ λεπτὸν οὖρον εἴη καὶ πυῤῥόν, ἄπεπτον εἶναι δηλοῖ τὸ νόσημα καὶ πολυχρόνιον. τὸ δὲ οὖρον τοιοῦτον ὄν, ἀκινδύνως μὲν οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι ἐς ὃ ἂν πεπανθῇ τὸ οὖρον. θανατωδέστερα δὲ τῶν οὔρων τά τε δυσώδη, καὶ ὑδατώδη, καὶ μέλανα, καὶ παχέα. τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ τὰ μέλανα τῶν οὔρων κάκιστα· τοῖσι δ' αὖ παιδίοισι, τὰ ὑδατώδεα. ὁκόσοισι δὲ τὰ οὖρα λεπτά τε καὶ ὠμὰ πολυχρόνια, ἂν καὶ τὰ ἄλλα σημεῖα ὡς περιεσομένοισιν εἴη, τουτέοις ἀπόστασιν δεῖ προσδέχεσθαι εἰς τὰ κάτω τῶν φρενῶν χωρία, καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ὑφισταμένας ἀραχνοειδεῖς μέμφεσθαι χρή, συντήξιος γὰρ σημεῖόν ἐστι. σκοπεῖν δὲ δεῖ τῶν οὔρων οἷς εἰσιν αἱ νεφέλαι αἵ τε κάτω ὦσιν, αἵ τε ἄνω, καὶ τὰ χρώματα ὁκοῖα ἔχωσι, καὶ τὰς μὲν κάτω φερομένας σὺν τοῖς χρώμασιν οἷς εἰρήκαμεν, ἀγαθὰς εἶναι νομίζειν καὶ ἐπαινέειν· τὰς δὲ ἄνω

CAPVT PRIMVM.

De optimis ac prauis vrinis, & ex his ductis prænotionibus.

OPTIMA vrina, est quum eius album fuerit sedimentum, & læue, & æquale toto tempore donec iudicatus fuerit morbus; significat namque tum securitatem, tum breuem fore morbum. Si verò intermittat, & interdum purum meiatur, interdum subsideat album quoddam, & læue, tum diuturnior efficitur morbus, & minùs tutus. Si fuerit vrina subrubra, & sedimentum subrubrum, & læue, diuturniorem hunc priore, verùm valdè salutarem. Crassioris autem farinæ specie in vrinis hypostases, prauæ; his adhuc peiores sunt etiam squamosæ; at tenues & albæ, admodum malæ; quibus deteriores furfuraceæ. Nebulæ suspensæ & mobiles in vrinis, albæ quidem bonæ, nigræ verò malæ. Si tenuis & rufa fuerit vrina, morbum significat crudum ac diuturnum. At hæc vrina quum talis est, homo, quoad cocta sit vrina, perseuerare non potest. Lethales autem magis sunt malè olens, & aquosa, & atra, & crassa. Virilis autem siue muliebris vrina atra, pessima; infantibus autem aquosa. Quibus vrinæ tenues, & crudæ *minguntur* diuturnæ, si alia signa tanquam euasuris adfuerint, hos abscessum ad septitransuersi regiones infernos expectare oportet. Pinguedines quoque supernè innatantes araneosas licebit improbare, colliquationis enim signum est. Considerandæ porrò vrinæ in quibus sunt nebulæ, sursúmne an deorsum meent, quósque colores habeant; deorsum enim labentes cum coloribus iam memoratis, bonas existimare & laudare oportet; sursum verò cum

cum dictis coloribus natantes malas esse decet arguere. Nec te fallat vesica morbo affecta, quæ huiusmodi aliquam reddat vrinam, nec enim totius corporis esse signum, sed ipsius per sese. Quibus vrinæ crassæ, grumosæ, paucæ, non febricitantibus, copia ex his tenuis aduenienS prodest; præcipuè tales adueniunt quibus à principio vel è vestigio stabilitur hypostasis. Quibus vrinæ perturbatæ velut iumentorum, iis cephalalgiæ aut adsunt, aut aderunt. Quibus septimo die fit crisis, iis nubecula rubra quarto die in vrina apparet, & alia ex ratione. Quibus vrinæ perspicuæ albæ sunt, improbæ, præcipuè in phreniticis apparentes. Quibus speratur abscessus futurus ad articulos, eos liberat ab abscessu vrina multa, crassa & alba, qualis in laboriosis febribus quarto die quibusdam incipit fieri; si verò etiam ex naribus fluxerit sanguis, breui admodum solutio fit. Quibus sanguis vel pus meitur, renum vel vesicæ exulcerationem significat. Quibus hypochondria sublata, murmurantia, dolore lumborum accedente, iis alui humectantur nisi flatus erumpant, vel vrinæ proueniat copia; hæc sanè in febribus. Quibus in vrina crassa existente minutæ caruunculæ tanquam pili pariter adueniunt, iis à renibus excernitur. Quibus in vrina crassa existente furfuracea eminguntur, eorum vesica scabie laborat. Quibus sponte sanguis mingentibus exit, eis à renibus significatur venulæ ruptura. Quibus in vrinis arenosa subest materia, iis vesica calculo laborat; quod si sanguis arenosus meiatur, grumosque, & stranguriam habeat, dolorque incidat ad imum ventrem, pubem, & perinæum, partes circa vesicam laborant; quòd si sanguinem aut pus meiat, aut squamulas, simúlque grauis odor adsit, vesicæ exulcerationem significat. Mictio noctu copiosè facta, exiguam deiectionem significat. Quibus per febres in vrinis sedimenta crassiorem farinam referunt, morbi longitudinem significant. Quibus biliosæ *sunt* hypostases, supernè autem tenues, acutum morbum significant. Quibus vrinæ sunt diuulsæ, iis vehemens fit in corpore perturbatio. Quibus in vrinis innatant bullæ, nephriticum morbum, cumque longum fore denunciant. Quibus pinguis hypostasis & accumulata, iis nephriticos & acutos affectus significat. Quibus febrium vertigines à principio sunt, & pulsus capitis, & vrina tenuis, eis ad crises febrem exacerbari expectandum est; nec mirari, quum caput circumferri videbitur, si in delirium prociderint. Quibus ex renibus laborantibus prædicta signa contingunt, laborésque circa musculos spinales extiterint, si in locis sint exterioribus, abscessus expecta foris futuros; sin in locis interioribus fuerint dolores, abscessus in interioribus fore expectato. Si sanguinem meiat & grumos, stranguriáque laboret, dolórque ad perinæum, epigastrium, imumque ventrem incidat; ostendit quæ circa vesicam sunt partes morbo laborare. Quibus à principio vrinæ sunt nebulosæ, vel etiam crassæ, purgandi sunt si cætera conferre videantur. Quibus à principio vrinæ sunt tenues, iis medicamentum ne exhibeas; at si videbitur, clysteribus vtere, ita namque si curentur, profuerit. Quod futurum est in febribus, ex vrinis conijciendum est. Nam si crassiores & pallidiores, meliores erunt vrinæ; si tenuiores & nigriores, erunt deteriores; salutem namque prænunciant crassiores & pallidiores. Hunc Hippocratis locum Galenus hoc modo interpre-

A ξυν τοῖσι χρώμασιν, οἷσιν εἴρηται κακὰς εἶναι, καὶ μέμφεσθαι. μὴ ἐξαπατάτω δέ σε αὐτὴ ἡ κύστις νόσημα ἔχουσα τὴν οὔρων τὰ ἀποδιδῶ τούτων· οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ' αὐτῆς καθ' ἑαυτήν. ὁκόσοισιν οὖρα παχέα, θρομβώδη, ὀλίγα, οὐκ ἀπυρετοῖσι πλῆθος ἐλθὸν ἐκ τούτων λεπτὸν ὠφελέει, μάλιστα δὲ τοσαῦτα ἔρχεται οἷσιν ἐξ ἀρχῆς, ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει. οἷσι δὲ οὖρα ἀνατεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι, ἢ πάρεισιν, ἢ παρέσονται. οἷσιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπὶ νεφέλην ἴσχει τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τὰ ἄλλα κατὰ λόγον. ὁκόσοισιν οὖρα διαφανέα, λευκὰ, πονηρὰ, μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖς ἐπιφαίνεται. οἷσιν ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσεως οὖρον παχὺ, καὶ πολὺ, καὶ λευκὸν γιγνόμενον οἷον ἐν τοῖσι κοπιώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχηται ἐνίοισι γίγνεσθαι. ἢν δὲ καὶ ἐκ ῥινῶν αἱμορραγήσῃ, καὶ πάνυ ταχέως λύεται. ὁκόσοισιν, ἢ αἷμα, ἢ πῦον οὐρῇ, τὴν νεφρῶν, ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει. ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα ὀσφύος ἀλγήματος ἐπιγινομένου, τουτέοισι κοιλίαι καθυγραίνονται, ἢ μὴ φῦσαι καταρραγῶσιν, ἢ οὔρου πλῆθος ὑπελθῇ· ἐπὶ πυρετοῖς δὲ ταῦτα. οἷσιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία σμικρὰ, ὥσπερ τρίχες

C συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται. ὁκόσοισι δὲ ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τούτων ἡ κύστις ψωριᾷ. ὁκόσοισι ἀπὸ ταὐτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν σημαίνει φλεβίου ῥῆξιν. οἷσιν ἐν τοῖς οὔροις ψαμμώδεα ὑφίσταται, τούτοις ἡ κύστις λιθιᾷ. ἢν δὲ ψαμμῶδες αἷμα οὐρέει, καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ πρὸς τὸ ἐπιγάστριον, καὶ τὸν κτένα, καὶ τὸ περίναιον, τὰ περὶ τὴν κύστιν πονέει. ἢν δὲ αἷμα, καὶ πῦον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀδμὴ βαρεῖη, τῆς κύστεως ἕλκωσιν σημαίνει. οὔρησις νύκτωρ πολλὴ γιγνομένη, σμικρὴν τὴν διαχώρησιν

D σημαίνει. ὁκόσοισι πυρέσσουσιν ἐν τοῖς οὔροισι κριμνώδεες ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀρρωστίην σημαίνουσιν. ὁκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξεῖην τὴν ἀρρωστίην σημαίνουσιν. ὁκόσοισι διεστηκότα τὰ οὖρα γίγνονται, τουτέοισι ταραχὴ ἐν τῷ σώματι ἰσχυρή ἐστιν. ὁκόσοισι δὲ ἐν τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὴν σημαίνει, καὶ μακρὰν τὴν ἀρρωστίην ἔσεσθαι. ὁκόσοισι δὲ λιπαρὴ ἡ ὑπόστασις καὶ ἀθρόη, τούτοισι νεφριτικὰ ὀξέα σημαίνει. ὁκόσοισι δὲ τῶν πυρετῶν δῖνοί τε ἀπ' ἀρχῆς εἰσι, καὶ σφυγμοὶ κεφαλῆς, καὶ οὖρον λεπτὸν, τουτέοισι δεῖ προσδέχεσθαι πρὸς τὰς κρίσιας παροξυνθησόμενον τὸν πυρε-

E τόν· οὐ θαυμάσαι μηδ' ἂν οὐ δεῖ παραφρονῆσαι, ὅταν ἡ κεφαλὴ περιφέρεσθαι φαντάζηται. ὁκόσοισι δὲ νεφριτικοῖς ἐοῦσι προειρημένα συμβαίνει σημεῖα, πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίνονται· εἰ μὲν οὖν περὶ τοὺς ἔξω τόπους γίγνονται, καὶ τὰ ἀποστήματα προσδέχου ἔξω ἐσόμενα· ἢν δὲ μᾶλλον οἱ πόνοι περὶ τοὺς ἔσω τόπους γίγνονται, καὶ τὰ ἀποστήματα προσδέχου εἴσω. ἢν οὐρέῃ αἷμα, καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ εἰς τὸ περίναιον, καὶ τὸ ὑπογάστριον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει. οἷσιν ἐν ἀρχῇ τὰ οὖρα νεφελοειδέα, ἢ καὶ παχέα, τοὺς τοιούτους δεῖ ὑποκαθαίρειν, ἢν καὶ τἄλλα ξυμφέρει. ὁκόσοις δὲ ἐν ἀρ-

F χῇ τὰ οὖρα λεπτὰ, μὴ φαρμάκευε τοὺς τοιούτους· ἀλλ' ἢν δοκεῖ, κλύσε τούτους, ξυμφέρει οὕτω θεραπεύεσθαι. τεκμαίρεσθαι δεῖ ἐκ τῶν οὔρων τὸ μέλλον ἔσεσθαι ἐν τοῖσι πυρετοῖσι. ἢν μὲν γὰρ παχύτερα, καὶ ὠχρότερα, ἦν βελτίω· ἢν δὲ λεπτότερα καὶ μελάντερα, πονηρότερα. σωτηρίην μὲν γὰρ δηλοῖ τὰ παχύτερα καὶ ὠχρότερα. ταῦτα δὲ τοῦ Ἱπποκράτους οὕτως ἐξηγεῖται ὁ Γα-

λωνός. σαφῶς δὲ νῦν τὰ παχύτερα τοῖς λεπτοῖς παραβάλλων εἶπεν· οὐ τοῖς κατὰ φύσιν, τά γε μὴν λεπτὰ καὶ μέλανα χείριστα. παρὰ γὰρ τῶν λεπτῶν μόνων γινομένων ἄπεπτον δηλοῦται τὸ νόσημα· τὸ γὰρ ἀκριβῶς λεπτὸν, ὑδατῶδές ἐστιν, ὥστε καὶ λευκόν. ἢν δὲ μεταβολὰς ἔχῃ, χρόνου τε σημαίνει καὶ ἀνάγκη τῷ νοσήματι μεταβάλλειν, καὶ ἐπὶ τὰ χείρω, καὶ ἐπὶ τὰ βελτίω τὴν ἀνωμαλίαν. ἐπὶ τῶν πυρεκτικῶν μάλιστα νοσημάτων, εἶπέν που ὁ Ἱπποκράτης, ἡ ἐκ τῶν οὔρων σημείωσις χρησιμωτάτη καθέστηκε.

tatur. Manifestò nunc crassiores tenuibus comparans dixit; haud secundum naturam se habentibus, tenues sanè ac nigræ, pessimæ sunt; à solis namque tenuibus incoctus significatur morbus; accuratè namque tenuis, aquosa est, sicut & alba. At si mutationes habeat, temporis diuturnitatem significat; morbóque necessitatem commutandi inæqualitatem in deteriorem & meliorem. *Ex febrilibus*, inquit Hippocrates, *præcipuè morbis, vrinarum significatio colligitur vtilissima.*

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ οὔρων τῶν ἐν ὑγείᾳ διακειμένων.

Ἐπειδὴ δὲ τὸ πολὺ τὸ παρὰ φύσιν, ἀπὸ τοῦ κατὰ φύσιν εὑρίσκεται, ἀπὸ τῶν κατὰ φύσιν ἀρξώμεθα. οὖρον μὲν οὖν ἄριστον ἐπὶ τῶν ἐν ὑγείᾳ καὶ εὐεξίᾳ διακειμένων ἀνθρώπων, ὑπόπυρρόν τε, ἢ ὑπόξανθον, καὶ τῷ πάχει σύμμετρον κείμενον, τοιοῦτον τῇ χροιᾷ οἷον ἀπουρηθῇ, λείαν δὲ καὶ λευκὴν, καὶ ὁμαλὴν ὑπόστασιν ἔχον παρὰ πάντα τὸν χρόνον, πλὴν δὲ κατὰ λόγον τοῦ πινομένου. ἐπὶ δὲ τῶν γυναικῶν τὸ κατὰ φύσιν οὖρον τῇ χροιᾷ λευκότερον τοῦ ἀνδρὸς εἶναι χρὴ, καὶ ὑπόστασιν ἔχον πλείονα. τῶν δὲ παιδίων ἱκανῶς ἔχειν παχεῖαν αὐτῶν ὑπόστασιν χρὴ διὰ τὴν τῶν παίδων ἀδηφαγίαν, καὶ ἄτακτόν τε καὶ ἄκαιρον κίνησιν. λείαν δὲ ὑπόστασιν Ἱπποκράτης καλεῖ, καὶ τὸ συνεχὲς, καὶ ἀδιάσπαστον δηλῶσαι βουλόμενος. τὸ γὰρ λεῖον ἀντίκειται τῷ τραχυνόντι. ὁμαλὴν δὲ, ἵνα δι' ὅλου ἀεὶ ὅμοιον οὐρῆται, καὶ μεταπεπεμμένον, καὶ μὴ τὸ ἑξῆς ἄπεπτον, μήτε τὴν ὑπόστασιν, ἢ τὸ χῦμα ὅλον ἔχῃ ἀνώμαλον. ζητοῦμεν οὖν ἐπὶ τοῦ κατὰ φύσιν οὔρου χρῶμα, καὶ σύστασιν τοῦ χύματος, καὶ τὰ περιεμφερόμενα ἐν τῷ χύματι οἷον νεφέλην· ὑπονεφέλης, ἐναιώρημα, καὶ τὴν ἐν τῷ πυθμένι ὑπόστασιν. εὔδηλον γὰρ ὅτι κατὰ τούτων τρεπόμενον τὸ οὖρον, ἀπεψίαν τὴν ἐν ταῖς φλεψὶν ἐνδείκνυται.

CAPVT II.

De sanorum vrinis.

Sed quoniam quicquid est præter naturam ab eo quod secundum naturam est, inuenitur, à naturalibus exordiamur. Vrina igitur in sanitate bonóque habitu constitutis hominibus, optima est quæ subrufa, aut subflaua, crassitie mediocris, quæque colorem non mutat; qúmque emicta fuerit, læuem & albam & æqualem perpetuò seruat hypostasin iuxta bibentis rationem. In fœminis naturalis vrina colore albior fiat quàm in viris necesse est maioremque habeat hypostasin. At infantium crassa est admodum hypostasis propter puerorum voracitatem, inordinatúmque & intempestiuum motum. Læuem autem hypostasin vocat Hippocrates, continuam & indiuulsam significare volens; læue siquidem opponitur aspero; æqualem verò, vt in totum semper similem mingat; nam quæ manet concocta, neque deinde inconcocta, non vtique hypostasin vel liquorem totum habet inæqualem. Si quæramus igitur in naturali vrina colorem, vel liquoris consistentiam, & in ipso liquore contenta, vt nebulam; sub nubecula suspensum; & in fundo hypostasin; non dubium quin ad hæc conuersa vrina cruditatem indicet in venis existere.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τῶν, ἐπὶ τῶν νοσούντων, οὔρων.

Ἄριστον μὲν οὖν ἐστιν οὖρον ἐπὶ τῶν νοσούντων τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον, ὕπωχρον, ἢ ὑπόξανθον, καὶ λευκὴν, καὶ λείαν, καὶ ὁμαλὴν ὑπόστασιν ἔχον· ὑποδεέστερον δὲ τὸ ἔχον ἐναιώρημα λευκὸν, καὶ λεῖον, καὶ ὁμαλόν. ἔστι δὲ τούτου ἀπεπτότερον τὸ νεφέλην τοιαύτην ἔχον, ἢ ὑπονέφελον. ἐφ' ὧν γὰρ πνεῦμά ἐστιν ἐν τῷ βάθει παχὺ καὶ ἄπεπτον, ἢν μὲν ὀλίγον εἴη, συνεχώρησε τὴν ὕλην λοιπὸν ἐπὶ τὸν πυθμένα φέρεσθαι τοῦ ἀγγείου· διαμερίζον δὲ αὐτὴν, οὐ συγχωρεῖ ἑνοῦσθαι. εἰ δέ τι πλεονάσῃ τὸ ἄπεπτον ἐν τῷ βάθει πνεῦμα, ἐπαίρει τὴν ὑπόστασιν κατὰ τὸ μέσον τοῦ χύματος, καὶ ποιεῖ τὸ καλούμενον ἐναιώρημα. εἰ δὲ ἔτι καὶ μᾶλλον εἴη πλέον τὸ ἄπεπτον πνεῦμα, πρὸς τὴν ἄνω ἐπιφάνειαν τοῦ χύματος φέρει τὴν ὑπόστασιν τὴν καλουμένην νεφέλην, ἢ ὑπονεφέλην. ἐφ' ὅσον οὖν ἰσχύει τὸ πνεῦμα, μερίζειν καὶ μετεωρίζειν τὴν ὑπόστασιν, ἐπὶ τοσοῦτον ἀπεπτότερον νόμιζε εἶναι τὸ οὖρον. ἢν δὲ μήθ' ὑπόστασιν, μήτε ἐναιώρημα, μήτε ὑπονεφέλην, μήτε νεφέλην ἴσχῃ τὸ οὖρον, εἰδέναι χρὴ ὅτι ὑπὸ τῶν νοσοποιῶν χυμῶν ἔπεσεν ἡ φύσις. εἰ δέ ποτε μὲν ἔχῃ ὑπόστασιν, ἢ ἐναιώρημα, ἢ ὑπονεφέλην, ἢ νεφέλην, ποτὲ δὲ οὐ, μάχην δηλοῖ τῆς φύσεως πρὸς τὸ νόσημα. ἐπὶ μὲν γὰρ τῶν ἀκριβῶν τριταίων καὶ ἐφημερινῶν, νεφέλη

CAPVT III.

De ægrotantium vrinis.

Optima igitur vrina in ægrotantibus est, quæ simillima sanorum vrinæ, subpallida, vel subflaua, & albam & læuem & æqualem habet hypostasin; at deterior, suspensum habet album, læue & æquale. Est porrò incoctior quæ nebulam habet, quæque est subnubilata. In qua enim flatus est in profundo crassus & incoctus, si paucus quidem sit, extrudit reliquam materiam vt ad fundum vasis deferatur; ipsamque diuidendo vniri non permittit. Quòd si quis redundet crudus in fundo flatus, attollit ad liquoris medium, hypostasin, facitque id quod suspensum nominatur. Quòd si flatus impendio plus fuerit crudus, ad superiorem liquoris superficiem agit hypostasin quæ nebula aut nubecula nuncupatur. Quanto igitur potuerit flatus diuidere nec attollere hypostasin, tanto crudiorem esse vrinam existima. Quòd si neque hypostasin, neque suspensum, neque nebulam, neque nubeculam habuerit vrina, sciendum est à morbificis humoribus naturam corruisse. Quòd si interdum quidem habeat hypostasin, vel enæorema, vel nebulam, vel nubeculam, quandoque autem non; pugnam naturæ aduersus morbum significat. In exquisitis namque tertianis & quotidianis, nebula

 solùm

solùm vel suspensum sæpenumero ad morbi solutionem satis fuit: quandoque verò bene coloratam duntaxat esse vrinam. Plerumque etiam color albus eius quod in liquore circumfertur, rudes decipit, quòd hypostasin vtilem, quæ non sit, esse opinentur, euenit siquidem vt crudus humor & albus cum vrina excretus subsidat, præbeatque videndam vtilem hypostasin; quandoque etiam iecore aut renibus affectis pus cum vrina excernitur, & subsidendo fallit etiam *minùs cautum* artificem; sed priùs definiendum est hominem aut renis, aut iecoris, alteriúsve alicuius partis quæ per vrinas solet expurgari, morbo laborasse; deinde etiam grauiter olens, puris particeps inuenitur. At crudus humor per vtiles hypostases distinguitur ab inæquali substantia ipsius contenti; neque enim id sibi continuum manet, sed in minutas partes dispescitur tanquam arenulas; neque omnino læue est, sicut est vera hypostasis. In bonis autem vrinis primùm quidem apparet nebula, deinde succedens suspensum facit; postremò residens in fundo vasis hypostasin facit, nimirum quum perfectè id concoctum fuerit. Verùm in crudis humoribus statim ab initio in vasis fundum delabitur multa copia, quòd & mali coloris sit totus liquor; deinde paulatim concocta & attenuata, ad medium liquoris attollitur, facitque suspensum; quum verò valde attenuata ac concocta fuerit, subsidet in liquore & nebulam facit, planèque ignaros fallit, vt existiment morbum in deterius lapsum esse.

A μόνον ἢ ἐναιώρημα πολλάκις ἤρκεσε πρὸς λύσιν τοῦ νοσήματος, ἐνίοτε δὲ καὶ τὸ εὔχροον γενέσθαι τὸ οὖρον μόνον. πολλάκις δὲ τὸ λευκὸν χρῶμα τοῦ περιφερομένου ἐν τῷ χύματι ἀπατᾷ τοὺς ἰδιώτας, ὡς ὑπόστασιν χρηστὴν νομίζεσθαι μὴ οὖσαν χρηστήν· συμβαίνει γὰρ ὠμὸν χυμὸν, καὶ λευκὸν συνεκκρινόμενον τῷ οὔρῳ ὑφίστασθαι. καὶ φαντασίαν ὑποστάσεως χρηστῆς παρέχειν· ἐνίοτε δὲ ἥπατος, ἢ νεφρῶν πεπονθότων πύον ἐκκρίνεται σὺν τῷ οὔρῳ, καὶ ὑφιστάμενον ἀπατᾷ καὶ τὸν τεχνίτην· ἀλλὰ πρότερον διορίζεσθαι χρὴ τῷ προπεπονηκέναι τὸν ἄνθρωπον, ἢ νεφρὸν, ἢ ἧπαρ, ἢ ἕτερόν τι μόριον τῶν εἰωθότων διὰ τῶν οὔρων καθαίρεσθαι.

B ἔπειτα δὲ καὶ δυσῶδες εὑρίσκεται τὸ μετέχον πύου. ὁ δὲ ὠμὸς χυμὸς διορίζεται διὰ τῶν χρηστῶν ὑποστάσεων τῇ ἀνωμάλῳ συστάσει τοῦ περιυφισταμένου. οὐ γὰρ συνεχὲς ἑαυτῷ μένει, ἀλλὰ διαμερίζεται εἰς μικρὰ οἷον ψαμμία, καὶ οὐδ᾽ ὅλως λεῖόν ἐστι καθὼς ἡ ἀληθὴς ὑπόστασις. καὶ ἐπὶ μὲν οὖν τῶν χρηστῶν οὔρων πρότερον μὲν ἐπιφαίνεται νεφέλη, ἔπειτα ὑποκαταβαίνουσα ποιεῖ τὸ ἐναιώρημα. ἐπὶ τέλος δὲ ὑφιζάνουσα ἐν τῷ πυθμένι τοῦ ἀγγείου ποιεῖ τὴν ὑπόστασιν, δηλονότι ὅταν τελείως πεφθῇ. ἐπὶ δὲ τῶν ὠμῶν χυμῶν εὐθὺς ἐξ ἀρχῆς εἰς τὸν πυθμένα τοῦ ἀγγείου ὑποχωρεῖ πλῆθος πολὺ μετὰ τοῦ εἶναι κακόχροον, καὶ

C τὸ χύμα ὅλον. ἔπειτα δὲ κατὰ βραχὺ πεπτόμενον καὶ λεπτυνόμενον, αἰωρεῖται κατὰ τὸ μέσον τοῦ χύματος, καὶ ποιεῖ τὸ ἐναιώρημα. ὅταν δὲ ἐπὶ πλέον λεπτυνθῇ καὶ πεφθῇ, ὑφίσταται ἐπὶ τὸ χύμα, καὶ ποιεῖ τὴν νεφέλην, καὶ πλανᾷ δηλονότι τοὺς ἰδιώτας, ὡς ὑπολαμβάνειν ἐπὶ τὸ χεῖρον προβαίνειν τὴν ἀρρωστίαν.

CAPVT IV.

Ex Philagrio; quæ vrinæ purgatione, aut phlebotomia, aut diæta indigeant.

SI equidem vrina fuerit magis biliosa & hypostasis similis, debes euacuare siue per vrinas, siue purgatione. Si verò biliosus fuerit color, hypostasis autem alba; erit bilis cum pituita; vtrumque euacuato. Si color fuerit biliosus & hypostasis rubra, siue manifestò, siue obscurè, vel plus fuerit; si facultas valida, mitte sanguinem ex vena; sin imbecillis sit, huic purgatio, vel sola diæta satis erit.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐκ φιλαγρίου· τίνα τῆς καθάρσεώς τε, ἢ φλεβοτομίας, ἢ διαίτης δεόμενα οὖρα.

D EI μὲν γὰρ τὸ οὖρον ἐστὶ χολωδέστερον, καὶ ἡ ὑπόστασις ὁμοία, ὀφέλεις κενῶσαι εἴτε δι᾽ οὔρων, εἴτε καθάρσει. εἰ δὲ τὸ χρῶμα εἴη χολῶδες, ἡ ὑπόστασις δὲ λευκή, χολὴ μετὰ φλέγματος εἴη, καὶ κένωσον καὶ τὰ ἀμφότερα. ἐὰν δὲ τὸ χρῶμα χολῶδες, καὶ ἡ ὑπόστασις ἐρυθρά, εἴτε σαφῶς, ἢ ἀμυδρῶς, ἢ πλείονος γενομένης. εἰ μὲν ἔρρωται ἡ δύναμις, φλεβοτόμει· εἰ δὲ ἀσθενεῖ, καθαῖρε τὸν τοιοῦτον, ἢ διαίτη ἀρκέσει μόνον.

CAPVT V.

De indiciis vrinarum ex consistentia & coloribus depromptis.

ALia quædam omnino tenuis & pallida vrina, cruda quidem consistentiâ, cocta verò colore, huic naturæ imbecillitatem ostendit; colore namque, id quod erat, facilè concoxisse; consistentiâ verò, quod erat difficilius, non concoxisse demonstrat. Sin autem multo tempore eiusmodi feratur vrina, non citra periculum poterit homo perseuerare quoad morbus fuerit concoctus, omnino enim tenuis, praua; cruditatem namque significat quatenus calorem, partem tenuiorem oportuit absumere.

QVID indicat vrina tenuis & fulua? Tenuis, consistentiâ; & fulua colore, melior est quàm pallida, cruda tamen est, ob consistentiam.

QVID indicat vrina rufa? Cruditatem, non mortem *indicat*, verùm tempore ad coctionem

ΚΕΦΑΛΑΙΟΝ Ε'.

E Περὶ σημείων τῶν, ἐκ τῆς συστάσεως καὶ τῶν χρωμάτων, οὔρων.

ETερόν τι δηλονότι τὸ λεπτὸν καὶ ὠχρὸν οὖρον, ἄπεπτον μὲν τῇ συστάσει, τῷ δὲ χρώματι πεπεμμένον· ἀσθένειαν δὲ δηλοῖ ταύτῃ τῆς φύσεως· τῷ μὲν γὰρ χρώματι ὅ τι ἔπεψεν, ὡς ῥᾷδιον ὄν· οὐκ ἔτι δὲ καὶ τῇ συστάσει διὰ τὸ δυσκολώτερον. εἰ δὲ καὶ πολὺν χρόνον φέρεται τοῦτο, ἀκινδύνως μὲν οὐ δυνήσεται διαρκέσαι ὁ ἄνθρωπος ἕως ἂν πεφθῇ ἡ νόσος· τὸ γὰρ πάνυ λεπτὸν, φαῦλον. δηλοῖ γὰρ ἀπεψίαν παρ᾽ ὅσον χρὴ τὸ θερμὸν ἐκβόσκεσθαι τὸ λεπτομερέ-

F στερον.

TI δηλοῖ τὸ λεπτὸν καὶ πυῤῥὸν οὖρον; Τὸ λεπτὸν τῇ συστάσει, καὶ πυῤῥὸν τῷ χρώματι, βέλτιον τοῦ ὠχροῦ· ὅμως ἄπεπτον διὰ τὴν σύστασιν.

TI δηλοῖ τὸ ἐρυθρὸν οὖρον; Ἀπεψίαν, οὐ θάνατον, ἀλλὰ χρόνον

δεῖσθαι εἰς πέψιν. ἔστι γὰρ ἐξ αἵματος ἰχωροειδοῦς μήποτε λείαν πέψιν λαβόντος, μηδὲ τὴν ἰδίαν χροίαν, καὶ διὰ τοῦτο χρονιώτερον σημαίνει τὸ νόσημα. ἐπὶ δὲ τῶν συνόχων πυρετῶν ἐπὶ πλῆθος αἵματος συνισταμένων, ἐκκρίνεται οὖρον ἐρυθρὸν, καὶ παχὺ μετὰ ὑποστάσεως ἐρυθρᾶς· καὶ δῆλον ὅτι τοῦτο καὶ τῷ χρώματι, καὶ τῇ συστάσει τοῦ χύματος, καὶ τῷ ὑφισταμένῳ, ἄπεπτον. τοῦ δὲ ἀπέπτου νοσήματος τὸ οὖρον πυῤῥὸν μὲν τῷ χρώματι, τὸ δὲ τῇ συστάσει λεπτόν.

ΤΙ δηλοῖ τὸ λεπτὸν οὐρούμενον, καὶ ἔξω ἀναθολούμενον; Ἄπεπτον μὲν διὰ περιουσίαν πνεύματος παχέος, δηλοῖ δὲ τὴν φύσιν ἄρχεσθαι πέψιν.

ΤΙ δηλοῖ τὸ παχὺ οὐρούμενον, καὶ μένον παχύ; Τὸ τοιοῦτον οὐρούμενον καὶ αὖθις μένον οἷα τὰ τῶν ὑποζυγίων, ἀκμάζειν δηλοῖ τὴν τῶν παχέων χυμῶν καὶ πνευμάτων, οἷον ζύμωσιν· ἐπὶ τούτων κεφαλαλγίαι, ἢ πάρεισιν, ἢ παρέσονται διὰ τὴν ἐν τοῖς χυμοῖς ταραχὴν, καὶ τὰς ἀναθυμιάσεις.

ΤΙ δηλοῖ τὸ παχὺ οὐρούμενον, καὶ μετὰ ταῦτα καθιστάμενον; Παύεσθαι μὲν τὴν ἐν τοῖς χυμοῖς ζύμωσιν, καὶ λεπτύνεσθαι μεμετρημένον δηλοῖ τὸ ποσὸν, ἐντεῦθεν καὶ ἄρχεσθαι τὴν διάκρισιν.

ΤΙ δηλοῖ τὸ λεπτὸν οὐρούμενον, καὶ μένον τοιοῦτον; Ἐσχάτην ἀπεψίαν τὸ τοιοῦτον σημαίνει. εἰ γὰρ ἐνεχείρησεν ἡ φύσις ἐπὶ τὴν πέψιν, ἐγκύπτειν οὐκ ἂν τοιοῦτον ἀπέκρινε. τοῦτο δὲ γίνεται, ἢ δι' ἀσθένειαν τῆς δυνάμεως, ἢ δι' ἔμφραξιν, ἢ διὰ τὸ χρόνιον εἶναι τὸ νόσημα. ἐπὶ γὰρ τῶν τεταρταίων χρονίων ὄντων ἐν ἀρχῇ διὰ τὸ πλῆθος, καὶ τῆς ὕλης τὸ δυσαλθές, διηθούμενον τὸ οὖρον λεπτὸν οὐρεῖται· οὐρεῖται λεπτὸν, καὶ δι' ἔμφραξιν ἥπατος, ἢ νεφρῶν, ἀλλ' ἐκ τῆς ὀδύνης διαγινώσκεται δηλονότι τῆς τοπικῆς. οὐρεῖται δὲ λεπτὸν καὶ λευκὸν, καὶ ἐπὶ τῶν διακαῶν πυρετῶν, καὶ σημαίνει φρενίτιδα ἀπειλοῦν μεγάλην. καὶ γὰρ ὁ καῦσος πυρετὸς πλῆθος δηλοῖ χολῆς, οὐ χρώννυται δὲ τὸ οὖρον· καὶ εὔδηλον ὅτι οὐ μένει ἐν τοῖς ἀγγείοις ἡ χολὴ, ἀλλὰ τῇ κουφότητι ἀνέδραμε εἰς τὸν ἐγκέφαλον· καὶ εἰ μὲν ἡ φρενίτις οὐ πάρεστιν, γίνωσκε αὐτὴν ἤδη ἔσεσθαι. εἰ δὲ καὶ πάρεστι, καὶ οὐρεῖται λεπτὸν, καὶ λευκὸν μετὰ διακεστάτου πυρετοῦ, δηλονότι θάνατον προαγγέλλει. οὐ γὰρ ὑποφέρει ἡ ἐν τῷ ἐγκεφάλῳ δύναμις ἤδη καταβεβλημένη τῷ διακαεῖ πυρετῷ ἐνέγκαι δριμύτητα, καὶ δῆξιν χολῆς ἤδη σεσηπυίας.

opus esse; est enim ex sanguine seroso, qui nondum perfectam coctionem, neque proprium colorem fuerit adeptus, atque propterea morbum significat diuturniorem. In ipsis autem synochis febribus, quæ à sanguinis copia fiunt, excernitur vrina rufa, & crassa cum rubro sedimento; atque clarum est vrinam eiusmodi colore, & liquoris consistentiâ, & contento crudam esse; & crudi morbi vrina colore quidem rubra est, consistentiâ verò tenuis.

Qvid indicat vrina quæ tenuis meitur, & ab externis turbatur? Cruda quidem est propter exuberationem crassi flatus; naturam autem aggredi coctionem indicat.

Qvid indicat vrina crassa micta talisque permanens? Quæ talis mingitur, & postea permanet qualis iumentorum, vigere velut fermentationem crassorum humorum, & flatuum indicat; & in his dolores capitis aut adsunt, aut aderunt, propter eam, quæ in humoribus est, perturbationem, & halitus.

Qvid indicat vrina crassa micta ac postea desistens? Sedari quidem in ipsis humoribus fermentationem indicat, & moderatam quantitatem attenuari, & hinc secretionem incipere.

Qvid indicat vrina tenuis micta & talis permanens? Eiusmodi vrina summam indicat cruditatem; natura enim coctionem si fuisset aggressa, hanc talem non secreuisset vrinam. Hoc autem contingit aut propter imbecillitatem facultatis, vel propter obstructionē, vel quia diuturnior futurus est morbus. In quartanis enim diuturnioribus in principio ob materiæ copiam & eius peruicaciam, vrina percolata tenuis meitur; tenuis etiam meitur propter obstructionem hepatis, aut renum, sed ex dolore locali dignoscitur, meitur verò tenuis & alba & in febribus ardentibus, magnamque phrenitidem significat imminere. Etenim & ardens febris bilis copiam indicat, non autem coloratur vrina, ac manifestum est in vasis bilem ipsam non remanere, sed leuitate sua in cerebrum efferri, ac si nondum adsit phrenitis, ipsam scito affuturam; sin autem adsit, & vrina tenuis & alba meiatur in ardentissima febre, mortem vtique prænunciat; non enim possunt cerebri vires iam ab ardenti febre prostratæ, sustinere mordacitatem & acrimoniam putrefactæ bilis.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν ἐλαιωδῶν οὔρων.

Πόθεν τὰ ἐλαιώδη γίνονται οὖρα; Εἴωθεν ὁ πυρετὸς πρότερον μὲν τὴν πιμελὴν ἐκτήκειν, ἔπειτα δὲ τὴν σάρκα· ἔσχατον δὲ αὐτῶν τῶν στερεῶν σωμάτων καθάπτεται. τῆς μὲν οὖν πιμελῆς τηκομένης τὰ ἐλαιώδη οὖρα ἐκκρίνεται, κατὰ βραχὺ δὲ ἡ πιμελὴ τήκεται· ὅθεν ἀρχὴν ἔχει, καὶ ἀνάβασιν, καὶ ἀκμήν. ἐν ἀρχῇ μὲν οὖν τῆς συντήξεως ἐλαιόχροα τὰ οὖρα ποιεῖ, ὥστε εἶναι ἀμφίβολα, εἴ τε ὑδατώδη, εἴ τε ἐλαιώδη εἰσίν. ἐν δὲ τῇ ἀναβάσει γίνονται ἐλαιοφανῆ, ὡς ἐπισημειοτέραν τὴν μίξιν τοῦ ἐλαίου ἔχειν. ἐν δὲ τῇ ἀκμῇ, καὶ ἐν χρώματι, καὶ ἐν συστάσει οἷον ἔλαιόν ἐστι. καὶ ἡ τῶν νεφρῶν ἐστι τοῦτο μόνον, ἢ τοῦ παντὸς σώματος· καὶ εἰ μὲν τῶν νεφρῶν μόνον ᾖ, ἀθρόως ἐκκρίνεται πλῆθος τοιοῦτον μετὰ πλείονος θερμασίας αἰσθήσεως περὶ τοὺς νεφρούς· εἰ δὲ τοῦ παντὸς σώματος, κατὰ βραχὺ τὴν προσθήκην ποιεῖται.

CAPVT VI.

De vrinis oleosis.

Vnde oleosæ fiunt vrinæ? Solet quidem febris prius adipem colliquare, deinde verò carnem, tandem solida etiam inuadit ipsa corpora. Liquato igitur adipe, vrinæ excernuntur oleosæ, sensim verò liquatur pinguedo, vnde principium habet, & incrementum ac vigorem. In principio igitur colliquationis, olei coloris facit vrinas, vt sit ambiguum aquosæne sint, an oleosæ. In ipso verò incremento oleosæ apparent, vt iam exquisitiorem olei videantur admixtionem habere. In ipso autem vigore, & colore & consistentiâ veluti oleum est; atque hæc pinguedo vel renum duntaxat est, vel totius corporis, ac si renum duntaxat fuerit, confertim excernitur eiusmodi copia cum plurimi caloris sensu circa renes, sin autem totius corporis, sensim incrementum.

CAPVT VII.

De eruosis, furfuraceis, squamosis, crassiori farinæ similibus, ac graueolentibus vrinis, ac earum significatione.

QVID indicant eruosa sedimenta? quum iam absumptus fuerit adeps, reliqua caro liquatur, & eruosa sedimenta in vrinis subsident. Sed & hæ aut renum sunt, aut totius corporis. Si igitur in febribus apparuerit talis vrina, totius corporis affectionem indicat; sin minus, solorum renum; & rursus si crudæ sint vrinæ, totius corporis est malum. Si verò concocta est vrina, eruosa autem sedimenta, renum affectionem indicat.

QVID indicant furfuracea sedimenta? Quum febris depasta fuerit pinguedinem & maiorem carnis partem, & in vasorum fundum irruerit, furfuracea fiunt sedimenta, angustiora quidem squamosis, verùm ipsis crassiora. Excernuntur nonnunquam vel ex toto corpore vel ex vesica; at si febris adfuerit, totius corporis vitium est; sin minus, vesicæ solius, ac si cruda fuerit vrina totius corporis est affectio, sin autem cocta, vesicæ; sed & localis dolor adest.

QVID indicant sedimenta squamosa? Quum ipsæ solidæ partes sunt affectæ, primùm quidem abraduntur in superficie; atque si cum febre, vniuersum corpus afficitur; sin minus, sola vesica, sunt autem quæ à vesica emittuntur cocta; quæ à toto corpore incocta.

QVID indicant vrinarum sedimenta crassiori farinæ similia? Quum febris vasorum subierit profundum, & maiorem latitudinem assumpserit & longitudinem ampliorem, fiunt furfuracea sedimenta & vocantur crassiori farinæ similia. Sed crimnod*n* duo significant, vel enim nimiam sanguinis adustionem significant, vel vehementem solidarum partium colliquationem; atque si ipsum quidem sedimentum fuerit album, affectus est solidarum partium; si rubrum, ipsius sanguinis.

QVID significat vrina graueolens? Putrefactionem & naturæ interitum.

CAPVT VIII.

De vrinis nigris earúmque significatione.

QVID nigræ indicant vrinæ? Hæ omnes vrinæ simul & crassæ, sunt omnino perniciosæ, rarò enim vel nũquam inuenietur tenuis & nigra; niger enim color vel propter adustionem accidit sanguinis, vel propter refrigerationem totius corporis, vel propter melancholici humoris expurgationem; tres igitur hæ sunt differẽtiæ vrinarum quæ crassissimam obtinent consistentiã; ac crassæ inueniãtur vrinę nigræ necesse est. In acutis igitur morbis perniciosa, vt plurimum, vrina nigra est, quãdo & grauis odoris est & sedimentũ habet nigrum; eum enim, qui acuto morbo fuerit correptus, seruari est impossibile, si talẽ minxerit vrinã; si verò sedimentum nigrũ fuerit, perniciosior est; sin verò suspensum fuerit nigrũ, minus mala; similiter si nubem vel nubeculã similem habuerit, mitius est malum, nigrũ enim aliquando indicat perfrigerationẽ, aliquando verò caliditatem, nonnũquam adustionẽ; atque si quidẽ prius liuidam minxerit, postea verò nigra fiat, frigus habet; sin autem flaua præcesserit, postea verò in nigrã conuertatur,

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Περὶ τῶν ὀροβοειδῶν τε, καὶ πιτυρωδῶν, καὶ πεταλωδῶν, κριμνωδῶν τε, καὶ δυσωδῶν οὔρων, καὶ τῆς αὐτῶν σημειώσεως.

ΤΙ σημαίνουσιν αἱ ὀροβοειδεῖς ὑποστάσεις; Ὅταν δαπανηθεῖσα ἡ πιμελὴ, λοιπὸν ἡ σὰρξ τήκεται, καὶ ὀροβοειδεῖς ὑποστάσεις ἐν τοῖς οὔροις ἐκκρίνει, ἀλλὰ ἢ τῶν νεφρῶν ἐστιν, ἢ τοῦ παντὸς σώματος. Εἰ μὲν οὖν ἐν πυρετοῖς φανείη τοιοῦτον οὖρον, τοῦ παντὸς σώματος δηλοῖ τὸ πάθος εἶναι· εἰ δὲ μὴ τῶν νεφρῶν μόνων. καὶ πάλιν, εἰ μὲν ἐστιν ἀπεψία τῶν οὔρων, ὅλου τοῦ σώματός ἐστι τὸ κακόν. Εἰ δὲ πέψις μὲν ᾖ, καὶ ὀροβοειδεῖς ὑποστάσεις ἐκκρίνει, τῶν νεφρῶν τὸ πάθος δηλοῖ.

ΤΙ δηλοῦσιν αἱ πιτυρώδεις ὑποστάσεις; Ὅταν ὁ πυρετὸς δαπανήσῃ τὴν πιμελὴν· καὶ τὸ πλέον τῆς σαρκὸς, καὶ ἐν τῷ βάθει τῶν ἀγγείων ἐγκατασκήψῃ, γίνονται πιτυρώδεις αἱ ὑποστάσεις, στενώτεραι μὲν τῶν πεταλωδῶν, παχύτεραι δ' ὅμως τούτων· ἐκκρίνεται δὲ ἐνίοτε κἀκ τοῦ παντὸς σώματος, κἀκ τῆς κύστεως, ἀλλ' εἰ μὲν πυρετὸς παρείη, ὅλου τοῦ σώματος τὸ κακόν· ἢν δὲ μὴ, τῆς κύστεως μόνης· καὶ εἰ μὲν ἄπεπτον εἴη τὸ οὖρον, τοῦ παντὸς σώματος τὸ πάθος ἐστίν. Εἰ δὲ πεπεμμένον, τῆς κύστεως, ἀλλὰ καὶ τοπικὴ ὀδύνη ἐστί.

ΤΙ δηλοῦσιν αἱ πεταλώδεις; Ὅταν αὐτὰ πάθωσι τὰ στερεὰ, πρῶτον μὲν ἐπιπολῆς διεξέονται, καὶ εἰ μὲν μετὰ πυρετοῦ, τὸ ὅλον κεκάκωται δηλονότι σῶμα. Εἰ δ' οὖν ἐκ μόνης τῆς κύστεως, ἔστι δὲ τὰ μὲν ἐκ τῆς κύστεως πεπεμμένα, τὰ δὲ τοῦ παντὸς σώματος, ἄπεπτα.

ΤΙ δηλοῦσιν αἱ ἐν τοῖς οὔροις κριμνώδεις ὑποστάσεις; Ἐπειδὰν ὁ πυρετὸς ἐς τὸ βάθος τῶν ἀγγείων καταληφθῇ, καὶ μεῖζον πλάτος ἐπιλάβῃ, καὶ μῆκος ἀδρότερον, γίνονται τῶν πιτύρων αἱ ὑποστάσεις, καὶ καλοῦνται κριμνώδεις· ἀλλὰ τὰ κριμνώδη δύο σημαίνουσιν, ἢ γὰρ ὑπερόπτησιν δηλοῦσι τοῦ αἵματος, ἢ σύντηξιν ἰσχυρὰν τῶν στερεῶν δηλονότι σωμάτων, καὶ ἢ μὲν λευκὴ ἡ ὑπόστασις εἴη, τῶν στερεῶν σωμάτων ἐστὶ τὸ πάθος, εἰ δὲ ἐρυθρὰ, τοῦ αἵματος.

ΤΙ δηλοῖ τὸ δυσῶδες; Σῆψιν καὶ νέκρωσιν τῆς φύσεως.

ΚΕΦΑΛΑΙΟΝ Ηʹ.

Περὶ τῶν μελαίνων οὔρων, καὶ τῆς αὐτῶν σημειώσεως.

ΤΙ δηλοῦσι τὰ μέλανα δηλονότι οὖρα; Πάντα ταῦτα ἀθρόως καὶ παχέα πάντως εἰσὶ, καὶ ὀλέθρια. σπάνιον γὰρ, ἢ οὐδ' ὅλως εὑρεθήσεται μέλαν λεπτόν. τὸ γὰρ μέλαν χρῶμα, ἢ δι' ὑπερόπτησιν γίνεται αἵματος, ἢ διάψυξιν ὅλου τοῦ σώματος, ἢ τοῦ μελαγχολικοῦ καθαιρομένου χυμοῦ. αἱ τρεῖς γοῦν αὗται διαφοραὶ παχυτάτας κέκτηνται τὰς συστάσεις· καὶ ἐξ ἀνάγκης παχέα εὑρίσκονται τὰ μέλαινα δηλονότι τῶν οὔρων. ἐπὶ μὲν τῶν ὀξέων νοσημάτων ὀλέθριον ἐς τοὐπίπαν τὸ μέλαν οὖρόν ἐστιν· ὅταν καὶ δυσῶδες ὑπάρχῃ, καὶ ἡ ὑπόστασις μέλαινα. ἀδύνατον γὰρ τὸν ὀξέως νοσοῦντα τοιοῦτον οὐρήσαντα μὴ ἀποθανεῖν· ἢν δὲ ἡ ὑπόστασις μέλαινα εἴη, ὀλεθριώτερον, ἢν δὲ ἐναιώρημα μὲν ἴσχῃ, ἧττον κακόν. ὁμοίως καὶ ἢ νεφέλην ἔχει ὁμοίαν, ἢ ὑπονεφελίδα, τὸ κακὸν ἠπιώτερον. τὸ δὲ μέλαν, ποτὲ μὲν ἐνδείκνυται ψύξιν, ποτὲ δὲ θέρμην, εἴτουν ὑπερόπτησιν. καὶ εἰ μὲν οὖν πρότερον πελιδνὸν οὐρηθῇ, εἶθ' οὕτω γένηται μέλαν, ψύξιν ἔχει. εἰ δὲ τὸ ξανθὸν προηγήσατο, ἔπειτα μετετράπη μέλαν,

ὑπὸ πλείονος θερμοῦ ἐξυπεροπτηθὲν μέλαν γέγονε. γνωστέον δὲ καὶ ἐπὶ τῇ παρακμῇ τοῦ τεταρταίου, καὶ τῆς μελαγχολικῆς παρανοίας λυομένης οὖρα μέλανα ἐκκρίνονται καὶ παχέα. τοῖς γὰρ σπληνώδεσι τὰ πολλὰ τοιοῦτον οὐρεῖται ἡνίκα ἄρρωστος ὁ σπλὴν διακείμενος φαίνηται· οὐδεμίαν γὰρ διάκρισιν, καὶ κατεργασίαν ποιεῖται τοῦ μελαγχολικοῦ περιττώματος. ἡμεῖς δὲ ὀλέθρια ἔφαμεν εἶναι ταῦτα ἐπὶ τῶν ὀξέων ἀρρωστημάτων. τοῖς μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ τὰ μέλανα τῶν οὔρων κάκιστα, τοῖσι δ' αὖ παιδίοισι τὰ ὑδατώδεα, ἧττον δὲ ὀλέθρια γίνονται τὰ μέλανα τῶν ἐχόντων τὸν σπλῆνα ἄρρωστον, καὶ οὐκ ἐκ διακαύσεως. τὸ δὲ ἐκ καταψύξεως μελαινόμενον πελιοῦταί πως τὸ αἷμα, καθάπερ ἐπ' ἄλλων τινῶν. ἀλλ' ἐξ ἀναχύσεως τοῦ μελαγχολικοῦ.

ab immodico calore superassata nigra facta est. Sciendum verò est in declinatione quartanarum & melancholicæ insaniæ solutione, crassas & nigras vrinas excerni. Frequenter enim tales meiunt lienosi quum lien imbecillior apparet; nullam enim digestionem & perfectionem efficit melancholici excrementi, nos verò eiusmodi vrinas in acutis morbis lethales esse diximus, viris quidem & mulieribus vrinæ nigræ pessimæ, pueris verò aquosæ, minus verò perniciosæ sunt nigræ, his qui splenem habent imbecillum, nec ex adustione; omnis autem sanguis à refrigeratione denigratus, liuescit, quemadmodum in aliis quibusdam, sed id ex melancholici humoris diffusione.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ οὔρων ἐκ Παύλου.

ὭΣπερ ἐπὶ τῶν διαχωρημάτων, οὕτω κἀπὶ τῶν οὔρων κανόνι, τῷ τῶν ὑγιαινόντων κεχρημένοι κατὰ τῶν νοσούντων σημειωσόμεθα· οὖρον τοίνυν ἄριστόν ἐστι, τὸ τῶν ὑγιαινόντων ὁμοιότατον· τοιοῦτον δέ ἐστι τὸ ὑπόπυρρόν τε ἅμα καὶ ὑπόξανθον· εὐθὺς δὲ λεπτοῦ, καὶ πάχους συμμέτρως ἔχον. οὔσης δὲ τριττῆς τῆς τῶν θολερῶν οὔρων διαφορᾶς, ἢ γὰρ οὐρηθέντα τὰ τοιαῦτα καθίστανται μὴ ὀλίγον, ἢ μένει παραπλήσια ἄχρι παντός. ἢ καθαρὰ μὲν ἐκκρίνεται, μετὰ ταῦτα δὲ ἀναθολοῦται, μοχθηρὸν μὲν τὸ τρίτον εἰρημένον, ἐπιεικὲς δὲ τὸ πρῶτον, ἐν μέσῳ δ' ἀμφοῖν ἐστι τὸ δεύτερον. τὸ δὲ ἐσχάτως ἄπεπτον· ὅπερ ἐστὶ τὸ ὑδατῶδες ἀκριβῶς, οἷον ἀπεγνωσμένης πέψεως σύμπτωμα τοῦ φλεβώδους γένους ὑπάρχον· ὅταν δὲ καὶ ταχέως διεξέρχηται, ὁ καλούμενος διαβήτης γίνεται· ἀλλὰ τοῦτο μὲν ἀπέπτων οὔρων τὸ χείριστόν ἐστιν, ἐφεξῆς δὲ αὐτῶν τὸ λεπτὸν καὶ λευκὸν οἷον τὸ ὕδωρ· τούτων ἐγγύς ἐστιν ἕτερον οὖρον ἐν πολλαῖς νόσοις φαινόμενον, ἐγγὺς ἱκανῶς τοῦ λεπτοῦ καὶ λευκοῦ· τὸ δὲ ὕπωχρον ἐφεξῆς ἐστι τούτου· τὸ δὲ ὠχρὸν εἴη μὲν ἤδη τοῦτο καὶ ὑπόπυρρον, πέττεται δὲ ἤδη τῆς χροιᾶς γε ἕνεκα· χρὴ δὲ αὐτὸ καὶ τῷ πάχει τοσοῦτον ἀποκεχωρηκέναι τοῦ ὕδατος, εἰ μέλλει πεπέφθαι καλῶς ὅσον καὶ τῷ χρώματι. εἰ δὲ τὴν κατὰ φύσιν χροιὰν ἀκριβῶς φυλάττον, ὑπόστασιν λευκὴν, καὶ λείαν, καὶ ὁμαλὴν, καὶ πολλὴν ποιεῖ, πέψεως μὲν ἂν εἴη ἀκριβοῦς γνώρισμα. τὰ πλείονα δὲ τὸν ὠμὸν χυμὸν ἐκκαθαίρεσθαι δηλοῖ. κἂν παχύτερον δὲ ᾖ μετρίου, καὶ ἔχῃ τινὰ ὑπόστασιν, οὐ πάντως ἤδη ἄπεπτον· εἰ γὰρ ἤτοι κριμνώδεις, ἢ πιτυρώδεις, ἢ μέλαινας, ἢ πελιδνὰς, ἢ χλωρὰς, ἢ δυσώδεις ὑποστάσεις ἔχει, πρὸς τὸ πάνυ τὸ τοιοῦτον ἄπεπτον εἶναι, καὶ ἄλλο ὀλέθριον ὑπάρχει. τὰ δὲ εὔχροά τε ἅμα καὶ ἤτοι τὰς ὑποστάσεις λευκὰς, καὶ λείας, καὶ ὁμαλὰς, ἢ νεφέλας τινὰς ὁμοίας, ἢ ἐναιωρήματα ποιούμενα, πάντων ἐστὶν οὔρων χρηστότατα, καὶ μάλιστα μὲν ὧν ἡ ὑπόστασις εἴη τοιαύτη· δεύτερα δὲ ὧν αὖ ἐναιωρήματα· τρίτα δὲ ὧν νεφέλη, καὶ ἁπλῶς τὰ τοῖς οὔροις ἐμφερόμενα χρηστῶς· ὅσῳ περ ἂν ὑφιζάνῃ κάτω, τοσούτῳ βελτίω γίνεται.

CAPVT IX.

De vrinis ex Paulo.

QVemadmodum in deiectionibus, ita in vrinis quoque regula sanorum vsi, de ægrotantium vrinis indicia sumemus. Vrina igitur optima est, quæ sanorum vrinæ simillima; talis nimirum est subrufa simul & subflaua, nimirum verò hæc & tenuitatem & crassitiem moderatam habet, at quum triplex sit vrinarum turbidarum differentia, vel enim tales mictæ paulopòst subsident, vel similes manent perpetuò; vel puræ quidem excernuntur: deinde verò turbantur, praua quidem existit quæ tertia ordine dicta est; benigna, quæ prima, in medio vtriusque consistit secunda, summè cruda est, exactè aquosa, veluti desperatæ coctionis venosi generis symptoma. Quum autem celeriter descenderit, diabetes appellatus efficitur; verùm hæc sanè inter vrinas deterrima est, succedit autem ipsi tenuis & aquæ modo alba, his vicina est alia vrina, quæ multis in morbis apparet tenuis & albæ admodum vicina, subpallida verò hanc sequitur, quæ pallida quidem modò erit & subrufa, concoquitur autem iam quantum ad colorem ipsius attinet, tantùm verò crassitie ipsam ab aquosa recessisse oportet, si probè concoqui debeat, quantùm etiam colore; sin autem colorem naturalem adamussim seruans sedimentum album, læue, & æquale, & copiosum reddit, exactæ quidem concoctionis nota fuerit, largiùs verò crudum humorem expurgari significat. Quòd si vrina crassa modicè sit, habeátque sedimentum aliquod, non cruda iam ex toto erit, si enim sedimentum parti farinæ crassiori, aut laminis simile, aut furfuri, aut nigrum, aut liuidum, aut viride, aut graueolens habeat, præterquam quòd huiusmodi quodque crudum est, etiam mortis periculum aliàs ostendit. Porrò boni coloris vrinæ, quæque simul vel sedimentum album, læue, & æquale repræsentent, vel nebulas quasdam similes, vel suspensum, omnium vrinarum sunt laudatissimæ & præcipuè quarum sedimentum extiterit tale, deinde commendatur vrina cuius suspensa eiusmodi cernuntur, tertiò cuius nebulæ tales apparent, ac vt vno verbo expediam, quæ vrinis probè innatant, quantóque inferius subsident tanto magis laudantur.

ΘΕΟΦΙΛΟΥ ΙΑΤΡΟΣΟΦΙΣΤΟΥ ΠΕΡΙ ΟΥΡΩΝ, ΒΙΒΛΙΟΝ.

THEOPHILI IATROSOPHISTAE DE VRINIS LIBER.

CAPVT PRIMVM.

Proœmio vrinarum doctrinam à prioribus Medicis nondum editam se traditurum pollicetur.

TRACTATVM de vrinis multi veterum Medicorum scribere conati sunt, quorum omnium primus Hippocrates Cous, in cuius libros incidimus. Post hunc Galenus admirabilis Medicus idem & aggressus est, & scripsit; deinde post ipsum Magnus Iatrosophista. Hi profecto viri laudibus digni sunt, quòd primi aliquid ad vitam vtile inuenire studuerint. Nemo tamen virorum absolutam doctrinam tradidit. Quum enim Hippocrates de vrinis disseruisset, aliàs alibi in suis scriptis sparsim genera, species, & differentias vrinarum inseruit, ac ex ipsis dignotiones & prænotiones oborturorum partibus affectuum præter naturam tum in sanis corporibus, tum in acutis morbis imperfectam doctrinam reliquit. Eodem etiam modo Galenus post ipsum in libris de crisibus, vbi composuisset & docuisset plurima, indefinita & obscura reliquit in generibus, speciebus, & differentiis. Post hos autem Magnus succedens Medicus quidem professione, re verò imperitus, suscepit etiam de eadem arte tractare, & diuisionem orsus differentias earum & species, & signa diagnostica quæ ex ipsis vrinis fierent, aut futura essent, plerisque prætermissis, doctrinam etiam imperfectam reliquit, vt multa à Medicis, qui postea venerunt, requirantur; & quum solutionem reperire nequeant, aliam quærere doctrinam coguntur potius quàm frustra ex iis quæ didicerint obseruare, & ex ipsis apparentibus res & notiones obscuras coniectura assequi. Etenim idonea vrinarum speculatio facta dilucidior, occultos locos affectos dijudicat, tum quomodo sint affecti, & quo temperamento ipsorum quisque patiatur; aut secundum naturam disponatur, aut à naturæ statu decesserit, & præter naturam afficiatur. Quum enim facultas sanguinis effectrix quomodocunque à propria functione deflexit, accurata vrinarum consideratio nuncia verax esse solet. Igitur par est nos de vrinis docturos, inuocare Christum verum Deum, vt nobis auxiliator, & viæ dux fiat ad eiusmodi documentum; quo digni videamur neque deficientem, neque imperfectam disciplinam efficere. Priùs itaque nobis definiendum est quid ipsa sit vrina; deinde explicandus est locus, in quo generetur, postea locus in quem excernatur; postremò sic auspicandum erit documentum per genera & species, ac earum differentias.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἐν προοιμίῳ τὴν τῶν οὔρων διδασκαλίαν ὑπὸ τῶν ἰατρῶν μέχρι τοῦδε ἀνέκδοτον διδάξειν ἐπαγγέλλεται.

A ΤΗΝ περὶ τῶν οὔρων πραγματείαν πολλοὶ τῶν ἀρχαίων ἰατρῶν ἐπεχείρησαν γράψαι, ὧν πρῶτος ἁπάντων Ἱπποκράτης Κῷος οὗ ταῖς βίβλοις ἐνετύχομεν. μετὰ δὲ τοὺς τούτου χρόνους Γαληνὸς ὁ θαυμάσιος ἰατρὸς, ἐπεχείρησέ τε καὶ ἔγραψεν. εἶτα μετ' αὐτὸν Μάγνος ἰατροσοφιστής. οὗτοι μὲν οὖν οἱ ἄνδρες ἐπαίνου ἄξιοι, ὅτι πρῶτοι ἐσπούδασαν εὑρεῖν τι χρήσιμον ἐν τῷ βίῳ. οὐδεὶς μέντοι γε τῶν ἀνδρῶν τελείαν, ἢ ἀνελλιπῆ τὴν διδασκαλίαν ἐποιήσατο. ὁ μὲν γὰρ Ἱπποκράτης περὶ οὔρων ἐξηγησάμενος, ἄλλοτε ἀλλαχοῦ ἐν ταῖς πραγματείαις αὐτοῦ κατασπείρας γένη τε καὶ εἴδη καὶ διαφορὰς αὐτῶν, καὶ τὰς ἐξ αὐτῶν διαγνώσεις τε καὶ προγνώσεις, ταῖς ἐσομέναις τῶν μορίων
B διαθέσεσι παρὰ φύσιν ἔν τε τοῖς ὑγιαίνουσι σώμασι, καὶ ἐν τοῖς ὀξέσι νοσήμασιν, ἐλλιπῆ τὴν διδασκαλίαν κατέλιπεν. ὡσαύτως δὲ καὶ ὁ μετ' αὐτὸν Γαληνὸς ἐν τῇ περὶ κρίσεων πραγματείᾳ αὐτοῦ συνθείς τε καὶ διδάξας πάνυ πολλὰ, ἀόριστα καὶ ἀσαφῆ κατέλιπε κατά τε γένη καὶ εἴδη καὶ διαφοράς. ἀκολουθήσας δὲ τούτοις ἐπιγενόμενος ὁ Μάγνος, ἰατρὸς μὲν τῷ λόγῳ, ἄπειρος δὲ τῷ πράγματι, μεταχειρισάμενος καὶ αὐτὸς τοῖς περὶ αὐτὴν τέχνην καὶ διαίρεσιν ἀρξάμενος τάς τε διαφορὰς αὐτῶν καὶ τὰ εἴδη συγγράψαι, καὶ διαγνωστικὰ σημεῖα τὰ ἐξ αὐτοῦ γινόμενα, ἢ μέλλοντα γίνεσθαι, πολλὰ παραλιπὼν, ἀτελῆ καὶ αὐτὸς τὴν διδασκαλίαν ἀνεποιήσατο, ὡς πολλὰ ζητεῖσθαι παρὰ
C τῶν μετέπειτα γενομένων ἰατρῶν· καὶ μὴ δυνάμενοι τὴν λύσιν εὑρεῖν, ἀναγκάζονται ζητεῖν ἑτέραν διδασκαλίαν, καὶ μὴ μάτην ἐκ τῶν διδαχθέντων τηρεῖν, καὶ στοχάζεσθαι τὰ ἐξ αὐτῶν τῶν φαινομένων ἀφανῆ πράγματά τε καὶ διανοήματα. ἡ γὰρ τῶν οὔρων ἐπιτήδειος θεωρία φανερὰ γινομένη, τοὺς ἀφανεῖς πάσχοντας τόπους διαγινώσκει· πῶς τε διάκεινται, καὶ κατὰ ποίαν κρᾶσιν αὐτῶν ἕκαστον πάσχει, ἢ κατὰ φύσιν διάκειται, ἢ τοῦ κατὰ φύσιν ἐξεστηκότα, παρὰ φύσιν διετέθη. τῆς γὰρ αἱματοποιητικῆς δυνάμεως, ὁπωσοῦν κατὰ τὸ ἴδιον ἔργον ὀκλασάσης, ἄγγελος ἀψευδὴς ἡ τῶν οὔρων ἀκριβὴς θεωρία πέφυκεν. οὐκοῦν δέον ἡμῖν ἐστὶ, περὶ
D οὔρων μέλλοντας διδάξαι, ἐπικαλέσασθαι Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν ἀρωγὸν καὶ ὁδηγὸν γενέσθαι εἰς τὴν τοιαύτην διδασκαλίαν, ὅπως ἀξιωθείημεν ἀνελλιπῆ καὶ ἀνυστέρητον ταύτην ἀποτελέσαι. χρὴ οὖν ἡμᾶς πρότερον ὁρίσασθαι, τί ἐστιν αὐτὸ τὸ οὖρον· ἔπειτα διασαφῆσαι τὸν τόπον εἰς ὃν γίνεται· εἶτα τὸν τόπον εἰς ὃν διακρίνεται· καὶ εἶθ' οὕτως ἀπάρξασθαι τῆς διδασκαλίας κατά τε γένη καὶ εἴδη καὶ διαφορὰς αὐτῶν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τί οὖρον, πῶς γεννᾶται, καὶ διὰ τί τοίαν, ἢ τοίαν σύστασίν τε καὶ χροιὰν δέχεται.

Λέγωμεν οὖν τί ἐστιν οὖρον. οὖρον τοίνυν ἐστὶ περίηθημα τοῦ αἵματος. τοῦτο δὲ ἄλλοι ὀρρῶδες περίττωμα ἐκάλεσαν· ἄλλοι δὲ ὑδατῶδες· ἄλλοι δὲ ἰχῶρα αἵματος· περὶ μὲν οὖν τῶν ὀνομάτων οὐδεμία φιλονεικία. γεννᾶται τοίνυν τὸ οὖρον ἐν τῇ στελεχιαίᾳ φλεβί, κατὰ τὰ σιμὰ τοῦ ἥπατος κατεσπαρμένῃ· ἐν ᾗ καὶ ἡ αἱματοποιητικὴ δύναμις τὸ ἔργον αὐτῆς ἀποτελεῖ. ἔστι δὲ ἡ γένεσις αὐτοῦ τοιάδε. τοῦ αἵματος κατασκεδασθέντος, καὶ ταραχῆς ἐν αὐτῷ γενομένης, ὅσον μὲν κοῦφον καὶ ἀνωφερές, ὅπερ τὸ ξανθοχολικὸν περίττωμά τι πέφυκεν εἶναι, λαμβάνει αὐτὸ ἡ χοληδόχος διὰ τοῦ αὐτῆς πόρου, πλησίον κειμένη τοῦ ἥπατος· τὸ δὲ γεῶδες καὶ οἷον τρυγῶδες τοῦ αἵματος, ἕλκει ὁ σπλὴν διὰ τοῦ αὐτοῦ πόρου· καταλείπεται γοῦν τὸ ὑδατῶδες περίττωμα, σὺν τῷ αἵματι, τοῦτο λαμβάνοντες οἱ νεφροὶ διὰ μέσης τῆς κοίλης φλεβός, εἰδοποιοῦσιν αὐτὸ ἐς οὔρου κατασκευήν. φαίη δ' ἄν τις εἰκότως, διὰ τί τῆς χοληδόχου κύστεως καὶ τοῦ σπληνός, ἐκ τῶν σιμῶν τοῦ ἥπατος λαμβανόντων τὰ τοῦ αἵματος περιττώματα, μὴ καὶ οἱ νεφροὶ ἐγγὺς κείμενοι ἐλάμβανον τὸ ὑδατῶδες περίττωμα ἐκ τοῦ αὐτοῦ τόπου. καὶ λέγομεν, ὅτι μεγάλης ἕνεκα χρείας τοῦτο ἡ φύσις ἀπεκράτησεν. ἡ γὰρ στελεχιαία φλέψ, ἡ τὸ αἷμα κατεργαζομένη ἐν τοῖς σιμοῖς τοῦ ἥπατος κειμένη, συμβάλλει κατὰ τὰ κλόνια αὐτῆς τῇ κοίλῃ φλεβί, τῇ κατὰ τὰ κυρτὰ τοῦ ἥπατος κειμένῃ, κατά τινας πόρους στενοὺς καὶ τριχοειδεῖς. τοῦ οὖν αἵματος κατὰ τὴν σύστασιν παχέος ὄντος, καὶ μὴ δυναμένου τὰς στενὰς ἀκωλύτως ὁδοὺς διαπεράσαι, ἐδεήθη συμπαρεῖναι αὐτῷ τὸ ὑδατῶδες περίττωμα, ἵνα τῇ λεπτότητι τοῦ ὀρρώδους περιττώματος, εὐκόλως σὺν αὐτῷ διαδύνηται καὶ τὸ αἷμα πρὸς τὴν κοίλην φλέβα. ἐπειδὰν δὲ ὠθισθῇ τὸ αὐτὸ περίττωμα κατὰ τὸ πρέμνον τῆς κοίλης φλεβός, ὃ περίκειται τῇ ῥάχει ἄνωθεν ἕως κάτω· οἱ νεφροὶ τὸ τοιοῦτον περίττωμα δεξάμενοι, εἶθ' οὕτως εἰδοποιήσαντες αὐτό, καὶ εἰς οὔρου σύστασιν μεταβαλόντες, διὰ τῶν οὐρητήρων ἀποπέμπουσι κατὰ οὐροδόχον κύστιν. καὶ εἰ μὲν εἰλικρινὲς καὶ καθαρὸν τὸ αἷμα ἀποτελεσθῇ· δηλονότι καὶ τὸ αὐτοῦ περίττωμα τοιοῦτον ἂν γένοιτο. εἰ δὲ κατά τινα ἀποτυχίαν ἡ αἱματοποιητικὴ δύναμις ἐμποδισθῇ τὸ ἔργον αὐτῆς τελειῶσαι· τοιοῦτον ἂν γένοιτο καὶ τὸ ὑδατῶδες περίττωμα, ὅπερ οὖρον ἐκαλέσαμεν. διὰ τοῦτο ποτὲ μὲν λεπτὰ τὰ οὖρα καὶ λευκὰ φαίνεται, ποτὲ δὲ παχέα καὶ λευκά, ὠμοτέρου που τοῦ αἵματος γεγονότος, καὶ ἀτελοῦς τῆς αἱματοποιητικῆς δυνάμεως, καὶ πέψεως γεγονυίας, καὶ οἷον ὠμοτέρας· ἄλλοτε δὲ καὶ ὑπεροπτηθέντος, καὶ οἷον ὑπερζέσαντος τοῦ αἵματος, τοιοῦτον καὶ τὸ αὐτοῦ περίττωμα γενήσεται· ὥστε διὰ τὰς τοιαύτας αἰτίας, καὶ τὸ οὖρον κατ' εἶδος μεταβάλλεται.

CAPVT II.

Quid vrina, quomodo procreetur; & cur hanc aut illam consistentiam, & colorem sortiatur.

Itaque quid vrina sit dicamus. Vrina autem est sanguinis colatura; hanc alij serosum excrementum appellarunt; alij aquosum; nonnulli serum sanguinis. De nominibus certè nulla contentio est. Ergo vrina gignitur in vena caudicosa ad simas iecoris partes sparsa, in qua facultas sanguifica suum opus perficit. Eius autem generatio est eiusmodi. Sanguine disperso, atque ortâ in ipso perturbatione, quicquid leue est ac sursum tendit, quod flauæ bilis excrementum quoddam esse natum est, id fellis vesicula excipit per suum meatum iuxta iecur sita; quod verò terreum est, & quasi fæculentum in sanguine, id lien attrahit per meatum suum. Relinquitur ergo aqueum excrementum cum sanguine; hoc accipientes renes ex media caua vena ipsum in vrinæ opificium efformant. At merito quis dixerit, quare quum bilis vesicula, & lien è simis iecoris partibus sanguinis excrementa capiant, non etiam renes prope siti sumant aqueum excrementum ex eodem loco? Atque dicimus magni vsus gratia id naturam obtinuisse. Nam caudicosa vena, quæ sanguinem perficit, in simis iecoris locata, coit ad spinas dorsi cum ipsa caua vena quæ ad gibba iecoris sita est, per angustos quosdam ac capillaceos meatus. Quum igitur sanguis sit consistentia crassus, nec possit per angustos meatus liberè traijci, oportuit vnà cum ipso excrementum aqueum adesse, vt serosi excrementi tenuitate facilè cum eo permearet etiam sanguis ad cauam venam. Quum autem impulsum fuerit excrementum ipsum ad venæ cauæ truncum qui spinæ dorsi assidet à superiori parte ad inferiorem; renes tali excremento accepto; deinde sic eo efformato, atque in vrinæ consistentiam transmutato, id per vreteres ad vesicam vrinæ receptaculum amandant. Ac si syncerus quidem & purus sanguis perfectus sit, nimirum etiam ipsius excrementum tale extiterit. Quod si ob aliquem defectum sanguifica facultas sit impedita quominùs suum opus perficiat, tale sanè fuerit aquosum excrementum, quod & vrinam appellauimus. Idcirco vrinæ interdum tenues & albæ apparent, interdum crassæ & albæ, crudiore vtique facto sanguine, & sanguifica facultate irrita, & concoctione imperfecta reddita, ac veluti crudiore; interdum etiam sanguine superadusto, & quasi superefferuescente, tale quoque ipsius excrementum erit; ita vt propter eiuscemodi causas vrina etiam mutetur secundum speciem.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ ἀρίστου τοῦ κατὰ φύσιν οὔρου.

Εἴπωμεν οὖν περὶ τοῦ κατὰ φύσιν οὔρου, τοῦ ἐκ τῆς ἀκριβοῦς κατασκευῆς τοῦ αἵματος γεγονότος, ὁποῖον δεῖ εἶναι καὶ ὁρίσασθαι τὸ ἄριστον οὖρον, ὅπερ καὶ κατὰ φύσιν ὠνόμασται,

CAPVT III.

De optima vrina secundum naturam existente.

Dicamus igitur de vrina secundum naturam existente, quæ ex perfecta sanguinis constitutione efficitur, qualē esse ac definire decet optimam vrinā, quę & secundum naturā appellata est, vt

vt eius excessum vel defectum, non secundum naturam, sed præter naturam censeamus, non bonã, sed nothã. Est igitur vrina secundum naturã eiusmodi; optima vrina est, ait Hippocrates, quæ albũ, læue, & æquale sedimentum habet, comitante videlicet commoderata consistentiã; & colore decenti; vt hæc definitio omni ex parte absoluta sit; vrina optima est, quæ consistentiã mediocri est, sedimento verò albo, læui & æquali, colore rufo & subrufo & aliquantulum particeps flaui, ob fulgorem, & congruenti tempore reddita. Etenim Galenus subrufam & flauã optimam asseruit. Magnus autem rufam & subrufam, nos verò in vtriusque symmetria eam constituimus; quæcunque autem in aliquo horum quatuor, aut deficiunt, aut redundant, has nonsecundũ naturam fieri contendo, sed præter naturam & spuriam, de coloribus ergo dicere & sedimento non est huius temporis, id enim sequens docebit oratio. Iam verò de consistentia dicamus, quandoquidem omnis vrina secundum essentiam, ipsa consistentia est: etenim vrinæ essentia humidus liquor est. Hunc verò humorem multi doctorum medicorum fusionem liquoremue vocarunt, quia quid effusum in eo cernitur. Huius ergo consistentiæ differentiæ primæ sunt duæ; tenuitas & crassities, & mixta ex his temperata, hæc autem temperata quia secundum naturam est non diuiditur, tenuis autem consistentiã, aut meitur tenuis & manet tenuis, aut meitur tenuis & postea fit crassa, ac prima quidem est summe cruda: perturbata verò & in crassam mutata, concoctionis initium sumere declarat, eodemque modo crassa bifariam diuiditur; aut meitur crassa & manet ita, aut meitur quidem crassa, sed considens fit tenuis; prior, perturbationem validam humorum in corpore factam ostendit; secunda, perturbationem quidem discerni declarat, sanguificationis verò concoctionem exeitari. Annectamus igitur colori consistentiam & definiamus, quæ ex ipsa orta sint *connexionum* indicia tam in sanis hominibus quàm quomodocunque ægrotantibus; & quoniam albus color cæteros præcedit: & tenuis consistentia, qualitates quæ in consistentia sunt, prius componamus tenuem & albam consistentiam.

ἵνα τὸ παραβάλλον τούτου ἢ ἔλλειπον, οὐ κατὰ φύσιν, ἀλλὰ παρὰ φύσιν λογιζώμεθα, οὐχ ὑγιές, ἀλλὰ νόθον. ἔστι μὲν οὖν τὸ κατὰ φύσιν οὖρον τοιόνδε. οὖρον ἄριστόν ἐστι, καθώς φησιν Ἱπποκράτης, τὸ λευκὴν καὶ λείαν καὶ ὁμαλὴν ὑπόστασιν ἔχον· δηλονότι ἐπακολουθούσης συστάσεως συμμέτρου, καὶ χρώματος τοῦ δέοντος, ὡς εἶναι τὸν ὁρισμὸν τὸν ὁριζόμενον τέλειον· οὖρον ἄριστόν ἐστι τὸ συστάσει σύμμετρον. τῇ δὲ ὑποστάσει λευκὸν καὶ λεῖον καὶ ὁμαλόν· τῷ δὲ χρώματι πυρρόν τε καὶ ὑπόπυρρον, καὶ ὀλίγον τι μετέχον τοῦ ξανθοῦ διὰ τὴν στιλπνότητα, καὶ τὸν χρόνον ὁμοίως ὑπακολουθοῦντα. ὁ μὲν γὰρ Γαληνὸς τὸ ὑπόπυρρον καὶ ξανθὸν ἄριστον ἔφησεν εἶναι. ὁ δὲ Μάγνος τὸ πυρρόν τε καὶ ὑπόπυρρον· ἡμεῖς δὲ ἐν συμμετρίᾳ ἀμφοτέρων πεποιήκαμεν· ὅσα δὲ κατά τι τῶν τεσσάρων τούτων, ἢ λείπει, ἢ πλεονάζει, ταῦτα μὴ κατὰ φύσιν λέγω γίνεσθαι, περὶ μὲν οὖν χρωμάτων καὶ περὶ ὑποστάσεως, οὐ τοῦ παρόντος λέγειν καιροῦ· περὶ ὧν γὰρ ὁ λόγος διδάξει· κατὰ δὴ τὸ παρὸν εἴπωμεν περὶ συστάσεως, ἐπεὶ τὸ πᾶν οὖρον κατ' οὐσίαν, αὐτὴ ἡ σύστασίς ἐστιν· ἡ γὰρ οὐσία τοῦ οὔρου ὑγρότης ἐστί. ταύτην τὴν ὑγρότητα πολλοὶ τῶν σοφῶν ἰατρῶν χύμα ἐκάλεσαν· ὅτι τὸ κεχύσθαι ἐν αὐτῇ θεωρεῖται. ταύτης τῆς συστάσεως αἱ πρῶται διαφοραὶ δύο εἰσί, λεπτότης καὶ παχύτης· καὶ ἡ ἐξ αὐτῆς μικτὴ σύμμετρος· αὕτη ἡ σύμμετρος, ἐπεὶ κατὰ φύσιν ἐστίν, οὐ διαιρεῖται· ἡ δὲ λεπτὴ σύστασις, ἢ οὐρεῖται λεπτή, καὶ μένει λεπτή· ἢ οὐρεῖται λεπτή, καὶ ἀναθολοῦται, καὶ γίνεται παχεῖα· καί ἐστιν ἡ μὲν προτέρα, ἄπεπτος ἐσχάτως· ἡ δὲ ἀναθολουμένη, καὶ εἰς πάχος μεταποιουμένη, πέψεως ἀρχὴν δηλοῖ λαμβάνειν. ὡσαύτως δὲ καὶ ἡ παχεῖα τέμνεται διχῆ· ἢ οὐρεῖται παχεῖα, καὶ μένει οὕτως· ἢ οὐρεῖται μὲν παχεῖα· καθισταμένη δὲ γίνεται λεπτή. καὶ δηλοῖ ἡ προτέρα τὴν ταραχὴν ἐν τῷ σώματι γινομένην τῶν χυμῶν ἰσχυράν· ἡ δὲ δευτέρα, τὴν μὲν ταραχὴν διακρίνεσθαι· τὴν δὲ τῆς αἱματοποιήσεως πέψιν διεγείρεσθαι. πλέξωμεν οὖν δὴ τῷ χρώματι τὴν σύστασιν· καὶ ὁρισώμεθα τὰ ἐξ αὐτῆς γινόμενα τῶν συμπλοκῶν σημεῖα, τοῖς τε ὑγιαίνουσιν ἀνθρώποις, καὶ τοῖς ὁπωσοῦν νοσοῦσι· καὶ ἐπεὶ τὸ λευκὸν χρῶμα προηγεῖται τῶν ἄλλων χρωμάτων, καὶ ἡ λεπτὴ σύστασις τῶν ἐν τῇ συστάσει ποιοτήτων, συνθώμεθα πρότερον, λεπτὴν καὶ λευκὴν σύστασιν.

CAPVT IV.

De tenui consistentia cum albo colore.

TEnuis & alba consistentia vrinæ, multa significat 1. vrina quæ fusa est non valde candida & tenuis, in hominibus sanis, indicat profusum potum & copiosum alimentum, ac maximè si tenue & decolor vinum biberint. 2. Vrina eiusmodi à pueris fusa malum est: *nam aquosæ vrinæ in pueris pessimæ sunt.* 3. Vrina talis eiecta, facultatis imbecillitatem ostendit quasi in naturali senio, docet autem infirmitatem diuturni morbi qui vocatur ab eruditis medicis, ex morbo senium. 4. Vrina tenuis & alba, & multa profusa, & crebrò, diabetem designat, docti Medici profluuium vrinæ vocarunt: & quidam inter doctos præstantissimus vocat profluuium ad vrinas, alij verò dipsacum *à siti nuncupant*: non secundum naturam nimirum affecto homine, sed præter naturam ob renum calidam intemperiem constituto, quare ob nimiam attractionem renum præter naturam affectorum talis vrina profluit. Vrina alba & tenuis, profusa in febricitantibus,

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ λεπτῆς συστάσεως μετὰ τοῦ λευκοῦ χρώματος.

Ἡ μὲν οὖν λεπτὴ καὶ λευκὴ σύστασις τοῦ οὔρου, πολλὰ σημαίνει. Α. οὖρον γὰρ ἐλθὸν οὐ πολύ, καὶ λευκὸν καὶ λεπτόν, ἐν ὑγιαίνουσιν ἀνθρώποις, πολυποσίαν σημαίνει μετὰ δαψιλοῦς τροφῆς, καὶ μάλιστα εἰ ἔστιν ὁ οἶνος ἐξίτηλος. Β. οὖρον τοιοῦτον ἐν τοῖς παισὶν οὐρηθὲν κακόν· τὰ γὰρ ὑδατώδη οὖρα τοῖσι παιδίοισι, κάκιστα. Γ. οὖρον τοιοῦτον ἐλθὸν σημαίνει ἀσθένειαν δυνάμεως, ὡς ἐπὶ τοῦ κατὰ φύσιν γήρως· σημαίνει καὶ ἀσθένειαν χρονίου νοσήματος τοῦ ὀνομαζομένου παρὰ τοῖς σοφοῖς τῶν ἰατρῶν, ἐκ νόσου γῆρας. Δ. οὖρον λεπτὸν καὶ λευκόν, καὶ πολὺ οὐρούμενον καὶ ἀθρόως, διαβήτην σημαίνει· ὃν οἱ σοφοὶ τῶν ἰατρῶν, διάρροιαν ἐκάλεσαν. καί τις τῶν σοφῶν αὐτῶν ἐξοχώτατος, εἰς οὖρα διάρροιαν, ἄλλοι δὲ διψακὸν ἐκάλεσαν· οὐ κατὰ φύσιν ἔχοντος δηλονότι τοῦ ἀνθρώπου. ἀλλὰ παρὰ φύσιν διατεθέντων διὰ θερμὴν δυσκρασίαν τῶν νεφρῶν. τῇ οὖν ἀπείρῳ ὁλκῇ τῶν παρὰ φύσιν διατεθέντων νεφρῶν τὸ τοιοῦτον οὖρον ἔρχεται. οὖρον λεπτὸν καὶ λευκὸν οὐρηθὲν ἐν πυρέτ-

ζεσιν, ἀμφημερινὸν διαλείποντα σημαίνει διὰ τῶν τοιούτων χυμῶν. καὶ ἐπὶ τῆς κατὰ φύσιν δὲ ψυχροτέρας κράσεως τοῦ ἥπατος, λεπτὰ καὶ λευκὰ ἐξουρεῖται· καὶ δι' ἔμφραξιν ἔρχεται τοιαῦτα, ὁμοίως ὡς ἐπὶ τῶν νεφριτικῶν, καὶ ὡς ἐπὶ τῶν τεταρταίων ἐν ταῖς ἀρχαῖς. οὖρα λεπτὰ καὶ λευκὰ καὶ ἐπὶ τῶν ὑδρωπικῶν ἔρχεται, διὰ τὸ πλεονάζον αἴτιον. οὖρα λεπτὰ καὶ λευκὰ, ἐσφαλμένοις τράχηλον, καὶ κεφαλὴν καὶ ὤμοις βαρυνομένοις, σκότωσιν καὶ λειποθυμίαν σημαίνει. ὁ δὲ, σημαίνει ὁ Ἱπποκράτης, ἐν τῷ μέλλοντι χρόνῳ, καὶ ἐν τῷ παρῳχηκότι χρᾶται, ὥς φησιν, ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ φανερᾶς προφάσεως γινόμενος, σημαίνει τὸ σῶμα, ὡς πλείονι τροφῇ χρέεται· οὖρον πολὺ ἐν πυρετοῖς, λεπτὸν καὶ λευκὸν ἐλθὸν, ἄνεσιν σημαίνει. οὖρον λευκὸν καὶ λεπτὸν διὰ τέλους, ἐπὶ παροξυνομένων τῶν πυρετῶν, ἀπόστασιν ἔσεσθαι δηλοῖ, εἰς τὰ κάτω τῶν φρενῶν χωρία. οὖρον ὁμοίως ἐλθὸν ἐν καυσώδει πυρετῷ φρενῖτιν σημαίνει· τοῦ γὰρ καυσώδους πυρετοῦ ὑπὸ πλήθους ξανθῆς χολῆς γινομένου τοῦ οὔρου μὴ χρωννυμένου, ἀναφερομένου τοῦ χολώδους περιττώματος ὄντος, τὸν ὑψηλὸν τόπον τῆς κεφαλῆς κατέλαβε· καὶ εἰ μὲν τὸν ἐμπρόσθιον τοῦ ἐγκεφάλου τόπον, φλεγμονὴν ἀπεργασάμενον ἐν ταῖς κατ' αὐτὸν μήνιγξι, φρενῖτιν ἐποίησεν· καὶ εἰ μὲν ἡ φρενῖτις παύσοιτο διά τινα αἰτίαν, ὡς ἐπὶ αἱμορραγίας διὰ ῥινῶν, ἢ δι' ἱδρῶτα πολὺν ἐν τῇ κεφαλῇ γεγονότα, τοῦ οὔρου λεπτοῦ καὶ λευκοῦ ἐρχομένου, ἄνεσιν σημαίνει· εἰ δὲ τοῦ οὔρου τοιούτου γινομένου, πάρεστι δὲ καὶ φρενῖτις χρονίζουσα, οὕτω διατεθεὶς θνήσκει. καιρὸς οὖν ἐξηγήσασθαι, περὶ τῆς τῶν χρωμάτων διαφορᾶς, καὶ εἰπεῖν πόσαι εἰσὶ καὶ ὁποῖαι· καὶ μετὰ ποταπῆς συστάσεως δύνανται συμπλακῆναι, ἢ πᾶσαι, ἢ τινες.

quotidianam febrem intermittentem per eiusmodi succos declarat, & in eo, quod secundum naturam est, frigidiore temperamento iecoris tenues & albæ deiiciuntur vrinæ, & propter obstructionem funduntur eiusmodi, pariter atque in nephriticis, & in principiis febrium quartanarum; tales etiam in hydropicis procedunt propter abundantem causam, vrinæ tenues & candidæ, iis qui collo sunt inuerso & capite, & humeris grauatis, caliginem & animi deliquium declarant. Hoc etiam significat Hippocrates in futuro & præterito tempore ad vsum adhiberi, vbi ait. *Sudor multus ex somno sine causa manifesta ortus, declarat corpus copiosiore alimento vti*: vrina multa in febribus tenuis & alba fluens, relaxationem denotat; vrina alba & perpetuò tenuis in exacerbatione febrium, ostendit abscessum fore ad inferiora præcordiorum loca; vrina itidem profusa in ardente febre significat phrenitim; etenim quum febris ardens à copia bilis flauæ generetur, si vrina eâ non tingitur, excrementum biliosum sursum tendens, sublimem locum capitis corripuit; quòd si anteriorem cerebri partem adeat inflammatione effectâ, in membranis ipsi adhærentibus, phrenitin efficit: ac si quidem cesset phrenitis aliquam ob causam vt ob sanguinis profusionem per nares, aut propter multum sudorem in capite exortum, vrina tenui & alba fluente, id remissionem designat, quòd si tali vrinâ factâ permanet etiam phrenitis per tempus aliquod & immoretur, ita affectus moritur. Iam ergo tempus est aliquid exponendi de colorum differẽtia, & quot sint & quales dicendi, aut qua cum consistentia, aut omnes aut nonnulli coniungi valeant.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ χρωμάτων τῶν οὔρων.

Ἔστι μὲν οὖν τῶν χρωμάτων πρῶτον τὸ λευκόν· καὶ τούτου πλάτος ἐν ἑαυτῷ κεκτημένου· κρύσταλλος γὰρ καὶ χιὼν καὶ τίτανος καὶ ὕδωρ ἀκραιφνὲς, λευκὰ μὲν, οὐκ ἐν τῷ ἄκρῳ δὲ πάντα· ἐνδεέστερον δὲ τούτου τοῦ χρώματός ἐστι, τὸ γαλακτῶδες· νοούμενον πηλίκον ἐστὶν, ἐκ τῆς ἐπωνυμίας. εἶτα ἀπολιπόμενον τούτου, τὸ γλαυκὸν, ὡς κέρας διαυγές· ἢ ὡς οἱ κτηδόνες τοῦ κερατοειδοῦς χιτῶνος τοῦ ὀφθαλμοῦ· εἶτα τούτου ἔτι ἀπολιπόμενον, τὸ χαροπόν. ἔστι δὲ τὸ χαροπὸν, οἷά περ τὰ τῶν καμήλων ἔρια τὰ ὑπόλευκα· ἢ ὡς λίθος ὀνυχίτης· ταῦτα μὲν τὰ χρώματα λευκὰ κατὰ ποιότητα, κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν. εἰ δὲ βαφὴν δέξοιτό τινα χολῆς τὸ λευκὸν ὕδωρ, κατὰ μὲν πρῶτον λόγον, ὕπωχρον γίνεται, ὡς ἀφέψημα χυμοῦ ὠμοκράτου. εἰ δὲ διαμείνῃ χρόνον τινὰ ἡ ἕψησις, καταβαφὴν πλείονα ποιοῦσα, ὠχρὸν ἀποτελεῖ τὸ χρῶμα· δηλοῦσα περισσοτέραν χολὴν τοῦ προτέρου, τὸ ὑδατῶδες ἐπιδέξασθαι. ἀπὸ δὲ τούτου τέτακται τὸ ὑπόπυρρον, ἐοικὸς χρυσῷ τῷ ἀπὸ τῆς Κελτικῆς ἐρχομένῳ· εἶτα τὸ πυρρὸν, ὅ ἐστι κατὰ ἀλήθειαν ὄβρυζος χρυσός. εἶτα τὸ ὑπόξανθον ἐοικὸς κνίκῳ· εἶτα τὸ ξανθὸν, ὅπερ ἔοικε τῷ ἀληθινῷ κρόκῳ· αὖθις δὲ τὸ ὑπέρυθρον γινόμενον μὲν ἀπὸ ἰχωροειδοῦς αἵματος· ὡς τὸ ἐκ λευκοῦ χρώματος λαμπροῦ προσελθόντος, ὅπερ καὶ οἱ βαφεῖς φλόγινον· οἱ δὲ περὶ τὸν Γαληνὸν, φοινικοῦν ὀνομάζουσι. τὸ δὲ ὑποτάξαι, ἢ προτάξαι, τὴν πρόσθεσιν ἐν τοῖς

CAPVT V.

De vrinæ coloribus.

PRimus in vrinæ color albus est: quum in latitudinem mutatus fuerit; glacies enim & nix, & calx, & aqua limpida, alba sunt, sed non in summo gradu omnia. Minor autem & inferior albo color est lacteus, quum intelligatur qualisnam sit, ex appellatione; deinde cæsius color ab hoc deficiens, vt cornu pellucidum; aut veluti pectines *seu fibræ* corneæ tunicæ oculi, postea huic adhuc cedens fuluus; est autem color fuluus quales sunt pili camelorum; vel cæruleus, qualis est lapillus onychites dictus. Atque si quidem colores qualitate candidi sunt, secundum maius & minus; quòd si tincturam aliquam bilis admitteret aqua candida, certè iuxta primam rationem subpallida fit, sicut decoctio fusi meri; at si persistat aliquo tempore coctio, tincturamque ampliorem efficiat, pallidum absoluit colorem, copiosiorem quàm prius bilem indicans aqueam viam accepisse; post hunc colorem constitutus est subrufus, auro, quod à Celtica gente prouenit, similis: deinde rufus, qui est reuera aurum obrysum, postea subflauus, referens Cnicum, hinc flauus, qui respondet verò croco. Rursus subruber, qui à sanguine seroso efficitur, sicut qui fit ex albo colore adueniente splendenti, quod etiam tinctores flammeum dicunt; Galenus autem puniceum nominat; porrò subiungendam vel proponendam in coloribus additionem,

nem, non omnes pariter solent existimare. Sed A alij præponunt, alij subiiciunt. Ruber verò est vt purus sanguis & non turbatus, qui enim hunc superat, vel ab eo deficit, non sanus est sed spurius, qui autem color vinum nigrum refert, aut quasi vinum nigrius, viuens dicitur, vt crassior & purpureus sanguis, qualis est color iecinoris. Cæruleus autem; vt sanguis putrefactus à flaua bile, & perustus quemadmodum ictericorum vrinæ, ad gari colorem accedit; regula verò cærulei coloris iuxta Galenum est eiusmodi; candor splendori adueniens, & in nigrorem saturatum incidens; cæruleum efficit. B Fuscum autem ex albo & nigro temperatis inter se efficitur, vt se habent caricæ minores, viridis verò vt prassinus brassicæ colorem referens, & herbæ virentis: latitudo certè in ea consideratur; violaceus, & smaragdinus, & glastum referens, omnes virides secundum magis & minus; *hi autem colores* à calore plurimo exorti sunt. Liuidus porrò, qui densior est fusco, vt plumbum & sugillationes quæ fiunt ex plagis in corpore, & qui ex contusionibus nigrescunt colores, hic verò color ex frigore fit, aut ex plaga. Ad hæc niger color apparens aliquando frigiditatem aliquando calorem deno- C tat. Si enim è viridi præeunte est, ostendit calorem: si liuidus est, frigus; est autem hic supra omnes colores; & latitudinem sufficientem habet secundum magis & minus. Etenim multa nigra, alia aliis saturata magis, & dissimilia. Ac de coloribus quidem satis ampla est hæc doctrina, ex documentis veterum & doctorum medicorum collecta, ex iis coloribus quinam possint cohærere cum crassa aut tenui consistentia; & quænam ex ipsis significentur, siue in sanis corporibus, siue in ægrotantibus, progressus orationis docebit: quoniam verò D de coloribus docentes, enumerauimus eos, qui à candido purissimo distant: lacteum etiam & cæsium & cæruleum (vt ne vllum colorem non copulatum prætermittamus) tenui consistentiæ mox coniungamus, & connectamus, & quid significent exponamus.

CAPVT VI.

De vrinarum consistentia & coloribus connexis.

E Tenuis lactea vrina; Hæc coagmentatur in principiis febrium; quum talis meitur, malū est; in declinationibus verò est etiam plerumq; vtilis. Tenuis glauca aut cærulea, quòd certè tenuis consistentia vrinæ cruda sit, ex superioribus constat. Colores autem huic cōuenientes cōsistentię, quum propè accedant ad album, ipsi quoque cruditatem denotant; non enim tincti sunt ab vllo ob imbecillitatem caloris natiui. Itaque tenuis vrina cum his coloribus cōsistens, cruditatem significat. Tenuis subpallida, & pallida; primordia concoctionis hęc indicant; etenim consistentiam vt contumaciorem calidum innatum non potuit densare, F colorem autem, vt faciliorem ad initium concoctionis transmutauit. Tenuis subrufa, & rufa; hæc meliòr est priore, designat enim talis vrina calorē innatum factum vegetiorem, eò quod copiosiorē tincturam vrinæ largiatur. Sed quia non potuit etiam materiem densare, vocamus hanc quoque

A χρώμασιν, οὐ πάντες ὁμοίως εἰώθασιν ὑπολαμβάνειν. ἄλλοι γὰρ προτάττουσι, ἄλλοι ὑποτάττουσι. τὸ δὲ ἐρυθρὸν, ὡς τὸ αἷμα τὸ καθαρὸν καὶ ἄθολωτον. τὸ γὰρ ὑπερβάλλον τοῦδε ἢ ἐλλεῖπον, οὐχ ὑγιὲς, ἀλλὰ νόθον. τὸ δὲ οἰνωπὸν, ἢ ὡς μελαίτερος οἶνος, ἢ ὡς βαθύτερον καὶ πορφυρίζον αἷμα, καθὼς ἐστὶν ἡ χρόα τοῦ ἥπατος. τὸ δὲ κυανοῦν, ὡς τὸ σεσηπομένον ἐκ χολῆς ξανθῆς καὶ ὑπερωπτημένον, τῇ χροιᾷ γαρώδες, ὡς τὰ τῶν ἰκτερικῶν οὖρα. ὁ δὲ κανὼν τοῦ κυανοῦ χρώματος κατὰ τὸν Γαληνὸν, ἐστὶ τοιοῦτο. λευκὸν λαμπρῷ προσελθὸν, καὶ εἰς μέλαν κατακορὲς ἐμπεσὸν, κυανοῦν ἐποίησε. τὸ B δὲ φαιὸν τὸ ἐκ λευκοῦ καὶ μέλανος κραθέντων ἀλλήλοις γινόμενον, ὡς τὸ πυρρὸν ἰσχάδια. τὸ δὲ χλωρὸν, ὡς πράσινον κραμβίζον, καὶ ὡσεὶ χλοή. πλάτος δὲ ἐν αὐτῷ θεωρεῖται. τὸ γὰρ ἰῶδες καὶ τὸ σμαραγδίζον, καὶ τὸ ἰσατῶδες, πάντα χλωρὰ κατὰ τὸ μᾶλλον καὶ ἧττον. ταῦτα δὲ ὑπὸ θερμότητος πλείστης ἐγένετο. τὸ δὲ πελιδνὸν τὸ βαθύτερόν ἐστι τοῦ φαιοῦ, ὡς μόλιβδος, καὶ τὰ ἐπιγενόμενα ἐκ τῶν πληγῶν τῷ σώματι· καὶ τὰ ἐκ θλασμάτων μελανίζοντα χρώματα. τοῦτο δὲ ἢ ὑπὸ ψύξεως γίνεται, ἢ ὑπὸ πληγῆς· ἀπὸ δὲ τούτου τὸ μέλαν ἐνδεικνύμενον, ποτὲ μὲν ψύξιν, ποτὲ C δὲ θερμότητα. εἰ μὲν γὰρ ἐκ χλωροῦ προηγησαμένου, θερμότητα· εἰ δὲ πελιδνὸν, ψύξιν. ἐστι δὲ ἐπέκεινα πάντων τῶν χρωμάτων· καὶ τοῦτο πλάτος ἱκανὸν ἔχει κατὰ μᾶλλον καὶ ἧττον. πολλὰ γὰρ μέλανα ἄλλα ἄλλων κατακορῆ καὶ ἀνόμοια· καὶ περὶ μὲν τῶν χρωμάτων ἱκανὴ διδασκαλία, διαλεχθεῖσα ἀπὸ τῶν διδαχῶν τῶν παλαιοτέρων καὶ σοφῶν ἰατρῶν. τούτων τῶν χρωμάτων οἷα δύνανται συμπλακῆναι μετὰ παχείας συστάσεως, ἢ μετὰ λεπτῆς, καὶ τίνα τὰ ἐξ αὐτῶν σημαινόμενα, εἴτε ἐν τοῖς ὑγιαίνουσι σώμασιν, εἴτε ἐν νοσοῦσι, προϊὼν ὁ λόγος διδάξει. ἐπεὶ δὲ περὶ χρωμάτων διδάσκον- D τες προείπομεν τὰ ἐκ τοῦ λευκοῦ τοῦ ἀκραιφνεστάτου ἀπέχοντα, τό τε γαλακτῶδες, καὶ τὸ γλαυκὸν, καὶ τὸ χαροπὸν, ἵνα μή τι τῶν χρωμάτων ἄζευκτον παραλείψωμεν, τῇ λεπτῇ συστάσει συζεύξωμεν, καὶ αὐτὰ καὶ συμπλέξωμεν, καὶ τί σημαίνουσιν ἐξηγησώμεθα.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῆς τῶν οὔρων συστάσεώς τε καὶ χρωμάτων συμπλεκομένων.

E Λεπτὸν γαλακτῶδες. τοῦτο συνίσταται, ἐν ταῖς ἀρχαῖς τῶν πυρετῶν. τοιοῦτον ἐρχόμενον, πονηρόν· ἐν δὲ ταῖς παρακμαῖς, ἐστὶ τὸ πολὺ καὶ λυσιτελές. λεπτὸν γλαυκὸν, ἢ χαροπόν. ὅτι μὲν οὖν ἡ λεπτὴ σύστασις ἄπεπτός ἐστι, δεδήλωται ἐν τοῖς ἔμπροσθεν. τὰ δὲ χρώματα ταῦτα, συνερχόμενα ταύτῃ, πλησίον ὄντα τοῦ λευκοῦ, καὶ αὐτὰ ἀπεψίαν σημαίνουσιν· οὐ γὰρ ἐχρωματίσθησαν παρά τινος, τῇ ἀσθενείᾳ τοῦ ἐμφύτου θερμοῦ· οὐκοῦν τὸ λεπτὸν μετὰ ταῦτα τὰ χρώματα συνιστάμενον, ἀπεψίαν σημαίνει. λεπτὸν ὑπόχλωρον, καὶ ὠχρόν. ἀρχὴν πέψεως τὰ τοιαῦτα σημαίνουσι· τὴν μὲν γὰρ σύστασιν, F ὡς ἀναγκαιοτέραν, τὸ φύσει θερμὸν οὐκ ἴσχυσε παχῦναι· τὸ δὲ χρῶμα, ὡς εὐκολώτερον, εἰς ἀρχὴν πέψεως μετέβαλε. λεπτὸν ὑπόπυρρον καὶ πυρρόν. τοῦτο κρεῖττον τοῦ προτέρου· σημαίνει γὰρ τὸ τοιοῦτον οὖρον, τὸ ἔμφυτον θερμὸν ἐρρῶσθαι, διὰ τὸ πλείονα καταβαφὴν τῷ οὔρῳ παρασχεῖν. διὰ δὲ τὸ μὴ ἰσχύσαι καὶ τὴν ὕλην παχῦναι ἀρχὴν καλοῦμεν καὶ τοῦτο

ἄπεπτον οὖρον. τοιοῦτον γὰρ ἐλθὸν ἐν ὑδεριικοῖς, κινδυνῶδες· ὥσπερ τὸ ὑδατῶδες ὠφέλιμον. λεπτὸν, ξανθὸν καὶ ὑπόξανθον. ἔστω λεπτὸν μὲν, ὡς ὑπέκειτο· ἀλλ' ὑπόξανθον ἢ ξανθὸν, καὶ τὰ τοιαῦτα, κατὰ μὲν τὴν σύστασιν, ἄπεπτα· κατὰ δὲ τὰ χρώματα, οὐ μόνον τοῦ κατὰ φύσιν ἐξεστήκασιν, ἀλλὰ καὶ ὕλης ἔνδειαν δηλοῦσιν· ἀσιτήσαντος γὰρ τινὸς νέου τὴν ἡλικίαν, διὰ τὴν ἔνδειαν τῆς ὕλης, τὰ οὖρα φαίνονται ὑπόξανθα, ἢ ξανθὰ, διὰ τὸ πλεονάσαι ἐν βάθει θερμότητά τινα παρὰ φύσιν, πλεονασμὸν χολῆς γινώσκειν· διὰ τὸ τῇ πολλῇ θερμότητι, ἐκχολωθῆναι τὸ αἷμα· καὶ μάλιστα συστάσης τῆς ἀσιτίας ἐν ὥρᾳ θερινῇ, ἐν ᾗ τριταῖοι τὰ πλεῖστα ἐπιγίγνονται· καὶ γὰρ καὶ αὐτῶν τὰ οὖρα ξανθὰ, διὰ ταύτας τὰς αἰτίας, καὶ ἡ ἀγρυπνία, καὶ ἡ φροντὶς καὶ ὁ κόπος, ξανθὰ τὰ οὖρα ἀποφαίνουσι. καὶ περὶ μὲν τῆς συμπλοκῆς τῆς λευκῆς συστάσεως, καὶ μεθ' οἵων χρωμάτων δύναται συντίθεσθαι, ἱκανὰ τὰ εἰρημένα. λοιπὸν καὶ ἐπὶ διαγράμματος διὰ σαφήνειας ἐκθήσωμεν αὐτὰς, οὕτως. λεπτὸν λευκόν. λεπτὸν γαλακτῶδες. λεπτὸν γλαυκόν. λεπτὸν ὑπόπυρρον. λεπτὸν ὑπόξανθον. λεπτὸν ξανθόν. ἐπειδὴ πάσας τὰς συμπλοκὰς τῆς λεπτῆς συστάσεως, καὶ μεθ' οἵων χρωμάτων δύναται συμπλακῆναι, αὐτάρκεις ἐποιησάμεθα, καὶ τί σημαίνουσιν εἰρήκαμεν, καὶ ἐπὶ διαγράμματος αὐτὰς ἐξεθέμεθα, μεταβαίνομεν λοιπὸν ἐπὶ τὰς συμπλοκὰς τῆς παχείας συστάσεως, καὶ εἴπωμεν μετὰ ποίων χρωμάτων, δύναται συμπλακῆναι. παχὺ λευκόν. ἡ τοιαύτη συμπλοκὴ συνίσταται· καὶ δηλοῖ τὸν ὠμὸν χυμὸν πάνυ πλεονάζειν ἐν ἀγγείοις, καὶ ἑτέρας διαφορὰς φλέγματος, ὥς ἐστι τὸ ὑελῶδες φλέγμα, καὶ τὸ ἁλικὸν· καὶ τὸ ἄποιον. τὸ τοιοῦτον οὖρον παχὺ καὶ πολὺ λευκὸν ἐλθὸν, ῥύεται ἀποστάσιος ἐπ' ἄρθρα γεγονυίας τοῖς προπεπονηκόσιν αὐτοῦ· καὶ τοῖς ὁπωσοῦν ἐν νόσοις κοπιώδεσι γινομένοις· καὶ τοῖς χρονίσασιν ἐπὶ πλήθει παχέων χυμῶν. παχὺ γαλακτῶδες, καὶ τὸ τοιοῦτον συνίσταται· καὶ ἐὰν διὰ τέλους τοιοῦτον ἔρχηται, λιθίασιν τῆς κύστεως, ἢ τῶν νεφρῶν σημαίνει. παχὺ χαροπόν. ἡ τοιαύτη συμπλοκὴ συνίσταται. καὶ εἰ ἀτάραχος μείνῃ, δηλοῖ κακοπάθειαν πολλὴν ἐν τῷ σώματι εἶναι. εἰ δὲ καὶ ἀνατεταραγμένα τὰ τοιαῦτα γίνωνται, οἷα τὰ ὑπὸ τῶν ζυγίων, δηλοῦσι κεφαλαλγίαν, ἢ οὖσαν, ἢ ἐσομένην. πῶς δὲ φανοῦνται, ἢ ἀνατεταραγμένα εἰσὶν, ἢ ἀποκαθιστάμενα, δῆλον, τῷ ἔξωθεν πυρὶ ἐλεγχόμενα· θερμανθέντα γὰρ, πομφόλυγας κατὰ τὴν ἄνω ἐπιφάνειαν δείξουσι. καὶ ἄλλωστε δὴ αὕτη ἡ σύστασις παχεῖα οὖσα, εἰ τύχοι θρομβώδης εἶναι ἐν πυρετοῖς, ταύτην ἐπακολουθοῦσαν πλῆθος οὔρων, λύσιν τοῦ πυρετοῦ σημαίνει. παχὺ ὑπέρυθρον. τὸ τοιοῦτον συνίσταται· καὶ εἰ ἔστιν ἡ ὑπόστασις τοιαύτη, χρονιωτέρας τὰς νόσους ἀποτελεῖ καὶ σωτηριώδεις. παχὺ ἐρυθρόν. τὸ τοιοῦτον συνίσταται· καὶ δηλοῖ πολὺν τὸν αἱματικὸν χυμὸν ἐν τῷ σώματι εἶναι· ὥσπερ ἐν συνόχοις πυρετοῖς, καὶ ἐν ὀξέσι πυρετοῖς. τὸ τοιοῦτον κατ' ὀλίγον ἀπουρούμενον, κίνδυνον σημαίνει. ὡσαύτως δὲ τὸ τοιοῦτον οὖρον, ἐν τοῖς τοιούτοις πυρετοῖς ἀκατάστατον οὐρούμενον μετὰ κωφώσεως, καὶ κεφαλῆς ὀδύνης, τραχήλου τε καὶ ὑποχονδρίου, ἴκτερον ἔσεσθαι πρὸ τῆς ἑβδόμης σημαίνει τὸ τοιοῦτον. παχὺ πελιδνόν. καὶ τὸ τοιοῦτον συνίσταται· καὶ ἐὰν ἔλθῃ ἐν πυρετοῖς καυσώδεσι, κεφαλῆς ἄλγος, καὶ περὶ ὀδύνης φέρει κρίσιν. παχὺ οἰνωπόν. τὸ τοιοῦτον συνίσταται· καὶ ἐπὶ ὑγιαινόντων ἐρχομένων πορείας ἢ δραμόντων πολλὰ γέγονε, σημαίνει τὴν κακῶν ἀπαλλαγήν. πρεσβυτέροις ἐπιγινομένοισι ἐκ πολλοῦ χρόνου τὴν κύστιν, ὡς ἐπι-

crudam vrinam. Talis enim vrina quum fluit in hydropicis, periculosa est: quemadmodum aquosa conducibilis. Tenuis, flaua & subflaua. Esto tenuis quidem, vt proponebatur, verùm subflaua & flaua, & eiusmodi, ratione quidem consistentiæ, crudæ sunt, ratione verò colorum, non solùm recedunt à naturali temperie, verumetiam materiæ defectum indicant: nam quum quispiam in ætate iuuenili ieiunauit, ob materiæ defectum vrinæ subfuluæ videntur aut fuluæ, quia redundat in intimis calor præter naturam, qui bilis redundantiam significat; quod nempè sanguis multo feruore in bilem conuersus sit, ac potissimum quum abstinentia instituta est tempore æstiuo, in quo tertianæ febres, vtplurimum contingunt; his enim vrinæ flauæ sunt ob has causas; quinetiam vigiliæ, curæ & labores flauas vrinas exhibent; ac de complicationibus quidem albæ consistentiæ & qualibus cum coloribus coniungi possit, hactenus satis dictum est: superest igitur, vt quasi per tabulæ descriptionem dilucidius ipsas exponamus, hoc modo. Tenuis alba; tenuis lactea; tenuis cæsia; tenuis subrufa; tenuis subflaua; tenuis flaua. Postquam omnes complicationes tenuis consistentiæ cum quibus coloribus copulari possint, sufficienter præstitimus, & quid significent diximus, & in tabula eas exposuimus, restat vt ad coniunctiones crassæ consistantiæ transeamus, & dicamus quibus coloribus adiungi possit. CRASSA ALBA eiusmodi connexio datur, & crudum humorem prorsus redundare in vasis declarat, & cæteras pituitæ differentias, qualis est pituita vitrea, salsa & insipida. Talis vrina crassa & multa & alba profusa liberat abscessu in articulos facto in ijs qui ante laborarunt, & qui vtcunque morbo defessi fuêre; & ijs qui vexati sunt diutius copia crassorum humorum. Crassa lactea, etiam eiusmodi datur; ac si ad finem vsque talis processerit, calculi procreationem in vesica aut renibus declarat. Crassa cæsia, talis quoque connexio datur; ac si manserit imperturbata, prauum affectum in corpore multum esse declarat. quod si perturbatæ eiusmodi sint vrinæ quales jumentorum, indicant capitis dolorem adesse aut adfuturum. Quomodo autem apparebunt aut perturbatæ aut planè sedatæ? clarum est dum externo igne probantur; etenim calefactæ bullas in superiori superficie ostendent; alioquin hæc certè consistentia crassa, si contigerit grumosa esse in febribus, copia vrinæ hanc subsecuta, febris solutionem significat. Crassa subrubra, talis datur; ac si tale fuerit sedimentum, diuturniores efficit morbos & sanabiles. Crassa rubra, eiusmodi datur & humorem sanguineum in venis plurimum esse denotat: veluti in synochis febribus atque in acutis; talis quum paulatim emittitur, periculum denotat. Eodem etiam modo talis vrina, in eiusmodi febribus si incomposita meitur, cum surditate & capitis dolore & colli atque præcordiorum, regium morbum instare ante diem septimum declarat. Opaca liuida, etiam eiusmodi datur, ac si quidem in febribus ardentibus, capitis dolor subierit, etiam de dolore iudicium affert. Crassa vinosa, eiusmodi datur; & quum à bene valentibus meitur, indicat angustias meatus, aut cursu exercitatos fuisse: ac malorum liberationem portendit; in senioribus autem à multo tempore vesicâ laborantibus, solutionem vt plurimùm

mum præſagit; cæterùm tales vrinæ ad extremum perdurantes, ad calculi vitium rediguntur. Craſſa cærulea. Eiuſmodi coniunctio datur, & talis vſquequaque fluens, regium morbum declarat. Craſſa viridis. Talis vrina in febribus exiſtens, mentis motionem arguit. Porrò aliud etiam denotat; nam in ardente febre, id vrinæ genus viſum ſtranguriam futuram declarat. Craſſa nigra. Hæc connexio purgationem melancholici humoris declarat vt in febris quartanæ declinatione & melancholiæ ſolutione; ac propter refrigerationem eiuſmodi vrinæ procedunt, & propter ſanguinis aduſtionem; ab hiſce autem cauſis craſſior reddita conſiſtentia, tales indicat colores, cum craſſa conſiſtentia fieri. Iam verò quod hæc oratio vera ſit, tres differentias nigræ vrinæ, craſſiores naturali vrinâ eſſe per conſiſtentiam, hinc manifeſtum eſt. Quartana febre ſolutâ, & melancholico humore per vrinam excreto, vrinæ apparent craſſæ & nigræ, pariter morbo melancholico ſoluto; ac tandem per vrinam excernitur cauſa quæ melancholiam efficit, quòd autem humor melancholicus terrenus & craſſus & niger ſit, propterea etiam vrinas efficit craſſas. Ac ſimiliter quæ ob ſanguinis aduſtionem fiunt, ſicut dictum eſt prius, craſſitiem atque conſiſtentiam ſimilem efficiunt, quod aduſtio humorem in vaſis contentum abſumpſerit; refrigeratio verò apertè materiam incraſſat condenſationis ratione. Significant autem huiuſmodi vrinæ in febribus conuulſionem ex ſiccitate. Denotant quoque & aliud: etenim in febribus acutis eiuſmodi vrinæ procedentes cum ſudore capitis & colli, & dorſi ſpirandi difficultatem pariunt ob nimiam aſſationem. Aut etiam aliud. Talis vrina procedens in frebribus acutis cum fœtore, veſica nihil mali habente, mortem denotat. Igitur de connexione tenuis conſiſtentiæ, cum quibus coloribus poſſit conſiſtere, antea ſcripſimus, & earum ſignificationes, & cauſas ob quas tales fuerint aperuimus: & quaſi per tabulas expoſuimus ipſas coniunctiones; eodem etiam modo in craſſa quoque conſiſtentia, ea connexa & compoſita, colores qui ad eam concurrere poſſunt, pulchrè deſcripſimus, & eius ſignificationes accuratè recenſuimus, earúmque cauſas quaſi percurrentes commemorauimus; Reliquum eſt igitur vt per tabellas ipſas exponamus: præterea reſtat vt de mediocri conſiſtentia dicamus, atque elucidemus cum quibus coloribus conuenire poſſit; etenim hæc eſt ſecundum naturam conſiſtentia. Itaque cum hac conſiſtentia (vt ait Galenus libris de criſibus,) color ſubrufus & flauus conſiſtunt. Magnus autem, rufum & ſubrufum mauult; nos verò tales & tantos tamque eruditos viros improbare religioni habemus, quum tamen vterque prætermiſerit abſolutionem decentis connexionis cum mediocri conſiſtentia, connectentes ſic temperabimus. Quia cum temperata conſiſtentia nulli colores poſſunt conuenire, præterquam ſubrufus & ſubflauus, qui colores in medio habent rufum rutilúmve; vt clarus ſit deinceps ſermo, in tabella hanc etiam exprimamus hoc modo. Mediocris conſiſtentiæ vrina in coloribus autem ſubrufa, rufa & ſubflaua; craſſa alba; craſſa lactea; craſſa cærulea, craſſa ſubrubra; craſſa rubra; craſſa vi-

A πολὺ σημαίνει· διὰ τέλους δὲ τοιαῦτα γινόμενα, εἰς λιθίασιν περιΐστανται. παχὺ κυανοῦν. τοῦτο συνίσταται· καὶ διὰ τέλους τοιοῦτον ἐρχόμενον, ἴκτερον σημαίνει. παχὺ χλωρόν. τὸ τοιοῦτον οὖρον ἐν πυρετοῖς καθιστάμενον, παρακρουστικόν· σημαίνει δὲ καὶ ἄλλο· ἐν γὰρ πυρετῷ καυσώδει, τοιοῦτον οὖρον φαινόμενον, στραγγουρίαν ἐσομένην δηλοῖ. παχὺ μέλαν. καὶ αὕτη ἡ συμπλοκὴ συνίσταται· καὶ δηλοῖ κάθαρσιν τοῦ μελαγχολικοῦ χυμοῦ, ὡς ἐν τῇ παρακμῇ τοῦ τεταρταίου, καὶ τῇ λύσει τῆς μελαγχολίας. καὶ διὰ ψύξιν δὲ ἔρχονται τὰ τοιαῦτα, καὶ δι᾽ ὑπερόπτησιν τοῦ αἵματος· ἀπὸ δὲ τῶν
B τοιούτων αἰτιῶν παχυνομένη ἡ σύστασις δηλοῖ τὰ τοιαῦτα χρώματα μετὰ παχείας συστάσεως γίνεσθαι. ὅτι δὲ ἀληθής ἐστιν ὁ λόγος, ὅτι αἱ τρεῖς διαφοραὶ τοῦ μέλανος οὔρου, παχύτεραι τοῦ κατὰ φύσιν οὔρου εἰσὶ κατὰ σύστασιν, ἐντεῦθεν δῆλον. τοῦ τεταρταίου λυομένου, καὶ τοῦ μελαγχολικοῦ χυμοῦ δι᾽ οὔρου ἐκκρινομένου, οὖρα φαίνεται παχέα καὶ μέλανα· ὁμοίως καὶ τοῦ νοσήματος τῆς μελαγχολίας λυομένου· καὶ τόδε δι᾽ οὔρων ἐκκρίνεται τὸ αἴτιον, τὸ ποιῆσαν τὴν μελαγχολίαν. ὅτι δὲ ὁ μελαγχολικὸς χυμὸς, γεώδης καὶ παχὺς, καὶ μέλας ἐστί· διὰ τοῦτο καὶ τὰ οὖρα ποιεῖ πα-
C χέα· ὁμοίως καὶ τὰ ἐξ ὑπεροπτήσεως αἵματος γινόμενα, καθὼς προείρηται, παχύτητα καὶ σύστασιν ποιεῖ, διὰ τὸ τὴν ἐν τοῖς ἀγγείοις ὑγρότητα ἀνικμᾶσθαι τὴν ὑπερόπτησιν· καὶ ἡ ψύξις δὲ φανερῶς παχύνει τὴν ὕλην, τῷ λόγῳ τῆς πήξεως. σημαίνει δὲ τὰ τοιαῦτα οὖρα ἐν πυρετοῖς, σπασμὸν τὸν ἐπὶ ξηρότητι. σημαίνει δὲ καὶ ἄλλο· ἐν γὰρ πυρετοῖς ὀξέσι τὰ τοιαῦτα ἐρχόμενα μεθ᾽ ἱδρῶτος κεφαλῆς, τραχήλου τε καὶ νώτου, καὶ δυσπνοίας ἐστὶ ποιητικὰ, διὰ τὴν ὑπερόπτησιν. σημαίνει δὲ καὶ ἄλλο· τὸ τοιοῦτον γὰρ ἐρχόμενον οὖρον, ἐν πυρετοῖς ὀξέσι μετὰ δυσωδίας μηδὲν ἐχούσης κακὸν τῆς κύ-
D στεως, θάνατον σημαίνει. περὶ μὲν οὖν τὴν συμπλοκὴν τῆσδε συστάσεως, μεθ᾽ οἵων χρωμάτων δύναται συστῆναι, προεγράψαμεν, καὶ τὰ σημαινόμενα αὐτῶν εἰρήκαμεν, καὶ τὰς αἰτίας, δι᾽ ἃς οὕτω γεγόνασι, ἐσαφηνίσαμεν· καὶ ἐπὶ διαγραμμάτων αὐτὰς ἐξεθέμεθα· τούτῳ τῷ τρόπῳ καὶ ἐπὶ τῆς παχείας συστάσεως, συνθήσαντες, καὶ συμπλέξαντες, τὰ μετ᾽ αὐτῆς δυνάμενα χρώματα συνελθεῖν, καλῶς γεγράφαμεν, καὶ τὰ σημαινόμενα αὐτῆς ἀκριβῶς διηρευνήσαμεν, καὶ τὰς αἰτίας αὐτῶν ὡς φθάσαντες ἐφράσαμεν, λοιπὸν καὶ διὰ διαγραμμάτων αὐτὰς ἐκθήσωμεν. λείπεται οὖν δὴ,
E περὶ τῆς συμμέτρου συστάσεως εἰπεῖν, καὶ διασαφηνίσαι, μετὰ ποίων χρωμάτων δύναται συνελθεῖν. αὕτη γάρ ἐστιν ἡ κατὰ φύσιν σύστασις. μετὰ γοῦν ταύτης τῆς συστάσεως, ὡς φησιν ὁ Γαληνὸς ἐν τῇ περὶ κρίσεων, τὸ ὑπόπυρρον καὶ τὸ ξανθὸν συνίσταται. ὁ δὲ Μάγνος τὸ πυρρὸν καὶ τὸ ὑπόπυρρον. ἡμεῖς δὲ τοὺς ἄνδρας τοιούτους καὶ τηλικούτους σοφοὺς ὄντας, ἀκυρῶσαι εὐλαβούμεθα. ὅμως ἑκατέρων ἀπολειφθέντων ἀναπληρώσαντες, τὴν πρέπουσαν μίξιν τῇ συμμέτρῳ συστάσει συμπλέξαντες συμμίξωμεν οὕτως. ὅτι μετὰ τῆς συμμέτρου συστάσεως οὐ δύνανταί τινι τῶν χρωμάτων
F συνελθεῖν, πλὴν ὑπόπυρρον καὶ ὑπόξανθον ἐν τῷ μέσῳ ἐχόντων τὸ πυρρόν· ἵν᾽ ἐστὶ σαφὴς ὁ λόγος, λοιπὸν καὶ ἐπὶ διαγράμματος ἐκθήσωμεν καὶ ταύτην οὕτως. σύμμετρον ἐν συστάσει· ἐν δὲ τοῖς χρώμασιν ὑπόπυρρον, πυρρὸν καὶ ὑπόξανθον. παχὺ λευκόν· παχὺ γαλακτῶδες· παχὺ χλωροπόν· παχὺ ὑπέρυθρον· παχὺ ἐρυθρόν· παχὺ οἰ-

νωπόν· παχὺ κυανοῦν· παχὺ χλωρὸν· παχὺ πελιδνόν· παχὺ μέλαν. ταῦτα καλῶς συνθήσαντες, καὶ πρέπουσαν τάξιν τοῖς γεγραμμένοις φυλάξαντες, ἐπὶ διαγραμμάτων αὐτὰ φανερώσαντες, καὶ δῆλα πᾶσι τοῖς μανθάνουσι ποιήσαντες, περὶ ὑποστάσεως διαλεξώμεθα· τίς τε ἡ ἀρίστη ὑπόστασις, καὶ τίς ἡ ταύτης σύστασις, ἥ τε ὑπερβάλλουσα, ἥ τε ἐλλείπουσα· καὶ τὰ ἐξ αὐτῆς, ἢ ἐξ αὐτῶν σημαινόμενα, δηλώσομεν, ἔν τε ὑγιαίνουσι σώμασιν, ἔν τε νοσοῦσι· καὶ ὅσαι προγνώσεις ἐξ αὐτῶν δύνανται ἀποτελεσθῆναι· αἵ τε ἐπικίνδυνοι τούτων, καὶ ἐλάττονες, καὶ πρὸς ὑγίειαν ἁρμόζουσαι. ταῦτα μέλλοντες συνθήσειν, καὶ τὴν ὑπόστασιν, τήν τε σύστασιν, καὶ τοῖς χρώμασι μίξαι θέλοντες, ἵνα τέλειον τὸν ὅρον ἀποδείξωμεν, ἐπικαλεσώμεθα Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, ὁδηγὸν γενέσθαι, ὅπως τῆς τοιαύτης μίξεως, μηδὲν παραλείψωμεν. ἀρξώμεθα οὖν πρῶτον, τήν τε τῆς ἀρίστης ὑποστάσεως κατασκευήν. βέλτιον δέ ἐστιν ἀπὸ τοῦ σοφωτάτου Ἱπποκράτους ταύτην εἰπεῖν· καὶ μήτε προσθήκην, μήτε ἀφαίρεσίν τινα ποιησώμεθα· ἡ γὰρ πρόσθεσις καὶ ἡ ἔλλειψις, οὐ κατὰ φύσιν. ἔστι μὲν οὖν ἡ ῥῆσις τοῦ σοφωτάτου Ἱπποκράτους· εἰ δὲ καταλάβοι πυρετὸς κατὰ τὰς τοῦ σώματος τρεῖς διαστάσεις, κατά τε μῆκος, καὶ βάθος καὶ πλάτος, τὰ τοιαῦτα τῶν πιτύρων ἁδρομερέστερα γίνονται· καὶ καλεῖται κριμνώδη. νοήσαις δ' ἂν τὸ τοιοῦτον, εἴ τις κουφίσας τὴν μύλην τὴν τὸν σῖτον ἀλήθουσαν, εἰς ἁδρομερῆ κόμματα τὸν σῖτον ἀπεργάσεται. τὰ τοιαῦτα ἁδρομερῆ κόμματα τοῦ σίτου, κρίμνον ὀνομάζεται. ἐκ τούτων οὖν καὶ ἐν τοῖς οὔροις φαινόμενα, τὴν προσωνυμίαν ἐκτήσαντο· γίνονται δὲ τὰ τοιαῦτα κριμνώδη οὖρα, ἢ διὰ σύντηξιν τῶν στερεῶν ἰσχυράν, ἢ δι' ὄπτησιν τοῦ αἵματος· ἀλλ' εἰ μὲν λευκὰ εἴη, τῶν στερεῶν ὑπάρχει τὸ πάθος. εἰ δὲ ἐρυθρά, τοῦ αἵματος, καθώς φησιν Ἱπποκράτης, ἐν πυρετοῖς κριμνώδεσι λευκὰς ἔχον ὑποστάσεις, πονηρόν. καὶ ἄλλως. ἐν πυρετοῖς χρονίζουσιν, οὖρον κριμνώδη ὑπόστασιν ἔχον, ὅλον τὸ σωτήριον τὴν ὑπόστασιν δηλοῖ. ἄλλο, οὖρον ἐν πυρετοῖς, ἐναιώρημα κριμνῶδες ἔχον, χρονίαν νόσον σημαίνει· καὶ περὶ μὲν τῶν ἁδρομερεστέρων ὑποστάσεων, τῶν ἐν τοῖς οὔροις γινομένων, ἱκανὰ τὰ εἰρημένα.

nosa; crassa cærulea; crassa viridis; crassa liuida; crassa nigra; his pulchrè compositis, & decenti ordine seruato in iis quæ descripta sunt, ipsis per tabellas illustratis, ac omnibus, qui discere cupiunt manifestis redditis, de sedimento disseramus; quodnam sit optimum sedimentum, & quæ eius consistentia tam excedens quàm deficiens; & quæ ex ea procedunt, & ex iis significantur declarabimus, siue in corporibus sanis siue in ægrotantibus, & quæcunque prædictiones ex ipsis possint perfici tum periculosæ, tum minores, tum etiam ad sanitatem conferentes; hæc dum componere cogitamus, & sedimentum & consistentiam: & dum coloribus miscere volumus, vt perfectam definitionem tradamus, Christum verum Deum nostrum inuocemus, vt viæ dux existat, quò nihil ex eiusmodi copulatione omittamus. Primùm igitur aggrediamur optimi sedimenti constitutionem (optimum autem est à doctissimo Hippocrate hanc ordiri) ac neque additionē, neque detractionē vllam faciamus; etenim adiectio & detractio non secundū naturā sunt. Sic ergo dixit Hippocrates. *Si febris corripiat iuxta tres corporis dimensiones nimirum longitudinem, profunditatem & latitudinem; eiusmodi furfures crassioribus vrinæ partibus inerunt; vocanturq; furfuraceæ.* Id verò eiusmodi est, vt si quis alleuata mola quæ frumentum molit, in partes crassas frumentum redigat, talia farinæ crassa frustula furfures appellātur. Ex his ergo etiam ea quæ apparent in vrinis appellationem obtinuerunt; eiusmodi porrò vrinæ oriuntur, quibus innatant frustula farinacea aut propter colliquationem fortem partium solidarum, aut propter sanguinis adustionem; verùm si quidem alba fuerint ramenta, solidarum partium affectus existit; sin autem rubra, sanguinis; vt ait Hippocrates. *In febribus vrina farinam crassam referens, albis sedimentis, malum est.* Itemque aliter: *in febribus diuturnis, quæ vrina farinæ densæ instar sedimentum habet, vniuersum salutare sedimentum declarat.* Aliud. Vrina in febribus existens suspensum farinacei ramenti habens, morbum diuturnum declarat; ac de sedimentis crassiusculas partes referentibus, quæ gignuntur in vrinis, abundè dictum est.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ δυσωδῶν.

ΤΟ δὲ δυσῶδες οὖρον, διαφορὰς σημαίνει. οὖρον κάκοσμον καὶ δακνῶδες, ὑγρῶν σῆψιν σημαίνει. καὶ πάλιν, ἐν πυρετοῖς, ὑδατῶδες καὶ λευκὸν οὖρον, ἐν λευκοῖσιν ἐναιωρήμασι δυσῶδες, παρακοπὴν παύει· καὶ ἄλλως τε. οὖρον ἐν πυρετοῖσιν ὀξέσι, παχὺ μέλαν, καὶ δυσῶδες, οὐδὲν τῆς κύστεως ἐχούσης, θάνατον σημαίνει. καὶ ἄλλως. οὖρον ὀδμὴν ἔχον βαρεῖαν, σύντηξιν δηλοῖ, καὶ σῆψιν, καὶ νέκρωσιν τῆς φύσεως. καὶ περὶ μὲν τῶν τοιούτων οὔρων, ἱκανὰ τὰ εἰρημένα. ἐπειδὴ δὲ τὰς ἔμπροσθεν συμπλοκὰς ποιήσαμεν, τοῦ τε λεπτοῦ καὶ παχέος, μετὰ τῶν χρωμάτων, ἀρτίως καὶ τὸ χύμα συμπλέξωμεν, καὶ τὸ παρυφιστάμενον μετὰ τῶν ἐνδεχομένων χρωμάτων, καὶ τί τούτων ἕκαστον σημαίνει, παραθῶμεν. ἐπειδὴ δὲ τὸ παρυφιστάμενον τῇ οὐσίᾳ παχύ, δῆλον ὅτι ἀπὸ τῆς πέψεως ἐπαχύνθη, ἢ ἐκ περιουσίας παχέων, καὶ ὠμῶν χυμῶν, λοιπὸν τοῦτο μετὰ λεπτῆς συστάσεως, τὸ παρυφιστάμενον

CAPVT VII.

De vrinis graueolentibus.

AD hæc vrina mali odoris diuersa significat, nam quæ nares ferit & vellicat, humorum putredinem declarat. Rursus; in febribus vrina aquosa & alba, candidis ramentis innatantibus grauiter olens, delirium sedat. Et aliter etiam; vrina in febribus acutis opaca, nigra & tetri odoris, vesicâ non laborante mortem indicat: & aliter. Vrina graui odore prædita colliquationem denotat, & putredinem & naturæ exitium. Ac de eiusmodi vrinis satis quidem hactenus dictum est. Quoniam verò superiores connexiones tenuis & crassæ vrinæ cum suis coloribus commodè absoluimus, liquorem iam contentum connectamus cum quibus par est coloribus, & quid horum vnum quodque significet apponamus. Quandoquidem contentum substantiâ crassum, constat à coctione densatum fuisse, aut ex abundantia crassorum & crudorum humorum, restat quòd cum tenui consistentiâ contentum

istud conuenire minimè potest. Adnectamus igitur crassum liquorem cum sedimento & subrubro colore & rubro; Etenim in his connexionibus, colores qui cruditatem declarant, congredi non possunt. Itaque incipiamus connexionem instituere cum subrubro & rubro colore, quoniam ille quidem à sanguine seroso, hic verò à perfecto fit. Cæterùm sciendum est colores connexos in consistentia liquoris, eosdem etiam in substantia sedimenti esse remissiores. Contentum crassum subrubrum cum crassa consistentia, connexio est quæ existit, quemadmodum supra quoque dictum est; longitudinem morbi declarat. Quòd si tunc vrina subrubra fuerit, & sedimentum pariter subrubrum erit ac læue & quæ deinceps. Contentum crassum & rubrum cum crassa consistentia; si quidem existit hæc connexio, & sanguinis copiam indicat, tum per consistentiam, tum per contentum. Atque hæc connexio datur propter adustionem, & iuxta consistentiam & contentum significat. Ac similiter cum coloribus quos contingit coniunctos esse cum consistentia; atque eadem significata sedimenti substantiæ, declarant ratione excessus & defectus excepta mediocritate vtriusque & consistentiæ & contenti; cum coloribus secundum naturam; cum rufo videlicet & subrufo. Etenim hoc concoctionem optimam arguit, tam in consistentia quàm in contento & in colore vt doctrina quidem vrinarum per genera, species ac differentias, satis commodè exposuimus.

Quocirca Christo vero Deo nostro gratias agamus, qui manuduxit nos dum laborem curriculi huius tractatus susciperemus, & dignos censuit, qui & principium & finem huic operi imponeremus; ad vsum & eruditionem eorum qui discere vtique omni contentione cupiunt.

συνελθεῖν οὐ δύναται. πλέξωμεν δὴ οὖν αὐτὸ τὸ παχὺ χύμα μετὰ ὑποστάσεως, καὶ ὑπερύθρου χρώματος, καὶ ἐρυθροῦ· ἐν γὰρ ταῖς συμπλοκαῖς ταύταις ἀπεψίαν δηλοῦντα χρώματα συνελθεῖν οὐ δύνανται. ἀρξώμεθα οὖν τὴν συμπλοκὴν ποιεῖσθαι μετὰ τοῦ ὑπερύθρου χρώματος, καὶ ἐρυθροῦ, ἐπειδὴ τὸ τοιοῦτον χρῶμα ἀπὸ ἰχωροειδοῦς αἵματος γίνεται, τὸ δὲ ἀπὸ τοῦ τελείου. χρὴ δὲ γινώσκειν ὅτι χρώματα συμπλεκόμενα ἐν ταῖς συστάσεσι τοῦ χύματος, ταῦτα καὶ ἐν ταῖς συστάσεσιν ἀνειμένα. περιυφιστάμενον παχὺ ἐρυθρὸν μετὰ παχείας συστάσεως. αὕτη ἡ συμπλοκὴ συνίσταται, καθὼς καὶ ἀνωτέρω εἴρηται, καὶ μῆκος νόσου δηλοῖ. εἰ δὲ εἴη τότε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λεία, καὶ τὰ ἑξῆς. περιυφιστάμενον παχὺ μέλαν μετὰ παχείας συστάσεως· καὶ αὕτη ἡ συμπλοκὴ συνίσταται δι᾽ ὑπερόπτησιν, κατά τε τὴν σύστασιν, καὶ τὸ περιυφιστάμενον δηλοῖ. ὁμοίως δὲ καὶ μετὰ τῶν χρωμάτων ἐνδεχομένων συμπλακῆναι τῇ συστάσει, καὶ τοῦ περιυφισταμένου, αὐτὰ σημαινόμενα δηλοῦσιν ὑπερβολῆς, καὶ ἐλλείψεως πλὴν τῆς συμμετρίας ἀμφοτέρων τῆς τε συστάσεως, καὶ τοῦ περιυφισταμένου· μετὰ τῶν κατὰ φύσιν χρωμάτων· ἢ ὡς μετὰ πυρροῦ, ἢ ὑποπύρρου· καὶ γὰρ τοῦτο δηλοῖ τὴν ἀρίστην πέψιν, ἔν τε συστάσει, καὶ περιυφισταμένῳ, καὶ ἐν τῷ χρώματι. καὶ περὶ μὲν τῆς τῶν οὔρων διδασκαλίας, κατά τε γένη, καὶ εἴδη, καὶ διαφορὰς καλῶς ἐκτεθήκαμεν.

Εὐχαριστήσωμεν οὖν Χριστῷ τῷ ἀληθινῷ θεῷ ἡμῶν, τῷ ὁδώσαντι ἡμᾶς πονήσαντας εἰς τὸν δρόμον τῆς αὐτῆς πραγματείας, καὶ ἀξιώσαντι ἡμᾶς, καὶ τὴν ἀρχὴν, καὶ τέλος περιθεῖναι αὐτῇ· εἰς διόρθωσιν τῶν ὁπωσοῦν ἐπιθυμούντων ἐκ πάσης προαιρέσεως μανθάνειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΚΡΙΣΙΩΝ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE IVDICATIONIBVS, LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰς τῶν νοσημάτων ἐπὶ τὴν σωτηρίαν τε καὶ θάνατον κρίσιας περιέχει, αἵ περ ἐκ τῶν διαχωρημάτων, καὶ οὔρων, καὶ ἱδρώτων, ἀποστάσεών τε καὶ συμπτωμάτων, καὶ κρισίμων ἡμερῶν, καὶ ὁμοίων παραλαμβάνονται· καὶ τίνα ἐπὶ τῶν πυρετῶν τε καὶ ἄλλων νούσων ὑπάρχει, ἢ ἀγαθὰ, ἢ κακά.

ARGVMENTVM LIBRI.

Iudicationes complectitur morborum ad salutem, & perniciem prodeuntium, quæ ex deiectionibus, vrinis, sudoribus, abscessibus, Symptomatis, diebus iudiciariis & consimilibus depromuntur; & quæ in febribus, aliisque morbis tum bona, tum mala sunt.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Οἵτινες ἱδρῶτες, ἅτινά τε διαχωρήματα, καὶ οὖρα, καὶ μεγάλα σημεῖα ταχίστην ἐπὶ τὸ ἄμεινον, καὶ ἀσφαλῆ κρίσιν σημαίνουσιν.

ΠΕΡΙ κρισίων ξυντόμων ἐπὶ τὸ ἄμεινον, τὰ μὲν πλεῖστα ταῦτ' ἐστὶν, ἅπερ ὑγιής σημεῖα. ἱδρῶτες γὰρ ἄριστοί εἰσιν, καὶ τάχιστα πυρετὸν παύοντες, οἱ ἐν τῇσι κρισίμῃσιν ἡμέρῃσιν γινόμενοι, καὶ τελέως τὸν πυρετὸν ἀπαλλάσσοντες. ἀγαθοὶ δὲ καὶ ὅσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, εὐπετεστέρως τὸ νόσημα φέρειν ποιήσωσιν. εἰ δ' ἂν τουτέων τι μὴ ἐργάσωνται, οὐ λυσιτελέουσιν γινόμενοι. παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν ἰούσης τῆς νόσου. ἔστω δὲ τὸ ὑπόπυῤῥον, καὶ μὴ σφόδρα δυσῶδες. ἐπιτήδειον δὲ καὶ ἕλμινθας ἐξιέναι πρὸς τὴν κρίσιν. οὖρον δὲ ἄριστόν ἐστιν, εἰ μὲν ἔχῃ λευκότατον ὑπόστημα, καὶ λεῖον, καὶ ὁμαλὸν παρὰ πάντα τὸν χρόνον, ἕως ἂν κριθῇ τὸ νόσημα. σημαίνει γὰρ ἀσφαλέα καὶ ὀλιγοχρονίην τὴν νοῦσον ἔσεσθαι. ἢν ἱδρῶτος ἐγγινομένου ἡ νοῦσος ἐκλίπῃ, καὶ τὸ οὖρον πυῤῥὸν θεωρηθῇ λευκὴν ὑπόστασιν ἔχον, τουτέοισιν αὐθημερὸν ὑποστροφὴ τοῦ πυρετοῦ γίνεται, ἔπειτα καὶ ἐν πέντε ἀκινδύνως κρίνεται. τοῖσιν ἐλαχίστῳ χρόνῳ μέλλουσιν ὑγιάζεσθαι, μέγιστα σημεῖα ἀπὸ τούτων. ἀπονώτεροι γὰρ διατελοῦσιν, καὶ ἀκίνδυνοι, καὶ τὰς νύκτας κοιμέονται, καὶ τὰ ἄλλα σημεῖα προφαίνουσιν ἀσφαλέα.

CAPVT PRIMVM.

Qui sudores, quæ deiectiones, vrinæ, & magna signa citam ad melius securámque crisin portendant.

DE iudicationibus concisis ad meliorem statum earum plerumque, eadem quæ sanitatis signa sunt. Sudores enim optimi sunt, & citissimè febrem sedant, qui iudicatoriis diebus contingunt, & febrem prorsus submouent. Boni quoque sunt, qui per totum corpus oborientes, faciliùs morbum ferre faciunt. Qui vero horum nihil moliuntur, haud oborti conducunt Morbo autem ad iudicationem tendente, deiectionem crassiorem reddi oportet; subfulua verò nec admodum graueolens esto. Lumbricos etiam sub iudicationem exire commodum est. Vrina autem optima est, quæ per totum tempus, quoad iudicatus fuerit morbus, albissimum, læue, & æquale habet sedimentum; securum enim ac breuem fore morbum indicat. Si suborto sudore morbus cesset, & vrina fulua sedimentum habens album conspiciatur, iis eodem die febris reuersio fit, atque hæc quinto die citra periculum iudicatur. Qui paucissimo tempore sani euasuri sunt, iis in totum maxima signa contingunt. Nam magis citra dolorem & extra periculum degunt, & noctu dormiunt, cæteráque securitatis signa præ se ferunt.

CAP.

A

CAPVT II.

In febre non lethali doloris capitis quæ causa, & quando solutio. Febrium acutarum & ardentium iudicium quibus diebus, & per quæ fiat, & quid in his icterus portendat.

QVibus in febre minimè lethali, capitis dolor, aliáq; signa circũsistunt, in his bilis superat. Quibus inceperit dolor primis diebus, quique quarto & quinto die magis vexãtur, hi sub septimũ diem febre liberãtur. Febres verò iudicãtur in iisdẽ numero diebus, ex quibus homines intereũt, & quibus superstites euadũt. Mitissimę namq; febres & cũ securissimis signis, quarto die aut priùs desinũt. Maximè verò lethales, & quæ cũ periculosissimis signis cõtingunt, quarto die aut prius interficiunt. Primus igitur *earum* impetus sic finitur; alter ad septimũ deducit; tertius ad vndecimũ; quartus ad decimum quartũ; quintus ad decimũ septimũ, sextus ad vigesimũ. Hę igitur in acutissimis morbis per quatuor ad viginti accessiones fiunt. Nõ potest autẽ horũ quicquã integris exactè diebus numerari. Nque enim anni, neq; mẽses integris diebus cõstare solẽt. In febribus ardentibus bona signa, si qualia in sanis scripta sunt oboriantur, minora quidẽ existẽtia in tertiũ diẽ remissionẽ indicant, crassiora verò in crastinũ omnino, sed crassa eodẽ die. In febribus ardentibus si post septimũ diẽ morbus regius succedat, sublati sudoris indicium est. Non enim exudare morbus, neq; alias vnquã abscessũ facere cõsueuit, sed sanus fit. Quũ calor discesserit & humorẽ ad se attraxerit, febri iudicationẽ fieri necesse est, & vrinas, aut etiam alui egestiones procedere, aut sanguinis ex naribus fluxionẽ, vel copiosam mictionẽ, aut ob humiditatẽ vehemẽtem, sudorẽ, aut vomitũ; mulieri verò etiam mensiũ viã patefieri. Hæc igitur præcipuè iudicationẽ faciũt, aut quodcunq; his proximè accedit. Molitur autẽ & alias iudicationes, minus quidẽ quàm has. At si morbus regius in febre ardente septimo die aut postea cõtingat, & difficilis multi sputi secessus, tũ in ardẽtibus, tum in aliis febribus, si nullis ex his signis cõtingentibus febris dimittat, has iudicationes pro illis fieri necesse est, aut magnorũ tuberculorum abscessum, aut dolores vehementes ex abscessu, aut humorum ex calore colliquationes.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἐν πυρετῷ μὴ θανατώδει, τίς ἡ τοῦ τῆς κεφαλῆς ἀλγήματος αἰτία, καὶ πότε ἡ ἀπάλλαξις γίνεται· ἐς τίνας ἡμέρας τε, καὶ διὰ τίνων ἡ τῶν τε ὀξέων, καὶ καύσων πυρετῶν κρίσις γένηται αὖ, καὶ τί ἐν τούτοις ἐπισημαίνῃ ὁ ἴκτερος.

ΟἿς ἐν πυρετῷ μὴ θανατώδει, κεφαλῆς ἀλγήματα, καὶ τὰ ἄλλα παρέστηκε σημεῖα, χολὴ τουτέων κρατεῖ. οἷς ἂν ἄρξηται ὁ πόνος τῇσι πρώτῃσιν ἡμέρῃσιν, τεταρταῖοί τε μᾶλλον, καὶ πεμπταῖοι πιέζονται. ἐς δὲ τὴν ἑβδόμην, ἀπαλλάσσονται τοῦ πυρετοῦ. οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσιν τὸν ἀριθμὸν, ἐξ ὧν ἀπόλλυνται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν περιγίνονται. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων, τεταρταῖοι παύονται, ἢ πρόσθεν. οἵ τε φονικώτατοι καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσι, ἢ πρόσθεν. ἡ μὲν οὖν πρώτη ἔφοδος οὕτως τελευτᾷ· ἡ δὲ ἑτέρη, ἐς ἑπτὰ περιάγει. ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην· ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην· ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην· ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἐπὶ τῶν ὀξυτάτων διὰ τεσσάρων, ἐς τὰς εἴκοσι προσθέσιες. οὐ δύναται δὲ ὅλαις ἡμέραις οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως. οὐδὲ γὰρ οἱ ἐνιαυτοί τε καὶ μῆνες ὅλαις ἡμέραις πεφύκασιν, οὐδὲ ξυνεστήκασιν. ἐν τοῖσι καύσοισι τὰ ἀγαθὰ σημεῖα γινόμενα, οἷα ἐν τοῖσιν ὑγιαίνουσι γέγραπται, μείονα μὲν ἐόντα, ἐς τρίτην, ἄνεσιν δηλοῖ· παχύτερα δὲ αὔριον πάμπαν, παχέα δὲ, αὐθημερόν. ἐν τοῖσι καύσοισιν, ἢν ἑβδομαίῳ ὕστερον ἐπιγένηται ἴκτερος, δηλοῖ ἱδρῶτος. τὸ γὰρ νόσημα οὐ φιλέει ἐξιδροῦν, οὐδὲ ἄλλῃ ἀφίστασθαι οὐδαμῇ, ἀλλὰ ὑγιὲς γίνεται. ἀνάγκη τοῦ θερμοῦ ἀπιόντος ἐφ' ἑωυτὸ τὸ ὑγρὸν ἑλκύσαντος, τῷ πυρετῷ κρίσιν γίνεσθαι· καὶ τὰ οὖρα τὰ ἀποχωρέοντα, ἢ καὶ τὰ διαχωρήματα κοιλίης, ἢ αἵματος ἐκ τῶν ῥινέων ῥύσιν, ἢ οὔρησιν πολλὴν, ἢ διὰ ὑγρείην ἰσχυρὴν, ἱδρῶτα, ἢ ἔμετον· γυναικὶ δὲ καὶ ἐπιμηνίων ὁδόν. μάλιστα μὲν ἐὰν ταῦτα

D

ποιέει κρίσιν, ἢ ὅ,τι ἂν τουτέων ἐγγὺς γίνηται. ποιέει δὲ καὶ ἑτέρας κρίσιας· ἧσσον μὲν τουτέων. ἴκτερος δὲ, ἢν ἑβδομαίῳ ἐπιγένηται, ἢ ὕστερον ἐν καύσῳ, καὶ δυσχέρεια σιάλου πολλοῦ ἀποχώρησις, ἔν τε τοῖς καυσώδεσι πυρετοῖς, καὶ τοῖς ἄλλοις, ἢν μηδενὸς τουτέων τῶν σημείων γινομένων, ἀφίῃ ὁ πυρετὸς, ἀνάγκη τοιάσδε κρίσιας, ἀντὶ τουτέων γίνεσθαι, ἢ φυμάτων μεγάλων ἀπόστασιν, ἢ ὀδύνας ἰσχυρὰς ἀπὸ τῆς ἀποστάσιος, ἢ τηκεδόνας τῶν ὑγρῶν ἐκ τοῦ θερμοῦ.

CAPVT III.

Ardentis febris ad salutem, mortem, diuturnitatem iudicia; in lipyriam & epialum mutatio; huic succedens icterus, bonum, malum, anceps; tertianarum & acutarum febrium iudicia.

EOrum quæ febrem ardentem significant iudicationes & remissiones longior morbus; si verò vehementia fuerint, mors plerunque sequitur. Reliquæ febres ardentes securæ, septimo aut decimoquarto desinunt. Solet autem ad lipyriam deuenire, & maximè quadraginta dies occupat, & in epialum transit; & lipyria eodem die præhendit & dimittit; capitis etiam dolor oritur. Si verò eum lipyria febris per quadraginta dies non dimiserit, sed producta fuerit, dolórque caput detinuerit, ac delirauerit, eum purgato. At febre ardente finiente si morbus regius succedat, non solet amplius sudare, neque alibi vsquam abscessum facere, sed sanus euadit. Tertiana vt plurimùm septem circuitibus iudicatur. Quibuscunque in molestis febribus septimo, no-

ΚΕΦΑΛΑΙΟΝ Γ'.

E

Αἱ τοῦ καύσου ἐπὶ τὴν ὑγιείαν τε, καὶ θάνατον, καὶ μῆκος κρίσεις· ἐς λιπυρίαν καὶ ἠπίαλον μετάστασις· τούτῳ ἐπιγινόμενος ἴκτερος, ἀγαθὸν, κακὸν, ἀμφίβολον. αἱ τῶν τριταίων τε καὶ ὀξέων πυρετῶν κρίσεις.

ΚΡίσιες δὲ καὶ ἀφέσιες τῶν καῦσον σημαινόντων, μακροτέρη ἡ νοῦσος. τῶν δὲ ἰσχυρῶν, θάνατος, ὡς ἐπὶ τὸ πουλύ. οἱ δὲ λοιποὶ ἀσφαλέες παύονται καῦσοι, ἑβδομαῖοι, ἢ τεσσαρεσκαιδεκαταῖοι. φιλέει δὲ καὶ ἐς λιπυρίην περιίστασθαι. καὶ λαμβάνει μάλιστα τεσσαράκοντα ἡμέρας, καὶ ἐξηπιαλοῦται. καὶ ἡ λιπυρίη τῆς αὐτῆς ἡμέρης, λαμβάνει τε καὶ μεθίησι. γίνεται δὲ καὶ τῆς κεφαλῆς ὀδύνη. ἐὰν

F

δὲ μὴ μεθίῃ αὐτὸν ἡ λιπυρίη ἐν ταῖς τεσσαράκοντα ἡμέραις, ἀλλ' ἄρχῃ, καὶ ὀδύνη ἔχῃ τὴν κεφαλὴν, καὶ φλυηρέῃ, ἐπικάθηρον αὐτόν. λήγοντος δὲ καύσου, ἂν ἐπιγένηται ἴκτερος, οὐ φιλέει ἔτι ἱδροῦν, οὐδ' ἄλλῃ ἀφίστασθαι οὐδαμῇ, ἀλλ' ὑγιὴς γίνεται. τριταῖος κρίνεται ἐν ἑπτὰ περιόδοισιν, ὡς ἐπὶ τὸ πουλύ. ὁκόσοις ἐν ἀφορήτοις πυρετοῖς τῇ ἑβδόμῃ, ἢ τῇ ἐνάτῃ,

ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι γίνονται, ἀγαθὸν, ἐὰν μὴ τὸ δεξιὸν ὑποχόνδριον σκληρὸν γένηται, εἰ δὲ μὴ, ἐνδοιαστόν. τὰ ὀξέα νοσήματα κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν, ὡς ἐπὶ τὸ πουλύ. ἱδρῶτες πυρεταίνοντι ἢν γίνωνται τριταίοις, καὶ πεμπταίοις, καὶ ἑβδομαίοις, καὶ ἐνναταίοις, καὶ ἑνδεκαταίοις, καὶ τεσσαρεσκαιδεκαταίοις, καὶ μιῇ καὶ εἰκοσταίοις, καὶ τριηκοσταίοις, οὗτοι οἱ ἱδρῶτες νούσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνους σημαίνουσιν. αἱ πεπάνσιες τῶν οὔρων κατὰ μικρὸν ἐκπεπαινόμεναι, ἐν τῇσι κρισίμοισι ἐὰν πεπανθῶσιν, λύουσι τὴν νοῦσον. παράδειγμα δεῖ τῶν οὔρων τὰ ἕλκεα ποιέεσθαι. τά τε γὰρ ἕλκεα, ἢν μὲν ἀνακαθαίρηται πύῳ λευκῷ, ταχείην θεραπείην δηλοῖ. ἐὰν δὲ μεταβάλλῃ ἐς τοὺς ἰχῶρας, κακοήθη γίνεται. τὸν αὐτὸν δὲ τρόπον καὶ τὰ οὖρα σημαίνει. ἐὰν ἐκ πόνου λεπτὰ γένηται, ἀπὸ τῆς προφάσιος δεῖ λογίζεσθαι, ἢν τὸ νόσημα προεγένετο, καὶ ταύτην ὁρᾷν ἐπεὶ παύηται, ὡς ταύτης ἐπιλειπομένης, τῶν ἄλλων σημείων ἐπιγινομένων οἵων δεῖ, οὐκ εἶναι ἀπαλλαγὴν τῇ νούσῳ οἰητέον. ἐὰν ἀλγέῃ ἡ κεφαλὴ, καὶ ἀπὸ ταύτης πυρετὸς ἐπιγένηται, ταύτης μὴ καταπαύσηται, μηδὲ τῆς ὀδύνης παυομένης, οὐ κρίσιμος ὁ πυρετός. κρίσεως μακρῆς ἔτι ἐπὶ τὸ ἄμεινον, πλεῖστα ταῦτ' ἐστὶ, καὶ ἐπὶ τουτέων ἀτὰρ ἐς ὑγείην ἐόντα. ἐν τοῖσιν ὑποχονδρίοισιν οἰδήματα μαλθακὰ, καὶ ἀνώδυνα, καὶ ὑπείκοντα ἐπεὶ πιεζομένης αὐτέου, χρονιωτέρας μὲν τὰς κρίσιας ποιέει, ἧσσον δὲ φοβερὰς τῶν ἐναντίων τουτέοις φυμάτων. ὡσαύτως δὲ ἔχει, καὶ περὶ τῶν ἐν τῇ ἄλλῃ κοιλίῃ φυμάτων.

A no, aut decimo quarto die morbi regij oriuntur, bonum *est*, nisi dextrum hypochondrium obduruerit, sin minus, anceps. Acuti morbi diebus quatuordecim plerumque iudicantur. Sudores febricitanti si tertio, quinto, septimo, nono, vndecimo, decimo quarto, vigesimo primo & trigesimo die contingunt, huiusmodi sudores morbos iudicant; qui verò non sic contingunt, labores portendunt. Vrinarum concoctiones paulatim maturescentes, si diebus iudicatoriis concoctæ fuerint, morbum soluunt. Exemplum vrinarum vlcera facere oportet. Vlcera namque si repurgantur pure albo, celerem curationem de- B nunciant; sed si ad saniosos humores conuertantur, maligna euadunt. Eodem verò modo & vrinæ significant, si ex dolore tenues fiant, ex occasione ratiocinari oportet, ex qua morbus accessit, eámque inspicere quum sedatur. Quòd si hæc deficiat: aliáque signa qualia oportet accedant, nullam esse morbo solutionem existimandum. Si doleat caput & ex eo febris succedat, neque hinc sedetur, dolore non cessante, febris non iudicatur. Iudicationis longæ etiamnum ad melius, plurima eiusmodi sunt etiam in his quæ ad sanitatem tendunt. In præcordiis tumores molles, doloris C expertes, & tactui cedentes, diuturniores quidem, sed minùs formidandas, quàm his contraria tubercula, iudicationes faciunt. Eodem modo se res habet & de reliqui ventris tuberculis.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Τῶν ποδαγρικῶν νοσημάτων ἐξ οὔρων τε, καὶ ἱδρώτων, καὶ διαχωρημάτων κρίσις ἐπὶ τὴν σωτηρίαν τε, καὶ θάνατον, καὶ μῆκος.

Οὔρων δὲ ἢν τὸ μὲν οὐρηθὲν, μὴ καθαρὸν ᾖ· τὸ δὲ ὑπόστημα λευκόν τε καὶ λεῖον ἔχῃ, χρονιωτέρη ἡ κρίσις· ἢ καὶ ἧσσον ἀσφαλὲς τοῦ βελτίστου οὔρου. ἢν δέ ποτε ὑπέρυθρον οὖρον καὶ τὸ ὑπόστημα ὑπέρυθρον καὶ λεῖον, πουλὺ χρονιώτερον μὲν τοῦτο τοῦ προτέρου, σωτήριον δὲ κάρτα. ὁκόσα δὲ ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἐν τεσσαράκοντα ἡμέραις ἀφλέγμαντα καθίστανται· κρίσεως μακρᾶς ἐπὶ τὸ ἄμεινον ἐπὶ τουτέων τὰ πλεῖστά ἐστι. ἀτὰρ ἐς θάνατον ἐν ἡμέρῃ καὶ νυκτὶ κρίνεται. ἀτὰρ ἀσθενείης σημεῖα, οἷα φαρμακοποσίης, κοιλίης ἐκταράξεως, καὶ ἄνω καὶ κάτω, ἄσης, καὶ τῶν ἄλλων τῶν τοιουτέων. ἢν μὲν οὖν ἀπαλλάσσηται τούτων τὰ σημεῖα ἐν ἡμέρῃ καὶ νυκτὶ· εἰ δὲ μὴ, θανατώδη νομίζειν εἶναι. τῶν ἱδρώτων κάκιστοί εἰσιν, οἱ ψυχροί τε, καὶ περὶ τὸν αὐχένα γινόμενοι, οὗτοι γὰρ θάνατον καὶ μῆκος νούσου προσημαίνουσι. τὰ ποικίλα ὑποχωρήματα, χρονιώτερα μὲν τῶν μελάνων, καὶ τῶν ἄλλων θανασίμων ὑποχωρημάτων. οὐδὲν δὲ ἧσσον, ὀλέθρια. ἔστι δὲ τοιάδε, ξυσματώδεα, χολώδεα, αἱματώδεα, πρασώδεα, μέλανα, καὶ τότε μὲν ὁμοῦ πάντα διαχωρέει, τότε δὲ κατὰ μέρος ἕκαστον. οὖρον δὲ ἐὰν τότε μὲν καθαρὸν οὐρηθῇ, τότε δὲ ὑπόστημα ἔχῃ λευκόν τε καὶ λεῖον, χρονιώτερα καὶ ἧσσον ἀσφαλῆ ταῦτ' ἐστὶ τοῦ βελτίστου οὔρου. ἐὰν πυῤῥὸν, καὶ λεπτὸν ᾖ τὸ οὖρον πολλὸν χρόνον, κίνδυνος μὴ οὐ δυνήσηται διαρκέσαι ὁ ἄνθρωπος, ἕως ἂν πεπανθῇ τὸ οὖρον, καὶ ἢν ἄλλως περιεσομένου σημεῖα ᾖ, προσδέχου τουτέοις ἀπόστασιν προσδοκωμένην ἐς τὰ κάτω τῶν φρενῶν χωρία. ἐν τοῖσι πυρετοῖσιν ἐὰν μεταβολὰς ἔχῃ τὸ οὖρον, χρόνον τε σημαίνει, καὶ ἀνάγκη τῷ ἀσθενέοντι μεταβάλλειν, καὶ ἐπὶ τὰ χείρω, καὶ ἐπὶ θάτερα. ἢν ἀρχόμενα οὖρα μὴ ὅμοια ᾖ, ἀλλὰ γίνηται παχέα ἐκ λεπτῶν, καὶ παντελῶς λεπτὰ, δύσκριτα καὶ ἀβέβαια τὰ τοιαῦτα.

CAPVT IV.

Podagricorum morborum ex vrinis, sudoribus, & deiectionibus iudicia ad salutē, mortē & diuturnitatē.

EX vrinis autem si quod mictum est id quidem non purum sit, sedimentum verò album & læue habeat, diuturnior iudicatio; atque minùs quàm optima vrina secura est. At si quandoque vrina D subrubra fuerit, ac sedimentum subrubrum ac læue, diuturniorem quidem quàm prior hæc morbū significat, sed admodum salutarem. Quicunq; podagrici morbi fiunt, hi citra inflammationem quadraginta diebus sedantur, in his pleriq; longæ iudicationis in melius sunt. Quæ ad mortem ruunt, interdiu ac noctu iudicantur, quæ imbecillitatis signa sunt, velut epoti medicamenti, exturbationis alui & sursum & deorsum, anxietudinis, & aliorum huiusmodi. Si igitur horum signa die ac nocte soluantur, satis est, alioqui lethalia esse reputāda sunt. Sudores pessimi sunt frigidi quique circa ceruicē E oboriuntur, hi enim mortem & morborū longitudinē prænunciant. Alui deiectiones variæ, nigris aliisq; exitialibus deiectionibus diuturniores quidē, nihilò tamē minus perniciosæ; cuiusmodi sunt ramētis similes, biliosæ, cruentæ, porraceæ, nigræ, eæq; interdū simul quidē omnes interdū etiā singulæ per se deiiciuntur. Vrina si quādoq; pura micta fuerit, quādoq; verò sedimētū albū & læue habēs, diuturniores minúsq; securæ hæ sunt, quàm optima vrina; si per multum tēpus vrina fulua & tenuis fuerit, periculū est ne quoad cōcocta fuerit ægersufficere nō possit; Atq; si aliàs superstitis futuri F signa fuerint, his abscessum fore in locis septo trāsuerso inferioribus expecta. In febribus si vrina mutationes habeat, tēporis diuturnitatem indicat, ægrūq; tū ad deteriora, tū in alterā partē necessariò cōmutari. Si vrinę incipientes minimè similes sint, sed ex crassis tenuib⁹ crassę euadāt & omnino tenues, eæ difficilē ac incertā iudicationē faciunt.

A

CAPVT V.

Iudicia morborum deprompta ex sudoribus frigidis & copiosis; corporis calore ac frigore, deiectionibus, venis pulsantibus, facie, hypochondriis, manuum palpitationibus, dyspnœa, vigiliis, tetano, ictero, singultu, & iudiciariis diebus.

FRigidi sudores cum acuta quidem febre lethales, cum mitiore verò, morbi longitudinem significant. Et vbi corporis calor, aut frigus, existit, hîc morbus est, eique celeres in toto corpore mutationes contingunt; Ac si corpus perfrigescat, aut rursus incalescat, colórque subinde mutetur, *ista* morbi longitudinem portendunt. Si febricitanti sudor succedat, neque febris desinat, malum; producitur enim morbus, & humiditatem significat. Febricitanti sudores frigidi contingentes, febrem longam denunciant. Sudor copiosus, sano immodicè oboriens, morbum portendit, æstate quidem minorem, hyeme verò maiorem. Quæ eodem concedunt, si consistere permiseris, veluti ramenta subsident, si pauca, paruus est morbus, si multa, magnus, his aluum subluere confert. Quibus in inferiore deiectione bilis atræ quid subest, si copiosius, maior est morbus, si parcius, minor. Si venæ pulsent, & facies bene habita fuerit, hypochondria minimè mollia, sed sublata, diuturnus morbus *significatur*, neque sine conuulsione, aut copiosa ex naribus sanguinis profusione, aut vehementi dolore soluitur. In manibus etiam palpitationes, diuturnæ febris signum, aut breuis in deterius iudicationis, & in his plurima quæ ad mortem *tendunt*. His qui breuissimo tempore perituri sunt, maxima signa per initia contingunt; nam & difficilem habent spirationem, neque noctu dormiunt, & periculosa signa præmonstrant. In febre continuante, si quis quarto & septimo die laborat, neque vndecimo iudicatus fuerit, plerumque perit. Quicunque tetano corripiuntur, intra quatuor dies pereunt; si verò hos effugerint, conualescunt. In febribus ardentibus, si accedat morbus regius, & singultus quinto die, lethale est. Recidiuæ hos corripiunt, quibus febre solutis vehementes vigiliæ, aut turbulenti somni accedunt, aut corporis robur *soluitur*, aut singulorum membrorum dolores *adsunt*, & quibus febres, non accedentibus solutionis signis, neque diebus iudicatoriis sedantur; & si deficiente febre, & accedente sudore, vrinam fuluam, album sedimentum continentem reddiderint, his eodem die febris reuersionem expecta. Eiusmodi verò recidiuæ quinto die citra periculum iudicantur. At si ex iudicatione facta, vrina rubra sedimentum rubrum continens reddita fuerit, his quoque febris reuersio eodem die contingit, ex eaque pauci seruantur. Quum recidit febris ardens, plerumque etiam exudat, & si reuertens tot diebus quot priùs detineat. Tertiò etiam febris reuertitur, nisi reuerso die impari dimiserit, plerumque si non coctæ fuerint vrinæ, neque alia signa secundum rationem processerint, morbus iudicatorio die reuertitur; interdum verò his eiusmodi relictis etiam die iudicatorio reuertitur.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Αἱ τῶν νούσων κρίσεις ἔκ τε τῶν ψυχρῶν καὶ πολλῶν ἱδρώτων, σώματος θερμοῦ καὶ ψυχροῦ· διαχωρημάτων· σφυζουσῶν φλεβῶν· προσώπου· ὑποχονδρίων· τῶν ἐν ταῖς χερσὶ παλμῶν· δυσπνοίας· ἀγρυπνιῶν· τετάνου· ἰκτέρου· λύξης, καὶ κρισίμων.

ΨΥχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ, θανάσιμοι· ξὺν δὲ πρηϋτέρῳ, μῆκος σημαίνουσι τῆς νούσου. καὶ ὅκου τοῦ σώματος θερμὸν, ἢ ψυχρὸν, ὅπου τοῦτο ἔνι, ἐνταῦθα ἡ νοῦσος. καὶ τουτέῳ ἐν ὅλῳ τῷ σώματι, μεταβολαὶ ὀξεῖαι γίνονται. καὶ ἢν τὸ σῶμα ψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ τὸ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλληται, μῆκος νούσου σημαίνουσι, κἢν πυρέσσοντι ἱδρὼς ἐπιγίνηται μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν. μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην σημαίνει. πυρέσσοντι ψυχροὶ ἱδρῶτες ἐπιγινόμενοι, μακρὸν τὸν πυρετὸν σημαίνουσι. ἱδρὼς πουλὺς ἀκρήτως γινόμενος ὑγιαίνοντι νόσον σημαίνει, θέρεος μὲν μείω· ψύξιος δὲ πλείω. ἐς τὸ αὐτὸ χωρέουντα, ἐὰν ἐάσῃς ξυστῆναι, ὑφίσταται ὁκοῖον ξύσματα. ἢν ὀλίγα, ὀλίγη ἡ νοῦσος· ἢν πολλὰ, πολλή. τουτέοισι ξυμφέρει τὴν κοιλίην ἐπικλύζειν. ὁκόσοις δὲ ἐν τῇ κάτω ὑποχωρήσει, χολῆς μελαίνης ὕπεστιν, ἢν πλεῖον, πλείων ἡ νοῦσος. ἢν ἐλάσσω, ἐλάσσων. ἐὰν αἱ φλέβες σφύζωσι, καὶ τὸ πρόσωπον ἐῤῥωμένον ᾖ, καὶ τὰ ὑποχόνδρια μὴ λαπαρὰ, ἀλλὰ ἐπηρμένα, χρονίη ἡ νοῦσος, καὶ ἄνευ σπασμοῦ οὐ λύεται, ἢ αἵματος πολλοῦ ἐκ τῶν ῥινέων ῥύσιος, ἢ ὀδύνης ἰσχυρῆς. καὶ οἱ παλμοὶ ἐν τῇσι χερσὶν πουλυχρονίου πυρετοῦ σημεῖον, ἢ κρίσεως ξυντόμου ἐπὶ τὸ κάκιον. καὶ ἐπὶ τούτων τὰ πλεῖστα ἄπο ἐς θάνατον. τοῖσιν ἐλαχίστῳ χρόνῳ μέλλουσιν ἀπόλλυσθαι, μέγιστα σημεῖα ἀπ' ἀρχῆς γίνεται. δυσπνόητοι γάρ εἰσιν, καὶ οὐ κοιμέονται τὰς νύκτας, καὶ τὰ σημεῖα προφαίνουσιν ἐπικίνδυνα. ξυνεχοῦς δὲ πυρετοῦ ἐὰν τεταρταῖος πονέηται καὶ ἑβδομαῖος, καὶ μὴ κριθῇ ἑνδεκαταῖος, ὀλέθριος, ὡς τὰ πολλά. ὅσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν ταῖς τέσσαρσιν ἡμέραις ἀπόλλυνται. ἢν δὲ ταύτας ἀποφύγωσιν, ὑγιέες γίνονται. ἐν τοῖσι καύσοισιν ἐὰν ἐπιγένηται ἴκτερος, καὶ λύξη πεμπταίῳ ἐόντι, θανατῶδες. ὑποστροφαὶ λαμβάνονται, οἷς ἂν ἀπυρέτοισιν γενομένοισιν, ἀγρυπνίαι ἐῤῥωμέναι προσγίνωνται, ἢ ὕπνοι ταραχώδεες, ἢ ῥώμη τοῦ σώματος, ἢ ἀλγήματα ἑνὸς ἑκάστου τῶν μελέων. καὶ ὅσοις ἂν οἱ πυρετοὶ παύσονται, μήτε σημείων γενομένων λυτηρίων, μήτ' ἐν ἡμέρῃσι κρισίμῃσι. καὶ ἐὰν ἐκλελοιπότος τοῦ πυρετοῦ, καὶ ἱδρῶτος ἐπιγενομένου, πυῤῥὸν οὖρον οὐρήσῃ, λευκὴν ὑπόστασιν ἔχον, προσδέχου τούτοις ὑποστροφὴν πυρετοῦ αὐθημερόν. αὗται δὲ καὶ ὑποστροφαὶ, πεμπταῖαι κρίνονται ἀκίνδυνοι. καὶ ἢν κρίσιος ἐκγενομένης οὖρον ἐρυθρὸν οὐρήσῃ ὑπόστασιν ἔχον ἐρυθρὴν, καὶ τουτέοις ὑποστροφὴ γίνεται τοῦ πυρετοῦ αὐθημερὸν, καὶ ὀλίγοι ἐκ ταύτης σώζονται. ὅταν ὑποστρέφῃ ὁ καῦσος, τὰ πολλὰ καὶ ἐξιδροῖ· καὶ ἢν ἡμέρας λάβῃ ὑποστρέψας ὅσας τὸ πρῶτον. ὑποστρέφει δὲ καὶ τρὶς πυρετὸς, ἢν μὴ περισσῇ ἡμέρῃ ἀφῇ. ὑποστρέψας τὰ πολλὰ, ἐὰν ἀπέπτων ἐόντων τῶν οὔρων, καὶ τῶν ἄλλων σημείων μὴ κατὰ λόγον ἐόντων ἡ νοῦσος κρισίμῳ ἡμέρῃ ὑποστρέφει. ὅτε δὲ καὶ ὑποστρέφει ἐν κρισίμῃ ἡμέρῃ, τουτέων καταλειπομένων τοιούτων.

A

ΚΕΦΑΛΑΙΟΝ ς'.

Αἱ τῶν ὑποστροφῶν κρίσιες, ἀποστάσιος· τεταρταίων, μελαγχολίας μετὰ φρενιτίδων ἐχομένης, μανίας· ἐμπύων, ὀδύνης τῶν κάτω χωρίων, μεγάλου νοσήματος, καύσων πυρετῶν.

ΤΑ παρ' οὖς οἷς ἀμφὶ κρίσιν γινόμενα μὴ ἐκπυήσῃ, τουτέων ἀπαλλασσομένων, ὑποστροφὴ γίνεται κατὰ λόγον τῶν ὑποστροφῶν, ὁμοίᾳ περιόδῳ· ἐπὶ τουτέοις ἐλπὶς ἐς ἄρθρα ἀφίστασθαι. ἢν οὖρον παχὺ, οἷον τὸ λευκὸν, ἐπὶ τοῖς κοπιώδεσι τεταρταίοισι, ῥύεται τῆς ἀποστάσιος. ἐνίοις δὲ τουτέων, καὶ αἱμορραγίαι γίνονται ἐκ τῶν ῥινέων, ἢ ὡς τεταρταίοις, οὐ λυτικὴ, καὶ τοῖς πῦα ἀποχωρέοντα ὑγιάζειν νούσοις. τοῖς μελαγχολικοῖς μετὰ φρενιτίδων ἐχομένοις, αἱμορροΐδες ἐπιγινόμεναι, ἀγαθόν. ὅσοι μαίνονται, ἢ αὐτόματοι ἀπαλλασσόμενοι ἐκ τῶν νούσων, τουτέοις τὴν μανίην, ὀδύνη ἐς τοὺς πόδας ἐσελθοῦσα, ἢ ἐς στῆθος, ἢ βὴξ ἰσχυρὴ γινομένη λύει. ἐὰν τουτέων μηδὲν γένηται λυομένης τῆς μανίης, στέρησις τοῦ ὀφθαλμοῦ γίνεται. ὁκόσοι ἐν τῇ γλώσσῃ παφλάζουσι τῶν χειλέων μὴ κρατέοντες, ἐὰν ταῦτα παύσηται, ἔμπυοι γίνονται. ἡ ὀδύνη ἰσχυρὴ ἐν τοῖς κάτω χωρίοις λύει, ἢ κωφότης, ἢ αἷμα πολὺ ἐκ τῶν ῥινῶν ῥυέν. ἡ μανίη, τοῦ μεγάλου νοσήματος ἐν ἔθει γινομένου λύσις. ὅσοις ἐν τοῖσι καύσοισιν ἰσχίων ὀδύνη, ὀφθαλμῶν διαστροφὴ, ἢ τύφλωσις, ἢ ὀρχέων οἰδήσιες, ἢ τιτθῶν ἄρσις καῦσον λύει, ἢ καὶ αἵματος ἐκ ῥινῶν ῥύσις. ἐν καύσῳ ἐὰν ἐπιλάβῃ ῥῖγος, φιλεῖ ἐξιδροῦν. ὑπὸ καύσου ἐχομένῳ, ῥίγεος ἐπιγινομένου λύσις. ὅσοις ἐν τοῖσι καύσοισι τρόμοι ἐγγίνονται, παρακοπὴ λύει. ὅσοις αὖ ἐν τοῖς πυρετοῖς τὰ ὦτα κωφωθῇ, τουτέοισι μὴ λυθέντος τοῦ πυρετοῦ, μανῆναι ἀνάγκη. λύει δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα χολώδεα, ἢ δυσεντερίη ἐπιγινομένη, ἢ ὀδύνη ἰσχίων, ἢ γονάτων. ὅσοισι πυρετοῖσι ῥῖγος ἐπιγίνηται, ὁ πυρετὸς λύεται.

CAPVT VI.

Iudicia recidiuarum, abscessus; quartanarum, melancholiæ phreniticæ, maniæ; suppuratorum; dolorum partium inferiorum; magni morbi, febrium ardentium.

QVibus circa iudicationem exorta ad aures *tubercula* non suppurantur, his solutis morbi reuersio pro recidiuarum ratione simili circuitu cōtingit; in his ad articulos abscessum fieri spes est; si vrina crassa *fuerit*, qualis alba in laboriosis quartanis, ab abscessu liberat; horum verò quibusdam etiam sanguinis è naribus eruptiones contingunt, quæ quartanas non soluunt, neque morbos quos pus prodiens sanat. Melancholicis, & phrenitide detentis succedentes hæmorrhoides, bonum. Qui mania insaniunt, aut sua sponte à morbis liberati, iis dolor ad pedes aut pectus subiens, aut vehemēs tussis oborta, maniam soluit. Si soluta mania nihil ex his accidat, oculi priuatio accidit. Qui lingua offensant ac balbutiunt, labra non tenentes, si hæc cessauerint, purulenti euadunt. Vehementem in locis inferioribus dolorem, surditas soluit, aut copiosus ex naribus sanguis profluēs. Insania magni morbi ex consuetudine oboriētis solutio. Quibus in febribus ardentibus coxendicum dolor *est*, oculorum peruersio, aut cæcitas, aut testium tumores, aut mammarum eleuatio, febrem ardentē soluit, aut etiam sanguinis ex naribus profluuiū. In febre ardēte si rigor corripiat, exudare solet. A febre ardente detento, rigore succedente solutio cōtingit. Quibus in febribus ardentibus tremores oboriuntur, *eos* delirium soluit. Quibus in febribus aures obsurduerunt, hos non soluta febre insanire necesse est; soluit autem sanguis ex naribus effluens, aut aluus biliosa effundens, aut dysenteria, aut coxendicum, aut genuum dolor succedens. Quibus febribus rigor succedit, febris soluitur.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Κρίσιες τῶν ἐξαπίνης· ὕδρωπος· λευκοφλεγματίου· διαρροίας· εἰλέου· κεφαλαλγίας· ὀφθαλμίας· σπασμοῦ· τετάνου.

ΟΣοισιν ὀδύναι γίνονται ἐξαπίνης, τὸ ὑποχόνδριον ἀπῆρται ἄνω. καὶ ἐὰν περὶ τὴν νόθον πλευρὴν περισκελέες αἱ ὀδύναι γίνονται, τουτέοισι λύσις φλεβοτομίη, καὶ κάθαρσις κάτω· οὐ γὰρ λαμβάνει πυρετὸς ἰσχυρὸς ἀδυνατούντων τῶν χωρίων. ὑπὸ ὕδρωπος ἐχομένων κατὰ τὰς φλέβας ἐς τὴν κύστιν, ἢ κοιλίην ὑδατώδεος ῥυέντος, λύσις. ἢν ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάρροια ἐπιγίνηται ἰσχυρὴ, λύσις. ὑπὸ διαρροίης ἐχομένῳ ἰσχυρῆς, ἔμετος ἐπιγινόμενος ἀπὸ τοῦ αὐτομάτου, λύσις. ὅσοι ὑπὸ διαρροίης πολὺν χρόνον λαμβάνονται ξὺν βηχὶ, οὐκ ἀπαλλάσσονται, ἐὰν μὴ ὀδύναι ἰσχυραὶ ἐν τοῖς ποσὶν ἐμπέσωσιν. εἰ βούλεται διαστροφὴ γίνεσθαι φύσιος, ἐπειδὰν μὴ διαρροίᾳ ᾖ, ἢ κενὴν διαχώρησιν πρὸς πᾶσι λάβῃ. ἐπιγίνονται γὰρ φῦσαι ἔξωθεν οὖσαι. δῆλον τοίνυν οὐκ ἔχουσιν οὐδὲν ὑγρὸν, ὥστε προσφέρειν εἰδήσει τὰ ἀσφαλῶς τῷ οὕτως ἔχοντι. εἰλεοῦ ἐπιγινομένου, οἶνον ψυχρὸν δίδου πίνειν πουλὺν ἄκρατον κατ' ὀλίγον, ἕως ὕπνος, ἢ σκελέων ὀδύνη γένηται. λύει δὲ καὶ πυρετὸς, ἢ δυσεντερίη. κεφαλὴν περιωδυνέοντι, καὶ νοσέοντι πύου ῥέοντος, ἢ κατὰ τὰ ὦτα, ἢ κατὰ τὰς ῥῖνας, λύει τὸ νόσημα. ὁκόσοισιν ὑγιαίνουσιν ἐξαπίνης ὀδύναι ἐγγίνονται, ἐν ταῖς κεφαλαῖς, καὶ παραχρῆμα

CAPVT VII.

Iudicia repentinorum dolorum, hydropis, leucophlegmatiæ, diarrhœæ, voluuli, cephalalgiæ, ophthalmiæ, conuulsionis, tetani.

QVibus dolores derepente oriuntur, hypochondria sursum attolluntur; si dolores acerbi ad notham costam oriantur, his venæ sectio, & deorsum purgatio solutio fit, non enim locis inualidis vehemens febris inuadit. Hydrope detentis si aquosus humor per venas in aluum aut vesicam effluat, solutio contingit. Si pituita alba detento, diarrhœa succedat, solutio *contingit*. Vehementi diarrhœa laboranti; vomitus sponte superueniens, solutio *fit*. Qui diarrhœa multo tempore cum tussi detinentur, non liberantur, nisi dolores vehementes in pedes inciderint, si velit naturæ conuersio fieri, quum non ampliùs aluus profluxerit, aut inanis alui egestio corripuerit; flatus enim foràs prodeuntes superueniunt. Manifestum igitur nullum humorem habent, proinde ita habenti adhibere, tutò nosces. Si voluulus superueniat, vinum frigidum copiosum, meracum, paulatim propinato, quoad somnus, aut crurum dolor oboriatur; sed & febris aut dysenteria soluit. Capitis dolore obsesso, si pus per aures aut nares effluxerit, morbum soluit. Quibuscunque sanitate fruentibus derepentè capitis dolores obueniunt, confestimque

voce

voce priuantur, ac stertunt, intra dies septem A pereunt, nisi febris prehenderit. Ex vniuerso capite dolenti, quicunque ex superioribus locis doluerit, cucurbitulam admoueto. Ad coxendices & genua dolor, & asthma, quicquid horum contigerit soluit. Lippienti à diarrhœa corripi bonum. Conuulsione, aut tetano laboranti febris accedens morbum soluit. Si febre detentum conuulsio prehenderit, febris eodem die, aut postero, aut tertio desinit. Quando manibus & pedibus distentus in maniam incidit, si manuum venæ pulsant, faciesque robusta, nec non hypochondria non mollia, sed eleuata sint, diuturnus morbus est, absque conuulsione.

ἄφωνοι γίνονται, καὶ ῥέγκουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέραις, ἐὰν μὴ πυρετὸς ἐπιλάβῃ. κεφαλὴν περιωδυνέοντι ὅ,τι ἂν τῶν ἄνω χωρίων πονήσῃ, σικύην πρόσβαλε, λύει ὀδύνην ἐς ἰσχία, καὶ γούνατα, καὶ ἆσθμα, ὅ,τι ἂν τουτέων ᾖ. ὀφθαλμιῶντι, ὑπὸ διαῤῥοίης ἁλῶναι, ἀγαθόν. ὑπὸ σπασμοῦ, ἢ τετάνου ἐχομένῳ, πυρετὸς ἐπιγινόμενος, λύει τὸ νόσημα. ὑπὸ πυρετοῦ ἐχομένῳ, σπασμὸς ἢν λάβῃ, παύεται ὁ πυρετὸς αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ. ὁπόταν ξυντεταμένος τὰς χεῖρας, καὶ τοὺς πόδας, μανίην ἐμποιέει. ἢν αἱ φλέβες σφύζωσιν αἱ ἐν τῇσι χερσὶν, καὶ τὸ πρόσωπον ἐῤῥωμένον ᾖ, καὶ τὰ ὑποχόνδρια μὴ μαλακὰ, ἀλλὰ ἐπηρμένα ᾖ, χρονίη ἡ νοῦσος ἄνευ τοῦ σπασμοῦ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ, ΒΙΒΛΙΟΝ.

HIPPOCRATIS DE DIEBVS IVDICATORIIS LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὰς τῆς τέχνης ὑπάρχειν κρίσιας· τίνα δεῖ ἐπίστασθαι τὸν ἰατρὸν ὅπως κρίνῃ τὰς νόσους· περὶ ποικίλων σημείων τε καὶ παθῶν ἐξ ὧν γίνονται αἱ κρίσεις.

ARGVMENTVM LIBRI.

Artis Medicæ esse iudicia; quæ Medico, vt de morbis iudicia ferat, noscenda sint; de variis signis & affectibus ex quibus desumuntur iudicia.

CAPVT PRIMVM.

Quæ Medico noscenda ac aduertenda vt non fallatur in arte.

MAGNAM artis partem esse duco, posse de his quæ rectè scripta sunt explorationem inire. Qui enim hæc nouerit, iisque vtitur, is mihi in arte non multùm falli videtur. Equidem tempestatum anni & morborum constitutionem exactè addiscere oportet, & quinam quisque morbus bonus, quis periculosus, aut in constitutione, aut in morbo, quinam morbus longus sit, & lethalis; longus quinam salutaris; acutus quinam lethalis, acutus quinam salutaris. Ex his tum iudicatoriorum dierum series cõtemplanda est, tum etiam prædicendi facultas suppetit. Prætereaque ex his, quibus, & quando, & quamnam victus rationem præscribere oporteat, cognoscere licet. Maximum igitur in ægris qui victuri sunt signum est, si febris ardens, cæterique morbi eodem modo, præter naturam non fuerint. Nihil enim in his quæ sunt secundum naturam, neque formidandum, neque lethale contingit. Secundum verò, si ipsa etiam anni tempestas, vnà cum morbo mi-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ἅπερ δεῖ τὸν ἰατρὸν ἐπίστασθαί τε καὶ κατασκοπεῖσθαι, ὥστε μὴ σφάλλεσθαι κατὰ τὴν τέχνην.

ΜΕΓΑ μέρος ἡγέομαι τῆς τέχνης εἶναι, τὸ δύνασθαι κατασκοπέεσθαι περὶ τῶν γεγραμμένων ὀρθῶς. ὁ γὰρ γνοὺς, καὶ χρεόμενος τούτοισιν, οὐκ ἄν μοι δοκέει μέγα σφάλλεσθαι κατὰ τὴν τέχνην. δεῖ δὴ καταμανθάνειν τὴν κατάστασιν τῶν ὡρέων ἀκριβέως, καὶ τῶν νούσων. ἑκάστη ὅ, τι νόσημα ἀγαθὸν, καὶ ὅ, τι κινδυνῶδες, ἢ ἐν τῇ καταστάσει, ἢ ἐν τῇ νούσῳ, μακρὸν, ὅ, τι νόσημα, καὶ θανάσιμον. μακρὸν, ὅ, τι περιεστικόν. ὀξὺ, ὅ, τι θανάσιμον. ὀξὺ, ὅ, τι περιεστικόν. τάξιν τῶν κρισίμων ἐκ τουτέων σκοπεῖσθαι, καὶ τὸ προλέγειν ἐκ τούτων εὐπορέεται. ἔτι δὲ ἀπὸ τούτων εἰδέναι, οἷς, ὅτε, καὶ ὡς δεῖ διαιτῆν. μέγιστον τοίνυν σημεῖον ἐν τοῖσι μέλλουσι τῶν καμνόντων βιώσεσθαι, ἐὰν μὴ παρὰ φύσιν ᾖ ὁ καῦσος, καὶ τἄλλα δὲ νουσήματα ὡσαύτως. οὐδὲ γὰρ δεινὸν τῶν κατὰ φύσιν γίνεται, οὐδὲ θανατῶδες. δεύτερον δὲ ἐὰν αὐτή τε ἡ ὥρη τῷ νουσήματι

ξυμμαχήσῃ. ὡς γὰρ ἐπὶ τὸ πολὺ οὐ νικᾷ ἡ τοῦ ἀνθρώπου φύσις τὴν τοῦ ὅλου δύναμιν· ἔπειτα δὲ ἢν τὰ περὶ τὸ πρόσωπον ἰσχναίνηται, καὶ αἱ φλέβες αἱ ἐν τῇσι χερσὶ, καὶ ἐν τοῖσι κανθοῖσι, καὶ ἐπὶ τῇσιν ὀφρύσιν, ἡσυχίην ἔχωσι, πρότερον μὴ ἡσυχάζουσαι. τούτῳ δὲ ἢν ἡ φωνὴ ἡ ἀσθενεστέρη, καὶ λεπτοτέρη γίνηται, καὶ τὸ πνεῦμα μανότερον, καὶ λεπτότερον, ἐς τὴν ἐπιοῦσαν ἡμέρην ἄνεσις τῆς νούσου. ταῦτα οὖν χρὴ σκοπεῖν πρὸς τὰς κρίσιας, καὶ ἐς τὸ παραδίκρουν τῆς γλώσσης, ὥσπερ σιάλῳ λευκῷ ἐπαλείφεται, καὶ ἐν ἄκρῃ τῇ γλώσσῃ, ταὐτὸ τοῦτο γένηται. ἧσσον δέ. εἰ μὲν οὖν σμικρὰ ταῦτα εἴη, ἐς τὴν τρίτην ἄνεσις τῆς νούσου. ἢν δέ τι παχύτερον, αὔριον· ἢν δὲ παχύτερον, αὐθημερινόν. τοῦτο δὲ ὁκόταν τῶν ὀφθαλμῶν τὰ λευκὰ ἐν ἀρχῇ μὲν τῆς νούσου, ἀνάγκη μελαίνεσθαι, ἐὰν ἰσχύῃ ἡ νόσος. ταῦτα οὖν καθαρὰ γινόμενα, τελείην ὑγείην δηλοῖ. ἀτρέμα μὲν, βραδύτερον· σφόδρα δὲ γινόμενον, θᾶσσον.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περιγραφή τε, καὶ αἴτια, καὶ σημεῖα, καὶ συμπτώματα τῶν ὀξέων νοσημάτων ἐπὶ τὸ ἧπαρ ἐπιρρεόντων, ἅπερ ἐν ἀποδημίῃ καὶ ἐρήμῃ ὁδῷ περιπίπτει.

ΤΑ δὲ ὀξέα τῶν νοσημάτων γίνεται ἀπὸ χολῆς, ὁκόταν ἐπὶ τὸ ἧπαρ ἐπιρρύῃ, καὶ ἐς τὴν κεφαλὴν κατάστῃ. τάδε οὖν πάσχει τὸ ἧπαρ, οἰδεῖ, καὶ ἀναπτύσσεται πρὸς τὰς φρένας ὑπὸ τοῦ οἰδήματος, καὶ εὐθὺς ἐς τὴν κεφαλὴν ὀδύνη ἐμπίπτει· μάλιστα δὲ ἐς τοὺς κροτάφους, καὶ τοῖσί τε ὠσὶν οὐκ ὀξὺ ἀκούει· πολλάκις δὲ καὶ τοῖσιν ὀφθαλμοῖσιν οὐχ ὁρῇ, καὶ φρίκη, καὶ πυρετὸς ἐπιλαμβάνει. ταῦτα μὲν οὖν κατ' ἀρχὰς τοῦ νοσήματος αὐτέῳ γίνεται διαλιμπάνοντα τότε μὲν σφόδρα, τότε δὲ ἧσσον. ὁκόσῳ δ' ἂν ὁ χρόνος τῆς νούσου προΐῃ, ὅ, τε πόνος πλείων ἐν τῷ σώματι, καὶ αἱ κόραι σκίδνανται τῶν ὀφθαλμῶν, καὶ σκιαυγεῖ· καὶ ἢν προσφέρῃς τὸν δάκτυλον πρὸς τοὺς ὀφθαλμοὺς οὐκ αἰσθήσεται διὰ τὸ μὴ ὁρῆν. τοῦτο δ' ἂν γνοίης ὅτι οὐχ ὁρῇ, οὐ γὰρ σκαρδαμύσσει προσφερομένου τοῦ δακτύλου, καὶ τὰς κροκίδας ἀφαιρεῖ ἀπὸ τῶν ἱματίων, ἢν περ ἴδῃ, δοκέων φθεῖρας εἶναι. καὶ ὁκόταν τὸ ἧπαρ μᾶλλον ἀναπτυχθῇ πρὸς τὰς φρένας, παραφρονεῖ· καὶ προσφαίνεσθαί οἱ δοκεῖ πρὸ τῶν ὀφθαλμῶν, ἑρπετὰ, καὶ ἄλλα παντοδαπὰ θηρία, καὶ ὁπλίτας μαχομένους, καὶ αὐτὸς αὐτοῖς δοκεῖ μάχεσθαι. καὶ τοιαῦτα λέγει, ὡς ὁρέων, καὶ ἐξέρχεται, καὶ ἀπειλεῖ, ἢν μή τις αὐτὸν ἐῴη διεξιέναι. καὶ ἢν ἀναστῇ, οὐ δύναται αἴρειν τὰ σκέλεα, ἀλλὰ πίπτει, οἱ πόδες δὲ γίνονται αἰεὶ ψυχροί· καὶ ὁκόταν καθεύδῃ, ἀναΐσσει ἀπὸ τοῦ ὕπνου, καὶ ἐνύπνια ὁρῇ φοβερά. τοῦτο δὲ γινώσκομεν, ὅτι ἀπὸ ἐνυπνίων ἀναΐσσει καὶ φοβέεται, ὅταν ἔννοος γένηται. ἀφηγεῖται γὰρ τὰ ἐνύπνια τοιαῦτα ὁκοῖα καὶ τῷ σώματι ἐποίεέ τε, καὶ τῇ γλώσσῃ ἔλεγε. ταῦτα μὲν οὖν ὧδε πάσχει· ἔστι δ' ὅτε καὶ ἄφωνος γίνεται ὅλην τὴν ἡμέρην, καὶ τὴν νύκτα, ἀναπνέων πουλὺ ἀθρόον πνεῦμα. ὅταν δὲ παύσηται παραφρονέων, αὐθὺς ἔννοος γίνεται· καὶ ἢν ἐρωτᾷ τις αὐτὸν, ὀρθῶς ἀποκρίνεται, καὶ γινώσκει πάντα τὰ λεγόμενα. εἶτα πάλιν ὀλίγῳ ὕστερον, ἐν τοῖσιν αὐτοῖσιν ἄλγεσι κεῖται. αὕτη ἡ νόσος, περιπίπτει μάλιστα ἐν ἀποδημίῃ, καὶ ἤν πη ἐρήμην ὁδὸν βαδίσῃ. λαμβάνει δὲ καὶ ἄλλως.

nimè repugnet. Etenim plerunque hominis natura vniuersi vim non superat. Deinde si faciei partes extenuentur, & venæ in manibus, & oculorum angulis, ac superciliis quietem habeant, quum antea minimè quiescerent. Huic si vox imbecillior & exilior, spiritus rarior, ac tenuior fuerit, in sequentem diem morbi remissio contingit. Hæc igitur ad iudicationes consideranda sunt, & si linguæ bifurculum velut saliua alba obducitur, sique in summa lingua hoc idem contigerit, minùs tamen. Si quidem igitur parua hæc extiterint, ad tertium diem morbi remissio *expectanda est*, si verò aliquanto crassius, in cristinum; si autem adhuc crassius, eodem ipso die. Quinetiam oculorum alba per initia quidem morbi nigrescere necesse est, si morbus inualuerit. Hæc igitur si pura existant, perfectam sanitatem, remissè quidem, tardiùs, vehementer verò, citiùs contingere denotant.

CAPVT II.

Acutorum morborum hepar obsidentium quales peregrinatio & castra concitant, descriptio, causæ, signa, symptomata.

AT verò acuti morbi ex bile oriuntur, quum ad iecur confluxerit, & ad caput peruenerit. Hæc igitur patitur iecur, intumescit, & præ tumore ad septum transuersum expanditur, statimque ad caput, maximè verò ad tempora dolor irruit, neque auribus acutè audit; sæpè verò oculis non videt, horrorque & febris inuadit. Hæc igitur per morbi initia ei contingunt, & quandoque vehementer, quandoque minùs intermittunt; quóque magis morbi tempus processerit, eò corporis dolor maior est, oculorum pupillæ dissipantur, ac cæcutiunt, sique digitum ad oculos admoueris, non percipiet, quòd non videat. Istud autem quòd non videat hinc cognoueris; non enim dum digitus admouetur nictat; & floccos ex stragulis detrahit, si quos viderit, pediculos esse ratus. Quumque iecur ad septum transuersum magis explicatum fuerit, delirat; sibique ob oculos reptilia, & varias cuiusuis generis feras obuersari existimat, & milites armatos pugnantes, isque in ipsos pugnare sibi videtur; & tanquam videat eiusmodi loquitur, irruit, minaturque si quis eum irrumpere non permittat. Et si surrexerit, crura attollere nequit, sed cadit, pedesque perpetuò fiunt frigidi; quumque dormierit, à somno exilit, horrendaque insomnia videt. Quòd autem per somnos exiliat & terreatur, cognoscimus quum ad mentem rediit. Insomnia enim eiusmodi exponit, & quæ corpore gessit, quæque lingua loquutus est. Istaque eiusmodi patitur; interdum verò per totum diem ac noctem voce priuatur, multum confertum spiritum respirans, quum autem delirium cessauit, statim ad mentem redit, & si quis eum interroget, rectè respondet & omnia quæ dicuntur intelligit; deinde rursus paulò iisdem prostratus doloribus decumbit. Hic morbus potissimù in peregrinatione contingit; & sicubi desertas vias quis adierit. Sed & aliter inuadit.

CAPVT III.

Tetani triplicis descriptio, iudicatio.

TEtani duo vel tres; si quidem vulneri tetanus succedat, his æger afficitur; maxillæ velut ligna rigescunt, os aperire non potest, oculi frequenter illachrymantur & contrahuntur, dorsum rigidum est, neque crura, neque manus, neque spinam inflectere potest; Quum verò lethalis fuerit, potus & edulia quæ priùs deuorauit, per nares interdum exeunt. Opisthotonus reliqua eadem vt plurimùm inducit. Oritur autem quum ad posteriores ceruicis tendones ægrotarit; ægrotat autem aut ex angina, aut vua, aut locis ad tonsillas suppuratis. Quibusdam etiam ex capite, quum febres superuenerint, conuulsio contingit. Iam verò etiam ex vulneribus in posteriora distrahitur, & præ dolore dorsum & pectus rigescit, & lamentatur. Is vehementer conuellitur, vt vix ab iis qui adsunt contineatur; quin è lecto excidat. Alius tetanus minùs est prioribus lethalis; ex iisdem autem oritur, eodemque modo totum corpus conuellitur. At febris ardens non similiter vt prædicta oritur. Semel enim natura sua prehendit, vt febricitare necesse fit. Sitis igitur multa, & vehemens febris hominem detinet; lingua autem exasperata finditur, & sicca fit; colorque ipsius primùm quidem pallidus est, vti consueuit, procedente verò tempore nigrescit. Ac si quidem per initia nigrescat, celeriores iudicationes contingunt; si postea tardiores.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Περιγραφή τε καὶ κρίσις τοῦ τριττοῦ τετάνου.

ΤΈτανοι δύο ἢ τρεῖς, ἢν μὲν ἐπὶ τρώματι γίνηται, πάσχει τάδε· αἱ γνάθοι πήγνυνται, ὥσπερ ξύλα· καὶ τὸ στόμα διοίγειν οὐ δύνανται, καὶ οἱ ὀφθαλμοὶ δακρύουσι θαμινὰ καὶ ἑλκοῦνται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύνανται ξυγκάμπτειν, οὐδὲ τὰς χεῖρας, καὶ τὴν ῥάχιν· ὁκόταν δὲ θανατώδης ᾖ, τὸ ποτὸν καὶ τὰ βρώματα ἃ πρότερον ἐβεβρώκεεν, ἀνὰ τὰς ῥῖνας ἐνίοτε ἔρχεται. ὁ δὲ ὀπισθότονος, τὰ μὲν ἄλλα πάσχει διὰ πλῆθος τὰ αὐτά. γίνεται δὲ ὁκόταν τοὺς ἐν τῷ αὐχένι τένοντας τοὺς ὄπισθεν νοσήσῃ. νοσεῖ δέ, ἢ ἀπὸ κυνάγχης, ἢ ἀπὸ σταφυλῆς, ἢ τῶν ἀντιβραγχίων ἐμπύων γενομένων. ἐνίοισι δὲ καὶ ἀπὸ κεφαλῆς πυρετῶν ἐπιγεγενημένων, σπασμὸς ἐπιγίνεται. ἤδη δὲ καὶ ὑπὸ τρωμάτων οὗτος ἕλκεται εἰς τοὔπισθεν, καὶ ὑπὸ τῆς ὀδύνης τὸ μετάφρενον πέπηγε, καὶ τὰ στήθεα οἰμώζει. οὗτος σπᾶται σφόδρα, ὥστε μόλις κατέχεσθαι ὑπὸ τῶν παρεόντων, μὴ ἐκ τῆς κλίνης ἐκπίπτειν. ὁ δὲ τέτανος ἧσσον θανατώδης τῶν πρόσθεν, γίνεται δὲ ἀπὸ τῶν αὐτέων, καὶ σπᾶται πᾶν τὸ σῶμα ὁμοίως. καῦσος δὲ τοῖσι προειρημένοισιν οὐχ ὁμοίως γίνεται. φύσει γὰρ ἅπαξ, ὥς τ᾽ ἀναγκάζεσθαι πυρέσσεσθαι. δίψα μὲν οὖν πολλὴ ἔχει τὸν ἄνθρωπον, καὶ πυρετὸς σφοδρός· γλῶσσα δὲ ῥήγνυται, τετρηχυσμένη, καὶ ξηρὴ γίνεται· καὶ τὸ χρῶμα αὐτοῦ, τὸ μὲν πρῶτον ὠχρὸν ἐστὶν ὥσπερ εἴωθε, προϊόντος δὲ τοῦ χρόνου, μελαίνεται. καὶ ἢν μὲν ἐν ἀρχῇσι μελαίνοιτο, θάσσονες αἱ κρίσιές εἰσιν· ἢν δὲ ὕστερον, χρονιώτεραι.

CAPVT IV.

Ischiadis & icteri dignotio, iudicatio.

COxendicum morbi plerisque ex his potissimùm causis oriuntur, si quis diutiùs in sole versetur, & coxendices incaluerint, humorque qui articulis inest ab ardore resiccatus fuerit. Quòd autem resiccetur & concrescat, id magnum est indicium. Æger enim articulos præ dolore articulorum inflectere ac mouere non potest, & eo quòd spinæ vertebræ constrictæ sunt. Dolet autem magis lumbos & vertebras, quæ ex obliquo coxendicum sitæ sunt, & genua. Dolor autem acutus & æstuosus plurimo tempore in inguinibus, sed etiam in coxendicibus insistit, & si quis eum erigat, non transmouetur, ingemiscit autem quàm maximè potest præ dolore. Interdum verò etiam conuulsio, & rigor, & febris superuenit. Oritur autem à bile & pituita, oritur quoque etiam à sanguine, & dolores ab omnibus morbis sunt similes; & rigor, & febris leuis interdum prehendit. Morbus regius acutus est & qui celeriter enecat, color totus malicorium refert; vehementer autem ex viridi pallescit, & quemadmodum lacerti viridiores; similis ei cutis est, & in vrina subsidet velut eruum fuluum, & febris & horror leuis detinet. Interdum verò etiam vestem stragulam habere non sustinet, sed matutino tempore ieiunus intus mordetur & raditur, deinde vt plurimùm viscera mussitant, & si quis eum erigat, aut alloquatur, non sustinet. Hic ferè intra dies quatuordecim moritur; hos si effugerit, conualescit.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Διάγνωσίς τε καὶ κρίσις τῆς τε ἰσχιάδος καὶ τοῦ ἰκτέρου.

ἸΣχιάδες δὲ ἀπὸ τῶνδε μάλιστα γίνονται τοῖσι πολλοῖσιν, ἢν ἔλθῃ ἐν ἡλίῳ πουλὺν χρόνον, καὶ τὰ ἰσχία διαθερμανθῇ, καὶ τὸ ὑγρὸν ἀναξηρανθῇ, τὸ ἐνεὸν τοῖς ἄρθροισιν, ὑπὸ τοῦ καύματος. ὡς δὴ ἀναξηραίνεται καὶ πήγνυται, τόδε μέγα τεκμήριον. ὁ γὰρ νοσέων, ἐντρέφεσθαι καὶ κινέειν τὰ ἄρθρα οὐ δύναται ὑπὸ τῆς ἀλγηδόνος τῶν ἄρθρων, καὶ τοῦ ξυμπεπηγέναι τοὺς σπονδύλους. ἀλγέει δὲ μᾶλλον τὴν ὀσφῦν, καὶ τοὺς σπονδύλους, τοὺς ἐκ τοῦ πλαγίου τῶν ἰσχίων, καὶ τὰ γούνατα. ἵσταται δὲ ἡ ὀδύνη πλεῖστον χρόνον ἐν τοῖσι βουβῶσιν, ἀλλὰ καὶ ἐν τοῖσιν ἰσχίοισιν, ὀξείη καὶ καυματώδης. καὶ ἤν τις αὐτὸν ἀνιστῇ, οὐ μετακινέεται. οἰμώζει δὲ ὑπὸ τῆς ἀλγηδόνος, ὅσον ἂν μέγιστον ὀδυνῆται. ἐνίοτε δὲ καὶ σπασμὸς ἐπιγίνεται, καὶ ῥῖγος, καὶ πυρετός. γίνεται δὲ ἀπὸ χολῆς καὶ φλέγματος, γίνεται δὲ καὶ ἀπὸ αἵματος, καὶ ὀδύναι παραπλήσιοι ἀπὸ πάντων τῶν νουσημάτων· καὶ ῥῖγος, καὶ πυρετὸς ἐνίοτε δὲ ἐπιλαμβάνει βληχρός. ἀλλὰ χρὴ ὧδε μελετᾶν. Ἴκτερος δὲ ἐστὶν ὀξὺς καὶ ταχέως ἀποκτείνων, ἡ χροιὴ δὲ ὅλη σιδιώδης· σφόδρα δὲ ἐστὶ χλωροτέρη, καθάπερ οἱ σαῦροι οἱ χλωρότεροι· παρόμοιος δέ οἱ ὁ χρώς, καὶ ἐν τῷ οὔρῳ ὑφίσταται οἷον ὀρόβιον πυῤῥόν· καὶ πυρετός, καὶ φρίκη βληχρὴ ἔχει. ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται καὶ ξύεται τὰ ἑωθινά, ἄσιτος ἐὼν τὰ ἔνδοθεν. ἔπειτα μύζει τὰ σπλάγχνα, ὡς ἐπὶ τὸ πολύ. καὶ ὁκόταν ἀνιστῇ τις αὐτόν, ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. οὗτος ὡς ἐπὶ τὸ πολὺ θνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων. ταύτας δὲ διαφυγών, ὑγιαίνει.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Διάγνωσίς τε καὶ κρίσιμοι ἡμέραι τῆς τε περιπνευμονίας, καὶ τῶν πυρετῶν.

Ἡ Δὲ περιπλευμονίη, τοιάδε ποιέει. πυρετός τε ἰσχυρὸς ἴσχει, καὶ πνεῦμα πυκνὸν, καὶ θερμὸν ἀναπνέει. καὶ ἀπορίη, καὶ ἀδυναμίη ἔχει, καὶ ῥιπτασμὸς, καὶ ὀδύναι περὶ τὴν ὠμοπλάτην, καὶ τὴν κληῖδα, καὶ τὸν τιτθὸν, καὶ βάρος ἐν τοῖσι στήθεσι, καὶ παραφροσύναι. ἔστι δ' ὅτε καὶ ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξηται βήσσειν. πολυχρονιωτέρη δὲ ἐκείνης, καὶ χαλεπωτέρη. τὸ δὲ σίαλον λευκὸν, καὶ ἀφρῶδες πτύει τὸ πρῶτον, ἡ δὲ γλῶσσα ξανθὴ, προϊόντος δὲ τοῦ χρόνου μελαίνεται. ἢν μὲν οὖν ἐν ἀρχῇ μελαίνοιτο, θᾶσσον αἱ ἀπαλλαγαί· ἢν δὲ ὕστερον, σχολαίτεραι. τελευτῶσα δὲ καὶ ῥήγνυται ἡ γλῶσσα, καὶ ἢν προσθῇς τὸν δάκτυλον, ἔχεται. τὴν δὲ ἀπαλλαγὴν τῆς νούσου, σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τὸ ἐλάχιστον· τὸ πλεῖστον δὲ, εἴκοσι καὶ μίαν· καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα, καὶ καθαίρεται αἷμα τῇ βηχί· τὸ μὲν πρῶτον, πουλὺ καὶ ἀφρῶδες σίαλον· ἑβδόμῃ δὲ καὶ ὀγδόῃ, ὅταν ὁ πυρετὸς ἀκμάζῃ, καὶ ὑγρὰ εἴη ἡ περιπλευμονίη, παχύτερον· ἢν δὲ μὴ, οὔ. ἐνάτῃ δὲ καὶ δεκάτῃ, ὑπόχλωρον καὶ ὕφαιμον· δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης, πουλὺ καὶ πυῶδες. ὧν ὑγραί εἰσιν αἱ φυσικαὶ διαθέσιες τοῦ σώματος, καὶ ἡ νοῦσος ἰσχυρή. ὧν δὲ ἥτε φύσις, καὶ ἡ στάσις τῆς νόσου ξηρὴ, ἧσσον οὗτοι. περὶ δὲ κρισίμων ἡμερέων, ἤδη μέν μοι καὶ πρόσθεν λέλεκται. κρίνονται δὲ οἱ πυρετοὶ, τεταρταῖοι, ἑβδομαῖοι, ἑνδεκαταῖοι, τεσσαρεσκαιδεκαταῖοι, ἑπτακαιδεκαταῖοι εἰκοστῇ, πρὸς τῇ μιᾷ. ἐκ δὲ τούτων τῶν ὀξέων, τριακοσταῖοι· εἶτα τεσσαρακοσταῖοι· εἶτα ἑξηκοσταῖοι. ὅταν δὲ τούτους τοὺς ἀριθμοὺς ὑπερβάλλῃ, χρονίη ἤδη γίνεται ἡ κατάστασις τῶν πυρετῶν.

CAPVT V.

Peripneumoniæ & febrium diagnosis & iudicatorij dies.

Peripneumonia hæc efficit, febris vehemens detinet; densum & calidum spiritum respirat; & anxietudo, & impotentia vexat, & iactatio, & dolores ad scapulas, clauiculas, & mammam, in pectore pondus, & deliria. Interdum verò quoad tussire cœperit, sine dolore est, sed illa diuturnior & molestior est. Sputum autem album & spumosum primùm spuit, lingua verò flaua est, sed procedente tempore nigrescit. Si igitur per initia nigrescat, celeriores sunt liberationes; si verò postea, tardiores. Tandem etiam lingua finditur, & si digitum admoueris, adhærescit. Morbi autem liberationem, peræque ac in pleuritide lingua denotat. Hæc contingunt diebus, vt minimùm, quatuordecim; vt plurimùm verò, vno & viginti; quo tempore vehementer tussit, vnaque cum tussi sanguinem reiicit; primùm quidem copiosum sputum & spumosum; at septimo ac octauo die quum febris in vigore, & humida pulmonis inflammatio fuerit, crassius; alioqui minimè; nono verò & decimo die, aliquantulum ex viridi pallescens & subcruentum; duodecimo autem ad decimumquartum vsque, copiosum & purulentum. Quibus à natura humidæ insunt corporis affectiones, iis vehementior morbus est. At quibus natura & morbi constitutio sicca est, hi minùs *conflictantur*. Atque de iudicatoriis diebus iam quidem etiam anteà à me dictum est. Iudicantur autem febres quarto die, septimo, vndecimo, decimoquarto, decimoseptimo, vno & vigesimo. Ex his verò acutis, trigesimo; deinde quadragesimo; postea sexagesimo. Quum verò hos numeros excesserint, diuturna iam euadit febrium constitutio.

ΓΑΛΗΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΕΩΝ ΒΙΒΛΙΑ ΤΡΙΑ. ΠΡΩΤΟΝ.

GALENI DE CRISIBVS LIBRI TRES. PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Α' ΒΙΒΛΙΩι.

Διάγνωσις τῶν εἴτε παρόντων, εἴτ' ἐσομένων καιρῶν τῶν νοσημάτων· καὶ ἐξήγησις τῆς ἁπάντων τῶν σημείων φύσεως, ἐν οἷς ἡ πᾶσα τῆς τῶν νόσων κρίσεως πρόγνωσις συνίσταται.

ARGVMENTVM LIBRI.

Tempora morborum dignoscenda, tum præsentia, tum futura; ac explicatio naturæ signorum omnium, in quibus vniuersa iudicationis morborum prænotio consistit.

CAPVT PRIMVM.

Quid hoc opere agendum.

SIVE subitam in morbo mutationem, A siue ad meliorem statum inclinationem solam, siue perturbationem, quæ eas antecedit, siue omnem morbi solutionem, siue eam tantum, quæ bona sit, Crisim velit quis appellare, non est mihi, nisi obiter, hoc in loco distinguere propositum: sed, quo pacto hæc omnia quispiam optimè prænoscat, percensere decreui. Optimum autem prænotionis eorum principium, quod etiam futuri status: sic autem appellatur vehementissimum totius morbi tempus.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τῷδε τῷ συγγράμματι λεκτέον.

ΕΙΤΕ τὴν ἀθρόαν ἐν νόσῳ μεταβολὴν, εἴτε τὴν ἐπὶ τὸ βέλτιον ῥοπὴν μόνην, εἴτε τὴν προηγουμένην αὐτῆς ταραχὴν, εἴτε καὶ τὴν λύσιν ἅπασαν τοῦ νοσήματος, εἴτε καὶ ταύτης μόνην τὴν ἀγαθὴν ἐθέλοι τις ὀνομάζειν κρίσιν, οὐ πρόκειταί μοι διαιρεῖσθαι τανῦν, ὅτι μὴ πάρεργον· ἀλλ' ὡς ἄν τις κάλλιστα προγινώσκοι τὰ τοιαῦτα σύμπτωτα, διελθεῖν ἔγνωκα. ἀρίστη δ' ἀρχὴ τῆς προγνώσεως αὐτῶν, ἥπερ δὴ καὶ τῆς ἐσομένης ἀκμῆς. οὕτω δὲ προσαγορεύεται τὸ σφοδρότατον μέρος ὅλης B τῆς νόσου.

CAPVT II.

Quot morbi tempora; ac quomodo iudicare atque distinguere tempora oporteat.

SVnt enim omnia morborum tempora quatuor numero, principium, incrementum, status, & declinatio. Quidam verò morbi ob eorum malignitatem, atque ob ægrotantis imbecillitatem, statim in tempore incrementi hominem occidunt; sicut & quidam alij in ipso statu. An verò etiam in declinationis tempore aliquis morbus possit occidere, non sine ratione quæsitũ est; sed de hoc procedente sermone determinabitur. Has autem quatuor partes quidam etiam tempora vniuersi morbi appellant. Eandem autem ob causam tempora etiam vocant vniuersalia, vt quæ à particularibus differant, in quæ singulæ accessiones diuiduntur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Πόσοι οἱ τῶν νόσων καιροί, καὶ πῶς χρὴ τοὺς αὐτοὺς καιροὺς κρίνειν τε καὶ διορίζεσθαι.

ΤΕτταρα μὲν γὰρ ἅπαντα τὰ μόρια τῶν νόσων ἐστίν. ἀρχὴ, καὶ αὔξησις, καὶ ἀκμὴ, καὶ παρακμή. φθάνουσι δ' ἔνιαι τῶν νόσων, διά τε τὴν σφῶν αὐτῶν κακοήθειαν, καὶ διὰ τὴν τοῦ κάμνοντος ἀδυναμίαν, ἐν τῷ τῆς ἐπιδόσεως χρόνῳ διαφθεῖραι τὸν ἄνθρωπον, ὥσπερ ἕτεραί τινες ἐν τῷ τῆς ἀκμῆς. C εἰ δὲ κἀν τῷ τῆς παρακμῆς χρόνῳ δύναιτό τις ἀποκτεῖναι νόσος, εὐλόγως ἐζήτηται. περὶ μὲν δὴ τούτου, προϊόντος τοῦ λόγου διαιρεθήσεται. τὰ δὲ οὖν τέτταρα μόρια ταῦτα, καλοῦσι μὲν ἔνιοι καὶ καιροὺς ὅλου τοῦ νοσήματος· δι' αὐτὸ δὲ τοῦτο, καὶ καθόλου καιροὺς ὀνομάζουσιν, ὡς ἂν διαφέροντας δηλονότι τῶν κατὰ μέρος, εἰς οὓς ἕκαστος τῶν παροξυσμῶν διαιρεῖται.

ὁρίζονται δὲ οὐχ ἡμερῶν, ἢ ὡρῶν ἀριθμῷ, καθάπερ ἂν οἰηθείη τις. οὐ γὰρ ἐνδέχεται τὴν ἐν τέτταρσιν ἡμέραις λυθεῖσαν νόσον, ἰσόχρονα κεκτῆσθαι τὰ μόρια τῇ μέχρι τῆς τεσσαρακοστῆς ἐκταθείσῃ. καὶ μέχρι μὲν τοῦδε, σχεδὸν ἅπαντες ὁμολογοῦσιν ἀλλήλοις. ὅπως δὲ χρὴ κρίνειν τε, καὶ διορίζειν τοὺς εἰρημένους καιρούς, οὐκ ἔτι ἐν τῷδε συμφωνοῦσιν ἀλλήλοις· ἀλλ' οἱ μὲν, εἰ προλαμβάνουσιν, ἢ ὑστερίζουσιν οἱ παροξυσμοὶ, σκοποῦσιν. οἱ δὲ, εἰς τὸ μῆκος αὐτῶν ἀποβλέπουσιν. οἱ δὲ, εἰς τὸ μέγεθος, ὅπερ δὴ καὶ σφοδρότητα προσαγορεύουσιν. ἔνιοι δὲ, τὰ αὐτὰ ταῦτα καὶ κατὰ τὰς ἀνέσεις ἐπισκοποῦνται. κἄπειτα πρὸς ἀλλήλους ἐρίζουσιν. ἐνὸν ἅπαντά τε συνθεῖναι τὰ λελεγμένα, καὶ πρὸς αὐτοῖς, ἕτερα τὰ νῦν ῥηθησόμενα, μόγις γὰρ ἂν οὕτως τις ἀκριβῆ στοχασμὸν ποιήσαιτο τοῦ καθεστῶτος καιροῦ. τὸ δὲ παραλιπεῖν ὁποιονοῦν ἐξ αὐτῶν ἄσκεπτον, εἰς τοσοῦτόν ἐστι βλάπτον τὴν πρόγνωσιν, εἰς ὅσον ἂν, ἢ μεγέθους, ἢ δυνάμεως ἥκει τὸ παραλειπόμενον.

Definiuntur autem non dierum vel horarum (vt quispiam existimauerit) numero; neque enim fieri potest, vt morbus qui in quatuor diebus sit finiturus, æqualia habeat tempora partium cum eo, qui vsque ad quadragesimum diem debeat extendi. Et omnes quidem hucusque consentiunt. Quomodo autem iudicare, atque distinguere huiusmodi tempora oporteat, non etiam in hoc omnes inter se consentiunt; sed nonnulli quidem, si anticipent, aut cunctentur accessiones, cōsiderant; hi verò ad earum longitudinem respiciunt; alij ad magnitudinem, quam etiam vehementiam nominant; quidam & hæc ipsa in remissionibus considerant; deinceps inuicem altercantur; quum liceat, quæ diximus omnia, coniungere, ac præterea alia, quæ nunc dicentur; hac enim via vix quispiam exquisitam faceret constituti temporis coniecturam. Si verò quidpiam ex his indiscussum prætermittatur, tantum præcognitioni nocebit, quantum vel magnitudinis, vel virium, quod prætermittitur, obtinebit.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ διαγνώσεως τῆς τε ἀκμῆς, καὶ τῆς αὐξήσεως πάσης τῆς νόσου.

Εἰ τοίνυν ἐπιδίδωσιν ἡ νόσος, οὐ μόνον ἐν τῷ προλαμβάνειν τοὺς παροξυσμοὺς τεκμαίρεσθαι προσήκει, ἀλλὰ καὶ τὸ μῆκος αὐτῶν ἐπισκοπεῖσθαι χρὴ, καὶ τὸ μέγεθος, καὶ τὸ ἦθος τὸ μετὰ συμπτωμάτων, εἰ τύχῃ, ἢ ἄνευ τούτων. ὥσπερ οὖν κἀπὶ τοῦ διαλείμματός τε καὶ τῆς παρακμῆς, τὰ αὐτὰ ταῦτα θεωρεῖν ἀξιῶ. καλῶ δὲ, διάλειμμα μὲν, ἐπειδὰν εἰς ἀπυρεξίαν ὁ παροξυσμὸς παύηται. παρακμὴν δὲ, τὸ μετ' αὐτὴν ἀκμὴν ἅπαν αὐτοῦ μέρος, ἕως τῆς ἀρχῆς τοῦ δευτέρου παροξυσμοῦ. τὸ γάρ τοι προλαμβάνειν αὐτὸ καθ' ἑαυτὸ μόνον, οὐχ ἱκανὸν αὐξήσεως σημεῖον ~~ὑπάρχει~~ ἐστιν, ἰδιότητι πολλάκις ἑπόμενον νόσου μᾶλλον, ἢ διὰ τὴν ἀνάβασιν αὐτῆς γιγνόμενον. ἀμέλει καὶ τριταῖαί τινες ἤδη, καὶ τεταρταῖαι, καὶ ἀμφημεριναὶ περίοδοι, μέχρι παντελοῦς λύσεως, οὕτως ὤφθησαν προλαμβάνουσαι. καὶ καλεῖν γε τοῖς ἰατροῖς ἔθος ἐστὶ τοὺς τοιούτους τύπους, προληπτικούς, ὥσπερ ἑτέρους, ὑστερητικούς. οἳ ἂν ἀπ' ἀρχῆς εὐθὺς ἐπιλαμβάνωσί τι τοῦ μέλλοντος χρόνου. ἀλλά τι κἀπὶ τούτων τὸ τῆς ἀναλογίας πλέον ἐπιλαβεῖν, ἢ προλαβεῖν, τὸ μὲν, παρακμῆς. τὸ δ' αὐξήσεως εἶναι δοκεῖ γνώρισμα. τὸ δὲ ἁπλῶς προλαμβάνειν, ἢ ὑστερίζειν, οὐδετέρου. σκοπεῖσθαι δὲ προσήκει οὐ τοῦτο μόνον, εἰ προὔλαβεν ὁ δεύτερος παροξυσμὸς τῆς συνήθους ὥρας, ἀλλ' εἰ καὶ τὸ μῆκος αὐτοῦ τοῦ χρόνου ταὐτὸν, ἢ τὸ μέγεθος ἴσον. ἢ εἰ νῦν κακοηθέστερος, ἢ ἁπλούστερος ἐγένετο. τὰ δ' αὐτὰ ταῦτα, κἀπὶ τῶν διαλειμμάτων τε καὶ τῶν παρακμῶν, ἐπισκοπεῖσθαι χρή. τὸ μὲν δὴ μῆκος τοῦ χρόνου, ῥᾷστον καταμαθεῖν. τὸ μέγεθος δὲ, ὅπερ καὶ σφοδρότητα καλοῦσι. καὶ μέντοι καὶ τὸ ἦθος, ὅπερ καὶ τρόπον ὀνομάζουσιν ἔκ τε τῆς οἰκείας τοῦ νοσήματος ἰδέας θεωρεῖν, κἀκ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων. ἐκ μὲν τῆς οἰκείας ἰδέας τοῦ νοσήματος, εἰς τὰ συμπληροῦντα τὴν ἰδίαν αὐτοῦ φύσιν ἀποβλέποντα. καθάπερ, εἰ τύχῃ, ἐπὶ πλευρίτιδος, εἴς τε τὸ νυγματῶδες ἄλγημα τῆς πλευρᾶς, καὶ τὸν ὀξὺν πυρετὸν, καὶ τὴν βῆχα, καὶ δύσπνοιαν. ἐκ δὲ αὖ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων, εἰ πολλά, καὶ πολυχρόνια, καὶ ἰσχυρά, καὶ κακοήθη γίνοιτο. ἢ τοὐναντίον, ὀλίγα, καὶ ὀλιγοχρόνια, καὶ μικρά, καὶ ἁπλᾶ.

CAPVT III.

De ratione status & incrementi vniuersi morbi dignoscendi.

Nunquid igitur morbus augeatur, non ex eo tantum conijcere oporteat, quod accessiones anticipent; sed etiam earum longitudinem oportet annotare, & magnitudinem quoque, ac morem, qui cum symptomatibus, verbi gratia, vel sine his, euenit; sicut etiam in intermissione & declinatione hæc eadem existimo consideranda. Voco autem intermissionem quando febris in quietem desierit; declinationem, omnem eius partem, quæ statum ipsum subsequitur vsque ad secundæ accessionis principium. Nam anticipatio sola per se ipsam non est sufficiens signum incrementi, quod sępè morbi proprietatem cōsequitur potius, quàm eius incrementū; quum & quartani, & tertiani, & quotidiani quidā circuitus vsque ad integram solutionē ita anticipare visi fuerint. Cōsueuerunt autem medici, tales typos, anticipantes nominare; sicut alios vocant tardantes, quicunque statim ab initio futuri temporis aliquid posteriùs assumunt. Sed & in his plus, quàm proportio exigit, vel anticipare, vel cunctari, alterum incremēti, alterum declinationis, videtur esse indicium; simpliciter autem anticipare, vel cunctari, neutrius. Conuenit autem non solùm aduertere, nunquid secunda accessio consuetam anticipauerit horam, sed nunquid etiam longitudo temporis eadem, aut magnitudo æqualis; aut, quæ nunc adest, sit malignior, aut simplicior. Hæc ipsa etiam sunt in intermissionibus, & declinationibus inspicienda. Longitudinem quidem temporis facillimum est cognoscere; magnitudinem verò, quam & vehementiam vocant, & morem, quem etiam modum appellant, tum ex propria morbi specie, tum ex superuenientibus ei symptomatibus spectanda censeo. Ex propria quidem morbi specie, ea quæ propriam ipsius complent naturam, contemplando; veluti, exempli causa, in pleuritide, ad lateris dolorem pungentem, & febrem acutam, & tussim, & spirandi difficultatem. Ex superuenientibus verò symptomatibus, si multa, si diuturna, & valida, atque maligna etiam extiterint; aut contra, pauca, ac breuis temporis, & parua, & simplicia fuerint.

Sic

Sic & intermissionis, ac declinationis tempus, si longius præcedente, vel breuius; aut toleratu difficilius, vel facilius; aut si quod ex accessione symptoma remanserit, aut omnia cessarint. Si enim iis, quę diximus, adsint peiora, morbus augetur manifestè; si verò meliora, declinat. Sit enim vt accessio consuetã anticipet horã; lõgior etiam fiat, atq; vehemẽtior, malignior q;, & cũ multis prauisq; symptomatibus; sit etiam, vt declinationis tẽpus breue fiat, neq; exquisitè toleratu facile, neq; omninò à symptomatibus accessionis liberũ; nullus, arbitror, de huiusmodi ægrotantibus quæret, nũ morbus in eis ad magnitudinẽ crescat. Rursus verò fiant omnia his contraria, nimirum ipsius insultus initium tardet; longitudoque accessionis, ac magnitudo minuatur; malignitas mitigetur; & ea quæ superueniunt symptomata, minora, simplicioraq; sint, vel neque omninò mox appareant; intermissio etiam, vel declinatio toleratu facilis, longaque succedat, omniaque deleat accessionis symptomata; nam & hæc manifestissima sunt declinationis indicia, sicuti priora augmenti. Quum verò, quæ ad accessiones ambas pertinent æqualia fuerint, morbũ in statu esse demonstrant. Nũquid igitur plus, quàm erat opportunũ à nobis est dictum? aut aliquid ab Hippocrate prætermissum, vbi docet, quo pacto quispiam ex circuitibus inueniat morbi incremẽtum? Ait enim; *Accessiones esse inuicem cõferendas; si citius fiant, vel non; si in longius tempus, vel non; si deniq; magis, vel non.* Hoc enim verbũ (*citius, vel non*) nihil aliud ostẽdit, nisi vtrũ accessio horã consuetam anticipauerit, vel tardior facta sit; Illud autem, *in longius tempus, vel non*, nunquid longius perdurauerit tempus, an breuius; illud verò, *magis, vel non*, reliqua omnia, quæ prius à nobis explicata sunt, in se comprehendit; nam, & magnitudinem, & morem ipsius morbi, & superuenientia ei symptomata, eorumque insuper numerum, in eo, quod dicitur, magis, ac minùs, comprehendi existimes; sic & declinationis (vt quæ & ipsa sit totius accessionis pars) magis, ac minus ex eisdem inuenire oportet intentionibus. Incrementi itaque, & ascensus, & augmenti (his enim omnibus nominibus secundum morbi tempus appellant) si citiùs fiat accessio, si longiori tempore duret, si magis etiam, indicia sunt; sicut his contraria, declinationis signa ostendunt, si videlicet tardiùs fiat accessio, si breuiori tempore duret, sitque omninò præcedente debilior. Statum verò indicant, si in eisdem permaneant, ac persistant. Et quidem sæpè in morbis nullum sensibile tempus inuenitur huiusmodi, sed habente adhuc quarta (si ita contigerit) accessione indicia augmenti, quinta superueniet accessio, declinationis principium; quomodo videlicet status momentaneus extiterit adeò, vt nemo, quum adesset, agnouerit, sed, vt exquisitè dignoscatur, primum declinationis tempus sit necessarium. Simile quiddam etiam accidit in morborum augmentis; nam interdum prior accessio principium simul habuit, & ascensum, & statum, scilicet in prima sui parte principium, deinde ascensum, postremò verò statum; deinde secunda accessio manifestè visa est declinare. Sed præsente quidem secunda accessione, tunc demum cognoscere, qualis fuerit illa, quæ præcessit, præter id, quod vnusquisque medicus id facere potest, rem etiam maximi momenti in vsu medicinæ destruit, prænotionem scilicet, de qua plenius in libris De arte curatiua diximus.

καὶ μὴν δὴ καὶ ὁ τοῦ διαλείμματός τε, καὶ ὁ τῆς παρακμῆς χρόνος, εἰ μακρότερος τοῦ πρόσθεν, ἢ βραχύτερος, ἢ δυσφορώτερος, ἢ εὐφορώτερος, ἢ εἰ παραμένει τι τῶν ἐκ τοῦ παροξυσμοῦ συμπτωμάτων, ἢ πέπαυται πάντα. εἰ μὲν γὰρ τὰ χείρω τῶν εἰρημένων εὑρίσκοιτο, σαφῶς ἐπιδίδωσιν ἡ νόσος. εἰ δὲ τὰ βελτίω, παρακμάζει. προλαμβανέτω γὰρ ὁ παροξυσμὸς τῆς συνήθους ὥρας, καὶ μακρότερος γινέσθω, καὶ σφοδρότερος, καὶ κακοηθέστερος, καὶ σὺν πολλοῖς, καὶ μοχθηροῖς συμπτώμασιν ἐνοχλείτω. γινέσθω δὲ, καὶ ὁ τῆς παρακμῆς χρόνος βραχύς τε ἅμα, καὶ οὐκ ἀκριβῶς εὔφορος, οὐδὲ ἐλεύθερος ἁπάντων τῶν ἐκ τοῦ παροξυσμοῦ συμπτωμάτων, οὐδεὶς ἂν, οἶμαι, περί γε τῶν οὕτω καμνόντων ζητήσειεν, ὡς οὐκ ἐπιδίδωσιν αὖθις εἰς μέγεθος ἡ νόσος. αὖθις δὲ τἀναντία πάντα τούτοις γινέσθω. τῆς μὲν εἰσβολῆς ὑστεριζούσης, τοῦ μήκους τε, καὶ τοῦ μεγέθους τοῦ κατὰ τὸν παροξυσμὸν ἐλαττουμένου, καὶ τῆς κακοηθείας πραϋνομένης, καὶ τῶν ἐπιγινομένων συμπτωμάτων ἐλαττόνων τε καὶ ἁπλουστέρων ὄντων, ἢ οὐδ᾽ ὅλως ἐπιφαινομένων, καὶ τοῦ διαλείμματος, ἢ τῆς παρακμῆς εὐφόρου καὶ μακρᾶς γινομένης, καὶ πάντα ἐξαλειφούσης τὰ τοῦ παροξυσμοῦ συμπτώματα, καὶ γὰρ καὶ ταῦτα σαφέστατα παρακμῆς γνωρίσματα. καθάπερ τὰ πρότερα τῆς ἐπιδόσεως. ὅταν δ᾽ ἰσάζῃ πως μάλιστα τὰ κατὰ τοὺς παροξυσμοὺς ἀμφοτέρους, ἀκμάζειν δηλοῖ τὴν νόσον. ἆρ᾽ οὖν ἤτοι πλείω τοῦ δέοντος ἡμεῖς εἴπομεν; ἢ Ἱπποκράτης τι παραλέλοιπεν ἐν οἷς ἐκδιδάσκων, ὅπως ἄν τις ἐκ περιόδων εὑρίσκοι νοσήματος ἐπίδοσιν, ἀλλήλοις φησὶ χρῆναι παραβάλλειν τοὺς παροξυσμοὺς, εἰ ἐπὶ τὸ πρωϊαίτερον, ἢ οὔ. καὶ εἰ ἐπὶ πλείονα χρόνον, ἢ οὔ. καὶ εἰ μᾶλλον, ἢ οὔ. τὸ μὲν γὰρ πρωϊαίτερον, ἢ οὔ. τοιόνδε τι δηλοῖ, εἰ τῆς συνήθους ὥρας ὁ παροξυσμὸς προὔλαβεν, ἢ ὑστέρισε. τὸ δ᾽ ἐπὶ πλείονα χρόνον, ἢ οὔ. πότερον πολυχρονιώτερος, ἢ βραχυχρονιώτερος ἐγένετο. τὸ δὲ μᾶλλον, ἢ οὔ, τὰ λοιπὰ τῶν εἰρημένων ἡμῖν ἔμπροσθεν, ἐν ἑαυτῷ περιλαβὸν ἔχει. καὶ γὰρ καὶ τὸ μέγεθος, καὶ τὸ ἦθος, αὐτοῦ τε τοῦ νοσήματος, καὶ τῶν ἐπιγινομένων αὐτῷ συμπτωμάτων, ἔτι τε πρὸς τούτοις τὸν ἀριθμὸν αὐτῶν ἐν τῷ μᾶλλόν τε, καὶ ἧττον νοεῖν χρὴ περιεχόμενον. οὕτω δὲ καὶ τῆς παρακμῆς, ὡς μέρους καὶ αὐτῆς τοῦ σύμπαντος παροξυσμοῦ τὸ μᾶλλόν τε καὶ ἧττον, ἐκ τῶν αὐτῶν γε τούτων σκοπῶν ἐξευρίσκειν χρή. ἐπιδόσεως μὲν δὴ, καὶ ἀναβάσεως, καὶ αὐξήσεως· ἅπαντα γὰρ ταῦτα προσαγορεύουσι τὸν δεύτερον καιρὸν τῆς νόσου, τό τε πρωϊαίτερον παροξύνεσθαι, καὶ τὸ πλείονα χρόνον, καὶ τὸ μᾶλλον, γνωρίσματα. καθάπερ γε τῆς παρακμῆς τἀναντία. τό θ᾽ ὑστερίζειν τὸν παροξυσμὸν, καὶ βραχυχρονιώτερον γίνεσθαι, καὶ παντοίως τοῦ πρόσθεν ἀσθενέστερον. ἀκμῆς δ᾽ ἐστὶ σημεῖον ἡ ἐπὶ τῶν αὐτῶν μονή τε, καὶ στάσις. καίτοι πολλάκις ἐν ταῖς νόσοις, οὐδεὶς αἰσθητὸς χρόνος εὑρίσκεται τοιοῦτος. ἀλλ᾽ ὁ τέταρτος, εἰ τύχῃ, παροξυσμὸς ἔτι τὰ τῆς ἀναβάσεως ἔχων σημεῖα, τὸν πέμπτον εὗρε παρακμαστικὸν, ὀξυρρόπου δηλονότι τῆς ἀκμῆς γενηθείσης, ὡς μηδὲ γνωρίσαι τινὰ πρόσθεν αὐτήν, ἀλλὰ τοῦ πρώτου χρόνου τῆς παρακμῆς δεηθῆναι, πρὸς ἀκριβῆ διάγνωσιν. παραπλήσιον δέ τι κἀν ταῖς αὐξήσεσιν ὑπάρχει τῶν νοσημάτων. ἐνίοτε γὰρ ὁ πρῶτος παροξυσμὸς ἀρχήν τε ἅμα καὶ ἀνάβασιν ἔχει, καὶ ἀκμὴν ἐν ἑαυτῷ. κατὰ μὲν τὰ πρῶτα μέρη δηλονότι, τὴν ἀρχήν. ἐφεξῆς δ᾽ αὐτῇ τὴν ἀνάβασιν, ὑστάτην δὲ δηλονότι τὴν ἀκμήν. εἶθ᾽ ἑξῆς ὁ δεύτερος ἐναργῶς ἐφαίνετο παρακμαστικός. ἀλλ᾽ ἐπιστάντος μὲν τοῦ δευτέρου παροξυσμοῦ, τηνικαῦτα γνωρίζειν ὁποῖός τις ὁ πρῶτος ἐγένετο παροξυσμός, πρὸς τὸ τῷ παντὸς ἔργον ὑπάρχειν ἰατροῦ, καὶ τὴν ἀξιολογωτάτην χρείαν ἀπόλλυσι τῆς προγνώσεως, ὡς ἐπὶ πλέον ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου δέδεικται γράμμασιν.

ἰατροῦ δὴ ἐστι γενναίου, καὶ τῆς Ἱπποκράτους γνώμης ἀξίου προεγνωκέναι τὴν μέλλουσαν ἀκμήν. εἴ γε δὴ καὶ τὰ διαιτήματα σύμπαντα, πρὸς αὐτὴν ἀποβλέπων ποιεῖται. κατὰ ταῦτα δέ, καὶ τὴν ἐπίδοσιν δηλονότι, καὶ τὴν ἀρχὴν τοῦ νοσήματος, οὐκ ἐπειδὰν συμπληρωθῇ, τότε γνωρίζειν, ἀλλ' ἐκ πολλοῦ χρόνου προγινώσκειν ἄμεινον ἂν ᾖ.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ διαγνώσεως πρώτης τῆς τῶν νόσων ἀρχῆς.

Καίτοι γε τὴν ἀρχὴν τοῦ νοσήματος, οὐδὲ πρόσοδον ὁρῶ διαγινώσκοντας τοὺς πλείστους τῶν ἰατρῶν· ὥσπερ οὐδὲ τὸν θαυμασιώτατον Θεσσαλόν, ὃς ἐν μὲν ταῖς ἀρχαῖς στέλλειν παρακελεύεται, κἂν στεγνὸν ᾖ τὸ νόσημα, καὶ χαλάσεως, ὅσον ἐφ' ἑαυτῷ δεόμενον. ὅπως δ' ἄν τις αὐτὴν γνωρίζοι, καθάπερ τι σαφέστατον παρελθών, οὐδ' ἐπεχείρησεν εἰπεῖν. ἔχει δ' ἀπορίαν, οὐ σμικράν. εἰ μὲν γὰρ τὴν πρώτην ἀκριβῶς εἰσβολήν, ἀρχὴν τίθεσθαι προσήκει τοῦ σύμπαντος νοσήματος, ἀμερής ἐστιν αὐτὴ καὶ ἄχρονος. εἰ δὲ τὸν πρῶτον παροξυσμόν, ἴσμεν τοῦτον ἐνίοτε τήν τε ἐπίδοσιν ὅλην, καὶ τὴν ἀκμὴν ἐν ἑαυτῷ περιλαμβάνοντα, πρὸς τῷ καὶ ἀλογώτατον εἶναι, τήν τε ἐν ἑπτὰ ταῖς πάσαις ἡμέραις λυθησομένην νόσον, καὶ τὴν εἰς μῆνας ἓξ ἐκταθησομένην, καὶ συμπάσας τὰς μεταξύ, τὸν πρῶτον μόνον παροξυσμὸν ἔχειν ἀρχήν. ὡς γάρ, οὐδ' ἐπίδοσιν, οὐδ' ἀκμήν, ἢ παρακμὴν ἰσόχρονον ἅπαντα κέκτηται τὰ νοσήματα, κατὰ τὸν αὐτόν, οἶμαι, τρόπον οὐδ' ἀρχήν. οὐ μὴν οὐδὲ τὸν πρῶτον παραβάς τις παροξυσμόν, εἴθ' ἕξει τοι περιγράψαι τὴν ἀρχήν. εἰ γὰρ ὁ δεύτερος εὐθὺς διαδέξαιτο τὰ τῆς αὐξήσεως ἔχων γνωρίσματα, καὶ μετ' αὐτὸν ὁ τρίτος τε, καὶ τέταρτος, εἶτ' ἄλλοι σύμπαντες οἱ ἐφεξῆς, ὁ τὸν πρῶτον παροξυσμὸν παραλιπών, ὡς οὐκ ἀρχήν, ἢ πάντα τὸν μεταξὺ χρόνον, ἄχρι τῆς ἀκμῆς ἀρχὴν εἶναι φήσει, καὶ οὕτως ἀπόλλυται παντάπασιν ἡ ἀνάβασις, ἢ ποῦ πρῶτον παύσει τὴν ἀρχήν, οὐκ ἔθ' ἕξει λέγειν. τίς οὖν ἡ τῆς ἀπορίας ἴασις; εἰ μὲν ἐκμανθάνειν ἐβούλοντο τὰ πρὸς Ἱπποκράτους γεγραμμένα σημεῖα, ταχεῖα ἂν ἐγίγνετο ἡ διδασκαλία. νυνὶ δὲ πρὸς τῷ μὴ βούλεσθαι μαθεῖν τὰ πρὸς Ἱπποκράτους γεγραμμένα ὀρθῶς, ἔτι τε καὶ διαβάλλειν ἐπιχειροῦσιν, ἃ μὴ γινώσκουσιν. ἀλλ' ἐκείνοις μὲν ἀδύνατος ἡ τῆς ἀμαθίας ἴασις. ἡμῖν δ' εὔπορος. τοῦτο γὰρ παροξυσμοί, φησί, καὶ αἱ καταστάσιες, δηλώσουσιν αἱ νοῦσοι. καὶ αἱ ὧραι τοῦ ἔτεος. καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες. ὅτι μὲν δὴ καταστάσιες τῶν νοσημάτων, τὰς οἷον ἰδέας αὐτῶν ὀνομάζει, καθ' ἃς ἐκ τῶνδε καὶ τηλικῶνδε σύγκειται τῶν καθόλου καιρῶν, ἐν ἐλαχίστῳ μάλιστ' ἄν τις τῷδε τῷ τεκμηρίῳ καταμάθοι. προειπὼν γὰρ ἐν τῷ προτέρῳ τῶν ἐπιδημιῶν. Εἰσὶ δὲ ἤδη τρόποι, καὶ καταστάσιες, καὶ παροξυσμοὶ τουτέων ἑκάστῳ τῶν πυρετῶν, ἐφεξῆς φησι. αὐτίκα γὰρ συνεχής ἐστιν, οἷσιν ἀρχόμενος ἀνθεῖ, καὶ ἀκμάζει, μάλιστα καὶ ἀνάγει ἐπὶ τὸ χαλεπώτερον (χάλιον). περὶ δὲ κρίσιν, καὶ ἅμα κρίσει, ἀπολεπτύνεται. ἔστι δ' οἷσιν ἄρχεται, μαλθακός τε καὶ ὑποβρύχιος. ἐπαναδιδοῖ δέ, καὶ παροξύνεται καθ' ἑκάστην ἡμέραν. περὶ δὲ κρίσιν, ἅλις ἐξέλαμψε. σαφῶς ἐνδεικνύμενος, ὡς τὴν ἐκ τῶν ὅλων τοῦ νοσήματος καιρῶν, ποιὰν σύνθεσιν ὀνομάζει κατάστασιν. ὅπως οὖν αἱ νόσοι, καὶ ὧραι τοῦ ἔτεος, καὶ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσεις,

Generosi autem medici, atque arte Hippocratica digni est officium, futurum statum præcognoscere, quum omnem victus rationem, ad ipsum inspiciens, instituat. Eadem ratione principium morbi atque augmentum, non, vbi iam perfecta sunt, cognoscere, sed multò antea præstabit prænoscere.

CAPVT IV.

De ratione primi morborum principij dignoscendi.

Video tamen plurimos medicorum neque præsentis etiam principij notitiam habere, sicut apprimè admirabilem Thessalum; qui in principiis contrahere iubet, etiamsi morbus fuerit adstrictus, ac pro sui natura egens relaxatione; quo pacto verò quispiam ipsum principium agnoscat, tanquam rem notissimam, dicere prætermisit. Sed hoc non paruam habet dubitationem. Nam si primum exquisitè insultum pro principio morbi totius statuere oportet, indiuisibile erit, atque sine tempore; si verò primam accessionem, scimus hanc aliquando, & eius augmentum, & statum in se ipsa comprehendere; præter id, quod extra omnem rationem est, vt qui in septem ad summum diebus morbus finiri debet, & qui ad menses sex extendi, omnesque qui in medio tempore terminantur, solam habeant primam pro principio accessionem. Sicuti enim neque omnes morbi augmentum, aut statum, aut declinationem æqualis habent temporis, eodem arbitror modo neque principium. Neque tamen, si quispiam primam accessionem præterierit, iam poterit principium circunscribere; nam, si secunda statim subsequatur, quæ habeat augmenti indicia, & post ipsam tertia, & quarta, & sic aliæ deinceps omnes; qui primã omiserit accessionem, tanquam non principium: vel omne tempus medium vsque ad statum diceret esse principium, atque ita omnino tolleret ascensum; aut, vbi primo finiret principium, non haberet exprimere. Quænam est huius dubitationis medela? Si quidem velint, quæ sunt ab Hippocrate scripta, perdiscere, facilis atque expedita esset ista doctrina; nunc verò præter id quod quæ sunt ab Hippocrate optimè tradita, nolunt addiscere; illa, quæ ignorant, damnare conantur. Sed illis quidem inueniri non potest ignorantiæ medela, nobis verò perfacile; Inquit enim. *Accessiones & constitutiones, morbi ostendunt, & anni tempora, & circuituum inuicem incrementa.* Quòd quidem morborum constitutiones, quandam veluti eorum ideam ac formam nominat, secundum quam ex talibus, & tantis constituuntur vniuersalibus temporibus, minima quispiam hac coniectura comprehenderet. Nam, quum in primo epidemiorum libro antea dixisset, *Sunt autem modi, & constitutiones, & accessiones harum quarumlibet febrium.* Deinceps subiungit: *Statim enim continua, quibus incipiens florescit, ac viget maxime, & ad difficilius attollitur, circa autem crisim, & simul cum crisi, extenuatur. Est autem quum incipit, mollis ac latens; insurgit autem atque exacerbatur singulis diebus; circa crisin autem satis emicat.* Ex quibus verbis manifestè ostendit, se qualemcunque ex totius morbi temporibus compositionem, morbi constitutionem nominare. Quo igitur modo morbi, & anni tempora, & circuituum adinuicẽ incrementa, vniuersalia,

vniuersalia tempora morbi commonstrabunt? nam hoc erat, quod quærebamus. Nam quartana aliqua febris inuadens non vtique habet accessionem primam principium; sicut neque exquisita tertiana vsque ad diem septimum, suum potest principium extendere; eodem pariter modo, & de aliis morbis iudicandum. Nam febris ardens, & pleuritis, & inflammatio pulmonis breuis temporis habent principium; morbus autem comitialis, & articularis, & coxendicum, & nephritis, longi temporis. Sic quidem à morbis ipsis. A temporibus autem anni, hoc modo: *Æstiuæ quartanæ magna ex parte breues sunt, autumnales verò longæ, & præsertim quæ hyemem attingunt.* Sic, & omnis morbus alius æstate quidem breuiorem, hyeme verò diuturniorem habet crisim; & principium sic æstate breuius, hyeme verò longius habebit; similem quoque seruabit in aliis temporibus proportionem. Sic quidem, & anni tempora morborum constitutiones prænunciant. Accessionum autem incrementa hoc modo; Ait enim *accessiones esse inuicem conferendas, si citius fiant vel non; si in longius tempus vel non: si magis vel non:* Nam, si hæc omnia coniunxeris, ad exquisitam dignotionem propius accedes. Si verò nihil ex istis animaduertens, putas posse morbi principium cognoscere, vel ab ascensu distinguere, nunquam propè accedes ad veritatem.

A ἐπιδείξονται τοὺς καθόλου καιροὺς τοῦ νοσήματος; ἐν τούτῳ γὰρ ἔσμεν τῷ ζητήματι· τεταρταῖος μὲν γὰρ τις πυρετὸς εἰσβάλλων, οὐκ ἂν τὸν πρῶτον μόνον ἔχῃ παροξυσμὸν τὴν ἀρχήν. ὥσπερ οὐδὲ τριταῖος ἀκριβὴς, ἕως τῆς ἑβδόμης ἡμέρας ἄρχεσθαι δύναται. κατὰ δὲ τὰ αὐτὰ ταῦτα, καὶ ἐπὶ τῶν ἄλλων νοσημάτων γινώσκειν. καῦσος μὲν γὰρ, καὶ πλευρῖτις, καὶ περιπνευμονία, βραχυχρόνιον ἔχουσι τὴν ἀρχήν. ἐπιληψίαι δὲ, καὶ ἰσχιάδες, καὶ ἀρθρίτιδες, καὶ νεφρίτιδες, πολυχρόνιον. οὕτως μὲν, ἀπὸ τῶν νοσημάτων αὐτῶν. ἀπὸ δὲ τῶν ὡρῶν τοῦ ἔτους, οὕτως. οἱ θερινοὶ τεταρταῖοι, ὡς τὰ πολλὰ γίνονται βραχέες. οἱ δὲ φθινοπωρινοὶ, μακροί. καὶ μᾶλλον οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες. οὕτως δὲ, καὶ πᾶν ἄλλο νόσημα. θέρους μὲν ὀξύτερον. χειμῶνος δὲ χρονιώτερον κρίνεται. καὶ δῆλον ὅτι καὶ τὴν ἀρχὴν, ἐν θέρει μὲν, ὀλιγοχρονιωτέραν. ἐν χειμῶνι δὲ ἕξει μακροτέραν. ἀνάλογον δὲ ταύτῃ, καὶ τοὺς ἄλλους καιροὺς τοῦ νοσήματος. οὕτως μὲν γὰρ καὶ ὧραι τοῦ ἔτους, τὴν κατάστασιν τῶν νοσημάτων προσημαίνουσιν. αἱ δὲ τῶν παροξυσμῶν ἐπιδόσεις, οὕτως. ἀλλήλοις φησὶ χρὴ ταῖς παραβάλλειν τοὺς παροξυσμούς. εἰ ἐπὶ τὸ πρωϊαίτερον, ἢ οὔ. καὶ εἰ ἐπὶ πλείονα χρόνον, ἢ οὔ. καὶ εἰ μᾶλλον, ἢ οὔ. ταῦτα γὰρ ἅπαντα συνθεὶς, ἐγγυτέρω τῆς ἀκριβοῦς ἀφίξῃ διαγνώσεως. εἰ δὲ μηδὲν αὐτῶν ἐπισκεψάμενος οἴει δύνασθαι γνωρίζειν ἀρχὴν νοσήματος, ἢ διορίζειν ἀναβάσεως, οὐκ ἂν οὐδ' ἐγγὺς ποτε τῆς ἀληθείας ἀφίκοιο.

CAPVT V.

De dignoscendis morbi temporibus ex Hippocratis sententia, potissimum ex concoctione & cruditate.

NVnquid igitur hęc ad exquisitam temporum morbi sufficiunt cognitionem? nequaquam, sed habent aliquid quidem artificiosæ cōiecturæ; tantum verò ab exquisita ratione deficiunt, quantum illam, quæ nullo modo est, superant. Quid verò illis additum, exquisitam faciat prænotionem, si totum leges aphorismum, intelliges, in quo ita scribitur: *Morbi autem accessiones & constitutiones, ostendunt & anni tempora, & circuituum adinuicem incrementa, siue quotidie, siue alternis diebus, siue per maiora interualla fiant. Sed & ex iis, quæ mox apparent, conijcere oportet; veluti in pleuritide si sputum statim appareat, incipientem morbum facit breuiorem; si verò posterius, longiorem, & vrinæ, & alui excrementa, & sudores, vel bonam morborum iudicationem, vel malam, & longum vel breuem futurum morbum, post apparentia commonstrabunt.* Hæc quidem ab Hippocrate in aphorismis scribuntur; in primo autem libro epidemiorum, *Omnes inquit coctiones excrementorum vbique esse opportunas, & bonos, criticosque abscessus ostendere.* Deinde inferens inquit: *Coctiones celeritatem iudicij & securitatem sanitatis ostendunt.* Sed coctiones hæ quidem omnes iis adsunt, quæ coquuntur; quænam igitur hæc sunt? Non alia sanè, quàm illa, quæ mox apparentia nominauit, nam quæ propria sunt morbi accidentia, simul cum morbo inuadunt, simulque incipiunt; reliqua verò omnia mox apparent. Inuadunt igitur vnà cum pleuritide, & febris acuta, & lateris dolor punctorius, & difficilis anhelitus, & tussis: mox apparent autem quædam, vt ipsi morbo propria; non nulla autem, vt cōmunia omnibus febricitantibus.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ διαγνώσεως τῶν καιρῶν τῶν νοσημάτων κατὰ Ἱπποκράτην, καὶ μάλιστ' ἐκ τῆς τε πέψεως, καὶ τῆς ἀπεψίας.

ΑΡ' οὖν ἱκανὰ ταῦτά ἐστι πρὸς τὴν ἀκριβῆ τῶν καιρῶν τῆς νόσου διάγνωσιν; οὐδαμῶς. ἀλλ' ἤδη μὲν τινὰ τεχνικὸν ἔχοντα στοχασμὸν, ἀκριβείας δ' ἀπολιμπανόμενα τοσοῦτον, ὅσον τοῦ μηδόλως ὄντος πλεονεκτεῖν. τί δὴ τούτοις προστιθέμενον, ἀκριβῆ ποιήσει τὴν πρόγνωσιν, ὅλον ἀναγνοὺς εἴσῃ τὸν ἀφορισμὸν ὧδέ πως ἔχοντα. τοὺς παροξυσμοὺς, καὶ τὰς καταστάσιας δηλοῦσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος. καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες. ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην. ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι, πτύελον αὐτίκα ἢν ἐπιφαίνηται ἀρχομένου μὲν, βραχύνει. ἢν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα, καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες, καὶ δύσκριτα, καὶ εὔκριτα, καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα, ἐπιφαινόμενα δηλοῖ. ταῦτα μὲν ἐν τοῖς ἀφορισμοῖς. ἐν δ' αὖ τῷ πρώτῳ τῶν ἐπιδημιῶν. πεπασμοὺς τῶν ἀπιόντων εἶναι φησὶ πάντας πάντοθεν ἐπικαίρους, καὶ καλὰς, καὶ κρισίμους ἀποστάσιας σκοπέεσθαι. εἶτα ἐπιφέρων, ἐρεῖ. πεπασμοὶ ταχύτητα κρίσιος, καὶ ἀσφάλειαν ὑγιείης σημαίνουσιν. ἀλλ' οἱ πεπασμοὶ δήπουθεν οὗτοι πάντες, ἐν τοῖς πεπαινομένοις, τοῦτ' ἔστιν ἐν τοῖς πεττομένοις εἰσί. τίνα οὖν ταῦτά ἐστιν; οὐκ ἄλλα τινὰ, ἢ ἅπερ ὠνόμασεν ἐπιφαινόμενα. τὰ μὲν γὰρ ἴδια τῶν νοσημάτων αὐτῶν συμπτώματα, συνεισβάλλει δήπου καὶ συνάρχεται, τὰ δ' ἄλλα πάντα ἐπιφαίνεται, συνεισβάλλει μὲν οὖν τῇ πλευρίτιδι πάντως, ὅ,τ' ὀξὺς πυρετὸς, καὶ τὸ τῆς πλευρᾶς ἄλγημα τὸ νυγματῶδες, ἥτε δύσπνοια, καὶ ἡ βήξ. ἐπιφαίνεται δὲ τὰ μὲν, ὡς ἴδια τοῦ νοσήματος αὐτοῦ. τὰ δ', ὡς κοινὰ τῶν πυρεττόντων ἁπάντων.

ὡς ἴδια μὲν οὖν αὐτῆς τῆς νόσου· πρῶτον μὲν, ἤτοι μηδενὸς ὅλως ἀναγομένου μετὰ τῆς βηχὸς, ὅπερ ἱκανόν ἐστιν ἀπέπτου νοσήματος γνώρισμα. δεύτερον δὲ, εἰ ἀνάγοιτο μὲν, ἀλλ' οὐ χρηστόν. ἔστι δὲ, καὶ τοῦτο διττόν. ἓν μὲν, τὸ μὴ πεπέφθαι μόνον. ἕτερον δὲ, τὸ καὶ μοχθηρὸν εἶναι. τούτων δὲ ἁπάντων ἀφώρισται, τὸ πεπεμμένον, ὃ δὴ καὶ πτύελον ἤδη καλοῦσιν ἰδίως. οὐ γὰρ δὴ τό γ' αἱματῶδες, καὶ τὸ χολῶδες, καὶ τὸ ἀφρῶδες, οὕτως ὀνομάζομεν, ἀλλὰ ταυτὶ μὲν, μᾶλλόν πως πτύσματα προσαγορεύομεν. ὅταν δὲ μήθ' αἵματος, μήτ' ὠχρᾶς, ἢ μελαίνης χολῆς ἐπιμιξίαν ἔχῃ, τὸ τοιοῦτον ἤδη πτύελον ὀνομάζομεν. ὅταν οὖν τοῦτο ταχέως ἐπιφαίνηται, βραχύνει τὸ νόσημα. τὸ δ' ἤτοι μηδόλως ἀνάγειν, ἢ ἄπεπτον, εἰς πλείονα χρόνον ἐκταθήσεσθαι δηλοῖ τὸ νόσημα. τὸ δὲ καὶ μοχθηρὸν ἀνάγεσθαι, τὸ πτύσμα κινδύνου δηλωτικόν. εἰ δὲ καὶ κακοήθες εἴη, θανάτου. τί μὲν οὖν ἐστι τὸ πτύελον, νῦν οὐ δέομαι λέγειν. ὅσα δὲ ἰδίως ὀνομάζεται πτύσματα, καὶ τούτων ὅσα μὲν ὑπόξανθά τε, καὶ ὑπόπυρρα, καὶ ὕπωχρα, καὶ ὕπαφρα, καὶ λεπτά, μόνης ἀπεψίας ὑπάρχει γνωρίσματα. κακὸν δὲ οὐδὲν ἐπίσημον ἐνδείκνυται. τὰ δ' ἀκράτως ξανθά, καὶ πυρρά, καὶ παχέα, καὶ ἀφρώδη, καὶ χλωρά, καὶ γλίσχρα, καὶ στρογγύλα, καὶ τούτων ἔτι μᾶλλον τὰ μέλαινα, μοχθηρά. προσεπισκέπτεσθαι δὲ καὶ τὸν τῆς ἀναγωγῆς αὐτῶν τρόπον, εἰ μὲν γὰρ εὐπετῶς ἀποπτύοιτο, πρόδηλον ὡς τὰ τοιαῦτα μέν ἐστιν ἀγαθά. τὰ δ' ἐναντία, μοχθηρά. καὶ τί δεῖ πλείω λέγειν ἡμᾶς, ἔχοντάς γε τὴν ἐκ τοῦ προγνωστικοῦ παραγράψαι ῥῆσιν; πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πνεύμονά τε, καὶ τὰς πλευρὰς, ταχέως τε ἀποπτύεσθαι, καὶ εὐπετέως, συμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν ἰσχυρῶς, τῷ πτυέλῳ. δῆλος ἐνταῦθά ἐστι, πτύελον ἰδίως ὀνομάζων, τὸ κατὰ φύσιν. ᾧ δὴ καὶ συμμεμίχθαι φησὶ χρῆναι, τὸ ξανθόν. τὸ δ' ἰσχυρῶς, ἔνιοι μὲν οὐδὲ γράφουσιν ὅλως. οἱ δ' οὖν καὶ γράφοντες, οἱ μὲν, ἐπὶ τὸ ξανθόν, οἱ δὲ, ἐπὶ τὸ συμμεμιγμένον ἀναφέρουσιν. ἵν' ἑκάτερος ἡ τῶν λόγων τοιάσδε. συμμεμιγμένον τὸ ἰσχυρῶς τῷ πτυέλῳ φαίνεσθαι τὸ ξανθόν. ἢ πάλιν, τὸ ἰσχυρῶς ξανθόν, συμμεμιγμένον φαίνεσθαι τῷ πτυέλῳ. τεχνικώτερον δ' ἐστὶ τὸ πρότερον. ἀεὶ γὰρ τὰς ἀνωμάλους ἁπάντων κινήσεις, καὶ τὰς πολὺ διαφερόντων ἐπιπλοκὰς αὐτός τε ὁ Ἱπποκράτης μέμφεται, καὶ ἡ πεῖρα διδάσκει οὕτως ἔχειν. οὐ μὴν οὐδ' ὁ λόγος ἄπορος, ἀλλ' οὐκ ἐν καιρῷ νῦν ἂν εἴη λεγόμενος. ὅτι δὲ τὸ ἰσχυρῶς, ἐπὶ τὸ συμμεμίχθαι τὴν ἀναφορὰν ἔχει, πρόδηλον κἀκ τῶν ἐπιφερομένων. εἰ γὰρ πολλῷ, φησὶν, ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀποπτύοιτο ξανθὸν ἐὸν ἢ πυρρὸν, ἢ πολλὴν βῆχα παρέχον, ἢ μὴ ἰσχυρῶς συμμεμιγμένον, κάκιον γίνεται. δῆλος γάρ ἐστιν ὁ Ἱπποκράτης ἀντιτάττων ἐνταῦθα, τὰ ἐκ τοῦ δευτέρου λόγου ξύμπαντα, τοῖς ἐκ τοῦ πρώτου. τῷ μὲν ταχέως, τὸ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀποπτύοιτο. τῷ δ' εὐπετέως, τὸ πολλὴν βῆχα παρέχειν. τῷ δὲ συμμεμιγμένον τε φαίνεσθαι, τὸ ξανθὸν ἰσχυρῶς τῷ πτυέλῳ, τό τε ἄμικτον ἁπλῶς, καὶ μόνον ξανθὸν, τό τε μεμιγμένον μὲν ἐξ ἀμφοῖν τοῦ τε κατὰ φύσιν πτυέλου, καὶ τοῦ ξανθοῦ χρώματος, ἢ πυρροῦ, μὴ μέντοι ἰσχυρῶς. ἀλλὰ καὶ μετὰ ταῦτα, ἐπιδηλῶν ἔτι σαφέστερον ἔτι τὴν αὐτοῦ γνώμην ἐξηγούμενος, τό τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες. ἄκρητον δ' ἐστὶ δήπου τὸ μὴ μεμιγμένον τῷ πτυέλῳ. τὸ λευκὸν, καὶ γλίσχρον, καὶ στρογγύλον, ἀλυσιτελές.

Vt propria quidem ipsius morbi, primum quidem, si nihil educatur cum tussi, quod sufficiens est morbi coctione carentis indicium; secundo autem, si educatur quidem, sed non bonum. Est autem & hoc duplex, vnum quidem, quod solùm caret coctione; alterum verò, quod etiam prauum existit. Ab his verò omnibus id, quod coctum est, separatur, quod etiam propriè sputum appellant; neque enim quod sanguineum est ac biliosum, atque spumosum, ita nominamus, sed potius quodammodo, sputamen vocamus; quum verò neque sanguini, neque bili pallidæ, vel nigræ, commixtum fuerit, id quod tale fuerit, iam spiritum (sputum) vocamus. Quando igitur hoc citò apparuerit, morbum facit breuiorem; quum verò nullo modo educitur, aut crudum, indicat morbum in longius debere protendi; si autem prauum educitur sputamen, periculum imminere significat; si autem etiam malignum fuerit, mortem minatur. Quid igitur sit sputum, nunc non est opus exponere. Quæ verò propriè sputamina nominantur, ex his quæcunque subflaua, & subrufa, & subpallida, & subspumosa, & tenuia existunt, solam cruditatem significant, nullum verò insigne malum prænunciant, quæ verò sine alia commixtione sunt flaua, ac rufa, crassa atque spumosa, & viridia, viscosa, atque rotunda, atque his etiam magis nigra, sunt praua. Considerandum etiam, quis sit eorum eductionis modus; nam, si facilè expuantur, constat quidem bona esse; contraria verò mala. Et quid oportet nos plura dicere, quum possimus verba, quæ in libro prognostico scribuntur, apponere? *Sputum oportet in omnibus doloribus, qui sunt circa pulmonem, ac latera celeriter expui, ac facile, commixtumque videri vehementer flauum sputo.* Neque in dubio est, quod hoc loco Hippocrates sputum vocat, id quod secundum naturam se habet, cui flauum admixtum esse oportere inquit. Verbum autem illud, *vehementer*, nonnulli quidem neque omnino adiungunt; quidam verò ad commixtum referunt, vt sermo vterque ita se habeat, commixtumque vehementer sputo videri flauum; vel flauum vehementer, commixtum videri sputo. Sed prior sensus est artificiosior; semper enim inæquales omnium motus, & eorum, quæ plurimùm distant, complexiones damnat Hippocrates. Experientia quoque ita esse probatur; neque etiam ratio dubia est: non tamen eam nunc explicare esset opportunum. Quod autem verbum illud, vehementer, ad commixtum relationem habeat, ex iis etiam patet quæ subiunguntur. *Si enim* (inquit) *multo post doloris principium expuatur flauum, vel rufum, vel multam excitans tussim, vel non vehementer commixtum, peius efficitur.* Videtur enim in hoc loco Hippocrates, quæcunque in secundo sermone dicuntur, iis opponere, quæ in primo dicebantur; verbo quidem, *celeriter, illa*, multo post principium doloris expuatur; verbo, *facile, illa*, multam excitans tussim; illis verò, *commixtum videri flauum vehementer sputo*, impermixtum simpliciter, ac solum flauum, tum quod ex vtrisque commixtum est, colore scilicet sputi naturalis, & flauo, vel rufo, non tamen vehementer. Sed & post hæc subiungens manifestiùs dicet, suam adhuc mentem aperiens, his verbis; *Nam flauum impermixtum existens, periculosum (impermixtum est autem id, quod sputo non commiscetur) album autem, & viscosum, & rotundum, inutile.*

Deinde

Deinde rursus paulatim ad difficiliora sermone progrediens: *Malum autem, quod viride est valde, & spumosum.* Ac deinceps addit: *Si verò ita sit impermixtum, vt etiam nigrum appareat, omni alio peius est.* Ex propriis quidem pleuritidis ita distinguere oportet. Sed præterea inspicienda sunt omnia, quæ sunt morbis acutis communia, quæ deinceps connumerat, ita scribens: *Sunt autem hæc bona, Facilè ferre morbum, bene spirare, & esse doloris expertem, & sputum facile expuere, corpus totum æqualiter calidum esse, & molle, & sitim non habere; vrinas autem, & alui excrementa, & somnos, & sudores, quemadmodum scriptum est; hæc omnia bona esse sciendum est.* Hæc itaque sunt bona signa, tum propria eorum instrumentorum, quibus vis spirandi est demandata; tum communia omnibus aliis morbis acutis, continuatim ordine inuicem scripta. Atque ipsis adiungens infert; *Mala autem sunt his contraria, Difficulter ferre morbum, spiritum magnum esse, ac crebrum, non cessare dolorem, vix sputum expuere, vehementer sitire, totum corpus ab igne inæqualiter detineri, & ventrem quidem, ac latera calida esse vehementer, frontem autem, ac manus frigidas, & pedes frigidos; vrinas verò, & alui excrementa, & somnos, & sudores, quemadmodum scriptum est; singula hæc mala esse cognoscere oportet.* Scriptum autem est de his in eo volumine, quod prognosticon inscribitur, in quo similem in his singulis ipse tradit doctrinam, qualem, & nunc in sputaminibus. Sicuti enim in his hoc quidem est coctionis signum, hoc verò cruditatis, hoc autem mortis; & quod coctionis est signum, si in principio statim appareat, properè salutem subsequuturam ostendit; quod autem cruditatis, morbum in longius tempus extendi debere; quod autem exitiale est, hominem moriturum significat; & si valdè exitiale fuerit, citò; si verò remissius extiterit, in longo tempore. Eadem in vrinis ipsis, & alui excrementis, & reliquis omnibus, de quibus est sermo futurus, distinctio est adhibita; etenim hæc omnia, nonnulla quidem coctionis, nonnulla verò cruditatis, & quædam etiam mortis indicia sunt. Nigrum enim sputamen præter id, quòd crudum est, etiam mortem portendit; sic & vrina nigra non cruda solum, sed etiam lethalis est; est autem simpliciter cruda, quæ alba est, ac tenuis, quam aquosam nominamus.

A Εἶθ' ἑξῆς πάλιν, ἐπὶ τὰ χαλεπώτερα, κατὰ βραχὺ προϊόμενος τῷ λόγῳ. κακὸν δὲ, καὶ χλωρόν τε ἐὸν κάρτα, καὶ ἀφρῶδες φησίν. Εἶθ' ἑξῆς. Εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥς τε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο ἐκείνων. ἐκ μὲν δὴ τῶν ἰδίων τῆς πλευρίτιδος, οὕτω χρὴ διορίζεσθαι. προσεπιβλέπειν δὲ δεῖ, καὶ τὰ κοινὰ τῶν ὀξέως νοσούντων ἁπάντων. ἐφεξῆς δ' αὐτὰ καταριθμεῖται γράφων ὡδί. ἔστι δὲ τὰ μὲν ἀγαθὰ ταῦτα, εὐπετέως φέρειν τὸ νόσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύελον ῥηϊδίως ἀναβήσσειν, τὸ σῶμα πᾶν θερμόν τε ὁμαλῶς εἶναι, καὶ μαλ-
B θακὸν, καὶ δίψαν μὴ ἔχειν. οὖρα δὲ καὶ διαχωρήματα, καὶ ὕπνους, καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα. ταυτὶ μὲν οὖν ἀγαθὰ σημεῖα. τά τ' ἴδια τῶν ἀναπνευστικῶν ὀργάνων, καὶ προσέτι τὰ τῶν ἄλλων ἁπάντων ὀξέων νοσημάτων κοινὰ, κατὰ τὸ συνεχὲς ἐφεξῆς ἀλλήλων, γεγραμμένα. συνάπτων δ' αὖθις ἐπάγει. κακὰ δὲ τἀναντία τουτέων, δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα, καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι· τὸ πτύελον μόλις ἀναβήσσειν· διψᾶν κάρτα· τὸ σῶμα ὑπὸ τοῦ πυρὸς ἀνωμάλως ἔχεσθαι· καὶ τὴν μὲν κοιλίαν, καὶ τὰς πλευ-
C ρὰς, θερμὰς εἶναι ἰσχυρῶς. τὸ δὲ μέτωπον, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας ψυχρούς. οὖρα δὲ, καὶ διαχωρήματα, καὶ ὕπνους, καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι κακὰ ἐόντα. γέγραπται δὲ, καὶ περὶ τούτων δηλονότι, κατὰ τὸ προγνωστικὸν, ὁμοίαν αὐτοῦ τὴν διδασκαλίαν ἐφ' ἑκάστων τούτων ποιουμένου, οἵαν περ καὶ νῦν ἐπὶ τῶν πτυσμάτων. ὡς γὰρ ἐν τούτοις τὸ μέντοι πέψεώς ἐστι σημεῖον, τὸ δ' ἀπεψίας· τὸ δ' ὀλέθρου· καὶ τὸ μὲν τῆς πέψεως, εὐθὺς ἐν ἀρχῇ φαινόμενον, ἐν τάχει σωθήσεσθαι τὸν ἄνθρωπον δηλοῖ· τὸ δὲ τῆς ἀπεψίας, ἐν χρόνῳ. τὸ δ' ὀλέθριον, ἀπολέσθαι.
D καὶ τὸ μὲν μεγάλως ὀλέθριον, ἐν τάχει. τὸ δ' ἧττον ἐκείνου, χρονίως. οὕτω κἀπὶ τῶν οὔρων αὐτῶν διώρισται, καὶ τῶν διαχωρημάτων, καὶ τῶν ἄλλων ἁπάντων, ὑπὲρ ὧν ἐφεξῆς ἡμῖν ὁ λόγος ἔσται. καὶ γὰρ τούτων ἁπάντων, τὰ μὲν, πέψεως· τὰ δ' ἀπεψίας· τὰ δ' ὀλέθρου σημεῖα. καὶ γὰρ τὸ μέλαν πτύσμα πρὸς τῷ μὴ πεπέφθαι, καὶ ὀλέθριόν ἐστιν. οὕτω δὲ καὶ οὖρον μέλαν, οὐκ ἄπεπτον μόνον, ἀλλὰ καὶ ὀλέθριον. ἔστι δὲ ἁπλῶς ἄπεπτον, τὸ λεπτὸν, καὶ λευκὸν, ὅπερ ὑδατῶδες ὀνομάζομεν.

CAPVT VI.

Quæ prima sint apud Hippocratem capita per quæ tempora morbi intelliguntur; ac aduersus eos qui principium morbi, primum ipsius insultum appellabant.

Rvrsus igitur ad aphorismũ redeamus, in quo ita scribitur: *Accessiones autẽ, & constitutiones, morbi ostendunt, & anni tempora, & circuituum adinuicem incrementa, siue quotidie fiant, siue alternis diebus, siue longius tempus intermittant. Sed & ex iis, quæ postea apparuerint, coniecturam accipere oportet: velut in pleuritide, si sputum statim morbo incipiente appareat, breuem futurum significat; si verò posterius, longiorem. Et vrinæ etiam, & alui excrementa, & sudores, & bonam, & malam crisim habituros, & citò, vel tardè finituros morbos, quum mox apparent, indicant.* Nam hæc liquido sunt eorum omnium, quę in prognosticis scribuntur, cõpendium;

E

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Τίνα τῷ Ἱπποκράτει πρῶτα κεφάλαια τῆς διαγνώσεως τῶν καιρῶν τῶν νοσημάτων, καὶ πρὸς τοὺς τὴν πρώτην εἰσβολὴν τῆς νόσου ἀρχὴν αὐτῆς νοοῦντας.

Επὶ τὸν ἀφορισμὸν οὖν αὖθις ἐπανέλθωμεν, τὸν λέγοντα. τοὺς δὲ παροξυσμοὺς, καὶ τὰς καταστάσιας, δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες. ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην. ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπι-
F φαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται, ἀρχομένου μὲν, βραχύνει. ἢν δὲ ὕστερον ἐπιφαίνηται, μηκύνει. καὶ οὖρα, καὶ ὑποχωρήματα, καὶ ἱδρῶτες. καὶ δύσκριτα, καὶ εὔκριτα, καὶ βραχέα, καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ. σαφῶς γὰρ, ταῦτα τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων ἁπάντων ἐστὶν ἐπιτομὴ,

τὰ κεφάλαια μόνον αὐτὰ τῶν ἐν ἐκείνῳ κατὰ μέρος εἰρημένων, εἰς τοὺς ἀφορισμοὺς μεταθεῖναι πειραθέντος τοῦ παλαιοῦ. τίνα δὴ ταῦτα τὰ κεφάλαια; πολλάκις γὰρ αὐτὰ ἀναλαμβάνειν κάλλιον οἶμαι, ἵνα κἂν νῦν, τις αἰδεσθεὶς, μάθῃ ἀρχῆς τε νοσήματος εἶναι διαγνωστικὸς, καὶ τῆς μελλούσης ἀκμῆς προγνωστικὸς, τουτέστιν, ὡς αὐτὸς φησὶ καὶ ἡ τοῦ νοσήματος ἰδέα. καὶ ἡ τῆς ὥρας φύσις. καὶ τῶν παροξυσμῶν αἱ περίοδοι. καὶ τὰ τοῖς νοσήμασιν ἐπιφαινόμενα. καὶ δὴ πάλιν, ἐπὶ τοῦ αὐτοῦ παραδείγματος ὁ λόγος μοι γινέσθω, διαστελλομένῳ βραχύ τι περὶ τῶν ὀνομάτων, οἷς οἱ παλαιοὶ μὲν, ὥσπερ ἦν καὶ προσῆκον, ἐχρῶντο τοῦ δηλῶσαι τὸ νοούμενον ἕνεκα. τὸ σύμπαν δ' αὐτοῖς ἦν σπούδασμα, ἡ τῶν πραγμάτων αὐτῶν ἀκριβὴς γνῶσις. οἱ νεώτεροι δὲ, ὀλίγου δεῖν ἅπαντες ἐν τοῖς ὀνόμασι κατατρίβουσι τὸν ἑαυτῶν βίον, ἀμελήσαντες τῶν πραγμάτων. ἀρχὴν οὖν τῆς νόσου, καὶ τὴν πρώτην μὲν εἰσβολὴν, καὶ τὴν ἀμερῆ τοῦ πρώτου παροξυσμοῦ καλοῦσι. καθάπερ τὸ νῦν, τὸ ἀπλατές. ἤδη δὲ καὶ χρόνον τινὰ πλατύτερον. ὥσπερ ἐπ' αὐτοῦ πάλιν τοῦ νῦν, ἐπειδὰν ἤτοι χειμῶνα νῦν εἶναι λέγωμεν, ἢ θέρος. ἤ τινα τῶν ἄλλων ὡρῶν, ὅτι μὲν οὖν ἐν οὐδενὶ τῶν τοιούτων λόγων ὁ Ἱπποκράτης, οἷος ὅ,τε προγεγραμμένος ἀφορισμός ἐστιν, καὶ ἄλλοι πολλοὶ τῶν ἐφεξῆς εἰρησομένων, ἀρχὴν ὀνομάζει τὴν πρώτην ἐκείνην, καὶ ἀμερῆ τῶν νοσημάτων εἰσβολὴν, εὔδηλον παντί. πῶς γὰρ ἤτοι τὸ περὶ τὰς ἀρχὰς τῶν νούσων σκεπτέον, εἰ αὐτίκα ἀκμάζει δύναιτ' ἄν τις οὕτως εἰρῆσθαι νομίζειν, ἢ τὸ, ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει. ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστι. καὶ τὸ, ἢν οὖν ἐν ἀρχῇ τῆς νούσου, τὸ πρόσωπον τοιόνδε ᾖ. τὸ γὰρ νεκρῶδες ἐκεῖνο πρόσωπον, ἐφ' οὗ ταῦτα λέγεται, κατὰ τὴν ἀκριβῶς πρώτην εἰσβολὴν τῶν νοσημάτων, οὐκ ἄν ποτε δύναιτο συστῆναι. κατὰ ταῦτα δὲ, κἂν τῷ λέγειν. ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι τῇσι φαρμακίῃσι χρέεσθαι, τὴν εἰς πλάτος χρόνου προήκουσαν ἀρχὴν ἐνδείκνυται. καὶ πολὺ δὴ μᾶλλον, ἐν τῷ φάναι. κατὰ τὰς ἀρχὰς, καὶ τὰ τέλη, πάντα ἀσθενέστερα. κατὰ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα. καὶ μὲν δὴ καὶ τῶν νοσημάτων ὁκόσων ἀρχομένων ἢν χολὴ μέλαινα, ἢ ἄνω, ἢ κάτω ὑπέλθοι, θανάσιμον, ὡσαύτως εἴρηται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐν τῷ περὶ διαίτης ὀξέων, ἐπὶ τοῦ καταλόγου τῶν σφοδρῶν ἐκείνων συμπτωμάτων, ἐπήνεγκε. ταῦτα δὲ ἐν ἀρχῇσιν ἐπιφαινόμενα, παραφροσύνης ἐστὶ δηλωτικὰ σφοδροτάτης, καὶ ὡς ἐπὶ τὸ πολὺ ἀποθνήσκουσιν. κατὰ ταὐτὰ δὲ τούτοις δηλονότι, καὶ τὸ κατὰ τὸν ἀφορισμὸν ἔχει τὸν νῦν ἡμῖν προκείμενον, ἐν ᾧ φησιν. οἷσιν ἐν πλευριτικοῖσι, πτύελον αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν, βραχύνει. οὐ γὰρ δὴ τήν γε πρώτην ἀκριβῶς εἰσβολὴν σημαίνει νῦν, τὸ, ἀρχομένου διά τε τὴν φύσιν αὐτὴν τῶν πραγμάτων, καὶ διὰ τὸ μηδ' ἂν ἐπιφαινόμενα τὰ τοιαῦτα δύνασθαι λεχθῆναι. τίνι γὰρ ἔτι διοίσει τῶν συνεισβαλόντων. ἐκεῖνα μὲν γὰρ, σαφῶς ἔχει τὴν αὐτὴν ἀρχὴν ἀλλήλων τε, καὶ τῇ συμπάσῃ νόσῳ. ἐπιφαίνεται δὲ, τὰ μὲν εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν. τὰ δ' ἐν τῇ δευτέρᾳ, τὰ δ' ἐν τῇ τρίτῃ τε, καὶ τετάρτῃ. τὰ δὲ, καὶ παρεληλυθότος ἤδη τοῦ νοσήματος.

εἰς τὴν τῶν ὀνομάτων ἔριν

quum antiquus ille author ſola capita eorum, quæ in eo libro ſigillatim ſcribuntur, in aphoriſmos transferre tentauerit. Quænam igitur ſunt hæc capita? ſæpius enim repetere, mihi videtur melius, vt quis, & ſi nunc erubeſcens, diſcat & morbi principium cognoſcere, & futurum ſtatum prænidere; hoc eſt, vt ipſe dicit, formam morbi, & naturam temporis, acceſſionis circuitus, & quæ in morbis mox apparent. Erit autem mihi ſermo in eodem exemplo, adhibita breui diſtinctione de nominibus, quibus, vt par erat, veteres vtebantur ad ſolum mentis conceptum explicandum, quum omni ſtudio incumberent ad exquiſitam rerum cognitionem; iuniores verò ferè omnes circa nomina ſuam conterunt vitam, minimè de rebus ſoliciti. Principium igitur morbi, primum inſultum indiuiſibilem primæ acceſſionis, veluti & ipſum, nunc, quod ſine latitudine eſt, vocant; ſed & iam aliquod tempus latum, quod etiam in ipſo, nunc, obſeruamus, quando dicimus nunc eſſe hyemem, vel æſtatem, vel aliquid aliud tempus. Quòd igitur in nullo ſermone tali, qualis eſt is, quem antea ſcripſimus, aphoriſmus, & multi alij, qui poſtea dicentur, principium vocet Hippocrates primum illum, & indiuiſibilem, morbi inſultum, vnicuique liquet. Quomodo enim circa morborum principia conſiderandum, ſi ſtatim morbus floreſcat, in eo ſignificatu dictum, quiſpiam poſſet arbitrari? Vel illud? *Incipientibus morbis, ſi quid mouendum videtur, moue; conſiſtentibus verò, melius eſt quieſcere.* Et illud? *Si igitur in principio morbi facies talis erit; nam facies illa mortuæ ſimilis, de qua iſta dicuntur, neque illo exquiſitè principio morbi vnquam fieri potuiſſet.* Eodem modo, quum dicitur: *In acutis morbis rarò, & in principiis, vtendum purgationibus*; de principio intelligitur, quod ad tempus latum extenditur. Multo magis quum ſcribit: *Circa principia, & fines omnia debiliora, circa ſtatum fortiora.* Neque in alio ſenſu dictum eſt, *In quorum morborum principiis nigra bilis, vel infra, vel ſupra exierit, mortale.* Eodem modo in libro De ratione victus in acutis morbis, in connumeratione illorum vehementium accidentium intulit: *Hæc autem ſi in principiis appareant, vehementiſſimum delirium oſtendunt; vt plurimum autem moriuntur.* Eodem modo ſe habet etiam in aphoriſmo, de quo paulo ante facta eſt mentio, vbi inquit: *Veluti in plenitudine, ſi ſputum ſtatim appareat incipiente morbo, morbum oſtendit breuiorem.* Neque enim dictio illa, *incipiente*, primum exquiſitè inſultum hoc loco ſignificat, tum quia huic ſenſui rerum natura repugnat, tum quia dicere non potuiſſet, *poſt appareant*; quomodo enim different ab iis, quæ ſimul inuadunt, illa, quæ exquiſitè idem habent principium inuicem, & cum vniuerſo morbo? Poſt apparent autem quædam ſtatim in prima die, quædam in ſecunda, quædam in tertia, quædam in quarta; quædam, quum iam proceſſerit morbus.

CAP.

CAPVT VII.

Quid propriè principium morbi ab Hippocrate dicatur; ac de indiciis, quæ ex alui deiectione, vrina, ac sputo desumuntur.

PRincipium verò secundum latitudinem communi quadam, & prompta imaginatione, in qua nullum adhuc est artificium, in prima accessione continetur. Atque idcirco quædam statim, quum incipiunt, statum accepisse dicuntur; quemadmodum in primo epidemiorum, vbi inquit: *Statim enim continua est, quibus incipiens florescit, ac viget.* Nam verbum id, *incipiens*, hoc loco non dicitur de vero morbi tempore, alioqui repugnaret ei, florescere atque vigere, sed de eo, quod subsequitur principium exquisitè dictum, quod, vt plurimùm, ad tertium extenditur diem. Omnino enim febris hæc, vbi principium illud indiuisibile fecerit, deinde hoc pacto incremento quodam vsa fuerit, proprium recipit statum, quædam in prima statim die, quædam in secunda; non tamen in primo insultu primæ accessionis posset aliqua febris habere statum. Sed, siue in primo die, siue in secundo, istum habeat, atque hinc vsque ad integram solutionem extendatur, nullum sensibilem alterius accessionis insultum accipiens, hæc statim ab initio proprium habuisse statum diceretur. Et hoc est, quod ab Hippocrate dicitur: *Statim enim continua est, quæ incipiens florescit, ac viget.* Tale igitur est. *Si sputum in pleuritide statim post apparuerit incipiente morbo, eum facit breuiorem*, id est ante, quàm secunda accessio inuaserit; adhuc enim pleuritidis diceretur incipere, non solum, quando huiusmodi accessio ascensum habeat, vel statum, sed in tota declinatione, atque omnino ante, quàm secunda inuadat accessio, quæ vt plurimum in pleuritide tertio fit die. Quodcunque igitur coctionis signum post apparuerit, breuem, & salutarem morbum futurum ostendit; tale quidem est sputum, quod in pleuritide apparet; nam cuiusque partis in corpore superfluitas, eam quæ illi inest, dispositionem ostendit; si cocta quidem fuerit, salubrem; cruda autem, ægram. Ita igitur & illa scripta sunt: *Alui autem excrementa optima sunt, quæ mollia sunt, & coherentia, & quæ eandem exitus horam seruant, quam in sanitate habuerunt. Quantitas verò esse debet pro ratione cibi, qui assumitur; nam si exeuntia talia fuerint, ventrem inferiorem sanum esse indicant.* Et sputum quoque, quum fuerit exquisitè simile illi, quod aduenit sanis, integram sanitatem instrumentorum, quibus vis spirandi est demandata, significat; si quo modo autem impediatur, atque à naturali recesserit habitu, tantum eam læsam esse demonstrat, quantum ab ipsa naturali forma recesserit. Quod verò illi, quod secundum naturam est, maximè contrarium existit, crudum est, magnamque ostendit partium affectarum imbecillitatem; quòd si etiam vitiosæ causæ aliquod signum habuerit, quemadmodum nigrum, perniciosissimum hoc est. Ita etiam in vrinis se res habet. Nam & hæ quæ sanorum vrinis simillimæ sunt, venosum instrumentorum genus satis robustum esse demonstrant; quæ verò crudiores sunt, eiusdem imbecillitatem significãt:

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Τί κυρίως ἀρχὴ τῆς νόσου λέγεται τῷ Ἱπποκράτει· καὶ περὶ σημείων ἐκ τῶν διαχωρημάτων τε, καὶ τῶν οὔρων, καὶ τῶν πτυσμάτων.

Ἡ Δὲ κατὰ πλάτος ἀρχὴ, κοινῇ μέν τινι ταύτῃ, καὶ προχείρῳ φαντασίᾳ, καὶ μήπω μηδὲν ἐχούσῃ τεχνικὸν, ἐν τῷ πρώτῳ παροξυσμῷ περιέχεται. καὶ διὰ τοῦτο, τὰ μὲν εὐθὺς ἀρχόμενα, τὴν ἀκμὴν ἀπειληφέναι λέγεται. καθάπερ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. ἐπειδή φησιν, αὐτίκα γὰρ συνεχής ἐστιν οἷσιν ἀρχόμενος αὐθεῖ, καὶ ἀκμάζει. τὸ γὰρ ἀρχόμενον, οὐκ ἐπὶ τοῦ καιροῦ τοῦ νοσήματος εἴρηται νῦν, ἢ μάχοιτ' ἂν αὐτῷ, τὸ αὐθεῖν τε καὶ ἀκμάζειν. ἀλλ' ἐπὶ τοῦ χρόνου δηλονότι, τοῦ μετὰ τὴν ἀκριβῶς ἀρχὴν τὴν πρώτην, ἄχρι τρίτης τῆς ἡμέρας τὸ πλεῖστον ἐκτεταμένου. πάντως μὲν γὰρ ὁ πυρετὸς οὗτος, ἀρχήν τινα τὴν πρώτην ἐκείνην, καὶ ἀπλατῆ ποιησάμενος, ἔπειθ' οὕτως ἀναβάσει τινὶ χρησάμενος, ἀπολαμβάνει τὴν οἰκείαν ἀκμήν. ὁ μὲν, εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν· ὁ δὲ, ἐν τῇ δευτέρᾳ. οὐ μὴν ἀπό γε τῆς εἰσβολῆς τοῦ πρώτου παροξυσμοῦ, δύναιτ' ἄν τις γενέσθαι πυρετὸς ἀκμάζων. ἀλλ' ἄν τε κατὰ τὴν πρώτην ἡμέραν, ἄν τε κατὰ τὴν δευτέραν ἀκμάσας, ἐντεῦθεν ἄχρι τῆς παντελοῦς λύσεως ἐκταθῇ, μηδεμίαν αἰσθητὴν ἑτέρου παροξυσμοῦ λαβὼν εἰσβολὴν, οὕτως ἂν ἀπ' ἀρχῆς εὐθὺς λέγοιτο τὴν ἰδίαν ἀκμὴν ἐσχηκέναι. καὶ τοῦτ' ἔστι τὸ πρὸς Ἱπποκράτους λεγόμενον. αὐτίκα γὰρ συνεχής ἐστιν οἷσιν ἀρχόμενος αὐθεῖ, καὶ ἀκμάζει. τοιοῦτον οὖν ἐστι, καὶ τὸ ἐν πλευριτικοῖσι πτύελον, ἢν αὐτίκα ἐπιφαίνηται ἀρχομένου μὲν, βραχύνει, πρὶν τὸν δεύτερον εἰσβάλλειν δηλονότι παροξυσμόν. ἔτι γὰρ ἄρχεσθαι λέγοιτ' ἂν ἡ πλευρῖτις. οὐ μόνον ἐπειδὰν ἀνάβασιν ὁ τοιοῦτος ἔχῃ παροξυσμὸς, ἢ ἀκμὴν, ἀλλὰ κἂν τῇ παρακμῇ συμπάσῃ. καὶ ὅλως πρὶν εἰσβάλλειν τὸν δεύτερον παροξυσμὸν, διὰ τρίτης τοὐπίπαν ἐν πλευρίτισιν ἀπαντῶντα. πᾶν οὖν ὅτι ἂν ἐπιφαίνηται σημεῖον, ὀλιγοχρόνιόν τε ἅμα, καὶ σωτήριον ἔσεσθαι δηλοῖ τὸ νόσημα. τοιοῦτον δὴ καὶ τὸ πτύελόν ἐστι, τὸ ἐν τοῖς πλευριτικοῖς. ἑκάστου γὰρ τῶν μορίων τοῦ σώματος τὸ περίττωμα, τὴν ὑπάρχουσαν αὐτῷ διάθεσιν ἐνδείκνυται. πεπεμμένον μὲν, ὑγιεινὴν· ἄπεπτον δὲ ὑπάρχον, νοσεράν. οὕτω γοῦν εἴρηται κἀκεῖνα. διαχώρημα δὲ ἄριστόν ἐστιν, τὸ μαλθακόν τε, καὶ συνεστηκὸς, καὶ τὴν ὥραν, ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ, πρὸς λόγον τῶν εἰσιόντων. τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν. καὶ τοίνυν, καὶ τὸ πτύελον. ἐπειδὴ μὲν ἀκριβῶς ὅμοιον ᾖ τοῖς τῶν ὑγιαινόντων, ἀκριβῶς ὑγιαίνειν ἐνδείξεται τὰ τῆς ἀναπνοῆς ὄργανα. παραποδιζόμενον δέ τι, καὶ τοῦ κατὰ φύσιν ἐξιστάμενον, εἰς τοσοῦτον ἐκεῖνα βεβλάφθαι δηλοῖ· εἰς ὅσον ἂν καὶ αὐτὸ τῆς κατὰ φύσιν ἰδέας ἀπολείπεται. τὸ δ' ἐναντιώτατον τοῦ κατὰ φύσιν, ἄπεπτόν ἐστιν, καὶ μεγάλην ἐνδείκνυται τὴν τῶν πεπονθότων τόπων ἀσθένειαν. εἰ δὲ καὶ μοχθηρᾶς αἰτίας ἔχει τι γνώρισμα, καθάπερ τὸ μέλαν, ὀλεθριώτατον ἤδη τὸ τοιοῦτον. οὕτω δὲ ἔχει, κἀπὶ τῶν οὔρων. καὶ γὰρ καὶ τούτων, ὅσα μὲν ὁμοιότατα τοῖς τῶν ὑγιαινόντων ἐστὶν, ταυτὶ μὲν ἱκανῶς εὐρωστεῖν ἐνδείκνυται τὸ φλεβῶδες γένος τῶν ὀργάνων. ὅσα δὲ ἀπεπτότερα, τὴν ἀρρωστίαν αὐτῶν μηνύει. σημαίνει

τὰ δὲ ἐναντιώτατα τοῖς τῶν ὑγιαινόντων, αὐτὰ μὲν, τελέως ἐστὶν ἄπεπτα, μεγάλην δὲ ἀῤῥωστίαν ἐνδείκνυται τοῦ φλεβώδους γένους παντός. ὅσα δὲ, καὶ τῆς κρατούσης αἰτίας ἐμφαίνει τὸ μοχθηρὸν, ὥσπερ καὶ τὰ μέλανα, ταυτὶ ἐσχάτως ὀλέθρια. ταυτὶ μὲν οὖν τὰ τρία γένη τῶν σημείων, ἐνδείκνυται πέψιν ἰδίαν ἑκάστῳ. τῆς μὲν κάτω γαστρὸς, τὰ κατὰ φύσιν διαχωρήματα. τοῦ φλεβώδους δ᾽ αὖ γένους, τὰ οὖρα. τῶν δ᾽ ἀναπνευστικῶν ὀργάνων μόνον, τὰ πτύσματα. καθάπερ δὲ ταῦτα τῶν τόπων αὐτῶν, ὅθεν ἐκκρίνεται τὰ γνωρίσματα φέρει, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον, καὶ τὰ οὖρα νεφρῶν, καὶ οὐρητήρων, καὶ κύστεως, καὶ καυλοῦ. ἀλλὰ τὰ μὲν ἐπὶ τοῖς τούτων ἀῤῥωστήμασιν οὖρα, διὰ τῶν ἀφορισμῶν ἰδίᾳ κατέλεξεν ὁ Ἱπποκράτης. τὰ δὲ τοῖς ὀξέσι νοσήμασι συνεδρεύοντα, κατὰ τὸ προγνωστικὸν ἔγραψεν. ὅτι δὲ τοῦτο τὸ βιβλίον σύμπαν, ὡς ἤδη πολλάκις ἀποδέδεικται περὶ μόνων ἐστὶ τῶν ὀξέων, ἀμέλει τελειώσας ἐν αὐτῷ σύμπαντα τὸν περὶ τῶν οὔρων λόγον, ἐπὶ τῷ τέλει προσέθηκε, μὴ ἐξαπατάτω δέ σε ἢν τι αὐτὴ ἡ κύστις νόσημα ἔχουσα, τῶν οὔρων τι ἀποδιδῷ τουτέων, οὐ γὰρ τοῦ ὅλου σημεῖον, ἀλλ᾽ αὐτῆς καθ᾽ ἑαυτήν. ὡς οὖν τῆς κύστεως ἐμνημόνευσε, παράδειγμα τοῦ λόγου ποιησάμενος αὐτὴν, οὕτω καὶ νεφρῶν, καὶ οὐρητήρων, καὶ καυλοῦ συνυπακούειν χρή. μεγίστη δ᾽ ἀπόδειξις, αὐτὰ τὰ πρὸς αὐτοῦ γραφέντα διὰ τῶν ἀφορισμῶν. ὥσπερ γὰρ κύστεως, οὕτω καὶ νεφρῶν νοσούντων, γράφει σημεῖον. ὁκόσοισιν ἐν τῷ οὔρῳ, φησὶν, παχεῖ ἐόντι, σαρκία μικρὰ, ἢ ὥσπερ τρίχες συνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται. ταυτὶ μὲν οὖν, ὡς ἔφην, τὰ τρία γένη τῶν σημείων, ἕκαστον ἰδίας πέψεως ἐνδεικτικὸν ὑπάρχον. οὖρα μὲν, τῆς κατὰ τὰς φλέβας. διαχωρήματα δὲ, τῆς κατὰ γαστέρα. πτύσματα δὲ, τῆς τῶν ἀναπνευστικῶν ὀργάνων, καὶ οὐκ ἐνδέχεται δέ ποτε μὴ οὐκ ἀγαθόν τι μέγα δηλοῦν, τὸ τῆς πέψεως σημεῖον. αἱμοῤῥαγίαι δὲ, καὶ ἱδρῶτες, καὶ παρωτίδες, καὶ τὰ ἄλλα ἀποσκήμματα, σὺν μὲν τῷ καιρῷ πέφυκεν ὠφελεῖν. ἀκαίρως δὲ, οὐδὲν ὀνίνησι. ὅθεν μοι δοκεῖ τὰ τοιαῦτα αἰνίττεσθαι, διὰ τοῦ περὶ χυμῶν βιβλίου λέγων, τὰ κρίνοντα ἐπὶ τὸ βέλτιον, μὴ αὐτίκα ἐπιφαίνεσθαι. καὶ γὰρ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ δύσπνοιαι, καὶ παραφροσύναι, καὶ δάκρυα, καὶ ἀγρυπνίαι, καὶ κώματα, καὶ σκοτόδινοι, καὶ παραφυγαὶ, καὶ ἆσαι, καὶ καρδιαλγίαι, καὶ κεφαλαλγίαι, καὶ τἄλλα σύμπαντα, τὰ καθ᾽ ἕκαστον μόριον ἀλγήματα, διορισμοῦ δεῖται πηνίκα μὲν ἐστὶν ὠφέλιμα, πηνίκα δὲ, βλαβερὰ, πηνίκα δ᾽, οὐ μόνον οὐδὲν ὀνίνησι, ἀλλὰ καὶ σημεῖα γίνεται μοχθηρότατα. καθάπερ οὖν ἔν τι ποσὸν ἀφωρισμένον οὐκ ἐδήλου τὸ τῆς ἀρχῆς ὄνομα, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον, οὐδὲ τὸ αὐτίκα. πλάτος δὲ ἔχον χρόνου τοσοῦτον, ὅσον περ καὶ τὸ τῆς ἀρχῆς ἐστιν. δῆλον δὲ, ὡς καὶ πολλάκις ἀντ᾽ ἐπιῤῥήματος τῷ αὐτίκα χρώμεθα τοῦ ἀμέλει, καθάπερ κἀν τῷ τοιῷδε λόγῳ φαίνεται κεχρημένος ὁ Ἱπποκράτης. εἰσὶ δὲ τρόποι, καὶ καταστάσιες, καὶ παροξυσμοὶ τουτέων ἑκάστου τῶν πυρετῶν, αὐτίκα γὰρ συνεχής ἐστιν οἷσιν ἀρχόμενος αὔξει, καὶ ἀκμάζει. πλὴν γὰρ τὸ αὐτίκα, πλέον οὐδὲν δηλοῖ τοῦ ἀμέλει. καθάπερ, οἶμαι, κἀν τῷ περὶ διαίτης ὀξέων. ἐν οἷς οὕτω φησίν. ἢν οὖν μὴ προστιμωρήσῃ τις, ὅσον δεῖται αὐτάρκης εἶναι ὁ τρόπος τῆς τοιαύτης πτισανορῤοφίης, πολλαχόθεν βεβλάψεται. οἷσί τε γὰρ σῖτος αὐτίκα ἐγκατακέκλεισται, εἰ μή τις ὑποκενώσας τὸ ῥόφημα δοίη. τὸ μὲν οὖν αὐτίκα, τοιόνδε σημαίνει.

A quæ verò maximè sunt sanorum vrinis contrariæ, hæ quidem omnino sunt crudæ, & maximã indicant imbecillitatem venosi generis vniuersi; quæcunque verò, & superantis causæ prauitatem ostendunt, veluti nigræ, hæ sunt summè exitiales. Hæc igitur tria signorum genera propriam cuiusque partis coctionem significant; inferioris quidem ventris excrementa, quæ secundum naturam se habuerint; venosi verò generis, vrinæ; instrumentorum autem duntaxat, quibus spiramus, sputamina. Sicuti verò hæc, partium ipsarum, ex quibus excernuntur, indicia præbent, eodem, vt arbitror, modo & vrinæ renum, & meatuum, per quos vrina defluit, & vesicæ, & penis. B Sed vrinas quidem, quæ in harum partium morbis accidunt, in aphorismis separatim Hippocrates scripsit; quæ verò morbis assident acutis, in prognosticis, quoniam hic liber (vt iam sæpius ostendimus) de solis est morbis acutis. Et quum in eodem libro compleuisset omnem de vrinis sermonem, postea in fine subiunxit. *Ne decipiaris autem, si vesica quopiam vitio affecta, aliquam ex his vrinam reddiderit; neque enim totius signum, sed ipsius per se ipsam.* Sicuti igitur vesicæ meminit, facto in ea sermonis exemplo; ita & renes, C & vasa deferentia vrinam, & penem, subaudire oportet. Maxima autẽ ad hæc demonstratio sunt, quæ ab ipso in aphorismis sunt scripta; sicut enim vesicæ, ita & renum ægrotantium, signa conscribit. *Quibus*, inquit, *in vrina crassa, carunculæ paruæ, aut veluti capilli exeunt, iis à renibus excernuntur.* Hæc igitur tria signorum genera, vt dixi, singula quæque coctionis præbent indicium; vrinæ quidem, eius quæ fit in venis; deiectiones autem, eius quæ in ventre; sputamina verò, eius, quæ in spirandi instrumentis; neque vnquam vsu contingit, quin bonum aliquod magnũ osten- D dant coctionis indicia. Sanguinis autem profluuia & sudores & parotides, & reliqui decubitus, si in tempore quidem fiant opportuno, prodesse possunt; intempestiua autem, nihil iuuant. Quo fit, vt mihi videatur hæc eadem innuere in libro De humoribus, vbi scribit: *Decernentia in melius non statim appareant.* Etenim non hæc tantùm, sed difficultas anhelitus, & deliria, & lachrymæ, & vigiliæ, & comata, & tenebricosæ vertigines, & hallucinationes, & anxietates, & oris ventriculi, capitisque dolores, reliquiue casus, atque dolores, qui singulis partibus corporis eueniunt, exi- E gunt distinctionem, & quando iuuent, & quando noceant, & quando non modò nihil prosint, sed etiam signa sint deterrima. Quemadmodum igitur principij vocabulum, nullum determinatum tempus significabat: eodem, arbitror, modo neque id verbum, statim; tantam verò temporis latitudinem obtinet, quantam & principij nomen. Liquet autem, quod etiam sæpius pro ilicet, aduerbio, statim, vtimur; veluti in eo dicto videtur vsus Hippocrates; *Insunt autem modi, & constitutiones singulis hisce febribus; statim enim continua est, quibus florescit, ac viget*; nam hoc verbum, statim, nihil significat, quam ilicet; quem- F admodum, vt arbitror libro De ratione victus, in morbis acutis vbi ita inquit: *Nisi ergo quispiam curet, quantum decet, sufficientem esse modum huiusmodi sorbitionis ptisanæ, sæpius nocebit, quibus enim cibus statim obseruatus fuerit, iis si quis non subducto ventre sorbitionem dederit, &c.* id verbum, statim, tale aliquid significat.

Sunt

Sunt autem eius verbi significatus, quamplurima exempla apud omnes alios Graecos, & maximè apud Hippocratem. Ad alterum autem transgrediamur. Quum enim inquit, *Signa decretoria non statim appareant, hic, statim, quamprimum significat, hoc est in principio morbi.* Non sunt autem eadem decretoria, & quae coctionis indicia dicuntur; non enim fieri potest, quin ista omninò, vel bene, vel malè decernant. At verò coctionis signa salutem quidem hominis, non tamen per crisim omninò futuram ostendunt; neque enim si subitam in morbo mutationem intellexeris crisim, neque si praecedentem perturbationem, necessariò coctionis signa dictorum erũt; quum illud accipere possit, vt morbus in longiori tempore paulatim coctus, ad integram deueniat solutionem. Ostendetur autem & in sequentibus adhuc manifestius, quomodo differant decretoria symptomata à coctionis signis; nunc verò hoc tantum ostendisse sufficiat, quòd coctionis, quae in spirandi instrumentis fit, sputa; eius verò, quae in venis, vrinas; illius autem, quae in ventre, alui excrementa, signa statuere oportet. Et quod in febribus omnibus (quoniam venosi generis sunt passiones, nam & arterias in hoc genere comprehendimus) ad vrinas praecipuè attendere oportet; in iis autem, qui pleuritide afficiuntur, primùm quidem sputa, secundo loco vrinas, quoniam is morbus omninò cum febribus iungitur; in passionibus autem ventris, si sine febre fuerint, sola alui excrementa inspicere oportet; si autem cum febre, etiam vrinas.

CAPVT VIII.

Quid differant concoctionis indicia, à reliquis quae decretoria appellantur.

PRoprium igitur vniuscuiusque morbi principium, coctionis signis determinatur. Differt autem ab eo, quod secundum latitudinem principium dicitur, quod nullum habet artificium, quod vltra tertium diem non extendi intelligitur; sicuti etiam in prognostico manifestissimè ostenditur. Nam, quum antea dixisset, *Si in principio morbi talis fuerit facies*; postea subiungit. *Si autem longior morbus fuerit, quam triduanus, aut quatriduanus*; principium secundum latitudinem manifestè nobis ostendens vsque ad tertium diem extendi. Verum autem vniuscuiusque morbi principium, quod etiam partem ipsius esse diximus, vsque ad multos quaternarios extendi contingit; tunc enim primum finitur, quum coctionis signa apparuerint. Reliquum verò deinceps tempus vsque ad statum, iam alterum tempus est, quod augmentum, & ascensus nominatur. Deinde post hęc status, qui est vehementissima totius morbi pars. Vltima verò omnium est declinatio. Coctionis igitur signa (saepius enim quae vtilia sunt, repetere conuenit) nunquam malè apparent: decretoria autem est vbi male; neque enim in augmentis, neque in principiis, sed in statibus, illa apparere conuenit. De iis quidem quae in augmentis, ac statibus apparent, postea dicemus. Iam verò de iis, quae videntur in principiis, dicamus, illud prius ad memoriam reuocantes, quod in reliquo sermone, qui sequitur, duo principij significata praetermittentes, & illud, quod est primi insultus, qui sine latitudine est; & alterũ, quod est primae accessionis;

ἔστι δὲ τοῦ αὐτίκα, πάμπολλα παραδείγματα παρά τε τῶν ἄλλων ἁπάντων Ἑλλήνων εὑρεῖν, οὐχ ἥκιστα δὲ καὶ παρ' Ἱπποκράτους. ἐπὶ δὲ θάτερον ἤδη μεταβῶμεν. ἐπειδὰν γάρ, φησί, τὰ κρίσιμα μὴ αὐτίκα ἐπιφαίνεσθαι, τὸ παραχρῆμα δηλοῖ. τουτέστι κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος. ἔστι δὲ οὐ ταὐτὰ τά γε νῦν εἰρημένα κρίσιμα, καὶ τὰ τῆς πέψεως γνωρίσματα. τοῖς μὲν γὰρ οὐκ ἐγχωρεῖ, τὸ μὴ οὐ κρίσιν τινὰ πάντως, ἢ ἀγαθὴν, ἢ κακὴν ποιήσασθαι. τὰ δὲ τῆς πέψεως σημεῖα, σωθήσεσθαι μὲν δηλοῖ τὸν ἄνθρωπον, οὐ μέντοι γε κριθήσεσθαι πάντως. οὔτε γὰρ εἰ τὴν ἀθρόαν ἀκούοιμεν ἐν νόσῳ μεταβολὴν, οὔτ' εἰ τὴν προηγουμένην αὐτῆς ταραχὴν, ἐξ ἀνάγκης τὰ τῆς πέψεως σημεῖα τῶν εἰρημένων ἔσται. δύναται γὰρ ἐν χρόνῳ πλείονι κατὰ βραχὺ τὸ νόσημα πεττόμενον, ἐπὶ τὴν παντελῆ λύσιν ἀφικέσθαι. δηλωθήσεται δὲ κἀν τοῖς ἐφεξῆς, ἔτι σαφέστερον ὅπῃ διενήνοχε τὰ κρίσιμα συμπτώματα, τῶν τῆς πέψεως σημείων. νυνὶ δὲ ἀρκεῖ τό γε τοσοῦτον ἐπιδεδεῖχθαι, ὡς τῆς μὲν ἐν τοῖς ἀναπνευστικοῖς ὀργάνοις πέψεως, τὰ πτύελα. τῆς δ' ἐν ταῖς φλεψὶ, τὰ οὖρα. τῆς δὲ κατὰ τὴν γαστέρα, τὰ διαχωρήματα, τίθεσθαι χρὴ σημεῖα. καὶ ὡς ἐπὶ μὲν τῶν πυρετῶν ἁπάντων, ἐπειδὴ τοῦ φλεβώδους γένους εἰσὶ παθήματα, καὶ γὰρ καὶ τὰς ἀρτηρίας ἐν τούτῳ νῦν τῷ γένει περιλαμβανέτω, τοῖς οὔροις μάλιστα προσεκτέον ἐστίν. ἐπὶ δὲ τῶν πλευριτικῶν, πρώτοις μὲν τοῖς πτύσμασι, ἤδη δὲ καὶ τοῖς οὔροις, ὅτι καὶ μετὰ πυρετοῦ πάντως ἡ πλευρῖτις. ἐπὶ δὲ τῶν κατὰ τὴν γαστέρα, χωρὶς μὲν πυρετοῦ τοῖς διαχωρήμασι μόνοις. σὺν πυρετῷ δὲ, καὶ τοῖς οὔροις.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τίνι ἀλλήλοις διαφέρουσι τά τε τῆς πέψεως σημεῖα, καὶ λοιπὰ τὰ προσαγορευόμενα κρίσιμα.

Η Τοίνυν ἑκάστου τῶν νοσημάτων ἰδία ἀρχὴ, τοῖς τῆς πέψεως σημείοις ὁρίζεται, διαφέρουσα τῆς ἐν πλάτει λεγομένης ἀρχῆς τῆς ἀτέχνου πάμπολλα. μακροτέρα γὰρ ἐκείνη, τῆς τρίτης ἡμέρας οὐκ ἐπινοεῖται προϊοῦσα. καθάπερ κἀν τῷ προγνωστικῷ δεδήλωται σαφέστατα. προειπὼν γάρ· ἣν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου, τὸ πρόσωπον τοιοῦτον ᾖ. μετὰ ταῦτά φησιν. ἣν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου, ἢ τεταρταίου, τὴν κατὰ πλάτος ἀρχὴν ἐνδεικνυμένου ἀκριβῶς ἡμῖν, ἄχρι τῆς τρίτης ἡμέρας ἐκτείνεσθαι. τὴν δ' ὄντως ἑκάστου νοσήματος ἰδίαν ἀρχὴν, ἣν δὴ καὶ μέρος ὑπάρχειν ἔφαμεν αὐτοῦ, μέχρι παμπόλλων τετράδων ἐνδέχεται προέρχεσθαι. παύεται γὰρ τότε πρῶτον, ἐπειδὰν τὰ τῆς πέψεως ἐπιφανῇ σημεῖα. τὸ δ' ἀπὸ τοῦδε σύμπαν ἕως τῆς ἀκμῆς, ἕτερον ἤδη μέρος ἐστὶν, αὔξησίς τε, καὶ ἀνάβασις ὀνομαζόμενον. εἶτ' ἀκμὴ μετὰ ταῦτα, τὸ σφοδρότατον τῆς ὅλης νόσου μόριον. ὑστάτη δὲ πασῶν ἡ παρακμή. πέψεως μὲν οὖν δὴ σημεῖα, πολλάκις γὰρ δεῖ τὰ χρησιμώτατα λέγειν, οὐκ ἔστιν ὅτε κακῶς ἐπιφαίνεται. τὰ κρίσιμα δ', ἔστιν ὅτε κακῶς. οὔτε γὰρ ἐν ταῖς ἀναβάσεσιν, οὔτ' ἐν ταῖς ἀρχαῖς, ἀλλ' ἐν ταῖς ἀκμαῖς αὐτὰ ἐπιφαίνεσθαι χρή. περὶ μὲν δὴ τῶν ἐν ταῖς ἀναβάσεσί τε, καὶ ταῖς ἀκμαῖς ἐπιφαινομένων, ἐφεξῆς ἐροῦμεν. περὶ δὲ τῶν ἐν ταῖς ἀρχαῖς, ἤδη λέγωμεν. ἀναμνήσαντες πάλιν, ὡς ἐν ἅπαντι τῷ μετὰ ταῦτα λόγῳ, παρέντες τὰ δύο σημαινόμενα τῆς ἀρχῆς, τό τε τῆς πρώτης εἰσβολῆς τῆς ἀπλατοῦς, τό τε τοῦ πρώτου παροξυσμοῦ,

περὶ μόνου τοῦ τρίτου διαλεξόμεθα χρόνου, τοῦ τῆς ἀπεψίας. ἔστι γὰρ καὶ τεχνικὴ τῆσδε τῆς ἀρχῆς, ἡ διάγνωσίς ἐστιν, καὶ μεγάλα δηλοῦν πέφυκεν. οὔτ᾽ οὖν ἱδρῶτες, οὔτ᾽ ἔμετοι, καὶ διαχωρήματα γαστρός· οὔτε παρωτίδες, οὔτε αἱμοῤῥαγίαι κατὰ τοῦτον ἐπιφανεῖσαι τὸν χρόνον, ἔκριναί ποτε νόσημα. ταυτὶ μὲν οὖν ἤδη, καὶ ὡς αἴτια πεπίστευται τὰς νόσους ἀπαλλάττειν. τὰ δ᾽, ὡς σημεῖα τούτων δηλωτικὰ, παραφροσύναι τ᾽ εἰσὶ, καὶ ἀγρυπνίαι, καὶ κώματα, καὶ ἀλγήματα, καὶ δάκρυα, καὶ δύσπνοια, καὶ σκοτόδινοι, καὶ πάνθ᾽ ὅσα τοιαῦτα. καὶ γὰρ οὖν καὶ ταῦτα, χωρὶς τῶν τῆς πέψεως σημείων ἐπιφανέντα, κακίστων διαθέσεών ἐστι γνωρίσματα. σύμπαντα μὲν οὖν δὴ ταῦτα, τά τε ὡς αἴτια, τά τε ὡς σημεῖα κρίσιμα, μὴ αὐτίκα φαινέσθω· τουτέστι μὴ κατὰ τὸν πρῶτον καιρὸν τοῦ νοσήματος, ἡνίκα τελέως ἄπεπτον ὑπάρχει. τὰ δ᾽ ἄλλα τρία γένη τῶν τὴν πέψιν δηλούντων σημείων, εἰ καὶ κατὰ τὴν πρώτην εὐθὺς ὥραν φαίνοιτο τοῦ πρώτου παροξυσμοῦ, καλῶς ἐπιφαίνηται.

de solo tertio disseremus, videlicet cruditatis; nam, & huius artificiosa quædam dignotio, & magna ostendere natura apta est. Neque igitur sudores, & vomitus, & alui excrementa, neque parotides, neque profluuia sanguinis, hoc tempore appareant, vnquam per crisim morbi finierunt. Hæc igitur iam etiam, veluti causæ, morbos finire creduntur, quæ verò veluti horum signa sunt indicatiua, deliria existunt, atque vigiliæ, & somni graues, & dolores, & lachrymæ, & difficultates spirandi, & vertigines tenebricosæ, & quæcunque similia; etenim hæc, si absque coctionis signis apparuerint, sunt pessimorum affectuum indicia. Hæc igitur vniuersa, & quæ vt causæ, & quæ vt signa crisis sunt, non statim appareant, hoc est, non in primo morbi tempore, quando omnino nulla adest coctio; reliqua autem tria, quæ coctionem ostendunt signa, etiam si in prima protinus accessionis hora apparuerint, ad bonum apparent.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Ὅπως ἐκ τῆς Ἱπποκράτους διδασκαλίας ἐπιγνῶμεν τὴν ἀρχὴν τῶν νοσημάτων.

Πάλιν οὖν ἀναλαβόντες, εἴπωμεν ταὐτό. τοὺς καθόλου καιροὺς τῶν νοσημάτων, ἔκ τε τῶν νόσων αὐτῶν πρῶτον χρὴ στοχάζεσθαι, πηλίκοι τινὲς ἔσονται τῷ χρόνῳ. κἀκ τῶν ὡρῶν τοῦ ἔτους, καὶ τῆς τῶν περιόδων ἀναλογίας, καὶ πρὸς τούτοις ἅπασιν ἐκ τῶν ἐπιφαινομένων, ἐν οἷς πρῶτα, καὶ κυριώτατα, τὰ τῆς πέψεώς ἐστι σημεῖα. δι᾽ ὧν τὴν μὲν ἤδη περιγεγραμμένην ἀρχὴν, ἀκριβῶς γνωρίσαις. ἐκ ταύτης δὲ τὴν μέλλουσαν ἀκμὴν στοχασμῷ τεχνικῷ προγνώσῃ, τῷ μετ᾽ ὀλίγον εἰρησομένῳ. καλῶ δὲ τεχνικὸν στοχασμὸν, ὃς ἂν ἐγγυτάτω τῆς ἀληθείας ἀφίκηται. ὥσπερ οὖν ἀρχῆς ἀκριβὴς διάγνωσις οὐκ ἔστι, πρὶν ἄρξασθαι τὴν ἀνάβασιν, οὕτως οὐδὲ τῆς ἀναβάσεως, πρὶν εἰσβαλεῖν τὴν ἀκμήν. ἀσκητέον δὲ κἀνταῦθα πρότερον εἰσβάλλουσαν ἀκμὴν γνωρίζειν, ἔπειθ᾽ οὕτως προγινώσκειν. ἐπεὶ δὲ καὶ τούτων ἁπάντων ἡγεμὼν Ἱπποκράτης ἐστὶ, δίκαιον ἂν εἴη κἀνταῦθα τὰς ἐκείνου ῥήσεις ἐξηγουμένους, διαπεραίνεσθαι τὸν λόγον. ἄμεινον δ᾽ ἴσως ἐστὶν πρὶν ὑπάρξασθαι τοῦτο ποιεῖν, ἔτι βραχὺ περὶ τῶν εἰρημένων προσθεῖναι. ἣν γὰρ, ὡς μέρος τοῦ νοσήματος ἐζητοῦμεν εὑρεῖν ἀρχὴν, εἴτε ἰσόχρονος ἐν ἁπάσαις ταῖς νόσοις ἐστὶν, εἴτε καθ᾽ ἑκάστην αὐτῶν ἴδιος, ἐν ᾗ καὶ τὸν Θεσσαλὸν ἔφαμεν ἐξευρηκέναι τὸ ληρῶδες ἐκεῖνο παράγγελμα, τὸ δεῖν ἐν ἀρχῇ στέλλειν τὰ νοσήματα, κἂν ἐκ τῆς στενῆς ᾖ κενότητος. Ἱπποκράτης μὲν πάντων πρῶτος ἀκριβῶς ἐδήλωσε, οὐ μὴν μανθάνουσιν οὐδ᾽ αὐτὸ διὰ τὸ τάχος τῆς ἑρμηνείας. ἀρκέσει δὲ ἔν γε τῷ παρόντι διὰ μιᾶς ῥήσεως, ἐπιδεῖξαι τὴν γνώμην αὐτοῦ, καὶ γὰρ τὰς ἄλλας ῥήσεις ἄν τις εἰ μὴ παντάπασιν ἀταλαίπωρος εἴη, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον ἐξευρίσκειν δύναιτο, προχειρισάμενος δὴ τόνδε τὸν ἀφορισμόν. πέπονα φαρμακεύειν, καὶ κινέειν μὴ ὠμά, μηδὲ ἐν ἀρχῇσιν ἢν μὴ ὀργᾷ. τὸ μὲν δὴ ὀργᾶν, κυρίως μὲν ἐπὶ τῶν ζώων εἴθισται λέγεσθαι τῶν ἐπειγομένων χρῆσθαι συνουσίᾳ. μετενήνεκται δὲ νῦν, ἐπὶ τὰ κατεπείγοντα, καὶ κινούμενα ταχέως νοσήματα. καὶ μάλιστα ἐπειδὰν ἐρεθίζηταί πως ἡ τοῦ κάμνοντος αἴσθησις, ὑπὸ τῆς τῶν ὑγρῶν τε, καὶ πνευμάτων ἀτάκτου κινήσεως.

χρήσασθαι

CAPVT IX.

Quo pacto Hippocrates principium morborum cognoscendum docuerit.

Rursus ergo repetentes dicamus. Hæc vniuersalia morbi tempora ex morbis ipsis primùm coniici oportet, quantum extendi debeant; deinde ex anni temporibus, & circuituum proportione; & præter hæc omnia ex post apparentibus, in quibus prima, & præcipua sunt signa coctionis, ex quibus circunscriptum iam principium possis exquisitè cognoscere. Ex hoc autem futurum statum coniectura artificiosa, quam paulo pòst aperiemus, agnosces; voco autem coniecturam artificiosam, quæ propead veritatem accesserit. Sicut igitur non habetur exquisita principij cognitio, priùs quàm incipiat ascensus, ita neque ascensus ante, quàm status inuadat. Exerceri autem debemus & hoc in loco, vt inuadentem statum cognoscamus, deinde vt prænoscamus. Quoniam verò & horum omnium dux est Hippocrates, æquum est vt hoc in loco eius verba exponentes, sermonem transfigamus. Præstat verò fortassis, antequam aggrediamur hæc facere, pauca quædam eorum, quæ nuper diximus, apponere. Quod enim priùs, tanquam morbi partem, principium inuenire quærebamus, vtrum æqualis sit temporis in omnibus morbis, aut in singulis proprium tempus habeat (de quo diximus Thessalum, delirum illud inuenisse præceptum, Oportet in vnoquoque morbi principio adstringere, etiam si morbus ex constricta fuerit communitate) primus omnium Hippocrates diligentissimè ostendit; non tamen, quid ille dicat, intelligunt, ob enarrationis breuitatem. In præsentia autem sufficiat, ex vno dicto prisci authoris mentem explanare; nam & alia, nisi quis omnino indiligens fuerit, simili modo inueniet. In medium autem adducemus istum aphorismum: *Cocta medicari, & mouere non cruda, neque in principiis, nisi turgeant*, quod verbum, turgere, propriè de animalibus dici consueuit, quæ ad coitum rapiuntur; translatum autem est ad eos, qui vrgent, & celeriter mouentur morbos, & præcipuè quum laborantis sensus ab inordinata humorum, & spirituum agitatione quodammodo irritatur; nam

nam in his tantum quispiam rationabiliter pharmaco in principiis vteretur, quum coadiuuantem habeat ad faciliùs attrahendum, superabundantium humorum motum; quemadmodum qui, præter id quod omnino crudi sunt, quum stabiles etiam, & fixi sint, purgantium medicaminum tractibus difficulter obediunt. Sic etiam illa dicta sunt: *Quicunque ea, quæ inflammantur, statim in principio morborum soluere medicamento tentant, ab eo quidem, quod intentum est, atque inflammatum, nihil adimunt, neque enim cedit cruda adhuc affectio; quæ verò morbo resistunt, & sana sunt, colliquescere faciunt.* Sed harum rerum contemplatio ad eos pertinet libros, in quibus de curandi arte tractatur. Quòd verò Hippocrates vocet principium, totum illud tempus morbi, in quo omnino crudus est, iam liquet; nam quum antea dixisset, quòd cocta pharmaco purgare oportet, subiunxit, *non cruda, neque in principiis*, ac si principium existat, quando crudus, incoctusque est morbus.

A ἐπὶ γὰρ τούτων μόνων, εὐλόγως ἄν τις χρήσαιτο κατ᾽ ἀρχὰς φαρμακείαις. σύμμαχον ἔχων εἰς τὸ τῆς ὁλκῆς εὐπετέστερον, τὴν τῶν πλεοναζόντων ὑγρῶν κίνησιν. ὥς τά γε πρὸς τῷ τελέως ὑπάρχειν ἄπεπτα, τὸ μόνιμόν τε, καὶ ἑδραῖον ἔχοντα, χαλεπῶς ὑπακούειν ταῖς ὁλκαῖς τῶν καθαιρόντων φαρμάκων. οὕτως οὖν εἴρηται κἀκεῖνα. ὁκόσοισι δὲ τὰ φλεγμαίνοντα ἐν ἀρχῇ τῶν νούσων, εὐθέως ἐπιχειρέουσι λύειν φαρμακείῃ, τοῦ μὲν συντεταμένου, καὶ φλεγμαίνοντος οὐδὲν ἀφαιρέουσιν. οὐ γὰρ ἐνδιδοῖ ὠμὸν ἐὸν τὸ πάθος. τὰ δ᾽ ἀντέχοντα τῷ νοσήματι, καὶ ὑγιέα, συντήκουσιν. ἀλλὰ B περὶ μὲν τούτου σκέψασθαι, τῆς θεραπευτικῆς μεθόδου ἔργον ἐστίν. τὸ δ᾽ οὖν Ἱπποκράτην, καλεῖν ἀρχὴν ἐκεῖνον ἅπαντα τὸν χρόνον τοῦ νοσήματος, ἐν ᾧ παντελῶς ἐστιν ἄπεπτον, ἤδη φαίνεται. προειπὼν γὰρ, ὡς πέπονα χρὴ φαρμακεύειν, ἐπήνεγκεν μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν. ὡς τό τε ἀρχῆς οὔσης, ὅτ᾽ ὠμὸν τὸ νόσημα, καὶ ἄπεπτον ὑπάρχει.

CAPVT X.

De extremo ascensu dignoscendo.

QVomodo igitur (nam rursus repetenda sunt, quæ priùs, quum de ipsis loqueremur, omisimus) terminum aliquem quispiam ita manifestum præfiniet vltimæ parti ascensus, quemadmodũ fini principij? quomodo aliter quàm status indicia inspiciendo? Dicit autem hæc Hippocrates in vno quidem sermone: *In principiis quidem omnia sunt imbecilliora, in statu verò fortiora.* In altero verò, hoc: *Vbi quidem peracutus est morbus, statim extremos labores habet.* Quomodo igitur hoc ipsum cognoscimus quòd nunc validissimus sit morbus, & maximas habeat accessiones? Si enim simulatque ex toto debeat fieri transmutatio (iudicari in præsentia vocabimus) principium crisis, vltimum ascensus terminum esse statuendum est. Si verò paulatim, ad eas quæ fiunt in periodis, accessiones, est attendendum; si enim citius, & longiori tempore, & magis (vt ipse dicebat) fiant, liquet morbum ad statum ascendere, atque augeri; sicut quum ad contrarium mutatio subsequitur, cessat, atque declinat. Contingit autem nonnunquam duas accessiones, vbi maximè factæ fuerint inuicem æquales, status tempus circumscribere; nonnunquam verò vnam omnibus aliis præcedentibus, reliquisque sequentibus esse maiorem. Ad tres autem extendi accessiones status tempus, in morbis acutis non admodum accidit; in diuturnis verò, non modò ad totidem, sed longè plures. Ita quidem cognoscere oportet tempora vniuersalia, aut quum fiunt, aut nuper facta; sed quæ futura sunt, alio modo.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ διαγνώσεως τοῦ τῆς ἀναβάσεως πέρατος.

C ΠΩς οὖν, ἀναληπτέον γὰρ αὖθις ὅθεν παραλέγοντες ἀπελίπομεν, ὅρον ἐπιθήσει τις οὕτω σαφῆ τῷ πέρατι τῆς ἀναβάσεως, ὥσπερ καὶ τῷ τῆς ἀρχῆς. πῶς δὲ ἄλλον, ἢ τὰ τῆς ἀκμῆς θεασάμενος γνωρίσματα; λέγει δὲ καὶ ταῦτα ὁ Ἱπποκράτης, ἐνὶ μὲν λόγῳ τῷδε. κατὰ τὰς ἀρχὰς, καὶ τὰ τέλη πάντα ἤδη ἀσθενέστερα. κατὰ δὲ τὰς ἀκμὰς ἰσχυρότερα. ἑτέρῳ δὲ τῷδε. ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει. πῶς οὖν ἐπιγνωσόμεθα αὐτό; διὰ τοῦθ᾽, ὅτι νῦν ἰσχυρότατόν ἐστι νόσημα, καὶ τοὺς μεγίστους ἔχει παροξυσμούς. εἰ D μὲν γὰρ ἀθρόως μέλλει μεταβάλλειν, ὅπερ δὴ κρίνεσθαι καλέσομεν ἐν τῷ παρόντι, τὴν ἀρχὴν τῆς κρίσεως ἔσχατον ὅρον ἀναβάσεως θετέον. εἰ δὲ κατὰ βραχὺ, τοῖς ἐν ταῖς περιόδοις παροξυσμοῖς δοκιμαστέος. εἰ μὲν γὰρ ἐπὶ τὸ πρωϊαίτερόν τε, καὶ πλείονα χρόνον, καὶ μᾶλλον, ὡς αὐτὸς ἔλεγεν, εἴησαν γινόμενοι, δῆλον, ὡς ἐπὶ τὴν ἀκμὴν ἀνέρχεται, καὶ αὐξάνεται τὸ νόσημα. τῆς δὲ ἐπὶ τοὐναντίον μεταβολῆς αὖθις ἐκδεξαμένης, παύεται τε καὶ παρακμάζει. συμβαίνει δέ ποτε δύο παροξυσμοὺς γινομένους μεγίστους μὲν τῶν ἄλλων, ἴσους δ᾽ ἀλλήλοις, τὸν τῆς ἀκμῆς περιγράψαι καιρόν. ἐνίοτε δ᾽ ἕνα, καὶ τῶν ἔμπροσθεν E ἁπάντων, καὶ τῶν μετ᾽ αὐτὸν γενέσθαι μέγιστον. εἰς τρεῖς δὲ παροξυσμοὺς ἐν μὲν τοῖς ὀξέσι, οὐ πάνυ τι παρέρχεσθαι συμβαίνει τὸν τῆς ἀκμῆς καιρόν. ἐν δὲ τοῖς χρονίοις, οὐκ εἰς τοσούτους μόνον, ἀλλὰ καὶ πολὺ πλείονας. οὕτω μὲν διαγινώσκειν χρὴ τοὺς καθόλου καιροὺς, ἢ γινομένους, ἢ γεγονότας ἄρτι, μέλλοντας δ᾽ ἔσεσθαι καθ᾽ ἕτερον τρόπον.

CAPVT XI.

De futuris temporibus morbi dignoscendis: ac primùm de concoctione & cruditate, quæ inest in alui excrementis.

QVi modus vt clarior fiat audientibus, necesse est priùs dicere aliquid de alui excrementis, & de vrinis, sicuti prius diximus de sputis. Alui igitur excrementum optimum (ait Hippocrates) est, quod molle, atque cohærens est, quodque ea hora

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ διαγνώσεως τῶν ἐσομένων τῶν τῆς νόσου καιρῶν· καὶ πρώτως περὶ τῆς πέψεώς τε καὶ ἀπεψίας τῶν διαχωρημάτων.

F ΙΝα σαφὴς ᾖ τοῖς ἀκούουσι, ἀνάγκη πρότερον εἰπεῖν τι περί τε διαχωρημάτων, καὶ οὔρων, ὡς πρότερον εἴπομεν περὶ τῶν πτυσμάτων. διαχώρημα τοίνυν ἄριστόν ἐστιν, τὸ μαλθακόν τε, καὶ συνεστηκός. καὶ τὴν ὥραν,

τιὸ τῷ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. ἐνταῦθα μὲν ἀπό τε συστάσεως αὐτοῦ, καὶ ποσότητος, καὶ τοῦ καιροῦ τῆς ἐκκρίσεως ποιεῖται τὴν διάγνωσιν. ἐπεὶ δὲ τὴν κάτω κοιλίαν ὑγιαίνουσαν ἐνδείκνυται τὸ τοιοῦτον διαχώρημα. διὰ τοῦτο οὖν ἐπιφέρων ἐρεῖ. τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη, ὑγιαίνοι ἄν. κάτω δὲ κοιλίαν εἴρηκε νῦν, ἀντιδιαιρούμενος τῷ θώρακι. διὰ τοῦτο τοίνυν, οὐδὲ τῆς χροιᾶς ἐμνημόνευσε τοῦ διαχωρήματος. οὐδὲν γὰρ, ὡς πρὸς τὴν τῆς κοιλίας αὐτῆς ἀκριβῆ διάγνωσιν, ὅπως ἔχει διαθέσεως, ἡ χροιὰ τῶν διαχωρημάτων ἐνδείκνυται. τοῦ γὰρ πεπέφθαι καλῶς, ἱκανὰ τὰ προειρημένα γνωρίσματα, τὸ μαλθακόν τε εἶναι, καὶ συνεστηκὸς τὸ διαχώρημα, καὶ μήτε προλαμβάνειν τὸν κατὰ φύσιν καιρὸν, μήθ' ὑστερίζειν. καὶ τὸ πλῆθος ἀνάλογον τοῖς ἐδέσμασιν. ὥσπερ δ' εἰ ταῦτα εἴη πάντως πέπτεται, οὕτως οὐκ ἔτι, εἰ μὴ τούτων τι παρείη πάντως οὐ πέπτεται. δύναται μὲν γὰρ αὐτὴ ἡ γαστὴρ ἐῤῥῶσθαι, περὶ τὸ ἑαυτῆς ἔργον, ἤτοι εἰ διά τινα θερμασίαν ἰσχυρὰν τῶν παρακειμένων αὐτῇ μορίων, ἐξικμάζεσθαί τε, καὶ ξηραίνεσθαι τὸ καλῶς πεφθὲν, ἢ δι' ἀῤῥωστίαν ἀναδόσεως ὑγρότερον τοῦ δέοντος ὑπιέναι. τὸ μέντοι μαλθακόν τε, καὶ συνεστηκὸς ἄντικρυς μὲν ἐνδείκνυται τὴν πεπτικὴν ἐνέργειαν ἐῤῥῶσθαι. συνενδείκνυται δὲ, καὶ τὸ τὴν ἀνάδοσιν ἀμέμπτως ἀποτελεῖσθαι. καὶ πρὸς τούτοις ἔτι, τὸ, μηδὲν φλεγμαίνειν τῶν κατὰ τὴν γαστέρα μορίων. εἰ δέ τῳ δοκεῖ παραλελεῖφθαι τὸ λεῖον, εἶναι γὰρ χρὴ τὸ καλῶς πεπεμμένον, εὐθὺς καὶ λεῖον, οὐκ ὀρθῶς οὗτος διαγινώσκει. τὸ γὰρ συνεστηκὸς, οὐκ ἐνδέχεται μὴ οὐχὶ, καὶ λεῖον ὑπάρχειν. ἡνῶσθαι γὰρ αὐτὸ δεῖ τοῖς μορίοις ἅπασι, καὶ οἷον ἓν ὑπάρχειν ἀκριβῶς. εἰ δὲ τὰ μὲν, ὁλόκληρά τε, καὶ τραχέα, καὶ σκληρὰ τῶν μορίων αὐτοῦ φαίνοιτο. τὰ δ' ὑγρὰ, καὶ ὑδατώδη, πῶς ἂν εἴη ταῦτα πρὸς ἄλληλα συνεστηκότα; διαλέλυται γὰρ οὕτω γε ἀπ' ἀλλήλων, καὶ τὰ μὲν τραχέα τε καὶ σκληρὰ κεχώρισται πάντη. τὸ δ' ὑγρὸν, ὡς ἂν ὑδατῶδές τε καὶ λεπτὸν ἔτι μένη, οὔθ' ἑαυτὸ συνδεῖν δύναται τοῖς στερεοῖς, οὔτε δι' ἑαυτοῦ κἀκείνοις τινὰ κοινωνίαν ἐργάζεσθαι. περιῤῥέον τε αὖθις ἐν κύκλῳ, καὶ ἀποῤῥέον, ἀνώμαλόν τε ἅμα, καὶ οὐδαμῶς γε συνεστηκὸς ἐργάζεται τὸ διαχώρημα. τὸ μὲν δὴ τοιοῦτον, λέγω δὴ τὸ μαλθακόν τε, καὶ συνεστηκὸς, ὑγιαίνειν μὲν ἐνδείκνυται πάντως τὴν γαστέρα. συνενδείκνυται δὲ, ὡς ἔφην, καὶ τὸ μηδὲν τῶν πέριξ πεπονθέναι, καὶ τὸ τὴν ἀνάδοσιν ἀμέμπτως γίνεσθαι. πάντως γὰρ ἂν ὑγρὸν ἦν, ἐλλιπῶς αὐτῆς ἐπιτελουμένης. εἰ δὲ καὶ τὸν καιρὸν φυλάττει τῆς ἐκκρίσεως, καθ' ὃν ὑγιαίνοντος ἐγίνετο, δῆλον, ὡς οὔτε βραδυπεψίαν, οὔτε τῆς καθεκτικῆς, ἢ ἀποκριτικῆς δυνάμεως ἐνδείκνυταί τι σφάλμα. τὸ μὲν δὲ ὀψιαίτερον, ἢ χρὴ διαχωρεῖν, ἢ τὴν πέψιν αὐτὴν, ἢ τὴν διὰ τῶν ἐντέρων φορὰν ἐνδείκνυται βραδυτέραν. τὸ δὲ πρωϊαίτερον τὴν ἀῤῥωστίαν τῆς καθεκτικῆς δυνάμεως, οὐ γὰρ δὴ ῥώμην γε τῆς ἀλλοιωτικῆς. οὐ γὰρ ἐνδέχεται τὸν νοσοῦντα, καὶ μάλιστα ὀξέως, ῥωμαλεωτέραν ἔχειν τοῦ κατὰ φύσιν τὴν κοιλίαν. ἀλλ' ἀγαπητὸν, εἰ μὴ πολλῷ τινι τοῦ κατὰ φύσιν ἀπολείποιτο. τὸ μέντοι σὺν δήξει τινὶ ταχέως διεξερχόμενον, ἐρεθισμῷ δηλονότι τὸ τοιοῦτον ἔπαθεν, οὔτε δ' ἰσχὺν, οὔτε ἀῤῥωστίαν ὅλως ἐνδείκνυται δυνάμεως. ἀλλά τό γε χωρὶς δήξεως, ἢ τινος ἄλλου συμπτώματος ἐν τῷ προσήκοντι καιρῷ κενούμενον, ἐῤῥῶσθαι τὰς τρεῖς τῆς κοιλίας ἐνδείκνυται δυνάμεις, τὴν ἀλλοιωτικὴν, τὴν καθεκτικὴν, καὶ τὴν ἀποκριτικὴν,

A exierit, qua tempore sanitatis consueuerat; quantitate verò, quæ sit pro ratione cibi assumpti. Hoc in loco, ab ipsius consistentia, & quantitate, & tempore excretionis, facit dignotionem. Quia verò inferiorem ventrem sanum ostendunt huiusmodi excrementa, idcirco subiungens inquit, *Tali enim existente deiectione, inferior venter sanus est*. Nunc verò inferiorem ventrem vocat, ad differentiam thoracis. Propterea igitur neque coloris meminit excrementi, quoniam nullam vim habet ad inferioris ventris dispositionem exquisitè indicandam. Nam, quod id excrementum sit bene concoctum, sufficiunt indi- B cia prædicta, quod videlicet sit molle, atque cohærens; & non anticipet tempus naturale, neque posterius exeat; & eius quantitas sit pro ratione ciborum assumptorum. Sicuti verò si hæc omnia adsint, omninò coctum est; ita non etiam si horum aliquid non adsit, omninò incoctum est; fieri enim potest vt ipse quidem venter circa proprium opus robustus sit, sed vel propter vehementem vicinarum partium caliditatem exugatur, atque exiccetur, quod benè concoctum fuerit; aut propter distributionis imbecillitatem humidius, quàm oporteat, egeratur. C Quod quidem molle & cohærens est, concoctricem vim validam esse liquido ostendit, ac digestionem optimè fieri, ac præterea nullam ventris partibus inflammationem inesse. Si cui verò id verbum, *leue*, prætermissum esse videtur (nam quod benè concoctum sit, id protinus etiam læue esse oportet (hic non rectè discernit; nam quod cohæret, fieri non potest, vt etiam læue non sit; nam vnitum oportet esse in partibus omnibus, & veluti vnum existere exquisitè. Si verò aliquæ quidem eius partes integræ, & asperæ, & duræ viderentur, aliquæ autem humidę & aqueæ, D quando hæ forent simul iunctæ? nam hoc pacto adinuicem dissoluerentur; & asperæ quidem, & duræ partes seorsum consisterent; humidæ autem tanquam aqueæ, & tenues adhuc remanentes, non possent solidis alligari, neque vllam per se cum illis habere communionem, circunfluentes verò vndequaque, & defluentes, inæquale neque vllo pacto cohærens facerent excrementum. Quòd quidem tale est (dico autem molle, atque cohærens) omninò ventris sanitatem ostendit; sed simul etiam illud indicat (vt dixi) nullum ex iis, quæ circumiacent, membris aliquo modo pati; & digestionem optimè fieri; nam, vbi ipsa non E integrè fieret, omninò humidum esset excrementum. Si verò excretionis seruetur tempus, quod fuerat in sano corpore, ex eo liquet, neque coctionis tarditatem adesse, neque vllum facultatis, vel retentricis, vel expultricis errorem; nam, si tardius, quam oporteat, excernatur, coctionis, aut motus, quo per intestina defertur, tarditas ostenditur; si autem citius, facultatis retentricis imbecillitas; neque enim id euenit propter robur alteratricis, quum fieri non possit, vt, qui ægrotat, acutè præsertim, ventrē habeat robustiorem, quàm sanitatis tempore; quum F benè cum eo agatur, si non multo sit imbecillior. Si verò cum aliquo morsu celeriter exeat, id ex irritatione quapiam contingit, neque robur, aut imbecillitas aliqua exinde significatur. Sed si sine morsu, aut aliquo alio symptomate in tempore opportuno excernatur, tres vētriculi facultates vigere demōstrat, alteratricē, retentricē, & expultricē,

Quòd verò quatuor sunt naturales facultates in qualibet nostri corporis parte, alibi ostẽdimus; neque nunc oportet aliquid horum, ita incidentium, demonstratione perdiscere, quoniam de his singulis separatim scripsimus. Reliquum est igitur, vt ostendamus oportere alui excrementa, quæ emittuntur, ad ea, quæ assumuntur, seruare proportionem. Excrementũ igitur molle, atque cohęrens, & quod horam, qua excernebatur sanitatis tempore, seruat, nisi etiam seruauerit ad ea, quæ assumuntur, conuenientem proportionem, aliqua eius pars intra cæcum, & id quod vocatur colon intestinũ, retinetur, aut in aliis tenuibus intestinis. Non est autem hoc neque vt signũ, neque vt causa, bonum; vt signum quidẽ, quoniam vim expultricẽ nominatã, ac propulsoriam, debilẽ esse significat; vt causa autẽ, quoniam ibi quædam excrementa intus remanẽt, quæ potius emitti oportebat; adeo vt, quod habet hæc omnia prædicta signa excrementũ, firmiter indicet inferioris ventris sanitatem. Quòd, si ex his vllum deficiat, nonnunquam ipsius ventris aliquem affectum significat, aliquando autem digestionem esse offensam, aut aliquod circunstantium organorum non esse sanum, aut aliquod symptoma dominari, sicuti & in morsu dicebatur. Quodnã igitur erit exquisitè secundũ naturam se habens excrementũ? quod neque in ventre, neque in circunstantibus organis aliquod vitium esse significat. Tale autẽ est, quod præter ea, quæ prædiximus omnia, etiam illa duo recipit, quæ Hippocrates ipse scribit deinceps in hunc modum: *Subflauum autẽ erit, & non admodum fœtidum.* Si enim flauum exquisitè, vel nullo modo subflauum exiterit, sed etiam secundũ ciborũ colorem, alterum duorũ significat, scilicet plus flauæ bilis in ventrẽ confluere, aut nihil omninò; horum verò primum quidẽ, si circa initia fiat, biliosiorẽ morbũm ostendit; si verò declinationis tẽpore, corpus integrè repurgari. De his quidem in sequentibus exquisitius dicemus. Incoctũ autem excrementũ est tenue, & album, & asperũ, & humoris expers, & comestorũ seruat qualitatem. Tertium præter hæc est excrementorum genus, quod non ex ciborum fit dispositione, sed ex confluentibus ad ventrem ex toto corpore superfluitatibus, quod aliquid potest indicare, veluti id, quod paulo antea flauum exquisite dicebamus. Sed hoc quidem, quando flauæ, amaræq; bilis humor impermixtus, & multus ad ventrem fluxerit, existit; viride autem, est æruginosæ bilis indicium; sicuti nigrum, vel atræ bilis, vel sanguinis cuiuspiam in eo loco perusti; si autem veluti liuidum quoddam in excremento apparuerit, vbi non fuerit tale aliquid assumptum, partium internarum validum frigus, ac velut mortificationem indicat; si verò pingue, vbi non fuerit tale aliquid assumptum, colliquationis est signum; quinetiam viscosum, nisi & hoc ex cibi natura tale sit, colliquationis est indicium; sed, quod quidem pingue est, ex pinguedine fit liquefacta: quod verò viscosum, ex ipsis solidis animalis partibus contabescentibus, quare multo grauius. Et quidem quod fœtet vehementer, si etiam hoc ex cibo non accidat, vehementem putrefactionẽ ostendit. Vt autem summatim dicamus, in omnibus, nisi pro cibi qualitate talia fuerint excrementa, ita oportet affectionem considerare; adeo vt sicubi hoc taceatur, subintelligere tamen oporteat (&, quæcunque ab Hippocrate in prognosticis dicuntur, ita dicũtur) semper distinguentibus nobis,

ὅτι δὲ τέσσαρες αἱ πᾶσι φυσικαὶ δυνάμεις, ἐν ἑκάστῳ τῶν τοῦ σώματος ἡμῶν μορίων εἰσὶν, ἑτέρωθι δέδεικται. καὶ νῦν οὐ χρὴ τῶν οὕτω τι παρεμπιπτόντων, ἀπόδειξιν μαθεῖν. ἰδίᾳ γὰρ ὑπὲρ ἑκάστου γέγραπται. λοιπὸν οὖν ὑπὲρ τοῦ χρῆναι πρὸς λόγον τῶν εἰσιόντων εἶναι τὰ κενούμενα, διελθεῖν ἀπολείπεται. τὸ τοίνυν μαλθακόν τε, καὶ συνεστηκὸς, καὶ κατὰ τὴν τῶν ὑγιαινόντων ὥραν ἐκκρινόμενον, εἰ μὴ διασώζοι τὴν τῶν ἐδηδεσμένων ἀναλογίαν, ἴσχεταί πού τι μέρος αὐτοῦ κατὰ τὸ τυφλὸν ἔντερον, ἢ τὸ κῶλον, ἢ κἂν ταῖς ἄλλαις ἕλιξι, ταῖς λεπταῖς. οὐκ ἀγαθὸν δὲ τοῦτο, καὶ ὡς σημεῖον, καὶ ὡς αἴτιον. ὡς σημεῖον μὲν, ὅτι τὴν ἀποκριτικὴν τε καὶ προωστικὴν ὀνομαζομένην δύναμιν ἄρρωστον εἶναί φησιν. ὡς αἴτιον δὲ, ὅτι μένει τινὰ τῶν περιττωμάτων ἔνδον, ἃ ἐχρῆν ἐκκρίνεσθαι μᾶλλον. ὥστε τὸ μὲν ἅμα ταῦτ' ἔχον ἅπαντα τὰ προειρημένα γνωρίσματα διαχώρημα, βεβαίως ἐνδείκνυται τὴν κάτω κοιλίαν ὑγιαίνειν. εἰ δέ πῃ τινὸς αὐτῶν ἀπολείποιτο, ποτὲ μὲν αὐτῆς τῆς γαστρὸς ἐνδείξεταί τινα διάθεσιν. ἐνίοτε δὲ, βεβλάφθαι τὴν ἀνάδοσιν, ἢ καί τι τῶν πέριξ ὀργάνων, οὐχ ὑγιαίνειν, ἢ καί τι σύμπτωμα κρατεῖν, ὡς ἐπὶ τῆς δήξεως ἐλέγετο. ποῖον οὖν τι τὸ κατὰ φύσιν ἔχον ἀκριβῶς ἐστὶ διαχώρημα, τὸ μηδὲν μήτ' ἐν τῇ γαστρὶ, μήτ' ἐν τοῖς πέριξ ὀργάνοις ἐνδεικνύμενον σφάλμα. τοιοῦτον δ' ἂν εἴη τὸ, πρὸς τὸ τὰ προειρημένα διαφυλάττειν ἅπαντα, δύο ταῦτ' ἔτι προσειληφὸς, ἅπερ αὐτὸς Ἱπποκράτης ἐφεξῆς ἐδίδαξε γράφων ὡδί. ὑπόπυρρον δ' ἔστω, καὶ μὴ λίην δυσῶδες. εἰ γὰρ ἤτοι πυρρὸν ἀκράτως, ἢ μηδόλως ὑπόπυρρον, ἀλλὰ καὶ κατὰ τὴν τῶν ἐδηδεσμένων εἴη χροιὰν, ἤτοι πλέον εἰς τὴν γαστέρα συρρεῖν ὠχρᾶς χολῆς, ἢ μηδόλως ὑπιέναι δηλώσει. τούτων δὲ τὸ μὲν πρότερον, εἰ μὲν κατ' ἀρχὰς γίγνοιτο, χολωδεστέραν ἐνδείκνυται τὴν νόσον. εἰ δ' ἐν τοῖς τῆς παρακμῆς χρόνοις, ἐκκαθαίρεσθαι χρηστῶς τὸ σῶμα. περὶ μὲν δὴ τούτων, ἐν τοῖς ἐφεξῆς ἀκριβέστερον διαιρεθήσεται. τὸ δὲ ἄπεπτον διαχώρημα τὸ λεπτὸν, καὶ τραχὺ, καὶ ἄχυμόν ἐστι, καὶ τὴν τῶν ἐδηδεσμένων διαφυλάττον ποιότητα. τρίτον δ' ἐπὶ τούτοις ἐστὶ γένος διαχωρημάτων, τὸ μηκέτι ἐκ τῆς τῶν σιτίων διαθέσεως, ἀλλ' ἐκ τῶν συρρεόντων εἰς τὴν γαστέρα περιττωμάτων ἐκ παντὸς τοῦ σώματος, ἐνδείκνυσθαί τι δυνάμενον, οἷόν περ καὶ τὸ πυρρὸν ἀκράτως, ὡς ὀλίγον ἔμπροσθεν ἐλέγομεν. ἀλλὰ τοῦτο μὲν, ὅταν ὁ τῆς πικρᾶς χολῆς χυμὸς ἄκρατός τε, καὶ πολὺς εἰς τὴν γαστέρα συρρέῃ, γίγνεται. τὸ χλωρὸν δὲ, τῆς ἰώδους χολῆς ἐστὶ γνώρισμα. καθάπερ γε τὸ μέλαν, ἤτοι τῆς μελαίνης, ἢ τινος αἵματος αὐτόθι κατοπτηθέντος. εἰ δ' οἷον πελιδνόν τε φαίνοιτο κατὰ τὴν διαχώρησιν, οὐδενὸς ἐδηδεσμένου τοιούτου, ψύξιν τινὰ, καὶ νέκρωσιν οὐκ ἀγεννῆ τῶν ἐντὸς ὑποδείκνυσιν. ὥσπερ εἰ καὶ λιπαρὸν, οὐδενὸς ἐδηδεσμένου λιπαροῦ, συντήξεώς ἐστι γνώρισμα. καὶ μὲν δὴ καὶ τὸ γλίσχρον, εἰ μὴ καὶ τοῦτο κατὰ τὴν τοῦ σιτίου φύσιν εἴη τοιοῦτον, συντήξεώς ἐστι σημεῖον. ἀλλὰ τὸ μὲν λιπαρὸν, πιμελῆς τηκομένης ἐστί. τὸ δ' αὖ γλίσχρον, αὐτῶν τῶν στερεῶν τοῦ ζώου μορίων, ὥστε χεῖρον μακρῷ. καὶ μὲν δὴ καὶ τὸ λίαν δυσῶδες εἰ μὴ καὶ τοῦτ' εἴη κατὰ τὸ σιτίον, οὐ μικρὰν ἐνδείκνυται σῆψιν. ἁπλῶς δ' εἰπεῖν ἐπὶ πάντων εἰ μὴ κατὰ τὸ σιτίον ἡ ποιότης εἴη τῶν διαχωρημάτων, οὕτως ἤδη σκοπεῖσθαι τὴν διάθεσιν, ὥστε κἂν μὴ λέγηταί που τοῦτο, προσυπακούειν αὐτὸ χρή. καὶ πάντα γε τὰ ὑφ' Ἱπποκράτους εἰρημένα διὰ τοῦ προγνωστικοῦ, ὡς εἴρηται, δῆλον, διοριζομένων ἡμῶν,

ἀεὶ τὸ δι' ἄλλο τι, καὶ οὐ διὰ τὸ νόσημα γεγονός. λοιπὸν δ' ἂν εἴη περί τε τοῦ τρύζοντος εἰπεῖν, καὶ ἀφρώδους, καὶ ποικίλου. τὸ μὲν δὴ τρύζον ὠνόμασται μὲν ἀπὸ τοῦ γιγνομένου ψόφου κατὰ τὴν διαχώρησιν, ἐνδείκνυται δὲ τὸ μὲν ἐκκρινόμενον αὐτὸ σὺν ὑγρότητι λεπτῇ φυσῶδες εἶναι. τὰ δ' ὄργανα, συνῆχθαί τε καὶ οἷον ἐσφίγχθαι, καὶ στενοχωρεῖσθαι. τὸ δ' ἀφρῶδες, ὥσπερ οὖν κἀπὶ τῶν ἐκτὸς, ἤτοι ζέοντός τινος, ἢ φυσώδους πνεύματος ὑγρῷ μιγνυμένου γίγνεται. τὸ μὲν δὴ πρότερον, ἀμέτρου θερμασίας συντηκούσης τὸ σῶμα. τὸ δὲ δεύτερον, ἀνωμάλου ταραχῆς ἐστιν ἔκγονον. τὰ δὲ ποικίλα, ποικίλαις ἔχεσθαι τὸ σῶμα διαθέσεσιν ἐνδείκνυται, διὰ τοῦτο οὖν, καὶ χρόνια, καὶ κακοήθη. αἱ πολλαὶ γὰρ διαθέσεις, καὶ χρόνου πλείονος εἰς πέψιν δέονται, καὶ τὸν κίνδυνον ἐπιφέρουσιν ὁμότιμον τῷ πλήθει. καὶ γὰρ πέττεται ῥᾶον ἁπλῆ διάθεσις, καὶ ἧττον κινδυνώδης ἐστὶ τῆς πολυειδοῦς. οὕτω μὲν δὴ καὶ περὶ τῶν διαχωρημάτων δεῖ γινώσκειν.

A si quid ob aliud aliquid, non propter morbum fiat. Reliquum est, vt de stridente, & spumoso, & vario dicamus. Stridens quidem ab eo, qui insit, sono, quum excernitur, nominatur; indicat autem ipsum excrementum flatum cum tenui humiditate habere permixtum, organa autem in vnum coacta, atque in angustum restricta. Spumosum verò fit (sicuti etiam in exterioribus accidit) quum scilicet feruor inest, vel aliquis flatuosus spiritus humiditate commixtus est. Primum immoderatæ caliditatis corpus colliquantis; secundum verò est inæqualis perturbationis effectus. B Varium autem, variis corpus affectibus detineri indicat; ob hoc igitur & diuturnum, & malignum existit; multi enim variique affectus ad coctionem longiori indigent tempore, periculumque afferunt multitudini æquale; nam simplex affectus facilius concoquitur, & minus est, quam multiformis, periculosus. Sic quidem de excrementis iudicare oportet.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς τῶν οὔρων διαγνώσεως.

Ἐφεξῆς δὲ περὶ τῶν οὔρων εἴπωμεν. ἄριστον μὲν οὖν κἀνταῦθα, τὸ τοῖς τῶν ὑγιαινόντων ὁμοιότατον. ὅσον δὲ οὐ τοιοῦτον, ἢ ἁπλῶς ἄπεπτόν ἐστιν, ἢ πρὸς τούτῳ, καὶ ὀλέθριον. ἄπεπτον δὲ καὶ πεπεμμένον, ὀνόματι μὲν ἕν, ὥσπερ οὖν καὶ τῷ γένει. πάμπολυ δὲ ἐν τῷ μᾶλλόν τε, καὶ ἧττον ἀλλήλων διαφέρουσιν. ὅρους οὖν κἀνταῦθα πειρασώμεθα ἐπιθεῖναι σαφεῖς, οἷς ἂν τὸ μέσον διακριθήσεται. τὸ μὲν δὴ κάλλιστα πεπεμμένον, ἐν τοῖς ἀκριβῶς ὑγιαίνουσι σκοπεῖσθαι προσήκει. τοιοῦτον δ' ἐστὶν, ὑπόπυρρόν τε ἅμα, καὶ ὑπόξανθον, καὶ πλέον γε ὑπόπυρρον, ἢ ὑπόξανθον. εὐθὺς δὲ τοῦτο, καὶ πάχους ἔχει συμμέτρως. τὸ δή τοι λεπτότερον, ἢ παχύτερον αὐτοῦ, πέψιν ἐνδεῆ σημαίνει. τὸ μὲν γὰρ, οὔπω κεχύμωται. τὸ δ', ἔτι τετάρακται. μάθοις δ' ἂν ἐκ τῶν ἀποκρινομένων μὲν λεπτῶν τε καὶ καθαρῶν, μετὰ ταῦτα δ' ἤτοι μενόντων ἀεὶ λεπτῶν, ἢ μετ' ὀλίγον ἀναθολουμένων, ὡς ἀμφότερα μὲν εἶναι ἄπεπτα. διαφέρει δὲ, τῷ τὸ μὲν, οὐκ ἐγχειρεῖσθαί πω πέττεσθαι. τὸ δ', ὅτι φυσώδη αὐτῷ πνεύματα ἀναμέμικται ταραχή τις, οἷα καὶ τοῖς νέοις οἴνοις τοῖς ἔτι ζέουσι γίγνεται. οὔσης γὰρ τριττῆς διαφορᾶς τῶν οὔρων τῶν θολερῶν, ἢ γὰρ οὐρηθέντα τοιαῦτα καθίσταται μετ' ὀλίγον, ἢ μένει παραπλήσια μέχρι παντὸς, ἢ καθαρὰ μὲν ἐκκρίνεται, μετὰ ταῦτα δ' ἀναθολοῦται. μοχθηρὸν μὲν, τὸ τρίτον μέρος τῶν εἰρημένων. ἐπιεικὲς δὲ, τὸ πρῶτον. ἐν μέσῳ δ' ἀμφοῖν ἐστι, τὸ δεύτερον. τὸ μὲν γὰρ εὐθὺς καθιστάμενον, ὀλίγον ἔτι τῆς ἀνωμάλου ταραχῆς ἀπολείπεσθαι δηλοῖ. τὸ δ' ἀεὶ διαμένον ὅμοιον, ἀκμάζειν ἔτι τὸν ἐν τοῖς αἵμασι σάλον ἐνδείκνυται. τὸ δ' ἔξω ταραττόμενον, ἄρχεσθαι πέττεσθαι μέλλει, ὡς εὐλόγως κάκιστον μὲν τοῦτο. καὶ γὰρ καὶ χρόνου παμπόλλου δεῖται, καὶ δυνάμεως ἰσχυρᾶς εἰς τὴν πέψιν. τὸ δ' οὐρούμενον μὲν θολερὸν, εὐθὺς δ' ὑπόστασιν ἔχον χρηστὴν, οὐκ εἰς μακρὰν πεφθήσεσθαι δηλοῖ τὸ νόσημα, καὶ διὰ τοῦτο ἐπιεικέστερον. ἐν τῷ μέσῳ δ' ἀμφοῖν ἐστι,|| τὸ λοιπὸν, καὶ τρίτον. ἅτε γὰρ ἀκμαζούσης ταραχῆς ἔκγονον ὑπάρχον, ὅσον ἀπολείπεται κακίᾳ τοῦ μέλλουσαν ἔτι τὴν ταραχὴν ἐνδεικνυμένου, τοσοῦτον πλεονεκτεῖ τοῦ παυομένην ἤδη κεκτημένου. τὸ τοίνυν ἐσχάτως ἄπεπτον,

|| legendū τὸ δεύτερον tantum vel praeter hoc τὸ πρῶτον τὸ τρίτον

CAPVT XII.

De vrinæ dignotione.

C Deinceps de vrinis dicamus. Ex his igitur illa optima est, quæ vrinæ sanorum est simillima; quæcunque verò non est talis, vel simpliciter incocta est, vel præter hoc & perniciosa. Coctum autem, & incoctum nomine quidem sunt vnum, sicuti & genere: plurimam verò in eo, quòd magis aut minus, differentiam habent. His igitur etiam manifestos terminos tentemus apponere, quibus, quod est in medio, secernatur. Quæ quidē optimè est cocta, in iis, qui supremum sanitatis obtinent gradum, considerare oportet; talis enim est subrufa & subflaua, magisque subrufa, quam subflaua; statim verò & hæc mediocrem crassitiem D habet. Nam quæ hac ipsa crassior est, aut tenuior, coctionem imperfectam significat; siquidem altera nondum in humorem conuersa est, altera verò adhuc conturbata est. Hoc autem intelligere licet ex iis, quæ tenues, ac puræ excernuntur, posthac verò vel remanent semper tenues, aut paulo post conturbantur, quoniam vtræque coctione carent; eo autē differunt, quod altera nondū concoqui cœpit; altera verò, quoniam flatuosi spiritus ipsi permixti sunt, perturbatio quædam, veluti in nouis vinis adhuc feruentibus, inest. Nam, quum triplex sit vrinarum turbidarū differentia, quia vel, E quum tales mictæ fuerint, paulò post resident; vel semper similes permanent; vel puræ quidem minguntur, postea verò conturbantur; praua quidē ex dictis tertia, mitis autem prima, media verò inter vtramque secunda. Quoniam quæ statim quidem residet, parū aliquid inæqualis turbulentiæ superesse demonstrat; quæ verò semper manet similis, vigere adhuc, quę est in sanguine, perturbationem ostendit: quæ verò extra conturbatur, debet incipere concoqui, quare optimo iure ea pessima est, nam & longiori tēpore & facultate valida indiget ad coctionē. Sed, quæ turbulenta meitur, statimq; F hypostasin bonā habet, morbū haud ita multo pòst concoquendum significat, atque idcirco mitior. Medio autem loco se habet secunda, nam ea, vt quæ vigente fit conturbatione, quantum malitia differt ab ea, quæ adhuc futuram perturbationem significat, tantum superat eam, quæ iam quiescentem obtinet. Quæ verò ad summū incocta est, has

has omnes vincit; est autem aquosa exquisitè, neque iam coqui incipiens, qualis turbulenta; neque in spe, vt coqui debeat, sicuti quæ paulò post perturbatur: sed velut desperatæ coctionis accidens; quæ talis est, venosi generis affectus existit, qualis est in ventriculo extrema ipsa cruditas. Quum verò etiam statim transcurrit, vocatur à nonnullis hydrops ad matellam, alij diabetem appellant, quidam verò alius antiquus ad vrinas profluuium nominauit; sed de nominibus alibi consideretur. Hic igitur affectus talis est, qualis circa aluum læuitas intestinorum, mortificatio (vt diceret quispiam) vtriusque virtutis, & retentricis & alteratricis; at hæc inter omnes vrinas crudas pessima existit. Sed post ipsam est aquosa, quæ, quantum quidem ad cruditatem attinet, priori similis est; sed quia nullum aliud commonstrat, minus perniciosa; illa enim non modò virtutis alteratricis, sed & retentricis imbecillitatem summam significat; hæc autem alterius solius, alteratricis. Quanto autem plures instrumentorum cuiusque generis actiones, & facultates impeditæ fuerint, aut ex toto perierint, tanto deterior est morbus; atque idcirco pessimum est ad vrinas profluuium, quoniam duplex est vitium. Praua autem sufficienter est, quæ tenuis & alba est, sicuti aqua; nam simplex quidem est dispositio, sed vltimæ est imbecillitatis indicium. Huic proxima est altera vrina, quæ in multis apparet morbis, vt videatur mixtam habere formam vini maximè tenuis, & albi: eius autem generatio est ex ea, quam nuper diximus, alba & aquosa, vt quæ paucum ichorem ex bile rufa susceperit, nam, & si exterius in aquam puram ochræ parum, vel ipsius etiam bilis inieceris, talis tibi aqua repræsentabitur; hæc quidem vrina proximè accedit ad crudam. Post hanc est subpallida; pallida verò iam, & subrufa est; si enim in aquam inieceris, vel rufi coloris parum, vel pallidi multum, simile tibi videbitur: hæc verò, quantum ad colorem attinet, concocta iam est; oportet autem tantum eam recedere sua crassitie ab aquosa, quantum colore, siquidem bene concoqui debeat. Optima autem omnium vrina, subrufa ac subflaua est; quemadmodum & antea diximus; veluti si etiam extra tale quid facere velles, sanguinis serum, ac bilem rufam aquæ permiscens. Sermone autem non possum exprimere mixtionis quantitatem, sed vel ab altero oportet addiscere de optima vrina, aut per te ipsum experientia percipere, qualis sit vrinæ secundum naturam se habentis forma, eam in sanis corporibus perquirendo. Nam quum adhuc coquitur sanguis, vrina, quæ mingitur, læuem, & æqualem, & albam hypostasin, ac multam facit; iam verò perfecta coctione color quidem vrinæ intenditur, minùs autem subsidet; &, si longiori post hoc tempore hominem à cibo prohibueris, videbis ipsam fieri continuò magis rufam. Nam & in commentariis de facultatibus naturalibus ostendebatur, quicquid alimenti supra modum calefit, & præsertim si pingue fuerit & dulce, verti in amaram bilem. Quoniam verò & flauam, & rufam, & pallidam nominant huiusmodi bilem; plenique sunt medicorum libri; in quibus hoc, vel illo modo appellatur, sicuti in quibusdam sine discrimine; melius est hoc in loco illud rursus annotare, vt exactius quis dicta assequatur, quod rufus color ad flauum proximè accedit;

ὑπὲρ ἅπαντα ταῦτ᾽ ἐστίν. εἴη δ᾽ ἂν ὑδατῶδες ἀκριβῶς τὸ τοιοῦτον, οὔτ᾽ ἤδη πεττόμενον, ὡς τὸ θολερόν, οὔτε μέλλον, ὡς τὸ μετ᾽ ὀλίγον ἀναθολούμενον. ἀλλ᾽ οἷον ἀπεγνωσμένης τῆς πέψεως, σύμπτωμα. τὸ τοιοῦτον τοῦ φλεβώδους γένους ὑπάρχει πάθος, οἷον ἀκριβῶς ἀπεψία γαστρός. ὅταν δὲ καὶ ταχέως διεξέρχηται τοῦτο, καλεῖται μὲν ὑπό τινων ὕδερος εἰς ἀμίδα τὸ πάθημα, διαβήτην δ᾽ ἔνιοι προσαγορεύουσι. ἄλλος δέ τις παλαιὸς ἀνήρ, εἰς οὖρα διάρροιαν ὠνόμαζε. περὶ μὲν δὴ τῶν ὀνομάτων, ἑτέρωθι σκεπτέσθω. τὸ δ᾽ οὖν πάθημα, τοιοῦτόν ἐστιν, οἷον ἐν τῇ περὶ γαστέρα λειεντερία νέκρωσις, ὡς ἂν εἴποι τις ἀμφοτέρων τῶν δυνάμεων, ἀλλοιωτικῆς τε καὶ καθεκτικῆς ὑπάρχον. ἀλλὰ τοῦτο μὲν ἀπέπτων οὔρων τὸ χείριστον. ἐφεξῆς δ᾽ αὐτῷ, τὸ ὑδατῶδες, ὅσον μὲν ἐπὶ τῷ μὴ πεπέφθαι παραπλήσιον. τῷ δὲ μηδὲν ἄλλο συνενδείκνυσθαι κακόν, καὶ ὀλέθριον ἧττον. ἐκεῖνο μὲν γὰρ οὐ τῆς ἀλλοιωτικῆς μόνον δυνάμεως, ἀλλὰ καὶ τῆς καθεκτικῆς ἀρρωστίαν ἐσχάτην δηλοῖ. τουτὶ δέ, τῆς ἑτέρας μόνης, τῆς ἀλλοιωτικῆς. ὅσῳ δ᾽ ἂν πλείους οὑτινοσοῦν γένους ὀργάνων ἐνέργειαί τε, καὶ δυνάμεις ἐμποδισθῶσιν, ἢ καὶ παντάπασιν ἀπόλωνται, τοσούτῳ χεῖρόν ἐστι τὸ νόσημα. διὰ ταῦτ᾽ ἄρα χείριστον μέν, ἡ εἰς οὖρα διάρροια, διττὴ γὰρ ἡ κακία. μοχθηρὸν δ᾽ ἱκανῶς, καὶ τὸ λεπτὸν οὕτως, καὶ λευκόν, οἷόν περ καὶ τὸ ὕδωρ. ἁπλῆ μὲν ἡ διάθεσις, ἀλλ᾽ ἔσχατον ἀρρωστίας γνώρισμα. τούτῳ δ᾽ ἐγγύς ἐστιν ἕτερον οὖρον, ἐν πολλαῖς τῶν νόσων φαινόμενον, ὡς οἴνου δοκεῖν ἱκανῶς λευκοῦ καὶ λεπτοῦ μεμιγμένην ἔχειν ἰδέαν. ἡ γένεσις δ᾽ αὐτοῦ, ἐκ τοῦ προειρημένου λεπτοῦ, καὶ ὑδατώδους οὔρου βραχὺν ἰχῶρα λεπτὸν ἐκ τῆς πυρρᾶς χολῆς ὑποδεξαμένου. καὶ γὰρ εἰ κἀκτὸς εἰς ὕδωρ καθαρὸν ἐμβάλοις ὤχρας ὀλίγον, ἢ αὐτῆς τῆς χολῆς, τοιοῦτόν σοι φανεῖται. τουτὶ μὲν οὖν ἐγγυτάτω τοῦ παντελοῦς ἀπέπτου. τὸ δ᾽ ὕπωχρον, ἐφεξῆς τούτῳ. τὸ δ᾽ ὠχρόν, εἴη μὲν ἂν ἤδη τοῦτο, καὶ ὑπόπυρρον. εἰ γὰρ εἰς ὕδωρ ἐμβάλλοις, ἢ πυρροῦ χρώματος ὀλίγον, ἢ ὠχροῦ πλέον, ὅμοιόν σοι φανεῖται. πέπεπται δ᾽ ἤδη τοῦτο, τῆς χρόας γε ἕνεκα. χρὴ δὲ αὐτό, καὶ τῷ πάχει τοσοῦτον ἀποκεχωρηκέναι τοῦ ὑδατώδους εἰ μέλλοι πεπέφθαι καλῶς, ὅσον καὶ τῷ χρώματι. τὸ δ᾽ ἄριστον ἁπάντων τῶν οὔρων, ὑπόπυρρόν ἐστι καὶ ὑπόξανθον, ὡς εἴρηται καὶ πρόσθεν. οἷον εἰ κἀκτὸς ἐργάσασθαι θελήσειας, αἵματος ὀρρῷ, καὶ χολῆς πυρρᾶς, ἐπιθολώσας ὕδωρ. λόγῳ δ᾽ εἰπεῖν οὐκ ἐγχωρεῖ τὸ ποσὸν τῆς μίξεως, ἀλλ᾽ ἢ παρ᾽ ἄλλου χρὴ μαθεῖν, περὶ ἀρίστου οὔρου, ἢ αὐτὸν ἐκ τῆς πείρας διδαχθῆναι τοῦ κατὰ φύσιν οὔρου τὴν ἰδέαν, ἐπ᾽ αὐτῶν τῶν ὑγιαινόντων ἐξετάζοντα. πεττομένου γὰρ ἔτι τοῦ αἵματος, ὅσον ἂν οὐρηθῇ, λείαν καὶ ὁμαλήν, καὶ λευκὴν ὑπόστασιν, καὶ πολλὴν ποιεῖται. τελεωθείσης δὲ τῆς πέψεως, ἐπιτείνεται μὲν αὐτῷ τὰ τοῦ χρώματος· ἔλαττον δ᾽ ὑφίσταται. κἂν εἰ πλείονα χρόνον ἐπὶ τούτοις ἄσιτον φυλάττοις τὸν ἄνθρωπον, ὄψει πυρρότερον ἀεί, καὶ μᾶλλον αὐτὸ γινόμενον. ἐδείκνυτο γὰρ δὴ κἂν τοῖς [περὶ] τῶν φυσικῶν δυνάμεων ὑπομνήμασι, ὅσον ἀμετρότερον ἐθερμάνθη τῆς τροφῆς, καὶ μάλιστα εἰ πῖον εἴη, καὶ γλυκύ, χολὴ πικρὰ γινόμενον. ἐπεὶ δὲ καὶ ξανθὴν ὀνομάζουσι, καὶ πυρράν, καὶ ὠχρὰν τὴν τοιαύτην χολήν, καὶ μεστὰ πάντα ἐστὶ τὰ τῶν ἰατρῶν βιβλία. τῶν μέν, οὕτως, τῶν δ᾽ ἐκείνως καλούντων: τινῶν δέ, καὶ ἀδιαφόρως. ἄμεινον [ἐστὶν] ἐν τῷ δὲ πάλιν ἐπιστῆσαι τὸν λόγον, ἵν᾽ ἕπηταί τις ἀκριβέστερον τοῖς λεγομένοις. ἐγγυτάτω τὴν φύσιν ἐστὶν τὸ πυρρὸν χρῶμα τῷ ξανθῷ.

διαφέρει δ' ἀλλήλων τῷ, τὸ μὲν λευκότερον εἶναι· τὸ δὲ, στιλπνότερον. καὶ γὰρ οὕτω καὶ ἡ πικρὰ χολὴ, ποτὲ μὲν πυῤῥὰ φαίνεται μᾶλλον· ποτὲ δὲ ξανθή. πολλάκις δ' αὖ σοι καὶ ὠχρὰ δόξειεν εἶναι. λευκοτέρα μὲν καὶ θολωδεστέρα γινομένη, πυῤῥά. στίλβουσα δὲ καὶ καθαρωτέρα, ξανθή. τὸ γὰρ οἷον πυρῶδες ἐλλάμπον αὐτῇ, ξανθοτέραν ἀπεργάζεται. ὅσον δ' ἐστὶ τὸ πυῤῥὸν, τοῦ ξανθοῦ λευκότερον, τοσοῦτον ἐκείνου, τὸ ὠχρόν. ὅσον δ' αὖ πάλιν ἧττον λευκόν ἐστιν τὸ ξανθὸν, τοῦ πυῤῥοῦ, τοσοῦτον τοῦ ξανθοῦ, τὸ ἐρυθρόν. ὅθεν καὶ ἡ τοῦ αἵματος χρόα ποτὲ μὲν ξανθοτέρα, ποτὲ δ' ἐρυθροτέρα φαίνεται. διὸ καὶ τοῦτο, ποτὲ μὲν ἐρυθρὸν ὀνομάζουσι· ποτὲ δὲ, ξανθόν. οὐδέποτε μέντοι τὸ ξανθότατον αἷμα, τὴν αὐτὴν ἔχει χρόαν τῇ ξανθοτάτῃ χολῇ. ἀλλ' ἔστιν ἐκείνη μὲν, ξανθοτέρα. τὸ δὲ αἷμα, πάντως ἐρυθρότερον. τὸ γὰρ ἀκριβῶς ξανθὸν αἷμα, μέσον ἀκριβοῦς αἵματος, καὶ χολῆς ἐστιν ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων· ὥστε ἑκατέρου αὐτῷ τῶν χυμῶν προσιόντος, μηδέποτε μὲν ἀκριβῶς γίνεσθαι ξανθὸν, ἑαυτοῦ μέντοι ξανθότερον. αὕτη μὲν οὕτω ἡ αἰτία, τοῦ συγκεχύσθαι τὰς προσηγορίας. ὅσον δ' εἰς τὴν χρείαν διαφέρει, ῥᾷστον ἐξευρεῖν. ὅτι τῶν κατὰ φύσιν οὔρων ὅρος, ὁ τῆς ἀκριβοῦς τοῦ αἵματος πέψεως πρῶτος καιρός ἐστιν, ἐν τοῖς ὑγιαίνουσιν ἄριστα σώμασι. ὁ δὴ τοῦτο θεασάμενος, εἶθ' οἷον κανόνα τινὰ τῶν ἄλλων οὔρων ἑαυτῷ ποιησάμενος, ἐξευρήσει ῥᾳδίως τὰς ἀλλοιούσας αὐτὸ διαθέσεις. εἰ μὲν γὰρ τὴν χρόαν ἀκριβῶς ἐπιφυλάττει, ὑπόστασίν τε καὶ λευκὴν, καὶ λείαν, καὶ ὁμαλὴν, καὶ πολλὴν ποιεῖται, πέψεως μὲν ἂν εἴη γε καὶ οὕτως ἀκριβοῦς γνώρισμα. πλέονα δὲ τὸν ὠμὸν ὀνομαζόμενον χυμὸν, ἐκκαθαίρεσθαι δηλοῖ. διὰ τοῦτο, καὶ τοῖς παιδίοις σχεδὸν ἅπασι, καὶ τῶν τελείων, τοῖς ἀργῶς διαιτωμένοις. ἢ ἄλλως ἐμπιπλαμένοις, ἱκανὴν ὑπόστασιν ἴσχει τὰ οὖρα. πλέον γὰρ ἐν τούτοις ἅπασι, τὸ ἀκατέργαστόν τε, καὶ ὠμὸν, τοῖς μὲν, διὰ τὴν ἀργίαν. τοῖς δὲ, διὰ τὴν πλησμονήν. τοῖς παιδίοις δὲ, καὶ διὰ τὴν πλησμονήν, ἀδηφάγοι γὰρ μᾶλλον, ἀλλὰ καὶ διότι μία τῆς γαστρὸς ἐνέργεια δυοῖν ἑτέραις ἐνεργείαις ἱκανῶς ἐξαρκεῖν ἀδυνατεῖ, αὐξήσει τε ἅμα, καὶ θρέψει. πρὶν οὖν ἀκριβῶς ἐν αὐτῇ πεφθῆναι τὴν τροφὴν, ἕλκει τὸ σῶμα. κἀντεῦθεν πλέον τὸν ὠμὸν ἀθροίζει χυμόν. διὰ τοῦτο, καὶ τοῖς ἐξ ἀργίας τε, καὶ πλησμονῆς πυρέττουσιν, ἣν σώζεσθαι μέλλωσιν, ἐξ ἀνάγκης ὑφίσταται πλεῖστον. ἔμπαλιν δὲ τοῖς ἐξ ἐνδείας, καὶ πόνου πυῤῥὰ μὲν, καὶ χολώδη τὰ οὖρα, λύεται γὰρ ἡ νόσος, καὶ πρὶν ὑποστῆναι πολλάκις. ἀρκεῖ γὰρ ἐπὶ τούτων, καὶ νεφέλη λευκὴ, καὶ ἐναιώρημα χρηστόν. τοιοῦτον δ' ἐστὶ, τὸ λευκὸν, καὶ λεῖον, καὶ ὁμαλόν. καὶ γὰρ οὖν αὐτῶν τῶν ὑγιαινόντων τοῖς πονοῦσι πλέον, καὶ ἧττον προσφερομένοις σιτία, χολωδέστερα τὰ οὖρα. διόπερ οὐδὲ ἁπλῶς ὁ Ἱπποκράτης ἔψεξε τὸ πυῤῥὸν, ἀλλ' ὅταν ἅμα τῷ τοιοῦτον εἶναι, καὶ λεπτὸν ὑπάρχῃ. λέγει γ' οὖν ὧδε. ἐς ὃ δὲ πυῤῥὸν εἴη τὸ οὖρον, καὶ λεπτὸν, ἄπεπτον σημαίνει τὸ νόσημα εἶναι. δῆλον δὲ, καὶ ὡς οὐδὲ ὑφίσταταί τι τοῖς τοιούτοις οὔροις. οὐ γὰρ ἐγχωρεῖ τὸ λεπτὸν ἱκανῶς, οὐδὲ εἰ πάμπολυν χρόνον ἀτρεμοῦν ἀποκέοιτο, λαβεῖν τινα διάκρισιν, ὥστε τὸ μὲν ἐμφερόμενον αὐτῷ, παχύτερον ὑποστῆναι, τὸ λεπτότερον δὲ ἐπιπολάσαι. μόνου γὰρ τοῦ παχύτητά τινα κεκτημένου τὸ τοιοῦτον πάθημα. οὐ μὴν οὐδ' εἰ συμμέτρως εἴη παχὺ, καὶ τινα βραχεῖαν ὑπόστασιν ἔχον, τοῦτο πέπεπται. εἰ γὰρ ἤτοι κριμνώδης, ἢ πεταλώδης,

ἄκρως

in hoc autem differunt, quod alter magis ad album, alter ad splendidum, vergit. Nam & amara bilis aliquando rufa apparet, aliquando flaua, sæpius autem, & pallida tibi videtur esse; si quidem albior & turbulentior facta sit, rufa; si verò splendens sit, & purior, flaua; nam, quod veluti igneum in bile splendet, ipsam reddit flauiorem. Quantum verò flauo rufum est albius, tantum illo pallidum; quantum rursus minùs album est flauum, quàm rufum, tantum flauo rubicundum; quia & sanguinis color nonnunquum flauior existit, nonnunquam rubicundior apparet; vnde & sanguinem ipsum aliquando flauum, aliquãdo rubrum dicunt. Nunquam verò sanguis maximè flauus eundem habet cum bile flauissima colorem; sed est illa quidem flauior, sanguis verò rubicundior; nam qui apprimè flauus est sanguis, medius est inter bilem, ac exquisitum sanguinem in iis, qui secundum naturam se habuerint; quare, si vterque humor in ipso coniungatur, nunquam fiet exquisitè flauus, se ipso tamen magis flauus. Hæc igitur causa est, vt appellationes confundantur. Quantum autem ad vsum refert, facillimum inuenire est, quod vrinarum, quæ secundum naturam se habent terminus est in optimè sanis corporibus primum exquisitæ coctionis sanguinis tempus; & qui hanc fuerit contemplatus, deinde veluti regulam aliarum vrinarum sibi statuerit, quænam ipsam mutent affectiones, facilè inueniet. Nam, si colorem exquisitè seruauerit, hypostasin verò albam, & læuem, & æqualem, & multam fecerit, sic quidem coctionis etiam signum exquisitum fuerit; plus autem de humore, qui crudus nominatur, euacuari demonstrat. Propterea & in pueris omnibus ferè, & perfectam ætatem habentibus, qui ociosam vitam degunt, aut quouis alio modo repleti sunt, satis multam vrinæ habent hypostasin; quoniam in his omnibus plus est de inconfecto, & crudo humore, his quidem propter desidem vitam, illis verò propter satietatem, pueris verò & ob satietatem (voraciores enim sunt) & ob id etiam, quod vna ventriculi functio non potest duobus simul sufficere, augendo scilicet, atque alendo; antequam ergo in ipso sufficienter alimentum coctum sit, ipsum ad se corpus trahit, atque hinc fit, vt plurimum crudi humoris coaceruet. Hæc quoque causa est, vt iis qui ex ocio & repletione febricitant, si sanitati restitui debent, necessariò plurimum subsideat; contra ij, qui ex inedia & labore, rufæ quidem, & biliosæ vrinæ sunt; soluitur enim morbus priùs quam aliquid subsideat, plerunque; sufficit enim in his, & nebula alba, & suspensum bonum, tale autem est album & læue & æquale; nam ex ipsis sanis, qui multum laborant, & pauciori cibo vescuntur, iis sunt vrinæ biliosiores. Quare neque simpliciter Hippocrates vituperauit vrinam rufam, sed quando simul cum rubore habuerit tenuitatem; ita igitur inquit: *Donec rufa fuerit vrina, ac tenuis, morbum crudum significat.* Liquet autem quod neque aliquid subsidet huiusmodi vrinis; neque enim contingit, vt quæ tenuis sufficienter fuerit, vel si multo tempore quieta steterit, aliquam recipiat secretionem, adeo vt crassior pars, quæ in ipsa pendebat, subsideat, tenuior verò superferatur; nam hoc solum aduenit iis, quæ aliquam crassitiem habent. Non tamen, si etiam mediocriter crassa fuerit, & breue quicquã quod subsideat, habuerit, iam cocta erit; si enim vel farinæ hordei crassiori, vel squamis,

vel

vel furfuribus, similes hypostases habuerit, vel nigras, vel virides, vel liuidas, vel fœtidas, præter id, quod quæcunq; tales sunt, cruditatẽ habent, etiam alioquin sunt perniciosæ. Nam farinæ hordeaceæ crassiori similes, duarum sunt dispositionum indicia, grandis scilicèt colliquationis, & caliditatis æstuosæ, quæ sanguinem adurit. At quæ squamas repræsentant, sunt vasorum partes superficiales, quæ scilicet omnino resoluuntur, ac colliquantur. Ita & furfureæ, præter quàm quod, quantum hæ crassiores, ac minores sunt, tantum squamis similes, latiores ac tenuiores his sunt. Nigra verò sedimenta, vel excedẽtem caliditatem, atque igneam ostendunt, vel ex frigiditate vehementi mortificationem; sic enim & extrinsecus nostri corporis partes nigro affici colore videmus, partim scilicet ex nimio calore, vt qui se Soli æstiuo exposuerunt; partim ex vehementi frigore, & veluti mortuas, quemadmodum in senibus, aut quibuscunque aliis supra modũ refrigeratis. Ipsarum itaque totarum vrinarum color niger; atque etiam eorum, quæ in ipsis suspenduntur; aut earum, quæ suprà vehuntur nebularum; ad easdem causas refertur, calorem scilicet immoderatum, aut mortificationem ex refrigeratione vehementi. Pessima igitur est omnis vrina denigrata adeo, vt neminem vnquam seruatum viderim ex iis, qui talem vrinam minxerunt; minùs verò perniciosa, si solum id, quod subsidet, nigrum fuerit; atque adhuc minus, si solum id, quod in medio iacet; ac multo minus etiam, si nebula. Color verò viridis fit in transitu ad nigrum, & est quoddam veluti procemium nigri; nam si morbus malignus fuerit, & vomitionibus, & alui deiectionibus, & vrinis viridibus, postmodum nigræ superueniunt. Color autem liuidus est solius frigiditatis effectus; Odor verò grauis, putrefactionis. Quòd si veluti oleum meiatur, colliquationis est signum. Tales quidem vrinæ prauæ sunt. Quæ autem bene coloratæ sunt, & hypostases habent albas, & læues, & æquales, aut nebulas quasdam, aut suspensa similia, omnes vrinas bonitate præcellunt, maximè autem in quibus hypostasis talis fuerit; secundum bonitatis obtinent locum, in quibus suspensa talia sunt; tertium, in quibus nebulæ. Hæ igitur coctionis signa sunt; reliquæ verò omnes partim cruditatem, partim perniciem portendunt. Nam quæ alba est, & quæ tenuis, & quæ turbulenta, cruditatem; at quæ farinæ hordei crassiori, aut squamis, aut furfuribus similis est, quæ nigra, aut viridis, aut liuida est, aut oleaginea, aut fœtida, perniciem significat. Quæ autem subrufa, aut subflaua est, adhuc autem tenuis; quà quidem tenuis, cruda existit; quà verò talem habet colorem, iam coquitur; est autem media inter eas quæ sunt exquisitè crudæ, & coctæ; sicuti & quibus alba quidem sunt, & læuia quæ suspensa sunt, diuulsa verò & minimè continua. Hoc verò etiam in subsidentibus contemplari oportet, si non modò alba sint & læuia, sed si omninò æqualia, & quia in nulla parte diuulsa sint, & quia omni tempore talia sint; nam si alternatim meiatur pura in subsidentibus, semicoctum esse morbum ostendit. De hisce igitur omnibus admirabilis Hippocrates primus omnium, quos scimus, optimè docuit; & quòd in viris quidem, & mulieribus nigræ vrinæ pessimæ sunt, in pueris autem aquæ similes; nam in his magis consuetæ crassiores, in perfectis autem magis rufæ; quod verò maximè cõtrarium est consuetis, perniciosum.

A ἢ πιτυρώδεις, ἢ μελαίνας, ἢ χλωράς, ἢ πελιδνάς, ἢ δυσώδεις ὑποστάσεις ἔχοι, πρὸς τῷ καὶ πᾶν τὸ τοιοῦτον ἄπεπτον εἶναι, καὶ ἄλλως ὀλέθριον ὑπάρχειν. αἱ μὲν γὰρ κριμνώδεις, δυοῖν εἰσι διαθέσεων γνωρίσματα, συντήξεως ἁδρομερεῦς, καὶ θερμασίας καυσώδους, ἐκφρυγούσης τὸ αἷμα. αἱ δὲ πεταλώδεις, αὐτῶν τῶν ἀγγείων εἰσὶ, τὰ ἐπιπολῆς μόρια, πάντως δήπου ἀναλυομένων τε καὶ συντηκομένων, ὡσαύτως δὲ, καὶ αἱ πιτυρώδεις, πλὴν ὅσον ἁδρόταται μὲν αὗται, καὶ σμικρόταται. πλατύτεραι δὲ, καὶ λεπτότεραι τούτων, αἱ πεταλώδεις. μέλαιναι δ' ὑποστάσεις,
B ἢ θερμασίαν ἄκρατον, καὶ πυρώδη σημαίνουσιν, ἢ νέκρωσιν ἐκ καταψύξεως ἰσχυρᾶς. οὕτω γὰρ δὴ φαίνεται, καὶ τὰ ἐκτὸς ἡμῶν μόρια μελαινόμενα, τὰ μὲν ὑπερθερμανθέντα, καθάπερ τοῖς εἱληθεροῦσι. τὰ δ' ἐσχάτως ψυχθέντα, καὶ οἷον νεκρωθέντα, καθάπερ τοῖς τε πρεσβυτέροις, καὶ τοῖς ἄλλοις ὁπωσοῦν ἰσχυρῶς ψυχθεῖσι. καὶ γὰρ οὖν καὶ αὐτῶν ὅλων τῶν οὔρων ἡ μέλαινα χρόα, καὶ προσέτι τῶν ἐναιωρουμένων αὐτοῖς, ἢ ἐποχουμένων νεφελῶν, εἰς τὰς αὐτὰς αἰτίας ἀνάγεται, θερμασίαν ἄμετρον, ἢ νέκρωσιν ἐκ καταψύξεως ἰσχυρᾶς. κάκιστον μὲν δὴ σύμπτωμα τὸ οὖρον μελανθὲν, ὥς τε οὐδένα οἶδα σωθέντα, τῶν τοιοῦτον οὐρη-
C σάντων. ἧττον δ' ὀλέθριον, ἡ ὑπόστασις αὐτοῦ μόνη μελανθεῖσα. ταύτης δ' ἐστὶν ἧττον, ἐναιώρημα μέλαν. ἔτι δ' ἧττον, ἡ νεφέλη. τὸ δ' αὖ χλωρὸν χρῶμα, κατὰ τὴν ἐπὶ τὸ μέλαν ὁδὸν γίνεται, καὶ ἔστιν ὥσπερ οἷον προοίμιον τοῦ μέλανος. εἰ γὰρ κακόηθες εἴη τὸ νόσημα, καὶ τοῖς ἐμέτοις, καὶ τοῖς διαχωρήμασι, καὶ τοῖς οὔροις τοῖς χλωροῖς, ἐφεξῆς ἐπιφαίνεται τὰ μέλανα. πελιδνὸν δὲ χρῶμα, μόνης ψύξεως ἔκγονον. ἡ δ' αὖ δυσώδης ὀσμὴ, σήψεως ἴδιον. εἰ δ' οἷον ἔλαιον οὐροῖτο, συντήξεως γνώρισμα. τὰ
D μὲν δὴ τοιαῦτα τῶν οὔρων μοχθηρά. τὰ δ' εὔχροά τε ἅμα, καὶ ἤτοι τὰς ὑποστάσεις λευκὰς, καὶ λείας, καὶ ὁμαλὰς, ἢ νεφέλας τινὰς ὁμοίως, ἢ ἐναιωρήματα ποιούμενα, πάντων οὔρων ἐστὶ τὰ χρηστότατα. μάλιστα μὲν, ὧν ἡ ὑπόστασις εἴη τοιαύτη. δεύτερα δὲ, ὧν ἐναιωρήματα. τρίτα δὲ, ὧν αἱ νεφέλαι. ταῦτα μὲν οὖν, τὰ τῆς πέψεώς ἐστι γνωρίσματα. τὰ δ' ἄλλα σύμπαντα, τὰ μὲν, ἀπεψίας, τὰ δ' ὀλέθρου. τὸ μὲν γὰρ λευκὸν, καὶ τὸ λεπτὸν, καὶ τὸ θολερὸν, ἀπεψίας. τὸ δ' αὖ κριμνῶδες, καὶ τὸ πεταλῶδες, καὶ τὸ πιτυρῶδες, καὶ τὸ μέλαν, καὶ τὸ χλωρὸν, καὶ
E τὸ πελιδνὸν, καὶ τὸ ἐλαιῶδες, καὶ τὸ δυσῶδες, ὀλέθρου. τὸ δ' ὑπόπυρρόν τε, καὶ ὑπόξανθον ἔτι, καὶ λεπτόν. ἡ μὲν λεπτὸν, ἄπεπτον. ἡ δὲ τῇ χρόᾳ τοιοῦτον, ἤδη πέπτεται. μέσον δ' ἐστὶ τῶν ἀκριβῶς ἀπέπτων τε, καὶ πεπεμμένων, ὥσπερ δὴ καὶ οἷς λευκὰ μὲν ἐναιωρήματα, καὶ λεῖα. διεσπασμένα δὲ καὶ μὴ συνεχῆ, τοῦτο μὲν δεῖ κἀν ταῖς ὑποστάσεσι θεωρεῖν, εἰ μὴ λευκαὶ, καὶ λεῖαι μόνον, ἀλλὰ καὶ εἰ παντοίως ὁμαλαὶ, τῷ τε μὴ διεσπάσθαι κατά τι, καὶ τῷ διὰ παντὸς γίνεσθαι τοῦ χρόνου τοιαῦται. εἰ γὰρ ἐναλλὰξ οὐροῖτο καθαρὰ τοῖς ὑφισταμένοις, ἡμιπέπτου νοσήματος
F γνωρίσματα. περί τε οὖν τούτων ἁπάντων ὁ θαυμάσιος Ἱπποκράτης πρῶτος, ὧν ἴσμεν, ἀπεφήνατο κάλλιστα. καὶ ὡς τοῖς μὲν ἀνδράσι, καὶ ταῖς γυναιξὶ τὰ μέλανα τῶν οὔρων, εἴη κάκιστα. τοῖς δ' αὖ παιδίοις, τὰ ὑδατώδεα. τοῖς μὲν γὰρ παιδίοις, συνηθέστερα τὰ παχύτερα. τοῖς δ' αὖ τελείοις, τὰ πυρρότερα. τὸ δ' ἐναντίον ἀεὶ τοῖς οἰκείοις, ὀλέθριον.

ἀλλὰ καὶ περὶ τῶν ὑπερύθρων οὔρων, εὐθὺς δὲ καὶ τὴν ὑπόστασιν ὑπέρυθρόν τε, καὶ λείαν ἐχόντων, ὀρθῶς εἶπεν ὡς σωτήρια μὲν ἱκανῶς ἐστι. χρονιώτερα δὲ, τῶν ἀρτίως ὀνομασθέντων ἡμιπέπτων. αἵματος γὰρ ὀρρὸς, ἐπιχρώζει τὰ τοιαῦτα. χρὴ δὲ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τῆς πυρρᾶς τι μεμῖχθαι χολῆς. εἰ δ' οὕτως ἐστὶ, καὶ τὸ κατὰ φύσιν ἀσθενὲς θερμὸν, ὡς μήτε τὴν ξανθὴν χολὴν γεννᾶν ἤδη, μήθ' αἷμα πεπεμμένον ἀκριβῶς, ἀλλ' ἔτ' ὀρρῶδές τε, καὶ ὑγρὸν, ὅτι μὲν εἰς πέψιν αὐτοῦ χρόνου δεῖ, πρόδηλον. ὅτι δ' ἀκίνδυνος ἡ διάθεσις, ἡ τῆς ὕλης ἐνδείκνυται φύσις. οὔτε λεπτὴ, καὶ ὑδατώδης, οὔτε μὴν παχεῖα τελέως, ἀλλ' οὔτε δριμεῖά τις, ἢ σεσηπυῖα. χρηστὴ δ' οὖσα, καὶ τῆς τοῦ αἵματος ἰδέας ἐγγύς.

Sed & de subrubentibus vrinis, & statim habentibus hypostasin subrubentem, ac læuem, rectè dixit, quod sunt quidem satis salutares, sed diuturniores iis, quas paulo ante semicoctas nominaui; sanguinis enim serosa superfluitas istas intingit; oportet autem non modò hanc, sed etiam aliquid rufæ bilis admisceri. Si verò calor naturalis adeo est imbecillis, vt neque rufam generet bilem, neque sanguinem exquisitè coctum, sed adhuc serosum, atque humidum, quod quidem ad sui coctionẽ tẽpore egeat, est manifestũ; quod verò hæc dispositio sine periculo sit, materiæ natura cõmonstrat, quæ neq; tenuis, aut aquæ similis est, neque integrè crassa, sed neq; acris quidem aut putrida, sed vtilis existit, & prope naturam sanguinis.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Ὅτι ἀναγκαῖόν ἐστιν ἐπισκέπτεσθαι τὴν φύσιν τῶν σημείων, τῷ μέλλοντι ἀκριβῶς προγνώσεσθαι τήν τε ἀκμὴν, καὶ τοὺς τῶν νοσημάτων καιρούς.

Ἀλλ' ἐπεὶ καὶ περὶ τῶν οὔρων, ὅσον εἰς τὰ παρόντα, χρήσιμον εἴρηται πᾶν, ἐφεξῆς ἂν εἴη λέγειν ὅπερ ὑπεσχόμεθα πρόγνωσιν ἀκμῆς, καὶ τῶν ἄλλων τῆς νόσου καιρῶν. εἰ μὲν δὴ τοιοῦτόν τι σημεῖον ἕν, ἢ καὶ πλειόνων σημείων ἄθροισμα εἴχομεν, τῶν μελλόντων ἔσεσθαι, βεβαίως δηλωτικὸν, οὔτ' ἂν αὐτὸς ὁ Ἱπποκράτης εἴρηκε μακρὰν τὴν τέχνην, οὔτε ἂν οἱ νῦν ἐθαύμαζον, εἰ δυνατόν ἐστιν εἰς πρόγνωσιν ἰατρικὴν τὰ τοιαῦτα πάνθ' ἥκειν. ἐπεὶ δ' οὔ τε σημεῖόν οὐδὲν οὕτω πιστὸν, ὡς ἀκριβῶς ἐνδείξασθαι τῶν μελλόντων χρόνων ἑκάστου τῶν καιρῶν, ἀλλ' οὐδὲ κατὰ συνδρομάς τινας, ἀλλήλοις ἐπιπλεκόμενα τὰ σημεῖα, τῇ πείρᾳ μόνῃ κριθῆναι δύνανται, παμπόλλαι γὰρ ἂν οὕτως αἱ συνδρομαὶ γένοιντο τὸ πλῆθος, ὡς μήτε ἀριθμῆσαί τινα αὐτὰς, μήτε τηρῆσαι, μήτε μνημονεῦσαι δύνασθαι, διὰ τοῦτο ἀναγκαῖον, ἑκάστου σημείου τὴν φύσιν ἀκριβῶς ἐπισκέπτεσθαι, τῷ μέλλοντι προγνώσεσθαι ἀκριβῶς, ἵν' ἐκ τῆς δυνάμεως ἑκάστου, τὴν πρόγνωσιν ᾖ ποιούμενος. οὐ γὰρ δὴ τά γε πλείω πάντως, ἰσχυρότερα τῶν ἐλαττόνων, ἓν γὰρ ἐνίοτε σημεῖον ἰσχυρὸν, πιστότερον γίνεται πολλῶν ἀσθενῶν. ταῦτ' ἄρα καὶ ὁ θαυμάσιος Ἱπποκράτης ἔλεγεν, ἐν τῷ προγνωστικῷ. τὰ σημεῖα δεῖ ἐκμανθάνοντα πάντα, κρίνειν ἐκλογιζόμενον τὰς δυνάμεις αὐτῶν πρὸς ἀλλήλας, ὥσπερ ἐλέγομεν, καὶ τὴν διδασκαλίαν αὐτῶν ἐποίησε κατὰ τὰς δυνάμεις. οὐχ ἁπλῶς ἐφεξῆς ἀγαθὰ σημεῖα καταλέξας, εἶτ' αὖθις τὰ κακά. προσεπισημηνάμενος δ' ἐν τοῖς ὀνόμασιν, ἑκάστου τὴν φύσιν ὀλέθριόν τε, καὶ δεινὸν ὀνομάζων, καὶ δεινότερον, καὶ δεινότατον, καὶ ἧττον δεινὸν, ἢ μᾶλλον δεινὸν, οὕτω δὲ καὶ πονηρὸν, καὶ πονηρότερον, καὶ πονηρότατον, καὶ θανατῶδές γε, νὴ Δία καὶ κακὸν ἁπλῶς. ἐνίοτε δὲ καὶ τὸ κάρτα προσγράφει, καθ' ἑκατέρων τῶν σημείων τὰ νῦν, τά τε νῦν εἰρημένα τὰ μοχθηρὰ, καὶ τὰ χρηστόν τι δηλοῦντα. καὶ γὰρ ἐπὶ κἀκείνων κατ' ἐκεῖνα τὸ μὲν ἄριστον λέγει. τὸ δὲ, ἀγαθὸν ἁπλῶς. τὸ δὲ, μᾶλλόν τε καὶ ἧττον. τοιοῦτον δέ τι καὶ τὸ κάρτα, μεγάλην ἔχειν δύναμιν εἰς σωτηρίαν φησίν. ἐνίοτε δ' οὐδὲν τούτων προσθεὶς, ὅτι χρόνου σημεῖον ἔσται, καὶ μακρᾶς λύσεως ἐμνημόνευσεν, ἡμῖν, ὡς οἶμαι, καταλιπὼν λογίζεσθαι περὶ τῶν τοιούτων ἁπάντων. ὡς οὔτε πονηρὰ τὸ σύμπαν, οὔτ' ἀκίνδυνα τελέως ἐστὶν, ἀλλὰ σὺν μὲν ἰσχυρᾷ τῇ δυνάμει, σωτήρια· σὺν ἀσθενεῖ δὲ, κινδυνώδη.

CAPVT XIII.

Vt vigorem & reliqua morbi tempora præsentiamus, signorum naturam exactè dignoscendam esse.

SEd postquam etiam de vrinis, quantum ad præsentia erat vtile, omninò dictum est, reliquum est vt dicamus (quod polliciti sumus facere) præcognitionem status, atque aliorum temporum morbi. Ergo, si vnum quidem aliquod tale signum, aut etiam plurium collectio, firmiter indicare posset id, quod futurum est, neque ipse Hippocrates dixisset, *artem longam*, neque nostri temporis medici admirarentur, si possibile est in præcognitionem medicinalem eiuscemodi omnia venire. Quoniam verò, neque signum vllum, ita fidele est, vt exquisitè ostendat singula ex futuris temporibus; sed neque quæ secundum concursus quosdam signa sunt complicata, sola possunt experientia iudicari, multi enim numero hoc pacto concursus fierent, adeo vt nemo eos posset enumerare, neque obseruare, neque memoria tenere; idcirco necessarium est, signi cuiusque naturam exquisitè considerare, si quis vult rectè prænoscere, vt ex vi vniuscuiusque præcognitionem faciat. Neque enim quæ plurima sunt, illa omninò paucioribus sunt potentiora; sæpe enim signum vnum validum multis debilibus fidelius existit. Hæc igitur etiam admirabilis dicebat Hippocrates in libro prognosticorum: *Signa oportet ediscentem omnia, iudicare vires eorum, inuicem comparantem.* Quare & cum ratione secundum vires eorum tradidit disciplinam, non simpliciter, deinceps, bona signa connumerans, deinde rursus mala, annotans autem in appellationibus vniuscuiusque naturam, perniciosum, & graue nominans, & grauius, & grauissimum, & minùs graue, & magis graue; sic & prauum, & prauius, & prauissimum, & mortiferum quoque per Iouem, & malum simpliciter, nonnunquam verò, valde, adiiciens vtrique signorum generi, & iis quæ nunc dicta sunt praua, & iis, quæ bonum aliquod ostendunt. Nam & in illis hoc quidem optimum dicit, hoc verò bonum simpliciter, hoc autem magis, hoc verò minùs. Tale verò est & quod dicit, valde, magnam habere vim ad salutem. Nonnunquam verò nihil ex his addens, quod temporis indicium erit, & longæ solutionis meminit, nobis, vt arbitror, de hisce omnibus ratiocinandum relinquens, quæ neque omnino praua sunt, neque penitus extra periculum, sed cum valida quidem facultate, salutaria; cum debili autem, periculosa.

Hæc

Hæc igitur non solum legenda sunt in Hippocratis libris, sed & memoranda sæpius, atque obseruanda in ægrotantibus, nam ex continua inspectione exquisitam eorum potestatis habemus notitiam. Semper autem mente reuoluere oportet ac considerare, quænam sint signa optima, quæ pessima, & quæ in medio confinio horum veluti gradus quosdam habentia, nonnulla quidem optimis, nonnulla verò deterrimis proximiora; & quæ quidem minus, quæ verò magis; eò quod alternatim modò prope illa, modò procul reperta sunt; & quænam exquisitè media ponenda sint inter bona, & mala signa. Deinde considerandum, quænam semper mala sint, & quæ semper bona: & quænam in totius morbi temporibus permutentur, quum aliquando bona fiant, aliquando mala, & nonnunquam fida, nonnunquàm verò infida. Etenim hoc ab Hippocrate dictum est admiratione digum. *Quod iis, quæ non secundum rationem leuant, non oportet credere, neque vereri valdè mala, quæ venerunt contra rationem.* Quod nisi quis nouerit, nequaquam poterit manifestè præcognoscere; sed aliquando instante crisi nihil à vulgari quopiam differre videbitur, sed simul perturbabitur, ac compauescet de futuris; nonnunquam verò existimans liberatum esse à morbo ægrotantē, atque ei victus libertatem permittens, magni alicuius mali occasionem afferet. Omninò autē malè victum instituet, futurum statum non præcognoscens; nisi quis enim ad hunc respiciens statum, ab initio victus modum adhibuerit, fieri non potest, quin magnum malum aliquod afferat ægrotanti.

A Ταῦτα οὐκ ἀναγνῶναι χρὴ μόνον ἐκ τῶν Ἱπποκράτους συγγραμμάτων, ἀλλὰ καὶ μνημονεῦσαι, καὶ παραφυλάξαι πολλάκις ἐπὶ τῶν ἀσθενούντων, ἵν' ἐκ τοῦ συνεχῶς ἑωρακέναι, τὴν ἀκριβῆ τῆς δυνάμεως αὐτῶν ἔχωμεν διάγνωσιν. ἀναπεμπάζεσθαι δὲ πρὸς ἑαυτοὺς ἀεὶ, καὶ σκοπεῖν, τίνα μὲν, ἄριστα σημεῖα· τίνα δὲ, χείριστα· τίνα δ' ἐν τῷ μεταξὺ τούτων ἐστὶν οἷον βαθμούς τινας ἔχοντα. τὰ μὲν ἐγγὺς τοῖς ἀρίστοις, τὰ δ' ἐγγὺς τοῖς χειρίστοις, καὶ τίνα μὲν, ἧττον· τίνα δὲ, μᾶλλον, ἐπὶ τοῦ ἐναλλὰξ εὑρῆσθαι, ἐγγὺς καὶ πόρρω τούτων ἐστί. τίνα δ' ἀκριβῶς μέσα θετέον ἐστὶν, ἀγαθῶν τε
B καὶ κακῶν σημείων. ἔπειτ' ἐφεξῆς σκοπεῖσθαι τίνα μὲν, ἀεὶ κακά· τίνα δὲ, διὰ παντὸς ἀγαθά. τίνα δὲ τοῖς καιροῖς ὑπαλλάττεται ὅλης τῆς νόσου· ποτὲ μὲν, ἀγαθά· ποτὲ δὲ κακὰ τοιαῦτα γινόμενα. καί ποτε μὲν ἄπιστα· ποτὲ δὲ πιστά. καὶ γὰρ οὖν καὶ τοῦτο πρὸς Ἱπποκράτους εἴρηται θαυμαστῶς. ὅτι τοῖς μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν. οὐδὲ φοβεῖσθαι λίαν τὰ μοχθηρὰ γινόμενα παραλόγως. ὅπερ εἰ μὴ γινώσκει τις, οὐδ' οἷός τ' ἔσται προγνῶναι σαφῶς. ἀλλ' ἐνίοτε μὲν ἐνεστηκυίας ἤδη τῆς κρίσεως, οὐδὲν ἂν ἰδιώτου φαίνοιτο διαφέρων, ἀλλὰ ταράττοιτό τε ἅμα, καὶ φοβοῖτο περὶ
C τοῦ μέλλοντος. ἐνίοτε δ' ἂν οἰηθεὶς ἀπηλλάχθαι τῆς νόσου τὸν κάμνοντα, κἄπειτα συγχωρήσας ἀδεῶς διαιτᾶσθαι, μέγα τι κακὸν ἐξειργάσατο. διαπαντὸς δ' ἂν κακῶς διαιτῴη, μὴ προγινώσκων τὴν ἐσομένην ἀκμήν. εἰ μὴ γὰρ πρὸς ταύτην ἀποβλέπων τις, εὐθὺς ἐξ ἀρχῆς καταστήσει τὸν τῆς διαίτης τρόπον, οὐκ ἔστιν ὅπως οὐ μέγα τι κακὸν ἐξεργάσεται τὸν κάμνοντα.

CAPVT XIV.

De signorum generibus, ac de singulorum natura.

HÆc igitur iam nos dicamus, quemadmodum proposuimus, singula per genera diuidentes. Et primum, quod signorum omnium triplex differentia sit exponamus, deinde singulorum vires, postmodum quo pacto quispiam morborum tempora præcognoscat. Triplex quidem signorum omnium natura qualis sit, mihi antea dictum est; sed nihil deterius est nunc repetere, quod nonnulla quidem cruditatis, & coctionis, quædam mortis & salutis sunt signa; hæc quidem duo sunt genera; tertium autem, & aliud genus est, quod crisibus inest. Coctionis igitur, & cruditatis signa, alui excrementa, & sputa, & vrinas statuere oportet. Mortem autem, atque salutem portendentia sunt, quæ vnà cum istis excernuntur, & quæ per totum apparent corpus, de quibus latius in libro prognosticorum Hippocrates scribit. Sanè ad crises aliquid quidem valent & nonnulla ex his; est tamen proprium, atque præcipuum eorum genus, quod totum paulo post explicabimus. At cruditatis, & coctionis signa semper constantem habent propriam potestatem, siue statim in primo die, siue in sequentibus, apparuerint. Modi autem morborum signa tripartita sunt; nam quædam (vt supra dicebatur) in vrinis, & alui excrementis, & sputis apparent; quædam in dispositione totius corporis inueniuntur, quædam in naturalibus, & animalibus videntur actionibus; hæc verò non omnia fidelia sunt in omnibus morbi temporibus, sed deinceps ipsa diuidemus. Criticorum autem accidentium duplex quidem natura est,

ΚΕΦΑΛΑΙΟΝ ΙΔʹ.

Περὶ τῶν γενῶν τῶν σημείων, καὶ τῆς ἑκάστου φύσεως.

D ΤΑῦτ' οὖν ἤδη λέγωμεν ἡμεῖς, ὡς προὐθέμεθα διαιρούμενοι κατὰ γένος ἕκαστον. καὶ πρῶτόν γε τῶν σημείων ἁπάντων, ὡς ἔστι τριττή τις διαφορά, διέλθωμεν, ἔπειτα δ' ἑκάστου τὰς δυνάμεις. εἶθ' ὡς ἄν τις μάλιστα προγινώσκοι τοὺς καιροὺς τῶν νοσημάτων. ἡ μὲν δὴ τριττὴ φύσις ἁπάντων τῶν σημείων ὁποία τίς ἐστιν, εἴρηται μὲν καὶ πρόσθεν, ἀλλ' οὐδὲν χεῖρον ἀναμνῆσαι καὶ νῦν. ὡς τὰ μὲν, πέψεώς τε καὶ ἀπεψίας ἐστί. τὰ δ' ὀλέθρου, καὶ σωτηρίας ἐνδεικτικά. ταυτὶ μὲν οὖν τὰ δύο γένη. τρίτον δ' ἐπὶ τούτοις ἄλλο γένος ἀνακειμένων ταῖς κρίσεσι τῶν σημείων. ἀπεψίας μὲν οὖν, καὶ πέψεως γνωρίσματα διαχωρήματά
E γε, καὶ πτύσματα, καὶ οὖρα τίθεσθαι χρή. τὰ δ' ὀλέθρου, καὶ σωτηρίας ἐνδεικτικὰ σημεῖα, τά τε σὺν αὐτοῖς ἐστιν ἐκκρινόμενα, καὶ τὰ καθ' ὅλον τὸ σῶμα φαινόμενα. περὶ ὧν ἐπὶ πλεῖστον, ἐν τῷ προγνωστικῷ διῆλθεν ὁ Ἱπποκράτης. εἰς γε μὴν τὰς κρίσεις, συμφέρει μέν τινα καὶ τούτων. οὐ μὴν, ἀλλ' ἴδιόν τι γένος αὐτῶν ἐστιν ἐξαίρετον, ὃ μικρὸν ὕστερον ἅπαν εἰρήσεται. τὰ μὲν δὴ τῆς ἀπεψίας τε, καὶ πέψεως σημεῖα, βεβαίαν ἀεὶ τὴν οἰκείαν ἔχει δύναμιν. ἄν τ' εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἄν τε καὶ κατὰ τὰς μετ' αὐτὴν ἐπιφαίνηται. τὰ μέντοι τοῦ
τὴν ἀκμὴν
τρόπου τῶν νοσημάτων, τριχῶς διήρηται. τὰ μὲν, ὡς καὶ πρόσ-
τριχῇ
F θεν ἐλέγετο τοῖς οὔροις τε, καὶ διαχωρήμασι, καὶ πτυέλοις ἐμφαινόμενα. τὰ δὲ ἐν ταῖς διαθέσεσιν ὅλου τοῦ σώματος εὑρισκόμενα. τὰ δ' ἐν ταῖς φυσικαῖς τε, καὶ ψυχικαῖς ἐνεργείαις ἐμφαινόμενα. ταῦτα δ' οὐκ ἔστι σύμπαντα πιστὰ, κατὰ πάντας τῶν νοσημάτων τοὺς καιρούς. ἀλλ' ἐφεξῆς αὐτὰ διαιρήσομεν. τὰ δὲ δὴ κρίσιμα συμπτώματα, διττὴ μὲν καὶ ἡ τούτων φύσις,
κρισίμων συμπτωμάτων

ἢ ὡς αἰτίων τε ἅμα, καὶ ὡς σημείων, ἢ ὡς σημείων μόνον. ἄπιστός τε πᾶσα, καὶ τἀναντία σημαίνουσί τε, καὶ δρῶσι, κατὰ τοὺς διαφέροντας καιροὺς τῶν νοσημάτων. ἐν τούτοις δὲ δὴ, καὶ τὸ σύμπαν ἐστὶν ἀγώνισμα τῆς προγνώσεως. ἐν ἄλλῳ μὲν γὰρ καιρῷ, καὶ κατ' ἄλλην διάθεσιν, ἔστι κρίσιμα. κατ' ἄλλην δέ τινα διάθεσιν, ἢ καιρὸν τῆς νόσου, συμπτώματα μὲν, ἢ σημεῖα γίνεται μοχθηρὰ, κρίσιμα δὲ, οὐδ' ὅλως ἐστίν. εἴρηται δὲ περὶ τούτων, καὶ πρὸς Ἱπποκράτους πολλάκις. ἀλλ' ἀρκεῖ κατά γε τὸ παρὸν ὑπομνῆσαι διὰ μιᾶς ῥήσεως, ἐκ τοῦ δευτέρου τῶν ἐπιδημιῶν. τὰ κρίσιμα μὴ κρίνοντα. τὰ μὲν, θανατώδεα. τὰ δὲ, δύσκριτα. τουτὶ δ' οὐκ ἔτι τοῖς τῆς πέψεώς τε καὶ ἀπεψίας ὑπάρχει σημείοις. ἀλλὰ διὰ παντὸς ἕκαστον αὐτῶν ἕν τι σημαίνει, καὶ ταὐτὸν ἀεὶ τὸ μὲν εὔχρουν εἰ τύχῃ, καὶ λευκὴν, καὶ λείαν, καὶ ὁμαλὴν ὑπόστασιν ἔχον οὖρον, πέψεως σημεῖον. τὸ δὲ λεπτόν τε ἅμα, καὶ μηδεμίαν ὑπόστασιν ἔχον ἀεὶ σημεῖον ἀπεψίας. καὶ τὸ μὲν τῆς πέψεως, ἀγαθὸν ἀεί. τὸ δὲ τῆς ἀπεψίας, οὐκ ἀγαθόν ἐστιν. εἴ τι μεμνήμεθα τῶν ἔμπροσθεν εἰρημένων. εἰ μέντοι κεφαλαλγίαν, ἢ παραφροσύνην, ἢ σκοτοδινίαν, ἢ δύσπνοιαν, ἢ ἄλην· ἢ κῶμα θεάσῃ, βέβαιον οὐδὲν ἐπὶ τούτοις, οὔτ' ἀγαθὸν, οὔτε κακὸν ἔχεις προγνῶναι. κατὰ δὲ τὸν αὐτὸν λόγον, οὐδ' ἱδρῶτας, ἢ ἐμέτους, ἢ κοιλίας, ἢ οὔρων ἔκκρισιν πολλὴν, ἢ αἱμορραγίαν ἐκ ῥινῶν, ἢ ὑστερῶν, ἢ αἱμορροΐδων, ἢ παρωτίδας, ἢ τἄλλα ἀποσκήμματα. σύμπαντα γὰρ ταῦτα, καὶ κρίσιμα, καὶ οὐ κρίσιμα γίγνεται, κατὰ διττὸν τρόπον, ἢ τῷ μηδ' ὅλως ποιῆσαι κρίσιν, ἢ τῷ κακῶς ἐργάσασθαι. τραχήλου μὲν γὰρ πόνος, καὶ κροτάφων βάρος, καὶ μαρμαρυγαί. καὶ σκοτόδινοι. καὶ κεφαλαλγίαι. καὶ δάκρυον παραρρέον ἀκούσιον. ἐξέρυθρόν τε τὸ πρόσωπον ἅμα τοῖς ὀφθαλμοῖς. ἢ τὸ κάτω χεῖλος σειόμενον. ἢ ἀγρυπνία τις, ἢ κῶμα, σημεῖα μόνον ἐστὶν ἐνίοτε κρίσιμα. καθάπερ καὶ ἆσθμα. καὶ ἄλυς τις. ἢ δύσπνοια. καὶ ὑποχόνδριον ἀνασπώμενον. ἄση τέ τις, ἢ ναυτία ἱκανὴ, καὶ καῦμα, καὶ δίψος σφοδρόν. καρδιαλγία. καὶ τὸ φέρειν μὴ δύνασθαι τὴν κατάκλισιν. καὶ τὸ παραπαίειν. καὶ βοᾶν. γίνεται οὖν ἤδη καὶ ταῦτα πολλάκις, ὑπογυίου κρίσεως σημεῖα. τὸ δ' ἕτερον γένος, οὐχ ὡς σημείων ἐστὶ μόνον κρισίμων, ἀλλὰ καὶ ὡς αἰτίων. ἔστι δ' ἔμετοί τε, καὶ διαχωρήσεις γαστρὸς, καὶ οὔρων πλῆθος, καὶ ἱδρῶτες, αἱμορραγίαι τε, καὶ παρωτίδες, καὶ ἀποσκήμματα. συμβαίνει δὲ μήτ' ἐπὶ τοῖς πρώτοις συμπτώμασι, ἃ δὴ καὶ σημεῖα μόνον ἐστὶ κρίσεως, μήτ' ἐπὶ τοῖς δευτέροις, ἃ δὴ καὶ τὴν τῶν σημείων ἔχει δύναμιν, καὶ τὴν τῶν αἰτίων γε, ἐξ ἀνάγκης γίνεσθαι κρίσιν. ἕτερον δὲ γένος ἐστὶ σημείων τε ἅμα, καὶ συμπτωμάτων, οὔτε κρίσιμον ὀνομαζόμενον, ὃ μήτε δηλοῖ, μήτε ποιεῖ κρίσιν, οὔθ' ὁμοίως πιστὸν ὅλον, ὥσπερ κατὰ τὰς πέψεις, οὔτ' ἄπιστον τελέως ἅπαν, ἀλλ' ἔστιν εὑρεῖν ἐν αὐτοῖς ἔνια μὲν, ἀγαθὰ διὰ παντός· ἔνια δὲ, φαῦλα. τὸ δ' οὖν, ὡς τὸ πολὺ τοιαῦτ' εἶναι, πάντ' ἔχει. τὸ μὲν οὖν ἐρρῶσθαί τε τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθόν. ἀγαθὸν δὲ, καὶ ἡ εὔπνοια, καὶ ἡ εὐσφυξία, καὶ ἡ εὐφορία, καὶ τὸ τοῖς ὑγιαίνουσιν ὁμοιότατον πρόσωπον, εὐσχήμων τε κατάκλισις, ὁμαλότης τε τοῦ σώματος σύμπαντος, ὅσα τε ἄλλα κατὰ τὸ προγνωστικὸν ὑφ' Ἱπποκράτους εἴρηται. κακὰ δὲ τἀναντία τούτου, τουτέστι δυσφορία, κακοσφυξία, δύσπνοια, καὶ μάλιστα ἡ ψυχροῦ τοῦ πνεύματος ἐκπνεομένου γινομένη.

A quoniam aliqua sunt tanquam causæ & signa, aliqua tanquam signa solùm. Infida verò est vniuersa eorum natura, & contraria significans, & faciens in diuersis morborū tēporibus. In his autem totū est præcognitionis certamē; nam in alio quidē tēpore, secundū aliam dispositionē, critica sunt; secundū verò aliam aliquam dispositionē, vel morbi tēpus, accidentia, vel signa praua fiunt, critica verò, neq; omninò sunt. De hisce verò ab Hippocrate etiam sæpius dictum est; sufficit autem in potentia vnius dicti ex secundo Epidemiorum libro meminisse; *Decretoria, quæ non decernunt, quædam mortalia sunt, quædam verò difficulter decernunt.* B Hoc verò haudquaquam inest coctionis, aut cruditatis signis, sed ex his vnumquodque, vnum, atque idem semper significat; vt, verbi gratia vrina quæ benè colorata est, & albam & læuem, & æqualem habet hypostasin, coctionis est signum; tenuis autem, & quæ nullum sedimentum habet vrina, semper est cruditatis signum. Et quæ quidem coctionem significat, bona est semper; quæ verò cruditatem, non bona; siquidem eorum, quæ prius diximus, recordamur. Si tamen capitis dolorem, aut delirium, aut vertiginem tenebricosam, aut difficilem anhelitum, aut anxietatem, aut grauem somnum inspexeris, C nihil in his stabile, neque bonum, neque malum poteris præcognoscere; secundum eandem rationem, neque sudores, vel vomitus, aut ventris, aut vrinæ multum profluuium, aut sanguinem de naribus, vel de vtero, vel de hæmorrhoidibus emanantem, aut parotidas, aliosque decubitus. Hæc enim omnia, & decernentia, & non decernentia sunt, secundum duplicem modum, aut quia nullo modo decernunt, aut quia malè. Nam colli dolor, vel temporum grauitas, vel hallucinationes, atque tenebricosæ vertigines, & capitis dolores, & lachrymarum inuoluntarius effluxus, faciesque vnà D cum oculis rubens, aut inferius labrum agitatum, vel vigiliæ aliquæ, vel somnus grauis, sunt tantùm signa crisis aliquando; sicuti & asthma, & quædam anxietas, vel difficultas anhelitus, & contracta hypochondria, & stomachi fastidium quoddam, vel nausea insignis, & æstus, & sitis vehemens, & oris ventriculi dolor, & non posse ferre decubitum, & delirare, atque exclamare. Fiunt igitur, & hæc sæpius iam imminente crisi indicia. Alterum genus non solùm signorum decretoriorum, sed etiam causarum, obtinet vicem. Sunt verò hæc, vomitus, & excrementa alui, & multitudo vrinarū, & sudores, & sanguinis eruptiones, & E parotides, atque alij decubitus. Contingit autem, neque in primis symptomatis, quæ tantum sunt signa crisis, neque in secundis, quæ & signorum, & causarum vim habent; crisim ex necessitate sequi. Alterum verò genus est signorū simul, atque symptomatū, quod neq; decretorium nominatur, quoniam neq; ostēdit neq; facit crisim, neq; omninò fidum est, sicuti coctiones, neque infidum ex toto; sed est inuenire inter ea, quædam bona semper, quædam autem mala; atque hæc quidem esse talia vt plurimùm, omnibus inest. *Mente igitur constare, atque ad ea, quæ offeruntur, benè se habere bonum;* F *bonum etiam facilis anhelitus, & facilis tolerantia, & pulsuum bonitas, & facies simillima sanis, decens accubitus, & totius corporis æqualitas,* & quæcunque alia Hippocrates in prognosticis scribit. *His contraria, mala,* hoc est, *difficilis tolerantia, pulsuum malitia, & spirandi difficultas, & maxime quæ per frigidi spiritus expirationem fit,*

atque

atque alia multa, quæ in prognosticis ab Hippocrate dicta sunt, manifestè definiente signi cuiusque potentiam: quæcunque enim simpliciter bona, & mala nominat, sæpius talia existunt.

CAPVT XV.

Dari aliquod signum fidum.

AT quæ ab eo optima, & pessima dicuntur, & quibus præsertim adiunxerit id verbum, valde, talem vim habent, quod semper vnum quoddam ostendunt, aut rarò non indicant. Hac igitur existente inter signa differentia, si quidem impossibile est distinguere, quando signa decretoria crisim ostendunt; vel quando ea quæ decernunt symptomata, bonam, aut malam afferunt crisim; frustra ea verba pronunciasset Hippocrates; *His quæ non cum ratione leuant, non oportet fidere, neque vereri multum mala, quæ fiunt præter rationem*; frustraque nos de crisibus tractare instituissemus. Si verò neque aliud quicquam ex omnibus, neque hæc, ab Hippocrate frustra dicta sunt, erit omninò aliquod signum fidum, quo id, quod secundum rationem est, ab eo quod præter rationem, separatur. Sed quidnam hoc sit, libenter audirem ab iis qui veterem negligunt medicinam, nos enim credimus verum id esse, quod ab Hippocrate dicitur, quod *Coctio crisis celeritatem, & securam sanitatem significat: cruda autem, & incocta, & in malos conuersa abscessus, crisium defectum, aut vehementes labores, aut mortes, aut eorundem recidiuas.* Vnde & principij tempus, sicuti etiam diximus antea, non alio quopiam distinguimus. Illi autem nullum nobis principij indicium dederunt; atque ob id nequeunt distinguere, quando exitialiter quispiam se malè habet, vel delirat; & quando imminente iam crisi; at similes vulgaribus sunt, neque quem finem ea, quæ fiunt, sint habitura, præноscentes, neque quid facere oporteat, inuenientes. Sed de his quidem etiam iterum dicetur.

CAPVT XVI.

Quo pacto summus morbi vigor possit prima die præsentiri.

QVomodo verò etiamsi nondum adsint vniuersalia morbi tempora, quispiam ipsa prænoscere queat, quum maximè ad vsum artis sit necessarium, hoc iam expono. Propositum enim est statim à primo die saltem tantum cognoscere, quòd vel in primo quaternario, vel in secundo morbus decernetur; nam vtrum in decimoquarto, vel vigesimo die illud fiat, nondum liquet. Verùm ex hoc haud magna sequitur in victus ratione mutatio, quemadmodum si quarto, vel quinto die crisis affutura esset, ac talem aliquis victum institueret, qualis, si quadragesimo die morbus finiri deberet, institueretur; hoc enim maximè esset absurdum. Et quicunque medicus primo vel saltem secundo die non præcognoscit morbum, qui extra primum septenarium nequeat extendi, hunc permultum erraturum, fit verisimile. Si igitur semel, vel bis tali errore delinqueret, venia dignus foret; si verò putet nullam esse futuri status præcognitionem, hic nec minimam medicinæ artis partem est assequutus. Ego verò, tantũ abest, vt quod futurũ sit

A καὶ τὰ ἄλλα, ὅσα κατὰ τὸ προγνωστικὸν ὑφ' Ἱπποκράτους εἴρηται, διορίζοντος σαφῶς ἑκάστου σημείου τὴν δύναμιν. ὅσα μὲν γὰρ ἁπλῶς ἀγαθὰ, καὶ δεινὰ καλεῖ, πλειστάκις ἐστὶ τοιαῦτα.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Ὑπάρχειν τι γνώρισμα πιστόν.

ΤΑ δ' ἄριστά τε, καὶ χείριστα πρὸς αὐτοῦ λεγόμενα, καὶ μάλιστα ἐφ' ὧν προστίθησι τὸ κάρτα, τοιαύτην ἔχει δύναμιν, ὡς ἤτοι διαπαντὸς ἕν τι δηλοῦν, ἢ σπάνιον εἶναι τὸ μὴ δηλῶσαι, B τοιαύτης δή τινος οὔσης διαφορᾶς ἐν τοῖς σημείοις, εἰ μὲν ἀδύνατόν ἐστι διακρῖναι πότε τὰ κρίσιμα σημεῖα, σημαίνει κρίσιν, ἢ πότε τὰ κρίνοντα συμπτώματα κρίσιν ἀγαθὴν, ἢ κακὴν ἐπιφέρει, μάτην μὲν ἂν Ἱπποκράτης ἔλεγε. τοῖσι μὴ κατὰ λόγον κουφίζουσι, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως, ἡμεῖς τε μάτην ἐνεστησάμεθα πραγματεύσασθαί τι περὶ κρίσεων. εἰ δ' οὔτ' ἄλλο τι τῶν πάντων, οὐδὲ ταῦτ' εἴρηται πρὸς Ἱπποκράτους μάτην, εἴη ἂν τι πάντως γνώρισμα πιστόν. ᾧ τὸ κατὰ λόγον τε, καὶ παρὰ λόγον, διορίζεται. τί δὴ τοῦτ' ἐστι, ἡδέως ἂν ἤκουσα παρὰ τῶν ὑπερφρο- C νούντων τῆς παλαιᾶς ἰατρικῆς. ἡμεῖς μὲν γὰρ πεπείσμεθα τὸ πρὸς Ἱπποκράτους λεγόμενον, ἀληθὲς εἶναι πάντως, ὡς πεπασμοὶ ταχύτητα κρίσεως, ἀσφαλείην ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ, καὶ ἄπεπτα, καὶ εἰς κακὰς ἀποστάσιας τρεπόμενα, ἀκρισίας, ἢ πόνους ἰσχυροὺς, ἢ θανάτους, ἢ τῶν αὐτῶν ὑποστροφάς. ὥστε καὶ τὸν τῆς ἀρχῆς καιρὸν, οὐκ ἄλλῳ τινὶ κρίνομεν, ὡς καὶ πρόσθεν ἔφαμεν. ἐκεῖνοι δὲ, οὐδὲ ἡμῖν ἔδοσαν ἀρχῆς γνώρισμα, διὰ τοῦτο οὐκ ἴσασι διακρῖναι πότε μὲν ὀλεθρίως δυσφορεῖ τις, ἢ παραπαίει· πότε δ' ἐγγὺς οὔσης τῆς κρίσεως· ἀλλ' ὅμοιοι τοῖς ἰδιώταις εἰσὶν, οὔτ' D εἰς ὅ, τι τελευτήσει τὰ γινόμενα προγινώσκοντες, οὔθ' ὅ, τι χρὴ ποιεῖν ἐξευρίσκοντες, ἀλλὰ περὶ μὲν τούτων, εἰρήσεται καὶ πάλιν.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'.

Πῶς ἡ τῆς νόσου ἀκμὴ ἀπὸ τῆς πρώτης ἡμέρας προγινώσκεται.

ΠΩς δ' ἄν τις; εἰ καὶ μήπω πάρεισιν οἱ καθόλου καιροὶ τῆς νόσου, οἷός τ' εἴη προγινώσκειν αὐτοὺς τῇ E χρείᾳ τῆς τέχνης συμφορώτατα, τοῦτο ἤδη δίειμι. πρόκειται μὲν γὰρ, εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας εἰδέναι τό γε τοσοῦτον, ὡς ἤτοι κατὰ τὴν πρώτην, ἢ τὴν δευτέραν τετράδα κριθήσεται τὸ νόσημα. τὸ γὰρ εἴ τε τεσσαρεσκαιδεκαταῖον, εἴ τε εἰκοσταῖον, οὔπω δῆλον. ἀλλ' οὐδὲν ἐκ τούτου μέγα τὸ τῆς διαίτης εἶδος ὑπαλλάττεται, καθάπερ εἰ τεταρταῖον, ἢ πεμπταῖον κρίνεσθαι μέλλον, οὕτως αὐτό τις διαιτήσειεν, ὡς εἰ καὶ τεσσαρακοσταῖον ἔμελλε λυθήσεσθαι. τουτὶ μὲν γὰρ ἐσχάτως ἄτοπον. καὶ ὅστις ἰατρὸς οὐ προγινώσκει κατὰ τὴν πρώτην, ἢ τό πλεῖστόν γε τὴν δευ- F τέραν ἡμέραν, τὸ μὴ δυνάμενον ἐξωτέρω τῆς πρώτης ἐκταθῆναι νόσημα ἑβδομάδος, μέγιστα τοῦτον εἰκὸς ἁμαρτάνειν. εἰ μὲν οὖν ἅπαξ, ἢ δίς ποτε σφαλείη περὶ τὸ τοιοῦτον, συγγνωστός. εἰ δ' ὅλως οὐκ οἴεται πρόγνωσιν οὐδεμίαν εἶναι τῆς ἐσομένης ἀκμῆς τοῦ νοσήματος, οὐδὲ σμικρὸν οὗτος ἐπαίει τέχνης ἰατρικῆς. ἐγὼ γοῦν, τοσοῦτον ἀποδέω τοῦ τὸ μέλλον

πάνυ ἄγνωστον ὑπολαμβάνειν, ὡς εἰς ἐπιστήμην βεβαίαν ἐνίοτε ἥκειν αὐτὸ πείθομαι. τί γὰρ ἄν, εἴ τις εὐθὺς κατὰ τὴν πρώτην ἡμέραν οὐδὲν ἔχων σημεῖον κινδυνῶδες, ἀλλὰ καὶ προσέτι σύμπαντα σωτήρια, πυρέττοι μὲν ὀξέως, οὐροίη δὲ εὔχροιν τε ἅμα, καὶ συμμέτρως παχύ, ἆρα οὐ πρόδηλον ἰατρῷ τοῖς ἔργοις τῆς τέχνης προσηδρευκότι περὶ μὲν πρώτην τετράδα, τὸ τοιοῦτον κριθήσεσθαι; καὶ μᾶλλον εἰ νεφέλη τις, ἢ ἐναιώρημα χρηστὸν αὐτῷ φαίνοιτο. καὶ πολὺ δὲ μᾶλλον, εἰ καὶ ὑπόστασις ἀγαθή; ἀλλὰ δὴ τοῦτο, διὰ συντόμου μὲν εἴρηται, μαθεῖν δ' οὐκ ἐνδέχεται διὰ συντόμου αὐτό. πάντα γὰρ χρὴ ἐπίστασθαι τὰ ἀγαθά τε καὶ κακὰ σημεῖα, τὸν ἀκριβῶς αὐτὰ προγνωσόμενον. ὥσπερ οὖν εἰδὼς ταῦτα καὶ ὁ Ἱπποκράτης ἔλεγεν. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων γενόμενοι, τεταρταῖοι παύονται, ἢ πρόσθεν. οἵ τε κακοηθέστατοι, καὶ ἐπὶ σημείων δεινοτάτων γενόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. εὐήθεις μὲν εἰπών, τοὺς ἐναντίους τοῖς κακοήθεσιν. ἀποφηνάμενος δέ, ὡς οὐδέτεροι τὴν τετάρτην ἡμέραν ὑπερβαίνουσι. ἀλλ' οἱ μέν, λύονται πάντως. οἱ δέ, ἀναιροῦσιν. ὡς οὖν ὁ πάντ' ἔχων ἀσφαλέστατα σημεῖα πυρετὸς ὀξύς, ἐν τῇ πρώτῃ περιόδῳ τῶν κρισίμων ἡμερῶν ἴσχει τὴν λύσιν, οὕτως ὁ παρακείμενος αὐτῷ τῆς ἑβδόμης οὐκ ἂν ἐξωτέρω προβαίη. τίς δ' ἐστὶν οὗτος, ἢ δηλονότι ᾧ πάντα οὐκ ἔστιν ἀσφαλέστατα; λέλεκται γὰρ οὖν ἤδη καὶ πρόσθεν, ὡς οὐ ταὐτόν ἐστιν ὑπερθετικῶς εἰπεῖν, ἢ ἁπλῶς ὁτιοῦν. οὐκ οὖν οὐδ' ἀσφαλές τε καὶ ἀσφαλέστατον, οὐδὲ κακόηθες καὶ κακοηθέστατον, οὐδὲ δεινὸν καὶ δεινότατον, ἴσην ἔχει τὴν δύναμιν. ἔστω δή τις εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας πυρετὸς ὀξύς, οὐκ ἄκρως μὲν ἁπλούστατός τε, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων. ἁπλοῦς μέντοι, καὶ ἐπὶ σημείων ἀσφαλῶν, ὃν γὰρ Ἱπποκράτης εὐήθη καλεῖ, τοῦτον ἐγὼ ἁπλοῦν ὀνομάζω, σαφηνείας ἕνεκεν φεύγων τὴν ὁμωνυμίαν, οὗτος εἰς τὴν δευτέραν τετράδα προβήσεται. τὸ δ' εἴτε κατὰ τὴν πέμπτην ἡμέραν, ἢ τὴν ἕκτην, ἢ τὴν ἑβδόμην κριθήσεται, προϊόντος τοῦ λόγου διορισθήσεται. κατὰ ταῦτα δέ, καὶ ὁ κακοήθης τε, καὶ ἐπὶ σημείων δεινῶν γενόμενος, καὶ γὰρ καὶ οὗτος ὅσον ἀπολείπεται τοῦ κακοηθεστάτου, καὶ μετὰ σημείων δεινοτάτων γινομένου, τοσοῦτον καὶ τὸν θάνατον ὀψιαίτερον ποιήσει. εἰ δέ τις ἁπλοῦς τε, καὶ ἁπλουστάτους, καὶ κακοήθεις τε, καὶ κακοηθεστάτους πυρετοὺς ἀγνοεῖ διαγινώσκειν, οὔτ' εἰ καλῶς, οὔτ' εἰ μὴ καλῶς εἶπεν ὑπὲρ αὐτῶν Ἱπποκράτης, οἷός τ' ἔσται ποτὲ τῇ πείρᾳ βασανίσαι. εἰ δὲ μηδὲ τὰς τῶν σημείων εἰδείη δυνάμεις, ἀλλ' ἁπλῶς οἴοιτο τὰ μέν, ἀγαθά, τὰ δὲ κακὰ μόνον ὑπάρχειν αὐτῶν, ἔτι καὶ μᾶλλον, ὡς ἐπῳδὴν γραὸς ἀναγνώσεται τὰ πρὸς Ἱπποκράτους γεγραμμένα. τοὺς μὲν δὴ τοιούτους, τῶνδε τῶν ὑπομνημάτων ἀπαλλάττεσθαι ἀξιῶ. τοῖς δὲ τὸ προγνωστικὸν Ἱπποκράτους ἀκριβῶς ἀνεγνωκόσιν, ἐφεξῆς διαλέξομαι. κατὰ μὲν δὴ τὴν πρώτην ἡμέραν, οὕτως δὲ ἄκουέ μου διὰ παντὸς ὅλον τὸν ἐξ ἡμέρας τε, καὶ νυκτὸς χρόνον, εἰς τὰς τέτταρας ἐπὶ ταῖς εἴκοσι ὥραις τεμνόμενον, ὑδατῶδες μέν, ἀκριβῶς οὐρείσθω. πυρετὸς δὲ ἔστω βληχρός. οὗτος ὁ ἄνθρωπος, εἰς μακρὸν ἐνταθήσεται χρόνον. ὁπόσον δέ τινα τοῦτον ἐν μὲν ταῖς πρώταις ἡμέραις, οὔτε δυνατὸν γνῶναι, οὔτε εἰδέναι χρήσιμον. οὗ γὰρ ἕνεκα δεόμεθα τῆς τοιαύτης προγνώσεως, ἔχομεν ἤδη τοῦτο τὸ τῆς διαίτης τὸ σχῆμα καταστήσασθαι προσφορόν, τῆς ἀκμῆς μετὰ πολλὰς ἡμέρας ἐσομένης. καθ' ἑκάστην μέντοι τετράδα παραφυλάττων ἀκριβῶς τὰ σημεῖα, καὶ αὐτὸν τὸν τῆς ἀκμῆς χρόνον,

penitus incognitum putem, vt de eo certam interdum haberi scientiam existimem. Quid enim si aliquis primo statim die nullum habens signum periculosum, verùm insuper omnia salutaria, acutè quidem febricitet, vrinam autem meiat bene coloratam, ac mediocriter crassam? an non in propatulo est medico, qui in artis operibus est exercitatus, hunc in primis quatuor diebus crisim habiturum; & eo magis, si nebula aliqua, vel suspensio bona ibi afforet; atque etiam tanto plus, si bonum sedimentum? Sed hoc quidem breuiter dictum est, non tamen breui tempore disci potest; *omnia enim & bona, & mala signa cognoscere oportet,* qui id certissimè sit præcogniturus, quemadmodum horum habens scientiam aiebat Hippocrates: *Et mitissimæ febres, quæ cum signis securissimis fiunt, quarto die sedantur, vel prius; at, quæ malignissimæ sunt, & cum signis grauissimis accidunt, quarto die occidunt, vel antea;* mites quidem nominans contrarias malignis; & quòd neutræ quartum transcendunt diem, sed hæ quidem omnino soluuntur, hæ verò interficiunt, ostendens. Sicuti igitur, quæ omnia habet signa tutissima febris acuta, in prima periodo decretoriorum dierum solutionem habet; sic quæ isti proximè adiacet, diem septimam non transcendet. Sed quænam est hæc? illa videlicet, cui non omnia sunt tutissima signa. Dictum igitur est & antea, quod non idem sit superlatiuè, & simpliciter dicere quicquam; non igitur securum & securissimum, neque malignum, & malignissimum, neque graue & grauissimum, eandem vim habent. Sit iam à primo statim die febris acuta, sed non supremè, simplicissimaque & cum tutissimis signis, verùm simplex, & cùm signis tutis (quam Hippocrates mitem nominat; ego hanc clarioris doctrinæ gratia simplicem voco, fugiens æquiuocationem) hæc febris ad secundum quaternarium progredietur; nunquid verò vel quinto die, vel sexto, vel septimo iudicabitur, procedente sermone determinabitur. Eodem modo & maligna, & cum grauibus facta signis; nam & hæc, quantum abest à malignissima, & cum grauissimis signis adueniente, tanto & mortem afferet tardiorem. Si quis simplices, & simplicissimas, & malignas, ac malignissimas febres distinguere nescit, neque, si rectè aut secus de his Hippocrates dixerit, vnquam poterit experientia perpendere. Quòd si neque signorum vires intelligat, sed simpliciter opinetur hæc quidem bona, illa verò mala tantunimodò esse, adhuc magis, tanquam vetulæ cantilenam, quæ ab Hippocrate scripta sunt, leget. Ego quidem talibus ab his commentariis censeo recedendum; at qui libros prognosticos Hippocratis accuratè legerunt, istis deinceps verba faciam. In primo quidem die (sic vero me vbique intelligas, totum ex die & nocte tempus in viginti, ac quatuor horas partitum accipientem) vrina quidem fit exquisitè aquea, febris verò debilis: hic homo diu superstes manebit; sed quantum hoc erit, in primis diebus cognosci non potest; neque cognitu vtile est, nam cuius gratia tali egemus præcognitione, iam id habemus, victus scilicet formam conuenientē constituere, quum status post multos dies sit subsequuturus. Singulis quidem quaternariis signa diligenter obseruans, etiam ipsum status

tempus,

tempus, exquisitè poteris præcognoscere. *Oportet enim* (inquit) *à primo die considerare, & in singulis quaternarijs adiectis animaduertere*; neque te latebit quo se morbus conuertet. Hæc quidem etiam in sequentibus, pluribus, ac diligentius exequemur. Ad primi verò temporis præcognitionem (quod principium vocant) inquantum extendetur tempus, iam magnum aliquid ostensum est in primo die fuisse acceptum, quod sequenti die adhuc manifestiùs est distinguere. Similiter enim febre, & vrina manentibus, non solùm quod nondum morbus incrementum inceperit, dicere possumus, sed quod neque ante septimum diem sit incepturus; didicisti enim quod extremè cruda est aquosa vrina. Quare non solum præsens iam principij tempus internoscere datur, verùm etiam sæpius præcognoscere, quo finietur.

CAPVT XVII.

Ex coctione tempora distingui & præcognosci.

IN his quidem adeò diuturnis satis longum est principij tempus, in peracutis extremè angustum. Nam si statim in prima die in vrinis appareat aliquod signum coctionis, iam hîc principium transgressum est. Nunquid igitur, neque omnino incipit? an hoc quidē impossibile? neq; enim fieri potest, vt morbus aliquis proprium statū recipiat, non præcedente principio, & incremento. Extremè breue vtrunq; horū tēporum sæpius fieri contingit, adeò vt in primo die morbus ad statum perueniat. Ita igitur acuti principij ne præcognitionem quidem finis inquirere oportet, sed satis putare, si dum adest, cognosci possit; &, quum primum ad ascensum conuertitur, manifestè deprehendatur. Est autē cōmunis talium principiorum, atq; incrementorū cognitio cum primis accessionis partibus; idem enim & eius, & vniuersi morbi principium, atque incrementū, nam neq; ipsa statim incipit à statu. Hoc enim non modò nemo vnquam vidit, sed neq; etiam cogitatione assequi potest febrē videlicet acutā statim in primo insultu in statu cōsistere, ac si fulmine foret homo percussus. Quomodo igitur in primo die febris in statu consistere agnoscetur? quomodo aliter, quā si statim habuerit signa coctionis? Tale enim quiddam accidit circa humorū crudorū coctionē, quale etiam partibus, quæ inflammationem patiuntur, aduenit. Ita autē, & de his quodam in loco inquit Hippocrates: *Circa puris generationes, dolores, ac febres contingunt, magis quàm vbi iam est generatum.* Quemadmodum igitur iam suppurata inflammatione non contingit febrem adhuc in statu esse, aut dolorem obuiare; eodem modo, neque si quicquam in vrinis subsidat exquisitè bonum. Nebula quidem sola, aut quibusdam bonis suspensis factis, status tempus nondum adest; ac multò minùs, quum hæc ipsa defuerint. præterquam si biliosus valdè morbus extiterit. Quicunque igitur iis omnibus, quæ à nobis dicta sunt, sæpius in ægrotis mentem diligenter adhibuerit, hunc nullum vnquam latebit tempus; sed, si quidem acutum fuerit, & dum præsens erit, exactè cognoscet, & statim subsequuturum præcognoscet; si verò diuturnum, ex multo vtique tempore coniicies, ac propius accedens, manifestius etiam præcognoscet. Nam in vniuersum oportet cognoscere, quod nisi manifestum appareat indicium coctionis,

ἀκριβῶς δυνήσῃ προεγνωκέναι. χρὴ γάρ, φησίν, ἀπὸ τῆς πρώτης ἡμέρας ἐνθυμέεσθαι, καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι, καὶ οὐ λήσεις, ὅπῃ τρέψεται τὸ νόσημα. ταυτὶ μὲν οὖν, κἀν τοῖς ἐφεξῆς ἐπὶ πλέον ἐξεργασόμεθα. πρὸς δὲ τὴν τοῦ πρώτου καιροῦ πρόγνωσιν, ὃν ἀρχὴν ὀνομάζουσιν, εἰς ὅσον ἐκταθήσεται χρόνον, ἤδη μέγα τι κατὰ τὴν πρώτην ἡμέραν ἐδείχθη λαμβανόμενον, ὅπερ ἐπὶ τῆς δευτέρας ἡμέρας, ἔτι σαφέστερον ἔνεστι διορίζεσθαι. μενόντων γὰρ ὁμοίως τοῦ τε πυρετοῦ, καὶ τῶν οὔρων, οὐ μόνον, ὡς οὔπω τῆς ἀναβάσεως ἡ νόσος ὑπήρξατο λέγειν ἔχομεν, ἀλλ' ὡς οὐδὲ θᾶττον ἄρξεται τῆς ἑβδόμης ἡμέρας. ἔμαθες γάρ, ὡς ἐσχάτως ἄπεπτον ὑπάρχει τὸ ὑδατῶδες οὖρον. ὥστ' οὐ μόνον ἤδη παρόντα διαγινώσκειν οἷόν τε τὸν τῆς ἀρχῆς καιρόν, ἀλλὰ καὶ προγινώσκειν πολλάκις εἰς ὅ,τι τελευτήσει.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'.

Τοὺς καιροὺς διορίζεσθαί τε καὶ προγινώσκεσθαι ἐκ τῆς πέψεως.

ΕΠὶ μὲν δὴ τῶν οὕτως χρονίων, ἱκανῶς ἐστιν ὁ καιρὸς τῆς ἀρχῆς μακρός. ἐπὶ δὲ τῶν κατοξέων, ἐσχάτως στενός. εἰ γὰρ εὐθὺς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἐν τοῖς οὔροις τι φαίνοιτο σημεῖον πέψεως, ἐκπέπλωκεν ἤδη τοῦτο τῆς ἀρχῆς. ἆρ' οὖν οὐδ' ἤρξατο τοῦτο τὸ παράπαν; ἢ τοῦτό γε μὲν ἀδύνατον; οὐ γὰρ ἐνδέχεταί τι νόσημα τὴν ἰδίαν ἀκμὴν ἀπολαβεῖν, ἄνευ τῆς ἀρχῆς τε, καὶ τῆς ἀναβάσεως. ἐσχάτως δὲ βραχὺς ἑκάτερος ὁ χρόνος αὐτῶν γίνεται, ὥστε πολλάκις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκμάσαι τὴν νόσον. οὕτως οὖν ὀξείας ἀρχῆς, οὐδὲ πρόγνωσιν δεῖ ζητεῖν τοῦ τέλους, ἀλλ' ἀγαπᾶν εἰ παροῦσάν τε διαγινώσκειν τις δύναιτο, καὶ ὁπηνίκα πρῶτον εἰς τὴν ἀνάβασιν μεταπίπτει σαφῶς γνωρίζειν. ἔστι δὲ κοινὴ τῶν τοιούτων ἀρχῶν τε, καὶ ἀναβάσεων ἡ διάγνωσις, τοῖς τοῦ πρώτου παροξυσμοῦ μέρεσιν. ἡ γὰρ αὐτὴ κἀκείνου, καὶ τοῦ σύμπαντος νοσήματος, ἀρχή τε καὶ ἀνάβασις γίνεται· οὐ γὰρ δὴ κἀκεῖνος εὐθὺς ἀπ' ἀκμῆς ἄρχεται. τοῦτο γὰρ οὐ μόνον οὐδεὶς οἶδεν, ἀλλ' οὐδ' ἐπινοῆσαι δύναται, πυρετὸν ὀξὺν εὐθὺς ὑπὸ τὴν πρώτην εἰσβολὴν ἀκμάζοντα συστῆναι, καθάπερ ὑπὸ κεραυνοῦ πληγέντος τοῦ ἀνθρώπου. πῶς οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἀκμάζον γνωρισθήσεται τὸ νόσημα; πῶς δ' ἄλλως, ἢ εἰ τὰ τῆς πέψεως εὐθὺς ἔχει σημεῖα. παραπλήσιον γάρ τι συμβαίνει κατὰ τὴν τῶν ὠμῶν χυμῶν πέψιν, οἷόν τι κἀν τοῖς φλεγμαίνουσι μορίοις συμπίπτει. λέγει δέ που, καὶ περὶ τούτων ὁ Ἱπποκράτης ὧδε. περὶ μὲν τὰς γενέσιας τοῦ πύου, οἱ πόνοι, καὶ οἱ πυρετοὶ συμβαίνουσι μᾶλλον, ἢ γενομένου. ὥσπερ οὖν οὐκ ἐνδέχεται διαπυησάσης φλεγμονῆς ἔτ' ἀκμαῖον πυρετὸν εἶναι, ἢ πόνον ἀπολυτῆσαι, κατὰ τὸν αὐτὸν τρόπον, οὐδ' ἂν ὑφίσταταί τι χρηστὸν ἐν τοῖς οὔροις ἀκριβῶς. νεφέλης μέντοι γε μόνης, ἢ τινων ἐναιωρημάτων ἀγαθῶν γινομένων, ὁ τῆς ἀκμῆς καιρὸς οὔπω πάρεστι. καὶ πολὺ δὴ μᾶλλον, ἐπειδὰν μηδὲν τούτων ᾖ, πλὴν εἰ μὴ πάνυ σφόδρα χολῶδες εἴη τὸ νόσημα, ὅς τις ἂν οὖν ἅπασι τοῖς εἰρημένοις, πολλάκις ἐπὶ τῶν ἀρρώστων ἀκριβῶς τὸν νοῦν προσέχει, τοῦτον οὐκ ἄν ποτε λάθοι καιρὸς οὐδείς. ἀλλ' εἰ μὲν ὀξὺς εἴη, παρόντα τε αὐτὸν διαγινώσκοι ἀκριβῶς, καὶ προγινώσκοι τὸν αὖ, ὅσον οὔπω γενησόμενον. εἰ δὲ χρόνιος, ἐκ πολλοῦ μὲν στοχάσαιτο ἄν. προσιόντος δ' ἐγγυτέρω, σαφέστερον ἔτι προγινώσκοι. καθόλου γὰρ χρὴ τοῦτο γινώσκειν, ὡς εἰ μή τι σαφὲς ὀφθείη πέψεως γνώρισμα,

(ἀρχῇ ἀκμάζῃ vel ἀπ' ἀρχῆς ἐπ' ἀκμὴν ἔρχε)

τὸ ἄχρι τοῦδε σύμπαν, ἀρχὴ τοῦ νοσήματος ὑπάρχει. ὁπόσον οὖν ἔτι λείπεται τοῖς ἐνεστῶσι, εἰς τὸ σαφὲς ἐκεῖνο τῆς πέψεως γνώρισμα, παρά τε τῆς τοῦ νοσήματος κινήσεως, καὶ φύσεως, ὥρας τε, καὶ χώρας, καὶ ἡλικίας, καὶ κράσεως αὐτοῦ τοῦ κάμνοντος ἐξευρήσεις. εἰ μὲν γὰρ τό τε νόσημα χρόνιον εἴη φύσει, καθάπερ ἀμφημερινὸς εἰ τύχοι, καὶ φαίνοιτο βραδέως ἐπὶ τοῦδε τοῦ κάμνοντος κινεῖσθαι, καὶ οἷον τύφεσθαι, καὶ καταπνίγεσθαι, καὶ ἡ ὥρα τοῦ ἔτους εἴη χειμὼν, καὶ τὸ χωρίον ψυχρόν. ἥ θ' ἡλικία, καὶ ἡ φύσις τοῦ κάμνοντος ἐπὶ τὸ ψυχρότερον ῥέποι, πολλοῦ τοῦ μεταξὺ δεήσει χρόνου πρὸς τὴν τοῦ σαφοῦς σημείου γένεσιν, ὃν ἅπαντα τῆς ἀρχῆς ἀριθμητέον. ἔστω σοί γ' οὖν χειμῶνος ἀρξάμενος ἀμφημερινὸς, ἐν οὕτως ἔχοντι σώματι, καθάπερ εἴρηται νῦν, ἅμα τοῖς ἀκριβῶς ἀπέπτοις, καὶ ὑδατώδεσιν οὔροις, οὐ μόνον οὐκ ἂν τῆς ἑβδόμης ἡμέρας ἐντὸς, ἀλλ' οὐδὲ τῆς τεσσαρεσκαιδεκάτης, δύναιτό τις ἔχειν σαφὲς σημεῖον πέψεως. οὕτω δὲ προσαγορεύω, τά τε τῆς ἀμυδρᾶς μεταξὺ, καὶ τὰ τῆς τελείας πέψεως. ἡ μὲν οὖν τελεία πέψις ἐστὶν, ὅταν ἐν τοῖς οὔροις ὑφίστηταί τι λευκόν τε, καὶ λεῖον, καὶ ὁμαλὸν, καὶ συνεχές. ἡ δ' ἀμυδρὰ πέψις, ὅταν ἐξ ὑδατώδους οὔρου μετρίως ὕπωχρον γένηται. καὶ μὲν δὴ καὶ εἰ θολερὸν γένοιτο, καὶ μένοι τοιοῦτον, καὶ τοῦτο ἀσαφοῦς τέ ἐστιν, καὶ ἀμυδρᾶς πέψεως γνώρισμα. καὶ τὸ πυρρόν τε, καὶ λεπτὸν, ἐκ ταύτης γένους ἐστίν. ἀλλ' οὐδὲν τούτων, τὴν ἀρχὴν πεπαῦσθαι δηλοῖ. σαφεστέρου γὰρ ἀεὶ τὰ τοιαῦτα δεῖται γνωρίσματος, ἤτοι νεφέλης λευκῆς, ἢ ἐναιωρήματος ὁμαλοῦ τε, καὶ συνεχοῦς, καὶ λευκοῦ. καὶ μὲν δὴ καὶ ἡ ἐρυθρὰ νεφέλη, καὶ ἡ ὑπόστασις ἡ τοιαύτη. καὶ χωρὶς ὑποστάσεως δὲ, τὸ εὔχροον οὖρον, ἅμα τῷ συμμέτρῳ πάχει, πεπαῦσθαι δηλοῖ τὴν ἀρχήν.

totum illud tempus intermedium, est principium morbi. Quantum igitur adhuc præsentibus deficit ad manifestum illud coctionis indicium, & à morbi motu, & natura, & tempore anni, & regione, & ætate, & temperie ipsius laborantis inuenies. Nam si morbus natura diuturnus extiterit, quemadmodum (exempli gratia) febris quotidiana, & videatur tardè in hoc ægrotante moueri, ac quodam modo succendi, ac suffocari, & tempus anni fuerit hyems, & regio frigida, ætasque, atque natura laborantis ad frigidum declinauerit, multum interim tempus erit necessarium ad manifesti signi generationem; quod totum tẽpus principio erit contribuendum. Sit igitur ita, vt hyberno tempore incipiat febris quotidiana in corpore ita se habente, quemadmodũ nunc diximus, vnà cum exquisitè crudis, & aquosis vrinis; non modo, neque intra septimum, sed neq; etiam decimumquartum diem, quispiam habere posset manifestũ coctionis signũ: sic autem appello ea, quæ inter debilis sunt, & perfectæ coctionis indicia. Perfecta igitur coctio est, quando in vrinis subsederit aliquod albũ, & læue, æquale, & cõtinuum. Debilis autẽ cõctio est, quãdo ex aquosa, mediocriter subpallida facta fuerit; & quidẽ, si turbulenta apparuerit, & talis permanserit, hæc quoque obscuræ, & debilis coctionis est signum; & rufa etiam, ac tenuis ex eodẽ genere est. Sed nihil horum iam principium esse finitũ ostendit; hæc enim manifestius indicium semper expetunt, vel solam nebulam albam, aut suspensum æquale, continuum, atque album. Et quidem, & rubens nebula, & sedimentum tale, & sine sedimento benè colorata vrina, & crassitie mediocris, principium finiisse ostendit.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Τοῖς πλευριτικοῖς ὡς παραδείγμασιν ἐνδείκνυται ὅπως οἱ τῆς νόσου καιροὶ ἐκ τῆς τε ἀμυδρᾶς, καὶ σαφοῦς, καὶ τελείας πέψεως γνωρίζονται· καὶ περὶ ταύτης τοῦ πράγματος ἐξήγησις τοῦ Ἱπποκράτους τόπου περὶ Ἀναξίωνος ὑπὸ πλευρίτιδος ἐχομένου.

Οὕτω δὲ κἀν τοῖς περιπνευμονικοῖς τε, καὶ πλευριτικοῖς πάθεσι, τὰ μὲν ἰδίως ὀνομαζόμενα πτύελα, ταῖς ἐν τοῖς οὔροις ὑποστάσεσιν ἔοικε. τὸ δὲ μηδ' ὅλως ἀποπτύειν μηδὲν, ἀλλὰ βήττειν μόνον ξηρῶς, οἷόν περ τὸ ἐν τοῖς οὔροις ἐστὶν ἄπεπτον ἐσχάτως, ὅπερ ὑδατῶδες καλοῦμεν. εἰ δὲ ἐκ τοῦ μηδ' ὅλως πτύειν, εἰς τὸ πτύειν μὲν, ἀλλ' ὑγρά τε καὶ τελέως ἄπεπτα μεταστῇ, δῆλον, ὡς ἀμυδρά τε καὶ ἀσαφὴς αὕτη παντάπασιν ἡ τοιαύτη μεταβολή. καὶ οὔπω πέπαυται τοῦ νοσήματος ὁ πρῶτος καιρὸς, ὃν ἀρχὴν ἔφαμεν ὀνομάζεσθαι. πότ' οὖν αὕτη μὲν, παύσεται, μεταστήσεται δὲ τελέως εἰς τὴν ἐπίδοσιν ἡ νόσος; ὅταν ἄρξηται πτύειν ὀλίγα πέπονα. τὸ δ' ἀπὸ τούτου σύμπαν ἄχρι τῆς ἀκμῆς, ἀεὶ καὶ μᾶλλον αὐτοῦ πλείω, καὶ βελτίω, καὶ εὐπετέστερον ἀποπτύοντος. ὅταν δὲ ἀκριβῶς ᾖ πέπονά τε καὶ πολλὰ καὶ μὴ δυσχερῶς ἀναπτυόμενα, τῆς ἀκμῆς ὁ καιρός. ὅταν δὲ ὁμοίως μὲν ἀκριβῶς πέπονά τε, καὶ ἀλύπως ἀναγόμενα, μειωθῇ δὲ τὸ πλῆθος ἥ τ' ὀδύνη μηκέτ' ᾖ, πεπαῦσθαι χρὴ νομίζειν τὴν ἀκμὴν, παραλαμβάνει γὰρ ἡ παρακμή. ὑποθώμεθα οὖν τινα πάλιν ἄρρωστον ὑπὸ πλευρίτιδός τινος ἐχόμενον, οὔτ' ἀναπτύοντά τι, καὶ οὐροῦντα λεπτὰ μὲν, ἀλλ' εὔχροα. περὶ δὲ τὴν ἑνδεκάτην ἡμέραν, ἀρχέσθω μὲν πτύειν, ὑγρὰ δὲ καὶ ἄπεπτα. τοῦτον ὅτι μὲν οὐκ ἄν τις φαίη πρὸ τῆς ἑνδεκάτης ἡμέρας, ἐν ἄλλῳ τινὶ τοῦ νοσήματος εἶναι καιρῷ,

CAPVT XVIII.

Exemplo pleuritidis indicatur, quo pacto tempora morbi ex debili, manifesta, ac perfecta concoctione intelligantur; atque ea de re explicatur Hippocratis locus de Anaxione, qui eo morbo laborabat.

Sic peripneumonicis & pleuriticis affectibus ea quæ propriè sputa vocantur, vrinarum sedimentis assimilantur; nihil verò omninò expuere, sed tussim tantummodò siccam habere, tale quiddã est, quale in vrinis extremè crudum, quod aquosum nominamus. Quod si ab eo, quod est nihil expuere, ad expuere, verũ liquida, & omninò cruda, fiat transmutatio, liquet, quod debilis, & obscura omninò est huiusmodi permutatio, & nondũ est finitũ primũ morbi tẽpus, quod principium diximus nominari. Quãdo igitur hoc quidẽ cessabit, atque integrè ad augmentũ morbus cõuertetur? quãdo cœperit pauca expuere cocta, reliquo verò omni tẽpore abhinc, vsq; ad statũ, sẽper eo plura, ac meliora, atq; facilius expuente. Quum verò exquisitè cocta fuerint & multa, & sine difficultate educta, tunc status est tẽpus. Quando verò similiter quidem exquisitè cocta, & sine molestia educta; eorum autem multitudo minuta fuerit, dolorq; non amplius affuerit, tunc statũ cessasse iudicare oportet; subsequitur enim declinatio. Supponamus igitur ægrotũ aliquẽ pleuritide correptum neque expuentem aliquid, & vrinas mingentem tenues quidẽ, sed bene coloratas; circa verò diem vndecimum expuere quædam incipiat, verùm liquida, & cruda; hunc quidem, quod nemo diceret ante diem vndecimũ esse in alio morbi tẽpore, quam

quàm in principio, omnibus est manifestum. In A vndecimo verò fortassis videretur cuiquam manifestè transgressus; verùm non ita se habet, nam dies vndecimus quartidecimi index existens, secundi temporis morbi manifestum, ac certum principium illum habiturum præmonstrat. Obseruabis igitur diem decimumquartum, si præostensis ab vndecimo consentiat: & post hunc rursus decimum septimum, quoniam & hic vigesimi est index; quemadmodum in libris de diebus decretoriis diximus. Age iam hoc die supponamus expuere pauca quidem, sed cocta; huic die vigesimo possibile est aliquam aduenire crisim, non tamen B perfectam, ob talem causam, quoniam non eandem vim habent, neque inter indices primi cum posterioribus, neque primi decretorij cum vltimis decretoriis; at valentiores quidem primi sunt, in longum autem iam protracto morbo, imbecilliores redduntur. Oportet igitur procedente morbo, & tum præcipuè, quando admodum crudus extiterit, magnam fieri transmutationem, vt secura crisis speretur. Magna autem est permutatio, quum perfectè cocta minguntur, atque expuuntur; talia verò non supponebantur in die decimoseptimo affuisse; quare nec fieri potest, vt hic ægrotus in die vigesimo liberetur, vt perfe- C ctam crisim habeat; sed mutationem aliquam effatu dignam fieri sat est; poterit enim in aliquo ex sequentibus decretoriis diebus integra solutio aduenire. Nunquid igitur solùm suppositio quædam est hic sermo vel est visus etiam talis ægrotus? Mihi quidem habere hæc omnia, quæ nunc diximus, ille videtur, de quo scribit Hippocrates in tertio epidemiorum, ille, inquam, ægrotus à pestilenti constitutione ordine octauus. Ita autem omnis sermo se habet; *In Abderis erat Anaxion, qui habitabat circa portas Thracias; Febris acuta inuasit hominem; lateris dextri dolor continuus aderat; tussis* D *sicca, neque expuebat primis diebus; sitibundus erat, & peruigil; vrinæ bene coloratæ, tenues, & multæ. Sexto die delirauit, à fomentis nulla fiebat doloris remissio. Septimo die grauiùs se habuit; nam, & febris intendebatur, neque dolores minuebantur, & tusses infestabant; difficilemque habebat anhelitum. Octauo die venam in cubito secui; sanguis multus effluxit, qualem oportuit; dolores remissi sunt, tusses tamen siccæ insequebantur. Vndecimo die febres minores factæ sunt, parum circa caput sudauit; tusses & quæ exibant à pulmone, humidiora erant. Decimoseptimo cœpit quædam pauca concocta expuere;* E *leuatus est. Vigesimo sudauit, febre liberatus est; post crisim leuatus est, siticulosus verò erat, neque à pulmone bonæ erant expurgationes. Septimo, & vigesimo febris rediit, & tussiit, eduxit concocta multa, vrinis sedimentum multum, & album, sine siti restitit, benè spirans factus est. Quarto & trigesimo die sudauit per totum corpus, sine febre restitit, atque ex toto iudicatus est.* Huic sanè, & alia, quemadmodũ supposuimus, videntur aduenisse. Et de vrinis, quamuis non pluries (quemadmodum consueuit in aliis ægrotis) sed bis saltẽ mentionẽ faciens, in principio, quod tenues essent; in septimo, & vigesimo die F subiungẽs, Vrinis sedimentũ multũ, & album, palã facit, tum primũ exquisitè coctas vrinas minxisse; propterea igitur (vt & antea dixi) in die vigesimo crisim quandã habuit, sed imperfectã quidẽ, quoniam in decimo septimo cœpit quædam cocta expuere, non tamen integra crisis subsecuta est, quoniam neque exquisita coctio, vrinarũ, aut sputorũ;

A πλὴν ἐν ἀρχῇ, πάντῃ που δῆλον. ἐπὶ δὲ τῆς ἑνδεκάτης, ἴσως μὲν ἄν τῳ δόξειε μεταπεπτωκέναι σαφῶς, ἀλλ' οὐχ ὧδε ἔχει. ἡ γὰρ ἑνδεκάτη τῆς τεσσαρεσκαιδεκάτης ἐπίδηλος οὖσα, τὴν τοῦ δευτέρου καιροῦ τῆς νόσου σαφῆ, καὶ βεβαίαν ἀρχὴν ἐκείνην ἕξειν προδηλοῖ. παραφυλάξεις γ' οὖν αὐτὴν τὴν τεσσαρεσκαιδεκάτην, εἰ τοῖς ἑνδεκάτης προδεδηλωμένοις ὁμολογεῖ. καὶ μετὰ ταύτην αὖθις, τὴν ἑπτακαιδεκάτην. ἐπεὶ καὶ ἥδε τῆς εἰκοστῆς ἐστιν ἐπίδηλος, ὡς ἐν τοῖς περὶ κρισίμων εἴρηται. φέρε δὴ κατὰ ταύτην αὐτὸν πτύσαι, μικρὰ μὲν, πέπονα δὲ, κατὰ τὴν εἰκοστὴν B τούτῳ δυνατόν ἐστιν τινὰ γενέσθαι κρίσιν. οὐ μὴν τελείαν γε. διὰ τὴν τοιαύτην αἰτίαν, ὅτι οὐ τὴν αὐτὴν ἔχουσι δύναμιν. οὔτ' αὖ τῶν ἐπιδήλων αἱ πρῶται ταῖς ὑστέραις, οὔθ' αἱ πρῶται κρίσιμοι ταῖς ἐξ ὑστέρου κρισίμοις. ἀλλ' ἰσχυρότεραι μὲν αἱ πρῶται. χρονίζοντος δ' ἤδη τοῦ νοσήματος, ἀσθενέστεραι γίνονται. χρὴ τοίνυν ἐπὶ προήκοντι τῷ νοσήματι, καὶ μάλισθ' ὅταν ἱκανῶς ἄπεπτον ᾖ, μεγάλην γίνεσθαι μεταβολὴν, ἵν' ἀσφαλὴς ἐλπισθῇ κρίσις. μεγάλη δέ τις ἐστὶ μεταβολὴ, πέπονα τελέως οὐρῆσαί τε καὶ πτύσαι. τοιαῦτα δὲ οὐχ ὑπέκειτο τὰ κατὰ τὴν ἑπτακαιδε- C κάτην. ὥστε οὐκ ἐνδέχεται, κατὰ τὴν εἰκοστὴν ἡμέραν τὸν τοιοῦτον ἄρρωστον ἀπαλλαγῆναι τοῦ νοσήματος, ἢ καὶ κριθῆναι τελέως. ἀλλ' ἀρκεῖ μεταβολήν τινα ἀξιόλογον γενέσθαι. δυνήσεται γὰρ ἔν τινι τῶν ἐφεξῆς κρισίμων, ἡ τελεία λύσις ἀπαντῆσαι. ἆρ' οὖν ὑπόθεσις μόνον ἐστὶν ὁ λόγος, ἢ καὶ τοιοῦτος ὦπται ἄρρωστος· ἐμοὶ μὲν δοκεῖ ταῦτ' ἔχειν ἅπαντα τὰ νῦν εἰρημένα, ὁ ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ὑφ' Ἱπποκράτους γεγραμμένος ὄγδοος, ἀπὸ τῆς λοιμώδους καταστάσεως. ἔχει δ' ἡ σύμπασα ῥῆσις ὧδε. ἐν Ἀβδήροις Ἀναξίων, ὃς κατέκειτο παρὰ τὰς Θρηϊκίας πύλας· πυρε- D τὸς ὀξὺς ἔλαβε. πλευροῦ δεξιοῦ ὀδύνη ξυνεχής. βὴξ ξηρά. οὐδὲν ἔπτυε τὰς πρώτας. διψώδης, ἄγρυπνος. οὖρα δ' εὔχροα, λεπτὰ, καὶ πολλὰ, ἕκτη παράληρος. πρὸς δὲ τὰ θερμάσματα, οὐδὲν ἐνεδίδου. ἑβδόμη ἐπίπονος. ὅ,τε γὰρ πυρετὸς ἐπέτεινεν, οἵ τε πόνοι οὐ ξυνεδίδοσαν: αἵ τε βῆχες ἠνώχλεον, δύσπνοός τε ἦν. ὀγδόῃ ἀγκῶνα ἔταμον. ἐρ- ρύη πολὺ οἷον ἔδει. ξυνέδωκαν οἱ πόνοι. αἱ μέντοι βῆχες αἱ ξηραὶ, παρείποντο. ἑνδεκάτῃ ξυνέδωκαν οἱ πυρετοὶ, σμικρὰ περὶ κεφαλὴν ἵδρωσε. βῆχες, καὶ τὰ ἀπὸ πνεύμονος, ὑγρότερα. ἑπτακαιδεκάτῃ ἤρξατο σμικρὰ πέπονα πτύειν. ἐκου- E φίσθη. εἰκοστῇ ἵδρωσεν, ἀπύρετος ἐγένετο. μετὰ δὲ κρίσιν, ἐκουφίσθη. διψώδης δὲ ἦν, καὶ τῶν ἀπὸ πνεύμονος, οὐ χρησταὶ αἱ καθάρσιες. ἑβδόμῃ καὶ εἰκοστῇ, ὁ πυρετὸς ὑπέστρεψεν. ἔβηξεν. ἀνήγαγε πέπονα πολλά. οὔρων ὑπόστασις, πολλὴ καὶ λευκή. ἄδιψος ἐγένετο. εὔπνοος. τετάρτῃ καὶ τριακοστῇ ἵδρωσε δι' ὅλου, ἀπύρετος ἐκρίθη πάντη. τούτῳ τἄλλα, καθάπερ ὑπεθέμεθα ἡμεῖς, φαίνεται γεγονότα, καὶ τῶν οὔρων, εἰ καὶ μὴ πολλάκις, ὡς εἴωθεν ἐπὶ τῶν ἄλλων ἀρρώστων, ἀλλὰ δίς γ' οὖν μνημονεύσας ἐν ἀρχῇ μὲν, ὡς λεπτῶν, ἐπὶ δὲ τῆς ἑβδόμης, καὶ εἰκοστῆς F ἡμέρας, προσγράψας οὔροις ὑπόστασις πολλὴ λευκὴ, δῆλός ἐστιν ἀκριβῶς πέπονα, τότε πρῶτον αὐτὸν οὐρῆσαι λέγων. διὰ τοῦτ' οὖν, ὡς καὶ πρόσθεν εἶπον, ἐπὶ μὲν τῆς εἰκοστῆς, ἐκρίθη τινὰ ἐλλιπῆ κρίσιν. διότι κατὰ τὴν ἑπτακαιδεκάτην ἤρξατο μικρὰ πέπονα πτύειν. οὐ μὴν τελεία γε ἡ κρίσις ἐγένετο. διότι μηδὲ πέψις ἀκριβὴς οὔρων, ἢ πτυέλων·

διὰ τοῦτο οὖν ἔφη. διψώδης δὲ ἦν, καὶ τὰς ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσεις. ἐνταῦθα οὖν μοι πάλιν ἀναμνησθείς, ὡς ὀρθῶς εἴρηται. τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισι μετὰ κρίσιν, ὑποστροφὰς εἴωθε ποιεῖν, τῆς ἑβδόμης, καὶ εἰκοστῆς ἡμέρας τὴν διήγησιν ἀνάγνωθι, τόνδε τὸν τρόπον ἔχουσαν. ἑβδόμῃ καὶ εἰκοστῇ, ὁ πυρετὸς ὑπέστρεψεν, ἔβηξεν. ἀνήγαγε πέπονα πολλά. οὔρησιν ὑπόστασις πολλὴ λευκή. ἄδιψος ἐλύετο. προειπὼν γὰρ, ὡς ἐν τῷ μεταξὺ τῆς μετὰ τὴν εἰκοστὴν, ἥ τε δίψα παρέμενεν αὐτῷ, καὶ τὰ ἀπὸ πνεύμονος οὐ χρησταὶ αἱ καθάρσεις ἦσαν, ἐφεξῆς φησι. ὡς ἐπὶ τῆς ἑβδόμης, καὶ εἰκοστῆς ἡμέρας ὑποστρέψας, ἐπύρεξεν, ἄδιψος ἐλύετο. καὶ χρηστὰ πτύειν ἤρξατο. κἀν τοῖς οὔροις ὑπόστασιν εἶχε πολλήν τε καὶ λευκήν. τοῦτ' οὖν ἐστιν αὐτὸ τὸ πρόσθεν ῥηθέν. ὡς ἐν τοῖς πυρετώδεσι νοσήμασιν ὅμοιόν τι συμπίπτει, τοῖς κατὰ τὰς ἐκπυϊσκομένας φλεγμονάς. ὡς γὰρ ἐκεῖ κατὰ τὰς γενέσεις τοῦ πύου, οἵ τε πόνοι καὶ οἱ πυρετοὶ μάλιστα συμβαίνουσιν· οὕτως κἀνταῦθα, πεττομένων τῶν τοὺς πυρετοὺς ἐργαζομένων χυμῶν. οὕτως γ' οὖν κἀπὶ τοῦ Ἀναξίωνος, ὅσον ἐκ τῆς προτέρας κρίσεως τῆς ἐλλιποῦς ὑπελείπετο αὖ, τοῦτ' αὖθις ζέσαν ἐν τῷ τῆς πέψεως καιρῷ, τὸν πρὸ τῆς κρίσεως ἐκίνησε πυρετόν, ὅτι δὲ τῆς ἐμφύτου θερμασίας ἐργαζομένης αὐτὸν, καὶ οὐχὶ τῆς πυρεκτικῆς, οὐχ ἥκιστα, καὶ ἡ τῶν ἡμερῶν ἐνεδείξατο φύσις. πρώτη μὲν γὰρ ἡ ἑνδεκάτη χρηστῆς μὲν, ἀλλ' ἀμυδρᾶς ὑπήρξατο πέψεως. εἶθ' ἡ ἑπτακαιδεκάτη, σαφέστερον ὑπέδειξε σημεῖον πέψεως. εἶθ' ἡ εἰκοστὴ, κρίσιν ἐλλιπῆ. μετὰ δὲ ταύτην, ἡ ἑβδόμη καὶ εἰκοστὴ, τελείας πέψεως ἤνεγκε γνώρισμα. διὰ τοῦτο οὖν ἐπιφέρων ἔφη. τετάρτῃ καὶ τριακοστῇ ἵδρωσε δι' ὅλου, ἀπύρετος ἐλύετο, ἐκρίθη πάντη. δῆλον γὰρ, ὡς ἐν ταῖς ἑπτὰ, ταῖς μετὰ τὴν ἑβδόμην καὶ εἰκοστὴν, ἐπέφθη τε ἅμα, καὶ ἐξεκρίθη σύμπαντα τὰ τοῦ νοσήματος αἴτια, διὰ μὲν τῶν οὔρων, τὰ τοὺς πυρετοὺς ἐργαζόμενα· διὰ δὲ τῶν πτυσμάτων, τὰ κατὰ τὸν θώρακα. μεμνῆσθαι δὲ χρὴ τοῦδε τοῦ λόγου, πρός τε τὰ προόντα, καὶ τὰ μέλλοντα λεχθήσεσθαι, καὶ τὰ τρία ταῦτα ἡγεῖσθαι ἀλλήλων διαφέροντα, τήν τε ἀμυδρὰν πέψιν, καὶ τὴν σαφῆ, καὶ τὴν τελείαν. ἀμυδρὰ μὲν γὰρ, κατὰ τὴν ιαʹ. σαφὴς δὲ κατὰ τὴν ιζʹ. τελεία δὲ, κατὰ τὴν ζʹ. καὶ εἰκοστὴν ἐγένετο, μεθ' ἣν ἐν ἑπτὰ ταῖς ἁπάσαις ἡμέραις, ἡ νόσος ἐλύθη, καὶ οὕτως ξύμπας ὁ καιρὸς, ἀκμὴ ἐγένετο, καθάπερ ἐν τοῖς ἐφεξῆς ἔτι σαφέστερον ἐπιδειχθήσεται, τοῦτο οὖν τὸ πτύελον, ὃ κατὰ τὴν ἑβδόμην τε εἰκοστὴν ἐφάνη. εἴπερ ἐφάνη κατὰ τὰς πρώτας ἡμέρας τοῦ νοσήματος, μετὰ τῶν τὴν χρηστὴν ὑπόστασιν ἐχόντων οὔρων, οὐκ ἐνεδέχετο μὴ οὐ κατὰ τὴν πρώτην ἑβδομάδα κριθῆναι τὸ νόσημα. πρώτας δ' ἡμέρας δηλονότι τοῦ νοσήματος εἶπον, ἃς ἡ πρώτη τετρὰς ὁρίζει.

propterea igitur inquit; *erat autem siticulosus, atque ex pulmone non erant bonæ expurgationes.* Hic igitur nobis ad memoriam reuocans, quod rectè dictum est, *Quæ relinquuntur in morbis post crisim, recidiuas facere consueuerant.* De septimo, ac vigesimo die lege enarrationem, quæ ita se habet: *Septimo, & vigesimo rediit febris, tussiit, eduxit concocta multa, vrinis multum sedimentum album, sine siti restitit.* Nam quum antea dixisset, quod in tempore intermedio post vigesimum diem, & sitis remansit, & à pulmone non erant bonæ expurgationes, deinceps inquit, quod in septimo, & vigesimo die facta recidiua, febricitauit, sine siti autem restitit, & bona expuere cœpit, in vrinis subsidentiam habebat multam, atque albam. Hoc igitur est, quod priùs dicebatur, quod videlicet in morbis febrilibus tale quid accidit, quale in iis, quæ suppurant, inflammationibus. Sicuti enim ibi, quum generatur pus, & dolores, & febres præcipuè contingunt; ita & hic dum concoquuntur humores, qui febrem inducunt. Sic igitur, & in Anaxione, quantum ex prima illa crisi defecta relictum erat, hoc rursus efferuescens in coctionis tempore, illam quæ antecessit secundam crisim, febrem generauit. Hoc verò à naturali calore, non autem febrili, prouenisse, dierum natura non minimè indicabat; primùm enim vndecimus bonam; sed obscuram incepit coctionem; deinde decimusseptimus signum coctionis manifestiùs ostendit: deinde vigesimus crisim imperfectam; post hunc verò septimus, & vigesimus integræ coctionis indicia dedit. Propterea subinferens inquit: *Quarto, & trigesimo die sudauit per totum, sine febre restitit, atque ex toto iudicatus est.* Liquet enim quod in trigesimo quarto die, qui septimus est post septimum, & vigesimum, concoctæ sunt simul, & excretæ omnes morbi causæ, per vrinas quidem, quæ febres faciebant; per sputa vero, quæ in thorace. Oportet autem huius meminisse sermonis, & ob præsentia, & ob illa, quæ dicenda sunt; & hæc tria inuicem differre arbitrandum, & obscuram coctionem, & manifestam, atque perfectam; obscura enim vndecimo, manifesta verò decimoseptimo, perfecta verò vigesimoseptimo facta est; post quem in omnibus septem diebus morbus solutus est; & sic totum hoc tempus, status; quemadmodum & in sequentibus manifestiùs ostendemus. Hoc igitur sputum, quod septimo & vigesimo die apparuit, si quidem in primis morbi diebus apparuisset cum vrinis bonum sedimentum habentibus, fieri non potuisset, quin in prima septimana morbus iudicaretur. Primos voco dies morbi, quos primus quaternarius coërcet.

ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

Περὶ διαγνώσεως τοῦ πρώτου τῆς νόσου καιροῦ.

ΚΑὶ γὰρ καὶ τὴν ἀρχὴν τοῦ νοσήματος κατὰ τὸ δεύτερον σημαινόμενον, ἐν τούτῳ περιγράφεσθαι τῷ καιρῷ πρόσθεν ἔλεγον. καὶ τοῦτ' ἔστι τὸ ἐν τοῖς πλευριτικοῖς, πτύελον αὐτίκα ἢν ἐπιφαίνηται ἀρχομένου μὲν, βραχύνει. τριχῶς γὰρ τῆς ἀρχῆς λεγομένης, καθ' ἕνα μὲν τρόπον τῆς πρώτης εἰσβολῆς τῆς ἁπλῆς, ἢ τῆς ἀπλατοῦς.

CAPVT XIX.

De dignoscenda primi temporis morbi perduratione.

ET primum igitur morbi principium iuxta secundum significatum, in hoc circumscribi tempore priùs dicebam; & hoc est, quod inquit; *In pleuriticis sputum si statim appareat, incipiente morbo, ipsum breuiorem facit.* Nam quum principiũ triplex dicatur, secundũ vnum quidem modũ de primo insultu, qui simplex est, & latitudine caret; secundum

secundum alterum verò de eo, quod ad tertium extenditur diem; quod solum mihi somniare videtur Thessalus; & præter hæc etiam id, quod tanquam pars accipitur totius morbi, quod manifestæ coctionis signa definiunt; de omnibus his Hippocrates verba facit, quemadmodum ex iis, quæ antea scripsimus, liquet, & in sequentibus cõmentariis manifestiùs ostẽdetur. Quòd verò iuxta secundum significatũ principium ostenderit, quum dixit, id sputum, quod in pleuriticis appareat in principio, breuiorem facere, neminem latere arbitror; sed hoc etiam in sequentibus distinguemus. Quo pacto verò quispiam aut iam præsens atque perfectum id, quod tanquam totius pars morbi principium accipitur, cognoscere queat, aut iam finiturũ præcognoscere, mihi iam videor demonstrasse. Nam iam perfecti principij manifestum, & firmũ est signum, coctio manifesta; finituri autẽ, & ipsius morbi natura, & tempus anni, & ætas laborantis; præterea autem & regio, in qua ægrotat; & modus eius, qui antecesserit, victus, quum nondum morbo correptus esset. Specialiora verò indicia futuri finis primo morbi tempore, coctionis indicia sunt. Et quo pacto hæc præcognoscere oporteat, quando maximè futura sint, dicetur quidem diligentius & in iis quæ sequuntur; dicetur autem & nunc, quòd considerare oportet, quantum distant præsentia cruditatis signa ab iis, quæ aderunt in manifesta coctione; & quisnam sit in morbo motus, hoc est, vtrum acutè, aut tardè, ac veluti succensus moueatur. Vtilissimum verò ad hæc, imò verò summopere necessarium est, exquisitè scire dignoscere, quantum inuicem superant ac superantur, & coctionis & cruditatis signa; nam & cruditatis signa non paruam inter se habent differentiam, adhuc autẽ magis & coctionis. Si quidem integræ cruditatis indicia in primis quatuor diebus permaneãt, lõgũ erit huic morbo principij tẽpus; si verò obscuræ mediocriter in ipso apparuerint, longum quidem & hoc erit, sed non priori similiter; si autem parua fuerint cruditatis signa, futurum etiam principij tẽpus statim erit. His addenda sunt & illa quæ ad Hippocrate dicta sunt, longioris temporis esse significatiua, de quibus in sequentibus nobis plenior erit sermo. Nũc ergo gratia exempli, huius aphorismi meminerimus: *Frigidi sudores cum acuta quidem febre, mortẽm significant, cum mitiori verò, morbi diuturnitatem.* Nam si in primis diebus, præualentibus adhuc cruditatis signis aliqua talia signa apparuerint, principij tempori addẽt; & liquet etiam, quod tẽpus incrementi longius erit; atque eadem ratione status post multum tẽpus occurret; sic autẽ & morbi solutio.

CAPVT XX.

De reliquorum temporum perduratione; ac quid sequentibus libris est agendum.

QVare nõ solũ primi tẽporis in primis diebus aliquã habebis artificiosam coniecturã, sed etiam sequẽtium. Exquisitius autem & magis ipsa præcognosces, si succedẽtibus quartanariis mentem adhibueris. Nam primus, qui obscurum coctionis signum ostendit, ipse manifestius reliquum principij tempus indicabit: quum iam hoc tibi sine vlla dubitatione constabit, quod vniuersum illud tempus, in quo nullum est manifestum coctionis signum, primum est ex quatuor morbi

A καθ' ἕτερον δὲ, τῆς εἰς τὴν τρίτην ἡμέραν ἐκτεταμένης, ἣν μόνην ὁ Θεσσαλὸς ὀνειρώττειν μοι δοκεῖ. καὶ πρὸς τούτοις ἔτι, τῆς ὡς μέρος ὅλου τοῦ νοσήματος, ἣν τὰ τῆς σαφοῦς πέψεως ὁρίζει σημεῖα. καὶ περὶ πασῶν ὁ Ἱπποκράτης ποιεῖται τὸν λόγον, ὡς ἔκ τε τῶν προγεγραμμένων ἐστὶ δῆλον, ἔν τε τοῖς ἐφεξῆς ὑπομνήμασιν ἐναργέστερον ἐπιδειχθήσεται. νυνὶ δὲ, ὅτι τὴν κατὰ τὸ δεύτερον σημαινόμενον ἀρχὴν ἐδήλωσεν, ὁπότε τοῖς πλευριτικοῖς τὸ κατὰ τὴν ἀρχὴν ἐπιφαινόμενον πτύελον βραχύνειν ἔφησε, παντὶ δῆλον, οἶμαι, γέγονε. περὶ μὲν δὴ τούτου, κἂν τοῖς ἐφεξῆς ἤδη διαιρήσομαι. ὅπως δ' ἄν τις, ἢ παροῦσαν ἤδη, καὶ συμπεπληρωμένην τὴν ὡς μέρος ὅλου τοῦ νοσήματος ἀρχὴν

B διαγινώσκειν, ἢ μέλλουσαν ἔτι συμπληροῦσθαι προγινώσκειν δύναιτο, σαφῶς μοι δοκῶ δεδεῖχθαι. τῆς μὲν γὰρ συμπεπληρωμένης βέβαιον σημεῖον ἡ σαφὴς πέψις ἐστί· τῆς μελλούσης δὲ, ἥ τε τοῦ νοσήματος αὐτοῦ φύσις, ἥ θ' ὥρα τοῦ ἔτους, ἥ θ' ἡλικία τοῦ κάμνοντος, ἔτι μὲν ἔστω δὲ, καὶ τὸ χωρίον ἐν ᾧ νοσεῖ, καὶ ὁ τρόπος τῆς προγεγενημένης διαίτης, ὑγιαίνοντος ἔτι τοῦ κάμνοντος. εἰδικώτερα δ' ἤδη γνωρίσματα τῆς μελλούσης ἔσεσθαι τελευτῆς τῷ πρώτῳ καιρῷ τῆς νόσου, τὰ τῆς πέψεώς ἐστι σημεῖα. καὶ ὡς χρὴ ταῦτα προγινώσκειν ὁπηνίκα μάλιστα γενήσεται, ῥηθήσεται μὲν ἐπιμελέστερον ἔτι, καὶ διὰ τῶν

C ἐφεξῆς. εἰρήσεται δὲ καὶ νῦν, ὡς ἐπισκέπτεσθαι χρὴ πόσον ἀπολείπεται τὰ παρόντα τῆς ἀπεψίας σημεῖα, τῶν ἐσομένων ἐν τῇ σαφεῖ πέψει, τίς τε τοῦ νοσήματος ὁ τρόπος ἐστὶ τῆς κινήσεως, τουτέστιν εἰ τὸ ὀξέως, εἴ τε ἀργῶς, καὶ οἷον τυφόμενον κινοῖτο. χρησιμώτατον δ' εἰς ταῦτα, μᾶλλον δὲ καὶ ἀναγκαιότατόν ἐστιν, ἀκριβῶς ἐπίστασθαι διαγινώσκειν, ὁπόσον ἀλλήλων ἀπολείπεταί τε, καὶ πλεονεκτεῖ τά τε τῆς ἀπεψίας, καὶ τὰ τῆς πέψεως σημεῖα. καὶ γὰρ καὶ τὰ τῆς ἀπεψίας, οὐ σμικρὰν ἔχει πρὸς ἄλληλα τὴν διαφοράν. καὶ τὰ τῆς πέψεως, ἔτι δὴ μᾶλλον. εἰ μὲν δὴ τὰ τῆς παντελοῦς ἀπεψίας γνωρίσματα κατὰ τὴν πρώτην τετράδα παραμένοι, μακρὸς ὁ

D τῆς ἀρχῆς ἔσται τῷ τοιούτῳ νοσήματι καιρός. εἰ δέ γε τὰ τῆς ἀμυδρᾶς, μετρίως ἐν αὐτῇ φανείη, μακρὸς μὲν ἐστὶ καὶ οὕτως, ἀλλ' οὐχ ὁμοίως τῷ πρόσθεν. εἰ δὲ βραχέα τὰ τῆς ἀπεψίας εἴη σημεῖα, καὶ τὸ μέλλον ἔσται τῆς ἀρχῆς ὀλίγον. ἐπὶ δὲ τούτοις ἔτι, κἀκεῖνα χρὴ προστιθέναι τὰ πρὸς Ἱπποκράτους εἰρημένα χρόνου πλείονος ὑπάρχειν ἐνδεικτικά, περὶ ὧν ἐπὶ πλέον ἐν τοῖς ἐφεξῆς ὁ λόγος ἡμῖν ἔσται. νυνὶ δὲ παραδείγματος ἕνεκα, τοῦδε τοῦ ἀφορισμοῦ μνημονεύσωμεν. οἱ ψυχροὶ ἱδρῶτες, σὺν μὲν ὀξεῖ πυρετῷ, θάνατον. σὺν πρᾳοτέρῳ δὲ, μῆκος νόσου σημαίνουσι. ἐὰν γὰρ ἐν ταῖς πρώταις ἡμέ-

E ραις, ἔτι τῶν τῆς ἀπεψίας σημείων ἐπικρατούντων, ἐπιφαίνηταί τινα τοιαῦτα, προσθήσει τῷ χρόνῳ τῆς ἀρχῆς. καὶ δηλονότι τὰ τῆς ἀναβάσεως, ἔσται μακρότερα. καὶ ἡ ἀκμὴ κατὰ ταῦτα, μετὰ χρόνον ἀπαντήσεται πάμπολυν. οὕτω δὲ, καὶ ἡ λύσις τοῦ νοσήματος.

ΚΕΦΑΛΑΙΟΝ Κ.

Περὶ τῆς τῶν ἄλλων καιρῶν διαγνώσεως τε, καὶ τί διὰ τῶν ἐξῆς λεκτέον.

ΩΣΤ' οὐ μόνου τοῦ πρώτου καιροῦ, κατὰ τὰς πρώτας ἡμέρας ἕξεις τινὰ τεχνικὸν στοχασμὸν, ἀλλὰ καὶ τῶν

F ἐφεξῆς. ἀκριβέστερον δὲ ἀεὶ, καὶ μᾶλλον αὐτὸν προγνώσῃ, ταῖς ἐφεξῆς τετράσι προσέχων τὸν νοῦν. ἡ γὰρ ἐπιδείξασα πρώτη τὸ τῆς πέψεως σημεῖον ἀμυδρὸν, αὐτή σοι σαφέστερον ἐνδείξεται τὸν ὑπόλοιπον χρόνον τῆς ἀρχῆς, εἰδότι γε τοῦτ' ἤδη βεβαίως, ὅτι σύμπας ὁ χρόνος, ὁ μή πω μηδὲν ἔχων σαφὲς σημεῖον πέψεως, ὁ πρῶτός ἐστι τῶν τεσσάρων καιρῶν τοῦ

νοσήματος, ὃν ἀρχὴν ὀνομάζομεν. εἰ γὰρ πρὸς τοῦτο ἀποβλέπεις, οὐδὲν ἔτι χαλεπὸν ἐξευρεῖν. εἰ ἐν τοσαῖσδε ταῖς πρώταις ἡμέραις, ἀπεχώρησε τῶν κατὰ τὴν πρώτην ἡμέραν φανέντων τοσῶνδε, πόσαις ἔτι τὸ ὑπόλοιπον, ἄχρι τῆς σαφοῦς πέψεως αὐτοῦ· ἐντεῦθεν δ' ἄρχεται μὲν ἡ ἀνάβασις, ἤτοι δὲ ἐλλιπής τις ἐπιφαίνεται κατὰ ταύτην ἡ κρίσις, ὡς ἐπὶ τῶν πλευριτικῶν προειρημένων ὀλίγον ἔμπροσθεν, ἢ εἴπερ ἀναμείνειε τὸ νόσημα τὴν τελείαν ἀκμὴν, οὕτω καὶ ἡ κρίσις ἐστὶ τελεία. πολλάκις δὲ, οὐδὲ γίνεται ἡ κρίσις οὐδεμία μετὰ τὸν τῆς ἀκμῆς καιρὸν, ἀλλὰ κατὰ βραχὺ λύεται τὸ νόσημα, χρόνῳ πλείονι πεττόμενον. ὅπως δὲ χρὴ πρὶν γενέσθαι ταῦτα προγινώσκειν ἐσόμενα, διὰ τῶν ἐφεξῆς ὑπομνημάτων εἰρήσεται. δείξω γὰρ ἐν αὐτοῖς σαφῶς πηνίκα μὲν, ἐν ταῖς ἀναβάσεσι· πηνίκα δὲ, ἐν ταῖς ἀκμαῖς, κρίνεται τὰ νοσήματα· πηνίκα δ' οὐδόλως κριθέντα, κατὰ βραχὺ πεττόμενα, λύεται. καὶ δῆλον, ὡς τὴν μὲν τοιαύτην λύσιν, οὐκ ὀνομάζω κρίσιν. εἰ δέ τις ἀθρόα γίνηται μεταβολὴ, καὶ πολὺ δὴ μᾶλλον ἔτι τὴν προηγουμένην αὐτῆς ταραχὴν, οὕτως προσαγορεύω, καὶ δὴ καὶ τὰς τούτων προγνώσεις ἐν τοῖς ἐφεξῆς ἐρῶ. κάλλιον γὰρ οὐ μόνον, ὅτι κατὰ τόνδε τὸν καιρὸν ἡ νόσος ἀθρόαν ἕξει τὴν λύσιν, ἀλλὰ καὶ πότερον μετὰ μεγάλου τινὸς ἀγῶνος, ἢ χωρὶς σάλου τε καὶ κινδύνου παντὸς, ἐπίστασθαι. ταῦτ' οὖν ἅπαντα διὰ τῶν ἐφεξῆς ὑπομνημάτων ἐπιδειχθήσεται. καὶ πρὸς τούτοις ἔτι, προγνώσεις κρίσεων, ἀγαθῶν τε καὶ κακῶν, καὶ τελείων, καὶ ἀτελῶν. ἐν ἀρχῇ δ' αὐτῶν πάντων, προτάξω διαγνώσεις αὐτῶν τῶν εἰσβαλλόντων νοσημάτων, ἐπειδὴ γὰρ ἀπό τε τοῦ νοσήματος ἔφαμεν χρῆναι διαγινώσκειν τι περί τε τῶν καθόλου καιρῶν, καὶ προσέτι τῆς ὥρας τοῦ ἔτους, καὶ τῶν ἄλλων, ὧν εἴπομεν, εἰ μὴ συμπάντων αὐτῶν εἰδείημεν διάγνωσίν τινα, εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας, ὅμοιόν τι πεισόμεθα τοῖς πολλοῖς τῶν νεωτέρων ἰατρῶν. ὡς γὰρ κἀκεῖνοι δι' ἀλλήλων, ἑκάτερον τῶν ἀγνοουμένων διδάσκειν ἐπιχειροῦσιν. ἢ διὰ τοῦ μᾶλλον ἀγνώστου, τὸ σαφέστερον, οὕτως καὶ ἡμεῖς ποιήσομεν, ἂν μὴ τοῦ νοσήματος ἑκάστου τῆς ἰδέας εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις ἔχωμέν τινα διάγνωσιν. ἄριστον μὲν οὖν ἐστιν εἰ κατ' αὐτὴν τὴν πρώτην ἡμέραν, καὶ τοῦτο μυριάκις ἐδείξαμεν ἤδη δυνατὸν ὑπάρχειν, καὶ τριταίας τε, καὶ τεταρταίας, καὶ ἀμφημερινὰς περιόδους, ἐν τῇ πρώτῃ τῶν ἡμερῶν διαγνόντες. εἰ δέ ποτε μὴ οἷόν τε εἴη σαφῶς ἐν ταύτῃ διαγνῶναι, στοχασμὸν μὲν ἤδη τινὰ τεχνικὸν ἕξομεν, ἐξ οὗ καλῶς ὑπαρξόμεθα διαίτης. ἀκριβώσομεν δ' αὐτὸν ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἢ τρίτῃ γε πάντως, ἢ τετάρτῃ. καὶ τοίνυν, καὶ αὐτὸ τοῦτο κάλλιον ἂν εἴη δηλῶσαι, καὶ δοῦναι γνωρίσματα, τῶν τ' εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας ἀκριβῶς διαγνωσθῆναι δυναμένων, καὶ τῶν ἄχρι μὲν στοχασμοῦ τινος, οὐκ ἀτέχνου κατελπιζομένων. ἀκριβῶς δ' ἐν τῇ τρίτῃ τε, καὶ τετάρτῃ διοριζομένων. αὖθις οὖν ἀπὸ τούτων πρῶτον ἀρξάμενοι, κατὰ τὸ δεύτερον ὑπόμνημα, καὶ τῶν ἄλλων ἑκάστου, ὧν ὑπεσχόμεθα κατὰ τὴν οἰκείαν τάξιν ἀποδώσομεν.

A temporibus, quod nos principium nominamus. Nam si ad hoc respexeris, nihil erit amplius difficile inuenire, si in tot primis diebus ab iis, quæ primo die apparuerunt, tot iam præterierint, quot adhuc erunt reliqua transigenda vsque ad manifestam coctionem. Inde autem incrementum incipit, sed in hoc vel aliqua defecta crisis apparebit, quemadmodum paulo antea in pleuriticis, ostendi, vel si morbus expectauerit integrum statum, sic & crisis integra erit. Sæpius verò neque vlla fit crisis in status tempore, sed paulatim morbus soluitur, longo tempore coctionem recipiens. Quo pacto autem, antequam fiant hæc, futura B præcognoscere oporteat, in sequentibus cõmentariis explicabitur; nam in ipsis liquidò ostendam, quando in incrementis, quando etiam in statibus, morbus crisim habeat, & quando sine vlla omnino crisi paulatim coctus dissoluatur. Et clarum est, quod huiusmodi solutionem, neque crisim nomino; si qua verò confertim fiat permutatio, & multo magis adhuc eam agitationem, quæ ipsam præcedit, ita appellare consueui. Equidẽ harum quoque præcognitiones in sequentibus dicam. Melius enim est non solùm, quod in tempore integram morbus habebit solutionẽ, sed etiam, vtrum C cùm magno aliquo certamine, vel sine vexatione atque periculo aliquo, intelligere. Hæc igitur omnia in sequentibus commentariis ostendentur, & præterea bonarum, & malarum crisium præcognitiones, perfectarum quoque ac imperfectarum. In horum verò omnium principio præponam ipsorum morborum inuadentium dignotiones. Quoniam enim & ab ipso morbo diximus oportere quædam de temporibus vniuersalibus nosse, ac præterea à tempore anni, & ab aliis quæ diximus; nisi eorum omnium statim à primo die aliquam habeamus cognitionem, simile quiddam multis medicorum iuniorum patiemur. Nam sicuti illi D vtrunque ignotorum, alterum per alterum monstrare conantur, vel quod notius est, per id, quod minùs notum est; sic & nobis accidet, nisi vniuscuiusque morbi formam statim à primo die aliquo modo dignoscamus. Optimum igitur est, si in ipso primo die dignoscamus, & hoc millies iam fieri posse probauimus, & tertianos & quartanos, & quotidianos circuitus in primo statim die agnouimus; si verò aliquando in hoc manifestè dignosci non possit, tunc coniecturam aliquam artificiosam habebimus, ex qua bonam victus rationem instituere incipiemus; exactam autem notitiam assequemur in secundo die, vel omnino in tertio, vel E in quarto. Et hoc igitur ipsum melius fuerit ostendere, & præbere indicia eorum, quorum à primo die statim exquisitam possumus habere cognitionem: eorumque etiam, quæ coniectura quadam non inartificiosa dignoscere speramus; sed exactè in tertio & quarto discernimus. Rursus igitur ab his primo auspicati in secundo libro, reliqua etiam singula, quæ promisimus, conuenienti ordine prosequemur.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΕΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

GALENI DE CRISIBVS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β' ΒΙΒΛΙΩι.

Ἀποδείκνυσιν ἐκ τίνων σημείων διαγινώσκωμεν ἂν τὴν τῶν νόσων φύσιν, ἐξ ἧς ἥ τε παροῦσα, ἥ ἐσομένη ἐν αὐτοῖς μεταβολὴ προγινώσκεται.

ARGVMENTVM LIBRI SECVNDI.

Ostendit quibus indiciis morborum naturam cognoscamus, ex qua potissimùm præsens ac futura in ipsis mutatio præsentitur.

CAPVT PRIMVM.

Quid agendum hoc libro, ac quales auditores adhibendi.

DIctum quidem & iam antea est ab initio, sed & nũc etiam melius est meminisse, quòd siue vniuersam in morbo mutationem, siue subitam tantum, siue bonam, siue eam, quæ antecedit omnes subitas alterationes, perturbationem, quispiam velit nominare crisim, non meum est hoc in loco propositum definire: sed, quo pacto optimè quispiam has omnes iam præsentes dignosceret, & futuras adhuc præcognosceret id est huiusmodi sermonis institutum. At quum maximum, ac summopere necessarium ad hæc omnia, iam demonstrauerimus, tum dignoscere præsentia iam morborum tempora, tum præcognoscere futura, deinceps vniuscuiusque temporis tum dignotiones, tum præcognitiones scripsimus. Et quoniam eas ex multis fieri demonstrauimus, quorum vnum est ipsius morbi natura, quo pacto & hanc optimè quispiam posset dignoscere, in hunc secundum librum tradere distuli. Si quispiam nobiscum affuit in curatione ægrotantium, ex prima accessione, & quotidianam febrem, & tertianam, & quartanam, & semitertianam, & causum appellatum, plurimosque alios morbos prænoscentibus, ex ipso opere huius contemplationis habuit experientiam; quod si nunquam talibus prædictionibus interfuit, æquum est, hunc neque admirari ea, quæ dicemus, antequam veritatem in ipsis experiatur, sed neque etiam damnare, priusquam vniuerso sermoni nostro auscultauerit, atque vsu ipso explorauerit. Audire quidem atque intelligere ea,

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τῷδε τῷ λόγῳ λεκτέον τε, καὶ τίνας προσοιστέον μαθητάς.

A ΕΙΡΗΤΑΙ μὲν ἤδη καὶ πρόσθεν εὐθὺς κατ' ἀρχάς, ἀλλ' ἄμεινον ὑπομνῆσαι καὶ νῦν, ὡς εἴτε τὴν σύμπασαν ἐν νόσῳ μεταβολὴν, εἴτε τὴν ἀθρόαν μόνην, εἴτε τὴν ἀγαθὴν, εἴτε τὴν προηγουμένην ἁπασῶν τῶν ὀξυρρόπων ἀλλοιώσεων ταραχὴν ὀνομάζειν ἐθέλοι τις κρίσιν, οὐ πρόκειταί μοι τανῦν διαιρεῖσθαι. ἀλλ' ὡς ἄν τις ἄριστα ταύτας ἁπάσας ἤδη τε παρούσας διαγινώσκοι, καὶ μελλούσας ἔσεσθαι προγινώσκοι, τοῦτ' ἐστὶ τὸ σπούδασμα τοῦ λόγου B τοῦδε. ὃ δὲ μέγιστον ἤδη καὶ ἀναγκαιότατον ἀποδείξαντες εἰς ἅπαντα τὰ τοιαῦτα, τὸ διαγινώσκειν τε παρόντας ἤδη τοὺς καιροὺς τῶν νοσημάτων, καὶ μέλλοντας ἔσεσθαι προγινώσκειν, ἐφεξῆς ἑκάστου νοσήματος διαγνώσεις τε καὶ προγνώσεις ἐγράψαμεν. ἐπεὶ δὲ ἐκ πολλῶν αὐτὰς γινομένας ἀπεδείξαμεν, ὧν ἕν τι καὶ ἡ τοῦ νοσήματος ὑπῆρξε φύσις, ὅπως ἄν τις καὶ αὐτὴν ταύτην κάλλιστα κατὰ τὴν πρώτην ἡμέραν οἷός τ' εἴη γνωρίζειν, εἰς τόνδε τὸν δεύτερον ἀνε- C βαλλόμεθα λόγον. εἰ μὲν δή τις αὐτοῖς ἡμῖν παρετύγχανεν ἐπὶ τῶν νοσούντων ἐκ τοῦ πρώτου παροξυσμοῦ, καὶ ἀμφημερινὸν πυρετὸν, καὶ τριταῖον, καὶ τεταρταῖον, καὶ ἡμιτριταῖον, καὶ καῦσον, καὶ ἄλλα τινὰ νοσήματα προγινώσκουσιν, ἔργῳ τῆς θεωρίας εἴληφε βάσανον. εἰ δέ τις οὔπω παρεγίνετο προρρήσει τοιαύτῃ, δίκαιον δὴ τοῦτόν ἐστι, μήτε θαυμάζειν ἤδη τὰ λεγόμενα, πρὶν κρῖναι τὴν ἐν αὐτοῖς ἀλήθειαν, ἀλλὰ μηδὲ προκατεγνωκέναι, πρὶν ἀκοῦσαί τε σύμπαντος λόγου, καὶ τῇ πείρᾳ βασανίσαι. ὁ μὲν οὖν ἀκοῦσαί τε, καὶ συνιέναι

τῶν λεγομένων, ἁπάντων κοινόν. οὕτως γὰρ εἰρήσεταί μοι σαφῶς, ὡς μηδὲ λαθεῖν ἄν τινα. τὸ δὲ καὶ τῇ πείρᾳ κρῖναι τοὺς λόγους, εἰ μὲν ἡμῖν μέλλει συμπαραγίνεσθαι, ῥᾷστον. εἰ δ' αὐτὸς ἐφ' ἑαυτοῦ βασανίζειν, οὐκ ἔθ' ὁμοίως εὐπετές. ἀλλὰ καὶ τὰς ἐν τοῖς σφυγμοῖς διαφορὰς, ἠσκῆσθαι χρὴ διαγινώσκειν αὐτὸν ἀκριβῶς, ἁπάντων τε τῶν ἔργων τῆς τέχνης ἐμπειρίαν ἔχειν ἱκανήν. τὴν γὰρ ἀληθῆ θεωρίαν, οὐκ ἐκ τῶν κακῶς ὑποκρινομένων, ἀλλ' ἐκ τῶν ὀρθῶς μεταχειριζομένων, εὔλογον δοκιμάζεσθαι. τούτους οὖν μόνους ὁ λόγος ὅδε, καὶ μαθητὰς προσίεται, καὶ κριτὰς, ὧν ἂν διδάξῃ τίθεται. τοὺς δ' ἄλλους, ὅσοι τὴν ἰατρικὴν τέχνην εἰς τοσοῦτον ὕβρισαν, ὡς ἐξ μηνῶν εἶναι νομίζειν μάθημα, τούτους οὔτε κριτὰς, οὔτε μαθητὰς προσίεται. τὸ μὲν γὰρ, οὐ δύνανται· τὸ δ', οὐ βούλονται.

quæ dicuntur, omnibus commune est; ita enim à me clarè explicabuntur, vt nemini latere possint; sermones autem nostros experientia cóprobare, si quidé nobiscum futurus est, illi erit quàm facile; quod si ipse per se ipsum explorare voluerit, non æquè expeditú. Verùm & in pulsuum differentiis exercitatum esse oportet, atque omnium artis operationum sufficienté habere experientiam: veram enim speculationé, non ex iis, quæ malè iudicátur, sed ex iis, quæ rectè pertractantur, æquum est comprobari. Hos igitur solos ad disciplinam, atque eorum, quæ docentur, iudicium sermo noster admittit; reliquos verò, qui medicinæ artem adeo dedecorarunt, vt eam sex mensium fecerint disciplinam, hos neque iudices, neque discipulos adhibet, alterum enim non possunt, alterum nolunt.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ φιλοπόνως ἠσκῆσθαι ἐν τῇ διαγνώσει τῶν τε ἁπλῶν καὶ τῶν ἐπιμίκτων νοσημάτων.

Λεκτέον οὖν ἤδη πῶς ἄν τις ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, ἀκριβῶς διαγινώσκοι τοῦ νοσήματος τὴν φύσιν. ἡμέραν δηλονότι παρ' ὅλον τὸν λόγον εἰρησομένοις, οὐκ ἐκ τῆς ἡμέρας αὐτῆς μόνης συνεστῶσαν, ἀλλὰ κἀκ τῆς νυκτὸς χρόνου. καθάπερ οὖν, καὶ τὸν μῆνα τριάκοντα ἡμερῶν εἶναι λέγομεν, οὐ μόνον τοῦτον τὸν χρόνον, ὃν ὑπὲρ τῆς γῆς ὁ ἥλιος φαίνεται προσαγορεύοντες ἡμέραν, ἀλλὰ καὶ τὸν τῆς νυκτὸς αὐτῇ προστιθέντες. οὕτως δέ πως, καὶ τὸν ἐνιαυτὸν πέντε, καὶ ἑξήκοντα, καὶ τριακοσίων ἡμερῶν εἶναί φαμεν. ὥσπερ δὲ περὶ τοῦ τῆς ἡμέρας ὀνόματος, καὶ τοῦ κατ' αὐτὸ σημαινομένου διῄρηται, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον, χρὴ μηνῦσαι, καὶ περὶ τοῦ νοσήματος. ὅτι δὲ διάθεσίς τις ἐστιν, ἐνέργειαν βλάπτουσα, καὶ ὅτι διπλῆ πολλάκις συνίσταται ἅμα. δέδεικται δ' ἄμφω ταῦτα ἐν τοῖς περὶ τῆς τῶν νοσημάτων διαφορᾶς ὑπομνήμασι. τὴν μὲν οὖν ἁπλῆν διάθεσιν, οὐδεὶς τῶν ἀκριβῶς εἰδότων ἀγνοήσει κατὰ τὴν πρώτην ἡμέραν. ἴδια γὰρ ἔχει τὰ γνωρίσματα. τὴν δ' ἐπίμικτον, οὐχ ἅπασιν ἐγχωρεῖ διαγνῶναι κατ' ἀρχάς. καὶ οὐδέν γε τοῦτο ἄτοπον εἰς διπλῆς διαθέσεως ἐπίγνωσιν, ἡμερῶν δεηθῆναι δυοῖν. ὥσπερ καὶ εἰ τριπλῆ τις εἴη, τριῶν. ἀλλὰ τό γε μίαν ἁπλῆν ἀγνοῆσαι διάθεσιν, ἄτοπόν τε καὶ δεινῶς αἰσχρόν. ἠσκῆσθαι τοίνυν ἁπάσας χρὴ τὰς ἁπλᾶς διαθέσεις, ἑκάστην ἰδίᾳ τετελειωμένην τ' ἤδη γνωρίζειν ἑτοίμως. εἰ μὴ γὰρ ἐν τούτῳ προγυμνάσαιο φιλοπόνως, οὐδὲ ἀρχομένην ἔτι, καὶ σμικρὰν οὖσαν διαγνοίης. ὥσπερ οὐδ' ἐλαίαν, ἢ συκῆν, ἢ δρῦν ἄρτι τῆς γῆς ἀνίσχοντα δύναιο ἄν ποτε διαγινώσκειν, ἀγνοῶν ἔτι τὰ τέλεια φυτά. τὸ δὲ τούτου μεῖζον, ὡς οὐδ' αὐτὰ τέλεια γινώσκειν ἁπλῶς ἀρκεῖ, ἀλλὰ χωρὶς μὲν τοῦ προγινώσκειν ἐκεῖνα τῶν νεογνῶν οὐδὲν ἂν ἰδίᾳ γνωρίσαις. οὐ μὴν οὐδ' εὐθέως τε, καὶ πρώτως ἐντυχὼν νῦν, ἀλλ' ὡς καὶ τῶν τελείων ἕκαστον, οὐκ ὀλιγάκις θεασάμενος, ἱκανὸς διαγινώσκειν ἑτοίμως ἐγένου, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον χρή σε, καὶ τῶν ἄρτι φυομένων ἕκαστον, οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ πολλάκις θεασάμενον ἱκανῶς αὐτῶν ἡγεῖσθαι γνώριμον. μὴ τοίνυν ἐάν τις τῶν τῆδε γεγραμμένων ἐπιχειρῶν ἀσκεῖν, ἐν τῇ πρώτῃ πείρᾳ σφαλῇς, ἀπογινώσκειν αὐτοῦ ὡς ἀδυνάτου, μηδὲ ἀποχωρεῖν τῆς μελέτης, πρὶν πάνυ

CAPVT II.

De adhibenda diligentia in natura morborum; tum simplicium, tum compositorum dignoscenda.

Dicendum iam igitur quo pacto quispiam in primo die morbi naturam exactè dignoscat. Diem auté per totum hunc sermoné nostrú in eo accipiemus significatu, vt non solùm lucé, sed noctem etiam complectatur; sicuti & mensem ex triginta diebus cóstare dicimus; non id tépus tátùm, quo Sol supra terram fertur, appellantes diem, sed etiam illi tépus noctis adiicientes; sic enim annum quodãmodo dicimus trecentos & sexaginta quinque dies cóplecti. Sicuti autem de diei nomine, & de eius significatu distinximus, eodé, vt arbitror, modo de morbi ostendere oportet, quod est affectio quædam præter naturam lædens actiones, & quod duplex sæpè vnà cósistit. Hæc verò vtraque in libris de morború differentiis sunt demóstrata. Simplicem itaque affectioné nemo, qui perspicaci sit intelligétia, in primo die ignorabit, habet enim propria indicia; eam verò, quæ cómixta est, non omnibus per initia contingit cognoscere. Neque verò absurdum est ad duplicis affectionis cognitionem duobus opus esse diebus; sicuti, si triplex fuerit, tribus; at verò vnam simplicem ignorare affectionem, absurdum & maximè turpe. Oportet itaque in omnibus simplicibus affectionibus exercitari, vt singulas seorsum, & iam perfectas noscamus; nam, nisi in hoc accuratè antea laborauerimus, neque incipientem & paruam adhuc existentem agnoscemus; sicuti neque oliuam, vel ficum, vel quercum nuper terra pullulantem poteris vnquam internoscere, si iam perfectas plantas ignoraueris: Quod verò hoc etiam maius est, neque ipsas iam perfectas simpliciter cognoscere sufficit; sed, nisi iam perfectas præcognoueris, nullum ex iis, quæ nuper natæ sunt, separatim internosces; non tamen neque statim, neque quamprimum, quum in istas incideris; sed, sicuti ex perfectis singulas non semel, neque rarò conspicatus, sufficiens ad promptè cognoscendum factus es, eodem (arbitror) modo te oportet & ex iis, quæ nuper natæ sunt, singulas non semel, neque bis, sed sæpius contemplando, sufficientem ipsarum habere notitiam. Quare, si quid eorum, quæ in hoc loco scribuntur, ad exercitationem referre tentaueris, prima autem te experientia fefellerit, non propterea statim desperaueris, quasi id assequi non possis: neque à meditatione recedas prius, quàm

sæpissimè

sæpissimè in eadem exercitatione perstiteris. Neque enim qui sagittandi artem meditatione assequi student, licet sæpius in principio aberrent à meta, vides ob id suum exercitium demittere, aut propter aberrationem animo contristari. Quando igitur sagittandi artem, minimam existentem, adeo vt etiam à mancipiis commodè pertractetur, nemo statim incipiens assequi integrè potest, quid de arte Asclepiadum existimare oportet, quæ tam multa indiget contemplatione, & tam exquisita, ac laboriosa in operibus exercitatione? Siquidem vnus ex eorum numero fueris, qui pro rebus pulcherrimis, atque honestissimis laborare institueris; primùm omnia, quæ dicentur in singulis morbis, diligenter perdisces; deinde in ipsis operibus exercitaberis; deinde ita de his ferre sententiam tentabis, nunquid verè, aut falso dictum sit. Quòd si (vt diximus) otiosam, & socordem vitam egeris; vel laboriosam quidem, sed circa deteriora, diuitias, honorem, & ciuilem potentiam veritati præferendo; melius tibi fuerit, neque hanc contemplationem attingere, ne in plenum cœno puteum aquam puram infundas; nam & aquam corrumpes, neq; puteum quicquam iuuabis. Simplicem igitur morborum singulorum affectionem (iam enim ad veritatis amicum me conuerto) primo ipsam per se ipsam cognoscere studeas, ac circa hoc te exerceas, non ex iis solùm, quæ ipsi extrinsecè adiacent, qualis est contemplatio multorum; sed primum quidem, ac maximè ex iis, quæ secundum propriam insunt substantiam: deinde iam ex iis, quæ sæpius accidunt; veluti in ea febre, quæ tertiana nominatur, non hoc tantum aduertas, si tertio quoque die fiant accessiones in infebricitationem desinentes; nam si duæ tertianæ fierent, aut duæ quartanæ; duæ quidem tertianæ quolibet die, per tertium autem duæ quartanæ, accenduntur; quare vel duas tertianas vnam putabis quotidianam, vel duas quartanas vnam tertianam. Sed formam ipsam febrium te inspicere iubeo; neque enim in insultibus accessionum similes sunt, neque incrementis, neque statibus, neque remissionibus, neque in caloris qualitate, neque in motu arteriarum, neque in iis, quæ superueniunt, symptomatis. Si ergo neque tertianam ipsam per se ipsam, neque quotidianam, vnquam inspicere licuisset, incerta foret earum dignotio; sed, quoniam & tertianam separatim datur contemplari, exorsam, & progressam, & perfectam, & solutam; eodemque modo quotidianam; non admodum difficile est ab vna quotidiana duas tertianas distinguere.

CAPVT III.

De tertianæ exquisitæ accessione prima dignoscenda.

AGe igitur primùm incipe exercitari in veris, atque exquisitis typis. Neque enim aliud quicquam frustra scripsit Hippocrates, neque illud etiam, *quod exquisita tertiana in septem circuitibus, quod longissimum est, iudicatur.* Quænam igitur est hæc tertiana exquisita? nullum enim eius iudicium scripsit Hippocrates tale, vt etiam vulgaribus esset manifestũ. Sed si ego te manuduxerim, facilè intelliges, quam vocet exquisitã tertianam;

A πολλάκις ἐν αὐτῇ γυμνάσασθαι. οὐδὲ γὰρ τοὺς τὴν τοξικὴν μελετῶντας, καίτοι πολλάκις ἁμαρτάνοντας τοῦ σκοποῦ, τό γε κατ᾽ ἀρχάς, ὅμως οὐδὲ τούτους ἀφισταμένους ὁρᾷς τῆς ἀσκήσεως, οὐδ᾽ ἀθυμοῦντας ἐπὶ τῇ ἀποτυχίᾳ. ὁπότ᾽ οὖν τοξικὴν οὕτω σμικρὰν τέχνην, ὡς καὶ τοῖς ἀνδραπόδοις ἀσκεῖσθαι καλῶς, οὐ δυνατόν ἐστιν εὐθὺς ἐξ ἀρχῆς κατορθοῦσθαι, τί χρὴ νομίζειν ἐπὶ τῆς τῶν Ἀσκληπιαδῶν τέχνης, οὕτω μὲν πολλῆς θεωρίας δεομένης, οὕτω δ᾽ ἀκριβοῦς τε, καὶ φιλοπόνου τῆς ἐπ᾽ αὐτῶν τῶν ἔργων τριβῆς; εἰ μὲν δή τις εἴης τῶν ἐπὶ τοῖς καλλίστοις ταλαιπωρεῖσθαι προῃ-
B ρημένων, ἅπαντα μὲν πρώτως ἔκμαθε ἀκριβῶς, τὰ λεγόμενα καθ᾽ ἕκαστον τῶν νοσημάτων, ἐφεξῆς δ᾽ ἐπὶ τῶν ἔργων ἄσκησον. εἶθ᾽ οὕτως ἐπιχείρει κρίνειν αὐτὰ, πότερον ἀληθῶς, ἢ ψευδῶς εἴρηται. εἰ δ᾽ ἀταλαίπωρός τε, καὶ ῥᾴθυμος εἴης, ἢ ταλαίπωρος μὲν, ἀλλ᾽ εἰς τὰ χείρω, πλοῦτόν τε, καὶ τιμὴν, καὶ δύναμιν πολιτικὴν ἀληθείας προαιρούμενος, ἄμεινόν σοι μηδ᾽ ἅπτεσθαι τῆσδε τῆς θεωρίας, μηδ᾽ εἰς ἀνάπλεων βορβόρου φρέαρ ἐμβάλλειν ὕδωρ καθαρόν. ἀφανίσεις τε γὰρ τὸ ὕδωρ, καὶ τὸ φρέαρ οὐδὲν ὠφελήσεις. τὴν οὖν ἁπλῆν διάθεσιν ἑκά-
C στου τῶν νοσημάτων, ἐπὶ γὰρ τὸν τῆς ἀληθείας ἑταῖρον ἤδη τρέψομαι, πρῶτον ἄσκησόν μοι γνωρίζειν αὐτὴν ἐφ᾽ ἑαυτῆς, οὐκ ἐκ τῶν ἔξωθεν αὐτῇ προσκειμένων μόνον, ἅπερ οἱ πολλοὶ θεῶνται, ἀλλὰ πρῶτον μὲν, καὶ μάλιστα ἐκ τῶν κατὰ τὴν ἰδίαν οὐσίαν ὑπαρχόντων. ἔπειτα δ᾽ ἤδη, καὶ τῶν ὡς ἐπὶ τὸ πολὺ συμβεβηκότων. οἷον ἐπὶ τοῦ καλουμένου τριταίου, μὴ τοῦτο μόνον ἐπισκέπτου, τὸ διὰ τρίτης γίνεσθαι τοὺς παροξυσμοὺς, εἰς ἀπυρεξίαν τελευτῶντας. εἰ γὰρ ἤτοι δύο τριταῖοι γενηθεῖεν, ἢ δύο τεταρταῖοι; καθ᾽ ἑκάστην μὲν ἡμέραν, οἱ δύο τριταῖοι· διὰ τρίτης δ᾽ οἱ δύο τεταρ-
D ταῖοι παροξυνοῦνται, ἢ τοὺς δύο τριταίους ἕνα νομίσεις ἀμφημερινόν· ἢ τοὺς δύο τεταρταίους, ἕνα τριταῖον. ἀλλὰ τὴν ἰδέαν ἐπισκοπεῖσθαί σε κελεύω τῶν πυρετῶν, οὔτε γὰρ ταῖς εἰσβολαῖς τῶν παροξυσμῶν ἐοίκασιν, οὔτε ταῖς ἀναβάσεσιν, οὔτε ταῖς ἀκμαῖς, οὔτε ταῖς παρακμαῖς, οὔτε τῇ ποιότητι τῆς θερμασίας, οὔτε τῇ κινήσει τῶν ἀρτηριῶν, οὔτε τοῖς ἐπιγινομένοις συμπτώμασιν. εἰ μὲν οὖν μηδέποτ᾽ ἦν θεάσασθαι τριταῖόν τε, καὶ ἀμφημερινὸν, αὐτὸν καθ᾽ ἑαυτὸν ἑκάτερον, ἄδηλος ἂν ἦν αὐτῶν ἡ διάγνωσις, ἐπεὶ δὲ καὶ τριταῖον, αὐτόν ἐστιν ἰδεῖν
E καθ᾽ ἑαυτὸν, ἀρξάμενόν τε, καὶ προελθόντα, καὶ τελειωθέντα, καὶ λυθέντα. καὶ ἀμφημερινὸν ὡσαύτως, οὐδέν ἐστιν χαλεπὸν ἀμφημερινοῦ ἑνὸς, διακρῖναι δύο τριταίους.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ διαγνώσεως τῆς πρώτης εἰσβολῆς τοῦ ἀκριβοῦς τριταίου.

ΑΡξαι δή μοι πρῶτον ἀσκεῖν, ἀπὸ τῶν ἀκριβῶν τύπων.
F οὔτε γὰρ ἄλλο τι μάτην ὁ Ἱπποκράτης εἶπεν, οὔθ᾽ ὡς ὁ ἀκριβὴς τριταῖος, ἐν ἑπτὰ περιόδοις κρίνεται τὸ μακρότατον. τίς οὖν ὁ ἀκριβὴς τριταῖός ἐστιν; οὐδὲν γὰρ παρ᾽ Ἱπποκράτους, αὐτοῦ γνώρισμα γέγραπταί τι τοιοῦτον, οἷον καὶ τοῖς ἐπιτυχοῦσιν εἶναι πρόδηλον. ἀλλ᾽ εἰ μέν σε χειραγωγήσαιμι, μαθήσῃ ῥᾳδίως, τίνα λέγει τὸν ἀκριβῆ τριταῖον.

εἰ δ' ἐάσαιμί σε κυλινδεῖσθαι κατὰ τὰ βιβλία, πρὶν εἰσαχθῆναι προσηκόντως, οὐκ ἂν οὐ μόνον ἐκμάθοις οὐδὲν, οὔτε περὶ τριταίου τι χρηστὸν, οὔτ' ἄλλου τινὸς τῶν ἁπάντων, ἀλλὰ καὶ παρακούσῃς μυρίων. ὅταν οὖν ἀναγνῷς ἐν ἀφορισμοῖς, τὰ πλεονάζοντα κατὰ τὸ θέρος νοσήματα, πυρετούς τε εἶναι συνεχεῖς, καὶ καύσους, καὶ τριταίους πλείστους, πρῶτον μὲν αὐτὸ δὴ τοῦτο μὴ παρακούσῃς, τὸ, ὡς θέρους μέμνηται οὐ τοῦ παρὰ φύσιν ἔχοντος, οἷον ἐν Κραννῶνί ποτε γενέσθαι φησί. ὕοντος καύματι λάβρῳ δι' ὅλου. ἀλλ' εἴ ποτέ τινα τάξιν, καὶ κόσμον ἑκάστῃ τῶν ὡρῶν ἐνενόησας, ἀναμνήσθητί μοι καὶ νῦν, ὡς ὁ μὲν χειμὼν, ἁπάντων τοῦ ἔτους ὑγρότατός ἐστι, καὶ ψυχρότατος. ἐναντίως δ' αὐτῷ, τὸ θέρος ξηρότατόν τε, καὶ θερμότατον. εἰ δ' ἔμπαλιν ὁ μὲν χειμὼν, ξηρὸς· ὑγρὸν δὲ γίγνοιτο τὸ θέρος· οὐ κατὰ φύσιν ἔχει τὰ τῶν ὡρῶν. οὐκ οὖν οὐδὲ τὰ θερινὰ νοσήματα τηνικαῦτα, ἐν θέρει πλεονάσει. μὴ γάρ πω δόκει διὰ τὴν προσηγορίαν τῶν ὡρῶν, ἕκαστον τῶν νοσημάτων γίνεσθαι τοῖον, ἢ τοῖον, ἀλλὰ διὰ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κρᾶσιν. ὡς γὰρ ἂν οὗτος ἔχῃ φύσεως, οὕτω καὶ ἡμᾶς διατίθησι. κατὰ τοῦτο οὖν ἔλεγεν ὁ Ἱπποκράτης ὁπόταν ἔαρ ὅμοιον τῷ φθινοπώρῳ γένηται, φθινοπωρινὰ τὰ νοσήματα προσδέχεσθαι δεῖ. θερμὴν δέ τινα, καὶ ξηρὰν κατάστασιν ἔχειν χρὴ τὸ θέρος, ἐπειδὰν ἀκριβῶς διασώζῃ τὴν ἑαυτοῦ φύσιν. ἀλλ' εἴπερ οὕτω τοῦτ' ἔχει, δῆλον, ὡς τὸ μάλιστα τοιοῦτον θέρος, πλείστους οἴσει τριταίους πυρετούς. ἆρ' οὖν ὥρα μὲν ἡ θερμὴ καὶ ξηρὰ, τριταίων πυρετῶν εὔφορος, ἡ χώρα δ' οὐχ ὁμοίως, ἡ θερμὴ καὶ ξηρὰ, τῆς ὑγρᾶς καὶ ψυχρᾶς εὐφορωτέρα; πάνυ που δῆλον· τί οὐχὶ καὶ τοῦ κάμνοντος ἡ κρᾶσις αὐτοῦ; καὶ τοῦτ' ἀναγκαῖον. εἰ δὲ καὶ διαιτηθείη θερμότερόν τε, καὶ ξηρότερον, ὅπερ ἐστὶν ἐν πόνοις μὲν πλείοσι, καὶ ἀγρυπνίαις, καὶ φροντίσι, καὶ λύπαις, ἐδέσμασί τ' ἐλάττοσί τε, καὶ χολωδεστέροις, ἆρ' οὖν οὐχὶ καὶ κατὰ ταῦτα, χολωδέστερος ἂν αὐτὸς ἑαυτοῦ γένοιτο, καὶ δηλονότι θερμότερός τε, καὶ ξηρότερος; ὅτι μὲν γὰρ ἐπὶ θερμοῖς, καὶ ξηροῖς αἰτίοις, ἡ ξανθὴ χολὴ πέφυκεν ἀθροίζεσθαι, παρ' Ἱπποκράτους ἐμάθομεν, ἄλλοθί τε πολλαχόθι, κἀξ ὧν ἐν θέρει πλεονάζειν αὐτήν φησι. ταῦτ' εἴρηταί μοι· καὶ τριταίου πυρετοῦ γένεσιν ἤδη μεμάθηκας, ὃς γὰρ ἂν ἐν θέρει μὲν γένηται, καὶ τούτῳ μάλιστα θερμῷ τε καὶ ξηρῷ, τοιοῦτον δὲ ᾖ καὶ τὸ χωρίον, καὶ ἡ τοῦ κάμνοντος φύσις ὁμοία, καὶ τὰ πρόσθεν διαιτήματα πρὸς ταῦτ' ἄγοντα, τριταῖος οὗτος δύναται εἶναι. καὶ μὴν ἄχρι γε τούτου, χολώδη πυρετὸν ἐμνημονεύσαμεν τῷ λόγῳ, τριταῖον δ' οὔπω δεόντως. εἰ γὰρ συνεχεῖς, καὶ καύσους, καὶ τριταίους πλείστους αὐτό τε θέρος, ἕκαστόν τε τῶν εἰρημένων αἰτίων ἀπεργάζεται, κοινὴ μέχρι τοῦδε τοῖς καύσοις πυρετοῖς, ἡ τοῦ τριταίου γένεσις. ἀτὰρ οὖν, καὶ φαίνεται τοῦτό γε, καὶ αὐτὸς ὁ παροξυσμὸς τοῦ τριταίου, τῶν ὀξυτάτων τε, καὶ καυσωδεστάτων πυρετῶν οὐδενὸς ἀπολείπεται, τί ποτ' οὖν διήνεγκεν; ὅτι τὴν χολὴν οὗτος μὲν, εἰς ἅπαν τὸ σῶμα φερομένην ἔχει, καὶ διὰ τοῦτο ῥῖγός τε σφοδρὸν αὐτοῖς προσγίνεται, καὶ χολῆς ἔμετος ἐπιφαίνεται, καὶ τὰ οὖρα, καὶ οἱ ἱδρῶτες αὐτοῖς χολώδεις εἰσίν. εἴρηται δὲ καὶ περὶ τούτων ἑτέρωθι, τοῖς δ' ἄλλοις καύσοις πυρετοῖς, ὅσοι μὴ διαλείπουσιν, τῆς ξανθῆς χολῆς χυμὸς ἐδείκνυτο περιεχόμενος ἐν τοῖς ἀγγείοις, ἅμα τῷ αἵματι.

A si verò te per volumina circumuolui permisero, ante quàm commodè introducaris, non modò nihil vtile disces, neque de tertiana, deque de aliquo alio morbo, sed infinita erunt, quæ obaudies. Quum igitur legeris in aphorismis, *morbos, qui tempore æstiuo maxime abundant, esse febres continuas, & ardentes, & tertianas plurimas:* primùm aduerte, ne hoc ipsum malè accipias; quòd æstatem intelligit, non, quæ præter naturam se habet, qualem aliquando ait fuisse in Cranone, *quum pluuiæ violentæ per æstum toto tempore descendissent*; sed, si ordinem aliquem, ac modum in singulis temporum statibus annotasti, tu B nunc ad memoriam reuoca, quòd hyems quidem præ omnibus anni temporibus humidissima est, ac frigidissima; contraria verò æstas ipsi est calidissima, atque siccissima. Si verò contra, hyems quidem sicca, æstas verò humida fuerit, temporum status haud secundum naturam se habet. Neque igitur æstiui morbi tunc tempore æstatis grassabuntur; neque enim existimare debes, quod propter anni temporum appellationes, singuli morbi accidant, tales scilicet vel tales, sed propter ambientis aëris temperiem; vt enim naturam habuerit, ita etiam nos afficiet. C Secundum hoc igitur aiebat Hippocrates, *Quum ver autumno simile factum fuerit, autumnales morbos expectare oportet.* Calidam autem, & siccam temperiem æstatem habere oportet, quando exquisitè suam naturam seruauerit. Sed si hoc ita se habeat, liquet, quod æstas, quæ maximè talis existit, plurimas afferet febres tertianas. Nunquid igitur status temporis calidus, & siccus magnum prouentum febrium tertianarum efficiet; regio autem calida, & sicca non etiam plus, quàm frigida, & humida, eatundem ferax erit? hoc etiam omnino clarum est. Sed D nónne & ægrotantis temperies? hoc quoque est necessarium. Quòd si victu calidiori, ac sicciori etiam vsus fuerit, hoc est laboribus, atque vigiliis, & curis, atque tristitiis, cibisque paucioribus, ac biliosioribus, nónne etiam in his ipse se ipso biliosior reddetur, & ideo calidior & siccior? nam, quòd ex causis calidis, ac siccis flaua bilis congeri consueuit, didicimus ab Hippocrate, tum ex multis aliis, tum ex iis, quibus eam exuperare æstate dicit. Hæc à me dicta sunt, & iam tertianæ febris generationem didicistis. Quæ enim æstatis tempore, eoque præcipuè calido, & sicco aduenerit, E quum etiam regio talis fuerit, & laborantis natura similis, & victus, qui antecessit, ad idem spectauerit, hæc potest esse febris tertiana. Et nos quidem hucusque biliosam febrem sermone genuimus, nondum autem tertianam, & id iure. Nam si febres continuas, & ardentes, & tertianas plurimas, & æstas ipsa, & aliæ, quas antea commemorauimus, causæ singulæ faciunt, communis est vsque ad hæc cum febribus ardentibus tertianæ generatio. Sed & hoc ita se habere videtur; & ipsa tertianæ accessio ab acutissimis, maximeque ardentibus febribus nullo modo deficit; sed F hoc differt, quod in hac per totum corpus bilis defertur, atque ideo vehemens fit rigor, bilisque superuenit vomitus, vrinæque ac sudores biliosi sunt, dictum verò de his alibi est; in aliis verò ardentibus febribus, quæ nullam habent intermissionem, flauæ bilis humor in vasis vnà cum sanguine contineri ostendebatur.

Atque

Atque hæ ipsæ à tertianis differunt, quamuis eundem, qui eas facit, humorem habeant, quòd in his quidem intra venas continetur; in illis verò, quum vehementer moueatur, per singulas corporis partes disseminatur; quo fit, vt delationis impetu ipsa per se ipsam expurgetur. Eadem causa est, cur febris sudoribus, atque vomitibus finiatur: in ardentibus autem febribus singulæ accessiones ad infebricitationem non perueniunt, quoniam, qui earum causa est, humor non expurgatur. Sed quando in his bilis vehementius agitatur, ac veluti efferuescit, quumque impulsa à valida natura, totum corpus peruaserit, tunc rigor superuenit, & febris soluitur; nam à febre ardente (inquit Hippocrates) habito, superueniente rigore, solutio. Quòd verò non modo causa frigida, sed & acris, & calida rigorem faciat, in libro de causis symptomatum ostendimus, addentibus nobis, eos, qui calido, atque acri medicamento vlceri imposito vehementer morsi sunt, atque inde rigorem experti, & qui excrementis pleni fuliginosis, deinde balnea ingressi, horruerunt. Sic enim & febricitantes, & qui vehementem cruditatem patiuntur, & omnes, quorum corpus superfluitatibus acribus redundauerit, siue balneum, siue loca vehementiùs à Sole calefacta, ingressi fuerint, siue quocunque alio citato motu agitentur, statim quidem videmus horrere, & si diutiùs in eisdem perstiterint, ad rigorem concussumque perduci; quoniam scilicet vbi ad balnea, atque exercitia ventum est, qui interim humores conquieuerant, vehementiùs moueantur; hi enim omnes agitati, & per sentientia corpora violenter delati, stimulant, pungunt, ac feriunt, atque hinc sensum inæqualem, rigorem, concussumque inuehunt. Hæc quidem igitur alibi dicta sunt. Tertiana verò febris, quæ ex flaua bile mota ortum habet, rationabiliter statim ab initio rigorem affert non mediocrem, hoc ipso primum à quartanario rigore differentem; quoniam pungi videtur, ac vulnerari corpus, talis enim est in tertianis febribus rigoris sensus; sicuti in quartana febre vehementem frigefactionem habet, qualis per gelu tempore hyberno sentitur; nam, & illud ostensum est, quod in quartana febre atra bilis redundat, sicuti in quotidiana, pituita. Tertianam itaque exquisitam febrem fieri non contingit sine rigore vehementi pungente, ac feriente carnem. Quartana autem febris non primo statim die cum rigore inuadit vehementi, nam progrediente ipsa, atque aucta, vnà etiam rigor augetur, sensusque ægrotantibus adest, non quasi pungantur, sed refrigerentur, & veluti contundantur vsque ad ossa; nam ita eos audire licet dicentes, quod videantur ostocopo detineri, & carnem habere contusam imaginentur. In quotidianis autem non antecedit rigor, neque statim ab initio, neque in progressu, sed solum perfrigeratio. Nunquid igitur hæc sola sunt tertianarum febrium indicia; vel neque etiam pulsus vllam habent cum quartanis similitudinem? hæ enim paruos, & obscuros, & tardos, & raros adeò pulsus faciunt in inuasionibus, sicuti nulla altera affectio; tertianis verò parui quidem, ac obscuri, tardique ac rari, quum inuadunt, pulsus necessariò adsunt;

καὶ ταύτῃ διαφέρουσιν οὗτοι τῶν τριταίων, εἰ καὶ τὸν ἐργαζόμενον αὐτοὺς χυμὸν ἔχουσι τὸν αὐτὸν, ὅτι τοῖς μὲν, ἐντὸς τῶν φλεβῶν ἐστι· τοῖς δὲ, σφοδρῶς κινούμενος, ἐπὶ παντὸς τοῦ σώματος διασπείρεται τὰ μόρια· καὶ διὰ τοῦτ᾽ αὐτὸς ἑαυτὸν ἐκκαθαίρει, τῷ σφοδρῷ τῆς φορᾶς. αὕτη καὶ τοῦ παύεσθαι τὸν πυρετὸν ἐπὶ τοῖς ἱδρῶσί τε, καὶ τοῖς ἐμέτοις ἡ αἰτία. τοῖς καύσοις δ᾽ ἕκαστος τῶν κατὰ μέρος παροξυσμῶν, εἰς ἀπυρεξίαν οὐκ ἔρχεται, διὰ τὸ μὴ δ᾽ ἐκκαθαίρεσθαι τὸν αἴτιον χυμόν. ἀλλ᾽ ἐπειδὰν, καὶ τούτοις ἡ χολὴ σφοδρότερον κινηθεῖσα, καὶ οἷον ζέσασα τότε ᾖ, καὶ πρὸς αὐτῆς τῆς φύσεως ῥωσθείσης ὠθουμένη πάντῃ τοῦ σώματος ἴῃ, ῥῖγός τε προσγίνεται, καὶ λύσις ἐπιγίνεται. ὑπὸ καύσου γάρ φησιν ἐχομένῳ ῥίγεος ἐπιγινομένου, λύσις. ὅτι δ᾽ οὐ μόνον τὸ ψυχρὸν αἴτιον, ἀλλὰ καὶ τὸ δριμὺ, καὶ τὸ θερμὸν ἐργάζεσθαι ῥῖγος δύναται, ἐν τοῖς τῶν συμπτωμάτων αἰτίοις ἀποδέδεικται. παραθεμένων ἡμῶν τούς τε διὰ δριμὺ, καὶ θερμὸν φάρμακον ἐπιτεθὲν, ἕλκει δηχθέντας σφοδρῶς, εἶτα ῥιγώσαντας, τούς τε περιττωμάτων πεπληρωμένους καπνωδῶν, εἶτ᾽ εἰς βαλανεῖον εἰσελθόντας, καὶ φρίξαντας. οὕτως γὰρ δὴ, καὶ τοὺς πυρέσσοντας, καὶ τοὺς ἀπεπτήσαντας σφοδρῶς, καὶ πάντας οἷς ἂν ᾖ τὸ σῶμα μεστὸν ἀκαθαρσίας δριμείας, ἐάν τ᾽ εἰς βαλανεῖον εἰσέλθωσιν, ἐάν τ᾽ εἰς χωρίον ἡλιούμενον σφοδρῶς, ἐάν τ᾽ ἄλλως ὁπωσοῦν κίνησιν σφοδροτέραν κινηθῶσι, εὐθὺς μὲν, φρίττοντας ὁρῶμεν· ἢν δὲ καὶ διατρίψωσιν ἐπὶ πλέον ἐν αὐτοῖς, εἰς ῥῖγός τε, καὶ κλόνον ἀγομένους, ὡς ἂν εἰς κίνησιν σφοδροτέραν, ἔν τε τοῖς βαλανείοις, καὶ τοῖς γυμνασίοις ἐρχομένων, τῶν τέως ἡσυχαζόντων περιττωμάτων. ἅπαντα γὰρ ταῦτα κινούμενά τε, καὶ διὰ τῶν αἰσθητικῶν σωμάτων ἐπιφερόμενα, νύττει τε καὶ κεντεῖ, καὶ τιτρώσκει. κἀντεῦθεν τήν τε ἀνώμαλον αἴσθησιν, καὶ τὸ ῥῖγος, καὶ τὸν κλόνον ἐπιφέρει. ταυτὶ μὲν οὖν ἑτέρωθι λέλεκται. τριταῖος δὲ πυρετὸς ἔκγονος ὑπάρχων τῆς ξανθῆς χολῆς κινουμένης, εὐλόγως εὐθὺς κατ᾽ ἀρχὰς, ῥῖγος οὐκ ἀγεννὲς ἐπιφέρει. διαφέρων αὐτῷ τούτῳ πρῶτον τοῦ τεταρταϊκοῦ ῥίγους, τῷ κεντεῖσθαι δοκεῖν, καὶ τιτρώσκεσθαι τὸν χρῶτα. τοιαύτη γὰρ ἐν τριταίοις πυρετοῖς, ἡ τοῦ ῥίγους αἴσθησις, ὥσπερ ἐν τεταρταίῳ, κατάψυξιν ἔχουσα σφοδρὰν, ὁμοιοτάτην τῇ διὰ κρύος ἐν χειμῶνι γινομένῃ. ἐδείκνυτο γὰρ δὴ, καὶ τῷ τεταρταίῳ πυρετῷ, χολὴ μέλαινα πλεονάζουσα μάλιστα, καθάπερ ἐν τοῖς ἀμφημερινοῖς, τὸ φλέγμα. τὸν οὖν ἀκριβῆ τριταῖον, οὐκ ἐνδέχεται μὴ οὐ μετὰ ῥίγους σφοδροῦ γίνεσθαι, νύττοντος, καὶ τιτρώσκοντος τὴν σάρκα. τεταρταῖος δὲ πυρετὸς, οὐκ εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας εἰσβάλλει μετὰ ῥίγους σφοδροῦ, προϊόντι γὰρ αὐτῷ, καὶ αὐξανομένῳ, συναύξεται καὶ τὸ ῥῖγος, ἥτ᾽ αἴσθησις οὐ νυττομένων ἐστὶ τῶν καμνόντων, ἀλλὰ καταψυχομένων τε, καὶ οἷον θλωμένων ἄχρι καὶ τῶν ὀστῶν, οὕτως γ᾽ οὖν ἀκοῦσαι λεγόντων αὐτῶν ἐστι, ὡς ὀστοκόπῳ τε συνέχεσθαι, καὶ συνθλᾶσθαι τὴν σάρκα φαντάζονται. τῶν δ᾽ ἀμφημερινῶν οὐδὲ προηγεῖται ῥῖγος, οὔτ᾽ εὐθὺς ἐξ ἀρχῆς, οὔτε προϊόντων, ἀλλὰ περιψύχονται μόνον. ἆρ᾽ οὖν ταῦτα μόνα τὰ γνωρίσματα τῶν τριταίων πυρετῶν ἐστιν, ἢ καὶ τὰ τῶν σφυγμῶν, οὐδὲν οὐδ᾽ ἐγγὺς ἔχει τοῖς τεταρταίοις; οὗτοι μὲν γὰρ, μικροὺς, καὶ ἀμυδροὺς, καὶ βραδεῖς, καὶ ἀραιοὺς εἰς τοσοῦτον ἐργάζονται τοὺς σφυγμοὺς ἐν ταῖς ἐπισημασίαις, ὡς οὐδεμία διάθεσις ἄλλη. τριταίοις δὲ μικροὶ μὲν, καὶ ἀμυδροὶ, καὶ βραδεῖς, καὶ ἀραιοὶ κατὰ τὰς εἰσβολὰς ἐξ ἀνάγκης γίνονται;

ἀλλ' ἡ βραδύτης τε, καὶ ἀραιότης, οὐ μικρῷ τινι τῶν ἐν τοῖς τεταρταίοις ἀπολείπεται. δεδέσθαι γάρ σοι δόξει κατὰ τὰς εἰσβολὰς τῶν τεταρταίων, ἡ ἀρτηρία. καὶ εἴσω καθέλκεσθαι, καὶ ἀνιέναι κωλύεσθαι. κατὰ δὲ τὰς τριταϊκὰς, οὔτε τοιοῦτον οὐδὲν, ἥτε βραδύτης, ἐγγὺς τῇ κατὰ φύσιν ἑκάστῃ κινήσει. τεταρταίων δὲ πυρετῶν εἰσβαλλόντων, εἰ καὶ νέος ὁ κάμνων εἴη, γεροντικῆς ἐσχάτης ἡλικίας ἡ ἀρτηρία τούτου μιμεῖται τὴν κίνησιν. ἐξ οὖν τούτων ἁπάντων ὁ τοῦ γνησίου τριταίου ἐστὶ παροξυσμὸς διεγνώσθαι, καὶ πρὸς τούτοις ἔτι, τάξις ἀκριβής ἐστιν, καὶ ὁμαλότης ἐν τοῖς σφυγμοῖς. οὔτε γὰρ ἐν μιᾷ κινήσει τις ἀνωμαλία κατ' αὐτοὺς, οὔτ' ἐν ἀθροίσματι. καίτοι σπάνιον τοῦτό γε, καὶ παντάπασιν ὀλίγαις ἀρχαῖς παροξυσμῶν ὑπάρχον. ἤδη τε οὖν εἰσβάλλων ὁ τοιοῦτος πυρετὸς, οὐκ ἂν οὐδένα λάθοι τῶν πολλάκις ἑωρακότων αὐτόν. ἔτι δὲ καὶ μᾶλλον, ἐν ταῖς καλουμέναις ἀναβάσεσί τε, καὶ αὐξήσεσιν· ὁμαλὸν μὲν γὰρ, καὶ ἀκώλυτον ἔχει τὸ τάχος, ἐγείρεται δὲ εἰς μέγεθος, καὶ σφοδρότητα παραχρῆμα. κἂν τούτοις ἅπασιν ἀνάλογον, εἰς πυκνότητα. καὶ τὸ τῆς φλεγμονῆς αὐτῷ σημεῖον, οὐ πάρεστιν. ἤδη τε οὖν δίψος ἐπιφέρει, καὶ διακαίει τὸν ἄνθρωπον, καὶ μικρὸν ὕστερον ἀκμάζει, καὶ τὸ θερμὸν ὁμαλῶς ἐκτέταται πάντῃ. καὶ κατ' οὐδὲν ὁ θώραξ τῶν ἄκρων θερμότερός ἐστιν. εἰ δὴ ἐπιβάλλοις τὴν χεῖρα, κατὰ μὲν τὴν πρώτην προσβολὴν, ἀπαντᾷ θερμασία πολλὴ, καὶ δριμεῖα, καὶ οἷον μετ' ἀτμοῦ τινος ἀναφερομένη. νικᾶται δὴ ὀλίγον ὕστερον ὑπὸ τῆς χειρὸς, οὐχ ὥσπερ ἐπὶ τῶν κακοήθων καύσων. ἔμπαλιν γὰρ ἐκεῖναι δυσνότεραι, καὶ ἀηδέστεραι χρονίζουσαι φαίνονται. καὶ δὴ καὶ πίνειν δὴ καιρὸς τῷ κάμνοντι. καὶ πιόντι, αὐτίκα δὴ μάλα, πλῆθος μὲν ἄνεισιν ἀτμοῦ θερμοῦ διὰ τοῦ δέρματος, ἀγγέλλον ἱδρῶτας· ἔμετος δὴ ἐπιφαίνεται χολῆς, ἢ γαστήρ που κατέρρηξε· καὶ οὔρησε χολώδη. νυνὶ μὲν γὰρ, καὶ ὁ τυχὼν γνωρίσαι τὸν ἀκριβῆ τριταῖον. ἀνέρχεται μὲν γὰρ ἱδρὼς ἀτμώδης τε καὶ θερμὸς, ὥσπερ ἐν βαλανείῳ. ἅπαν δὴ αὐτοῖς ὁμαλῶς ἱδροῖ τὸ σῶμα, καὶ ὁ σφυγμὸς, οἷος ὁ τῶν ἀκριβῶς ὑγιαινόντων ἐν γυμνασίοις τε καὶ λουτροῖς, ταχὺς, καὶ μέγας, καὶ σφοδρὸς, καὶ πυκνός. ἦν δὲ δήπουθεν εὐθὺς ἐξ ἀρχῆς ἤδη, καὶ ὁμαλός. ἐπὶ τούτοις ἅπασιν εἰς ἀπυρεξίαν παύεται, τὸν σύμπαντα χρόνον τοῦ παροξυσμοῦ, ποιησάμενος ὡρῶν οὐ πλειόνων δώδεκα. πλεῖστος γὰρ οὗτος ὁ χρόνος ἐν τριταίοις γνησίοις· ὡς τὰ πολλὰ δὲ, ποτὲ μὲν ἑπτὰ πασῶν ὡρῶν, ὁ παροξυσμὸς αὐτοῖς γίνεται, ποτὲ δὴ ἤτοι πρωϊαίτερον, ἢ ὀψιαίτερον οὐ πολλῷ παύεται. τοῦτον μὲν εἰ μήπω γνωρίσαις ἀκριβῆ τριταῖον ὑπάρχειν, ἀλλ' ἔτ' ἀναμένεις τὴν ληρώδη διάτριτον, οὐκ ἂν οὐδ' ὄνος ἔτι Θεσσαλὸς, ἀλλά τις εἴης λίθος. εἰ δὲ καὶ οὐρήσαντος αὐτοῦ, τὸ οὖρον ὑπόπυρρόν τε, καὶ ὑπόξανθον εἴη, καὶ συμμέτρως παχὺ. καὶ μικρὸν ὕστερον, ἢ νεφέλην λευκὴν, ἢ ἐναιώρημα χρηστὸν ἐργάζοιτο. νῦν μὲν ἂν οὐκέτ' οὐδὲ λίθος ἁπλῶς, ἀλλὰ μυλίας τις ἂν εἴης λίθος, εἰ μήπω γνωρίζεις, ὅτι καὶ τριταῖος οὗτος ὁ πυρετός ἐστι, καὶ ἀκριβὴς τριταῖος, καὶ τὴν τετάρτην οὐχ ὑπερβαίνοι περίοδον. πυρροτέρων δὲ τῶν οὔρων ὄντων, καὶ μήτ' ἐναιωρήματος μηδενὸς, μήτε νεφέλης ἐν τῇ πρώτῃ περιόδῳ φανείσης, εἰς τὰς ἑπτὰ περιόδους ἐκταθήσεται. πάντων δὴ ἁπλούστατός ἐστι τριταίων πυρετῶν, ὃς ἂν ἅπανθ' ὅσα περ εἶπον ἔμπροσθεν, ἀκριβῶς εἶναι τριταίου γνωρίσματα προσδείξας, ὑπόστασιν ἐν τοῖς οὔροις λευκὴν, καὶ λείαν, καὶ ὁμαλὴν ποιήσεται κατὰ τὴν πρώτην ἡμέραν.

γράφεται ἀβίαστον

verùm tarditas, ac raritas non parum ab iis abeſt, qui in quartanis accidunt; nam in quartanarum principiis videbitur tibi arteria quodammodo eſſe alligata, atque ad interiora retracta, neque liberum habere incrementum; in tertianis verò, neque aliquid tale percipitur, tarditaſque propè accedit ad eum, qui ſecundum naturam eſt, motum. Quum verò quartanæ febres inuaduut, quamuis ægrotus iuuenis fuerit, talis fit motus arteriæ, qualis in ætate decrepita. His igitur omnibus legitimæ tertianæ deprehenditur acceſſio; ac præterea certus ordo, atque æqualitas pulſibus ineſt; neque enim in his aliqua in vno motu adeſt inæqualitas, neque etiam in collectione; quamuis hoc rarum ſit, & quod paucis acceſſionum principiis ſolet accidere. Iam igitur hæc febris, quum primum inuadit, neminem eorum latebit, qui ſæpius ipſam ſunt contemplati; ſed adhuc minùs in iis, qui vocantur aſcenſus, atque augmenta; nam æqualem & liberam habet celeritatem, ſtatimque ad magnitudinem, atque vehementiam excitatur, hiſque omnibus frequentiam reſpondentem; neque ipſi vllum adeſt inflammationis ſignum. Iam igitur, & ſitim inuehit, & hominem exurit, & paulo poſt in vigore conſiſtit; calor æqualiter quaque verſus extenditur, nihiloque plus thorax extremitatibus calet; & ſi manum impoſueris, in primo occurſu quidem fit calor multus, atque acris, quique veluti quodam cum vapore efferatur; paulo poſt verò à manu ſuperatur, non vti in febribus malignis ardentibus accidit; contra enim illæ grauiores, ac moleſtiores, quanto diutiùs perdurant, apparent. Et iam bibendi tempus adeſt ægrotanti; & ſtatim poſt potum plurimus vapor calens per cutem exhalat, ſudoris nuncius, biliſque ſuperuenit vomitus, venterve ſoluitur, & biliosum meit. Nunc ergo, vel quiuis exquiſitam tertianam agnoſcat. Superuenit enim ſudor vaporoſus, ac calidus, quemadmodum in balneis; totum verò ipſis corpus æqualiter ſudat; taliſque eſt pulſus, qualis ſanorum in exercitationibus & balneis, velox ſcilicet ac magnus & vehemens, ac frequens; erat autem & ſtatim ab initio æqualis; ſed præter hæc omnia, etiam ad infebricitationem deſinit, vniuerſum acceſſionis tempus vltra xij. horas non extendens, nam hoc tempus longiſſimum eſt in veris tertianis, ſæpius autem aliquando ſeptem horas acceſſio continet, nonnunquam citiùs, aut tardiùs; ſed non multo, finitur. Hanc quidem febrem ſi nondum noueris tertianam, ſed expectaueris deliram illam appellatam diatritum, iam neque eſſes Theſſalicus aſinus, ſed potius lapis. Si verò etiam ipſo ægroto meiente, vrina ſubrufa, vel ſubflaua, & craſſitie mediocris, apparet, ac paulo poſt, vel albam nebulam, vel ſuſpenſum bonum fecerit, iam non etiam lapis ſimpliciter fores, ſed is, qui molaris appellatur, ſi quidem hanc tertianam eſſe ignoraueris, & exquiſitam tertianam, & quæ vltra quartum circuitum non progredietur, rufiore verò vrina exiſtente, neque ſuſpenſo aliquo, neque nebula in primo circuitu apparente, ad ſeptem circuitus extendetur. Inter omnes autem tertianas illa ſimpliciſſima eſt, quæ, quum omnia illa nuper à me dicta exquiſitæ tertianæ ſigna commonſtrauerit, in vrinis etiam ſedimentum album, & læue, & æquale ſtatim in primo fecerit die,

neque

neque enim hæc vltra tertium progredietur circuitum. Age igitur, postquam diximus omnia exquisitæ tertianæ signa, quandam veluti ipsius genealogiam per capita facientes, iam ad aliud transgrediamur. Accessio quidem incipit cum vehementi rigore, faciens, quales diximus, pulsus; deinde paulo post augetur; properatque ad statum cum iis, quæ diximus, omnibus; deinde soluitur eo, quo diximus, modo. Ipsius verò generatio, & tempestatem æstuosam, & calentem requirit, &, vt summatim dicam, æstiuum tempus, ætatem iam consistentem; & naturam biliosam, quæ in laboribus, vigiliis, curis, & inediis extiterit; &, si libet, his etiam adde id, quod consueuit Archigenes propter lapideos istos methodicos adscribere, sit scilicet vt præsens tempestas multas tertianas populariter tulerit; vt artificiosis indiciis vulgarem quidem, veram tamen coniecturam adiungens, fidem præcognitionis adaugeas. Nunquid per Deos nondum etiam dicemus hanc esse tertianam, sed lanificorum diatritum expectabimus, quam delirus Thessalus inter mulieres educatus, sub patre flagitiosè lanas pectentes, malè audebat dicere, in Hippocratem, & reliquos medicos veteres superbè inuehens? Qui omnia medicinæ theoremata constantia, ac firma pronunciauit, tertianam febrem inuadentem nequit agnoscere, sed diatritum expectat; hoc si quidem admirabile est, quæ quidem non erant certa, hæc certa dixit esse, omnia autem quæ verè certa erant, ignorauit. Sed huius quidem vetulæ, nec meminisse conuenit.

οὐ γὰρ ὑπερβήσεται τὴν τρίτην ἔτι περίοδον. ἄγε δὴ ἐπεὶ πάντ' εἴρηται τὰ τοῦ γνησίου τριταίου γνωρίσματα, καθάπερ τινὰ γενεαλογίαν αὐτοῦ, διὰ κεφαλαίων ποιησάμενοι, μεταβαίνωμεν οὕτως ἐφ' ἕτερον. ὁ μὲν παροξυσμὸς εἰσβάλλει μετὰ ῥίγους σφοδροῦ, τοὺς σφυγμοὺς, οἵους εἴρηκα, ποιούμενος. ἔπειτ' ὀλίγον ὕστερον αὔξεταί τε, καὶ πρὸς τὴν ἀκμὴν ἐπείγεται, σὺν οἷς εἴρηται πᾶσιν. εἶτα λύεται καθ' ὃν εἴρηται τρόπον. ἡ γένεσις δὲ αὐτοῦ, καταστάσεως μὲν αὐχμηρᾶς, καὶ θερμῆς δεῖται, καὶ τὸ σύμπαν φάναι, θερεινῆς ὥρας. ἡλικίας δὲ ἀκμαστικῆς, καὶ χολώδους φύσεως, ἐν πόνοις, καὶ φροντίσι, καὶ ἀγρυπνίαις, καὶ ἐνδείαις γεγενημένης. καὶ εἰ βούλει πρόσθες τούτοις διὰ τοὺς λιθίνους τούτους μεθοδικοὺς, ὅπερ εἴωθέ που, καὶ ὁ Ἀρχιγένης προσγράφειν. ἔστω δὲ δή που καὶ ἡ παροῦσα κατάστασις, ἐπιδημίαν ἐνεγκοῦσα τριταίων. ἵνα τοῖς τεχνικοῖς γνωρίσμασι, καὶ τὸν ἰδιωτικὸν μὲν, ἀληθῆ δὲ στοχασμὸν προσθεὶς, αὐξήσῃς τὸ πιστὸν τῆς προγνώσεως. ὦ πρὸς θεῶν οὔπω τοῦτον ἐροῦμεν εἶναι τριταῖον, ἀλλὰ τὴν τῶν ἐριουργῶν ἀναμενοῦμεν διάτριτον, ἣν ὁ ἐν τῇ γυναικωνίτιδι τρεφόμενος ὁ ληρώδης Θεσσαλὸς ὑπὸ πατρὶ μοχθηρῷ ἔρια ξαίνοντι, κακῶς ἐτόλμα λέγειν Ἱπποκράτην τε, καὶ τοὺς ἄλλους παλαιούς. ὁ τὰ τῆς ἰατρικῆς ἅπαντα θεωρήματα καταλαζονευσάμενος ἑστῶτα ὑπάρχοντα, καὶ βέβαια, τριταῖον εἰσβάλλοντα πυρετὸν, οὐχ οἷός ἐστι γνωρίζειν, ἀλλ' ἀναμένει τὴν διάτριτον. τοῦτο γάρ τοι θαυμαστόν ἐστιν. ὅσα μὲν οὐκ ἦν βέβαια, ταῦτα εἶπεν εἶναι βέβαια. σύμπαντα δὲ ἠγνόησε, τὰ κατὰ τὴν ἀλήθειαν βέβαια. ταύτης μὲν δὴ τῆς γραὸς, οὐδὲ μεμνῆσθαι προσήκει.

CAPVT IV.

De exquisitæ Quartanæ dignotione.

POstquam verò exquisitam tertianam iam patefecimus, ad exquisitam quartanam transire tempus est. Cuius principium quale sit, iam diximus antea, quod videlicet nihil simile habeat in rigore, ac pulsibus cum tertianæ circuitu; nunc reliqua iam dicamus. Sed neque illud ratione caret, vt pulsus, qui in accessionibus sunt, quamuis antea memoratos, iterum repetamus; si enim cognoueris pulsum ægrotantis naturalem, vel in altero ipsius morbo per initia accessionis affueris, nihil amplius expectabis, quin febrem inuadentem quartanam esse pronuncies, nam eximia quædam ad tarditatem, ac raritatem conuersio fit. Ego quidem nonnullos meos familiares, quorum pulsus exquisitè cognoueram, iam ingruente accessione contemplatus, quod tale principium nullius alterius, quam quartanæ febris, fore contingeret, pronunciaui, atque id euenit. Tu verò, si artis, quæ circa pulsus versatur, magnam non habes peritiam, deinde raritas, ac tarditas eorum te moueat, securius tamen ac exquisitius velis discernere, præcepta Hippocratis hoc in loco ad memoriam reuoca, qui tempore *æstiuo tertianas febres, autumnali verò quartanas grassari* dixit. Primùm verò hoc ipsum considera, nunquid autumnus frigidam, & siccam, & inæqualem habuerit temperiem, & tunc magis sperabis, quartanos circuitus in ipso fore frequentiores; post hæc, si regio ipsa talium febrium sit ferax; & si ægrotantis natura atræ bili obnoxia sit, talisque ratio victus antecesserit, quæ huiusmodi

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ διαγνώσεως τοῦ ἀκριβοῦς τεταρταίου.

ΤΟΥ δὲ ἀκριβοῦς τριταίου ἤδη γνωρισθέντος, ἐπὶ τὸν ἀκριβῆ τεταρταῖον μετιέναι ἤδη καιρός. οὗ τὴν μὲν ἀρχὴν ὁποία τίς ἐστιν, ἤδη προειρήκαμεν, ὡς οὐδὲν ὅμοιον ἔχουσαν τῇ τριταϊκῇ περιόδῳ, κατά τε τὸ ῥῖγος, καὶ τοὺς σφυγμούς. τὰ δὲ ἐφεξῆς ἤδη λέγωμεν. καίτοι τό γε τῶν ἐν τοῖς παροξυσμοῖς σφυγμῶν ἔμπροσθεν εἰρημένων ὑπομνῆσαι καὶ νῦν, εὔλογον. εἰ γὰρ εἰδείης τοῦ νοσοῦντος τὸν κατὰ φύσιν σφυγμὸν, ἢ εἰ καὶ καθ' ἑτέραν αὐτοῦ νόσον, ἐν ἀρχῇ παροξυσμοῦ παραγεγονὼς εἴης, μηκέτ' ἄλλο μηδὲν ἀναμείνῃς εἰς ἀπόφασιν τοῦ τεταρταῖον εἶναι τὸν εἰσβάλλοντα πυρετόν. ἐξαίσιος γάρ τις ἡ εἰς ἀραιότητά τε, καὶ βραδύτητα τροπὴ γίνεται. καὶ ἔγωγε τῶν ἐμαυτοῦ συνήθων τινὰς, ὧν ἀκριβῶς εἰδὼν τοὺς σφυγμοὺς, εἰσβάλλοντος τοῦ παροξυσμοῦ θεασάμενος, ἀπεφηνάμην ὡς οὐκ ἐνδέχεται τὴν ἀρχὴν ταύτην ἄλλου τινὸς ὑπάρχειν, ἢ τεταρταίου πυρετοῦ, καὶ οὕτως ἀπέβη. σὺ δὲ εἰ τῆς περὶ τοὺς σφυγμοὺς τέχνης ἀπειροτέρως ἔχεις, εἶθ' ἡ μὲν ἀραιότης αὐτῶν, καὶ βραδύτης κινήσει σε, ἀσφαλέστερον δὲ ἔτι καὶ ἀκριβέστερον διαγνῶναι βούλοιο, τῶν Ἱπποκράτους ἀναμιμνήσκου κἀνταῦθα παραγγελμάτων. ὡς γὰρ ἐν θέρει τριταίους πυρετοὺς πλεονάζειν, οὕτως ἐν φθινοπώρῳ τεταρταίους ἔφησεν. ἐπίσκεψαι δὲ πρῶτον μὲν, αὐτὸ τοῦτο εἰ ξηρὸν, καὶ ψυχρὸν, καὶ ἀνώμαλον, ἐν τῇ κράσει τὸ φθινόπωρον ἐγένετο, καὶ μᾶλλον ἐλπίζε τεταρταίας περιόδους ἐν αὐτῷ συστήσεσθαι πολλάς. εἶθ' ἑξῆς, εἰ καὶ τὸ χωρίον αὐτὸ τοιούτων πυρετῶν εὔφορον ᾖ, καὶ ἡ φύσις τοῦ κάμνοντος μελαγχολικωτέρα, καὶ τὰ τῆς προγεγενημένης διαίτης, οἷα μέλαιναν

ἀθροίσαι χολήν. καὶ εἴ τις ἐπιδημία νῦν ἐστι τεταρταίων πυρετῶν. ἐπισφραγίζου δὲ ταῦτα τοῖς ἐφεξῆς εἰρησομένοις· εἰ καὶ σπληνώδης ὁ ἄνθρωπος ᾖ, ἢ εἰ ἐκ πεπλανημένων πυρετῶν, ἢ εἰ καὶ τὰ τῆς ἀναβάσεως, καὶ τὰ τῆς ἀκμῆς, ἐναντιώτατα τοῖς τριταίοις εἴη πυρετοῖς, κατά τε τὰς τοῦ θερμοῦ κινήσεις, καὶ κατὰ τὰς τῶν σφυγμῶν, καὶ ἐπὶ τούτοις ἅπασιν εἰ λεπτά, καὶ λευκά, καὶ ὑδατώδη τὰ οὖρα, παντάπασι γὰρ ταῦτά γε, τοῖς τῶν τριταίων ἐναντιώτατα. τριταῖον μὲν δὴ τεταρταίου κατὰ τὴν πρώτην εὐθὺς ἡμέραν ὁ μὴ δυνάμενος διακρίνειν, οὐδ' ἰατρὸς ὅλως ἐστί.

humorē congerat; & si eo tempore quartanæ febres populariter fiant. Hæc autē cum illis quæ deinceps dicentur, obsignabis; si homo lienosus fuerit, vel febres erraticas passus fuerit, vel si augmentū, & status maximè cōtraria fuerint tertianis febribus, & secundum caloris motum, & pulsuum, & præter hæc omnia, si tenues, & albæ, & aquosæ vrinæ fuerint; hæc enim omnino tertianarum vrinis dissimillimæ sunt. Tertianam quidem à quartana, qui primo statim die nescit distinguere, neque omnino medicus est.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ἀμφημερινοῦ.

Ἀμφημερινὸν δὲ τριταίου μὲν, ἑτοιμότερον διορίζειν, οὔτε γὰρ μετὰ ῥίγους εἰσβάλλει κατὰ τὴν πρώτην ἡμέραν εὐθύς, ἀλλὰ καὶ προϊόντος τοῦ χρόνου περίψυξις αὐτοῖς μᾶλλον, ἢ ῥῖγος γίνεται, καὶ σαφὴς ἀταξία τε, καὶ ἀνωμαλία συνεδρεύει τοῖς σφυγμοῖς, κατὰ τὴν ἀρχὴν τῶν παροξυσμῶν. ἴσμεν δέ, ὅτι κἀν ταῖς ἀναβάσεσι τὸ ταχὺ τῆς κινήσεως, καὶ τὸ μέγα, καὶ τὸ σφοδρόν, ὅπερ τοῖς τριταίοις ὑπῆρχε σαφέστατον, οὐχ ὑπάρχει τοῖς ἀμφημερινοῖς. οὐ μὴν οὐδὲ διαχέουσι τοὺς κάμνοντας, οὐδὲ γυμνοῦσθαί τε, καὶ τὴν ἐσθῆτα ῥίπτειν ἀφ' ἑαυτῶν ἀναγκάζουσιν, οὐδὲ πολύ, καὶ πυκνὸν ἀναπνεῖν, οὐδ' ἐκφυσᾶν, οἷον φλόγα τινά, καὶ πιεῖν αἰτεῖν ψυχρόν, ἀλλ' ἥκιστα πυρέττοντες οὗτοι, διψώδεις εἰσί. καὶ οὖρον αὐτοῖς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, οἷον τοῖς τεταρταίοις ἀρχομένοις, καὶ ἱδροῦσιν ἥκιστα περὶ τὰς πρώτας ἡμέρας. ἐπὶ μέν γε τῷ χρόνῳ προϊόντι, καὶ τοῦτ' αὐτοῖς προσγίνεται. τριταίου μὲν δὴ σαφῶς διενήνοχεν, ὡς ὅμοιον ἔχειν μηδέν. ἐγγυτέρω δ' ἐστὶ τεταρταίου, διαφέρει γε μὴν καὶ τούτου σαφῶς. πρώτως μὲν καὶ μάλιστα, τοῖς σφυγμοῖς οὓς ἐπὶ συνήθων ἀρρώστων ἀκριβῶς ἄν τις φωράσειεν. ἤδη δὲ καὶ τῷ ῥίγει, καὶ τοῖς ἄλλοις ἅπασι τοῖς ἔξωθεν ἐφ' οἷς γίνεται. καὶ φύσεως ὑγροτέρας δεῖται, καὶ βίων ἀργοτέρων τε, καὶ μετὰ πλησμονῶν. ταύτῃ γ' οὖν, καὶ παιδίοις μάλιστα πλεονάζει, καὶ σπάνιον εἰ μὴ καὶ στόμα τῆς γαστρός, ἢ καὶ τὸ ἧπαρ αὐτοῖς ἐπόνησεν. ἀτὰρ οὖν, καὶ ἀπεψίαι προηγοῦνται πολλαί, καὶ βραδυπεψίαι, καὶ ὀξυρεγμίαι, καὶ πυρέττειν ἀρχομένων, ὑποχόνδριον μὲν ἐν ὄγκῳ μείζονι τοῦ κατὰ φύσιν ἐξ ἅπαντος, ὡς τὰ πολλὰ δέ, καὶ διαπεφυσημένον τε, καὶ περιτεταμένον, ὠχρόλευκός τε τούτοις ἡ χροιά, κἂν ὁ παροξυσμὸς ἀκμάσῃ. καὶ ὁ χειμὼν εὔφορος τοιούτων νοσημάτων. καὶ κατάστασις ὑγρά, καὶ χωρίον τοιοῦτον. καὶ ἡ ἀρχὴ τῶν παροξυσμῶν εἰς ἑσπέραν. οὕτω μὲν ἀμφημερινός, καὶ τριταῖος, καὶ τεταρταῖος, ἀλλήλων διορίζονται κατὰ τὴν πρώτην ἡμέραν.

CAPVT V.

De Quotidiana.

Quotidianam autem à tertiana discernere facilius est; neque enim primo statim die cum rigore inuadit, sed & progressu temporis perfrigeratio potius, quàm rigor, ipsis aduenit; neque vllus ordo, aut æqualitas pulsibus assidet, quum primum accessiones fiunt. Nouimus autem, quod in augmentis, motus velocitas, magnitudo, atque vehementia, quæ omnia tertianis adsunt manifestissimè, quotidianis non adsunt; sed neque deurunt laborantes, neq; denudare corpora, & pallia iactare cogunt, neq; multū, aut frequenter respirare, ac veluti flammā ex ore efflare, frigidumq; potum expetere; verùm isti, quum febricitant, minimè sitiunt, vrinæque ipsis in primis diebus tales sunt, quales quartanis incipientibus adsunt, atque in primis diebus minimè sudant, sed progrediente tempore hoc etiam illis aduenit. A tertiana quidem adeo manifestè differt, vt nihil cum ea simile habeat. Ad quartanam autem propiùs accedit; sed & ab hac differt manifestè, primum quidem & maximè pulsibus, quos in ægrotis familiaribus quispiam exactè deprehendat; sed & rigore etiam, atque aliis extrinsecis omnibus, propter quæ accidit; nam & natura eget humidiore, vitaque ociosa, & cum repletionibus; sic igitur & in pueris maximè exuperat; ac perrarum est, quin & os ventriculi, vel hepar in ipsis malè afficiatur; sed & cruditates antecedunt plurimæ, & tardæ concoctiones, & acidi ructus; &, quum primum febrire incipiunt, præcordia vltra naturalem habitum ex toto intumescunt, magna verò ex parte inflantur, ac distenduntur; color his cum pallore albus, etiam quum accessio ad statum venerit; taliumque morborum hybernum tempus ferax est, & status temporis humidus, & eiusdem naturæ locus; & accessionum principium sub vesperam inuadit. Ita quidem quotidiana, tertiana, & quartana, primo die inuicem discernuntur.

ΚΕΦΑΛΑΙΟΝ ς.

Περὶ τῆς τῶν ἁπλῶν συνεχῶν πυρετῶν διαγνώσεως.

Τοὺς δὲ συνεχεῖς μέν, ὁμογενεῖς δὲ τοῖς προειρημένοις πυρετοῖς, γεγυμνασμένος μέν τις, οὐκ ἂν οὐδ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν γνωρίζειν τε, καὶ διακρίνειν ἀλλήλων ἀδυνατήσειεν. ἐπὶ δ' οὖν τῆς δευτέρας, εἰ προσέχοι τὸν νοῦν, κἂν ἀγύμναστος εἴη. καλῶ δὲ ὁμογενεῖς πυρετοὺς συνεχεῖς ἑκάστῳ τῶν διαλειπόντων, τριταίῳ μὲν ἀκριβεῖ, τὸν ἀκριβῆ καῦσον. ἀμφημερινῷ δέ, τὸν καθ' ἑκάστην ἡμέραν παροξυνόμενον, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενον. οὕτω δὲ καὶ

CAPVT VI.

De dignotione febrium simplicium continuarum.

At verò cōtinuas quidē, sed quæ idem genus cum prædictis habent, quispiam exercitatus neque in primo die agnoscere, ac inter sese distinguere impos erit; secundo verò, neque si etiam fuerit imperitus, si quidem mentem adhibuerit. Dico autem febres continuas idem habere genus cum singulis intermittentibus; cum tertiana quidem exquisita, exquisitam ardentem: cum quotidiana verò eam, quę quolibet die facit accessionē, sed nunquā desinit ad infebricitationē; sic & cum

quartana illam, quæ quarto quoque die similiter. Nam exquisita febris ardens, quum omnia alia seruet exquisitæ tertianæ indicia, eo solo differt, quod neque cum rigore inuadit, neque ad infebricitationẽ desinit. Quæ verò quotidie accessionem facit, quando & anni tẽpus, & aëris statũ, & ætatẽ, & naturã corporis, & victus rationẽ antecedentẽ, ac præterea pulsuum formã, caloremq; eundẽ habuerit cum exquisitis quotidianis, non peruenerit autẽ ad infebricitationẽ, idem genus cũ illis obtinet. Eodẽ modo, & quę quarto quoq; die accessionem facit, ad infebricitationẽ autem non desinit, eiusdẽ est generis cum quartana; & palã est, quod neque rigor in ea accessiones antecedat, neque sequetur sudor; sicuti etiam in febre ardenti horum neutrũ, neque statim ab initio, neque deinceps vsque ad crisim, fieri potest. In his igitur dignoscendis quispiam priùs se exerceat, atque inuicẽ distinguere studeat simplices, atque impermixtas aliis, quæ sint diuersi generis febres; quas ob hoc ipsum legitimas, atq; exquisitas veteres medici nominarunt. Nam quæ ob solã flauam bilẽ febris accenditur sine aliquo visceris affectu, si quidem manente adhuc intra vasa bile accendatur, exquisita febris ardens est; si verò per totum corpus deferatur, tertiana. Sic & si ab atra bile fit febris, quũ mouetur, quartana est; quũ firmata est, illa, quæ quarto quoque die excrescit. Sicuti si ex pituita ortũ habeant, vel quotidianæ sunt, vel quæ singulis diebus accenduntur. Nam quæ ad infebricitationem desinunt febres tertianæ, quartanæ, & quotidianæ, eandem hypothesim cum continuis, de quibus diximus, habent; vno solo inter se differunt, quod per venas, vel per totum corpus in eis deferuntur humores; quare & reliqua ipsis comparia adsunt; quod verò cum rigore, vel non cum rigore, & vomitibus quibusdã, vel sudoribus fiunt, & sine his, differentiam habent. Continuam quidẽ nomino febrem, quæ ad infebricitationẽ, antequã ex toto soluatur, non desinit, etsi declinatio aliqua sensibilis appareat. Quum verò neque declinatio aliqua sensibilis fiat, semper verò à primo principio febris vsque ad crisim similis perseuerauerit, erit & hæc ex genere febrium ardentium: ab iisdẽ verò quod sit acutior differt. Sed neque in primo die, neque in secundo possibile est huiusmodi febrem prænoscere, neque alioqui est vtile; sufficit enim genus agnoscere, quod scilicet biliosa sit, atque ardens, & peracuta; neque enim si etiam synochum ipsam nominaueris (vt quidam medici faciunt) appellationis ratione à febribus ardentibus toto genere differt: sicuti neque ob id, quod tres synochi differentias agnoscentes, proprium singulis ipsorũ nomen imposuerunt, has quidẽ, increscentes, illas verò, in eodẽ vigore, atq; tenore perseuerãtes, alias decrescẽtes, nominãtes. Iã ex hac diuersitate appellationũ differre secundũ genus est existimãdũ; quare neq; ad pręsentẽ tractatũ eorũ dignotio plurimũ cõfert; hæ enim omnes in prima septimana iudicãtur. Hic verò in præsenti est necessarium aliquã totius morbi cõstitutionis, ac crisis in primis diebus assumere cognitionẽ. Si enim tertiana pura fuerit, intra septimũ circuitũ; si verò exquisita febris ardẽs, intra primã septimanã necessariò iudicabitur. Omnino autẽ diuturnæ sunt, & quotidiana intermittens, & illi adhærens cõtinua; sicuti & quartana, & quæ per quartum excrescit. Quare tria erũt vniuersa simpliciũ febriũ genera; singula verò ipsorum in duas primas differentias secabuntur;

τεταρταίῳ, τῷ διὰ τετάρτης. ὅ,τε γὰρ ἀκριβὴς καῦσος, ἅπαντα τἄλλα φυλάττων ἀκριβοῦς τριταίου γνωρίσματα, μόνῳ τῷ μὴ μετὰ ῥίγους εἰσβάλλειν, μήτ᾽ εἰς ἀπυρεξίαν παύεσθαι διενήνοχεν. ὁ δὲ καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος, ὅταν καὶ ὥραν, καὶ κατάστασιν, καὶ ἡλικίαν, καὶ χώραν, καὶ φύσιν σώματος, καὶ τὴν προγεγενημένην δίαιταν, ἔτι τε τὴν τῶν σφυγμῶν ἰδέαν, καὶ τὴν θερμασίαν τὴν αὐτὴν ἔχῃ τοῖς ἀκριβέσιν ἀμφημερινοῖς, μὴ παύηται δὲ εἰς ἀπυρεξίαν, ὁμογενής ἐστιν αὐτοῖς. κατὰ τὰ αὐτὰ δέ, καὶ ὁ διὰ τετάρτης μὲν παροξυνόμενος, εἰς ἀπυρεξίαν δὲ μὴ παυόμενος, ὁμογενής ἐστι τεταρταίῳ. καὶ δῆλον, ὡς οὔτε ῥῖγος αὐτῷ προηγήσεται τῶν παροξυσμῶν, οὔθ᾽ ἱδρὼς ἕψεται, καθάπερ οὐδὲ ἐν τῷ καύσῳ τούτων οὐδέτερον, οὔτ᾽ εὐθὺς κατ᾽ ἀρχάς, οὔτε ἐφεξῆς ἄχρι κρίσεως, οἷόν τε γενέσθαι. τούτους οὖν πρώτους, ἀσκησάτω τις γνωρίζειν τε, καὶ διακρίνειν ἀλλήλων τοὺς ἁπλοῦς τε, καὶ ἀμίκτους ἑτερογενέσι πυρετοῖς, οὓς δι᾽ αὐτὸ τοῦτο, γνησίους τε καὶ ἀκριβεῖς, οἱ παλαιοὶ τῶν ἰατρῶν ὀνομάζουσιν. ὁ γὰρ ἐπὶ μόνῃ τῇ ξανθῇ χολῇ πυρετὸς ἀναπτόμενος, ἄνευ σπλάγχνου κακώσεως, εἰ μὲν οὖν ἐν τοῖς ἀγγείοις ἔτι μενούσης τῆς χολῆς ἐξάπτοιτο, καῦσος ἀκριβής ἐστιν. εἰ δὲ πάντῃ φερομένης, τριταῖος. οὕτω δὲ εἰ καὶ μελαίνης χολῆς ἔκγονος ὁ πυρετὸς ὑπάρχει. κινουμένης μέν, τεταρταῖός ἐστιν· ἠθροισμένης δέ, διὰ τετάρτης ὥσπερ εἰ καὶ φλέγματος, ἤτοι γε ἀμφημερινός, ἢ καθ᾽ ἑκάστην ἡμέραν παροξυνόμενος. οἱ γὰρ εἰς ἀπυρεξίαν λήγοντες πυρετοί, τριταῖοί τε, καὶ τεταρταῖοι, καὶ ἀμφημερινοί, τὴν αὐτὴν ὑπόθεσιν ἔχοντες τοῖς εἰρημένοις συνεχέσιν, ἑνὶ μόνῳ τῷ κατὰ τὰς φλέβας, ἢ πάντῃ φερομένους ἔχειν τοὺς χυμούς, διενηνόχασιν. ὅθεν καὶ τἄλλα μὲν αὐτοῖς τὰ αὐτά. τῷ δὲ μετὰ ῥίγους, ἢ μὴ σὺν ῥίγει, καὶ σὺν ἐμέτοις τισί, καὶ ἱδρῶσι, ἢ ἄνευ τούτων γίνεσθαι διαφέρουσι. συνεχῆ μὲν δὴ πυρετὸν ὀνομάζω, τὸν εἰς ἀπυρεξίαν, πρὶν τελέως λυθῆναι μὴ παυόμενον, κἂν παρακμή τις αἰσθητὴ φαίνηται. ὅταν δὲ μηδὲ παρακμή τις αἰσθητὴ γένηται, διὰ παντὸς δὲ ἀπὸ τῆς πρώτης ἀρχῆς, ἄχρι κρίσεως ὅμοιος διαμένῃ, τοῦ γένους μέν ἐστι, καὶ οὗτος τῶν καυσωδῶν πυρετῶν, ὀξύτητι δ᾽ αὐτῶν διενήνοχεν. ἀλλ᾽ οὔτε κατὰ τὴν πρώτην ἡμέραν, ἢ δευτέραν οἷόν τε προγνῶναι τὸν τοιοῦτον, οὔτ᾽ ἄλλως χρήσιμον, ἀρκεῖ γὰρ τὸ γένος γνωρίζειν, ὅτι χολώδης τε, καὶ διακαής, καὶ κατόξυς. οὐδὲ γὰρ εἰ σύνοχον ὀνομάζει τις αὐτόν, ὥσπερ ἔνιοι τῶν ἰατρῶν, ὅλῳ τῷ γένει διοίσει τῶν καυσωδῶν πυρετῶν, ἕνεκά γε τῆς προσηγορίας. ὥσπερ οὐδ᾽ ὅτι τρεῖς αὐτοῦ τύπου συνόχου διαφορὰς εἰδότες, ἰδίαν ἐφ᾽ ἑκάστης αὐτῶν ὄνομα φέρουσι· τοὺς μέν, ἐπακμαστικούς· τοὺς δέ, ὁμοτόνους· τοὺς δέ, ἀκμαστικούς· τοὺς δὲ παρακμαστικοὺς ὀνομάζοντες ἤδη, διὰ τοῦτο κατὰ γένος αὐτοῖς ἡγητέον εἶναί τινα διαφοράν. ὅθεν οὐδ᾽ εἰς τὴν προκειμένην πραγματείαν ἡ διάγνωσις αὐτῶν, μέγα τι συντελεῖ· πάντες γὰρ οὗτοι, κατὰ τὴν πρώτην ἑβδομάδα κρίνονται. τούτου δὲ εἰς τὰ παρόντα χρεία, τοῦ λαβεῖν τινα τῆς ὅλης τοῦ νοσήματος καταστάσεώς τε καὶ κρίσεως, ἐν ταῖς πρώταις ἡμέραις ἐπίγνωσιν. εἰ μὲν γὰρ ἀκριβὴς τριταῖός ἐστιν, ἐντὸς τῶν ἑπτὰ περιόδων· εἰ δ᾽ ἀκριβὴς καῦσος, ἐντὸς τῆς πρώτης ἑβδομάδος ἐξ ἀνάγκης κριθήσεται. χρονίζουσι δὲ πάντως, ὅ τ᾽ ἀμφημερινός, καὶ ὁ παρακείμενος αὐτῷ συνεχής. ὥσπερ καὶ ὁ τεταρταῖός τε, καὶ ὁ διὰ τετάρτης. ὥστε τρία μέν ἐστι τὰ σύμπαντα γένη τῶν ἁπλῶν πυρετῶν. ἕκαστον δ᾽ αὐτῶν εἰς δύο τὰς πρώτας τμηθήσεται διαφοράς·

ἢ γὰρ συνεχεῖς, ἢ διαλείποντες ἔσονται. καὶ γνωρισθήσονται κατὰ τὴν πρώτην ἡμέραν. οἱ μὲν, εὐθὺς εἰσβαλλόντων τῶν παροξυσμῶν· οἱ δ᾽, ἀναβαινόντων· οἱ δ᾽, ἀκμαζόντων· οἱ δ᾽, ἐν ταῖς πρώταις παρακμαῖς, ἢ τοῖς ἀπυρέτοις διαλείμμασι.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Περὶ διαγνώσεως τῶν τε συνθέτων, καὶ τῶν ἐπιμίκτων πυρετῶν.

Συνθέτου μέντοι τοῦ νοσήματος ὑπάρχοντος, οὐκέθ᾽ ὁμοίως εὐπετὴς ἡ διάγνωσις, ἀλλ᾽ ἐνταῦθα δεῖ μάλιστα, συνέσεώς τε καὶ γυμνασίας. σύνεσιν μὲν οὖν οἴκοθεν ἕκαστος ἐκ τῆς ἑαυτοῦ φύσεως, ἢ κεκτημένος, ἢ μὴ κεκτημένος, ἀφίξεται. γυμνασίας δὲ τῆς νῦν εἰρησομένης, οὐκ ἂν ἐξεύροι βελτίονα. χρὴ γὰρ δή που γνωρίζειν αὐτὸν ἀσκῆσαι ῥᾳδίως ἁπλοῦν εἶδος πυρετοῦ, κἄπειθ᾽ οὕτως μεταβαίνειν ἐπὶ τὰ σύνθετα. διχῶς δ᾽ ἂν γένοιτο σύνθετον εἶδος πυρετοῦ κατά τήν γε πρώτην τομὴν ἢ τῷ τοὺς εἰρημένους ἀλλήλοις μίγνυσθαι, χωρὶς τόπου πεπονθότος, ἢ τῷ μόριόν τι φλεγμαῖνον ἀνάπτειν αὐτούς. ἑκατέρα δὲ τῶν εἰρημένων διαφορῶν, ἑτέραν αὖθις ἐγχωρεῖ τομὴν ἐπιδέξασθαι. οἵ τε γὰρ ἄνευ μορίου πεπονθότος συνιστάμενοι, διχῶς μίγνυνται. ποτὲ μὲν, ἐπιπλεκόμενοι· ποτὲ δὲ, ὡς ἂν εἴποι τις, δι᾽ ὅλου κεραννύμενοι· οὕτω τοι καὶ τὰ φλεγμαίνοντα μέρη, καὶ γὰρ καὶ τούτων, τὰ μὲν οἷον ἐπιπλέκεται μόνον· τὰ δὲ, οἷον κρᾶσίν τινα τῶν διαθέσεων ἴσχει. τὴν οὖν ἐπιπλοκὴν, ἀσκῆσαι χρὴ πρῶτον γνωρίζειν. εἶθ᾽ οὕτως τὴν κρᾶσιν ἀρξαμένους ἀπὸ τῶν πυρετῶν. ἐπιπλέκονται δ᾽ οἱ πυρετοὶ πολλάκις μὲν, ὁμογενεῖς ὁμογενέσι. ἢ ὁμοειδεῖς ὁμοειδέσιν. ἔστι δ᾽ ὅτε καὶ διαφέροντες, ἀμφημερινοί τε γὰρ τριταίοις, καὶ τούτοις τεταρταῖοι. καὶ ἀλλήλων οἱ ὁμοιοειδεῖς ἐπιπλέκονται πολλάκις. ὥστε καὶ τρεῖς ἐνίοτε τεταρταίας περιόδους ὁ αὐτὸς ἄνθρωπος ἴσχει. τούτους μὲν οὖν γνωρίζειν, οὐ πάνυ χαλεπόν. ἐνίοτε δὲ τῶν διαλειπόντων τις ἐπιπλέκεται τῷ συνεχεῖ, χαλεπωτάτην τε καὶ δυσθήρατον μίξιν, ὑπὲρ ἧς ἐφεξῆς ἐροῦμεν, ἂν πρότερον ἁπάσας ἐπέλθωμεν ἃς ἐξεθέμεθα διαφοράς. ὁμοίως γὰρ τοῖς πυρετοῖς οἱ πεπονθότες τόποι τὴν μίξιν ἴσχουσιν, ἢ διαφερόντων μορίων, ἴδιον ἑκατέρου πυρετὸν ἐξάπτοντος, οἷον σπληνὸς, εἰ τύχῃ, καὶ ἥπατος, ἢ διαθέσεως μικτῆς, οἷον φλεγμονῆς ἐρυσιπελατώδους, ἢ ἐρυσιπέλατος φλεγμονώδους. ἀλλὰ καὶ ταύτας ἁπάσας τὰς μίξεις ἀσκῆσαι χρὴ διαγινώσκειν, ἐπειδὰν ἀκριβῶς τὰς ἁπλῶς αὐτῶν ἰδέας γνωρίζωμεν. ἑτέρα γὰρ ἰδέα περιπνευμονικοῦ, καὶ φρενιτικοῦ, καὶ πλευριτικοῦ, καὶ ἡπατικοῦ πυρετοῦ, κατὰ ταῦτα δὲ, καὶ τῶν ἄλλων ἑκάστου τῶν ἐπὶ μορίοις τισὶ φλεγμαίνουσι, ἀναπτομένων πυρετῶν. ἕτεραι δ᾽ αὖ πάλιν ἰδέαι τῶν ἐπὶ τοῖς ἐρυσιπέλασι. καὶ ὅ γε κακοήθης καῦσος, ἢ τοῖς τοῦ πνεύμονος, ἢ τοῖς τοῦ ἥπατος, ἢ τοῖς τῆς γαστρὸς ἐρυσιπέλασιν ἐπιγίνεται. διαιρεῖσθαι δὲ χρὴ καθ᾽ ἕκαστον ἄρρωστον. πρῶτον μὲν εἰ χωρὶς τόπου πεπονθότος ὁ πυρετὸς ἐπὶ χυμοῖς διασαπεῖσιν, ἢ μόνῳ τῷ πνεύματι τραπέντι. δεύτερον δὲ, εἰ μόριόν τι πεπονθὸς αἴτιον ὑπάρχει. καὶ τίς ἡ διάθεσις αὐτοῦ. ἐπειδὰν δὲ ταῦτα διαγινώσκειν ἀσκήσῃς, τὰς μίξεις ἁπασῶν αὐτῶν εὑρήσεις.

vel enim intermittentes, vel cõtinuæ febres erunt: & primo die dignoſcentur, aliæ ſtatim in primo acceſſionum inſultu, aliæ verò in incremento, quædam in vigore, quædam in primis declinationibus, vel febre vacantibus intermiſſionibus.

CAPVT VII.

De ratione compoſitarum, & commixtarum febrium dignoſcendarum.

QVòd ſi morbus compoſitus fuerit, non æquè facilè dignoſcetur: at hîc maxime intelligẽtia, atque exercitatio eſt neceſſaria. Intelligentiam igitur propriam ſuaptè natura poſſidens, vel minime poſſidens, quiſpiam accedet; exercitationem autem ea, quæ nunc dicetur, meliorẽ nemo reperiet. Oportet enim ad hęc exercitari, vt ſimplicem febris ſpeciem agnoſcat, atq; ita deinceps ad compoſitas transgredi. Dupliciter verò genus febris cõpoſitum conſtituitur, in prima quidem ſectione, vel quia eæ, quas diximus, febres citra alicuius partis affectum commiſcentur; vel quia ex partis cuiuſpiam inflammatione accenduntur. Nam in vtraque harum differentiarum alteram rurſus ſectionem fieri contingit. Nam quæ citra partis affectum conſiſtunt, dupliciter commiſcentur; aliquando implicatæ, nonnunquam verò (vt quis dixerit) per ſe totas confuſæ; ſic partes quoque inflammatæ; nam & ex ipſis quædam quidem veluti complicantur tantummodo, quædam verò veluti confuſionem quandam habent affectionum. Primum igitur exercitari oportet ad hoc, vt complicationem cognoſcamus, deinde ipſam confuſionem, à febribus incipientes. Febres quędam complicãtur vnius generis cum aliis eiuſdẽ generis, vel vnius ſpeciei cum aliis eiuſdẽ ſpeciei; cõtingit verò nonnunquã, vt etiam differentes. Nã quotidianæ tertianis, & his quartanæ, & quæ eandem ſpeciem ſeruant, inuicẽ plerunq; cõplicantur; quo fit, vt idem homo tres habeat quartanos circuitus; ſed hos quidẽ non eſt admodum difficile agnoſcere. Quandoq; verò aliqua ex intermittentium genere cum cõtinua, difficillimã, vixque explorabilẽ facit mixtionem; de qua deinceps dicemus, ſi priùs omnes, quas propoſuimus, ſimplices differentias expoſuerimus. Nam ſicuti febres, ita & affecti loci mixtionem recipiunt, vel quia differentes partes propriam ſingulæ febrẽ accendunt, vt exẽpli gratia lien, & iecur; vel quia affectio mixta, veluti inflãmatio cum eryſipelate, aut eryſipelas cum inflãmatione miſcetur. Sed in his omnibus mixtionibus dignoſcẽdis exercitari oportet, quãdo iam exquiſitè omnes earũ formas ſimplices tenuerimus. Alia enim eſt forma febris phreniticę, & peripneumonicæ, & pleuriticæ, & hepaticæ, itidẽ & aliarũ omnium febrium, quæ ex inflãmatis quibuſdam partibus accendũtur. Sed & alię rurſus formæ ſunt earũ, quę ex eryſipelatibus accidũt. Et febris ardẽs maligna, vel pulmonis, vel hepatis, aut ventriculi eryſipelatibus ſuperuenit. Diſtinguere autẽ oportet in ſingulis ægrotãtibus; primũ quidẽ, ſi ſine loci affectu ſit febris, vel ex humorum putredine, vel quia ſolus ſpiritus ſit alteratus; deinde, ſi membrũ affectũ febris ſit cauſa, & quænam ſit eius affectio. Vbi verò horum notitiam exercitatione comprehenderis, tũc eorum omnium mixtionẽ inuenies.

CAP.

CAPVT VIII.

Cur abstinuerit Galenus ab enarratione singulorum morborum; ac unde ea doctrina sit petenda.

NVnquid igitur à me nunc exiges, vt vel de locis affectis, vel de omni febrium complicatione recenseam? at ipse rursus operis damnabis proxilitatem; hoc enim mirandum plurimi hominum patiuntur, vt pauca discere expetant, & nihil prætermittere. Decem igitur Archigenis de febrium significatione volumina quum dicunt esse longa, solum legere compendium instituunt, neque hoc ipsum omnes; sed sunt, qui & eo aliquid breuius postulent, sunt, qui & illum damnent, quoniam librum integrum de febris notione conscripserit, atque ideo hunc nolunt attingere; neque quicquam audire, aut discere, quantum Erasistratus in febris notione aberrauerit. Quum verò exigunt sibi aliquid de febribus enarrari, primã statim differentiam non admittũt, quod videlicet quædã ex locorum aspectu, quædã autem sine illo, consistant. Idem autem circa crises patiuntur, si quid prætermissum fuerit, reprehendentes, verborum tamen damnantes prolixitatem; quamuis hæc, quam accusant, duplex sit, veluti hoc loco distinguam; quarum vtranque quum ipsi vituperent, magis tamen sermonum carpunt breuitatem; hanc quidem, vt quæ aliquid ex iis, quæ sunt necessaria, prætermittat, vel saltem obscuram tradat doctrinam; prolixitatem verò, quæ omnia enumerat opportuna, atque vnà falsas aliorum opiniones refellit, longas esse nugas autumãt; eosque qui solùm vtilia docent, collaudant; rursusque aduersus eos, qui hæc tantùm dicunt, obiiciunt contrarias aliorum opiniones; temeritatemque reprehendunt, si sine demonstratione simpliciter proferentibus sibi fidem velint adhiberi; neque verò etiam illos tolerant, qui in docendis vtilibus sermonem extendunt. Quare neque mirandum, si eos, qui de crisibus sermones habent, eodem modo accusabunt, breuitatem quidem vituperando, vt quæ obscurè doceat, & multa prætermittat; neque plura audire sustinendo, atque insuper, quæ paulo ante dixi, reprehendendo. Nam & de locis affectis Archigenes tres libros conscripsit, optimè quidem omnium, qui circa eandem materiam ante fuere versati, hæc igitur si in præsentem tractatum transferre tentarem, atque his præterea addere, quę à nobis inuenta sunt, prolixitatem operis accusabunt; & si etiam de febrium differentiis omnia hoc loco transigerem, multo etiam magis viderer ipsis esse prolixus. Quòd igitur nullus scribendi modus mordacitatem possit effugere, tam est antiquum, quòd etiam Plato huius rei meminit. His autem ita se habentibus, mediam sermonis formam eligere optimum mihi visum est. Quid autem est medium? quod ego nunc mihi videor attingere, omnia illa demonstrans, quæ oportet eum de necessitate cognoscere, qui rectè præuisurus sit morbi solutionem, qualis, & quo tempore futura sit; non omnia quidem hoc loco transigens, sed ea enarrans, quæ à superioribus obscurè sunt tradita; quæ verò prætermissa, hæc addens; quæcunque autem manifestè, ac rectè sunt à veteribus scripta, transcribere, aut iis, quæ sunt ab eisdem malè dicta, contradicere, vt longum opus euitare valeam, supersedi.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Διατί ὁ Γαληνὸς τῆς ἑκάστου τοῦ νοσήματος ἐξηγήσεως ἀπέχοιτ' ἄν· καὶ ὁπόθεν δεῖ αὐτὴν ἐκμαθεῖν.

Ἆρ' οὖν ἀξιώσεις με νῦν, περί τε τῶν πεπονθότων τόπων, ἢ περὶ τῆς τῶν πυρετῶν ἁπάσης συμπλοκῆς διεξέρχεσθαι; καὶ μὴν αὐτὸς αὖ πάλιν ἐγκαλέσεις τῷ μήκει τῆς πραγματείας. θαυμαστὸν γὰρ δὴ καὶ τοῦτο πεπόνθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων, ὀλίγα τε μανθάνειν ἀξιοῦντες ἅμα, καὶ μηδὲν παραλείπεσθαι. τὰ γ' οὖν Ἀρχιγένους περὶ τῆς τῶν πυρετῶν σημειώσεων δέκα βιβλία μακρὰ φάσκοντες εἶναι, μόνην ἀναγινώσκειν ἐπιχειροῦσι τὴν ἐπιτομήν, οὐδὲ ταύτην ἅπαντες, ἀλλ' εἰσὶν οἳ καὶ ταύτης ἔτι βραχύτερόν τι ζητοῦσι. εἰσὶ δὲ οἳ καὶ μέμφονται, διότι βιβλίον ὅλον ἔγραψε περὶ τῆς ἐννοίας τοῦ πυρετοῦ. καὶ τούτῳ μὲν ἐντυχεῖν οὐχ ὑπομένουσιν, οὐδὲ πεισθῆναί τε, καὶ μαθεῖν ὅσον Ἐρασίστρατος ἔσφαλη περὶ τῆς ἐννοίας τοῦ πυρετοῦ, κελεύσαντες δέ τι περὶ τῶν πυρετῶν αὐτοῖς ῥηθῆναι, τὴν πρώτην εὐθὺς οὐ συγχωροῦσι διαφοράν. ὡς οἱ μὲν, ἐπὶ τόποις πεπονθόσι. οἱ δὲ, ἄνευ τούτων συνίστανται. ταὐτὸ δὴ τοῦτο, καὶ περὶ κρίσεων πεπόνθασι, ἐγκαλοῦντες μὲν ἐπὶ τοῖς παραλελειμμένοις, μεμφόμενοι δὲ τῷ μήκει τῶν εἰρημένων. καίτοι τοῦ μήκους ᾧ μέμφονται, διττὴν τὴν φύσιν ὑπάρχοντος, ὡς ἐγὼ νῦν διαιρήσομαι. καὶ ταῦτ' ἄμφω ψέγουσι, καὶ μᾶλλον αὐτῶν ἔτι, τὴν βραχυλογίαν. ταύτην μὲν, ὡς ἤτοι παραλείπουσάν τινα τῶν ἀναγκαίων, ἢ πάντως γε μὴ σαφῶς ἐκδιδάσκουσαν. τοῦ δὲ μήκους, τοῦ μὲν ἅπαντα ἐκδιδάσκοντος τὰ χρήσιμα, μετὰ τοῦ διαβάλλειν τὰ ψευδῶς τισὶν ὑπειλημμένα, λῆρον εἶναί φασι μακρόν. καὶ τοὺς αὐτὰ μόνα τὰ χρήσιμα ἐκδιδάσκοντας, ἐπαινοῦσι. τοῖς δ' αὖ πάλιν ἐκεῖνα μόνα λέγουσιν, ἀντιπροτείνουσι τὰ τῶν ἑτεροδόξων, καὶ μέμφονται τῆς προπετείας, εἰ χωρὶς ἀποδείξεως ἀξιοῦσι ἁπλῶς ἀποφηναμένοις πιστεύεσθαι. οὐκ ἀνέχονται δὲ, οὐδὲ τῶν αὐτὰ τὰ χρήσιμα πλατύτερον ἐκδιδασκόντων. ὥστ' οὐδὲν θαυμαστὸν εἰ κἂν τοῖς περὶ κρίσεων λόγοις ὁμοίως ἐγκαλέσουσι, τὴν μὲν βραχυλογίαν ψέγοντες, ὡς ἀσαφῆ τε ἅμα, καὶ πολλὰ παραλείπουσαν, ἀκούειν δὲ πλειόνων οὐχ ὑπομένοντες, ἔτι τε προσεγκαλοῦντες ἃ μικρὸν πρόσθεν εἴρηται. καὶ γὰρ δὴ καὶ περὶ τόπων πεπονθότων Ἀρχιγένει γέγραπται βιβλία τρία, πάντων τῶν ἔμπροσθεν εἰς τὴν αὐτὴν πραγματείαν γεγραμμένων ἄριστα. ταῦτ' οὖν ἅπαντα εἰ μεταφέρειν εἰς τόνδε τὸν λόγον ἐπιχειρήσαιμι, καὶ τούτοις ἔτι προσθεῖναι τὰ ὑφ' ἡμῶν εὑρημένα, μέμψονται τῷ μήκει τῆς πραγματείας. καὶ μὲν δὴ καὶ τὰ περὶ τῆς τῶν πυρετῶν διαφορᾶς, εἰ πάντα κατὰ τόνδε τὸν λόγον ἐπεξίοιμι, πολὺ δὴ μᾶλλον ἔτι μηκύνειν αὐτοῖς δόξω. τὸ μὲν οὖν δύνασθαι διαφυγεῖν ἐπήρειαν γράμμα μηδὲν, οὕτως ἐστὶ παλαιὸν, ὥστε καὶ Πλάτων αὐτοῦ μέμνηται. τὸ δ' οὕτω τούτων ἐχόντων ἐκλέγεσθαι μέσον εἶδος λόγων, ἄριστον εἶναί μοι φαίνεται. τί δὲ τὸ μέσον ἐστὶν, οὗ περ ἐγὼ νῦν ἔχεσθαί μοι δοκῶ. δεικνὺς μὲν, ἃ χρὴ γινώσκειν ἐξ ἀνάγκης, τὸν μέλλοντα καλῶς προγνώσεσθαι λύσιν νοσήματος. ὁποία τέ τις ἔσοιτο, καὶ καθ' ὅντινα χρόνον. οὐχ ἅπαντα δ' αὐτὰ νῦν ἐπεξερχόμενος, ἀλλ' ὅσα ἀσαφῶς εἴρηται τοῖς ἔμπροσθεν, ἐξηγούμενος. ὅσα δὲ παραλέλειπται, προστιθείς. τὸ δ' ἤτοι τὰ καλῶς θ' ἅμα, καὶ σαφῶς εἰρημένα μεταγράφειν, ἢ τοῖς ψευδῶς εἰρημένοις ἀντιλέγειν, ὡς εἰς μακρολογίαν ἄγον, ἐφυλαξάμην.

ἐπεὶ τοίνυν ἀπεδείχθη μὲν ἐν τῷ πρώτῳ λόγῳ τῶν Ἱπποκράτους ἀφορισμῶν ἡμῶν ἐξηγουμένων, ὡς καὶ ἐξ αὐτῆς τοῦ νοσήματος τῆς φύσεως, οὐ σμικρὰν πρόγνωσιν ἔνεστιν λαβεῖν εἰς τὰ μέλλοντα, θαυμαστὸν εἶναι δοκεῖ τοῖς πολλοῖς, εἰ καὶ κατὰ τὴν πρώτην ἡμέραν εἴσεταί τις τῆς νόσου τὴν ἰδέαν, ἐπειράθημεν ἐπιδεῖξαι, θαυμαστὸν μὲν ἴσως ὑπάρχον, οὐ μὴν καὶ ἀδύνατόν γε. καὶ τὴν ὁδόν, ᾗ χρὴ τοῦτο ποιεῖν ἐδιδάξαμεν· ἐνταῦθα ἐπισχεῖν ἔδοξέ μοι τὸ μῆκος τοῦ λόγου, καὶ γυμνάσασθαι κελεῦσαι τὸν ἀκριβῶς ἐκμαθεῖν τὰ τοιαῦτα προῃρημένον, ἐν τοῖς Ἀρχιγένους ὑπομνήμασι, περί τε τόπων πεπονθότων, καὶ μέντοι καὶ περὶ πυρετῶν σημειώσεως. ἔτι τε πρὸς τούτοις, περὶ τύπων. ἴσως μὲν γὰρ καὶ ἡμεῖς, εἰς τοὺς αὐτούς ποτε τύπους γράψομεν. ἵνα τά τε προσεξευρημένα διέλθωμεν, ἀφέλωμέν τε τινα τῶν ὑπ' Ἀρχιγένους οὐκ ὀρθῶς εἰρημένων, ἅπαντά τε σαφῶς ἑρμηνεύσωμεν. ἀλλ' ἔν γε τῷ παρόντι, δι' ἐκείνων ἀσκεῖσθαι προσήκει.

Postquam igitur, dũ in primo libro aphorismorũ Hippocratis exponeremus, ibi ostendimus, quod ex ipsius morbi natura non paruam liceat occasionem accipere ad futura prænoscenda; mirum verò multis videatur, si in primo die quispiam morbi speciem agnouerit, quod nos demõstrare tentauimus difficile quidem fortè esse, non tamen impossibile, viamque, qua hoc facere oportet, exposuimus; hic mihi à sermonis prolixitate abstinere visum fuit, atque eos, qui vellent hæc exquisitè cognoscere, in Archigenis commentariis de locis affectis exercitari iubere, atque insuper in commentariis de febrium significatione, & typis. Nam & fortè nos in eosdem typos tractatus edemus, vt ea quæ à veteribus inuenta sunt, transigamus; ac quædam, quæ non rectè scripta sunt ab Archigene, subtrahamus, omniaque dilucidè aperiamus. At in præsenti in illis oportet exercitari.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἐν πόσαις ἐσχάτως ἡμέραις οἱ ἐπίμικτοι πυρετοὶ γνώσκονται, καὶ πόσα τὰ τῶν πυρετῶν γένη.

Πάλιν οὖν ἀναλαβόντες ὅσον ἐστὶν οἰκεῖον τῆσδε τῆς πραγματείας, ἐπέλθωμεν. οἰκεῖον δ' ἐστίν, ὁδὸν τῆς ἀσκήσεως ἐνδοῦναι περὶ τῶν συνθέτων νοσημάτων τοιαύτην, οἵαν ὀλίγον ἔμπροσθεν ὑπὲρ τῶν ἁπλῶν ἐποιησάμεθα. τοὺς μὲν γὰρ ἀκριβεῖς πυρετούς, εἴτε διαλείποντες εἶεν, εἴτε συνεχεῖς, εὐθὺς κατ' ἀρχὰς ἔνεστι γνωρίζειν. ὅσοι δ' ἐπιμιξίαις ἑτέρων ποικίλλονται καὶ νοθεύονται, χαλεπὸν μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, οὐ μὴν ἀδύνατόν γε διαγινώσκειν ἐστί, τοὺς πλείστους μέντοι κατὰ τὴν δευτέραν, ἢ τρίτην, ἢ πάντως γε τὴν τετάρτην, ἀκριβῶς ἐξευρεῖν ἐγχωρεῖ. οὐδὲν γάρ ἐστιν, οὔτε γένος, οὔτ' εἶδος νοσήματος, ὃ μὴ περὶ τὴν τρίτην ἡμέραν, ἢ τὴν τετάρτην, ἐναργῶς ἔσται δῆλον, ἧς τινος ἔχεται φύσεως. εἰσβαλέτω γάρ τις πυρετὸς φρικώδης τε ἅμα, καὶ παντοίως ἀνώμαλος ἔν τε τοῖς σφυγμοῖς, καὶ τῇ καθ' ὅλον τὸ σῶμα θερμασίᾳ, ὡς πολλάκις ἐγγὺς ἀκμῆς εἶναι νομιζόμενος, ἢ καὶ τὰ μέσα τῆς ἀναβάσεως ἐπέχειν. αὖθις δ' ἐπιγίνεσθαι φρικώδης, καὶ τοὺς σφυγμοὺς μικροτέρους τε, καὶ ἀμυδροτέρους, καὶ βραδυτέρους, καὶ ἀραιοτέρους ἔχειν. καὶ τὴν θερμασίαν ἀποχωροῦσαν μὲν, τῶν ἄκρων. πλεονάζουσαν δέ, κατὰ τὴν γαστέρα τε, καὶ τὸν θώρακα, τοῦτον οὐκ ἄν τις ἀλόγως ἐλπίσειεν ἡμιτριταῖον ἔσεσθαι. μᾶλλον δ' ὑπάρχειν μὲν ἤδη. γνωρισθήσεται δὲ τοῖς πολλοῖς, ἐπὶ τῆς τρίτης ἡμέρας. ἀλλ' οὗτος μὲν μικτός ἐστιν ἔκ τε τοῦ χολώδους, καὶ τοῦ φλεγματώδους πυρετοῦ, τῶν ὀλίγον ἔμπροσθεν εἰρημένων. οὐκ ἐπιπλεκομένων ἀλλήλοις, ἀλλὰ δι' ὅλου κεραννυμένων. ὁ δ' ἐξ ἐπιπλοκῆς αὐτῶν, τετραχῶς γίνεται. ἢ τριταίου, καὶ ἀμφημερινοῦ μιχθέντων· ἢ τοῦ καθ' ἡμέραν παροξύνοντος συνεχοῦς, τῷ διὰ τρίτης. ἢ τριταίου, τῷ καθ' ἑκάστην ἡμέραν παροξυνομένῳ συνεχεῖ. ἢ ἀμφημερινοῦ, τῷ διὰ τρίτης συνεχεῖ. τούτων οὐδεμία τῶν μίξεων, ἀκριβῶς ἐπὶ τῆς πρώτης ἡμέρας διαγινώσκεται. τῆς μέντοι δευτέρας ἐπιστάσης, οὐδὲν ἔτι χαλεπὸν γνωρίσαι. πολὺ δὲ μᾶλλον ἔτι κατὰ τὴν τρίτην, καὶ σπάνιον εἴποτε τῆς τετάρτης δεήσει. γενέσθω γὰρ εἰ οὕτως ἔτυχεν, ἐν μὲν τῇ πρώτῃ τῶν ἡμερῶν ὁ παροξυσμὸς σὺν ῥίγει. κἄπειτα θερμός τε καὶ διακαὴς ὁ πυρετὸς ἐξαφθείς, ἀσώδης τε καὶ διψώδης ἔστω, καὶ ταχέως ἐπὶ τὴν ἀκμὴν ἀφικέσθω, τοὺς σφυγμοὺς ὁμαλούς τε ἔχων, καὶ μεγάλους, καὶ σφοδρούς, καὶ πυκνούς, καὶ ταχεῖς. ἔστω δ' ὁμοίως τοῖς σφυγμοῖς, καὶ τὰ τῆς θερμασίας ὁμαλὰ παντοίως.

CAPVT IX.

In quot ad summum diebus commixtæ febres dignoscantur; ac quot sint genera febrium.

RVrsus igitur, quantum huius interest operis, repetentes transigamus. Interest autem viam tradere exercitationis de compositis morbis, qualem nuper de simplicibus fecimus. Exquisitas enim febres, siue intermittentes sint, siue continuæ, statim per initia noscere datur; quæ verò ex mixtione aliarum variantur, atque adulterantur, difficile quidem est in die primo, non tamen impossibile agnoscere; plurimas quidem in secundo, vel tertio, vel omnino quarto die exquisitè possumus inuenire. Nulla enim est neque species, neque genus morbi, quod circa tertiam, vel omnino quartam diem, cuius naturæ sit, non euidenter innotescat. Inuadat igitur febris aliqua horrida simul, atque omnino inæqualis in pulsibus, atque in eo, qui per totum corpus sentitur, calore, vt sæpè propius status esse existimetur, vel medium augmenti obtinere; rursus verò horrida fiat, & pulsus minores, & obscuriores, ac tardiores, & rariores habeat, & calorem quidem ab extremis partibus recedentem, circa verò ventrem atque thoracem redundantem; hanc non absque ratione quispiam semitertianam fore speret, vel potius iam esse: à multis verò in tertio die noscetur. Sed hæc quidem mixta est ex biliosa, & pituitosa febre, de quibus antea sermo habebatur, non iam inuicem complicatis, sed per se totas confusis. Quæ autem ex complicatione fit, quadrupliciter consistit, vel tertiana quotidianæ commixta; vel ea, quæ quotidie accessionem habet continua, illi, quæ per tertium continua est; vel tertiana ei, quæ singulis diebus accessionem facit, continuæ: vel quotidiana ei, quæ per tertium diem continua est. Nec vlla ex his mixtionibus in primo die exquisitè cognoscitur; secundo verò instanti die agnoscere facile est; ac multo magis tertio: raróque est, vt quarta dies ad id sit necessaria. Fiat enim (si ita contigerit) in primo die accessio vnà cum rigore, deinde calida, atque ardens febris accendatur, stomachi fastidium afferens, ac sitibunda, atque ad statum celeriter properet, pulsus æquales habens, magnos atque veloces, vehementesque atque frequentes; sit autem vnà cum pulsibus, & calor æqualis omnino; deinde

deinde cum vomitu, & sudore finiatur, & quædam infebricitatio succedat; iam manifestum est huiusmodi accessionem esse tertianæ periodi propriam. Fiat autem & in sequenti die quotidianæ accessio (neque enim de eisdem millies dicere est necessarium) hîc mentem adhibere oportet ad horas accessionum, vt aliquid de die tertio prænoscas. Nam si tertianæ febris accessio circa primam horam fieri debeat, circa vndecimam autem quotidianæ, sic quidem manifesta erunt vtriusque principia; & magis, si longiori interuallo disiungantur. Si verò vtraque eadem hora inuaserit, erit omnino mixta accessionis forma; & ei, qui diligentiùs inspicere potuerit, quædam apparet facta confusio quotidiani, & tertiani circuitus; distinguit autem eos manifestè quartus dies, quum tamen ab artifice etiam in secundo cognosci possint. Adhuc autem perceptione difficilior est intermittentium cum continuis mixtio, vt pluribus omnino impossibilis videatur; simul enim & febrem intermitti, atque haud sine febre hominem esse, ex tali accidit commixtione; quo nihil minus possibile esse videtur; sed siquis hic exquisitè possit cognoscere vtriusq; febris naturam, manifestè comprehendet, quòd neque huiuscemodi mixtio est impossibilis. Nuper igitur quædam muliercula in paribus diebus horridã accessionem habebat, semitertianæ exquisitæ propriam; in imparibus verò, manè alteram quandam, ea quæ præcesserat, longè minorem; vt altero die semitertianæ febris accessio super accessionem aduenire videretur, quod in tali febre fieri consueuit; circa octauam verò horam diei altera inuadebat accessio cum rigore vehementi, omnia tertianæ febris indicia exquisitè afferens; iam verò hæc confracta sudoribus, ac bilis vomitibus hora tertia noctis, mox extendebatur ad diei paris horam secundam; &, quum iam ad infebricitationem accederet, rursus horrida, atque inæqualis illa accessio succedebat, quam in paribus diebus fieri diximus, deinde per totam diem malignè compressa, ac deinceps adaucta, vix occidente Sole ad statum perueniebat; ac declinare incipiebat hora quarta noctis; deinde manè rursus super abundantes reliquias additum augmentum non valde inæquale, vsque ad octauam horam intendebatur; & quum iam manifestè statum obtinere febris videretur, iam febrem hanc febris exquisitè tertianæ accessio altera suscipiebat. Hanc nos febrem statim die secunda ex complicatione semitertianæ febris, atque tertianæ factam agnouimus; longè verò certiorem tertius dies præbuit cognitionem. Atque in spem venimus, alterum circuitum, qui erat tertianæ febris, citò finem habiturum, alterum in longius tempus debere protendi; quod etiam contigit. Et tunc apertè visum est in reliqua parte morbi solam superesse semitertianam; quæ principium quidem totius circuitus in pari die faciebat, in die verò impari super accendebatur. Tales quidem mixtiones non est vniuscuiusque dignoscere. Siqua verò febris in primo die exquisitè tertiana deprehensa, deinde die sequenti similem priori omnino fecerit accessionem, hæc longè tolerabilior est, duplex existens tertiana. Sic autem & duæ, & tres quartanæ sæpius inuicem complicantur, quas accessionum forma à quotidianis distinguit; neq; enim quod singulis diebus accessio fiat, hoc sufficiens signum est ad febres quotidianas indicandas, sed febris ipsius, & accidentium forma.

A εἶτα σὺν ἐμέτῳ, καὶ ἱδρῶτι παύεσθαι, καί τις αὐτὸν ἀπυρεξία διαδέχεσθαι· πρόδηλον, ὡς τριταίας οἰκεῖός ἐστιν ὁ τοιοῦτος παροξυσμὸς περιόδου. γινέσθω δὲ κατὰ τὴν δευτέραν ἡμέραν ὁ τῆς ἀμφημερινῆς, οὐ γὰρ ἀναγκαῖον ὑπὲρ τῶν αὐτῶν λέγειν μυριάκις, ἐνταῦθα χρὴ προσέχειν τὸν νοῦν, ταῖς ὥραις τῶν παροξυσμῶν, ἵνα προγνῷς τι περὶ τῆς τρίτης ἡμέρας. εἰ μὲν γὰρ ὁ τῆς τριταίας, εἰ τύχοι, πυρετὸς περὶ τὴν πρώτην ὥραν μέλλει γίνεσθαι, περὶ δὲ τὴν ἑνδεκάτην, ὁ τῆς ἀμφημερινῆς, οὕτω μὲν ἑκατέρων ἔσονται σαφεῖς αἱ ἀρχαί· καὶ μᾶλλον εἰ ἐπὶ πλέον ἔτι διεστήκοιεν ἀλλήλων. εἰ δ' ἀμφότεροι περὶ τὴν αὐτὴν ὥραν B εἰσβάλλοιεν, ἐπίμικτον ἔσται πάντως τὸ εἶδος τοῦ παροξυσμοῦ, καὶ τῷ δυναμένῳ συνορᾶν, οἷον κέρασμά τι φαίνεται γινόμενον ἀμφημερινῆς τε, καὶ τριταίας περιόδου. διακρίνει δ' αὐτοὺς ἐναργῶς ἡ τετάρτη τῶν ἡμερῶν, ὄντας ἤδη τῷ τεχνίτῃ κἀπὶ τῆς δευτέρας γνωρίμους. ἔτι δὲ δυσφορωτέρα γίνεται ἡ τῶν διαλειπόντων μίξις τοῖς συνεχέσιν, ὥστε καὶ πολλοῖς ὅλως ἀδύνατος ἔδοξεν ὑπάρχειν. ἅμα τε γὰρ εἰς ἀπυρεξίαν παύεσθαι τὸν αὐτὸν ἄνθρωπον, καὶ μηδ' ὅλως ἀπύρετον γίνεσθαι συμβαίνει ἐκ τῆς τοιαύτης μίξεως, ὅπερ εἶναι πάντων ἀδυνατώτερον. ἀλλ' εἴ τις κἀνταῦθα δύναται διαγινώσκειν ἀκρι- C βῶς ἑκατέρου τῶν πυρετῶν τὴν φύσιν, εἴσεται σαφῶς, ὡς οὐδὲ ἡ τοιαύτη μίξις ἀδύνατος. ἔναγχος οὖν τι γύναιον, ἐν μὲν ταῖς ἀρτίαις φρικώδη παροξυσμὸν εἶχεν ἀκριβῶς ἡμιτριταϊκόν, ἐν δὲ ταῖς περιτταῖς ἕωθεν μέν τινα τοῦ προγεγονότος πολύ τι μικρότερον, ὡς ἐπιπαροξύνεσθαι δοκεῖν τῇ ἑτέρᾳ τῶν ἡμερῶν τὸν ἡμιτριταϊκόν, ὅπερ δὴ καὶ συνήθως γίνεται ἐν αὐτῷ. περὶ δὲ τὴν ὀγδόην ὥραν τῆς ἡμέρας, ἕτερος εἰσέβαλλε μετὰ ῥίγους σφοδροῦ παροξυσμός, ἀκριβῶς ἅπαντα τριταίου πυρετοῦ φέρων τὰ γνωρίσματα. θραυόμενος δ' οὗτος ὥρας που νυκτὸς τρίτης, ἱδρῶτί τε καὶ χολῆς ἐμέτῳ, παρέτεινεν εἰς τὴν D τῆς ἀρτίου δευτέραν ὥραν. ἤδη δὲ αὐτὸν ἐγγὺς ἀπυρεξίας ἥκοντα, διεδέχετο πάλιν ὁ φρικώδης τε καὶ ἀνώμαλος ἐκεῖνος παροξυσμός, ὃν ἐν ταῖς ἀρτίαις ἔφαμεν γίνεσθαι. κἄπειτα δι' ὅλην τὴν ἡμέραν κακοήθως ὑποπιεζόμενός τε, καὶ αὖθις ἐπιτιθέμενος, μόλις που τὴν ἀκμὴν ἀπελάμβανεν ἡλίου δύνοντος. ἤρχετο δὲ παρακμάζειν ὥρας που τετάρτης τῆς νυκτός, εἶθ' ἕωθεν πάλιν ἐπὶ δαψιλεῖ λειψάνῳ, παραύξησις οὐ λίαν ἀνώμαλος ἕως τῆς ὀγδόης ὥρας ἐπιτείνετο, κἄπειτα δοκοῦντα σαφῶς ἀκμάζειν ἤδη τὸν πυρετὸν τοῦτον, ἕτερος ἐξεδέχετο παροξυσμός, ἀκριβῶς τριταϊκός. τοῦτον ἡμεῖς τὸν πυρετόν, εὐθὺς μὲν E κἀν τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἐξ ἐπιπλοκῆς ἡμιτριταίου τε καὶ τριταίου διέγνωμεν γεγονέναι. πολὺ δ' ἔτι πιστοτέραν ἡ τρίτη τὴν διάγνωσιν παρέσχεν, ἠλπίσαμέν τε τὴν μὲν ἑτέραν περίοδον τὴν τοῦ τριταίου παύεσθαι ταχέως, τὴν δὲ ἑτέραν μηκυνεῖν, καὶ οὕτως ἀπέβη, καὶ τότε σαφῶς ὤφθη κατὰ τὸ ὑπόλοιπον μέρος τῆς νόσου, μόνος ἡμιτριταῖος ὤν, ἀρχὴν μὲν τῆς ὅλης περιόδου, τὴν ἀρτίαν ἡμέραν ποιούμενος, ἐπιπαροξυνόμενος δὲ τῇ περιττῇ. τὰς μὲν δὴ τοιαύτας μίξεις, οὐ τοῦ τυχόντος γνωρίζειν. εἰ δέ τις πυρετὸς ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀκριβῶς ὀφθεὶς τριταῖος, εἶτ' ἐν τῇ δευτέρᾳ πάλιν ἕτερον ὅμοιον ἀκριβῶς τῷ F πρόσθεν ἐποιήσατο παροξυσμόν, δυσφορώτατος ὁ τοιοῦτός ἐστι, διπλοῦς ὑπάρχων τριταῖος. οὕτω δὲ καὶ δύο, καὶ τρεῖς ἐπιπλέκονται ἀλλήλοις τεταρταῖοι τὰ πολλά, οὓς ἡ τῶν παροξυσμῶν ἰδέα διακρίνει τῶν ἀμφημερινῶν. οὐ γὰρ τὸ καθ' ἑκάστην ἡμέραν παροξύνεσθαι, γνώρισμα βέβαιον ἀμφημερινῶν, ἀλλ' ἡ τοῦ πυρετοῦ τε, καὶ ἡ τῶν συμπτωμάτων ἰδέα διακρίνει τὸν ἀμφημερινόν.

χρὴ τοίνυν ἐν ἅπαντι πράγματι τεχνωθῆναι πρῶτον, ὥσπερ τις ὠνόμαζε τῶν ἡμετέρων διδασκάλων, εἶθ' οὕτως ἐπιχειρεῖν τοῖς ἔργοις. τὸ τεχνωθῆναι δ' ἐστὶ, τὸ γνῶναι τῆς ὑποβεβλημένης τῇ τέχνῃ συμπάσης ὕλης, πρῶτον μὲν καὶ μάλιστα τὰς ἁπλᾶς δυνάμεις, εἶθ' ἑξῆς τὰς μίξεις αὐτῶν, ὁπόσαι τέ τινές εἰσι, καὶ ὁποῖαι. καὶ γὰρ δὴ καὶ περὶ φαρμάκων συνθέσεώς τε, καὶ χρήσεως, ἡ αὐτὴ μέθοδος, ὡς ἐν τοῖς περὶ αὐτῶν ὑπομνήμασιν ἐπιδέδεικται. διττῆς δὲ ὕλης οὔσης τοῖς ἰατροῖς, ἑτέρας μὲν ἐφ' ᾗ, ἢ ἐν ᾗ γίνεται τὸ τέλος, ὅπερ ἐστὶν αὐτὰ τὰ τῶν ἀνθρώπων σώματα, δευτέρας δὲ τῆς τῶν βοηθημάτων, ὑφ' ὧν, ἢ δι' ὧν γίνεται τὸ τέλος. ἡ μὲν περὶ τῶν φαρμάκων πραγματεία, τῆς δευτέρας ὕλης ἐστὶν, ἡ δὲ νῦν ἐνεστῶσα, τῆς προτέρας. χρὴ γὰρ νῦν ἐκμαθεῖν ἐν τοῖς περὶ πυρετῶν λόγοις, ὡς τρία τὰ σύμπαντά ἐστι γένη τῶν ἐπὶ χυμοῖς σηπομένοις ἀναπτομένων πυρετῶν. ἔνιοι μὲν γὰρ ἐπὶ τῇ ξανθῇ χολῇ, καὶ πλεῖστοί γ' εἰσὶν οὗτοι, τινὲς δ' ἐπὶ τῇ μελαίνῃ, τινὲς δ' ἐπὶ τῷ φλέγματι συνίστανται. λόγος δ' ἐστὶν οὐ σμικρός ἐστιν, ὅτι ποτὲ πασχόντων τῶν εἰρημένων χυμῶν, ἀνάπτεται πυρετός. οὐ γὰρ δὴ κατὰ τὴν φύσιν ἐχόντων, ἀλλ' ἐν τούτῳ γε τῷ λόγῳ, καὶ ὡς οὐδέν ἐστι θαυμαστὸν ἐκ ψυχρῶν φύσιν χυμῶν διασαπέντων, ἐξαφθῆναι πυρετὸν ἐπιδέδεικται, καὶ ὡς ἡ πᾶσα ποικιλία τῶν ἄλλων πυρετῶν, ἐκ τῆς τούτων γίνεται μίξεως. ἀλλὰ καὶ οἱ ἐφήμεροι πυρετοὶ καλούμενοι, καὶ πρὸς τούτοις οἱ ἑκτικοὶ προσαγορευόμενοι, ἕτερα δύο γένη εἰσὶ, τῶν ὀξέων ὀνομαζομένων πυρετῶν ἀποκεχωρισμένα, καὶ ὡς ὀξὺς πυρετὸς, ἤτοι σηπομένου τῶν εἰρημένων τινὸς χυμῶν, ἢ μορίου φλεγμαίνοντος γίνεται, καὶ ὡς τοῦ φλεγμαίνειν ἀκουστέον ἐστὶν, οὐ κατὰ τὴν παλαιὰν συνήθειαν. ἅπαντα δὲ τὰ τοιαῦτα, θαυμαστὰ τοῖς πολλοῖς εἶναι δοκεῖ, καθάπερ οὖν καὶ τὸ μικρῷ πρόσθεν ῥηθὲν, εἰ δύναταί ποτε μιχθῆναι διαλείπων συνεχεῖ, οὐδὲν δ' ἧττον τούτου, καὶ τὸ μηδεμιᾶς ἀπυρεξίας γινομένης περὶ τὸν κάμνοντα, μεμῖχθαι μόνους τοὺς διαλείποντας πυρετούς. ἀλλὰ καὶ τοῦτ' ἐπεδείξαμεν ἐναργῶς, οὐ τριταίοις μόνον, ἢ ἀμφημερινοῖς, ἀλλὰ καὶ τεταρταίοις συμπίπτειν· ἐπειδὰν γὰρ ἐπιπλακῶσιν ἀλλήλοις πλείους, εἴτ' οὖν ὁμογενεῖς, εἴτε καὶ μὴ, φθάνει πολλάκις ὁ δεύτερος ἄρχεσθαι, πρὶν εἰς ἀπυρεξίαν ἀκριβῆ παύσασθαι τὸν πρότερον· εἶτ' αὖθις τὸν δεύτερον ὁ τρίτος ὡσαύτως διαδέχεται, πρὶν καὶ τοῦτον εἰς ἀπυρεξίαν ἀφικέσθαι. μάλιστα δὲ συμβαίνει τοῦτ' ἐν τοῖς μακροτέροις παροξυσμοῖς. ἐν γὰρ τοῖς ἐντὸς τοῦ πρώτου διαστήματος παυομένοις, οὕτω δ' ὀνομάζουσι τὸν τῶν δώδεκα ὡρῶν χρόνον, ἢ παμπόλλας ἐπιπλακῆναι χρὴ περιόδους, ἢ τὸν ἐκ τῶν διαλειπόντων συντεθειμένον, ἀδύνατον εἰς συνέχειαν ἀφικέσθαι. παμπόλλους δὲ τῶν οὕτως ἐπιπλεκομένων πυρετῶν, οἱ μὴ γεγυμνασμένοι περὶ τὰ τοιαῦτα τῶν ἰατρῶν, εἰ μὲν ὀξύτεροι φαίνοιντο, πάντας ἡμιτριταίους ὀνομάζουσιν, εἰ δὲ βραδύτεροι κινοῖντο, πλανήτας. ἐπειδὰν γὰρ ἅπαξ ἐξουσίαν ἔλαβον, ἔν τε τοῖς ἡμιτριταίοις ὑποστολὰς πολλὰς γίνεσθαι νομίζειν, ἔν τε τοῖς πλανήσιν ἀτάκτους ἀρχὰς, ἅπαντας οὕτω τοὺς πυρετοὺς, ἐφ' ὧν οὐχ εὑρίσκουσι τὴν σύνθεσιν, ἡμιτριταίους, ἢ πλανήτας ὀνομάζουσι, καίτοι γε πολλάκις σαφεστάτην ἔχουσι τὴν ἀναλογίαν. ὥσπερ ὁ νεανίσκος ὁ περὶ τὰ τέλη τοῦ φθινοπώρου τῇ προτέρᾳ τῶν ἡμερῶν, ὥρας που πέμπτης ἀρξάμενος πυρέττειν ἅμα ῥίγει βραχεῖ, κἄπειτα βαθείας ἑσπέρας ἱδρώσας ὀλίγον, εἶθ' ὥρας που νυκτὸς ἑβδόμης, πρὶν ἀπύρετον ἀκριβῶς γενέσθαι, πυρέττειν αὖθις ἀρξάμενος ἐπὶ ῥίγει βραχεῖ,

A Oportet igitur in vnaquaque re primum artificem fieri (quemadmodum nominabat quidam ex nostris præceptoribus) deinde sic ipsa aggredi opera. Artificem autem fieri est quidem primum, & maximè totius artis subiectæ materiæ, simplices vires agnoscere, mox ipsarum etiam mixtiones quot & quales sint; nam de medicamentorũ cõpositione, atque vsu eadẽ est doctrinæ via, quemadmodũ in cõmentariis de ipsis scriptis ostẽdimus. Quum autẽ duplex materia medicis adsit, altera à qua vel in qua finis, quæ est ipsa hominum corpora; secunda verò auxiliorũ, à quibus, vel ex quibus fit finis, ea

B quidẽ quæ est de medicamẽtis tractatio, ad secundã materiam attinet; at quæ nunc instat, ad primã. Nunc enim discere oportet in iis, qui de febribus sermones habentur, quod tria sunt omnia, quæ ex humorum putredine febrium accendũtur genera; quædam enim ex flaua bile, hæque plurimæ sunt; quædã verò ex atra; quædã ex pituita consistunt. Hic verò sermo haud parui momenti est, quidnã patientibus dictis humoribus, febris accendatur; neque enim secundũ naturam se habentibus. Sed in hoc sermone etiam illud ostensum est, quod non sit admiratione dignum, si ex frigidis natura humoribus putrescentibus febris accenditur; &

C quod omnis aliarum febrium varietas ex horũ fit cõmixtione; sed & quæ ephemeræ, & hecticæ febres dicũtur, alia duo genera sunt, ab iis, quæ acutæ febres nominantur, separata; & quod febris acuta, vel aliquo dictorum humorum putrescente, vel parte inflammationem patiente, generatur; & quod inflammationis vocabulum non secundum antiquam consuetudinem sit audiendum. Hæc verò omnia multis digna admiratione videntur; quemadmodũ & id quod paulo antè dicebamus, si queat vnquam intermittens cum continua commisceri; sed nihilo minus hoc, si nulla infebricita-

D tione ægrotanti adueniente, solùm intermittentes misceantur. At & hoc manifestè ostendimus, non tertianis tantùm, vel quotidianis intermittentibus, sed etiam quartanis accidere; quum enim plures inuicem complicantur, siue eiusdem generis sint siue diuersi, secunda sæpenumero anticipat aduenire, antequam prima in exquisitam infebricitationem desierit; deinde rursus secundæ tertia eodem modo succedit, antequam & hęc ad infebricitationem perueniat. Hoc verò maximè accidit in longioribus accessionibus; nam in iis, quæ intra primum interstitium desinunt (ita autem vocant duodecim horarum spatium) vel

E multos necesse est complicari circuitus, vel eam, quæ ex intermittentibus componitur, febrem, impossibile est ad continuitatem peruenire. Multas verò earum, quæ ita complicantur, febrium medici, qui circa talia non sunt exercitati, si quidem acutiores videantur, omnes vocant semitertianas; si verò tardius moueantur, erraticas. Quum enim semel potestatem acceperint putandi in semitertianis suppressiones multas fieri, & in erraticis inordinata principia, omnes sic febres, in quibus non inueniunt compositionem, semitertianas, vel erraticas appellant, quum tamen sæpius mani-

F festissimam habeant proportionis similitudinem. Sicuti adolescens, qui circa autumni finem, quum in prima die circa quintam horam cœpisset febricitare vnà cum rigore breui, deinde, quum paululum sudasset multo vesperi, mox circa horam septimam noctis, priusquam exactè febris desisteret, febricitare rursus incepit cum rigore breui; deinde

deinde paulum sudauit in secundo die, ac circa decimam horam iterum similiter accessionem habuit, & statim similiter sudauit in nocte; deinde tertia die hora secunda cœpit febricitare simul cum rigore, antequam prioris diei declinatio in quietem desineret. Nobis igitur omnem febris formam diligenter considerantibus, visa fuit trium complicatio tertianarum; nam, & quæ primo die cœperat hora quinta, & quæ sequenti nocte rursus hora septima, & quæ in secundo die hora decima, & pulsus, & caliditatem omnia propria tertianis habebant, sicuti etiam rigores, atque sudores. Nulla verò ex his ad quietem perueniebat, quoniam sequentis ipsam tertianæ accessionis principium anticipabat; sicut, si nulla alia febris successisset, horis tribus, aut quatuor homo sine febre perstitisset. Trium verò tertianarum complicatio in secundo statim die nobis visa est manifestè; quod autem anticipando accessiones facerent, tertio die primùm cognouimus; nam hora secunda febris inuasit, non quinta, quemadmodum in primo; tertiani verò circuitus indicia omnia, iis, quæ in primo die apparuerant, attulit manifestiora. Ab hoc verò die deinceps obseruantes, omnes inuenimus accessiones duabus, aut tribus horis anticipantes. Quare & illa, quæ primæ proportione respondebat in circuitus successione, quinto die oriente Sole facta est; septimo verò multo celerius, veluti circa horam noctis nonam; deinde, quæ post hanc, secundum eandem proportionem in hora noctis septima; &, quæ secuta est, hora quarta; atque abhinc rursus, quæ successit, quarta; & quæ post hanc, quinta; deinde iterum sexta; deinde octaua hora, accessio à principio decima facta est. Secundum verò similem huic proportionem, & aliæ duæ post septimam periodum non solùm non anticiparunt, sed etiam tardiùs aduenerunt; quando & mihi, & reliquis omnibus manifestè apparuit, qui semitertianam febrem esse putarunt, quantum sua opinione aberrassent. Nam accessionum prolixitate ad octo horas contracta, ipsoque accessionis insultu non ampliùs anticipante, sed potius retardante duabus iam horis, tunc accessiones ad infebricitationem perfectam deuenerunt. Et sic iam paulatim à longitudine dementes, cessauerunt, primùm quidem, quæ leuissima erat, deinceps quæ magnitudine secunda erat, & tertia vehementissima inter ipsas; quod & ipsum non mediocre fuit indicicium, quod statim ab initio tres tertianæ extitissent. Sed cuius gratia hæc omnia dicuntur, ad hoc rursus redeo, quod oporteat exercitari, vt exquisitè noscamus omnes simplices dispositiones, adeò vt quum solæ consistunt, primo die facillimè ipsas agnoscamus; inuicem verò, & sibi ipsis complicatas, etiam si non in primo die, saltem in secundo, vel tertio, vel omnino quarto, exactè discernamus. Nos igitur haudquaquam latuerunt tres istæ tertianæ in secundo die, non ob aliam causam, nisi quod earum naturam exquisitè noscebamus. Tale enim quid accidit in morborum cognitionibus, quod nobis omnibus in tota vita contingit; nam eos amicos, qui nobis familiarissimi sunt, ex longo interuallo statim, ac primo intuitu agnoscimus;

κἄπειτ' ὀλίγον ἱδρώσας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, εἶτα περὶ δεκάτην ὥραν αὖθις ὁμοίως παροξυνθεὶς, εἶθ' ἱδρώσας πάλιν ὁμοίως ἐν τῇ νυκτὶ, κἄπειτα τῇ τρίτῃ τῶν ἡμερῶν ὥρας που δευτέρας, ἅμα ῥίγει πυρέττειν ἀρξάμενος, πρὶν τὴν προτέραν παρακμὴν εἰς ἀπυρεξίαν τελευτῆσαι. ἡμῖν μὲν οὖν ἅπασαν τὴν ἰδέαν τοῦ πυρετοῦ ἐπισκεψαμένοις, ἐπιπλοκὴ τριταίων ἐπεφαίνετο τριῶν. ὅ, τε γὰρ ἐν τῇ πρώτῃ τῶν ἡμερῶν ἀρξάμενος ὥρας πέμπτης, ὅ, τ' ἐν τῇ μετὰ ταύτην νυκτὶ πάλιν ἑβδόμης, ὅ, τ' ἐπὶ τῆς δευτέρας ἡμέρας ὥρας δεκάτης, ἅπαντά τε τὰ τῶν σφυγμῶν ἴδια, καὶ τὰ τῆς θερμασίας ἀπέσωζον τριταίων. ἤδη δὲ, καὶ τὸ μετὰ ῥίγους, καὶ τὸ σὺν ἱδρῶτι, τριταίων ἴδιον εἶχον. οὐδεὶς δ' αὐτῶν εἰς ἀπυρεξίαν ἐπαύετο, τῷ φθάνειν ἄρχεσθαι τοῦ μετ' αὐτὸν τριταίου τὸν παροξυσμὸν, ὡς εἴ γε μηδεὶς ἕτερος ἐπελάμβανεν, ὡρῶν ἂν που τριῶν, ἢ τεττάρων ἄλλων, ἀπύρετος ὁ ἄνθρωπος ἀκριβῶς ἂν ἐγίνετο. τριῶν μὲν δὴ τριταίων ἐπιπλοκὴ, κατὰ τὴν δευτέραν εὐθὺς ἡμέραν ἡμῖν ἐφαίνετο σαφῶς. τὸ δ' ὅτι καὶ προληπτικῶς παροξυνόντων, ἐπὶ τῆς τρίτης πρῶτον ἐγνώσθη. δευτέρας μὲν γὰρ ὥρας ὁ παροξυσμὸς εἰσέβαλλεν, οὐ πέμπτης, ὥσπερ ἐν τῇ πρώτῃ. τὰ δὲ τῆς τριταίας περιόδου γνωρίσματα, πάντα ἐναργέστερα τῶν ἐπὶ τῆς πρώτης ἡμέρας ἐκόμισεν. ἐντεῦθεν δὲ παραφυλάττοντες, ἅπαντας εὕρομεν τοὺς παροξυσμοὺς, ἢ δυσὶν, ἢ τρισὶν ὥραις προλαμβάνοντας, ὥστε καὶ τὸν ἀνάλογον τῷ πρώτῳ κατὰ τὴν περίοδον ἀπαντῶντα, τῇ μὲν πέμπτῃ τῶν ἡμερῶν, ἀνίσχοντος ἡλίου γενέσθαι, τῇ δ' ἑβδόμῃ πολὺ θᾶττον, ὡς περὶ ὥραν που τῆς νυκτὸς ἐννάτην, εἶθ' ὁ μετὰ τοῦτον ἀνάλογον, ὥρᾳ νυκτὸς ἑβδόμῃ. ὁ δ' ἐφεξῆς τετάρτῃ ἐγένετο, τοὐντεῦθεν δὲ πάλιν, ὁ μὲν ἐφεξῆς τετάρτῃ. ὁ δ' ἐπὶ τούτῳ πέμπτῃ, εἶθ' ἕκτῃ αὖθις, εἶτ' ὀγδόῃ, ὁ δέκατος ἀπὸ τῆς ἀρχῆς ἐγένετο παροξυσμός. ἀνάλογον δὲ τούτῳ, καὶ οἱ ἄλλοι δύο μετὰ τὴν ἑβδόμην περίοδον, οὐ μόνον οὐ προελάμβανον, ἀλλὰ καὶ ὑστέριζον. ὅτε δὴ καὶ σαφέστατον πᾶσιν ἐφάνη, καὶ τοῖς ἡμιτριταῖον εἶναι νομίζουσιν αὐτὸν, ὡς ἐσφάλλοντο τὰ μέγιστα. τοῦ τε γὰρ μήκους τῶν παροξυσμῶν εἰς ὥρας ὀκτὼ συναιρεθέντος, αὐτῆς τε τῆς εἰσβολῆς οὐκέτι προληπτικῶς γινομένης, ἀλλ' ὡς ὥραιν που δυοῖν ὑστεριζούσης, εἰς ἀπυρεξίαν ἐπαύοντο τελείαν οἱ παροξυσμοὶ, καὶ οὕτω δὴ κατὰ βραχὺ τοῦ μήκους ἀφαιροῦντες, ἐπαύσαντο· πρῶτον μὲν ὁ κουφότατος, ἐφεξῆς δὲ ὁ δεύτερος τῷ μεγέθει, καὶ τρίτος ὁ σφοδρότατος ἐξ αὐτῶν. ὅπερ οὐδ' αὐτὸ μετρίως ἐμαρτύρησε, τρεῖς εἶναι τριταίους εὐθὺς ἐξ ἀρχῆς αὐτούς. ἀλλ' οὗ περ ἕνεκα ταῦτα σύμπαντα λέγεται, ἐπὶ τοῦτ' αὖθις ἐπάνειμι, τὸ, δεῖν ἠσκῆσθαι διαγινώσκειν ἀκριβῶς ἁπάσας τὰς ἁπλᾶς διαθέσεις, ὥστε καὶ μόνας συνισταμένας εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας, ἐκ τοῦ ῥᾴστου γνωρίζειν. ἐπιπλεκομένας δὲ ἀλλήλαις καὶ αὐτὰς, εἰ καὶ μὴ κατὰ τὴν πρώτην ἡμέραν, ἀλλὰ κατὰ τὴν δευτέραν γοῦν, ἢ τὴν τρίτην, ἢ πάντως γε τὴν τετάρτην ἀκριβῶς ἐπιγινώσκειν. ἡμᾶς οὖν οὐκ ἔλαθον οἱ τρεῖς οὗτοι τριταῖοι κατὰ τὴν δευτέραν ἡμέραν, οὐ μὴν ἐξ ἄλλου τινὸς, ἢ τοῦ τὴν φύσιν ἀκριβῶς αὐτῶν ἐπίστασθαι. παραπλήσιον γάρ τι συμβαίνει κατὰ τὰς τῶν νοσημάτων γνώσεις, τῷ καθ' ὅλον τὸν βίον ἅπασιν ἡμῖν ὑπάρχοντι. τοὺς μὲν γὰρ συνηθεστάτους τῶν φίλων ἐκ μακροῦ διαστήματος, εὐθύς τε καὶ κατὰ τὴν πρώτην προσβολὴν τῆς αἰσθήσεως γνωρίζομεν·

εἰ δ᾽ ἅπαξ, ἢ δὶς τινὰ τύχοιμεν ἰδόντες, ἢ πλεονάκις μὲν, ἀλλὰ μὴ συνεχῶς, οὐκ ἔθ᾽ ὁμοίως τοῦτον, οὔτε ἐκ μακροῦ διαστήματος, οὔτε ταχέως γνωρίζομεν, ἀλλ᾽ ἐνίοτε μέχρι παμπόλλου χρόνου διαπορούμεν τε, καὶ ἀμφιβάλλομεν. ἆρά γε Κορίσκος, εἰ οὕτως ἔτυχεν, ἢ Σωκράτης ἐστὶν, οὕτως οὖν ἔχει κἀπὶ τῶν νοσημάτων. ἰδίως ἑκάστου χαρακτήρ ἐστιν, ὃν ὁ πολλάκις τεθεαμένος, ἐξ ἑτοίμου διαγινώσκει, καὶ μάλιστ᾽ ἐπειδὰν ἁπλοῦς τε, καὶ μόνος ὑπάρχῃ. τῶν μὲν οὖν χωρὶς τόπου πεπονθότος, ἐπὶ χυμοῖς τισι διασηπομένοις ἀναπτομένων πυρετῶν, τρεῖς εἰσιν οἱ πρῶτοι, καὶ ἁπλοῖ χαρακτῆρες, ὅ,τε τῶν φλεγματικῶν, καὶ ὁ τῶν μελαγχολικῶν, καὶ ὁ τῶν πικροχόλων, οὓς εἴ τις ἀκριβῶς ἀσκήσειε, διαγινώσκειν ἕκαστον ἰδίᾳ καὶ μόνον, οὐκ ἂν ἔτι χαλεπῶς, οὐδὲ τὰς μίξεις οὕτως αὐτῶν ἐξευρίσκοι.

si verò quempiam semel, aut bis tantum viderimus, vel sæpe quidem, non tamen continuè, non iam æquè istum, neque ex longo interuallo, neque primo intuitu statim agnoscimus, sed nonnunquam diu ambigimus, ac dubitamus, nunquid iste, Coriscus, an Socrates sit. Ita & in morbis res ipsa se habet: singuli proprium habent characterem, quem quispiam sæpius contemplatus, promptè dignoscit, ac præcipuè quum simplex, ac solus fuerit. Earum igitur febrium, quæ sine loco affecto ex humoribus quibusdam putrescentibus accenduntur, tres sunt primi, ac simplices characteres, & earum scilicet quæ ex pituita, & quæ ex atra bile, & quæ ex flaua, ortum habent; quas si quispiam exquisitè dignoscere studuerit singulas seorsum, ac solas, iam non amplius difficulter earum mixtiones inueniet.

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ τῶν ἐπὶ τοῖς πεπονθόσι τόποις ἀναπτομένων πυρετῶν· καὶ ὅπως ἓν τὸ γνώρισμα δύναται πολλῶν εἶναι δηλωτικόν.

CAPVT X.

De febribus quæ ex affectis locis accenduntur; & quo pacto ex vno indicio multa possunt demonstrari.

Τῶν δ᾽ ἐπὶ τόποις φλεγμαίνουσιν, ἤδη σύνθετος ἁπάντων ἰδέα· τινὰ μὲν γὰρ τοῦ τόπου γνωρίσματα φέρουσι, τινὰ δὲ τῆς βλαπτούσης αὐτὸν αἰτίας, οἷον ἐν μὲν τοῖς πλευριτικοῖς, ὡς μὲν τόπος πεπονθὼς, ὁ ὑπεζωκὼς τὰς πλευρὰς ὑμὴν, ὀδύνην ἐξ ἀνάγκης οἴσει φλεγμαίνων, ὅτι νευρώδης ἐστίν. ἀλλὰ καὶ νύττουσαν ταύτην, καὶ διατεταμένην ἐπὶ πλέον, ὅτι τὸ πεπονθὸς μέρος ὑμήν. τοιαῦται δὲ αἱ τῶν αἰσθητικῶν ὑμένων ὀδύναι. καὶ μὲν δὴ, καὶ ὅτι τῶν ἀναπνευστικῶν τινος ὀργάνων ἐστὶ μόριον, ἐξ ἀνάγκης δυσπνοήσει τὸ ζῶον. ὅτι δὲ καὶ τῆς καρδίας ἐγγὺς, μεταδώσει τι καὶ τῇ καρδίᾳ ῥᾳδίως τῆς φλογώσεως. εἰ δὲ τοῦτο πυρέξει τὸ ζῶον, ὥσπερ οὖν καὶ ὅτι τοῦ πνεύμονος ἐγγὺς, ἐξ ἑτοίμου μεταδώσει, καὶ τῷδε τῆς διαθέσεως, οὕτως ὄντι μαλακῷ τε καὶ μανῷ, καὶ δέξασθαι πᾶσαν ἑτοίμως ὑγρὰν οὐσίαν δυναμένῳ. βήξει τοίνυν εὐθὺς ὁ ἄνθρωπος, οὐ μὴν καὶ ἀναπτύσει πάντως εὐθύς. ἀλλ᾽ εἰ μὲν πλεῖόν τε, καὶ παχύτερον ἀπορρέοι τῆς φλεγμονῆς, ἀναπτυσθήσεται βηττόντων. εἰ δὲ ὀλίγον τε καὶ λεπτὸν, ἐρεθιεῖ μὲν ἐξ ἀνάγκης, ὥστε καὶ κινῆσαι βῆχας, οὐ μὴν καὶ ἀναπτυσθήσεταί γε, πρὶν ἀθροιζόμενόν τε ἅμα, καὶ πεπτόμενον, εἰς πλῆθός τε ἅμα, καὶ πάχος ἐπιδιδόναι. ἀλλὰ τοῦτο μὲν τῆς διαθέσεως ἤδη γνώρισμα αὐτῆς ἐστιν, καὶ οὐ τοῦ μορίου τοῦ πεπονθότος. ἐπειδὰν μὲν γὰρ ἀκριβῶς ᾖ τὸ πάθημα στεγνὸν, καὶ οἷον δήσαν ἐν ἑαυτῷ κατέχῃ τὸ σύμπαν ῥεῦμα, τὰς ἀπτύστους προσαγορευομένας ἀποτελεῖ πλευρίτιδας. ἐπειδὰν δὲ ἀξιόλογον χαλάσῃ τε, καὶ μεθῇ τῷ πνεύμονι, καὶ βήττουσιν οὗτοι πλείω, καὶ ἀναπτύουσιν. ἰδέας οὖν τοῦτο φλεγμονῆς, οὐ τόπου πεπονθότος γίνεται γνώρισμα. πότερον δὲ φλεγματωδέστερός ἐστιν, ἢ χολωδέστερος, ὁ τὴν φλεγμονὴν ἐργασάμενος χυμὸς, ἐκ τῆς τῶν πτυσμάτων ἰδέας εἴσῃ. καὶ γὰρ καὶ ἀφρώδη, καὶ πυῤῥὰ, καὶ ξανθὰ, καὶ ὠχρὰ, καὶ ἐρυθρὰ, καὶ μέλανα πτύουσι. τούτων δὲ τὰ μὲν ἀφρώδη, φλεγματικώτερον ἐνδείκνυται τὸ ῥεῦμα, τὰ δὲ ξανθὰ, πικρόχολον ἄκρατον. ὅσα δὲ πυῤῥὰ, πικρόχολα μὲν καὶ ταῦτα. μεμῖχθαι δὲ οὐκ ὀλίγον ὀῤῥῶδες περίττωμα τῇ ξανθῇ χολῇ δηλοῖ, καὶ πολὺ δὴ πλέον, ἐπειδὰν ὠχρὰ πτύῃ τις. οὕτω δὲ καὶ τὰ μέλανα, μελαγχολικὸν

Eorum verò omnium quæ ex locis inflammatione affectis accidunt, iam forma composita est; quædã enim loci indicia præ se ferunt; quædam autẽ eius, ob quam cõsistunt, causæ. Veluti in pleuritide, locus quidem affectus est membrana, quæ costis subtenditur: & quum inflãmata sit, necessario dolorẽ inuehet, quoniam neruosa est; sed hunc pungentem, & longè extensum, quoniam pars illa, quæ afficitur, membrana est; tales enim sunt sentientium mẽbranarũ dolores. Et quidem, quoniam eadem pars vnum est ex spirandi instrumentis, necessario animal difficilem habebit respirationem. Quoniam autem cordi proxima est, facile aliquid ardoris ei impertiet: quod si hoc est, febricitabit animal; Sicuti quoniam pulmoni proxima est, facile suum illi cõmunicabit affectũ; quũ præsertim adeò rara, ac mollis sit pars, ac omnem substantiam humidã facilè possit admittere. Tussiet igitur statim homo, non tamen omnino statim spuet; sed si quidẽ multum, ac crassum ab inflammatione defluxerit, cum tussi expuet; si verò paucum & tenue, irritabitur quidem necessario, ita vt tussis moueatur, non tamen expuet, antequam collectum simul, atque concoctum ad multitudinem, crassitiemque peruenerit. Sed hoc quidem ipsius affectionis indicium est, non autem partis affectæ. Nam quum affectio exquisitè angusta fuerit, & veluti alligans in se ipsa vniuersum fluxum cohibuerit, tunc facit pleuritides, quæ sine sputo nominantur; sed, quum satis relaxata fuerit, atque ad pulmonem dimiserit, tunc isti magis tussiunt, atque expuunt; hoc igitur formam inflammationis, non autem affectum locum indicat. Nunquid verò magis pituitosus sit, vel biliosus humor is, qui inflammationem facit, ex sputorum forma cognosces; nam & spumosa, & flaua, & rufa, & rubra, & pallida, & nigra expuunt. Ex iis verò, quæ quidem spumosa sunt, fluxum magis pituitosum ostendunt; flaua autem, biliosum impermixtum; quæ verò rufa sunt, amaram quidem & ista referunt bilem, sed non paucam serosam superfluitatem cum bile commixtam esse significant, & multo ampliorem, quando pallida quis expuerit; sic & nigra melancholicum fluxum

fluxum ostendunt; sicuti quæ colore magis quodammodo rubra sunt plurimum quidem sanguinis, minimum autem amaræ bilis in eo, qui inflammationem facit, humore contineri significant: atque ideo inter omnia sputa, hæc sunt mitissima, sicuti nigra omnium perniciosissima. Et quidem in hisce omnibus symptomatis magnitudines, affectionis magnitudinem indicabunt; breuem autem affectionem indicabunt symptomatum paruitates. Non igitur omnium omnia, propria indicia sunt, sed singula vnum quoddam peculiare demonstrant. Nam, quæ & duarum, vel trium rerum significatiua esse videntur, si ea diligenter perquisieris, altero quidem suorum symptomatum locum affectum, altero verò affectionem, altero ipsius magnitudinē, altero eorum aliquod symptomatum quæ sequuntur, significare reperies. Pulsus igitur pleuriticorum, hæc omnia indicat, sed non eodem modo omnia; sed qua quidem vnà cum tensione durus est, neruosum esse locum affectū ostendit; qua verò serræ similis est, affectum esse inflammationem: qua verò velox simul, & frequens, ac magnus, ad inflammationē consequi febrem; qua verò singula, quæ diximus, maiora, aut minora existunt, vel magnam esse, vel paruam ostendunt dispositionem. Mihi verò hæc exempli gratia dixisse sufficiat; neque enim nunc de locis affectis agere proposuimus, sicuti neque de febribus, vel typis, vel causis. Sed horum singulorum memini, simul quidem viam quandam volens ostēdere, qua sit in ipsis exercitandum, quam si quis habeat (& si nos proprium de iis, quæ diximus, tractatum non scripserimus) possit per se ipsum ex iis, quæ ab aliis scripta sunt, si modo perspicaci ingenio fuerit, & diligentiam adhibuerit, id, quod superest, inuenire; simul autem, & vtilitatem singulorum, quæ dicta sunt, ostendere volens, commemoraui, & febrium differentias, & typos, & affectus, & causas, ipsasque partes affectas.

A ἐνδείκνυται τὸ ῥεῦμα. καθάπερ οὖν καὶ ὅσα τὴν χροιὰν μᾶλλόν πως ἐρυθρά ἐστι, πλεῖστον μὲν αἵματος, ὀλίγον δὲ τῆς πικρᾶς χολῆς ἐνδείκνυται μετέχειν τὸν τὴν φλεγμονὴν ἐργαζόμενον χυμόν, καὶ διὰ τοῦτο πάντων μέν ἐστιν ἐπιεικέστατον πτυσμάτων, ὥσπερ, οἶμαι, τὰ μέλανα πάντων ὀλεθριώτατα. καὶ μὲν δὴ καὶ τὰ μεγέθη μέν, ἐν οἷς εἴπομεν ἅπασι συμπτώμασι, μεγέθους ἔσται διαθέσεως γνωρίσματα· βραχεῖαν δ' ἐνδείξονται τὴν διάθεσιν αἱ σμικρότητες τῶν συμπτωμάτων. οὔκουν ἴδια πάντων ἁπάντων ἐστίν, ἀλλ' ἕκαστον ἴδιόν τινος γνώρισμα ἐξαίρετον. καὶ γὰρ ὅσα δοκεῖ δυοῖν, ἢ τριῶν ὑπάρχειν ἅμα δηλωτικά, καὶ ταῦτ' ἀκριβῶς ἐξετάζων, εὑρήσεις B ἑτέρῳ μέν τινι τῶν ἐν αὐτοῖς συμβεβηκότων, ἐνδεικνύμενα τὸν πεπονθότα τόπον, ἑτέρῳ δὲ τὴν διάθεσιν. ἄλλῳ δὲ τὸ μέγεθος αὐτῆς, ἄλλῳ δὲ τῶν ἑπομένων τι συμπτωμάτων. ὁ γοῦν σφυγμός, ὁ τῶν πλευριτικῶν ἁπάντων μὲν τούτων ἐστὶν ἐνδεικτικός, ἀλλ' οὐχ ὡσαύτως ἁπάντων. ἀλλ' ᾗ μὲν ἅμα τάσει σκληρός, νευρῶδες εἶναι δηλοῖ τὸ πεπονθός, ᾗ δ' οἷον ἐμπρίων, φλεγμονὴν εἶναι τὴν διάθεσιν, ᾗ δὲ ταχύς τε ἅμα, καὶ πυκνός, καὶ μέγας, ἕπεσθαι τῇ φλεγμονῇ πυρετόν. ᾗ δ' ἕκαστον τῶν εἰρημένων, ἢ μεῖζον, ἢ μεῖον εἴη σημείων, ἤτοι μεγάλην εἶναι τὴν διάθεσιν, ἢ σμικρὰν δηλώσει. C ἀρκεῖ μοι ταῦτα παραδείγματος ἕνεκα λελέχθαι νῦν. οὐ γὰρ δὴ περὶ πεπονθότων γε τόπων πρόκειται διελθεῖν, ὥσπερ οὐδὲ περὶ πυρετῶν, ἢ τύπων, ἢ αἰτιῶν, ἀλλ' ἐμνήσθην ἑκάστου τούτων, ἅμα μὲν ὁδόν τινα δεῖξαι βουλόμενος τῆς ἐν αὐτοῖς ἀσκήσεως, ἣν ἔχων τις, εἰ καὶ μηδὲν ἡμεῖς γράψαιμεν εἰς ἕκαστον τῶν προειρημένων ἰδίᾳ, δύναιτ' ἂν ἔκ τε τῶν τοῖς ἄλλοις γεγραμμένων, ἤδη δὲ καὶ αὐτὸς καθ' ἑαυτόν, εἰ συνετός τε εἴη, καὶ φιλόπονος ἐξευρίσκειν τὸ λοιπόν, ἅμα δὲ καὶ τὸ χρήσιμον ἐπιδεῖξαι βουλόμενος ἑκάστου τῶν λεγομένων, ἐμνημόνευσα καὶ πυρετῶν διαφορᾶς, καὶ D τύπων, καὶ διαθέσεων, καὶ αἰτίων, καὶ αὐτῶν τῶν πεπονθότων μορίων.

CAPVT XI.

Febrium diuisio & quid vnumquodque genus suapte natura portendat.

NAm in his omnibus exercitatum esse oportet eum, qui debeat in primis diebus exquisitè nouisse ipsam morbi speciem. Vel enim simplex est febris, vel composita, vel cum loco affecto, vel sine loco affecto, vel ephemera, vel hectica. Quòd si simplex fuerit omnino, humoris indicia affert, ex quo genita est; si verò composita, ex quot simplicibus febribus composita est, totidem numero humorum multitudinem indicabit. At si hoc indicet, illud etiam significabit, nunquid morbus diu durabit, an citò finietur; nam si humor pituitosus extiterit, necessariò diuturnus erit; longè verò magis, si atræ bilis naturam afferet; at si ad flauam bilem pertinebit, non erit diuturnus. Sic & locus affectus, qui quidē motu multo exercetur, calidus est, ac rarus, & princeps, acutiorem morbum futurum portendit; qui verò neque in motu continuo est, frigidusque ac densus, & ignobilis est, ad longius tempus extendi debere significat. Eodem modo, & affectio siquidem difficilem motum habuerit, frigidiorque fuerit, ac densior, diu duraturum; si autem facilè moueatur, calidiorque fuerit, ac rarior, citò solutum iri. Eodem modo, & de causis iudicandum est.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἡ τῶν πυρετῶν διαίρεσις, καὶ τί κατὰ φύσιν προδηλοῖ ἕκαστον τῶν αὐτῶν γένος.

ΕΝ ἅπασι γὰρ τούτοις γεγυμνάσθαι χρὴ τὸν μέλλοντα κατὰ τὰς πρώτας ἡμέρας, ἀκριβῶς διαγνώσεσθαι τῆς νόσου τὴν ἰδέαν. ἢ γὰρ ἁπλοῦς ἐστιν ὁ πυρετός, E ἢ σύνθετος, ἢ μετὰ τόπου πεπονθότος, ἢ ἄνευ τόπου πεπονθότος, ἢ ἐφήμερος, ἢ ἑκτικός. ἀλλ' εἴθ' ἁπλοῦς εἴη πάντως, γνωρίσματα φέρει τοῦ χυμοῦ τοῦ γεννῶντος αὐτόν, εἴτε σύνθετος, ἐξ ὁπόσων ἂν εἴη σύνθετος ἁπλῶν πυρετῶν, ἰσάριθμον ἐνδείξεται, καὶ τὸ πλῆθος τῶν χυμῶν. ἀλλ' εἰ ταῦτ' ἐνδείξεται, καὶ εἰ χρόνιός ἐστιν, ἢ μή, συνενδείξεται. εἰ μὲν γὰρ φλεγματικός, ἐξ ἀνάγκης χρόνιος, ἔτι τε μᾶλλον, εἰ μελαγχολικός. εἰ δ' αὖ πικρόχολος, ὀλιγοχρόνιος. οὕτω δέ, καὶ ὁ τόπος, ὁ πεπονθὼς μὲν ἐν κινήσει πολλῇ, καὶ θερμός, καὶ μανός, καὶ κύριος, F ὀξυτέραν ἔσεσθαι προδηλοῖ τὴν νόσον. ὁ δὲ μήτ' ἐν κινήσει συνεχεῖ, καὶ ψυχρός, καὶ πυκνός, καὶ ἄκυρος, εἰς χρόνον ἐκπέμπεσθαι μακρότερον. ὡσαύτως δέ, καὶ ἡ διάθεσις, ἡ μὲν δυσκινητοτέρα, καὶ ψυχροτέρα, καὶ πυκνοτέρα χρονίζει, ἡ δ' εὐκίνητος, καὶ θερμοτέρα, καὶ μανωτέρα, ταχέως λυθήσεσθαι. κατὰ ταῦτα δέ, καὶ περὶ τῶν αἰτίων γινώσκειν.

ὥσθ' ὅστις ἀκριβῶς ὅλην γνῷ τοῦ νοσήματος τὴν ὑπόθεσιν, οὐ σμικρὰν μοῖραν εἰς πρόγνωσιν ἕξει. τὰς μὲν οὖν μετ' ἀγῶνός τε μεγάλου, καὶ ὀξυρρόπου λύσεις τῶν νοσημάτων, ἃς δὴ καὶ μάλιστα κρίσεις ἐλέγομεν ὀνομάζεσθαι, τῶν ἐπὶ χυμοῖς θερμοῖς συνισταμένων πυρετῶν ἰδίας εἶναι χρὴ νομίζειν. ἐφεξῆς δὲ τούτων, ὅσαι μορίων εἰσὶ κυρίων, εὐκίνητοι καὶ θερμαὶ διαθέσεις. οἱ δὲ ἐφήμεροί τε, καὶ οἱ ἑκτικοὶ πυρετοὶ, καὶ χωρὶς ταραχῆς μεγάλης, καὶ οὐδ' ὀξυρρόποις ποιοῦνται τὰς μεταβολάς. ἀλλ' ἐπεὶ καὶ ταύτας, ἐνίοτε καταχρώμενοι κρίσεις ὀνομάζουσιν, εἰρήσεταί τι καὶ περὶ τούτων ἐν τοῖς ἐφεξῆς. νυνὶ δὲ τέλος ἐπιθεῖναι βούλομαι τῷ παρόντι λόγῳ, συγκεφαλαιώσας εἰς ἓν ἅπαντα τὰ προειρημένα.

A Quare si quis diligenter agnouerit totam morbi hypothesim, non paruum habebit ad prænoscendum momentum. Eas igitur, quæ cum magno, & cito se inclinante certamine fiunt, morborum solutiones (quas præcipuè crises nominari dicebamus) febrium earum, quæ ex calidis humoribus accenduntur, proprias esse est existimandum; post has, earum, quæcunque partium sunt principum, facilè mobiles, & calidæ affectiones. Ephemeræ verò, & hecticæ febres, & sine magna perturbatione, & minimè subitas faciunt permutationes; sed quoniam & has per abusionem aliquando crises appellant, de istis etiam deinceps aliquid dicetur. B Nunc verò finem imponere statuimus præsenti sermoni, ad vnum omnia, quæ ante diximus, caput redigentes.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ἐπίλογος τῶν πρόσθεν εἰρημένων.

Τὰς ὀξείας ἐν νόσοις μεταβολὰς εἰ βούλοιο προγινώσκειν, ἀναγκαῖόν ἐστί σοι πρότερον ἀρχῆς καὶ ἀναβάσεως, καὶ ἀκμῆς, καὶ παρακμῆς εἶναι διαγνωστικῷ τε καὶ προγνωστικῷ. ταῦτα δ' αὐτὰ διαγνώσῃ, διά τε τῆς τοῦ νοσήματος ἰδέας, καὶ τῆς χώρας, καὶ τῆς ὥρας τοῦ ἔτους, ἅμα τοῖς συστοίχοις αὐτοῖς, καὶ τῆς τῶν περιόδων ἀναλογίας, καὶ προσέτι τῶν ἐπιφαινομένων. ἐκ μὲν τῆς τοῦ νοσήματος ἰδέας, εἰς τρεῖς τούτους ἀποβλέπων ἁπλοῦς, καὶ πρώτους πυρετοὺς, τὸν φλεγματώδη, καὶ τὸν μελαγχολικὸν, καὶ τὸν πικρόχολον, ἄσκησον δὲ γνωρίζειν αὐτοὺς πρότερον ἀκριβεῖς τε, καὶ γνησίους, οὕτω γὰρ καὶ δυνήσῃ ποτὲ, καὶ μεμιγμένους ἐξευρίσκειν. ἀκριβεῖς δὲ καὶ γνήσιοι τότ' εἰσὶν, ὅταν ἡλικία, καὶ ὥρα, καὶ χώρα, καὶ κατάστασις, καὶ φύσις, καὶ τὰ προηγούμενα διαιτήματα, καὶ τὰ παρόντα συμπτώματα, καὶ πάνθ' ἁπλῶς, ὅσα πρόσθεν εἶπον οἰκεῖα τοῦ χυμοῦ τῆς ἰδέας ὑπάρχῃ. μενόντων μὲν οὖν τῶν χυμῶν κατὰ τὰς φλέβας, οἱ συνεχεῖς ἐπ' αὐτοῖς γίνονται πυρετοί. κινουμένων δὲ, καὶ πάντῃ τοῦ σώματος ὠθουμένων, οἱ μετὰ ῥίγους, ἢ φρίκης ἰσχυρᾶς ἀρχόμενοι, σὺν ἱδρῶτι δὲ πάντως εἰς ἀπυρεξίαν τελευτῶντες. ἔστι δ' αὐτῶν ὁ μὲν τριταῖός τε, καὶ ὁ διὰ τρίτης ὀλιγοχρόνιος, ὁ δὲ τεταρταῖος, καὶ ὁ διὰ τετάρτης πολυχρόνιος. ἧττον δὲ χρόνιος τούτου, ὅ, τ' ἀμφημερινός ἐστι, καὶ ὁ καθ' ἑκάστην ἡμέραν παροξυνόμενος, εἰ τούτους εἰδείης ἑτοίμως γνωρίζειν, οὐκ ἂν ἔτι χαλεπὸν ἐξευρίσκειν, οὐδὲ τοὺς ἐπὶ τόποις τισὶ πεπονθόσι συνισταμένους. ἐν γὰρ τοῖς φλεγμαίνουσι μορίοις ἅπασιν ἡ σφήνωσις τῶν χυμῶν, εἴργουσα διαπνεῖσθαι καλῶς τὸν τόπον, εὐθὺς μὲν σήπει τοὺς χυμοὺς, εὐθὺς δὲ καὶ θερμασίαν ἀνάπτει τινὰ μοχθηρὰν, οἵα κἀν τοῖς ἄλλοις ἅπασι τοῖς σηπομένοις γίνεται. ταύτης οὖν τῆς θερμασίας ὁ χαρακτὴρ, ὅταν ἁπλοῦς ᾖ, τῶν εἰρημένων τινὶ πυρετῶν ἐξ ἀνάγκης ἔοικε. μᾶλλον δὲ εἰ χρὴ τἀληθὲς εἰπεῖν, εἷς ἐξ ἐκείνων ἐστὶν, ἢ πικρόχολος, ἢ μελαγχολικὸς, ἢ φλεγματικός. ἤκουσας δέ που λέγοντος Ἱπποκράτους, τινὲς εἰσὶν ὀξέαι νόσοι, ἢ ὡς ταύτας καλοῦσιν ὀξείας νόσους, ὧν οἱ πυρετοὶ τοὐπίπαν εἰσὶ συνεχεῖς, ὥστ' εἰ καθ' ἰδίαν τε, καὶ καθ' ἑαυτὸν ἕκαστον τῶν πυρετῶν ἀσκήσαις γνωρίζειν, οὐκ ἂν ἔτι χαλεπῶς, οὐδ' ὅταν ἅμα πνεύμονος, ἢ σπληνὸς, ἢ ἥπατος, ἢ γαστρὸς φλεγμονή τις εὑρίσκοιτο, διαγνώσῃ τε τὴν ἰδέαν αὐτοῦ, καὶ τὸ μέχρι λύσεως μῆκος ὅλης τῆς νόσου προγνώσῃ.

CAPVT XII.

Epilogus eorum, quæ hactenus demonstrata sunt.

SVbitas in morbis mutationes si velis prænoscere, necessarium tibi prius est, principij, & incrementi, ac status, & declinationis habere dignotionem, & prænotionem. Hæc autem dignosces, C & ex morbi forma, & regione, & anni tempore, vnà cum illis, quæ his correspondent; ex circuituum etiam proportione, atque etiam ex mox apparentibus. Ex morbi quidem forma, ad has tres simplices, & primas febres inspiciens, ad eam scilicet quæ ex pituita, & quæ ex atra bile, & quæ ex amara generatur. Priùs igitur in iis dignoscendis exercearis, quæ exquisitæ sunt, atque legitimæ; sic enim aliquando poteris etiam cõpositas inuenire. Tunc verò exquisitæ sunt, atque legitimę, quando & ætas, & anni tẽpus, & regio, ac constitutio, naturaque, atq; ea, quæ antecessit ratio victus, præsentia D quoque accidentia, & omnia simpliciter, quæ antea dixi, humoris formæ cõuenerint. Manentibus igitur in venis humoribus, cõtinuæ ex ipsis febres generantur; si verò moueantur, ac per totum corpus deferantur, hæ quæ cum rigore, atque horrore incipiunt vehementi, cum sudore verò omnino ad infebricitationem desinentes. Est autem ex ipsis tertiana quidem, & quæ per tertium accenditur, breuis temporis; sicut quartana, & quæ per quartum accenditur, longi; minus verò, quam hæc, longa, quotidiana, & quæ singulis diebus facit accessionem. Si has noueris expeditè discernere, E haudquaquam difficulter eas, quæ ex quorundam locorum affectu cõsistunt, inuenies. Nam in omnibus inflammatis partibus humorũ impactio, quæ locũ bene difflari prohibet, statim quidẽ humores putrefacit, simulque calorem quendam prauum excitat, qualis & in reliquis omnibus putrescentibus oritur. Huius igitur caloris character, quum simplex fuerit, earum alicui, quas diximus, febrium, necessariò assimilatur; vel potius (si verum velimus dicere) vna ex illis est, vel ad amaram bilem, vel ad atram, vel ad pituitam attinens. Audiuisti autem Hippocratẽ quodam in loco dicentem quod quidam sunt acuti morbi, & quòd F hos vocant acutos morbos, quorum febres maxima ex parte continuæ sunt. Quare, si seorsum, ac per se singulas febres nosse meditaberis, haudquaquam difficulter, neq; quum pulmonis, aut splenis, aut hepatis, aut ventriculi, aliqua inflammatio affuerit, formam ipsius agnosces; totiusque morbi, vsque ad solutionem, longitudinẽ præcognosces.

Omnino

Omnino enim fluxio, quæ inflammationem efficit, vel flauæ bilis est, vel atræ, vel pituitæ. Si igitur impermixtæ, multæque flauæ bilis fuerit, tunc facit erysipelata, & eos qui herpetes nominantur; sicuti nigræ cancros, & phagedænas, aut elephantes, aut aliquem, ex his adeò curatu difficilibus, morbum; quæcunque verò ingruente pituita in tumorem attolluntur, hæc œdemata nuncupantur. Simplex igitur & solus vnusquisque horum, quos diximus, humorum, quemlibet horum, quos commemorauimus, facit exquisitum morbum. Sanguini verò permixtus atque confusus, deinde in partem aliquam decumbens, vel scirrhosas, vel œdematosas vel erysipelatosas facit inflammationes; scirrhosas quidem melancholicus, erysipelatosas verò, biliosus; œdematosas, pituitosus. Quum verò ipse secundum naturam se habens sanguis, impactus in loco fluxioni obnoxio putruerit, hic quidem affectus inflammatio est: simplex verò ex ipsa febris accenditur, similis maximè ephemeris, quæ ex inflammationibus inguinum accidunt; nam & inguinis inflammatio ex bono sanguine fit. Liquet autem, quod quum hic putrescere cœperit, non amplius bonus remanet, sed iam ad amaræ bilis naturam transit. Atque in hoc illud seruatur, triplex esse genus vniuersum simplicium febrium; quæ enim ex sanguine putrescente fit, iam quodammodo biliosa est; si sanè in naturalibus sermonibus rectè ostensum est, quod sanguis ex moderato calore generatur, flaua autem bilis ex maiore, atra verò ex sufficienter immodico. Quidquid igitur pingue, & tenue in sanguine est, fit flaua bilis: crassum verò, ac veluti fæx, quando immodicè calefactum exaruerit, atra. Flaua etiam bilis quandoque in atram conuertitur, quum assata fuerit: duplex etenim eius generationis modus ostensus est. Omnes igitur, quæ ex parte aliqua affecta febres accenduntur, vnum aliquem ex dictis, vel simplicem, vel compositum habebunt characterem; simplicem quidem, quando vnus aliquis sufficienter præualuerit cæteris; non simplicem verò, quando commixti alterius potentia apparuerit. Nonnunquam autem non solus apparet, sed ex æquo dominatur; & nonnunquam tres simul viribus æquales commiscentur. Sed sicuti qui scit & vinum, & mel, & aquam seorsum exquisitè discernere, neque horum ignorabit temperiem: eodem (vt arbitror) modo neque qui facultatem habuit eas, quas antea diximus, febres singulas exquisitè noscendi, earum mixtionem ignorabit. Quare in omnibus talibus principio illud optimum est, tres istas febres posse exquisitè discernere, quotidianam, tertianam, & quartanam: similes enim ipsis omnino sunt continuæ eiusdem generis adiacentes. Non igitur ad plures, atque obscuros scopos, sed ad paucos, & manifestos, omnem tibi redegi exercitationem; in his enim exercitatus, haud quaquam difficulter in primis diebus characterem morbi perspectum habebis.

CAPVT XIII.

De dignotione febrium ephemerarum.

Dvo quidẽ genera febriũ quo pacto quispiã ab initio cognoscat, exposui; dico autẽ duo

πάντως γάρ που τὸ ῥεῦμα, τὸ τὴν φλεγμονὴν ἐργασάμενον, ἢ τῆς ξανθῆς χολῆς ἐστιν, ἢ τῆς μελαίνης, ἢ τοῦ φλέγματος. εἰ μὲν οὖν ἄκρατόν τε γε, καὶ πολλῆς τῆς ξανθῆς χολῆς εἴη, τηνικαῦτα μὲν ἐρυσιπέλατά τε, καὶ τοὺς καλουμένους ἕρπητας ἐργάζεται. τῆς μελαίνης δ' αὖ εἴη, ἢ καρκίνους, ἢ φαγεδαίνας, ἢ ἐλέφαντας, ἢ τι τῶν οὕτω δυσιάτων παθῶν. ὅσα δ' ὑπὸ φλέγματος κατασκήψαντος ἐξαίρεται, ταῦτ' οἰδήματα κέκληται. ψιλὸς μὲν οὖν, καὶ μόνος ἕκαστος τῶν εἰρημένων χυμῶν, ἀκριβὲς ἕκαστον ἐργάζεται τῶν εἰρημένων παθῶν. ἀναφυραθεὶς δὲ τῷ αἵματι, κἄπειτα κατασκήψας εἴς τι μόριον, σκιρρώδης, ἢ οἰδηματώδης, ἢ ἐρυσιπελατώδης ἐργάζεται τὰς φλεγμονάς. σκιρρώδης μὲν ὁ μελαγχολικὸς, ἐρυσιπελατώδης δὲ ὁ πικρόχολος, οἰδηματώδης δὲ ὁ φλεγματικός. ὅταν δὲ αὐτὸ τὸ κατὰ φύσιν ἔχον αἷμα, σφηνωθὲν ἐν τῷ ῥευματισθέντι χωρίῳ διασαπῇ, φλεγμονὴ μὲν ἐστι τὸ πάθημα. ἁπλοῦς δὲ ἐπ' αὐτῇ πυρετὸς ἐξάπτεται, παραπλήσιος μάλιστα τῶν ἐφημέρων τοῖς ἐπὶ βουβῶσι. καὶ γὰρ οὖν, καὶ αὐτὸς ὁ βουβὼν ἐξ αἵματος χρηστοῦ γίνεται. δῆλον δ', ὡς ἐπειδὰν ὑπάρξηται σήπεσθαι τοῦτο, οὐκέτι μένει χρηστὸν, ἀλλ' ἤδη πικρόχολον γίνεται, καὶ φυλάττεται κἀν τῷδε, τὸ τρία τὰ σύμπαντα εἶναι γένη τῶν ἁπλῶν πυρετῶν. ὁ γὰρ ἐξ αἵματος σηπομένου γινόμενος, ἤδη πως χολώδης ἐστὶν, εἴ γε κἀν τοῖς φυσικοῖς λόγοις ὀρθῶς ἀποδέδεικται, τὸ μὲν αἷμα ἡ σύμμετρος ἐργαζομένη θερμασία, τὴν ξανθὴν δὲ χολὴν, ἡ πλείων ἤδη, τὴν μέλαιναν δὲ, ἡ ἄμετρος ἱκανῶς. ὅσον μὲν οὖν ἐστι λιπαρόν τε, καὶ κοῦφον ἐν αἵματι, ξανθὴ χολὴ γίνεται. τὸ παχὺ δὲ, καὶ οἷον τρὺξ, ὅταν ἀμέτρως θερμανθὲν ἐξικμασθῇ, μέλαινα γίνεται. γίνεται δέ ποτε μέλαινα, καὶ ἡ ξανθὴ κατοπτηθεῖσα. διττὸς γὰρ δὴ καὶ ταύτης ἐδείχθη τῆς γενέσεως ὁ τρόπος. ἅπαντες οὖν, οἱ ἐπὶ μορίοις τισὶ πεπονθόσι πυρετοὶ, τῶν εἰρημένων τινὰ χαρακτήρων, ἢ ἁπλοῦν, ἢ σύνθετον ἕξουσιν. ἁπλοῦν μὲν, ὅταν ἱκανῶς κρατήσῃ τῶν ἄλλων εἷς χυμὸς, οὐχ ἁπλοῦν δὲ, ἐπειδὰν ἐμφαίνηται τοῦ μιχθέντος ἡ δύναμις. ἐνίοτε δὲ οὐκ ἐμφαίνεται μόνον, ἀλλὰ καὶ κατ' ἴσον ἰσχύει θατέρῳ, καί ποτε καὶ οἱ τρεῖς ἅμα μίγνυνται ταῖς δυνάμεσιν ἴσοι. ἀλλ' ὥσπερ τῷ ἀκριβῶς ἐπισταμένῳ ἰδίᾳ γνωρίζειν οἶνον, καὶ μέλι, καὶ ὕδωρ, οὐδ' ἡ κρᾶσις αὐτῶν διαλανθάνει· κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον, οὐδ' ὅστις ἰδίᾳ τῶν εἰρημένων ἕκαστον τῶν πυρετῶν, οἷός τ' ἐστὶ γνωρίζειν ἀκριβῶς, οὐκ ἀγνοήσει τὴν μίξιν αὐτῶν, ὅθεν ἀρχὴ πάντων ἐστὶ, τῶν τοιούτων ἀρίστη, τοὺς τρεῖς ἐκείνους πυρετοὺς δύνασθαι γνωρίζειν ἀκριβῶς, ἀμφημερινὸν, καὶ τριταῖον, καὶ τεταρταῖον. ὅμοιοι γὰρ αὐτοῖς ἀκριβῶς εἰσι, καὶ οἱ παρακείμενοι συνεχεῖς, οὐκ οὖν εἰς πολλοὺς, καὶ ἀσαφεῖς σκοποὺς, ἀλλ' εἰς ὀλίγους τε, καὶ σαφεῖς ἅπασαν ἀνήγαγόν σοι τὴν ἄσκησιν. ἐν τούτοις γὰρ γυμνασάμενος, οὐ χαλεπῶς ἐν ταῖς πρώταις τῶν ἡμερῶν διαγνώσῃ τῆς νόσου τὸν χαρακτῆρα.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ τῆς τῶν ἐφημέρων πυρετῶν διαγνώσεως.

Τὰ μὲν δύο γένη τῶν πυρετῶν, ὅπως ἄν τις ἐξ ἀρχῆς γνωρίζοι, λέλεκται. λέγω δὲ δύο γένη τῶν πυ-

πυρετῶν, τό,τ' ἐπὶ μορίοις τισὶ πεπονθόσι, καὶ τὸ τῶν χυμῶν μόνον ἐξαπτομένων. ἐφεξῆς δ' ἂν εἴη λέγειν περὶ τοῦ τρίτου γένους τῶν πυρετῶν, οὓς ἐφημέρους ἔφαμεν ὀνομάζεσθαι. τοῦ πνεύματος δ' αὐτοῦ μόνου παθήματ' ὑπάρχουσιν οὗτοι, χωρὶς χυμῶν σηπεδόνος, ἢ μορίου φλεγμονῆς, ἔξω τῶν ἐπὶ βουβῶσιν. αἱ προφάσεις δ' αὐτῶν τῆς γενέσεως ἀγρυπνία, καὶ ἀπεψία, καὶ λύπη, καὶ φόβος, καὶ θυμός, καὶ φροντίς, ἔγκαυσίς τε, καὶ ψύξις, καὶ κόπος, καὶ μέθη, καὶ πάνθ' ὅσα τοιαῦτα. πῶς οὖν καὶ τούτους γνωρίζειν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν χρή, ἐφεξῆς δίειμι. κοινῇ μὲν ἁπάντων ὁ σφυγμὸς εἰς τάχος ἐπιδίδωσι, καὶ πυκνότητα, πολλάκις δὲ καὶ μέγεθος. ἀκριβῶς δὲ ἀποσώζει τὴν κατὰ φύσιν ὁμαλότητά τε, καὶ μαλακότητα, καὶ τάξιν, ὡσαύτως δὲ καὶ τὰ οὖρα, τὰ μὲν ἐναιωρήματα χρηστά, τὰ δ' ὑποστάσεις ἔχει, τὰ δὲ νεφέλας, εὔχροα δὲ πάντα, καθάπερ καὶ ἡ θερμασία πάντων μὲν ἀτμώδης ἐστίν. ἀλλὰ τοῖς μὲν εὐθὺς ἐν τῇ πρώτῃ τῆς ἀφῆς ἐπιβολῇ, τοῖς δ' ἐξ ὑστέρου, καὶ πάντ' αὐτῶν ἄπεστι τὰ κακοήθη συμπτώματα, περὶ ὧν Ἱπποκράτης ἐδίδαξεν ἡμᾶς ἐν προγνωστικῷ. ταῦτα μὲν οὖν ἁπάντων ἐστὶ κοινὰ σημεῖα τῶν ἐφημέρων πυρετῶν. ἴδια δ' ἑκάστῳ, καθάπερ εἴρηταί μοι κἀν τῷ πρώτῳ τῶν πρὸς Γλαύκωνα θεραπευτικῶν. ἄρξομαι δὲ καὶ νῦν ἀπὸ τῶν ψυχικῶν παθῶν τοῦ λόγου φροντίδος, καὶ φόβου, καὶ θυμοῦ, καὶ λύπης. εἰ μὲν δὴ μενόντων ἔτι τῶν τῆς ψυχῆς παθῶν ἡ ἐπίσκεψις γίγνοιτο, διὰ τῶν σφυγμῶν μάλιστα πειρᾶσθαι διαγινώσκειν, ὡς ἐν τοῖς περὶ σφυγμῶν γέγραπται. μετὰ δὲ ταῦτα, καὶ τὴν ἀπὸ τῶν ἄλλων εἰσάγειν διάγνωσιν. εἰ δ' αὐτὰ μὲν εἴη πεπαυμένα, μένοι δ' ἡ διάθεσις, ἀμυδρὸν μέντοι κἀν τοῖς σφυγμοῖς, εὑρήσεις γνώρισμα τῶν ποιησάντων τὸν πυρετὸν παθῶν, ἀπαρκέσει δέ σοι, καὶ χωρὶς τῶν σφυγμῶν τὰ λοιπὰ πάντα. κοινῇ μὲν γὰρ ἅπασι πυρρότερα τὰ οὖρα, πρόσεστι δὲ τοῖς μὲν διὰ λύπην δριμύτης μᾶλλον, ἢ πλῆθος θερμασίας, ὡς τοῖς γε διὰ θυμόν, ἔμπαλιν. ἀλλὰ καὶ ἡ ἰσχνότης τοῦ σώματος, ἐπιδηλοτέρα τοῖς λυπηθεῖσιν, ἢ τοῖς φροντίσασι, καὶ ἡ τῶν ὀφθαλμῶν κοιλότης, καί τις ἀήθης ἀχροια. ταῦτα μὲν δὴ καὶ τῶν ἄλλως ὁπωσοῦν φροντισάντων κοινά, μάλιστα δὲ τοῖς ὀφθαλμοῖς ἐστι διορίζειν. ἔνεστι γὰρ ἐκ τούτων τεκμήρασθαι, κἀν τοῖς ὑγιαίνουσι μὲν τὸ τῆς ψυχῆς ἦθος, καὶ νοσούντων δὲ σαφέστατα σημεῖα, τῷ γε δυναμένῳ συνορᾶν. οὕτως μὲν δὴ τοὺς διὰ μαθήματά τε, καὶ θεωρίας τινὰ φροντίσαντας, τῶν λυπηθέντων διακρίνειν προσήκει, τοὺς δ' ἐπ' ἀγρυπνίαις, διορίζει μὲν καὶ τὸ τῆς ἀχροίας εἶδος. ὑποιδὲς γάρ ἐστιν αὐτοῖς τὸ πρόσωπον, καὶ αἱ τῶν ὀφθαλμῶν κινήσεις δῆλαι, μόγις γὰρ ἐπαίρουσι τὰ βλέφαρα. καὶ μὴν ὑγρότης δέ, ξηροὶ γὰρ γίγνονται τοῖς λυπηθεῖσιν, ἢ φροντίσασιν. ἡ κοιλότης δὲ κοινὸν ἁπάντων σύμπτωμα, λύπης, ἀγρυπνίας, φροντίδος, καὶ οὐ μὴν ἤδη, καὶ θυμοῦ. τούτῳ γὰρ οὔτε τὰ τῆς κοιλότητος τῶν ὀφθαλμῶν, οὔτε τὰ τῆς ἀχροίας ἐπίδηλα, καὶ μὴν θερμασία πλείων τε, καὶ ὠκέως ἐκ τοῦ βάθους ἀναφερομένη. καὶ τὸ μέγεθος τῶν σφυγμῶν οὐκ ἀφαιρεῖται, καθάπερ ἐπ' ἀγρυπνίαις τε, καὶ λύπῃ, καὶ φροντίδι, ὥστε θυμὸν μέν, καὶ πάνυ σαφῶς αὐτῶν διοριεῖς. ἀλλήλων δὲ ἐκεῖνα, καθάπερ προείρηται, τῶν δ' ἐπὶ κόποις πυρεξάντων, τὸ δέρμα ξηρότερον, ἤπερ ἄλλῳ τινὶ τῶν ἐφημέρων πυρετῶν.

genera febrium; & quod occasione partium quarundam affectarum; & quod ex putredine humorum tantummodo accenditur. Reliquum est, vt de tertio febrium dicamus genere, quas ephemeras appellari dicimus. Sunt autem hæ tantummodo spiritus affectiones, absque humorum putredine, aut partis inflammatione, nisi inflammatis inguinibus accidant. Earum autem generationis causæ sunt, vigiliæ, ac cruditas, & tristitia, & timor, & ira, & curæ, deustioque, ac refrigeratio, lassitudo, & ebrietas, & quęcunque similia sunt. Quomodo igitur & has in prima die cognoscere oporteat, deinceps exponam. Communiter quidem omnium pulsus ad celeritatem, & frequentiam promouetur, & sæpenumero ad magnitudinem: exquisitè autem seruat eam, quæ secundũ naturam, & æqualitatem, atque mollitiem, & ordinem. Sic & vrinæ, nonnullæ quidem suspensa, nonnullæ verò sedimenta bona habent, quædam autem nebulas, omnes verò bene coloratæ sunt: sicuti & calor in omnibus vaporosus est, sed quibusdam statim quidem in primo contactu, quibusdam verò posterius. Atq; omnibus ipsis absunt maligna symptomata, de quibus docuit nos Hippocrates in Prognostico. Hæc igitur cõmunia signa sunt omnium febrium ephemerarum; propria verò singulis, quę à me dicta sunt etiam in primo libro artis curatiuæ ad Glauconem; nunc verò inchoabo sermonem ab affectibus animæ, à cura, & timore, & ira, & tristitia. Si quidem remanentibus adhuc animi affectibus consideratio fiat, ex pulsibus maximè tentandum est facere dignotionem, quemadmodum in libris De pulsibus scriptum est; post autẽ etiam ex aliis inuestigandum. Quòd si illi quidem affectus sedati fuerint, affectio verò remanserit, debile quidem & hîc in pulsibus indicium inuenies illatum, quæ febrem antecesserunt, affectionum: tibi autem sine pulsibus reliqua omnia sufficient. Communiter enim omnibus vrinæ rufiores. Adest autem iis quidẽ, qui ob tristitiam febricitant, acrimonia potius, quàm multitudo caloris: sicuti iis, qui ob iram, contrario modo. Sed & tenuitas corporis in iis, qui tristitia, quàm in iis, qui cogitationibus vexati sunt, manifestius apparet, & oculorũ cauitas, & quædam insolita decoloratio. Et hæc quidem communia omnium etiam aliorum, qui quocunq; modo cogitationibus impliciti fuerint, indicia sunt; sed præcipuè ex oculis discernendi sunt; licet enim ex his etiam in sanis animi affectũ coniicere, in ęgris autem manifestissima signa sunt ei, qui inspiciendi habeat facultatem. Sic quidem illos, qui propter disciplinas, aut propter meditationẽ aliqua cogitauerunt, ab iis, quos tristitia corripuit, discernere oportet. Eos autem qui nimium vigilarunt, distinguit & decolorationis modus, nam subtumida ipsis facies inest, & oculorum motus manifesti, vix enim attollunt palpebras; & humiditas oculorum; sicci enim contristatis fiunt, & cogitantibus. Cauitas verò commune omnium symptoma est, tristitiæ, vigiliæ, curarum, non tamen & irę; huic enim, neq; oculorum cauitas, neq; decoloratio manifesta; & calor etiam amplior, & qui celeriter ex profundo efferatur; & pulsuum magnitudo non minuitur, quemadmodum in vigiliis, tristitiis, & cogitationibus. Quare iram quidem ab ipsis valde manifestè distingues; illas verò inuicem, quemadmodum antea diximus. Eorum verò, qui ex lassitudinibus febricitant, cutis est siccior, plusquã in aliqua alia febrium ephemerarũ.

Sed

Sed hoc quidem omnibus, qui ex lassitudine febricitant commune est in eo accessionis tempore, quod vsque ad statum protenditur; at eo tempore, quod statum sequitur, plurimis quidem, quicunque non supra modum fatigati sunt, humiditates quædam, vel vapor calidus ex profundo attollitur; quibusdam verò etiam in iis, quæ statum subsequuntur, temporibus siccitas remanet. Fit verò hoc maximè iis, qui supra modum fatigati sunt, vel deusti, vel refrigerati vnà cum lassitudine. Et pulsus etiam non eodem modo in vtrisque se habent; parui enim iis, qui supra modum sunt fatigati; magni verò aliis sunt. At quæ ex densata cute febres oriuntur (densatur autem, vel frigefacta, vel qualitate acerba subitò ipsam inuadente veluti accidit eis, qui a qua aluminosa se balnearunt) hæ solùm ex omnibus febribus affectus astrictus sunt. Licet autem ipsas ex tactu dignoscere, sicuti & aridas febres, quæ ex lassitudine fiunt; neque enim vel harum densitas tactum lateat exercitatum. Sed & caliditatis motus in iis quodammodo inaugescit; nam in primo manus iniectu mitis apparet, acrior verò postmodum euadit, si moratus fueris. Sed neque vrinæ rufæ in talibus, neque corporis moles collapsa, quare neque oculi concaui, & sicci apparent; sed sunt quibus, & humidiores, & prominentiores iis, qui secundum naturam, esse videbuntur; pulsus verò quemadmodum in tristitia, & curis, & vigiliis, atque immoderatis exercitiis, minores. Earum verò febrium ephemerarum, quæ ex inflammationibus inguinum accenduntur, pulsus maximi sunt, & veloces, atque frequentes, calorque plurimus, & post statum statim ex profundo humiditas quædam attollitur calida quidem, sed suauis, nam acrimonia, & mordacitas minimè omnium his febribus adest; & rubicunda facies maxima ex parte ipsis inest, & in maiori tumore, & vrinæ subalbæ. Communis verò his febribus ephemeris inest æqualitas pulsuum; nam ex ipsis paucæ admodum eam, quæ secundum vnam pulsationem est, inæqualitatem ostendunt; sed neque hæ valde manifestè, neque liquido. Dicta à me sunt & ipsa febrium ephemerarum indicia. De hecticis autem non est præsentis temporis sermo; nulla enim earum in primis diebus, sed in progressu temporis fit; quare de his quidem in sequentibus disseremus, hìc verò libro finem faciemus.

A ἀλλὰ τοῦτο μὲν ἅπασι τοῖς ἐπὶ κόπῳ πυρέξασι κοινὸν, ἔν γε τῷ μέχρι τῆς ἀκμῆς τοῦ παροξυσμοῦ χρόνῳ. τῷ δ' ἀπὸ τοῦδε τοῖς πλείστοις μὲν ὅσοι μὴ ὑπερεπόνησαν, ἰκμάδες τινὲς, ἢ ἀτμὸς θερμὸς ἐκ τοῦ βάθους ἀναφέρεται, τισὶ δὲ κἂν τοῖς μετὰ τὴν ἀκμὴν χρόνοις ἡ ξηρότης παραμένει. γίνεται δὲ τοῦτο μάλιστα τοῖς ὑπερπονήσασιν, ἢ ἐγκαυθεῖσιν, ἢ ψυχθεῖσιν ἅμα τῷ κόπῳ. καὶ μὲν δὴ καὶ τὰ τῶν σφυγμῶν, οὐχ ὡσαύτως ἐν ἀμφοτέροις ἔχει. μικροὶ μὲν γὰρ τοῖς ὑπερπονήσασι, μεγάλοι δὲ εἰσὶ τοῖς ἄλλοις, οἱ δὲ ἐπὶ τῇ πυκνώσει τοῦ δέρματος ἀνα-
B πτόμενοι πυρετοί. πυκνοῦται δὲ, ἢ ψυχόμενον, ἢ ποιότητος στρυφνῆς ἀθρόως αὐτῷ ἐμπεσούσης, οἷόν τι καὶ τῷ λουσαμένῳ ἐν τῷ ὕδατι τῷ στυπτηριώδει ἐγίνετο, οὗτοι μόνοι πάντων πυρετῶν στεγνόν εἰσι πάθος. ἔνεστι δὲ αὐτοὺς τῇ ἁφῇ διαγινώσκειν, ὥσπερ καὶ τοὺς αὐχμώδεις τῶν πυρετῶν τοὺς ἐπὶ τοῖς κόποις. οὐ γὰρ ἂν οὐδ' ἡ τούτων πύκνωσις, ἁφὴν γεγυμνασμένην διαλάθοι. ἀτὰρ οὖν καὶ ἡ τῆς θερμασίας κίνησις ἐπαναδιδοῦσά πώς ἐστι, πραεῖα μὲν κατὰ τὴν πρώτην ἐπιβολὴν φαινομένη, δριμεῖα δὲ, εἰ χρονίσαις ἐπὶ πλέον, γινομένη. οὐ μὴν
C οὐδὲ τὰ οὖρα πυῤῥὰ τοῖς τοιούτοις, οὐδ' ὁ τοῦ σώματος ὄγκος συμπέπτωκεν. οὔκουν οὐδ' οἱ ὀφθαλμοὶ κοῖλοι, καὶ ξηροὶ γίγνοιντο ἄν, ἀλλ' ἔστιν οἷς ὑγρότεροί τε, καὶ προπετέστεροι δόξουσιν εἶναι τῶν κατὰ φύσιν, οἱ δὲ σφυγμοὶ μικρότεροι, καθάπερ ἐπὶ λύπης, καὶ φροντίδος, καὶ ἀγρυπνίας, κἂν τοῖς ἄγαν ἀμέτροις γυμνασίοις. τῶν δ' ἐπὶ βουβῶσι πυρετῶν τῶν ἐφημέρων, οἱ σφυγμοὶ μέγιστοι γίνονται, καὶ ὠκεῖς, καὶ πυκνοὶ, καὶ ἡ θερμασία πολλὴ, καὶ μετὰ τὴν ἀκμὴν εὐθὺς, ἐκ τοῦ βάθους ἀναφέρεταί τις ἰκμὰς, θερμὴ μὲν, ἀλλ' ἡδεῖα. τὸ γὰρ δριμὺ, καὶ
D δάκνον, ἥκιστα πάντων πυρετῶν τοῖς τοιούτοις ὑπάρχει, καὶ τὸ πρόσωπον ἐρυθρὸν αὐτοῖς γίνεται τοὐπίπαν, καὶ ἐν ὄγκῳ μείζονι, καὶ τὰ οὖρα ὑπόλευκα. κοινὸν δὲ τοῖς τοιούτοις ἅπασι πυρετοῖς τοῖς ἐφημέροις, ἡ ὁμαλότης τοῦ σφυγμοῦ. παντελῶς γὰρ ἐξ αὐτῶν ὀλίγοι, τὴν κατὰ μίαν πληγὴν ἀνωμαλίαν ἐμφαίνουσιν, ἀλλ' οὐδ' οὗτοι πάνυ σαφῶς, οὐδ' ἐναργῶς. εἴρηταί μοι δὴ καὶ τὰ τῶν ἐφημέρων πυρετῶν γνωρίσματα. περὶ δὲ τῶν ἑκτικῶν, οὐ νῦν καιρὸς, οὐδεὶς γὰρ ἐν ταῖς πρώταις ἡμέραις, ἀλλ' ἐν τῷ χρόνῳ προϊόντι τοιοῦτος ἀποτελεῖται, ὥστε περὶ μὲν ἐκείνων ἐν τοῖς ἐφεξῆς εἰρήσεται. νυνὶ δὲ καταπαύσω τὸν παρόντα λόγον ἐνθάδε.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΕΩΝ
ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

GALENI DE CRISIBVS
LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Γ΄ ΒΙΒΛΙΩι.

Διέρχεται ὑπὲρ τοῦ τέλους ἁπάντων τῶν τε σωτηρίων, καὶ τῶν ὀλεθρίων νοσημάτων· καὶ τοῦ τῆς ἐν αὐτοῖς ἐσομένης κρίσεως καιροῦ τε καὶ προγνώσεως.

ARGVMENTVM LIBRI TERTII.

Agit de fine omnium tum ſalubrium, tum lethalium morborum; ac de futura in eis criſis tempore, & modi præcognitione.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Ἓξ εἶναι ἅπαντα τὰ τῶν ἐν ταῖς νόσοις μεταβολῶν γένη, καὶ πῶς αὐτῶν ἕκασται ὀνομάζονται.

ΠΡΟΚΕΙΤΑΙ μὲν, ὡς καὶ πρόσθεν ἐλέγετο, πάσης ἐν νόσῳ μεταβολῆς διαγνώσεις μὲν παρούσης, μελλούσης δὲ ἔσεσθαι, προγνώσεις εἰπεῖν. ἐπεὶ δὴ ἑξαχῶς αὗται γίνονται, πειρατέον ὑπὲρ ἑκάστου ἰδίᾳ διελθεῖν, αὐτὸ τοῦτο πρότερον ἀναμνήσαντας, ὡς ἓξ εἰσὶν αἱ πᾶσαι διαφοραὶ τῶν ἐν ταῖς νόσοις μεταβολῶν. ἢ γὰρ ἐξαίφνης εἰς ὑγείαν μεταπίπτουσιν, ἢ ἐξαίφνης ἀποκτείνουσιν, ἢ κατὰ βραχὺ τούτων ἑκάτερον, ἢ μικτῶς γίνεται. κατὰ βραχὺ μὲν, ἤτοι τῆς νόσου μαρανθείσης, ἢ τῆς τοῦ κάμνοντος δυνάμεως καταλυθείσης. μικτῶς δὲ, ἐπειδὰν ἀθρόα μέν τις ἐπὶ τὸ κρεῖττον, ἢ χεῖρον γένηται μεταβολὴ, τοὐντεῦθεν δὲ, ἕως παντελοῦς λύσεως, ἢ θανάτου, τὸ ὑπόλοιπον ἅπαν ἀπομαρανθῇ. περὶ πρώτης οὖν τῆς ἐξαιφνιδίου μεταβολῆς εἰς ὑγείαν εἴπωμεν, ὅτι τε πασῶν ἐστὶ τῶν εἰρημένων ἀρίστη, καὶ διὰ τοῦτ' αὐτὴν ἐξαιρέτως ὀνομάζουσι κρίσιν, ὅτι τε τῆς φύσεως ἀκριβῶς κρατούσης ἁπάντων τῶν παρὰ φύσιν ἀποτελεῖται. τῶν δ' ἄλλων μεταβολῶν, ἡ μὲν εἰς ὀξὺν θάνατον τελευτῶσα, κακὴ κρίσις ἐστίν. αἱ δ' ἀξιόλογον μὲν τινα ποιησάμεναι τὴν ῥοπὴν, οὐ μὴν τελείαν γε λύσιν, ἐλλιπεῖς κρίσεις ὀνομάζονται. ὥσπερ οὖν, καὶ ὅσαι κατὰ βραχὺ μαρανθείσης, ἢ τῆς δυνάμεως, ἢ τῆς νόσου γίνονται, καὶ αὗται λύσεις ἁπλῶς, οὐ κρίσεις ὀνομάζονται.

CAPVT PRIMVM.

Morbis ſex ineſſe genera mutationum; & quo pacto ſingulæ ipſarum appellentur.

A PROPOSITVM noſtrum eſt, ſicuti & priùs dicebatur, omnis in morbo mutationis præſentis quidem dignotiones, futuræ verò præcognitiones dicere. Quia verò ſex modis iſtæ fiunt, tentandum eſt de ſingulis ſeparatim ſcribere, hac priùs facta memoratione, quòd ſex ſunt in morbis mutationum differentiæ; vel enim ſubitò ad ſanitatem veniunt, vel ſubitò interimunt, vel paulatim horum vtrunque contingit, vel mixtim. Paulatim quidem, vel ſcilicet morbo marceſcente, vel ægri viribus diſſolutis; mixtim verò, quando ſubita quidem aliqua ad melius, vel deterius commutatio B facta fuerit, deinceps verò vſque ad perfectam ſolutionem, vel mortem reliquum totum emarcuerit. De prima igitur, quæ repente fit permutatione dicamus, quoniam omnium, quas antea diximus, optima eſt, atque ideo ipſam per excellentiam criſim nominant, quoniam natura, quæ præter naturam ſunt, ſuperante exquiſitè perficitur. Ex aliis autem mutationibus, quæ quidem ad ſubitam mortem, mala criſis eſt; quæ verò aliquam effatu dignam faciunt mutationem, non tamen integram ſolutionem, imperfectæ criſes vocantur; ſicuti & quæ ſenſim marceſcente, vel virtute, vel morbo contingunt, & hæ ſolutiones ſimpliciter, non criſes nominantur.

CAP.

CAPVT II.

Quæ indicia præcedere soleant excretiones, & abscessus iudicatorios.

Sola igitur subita ad sanitatem conuersio, simpliciter crisis nominatur. Et quidem omnino fit per manifestas quasdam excretiones, aut essatu dignos abscessus; quicunque enim aliter quieuerint, malignius recurrunt. Antecedit autem huiusmodi excretiones, & abscessus non mediocris perturbatio in corpore ægrotantis. Nam & difficiles tolerantiæ, & vigiliæ, & deliria, & graues somni, & difficiles anhelitus, & vertigines tenebricosæ, & difficiles sensus, dolores capitis, colli, & stomachi, & multorum aliorum membrorum; nonnullis verò aurium sonitus, & vani ante oculos apparent splendores, & lachrymæ inuoluntariæ effluunt, & vrina retinetur, & labrum agitatur, aut aliquid aliud tremulum fit, obliuio, & præsentium ignorantia, & vehemens accidit rigor, & plurimum accessio consuetam anticipat horam, & multus æstus; sitisque intolerabilis sequitur; clamant, & saliunt, sicuti furentes; neque possunt in eodem situ recumbere; deinde repente multus sudor erumpit, aut vomitus aliquis non paucus insequitur, aut venter subitò soluitur, aut abundans fit fluxus sanguinis; aut hæc omnia simul contingunt, vnde non paruus inuadit timor inspicientes. Et quispiam homo vulgaris, quum istis adesset, ipse, re cogente ita pronunciauit, quod iudicium tunc de vita ægrotantis ageretur; neque enim medicorum aliquis primus inuenit id nomen, sed omnino necessarium fuit, vt qui præsens esset, conturbaretur, atque ideo exclamaret, & crisim, rem ipsam nominaret. Decet autem medicum generosum, neque turbari, neque futurum euentum ignorare; melius autem fuerit, si se ad prænoscendam futuram crisim exercuerit; neque enim ista dignotio, quæ habetur de præsentis crisis euentu, multum distat à præcognitione eiusdem futuræ, sed ex eadem contemplatione vtraque perficitur.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅσα γνωρίσματα εἴωθε προηγεῖσθαι τῶν ἐκκρίσεών τε, καὶ τῶν ἀποστάσεων κρισίμων.

Μόνη τοίνυν ἁπλῶς κρίσις, ἡ εἰς ὑγείαν ὀξύρροπος μεταβολὴ προσαγορεύεται, καὶ γίνεται μὲν πάντως ἐπὶ φανεραῖς τισιν ἐκκρίσεσιν, ἢ ἀξιολόγοις ἀποστάσεσιν. ὅσα γὰρ ἄλλως ἐρραστώνησεν, ὑποτροπιάζει κακοηθέστερον. ἡγεῖται δὲ τῶν ἐκκρίσεών τε, καὶ τῶν ἀποστάσεων τούτων, οὐ σμικρὰ ταραχὴ κατὰ τὸ τοῦ κάμνοντος σῶμα. καὶ γὰρ δυσφορίαι, καὶ ἀγρυπνίαι, καὶ παραφροσύναι, καὶ κώματα, καὶ δύσπνοιαι, καὶ σκοτόδινοι, καὶ δυσαισθησίαι, καὶ ἀλγήματα κεφαλῆς, καὶ τραχήλου, καὶ στομάχου, καὶ πολλῶν ἄλλων μορίων. ἐνίοις δὲ, καὶ ὤτων ἦχοι. καὶ μαρμαρυγαὶ περὶ τῶν ὀφθαλμῶν φαίνονται, καὶ δάκρυον ἀκούσιον ἐκρεῖ, καὶ οὖρον ἴσχεται, καὶ χεῖλος σείεται, καὶ ἄλλο τι τρομῶδες γίνεται, καὶ λήθη, καὶ ἄγνοια τῶν παρόντων, καὶ ῥῖγος σφοδρὸν ἐμπίπτει, καὶ τοὐπίπαν ὁ παροξυσμὸς προεισβάλλει τῆς συνήθους ὥρας, καὶ καῦμα πολὺ, καὶ δίψος ἀφόρητον ἕπεται, καὶ βοῶσι, καὶ ἀναπηδῶσιν, ὥσπερ ἔμπληκτοι, καὶ τὸ τῆς κατακλίσεως σχῆμα φυλάττειν οὐ δύνανται, κἄπειτ' ἐξαίφνης ἱδρὼς ἐξέβρασε πολὺς, ἤ τις ἔμετος οὐκ ὀλίγος ἐπηκολούθησεν, ἢ γαστὴρ ἀθρόως κατέρρηξεν, ἢ καὶ λάβρως αἱμορραγοῦσιν, ἢ καὶ πάνθ' ἅμα συμπίπτει, καὶ φόβος ἐπήρτηται τοῖς ὁρῶσιν οὐ μικρὸς, κἂν τούτῳ τις ἰδιώτης πρῶτος ὑπ' αὐτοῦ τοῦ πράγματος ἀναγκασθεὶς ἐξεφώνησεν, ὡς ὁ κάμνων κρίνοιτο περὶ τῆς ζωῆς. οὐ γὰρ δὴ ἰατρῶν γέ τις ἰδίας ἔθετο τῷ γινομένῳ τοὔνομα, ἀλλ' ἀνάγκη πᾶσα τὸν παραγινόμενον αὐτῷ ταραχθῆναί τε, καὶ ῥῆξαι φωνὴν, καὶ κρίσιν ὀνομάσαι τὸ γινόμενον, ἰατρὸν δὲ γενναῖον ἐστὶν ἀναγκαῖον, μήτε ταράττεσθαι, μήτ' ἀγνοεῖν τὸ μέλλον ἀποβήσεσθαι. κάλλιον δὲ, εἰ καὶ προγινώσκειν ἐσομένην κρίσιν ἀσκήσειεν. οὐδὲ γὰρ πόρρω που τὸ διαγινώσκειν τὴν ἤδη πρόοδον ἐς ὅ, τι τελευτήσει, τοῦ προγινώσκειν ἐσομένην ἐστὶν, ἀλλ' ἐκ τῆς αὐτῆς θεωρίας ἄμφω κατορθοῦται.

CAPVT III.

Quæ signa præsentem crisim quò euasura sit; & quæ futuram præmonstrant.

Et iam hæc omnia dicta sunt, partim quidem in primo libro de diebus iudicatoriis, partim in duobus libris, qui istum antecedunt; dicam verò, & nunc omnia summatim, quæ & præsentem crisim, quo euasura sit, ostendunt, & futuram præmonstrant. Primum quidem & maximum inter omnia, est considerare coctiones ex vrinis, & alui excrementis, & sputis; si quidem ego millies quum dum crises fierent, interessem, neminem vnquam vidi intereuntem, qui præcedentibus coctionibus crisim habuisset. Non tamen æqua omnium signorum dignitas existimanda est, sed in morbis quidem thoracis atque pulmonis præcipuè sputa sunt animaduertenda; non tamen vrinarum contemplatio negligenda; sed & alui excrementa sunt inspicienda. Si verò tantùm febricitent sine alicuius visceris affectu, aut cum inflammatione hepatis, vel renum, vel vesicæ, vel splenis, maximè vrinis animum oportet adhibere: sicut si circa ventriculum affectus sit,

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅσα γνωρίσματα τὴν παροῦσαν κρίσιν ὁποία τις ἔσοιτο, δηλοῦται· καὶ τὴν μέλλουσαν προδηλοῦται.

Καὶ πάντ' ἤδη λέλεκταί μοι ταῦτα, τὰ μὲν ἐν τῷ πρώτῳ τῶν περὶ κρισίμων ἡμερῶν ὑπομνήματι, τὰ δ' ἐν τοῖς προηγουμένοις τοῖσδε δυοῖν. λέξω δὲ καὶ νῦν αὐτὰ διὰ κεφαλαίων ἅπαντα, τά τε τὴν παροῦσαν ἤδη κρίσιν ὁποία τις ἔσοιτο δηλοῦντα, καὶ τὰ τὴν μέλλουσαν ἔσεσθαι προδηλοῦντα. πρῶτον μὲν δὴ καὶ μέγιστον ἁπάντων, τὸ ἐπισκέπτεσθαι τοὺς πεπασμοὺς, οὔρων τε καὶ διαχωρημάτων, καὶ πτυσμάτων, ὡς ἔγωγε μυρίαις ἤδη κρίσεσι παραγινόμενος, οὐδέποτε ἐθεασάμην ἀπολόμενον οὐδένα τῶν ἐπὶ πεπασμοῖς κριθέντων, οὐ μὴν τὴν ἴσην γε ἀξίαν ἀπονέμειν ἅπασι χρὴ τοῖς σημείοις, ἀλλ' ἐν μὲν τοῖς κατὰ θώρακά τε καὶ πνεύμονος πάθεσι, προσέχειν μὲν μάλιστα τὸν νοῦν τοῖς πτύσμασι. μὴ μέντοι μηδὲ τὴν οὔρων τῆς ἐπισκέψεως ἀμελεῖν, προσεπιβλέπειν δὲ καὶ τὰ διαχωρήματα. πυρεττόντων δὲ μόνον ἄνευ σπλάγχνου τινὸς διαθέσεως, ἤ τινος τῶν καθ' ἧπαρ, ἢ νεφροὺς, ἢ κύστιν, ἢ σπλῆνα φλεγμαινόντων τοῖς οὔροις μάλιστα προσέχειν τὸν νοῦν, ὥσπερ εἰ καὶ τὰ κατὰ τὴν γαστέρα πεπόνθασι,

τοῖς διαχωρήμασι μὲν πρῶτον, οὐκ ἀμελητέον δὲ οὐδὲ τῶν οὔρων. ἀεὶ γὰρ ὁπόταν ᾖ ὁ πυρετός, εἴτ' ἐπὶ χυμοῖς μόνοις σηπομένοις ἀναπτόμενος, εἴτ' ἐπὶ μορίῳ φλεγμαίνοντι συνεπόμενος, εἰς οὖρα μάλιστά σε βλέπειν ἀξιῶ, κἀντεῦθεν γνωρίζειν τοὺς πεπασμούς, ὡς ἔμπροσθεν εἴρηται. πρῶτον μὲν δὴ καὶ μέγιστον ἀγαθῆς κρίσεως σημεῖον ἐνεστώσης, οἱ πεπασμοί, δεύτερον δέ, τὸ προδεδηλῶσθαι διά τινος τῶν ἐπιδήλων ἢ συνῆφθαι τῆς κρινούσης ἡμέρας ἡ δύναμις. ἐφεξῆς δέ, τὸ εἶδος τοῦ νοσήματος αὐτοῦ, καὶ τὸ ἦθος. εἶδος μέν, εἰ τριταῖος, ἢ ἀμφημερινός, ἢ καῦσος, ἢ πλευρῖτις, ἢ περιπνευμονία. ἦθος δέ, εἰ μέτριον, καὶ ἐπιεικές, ἢ πονηρόν τε, καὶ κακόηθες. ἐφεξῆς δὲ τούτοις, εἰ κατὰ τὴν τοῦ νοσήματος ἰδέαν ἡ ἔκκρισις εἴη. εἰ μὲν γὰρ καῦσος εἴη ὁ πυρετός, ἢ αἱμορραγείτω διὰ ῥινῶν, ἢ ῥιγώσας σφοδρῶς ἱδρούτω πολλῷ καὶ θερμῷ, δι' ὅλου τοῦ σώματος, ἢ ἐμείτω τε καὶ διαχωρείτω χολώδη. παραπλησίως δέ, καὶ ὁ τριταῖος ἐμέτοις τε, καὶ διαχωρήμασι χολώδεσι, καὶ ἱδρῶτι πολλῷ δι' ὅλου τοῦ σώματος κρινέσθω. φλέγμα δὲ συχνὸν ἐν ἀμφημερινοῖς ἐκκενούσθω, καὶ πολλοὶ γινέσθωσαν ἱδρῶτες ἐν ὅλῳ τῷ σώματι. κρίνει δὲ καὶ φρενῖτιν ἱδρὼς χρηστός, καὶ μᾶλλον εἰ ἐκ τῆς κεφαλῆς πολύς, καὶ θερμὸς ἐκρέοι, συμπάντος ἱδροῦντος τοῦ ἄλλου σώματος, ἀλλὰ καὶ δι' αἱμορραγίας τε τὰς ἐκ ῥινῶν, ἔστιν ὅτε φρενῖτις ἐκρίθη βεβαίως, οὐ μὴν λήθαργος, ἢ περιπνευμονία, χαίρουσιν αἱμορραγίαις, ἐν μέσῳ δὲ αὐτῶν ἐστιν πλευρῖτις. ἧττον μὲν γάρ, ἢ καῦσος, καὶ φρενῖτις, μᾶλλον δέ, ἢ περιπνευμονία, καὶ λήθαργος αἱμορραγίαις λυθήσεται. λύουσι δ' ἱκανῶς, καὶ τὰς τοῦ ἥπατος, καὶ τὰς τοῦ σπληνὸς φλεγμονὰς αἱμορραγίαι διὰ ῥινῶν, ἐπειδὰν ἅμα πυρετοῖς ὀξέσι φλεγμαίνῃ τὰ σπλάγχνα. καὶ πάσας δὲ τὰς καθ' ὑποχόνδρια φλεγμονὰς τὰς θερμάς, καὶ ὀξείας, ἡ διὰ ῥινῶν αἱμορραγία κρίνει. χρὴ δὲ καὶ κατ' εὐθυωρίαν αἱμορραγεῖν, ἐκ δεξιοῦ μὲν μυκτῆρος, ἐφ' ἥπατί τε, καὶ τοῖς κατὰ τὸ δεξιὸν ὑποχόνδριον, ἐξ ἀριστεροῦ δέ, ἐπί τε σπληνί, καὶ τοῖς ταύτῃ μορίοις. ὀνίνησι δὲ καὶ ἱδρὼς χρηστὸς ἁπάσας τὰς καθ' ὑποχόνδρια φλεγμονάς, τὰς θερμὰς καὶ ὀξείας. ἥπατος δὴ τὰ μὲν κυρτὰ φλεγμαίνοντα, τρισὶν ὑπακούει μάλιστα τρόποις ἐκκρίσεως, αἱμορραγίαις ἐκ μυκτῆρος δεξιοῦ, καὶ ἱδρῶσι χρηστοῖς, καὶ οὔροις πολλοῖς. τὰ δὲ σιμά, διαχωρήμασί τε χολώδεσι, καὶ ἱδρῶσιν, ἔστιν ὅτε δὲ καὶ ἐμέτοις. ἐκκαθαίρεσθαι δὲ δι' οὔρων, ἐθέλει πολὺ δὴ μᾶλλον ἔτι τῶν κυρτῶν τοῦ ἥπατος, ἅπανθ' ὅσα κατὰ νεφρούς, καὶ κύστιν ἐπόνησεν, ὥσπερ γε τὰ κατὰ θώρακα, καὶ πνεύμονα, πτύσμασιν. οἱ δὲ ἱδρῶτες ἅπασί τε πυρετοῖς οἰκεῖοι, καὶ μᾶλλον τοῖς περικαέσιν. ἐπωφελοῦσι δ' οὐ σμικρά, καὶ τὰς ζεούσας φλεγμονάς, ὅτε, ὡς εἴρηται καὶ πρόσθεν, ἅμα πεπασμοῖς γίνονται. ἤδη δὲ καὶ τοὺς ἀμφημερινοὺς κρίνουσι, σὺν ἐμέτοις τε, καὶ διαχωρήμασι φλεγματώδεσι, καὶ τοὺς τεταρταίους, εἰ μέλανα σὺν αὐτοῖς ἐκκενοῖτο, καὶ ποικίλα, καὶ τοὺς ἡμιτριταίους, εἰ χολώδη τε ἅμα, καὶ φλεγματώδη. κρίνουσι δὲ καὶ παρωτίδες ληθάργους τε, καὶ τὰ περὶ τὴν κεφαλὴν ἅπαντα· καὶ τἆλλα ἀποσκήμματα, τοὺς χρονίζοντας ἅπαντας πυρετοὺς κρίνειν ἀσφαλῶς εἴωθεν· ἀλλ' οὔπω περὶ τῶν χρονιζόντων πρόκειται λέγειν. αἱ γὰρ ἐξαιφνίδιοι μεταβολαί, τῶν ὀξέων εἰσίν, ὧν τὴν ἀρίστην ἐξηγούμεθα νῦν ὁποία τίς ἐστιν, ὅτι γε πάντως οὐκ ἄνευ πεπασμοῦ,

primùm excrementis alui; deinde neque vrinæ sunt negligendæ. Semper enim quum febris affuerit, vel ex sola humorum putredine accensa, vel ex parte inflammationem subeunte, præcipuè vrinas inspiciendas censeo, atque inde coctiones agnoscendas, sicuti & priùs definiuimus. Primum quidem, & maximum instantis bonæ crisis indicium sunt coctiones. Secundum autem, quod ab aliqua die indicatoria antea indicetur, cui annexa est diei iudicantis potentia. Deinceps autem inspicere oportet, & speciem morbi, & morem; speciem quidem, si tertiana, vel quotidiana, vel febris ardens, vel pleuritis, vel peripneumonia; morem autem, si moderatus, & mitis, vel prauus, atque malignus. Deinde si formæ morbi excretio respondeat. Si enim sit febris ardens, vel sanguis è naribus profluet, vel post vehementem rigorem sudor multus, & calidus per totum corpus emanabit, aut per vomitum, aut per aluum biliosa excernentur. Ita & Tertiana vomitibus, & excrementis alui biliosis, & sudoribus multis toto corpore fluentibus, iudicabitur. Plurimum autem pituitæ in quotidianis febribus excernetur, & multi in toto corpore sudores fient. Iudicat & Phrenitidem sudor bonus, & præcipuè si ex capite multus, & calidus fluxerit, sudante simul reliquo corpore; contingit autem aliquando, quod etiam per sanguinem è naribus fluentem phrenitis iudicatur. Non tamen Lethargus, aut Peripneumonia fluxum sanguinis amant. Inter ipsas autem Pleuritis medium obtinet locum; minus enim quàm febris ardens, & phrenitis, magis autem, quàm peripneumonia, atque lethargus, profluuio sanguinis soluitur. Soluit autem lienis, & hepatis inflammationes sanguis è naribus profluens, quum hæc viscera vnà cum acutis febribus habent inflammationes. Et omnes quæ in præcordiis fiunt calidæ, atque acutæ inflammationes, fluxu sanguinis iudicantur. Oportet autem per directum fluere sanguinem, ex dextra quidem nare, hepate affecto, vel locis in dextris præcordiis positis, ex sinistra autem, liene, & locis vicinis; iuuat autẽ & sudor bonus omnes, quæ sunt in præcordiis, inflammationes calidas, & acutas. Hepatis verò gibbæ quidem partes inflammationem patientes tribus præcipuè modis crisis obediunt, fluxibus sanguinis è nare dextra, & sudoribus bonis, & vrinis abundantibus. Simæ autem partes excrementis alui biliosis, atque sudoribus, nonnunquam verò & vomitibus; magis autem expetunt per vrinas expurgari, quàm gibbæ hepatis partes, omnia ea, quæ vel in partibus renum, vel vesicæ laborant; sicuti loca, quæ ad thoracem, & pulmonem pertinent, sputis. Sudores verò omnibus febribus proprij sunt, & præcipuè ardentibus. Iuuat autem non parum, & efferuentes inflammationes, quando (sicut & antea diximus) vnà cum coctionibus emanauerint. Iudicant autem & quotidianas febres, simul vomitibus, atque excrementis alui pituitosis adiunctis. Et quartanas etiam, si atra simul, ac varia excernuntur. Semitertianas verò, si biliosa simul, & pituitosa. Parotides autem iudicant Lethargos, & reliquos omnes capitis affectus. Aliique decubitus, omnes febres diuturnas securè iudicare consueuerunt. Sed nondũ de diuturnis morbis dicere proposuimus; nam repentinæ mutationes acutorum sunt quarum optimam qualis sit, nunc enarramus, quod videlicet omnino sine coctione non est,

&

& quod in aliquo die iudicatorio fit, ac prҫterea ab aliquo indicatorio præiudicata fuit, & etiam crisis motum facit morbo conuenientem. Præter hæc autem hortor hoc loco, vt ęgrotantis ętatem, atque naturam, nec non antecedentem victum, locumque in quo ægrotat, & anni tempus, atque præsentem tēporis statum, consideres. Si enim quemadmodū morbus fortè est biliosus, hæc etiam singula æquè biliosa sint, oportet bilem crisi expurgari; sicut si pituita exuperarit, pituitam oportet euacuari; variis autem humoribus exuperantibus, variam etiam oportet esse euacuationem. Quum verò hęc vniuersa bene tibi fuerint explorata, tunc euentus iam tibi sunt considerandi. Si enim dum ægrotans iudicatur, febris soluatur, atque aliis symptomatis liberetur, & melius fuerit coloratus pro ratione euacuationis, cum melioribus pulsibus, & ad surgendum robustior, hæc optima crisis est; si verò ex his aliquid desit, tantum ab optima deficit, quanta est eius, quod deficit, vis.

CAPVT IV.

De futuræ crisis optimæ, ac diei, in qua soluendus aut iudicandus est morbus, prænognitione.

SIc quidem dignoscere oportet optimam crisim præsentem; futuram verò, hoc modo. Morbi natura consideranda est, an ad amaram bilem pertineat, vel atram, aut pituitam, vel mixtas habeat significationes; scripta autem sunt in libro præcedente horum indicia. Post hoc autem, tempus anni, & laborantis ætas, & temperamentum & quæcunque alia eius ordinis sunt; de quibus paulo ante sermonem habuimus; vnde facta de vno mentione, reliquorum etiam, si vel silentio prætermittantur, meminisse oportet, nam longum esset omnia semper percurrere. Post hæc autem, accessionum circuitus sunt considerandi, si vel per tertium, vel per quartum, vel per singulos dies eueniant; vel nullo modo eueniant, sicuti in iis accidit febribus, quæ propriè synochi nominantur. Si enim properauerint, ac semper pro ratione anticipauerint horam, & multo vehementius infestauerint, & per tertium occursauerint, citò crisim subsecuturam denunciant; si verò lentè moueantur, atque eadem inuaserint hora, & singulis diebus fiant, post longius tempus crisim futuram denunciant. Præterea (quod sanè maximum est) coctiones inspicere oportet, & harum præcipuè effatu dignis transmutationibus mētem adhibere. Si enim in diebus indicatoriis fiant, indicia sunt, quod sequentes iudicatorij dies ægrotum morbo liberabunt. Summatim enim (vt in præcedentibus sermonibus diximus) vniuersa morbi constitutio per quatuor dicta genera manifestatur; de quibus diximus Hippocratem in aphorismis disseruisse, in hunc modum; *Accessiones autem, & constitutiones ostendunt morbi; & anni tempora; & circuituum adinuicem incrementa, siue quotidie, siue alternis diebus, siue longiore tempore fiant.* Deinceps ita inquit; *Sed & ex post apparentibus; veluti in pleuriticis, sputum si statim superueniat, incipiente morbo quidem breuiorem facit; si verò mox apparuerit, longiorem.* In primo autem libro de signis mox apparentibus, quæ quidem signa morbi coctionem ostendunt, plurima diximus; & quo pacto ab iis, quæ signa, & accidentia iudicatoria vocantur, differant, explanauimus.

ὅτι τε κατά τινα τῶν κρισίμων ἡμερῶν γινομένη, καὶ προσέτι διὰ τῆς ἐπιδήλου προδεδηλωμένη, καὶ μέντοι καὶ τὸ τῆς κρίσεως εἶδος, οἰκεῖον τῷ νοσήματι ποιουμένη. προσεπιβλέπειν δὲ ἐν ταῦθα κελεύω σε, καὶ τὴν ἡλικίαν τοῦ κάμνοντος, καὶ τὴν φύσιν, καὶ τὴν προγεγενημένην δίαιταν, καὶ τὸ χωρίον ἐν ᾧ νοσεῖ, καὶ τὴν ὥραν τοῦ ἔτους, καὶ τὴν ἐνεστῶσαν κατάστασιν. εἰ μὲν γὰρ, ὥσπερ τὸ νόσημα χολῶδες εἰ τύχοι, καὶ τούτων ἕκαστον ὁμοίως εἴη χολῶδες, ἐκκαθαίρεσθαι χρὴ χολὴν ἐν ταῖς κρίσεσι, ὥσπερ εἰ καὶ φλέγμα πλεονεκτεῖ, ἐκκενοῦσθαι προσήκει φλέγμα. ποικίλων δὲ ἐπικρατούντων χυμῶν, ποικίλην εἶναι χρὴ καὶ τὴν κένωσιν. ἐπειδὰν δέ σοι ταῦτα σύμπαντα καλῶς ᾖ διηκριβωμένα, παρακολουθεῖν ἤδη σε χρὴ τοῖς ἀποβαίνουσι. εἰ μὲν γὰρ ὅ, τε πυρετὸς λύοιτο κρινομένῳ τῷ κάμνοντι, καὶ τῶν ἄλλων ἀπαλλάττοιτο συμπτωμάτων, εὐχρούστερός τε γίγνοιτο, πρὸς λόγον τῆς κενώσεως, εὐσφυκτότερός τε καὶ ἰσχυρότερος ἐν ταῖς ἐξαναστάσεσιν. αὕτη μὲν ἡ ἀρίστη κρίσις ἐστίν. εἰ δέ τι τούτων λείποι, τοσοῦτον ἀποδεῖ τῆς ἀρίστης, ἡλίκη τοῦ λείποντος ἡ δύναμις.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ προγνώσεως τῆς μελλούσης ἔσεσθαι ἀρίστης κρίσεως, καὶ περὶ τῆς ἡμέρας ἐν ᾗ λυθήσεται, ἢ κριθήσεται τὸ νόσημα.

ΟΥτω μὲν χρὴ διαγινώσκειν ἐνεστῶσαν ἀρίστην κρίσιν, ἔσεσθαι δὲ μέλλουσαν ὧδε. τὴν τοῦ νοσήματος ἐπισκέπτεσθαι φύσιν, εἴ τε πικρόχολός ἐστιν, εἴ τε φλεγματώδης, εἴ τε μελαγχολική, εἴ τε μικτή τις. γέγραπται δ' ἐν τῷ πρὸ τούτου λόγῳ, τὰ γνωρίσματα. δεύτερον δ' ἐπὶ τούτοις, τήν τε ὥραν τοῦ ἔτους, καὶ τὴν τοῦ κάμνοντος ἡλικίαν, καὶ τὴν κρᾶσιν, ὅσα τἄλλα τῆς αὐτῆς ἔχεται συστοιχίας, ὑπὲρ ὧν ὀλίγον ἔμπροσθεν εἴρηται. καὶ χρὴ κἂν ἓν ἐξ αὐτῶν ποτε ῥηθῇ, καὶ τῶν μὴ ῥηθέντων ἀναμιμνήσκεσθαι. μακρὸν γὰρ ἂν εἴη διέρχεσθαι σύμπαντα. μετὰ δὲ ταῦτα σκοπεῖσθαι τὰς περιόδους τῶν παροξυσμῶν, εἴτε διὰ τρίτης, εἴτε διὰ τετάρτης, εἴτε καθ' ἑκάστην ἡμέραν, εἴτε μηδ' ὅλως γίνονται, καθάπερ ἐπὶ τῶν συνόχων ἰδίως ὀνομαζομένων ἐστὶν ἰδεῖν. εἰ μὲν γὰρ ἐπείγοιντο, καὶ προλαμβάνοιεν ἀεὶ τῆς συνήθους ὥρας, καὶ σφοδρότεροι γίνοιντο πολλῷ, καὶ διὰ τρίτης ἀπαντῷεν, ἐν τάχει κριθήσεσθαι δηλοῦσι. εἰ δ' ἀργῶς κινοῖντο, καὶ τὴν αὐτὴν ὥραν εἰσβάλλοιεν, ἐφ' ἑκάστῃ τε γίγνοιντο ἡμέρᾳ, μετὰ πλείονα χρόνον ἔσεσθαι σημαίνουσι τὴν κρίσιν. ἐπὶ δὲ τούτοις ἑξῆς, ὅπερ δὴ καὶ μέγιστόν ἐστι, τοὺς πεπασμοὺς ὁρᾶν, καὶ τούτων μάλιστα ταῖς ἀξιολόγοις μεταβολαῖς προσέχειν τὸν νοῦν. εἰ γὰρ ἐν ἐπιδήλοις ἡμέραις γίγνοιντο, τὰς ἐφεξῆς αὐτῶν κρισίμους, ἀπαλλάξειν τῆς νόσου τὸν ἄνθρωπον ἐπαγγέλλονται. καθόλου γὰρ, ὡς κἂν τοῖς ἔμπροσθεν εἴρηται λόγοις, ἡ σύμπασα κατάστασις τῶν νοσημάτων, διὰ τῶν εἰρημένων τεττάρων γενῶν γνωρίζεται, περὶ ὧν ἔφαμεν ἐν ἀφορισμοῖς διειλέχθαι τὸν Ἱπποκράτην τόνδε τὸν τρόπον. τοὺς δὲ παροξυσμοὺς, καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες. ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται, εἶτ' ἐφεξῆς φησι. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν οἷον ἐν πλευριτικοῖσι πτύελον, αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δὲ ὕστερον ἐπιφαίνεται, μηκύνει. διηγησάμεθα δ' ἐπὶ πλεῖστον ἐν τῷ προτέρῳ γράμματι, περί τε τῶν ἐπιφαινομένων τούτων σημείων, ἃ δὴ τὴν πέψιν ἐνδείκνυται τῆς νόσου, καὶ ὅπῃ διαφέρει τῶν κρισίμων ὀνομαζομένων σημείων τε, καὶ συμπτωμάτων.

εἴπερ οὖν ἐκείνων μνημονεύεις ἐλπίζω σε ῥᾳδίως ποιήσειν ἐν A
τῷδε τῷ λόγῳ, προγνωστικόν τε καὶ διαγνωστικὸν ἀρίστης
κρίσεως. αἱ μὲν γὰρ ἄλλαι, στοχασμῷ τινι τεχνικῷ προγινώ-
σκονται. τὴν δ' ἀρίστην κρίσιν, ἣν δὴ καὶ μόνην ἁπλῶς ὀνο-
μάζεσθαι κρίσιν ἔφαμεν, οὐδὲ στοχαστικῶς ἄν τις, ἀλλὰ βε-
βαίως προγινώσκοι. πάντα γὰρ ἐπὶ τῶν τοιούτων νοσημάτων,
ἐξ ἀρχῆς εὐθὺς ἀκίνδυνα φαίνεται τὰ σημεῖα. τελέως μὲν
οὖν ὄντα τοιαῦτα, κατὰ τὴν πρώτην τετράδα, τὴν κρίσιν
ἐπαγγέλλεται, καθότι καὶ Ἱπποκράτης ἐδίδαξεν ἐν τῷ προ-
γνωστικῷ λέγων ὧδε. οἵ τε εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ ση-
μείων ἀσφαλεστάτων γινόμενοι, τεταρταῖοι παύονται, ἢ πρό- B
σθεν. οὐ γὰρ ἐνδέχεται πυρετόν, οὔτε τὸν ἀσφαλέστατα πάντα
κεκτημένον, οὔτε τὸν ὀλεθριώτατα μὴ, οὐ κατὰ τὴν πρώτην
τετράδα, τὸν μὲν λυθῆναι, τὸν δὲ ἀποκτεῖναι, καθάπερ εἰ καὶ
μικρὸν ἀποχωρήσειεν, ὁ μὲν ἀπὸ τῶν ἐσχάτως ὀλεθρίων, ὁ
δ' ἀπὸ τῶν ἄκρως σωτηρίων, οὐκ ἐνδέχεται τοὺς πυρετοὺς
τούτους ἐξωτέρω προβῆναι τῆς ἑβδόμης ἡμέρας. ὃ δὲ εἴ τε
σφοδρὰ καὶ ἀγωνιστικὴ γενήσεται κρίσις, εἴ τε μετρία, εἴ τ'
οὐδ' ὅλως κρίσις, ἀλλὰ λύσις ἁπλῶς, οὐκ ἔτ' ἐκ τῶν ὀλε-
θρίων τε καὶ σωτηρίων σημείων, ἀλλ' ἐξ ἄλλων προγινώσκεται.
δύο δ' ἐστὶ καὶ τούτων τὰ γένη, μέγεθός τε, καὶ κίνησις νοσήμα- C
τος. ἐν οἷς πρώτοις εὐθὺς ἀκριβῶς χρὴ γεγυμνάσθαι, καὶ
διακρίνειν αὐτὰ δύνασθαι ῥᾳδίως, ἤθους τε, καὶ ἰδέας νοσή-
ματος. ἀλλὰ τὴν μὲν ἰδέαν, ὡς χρὴ διαγινώσκειν ἐν τῷ
δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων εἴρηται. τριταῖος γὰρ, καὶ ἀμ-
φημερινὸς, καὶ τεταρταῖος, καὶ ἡμιτριταῖος, καὶ πλευρῖτις, καὶ περι-
πνευμονία, καὶ φρενῖτις, εἴδη νοσημάτων εἰσίν. εἰ δ' εὐήθες, ἢ
κακόηθες ἐκ τῶν ἑπομένων αὐτοῖς συμπτωμάτων ἡ διάγνω-
σις, ἃ διεξῆλθεν ἅπαντα σχεδὸν Ἱπποκράτης ἐν τῷ προγνω-
στικῷ. τούτοις δὲ συγκαταριθμεῖν χρή, καὶ τὰ τῆς ἀπεψίας τε,
καὶ τῆς πέψεως σημεῖα. μέγεθος δέ, καὶ κίνησις νοσήματος ἕτε- D
ρα τούτων ἐστίν. βληχροὶ γοῦν ἐνίοτε, καὶ μικροὶ πυρετοί, κα-
κοήθεις εἰσὶ σφόδρα, καὶ ἄλλοι θερμοί, καὶ διακαεῖς, ὡς ἄσην τε
ἅμα, καὶ καῦμα, καὶ δίψος ἀφόρητον ἐπιφέρειν, ὅμως οὐδὲν ἔχου-
σιν ἐνίοτε κινδυνῶδες. εἴρηται δὲ καὶ πρόσθεν, ὡς εἴτε σφοδρό-
τητά τις, εἴτε μέγεθος ὀνομάζει νοσήματος, οὐ διοίσει, τούτων
δὲ ἁπάντων ἡ κίνησις διαφέρει, καὶ διαγινώσκεται τῷ χρόνῳ
τῶν μερῶν τοῦ παροξυσμοῦ. τεττάρων γὰρ ἐν ἑκάστῳ παροξυσμῷ
μορίων ὑπαρχόντων, ἀρχῆς τε, καὶ ἀναβάσεως, καὶ ἀκμῆς, καὶ
παρακμῆς, ἤτοι ταχέως τις ἅπαντα ταῦτα διεξέρχεται πυρε-
τός, ἢ βραδέως, ἢ τινὰ μὲν αὐτῶν θᾶττον, τινὰ δὲ βραδύτερον. E
εἰ μὲν οὖν ἅπαντα ταχέως διανύοι, πρόδηλον, ὡς ἐπὶ τὴν κρί-
σιν ἐπείγεται, καὶ πάντως ἐστὶ διαλείπων οὗτος. οὐ γὰρ ἐνδέχεται
τὸν πάντα ταχὺ διεξιόντα μένειν ἔτι συνεχῆ, καθάπερ οὐδὲ εἰ
μηκύνει κατὰ πάντα τὰ μόρια διαλείπειν ἂν ἔτι δύναιτο.
δῆλον δέ, ὡς τὸν μὲν εἰς ἀπυρεξίαν παυόμενον, ὀνομάζω δια-
λείποντα, τοῦ δὲ συνεχοῦς πυρετοῦ, πάντως μὲν ἕν γέ τι μεμή-
κυσται μόριον, ἔστι δ' ὅτε, καὶ δύο, καὶ τρία, καὶ σύμπαντα. τοῦ μὲν
ἰδίως ὀνομαζομένου πυρετοῦ συνόχου, πολυχρόνιος ἡ ἀκμή,
μᾶλλον δ' ἀκμὴ πᾶς ἐστιν ὁ τοιοῦτος πυρετός. τοῦ δὲ μὴ συνό-
χου μέν, οὐ μὴν εἰς ἀπυρεξίαν γε παυομένου, πολυχρονιωτέρας F
μὲν τῶν ἄλλων μερῶν τῆς ἀκμῆς γινομένης, ὀξεῖα ἡ κίνησις, ὀλι-
γοχρονιωτέρας δὲ βραδεῖα. διωρισμένης οὖν ἰδέας νοσήματος,
καὶ μεγέθους, καὶ κινήσεως, καὶ ἤθους, καὶ τῆς μὲν ἰδέας ἐκ τῶν οἰκείων
συμπτωμάτων γνωριζομένης, τοῦ δὲ μεγέθους, ἐκ τοῦ κατὰ ταῦτα
πηλίκου, τοῦ δὲ κινήσεως, ἐκ τοῦ χρόνου τῶν τοῦ παροξυσμοῦ μορίων,

Si igitur ea memoria retines, spero te facilius præcognoscendi, ac dignoscendi optimæ crisis facultatem ex hoc sermone adepturum. Reliquæ enim crises coniectura quadam artificiosa præcognoscuntur. Optimam verò crisim (quam etiam solam crisim simpliciter vocari diximus) non per coniecturam, sed firma præcognitione comprehendes; omnia enim signa in talibus morbis statim ab initio secura videntur. Quum igitur talia integrè fuerint, in primo quaternario crisim futuram denunciant; sicuti Hippocrates in prognostico hisce verbis ostendit; *Mitissimæ enim febres quæ cum securissimis signis fiunt, quarto die finiuntur, vel prius* Neque enim contingit febrem omnia signa securissima habentē, neque illam, in qua sunt omnia maximè perniciosa, alteram quidē non solui, alteram autē non occidere in primo quaternario ægrotantē; veluti si hæc quidem parum ab extremè perniciosis discesserit, illa verò à maximè salubribus, huiusmodi febres septimū diem non cōtingit transcendere. Si verò crisis vehemens, & cum iactatione futura sit, aut potius moderata; vel neq; crisis omnino, sed solutio simpliciter; non ampliùs ex perniciosis signis, & salutaribus, sed potiùs ex aliis, præcognoscitur. Duo autē sunt, & horum genera, magnitudo, & motus morbi; in quibus primis diligenter oportet exercitari, vt ipsa noscamus, & facile à more, ac idea morbi distinguere valeamus. Sed ideam ipsam quo quidem pacto dignoscamus, in secundo volumine diximus; nam tertiana, & quotidiana, & quartana, & semitertiana, & pleuritis, & peripneumonia, & phrenitis, sunt species morbi. Si verò benignus, aut malignus sit morbus, ex subsequētibus ipsum symptomatis noscitur; quæ omnia fere Hippocrates in prognosticis enumerauit. In his autem annumerare oportet coctionis & cruditatis signa; magnitudo verò, & motus morbi, ab his diuersa sunt. Debiles quidem, & paruæ febres quandoque valde malignæ sunt; & aliæ calidæ, atque ardentes, vt anxietatem & æstum, & sitim intolerabilem afferant, nihil tamen habent nonnunquam periculosum. Dictū autem & prius est, quod siue vehementiam, siue magnitudinē morbi quispiam velit nominare, nihil differt. Ab hisce verò omnibus differt motus, & ex tempore partium accessionis cōprehenditur. Quum enim vnaqueque accessio quatuor habeat partes, principiū, augmētum, statum, & declinationē, vel has omnes breui tēpore febris percurrit, vel tardo; vel nōnullas quidem citiùs, nonnullas verò serius: Si omnes igitur celeriter peragat, manifestū inde fit, quòd ad crisim properat. Et omnino huiuscemodi febris est de numero intermittentium, neq; enim cōtingit, vt illa quę omnes celeriter peragat, amplius continua permaneat; sicuti neque, vt quæ in omnibus partibus prolixitatē seruat, sit intermittens. Liquet autem, quod eam quidem, quæ ad infebricitationem desinit, voco intermittentē. Continuæ verò febris omnino cōuenit, vt pars aliqua, aut duæ, vel omnes longæ sint. Eius quidē, quæ propriè synochus nominatur, longus est status; magis autē tota hæc febris status est. Eius verò, quę non est synochus, non tamen desinit ad infebricitationē, quum status aliis temporibus longior existit, motus est velox: quod si breuior, tardus est motus. Quum igitur morbi idea, & magnitudo, & motus, & mos fuerint distincti; & idea quidē ex propriis symptomatis cognita, magnitudo verò ex eorundē quantitate, motus verò ex tēpore accessionis partium,

mos

mos autem ex symptomatis superuenientibus, his quoque adiuncta consideratione tẽporis, anni, & naturæ, & regionis, & similium; nunquid morietur æger, aut saluabitur, ad hæc tria respiciens inuenies, ad ideam, & morem, & magnitudinem; sed maximè morẽ inspicere oportet. Vtrum verò per crisim terminabitur morbus, aut non, primũ quidem ex motu, ac magnitudine inspicies; deinceps autem ex idea ipsius; deinde ex anni tẽpore, & ex aliis, quæ eiusdem sunt ordinis; & ex superuenientibus quidem symptomatis, non omnibus, sed iis quæ paulo ante memoraui, quæ, vel vnà cum crisi ab initio inuadunt, vel paululum anticipant; quæ ipsa iudicatoria signa propriè nominamus. Nam quum superuenientia symptomata trifariam diuidantur, in ea scilicet, quæ morem morbi naturâ ostendere apta sunt; & in ea, quæ affuturam proximè crisim denunciant; & quæ non solum signa, sed etiam causas crisis posuimus; primum quidem ex his simplex est genus, nam quædam ipsorum praua, quædam verò bona, perpetuò existunt; secundum verò, & tertium non semper neque idem facere, neque ostendere, aptum est, sed secundum morbi tempora variatur. Diximus autem latiùs de omnibus his in primo libro. Doctrinæ igitur manifestioris gratia, ducatur ad exemplum aliquis ægrotus, qui primo die habeat signa manifestissima salutis; huic enim omnino in primo quaternario finietur morbus. Vtrum verò per solutionem, vel crisim, magnitudine, & paruitate distinguitur; siquidem magni iudicantur omnino; qui autem parui, soluuntur solùm. Sed dies crisis ex motu inuenietur. Nam si febris synochus fuerit, ac nullus error acciderit (nam semper huius oportet meminisse) in quarto die sperandum est crisim futuram. Si verò continua fuerit, magnitudinem ac motum inspicere oportet. Contingit enim in tertio, vel quinto die crisim fieri; in tertio quidem, si morbus sit magnus, ac motum velocem habeat; in quinto autem, si neque valdè magnus sit, neque velociter moueatur; oportet enim crisim in idem tempus concurrere cum accessione. Et ita rarò accidit, vt quarto die fiat crisis; vt videatur bis tantùm Archigenes in toto tempore vitæ suæ id obseruasse, ego verò ad hanc horam semel solùm. Et causa est (quemadmodum diximus in libris De diebus iudicatoriis) vt crisis sæpius ex quarto die ad tertium, & ad quintũ transmutetur. Nam morbus, qui tam subitò crisim habet, omnino peracutus est; in omnibus autem morbis peracutis necessarium est febres, vel synochos esse, vel continuas quidẽ, sed quę per tertium exacerbantur. Synochi quidẽ rarò eueniunt; & vbi nullus fit error, in quarto finiuntur per crisim, natura propriis circuitibus ad crisim perueniente; rarũ verò etiam est, vt nullus sit error. Cõtinuæ autẽ febres, quæ in accessionibus crisim habent, tertio die, vel quinto rationabiliter finiuntur; nam si quandoque etiam quarto iudicentur, ratione eius accessionis, quæ tertio die fit, id patiuntur; quæ enim circa horam vndecimã, si ita contigerit, diei tertij accessio inuadit, vel tertia nocte, vel quarto die inuehit crisim. Quum igitur primo die (rursus enim eadẽ repetenda) signũ aliquod coctionis manifestum apparuerit, reliquis etiam omnibus periculum nullum portendentibus, tunc proculdubio sciemus, quod in primo quaternario morbi solutionẽ subsequi sit necessarium. Quòd si etiam eius magnitudo inspecta sit, vlteriore habebis notitiam, quòd cũ crisi finietur.

A τῶν δὲ ἤθοις ἐκ τῶν ἐπιγινομένων συμπτωμάτων, προσλαμβανομένων δὲ τούτοις, ὥρας τε, καὶ χώρας, καὶ φύσεως, καὶ τῶν ὁμοίων. ὅτι μὲν σωθήσεταί τις, ἢ τεθνήξεται, πρὸς τρία ταῦτα ἀποβλέπων, ἐξευρήσεις ἰδέαν, ἦθος, καὶ μέγεθος. μάλιστα δὴ ἐν τούτοις, προσέχειν τῷ ἤθει τὸν νοῦν. ὅτι δὲ κριθήσεται, ἢ μὴ, πρῶτον μὲν ἐκ τῆς κινήσεώς τε καὶ τοῦ μεγέθους. ἔπειτα δὴ ἐκ τῆς ἰδέας, εἶτ' ἐκ τῆς κατὰ τὰς ὥρας τε, καὶ τὰς τοιαύτας συστοιχίας. ἐκ μέντοι τῶν ἐπιγινομένων οὐχ ἁπάντων, ἀλλ' ὅσα μικρῷ πρόσθεν εἶπον, ἀρχομέναις ἤδη ταῖς κρίσεσι συνεισβάλλειν, ἢ βραχύ τι φθάνειν αὐτάς, ἀφ' ὧν δὴ καὶ κρίσιμα σημεῖα καλοῦμεν ἰδίως. B τριχῆ γὰρ τῶν ἐπιγινομένων νενεμημένων, εἴς τε τὰ δηλοῦν τὸ ἦθος πεφυκότα, καὶ τὰ τὴν μέλλουσαν ἔσεσθαι κρίσιν ὑπόγυον, ἔτι τε πρὸς τούτοις, ὅσα μὴ μόνον ὡς σημεῖα κρίσεως, ἀλλὰ καὶ ὡς αἴτια τίθεμεν. τὸ μὲν πρῶτον, ἐκ τῶν εἰρημένων, γένος ἁπλοῦν ἐστιν. τὰ μὲν γὰρ αὐτῶν ἐστιν μοχθηρά, τὰ δὲ χρηστὰ τετύχηκεν ὄντα διὰ παντός. τὸ δὲ δεύτερόν τε, καὶ τρίτον, οὐκ ἀεὶ ταὐτὸν, οὔτε δηλοῦν, οὔτε ποιεῖν πέφυκεν, ἀλλὰ τοῖς τῆς νόσου καιροῖς ὑπαλλάττεται. λέλεκται δὴ ἐπὶ πλεῖον ὑπὲρ ἁπάντων τούτων ἐν τῷ πρώτῳ γράμματι. σαφηνείας γοῦν ἕνεκα, προκεχειρίσθω τις ἄρρωστος ἐν τῇ C πρώτῃ τῶν ἡμερῶν ἐναργέστατα σωτηρίας ἔχων σημεῖα. πάντως μὲν γὰρ τούτῳ, κατὰ τὴν πρώτην τετράδα λυθήσεται τὸ νόσημα. πότερον δὲ κριθὲν, ἢ λυθὲν, μεγέθει τε καὶ σμικρότητι διορίζεται. τὰ μὲν γὰρ μεγάλα, κρίνεται πάντως· ὅσα δὲ σμικρά, λύεται μόνον. ἡ δὴ ἡμέρα τῆς κρίσεως, ἐκ τῆς κινήσεως εὑρεθήσεται. συνόχου μὲν γὰρ ὄντος τοῦ πυρετοῦ, καὶ μηδενὸς πλημμεληθέντος, ἀεὶ γὰρ χρὴ τούτου μεμνῆσθαι, κατὰ τὴν τετάρτην ἡμέραν ἐλπίζειν ἔσεσθαι τὴν κρίσιν. εἰ δὲ συνεχὴς εἴη, τό, τε μέγεθος ὁρᾶν χρὴ, καὶ τὴν κίνησιν. ἐνδέχεται γὰρ, κατὰ τὴν τρίτην, ἢ πέμπτην ἡμέραν, γίνεσθαι τὴν κρίσιν, κατὰ μὲν τὴν D τρίτην, μεγάλου τε τοῦ νοσήματος ὄντος, καὶ ταχέως κινουμένου, κατὰ δὲ τὴν πέμπτην, εἰ μὴ πάνυ μέγα, μηδὲ ταχέως κινοῖτο. χρὴ γὰρ τὴν κρίσιν συνδραμεῖν τῷ παροξυσμῷ, καὶ οὕτω σπάνιόν ἐστι τὸ κατὰ τὴν τετάρτην κριθῆναι, ὥστε Ἀρχιγένης μὲν δὶς ἔοικεν αὐτὸ παρ' ὅλον αὐτοῦ τὸν βίον ἑωρακέναι. ἐγὼ δὲ μέχρι τοῦ νῦν ἅπαξ, καὶ τοῦτο αἴτιόν ἐστιν, ὡς κἀν τοῖς περὶ κρισίμων ἡμερῶν εἴρηται, τοῦ τὴν κρίσιν, πολλάκις ἐκ τῆς τετάρτης εἰς τὴν τρίτην τε, καὶ εἰς τὴν πέμπτην μεθίστασθαι. τὸ μὲν γὰρ οὕτως ταχέως κρινόμενον νόσημα, πάντως κάτοξυ. τοῖς κατόξεσι δὲ πᾶσιν, ἤτοι συνόχοις εἶναι πάντως E ἀνάγκη τοὺς πυρετοὺς, ἢ συνεχεῖς μὲν, ἀλλὰ διὰ τρίτης παροξυνομένους. οἱ μὲν δὴ σύνοχοι, σπανιώτεροί τέ εἰσι, καὶ μηδενὸς πλημμεληθέντος, ἐν τῇ τετάρτῃ κρίνονται, τῆς φύσεως ταῖς οἰκείαις περιόδοις ἐπὶ τὴν κρίσιν ἀφικνουμένης. ἔστι δὲ καὶ αὐτὸ τοῦτο τὸ μηδὲν πλημμεληθῆναι, σπάνιον. οἱ δὲ συνεχεῖς, ἐν τοῖς παροξυσμοῖς κρινόμενοι, τῇ τρίτῃ τῶν ἡμερῶν, εὐλόγως, ἢ τῇ πέμπτῃ λύονται. εἰ γὰρ καὶ τῇ τετάρτῃ κριθεῖεν ποτε, τῷ λόγῳ τοῦ κατὰ τὴν τρίτην ἡμέραν παροξυσμοῦ τοῦτο πάσχουσιν. ὁ γὰρ περὶ τὴν ἑνδεκάτην ὥραν, εἰ τύχοι, τῆς τρίτης ἡμέρας εἰσβαλὼν παροξυσμὸς, ἤτοι διὰ τρίτης νυκτὸς, ἢ διὰ τε- F τάρτης ἡμέρας ἐπιφέρει τὴν κρίσιν. ὅταν οὖν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, αὖθις γὰρ ῥητέον ταὐτὰ, θεασάμενός τι πέψεως ἐναργὲς γνώρισμα, πάντων δηλονότι τῶν ἄλλων σημείων ἀκινδύνων ὑπαρχόντων, εἰδείης μὲν ἤδη βεβαίως, ὅτι περὶ τὴν πρώτην τετράδα τὴν λύσιν ἀνάγκη γενέσθαι τῷ νοσήματι. θεασάμενος δὲ τὸ μέγεθος αὐτοῦ, προσεπιμάθοις ὅτι καὶ μετὰ κρίσεως.

κριθῆναι

ἐκ γοῦν τῆς κινήσεως, χρή σε, τοῦ νοσήματος, ἢ τὴν τρίτην, ἢ τὴν τετάρτην, ἢ τὴν πέμπτην ἐλπίζειν. εἰ μὲν πάνυ ταχέως κινοῖτο, τὴν τρίτην, εἰ δὲ βραδύτερόν πως, τὴν πέμπτην, εἰ δὲ σύνοχος ὁ πυρετὸς εἴη, τὴν τετάρτην. συνεπιλαμβάνεται δὲ, τῷ μὲν τάχει τῆς κινήσεως, τό, τε μέγεθος τοῦ νοσήματος, καὶ ἡ ὥρα τοῦ ἔτους, καὶ ἡ ἡλικία, καὶ ἡ χώρα, καὶ τὰ ἄλλα, ὅσα πολλάκις εἴρηται πικρόχολα τὴν φύσιν ὑπάρχειν, τῇ δὲ βραδυτῆτι, τἀναντία. θέρους μὲν γὰρ, νεανίσκος φύσει θερμότερος, ἐξ ἐνδείας, καὶ πόνου, ἐδεσμάτων τε, καὶ ποτῶν χολωδῶν συνεπιλήψεται τῇ τρίτῃ κρίσει, καὶ μᾶλλον εἰ αὐχμώδης ἱκανῶς, ἥ τε προγεγενημένη κατάστασις εἴη, καὶ ἡ νῦν ἐνεστῶσα, καὶ τὸ χωρίον ἐν ᾧ νοσεῖ, φύσει θερμόν. εἰ δὲ καὶ τριταῖαι κρίσεις ἐπιδεδημηκυῖαι τηνικαῦτα εἶεν, ἔτι βεβαιότερος ὁ στοχασμός. εἰ μέντοι τἀναντία πάντα συνέλθοι, βραδυτέρα μὲν ἡ κίνησις τοῦ νοσήματος, οὐ πάνυ δέ τι τὸ μέγεθος ἀξιόλογον, ἡ δ' ὥρα χειμών, ὁ δὲ νοσῶν, ἤτοι φύσει φλεγματωδέστερος, ἢ παρακμάζων, εἰς τὸν τῆς πέμπτης ἡμέρας παροξυσμὸν, ἐλπίζειν ἀφίξεσθαι τὴν κρίσιν, ἔτι δὲ μᾶλλον, εἰ καὶ τὸ χωρίον ὑγρὸν εἴη καὶ ψυχρὸν, ἥ τε παροῦσα κατάστασις ὁμοία, καὶ αἱ κρίσεις ἐπιδεδημηκυῖαι πεμπταῖαι, καὶ τἆλλα δὲ τὰ τούτοις ἀνάλογα, ἀργία τε, καὶ πλησμονὴ, καὶ φλεγματώδη τὰ προεδηδεσμένα σιτία χρόνῳ πλείονι. πάλιν οὖν ἕτερος ἄῤῥωστος ὑποκείσθω, μήπω μὲν μηδὲν ἔχων ἐναργὲς πέψεως σημεῖον, μήτ' ἐν τῇ πρώτῃ τῶν ἡμερῶν, μήτ' ἐν τῇ δευτέρᾳ, μὴ μέντοι κινδυνῶδες, ἀλλὰ παντοίως ἀκίνδυνα πάντως. σωθήσεται μὲν δηλονότι καὶ οὗτος, ἀλλ' οὐκ ἐν τῇ πρώτῃ τετράδι τελέως ἀπαλλαγήσεται. προσέχειν οὖν αὖ δεῖ σε τὸν νοῦν ἐπιμελῶς, εἴ τι πέψεως ἐναργοῦς ἐπιδείξει σημεῖον. εἰ γὰρ τοῦτο γένοιτο, κατὰ τὴν ἑβδόμην ἡμέραν ἀνάγκη λυθῆναι τὸ νόσημα, μηδενὸς ἐν τῷ μεταξὺ πλημμεληθέντος. εἰ δὲ μετὰ κρίσεως, ἢ μὴ, τῷ μεγέθει τοῦ νοσήματος διορίζεσθαι. πρόδηλον γὰρ ὡς εἴπερ μέγα, πάντως μετὰ κρίσεως. εἰ δὲ καὶ κινούμενον ὀξέως, ἔτι δὴ καὶ μᾶλλον, ὥστε κἂν ἁμαρτηθῇ τι μὴ πάνυ μέγα, περὶ τὸν κάμνοντα, πάντως μετὰ κρίσεως, καὶ οὕτως ἐλπίζειν ἑβδομαίαν ἀπαντήσεσθαι κρίσιν. εἰ μέντοι μὴ πάνυ ταχέως κινοῖτο, πλημμεληθείη δέ τι μεταξὺ περὶ τὸν ἄνθρωπον, εἰς τὴν ἐνάτην ἡμέραν ἡ κρίσις μεταπίπτειν ὀφείλει. πάλιν οὖν ἕτερος ἄῤῥωστος ὑποκείσθω, τῶν ἀκινδύνως ἐχόντων, ἐπὶ τῆς ἑβδόμης ἡμέρας, πρῶτον ἐναργές ἴσχων τι πέψεως σημεῖον. οὗτος, εἰ μὲν μέγα τὸ νόσημα, καὶ ταχέως εἴη κινούμενον, ἑνδεκαταῖος μᾶλλον, ἢ τεσσαρεσκαιδεκαταῖος κριθήσεται. μικροτέρου δὲ ὄντος, καὶ μὴ πάνυ ταχέως κινουμένου, τεσσαρεσκαιδεκαταῖος μᾶλλον, ἢ ἑνδεκαταῖος. ἐπιδιορίζεσθαι δὲ δεῖ τοῖς ἄλλοις. εἰ μὲν καὶ νέος εἴη, καὶ φύσει χολώδης, καὶ θέρος, καὶ ἐν χωρίῳ φύσει θερμῷ, καὶ τά τε τοῦ προέμπροσθεν βίου, καὶ τὰ τῆς παρούσης καταστάσεως ἐπὶ τὸ θερμότερον ἅπαντα ῥέποι, πάντως ἐπὶ τῆς ἑνδεκάτης ἡμέρας κριθήσεται οὗτος, καθάπερ εἰ καὶ τἀναντία τῶν εἰρημένων ἅπαντα ὑπάρχει τῷ νοσοῦντι, μετὰ τὴν τεσσαρεσκαιδεκάτην. εἰ δέ τινα μὲν εἴη, τινὰ δὲ μὴ, πλημμεληθέντος δέ τινος ἐν τῷ μεταξὺ, κατὰ τὴν ἑνδεκάτην ἡμέραν οὐκ ἐνδέχεται κριθῆναι τὸ νόσημα. πολλάκις δὲ, οὐδὲ κατὰ τὴν ιδ'. ὅταν ᾖ μεῖζον τὸ ἁμαρτηθέν. εἰ μέντοι μηδὲν ἁμαρτηθείη, μικτὰ δ' εἴη τὰ συμπτώματα, γεγυμνασμένου τε, καὶ ὀξέος ἐν τάχει χρεία τοῦ ἰατροῦ, πρὸς τὸ διακρίνειν τὰ μείζονα τὴν δύναμιν ἔχοντα σημεῖα, καὶ τῇ κατ' αὐτὰ προδηλουμένῃ κρίσει πιστεῦσαι μᾶλλον ἐπὶ τῶν οὕτως ἀμφιβόλων προγνώσεων.

Ex morbi autem motu te sperare oportet, quòd crisis vel tertio die fiet, vel quarto, vel quinto; si quidem celer sit motus, tertio; si verò quodammodo tardior, in quinto; si verò febris fuerit synochus, in quarto. Adiuuat motus celeritatem morbi magnitudo, & anni tempus, & regio, & ætas, & quæcunque alia amaræ bili conueniunt; tarditati autem motus insunt contraria. Æstate enim adolescens naturâ calidior, post inediam, & labores, & cibos, & potus biliosos, tertiana crisi occupabitur, & præsertim si is, qui antecesserit, temporis status admodum squalidus extiterit, & præsens etiam; & locus, in quo ægrotat, fuerit natura calidior; si verò & tertianę crises tunc populariter grassentur, adhuc certior est coniectura. Quòd si omnia contraria conuenerint, & motus morbi tardior, neque magnitudo valde effatu digna, & tempus anni fuerit hybernum, æger autem, vel natura pituitosior, vel iam declinantis ætatis, sperandum est crisim ad quinti diei accessionem peruenturam; adhuc autem magis, si locus natura frigidior, atque humidior extiterit, & præsens temporis status consimilis, & quintanæ crises populariter grassentur; & reliqua his proportione respondētia, veluti ocium, repletio, & esus ciborum pituitosorum à plurimo tempore. Rursus igitur alius ægrotus subiiciatur, qui nullum habeat signum coctionis manifestum, neque in primo die, neque in secundo; neque tamen perniciosum, sed omnino omnia sint citra periculum; saluabitur quidem & hic, sed in primo quaternario non liberabitur integrè. Oportet igitur mentem diligenter adhibere, nunquid aliquod signum manifestum coctionis ostendat; nam si hoc fiat, necesse est, vt in septimo die æger liberetur, modò interim nullus error admittatur. Si verò per crisim, vel sine crisi salus sit secutura, hoc ex morbi magnitudine noscitur. Liquet enim, quod si magnus fuerit, omnino per crisim morbus finietur; quòd si etiam motus velocitas adiungatur, multo magis id fiet; vt si etiam aliquis error, non magnus tamen, circa ægrotantem factus fuerit, omnino per crisim, & sic sperandum crisim in septimo euenturam. Quòd si non multùm velociter moueatur, aliquis verò error circa hominem interim fiat, ad nonum diem crisis transfertur. Rursus itaque supponamus aliquem salubri morbo laborare, qui die septima aliquod coctionis signum habeat manifestum; hic si morbus magnus extiterit, & celeriter moueatur, vndecimo potius, quàm decimoquarto die, crisim parietur; quod si minor fuerit, neque celerem motum habuerit, decimoquarto magis, quàm vndecimo. Simul verò cum aliis est distinguendum, si & iuuenis fuerit, & naturâ biliosus, & tēpus æstiuum, & in loco calido ægrotauerit; & prior victus, & quæcunque præsenti attinent statui, ad calidius declinauerint; omnino iste die vndecimo crisim habebit; quemadmodum, si omnia contraria iis, quæ dicta sunt, affuerint ægrotanti, in quarto decimo. Quòd si nonnulla quidem affuerint, nonnulla verò non, atque interim aliquis error inciderit, fieri non potest, vt crisis die vndecimo subsequatur; sæpius verò nec die decimoquarto, quando magis fuerit erratum. Sed si nullus error acciderit, mixta verò fuerint symptomata; hic opus erit medico exercitato, ac perspicaci, vt ea quæ vim maiorem habent, signa distinguat; & illi quæ ab ipsis ostenditur, crisi fidem adhibeat certiorem in hisce adeò ambiguis præcognitionibus.

Si

Si autem neque in ipso septimo die, in aliis certè inter septimum, & vndecimum, id quod futurum est, exquisitè discere licet. Nam si magnitudo, vel velocitas motus morbi in eisdem diebus intendatur, ac coctionis signis effatu digna accessio facta fuerit, huiusmodi ægrotus die vndecimo crisim patietur; sicuti, si contrà se habuerint, in quartodecimo. Subijciatur rursus ægrotus, qui in morbo salubri in primis diebus tardiorem febris motum habeat, neque cum nimis vehementi calore, veruntamen adsint cruditatis signa; quòd quidem intra quartumdecimum diem hic non liberabitur morbo, iam manifestum est. An verò in illa ipsa die, vel postea, ex morbi temporibus distinguendum est; nam principij quidem signa si diu permanserint, diuturnum fore morbum significant. Augmenti verò si in quarta, vel in septima die apparuerint, sperandū est aliquid in quartodecimo; sed in vndecimo determinabitur. Nam si hæc tria in eo die coniuncta fuerint, & motus velocitas, quæ sufficiens sumpserit incrementum, & febris magnitudo, ac præterea manifestum coctionis indicium, fiet crisis in quartadecima; adhuc autem magis, si & anni tempus, & ætas, & ægrotantis natura, & quæcunq; alia his proportionibus respondent, ad crisis celeritatem contulerint. Si verò solùm manifestū coctionis signum die vndecima appareat, neq; tamen morbi magnitudo, aut motus velocitas festinauerint; tunc vltra diem decimumquartū crisis differetur. Sed si quidé anni tēpus, & ætas ægrotantis, & quæcunq; alia his proportione respondentia, ad frigidius declinauerint, sperandū non est morbi solutioné ante vigesimum diem secuturā. Quòd si mixta quoquo modo signa affuerint, & dies decimusquartus coctionem insigniter auxerit, die decimoseptimo crisis occurret. Si verò neque die quartodecimo aliquid nouatū fuerit, tunc ad septimum decimum diem est respiciendum; si enim in eo aliquod signum apparuerit, id fidissimum erit, quamuis valdè exiguum fuerit, vigesimoque die crisim futuram præmonstrabit.

A Εἰ δὲ καὶ μὴ κατὰ τὴν ζʹ. αὐτήν, ἀλλὰ κατὰ τάς ἄλλας γε, τὰς μεταξὺ τῆς ἑβδόμης τε καὶ τῆς ιαʹ. ἔνεστιν ἀκριβῶς ἐξευρεῖν τὸ γενησόμενον. εἰ γάρ, ἤτοι τὸ μέγεθος, ἢ τὸ τάχος τῆς τοῦ νοσήματος κινήσεως ἐπιταθείη κατὰ ταύτας τὰς ἡμέρας, ἀξιόλογός τε προσθήκη γένοιτο τοῖς τῆς πέψεως σημείοις, ἑνδεκαταῖος ὁ τοιοῦτος ἄρρωστος κριθήσεται, καθάπερ εἰ καὶ τἀναντία, τεσσαρεσκαιδεκαταῖος. ὑποκείσθω τοίνυν πάλιν ἄρρωστος, ἐν ἀκινδύνῳ νοσήματι, κατὰ τὰς πρώτας ἡμέρας, ἀργοτέραν τε τὴν κίνησιν ἔχων τοῦ πυρετοῦ, καὶ μηδὲ περικαῶς πάνυ πυρέττων, ἀλλὰ καὶ σὺν τοῖς τῆς ἀπεψίας σημείοις, ὅτι μὲν ἐντὸς τῆς ιδʹ. ὁ τοιοῦτος οὐκ ἂν B ἀπαλλαγείη τοῦ νοσήματος, ἤδη δῆλον. εἴτε δὲ κατ' αὐτὴν ἐκείνην, εἴτε καὶ πορρωτέρω, τοῖς καιροῖς τῆς ὅλης νόσου διορίζεσθαι. τὰ μὲν γὰρ τῆς ἀρχῆς σημεῖα, μέχρι πολλοῦ παραμένοντα, χρόνιον ἔσεσθαι δηλώσουσι τὸ νόσημα. τὰ δὲ τῆς ἀναβάσεως, εἰ κατὰ τὴν δʹ. ἢ τὴν ζʹ. φανείη, περὶ τὴν ιδʹ. ἐλπίζειν τι, διορισθήσεσθαι δὲ ἐπὶ τῆς ιαʹ. εἰ γὰρ ἅμα τὰ τρία ταῦτα συνδράμοι κατὰ ταύτην τὴν ἡμέραν, ἥ τε τῆς κινήσεως ὀξύτης ἱκανὴν αὔξησιν εἰληφυῖα, καὶ τὸ μέγεθος τοῦ πυρετοῦ, καὶ προσέτι πέψεως ἐναργὲς γνώρισμα, κατὰ τὴν ιδʹ. ἡ κρίσις. ἔτι δὲ δὴ μᾶλλον, εἰ καὶ τὰ τῆς ὥρας τε καὶ τὰ τῆς ἡλικίας, καὶ τὰ τῆς φύσεως τοῦ νοσοῦντος, ὅσα τἄλλα τούτοις ἀνάλογον εἰς τάχος κρίσεως συν- C τελεῖ. μόνου δὲ τοῦ τῆς πέψεως ἐναργοῦς σημείου κατὰ τὴν ἑνδεκάτην ἡμέραν γινομένου. μὴ μέντοι, μήτε τοῦ μεγέθους τοῦ νοσήματος, μήτε τοῦ τάχους τῆς κινήσεως κατεπείγοντος, οὐκ ἂν ἐν τῇ ιδʹ. κριθείη. ἀλλ' εἰ μὲν καὶ τὰ τῆς ὥρας, καὶ τὰ τῆς ἡλικίας τοῦ κάμνοντος, ὅσα τἄλλα τούτοις ἐστὶ σύστοιχα πρὸς τὸ ψυχρότερον ῥέποι, μὴ πρὸ τῆς κʹ. ἐλπίζειν ἔσεσθαι τὴν λύσιν τοῦ νοσήματος. εἰ δὲ μικτά πως εἴη, καὶ ἡ ιδʹ. τὰ σημεῖα τῆς πέψεως ἀξιολόγως αὐξήσει, κατὰ τὴν ἑπτακαιδεκάτην ἡ κρίσις ἀπαντήσεται. εἰ δὲ μήτ' ἐπὶ τῆς ιδʹ. νεωτερισθείη μηδέν, ἀκριβῶς πάνυ προσ- D έχειν τὸν νοῦν τοῖς ἐπὶ τῆς ἑπτακαιδεκάτης ἐσομένοις. πιστότατον γὰρ ἔσται τὸ κατ' αὐτὴν φανὲν σημεῖον, εἰ καὶ πάνυ σμικρὸν εἴη, καὶ προδηλώσει τὴν ἐπὶ τῆς κʹ. ἡμέρας ἐσομένην κρίσιν.

πρότερον

CAPVT V.

Quod maximè faciat ad crisis præcognitionem, futuri status morbi prænotio; ac non posse hominem morbi vi, in declinatione ipsius interire.

QVòd verò hæ crises vniuersæ, quas numeraui, omnium optimæ sint, hoc est securæ, atq; perfectæ, & certæ, si quis ea omnia, quæ à principio dicta sunt, assequutus est, nulla amplius egebit demonstratione. Quum enim post signa optima, atq; exquisitam coctioné factę fuerint, necesse est vt optimæ sint, quoniam & sola coctio crisis celeritaté, & salubré securitaté ostendit; neq; enim vel animo cócipi potest, quod post morbi exquisitam coctioné, crisis mala sequatur. Exquisita verò coctio fit tépore status; atq; idcirco ab initio ipso nos admonuimus, nulli alteri exercitationi tam esse intendendū, quàm ad morbi statū prænoscendum. Nam si forma victus ad illum instituitur, & crisis optima in illo fit, atq; omnium crisium ipsa est regula (quæ enim huic proximior est, altera magis distante potior semper est) in nulla re adeo exercitandus est medicus, quantum in status præcognitione. Esto igitur, vt in die quartodecimo spes sit fore statum, & aut ob morbi magnitudinem,

ΚΕΦΑΛΑΙΟΝ Εʹ.

Ὅτι ἡ τῆς μελλούσης τοῦ νοσήματος ἀκμῆς πρόγνωσις, χρησιμωτάτη ἐστὶ πρὸς τὸ προγινώσκειν τὴν κρίσιν· καὶ μηδένα κατὰ τὰς παρακμὰς δύνασθαι διὰ τὸ μέγεθος τοῦ νοσήματος ἀποθανεῖν.

E ΟΤΙ δὲ αἱ τοιαῦται σύμπασαι κρίσεις, ἃς ἐξηριθμησάμεθα, πασῶν εἰσιν ἄρισται, τουτέστιν ἀκίνδυνοί τε, καὶ τέλειαι, καὶ ἀσφαλεῖς, εἴ τοις ἐξ ἀρχῆς εἰρημένοις ἅπασιν ἠκολούθησέ τις, οὐδεμιᾶς ἀποδείξεως ἔτι προσδεῖται. ὅταν γὰρ ἐπί τε σημείων ἀγαθῶν γίγνωνται, καὶ πέψεως ἀκριβοῦς, ἀρίστας ἀναγκαῖον ὑπάρχειν αὐτάς. ὅπου γε καὶ ὁ πεπασμὸς μόνος, ταχύτητα κρίσεως, καὶ ἀσφάλειαν ὑγιείας σημαίνει. οὐδὲ γὰρ ἐπινοῆσαι δυνατὸν ἐπ' ἀκριβεῖ πέψει νοσήματος, ἀπαντῆσαί ποτε κρίσιν οὐκ ἀγαθήν, ἀκριβὴς δὲ πέψις ἐν ταῖς ἀκμαῖς γίνεται, καὶ διὰ τοῦτο ἀπ' ἀρχῆς εὐθὺς ὑφ' ἡμῶν παρῄνητο μηδὲν οὕτως ἀσκεῖν προγινώ- F σκειν, ὡς τὴν ἀκμὴν τοῦ νοσήματος. εἰ γὰρ καὶ τὸ σχῆμα τῆς διαίτης, ὡς πρὸς ἐκείνην συντάττεται, καὶ κρίσις ἀρίστη κατ' ἐκείνην γίνεται, καὶ πασῶν ἐστι τῶν κρίσεων αὕτη κανών. εἰ γὰρ ἡ ἐγγυτέρω ταύτης, ἀεὶ τῆς πορρωτέρω βελτίων, οὐδὲν οὕτως ἀσκεῖν χρὴ τὸν ἰατρόν, ὡς προγινώσκειν ἀκμήν. ἔστω γὰρ ἐπὶ τῆς ιδʹ. ἡμέρας ἐλπίζεσθαί σοι τὴν ἀκμήν, ἤτοι δὲ διὰ μέγεθος τοῦ νοσήματος,

ἢ διὰ τὸ τῆς κινήσεως τάχος, ἢ καὶ δι' ἄλλον τινὰ ἔξωθεν ἐρεθισμὸν, ἐπὶ τὴν ια'. εἰσβάλλειν τὴν κρίσιν. οὐκ ἔτ' οὐδὲ τελείαν αὐτὴν, οὐδ' ὅλως ἀγαθὴν ἐλπίσαι δυνατὸν, ἀλλ' ἐν παντὶ δέος, κατὰ τοῦτον τὸν καιρὸν ἀνάγκη εἶναι, καὶ μάλιστα, εἰ καὶ μὴ παντάπασιν ἀκίνδυνον ὑπάρχει τὸ νόσημα. σωτηρίου μὲν τοι φαινομένου, τὸ γοῦν, ἤτοι μετὰ χαλεπῶν γενέσθαι συμπτωμάτων τὴν κρίσιν, ἢ μὴ τελείαν, ἢ πάντως ὑποτροπιάσειν ἀναγκαῖον ὑποπτεύειν. οὕτως ἄρα μεγίστη τις δύναμις ἐν τοῖς πεπασμοῖς ἐστι, καὶ διὰ τοῦτο, καὶ ἐν τῇ ἀκμῇ. καὶ γὰρ οὖν, καὶ εἴ τινα κατὰ ταύτας οὐκ ἐκρίθη νοσήματα, κριθῆναι τούτοις ἐπὶ τῶν παρακμῶν ἀμήχανον. ὅσα γὰρ ἂν ἅπαξ ὑπερβῇ τὸν τῆς ἀκμῆς καιρὸν, ἄκριτα μένοντα, κατὰ βραχὺ ταῦτα λύεται, καὶ μὲν δὴ καὶ κίνδυνος ἐπὶ θανάτου μετὰ τὸν τῆς ἀκμῆς καιρὸν οὐδείς ἐστιν. ἐμοὶ γοῦν κριτῇ, καίτοι δοκοῦσί τινες ἑωρακέναι τεθνεῶτας ἐν ταῖς παρακμαῖς. ἀλλ' εἴτε τῇ πείρᾳ χρὴ κρίνειν, εἴτε τῷ λόγῳ, καθ' ἄλλο τι τούτους ἀποθανόντας οἶδα, καὶ οὐ καθ' αὐτὸ τὸ νόσημα. πάντες γοῦν ἐφ' ἁμαρτήμασιν ἀπώλοντο, μάλιστα μὲν τοῖς ἑαυτῶν, ἐνίοτε δὲ καὶ τοῖς τῶν ἰατρῶν. οὕτω μὲν ἡ πεῖρα μαρτυρεῖ, τὸ μηδένα κατὰ τὰς παρακμὰς ἀποθανεῖν, δι' αὐτὸ τὸ νόσημα. ταύτης δ' ἔτι πολὺ μᾶλλον ὁ λόγος. οὐ γὰρ ἐγχωρεῖ, πεφθέντων τῶν νοσερῶν αἰτίων, οὐδὲ τῆς φύσεως ἐπικρατούσης ἔτι, ἀπολέσθαι τὸν ἄνθρωπον, εἴ γε θεραπεύοιτο καλῶς ὑπὸ τῶν ἰατρῶν. ὅπου γὰρ ἤδη εἶχέ τε, καὶ ἀπεμαχέσατο, καὶ ἀντήρκεσε τῷ σφοδροτάτῳ τῆς νόσου, κατηγωνίσατο τὰ λυποῦντα, τοῦτο γάρ ἐστιν ὁ πεπασμὸς, οὐκ ἐνδέχεται ταύτην οὐκέτι νικηθῆναι. καὶ μὴν, εἰ ἄρ' ἀήττητος ἡ φύσις ὑπὸ τοῦ νοσήματος εἴη, καθ' οὐδένα τρόπον ἐγχωρεῖ θάνατον ἀπαντῆσαι, εἴ γε δὴ, μηδ' ἄλλο τι θάνατός ἐστι παρὰ τὴν παντελῆ τῆς φύσεως ἧτταν, διαρκούσης δὲ καὶ κρατούσης, καὶ νικώσης, ἀνάγκη σώζεσθαι τὸ ζῶον. ἐκ πάντων οὖν, ὁ λόγος ἀναγκάζει τοῦτ' ἀσκεῖν μάλιστα, τῆς νόσου προγινώσκειν τὸ μέρος, ὃ καλοῦσιν ἀκμήν. καὶ γὰρ δὴ, καὶ ἡ τοῦ τεθνήξεσθαι τὸν ἄνθρωπον, ἢ μὴ τεθνήξεσθαι πρόγνωσις, ἄνευ τοῦ προεγνωκέναι τὸν καιρὸν τῆς ἀκμῆς, οὐκ ἄν ποτε γένοιτο. τότε γὰρ πρῶτον ἀποθανεῖν ἀναγκαῖον, ὅταν ἡ δύναμις ὑπὸ τοῦ νοσήματος ἡττηθῇ. χρὴ δὲ, εἴτε δύναμιν, εἴτε φύσιν εἴποιμι, ταὐτὸν ἀκούειν σε νῦν, καὶ μὴν οὐκ ἐγχωρεῖ σε γνῶναί ποτε, πότερον πρότερον ἡττηθήσεται τοῦ μέλλοντος, ἀδήλου παντάπασιν ὑπάρχοντος. εἰ μὲν γὰρ ἐντὸς ἡμέρας μιᾶς ἡ κρίσις ἔσεσθαι μέλλει, φθάσει δηλονότι σωθεὶς ὁ νοσῶν, πρὶν τὴν δύναμιν ὑπὸ τοῦ νοσήματος νικηθῆναι. εἰ δ' οὐκ ἐνδέχεται πρὸ τῶν κ'. ἡμερῶν, εἰ τύχοι, γενέσθαι τὴν ἀκμὴν, ἐνδέχεται φθάσαι καμεῖν ἐν τῷ χρόνῳ τὴν δύναμιν. ὥστε τῶν ὁμοίων πάντων φαινομένων ἀρρώστων, ἐγχωρεῖ τὸν μὲν σωθῆναι, τὸν δ' ἀπολέσθαι διὰ τὸν καιρὸν τῆς μελλούσης ἀκμῆς. εἰ μὲν οὖν εἶχέ τις ἄλλον ἡμᾶς διδάξαι διορισμὸν, εἰς τὸ διακρίνειν δύνασθαι τούς τ' ἀπολεσθησομένους, καὶ σωθησομένους, οὐδὲν ἂν ἴσως εἰς τοῦτο δεοίμεθα διαγινώσκειν ἀκμὴν μέλλουσαν, εἰ δ' οὐκ ἐνδέχεται, τῶν ὡσαύτως φαινομένων νοσούντων, ὅστις ἐστὶν ὁ σωθησόμενος, ἢ τεθνηξόμενος, ἑτέρως ἢ ὡς ἐγὼ νῦν εἴρηκα, μεγίστη καὶ κατὰ τοῦτο χρεία τοῦ προεγνωκέναι τὴν ἀκμήν. Ἱπποκράτης μὲν οὖν, στοχάζεσθαί φησι χρῆναι τὸν νοσέοντα, εἰ ἐξαρκέσει πρὸς τὴν ἀκμὴν τῆς νόσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος ἀπαυδήσει πρότερον, καὶ ἀμβλυνεῖται. φαίνεται δὲ καὶ Διοκλῆς, καὶ Πλειστόνικος, καὶ Πραξαγόρας, καὶ Φιλότιμος, καὶ πάντες ἁπλῶς εἰπεῖν, οἱ δοκιμώτατοι τῶν ἰατρῶν, οὐδὲν ἐξευρίσκοντες, ἄλλο βέλτιον, εἰς διάγνωσιν τοῦ τεθνήξεσθαι τὸν ἄνθρωπον, ἢ σωθήσεσθαι.

τῇ παρακμῇ

A vel motus velocitatem, vel propter aliquod aliud extrinsecum irritamentum, crisis die vndecimo anticipet; neque ipsam perfectam, neque omnino bonam, sperare possumus: sed hoc tempore omnino timendum est; præsertim si neque in totum morbus periculo vacat. Quòd si salubris apparuerit, verendum est, ne crisis, vel cum grauibus fiat symptomatis, vel non perfecta, vel omnino reuertatur; adeò magnam habet vim coctiones, ac propterea etiam morbi status. Et quidem si morbi in hoc tempore crisim non habuere, fieri non potest, vt in declinatione habeant; quicunque enim status tempus semel præterierint, hi B sine crisi perseuerant, & paulatim soluuntur. Et nullum est mortis periculum tempore status elapso, quantum iudicio assequi possum; & tamen quidam sunt, qui putant se vidisse ægrotos in declinationibus periisse. Sed si experientiæ, vel rationi credere oportet, noui ipsos alia ratione, quàm morbi, interisse; omnes si quidem erroribus interiere, præcipuè quidem suis ipsorum; sed & aliquando medicorum. Sic quidem experientia testatur, neminem vnquam vi morbi in declinationibus periisse; sed adhuc magis ratio; neque enim possibile est, coctis iam causis morbificis, ac iam natura victrice ægrum interire, mo- C dò recta curatio à medicis adhibeatur. Vbi enim natura superior euasit, & debellauit, & restitit vehementiori morbi conatui, & quæ infestabant, expugnauit (hoc enim est ipsa coctio) fieri non potest, vt deinceps succumbat. Quòd si à morbo natura non vincatur, mortem subsequi nullo modo contingit, siquidem nihil aliud mors est, nisi absoluta naturæ prostratio; vbi verò ipsa perdurat, dominatur, ac vincit, hominem necesse est liberari. Ex omnibus igitur nos ratio cogit, in id maximè esse incumbendum, vt eam morbi D partem prænoscamus, quam statum vocant; nam, si moriturus est æger, aut non, nemo præcognoscet, nisi status tempus præcognouerit. Tunc enim primum mori ægrotantem est necessarium, quum vires morbo succubuerint; siue autem vires, siue naturam dixero, idem te nunc intelligere oportet; & quidem, vtrum prius superabitur, sciri non potest, si futurum penitus fuerit incertum. Nam si crisis intra vnum diem esse debeat, saluabitur æger, antequam vires à morbo prosternantur. Si verò ante viginti dies (ita enim contingat) non possit status aduenire, fieri potest, vt interim natura fatigetur, adeo vt, quum ægroti E omnino similiter habere videantur, alter quidem saluetur, alter moriatur, ob status futuri tempus. Si quis verò nos alium modum sciret edocere, quo morituros à saluandis possemus distinguere, non esset fortassis ad hoc status necessaria præcognitio; sed quum aliam viam, quàm nuper dictam, inuenire nequeamus; ægrotis similiter habere apparentibus, quis saluabitur, quísve morietur; maxima ex hoc præcognoscendi status necessitas oritur. Hippocrates igitur ita inquit: *Coniectura assequi oportet, an æger cum eo victu vsque ad morbi statum perdurabit; & vtrum ipse prius deficiet, ne-* F *que cum eo victu perdurabit; vel morbus antea finietur, & obtundetur.* Videntur quidem, & Diocles, & Plistonicus, & Praxagoras, & Philotimus, atque omnes, vt ita dixerim, probatissimi medici nihil aliud melius inuenisse ad iudicandum, nunquid æger saluabitur, aut morietur: qui

qui verò omnia bona artis deteriora fecerunt, ij neque aliquod aliud sapientius excogitauerunt, & hoc maximè neglexerunt. Quis enim eorum est, qui aut morbi magnitudinem, aut naturæ robur cognoscere studeat, aut futurum statum præcognoscere? Et quidem sine horum trium exacta dignotione nihil de salute inuestigari contingit, non magis, quàm hoc, nunquid aliquis portando oneri sufficiat, sciri potest, hominis robore, oneris magnitudine, & viæ longitudine antea non perspecta; nam ægri vires portanti onus, morbus verò oneri, tempus autem, quod vsque ad statum extenditur, longitudini viæ respondet. Quo pacto igitur de ægrotante sciri potest, nunquid sufficiat, si nulla status præcognitio habeatur? Ex omnibus igitur ratio cogit nil tam studiosè esse discendum, quam futuri status prænotionem. Si enim neque conueniens victus adhiberi potest, si hic non præcognoscatur, neque de ægri salute, vel morte alio modo manifestam haberi notitiam contingit. Sed neque de crisi, nunquid futura sit, aut omnino non erit; & si fiat quando, & qualis erit sciri potest, si præcognitio status non habeatur. Quare maximum hoc erit artis opus, & cæteris omnibus anteferendum, ad præcognoscendum futurum statum exercitatio. Sed quomodo hoc fieri potest, antea diximus.

CAPVT VI.

Epilogus eorum quæ faciunt ad salutem vel mortem prænoscendam.

NVnc vero, quòd nuper dicebamus repetendum si cognouerimus ex magnitudine morbi & viribus ægrotantis, & tẽpore status, nunquid liberabitur aut morietur, colligere, ita aliquid poterimus de crisis tẽpore, & modo. Si quidem morbus salubris inueniatur, & neque eius acerbitas, neque magnitudo festinent, neque error aliquis circa ægrotum admittatur, status tempus, crisis expectat; & hæc quidem optima crisis est, fit enim morbo iam cocto. Si verò vel propter morbi magnitudinem, vel motus celeritatem, vel propter aliquod aliud irritamentum ante statum crisis venire cogatur, tanto hæc optima deterior erit, quanto statum anticipauerit. Quòd si neque vsque ad statum sufficere possit, necessarium est ægrotantem ex hoc morbo interire, non tamen omnino prope statum; contingit enim & multo celeriùs, & statim circa morbi totius initia. Crisis enim vel in statu, vel parum ante ipsum fit; Mors autem in tribus temporibus, principio, augmento, & statu.

CAPVT VII.

De tribus conualescendi, & quatuor moriendi modis.

QVum verò res plures sint, concedant mihi sophistæ, manifestioris doctrinæ gratia, singulis proprium nomẽ imponere. Et si hoc ipsi non cõcesserint, longè eis valere iussis (neq; enim ipsis sed iis qui veritati student, hic sermo componitur) ita consideremus. Si quis subitò morbo liberatur, omnino huic aliqua euacuatio effatu digna contingit vel per vomitum, vel per ventris exonerationem, vel sudores, vel vrinas, vel sanguinis è naribus profluuium, aut ex sede per hæmorrhoidas,

τοῖς δὲ πάντη τὰ καλὰ τῆς τέχνης λυμηναμένοις, οὔτ' ἄλλο τι σοφώτερον ἐξεύρηται, καὶ τοῦτ' ἐσχάτως ἠμέληται. τίς γὰρ αὐτῶν, ἢ μέγεθος νοσήματος, ἢ ῥώμην δυνάμεως ἀσκεῖ διαγινώσκειν, ἢ τὴν μέλλουσαν ἀκμὴν προγινώσκειν; καὶ μὴν ἄνευ τῆς τῶν τριῶν τούτων ἀκριβοῦς διαγνώσεως, οὐκ ἐνδέχεται περὶ σωτηρίας οὐδὲν ἐξευρεῖν, οὐ μᾶλλον, ἢ εἰ φορτίον τις ἱκανὸς κομίζειν ἔσοιτο, χωρὶς τοῦ καὶ τὴν ῥώμην εἰδέναι τοῦ ἀνθρώπου, καὶ τὸ μέγεθος τοῦ φορτίου, καὶ τὸ μῆκος τῆς ὁδοῦ. ἀνάλογον γάρ ἐστιν, ἡ μὲν δύναμις τῷ βαστάζοντι, τὸ δὲ νόσημα, τῷ φορτίῳ, τὸ δὲ μῆκος τοῦ χρόνου, τὸ μέχρι τῆς ἀκμῆς, τῷ μήκει τῆς ὁδοῦ. πῶς οὖν οἷόν τε ἐστι γνῶναι περὶ τοῦ κάμνοντος, εἰ ἐξαρκέσει, μηδεμίαν ἔχοντα πρόγνωσιν περὶ τῆς ἀκμῆς; ἐξ ἁπάντων οὖν, ὁ λόγος ἀναγκάζει μηδὲν οὕτως ἀσκεῖν, ὡς τὴν μελλούσης ἀκμῆς τὴν πρόγνωσιν. εἰ γὰρ καὶ διαιτῆσαι καλῶς οὐκ ἐγχωρεῖ, χωρὶς τοῦ ταύτην προγνῶναι, καὶ περὶ σωτηρίας τοῦ νοσοῦντος, ἢ περὶ θανάτου, καθ' ἕτερον τρόπον οὐχ οἷόν τε σαφῶς ἐξευρεῖν. ἀλλ' οὐδὲ περὶ κρίσεως, εἴτε ὅλως, εἴτε μηδ' ὅλως ἔσται, καὶ γινομένη πηνίκα, καὶ ὁποία τις ἔσται, χωρὶς τῆς κατὰ τὴν ἀκμὴν προγνώσεως ἀδύνατον εἰδέναι. μέγιστον ἂν εἴη, καὶ πρῶτον ἁπάντων τῶν κατὰ τὴν τέχνην, ἀκμῆς μελλούσης ἀσκῆσαι πρόγνωσιν. ὅπως μὲν οὖν χρὴ τοῦτο ποιεῖν, ἔμπροσθεν εἴρηται.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ἐπίλογος τῶν πρὸς τὴν τῆς σωτηρίας τε ἢ θανάτου ἀνηκόντων πρόγνωσιν.

ΝΥνὶ δ' ὅπερ ἔμπροσθεν ἐλέγομεν ἀναληπτέον, ὡς ἐκ τοῦ γνῶναι μέγεθος τοῦ νοσήματος, καὶ ἰσχὺν δυνάμεως, καὶ ἀκμῆς καιρὸν, εἴτε σωθήσεται προγνόντες ὁ κάμνων, εἴ τε μὴ, δυναίμεθ' ἂν συλλογίζεσθαί τι περὶ τοῦ χρόνου, καὶ τοῦ τρόπου τῆς κρίσεως. εἰ μὲν γὰρ ἀκίνδυνον εὑρίσκοιτο τὸ νόσημα πάντη, καὶ μήτ' ὀξύτης αὐτοῦ κατεπείγοι, μήτε μέγεθος, ἀλλὰ μηδὲ πλημμεληθείη τι περὶ τὸν κάμνοντα, τὸν τῆς ἀκμῆς καιρὸν ἡ κρίσις ἀναμένει, καὶ αὕτη μέν ἐστιν ἡ ἀρίστη κρίσις, ἤδη γὰρ πεπεμμένου τοῦ νοσήματος γίνεται. εἰ δέ γε, ἤτοι διὰ τὸ μέγεθος, ἢ τὸ τῆς κινήσεως τάχος, ἢ διά τινα ἄλλον ἐρεθισμὸν, ἐντὸς τῆς ἀκμῆς ἀναγκασθείη τὸ νόσημα κριθῆναι, τοσοῦτον τῆς ἀρίστης κρίσεως ἡ νῦν ἔσται χείρων, ὅσον ἔφθασε τὴν ἀκμήν. εἰ δὲ μηδ' ἐξαρκέσαι δύναιτο μέχρι τῆς ἀκμῆς, ἀνάγκη μὲν ἀποθανεῖν ἐν τῷ τοιούτῳ νοσήματι τὸν ἄρρωστον, ἀλλ' οὐ πάντως, ἐγγὺς τῆς ἀκμῆς. ἐνδέχεται γὰρ, καὶ πολὺ θᾶττον αὐτῆς, καὶ κατ' ἀρχὰς εὐθὺς ὅλης τῆς νόσου. κρίσις μὲν γὰρ, ἤτοι κατὰ τὴν ἀκμὴν, ἢ μικρὸν πρὸ αὐτῆς γίνεται, θάνατος δὲ, ἐν τοῖς τρισὶ καιροῖς, ἀρχῇ, καὶ ἀναβάσει, καὶ ἀκμῇ.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Περὶ τριῶν τῶν τοῦ σωθήσεσθαί τε καὶ τεττάρων τοῦ τὸν κάμνοντα τεθνήξεσθαι τρόπων.

ΠΛειόνων δὲ ὄντων πραγμάτων, ἵνα ὁ λόγος ᾖ σαφὴς, συγχωρησάτωσαν ἡμῖν οἱ σοφισταὶ, καθ' ἕκαστον αὐτῶν ἴδιον ὄνομα θέσθαι, κἂν εἰ μὴ συγχωροῖεν δὲ, μακρὰν χαίρειν αὐτοῖς εἰπόντες, οὐ γὰρ ἐκείνοις, ἀλλὰ τοῖς τὴν ἀλήθειαν ἀσκοῦσιν, ὁ λόγος ὅδε σύγκειται, σκοπῶμεν οὕτως. εἰ μὲν δή τις ἀθρόως ἀπαλλάγη τῆς νόσου, πάντως μὲν τούτῳ κένωσις ἀξιόλογος ἀπήντησε δι' ἐμέτων, ἢ γαστρὸς, ἢ ἱδρώτων, ἢ οὔρων, ἢ αἱμορραγίας ἐκ ῥινῶν, ἢ αἱμορροΐδων ἐξ ἕδρας,

ἢ καταμηνίων φορᾶς ἐπὶ γυναικῶν, ἀλλὰ καὶ παρωτίδες A
ἀπήλλαξαν οὐκ ὀλίγους, ἐν καιρῷ τῷ δέοντι φανεῖσαι, καὶ
εἰς γόνατα, καὶ εἰς πόδας, καὶ εἰς ἄλλο τι καὶ ἄλλο τῶν
ἀκύρων μορίων ἀπόσκημμα. καὶ μὲν δὴ καὶ προηγεῖταί τε,
καὶ συνεδρεύει τούτοις ἅπασιν, οὐ σμικρὰ ταραχὴ κατὰ τὸ
σῶμα τοῦ κάμνοντος, παραπαίουσί τε, καὶ δυσπνοοῦσι, καὶ
ἀσώδεις εἰσὶ, καὶ τὰ ἄλλα ὅσα ἔμπροσθεν εἴρηται πά-
σχουσιν. εἷς μὲν δὴ τρόπος ὅδε λύσεως νοσημάτων, ὃν οὐχ
ἡμεῖς μόνοι νῦν ἀξιοῦμεν ἕνεκα σαφοῦς διδασκαλίας ὀνο-
μάζεσθαι κρίσιν, ἀλλὰ καὶ οἱ παλαιοὶ πάντες οὕτως ἐκά-
λουν. ἕτερος δὲ, τὰ μὲν ἄλλα τῷδε σύμπαντ' ἔχων τὰ B
αὐτὰ, μόνῳ δὲ διαφέρων τῷ μὴ τελέως ἀπαλλάττειν τῆς
νόσου. ὀνομάζεται δὲ καὶ οὗτος ἐνίοτε μὲν ἁπλῶς κρίσις,
ὥσπερ καὶ ὁ πρότερος, ἐνίοτε δὲ μετὰ προσθήκης, ἀτε-
λὴς κρίσις, ἢ ἐλλιπὴς κρίσις. ὅσα δὲ κατὰ βραχὺ παύεται
νοσήματα, λύεσθαι μὲν ἐν τῷ παρόντι λεγέσθω, κρίνεσθαι
δὲ μὴ λεγέσθω, καίτοι τοῦτο ἔφαμεν ὀνομάζεσθαί ποτε κα-
ταχρωμένων κρίσιν, ἀλλὰ νῦν ἐπὶ τρισὶ τοῖς εἰρημένοις,
ἴδιον ἑκάστῳ σαφηνείας ἕνεκεν ὄνομα κείσθω. κρίσις μὲν ἁ-
πλῶς, ἡ ὀξύρροπος τῆς νόσου λύσις, ἐλλιπὴς δὲ κρίσις, ἡ
ὀξύρροπος μείωσις. ἁπλῶς δὲ λύσις, ἡ ἐν χρόνῳ τε πλείονι,
καὶ κατὰ μικρὸν γινομένη. ὥσπερ δὲ ταῖς κρίσεσιν ἐξ ἀνάγ- C
κης, ἤτοι κένωσις ἀξιόλογος, ἢ πάντως γ' ἀπόσκημμα με-
τά τινος ἰσχυρᾶς γίνεται ταραχῆς· οὕτως ταῖς λύσεσιν, οὔτε
σάλος οὐδεὶς, οὔτε κένωσις, οὔτε ἀπόσκημμα συμπίπτει.
τρεῖς μὲν δὴ τρόποι μεταβολῆς νοσημάτων οἵδε, μέλλοντος
σωθήσεσθαι τοῦ κάμνοντος· τρεῖς δὲ ἄλλοι τούτοις ἀντίστροφοι,
μέλλοντος τεθνήξεσθαι. ἢ γὰρ ἀθρόως ἀποθνήσκει τις,
ἅμα ταραχῇ, καὶ σάλῳ, καί τισιν ἐκκρίσεσιν, ἢ ἀποσκήμ-
μασιν ἀξιολόγοις, ἢ οὐκ ἀπέθανε μὲν ἐπὶ τοῖσδε, χείρων
δ' ἀπεδείχθη μακρῷ. καλείσθω δὴ ταῦτα κοινῇ μὲν ἄμφω D
κρίσεις οὐκ ἀγαθαὶ, μηδὲν διαφέροντος, εἴτ' οὕτως, εἴ-
τε κακὰς κρίσεις ὀνομάζομεν αὐτάς, ἰδίᾳ δ' ἑκατέρα, τε-
λεία μὲν ἡ προτέρα, ἐλλιπὴς δὲ ἡ δευτέρα. τὸ δὲ τρί-
τον εἶδος τῆς κακῆς μεταβολῆς, τὸ κατὰ βραχὺ γινόμενον
ἄχρι θανάτου, μαρασμὸς ὀνομαζέσθω. ταυτὶ μὲν οὖν τρία,
τρισὶν ἀντίκειται. τέταρτος δὲ τρόπος ἐστὶν, ὀξυρρόπου με-
ταβολῆς ἐπὶ τὸ χεῖρον, ἄνευ μεγάλων ἐκκρίσεων, ἢ ἀπο-
σκημμάτων, ὃν οὐδὲ κρίσιν ὀνομάζω. ὅτι μὲν οὖν ἕτερον
εἴπομεν εἶναι τόνδε τὸν τρόπον ἐκείνων, οὓς ἅμα σάλῳ τέ τινι,
καὶ ταραχῇ, καὶ σὺν ἐκκρίσεσιν ἀξιολόγοις, ἢ ἀποσκήμμα- E
σιν ἐλέγομεν γίνεσθαι, πρόδηλον παντί. καὶ γὰρ καὶ τὸ χω-
ρὶς ἐκείνων τῶν συμπτωμάτων, ἃ πρόσθεν ὠνομάσαμεν
κρίσιμα, καὶ τὸ χωρὶς ἐκκρίσεως, ἢ ἀποσκήμματος, ἕτερόν
ἐστι τοῦ σὺν ἐκείνοις. εἰ δὲ ὀρθῶς, ἢ μὴ τῷδε τῷ τρόπῳ
τοῦ θανάτου, τὸ τῆς κρίσεως οὐκ ἐπιφέρομεν ὄνομα, τοῦτ' ἤδη
περὶ ὀνόματός ἐστιν, οὐ περὶ πράγματος ἀμφισβητεῖν. ἐγὼ
μὲν γὰρ ἐδίδαξα τρόπους τέτταρας, ἀλλήλων διαφέροντας, καὶ
ποιοῦμαί γε ἑκάστῳ σαφοῦς ἕνεκα διδασκαλίας ἠξίωσα θέ-
σθαι διάφορον. εἰ δέ τις ἔχει βέλτιον, ἢ σαφέστερον ὀνομά-
ζειν, οὐκ ἀμφισβητήσαιμι ἂν αὐτῷ τῆς κλήσεως. ἔστι δὲ οὐκ F
ἐν τούτῳ, τὸ διδάξαι τι χρηστὸν, ἀλλ' ἐν τῷ καὶ διαγινώσκειν
ἕκαστον τῶν τρόπων παρόντα, καὶ προγινώσκειν ἐσόμενον. οὐ μὴν
οὐδ' εἰ τὰς αἰτίας ἐγχειρήσαιμι λέγειν ἐφεξῆς ἑκάστου τῶν
τρόπων, εἶτά τις ἀντειπὼν αὐταῖς, ὡς οὐκ ὀρθῶς ἐχούσαις,
οἴοιτο τοῖς τρόποις αὐτοῖς ἀντειρηκέναι, δεόντως ὑπολαμβάνει.

aut in mulieribus per purgationem menstruorum. Sed & parotides non paucos in tempore opportuno liberarunt, & ad genua, & ad pedes, & ad aliam quampiam partem ignobilem decubitus. Et quidem antecedit his omnibus atque assidet, non modica in ægrotantium corpore perturbatio; delirant enim & difficilem habent anhelitum, & anxij sunt, atque alia, quæ prius diximus, patiuntur. Vnus quidem hic modus est morborum solutionis, quem non modò nos crisim nominare instituimus, manifestioris doctrinæ gratia, sed omnes etiam, qui nos antecesserunt, eodem nomine crisim nominabant. Alter verò modus est, qui hæc quidem omnia seruat, vno autem tantum modo differt, quia non integrè à morbo liberat. Nominatur verò & hic nonnunquam quidem crisis simpliciter, sicuti & prior; aliquando etiam cum additione, crisis imperfecta, vel crisis defecta. Quicunque autem morbi paulatim finiuntur, solui quidem in præsentia dicuntur, per crisim autem finiri nequaquam; quamuis aliquando per abusionem hoc etiam crisim nominari dixerimus. Sed nunc singulis trium eorum, quę diximus, claritatis causa, sit proprium nomen impositum. Crisis quidem simpliciter, morbi solutio subita. Defecta verò crisis, subita morbi diminutio. Solutio autem simpliciter, quæ in longiori tempore, & paulatim facta est. Sicuti verò vel effatu digna euacuatio, vel omnino decubitus cum veloci perturbatione necessariò in crisibus fiunt: ita in solutionibus neque agitatio aliqua, neque euacuatio, neque decubitus accidunt. Tres quidem hi sunt modi commutationis morborum, quum morbo liberari debet ægrotus. Tres verò alij oppositi istis existunt, quum moriturus est. Vel enim subito moritur vnà cum turbatione, & agitatione, & quibusdam excretionibus vel decubitibus effatu dignis, Vel mortem non subiit quidem ex istis, sed multò deteriùs euasit, vocentur autem hæ duæ crises non bonæ, quum nihil referat, siue hoc modo, siue malas crises nominemus; seorsum verò, prima quidem perfecta, secunda vero imperfecta. Tertia verò species malæ permutationis, quæ paulatim fit vsque ad mortem, marasmus, nominetur. Hæc igitur tria aliis tribus opposita sunt. Quartus modus est subitæ mutationis ad peius, sine magnis excretionibus, vel decubitibus; quam neque crisim appello. Quòd igitur hunc modum ab aliis differre dicimus, quos cum agitatione, ac perturbatione, & effatu dignis excretionibus, aut decubitibus fieri dicebamus, vnicuique manifestum est; differt enim sine his fieri symptomatis, quæ prius iudicatoria nominauimus, atque absque excretione, vel decubitu; & fieri cum illis. An verò rectè, vel non, huic modo mortis nomen crisis detrahimus, hoc est de nomine, non autem de re ipsa, contendere. Ego autem quatuor modos docui inuicem differentes, & singulis proprium nomen manifestioris doctrinæ gratia, imponendum censui. Siquis verò melius, vel manifestiùs scit nominare, de eius nuncupatione minimè disceptauerimus; docere verò vtile aliquid haudquaquam in isto consistit, sed in dignoscendo hos singulos modos, quum adsint, & futuros prænoscendo. Neque etiam si horum modorum causas explicare tentarem, deinde quispiam eisdem causis tanquam non recte habentibus contradicens, putaret se aduersus ipsos modos differre, recte opinaretur.

Cognoscere

Cognoscere enim quod tot sunt modi, quibus sanentur, aut moriantur ægrotantes, ac quòd dictis hominibus nominantur, atque vbi præsentes fuerint, ipsos dignoscere, futuros verò præcognoscere, hoc ipsum est ad medendum vtile; atque expedit quidem nomina concedere, dignotiones verò, ac prænotiones experientia explorare.

CAPVT VIII.

In Asclepiadem & reliquos sophistas, qui naturalia principia negantes, crisibus & reliquis naturæ operibus detrahebant.

SI verò conantibus nobis, vnde hæc inueniamus, edocere, quispiam in contradictionibus exercitatus, qualem habitum admirabilis Asclepiades acquisiuit, impediat, ac sermonem meum interrumpat, meminisse oportet, quod hic istud agens, non rem ipsam, sed quæ de ea verba dicuntur, cauillatur. Neque enim quod nullæ repentinæ turbationes fiant aliquando circa corpus ægrotantis, potest asserere Asclepiades; neq; quod sæpius post ipsas effatu dignæ excretiones non eueniant; neque quod magna ex ipsis non sit facta in ægrotantibus permutatio; neque quòd huiuscemodi res non vocetur crisis; sed quod, certante natura contra causas morbos facientes, ista non fiant, hoc demonstrare tentabit, non parum quidē etiam hac in parte delirans, propter admirabiles poros, atque meatus, quos ipse supposuit. Quorum causa, neque nouit potentias illas, quibus animal gubernatur; neque, quòd hæ omnia ad salutem faciunt tam in sanis, quàm etiam in ęgrotantibus; neque quòd ipsæ sunt, quæ morbos indicant. Sed, quum possit quidem in rebus sensui occultis huiuscemodi sermo nugari, nihil tamen, quod ad artem medendi pertineat, attingit; neque enim dignoscere nos crisium modos, neque prænoscere, talia sophismata prohibent. In multis quidem igitur sæpius delirabit Asclepiades, & quicunque non norunt, naturas esse morborum medicatrices, at nunquam poterunt modum salutis, aut mortis pręcognoscere. Atqui quo pacto turpe non est medico, instante crisi, more vulgarium perterreri, quem decuit non solum præsentem crisim, quorsum euasura esset, intelligere, sed futuram præcognoscere? Equidē hic omnia, quæ ad crisim attinent, vel futura prænoscere, vel iam præsentia dignoscere, ex aliis principiis haud inuenio, quam ex iis, quæ supposuit Hippocrates. Etenim, quod *ea, quæ sunt in corpore, concoquantur, vel non concoquantur*, Hippocraticis, non autem Asclepiadicis dogmatibus congruit. Et *quòd natura multas potentias habeat, per quas animal gubernetur*, vnum quoddam est Hippocraticum dogma, & sine hoc præsentem contemplationem scientia comprehendere minimè possumus. Neque enim numero infinitos expectare oportet signorum concursus, tanquam in singulis ipsorum propriam obseruationē assequi possimus, sed potius omnia particularia ad hanc vnam redigere intentionem; de qua verba faciens, coactus sum facere de sophistis mentionem, qui non modò nihil opportunum inuenire student, sed etiam, quæ bene inuenta sunt, conantur facere deteriora. Et tamen melius foret, quum nos intuentur, & diem ipsum, in quo crisim morbus subibit, prænoscentes; atque insuper crisis modum prędicentes; ac iam præsentē etiam,

τὸ μὲν γὰρ καὶ τοσούτους εἶναι τοὺς τρόπους, καθ' οὓς ὑγιάζονταί τε καὶ ἀποθνήσκουσιν οἱ νοσοῦντες, ὀνομάζεσθαι τοῖς εἰρημένοις ὀνόμασι, καὶ διαγινώσκεσθαι παρόντας, ἢ καὶ μέλλοντας ἔσεσθαι προγινώσκεσθαι, τὸ χρήσιμόν ἐστιν αὐτὸ πρὸς τὰς ἰάσεις, καὶ προσήκει τοῖς μὲν ὀνόμασι συγχωρεῖν, τὰς διαγνώσεις δὲ καὶ τὰς προγνώσεις, τῇ πείρᾳ βασανίζειν.

ΚΕΦΑΛΑΙΟΝ Η.

Πρὸς τὸν Ἀσκληπιάδην τε καὶ τοὺς ἄλλους σοφιστάς, οἳ ταῖς τῆς φύσεως ἀρχαῖς ἀντιλέγοντες, ταῖς τε κρίσεσι καὶ τοῖς ἄλλοις τῆς φύσεως ἔργοις λυμαίνουσι.

ΕΙ δὲ καὶ πόθεν εὕρηται αὐτὰς ἐπιχειρούντων ἡμῶν διδάσκειν, ἠσκηκώς τις ἀντιλογικὴν ἕξιν, οἵαν καὶ ὁ θαυμάσιος Ἀσκληπιάδης ἤσκησεν, ἐμποδίζοι τε καὶ διακόπτοι τὸν λόγον, ἀναμιμνήσκειν χρὴ τοῦτον, ὡς οὐ τὸ πρᾶγμα αὐτὸ διαβάλλει τοῦτο πράττων, ἀλλὰ τὸν περὶ αὐτοῦ λόγον. οὔτε γάρ, ὡς οὐ γίνονταί τινες ἐξαίφνιδιοι ταραχαὶ περὶ τὸ τοῦ κάμνοντος σῶμα, δύναιτ' ἂν εἰπεῖν Ἀσκληπιάδης, οὔθ' ὡς οὐκ ἀκολουθοῦσιν αὐταῖς ἐκκρίσεις ἀξιόλογοι πολλάκις, οὔθ' ὡς οὐκ ἐγένετο μεγάλη μεταβολὴ τοῖς κάμνουσιν ἐπ' αὐταῖς, οὔθ' ὡς οὐ καλεῖται τὸ τοιοῦτον κρίσις· ἀλλ' ὅτι διαγωνιζομένης τῆς φύσεως τοῖς νοσεροῖς αἰτίοις οὐ γίνεται ταῦτα, τοῦτο πειράσεται δεικνύναι· ληρῶν μὲν κἀν τούτοις μακρά, καὶ διὰ τοὺς θαυμαστοὺς ὄγκους, καὶ πόρους οὓς ὑπέθετο, δι' οὓς οὔτε τὰς διοικούσας δυνάμεις ἔγνω τοῦ ζώου, οὔθ' ὡς ἐπὶ σωτηρίᾳ πάντα ποιοῦσιν αὗται, καὶ ὑγιαινόντων τε, καὶ νοσούντων, οὔθ' ὡς αὗται κρίνουσι τὰς νόσους. ἀλλ' ὅμως ἔχων γέ τι φλυαρεῖν ἐν ἀδήλοις αἰσθήσει πράγμασιν, οὐδὲν μέντοι τῆς ἰατρικῆς αὐτῆς ὁ τοιοῦτος ἅπτεται λῆρος. οὔτε γὰρ διαγινώσκειν ἡμᾶς τοὺς τρόπους τῶν κρίσεων, οὔτε προγινώσκειν, τὰ σοφίσματα ταῦτα κωλύει. ληρήσει μὲν οὖν πολλὰ πολλάκις, καὶ Ἀσκληπιάδης, καὶ πάντες ὅσοι μὴ γινώσκουσιν, ὡς αἱ φύσιες τῶν νούσων ἰητροί. προεγνωκέναι δὲ θανάτου τρόπον, ἢ σωτηρίας, οὐδέποτε δυνήσονται. καίτοι πῶς οὐκ αἰσχρὸν ὁμοίως τοῖς ἰδιώταις ἐκπεπλῆχθαι τὸν ἰατρὸν ἐνεστώσης κρίσεως, ὃν ἐχρῆν οὐ μόνον ἐπηρτημένην ἤδη γνωρίζεσθαι, ἐς ὅ,τι τελευτήσειν μέλλει, ἀλλὰ καὶ προγινώσκειν ἐσομένην κρίσιν; καὶ μὴν οὐκ ἐξ ἄλλων ἀρχῶν, ἐγώ, ταῦτα σύμπαντα περὶ τῆς κρίσεως, οὔτε μέλλοντα προγινώσκειν, οὔτε ἤδη παρόντα διαγινώσκειν ἐξευρεῖν, ἢ ὧν Ἱπποκράτης ὑπέθετο· καὶ γὰρ καὶ τὸ πέττεσθαι τὰ κατὰ τὸ σῶμα, καὶ τὸ μὴ πέττεσθαι τοῖς Ἱπποκρατείοις δόγμασιν, οὐ τοῖς Ἀσκληπιαδείοις προσήκει, καὶ τὸ τὴν φύσιν ἔχειν δυνάμεις πολλάς, αἷς διοικεῖται τὸ ζῷον, ἕν τι τῶν Ἱπποκράτους δογμάτων ἐστίν, καὶ τούτου χωρίς, οὐχ οἷόν τε τὴν ἐνεστῶσαν ἡμῖν θεωρίαν ἐπιστήμῃ περιλαβεῖν. οὐ γὰρ εἰς ἀπείρους τὸν ἀριθμὸν ἀποβλέπειν χρὴ σημείων συνδρομάς, ὡς ἐφ' ἑκάστης αὐτῶν ἰδίας εὐπορήσοντα τηρήσεως, ἀλλὰ τὰ κατὰ μέρος πάντα πρὸς ἕνα τοῦτον ἀνάγειν σκοπόν, ὑπὲρ οὗ τὸν λόγον ποιούμενος, ἠναγκάσθην ἐπιμνησθῆναι τῶν σοφιστῶν, ὅσοι σπουδάζουσιν οὐ μόνον οὐδὲν ἐξευρεῖν χρηστόν, ἀλλὰ καὶ τοῖς καλῶς εὑρημένοις λυμαίνεσθαι. καὶ μὴν ἄμεινόν γε ἦν, ὅταν ἡμᾶς θεάσωνται, καὶ τὴν ἡμέραν ἐν ᾗ κριθήσεται τὸ νόσημα προγινώσκοντας, καὶ τὸν τρόπον τῆς κρίσεως προλέγοντας, καὶ παροῦσαν ἤδη

διαγινώσκοντας, ἔγωγε, τί τελευτήσει, σπουδάσαι μαθεῖν θεωρίαν, ἐξ ἧς τὰ τοιαῦτα εὑρίσκεται, καὶ μὴ τοῖς ἰδιώταις ὁμοίως ἐκπεπλῆχθαι, ποῖ ποτ' ἀποβήσεται τὸ παρὸν, ἀγνοοῦντας. ἐγὼ γοῦν, καὶ τῶν τοιούτων ἰατρῶν ἐπειράθην οὐκ ὀλιγάκις, καὶ οἳ θαυμαζόντων μὲν τὴν πρόγνωσιν ἡμῶν, ὅταν ἐπὶ τῶν ἀῤῥώστων εὐδοκιμοῦσαν θεάσωνται, καὶ σπουδαζόντων μαθεῖν, ἐπειδὰν δέ τις ἀρξάμενος αὐτοὺς διδάσκειν, περὶ πέψεως τι διεξέρχηται τῶν νοσημάτων, ἢ περὶ ῥώμης φύσεως, ἢ τῶν ἄλλων τινὸς, ὧν χωρὶς, οὐχ οἷόν τε τὴν περὶ τὰς κρίσεις θεωρίαν συστῆναι. καὶ, πῶς μὲν πείσεις, φασκόντων, ὡς ἔστι τις φύσις, ἢ ὡς ἐπὶ σωτηρίᾳ πάντα πράττει τῶν ζώων, ἢ ὡς ἐκείνης ἐκκρινούσης τὰ περιττώματα τῶν νόσων, ἀπαλλάττονταί τινες, ἢ ὡς τὸ θερμόν ἐστιν ἐν τοῖς ζώοις, τὸ δραστικώτατον, ἢ ὡς ἐκ θερμοῦ, καὶ ψυχροῦ, καὶ ξηροῦ, καὶ ὑγροῦ, κέκραται τὰ σώματα; πρὸς οὓς αὖθις εἴωθα λέγειν, ἤρξω μὲν ὦ οὗτος, ὡς μαθητὴς, ἀκούεις δὲ, ὡς ἀντιλογικός. οὐ γὰρ ἀπόχρη σοι τῶν ἔργων τῆς τέχνης, ὧν ἐθαύμασας αὐτὸς, ἐκμαθεῖν τὴν μέθοδον, ἀλλὰ τὰς ἀρχὰς κρίνειν ἐπιχειρεῖς αὐτῆς, οὐκέθ' ὡς ἰατρὸς μόνον, ἀλλ' ἤδη καὶ ὡς φυσικός. καίτοι γε ἄμεινον ἦν σοι, καὶ περὶ τῶν ἀρχῶν αὐτῶν ἔμπαλιν κρίνειν. πολὺ γὰρ ἐστὶν, οἶμαι, βέλτιον, ἔργα θαυμαστὰ ταῖς ἀρχαῖς ἐκείναις ἑπόμενα θεασάμενον, ἔχειν τινὰ πίστιν ἐκ τούτων ἤδη καὶ περὶ τῶν ἀρχῶν αὐτῶν. ἀνάπαλιν γὰρ, αἱ πίστεις τῶν τεχνῶν, ἔχουσι ταῖς εὑρέσεσι. πιστεύονται μὲν γὰρ ἐκ τῶν ἔργων, εὑρίσκονται δ' ἐκ τῶν ἀρχῶν. ἐμοὶ μὲν οὖν ἐξευρεῖν ἔργον τι τεχνικὸν, ἀμήχανόν ἐστι, μὴ χρησαμένῳ ἀρχαῖς ἀληθέσιν, ὥστ' ἀναγκαῖόν μοι, τὴν φυσικὴν θεωρίαν ἐκμαθεῖν ἀκριβῶς. σοὶ δ' ἤδη τῶν ἔργων εὑρημένων τῆς τέχνης, ἀπόχρη μαθεῖν τὴν ὁδὸν, ὥστ' εἴπερ οὐκ ἔχεις χρόνον, ὡς φυσικὸς ἐκμαθεῖν ἅπαντα, τοσοῦτον γοῦν σοι παρέστω λογίσασθαι, διότι μὴ τ' ἄλλη τίς ἐστιν ὁδὸς παρὰ ταύτην, ἢ τοῦ μέλλοντός σε προγνωστικὸν ἐργασομένη, μήτ' ἀναγκαῖον ἔτι σοι, τὰς ἀρχὰς ἐπιστήμῃ περιλαβεῖν, ἀπολαύειν ἤδη δυναμένῳ τῶν ἐκ τῆς ἐπιστήμης. τῷ μὲν γὰρ πρώτῳ τὰ τοιαῦτα ἐξευρεῖν ἐπιχειροῦντι, κίνδυνος ἦν, οὐ σμικρὸς ἀπολέσαι ματαίως τὸν χρόνον. οὐδὲ γὰρ ἂν ἐξευρεῖν ἀληθὲς οὐδὲν, ἐπὶ διεψευσμέναις ἀρχαῖς, σοὶ δὲ τοῦ μὲν ζητεῖν ἀπηλλαγμένῳ, τὰ δ' ἤδη καλῶς εὑρημένα μαθεῖν ὀρεγομένῳ, περιττόν ἐστι, τὰς ἀρχὰς ἐπιστήμῃ περιλαμβάνειν, καὶ μάλιστα, εἰ μηδὲ χρόνον ἔχοις ἱκανὸν εἰς τοῦτο, μήτε προσεξευρεῖν τι τῶν λειπόντων ἐπιθυμεῖς, ἀλλ' ἀρκεῖ σοι μόνον, ὀρθῶς χρῆσθαι τοῖς εὑρημένοις. ὑποθέμενος οὖν τινα ζωτικὴν εἶναι δύναμιν, ἄσκησον, αὐτῆς γνωρίζειν τὴν ἐν ἀῤῥωστίᾳ τε, καὶ ῥώμῃ διάθεσιν. ἐπειδὰν δὲ ταῦτ' ἀσκήσῃς, αὖθις ἄσκησόν μοι σαυτὸν, ἑτοίμως διαγινώσκειν τὰς κατὰ τὸ μέγεθός τε, καὶ τὸ ἦθος ἁπάντων τῶν νοσημάτων διαφορὰς, εἶθ' ἑξῆς τούτων, ἀκμῆς μελλούσης πρόγνωσιν. ὅταν δ' ἤδη ταῦτα σύμπαντα ἐκμάθῃς, ἄσκησόν μοι σαυτὸν, ἀκριβῶς στοχάζεσθαι πηλίκον νόσημα, πηλίκη ῥώμη δυνάμεως, ἐν πόσῳ χρόνῳ διενεγκεῖν ἱκανή. πολὺ δ' εἰς τοῦτο συντελέσει, καὶ ἡ ἐπὶ τῶν ἔργων τριβή. πρὶν δ' ἕκαστον ὧν εἶπον ἀκριβῶς ἐκμαθεῖν, οὐδὲν ἂν εἴη σοι πλέον, ἀνθρώπους νοσοῦντας θεωμένῳ. πῶς οὖν ἕκαστον αὐτῶν ἄρχεσθαι ἀκριβῶς χρὴ μανθάνειν; οὐκ ἄλλως, ἢ ὡς ἔμπροσθεν εἴρηται. καὶ γὰρ, ὡς χρὴ μέγεθος ἐξευρίσκειν νόσου, καὶ ὡς ἦθος, ἔτι τε πρὸς τούτοις, τὴν ἀκμὴν, ἀκριβῶς διελήλυθα.

A quem finem sit habitura, dignoscentes; tali contemplationi discendæ intendere, ex qua huiuscemodi facultas comparatur; neque more vulgarium perterreri, quorsum euasurus sit morbus, ignorantes. Ego quidem sæpius expertus sum tales medicos, qui præcognitionem nostram sunt admirati, quando in ęgrotis illustrem inspexerunt, atque discere satagentes; sed, quando quispiam ipsos docere cœperit, aut quippiam de coctione, aut naturæ robore dissererit, vel de re aliqua alia, sine qua de crisi contemplatio consistere nequit, quomodo, inquiunt, mihi suadebis, quod sit natura quædam? vel quod omnia agat ad animalium salutem? B vel quod eadem natura expellente superfluitates, quidam à morbo liberantur? vel quod calidum in animalibus sit efficacissimum? vel quod ex calido, frigido, sicco, & humido, corpora animalium sint temperata? Aduersus quos ego dicere soleo: Tu quidem ô vir, cœpisti tanquam discipulus, audis autem tanquam contradictor. Neque enim tibi sufficit artis operum, quorum te cœpit admiratio, doctrinam perdiscere, sed etiam eius principia iudicare conaris non solùm vt medicus, sed etiam vt physicus; & tamen tibi satius fuisset contrario modo de principiis iudicare; multo enim C præstare arbitror, miranda opera, quæ ex illis principiis sequuntur, inspicientem, ab eisdem operibus fidem aliquam de ipsis principiis assumere. Fides siquidem artium contrà se habet, quam inuentiones; creduntur enim ex operibus, inueniuntur ex principiis. Mihi quidem opus aliquod artificiosum inuenire est impossibile, nisi veris vtar principiis; quare mihi necessarium fuit naturalem scientiam diligenter perdiscere; tibi verò iam artis operibus adinuentis, viam discere sufficit. Quare nisi tibi suppetat tempus, vt tanquam physicus, omnia discere possis, tantum saltem tibi ratiocinari adsit, quòd nulla altera sit præter istã, quæ te fa- D ciat futuri præcognitorem; & quòd nulla necessitas vrgeat ad principia scientiæ comprehendenda, quum iam frui possis iis, quæ ex scientia proueniunt. Qui enim primus studuit hæc inuenire, magno in periculo fuit, ne frustra tempus contereret; neque enim verum aliquod ex falsis principiis contingit inueniri. Sed quum tu ab inquirendi labore sis liber; & quæ iam bene inuenta sunt, addiscere concupiscas, superuacaneum foret principiorum scientiam complecti, si præsertim ad hæc tempus minimè suppetat, neque cupido te teneat, aliquid eorum, quæ desint, inueniendi, sed E tibi solùm sufficit inuentis rectè vti. Tu itaque supponens aliquam esse vitalem facultatem, stude vt agnoscas eius ita in robore, sicuti in imbecillitate, dispositionem. Vbi verò in his exercitatus fueris, stude deinceps omnes morborum tam in magnitudine, quàm etiam in more, differentias promptè dignoscere, & post hæc futuri status præcognitionem perdiscere. Vbi verò hæc omnia didiceris, tunc te exerceas in comprehendendo per exquisitam coniecturam, quantum morbum, quantum virtutis robur, quanto tempore possit perferre; multum verò ad hoc te ad- F iuuabit in operibus exercitatio. Priùs verò, quàm ea omnia, quæ dixi, diligenter didiceris, nihil ægrotos intuendo proficies. Sed quomodo hæc omnia perdiscere oportet? non aliter, quàm sicuti priùs à nobis dictum est. Etenim quòd oporteat & magnitudinem morbi inuenire, & morem, insuper etiam statum, exactè recensui.

In

In vnaquaque autem facultate, vel imbecillitatem, vel robur in alio libro, vbi de multitudine agitur, antea narraui. Ex illo igitur eorum dignotiones exquisitè discere oportet, vti verò ad medendum, vt in aliis edocui, neque minus & nunc ad eam, quæ habetur de crisibus, contẽplationem.

CAPVT IX.

Quibus morbi temporibus salutem, vel mortem contingat euenire.

Sicuti enim qui omnia signa bona præ se fert, in primo quaternario integrè liberabitur; eodem (vt arbitror) modo qui omnia mala, hîc intra primum quaternarium morietur. Sed qui quidem liberatur, omnia morbi tempora vniuersalia pertransit, principium, augmentum, statum, & declinationem; quanquam nonnullis fieri non videatur declinatio; vbi repentinæ crises aduenerint; nam paulo post de istis dicetur. Moriturus autem ad declinationis tempus pertingere minimè potest; non tamen necessariò etiam ad statum perueniet, contingit enim ipsum in augmenti, & principij etiam tempore mori, crisin verò subire non est necessarium, & maximè si in principio morbi moriatur. Hoc autem accidit, vbi natura plurimum à morbo superatur; tunc enim neque certare aduersus ipsum aggreditur, sine certamine autem crisis non fit. Hic igitur est quartus modus mortis, qui nulli salutarium assimilatur. Nemo siquidem subito morbum euasit sine crisi; multi verò sine hac subitò intereunt; plurimíque in accessionum principiis, illi præsertim, qui propter materiæ multitudinem, vel crassitiem, aut inflammationis magnitudinem, exitialiter laborant; in declinatione verò propter virium imbecillitatem moriuntur. Hoc siquidem plusquam quicquam aliud, pro verissimo haberi oportet, quod in accessionum particularium declinationibus plurimi pereunt; quod nonnulli videntes, idcirco opinantur etiam vniuersalis declinationis tempore posse aliquem mori. Verum non ita res se habet; vbi enim morbi status præterierit, natura quidem iam superior euasit, neque enim aliter morbus declinasset, nullus autem modus mortis tunc aduenientis excogitari potest, præterquam ex errore. Sed de hoc haudquaquam nunc considerare proposuimus, sed an morbi ratione mori contingat. Neque igitur hoc vidi vnquam fieri, neque id inuenit ratio; sed particularibus accessionibus declinantibus multos sæpissimè interire vidi. Neque rationem sequentibus mirum videtur, naturæ vim imbecillam in principio quidem accessionis, & augmento, & statu posse perdurare, quum adhuc habitus ipse in vnum veluti compressus contineatur; tempore verò declinationis à contrario se mouente calore, hoc est à medio ad extrema retrocedente, naturæ habitum spargi, atque dissolui. Horum itaque nonnulli subita morte opprimuntur, vt præsentes existiment deficere animo eos potius, quàm mori; quidam verò paulatim, non subito interierunt; incipientes quidem omnes à statu accessionis; ita verò latent multos, vt admodum celeriter, ac citius, quàm sperassent, à statu ad declinationem transire videantur. Sed manifestissimè ex pulsibus cognoscuntur; neq; enim paruo interstitio differunt, qui mortis ratione citius,

τὴν δὲ καθ' ἑκάστην δύναμιν ἀῤῥωστίαν, ἢ ῥώμην, ἐν ἑτέρῳ φθάνω διῃρῆσθαι λόγῳ, τῷ περὶ πλήθους ἐπισκεπτομένῳ. μανθάνειν μὲν οὖν ἐκεῖθεν αὐτῶν τὰς διαγνώσεις ἀκριβῶς, χρῆσθαι δὲ πρὸς τὰς ἰάσεις, ὡς ἐν ἑτέροις διήρηται, καὶ νῦν οὐχ ἧττον εἰς τὴν περὶ τὰς κρίσεις θεωρίαν.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Ἐν οἷς τοῦ νοσήματος καιροῖς ὑγιασθήσεσθαι, ἢ τεθνήξεσθαι τὸν κάμνοντα συμβαίνει.

Ὥσπερ γὰρ ὁ πάντα ἔχων ἀγαθὰ σημεῖα, τῇ πρώτῃ τετράδι τελέως ὑγιασθήσεται, κατὰ τὸν αὐτὸν, οἶμαι, τρόπον, ὁ πάντα ἐπὶ μοχθηρὰ, τεθνήξεται πάντως καὶ οὗτος, ἐντὸς τῆς πρώτης τετράδος. ἀλλ' ὁ μὲν σωζόμενος, ἅπαντας διέξεισι τοῦ νόσου τοὺς καθόλου καιροὺς, ἀρχὴν, καὶ ἀνάβασιν, καὶ ἀκμὴν, καὶ παρακμὴν, εἰ καί τισι μὴ δοκεῖ γίνεσθαι παρακμὴ, κατὰ τὰς αἰφνιδίους κρίσεις. εἰρήσεται γὰρ ὀλίγον ὕστερον ὑπὲρ τούτων. τῷ τεθνηξομένῳ δὲ, εἰς μὲν τὸν τῆς παρακμῆς καιρὸν ἀδύνατον ἐξικέσθαι, οὐ μὴν οὐδ' ἐξ ἀνάγκης, εἰς τὸν τῆς ἀκμῆς. ἐνδέχεται γὰρ αὐτὸν, καὶ κατὰ τὸν τῆς ἀναβάσεως, καὶ κατὰ τὸν τῆς ἀρχῆς χρόνον ἀπολέσθαι. κριθῆναι δὲ οὐκ ἀναγκαῖον αὐτῷ, καὶ μάλιστα εἰ κατὰ τὴν ἀρχὴν ἀποθνήσκει τοῦ νόσου. γίνεται δὲ τοῦτο, μεγάλως τῆς φύσεως ὑπὸ τοῦ νοσήματος κρατηθείσης. τηνικαῦτα γὰρ οὐδ' ἐπιχειρεῖ διαγωνίζεσθαι πρὸς αὐτὸ, χωρὶς δὲ τοῦ διαγωνίζεσθαι, κρίσις οὐ γίνεται. τέταρτος οὖν οὗτός ἐστιν ὁ τρόπος τοῦ θανάτου μηδενὶ τῶν τῆς σωτηρίας ἐοικώς. οὐδεὶς μὲν γὰρ ἀθρόως ἀπηλλάγη τοῦ νοσήματος ἄνευ κρίσεως, ἀθρόως δ' ἀποθνήσκουσιν οὐκ ὀλίγοι, μὴ κριθέντες. ἐν μὲν ταῖς ἀρχαῖς τῶν παροξυσμῶν, οἱ πλεῖστοι, καὶ μάλιστα δ' ὅσοι διὰ πλῆθος, ἢ πάχος ὕλης, ἢ μέγεθος φλεγμονῶν, ὀλεθρίως ἔχουσιν. ἐν δὲ ταῖς παρακμαῖς, ἐφ' ὧν ἄῤῥωστος ἡ δύναμις, χρὴ γὰρ καὶ τοῦτο γινώσκειν, ἁπάντων μᾶλλον ἀληθέστατον ὑπάρχειν, ὡς κἀν ταῖς παρακμαῖς τῶν κατὰ μέρος παροξυσμῶν, ἀπόλλυνται πάμπολλοι, καὶ τοῦτο θεασάμενοί τινες, οἴονται ὡς καὶ ἐν τῷ καθόλου καιρῷ τῆς παρακμῆς, ἐνδέχεταί τινα τελευτῆσαι, τὸ δ' οὐχ οὕτως ἔχει. παρηκούσης μὲν γὰρ τῆς ἀκμῆς τοῦ νοσήματος, ἡ μὲν φύσις ἤδη κεκράτηκεν, οὐδὲ γὰρ ἂν ἄλλως παρήκμασε τὸ νόσημα. τρόπος δὲ οὐδ' εἷς οὐδ' ἐπινοηθῆναι θανάτου δύναται τηνικαῦτα, πλὴν ἐξ ἁμαρτήματος, οὐ μὴν τοῦτό γε πρόκειται νῦν σκοπεῖν, ἀλλ' εἰ τῷ λόγῳ τοῦ νοσήματος. οὔτ' οὖν εἶδόν ποτε τοῦτο γινόμενον, οὔθ' ὁ λόγος ἐξευρίσκει. τῶν μέντοι κατὰ μέρος παροξυσμῶν, ἐν ταῖς παρακμαῖς ἐθεασάμεθά τε παμπόλλους πολλάκις ἀποθνήσκοντας, ὅ, τε λόγος, οὐδὲν εἶναι θαυμαστόν φησιν, ἄῤῥωστον δύναμιν, ἐν μὲν τῷ χρόνῳ τῆς ἀρχῆς τοῦ παροξυσμοῦ, καὶ ἀναβάσεώς τε, καὶ ἀκμῆς, ἐξαρκέσαι, συνεχομένης ἔτι τηνικαῦτα, καὶ οἷον ἐσφιγμένης τῆς ἕξεως. ἐν δὲ τῷ τῆς παρακμῆς, ἀνάπαλιν κινουμένης τῆς θερμασίας, ἐκ μὲν τῶν μέσων νῦν ἐπὶ τὰ πέρατα, διαφορεῖσθαί τε καὶ διαλύεσθαι τὴν ἕξιν. ἔνιοι μὲν οὖν τῶν τοιούτων, ἐξαιφνίδιον ἀποθνήσκουσιν, ὡς δοκεῖν τοῖς παροῦσι λειποψυχεῖν μᾶλλον αὐτοὺς, ἢ ἀπόλλυσθαι, τινὲς δὲ κατὰ βραχὺ, καὶ οὐκ ἐξαίφνης ἀπέθανον. ἀρξάμενοι μὲν πάντες ἐπὶ τῆς ἀκμῆς τοῦ παροξυσμοῦ, λανθάνοντες δὲ τοὺς πολλοὺς οὕτως, ὥστε καὶ πάνυ ταχέως αὖθις, καὶ θᾶττον ἢ κατὰ τὴν ἐλπίδα, δοκοῦσιν οἱ τοιοῦτοι μεταπίπτειν ἐκ τῆς ἀκμῆς εἰς τὴν παρακμήν· ἀλλ' ἥ γε γνώρισις σαφεστάτη διὰ τῶν σφυγμῶν. οὐ γάρ τί που βραχὺ τοὐμέσῳ, τῶν τε, θανάτου λόγῳ,

θᾶττον τῆς ἐλπίδος, εἰς φαντασίαν ἡκόντων παρακμῆς, καὶ τῶν ὄντως παρακμαζόντων. ἐπ' ἀμφοτέρων μὲν γὰρ ἀθροώτερον ἡ πυρεκτικὴ θερμασία διαφορεῖται. γίνεται δ' ὑπὸ τῶν ἐναντιωτάτων αἰτίων, εἴ γε δὴ ῥώμῃ φύσεως ἐναντιωτάτη ἐστὶν ἀῤῥωστία. σφοδρότερος μὲν οὖν ἀεὶ καὶ μᾶλλον ὁ σφυγμὸς, εὐτακτότερός τε, καὶ ὁμαλώτερος, ἐπὶ χρησταῖς γίνεται παρακμαῖς. ἀπωθεῖται γὰρ ἡ φύσις εὐρωστότερον, ἅπασαν ἀθρόως ἔξω τὴν πυρεκτικὴν θερμασίαν. ἀμυδρότερος δὲ, καὶ ἀτακτότερος, καὶ ἀνώμαλος ἐν ταῖς ὀλεθρίοις παρακμαῖς. διαῤῥεῖ γὰρ ἅμα τοῖς ἄλλοις, καὶ ἡ πυρεκτικὴ θερμασία, κἀντεῦθεν, ἡ φαντασία τοῦ βελτίονος, εἶτ' ὀλίγον ὕστερον, ἢ ἀποπατῆσαι διαναστάντες, ἐλειποψύχησάν τε, καὶ μικρὸν ἔνιοι, καὶ γλίσχρον ἐφιδρώσαντες, ἀπέθανον, ἢ καὶ χωρὶς τοῦ διαναστῆναι, κατὰ μὲν τὰς παρακμὰς τῶν παροξυσμῶν, οὕτως ἀποθνήσκουσιν ἄνευ κρίσεως, κατὰ δὲ τὰς ἀρχὰς, ὑπὸ τῆς ἀθροωτέρας ἔσω τῶν χυμῶν ῥοπῆς, οἷον καταπνιγείσης, καὶ ἀποσβεσθείσης τῆς φύσεως, ὡς εἰ καὶ πλῆθός τις χλωρῶν ξύλων ἀθρόως ἐπισωρεύσειε φλογί. λοιπὸς δέ ἐστιν ἄνευ κρίσεως, ἐν τοῖς ὀλεθρίοις νοσήμασιν, ὁ κατὰ τὰς ἀκμὰς θάνατος, τῇ σφοδρότητι τοῦ παροξυσμοῦ νικηθείσης τῆς φύσεως. οὕτω δὲ κἂν ταῖς ἀναβάσεσιν αὐτῶν ἀπόλλυνται πολλάκις, οὐ κατ' ἄλλον τινὰ τρόπον, ἢ λόγῳ τῆς ἀκμῆς. ὅλως γὰρ ὅταν ὑπὸ σφοδρότητος νοσήματος ἡ δύναμις νικηθῇ, λόγῳ μὲν ἀκμῆς ἀπόλλυνται. συμβαίνει δὲ ἐνίοτε καὶ κατὰ τὰς ἀναβάσεις τῶν παροξυσμῶν, ἀλλὰ καὶ σπανιώτερον τοῦτ' ἐστι, καὶ ὁ τρόπος, ὁ αὐτὸς τῷ κατὰ τὴν ἀκμήν. τρεῖς οὖν οἱ πάντες τρόποι θανάτου, τοῖς χωρὶς τοῦ κριθῆναι, θνήσκουσι. πρῶτος μὲν, ὁ κατὰ τὰς εἰσβολὰς τῶν παροξυσμῶν, ἐν ταῖς φλεγμοναῖς τοὐπίπαν μεγάλαις, ἐν κυρίοις μορίοις γινομέναις, ἢ πλήθει, καὶ πάχει, καὶ γλισχρότητι τῶν χυμῶν, ἀθρόως εἴσω ῥυέντων, ὡς ἀποφράξαι τελέως τὰς διεξόδους τοῦ πνεύματος. ἕτερος δὲ, ὁ κατὰ τὰς ἀκμὰς, τῇ βίᾳ τοῦ νοσήματος ἡττηθείσης τῆς φύσεως. ἄλλος δὲ καὶ λοιπὸς, ἐν ταῖς παρακμαῖς σπανιώτατος, τοῦ τόνου τοῦ ζωτικοῦ λυθέντος, τούτων οὐδεὶς, ἅμα κρίσει γίνεται. τὴν ἀρχὴν γὰρ οὐδὲ ἐπεχείρησεν ἀποτρίψασθαι τὸ νόσημα, κατὰ τοὺς τοιούτους θανάτους, ἡ φύσις. ἡνίκα δ' ἐπιχειρεῖν μὲν, ἡττᾶται δὲ, κρίσιν ἤδη κακὴν ὀνομάζω τὸ τοιοῦτον, καὶ γίνεται πάντως, ἢ σὺν ἐκκρίσεσιν, ἢ σὺν ἀποστήμασιν ἀξιολόγοις, ἅμα τῇ λοιπῇ πάσῃ ταραχῇ, τῇ πρόσθεν εἰρημένῃ.

quàm sperabatur, ad quandam falsam declinationem perueniunt, ab iis qui verè declinant: in vtrisque enim subito febrilis calor dissoluitur; fit verò hoc ex causis maximè contrariis, siquidem naturæ robori maximè contraria est, imbecillitas. Vehementior igitur fit continuè magis pulsus, & æqualior, atque ordinatior in bona declinatione, expellit enim natura fortius omnem subito febrilem calorem. Debilior verò, atque inordinatior, & inæqualis est pulsus in lethalibus declinationibus; nam vnà cum aliis tunc calor febrilis expirat, atque hinc species melioris exoritur; deinde paulò post, vel quum ad leuandum ventrem surrexerint, animi defectum incurrunt; & nonnulli pauco, ac tenaci sudore effuso moriuntur, vel etiam sine surrectione. Sic quidem in particularium accessionum declinationibus sine crisi moriuntur; in principiis verò, propter subitum humorum ad interiora motum, veluti suffocata atque extincta natura, non aliter, quàm si lignorum viridium aceruum super flammas paucas affatim coniicias. Reliquus est igitur mortis sine crisi modus, exitialibus morbis, tempore status à vehementia accessionis natura superata. Sic & in augmentis plerunque moriuntur, non alio modo, quàm status ratione; omnino enim quando à vehementia morbi natura superatur, ratione status moriuntur. Contingit verò aliquando, & in augmentis accessionum, sed rarius hoc accidit; atque idem est modus cum illo, qui fit tempore status. Tres igitur sunt omnes mortis modi iis, qui sine crisi moriuntur. Primus quidem in principiis accessionum; qui in magnis inflammationibus plurimùm contingit, quæ partes obsident principes; vel ob humorum multitudinem, crassitiem, ac tenacitatem, qui subito intrò confluunt, vt spiritus meatus exactè obserent. Alter verò iam tempore status, à morbi vi natura superata. Alius verò iam reliquus in declinationibus, qui rarissimè accidit, vigore vitali soluto. Horum verò nullus contingit cum crisi; neque enim morbum depellere in huiusmodi mortis modis ab initio natura tentauit; vbi verò tentauerit, sed succubuerit, malam crisim, talem euentum appello; & fit omnino, vel cum excretionibus, vel cum abscessibus effatu dignis, simul cum reliqua omni perturbatione, de qua diximus.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τὰς τῶν κακῶν κρίσεων προγνώσεις οὐκ εἶναι βεβαίους, καὶ πάνυ συνετοῦ τε ἅμα καὶ τεχνίτου καὶ γεγυμνασμένου δεῖσθαι τοῦ ἰατροῦ.

Αἱ προγνώσεις δὲ τῶν τοιούτων κρίσεων, ἧττόν εἰσι βέβαιοι, καὶ πάνυ συνετοῦ τε ἅμα, καὶ τεχνίτου, καὶ γεγυμνασμένου δέονται τοῦ ἰατροῦ, πρῶτον μὲν, εἰ γενήσονται, δεύτερον δὲ, εἰ κατὰ τήνδε τὴν ἡμέραν· ἔπειτ' εἰ παραχρῆμα τὸν ἄνθρωπον ἀναιρήσουσιν, ἢ βλάψουσι μόνον. ἀλλὰ γυμνάζεσθαι χρὴ πρότερον ἐπὶ τὴν τῶν ἀρίστων κρίσεων πρόγνωσιν, ὑπὲρ ὧν ἔμπροσθεν εἶπον, εἶθ' ἑξῆς ἐπὶ τῶν οὐκ ἀρίστων μὲν, ἀγαθῶν δὲ, κἄπειθ' οὕτω μεταβαίνειν ἐπὶ τὰς κακάς. ὥσπερ γὰρ ἐν ταύταις, τὸ ἀβέβαιόν τε καὶ στοχαστικὸν πλεῖστον, οὕτως ἐν ταῖς ἀγαθαῖς, τὸ ἐπιστημονικόν τε, καὶ βέβαιον. ὡρισμέναι γάρ εἰσι, καὶ τεταγμέναι, τῆς φύσεως αἱ κινήσεις, ὅταν εὐρωστῇ τε καὶ κρατῇ τῆς ὕλης, καὶ τοῖς οἰκείοις λόγοις ἐνεργῇ. ἀόριστοι δὲ, καὶ ἄτακτοι, καὶ διὰ τοῦτο

CAPVT X.

Malæ crisis præcognitionem non esse certam, & prudenti ac arte instructo & exercitato medico indigere.

Hviuscemodi verò crisium præcognitiones minùs stabiles sunt, & valde prudenti, & arte instructo atque exercitato medico indigent; primùm quidem nũquid futuræ sint; secundo an hoc die certo; deinde si statim hominem interficient, vel tantummodo nocebunt. Sed priùs exercitari oportet in optimarum crisium præcognitione, de quibus priùs locutus sum; deinde in iis, quæ non sunt optimæ, bonæ tamen; ac deinceps ad malas descendere. Sicuti enim in his est plurima inconstantia, & coniectura, ita in bonis scientia, & firmitas præualet. Determinati siquidẽ sunt, atque ordinati naturæ motus, quum valida fuerit, & materię dominatur, & suis propriis rationibus operatur; indeterminati verò, atque inordinati, atque ideo incogniti-

incogniti quando succũbit. Sed siquidem integrè superatur, neque ab initio crisim facere tentat, neque omnino resistere; & si paulum omnino surgat ad pugnam, statim succumbit. Causa verò huius intempestiui insultus est morbi violentia, irritatrix quædam existens, & acuta; videtur siquidem natura nihil huiusmodi posse tolerare, sed statim properare ad expellendum, id quod infestat; Sicut & ex iis, quæ ventrem, aut stomachum mordent, torquent, refrigerant, & grauant, siue quouis alio modo stimulant, licet apertè inspicere: quæ enim supernatant, per vomitus expellere tentat; quæ verò inferiora occupant loca, per sedem excernit, & hoc est quidem maximum signum crisis intempestiuæ. Quæ enim in tempore opportuno fiunt (quod sanè idem est, ac in statu, & coctionibus) etiam si nullum adsit irritamentum, in calidis, & magnis morbis videmus accidere. Quæcunque verò prærumpunt (vocat autem sic Hippocrates omnia, quæ ante statum ad crisim ruunt) ob aliquod irritamentum id patiuntur; & tanto deterior fit crisis, quàm illa, quæ in statu fit, quanto magis anticipauit. In exitialibus autem morbis eodem modo res se habet; neque enim crisis status tempus expectat, aut admodum rarò; sed maxima ex parte in augmentis interficit, vel in principiis. Et si aliqua dies indicatrix futuram crisim præostendit, simul malam futuram præostendit. Age enim in quarto die visa sit primũ nebula in vrinis nigra, vel suspẽsum nigrũ, vel tale aliquid huiusmodi; sint verò & omnino alia signa, & accidentia perniciosa; morietur quidem omnino hic ægrotus. Sed si in imparibus quidem accessio facta fuerit, septimo die crisis accidet; si verò in diebus paribus, in sexto. Certiorem verò tibi expectationem faciet morbi motus; si enim acutè moueatur, crisim accelerantem consignificat, hoc est, in sexta venturam; si verò tardè, ad septimam differetur. Quum verò dies indicatrix nullum de mala crisi futura signum ostenderit, neque eius præcognitio facilis est; oportet tamen hîc animaduertere ea, quæ à me dicentur signa. Est autem primum, & maximum in morbis lethalibus signũ, quod sine crisi mors sit subsecutura, virium imbecillitas; nam virtus ita prostrata, ad pugnam contra morbum non excitatur; secundum verò, si nullum adsit signum, vel minimum, coctionis, & præter hæc, si magnus sit morbus, atque malignus, atque etiam celeriter moueatur; quum enim hæc affuerint, omnino absque crisi mors subsequetur. Mortis autem diem præcognosces tum quanto superet morbus naturam considerando, tum grauiores accessiones inspiciendo. Si enim effatu dignus fuerit excessus, & parum resistere adhuc vis naturæ videatur, mors citò subsequetur; si verò contraria affuerint, tardius. Sit igitur, gratia exempli, multus quidem excessus, non tamen manifestus, an ad vnum diem, vel duos extendi poterit; hoc verò distinguetur accessionum circuitibus; quo enim die debet accessio fieri, in illo morietur. Et qua eiusdem diei hora accidet, iam est dignoscere facile, si meminerimus in vniuersum eorum, quæ paulò ante diximus, in quibus morbis principia accessionum maximè afferunt mortem, in quibus verò status, & declinationes. Particulatim verò in singulis ægrotantibus præcedentium dierum recordatio, tibi plurima commonstrabit. Si enim ex ipsa morbi idea quispiam nequeat prænoscere, in qua parte maximè accessionis morietur, ea,

A ἀγνώστοι κρατουμένης. ἀλλ' εἰ μὲν τελέως κρατοῖτο, τὴν ἀρχὴν οὐδ' ἐγχειρεῖ κρίνειν, οὐδ' ὅλως ἀντέχειν κἂν βραχὺ ἀνίσταται μὲν ὡς εἰς μάχην, ἡττᾶται δ' εὐθύς. αἰτία δὲ τοῦ τῆς τῆς ἀκαίρου ἐπαναστάσεως, ἡ βία τοῦ νοσήματος, ἐρεθιστική τις οὖσα, καὶ ὀξεῖα. φαίνεται γὰρ ἡ φύσις, οὐδενὸς ἀνεχομένη τῶν τοιούτων, ἀλλ' εὐθὺς ἀποτρίβεσθαι σπεύδουσα τὸ ἐνοχλοῦν, ὡς κἂν τοῖς κατὰ τὴν γαστέρα τε, καὶ τὸν στόμαχον, ἰδεῖν ἐστιν ἐναργῶς, ὅσα δάκνει, καὶ στροφεῖ, καὶ βαρύνει, καὶ ὁπωσοῦν ἄλλως ἐρεθίζει. τὰ μὲν γὰρ ἐπιπολάζοντα, δι' ἐμέτων ἀπωθεῖται, τὰ δ' ἐν τοῖς κατωτέροις χωρίοις, δι' ἕδρας ἐκκρίνει. καὶ μέγιστον ἄρα

B τοῦτο σημεῖόν ἐστι κρίσεως ἀκαίρου. τὰς μὲν γὰρ ἐν καιρῷ γινομένας, ὅπερ ἐστὶν ταὐτὸν τῷ κατὰ τὴν ἀκμὴν, κἂν τοῖς πεπασμοῖς, εἰ καὶ μηδὲν ἐρεθιστικὸν εἴη, συμπιπτούσας ὁρῶμεν, τοῖς θερμοῖς καὶ μεγάλοις νοσήμασιν. ὅσα δὲ προεκρήγνυται, καλεῖ δ' αὐτῶς Ἱπποκράτης ἅπαντα, τὰ πρὸ τῆς ἀκμῆς ἐπὶ κρίσιν ὁρμῶντα, δι' ἐρεθισμόν τινα τοῦτο πάσχει, καὶ χείρων ἡ κρίσις γίνεται τῆς ἐν ἀκμῇ, τοσοῦτον, ὅσον προὔλαβεν ἡ κρίσις. ὡσαύτως δ' ἐπὶ τῶν ὀλεθρίων ἔχει νοσημάτων. οὐ γὰρ ἀναμένει τὴν ἀκμὴν, ἢ πάνυ σπανίως, ἀλλ' ἐν ταῖς ἀναβάσεσιν ἀναιρεῖ τοὐπίπαν, ἢ καὶ κατ' ἀρχάς. εἰ μὲν δὴ προεδήλωσέ τις ἐπί-

C δηλος ἡμέρα, τὴν μέλλουσαν ἔσεσθαι κρίσιν, ἅμα τε προεδήλοῖ καὶ κακήν. φέρε γὰρ, ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν, ὀφθῆναι πρῶτον ἐν τοῖς οὔροις νεφέλην μέλαιναν, ἢ ἐναιώρημα μέλαν, ἤ τι τῶν ἄλλων τῶν τοιούτων, εἶναι δὲ καὶ τὰ ἄλλα σύμπαντα σημεῖά τε, καὶ συμπτώματα ὀλέθρια, τεθνήξεται μὲν πάντως ὁ τοιοῦτος ἄρρωστος. ἀλλ' εἰ μὲν ἐν περιτταῖς οἱ παροξυσμοὶ γίνοιντο, κατὰ τὴν ζ΄. ἡμέραν κριθήσεται. εἰ δ' ἐν ἀρτίαις, κατὰ τὴν ς΄. βεβαιοτέραν δέ σοι ποιήσει τὴν προσδοκίαν, ἡ κίνησις τοῦ νοσήματος. εἰ μὲν γὰρ ὀξέως κινοῖτο, συνεπιμαρτυρήσει τῇ ταχείᾳ κρίσει, τουτέστι τῇ κατὰ τὴν ς΄. εἰ δὲ βρα-

D δέως, τῇ κατὰ τὴν ζ΄. ὅταν δὲ μηδὲν ἡ ἐπίδηλος ἡμέρα προεδηλώσῃ περὶ τῆς μελλούσης ἔσεσθαι κακῆς κρίσεως, οὐδ' ἡ πρόγνωσις αὐτῆς εὐπετής. ὅμως δεῖ κἀνταῦθα προσέχειν τὸν νοῦν οἷς ἐρῶ σημείοις. ἔστι δὲ αὐτῶν πρῶτον μὲν καὶ μέγιστον ἐν τοῖς ὀλεθρίοις νοσήμασι, τοῦ χωρὶς κρίσεως τεθνήξεσθαι, σημεῖον, ἡ ἀρρωστία τῆς δυνάμεως. οὐ γὰρ ἐπεγείρεται πρὸς ἀγῶνα χρόνιον τοῦ νοσήματος ἡ τοιαύτη δύναμις. δεύτερον δ', εἰ καὶ μηδὲν ὅλως εἴη, μηδὲ τοὐλάχιστον σημεῖον πεπασμοῦ, κἀπὶ τούτοις, εἰ μέγα μὲν εἴη καὶ κακόηθες τὸ νόσημα, καὶ κινοῖτο ταχέως. ἐπειδὰν γὰρ ταῦτα οὕτως ἔχῃ, πάντως τεθνήξεται πρὶν κριθῆναι ὁ

E ἄνθρωπος. τὴν δ' ἡμέραν τοῦ θανάτου προγνώσῃ, ἔκ τε τοῦ, πόσον ὑπερέχει τὸ νόσημα τῆς δυνάμεως ἐπισκέψασθαι, κἀκ τῶν βαρυτέρων παροξυσμῶν. εἰ μὲν γὰρ ἀξιόλογος ἡ ὑπεροχὴ, καὶ σμικρὸν ἀντέχειν ἡ δύναμις ἔτι φαίνοιτο, ταχὺς ὁ θάνατος. εἰ δὲ τἀναντία, βραδύτερος. ἔστω δὴ, παραδείγματος ἕνεκα, πολλὴ μὲν ἡ ὑπεροχὴ, μὴ μέντοι σαφὴς ὑπαρχέτω, πότερα μίαν ἡμέραν, ἢ δύο παραμεῖναι δυνήσεται. διακριθήσεται τοῦτο ταῖς παροξυσμῶν περιόδοις. ἐν ᾗ γὰρ ὁ παροξυσμὸς ἡμέρᾳ μέλλει γίνεσθαι, κατ' ἐκείνην τεθνήξεται, καὶ τῆς ἡμέρας αὐτῆς τὴν ὥραν ἐν ᾗ τοῦτ' ἔσται, ῥᾷστον ἤδη διαγνῶναι, μεμνημένων, ἐν μὲν τῷ καθόλου, τῶν ὀλί-

F γον ἔμπροσθεν εἰρημένων, ἐν ὁποίοις τε νοσήμασι ἀρχαὶ τῶν παροξυσμῶν μάλιστα φέρουσι τὸν θάνατον. ἐν ὁποίοις δὲ, αἱ ἀκμαί τε, καὶ παρακμαί, κατὰ μέρος δὲ, ἐφ' ἑκάστου τῶν ἀρρώστων, ἡ τῶν προηγησαμένων ἡμερῶν μνήμη συνδείξει σοι πάμπολυ. καὶ γὰρ, εἰ μὴ καὶ αὐτὸ τοῦ νοσήματος τὸ εἶδος, εἰ πῶς τις ἔχοι προγνῶναι, ἐν ὁποίῳ μάλιστα μέρει τοῦ παροξυσμοῦ τεθνή-

ξεται, τῶν γε ἐν ταῖς ἔμπροσθεν ἡμέραις ἀναμνησθεὶς, ὁποίῳ μάλιστα μέρει σφῶν αὐτῶν, βαρυτάτοις τε καὶ σὺν ὀλεθρίοις ἐχρῶντο συμπτώμασιν, οὕτως ἂν ἔχοις τι καὶ περὶ τῶν μελλόντων εἰκάζειν. ἔστω δὴ πάλιν ἀληθῶς ἐγνωσμένον, ὀλέθριον μὲν εἶναι τὸ νόσημα, μὴ πολλὴ δὲ ἡ τῆς δυνάμεως ἧττα. πρῶτον μὲν ἤδη δῆλον, ὡς οὐκ ἐγγὺς ὁ θάνατος, ἔπειτα δὲ ζητητέον, εἰ δύναται γενέσθαι κρίσις. ἡ δ' εὕρεσις, ἔκ τε τοῦ τὴν δύναμιν, ὅπως ἔχει ῥώμης, ἐπισκέψασθαι, καὶ τοῦ νοσήματος αὐτοῦ τὴν κίνησιν, ἔτι τε πρὸς τούτοις τὰ σημεῖα τῶν πεπασμῶν. εἰ μὲν γὰρ, ἥ τε δύναμις εὔρωστος ὑπάρχῃ, καὶ τὸ νόσημα ταχέως κινοῖτο, καί τι σημεῖον παρείη πέψεως, οὐκ ἀπεικός ἐστιν ἐπιθέσθαι κρίσει τὴν φύσιν. εἰ δ' ἥ τε δύναμις ὀκλάζοι πη, καὶ τὸ νόσημα μὴ ταχέως κινοῖτο, καὶ μηδὲν εἴη σημεῖον πέψεως, οὐκ ἐνδέχεται κριθῆναι τοῦτον. ὅτι δ' οὐ πάντως, εἰ τὸ νόσημα τῆς δυνάμεως ἰσχυρότερον, ἐξ ἀνάγκης ἄρρωστος ἡ δύναμις, ἐν ἑτέρῳ μοι δέδεικται λόγῳ, καὶ χρὴ μανθάνειν ἐκεῖθεν ἴδια γνωρίσματα δυνάμεως ἀρρώστου, πάντα μὲν γὰρ ἅμα διεξέρχεσθαι, παντελῶς ἐστιν ἀδύνατον. μεμνῆσθαι δὲ πάντων ἅμα, καὶ μηδὲν ὧν ἔμαθέ τις ἰδίᾳ παραλείπειν, ἀλλ' ἐφ' ἑκάστου τῶν νοσούντων ἅπαντα περιλαμβάνειν, οὐχ ὅπως ἀδύνατόν ἐστιν, ἀλλ' οὐδὲ χαλεπὸν οὐδέν. ἀναμνησθέντες οὖν πάλιν, ὧν ἐν τοῖς ἔμπροσθεν διελεγόμεθα, τῶν ἐφεξῆς ἐχώμεθα, τὰς ἀρίστας κρίσεις ἔφαμεν ἐν ταῖς ἀκμαῖς γίνεσθαι. κατὰ δὲ τὰς ἀναβάσεις, ἐπὶ μὲν τῶν σωθησομένων, ἢ ἐλλιπεῖς, ἢ οὐκ ἀσφαλεῖς. ἐπὶ δὲ τῶν τεθνηξομένων, ἢ εὐθὺς ἀναιρεῖν, ἢ μεγάλην ἐπὶ τὸ χεῖρον ποιεῖσθαι μεταβολήν, ἐν ἀρχῇ δὲ τοῦ νοσήματος, οὐκ ἂν γενέσθαι κρίσιν. εἶναι δὲ τῶν μὲν ἀρίστων ἀκριβεῖς τὰς προγνώσεις, τῶν δ' ἄλλων μετὰ τοῦ στοχάζεσθαι, καὶ μᾶλλον ὅταν ἄσημοι τυγχάνωσι γινόμεναι. καλεῖσθαι δ' οὕτως ἔφαμεν, ὅσαι μὴ προδηλοῦνται διὰ τῶν ἐπιδήλων ἡμερῶν, ἀλλά τοι καὶ ταύτας, εἰ καὶ μὴ πρὸ πολλοῦ, μελλούσας γοῦν, ὅσον οὔπω γενήσεσθαι, προγινώσκειν ἐλέγομεν δεῖν, ἔσεσθαι δὲ τὴν πρόγνωσιν, ἔκ τε τοῦ κατεπείγεσθαί τε, καὶ σφοδρῶς ἐρεθίζεσθαι τὴν φύσιν ὑπὸ τοῦ νοσήματος, ἔκ τε τῆς παρὰ λόγον αἰφνιδίου ταραχῆς περὶ τὸ σῶμα. πάντως γάρ τι νεωτερίζεται, μελλούσης κρίσεως, ἢ κατὰ τὴν ἀναπνοὴν, ἢ κατὰ τὴν διάνοιαν, ἢ τὴν ἀκοὴν, ἢ τὴν ὄψιν, ἢ τὴν εὐφορίαν, ἢ κατ' ἄλλο τι τῶν ἤδη πολλάκις εἰρημένων, ἅπερ ἑνὶ περιλαβόντες ὀνόματι, κρίσιμα συμπτώματά τε, καὶ σημεῖα προσαγορεύομεν. καὶ μὲν δὴ καὶ τὸ διὰ τῶν ἀφορισμῶν εἰρημένον ὑφ' Ἱπποκράτους. ὁκόσοισι δὲ κρίσις γίνεται, τουτέοισι νὺξ δύσφορος, ἡ πρὸ τοῦ παροξυσμοῦ, τοῦτ' ἐστιν αὐτὸ νῦν τὸ λεγόμενον. ἐὰν οὖν ἐπὶ τῷ νοσήματι κρίσιν ἐμφαίνοντι, καὶ ἡ νὺξ γένηται δύσφορος, καὶ ἐπ' αὐτῇ ὁ παροξυσμὸς εἰσβάλλῃ θᾶττον, ἅμα νεωτέροις τισὶ συμπτώμασιν, ἐν ἐκείνῳ τῷ παροξυσμῷ γενέσθαι τὴν κρίσιν ἀναγκαῖον.

quæ in prioribus diebus contigere, ad memoriam reuocans, qua maximè eorum parte grauissima, atque exitialia symptomata sustinuerunt, hic etiam poterit de futuris coniicere. Sit rursus verè cognitum, quòd morbus sit exitialis, & non multa virium prostratio; primùm ex hoc constat, mortem non esse propinquam; deinde inquirendum est, si possit fieri crisis. Huius verò inuentio habetur ex contemplatione virtutis, quomodo se habeat, atque ipsius morbi motus, ac præterea signorum coctionis. Si enim virtus robusta fuerit, & morbus velociter moueatur, & aliquod signum coctionis affuerit, non extra rationem est, quod natura tentabit crisim. Quod si virtus quodammodo langueat, ac morbus tardum motum habuerit, nullumque affuerit coctionis signum, in hoc subsequi crisim non contingit. Quòd autem, si morbus sit fortior virtute, non necessariò virtus ipsa sit debilis, nos alio ostendimus libro; atque inde discere oportet propria signa virtutis imbecillis; omnia enim simul exponi non possunt, omnium autem meminisse simul, & nihil prætermittere ex iis, quæ separatim aliquis didicit, sed omnia in singulis ægrotantibus memoria complecti, nihil difficile, nedum non impossibile. Rursus igitur memoria repetentes ea, de quibus in præcedentibus disseruimus, ad sequentia transeamus. Diximus optimas crises in statibus fieri; in augmentis verò, si salus sit subsecutura, vel imperfectas, vel non securas; in morituris autem, vel subito interimere, vel magnam ad peius facere mutationem. In principio autem morbi non fieri crisim. Esse verò optimarum crisium exquisitas præcognitiones; aliarum quidem cum coniectura, & maximè cum fuerint crises signo carentes; ita autem nominari diximus, quæcunque à nullo dierum indicantium antea fuerint indicatæ. Sed & has, etsi non multo priùs tempore, saltem paulo post futuras præcognosci oportere asseruimus; futuram autem præcognitionem ex eo, quòd vrgeatur, ac vehementer irritetur natura à morbo, atque ex subita præter rationem circa corpus facta perturbatione. Omnino enim fit aliqua nouitas, quando crisis futura est, vel circa respirationem, vel circa mentem, vel auditum, vel visum, vel ferendi facilitatem, vel circa aliquod eorum, quæ iam sæpè diximus, quæ sanè vno nomine summatim iudiciaria symptomata, & signa appellamus. Quinetiam quod ab Hippocrate in aphorismis dicitur: *Quibuscunque crisis fit, his nox molesta, quæ antecedit accessionem*; est ipsum, quod nunc nos dicimus. Quando igitur in morbo crisim ostendente, etiam nox molesta fuerit, & post ipsam accessio citiùs inuaserit cum quibusdam insolitis symptomatis, necesse est in eadem accessione fieri crisim.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ προγνώσεως τε τῆς μελλούσης κρίσεως τρόπου κατὰ τὸν Ἱπποκράτην.

Ὁποία δέ τις ἔσται, τουτέστιν εἰ δι' αἱμορραγίας, ἢ ἐμέτων, ἢ ἱδρώτων, ἢ τινος ἄλλου τῶν πολλάκις ἤδη προειρημένων, ἐφεξῆς πειράσομαι διηγεῖσθαι, τὴν ἀρχὴν κἀνταῦθα τοῦ λόγου ποιησάμενος, ἀπὸ τοῦ συμπάντων ἡμῖν τῶν ἀρίστων μαθημάτων ἡγεμόνος, ἐν μὲν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ὧδέ πως εἰπόντος. τὰ περὶ τὴν κεφαλὴν,

CAPVT XI.

De modo futuræ crisis prænoscendo, iuxta doctrinam Hippocratis.

Qualis autem erit, hoc est vtrum per sanguinis fluxum, vel vomitum, vel sudores, vel per aliquod aliud ex iis, quæ sæpè antea enumerauimus, deinceps explanare tentabo. Hîc quoq; initium faciemus ab eo, qui nobis omnium fuit dux, atque auctor optimarũ disciplinarũ, qui primo libro epidemiorũ scribit in hunc modũ: *Circa caput, & collum,*

& collum, & dolores, & grauitates cum febribus, & sine febribus. In phreniticis quidem neruorum distentiones, sed & æruginosa euomunt, & quidam ex his citò intereunt. In febribus autem ardentibus, atque aliis, quibus adest colli dolor, & temporum grauitas, & tenebræ oculis oboriuntur, vel præcordia intenduntur absque dolore, his profluuia sanguinis fiunt è naribus. Qui verò totius capitis grauitates, & oris ventriculi morsus, ac anxietates habent, isti biliosa, & pituitosa euoment. Magna verò ex parte pueris in huiusmodi affectibus accidunt neruorum distentiones; mulieribus verò, & hæc, & ex uuluis labores; senioribus verò, & in quibus iam superatur calor, paraplegiæ, atque furores, & melancholia & oculorum priuatio. In libro autem, qui Prognostica inscribitur, rursus Hippocrates in hunc modum scribit; *Quæcunque autem febres protrahuntur, vt superstes futurus sit, neque dolores ex inflammatione ægrum habent, neque ex alia occasione manifesta, huic expectandus est abscessus cum œdemate, atque dolore ad vnum aliquem ex articulis, & præcipuè ex iis qui in inferioribus locis sunt. Magis verò fiunt & in minori tempore huiusmodi abscessus iunioribus nondum xxx. annos natis. Statim autem attendere oportet ad abscessum, si vigesimum diem febris transgressa sit. Senioribus verò minus fiunt, febre etiam diuturniore existente. Oportet autem expectare talem abscessum, quum febris continua fuerit; in quartanam verò finituram, si intermittens fuerit, & more erraticæ inuaserit, atque omnia hæc agens autumno appropinquauerit. Sicuti verò iis, qui sunt iuniores xxx. annis, abscessus fiunt: sic iis, qui xxx. annos habent, vel etiam senioribus, quartanæ accidunt. Abscessus verò scire oportet magis hyeme fieri, ac tardiùs desinere, & minùs reuerti.* Sufficiunt quidem hæc, & valde manifesta sunt, quæ de abscessibus dicta. Adiungenda autem sunt ipsis ea deinceps, quæ de excretionibus inquit, in hunc modum; *Quicunque autem in febre non lethali dixerit se dolere caput, aut aliquod tenebrosum apparere ante oculos: si oris ventriculi morsus huic acciderit, vomitus biliosus subsequetur. Si verò rigor inuaserit, & partes, quæ sunt infra præcordia, frigidæ fuerint, celerius adhuc aderit vomitus. Si verò etiam aliquid biberit, aut comederit circa hoc tempus, multo etiam citiùs euomet. Ex iis verò, qui primo die dolere cœperint, quarto die grauantur magis, quàm quinto, septimo verò die liberantur; plurimi verò ipsorum dolere incipiunt tertio die, conflictantur autem quinto maximè, liberantur autem nono, aut vndecimo die. Quicunque verò quinto die dolere cœperint, & alia secundum rationem priorem ipsis affuerint, quartodecimo euadunt. Fiunt autem hæc viris quidem, ac mulieribus in tertianis præcipue: iunioribus verò fiunt quidem & in his, magis verò in febribus continuis, & legitimis tertianis. Quicunque verò in huiusmodi febre caput doluerint, loco autem tenebrosæ alicuius ante oculos apparitionis, visus hebetetur, vel quidam splendores ante oculos videantur: pro oris ventriculi verò morsu, in præcordiis aliqua fiat extensio vel ad dextram partem, vel sinistram, neque cum dolore, neque cum inflammatione: his sanguinis fluxus è naribus pro vomitu est expectandus: id magis iunioribus xxx. annis: minus verò in iis, qui iam xxx. annos habent, & seniores sunt, quum in iis vomitus sint expectandi.* Et hęc quidē sufficiunt. Præter hæc autem, & illorū nihilominus meminisse oportet, quæ in eodem libro scribuntur ab Hippocrate: *Capitis autem dolores vehementes, atque continui cum febre,*

καὶ τὸν τράχηλον ἀλγήματα, καὶ βάρεα, σὺν πυρετοῖς, καὶ ἄνευ πυρετῶν. φρενιτικοῖσι μὲν σπασμοί, καὶ ἰώδεα ἐπανεμέουσιν, ἔνιοι ταχυθάνατοι τουτέων. ἐν καύσοισι δέ, καὶ τοῖσιν ἄλλοισι πυρετοῖσιν, οἷσι μὲν τραχήλου πόνος, καὶ κροτάφων βάρος, καὶ σκοτώδεα τὰ περὶ τὰς ὄψιας, ἢ καὶ ὑποχονδρίου σύντασις, οὐ μετ' ὀδύνης, αἱμορραγέουσι διὰ ῥινῶν. οἷσι δὲ βάρεα μὲν ὅλης τῆς κεφαλῆς, καρδιωγμοὶ δέ, καὶ ἀσώδεές εἰσιν, ἐπανεμέουσι χολώδεα, καὶ φλεγματώδεα. τὸ πολὺ δὲ παιδίοισιν, ἐν τοῖσι τουτέοισιν, οἱ σπασμοὶ μάλιστα· γυναιξὶ δέ, καὶ ταῦτα, καὶ ἀπὸ ὑστερέων πόνοι, πρεσβυτέροισι δέ, καὶ ὁκόσοισιν ἤδη τὸ θερμὸν κρατέεται, παραπληκτικά, ἢ μανικά, ἢ μελαγχολικά, καὶ στέρησις ὀφθαλμῶν. ἐν δὲ αὐτῷ προγνωστικῷ, Ἱπποκράτης ὧδέ πως πάλιν φησίν· ὅς τις δ' ἂν τοῦ πυρετοῦ μηκύνῃ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονήν, μήτε δι' ἄλλην πρόφασιν ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόστασιν, μετ' οἰδήματός τε, καὶ ὀδύνης, εἴς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον, τῶν κάτω. μᾶλλον δὲ γίνονται, καὶ ἐν ἐλάσσονι χρόνῳ, αἱ τοιαῦται ἀποστάσιες, τοῖσι νεωτέροισι τριήκοντα ἐτέων. ἐπισκέπτεσθαι δὲ εὐθὺς χρή, τὰ περὶ τῆς ἀποστάσιος, εἰ κ'. ἡμέρας ὁ πυρετὸς ὑπερβάλλῃ. τοῖσι δὲ γεραιτέροισιν, ἧσσον γίνεται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ. χρὴ δέ, τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι, ξυνεχέος ἐόντος τοῦ πυρετοῦ. εἰς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ, καὶ ἐπιλαμβάνῃ πεπλανημένον τρόπον. καὶ ταῦτα πάντα ποιέων, τῷ φθινοπώρῳ πελάσῃ, ὥσπερ δὲ τοῖσιν νεωτέροισι τριάκοντα ἐτέων, ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον, τοῖσι τριάκοντα ἔτεσι, καὶ γεραιτέροισι. τὰς δὲ ἀποστάσιας εἰδέναι χρὴ μᾶλλον τοῦ χειμῶνος γινομένας, χρονιώτερον δὲ παυομένας, ἧσσόν τε παλινδρομεούσας. ἱκανὰ μὲν καὶ ταῦτα, καὶ πάνυ σαφῆ, τὰ περὶ τῶν ἀποστάσεων εἰρημένα. συνάπτων δ' αὖθις ἐφεξῆς τὰ περὶ τῶν ἐκκρίσεων, ὧδέ πως φησίν. ὅς τις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει, φησί, κεφαλὴν ἀλγεῖν, ἢ καὶ ὀρφνῶδές τι πρὸ ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. ἢν δὲ καὶ ῥῖγος ἐπιλάβῃ, καὶ τὰ κάτω τοῦ ὑποχονδρίου, ψυχρὰ ᾖ, ταχύτερος ἔτι ὁ ἔμετος παρέσται. ἢν δέ τι καὶ πίῃ, ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα ταχέως ἐμέσεται. τουτέων δέ, οἷς ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρᾳ, τεταρταῖοι πιέζονται μᾶλλον, ἢ πεμπταῖοι, εἰς δὲ τὴν ζ'. ἀπαλλάσσονται. οἱ μέντοι πλεῖστοι αὐτῶν, ἄρχονται μὲν πονέεσθαι τριταῖοι, χειμάζονται δὲ πεμπταῖοι μάλιστα, ἀπαλλάσσονται δὲ ἐνναταῖοι, ἢ ἑνδεκαταῖοι. οἱ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τἆλλα κατὰ λόγον, αὐτέοισι, τῶν πρόσθεν, γίνεται εἰς τεσσαρεσκαιδεκάτην. γίνεται δὲ ταῦτα, τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξίν, ἐν τριταίοις μάλιστα. τοῖσι δὲ νεωτέροισι, γίνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ ἐν τοῖς συνεχεστέροισι πυρετοῖσι, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισιν. οἷσι δὲ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ, κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνηται, ἢ μαρμαρυγαὶ προφαίνωνται· ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ, ἐπὶ δεξιά, ἢ ἐπ' ἀριστερά συντείνηταί τι, μήτε σὺν ὀδύνῃ, μήτε σὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν, τουτέοισι ῥυῆναι προσδέχεσθαι, ἀντὶ τοῦ ἐμέτου. μᾶλλον δὲ ἐνταῦθα, τοῖσι νεωτέροισι τριάκοντα ἐτέων τοῦ αἵματος τὴν ῥύσιν προσδέχεσθαι. τοῖσι δὲ τριάκοντα ἔτεσι καὶ γεραιτέροισιν, ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι χρή. καὶ ταῦτα μὲν οὖν ἱκανά. πρὸς τούτοις δ', οὐδὲν ἧττον κἀκείνων μεμνῆσθαι προσήκει, τῶν ἐν αὐτῷ βιβλίῳ γεγραμμένων ὑπὸ Ἱπποκράτους. κεφαλῆς δὲ ὀδύναι ἰσχυραί, καὶ συνεχέες, σὺν πυρετῷ,

εἰ μέν τι τῶν θανατωδέων σημείων προσγίνοιτο, ὀλέθριον κάρτα. εἰ δὲ ἄτερ σημείων τοιουτέων, ὑπερβάλλει ἡ ὀδύνη κ΄. ἡμέρας, προσεπισκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην ἀπόστασιν ἐς τὰ κάτω χωρία. ἔστ' ἂν δ' ἡ ὀδύνη νεαρὰ ᾖ, προσδέχεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐμπύησιν. ἄλλως τε, καὶ ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους ᾖ, καὶ τὸ μέτωπον. μᾶλλον δὲ χρή, τοῦ μὲν αἵματος προσδέχεσθαι τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων, τοῖσι δὲ γεραιοτέροισι, τὴν ἐμπύησιν. καὶ μὲν δὴ κἀν τῷ τῶν περιπνευμονικῶν λόγῳ. οἷσι δ' ἂν ἀποστάσιες, φησί, γίνονται ἐκ τῶν περιπνευμονικῶν περὶ τὰ ὦτα, καὶ ἐκπυέουσιν, ἢ ἐς τὰ κάτω χωρία, καὶ συριγγοῦνται, οὗτοι περιγίνονται. εἶτα ἐπιφέρων ἐρεῖ. ὑποσκέπτεσθαι δὲ χρὴ καὶ τὰ τοιάδε ὧδε. ἢν ὅ, τε πυρετὸς ἔχῃ, καὶ ὀδύνη μὴ πεπαυμένη ᾖ, καὶ τὸ πτύελον μὴ χωρέῃ κατὰ τὸν λόγον, μηδὲ χολώδεες αἱ διαχωρήσιες τῆς κοιλίας, μηδὲ εὔλυτοι καὶ ἄκρητοι γίνονται, μηδὲ οὖρον πολύ τε, καὶ κάρτα, καὶ ὑπόστασιν ἔχον πολλήν, ὑπηρετεῖται δὲ περιεστικῶς ὑπὸ τῶν λοιπῶν σημείων πάντως, τούτοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι. γίνονται δέ, αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷς ἂν περὶ τὸ μὲν ὑποχόνδριον τοῦ φλέγματός τι ἐγγένηται. αἱ δὲ ἄνω, οἷς ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε, καὶ ἀνώδυνον διατελέῃ, δύσπνοος δέ τινα χρόνον γενόμενος, παύσηται ἄτερ προφάσιος ἄλλης. καὶ μὲν δὴ καὶ περὶ τῶν κατὰ τὰ ὑποχόνδρια οἰδημάτων διαλεγόμενος, ὧδέ πως εἶπε. σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα, ἐν ἀρχῇ μέν, κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθαι. εἰ δὲ ὑπερβάλλει κ΄. ἡμέρας, ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιστάμενον, εἰς διαπύησιν τρέπεται. γίνεται δὲ τουτέοισιν ἐν τῇ α΄. περιόδῳ, καὶ αἵματος ῥύσις διὰ ῥινῶν, καὶ κάρτα ὠφελέει, ἀλλ' ἐπερέσθαι, μὴ κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυωπέουσιν. εἰ γὰρ εἴη τι τοιουτέων, ἐνταῦθα ἂν ῥέποι, μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριάκοντα ἐτέων, τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι. καὶ μὲν δὴ καὶ ταῦτα κατὰ τὸ προγνωστικὸν εἴρηται Ἱπποκράτει, δηλωτικὰ τρόπων κρίσεως. ὅσοι δ' ἂν οὖρα λεπτά, καὶ ὠμὰ οὐρέουσι πολὺν χρόνον, ἢν τὰ ἄλλα ὡς περιεσομένοισι, σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι εἰς τὰ κάτω τῶν φρενῶν χωρία. ἐν μὲν δὴ τῷ προγνωστικῷ, ταῦτα διὰ συντόμων εἴρηται πρὸς αὐτοῦ, τὸν τῆς μελλούσης τρόπον κρίσεως, ὁποῖός τις ἔσοιτο, διδάσκοντος. προστίθησι δ' αὖθις οὐκ ὀλίγα κατὰ μέρος, κατά τε τὸ προρρητικόν, καὶ τὰ τῶν ἐπιδημικῶν, οἷα καὶ ὅτι πρὸ ῥίγεος ἐπισχέσιες τῶν οὔρων, καὶ ὅτι τὰ ἐξέρυθρα ὄμματα, αἱμορραγικά. κατὰ ταῦτα δέ, καὶ περὶ τῶν δακρυόντων ὀφθαλμῶν, καὶ τῶν μήλων τῶν ἐρυθρῶν, καὶ τῆς ῥινὸς αὐτῆς. καὶ μὲν δὴ καὶ ὡς τὸ κάτω χεῖλος σειόμενον, ἔμετον ἔσεσθαι προδηλοῖ, καὶ ὡς μετὰ κεφαλαλγίαν κῶμα, καὶ κώφωσις, ἐξαίφνης γινόμενα, παρωτίδων ἐστὶ σημεῖα, καὶ ἄλλα πολλὰ τοιαῦτα κατὰ μέρος, ἃ δυνάμει περιέχεται πάντα, διὰ τῶν κατὰ τὸ προγνωστικὸν εἰρημένων. ὅλως γὰρ οὐδὲν ἄλλο χρὴ σκοπεῖν ἐπὶ τοῦ τρόπου τῆς κρίσεως, ἀλλὰ τὴν ῥοπὴν τῆς φύσεως ἣν ἐνεδείξατο σαφῶς ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ. τοῦτο μέν, καρδιωγμοῦ καὶ ῥίγους μνημονεύσας, ἐφ' ὧν ἔμετος ἔσεσθαι μέλλει. τοῦτο δέ, δυσπνοίας, καὶ παραμαρυγῶν, ἐφ' ὧν αἱμορραγία διὰ ῥινῶν, ἔτι τε πρὸς τούτοις, διοριζόμενος περί τε τῶν διαχωρημάτων καὶ τῶν οὔρων, ἐν οἷς φησι· μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ εὔλυτοί τε καὶ ἄκρητοι γίνονται, μήτ' οὖρον πολὺ κάρτα, καὶ ὑπόστασιν ἔχον πολλήν. εἰ γὰρ δή τι τούτων γένηται, δῆλον ὡς ἐνθάδε ῥέποι τὸ νόσημα, καὶ διὰ τούτων ἐκκαθαίρεται. μὴ ῥέποντος δὲ ἐνταῦθα, καὶ μηκύνοντος περιεστικῶς, ἀπόστασιν ἔσεσθαι προσδοκᾶν. τεκμαίρεσθαι δὲ καὶ περὶ τούτων, τὴν ῥοπὴν τῆς φύσεως. εἰς μὲν γὰρ τὰ κάτω χωρία φησὶν ἔσεσθαι αὐτούς,

A *si quidē aliquod signū mortale affuerit, valde est exitiale. Si verò sine his signis dolor vltra vigesimum diē progrediatur, & febris detineat, expectare oportet sanguinis fluxū è naribus, vel aliū abscessū ad inferiores partes. Sed dū recēs dolor fuerit, expectare oportet sanguinis fluxū per nares, vel suppurationem, multoq; magis, si dolor circa tēpora, & frontē appareat. Magis verò expectare oportet sanguinis fluxū in iis, qui iuniores sunt xxxv. annis; in senioribus verò suppuratione.* Et etiam in sermone de peripneumonicis ita inquit; *Quibuscumque abscessius fiunt ex pulmonis morbis, circa aures, & suppurantur; vel ad inferiora loca, & ad fistulam perueniunt, isti euadunt.* Deinde subinferēs, inquit; B *Cōsiderare autē oportet, & talia hoc modo. Si febris detinuerit, & dolor non cessauerit, & sputū non processerit secundum rationē, neq; alui excremēta biliosa fuerint, neque facilè dissolubilia, & impermixta fuerint, neque vrina multa valde & multū habēs sedimētum; reliqua autē signa salutē significauerint; his oportet & tales abscessus futuros sperare. Fiunt autē nōnullis quidē ad loca inferiora, quibus aliquid phlegmones affuerit circa præcordia; quibusdā verò in superioribus, quibus præcordia, & mollia, & sine dolore perseuerauerint. Vbi verò aliquod tēpus difficilē respirationē habuerit, absque alia occasione quiescet.* Quinetiam de œdematibus circa C præcordia verba faciens, ita inquit; *Significat autē huiusmodi œdemata, in principio quidē, mortis nō multo post secuturæ periculū. Si verò processerit vltra viginti dies, & febris detinēs, & œdema non subsidēs, ad suppurationē cōuertitur. Fiunt autē his in prima periodo, & fluxus sanguinis ex naribus, & fortiter iuuat. Sed interrogare oportet, an doleant capite, aut oculi caligent; si quid enim horum affuerit, huc vergit. Magis verò fluxum sanguinis è naribus expectare oportet in iis, qui iuniores sunt xxxv. annis.* Et hæc quidē etiā in prognosticis ab Hippocrate dicta sunt, indicantia modos, secūdū quos crisis fit; *Quicunq; autem meiunt* D *vrinā tenuē, ac crudā multo tēpore, si quidē alia ipsis signa salubria affuerint, his abscessum expectare oportet ad loca, quæ sub septo trāsuerso sunt.* Hæc quidem in prognosticis breuiter dicta sūt ab ipso futurū crisis modū prædocēte. Addit verò ipsis multa particulatim, & libro prædictionū, & epidemiorū, Veluti, quòd vrinarū suppressiones, ante rigorē; & quòd oculi prærubri sanguinis fluxū mōstrāt. Eodē modo, & de oculis lachrymātibus, & de malis rubris, & de ipsa nare. Ac præterea, quòd labrū inferius agitatū, futurū vomitū significat. Et quòd somnus grauis cum dolore capitis, & surditas statim adueniens, sūt signa parotidū. Et multa huiuscemodi alia E particulatim scribit, quæ omnia potētia cōtinētur in iis, quæ in libro prognosticorū scribūtur. Sūmatim enim, nihil aliud oportet cōsiderare in modo crisis, præter naturæ inclinationē, quā manifestè ostendit Hippocrates in prognosticis, partim quidē oris vētriculi morsū, atq; rigorē memorās, in quibus vomitus subsequuturus est, partim spirādi difficultatē, & oculorū hallucinationes, in quibus profluuiū sanguinis è naribus expectatur; ac præter ista, distinguens de vrinis, & alui excremētis, in quibus inquit: *Neq; biliosa fuerint alui excremēta, neq; facilè solubilia, & impermixta, neq; vrina* F *multa valde, & multum habens sedimentum.* Si quid enim tale fuerit, manifestum est, quòd huc repit morbus, & per ista expurgatur; quū verò huc non repit & protrahitur morbus, cum signis tamen salubribus, futurum abscessum expectare oportet. Coniicere autem in his oportet naturæ motum. Ad loca siquidē inferiora futuros abscessus inquit iis

iis, quibus circa præcordia aliquid phlegmones, id est inflãmationis, atq; caloris affuerit, quoniam ad inferiora repãt ij, qui peripneumoniã humores efficiũt; hũc siquidẽ sermonẽ velutiad exẽplũ in peripneumonicis Hippocrates trãsigit. Vbi verò nõ repũt ad inferiora, præcordia quidẽ mollia, & sine dolore erũt sẽper, æger verò ad aliquod tẽpus difficilẽ habebit respirationẽ sine occasione manifesta. Et manifestũ, quod huic in superiorib⁹ abscessus subsequi est necessariũ, hoc est circa glandulas, quæ sunt post aures; statim enim ipsi, & aliquod aliud signũ aderit ex iis, quæ in ipso capite accidũt, veluti grauis sõnus, & surditas repẽtina, ac præter rationẽ, aut grauitas capitis, & tẽporũ, aut tale aliquid aliud. Nullũ igitur indiciũ deficit modi futuræ crisis; sed omnia ab Hippocrate exceptis pulsibus dicta sunt. Multi verò priscã breuitatẽ assequi minimè cõsueti, quædã deficere arbitrantur. Nos igitur altero sermone manifestè eadem ipsis dicamus; fortè enim si hoc modo didicerint, neq; impossibile esse arbitrabuntur pręcognoscere modũ futuræ crisis, neq; adhuc erũt circa exercitationẽ segnes. Quũ igitur, quod crisis aderit, ex iis, quę diximus, præcognoueris, deinceps, qualis futura sit, hoc modo distinguẽdũ est. Primũ quidẽ, si acutus, & calidus sit morbus, & si crisis fiat in primis periodis; necesse est enim in talibus crisibus nõ abscessũ, sed excretionẽ subsequi. Secũdo autẽ loco, si diuturnus, & tardus; nã hi per abscessus quiescere cõsueuerũt; tũ præcipuè quũ vrinæ tenues, & crudæ lõgo tẽpore exierint. Si enim multæ, & multũ sedimentũ habuerint, rationabile est morbũ potius paulatim debere coqui, nõ per abscessũ terminari. His præfinitis deinceps cõsiderãdũ est, siquidẽ per excretionẽ debet iudicari, nunquid profluuiũ aliquod sãguinis, vel vomitus, vel sudor, vel alui fluxus erit; si verò per abscessũ, quæ pars, vel quis articulus, abscessum suscipiet. In iis ergo, qui per excretionẽ debent iudicari, dupliciter distinguere oportet, & futuræ excretionis signis, si affuerint; & aliorũ, si non affuerint; certius enim superabis eũ, qui sẽper præostẽditur, modũ excretionis, si nullũ te aliud distraxerit. Me igitur oportet propriũ vniuscuiusq; dicere; te verò in ægrotãtibus nõ hoc solũ inspicere, sed & singula alia cõsiderare. Si igitur præter rationem aluus supprimitur, vel vrina, iam prope crisi existẽte, rigorem sperare oportet. Si is adueniat, distinguendũ est, nũquid sudor post ipsũ sequatur, vel vomitus, vel subductio vẽtris, vel aliqua horũ, vel omnia. Et primum quidẽ ad morbi ideã est inspiciendũ. Si enim exquisitè ardẽs fuerit, statim certior erit & rigoris præcognitio; quod enim incẽdit, biliosũ est. Dictũ est autẽ in præcedẽtibus, quod humor iste quãdo vehemẽtiùs mouetur, rigorẽ facit. Post hęc autẽ, & illud cõsiderãdũ est, nũquid vrinis tantũ, vel etiam aluo suppressa, riguit. Si enim ambobus, necessariò sudor multus subsequitur. Si verò vrinis solis, considerare oportet, nũquid alui excremẽta plura, quàm priora, vel pauciora, ante crisim exierint; si enim plura, manifestiùs motus naturæ ad hũc locũ est agnoscẽdus; si pauciora, ad sudores. Si verò, & vomitus signa affuerint, per has ãbas excretiones iudicabitur; & vel magis per earũ alterã, quę magis præualebit; vel ęquè per vtrãq;, qñ ęqualia quodãmodo indicia affuerint. Si verò signa vomitus non affuerint, solos sudores expectare oportet, & magis, qñ ęgrotãtes delirauerit, increscẽte accessione, & partes exteriores calidiores, ac rubidiores extiterint;

οἷς ἂν περὶ τὸ ὑποχόνδριόν τι φλέγματος ἐγγένηται, τουτέστι τῆς φλογώσεώς τε, καὶ θερμασίας, ἐπειδὴ κάτω ῥέπουσιν οἱ τὴν περιπνευμονίαν ἐργαζόμενοι χυμοί. συμπλέκει γὰρ τοῦτον τὸν λόγον, ὡς ἐπὶ παραδείγματι, ἐπὶ τῶν περιπνευμονικῶν ἐποιήσατο. μὴ ῥεπόντων δ' αὐτῶν κάτω, τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον ἔσται διὰ παντός. ὁ δὲ ἄνθρωπος δύσπνοος ἐπί τινα χρόνον γενήσεται, χωρὶς προφάσιος φανερᾶς, καὶ δῆλον ὡς ἄνω τούτῳ τὰς ἀποστάσιας ἀναγκαῖον ἀκολουθεῖν, τουτέστιν, εἰς τοὺς περὶ τὰ ὦτα ἀδένας. εὐθὺς δὲ ἂν αὐτῷ καὶ τῶν ἄλλων τι σημείων προσγένοιτο τῶν κατ' αὐτὴν τὴν κεφαλὴν συμβαινόντων, οἷον κῶμα, καὶ κώφωσις, αἰφνίδιός τε καὶ παράλογος, καὶ βάρος τῆς κεφαλῆς, ἢ καὶ τῶν κροτάφων, ἤ τι τοιοῦτον ἕτερον. οὐδὲν οὖν λείπει γνώρισμα τρόπου κρίσεως, ἀλλ' εἴρηται πάντα χωρὶς τῶν σφυγμῶν, πρὸς Ἱπποκράτους. ἐπεὶ δὲ οἱ πολλοὶ βραχυλογίᾳ παλαιᾷ μὴ γεγυμνασμένοι, λείπειν οἴονταί τινα. λέγωμεν οὖν ἡμεῖς αὖθις ἑτέρᾳ λέξει σαφεῖ, τὰ αὐτά, τάχα γὰρ ἂν οὕτω γε μαθόντες, οὔτ' ἀδύνατον οἰήσονται, προεγνωκέναι τὸν τρόπον τῆς ἐσομένης κρίσεως, οὔτε ῥαθυμήσουσι ἔτι περὶ τὴν ἄσκησιν. ὅταν μὲν οὖν, ὅτι κρίσις ἔσται, προγνώσῃς ἐξ ὧν ἔμπροσθεν εἰρήκαμεν, ἐφεξῆς, ὁποία τις ἔσται διορίζεσθαι κατὰ τάδε. πρῶτον μὲν εἰ ὀξὺ καὶ θερμὸν τὸ νόσημα, καὶ ἡ κρίσις ἐν ταῖς πρώταις περιόδοις. ἀναγκαῖον γάρ, ἐν ταῖς τοιαύταις κρίσεσιν, οὐκ ἀπόστασιν ἀλλ' ἔκκρισιν ἀπαντῆσαι. δεύτερον δέ, εἰ χρόνιον, καὶ βραδύ, τοῖς ἀποσκήμμασι γὰρ εἰώθασι τὰ τοιαῦτα καθίστασθαι, καὶ μάλιστα ὅταν οὖρα λεπτά, καὶ ὠμὰ πολὺν χρόνον οὐρῶσιν. εἰ γὰρ πολλὴν καὶ χρηστὴν ὑπόστασιν ἔχοντα, πεφθῆναι μᾶλλον εἰκὸς κατὰ βραχὺ, τὴν νόσον, οὐκ εἰς ἀπόστασιν ὁρμῆσαι. τούτων δὲ διωρισμένων, ἐφεξῆς σκεπτέον. εἰ μὲν ἐκκρίσει μέλλει κριθήσεσθαι, πότερον αἱμορραγία τις, ἢ ἱδρώς, ἢ ἔμετος, ἢ διαχώρησις ἔσται γαστρός. εἰ δὲ ἀποσκήμματι, ποῖον μόριον, ἢ ἄρθρον, ὑποδέξεται τὴν ἀπόστασιν. ἐπὶ δὲ τῶν ἐκκρίσει μελλόντων κρίνεσθαι, χρὴ διχῶς διορίζεσθαι, τοῖς τε τῆς ἐσομένης τῆς ἐκκρίσεως σημείοις, εἰ παρείη, καὶ τοῖς τῶν ἄλλων, εἰ μὴ παρείη. βεβαιότερον γὰρ ἐλπίσεις τὸν ἑκάστοτε προδηλούμενον τρόπον τῆς κρίσεως, ἂν μηδεὶς τῶν ἄλλων περιέλκῃ. χρὴ τοίνυν ἐμὲ μὲν ἐφ' ἑκάστου τὸν ἴδιον εἰπεῖν, σὲ δὲ ἐπὶ τῶν ἀρρώστων, μὴ μόνον τοῦτον ὁρᾶν, ἀλλὰ καὶ τῶν ἄλλων ἕκαστον ἐπισκοπεῖν. εἰ γοῦν ἀλόγως γαστὴρ ἐπισχεθῇ, ἢ οὖρα, τῆς κρίσεως ἐγγὺς οὔσης, ἐλπίζειν χρὴ ῥῖγος. εἰ δὲ τοῦτο, διορίζεσθαι πότερον ἱδρὼς ἐπ' αὐτῷ γένοιτο, ἢ ἔμετος, ἢ διαχώρησις γαστρός, ἤ τινα τούτων, ἢ πάντα. καὶ πρῶτον μὲν εἰς τὴν τοῦ νοσήματος ἰδέαν ἀποβλέπειν. εἰ γὰρ ἀκριβῶς εἴη πυρικαές, εὐθὺς ἂν καὶ ἡ τοῦ ῥίγους πρόγνωσις βεβαιοτέρα, χολῶδες γὰρ τὸ πυρικαές. εἴρηται δὲ ἐν τοῖς ἔμπροσθεν, ὡς ὁ χυμὸς οὗτος, ἐπειδὰν σφοδρότερον κινηθῇ, ῥῖγος ἐργάζεται. μετὰ δὲ ταῦτα προσεπισκέπτεσθαι, πότερον τῶν οὔρων μόνων, ἢ καὶ τῆς γαστρὸς ἐπισχεθείσης ἐρρίγωσαν. εἰ μὲν γὰρ ἀμφοῖν, ἱδρὼς ἐξ ἀνάγκης ἔσται πολύς. εἰ δὲ τῶν οὔρων μόνων, ἐπισκέπτεσθαι χρή, τὰ κατὰ τὴν γαστέρα, πότερον πλείω τῶν πρόσθεν, ἢ ἐλάττω, πρὸ τῆς κρίσεως ἐπῆλθεν. εἰ μὲν γὰρ πλείω, ἐπισημότερον τὴν ἐνταῦθα ῥοπὴν γνωρίζειν, εἰ δὲ ἐλάττω, τὴν εἰς ἱδρῶτας. εἰ δὲ καὶ τὰ τῶν ἐμέτων παρείη σημεῖα, δι' ἀμφοτέρων τῶν κρίσεων ὁ τοιοῦτος κριθήσεται. καὶ ἤτοι μᾶλλον κατὰ τὴν ἑτέραν αὐτῶν, ἥτις ἂν ἐπικρατήσῃ μᾶλλον, ἢ ὁμοίως, ἑκατέρωθεν, ὅταν ἴσα πως ᾖ τὰ γνωρίσματα. μὴ παρόντων δὲ τῶν ἐμετικῶν σημείων, ἱδρῶτας μόνον προσδέχεσθαι, καὶ μᾶλλον, ἐπειδὰν παραπαίωσιν οἱ κάμνοντες ἐπιδιδόντος τοῦ παροξυσμοῦ, καὶ θερμότερα τὰ ἐκτός, καὶ ἐρυθρότερα γένηται

καί τις ἀτμὸς ἀνίῃ θερμός, οἷος οὐ πρόσθεν. Εἰ δὲ καὶ κυματώδης ὁ σφυγμὸς γένοιτο, καὶ μαλακὸς ἐπισήμως, ἔτι μᾶλλον ἐλπίζειν ἱδρῶτας. ὁ σκληρὸς δὲ σφυγμὸς, ἐμέτους μᾶλλον, ἢ ἱδρῶτας προδηλοῦν εἴωθεν· ὁ μὲν γὰρ ὑψηλὸς, ἁπάσης ἐκκρίσεώς ἐστι γνώρισμα, καθάπερ καὶ ὁ σφοδρός. μέγας δὲ εἴπερ εἴη, τῆς ἔξω κινήσεως μᾶλλον, ἢ τῆς ἔσω, σημεῖόν ἐστι. διττῆς δ' οὔσης ἑκατέρας, τῆς μὲν ἔξω, δι' αἱμορραγίας καὶ ἱδρώτων, τῆς δ' εἴσω ῥοπῆς, διὰ γαστρὸς, καὶ στομάχου· κυματώδης μὲν σφυγμὸς ἱδρῶτας, μέγας δὲ ἁπλῶς, αἱμορραγίας προδηλώσει. τῆς δ' εἴσω ῥοπῆς ἐπικρατούσης, ὅταν μὲν ἀπῇ τὰ τῶν ἐμέτων σημεῖα, διαχωρήσει γαστρὸς ὁ τοιοῦτος κριθήσεται. παρόντων δὲ, δι' ἐμέτων μᾶλλον. Εἰ δὲ καὶ ταῦτα παρείη, καὶ ἡ γαστὴρ ἐπισήμως ὑγρὰ εἴη, δι' ἀμφοτέρων. ἀνώμαλος δὲ ὁ σφυγμὸς ἐπὶ τῶν πλείστων μὲν γίνεται κρίσεων. καὶ μάλιστα ἐπειδὰν ἀγωνιστικόν τι καὶ ἐπικίνδυνόν τι ἔχωσιν. πολὺ δὲ μᾶλλον, τῶν χολωδῶν εἰς τὴν γαστέρα συρρεόντων χυμῶν, ἅμα τῷ καὶ τὰ ἄλλα παρεῖναι τῶν ἐμέτων σημεῖα τὰ πρὸς Ἱπποκράτους εἰρημένα. καὶ οἱ σφυγμοὶ παντοίως ἀνώμαλοι γίνονται, δακνομένου καὶ βαρυνομένου τοῦ στομάχου. ἀλλὰ τὰ μὲν ἀπὸ τῶν σφυγμῶν, ἢ ὡς οὐ γινώσκων ὁ Ἱπποκράτης, ἢ ὡς οὐκ ἀξιόλογα νομίζων οὐκ ἐξειργάσατο. τὰ δὲ τῶν ἐμέτων σημεῖα, καρδιωγμοί τέ εἰσιν ἅμα πόνῳ κεφαλῆς, καὶ σκοτόδινοι σὺν τοῖς προφαινομένοις τῶν ὄψεων ὀρφνώδεσι, καὶ τῷ κάτω χείλει σειομένῳ, καὶ πολλῷ καὶ λεπτῷ προσαρρέοντι σιέλῳ. πάντα δὲ ταῦτα συμπίπτει, χολωδῶν τε, καὶ δακνωδῶν χυμῶν κατά τε τὴν γαστέρα καὶ τὸν στόμαχον ἠθροισμένων, καὶ δακνόντων τε ἅμα τὸ στόμα τῆς γαστρὸς, ὃ δὴ καρδίαν ἐκάλουν οἱ παλαιοὶ, καὶ σὺν αὐτῷ, καὶ τὸν στόμαχον ὅλον, ἔσω καὶ κάτω κατασπώντων, ὅθεν περ καὶ τὸ χεῖλος αὐτοῖς σείεται, καὶ σίελον προσαρρεῖ λεπτόν. ὀρφνώδη δέ τινα περὶ τὴν ὀφθαλμῶν φαίνονται, καὶ ἰλιγγιῶσι, καὶ σκοτοδινιῶσι, καὶ κεφαλαλγοῦσι, ἀναθυμιωμένου τινὸς ἐκ τοῦ χολώδους χυμοῦ, καὶ προσέτι τῇ κατὰ τὰ νεῦρα συμπαθείᾳ. τὰ δὲ τῶν αἱμορραγιῶν ἴδια, μαρμαρυγαὶ μὲν, ὅτι ξανθὸς ὁ χυμός, ἀμβλυωγμοὶ δὲ, ὅτι πολὺς ἀθρόως ἀναφερόμενος, ἐμφράττει τὰς ὁδοὺς τοῦ πνεύματος. οὕτω δὲ καὶ οἱ ὀφθαλμοὶ δακρύουσι, τῷ πλήθει τοῦ ῥεύματος, ὥσπερ κἀν ταῖς ὀφθαλμίαις. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐρυθροὶ φαίνονται σὺν τοῖς μήλοις ἐνίοτε, καὶ ταῖς ῥισίν. ἴδιον δὲ τῶν αἱμορραγιῶν, καὶ ἡ τῶν ὑποχονδρίων σύντασις, οὐ μετ' ὀδύνης. ἔστι γὰρ καὶ τοῦτο, τῆς ἄνω ῥοπῆς τοῦ αἵματος οὐ σμικρὸν γνώρισμα. καθάπερ οὖν καὶ ἡ δύσπνοια, καὶ γὰρ καὶ ἥδε, διεξερχομένου τοῦ αἵματος εἰς τὸν θώρακα, γίνεται. σὺν ὀδύνῃ δὲ, εἴπερ ἐκταθείη τὸ ὑποχόνδριον, οὐκ αἱμορραγίας ἐσομένης σημεῖα, ἀλλὰ φλεγμονῆς τινος αὐτόθι γεγενημένης ἐστὶ σύμπτωμα. καὶ μὴν δὴ, καὶ τὸ τῆς κεφαλῆς ἄλγημα, κἂν εἰ κοινὸν, ἐμέτων τε, καὶ αἱμορραγιῶν εἴη σημεῖον, ἀλλά τοι κἀνταῦθα τὰ μὲν οἷον δακνώδη, ἐμέτου. τὸ δὲ οἷον βαρὺ καὶ διατεῖνον, καὶ σφύζον, καὶ θερμὸν, αἱμορραγίας ἴδιον. οὕτω δὲ καὶ τῶν κατὰ τὰ ὑποχόνδρια σπλάγχνων αἱ φλεγμοναὶ, τῶν αἱμορραγιῶν εἰσιν αἴτιά τε ἅμα, καὶ σημεῖα, μέλλοντός γε κριθήσεσθαι τοῦ νοσήματος, ἐκκρίσεσιν. Εἰ δὲ τὸ μὲν ἀνάπαλιν αἱμορραγοῖ, οὐκ ἀγαθόν ἐστιν. τὸ δὲ κατ' ἴξιν, ἀγαθὸν, ὡς Ἱπποκράτης λέγει, καὶ ἡ πεῖρα διδάσκει, ῥᾷστον ἤδη σοι, καὶ τὸν αἱμορραγήσοντα προειπεῖν μυκτῆρα, ἀφορμὴν τῆς αἱμορραγίας ἐξευρόντι. δεξιὸν μὲν γὰρ ὑποχόνδριον, ἐκ δεξιοῦ μυκτῆρος, ἀγαθὴν ἐπιφέρει τὴν κρίσιν, ἀριστερὸν δὲ, ἐξ ἀριστεροῦ. μεμάθηκας δ' ἔμπροσθεν ἤδη, τά τε τῶν κακῶν, καὶ τὰ τῶν ἀγαθῶν κρίσεων σημεῖα.

ὀδυνῶνται τῷ κατασπῶνται

A & vapor quidã calidus exeat, qualis antea non aderat. Quòd si pulsus vndosus fiat, & insigniter mollis, adhuc amplius sudores expectare oportet. Durus autem pulsus, vomitus magis, quã sudores, præostẽdere solet; altus enim omnis excretionis indicium est, sicuti & vehemẽs. Si verò magnus fuerit, motus ad exteriora potius, quã ad interiora, signũ existit. Quũ verò vterq; duplex sit, hic quidẽ, qui ad exteriora, per fluxũ sanguinis, atq; sudores; alter autẽ ad interiora, per aluum & stomachũ; vndosus quidẽ pulsus sudores, magnus autẽ simpliciter fluxũ sanguinis præostẽdet. Motu verò ad interiora B superãte, quũ nõ adsint signa vomituũ, per vẽtris excremẽta crisis fiet; si verò affuerint, per vomitũ potius; si verò ea affuerint, & vẽter insigniter subducatur, per vtraq; fiet crisis. Inæqualis autẽ pulsus in pluribus quidẽ crisibus fit, & præcipuè quũ nõ fiũt sine pugna, & periculo: multo verò magis, quũ biliosi humores ad vẽtriculũ cõfluunt, perstãtibus etiam aliis vomitus signis, quę scripsit Hippocrates; tũc & omnino pulsus fiunt inæquales, quũ stomachus iã mordetur, ac grauatur. Sed signa ex pulsibus sumpta Hippocrates, vel quia non nouerat, vel quia non magni momẽti existimauit, idcirco non est exequutus. Vomituũ autẽ signa sunt oris vẽtri C culi morsus, simul cũ dolore capitis, & vertigines obortæ, cũ iis, quæ obiiciũtur oculis, tenebrosis, & cum agitatione labri inferioris, & multo ac tenui sputo defluente. Hæc verò omnia accidũt quũ biliosus, & mordax humor in vẽtre, ac stomacho collectus fuerit, & ventriculi os momorderit (quod etiam prisci cor nominabãt) & cũ ipso totũ stomachũ intus, atq; infra distraxerit; vnde & labrũ in ipsis agitatur, & sputum tenue defluit, & tenebrosa quædã oculis obuersantur, & hallucinãtur, & vertiginẽ patiuntur, & caput dolẽt, expirante rem aliquam humore bilioso, & præterea facta in neruis D sympathia. Propria verò signa profluuij sanguinis, quidã fulgoris motus oculis apparentes, quoniam humor est flauus; hebetudines autẽ, quoniam multus, & totus simul elatus ad superiora spiritus, meatus obserat. Ita autẽ & oculi lachrymantur ob fluxus multitudinẽ, quod etiam accidit in inflãmationibus oculorũ. Eodem modo rubidi aliquando videntur, cum malis nonnunquam, & naribus. Proprium verò signum sanguinis fluxus è naribus, est etiam præcordiorũ tensio sine dolore; nam, & hoc non paruum indicium est sanguinis ad superiora tendentis, sicuti etiam difficultas anhelitus; nam, & hæc sanguine transeunte in thoracem fit. Si verò E præcordia cum dolore extendantur, non fluxum sanguinis futurum, sed aliquam ibi adesse inflammationem significãt. Sed & dolores capitis, quamuis commune signum existant vomituum, & fluxus sanguinis; qui tamen velut mordaces sunt, vomituum; qui verò quodammodo grauantes, atq; extendentes, pulsantesque, & calidi, sanguinis fluxum propriè significant. Sic etiam viscerũ in præcordiis existentium inflammationes, causæ sunt vnà, ac signa sanguinis fluxuum, quando morbus per excretionem debet terminari; Quòd si ad latus diuersum fluere non est bonum; secundum F directum verò est bonum, vt docet Hippocrates, & experientia monstrat; iam tibi facillimum est narem, ex qua fluxurus est sanguis, prædicere, vbi causam iam fluxuri sanguinis inueneris. Dextra enim præcordia ex dextra nare bonam crisim afferunt, sinistra verò ex sinistra. Didicisti verò priùs, & bonarum, & malarum crisium signa.

Quid

Quid igitur difficile est nasem, ex qua profluet sanguis, prænoscere quum partem affectam possis exquisitè dignoscere; & crisis morem non ignores; & signa, quæ fluxum sanguinis indicant, sint euidenter manifesta? Præter hæc omnia, & ætas, & tempus anni, & regio, & ægrotantis natura, futurum sanguinis fluxum possunt manifestare. Sanguinis igitur fluxus, & vomitus propria, & manifesta sunt signa; post hæc verò sudorum. Si verò per excretionem alui crisis sit subsequutura, manifestum quidem nullum est signum, nec proprium; sed ex eo, quòd adsunt quidem crisis signa, desunt autem vomituum, vel fluxus sanguinis, vel sudorum, colligere licet; Quanquam, etiamsi nullum horum signorum adsit, nondum hoc tantùm, sed etiam per hæmorrhoidas crises fieri contingit, & mulieribus per menstrua. Non tamen est impossibile omnino distinguere. Grauitas enim lumborum effatu digna, & dolor, & tensio, hic menstrua antecedit; hæmorrhoides verò non omnibus consuetæ sunt; quibus autem sunt consuetæ, in his solis non facilè quis distinguet. Aliis autem omnibus, quando affuerint signa coctionis & crisis, vomitus verò signa non affuerint, vel fluxuum sanguinis, vel sudorum, omnino venter perturbabitur. Ita quidem distinguere oportet tum propria, tum communia modorum crisium indicia, in hisce scilicet morbis, qui per excretiones iudicandi sunt. Si verò ad abscessus conuertantur, communia quidem omnium indicia sunt, salutariter se habente ægro, quòd neque morbus soluatur, neque vrina multa, & multum habens sedimentum, sed cruda, & tenuis appareat. Propria verò (vbi morbus non fuerit valde diuturnus) si subita difficultas respirationis laboranti superueniens, mox quiescat; eamque grauitas capitis, ac dolor subsequatur, & grauis somnus, ac surditas; huic in glandibus post aures necesse est abscessus fieri. Si verò morbus iamdiu durauerit, neque vllum ex his signis affuerit; sed in aliquo ex locis inferioribus, vel grauitas, vel tensio, vel inflammatio, vel dolor apparuerit; huic abscessus ad partes inferiores est expectandus. Exemplum verò vtriusque abscessus ex vno morbo assumens Hippocrates in prognostico, qui possunt eius sermonem diligenter inspicere, edocuit, quo pacto oporteat de omnibus abscessibus ratiocinari. Quare mihi visum est hoc in loco facere præsentis sermonis finem. Si quis enim dictis ab Hippocrate, hæc, quæ modo scripsimus, addiderit; nondum verò artem habet prænoscendi crises; in libro sequenti, qui vltimus erit propositæ tractationis, spero ipsum id, quod deficit, cogniturum; prudentibus enim, & hæc possunt sufficere, neque quarto egent tractatu.

A τί δὴ οὖν ἔτι χαλεπὸν εἰπεῖν, τὸν αἱμορραγήσοντα μυκτῆρα, καὶ τοῦ μέρους τοῦ πεπονθότος ἀκριβῶς γνωρισθῆναι δυναμένου, καὶ τοῦ τῆς κρίσεως ἤθους οὐκ ἂν λαθόντος, καὶ τῶν αἱμορραγικῶν σημείων ἐναργῶς φαινομένων; ἐπὶ τούτοις ἅπασι, καὶ τὰ παρὰ τῆς ἡλικίας, καὶ τῆς ὥρας, καὶ τῆς χώρας, καὶ τῆς φύσεως τοῦ κάμνοντος, ἱκανὰ προδηλοῦν τὴν ἐσομένην αἱμορραγίαν. αἱμορραγίας μὲν δὴ, καὶ ἐμέτων, ἀκριβῆ τε, καὶ ἴδια τὰ γνωρίσματα, δευτέρων δ' ἐπὶ τούτοις, τῶν ἱδρώτων. Εἰ δέ γε διὰ γαστρὸς κρίσις ἔσεσθαι μέλλει, πρόδηλον μὲν οὐδὲν οὕτως, οὐδὲ ἴδιον, ἀλλ' ἐκ τοῦ παρεῖναι μὲν τὰ τῆς κρίσεως σημεῖα. B μὴ παρεῖναι δὲ τὰ τῶν ἐμέτων, ἢ τὰ τῆς αἱμορραγίας, ἢ τὰ τῶν ἱδρώτων, ἔνεστι συλλογίσασθαι. καί τοι κἂν εἰ μηδὲν ἐκείνων παρείη, οὔπω τοῦτο μόνον, ἀλλὰ καὶ δι' αἱμορροΐδος ἐγχωρεῖ γενέσθαι τὴν κρίσιν, ἢ γυναιξὶν ἐπιμηνίων, οὐ μὴν ἀδύνατον οὐδὲν διορίζεσθαι. βάρος μὲν γὰρ ἐπίσημον ὀσφύος, καὶ ἄλγημα, καὶ τάσις ἐνταῦθα προηγεῖται τῶν ἐπιμηνίων. αἱμορροῒς δὲ οὐ πᾶσι συνήθης ἐστὶν, ὅσοις δ' οὖν ἐστι, τούτοις μόνοις, οὐκ ἄν τις ῥᾳδίως διορίσαι. τοῖς δ' ἄλλοις ἅπασιν, ἐπειδὰν μὲν παρῇ, πέψεώς τε καὶ κρίσεως σημεῖα. μὴ παρῇ δὲ, ἐμέτων, ἢ αἱμορραγίας, ἢ ἱδρώτων ἐκταραχθήσεται πάντως ἡ γαστήρ. C οὕτω μὲν δεῖ διακρίνειν, ἴδιά τε, καὶ κοινὰ τρόπων κρίσεως γνωρίσματα, τῶν ἐκκρίσει δηλονότι μελλόντων κριθήσεσθαι νοσημάτων. Εἰ δὲ εἰς ἀπόσκημμα τρέποιτο, κοινὰ μὲν ἁπάντων γνωρίσματα, σωτηρίως τοῦ κάμνοντος ἔχοντος, τὸ μήτε λύεσθαι τὸ νόσημα, μήτε οὖρον πολὺ καὶ πολλὴν ὑπόστασιν ἔχον, ἀλλ' ὠμὸν, καὶ λεπτὸν φαίνεσθαι. τὰ δ' ἴδια, τῶν μὲν μὴ λίαν κεχρονικότων, εἰ δυσπνούστερος ὁ κάμνων ἐξαίφνης γινόμενος, ἀποπαύσοιτο μὲν ἐν τάχει τῆς δυσπνοίας, διαδέξαιτο δ' αὖ αὐτὸν ὀδύνη, καὶ βάρος τῆς κεφαλῆς καὶ κῶμα, καὶ κώφωσις, D εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἀνάγκη τούτῳ γενέσθαι τὴν ἀπόστασιν. Εἰ δ' εἴη πολυχρόνιον ἤδη τὸ νόσημα, καὶ μήτε τούτων παρείη μηδὲν, ἐμφαίνοιτο δέ τινι τῶν κάτω χωρίων, ἢ βάρος, ἢ τάσις, ἢ φλόγωσις, ἢ ὀδύνη, κάτω τούτῳ τὴν ἀπόστασιν ἔσεσθαι προσδοκᾶν. παράδειγμα δ' ἑκατέρας τῆς ἀποστάσεως ἓν νόσημα ποιησάμενος ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, τοῖς δυναμένοις συνορᾶν τὸν λόγον, ἐδίδαξε, καὶ ὡς χρὴ καθόλου περὶ πασῶν ἀποστάσεων συλλογίζεσθαι, διό μοι κἀγὼ δοκῶ καταπαύειν ἐνταῦθα τὸν ἐνεστῶτα λόγον. Εἰ γάρ τις τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις προσθεὶς E ταυτὶ τὰ ἡμέτερα, μήπω τεχνικὸς γέγονεν, ἢ προγνωστικὸς κρίσεων, ἐν τῷ μετὰ τοῦτον συγγράμματι, τελευταίῳ τῆς προκειμένης ἡμῖν ἐσομένῳ πραγματείας, ἐλπίζω τὸ λεῖπον αὐτῆς ἐπιμαθήσεσθαι, τοῖς μὲν γὰρ συνετοῖς, ἐξαρκεῖ καὶ ταῦτα, καὶ οὐδὲν ἔτι τετάρτου λόγου προσδεῖ.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ ΗΜΕΡΩΝ ΒΙΒΛΙΑ ΤΡΙΑ. Α'.

GALENI DE DIEBVS DECRETORIIS LIBRI TRES. PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Α' ΒΙΒΛΙΩι.

Ἀναριθμοῦνται αἱ κρίσιμοι ἡμέραι, καὶ ἡ δύναμις αὐτῶν ἀποδείκνυται, καὶ τὸν τῆς αὐτῶν προγνώσεως λόγον διέρχεται.

ARGVMENTVM LIBRI PRIMI.

Enumerantur iudicatorij dies; vis ipſorum ac facultas oſtenditur; via quoque ac ratio ipſorum prænoſcendorum explicatur.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τίνες αἱ νόσοι μετὰ κρίσιν ὑποτροπιάζουσι, καὶ περὶ τῶν κρισίμων γνωρισμάτων.

ΤΩΝ νοσημάτων αἱ λύσεις, ὅσαι μὴ κατὰ βραχὺ μειωθέντων, ἀλλ' ἐξαίφνης παυσαμένων γίνονται, δέονται πάντως ἵν' ὦσι πισταί, δαψιλοῦς τινος ἐκκρίσεως, ἢ ἀποστάσεως οὐκ ἀφανοῦς, ὡς ὅσα γε χωρὶς τούτων ἐρραστώνησεν, ὑποτροπιάζειν φιλεῖ. προσέχειν οὖν χρὴ τὸν νοῦν ἀκριβῶς, καὶ διὰ φυλακῆς ἁπάσης ἔχειν τὸν ἄρρωστον, μηδέν, ὧν τοῖς πιστῶς ὑγιασθεῖσι συγχωροῦμεν, ἐπιτρέποντες πράττειν, μήτ' ἐν ἐδέσμασιν, ἢ πόμασι, μήτ' ἐν λουτροῖς, μήτε κινήσεσιν, ἢ ὅλως ἔν τισι τῶν ἄλλων. Εἰ μὲν γὰρ μικρὸν εἴη τὸ ῥαστωνῆσαν νόσημα, τάχα ἄν, ἐφ' οὕτως ἀκριβεῖ διαίτῃ, καταστάιη παντάπασιν, ὡς μηκέτ' αὖθις ἐπανελθεῖν. Εἰ δέ τι τῶν κακοηθεστέρων, ἐπανέλθοι μὲν ἂν καὶ οὕτω διαιτωμένων, ἀλλ' οὐχὶ σὺν ἐσχάτῳ κινδύνῳ. ἀμεληθὲν δέ, καὶ παροφθέν, ὡς πιστῶς λελυμένον, πολὺ χαλεπώτερον, ἢ ἐξ ἀρχῆς ἐπιφαίνεται. χρὴ τοίνυν, εἰ μέλλοι βεβαίως παύεσθαι μέγα τι, καὶ ἰσχυρὸν νόσημα, προηγεῖσθαι τῆς λύσεως αὐτοῦ, τὰ πρὸς Ἱπποκράτους ὀνομαζόμενα λυτήρια σημεῖα. τοῦτο μὲν ἱδρῶτας χρηστοὺς δι' ὅλου τοῦ σώματος γινομένους, ἢ οὔρων πλῆθος, ἢ διαχωρημάτων, ἢ ἐμέτων. τοῦτο δ' αἱμορραγίαν ἐκ ῥινῶν, ἤ τινα ἄλλην αἵματος κένωσιν, οἷον ἐξ αἱμορροΐδων, ἢ ὑστερῶν. τοῦτο δ' εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἢ εἰς ἄλλο τι τῶν ἀκύρων μορίων, ἢ ἄρθρων ἀπόσκημμα. ὅσοις δέ, μηδενὸς τῶν τοιούτων σημείων ἐπιφανέντος, ἔδοξε πεπαῦσθαι τὸ νόσημα,

CAPVT PRIMVM.

Qui morbi, facta criſi, reuerti ſoleant; ac de indiciis iudicatoriis.

QVò ſolutiones morborum qui non paulatim imminuti fuerunt, verùm ſubitò finierunt, fidæ ſint, excretio quædam copioſa, vel abſceſſus inſignis, requiritur; nam qui morbi citra hæc quieuerunt, in iis recidiua timenda eſt. Quare animum diligenter adhibere conuenit, ægrumque in omni cuſtodia tenere, nihil eorum, quæ iis, qui fideliter ſanati ſunt, vel in cibo, vel in potu, vel balneis, vel motu, vel denique in aliis quibuslibet concedimus, agere ipſum permittentes. Si namque morbus, qui quieuit, exiguus fuerit, forſan ob tam exactam victus rationem prorſus ſubſederit, vt poſtea nunquam reuertatur; ſi verò malignior exiſtat, etiam tunc, quum hoc viuendi modo vſus fueris, redibit, non tamen cum ſummo diſcrimine. At ſi neglexeris, parumque ſtudioſè animum aduertas tanquam fideliter ſoluto, multo grauior, quàm à principio, euadet. Itaque morbi cuiuſdam magni, & vehementis ſolutionem firmam ſigna, quæ ſolutoria vocat Hippocrates, præcedere oportet; partim ſudores bonos ex toto corpore manantes, vel vrinarum copiam, vel alui recrementorum, vel vomituum; partim ſanguinis ex naribus profuſionem, vel aliam quandam eius euacuationem, velut ex hæmorrhoidibus fluorem, vel ex vtero; partim in glandulis, quæ auribus ſubiacent, abſceſſus, aut in alia quadam ignobili parte, aut in articulis. Cæterum, quibus nullo huiuſmodi ſigno apparēte morbus finiiſſe videtur, de

de his Hippocrates vndequaq; admirabilis, communi quidem sermone hunc in modum pronunciauit; *Quæ sine signis finita sunt, ferè reuertuntur;* membratim verò in aphorismis, & opere prognostico, nec minùs in epidemiis perdocuit, quorumnam recidiua exitialis sit, quorum vero simpliciter fiat solum recidiua sine morte; item quæ nobis curare licet, & prohibere, ne reuertantur. De his sanè in aliis commentariis sententiam ipsius explicauimus. At nunc de iis morbis, qui simul cum signis solutoriis desierunt, qui sanè & iudicati esse dicuntur, verba facienda esse censeo, illis, qui boni quippiam de decretoriis diebus intellecturi sunt, cognitu necessaria. Etenim nunc in his excretiones, vel abscessus non mediocris præcedit in ægri corpore perturbatio. Hic siquidem frequenter spiritum subitò difficilius trahit, vel delirat, vel caliginem, vel splendores, ob oculos versari putat, vel lachrymas fundit, vel oculos rubentes habet, vel tempora grauia, vel in ceruice dolores percipit, interim vel capite dolet, vel nigra quædam seu obscura oculis offundi quæritur, vel cardiogmo laborat, vel inferius labrum quasi tremulum, ac intro contractum habet, vel rigore vehementi conquassatur. Quinetiam plerisque hypochondrium attrahitur, iidē implacidi sunt, exiliunt frigidā expetunt, & vri se magis, quàm antea, dicūt. Nonnullis ipsorum accessio quoque maturior incipit, & longior vehementiorque euadit. Ad hæc coma, aut aliud quoddam, atque aliud symptoma occupat. Atque hîc iam vniuersos, qui adsunt, in metu esse maximo videre licet, audireque dicentes, quod æger nihil ab iis, qui in foro de morte iudicantur, differat. Vnde mihi quidam medicorum ne adfuisse quidem huiusmodi ægrotantium perturbationibus videntur; vel non inquirerent, quid iudicationis vocabulo significaretur, neq; an res ita fieri posset, vel minùs. Vtrum enim morborum quasdam subitas solutiones cum excretione aliqua, vel abscessu, fieri dubitant; an hoc quidem vidisse, se profitentur, alia verò symptomata, quæ paulo ante recensui, adesse ipsis ignorant? An hæc quoque intelligunt, non autem id, quod accidit, iudicationem appellandam esse prædicant? quod si est, non de re, sed nomine disceptatio est. Nam fateri non cognoscere, turbationes quasdam subitas oboriri ægro, cardiogmo laboranti, vel exilienti, desipienti, aliaque id genus patienti; tum paulo post in eis vel sudore, vel sanguinis profluuio, vel alio quodam simili eueniente, securam morbi solutionem consequutum esse; hoc vel à contentione, vel à dementia extrema nihil distat; siquidem hæc non inter ea numerantur, quæ rarò contingunt, sed quæ potius quotidie apparent. Nos sanè turbationem in morbo adeo subitam, crisim appellamus; atque terminari ipsam plerunque ad salutem, interim ad exitium ægrotantis, affirmamus. Si porrò quis aliud quippiam, non hoc, iudicium esse dicat, & deinde contentiosus sermoni meo obstrepat, is opinionem suam, non me, reprehendit. Præstabat igitur scientes, quid tandem sibi velit ipsum vocabulum, de re sermonem eos instituere. Sed horum inscitiæ, ac contentioni ne Æsculapius quidem ipse mederi possit. Atque hæc mihi plura, quàm decebat, aduersus illos dicta sunt. Cæterùm, quibus artis opera curæ sunt, cum illis iam de proposita hic consideratione disseram.

A περὶ τούτων ὁ πάντα θαυμαστὸς Ἱπποκράτης, ἐνὶ μὲν καθόλου λόγῳ τόνδε τὸν τρόπον ἀπεφήνατο. τὰ ἀσήμως ῥαστωνήσαντα, φιλυπόστροφα. κατὰ μέρος, δὲ διά τε τῶν ἀφορισμῶν αὐτοῦ, καὶ διὰ τοῦ προγνωστικοῦ γράμματος, οὐχ ἥκιστα δὲ καὶ διὰ τῶν ἐπιδημιῶν, ἐδίδαξε. τίνα μὲν ὀλέθρια τῶν ὑποστρεφόντων ἐστὶ, τίνα δ' αὐτῶν τοῦτο μόνον ἁπλῶς ὑποστρέφει, χωρὶς ὀλέθρου, τίνα δὲ καὶ δυνατὸν ἡμῖν ἐστι ἐξιᾶσθαί τε καὶ κωλῦσαι παλινδρομῆσαι. περὶ μὲν δὴ τούτων, ἐν ἑτέροις ὑπομνήμασιν ἐξηγούμεθα τὴν γνώμην αὐτοῦ. περὶ δὲ τῶν ἅμα τοῖς λυτηρίοις σημείοις παυσαμένων, ἃ δὴ καὶ κεκρί-
B σθαι λέγεται, νῦν ἡγοῦμαι χρῆναι διελθεῖν, ἀναγκαίων ὄντων γινώσκεσθαι, τοῖς μέλλουσιν περὶ κρισίμων ἡμερῶν ἐπίστασθαί τι χρηστόν. ἡγεῖται γὰρ ἤδη τῶν ἐν τούτοις ἐκκρίσεων, ἢ ἀποστάσεων, οὐ μικρὰ ταραχὴ κατὰ τὸ τοῦ νοσοῦντος σῶμα. πολλάκις μὲν, ἐξαιφνίδιον ἢ δυσπνοοῦντος, ἢ παραπαίοντος, ἢ σκοτοδινιῶντος, ἢ μαρμαρυγὰς ὁρῶντος, ἢ δακρύοντος, ἢ τοὺς ὀφθαλμοὺς ἐρυθροὺς ἴσχοντος, ἢ τοὺς κροτάφους βαρεῖς, ἢ τὸν τράχηλον ἐπώδυνον, ἐνίοτε δ', ἤτοι τὴν κεφαλὴν ἀλγοῦντος, ἢ ὀρφνώδεις τι τῶν ὀφθαλμῶν προφαίνεσθαι νομίζοντος, ἢ καρδιώσσοντος, ἢ τὸ κάτω χεῖλος, οἱονεὶ κλονούμενόν τε, καὶ εἴσω σπώμενον ἔχον-
C τος, ἢ ῥίγει σφοδρῷ τινασσόμενον, καὶ μὲν δὴ καὶ ὑποχόνδριον ἀνασπᾶται πολλοῖς, καὶ δυσφοροῦσι, καὶ ἀναπηδῶσι, καὶ ψυχρὸν αἰτοῦσι, καὶ διακαίεσθαί φασιν, ἐπισημότερον ἢ πρόσθεν. ἐνίοις δ' αὐτῶν, καὶ ὁ παροξυσμὸς πρωϊαίτερος ἄρχεται, καὶ μακρότερος, καὶ σφοδρότερος γίνεται, καὶ κῶμα συνεδρεύει, καὶ ἄλλο τι καὶ ἄλλο σύμπτωμα, καὶ δὴ καὶ θεάσασθαι τοὺς παρόντας ἅπαντας ἐστιν, ἐν μεγίστῳ τινὶ καθεστῶτας φόβῳ, καὶ λεγόντων ἀκοῦσαι πάρεστιν, ὡς οὐδὲν ὁ κάμνων ἀποδεῖ τῶν ἐν δικαστηρίῳ περὶ θανάτου κρινομένων. ὅθεν, οὐδὲ παραγεγονέναι μοι δοκοῦσιν ἔνιοι τῶν ἰατρῶν, οὐδέ πώ ποτε τοιαύταις ταραχαῖς
D ἀῤῥώστων, ἢ οὐκ ἂν ἐζήτουν, οὔτε τὸ σημαινόμενον ὑπὸ τοῦ τῆς κρίσεως ὀνόματος, οὔτ' εἰ δυνατὸν ὑπάρχει τὸ πρᾶγμα. πότερον γὰρ, ὡς οὐ γίνονταί τινες ἀθρόαι λύσεις ἐν νόσοις μετά τινος ἐκκρίσεως, ἢ ἀποστάσεως ἀμφισβητοῦσιν, ἢ τοῦτο μὲν ὁμολογοῦσιν ἑωρακέναι, τὰ δὲ ἄλλα συμπτώματα, τὰ μικρῷ πρόσθεν εἰρημένα, συνεδρεύειν αὐταῖς ἀγνοοῦσιν, ἢ καὶ ταῦτα γινώσκοντες, οὔ φασι χρῆναι καλεῖν τὸ γινόμενον κρίσιν. εἰ γὰρ δὴ τοῦτο περὶ ὀνόματος, οὐ περὶ πράγματος ἀμφισβητοῦσιν, ὡς τό γε μήθ' ὅτι γίνονταί τινες ἐξαιφνίδιοι περὶ τὸν νοσοῦντα ταραχαὶ, καρδιώσσοντα, καὶ ἀναπηδῶντα καὶ παραπαίοντα,
E καὶ τἄλλα τὰ τοιαῦτα πάσχοντα, μήθ' ὅτι μικρὸν ὕστερον ἐπ' αὐταῖς, ἢ ἱδρῶτος, ἢ αἱμοῤῥαγίας, ἤ τινος ἑτέρου τοιούτου γενομένου, λύσις ἀσφαλὴς ἠκολούθησε, γινώσκειν ὁμολογεῖν, ἢ φιλονεικίας, ἢ ἀμαθίας ἐσχάτης οὐδὲν ἀποδεῖ, οὐ γὰρ δὴ τῶν σπανίως γινομένων τὰ τοιαῦτά ἐστιν, ἀλλὰ τῶν ὁσημέραι φαινομένων. ἡμεῖς μὲν δὴ τὴν ὀξεῖαν οὕτως ἐν νοσήματι ταραχὴν ὀνομάζομεν κρίσιν, καὶ τελευτᾶν γε αὐτὴν, τὰ πολλὰ μὲν, εἰς σωτηρίαν, ἔστι δ' ὅτε, καὶ εἰς ὄλεθρον τοῦ κάμνοντος, φαμέν. εἰ δέ τις ἄλλο τι, καὶ οὐ τοῦτο τὴν κρίσιν εἶναι λέγων, ἔπειτ' ἀμφισβητεῖ τε, καὶ καταβάλλει τὸν λόγον, τὴν οἰκείαν ὑπόνοιαν ὁ τοιοῦτος
F οὐχ ἡμᾶς ἐξελέγχει. βέλτιον δ' ἦν ἄρα, τί ποτε ἐκ τῆς προσηγορίας δηλοῦται, γνόντας, περὶ πράγματος αὐτοῦ ποιεῖσθαι τὸν λόγον. ἀλλὰ τῆς μὲν τούτων ἀμαθίας τε, καὶ φιλονεικίας, οὐδ' ἂν αὐτὸς ὁ Ζεὺς ἐξιάσαιτο, καί μοι καὶ ταῦτα πλείω τοῦ δέοντος εἴρηται πρὸς αὐτούς. ὅσοις δ' ἐστὶ τῶν ἔργων τῆς τέχνης φροντὶς, ἐκείνοις εἴδη διαλέξομαι, περὶ τοῦ προτεθέντος ἐν τῷδε τῷ γράμματι σκέμματος.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Τοσαύτας εἶναι διαφορὰς τῶν τε κρισίμων ἡμερῶν, καὶ τῶν κρίσεων.

Αἱ γὰρ δὴ κρίσεις αὗται, γίνονται μὲν ἐν πάσαις ἡμέραις, ἀλλ' οὔτ' ἴσαις τὸν ἀριθμὸν, οὔθ' ὁμοίως πισταῖς. διαφέρουσι δὲ καὶ τῷ, τὰς μὲν ἀγαθὰς αὐτῶν γίνεσθαι, τὰς δὲ κακάς. καὶ τὰς μὲν μετὰ πλειόνων τε, καὶ χαλεπωτέρων συμπτωμάτων, καὶ σὺν ἀγῶνι μείζονι, τὰς δ' εὐθὺς ἐξ ἀρχῆς, εἰσβάλλειν ἀσφαλῶς. ἀτὰρ οὖν οὐδὲ τῷ τὰς μὲν ἐλλιπεῖς γίνεσθαι, τὰς δὲ τελείας, μικρά τις ἡ διαφορά. μεγάλη δὲ κἀν τῷ, τὰς μὲν ὅτι γενήσονται, διὰ τῶν ἐπιδήλων ἡμερῶν προδεδηλῶσθαι, τὰς δ' ἐξαιφνίδιόν τε, καὶ ἀδοκήτως, οὐ τοῖς ἰδιώταις μόνον, ἀλλὰ καὶ τοῖς τεχνίταις ἐπιφαίνεσθαι. τοσαῦται μὲν αἱ τῶν κρίσεων διαφοραὶ, τοσαῦται δὲ, καὶ αἱ τῶν κρισίμων ἡμερῶν· κατὰ τὴν δωδεκάτην μὲν γὰρ, καὶ ἑκκαιδεκάτην, ἐγὼ μὲν οὐδένα ποτὲ γινώσκω κριθέντα, κατὰ δὲ τὴν ἑβδόμην, οὐδ' ἀριθμεῖν ἔτι ἐγχωρεῖ. κατὰ δὲ τὴν ἕκτην, κρίνονται μὲν, ἀλλὰ καὶ μετὰ χαλεπῶν συμπτωμάτων, καὶ κινδύνων μεγίστων, καὶ ἀπίστως, καὶ ἀτελῶς, καὶ ἀσαφῶς, καὶ ἀσήμως, καὶ πρὸς κακοῦ. ὅταν οὖν μὴ μόνον ἐμοὶ, τῷ τοσούτοις ἔτεσι παραφυλάττοντι, τοιαύτη τις εὑρίσκηται διαφορὰ τῶν ἡμερῶν, ἀλλὰ καὶ τοῖς περὶ τὸν Ἀρχιγένην, πολὺ δή τι τοῖς ἔργοις τῆς τέχνης προσεδρεύσασι. καὶ τούτων ἔτι ἀνωτέρω, τοῖς περὶ Ταραντῖνον Ἡρακλείδην, ἐκ τῆς πείρας ἀθροίσασι τὴν θεωρίαν. ἔτι τε τοῖς περὶ τὸν Φιλότιμόν τε, καὶ Διοκλέα, καὶ τοὺς ἄλλους παλαιοὺς, καὶ πρὸ τούτων ἁπάντων, τοῖς περὶ τὸν θειότατον Ἱπποκράτην, πῶς οὐκ ἄν τις δικαίως ἡγοῖτό τινα διαφορὰν ἐν τῷ τῶν ἡμερῶν ἀριθμῷ, τὸ γὰρ ἐν τοσούτοις ἔτεσι καὶ τὴν ἑβδόμην ἑωρᾶσθαι κρίνουσαν, πολλάκις τε ἅμα, καὶ τελείως, καὶ πιστῶς, καὶ ἀκινδύνως, καὶ σαφῶς, καὶ προδήλως, καὶ χρηστῶς, καὶ τὴν ἕκτην τὰ τούτων ἐναντία, μεγάλης τινὸς ἔχεται διαφορᾶς. τὸ δ', ἐμοὶ μὲν, μηδέ ποτε τὴν δωδεκάτην ὦφθαι κρίνουσαν, ἄλλῳ δέ τινι, σπανίως τε ἅμα, καὶ ἀτελῶς, καὶ ἀβεβαίως, καὶ μετὰ κινδύνου, καὶ ἀσαφῶς, καὶ ἀσήμως, καὶ κακῶς, οὐδ' αὐτὸ σμικρὰν ἐνδείκνυται τὴν ἐν ταῖς ἡμέραις διαφοράν. πολλαὶ μὲν γὰρ, αἱ κατὰ τὴν ἑβδόμην κρινόμεναι νόσοι, τελέως τε ἅμα, καὶ ἀσφαλῶς, καὶ ἀκινδύνως, καὶ σαφῶς, καὶ εὐσήμως, καὶ ἀγαθῶς. αἱ δ' ἐν τῇ δωδεκάτῃ, σπάνιαι μὲν οὕτως, ὡς ἡμῖν ὦφθαι μηδέπω. κἂν εἴ τῳ δέ ποτε ἑώραται πρὸ ἡμῶν ἐν τῇ δωδεκάτῃ τῶν ἡμερῶν ἐπιφανεῖσά ποτε κρίσις, ἢ ἀτελὴς, ἢ ἄπιστος, ἢ κινδυνώδης, ἢ ἀσαφὴς, ἢ ἄσημος, ἢ πάντως γ' ὦπται πρὸς κακοῦ γινομένη. καλῶ δ' ἀτελῆ μὲν κρίσιν, ὅταν ὑπολείπηταί τι τοῦ νοσήματος· ἄπιστον δὲ ὅταν ὑποτροπιάζῃ, κινδυνώδη δὲ, τὴν μετὰ συμπτωμάτων σφαλερῶν, ἀσαφῆ δὲ, τὴν χωρὶς ἐκκρίσεως, ἢ τινος ἀποστάσεως ἐπιφανοῦς. ἄσημον δὲ τὴν ὑπὸ μηδεμιᾶς τῶν ἔμπροσθεν ἡμερῶν προδηλωθεῖσαν. ἡ κακὴ δὲ, ὅτι πάντως εἰς ἀπώλειαν τελευτᾷ τοῦ κάμνοντος, οὐ δέομαι λέγειν. ἔμπαλιν δὲ τελείαν μὲν καλῶ, τὴν μηδὲν ὑπολείπουσαν τοῦ νοσήματος. πιστὴν δὲ, καὶ βεβαίαν, καὶ ἀσφαλῆ, τὴν μηκέτι ἐπανερχομένην, ἀκίνδυνον δὲ τὴν ἄνευ συμπτωμάτων σφαλερῶν, οὕτω δὲ καὶ σαφῆ, τὴν μετά τινος ἐκκρίσεως, ἢ ἀποστάσεως φανερᾶς. εὔσημον δὲ, τὴν προδηλωθεῖσαν ὑπὸ τῆς ἐπιδήλου. ἀγαθὴν δὲ, ὅτι τὴν εἰς ὑγείαν τελευτῶσαν χρὴ νοεῖν, οὐκ ἄν τινα οἶμαι λαθεῖν, ἀλλ' ὅτι μὲν εἴπερ ταῦθ' οὕτως φαίνεται, μεγίστη διαφορὰ τῶν ἡμερῶν ἐστι πρὸς ἀλλήλας, οὐδεὶς ἀντιλέξει.

CAPVT II.

Eandem inesse differentiam in diebus iudicatoriis, quæ in ipsis iudicationibus.

Crises enim ipsæ omnibus diebus accidunt, sed neque pares numero, neque ex æquali fide. Hoc intercedit discriminis inter illas, quòd aliæ bonæ, aliæ malæ, eueniunt; quædam cum pluribus, & difficilioribus symptomatis, & maiore certamine; nonnullæ statim ab initio tutò inuadunt. Quin etiam in hoc plurimum differunt, quòd hæ deficientes, illæ perfectæ sunt; nec minùs, quòd aliæ certis statutisque diebus indicatæ prius, fiunt: aliæ repentè, & ex improuiso non idiotis modò, sed etiam artificibus, eueniunt. Tot sunt iudiciorum differentiæ; tot etiam dierum decretoriorum. In duodecimo enim & decimosexto nullum vnquam iudicatum vidi. In septimo, ne vel enumerare omnes adhuc possum. In sexto iudicantur, sed cum difficilibus symptomatis, & periculo maximo; ad hæc absque fide, imperfectè, obscurè, sine notis, & ad malum. Quum igitur non solum mihi tot annis obseruanti huiusmodi, quædam dierum differentia, sed Archigeni etiam in artis operibus diligenter admodum versato, inuenta sit; insuper hoc superiori, Tarentino Heraclidi, qui ex experientia speculationem collegit; postremò etiam Philotimo & Diocli, aliisque veteribus; tum ante hos vniuersos Hippocrati diuinissimo; quomodo non quis iure in dierum numero differentiam quandam statuat? Nam quòd in tot annis septimum iudicantem subinde simul & absolutè, fideliter, tutò, manifestè, conspicuè, & salubriter; sextum è contrario viderim; non paruum quoddam discrimen ostendit. Porrò quod ego quidem nunquam duodecimum viderim iudicantem; alius autem quispiam rarò simul & imperfectè, infirmiter, cum periculo, obscurè, sine signis, & malè; neque hoc exiguam dierum differentiam indicat. Multi siquidem morbi sunt, qui in septimo die iudicantur absolutè, pariter & securè, tutò, apertè, cum bonis signis, & benè; in duodecimo rari quidem adeo, vt nobis visi sint nondum; & si cui aliquando ante nos in duodecimo die crisis euenisse visa est, vel imperfecta, vel infida, vel periculosa, vel obscura, vel sine signis, vel omninò ad malum accidere visa est. Voco imperfectam iudicationem, quum ex morbo quippiam relinquitur; infidam seu incertam, quum morbi recidiua contingit; periculosam, quæ cum symptomatis grauibus accidit; obscuram, quæ citra excretionem, vel abscessum quempiam euidentem, euenit. Sine signis fieri dicitur, quæ à nullo priore die indicata est; mala, quòd in ægri perniciem omninò desinat, non opus est, vt dicam. Rursus absolutam voco, quæ nihil relinquit morbi. Fidam, firmam, securam, quæ non amplius redit. Tutam, quæ sine periculosis symptomatibus accidit. Sic manifestam, cui excretio quædam, vel abscessus insignis, ac conspicuus adest; cum bonis signis accidit, quæ à contemplatorio prius indicata est; bonam esse, quæ ad sanitatem desinit, non puto quempiam latere. Verùm, si hæc ita apparent, maximam esse dierum inter se differentiam nullus reclamabit.

CAP.

CAPVT III.

Aduersus eos qui, quòd medici dissentiant de diebus decretoriis, eos quasi non existant è medio inficiantur.

Dicet forsan aliquis nihil verum esse eorum quæ diximus; sed nos argentum à iudiciariis diebus accipientes, ipsos in res medicas introducere, tanquam nothos quosdam pueros germano veróque generi assimilantes. Qua enim re moti alia quàm argento, contra euidentia mentiremur? non enim genere iudiciarij nobis conueniunt, neque ciues aut familiares sunt, vt ipsis sine mercede subueniamus. Quid namque vel melius esset, vel illis, vt decretorij esse putentur, vel nobis, si, vt sunt ostenderimus? At quemadmodum alia quoque per experientiam cognita indicamus liberè, iniquissimum esse putantes veritatem occultare; sic & dierum differentias, quas crebrò spectauimus, dicimus, vti vidimus. Quum autem optimos medicos simul & homines (ambo enim sunt Diocles & Hippocrates) item alios, quorum priùs mentionem fecimus, eadem de ipsis pronunciasse inueniamus, adhuc etiam magis, vt puto confidimus, tanquam vera dicentes. Verum non consentiunt vniuersi hi (inquiunt) de iudiciariis diebus; sed hi plures, illi pauciores esse dicunt; item quidam hos, quidam illos iudiciarios esse pronunciant; non eosdem vniuersi, sed vt cuique sua est opinio. Quid igitur per Deos, quæso, ad illos dicas? num, in quo dissensum est, hoc omnino non esse dicitis? Atqui nondum conueneritis; nam quod accuratiore experientia, inquisitione, & iudicio huiusmodi opus habeant, apud omnes in confesso est. At quòd nullus eorum, qui dissentiunt, vera nunciet, non modo non vos, ô eximij decretoriorum calumniatores, sed ne Pyrrhoneam quidem dubitationem professi, recipiunt, quoniam hi dissensionem quæ diiudicari nequeat, non simpliciter vniuersam quamlibet, ignoratæ rei signum esse aiunt. An igitur impossibile est diiudicare, quis de diebus decretoriis vera, quis falsa, dicat? An possibile quidem, sed non facilè, siquidem & tempus longum, & diligentiam accuratam desiderat? Nam morborum initia quandoque sunt obscura; & vtrum, in quo quis die crisim inchoauit, tum esse decretorium suspicandum sit; an in quo primùm solutus est morbus; considerationem quandam desiderat. Alius enim quispiam alterum ipsorum, arbitror, alius alterum suspicabitur; forsan etiam aliquis neutrum, sed in quem plurimum iudicij tempus peruenit, eundem esse decretorium dicet. Quando igitur ad hoc etiam nobis opus est, vt frequenter ipsa inspexerimus, erat autem hoc in diebus quibusdam impossibile, qui raró iudicant, vel casu quopiam; non enim impossibilis est hypothesis; si quis raris diebus incidat primis; dein priùs quàm longum iudicium expectarit, de ipsis tanquam decretoriis ferat sententiam; ex huiusmodi vniuersis necessarium est veram dierum iudicij historiam turbari. Si etenim, in quo quis iudicatus est, eum decretorium diceremus, facillima sic eorum cognitio euaderet, & propè omnibus esse decretoriis liceret. Quoniam verò non satis est raró iudicantem vidisse, verùm crebrò; tum vt crisis sit (quemadmodum recensui) bona, perfecta, secura, manifesta, ad hæc tuta, & priùs indicata;

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Πρὸς τοὺς ἀναιροῦντας τὰς κρισίμους ἡμέρας ὡς οὐκ οὔσας· ὅτι διαπεφώνηται περὶ αὐτῶν τοῖς ἰατροῖς.

Φήσει δ' ἴσως τις, μηδὲν ἀληθὲς εἶναι τῶν εἰρημένων, ἀλλ' ἡμᾶς ἀργύριον εἰληφότας παρὰ τῶν κρισίμων, ἐπεισάγειν αὐτὰς τοῖς κατ' ἰατρικὴν πράγμασιν ὥσπερ τινὰς νόθους παῖδας εἰσποιοῦντας γένει γνησίῳ. τί γὰρ ἂν καὶ παθόντες, καταψευδοίμεθα τῶν φαινομένων, ἄλλο γε, ἢ ἀργυρίῳ δελεασθέντες; οὐ γὰρ δὴ κατὰ γένος γε ἡμῖν αἱ κρίσιμοι προσήκουσιν, ἢ πολίτιδες, ἢ συνήθεις εἰσὶν, ἵν' αὐταῖς χωρὶς μισθοῦ βοηθῶμεν. τί γὰρ ἂν εἴη καὶ βέλτιον, ἢ ἐκείναις κρισίμοις εἶναι νομισθείσαις, ἢ ἡμῖν, ὡς εἰσὶν, ἀποδείξασιν; ἀλλ' ὥσπερ καὶ τἆλλα τὰ διὰ τῆς πείρας γνωσθέντα, δηλοῦμεν ἀδεκάστως, ἀδικώτατον εἶναι νομίζοντες ἐγκαλύπτειν τἀληθὲς, οὕτω καὶ τὰς τῶν ἡμερῶν διαφορὰς, ἃς πολλάκις ἐθεασάμεθα, λέγομεν ὡς εἴδομεν. ὅταν δὲ καὶ τοὺς ἀρίστους ἰατρούς τε ἅμα καὶ ἀνθρώπους, ἄμφω γάρ ἐστον, οἱ περὶ τὸν Διοκλέα τε, καὶ Ἱπποκράτην, καὶ τοὺς ἄλλους, ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα, τὴν αὐτὴν ὑπὲρ τῶν αὐτῶν εὑρίσκωμεν ἀπόφασιν πεποιημένους, ἔτι καὶ μᾶλλον, οἶμαι, θαῤῥοῦμεν ὡς ἀληθεύοντες. ἀλλ' οὐχ ὁμολογοῦσι, φασὶν, ἅπαντες οὗτοι, περὶ τῶν κρισίμων ἡμερῶν, ἀλλ' οἱ μὲν πλείους, οἱ δὲ ἐλάττους αὐτὰς εἶναι λέγουσιν. καὶ τὰς μὲν, ὁ δέ τις φησὶν εἶναι κρισίμους, τὰς δὲ ὁ δέ τις, οὐ τὰς αὐτὰς ἅπαντες, ἀλλ' ὡς ἂν ἑκάστῳ παρέστη τῆς γνώμης. τί οὖν ὦ πρὸς θεῶν εἴποι τις ἂν οἶμαι πρὸς αὐτούς; εἴ τι διαπεφώνηται, τοῦθ' ὅλως οὐκ εἶναί φατε, καὶ μὴν οὐκέτ' ἂν ὁμολογήσετε; τὸ μὲν γὰρ ἐπιμελεστέρας πείρας, ἐξετάσεώς τε, καὶ κρίσεως δεῖσθαι τὰ τοιαῦτα, πρὸς ἁπάντων ὡμολόγηται, τὸ δ' ὅλως ἀληθεύειν μηδένα τῶν διαφερομένων, οὐχ ὅπως ὑμεῖς, οἱ δεινοὶ τῶν κρισίμων κατήγοροι, ἀλλ' οὐδ' οἱ τὴν Πυῤῥώνειον ἀπορίαν πρεσβεύοντες, ἀποδέχονται. τὴν γὰρ ἀνεπίκριτον οὗτοι διαφωνίαν, οὐχ ἁπλῶς ἅπασαν ἡντιναοῦν, ἀγνοίας τοῦ πράγματος εἶναί φασι σημεῖον. ἆρ' οὖν ἀδύνατον ἐπικρῖναι, τίς ἀληθεύει περὶ τῶν κρισίμων ἡμερῶν, καὶ τίς ψεύδεται; ἢ δυνατὸν μὲν, ἀλλ' οὐ ῥᾴδιον, εἴ γε καὶ χρόνου δεῖται παμπόλλου, καὶ ἀκριβείας ἱκανῆς; αἵ τε γὰρ ἀρχαὶ τῶν νοσημάτων, ἀσαφεῖς ἐνίοτε, καὶ πότερον ἐν ᾗ τις ἡμέρᾳ τῆς κρίσεως ὑπήρξατο, ταύτην εἶναι τὴν κρίσιμον ὑποληπτέον, ἢ καθ' ἣν πρῶτον ἐλύθη τὸ νόσημα, δεῖταί τινος ἐπισκέψεως. ὁ μὲν γάρ τις, οἶμαι, θάτερον αὐτῶν, ὁ δὲ θάτερον ὑπολήψεται, καί τις ἴσως οὐδέτερον, ἀλλ' εἰς ἣν ὁ πλεῖστος χρόνος τῆς κρίσεως ἀφίκετο, ταύτην εἶναι φήσει τὴν κρίσιμον. ὅταν οὖν πρὸς τοῦτο, καὶ τοῦ πολλάκις αὐτὰ θεάσασθαι χρήζωμεν, ἦν δὲ τοῦτο ἐπί τινων ἡμερῶν ἀδύνατον, ὅσαι σπανίως κρίνουσιν, ἢ κατά τινα τύχην. οὐ γὰρ ἀδύνατος ἡ ὑπόθεσις, εἰ ἐντύχοι τις ταῖς σπανίαις ἡμέραις πρώταις. ἔπειτα, πρὶν ἀναμεῖναι τὴν μακρὰν κρίσιν, ἀποφαίνοιτο περὶ αὐτῶν ὡς κρισίμων ἐκ τῶν τοιούτων ἁπάντων, ἀναγκαῖον ἐπιθολοῦσθαι τὴν ἀληθῆ τῶν κρισίμων ἡμερῶν ἱστορίαν. εἰ μὲν γὰρ, ἐν ᾗ τις ἐκρίθη, κρίσιμον εἶναι ταύτην ἐλέγομεν, ῥᾴστη τ' ἂν οὕτως ἡ γνῶσις αὐτῶν ἐγίνετο, καὶ σχεδὸν ἁπάσας ὑπῆρχεν ἂν εἶναι κρισίμους. ἐπεὶ δ' οὔ τι τὸ σπάνιον ἱκανὸν, ἀλλὰ χρὴ πολλάκις ὦφθαι κρίνουσαν, ἔτι τε προσεῖναι τῇ κρίσει, τὰ μικρῷ πρόσθεν ῥηθέντα, τό, τε καλῶς, καὶ τὸ τελέως, καὶ τὸ ἀσφαλῶς, καὶ τὸ σαφῶς, καὶ προσέτι τὸ ἀκινδύνως.

καὶ τὸ μετὰ τοῦ προσδεδηλῶσθαι, δῆλον ὡς εἰς σωρειτικὴν ἀπορίαν ἐμπίπτει τὸ σύμπαν. Εἰ γὰρ τινὰ μὲν ὧν εἶπον, προσείη, τινὰ δὲ ἀπείη, καὶ ἰσάζοι γε τὰ παρόντα τοῖς μὴ παροῦσιν, ἢ βραχεῖά τις εἴη τῶν ἑτέρων ὑπεροχὴ, δῆλον ὡς ἐν ἀμφιβολίᾳ καταστησόμεθα περὶ τῆς τοιαύτης ἡμέρας, εἴτε χρὴ ταύτην κρίσιμον καλεῖν, εἴτε μή. τὸ μὲν γὰρ, ἤτοι πάντων ὑπαρχόντων, ὧν εἶπον, ἢ τῶν πλείστων τε, καὶ μεγίστων, ἔτ' ἀμφιβάλλειν, ὡς οὐκ οὔσης κρισίμου, παντελῶς ἠλίθιον, ὥσπερ γε καὶ εἰ μηδὲν αὐτῶν, ἢ παντάπασιν ὀλίγα, καὶ μικρὰν ἔχοντα δύναμιν ὑπάρχει, καὶ γὰρ καὶ ταύτην, ἐκ τῶν οὐ κρισίμων ἀριθμητέον. Εἰ δ' εἴη τῶν ὑπαρχόντων αὐτῇ, καὶ μὴ ὑπαρχόντων βραχεῖά τις ἡ διαφορὰ, πρόδηλον, ὡς εἰς ἀπορίαν καταστησόμεθα, πότερον ἐκ τῶν κρισίμων αὐτὴν ἀριθμητέον ἐστὶν, ἢ μή. ἔγωγ' οὖν αὐτὸς, ἐκ μειρακίου μὲν ὑπηρξάμην παραφυλάττειν τὰς κρισίμους ἡμέρας, ἵνα τι, κᾂν τῆς ἐμαυτοῦ πείρας, ἐπικρίναιμι περὶ τῆς διαφωνίας αὐτῶν, οὐ μὴν ἤδη γε δύναμαι περί τινων ἀποφήνασθαι σαφῶς, ὅσον ἐπὶ τῇ προγεγονυίᾳ μνήμῃ. δοκεῖ δέ μοι τοῦτο ὁ Ἱπποκράτης, ὡς ἂν ἀληθὴς ἀνὴρ, ἄχρι πολλοῦ χρόνου, καὶ αὐτὸς τὸ τοιοῦτον παθεῖν, εἴ τι χρὴ τεκμήρασθαι τῷ ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἐν ᾧ παμπόλλας ἤθροισεν ἡμέρας εἰς ταὐτὸν, ἃς ἐν τῷ προγνωστικῷ, κᾂν τοῖς ἀφορισμοῖς, περικόπτειν φαίνεται. δέδεικται δ' ἡμῖν, ἤδη μὲν καὶ δι' ἑτέρων· ἀλλὰ καὶ νῦν οὐδὲν ἧττον ἔσται δῆλον, ἐκ τῶν ἐφεξῆς εἰρησομένων, ὡς πρότερον αὐτῷ τὰ τῶν ἐπιδημιῶν γέγραπται βιβλία, βασανίζοντι διὰ τῆς πείρας ἔτι τὰ θεωρήματα, καὶ μὴ τολμῶντι, καθόλου, τινὰ ἀπόφασιν ἐπ' αὐτῶν ποιήσασθαι. διό μοι καὶ δοκοῦσιν οἱ τὰς κρισίμους ἡμέρας ἀναιροῦντες, ὡς οὐκ οὔσας, ὅτι διαπεφώνηται περὶ αὐτῶν τοῖς ἰατροῖς, οὐ πάνυ τοι τοῖς ἔργοις τῆς τέχνης προσεσχηκέναι τὸν νοῦν, ὡς εἴ γε προσεσχήκεσαν, οὐ μόνον, ὅτι διαφέρονται περί τινων ἡμερῶν, οἱ γράψαντες περὶ αὐτῶν, ἀλλ' ὅτι καὶ συμφωνοῦσιν ἐν ταῖς πλείσταις, ἐννοήσαντες, ἔπειτα τῆς ἑαυτῶν πείρας ἀναμνησθέντες, ἐξεῦρον ἄν, οἶμαι, ῥᾳδίως ἑτέρας μὲν εἶναι φύσεως, τὰς ὁμολογουμένας, ἑτέρας δ', ὑπὲρ ὧν διαφέρονται. τίς γὰρ ἢ τὴν ἑβδόμην, ἢ τὴν ἑνδεκάτην, ἢ τὴν τεσσαρεσκαιδεκάτην, ἢ τὰς ἄλλας τὰς ὁμοίας οὐκ εἶπε κρισίμους; οὐδεὶς ὅστισοῦν. φαίνονται γοῦν ἅπαντες, ὥσπερ ἐξ ἑνὸς στόματος ἀποφαινόμενοι περὶ αὐτῶν. τὸ μὲν εἴπερ ὑπὲρ ἁπασῶν ὡμολόγουν ἀλλήλοις, ἴσως ἂν παρέστη ὑπολαμβάνειν χωρὶς τοῦ κρῖναι, καὶ βασανίσαι τἀληθὲς, ἁπάσας αὐτοὺς ἑξῆς ἀκολουθῆσαι τῷ πρώτως περὶ κρισίμων ἡμερῶν ἀποφηναμένῳ. διαφερομένων δ' ἐν ταῖς πλείσταις, οὐκέτ' ἐνδέχεται τοιοῦτον οὐδὲν ὑπονοεῖν. ἀλλ' ἐμοὶ μὲν τὸ θαυμάζειν ἐπέρχεται τοὺς ἄνδρας, ἐπὶ τῇ περὶ τὴν ἀλήθειαν σπουδῇ. τὸ γὰρ μήτε τὰς αὐτὰς ἁπάσας εἰπεῖν, ἀλλ' ἔστιν ἐν αἷς διενεχθῆναι, μήτε εἰκῆ τοῦτο, καὶ ἀλόγως παθεῖν. ἀλλ' ὅσαι μὲν ἅπαντα διαφυλάττουσι τὰ τῶν κρίσεων γνωρίσματα, τὰ μικρῷ πρόσθεν ὑπ' ἐμοῦ λελεγμένα, ταύτας μὲν ὡσαύτως ἀναγράψαι σύμπαντας, ὅσαι δὲ ἀμφιβολίαν ἔχουσί τινα, καὶ ἀπορίαν, ἐκ τοῦ, τινὰ μὲν ὑπάρχειν αὐταῖς γνωρίσματα, τινὰ δ' οὐχ ὑπάρχειν, οὐκέθ' ὡσαύτως ἅπαντας ἀναγράψαι, τεκμήριον οὐ μικρόν ἐστι τοῦ, φύσιν εἶναί τινα τῶν κρισίμων ἡμερῶν ἰδίαν ἐξαίρετον. ἃς γὰρ καὶ καθ' ἑαυτὸν ἕκαστος ἡμῶν, ἐπὶ τὴν τῶν τοιούτων πεῖραν ἀφικόμενος, ἀποφήναιτ' ἂν εἶναι κρισίμους, ἐκ τοῦ διαφυλάττειν ἅπαντα τῶν κρίσεων τὰ γνωρίσματα, ταύτας καὶ παρ' ἐκείνοις ἐστὶν εὑρεῖν ὁμολογουμένας. ὥσπερ αὖ καὶ ὅσας ἄπορον ἐκ πείρας κρῖναι, καὶ ταύτας διαπεφωνημένας.

constat vniuersum in soriticam dubitationem incidere. Si enim quædam ex his, quæ dixi, adsint, quædam absint; & præsentia æquentur absentibus, vel exiguus aliorum sit excessus; liquet nos de huiusmodi die addubitaturos esse, decretorium, an non, appellare oporteat; siquidem omnibus, quæ dixi, præsentibus, vel plurimis & maximis, adhuc dubitare summa est stultitia; quemadmodum si nullum ipsorum, vel omnino pauca leuique potentia prædita adfuerint, etenim hic ex non decretoriis numerandus est. Quòd si parua quædam eorum, quæ ei adsunt, & non adsunt, differentia sit, manifestum est nos in dubitationem venturos, vtrum ex decretoriis hic referendus sit, an minùs. Ego itaque ipse ab adolescentulo quidem dies decretorios obseruare incepi, vt ex mea ipsius experientia de ipsorum dissensione diiudicarem; non tamen iam sanè possum de quibusdam clarè pronunciare, quantum ad præteritam memoriam spectat. Tale etiam Hippocrati, viro nimirum veraci, diu admodum accidisse videtur, siquid ex primo epidemiωn coniicere oportet, vbi multos dies in vnum congessit, quos in prognostico & aphorismis circuncidere videtur. Demonstratum autem nobis est alibi, nec iam minùs ex sequentibus clarum euadet, priùs epidemiωn libros Hippocratem scripsisse, dum theoremata adhuc experimentis exploraret, nec generatim sententiam de eis proferre auderet. Quamobrem ij, qui dies iudiciarios tollunt, tanquam non existentes, quoniam de illis inter medicos non conueniat, non adeo in artis operibus animum aduertisse mihi apparent. Nam si aduertissent, non solùm in quibusdam diebus discordare, scribentes de iis, sed etiam in plurimis conuenire vbi considerarint; & deinde experientiæ suæ meminerint; inuenirent nimirum alterius esse naturæ illos, in quibus consentiunt, alterius illos, in quibus dissentiunt. Quis enim vel septimum, vel vndecimum, vel decimumquartum, vel alios quosdam similes, non dixerit esse iudiciarios? nemo, opinor; apparent enim omnes tanquam vno ore de ipsis pronunciare. Atqui si de omnibus inter scriptores cōueniret, forsan ipsis omnibus ordine liceret sine iudicio, & inquisitione veritatis imitari aliquem, qui primus de iudiciariis diebus disseruit; quum autem in plurimis dissentiant, non adhuc huiusmodi quid cogitare licet. Sed mihi mirari subit viros ob veritatis acquirendæ studium; nempe, quòd non eosdem vniuersi dicant, sed in quibusdam dissentiant, neque temerè, neque sine ratione mihi facere videntur. At qui dies notas criseωn vniuersas conseruant paulò ante à me scriptas, in iis vniuersi pari modo conscribunt; qui verò ambiguitatem aliquam, ac dubitationem habent inde, quòd nonnullæ eis notæ adsunt, quædam non, haud ita simili modo ab omnibus scribuntur. Vnde coniicere non est obscurè, decretoriorum dierum naturam quandam esse propriam, eximiam. Quos enim seorsum vnusquisque nostrum ad talium experientiam deueniens, iudiciarios pronunciauerit, ex eo, quod vniuersas criseωn notas conseruent, eosdem apud illos quoque in confesso esse inuenias; sicut etiam, quos experientiâ nemo potest iudicare, de his esse dissensionem.

Nullum

Nullum igitur ego his maius iudicium de iudiciariorum dierum natura existimo, quàm quod de iis, qui omnes criticas notas habent, has quoque apud illos reperias, omnesque conuenire; de quibus quis dubitet de iis dissentire; nam in talibus controuersia fidem iis, qui in confesso sunt, firmam astruit. Præstaret ergo sophistis si aliquando cauillationes oderint, de illis qui omnes habent criticas notas, omnibusque in cōfesso sunt, promptè sententiam dicere, & de reliquis considerare; quandoquidem propter dubitationem, quæ in paucissimis est, certitudinem in plurimis adeo conspicuam euertere maximè est absurdum. Age igitur, nos, si veritati studemus, ipsorum iudicio integrè manum admoliamur; & primos sanè tanquam regulas quasdam, omnes criticas notas habentes, apponamus; secundos, his proximos; deinde tertium quendam & quartum ordinem statuamus, & cuiusque dignitatem iudicemus. Etenim huiusmodi cognitio ad curationes morborum, & solutiones non leue momentum adfert; ne videlicet iis timeamus, qui fidis diebus iudicati sunt, aut tenuem victum præbeamus; neve infidis diebus iudicatos parum diligenter obseruemus.

A οὐδὲν οὖν ἔγωγε τούτου μεῖζον ἕτερον ἡγοῦμαι τεκμήριον περὶ τῆς τῶν κρισίμων ἡμερῶν φύσεως, ὡς τὸ περὶ μὲν τῶν ἁπάντων ἐχουσῶν τὰ κριτικὰ γνωρίσματα, ταῦτα καὶ παρ᾽ ἐκείνοις ἔστιν εὑρεῖν συμφωνῆσαί τε πάντας. ὑπὲρ ὧν δέ τις καὶ αὐτὸς ἠπόρησεν, ὑπὲρ τούτων διενεχθῆναι. ἡ γὰρ ἐν ταῖς τοιαύταις διαφωνία, πίστιν βεβαίαν προσνέμει ταῖς ὁμολογουμέναις. ἄμεινον δ᾽ ἦν ἄρα τοῖς σοφισταῖς, ἤδη ποτὲ μισῆσαι τὰ σοφίσματα. περὶ μὲν δὴ τῶν τὰ πάντ᾽ ἐχουσῶν τὰ γνωρίσματα, καὶ πρὸς ἁπάντων ὁμολογουμένων, ἑτοίμως ἀποφήνασθαι. σκέψασθαι δὲ ὑπὲρ τῶν λοιπῶν, ὡς τό γε, διὰ τὴν ἐν ταύταις ἀπορίαν ὀλιγίσταις οὔ-B σαις, ἀνατρέψαι τὴν ἐν ταῖς πλείσταις εὐπορίαν, ἐσχάτως ἄλογον. φέρ᾽ οὖν ἡμεῖς, εἴπερ δὴ σπουδάζομεν ἀληθείας, ἐπιχειρήσωμεν ἀδεκάστως αὐτῶν τῇ κρίσει. καὶ πρώτας μὲν προστησώμεθα, καθάπερ τινὰς κανόνας, τὰς ἅπαντ᾽ ἐχούσας τὰ κριτικὰ γνωρίσματα. δευτέρας δὲ τάξωμεν, τὰς τούτων πλησίον, εἶτα τινὰ καὶ τρίτον, καὶ τέταρτον στοῖχον ἐφεξῆς ποιησώμεθα, καὶ δείξωμεν ἑκάστου τὴν ἀξίαν. ἡ γὰρ τοιαύτη γνῶσις, εἰς τὰς ἰάσεις τε καὶ λύσεις, μέγα διαφέρει, μήτε τοὺς ἐν πισταῖς ἡμέραις κριθέντας, δι᾽ ὑποψίας ἡμῶν ἐχόντων αἰεὶ, ἢ λεπτῶς διαιτησόντων, μήτε τοὺς ἐν ταῖς ἀπίστοις, ἀφυλάκτως.

C

CAPVT IV.

De viribus dierum iudicatoriorum; ac primò quidem de quarti, septimi, & sexti natura.

PRimum itaque omnium dierum decretoriorum septimum dicimus, non numero videlicet & ordine primum, sed potentia & dignitate; omnes enim summatim decretoriorum notas obtinet. Etenim plurimos iudicat, & absolutè, item cum manifesta excretione, vel abscessu, sine periculo vehementi, & vt plurimum quartus eum prænunciat. Nam si vrinæ in illo planè, vel sputi, vel deiectionis, vel appetitus, vel mentis, vel sensus, vel alterius cuiusdam similis, manifesta contigit mutatio, illam vt non similis in septimo iudicatio comitetur, quomodo fieri posset; bona, si ad salutem; mala, si ad peiora portendat? Plerunque igitur bona iudicia eueniunt in die septimo; etenim hoc ei præter cæteros accedit, quanquam nonnulli etiam in eo moriuntur, & euidenti conuersione ad peiora pergentes, in sequenti quodam decretorio intereunt. Sextum autem diem, quanto pauciores in eo iudicantur, quam in septimo, tanto quoque maligniorem inuenio, vt qui ferè è diametro naturam septimo oppositam habeat. Etenim, qui in quarto ad peiorem statum recidunt, plerique sexto moriuntur. E contrario rursus, si bona conuersio contingat, septimum crisis expectabit. Et si rarò interim ad meliora conuersionem in quarto die euenientem sextus excipiens iudicarit; incredibile est, quanta cum perturbatione, periculo, & metu hoc fiat, quasi æger statim adeò fato sit functurus. Nam si in cataphoram incidant, caro simile quid ipsis obuenit; fiuntque tum omnis sensus, tum vocis, expertes; & siquæ excretio proueniat, animo consternuntur, pulsus ipsorum concidunt, color abit, tremunt, collabuntur. At septimus dies semper pro excretionis portione reficit ipsos magis ac recreat. Atque igitur sexto die maligna, acria, fœtida magna ex parte tum deiiciunt, tum vomunt. Sudores rari quidem, qui æquales, & toto manantes corpore, & calidi; qua-

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῆς τῶν κρισίμων ἡμερῶν δυνάμεως, καὶ πρώτως μὲν περὶ φύσεως τῆς τε τετάρτης, καὶ τῆς ἑβδόμης, καὶ τῆς ἕκτης.

ΠΡώτην τοίνυν ἁπασῶν τῶν κρισίμων ἡμερῶν τὴν ἑβδόμην εἴπωμεν, οὐκ ἀριθμῷ δηλονότι, καὶ τάξει πρώτην, ἀλλὰ δυνάμει τε, καὶ ἀξιώματι. πάντα γὰρ ἔχει συλλαβοῦσα τὰ τῶν κρισίμων γνωρίσματα, καὶ γὰρ καὶ πλείστους κρίνει, καὶ τελείως, καὶ μετὰ σαφοῦς ἐκκρίσεως, ἢ ἀποστάσεως, καὶ χωρὶς κινδύνου σφοδροῦ, καὶ τοὐπίπαν αὐτὴν ἡ τετάρτη προδηλοῖ. ἤτοι γὰρ τῶν οὔρων τις, ἐν ἐκείνῃ πάντως, ἢ τῶν πτυσμάτων, ἢ τῶν διαχωρη-D μάτων, ἢ ὀρέξεως, ἢ νοήσεως, ἢ αἰσθήσεως, ἢ τινος ἄλλου τοιούτου, σαφὴς ἐγένετο μεταβολή, καὶ τῇδε τῇ μεταβολῇ, τὸ μὴ οὐχ ὁμοίαν ἀπαρτῆσαι τὴν ἐν τῇ ἑβδόμῃ κρίσιν ἀμήχανον, ἀγαθὴν μὲν, εἰ ἐπὶ τὸ χρηστὸν, πονηρὰν δὲ, εἰ ἐπὶ τὸ φαῦλον μεταβάλλοι. τὰ πολλὰ μὲν οὖν, ἀγαθαὶ κρίσεις αἱ κατὰ τὴν ἑβδόμην ἡμέραν. καὶ γὰρ αὖ καὶ τοῦτο ἐξαίρετον αὐτῇ πρόσεστιν. οὐ μὴν ἀλλὰ καὶ θνήσκουσί τινες ἐν αὐτῇ, καὶ τροπὴν ἀξιόλογον ἐπὶ τὸ χεῖρον ἔνιοι λαβόντες, ἔν τινι τῶν ἐφεξῆς κρισίμων ἀπόλλυνται, τὴν δὲ ἕκτην ἡμέραν, ὅσον ἀπολείπεται τῆς ἑβδόμης τῷ πλήθει, τῶν ἐν αὐτῇ κρινομένων, τοσοῦτον, πλεονεκτοῦσαν E εὑρίσκω κακοηθείᾳ, καθάπερ ἐκ διαμέτρου τὴν φύσιν ἔχουσαν τῇ ζ'. καὶ γὰρ καὶ τῶν ἐν τῇ τετάρτῃ μεταβαλλόντων ἐπὶ τὸ χεῖρον, οἱ πλεῖστοι κατὰ τὴν ἕκτην ἀπόλλυνται. τοὐναντίον δὲ αὖ πάλιν, εἰ χρηστὴ γένηται τροπὴ, τὴν ἑβδόμην ἀναμένει. κἂν εἰ σπανίως δέ ποτε μεταβολὴν ἀγαθὴν ἐν τῇ τετάρτῃ γενομένην, ἡ ἕκτη παραλαβοῦσα κρίνειν ἐπιχειρήσειεν, ἀμήχανον ὅσην ἐπιφέρει ταραχὴν, καὶ κίνδυνον, καὶ φόβον οὐ μικρὸν, ὡς αὐτίκα δὴ μάλα τεθνηξομένου τἀνθρώπου. καὶ γὰρ εἰ καταφέροιντο, κάρῳ τι παραπλήσιον αὐτοῖς γίγνεται, καὶ κεῖνται τελείως ἀναίσθητοί F τε, καὶ ἄφωνοι. καὶ εἴ τις ἔκκρισις ἐν αὐτοῖς γένοιτο, λειποψυχοῦσί τε, καὶ ἀσφυκτοῦσι, καὶ ἀχροοῦσι, καὶ τρέμουσι, καὶ καταπίπτουσι, τῆς ἑβδόμης ἡμέρας, ἀεὶ πρὸς λόγον τῆς ἐκκρίσεως, τὴν εὐφορίαν ἐπαυξούσης, ἀτὰρ οὖν καὶ κακοήθη, καὶ δριμέα, καὶ δυσώδη τὰ πολλὰ διαχωροῦσί τε, καὶ ἐμοῦσι κατὰ τὰς ἑκταίας ἐκκρίσεις. ἱδρῶτες δὲ σπάνιοι μὲν, οἱ ὁμαλοὶ καὶ δι᾽ ὅλου τοῦ σώματος, καὶ θερμοί.

κἂν εἰ γένοιντο δέ ποτε τοιοῦτοι, διακόπτονται τὰ πολλά, καὶ φόβος ἐπιρρίπτεται τοῖς ὁρῶσι, μὴ συνιεῖσιν. ἔστι δ' ὅτε, παρωτίδας οὐκ εὐήθεις, ἢ καὶ ἰκτέρους ἐπήνεγκεν, ἤ τινα ἄλλην ἀπόστασιν, ἀγῶνος ἑτέρου δεομένην εἰς λύσιν. εἰ δὲ καὶ δι' οὔρων ποτὲ κρίνοιεν, οὐδὲ ταῦτα ἂν εὕροις χρηστά, καὶ γὰρ ὠμά, καὶ ἄχροα, καὶ λεπτά, καὶ μηδεμίαν ἀγαθὴν ὑπόστασιν ἔχοντα, ἀλλ' ἐνίοτε μὲν οἷον ὀστρακώδη, ἐνίοτε δὲ ψαμμώδη. πάντως δὲ ἀνώμαλά τε, καὶ ἄπεπτα, αὐτῷ τῷ πλήθει μόνον ὠφελοῦντα κατὰ τὴν ἕκτην ἡμέραν, οἷς ἐπιφαίνεται. ταῦτα μὲν αὐτῆς τὰ μετριώτατα τῶν ἔργων, εἴ τις μέλλει σωθήσεσθαι. τοὺς πλείστους δέ, τοὺς μὲν αὐτίκα συνέκοψεν, ἢ ἀπέπνιξεν αἱμορραγίαις λάβροις, ἢ κενώσεσιν ἀμέτροις, καὶ ἢ καὶ κατοχαῖς τισιν, ἢ μανίαις. τοὺς δ' εἰς προῦπτον ὄλεθρον ἐνέβαλεν, ἰκτέρους ἐπαγαγοῦσα, καὶ παρωτίδας οὐ χρηστὰς ἐγείρασα, καὶ μαρασμοῖς ἀνιάτοις ἐνίοτε περιβάλλουσα, καὶ τί γὰρ οὐ κακὸν ἐπιφέρει; καί μοι πολλάκις ἐπῆλθε, τὴν μὲν τῆς ἑβδόμης ἡμέρας φύσιν εἰκάζειν βασιλεῖ, τὴν δὲ τῆς ἕκτης, τυράννῳ. προνοεῖται γάρ, ἡ μὲν οἷα ἀγαθός τις ἄρχων, τοῖς ὑπ' αὐτὴν κρινομένοις, ἢ τῆς κολάσεως ὑφεῖναι τοῦ μεγέθους, ἢ τὴν νίκην ἐπιλαμπρῦναι. τὴν δὲ τῆς ἕκτης ἡμέραν, ἔμπαλιν εἰκάσαις ἄν, ἢ τοῖς ὀλεθρίοις αὐτὴν ἐπιχαίρειν, ἢ ταῖς σωτηρίαις ἄχθεσθαι, καὶ ζητεῖν, ὅποι τὸν θυμὸν ἐκπλήσει, καὶ κακῶς δρᾶσαι τὸν εἰς αὐτὴν ἐμπεσόντα, καὶ μακρᾷ κολάσει περιβάλλουσα, διαχρώσεται. φέρ' οὖν, ἐνταῦθα γὰρ ὁ λόγος ἤδη μοι στήτω, πρὶν τῶν ἄλλων ἁπασῶν ἡμερῶν διέρχεσθαι τὴν φύσιν. εἴ τις ἔροιτό μου περὶ τῆς ἑβδόμης ἡμέρας, εἰ κρίσιμος ὑπάρχει, κἄπειθ' ἑτοίμως ἀποκριναμένου μου, περὶ τῆς ἕκτης ἐπανερωτῴη, τί ἂν ἀποκριναίμην αὐτῷ; εἰ μὲν γὰρ αὐτὴν προσηγορίαν ἐπιφέροιμι καὶ τῇδε, τάχ' ἄν τις δόξειέ με καὶ τὴν φύσιν αὐτῆς ὁμοίαν ὑπολαμβάνειν. εἰ δ' ὅτι τὴν φύσιν ἐναντία, διὰ τοῦτο ταύτην ἐξαιρεθείην τῶν κρισίμων. ἴσως ἄν τις ὑπονοήσειεν, ἐκ ταὐτοῦ γένους ὑπάρχειν αὐτὴν τῇ δωδεκάτῃ τε, καὶ ἑκκαιδεκάτῃ, περὶ ὧν ἔμπροσθεν εἶπον, ὡς οὐκ εἶδον αὐτὰς κρινούσας οὐδεπώποτε. περὶ μὲν δὴ τούτων, ἑτοίμως ἀποφανοῦμαι, καθάπερ εἶπον καὶ περὶ τῆς ἑβδόμης. τὰς μὲν γάρ, ὅτι μηδὲν ἔχουσι τῶν κριτικῶν γνωρισμάτων, οὐκ εἶναι κρισίμους ἐρῶ. τὴν δ' ὅτι πάντα, διὰ τοῦτο κρίσιμον ὑπάρχειν. ἁπλῶς δ' οὕτως ὑπὲρ τῆς ἕκτης ἀπόφασιν, οὐκ ἔχω ποιήσασθαι. κρίνει μὲν γὰρ πολλάκις, ἀλλ' ἐπιβούλως τε, καὶ πονηρῶς, ὥστ' εἴπερ ἀναγκάζει μέ τις ἀποκρίνασθαι περὶ αὐτῆς, οὐ λόγῳ μακρῷ χρησάμενος, ὥσπερ ὀλίγον ἔμπροσθεν, ὅτε διῄειν αὐτῆς ἅπασαν τὴν φύσιν, ἀλλ' ἐν κεφαλαίῳ περιλαβών, κακὴν ἂν εἴποιμι κρίσιμον εἶναι τὴν ἕκτην ἡμέραν, ὥσπερ τὴν ἑβδόμην ἀγαθήν. οὐ μὴν οὕτω γε προσήκει κατακλείειν ἑαυτόν, εἰς ἁπλῆν καὶ στενὴν ἀπόφασιν, ὑπὲρ πράγματος οὐχ ἁπλοῦ. τά τε γὰρ ἄλλα καὶ περὶ ὀνόματος ἁμιλλώμενοι λελήθασιν οἱ πολλοὶ τῶν ἰατρῶν. οἱ μὲν γὰρ τὴν ἀθρόαν ἐν νόσῳ μεταβολὴν ἡγοῦνται κρίσιν, οἱ δ', εἰ μὴ προσείη τὸ ἐπ' ἀγαθῷ, κρίσιν οὔπω τὸ τοιοῦτον ὀνομάζουσιν, ἔνιοι δὲ τούτων ἑκάτερον ἀποτέλεσμα κρίσεως εἶναί φασιν. τὴν κρίσιν δὲ αὐτήν, τὸν μεταβλητικὸν ἐπιφανῶς ἐν ὀξεῖ καιρῷ σάλον, ὑπάρχειν οἴονται, ἐξ αὐτῆς δηλονότι τοῦ νοσήματος τῆς φύσεως γινόμενον, οὐκ ἔξωθεν, εἶτ' ἐρίζουσι περὶ τοῦ σημαινομένου μακρά, μηδ' αὐτὸ τοῦτο γινώσκοντες ὡς ἀποχωρήσαντες τῶν ἰατρικῶν πραγμάτων, ἢ διαλεκτικοῖς, ἢ γραμματικοῖς, ἢ ῥήτορσι πρέπουσαν ἐπαναιροῦνται σκέψιν. διαλεκτικῶν μὲν γὰρ ὑπὲρ ὀνομάτων ὀρθότητος σκοπεῖσθαι, ῥητόρων δέ, καὶ γραμματικῶν, εἰ συνήθης τοῖς Ἕλλησι τοὔνομα.

A les si quando oboriuntur, sæpenumero intercipiuntur. Timor inuadit spectantes eius rei ignaros. Interdum parotides malignæ, vel etiam arquatus, vel alius quidam abscessus, alterum certamen, quo discutiatur, requirens, emergit. Si verò & per vrinas quandoque iudicet, nec ipsas bonas inueneris; etenim crudæ, decolores, tenues, boni nihil, quod subsidet, habentes, sed nunc quasi testaceum, nunc arenosum, in totum inæquale, crudum, ipsa copia tantum in sexto die, quibus apparet, conducens. Atque hęc huius diei moderatissima, leuissimaque sunt opera, si quis saluari debet; plurimos autem B confestim in syncopen coniecit, vel suffocauit largo sanguinis profluuio, vel euacuatione parum moderata, item vel quadam catoche, vel mania; alios in manifestam perniciem iniecit, ictéros inducens, parotidas non bonas excitans, & marcoribus insanabilibus interim inuoluens; demum quod mali genus non adfert? Mihi quidē frequenter in mentem venit septimi diei naturam Regi assimilare; sexti verò, Tyranno. Ille siquidem prouidet, tanquā bonus aliquis princeps, iis quos iudicat, vt vel supplicij partem adimat, vel illustret victoriam, Sextum verò diem è contrario finxeris, vel pernicie illius, quem iudicandum accepit, gaudere, vel C salute dolere, quærereque vbi animum expleat, & malè ægrum, qui in ipsum incidit, tractet, & longa punitione inuoluens exerceat. Age igitur (sermo enim hîc mihi sistat priusquam aliorum dierum decretoriorum naturam explicē) si quis roget me de septimo die, an decretorius sit; dein, vbi hoc affirmarim ex parato, de sexto rursus quærat; quid ei respondero? Nam si eandem huic quoque appellationem imponam, putabit forsan aliquis naturâ ipsum septimo assimilem me existimare; si verò naturâ contrarium, ideoque ex decretoriis diebus exemerim, forsan opinabitur, eodem genere D cum duodecimo, & decimosexto comprehendi; de quibus antea dixi, nunquam me videlicet vidisse ipsos iudicantes. De his sanè, quid sentiam, promptè, vt de septimo dixi, enunciabo. Illos enim quòd nullam criticam notam habent, non decretorios dicam; hunc, quia omnes habet, decretorium esse; de sexto non tam absolutam enunciationem statuere possum, decernit etenim frequenter de morbis, sed dolosè & prauè. Quapropter, si quis me cogat de ipso ferre sententiam, non longa oratione vsus, vt paulò ante, quum vniuersam eius naturam recenserem, sed summam complectens, sextum diem malum esse de- E cretorium dixero, quemadmodum septimum bonum. Non tamen sic conuenit simpliciter, atque angusta oratione de re non simplici pronunciare. Nam præter alia medicorum plerique rei ipsius obliti, de nomine contendunt; nonnulli subitam in morbo mutationem crisim existimant; quidam, nisi benè ægro cesserit, tale, crisim non vocitant; aliqui horum vtrumque criseωs opus esse aiunt. At crisim ipsam, perturbationem (quam iactationem dicunt) facientem conspicuè mutationem in morbo acuto, ex ipsa videlicet morbi natura prouenientem, non extrinsecus, esse arbi- F trantur. Deinde multū, ac diu de significato cōtendunt: neq; id ipsum intelligētes, tanquam à rebus medicis desciscentes, vel dialecticis, vel grammaticis, vel rhetoribus conuenientē speculationē recipiunt; siquidem dialectici munus est de nominum rectitudine disputare; Rhetorum & Grammaticorū est inspicere nomen, an Græcis in vsu sit.

Atque

Atque hæc nonnulli medicorum factitant, tantam vel dialectices, vel grammatices, vel rhetorices cognitionem, ac intelligentiam habentes, quantam asinus lyræ. Hi ergo medicorum res omittentes, & aliena malè tractantes, vtrobique grauiter peccant. Nos sanè, quomodò quis medicis nominibus optimè vtatur, alibi monstrauimus. In præsenti commentario dierum naturam interpretari statuimus, sophistarum nugas aliis relinquentes, qui artis opera parum curant, sed nugantur, velut in adolescentium exercitationibus. Dicetur tamen nonnihil in sequentibus etiam de prædictis nominibus, vt illorum cauillationes quis possit diluere, homonymias distinguens. Nunc autem prius ipsam vtilitatem explicemus, quemadmodum in omnibus commentariis fecimus, vt hunc iam tenens, eoque fruens, ex abundantia, sophistarum nugas reprehendere condiscas. Nam vt alia sine longa ipsorum nugacitate, artis candidati possunt discere, omnem adamussim dierum naturam ex ipsa doctrina opere possunt consequi. Atqui in totum ab eorum loquacitate tam vulgata abstinere impossibile est; postremò quoque in priore sermone, vel inuiti ipsam attigimus.

καὶ ταῦτα ποιοῦσιν ἔνιοι τῶν ἰατρῶν, εἰς τοσοῦτον ἢ διαλεκτικῆς ἢ γραμματικῆς ἢ ῥητορικῆς ἐπαΐοντες, εἰς ὅσον ὄνοι λύρας. οὗτοι μὲν οὖν, καὶ τὰ τῶν ἰατρῶν ἀφέντες, καὶ τὰ τῶν ἄλλων κακῶς μεταχειρισάμενοι, καθ' ἑκάτερα πλημμελοῦσιν. ἡμεῖς δὲ ὅπως μὲν ἄν τις ἄριστα χρῷτο τοῖς ἰατρικοῖς ὀνόμασιν, ἑτέρωθι δεδηλώκαμεν. ἐν δὲ τῷ παρόντι λόγῳ τὴν ἡμερῶν τὴν φύσιν ἐξηγήσασθαι προὐθέμεθα, τοὺς σοφιστικοὺς λήρους ἑτέροις παρέντες, οἷς οὐ τῶν ἔργων τῆς τέχνης φροντίς, ἀλλὰ τοῦ φλυαρεῖν, ὥσπερ ἐπὶ μειρακίων διατριβαῖς. εἰρήσεται μὲν οὖν τι κἀν τοῖς ἑξῆς ὑπὲρ τῶν προειρημένων ὀνομάτων, ἵν' ἔχῃ τις αὐτῶν λύειν τὰ σοφίσματα, διαστελλόμενος τὰς ὁμωνυμίας. ἐν δέ γε τῷ νῦν λόγῳ τῷ ἐνεστῶτι, τὸ χρήσιμον αὐτὸ διέλθωμεν πρότερον, ὥσπερ ἐν ἁπάσαις ἐποιησάμεθα ταῖς πραγματείαις, ἵν' ἤδη τις ἔχων τοῦτο, καὶ καρπούμενος ἐκ περιουσίας, ἐλέγχειν μάθῃ τοὺς λήρους τῶν σοφιστῶν. τά τε γὰρ ἄλλα, καὶ ὡς ἄνευ τῆς φλυαρίας αὐτῶν τῆς μακρᾶς, ἔνεστιν ἐκμαθεῖν τοῖς εἰσαγομένοις εἰς τὴν τέχνην, ἅπασαν ἀκριβῶς τὴν ἡμερῶν τὴν φύσιν ἐξ αὐτῆς τῆς διδασκαλίας ἔργῳ μαθεῖν ἐστι, καίτοι γε παντάπασιν ἀπέχεσθαι τῆς φλυαρίας αὐτῶν οὕτω δεδημοσιευμένης ἀδύνατον. ἀμέλει καὶ ἡμεῖς ἐν τοῖς ἔμπροσθεν λόγοις, καὶ ἄκοντες, ὅμως αὐτῆς ἐφηψάμεθα.

CAPVT V.

De ordine dierum indicatoriorum ad vigesimum vsque diem.

PVta itaque illa, vice prooemij alicuius propter speculationis celebritatẽ, mihi esse prælibata; vtilitatem autẽ ipsam, & præstantiam ad artis opera, nunc deinceps dicere vniuersam tempus postulat. Quòd quidem vtilitas sit, etiam sine appellatione ostenditur: quòd autem veritas, non statim apparet, sed ex ipsis rebus iudicationẽ expectat. Quare lectores hoc adhortari opportunum est, vt postquam, quemadmodum & nos omnia hîc scripta multo iudicauimus, ipsi quoque in ægris eadem explorauerint, tum audeant de dictorum veritate sententiam proferre, priùs autem non. Rursus igitur initium faciamus ab iis, quæ à principio libri incepimus; dicamusque quæcunque quidem priùs dicta sunt, per capita resumentes, vt solùm memoria teneantur; quæcunque verò nondum diximus, enarratione fusa interpretemur. Hæc autem dicta sunt; morborum solutiones, quæ subito, vniuersimque fiunt excretionem quandam, vel abscessum euidentem requirere. Dierum verò, in quibus eueniunt naturas esse differentes; etenim septimum & frequenter soluere, & perfectè, & cum fide, & salubriter, & sine periculo, & clarè, & cum bonis signis; sextum frequenter quidem & ipsum, sed non septimo similiter; nam & pauciores ipsum iudicare, & solutionis modo plurimum differre; neque enim bonas salubresque ipsas esse, verùm malas plurimas; neque, si bonas solutiones, omnino & perfectas; imò neque, si perfectas, statim etiam cum fide, quia nonnunquam morbus reuertitur, exactè licet solutus esse videatur. Quinetiam cùm periculo, & obscurè sextum diem iudicare, idque ei maximè proprium esse, hoc quoque diximus. Attamen sine signis iudicium non omnino sexti proprium est, sed quartus ipsius, vt etiam septimi index est. Hæc igitur præfati sumus; quæ restant, nunc adiiciamus.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τάξεως τῶν μέχρι τῆς εἰκοστῆς κρισίμων ἡμερῶν.

Νόμιζε τοίνυν ἐκεῖνα μὲν εἶναι προοίμιόν τί μοι, διὰ τὸ τῆς θεωρίας ἔνδοξον γεγονέναι. τὸ δὲ χρήσιμον αὐτῶν, καὶ διαφέρειν εἰς τὰ τῆς τέχνης ἔργα, νῦν λέγεσθαι πρὸ ἐφεξῆς. ὅτι μὲν χρήσιμον ὑπάρχει, καὶ χωρὶς συνηγορίας ἐνδεικνύμενον. ὅτι δὲ καὶ ἀληθές, οὐκ εὐθὺς φαινόμενον, ἀλλὰ τὴν ἐξ αὐτῶν τῶν πραγμάτων κρίσιν ἀναμένον, ὥστε καὶ τοὺς ἀναλεξαμένους αὐτὰ παρακαλέσαι χρεών. ἐπειδάν, ὥσπερ ἡμεῖς ἐκεῖνα μὲν ἅπαντα τὰ τῆδε γεγραμμένα παμπόλλῳ χρόνῳ, καὶ αὐτοὶ βασανίσωσιν ἐπὶ τῶν ἀρρώστων αὐτά, τότ' ἀποφαίνεσθαι τολμᾶν ὑπὲρ τῆς ἐν τοῖς εἰρημένοις ἀληθείας, πρότερον δὲ μή. πάλιν οὖν αὖθις ἀρκτέον ἡμῖν ἐστιν, ἀφ' ὧν περ ἐξ ἀρχῆς τοῦ γράμματος ὑπηρξάμεθα, καὶ λεκτέον ὅσα μὲν εἴρηται καὶ πρόσθεν, διὰ κεφαλαίων ἀναλαμβάνουσιν, ὡς ὑπομνῆσαι μόνον. ὅσα δ' οὔπω λέλεκται, κατὰ διέξοδον ἑρμηνεύουσιν. εἴρηται μὲν δὴ ταῦτα, τὰς λύσεις τῶν νοσημάτων ὅσαι ἀθρόαι γίνονται, δεῖσθαί τινος ἐκκρίσεως, ἢ ἀποστάσεως ἐπιφανοῦς. εἶναι δὲ τῶν ἡμερῶν, ἐν αἷς γίνονται, τὰς φύσεις διαφερούσας. τὴν μὲν γὰρ ἑβδόμην, καὶ πολλάκις λύειν, καὶ τελέως, καὶ πιστῶς, καὶ ἀγαθῶς, καὶ ἀκινδύνως, καὶ σαφῶς, καὶ εὐσήμως. τὴν δ' ἕκτην, πολλάκις μὲν καὶ αὐτήν, ἀλλ' οὐχ ὁμοίως τῇ ἑβδόμῃ. καὶ γὰρ καὶ τῇ ποσότητι τῶν λυομένων ἀπολείπεσθαι, καὶ τῷ τρόπῳ τῆς λύσεως πάμπολυ διαφέρειν. οὔτε γὰρ ἀγαθὰς ὑπάρχειν αὐτάς, ἀλλὰ τὰς πλείστας μοχθηράς, οὔτ' εἴπερ ἀγαθὰς πάντως καὶ τελείας. ἀλλ' οὐδ' εἰ τελείας, εὐθὺς καὶ πιστάς. ὑποστρέφει γὰρ ἐνίοτε τὸ νόσημα, κἂν ἀκριβῶς δόξῃ λελύσθαι. καὶ μὲν δὴ καὶ ὅτι τὸ μὴ κινδυνῶδές τε, καὶ ἀσαφὲς ἰδιαίτατόν ἐστι τῆς ἕκτης ἡμέρας, καὶ τοῦτο εἴρηται. τό γε μὴν ἀσήμως, οὐ πάνυ τι τῆς ἕκτης ἴδιον, ἀλλ' ἔστιν αὐτῆς, ὥσπερ καὶ τῆς ἑβδόμης ἐπίδηλος ἡ τετάρτη. ταῦτα μὲν οὖν εἴρηται· προσθήσομεν δὲ τὰ λείποντα.

τῆς ἑβδόμης τὴν φύσιν, ἡ τεσσαρεσκαιδεκάτη μάλιστα μὲν μιμεῖται. πλησίον δ' αὐτῶν ἐστιν, ἐννάτη τε καὶ ἑνδεκάτη, καὶ εἰκοστή. καὶ ταύταις ἐφεξῆς ιζ'. καὶ ε'. καὶ μετὰ ταύτας, ἡ τετάρτη, καὶ μετὰ ταύτην, ἡ τρίτη τε, καὶ ἡ ιη'. τῆς δ' ἕκτης τὴν φύσιν, οὐδεμία μὲν ἀκριβῶς ἐμιμήσατο τῶν ἄλλων ἡμερῶν. εἴ ποτε δ' εἰς τὴν ὀγδόην ἡμέραν, ἢ τὴν δεκάτην, ἐμπέσῃ λύσις ἀθρόα νοσήματος, ὁμοιοῦται πως τῇ κατὰ τὴν ἕκτην, ἀλλὰ καὶ σπανίως ἐν ταύταις λύεται, καὶ οὔτε πιστῶς, οὔτε ἀγαθῶς, οὔτε τελείως. ἔτι τε πρὸς τούτοις, ἀσαφῶς τε ἅμα, καὶ ἀσήμως, ὡς ἂν ἑτέρας εἶναι φύσεως αὐτὰς πρὸς τὰς ἔμπροσθεν εἰρημένας. ὥσπερ δ' ἐν ταύταις οὐ λύεται νόσημα ἀθρόως, οὕτως οὐδ' ἐν ταῖς ἐφεξῆς εἰρησομέναις δωδεκάτῃ, καὶ ἑκκαιδεκάτῃ, καὶ ἐννεακαιδεκάτῃ. μεταξὺ δέ πως τούτου τοῦ στοίχου, τοῦ νῦν εἰρημένου πάντως, τῶν μὴ λυουσῶν ἀθρόως ἡμερῶν, τῆς ὀγδόης λέγω, καὶ τῆς δεκάτης, καὶ τῆς δωδεκάτης, καὶ τῆς ἑκκαιδεκάτης, καὶ τῆς ἐννεακαιδεκάτης, καὶ τοῦ πρόσθεν εἰρημένου τῶν λυουσῶν, τῆς τε τρίτης, καὶ τετάρτης, καὶ πέμπτης, καὶ ἕκτης, καὶ ἑβδόμης, καὶ ἐννάτης, καὶ ἑνδεκάτης, καὶ τεσσαρεσκαιδεκάτης, καὶ ἑπτακαιδεκάτης, καὶ ὀκτωκαιδεκάτης, καὶ εἰκοστῆς, ἡ τρισκαιδεκάτη μάλιστά μοι φαίνεται τετάχθαι, μήθ' ὁμοίως ἀπόβλητος οὖσα ταῖς ἐν τῷ δευτέρῳ στοίχῳ, μήθ' ὁμοίως ταῖς ἐν τῷ πρώτῳ λύειν πεφυκυῖα. τοιαύτη μέν τις ἡ τῶν εἰρημένων ἡμερῶν, ἄχρι τῆς εἰκοστῆς διαφορά. τὰς δ' ἐφεξῆς ἁπάσας ὕστερον ἐρῶ, πρότερόν γε τοῦτ' ἀναμνήσας ὅπερ ὑπεσχόμην ὀλίγον ἔμπροσθεν, ὡς ὅσον εἰς τὰ ἔργα τῆς τέχνης διαφέρει, μακροῦ μὲν εἰς εὕρεσιν δεῖται χρόνου. βραχυτάτου δ' εἰς διδασκαλίαν. τὸ δ' ἄλλο πᾶν ἤτοι λῆρός ἐστι σοφιστῶν, ἢ πρὸς τούτους ἀντιλογία, λῆρος μὲν οὖσα καὶ αὐτή, κάλλιον γὰρ τῶν τοιούτων καταφρονεῖν. ἀλλὰ διὰ τοὺς νέους ἐνίοτε, τοὺς ὑπὸ τῶν σοφισμάτων ἐξισταμένους τῶν κατὰ φύσιν λογισμῶν, χώραν ἀναγκαίαν λαμβάνουσα. τὸ οὖν προκείμενον ἤδη δέδεικται σαφῶς, ὡς καὶ χωρὶς τῶν ὀνομάτων τοῦ τε κρίνεσθαι καὶ κεκρίσθαι, καὶ κρίσεως, καὶ κρισίμου τὴν διήγησιν ἐποιησάμην τῆς τῶν ἡμερῶν διαφορᾶς, οὐκ ἐκ λόγου τινός, ἢ δόγματος τῶν ἀπορρήτων εἰσηγησάμενος, ἀλλ' ἐκ μόνης τῆς πολυχρονίου πείρας ἀθροίσας τὴν θεωρίαν. ὅς τις δὲ ταύτην καταλιπών, ἢ πῶς ὁρίζεσθαι χρὴ τὴν κρίσιν, ἢ τίς λόγος ἐστὶν δι' ὃν οὐχ ὁμοίως ἐν ἁπάσαις ταῖς εἰρημέναις ἡμέραις αἱ κρίσεις γίνονται ζητεῖ, σοφισταῖς ἀφορμὴν ἀντιλογίας παρέξει, οἳ τοῖς τοιούτοις λόγοις ἀντιλέγοντες, οἴονται τὸ πρᾶγμα διαβάλλειν αὐτό. καθάπερ εἴ τις ταῖς ὀπτικαῖς αἰτίαις, ἃς οἱ φιλόσοφοι λέγουσιν, ἀντειπών, ἀνῃρηκέναι νομίζει τὴν ὄψιν. ἢ εἴ τις ἀπορήσας τοὺς περὶ τῆς κινήσεως λόγους, ἢ τοὺς περὶ τόπου, καὶ χρόνου, καὶ γενέσεως, καὶ φθορᾶς, οἴοιτο σὺν τοῖς λόγοις ἀνῃρηκέναι καὶ τὰ πράγματα. τοιαύτη γάρ ἐστι, καὶ ἡ τῶν σοφιστῶν κατά τε κρίσεως, καὶ κρισίμων ἡμερῶν ῥητορεία. τὸ μὲν φαινόμενον αὐτό, μὴ δυναμένων ὑπαλλάξαι, τὰ σημαινόμενα δὲ μετατιθέντων, καὶ πρὸς ὁρισμούς τινας ἀντιλεγόντων, καὶ τὰ περὶ τῆς φύσεως τῶν ἀριθμῶν δόγματα διασυρόντων. ἀλλ' ἥ γ' ὑφ' ἡμῶν ἄρτι γεγραμμένη διδασκαλία, τούτων μὲν οὐδενὸς ἐφήψατο, καὶ διὰ τοῦτο ἀποφράττει τὸ τῶν σοφιστῶν στόμα· τὸ χρήσιμον δ' αὐτό, διὰ ταχέων ἐκδιδάσκει. ὡσαύτως δ' ἂν καὶ διὰ ταχέων ἐμήνυσα τὰς μετὰ τὴν εἰκοστὴν ἡμέραν διαφοράς, εἰ μή τις κατεῖχεν ἀναγκαῖος λόγος, ὃν καὶ αὐτὸν οἱ μὲν ἐκ τῆς ἐμπειρίας ὁρμώμενοι, καὶ μηδὲν τοῖς ἐναργῶς φαινομένοις προσδοξάζοντες, ἀκριβῶς ἴσασιν· οὐ μὴν οἵ γε πρῶτον ἀναλαμβάνοντες τὴν τέχνην.

Septimi naturam decimusquartus maximè imitatur. Proximi his sunt nonus, vndecimus, & vigesimus. Prope hos verò decimusseptimus, & quintus, post hos quartus, hunc sequuntur tertius, & decimusoctauus. At sexti naturam nullus exactè aliorum dierum imitatur. Si aliquando autem in octauum diem, vel decimum subita morbi solutio incidat, similis ferè ei est, quæ in sexta accidat; verùm raro in his soluitur, nec cùm fide, nec bene, nec perfectè; insuper ad hæc obscure simul & citra notas; vnde alterius esse naturæ ipsi cum supra dictis ostenduntur. Quemadmodum in his morbus subitò non soluitur, ita nec in iis, quos statim recensebimus, duodecimo, sextodecimo, & nonodecimo. Medius verò quodammodo est omnino inter ordines nunc dictos, ordo dierum subito non soluentium, octaui dico, decimi, duodecimi, decimisexti, decimi noni, quos iam retulimus; & tertij, quarti, quinti, sexti, septimi, noni, vndecimi, decimiquarti, decimiseptimi, decimioctaui, vigesimi, decimustertius maximè videtur mihi esse positus, nec scilicet ita reiiciendus, sicut hi, qui secundæ sunt notæ: nec ita soluere morbos natus, sicut ij, qui primæ sunt notæ. Huiusmodi quædam dictorum dierum ad vigesimum vsque differentia est. Reliquas ordine deinceps dicturus sum, hoc primùm in memoriam reuocato, quod ante paulum promisi. Nam quantum ad artis opera attinet, longo ad inuentionem tempore opus est, breuissimo autem ad doctrinam; quicquid est aliud reliquum, vel sophistarum nugæ, vel aduersus hos controuersia est, etsi hæc quoque deliramentum sit; præstaret enim ipsos despicere; propter iuuenes tamen, & qui aliquando cauillationibus circunuenti, à naturali ratiocinatione recedunt, necessario locum habet. Igitur quid proposuerimus, manifestè iam liquet. Nam sine nominibus etiam his, iudicari, iudicatum esse, crisim, & decretorium, differentias dierum interpretatus sum; non à ratione quadam, vel dogmate abditorum, eas introducens, verùm ex solo diuturno vsu speculationem constituens. Porrò quicunque hoc omisso, vel quomodo crisim definire conueniat; vel quæ ratio sit, cuius occasione non æquè in vniuersis prædictis diebus crises fiunt, disquirit; sophistis controuersiæ ansam præbebit; qui huiusmodi sermonibus contradicentes, rem ipsam se subuertere putant; veluti siquis videndi causis, quas philosophi dicunt, reclamans, se visum sustulisse credat, vel siquis de motu quid dicat, non habeat, vel de loco, tempore, generatione & corruptione, cum sermonibus, res quoque sustulisse arbitretur. Talis est enim de crisi, & decretoriis diebus sophistarum dicendi facultas, qui euidens ipsum sanè amouere non possunt, significata verò transponunt, & ad definitiones quasdam reclamant, postremò placita de natura numerorum proscindunt. Quanquam à nobis nuper scripta doctrina nihil horum attigit; atque huius rei gratia sophistarum os obturat, vtilitatem vsumque breuiter edocet. Pari modo dierum post vigesimum differentias compendiosè tractassem, nisi ratio quædam necessaria obstitisset; quam & ipsam Empirici, qui nihil aliud recipiunt, nisi euidentem apparentia, accuratè nouerunt; non tamen qui primùm artem recipiunt.

CAP.

CAPVT VI.

Solutio rationum, eorum qui dicunt impoßibile esse primum morbi principium perfectè cognoscere.

HÆc autẽ ipsa ratio, ea est, quę inquirit, quodnam tandẽ sit morborũ principium. Etenim vigilant, cibos fastidiunt, capite grauantur, segnes, & ad motum pigri fiunt, toto corpore lassitudinem sentiunt, aliaque id genus infinita patiuntur plurimi ægrotaturi. Atque hæc primo adueniunt modicè, verùm semper magis augescunt paulatim, obambulantibus iam, & consueta facientibus. Posteaquam verò nimisquam displicere sibi cœperint, ac ab affectu victi primum fuerint, tunc decumbunt. Vnde perspicuum euadit, morbi principium statuere cõueniens, non leuioris esse negotij; quippe ad amussim primum, insensibile esse; vbi iam decubuerit, non morbi, sed decubitus, esse principium. Etenim quòd fortiores quidam sunt, malique patientes; item quòd detinentur aliquo ciuili negocio, longiusque eunt, & procul à domo deducuntur, atque ob alias huiusmodi causas, possit quis nondum decumbere; sed malè affectus quidem esse; si mollis quispiam animo, imbecillis, timidus, & de qualibet leui causa suspiciosus; statim decumbit. Cuius igitur decubitus morbi initium putandus, nemo facilè inuenerit. Atqui si neque primum exactè principium capere licet; neque decubitum, morbi initium constituere sit æquum; constat neque aliud tempus aliquod, vel ante decubitum, vel post eum. Siquidem priora omnia iniquè capientur, primo principio neglecto; quæ post decubitum sunt, multo iniquius, si neque huius tempus morbi exordium est. Huiusmodi quidem sunt dubitationes. Porrò ipsorum solutiones diuersæ sunt. Prima & maxima, Multos morbos repente inuadere; vel simul cum rigore, vel dolore vehementi, nullo planè sensibili symptomate eos prægresso. Morbis itaque aliis, in quibus obscura principia sunt, omissis, decretorios dies in manifestissimis experiamur. Etenim & quum cœnauerint facillimè plerisque & se exercuerint, lauerintque subito morbus aduenit, quemadmodum Hippocrates quoque de multis ægris scriptum reliquit. Vt idem author de aliis ægrotis scribere consueuit, quod priusquam ægrotare inciperent, stantes fatigabantur. Et quidem hoc ipsum dicentes, antequam morbus incepisset, inscij ac imprudentes veritatem confitemur; nam morbi initium tempus illud ipsis putandum est, quum manifesto febricitare incipientes decubuerint. Non enim idem sunt capitis dolor, & febris; sicut nec vigilia, & cibi fastidium, & totius corporis grauitas, vel lassitudinis sensus; verùm singula hæc, diuersa quædam à febre existentia, febrem denunciant. Tu igitur ô sophista mentem his aduerte. Febris inuadens, maximeque acuta, neque nos neque idiotam quemlibet latere potest. Finge autem, si voles, latere nos quoque; sed mirarer, si diutiùs horâ ægrotantem, licet omnino sensus expers sit, latuerit. Putet itaque inuasisse hora decima; sit autem verum initium quod non decima, sed nona hora contigerit; quid hoc ad dies decretorios? In hoc artis medicæ opera nimis, vti vides, pereunt, quod ægrotantium nonnullos hora vna latuit. Hippocrates sanè medicorum omnium diligentissimus, vniuersa hæc quum obseruasset,

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Λύσις τῶν λόγων, τῶν εἰρημένων τὴν πρώτην ἀκριβῶς ἀρχὴν οἷόν τε λαβεῖν εἶναι.

Ἔστι δὲ οὗτος, ὁ ζητῶν ἥτις ποτὲ τῶν νοσημάτων ἡ ἀρχή. καὶ γὰρ ἀγρυπνοῦσι, καὶ ἀνορεκτοῦσι, καὶ κεφαλὰς βαρύνονται, καὶ νωθροὶ, καὶ δυσκίνητοι, καὶ κοπώδεις γίνονται, καὶ μυρία τοιαῦθ' ἕτερα πάσχουσιν οἱ πλεῖστοι τῶν μελλόντων νοσήσειν. καὶ ταῦτ' εἰσβάλλει μὲν αὐτοῖς τὴν πρώτην σμικρὰ, προαύξεται δὲ ἀεὶ, καὶ μᾶλλον κατὰ βραχὺ περιερχομένοις ἤδη, καὶ τὰ συνήθη πράττουσιν. ἐπειδὰν δὲ πρῶτον νικηθῶσιν ὑπὸ τοῦ δυσαρεστήματος, τηνικαῦτα κατακλίνονται. τίνα δὴ οὖν ἀρχὴν τῶν νοσημάτων θέσθαι προσήκει, χαλεπὸν εἶναι δοκεῖ. τὴν μὲν γὰρ ἀκριβῶς πρώτην, σχεδὸν ἀναίσθητον ὑπάρχειν. τὴν δ' ὅτε κατεκλίθη, κατακλίσεως μὲν ἀρχὴν εἶναι, νόσου δ' οὐκ εἶναι. καὶ γὰρ καὶ τὸ καρτερικοὺς ὑπάρχειν, καὶ ταλαιπώρους, καὶ τὸ κατέχεσθαι πρός τινος ἐπὶ πολιτικῆς πράξεως, ἢ καὶ βαδίζειν ὁδὸν μακροτέραν, καὶ πόρρω τῆς τοῦ οἴκου καταγωγῆς εἶναι, καὶ δι' ἄλλας τοιαύτας αἰτίας, δύναταί τις οὔπω μὲν κατακεκλίσθαι, κεκακῶσθαι δέ. καὶ μέν γε τὸ μαλακός τις τὴν γνώμην, καὶ ταλαίπωρος, καὶ δειλὸς, καὶ ὕποπτος, ἐπὶ μικραῖς προφάσεσιν εὐθὺς κατακλίνεται. τὴν τίνος οὖν κατάκλισιν ἀρχὴν τοῦ νοσήματος ὑποληπτέον, οὐκ ἄν τις ἐξεύροι ῥᾳδίως. καὶ μὴν εἰ μήτε τὴν πρώτην ἀκριβῶς ἀρχὴν οἷόν τε λαβεῖν ἐστι, μήτε τὴν κατάκλισιν εὔλογον ὑποθέσθαι τοῦ νοσήματος ἀρχὴν ὑπάρχειν, δῆλον, ὡς οὐδ' ἄλλον τινὰ χρόνον, ἢ τὸν πρὸ τῆς κατακλίσεως, ἢ τὸν μετ' αὐτήν. οἱ μὲν γὰρ ἔμπροσθεν ἅπαντες, ἀδίκως ληφθήσονται τῆς πρώτης ἀρχῆς παροφθείσης. οἱ δ' αὖ μετὰ τὴν κατάκλισιν, ἔτι ἀδικώτεροι εἰ μηδ' ὁ ταύτης χρόνος ἀρχὴ τοῦ νοσήματος ὑπάρχει. τοιαῦται μὲν αἱ ἀπορίαι, λύσεις δ' αὐτῶν πολυειδεῖς. ἡ μὲν πρώτη, καὶ μεγίστη, τὸ πολλὰς νόσους ἐξαίφνης εἰσβάλλειν, ἢ ἅμα ῥίγεσιν, ἢ σὺν ἀλγήμασιν ἰσχυροῖς, μηδενὸς ὅλως αἰσθητοῦ συμπτώματος αὐτῶν προηγησαμένου. τὰς οὖν ἄλλας ἐάσαντας νόσους ἐν αἷς ἀσαφεῖς αἱ ἀρχαὶ, τὴν πεῖραν τῶν κρινουσῶν ἡμερῶν ἐπὶ τῶν σαφεστάτων ποιούμεθα. καὶ γὰρ καὶ δειπνήσασιν εὐφορώτατα πολλοῖς, καὶ γυμνασαμένοις, καὶ λουσαμένοις, ἐξαίφνης εἰσέβαλε νοσήματα, καθάπερ καὶ Ἱπποκράτης ἐπὶ πολλῶν ἀρρώστων ἔγραψεν. ὥσπερ αὖ πάλιν ὁ αὐτὸς Ἱπποκράτης, ἐφ' ἑτέρων ἀρρώστων εἴωθε γράφειν, ὅτι πρὶν ὑπάρξασθαι νοσεῖν ὀρθοστάδην ἠνωχλοῦντο. καίτοι καὶ αὐτὸ τοῦτο λέγοντες, τὸ πρὶν ἄρξασθαι νοσεῖν, λελήθαμεν ἡμᾶς αὐτοὺς ἐξομολογούμενοι τἀληθές. ἀρχὴν γὰρ τοῦ νοσεῖν, ἐκεῖνον εἶναι νομιστέον αὐτοῖς τὸν χρόνον, ἡνίκα σαφῶς ἀρξάμενοι πυρέττειν κατεκλίθησαν. οὐ γὰρ δὴ ταὐτόν γέ ἐστι κεφαλῆς ἄλγημα, καὶ πυρετὸς, ὥσπερ οὐδ' ἀγρυπνία, καὶ ἀνορεξία, καὶ βάρος ὅλου τοῦ σώματος, ἢ κοπώδης αἴσθησις, ἀλλ' ἕκαστον τούτων ἕτερόν τι τοῦ πυρέττειν ὑπάρχον, ἀγγέλλει πυρετόν. σὺ μὲν οὖν, ὦ σοφιστὰ, τὸν νοῦν τούτοις πρόσεχε. πυρετὸς δ' εἰσβαλὼν, καὶ μάλιστ' ὀξὺς, οὔθ' ἡμᾶς λαθεῖν, οὔτ' ἰδιώτην οὐδένα δύναται. θὲς δ' εἰ βούλει, καὶ λαθεῖν, ἀλλὰ θαυμάζοιμ' ἂν εἰ πλέον ὥρας λήσει τὸν κάμνοντα, κἂν ἀναισθητότατος ᾖ. νομιζέσθω τοίνυν εἰσβεβληκέναι δεκάτης ὥρας, ἔστω δ' ἡ κατὰ ἀλήθειαν ἀρχὴ μὴ δεκάτης, ἀλλὰ θʹ. ὥρας γεγενημένη. τί τοῦτο πρὸς τὰς κρισίμους ἡμέρας, πάνυ γοῦν, ὡς ὁρᾷς, παρὰ τοῦτο τὰ τῆς ἰατρικῆς τέχνης ἔργα διαφθείρεται, παρ' ὅσον τῶν νοσούντων ἐνίους ἔλαθεν ὥρα μία. ὅ γέ τοι πάντων ἰατρῶν ἀκριβέστατος, συμπάντα τὰ τοιαῦτα παραφυλάξας Ἱπποκράτης,

ὥσπερ ὅτι πολλοὶ μὲν ἐξαίφνης ἤρξαντο πυρέττειν, οὐδενὸς ἔμπροσθεν αὐτοῖς γενομένου συμπτώματος. ἔνιοι δ' ὀρθοστάδην ἐνοχληθέντες ἀνέγραψεν, οὕτω καὶ τὰς κρίσεις ἐτήρησε γινομένας, ἀφ' ἧς πρώτης ἡμέρας ἐπύρεξεν ὁ ἄνθρωπος, οὐκ ἀφ' ἧς ἤλγησε κεφαλήν, ἤ τι τοιοῦτον ἕτερον ἠνωχλήθη. ἐπὶ ταῖς τοιαύταις γὰρ ἀρχαῖς, ἡ τῶν κρινουσῶν ἡμερῶν ἐμπειρία τοῖς ἰατροῖς. σὺ δ' εἰ τὰς λόγῳ θεωρητὰς ἀρχὰς ἐπισκοπεῖσθαι βούλει, τάχα τοῦ τῆς ἀειπαθείας ἐφάψῃ δόγματος· ἀλλ' οὐχ ἥ γε τῶν Ἀσκληπιαδῶν ἰατρικὴ τοιαύτη, λόγῳ γὰρ θεωρητοὺς ἐκεῖνοι, πυρετοὺς οὔτε διαγινώσκειν, οὔτε θεραπεύειν ἠξίουν. οἱ δ' αἰσθητοί, καὶ σαφεῖς, καὶ μάλιστα ὅταν ὀξεῖς ὦσιν. ἐφ' ὧν δὴ καὶ μάλιστα τῆς τῶν κρισίμων ἡμερῶν θεωρίας χρῄζομεν, οὔτ' ἰδιώτην οὐδένα λαθεῖν, οὔτε ἰατρὸν δύνανται. τί δὴ καὶ βούλει; πότερον ἐκ τῶν ἐξαίφνης κατακλιθέντων ποιήσασθαι τὴν τήρησιν, ἢ τῶν ὀρθοστάδην ἐνοχληθέντων; Ἱπποκράτης μὲν γὰρ ἐπ' ἀμφοτέρων ποιησάμενος, τὰς αὐτὰς ἐπ' ἀμφοῖν ἀπεφήνατο κρισίμους. οὐχ ὅτε πρῶτον ἤλγησε τὴν κεφαλήν, ἀλλ' ὅτε πρῶτον ἐπύρεξε, τὴν ἀρχὴν τοῦ νοσήματος ὑποθέμενος. οὕτω δὲ καὶ τῶν ἄλλων ἕκαστος, οἷς τῆς τέχνης ἐμέλησεν, οὐ λόγων ψευδῶν πιθανῶς συγκεκροτημένων. ἡ μὲν δὴ τῶν νοσημάτων ἀρχή, πάντων μᾶλλον εὔγνωστος ἰατροῖς. εἰ δέ τις ἑαυτὸν ἐξαιρεῖ τῆς προσηγορίας τῆσδε, καὶ μήπω πείθεται, καὶ ληρεῖν οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ Ἱπποκράτην, καὶ Διοκλέα, καὶ τοὺς ἄλλους ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα νομίζει, νικάτω νίκην τὴν Καδμείαν.

quemadmodum, quòd complures repentè nullo priùs oborto symptomate, quidam *stantes erecti fatigati, febricitare ceperunt*, memoriæ prodidit: ita iudicationes euenientes à primo die, quo febricitauit homo, non ab illo, quo capite doluit, vel huiusmodi aliud quippiam passus est, accuratè inspexit, quoniam in huiusmodi principiis decretoriorum dierum experientia medicis est. Porrò tu, si principia ratione contemplabilia vis inspicere, forsan perpetuæ inualetudinis, placitum attinges; at non Asclepiadarum medicina talis est. Ratione siquidem contemplabiles illi febres neque dignoscere, neque curare dignati sunt; sensiles autem & manifestas & potissimum quum acutæ sunt, in quibus & decretoriorum dierum contemplationem requirimus, neque idiotam quemlibet, neque medicum, latere possunt. Quid iam tibi vis? an iis, qui statim decubuerunt, obseruationem facere, vel qui rectè obambulantes defatigati sunt? Hippocrates etenim in vtrisque faciens, eosdem de ambobus decretorios pronunciauit; non vbi primum capite doluit, sed quum primum febricitauit, morbi initium constituens. Ita etiam singuli alij, quibus ars curæ est, non sermonibus falsis probabiliter contextis. Iam quidem morbi principium medicis facillimè cognoscitur. Siquis verò seipsum ab hac appellatione eximit, nondumque persuasum habet: tum nugari non solum nos, sed etiam Hippocratem, Dioclem, reliquosque alios, quorum prius mentionem fecimus, existimat: is Cadmeiam victoriam vincat.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῆς τῶν κρισίμων ἡμερῶν δυνάμεως πρὸς τοὺς σοφιστάς.

Ἐμοὶ γὰρ οὐ σοφιστὰς ἐξελέγχειν πρόκειται νῦν, ὅτι μὴ πάρεργον, ἀλλὰ τοῖς ἀλήθειαν σπουδάζουσιν, ἧς γινώσκω κοινωνῆσαι θεωρίας. ἔστω δή τις τοιοῦτος ἡμῖν ἄρρωστος ἐξ ὑποθέσεως, εἰς σαφήνειαν τῆς διδασκαλίας προκείμενος, τῇ δεκάτῃ τῆς ἡμέρας ὥρᾳ πυρέττειν ὀξέως ἀρξάμενος, ἐφ' οὗ ζητεῖν ἐπιτρέψαντες τοῖς σοφισταῖς τὴν λόγῳ θεωρητὴν ἀρχήν, αὖθις τὴν δευτέραν ἡμέραν, εἴ τιν' ἀρχὴν ἑτέραν ἐν αὐτῇ ποιεῖται παροξυσμὸς ἕτερος, αἰσθητήν, καὶ σαφῆ παραφυλάξομεν· εἶθ' οὕτω, καὶ τὴν τρίτην, ἵν' εἴτε διὰ τρίτης, εἴτε καὶ καθ' ἑκάστην ἡμέραν οἱ παροξυσμοὶ γίνονται, γινώσκωμεν. ἔτι δὲ τούτου μᾶλλον, εἴτ' ἐν ταῖς ἀρτίαις, εἴτ' ἐν ταῖς περιτταῖς ἡμέραις παροξύνεται σφοδρότερον. ἔστω δὴ συνεχὴς μὲν ὁ πυρετός, διὰ τρίτης δ' οἱ παροξυσμοί· καὶ τῇ τρίτῃ μὲν τῶν ἡμερῶν ἑνδεκάτης ὥρας, τῇ πέμπτῃ δὲ νυκτὸς ὥρας πρώτης παροξυνέσθω, τῇ δὲ ἑβδόμῃ νυκτὸς ὥρας τρίτης· ἀεὶ γὰρ ὑποκείσθω δυοῖν ὥραιν ὑστερίζειν τὸν παροξυσμόν, ὥστε καὶ τῆς ἐνάτης νυκτὸς ὥρᾳ πέμπτῃ παροξυνθήσεται, καὶ τῆς ἑνδεκάτης ἑβδόμῃ. ἔστω δὴ τούτῳ τὰ μὲν ἄλλα παραπλήσια δι' ὅλου τοῦ νοσήματος, ἀπὸ τῆς ἀρχῆς ἕως τῆς ἑνδεκάτης νυκτός. κατὰ δὲ τὴν ἑνδεκάτην εὐχρούστερά τε ἅμα γινέσθω τὰ οὖρα, καί τινα καὶ λευκὴν νεφέλην ποιείσθω, πρότερον οὐ γεγενημένην. ἐνταῦθα πρῶτον μὲν ἐλπὶς οὐ σμικρὰ τοῖς γε ὄντως ἰατροῖς, ἐν τῇ ιδ'. λυθήσεσθαι τὸ νόσημα. συμβαίνει μὴν πολλάκις ὑπερεκπίπτειν τὴν λύσιν εἴς τινα τῶν ἐφεξῆς ἡμερῶν. ἀλλὰ τοῦτο μὲν ὅπως γίνεται, τοῦ περὶ κρίσεων ἐστὶν ἴδιον λόγου, καὶ διὰ τοῦτο ἐν ἐκείνῳ ῥηθήσεται.

CAPVT VII.

De facultate dierum iudicatoriorum aduersus sophistas.

NOs enim sophistas reprehendere nunc non instituimus; quoniam superuacuum; verùm iis, qui veritatem sectantur, speculationem nostram impertimus. Ponamus iam huiusmodi quendam ægrum, clarioris doctrinæ gratia, qui decima diei hora acuta febre conflictari incipiat; vnde sophistis quærere iubentes principium ratione contemplabile, ipsi secundum diem, an aliquod aliud initium accessio altera in ipso faciat sensibile & clarum, obseruabimus; Dein eodem modo tertium, vt siue per triduum siue quotidie fiant accessiones, cognoscamus; hoc autem magis, siue in paribus, siue in imparibus diebus vehementius intendatur. Esto febris continua, per triduum verò accessiones; tertio quidem die, hora vndecima; quinto, noctis hora prima accessionem habet; septimo, noctis hora tertia; semper enim accessionem duabus horis post venire statuamus; quapropter etiam noni diei noctis hora quinta, vndecimi septima, fiet accessio. Sunto iam huic alia similia per vniuersum morbi decursum à principio ad vsque noctem vndecimam. Vndecimo verò die coloratiores simul vrinæ reddantur, & quasi albæ nubeculæ in iis innatent, priùs non visæ. Hîc non mediocris spes est verè medicis morbum in decimoquarto die solutum iri; euenit tamen subinde solutionem in dierum quendam sequentium incidere. At hoc quo pacto fiat, sermonis de iudiciis proprium existit, eaque de causa in illo dicemus, nunc

nunc autem de decretoriis diebus disserere proposuimus. Cuius autem gratia exemplũ requirebam, propius venire apparet. Inuadat enim quotacunque hora decimæ tertiæ noctis accessio cum rigore; fieri siquidem potest, vt horam consuetam præoccupet, aut non præoccupet; ambo enim eueniunt, magis tamen alterum, vt præoccupet, quum crisis futura est. Sit iam quoque molesta, grauisque, si placet, tota nox decimatertia facta, quo certius, firmiusq; crisim fore speremus; quoniam impossibile est eum, qui tam grauiter laborarit, in accessione, quæ decimatertia nocte incepit, non iudicari. Iam verò, vt nihil indefinitum sit, fingamus noctem grauem; inuadat accessio hora octaua cum vehementi rigore; nullumque aliud ex iis, quæ in crisibus superueniunt, symptoma adsit; pulsus fiat inordinatus, inæqualis; sed motus plures, elati, & magni appareant; huiusmodi æger, vbi accessio cum rigore inuadens vigorem suum receperit, sudare statim decretorio modo in decimoquarto videlicet die incipit; sic enim euenit, si decimatertia nocte, hora octaua, accessio inuadat. Itaque iam facilius pro euacuationis ratione spiret, moueatque sese, & pulsus edat meliores; tum facilis tolerantia ista comitetur; & toto die vniuersum corpus æqualiter sudet, dein ad vesperam in totum febri leuetur; talis æger tutò iudicatus est. Procedente tempore paulatim ipsum recreare cibis & reficere conuenit; nihil etiam timere, dies enim fida fuit, omnesque decretoriæ notæ concurrerunt. Nempe quòd vndecimo die in vrinis quid iudicatorium apparuit, signum est criseωs, quæ cum bonis signis meritò nuncupatur; item nox grauis, quæ accessionem præcedit, & insultus cum rigore, pulsuum commotio decretoria, sudores boni; atque ob hoc, clarum iudicium meritò nominatur; quod sine symptomatis horrendis euenerit, tutum: quinetiam perfectum, quod febrem perfectè discussit; bonum ob hoc ipsum, & quòd sine periculo. Quod igitur iudicio testimonium afferendum relinquitur? huic mihi animum adhibeas, quod fidele est iudicium, securum, & à metu de morbi recidiua remotum. Vnde hoc accepimus? nempe quòd alia singula ex vno quopiam, vel etiam duobus, vel pluribus quidem, sed non ex vniuersis factis, oriuntur: verùm quòd cum fide, omnibus, quæ commemorantur, indiget; in quibus diei quoque natura est; nam si aliis omnibus, quæ retuli, euenientibus, crisis in decimumquintum incidisset, non perinde secura esset. Fides igitur exquisita iudicij à die sigillatur, ac obsignatur; atque hic decretoriorum dierum est vsus. At si quis solos ipsos omne posse existimet, is non solùm plus ignorat, quàm cognoscit; imò sophistis etiam contradicendi occasionem præbet. Dicunt igitur statim; Si fidem in morborum solutionibus decimiquarti diei natura præberet, fidum ipsum esse, vel sine multis sudoribus, & salubribus oporteret. Quomodo autem sermo nugax sit, ego ne vel ostendere prorsus volui, sed singulos medicorum scholam frequentantes tantum priùs eruditos esse, quam frequentarent, vt saltem cauillationes, ac captiones adeo manifestas possint cognoscere. Huiusmodi si quidem nugacitas omne peruertit auxilium, neque venæ sectionem nonnunquam auxiliari demonstrans; si namque auxiliaretur, cur tandem non statim eos, quibus vena incisa est, in balneum dimittimus, audacterque nutrimus,

ὃ δέ γε νῦν εἴη, πρόκειται μὲν ὁ περὶ τῶν κρισίμων ἡμερῶν λόγος. οὗ δὴ ἕνεκα τοῦ παραδείγματος ἐδεήθην, ἐγγὺς ἥκειν ἔοικεν. εἰσβαλλέτω γὰρ ὁ τῆς τρισκαιδεκάτης νυκτὸς παροξυσμὸς, οἱαδηποτοῦν ὥρᾳ μετὰ ῥίγους. ἐνδέχεται γὰρ αὐτὸν καὶ προλαβεῖν τὴν ὥραν τὴν συνήθη, καὶ μὴ προλαβεῖν, ἄμφω γὰρ γίνεται, καὶ πλέον γε θάτερον τὸ προλαβεῖν, ὅταν μέλλῃ γενήσεσθαι κρίσις. ἔστω δὴ εἰ βούλει, καὶ δύσφορος ἡ τρισκαιδεκάτη νὺξ ἅπασα γεγενημένη, πρὸς τὸ βεβαιότερον ἡμᾶς ἐλπίσαι τὴν κρίσιν. οὐ γὰρ ἐνδέχεται τὸν οὕτω νοσήσαντα, μὴ κριθῆναι κατὰ τὸν ἐπὶ τῆς τρισκαιδεκάτης νυκτὸς ἀρξάμενον παροξυσμόν. ἵν' οὖν μηδὲν ἀδιόριστον εἴη, κείσθω μὲν ἡ νὺξ δύσφορος. εἰσβαλλέτω δὲ ὁ παροξυσμὸς, ὥρας ὀγδόης μετὰ ῥίγους σφοδροῦ, καὶ μηδὲν ἄλλο τῶν ταῖς κρίσεσι προεδρευόντων ἐπιφερέσθω σύμπτωμα. γινέσθω δὲ καὶ ὁ σφυγμὸς, ἄτακτος μὲν καὶ ἀνώμαλος, ἀλλ' αἱ πλείους κινήσεις, ὑψηλαὶ, καὶ μεγάλαι φαινέσθωσαν. ὁ τοιοῦτος ἄρρωστος, ἐπειδὰν ὁ μετὰ τοῦ ῥίγους γενόμενος παροξυσμὸς ἀπολάβῃ τὴν οἰκείαν ἀκμὴν, ἱδροῦν εὐθὺς ἄρχεται κρισίμως ἐν τῇ ιδʹ. δηλονότι τῶν ἡμερῶν. οὕτως γὰρ συμβαίνει τῆς ιγʹ. νυκτὸς, ὀγδόης ὥρας εἰσβάλλοντος τοῦ παροξυσμοῦ. γινέσθω τοίνυν πρὸς λόγον ἀεὶ τῆς κενώσεως, εὐπνούστερος, τε καὶ εὐκινητότερος, καὶ εὐσφυκτότερος, καὶ εὐφορώτερος. καὶ δι' ὅλης γε τῆς ἡμέρας ἱδρούτω πολλῷ, καὶ θερμῷ, διὰ παντὸς τοῦ σώματος, ὁμαλῶς, εἶτ' εἰς ἑσπέραν ἀκριβῶς ἀπύρετος γινέσθω ὁ τοιοῦτος ἄρρωστος ἀσφαλῶς κέκριται. καὶ χρὴ λοιπὸν ἀνατρέφειν αὐτὸν κατὰ βραχὺ, μηδὲν δεδιότας. ἥ τε γὰρ ἡμέρα πιστὴ, καὶ πάντα τὰ κριτικὰ γνωρίσματα συνέδραμεν, ὅτι μὲν ἐπὶ τῆς ιαʹ. ἡμέρας τὸ κρίσιμον ἐν τοῖς οὔροις ἐφάνη, σημεῖον ἐπισήμου τῆς κρίσεως εὐλόγως ῥηθείσης. ὅτι δὴ ἥ τε νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ, καὶ ἡ εἰσβολὴ μετὰ ῥίγους, καὶ ὁ τῶν σφυγμῶν σάλος ὁ κριτικὸς, καὶ οἱ ἱδρῶτες οἱ χρηστοὶ, διὰ τοῦτο σαφοῦς δικαίως ἂν ὀνομασθείσης. ὅτι δὲ ἄνευ συμπτωμάτων φοβερῶν, διὰ τοῦτ' ἀκινδύνου. καὶ μὲν δὴ καὶ τελείας μὲν, ὅτι τὸν πυρετὸν ἀπήλλαξε τελείως, ἀγαθῆς δὲ διά τε ταὐτὸ τοῦτο, καὶ ὅτι χωρὶς κινδύνου. τί δὴ οὖν ἔτι λείπει μαρτυρῆσαι τῇ κρίσει; τούτῳ μοι τὸν νοῦν ἤδη πρόσεχε, ὅτι πιστὴ, καὶ ἀσφαλὴς, καὶ φόβος οὐδεὶς ὑποτροπιάσαι τὸ νόσημα. πόθεν οὖν ἐλάβομεν τοῦτο; τῶν μὲν γὰρ ἄλλων ἕκαστον, ἐξ ἑνός τινος, ἢ καὶ δυοῖν; ἢ πλειόνων μὲν, ἀλλ' οὐκ ἐξ ἁπάντων γε τῶν γεγενημένων. τὸ δὴ ὅτι πιστὴ, πάντων δεῖται συναριθμουμένων, ἐν οἷς ἐστι, καὶ ἡ τῆς ἡμέρας φύσις. εἰ γὰρ καὶ τῶν ἄλλων ἁπάντων, ὧν εἴρηκα γεγενημένων εἰς τὴν πεντεκαιδεκάτην, ἐξέπεσεν ἡ κρίσις, οὐκ ἂν ὁμοίως ἦν ἀσφαλής. τὸ τοίνυν ἀκριβῶς πιστὸν ἐπισφραγίζεται παρὰ τῆς ἡμέρας, καὶ αὕτη τῶν κρισίμων ἡμερῶν ἡ χρεία. εἰ δέ τις ἡγεῖται μόνας αὐτὰς δύνασθαι τὸ πᾶν, οὗτος οὐ μόνον ἀγνοεῖ πλέον, ἢ οὗ γινώσκει, ἀλλὰ καὶ τοῖς σοφισταῖς ἀφορμὴν ἀντιλογίας παρέχει. ἐροῦσι γοῦν εὐθέως εἰ τὸ πιστὸν ἐν ταῖς τῶν νοσημάτων λύσεσιν, ἡ τῆς ιδʹ. ἡμέρας παρείχετο φύσις. ἐχρῆν εἴ γε καὶ χωρὶς ἱδρώτων πολλῶν, καὶ χρηστῶν ἁπάντως πιστὴν ὑπάρχειν αὐτήν. ὅπως δή ἐστι ληρώδης ὁ λόγος, ἐγὼ μὲν οὐδ' ἐπιδεικνύναι τὴν ἀρχὴν ἠβουλήθην, ἀλλ' ἕκαστον τῶν εἰς ἰατροῦ φοιτώντων εἰς τοσοῦτον προπεπαιδεῦσθαι πρὶν φοιτᾶν, ὡς τά γοῦν οὕτω πρόδηλα σοφίσματα διαγινώσκειν δύνασθαι. ταχὺ γὰρ ὁ τοιοῦτος λῆρος ἀνατρέπει πᾶν βοήθημα, μήτε φλεβοτομίαν ποτὲ βοηθεῖν ἀποφαίνων. εἰ γὰρ ἐβοήθει, τί δή ποτ' οὖν οὐκ εὐθέως εἰς βαλανεῖον ἀπολύομεν τοὺς φλεβοτομηθέντας, ἀδεῶς τε διαιτᾶσθαι κελεύομεν;

ἀλλ' ἐπὶ τῆς κλίνης συνέχομεν, καὶ λεπτῶς διαιτῶμεν, ἀλλὰ μηδὲ κατάπλασμα; καὶ γὰρ αὖ καὶ τοῦτο, καὶ τοὺς ἐμπιπλαμένους τε, καὶ λουομένους, καὶ μεθυσκομένους ὠφελεῖ. ἀλλὰ μηδὲ κλυστῆρα, μηδ' ἄλλο τῶν πάντων οὐδέν; ὅμοιος γὰρ ὁ λῆρος. ἀλλ' ἐπεί, τέχνην οὕτω θαυμαστήν, καὶ μεγάλην, ἀντὶ τῶν Ἀσκληπιαδῶν τῶν πάλαι, νῦν ἐριουργοί τε, καὶ τελῶναι μετέρχονται, χρὴ δή που καὶ ἡμᾶς ἐπαμύνειν αὐτῇ προπηλακιζομένῃ, καὶ λέγειν, ὡς εἴτε αἴτιον, εἴτε σημεῖον ὁποιονοῦν, εἰ μὲν ἓν ἑνός, ἢ ποιητικόν, ἢ δηλωτικὸν εἶναι λέγοιτο, δείξας τις ἀσθενοῦν αὐτὸ περὶ τὴν ἐπαγγελίαν, καὶ δεόμενον ἀεὶ παρουσίας ἑτέρου, καλῶς ἐξελέγχει τὴν δόξαν· εἰ δ' ἤτοι ποιεῖν, ἢ δηλοῦν ἅμα πλείω συνιόντα, ὅ δέ τι λέγοιτο, ληρώδης ὁ καταμόνας ἕκαστον αὐτῶν προχειριζόμενος. οὐ γὰρ ἓν ἕκαστον αὐτῶν ἰδίᾳ προσήκει διαβάλλειν, ὡς οὐχ ἱκανόν, ἀλλ' ἅμα σύμπαντα. φαίης γὰρ ἂν οὕτως, οἶμαι, κἂν εἰ δέκα μέν τινες οἷοί τ' εἶεν ἐπαίρειν βάρος ὁποιονοῦν. ἕκαστος δ' ἰδίᾳ μὴ δύναιτο, μηδὲν εἰς τὴν τοῦ παντὸς ἔργου συντέλειαν εἰσφέρεσθαι τὸν ἕνα. τί δὴ βούλει; πότερον αἰτίας εἶναι τὰς κρισίμους ἡμέρας τῆς πιστῆς λύσεως τῶν νοσημάτων, ἢ σημεῖα; κατ' ἄμφω γὰρ ἑτοίμως ἐξελέγχεται τὸ σόφισμα. βούλει πρότερον αἰτίας ὑποθώμεθα, καθάπερ καὶ τὴν φλεβοτομίαν, καὶ τὸν κλυστῆρα, καὶ τὸ κατάπλασμα, καὶ τῶν ἄλλων ἕκαστον βοηθημάτων αἴτιον ὑγείας εἶναι φαμέν. ἀλλ' ὥσπερ ἐκείνων οὐδὲν οὕτως ἦν ἰσχυρόν, ὡς αὐτὸ τῶν ἄλλων ὑγιάζειν, οὕτως οὐδ' ἡ κρίσιμος ἡμέρα. πάλιν οὖν εἰ βούλει, μηκέτ' αἰτίας αὐτάς, ἀλλὰ σημεῖα λέγωμεν, οἷα κἂν τοῖς οὔροις, καὶ διαχωρήμασι, καὶ πτύσμασι, καὶ τοῖς ἄλλοις ἅπασι τοῖς τοιούτοις ἐστίν. ἀλλ' οὐδ' ἐκείνων οὐδὲν ἱκανὸν ἦν μόνον σωτηρίαν, ἢ θάνατον ἐνδείξασθαι. καὶ μὴν εἰ μήθ' ὡς αἴτια, μήθ' ὡς σημεῖα τὰς κρισίμους ἡμέρας ἀξιώσαιμεν ἀεὶ μόνας, ἢ δρᾶν, ἢ δηλοῦν ταὐτόν, ἀλλὰ μετὰ συνόδου πλειόνων, οὐκέτι οὐδένα λόγον ἕξει τὸ σόφισμα αὐτῶν. οὐ γὰρ αὕτη βάσανος ὀρθὴ τῶν κρινουσῶν ἡμερῶν, τὸ καὶ χωρὶς τῶν ἄλλων σημείων τῶν κριτικῶν εἶναι πιστάς, ἀλλ' ἄλλη τις ἥπερ δὴ καὶ ὄντως ἐστίν. εἰ γὰρ δὴ τῶν ἄλλων ἁπάντων ὡσαύτως ἐχόντων, ὑπαλλαχθείη μόνον ἡ κρίσιμος ἡμέρα, πολὺ τοῦ πιστοῦ τῆς κρίσεως ἀφαιρεῖται. κἂν εἰ τῶν ἄλλων δὲ κριτικῶν σημείων μὴ πάνυ συμπεπληρωμένων προσθείης αὐτοῖς ἡμέραν κρίσιμον, ἕξεις τινὰ ἐλπίδα λύσεως ἀσφαλοῦς. καίτοι κἂν εἰ τοῦθ' ὑπῆρχε μόνον ταῖς κρισίμοις ἡμέραις, τὸ συντρέχειν αὐταῖς πολλάκις, ἤτοι τὰ πλεῖστα, καὶ μέγιστα τῶν κρισίμων σημείων, ἢ καὶ σύμπαντα. δίκαιον δήπου ἦν, διά γε τοῦτο μόνον ἰδίαν τινὰ φύσιν ὑπολαβεῖν εἶναι ἡμερῶν κρισίμων. ὁπότ' οὖν πρὸς τούτῳ, καὶ παρ' ἑαυτῶν τι συνεισφέρουσι, πολὺ δήπου μᾶλλον αὐτὰς τῶν μήτε συνεισφερουσῶν τι, μήτε τοῖς πολλοῖς τῶν κριτικῶν σημείων συντρεχουσῶν, ἀποκρινοῦμεν, ὡς ἰδίαν μὲν ἐκείνων τὴν φύσιν, ἰδίαν δὲ τούτων ἐχουσῶν; ἐμοὶ μὲν καὶ πάνυ δοκεῖ. πάλιν οὖν ἀποχωρήσαντες τῶν λυμαινομένων τοῖς καλλίστοις τῆς τέχνης σοφιστῶν, ἀναμνησθέντες τε τῆς προγεγραμμένης ὑποθέσεως ὀλίγον ἔμπροσθεν, ἕνεκα σαφοῦς διδασκαλίας, τὸν ἄρρωστον ἐκεῖνον ὃν συνεχῶς μὲν πυρέσσοντα, διὰ τρίτης δὲ παροξυνόμενον, εἰς τὴν ἑνδεκάτην ἡμέραν ἀγαγόντες τῷ λόγῳ, κριτικὸν ἐν τοῖς οὔροις ὑπεθέμεθα σημεῖον ἐσχηκέναι, κἄπειτα διὰ τῆς τεσσαρεσκαιδεκάτης κεκρίσθαι, νῦν μηκέθ' οὕτως, ἀλλ' ἔτ' αὖ ἄκριτον εἰς τὴν πεντεκαιδεκάτην ἀγαγόντες νύκτα, τὸν ἐν ταύτῃ παροξυσμὸν

A verùm in lecto continemus, & tenui victus ratione fouemus? quid, quòd nec cataplasma apponimus? etenim hoc repletos, lotos, & ebrios iuuat; quin nec clysterem, neq; ex omnibus aliud quodlibet? similis namque loquacitas est. Sed quoniam artem tam mirabilem, ac magnam pro Asclepiadibus, qui olim, lanifices nunc & telonæ tractant, oportet videlicet nos quoque eam oppugnatam vindicare dicereque, Si vna quæuis causa vnius rei efficiens esse, & vnum quoduis signum vnius rei index esse dicatur; ac quispiam ostendat hanc ipsam causam, & hoc ipsum signum minimè præ- B stare posse id, quod de ipsis enunciatum fuerat, vt quæ alterius præsentiam semper requirant, pulchrè opinionem reprehendet; si verò aut facere, aut indicare simul plura coëuntia, hoc aliquid dicatur, nugax est, qui seorsum ipsorum vnumquodque aggreditur; non enim vnumquodque ipsorum priuatim tanquam non sufficiens, sed vniuersa simul, subuertere conuenit. Dixeris equidem sic, puto, etsi decem aliqui pondus quodlibet attollere possint; singuli verò priuatim tanquam non possint, ad operis totius absolutioné nihil vnum conferre. Quid iam vis? vtrum decretorios dies fidæ morborum solutionis esse causas, an signa? in vtris- C que siquidem sophisma promptè deprehenditur. Vis priùs causas statuamus, quemadmodum & venæ sectionem, & clysterem, & cataplasma, aliaque singula præsidia causas sanitatis esse dicimus? verùm, vt illorum nullum adeo validum erat, vt sine aliis restituat sanitatem, ita nec decretorius dies. Rursus igitur, si tibi videtur, non causas, sed signa dicamus, qualia in vrinis, alui deiectionibus, sputo, atque huiusmodi aliis vniuersis cernuntur; sed nec illorum vllum solum poterat, vel salutem, vel mortem indicare. Atque si neque vt causas, neque vt signa decretorios dies censeam semper solos, aut D facere, aut indicare idem, verùm cum plurium congressu, nullam adhuc rationem sophisma ipsorum habebit. Non enim hæc decretoriorum dierum recta exploratio, quod etiam sine aliis signis decretoriis fidi sint; verùm alia quædam, quæ sanè re vera est. Nam si aliis vniuersis indiciis eodem modo habentibus, decretorius dies solùm fuerit immutatus, multum à criseως fide tolletur; quòd si verò aliis decernendi signis non admodum completis, decretorium ipsis diem apposueris, solutionis securæ spes quædam affulget. Iam verò, si hoc etiam solum decretoriis diebus adsit, nempè cum ipsis frequenter, vel plurima & maxima decreto- E ria signa, vel etiam vniuersa concurrere, æquum videlicet esset huius tantum occasione propriam quandam decretoriorum dierum naturam esse putare. Quum igitur ad hoc à se ipsis quoque aliquid adferunt in medium, non multo sanè magis ipsos ab illis, qui nihil inferunt, neque multis iudicandi signis concurrunt, separabimus, ceu propriam illi, propriam & hi naturam habeant? mihi quidem etiam admodum videtur. Itaque rursus à sophistis, qui artis optima conspurcant, recedentes, memores præscriptæ paulo ante hypotheseos, claritatis doctrinæ gratia, ægrum il- F lum, quem continuè febricitantem, per triduum accessionem experiri, ad diem vndecimum deducentes sermone, decretorium in vrinis posuimus signum habuisse, deinde quartodecimo iudicatum esse; Nunc haud ita sic, sed non iudicatum adhuc, in decimamquintam noctem accessionem, quæ in ea accidit, deducentes, similiter

similiter cum rigore inuadentem, pari modo sudore iudicari fingamus in die sextodecimo, vt euidenter cognoscamus quantam virtutem dies decretorius obtineat. Primùm etenim neque probè sudauerit hic ægrotus, neque perfectè in illo die febris eum dimiserit; quòd si aliquid vtique præter opinionem euenerit, sine fide omnino crisis est; item si æger quid peccet, morbus denuò reuertetur.

CAPVT VIII.

De regulis quibus comprehenditur dies iudicatorius, quando iudicium ad multos dies videtur pertinere.

Iterum ergo protrahentes eundem ægrotum, quarto die, signum decretorium habuisse ponamus, quemadmodum paulò supra de vndecimo statuimus; huic crisis septimo expectanda est. Contemplabilis enim in secunda septimana, vndecimus; in prima, quartus; & indicare natus est, sicut vndecimus quartumdecimum, ita quartus septimum, qualisnam erit. Fiat autem accessio in septima nocte, hora tertia, sicut priùs statutum est; item rigor, pulsuum mutationes eueniant; nocte iam finiente sudare incipiat; postea toto deinceps die octauo pulchrè sudet; postremo febri leuetur ad vesperam. Hic rursus animum mihi aduertas; cuius enim gratia ægrum produxerim, non paruum est. Siquidem in prima hypothesi decimatertia nocte accessionem expertus more decretorio, deinde quartodecimo febre liberatus, non decimotertio, sed decimoquarto, iudicatus esse dicebatur; nunc autem, sudores licèt ex morbi solutione in octauum diem totum exciderint, tamen septimo die hac iudicatus dici queat. Adhibendus enim animus est, neque simpliciter accessionum principiis, etiamsi cum decretoriis signis inuadant; neque quum primum sudare, vel alio quouis pacto inceperint iudicari; etenim solùm fidem non habet; imò nec quum primùm febris decessit; quin nec duo coëuntia, reliquo maiorem potentiam necessariò habent, etenim tria conuenientia omnem quæstionem tollere conspicuum est. Dico autem, si in vno aliquo die accessio cum signis decretoriis inuadat, & iudicium incipiat, & perfecta solutio sequatur; si quidem partitionem fecerimus, distinguetur primùm & maximè diebus, quos indices & contemplabiles appellant. Si namque vel quarto, vel vndecimo indice facto, crisis quolibet modo attigerit, vel septimum, vel decimumquartum, illorum ipsam crisim esse arbitrari oportet. Porrò si perfectè iudicium extra illos dies cadat, vt neque in illis incipiat, neque compleatur, constat non adhuc esse dicendum, morbum in septimo, aut decimoquarto iudicatum; verùm in alio quopiam die, qui totam crisim in se comprehendat. Et si tamen nullo indice priùs habito crisis subito contingat, duos attingens dies, ad notas has respiciens distingues, vtriusnam sit, nempè ad accessionum analogiam, ad dierum naturam, ad decernendi temporum numerum, ad ipsum iudicij tempus. Ad accessionum analogiam sic; imparibus diebus si æger magis laborarit, proprium magis diei imparis iudicium: quemadmodum, si paribus, illius proprium; nam in accessionibus plurimum iudicia contingunt. Cæ-

A ὁμοίως μὲν εἰσβαλόντα μετὰ ῥίγους, ὡσαύτως δὲ ἱδρῶτι κρινόμενον, ὑποθώμεθα κατὰ τὴν ἑκκαιδεκάτην ἡμέραν, ἵν' ἐναργῶς μάθωμεν, ὅσην τινὰ δύναμιν ἡμέρα κρίσιμος ἔχει. πρῶτον μὲν γὰρ οὐδ' ἂν καλῶς ὁ τοιοῦτος ἱδρώσειεν, οὐδ' ἂν τελέως ἀπύρετος γένοιτο κατ' ἐκείνην τὴν ἡμέραν. εἰ δ' ἄρα τι καὶ παράδοξον ἀπαντήσειεν, ἀλλ' ἄπιστός γε πάντως ἡ κρίσις, καὶ τι μικρὸν ἁμαρτόντος τοῦ κάμνοντος, ὑποστρέψει πάλιν τὸ νόσημα.

ΚΕΦΑΛΑΙΟΝ Η.

Περὶ κανόνων οἷς γνωρίζεται ἡ κρίσιμος ἡμέρα, ὅταν ἡ κρίσις πολλῶν ἡμερῶν ἐφάπτηται.

Πάλιν οὖν παρελκύσαντες τὸν αὐτὸν ἄρρωστον, ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν ὑποθώμεθα τὸ κριτικὸν ἐσχηκέναι σημεῖον, ὡς ὀλίγον ἔμπροσθεν ἐπὶ τῆς ἑνδεκάτης, ὑπεθέμεθα. τούτῳ τὴν κρίσιν ἑβδομαίαν προσδέχεσθαι. θεωρητὴ γὰρ ἐν μὲν τῇ δευτέρᾳ τῶν ἑβδομάδων ἡ ἑνδεκάτη, κατὰ δὲ τὴν προτέραν ἡ τετάρτη, καὶ δηλοῦν πέφυκεν, ὥσπερ ἡ ἑνδεκάτη τὴν τεσσαρεσκαιδεκάτην, οὕτως ἡ δ'. τὴν ζ'. ὁποία τις ἔσται. γινέσθω δὲ κατὰ τὴν ἑβδόμην νύκτα περὶ τὴν τρίτην ὥραν ὁ παροξυσμὸς, ὡς ἔμπροσθεν ὑπέ-

C κειτο, καὶ τὰ τοῦ ῥίγους, καὶ τὰ τῶν σφυγμῶν ὡσαύτως ἀπαντάτω, καὶ νυκτὸς ἤδη παυομένης, ἱδροῦν ἀρχέσθω, κἄπειτα δι' ὅλης τῆς ἑξῆς ἡμέρας τῆς ὀγδόης ἱδρούτω καλῶς, εἶτ' ἀπύρετος εἰς τὴν ἑσπέραν γινέσθω. πρόσεχε δή μοι πάλιν ἐνταῦθα τὸν νοῦν, οὗ γὰρ ἕνεκα παρείλκυσα μὲν τὸν ἄρρωστον, οὐ μικρόν ἐστι. κατὰ μὲν γὰρ τὴν προτέραν ὑπόθεσιν ἐν τῇ ιγ'. νυκτὶ παροξυνθεὶς κρισίμως, εἶτ' ἐν τῇ ιδ'. γενόμενος ἀπύρετος, οὐ τρισκαιδεκαταῖος, ἀλλὰ τεσσαρεσκαιδεκαταῖος ἐλέγετο κεκρίσθαι. νυνὶ δὲ καίτοι τῶν ἱδρώτων, καὶ τῆς λύσεως τοῦ νοσήματος εἰς τὴν ὀγδόην ἡμέραν ὅλην ἐκπεσόντων, ὅμως ἑβδομαῖος ἂν ὁ τοιοῦτος κεκρίσθαι λέγοιτο.

D προσέχειν γὰρ χρὴ τὸν νοῦν, οὔθ' ἁπλῶς τῶν παροξυσμῶν ταῖς ἀρχαῖς, εἰ καὶ μετὰ κριτικῶν εἰσβάλλοιεν σημείων, οὔθ' ὅταν πρῶτον ἱδροῦν, ἢ ἄλλως πως ὑπάρξωνται κρίνεσθαι. τὸ γὰρ καὶ τοῦτο μόνον οὐ πιστὸν, ἀλλ' οὐδ' ὅτε πρῶτον ἀπύρετοι γίνονται. οὐ μὴν οὐδὲ τὰ δύο συνιόντα, πλείονα τοῦ λοιποῦ τὴν δύναμιν ἐξ ἀνάγκης ἔχει. τὰ μὲν γὰρ τρία συνερχόμενα, δῆλον, ὡς ἐξαιρεῖ πᾶν ζήτημα. λέγω δ' εἰ κατά τινα μίαν ἡμέραν, ὅ, τε παροξυσμὸς εἰσβάλλοι μετὰ τῶν κρινόντων σημείων, ἥ τε κρίσις ὑπάρξαιτο, καὶ ἡ τελεία λύσις ἀκολουθήσειεν. εἰ μέντοι μερισθείη, διαιρείσθω πρῶτον μὲν, καὶ μάλιστα ταῖς ἐπιδήλοις τε, καὶ θεωρηταῖς ἡμέραις ὀνο-

E μαζομέναις. ἂν γὰρ ἤτοι τῆς τετάρτης, ἢ τῆς ἑνδεκάτης ἐπιδήλου γενομένης, ἡ κρίσις ἐφάψηται καθ' ὁντιναοῦν τρόπον, ἤτοι τῆς ἑβδόμης, ἢ τῆς ιδ'. ἐκείνων εἶναι χρὴ νομίζειν αὐτήν. εἰ δ' ἐκπέσοι τελέως αὐτῶν, ὡς μήτ' ἄρξασθαι κατ' αὐτὰς, μήτε συμπληρωθῆναι, δῆλον, ὡς οὐκέτι μὲν ἐγχωρεῖ λέγειν ἑβδομαῖον, ἢ τεσσαρεσκαιδεκαταῖον κεκρίσθαι νόσημα. κατ' ἄλλην δέ τινα τῶν ἡμερῶν, ἥ τις ἂν ὅλην τὴν κρίσιν ἐν αὐτῇ περιλάβοι. εἰ μέντοι μηδεμιᾶς ἐπιδήλου προγενομένης, ἐξαίφνης γένοιτο κρίσις ἐφαπτομένη δυοῖν ἡμερῶν, εἰς ταῦτα ἀποβλέπων τὰ γνωρίσματα, διορίζεσθαι ποτέρας αὐτῶν ἐστ' εἰς τὴν τῶν παρο-

F ξυσμῶν ἀναλογίαν, εἰς τὴν τῶν ἡμερῶν φύσιν· εἰς τὸν ἀριθμὸν τῶν κριτικῶν καιρῶν· εἰς αὐτὸν τὸν χρόνον τῆς κρίσεως· εἰς μὲν τὴν τῶν παροξυσμῶν ἀναλογίαν, ὧδε. ταῖς μὲν περιτταῖς ἡμέραις μᾶλλον πονοῦντος τοῦ κάμνοντος, οἰκειοτέρα τῆς περιττῆς ἡμέρας ἡ κρίσις, ὥσπερ εἰ καὶ ταῖς ἀρτίαις ἐκείνης ἴδιος· ἐν γὰρ τοῖς παροξυσμοῖς αἱ κρίσεις γίνονται τὰ πολλά· εἰς

δ' αὐτὴν τῶν ἡμερῶν τὴν φύσιν, ὧδέ πως· εἰ γὰρ ἀμφισβητοῖτο πότερον ἐννάτης ἐστὶν ἡμέρας, ἢ δεκάτης ἡ κρίσις· εἰ μὲν γὰρ ἀγαθὴ, καὶ τελεία, καὶ ἀκίνδυνος, ἐννάτης μᾶλλόν ἐστιν. εἰ δ' ἀτελὴς, καὶ φαύλη, καὶ κινδυνώδης, δεκάτης. εἰς δὲ τὸν ἀριθμὸν τῶν κριτικῶν καιρῶν ἐπεὶ τρεῖς ἦσαν οὗτοι, ἡ ἀρχὴ τοῦ κριτικοῦ παροξυσμοῦ, ἡ ἀρχὴ τῆς κριτικῆς κινήσεως, τὸ τέλος αὐτῆς τῆς κρίσεως, ἡ τοὺς δύο ἐξ αὐτῶν λαβοῦσα εἰς ἑαυτὴν ἡμέρα, σφετερίζεται μᾶλλον τὴν κρίσιν. οὕτω δὲ καὶ αὐτὸς ὁ χρόνος ὁ κρίσεως ὁποτέρας ἂν ᾖ τῶν ἡμερῶν μακρότερος, ἐκείνῃ μᾶλλον προσνέμειν τὴν κρίσιν. εἰ μὲν δὴ τὰ τέτταρα ταῦτα γνωρίσματα μιᾶς ἡμέρας εἰσηγοῖτο, ταύτῃ καὶ σὺ προσνέμειν τὴν κρίσιν. εἰ δ' ἓν ἐξ αὐτῶν ἀπολείποιτο, προσνέμειν ἔτι καὶ οὕτως. ἀλλ' ἤδη καὶ τὴν ἑτέραν αὐτῆς μεμερίσθαι νομιστέον. εἰ δ' ἴσα τὰ γνωρίσματα εἴη, καὶ τὴν κρίσιν οὕτω κοινὴν ἀμφοτέρων εἶναι τῶν ἡμερῶν προσληπτέον. ἐνίοτε δ' οὐ δυοῖν μόνον, ἀλλὰ καὶ τριῶν ἡμερῶν ἡ κρίσις ἐφάπτεται. πάλιν οὖν ἐνταῦθα, τὴν μέσην μὲν ἐστὶν ἐπὶ τῷ μήκει τοῦ χρόνου προσθετέον. οὐ μὴν αὐτῇ γε τὸ σύμπαν δοτέον, ἀλλὰ πρῶτον μὲν εἰ χωρὶς ἐπιδήλου τε, καὶ θεωρητῆς ἡμέρας ἡ κρίσις ἐγένετο, σκεπτέον. εἴρηται γὰρ, ὅτι μεγίστην δύναμιν ἔχει τοῦτο. δεύτερον δὲ, καὶ τοῖς ἄλλοις κανόσι προσχρηστέον, οὓς νῦν ἤδη πέπαυμαι λέγων, ἀναλογίᾳ παροξυσμῶν, τῇ φύσει ἡμερῶν, καὶ ἀριθμὸν κριτικῶν καιρῶν, τῷ αὐτῷ τὸν τῆς κρίσεως χρόνον.

terum ad dierum naturam hoc pacto; si ambigas, vtrum noni diei, vel decimi sit iudicium; si enim salubre, ac bonum, perfectum, sine periculo, noni magis est; si imperfectum, malum, & periculosum, decimi. Ad numerum decernendi temporum, quoniam hæc tria erant, decretoriæ accessionis initium, decretoriæ motionis principium, finis ipse iudicij; qui dies tempora duo accipit in sese, magis iudicium sibi vendicat. Sic & ipsum tempus iudicij vtra die fuerit longius, illi magis iudicium attribuendum est. Si igitur quatuor quidem hæ notæ vno die introducantur, huic tu quoque iudicium attribues; & si vna ex his relinquatur, sic quoque adhuc adscribes; sed iam & alterum ipsius crisis participem fieri putabis; si verò æquales notæ fuerint, iudicium quoque vtriusque diei commune esse censebis. Interim verò non duos modo, sed tres etiam dies, iudicium attingit. Iterum igitur hîc mediam, quantum ad temporis longitudinem attinet, præpones; non tamen vniuersum ei concedes, sed primùm quidem, si absque indice & contemplabili die crisis fuerit, considerandum est, quoniam diximus maximam hoc potentiam habere. Secundò regulis quoque aliis, quas modo enarrare desij, vtendum est, nempe accessionum collatione, dierum natura, decernendi temporum numero, & ipso iudicij tempore.

ΚΕΦΑΛΑΙΟΝ Θ.

Περὶ πρώτης τε καὶ τῆς δευτέρας ἡμέρας καὶ περὶ ὀνόματος τῆς κρίσεως.

Ἐπειδὴ δὲ καὶ περὶ τούτων αὐτάρκως διώρισται, πάλιν ἐπανελθόντες ὥσπερ ἔμπροσθεν, ἄχρι τῆς κ΄ ἡμέρας, οὕτως ἤδη τὰς μετ' ἐκείνην ἐξαριθμήσομεν κρισίμους. τοσοῦτον μόνον ἔτι τοῖς ἔμπροσθεν εἰρημένοις ἤδη προσθέντες, ὅσον εἴς τε τὰ νῦν εἰρημένα χρήσιμον ὑπάρχει, καὶ μηδὲν ἐν τοῖς ἤδη λελεγμένοις ἀπολείπεσθαι ζήτημα. τί δ' ἐστὶ τοῦτο, περὶ τῆς πρώτης ἡμέρας ἐν τοῖς νοσήμασι, καὶ τῆς δευτέρας, οὐδὲν εἴπομεν ἐν τῷ πρόσθεν λόγῳ, καίτοι τοῖς γε περὶ τὸν Διοκλέα, καὶ αὗται κρίνειν ἔδοξαν. ὅπως οὖν χρὴ καὶ περὶ τοῦδε γινώσκειν, διαιρετέον. εἰ μὲν γὰρ ἡ προηγουμένη τῆς λύσεως τοῦ νοσήματος ὀξεῖα ταραχὴ κατὰ τὸ τοῦ κάμνοντος σῶμα κρίσις ὀνομάζεται, μήτε τὴν πρώτην ἡμέραν, μήτε τὴν δευτέραν προσληπτέον εἶναι κρισίμους. ὁ γὰρ δὴ σάλος ὁ προηγούμενος τῆς λύσεως, οὐδαμῶς ἐπιφανὴς ἐν ταύταις γίνεται. εἰ δὲ τὴν λύσιν ἁπλῶς ὀνομαστέον ἐστὶ κρίσιν, εἶεν ἂν καὶ αἵδε κρίσιμοι. πάντες γοῦν οἱ ἐφήμεροι προσαγορευόμενοι πυρετοὶ, τὴν λύσιν, οἱ μὲν ἐν τῇ πρώτῃ τῶν ἡμερῶν εὐθὺς, οἱ δ' ἐν τῇ δευτέρᾳ ποιοῦνται. περὶ σημαινομένου τοίνυν ἡ ζήτησις κἀνταῦθα μᾶλλον, ἢ περὶ πράγματος. αὐτὸ γὰρ τὸ πρᾶγμα, τὸ λύεσθαι πολλοὺς τῶν πυρετῶν εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις, οὐδεὶς ἀγνοεῖ. τῆς δ' αὐτῆς ἔχεται ζητήσεως κἀκεῖνο, πότερον ἐπειδὰν εἰς λύσιν τοῦ νοσήματος ἡ γινομένη ταραχὴ τελευτήσῃ, κεκρίσθαι λεκτέον, ἢ κἂν ἀξιόλογός τις γίνηται μεταβολή. καὶ μὲν δὴ καὶ αὐτὸ τὸ λύσεως τοὔνομα, πότερον ἐπειδὰν εἰς ὑγείαν ὁ κάμνων μεταστῇ μόνον ἐπενεκτέον ἐστὶν, ἢ κἀπειδὰν ἀκολουθήσῃ θάνατος, ἔτι λελύσθαι καὶ οὕτω λεκτέον τὸ νόσημα, πολλὴν ἔσχηκε ζήτησιν. ὅτῳ δὲ καὶ τὰ τοιαῦτα σχολὴ ζητεῖν, αὖθις εἰρήσεται. νυνὶ δὲ ἐν τούτῳ τῷ πρώτῳ λόγῳ πρόκειταί μοι τὸ χρήσιμον αὐτὸ δεῖξαι μόνον, ὃ καὶ χωρὶς ἀποδείξεων λογικῶν ἐξ ὑποθέσεως ἀφαιρεῖσθαι δύναται.

CAPVT IX.

De prima ac secunda die; & de nomine crisis.

QVoniam verò de his abundè satis definitum est, reuersi denuo, vti priùs vsque ad diem vigesimum, ita iam post illum decretorios enumerabimus; tantummodo priùs relatis iam adiicientes, quantum ad præsentem disputationem conducit, item ne vlla iam commemoratis quæstio desit. Quid autem hoc est? De primo die in morbis, & secundo, non diximus in superiore sermone, etsi Diocli hi quoque decernere de morbis visi sunt. Quomodo igitur de hoc intelligendum sit, distinctione docebimus. Nam si præceps, ac subita in ægrotantis corpore perturbatio, morbi solutionem præcedens, crisis nominatur, neque primum diem, neque secundum decretorios esse censebimus, quia illa velut iactatio quæ solutionem præcedit, nequaquam in his est conspicua; si verò solutionem simpliciter, iudicium voces, hi quoque erunt decretorij. Certè omnes febres diariæ solutionem partim in primo statim die, partim in secundo, nanciscuntur. De significatu igitur quæstio hic magis est, quàm de re ipsa; ipsam enim rem, liberari videlicet plerosque febribus in primis statim diebus, nemo ignorat. Ad hoc genus quæstionis pertinet illud quoque, an, quum perturbatio facta in morbi solutionem finierit, crisim esse factam dicendum; an quum insignis quæpiam mutatio acciderit. Quinetiam ipsum solutionis nomen, vtrum, quum ad sanitatem æger reciderit, duntaxat inferendum sit; an etiam, vbi mors secuta, adhuc morbum sic quoque solutum fuisse dicendum sit; magnam inquisitionem obtinet. Quum verò huiusmodi disquirendi otium suppetet, rursus exponemus. Nunc autem in hoc priore commentario solam ipsam vtilitatem commonstrare proposuimus, quam & sine demonstrationibus logicis, ex hypothesi colligere possum.

Fingamus

Fingamus enim perturbationem ante exactam solutionem, crisim simpliciter appellari; aliarum nulla crisis absolutè, verùm quæ ad perniciem tendit, mala crisis totum hoc nominetur; quæ insigne quidem momentum attulit, morbum verò non soluit perfectè, deficiens appelletur; alia quæ insigniter ad peiora declinat, imperfecta simul, & mala. Sic quidem, quum singulas res priuatim absolutè, claréque indicare voluerimus. Interdum verò interpretationibus defectiuis appellatis vtentes, iudicia nominamus vniuersas quatuor differentias, citra appositionem mali, vel imperfecti. Atque hanc deficientem interpretationem apud omnes homines satis in vsu esse, alibi declaratum est copiosius; sed nunc quoque dicemus, quantum ad præsens institutum est. Chœnicem sanè, & cubitum, & pedem, aut aliam quandam mensuram, neque quum maior, quàm par sit, existat, neque quum minor iusto, eodem appellasse vocabulo conuenit, quoniam quantitatem aliquam certam vnumquodque tale nomen indicat; attamen est, quum chœnicem minorem, maioremque, ac conuenit, nuncupamus; similiter cubitum, pedem, & alias quasdam mensuras. At quum exactè interpretamur, non cubitum simpliciter, sed magnum cubitū, aut paruum, nominamus; absolutè verò, solum iustum. Aliquando nonnulla secundum vehementem excessum, generis totius appellationem sortiuntur; quemadmodum etiam, apud poëtam scribi dicimus, alium præter Homerum, neminē intelligentes, infiniti licet alij poëtæ sint. Eiusmodi est, quod dicitur apud comicum; *Et rarum est, vt, qui homo, sit homo. Nam agrestem, belluinum, amentem, rusticum, non secundum hominis naturam esse putantes, ad integros in ea natura, & consummatos nomen transferimus.* Siue igitur sic per excessum quendam iudicij nomen dicimus, siue iuxta priorem rationem, alterius temporis est disputatio. Quod autem ad medicinæ opera momenti afferat, iam colligere est ex præscriptorum nominum hypothesi. Quod enim omnes iudiciorum notas habet, iudicium absoluto sermone vocatur; alia cum appositione nominis appellabuntur. Iam si non subitæ mutationis perturbationem, verùm solam ipsam mutationem voluerit quispiam crisim nominare, bona quidem simulque perfecta solutio simplici sermone, crisis vocabitur; reliquæ cum appositione omnes.

CAPVT X.

De iudicatoriis diebus, qui post 20. enumerantur.

PRoinde qui post vigesimū diē decretorij? hoc enim vnà mihi propositū est percēsere. Archigenes sanè, Dioclesq; 21. ante omnes potissimum primo loco dignantur; etenim Archigenes ipsum 20. præponit; mihi tamen aliter visum est, sicut & Hippocrati; ostendetur autē id in sequentibus. Simili modo etiam de vigesimoseptimo habet; siquidē ego hunc etiam vigesimooctauo antepono; illi postponunt. Habet autē trigesimusquartus potentiam insignem, atque hoc magis quadragesimus. His minus decernunt vigesimusquartus, & trigesimusprimus; & multo his adhuc minus trigesimusseptimus, ita, vt in dierum decernentium, & eorum, qui non decernunt, medio collocatus esse videatur, & magis ex non decernentibus esse.

A ὑποκείσθω γὰρ ἡμῖν ἡ μὲν ἡ πρὸ τῆς ἀκριβοῦς λύσεως ταραχὴ, κρίσιν ἁπλῶς ὀνομάζεσθαι. τῶν δ' ἄλλων οὐδεμία κρίσις ἁπλῶς, ἀλλ' ἡ μὲν εἰς ὄλεθρον τελευτῶσα, κακὴ κρίσις, ὅλον τοῦτο καλείσθω. ἡ δ' ἀξιόλογον μὲν τὴν ῥοπὴν ποιησαμένη, μὴ λύσασα δὲ τὴν νόσον τελείως, ἐλλιπὴς κρίσις ὀνομαζέσθω. ἡ λοιπὴ δ' ἡ ῥοπὴν ἀξιόλογον ἐπὶ τὸ χεῖρον, ἀτελής τε ἅμα, καὶ κακὴ προσαγορευέσθω κρίσις. οὕτω μὲν ἐπειδὰν τελέως τε, καὶ σαφῶς δηλῶσαι βουληθῶμεν ἕκαστον ἰδίᾳ τῶν πραγμάτων, ἐνίοτε δὲ ταῖς ὀνομαζομέναις ἐλλειπτικαῖς ἑρμηνείαις χρώμενοι, κρίσεις ὀνομάζομεν ἁπάσας τὰς τέσσαρας διαφοράς, παραλιπόντες προσθεῖναι τὸ, κακὴν, ἢ ἀτελῆ. καὶ ὡς τοῦτο B τὸ τῆς ἐλλιποῦς ἑρμηνείας, ἱκανῶς ἐστὶ συνηθὲς ἅπασιν ἀνθρώποις, εἴρηται μὲν ἐπὶ πλέον ἐν ἑτέροις. εἰρήσεται δὲ καὶ νῦν, ὅσον ἐξαρκεῖ πρὸς τὰ παρόντα. χοίνικα γοῦν, καὶ πῆχυν, καὶ πόδα, καὶ τῶν ἄλλων τι μέτρων, οὔτ' ἐπειδὰν ᾖ τι μεῖζον τοῦ δέοντος, οὔτ' ἐπειδὰν ἔλαττον, οὕτως ὀνομάζειν προσῆκεν, ἐπειδὴ ποσοῦ τινος ὡρισμένου τῶν ὀνομάτων τῶν τοιούτων ἕκαστόν ἐστι δηλωτικόν. ἀλλ' ὅμως καὶ τὴν ἐλάττονα, καὶ τὴν μείζονα τοῦ δέοντος, ἔστιν ὅτε χοίνικα προσαγορεύομεν. ὡσαύτως δὲ καὶ τὸν πῆχύν τε, καὶ τὸν πόδα, καὶ τῶν ἄλλων ἕκαστον. C ἀλλ' ὅταν ἀκριβῶς ἑρμηνεύωμεν, οὐ πῆχυν ἁπλῶς, ἀλλὰ μέγαν πῆχυν, καὶ μικρὸν ὀνομάζομεν, ἁπλῶς δὲ τὸν δίκαιον μόνον. ἔστι δ' ὅτε καὶ κατ' ἐξοχὴν ὑπεροχὴν, ἔνια τὴν τοῦ γένους ὅλου προσηγορίαν σφετερίζεται. ὥσπερ καὶ παρὰ τῷ ποιητῇ λέγεσθαί φαμεν τόδε τι, οὐκ ἂν οὐδενὸς ἄλλου παρὰ τὸν Ὅμηρον ἀκουομένου, καίτοι μυρίοι γ' εἰσὶν ἄλλοι ποιηταί. τοιοῦτον δ' ἐστὶ, καὶ τὸ παρὰ τῷ Κωμικῷ. καὶ σπάνιόν ἐστ' ἄνθρωπος ὅτ' ἄνθρωπος. τὸν γὰρ ἄγριον, καὶ τὸν θηριώδη, καὶ τὸν ἀνόητον, καὶ τὸν σκαιὸν, οὐ κατὰ τὴν ἀνθρώπου φύσιν ὑπάρχειν νομίζοντες, ἐπὶ τοὺς κατορθοῦντας ἐν τῇ φύσει, τοὔνομα φέρομεν. εἴτ' οὖν οὕτω D καθ' ὑπεροχήν τινα, τὸ τῆς κρίσεως ὄνομα λέγομεν, εἴτε κατὰ τὸν πρότερον λόγον, ἑτέρου διασκέψασθαι καιροῦ. τὸ δ' εἰς τὰ ἔργα τῆς ἰατρικῆς διαφέρον, ἤδη φαίνεσθαι δύναται, κατὰ τὴν τῶν προγεγραμμένων ὀνομάτων ὑπόθεσιν. ἡ μὲν γὰρ πάντ' ἔχουσα τὰ τῶν κρίσεων γνωρίσματα, κρίσις ἁπλῶς, αἱ δ' ἄλλαι μετὰ προσθήκης ὀνομασθήσονται. καὶ μὲν δὴ, κἂν εἰ μὴ τὴν τῆς ἀθρόας μεταβολῆς ταραχὴν, ἀλλ' αὐτὴν μόνην μεταβολὴν ἀξιώσειέ τις ὀνομάζεσθαι κρίσιν, ἡ μὲν ἀγαθή τε ἅμα, καὶ τελεία λύσις, ἁπλῶς ἂν ὀνομάζοιτο κρίσις, αἱ δ' ἄλλαι μετὰ προσθήκης ἅπασαι.

E

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῶν μετὰ τὴν εἰκοστὴν κρισίμων ἡμερῶν.

TΙνες μὲν οὖν αἱ μετὰ τὴν εἰκοστὴν ἡμέραι κρίσιμοι; τοῦτο γὰρ καὶ ἔτι πρόκειται διελθεῖν. τὴν μὲν εἰκοστὴν πρώτην, οἱ περὶ τὸν Ἀρχιγένην τε, καὶ Διοκλέα, πρώτην πασῶν μάλιστα προσίενται. καὶ γὰρ ὁ Ἀρχιγένης, καὶ τῆς εἰκοστῆς αὐτὴν προκρίνει. ἐμοὶ δ' οὐχ οὕτως ἐφάνη, καθάπερ οὐδ' Ἱπποκράτει. δεδείξεται δὲ τοῦτο διὰ τῶν ἐφεξῆς, ὡσαύτως F δὲ καὶ περὶ τῆς κζ'. ἔχει. καὶ γὰρ ἐγὼ μὲν, καὶ ταύτην προτάττω τῆς κη'. ἐκεῖνοι δ' ὑποτάττουσιν. ἔχει δὲ καὶ ἡ λδ'. δύναμιν ἀξιόλογον, καὶ ταύτης ἔτι μᾶλλον ἡ τεσσαρακοστή. τούτων δ' ἧττον κρίνουσιν ἥ τε κδ'. καὶ ἡ λα'. καὶ πολὺ τούτων ἔθ' ἧττον ἡ λζ'. ὡς ἐν μεθορίῳ τετάχθαι δοκεῖν τῶν κρινουσῶν ἡμερῶν τε, καὶ μὴ, καὶ μᾶλλον ἐκ τῶν μὴ κρινουσῶν εἶναι.

τὸ δ' ἄλλο πᾶν πλῆθος τῶν ἡμερῶν, τὸ μεταξὺ τῆς εἰκοστῆς, καὶ τῆς τεσσαρακοστῆς ἄκριτον ἁπλῶς ἐστίν. ἄκουσον δ' αὐτὰς ἤδη λεγομένας ἐφεξῆς εἰκοστῆς δευτέρας, καὶ εἰκοστῆς τρίτης, καὶ εἰκοστῆς πέμπτης, καὶ εἰκοστῆς ἕκτης, καὶ εἰκοστῆς ἐνάτης, καὶ τριακοστῆς, καὶ τριακοστῆς δευτέρας, καὶ τριακοστῆς τρίτης, καὶ τριακοστῆς πέμπτης, καὶ τριακοστῆς ἕκτης, καὶ τριακοστῆς ὀγδόης, καὶ τριακοστῆς ἐνάτης. αἱ σύμπασαι δώδεκα. φέρουσι δὲ μεγάλους μὲν σάλους, αἱ μέχρι τῆς τεσσαρεσκαιδεκάτης· ἔγγιστα δὲ αὐτῶν εἰσιν, αἱ μέχρι τῆς εἰκοστῆς, αἱ δὲ ἀπὸ τῆσδε σύμπασαι, αἱ μέχρι τῆς τεσσαρακοστῆς ἐκλύουσι κατὰ βραχὺ τὸ ἀγωνιστικόν. ὡς αἵ γε μετὰ τὴν τεσσαρακοστὴν ἅπασαι τελέως εἰσὶν ἔκλυτοι, πέψεσι μᾶλλον, καὶ ἀποστάσεσι τὰς λύσεις τῶν νοσημάτων, ἢ ἐκκρίσεσι ποιούμεναι. γίνονται μὲν κἀν ταύταις ἐνίοτε δι' ἐκκρίσεων αἱ κρίσεις, ἀλλὰ σπάνιοί εἰσι, καὶ οὐ μέγαν ἔχουσι τὸν ἀγῶνα. καὶ τὰ πολλὰ πλείοσιν ἡμέραις αἱ κρίσεις συμπληροῦνται, καὶ μάλιστα ὅταν εἰς ἀπόσκημμα τρέπωνται. τῶν μὲν οὖν ἄλλων τῶν μετὰ τὴν τεσσαρακοστὴν ἡμέραν τελέως ἔοικεν ὁ Ἱπποκράτης καταφρονεῖν. ἑξηκοστὴν δὲ καὶ ὀγδοηκοστήν, καὶ ἑκατοστὴν εἰκοστὴν ἐν λόγῳ τίθεται. μετὰ δὲ ταύτας τὰς μὲν ἐν ἑπτὰ μησί, τὰς δ' ἐν ἑπτὰ ἔτεσι κρίνεσθαί φησι. τὰς δ', ὡς ἔοικεν, ἐν διπλαῖς ἐτῶν ἑβδομάσι, καὶ τριπλαῖς. εἰσὶ δ' οἳ καὶ τῆς τεσσαρακοστῆς δευτέρας, καὶ τῆς τεσσαρακοστῆς πέμπτης, καὶ προσέτι τῆς τεσσαρακοστῆς ὀγδόης, καί τινων ἑτέρων μνημονεύουσιν, περὶ ὧν ἁπασῶν ὁ λόγος ἡμῖν ἐφεξῆς ἔσται.

Porrò alia tota dierum multitudo inter vigeſimum, & quadrageſimum, decernendi omnino expers eſt; audi ipſos, iam tibi referuntur; vigeſimuſſecundus, vigeſimuſtertius, vigeſimuſquintus, vigeſimuſſextus, vigeſimuſnonus, trigeſimus, trigeſimuſſecundus, trigeſimuſtertius, trigeſimuſquintus, trigeſimuſſextus, trigeſimuſoctauus, trigeſimuſnonus; vniuerſi duodecim ſunt. Et vſque ad quartumdecimum quidem magnæ ſunt perturbationes in morbis. Proximo loco ſuccedunt, quæ vſque ad vigeſimum habentur. Quæ poſt hunc ad quadrageſimum ſuccedunt, paulatim vehementiam efficacitatemque remittunt. Adeo vt qui poſt quadrageſimum ſunt omnes, prorſus langueant, concoctione potius, & abſceſſibus, quàm excretionibus, morbos finientes. Accidunt in his quoque per excretiones interdum iudicia, ſed rarò, nec magnam habent vehementiam; & frequenter pluribus diebus iudicia complentur, maximè quum in abſceſſum conuertuntur. Atque alios quidem, qui poſt quadrageſimum habentur, Hippocrates planè contemnere videtur; ſexageſimi tamen, & octogeſimi, & centeſimiuigeſimi rationem habet. Ab his alios quidem ſeptem menſibus, alios ſeptem annis, finiri ait; alios verò, vt veriſimile eſt, in binis annorum hebdomadis, & ternis. Non deſunt, qui etiam quadrageſimiſecundi, & quadrageſimiquinti, inſuper quadrageſimioctaui, & quorundam aliorum dierum, meminerunt; de quibus vniuerſis, ſermo nobis futurus eſt.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ἅτινα ἁμαρτανόμενα τὴν τῆς κρίσεως ἡμέραν, ἢ χρονίζεσθαι, ἢ ταχύνεσθαι ἀναγκάζεται· καὶ περὶ χρείας τε, καὶ λόγου τῆς προγνώσεως τῆς ἡμέρας κρισίμου.

Τοῖς μὲν οὖν πλείστοις ἰατροῖς, ἀδύνατον εἶναι δοκεῖ προεγνωκέναι τὴν ἡμέραν ἐν ᾗ κριθήσεται τὸ νόσημα. ταῖς δ' ἀληθείαις οὐκ ἀδύνατόν ἐστιν, εἴ τις ἐπιμελῶς ἀναλεξάμενος τὴν Ἱπποκράτους θεωρίαν, ἐργάζεσθαι τὴν τέχνην σπουδάσειε. εἰ δ' ἤτοι πρὶν ἐκμαθεῖν ταύτην ἐπὶ τῶν ἀρρώστων τρίβοιτο, πλέον οὐδὲν ἕξει τοῦ κατατρίβεσθαι μάτην, ἢ εἰ μάθοιεν αὐτὴν ἐπιμελῶς, ὀλιγωρήσειε δ' ἐργάζεσθαι. μακρῷ μὲν γὰρ ὅδε θατέρου τοῦ μηδὲν προμεμαθηκότος ἀμείνων, ἐνδεῖ δ' οὐκ ὀλίγον, οὐδ' αὐτὸς πρὸς τὸ τέλεον. ὅστις οὖν βούλεται προγνωστικὸς εἶναι τῆς μελλούσης ἡμέρας κρίναι τὸ νόσημα, τούτῳ πρῶτα μὲν ἁπάντων, ἀκριβῶς ἐστι γνωστέα τὰ διὰ τοῦ προγνωστικοῦ γράμματος ὑφ' Ἱπποκράτους εἰρημένα. δεύτερα δὲ τὰ περὶ τῶν καταστάσεων ἐν ἑτέροις βιβλίοις γεγραμμένα, κἄπειτα τὰ περὶ τῶν ἡλικιῶν τε, καὶ φύσεων, καὶ ὡρῶν, καὶ χωρῶν, ὧν εἴρηταί τινα, καὶ κατ' αὐτὸ τὸ προγνωστικόν. ἐπειδὰν δὲ ταῦτ' ἐκμάθοι, τὴν κατὰ τοὺς σφυγμοὺς τέχνην ἐπιμαθών, οὐκ ἂν χαλεπῶς προγινώσκοι τὴν ἡμέραν τῆς κρίσεως. αὐτίκα γέ τοι νοσήματος ὀξέος μηδὲν τῶν κινδυνωδῶν σημείων ἔχοντος, εἰ κατ' αὐτὴν τὴν τετάρτην ἡμέραν φανείη τι πέψεως ἀξιόλογον γνώρισμα, κατὰ τὴν ἑβδόμην ἡ κρίσις ἀπαντήσεται. καὶ τοῦτ' εἴρηται μὲν ἤδη οὑτωσὶ διὰ ταχέων, ἀληθὲς ὑπάρχον ἐν τοῖς μάλιστα. τῷ δὲ ἀγνοοῦντι διαγινώσκειν ὀλέθρια σημεῖα, καὶ κινδυνώδη, καὶ σωτήρια, πλέον οὐδὲν ἐκ τοῦ λόγου. καίτοι κἂν εἰ ταῦτα πάντα διαγινώσκοι, τὰ δὲ τῆς πέψεως ἀγνοοῖ, καὶ τῷδε πλέον οὐδὲν ἐκ τοῦ λόγου. τούτου δὴ χάριν

μάθοι ἄν

CAPVT XI.

Quæ errata criſis diem protrahere, aut accelerare ſoleant: ac de vſu, & ratione diei iudicatorij prænoſcendi.

Itaque plurimis medicis impoſſibile videtur præſagiri diem, quo de morbo decernetur; re vera tamen impoſſibile non eſt, ſi quis accuratè Hippocratis ſpeculatione lecta, artem tractare ſtudeat. At vel ſi priùs, quàm edidicerit, apud ægrotos verſetur, nihil amplius aget, quàm operam fruſtra ludet; vel ſi ipſam diligenter didicerit, operari verò neglexerit, longè quidem altero, qui non antea didicit, melior, abeſt tamen permultum is quoque à perfectione. Quapropter qui præſcius eſſe cogitat diei de morbo iudicaturi, huic in primis ex amuſſi cognoſcenda ſunt, quæ Hippocrates in opere prognoſtico tradidit; deinde quæ de conſtitutionibus in aliis libris memoriæ prodidit; poſtea de ætatibus, naturis, anni temporibus, & locis, quorum nonnulla etiam in prognoſtico perdocuit; vbi iam hæc didicerit, pulſuum cognitionem adiungens, facili negocio iudicij diem prænoſcet; vbi ſiquidem morbus acutus nullum periculoſum ſignum referat, & quarto die euidens quoddam concoctionis ſignum comparuerit, ſeptimo criſis futura eſt. Atque hæc paucis iam explicata ſunt, longè veriſſima. Porrò ſi quis lethalia ſigna, periculoſa, & ſalutaria, nihil ex hoc ſermone promouebit; quanquam ſi hæc quoque cognoſcat, coctionis autem ſigna ignoret, etiam nihil hinc frugis relaturus eſt. Huius rei gratia Hippocratis

Hippocratis præsagiorum opus relegendum præcepi. Nam periculosis symptomatis præsentibus vnà cum aliquo coctionis signo quarto die apparente, iudicium, si paribus diebus accessio fiat, sexto expectandum est; quòd si hunc excesserit, octauo; si in imparibus, septimo; bonis signis apparentibus, septimo die morbus soluetur; etenim lethalia signa cum signis coctionis nunquam euenerint. Hæc autem non minùs, quàm periculosa, & salutaria, inspicienda sunt; quia si quarto apparuerint, septimo aderit mors. Dictum autem est, hoc nominari crisim malam. Animum hic aduertas necesse est, lethalium signorum, tum magnitudini, tum multitudini. Si namque multa, magnaque die quarto euenerint, accessionibus distinguendum erit de morte futura; ad hæc cognoscendum hominem sexto die moriturum esse, modo accessio diebus paribus facta sit; si imparibus, septimo. Interdum sextus hominem iugulat, etiam si accessio contigerit in imparibus, propter morbi celeritatem, & magnitudinem, & symptomatum in quarto die euenientium copiam. Quamobrem symptomatum magnitudo, quæ ex potentia sumitur, exactè dignoscenda est. Verùm quomodo hæc ab illa, quæ ab imaginatione æstimatur, distinguenda veniat, in libris de crisi narratur. Omnia in omnibus confundere, & conturbare non oportet, sed quantum ad dies tantùm decretorios propriè pertinet, huc transferendum est. Quum enim accuratè admodum acutos morbos obseruassemus, quartum diem septimi esse indicem ex sua natura deprehendimus. Ex sua natura, inquam, hoc est, si nullum rarum, & magnum incidat, vel extrinsecus, vel ex ipsa morbi conditione, vel etiam ægrotantis habitu, quartus omnino septimum indicat. Cæterùm si quid extrinsecus præter opinionem accidat, quo de postea mentionem facturi sumus; vel morbus vehementer, vel obscurè, ad iudicium propellatur; & ægrotantis vires, aut validæ, aut imbecilles extiterint; attendendum est, distinguendumque, æger periturus ne sit ante diem septimum, an post hunc de ipso decernetur. Siquidem, vbi malum aliquod extrinsecus præter spem euenerit; & morbus non simpliciter acutus, verùm peracutus sit; ad hæc vires ægri imbecillæ; signum malum, quod in quarto die apparuit, septimum diem non expectat, verùm sexto æger huiusmodi morietur, præsertim si paribus diebus accessiones acceperit. Quòd si nihil extrinsecus erratum sit, & morbi motus haud ita præceps, ac velox, & æger validus, si quidem manifestum in quarto die malum iudicium fuit, septimo interitus comitabitur, si verò obscurum, excedet hunc quoque. Iam verò, si accessiones paribus diebus cōtigerint, octauo; si imparibus, nono æger decedet. Quæ porrò manifesta, quæ obscura indicia vocitem, in libris de crisi exactiùs monstratum est; quinetiam in hoc, sermone procedente indicaturi sumus; priùs autē ad reliquas distinctiones reuertor. Appareat enim euidenter bonum aliquod in quarto die signū; & nullius periculi circa ægrotum sit suspicio; fieri non potest, quò minus septimo die fiat iudicium, si nihil extrinsecus peccatum fuerit. Quænam igitur sunt, quæ committuntur peccata? quædam sanè ab ipso ægroto videlicet; quædam à medicis his admirandis, putantibus, si quis ingressus ad ægrum, deinde succingens se, vel catapiasma imposuerit, vel perfuderit, vel cly-

A ἠξίωσα τὸ προγνωστικὸν Ἱπποκράτους ἀναλέξασθαι σύγγραμμα. κινδυνωδῶν μὲν γὰρ συμπτωμάτων παρόντων, ἅμα τοῖς τῆς πέψεως γνωρίσμασι, τοῖς κατὰ τὴν τετάρτην ἡμέραν φανέντι, τὴν κρίσιν, εἰ μὲν ἐν ἀρτίαις ὁ παροξυσμὸς γίνοιτο, κατὰ τὴν ἕκτην ἔσεσθαι προσδοκᾶν. εἰ δὲ ταύτην ὑπερβάλλοι, κατὰ τὴν ὀγδόην. εἰ δὲ ἐν περιτταῖς, κατὰ τὴν ἑβδόμην. ἀγαθῶν δὲ σημείων παρόντων, κατὰ τὴν ἑβδόμην ἡμέραν λυθήσεται τὸ νόσημα. τὰ μὲν γὰρ ὀλέθρια σημεῖα, σὺν τοῖς τῆς πέψεως γνωρίσμασιν οὐδ᾽ ἂν γένοιτό ποτε, χρὴ δ᾽ οὐχ ἧττον, καὶ ταῦτα σκοπεῖσθαι τῶν κινδυνωδῶν τε καὶ σωτηρίων. εἰ γὰρ ἐν τῇ τε-
B τάρτῃ πρῶτον φαίνοιτο, κατὰ τὴν ἑβδόμην ὁ θάνατος. εἴρηται δ᾽, ὡς καὶ τοῦτο κρίσις ὀνομάζεται κακή. προσέχειν δὲ χρὴ ἐνταῦθα τοῖς μεγέθεσί τε, καὶ πλήθεσι τῶν ὀλεθρίων σημείων. εἰ μὲν γὰρ πολλά, καὶ μεγάλα γίνοιτο κατὰ τὴν τετάρτην ἡμέραν, τοῖς παροξυσμοῖς διορίζεσθαι περὶ τοῦ μέλλοντος θανάτου, καὶ γινώσκειν μὲν ἑκταῖον τεθνήξεσθαι τὸν ἄνθρωπον ἐν ἀρτίαις παροξυνόμενον, ἑβδομαῖον δ᾽ ἐν περιτταῖς. ἐνίοτε δὲ καίτοι τῶν περιττῶν παροξυνουσῶν, ἡ ἕκτη παραπέκτεινε τὸν οὕτως ἔχοντα, διά τε τὴν ὀξύτητα τῆς νόσου, καὶ τὸ μέγεθος, καὶ τὸ πλῆθος τῶν ἐν τῇ δ᾽ γινομένων συμπτωμάτων, διόπερ ἀκριβῶς χρὴ δια-
C γνωστικὸν εἶναι τοῦ κατὰ δύναμιν μεγέθους τῶν συμπτωμάτων. ἀλλ᾽ ὅπως μὲν χρὴ τοῦτο διορίζεσθαι τοῦ κατὰ φαντασίαν, ἐν τοῖς περὶ κρίσεων λέγεται. πάντα δὲ ἐν πᾶσιν, οὐ χρὴ συγχεῖν καὶ ταράσσειν, ἀλλ᾽ ὅσον αὐτῶν ἐστιν ἴδιον μόνον τῶν κρινουσῶν ἡμερῶν, ἐνταυθοῖ διεξέρχεσθαι. πάνυ γὰρ ἀκριβῶς παραφυλάξαντες ἐπὶ τῶν ὀξέως νοσούντων, εὕρομεν ἐπίδηλον ἀεὶ τὴν τετάρτην τῆς ἑβδόμης, ὅσον ἐφ᾽ ἑαυτῇ. τὸ δ᾽ ὅσον ἐφ᾽ ἑαυτῇ, τοιόνδ᾽ ἐστί, μηδενὸς ἀηθοῦς, καὶ μεγάλου παρεμπεσόντος, ἢ ἔξωθεν, ἢ ἐξ αὐτῆς τοῦ νοσήματος τῆς φύσεως, ἢ καὶ τῆς τοῦ κάμνοντος ἕξεως, ἡ τετάρτη πάντως προδηλοῖ τὴν ἑβδόμην. εἰ δέ τι τῶν ἔξω-
D θεν ἀδόκητον προσγένοιτο, περὶ ὧν ἐφεξῆς ἐροῦμεν, ἢ καὶ τὸ νόσημα, σφοδρῶς ἐπὶ τὴν κρίσιν, ἢ ἀμυδρῶς κινοῖτο, καὶ ἡ τοῦ κάμνοντος δύναμις ἰσχυρά, ἢ ἄρρωστος ὑπάρχοι, προσέχειν ἐνταῦθα τὸν νοῦν, καὶ διορίζεσθαι, πότερον ἀπολέσθαι φθάσει πρὸ τῆς ἑβδόμης ἡμέρας, ἢ μετὰ ταύτην κριθήσεται. κακοῦ μὲν γάρ τινος ἔξωθεν ἀδοκήτου προσγενομένου, καὶ τοῦ νοσήματος οὐκ ὀξέος ἁπλῶς, ἀλλὰ κατόξεος ὑπάρχοντος, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως ἀσθενοῦς οὔσης, οὐκ ἀναμένει τὴν ἑβδόμην ἡμέραν, τὸ κατὰ τὴν τετάρτην γινόμενον κακὸν σημεῖον· ἀλλ᾽ ἑκταῖος ὁ τοιοῦτος ἄρρωστος τεθνήξεται, καὶ μάλιστα εἰ παρο-
E ξύνοιτο κατὰ τὰς ἀρτίας. εἰ δὲ μήτι ἔξωθεν ἁμαρτηθείη μηδέν, ἥτε τοῦ νοσήματος κίνησις εἴη μὴ πάνυ τοι κάτοξυς, ὅ,τε κάμνων ἰσχυρός, εἰ μὲν σαφὲς ἐν τῇ τετάρτῃ τὸ κακὸν σημεῖον ἐγένετο, κατὰ τὴν ἑβδόμην ὁ θάνατος. εἰ δ᾽ ἀμυδρόν, ὑπερβάλλει καὶ τήνδε. καὶ τῶν παροξυσμῶν ἐν ἀρτίαις μὲν γινομένων, ὀγδοαῖος, ἐν περιτταῖς δέ, ἐνναταῖος τεθνήξεται. τίνα δὲ σαφῆ, καὶ τίν᾽ ἀμυδρὰ καλῶ σημεῖα, ἐν τοῖς περὶ κρίσεων εἴρηται, ἀλλὰ κἀν τῷδε τῷ λόγῳ προϊόντι δηλωθήσεται, πρότερον δὲ περὶ τῶν λειπόντων διορισμῶν ἐπάνειμι. χρηστὸν γάρ τι κατὰ τὴν τετάρτην ἡμέραν ἐναργῶς γινέσθω σημεῖον, καὶ μη-
F δεὶς κίνδυνος ὑποπτευέσθω περὶ τὸν κάμνοντα, ἀδύνατον ἐνταῦθα, τὸ μὴ οὐ τὴν ἑβδόμην ἡμέραν κρῖναι τὴν νόσον, ἄν γε μηδὲν τῶν ἔξωθεν ἁμαρτάνηται. τίνα δέ ἐστι τὰ ἁμαρτανόμενα; τὰ μὲν ὑπ᾽ αὐτοῦ τοῦ κάμνοντος δηλονότι, τὰ δ᾽ ὑπὸ τῶν θαυμαστῶν τούτων ἰατρῶν τῶν οἰομένων, εἰ μή τις εἰσελθὼν ἐπὶ τὸν ἄρρωστον, εἶτα περιζωσάμενος, ἢ καταπλάσειεν, ἢ καταιονήσειεν, ἢ κλύ-

στεῖεν, ἢ φλεβοτομήσειεν, ἢ σικυάσειεν, ἢ τρίψειεν, ἢ θρέψειεν, ἤ τι τοιοῦτον ἕτερον ἐργάσαιτο, μηδὲν αὐτῷ πεπρᾶχθαι τεχνικόν. οὗτοι γὰρ ὁποσάκις ἂν εἰσέλθωσι πρὸς τὸν νοσοῦντα, τοσαυτάκις ἁμαρτάνουσιν. οὔκουν ἐνδέχεται τὴν εἰς τὴν ἑβδόμην ἡμέραν παρασκευαζομένην κρίσιν ἐν ἐκείνῃ γενέσθαι, τοσούτων ἐν τῷ μεταξὺ πλημμεληθέντων. ἡ γάρ τοι τῆς φύσεως κίνησις, γίνεται μὲν ἐν περιόδοις τεταγμέναις, κατά γε τὸν ἴδιον λόγον. κωλύεται δὲ ἐνίοτε φυλάττειν τὰς περιόδους, ὑπὸ τῶν ἔξωθεν εἰς αὐτὴν ἁμαρτανομένων. οὕτω γοῦν καὶ ὁ πάνυ θαυμαστὸς Ἱπποκράτης ἔλεγε, φύσις ἐξαρκεῖ πάντα πᾶσιν. εἰς δὲ ταύτην, ἔξωθεν μὲν κατάπλασμα, κατάχρισμα, ἐμβροχὴ ὅλου τε, καὶ μέρεος. οὕτω δὲ καὶ τὸν ἰατρὸν ὑπηρέτην φύσεως ὀνομάζει τὸν ὄντως ἰατρόν, οὐ φαρμακοπώλην τινὰ ἐκ τριόδου. τοσοῦτον γὰρ οὗτος ἀποδεῖ, τῆς φύσεως ὑπηρέτης δικαίως ὀνομάζεσθαι, ὥστε τὰς ἐναντιωτάτας αὐτῷ μᾶλλον πρέπειν προσηγορίας, ἐχθρῷ, καὶ πολεμίῳ τῆς φύσεως αὐτῆς, καὶ τῶν καμνόντων, εὐλόγως ἂν ὀνομασθέντι. δεόντως οὖν, καὶ ἡμεῖς ἐπειδάν τις ἀξιώσῃ ἡμᾶς, προειπεῖν ἐπί τινος ἀρρώστου τὸ μέλλον ἀποβήσεσθαι, μετὰ διορισμοῦ τὴν πρόρρησιν ποιούμεθα, κριθήσεσθαι τόνδε τινὰ λέγοντες ἐν τῇδε τῇ ἡμέρᾳ, πρῶτον μὲν ὑφ᾽ ἡμῶν διαιτώμενον, οὐχ ὑπ᾽ ἄλλου τινὸς ἰατροῦ. ἔπειτα δὲ αὐτὸν οὐδὲν ἐξαμαρτάνοντα, καὶ πράξαντα πάντα τὰ προστασσόμενα, καὶ τρίτον εἰ μηδὲν τῶν ἔξωθεν ἁμαρτηθείη τι μέγα. τίνα δὴ ταῦτά ἐστι τὰ ἔξωθεν, ὑπηγγελμένον γὰρ οὖν καὶ τοῦτο διορίσασθαι, καιρὸς ἂν εἴη λέγειν. εἰ δή τις ἐμπρησμοῦ κατὰ τὴν οἰκίαν, ἢ λῃστῶν ἐπελθόντων, ἢ ποταμοῦ κατακλύσαντος, ἐξαίφνης ἀναγκασθείη φυγεῖν, ὁπόση ἂν αὐτῷ βλάβη προσγένοιτο, τί δεῖ καὶ λέγειν; οὕτω δὲ κἂν εἰ καταπίπτοντος ὀρόφου τινός, ἢ τοίχου γνοὺς ἐξαιφνίδιον ἐκπλαγῇ τε ἅμα, καὶ φεύγειν ἐπιχειρήσειεν. εἰ δὲ καὶ διὰ τοῦ κεράμου τι καταρρυῇ, ἢ πλείονος ὑετοῦ γενομένου, κἄπειτα τοῦθ᾽ ἐπιχυθῇ τῇ κεφαλῇ τοῦ κάμνοντος, ἢ εἰ καὶ ἄλλως αὐτὸν ὁπωσοῦν βρέξειεν, ὡς ἀναγκάσαι μεταστῆναί τε, καὶ ἀγρυπνῆσαι, καὶ φοβηθῆναι, καὶ τοῦτ᾽ ἂν μεγάλως τὸν νοσοῦντα βλάψειεν. οὕτω δὲ καὶ θόρυβος γειτόνων, ἤ τι τοιοῦτον ἕτερον ἀγρυπνίας αἴτιον αὐτῷ γινόμενον, ἢ καί τις ἀγγελία λυπηρά, κατὰ τὸ μέγεθος τῆς ἑαυτοῦ βλάβης, καὶ τὴν τῆς προρρήσεως ἀκρίβειαν διαφθείρει. ὅσα μὲν γὰρ δι᾽ αὐτὸ τὸ νόσημα, μεταξύ τε τῆς προρρήσεως, καὶ τῆς κρίσεως οἱ νοσοῦντες ἀγρυπνοῦσιν, οὐδὲν ταῦτα βλάπτει τὴν πρόρρησιν. ὅσα δ᾽ ἔξωθεν ἀδόκητα προσγίνεται, τούτων οὐδενός ἐστι προγνωστικὸς ὁ ἰατρός. ὅθεν οὐδὲ τὴν μέλλουσαν ἀπ᾽ αὐτῶν ἔσεσθαι βλάβην ὑπολογίσασθαι δυνατὸν αὐτῷ, καὶ προσθεῖναι τῇ κατὰ τὸν τοῦ νοσήματος λόγον ὑπαγορευομένῃ προρρήσει. ταῦτ᾽ οὖν αὐτά, καὶ ὁ Ἱπποκράτης, εὐθὺς κατ᾽ ἀρχὰς τῶν ἀφορισμῶν παραγγέλλεται λέγων. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν. εἰ γάρ, φησίν, ἐξετάζειν τι, καὶ βασανίζειν ἔγνωκας τῶν ἡμετέρων, αὐτός γε σὺ πρῶτον ἅπαντα ποίει τὰ δέοντα, καὶ δεύτερον δέ, καὶ ὁ νοσῶν εὐπειθὴς ἔστω σοι τὰ πάντα, καὶ μηδὲν ὑπ᾽ ἀκολασίας ἁμαρτανέτω. καὶ τρίτον οἱ παρόντες αὐτῷ, μηδὲν πλημμελείτωσαν, ὡς ἤτοι θυμὸν ἐγείρειν, ἐφ᾽ οἷς ἁμαρτάνουσιν, ἢ λύπην, ἐφ᾽ οἷς ἀκαίρως ἀγγέλλουσιν, ἢ βλάβην, ἐφ᾽ οἷς ἐλλιπῶς παρασκευάζουσιν. ἀλλ᾽ ἡ μὲν παρασκευὴ πᾶσα, πρὸ τοῦ τῆς κρίσεως ἑτοιμαζέσθω καιροῦ. τὰ δ᾽ ὄψα καλῶς ἐσκευάσθω, τὰ δὲ τῆς διακονίας ἄμεμπτα πάντα ἔστω. καὶ πρὸς τούτοις ἔτι τὸ τέταρτον γένος, ὧν ὑπολο-

A sterem indiderit, vel venam inciderit, vel cucurbitulas adiunxerit, vel confricuerit, vel nutriuerit, aut huiusmodi aliud factitauerit, nihil ab ipso gestum esse artificiosum: hi enim quoties ad ægrum accedunt, toties peccant. Non igitur iudicium in septimo die, ad quem paratum erat, fieri potest, tot interea erroribus admissis: quandoquidem naturæ motus statutis periodis pro sui ratione contingit; interim ab exterioribus peccatis circuitus seruare prohibetur. Sic itaque Hippocrates vndequaque admirabilis inquit, *Natura omnino sufficit.* Peccatur in hanc extrinsecus cataplasmate, B inunctione, & totius, & partis inspersione. Sic etiam *medicum naturæ ministrum* appellat, re vera medicum, non pharmacopolam quendam ex triuio: tantùm enim hic à iusta naturæ ministri appellatione abest, vt etiam maximè contrarium nomen ipsi magis conueniat, inimico videlicet, & naturæ ipsius, & ægrotantium hosti iure appellato. Quapropter nos merito, quum quispiam de ægro aliquo euentum iubet prædicere, cum distinctione id facimus, dicentes; huic morbus soluetur isto die, primùm si victus ratione à no- C bis, non alio quodam medico, regatur; deinde si nihil ipse peccet, & faciat quæ iniunguntur, omnia; postremò si nullus magnus extrinsecus error admissus fuerit. Quæ iam exteriora peccata sint (quoniam hoc quoque definire pollicitus sum) opportunum erit dicere; vt si æger incendio domus accidente, aut latronibus inuadentibus, aut fluuio inundante, subito cogatur fugere, quanta ei noxa aduenerit, quorsum attinet referre? Simili modo si tegmen aliquod delapsum, vel parietem sentiens extimescat simul, & fugam repente moliatur; item si per tegulam quip- D piam decidit, vel pluuia copiosior oborta capiti ægrotantis incidat, vel alius etiam quomodocunque ipsum irrigauerit, vt locum mutare, vigil esse, & timere cogatur; & hoc non mediocrem ipsi offensam inducit. Eodem pacto vicinorum tumultus, vel alia quædam talis vigiliæ causa eueniens, aut nuncium aliquod triste, pro noxæ ipsius magnitudine etiam prædictionis perfectionem corrumpit; vigiliæ siquidem propter ipsum morbum intra prædictionem, & crisim ægris aduenientes, nihil præsagia offendunt; quæ verò extrinsecus inopinata E veniunt, horum nihil medicus præcognoscit; vnde nec futuram inde offensam coniicere potest; nec prædictioni secundum morbi rationem factæ adiicere. Hæc itaque ipsa Hippocrates statim in aphorismorum principio præcipit inquiens, *Oportet non solùm ipsum, quæ res postulat facere, verùm etiam ægrum, aßidentes, & exteriora.* Si namque, ait, disquirere quippiam, & indagare ex nostris cogitas, ipse primum opportuna facito vniuersa. Deinde æger in omnibus præcipienti obtemperet, nihilque ex intemperantia peccet. Postea ij, qui adsunt ei, nihil erroris committant, vt vel iram ob delicta concitent; vel tristitiam ex intempestiuis nunciis afferant, vel offensam, quòd imperfectiùs in re ad- F ministranda se gerant; sed apparatus omnis ante iudicij tempus promptè statuatur; obsonia pulchrè parentur; ministerium inculpatè exhibeatur. Insuper quartum genus eorum, de quibus rationem

rationem habendam iussit, apposuit; nominat ipsum vno complexus nomine, exteriora, multiforme licet existat; atque hoc culpa vacet; etenim pluuiæ, tonitrua, fulgura, vicinorum tumultus, canum latratus, insultus latronum, domus ruina, defluens aqua, fluuius irruens, incendia, ictus, atque eius generis vniuersa, exterioribus attribuuntur. Hæc igitur quatuor genera, quorum partes etiam sunt diuersæ, dum naturæ motus impediunt, subinde periodorum ordinem corrumpunt; quoniam, vbi quartus dies euidens iudicij signum attulerit, si neque medicus quid paruerit, neque æger, neque ministrorum quispiam; imò si neque extrinsecus error admissus sit; septimo die necessario crisis futura est. Ex quo innotescit, non alium quendam esse, qui exactè præsagierit, alium qui rectam victus rationem instituet; sed in eundem vtraque conuenire necessarium, nisi alterum ab altero corrumpendum sit. Quòd sanè peccatum in victus modo, quodlibet (sic autem nunc nomino vniuersam morbi curam) iudicium impediat, abundè ostendimus, quòd autem nec victus ratio proba sine status morbi, & crisis præsagio institui possit, in medendi methodo declaratur. Si igitur hæc mutua opera perpetuo indigent, non alius quispiam medicus rectè curauerit, alius exactè præsagiet; verùm quicunque optimus fuerit, is præsagiet vnà, & curabit. Sed de huiusmodi in aliis commentariis pleniùs tractamus. Nunc quod ab initio statueramus, ad id reuertemur. Quartus dies, quum euidens aliquod indicium bonum afferat, septimo die iudicium fore innuit, nullo (vt diximus) errore interea commisso. At siquis contingat, magnitudo eius inspicienda est. Si etenim exiguus extiterit, erit etiam sic iudicium septimanum, verùm aliquid de iudiciorum bonitatibus ipsi deerit: dictum est autem in prioribus, quòd perfectè, salubriter, sine periculo, & similia, bonis adsunt iudiciis, si maius sit erratum, in septimo die crisim fieri adhuc non permiserit. Animus itaque diligenter adhibendus est hic omnibus, & offensæ magnitudo signis colligenda; nam interpretari ipsam non solùm difficile, sed prorsus etiam impossible; artificiosum verò discipulum reddere, vt hæc quoque ex amussi perdiscat, possibile; sed huius temporis non est, magis ad speculationem de crisi pertinet. Quare rursus ad sermonis reliquum redeamus, primam hypothesim in memoriam reuocantes. Quippe positum erat decernendi signum manifestum, & validum, in quarto die morbi, & acuti & natura salubris euenisse; deinde nullo quidem errore commisso, bonam omnino crisim ad septimum diem futuram indicari; si porrò leuis planè contigerit, ita quoque in septimo euenturam, non tamen exactè bonam; si verò fuerit magnus, vt à septimo in sequentium aliquem crisis recidat, attendendum esse noxæ magnitudini iubemus; nam exactè huius regula deprehendet clarè, an in nonum diem, siue vndecimum, crisis incidat. Itaque morbi, qui prorsus sine periculo sunt, ob delicta diuturni esse solent. Qui incolumitatem pollicentur, non tamen sine periculosis symptomatis, ob errata lethales fiunt. Quinetiam illi, qui omni periculo vacant, multis magnisque deinceps erroribus

A ἡγεῖσθαι προσέταξεν, ὀνομάζει δὲ αὐτὸ περιλαβὼν ἑνὶ ῥήματι, τὰ ἔξωθεν, καίτοι πολυειδὲς ὑπάρχον, ἄμεμπτον ἔστω καὶ αὐτό. καὶ γὰρ ὑετοὶ, καὶ βρονταὶ, καὶ ἀστραπαὶ, καὶ θόρυβοι γειτόνων, καὶ κύνες ὑλακτοῦντες, ἔφοδοί τε λῃστῶν, καὶ καταπτώσεις οἰκίας, καὶ καταρρυὲν ὕδωρ, καὶ ποταμὸς ἐπελθὼν, ἐμπρησμοί τε, καὶ πληγαὶ, καὶ πλῆθος ὅσα τοιαῦτα τῶν ἔξωθέν ἐστιν ἁπάντα. ταῦτ' οὖν τὰ γένη τὰ τέσσαρα, καὶ πολυειδῆ κατὰ μέρος ὑπάρχοντα ταῖς τῆς φύσεως κινήσεσιν ἐμποδὼν ἱστάμενα, διαφθείρει πολλάκις τὴν τάξιν τῶν περιόδων. ἐπεί τοι τῆς τετάρτης ἐναργὲς σημεῖον ἐνεγκούσης κριτικὸν, εἰ μήθ' B ὁ ἰατρὸς ἁμάρτοι τι, μήθ' ὁ κάμνων, μήτε τῶν ὑπηρετουμένων μηδεὶς, ἀλλὰ μηδὲ τῶν ἔξωθέν τι πλημμεληθείη, κατὰ τὴν ἑβδόμην ἡμέραν ἐξ ἀνάγκης ἡ κρίσις ἀπαντήσεται. δῆλον οὖν ἐστιν, ὡς οὐκ ἄλλος μέν τίς ἐστιν ὁ ἀκριβῶς προγνωσόμενος, ἄλλος δέ τις ὁ διαιτήσων ὀρθῶς, ἀλλ' εἰς τὸν αὐτὸν ἀναγκαῖον ἄμφω συνελθεῖν, εἰ μὴ μέλλοι διαφθείρεσθαι θάτερον ὑπὸ θατέρου. ὅτι μὲν γὰρ ἁμαρτηθὲν ὁπωσοῦν τὸ κατὰ τὴν δίαιταν, οὕτω δὲ ὀνομάζω νῦν ἅπασαν τῆς νόσου τὴν ἐπιμέλειαν, ἐμποδίζει τὴν κρίσιν, ἱκανῶς ἐπιδέδεικται, ὅτι δ' οὐδὲ διαιτῆσαι καλῶς οἷόν τε χωρὶς τοῦ προγνῶναι τήν τ' ἀκμὴν τῆς νόσου, C καὶ τὴν κρίσιν, ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου δείκνυται γράμμασιν. εἰ τοίνυν ἀλλήλων δεῖται ταῦτα διὰ παντὸς, οὐκ ἄλλος μέν τις ἰατρὸς ὀρθῶς θεραπεύσει, προγνώσεται δὲ ἀκριβῶς ἄλλος. ἀλλ' ὅστις ἂν ἄριστος ᾖ, προγνωστικός τέ ἐστιν ἅμα, καὶ θεραπευτικὸς ὁ τοιοῦτος. ἀλλὰ περὶ μὲν τῶν τοιούτων ἐπιπλέον ἑτέρωθι λέγεται, νυνὶ δὲ εἰς ὅπερ ἐξ ἀρχῆς προὔκειτο, πάλιν ἐπανιέωμεν. ἡ γάρ τοι τετάρτη τῶν ἡμερῶν, ἐπειδὰν ἐνέγκῃ σαφές τι σημεῖον ἀγαθὸν εἰς τὴν ἑβδόμην ἡμέραν, προδηλοῖ τὴν κρίσιν ἀπαντήσεσθαι μηδενὸς ὧν εἴρηται, πλημμεληθέντος ἐν τῷ μεταξύ. γενομένου δέ τινος ἁμαρτήματος, ἐπισκεπτέον αὐτοῦ D τὸ μέγεθος. εἰ μὲν γὰρ σμικρὸν εἴη, ἔσται μὲν καὶ οὕτως ἡ κρίσις ἑβδομαία. λείψει δ' αὐτῇ τι τῶν τῆς κρίσεως ἀγαθῶν. εἴρηται δ' ἐν τοῖς ἔμπροσθεν, ὅτι τὸ τελέως, καὶ ἀσφαλῶς, καὶ ἀκινδύνως, καὶ πλῆθος ὅσα τοιαῦτα ταῖς ἀγαθαῖς ὑπάρχει κρίσεσιν. εἰ δ' εἴη μεῖζον τὸ πλημμεληθὲν, οὐδ' ἂν τὴν κρίσιν ἔτι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐπιτρέψειε γενέσθαι. προσέχειν οὖν δεῖ πᾶσιν ἐνταῦθ' ἀκριβῶς τὸν νοῦν, καὶ τεκμαίρεσθαι τῆς βλάβης τὸ μέγεθος. ἑρμηνεῦσαι μὲν γὰρ αὐτὸ, μὴ ὅτι χαλεπὸν, ἀλλὰ καὶ τελέως ἀδύνατον, τεχνικὸν δὲ ἐργάσασθαι τὸν μαθητὴν, ὥστε καὶ διαγινώσκειν τὰ τοιαῦτ' ἀκριβῶς δυνατόν. ἀλλ' οὐ νῦν ὁ καιρὸς, E οἰκειότερος γάρ ἐστι τῆς περὶ κρίσεως θεωρίας. πάλιν οὖν ἐπὶ τὸ συνεχὲς τοῦ λόγου μεταβαίνωμεν, ἀναμνησθῶμέν τε τῆς προκειμένης ὑποθέσεως. ὑπέκειτο μέν τοι σημεῖον κριτικὸν, καὶ σαφὲς, καὶ ἰσχυρὸν ἐν τῇ δ'. γεγενημένον ἡμέρᾳ τοῦ νοσήματος ὀξέος τε, καὶ περιεστηκότος τὴν φύσιν ὑπάρχοντος, εἶτα ὅτι μηδενὸς πλημμεληθέντος μὲν, ἀγαθὴ τὰ πάντα κρίσις εἰς τὴν ἑβδόμην ἡμέραν προδηλοῦται. βραχέος δὲ παντελῶς ἁμαρτηθέντος, εἰς τὴν ζ'. μὲν ἡμέραν, καὶ οὕτως, οὐ μὴν ἀγαθὴ τελέως. εἰ δ' εἴη μέγα τὸ ἁμαρτηθὲν, ὡς ἀφελέσθαι μὲν τῆς ζ'. τὴν κρίσιν, εἰς δέ τινα τῶν ἐφεξῆς μεταπεσεῖν, προσέχειν ἐνταῦθα γεγονόσι τοῖς ἐγ- F κελευόμεθα τῷ ποσῷ τῆς βλάβης. ὁ γὰρ ἀκριβὴς τούτου γνώμων, εἴσεται σαφῶς, εἴτ' εἰς τὴν θ'. ἡμέραν, εἴτ' εἰς τὴν ια'. ἡ κρίσις μεταπεσεῖται. τὰ μὲν οὖν ἀκίνδυνα τελέως νοσήματα, χρονίζειν εἴωθεν ἐπὶ τοῖς ἁμαρτήμασι, τὰ περιεστηκότα μὲν, οὐ μὴν ἄνευ κινδυνωδῶν συμπτωμάτων, ὀλέθρια γὰρ ἐπὶ τοῖς ἁμαρτήμασι. καίτοι δὲ τὰ τελέως ἀκίνδυνα, πολλῶν καὶ μεγάλων ἐφεξῆς γενομένων

ἁμαρτημάτων, εἰς τὴν τῶν ὀλεθρίων μεταπίπτει φύσιν. καὶ οὐδὲν οἶμαι θαυμαστόν. ὅπου γὰρ καὶ τοῖς ὑγιαίνουσι τὰ μεγάλα τῶν ἁμαρτημάτων αἴτια νοσημάτων ὀλεθρίων γίνεται, τί χρὴ προσδοκᾶν ἐπὶ τῶν νοσούντων; ὡς ἤδη δῆλον, ὡς ὁ τῶν ἐπιδήλων τε, καὶ κρισίμων ἡμερῶν λόγος, ὃν Ἱπποκράτης ἡμᾶς ἐδίδαξεν, οὐδ᾽ ἐξετασθῆναι πρὸς ἄλλου τινὸς εἰ τοῖς φαινομένοις ὁμολογεῖ δύναται, πλὴν ὅστις ἂν ὁμοίως ἐκείνῳ τεχνικὸς ὑπάρχει περὶ δίαιταν. ἔστι γὰρ μόνος ἐξεταστικὸς, καὶ διαγνωστικός ἐστιν τῆς τῶν ἁμαρτανομένων δυνάμεως, καὶ μόνος δύναται γνῶναι τό τε βλάβης τὸ μέγεθος, καὶ τῆς μελλούσης κρίνειν ἡμέρας τὴν μετάπτωσιν. ὥσπερ δὲ ἐν τοῖς ἀκινδύνοις νοσήμασιν ὑστερίζουσιν τοσοῦτον αἱ κρίσεις, ὅσον ἂν ὑπὸ τῶν ἐν τῷ μεταξὺ πλημμεληθέντων οἱ κάμνοντες βλάβωσιν, οὕτως ἐν τοῖς ὀλεθρίοις προλαμβάνουσιν. εἰ γὰρ τῆς δ΄. ἡμέρας ἐν θανατώδει νοσήματι θανατῶδες σημεῖον προδειξάσης, εἰς τὴν ἑβδόμην ἡμέραν ἡ κακὴ προδηλωθείη κρίσις, ἁμαρτηθείη δέ τι μεταξὺ, μὴ πάνυ τι σμικρὸν, οὐκ ἀναμενεῖ τὴν ζ΄. ἡμέραν ἡ κρίσις, ἀλλ᾽ ἐν τῷ μεταξὺ τὸ νόσημα κριθήσεται, κακὴν δηλονότι κρίσιν. πότερον δὲ κατὰ τὴν ε΄. ἢ τὴν ς΄. ἔκ τε τῆς αὐτοῦ τοῦ νοσήματος ὀξύτητος διορισθήσεται, κἀκ τοῦ τῆς βλάβης μεγέθους, κἀκ τοῦ σχήματος τῶν παροξυσμῶν. ἐν περιτταῖς μὲν γὰρ γινομένων αὐτῶν, καὶ τοῦ νοσήματος ὄντος κατόξεος, καὶ τῶν ἁμαρτηθέντων οὐ πάνυ σμικρῶν, ἐν αὐτῇ τῇ τετάρτῃ δηλονότι, θαυμαστὸν οὐδὲν ἐν τῇ πέμπτῃ τὸν ἄνθρωπον ἀποθανεῖν. εἰ δ᾽ ἐν ἀρτίαις μὲν παροξύνοιτο, μὴ κάτοξυ δ᾽ εἴη τὸ νόσημα, μηδ᾽ ἡ τῶν ἁμαρτημάτων βλάβη μεγάλη, τὴν ς΄. ἀναμενεῖ. τὰ δὲ τοιαῦτα πάντα συγχεῖ τὴν ἐπιδήλων τε, καὶ κρισίμων ἡμερῶν τὴν θεωρίαν, ὀλίγων μὲν ἰατρῶν, ὀρθῶς διαιτώντων, ὀλίγων δ᾽ ἀρρώστων εὐπειθῶν ὑπαρχόντων, ὀλίγων δὲ καὶ τῶν τὴν οἰκείαν ὑπηρεσίαν ἄμεμπτον ἐχόντων, ἔτι δ᾽ ἐλαττόνων, οἷς οὐδὲν τῶν ἔξωθεν ἠναντιώθη. δεῖ τοίνυν ἀκριβῶς μὲν εἶναι θεραπευτικὸν, καὶ προγνωστικὸν τὸν ἰατρὸν, ἀκριβῶς δὲ καὶ τοῦ τῆς βλάβης μεγέθους διαγνωστικὸν, ἵνα εἰ καὶ προείποι ποτὲ τὴν ἡμέραν τῆς κρίσεως, εἶτ᾽ ἐν τῷ μεταξύ τι βλαβῆναι τὸν κάμνοντα συμβαίη, μεταθεῖναι καὶ αὐτὸς ἀκριβῶς δυνηθείη τὴν πρόρρησιν. ἀλλ᾽ ἐν τούτῳ πρόδηλον, ὡς ὅστις μὲν μικρὸς, καὶ ταπεινὸς τὴν γνώμην ᾖ, οὐχ ὅπως ἀσκῆσαι διαγινώσκειν ἕκαστον τῶν εἰρημένων ἐπὶ τῶν ἀρρώστων, ἀλλ᾽ οὐδ᾽ αὐτὴν τὴν θεωρίαν ἐκμαθεῖν ὑπομένει.

commissis, in lethalium naturam incidunt. Nec mirum esse puto. Quum enim in sanis delicta grandia morborum lethalium causæ fiant, quid in ægrotis expectandum est? Proinde iam clarum est, indicum, & decretoriorum dierum sermonem, quem Hippocrates non docuit, non examinari ab alio quodam in apparentium consensu posse, quàm qui ex æquo par illi victus instituendi artifex est; hic enim solus errorum vim disquirit, pernoscitque; tum solus offensæ magnitudinem, & diei iudicaturi delapsum intelligere potest. Quemadmodum verò in morbis periculo vacantibus iudicia tantum remorantur, quantum ex peccatis interim offenduntur ægri, ita in lethalibus præueniunt. Si enim, quum dies quartus in lethali morbo signum lethale indicarit, in septimum diem mala prædicetur crisis; peccatum verò non ita exiguum interea temporis contigerit; septimum diem crisis non expectabit, sed interim morbus iudicio malo videlicet finietur. Sed an quinto, vel sexto, tum ex ipsius morbi celeritate, tum ex offensæ magnitudine, tum ex accessionum figura definietur. Quippe quando in imparibus ipsæ fiunt, morbus peracutus est, & peccata non admodum exigua; in ipso quarto videlicet, miraculum non est in quinto hominem interire. Quando in paribus accessiones eueniunt, nec morbus peracutus sit, nec erratorum magna offensa, sextum expectat. Huiusmodi autem omnia indicum, & decretoriorum dierum speculationem confundunt: quum pauci medici rectè victum præscribant; pauci ægri obtemperent; pauci suum ministerij munus legitimè obeant; pauciores adhuc, quibus nihil externi aduersatum sit. Quapropter medicum, tum accuratè curandi, tum præsagiendi, peritum esse conuenit; accuratè verò etiam læsionis magnitudinem discernere, vt & si aliquando iudicij diem prædicat, sed interea temporis offendi ægrum contingat, mutare ipse prædictionem exactè possit. Hinc perspicuum euadit, quod quicunque animo pusillus humilisque fuerit, non solùm non singula, quæ recensuimus, in ægris cognoscere studet, sed ne speculationem quidem ipsam ediscere sustinet.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

Τὸν ἰατρὸν, ὡς τὰ πολλὰ, τὴν ὥραν αὐτὴν εἰπεῖν ἐν ᾗ κριθῆναι τὸν νοσοῦντα, ἢ ἀποθανεῖν ἀναγκαῖον.

Γενναῖος δέ τις, καὶ ἀληθείας ἑταῖρος, καὶ ταλαιπωρεῖν ἐπὶ τοῖς καλοῖς οὐκ ὀκνῶν, οὔτε τῶν θεωρημάτων τὸ χαλεπὸν, οὔτε τοῦ χρόνου τὸ μῆκος, οὔτε τῆς ἀσκήσεως τὸν πόνον ὑπειδόμενος, ἐπὶ τὸ τέλεον ἀφίξεται τῶν εἰρημένων, ὡς μὴ μόνον ἡμέραν ἔχειν εἰπεῖν βεβαίως ἐνίοτε, ἀλλὰ καὶ τὴν ὥραν αὐτὴν, ἐν ᾗ κριθῆναί τινα τῶν νοσούντων, ἢ ἀποθανεῖν ἀναγκαῖον. ἐπειδὰν γὰρ προγνῷς τὴν ἡμέραν ἐνίοτε, εἰ οὕτως ἔτυχε τὴν τοῦ θανάτου, σκέπτεσθαι χρὴ τοὐντεῦθεν, ἐν τίνι μάλιστα καιρῷ τοῦ παροξυσμοῦ βαρύνεται μεγάλως ὁ κάμνων. εἰ μὲν γὰρ εὐθὺς εἰσβάλλοντος αὐτοῦ καταψύχοιτό τε σφοδρῶς, καὶ δυσεκθέρμαντος, καὶ ἄχροις μέχρι πλείστου μένοι, καὶ μικρόσφυκτος, ἢ ἄσφυκτος, καὶ κακόσφυκτος γίνοιτο, καὶ κινηθῆναι νωθρὸς, ἢ ἀδύνατος, ἢ ὁ

CAPVT X.

Medicum, vtplurimum, horam ipsam in qua ægrum aut liberari, aut mori necesse sit prædicere.

At generosus aliquis verique amator, tum qui labores in optimis quibusque rebus non refugiat, neque theorematum difficultatem, neque temporis prolixitatem, neque exercitij laborem veritus, ad commemoratorum perfectionem veniet; vt non solùm diem firmiter aliquando possit prædicere, sed etiam horam ipsam, in qua ægrum quempiam liberari, vel mori necessarium est. Posteaquam enim diem aliquando, verbi gratia, mortis cognoueris, considerandum est inde, in quo potissimum accessionis tempore æger maximè grauetur. Si enim statim inuadente ea refrigeretur vehementiùs, vt vix ad calorem reduci possit; calor diutissimè absit; pulsus exiguus, aut nullus, aut malus appareat; motus pigritia, vel etiam somnus

somnus veternosus, aut aliud quippiam; hoc maximè tempus considerandum est. Quòd si hoc quidem moderatum fuerit, in statu autem, vel delirantem, vel comatosum, vel anxium, videas, aut febris magnitudinem non tolerantem, sed vehementer inardescentem, vertigine laborantem, capite dolentem, cardiogmo laborantem, vel id genus aliis, hoc maximè tempus obseruare conuenit. Porrò si in principio accessionis vigoreque mediocriter euenientibus, declinatio, quædam animi deliquia, sudores inæquales, frigidos, vel circa caput solum, vel ceruicem, vel pectus inferat, pulsus obscuros exiguosque efficiat, & his similia, hoc præcipuè tempus obseruandum est, sciendumque manifestò in pessimo accessionis tempore hominem moriturum. Atqui si hoc definitum, cognitumque apertè sit, nullum adhuc est negocium mortis horam dicere, quippe quum secundus dies, exempli gratia, & quartus vehementiorem accessionem adferat, quàm primus, tertius, & quintus, ad sextum diem mors præmonstrabitur, appareat verò pars accessionis grauissima in ipsius insultu, eaque sexta hora, in hac moriturum hominem non est operosum dicere. At hoc non dico, vt quis putet, nunquam tali speculatione fretum falli posse: verùm maiore ex parte veritatem assequi, non probabili sermone, sed re ipsa, ostendimus. Illud autem noui certò, quosdam, qui optimis inuident, facere; volunt enim futurum nos semper prædicere, licet nullum interim signum firmum habeamus, quanquam aruspicibus auguribusque denuò augurari, immolareque concedant. Deinde simul quidem obstrepunt nobis, tanquam maiorem, quàm hominibus conueniat, speculationem appetentibus; simul verò in operibus, tam acerbè prædictiones inquirunt, vt nulli vates ita inquirant. Atqui non illos respicere, sed veritatem ipsam, & signorum facultates diligenti exercitio pernoscere oportet; & vbi hæ tutò definiri possunt, prædicere conator; si autem quid obscurum fuerit, sequentem diem expectare oportet. Porrò si nihil in ipso firmiter præsagire possimus, satius est tacere, quàm temerè pronunciantem falli. Ego sanè ex tali securitate motus, haud noui me in prædictionem longo tempore errasse, etsi in primo statim febris initio subinde de tota ipsius natura pronunciauerim, vel tertianam esse hanc inuadentem febrem inquiens, vel quartanam, vel quotidianam, vel harum quidem nullam, continuam verò, & acutam aliquam, quartum diem non excedentem. Verùm in omni principio futurum cognoscere non licet, nisi quis ex amussi morbi speciem perspectam referat; & hoc ad opus de crisi pertinet.

CAPVT XIII.

De via ac ratione Iudicatorium diem in acutis ac longis morbis prædicendi.

ITerum igitur ad institutum reuersi, dicamus; si quis primo die acuta febre infestetur, nullum autem periculosum signum ipsi adfuerit, sed in vrinis aliqua coctionis nota inuenta fuerit, non extra quartum diem morbus soluetur. Quinetiam, si multa lethalia primo die statim deprehendantur,

A κωματώδης, ἤ τι τοιοῦτον ἕτερον πάσχῃ, τοῦτον ὑφορᾶσθαι μάλιστα τὸν καιρόν. εἰ δ' οὗτος μὲν μέτριος εἴη, περὶ δὲ τὴν ἀκμὴν ἤτοι παραπαίοντα τὸν ἄρρωστον, ἢ καταφερόμενον, ἢ ἀλύοντα βλέποις, ἢ τοῦ πυρετοῦ τὸ μέγεθος οὐχ ὑπομένοντα, διακαιόμενον δὲ σφοδρῶς, καὶ σκοτοδινιῶντα, καὶ κεφαλὴν ἀλγοῦντα, καὶ καρδιώσσοντα, καί τι τοιοῦτον ἕτερον πάσχοντα, τοῦτον ὑποπτεύειν μάλιστα τὸν καιρόν. Εἰ δὲ καὶ τῆς ἀρχῆς τοῦ παροξυσμοῦ, καὶ τῆς ἀκμῆς μετρίως γινομένων, ἡ παρακμὴ λειποψυχίας τινάς, καὶ ἱδρῶτας ἀνωμάλους, καὶ ψυχρούς, ἢ περὶ κεφαλὴν μόνον, ἢ τράχηλον, ἢ στέρνον ἐπιφέρῃ, καὶ τοὺς σφυγμοὺς ἀμυδρούς τε, καὶ μι- B κροὺς ἐργάζοιτο, καὶ τὰ τούτοις ὅμοια, τοῦτον ὑφορᾶσθαι μάλιστα τὸν καιρόν, εἰδέναι τε σαφῶς ἐν τῷ χειρίστῳ τοῦ παροξυσμοῦ καιρῷ τεθνήξεσθαι τὸν ἄνθρωπον. καὶ μὴν εἰ τοῦτο διορισθείη τε, καὶ γνωσθείη σαφῶς, οὐδὲν ἔτι χαλεπὸν, οὐδὲ τὴν ὥραν εἰπεῖν τοῦ θανάτου. Εἰ γὰρ καὶ τῆς δευτέρας ἡμέρας, εἰ τύχοι, καὶ τῆς τετάρτης τὸν σφοδρότατον παροξυσμὸν ἐνεγκούσης, ἤπερ τῆς πρώτης τε, καὶ τρίτης, καὶ πέμπτης, εἰς τὴν ἕκτην ἡμέραν ὁ θάνατος προδηλωθείη, φαίνοιτο δὲ καὶ τὸ χαλεπώτατον μέρος τοῦ παροξυσμοῦ κατὰ τὴν εἰσβολὴν αὐτοῦ, καὶ τοῦτο ὥραν ἕκτην γένοιτο, οὔ τι χαλεπὸν ἐν ἐκείνῳ τῷ καιρῷ τεθνήξεσθαι τὸν ἄν- C θρωπον εἰπεῖν, καίτοι γ' ἔστιν ὃ πειρώμεθα κατασκευάζειν νῦν, ὅπερ ἂν ἴσως οἰηθείη τις, ὡς οὐκ ἐνδέχοιτό ποτε σφαλῆναι τὸν ἐκ τοιαύτης θεωρίας ὁρμώμενον. ἀλλ' ὅτι τὰ πλείω τεύξεσθαι τἀληθοῦς, οὐ πιθανοῖς λόγοις, ἀλλ' αὐτοῖς τοῖς ἔργοις ἐπιδεδείχαμεν. ἐκεῖνο δὲ βιαίως οἶδα ποιοῦντας ἐνίους τῶν βασκαινόντων ταῖς θεωρίαις· ἀξιοῦσι γὰρ ἀεὶ προλέγειν ἡμᾶς τὸ μέλλον, κἂν μηδὲν ἔχωμεν ἐνίοτε βέβαιον σημεῖον, καίτοι τοῖς ἱεροσκόποις τε, καὶ τοῖς οἰωνισταῖς, ἐπικαθύεσθαι, καὶ ἐπεξοιωνίζεσθαι συγχωροῦσιν, ὅταν ἀσαφῆ γένηται τὰ μαντεύματα, εἶθ' ἅμα μὲν ἀντιλέγουσιν ἡμῖν, ὡς μείζονος, ἢ κατ' ἄνθρωπον θεωρίας D ἐφιεμένοις, ἅμα δ' ἐπὶ τῶν ἔργων οὕτω πικρῶς ἐξετάζουσι τὰς προρρήσεις, ὡς οὐδένα τῶν μάντεων. ἀλλὰ γὰρ οὐ πρὸς τούτους ἀποβλέπειν, ἀλλ' εἰς αὐτὴν χρὴ τὴν ἀλήθειαν, καὶ τῶν σημείων τὰς δυνάμεις ἀκριβῶς ἀσκήσαντας διαγινώσκειν, ἐπειδὰν ἀσφαλῶς οἷόν τε ᾖ διορίζεσθαι, προλέγειν τηνικαῦτα διατεινόμενον· εἰ δ' ἀσαφές εἴη τι, τὴν ἑξῆς ἡμέραν ἀναμένειν. Εἰ δὲ καὶ μηδὲ κατ' αὐτήν τι δυνάμεθα βεβαίως προειπεῖν, ἄμεινον ἡσυχάζειν, ἢ προπετῶς ἀποφηνάμενον ἀσφαλῆναι· ἔγωγ' οὖν ἐκ τῆς τοιαύτης ἀσφαλείας ὁρμώμενος, οὐκ οἶδα σφαλεὶς ἐν προρρήσει χρόνου πολλοῦ. καίτοι κατὰ τὴν πρώτην εὐθὺς ἀρχὴν τοῦ πυρετοῦ, E πολλάκις ὑπὲρ ὅλης ἀποφηνάμενος αὐτοῦ τῆς φύσεως, ἢ τριταῖον εἰπὼν εἶναι τὸν εἰσβάλλοντα τοῦτον πυρετὸν, ἢ τεταρταῖον, ἢ ἀμφημερινὸν, ἢ τούτων μὲν οὐδένα, συνεχῆ δέ τινα καὶ ὀξὺν, οὐκ ἂν ὑπερβάλλοντα τὴν δ'. ἡμέραν. ἀλλ' ἐπὶ πάσης ἀρχῆς, οὐχ οἷόν τε διαγινώσκειν τὸ μέλλον, ἀλλ' εἴ τις ἂν ἀκριβῶς ἐμφανίζῃ τὴν τοῦ νοσήματος ἰδέαν, καὶ τοῦτο δὲ τῆς περὶ κρίσεων ἐστιν ἤδη πραγματείας.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ μεθόδου τοῦ ἐν τοῖς ὀξέσι τε, καὶ χρονίοις νοσήμασι προγινώσκειν.

F ΠΑλιν οὖν ἐπὶ τὸ προκείμενον ἐπανιτέον, καὶ ῥητέον, ὡς εἴ τις κατὰ τὴν πρώτην ἡμέραν ὀξέως μὲν πυρέττοι. μηδὲν δ' αὐτῷ προσείη κινδυνῶδες σημεῖον, εὑρεθείη δέ τε κἂν τοῖς οὔροις πέψεως γνώρισμα, τὴν δ'. ἡμέρας, οὐκ ἂν ἐξωτέρω λυθείη τὸ νόσημα. καὶ μὴν δὴ κἂν εἰ πάντα ὀλέθρια κατὰ τὴν α'. ἡμέραν εὐθὺς εὑρίσκοιτο,

τεθνήξεται πάντως οὐκ ἐξωτέρω τῆς δ'. Εἰ δέ γε πυρέττοι μὲν ὀξέως, μηδὲν δὲ αὐτῷ παρείη τῶν ὀλεθρίων, ἀλλὰ μηδέ τι τοῦ πέψεως γνώρισμα, τοῦτον οὐκ ἐνδέχεται τεταρταῖον παύσασθαι. διορίζεσθαι δεῖ πάλιν ἐνταῦθα, πότερον, ὥσπερ οὐδὲν ὑπάρχει γνώρισμα πέψεως αὐτῷ, κατὰ τὸν αὐτὸν τρόπον, οὐδὲ χρόνου γνώρισμα πολλοῦ, ἢ πρὸς τῷ τὰ τῆς πέψεως ἀπεῖναι σημεῖα, καὶ τὰ τοῦ χρόνου πρόσεστιν. Εἰ μὲν γὰρ, ὥσπερ τὰ τῆς πέψεως, οὕτω καὶ τὰ τοῦ χρόνου τελέως σημεῖα ἀπείη, περὶ τὴν δευτέραν τετράδα τὴν ἀκμὴν ἀπολήψεται τὸ νόσημα. Εἰ δὲ καὶ χρόνου μακροῦ σημεῖον παρείη, πάντως μὲν ὑπερπεσεῖται τὴν δευτέραν τετράδα, τουτέστι τὴν ἑβδόμην ἡμέραν. Εἰς δὲ πόσον ἐκταθήσεται, τοῦτο οὐκ ἐγχωρεῖ γινώσκειν εὐθὺς κατ' ἀρχὰς, ἀλλ' ἐν ταῖς ἐφεξῆς ἡμέραις διορισθήσεται. τοσοῦτον δ' ἂν ἤδη πρὸς τῷ καλῶς διαιτᾶν ἀπολαύσεις ἐκ τῆς εἰρημένης προγνώσεως γινώσκειν, ὅτι χρὴ τρέφειν ἤδη τοσοῦτον, ὡς ἂν ἐξ ὑστέρου μελλούσης ἔσεσθαι τῆς ἀκμῆς. ὅκου μὲν γὰρ κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ὅκου δὲ μὴ, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾶν, τοσοῦτον ὑποκαταβαίνειν, ὁπόσον ἂν ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ. δηλονότι τὰ ἔσχατα, τὴν ἀκμὴν λέγει τοῦ νοσήματος. Εἴ γε δὴ καὶ τὸ κάτοξυ, τοὺς ἐσχάτους πόνους ἔχειν αὐτίκα φησὶ, τουτέστι τοὺς παροξυσμοὺς, καὶ τὰ συμπτώματα, τοῦτο δὲ οὐδὲν ἄλλο, ἢ ἀκμάζειν ἐστὶ τὸ νόσημα. τὸ δὴ τοιοῦτον νόσημα, τὸ κατὰ τὴν ἀρχὴν εὐθέως, ὅτι τὴν δευτέραν ὑπερβήσεται τετράδα δηλοῦν, ἐν τῇ δευτέρᾳ, καὶ τρίτῃ τῶν ἡμερῶν ἐπιγνοίης ἂν ἀκριβέστερον εἰς ὅσον ἂν ἐκταθήσεται χρόνου μῆκος. ἐν δὲ τῇ δ'. κἂν ἐγγυτάτω στοχάσαιο τὴν μέλλουσαν ἀκμήν τε, καὶ κρίσιν. Εἰ μὲν γὰρ τά τε τῆς ἀπεψίας σημεῖα, καὶ τὰ τοῦ χρόνου μηδὲν ἀξιόλογον ὑφιέντα φαίνοιτο, καὶ τῆς τρίτης τετράδος ἐπὶ πλεῖον ἡ νόσος ἐκταθήσεται. Εἰ δέ τινα σαφῆ ποιοῖτο μεταβολὴν, οὐ μὴν ἤδη γέ τι σημεῖον πέψεως ἐν τῇ πρώτῃ τετράδι φαίνοιτο, περὶ τὴν τρίτην τετράδα προσδέχεσθαι τὴν κρίσιν. Εἰ δ' ἄπεπτον ἔτι δὴ φαίνοιτο, κατὰ τὴν ἑβδόμην ἡμέραν, οὐ μὴν ἐξαίρετόν τι, καὶ μέγα χρόνου σημεῖον ἔχον, ἐλπίζειν μὲν εἰς τὴν τετάρτην τετράδα, τουτέστιν εἰς τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ἐκταθήσεσθαι τὴν κρίσιν αὐτοῦ. διορίζεσθαι δ' ἀκριβῶς ἐπὶ τῆς ἑνδεκάτης. ὡς γὰρ ἡ δ'. τὴν ἑβδόμην, οὕτω καὶ ἡ ἑνδεκάτη τὴν τεσσαρεσκαιδεκάτην προδηλοῖ. σαφὲς μὲν δή τι καὶ ἀκριβῶς πιστὸν ἤδη προδείξασα πέψεως σημεῖον, ἐν τῇ ιδ'. τὴν κρίσιν ἔσεσθαί φησι. ἀμυδρὸν δ' εἰ γένοιτο, προσέχειν ἤδη τὸν νοῦν τοῖς ἄλλοις. Εἰ μὲν γὰρ ὀξέως τε κινοῖτο τὸ νόσημα, καὶ μηδὲν τῶν ἄλλων κωλύει, τάχ' ἂν που καὶ ἡ ιδ'. κρίνειεν. Εἰ δὲ μὴ, περὶ τὴν ιζ'. ἡ κρίσις. Εἰ δ' ὅλως μηδὲν ἐπὶ τῆς ια'. προδηλωθείη, τὴν μὲν ιδ'. οὐκ ἐνδέχεται κρίνειν. σκοπεῖσθαι δὲ κἀνταῦθα τήν τε τοῦ νοσήματος ὅλου κίνησιν, καὶ τὰ ἄλλα πάντα συμπτώματά τε, καὶ σημεῖα, πότερον περὶ τὴν ιζ'. ἢ καὶ ιη'. ἐλπίζειν χρὴ τὴν κρίσιν, ἢ προσωτέρω γενέσθαι. ἐνίοτε μὲν γὰρ καὶ κατὰ ταύτας κρίνεται, τὰ πολλὰ δὲ, καὶ κατὰ τὴν εἰκοστὴν, ἔνια δὲ καὶ κατὰ τὴν κα'. ἐπίδηλος δ' ἀμφοῖν μὲν ἡ ιζ'. καὶ μᾶλλον τῆς κ'. ἡ δὲ ιη'. μόνης τῆς κα'. Εἰ δέ τι καὶ κατ' ἀρχὰς εὐθὺς νόσημα, μὴ σφόδρα ταχέως κινούμενον, ἀλλ' οἷον ἐνδόμυχον εἰσβάλλει, καὶ τἄλλα αὐτῷ σημεῖα προσείη μακροτέρου χρόνου, τούτου τοῦ νοσήματος, οὐχ οἷόν τε κατ' ἀρχὰς προγνῶναι τὴν ἀκμήν. ἀλλ' ὅτι μὲν οὐκ ἐντὸς τῆς ιδ'. κριθήσεται, δῆλον. Εἰς ὅσον δέ γε ἐκταθήσεται μῆκος,

morietur planè non extra quartum diem. At si acutè febricitet, nullum vero lethale adsit, imò nec aliqua concoctionis nota, fieri non potest, vt hic quartanus decedat. Distinguendum hic rursus est, vtrum, sicut nulla concoctionis nota adest ei, eodem modo neque temporis longi vlla; an præter quòd coctionis indicia desunt, etiam temporis signa adsunt. Si namque vt concoctionis, ita temporis omnino signa adsint, in secundo quaternario morbus statum accipiet. Quòd si longi temporis indicium adfuerit, excedet omnino secundum quaternarium, hoc est diem septimum. Cæterùm quantum extendetur, hoc non licet statim ab initio cognoscere; sed in sequentibus diebus distinguetur. Tantum autem ex hac prænotione ad probam victus rationem præcipiendam acquires, quòd cognosces scilicet tantum alimenti modo conuenire, quantum, statu post futuro. *Quum enim morbus peracutus est, statim etiam extremos labores habet; in quo extremè tenuißima victus ratione vtendum est; quum autem secus est, paulo pleniorem victum tantum admittere conuenit, quanto morbus extremis mitior, clementiorque sit.* Extrema statum morbi appellat; siquidem peracutum quoque morbum extremos labores statim habere dicit, hoc est, accessiones, & symptomata; id autem aliud nihil est, quàm morbum vigere. Talis sanè morbus, qui statim à principio secundum quaternarium excessurum se indicat, secundo & tertio die accuratiùs à te intelligetur, in quantam temporis prolixitatem extendetur; in quarto, vel proxime conieceris futurum statum, & crisim; nam si cruditatis signa, & temporis, nihil effatu dignum referunt; etiam tertio quaternario longius ægritudo extendetur. Enimuero si claram aliquam mutationem faciat, non tamen iam signum aliquod concoctionis in primo quaternario appareat, in tertio quaternario crisis expectanda est. At si crudus adhuc videatur in septimo die, non tamen insigne quoddam & magnum temporis indicium habens, sperandum in quartum quaternarium, hoc est, in decimumquartum diem crisim eius extensum iri; definiendum verò est exactè in vndecimo: vt enim quartus, septimi; sic vndecimus decimiquarti index est; vbi enim clarum aliquod & fidum ad amussim signum concoctionis iam eo die antea innotuerit, in decimoquarto iudicium fore ait; obscurum si eueniat, aliis iam attendendum est. Si namque morbus celerem motum obtineat, & aliorum nullum obstet, forsan etiam decimusquartus decernet; sin minus, in decimoseptimo crisis erit: at si nihil in vndecimo prorsus ante fuerit indicatum, in decimoquarto iudicium esse nequit. Considerandum autem hic totius morbi motus, aliaque symptomata omnia, & indicia, vtrum decimoseptimo, vel etiam decimooctauo crisis speranda sit, an longiùs progressura; interdum enim in his quoque iudicatur, plerumque vigesimo, interim vigesimoprimo; index autem amborum est decimusseptimus, & magis vigesimi; decimus octauus autem solius vigesimiprimi. Porrò si morbus quispiam mox ab initio non adeo celeriter moueatur, sed velut occultus & latens inuadat; & alia signa longioris temporis adsint; huius statum præsagire in principiis nemini licet; verùm quòd non intra decimumquartum diem crisim accipiet, liquido constat; quousque verò extendetur,

non

non constat, sed distinguere oportet priùs, periculosúsne sit, an non. Si periculosus est, & præterea vires ægri imbecillæ, mors ante, quàm in longum extendatur tempus, præuertet; si periculo vacat, procul omnino crisis est; non enim fieri potest, vt celeriter iudicetur morbus, qui præmonstrarit notam longi temporis. Quantum igitur tempus ad amussim ei accedet, non modo non primo die, aut secundo, aut tertio, sed ne quarto quidem inuenire absolutè sperandum; verùm in decretoriorum dierum sequentibus periodis perspicuum fiet. In secundo quidem quaternario latior est coniectura, in tertio accuratior. Quòd si enim ad septimum vsque diem cruditatis, & temporis indicia vehementiora compareant, ante vigesimum diem crisis esse non potest, si moderatiora eueniunt, aut permanent æqualia, potest. Itaque, si ante vigesimum diem decerni non posse, manifestò noueris, idque temporis notis vehementibus, inspice tertium quaternarium; & si adhuc temporis, cruditatisque signa in hoc intendantur, procul à vigesimo die crisim productum iri spem habeto; æqualibus signis manentibus, hic quoque post vigesimum venturam dicere licet; diem verò ipsum cognoscere iam non est; tertius autem, & quartus quaternarius eum indicabit. Si namque semper magisque cruditatis signa exoluantur, primo post tertiam septimanam quaternario crisim morbi sperato, si nulla insignis mutatio fiat, in quartam hebdomadem progredietur. Qui autem morbi ad decimumquartum crudi omnino sunt, & tardiùs quodammodo mouentur, non citiùs quadragesimo iudicantur. Post quadragesimum verò iudicia dissolui; & lentis concoctionibus magis, quàm subitis mutationibus, morbos solui, & nobis quidem prius dictum est, & aliis omnibus, quibus artis opera curæ sunt, sic videtur, vt etiam Archigeni. Accidunt quidem aliquando in his quoque præcipites mutationes, quemadmodum in ægris ab Hippocrate descriptis inuenias; præsagiendi autem ipsarum methodus hæc est; in summa enim signorum vires cognoscere oportet, sicut Hippocrates etiam præcepit, si quis præsagiendi peritus exactè futurus est. Plerique medici, qui huiusmodi speculationem audent attingere, ad signorum numerum, non potestates, respiciunt. Sed hæc & in opere de crisi tractantur. Tempus autem fuerit discordiæ sermonem aggredi, & experientia, ac ratione eum explorare: has siquidem alibi etiam ostendimus, omnium, quæ in medicina disquiruntur, esse iudices.

οὐδέπω δῆλον, ἀλλὰ χρὴ διορίζεσθαι πρῶτον μὲν, εἰ κινδυνῶδές ἐστιν, ἢ ἀκίνδυνον. κινδυνώδεις μὲν γὰρ ὄντες, καὶ σὺν τούτῳ τῆς δυνάμεως ἀῤῥώστου, φθάσειεν ἂν ὁ ἄνθρωπος ἀποθανεῖν, πρὶν εἰς μακρὸν ἐκταθῆναι χρόνον, ἀκινδύνου δὲ πόῤῥω πάντως ἡ κρίσις. οὐ γὰρ ἐνδέχεται ταχέως κριθῆναι, ὃ χρόνου μακροῦ προδεῖξαι γνώρισμα. πόσος οὖν χρόνος ἀκριβῶς αὐτῷ γενήσεται, μὴ ὅτι κατὰ τὴν πρώτην ἡμέραν, ἢ τὴν δευτέραν, ἢ τὴν τρίτην, ἀλλὰ μηδὲ κατὰ τὴν τετάρτην, ἐλπίζειν ἐξευρίσκειν ἀκριβῶς, ἀλλ' ἐν ταῖς ἐφεξῆς περιόδοις τῶν κρισίμων ἡμερῶν ἔσται δῆλον. ἐπὶ μὲν τῆς δευτέρας τετράδος, ἔστι που στοχαζομένῳ πλατύτερον, ἀκριβέστερον δ' ἐπὶ τῆς τρίτης. εἰ μὲν γὰρ ἕως τῆς ζ'. ἡμέρας τὰ τῆς ἀπεψίας τε, καὶ τοῦ χρόνου σημεῖα φαίνοιτο σφοδρότερα, πρὸ τῆς κ'. οὐκ ἐνδέχεται κριθῆναι, μετριωτέρων δὲ γινομένων, ἢ ἴσων διαμενόντων, ἐνδέχεται. ἐὰν οὖν ὅτι πρὸ τῆς κ'. οὐκ ἐνδέχεται κριθῆναι, σαφῶς ἂν εἰδείης. εἰ δ' ὡς εἴρηται, σφοδρῶν τῶν γνωρισμάτων τοῦ χρόνου γινομένων, ἐπισκέπτου τὴν τρίτην τετράδα, κἂν ἔτι καὶ κατὰ ταύτην ἐπιτείνηται, τά τε τοῦ χρόνου, καὶ τὰ τῆς ἀπεψίας σημεῖα, πόῤῥω που τῆς κ'. ἐκταθήσεσθαι τὴν κρίσιν ἔλπιζε. μενόντων δ' ἴσων, ὅτι μὲν κἀνταῦθα μετὰ τὴν εἰκοστὴν ἤδη, καὶ τοῦτο λέγειν ἐγχωρεῖ, τὴν δ' ἡμέραν αὐτὴν οὐχ οἷόν τε γινώσκειν ἤδη. δηλώσει δ' αὐτὴν, ἡ τρίτη τε, καὶ τετάρτη τετράς. εἰ γὰρ ἀεὶ καὶ μᾶλλον ἐκλύοιτο τὰ τῆς ἀπεψίας σημεῖα, τῇ μετὰ τὴν τρίτην ἑβδομάδα πρώτῃ τετράδι κριθήσεσθαι τὴν νόσον ἔλπιζε. μὴ πάνυ δ' ἀξιολόγου γινομένης τῆς μεταβολῆς, εἰς τὴν τετάρτην ἑβδομάδα προβήσεται. τὰ δ' ἕως τῆς ιδ'. ἡμέρας ἄπεπτά τε παντάπασιν ὑπάρχοντα, καὶ βραδύτερόν πως κινούμενα νοσήματα τῆς μ'. οὐκ ἂν ἐγγυτέρω κριθείη. μετὰ δὲ τὴν μ'. ὅτι τὰ τῶν κρίσεων ἐκλύεται, καὶ μάλιστα ταῖς κατὰ βραχὺ πέψεσιν, ἢ ταῖς ἀθρόαις μεταβολαῖς τὰ νοσήματα λύεται, καὶ ἡμῖν μὲν ἔμπροσθεν εἴρηται, καὶ τοῖς ἄλλοις δὲ πᾶσιν, ὅσοις τῶν ἔργων τῆς τέχνης φροντὶς οὕτω δοκεῖ, καθάπερ οὖν καὶ Ἀρχιγένει. γίνονται μέν ποτε καὶ κατὰ ταύτας ὀξεῖαι μεταβολαὶ, ὥσπερ κἂν τοῖς ὑφ' Ἱπποκράτους γεγραμμένοις ἀῤῥώστοις ἐστὶν εὑρεῖν. ἡ δὲ τῆς προγνώσεως αὐτῶν μέθοδος αὕτη. καθόλου γὰρ χρὴ τὰς δυνάμεις ἐπίστασθαι τῶν σημείων, ὥσπερ οὖν καὶ Ἱπποκράτης ἐκέλευεν, εἰ μέλλοι τις ἔσεσθαι προγνωστικὸς ἀκριβῶς. οἱ πολλοὶ δὲ τῶν ἰατρῶν, ὅσοι γε τολμῶσιν ἅπτεσθαι τῆς τοιαύτης θεωρίας, εἰς τὸν ἀριθμὸν ἀποβλέπουσι τῶν σημείων, οὐκ εἰς τὰς δυνάμεις. ἀλλὰ περὶ μὲν τούτων, κἂν τοῖς περὶ κρίσεων ὑπομνήμασι λέγεται. καιρὸς δ' ἂν εἴη μοι τοῦ τῆς διαφωνίας ἅπτεσθαι λόγου, καὶ κρίνειν αὐτὴν πειρᾶσθαι, διά τε τῆς ἐμπειρίας, καὶ τοῦ λόγου. ταῦτα γὰρ δὴ καὶ δι' ἑτέρων ἐδείκνυμεν εἶναι κριτικὰ πάντων τῶν ἐν ἰατρικῇ ζητουμένων.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ ΗΜΕΡΩΝ ΒΙΒΛΙΟΝ Β'.

GALENI DE DIEBVS DECRETORIIS LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β' ΒΙΒΛΙΩι.

Ἐμπειρίᾳ τε καὶ λόγῳ τὴν τῶν κρισίμων ἡμερῶν διέρχεται δύναμιν, καὶ τὴν αὐτῶν ἀναλογίαν ἐνδείκνυσι· καὶ τίνες τινῶν νοσημάτων.

ARGVMENTVM LIBRI SECVNDI.

Experientia ac ratione vim explicat dierum iudicatoriorum, indicat item illorum ordinem & proportionem; & qui quos ad morbos pertineant.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν αὐτῷ τῷ λόγῳ λεκτέον.

A ΟΣΟΝ μὲν εἰς τὰ τῆς ἰατρικῆς ἔργα χρήσιμον, ἐν τῷ πρὸ τούτου λόγῳ σύμπαν εἴρηται. διὰ τί δὲ οὐχ ἅπαντες ὑπὲρ ἁπασῶν ὡσαύτως ἔγραψαν, εἴρηται μὲν καὶ τοῦτ' ἔμπροσθεν. ἀλλ' ὅπῃ σφαλῆναι μὲν ἔνιοι αὐτῶν, κατορθῶσαι δὲ ἑτέροις ὑπῆρξεν, οὐκέτ' εἴρηται. τοῦτ' οὖν ἀναληπτέον ἐν τῷδε τῷ λόγῳ πρῶτον, ἔπειτα καὶ τὴν αἰτίαν ῥητέον, δι' ἣν οὔθ' ἁπασῶν ἡμερῶν ἀριθμός ἐστι κριτικός, οὔθ' ὅσαι κρίνειν πεφύκασιν, ἴσην ἅπασαι ἔχουσι δύναμιν, ἀλλ' ἐπειδὴ πάντα τὰ κατὰ τὴν ἰατρικὴν τέχνην B εὑρίσκεταί τε, καὶ δοκιμάζεται, τὰ μὲν ἐμπειρίᾳ, τὰ δὲ λόγῳ, τὰ δὲ συναμφοτέρῳ, πειρατέον κἀνταῦθα δι' ἀμφοτέρων ὀργάνων ἐξελέγξαι μὲν τὸ ἡμαρτημένον, ἐπαινέσαι δὲ καὶ προσίεσθαι τὸ κατωρθωμένον. ὅτι μὲν οὖν ἡ πεῖρα τὰς εἰρημένας ἡμέρας πρεσβεύει, τοὺς μὲν ὑπ' ἐμοῦ παρατηρηθέντας ἀρρώστους εἰ γράψαιμι, τάχ' ἄν τῳ ψεύδεσθαι δόξαιμι. τοὺς δ' ὑφ' Ἱπποκράτους, ὃν ἀληθέστατόν γε πάντων, καὶ κρίνειν ἱκανώτατον ἅπαντες εἶναι πεπιστεύκαμεν, ἄμεινον εἶναί μοι δοκεῖ παραθέσθαι τῷ λόγῳ, καὶ πρῶτον μὲν τοῦ συγκεχυμένου τε, καὶ ἀδιορίστου κατὰ τὴν πεῖραν, οὗ καὶ πρόσθεν ἐμνημόνευσα, πρὸς τοὺς διορισμοὺς ἀναμνήσω.

CAPVT PRIMVM.

Quid hoc libro agendum.

A QVANTVM sanè ex diebus decretoriis medicinæ operibus vtilitatis adueniat, superiori cõmentario vniuersum ostendimus; cur autem non omnes eodẽ modo de omnibus scripserint, dictum est hoc quoque antea; at quo pacto nonnulli ipsorum errauerint, alij rectè senserint, nondum exposuimus. Hoc itaque primum nunc repetendum; deinde causa explicanda erit, ob quam neque omnium dierum numerus est decretorius, neque decernere nati eandem habent omnes potentiam. Porrò quum vniuersæ medicinæ artis speculationes, aliæ experientia, aliæ ratione, aliæ vtroque, inueniantur probenturque, conabimur hîc quoque ambobus instrumentis erratum deprehendere; rectè scriptum laudare, approbareque. At quoniam mentiri fortè cuipiam videar, si ex ægris à me obseruatis prædictos dies ab experientia commendari tibi persuadere coner, satius esse duco illos, quos Hippocrates, vir vt cæteris fide dignior, ita omnium consensu decernendi peritissimus, animaduertit, sermoni apponere; & primùm quidem confusionem, ac indefinitum experimento (cuius & antè memini) ad definita reducam.

CAPVT II.

Hypotheses, vt dierum iudicatoriorum vis, experientia ac ratione comprobetur.

DIctum est in ipsis, primùm vnum certè, dierum putà decretoriorum inquisitionem in omnibus deinceps ægrotis fieri non esse necessarium; illos tantum numerandos probandosque, in quibus, nec ipse medicus, nec æger, quid peccauerit, imò nec assistentes; aut etiam extrinsecus offensa quæpiam obuenerit; deinde morborum initia non ratione quapiam, sed ex ipsa euidentia capienda, quum primum æger ipse manifestò sensit morbum sic eum inuadentem, vt præsentem quempiam medicum de hoc consulere desiderarit; tertium quum in plures se ordine consequentes dies crisis partita sit, cuius propria dicatur, posse dignoscere. Nisi enim quispiam his definitis experimento decretorios dies disquisiuerit, vehementer errabit; & quidem in experientia ipsa iudicium tale est; ratione verò quemadmodum iudicari experientiam conuenit, post hæc enarrabo. Physicum esse conuenit, qui hæc iudicet; & persuasum habere, naturam prorsus sufficere, & summa quadam prouidentia corpori nostro prospicere; item propriis etiam motibus ordinatis, si quid aliud, & ipsam vti. Horum quædam ex libris de partium vsu ratiocinari licet (ostensum enim est ibidem summum naturæ in animali fingendo artificium) quædam in conceptuum incremento, perfectione, & partu. Nam cuiusque animantis conceptui suum generis statutum tempus exactè seruatur, natura videlicet ordinatos motus semper habente. Sic enim post partum vnumquodque animans increscit, absoluitur, & declinat præfinitis temporibus. Iam verò, qui libros de naturalibus facultatibus perlegerit, item alios vniuersos, quos particulatim de singulis naturalibus actionibus conscripsimus, persuasum, opinor, habebit, quantum prouidentiæ simul, & ordinationis, naturæ motus habeant. Si iam hæc crediderit, mireturque artificium pariter, & ordinem naturæ, recordatus iterum, quantum ipsa superetur prouidentia, & ordine à cælestibus, ordinationem quandam, puto, substantiæ nostræ motui connatam tribuet. Atq; pulchrum omne, quod hic pulchrum sit, atque etiam ordinatum, & artificiosum, ex supernis innasci dicet; inordinatum, & erraticum ex materia, quæ hîc versatur, prouenire. Atque hæc primus omnium, quorum memoria ad nos peruenit, Græcorum Hippocrates credidit; post eum philosophorum præcipui. At nisi sermo in longum proueheretur, demonstrationes forsan, quas dicunt, ad fidem prædictorum dogmatum adduxissem. Verum hæc præsenti sermoni sufficiunt. Expedit igitur medicum, qui Hippocratis arte dignus futurus est, siquid aliud hoc certè persuasum habere, experientiam iudicare, naturam rem quandam esse inordinatam: & quum materiam superauerit, proportionibus quibusdam definitis, & periodis ordinatis, motiones ipsius fieri. At quæ præter rationem incidunt aliquando, ordinemque confundunt, tunc ipsi obueniunt, quum non planè materiam vicerit, sed impeditur, prohibeturq; suis proportionibus moueri. Hoc enim si tibi persuaseris ac dein experientia perdidiceris septimo die crisim esse tutam simul,

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὑπόθεσις πρὸς τὴν τῇ ἐμπειρίᾳ τε, καὶ τῷ λόγῳ ἐξέτασιν ποιεῖσθαι τῆς τῶν κρισίμων ἡμερῶν δυνάμεως.

ΛΕλεκται δ' ἐν αὐτοῖς πρῶτον ἓν μὲν, τὸ μὴ δεῖν ἐπὶ πάντων ἑξῆς τῶν ἀρρώστων τὴν ἐξέτασιν τῶν κρισίμων ἡμερῶν ποιεῖσθαι. μόνους δ' ἐκλέγειν ἐκείνους, καὶ ἀναλαμβάνειν εἰς τὴν βάσανον, ἐφ' ὧν μήτ' αὐτὸς ὁ ἰατρὸς ἥμαρτέ τι, μήθ' ὁ κάμνων, ἀλλὰ μήθ' οἱ παραμένοντες, ἢ καί τι τῶν ἔξωθεν ἀπήντησε βλαβερόν. ἔπειτα δὲ καὶ τὸ τὰς ἀρχὰς τῶν νοσημάτων οὐκ ἐκ λόγου τινὸς, ἀλλ' ἐξ αὐτῆς τῆς ἐνεργείας λαμβάνειν, ὁπότε πρῶτον ὁ κάμνων αὐτὸς ᾔσθετο σαφῶς, οὕτως εἰσβάλλοντος αὐτῷ τοῦ νοσήματος, ὡς κοινώσασθαι βούλεσθαί τινι τῶν παρόντων ἰατρῶν, καὶ τρίτον, ἐπειδὰν εἰς πλείονας ἡμέρας ἐφεξῆς ἀλλήλων οὔσας ἡ κρίσις μερισθῇ, τίνος ἐστὶν οἰκεία δύνασθαι διαγινώσκειν. εἰ μὴ γὰρ διορισάμενός τις ὑπὲρ τούτων, ἐπὶ τῇ πείρᾳ τὰς κρισίμους ἡμέρας ἐξετάζειν ἀφίκοιτο, πάμπολυ σφαλήσεται. τὸ μὲν δὴ κατὰ τὴν πεῖραν αὐτὴν, τοιόνδε τί ἐστι. τὸ δὲ κατὰ τὸν λόγον, ὡς χρὴ κρίνεσθαι τὴν πεῖραν, ἐφεξῆς δίειμι. φυσικὸν εἶναι χρὴ τὸν ταῦτα κρινοῦντα, καὶ πεπεισμένον ἀκριβῶς, ὅτι φύσις ἐξαρκεῖ παντάπασιν, καὶ ὡς προνοεῖται τοῦ σώματος ἡμῶν, ἄκραν τινὰ πρόνοιαν, ὅτι τε ταῖς οἰκείαις κινήσεσιν, εἴπερ τι καὶ ἄλλο τεταγμέναις, οὕτως καὶ ἡ φύσις χρῆται. τούτων δὲ τὰ μὲν ἐκ τῶν περὶ χρείας μορίων ἔνεστι συλλογίσασθαι. δέδεικται γὰρ ἀκριβῶς, ἄκρα τις ἐν τῇ διαπλάσει τοῦ ζώου τέχνη τῆς φύσεως, τὰ δ' ἐν ταῖς τῶν κυημάτων αὐξήσεσίν τε, καὶ τελειώσεσι, καὶ ἀποκυήσεσι. καθ' ἕκαστον γὰρ ζῷον ἡ τοῦ γένους οἰκεία προθεσμία τοῖς κυουμένοις ἅπασιν ἀκριβῶς φυλάττεται, τεταγμένας δηλονότι τῆς φύσεως ἀεὶ τὰς κινήσεις ἐχούσης. οὕτω δὲ καὶ ἡ μετὰ τὴν ἀποκύησιν αὔξησις ἑκάστου ζώου γίνεται. ἡ τελείωσις δὲ καὶ ἡ παρακμὴ, ἐν χρόνοις ὡρισμένοις γίνεται. καὶ μὲν δὴ καὶ ὅστις τοῖς περὶ τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν ὡμίλησε, καὶ τοῖς ἄλλοις ἅπασιν ὅσα κατὰ μέρος ἡμῖν ὑπὲρ ἑκάστης γέγραπται τῶν φυσικῶν ἐνεργειῶν, οἶμαι πεπεῖσθαι τοῦτον, εἰς ὅσον ἥκουσι προνοίας τε ἅμα, καὶ τάξεως αἱ τῆς φύσεως κινήσεις. εἰ δή τις ὑπὸ τούτων πέπεισται, καὶ θαυμάζει τὴν τέχνην θ' ἅμα, καὶ τὴν τάξιν τῆς φύσεως, ἀναμνησθεὶς αὖθις ὅσον ἀπολείπεται, καὶ προνοίᾳ, καὶ τάξει τῶν κατ' οὐρανὸν, ἀταξίαν τινὰ, οἶμαι, δώσει σύμφυτον τῇ τῆς ἐνταῦθα οὐσίας κινήσει. καὶ τὸ μὲν καλὸν ἅπαν, ὅσον ἂν ᾖ καλὸν ἐνταῦθα, καὶ μέντοι καὶ τὸ τεταγμένον τε, καὶ τεχνικὸν, ἄνωθεν ἐγγίνεσθαι φήσει. τὸ δ' ἄτακτόν τε, καὶ πεπλανημένον, ἐκ τῆς ἐνταῦθα ὕλης ὁρμᾶσθαι. καὶ ταῦθ' Ἱπποκράτης πρῶτος ἁπάντων, ὧν ἴσμεν, ἐπείσθη Ἑλλήνων, μετ' αὐτὸν δὲ ἅπαντες οἱ ἄριστοι τῶν φιλοσόφων. εἰ δὲ μὴ μακρὸς ἔμελλεν ὁ λόγος ἔσεσθαι, τάχ' ἂν ὧν λέγουσιν ἀποδείξεων εἰς πίστιν τῶν εἰρημένων δογμάτων, ἐμνημόνευσα. ἀλλὰ γὰρ ἀρκεῖ τῷ παρόντι λόγῳ καὶ ταῦτα. χρὴ τοίνυν τὸν ἰατρὸν, ὅστις ἂν ἄξιος ἔσεσθαι μέλλῃ τῆς Ἱπποκράτους τέχνης, εἴπερ τι ἄλλο, καὶ τοῦτο πεπεισμένον, ἥκειν ἐπὶ τὸ κρίνειν τὴν πεῖραν, ὡς τεταγμένον τι χρῆμά ἐστιν ἡ φύσις, κἀπειδὰν κρατῇ τῆς ὕλης, ἀναλογίαις τισὶν ὡρισμέναις, καὶ περιόδοις τεταγμέναις αἱ κινήσεις αὐτῆς γίνονται. τὰ δ' ἀλόγως παρεμπίπτοντά ποτε, καὶ συγχέοντα τὴν τάξιν, ἐπειδὰν μὴ πάντῃ κρατῇ τῆς ὕλης, ἀλλ' ἐμποδίζοιτό ποτε, καὶ κωλύοιτο τοῖς ἑαυτῆς λόγοις κινεῖσθαι, τότ' αὐτῇ συμπίπτει. τοῦτο γὰρ εἴπερ εἴη πεπεισμένος, ἔπειτα ἐκ τῆς ἐμπειρίας ἐπιμάθοι, τό τε τῆς ζ'. ἡμέρας ἐν ταῖς κρίσεσιν ἀσφαλές θ' ἅμα,

καὶ τελείαν, καὶ ἀκίνδυνον, καὶ εὔσημον, καὶ πολὺ τότε τῆς τεσσαρεσκαιδεκάτης ταύτῃ παραπλήσιον. ἐπιμάθοι δὲ, καὶ ὡς ἡ μὲν τετάρτη τῆς ἑβδόμης ἐστὶν ἐπίδηλος. ἡ δὲ ἑνδεκάτη τῆς τεσσαρεσκαιδεκάτης. εὐθὺς αὐτὸ παραστήσεται, σκοπεῖσθαί τι περὶ τῆς ἑβδόμης. ὅπου γὰρ καὶ τῆς πρώτης ἑβδομάδος δίχα διαιρεθείσης, ἡ τετάρτη δεξαμένη τὴν τομὴν, ὁποῖόν τι τὸ τέλος ἔσται προδηλοῖ, καὶ τῆς δευτέρας ὡσαύτως, πῶς οὐκ ἄν τις εἰς ἔννοιαν ἀφίκοιτο τοῦ τελείαν μέν τινα εἶναι περίοδον ἑκάστην τῶν ἑβδομάδων, ἐπειδὴ τὸ μέσον ἑκατέρου τῶν ἄκρων ἴσον ἀφέστηκε. καὶ διὰ τοῦτο, καὶ τὴν πρὸς ἄμφω κοινωνίαν ὁμοίαν ἔχει; τὴν μὲν τετάρτην, ὅσα διὰ τῆς πρώτης ἡμέρας οὐκ ἐπαύσατο, πειρᾶσθαι λύειν· αὐτὴν τὴν ιαʹ δʼ αὖ πάλιν, ὁπόσα διὰ τῆς ζʹ, εἰ δʼ εἴη μεῖζον, ἢ ὥστε μὲν διὰ τῆς τετάρτης ἡμέρας κριθῆναι τὸ νόσημα, προεργάζεσθαι μὲν ταύτην, τὸ τέλος δὲ ἐπιτιθέναι τὴν ἑβδόμην. ὡσαύτως δὲ καὶ ὅσα κατὰ τὴν ἑβδόμην οὐκ ἐπαύσατο, τὴν ιαʹ αὖθις ἐπιχειρεῖν, καὶ οὕτως, ἢ αὐτὴν κρίνειν, ἢ προεργάζεσθαι τῇ ιδʹ. καὶ κατʼ αὐτὴν εὐθὺς εἰς τὴν θεωρίαν ἵστασθαι, καὶ τὸ μὲν εἴτʼ αὐτοὶ πεφύκασιν οἱ ἀριθμοὶ δρᾶν, εἴτε ἑπόμενοι τεταγμέναις κινήσεσιν, οὐκ αὐτοὶ δρῶντες, ἀλλὰ ταῖς ἐν χρόνῳ τινὶ δρώσαις οὐσίαις ἑπόμενοι, τοῖς φιλοσόφοις σκοπεῖσθαι παρίημι. τὸ δʼ ἀμφοτέροις ὁμολογούμενον κοινῇ λαβών τις τὸ φαίνεσθαι, τάς τε κατʼ οὐρανὸν οὐσίας ἀεὶ ταῖς οἰκείαις ἀναλογίαις τῆς κινήσεως κεχρημένας. ἤδη δὲ καὶ ἐν τοῖς ἐπιγείοις ζώοις ἐπειδὰν ἀκριβῶς ὑγιαίνωσιν, ἄλλην ἄλλῳ καὶ κυήσεως εἶναι, καὶ ἀποκυήσεως, καὶ αὐξήσεως, καὶ τελειώσεως, καὶ ἀκμῆς, καὶ παρακμῆς, καὶ διαλύσεως ἀναλογίαν ἀριθμοῦ, πιστεύσειε δήπου, καὶ τὰς κρινούσας ἡμέρας, ἀριθμόν τέ τινα τεταγμένον ἔχειν, συγχεῖσθαί τε τοῦτον, ἔστιν ὅτε κατὰ τὰς νόσους ὑπὸ τῶν παρὰ φύσιν διαθέσεων. εἰ δή τις, ὡς καὶ πρόσθεν ἔφην, ἐπὶ τὴν πεῖραν ἀφίκοιτο, πάμπολυ μὲν τὰς ἑβδομάδας εὑρήσει δυναμένας, ἐφεξῆς δʼ αὐτῶν τὰς τετράδας. ἐπισκέψεται δὲ περὶ τῶν παρεμπιπτουσῶν ἡμερῶν, οἷον τρίτης, εʹ. ϛʹ. θʹ. ἐκ τίνος ποτὲ λόγου, τὸ κρίνειν ἐσχήκασιν. ἔτι δὲ μᾶλλον ἐπιζητήσεται, καὶ διερευνήσεται περὶ τῆς ἑπτακαιδεκάτης, καὶ ὀκτωκαιδεκάτης, καὶ εἰκοστῆς, καὶ εἰκοστῆς πρώτης ἁπασῶν τε τῶν ταύταις ἀνάλογον ἑπομένων. εἰ μὲν γὰρ εἰς τὴν εἰκοστὴν ἡμέραν αἱ τρεῖς ἑβδομάδες τελευτῶσιν, ὡς Ἱπποκράτης οἴεται, χρὴ δήπου τὴν μὲν ἑπτακαιδεκάτην ἐπίδηλον εἶναι τῆς εἰκοστῆς· ἐκπίπτειν δὲ τοῦ πρώτου λόγου τῶν κρισίμων ἡμερῶν, τὴν ὀκτωκαιδεκάτην τε καὶ εἰκοστὴν πρώτην. εἰ δʼ ὁλοκλήρους χρὴ συναριθμεῖσθαι τὰς ἑβδομάδας, ἐπίδηλος μὲν ἡ ὀκτωκαιδεκάτη τῆς εἰκοστῆς πρώτης γενήσεται· λόγον δʼ οὐδένα κρίσιμον ἕξουσιν, ἥ θʼ ἑπτακαιδεκάτη καὶ κʹ.

& perfectam, sine periculo, cum bonis signis, & crebram; ad hæc ei, quæ decimoquarto euenit, assimilem; insuper quartum diem septimi esse indicem; vndecimum verò decimiquarti; subibit statim de septimo considerare quippiam. Vbi enim prima hebdomade bifariam diuisâ, quartus sectionem recipiens, qualis finis futurus erit, prænunciat, & secunda similiter, quomodo non quis intelliget septimanam quamque perfectam quandam esse periodum, quum medium ab vtroque extremo ex æquo distet, & propterea quoque ad ambo coniunctionem similem obtineat? Nam quartus morbos, qui primo die non cessarunt, soluere conatur, vndecimus rursum quos septimus non discussit. Quòd si morbus maior sit, quàm vt quarto die crisim accipiat, dies quidem quartus præparat, finem verò imponit septimus. Pari modo, qui septimo non desierunt, vndecimus dies soluere molitur, atque sic vel ipse decernit, vel ipsi decimoquarto præparat. Ego quidem hîc in speculatione sisto. Numeri verò, an ipsi agere nati sint, an ordinatos motus sequantur non agentes ipsi, verùm substantias, quæ in temporis quodam spatio agunt, comitantes, philosophis considerandum relinquo. Quum ergo id quis ceperit, quod vtrisque communiter in confesso est, videlicet cælestes substantias semper suis motus proportionibus vsas apparere; iam verò, & in terrenis animantibus, quando exacta fruuntur valetudine, aliud aliam imprægnationis, partus, incrementi, perfectionis, vigoris, inclinationis, & dissolutionis numeri proportionem possidere; crediderit nimirum, & decretorios dies numerum quendam ordinatum habere; interdum hunc in morbis ex dispositionibus naturæ contrariis confundi. Nam si (vt ante dixi) ad experientiam deuenerit, septimanas nimis quàm potentes inueniet; proximè his quaternarios: inspiciet autem dies intercalarios, tertium puta, quintum, sextum, nonum qua ratione fiat, vt decernere possint. Ad hæc magis inquiret, inuestigabitque diem septimumdecimum, decimumoctauum, vigesimum, vigesimumprimum, omnesque deinceps his respondentes. Si etenim in vigesimum diem tres septimanæ finiunt (vt Hippocrates arbitratur) oportet certè decimum septimum vigesimi esse indicem; excidere autem è primo dierum decretoriorum ordine decimumoctauum, & vigesimumprimum. Porrò si integræ hebdomades connumerandæ sunt, decimusoctauus vigesimi index erit; rationem verò nullam decretoriam habebunt decimusseptimus, & vigesimus dies.

ΚΕΦΑΛΑΙΟΝ Γʹ.

Περὶ τῶν κρισίμων ἡμερῶν καθʼ Ἱπποκράτην ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν.

Πρῶτον οὖν ὅπως ἡ πεῖρα περὶ τούτων ἀποφαίνεται, διέλθωμεν, εἶθʼ οὕτως ἐπὶ τὸν λόγον μεταβῶμεν. ἔστω δὲ ἡ τῆς πείρας ἀνάμνησις, ἐξ ὧν Ἱπποκράτης ἔγραψεν, ἀρξαμένοις ἡμῖν ἀπὸ τοῦ πρώτου τῶν ἐπιδημιῶν. ἐν μὲν οὖν τῇ δευτέρᾳ καταστάσει τάδε γράφων. οἱ μὲν οὖν καῦσοι, ἐλαχίστοισί τε ἐγένοντο, καὶ ἥκιστα τῶν καμνόντων οὗτοι ἐπόνησαν. οὔτε γὰρ αἱμορραγία, εἰ μὴ πάνυ σμικρὰ, καὶ ὀλίγοισιν, οὔτε παρέληρεον, τά τʼ ἄλλα πάντα εὐφόρως. ἐκρίνετο δὲ τούτοισι πάνυ εὐτάκτως, τοῖσι πλεί-

CAPVT III.

De diebus iudicatoriis ex Hippocratis obseruatione primo libro Epidemiωn.

Primũ itaque, quo modo experientia hos cõmendet, percenseamus, deinde sic ad rationẽ veniamus. Cæterùm experientiæ mentionem ab Hippocratis sententia sumemus, auspicati à primo libro de morbis vulgaribus. Scripsit itaq; de morbis, qui ex secunda aëris mutatione prouenerunt, hunc in modũ: *Febres ardentes paucißimæ ortæ sunt, minimeq; his obnoxij laborarunt; neque enim sanguinis profluuium, nisi exiguum adeo, idque paucis accidit; neque deliria; reliqua omnia facilè tulerunt.* Crisis conuenienti admodum ordine plurimis his

contigit

contigit decimoseptimo die cum remittentibus. Dein ad finem tertiæ constitutionis, exquisitiùs adhuc de iis, qui decimoseptimo die iudicati sunt, ita pronunciat; *Quæ circa iudicia, vnde cognoscimus, similia, aut dissimilia sunt. Quippe fratres duo Epigenis eadem simul hora febricitare inceperunt: decubuerunt iuxta theatrum. Natu maioris morbus sexto, iunioris septimo die, iudicatus est: eadem vtrisque hora simul reuersus est. Remisit dies quinque; atque ex recidiua vtrique morbus decimoseptimo simul omnino iudicatus est.* At hoc nondum fidei satis forsan habet, quo decimumseptimum diem ordini decretorio numerandum esse credamus, quod duos iudicauerit. Adhibeamus igitur animum iis, quæ deinceps dicuntur; *Plurimis quinto die iudicium de morbo euenit. Septimo intermisit. A recidiua, quinto die crisis subsequuta est.* Hoc iam memoratu dignum est, si & in secunda aëris constitutione septimodecimo nouit permultos ad iudicium peruenisse. Item in tertia non solùm fratres duos, verùm etiam alios complures sexto die crisim sustinuisse primùm ait; deinde febrem eis sex diebus remisisse; postea crisim accessisse die quinto, hoc est decimoseptimo à morbi exordio. Sed his subiungit; *Quibus septimo die crisis aduenit, septem quoque diebus remissiones habuerunt; post recidiuam tertiò iudicati sunt*, hoc est hi quoque in vniuersum decimoseptimo. Post hæc rursus: *Quibus iudicium quinto die obuenit, & febris septem diebus remisit: deinde reuersa triduum eos exercuit; rursus die vno remisit, altero rediit; & his decimoseptimo die de morbo iudicium contigit.* Quinetiam alios quosdam sexto die crisim passos scribit; sex item diebus morbum remisisse; dein reuersum tribus diebus occupasse; postea remisisse rursus die vno; altero ipsius recidiuam accidisse, idest decimoseptimo, in quo iudicium factum fuit. Verùm alios quosdam sexto die iudicatos esse commemorat; septem diebus morbum cessasse; post hæc repetiisse; & quarto die, hoc est in summa decimoseptimo, crisi fuisse discussum. Cæterùm non contentus toto hoc sermone Hippocrates, & si eo ipso posset magnopere ostendere decimiseptimi diei vim in iudicando validam, intulit. *Nulli ægroto hac ratione recidiuam esse factam cognoui.* Quare non solùm frequenter decernere decimusseptimus, sed etiam firmiter idoneus est. Non igitur est ex decretoriis coincidentibus, sed validis, & primis. Atqui si ex illis est, proportionem quandam ad decimumquartum seruare, rationi est consentaneum. Si itaque coniunctum quaternarium cogitaueris, & conseruatum, vt in decimoquarto incipiat, in decimumseptimum desinat, habuerimus sic conseruatam periodum. Si porrò disiunxerimus, vt decimusquartus secundæ hebdomadis finis sit, incipiat autem à decimoquinto tertia, non ad decimumseptimum sic, verùm ad decimumoctauum, primus tertiæ hebdomadis quaternarius perueniet. Atqui si hoc verum est, tertia septimana in vigesimumprimum necessariò finiet; quemadmodum, si etiam decimumseptimum statuerimus primi in tertia septimana quaternarij finem esse, ad vigesimum diem huius septimanæ finis producetur. Merito igitur Hippocrates putauit, sicut decimumseptimum experientia inuestigauit, ita & vigesimum experientia explorandum.

σοισιν οὖν τοῖσιν διαλείπουσιν ἐν ἑπτακαιδεκάτῃ ἡμέρῃσιν. εἶτα ἐπὶ τῇ τελευτῇ τῆς τρίτης καταστάσεως, ἐπιμελέστερον ἔτι περὶ τῶν κατὰ τὴν ἑπτακαιδεκάτην κριθέντων, γράφει τόνδε τὸν τρόπον. τὰ δὲ περὶ τὰς κρίσιας, ἐξ ὧν γινώσκομεν εἰ ὅμοια, ἢ ἀνόμοια. οἷ οἱ δύο ἀδελφοὶ ἤρξαντο ὁμοῦ τὴν αὐτὴν ὥρην. κατέκειντο παρὰ τὸ θέατρον Ἐπιγένεος ἀδελφεοί, τουτέων τῷ πρεσβυτέρῳ ἔκρινεν ἑκταίῳ, τῷ δὲ νεωτέρῳ ἑβδομαίῳ, ὑπέστρεψεν ἀμφοτέροις ὁμοῦ τὴν αὐτὴν ὥραν. διέλιπεν ἡμέρας ε΄. ἐκ δὲ τῆς ὑποστροφῆς ἐκρίθη ἀμφοτέροισιν ὁμοῦ τὸ σύμπαν ἑπτακαιδεκαταίοισιν. ἀλλ᾽ οὔπω τοῦτο ἴσως ἀξιόπιστον, εἰς τὸ κρίσιμον ἀποφήνασθαι τὴν ἑπτακαιδεκάτην ἡμέραν, εἰ δύο τινὲς ἐκρίθησαν ἐν αὐτῇ. προσέχωμεν οὖν τὸν νοῦν τοῖς ἐφεξῆς λεγομένοις. ἔκρινε δὲ τοῖς πλείστοισι πεμπταίη, διέλιπεν ἑβδόμη ἐκ δὲ τῆς ὑποστροφῆς, ἔκρινε πεμπταίοισιν, ἤδη τοῦτο ἀξιόλογον. εἰ καὶ κατὰ τὴν δευτέραν κατάστασιν, ἑπτακαιδεκαταίους οἶδε κριθέντας πολλούς. καὶ κατὰ τὴν τρίτην, οὐ μόνον τοὺς δύο ἀδελφούς, ἀλλὰ καὶ παμπόλλους ἄλλους, οὓς ἑκταίους μὲν φησὶ κριθῆναι τὸ πρῶτον. ἔπειτα ἓξ διαλιπόντας, αὖθις πεμπταίους, ὅπερ ἐστὶν ἑπτακαιδεκαταίους ἀπὸ τῆς ἀρχῆς. ἀλλὰ καὶ τούτοις ἐπιφέρων ἐρεῖ· οἷσι δ᾽ ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἑπτά· ἐκ δὲ τῆς ὑποστροφῆς, ἔκρινε τριταίους, τουτέστι καὶ τούτοις τὸ σύμπαν ἑπτακαιδεκαταίοις. εἶτ᾽ ἐφεξῆς πάλιν, οἷσι δὲ πεμπταίοισι διέλιπεν ἑπτά· ἐλάμβανε δὲ τρεῖς, διέλιπε μίαν, ἐπελάμβανε μίαν, ἔκρινε δηλονότι, καὶ τούτοις τὸ σύμπαν ἑπτακαιδεκαταίοισι. καὶ μὲν δὴ καὶ ἄλλους τινάς, ἑκταίους μὲν κριθῆναί φησι, διέλιπε δὲ ἕξ. ἐλάμβανέ φησι γ΄. εἶτα διέλιπε α΄. καὶ α΄. ἐλάμβανε τὴν ἑπτακαιδεκάτην αὐτὴν δηλονότι καθ᾽ ἣν περ καὶ ἔκρινεν. ἄλλους δέ τινας ἑκταίους μὲν κριθῆναί φησι, διαλείπειν δ᾽ ἑπτά. ἐκ δὲ τῆς ὑποστροφῆς ἔκρινέ φησι τεταρταίοις, τουτέστι τὸ σύμπαν ἑπτακαιδεκαταίοις. οὐκ ἀρκεσθεὶς δὲ τῷ λόγῳ τούτῳ παντί, καίτοι μεγάλως ἐνδείκνυσθαι δυναμένῳ τῆς ἑπτακαιδεκάτης ἡμέρας, τὸ πρὸς τὴν κρίσιν ἰσχυρόν, ἐπήνεγκεν, οὐδὲ τῶν διασωθέντων οὐδενὶ διὰ τοῦ τρόπου ἄλλα ὑποστροφὴν γενομένην πάλιν, ὡς οὐ μόνον κρίνειν πολλάκις πέφυκεν ἡ ἑπτακαιδεκάτη. ἀλλὰ καὶ βεβαίως, οὐκοῦν τῶν παρεμπιπτουσῶν ἐστὶ κρισίμων, ἀλλὰ τῶν ἰσχυρῶν τε, καὶ πρώτων. καὶ μὴν εἴπερ ἐξ ἐκείνων ἐστίν, εὔλογόν τε αὐτὴν ἀναλογίαν τινὰ πρὸς τὴν τεσσαρεσκαιδεκάτην ἀποσώζειν. εἰ μὲν οὖν συνημμένην τὴν τετράδα διανοήσαιμεν, καὶ σωζομένην, ὡς ἄρχεσθαι μὲν ἐν τῇ τεσσαρεσκαιδεκάτῃ· τελευτᾶν δὲ εἰς τὴν ἑπτακαιδεκάτην, ἔχοιμεν ἂν οὕτω σωζομένην τὴν περίοδον. εἰ δὲ διαζεύξαιμεν, ὡς τὴν μὲν τεσσαρεσκαιδεκάτην ἡμέραν τέλος εἶναι τῆς δευτέρας ἑβδομάδος, ἄρχεσθαι δὲ ἀπὸ τῆς πεντεκαιδεκάτης τὴν τρίτην, οὐκ εἰς τὴν ἑπτακαιδεκάτην οὕτως, ἀλλ᾽ εἰς τὴν ὀκτωκαιδεκάτην ἡ πρώτη τῆς τρίτης ἑβδομάδος ἀφίξεται τετράς. ἀλλ᾽ εἴπερ τοῦτ᾽ ἀληθές, εἰς τὴν εἰκοστὴν πρώτην ἀναγκαῖον ἔσται τὴν τρίτην ἑβδομάδα τελευτᾶν, ὥσπερ γε εἰ καὶ τὴν ἑπτακαιδεκάτην ὑποθοίμεθα πέρας εἶναι τῆς πρώτης, κατὰ τὴν τρίτην ἑβδομάδα τετράδος, εἰς τὴν εἰκοστὴν ἡμέραν ἀφίξεται τὸ πέρας ταύτης τῆς ἑβδομάδος. εὔλογον οὖν ἐνόμισεν ὁ Ἱπποκράτης, ὥσπερ τὴν ιζ΄. ἡμέραν ἐβασάνισε διὰ τῆς πείρας, οὕτω καὶ τὴν κ΄. βασανίσαι διὰ τῆς πείρας.

κρίσιμος μὲν γὰρ εὑρεθεῖσα, μέγιστον ἔμελλεν ἔσεσθαι τῆς ἑπτακαιδεκάτης μαρτύριον. ἐκπεσοῦσα δὲ τῶν κρισίμων ἡμερῶν, ἢ ὅλως τῆς εἰκοστῆς πρώτης ἐλαττωθεῖσα, ζήτημα κινήσειεν οὐ σμικρόν. ἄλογον γὰρ εἶναι δόξει τὴν μὲν ἑπτακαιδεκάτην, ἰσχυροτέραν ὑπάρχειν τῆς ὀκτωκαιδεκάτης, τὴν δ' εἰκοστὴν ἀσθενεστέραν τῆς εἰκοστῆς πρώτης. διὰ τοῦτ' οὖν, ἐφεξῆς τοῖς περὶ τὴν ἑπτακαιδεκάτην γεγραμμένοις ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ὑπὲρ τῆς εἰκοστῆς ὧδέ πως γράφει. οἷσι δὲ περὶ τὰ ὦτα ἐγένετο, ἔκρινε μὲν εἰκοσταίοισι, κατέσβη δὲ πᾶσι, καὶ οὐκ ἐξεπύησεν, ἀλλ' ἐπὶ κύστιν ἐτράπετο, καὶ τοῦτο μὲν ἱκανόν. ἀλλ' ἐφεξῆς, πάλιν ἐρεῖ. οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἐννέα, ὑπέστρεψεν, ἔκρινεν ἐκ τῆς ὑποστροφῆς τεταρταίοισι, δηλονότι τὸ σύμπαν εἰκοσταίοισι. εἶτ' ἐφεξῆς πάλιν. οἷσι δ' ἔκρινεν ἑβδομαίοισι, διέλιπεν ἕξ, εἶθ' ὑπέστρεψε, φησί. κἄπειθ' ἑβδομαίοις ἔκρινεν, ὅπερ ἐστὶν εἰκοσταίοισι τὸ σύμπαν. εἶτα βραχὺ προελθών· ἔστι δὲ οἷσιν ἔκρινεν ἑνδεκαταίοισι, φησί, ὑποστροφὴ τεσσαρεσκαιδεκαταίοισιν, ἔκρινε τελέως εἰκοσταίοισι. εἶτ' ἐφεξῆς συνάπτων. εἰ δέ τινες, φησί, ἐπερρίγωσαν περὶ τὴν εἰκοστὴν τουτέοισιν ἔκρινε τεσσαρακοσταίοισιν.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Περὶ τῶν ἄλλων κρισίμων ἡμερῶν τῶν ἐν τοῖς Ἱπποκράτους συγγράμμασι καὶ ὅπως κατὰ τὰς ὁλοκλήρους ἑβδομάδας ἀριθμεῖσθαι μὴ δύνανται.

Ὁρᾷς σύ μοι πάλιν ἐνταῦθα, τὴν ἀκρίβειαν τοῦ ἀνδρός, εἰδὼς ὅτι τῶν ἰσχυρῶν κρισίμων, τουτέστι τῶν κατὰ τετράδας τε καὶ ἑβδομάδας αὐξανομένων, ἄν τέ τις τὴν ἑπτακαιδεκάτην θῇ, καὶ τὴν εἰκοστὴν ἀναγκασθήσεται θέσθαι, καὶ τὴν τεσσαρακοστήν, καὶ ὥσπερ τὴν εἰκοστὴν τετάρτην, καὶ τὴν τριακοστὴν πρώτην, ἄν τε τὴν εἰκοστήν, εὐθὺς δηλονότι, καὶ τὴν τεσσαρεσκαιδεκάτην, ἑπτακαιδεκάτην τε καὶ τὴν τεσσαρακοστήν. καὶ μὲν δὴ καὶ τὴν τεσσαρακοστὴν εἴ τις ἐν ταῖς ἰσχυραῖς κρινούσαις τίθειτο, δῆλον, ὡς καὶ τούτῳ τὴν ἑπτακαιδεκάτην, καὶ τὴν εἰκοστὴν ἀναγκαῖον ἔσται προϋποθέσθαι. μέχρι μὲν γὰρ τῆς τεσσαρεσκαιδεκάτης οὐδεμία διαφωνία. τὸ δὲ ἀπὸ τῆσδε συγκέχυται πᾶν, οὐ πάνυ τι τῇ πείρᾳ προσεχόντων τὸν νοῦν ἐνίων, ἀλλὰ τῷ λόγῳ μόνῳ, ὡς ὁλοκλήρους ἑβδομάδας οἴεσθαι δεῖν ἐπιπλέκειν. εἶθ' οὕτω τὴν πρώτην καὶ εἰκοστήν, ἐν ταῖς ἰσχυραῖς κρισίμοις ἀριθμούντων. ἐξ ἀνάγκης δὲ διὰ ταῦτα, καὶ τὴν ὀκτωκαιδεκάτην, καὶ τὴν τεσσαρακοστὴν δευτέραν, τὴν μὲν ὡς ἐπίδηλον τῆς εἰκοστῆς πρώτης, τὴν δ' ὡς ἓξ ἑβδομάδας συμπληροῦσαν. εὐχερεστέρα δὲ κατὰ τοῦτο ἡ βάσανος γίνεται τῶν κρισίμων ἡμερῶν. εἰ μὲν γὰρ ὁ ἀπὸ τῆς ἑπτακαιδεκάτης στοῖχος ἅπας ἰσχυρότερος φαίνοιτο, διχόθεν ἑκάστη τῶν ἡμερῶν ἕξει τὴν πίστιν, ἔκ τε τῆς ἰδίας πείρας, κἀκ τῆς τῶν ἄλλων μαρτυρίας. εἰ δ' αὖ πάλιν ὁ ἀπὸ τῆς ιηʹ. πλεονάκις κρίνων εὑρίσκοιτο, καὶ τελέως, καὶ βεβαίως, ἀσθενέστερος οὗτος ὁ ἀπὸ τῆς ιζʹ φανεῖται. τοῦτ' ἐννοήσας ὁ Ἱπποκράτης, ἁπάσας ἁπάσαις παρέβαλε, τὴν μὲν ιζʹ. ἐνταῦθα γὰρ ἡ ἀρχὴ τῆς διαφωνίας, τῇ ιηʹ. τῇ δὲ κʹ. τὴν καʹ. κατὰ ταῦτα δέ, καὶ τὴν κδʹ. τῇ κεʹ. τὴν δ' αὖ κζʹ. τῇ κηʹ. καὶ τὴν μὲν λαʹ. τῇ λβʹ. τῇ δὲ λδʹ. τὴν λεʹ. τὴν δ' αὖ μʹ. τῇ μβʹ. ὁποτέρῳ δὲ τῶν στοίχων ἡ ἐμπειρία μαρτυρεῖ, διὰ τῶν ἐπιδημιῶν ἐδήλωσεν, αὐτά τε ταῦτα γράψας ἅπερ ἔθεμεν ὀλίγον ἔμπροσθεν, ἔτι τε πρὸς τούτοις, ἐπὶ μὲν τῆς τρίτης καταστάσεως ὧδέ πως.

ἀνάλογον

Quum enim decretorius inuentus sit, maximum decimiseptimi diei testimonium erit; vbi ex decretoriorum dierum numero deciderit, vel planè à vigesimoprimo superetur, quæstionem non exiguam mouebit. Rationi siquidem minimè consonum esse videtur xvij. quidem fortiorem decimooctauo; vigesimum verò imbecilliorem vigesimoprimo esse. Quapropter post illa, quæ de xvij. in primo libro epidemiωn scripsit, de xx. hunc in modum ait, *Quibus parotides ortæ sunt xx. die, crisim habuerunt. Extinctæ autem sunt omnibus, ac in pus versæ non sunt, verùm ad vesicam declinauerunt.* Atque de hoc satis. Iterum deinceps ait, *Quibusdam septimus dies iudicium attulit, nouem diebus remissiones fuerunt; post recidiuam quarto die crisis aduenit, in vniuersum videlicet* xx. Ad hos deinceps addit nonnullos, *quibus vij. die crisis apparuit, sex diebus remissiones, mox recidiua, deinde septimo iudicium, summatim xx.* Postea paululum progressus: *Sunt, ait, qui xj. die crisim exceperunt, recidiuam xiv. crisim absolutè* xx. His deinde subnectit: *Si verò, inquit, nonnulli superriguerunt circa vigesimum, his iudicium quadragesimo contingit.*

CAPVT IV.

De diebus reliquis qui in libris Hippocratis obseruantur, & quo pacto ij per integras hebdomadas nequeunt numerari.

Vides hic, arbitror, rursus viri diligētiam. Nouit enim quòd si quis validis decretoriis, hoc est, qui in quaternariis, & septimanis augentur, xvij. adscribat, cogetur statim xx. & quadragesimum attribuere, quemadmodum & xxiv. & xxxi. si vigesimum apponat, statim nimirum cogetur & xiv. xvij. & xl. adiicere; quinetiam, xl. si quis valide iudicantibus attribuat, liquet etiam xvij. & xx. esse annumerandum. Etenim vsque ad xiv. nulla de diebus est inter medicos dissensio; verùm sequentium hos ordo totus ab illis confunditur, quia nonnulli non adeo experientiæ mentē, sed rationi soli adhibent; quo factum est, vt integras hebdomadas putent esse complicandas. Postea quum sic xxi. fortibus decretoriis adiungant, necesse est ideo xviij. quoque, & xlij. eos adscribere, hunc quidem, vt septimanas sex complentem, illum, vt xxi. indicem. Porrò hac ratione decretoriorum dierum exploratio magnam operam non desiderat. Si namque totus dierum à xvij. ordo validior appareat, bifariam singuli dies fidem habebunt, ex propriis experimentis & aliorum testimonio. At si rursus à xviij. numerus frequenter decernere inueniatur, & perfectè & firmiter, tum, qui septimumdecimum sequitur, imbecillior apparebit. Quod quum intellexisset Hippocrates, omnes omnibus contulit, decimumseptimum (hinc enim discordiæ initium inter medicos subortum est) decimooctauo, vigesimo, vigesimumprimum, pari modo vigesimumquartum vigesimoquinto, rursus vigesimumseptimum vigesimooctauo, & trigesimumprimū trigesimosecundo, trigesimumquartum trigesimoquinto, quadragesimum quadragesimosecundo. Quē verò ordinē experientia probet, in epidemiis indicauit vt qui tum hęc ipsa scripserit, quæ paulo ante citaui: tum verò præter hæc, in tertia quidem cōstitutione hoc ferè modo.

His

His frequenter undecimo die crisis aduenit; sunt, quibus vigesimo contigit. Dein ægris nominatim citatis, Herophontē ordine tertium post tres aëris status scriptū, decimoseptimo die iudicium accepisse ait; Quartū Philini vxorem vigesimo die mortem oppetiisse. Post hac, Epicratis vxoris meminit, de qua ad finem totius historiæ hæc verba apponit: Quadragesimo bilem modicam vomuit; octogesimo die perfecte iudicata est, & febri liberata. Sextū ordine Cleonactidē, recenset & de ipso sub finē sermonis ita scribit. Octogesimo rigore infestatus est, febris acuta eum prehendit, sudor multus subsequutus, in vrinis rubrum, & leue sedimentū: perfectè iudicatus est. Decimus æger est Clazomenius, quem & ipsum quadragesimo die liberatum per crisim esse scribit. Atqui dies quadragesimus ex ordine decimiseptimi est, quemadmodū octogesimus; conueniebat autem quadragesimū secundum esse decretorium. Quòd si dierum cōputatio secundum septimanas integras fieret, non quadragesimus, verū quadragesimus secundus dies decretorius inueniendus erat, sic non octogesimus, sed octogesimus quartus. Quare decimiseptimi diei ordinem altero longè fortiorē esse nemo ignorat, non solùm, quòd multos in eo crisim accepisse recenset Hippocrates, sed quòd nec decimioctaui, nec vigesimiprimi, nec vigesimiquinti, nec vigesimioctaui, imò nec trigesimisecundi, nec trigesimiquinti, nec quadragesimisecūdi, nec sexagesimitertij, nec octogesimi quarti meminit. Nā in tot ægrorū catalogo, quos partim nominibus propriis adduxit, partim summa quadā cōprehendit, in vno quoque aëris statu, nullū ex cōmemoratis diebus decretorium esse inuentū, alterius ordinis euidentē excellentiam indicat. Quum enim ex hoc ordine multi sæpè perfectè, firmiter, benè, & rectè inueniantur iudicasse; ex altero ne vnus quidem in toto primo epidemion libro, qui tutò decreuerit, nedū perfectè, vel salubriter, vt non occidat; insignē alterius eminentiam esse putabimus. An igitur in primo sic, in tertio aliter scriptum reliquit? Certè & illic ægrotos quidē in cōstitutione enarratos, vna summa cōplectens, dixit omnes ferè, qui superstites fuere, octogesimo iudicatos, ex particularibus autem, quorū nominatim meminit, aliquos quidē in quadragesimo iudicatos esse dicit, & per Iouem nonnullos ipsorū haud ignobiliter, nec sine signis: vt tertium ab initio libri scriptū, in Dealcis horto decumbentem. Quid enim dicit? Quadragesimo die pituitosa recrementa, alba, & copiosa deiecit; largiter sudauit per totum; absolutè iudicatus est; Quosdā verò, qui in lōgū nimis morbū inciderāt, similiter & ipsos ratione vigesimi diei multiplicati, crisim accepisse; quemadmodū nonū ægrū ex aëris statu Heropythō, cētesimo, & vigesimo die perfectè iudicatū fuisse, refert Hippocrates. Sic aliquos vigesimoquarto die, & vigesimoseptimo, itē trigesimoquarto, iudicatos esse bene simul, & tutò, & perfectè, memoriæ prodidit. in vigesimoquarto sanè decimū ex aëris statu ægrotū, hoc ferè modo scribēs: *Vigesimoquarto die vrinam minxit copiosam, albā, multū habentē sedimentū; sudores calidi è corpore toto manabāt, sine febre fuit:* Vigesimoseptimo die puellā in Abderis; sed & ipsam sudore largo prorsus febre liberatam esse refert; hanc autē post aëris cōstitutionē ægrotasse septimā cōmemorat. Porrò trigesimoquarto die octauū ex aëris statu ægrū Anaxionem, sudore quoque ipsum febre prorsus leuatū fuisse percenset, fidamq; ei crisim obtigisse.

A ἔκρινε δὲ τουτέοισιν, ὡς τὸ πολὺ ἑνδεκαταίοισιν, ἔστι δὲ οἷσιν εἰκοσταίοισιν. ἐφεξῆς δὲ τῶν ὀνομαστὶ γραφέντων ὑπ' αὐτοῦ ἀρρώστων, τὸν μὲν τρίτον τῇ τάξει μετὰ τὰς τρεῖς καταστάσεις γεγραμμένον Ἡροφῶντα, κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν κριθῆναί φησι· τὸν δὲ τέταρτον, ἡ Φιλίνου δὲ ἦν αὕτη γυνή, κατὰ τὴν εἰκοστὴν ἀποθανεῖν. ἐφεξῆς δὲ αὐτῇ, τῆς Ἐπικράτεος γυναικὸς μνημονεύει, περὶ ἧς ἐπὶ τέλει τῆς ὅλης διηγήσεως, ὧδέ πως γράφει· τεσσαρακοστῇ ἤμεσεν ὀλίγα, χολώδεα, ἐκρίθη τελέως, ἄπυρος ὀγδοηκοστῇ. μετὰ δὲ ταύτην, ἕκτου τῇ τάξει μνημονεύει Κλεανακτίδου, γράφων ἐπὶ τῷ τέλει τοῦ λόγου τοῦτο, ὀγδοηκοστῇ ἐρρίγησε, πυρετὸς ὀξὺς ἔλαβεν, ἵδρωσε πολλῷ, οὔροισιν ὑπόστασις ἐρυθρή, λείη, τελείως ἐκρίθη. δέκατος δέ ἐστιν ἄρρωστος ὁ Κλαζομένιος, ὃν καὶ αὐτὸν ἐν τῇ μʹ. κριθῆναί φησι, καὶ μὴν ἡ μʹ. τοῦ στοίχου τῆς ἑπτακαιδεκάτης ἐστίν, ὥσπερ οὖν ἡ πʹ. ἔδει δὲ τὴν μʹ. δευτέραν εἶναι κρίσιμον, εἰ καθ' ἑβδομάδας ὁλοκλήρους ἡ συναρίθμησις ἐγίνετο τῶν ἡμερῶν. οὕτω καὶ τὴν πδʹ. ἐχρῆν εὑρίσκεσθαι κρίνουσαν, οὐ τὴν πʹ. οὐ μόνον τοίνυν ἐξ ὧν διηγεῖται, κριθέντας πολλοὺς ἐν τῷ κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν στοίχῳ πρόδηλόν ἐστιν, ὡς ἰσχυρότερος οὗτος θατέρου ὑπάρχει, ἀλλὰ κἀξ ὧν οὔτε τῆς ὀκτωκαιδεκάτης ἐμνημόνευσεν, οὔτε τῆς καʹ. οὔτε τῆς κεʹ. οὔτε τῆς κηʹ. ἀλλ' οὔτε τῆς τριακοστῆς δευτέρας, οὔτε τῆς λεʹ. οὔτε τῆς μβʹ. οὔτε τῆς ξγʹ. οὔτε τῆς πδʹ. ἐν γὰρ τοσούτων ἀρρώστων καταλόγῳ, τῶν τε ἰδίᾳ γραφέντων αὐτῷ κατ' ὄνομα, καὶ τῶν δι' ἑνὸς ἑκάστου κεφαλαίου περιλαμβανομένων ἐν ἑκάστῃ καταστάσει, τὸ μὴ πώποτε τῶν εἰρημένων ἡμερῶν μηδεμίαν εὑρεθῆναι κρίνουσαν, ἐναργῆ τὴν θατέρου τῶν στοίχων ὑπεροχὴν ἐνδείκνυται. ὅταν γὰρ ἐξ ἐκείνου μὲν, καὶ πολλοί, καὶ πολλάκις, καὶ τελείως, καὶ βεβαίως, καὶ ἀγαθῶς, καὶ ὀρθῶς εὑρίσκωνται κεκρικότες, θατέρου δὲ τῶν στοίχων μηδεμία καθ' ὅλον τὸ αʹ. τῶν ἐπιδημιῶν, ἀσφαλῆ κρίσιν ᾖ πεποιημένη, τὸ μὴ ὅτι τελείως, ἢ ἀγαθῶς, ἀλλὰ μηδ' ὥστε ἀποκτεῖναι, παμπόλλην τινὰ τὴν ὑπεροχὴν εἶναι νομιστέον. ἆρ' οὖν ἐν τῷ πρώτῳ μὲν οὕτως, ἐν τῷ τρίτῳ δ' ἑτέρως; ἢ κἀκεῖ τοὺς μὲν ἐν τῇ καταστάσει διηγημένους ἑνὶ κεφαλαίῳ περιλαμβάνων, εἶπεν ἅπαντας σχεδὸν τοὺς διασωθέντας τῇ πʹ. κριθῆναι· τῶν δὲ κατὰ μέρος, ὧν ἐμνημόνευσεν ὀνομαστί, τοὺς μὲν ἐν τῇ μʹ. κριθῆναί φησι. καὶ ναὶ μὰ Δία γέ τινας ἐξ αὐτῶν οὐκ ἀγεννῶς, οὐδὲ ἀσήμως, καθάπερ τὸν τρίτον ἀπὸ τῆς ἀρχῆς τοῦ βιβλίου γεγραμμένον, τὸν ἐν τῷ Δεάλκεος κήπῳ κατακείμενον. τί γάρ φησι; μʹ. διεχώρησε φλεγματώδη, λευκά, ὑπόσυχνα, ἵδρωσε πολλῷ, δι' ὅλου τελέως ἐκρίθη· τοὺς δέ τινας εἰς πάνυ μακρὸν ἐμπεσόντας, ὁμοίως καὶ αὐτοὺς κριθῆναι τῷ τῆς εἰκοστῆς ἡμέρας πολλαπλασιαζομένης λόγῳ, καθάπερ καὶ τὸν ἔνατον ἀπὸ τῆς καταστάσεως γεγραμμένον, Ἡρόπυθον ἐν κʹ. τε καὶ ἑκατοστῇ ἡμέρᾳ κριθῆναι τελέως φησίν. οὕτω δὲ καὶ κατὰ τὴν κδʹ. καὶ κατὰ τὴν κζʹ. καὶ προσέτι κατὰ τὴν λδʹ. ἀνέγραψέ τινας κριθέντας ἀγαθῶς τε ἅμα, καὶ ἀσφαλῶς, καὶ τελέως. ἐν μὲν τῇ κδʹ. τὸν δέκατον ἀπὸ τῆς καταστάσεως ἄρρωστον ὧδέ πως γράφων, τετάρτῃ καὶ κʹ. οὔρησε παχὺ λευκὸν πολλὴν ἔχον ὑπόστασιν, ἵδρωσε θερμῷ, δι' ὅλου ἀπύρετος. ἐν ἑβδόμῃ καὶ εἰκοστῇ, τὴν ἐν Ἀβδήροις παρθένον, ἀλλὰ καὶ ταύτην ἱδρώσασαν πολλῷ τελέως ἀπύρετον γενέσθαι φησί. γέγραπται δ' αὕτη μετὰ τὴν κατάστασιν ἑβδόμη. ἐν δ' αὖ τῇ δʹ. καὶ λʹ. τὸν ὄγδοον ἀπὸ τῆς αὐτῆς καταστάσεως Ἀναξίωνα, καὶ αὐτὸν ἱδρώσαντα, τελέως ἀπύρετον δι' ὅλου γενέσθαι φησί, καὶ κριθῆναι πιστῶς.

A Cæterùm nullus hoc libro in altero quodam decretoriorum dierum ordine iudicatus est: verum Dealcis vxorem in vigesimoprimo decessisse commemorat; nec vllum in aliquo die, qui in decimioctaui secta continetur, superstitem mansisse. Dicitur itaque secundo significatu, vti priùs interpretati sumus, non solùm superstes, verùm mortuus etiam, iudicatus fuisse. Sed vt retuli, non modo in eis diebus nemo seruatus est, sed ne mortuus quidem, si Dealcis vxorem excipias. In altero ordine complures seruati; quamuis nonnulli etiam vita defuncti; quemadmodum mulier, quæ Cyzeco B binam fœmininam prolem peperit, decimoseptimo die periit. Adolescens autem in Melybœa, omnium postremus ab Hippocrate citatus, vigesimoquarto interiit. At Hermocrates tertius à principio, vigesimoseptimo die fatis concessit. Apollonius autem in Abderis decumbens, decimustertius ab aëris constitutione ægrotus scriptus, trigesimoquarto periit. Vt igitur septimo die, & vigesimo complures interire vidit, quippe quum dies ij, qui validam virtutem habent, non modo seruent, sed etiam interimant interim: sic vnumquemque eorum quos recensui, C conspexit nunc seruantem aliquos, nunc occidentem. Iam verò secundum ab ambientis aëris statu ægrum octogesimo interiisse ait, & primum centesimo vigesimo, sicut arbitror, & vltimum laborantem ante pestilentem constitutionem, decimoquarto die mortuum esse; tres ante ipsum, septimo die periisse. Quid opus est multis verbis? nullum enim alium nec in primo, nec tertio epidemiωn libro, vel superstitem, vel mortuum in ordine dierum, qui à decimooctauo numerantur, inuenies; sed omnes, qui intra septimumdecimum iudicati sunt, iudicium habuere in diebus, qui communi consensu decretorij D habentur. Porrò qui decimumseptimum excesserunt, illorum vnus tantum vigesimoprimo interiit. Proinde hæc sufficiunt ad demonstrandum, Hippocratem non ratione quadam persuasum, vt decimumseptimum decretorium esse statueret, vigesimo autem primo efficaciam adimeret, sed vsu, & experientia doctum, causam inquisiuisse. At quoniam secundus, quartus, & sextus epidemiωn liber, vel ipsius Hippocratis est, vel eius filij Thessali, pauca etiam inde sumemus. Inueniemus siquidem & hîc in secundo, vigesimum, & quadragesimum decre- E torios esse ab illo positos, sed nec vigesimumprimum, nec alium quemuis ei respondentem. In quarto, morborum adeo acutorum mentionem facit, vt rarò videlicet ad vigesimum peruenerint, processerint autem semel vlterius, vsque ad vigesimumquartum. Vnde iam vigesimum, & vigesimumquartum iudicasse de morbis licet intelligere, non tamen alterius ordinis quenquam. Quinetiam in sexto epidemiωn paucorum ægros, tum aëris status, commemorat; neque hîc quenquam in alterius sectæ diebus iudicatum esse noluit. Si iam, & quinti libri meminisse conuenit, F cuiuscunque fuerit, hîc etiam quinquaginta sunt vniuersi ægri; nullus autem ipsorum, vel decimooctauo, vel vigesimoprimo, vel vt summatim dicam, in alio quodam huius generis die iudicatus est. Quum igitur ipsa experientia decimumseptimum, & vigesimum diem, insuper, qui ipsis respondent, vniuersos decretoriis apponat, nonnulli

οὐδεὶς δὲ οὐδὲν τούτῳ τῷ βιβλίῳ κέκριται κατά τινα τῶν ἐκ θατέρου στίχου κρισίμων ἡμερῶν. ἀλλὰ τὴν μὲν Δεάλκους γυναῖκα κατὰ τὴν κα΄. ἀποθανεῖν φησι, σωθῆναι δὲ οὐδένα κατ᾽ οὐδεμίαν ἡμέραν τῶν ἐκ τοῦ κατὰ τὴν ὀκτωκαιδεκάτην στίχου. λέγεται μὲν οὖν κατὰ τὸ δεύτερον, ὡς καὶ πρόσθεν εἴρηται σημαινόμενον, οὐχ ὁ σωθεὶς μόνος, ἀλλὰ καὶ ὁ ἀποθανὼν κεκρίσθαι, ἀλλ᾽ ὡς εἶπον οὐ μόνον οὐδεὶς ἐσώθη κατ᾽ ἐκείνας τὰς ἡμέρας, ἀλλ᾽ οὐδὲ ἀπέθανε, χωρὶς τῆς Δεάλκους γυναικός. ἐν δέ γε θατέρῳ στίχῳ, πάμπολλοι μὲν οἱ σωθέντες, οὐ μὴν, ἀλλὰ καὶ ἀπέθανόν τινες, ὥσπερ ἑπτακαιδεκαταία μὲν ἡ ἐν Κυζίκῳ τεκοῦσα τὰς διδύμους θυγατέρας, ἐν τετάρτῃ τε καὶ εἰκοστῇ, ὁ ἐν Μελιβοίῃ νεανίσκος, ὁ πάντων ὕστατος ἀναγεγραμμένος. ἑβδόμῃ δὲ καὶ εἰκοστῇ, ὁ τρίτος ἀπὸ τῆς ἀρχῆς Ἑρμοκράτης. πρώτῃ δὲ καὶ τριακοστῇ, ὁ ἐν Ἀβδήροις Ἀπολλώνιος, ὁ τρισκαιδέκατος ἀπὸ τῆς καταστάσεως γεγραμμένος, τριακοστῇ τετάρτῃ ἀπέθανε, ὡς οὖν ἑβδομαίους πολλοὺς ἀποθανόντας εἶδε, καὶ εἰκοσταίους κατὰ τοῦτο τὸ βιβλίον, ὡς ἂν τῶν ἰσχυρὰν δύναμιν ἐχουσῶν ἡμερῶν, οὐ μόνον σωζουσῶν, ἀλλὰ καὶ ἀπολυουσῶν ἐνίοτε. κατὰ τὸν αὐτὸν τρόπον ἑκάστην τῶν εἰρημένων ἐθεάσατο, καὶ σῴζουσαν πολλοὺς ἐνίοτε, καί τινας ἀποκτείνουσαν. καὶ γὰρ οὖν, καὶ τὸν δεύτερον ἀπὸ τῆς καταστάσεως ἄρρωστον, ὀγδοηκοστῇ φησιν ἀποθανεῖν, καὶ τὸν πρῶτον ἐν εἰκοστῇ καὶ ἑκατοστῇ, ὥσπερ, οἶμαι, καὶ τὸν πρὸ τῆς καταστάσεως τεσσαρεσκαιδεκαταῖον, τοὺς δὲ τρεῖς, τοὺς πρὸ αὐτοῦ ἑβδομαίους. καὶ τί δεῖ πολλὰ λέγειν; οὐδεὶς γὰρ ἄλλος, οὔτε ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, οὔτε ἐν τῷ τρίτῳ σωθείς, ἢ ἀποθανὼν εὑρίσκεται, κατὰ τὸν ἀπὸ τῆς ὀκτωκαιδεκάτης ἡμέρας στίχον, ἀλλὰ καὶ πάντες, οἱ μὲν ἐντὸς τῆς ἑπτακαιδεκάτης, κατὰ τὰς ὁμολογουμένας κρισίμους ἡμέρας, ὑφ᾽ ὧν οὐδεὶς τῶν περὶ ταῦτα ἐχόντων διαφέρεται. τῶν δὲ ἐξωτέρω προελθόντων, εἷς μόνος ἄρρωστος εὑρίσκεται κατὰ τὴν πρώτην ἡμέραν, καὶ εἰκοστὴν ἀποθανών. ἤρκει μὲν οὖν, καὶ ταῦτα εἰς ἐπίδειξιν τοῦ μὴ λόγῳ τινὶ πεισθέντα τὸν Ἱπποκράτην, τὴν ιζ΄. ἡμέραν ὑποθέσθαι εἶναι κρίσιμον, τῆς δὲ εἰκοστῆς πρώτης ἀφελέσθαι τὸ δραστήριον, ἀλλ᾽ ὑπὸ τῆς πείρας διδαχθέντα, τηνικαῦτα ζητῆσαι τὴν αἰτίαν. ἀλλ᾽ ἐπεὶ, καὶ τὸ δεύτερον, καὶ τὸ τέταρτον, καὶ τὸ ἕκτον τῶν ἐπιδημιῶν, ἢ αὐτοῦ τοῦ Ἱπποκράτους ἐστὶν, ἢ τοῦ υἱοῦ αὐτοῦ Θεσσαλοῦ γράμματα, καὶ περὶ τούτων ἐπὶ βραχὺ μνημονεύσωμεν. εὑρεθήσεται δὲ κἀνταῦθα κατὰ μὲν τὸ δεύτερον, τὴν κ΄. τε καὶ μ΄. ἡμέραν ἀναγεγραφὼς κεκρικυῖαν, οὔτε δὲ τὴν κα΄. οὔτ᾽ ἄλλην τινὰ τῶν ἀπ᾽ αὐτῆς. ἐν δὲ τῷ τετάρτῳ τῶν ἐπιδημιῶν οὕτως ὀξέων μνημονεύων, ὡς ὀλιγάκις μὲν ἕως τῆς εἰκοστῆς ἀφικέσθαι, προελθεῖν δὲ ἅπαξ ἐξωτέρω, μέχρι τῆς κδ΄. ἔστι κἀνταῦθα τὴν μὲν κ΄. ὡσαύτως εὑρεῖν, καὶ τὴν κδ΄. ἐπίσης κεκρικυῖαν, οὐ μὴν τῶν θατέρου στίχου τινὰ, καὶ μὴν καὶ κατὰ τὸ ἕκτον τῶν ἐπιδημιῶν, ὀλίγων μὲν ἀρρώστων, καὶ καταστάσεων μέμνηται. φαίνεται δὲ οὐδὲ ἐνταῦθα γινώσκων τινὰ, κατὰ τὰς ἐκ θατέρου στίχου κεκριμένον. εἰ δὲ τι δεῖ, καὶ τοῦ πέμπτου τῶν ἐπιδημιῶν μνημονεῦσαι, ὅπου περ ἂν ᾖ, κἀνταῦθα πεντήκοντα μὲν εἰσὶν οἱ σύμπαντες ἄρρωστοι. κέκριται δὲ οὐδεὶς αὐτῶν, οὔτε κατὰ τὴν ιη΄. οὔτε κατὰ τὴν κα΄. οὔθ᾽ ὅλως ἐν ἄλλῃ τινὶ τῶν ἐκ τοῦδε τοῦ στίχου. τῆς πείρας οὖν ἀκριβῶς προστιθεμένης εἰς τὰς κρισίμους ἡμέρας, τὴν ιζ΄. καὶ τὴν εἰκοστὴν. ἔτι δὲ καὶ τὰς ἀπ᾽ αὐτῶν πάσας,

nonnulli medici, qui non adeò euidentibus animum adhibent, ad perfectæ hebdomadis numerum, tanquam ad faciliorem viam, deuenerunt. Deinde quum etiam iudicatum aliquem in vigesimoprimo conspexerint, multo sanè magis opinionem suam confirmarunt.

A ἔνιοι τῶν ἰατρῶν οὐ πάνυ τι τοῖς φαινομένοις προσέχοντες τὸν νοῦν, ὡς ἐφ᾽ ἕτοιμον ἀφίκοντο τὸν ἐκ τῆς τελείας ἑβδομάδος ἀριθμόν. εἶτά που καὶ κριθέντα τινὰ κατὰ τὴν πρώτην καὶ εἰκοστὴν θεασάμενοι, πολὺ δὴ μᾶλλον ἐβεβαίωσαν τὴν ὑπόληψιν.

CAPVT V.

Dies iudicatorios in longis etiam morbis obseruari.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Τὰς κρισίμους ἡμέρας κἀν τοῖς χρονίοις νοσήμασι διαφυλάττεσθαι.

ETenim vt discernas cuiusnam diei proprium sit iudicium, quum in plures partitum fuerit, distinctione opus est, quemadmodum in superiore libro demonstratum est. Contingit autē morbis inueterascentibus, & iudicia vehementiam perturbationis, & alterationis breuitatem, remittere, & ad duos sæpe dies, vel tres extendi. Promptum est igitur in hoc crisim, cuicunque ex tribus diebus volueris, attribuere. Multi siquidem medicorum ne vel numerare quidem post decimumquartum dignantur, quot iam diebus æger decumbat, præsertim si dum febris soluta interea esse videatur, denuò repetat. Nonnulli verò, etsi numerauerint, iudiciorum in plures dies partitionem indistinctè, & temerè cui dierum volunt, annumerant. Quapropter etiam Hippocrates in ægrotis aliquando quidem septimo dicit, vel vndecimo, vel decimoquarto, iudicatum esse morbum; interdum verò circa vigesimum, vel quadragesimum, vel alium quempiam; sicuti, exempli gratia, in prima, & secunda constitutione primi epidemiorum. In prima enim ait, *Iudicabantur autem, quibus inter hos breuissimi essent, circa vigesimum, plurimis circa quadragesimum, multis circa octogesimum.* In secunda verò constitutione; *Quibusdam verò*, inquit, *ipsorum iudicabantur, iisque paucis, quibus breuissimi essent circa vigesimum.* In tertia autem, *Sanguinis*, inquit, *parum erumpere cœpit circa vigesimumquartum; & in sanguinis eruptionem fiebant abscessus Antiphonti Critobuli filio; quieuit, & perfectè iudicatus est circa quadragesimum.* Sed horum verborum ab initio statim non memini, quum ex primo epidemiorum quoque apponerem, melius esse ratus omnes dies, qui exactè soli de morbis decernere visi sunt, priùs exponere. Huius rei gratia, nec in ipsius vsquam commentariis in totum scriptum est, circa quintum aut septimum, aut nonum diem, vllum iudicatum esse, sed simpliciter, vel quinto, vel septimo, vel nono die, subito enim & vniuersim hi iudicant. Quanto autem vlterius morbi excedunt, diuturnioresque fiunt, perturbatio sanè, quæ præcipitem alterationem præcedit, conquiescit. Iudicia verò paulatim venientia duos, aut tres dies maxima ex parte occupant. Sicut enim plurimi longi affectus, neque cum excretione dissolui consueuerunt, sed vel abscessu, vel concoctione ita nec, vbi cum manifestis excretionibus, vel abscessibus ipsorū solutio contigerit, vno dūtaxat die perficitur. Vnde medicorū quidā diuturnos morbos nequaquam iudicari inquiunt; siquidē non solutionē sermone absoluto crisim esse, sed vel subitā, vel quæ ipsam præcedit cōmotionem. Verùm quòd iudicij significatū non exactè disquisitū perpetuò seruatur; sed solutionē ipsam tantum, quomodocunque fiat, cōplures medici iudicium appellāt; ex ipsis Hippocratis libris discere cuiuis est integrū, maximè verò & ex iis, quæ veteres alij pertractant.

B ΚΑὶ γὰρ οὖν, καὶ τὸ διαγνῶναι ποίας ἐστὶν ἡμέρας ἰδίως ἡ κρίσις, ἐπειδὰν εἰς πλείονας τύχῃ μερισθεῖσα, διορισμοῦ δεῖται, καθότι κἀν τῷ προτέρῳ δέδεικται λόγῳ. συμβαίνει δὲ καὶ χρονιζόντων τῶν νοσημάτων, τὰς κρίσεις ἀποτίθεσθαι μὲν τὸ τῆς ταραχῆς σφοδρόν, καὶ τὸ τῆς ἀλλοιώσεως σύντομον, καὶ εἰς δύο δὲ πολλάκις ἡμέρας, ἢ τρεῖς ἐκτείνεσθαι. πρόχειρον οὖν ἐν τούτῳ, προσνέμειν τὴν κρίσιν τῇ τριῶν ἡμερῶν εἴ τις ἂν βουληθῇ. πολλοὶ μὲν γὰρ τῶν ἰατρῶν, οὐδ᾽ ἀριθμοῦσιν ἔτι μετὰ τὴν τεσσαρεσκαιδεκάτην ποσταῖος ὁ κάμνων ἐστί, καὶ μάλιστα ἢν ἐν τῷ μεταξὺ δόξας ἀπύρετος γεγονέναι, πάλιν ἀναπυρέξῃ. ἔνιοι δὲ C κἂν ἀριθμήσωσι τὸ μερίζεσθαι τὰς κρίσεις εἰς πλείους ἡμέρας, ἀδιορίστως τε καὶ προπετῶς ᾗ βούλονται τῶν ἡμερῶν ἀνατιθέασι. διὰ ταῦτα γοῦν αὐτός, καὶ ὁ Ἱπποκράτης ἐπὶ τῶν ἀρρώστων ἐνίοτε μὲν ζ΄. φησίν, ἢ ἑνδεκάτῃ, ἢ τεσσαρεσκαιδεκάτῃ κριθῆναι τὴν νόσον, ἐνίοτε δὲ περὶ τὴν εἰκοστήν, ἢ μ΄. ἢ τινὰ ἄλλην, ὥσπερ εὐθὺς ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ καταστάσει τοῦ πρώτου τῶν ἐπιδημιῶν. ἐν μὲν γὰρ τῇ πρώτῃ, φησίν· ἔκρινε δὲ τούτων οἷσι τὰ βραχύτατα γένοιτο, περὶ τὴν εἰκοστὴν· τοῖσι δὲ πλείστοισι, περὶ τὴν τεσσαρακοστήν· πολλοῖσι δὲ περὶ τὴν ὀγδοηκοστήν. ἐν δ᾽ αὖ τῇ δευτέρᾳ καταστάσει, ἔστι δ᾽ οἷσι, φησίν, ἔκρινεν αὐτῶν ὀλίγοισιν, οἷσι τὰ βραχύτατα γένοιτο περὶ D εἰκοστήν. ἐν δὲ τῇ τρίτῃ αἱμορραγέειν, φησί, μικρὸν ἤρξατο περὶ τετάρτην καὶ εἰκοστήν, καὶ ἐγένοντο εἰς αἱμορραγίην αἱ ἀποστάσιες Ἀντιφῶντι Κριτοβούλου. ἀπεκρίθη καὶ ἐπαύετο τελείως περὶ τὴν τεσσαρακοστήν, οὐκ ἐμνημόνευσα δὲ κατ᾽ ἀρχὰς εὐθὺς τούτων τῶν ῥήσεων, ὁπότε κἀκ τοῦ πρώτου τῶν ἐπιδημιῶν παρετιθέμην, ἄμεινον εἶναι νομίσας, ἁπάσας πρότερον ἐκθέσθαι τὰς ἡμέρας, ἐν αἷς ἀκριβῶς μόνας ἐθεάσατο τὰ νοσήματα κρινόμενα. διὰ τοῦτο οὐδὲ γέγραπται τοὐπίπαν οὐδαμόθι τῶν συγγραμμάτων αὐτοῦ περὶ τὴν ε΄. ἢ τὴν ἑβδόμην, ἢ τὴν θ΄. κριθεὶς οὐδείς, ἀλλ᾽ ἁπλῶς, ἢ πεμπταῖος, ἢ E ἑβδομαῖος, ἢ ἐναταῖος. ἀθρόως γὰρ αὗται κρίνουσιν. ὅσῳ δ᾽ ἂν ἐξωτέρω προΐῃ τὰ νοσήματα, καὶ χρονίζῃ, παύεται μὲν ἡ πρὸ τῆς ὀξείας ἀλλοιώσεως ταραχή, κατὰ βραχὺ δὲ αἱ κρίσεις γινόμεναι, δύο που, ἢ τρεῖς ἡμέρας ἐπιλαμβάνουσι τοὐπίπαν. ὡς γὰρ οὐδὲ μετ᾽ ἐκκρίσεως εἴωθε λύεσθαι τὰ πλεῖστα τῶν χρονισμένων, ἀλλ᾽ ἤτοι δι᾽ ἀποστάσεως, ἢ πέψεων, οὕτως οὐδ᾽ ὅταν ἐπὶ σαφέσιν ἐκκρίσεσιν, ἢ ἀποστάσεσιν ἡ λύσις αὐτῶν γίνηται, διὰ μιᾶς ἡμέρας τελειοῦται μόνης. ὅθεν, οἶμαι, τῶν ἰατρῶν ἔνιοι τὴν ἀρχήν, οὐδὲ κρίνεσθαί φασι τὰ χρονίζοντα τῶν F νοσημάτων. οὐ γὰρ τὴν λύσιν ἁπλῶς εἶναι κρίσιν, ἀλλ᾽ ἤτοι τὴν ἀθρόαν, ἢ τὸν πρὸ ταύτης σάλον. ἀλλ᾽ ὅτι γε τὸ σημαινόμενον τῆς κρίσεως, οὐκ ἀπηκριβωμένον φυλάττεται διὰ παντός, ἀλλὰ τὴν λύσιν αὐτὴν μόνην, ὅπως ἂν γένηται, κρίσιν ὀνομάζουσιν οἱ πλεῖστοι τῶν ἰατρῶν, ἐξ αὐτῶν τε τῶν Ἱπποκράτους ἔνεστι μαθεῖν γραμμάτων, οὐχ ἥκιστα δὲ κἀξ ὧν οἱ ἄλλοι παλαιοὶ γράφουσιν.

οὕτως οὖν καὶ Διοκλῆς τὴν πρώτην ἡμέραν ἐν ταῖς κρινούσαις ἀριθμεῖ, σαφῶς ἐνδεικνύμενος, ὡς οὐδὲν ἄλλο τὴν κρίσιν, ὅτι μὴ τὴν λύσιν ὀνομάζει τοῦ νοσήματος. ἔσται δὲ δῆλον ἐξ αὐτῆς τῆς λέξεως ἐχούσης ὧδε, αὐτῶν δὲ τῶν πυρετῶν, ὧν τὰ αἴτια, μήτ᾽ ἐν αὐτῷ τῷ σώματι διαλύεται κενούμενα, καὶ μειούμενά πως, μήτ᾽ ἐξικμάζεται, μήτ᾽ ἀθρόως ὠμὰ ἐξάγεται, κατὰ δέ τινας χρόνων περιόδους πεφθέντα φαίνεται. ὁ μὲν ἐπιπολαιότατος ἐν νυκτὶ καὶ ἡμέρᾳ κρίνεται, ἐν ἐλαχίστῳ γὰρ χρόνῳ τούτῳ, τὰ αἴτια αὐτῶν διαλύεται. καὶ γὰρ τὰ σηπόμενα, καὶ πύον γινόμενα, ἔτι δὲ καὶ γάλα, καὶ σὰρξ πᾶσα ἀποτελουμένη, καὶ ὅλως τὰ πολλὰ τῶν κατὰ τὸ σῶμα γινομένων, καὶ κινουμένων, καὶ ἀλλοιουμένων κατ᾽ εἶδος, ἐν τούτῳ τῷ χρόνῳ φαίνεται πρῶτον. καὶ ταῦτα μὲν ὁ Διοκλῆς. ὁ δ᾽ Ἱπποκράτης οὐχ ἅπαξ, οὐδὲ δίς, ἀλλὰ πάνυ πολλάκις ἔν τε τῷ πρώτῳ τῶν ἐπιδημιῶν, καὶ μάλιστα κἀν τῷ τρίτῳ τὴν λύσιν μόνην τοῦ νοσήματος ὀνομάζει κρίσιν, οὐδεμιᾶς οὔτ᾽ ἐκκρίσεως, οὔτ᾽ ἀποστάσεως σαφῶς προηγησαμένης. οὐ μὴν τούτου γ᾽ ἕνεκεν ἡγητέον, ἄνευ ἐκκρίσεως πάσης φανερᾶς κρίνεσθαι τὰς χρονιζούσας νόσους, ὥσπερ οὐδὲ τὸ πλείους ἡμέρας ἐξ ἀνάγκης ἐπιλαμβάνειν. ὀγδοηκοστῇ γοῦν κριθῆναί τινα γράφων ὁ Ἱπποκράτης ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ῥιγῶσαί τέ φησιν αὐτόν, καὶ ὀξέως πυρέξαι, καὶ ἱδρῶσαι πολλῷ. παρεθέμην δὲ τὴν λέξιν ὀλίγον ἔμπροσθεν, ὁπότε τοῦ Κλεονακτίδου κατὰ τὸ πρῶτον τῶν ἐπιδημιῶν, ἕκτου τὴν τάξιν γεγραμμένου, τὴν διήγησιν ἐποιούμην. εὕροις δ᾽ ἂν καὶ ἄλλους ἀρρώστους, οὕς τ᾽ ἤδη παρεθέμην ἐν τῷδε τῷ λόγῳ, καὶ ὧν οὐδ᾽ ὅλως ἐμνημόνευσα κεκριμένους ἐναργῶς ἡμέρᾳ μιᾷ δι᾽ ἐκκρίσεως, ἐπὶ προήκοντι, καὶ χρονίῳ νοσήματι. ταύταις οὖν μάλιστα προσέχειν χρὴ τὸν νοῦν, ὡς ἀκριβῶς διδασκούσαις τὴν τάξιν τῶν κρισίμων ἡμερῶν. εἰ γὰρ ὁ Κλεονακτίδης ἐν τῇ ὀγδοηκοστῇ ῥιγώσας τε, καὶ ὀξέως πυρέξας, ἐκρίθη ἱδρώσας, δῆλον, ὡς μεγάλην τινὰ δύναμιν ὁ τῆς εἰκοστῆς ἀριθμὸς ἔχει. τούτου γὰρ πολλαπλασιαζομένου, τὴν ὀγδοηκοστήν, ὥσπερ καὶ τὴν μ᾽. καὶ τὴν ἑξηκοστήν, καὶ τὴν ἑκατοστὴν εἰκοστὴν γίνεσθαι συμβέβηκεν. εὑρήσεις δὲ καὶ ἄλλους ἀρρώστους ἐξωτέρω τῆς ιδ᾽. κεκριμένους δι᾽ ἐκκρίσεως, ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ὧν ἐνίους ἤδη παρεθέμην. οἵ γε τοὺς μὴ νομίζοντας ἀθρόαν γίνεσθαι κρίσιν ἐξωτέρω τῆς μ᾽. ἐξελέγχουσι, καὶ τὴν κρισίμων ἡμερῶν ἐνδείκνυνται τὴν τάξιν. ὅτι μὲν γὰρ ἐκλύεται κατὰ βραχὺ τὸ δι᾽ ἀγῶνός τε, καὶ σάλου παύεσθαι τὰ νοσήματα χρονίζοντα, καλῶς εἴρηται. τὸ δὲ μηδέποτε, διὰ μιᾶς ἡμέρας ὀξεῖαν αὐτῶν γίνεσθαι μεταβολήν, οὐκέτ᾽ ὀρθῶς. ὅταν γὰρ καὶ ῥῖγος εἰσβάλλῃ σφοδρόν, ἅμα τῷ παροξυσμῷ τέως οὐ γεγενημένον, ὅ τε πυρετὸς ὀξύτατός τε καὶ σφοδρότατος, καὶ θερμότατος, καὶ δύσφορος ἐπιγένηται, καὶ μετὰ ταῦθ᾽ ἱδρὼς ἐκχυθῇ πολύς, ἀπύρετον ἀκριβῶς τὸν ἄνθρωπον ἐργαζόμενος, εἴ τις οὐ φήσει τοῦτο κρίσιν εἶναι, προδήλως ἐρίζει. ἐγὼ δ᾽ οὐκ εἴωθα τοῖς ἐριστικοῖς ἐπὶ πλέον ἀντιλέγειν, ἀλλ᾽ ἐκεῖνο χρὴ μᾶλλον εἰδέναι γινόμενον. ὡς ἡμῖν τε γὰρ παραφυλάττουσιν ἐφάνη πολλάκις ἔν τε τοῖς ὑφ᾽ Ἱπποκράτους ἀναγεγραμμένοις ἀρρώστοις ἐστὶν εὑρεῖν, τὸ τὰς τοιαύτας λύσεις τῶν χρονιζόντων νοσημάτων, οὐχ ὅταν ἐφεξῆς εἴη μηδαμόθεν διακοπτόμενα συμπίπτειν, ἀλλ᾽ ἐπειδὰν λελύσθαι δοκοῦντα, πάλιν ἑτέρας ὑποστροφῆς ἐνάρξηται. συμβαίνει δὲ πολλάκις, καὶ αὐτὰς τὰς κατὰ μέρος ὑποστροφὰς ἐν ἡμέραις τέ τισι κρισίμοις ἄρχεσθαι, καὶ τινα κρισίμων ἡμερῶν ἀριθμὸν προελθούσας, αὖθις ἐν ἑτέρᾳ τινὶ τῶν κρισίμων ἡμερῶν κρίνεσθαι.

A Sic igitur & Diocles primum diem decretoriis annumerat, manifestò indicans nihil se aliud, iudicium, quàm morbi solutionem, nominare. Fiet autem perspicuum ex ipsius verbis, quæ hunc in modum habent; *Quarum febrium causæ, neque in ipso corpore vacuatæ, ac imminutæ dissoluuntur, neque exciccantur, neque subitò crudæ educuntur, temporum verò periodis quibusdam coctæ apparent, per summa quidem extantes, nocte & die iudicantur. Nam paucißimo tempore causæ ipsarum discutiuntur, quippe putrescentes, & in pus conuersæ; ad hæc lac, & caro omnis absoluta; breuiter omnia, quæ in corpore tum fiunt, tum mouentur, & speciatim alterantur,* B *in hoc tempore primùm apparent.* Atque hæc Diocles. Hippocrates autem non semel, neque bis, sed frequenter admodum in primo epidemiῶn, & potissimum in tertio, morbi solutionem crisim vocat, nulla neque excretione, neque abscessu euidenter prægresso. Non tamen huius gratia putandum est diuturniores morbos sine quauis manifesta excretione iudicari, quemadmodum, neque plures dies necessariò assumere. Itaque octogesimo crisim quendam accepisse in primo De morbis popularibus Hippocrates commemorat, aitque rigore ipsum fuisse correptum, acutéque febricitasse, & sudasse largiter. C Apposui autem paulò ante sententiam, quum Cleonactidæ in primo epidemiῶn sexti ordine scripti mentionem facerem. Inuenias autem alios quoque ægros hoc sermone iam mihi citatos, item quos nequaquam apposui, iudicatos euidenter die vno per excretionem in procedente, diuturnoque morbo. His igitur maximè aduertendum est, vt quæ dierum decretoriorum ordinem exactè doceant. Si enim Cleonactides hic, postquam octogesimo quum rigore fuisset infestatus, acutéque febricitasset, per sudorem iudicatus est, liquet vigesimi D numerum non mediocrem quandam potentiam obtinere. Hoc enim multiplicato octogesimum, sicut & quadragesimum, & sexagesimum, ad hæc centesimum, & centesimum vigesimum, fieri contingit. Reperies autem alios ægros, decimumquartum egressos, per excretionem in epidemiῶn libris iudicatos fuisse, quorum nonnullos iam protulimus. Qui autem eos, qui subitam fieri crisim vltra quadragesimum non putant, arguunt, etiam decretoriorum dierum ordinem ostendunt. Quòd etenim solutio, quæ per certamen, & commotionem fit, in morbis diuturnis paulatim exoluatur, pulchrè dictum est; at non amplius subitam eo- E rum mutationem vno die fieri, non rectè dictum est. Quum enim rigor vehemens simul cum accessione antea non factus inuadat, & febris acutissima, vehementissima, calidissima, & toleratu difficilis accedat, sudorque copiosus è corpore manarit, febre hominem prorsus liberans, si quis hoc crisim non esse dicet, manifestè contentiosus est. Ego sanè id genus hominibus contradicere diffusius, non consueui; sed illud, quod accidit, magis cognoscendum esse mihi proposui. Hoc enim nobis obseruantibus plerunque apparuit, atque in ægris ab Hippocrate scriptis inuenire licet, huius- F modi morborum longiorũ solutiones non, quum deinceps nulla ex parte intersecantur, incidere, at quum, vbi soluti esse videntur, iterum secundo recidiuam incipiunt. Contingit autem sæpe diebus quibusdam decretoriis recidiuas incipere; & quum numerum aliquem decretoriorum excesserint, denuò in alio quodã decretorio die iudicari.

Hac

Hac ratione omnes particulares acuti fiunt; postquam verò omnes coierint, diuturni. Interdum interualla ipsorum numero quodam decretorio circunscribuntur, veluti si quis vndecimo die iudicatum imperfectè, decimoquarto morbus repetat; deinde vigesimo rursum die iudicato parum integrè, recidiua vigesimoseptimo adueniat; inde postea acutè ægrotans, quadragesimo iterum iudicetur. Hæc igitur quisque in ęgris ipse videbit, qui diligenter eis assidere voluerit; ad hæc in ægrotis ab Hippocrate citatis contempletur. Porrò quòd decimusseptimus decimooctauo, & vigesimoprimo vigesimus fortior sit æstimandus, per Hippocratis experimenta demonstratū est. Si autem mea quoque deinceps recensuerim, longior quidem sermo erit, cæterùm fidei nihil magis habebit; si etenim quispiam & ipse, quæ ægris accidunt, obseruare velit, & ab Hippocrate dictis credere, is nihil adhuc nostra experientia indigebit. At si vel sophismata euidenter apparentibus digniora esse, quibus credatur, existimet, vel Hippocratis dictorum nullam rationem curamque habet, talis non modo nihilo plus frugis ex nostra narratione reportabit, sed etiam irridere ipsam conabitur; huiusmodi verò frequenter dixi despiciendos esse. Si verò veritatis studiosus quis existat, sophistarum nugis relictis ad experientiam ipse veniens, quum octoginta, vel mille ęgros conspexerit, hunc indubiè noui non alia de diebus decretoriis pronunciaturum, quàm Hippocrates indicauit.

CAPVT V.

Differre inuicem naturâ ac vsu, indicatorios dies qui per quaternarios circuitus numerantur: & qui inter ipsos coincidunt.

QVum enim decretoriorum dierum tum vsus, tum natura, duplex sit, Hippocrates quoque duplicem eorum doctrinam instituit, in aphorismis quidem, & prognostico, eorum, qui secundum quaternarios, & hebdomadas inuicem complexi sunt, mentionem faciens: in primo autem epidemiorum non horum modò; sed etiam aliorum omnium coincidentium. Quorum causam coincidentiæ in sequentibus dicturi sumus; nunc autem, quòd & natura, & vsu inter se mutuò differunt, ostensuri sumus: Natura sanè, quòd omnibus pulchrè euenientibus, ad quaternarios circuitus iudicia maxima ex parte perueniunt; erratis autem quibusdam, in coincidentes recidunt; Vsu quòd ad futuræ crisis cognitionem, quaternarij circuitus sufficit. Ad iam factam verò crisim iudicandam omnes semper sunt cognoscendi; vt verbi gratia, tutiorem esse crisim, quæ nono, quàm quæ octauo die accidit; minùs fidam, quæ octauo, quàm quæ nono contingit, iudicemus. Proinde fides iudicij, vel fallacia, ad bonam victus rationem iudicatis præscribendam conducit: præcognoscere verò, quando potissimum accidet, ad nondum iudicatos necessarium est. Dicetur itaque in procedente sermone de hoc etiam nonnihil; sed vniuersus sermo ex curandi methodo pendet. At nunc de decretoriorum dierum vsu nihil, nisi obiter, dicemus, sed omnem eorum potentiam interpretari festinamus. Satis est ideo ad præsentem disputationem, si Hippocratis verba commemorans, ad sequentia iam descendam. In prognostico sanè hoc modo scribit:

A καὶ οὕτω γίνεται τὰ μὲν κατὰ μέρος ἅπαντ' ὀξέα, τὸ σύμπαν δὲ χρόνιον. ἐνίοτε δὲ καὶ τὰ διαλείμματα αὐτῶν, ἀριθμῷ τινι τῶν κρισίμων ἡμερῶν περιγράφεται, καθάπερ εἴ τις ἑνδεκαταῖος κριθεὶς ἀτελῆ κρίσιν, ὑποστρέψειε τεσσαρεσκαιδεκαταῖος, εἶτ' αὖθις εἰκοσταῖος κριθεὶς ἐλλιπῶς, ὑποστρέψειεν κζ΄. κἄπειτ' ἐντεῦθεν ὀξέως πάλιν διανοσήσας, αὖθις ἐν μ΄. κριθείη. ταῦτα μὲν οὖν αὐτὸς ἕκαστος ἐπί γε τῶν νοσούντων ὄψεται, προσεδρεύειν αὐτοῖς ἐπιμελῶς ἐθελήσας, ἔν τε τοῖς ὑφ' Ἱπποκράτους γεγραμμένοις ἀρρώστοις ἐπισκοπούμενος. ὅτι δὲ καὶ τὴν ἑπτακαιδεκάτην μὲν τῆς ιη΄. καὶ τὴν εἰκοστὴν τῆς κα΄. E ἰσχυροτέραν ἡγητέον εἶναι, δέδεικται σαφῶς ἤδη τῆς πείρας ἕνεκεν τῆς Ἱπποκράτους. εἰ δὲ καὶ τῆς ἐμῆς πείρας ἐφεξῆς ἀναμνημονεύσαιμι, μακρότερος μὲν ὁ λόγος ἔσται, πιστότερος δ' οὐδὲν μᾶλλον. εἰ μὲν γάρ τις, καὶ αὐτὸς παραφυλάττειν τὰ συμβαίνοντα τοῖς νοσοῦσιν ἐθέλοι, καὶ πιστεύειν τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις, οὐδὲν ἔτι τῆς ἡμετέρας πείρας ὁ τοιοῦτος δεήσεται. εἰ δ' ἤτοι πιστότερα τῶν ἐναργῶς φαινομένων τὰ σοφίσματα νενόμικεν, ἢ μηδὲν φροντίζει τῶν ὑφ' Ἱπποκράτους εἰρημένων, οὐ μόνον οὐδὲν ἕξει πλέον ἐκ τῆς ἡμετέρας ἱστορίας ὁ τοιοῦτος, ἀλλὰ καὶ διαπαίζειν αὐτὴν ἐπιχειρήσει. τῶν μὲν δὴ τοιούτων εἴρηται πολλάκις, ὡς χρὴ καταφρονεῖν. C εἰ δέ τις ἀληθείας ἐρᾷ, τὸν μὲν λῆρον τῶν σοφιστῶν ἀφεὶς, ἐπὶ δὲ τὴν πεῖραν αὐτὸς ἀφικόμενος, ὅταν ὀκτακοσίους, ἢ χιλίους ἀρρώστους θεάσηται, σαφῶς οἶδα τοῦτον, οὐκ ἄλλα τὰ περὶ κρισίμων ἡμερῶν ἀποφαινόμενον, ὧν Ἱπποκράτης ἐδήλωσεν.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Ἀλλήλων διαφέρειν τῇ φύσει τε καὶ χρείᾳ τὰς κρισίμους ἡμέρας, κατὰ τὰς τετράδας ἀριθμουμένας· καὶ τίνες παρεμπίπτουσιν.

D Οὔσης γὰρ, καὶ χρείας, καὶ φύσεως διττῆς τῶν κρισίμων ἡμερῶν, καὶ τὴν διδασκαλίαν αὐτῶν διπλῆν Ἱπποκράτης ἐποιήσατο. ἐν μὲν τοῖς ἀφορισμοῖς, καὶ τῷ προγνωστικῷ, τῶν κατὰ τετράδας τε, καὶ ἑβδομάδας ἐπιπλεκομένων ἀλλήλαις μνημονεύσας. ἐν δὲ τῷ πρώτῳ τῶν ἐπιδημιῶν, οὐ τούτων μόνον, ἀλλὰ καὶ τῶν ἄλλων ἁπασῶν τῶν παρεμπιπτουσῶν, ὧν τὴν μὲν αἰτίαν τῆς παρεμπτώσεως ἐν τοῖς ἐφεξῆς ἐρῶ. τὸ δὲ, ὅτι καὶ φύσει, καὶ χρείᾳ διαφέρουσιν ἀλλήλων, ἤδη δηλώσω. φύσει μὲν, ὅτι καλῶς ἁπάντων γινομένων, εἰς τὰς κατὰ τετράδα περιόδους, αἱ κρίσεις ἀφικνοῦνται τοὐπίπαν. E πλημμεληθέντων δέ τινων, εἰς τὰς παρεμπιπτούσας μεθίστανται. τῇ χρείᾳ δὲ, διότι πρὸς μὲν τὸ γνῶναι τὴν μέλλουσαν ἔσεσθαι κρίσιν, ἡ κατὰ τετράδα περίοδος αὐτάρκης. εἰς δὲ τὸ κρῖναι τὴν ἤδη γεγενημένην, ἁπασῶν δεῖ ἀεὶ γινωσκομένων, ἵνα εἰ οὕτως ἔτυχεν, ἀσφαλεστέραν μὲν τὴν κρίσιν τὴν ἐνναταίαν τῆς ὀγδοαίας, ἀπιστοτέραν δὲ τὴν ὀγδοαίαν τῆς ἐνναταίας ἡγούμεθα. τὸ μὲν οὖν πιστὸν, ἢ ἄπιστον τῆς κρίσεως, εἰς τὸ καλῶς διαιτᾶν τοὺς ἤδη κεκριμένους διαφέρει. τὸ δ' ὁπηνίκα μάλιστα κριθήσεται προγινώσκειν, εἰς τοὺς μήπω κεκριμένους διαφέρειν ἀναγκαῖον. εἰρήσεται μὲν οὖν τι κἂν τοῖς F ἐφεξῆς ὑπὲρ τούτου, ἀλλ' ὁ σύμπας λόγος ἐκ τῆς θεραπευτικῆς ἐστι μεθόδου, καὶ νῦν ἡμεῖς, οὐ περὶ χρείας κρισίμων ἡμερῶν ἥκομεν ἐροῦντες, ὅτι μὴ πάρεργον, ἀλλὰ τὴν δύναμιν αὐτῶν ἅπασαν ἐξηγήσασθαι σπεύδοντες. ἀπόχρη τοίνυν εἴς γε τὸ παρὸν ἀναμνήσαντας τῶν Ἱπποκράτους ῥήσεων, ἐπὶ τὰ ἐφεξῆς ἤδη μετιέναι. κατὰ μὲν δὴ τὸ προγνωστικὸν οὕτω φησί·

οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσιν τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται, ἢ πρόσθεν, οἵ τε κακοηθέστατοι, καὶ ἐπὶ σημείων δεινοτάτων βεβῶτες, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. ἡ μὲν πρώτη ἔφοδος αὐτέων οὕτω τελευτᾷ, ἡ δὲ δευτέρα τετρὰς, εἰς τὴν ἑβδόμην περιάγεται. ἡ δὲ τρίτη, εἰς τὴν ιαʹ. ἡ δὲ τετάρτη, εἰς τὴν τεσσαρεσκαιδεκάτην, ἡ δὲ πέμπτη, εἰς τὴν ἑπτακαιδεκάτην, ἡ δὲ ἕκτη, εἰς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἤδη διὰ τεσσάρων, εἰς τὴν εἰκοστὴν ἐκ πολλαπλασιασμοῦ ἐκ προσθέσιος ἀφικνέονται. οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν ἀριθμέεσθαι οὐδὲν τουτέων ἀτρεκέως. οὐδὲ γὰρ ὁ ἐνιαυτός τε, καὶ οἱ μῆνες, ὅλῃσιν ἡμέρῃσιν ἀριθμέεσθαι πεφύκασιν. μετὰ δὲ ταύτας, ἤγουν τὰς κʹ. τὰς ἐν τῷ αὐτῷ τρόπῳ, καὶ κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ πρώτη περίοδος διὰ τεσσάρων, καὶ τριάκοντα ἡμερῶν, ἡ δὲ δευτέρα μʹ. ἡμερῶν, ἡ δὲ τρίτη ξʹ. αὕτη μὲν ἡ ἐκ τοῦ προγνωστικοῦ ῥῆσις. ἐν δὲ αὖ τοῖς ἀφορισμοῖς προειπὼν, ὡς τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν, ἑξῆς ἐπιφέρει, τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος. ἑτέρας ἑβδομάδος ἡ ηʹ. ἀρχή. θεωρητὴ δὲ πάλιν ἡ ιαʹ. αὕτη γάρ ἐστι τετάρτη τῆς δευτέρας ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη. αὕτη γάρ ἐστιν τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ιαʹ. ἐν μὲν δὴ τούτοις ἀμφοτέροις τοῖς συγγράμμασιν ἑβδομάσι τε, καὶ τετράσιν, ἀνατίθησιν ἁπάσας τῶν κρισίμων ἡμερῶν τὰς περιόδους. ἐν δὲ αὖ τῷ πρώτῳ τῶν ἐπιδημιῶν, ἁπασῶν ἐφεξῆς μνημονεύει γράφων ὧδε. ἔστι δὲ πρώτη κρίσιμος τῶν περιόδων, τῶν ἐν ἀρτίῃσι κρινουσῶν τετάρτη, ϛʹ. ιʹ. ιδʹ. ιηʹ. κʹ. κδʹ. κηʹ. λʹ. λδʹ. μʹ. ξʹ. πʹ. ρʹ. ρκʹ. τῶν δὲ ἐν τῇσι περισσῇσι περιόδοισι κρινουσῶν, πρώτη γʹ. εʹ. ζʹ. θʹ. ιαʹ. ιζʹ. καʹ. κζʹ. λαʹ. δῆλος οὖν ἐστιν ὁ Ἱπποκράτης, ἁπάσας ἐν τούτῳ τῷ λόγῳ τὰς κρινούσας περιλαβὼν ἡμέρας· ὑπομνήματι γὰρ ἡ τοιαύτη παρασκευὴ προσήκουσα. δέδεικται γὰρ ἡμῖν πολλάκις, ὡς πρότερον γέγραπται τῶν ἐπιδημιῶν βιβλία, τοῦ τε προγνωστικοῦ, καὶ τῶν ἀφορισμῶν, ὅτι δύναμιν ὑπομνημάτων ἔχει. κατὰ λόγον οὖν ἐνταῦθα, ἁπάσας μὲν ἔγραψε τὰς κρισίμους ἡμέρας. ἐν ἐκείναις δὲ μόνας τὰς μεγίστην δύναμιν ἐχούσας, καὶ τῷ λόγῳ τῆς αὐτῶν φύσεως ἀποτελουμένας, ὡς ἐν τοῖς ἐφεξῆς ἀποδείξομεν. ἔτι τε πρὸς τούτοις, οὐ σμικρὰν χρείαν εἰς τὴν τῆς μελλούσης ἀκμῆς τε, καὶ κρίσεως πρόγνωσιν παρεχομένας. διὰ τίνα μὲν οὖν αἰτίαν ὁ Ἱπποκράτης, οὐ μίαν ἐν ἅπασι τοῖς βιβλίοις ἐποιήσατο κρισίμων ἡμερῶν διδασκαλίαν, ἤδη δέδεικται σαφῶς. οὐκ ἄδηλον δὲ οὐδὲ διότι τοῖς ἄλλοις ἰατροῖς εἰς διαφωνίαν ἀφικέσθαι συνέβη περὶ τῶν κρισίμων ἡμερῶν. οἱ μὲν γὰρ, ὅτι διττὴ ἡ φύσις αὐτῶν ἐστιν, οὐδὲ ὅλως ἐνόησαν, οἱ δὲ τὴν ἀρχὴν, οὐδὲ παρεφύλαξαν, ἀλλὰ τῷ λόγῳ τὸ σύμπαν ἐπέτρεψαν. ἔνιοι δὲ ἐπὶ μὲν τὸ διὰ τῆς πείρας ἐξευρεῖν αὐτὰς ἧκον, ἀλλ᾽ ἐσφάλησαν διττῶς, ἢ τῷ μηδὲν ὅλως διορίζεσθαι πρὸ τῆς πείρας, ἢ τῷ προπετέστερον ἀποφαίνεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Ζʹ.

Παραφυλαττόμεναι αἱ κρίσιμοι ἡμέραι ἀπὸ τοῦ Γαληνοῦ πρὸς τοὺς σοφιστάς.

Ἀλλ᾽ ἡμῖν γε, καὶ τίνα χρὴ διορίζεσθαι πρὸ τῆς πείρας, εἴρηται, καὶ ὡς οὐ χρὴ σπεύδειν ἀποφήνασθαι περὶ κρισίμων ἡμερῶν οὐδὲν, ἄχρις ἂν ἐπὶ πολλῶν ἀρρώστων, ἔτεσι πολλοῖς ἀκριβῶς τις παρα-

Febres, siue sanus ab his quis euadat, siue pereat, aequali dierum numero iudicantur. Vt enim saluberrimae febres, quae videlicet tutißimis fulciuntur signis, die quarto, vel antea iudicari solent: ita malignißimae quaeque, & quibus periculosissima signa adsunt, die quarto, vel citius interficiunt. Primus itaque earum insultus ita finitur, secundus quaternarius in septimū diem producitur, tertius in vndecimum, quartus in decimumquartum, quintus in decimumseptimum, sextus in vigesimum. Hi autem ex acutißimis morbis per quatuor in viginti, ex additione, perueniunt. Verùm huiuscemodi supputatio per dies integros nimirum fieri non potest; quippe quum nec annus, nec menses ipsi, integris numerentur diebus, deinde eadem ratione, atq; additione primus circuitus ad quatuor, & triginta, alter ad quadraginta, tertius ad sexaginta dies perueniet. Hæc quidem ex prognostico verba sunt. In aphorismis, quum prædixisset, acutos morbos in quatuordecim diebus iudicari, mox infert; *Septimorum quartus index est, alterius septimanæ octauus initium. Contemplabilis autem rursum vndecimus, hic enim quartus secundæ septimanæ. Contemplabilis iterum decimusseptimus, hic enim quartus est à decimoquarto, septimus autem ab vndecimo.* Atque in his duobus commentariis omnes dierum decretoriorum circuitus hebdomadis, & quaternariis adscribit. At in primo epidemiorum omnium deinceps meminit hisce verbis: *Est autem primus decretorius circuituum, qui paribus diebus decernunt, quartus, sextus, decimus, decimusquartus, decimusoctauus, vigesimus, vigesimusquartus, vigesimusoctauus, trigesimus, trigesimusquartus, quadragesimus, sexagesimus, octogesimus, centesimus, centesimus vigesimus.* Eorum qui imparibus circuitibus iudicant, primus est tertius, quintus, septimus, nonus, vndecimus, decimusseptimus, vigesimusprimus, vigesimusseptimus, trigesimusprimus. Hippocrates igitur omnes hoc sermone decretorios dies manifestò comprehendit; recordationi siquidem, ac memoriæ præparatio hæc conuenit. Demonstratum enim nobis sæpius est, epidemiorum libros prognostico priùs, & aphorismis scriptos esse, quòd memoriam rerum priùs obseruatarum suggerant. Itaque in hoc cōmentario omnes decretorios dies per seriem conscripsit; in illis eos tantū, qui maximam virtutē habent, & naturæ suæ ratione perfecti sunt (sicut in sequentibus ostēdetur) & insuper non mediocrem vsum ad futuri status, iudiciique prænotionem exhibent. Cur igitur Hippocrates non vnam in omnibus libris decretoriorum dierum doctrinam tradiderit, iam liquidò constat. Nec obscurum, cur aliis medicis de hisce diebus controuersia suscepta sit. Alij etenim, quòd duplex eorum natura sit, non planè cogitarunt; alij nequaquam obseruarunt initium, sed rationi totum concessere; nonnulli vsu ipsos deprehendere conati sunt, verùm duplici nomine falsi sunt, vel quòd nihil omnino ante experientiam definierint, vel insultiùs sententiam protulerint.

CAPVT VII.

Iudicatorij dies à Galeno obseruati, aduersus sophistas.

Porrò nobis, quæ distinguenda veniant ante experimenta, dictū est; itē de diebus decretoriis ferre iudicium non properandū esse, donec in multis ægris, annis cōpluribus, accuratè quis obseruarit;

seruauerit; nam præter alia etiam annalium constitutionũ permultæ quædam differentiæ sunt. Ergo in tota æstate interim plures, quàm quadringentos homines acutè ægrotantes vniuersos, vel septimo, vel nono die, crisim habuisse conspexi; in alio rursus anno quosdam decimoquarto, quosdam vigesimo, plurimos post morbi reuersionem; in alio permultos sanguinis fluorem quinto habuisse, perfectè septimo, vel nono die iudicatos esse. Vidi etiam in autumno aliquando omnes vndecimo iudicatos; sed hic quidem autumnus bonam crisim attulit; in alio autem omnibus sexto die non bonum iudicium accidit. Quapropter etiam magis subit mihi mirari eos, qui planè nullum in diebus discrimen, verùm eiusdem omnes dignitatis, esse arbitrantur. Toti si quidem status frequenter, vel æstiuorum, vel autumnalium morborum, vnam iudiciorum speciem obtinent; quemadmodum in his, quos Hippocrates conscripsit, manifestum est. In quibus, si quis non omnino segnis est, interdum sane alium decretoriorum dierum sæpius iudicantem videbit, quàm alium; non tamen octauum, duodecimum, aut decimumsextum, aut huius notę aliquẽ. Apparent igitur sophistæ in vtrisque, quæ vniuersam medicinam constituerunt, errare, experientia nempe, & ratione. Neque enim in quibus experientiæ vsus est, ipsam expectant, sed vt cuique in mentem venerit, nugantur, neque euidenter apparentium causas inueniunt. Huius rei gratia alius ex eis, nec decretorium diem, nec omnino iudicium esse confirmat; alius iudicium quidem esse quoddam, non tamen etiam dies decretorios concedit, tanquam ratione magis, quàm experientia, decretorios dies, & iudicia inuenire conueniat; vel quasi peiores existãt illi, qui per experientiam vtraque se didicisse cõfitentur. Nobis sanè, qui post Herophilum, Xenophontem, & Asclepiadem nati sumus, forsan in viros illos, vel inuidia, vel contentio quædam esse possit. Sed quæso, vndenam in mentem venit ei, qui primò accuratè ipsos per experientiam inuenerit, quemadmodum epidemiorum libri testantur, vt præcognosceret sophistas tales quosdam in posterum futuros, quum nondum vlli his similes Hippocratis temporibus extiterint, verùm singuli pro viribus artem iuuare, inuenireque aliquid, non deprauare rectè inuenta, studerent? Quinetiam medicos, qui ab experientia empirici nominantur, videre licet tanquam communes quosdam omnium dogmaticorum hostes, inquirentes, quod mentiantur; non tamen, aut decretorios dies, aut iudicia tollentes, sed veluti, & aliud quippiam maximè euidens, hæc quoque ambo statuentes. Satis mihi iam est de sophistis nugantibus.

CAPVT VIII.

Epilogus eorum quæ dicta sunt de ordine dierum iudicatoriorum.

QVin magis ad dictorum cohęrentiam denuo reuertor, priùs vniuersis, quæ prædiximus, in summam vnam redactis. Decretorius itaque fortissimus omnium est dies septimus; prænunciat eum dies quartus, hæc duo habens, vt decretorius minor sit & septimi index. Deinde vndecimus, & xiv. eandem proportionem, & naturam inuicem conseruant, quam cum septimo quartus. Deinde frequentes quidẽ decimusseptimus ad vigesimũ, rarò autẽ decimusoctauus ad vigesimumprimum,

φυλάξῃ. τά τε γὰρ ἄλλα, καὶ τῶν ἐπετείων καταστάσεων αἱ διαφοραὶ πάμπολλαί τινες ὑπάρχουσιν. ἐν γοῦν ὅλῳ θέρει, ποτὲ πλέον, ἢ τετρακοσίους ἀνθρώπους, ὀξέως νοσήσαντας ἐθεασάμην ἅπαντας, ἢ ἑβδομαίους, ἢ ἐνναταίους κριθέντας. ἐν ἑτέρῳ δ' αὖθις ἔτει, τοὺς μὲν τεσσαρεσκαιδεκαταίους, τοὺς δ' εἰκοσταίους, τοὺς πλείστους δ' ἐξ ὑποστροφῆς. ἐν ἄλλῳ δὲ πεμπταίους μὲν αἱμορραγήσαντας παμπόλλους, τελέως δ' ἑβδομαίους, ἢ ἐνναταίους κριθέντας. οἶδα δὲ καὶ φθινοπώρῳ ποτὲ, πάντας ἑνδεκαταίους κριθέντας. ἀλλὰ τοῦτο μὲν ἀγαθὴν τὴν κρίσιν ἤνεγκεν, ἕτερον δὲ φθινόπωρον ἑκταίους ἔκρινεν ἅπαντας, οὐκ ἀγαθῶς. διὸ καὶ μᾶλλον ἐπῆλθέ μοι θαυμάζειν τοὺς ὅλως οὐδεμίαν ἐν ταῖς ἡμέραις ἡγουμένους εἶναι διαφορὰν, ἀλλ' ὁμοτίμους ἁπάσας ὑπάρχειν. ὅλαι γὰρ καταστάσεις πολλάκις, ἢ θερινῶν, ἢ μετοπωρινῶν νοσημάτων ἓν εἶδος ἔχουσι κρίσεων, ὡς κἂν ταῖς ὑφ' Ἱπποκράτους γεγραμμέναις ἐστὶ δῆλον. ἐν αἷς εἴ τις μὴ παντάπασιν ἐστὶ ῥᾴθυμος, ἄλλοτε μὲν ἄλλην τῶν κρισίμων ἡμερῶν ὄψεται πλεονάζουσαν, οὐ μὴν ὀγδόην τε, καὶ ιβ'. ἢ ἑκκαιδεκάτην, ἤ τινα τῶν τοιούτων. ἐοίκασιν οὖν εἰς ἄμφω τὰ συνεστῶτα τὴν ὅλην ἰατρικὴν, οἱ σοφισταὶ παρανομεῖν, τὴν πεῖράν τε, καὶ τὸν λόγον. οὔτε γὰρ ἐν οἷς τῆς πείρας ἐστὶ χρεία, ταύτην ἀναμένουσιν, ἀλλ' ὡς ἂν ἑκάστῳ παραστῇ, ληροῦσιν, οὔτε τῶν ἐναργῶς φαινομένων ἐξευρίσκουσι τὰς αἰτίας. διὰ τοῦτο τοίνυν ὁ μέν τις αὐτῶν, οὔτε κρίσιμον ἡμέραν, οὐθ' ὅλως κρίσιν ὑπάρχειν φησίν. ὁ δὲ κρίσιν μὲν εἶναί τινα, οὐ μὴν καὶ κρισίμους ἡμέρας, ὥσπερ δέον λόγῳ μᾶλλον, ἀλλ' οὐ πείρᾳ τὰς κρισίμους ἡμέρας, καὶ τὰς κρίσεις ἐξευρίσκειν, ἢ φαυλοτέρων ὄντων, τῶν ὅσοι διὰ τῆς πείρας ἄμφω μεμαθηκέναι φασίν. ἡμῖν μὲν τοίνυν, ὅσοι μεθ' Ἡρόφιλόν τε, καὶ Ξενοφῶντα, καὶ Ἀσκληπιάδην ἐγενόμεθα, τάχ' ἂν εἴη τις εἰς τοὺς ἄνδρας ἐκείνους, ἢ φθόνος, ἢ φιλονεικία. τῷ πρώτως δ' ἀκριβῶς αὐτὰς ἐξευρόντι διὰ τῆς πείρας, ὡς τὰ τῶν ἐπιδημιῶν ἐνδείκνυται γράμματα, πόθεν ἂν ἐπῆλθε τὸ προεγνωκέναι τινὰς ἔσεσθαι ἐξ ὑστέρου τοιούτους σοφιστάς. οὐδὲ γὰρ ἐν τοῖς καθ' Ἱπποκράτην χρόνοις ἦσάν πω τινες ὅμοιοι τούτοις, ἀλλ' ἕκαστος ἐκείνων ἐξευρεῖν τι, καὶ συντελεῖν εἰς τὴν τέχνην ἔσπευδεν, οὐ λυμαίνεσθαι τοῖς ὀρθῶς εἰρημένοις. καὶ μὴν καὶ τοὺς ἐμπειρικοὺς ὀνομαζομένους ἰατροὺς, ἔστι μὲν ἰδεῖν, ὥσπερ τινὰς κοινοὺς ἐχθροὺς τῶν δογματιζόντων ἁπάντων ἐπιτηροῦντας ὃ καταμέμφονται. μὴ μέντοι μήτε κρισίμους ἡμέρας, μήτε κρίσεις ἀναιροῦντας, ἀλλ' ὡς ἂν καὶ ἄλλο τι τῶν ἐναργεστάτων, καὶ ταῦτα ἄμφω τιθέντας, ἅλις ἤδη μοι σοφιστῶν ληρούντων.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Κεφάλαιον τῶν εἰρημένων περὶ τῆς τῶν κρισίμων ἡμερῶν τάξεως.

ΑΛλ' ἐπὶ τὰ συνεχῆ τῶν εἰρημένων αὖθις ἐπάνειμι, πρότερόν γε κεφαλαιώσας εἰς ἓν ἅπαντα τὰ προειρημένα. κρίσιμος μὲν γὰρ ἰσχυροτάτη πασῶν, ἡ ζ'. προδηλοῖ δ' αὐτὴν, ἡ τετάρτη δύο ταῦτ' ἔχουσα, τό τε κρίσιμος εἶναι μικροτέρα, καὶ τὸ τῆς ἑβδόμης ἐπίδηλος. ἐφεξῆς δ' ἑνδεκάτη τε, καὶ ιδ'. τὴν αὐτὴν ἀναλογίαν τε, καὶ φύσιν ἀποσώζουσαι πρὸς ἀλλήλας, ἥνπερ ἡ δ'. πρὸς τὴν ζ'. κἄπειθ' ἑξῆς, πολλάκις μὲν ἡ ιζ'. πρὸς τὴν κ'. ὀλιγάκις δὲ ἡ ιη'. πρὸς τὴν κα'.

τὸν αὐτὸν ἔχει λόγον ὅνπερ ἡ τετάρτη, πρὸς τὴν ἑβδόμην, καὶ ἡ ια'. πρὸς τὴν ιδ'. αὗται μὲν οὖν, ὡς Ἱπποκράτης ἔλεγε, διὰ τεσσάρων εἰς τὴν κ'. ἐκ προσθέσιος ἀφικνέονται, παρεμπίπτουσι δ' αὐταῖς ἐννάτη, καὶ πέμπτη, καὶ τρίτη. πλείστους μὲν ἡ θ'. κρίνουσα, δευτέραν δὲ ἔχουσα δύναμιν ἡ ε'. καὶ μετ' ταύτην ἡ γ'. περὶ δὲ τῆς ς'. εἴρηταί μοι καὶ πρόσθεν, ὡς κακὴ κρίσιμός ἐστιν. ἡ μέντοι τρισκαιδεκάτη, πασῶν μὲν τῶν κρινουσῶν ἀσθενεστάτη, πασῶν δὲ τῶν μὴ κρινουσῶν ἰσχυροτάτη, καθάπερ ἐν μεθορίῳ τινὶ τεταγμένη τῆς ἑκατέρων δυνάμεως. ἀγωνιστικώταται μὲν οὖν κρίσεις, ὡς καὶ πρόσθεν εἶπον, αἱ μέχρι τῆς ιδ'. ἡμέρας, ἧττον δὲ αὐτῶν, αἱ μέχρι τῆς κ'. ἐντεῦθεν δ' ἄχρι τῆς μ'. ἔτι τε καὶ μᾶλλον ἐκλύεται τὸ σφοδρόν, ἀπ' ἐκείνης δὲ τελέως ἔκλυτος γίνεται.

ΚΕΦΑΛΑΙΟΝ Θ.

Περὶ τῆς ἀναλογίας τῶν κρισίμων ἡμερῶν κατὰ τὰς τετράδας τε, καὶ ἑβδομάδας ἀριθμουμένων.

Ἡ Δ' ἀναλογία τῶν κρινουσῶν ἡμερῶν, ἄχρι παντὸς διαφυλάττεται. καθάπερ γὰρ ἡ ιδ'. καὶ πέρας ἐστὶν τῆς δευτέρας ἑβδομάδος, καὶ ἀρχὴ τῆς γ'. οὕτω καὶ ἡ λδ'. πέρας θ' ἅμα τῆς πέμπτης ἐστί, καὶ ἀρχὴ τῆς ς'. ὥστε ἀεὶ ταῖς τρεῖς ἑβδομάδας εἴκοσιν ἡμέραις περιγράφεσθαι, καὶ διὰ τοῦτο τὴν ξ'. ὡς καὶ πρόσθεν ἔφαμεν, οὐ τὴν ξγ'. γίνεσθαι κρίσιμον. ὡσαύτως δὲ καὶ τὴν π'. τε καὶ ρκ'. ὡς γὰρ τὸ τῶν κρίσεων ἀγωνιστικὸν ἐκλύεσθαι κατὰ βραχὺ τοῦ χρόνου προϊόντος, οὕτω καὶ τὰς ἀσθενεῖς κρισίμους ἀμαυροῦσθαι, καὶ τελέως συμπίπτειν· μόνας δ' ἄχρι παντὸς διαρκεῖν, ὅσαι περιγράφουσι τελείαν περίοδον ἀριθμῶν κρισίμων. ἔοικε δ' ὅσα γε διὰ τῆς πείρας ἔνεστι μαθεῖν, πρώτη περίοδος τελεία ἡ τῶν εἴκοσιν ἡμερῶν ὑπάρχειν. εἰ μὲν γὰρ ἀεὶ κατὰ διάζευξιν ὁ τοῦ ζ'. ἀριθμὸς προεχώρει, καθάπερ ἐπὶ τῶν πρώτων ἔχει δυοῖν, ἦν ἂν οὕτω γε καὶ αὐτὴ ἡ ζ'. τελεία πρώτη περίοδος. ἐπεὶ δ' ἡ μὲν δευτέρα τῆς πρώτης διέζευκται, συνῆπται δ' ἡ τρίτη τῇ β'. δῆλον, ὡς οὐκέτι φυλάττεται μετὰ τὴν ιδ'. ἡμέραν ἡ ἐξ ἀρχῆς ἀναλογία. μετὰ μέντοι τὴν κ'. ἡ αὐτὴ τῶν περιόδων τάξις, ἄχρι παντὸς διαμένει. τῆς μὲν λδ'. ἀνάλογον τῇ τεσσαρεσκαιδεκάτῃ γινομένης, ἐκ δυοῖν ἑβδομάδων διεζευγμένων, τῆς δ' αὖ τεσσαρακοστῆς ἀνάλογον τῇ κ'. τὴν τρίτην ἑβδομάδα τὴν συνημμένην πληρούσης. τοῦτ' οὖν αὐτὸ διδάσκων ἡμᾶς Ἱπποκράτης, ἐν τῷ προγνωστικῷ μετὰ τὸ περὶ τῆς εἰκοστῆς ἡμέρας διελθεῖν, ἐφεξῆς ἐρεῖ. μετὰ δὲ ταύτας ἐν τῷ αὐτέῳ τρόπῳ, καὶ κατὰ τὸν αὐτὸν κόσμον ἡ πρώτη διὰ τεσσάρων καὶ τριάκονθ' ἡμερῶν. πρώτην γὰρ εἶπε μετὰ τὴν εἰκοστὴν ἡμέραν εἶναι τὴν λδ'. ὡς περίοδον, οὐχ ὡς ἡμέραν κρίσιμον, ἐπεὶ καὶ κδ'. καὶ κζ'. καὶ τὴν λα'. μετὰ τὴν εἰκοστὴν ἐστὶ κρίσιμος, ἀλλ' ἐπεὶ περί τε τῶν μικροτέρων περιόδων, αἳ δὴ τετράδες εἰσίν, αὐτάρκως ἐδίδαξεν, καὶ περὶ τῶν ἑβδομάδων αὐτῶν ἱκανῶς διεξῆλθεν, εὐθὺς ἐβουλήθη ἑξῆς τὰς ὑπολοίπους δύο περιόδους ἐπιδιδάξαι, τήν τε ἐκ τῶν δύο ἑβδομάδων συγκειμένην, καὶ τὴν ἐκ τῶν τριῶν. ἀλλὰ τὴν μὲν ἐκ τῶν δύο εἶναι ἡμιτελῆ τινα, τὴν δ' ἐκ τῶν τριῶν, ἀκριβῶς τελείαν. εἴ γε δὴ καὶ τὴν τεσσαρακοστήν, καὶ τὴν ξ'. καὶ τὴν π'. καὶ τὴν ρκ'. ἐκ τῆς εἰκοστῆς πολλαπλασιαζομένης γίνεσθαι συμβέβηκε. τοῦτο οὖν αὐτό, καὶ οὐκ ἄλλο γνώρισμα τελείας ἐστὶ περιόδου, ἤτοι συντεθειμένης ἀεί, καὶ πολυπλασιαζομένης αὐτῆς ἐφ' ἑαυτήν, ἄλλης μηκέτι δεῖσθαι περιόδου.

eandem rationem habet, quam cum septimo quartus, & vndecimus cum decimoquarto. Hi ergo, vt Hippocrates dixit, per quatuor aucti ad viginti perueniunt. Coincidunt eis nonus, quintus, & tertius. Plurimos quidem nonus iudicat; secundam vim obtinet quintus; & posthunc tertius. De sexto priùs diximus, vt malo decretorio. Decimustertius certè omnium decretoriorum imbecillimus; omnium verò, qui non decernunt, fortissimus, tanquam in medio quodam vtrorumque virtutis situs. Cum vehementissima itaque pugna sunt crises, sicut etiam antea diximus, quæ vsque ad decimum quartum diem veniunt; cum minori, quæ ad vigesimū vsq; pertingūt; inde vsque ad quadragesimū adhuc etiam magis earū vehementia exoluitur; ab illo autē die perfectè exoluta redditur.

CAPVT IX.

De proportione dierum indicatoriorum, qui per quaterniones, & septimanas enumerantur.

PRoportio autem dierum decretoriorū perpetuò seruatur. Vt enim decimusquartus & secūdæ septimanæ finis est, & tertiæ principium, ita trigesimusquartus quintæ terminus est simul, & sextæ initium. Quare tres septimanæ viginti diebus semper describuntur; ideoq; sexagesimus, vti prius declaratū est, non sexagesimustertius, decretorius fiet. Pari modo octogesimus & centesimus vigesimus. Vt enim iudiciorū vehementia paulatim procedente tēpore exoluitur, ita & imbecilles decretorios obscurari planè accidit; solos autem semper persistere, qui perfectū decretoriorū numerorum circuitum describunt. Videtur autē (vt per experientiam licet condiscere) primus circuitus perfectus esse, qui viginti diebus cōstat. Si etenim semper per coniugationem septimi numerus procederet (vt in primis duobus habet) esset hac quoque ratione hic septimus perfectus primus circuitus. Quoniam verò secūdus à primo disiunctus est, & tertius secundo cohæret, liquet proportionē, quæ ab initio statuebatur, non adhuc post decimūquartum diem cōseruari; attamen post vigesimum diem idem circuitum ordo perpetuo cōsistit. Respondebit ergo trigesimusquartus decimoquarto, quippe qui ex duabus septimanis disiunctis fiat; & quadragesimus vigesimo, vt qui tertiam hebdomadem coniunctā expleat. Quare hoc ipsum Hippocrates nos docens in prognostico, vbi de vigesimo die verba fecerit, deinceps inquit, *Post hos eadem ratione, eademq; additione, primus ad quatuor & triginta dies peruenit.* Primū enim dixit trigesimūquartum post vigesimū, vt circuitum, non vt diem decretorium: quoniam & vigesimusquartus, & vigesimusseptimus, & trigesimusprimus, post vigesimum est decretorius. Sed quoniam de minoribus periodis (sunt autem quaternarij) abundè satis docuit, ad hęc septimanas ipsas exposuit, reliquos statim duos circuitus voluit simul doctrinæ causa adiicere, nempe & ex duabus septimanis compositū, & illum, qui tribus constat; verùm qui duas continet, velut imperfectum quendam; qui tres, exactè perfectum. Siquidem iam quadragesimum, sexagesimum, octogesimum, centesimum vigesimum, ex vigesimo sæpius aucto fieri contingit. Hoc igitur ipsum, & non aliud perfecti circuitus est indicicium, vel compositi semper & sæpius in se aucti, quòd alium non magis requirat.

Atqui

Atqui nec vnus eorum qui vigesimum præcedunt, hoc obtinet; nam septimus si per se semper auctus sit; ad vigesimumque primum, vigesimumoctauum, & trigesimumquintum, & quadragesimumsecundum excideret; decimusquartus pari modo vigesimumoctauum faceret, & quadragesimumsecundum. Sed & ipse quaternarius, si eius compositionem in se faceret, octauum, duodecimum, & decimumsextum, fortes decretorios efficeret. Qua propter ipse quartus ne periodus quidē euidenter est, sed periodi velut dimidium; etenim septimana dupliciter diuisa quartus sectionem accipiens, primi quaternatij terminus est, secundi initium. Forsan quis septimanam hanc iam perfectum circuitum esse putauerit; non enim & in hac septimum diem secundæ septimanæ initium esse contingit; sic enim ad decimumtertium, non decimumquartum, terminus eius perueniret. Sed quum rursus decimusquartus, terminus simul secundæ septimanæ, & tertiæ principium sit, non adhuc perfectus circuitus septimana sic fuerit; bis enim se ipsum multiplicauit, ter non potuit. Atqui si propter duas priores hebdomadas ex disiunctione factas, integrum quendam circuitum putare septimanam conuenit; propter tertiam verò coniunctam, non etiam integrum; vel omnino in dubitationem sermonem incidere necesse est; vel septimanam primum quendā ordine, & simplicē circuitū putandā esse, qui verò ex viginti diebus cōponitur, secundū simul & cōpositū, & perfectū.

καὶ μὴν οὐδεμία τῶν πρὸ τῆς εἰκοστῆς ὑπάρχει τοῦτο. ἥ τε γὰρ ζ΄. εἴπερ ἑαυτὴν ἐπολυπλασίαζε διὰ παντὸς, εἴς τε τὴν εἰκοστὴν πρώτην ἂν ἐξέπιπτε, καὶ τὴν κη΄. καὶ τὴν λε΄. καὶ τὴν μβ΄. ἡ τεσσαρεσκαιδεκάτη, τήν τε κη΄. ὡσαύτως ἂν ἐποίει, καὶ τὴν μβ΄. ἀλλὰ καὶ ἡ τετρὰς, καὶ ἥδε, εἰ τὴν σύνθεσιν αὐτῆς πρὸς ἑαυτὴν ἂν ἐποιεῖτο, τὴν ὀγδόην ἂν ἀπειργάσατο, καὶ τὴν ιβ΄. καὶ ις΄. ἰσχυρὰς κρισίμους, ὥστ' αὐτὴ μὲν ἡ τετάρτη ἐναργῶς οὐδὲ περίοδός ἐστιν, ἀλλ' οἷον ἥμισυ περιόδου. τῆς γὰρ ἑβδομάδος διχῆ τμηθείσης, ἡ τετάρτη δεξαμένη τὴν τομὴν, πέρας μέν ἐστι τῆς πρώτης τετράδος, ἀρχὴ δὲ τῆς δευτέρας ἐγένετο. τάχα δή τις ἂν ἡ ἑβδομὰς αὕτη δόξειεν ἤδη τελεία περίοδος ὑπάρχειν. οὐ γὰρ δὴ κἀπὶ ταύτης γε τὴν ἑβδόμην ἡμέραν ἀρχὴν τῆς δευτέρας ἑβδομάδος εἶναι συμβέβηκεν. οὕτω γὰρ ἂν εἰς τὴν τρισκαιδεκάτην, οὐκ εἰς τὴν ιδ΄. ἐνέπιπτε τὸ τέλος αὐτῆς. ἀλλ' ἐπεὶ πάλιν ἡ ιδ΄. πέρας θ' ἅμα τῆς δευτέρας ἑβδομάδος, ἀρχή τε τῆς τρίτης ἐστὶν, οὐκέτ' ἂν οὕτως γε τελεία περίοδος ἡ ἑβδομὰς ὑπάρχοι. δὶς μὲν γὰρ ἑαυτὴν ἐπολυπλασίαζε, τὸ τρίτον δὲ οὐκ ἠδυνήθη. καὶ μὴν εἰ διὰ μὲν τὰς δύο τὰς πρώτας ἑβδομάδας ἐν διαζεύξει γινομένας, ὁλόκληρόν τινα περίοδον ὑπολαμβάνειν χρὴ τὴν ἑβδομάδα. διὰ δὲ τὴν γ΄. συναφθεῖσαν, οὐκέθ' ὁλόκληρον, ἤτοι τελείως εἰς ἀπορίαν καταστῆναι ἀνάγκη τὸν λόγον, ἢ τὴν ἑβδομάδα πρώτην μέν τινα τῇ τάξει, καὶ ἁπλῆν περίοδον ἡγητέον εἶναι. τὴν δὲ ἐκ τῶν κ΄. ἡμερῶν συγκειμένην, δευτέραν τε ἅμα, καὶ σύνθετον, καὶ τελείαν.

CAPVT X.

De iudicatoriis, qui acutis morbis congruunt; ac quod vnicuique dierum circuitui proprius morbus respondeat.

Monet iā hic sermo nos cōsiderare, quis horū dierū de acutis morbis decernat. Quum enim Hippocrates in aphorismis *acutos morbos in quatuordecim diebus iudicari dicat*, magnā inde nugandi occasionē sophistæ arripuerunt; atqui sine illorū nugis omnibus, & iudicia omnia præsagire, & iam facta explorare potes. Nā si morbū, exempli gratia, vigesimo die iudicandū esse præsagiens, victus rationē ei congruam instituas, magnū ægro præsidium adferes. Licebit autē tibi, & acutum, & diuturnū ipsum vocare, quum nulla, vel cōmoditas, vel offensa ex appellatione ægro adueniat. Fingamus enim acutū huiusmodi morbū vocari, omnibus, quæ ad victū ægri pertinent, rectè administratis, quid inde peius, vel melius erit? rursus diuturnū ipsum, si placet, appella, vt nihil ex hoc, vel iuuari, vel offendi ægrū intelligas. Quemadmodū igitur & in aliis pluribus sophistæ de nominibus cōtendentes dissentiunt, tēpusque discentium cōterunt, sic quoq; in acutorū, longorumq; morborū distinctione. Nam si verū fateri oportet, non duæ tantū morborū differentiæ, sed permultę admodū putandæ sunt; si quidem quartana febris in tot annos incidit, quot alia diebus iudicata est; ad hæc alius quidam morbus in menses multos durauit. Hæc igitur prima differentia triplex; partim enim morbi diebus, partim mensibus, partim annis totis iudicantur. Membratim rursus in morbis, qui ad mēses perueniunt, non simile existit, duorū videlicet mēsium, vel septem solutionē fieri. Ita quum dierum, vel annorū numero morbi soluuntur, permagnū discrimen existit; quid enim similitudinis,

ΚΕΦΑΛΑΙΟΝ Ι΄.

Περὶ κρισίμων ἰδίων τῶν ὀξέων νοσημάτων· καὶ ὅτι ἑκάστης τῆς τῶν ἡμερῶν περιόδου, ἴδιόν ἐστι τὸ νόσημα.

Ἅπτεται δή πως ἤδη ὁ λόγος τῆς σκέψεως, τίς τούτων ἐστὶ τῶν ἡμερῶν ἡ κρίνουσα τὰς ὀξείας νόσους. Ἱπποκράτους γὰρ εἰπόντος ἐν ἀφορισμοῖς, τὰ ὀξέα τῶν νοσημάτων κρίνεσθαι ἐν ιδ΄. ἡμέρῃσιν, ἀφορμὴν ἐντεῦθεν εἰλήφασιν οἱ σοφισταὶ λήρων μακρῶν, ὧν ἁπάντων χωρὶς οἷόν τέ ἐστι, καὶ προγινώσκειν τὰς μελλούσας ἔσεσθαι κρίσεις, καὶ δοκιμάσαι τὰς ἤδη γεγενημένας. εἰ γὰρ εἰκοσταῖον εἰ τύχοι προγνοὺς κριθήσεσθαι τὸ νόσημα, τὴν δίαιταν ὁμολογοῦσαν αὐτῷ συστήσαιο, μέγιστα μὲν ἂν ὠφελήσῃς τὸν κάμνοντα. καλεῖν δὲ ἐξέσται σοι, καὶ ὀξὺ, καὶ χρόνιον αὐτὸ, μηδεμιᾶς ὠφελείας, ἢ βλάβης ἐκ τῆς προσηγορίας εἰς τὸν νοσοῦντα γιγνομένης. ἔστω γὰρ ὀξὺ καλεῖσθαι τὸ τοιοῦτον νόσημα, πάντων ὀρθῶς τῶν κατὰ τὴν δίαιταν ἐπὶ τοῦ κάμνοντος γεγενημένων. τί διὰ τοῦτο χεῖρον, ἢ βέλτιον ἔσται; πάλιν οὖν εἰ βούλει, χρόνιον αὐτὸ προσαγόρευσον, ἵν' εἰδῇς, ὅτι μηδὲν ἐκ τούτου βέλτιον, ἢ χεῖρον ὁ κάμνων γίγνεται. καθάπερ οὖν καὶ ἄλλα πολλὰ περὶ ὀνομάτων ἐρίζοντες οἱ σοφισταὶ τῶν μανθανόντων κατατρίβουσι τὸν χρόνον, οὕτω κἀν τοῖς περὶ τῶν ὀξέων, καὶ χρονίων διαιρεῖσθαι. εἰ γὰρ δεῖ τἀληθὲς εἰπεῖν, οὐ δύο μόνας οἴεσθαι χρὴ νοσημάτων διαφορὰς, ἀλλὰ πάμπολλας. εἴ γε καὶ τεταρταῖος πυρετὸς εἰς ἐτῶν ἀριθμὸν ἐξέπεσε τοσοῦτον, ἐν ὅσαις ἡμέραις ἕτερος ἐκρίθη. καί τις ἄλλη νόσος εἰς μῆνας ἐξικνεῖται πολλούς. αὕτη μὲν οὖν ἡ πρώτη διαφορὰ τριττή, τῶν μὲν ἐν ἡμέραις, τῶν δὲ ἐν μησὶ, τῶν δὲ ἐν ἔτεσιν ὅλοις κρινομένων. κατὰ μέρος δὲ πάλιν, ἐν μὲν τοῖς εἰς μῆνας ἐκπίπτουσι νοσήμασιν, οὐχ ὅμοιον δήπου γάρ ἐστι, δυοῖν μηνοῖν γενέσθαι τὴν λύσιν, ἢ ἑπτά. οὕτω δὲ κἀπειδὰν ἡμερῶν, ἢ ἐτῶν ἀριθμῷ λύεται τὰ νοσήματα, παμπόλλη διαφορά. τί γὰρ ὅμοιον,

ἢ τριταῖον, ἢ εἰκοσταῖον κριθῆναι, τί δ' ὅμοιον εἰκοσταῖον, ἢ μ'. εἰ μὲν δὴ τὴν φυσικὴν αὐτῶν ἐθέλεις ἐξευρίσκειν διαφοράν, ὅσαι περ αἱ τῶν κρινουσῶν ἡμερῶν εἰσι περίοδοι, τοσαύτας ἀναγκαῖον ἔσται σοι ποιεῖσθαι, καὶ τὰς νόσους. ἑτέρας μὲν οὖν φύσεως ὑποθέμενος ὥσπερ οὖν δὴ καί ἐστιν ἑτέρας, τὸ μὴ δυνάμενον ὑπερβαλεῖν τὴν πρώτην τετράδα. ἑτέρας δὲ τὸ τὴν ζ'. μὴ ὑπερβαῖνον. οὕτω δὲ καὶ τὴν ια'. καὶ τὴν ιδ'. καὶ τὴν ιζ'. καὶ τὴν κ'. ἁπασῶν τε τῶν ἐφεξῆς κρισίμων, ἴδιον ἑκάστης ἡγήσασθαι νόσημα.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῆς τῶν νόσων τε, καὶ τῶν κρισίμων ἡμερῶν διαφορᾶς πρὸς τὸ καλῶς διαιτᾶσθαι.

ΠΡὸς μέντοι τὴν διδασκαλίαν, ἄμεινον ἐν μείζοσιν ὅροις αὐτὰ περιλαμβάνειν, ὅπως μὴ πάμπολλα γίνοιντο· μὴ μέντοι μηδὲ πάλιν οὕτω μακροῖς, ὡς ἐφεξῆς ἀλλήλων τάττειν, τὰ πάμπολυ διαφέροντα, ὅθεν οὐδὲ τοὺς δύο τὰ πάντα τῶν νοσημάτων εἴδη τιθεμένους, εἶτ' ἄτμητον αὐτῶν ἑκάτερον φυλάττοντας ἐπαινῶ, οὔτε τοὺς τοσαύτην εἶναι λέγοντας, ὅσαι περ αἱ τῶν κρινουσῶν ἡμερῶν εἰσι περίοδοι. τίς ἂν οὖν ἡ ἀρίστη διδασκαλία γένοιτο, καὶ μάλιστα τῇ χρείᾳ τῆς τέχνης ἐπιτήδειος; εἴ τις τῶν σοφιστῶν ἰατρῶν ἐπιχειρήσειεν ἰατρεύειν ἐπιμελῶς, ἐάσας τὸν ὑψηλὸν ἐκεῖνον θρόνον ἐφ' οὗ καθεζόμενος, ὥσπερ τις μέγας βασιλεὺς ἐπιτρίβει τὰ μειράκια. τοῦτον εὖ οἶδ', ὅτι πρὸς αὐτοῦ τοῦ πράγματος ἐκδιδαχθήσεται τὸ χρήσιμον. ὥσπερ οὖν, καὶ ὁ πάντα θαυμαστὸς Ἱπποκράτης, ἀπὸ τῶν ἐναργῶν αὐτῶν ὁρμώμενος, ποτὲ μὲν οὕτω γράφει, ὅκου μὲν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους ἔχει πόνους, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι. ποτὲ δ' οὕτω τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσιν. εἶτ' αὖθις. αὗται μὲν οὖν διὰ τεσσάρων εἰς τὰς κ'. ἐκ προσθέσιος ἀφικνέονται. εἶτ' αὖθις δὲ πάλιν. εὔπνοιαν δὲ χρὴ νομίζειν, κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς ἐστι, καὶ ἐν μ'. ἡμέρῃσι κρίνεται. καὶ μὲν δὴ καὶ τῆς ξ'. καὶ τῆς π'. καὶ τῆς ρκ'. αὖθις μέμνηται, καὶ ταύτας πάλιν καταλιπών, τὰς μὲν θερινὰς νόσους χειμῶνος λύεσθαί φησι, τὰς δὲ χειμερινὰς θέρεος. λέγει δὲ καὶ οὕτως, τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα, κρίνεται μὲν ἐν μ'. ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησί, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ πρὸς τὴν ἥβην προσάγουσιν. αὗται πᾶσαι πρός τε διδασκαλίαν ἅμα σαφῆ, καὶ πρὸς τὴν τῶν ἀρρώστων χρείαν ἱκανῶς ὠφέλιμοι διαφοραί. καὶ γὰρ οὖν καὶ τὸ τῆς διαίτης εἶδος, ἕτερον ἐφ' ἑκάστης ἐστίν, γνοίης δ' ἂν μάλιστα τὸν αὐτὸν ἄρρωστον, ἐν ἁπάσαις αὐταῖς ἐξ ὑποθέσεως ὑποβαλὼν τῷ λόγῳ. νεανίσκος δή τις ἰσχυρὸς ἑαλωκέτω νοσήματι, κατὰ τὴν πρώτην τετράδα κριθήσεσθαι μέλλοντι, τὸν ἀφορισμὸν ἐπὶ τούτου μάλιστα προχειρισάμενος ἐκεῖνον. ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι, μήτε τροφήν τινα δῷς τούτῳ, μήτε μελίκρατον, ἢ ἄλλο τι τοιοῦτον, ἀλλὰ καὶ τοῦ ὕδατος, ὅσον οἷόν τε φείδεσθαι κέλευε, τὸν αὐτὸν τοῦτον νεανίσκον ὑποθέμενος ἑβδομαῖον κριθήσεσθαι, βραχύ τι τῆς προειρημένης διαίτης ὑπάλλαξον, ἤτοι μελίκρατον διδούς, ἤ τι τοιοῦτον ἕτερον πόμα τῇ φύσει τοῦ νοσήματος οἰκεῖον, ὡς Ἱπποκράτης ἐδίδαξε. προσδιορίσεις δὲ καὶ ταῦτα, τὰ μὲν αὐτὸς ἀπό τινων σημείων, οἷον κράσεως, ἔθους, καὶ ἡλικίας ἀνευρίσκων. ἔνια δὲ καὶ τοῦ νοσοῦντος ἀναπυνθανόμενος εἰ στόμαχον ἰσχυρὸν ἔχει, μακρὰς ἀσιτίας φέρειν δυνάμενον, ἢ κακούμενον ἑτοίμως, καὶ ῥᾳδίως διαλυό-

vel tertio, vel vigesimo die iudicium subiisse, itidē vigesimo, vel quadragesimo? Iam verò, si naturalē ipsorū differentiam inuenire moliaris, quot dierū decretoriorum circuitus sunt, tot quoque morbi statuendi erunt. Itaque si alterius naturæ esse dicas (quemadmodum sanè est) non posse primum quaternarium superare, alterius, septimum non excedere: ita & vndecimi, decimiquarti, decimiseptimi, vigesimi, omniumque deinceps decretoriorum proprius cuiusque morbus existimandus est.

CAPVT XI.

De morborum & dierum iudicatoriorum differentiis, quibus victus ratio rectè instituitur.

PRæstat tamen doctrinæ gratia maioribus eos terminis comprehendere, ne plurimi fiant; verùm non ita magnis rursus, vt multum differentes inter se mutuò collocentur. Vnde nec eos laudo, qui duas vniuersas morborum species ponunt, neque vtramque deinde diuidunt; nec illos probo, qui tot esse dicunt, quot dierum decretoriorum circuitus. Quæ igitur præstantissima doctrina fuerit, maximéque artis vsui idonea? puta siquis sophistarum medicorum accuratè medicinam tractare conetur, sublimi illa sede relicta, in qua magni regis cuiuspiam instar sedens, adolescentes moratur, hunc satis noui ex ipsa re vtilitatem edoctum iri. Sicut igitur & Hippocrates in omnibus admirandus, ab ipsis euidentibus sermonem capiens, hæc aliquando scribit; *Vbi peracutus morbus est, statim etiam labores extremi adsunt, & extremè tenuißimo victu vtendum est.* Interdum ita scribit: *Acuti morbi quatuordecim diebus iudicantur.* Deinde rursus: *Hi ergo per quatuor aucti ad viginti perueniunt.* Iterum postea; Spirandi facilitas maximam vim ad salutem habere existimanda est in omnibus morbis acutis, quibus febris copulatur, quique quadraginta diebus iudicantur. Quinetiam sexagesimi, octogesimi, & centesimi vigesimi rursus meminit; atque his denuo relictis, æstatis morbos hyeme solui ait, hybernos æstate. Quin & hoc modo inquit; *Plurimi puerorum affectus diebus quadraginta iudicantur; quidam septem mensibus, aliqui septem annis, nonnulli ad pubertatem vsque perueniunt.* Hæ omnes ad doctrinam simul clariorem, & ægrorum vsum admodum vtiles sunt differentiæ; etenim sua cuiusque victus species est. Cognoueris autem maximè ægrum ipsum in his omnibus, si hypothesin sermoni adiecero. Adolescens ergo quis valido morbo correptus sit, qui in primo quaternario iudicabitur; aphorismum in hoc maximè illum imitandum puta: *Quum peracutus morbus fuerit, statim etiam extremi dolores adsunt, & extremè tenuißimo omnium victu vtendum est; neque alimentum quoduis huic adhibueris, nec melicratum, aut huic simile, imò etiam ab aqua, quantum potest, abstinere iubeto.* Hunc ipsum adolescentem, vbi septimo die crisim habiturum statueris, paululum prædictam victus rationem immuta, vel mulsam exhibens, vel aliam huiusmodi quandam potionem morbi naturæ familiarem; vt Hippocrates præcepit. Ipse autē & hæc inuenies partim à signis quibusdam, velut temperamento, consuetudine, & ætate; quædam etiam ægrum interrogabis, an valido sit ventriculo, qui longam inediam ferre possit, an citò offendatur, & facilè dissolua-

tur.

tur. Sic etiam habitum hominis considerans, quædam ipse ex iis, quæ in opere De tẽperamentis didicisti inuenies; alia ex ægro rogando; sunt enim quidam ad resolutionẽ faciles, atque ideò diuturniorẽ inediam non ferunt, licet viribus validi antea fuerint. Si iam tibi tale quippiam interrogãti, & per te ipsum coniicienti appareat, & æger facilè dissoluatur, facileq; stomachus eius offẽdatur, ptissanæ cremorem exactè percolatum quotidie modicè exhibebis, memor rursus hic eius, quod Hippocrates dixit; *Sed aliquid tum consuetudinis gratia, tum etiam ne vasorum magna fiat inanitio, ingerere conuenit*. At vbi septimus dies instet, nequaquam ægrum nutrire conuenit, sed ante vnum diem, vel antea, minus exhibendum est. Atque hæc nos adamussim senex ille in opere de victus ratione in morbis acutis perdocuit. Si quidẽ adolescenti tertio, aut quarto die morbum iudicatum iri spes sit, nullum stomachi vitium, aut habitus inanitionem suspicare. Ad hæc si prӕterquam, quòd iuuenis sit, etiam validissimas vires habeat, longam facilè inediam tolerare fateatur, & ægrè dissolui tibi appareat: insuper nullus eiusmodi morbus adsit, vt oxymeli, aut mulsam requirat: is omnino ad septimum vsq; diem à cibis abstinere potest. Quòd si ad tertium, vel quartũ quaternarium crisis futura videatur, non ita abstinere potest, nec sola potione seruari. Quapropter non parua quædam victus mutatio, nec morborum ideo exigua differentia.

CAPVT XII.

Qui peracuti, qui acuti, apud Hippocratem morbi, qui diuturni, quæ ipsorum differentiæ.

Vocetur iam peracutus morbus qui ad septimũ vsq; diem extenditur; qui lõgius procedit, simpliciter acutus. At hic quoq; differentiæ in peracuto memoria tenendæ sunt; etenim exactè peracutus is est, qui quartũ diem attingit. Non exactè, qui ad septimũ vsque producitur. Eadem ratione inter acutos alius exactè acutus, qui ad vsque decimumquartũ porrigitur; non exactè verò, qui ad vigesimũ vsque durat, quanquam & ipse acutus sit. Adhuc aliud morborũ genus, quod ex decidẽtia acutum, ad quadragesimum vsque diem peruenit; satius enim est ita vocare ipsum, quòd acuto quodam imperfectè iudicato intra diem xx. deinde vehementia eius obtusa, reliquum eius intra xl. diem solui consueuit. Nonnulli autem statim ab initio velut prohibiti, tardéque moti, & nullam interea subitam mutationem moliti, ad quadragesimum producuntur. Duplex autem horum quoque natura est; vel enim accessionum remissiones in exactam integritatem finiunt, vel continua febris semper perdurat. Atque huiusmodi morbi de acutorum natura obtinere videntur; alij verò manifestò iam sunt diuturni. Porrò Archigenes multis nominibus, & diuersis laudandus est, maximè verò si studium eius artis tractandæ medicæ cognoueris, quoniam non temporibus solis nudis, sed & motu, & natura magis, acutum vel peracutum morbum appellauerit. Nam quum segni, lentóque motu cum interuallis à febre liberis ad quadragesimum vsque extenditur, nemo sanæ mentis acutum, inquit, nominauerit; etenim si ante xl. cesset, huiusmodi existens, iam diuturnus est. Alios verò morbos breues quidem vocat, æquum autem esse dicit, nec acutos, nec diuturnos appellari;

A μένον. οὕτω δὲ καὶ τὴν ἕξιν ἐπισκοπῶν τοῦ θεραπευομένου, τὰ μὲν αὐτὸς ἐξ ὧν ἔμαθες ἐν τοῖς περὶ κράσεων ἐξευρίσκων, ἔνια δὲ καὶ τοῦ νοσοῦντος ἀναπυνθανόμενος. εἰσὶ γάρ τινες ἱκανῶς εὐδιαφόρητοι, καὶ διὰ τοῦτο μακροτέρας ἀσιτίας οὐ φέρουσιν, οὐδ' ἂν ἰσχυρὰν τὴν δύναμιν ἔμπροσθεν ὦσιν. εἰ δή σοί τι τοιοῦτον ἐρωτῶντι, καὶ αὐτῷ στοχαζομένῳ φαίνοιτο, καὶ ῥᾳδίως μὲν ὁ κάμνων διαφοροῖτο, ῥᾳδίως δ' ὁ στόμαχος αὐτοῦ πάσχοι, πτισάνης χυλὸν ἀκριβῶς διηθημένον ἑκάστης ἡμέρας ὀλίγον διδόναι, καὶ μνημονεύων πάλιν ἐνταῦθα τοῦ πρὸς Ἱπποκράτους εἰρημένου, ἐσὸν ἕνεκα τοῦ ἔθους εἰσιέναι τι, καὶ κενάγγειαν μὴ γίνεσθαι πολλήν, αὐ-

B τῆς δὲ τῆς ἑβδόμης ἐπιστάσης, μηκέτι τρέφειν, ἀλλὰ πρὸ μιᾶς, ἢ πρόσθεν ἔλαττον διδόναι. καὶ γὰρ οὖν καὶ περὶ τούτων ἀκριβῶς ἡμᾶς ἐδίδαξεν ὁ παλαιὸς, ἐν τῷ περὶ διαίτης ὀξέων. εἰ μέντοι τριταῖος, ἢ τεταρταῖος ὁ τοιοῦτος νεανίσκος ἐλπίζοιτο κριθήσεσθαι, μήτε τοῦ στομάχου τὴν κάκωσιν, μήτε τῆς ἕξεως τὴν κένωσιν ὑπόπτευε. πρὸς μέντοι τῷ νέος ὑπάρχειν ἅμα, καὶ ἰσχυρότατος εἶναι, καὶ ῥᾳδίως ἀσιτιῶν ἀνέχεσθαι μακρῶν, ἐπὶ ὁμολογήσει, καὶ δυσδιαφόρητός σοι φαίνοιτο, καὶ μηδὲν εἴη νόσημα νοσῶν τοιοῦτον, ὡς ὀξυμέλιτος, ἢ μελικράτου δεῖσθαι, τελέως ἀσιτεῖσθαι τοῦτον ἐγχωρεῖ, μέχρι τῆς ζ'. εἰ δ' εἰς τὴν γ'. ἢ δ'. τε-

C τράδα κρίσιν ἔσεσθαι προσδοκήσειεν, οὐκέτ' ἐγχωρεῖ τὸν τοιοῦτον, οὔτ' ἐπ' ἀσιτίας φυλάττειν, οὔτ' ἐπὶ μόνου πόματος· ὥστε οὐ σμικρά τις ἡ μεταβολὴ τῆς διαίτης, οὐκοῦν οὐδὲ τῶν νοσημάτων ἡ διαφορὰ σμικρά.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Τίνα κατόξεά τε, καὶ ὀξέα κατὰ τὸν Ἱπποκράτην νοσήματα, τίνα χρόνιά τε, καὶ τίνες αἱ τῶν αὐτῶν διαφοραί.

D Καλείσθω δὴ τὸ μὲν ἄχρι τῆς ἑβδόμης ἐκτεινόμενον κάτοξυ, τὸ δὲ καὶ περαιτέρω που προϊὸν, ἁπλῶς ὀξὺ, μεμνημένων ἡμῶν, καὶ τῆς ἐν τῷ κατόξει διαφορᾶς. ἀκριβῶς μὲν γὰρ κάτοξυ, τὸ μέχρι τῆς τετάρτης ἡμέρας, οὐκ ἀκριβῶς δὲ τὸ μέχρι τῆς ἑβδόμης, ἐκτεινόμενον. οὕτω δὲ καὶ τῶν ὀξέων ἀκριβῶς μὲν ὀξὺ, τὸ μέχρι τῆς τεσσαρεσκαιδεκάτης, οὐκ ἀκριβῶς δὲ τὸ μέχρι τῆς εἰκοστῆς ὀξὺ μέντοι καὶ αὐτό. γένος δ' ἄλλο νοσημάτων ἐπὶ τῷδε, τὸ ἐκ μεταπτώσεως ὀξὺ μέχρι τῆς τεσσαρακοστῆς. καλεῖν γὰρ ἄμεινον οὕτως αὐτὸ, διότι τῶν ὀξέων τινὸς ἐλλιπῶς κριθέντος, ἐντὸς τῆς εἰκοστῆς ἡμέρας, εἶτα θραυσθείσης τῆς σφοδρότητος, τὸ καταλειπόμενον, ἐντὸς τῆς τεσσαρακοστῆς εἴωθε λύεσθαι. ἔνια

E δ' εὐθὺς ἐξ ἀρχῆς, οἷον κωλυόμενα τε καὶ βραδέως κινούμενα, καὶ μηδεμίαν ὀξεῖαν ἐν τῷ μεταξὺ ποιησάμενα μεταβολήν, εἰς τὴν τεσσαρακοστὴν ἐκτείνεται. διττὴ δὲ καὶ τούτων ἡ φύσις. ἢ γὰρ εἰς ἀπυρεξίαν ἀκριβῆ τὰς παρακμὰς τῶν παροξυσμῶν ἔχει τελευτώσας, ἢ συνεχὴς ὁ πυρετὸς ἀεὶ διαμένει. τὰ μὲν δὴ τοιαῦτα, τῆς τῶν ὀξέων φύσεως ἔχεσθαι δοκεῖ, τὰ δὲ ἕτερα σαφῶς ἐστιν ἤδη χρόνια. πολλαχῆ μὲν δὴ καὶ ἄλλοθι τὸν Ἀρχιγένην δίκαιον ἐπαινεῖν, οὐχ ἥκιστα δὲ, καὶ ταύτην ἄν τις γνοίη τὴν αὐτοῦ περὶ τὰ τῆς τέχνης ἔργα σπουδὴν. ὅτι μὴ τοῖς χρόνοις μόνοις ψιλοῖς, ἀλλὰ καὶ τῇ κινήσει γε, καὶ φύσει μᾶλ-

F λον ὀξὺ, ἢ κάτοξυ προσαγορεύει νόσημα. τὸ γὰρ ἀργῶς τε, καὶ βραδέως, καὶ μετὰ διαλειμμάτων ἀπυρέτων ἕως τῆς μὲν τεσσαρακοστῆς ἐκτεινόμενον, οὐκ ἄν τις εὖ φρονῶν ἔτι καλέσειεν ὀξὺ, φησί. καὶ γὰρ εἰ θᾶττον τῆς μ'. παύοιτο, τοιοῦτον ὑπάρχον, ἤδη χρόνιόν ἐστιν, ἕτερα δὲ νοσήματα βραχυχρόνια μὲν ὀνομάζει, δίκαιον δ' εἶναί φησιν, μήτ' ὀξέα, μήτε χρόνια προσαγορεύεσθαι.

A καθάπερ τοὺς μικροὺς τούτους, καὶ ἀκινδύνους πυρετούς. οὗτοι γὰρ, ὅτι μὲν οὐκ εἰσὶ χρόνιοι πρόδηλον, ἀποκεχωρήκασι μέντοι τῆς τῶν ὀξέων φύσεως. ὀξὺ γὰρ δὴ τοῦτ' εἶναί φησιν ὃ ἦν διὰ ταχέων κινδυνῶδες. ὁρᾷς οὖν, ὅτι καὶ λύσεως ἐνίοτε τὴν αὐτὴν ἐχούσης προθεσμίαν, ἢ ὀξὺ τὸ νόσημα καλέσομεν, ἢ οὐκ ὀξύ. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐνίοτε τὸ μὲν ὀξύ, τὸ δὲ χρόνιον, αὐτῇ τῇ κινήσει μόνῃ διορίζοντες. οἶδα γοῦν πολλούς, ἕως τῆς τεσσαρακοστῆς ἡμέρας ἐν συνεχεῖ πυρετῷ γινομένους, οὕτω δὲ καλῶ δηλονότι τὸν μὴ παυόμενον εἰς ἀπυρεξίαν, ὥσθ' ὅτι μὲν οὐκ ἦν χρόνιος ἡ τοιαύτη νόσος, ἔχειν εἰπεῖν, οὐ μὴν οὐδ' ἁπλῶς γ' ὀξεῖαν αὐτὴν ὀνομάζειν εὔλογον. ἀλλὰ γὰρ ἐπεὶ τὰ ἐκ μεταπτώσεως

B ὀξέα, τῆς ἀκριβοῦς λύσεως ὅρον ἔχει τὸν ἐξώτατον, τὴν τεσσαρακοστὴν ἡμέραν, ἔνια δὲ διὰ παντὸς ἐν συνεχείᾳ πυρετοῦ μέχρι ταύτης ἐξετάθη· κείσθω καὶ οὗτος ὁ χρόνος, ἐνίοτε μὲν ἤδη χρονίων σαφῶς νοσημάτων τῶν ἐχόντων διάλειμμα, ὡς ἔμπροσθεν εἶπον, ἐνίοτε δ' ὀξέων εἶναι κριτικός. οὕτως οὖν ὁ Ἱπποκράτης ἔλεγεν ἐν τῷ προγνωστικῷ. εὔπνοιαι δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην, ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν ὁκόσα σὺν πυρετοῖς ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται· οὐ γὰρ ἁπλῶς ὀξέων εἶπε, καίτοι δυνάμενος εἰπεῖν, ἀλλὰ μετὰ προσθήκης, τῶν ἐν τεσσαράκοντα ἡμέρῃσι

C κρίνεται, ὡς ὄντων τινῶν ὀξέων, ἃ τῆς παντελοῦς λύσεως ἕνεκα εἰς αὐτὴν ἐκτείνεται τὴν ἡμέραν. τὰ μὲν οὖν ἁπλῶς ὀξέα, τῆς τεσσαρεσκαιδεκάτης οὐκ ἂν ἐξωτέρω προβαίη μὴ κριθέντα. τὰ δὲ εἰς μ΄. ἐκπίπτοντα, ποτὲ μὲν αὐτὰ τοιαῦτά ἐστι, τὰ ἐντὸς τῆς τεσσαρεσκαιδεκάτης ἐλλιπῶς κριθέντα, ποτὲ δὲ ὧν ὀλίγον ἔμπροσθεν ἐμνημόνευσα μὴ πάνυ τι πολλάκις γινόμενα. καὶ μὲν δὴ καὶ τρίτα, τὰ σαφῶς ἤδη βραδέα, τὰ τοῖς ὀξέσιν ἀντιδιαιρούμενα, τὴν τεσσαρακοστὴν ἡμέραν ἔχει κρίσιμον. ἀλλὰ περὶ μὲν τούτων, ὀλίγον ὕστερον ἐροῦμεν. ὅλον δὲ τὸ προειρημένον γένος, τῶν ἐκ μεταπτώσεως ὀξέων ὀνομαζέσθω. δέ-

D δεικται μὲν οὖν ἡμῖν, καὶ δι' ἑτέρων, καὶ μάλιστα ἐν τῷ τρίτῳ τῶν περὶ δυσπνοίας, ὡς ἐν τῷ προγνωστικῷ γράμματι περί τε τῶν ἁπλῶς ὀξέων διαλέγεται, καὶ προσέτι τῶν ἐκ μεταπτώσεως ἐκείνων ἀποτελουμένων. ὅταν οὖν ἐπὶ τῇ τελευτῇ μὲν τοῦ βιβλίου καθόλου ποιούμενος τὴν ἀπόφασιν εἴπῃ· ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τουτέων γίνεται· κατὰ μέρος δὲ περὶ μὲν ὑδρώπων ὧδέ πως· οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νοσημάτων γινόμενοι, πάντες κακοί· κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ ὅταν περὶ τῶν ἐμπύων τε, καὶ φθι-

E σικῶν ὀνομαζομένων, καὶ τῶν ἐξ ἀποστήματος εἰς χρόνον ἐμπιπτόντων μακρότερος ὁ λόγος αὐτῷ γίνηται, σαφῶς δηλοῖ, ὡς οὐκ ἐπελάθετο μὲν τοῦ προκειμένου. τὰ δὲ ἐκ τῶν ὀξέων νοσημάτων γινόμενα, κἂν ᾖ χρόνια διέρχεται, οὕτως οὖν κἀκεῖνα εἴρηται. αἱ δ' ἄλλαι ἐκπυήσιες, αἱ πλεῖσται ῥήγνυνται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριακοσταῖαι, αἱ δὲ τεσσαρακοσταῖαι, αἱ δὲ πρὸς ἑξήκοντα ἡμέρας ἀφικνέονται. καὶ μὲν δὴ κἂν τῷ καταλόγῳ τῶν κρισίμων ἡμερῶν, τῶν κατὰ τὸ προγνωστικόν, ἕως τῆς ἑξηκοστῆς ἡμέρας προέβη δεόντως· ἐπεὶ γὰρ οὐ περὶ τῶν ὀξέων μόνον, ἀλλὰ καὶ τῶν ἐκ τούτων γινομένων ὁ λόγος ἦν αὐτῷ, προσηκόντως, οἶμαι,

F κἂν ταῖς κρισίμοις αὐταῖς, κἂν τῇ περὶ ῥήξεως τῶν ἀποστημάτων διδασκαλίᾳ, τῆς ἑξηκοστῆς ἡμέρας ἐμνημόνευσε. ταύτην οὖν τὴν διδασκαλίαν οἱ μὴ νοήσαντες, εἰκῇ καὶ μάτην ἐν τούτοις πλέκουσι ζητήματα, μάχεσθαι νομίζοντες τῷ δὲ τῷ λόγῳ, τὸν κατὰ τοὺς ἀφορισμοὺς εἰρημένον, τῷ φάσκοντι, τὰ ὀξέα τῶν νοσημάτων ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι κρίνεται,

A quemadmodum paruas has & à periculo remotas febres, quas non diuturnas esse nemo ignoret, etsi ab acutorum natura recesserint; nam acutum eum esse ait, qui cum velocitate periculosus est. Vides igitur nos, quum solutio interdum eandem temporis præfinitionem habet, vel acutum morbum; vel non acutum, nuncupare; eodem modo quandoque alium acutum, alium diuturnum, ipso motu solo distinguentes. Noui igitur complures ad quadragesimum vsque diem continua febre conflictatos esse; ita voco eam, quæ nunquam ad integritatem desinit, ita vt huiusmodi morbum non fuisse diuturnum dicere possimus; non

B tamen simpliciter acutum nominare ratio est. Sed enim quoniam ex decidentia acuti, exactæ solutionis terminum habent longissimum, diem quadragesimum; nonnulli verò continua semper febre ad hunc vsque extensi sunt; ponatur & hoc tempus, aliquando iam diuturnorum manifestò affectuum, eorum, inquam, qui interuallum habent, sicut antea diximus; aliquando acutorum esse decretorium. Itaque Hippocrates in prognostico his verbis vtitur; *Facilis autem spiratio in omnibus acutis morbis, quibus febris copulatur, quique intra quadraginta dies iudicari solent, admodum*

C *magnum ad salutem momentum habere putanda est*; non enim simpliciter, acutis, dixit, quamuis dicere potuisset, sed cum additione hac, nempe, *qui intra quadraginta dies iudicari solent*, tanquam acuti quidam sint, qui perfectæ solutionis gratia ad eum diem prolongentur. Acuti ergo simpliciter, non vtique vltra decimumquartum diem progrediantur non iudicati. Qui verò in quadragesimum excidunt, interdum hi ipsi sunt, qui intra decimumquartum diem imperfectè prius iudicati fuerant; interdum, quorum paulo ante memini, non frequenter adeò euenientes; quinetiam tertium genus illorum est, qui manifestò iam tardi,

D acutis oppositi, quadragesimũ diem habent decretorium; sed de his paulo post dicturi sumus: Cæterùm vniuersum prædictũ genus, acutum nominetur ex decidentia. Ostensum nobis est tum alibi, tum in tertio de spirandi difficultate potissimum, quòd in prognostico & de simpliciter acutis disserit, & ad hæc de iis, qui ex illorum decidentia fiunt. Quum igitur in vniuersum quidem ad calcem libri pronunciet; *Hæc autem dico de acutis morbis, & qui inde proueniunt*; singillatim de hydrope hunc sermonem proferens; *Hydrops si ex acuto*

E *morbo cæpit, omnis malus est*; pari modo, quum de purulentis tabidisque vocatis affectibus, item de iis qui ex abscessu in longum tempus porriguntur, verba faciat, clarè innuit propositi se non oblitum esse, morbos qui ex acutis diuturni fiunt commemorans. Sic ergo & illa dicta sunt, *Reliquæ autem vomicæ magna ex parte rumpuntur; sed aliæ in die vigesimo, aliæ trigesimo, aliæ quadragesimo, nonnullæ ad sexagesimum vsque perueniunt.* Quinetiam in dierum decretoriorum enumeratione, qui in prognostico recensentur, ad sexagesimum vsque diem non abs re processit. Quoniam enim non de acutis solum, verum etiam de iis, qui inde progre-

F diuntur, sermonem instituit, nec ineptè (puto) tum in ipsis decretoriis, tum in doctrina de abscessuum ruptione, sexagesimi diei meminit. Qui ergo hanc doctrinam non intellexerunt, ij nequicquam ac frustra quæstiones in his texunt, dissentire putantes cum iis, quæ in aphorismis tradiderit, morbos inquiens acutos quatuordecim diebus iudicari; quasi

quasi ipse Hippocrates non accuratè sermone indicasset naturam acutorum ex decidentia, aliam esse à natura absolutè acutorum. Longè enim secus est, quàm illi putant; quoniam si non acutorum duplicem naturam cognouisset, aliam absolutè acutorum, aliam ex decidentia, non sanè distinxisset appositione suam sententiam, verùm simpliciter dixisset; *Facilis spiratio in acutis morbis valdè magnum ad salutem momentuus habere putanda est.* Nunc autem, quum huiusmodi dictionem simpliciter acutos indicaturam sciret, non tamen ita; verùm quum his etiam alia complecti vellet, non sine ratione apposuit, primùm quibus febris copulatur, non adscribens, continua, quod absolutè acutorum erat proprium; deinde, qui intra quadraginta dies iudicantur, perindè, ac si alij quidam acuti sint, qui diebus quadraginta non iudicentur. Quare vndequaque morbi naturam, quo de in prognostico tota disputatio est, clarè distinxit Hippocrates, & demonstrauit. At interpretes luculenter dicta, obscura reddere moliuntur. Quòd ergo nominis appositione quæstionem, quam contexunt, soluere conentur, condonandum est; at hoc faciunt, qui ita scribunt; *Facilis spiratio in omnibus acutis morbis, quibus febris copulatur, quique intra quadraginta dies iudicantur, magnam sanè vim ad salutem obtinere censenda est.* Nonnulli etiam non adscribunt, *quique*, inaudiendum esse dicentes; vt sermo eius duplex fiat, alter de acutis morbis, quos in aphorismis exposuit; alter de aliis, qui febrem iunctam habent, & quadraginta diebus iudicantur. Quòd verò nec in aphorismis decimumquartum diem decretorium, sed illic quatuordecim omnes decretorios dies Hippocratem pronunciasse arbitrentur (esse enim tot, si quis à tertio, qui primus omnium decernere natus est, ad quadragesimũ vsque numerauerit) non paruam reprehensionem merentur. Neque enim vt medici hoc dicunt, nec vt qui numerare sciant, aut legere. Nam si medici essent, primùm sanè nullum exactè acutum morbum ad quadragesimum diem, non prius iudicatum, peruenire scirent; deinde ne quatuordecim quidem numero esse ad quadragesimum decretorios. In hoc autem ne vel numerare ipsos nouisse quis iure dixerit; plures namque sunt, ac quatuordecim, iis sanè, qui veritatem ipsam, rerumque euidentiam inspiciunt; item id, quod Hippocrates in primo epidemiōn scriptum reliquit. Superius verba ipsius apposui, quibus decretorios dies vniuersos edocet; vbi si quis numerare didicit, plures indubiè ad quadragesimum diem euenientes, quàm quatuordecim, inueniet. Si quis autem solos eos, qui per quaternarium computantur, numeret (forsan enim errare deprehensi, ad hoc rursus deuenient) pauciores sanè hi sunt, ac quatuordecim. Quòd autem ne legere quidē nouerint, qui huiusmodi effutiunt, sic maximè disces. Si igitur in prognostico quadragesimum diem decretorium esse acutorum dixisset, deinde in aphorismis quatuordecim diebus summatim eos iudicari, nunc nimirum tale quippiam ee illicò siderare licebat; at quum in opere prognostico quadraginta diebus iudicari eos dicat, & in aphorismis quatuordecim, maximè ridiculum est sententiam eius alibi aliter inaudire. Meliores his sunt, qui non sermones demonstrare conantur, concedentes alterius quidem hominis aphorismos esse, alterius prognosticon; sed hi ob animi magnitudinem sunt nobis miraculo.

ὥσπερ οὐκ αὐτοῦ τοῦ Ἱπποκράτους ἀκριβῶς ἐνδεδειγμένου τῷ λόγῳ, τῶν ἐκ μεταπτώσεως ὀξέων τὴν φύσιν ἑτέραν τῆς τῶν ἁπλῶς ὀξέων. αὐτοὶ γὰρ δὴ τοῦτ' ἐναντίοι εἰσίν, ἢ οὐχ ὡς οἴονται νομίζουσιν. εἰ μὴ γὰρ διττὴν ἠπίστατο τῶν ὀξέων τὴν φύσιν, ἑτέραν μὲν τῶν ἁπλῶς ὀξέων, ἑτέραν δὲ τῶν ἐκ μεταπτώσεως, οὐκ ἂν διωρίσατο τῇ προσθήκῃ τὴν ἀπόφασιν. ἀλλ' ἁπλῶς εἶπεν ἄν, εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν, ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασι. νυνὶ δὲ ἐπεὶ τὴν τοιαύτην λέξιν ἠπίστατο τῶν ἁπλῶς ὀξέων ἐσομένην ἐνδεικτικήν, οὐ μὴν ἐβούλετό γ' οὕτως, ἀλλὰ σὺν αὐτοῖς καὶ τἆλλα περιλαβεῖν, εὐλόγως προσέθηκε, πρῶτον μὲν τὸ ὁπόσα σὺν πυρετοῖς εἰσί, μηκέτι προσγράψας τοῖσι συνεχέσιν, ὅπερ ἴδιον ἦν τῶν ἁπλῶς ὀξέων. ἔπειτα δέ, καὶ τὸ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, ὡς ἂν ἄλλων τινῶν ὄντων ὀξέων, ἃ οὐκ ἐν μ΄. ἡμέρῃσι κρίνεται. πανταχόθεν οὖν αὐτὸς διώρισταί τε, καὶ δέδεικται σαφῶς ἡ φύσις τῶν νοσημάτων, περὶ ὧν ὁ σύμπας ἐστὶ κατὰ τὸ προγνωστικὸν λόγος. οἱ δ' ἐξηγηταὶ τὰ σαφῶς εἰρημένα, ζητοῦσιν ἀσαφῆ ποιῆσαι. τὸ μὲν οὖν, ὀνόματος προσθήκῃ λύειν ἐπιχειρεῖν ὃ πλέκουσι ζήτημα συγγνωστόν, ἀλλὰ τοῦτο μὲν ποιήσουσιν οἱ οὕτω γράφοντες. εὔπνοιαν δὲ χρὴ νομίζειν, κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν, ἐν πᾶσι τοῖσιν ὀξέσι νοσήμασιν, ὁκόσα σὺν πυρετοῖς ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. τινὲς δὲ καὶ μὴ προσγράφοντες ἐν τῇ ῥήσει τό, καὶ ὁκόσα, συνυπακούειν δεῖ, φασίν, ἵν' ὁ λόγος αὐτῷ γένηται διπλοῦς, ὁ μὲν ἕτερος περὶ τῶν ὀξέων νοσημάτων περὶ ὧν ἀπεφήνατο κατὰ τοὺς ἀφορισμούς, ὁ δ' ἕτερος περὶ τῶν ἄλλων, ὅσα σὺν πυρετοῖς ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. τὸ δὲ μηδὲ ἐν τοῖς ἀφορισμοῖς οἴεσθαι τὴν ιδ΄. ἡμέραν κρίσιμον, ἀλλὰ κἀκεῖ δεκατέσσαρας τὰς πάσας ὑπολαμβάνειν, ἀποφαίνεσθαι τὸν Ἱπποκράτην κρισίμους ἡμέρας ὑπάρχειν. εἶναι γὰρ τοσαύτας, εἴ τις ἀπὸ τῆς τρίτης, ἣ πρώτη πασῶν κρίνειν πέφυκεν, ἀριθμήσειεν, ἄχρι τῆς μ΄. οὐ μικρᾶς καταγνώσεως ἄξιον. οὔτε γάρ, ὡς ἰατροὶ τοῦτο λέγουσιν, οὔθ' ὡς ἀριθμεῖν γινώσκοντες, οὔθ' ὡς ἀναγινώσκειν εἰδότες. ἰατροὶ γὰρ ὄντες, ἠπίσταντό τε ἄν, πρῶτον μέν, ὡς οὐδὲν τῶν ἀκριβῶς ὀξέων εἰς τὴν μ΄. ἡμέραν ἀφικνεῖται μὴ προκριθέν. ἔπειτα δέ, καὶ ὡς οὐδὲ τεσσαρεσκαίδεκα τὸν ἀριθμόν εἰσιν, αἱ μέχρι τῆς μ΄. κρίσιμοι. κατὰ τοῦτο δέ, οὐδὲ ἀριθμεῖν ἄν τις αὐτοὺς ἐπίστασθαι φαίη. πλείους γάρ εἰσι τῶν δεκατεσσάρων, τό τε ἀληθὲς αὐτό, καὶ τὸ φαινόμενον ἐπὶ τῶν ἐναργῶν σκοπουμένοις, καὶ μέντοι καὶ τὸ πρὸς Ἱπποκράτους, ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰρημένον. ἔμπροσθεν δὲ παρέγραψα τὴν λέξιν ἐκείνην, ἐν ᾗ διδάσκει τὰς κρισίμους ἡμέρας ἁπάσας, εἴ τις ἀριθμεῖν ἐπίσταται, πλείους εὑρήσει τῶν ιδ΄. μέχρι τῆς μ΄. γινομένας. εἰ δὲ τὰς κατὰ τετράδα μόνας ἀριθμεῖ τις, ἴσως γὰρ ἐπὶ τοῦτο ἐξελεγχόμενοι πάλιν μεταβήσονται, ἐλάττους εἰσίν. αἱ δὲ τῶν ιδ΄. ὅτι δ' οὐδ' ἀναγινώσκειν ἴσασιν οἱ τὰ τοιαῦτα λέγοντες, ὧδ' ἂν μάλιστα γνοίης. εἰ μὲν οὖν ἐν τῷ προγνωστικῷ, τὴν μ΄. ἡμέραν κρίσιμον εἶπεν εἶναι τῶν ὀξέων, ἔπειτα ἐν τοῖς ἀφορισμοῖς, ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι τὸ κεφάλαιον ἔλεγεν αὐτὰ κρίνεσθαι, τότε γ' ἐνεχώρει τι τοιοῦτον [illegible] ἐπινοεῖν. ἐπεὶ δὲ κἂν τῷ προγνωστικῷ ἐν τεσσαράκοντα ἡμέρῃσιν ἔφησεν αὐτὰ κρίνεσθαι, κἂν τοῖς ἀφορισμοῖς ἐν τεσσαρεσκαίδεκα, γελοιότατόν ἐστι τῆς αὐτῆς λέξεως, ἄλλοτ' ἄλλως ἀκούειν. ἀμείνους δὲ τούτων οἱ μὴ ζητοῦντες τοὺς λόγους ἀποδεῖξαι, ὁμολογοῦντες ἄλλου μὲν εἶναι τοὺς ἀφορισμοὺς ἀνδρός, ἄλλου δὲ τὸ προγνωστικόν, ἀλλ' οὗτοι θαυμαστοὶ τῆς μεγαλοψυχίας.

ὅτι δὲ τὸ χρήσιμον εἰς τὴν τοιαύτην διδασκαλίαν ὁ Ἱπποκράτης ἐπισκοπούμενος, ἀεὶ τὰ μὲν ἁπλῶς ὀξέα τὴν ιδʹ. ἡμέραν, ὅρον ὀρθῶς ἔφησεν ἔχειν· τῶν δ' ἐκ μεταπτώσεως ὀξέων, τὰ μὲν τὴν μʹ. τὰ δὲ τὴν ξʹ. αὐτάρκως ἐπιδέδεικται.

Quòd iam vtilitatẽ huius doctrinæ semper inspiciens Hippocrates, simpliciter quidẽ acutos quatuordecim dierum terminum habere rectè dixit; ex decidentia verò acutos, nunc quadragesimum, nũc sexagesimũ diem assequi, abundè ostẽdimus.

ΚΕΦΑΛΑΙΟΝ ΙΓʹ.

Ὅπως τὰ ὀξέα νοσήματα, ποτὲ μὲν ἐν τεσσαρεσκαίδεκα, ποτὲ δὲ ἐν εἴκοσιν ἡμέραις κρίνεσθαι λέγονται.

Χρὴ δὲ εἰδέναι καθόλου περὶ τῶν τοιούτων ἁπάντων, ὡς ὅσα ποσοῦ τινος εἰς μόρια διαιρουμένου γίγνεται, ἔχει τὴν σωρειτικὴν ἀπορίαν ἑπομένην. δεῖ τοιγαροῦν οὕτω τέμνειν ἐπιχειρεῖν, ὡς μήτε τὰ πολὺ διαφέροντα μόρια συνάπτειν ἀλλήλοις, ὅταν εἰς ὀλίγα τεμνομένου τοῦ παντὸς ποσοῦ γίγνηται, μήθ' οὕτω πολλὰ ποιεῖν, ὡς τὸ τῆς διδασκαλίας χρηστὸν παρεκπίπτειν. ὡς οὖν ἐνδέχεται τὰ κάλλιστα διελεῖν, οὕτω μοι φαίνεται τέμνεσθαι τὰ πρὸς Ἱπποκράτους. πρῶτον μὲν γὰρ τὰ κατόξεα, μέχρι τῆς ἑβδόμης ἐνδείκνυται προϊέναι, δι' ὧν, ὡς ἔφην, ἐν ἀφορισμοῖς εἶπεν ἐσχάτως χρῆναι λεπτῶς διαιτᾶν αὐτά. εἶτα μετὰ ταῦτα, ἐν τῷ περὶ διαίτης ὀξέων, ἄχρι τῆς ἑβδόμης τινὰς ἐν ἀσιτίᾳ φυλάττειν παντελεῖ. ἔπειτα δὲ καὶ τὴν ιδʹ. τῶν ἁπλῶς ὀξέων τέλος ἔθετο, κἄπειτα μέχρι τῆς κʹ. προὔβη. αὖθις δὲ καθ' ἑκάτερον εἶδος νόσου, ἄχρι τῆς μʹ. καὶ αὖθις τε καθ' ἑκάτερον, ἕως τῆς ξʹ. εἶτ' αὖθις ὅρον ἔσχατον τῶν κρινουσῶν ἡμερῶν, τὴν ρʹ. τε καὶ εἰκοστὴν ἐποιήσατο, τεττάρων δηλονότι μηνῶν ὑπάρχοντα χρόνον. ἑξῆς δὲ τὰ μὲν ἐν μηνῶν ἀριθμῷ κριτικῶν, τὰ δὲ ἐν ἐτῶν λύεσθαι λέγει. τὸ μὲν οὖν εἰς τὴν διδασκαλίαν χρήσιμον, τοῦτ' ἔστι. παρεμπίπτει δέ τινα λογικὰ ζητήματα παραμυθίας ἐπιζητοῦντα, καθάπερ, οἶμαι, καὶ τόδε, τῶν ὀξέων ὁμολογουμένων εἶναι νοσημάτων, ἔνια τὴν ιδʹ. ἡμέραν ὑπερβαίνοντα φαίνεται, καὶ διὰ τοῦτο, καὶ Διοκλῆς, οὐ τὴν ιδʹ. ἀλλὰ τὴν εἰκοστὴν πρώτην, ὅρον αὐτῶν ἐτίθετο. κατὰ τοῦτο μὲν ἁμαρτάνων, ὅτι μὴ τὴν κʹ. μᾶλλον, ἀλλὰ τὴν καʹ. ὅρον αὐτῶν ἔτι ἐτίθετο, οὐ μὴν ἐκτός γε πάντως σφαλλόμενος, ἐν τῷ ιδʹ. ὑπερβαίνειν. ἴσμεν γάρ τινας τῶν ὀξέως διανοσησάντων, ἑπτακαιδεκαταίους τε, καὶ εἰκοσταίους κριθέντας, ὥσπερ ἀμέλει, καὶ παρ' αὐτῷ τῷ Ἱπποκράτει, ἐν αὐτοῖς τοῖς ἐπιδημίοις ἐστὶν εὑρεῖν. πῶς οὖν, εἴπερ τοῦτο οὕτως ἔχει, καὶ φαίνεταί τινα τῶν ὀξέων νοσημάτων ὑπερβαίνοντα τὴν ιδʹ. ὅρον αὐτῶν, ταύτην τὴν ἡμέραν ἐν ἀφορισμοῖς ἐποιήσατο. πρόχειρον μὲν ἦν φάναι σπάνιον μὲν εἶναι τοῦτο, πλειστάκις δὲ θάτερον ἀποβαίνειν εἴωθεν. ἔστι δ' ὅτε τοῦ Ἱπποκράτην μόνον ἀποφαίνεσθαι τὸ πλειστάκις ὀφθέν, ἐν οὐδενὶ λόγῳ τὸ σπάνιον τιθέμενον. ἀλλὰ καὶ βαθυτέρας τινὸς ἔχεται γνώμης ἡ ἀπόφασις, εἴ τις αὐτὴν ἐξετάζῃ προσηκόντως. ὅσα γὰρ εἰς τὴν ιζʹ. ἡμέραν, ἢ τὴν εἰκοστὴν ἐξέπεσεν ἀκριβῶς ὀξέα νοσήματα, πάντως ἤρξαντο ταῦτα, καθάπερ ὑποβρύχια βραδέως τε, καὶ οἷον μεμολυσμένως κινεῖσθαι. κἄπειτα τὰ μὲν ἐν τῇ πρώτῃ τετράδι, τὰ δὲ ἐν τῇ δευτέρᾳ τὴν τῶν ἀκριβῶς ὀξέων ἀπολαμβάνοντα κίνησιν, εἰς τὴν ιζʹ. τε καὶ κʹ. ἐξέπεσεν, ἐντὸς τῆς ιδʹ. καὶ ταῦτα τῆς ἑαυτῶν κριθέντα. τὰ γὰρ ἐν τῇ τετράδι τῶν ἡμερῶν ἀρξάμενα τῆς ὀξύτητος, ἔπειτα ἑπτακαιδεκαταῖα κριθέντα, δῆλον, ὡς οὐχ ὑπερέβη τὴν ἑαυτῶν τεσσαρεσκαιδεκάτην· οἶδε δὲ τοῦτο καὶ αὐτὸς μὲν ὁ Διοκλῆς, καὶ οἱ ἄλλοι σχεδὸν ἅπαντες οἱ παλαιοί. Φρενιτικοὺς γοῦν, εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας, οὐ πάνυ τι γίνεσθαί φησιν. εἰ τοίνυν τις ἀρξάμενος φρενιτίζειν, ἤτοι πεμπταῖος, ἢ ἑβδομαῖος ἢ ἑπτακαιδεκαταῖος, ἢ εἰκοσταῖος κριθείη,

CAPVT XIII.

Quo pacto acuti morbi, nunc in quatuordecim, nunc in viginti diebus, dicantur iudicari.

Sciendum autem est communiter de omnibus eiusmodi, quòd quæ ex quantitatis cuiusdam in particulas diuisione fiunt, soreticam dubitationem comitem habent. Itaque sic diuidendum est, vt nec particulæ multũ alioqui differentes, sibi mutuò coniungantur, quod dum quæuis in pauca secatur quantitas, accidit; nec adeò multas feceris, vt doctrinæ vtilitas excidat. Quamobrem siquid optimè diuidi possit, Hippocrates præter cæteros hoc mihi fecisse videtur. Primum, peracutos ad septimũ vsque diem peruenire demonstrat, in quibus (vti dixi) in aphorismis tenui admodum victu tractandos esse præcipit; deinde in cõmentario de victus ratione in morbis acutis, quosdam in absoluta inedia seruandos esse vsque ad diem septimũ; postea verò xiv. absolutè acutis terminum statuit; post hæc ad xx. procedit; rursus alterius speciei morbum ad XL. alterius itidem ad LX. postremò decretoriorum dierum supremum finem centesimum, & vigesimum diem constituit, quatuor videlicet mensium tempus; deinceps alios mensium decretoriorum numero, alios annorum, solui scribit. Atque hæc doctrinæ vtilitas est. Coincidunt autem nonnullæ quæstiones logicæ, quæ castigationem requirunt, sicut & hæc (opinor) quòd morborum, qui apud omnes acuti habentur, nonnulli xiv. diem excedere videantur; ideoque Diocles etiam non xiv. sed vigesimumprimum, terminum eorum posuit. Atque hic quidem errauit xxj. magis, quàm xx. terminum ipsis præstituens; quanquam non omninò falsus sit, quartumdecimum excedendo, nam quosdam, qui acuto morbo laborant, xvij. & xx. iudicatos esse cognouimus, vti apud Hippocratem quoque in ipsis epidemiis inuenire licet. Quomodo igitur, si hoc ita habet, & quidam acuti morbi decimumquartum diem excedere videntur, terminum ipsis hunc diem in aphorismis constituit? promptum quidem erat dicere; hoc raro, illud sæpissimè accidere consueuit. Quinetiam Hippocrates aliquando solùm id quod creberrimè oculis vsurpatum est, pronunciat, id quod raro euenit, nullo in libro scribit. At profundiorem quandam habet sententiam pronunciatum, si quis ipsum cõmodè disquisierit. Qui namque ad xvij. diem, aut xx. prorsus acuti morbi exciderunt, hi planè inceperunt tanquam submersi, lento motu grauique moueri; deinde alij in primo quaternario alij in secundo, exactè acutorum motum recipientes, ad xvij. & xx. exciderunt; quanquam & hi intra xiv. suum iudicati sint, nam in dierum primo quaternario vehementiam incipientes, deinde decimoseptimo iudicati, decimumquartum suum diem non excesserunt. Nouit hoc quoque Diocles ipse, & alij propè omnes veteres. Phreniticos sanè à primo die statim non adeò fieri ait. Igitur siquis phrenitide quinto die laborare cœperit, & xvij. iudicatus fuerit; vel inceperit septimo die, & iudicatus fuerit vigesimo, nulli

nulli dubium hunc intra xiv. suum diem iudicatũ fuisse. In hoc iam maximè etiam xx. diem ambiguitatem adferre puto, quippe qui potentiæ ancipitem naturã habeat, tum quòd sæpe post primos dies morbos acutos factos iudicet; interim de prius iudicatis iterum decernat, nullus enim à primo die acutus in hũc illabitur, qui non priùs iudicatus sit. Sin autem in priore quodã die imperfectè iudicatus, ipse quum prorsus liberauerit, non impedit, quo minus acutorum morborum xiv. dies terminus exiſtat. Qui verò ab initio submersi, lentique appareant, & inde ad xl. tales perdurantes, rursus intendantur, hos iure diuturnos appellaueris. Quemadmodum acutos quidem manifestò, sed qui ante xx. non securè iudicati sunt, deinde remiserint; post hæc reuersi, mox rursus acuti facti fuerint; nouissimè xl. die iudicati; dubitaueris, absolutè ne, an ex decidentia, acuti nominandi veniant; imò magis, an diuturni. Quippe in ambiguis & obscuris certum iudicium quærere non oportet; nam pro rerum natura sententiam semper pronunciare conuenit; vbi verò rerum natura simplex prorsus est, ibi & manifestò, & simpliciter pronunciandum est; quoniam & Hippocrates in ipsis aphorismis, quum xiv. diem acutis morbis finem statuisset, statim etiam decimiseptimi his verbis meminit; *Contemplabilis rursus decimusseptimus est, hic enim quartus à decimoquarto, septimus ab vndecimo est, significat namque hic vigesimum, tanquam secundum quendam acutorum terminum.* Quoniam verò hic liber magnam satis prolixitatem modò habet, finire ipsum iam cogito. Quod de dierum decretoriorum speculatione reliquum est, id vniuersum in tertio exequar.

A προὐδήλου, ὡς ἐντὸς τῆς ἑαυτοῦ ιδ'. ἐκρίθη. μετὰ τοῦτο δή, καὶ μάλιστα νομίζω τὴν κ'. ἡμέραν εἰς ἀμφιβολίαν ἐμπεσεῖν, ἐπαμφοτερίζουσαν τῇ δυνάμει. τὰ πολλάκις μὲν τὰ μετὰ τὰς πρώτας ἡμέρας, ὀξέα νοσήματα γινόμενα κρίνειν, ἐνίοτε δὲ ἐπικρίνειν τὰ προκριθέντα. τῶν γὰρ ἀπὸ τῆς πρώτης ἡμέρας ὀξέων, οὐδὲν εἰς ταύτην ἐμπίπτει μὴ προκριθέν. εἰ δ' ἔν τινι τῶν ἔμπροσθεν ἡμερῶν ἐλλιπῶς κεκριμένον, αὕτη τελείως ἀπαλλάξειεν, οὐκ ἀφαιρεῖ τὸ τῶν ὀξέων νοσημάτων τὴν ιδ'. εἶναι ὅρον. ὅσα δὲ κατὰ τὴν ἀρχὴν ὑποβρύχιά τε, καὶ μαλακώτερα φαίνεται, καὶ μετὰ ταύτην, ἕως τῆς μ'. τοιαῦτα μείναντα, πάλιν ἐπιταθῇ, ταῦτα
B χρόνια δικαίως ἄν τις ὀνομάσειεν. ὥσπερ γε τῶν ὀξέων μὲν σαφῶς παθῶν, ἀλλ' ἔν τινι τῶν πρὸ τῆς κ'. κριθέντων, οὐκ ἀσφαλῶς, εἶτα διαλιπόντων. κἄπειθ' ὑποστρεψάντων, εἶτ' αὖθις ὀξέων γινομένων, κἄπειτ' ἐν τῇ μ'. κριθέντων, διαπορήσειεν ἄν τις, εἴθ' ἁπλῶς ὀξέα καλεῖν αὐτὰ προσήκει, εἴτ' ἐκ μεταπτώσεως ὀξέα, πολὺ δὲ μᾶλλον εἰ χρόνια. ἐν μὲν δὴ τοῖς ἀμφιβόλοις τε, καὶ ἀσαφέσιν, οὐ χρὴ ζητεῖν ἀπόφασιν ἀσφαλῆ. κατὰ γὰρ τὴν τῶν πραγμάτων φύσιν, ἀεὶ χρὴ γίνεσθαι τὰς ἀποφάσεις ἀσφαλεῖς. ἐν οἷς δὲ ἐστὶν ἡ τῶν πραγμάτων φύσις ἀκριβῶς ἁπλῆ, σαφῆ καὶ ἁπλῆν ἐνταῦθα χρὴ ποιεῖσθαι τὴν
C ἀπόφασιν. ἐπεί τοι καὶ κατ' αὐτοὺς τοὺς ἀφορισμοὺς ὁ Ἱπποκράτης, ἡνίκα τὴν ιδ'. ἡμέραν ὅρον ἔθετο τῶν ὀξέων νοσημάτων, εὐθὺς καὶ τῆς ιζ'. ἐμνημόνευσε, γράφων ὧδε. θεωρητὴ πάλιν ἡ ιζ'. αὕτη γάρ ἐστι, δ'. μὲν ἀπὸ τῆς ιδ' ζ'. δὲ ἀπὸ τῆς ια'. ἐμφαίνει γὰρ κἀνταῦθα περὶ τῆς κ'. ὡς ἂν δευτέρου τινὸς ὅρου τῶν ὀξέων. ἀλλ' ἐπεὶ καὶ τοῦτο τὸ βιβλίον αὔταρκες ἤδη μῆκος ἔχει, καταπαύσω τῇδε τὸν ἐνεστῶτα λόγον. ὅσον δ' ὑπόλοιπόν ἐστι τῆς περὶ κρισίμων ἡμερῶν θεωρίας, ἐν τῷ μετὰ τοῦτο σύμπαν εἰρήσεται.

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΚΡΙΣΙΜΩΝ ΗΜΕΡΩΝ ΒΙΒΛΙΟΝ Γ'.

GALENI DE DIEBVS DECRETORIIS LIBER TERTIVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Γ' ΒΙΒΛΙΩι.

Περιέρχεται ὑπὲρ τῆς τε οὐρανίου, καὶ τῆς ὑλικῆς αἰτίας τῶν κρισίμων ἡμερῶν, ἐξ ὧν ἥ τε τάξις, καὶ ἡ δύναμις ἅπασα.

ARGVMENTVM LIBRI TERTII.

Agit de cœlesti, ac de materiali causa dierum iudicatoriorum, ex quibus & ipsorum ordo, & facultas pendet vniuersa.

CAPVT PRIMVM.

Quid ostensum superioribus libris, quid hoc agendum.

QVi iam causas, cur non in omnibus diebus morbi iudicentur, considerare melius esse duxerit, is hæc sibi composita esse censeat. Et quidem inuentionis dierum decretoriorum principia fateri con-

ΚΕΦΑΛΑΙΟΝ Α'.

Τί ἐν τοῖς ἔμπροσθεν εἴρηται, τί ἐν τῷδε τῷ συγγράμματι εἰρητέον.

D ΟΤΩι δὲ καὶ τὰς αἰτίας ἐσκέφθαι κάλλιον εἶναι δοκεῖ, δι' ἃς οὐκ ἐν ἁπάσαις ἡμέραις αἱ νόσοι κρίνονται, τούτῳ καὶ τάδε σύγκειται. χρὴ μέντοι, καὶ τὰς ἀρχὰς τῆς εὑρέσεως τῶν κρινουσῶν ἡμερῶν αὐτῶν ὁμολογεῖσθαι,

καθότι κἂν τῷ πρὸ τούτου γράμματι λέλεκται. διττὰ δὴ εἰσὶν αὐτῶν κατὰ γένος, ὑπὸ μὲν τῆς πείρας ἐναργῶς μαρτυρούμενα, τὸ τε μὴ πάσας ἡμέρας ὁμοίως εἶναι κρίσιμον, ἰσχυροτάτην δὲ δύναμιν ὑπάρχειν τὰς καθ' ἑβδομάδα περιόδους, δευτέραν δὲ τὰς κατὰ τετράδα, ἠρεμπίπτειν δέ τινας ἔξω τούτων. ἀλλὰ καὶ τὸ μήτε πάσας ἀλλήλων διεζεῦχθαι τὰς ἑβδομάδας, ἀλλὰ καί τινας ἐξ αὐτῶν καὶ συνάπτεσθαι, μήτε πάσας τὰς τετράδας, ἀλλὰ καὶ τούτων τὰς μὲν διαζεύγνυσθαι, τὰς δὲ καὶ συνάπτεσθαι, καὶ τὸ τὰς κρίσεις γίνεσθαι τοὐπίπαν, ἐν μὲν τοῖς ὀξέσι νοσήμασιν ἐν περιτταῖς ἡμέραις, ἐν δὲ αὖ τοῖς χρονίοις, ἐν ταῖς ἀρτίαις. ἅπαντά γε τὰ τοιαῦτα περὶ ὧν ἔμπροσθεν εἴρηται, πρὸς τῆς ἐμπειρίας ἱκανῶς μαρτυρεῖται. τῷ λόγῳ δὲ ἐξιχνεύουσιν ἡμῖν τὰς τούτων αἰτίας, ἐφαίνετο δύο ἀρχὰς θέσθαι χρῆναι τὰς πρώτας ἁπάντων τῶν γινομένων. ἀτακτὸν μὲν τὴν ἐκ τῆς ἐνταῦθ' ὕλης ὁρμωμένην, ἐν τάξει δέ τινι καὶ κόσμῳ προϊοῦσαν ἀεὶ, τὴν ἐκ τῶν κατ' οὐρανόν· ἅπαντα γὰρ τὰ τῇδε, πρὸς ἐκείνων κοσμεῖται. καὶ δὴ καὶ νῦν ἐπὶ συναμφοτέροις, τοῖς τε ἐκ τῆς πείρας γνωσθεῖσι, καὶ οἷς ὁ λόγος ὑφηγήσατο πειρᾶσθαι χρὴ, πάντων τῶν κατὰ τὸν λόγον, καὶ κατ' αὐτὴν πεῖραν τῶν κατὰ τὰς κρισίμους ἡμέρας, ἐξευρίσκειν τὰς αἰτίας ἐνθένδε ποθὲν ἀρξαμένους.

uenit, quemadmodum etiam superiore commentario dictum est. Sunt autem genere duplicia; nempe experimentum, & ratio. Experimentum sanè, quòd non omnes similiter dies de morbis decernant, euidens affert testimonium; quódque circuitus septimani validissima sint virtute prædi-ti; post hos quaternarij; quidam verò extra hos coincidant: imò quòd nec omnes septimanæ inuicem separentur, sed aliquæ ipsarum etiam coniungantur; nec omnes quaternarij, sed ex iis quoque alij seiungantur, alij coniungantur; insuper quòd acutis morbis impari dierum numero, longis pari, iudicia maxima ex parte accidant. Omnia huiusmodi, quæ prius recensui, experientia satis approbat. Porrò causas horum ratione nobis indagantibus, duo prima omnium, quæ fiunt, primordia esse statuenda videntur. Inordinatum videlicet, quod ex hac mundi materie proficiscitur; ordine verò quodam ornatuque procedens semper; quod cœlestibus originem refert acceptam; omnia siquidem in hoc orbe ab illis decus ornamentumque capessunt. Atque iam & nunc ex his duobus principiis, quæ ex experientia cognita sunt, & ratio suppeditauit, omnium, quæ ratione, & experientia ipsa, in diebus decretoriis intelliguntur, causas inuenire conabimur, hinc facto sermonis exordio.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τῆς τῶν ἄστρων εἰς τὰ κάτω σώματα δυνάμεως, καὶ μάλιστα περὶ τῶν τοῦ τε ἡλίου, καὶ τῆς σελήνης ἔργων.

ΠΑντων μὲν τῶν ἄνωθεν ἄστρων ἀπολαύομεν τῆς δυνάμεως, ἀλλ' ὁ μάλιστα κοσμῶν τὰ τῇδε, καὶ ῥυθμίζων, καὶ διατάττων, ὁ ἥλιός ἐστιν. οὐ γὰρ δὴ ἄλλος γέ τις ἦρος, καὶ θέρους, φθινοπώρου τε, καὶ χειμῶνος αἴτιος, οὐδ' ἄλλος ἐπιφανῶς οὕτως, οὔτ' ἐξ ἰλύος γηΐνης ζῶα γεννᾶν πέφυκεν, οὔτε καρποὺς τελειοῦν, οὔτ' εἰς ὀχείαν τε, καὶ τὴν τοῦ γένους διαμονὴν ἐκκαλεῖσθαι τὰ ζῶα. μεγάλα μὲν καὶ τὰ τῆς σελήνης ἔργα περὶ τὴν ἐνταῦθα οὐσίαν, ἀλλὰ τῶν ἡλίου δεύτερα. καὶ γὰρ ἀεὶ τοὺς μῆνας αὕτη διατάττει, καὶ μάλιστ' ἐπιφανῶς ἐν τοῖς θαλαττίοις ζώοις, ἀλλά τοι καὶ αὐτὸ τοῦτο δι' ἥλιον ἔχει. νέον μὲν γὰρ αὐτὴ τὸ φῶς, ὅταν ἡλίου πρῶτον ἀπολαύῃ, τοσοῦτον δὲ αὐτῆς ἀεὶ πεφώτισται μέρος, ὁπόσον ὁ ἥλιος ὁρᾷ. τελέως δὲ ἐκλείπει, καὶ ἀφώτιστος γίνεται, τῆς γῆς ἐπισκοτούσης αὐτῇ, ὥστε ἐκ τῶν πρὸς ἥλιον ἀποστάσεων, ἁπάσας ἔχει τὰς μεταβολάς. καὶ γὰρ καὶ πλήρης ἐστὶν, ἐπειδὰν διάμετρος ᾖ, καὶ διχότομος, ἐπειδὰν τετράγωνος, καὶ ἀμφίκυρτος, ἐπειδὰν τρίγωνος, καὶ μηνοειδὴς, ἐπειδὰν ἑξάγωνος. καὶ νέα τότε πρῶτον, ὅταν ἀπὸ συνόδου φαίνηται, καὶ ἀφανὴς παντάπασιν, ἐπειδὰν ὑπ' ἐκείνου περιλάμπηται. καὶ καρποὺς οὕτω παχύνει, καὶ τὰ ζῶα πιαίνει, καὶ τὰς τῶν καταμηνίων ταῖς γυναιξὶ προθεσμίας διαφυλάττει, καὶ τὰς τῶν ἐπιλήπτων τηρεῖ περιόδους, ἐξ ὧν ἡλίου πλέον, ἢ ἔλαττον μεταλαμβάνει. πάντα μὲν γὰρ ἃ δρᾶν πέφυκεν, ἀμυδρὰ γίνεται, μηνοειδοῦς ὑπαρχούσης αὐτῆς. ἅπαντα δὲ ἰσχυρά, πεπληρωμένης, ὥστε καὶ τοὺς καρποὺς ἐν τῷδε πεπαίνει, καὶ αὐξάνει τάχιστα, καὶ τὰ νεκρὰ σώματα διασήπει, καὶ τοὺς ὑπὸ τὴν αὐγὴν αὐτῆς κοιμηθέντας, ἢ καὶ ἄλλως ἐπιπλέον διατρίψαντας, ὠχροὺς καὶ καρηβαρικοὺς ἀπεργάζεται.

CAPVT II.

De astrorum in hæc inferiora corpora facultate; & maximè de Solis, & Lunæ actione.

OMnium certè superiorum astrorum potentia fruimur; verùm qui maximè hunc orbem exornat, & concinnat, & disponit, est Sol; quippe veris, æstatis, autumni, & hyemis author alius nemo extat; nec alius tam manifestò, vel ex terrestri limo animalia generare potest, neque fruges maturare, neque ad coitum, & generis propagationem animantia prouocare. Magna sanè, & Lunæ opera in hanc rerum substantiam apparent, verùm Solis effectibus posteriora. Etenim menses hæc perpetuò disponit; idque euidenter adeò in marinis animalibus; quanquam & hoc ipsum Solis beneficio habet. Nouum enim ipsa lumen sortitur, quum Sole primùm fruitur. Tanta verò eius portio semper illuminata est, quantam Sol aspicit. Prorsus autem deficit, lucisque expers redditur, vbi terra suo interuentu ipsam obtenebrat. Quapropter vt illa distat à Sole omnes mutationes suscipit; etenim plena est, quum diametra est; æqua proportione diuisa, seu semilunaris, quum quadrangula est; vtrinque gibba, quum triangula; & falcatam speciem refert, vbi sexangula est; atque tunc primum noua est, quum post Solis congressum apparet; obscurata omnino quum Solis lumine circumuallatur. Igitur fructus auget, incrassatque; animantia implet, ad hæc menstruorum statum tempus mulieribus conseruat; item comitialium circuitus custodit, inde quòd Solis plus, vel minus participat. Omnia siquidẽ, quæ facere nata est, vbi falcis figurã repræsentat, languida fiunt; valida omnia, quum plena fuerit. Quapropter & fructus interea adauget, maturatq; celerrimè; mortua corpora putrefacit; somnoq; sopitis sub eius lumine, vel aliter diutius immoratis, pallorem, & capitis grauitatem conciliat.

Vt

Vt igitur Luna Solis auxilio in omnibus indiget, ita Sol ad nullam rem maximam, vel alterius cuiusdam astri, vel ipsius Lunæ, operam desiderat. A nullo enim impeditur, quo minùs æstatem faciat, quum in vertice nostro constiterit; aut frigus adducat, si humilis feratur; aut æquinoctium vtrunque disponat, si mediocriter obliquus sit; sed ipse velut rex quispiam maximus est; Luna verò, vt hyparchus non exiguus; inter illum enim, & nos media constituta, terrestrem regionẽ meritò gubernat, non potentia cæteros planetas, sed vicinitate exuperans. Huius rei gratia omnino frigus locum nostrum occupat, quum Sol ad hyemalem plagam declinauerit; tunc calor omnino nos exercet, vbi supra verticem nostrum, aut propè ipsum fertur. Luna vel particulares cuiusque mensis dies disponit, paruæ mutationis facultatem habens; eamque non simpliciter ex se, verùm ex Solis aspectu consequitur.

οὕτω μὲν οὖν ἡλίου σελήνη τὰ πάντα δεῖται· οὕτω δ' ἥλιος εἰς οὐδὲν τῶν μεγίστων, οὔτ' ἄλλου τινὸς ἄστρου, οὔτ' αὐτῆς τῆς σελήνης. οὐδεὶς γὰρ ὁ κωλύσων αὐτὸν, οὐ θέρος δημιουργεῖν, ἡνίκα κατὰ κορυφὴν ἡμῶν ἵσταται· οὐ κρύος ἐπιφέρειν, εἰ ταπεινὸς ἐπιφέρηται· οὐκ ἰσημερίας διαπλάττειν ἑκατέρας, εἰ συμμέτρως ᾖ λοξός. ἀλλ' αὐτὸς μὲν οἷον βασιλεύς τις μέγιστός ἐστιν, ἡ σελήνη δ' ὕπαρχος οὐ σμικρός. ἐν μέσῳ τε γὰρ ἐκείνου καὶ ἡμῶν τεταγμένη, τὸν περίγειον εἰκότως ἐπιτροπεύει τόπον, οὐ δυνάμεως ὑπεροχῇ παρὰ τοὺς ἄλλους πλανήτας, ἀλλ' ἐγγύτητι πλεονεκτοῦσα. διὰ τοῦτο πάντως μὲν κρύος κατέχει τὸν περὶ ἡμῖν τόπον, ἐπειδὰν ὁ ἥλιος εἰς τὰ χειμέρια τρέπηται, καὶ πάντως θάλπος, ἐπειδὰν κατὰ κορυφὴν ἡμῶν ᾖ, πλησίον τε ταύτης φέρηται. τὰς κατὰ μέρος δ' ἐν ἑκάστῳ τῶν μηνῶν ἡμέρας, ἡ σελήνη διαπλάττει, σμικρᾶς μεταβολῆς ἐξουσίαν ἔχουσα. καὶ ταύτην οὐχ ἁπλῶς, ἀλλ' ἐξ ὧν ὑφ' ἡλίου βλέπεται.

CAPVT III.

Quo tempore Lunæ actiones fortiores, aut imbecilliores existant.

VEhementiores itaque mutationes eueniunt vbi ipsa cum Sole coit; insuper in apparitionibus plenilunij; minores his contingunt dum dimidia apparet, imbecillæ, dum vtrinque gibba & falcata videtur. Nam validissima eorum, quæ priùs erant, mutatio committitur dum Luna cum Sole coit, ac eius lumine circumuallatur, quippe, quæ priùs apparebat, nunc nulli conspicitur. Dein diametra Lunæ statio tanquam distinguens, in binasque partes secans contrarias maxime Lunæ dispositiones, aliarum omnium est validissima; quòd verò incrementum, diminutioni maximè sit contraria dispositio, ostendere non est opus. Deinde post hunc congressum, & plenilunium, duæ dichotomi, medium vtraque secans, augmenti tempus prior, diminutionis altera. At omnium extremæ, imbecillimæq; aëris nos ambientis conuersiones in falcatis, & in vtrinque gibbis apparitionibus fiunt; magis autem in vtrinque gibbis, nulla siquidem in eis magna mutatio, sicut in falcatis apparet. Quare nec Aratus malè ipsas neglexit, tanquam imbecillas existentes; conuenitque eos laudare, qui de eis scripserint, tanquam ne, vel minimum quidem omittentes. At in pleniluniis conuersiones, & his adhuc magis in congressibus, proprium hoc præter cæteras habent; illa siquidem celerrimas statim mutationes faciunt; congressus verò, inæquales, & diuturnas; quid enim ante Lunam apparentem manifestò pronuncies, non est. Longum autem hoc tempus occultationis est, integri ferè signi spatium explens; mutationem verò ex incremento ad diminutionem punctum exactè definit, liquetque hoc Lunam momentaneo tempore pertransire. Itaque verè celeres plenilunij mutationes sunt; diuturnæ, coniunctionales; nam occultationis tempus sibi ipsi simile est, & primæ apparitionis tempus, occultationi vicinum est, tum propter paruitatem eius particulæ, quæ de tota Luna apparet, tum ob luminis imbecillitatem, tum ob breuitatem temporis, quo supra terram fertur.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ἐκ τίνι χρόνῳ αἱ τῆς σελήνης ἐνέργειαι σφοδρότεραί τε αἵ ἐστιν, ἢ ἀμυδρότεραι.

ΣΦοδρότεραι μὲν οὖν αἱ μεταβολαὶ κατὰ τὰς πρὸς ἥλιον αὐτῆς εἰσι συνόδους, καὶ προσέτι τὰς πανσελήνους φάσεις ὀνομαζομένας. ἐλάττους δὲ τούτων ἐν ταῖς διχοτόμοις, ἀμυδραὶ δ' ἐν ταῖς ἀμφικύρτοις τε, καὶ μηνοειδέσιν. ἰσχυροτάτων μὲν γὰρ εἰς ἀλλοίωσιν τῶν ἔμπροσθεν ὄντων τῷ συνάψαι τε καὶ καταλάμπεσθαι, φαινομένη γὰρ τέως, ἀφανὴς νῦν ἐστιν. ἐφεξῆς δ' ἡ διάμετρος στάσις, ὡς ἂν διορίζουσα, καὶ δίχα τέμνουσα τὰς ἐναντιωτάτας τῆς σελήνης διαθέσεις, ἰσχυροτάτη τῶν ἄλλων ἐστίν. ὅτι δ' ἐναντιωτάτη διάθεσις αὔξησις μειώσει, οὐδὲν δέομαι διδάσκειν. ἐφεξῆς δὲ ταύτης τῆς συνόδου τε καὶ τῆς πανσελήνης, αἱ διχότομοι εἰς δύο μέσον ἑκάτερα τέμνουσαι. τὸν μὲν τῆς αὐξήσεως χρόνον ἡ προτέρα, τὸν δ' αὐτῆς μειώσεως, ἡ δευτέρα. πάντων δ' ἔσχαταί τε καὶ ἀμυδρόταται τροπαὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος, ἐν ταῖς μηνοειδέσι καὶ ταῖς ἀμφικύρτοις φάσεσι γίνονται, καὶ μᾶλλόν γε ἐν ταῖς ἀμφικύρτοις. οὐδεμία γὰρ ἐν αὐταῖς μεγάλη μεταβολή, καθάπερ ἐν ταῖς μηνοειδέσιν, ὥστε οὐδὲ Ἄρατος κακῶς αὐτῶν κατεφρόνησεν, ὡς ἂν ἀμυδρῶν ὑπαρχουσῶν. ἐπαινεῖν τε χρὴ τοὺς γράψαντας ὑπὲρ αὐτῶν, ὡς οὐδὲ τὸ σμικρότατον παραλιπόντας. ἴδιον δ' ἐξαίρετον αἵ τ' ἐν ταῖς πανσελήνοις τροπαί, καὶ τούτων ἔτι μᾶλλον, αἱ κατὰ τὰς συνόδους ἔχουσιν· αἱ μὲν γὰρ ὀξυτάτας εὐθὺς ποιοῦνται τὰς μεταβολάς, αἱ σύνοδοι δ' ἀνωμάλους τε καὶ χρονίας. οὐδὲν γὰρ ἔχεις σαφῶς ἀποφῆσαι, πρὶν φανῆναι τὴν σελήνην. πολὺς δ' ἐστὶν ὁ χρόνος ὁ τῆς κρύψεως ἐστιν ὅλου σχεδὸν τοῦ ζῳδίου. τὴν δ' ἐκ τῆς αὐξήσεως εἰς τὴν μείωσιν μεταβολήν, ἀκριβῶς διορίζει στιγμή, καὶ ταύτην ἡ σελήνη δῆλον, ὡς ἐν ἀκαρεῖ χρόνῳ παραλλάττει. κατὰ λόγον μὲν οὖν ὀξεῖαι μὲν αἱ πανσέληνοι, καὶ χρόνιαι δὲ αἱ συνοδικαὶ μεταβολαί. καὶ γὰρ ὁ τῆς κρύψεως χρόνος ὅμοιος ἑαυτῷ, καὶ ὁ τῆς πρώτης φάσεως ἐγγὺς κρύψεως, καὶ τῇ σμικρότητι τοῦ φαινομένου τῆς πανσελήνου μορίου, καὶ τῇ τῆς αὐγῆς ἀμυδρότητι, καὶ τῷ βραχυχρονίῳ τῆς ὑπεργείου φορᾶς.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐν τίνι χρόνῳ ἡ σελήνη εἰς ἡμᾶς ἐνεργεῖ, καὶ ἐν ὅσαις ἡμέραις.

Ἀσφαλὴς οὖν ἡ κρίσις ἀποτελεῖται τῆς ἐν ὅλῳ τῷ μηνὶ γενησομένης καταστάσεως ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν, ἐν ᾗ πρώτῃ καὶ σαφὴς ἡ σελήνη, καὶ χρόνον ἀξιόλογον ὑπὲρ γῆς ἤδη φαίνεται, καὶ φῶς αἰσθητὸν ἀποπέμπει, καὶ σκιὰς ἐναργῶς δείκνυσιν. ἡ πρώτη δ' ἡμέρα, μέχρι τοσούτου τὴν σελήνην ὑπὲρ γῆς ἔχει φερομένην, μέχρις ἂν ἔτι καὶ τὸ τοῦ ἡλίου φῶς ἐπέχῃ τὸ μετὰ τὴν δύσιν, ὥστ' ἐν ταύτῃ μὲν τῷ τοῦ ἡλίου συγκαταδύεται φωτί, πολλάκις δὲ καὶ προκαταδύεται. πρῶτον δὲ σαφὴς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν φαίνεται, καί ποτε μὲν μᾶλλον, ποτὲ δ' ἧττον. καὶ τοῦτο δ' αὐτῇ συμπίπτει παρὰ τὸ ποσὸν τῆς πρὸς ἥλιον ἀποστάσεως. αὐτὸ δὲ τὸ ποσὸν τῆς ἀποστάσεως, διά τε τὴν ἰδίαν τῆς σελήνης γίνεται κίνησιν. οὐ γὰρ ἴσον ἀεὶ κινεῖται, καὶ διὰ τὴν τοῦ πλάτους ἐξάλλαξιν, καὶ διὰ τὴν τῶν ζωδίων δύσιν οὐκ ἰσόχρονον οὖσαν, καὶ πρὸς τούτοις ἔτι διὰ τὸν τῆς προγεγονυίας συνόδου καιρόν, ὥστ' οὐκ ἀεὶ μὲν εἷς ὁ χρόνος ἐστὶν ἐν ᾧ φαίνεται σαφῶς ἡ σελήνη. τοὐπίπαν δὲ τρεῖς ἡμέρας τὰς περὶ σύνοδον, ἡ ἀόρατος γίνεται τελέως, ἐν αἷς οὔπω τὰ παρ' ἡμῖν ἀλλοιοῦν ἰσχύει. καί πως εἰς ταὐτὸν ὁ χρόνος αὐτῆς συμβαίνει, τῆς τ' οἰκείας περιόδου, τῆς τ' εἰς ἡμᾶς ἐνεργείας. ἡ μὲν γὰρ περίοδος ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν ἐστιν, ἐπιλαμβανουσῶν τρίτον ἔγγιστα μέρος. ἐν τῷ τοσούτῳ γὰρ χρόνῳ, τὸν τῶν ζωδίων κύκλον ἅπαντα διέρχεται. ἡ δὲ τῆς πρὸς ἡμᾶς φάσεως, ὅτι καὶ ἥδε πρὸς τὸν αὐτὸν ἀριθμὸν ὁμολογεῖ, σαφῶς εἴσῃ, τοῦ παντὸς χρόνου μηνιαίου τὸν τῆς κρύψεως ἀφελών. ὅτι δ' ὁ μηνιαῖος χρόνος οὐ τελέως τριάκοντά ἐστιν ἡμερῶν, ἀλλ' ἡμισεί που, καὶ τούτῳ προσδεῖ μιᾶς ἡμέρας, Ἱππάρχῳ μὲν ἀποδέδεικται δι' ἑνὸς ὅλου βιβλίου. γινώσκεται δὲ ἤδη καὶ τοῖς ἰδιώταις σχεδὸν ἅπασιν, ὡς τῶν μηνῶν, ὁ μὲν ἕτερος ὁ κυλλὸς ὑπ' αὐτῶν ὀνομαζόμενος ἐννέα καὶ κ'. ἡμερῶν ἐστιν, ὁ δ' ἕτερος, ὁ πλήρης, τριάκοντα. χρὴ γὰρ ἀμφοτέρων ἐννέα καὶ πεντήκοντα γίνεσθαι τὰς πάσας ἡμέρας, εἴπερ ὅλως ἐστὶν ἑκάτερος, ἡμίσεος ἀποδέων, τριάκοντα.

CAPVT IV.

Quo tempore Luna in nos agere incipiat, quotque diebus.

Tvta igitur crisis euadet, quũ in toto mẽse status in secundo die accidet; quo primo, & manifesto Luna, & longo satis tempore, super terram iam apparet, & lumen sensile de se mittit, ad hæc vmbram euidenter ostendit. Primus autem dies tamdiu Lunã supra terram vagantem habet, quandiu is adhuc quoque Solis lumen, quod post occasum est, retinet; quare in hoc Luna simul cum Solis lumine occidit, sæpe verò, & prior est occidiua; primum verò manifesta in secundo die apparet, nunc quidem magis, nunc verò minùs. Atque hoc ei accidit pro quantitate distantiæ à Sole: hæc autem ipsa quantitas distantiæ, tum propter peculiarem Lunæ motum fit (non enim ex æquo semper mouetur) tum propter latitudinis immutationem, tum propter signorũ occasum non æquali tẽpore euenientẽ, insuper ob præteriti congressus, tẽpus. Vnde non semper vnum tẽpus est, quo clarè Luna conspicitur: vt plurimum tamen tribus diebus, qui circa congressum sunt, planè inuisibilis fit, in quibus nondum, hæc terrena immutare potest. Et quodã modo tẽpus, tum peculiaris eius circuitus, tum in nos actionis, in idem recidit; etenim circuitus vicenis diebus, septenisque, & tertia ferè diei parte peragitur, in tanto enim tẽpore totum signiferi circulũ percurrit, at quo nobis lucescit, circuitus quòd is quoque eidẽ conueniat numero, planè intelliges, si occultationis tẽpus de toto menstruo eximas. Quòd autem menstruum tẽpus non omninò triginta diebus constet, sed minus vnius diei ferè dimidio, Hipparchus integro vno libro demonstrauit. Quin & vulgus iam propè vniuersum nouit mensium alium, quem Græci nominant mutilum, & imperfectum, dies vigintinouem obtinere; alium nempe absolutum, triginta. Nam vniuersos amborum dies quinquagintanouem esse oportet, siquidem vterque omnino triginta, minus dimidia diei parte, continet.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Τὸν μῆνα, ὥσπερ καὶ τἆλλα σύμπαντα κατὰ τὰς ἑβδομάδας ἀπὸ τῆς σελήνης ἀλλοιοῦσθαι.

Ὥσπερ οὖν τὸν ὅλον ἐνιαυτὸν ὁ ἥλιος, οὕτως ἡ σελήνη διατάττει τὸν μῆνα, καθ' ἑβδομάδας τῆς ἀλλοιώσεως ἐν αὐτῇ γιγνομένης. ἀπό τε γὰρ τῆς πρώτης φάσεως ἐπὶ τὴν διχότομον, ἀπό τε ταύτης, ἐπὶ τὴν πανσέληνον, ἑκάτερος μὲν ὁ χρόνος, ἡμερῶν ἐστιν ἑπτά, συναμφότερα δὲ τεσσαρεσκαίδεκα. κατὰ ταῦτα δέ, κἂν εἰ μετὰ τὴν διχομηνιαίαν ἕως τῆς δευτέρας διχοτόμου συναριθμήσῃς, ἑπτά. καὶ ταύτας εὑρήσεις τὰς ἡμέρας. καὶ τὰς λοιπὰς δὲ τὰς μέχρι τοῦ παντελῶς ἀφανισθῆναι τὴν σελήνην, ἑπτά. τὸ δ' ὅτι μεταβάλλει μεγάλας μεταβολὰς ὁ περιέχων ἡμᾶς ἀήρ, ἔν τε τῷ πρώτως κρύπτεσθαι, καὶ πάλιν αὖ πρώτως φαίνεσθαι τὴν σελήνην, οὔτ' ἄλλος τις τῶν ἀνθρώπων ἀγνοεῖ καὶ μάλιστα πάντων, οἷς περ δὴ καὶ μάλιστα μέλει τούτων, γεωργοῖς τε καὶ ναύταις, καὶ στάσιν γε καλοῦσι τὴν κατάστασιν τοῦ ἀέρος, ἐπειδὰν ἡ σελήνη πρώτως φανεῖσα κατά τινα τῶν ἀνέμων ἵστηται. λέγει γοῦν που, καὶ ὁ Ἄρατος ἀληθέστατα λέγων, ἀπὸ τῆς πρῶτον ἀπὸ συνόδου φανείσης σελήνης.

CAPVT V.

Mensem sicut & alias res omnes per septimanas à Luna immutari.

Qvemadmodum igitur annum integrum Sol disponit, ita Luna mensem, mutatione per septimanas ei accidente. Nam à prima apparitione ad dichotomum, & ab hac ad plenilunium, vtrumque quidem per se tempus dierum est septem, ambo verò simul quatuordecim. Simili modo, si inde, vbi ipsa æquali portione mensem diuidit, vsque ad secundam dichotomum connumeraueris, septem & hos inuenies dies; reliquos etiam, qui vsque ad absolutam Lunæ occultationem sunt, septem. Cæterùm aëra nos ambientem magnas suscipere mutationes, dum Luna primum occultatur, & rursus primum apparet, nemo mortalium ignorat, maximè ij, quibus hoc studij est, agricolæ, & nautæ, qui statum aëris tunc vocant, quum Luna primùm apparens, secundum aliquem ventum stet. Quamobrem Aratus quodam loco verissimè scribit de Luna, vbi primum post coitionem apparuerit, hoc modo inquiens.

Cynthia

Cynthia si cornu, quod si sustollit in altum,
Incuruum specie velut annuat, adfore cœlo.
Sæua procellosi prædicet flabra Aquilonis.
Rursus eo veniet pluuius Notus, hanc vbi partem
Ponè supinari conspexeris, inque recliuem
Sponte habitum; verùm si lumen tertius ortus
Proferat, atque Deæ conuoluat circulus oras
Suffusus rutilo, mox tempestate sonora
Spumosum latè pelagus canescere cernes.

Quinetiam hæc in eodem libro scribit;

Non vnum deprehensa diem tibi signa loquuntur.
Sed, quæ signa nouo dederit nox tertia motu
Quartáve, sustollat medios dum Cynthia vultus,
Durabunt cœlo; medio quæ edixerit ore,
Altera prouisæ signantur tempora Lunæ.
Illa dehinc, donec germani luminis igneis
Accedat Phœbe, mensis postrema notabunt.

Non ad omne tempus, quod ab initio est vsque ad finem, primæ apparitionis signa sufficere ait; sed dichotomos, & plenilunia mutationes quasdã afferre. Omnis autem velox mutatio, Crisis appellatur; & statum quidem in Luna falcata potissimum dicunt; deinde ad plenilunium transferunt similiter vocantes, hoc enim validas vires etiam obtinet; hoc autem imbecilliores quidem sunt semilunares stationes, attamen, & hæ quoque de aëre decernunt. Quare mensem à Luna immutari secundum septimanas, iam est perspicuum. Quòd autem aliæ res vniuersæ inde quoque mutantur, omnibus non perinde constat; sed iis, qui huiusmodi accuratè obseruarint, in confesso est. Ad hec post seminis conceptionem omnis imprægnatio. Insuper nihilo minus hac, & post partum adauctio; Item omne actionis initium, magnas alterationes in septimanos circuitus obtinet. Quæ namque quotidie omnibus, quæ subsistunt, incidunt, horum causam Luna habere obseruata est; maximéque tetragonis, & diametris stationibus ea immutans. Nam si Luna in Tauro existente semen concipiatur, vel partus, vel omnino alterius cuiusdam principium contigerit, magnas eius mutationes faciet, quando Signiferum percurrens, in Leone, Scorpio, & Aquario fuerit. Verùm in Leone quadrata statio, septimanæ vnius existit; In Scorpio diametra duas septimanas habet; Ita quoque in Aquario secunda quadrangularis statio in tertiam septimanam procedit; idque necessariò, quòd Luna (sicut ante diximus) vicenis diebus, septenisque, & particula quadam adiecta, maximè tertia diei parte, vniuersum Signiferi ambitum peragit. Si namque in toto tempore totum orbem pertransire oportet, constat quartam ipsius partem in septem propè diebus eam expedituram. Proinde huius te admodum meminisse ad futura conuenit, nempe Lunæ transpositionem tetragonon non diebus septem integris circunscribi.

CAPVT VI.

Qui salutares aut infesti dies sanis, aut ægrotis futuri sint, Lunam prænunciare posse.

Porrò illud denuò repetendum est, quod nos quoque obseruantes verissimum semper esse comperimus, ab Ægyptiis astronomis inuentum, Lunam non modo ægris, sed etiam sanis, dies, quales tandem futuri sint, posse prænunçiare. Si etenim ad planetas tẽperatos steterit (quos iam nominant salutares) faustos ac bonos dies producere;

Εἰ δέ κεν οἱ κεράων τὸ μετήορον ἀμφοτέρωθεν ἐπινεύοι,
Δειδέχθαι Βορέω, ὅτε δ' ὑπτιάει, Νότοιο.
Αὐτὰρ ἐπὴν τριτόωσαν ὅλην περὶ κύκλος ἑλίσσῃ
Πάντη ἐρευθόμενος, μάλα κεν τότε χείμερος εἴη.

καὶ μὴν δὴ καὶ ταῦτα λέγει κατὰ τὴν αὐτὴν βίβλον.

Σήματα δ' οὔτ' ἄρα πᾶσιν ἐπ' ἤμασι πάντα τέτυκται.
Ἀλλ' ὅσα μὲν τριτάτῃ τε, τεταρταίῃ τε πέληται,
Μέσφα διχαιομένης, διχάδος γέμεν, ἄχρις ἐπ' αὐτήν.
Σημαίνει διχόμηνον. ἀτὰρ πάλιν ἐκ διχομήνης
Ἐς διχάδα φθιμένην. ἔχεται δέ οἱ αὐτίκα τετρὰς,
Μηνὸς ἀποιχομένου, τῇ δὲ τετάρτῃ ἀπιόντος.

Οὐκ εἰς ἅπαντά φησι τὸν ἐξ ἀρχῆς χρόνον ἐξαρκεῖν τὰ σημεῖα τῆς πρώτης φάσεως, μεταβολὰς δέ τινας φέρειν, τάς τε διχοτόμους καὶ πανσελήνους. ἅπασα δ' ὀξύρροπος μεταβολὴ, κρίσις ὀνομάζεται. καὶ τήν γε σύστασιν, ἐπὶ τῆς μηνοειδοῦς σελήνης μάλιστα λέγουσιν, ἐφεξῆς μεταφέρουσιν ἐπὶ τὴν πανσέληνον, ὡσαύτως ὀνομάζοντες, ἰσχυρὰς αὖ γὰρ καὶ ἥδε δυνάμεις ἔχει. ταύτης δ' ἀσθενέστεραι μὲν, ἀλλὰ κρίνουσαι μὲν καὶ αὗται τὸ περιέχον, αἱ διχότομοι στάσεις εἰσίν, ὥσθ' ὅτι μὲν ὁ μὴν ὑπὸ σελήνης ἀλλοιοῦται καθ' ἑβδομάδας, ἤδη πρόδηλον. ὅτι δὲ καὶ τὰ ἄλλα σύμπαντα πράγματα, τοῦτο μὲν οὐκέτι ὁμοίως ἅπασι γνώριμον, ἀλλὰ καὶ τοῖς τὰ τοιαῦτα παραφυλάξασιν ἐπιμελῶς ὁμολογεῖται, καὶ ἡ μετὰ τὴν σύλληψιν τοῦ σπέρματος ἅπασα κύησις. οὐδὲν δ' ἧττον αὐτῆς, καὶ ἡ μετὰ τὴν ἀποκύησιν αὔξησις, ἅπασά τε πράξεως ἀρχὴ, τὰς μεγάλας ἀλλοιώσεις εἰς ἑβδομαδικὰς ἴσχει περιόδους. ὅσα γὰρ ἐφήμερα συμπίπτει πᾶσι τοῖς οὖσι, τούτων ἡ σελήνη τετήρηται τὴν αἰτίαν ἔχειν, καὶ μάλιστα ἀλλοιοῦσα αὐτὰ κατὰ τὰς τετραγώνους, καὶ διαμέτρους στάσεις. Εἰ γὰρ ἐν ταύρῳ τῆς σελήνης οὔσης ἐγένετο σύλληψις τοῦ σπέρματος, ἢ ἀποκύησις, ἢ τινος ὅλως ἀρχὴ πράγματος, ἐπειδὰν ἐν λέοντι, καὶ σκορπίῳ, καὶ ὑδροχόῳ περιερχομένη τοῦ ζῳδιακοῦ γένηται, τὰς μεγάλας αὐτοῦ ποιήσεται μεταβολάς. ἀλλ' ἡ μὲν ἐν τῷ λέοντι τετράγωνος στάσις, ἑβδομάδος ἐστὶ μιᾶς. ἡ δὲ διάμετρος ἡ ἐν τῷ σκορπίῳ, δυοῖν. οὕτω δὲ καὶ ἡ κατὰ τὸν ὑδροχόον, ἡ δευτέρα τετράγωνος στάσις εἰς τὴν τρίτην ἑβδομάδα προήκει, καὶ τοῦτ' ἐξ ἀνάγκης γὰρ, διὰ τὸ τὴν σελήνην, ὡς εἴρηται καὶ πρόσθεν, ὅλον τὸν ζῳδιακὸν ἑπτὰ, καὶ εἴκοσιν ἡμέραις διεξέρχεσθαι, μετά τινος ἐπικειμένου μορίου, τρίτου μάλιστα μιᾶς ἡμέρας. εἰ γὰρ δεῖ τὸν ὅλον κύκλον ἐν τοσούτῳ χρόνῳ διέρχεσθαι, πρόδηλον, ὡς τὸ τέταρτον αὐτοῦ μέρος ὀλίγου δεῖν ἐν ἡμέραις ζʹ. διανύσει. τούτου μὲν οὖν καὶ πάνυ χρὴ μεμνῆσθαι πρὸς τὰ μέλλοντα, τοῦ μὴ τελείας ἡμέρας ζʹ. περιγράφεσθαι, τὴν εἰς τὸ τετράγωνον τῆς σελήνης μετάστασιν.

ΚΕΦΑΛΑΙΟΝ ϛʹ.

Ὅτι ἡ σελήνη τὰς ἡμέρας ὁποῖαί τινες ἔσονται, ἤτε ἀγαθοποιαὶ, ἤτε κακοποιαὶ, δηλοῦν πέφυκεν τοῖς τε νοσοῦσι, καὶ τοῖς ὑγιαίνουσι.

Ἐκεῖνο δ' αὖθις ἀναληπτέον, ὅπερ καὶ ἡμεῖς παραφυλάξαντες, ἀληθέστατον εὕρομεν ἀεὶ τὸ πρὸς τῶν Αἰγυπτίων ἀστρονόμων εὑρημένον, ὡς ἡ σελήνη τὰς ἡμέρας ὁποῖαί τινες ἔσονται δηλοῦν πέφυκεν, οὐ τοῖς νοσοῦσι μόνον, ἀλλὰ καὶ τοῖς ὑγιαίνουσιν. Εἰ μὲν γὰρ πρὸς τοὺς εὐκράτους ἵσταιτο τῶν πλανητῶν, οὓς δὴ καὶ ἀγαθοποιοὺς ὀνομάζουσιν, ἀγαθὰς ἀπεργάζεσθαι τὰς ἡμέρας.

εἰ δὲ πρὸς τοὺς δυσκράτους, ἀνιαράς. ἔστω γὰρ ἀποκυϊσκομένου τινός, ἐν μὲν τῷ κριῷ τοὺς ἀγαθοποιούς, ἐν δὲ τῷ ταύρῳ τοὺς κακοποιοὺς εἶ(ναι). πάντως δήπου ὁ ἄνθρωπος, ἐπειδὰν μὲν ἐν κριῷ, καὶ καρκίνῳ, καὶ ζυγῷ, καὶ αἰγοκέρωτι γένηται ἡ σελήνη, καλῶς ἀπαλλάξει. ἐπειδὰν δὴ τοι τὸν ταῦρον αὐτόν, ἢ τινὰ τὴν τετράγωνον, ἢ τὸ διάμετρον αὐτοῦ ζώδιον ἐπέχῃ, κακῶς τηνικαῦτα, καὶ ἀνιαρῶς διάξει. καὶ δὴ καὶ νοσημάτων ἀρχαὶ τῷδε, κάκισται μὲν ἐν ταύρῳ, καὶ λέοντι, καὶ σκορπίῳ, καὶ ὑδροχόῳ τῆς σελήνης οὔσης. ἀκίνδυνον δέ, καὶ σωτήριον τὸν κριόν, καὶ τὸν καρκίνον, καὶ τὸν ζυγόν, καὶ τὸν αἰγόκερων διερχομένης. καὶ τὰς ἀλλοιώσεις τὰς μεγάλας ἃς ἐν τοῖς τετραγώνοις τε καὶ διαμέτροις ἔφαμεν γίγνεσθαι καθ' ἑβδομάδα. ἐν μὲν τοῖς ὀλεθρίοις νοσήμασιν, ὀλεθρίας καὶ αὐτάς, ἐν δὲ αὖ τοῖς περιεσομένοις, ἀγαθὰς ἀνάγκη γίνεσθαι, καὶ διὰ τοῦθ' Ἱπποκράτης μέμφεται μάλιστα τὰς ἐν ταῖς κρινούσαις ἡμέραις ἀλλοιώσεις ἐπὶ τὸ χεῖρον. ὀλεθρίου γὰρ νοσήματος σύμπτωμα, καθάπερ, οἶμαι, τοὐναντίον ἐπιεικοῦς. εἰ δέ τις καὶ αὐτοῦ τούτου ζητεῖ τὴν αἰτίαν, τοῦ τὸ μέγιστον δύνασθαι τὰς τετραγώνους τε καὶ διαμέτρους στάσεις, ἐπὶ πλεῖστον ἀποχωρεῖ τοῦ προκειμένου. πρόκειται γὰρ νυνί, οὐ τὰς πρώτας αἰτίας ἁπάντων τῶν κατ' ἀστρονομίαν ζητεῖν, ἀλλὰ τὰς εἰς τὰ προὔργου χρησίμους. χρήσιμοι δὲ εἰσὶν αἰτίαι τῆς ἑβδομάδος ἐξηγούμεναι φύσιν. πάλιν οὖν αὐτὰς ἀναλάβωμεν ἐπὶ κεφαλαίων. αἱ τῆς σελήνης τετράγωνοί τε καὶ διάμετροι στάσεις, ἐπὶ μὲν ἀγαθαῖς ταῖς ἀρχαῖς, ἀγαθὰς ποιοῦσι τὰς ἀλλοιώσεις, ἐπὶ δὲ μοχθηραῖς, μοχθηράς. καὶ τοῦτο πρὸς τῷ τοῖς ἀστρονόμοις ὁμολογεῖσθαι, πάρεστιν εἰ βούλει, καὶ σοὶ παραφυλάξασθαι. εἰ δὲ μήτ' αὐτὸς παρατηρεῖν ἐθέλεις τὰ τοιαῦτα, μήτε τοῖς τηρήσασι πιστεύεις, τῶν νῦν ἐπιπολαζόντων τις εἶ σοφιστῶν. οἳ λόγῳ κατασκευάζειν ἡμᾶς ἀξιοῦσι τὰ σαφῶς φαινόμενα, δέον αὖ τοὐναντίον ἐκ τῶν ἐναργῶς φαινομένων ὁρμωμένους, περὶ τῶν ἀδήλων συλλογίζεσθαι. πρὸς τὴν ἰδίαν οὖν ἀρχὴν ἅπαν πρᾶγμα τὰς ἐφεξῆς περιόδους ἁπάσας ὁμολογούσας ἔχει.

si ad intemperatos, graues molestosque. Fingamus enim homine quodam nascente salutares planetas in Ariete, malignos in Tauro esse; is homo nimirum, quum Luna in Ariete, Cancro, Libra, & Capricorno fuerit, pulchrè deget; quum vero Taurum ipsum, vel tetragonum aliquod, vel diametrum signum occupat, malè tunc, & molestè vitam transiget. Atque iam morborum initia huic, quum Luna in Tauro, Leone, Scorpio, & Aquario fuerit, pessima; sine periculo autem, & salutaria sunt, quum Arietem, Cancrum, Libram, & Capricornum, Luna permeat. Ad hæc alterationes magnas; quas in tetragonis, & diametris per septimanas fieri diximus; in lethalibus quidem morbis lethales & ipsas, in salubribus bonas, euenire necesse est. Quamobrem Hippocrates etiam damnat maximè mutationes, quæ in diebus decretoriis ad peiora declinant; quippe quòd lethalis morbi symptoma sit, quemadmodum (vt arbitror) benigni, cõtrarium. Quòd si quis & huius ipsius causam, cur quadratæ, & diametræ stationes sint potentissimæ, quærat, his longissimè à proposita disputatione digreditur. Nam in præsentia non primas causas omnium, quæ ad astronomiam pertinent, sed quæ proposito nostro vtiles sint, inquirere cogitamus. Vtiles autem causæ sunt, quæ septimanæ naturam interpretantur; rursus igitur eas in summam colligamus. Lunæ tetragonæ, & diametræ stationes in principiis bonis bonas faciunt alterationes; in malis, malas. Atque hoc, præterquam quòd astronomis in confesso est, integrum est & tibi obseruare. Sin autem huiusmodi, nec obseruare volueris, nec iis, qui obseruarunt, fidem adhibere, indubiè sophistarum vbique nunc obstrepentium aliquis es, qui ratione manifestò apparentia nos approbare postulant, quum è contrario ex euidenter apparentibus, de abditis ratiocinandum esset. Ita suo quæque res principio circuitus sequentes vniuersos consonos habet.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Καθάπερ ἡ ἑβδομὰς τῶν ὀξέων νοσημάτων κριτική, τὸν αὐτὸν τρόπον ὥρας ἐνιαυσιαίας μεταβολήν, χρονίων εἶναι νοσημάτων λυτικήν.

Περίοδοι δὲ εἰσίν, αἱ μὲν δι' ἡμερῶν ἀριθμοῦ τινος, αἱ δὲ διὰ μηνῶν. αἱ μὲν δι' ἡμερῶν ἑβδομαδικαί εἰσι, καὶ πρὸς τὴν σελήνην ἀνήκουσιν. αἱ δὲ διὰ μηνῶν εἰς ἥλιον ἀναφέρονται, τόνδε τὸν τρόπον γιγνόμεναι. πάλιν γὰρ ἀπὸ τῶν Ἱπποκράτους ἀρκτέον ῥήσεων, τὰς μὲν θερινὰς νόσους ἐν χειμῶνι λέγοντος λύεσθαι, τὰς δὲ χειμερινὰς ἐν θέρει. αὕτη μὲν σοὶ προθεσμία κρίσεών ἐστι, χρονίων τε, καὶ ὡς ἂν εἴποι τις ἐνιαυσιαίων νοσημάτων, οἷα περ ἐν τοῖς ὀξέσιν ἡ τῆς ιδ'. ὁ γὰρ μέχρι τῆς πανσελήνου χρόνος, ἥμισυς ὑπάρχων ὅλης τῆς σεληνιακῆς περιόδου, τὸν αὐτὸν ἔχει λόγον τῷ μέχρι θέρους ἐκ χειμῶνος διαστήματι. καὶ μὲν δὴ καὶ ὁ ἀπὸ τῆς πανσελήνου μέχρι τῆς κρύψεως χρόνος, ἀνάλογός ἐστι τῷ μέχρι χειμῶνος ἐκ θέρους διαστήματι. τούτων δὲ ἑκατέρου διχῇ τμηθέντος, ἐν μὲν τοῖς ὀξέσι νοσήμασιν ἡ ἑβδομάς ἐστιν, ἐν δὲ αὖ τοῖς χρονίοις, αἱ τῶν ἐπιφανεστάτων ἄστρων εἰσὶν ἐπισημασίαι καθ' ἃς ἔαρ, καὶ θέρος, καὶ χειμών, καὶ φθινόπωρον ἀφορίζονται. οὐ γὰρ δὴ ἴσον γε ἡμερῶν ἀριθμῷ διήρηται ταῦτα κατ' οὐδένα τῶν ἀστρονόμων, ἀλλὰ ταῖς τοῦ περιέχοντος ἡμᾶς ἀέρος μεταβολαῖς ἐπισήμοις οἰακίζεται. καί σοι πάλιν ἑτέρῳ λόγῳ. καθάπερ ἡ ἑβδομὰς ὀξέων νοσημάτων κριτική,

CAPVT VII.

Vt acutos morbos septimana iudicat, ita diuturnos annui temporis soluere mutationem.

Circuituum verò alij numero quodã dierum constant, alij mensium. Iam verò, qui dierum numero constant, septimani sunt, & Lunæ modo incedunt; qui autem mensium, ad Solem referuntur, eodẽ modo euenientes. Iterũ enim ab Hippocratis verbis initium sumendum, *æstiuos morbos*, dicentis, *hyeme solui, hyemales æstate.* Hoc quidẽ longorum morborum, & quasi dicas annalium iudicij statutũ tempus est, quemadmodum acutorum decimusquartus dies. Tempus enim, quod ad vsque plenilunium est, totius lunaris circuitus dimidium existens, eandem rationem habet cum interuallo, quod ab hyeme ad æstatẽ vsque intercedit; quinetiam à plenilunio ad vsque occultationẽ tempus, spatio, quod ab æstate ad hyemem vsque porrigitur, proportione respondet. Sed horum vtrunque bifariam sectũ, in acutis morbis septimana est, in diuturnis clarissimorũ syderum exortus; quorum ratione ver, æstas, hyems, & autumnus describuntur. Non etenim pari dierum numero hæc secundum vllius astronomi sententiam diuisa sunt, verùm manifestis ambientis aëris mutationibus distinguntur. Rursus & alio modo. Quemadmodum septimana acutorum morborum decretoria est, sic

ſic temporis annui mutatio diuturnorum morborum erit ſolutoria; vt in hyeme quidem conſtitutum morbum ver ſoluat; in vere conflatum, æſtas; ſimili ratione per æſtatem contractum, autumnus; in hoc paratum, hyems. Cæterùm ſingularum partium bifariam diuiſarum partes menſis quaternariis proportione reſpondent. Quin aſtrologis etiam dicitur, quem in modum anni temporis cuiuſque & initium, & finis, ſyderum clarorum ortu & occaſu deſcribitur, in eundem quoque cuiuſque medietas, alterius rurſus ſyderis exortu diſtinguitur. Itaque vniuerſas particulares morborum mutationes, vel tanquam ad proprium ipſorum principium, vel tanquam ad ambientis nos aëris conuerſionem, euenire neceſſe eſt. Quæ igitur ceu ex proprio ipſorum principio fiunt, Lunam ſequuntur; quæ verò ab aëris nos ambientis conuerſione, in toto quidem anno Solem, in ſingulis autem menſibus Lunam. Ex his iam accidit mutationes validiſſimas eſſe, quæ videlicet cuique per ſeptenos dies propriè contingunt; quamuis etiam ipſis quodammodo commiſceantur, quas aër excitat. Quare meritò indè, quòd ſemper eodē modo accidat, in id, vt in plurimis morbis fiant, decidunt. Adhuc autē magis ipſarum ordinē perturbat acceſſionū violentia, criſes prærumpere cōpellēs, vt in ſermonis proceſſu dicemus. Ad hæc varius in ęgrotos admiſſus error tum ab ipſis medicis, ſi medici appellandi ſint, non artis corruptores, qui hoc ſeculo permulti ſunt; tum nihilominus ex iis, quæ laborantes peccant; quin & propter miniſterium quandoque; & propter aliquod eorū, quæ extrinſecus accidūt, vti priùs diximus. Igitur ſeptimanorum circuituum virtutē mirari conuenit, ſi tot cauſis eos interrumpentibus, multo tamen aliis fortiores inueniuntur. In acutis quidē morbis coincidētes decretorij plures ſunt, quoniam & corpus mutationi accommodū eſt, in motu, & perturbatione vehementi conſtitutum; in longioribus, via & ordine magis ſeptimanarum circuitus procedit.

τὸν αὐτὸν τρόπον ὥρας ἐνιαυσιαίου μεταβολή, χρονίων ἔσται νοσημάτων λυτική, ἵνα τὴν μὲν ἐν χειμῶνι συστᾶσαν νόσον ἔαρ λύσῃ, τὴν δ' ἐν ἦρι, θέρος. ὡσαύτως δὲ καὶ τὴν μὲν ἐν θέρει, φθινόπωρον, τὴν δ' ἐν ἐκείνῳ, χειμών. ἐν δὲ ταῖς ἐν τῷ μηνὶ τετράσιν, ἀνάλογον αἱ τῶν ὡρῶν εἰσιν ἑκάστης διχῇ τμηθείσης μοίρας. καὶ λέγεταί γε πρὸς τῶν ἀστρονόμων, ὥσπερ ἀρχή τις εἶναι, καὶ τελευτὴ τῶν ὡρῶν ἑκάστης ἐπιτολαῖς, ἢ δύσεσιν ἄστρων ἐπιφανῶν ὁριζομένη. κατὰ τὸν αὐτὸν τρόπον, καὶ μεσότης ἑτέρου πάλιν ἄστρου φάσει διωρισμένη. τὰς οὖν τῶν νοσημάτων ἐν μέρει μεταβολὰς ἁπάσας, ἢ ὡς πρὸς τὴν ἰδίαν ἀρχὴν αὐτῶν, ἢ ὡς πρὸς τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος τροπὴν ἀνάγκη γίγνεσθαι. τὰς μὲν οὖν πρὸς τὴν ἰδίαν ἀρχὴν ἐξηγεῖσθαι τὴν σελήνην, τὰς δ' ὡς πρὸς τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος τροπήν, ἐν ὅλῳ μὲν τῷ ἐνιαυτῷ τὸν ἥλιον, ἐν ἑκάστῳ δὲ τῶν μηνῶν τὴν σελήνην. ἐκ δὲ τούτων συμβαίνει τὰς μὲν ἰσχυροτάτας μεταβολὰς εἶναι, τὰς ἰδίας ἑκάστῳ καθ' ἑβδομάδα δηλονότι γιγνομένας. οὐ μὴν, ἀλλὰ καὶ συνεπιμίγνυσθαί πως αὐταῖς, τὰς ἐκ τοῦ περιέχοντος, ὥστ' εἰκότως ἐκ τοῦ διὰ παντὸς ὡσαύτως γίνεσθαι, μεταπίπτουσιν οὕτως εἰς τὸ πλειστάκις. ἔτι δὲ μᾶλλον ἐπιταράττει τὴν τάξιν αὐτῶν, ἥ τε βία τῶν παροξυσμῶν ἀναγκάζουσα προεκρήγνυσθαι τὰς κρίσεις, ὡς ἐφεξῆς ἐροῦμεν, ἥ τ' εἰς τοὺς νοσοῦντας πλημμέλεια πολυειδὴς γινομένη, αὐτῶν παρά τε τῶν ἰατρῶν. εἴ γε χρὴ καλεῖν ἰατρούς, οὐ λυμεῶνας τῆς τέχνης· τούτους δὴ τοὺς νῦν ἐπιπολάζοντας, οὐχ ἥκιστα δὲ κἀξ ὧν οἱ κάμνοντες ἁμαρτάνουσιν, καὶ διὰ τὴν ὑπηρεσίαν δ' ἐνίοτε, καὶ διά τι τῶν ἔξωθεν, καὶ πρόσθεν εἴρηται. θαυμάζειν οὖν χρὴ τῶν ἑβδομαδικῶν περιόδων τὴν δύναμιν, εἰ τοσούτων αἰτιῶν διακοπτόντων αὐτάς, ὅμως ἐπικρατέστεραι πολὺ τῶν ἄλλων εὑρίσκονται. κατὰ μὲν τὰς ὀξείας νόσους, αἱ παρεμπίπτουσαι κρίσιμοι πλείους εἰσίν, ὅτι καὶ τὸ σῶμα πρὸς μεταβολὴν ἐπιτήδειον, ἐν κινήσει τε, καὶ ταραχῇ μεγάλῃ καθεστηκός. ἐν δὲ ταῖς χρονιωτέραις, ὁδῷ καὶ τάξει μᾶλλον πρόεισιν ἡ τῶν ἑβδομάδων περίοδος.

CAPVT VIII.

Primum diem inter iudicatorios non enumerari; & quæ cauſa dierum coincidentium.

QVapropter ab acutis denuo incipiamus omnium cōſequenter decernentium dierū cauſas inueſtigantes. Iam quidē in primo febres diarias ſolui cōtingit, non tamen iam cum certamine, & perturbatione effatu digna; quanquam nonnulli Hippocratē quoq; dies decretorios in epidemiõn primo enumerantē, & primi meminiſſe putāt, duplici nomine errantes. Circuitus enim primus, & non dies primus, manifeſtò ſcriptus eſt in parium, impariumque dierū catalogo. Quemadmodū igitur in parium enumeratione primū circuitū præfatus, quartū diem inducit; ita in mentione imparium, tertium. Adhuc verò magis ignorant, quod ſtatim initio prognoſtici ſcriptum eſt de facie cadauerosa. Quòd ſi ob huiuſmodi cauſas hæc faciei ſpecies orta eſt, vna die nocteq; iudicatur, non intelligētes loco verbi, probatur & cognoſcitur, dictū eſſe. Hos igitur miſſos faciamus. Principium autē dierū, qui cum agitatione quadam acutè morbos mutant, tertium à principio ſtatuere oportet, veluti prius etiam dictum eſt; qui nullam iam cum prima ſeptimana communionem habet, ſed ex coincidentibus exiſtit. Siquidem quaternarius,

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τὴν πρώτην ἡμέραν οὐ γράφεσθαι ἐν τῷ καταλόγῳ τῶν κρισίμων ἡμερῶν· καὶ τίς ἐστιν ἡ τῶν παρεμπιπτουσῶν αἰτία.

ΑΡκτέον οὖν αὖθις ἀπὸ τῶν ὀξέων ἁπασῶν, ἐφεξῆς τῶν κρινουσῶν ἡμερῶν τὰς αἰτίας ἐξηγουμένους. ἐν μὲν δὴ τῇ πρώτῃ, τοὺς ἐφημέρους λύεσθαι συμβαίνει πυρετούς, οὐ μὴν ἤδη μετ' ἀγῶνός τε, καὶ ταραχῆς ἀξιολόγου. καί τοι νομίζουσιν ἔνιοι, καὶ Ἱπποκράτην τὰς κρινούσας ἡμέρας ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν καταλέγοντα, καὶ τῆς πρώτης μεμνημονευκέναι, κατὰ διττὸν τρόπον ἁμαρτάνοντες. περίοδος γὰρ πρώτη, καὶ οὐχ ἡμέρα πρώτη γέγραπται σαφῶς, ἐν τῷ τῶν περιττῶν, καὶ ἀρτίων καταλόγῳ. καθάπερ οὖν ἐν τῷ τῶν ἀρτίων περίοδον πρώτην εἰπών, ἐπιφέρει τὴν τετάρτην ἡμέραν, οὕτως ἐν τῷ τῶν περιττῶν τὴν τρίτην. ἔτι δὲ μᾶλλον ἀγνοοῦσιν, τὸ κατ' ἀρχὰς τοῦ προγνωστικοῦ γεγραμμένον ἐπὶ τοῦ νεκρώδους προσώπου, τὸ κρίνεται ἐν ἡμέρῃ καὶ νυκτί, ἢν διὰ ταύτας τὰς προφάσιας, τὸ πρόσωπον τοιοῦτον ᾖ, μή πω γινώσκοντες, ὡς ἐπὶ τοῦ δοκιμάζεται, καὶ ἀναγνωρίζεται, λέλεκται. τούτους μὲν οὖν ἐατέον. ἀρχὴν δὲ τῶν μετὰ σάλου τινὸς ἀλλοιουσῶν ὀξέως τὰς νόσους ἡμερῶν, τὴν τρίτην ἀπὸ τῆς ἀρχῆς θετέον, ὡς καὶ πρόσθεν εἴρηται, μηδεμίαν ἔχουσαν ἤδη πρὸς τὴν πρώτην ἑβδομάδα κοινωνίαν, ἀλλ' ἐκ τῶν παρεμπιπτουσῶν ὑπάρχουσαν. ἡ μὲν γὰρ τετράς,

ὅτι διχῇ τμηθείσης τῆς ἑβδομάδος ἀποτελεῖται, καὶ διὰ τοῦτο μεγάλην ἔχει δύναμιν, ἔμπροσθεν εἴρηται. κρίνουσι δ' οὐχ ἧττον τῆς τετάρτης ἡμέρας, ἥ γ'. τε καὶ ε'. καί τοι παρεμπίπτουσι δι' οὐδὲν ἄλλο, ἢ ὅτι μετὰ τῶν παροξυσμῶν αἱ κρίσεις γίνονται. τοῦτο γὰρ δὴ καὶ αὐτὸ πρός τε τῆς ἐμπειρίας μαρτυρεῖται. καὶ τῷ λόγῳ σκοπουμένοις, οὐκ ἄδηλος ἡ αἰτία. τὸ γὰρ τῆς ταραχῆς βίαιον, ἀναγκάζει τὴν φύσιν ἀποτρίβεσθαι τὰ λυποῦντα, καὶ πρὸ τοῦ καιροῦ. δύναμις μὲν γάρ ἐστιν αὕτη τῶν ἀλλοτρίων ἐκκριτική, καθότι δέδεικται πρότερον ἐν τοῖς τῶν φυσικῶν δυνάμεων ὑπομνήμασιν. ὁ καιρὸς δὲ τῆς ἐνεργείας ἐπὶ τῷ τέλει τῆς ἀλλοιωτικῆς δυνάμεώς ἐστι. τότε γὰρ ἐνεργεῖν ἐδείκνυτο κατὰ φύσιν ἁπάντων ἐπιτελουμένων, ὅταν ἐκείνη παύηται, ἀλλ' ἀναγκάζηταί ποτε πρὸ τῆς τελείας πέψεως ἀποτρίβεσθαι τὰ λυποῦντα. ὥσπερ ἐνίοτε συμπεπληρωμένης ἤδη τῆς πέψεως, ἔτι μένει καὶ βραδύνει δι' ἀρρωστίαν. ἄμφω δ' ἐστὶν αὐτὰ θεάσασθαι σαφῶς ἐπὶ τῆς γαστρός. ἐρεθισθεῖσά τε γὰρ, οὐχ ὑπομένει τὸν τῆς πέψεως χρόνον, ἀλλ' εὐθὺς ἐκκρίνει σὺν τῷ λυποῦντι, καὶ τὸ χρηστὸν, ἤδη τε πεπεμμένον αὐτάρκως, ἐνίοτε βραδύνει τε, καὶ μέλλει τὸ περιττὸν ἐκκρῖναι δι' ἀρρωστίαν. ἐν δέ γε τῷ κατὰ φύσιν ἔχειν, ὁ τῆς παντελοῦς πέψεως καιρὸς, ὅρος ἐστὶν αὐτῆς τῆς τῶν περιττωμάτων ἀποκρίσεως, ὃν οὔτε προελάμβανεν, οὔτ' ἔμελλεν ἔτι παρόντος, ἀλλ' ὡς ἐπὶ τῆς γαστρὸς, οὕτω καθ' ὅλον ἐδείκνυτο τὸ σῶμα δύναμις ὑπάρχειν ἐν ἑκάστῳ τῶν μορίων, ἀποκριτικὴ τῶν ἀλλοτρίων, ἥ τις οἶμαι, καὶ τὰς κρίσεις ἐν ταῖς νόσοις ἀπεργάζεται, καὶ διὰ τοῦτο ἄρισται γίνονται κρίσεις, ὅταν ἤδη πεπεμμένα τὰ κατὰ τὸ ζῶον ὑπάρχῃ πάντα. τὸ δὲ προεκρήγνυσθαι, καὶ γὰρ οὕτως ὀνομάζειν εἴωθεν Ἱπποκράτης, αὐτὸ μοχθηρόν ἐστιν. ὁμοῦ γὰρ τοῖς λυποῦσιν ἐκκρίνεται τὰ χρηστὰ, καὶ γίνεται τοῦτο τῆς φύσεως ἐρεθισθείσης, ἤτοι πρός τινος τῶν ἔξωθεν, ἢ καὶ τῶν ἐν αὐτῷ τῷ σώματι ἐμπεριεχομένων. ἔξωθεν μὲν οὖν ἐστιν ὅ,τ' ἰατρὸς οὐκ ὀρθῶς τι πράξας, ὅ,τε κάμνων, οἵ θ' ὑπηρέται, τά τ' ἄλλα τὰ ἰδίως ἔξωθεν ὀνομαζόμενα. τὰ δ' ἐν τῷ σώματι, τά τε νοσήματά ἐστιν αὐτὰ, καὶ τὰ τούτων αἴτια, καὶ οἱ παροξυσμοί. νόησον δή μοι τοιοῦτόν τι συμβαῖνον ἐπὶ τῆς φύσεως, οἷον ἤδη συνέπεσεν ἀνθρώποις ἀσθενέσι, προσπλακεῖσιν ὑπό τινων ἰσχυροτέρων ἐξορμῆσαι πρὸ τοῦ δέοντος, ἀπαρασκευάστοις τε μαχομένοις ἡττηθῆναι. καὶ μὴν καὶ φορτίον ἀποθέσθαι τις βουλόμενος, ἄκων ἐνίοτε συγκατέπεσεν αὐτῷ, καί τις σφοδρότερον θέων, εἶτ' οὐκ ἐπισχεῖν ἑαυτὸν δυνηθεὶς, ἄκων ἠνέχθη κατὰ φάραγγος. ἅπαντα ταῦτα παραδείγματα κακῶν ἐστι κρίσεων, ὑπὲρ ὧν ἐπὶ πλέον μὲν ἐν τοῖς περὶ κρίσεων ἐροῦμεν. εἰρήσεται δὲ καὶ νῦν ἀναγκαῖον, οἷόν τι καὶ τῷ προεκρήγνυσθαι βούλεται δηλοῦν ὁ Ἱπποκράτης, ἐξηγήσασθαί μου προελομένου. καὶ γὰρ ἀδύνατόν ἐστι, περὶ κρισίμων ἡμερῶν ἐπιχειρήσαντά τι διέρχεσθαι, μὴ καὶ περὶ κρίσεως εἰπεῖν τι, ἢ καὶ περὶ κρίσεως διδάσκοντα, μὴ καὶ περὶ κρισίμων ἡμερῶν διελθεῖν, ἀλλ' ἐπανάγειν χρὴ τὸν λόγον ἐπὶ τὸ προκείμενον ἀεὶ, καὶ τοσοῦτον ἅπτεσθαι τῶν παρακειμένων ὅσον ἀναγκαῖον. ἓν δή τι τῶν ἐρεθιζόντων τὴν φύσιν ἐστὶν, καὶ οἷον προπηλακιζόντων ὁ παροξυσμὸς, οὐκ ἐπιτρέπων ἡσυχάζειν οὐδὲ μένειν, ἀλλ' ἐπεγείρων τε, καὶ κινῶν, καὶ ὡς ἂν εἴποι τις εἰς διαμάχην προκαλούμενος. ὅθεν ἐπὶ τῶν ὀξέων νοσημάτων ἐν περιτταῖς ἡμέραις ἡ κρίσις. οὕτω γὰρ καὶ παροξύνεται. τίς μὲν οὖν ἐστιν ἡ αἰτία, δι' ἣν ἐν τοῖς ὀξέσι νοσήμασι, διὰ τρίτης οἱ παροξυσμοὶ γίνονται τοὐπίπαν, ἐν δὲ τοῖς γε χρονίοις, ἤτοι καθ' ἑκάστην ἡμέραν,

quòd septimana in duas partes secta absoluitur, ideóque permagnam facultatem obtinet, in priore sermone dictus est. Tertius vero, & quintus dies, non minus iudicant quàm quartus, quamuis coincidant nulla alia ratione, quàm quòd cum accessionibus, crises fiunt. hoc enim ipsum & ab experientia testimonium habet; & ratione contemplantibus non obscura eius causa est. Nam perturbationis violentia naturam ea, quæ molestat, etiam ante tempus propulsare compellit; quippe virtus ipsa est aliorum expultrix; quemadmodum in opere de naturalibus facultatibus antea demonstratum est. Tempus autem actionis post finem alteratricis facultatis est; tunc enim functionem obire omnibus secundum naturam absolutis, ostendebatur quum illa ab actione destiterit. Verùm ante perfectam coctionem interim, quæ offendunt, amoliri cogitur; vt interdum concoctione iam absoluta, moratur adhuc, & lentè propter imbecillitatem munus subit. Vtrunque autem in ventriculo clarè licet contemplari; instigatus enim, concoctionis tempus non expectat, sed protinus etiam vtile cum eo, quod molestat, excernit; & vbi iam satis concoxerit, interdum cunctanter superfluum, imbecillitatis vitio, expellit. At quum secundum naturam se habet, perfectæ concoctionis tempus, ipsius recrementorum expulsionis terminus est. quæ neque præuertit, neque præsentem adhuc moratur. Cæterùm, vt in ventriculo, sic in singulis totius corporis partibus alienorum expultrix facultas esse ostendebatur; quæ meo sanè iudicio, & crises in morbis efficit; atque propterea optimæ fiunt crises quum iam omnia in animantis corpore concocta fuerint. Præuenire autem crisim, sic enim Hippocrates appellare consueuit, malum est; nam vtilia simul cum iis quæ lædunt, excernuntur; fitque hoc natura incitata vel ab exteriore quodam, vel ab iis quæ in ipso corpore continentur. Extrinsecus igitur est medicus, qui parum rectè quippiam fecerit æger, famuli, atque alia, quæ propriè exteriora nominantur, in ipso autem corpore sunt morbi ipsi, eorumque causæ, & accessiones. Considera iam mihi tale quid in natura accidisse, quod hominibus infirmis contigit; qui à fortioribus quibusdam intempestiuè ad congressum irritati, imparati, pugnando superantur. Quinetiam onus deponere quis volens, interim vel inuitus cum eo cōcidit. Item vehementius quis currens, deinde se ipsum retinere nequiens, inuitus in conuallem delatus est. Omnia hæc exempla sunt malarum criseωn; de quibus in opere de crisibus copiosius dicturi sumus. Sed nunc quoque necessarium dicetur, quum instituerim, quidnam verbo προεκρήγνυσθαι Hippocrates sibi velit, interpretari. Etenim fieri non potest, vt qui de diebus decretoriis quippiam referre aggressus sit, nihil de crisi etiam dicat; vel qui de crisi doceat, non etiam de diebus decretoriis verba faciat. Verùm sermo ad propositam institutionem semper reuocandus est; & tantam adhærentium mentionem facere oportet, quanta necessaria esse videtur. Vnum iam ex illis, quæ naturam stimulant, & veluti prouocat, accessio est, nullam quietem, nec moram concedens, verùm incitans mouensque, & veluti dixeris, pugnam indicens. Vnde acutorum morborum in diebus imparibus iudicium contingit; in his enim & accessiones sunt. Quæ igitur causa sit, ob quam in acutis morbis tertio quoque die plurimùm accessiones fiant, in longis autem, vel quotidie,

vel

vel quarto quoque die, non prõptum est inuenire, nec in præsentia disquirere necessarium, quòd verò sic eueniunt, apparet; & ad præsentia rationem ex principio habet; si enim ponamus, vt etiam apparet, secunda ab initio accessio, ad tertium diem delabetur, tertia ad quintum, quarta ad septimum, quinta ad nonum; omnes autem in impares incidunt. Quum ergo natura non conuenienti semper tempore de morbis decernat, sed concitata plerunque alias ab aliis causis, à quibus accessio in morbis acutis maximè continua redditur (ostensa verò est in impares incidere) in imparibus acutorum morborum plurima iudicia fieri ratio est. Non quòd dies ipsi primariam decernendi virtutem habeant (semper enim huic animum adhibere oportet) sed quia per accidens aliquod sic eueniat. Prædixi autem, opinor, manifesto iam hoc accidens; siquidem ratione, qua morborum iudicia frequentissimè in accessionibus accidunt, hæ autem in dies impares incidunt, eadem in morbis acutis imparibus diebus crises contingunt. At si dierum numerus ipse decernendi facultatem haberet, non frequenter diebus imparibus, rarò paribus, verùm perpetuò imparibus, nunquam paribus, de acutis morbis iudicium fieri oporteret. Neque enim septimi, vel quarti numerus, crisis author est; sed quòd Luna in nouante, & immutante terrena, motuum quoque circuitus ad hos principes numeros venire contingat, meritò in ipsis tanquam stata alterationum tempora inueniuntur. Quippe non à numeris, sed à Luna mutationes terrenis adueniunt; at quum in motu, mutans, consistat, tempus mutationibus necessariò coniunctũ est, quare etiam numerus necessariò. Non igitur, quòd omnis par numerus fœminam, impar masculum referat, acutorum iudicia imparibus diebus accidunt; neque enim impar absolutè pari fortior est; neque si fortior, iam fœmininus imbecillior; neque si fœmininus quidem hic, masculus autem alter sit, acutos morbos in masculis numeris iudicari, diuturnos in fœmininis, rationi consentaneum est. Omnia siquidem, quæ de numerorum virtute nugantur, tam facilè absurda esse deprehendimus, vt mihi subinde mirari subeat, An Pythagoras ille ita, & simul sapiens esset vir, & simul tantum posse numeros existimaret. Atque nunc aduersus ipsos etiam nobis nugari non vacat; nam satis est ad rem institutam terrena Lunam alterare, & in septimanis potissimum magnas parere mutationes; post in quaternariis exiguas; ad hæc crisim accessione plurimum indigere; item accessiones tertio quoque die in morbis acutis euenire; his etenim positis acutos morbos in imparibus diebus magis ad iudicium tendere necessitas erit. Huius rei gratia tertius & quintus meritò decernunt, non ex lunari circuitu decernendi potentiam sortiti, sed vel quòd violentiam accessionis tertius crisim quarto die futuram præuertat; vel & per Iouem, quòd natura, dum quarto die lassa nec incitata conquiescit, quinto ad iudicium commoueatur; nam hic, quàm verè decretorius, magis paulò tardare videtur; tertius paulo magis anticipare conspicitur; atque ambo crisim obtinuisse, quòd vicini ambo verè decretorio, accessiones susceperint. Iam verò & nonus inter duos decretorios septimum, & vndecimum, medius, vel non factum in septimo die iudicium, vel vndecimo futurum, ipse sibi vendicat; rarius quidem septimi, sæpe vndecimi, crisim assumit.

A ἢ διὰ δʹ. οὐκ εὐπετές ἐστιν εὑρεῖν, οὔτε νῦν ἀναγκαῖόν ἐστι ζητεῖν. ὅτι δ' οὕτως συμβαίνει, φαίνεται καὶ πρὸς τὰ παρόντα λόγον ἀρχῆς ἔχει. κειμένων γὰρ, ὥσπερ καὶ φαίνεται, ὁ δεύτερος ἀπὸ τῆς ἀρχῆς παροξυσμὸς εἰς τὴν τρίτην ἡμέραν ἐκπεσεῖται, τρίτος δ' εἰς τὴν πέμπτην, τέταρτος δ' εἰς τὴν ζʹ. πέμπτος δ' εἰς τὴν θʹ. εἰς περιττὰς δὲ σύμπαντες. ἐπεὶ τοίνυν ἡ φύσις, οὐκ ἀεὶ τοῖς προσήκουσι καιροῖς ἐξορμῶσα κρίνει τὰς νόσους, ἀλλ' ἐρεθιζομένη πολλάκις ἄλλοτε πρὸς ἄλλων αἰτίων, ἀφ' ὧν ἐστι συνεχέστατα γινόμενος ἐν τοῖς ὀξέσι νοσήμασιν ὁ παροξυσμός. ἐδείχθη δ' οὗτος εἰς περιττὰς ἐμπίπτων, εὐλόγως ἐν περιτταῖς αἱ πλεῖσται κρίσεις B γίνονται τῶν ὀξέων νοσημάτων, οὐκ αὐτῶν τῶν ἡμερῶν πρώτως τὴν τοῦ κρίνειν ἐχουσῶν δύναμιν. ἀεὶ γὰρ τούτῳ χρὴ προσέχειν τὸν νοῦν, ἀλλὰ κατά τι συμβεβηκὸς οὕτως ἀπαντῶντος. προείρηται δὲ, ὡς οἶμαι, σαφῶς ἤδη τὸ συμβεβηκὸς τοῦτο. διότι γὰρ ἐν παροξυσμοῖς αἱ κρίσεις τῶν νοσημάτων γίνονται τοὐπίπαν, εἰς τὰς περιττὰς δ' ἡμέρας ἐμπίπτουσιν οὗτοι, διὰ τοῦτο ἐν τοῖς ὀξέσι νοσήμασιν, αἱ κρίσεις ἐν περιτταῖς. εἰ δέ γε ὁ τῶν ἡμερῶν ἀριθμὸς ἦν αὐτὸς, ὁ τὴν δύναμιν ἔχων τοῦ κρίνειν, οὐκ ἐχρῆν πολλάκις μὲν ἐν ταῖς περιτταῖς, ὀλιγάκις δ' ἐν ταῖς ἀρτίαις, ἀλλὰ διὰ παντὸς μὲν ἐν ταῖς περιτταῖς, μηδέποτε δ' ἐν ταῖς ἀρτίαις κρίνεσθαι C τὰς ὀξείας νόσους. οὐδὲ γὰρ ὁ τῆς ζʹ. ἀριθμὸς, ἢ ὁ τῆς δʹ. αἴτιοι τῆς κρίσεώς εἰσιν, ἀλλ' ὅτι τῆς σελήνης νεωτεροποιούσης καὶ μεταβαλλούσης τὰ περὶ τὴν γῆν συμβέβηκε, καὶ τὰς τῶν κινήσεων περιόδους εἰς τούτους πρώτους ἥκειν τοὺς ἀριθμούς, εἰκότως ἐν αὐταῖς αἱ προθεσμίαι τῶν ἀλλοιώσεων εὑρίσκονται. οὐ γὰρ ὑπὸ τῶν ἀριθμῶν, ἀλλ' ὑπὸ τῆς σελήνης αἱ μεταβολαὶ τοῖς ἐπιγείοις. τῷ δ' εἶναι τὸ μεταβάλλον ἐν κινήσει, χρόνος ἀναγκαίως ἔζευκται ταῖς μεταβολαῖς, ὥστε ἐξ ἀνάγκης καὶ ὁ ἀριθμός. οὔκουν ὅτι θῆλυς μὲν ὁ ἄρτιος ἅπας ἀριθμὸς, ἄρρην δ' ὁ περιττὸς, αἱ κρίσεις τῶν ὀξέων ἐν περιτταῖς· οὔτε γὰρ ἁπλῶς ἰσχυρότερος ὁ περιττὸς τοῦ D ἀρτίου, οὔτ' εἴπερ ἰσχυρότερος ἤδη θῆλυς ὁ ἀσθενέστερος, οὔτ' εἰ θῆλυς μὲν οὗτος, ἄρσην δ' ὁ ἕτερος, εὔλογον ἐν μὲν τοῖς ἄρρεσιν ἀριθμοῖς, τὰς ὀξείας κρίνεσθαι νόσους· ἐν δὲ ταῖς θήλεσι, τὰς χρονίας. ἅπαντα γὰρ ὅσα ληροῦσιν ὑπὲρ ἀριθμῶν δυνάμεως, οὕτως εὐφώρατον ἔχει τὴν ἀτοπίαν, ὥστε μοί γε πολλάκις θαυμάζειν ἐπῆλθεν, εἰ οὕτως ὁ Πυθαγόρας ἐκεῖνος ἅμα τε σοφὸς ἦν ἀνὴρ, ἅμα τε τοσοῦτον ᾤετο δύνασθαι τοὺς ἀριθμούς. ἀλλ' οὐ νῦν καιρὸς ἀντιφλυαρεῖν αὐτοῖς. ἱκανὸν γὰρ εἰς τὰ παρόντα, τό τε τὴν σελήνην ἀλλοιοῦν τὰ περίγεια, καὶ μάλιστα μὲν καθ' ἑβδομάδα τὰς μεγάλας ἐργάζεσθαι μεταβολάς. ἐφεξῆς δ' αὐτῶν E κατὰ τετράδα τὰς μικρὰς, ὅτι τε παροξυσμοῦ δεῖται τοὐπίπαν ἡ κρίσις, ὅτι τε διὰ τρίτης ἐν τοῖς ὀξέσιν οἱ παροξυσμοί. τούτων γὰρ ὑποκειμένων, ἀναγκαῖον ἔσται τὰς ὀξείας νόσους ἐν περιτταῖς μᾶλλον ἡμέραις κρίνεσθαι. διὰ τοῦτο οὖν ἡ τρίτη τε, καὶ ἡ εʹ. κρίνουσιν εὐλόγως, οὐκ ἐκ τῆς σεληνιακῆς περιόδου λαβοῦσαι τὸ κρίνειν, ἀλλ' ἤτοι τὴν μέλλουσαν ἐν τῇ δʹ. κρίσιν ἀπολυτήσεσθαι, τῆς τρίτης προλαβούσης τῇ βίᾳ τοῦ παροξυσμοῦ, εἰ καὶ νὴ Δία τῆς φύσεως ὑπὸ καμάτου τε ἅμα, καὶ τοῦ μὴ βιάζεσθαι, κατὰ μὲν τὴν δʹ. ἡμέραν ἡσυχίαν ἀγούσης, κινηθείσης δ' ἐπὶ τὴν κρίσιν ἐν τῇ εʹ. φαίνεται γὰρ αὕτη μὲν ὀλίγον ὑστερίζειν τοῦ ὄντως κρισίμου. F προλαμβάνειν δ' ὀλίγον ἡ τρίτη, καὶ τὸ κρίνειν ἐσχηκέναι, διότι πλησίον ἦσαν τοῦ ὄντως κρισίμου, τοὺς παροξυσμοὺς ἐδέξαντο. καὶ γὰρ οὖν, καὶ ἡ θʹ. τῶν ἡμερῶν, ἐν τῷ μέσῳ τεταγμένη δύο κρισίμων, ἑβδόμης τε καὶ ιαʹ. ἤτοι τὴν οὐ γεγενημένην ἐπὶ τῆς ζʹ. ἡμέρας κρίσιν, ἢ τὴν ἐπὶ τῆς ιαʹ. ἐσομένην αὐτὴ σφετερίζεται κρίσιν· σπανιώτερον μὲν τὴν τῆς ζʹ. πολλάκις δὲ τὴν τῆς ιαʹ.

ἡ μὲν γὰρ ἰδία τῆς ἑβδόμης ἡμέρας κρίσις, οὐκ ἂν εἰς τὴν θ'. ποτ' ἀφίκοιτο μὴ πολλῶν ἁμαρτηθέντων· δειχθήσεται δὲ τοῦτο ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασιν· ἡ δὲ τῆς ια'. ἔμπαλιν, ὅταν ἀκριβῶς τε πάντα πραχθῇ, καὶ βίαιος ὁ τῆς ἐννάτης ἡμέρας γένηται παροξυσμός. ἀπόδειξις δ' ἐναργεστάτη τοῦ διὰ τὰς σφοδρότητας τῶν παροξυσμῶν, τὰς τοιαύτας παρεμπίπτειν ἡμέρας, τὸ μηκέθ' ὁμοίως ἐπὶ παρηκόντων γίνεσθαι τῶν νοσημάτων· ὡς γὰρ καὶ τὰ τῆς σφοδρότητος, οὕτω καὶ τὰ τοῦ πλήθους ἐκλύεται τῶν παρεμπιπτουσῶν ἡμερῶν. οὕτω δὲ δή τι βίαιον ἔχει σφοδρότης παροξυσμοῦ πρὸς κρίσιν, ὥστ' ἐν ἁπάσαις σχεδὸν ταῖς ἡμέραις ἐστὶν ἰδεῖν κρινόμενα τὰ κατόξεα νοσήματα· τό τε γὰρ πέρας αὐτῶν ἡ ζ'. τῶν ἡμερῶν ἐστι, κρίνειν δή που πεφυκυῖα, καὶ πρὸ ταύτης οὐχ ἡ δ'. μόνον, ἀλλὰ καὶ ἡ γ'. καὶ ἡ ε'. καὶ ἡ ς'. δέχονταί ποτε κρίσεις. ἐζήτηται δ', ὡς ἐλέγετο, καὶ περὶ τῆς α'. εἰ κρίνει. λοιπὴ τοίνυν ἡ δευτέρα, βεβαίως τοῦ κρίνειν ἐκπέπτωκεν. ἔστω δ' εἰ βούλει, καὶ ἡ α'. ἀλλὰ καὶ ἡ τρίτη γε καὶ δ'. καὶ ε'. καὶ ς'. καὶ ζ'. κρίνουσιν ἅπασαι. καὶ πᾶσαι αἱ μετὰ τὴν ἀρχὴν τοῦ νοσήματος ἐν τοῖς κατόξεσιν ἡμέραι κρίνουσαι φαίνονται, διὰ τὴν σφοδρότητα τῶν παροξυσμῶν. καὶ γὰρ οὖν καὶ ἡ ς'. τῶν ἡμερῶν, οὔτ' ἐκ τῶν κατὰ περίοδον οὖσα κρισίμων, οὔτ' ἐν ἀριθμῷ περιττῷ, διὰ τοῦτο καὶ αὕτη δέχεται κρίσεις παμπόλλας, ὅτι τῆς ὑστάτης τῶν κατοξέων ἐντός ἐστιν. ἅπαντα δὲ τὰ τοιαῦτα, δυοῖν θάτερον, ἢ συνόχον ἔχει τὸν πυρετόν, οὕτω δ' ὀνομάζουσι τὸν ἀπὸ τῆς πρώτης συστάσεως, ἄχρι τῆς κρίσεως ὁμότονον, ὡς εἴρηται, χωρὶς αἰσθητῆς παρακμῆς, ἢ εἰ καὶ σαφεῖς ἔχει τάς τε παρακμὰς, καὶ τοὺς παροξυσμοὺς, οὐ διὰ τρίτης μόνον ἔχει σαφεῖς, ἀλλὰ κἂν ταῖς μέσαις αὐτῶν, ὥσπερ καὶ ὁ ἡμιτριταῖος. ἡ μὲν οὖν πρώτη διαφορὰ τῶν κατοξέων, οἷον εἷς τίς ἐστι παροξυσμὸς, ὥστ' οὐδὲν ὅσον γε ἐπὶ τῷ παροξυσμῷ πλεονεκτήσουσιν, αἱ περιτταὶ τῶν ἀρτίων, ὁμοίου τε τοῦ πυρετοῦ κατὰ πάσας τὰς ἡμέρας ὑπάρχοντος. ἡ δευτέρα δὲ, κἂν διὰ τρίτης ἔχῃ τοὺς μεγάλους παροξυσμοὺς, καὶ τὰς οἷον ἀρχὰς τῶν περιόδων, ἀλλ' ἥ γε μέση τηλικοῦτον καὶ αὕτη φέρει πολλάκις ἐν τοῖς κατόξεσι τὸν παροξυσμὸν, ὡς τῶν ἐν ἄλλοις τισὶ νοσήμασι μεγάλων παροξυσμῶν μηδὲν ἀποδεῖν. ὅταν οὖν ἐπείγηται μὲν, ὡς ἐπὶ τὴν ἑβδόμην τὸ νόσημα, καὶ κατὰ τὸν ἑαυτοῦ λόγον ἐν ταύτῃ κριθήσεσθαι μέλλῃ· τὸ δὲ μέγεθος τοῦ μέσου παροξυσμοῦ, καταναγκάσῃ τὴν φύσιν ἐξορμῆσαι πρὸς τὴν κρίσιν, οὐ περιμείνασαν τὸν οἰκεῖον καιρὸν· ἢ καί τι προσγένηται τῶν ἔξωθεν ἐρεθιζόντων αὐτὴν, οὕτως ἡ κρίσις ἐν τῇ ς'. προεκρήγνυται. αὕτη μὲν οὖν τοσούτῳ χείρων ἐστὶ τῆς ἐσομένης ἐπὶ τῆς ζ'. ὅσῳ καὶ φθάνει. χείριστη δὲ κρίσις ἡ ἑκταία καθ' ἕτερον γάρ τρόπον, ὃν ἐπὶ πλέον μὲν ἐν τοῖς περὶ κρίσεων ἐροῦμεν, ἐκείνης γάρ ἐστι τῆς πραγματείας οἰκεῖον, ἀγαθὰς καὶ κακὰς διελέσθαι κρίσεις. ἐνταῦθα δὲ πρόκειται μόνον ὑπὲρ τῶν κρινουσῶν ἡμερῶν διελθεῖν. ἀλλ' ἐπειδὴ κατέστην ἅπαξ, τὰ περὶ τῆς ς'. ἡμέρας εἰπεῖν ἅπαντα, καὶ τοῦτ' ἔτι προσθήσω διὰ κεφαλαίων. εἰσβάλλει τινὰ νοσήματα, τὴν δευτέραν τῆς πρώτης ἔχοντα βαρυτέραν, καὶ τὴν δ'. τῆς γ'. καὶ ὅλους τοὺς παροξυσμοὺς ἐν ἀρτίοις, ὄντα μὲν, ὡς ἐν τοῖς περὶ κρίσεων ἀποδειχθήσεται, τῆς τῶν χρονίων φύσεως, φθάνοντα δ', ὡς ὀξέα κρίνεσθαι διὰ σφοδρότητα· ταῦτα καὶ δευτεραίους μὲν αἱρεῖ, καὶ τεταρταίους, ἑκταίους δὲ πλείστους. ἐπὶ μὲν γὰρ δὴ τῆς δευτέρας ἡμέρας, ἰσχύει πως ἡ φύσις ἔτι· κατὰ δὲ τὴν δ'. ἰσχύει μὲν ἔτι κἀπὶ ταύτης μᾶλλον, ἢ κατὰ τὴν ς'. ἀλλ' οὔπω διαγωνίζεσθαι τολμᾷ· κατὰ δὲ τὴν ς'. ἡ σφοδρότης τοῦ παροξυσμοῦ πολλάκις ἐκκαλεῖται μὲν αὐτὴν ἐπὶ τὸν ἀγῶνα.

A Etenim ſeptimi diei propria criſis, non ad nonum, modò pauci errores commiſſi ſint, vnquam perueniret; ſed hoc in libris de criſibus declarabimus; vndecimi verò è contrario, quum & exactè omnia geſta ſint, & violenta noni diei acceſſio inuadat. Porrò propter acceſſionum vehementias huiuſmodi coincidere dies clariſſimè demonſtratur, quòd videlicet in diuturnis morbis non ſimiliter euenit. Sicut enim acceſſionum vehementia, ita dierum quoque coincidentium numerus, in illis exoluitur: Adeò autem ſanè violenti quid habet vehementia acceſſionis ad criſim, vt in omnibus ferè diebus, peracutos morbos iudicari B videre liceat: nam vltimus ipſorum dies, qui eſt ſeptimus, iudicandi vim obtinet, & ante hunc non quartus modò ſed & tertius, & quintus, & ſextus criſes quandoque excipiunt. Quin & de primo, an decerneret, vt dicebatur, quæſitum eſt. Reliquus itaq; ſecundus ordine decretorio indubiè elapſus eſt; ſit autem, ſi vis, & primus; Sed tertius, quartus, quintus, ſextus, ſeptimus, omnes decernunt. Ac omnes dies poſt morbi principium in peracutis, propter acceſſionum vehementiam decernere videntur. Ergo ſextus etiam, etſi nec inter decretorios, qui circuitu conſtant, nec impari numero aſ- C cribatur, tamen & ipſe perſæpe decernit; quoniam intra peracutorum terminum continetur. Vniuerſi autem tales morbi, alterum duorum habent vel ſynochum febrem (ita enim appellant, quæ à prima conſtitutione eundem tenorem ſine manifeſta declinatione ad criſim vſq;, vti diximus, ſeruat) vel febrē aliam, quæ etſi manifeſtas habeat declinationes, & acceſſiones, nō tamē tertio quoq; die manifeſtas tantū habet, verū in ipſorū dierum quoque mediis, quemadmodum & ſemitertiana. Proinde prima peracutorū differentia, velut vna quædā eſt acceſſio; quamobrē nihil, quantū ad ac- D ceſſionem pertinet, impares paribus præſtabunt, quum febris ſingulis diebus æqualis exiſtat. Secūda, etſi per triduum magnas habeat acceſſiones, & veluti principia circuituum, tamen medius ipſorū dies tantā & ipſe in peracutis morbis acceſſionem frequēter affert, vt etiam magnis aliorū quorundā morborū acceſſionibus nihilo ſit inferior. Quū igitur morbus velut ad ſeptimū feſtinat, & ſecundū ipſius rationē in eodē iudicandus eſt; mediæ verò acceſſionis magnitudo naturā ad criſim ante ſuum tēpus venire cōpellit; vel extrinſecus aliquid euenit, ipſam irritās; ſic criſis ſexto die prærūpet. Atq; E hæc tanto peior eſt ea, quæ ſeptimo futura erat, quāto magis ipſam præuertit. Peſſima verò criſis ſecundū aliam rationē ſexto die accidit, quam in opere de criſibus plenius enarrabimus; quippe ad illud propriè pertinet bona malaq; iudicia diſtinguere: hic tantū de diebus decretoriis diſſerere ſtatuimus. Sed quia ſemel de ſexto die vniuerſa dicere parauimus, hoc quoq; adhuc ſummatim adiungemus. Inuadunt quidā morbi ſecundū diem primo grauiorē habētes, quartū tertio, & totas acceſſiones in diebus paribus; qui longorū quidē morborum naturam, quemadmodū in cōmentariis de criſibus oſtendemus, habent; iudicium tamen præ- F uertūt, vt acuti, propter acceſſionis vehemētiam; hi etiam in ſecundo die interficiunt, & quarto, ſed ſexto plurimos. Etenim in ſecūdo die natura quodammodo valida adhuc eſt; item in quarto adhuc valida magis quàm in ſexto, ſed nondum in certamen venire audet; at in ſexto acceſſionis vehementia frequenter eam ad certationem prouocat.

Quare

Quare alterum è duobus sustinet, vel in ea concidit, & priùs quàm quæ offendunt, excreuerit, extinguitur; vel plurimum ex eis propulsat, reliquum verò adhuc non potest, verùm imbecilla & defatigata prorsus cadit, & languida iacet. Deinde si quomodo postero tempore recreari ac refici potuerit, paulatim morbum concoquit; quòd si morbi reliquiæ eius robore maiores sint, tandiu æger superuiuet, quandiu natura adhuc sufficere potest; morietur tamen postea. Iam verò de diebus coincidentibus abundè dictum est.

CAPVT IX.

Cur vigesimus fortior vigesimoprimo; & quòd nec annus, nec menses, nec septimanæ integris diebus poßint numerari.

CVr autem & vigesimus & vigesimusprimus, multo magis vigesimus decernat, explicabo. Primùm quoniam huiusmodi morbus diuturnus iam est, ipsas accessiones dies pares excipiunt; deinde quòd septimana non integris septem diebus constet (veluti priùs expositum est) nouit hoc quoque Hippocrates. Quum enim dixisset in opere prognostico; *Hi ergo ex acutißimis morbis per quatuor in viginti ex additione perueniunt*; his subiungit: *Verùm huiusmodi supputatio per integros dies nimirum fieri non potest; quippe quum nec annus, nec menses ipsi integris diebus numerari poßint.* Vt igitur annus ad trecentos sexagintaquinq; dies particulā diei, maiorem quarta, adiectam habet; tum mensis ad triginta dies absoluendos vnius dimidium desiderat; sic & septimana, sexta maximè diei parte, vt septē integros habeat, indiget. Quamobrem fit vt tres septimanæ non vnum & viginti dies integros, sed minùs ferè tota dimidia parte vnius consequantur. Ob quod etiam numerum huiusmodi non magis viginti, quàm vni, & viginti diebus vicinum, vtrique parti conuenire videas. Nam quum totus lunaris circuitus septem & viginti diebus, & adhuc tertia vnius parte absoluatur, ideoque septimana quælibet septem diebus minus sextante constet, tres septimanæ viginti dies, & dimidium habebunt. Igitur vigesimus exactam periodum propinquam sibi vendicat, quoniam tales iam morbi diuturni euadent, & accessiones paribus diebus accipiunt; quorum verò accessiones in imparibus eueniunt, horum & iudicia ad vigesimumprimum delabuntur. Sed quoniam non solùm Lunæ circuitus, verùm & menstruum tempus apparititionis, virtutem quandam in nos possidet, vti prius docuimus; ipse etenim Signiferi circuitus accommodatissimus est vnicuique rei propriis principiis; menstruale verò tempus, quo Luna conspicitur, ambientem nos aërem immutans, omnibus ex æquo hominibus communem effectum ostendit. Demonstratum est autem & hoc tempus viginti, & septem dies propemodum continere; ideoque septimana eius minor adhuc prius dicta merito euadet. Siue enim à triginta, tres illos, qui circa coitionem sunt dies, in quibus nihil adhuc de aëre decernitur, auferre cogites; siue à vigintinouē, & dimidio, reliquum tēpus, quo Luna manifestum de se lumen præbet; priore modo septē & viginti dies, altero vigintisex & dimidium, habebit. Quoniam ergo mutationes corporibus nostris accidere diximus, quasdam proprias, quasdam communes;

A δυοῖν δὲ θάτερον, ἢ κατέπεσεν αὐτῇ, καὶ κατεσβέσθη πρὶν ἐκκρῖναι τὰ λυποῦντα, ἢ τὸ μὲν πλεῖστον αὐτῶν ἐξέκρινε· τὸ λοιπὸν δὲ οὐκ ἔτι ἴσχυσεν, ἀλλ' ὑπὸ ἀῤῥωστίας τε, καὶ καμάτου τελέως κατέπεσε, καὶ κεῖται πρηνὴς. εἶτ' εἰ μὲν ἐν τῷ μετὰ ταῦτα χρόνῳ δυνηθείη πως ἑαυτὴν ἀνακτήσασθαι, κατὰ βραχὺ πέττει τὴν νόσον. εἰ δὲ εἴη τὰ λείψανα τῆς νόσου μείζω τῆς κατ' αὐτὴν τόνου, τοσοῦτον ἐπιβιοῖ χρόνον ὁ τοιοῦτος ἄνθρωπος, ὅσον ἐξαρκεῖν ἡ φύσις ἔτι δύναται, τεθνήξεται δὲ μετὰ ταῦτα. περὶ μὲν δὴ τῶν περιεμπιπτουσῶν ἡμερῶν αὐτάρκως εἴρηται.

B

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Διὰ τί ἡ μὲν εἰκοστὴ ἰσχυροτέρα τῆς εἰκοστῆς πρώτης· καὶ ὅτι οὐδὲ ὁ ἐνιαυτός τε καὶ οἱ μῆνες, καὶ ἑβδομάδες ταῖς ἡμέραις ἀριθμεῖσθαι δύνανται.

ΔΙὰ τί δὲ ἄμφω κρίνουσιν ἥτε εἰκοστὴ καὶ εἰκοστὴ πρώτη· πολὺ δὲ μᾶλλον ἡ εἰκοστὴ, πρῶτον μὲν, ὅτι χρόνιον ἤδη τὸ τοιοῦτον νόσημα, καὶ τοὺς παροξυσμοὺς αἱ ἄρτιαι λαμβάνουσιν, εἶθ' ὅτι καὶ ἡ ἑβδομὰς οὐκ ἔστιν ὁλοκλήρων ἡμερῶν ἑπτὰ, καθότι καὶ πρόσθεν εἴρηται, καὶ τοῦτο C ἠπίστατο καὶ Ἱπποκράτης. εἰπὼν γὰρ ἐν τῷ προγνωστικῷ; αὗται μὲν οὖν διὰ τεσσάρων εἰς τὴν εἰκοστὴν, ἐκ προσθέσιος ἀφικνέονται. μετὰ ταῦτα ἐπιφέρει, οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τούτων ἀτρεκέως ἀριθμέεσθαι. οὐδὲ γὰρ ὁ ἐνιαυτός τε, καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμέεσθαι. ὡς οὖν ὁ ἐνιαυτὸς μὲν ἐπὶ ταῖς τριακοσίαις ἑξήκοντα πέντε ἡμέραις, ἐπικείμενον ἔχει μόριον ἡμέρας μεῖζον, ἢ τέταρτον, ὅ, τε μὴν, ἥμισυ τῆς μιᾶς ἡμέρας ἀπολείπεται τῆς τριακονθημέρου παρ' ἀρχὴν, οὕτως καὶ ἡ ἑβδομὰς, ἕκτῳ μάλιστα μέρει μιᾶς ἡμέρας ἀπολείπεται τὸ τέλεον παρ' ἀρχὴν ἡμερῶν ἑπτά. συμβαίνει τοιγαροῦν, οὐ μιᾶς καὶ εἴκοσιν ἡμερῶν γίνεσθαι D τὰς τρεῖς ἑβδομάδας ὁλοκλήρων, ἀλλὰ ἀπολείπεσθαι σχεδὸν ὅλῳ τῷ ἡμίσει μέρει τῆς μιᾶς ἡμέρας, καὶ διὰ τοῦτο ἐπαμφοτερίζειν τὸν ἀριθμὸν, οὐ μᾶλλον τι τῶν εἴκοσιν ἐγγὺς, ἢ τῶν ἑνὸς καὶ εἴκοσιν ὑπάρχοντα. τῆς γὰρ ὅλης σεληνιακῆς περιόδου ἑπτὰ καὶ εἴκοσι ἡμερῶν οὔσης, καὶ προσέτι τρίτου μέρους μιᾶς ἡμέρας, καὶ διὰ τοῦτο ἑκάστης ἑβδομάδος ἑπτὰ γινομένης ἡμερῶν ἀπολιπουσῶν ἕκτον, αἱ τρεῖς ἑβδομάδες ἡμερῶν εἴκοσιν, καὶ ἡμισείας ἔσονται. πλησίον οὖν ὑπάρχουσαν αὐτῇ τὴν ἀκριβῆ περίοδον, ἡ εἰκοστὴ σφετερίζεται τῷ χρονίζειν ἤδη τὰ τοιαῦτα νοσήματα, E καὶ τοὺς παροξυσμοὺς ἐν ἀρτίαις ἴσχειν. ὧν δὲ ἐν περιτταῖς οἱ παροξυσμοὶ, τούτων καὶ αἱ κρίσεις εἰς τὴν εἰκοστὴν πρώτην ἐμπίπτουσιν. ἐπεὶ δὲ οὐ μόνον ἡ περίοδος τῆς σελήνης, ἀλλὰ καὶ ὁ μηνιαῖος χρόνος ὁ τῆς φάσεως ἔχει τινὰ δύναμιν, ὡς ἐλέγομεν. αὕτη μὲν γὰρ ἡ κατὰ τὸν ζωδιακὸν περίοδος, οἰκειοτάτη ἐστὶ ταῖς ἰδίαις ἀρχαῖς ἑκάστου τῶν πραγμάτων· ὁ δὲ αὖ μηνιαῖος χρόνος, ὁ τῆς φάσεως ἀλλοιῶν τὸν περιέχοντα ἀέρα, κοινῇ πᾶσιν ἡμῖν διαφέρει. ἐδείχθη δὲ καὶ οὗτος, ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν, ὡς ἔγγιστα δεόντως. διὰ τοῦτ' εἰκότως ἡ ἑβδομὰς ἔτι μικροτέρα γενήσεται τῆς ἔμπροσθεν εἰρημένης. εἴ τε γὰρ ἀπὸ τῶν τριάκοντα βουληθείης F ἀφελεῖν τὰς τρεῖς ἐκείνας τὰς ἡμέρας τὰς περὶ σύνοδον, ἐν αἷς ἔτι ἄκριτον ἦν τὸ περιέχον, εἴτ' ἀπὸ τῶν κθ'. καὶ ἡμισείας ὁ λοιπὸς χρόνος, ἐν ᾧ σαφὲς ἔχει φῶς ἡ σελήνη, κατὰ μὲν τὸν πρότερον, ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν γενήσεται, κατὰ δὲ τὸν δεύτερον, εἴκοσι καὶ ἕξ, καὶ ἡμισείας. ἐπεὶ τοίνυν ἀλλοιώσεις ἔφαμεν γίνεσθαι τοῖς σώμασιν ἡμῶν, τὰς μὲν ἰδίας, τὰς δὲ κοινάς,

ἰδίας μὲν, ὡς πρὸς τὰς ἰδίας ἀρχὰς, κοινὰς δὲ τῷ συναπολαύειν τοῦ περιέχοντος. εἰς ταὐτὸν δὲ συμβαίνειν ἑκατέρας τῆς σελήνης τὰς περιόδους, καὶ βραχεῖ τινι λείπεσθαι τὰς κοινὰς τῶν ἰδίων. ἀφαιρεθήσεται δή τι καὶ κατὰ τοῦτο τοῦ τῆς ἑβδομάδος ἀριθμοῦ. συνεπιμιγνυμένης γὰρ τῆς κοινῆς τῇ ἰδίᾳ, καὶ οὔσης ὀλιγοχρονιωτέρας, ἀνάγκη καὶ κατὰ τοῦτο παραθραύεσθαί τι τοῦ τῆς ἑβδομάδος ἀριθμοῦ, καὶ οἷον ἐν μεθορίῳ γίγνεσθαί τινι τοῦ κοινοῦ, καὶ τοῦ ἰδίου. καλῶ δ' ἴδιον μὲν τὸν ἐκ τῆς ζωδιακῆς περιόδου γινόμενον, ἑκάστῳ γὰρ ἡμῶν αὐτὸς διαφέρει. κοινὸν δὲ τὸν ἐκ τῆς μηνιαίας, ὃν ὀλίγον ἔμπροσθεν ἔδειξα μηδ' ὅλως ὑπάρχειν ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν. ἐὰν γὰρ ἀπὸ μὲν τοῦ μηνιαίου χρόνου τοῦ ἀκριβοῦς, ὃς ἀπολείπεσθαι τῶν τριάκοντα ἡμερῶν ἡμίσει μάλιστα μιᾶς ἡμέρας ἐλέγετο, τὰς τρεῖς ἀφέλῃς ἡμέρας τὰς περὶ σύνοδον, αἱ λοιπαὶ δηλονότι τῶν ἑπτὰ καὶ εἴκοσι ἡμερῶν ἔσονται μείους ἡμίσει τῆς μιᾶς ἡμέρας. ἀλλ' ἔστιν οὗτος ὁ χρόνος ὁ διαιρούμενος εἰς τὰς ἑβδομάδας, οὐχ ὁ σύμπας μηνιαῖος. ὥσθ' ὁ κοινὸς χρόνος τῆς ἑβδομάδος, ὁ τοῦ περιέχοντος ἀλλοιωτικὸς, ἐλάττων ἔσται τοῦ καθ' ἕκαστον ἰδίου. δύνασθαι δὲ καὶ τοῦτον ἐλέγετο, καὶ διὰ τοῦτο παραθραύειν τι τοῦ χρόνου τῆς ἑτέρας ἑβδομάδος, ὥσθ' ὁ μέσος ἀμφοῖν, ὁ οἷον μικτὸς ἐξ αὐτῶν ἐπὶ πλέον ἀφαιρήσει τῆς ἑβδομάδος ἕκτου μέρους. τὸ μὲν οὖν ἀκριβὲς, ἢ τῆς μίξεως, ἢ τῆς ἀφαιρέσεως, ὁ θεὸς οἶδεν. ὅσον δὲ ἀνθρωπίνῳ στοχασμῷ συμβάλλειν ἐγχωρεῖ, πιθανώτερόν ἐστι μέσον ἀμφοῖν ποιῆσαι τὴν περίοδον τὴν ἐξ ἀμφοῖν κοινόν. ἐπεὶ τοίνυν ὁ μὲν τῆς φάσεως ἐστὶ τῆς ἐναργοῦς, καὶ δραστηρίου χρόνος εἴκοσιν ἓξ ἡμερῶν καὶ ἡμισείας, ὁ δὲ τῆς ζωδιακῆς περιόδου εἰκοσὸν, καὶ ἕβδομον, καὶ τρίτον· δῆλον, ὡς ὁ μέσος αὐτῶν κ΄. καὶ ϛ΄. ἡμερῶν ἔσται, καὶ προσέτι μάλιστα μορίου μιᾶς ἡμέρας ἡμίσεος τρίτον καὶ ιβ΄. συνθεὶς γὰρ ἀμφοτέρους τοὺς χρόνους, εἰ τὸ ἥμισυ λάβοις, εὑρήσεις τὸ μέσον. ἀλλ' οὗτος ὁ χρόνος ὁ μέσος ἀπολείπεται τῶν ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν, δωδεκάτῳ μάλιστα μέρει μιᾶς ἡμέρας. εἰ μέντοι τέμοις αὐτὸν εἰς τέτταρα, τὸν ἀκριβῆ χρόνον εὑρήσεις τῆς ἑβδομάδος, οὐχ ἕκτῳ μόνον μιᾶς ἡμέρας ἀπολειπόμενον, ἀλλ' ἔτι πλέον. λαμβανέσθω γὰρ τῶν κϛ΄. καὶ ἡμίσεος τρίτον, ιβ΄. τὸ τέταρτον μέρος. ἔσται δὲ χρόνος ἡμερῶν ϛ΄. ἡμίσεος πέμπτου, καὶ προσέτι μορίων ἄλλων ἐπικειμένων μικροτέρων, ἅπερ ἐστὶν ἑξηκοστὰ πρῶτα καὶ ἑκατοστὰ εἰκοστά· τὰ δεύτερα διακόσια δὴ καὶ τεσσαράκοντα. ὁ δ' αὐτὸς χρόνος, καὶ οὕτως ἂν λέγοιτο ἡμερῶν ἓξ, καὶ ἡμίσεος, καὶ ἕκτου καὶ εἰκοστοῦ τετάρτου, καὶ τεσσαρακοστοῦ ὀγδόου. ὁ δὲ τηλικοῦτος χρόνος, ἀπολείπεται τοῦ τῶν ἑπτὰ ἡμερῶν, τετάρτῳ μέρει μιᾶς ἡμέρας, καὶ ἔτι πρὸς τὸν ἀκριβῆ λόγον ἑξηκοστῷ τε καὶ ἑκατοστῷ εἰκοστῷ, καὶ σμ΄. καὶ τούτων οὕτως ἐχόντων, αἱ τρεῖς ἑβδομάδες ἡμερῶν εἴκοσιν ἔσονται, καὶ προσέτι μορίου τινὸς ἡμέρας α΄. ἕκτου, ὥστε καὶ κατὰ τοῦτον τὸν τρόπον ἀκριβολογουμένοις, ὀλίγον ὑπερβάλλει τῆς εἰκοστῆς ἡμέρας. ὁ τῶν τριῶν ἑβδομάδων ἀριθμὸς, καὶ ταύτης ἔσται πολὺ μᾶλλον, ἢ τῆς εἰκοστῆς πρώτης οἰκεῖος. ἐμοὶ μὲν δέδεικται κατά τε τὸ ἀληθὲς αὐτὸ, καὶ κατὰ τὴν Ἱπποκράτους γνώμην, ὅτι μηδὲν τούτων ὁλησιν ἡμέρησιν ἀτρεκέως ἀριθμεῖσθαι δύναται, τουτέστιν ἀπηκριβωμένως τε καὶ ἀπηρτισμένως. οὔθ' ἡ ἑβδομὰς, οὔθ' ἡ τετρὰς, οὔθ' ὁ μὴν, οὔθ' ὁ ἐνιαυτὸς, οὔτ' ἄλλο τῶν ἀπηρτισμένων οὐδέν.

A proprias, quæ tanquam ad propria principia spectent; communes, quæ ad communem ambientis vsum; in idem autem vtrosque Lunæ circuitus fieri contingit, & communes propriis paulò breuiores esse. Atque sic iam ex septimanæ numero quippiam auferetur. Nam quum propriæ communis admisceatur, sitque paulò breuioris temporis, ita quoque aliquid de septimanæ numero confringi, & veluti in medio quodam proprij, & communis consistere, necesse est, voco autem proprium, qui ex Zodiaci circuitu proficiscitur, nam is cuique nostrum virtutem affert; B communem, qui ex circuitu menstruo fit, quem supra recensui, nequaquam septem & viginti dierum esse. Nam si à menstrui tempore exacto, quod ad triginta dies integros vnius dimidium maximè requirere dicebatur, tres, qui circa coitum sunt, dies ademeris, reliqui videlicet vigintiseptem minus diei dimidio erunt. Itaque hoc tempus non menstruale totum in septimanas diuiditur. Quare commune tempus septimanæ, quod aërem immutat, minus erit eo, quod singulis est proprium; quanquam & hoc virtutem habere dicebatur, ideoque nonnihil ex alterius septimanæ tempore confringere; vt medium C vtriusque tempus, quod velut mixtum ex eis est, plus sexta parte septimanæ demat. Ac exactam quidem, vel mixturam, vel ablationem, Deus tantum nouit; quantum verò humana coniectura assequi licet, præstat circuitum earum communem, medium inter vtrasque collocari. Quum ergo apparitionis manifestæ & efficacis tempus, sit dies vigesimussextus, & dimidius; Zodiaci verò circuitus expleant vigintiseptem dies cum tertia vnius parte; liquet medium ipsorum fore vigesimumsextum diem, ad hæc dimidium, & tertiam maximè, & duodecimam vnius diei partem. D Siquidem, vbi vtroque tempore coniuncto dimidium acceperis, medium ipsum inuenies. At hoc tempus medium à vigintiseptem diebus duodecima maximè vnius diei parte deficit; quia si in quatuor ipsum diuidas, exactum septimanæ tempus offendes, non sexta modo vnius diei parte, sed etiam maiore mutilum. Sumatur enim ex vigintisex diebus & dimidio tertia, & ex duodecim quarta pars; erit autem tempus dierum sex dimidij quinta pars, & particulis aliis minoribus insuper adiectis, quæ sunt sexagesima prima, dein centesima vigesima, ducentesima quadragesima. Idem tempus, & hoc dici possit dierum E sex, & dimidij, & sextæ partis diei, & vigesimæquartæ, & quadragesimæoctauæ. Abest autem huiusmodi tempus à septem diebus vnius diei quadrante, & si exactè computes, sexagesima parte, centesima vigesima, & ducentesimaquadragesima. Quæ quum ita se habeant, tres septimanæ viginti diebus, & sexta vnius diei parte, comprehendentur. Proinde si hunc in modum exactè rationem ineamus, trium septimanarum numerus paululum viginti dies excedet; atque his multo magis, quàm viginti, & vni, erit proprius. Iam sanè ostendi secundum rerum veritatem, & Hip- F pocratis sententiam, nullam horum supputationem per dies integros fieri posse, hoc est absolutè citráque diuisionem, neque septimanam, neque quaternarium, neque mensem, neque annum, neque alium quemuis numerum.

CAP.

CAPVT X.

Quibus, & qua de causa tertium hunc de diebus iudicatoriis librum Galenus composuerit.

QVi iam disputationis huius subtilitati succenset, ac difficilem eam existimat, hunc nemo ipsam addiscere cogit; verùm primus huius operis liber ei sufficit. Quòd si quis non admodū segnis fuerit, secundum quoque adiiciat, à tertio autem abstineat. Nos siquidem hæc paucis planè, iisque inuitò, scripsisse affirmamus. Vos ô Dij immortales nouistis, vos in testimonium voco, hæc me amicorum quorundam precibus vehementer adactum scriptis mandasse.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Τίσι τε, καὶ διὰ τίνα αἰτίαν ταυτὸ τοῦτο τὸ τρίτον σύγγραμμα περὶ κρισίμων ἡμερῶν ἀνέγραψεν ὁ Γαληνός.

ΟΣτις δὲ τῇ τῶν λόγων ἀκριβείᾳ δυσχεραίνει, τοῦτον οὐδεὶς ἀναγκάζει μανθάνειν αὐτούς, ἀλλ' ἀρκεῖ τὸ πρῶτον αὐτῷ τῆσδε τῆς πραγματείας ὑπόμνημα. Εἰ δὲ μὴ πάνυ τις ἀργὸς εἴη, προστιθέτω μὲν καὶ τὸ δεύτερον, ἀπεχέσθω δὲ τοῦ τρίτου. ἡμεῖς γὰρ ταῦτα καὶ αὐτοὶ γινώσκομεν, ὀλίγοις παντελῶς γεγραφότες οὐδὲ τούτοις γε ἑκόντες. ἀλλ' ἴσασι γὰρ θεοί, καὶ καλείσθωσαν μάρτυρες, ὅτι πολλὰ βιασθέντες ὑπό τινων ἑταίρων, ἠναγκάσθημεν αὖθις γράψαι ταῦτα.

CAPVT XI.

Aduersus eos qui nugantur de numerorum dignitate.

NAm stulti nimirum essemus, si huiusmodi sermonē vulgo conuenire arbitremur, quoniam illi vnitatem, matris expertem, dualitatem numerum inaudire suauius est; & alia ratione vnitatem formam esse, dualitatem materiam infinitam; deinde trinitatem absolutam harmoniam, vel perfectum numerum, & primum, aut solidum, aut planum. Quicquid enim in mentem ipsis venit, dicunt, alij aliud, & Mineruam aliquem numerum appellant, alterum Dianam, alium Apollinem. Quemadmodum igitur hoc non ignoramus, ita dicere dedignamur, quum nullam demonstrationem scientificam huiusmodi placitis adducere queamus. Et amicis frequenter ipsa re ostendimus, huiusmodi frigidis sermonibus vtendi, siue quemuis numerum laudare, siue reprehendere voluerit, procliue esse. Nam periculum est, ne eò stupiditatis veniant, qui huiusmodi nugantur, vt quum vel de septimana, vel de alio quouis, dixerint, non contenti solis huiusmodi ineptiis, addant Pleiadas septem, & vtramque Vrsam septistellam; etenim sic nominant; imò & Thebarum septiportarum meminerunt. At quid ad rem propositam spectat, si Pleiades septem sint, Dionem laterali morbo laborantem septimo die de morbo iudicium sustinuisse? etenim aliàs nono, aliàs decimo die crisim habuit. Quid autem similitudinis est, si septem Nili sint ostia, Theonem pulmonis vitio ægrotantem, septimo die iudicatum fuisse? nam aliquando quarto, interdum quinto, morbi iudicium accepit. Verùm vt in aliis omnibus duplex vitij cuiusque, ac prauitatis natura est, excessus, & defectus: ita hîc quoque. Nonnulli eos, qui veritatem de septimana dicere conantur, prorsus auersantur, quippe qui sermonem quemlibet summo odio prosequuntur. Nonnulli in tantam nugacitatem incidunt, vt etiam ea, quæ ad rem nihil pertinent, commemorent, vtrique, Vrsæ, inquiunt, septem stellæ sunt, primum sanè verum non est, sed hoc extremam eorum inscitiam coarguit. Esto iam verum, sed neque Bootes, neque qui per ipsas Vrsas transit Draco, septem stellas obtinet. Pari modo nec Engonasis, nec Corona, nec Ophiuchus, nec Cancer, vel Leo, nec omninò vllum ex duodecim signis, in quibus planetæ feruntur; etsi illa, terrena exornare, atque etiam disponere non astronomis modò, sed etiam philosophis clarissimis, in confesso habetur.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Πρὸς τοὺς ληροῦντας περὶ τῆς τῶν ἀριθμῶν δυνάμεως.

ΜΩροί τ' ἂν εἴημεν, εἰ δημόσιον ἄκουσμα νομίζοιμεν εἶναι λόγον τοιοῦτον. ὅτι γὰρ τοῖς πολλοῖς ἀκούειν ἥδιστον ἀμήτορα μὲν τὴν μονάδα, ἄρρενα δὲ τὴν δυάδα, καὶ καθ' ἕτερον τρόπον, ἰδέαν μὲν τὴν μονάδα, τὴν δυάδα δὲ ὕλην ἄπειρον, εἶθ' ἑξῆς, τὴν τριάδα πεπερασμένην ἁρμονίαν, ἢ τέλειον ἀριθμὸν καὶ α'. ἢ στερεόν, ἢ ἐπίπεδον. ὅτι γὰρ ἂν αὐτοῖς δόξῃ λέγουσιν ἄλλοι ἄλλο, καὶ Ἀθηνᾶν γε, τινὰ καλοῦσιν ἀριθμόν, ἕτερον δ' Ἄρτεμιν, Ἀπόλλωνα δ' ἄλλον. ὥσπερ οὖν οὐκ ἀγνοοῦμεν, οὕτως οὐδὲ λέγειν ὑπομένομεν, οὐδεμίαν ἐπιστημονικὴν ἀπόδειξιν ἐπάγειν τοῖς λόγοις αὐτῶν δυνάμενοι. καὶ τοῖς γε φίλοις ἐδείξαμεν ἔργῳ πολλάκις, ὡς ταῖς τοιαύταις τις χρώμενος ψυχρολογίαις, εἴτ' ἐπαινεῖν ὁντιναοῦν ἀριθμόν, εἴτε καὶ ψέγειν βούλοιτο, πρόχειρον αὐτῷ. κινδυνεύουσι γὰρ εἰς τοσοῦτον ἥκειν ἠλιθιότητος οἱ τὰ τοιαῦτα ληροῦντες, ὡς ἐπειδὰν ἢ περὶ τῆς ἑβδομάδος, ἢ περὶ τινος ἄλλου λέγωσιν, οὐκ ἀρκεῖσθαι μόνοις τοῖς τοιούτοις ψυχρεύμασιν, ὥστε Πλειάδες ἑπτά, καὶ τῶν ἄρκτων ἑπτάστερος ἑκατέρα. καὶ γὰρ καὶ ὀνομάζουσιν οὕτως. ἀλλὰ καὶ τῶν ἑπταπύλων Θηβῶν μνημονεύουσι, καὶ δηλονότι τῶν ἐπὶ Θήβαις ἑπτά. καίτοι τί πρὸς ἔπος, εἰ Πλειάδες ἑπτά, Δίωνα πλευριτικὸν γενόμενον, ἑβδομαῖον κριθῆναι; καὶ γὰρ ἄλλοτε μὲν ἐναταῖος, ἄλλοτε δὲ δεκαταῖος ἐκρίθη. τί δ' ὅμοιον, εἰ ἑπτὰ Νείλου στόματα, Θέωνα περιπνευμονικὸν γενόμενον, ἑβδομαῖον κριθῆναι; καὶ γὰρ ἄλλοτε μὲν τεταρταῖος, ἄλλοτε δὲ πεμπταῖος ἐκρίθη. ἀλλ' ὥσπερ κἂν τοῖς ἄλλοις ἅπασι, διττὴ τῶν φαύλων ἁπάντων ἐστὶν ἡ φύσις ὑπερβολή τε, καὶ ἔλλειψις· οὕτω κἀνταῦθα. Τινὲς μὲν ὅλως μισοῦσι καὶ τοὺς τἀληθῆ λέγειν ὑπὲρ ἑβδομάδος ἐπιχειροῦντας, ἐσχάτως ὄντες μισολόγοι. τινὲς δέ, εἰς τοσαύτην ἐμπίπτουσι φλυαρίαν, ὡς καὶ τῶν μηδὲν προσηκόντων μνημονεύειν. ἑκατέρα, φασί, τῶν ἄρκτων, ἀστέρων ἐστὶν ἑπτά, πρῶτον οὐκ ἀληθές, ἀλλὰ καὶ τοῦτ' ἐσχάτην αὐτῶν ἀμαθίαν κατηγορεῖ. κείσθω γοῦν ἀληθές. ἀλλ' οὔθ' ὁ Βοώτης, οὔθ' ὁ δι' αὐτῶν τῶν ἄρκτων Δράκων, ἀστέρων ἐστὶν ἑπτά. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὔθ' ὁ στεφανός, οὔθ' ὁ ἐγγόνασιν· οὔθ' ὁ ὀφιοῦχος, οὔτε καρκίνος, ἢ λέων, οὔθ' ὅλως οὐδὲν τῶν ιβ'. ζωδίων, ἐν οἷς οἱ πλανῆται φέρονται. καίτοι ὅτι τὰ τῇδε κοσμοῦσιν οἵδε, καὶ διαπράττουσιν, οὐ τοῖς ἀστρονόμοις μόνον, ἀλλὰ καὶ τοῖς ἀρίστοις ἅπασιν ὡμολόγηται φιλοσόφοις.

οὔτ' οὖν τοὺς φλυαροῦντας ἀποδέχεσθαι χρή, καὶ τοὺς ἀποδιδράσκοντας ἀεὶ τοιαύτην θεωρίαν, μὴ προσαναγκάζειν.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ἅτινα μέχρι τοῦδε εἴρηται καὶ διὰ τί τῶν τετράδων ἔνιαι μὲν ἐξ ἀνάγκης συναφθήσονται, διαζευχθήσονται δ' ἕτεραι.

Ἐμοὶ δ' οὖν αὐτὸ τὸ ἀληθὲς εἰς ὅσον ἀνθρώπῳ δυνατὸν εὑρῆσθαι νομίζω. γιγνωσκόμενον μὲν που καὶ πρόσθεν Ἱπποκράτει, καθότι διὰ τῆς προγεγραμμένης ῥήσεως ἐνεδείξατο, ῥᾳθυμίᾳ δὲ τῇ τῶν πολλῶν, σιωπηθέν. ἐγὼ δ' οὔτ' ἄλλο τι τῶν Ἱπποκράτους μάτην εὑρίσκω γεγραμμένον, οὔθ', ὅτι μηδὲν τούτων ὅλησιν ἢ μέρησιν ἀτρεκέως ἀριθμεῖσθαι δύναται, καὶ λαβὼν ἀρχὴν ὁμολογουμένην, οὐκ ἀστρονόμοις μόνον, ἢ φυσικοῖς φιλοσόφοις, ἀλλὰ καὶ γεωργοῖς, καὶ ναύταις, καὶ πᾶσιν ἀνθρώποις, ὡς ἡ σελήνη τὸν περίγειον ἐπιτροπεύει τόπον, οἷόν τις ὕπαρχος οὖσα μεγάλου βασιλέως τοῦ ἡλίου, ταῖς ταύτης περιόδοις ἐπέδειξα τὰς κρινούσας ἡμέρας ἑπομένας· ἐπέδειξα δὲ καὶ τῶν συνεμπιπτουσῶν ἡμερῶν τὰς αἰτίας, καὶ διὰ τί, τὰς τρεῖς ἑβδομάδας οὐκ εἰς τὴν κα'. ἀλλ' εἰς τὴν κ'. μᾶλλον ὁ Ἱπποκράτης ἀξιοῖ περιάγεσθαι. τούτων δ' ἀποδεδειγμένων, οὐδὲν ἔτι χαλεπὸν εὑρεῖν, οὐδὲ διὰ τί, τὴν μὲν πρώτην ἑβδομάδα τῆς δευτέρας διαζευγνύει, συνάπτει δὲ ταύτην τῇ τρίτῃ, οὔτε γὰρ τὴν δευτέραν τῇ πρώτῃ συνάπτειν εὔλογον ἦν, εἰς τὴν ιδ'. ἀφικνουμένης τῆς κρίσεως, οὔτε τὴν τρίτην τῇ δευτέρᾳ διαζευγνύναι τῆς κ'. μᾶλλον, ἢ τῆς κα'. ἐκδεχομένης τὰς κρίσεις. ἐπεὶ δὲ τῶν ἑβδομάδων αὐτῶν, αἱ δύο μὲν αἱ πρῶται διαζεύγνυνται, συνάπτεται δ' ἡ τρίτη, δῆλον ὡς καὶ τῶν τετράδων ἔνιαι μὲν ἐξ ἀνάγκης συναφθήσονται, διαζευχθήσονται δ' ἕτεραι, ἡ μὲν οὖν δευτέρα τετρὰς καὶ ἡ πρώτη συναφθήσονται, διότι μιᾶς ἑβδομάδος τῆς πρώτης, διχῆ τμηθείσης, ἑκατέρα μόριον ἐστιν. ἡ δὲ τρίτη, τῆς δευτέρας διαζευχθήσεται, διότι καὶ ἡ ἑβδομὰς ἡ δευτέρα, τῆς πρώτης διεζεύγνυται. συναφθήσεται δὲ ἡ τρίτη τῇ τετάρτῃ, διότι τῆς δευτέρας ἑβδομάδος ἑκατέρα μόριόν ἐστιν. αὕτη δ' οὖν πάλιν ἡ τετάρτη τῇ ε'. συναφθήσεται, διὰ τὴν τρίτην ἑβδομάδα συναφθεῖσαν τῇ δευτέρᾳ. συναφθήσεται δὲ καὶ ἡ ϛ'. τετρὰς τῇ ε'. κατὰ τὴν ιζ'. ἡμέραν, ὡς ἂν τῆς τρίτης ἑβδομάδος ἑκατέρα μέρος ὑπάρχουσα.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Τί κυρίως ὀξὺ νόσημα, τί βραδὺ, τί βραχυχρόνιον, καὶ τί τὸ πολυχρόνιον,

Εἰς μὲν οὖν τὸ καλῶς διαιτῆσαι, χρησιμώτατόν ἐστι προεγνωκέναι τὸν χρόνον τῆς κρίσεως. εἴτε δ' ὀξὺ χρὴ καλεῖν, εἴτε χρόνιον, εἴτ' ἄλλως πως ὀνομάζειν τόδε τὸ νόσημα, τὸ κατὰ τὴν κ'. ἡμέραν, εἰ οὕτως ἔτυχε, κριθησόμενον, οὐδὲν ὠφελεῖ τὸν κάμνοντα. δύναται γάρ τις, μηδὲν φθεγξάμενος, ἀλλὰ μηδὲ νοήσας ὅλως ὅτι ποτὲ χρὴ καλεῖν αὐτὸ, καλῶς διαιτῆσαι τὸν νοσοῦντα, μηδέν γε τῶν ἄλλων παραλιπὼν, ἃ πρὸς τοῦτο διαφέρει· τὸ μὲν ἀληθὲς ἅμα καὶ χρήσιμον εἴρηταί μοι, τὸ δὲ τοῦ σοφιστικοῦ λήρου περαινέσθω. μετὰ ταῦτα δείκνυόντων ἡμῶν κἀνταῦθα, πόσον ἀγνοοῦσι τοῦ προσήκοντος, οἱ πλεῖστοι τῶν ἰατρῶν. οἴονται γὰρ, ὀξὺ μὲν καλεῖσθαι

Quamobrem nec recipiendi sunt nugatores; nec cogendi, qui huiusmodi speculationem semper refugiunt.

CAPVT XII.

Quæ hactenus monstrata sunt, & cur quaternarij aliqui cæteris necessariò iungantur, aliqui separentur.

A Me itaque veritatem ipsam, quantùm homini licet, inuentam esse puto; quam quidem, & Hippocrates priùs cognouerat, sicut & præscriptis verbis indicauit; vulgare autem medicorum genus præ segnitie eam subticuit. Enimverò, nec aliud quippiam ab Hippocrate frustra scriptum inuenio, nec illud, quòd *ulla horum computatio totis diebus fieri nequit*, Atque principium non astronomis tantùm, vel naturalibus philosophis, sed agricolis quoque, & nautis, hominibúsque omnibus receptum assumi, Lunam videlicet terrestrem plagam veluti hyparchum quendam magni regis Solis, gubernare. Huiusce circuitus dies decretorios sequi monstrauimus; ad hæc coincidentium dierum causas indicauimus; item cur tres septimanas ad vigesimum, non ad vigesimum primum, potius Hippocrates voluerit deducere. Cæterùm his demonstratis, nullum adhuc negotium est, inuenire, quare primam septimanam à secunda separet, hanc autem tertiæ coniungat. Neque enim secundam primæ, crisi ad quartumdecimum diem perueniente, coniungere ratio postulabat, neque tertiam à secunda remouere quum vigesimus magis, quàm vigesimusprimus, iudicia excipiat. Quoniam verò inter septimanas ipsas duæ quidem primæ separantur, tertia verò copulatur, perspicuum est quaternarios quoque nonnullos necessariò coniungi, alios separari. Itaq; secundus quaternarius & primus coniungentur, quòd vnius septimanæ primæ bifariam diuisæ particula vterque sit; tertius à secundo disiungetur, quoniam, & septimana secunda à priore separata est. Tertius autem quarto copulabitur, quoniam secundæ septimanæ vterque particula est. Hic itaque rursum quartus propter tertiam septimanam secundæ coniunctam, quinto copulabitur. Adiungetur etiam sextus quaternarius quinto, in decimoseptimo die, tanquam tertiæ septimanæ pars vterque existens.

CAPVT XIII.

Quis propriè acutus morbus, quis tardus, quis breuis, quis longi temporis dicatur.

QVapropter ad bonam victus rationem instituendam vtilissimum est, iudicij tempus præcognoscere; num verò acutum, vel diuturnum vel alio modo, morbum nominare conueniat, qui vigesimo die, verbi gratia, iudicandus est, id nihil ægro præsidij affert; potest enim quispiam ne locutus quidem imò qui nec prorsus cogitauerit, quinam ipse vocandus sit, probam victus legem ægro instituere, modò nihil ex aliis prætererit, quæ huc cõferre videntur. Iam sanè veritatem simul, & vtilitatem exposui, sophisticarum autẽ nugarum finis iam esto, post hæc ostendentibus nobis hoc in loco, quantum plerique medici ea, quæ conueniant, ignorent. Putant enim acutum vocari morbum,

morbum, qui celeriter iudicatur; contrarium huius, diuturnum. At veritas non ita habet: Est siquidem morbus quidam breui tempore durans non tamen omninò acutus. Huic contrarius est morbus diuturnus, vel multo tempore durans, vel quomodocunque aliter quis vocare ipsum malit; acuto, alia morbi natura nullum proprium nomen sortita, opposita est, idque meritò euenit; nam acuti morbi (qui, vt Archigenes quidem describebat, cum velocitate est periculosus; vt Hippocrates autem, cum febre continua euenit) accidens necessariò erit, vt celeriter iudicetur; etenim ex motus specie acutus nuncupatur. Quiescere autem celeriter ipsi est necesse, vt qui ad proprium finem properet; nam idem est celeriter moueri, ac ad terminum confluere. Erit iam omninò breuis temporis; alia tamen, atque alia ratione, & acutus, & breuis temporis dicetur; nam propter motus celeritatem, acutus: quòd verò diu morari is, qui celeriter mouetur, non potest, breuis temporis appellabitur. At ei adest alia morbi natura: multæ siquidem febres diariæ ex frigore quodam, vel adustione partium exteriorum, vel labore breui, vel vigilia, vel tristitia, vel ebrietate, vel ira, vel id genus similibus, proueniunt, paruæ simul, & breues, & periculis prorsus vacuæ, atque nemo has, vel idiota, vel medicus acutum morbum vocare consueuit. Itaque acutus à breui morbo his signis manifestè distinctus est. Tardus autem cum diuturno confusus est, quanquam non eandem notionem obtinet; siquidem acutus tardo, exigui temporis, diuturno oppositus est. Omnis ergo acutus planè exigui temporis morbus est, & omnis diuturnus necessariò tardus, non tamen, si breuis temporis, acutus statim est; neque, si tardus, longi temporis. Proinde ex tali immutatione non admodum manifesta compluribus medicis, non appellationes tantùm, sed rerum quoque ipsarum dignotiones, confusæ fuerunt.

νόσημα, τὸ ταχέως κρινόμενον, ἐναντίον δ' ὑπάρχειν αὐτῷ τὸ χρόνιον. ἔχει δ' οὐχ οὕτω τἀληθές, ἀλλ' ἔστι γάρ τι νόσημα βραχυχρόνιον μὲν, οὐ πάντως δ' ὀξύ. καὶ τούτῳ μὲν ἐναντίον ἐστὶ τὸ χρόνιον, ἢ πολυχρόνιον, ἢ ὅπως ἄν τις ἑτέρως ἐθέλοι καλεῖν αὐτό. τῷ δ' ὀξεῖ, φύσις ἑτέρα νοσήματος ἀντίκειται, οὐδὲν ἴδιον ὄνομα κεκτημένη, καὶ τοῦτ' εἰκότως ἐγένετο. τοῦ γὰρ ὀξέως νοσήματος, ὡς ὁ μὲν Ἀρχιγένης ὑπέγραφε, τοῦ διὰ συντόμου κινδυνώδους· ὡς δ' Ἱπποκράτης ἔλεγε, τοῦ μετὰ πυρετοῦ συνεχοῦς γιγνομένου, συμβεβηκὸς ἐξ ἀνάγκης ἔσται τὸ ταχέως κρίνεσθαι, κατὰ μὲν γὰρ τὸ τῆς κινήσεως εἶδος, ὀξὺ προσηγόρευται. παύσασθαι δ' ἀναγκαῖον αὐτὸ διὰ ταχέων, ὡς ἂν ἐπειγομένῳ πρὸς τὴν οἰκείαν τελευτήν. αὐτὸ γὰρ τοῦτ' ἔστι τὸ ταχέως κινεῖσθαι, τὸ συρρεῖν ἐπὶ τὸ πέρας. ἔσται δὴ πάντως βραχυχρόνιον μὲν κατ' ἄλλο μέν τι, καὶ ἄλλο τῶν ἐν αὐτῷ, τὸ, τ' ὀξὺ, καὶ τὸ βραχυχρόνιον εἰρήσεται. διὰ μὲν γὰρ τὸ τῆς κινήσεως ἠπειγμένον, ὀξὺ, διότι δ' οὐχ οἷόν τε χρονίζειν αὐτῷ ταχέως κινουμένῳ, βραχυχρόνιον ὀνομασθήσεται. φύσις δ' ἄλλη νοσήματος αὐτῷ παράκειται βραχυχρονίου· πολλοὶ γὰρ τῶν ἐφημέρων πυρετῶν, διά τινα ψῦξιν, ἢ ἔγκαυσιν ἐπιπόλαιον, ἢ κάματον βραχὺν, ἢ ἀγρυπνίαν, ἢ λύπην, ἢ μέθην, ἢ θυμὸν, ἤ τι τοιοῦτον, ἐγένοντο, μικροί τε ἅμα καὶ βραχεῖς, καὶ τελέως ἀκίνδυνοι, καὶ τούτους, οὐδεὶς οὔτε ἰδιώτης, οὔτε ἰατρὸς, ὀξὺ νόσημα καλεῖν εἴθισται. τὸ μὲν οὖν ὀξὺ, τοῦ βραχυχρονίου, σαφῶς ἐν αὐτοῖς τούτοις διακέκριται. τὸ δὲ βραδὺ, τῷ πολυχρονίῳ συνεχύθη. καί τοι γ' οὐ τὴν αὐτὴν ἔχον ἔννοιαν, εἴ γε τὸ μὲν ὀξὺ, τῷ βραδεῖ, τὸ δ' ὀλιγοχρόνιον, τῷ πολυχρονίῳ κατ' ἀντίθεσιν εἴρηται. πᾶν μὲν οὖν ὀξὺ, πάντως ὀλιγοχρόνιον, καὶ πᾶν χρόνιον, ἐξ ἀνάγκης βραδὺ, οὐ μὴν οὔτ' εἰ βραχυχρόνιον, ὀξὺ πάντως, οὐδ' εἰ βραδὺ, πολυχρόνιον. ἐξ οὖν τῆς τοιαύτης ὑπαλλάξεως, οὐ πάνυ τι σαφοῦς ὑπαρχούσης τοῖς πλείστοις τῶν ἰατρῶν, οὐ μόνον αἱ προσηγορίαι συνεχύθησαν, ἀλλὰ καὶ τῶν πραγμάτων αὐτῶν αἱ διαγνώσεις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΧΥΜΩΝ ΤΟ ΒΙΒΛΙΟΝ, ΚΑΙ ΤΑ ΕΙΣ ΑΥΤΟ ΓΑΛΗΝΟΥ ΥΠΟΜΝΗΜΑΤΑ ΤΡΙΑ.

ΠΡΩΤΟΝ.

HIPPOCRATIS DE HVMORIBVS LIBER, ET GALENI IN EVM COMMENTARII TRES. PRIMVS.

ARGVMENTVM LIBRI.

Medica præcepta tum de iis quæ circa ægrotantes molienda ſunt, tum de iis quæ in morbis oboriuntur; diuerſi morborum ortus pro variis cæli tempeſtatibus & conſtitutionibus; Quomodo ex morbis temporum conſtitutiones prædicendæ; & quæ ex hæmorrhoïdibus commoda.

PROOEMIVM.

Vtrum liber de humoribus ſit genuinus Hippocratis fœtus.

MAXIMA fuit inter priſcos Hippocratis interpretes de libro, qui De humoribus inſcribitur, diſſenſio. Zeuſis enim, & Heraclides, qui in omnia Hippocratis opera commentarios conſcripſerunt, ipſum eſſe à veris Hippocratis libris omninò reijciendum exiſtimant. Glaucias autem, & alij hunc quidem librum ad Hippocratem auctorem referunt; non ad magnum tamen illum, cuius ſunt aphoriſmi, & cætera, de quibus nos in libris De difficultate reſpirationis diſſeruimus; quam etiam ſententiam Dioſcorides, & Artemidorus, cognomento Capito qui dicebatur, à quibus multa in veterum ſcriptis innouata ſunt, habuerunt; alios verò etiam comperias, quorum non facilè ſit pernoſſe ſententiam. Ij enim quædam eſſe Hippocratis, quædam non eſſe hoc in libro concedunt; propterea quòd multa ad ſummam redacta breuitatem, quædam longiore explicata oratione, quàm eſſet in ſenis noſtri more poſitum, inuenirent. Quamobrem quæ ordine, & ea dicendi ratione, qua vti ipſe ſolet, propoſita eſſe perſpiciunt, ea illi ita explanant, vt vera, atque propria; quæ confuſa, & ſine ordine, aut alio modo quodam dicta intuentur, ea interiecta eſſe prorſus contendunt. Quidam etiam perueteres inuenire libros, vel trecentos iam ab hinc annos deſcriptos magno ſtudio ſunt conati; vt quæ deprauata eſſe videbantur, emendarent: quæ omnia apud eos, qui primi in hunc librum explanationes ediderunt, eſſe animaduertenda exiſtimaui, vt plurimorum, & probatiſſimorum librorum ope adiuti, veras lectiones inueniamus; ac res meliùs, quàm ſperaram, mihi ſucceſſit. Quocirca ſubit mihi audaciam eorum, qui commentarios conſcribunt, admirari, qui quum debeant vtiliſſima quæque docere eos, qui nuper ad medicinam perdiſcendam animum adiungunt; alia potius faciunt omnia; atque in nugis multum operæ, temporiſque conſumunt. Sed quoniam ſunt, qui velint, hunc librum à Theſſalo Hippocratis filio, aut à Polybo eius genero confectum eſſe, quorum vterque ſuis in ſcriptis artem, & ſententiam

tentiam Hippocratis sequutus est, neque remota ab his censentur, quæ ab Euryphonte sunt litterarum consignata monimentis, si vnquam maius otium nanciscar, commentarium profectò conficiam, in quo qui veri, quíque spurij libri Hippocratis sint, exponam; quemadmodum de libris, qui sunt De morbis vulgaribus in commentariis de difficultate respirationis fecimus; quum explicaremus, primum librum, secundum, & tertium non solùm ab Hippocrate confectos existimari ab ijs, qui sunt in hisce rebus præstantissimi, sed etiam rerum tractatione, & proprietate inter se connexos iudicari, eandem quoque rationem esse eorum, quæ in quarto, sextóque habentur, demonstratum est, quos sanè libros à Thessalo, Hippocratis filio compositos esse, constat inter omnes, qui quum patris commentarios quibusdam in membranis, aut tabulis exaratos comperisset, non pauca ipse de suis adiunxit, quintum autem, & septimum nemo, opinor, est qui dignos vera, ac propria Hippocratis mente, atque sententia iudicaturus videatur, atque, vt ego quidem censeo, ne quartum quidem. Sed hæc missa faciamus, & iam ad libri nobis propositi explanationem aggrediamur.

Colores corporis humoribus similes efflorescere, temperamenta, prædominantes humores, noxas, phlebotomiam, catharsin significare, eorum notitiam ad morborum curationem, prænotionem, & sanitatis conseruationem spectare, hîc humorum ortum, numerum, analogiam, symmetriam, ametriam, & effectus amplissimè legimus.

TEXTVS PRIMVS.

Color humorum, vbi non refluì sunt humores, similis efflorescit.

Τὸ χρῶμα τῶν χυμῶν, ὅκου μὴ ἄμπωτίς ἐστι τῶν χυμῶν, ὥσπερ ἀνθέων.

In plurimis veteribus libris ita, vt nos attulimus, huius orationis initium scriptum inuenimus; in quibusdam verò loco eorum, quæ hîc vides, hæc scripta sunt. *Color humorum*, vbi nulla est ipsorum perturbatio, vt in floribus, in ætatum successione commutatur. Sed hoc mihi non videtur esse Hippocraticæ dicendi rationis proprium; imò verò potius affixum ab alio, vt hic libellus, qui per se ipse paruus est, maior videretur; quo enim tempore Pergameni, Alexandrinique reges inter se de libris sibi comparandis certatim contendebant, eo ipso tempore ab iis, qui pecuniarum causa ad reges clarorum hominum scripta afferebant, & inscriptiones, & confectiones librorum deprauari cœperunt; quemadmodum in libro De natura humana, & De ratione victus in morbis acutis, & aliis plerisque vsu venisse demonstrauimus. Nam quum hunc librum ob paruitatem despici facilè posse quispiam existimaret, multa plerisque in locis, vt magnus redderetur, interiecit. Dioscorides autem existimat hanc dictionem esse Hippocratis Thessali filij, siquidem magnus Hippocrates duos habuit filios, Thessalum, & Draconem; quorum vterque filium nomine Hippocratem suscepit, atque hæc quidem de ipsa dictione. Nunc verò par est, vt singula verba seorsum expendamus. *Color*, inquit, *humorum*. Notas ex quibus temperamentum noscimus, suppeditat color, idem noxæ magnitudinem indicat, vt si vlcus omninò siccum sit propter eius facultatis, qua corpus alitur, imbecillitatem, non vnus in eo color erit perpetuò, sed pro humorum, qui in corpore sint, varietate, magnitudinéque noxæ, variabitur, vt exempli causa, si amaræ bilis humor in corpore redundarit, color pallidus apparebit: si humor sit melancholicus, tum aut liuidus, aut in alterutra viridis significatione, quum viride modò idem, quod pallidum, modò idem, quòd æruginosum significet; vt interdum maior noxa liuidum colorem, qui propè ad nigrum accedit, minor rubrum, & viridem efficiat; hoc cùm in singulis corporis partibus clarè, tum verò in facie euidentiùs perspicitur: siquidem pessima coloris commutatio habetur, quæ ad nigrum tendit, vtpotè refrigerato iam sanguine, vt facere solet, quum foràs effusus in grumos coit; moderatior verò, quum ad viride vergit, id quod diuturnis in morbis sæpè cernitur, sed tamen in principiis perraró, quocirca eo tempore maximum periculum impendere significat, vt scriptum reliquit Hippocrates. Etenim quum totius corporis color immutatus sit, tum & malum, & perniciosum putandum est, ad hoc tamen alia quoque signa accedunt, vt quum oculi lucem refugiunt, in cuius rei causa est imbecillitas eius facultatis, quæ ad aspectum pertinet, vt quum propter infirmitatem retentricis facultatis lacrymas emittunt; vt quum distorquentur, quod laborãte neruorum origine, musculi oculos mouentes conuellantur, vt quum alter oculus minor, quàm suaptè natura esset, reddatur, quòd facultatem ipsum gubernantem inde esse extinctam intelligamus. Iam verò in malis etiam habendum est, quum alba oculorum esse rubra videntur, sicut quum venulæ in eis, aut liuidæ, aut nigræ sunt, nam vt rubræ propter plenitudinem aut inflammationem quandam partium ad cerebrum pertinentium, videntur, sic nigrescunt, & liuent, dum refrigerantur; refrigerantur verò dum extinguuntur; quo circa fit, vt huiusmodi colores perpetuò perniciosi censeantur. Verumenimverò bonus faciei color, si multum mœstitiæ adiunctum habeat, in malis esse consueuit, putant enim persæpè medici, faciei bonum colorem significare, aut sanguinis è naribus eruptionem criticam, aut abscessus secundum aures futuros; & tamen falluntur, præsertim verò si habeat multam mœstitiam coniunctam. Neque enim vsu venit, vt ægroti ita bono colore sint, sicut ij, qui optimè valent, sed magna vi caloris valdè rubri effecti, hoc consequuntur, vt similes iis, in quibus bonus est color esse videantur; nam quod valdè rubrum est, idem est ad melancholiam pronum, cuius apertum signum est mœstitia, quæ si multa sit, id ipsum multò magis confirmat, quamobrem quum facies florida videatur, ægrotus verò mirum in modum mœstus sit, tum calidam admodum affectionem, quæ sanguinem exurat, ideoque atram bilem gignat in cerebro esse planè constat. Interdum verò etiam calidissimus sensus nobis insuetus in habitu corporis exoritur, quum humores calidi cæteris excellunt, vt etiam frigidissimus, quum frigidi dominantur: atque vbi pituita redundat in corpore, candidiores, vbi bilis, pallidiores homines videntur: sique purior bilis sit, flauiores, color enim ab humoribus, non à solidis animantis partibus prouenit, quum humores se in intimas corporis partes receperunt, id quod eis contingit, aut propter frigus, aut rigorem, aut aliquam animi perturbationem, quo in numero sunt timor, magna tristitia, aut pudoris initium; si horum nihil adsit, humores in intimas corporis partes se nunquam recipient: sicut neque vnquam facto in cutim impetu violentiùs, eam adurent, nisi animum occupet aliqua perturbatio,

A qui ad artis operã festinãt, veritatem quàm celerrim exponere præstat, nec ipsos decet Sophistarum nuga partim exponẽdo, partim etiã refellẽdo remorari. Ita que cõmodissimè facturus videor, si his commentari vtilia tãtùm persequar, postea verò alio opere, quũ plu erit ocij, quæ Herophilus contra Hippocratis Progno sticũ cõscripsit examinẽ, atque explorẽ. *Et quæ illi pra termittũt exponit, creditur ægrotantiũ res rectissimè inte ligere.* Qui aliquid eiusmodi explicare conãtur, eos n priùs decet animũ ad scribẽdũ appellere, quàm oper idipsũ demõstrarint. Est enim facile cuiuis, quod vo les scribere, sed difficile admodũ est rationẽ viámqu eiusmodi explicare, vt qui ægrotãtibus nõ modò præ B dicit futura, verùm etiã præterita refert, quibus, dũ fie rent, nõ intererat, atq; illa similiter, quæ nunc ægro ac cidêre, quæ nec ab illo intellexit, nec ipse vidit, magn ex parte verax sit. Sed scriptis quidẽ nostris fides hau temerè adhiberi põt, vt qui re ipsa, quàm vera sit hæ cõtẽplatio, antè cõprobauerimus. Verùm ne, quę scri pta sunt à nobis in huius præfationis expositione, pos ea quũ particulatim singulas sentẽtias interpretabimu denuò scribere cõpellamur, optimè facturus videor, de his omnib. dicere supersedeã, donec medica voca bula, quæ hoc in libro passim habẽtur, enarrẽ, eóq; po tissimũ, quòd quũ apprimè necessariũ id sit, nemo e C interpretibus præstitit. Quid enim sit, in quo Hippocr medicũ exerceri cupit, hoc quidẽ loco prętermisit, ne ostẽdit quõ prętérita, aut præsentia quidẽ, sed quę nu lo sensu agnouerimus, præcognoscere oportcat. *Simu que preuidere si quid in morbis diuinũ insit.* Quidnã diui nũ hoc sit quod Hippocrates vult præuideri, nõ cõue nit inter huius libri interpretes. Sũt enim qui arbitren tur ira aliqua deorũ homines morbo corripi, cuius r faciũt quidẽ ex historiis fidẽ, sed nullam rationẽ addu cũt; nec probãt eã mentem Hippocrati fuisse, quod t bonus interpres facere debuisset. Neq; enim interpr ti protinus dicẽdũ est quicquid ipsi verũ esse videtu D sed quod cũ authoris sentẽtia cõgruat etiam si fortas falsũ est, dicere oportet. Atqui Hippocrat. nullo pror sus in libro visus est morbi causam ad Deos retuliss quippe qui tũ libro de victu in morbis acutis (de qu certè nullus dubitat, quin germanus sit) cur quos Gr ci vocãt βλητοὺς. i. numine percussos, veteres sic appel larint exposuerit, tũ libello, quẽ de sacro morbo scri psit, plura cõtra eos dixerit qui morbos à diis immit arbitrantur. Quãobrẽ nec epilepsiã, nec amorẽ sacro esse, diuinósq; morbos putamus. Nã hi quidẽ quibu amorẽ eiusmodi esse visũ est, verã quidẽ historiã reci tãt, Regis filiũ præ amore ægrotasse, ídq; ab Erasistra to deprehensũ fuisse. Non tñ ostẽdũt Erasistratũ, au E Hippocratẽ, aut aliũ quẽuis medicũ, amorẽ diuinũ nũ cupasse. Verùm eos, qui præ amore vel emaciati sunt vel pallẽt, vel vigilãt, vel etiã febricitãt, sub eo libri ca pite veteres cõprehendũt, quo de antecedẽtibus causi tractatur. Quæ quũ genere plures sint, inter eas mœ ror annumeratur. Mœsti aũt sũt alij ob mortẽ liberorũ familiariũ, cognatorũ, aut amicorũ, alij quòd se solo malo affectũ iri, aut toti⁹ etiã patriæ euersionẽ metuãt Mœror quoq; pecuniarũ cupidos corripit, si pecuniam perdãt, similiter ambitiosos si honorẽ, atq; alios eodẽ modo. Sũt aũt & qui propter amorẽ mœrore afficiũtu nihil quidẽ diuini perpessi, sed humanitus affecti. Nis F fortè quis fidẽ adhibeat fabulis, & credat à paruo quo dã & recens nato dæmone ardentes faces gestãti, hóes aliquos in hunc affectũ trahi. Qui aũt dies decretorios diuinũ illud esse asseruit, animũ quidẽ suũ explicauit mentem tamen Hippocratis non exposuit. Non enim quæcunque incognitas, aut ab omnium opinione multũm diuersas habẽt causas, simpliciter diuina nũcupamus, sed forsitã admirãda duntaxat rectè dici possunt.

Neque

Neque verò Hippocrates dierum decretoriorum causas ignorauit, sicut à nobis in libris, quos de ipsis edidimus, demonstratum est. Cæterùm quod antè dixi non esse his commentariis omnia, quæ perperam dicta sunt, inserenda, sed quæ aliquam habent cum vero similitudinem (qua ego de causa adductus, ea, quæ Herophilus in Hippocratis Prognosticum falsò obiecit, discutere impræsentiarum nolui) idipsum nunc quoque, & toto hoc libro præstabo, alióSque, qui in hæc inciderint, idem, vt agant, rogabo, ne mihi succenseant, quòd multa ab interpretibus perperam dicta prætermittam. Quòd si diligenter scripta nostra legant, de illis ipsi per se statuere, & iudicare poterunt. Quamobrem omissis illis, qui de diuino nugantur, demus operam, vt quid Hippocrates senserit, reperiamus. Quòd igitur diuinum illud prorsus ad medicam artem pertineat, nec cognitionem ipsius ab Hippocrate probatam modò esse, verùm etiam proditam, omnibus manifestum est. Ineptus enim sit omnino author ille oportet, qui rei alicuius cognitionem commendat, quam penitus non docuerit. Itaque scriptam esse ab Hippocrate diuini ipsius præcognitionem necesse est. Audeamus igitur dicere, id non esse aliud, quàm ambientis nos aëris constitutionem, de qua scripsit hunc in modum in Aphorismis; *Si hyems sicca septentrionales ventos habuit, ver autem austros, & pluuias exhibet, necesse est æstate acutas febres, ophthalmias, & dysenterias excitari, maximéque in mulieribus, & humidioribus natura corporibus.* Hæc & quæ postea scribuntur, præcognitiones sunt eorum, quæ in nobis circunfusus aër suscitat; de quibus breuissimè quidem in Aphorismis, multò autem copiosius in libris Epidemiωn disseruit. Quæ tamen in hoc ipso Prognostico prorsus omisit, quamuis ad præsentem speculationem pertinerent. Præstitisset igitur causam inquirere, cur nihil de diuino dixerit, quàm malè interpretari. Sed mihi quidem videtur propter instituti operis magnitudinem, huic libro morborum vulgarium disciplinam non inseruisse. Namque isto iam absoluto hæc ad extremum subiunxit; *Oportet autem perpetuò aduentantes populares morbos protinus agnoscere, nec ignorare temporis anni constitutionem.* Quibus verbis ostendit medico, vt alia omnia, quæ ad præcognitionem maximè conducunt, sic morborum populariter vagantium generationem cognitam esse debere. Eam autem ipse seorsum docuit, in Aphorismis quidem compendiosè, quemadmodum diximus, fusiùs autem multò in libris Epidemiωn, eámque ob rem interpretum plerique meritò post librum hunc, Epidemiωn libros enarrarunt, quos certè hac in re etiam imitabimur.

A οὐθ' Ἱπποκράτης ἠγνόει τὰς αἰτίας τῶν κρινουσῶν ἡμερῶν, ὡς ἐν τοῖς περὶ κρισίμων ἡμερῶν, ὑφ' ἡμῶν ἐπιδέδεικται. ὅπερ οὖν εἶπον ἔμπροσθεν, ὡς οὐ χρὴ μνημονεύειν ἐν τοῖσδε τοῖς ὑπομνήμασι τῶν μοχθηρῶς εἰρημένων ἁπάντων, ἀλλ' ὅσα πιθανοῦ τινος ἔχεται· διὸ καὶ τὰ κακῶς ὑπὸ Ἡροφίλου γεγραμμένα πρὸς τὰς Ἱπποκράτους προγνώσεις, ἀνεβαλλόμην ἐπισκέψασθαι· τοῦτο καὶ νῦν, καὶ καθ' ὅλον τὸν ἐφεξῆς λόγον, αὐτός τε ποιήσω, καὶ τοὺς ἐντυγχάνοντας ἀξιώσω πράττειν, ὡς μὴ μέμφεσθαί μοι παραλιπόντι πολλὰ τῶν τοῖς ἐξηγηταῖς εἰρημένων μοχθηρῶς. εἰ δ' ἐπιμελῶς B ἀναγνώσονται τὰ πρὸς ἡμῶν εἰρημένα, δυνήσονται καὶ καθ' ἑαυτοὺς ἐκεῖνα δοκιμάζειν. ἐάσαντες οὖν ἤδη τοὺς ληρήσαντας ὑπὲρ τοῦ θείου, πειραθῶμεν αὐτοὶ κατὰ τὴν Ἱπποκράτους γνώμην εὑρεῖν τὸ λεγόμενον. ὅτι μὲν οὖν ἕν τι τῶν κατὰ τὴν ἰατρικὴν τέχνην εἶναι χρὴ τὸ θεῖον τοῦτο, καὶ μὴ μόνον ἐπῃνῆσθαι τὴν γνῶσιν αὐτοῦ πρὸς Ἱπποκράτους, ἀλλὰ καὶ δεδεῖχθαι, πρόδηλον παντί. ληρώδης γὰρ ἂν εἴη συγγραφεὺς ἐπαινῶν πράγματος γνῶσιν, ὃ μηδ' ὅλως ἐδίδαξεν, ὥστε τῶν ὑφ' Ἱπποκράτους γεγραμμένων, ἕν τι καὶ τὴν τοῦ θείου πρόγνωσιν εἶναι χρή. λέγωμεν οὖν ἤδη θαρροῦντες, C οὐκ ἄλλο τι τοῦτ' εἶναι παρὰ τὴν τοῦ περιέχοντος ἡμᾶς ἀέρος κατάστασιν, ὑπὲρ ἧς ἐν ἀφορισμοῖς οὕτως ἔγραψεν. ἢν μὲν ὁ χειμὼν αὐχμηρός τε καὶ βόρειος γένηται, τὸ δ' ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος τοὺς πυρετοὺς ὀξεῖς, καὶ ὀφθαλμίας, καὶ δυσεντερίας γίνεσθαι, μάλιστα τῇσι γυναιξὶ, καὶ τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας. ταῦτα καὶ τὰ τούτοις ἐφεξῆς γεγραμμένα, προγνώσεις εἰσὶ τῶν ἐκ τῆς τοῦ περιέχοντος αἰτίας ἐν ἡμῖν γινομένων, ὑπὲρ ὧν ἐν μὲν τοῖς ἀφορισμοῖς ἐν κεφαλαίοις βραχέσιν ἐδίδαξεν· ἐν δὲ τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ἐπὶ πλεῖον διῆλθεν, ἐν D μέντοι τῷ προγνωστικῷ τῷδε παρέλιπε, καίτοι ταύτης τῆς θεωρίας ὄντα. βέλτιον οὖν ἦν ἐζητηκέναι τὴν αἰτίαν τοῦ παραλιπεῖν τὸ περὶ θεῖον λέγειν, τοῦ ψευδῶς ἐξηγεῖσθαι. δοκεῖ δέ μοι διὰ μέγεθος τῆς πραγματείας μὴ προσθεῖναι τῷδε τῷ βιβλίῳ, τὴν περὶ τῶν ἐπιδημίων νοσημάτων διδασκαλίαν. συντελέσας οὖν αὐτὸ, κατὰ τὴν τελευτὴν ἔγραψε ταυτὶ, χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων ἀεὶ τῶν ἐπιδημεόντων ταχέως ἐνθυμέεσθαι, καὶ μὴ λανθάνειν τῆς ὥρης τὴν κατάστασιν. ὅτι μὲν οὖν χρὴ γινώσκειν τὸν ἰατρὸν, εἴπερ τι καὶ ἄλλο τῶν εἰς τὰς προγνώσεις διαφερόντων, E οὕτω καὶ τὸ περὶ τῆς τῶν ἐπιδημίων νοσημάτων γενέσεως ἐδήλωσεν. ἰδίαν δ' αὐτοῖς ἀνέθηκε διδασκαλίαν. ἐν ἀφορισμοῖς μὲν, ὡς εἴρηται, διὰ βραχέων κεφαλαίων διδάξας· ἐν δὲ τοῖς τῶν ἐπιδημιῶν ἐπὶ πλέον ἐξεργασάμενος, ὅθεν εἰκότως ἔνιοι τῶν ἐξηγητῶν, ἐφεξῆς τῷδε τῷ βιβλίῳ τὰ τῶν ἐπιδημιῶν ἐξηγήσαντο, καὶ ἡμεῖς οὕτω ποιήσομεν.

Quæ sit optima ac pessima ægrotantium facies.

SENTENTIA HIPPOCRATIS 5.

SVnt autem hæc in acutis morbis consideranda, Primùm quidem, an eius, qui ægrotat, facies similis sit bene valentium, sed maximè an sibi ipsi; talis namque optima est. Pessima autem ea, quæ simili prorsus contraria est.

Τί ἐστιν ἄριστόν τε καὶ δεινότατον τῶν νοσούντων πρόσωπον.

F

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ε'.

ΣΚέπτεσθαι δὲ χρὴ ὧδε ἐν τοῖσιν ὀξέσι νοσήμασι· πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων· μάλιστα δὲ εἰ αὐτὸ ἑωϋτῷ, οὕτω γὰρ ἂν εἴη ἄριστον. τὸ δὲ ἐναντιώτατον τοῦ ὁμοίου, δεινότατον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν οὖν ὁ λόγος αὐτῷ περὶ τῶν ὀξέων νοσημάτων, ἐν τούτῳ τῷ βιβλίῳ γενήσεται, σαφῶς ἐδήλωσεν. ἄρχεται δὲ τῆς διδασκαλίας ἀπὸ τῶν κατὰ τὸ πρόσωπον σημείων, ὡς ἂν πρώτων τε φαινομένων, καὶ μεγάλην ἐχόντων δύναμιν. ὅτι μὲν οὖν πρῶτα φαίνεται ταῦτα, πρόδηλον παντί. ὅτι δὲ καὶ μεγάλην ἔχει δύναμιν εἰς πρόγνωσιν, ἐφεξῆς μαθήσῃ. πρότερον δ' ἀναμνήσθητί μοι τοῦ κοινοῦ τῆς τέχνης ὅλης αὐτοῦ προοιμίου, γραφέντος ἐν τῷ κατ' ἰητρεῖον, ἢ ὅμοια, ἢ ἀνόμοια ἐξ ἀρχῆς ἀπὸ τῶν μεγίστων, εἶτα ἀπὸ τῶν ῥηΐστων, ἀπὸ τῶν πάντη πάντως προσερχομένων, ἃ καὶ ἰδεῖν τῇ ὄψει, καὶ τῇ ἁφῇ, καὶ τῇ ἀκοῇ, καὶ τῇ γλώσσῃ, καὶ τῇ γνώμῃ ἐστὶν αἰσθέσθαι. οὐ γὰρ ἡ πρόγνωσις μόνον, ἀλλὰ καὶ ἡ τῶν ποιητέων ἔνδειξις ἀπὸ τουτέων ἄρχεται. περὶ οὖν τῶν ποιητέων, ἐν τοῖς τῆς θεραπευτικῆς εἴρηται μεθόδου γράμμασι. περὶ δὲ τῶν προγνώσεων ἐνταυθοῖ σκόπει, πάλιν ἀναμνησθεὶς, ὡς οὐ τὰ μέλλοντα μόνον, ἀλλὰ καὶ τὰ προγεγονότα, καὶ τὰ νῦν ὄντα κατὰ τὸ σῶμα, διά τινων σημείων ἐξευρίσκειν, ἐκ τοῦ προγνωστικοῦ μέρους τῆς τέχνης ἐστίν. ἀλλά τήν γε τῶν ἐνεστώτων γνῶσιν, ἰδίᾳ προσηγορίᾳ καλεῖν εἰθίσμεθα διάγνωσιν. ἐπισκέπτεσθαι δὲ κελεύει τὸ πρόσωπον τοῦ νοσέοντος ἐξ ἀρχῆς, εἰ ὅμοιον, ἢ ἀνόμοιόν ἐστι τῷ τῶν ὑγιαινόντων, ἔτι δὲ μᾶλλον εἰ αὐτὸ ἑωυτῷ. καὶ γὰρ καὶ τοῦτο τὸ σημεῖον, τῶν Ἱπποκράτους δογμάτων ἐστὶν, ὡς μὴ μόνον ἀπὸ τῆς κοινῆς φύσεως ἁπάντων, ἀλλὰ καὶ τῆς ἰδίας ἑκάστου σκέπτεσθαι πάντα κατὰ τὴν τέχνην. καὶ γὰρ ὁπότε παραβάλλειν ἠξίου τὰ πεπονθότα μόρια τοῖς ὑγιαίνουσι, συνεβούλευε μὴ τὰ ἀλλότρια καθορᾶν, ἀλλὰ τοῦ πεπονθότος αὐτοῦ. ἄριστον μὲν οὖν ἐστι πρόσωπον ἀνθρώπου κάμνοντος, ὅταν ὁμοιότατον ἑαυτῷ διαμένῃ· χαλεπώτατον δὲ, ὅταν ἐναντιώτατον γένηται. τὰ δὲ ἐν τῷ μεταξὺ τοῦ ἀρίστου τε, καὶ χειρίστου οἷα, σὸν ἔργον ἤδη σκοπεῖσθαι, καὶ ἄκρων ἀφωρισμένων. τὰ μὲν γὰρ καὶ ἐγγυτέρω τοῦ ἀρίστου, βελτίω, τὰ δ' ἐγγυτέρω τοῦ χειρίστου, χείρω. μέσα δ' ἀμφοῖν ἐστι τὰ μηδετέρου πλέον ἀφιστάμενα. τὸ μὲν οὖν ἄριστον πρόσωπον ἑνὶ κεφαλαίῳ περιλαβὼν, ἐδήλωσε. τὸ γὰρ ὁμοιότατον τῷ κατὰ φύσιν, ἄριστον. τὸ δ' ἐναντιώτατον, ὡς ἂν οὐδὲ σύντροφον ἡμῖν ὑπάρχον. τὸ δὲ προγινωσκόμενον, αὐτὸς ἐκ τῶν κατὰ μέρος ἐδίδαξε γνωρισμάτων, ὧν ἕκαστον ἰδίᾳ προχειρουμένῃ, διὰ τῶν ἐφεξῆς γεγραμμένων.

COMMENTARIVS GALENI.

Dicturũ se hoc libro de morbis acutis ostẽdit euidentissimè. Incipit autem à signis, quæ in facie conspiciuntur, quòd ea tum cernantur primùm, tum vires magnas habeant. Ea quidẽ prima videri omnibus perspicuum est, quantum autẽ ad præsagiendum conferant: ex sequentibus intelliges. At primũ in memoriam velim reuoces ipsius præfationem vniuersæ arti communem, quæ scripta est in libro, cui titulus est κατ' ἰητρεῖον. An similia, an dissimilia primùm à maximis, deinde à facillimis, ab iis quæ ex toto & vsquequaque accedunt; & quæ contueri licèt visu, tactu, auditu, lingua, & animo vsurpare. Siquidẽ non modò præcognitio, sed etiam agendorum indicatio ab illis initium desumit. Ac de his quidem, quæ agere conuenit, dictum est in libris methodi medẽdi. De præcognitione autem hoc ipso libro videto, istud rursus memoria tenens, non futura modò, sed quæ etiam præcessere, queq; nunc in corpore sunt, signis quibusdam inuestigare, ad partem medicinæ Prognosticam pertinere. Veruntamen præsentium rerum cognitionẽ proprio nomine διάγνωσιν, hoc est, dignotionẽ appellare consueuimus. Cæterùm iubet Hippocrates ægri faciem primùm cõsiderandam esse similisne sit, an dissimilis ab ea, quam sani gerunt, præsertim verò an sibi ipsi. Hoc enim ex placitis Hippocratis est, omnia non solum ex natura, quæ cõmunis est, sed etiam ea, quæ cuique est peculiaris secundum artem expendenda esse. Namque vbi præcepit affectas partes cum sanis cõparare, non consuluit aliorum inspiciendas esse, sed eius ipsius, qui morbo correptus est. Itaque illius facies optima est, quę sibi ipsi quàm simillima perseuerat. Pessima verò quæ ab ea longissimè distat. Quæ verò in medio optimi pessimique sunt, tibi iam incumbit definitis extremis qualésnam sint iudicare. Nam quæ ad optimam magis accedunt, meliores sunt, quæ verò ad pessimam, peiores. Sũt autem inter vtramque mediæ, quæ ab vna magis, quàm altera non recedũt. Quare optimam faciem breuiter cõplexus est, & designauit. Quæ enim naturali quàm simillima est, optima cẽsetur. Pessima verò, quæ maximè contraria est, vt quæ nobis non sit congenita. Quæ verò ex his præsagia habeantur, ipse ex particularibus notis ostendit, de quarum singulis seorsum postea edisseram.

Ῥὶς ὀξεῖα, σημεῖον κακόν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ϛ'.

Εἴη δ' ἂν τὸ (αὐτὸ) τοιόνδε, ῥὶς ὀξεῖα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν κακῶν σημείων ἕν τι τοῦτο πρῶτον ἔγραψε, τὴν ὀξεῖαν ῥῖνα. χρὴ δ', ὡς πρὸς τὴν κατὰ φύσιν ἑκάστου παραβάλλοντα καθότι προείρηται, σκοπεῖσθαι. τοῦ τε γὰρ σιμοῦ φύσει, φανεῖται πάντως ἡ ῥὶς ἑαυτῆς ὀξυτέρα, καθάπερ καὶ τοῦ γρυποῦ, καὶ δηλονότι, καὶ τοῦ τὴν εὐθεῖαν ἔχοντος. ἀλλὰ χρή σε μεμνημένον εἰς ὅσον ἀποκεχώρηκε τῆς κατὰ φύσιν ἰδέας, εἰς τοσοῦτον μοχθηρὰν αὐτὴν εἶναι νομίζειν. ὀξυνομένη δὲ ἡ ῥὶς, ἐναργῶς ὁρᾶται καὶ τοῖς ἐν χρονίᾳ νόσῳ καταλεπτυνθεῖσι, καὶ τοῖς ὑπὸ καμάτου τεταλαιπωρημένοις, ἢ ὁπωσοῦν ἐκλυομένοις, ἢ λειποψυχοῦσι, καὶ δὴ καὶ τοῖς τεθνεῶσιν ἅπασιν, ὡς εἰκότως ἄν τις ἐπιλογίσαιτο τῷ κοινῷ πάντων ἀνθρώπων χρώμενος λόγῳ,

Nasus acutus, malum signum.

SENTENTIA HIPPOCRATIS 6.

Fverit autem eiusmodi, Nasus acutus.

COMMENTARIVS GALENI.

Inter signa mala hoc vnum primum, acutum nasum cõmemorauit. Sed illum cum eo, qui cuique secundum naturam est, quemadmodum antè diximus, conferre oportet. Nam & qui naturâ simus est, & qui aquilinus, & qui rectum etiam habet, illi prorsus nasus acutior videbitur. Hoc autem perpetuò tenendũ est, vt quantùm ipse à naturali forma recesserit, tantò deterior existimetur. Apparet autem manifestò nasus acutior iis, qui ex diuturno morbo maciem contraxerunt, item nimio labore accisis, aut alio quouis modo exolutis, aut animo deficientibus, atque adeò mortuis omnibus. Ex quo non absurdè possit aliquis communi omnium hominum ratione vsus, epilogismo

epilogiſmo concludere, malum hoc ſignum eſſe, quoties in maligno aliquo affectu acciderit. Quænam autem illa affectio ſit, in qua naſus acuitur, iam ad dogmaticam ſpeculationem attinet, tantúmque analogiſmo deprehendi poteſt. Analogiſmus verò ratio eſt, quæ ab euidentia auſpicatur rei obſcuræ faciens cognitionem. Epilogiſmus verò communis ratio eſt, & omnium aſſenſu conſpecta. Sed primùm epilogiſticè de ſingulis conſideremus indiciis; rectius enim eſt ex confeſſa, communique omnium hominum ratione facere principium doctrinæ, quàm ſtatim inter initia ad analogiſmum venire.

A μοχθηρὸν εἶναι τὸ σημεῖον ἐν κακῇ διαθέσει γινόμενον. ἥτις δέ ἐστιν ἡ διάθεσις αὕτη καθ' ἣν ἡ ῥὶς ὀξύνεται, δογματικῆς ἤδη θεωρίας ἔργον, ἀναλογισμῷ μόνῳ φωραθῆναι δυναμένης. ἀναλογισμὸς δ' ἐστὶ λόγος ἐκ τοῦ φαινομένου ὁρμώμενος, καὶ τοῦ ἀδήλου κατάληψιν ποιούμενος· ἐπιλογισμὸς δὲ, ὁ κοινὸς καὶ συμφωνούμενος παρὰ πάντων λόγος. ἀλλὰ πρότερον ἐπιλογιστικῶς τῶν εἰρημένων σημείων σκεψώμεθα ὑπὲρ ἑκάστου. πολὺ γὰρ ἄμεινόν ἐστι διὰ συμφωνουμένου, καὶ κοινοῦ πάντων ἀνθρώπων λόγου, ποιήσασθαι τὴν προτέραν διδασκαλίαν, ἢ παρ' εὐθέως ἐπὶ τὸν ἀναλογισμὸν ἔρχεσθαι.

B

Hippocratica facies explicatur ex morbis acutis.

SENTENTIA HIPPOCRATIS 7.

Oculi concaui, tempora collapſa, aures frigidæ & contractæ, & imis partibus inuerſæ. Adhæc cutis circa frontem dura, intenta, & arida, colórque totius faciei niger, aut etiam pallidus & liuidus aut plumbeus.

Τὸ καθ' Ἱπποκράτην πρόσωπον ἐκ τῶν ὀξέων νοσημάτων ἐξηγεῖται.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ζʹ.

Ὀφθαλμοὶ κοῖλοι, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ, καὶ συνεσταλμένα, καὶ οἱ λοβοὶ τῶν ὤτων ἀπεστραμμένοι, καὶ τὸ δέρμα τὸ περὶ τὸ μέτωπον σκληρόν τε καὶ περιτεταμένον, καὶ καρφαλέον ἐόν, καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν τε, ἢ καὶ μέλαν ἐὸν, καὶ πελιὸν, ἢ μολυβδῶδες.

COMMENTARIVS GALENI.

Et omnia quidem ſigna hæc in diuturnis morbis, & laboribus, & animi deliquiis, & morte potiſſimùm apparent in facie. Licet autem facilè epilogiſmo colligere, quæ à naturalibus diſſimilia ſunt, aliquid mali deſignare, poſito eo, quod ſtatim ab initio, nemo non poteſt non fateri, Nimirum lethalia eſſe quæcunque naturalibus aduerſiſſima ſunt; Similia autem ſalutaria. Hæc ergo de illis epilogiſticè dicta ſint à nobis. Iam verò vniuerſam eorum naturam diligenter expendamus. Proueniunt quidem ij affectus aut ab aliquo, quod exedit, & carnoſas animalium partes abſumit, aut imbecillitate caloris natiui, qui ad extremas vſque corporis partes proferre ſe, & exerere non poteſt, ſed ſolis in viſceribus exiguus remanet. Quò fit, vt tantùm ſanguinis ſpiritúſque in extremas corporis partes amplius non influat, quantùm anteà, quum ſecundum naturam ſe habebant, influebat. Eam igitur ob cauſam facies à naturali permultùm immutata manifeſtò cernitur. Quum enim partes tum oſſeæ, tum humidiores, tum carnoſæ ſibi mutuò adiaceant, ac oſſeæ quidem, quòd terrena earum ſubſtantia ſit, ſibi ſimiles perpetuò exiſtant, humidiores autem, atque carnoſæ abſumi facillimè poſſint, & ſpiritus, atque ſanguinis inopia in ſeipſas concidere, affectus euidentiſſimus eſt. Siquidem naſus, tantùm, quâ alas habet, carnoſus eſt, reliquis autem omnibus partibus oſſeus. Quare quum vel carnoſa eius portio contabuerit, vel vacuata conciderit, extrema ſui parte non ſine cauſa tenuis apparet. Ad eundem quoque modum, ſi ſit vehementer etiam refrigeratus, ſicut illis accidit, qui vita functi ſunt. Namque carnoſæ partes frigore denſatæ, haud immeritò ſummis partibus extenuantur. Nec verò alium acutum naſum dicimus, quàm qui extrema parte tenuis eſt. Hæ quidem ſunt acuti naſi cauſæ. Oculi porro ab iiſdem cauſis excauantur, ſed tanto magis, quanto ſunt extremo naſo humidiores, atque molliores.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Καὶ ταῦτα πάντα τὰ σημεῖα περὶ τὸ πρόσωπον γίνεται, κατά τε τὰς χρονίας νόσους, καὶ τοὺς καμάτους, καὶ τὰς λειποψυχίας, καὶ πολὺ μᾶλλον ἔτι κατὰ τοὺς θανάτους. εὐεπιλόγιστον οὖν ἐστι τὰ ἀνόμοια τοῖς κατὰ φύσιν, κακοῦ τινος εἶναι δηλωτικὰ, κειμένου γε τοῦ κατ' ἀρχὰς εὐθέως ὁμολογουμένου, ὡς τὰ μὲν ἐναντιώτατα τοῖς κατὰ φύσιν, ὀλέθρια, τὰ δὲ ὅμοια σωτήρια ἐστι σημεῖα. ταῦτα μὲν οὖν ἐπιλογιστικῶς ἡμῖν, ὑπὲρ αὐτῶν εἰρήσθω. σκεψώμεθα δ' ἀκριβῶς, ὑπὲρ ὅλης αὐτῶν τῆς φύσεως. D γίνονται τοίνυν αἱ τοιαῦται διαθέσεις, ἤτοι διά τινα αἰτίαν συντήκουσάν τε, καὶ διαφθείρουσαν τὰ σαρκώδη μόρια τῶν ζώων, ἢ δι' ἀρρωστίαν τῆς ἐμφύτου θερμασίας, μηκέτ' ἀποτείνεσθαι δυναμένης αὐτῆς ἐπὶ τὰ πέρατα τοῦ σώματος, ἀλλ' ἐν τοῖς σπλάγχνοις μόνοις ὀλίγης διασωζομένης· ἀκολουθεῖ δὲ τούτῳ δηλονότι, καὶ τὸ μήθ' αἵματος ἔτι, μήτε πνεύματος ἐπιρρεῖν τοῖς ἄκροις τοῦ σώματος, ὅσον ἔμπροσθεν ἐπέρρει κατὰ φύσιν ἐχόντων. διὰ τοῦτ' οὖν, ἐν τῷ προσώπῳ φαίνεται μεγίστη σαφῶς ἡ τοῦ κατὰ φύσιν ἐξαλλαγή. παρακειμένων γὰρ ἀλλήλοις τῶν τε ὀστείνων μορίων, E καὶ τῶν ὑγροτέρων τε, καὶ σαρκωδῶν, εἶτα τῶν μὲν ὀστείνων διὰ τὸ γεῶδες τῆς οὐσίας, ὁμοίων διαμενόντων, τῶν δὲ ὑγροτέρων, καὶ σαρκωδῶν, συντήκεσθαί τε ῥᾳδίως δυναμένων, καὶ συμπίπτειν εἰς ἑαυτὰ, διά τε τὴν ἔνδειαν τοῦ πνεύματος, καὶ τοῦ αἵματος, εὐφορωτάτη ἡ διάθεσις γίνεται. τῆς μὲν γὰρ ῥινὸς κατὰ τὰ καλούμενα πτερύγια μόνα σαρκώδης ἐστὶν ἡ οὐσία, τὸ δ' ἄλλο πᾶν ὀστῶδες. εἰκότως οὖν, ὅταν ἤτοι τετηκὸς ᾖ τὸ σαρκῶδες, ἢ κενωθὲν συνιζήσῃ, τὸ πέρας αὐτῆς φαίνεται λεπτόν· οὕτω δὲ κἂν ψυχθῇ σφοδρῶς, ὃ δὴ τοῖς ἀποθνήσκουσιν ἤδη συμβαίνει. F πιλουμένης γὰρ ἐν τῇ ψύξει τῆς οὐσίας τῶν σαρκωδῶν μορίων, ἰσχνὴ κατ' ἄκρας ἑαυτῆς εἰκότως γίνεται, καὶ μὴν οὐκ ἄλλην τινὰ ὀξεῖαν ὀνομάζομεν ῥῖνα, πλὴν τῆς κατὰ τὸ πέρας ἰσχνῆς. οὕτως μὲν οὖν ἡ ῥὶς ὀξεῖα φαίνεται; κοῖλοι δὲ ὀφθαλμοὶ, διὰ τὰς αὐτὰς αἰτίας. ἀλλ' ὅσῳ τῆς ἄκρας ῥινὸς εἰσὶν ὑγρότεροί τε καὶ μαλακώτεροι, τοσούτῳ θᾶττον κοιλαίνονται,

ἀλλὰ καὶ πνεύματος ψυχικοῦ παμπόλλου μετέχουσι, καὶ θερμασίας οὐκ ὀλίγης, ὧν ἀπολειπόντων αὐτούς, εἰκότως συστέλλονται. τοῦτο δέ ἐστιν ὀφθαλμῶν κοιλότης. οὕτω δὲ καὶ οἱ κρόταφοι συμπίπτουσιν, ὅτι μόνοι τῆς ἄλλης κεφαλῆς ἔχουσι μῦς, οὓς ὀνομάζουσι κροταφίτας. ἡ δ' ἄλλη πᾶσα κεφαλή, παντάπασιν ἄσαρκός ἐστιν. ὦτα δὲ ψυχρά, καὶ συνεσταλμένα, διότι χονδρώδη, καὶ ἄσαρκα, καὶ ὀλίγαιμά ἐστι. τάχιστα οὖν καταψύχεται παρεσκευασμένα πρὸς τὸ πάθος ὑπὸ τῆς οἰκείας φύσεως, διὰ τίνα δὲ αἰτίαν ἀποστρέφεσθαι συμβαίνει τοὺς λοβοὺς αὐτῶν; ἤ, ὅτι μαλακωτέραν ἔχουσι τὴν οὐσίαν, οὐχ ὥσπερ τὸ ἄλλο σύμπαν, ὅπερ ἀκριβῶς λεπτός χόνδρος ἐστί, λεπτῷ δέρματι σκεπόμενος, ὥσθ' ὑπὸ τῶν εἰρημένων ἔμπροσθεν αἰτίων, οἱ λοβοὶ λεπτύνονταί τε καὶ συστρέφονται, καὶ ξηραίνονται, καὶ πήγνυνται. ταῦτα δὲ πάσχοντες, ὀπίσω τείνονται μᾶλλον ἐπὶ τὰς ἀρχὰς τῶν τὴν αἴσθησιν αὐτοῖς παρεχόντων νεύρων. τὸ μὲν γὰρ σπᾶσθαι, τοῖς ἱμαντώδεσιν ἅπασι ξηραινομένοις κοινόν. ἴδιον δ' ἑκάστῳ τῶν ἐν τῷ σώματι μορίων, ἐπ' ἐκεῖνο τὸ μέρος διαστρέφεσθαί τε καὶ περισπᾶσθαι μᾶλλον, ἔνθα τῶν ἐμφυομένων αὐτῷ νεύρων ἐστὶν ἡ ἀρχή. θεάσασθαι γοῦν ἐστιν ἐναργῶς τοῦτο, καὶ κατὰ τοὺς δακτύλους. ἐὰν μὲν ὁ ἔνδον τένων ὑπό τινος αἰτίου πάθῃ, καμπτομένους τοὺς δακτύλους σαφῶς ἐστιν ἰδεῖν, ἐὰν δὲ ὁ ἔξωθεν, ἐκτεινομένους. διὰ δὲ τὴν δὲ τὴν αὐτὴν ξηρότητά τε καὶ πῆξιν, ὅλον τὸ δέρμα τὸ περὶ τὸ πρόσωπον σκληρόν τε φαίνεται, καὶ περιτεταμένον. ἐναργέστερον δὲ ὁρᾶται τὸ πάθος αὐτοῦ κατὰ τὸ μέτωπον. ὅτι σαρκώδης οὐσία λεπτὴ κατὰ τοῦτο τὸ μέρος ὑποβέβληται τῷ δέρματι. πάσχει δὲ ὑπὸ τῶν εἰρημένων αἰτίων, ἡ σαρκώδης μᾶλλον φύσις τῆς δερματώδους. ἡ δὲ τῆς χροιᾶς μεταβολὴ μοχθηροτάτη μέν ἐστιν, ἡ ἐπὶ τὸ μέλαν, ὡς ἂν ἀποψυχομένου τοῦ αἵματος, ὥσπερ ὅταν ἐκτὸς ἐκχυθὲν θρομβωθῇ. μετριωτέρα δὲ ἡ ἐπὶ τὸ χλωρόν. εἰώθασι δὲ οὕτως ὀνομάζειν οἱ παλαιοί, ποτὲ μὲν τὸ ὠχρόν, ἐνίοτε δέ, ὡς οἱ πολλοὶ κράμβας τε καὶ θριδακίνας καλοῦσι χλωράς, ὅπερ χρῶμα μελάντερόν ἐστιν ἐρυθροῦ, καὶ οἷον ἀρχή τις τοῦ μελαίνεσθαί τε καὶ πελιδνοῦσθαι, ψύξεως ἐργαζομένης αὐτό, καθάπερ καὶ τὸ μέλαν, ὥστ' εἰκότως, καὶ τὸ πρόσωπον ἐν ᾧ πάντ' ἐστὶ τὰ προειρημένα, προσαγορεύεται νεκρῶδες. καὶ τοῦτο ἐν μὲν τοῖς κεχρονισμένοις νοσήμασι πολλάκις ὁρᾶται γιγνόμενον, ὀλιγάκις δ' ἐν ἀρχῇ. διὸ καὶ κινδυνωδέστατόν ἐστιν, ὡς ἂν μηδὲ τὴν ἀπὸ τοῦ χρόνου πρόφασιν ἔχον. ἐπὶ μακρῷ μὲν γὰρ χρόνῳ συντακῆναί τε τὸ σῶμα, καὶ ψύχεσθαι τῶν ἀκρωτηρίων τινά, θαυμαστὸν οὐδέν. ἐν ἀρχῇ δέ, καὶ μάλιστ' ἐν ὀξεῖ νοσήματι, πάντως ὀλέθριον, εἰ μὴ διά τινα αἰτίαν ἑτέραν ᾖ τοῦτο γεγονός, ὁποῖαι δ' εἰσὶν αἱ τοῦτο ποιεῖν δυνάμεναι, κατὰ τὴν ἑξῆς ῥῆσιν αὐτὸς ἐδίδαξε. νυνὶ δὲ ὃ χρὴ προσθεῖναί με, παραλελεῖφθαι δοκοῦν ὑπ' αὐτοῦ, πρότερον ἄκουσον. ὥσπερ γὰρ ἐν τοῖς χρονίοις νοσήμασι τοιοῦτον γίνεσθαι, πρόσωπον οὐκ ἂν εἴη μεγάλως ὀλέθριον, οὕτως οὐδ' ἐν ψυχρῷ χωρίῳ, καὶ χειμῶνι, καὶ καταστάσει ψυχρᾷ, καὶ γεροντικῇ, καθάπερ ἐμάθομεν ἐν ἀφορισμοῖς, ὡς ἐν τῇσι νούσοισιν ἧσσον κινδυνεύουσιν, οἷσιν ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης, ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων ᾖ.

Quin & illi plurimùm animalis spiritus, & calorem non exiguum continent, quibus si quando destituantur, non præter rationem contrahuntur. Id autem est oculorum cauitas. Ad eundem verò modum etiam tempora collabuntur, Musculos enim ex vniuerso capite sola habent, quos κροταφίτας hoc est temporales appellant, quum reliquum omne caput carne prorsus careat. Aures porrò frigent, & contrahuntur, quòd cartilagineæ & sine carne sint, parúmque sanguinis habeant. Itaque ocyssimè refrigerantur, ad affectum sua natura propensæ. Verùm quid causæ est cur imæ earum partes inuertantur? An quòd mollior sit illarum substantia, quàm reliquarum partium, quæ non aliud sunt, quàm tenuissima cartilago, tenui cute obducta? Ob has quidem prædictas causas infimæ aurium partes extenuantur, inuertuntur, ficciores densioresque euadunt. Deinde retrahuntur, & quàm maximè possunt ad originem neruorum recurrunt, à quibus sensum accepere. Conuelli namque coriaceis omnibus exsiccatis commune est, Ad partem autem illam reflecti potius & reuerti. Vnde nerui, qui in ipsam inseruntur originem ducunt, proprium est singularum corporis partium. Hoc namque etiam in digitis apertissimè potest videri. Nam si tendo internus aliqua de causa malè affectus fuerit, videas apertè digitos inflecti, si verò externus, distendi. Est autem illa ipsa siccitas adstrictióque causa, cur tota cutis faciei dura tensáque fit. Quod tamen in fronte multò cernitur euidentius, quoniam illic caro admodum tenuis cuti subiecta est. Afficitur verò à prædictis causis multò faciliùs caro, quàm cutis. At verò coloris mutatio in nigrum quidem omnium pessima est, vt quæ sanguine refrigerato proueniat, non aliter quàm quum extra vasa effusus, in grumos concreuit. Quæ verò ad eum fit colorem, quem Græci χλωρὸν vocant, mitior multò est. Sic autem veteres vocare consueuerunt, aliàs pallidum, aliàs viride, quomodo multi brassicam, & lactucam virides appellant, qui certè color nigrior est, quàm ruber, & veluti initium quoddam nigritiei, & liuoris, à frigiditate sumit, & color niger, proueniens. Quamobrem haud temerè facies his omnibus, quæ dictæ sunt fœdata notis, lethalis censetur. Atque in longis quidem morbis sæpenumero, per initia autem morborum raró talis euadit, eámque ob causam periculosissima est, vt quæ temporis longitudini accepta referri non possit. Namque mora temporis longiore, & corpus contabescere, & extremas aliquot corporis partes refrigerari, non debet cuiquam mirum videri. In recenti verò morbo, maximéque acuto, omnino exitiale est, nisi fortè talis aliam quandam ob causam euaserit. Quæ autem id efficere possint, ipse postea dicturus est. Nunc autem quod ab eo prætermissum videtur, quódque adiiciendum à me est, priùs ausculta. Nam quemadmodum per longos morbos faciem talem euadere non est admodum perniciosum, ita nec in regione frigida, & hyeme, & frigido cœli statu, & senili ætate, sicut in Aphorismis didicimus, In morbis minus periculi esse, qui naturæ, ætati, habitui, temporique anni magis congruunt, quàm qui nulla in re cum istis conueniunt.

Hippocratica facies ex causis euidentibus explicatur.

SENTENTIA HIPPOCRATIS 8.

ITaque si principio morbi facies talis est, & nondum potest aliis ex notis vlla haberi coniectura, interrogare oportet, an vigilia praecesserit, an ventris resolutio, an inedia. Ac si eorum aliquid fateatur, minus periculi subesse arbitrandum est. An verò eas ob causas facies talis euaserit, vna die noctéque iudicatur. Sin autem negat quicquam horum praecessisse, nec intra tempus praedictum desinit, signum hoc mortiferum esse dubitandum non est.

COMMENTARIVS GALENI.

PEriculosissimus morbus est, & prorsus incurabilis, in quo statim à principio facies lethalis nullã externam ob causam euasit. Si verò euidens aliqua causa, vt immoderata vigilia, aut inedia, aut alui profluuium antecesserit, minus inest periculi. Nam praestaret quidem nec ab his causis vires per initia morborum tantopere exolutas esse, at multò minus periculi fuerit, ab aliqua eiusmodi causa, quàm à morbi malignitate exolutas fuisse. Quae autem corporis affectio sit, quae primis diebus faciem tam deformẽ reddit, iam tibi apertè breuiterq; exponã. Quum retentrix, quae in animali est facultas imbecilla extiterit, simulque humores tenues cum febre calida, semper quidem aliquid, quod propter paruitatem oculis cerni non potest, effluentibus nimirum tenuibus humoribus, extra cutem vacuatur, febris verò tenuissimos quidem humores etiam magis absumit, crassiores autẽ extenuat, adeò, vt mora nulla vacuationi interponatur, nec multùm differat ab assiduis vomitibus, aut profluuiis alui, aut immoderata per vrinas vacuatione, nisi quòd hae sensu deprehendi possunt (& in hoc quidem posita est eorum differentia) illa autem de qua modò dixi propter eorum, quae vacuantur tenuitatem, visum fugit. Nunquam ergo facies talis contigit in morbo pituitoso, vti nec in plethorico, propter sanguinis redundantiam. Indigentiam potius in corpore esse, & labores curasque praecessisse oportet. Sic enim aliquis plurimũ biliosi humoris accumulat. Si verò regio praetereà calida est, & tempus anni aestiuum, caelique status calidus, & siccus, tunc certè etiam faciliùs est affectu isto prehendi, & multò adhuc magis si homo sua natura ad bilẽ propensior est. Sunt autẽ & quorum corpora resoluuntur, atq; difflantur perfacilè, sunt etiam qui ventriculi os imbecillũ habent, quę si cum superioribus cõcurrerint, eo affectu corripi facillimũ est, à quo lethalis hic vultus nascitur. Itaque qui ista nouerit, non modò momentum magnum ad praecognoscendum, verùm etiam ad curandum erit consequutus; scopum hunc habens, cibis ventriculo optimis, εὐστομάχοις Graeci vocant, vires confirmare. Verùm ista quasi viae haud breue diuerticulum dicta sint. Iam verò de externis causis accuratius differendum. Sunt autem illae, quas ego nominatim recensui, inedia, vigilia, & alui resolutio. Quibus addes, si libet, alia ipsis similia, vt immodicam sanguinis è naribus, aut vtero, aut haemorrhoidibus, aut vulnere, aut alio quouis modo, vacuationem.

Ἐξηγεῖται τὸ καθ' Ἱπποκράτην πρόσωπον ἐκ τῶν προφανῶν αἰτιῶν.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΆΤΟΥΣ η.

Ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου, τὸ πρόσωπον τοιοῦτον ᾖ, καὶ μή πω οἷόν τε ᾖ τοῖσιν ἄλλοισι σημείοισι ξυντεκμαίρεσθαι, ἐπανερέσθαι χρή, μὴ ἠγρύπνηκεν ὁ ἄνθρωπος, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα εἴη ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχῃ αὐτόν. καὶ ἢν μέν τι τουτέων ὁμολογέῃ, ἧσσον νομίζειν δεινὸν εἶναι. κρίνεται δὲ τὰ τοιαῦτα ἐν ἡμέρῃ τε καὶ νυκτί, ἢν διὰ ταύτας τὰς προφάσιας, τὸ πρόσωπον τοιοῦτον ᾖ. ἢν δὲ μηδὲν τουτέων φῇσιν εἶναι, μηδ' ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι χρὴ τοῦτο τὸ σημεῖον θανατῶδες ἐόν.

ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὀλέθριον μὲν ἐσχάτως ἐστί, καὶ ἀνίατον νόσημα, καθ' ὃ νεκρῶδες εὐθὺς ἐν ἀρχῇ, τὸ πρόσωπον ἐγένετο χωρὶς τῆς ἔξωθεν αἰτίας. τούτου δ' ἧττόν ἐστι κινδυνῶδες, εἰ διά τινα αἰτίαν προφανῆ, καθάπερ εἰ τύχοι διὰ σφοδρὰν ἀγρυπνίαν, ἢ ἔνδειαν τροφῆς, ἢ ῥεῦμα γαστρός. ἄμεινον μὲν γάρ, μηδ' ὑπὸ τῶν τοιούτων αἰτιῶν, ἐσχάτως καταλύεσθαι τὴν δύναμιν ἐν ἀρχῇ τοῦ νοσήματος. ἧττον δέ ἐστι κινδυνῶδες, εἰ διά τι τούτων εἴη γεγονός, ἀλλ' οὐ διὰ τὴν τοῦ νοσήματος κακοήθειαν. ἥτις δέ ἐστιν ἡ διάθεσις τοῦ σώματος, ἐν ᾗ τοιοῦτον ἀποτελεῖται τὸ πρόσωπον, εὐθὺς ἐν ταῖς πρώταις ἡμέραις, ἤδη σοι φράσω σαφῶς διὰ βραχέων. ὁπόταν ἀρρωστία τῆς καθεκτικῆς τοῦ ζώου δυνάμεως εἰς ταὐτὸν ἀφίκηται λεπτότητι χυμῶν ἅμα θερμῷ πυρετῷ, διὰ μὲν τὴν ἀρρωστίαν ἀποκρίνεταί τι συνεχῶς, ἀόρατον ὑπὸ σμικρότητος, ἔξω τοῦ δέρματος ὡσανεὶ λεπτομερῶν ἀπορρεόντων χυμῶν. ὁ δὲ πυρετός, ἔτι δὴ καὶ μᾶλλον ἐκδαπανᾷ μὲν τοὺς λεπτοτάτους χυμούς, ἐπιλεπτύνει δὲ τοὺς ἧττον τοιούτους, ὡς μὴ διαλείπειν τὴν κένωσιν, ἀλλ' ἐοικέναι συνεχέσιν ἐμέτοις, ἢ διαρροίαις γαστρός, ἢ τῇ δι' οὔρων ἀμέτρῳ κενώσει. πλὴν ἐκεῖναι μὲν αἱ κενώσεις αἰσθηταί, καὶ ταύτῃ διαφέρουσιν. ἣν δὲ νῦν ἐγὼ διηγησάμην, διὰ λεπτότητα τῶν κενουμένων ἀόρατός ἐστιν. οὔκουν οὐδὲ συνέστη ποτὲ τὸ τοιοῦτον πρόσωπον ἐπὶ φλεγματώδει νοσήματι, καθάπερ οὐδ' ἐπὶ πληθωρικῷ, διὰ πλεονεξίαν αἵματος, ἀλλ' ἐνδεᾶ τε μᾶλλον εἶναι δεῖ κατὰ τὸ σῶμα, καὶ κόπους τινὰς προηγεῖσθαι, καὶ φροντίδας. ἐπὶ τοιούτοις γὰρ ἀθροίζεται χυμὸς πικρόχολος. εἰ δὲ καὶ τὸ χωρίον εἴη θερμόν, καὶ ἡ ὥρα τοῦ ἔτους θερινή, καὶ ἡ κατάστασις θερμή, καὶ ξηρά, τότε δὴ καὶ μᾶλλον ἑτοιμότερον ἁλίσκεται τοιαύτῃ διαθέσει, καὶ πολὺ μᾶλλον, εἰ χολωδέστερος ὁ ἄνθρωπος εἴη φύσει, καὶ ῥᾷον καὶ ῥᾳδίως ἔνιοι διαφοροῦνταί τε καὶ διαπνέονται κατὰ τὸ σῶμα, τὸ τῆς γαστρὸς ἔχοντες ἀσθενές. ἅπερ εἰ καὶ αὐτὰ προσέλθοι τοῖς προειρημένοις, ἑτοιμότατον ἁλίσκεσθαι τὸ τοιοῦτον σῶμα τῇ τὸ νεκρῶδες πρόσωπον ἐργαζομένῃ διαθέσει. ταῦτ' οὖν γινώσκων τις, οὐκ εἰς πρόγνωσιν μόνον, ἀλλὰ καὶ εἰς θεραπείας εὕρεσιν ὁδηγηθήσεται, σκοπὸν ἔχων στηρίζειν τὴν δύναμιν εὐστομάχοις τροφαῖς. ἀλλὰ ταῦτα μέν, ὡς ὁδοῦ τι πάρεργον οὐ σμικρὸν εἰρήσθω. περὶ δὲ τῶν ἔξωθεν αἰτιῶν ἐπισκεπτέον ἀκριβέστερον. ἔστι δὲ ἃ μὲν αὐτὸς ὀνομαστὶ ἐμνημόνευσε, λιμός, ἀγρυπνία, καὶ διάρροια. προσθεῖναι δ' ἔξεστί σοι καὶ τὰ τούτοις ὅμοια, κένωσιν ἀμέτρου αἵματος ἐκ ῥινῶν, ἢ μήτρας, ἢ αἱμορροΐδος, ἢ τραύματος, ἢ ὁπωσοῦν ἑτέρως.

ἔπι τε λύπην σφοδράν, ἐφ' αἷς τισιν αἰτίαις συνέστη. τάχα δ' εὔλογον ταύτην ὑπολαμβάνειν εἰρῆσθαι δυνάμει πρὸς Ἱπποκράτους, ἐν τῷ τῆς ἀγρυπνίας λόγῳ. γίνεται μὲν γὰρ καὶ δι' ἄλλας αἰτίας ἀγρυπνία. γίνεται μὲν δὴ καὶ διὰ λύπην, ὡς ἐπὶ πλέον ἥκειν λύπης ἀγρυπνίαν, καὶ διὰ τοῦτο περιέχειν αὐτὴν εἰκότως λεχθήσεται. οὕτω δὲ καὶ ἡ γαστὴρ ἰσχυρῶς ὑπελθοῦσα, παράδειγμά σοι πάσης ἀμέτρου κενώσεως ἔστω. τῷ γε μὴν ἐπιμελῶς τοῖς ἔργοις τῆς τέχνης ὡμιληκότι, καὶ τρίβωνι τῆς ἑκάστου τῶν πραγμάτων ἰδέας, ἐμφαίνεται πολλάκις ἡ ποιήσασα τὸ πρόσωπον τοιοῦτον αἰτία. δύσρητα δ' αὐτῶν ἐστι τὰ γνωρίσματα, καὶ διὰ τοῦτο διδάσκειν αὐτὰ λόγῳ, κἂν εἰδῶσιν, οἱ πολλοὶ τῶν ἰατρῶν ἀφίστανται. πρὸς ἡμῶν δ' εἴρηται πάντα κατὰ τὰς οἰκείας πραγματείας, ὥστε καὶ σὺ μαθὼν αὐτά, δυνήσῃ ποτὲ καὶ αὐτὸς εἰσελθὼν πρὸς ἄρρωστον, ἀποφήνασθαι περὶ τῆς τὸ τοιοῦτον πρόσωπον ἐργασαμένης αἰτίας, καὶ μᾶλλον εἰ καὶ προηγησαμένην ἅπασαν δίαιταν εἰδείης τοῦ κάμνοντος, ἐπεσκεμμένος δ' ἔτι περὶ τῆς κράσεως εἴης αὐτοῦ, καὶ πολὺ μᾶλλον, εἰ καὶ τῆς τῶν ἀρτηριῶν κινήσεως ἐμπειρίαν ἔχοις, ἔτι τε τῆς τοῦ πυρετοῦ ποιότητος. ὑποκείσθω γάρ τις ἕνεκα παραδείγματος, ὥρᾳ θέρους ἐν καταστάσει θερμῇ καὶ ξηρᾷ χολώδης φύσει νεανίσκος ἐκ ταλαιπωρίας τε, καὶ ἐνδείας, καὶ λύπης ἠργμένος νοσεῖν. ἔστω δὲ αὐτοῦ καὶ ἡ θερμασία, δάκνουσα σφοδρῶς τὴν ἁφὴν ἡμῶν, τὸ δ' οὖρον χολῶδες, ὅ,τε σφυγμὸς ἀρρωστίαν δυνάμεως ἐνδεικνύμενος, ὑπόπτευσον τὸν τοιοῦτον ἐν τῇ προκειμένῃ κατὰ τὸν λόγον τόνδε γενήσεσθαι καταστάσει, δι' ἣν τὸ πρόσωπον νεκρῶδες ἐν τάχει ἕξει, μὴ φθάσαν γε προσηκόντως τρέφεσθαι. μὴ τοίνυν ἔστω ταῦτα περὶ τὸν κάμνοντα, μήτε προγεγονότα, μήτε κατὰ τὴν πρώτην, καὶ δευτέραν ἡμέραν πεφηνότα. τῇ τρίτῃ δ' ἀφικομένῳ σοι, φαινέσθω τὸ πρόσωπον, οἷον εἴρηται νῦν ὑφ' Ἱπποκράτους. ἴσθι τοῦτον ἐπί τινι τῶν ἔξωθεν αἰτίων, οὕτω πεπονθέναι. διάσκεψαι οὖν παρὰ σαυτῷ, τί ποτε μᾶλλον αὐτῷ ἐνδέχεται γεγονέναι, πότερον ἔκκρισίν τινα πολλήν, ἢ ἀγρυπνίαν. ἐπ' ἐνδείᾳ μὲν γάρ, οὐδ' ἂν ἐγένετο τοιοῦτον ἀθρόως, ἄνευ τοῦ τά τε προηγησάμενα τῆς νόσου τοιαῦτα ὑπάρχειν, οἷα λέλεκται, καὶ τὴν φύσιν εἶναι τοιοῦτον οἷος εἴρηται. εἰ μὲν οὖν κατὰ τὴν προτεραίαν αὐτὸς ἑωρακὼς εἴης αὐτόν, οὐδ' ἂν ἔλαθέ σε μέλλουσα γενήσεσθαι πολλή τις ἔκκρισις αὐτομάτη. βεβαιότατα γὰρ αὐτῆς ἐστι τὰ γνωρίσματα, καὶ λέλεκται πρὸς ἡμῶν ἔν τε τοῖς περὶ κρίσεων ὑπομνήμασι, καὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, ὥστε ἔξεστί σοι παραχρῆμα θεασαμένῳ τὸν ἄνθρωπον, ἀποφήνασθαι σφοδρὰν ἀγρυπνίαν γεγονέναι. καὶ γὰρ δὴ καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ θεάσῃ ξηροὺς ἱκανῶς, ἐπὶ ταῖς ἀμέτροις αἰσθηταῖς κενώσεσιν, οὐ γινομέναις τοιούτοις, ὥσπερ ἐπ' ἀγρυπνίᾳ. ὄψει δὲ καὶ τὰ βλέφαρα δυσχερῶς ἀνατεινόμενα, καὶ τοιαύτην ἔχοντα τὴν ἰδέαν ἐν τῷ καταφέρεσθαι, καὶ [illegible] ὑπάρχειν, οἷα τοῖς κωματώδεσι γίνεται. καὶ μὴν δὴ καὶ πρῶτον σοι τότε φαινομένου τοῦ κάμνοντος, ἔμπροσθεν δὲ αὐτοῦ ὅλως ἑωραμένου, τά τε τοιαῦτα γνωρίσματα, καὶ τὰ τῶν σφυγμῶν ἐνδείξεταί τινα διάκρισιν. ἐπὶ μὲν ἀμέτροις ἐκκρίσεσι, σώζοντές τι, κἂν ὀλίγον ἐστὶ γνώρισμα τῆς ἰδέας τοῦ δηλοῦντος αὐτάς. ἐπὶ δὲ ταῖς ἀγρυπνίαις, χορδῆς τεταμένης ἔμφασιν ἔχοντος. τῷ δ' ἐξ ἐνδείας μόνης εἰς τὴν εἰρημένην τοῦ προσώπου διάθεσιν ἀφικομένῳ, τῶν εἰρημένων γνωρισμάτων οὐδέτερα πάρεστιν, οὔτε τὰ τῆς ἐκκρίσεως, οὔτε τὰ τῆς ἀγρυπνίας, ὥστε ἐκ συμβεβηκότων μᾶλ-

forsan οὐ

Præterea tristitiam magnam, quæcunque eam occasio inuexerit. Sed hanc fortè sub vigiliis ab Hippocrate comprehensam, non absurdè existimari possit. Nanque vt alias ob causas, sic solent etiam, & multò quidem frequentius, à tristitia excitari. Quamobrem illam sub vigilia contineri rectè dici potest. Sic & aluus plurimùm profluens omnis immoderatæ vacuationis exemplum est. Ac ille quidem, qui diligenter in artis operibus versatus est, & in singularum rerum forma multùm tritus exercitatusque, causam sæpenumero agnoscit, quæ faciem eiusmodi induxerit, earum tamen notas verbis explicare, difficile est, ob idque ex medicis permulti, quamuis nossent, scripto tamen docere destiterunt. Nos autem omnes propriis locis vbi eas tractari oportuit, explicauimus. Quas tu quoque si nosti poteris aliquando ad ægrum accedens causas illi aperire, à quibus facies eiusmodi profecta est, maximè si nota tibi sit victus omnis ratio quam tenuit, atque insuper attenderis qualénam sit ipsius temperamentum, & multò etiam faciliùs, si arteriarum motum, & febris qualitatem habueris exploratam. Esto enim, exempli gratia, qui æstate, calido siccóque cæli statu, ætate iuuenis, & natura biliosus ex labore, & inedia, & mœrore cœperit ægrotare. Esto præterea calor eiusmodi, qui tactum nostrum vehementer mordicet, vrina biliosa, pulsus denique virium imbecillitatem præ se ferat, eum quidem sic affectum iri quemadmodum hîc dicitur, faciemque mortiferam breui habiturum existima, nisi prius opportunè alatur. Age verò ista nec præcesserint in ægro, nec primo, & secundo die apparuerint, sed tertio vbi ad eum accesseris, facies qualem nunc Hippocrates descripsit, videatur. Scito hunc externam aliquam ob causam sic affectum fuisse. Tecum igitur expende quid potius illi accidere potuerit, magnáne aliqua vacuatio, an vigilia. Namque ex inedia talis derepente non euaserit, nullo eiusmodi morbum præcedente quale recensuimus, nec ea quam descripsi natura præditus. Ac si quidem eum pridie videras, latere te non potuit magna sponte sua vacuatio ventura, quippe certissimæ sunt ipsius notæ, & à nobis traditæ libris de crisibus, atque aliis in quibus docetur, quæ sit ex pulsibus præcognitio. Itaque quum primùm videris hominem, constanter asseuerare potes eum maximè peruigilem fuisse. Siquidem oculos eius permultum siccos intueberis, quòd ab immodicis vacuationibus quæ sensibus vsurpari possunt, sicut à vigilia prouenire non solet. Adhæc videbis palpebras vix attolli posse, sed demitti & immotas manere, non aliter quàm in vigili sopore, qui κῶμα à Græcis nuncupatur. Ac quamuis tunc primùm & nunquam antè ægrum videris, tamen & ex notis eiusmodi, atque etiam pulsibus poteris iudicare. Si namque hanc faciem vacuatio immodica conciliauit, supererit proculdubio, etiamsi paruum id signum est, in pulsu aliquid, quod ipsam prodat. Sin autem vigiliæ talem inuexerunt, intentæ chordæ speciem feret. Cui verò ex inedia sola, facies talis euasit, nulla ex prædictis signa adsunt, quæ vel vacuationem, vel vigiliam testari solent. Quare ex iis potius, quæ accidere, quàm

quàm ex propriis notis, eorum quibus cibi abstinentia faciem hunc in modum affecit petenda præcognitio est, maximè si diligenter consideranti tibi caloris in halitum digerentis proprietatem, febris non vehemens esse videatur. Nam si talis apparet, ab ea potiùs, quàm alia vlla externa causa faciem tam gracilem factam esse existimandum est. Decet autem tangentem diutius immorari, totáque manu ægri non modò brachiale, sed superiores etiam partes apprehendere, atque animum diligenter aduertere, an non solùm acris sit, verùm etiam copiosam secum substantiam corpoream, instar flammæ euehat, quæ & manus tuæ, qua ægrum tangis, cutem peruadat, & in imam quoque manum manifestò subeat, & penetret. Febres enim à quibus prædicta facies inducitur, eiusmodi sunt. Hæc autem quemadmodum dicebam, doceri quidem difficulter possunt, non tamen nullo prorsus modo explicari, aut ab exercitatis cognosci, atque ab illis etiam qui sæpiùs ea me præsagientem viderunt, ac potissimum quibus curæ fuit ea, quæ ex Prognosticorum commentariis didicerunt facto explorare. Qui sanè quum vident ea euenisse, quæ prædicebantur, reipsa intelligunt fieri illa posse, nec animum interim despondent, quin hæc aliquando cogniturì sint, quorum cognitio principio perdifficilis videbatur. Nemo enim geminos inter se simillimos fratres, semel tantùm atque iterum visos discernere potest, quos tamen nemo domesticorum non dignoscit. Ista quidem à me dicta sunt, quò iuuenes adhorter, eos præsertim, qui me talia prædicentem non spectarunt. Nam non solùm ad vigilias causam referre possunt, sed etiam ad tristitiam hac vel ista de causa contractam. Erasistratus enim non propterea iuuenem amore captum deprehendit, quòd cornices, aut coruos volantes vidisset, nec quòd iuuenis arterias, vt plerique scripsere, sensisset amatorium quiddam pulsantes (nullus enim pulsus est amori proprius, & peculiaris) sed quemadmodum ego quoque aliquando comperi, posteaquam manum brachiali laborantis admouissem, & ipse mulierem quandam inter alias domi vidisset. Nam confestim inæqualis, & inordinatus pulsus euasit, paulò autem posteaquam illa discessit, in statum rediit naturalem. Pulsus nanque hoc modo immutatus, affectu aliquo in vniuersum, ægri animum perturbatum esse testatur. Quis verò ille sit, ex his, quæ cum ipso partim dicuntur, partim videntur inuestigare conuenit. Nam dictis etiam quibusdam pulsus inæquales fiunt, ægris ob ea, quæ audierint, perturbatis. Sed de his quidem alio libro particulatim à me dictum est, qui De Præcognoscendo inscribitur. Nunc ad institutum redeamus. Erat autem eiusmodi, Medicum laudem magnam posse apud ægros consequi si multa quæ antè facta sunt, quæque adhuc fiunt, exponat, sicut ea de quibus nunc dicebamus, vigiliam, alui profluuium, & famem. Sed eorum quidem vnum determinatè dicere, difficile interdum est. Duorum verò alterum, aut ex tribus omnino vnum esse, facile præsciri potest. Nam & ab audientibus laudatur is, qui præcognoscendi causa interrogat hunc in modum. Nónne quòd nimium vigilauerit, aut diutius cibo abstinuerit, sic extenuatus est? Et sæpe quidem vtrunque annuunt, & medicum duas ob causas admirantur. Nonnunquam verò alterum tantum respondent, & in hoc etiam admirantur.

λον, ἤπερ ἐξ οἰκείων σημείων, ἐπ' ἐκείνων ἡ πρόγνωσις ἔσται σοι, τοῦ δι' ἔνδειαν τροφῆς εἰς τοιαύτην αὐτὸν ἥκειν διάθεσιν. ἔτι δὲ μᾶλλον, ἐὰν ὁ πυρετὸς τὴν ἰδιότητα τῆς διαφορητικῆς θερμασίας ἀκριβῶς ἐπισκεπτομένῳ σοι, μὴ προσβάλλῃ, ὡς ἐάν γε φαίνηται τοιαύτη, δι' ἐκείνην μᾶλλον, ἤ τι τῶν ἔξωθεν, ὑποπτεύειν ἰσχνὸν οὕτω γεγονέναι τὸ πρόσωπον. χρονίζειν δὲ προσήκει ἁπτόμενον, ὅλην τὴν χεῖρα περιβάλλοντα, μὴ τῷ καρπῷ μόνῳ τοῦ κάμνοντος, ἀλλὰ καὶ τοῖς ἀνωτέρω μορίοις ἀκριβῶς προσέχοντα τὸν νοῦν, εἰ μὴ δριμεῖα μόνον ἐστὶν, ἀλλὰ συναναφέρει πολλὴν οὐσίαν ἅμα ἑαυτῇ σωματοειδῆ καθάπερ τινὰ φλόγα διεξερχομένην, τό τε δέρμα τῆς σῆς χειρὸς ᾗ ψαύεις τοῦ κάμνοντος δέρματος, ἐγκαταβαίνουσάν τε σαφῶς τοῖς βάθεσι. τοιοῦτοι γάρ εἰσιν οἱ τὸ προειρημένον πρόσωπον ἐργαζόμενοι πυρετοί. ταῦτα δὴ, ὡς ἔφην, δύσρητα μέν ἐστιν, οὐ μὴν ἄρρητά γε παντάπασιν· οὐδὲ δυσδιάγνωστα τοῖς γυμνασθεῖσιν ἀμφ' αὐτά. καὶ πολλάκις ὑπ' ἐμοῦ τεθεαμένοις τὰ τοιαῦτα προλεγόμενα πάντα, πολύ τε μᾶλλον ἀσκοῦσι γνωρίζειν, ἐπὶ τῶν ἔργων ἃ διὰ τῆς προγνωστικῆς ἐδιδάχθησαν πραγματείας. ἐκ μὲν τοῦ θεάσασθαι τὰ προλεγόμενα, τὸ δυνατὸν αὐτῶν ἔργῳ μεμαθηκότες, οὐ προαπογινώσκοντες δὲ ἃ ἐν ἀρχῇ φαίνεται δυσδιάγνωστα. διδύμους γὰρ ἀδελφοὺς ὁμοιοτάτους, ἅπαξ, ἢ δὶς θεασάμενος, οὐ διαγινώσκει τις, τῶν δ' οἰκείων οὐδεὶς ἀγνοεῖ. ταῦτα μὲν οὖν εἰρήσθω μοι, προτροπῆς ἕνεκα τῶν νέων, καὶ μᾶλλον ὅσοι μὴ τεθέανται προλεγόμενα τὰ τοιαῦτα πάνθ' ὑφ' ἡμῶν. οὐ γὰρ μόνον ἀγρυπνίαν ἔχουσιν εἰπεῖν, ἀλλὰ καὶ ὅτι διὰ λύπην ἐπὶ τῷδέ τινι γεγενημένην. οὐδὲ γὰρ Ἐρασίστρατος ἰδὼν κορώνας πετομένας, ἢ κόρακας, ἐφώρασε τὸν ἔρωτα τοῦ νεανίσκου, οὐ μὴν, οὐδ' ὥς τινες ἔγραψαν, ἐρωτικὸν σφυζουσῶν ᾔσθετο τῶν ἀρτηριῶν τοῦ νεανίσκου. οὐδεὶς γάρ ἐστι σφυγμὸς ἴδιος, ἔρωτος ἐξαίρετος. ἀλλ' ὥσπερ κἀμοί ποτε ἐφάνη, τῷ καρπῷ μὲν ἐπιβεβληκότι τοῦ νοσοῦντος τὴν χεῖρα. γυναικὸς δέ τινος ὀφθείσης τῶν κατὰ τὴν οἰκίαν, αὐτίκα μέντοι ἀνώμαλός τε καὶ ἄτακτος γινόμενος, ὀλίγῳ δὲ ὕστερον εἰς τὸ κατὰ φύσιν ἐπανελθὼν, ἅμα τῷ διαχωρῆσαι τὴν ὀφθεῖσαν. ὁ γὰρ οὕτω τρεπόμενος σφυγμὸς, κοινὸν ἐνδείκνυται ταραχῶδές τι πάθος ἐν τῇ τοῦ κάμνοντος γεγονέναι ψυχῇ. τὸ δὲ ταραχῶδες τοῦτο, διακρίνειν προσήκει, διὰ τῶν ἅμα τούτῳ λεγομένων, ἢ ὁρωμένων. καὶ γὰρ αὖ καὶ λεγομένων τινῶν, εἰς ἀνωμαλίαν οἱ σφυγμοὶ τρέπονται, τῶν ἀρρώστων ταραττομένων ἐφ' οἷς ἤκουσαν. ἀλλὰ περὶ μὲν τούτων, ἰδίᾳ μοι γέγραπται κατὰ μίαν πραγματείαν, ᾗ περὶ τοῦ προγινώσκειν ἐπιγέγραπται, νυνὶ δὲ ἐπὶ τὸ προκείμενον ἐπάνειμι. ἦν δὲ τὸ προκείμενον, ὅτι πολλὰ τῶν προγεγονότων τε καὶ παρόντων, ἰατρὸς δύναται παρὰ τοῖς κάμνουσι λέγων θαυμάζεσθαι, καθάπερ καὶ τὰ νῦν προκείμενα, κατὰ τὸν νῦν λόγον, ἀγρυπνίαν, διάρροιαν, λιμόν. ἐνίοτε δὲ τὸ μὲν ἓν ἐξ αὐτῶν ἀφωρισμένως εἰπεῖν, δύσκολον γίνεται· ὅτι δὲ ἐκ τῶν δυοῖν θάτερον, ἢ ἐκ τῶν τριῶν γε πάντως ἕν τι δυνατὸν ἔσται βεβαίως προγνῶναι. φέρει δὲ καὶ τοῦτο παρὰ τοῖς ἀκούσασιν ἔπαινον, ἐν ἐρωτήσει τῆς προγνώσεως γινομένης ὧδέ πως. ἆρά γε δι' ἀγρυπνίαν σφοδρὰν, ἢ ἔνδειαν τροφῆς, οὕτω λελέπτυνται; πολλάκις μὲν γὰρ ὁμολογοῦσιν ἀμφότερα, καὶ θαυμάζουσι διπλῶς τὸν ἰατρόν. ἐνίοτε δὲ τὸ ἕτερον αὐτῶν ἀποκρίνονται, θαυμάζοντες ἔτι καὶ οὕτω.

τοῦτ' οὖν ἐστι τὸ πρὸς Ἱπποκράτους εἰρημένον. ἐπανερέσθαι δέ, μὴ ἠγρύπνησεν ὁ ἄνθρωπος, ἢ πολλὰ διεχώρησεν, ἢ λιμός τις. εἶτα τί φησι; καὶ ἢν μέν τι τουτέων ὁμολογέῃ, ἧσσον δεινὸν εἶναι νομίζειν δεόντως. βέλτιον μὲν γὰρ ἦν οὕτως ἰσχυρὰν εἶναι τὴν δύναμιν, ὡς ὑπὸ μηδενὸς τῶν ἔξωθεν αἰτίων νικᾶσθαι. ἧττον μέντοι δεινόν, εἰ διά τι τούτων, καὶ μὴ διὰ τὴν τοῦ νοσήματος κακοήθειαν ἡ τοσαύτη γέγονε σύντηξις. ἀλλ' ἐπεὶ δυνατόν ἐστιν ἄμφω συνελθεῖν, αἰτίαν τέ τινα τῶν ἔξωθεν, ὡς εἴρηται, λυπῆσαι τὸ σῶμα, καὶ πυρετὸν συντηκτικόν, ὁ διορισμός σοι γενέσθω διὰ τῆς ἐπιούσης ἡμέρας τε καὶ νυκτός. εἰ μὲν γὰρ ἀπὸ μόνης τῆς ἔξωθεν αἰτίας εἴη γεγονὸς οἷον εἴρηται τὸ πρόσωπον, ἐπανορθώσεως ἐν ἡμέρᾳ καὶ νυκτὶ τεύξεται. εἰ δ' ἀπὸ τῆς ἐν τῷ σώματι διαθέσεως, ἤτοι μένει τοιοῦτον, ἢ καὶ χεῖρον ἔσται. ταυτὶ μὲν οὖν ἅπαντα φαίνεται δεόντως εἰρῆσθαι τῷ Ἱπποκράτει. διὰ τί δὲ εἶπεν, ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τοιοῦτον τὸ πρόσωπον ᾖ, καὶ μήπω οἷόν τε τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι, ἐφεξῆς σκεψώμεθα. δυοῖν γὰρ θάτερον, ἢ ὡς οὐ γινομένων αὐτῶν ἐν ἀρχαῖς, ἢ ὡς οὐδὲν βέβαιον δηλούντων, οὐχ οἷόν τέ ἐστι χρῆσθαι τοῖς τοιούτοις σημείοις εἰς τοὺς τῶν ἀμφιβόλων διορισμούς. ἐγὼ τοίνυν φημί, μήτε γίγνεσθαι διὰ παντὸς ταῦτα, μήτ' εἰ γίγνοιτο, βέβαιον δηλοῦν. ὅτι δὲ τοῦτο οὕτως ἔχει, κατὰ τὴν ἐξήγησιν αὐτῶν διδάξω, διὰ τῆς ἐχομένης ῥήσεως ταύτης.

Hoc igitur est, quod ab Hippocrate dicitur interrogandum esse an vigilia, an ventris magna resolutio, an inedia præcesserit. Deinde quid ait? Ac si eorum aliquid fateatur, minus periculi subesse arbitrandum est. Præstaret enim vires tam validas esse, vt nullâ externâ causâ deiici possint. Minus tamen mali fuerit ab aliqua earum, quàm morbi malignitate faciem intantùm contabuisse. Quum verò, & externa aliqua causa, vt dictum est, corpori infesta, & febris quoque colliquans simul esse & concurrere possint, die, noctéque sequentibus idipsum discernito. Nam si ab externa duntaxat causa facies qualem descripsimus, prouenerit, diei, noctisque vnius spatio emendari potest. Si verò eam corporis affectus excitarit, vel similis perseuerabit, aut deterior etiam euadet. Ista quidem omnia rectissimè videtur dixisse Hippocrates. Cur verò dixerit, *Itaque si principio morbi facies talis est, & nondum potest aliis ex notis vlla haberi coniectura*, deinceps expendamus. Duorum enim alterum consequi necesse est, Signis eiusmodi non posse res dubias explicari, Vel quòd non existant ab initio, Vel quòd nihil certi denotent. Et mihi quidem videntur illa, nec fieri perpetuò, nec si fiant, certò aliquid prodere. Quod ita se habere, in horum, quæ sequuntur, verborum interpretatione docebo.

Τὸ ἐκ παλαιοτέρου νοσήματος καθ' Ἱπποκράτην πρόσωπον.

Facies Hippocratica ex morbo diuturniori.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ θ'.

ΗΝ δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νουσήματος, ἢ τριταίου, ἢ τεταρταίου, τὸ πρόσωπον τοιοῦτον ᾖ, περὶ τουτέων ἐπανερέσθαι, περὶ ὧν καὶ πρότερον ἐκέλευσα, καὶ τἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ ξύμπαντι προσώπῳ, καὶ τὰ ἐν τῷ σώματι, καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν.

SENTENTIA HIPPOCRATIS 9.

SI verò morbo iam vetustiore, quàm triduo aut quatriduo, facies talis est, tum ea, quæ præcepi quærere conueniet, tum signa etiam alia considerare, quæ & in tota facie, & in corpore, & in oculis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ τῆς ἀρχῆς ὄνομα, δηλοῖ μὲν καὶ τὴν πρώτην εἰσβολὴν τοῦ νοσήματος, οὐδὲν οὔπω πλάτος ἔχουσαν. δηλοῖ δὲ καὶ τὴν εἰς τινα χρόνον ἐκτεταμένην, οὐ πολὺν τοῦτον, ἔτι τε πρὸς τούτοις τὸν πρῶτον καιρὸν τοῦ νοσήματος, ἐφ' ᾧ καὶ δεύτερον ἀριθμοῦσι, τὸν τῆς ἀναβάσεως, καὶ τρίτον τὸν τῆς ἀκμῆς, καὶ τέταρτον τὸν τῆς παρακμῆς. εἰπὼν οὖν ὁ Ἱπποκράτης ὀλίγον ἔμπροσθεν. ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νόσου τὸ πρόσωπον τοιοῦτον ᾖ, κατ' ἐκείνην μὲν αὐτὴν λέξιν οὐκ ἐδήλωσε, τίνος τῶν εἰρημένων τριῶν ἀρχῶν μνημονεύει. νυνὶ δὲ γράψας, ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου, ἢ τεταρταίου τὸ πρόσωπον τοιοῦτον ᾖ, δῆλος ἐγένετο περὶ τῆς κατὰ πλάτος ἀρχῆς προειρηκώς· αὕτη γὰρ μέχρι τῆς τρίτης ἡμέρας ἐκτείνεται. τηνικαῦτ' οὖν οἷς εἶπεν ἔμπροσθεν, προστιθέναι ἀξιοῖ τὸν ἀπὸ τῶν ἄλλων σημείων διορισμόν· ὑπὲρ ὧν εἰρήκει, καὶ μήπω οἷόν τε τοῖσιν ἄλλοισι σημείοισι συντεκμαίρεσθαι. καταλέγει δὲ ἐφεξῆς αὐτὰ διὰ τῶν ἐχομένων ῥήσεων τούτων.

COMMENTARIVS GALENI.

PRincipij nomen tum primam illam morbi accessionem significat, quæ nullam prorsus habet latitudinem, tum eam etiam, quæ ad aliquod temporis spatium non tamen multùm producta est. Præterea primum illud morbi tempus, à quo secundum numerant incrementum, tertium summum vigorem, & quartum declinationem. Quare quum paulò antè Hippocrates dixisset, *Itaque si principio morbi facies talis est*, illic quidem non ostendit, quódnam ex tribus illis principiis intelligat. Nunc autem quum scripserit, *Si verò in morbo vetere iam plusquam triduo aut quatriduo, facies qualis est*, manifestò indicauit verba se prius de illo fecisse quod habet latitudinem: Hoc enim ad tertium vsque diem producitur. Tunc autem notis illis quarum antea fecit mentionem, vult alias quoque ab vniuerso corpore adiungi, de quibus dixerat, & nondum potest aliis ex notis vlla haberi coniectura. Eas autem deinceps enumerat, scribens hunc in modum.

Ex oculis & facie signa perniciosa.

SENTENTIA HIPPOCRATIS 10.

SI namque lumen refugiant, aut sine voluntate illachryment, aut peruertantur, aut vnus altero minor sit, aut quæ in his alba esse debent, rubescant, atque in iisdem venulæ, liuidæ, vel nigræ sint, aut sordes circum oculos appareant, aut facti sublimiores sint, vel promineant, vel vehementer subsederint, aut supercilia curua, aut rigida maculosa, aut visus squalidus, & sine splendore, & vultus liuidus & aspectu terribilis, & dentes liuidi fiant, aut color totius faciei immutatus sit, hæc omnia mala esse & perniciosa existimandum est.

COMMENTARIVS GALENI.

QVæ recensuit symptomata commune quidem hoc habent, quòd præter naturam sint. Differunt autem ab inuicem, quòd alia iis, quæ secundum naturam sunt, aduersa tantùm sint, alia verò, quemadmodum ipse priùs dixit, aduersissima. Quamobrem per communem epilogismum omnia quidem perniciosa esse putare oportet, prout verò magis minúsve aduersa fuerint, etiam magis minúsve perniciosa esse. At verò affectus à quibus hæc oriuntur expendere præstiterit, à placitis Hippocratis non recedentes. Itaque lumen refugere hoc est auersari, ab imbecillitate facultatis videndi prouenit, interdum quidem ob instrumentorum affectionem laborantis, quemadmodũ in inflammationibus oculorum, interdum verò (& tunc quidem exitiale signum est) per se ipsam affectæ. Similiter & lachrymæ si inflammatis oculis decidunt, aut ex fluxione aliqua è capite, oriuntur, contra naturam quidem est, non tamen prorsus mortiferum. Si verò ab imbecillitate retentricis facultatis, perniciosum, atque lethale est. Porrò oculi peruertuntur, conuulsis à quibus mouentur, musculis, qui affectus si illorum tantùm est, súsque déque habendum, si verò principij neruorum, id est cerebri, extremam perniciem significat. Siquidem principij passiones proximi neruì ante alios sentiunt, modò quidem illi, qui in oculis siti sunt, de quibus nunc loquitur, modò verò temporales, qui à Græcis κροταφῖται dicuntur, de quibus libro de articulis tractauit. Quinetiam alterum oculum minorem esse, quàm natura factus sit, symptoma mortiferum est, vt quod indicet eam, qua regebatur, facultatem periisse. Oculorum verò alba rubescere quemadmodum per eorum inflammationes, & plerisque temulentis accidit, magnam cerebri, atque meningum plenitudinem prodit, ac nonnunquam etiam in illis excitatam inflammationem. Siquidem vtroque in affectu sanguis ad oculorum venas truditur, & proinde, quæ in illis alba esse debent, rubra videntur. Est autem album oculorum pars ea, quæ vocatam coronam ambit, cui scimus ex anatome omnes oculi membranas, tunicásque coniunctas esse. Scimus verò & in eam membranæ extremum, quæ caluariam ambit, vnà cum venis, quas continet, excurrere. Quòd autem ab his quoque candidum oculorum rubere intellexerit, ex iis,

Ἐκ τῶν ὀφθαλμῶν τε καὶ τοῦ προσώπου σημεῖα ὀλέθρια.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ι'.

ΗΝ γὰρ τὴν αὐγὴν φεύγωσιν, ἢ δακρύωσιν ἀπροαιρέτως, ἢ διαστρέφωνται, ἢ ὁ ἕτερος τοῦ ἑτέρου ἐλάσσων γίνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ πέλια, ἢ μέλανα φλέβια ἐν αὐτέοισιν ἔχωσιν, ἢ λῆμαι ἐόντες φαίνωνται περὶ τὰς ὄψιας, ἢ καὶ ἐναιωρεύμενοι, ἢ ἐξίσχοντες, ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι, ἢ αἱ βλεφαρίδες καμπύλαι, ἢ ἰσχυραὶ αἴολαι, ἢ αἱ ὄψιες αὐχμῶσαι, καὶ ἀλαμπεῖς ἰσάμεναι, καὶ τὸ πρόσωπον πέλιον, καὶ φοβερὸν ἰδεῖν· καὶ οἱ ὀδόντες πέλιοι γίνονται· ἢ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ᾖ, ταῦτα πάντα κακὰ νομίζειν, καὶ ὀλέθρια εἶναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ εἰρημένα συμπτώματα, κοινὸν μὲν ἔχει τὸ παρὰ φύσιν εἶναι. διαφέρει δὲ ἀλλήλων, τῷ τὰ μὲν ἁπλῶς ἐναντία τοῖς κατὰ φύσιν ὑπάρχειν, ἔνια δὲ, ὡς αὐτὸς ἔμπροσθεν εἶπεν, ἐναντιώτατα. διὸ καὶ κατὰ τὸν κοινὸν ἐπιλογισμὸν, ἅπαντα μὲν ὀλέθρια νομισθήσονται, κατὰ δὲ τὴν ποσότητα τῆς ἐναντιώσεως, ἧττόν τε καὶ μᾶλλον ἕξει τοῦτο. τάς γε μὴν διαθέσεις ἐφ' αἷς γίνεται κατὰ τὴν ἀκολουθίαν τῶν ἀφ' Ἱπποκράτους δογμάτων, ἄμεινόν ἐστιν ἐπισκέψασθαι· τὸ τοίνυν φεύγειν τὴν αὐγὴν, ὅπερ ἐστὶν ἀποστρέφεσθαι, δι' ἀσθένειαν γίνεται τῆς ὀπτικῆς δυνάμεως. ἐνίοτε μὲν ἐπὶ τῇ τῶν ὀργάνων διαθέσει καμνούσης, ὥσπερ ἐν ταῖς ὀφθαλμίαις, ἐνίοτε δὲ αὐτῆς καθ' αὑτὴν, ἡνίκα ὀλέθριόν ἐστι τὸ σημεῖον, οὕτω δὲ καὶ τὸ δακρύειν. ἐὰν μὲν ἤτοι δι' ὀφθαλμίαν, ἢ διά τι ῥεῦμα καταφερόμενον ἐκ τῆς κεφαλῆς γίνηται, παρὰ φύσιν μὲν ἐστιν, οὐ μὴν θανατόν γε σημαίνει πάντως. ἐὰν δὲ δι' ἀρρωστίαν τῆς καθεκτικῆς δυνάμεως, ὀλέθριόν τέ ἐστι καὶ θανατῶδες. αἵ γε μὴν διαστροφαὶ τῶν ὀφθαλμῶν, σπωμένων γίνονται τῶν κινούντων αὐτοὺς μυῶν, ὅπερ ἐὰν μὲν αὐτῶν ᾖ μόνον ἐκείνων πάθος, οὐδὲν ἄτοπον. ἐὰν δὲ τῆς ἀρχῆς τῶν νεύρων, ὅπερ ἐστὶ ἐγκέφαλος, ἐσχάτως ὀλέθριον. αἰσθάνονται γὰρ τῶν κατὰ τὴν ἀρχὴν παθημάτων, οἱ πλησιάζοντες μύες πρότεροι τῶν ἄλλων. ἐνίοτε μὲν οἱ κατὰ τοὺς ὀφθαλμοὺς, ὑπὲρ ὧν νῦν λέγει, ποτὲ δὲ καὶ οἱ κροταφῖται καλούμενοι, περὶ ὧν ἐν τῷ περὶ ἄρθρων ἐδίδαξε· καὶ μὴν τὸ γίνεσθαί τινα τῶν ὀφθαλμῶν τοῦ κατὰ φύσιν ἐλάττω, ὀλέθριον σύμπτωμα. νεκροῦσθαι γὰρ δηλοῖ τὴν διοικοῦσαν αὐτὸν δύναμιν. τὸ δὲ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἐρυθρὰ φαίνεσθαι, καθάπερ ἐν ὀφθαλμίαις τέ τισι, καὶ τῶν μεθυσθέντων ἐνίοις, ἐνδεικτικόν ἐστι τοῦτο, τοῦ κατὰ τὸν ἐγκέφαλον, καὶ μήνιγγας πλήθους. ἔστι δ' ὅτε καὶ φλεγμονῆς ἐν αὐτοῖς γεγενημένης, ἑκατέρως γὰρ ἀποθλίβεται τὸ αἷμα πρὸς τὰς ἐν τοῖς ὀφθαλμοῖς φλέβας. διὸ ἐρυθρὸν φαίνεται τὸ λευκὸν ἐν αὐτοῖς μέρος, ὅπερ ἐστὶ τὸ περὶ τῆς στεφάνης ὀνομαζομένης, ἣν ἐμάθομεν ἐν ταῖς ἀνατομαῖς ἁπάντων τῶν κατὰ τὸν ὀφθαλμὸν ὑμένων τε καὶ χιτώνων σύνδεσμόν τινα οὖσαν. ἐμάθομεν δὲ, ὡς τὸ τοῦ περικρανίου πέρας ἐπὶ ταύτην ἐξήκει, μετὰ τῶν ἐν αὐτῷ φλεβῶν. ὅτι δὲ διὰ ταῦτα ἔφη τὸ λευκὸν ἐρυθρὸν γίνεσθαι, σαφῶς ἐδήλωσε διὰ τῶν

ἐπιφερομένων εἰπών· ἢν πέλια, ἢ μέλανα φλεβία ἐν αὐτοῖς ἔχωσιν, ἔστι δὲ τοῦτο πάντως ὀλέθριον. ἐρυθρὰ μὲν γὰρ φαίνεται τὰ φλεβία, καὶ διὰ πλῆθος, ὡς ἔφην, ἢ διὰ φλεγμονὴν τῶν κατὰ τὸν ἐγκέφαλον. μελαίνεται δὲ καὶ πελιδνοῦται ψυχόμενα, ψύχεται δὲ νεκρούμενα, καὶ διὰ τοῦτο ὀλέθρια δὴ τὰ τοιαῦτα χρώματα διὰ παντός ἐστιν. αἵ γε μὴν λῆμαι γίνονται μέν, ὡς ἴσμεν, καὶ διὰ τὸ τῶν ὀργάνων πάθος, ὡς ἐν ὀφθαλμίαις τε, καὶ ἄλλως οὐδένα κίνδυνον δηλοῦσαι. γίνονται δέ, καὶ διὰ ἀρρωστίαν τῆς διοικούσης τὰ κατὰ τὸν ὀφθαλμὸν δυνάμεως φυσικῆς, ἀδυνατούσης ἐκπέττειν τὴν τροφὴν τῶν ὀφθαλμῶν. ἐδείχθη γὰρ ἡμιπέπτου τροφῆς ἡ λήμη περίττωμα. κατὰ μὲν οὖν τὰς ὀφθαλμίας, διά τε τὸ πλῆθος τῆς παρὰ φύσιν ὑγρότητος, καὶ διὰ τὸ πάθος τῶν ὀργάνων εἰκός ἐστι μὴ πέττεσθαι καλῶς τὴν τροφὴν αὐτῶν. ἔνθα δ' ἔνδεια σαφής ἐστι, δηλουμένη διὰ τῆς κοιλότητος. ἡ μὲν ἀπὸ τοῦ πλήθους αἰτία, παντάπασιν οἴχεται. καταλείπεται δὲ ἡ τῆς δυνάμεως ἀσθένεια μόνη. καὶ οὐδ' ἡ τυχοῦσά τις αὕτη γε, ἀλλ' ἰσχυρὰ πάνυ. μηδὲ τὴν ὀλιγίστην τροφὴν τῶν ὀφθαλμῶν ἱκανῶς πέττειν ἰσχύουσα. οἵ γε μὴν ἐναιωρούμενοι, τουτέστιν ἀστήρικτοι καὶ κινούμενοι διὰ παντὸς ὀφθαλμοί, γνωρίσματά εἰσιν, ἢ παραφροσύνης, ἢ τρόμου τῶν περὶ αὐτοὺς μυῶν, ὧν ἑκάτερον ἐπὶ τῆς προκειμένης διαθέσεως ὀλέθριόν ἐστιν. αἵ τε γὰρ μετ' ἐνδείας παραφροσύναι, χαλεπώταται. καὶ οἱ διὰ ξηρότητα τῶν ὀργάνων τρόμοι, παντάπασιν ἀνίατοι, καὶ μὴν καὶ τοὺς ἐξίσχοντας ὀφθαλμούς, ἢ κοίλους ἰσχυρῶς γινομένους μέμφεται. τὸ μὲν οὖν τῶν ἐξισχόντων σύμπτωμα, καὶ κατὰ τὴν ἀρχὴν τοῦ νοσήματος γίνεται, καὶ μάλιστα τοῖς ἐμέσασιν ἐπὶ πολυφαγίᾳ τε καὶ πολυποσίᾳ. τὸ δὲ τῶν ἰσχυρῶς ἐγκοίλων, οὐ γίνεται, διόπερ οὐδετέρου κατ' ἀρχὰς ἐμνημόνευσεν, ἡνίκα ἔλεγε· ῥὶς ὀξεῖα, ὀφθαλμοὶ κοῖλοι. τοῦτο μέν, ὅτι μηδ' ὅλως ἐν τῷ νεκρώδει προσώπῳ φαίνεται ἐν ἀρχῇ. πῶς γὰρ ἂν ἅμα κοῖλοί τε, καὶ ἐξίσχοντες εἶεν οἱ ὀφθαλμοί; τοῦτο δέ, ὅτι μηδ' ὅλως γίνεται τηνικαῦτα, καὶ δόξει γε τὸ κατὰ τοὺς ἐξίσχοντας ὀφθαλμούς, μάχεσθαι τοῖς προειρημένοις. εἰρηκὼς γὰρ ἐπὶ τοῦ νεκρώδους προσώπου, ῥῖνα ὀξεῖαν, ὀφθαλμοὺς κοίλους, εἶτα ἐπιδιοριζόμενος αὐτὰ τοῖς μετὰ τὴν τρίτην ὁρωμένοις, οὐκ ὀρθῶς προσέθηκε τοὺς ἐξίσχοντας, ὃ δέ μοι δοκεῖ γεγονέναι κατὰ τόνδε τὸν λόγον ὑπ' αὐτοῦ, καὶ δὴ φράσω, μεταβαλὼν ὅλην τὴν ῥῆσιν αὐτοῦ εἰς τοιάνδε λέξιν. ἢν δὲ καὶ παλαιοτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου, τὸ πρόσωπον τοιοῦτον ᾖ, περί τε τουτέων ἐπανέρεσθαι, περὶ ὧν καὶ πρόσθεν ἐκέλευσα, καὶ τἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ σύμπαντι σώματι, καὶ τὰ ἐν τοῖς ὀφθαλμοῖς. ἔστι δὲ τὰ γινόμενα σημεῖα ἐν τοῖς ὀφθαλμοῖς ὀλέθρια μετὰ τὴν τρίτην ἡμέραν τοιάδε. φεύγειν τὴν αὐγήν, δακρύειν, διαστρέφεσθαι, τὸν ἕτερον ὀφθαλμὸν ἐλάττονα γίνεσθαι θατέρου. τὰ λευκὰ μόρια κατ' αὐτοὺς ἐρυθρὰ φαίνεσθαι, φλέβας ἔχειν ἤτοι μελαίνας, ἢ πελιδνάς, ἢ λήμας εἶναι, ἐναιωρεῖσθαί τε, ἢ ἐξίσχειν, ἢ κοίλους ἰσχυρῶς εἶναι, τοῦ τε προσώπου παντὸς ἠλλοιῶσθαι τὸ χρῶμα. πάντα γὰρ ταῦτά ἐστιν ὀλέθρια, καὶ εἴ τι ἐξ αὐτῶν ἐπὶ τῷ προειρημένῳ γίνηται προσώπῳ, τεκμήριον οὐ σμικρόν ἐστι τοῦ μέλλοντος ἔσεσθαι θανάτου. κατ' αὐτὴν οὖν τὴν διάνοιαν, δοκεῖ μοι συγκαταριθμεῖσθαι τοῖς ἄλλοις σημείοις, ὅσα τῷ νεκρώδει προσώπῳ δύνανται συνυπάρχειν, καὶ τοὺς ἐξίσχοντας ὀφθαλμούς, καὶ μὴ δυναμένους συνυπάρχειν. ὅτι μὴ μόνον προκείμενον ἦν αὐτῷ τὰ τῷ νεκρώδει σώματι

quæ subiunxit, indicauit apertissimè, Atque si in iisdem venulæ liuidæ, vel nigræ sint, id quod omnium perniciosissimum est. Siquidem venæ illæ rubent vel à copia, sicut dicebam, vel cerebri inflammatione. Nigræ verò liuidæque fiunt, quia refrigerantur. Refrigerantur autem quòd in propinquo mors sit. Quare colores eiusmodi nunquam non exitiales sunt. At verò sordes circum oculos, tum instrumentis ipsis affectis (& nunc quidem nihil habent periculi) vt inflammatis oculis, aut alio morbi genere laborantibus, tum ab imbecillitate naturalis, quæ oculum moderatur, facultatis eorum alimentum concoquere non valentis, excitari scimus. Ostensum enim est eas semicocti nutrimenti excrementum esse. Atqui inflammatis oculis tam propter humoris, qui præter naturam est, copiam, quàm organa ipsa malè affecta, eorum alimentum rectè concoqui non posse haud absurdum videtur. Quum verò penuria, quam cauitas prodit, manifesta est, tunc ad copiam causa referri nullo modo potest, sola autem superest facultatis imbecillitas, & ea quidem non leuis, sed prorsus maxima, vt quę vel modicum oculorum nutrimentum concoquere non possit. Cæterùm oculi sublimes, qui hoc loco ἐναιωρούμενοι ab Hippocrate dicuntur, hoc est instabiles & perpetuo motu agitati, delirium vel musculorum oculi tremorem designant, quorum vtrumque in proposito affectu mortale est. Deliria namque grauissima sunt quæ ob defectum proueniunt. Tremores item, qui ab instrumentorum siccitate oriuntur, prorsus sunt incurabiles. Præterea prominentes oculos, vel qui vehementer subsederunt, cauique sunt, damnat. Prominent autem aliquando etiam principio morbi, iis præsertim, qui post ciborum potúsque ingluuiem euomuerunt. Non tamen hanc ob causam multum subsidere solent. Quò factum est, vt neque id, neque illud initio adscripserit, quum dixit, *Nasus acutus, oculi concaui.* Illud enim nunquam in lethali vultu principio apparet (nam qui fieri potest, oculos simul cauos esse, & prominere?) hoc verò tunc nullo modo effici potest. Sed fortè quod de prominentibus oculis dixit, cum præcedentibus pugnare videbitur. Quum enim de lethali vultu dixerit; *Nasum acutum, & oculos concauos*, deinde illa certius diiudicet & discernat iis, quæ tertium post diem apparent, non rectè prominentes adiecit. Verùm quid his verbis sensisse Hippocrates videatur, id iam ego immutatis hunc in modum ipsius verbis explicabo. *Si verò morbo vetere iam plus quàm triduo, facies talis est, tum ea, quæ præcepi quærere conueniet, tum signa etiam alia considerare, quæ in reliquo corpore & in oculis apparent.* Sunt autem hæc in oculis signa post tertium diem lethalia, lucem refugere, illachrymari, peruerti, vnum altero minorem esse, eorum alba videri rubra, venas habere vel nigras, vel liuidas, sordibus scatere, sublimes esse aut prominentes, vel vehementer subsedisse, atq; immutatum esse totius faciei colorem. Hæc enim omnia mortifera sunt, quorum si aliquod in descripta facie emerserit, non paruum præbet futuræ mortis argumentum. Isto quidem sensu etiam prominentes oculos vnà cum aliis signis, quæ in lethali vultu simul concurrere possunt, videtur mihi annumerasse, etiam si vnà cum aliis nequeant existere propterea quòd non solùm de iis, quæ simul in lethali vultu concurrere possunt,

dicere instituerit, verùm alia etiam omnia mortalia, quæ in facie cernuntur, signa recensere. Quare si non modò vnum, sed etiam plura eorum quæ enumerauit, non possunt simul in mortifero vultu conuenire, non videtur secũ Hippocrates pugnare, quippe qui ad doctrinam omnium signorũ exitialium orationem iam conuerterit. Quòd autem rectè ab eo dictũ sit, Et nondum potest aliis ex notis vlla haberi coniectura, hac vna breui communique ratione adducta faciam, vt intelligas. Omnia quæ dicta sunt, aut non fiunt recente morbo, aut non semper lethalia sunt; Id quod verissimum esse iudicabis, si singula seorsum expenderis. Nam plerunque ex potu largiore, & magnis vomitionibus ægri lucem quum primùm ægrotare cœperint, refugiunt, & illis æquè oculi illacrymant, peruertuntur, sublimes sunt aut prominent, vel venas habent rubras. Atqui liuidæ, aut nigræ per initia morbi venæ nunquam euaserint, nec similiter immensa illa cauitas, nec sordes prouenerint, vt quæ dies ad minimũ tres, aut quatuor ad generationẽ requirãt.

συνυπάρχοντα λέγειν, ἀλλὰ καὶ τῶν ὀλεθρίων σημείων ὅσα κατὰ τὸ πρόσωπον φαίνονται ποιήσασθαι κατάλογον. ὥστ' εἰ μὴ μόνον ἕν, ἀλλὰ καὶ πλείω τῶν εἰρημένων δυνατὸν ἦν μὴ συνυπάρξαι τῷ νεκρώδει προσώπῳ, μηδεμίαν εἶναι μάχην ἐπὶ τὴν διδασκαλίαν αὐτοῦ τῶν μοχθηρῶν ἁπάντων μεταβεβηκότος. ὅτι δὴ, ὡς ἔφην ὀρθῶς εἶπε, καὶ μή πω οἷόν τε ἢ τοῖσιν ἄλλοισι σημείοισι συντεκμήρασθαι, σκοπεῖν ἤδη σοι, ἑνὶ μὲν κεφαλαίῳ κοινῷ περὶ δὲ τῶν εἰρημένων ἕκαστον, ἢ οὐ γίνεται κατ' ἀρχὰς, ἢ οὐκ ἐξ ἀπάντος ἐστὶν ὀλέθριον. ἰδίᾳ δὲ καθ' ἕκαστον ἐπισκοπουμένῳ σοι, φανεῖται τοῦτ' ἀληθέστατον. ἐκ πολυποσίας οὖν ἐνίοτε, καὶ σφοδρῶν ἐμέτων ἐν ἀρχῇ τῶν νόσων, συμβαίνει τὸ τὴν αὐγὴν φεύγειν, οὕτω δὲ καὶ τὸ δακρύειν, καὶ τὸ διαστρέφεσθαι, ἢ ἐναιωρεῖσθαι, ἢ ἐξέχειν, ἢ τὰς φλέβας ἐρυθρὰς ἔχειν. ἡ δὴ ἐπὶ τὸ πελιδνὸν, ἢ μέλαν χρῶμα μεταβολὴ τῶν φλεβῶν, οὐκ ἐν ἀρχῇ γένοιτό ποτε, καθάπερ οὐδ' ἡ ὑπερβάλλουσα κοιλότης, οὐδὲ τὸ λημᾶν, ἀλλὰ τοὐλάχιστον ἤτοι τριῶν, ἢ τεσσάρων ἡμερῶν εἰς τὸ γενέσθαι δεῖται.

Ex oculis signa lethalia.

SENTENTIA HIPPOCRATIS II.

Sed & ipsas præterea oculorum hypophasias per somnos in hunc modum contẽplari oportet. Si namque palpebræ non cõmittuntur, sed inter has ex albo oculorum aliquid apparet, neque id fluens aluus, aut medicamentum expresserit, nec æger hoc modo dormire solitus sit, signum malum & admodum exitiale est.

COMMENTARIVS GALENI.

A Verbo ὑποφαίνεσθαι Hippocrates τὴν ὑπόφασιν nomen fecit, cuius pluralis est αἱ ὑποφάσεις, ex quo per diuisionem Ionicam αἱ ὑποφάσιες. Sed nescio quid Artemidorum, & Dioscoridem impulerit, vt ὑποφύσιας cum ύ scriberent, quum quid ipse Hippocrates dicat, perspicuum sit. Explicauit enim, quid per ὑπόφασιν intelligat, dicens, Si namque palpebræ per somnum non cõmittuntur, sed inter has ex albo oculorum aliquid apparet. Quod vt melius etiam intelligeretur, adiecit ad distinctionem; *Neque id fluens aluus, aut medicamentum expresserit.* Conuenit autem præterea alia quoque omnia, quæ pares cum istis vires habent, subaudire. Dicere enim aliquis omnia verbo vno complexus possit, ab imbecillitate, palpebras mouentis facultatis symptoma istud excitari. Quod sanè quum nulla ipsum externa causa inuexerit, perniciosum est. Hæc autẽ proculdubiò naturâ oportet esse eiusmodi, vt vires exoluant, sicut alui profluuium est, aut purgatio per medicamentum, aut tristitia ingens, aut vigiliæ, aut alimenti penuria, aut copiosa sanguinis profusio, aut alia breuiter immoderata vacuatio. Quòd autẽ paulò antè dicebã recenseri ab eo signa omnia mortalia, non ea tantùm, quæ exitioso in vultu oriuntur, hoc loco ostendit euidentissimè, adiiciens istud nec alui profluuio, nec medicamento accidisse. Hac enim etiam prius in mortifero vultu exceptione vsus erat, quum dixit, An ventris resolutio præcesserit. Resoluitur enim aluus tam profluuio, quàm medicamento. Quia verò rursus alio sumpto exordio signa omnia exitialia recenset, rectè singulis proprias adhibet exceptiones.

Τὰ ἐξ ὀφθαλμῶν ὀλέθρια σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ια'.

Σκοπεῖν δὲ ὧδε χρὴ πρὸς τούτοις, καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν. ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, τῶν βλεφάρων μὴ συμβαλλομένων, μὴ ἐκ διαῤῥοίης, ἢ φαρμακοποσίης ἐόντι, ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ σημεῖον, καὶ θανατῶδες σφόδρα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀπὸ τοῦ ὑποφαίνεσθαι ῥήματος, τὴν ὑπόφασιν τοὔνομα πεποίηκεν, οὗ τὸ πληθυντικὸν αἱ ὑποφάσεις γίνεται, ἀφ' ὧν κατὰ διαίρεσιν Ἰωνικὴν, αἱ ὑποφάσιες. οἱ δὲ περὶ τὸν Ἀρτεμίδωρον καὶ Διοσκουρίδην, οὐκ οἶδα πόθεν ὁρμηθέντες, ἔγραψαν ὑποφύσιας μετὰ τοῦ υ'. τὸ μὲν οὖν εἰρημένον ὑφ' Ἱπποκράτους δῆλόν ἐστιν. αὐτὸς γὰρ ἐξηγήσατο, τί ποτε λέγει τὴν ὑπόφασιν εἰπών. ἢν γάρ τι ὑποφαίνηται συμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ. ἀλλὰ καὶ διορισμὸν εἰς ἀκρίβειαν τοῦ λεγομένου προσέθηκεν αὐτὸς εἰπὼν, μὴ ἐκ διαῤῥοίης, ἢ φαρμακείης ἐόντι. προσυπακούειν δὲ καὶ ἡμᾶς ἄμεινόν ἐστι τῷδε, καὶ τῶν ἄλλων τῶν ἐχόντων τοῖσδε τὴν αὐτὴν δύναμιν. ἑνὶ γὰρ κεφαλαίῳ περιλαβὼν ἄν τις εἴποι τὸ σύμπτωμα τοῦτο, δι' ἀῤῥωστίαν γίνεσθαι τῆς κινούσης τὰ βλέφαρα δυνάμεως, ὅπερ ὀλέθριόν ἐστιν, ἐπειδὰν χωρὶς τῆς ἔξωθεν αἰτίας συστῇ. ταῦτα δ' εἶναι χρὴ δηλονότι τοιαῦτα τὴν φύσιν, ὡς καταλύειν τὴν δύναμιν, οἷον ἤτοι διάῤῥοιαν, ἢ κάθαρσιν, ἐκ καθαίροντος φαρμάκου προσφορᾶς, ἢ λύπην σφοδρὰν, ἢ ἀγρυπνίαν, ἢ ἔνδειαν τροφῆς, ἢ αἱμοῤῥαγίαν πολλὴν, ἢ τινα ἁπλῶς ἑτέραν κένωσιν ἄμετρον. ὃ δ' ὀλίγον ἔμπροσθεν εἶπον, ὡς τῶν ὀλεθρίων ἁπάντων σημείων ποιεῖται τὸν κατάλογον, οὐ μόνον ὅσα πρὸς τῷ νεκρώδει προσώπῳ γίνεται, δῆλον ἐποίησεν ἐνταῦθα, προσθεὶς μὴ ἐκ διαῤῥοίης, ἢ φαρμακείης ἐόντι. προειρήκει γὰρ ἐπὶ τοῦ νεκρώδους προσώπου τὸν διορισμὸν τοῦτον, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ἰσχυρῶς. τὸ γὰρ ἐξυγρασμένον τοῦτο, κοινόν ἐστι διαῤῥοίης τε καὶ φαρμακείης, ἀλλ' ἐπειδὴ πάλιν ἀφ' ἑτέρας ἀρχῆς ἁπάντων ποιεῖται τῶν ὀλεθρίων σημείων ἐξαρίθμησιν, εἰκότως ἑκάστῳ τοὺς οἰκείους προσδιορισμοὺς προστίθησιν.

A

Τὰ ἐκ βλεφάρων τε, καὶ χειλέων, καὶ ῥινῶν, ὀλέθρια προγνωστικά.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιβʹ.

ΗΝ δὲ καμπύλον, ἢ ῥικνὸν γένηται, ἢ πέλιον, ἢ ὠχρὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου. θανατῶδες δὲ καὶ τὰ χείλεα ἀπολυόμενα, καὶ κρεμάμενα, καὶ ψυχρὰ, καὶ ἔκλευκα γινόμενα.

B

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ μὲν οὖν πλεῖστα τῶν ἀντιγράφων, οὕτως ἔχει τὴν ἀρχὴν τῆς ῥήσεως. ἔνια δὲ ἀντὶ τοῦ καμπύλον τὸ ῥικνὸν, ἵν᾽ ᾖ τὸ δηλούμενον ἐκ τῆς φωνῆς ταύτης, τὸ συνεσταλμένον ὁμοίως τοῖς κατεψυγμένοις ὑπὸ κρύους. τοῦτο μὲν οὖν νεκρώσεως ἐστὶ σημεῖον, ὥσπερ καὶ τὸ πελιδνόν. τὸ δὲ καμπύλον, τάσεως τινος σπασμώδους, ἢ παραλύσεως, θατέρου τῶν κλειόντων μυῶν τὸν ὀφθαλμόν. ἑκάτερα δ᾽ ἐστὶν ὀλέθρια, μαρτυρούμενα πρὸς τῶν ἄλλων σημείων, ὅπερ ἐδήλωσεν εἰπὼν, μετά τινος τῶν ἄλλων σημείων, ὡς οὐχ ἱκανὸν ἓν μόνον τῶνδε, τὸν θάνατον δηλῶσαι.

C

Ex palpebris, labris, & naribus lethalia prognostica.

SENTENTIA HIPPOCRATIS 12.

SI verò palpebræ, aut labra, aut nares vnà cum cuiuſdam alterius ſigni acceſſione peruertantur, aut liueſcant, aut palleant, mortem non longè abeſſe ſcito. Mortale verò eſt, & labra reſoluta, ſuſpenſa, frigida albáque videri.

COMMENTARIVS GALENI.

IN plurimis quidē codicibus ſic habet huius ſentētiæ initiū. Aliqui verò nō καμπύλον, *recuruum*, ſed ῥικνὸν *rigidū* habēt, vt hac voce contractū ſignificetur, ſicut à gelu vehemēter refrigeratis accidere ſolet. Hoc igitur extincti, emortuique caloris ſignū eſt ęquè ac liuidū. Peruerſum verò vel tenſionis cuiuſdā cōuulſoriæ, vel reſolutionis vnius, aut alterius muſculi, qui oculū claudit. Cæterū vtrūq; pernicioſū eſt, ſi aliorū etiam ſignorū teſtimoniis cōfirmentur, quod ipſe oſtendit, dicens, Vnà cum cuiuſdam alterius ſigni acceſſione, quaſi vnum ex his ſolùm mortem non poſſit certò denunciare.

Σκεπτέον τὴν τοῦ νοσέοντος κατάκλισιν, καὶ περὶ τῆς ἀρίστης κατακλίσεως.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιγʹ.

ΚΕκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰητροῦ, ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα. καὶ τὸ ξύμπαν σῶμα ὑγρὸν κείμενον. οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται. ἄρισται δέ εἰσι τῶν κατακλισίων, αἱ ὁμοιαὶ τῇσι τῶν ὑγιαινόντων.

D

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ τοῦτο μαρτυρεῖ τῷ, κατάλογον εἶναι τῶν ὀλεθρίων σημείων, ἐν τῷ χωρίῳ τοῦ βιβλίου τῷδε παντί. φαίνεται γὰρ καὶ νῦν, οὐκ ἀφ᾽ ἑτέρας ἀρχῆς περὶ τῶν ἐν ὅλῳ τῷ σώματι σημείων ὁ ἀνὴρ διδάσκων, ἀλλὰ συνάπτων αὐτὰ τοῖς προειρημένοις. προειρηκὼς γὰρ ἔμπροσθεν ἐπὶ τοῦ νεκρώδους προσώπου, καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ σύμπαντι σώματι, καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἐφεξῆς πάντα διεξέρχεται συνάπτων ἀλλήλοις. αὐτὸ δὲ τὸ δεῖν εὑρίσκεσθαι τὸν ἄρρωστον ὑπὸ τῶν ἐπισκεπτομένων ἰατρῶν, οὐχ ὕπτιον κείμενον, ὥσπερ τινὰ παρειμένον, ἀλλ᾽ ἐπὶ θατέρου πλευροῦ, καθ᾽ ὅ τι ἂν ὁ ἰατρὸς αὐτῷ προσιῇ, καὶ διὰ τοῦτο ἐστὶν ἀγαθὸν, ὅτι ῥώμην ἐνδείκνυται τῆς στηριζούσης διὰ τῶν μυῶν, τὸ σῶμα δυνάμεως. ὥσπερ αὖ πάλιν ἀρρωστίαν, εἰ μὴ δύναιτο τὴν ἐπὶ τοῦ πλευροῦ κατάκλισιν φέρειν. αὐτὸς δ᾽ Ἱπποκράτης, προσέθηκε τῷ λόγῳ τὸν κοινὸν ἐπιλογισμὸν, εἰπών. οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται, καὶ δῆλον, ὅτι μάλιστα κατ᾽ ἐκεῖνον τὸν χρόνον ᾧ ὁ ἰατρὸς αὐτοὺς ἐπισκοπῇ. προσυπακοῦσαι γὰρ ἄμεινόν γε τῷ λόγῳ, τοῦτο δυνάμει λεγόμενον ὑπ᾽ αὐτοῦ κατὰ τὴν λέξιν ἔνθα φησί, κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ τοῦ ἰατροῦ. οὐ γὰρ ἁπλῶς εἶπεν, ἐπὶ πλευρῷ χρῆναι κεκλίσθαι τὸν ἄνθρωπον,

E

F

Spectandum eſſe ægri decubitum, ac de optimo decubitu.

SENTENTIA HIPPOCRATIS 13.

DEbet autem medicus ægrum deprehendere in dextrum aut ſiniſtrum latus iacentem, manibus collo cruribúſque parum reductis, & toto corpore humentem. Sic enim plurimi ſani cubant. Cubare autem quo modo ſani ſolent, optimum.

COMMENTARIVS GALENI.

ET hoc quidem argumentum eſt in hac tota libri parte mortifera ſigna recenſeri. Ipſe namque hoc etiam loco de ſignis, quæ toto corpore emergunt non ſub alio titulo diſſerere, ſed ea cum prius enumeratis coniungere manifeſtò videtur. Quum enim antea lethali in vultu admonuiſſet alia inſuper ſigna eſſe conſideranda, quæ tum in vniuerſo corpore, tum in oculis conſiſterent, de omnibus deinceps perpetua oratione diſſerit. Quod verò ait ægrum à medicis, qui eum inuiſunt non ſupino corpore, ceu reſolutis viribus iacentem, ſed in alterum latus, quo tempore medicus ad illum acceſſerit, reperiri debere, ſignum quidem propterea bonum eſt, quòd robur facultatis ſignificet, quæ corpus per muſculos firmat & ſtabilit, ſicut è contrario imbecillitatis argumentum eſt, ſi in alterum latus iacere non poſſit. Porrò autem Hippocrates cōmunē addidit epilogiſmum, dicēs hoc modo permultos ſanos cubare. Quod quidem de tempore, quo medicus ipſos inuiſit intelligendū eſſe perſpicuum eſt. Imò verò id in hac oratione ſubaudire præſtiterit, vt quod poteſtate ab eo dictum ſit, & ſub his verbis comprehenſum, quibus ait, Ægrum cubantem à medico deprehendi debere. Neque enim nudè dixit, Hominem in latus cubare oportere, ſed

ſed hoc modo iacentem à medico deprehendi. Addit autem, *Manibus, collo cruribúſque parum reductis*. Sic enim plurimi ſani cubare conſueuerunt. Cæterùm quum plurimos adiecit, aliam tibi exceptionem ſignificauit per quam magnus ſæpe eſt ad præcognoſcendum vſus, quæque memoria tibi tenenda ſemper eſt, etiam ſi aliquando fuerit prætermiſſa. Quæ autem illa ſit, iam dicam. Quæ cuiuis ægro præter cæteros propria & peculiaria ſunt, illa haud perfunctoriè contemplari conuenit. Etenim ſi eum cubantem reperias, quo modo ſanorum plerique cubant, probandum. Sin planè aliter, non protinus, vt malum ſignum damnandum, ſed num æger hoc modo iacere ſolitus ſit, interrogare conuenit. Quod autem corpore humentem iacere dixit, ad eius differentiam, qui artus quatuor diſtentos habet, dixit, perinde, ac ſi ita ſcripſiſſet; Crura, manúſque parumper reducta ſint, totúmque corpus ſimiliter iaceat, nulla extrema figura compoſitum. Dicuntur autem extremæ figuræ, quæ ſummam extenſionem, aut flexum habent, ſiue artuum ſint, ſiue ſpinalis medullæ, cuius pars ſunt ipſæ colli vertebræ. Itaque extremæ quidem figuræ extenſis ſupra modum neruis fiunt, ſicut in libello de motu muſculorum oſtendimus. Quæ verò, inter extremas media eſt, tenſionem non habet, atque iccirco eam humidam appellauit. Quippe humida corpora tendi natura non ſolent.

A ἀλλ' ὑπὸ τοῦ ἰατροῦ καταλαμβάνεσθαι κεκλιμένον οὕτως. προσέθηκε δὲ καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα, ὀλίγον ἐπικεκαμμένα ἔχοντα, καὶ γὰρ καὶ τοῦτο συνήθες ἐστι τοῖς πλείστοις τῶν ὑγιαινόντων. καὶ μέντοι καὶ κατ' αὐτὸ τοῦτο τὸ προσθεῖναι, τὸ πλεῖστοι, ἀνέμνησέ σε διορισμοῦ τινος ἑτέρου, κεφάλαιον ἔχοντος εἰς πολλὰς προγνώσεις χρήσιμον, οὗ μεμνῆσθαί σε δεῖ, κἂν παραλείπηταί ποτε. τί δή ἐστι τοῦτο, καὶ δὴ φράσω. ὅσα τισὶ τῶν ἀρρώστων ἰδίως ὑπάρχει παρὰ τοὺς ἄλλους ἐξαίρετα, ταῦτ' οὐ χρὴ κατὰ τὸ πάρεργον ἐπισκοπεῖσθαι. ἐὰν μὲν γὰρ ὁρᾷς κατακείμενον αὐτὸν, ὡς οἱ πλεῖστοι τῶν B ὑγιαινόντων, ἀγάπα τὴν κατάκλισιν. ἐὰν δὲ ἐναντίως, οὐ χρὴ καταγινώσκειν εὐθέως, ὡς κακοῦ τοῦ σημείου. προσδιαπυνθάνεσθαι δὲ, μὴ συνήθες ἐστι τὸ σχῆμα τοῦτο τῷ κάμνοντι. τὸ δὲ ὑγρὸν κεῖσθαι τὸ σῶμα, πρὸς ἀντίθεσιν αὐτῷ λέγεται τοῦ τεταμένου τὰ τέτταρα κῶλα, τουτέστι τὰ σκέλη, καὶ αἱ χεῖρες ὀλίγον ἐπικεκάμφθωσαν, καὶ τὸ σύμπαν σῶμα τὸν αὐτὸν τρόπον κείσθω, τῶν ὑπερβολικῶν σχημάτων ἔξω καθεστηκός. ὑπερβολικὰ δὴ ὀνομάζεται σχήματα, τὰ μετὰ μακρᾶς ἐκτάσεως, ἢ κάμψεως, ἤτοι τῶν κώλων, ἢ τῆς ῥάχεως, ἧς μόριόν εἰσι, καὶ οἱ κατὰ τὸν τράχηλον σπόνδυλοι. τὰ μὲν οὖν ὑπερβολικὰ σχήματα, C τεινομένων ἰσχυρῶς γίνεται τῶν νεύρων, ὡς ἐν τῷ περὶ κινήσεως μυῶν ἐπιδέδεικται λόγῳ. τὸ δὴ ἐν τῷ μέσῳ τῶν ὑπερβολικῶν, ἄνευ τάσεώς ἐστι, διὸ καὶ προσηγόρευσεν αὐτὸ ὑγρὸν, τῶν ὑγρῶν σωμάτων οὐ πεφυκότων τείνεσθαι.

Supinus decubitus, malum.

SENTENTIA HIPPOCRATIS 14.

SVpinum verò iacere manibus collo cruribúſque porrectis, minus bonum.

COMMENTARIVS GALENI.

DEcubitus iſte nullo modo bonus eſt, proinde nec minus bonus rectè dici videtur. Nam qui bonus eſſe nullo modo poteſt, quomodo rectè minus bonus eſſe dicatur? Quod autem nullo prorſus modo bonus ſit, adſcriptis deinceps verbis etiam ipſe profitetur, *Quòd ſi declinis eſt, & à culcitra ad pedes delabitur, peius*. Sic enim hunc peiorem eſſe dixit, quaſi malus eſſet, qui ante dictus eſt. Verùm, mea quidem ſententia; decubitum hunc inter ambigua ſigna reponit, quæ nec ad ſalutem, nec ad perniciem magnopere pertinere poſſunt, ſed vel exquiſitè media ſunt, vel non multùm in alterutram partem propenſa adeò; vt qui de ipſis negligentius dicat, cum ambobus ea poſſit comparare. Quod & hoc loco Hippocrates feciſſe videtur, dicens decubitum eiuſmodi minus quidem eo, quem antè deſcripſerat bonum eſſe; ſed tamen illo peiorem alium, de quo poſtea dicturus eſſet. Vbi & hoc interea admonet, in omnibus eiuſmodi diſtinguendum eſſe, num æger ſupinus iacere conſueuerit. Nam ſi ita res habeat, nec magna illi cura ſit ingredientis medici, tunc ne medius quidem hic inter bonum, malúmque decubitus rectè cenſebitur, ſed potius inter bonos numerandus venit. Sin autem æger nec hoc iacere modo, & medicum reuereri ſolitus eſt, haud bonum ſignum eſt, præſertim

Ὑπτία ἡ κατάκλισις, κακόν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιδ'.

Ὕπτιον δὲ κεῖσθαι, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

D Ἡ τοιαύτη κατάκλισις οὐκ ἔστιν ὅλως ἀγαθὴ, διόπερ οὐδὲ ἧσσον ἀγαθή. ἡ γὰρ μηδ' ὅλως ὑπάρχει τὸ ἀγαθὴν εἶναι, πῶς ἂν αὕτη λέγοιτο προσηκόντως, ἧσσον ἀγαθὴ εἶναι; δηλοῖ δὲ καὶ αὐτὸς, ὡς οὐδὲ ὅλως ἐστὶν ἀγαθὴ, λέγων ἐφεξῆς, εἰ δὲ καὶ προπετὴς γίνοιτο, καὶ καταρρέοι ἀπὸ τῆς κλίνης ἐπὶ τοὺς πόδας, δεινότερόν ἐστιν. ὥσπερ γὰρ καὶ τῆς προειρημένης δεινῆς κατακλίσεως οὔσης, οὕτω περὶ αὐτῆς ἔφη, ὡς δεινό- E τερόν ἐστιν. ἐμοὶ δὲ δοκεῖ τὴν κατάκλισιν ταύτην ἐν τοῖς οὐδετέροις τίθεσθαι σημείοις, ἅπερ οὐδὲ πρὸς ὑγίειαν ἀξιόλογον ἔχει δύναμιν, οὐδὲ πρὸς θάνατον, ἀλλ' ἤτοι μέσα τελέως ἐστὶν, ἢ σμικρά τις αὐτοῖς ἐστι ῥοπὴ πρὸς τὸ ἕτερον, ὥστε τοὺς ἀμελέστερον ὑπὲρ αὐτῶν ἑρμηνεύοντας, ἀμφοτέροις αὐτὰ παραβάλλειν δύνασθαι. ὅπερ καὶ νῦν ἐποίησεν ὁ Ἱπποκράτης, ἧττον μὲν ἀγαθὴν εἶναι εἰπὼν τῆς προειρημένης τὴν τοιαύτην κατάκλισιν, μοχθηροτέραν δὲ αὐτῆς τὴν ἐφεξῆς λεγομένην. ἀναμιμνήσκων δὲ νῦν τοῦ διορίζεσθαι κατὰ πάντα τὰ τοιαῦτα, μή τι συνήθης ἐστὶν ὑπτία F κατάκλισις τῷ κάμνοντι. ἐὰν γὰρ καὶ τοῦτ' εἴη, καὶ μὴ πάνυ τι φροντίζῃ τοῦ εἰσιόντος ἰατροῦ, τότ' ἂν οὐδὲ ἐν τῷ μέσῳ τῶν ἀγαθῶν τε, καὶ κακῶν ὀρθῶς ὑπολαμβάνοιτο κατακλίσεων, ἀλλ' ἐκ τῶν ἀγαθῶν μᾶλλον. εἰ δὲ μηδ' ἐν τούτῳ τῷ σχήματι κατακλίνοιτο συνήθως, αἰδῶ τε πολλὴν ἔχει πρὸς τὸν ἰατρὸν, οὐκ ἀγαθὸν τὸ σημεῖον. ἔτι δὲ καὶ μᾶλλον,

εἰ καὶ φύσει τῶν αἰδημονεστέρων εἴη. διὰ τοῦτ' οὖν ἅπαντα τὴν τοιαύτην κατάκλισιν, ἐν μέσῳ τοῦ μέσου θετέον ἀγαθοῦ τε καὶ κακοῦ, ὅσον ἐφ' ἑαυτῇ, μεταπίπτειν δ' ἐφ' ἑκάτερα κατὰ τὴν φύσιν τοῦ κάμνοντος.

si ipse natura pudoris multùm habet. Quare talis iacentis habitus quantum ad ipsum spectat, inter bonum, malúmque collocandus est, qui tamen in vtranque partem pro natura eius, qui ægrotat, concidere & transferri potest.

Προπετὴς ἡ κατάκλισις, δεινότερον.

Decliuis decubitus, deterius.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιε'.

ΕΙ δὲ καὶ προπετὴς γένοιτο, καὶ καταῤῥέοι ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστι.

SENTENTIA HIPPOCRATIS 15.

QVòd si decliuis est, & à culcitra ad pedes delabitur, peius.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΩΣπερ ἡ ἐπὶ τὰς πλευρὰς κατάκλισις ἔχεταί τινος ἐνεργείας, οὕτως καὶ ἡ ἀνάῤῥοπος ὑπτία, καθ' ὃν τρόπον ἅπαντες κατακλινόμεθα. διὸ κἂν ἐπὶ τῆς ἑτέρας τῶν πλευρῶν κατακλίνῃς νεκρὸν σῶμα, περιτραπήσεται πάντως, ἤτοι πρὸς τὸ πρηνές, ἢ τὸ ὕπτιον σχῆμα. καθάπερ εἰ καὶ ἀνάῤῥοπον αὐτὸ σχηματίσαις, ἐπὶ πόδας γὰρ οὕτως κατενεχθήσεται. εἰκότως οὖν ἔφη μοχθηρὸν εἶναι τὸ σημεῖον τοῦτο, νέκρωσίν τινα τῆς διοικούσης τὸ σῶμα δυνάμεως ἐνδεικνύμενον.

COMMENTARIVS GALENI.

VT iacere in latus, aliquid adhuc roboris præ se fert, sic & supinus in summa lecti parte decubitus, quo modo omnes quoque cubamus. Proinde etiam si cadauer in latus alterum collocaueris, pronum tamen, aut supinum omnino recidet, quemadmodum si summo quoque in lecto sublime statueris. In pedes namque etiam sic relabetur. Iure igitur signum hoc perniciosum esse dixit, quòd facultatis corpus gubernantis interitum declaret.

Κατάκλισις κατὰ γυμνοὺς πόδας, καὶ μὴ κάρτα θερμοὺς ὄντας, ἀλυσμὸν σημαίνει.

Decubitus nudis nec multum calidis pedibus, iactationis signum.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιϛ'.

ΕΙ δὲ καὶ γυμνοὺς τοὺς πόδας διέχοιτο ἔχων, μὴ θερμοὺς κάρτα ἐόντας, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἀνωμάλως διεῤῥιμμένα, καὶ γυμνά, κακόν. ἀλυσμὸν γὰρ σημαίνει, τουτ' ἔστιν, ἄκραν ἐν τῷ στομάχῳ δυσφορίαν.

SENTENTIA HIPPOCRATIS 16.

SI verò nudis etiam pedibus deprehendatur, nec tamen multùm calidis, & manus, collum, cruraque inæqualiter di spersa & nuda habeat, malum. Inquietudinem enim significat, hoc est summam in stomacho molestiam.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΡθότατα διωρίσατο τὸν λόγον, εἰπὼν μὴ θερμοὺς κάρτα ἐόντας. ἐν γὰρ τοῖς θερμοτάτοις πυρετοῖς, ἅμα τοῖς ἄλλοις μέρεσι, καὶ τῶν ποδῶν διακαιομένων, ἀναγκάζονται γυμνοῦν αὐτοὺς οἱ κάμνοντες. εἰ δὲ μὴ τοιοῦτος ὁ πυρετὸς εἴη, τὸ γυμνοῦν τοὺς πόδας, ἢ μαλακίας ἐστὶ τοῦ νοσοῦντος, ἢ ἄλυος σημεῖον. εἰ δὲ καὶ τὰς χεῖρας ἅμα τῷ τραχήλῳ, καὶ τοῖς σκέλεσι, φαίνοιτο μὴ κατὰ τρόπον ἐσχηματισμένας ἔχων, ὡς ἔμπροσθεν εἶπεν, ἀλλὰ διεῤῥιμμένα πως ἀνωμάλως εἴη ταῦτα τὰ μόρια, κακὸν τὸ σημεῖον, ἀλυσμὸν γὰρ ἔφη σημαίνεσθαι. τοῦτο δ' αὐτὸ τοὔνομα δηλοῖ τὸ δυσφορεῖν ἅπαντι σχήματι, καὶ μεταβάλλειν ἄλλοτε εἰς ἄλλο, καὶ εἴ γέ σου παρόντος, ὡς εἴρηται κατακείμενος ὁ κάμνων, αὐτίκα μεταβάλλοι τὸ πρότερον σχῆμα πρὸς ἕτερον, ἅμα τῷ καὶ τὰ κῶλα διεῤῥιμμένα ἀνωμάλως ἔχειν, ἢ καὶ τὴν τοῦ τραχήλου θέσιν, ἴσθι τοῦτον, ἢ διὰ τὴν τοῦ στομάχου κάκωσιν, ἢ δι' ἀῤῥωστίαν δυνάμεως ἀλύοντα, προσεπιλογιζόμενος κἀνταῦθα τὴν προαίρεσιν αὐτοῦ, μή τις τῶν μαλακωτέρων εἴη, καὶ πρὸς ἅπαν ἑτοίμως ἐνδιδόντων τε καὶ νικωμένων, εἰ καὶ μικρότατον ὑπάρχοι.

COMMENTARIVS GALENI.

REctissimè exceptionem hanc sermoni adiecit, *Nec tamen multùm calidis*, Siquidem in febribus calidissimis vnà cum reliquis partibus etiam pedes peruruntur, quò fit, vt nudare se ægri cogantur. At si febris tanta non est, is, qui pedes nudat, se vel mollem vel inquietum arguit. Si verò manus, collum, cruráque non eo modo composita habere videatur, sicut antè exposuit, sed ea inæqualiter dispergat, signum malum est. Ait enim ex eo, ἀλυσμὸν, hoc est, inquietudinem significari. Quo quidem nomine intelligit molestum, grauémque esse omnem situm, & subinde mutari. Ac si quidem te præsente æger eo, quo dictum est, modo cubans protinus se in aliam figuram inuertat, & artus præterea collúmque inæqualiter iactet, scito ipsum vel vitio oris ventriculi, vel propter virium imbecillitatem sic inquietum esse, modò prius diligenter expenderis, num animo molli sit, & delicato, & vel leuissima de causa statim remisso, fractóque.

Τὸ κεχηνότα καθεύδειν ἀεί, θανατῶδες.

Ore hiantem semper dormire, lethale.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιζ'.

ΘΑνατῶδες δέ, καὶ τὸ κεχηνότα καθεύδειν ἀεί.

SENTENTIA HIPPOCRATIS 17.

LEthale autem est etiam ore hianti assiduè dormire.

COM-

COMMENTARIVS GALENI.

Ex hoc quoq; infirmos esse musculos testatur, qui os claudũt, quẽadmodũ paulò antè de his dictũ est, qui palpebras cõmittunt. Sic quidẽ scriptum fuit, quemadmodũ nũc à me scriptũ est, nec aliud habetur in vetustis exemplaribus. Aliqua tamen, vt ea quibus est vsus Dioscorides, non eo modo, sed isto habẽt. *Graue autẽ est etiam ore hianti dormire sẽper.* In qua duo simul iungũtur signa, vnum hiare semper, alterum dormire semper. Quod quidẽ malũ esse, etiam si nullus hiatus sit, ex eo ipse Aphorismo perspicuũ fecit, quo scribit; *Somnũ, atque vigiliam ambo mala esse, si modũ excesserint.* Sed verisimilius est, hiatum illum oris inter dormiendum intelligi. Sic enim frequenter videtur fieri. Quòd si quis non dormiens nihilominus hiet, malum certè multò maius indicabit.

Supinus decubitus contractis disiunctísque cruribus, delirij signum,

SENTENTIA HIPPOCRATIS 18.

Eo que supino iacente crura multùm contracta disiunctáque esse.

COMMENTARIVS GALENI.

Participium quo vtitur Hippocrates potest cũ γ' vel cum λ' vtroque modo scribi. Significat autẽ plurimũ inter se distantia. Sed isto quidẽ modo decumbere perabsurdum est, adeò vt delirium portendat, quum nemo sic iacere cõsueuerit. Nec verò aliter iudicandũ, si περιπεπλεγμένα, hoc est, implicata, scribatur. Nam & hic iacentis habitus longè à nostro more abhorret, vt quis supinus iacens contrahat crura, sibíque inuicem implicet.

De prono in ventrem decubitu.

SENTENTIA HIPPOCRATIS 19.

Pronum verò in ventrẽ cubare, si modò per sanitatem non assueuerit, aut delirium, aut partium ad ventrẽ attinentium dolorẽ designat.

COMMENTARIVS GALENI.

Perpetuò nobis in memoriam reducit exceptionem illam, quam rebus in omnibus adhibet, vt spectemus an sit consuetum. Nam nunc quoque in ventrem præter morem procumbere, vel delirium quemadmodum & ante dictus decubitus, portendit, vel dolorem aliquem, qui sitas illic partes quasdam fatiget. Est enim manifestum, plurimis quibus dolor ventrem occuparit, eiusmodi situm placere.

De ægro in vigore morbi residente.

SENTENTIA HIPPOCRATIS 20.

Quòd si dum morbus viget ægrotus velit residere, hoc in omnibus quidem acutis morbis malum, in pulmonis verò inflammationibus pessimum est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπεὶ ἀτονίας καὶ τοῦτο σημεῖόν ἐστι, τῶν κλειόντων μυῶν τὸ στόμα, καθάπερ ὀλίγον ἔμπροσθεν ἐπὶ τῶν τὰ βλέφαρα συναγόντων ἐρρέθη. ἡ γραφὴ μὲν οὕτως ἔχει καθότι γέγραπται νῦν ὑπ' ἐμοῦ, καὶ τά τε παλαιὰ τῶν ἀντιγράφων οὐκ ἄλλως ἔχει. τινὰ δὲ, ὥσπερ καὶ τὰ τῶν περὶ Διοσκουρίδην, οὐ ταύτην, ἀλλὰ τήνδε. χαλεπὸν δὲ, καὶ τὸ κεχηνότα καθεύδειν ἀεὶ, σημείων ἔχουσα σύνοδον δυοῖν. ἑνὸς μὲν τοῦ κεχηνέναι ἀεὶ, δευτέρου δὲ τοῦ καθεύδειν ἀεί. τὸ μὲν οὖν δεύτερον, ὅτι μοχθηρόν ἐστι, κἂν χωρὶς τοῦ κεχηνέναι γίνηται, δεδήλωται πρὸς αὐτοῦ, καὶ κατὰ τὸν ἀφορισμὸν ἐκεῖνον ἔνθα φησὶν, ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, κακόν. τὸ δὲ κεχηνέναι, πιθανώτερον μέν ἐστιν εἰρῆσθαι, μετὰ τοῦ καθεύδειν. οὕτως γὰρ, ὡς τὰ πολλὰ φαίνεται γινόμενον. εἰ δὲ καὶ χωρὶς τοῦ καθεύδειν τινὶ συμβαίνῃ, πολὺ μείζονα τὴν κάκωσιν ἐνδείξεται.

Ὑπτία κατάκλισις μετὰ τοῖς συγκεκαμμένοις τε, καὶ περιπεπλεγμένοις σκέλεσι, τὸ παραφροσύνης σημεῖον.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιη'.

Καὶ τὰ σκέλεα ὑπτίου κειμένου ξυγκεκαμμένα εἶναι ἰσχυρῶς, καὶ διαπεπλεγμένα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γράφεται γὰρ ἑκατέρως διὰ τοῦ γ'. καὶ διὰ τοῦ χ'. σημαίνει δὲ τὰ διεστῶτα μέχρι πλείστου. καὶ εἴη ἂν ἄτοπος ἡ τοιαύτη κατάκλισις, ὡς παραφροσύνην ἐμφαίνειν, οὐδενός γε οὕτως εἰθισμένου κοιμᾶσθαι. ὥσπερ οὐδ' εἰ περιπεπλεγμένα γράφοιτο, καὶ γὰρ οὕτως ἀλλόκοτος ἡ κατάκλισις, ἐὰν ὕπτιός τις κείμενος, ἔχῃ τὰ σκέλη συγκεκαμμένα τε, καὶ ἀλλήλοις περιπεπλεγμένα.

Περὶ τῆς ἐπὶ τὴν γαστέρα κατακλίσεως.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιθ'.

Ἐπὶ γαστέρα δὲ κατακεῖσθαι ᾧ μὴ ξυνήθές ἐστι, καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην σημαίνει, ἢ ὀδύνην τῶν ἀμφὶ τὴν κοιλίην τόπων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀναμιμνήσκει συνεχῶς ἡμᾶς τοῦ τοῖς ἅπασι συνεζευγμένου διορισμοῦ, τοῦ κατὰ τὴν συνήθειαν τοῦ νοσοῦντος γινομένου, καὶ γὰρ καὶ τὸ νῦν ἐπὶ τὴν γαστέρα κατακεῖσθαι παρὰ τὸ ἔθος, ἤτοι παραφροσύνην σημαίνει, καθάπερ ἐπὶ τῆς προειρημένης κατακλίσεως, ἢ ὀδύνην τινὰ τῶν ἐνταῦθα τινὸς μορίων. φαίνονται γὰρ οὐκ ὀλίγοι τῶν ὀδυνωμένων τὴν γαστέρα τοῦθ' αἱρούμενοι τὸ σχῆμα.

Περὶ τοῦ, τῆς ἀκμαζούσης νόσου, ἀνακαθίζοντος νοσοῦντος.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κ'.

Ἀνακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα τῆς νούσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πᾶσι τοῖσιν ὀξέσι νουσήμασι, κάκιστον δ' ἐν τοῖσι περιπνευμονικοῖσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αὐτοὶ λέγουσιν οἱ περιπνευμονικοὶ, στενοχωρίας αἰσθάνεσθαι κατὰ τὸν θώρακα, καὶ πνεύμονα πολλῆς ἐν ταῖς ὑπτίαις κατακλίσεσιν, εὐπνούστεροι δὲ ἀνακαθίζοντες γίνεσθαι. καταφέρεται γὰρ, ὡς ἐπὶ τὴν ῥάχιν ἐπὶ ταῖς ὑπτίαις κατακλίσεσι, τὰ κατὰ τὸ στέρνον μέρη τοῦ θώρακος, ὑφ' ὧν συμβαίνει στενοχωρεῖσθαί τε τὸν πνεύμονα, καὶ μὴ δέχεσθαι τὸν ἱκανὸν ἀέρα, διὰ τῆς εἰσπνοῆς. ἐν δὲ τοῖς ἄλλοις νοσήμασιν, ὅταν ἀκμάζῃ, τοῦτο γὰρ μάλιστα χρή σε προσέχειν τῷ νοῦ, ὡς οὐκ εἰκῆ προσειλημμένῳ, χαλεπώτατόν ἐστιν ἀνακαθίζειν ἐθέλειν τὸν κάμνοντα. βούλονται γὰρ τηνικαῦτα μάλιστα κεκμηκότες, ἀκίνητοι κεῖσθαι, κἂν ἐπιχειρῇ τις ἐγείρειν, ἄχθονται. τεκμαίρου τοίνυν, ἤτοι γε ὑπὸ δυσπνοίας σφοδρᾶς, ἢ ἄλυος, ἢ παραφροσύνης ἀνακαθίζειν ἐπιχειρεῖν τὸν κάμνοντα, κατὰ τὴν ἀκμὴν τῆς νόσου.

COMMENTARIVS GALENI.

QVi pulmonis inflammatione laborant, queruntur angustia se magna in thorace, & pulmone premi, si quando supini iaceant, faciliùs autem multò si resideant spiritum ducere. Supinis enim pectus quodammodo in spinam procumbit, eámque ob causam, & pulmo maiori in angustia est, nec potest sufficientem aërem inspirando admittere. At per alios morbos, dum vigent quidem illi, (namque hoc non temerè adiectum esse existimare debes) ægrum residere velle pessimum est. Etenim qui laborant, solent id maximè temporis immoti iacere, ac si quis eos excitet, indignari. Itaque si vigente morbo æger sedere conabitur, coniicito id vel à magna spirandi difficultate vel inquietudine, vel delirio procedere.

Περὶ τῆς τῶν ὀδόντων πρίσεως, τοῦ τῆς παραφροσύνης τε καὶ θανάτου σημείου.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κα'.

Ὀδόντας δὲ πρίειν ἐν πυρετοῖσιν, ὁκόσοισι μὴ ξυνήθές ἐστιν ἀπὸ παιδίου, μανικὸν, καὶ θανατῶδες. ἀλλὰ προλέγειν ἀπ' ἀμφοῖν κίνδυνον ἐσόμενον. ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιῇ, ὀλέθριον κάρτα ἤδη γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σπασμωδῶς κινουμένων τῶν κροταφιτῶν τε καὶ μασητήρων μυῶν, αἱ πρίσεις τῶν ὀδόντων γίνονται. τισὶ μὲν αὐτῶν μόνων πεπονθότων τῶν μυῶν, ἤτοι ἐξ ἀρχῆς ἀπὸ γενέσεως, ἢ κατά τινα ἑτέραν αἰτίαν ὕστερον. ἐνίοις δὲ τῆς ἀρχῆς τῶν νεύρων εἰς διάθεσιν ἀχθείσης τοιαύτην, ὑφ' ἧς μάλιστα δύναται γίνεσθαι τῶν ἀπ' αὐτῆς πεφυκότων σπασμοί. ἐννοῆσαι γάρ σε χρὴ τὴν ἐξ ἀρχῆς ἑκάστου κατασκευὴν τῶν μορίων, ἰδίαν ἑκάστῳ γινομένην, περὶ ἧς εἴρηται μὲν ἐν ἄλλοις ἐπὶ πλέον. ἀρκέσει δὲ καὶ νῦν ἅπαξ εἰπεῖν ἐν τῷδε, κελεύσαντα μεμνῆσθαι τοῦ λοιποῦ πρὸς τὸ μὴ θαυμάζειν, ὅπως τῆς κοινῆς ἁπάντων νεύρων ἀρχῆς παθούσης, ἄλλοτε ἄλλος μῦς, ἤτοι τρομώδης γίνεται, ἢ σπασμώδης. ὥσπερ γὰρ ἐναργῶς ὁρῶμεν, ἐνίοις μὲν σώμασιν ἀρίστην κατασκευὴν ὑπάρχουσαν σκελῶν, ἐνίοις δὲ χειρίστην εὐθὺς κατ' ἀρχάς, ὡς τοὺς μὲν ὠκύτατα θεῖν, τοὺς δὲ μόγις ἵστασθαι, καὶ κατ' ἄλλα μόρια τοῦ σώματος ὡσαύτως· οὕτω δὲ καὶ τὸ βλάπτεσθαι ῥᾳδίως ἐπὶ μικραῖς προφάσεσιν, ἐνίοις μὲν τὰ σκέλη, τινὰς δὲ ἄκρους πόδας, ἢ ὀφθαλμοὺς, ἢ κεφαλὴν, ἢ τι τῶν ἄλλων, εὐθὺς ἐξ ἀρχῆς ἕπεται ταῖς κατασκευαῖς τῶν σωμάτων μοχθηραῖς. οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ τῶν μυῶν, ἐνίοις μὲν ἀσθενεῖς οἱ τοὺς ὀφθαλμοὺς κινοῦντες, ἐνίοις δὲ οἱ τὰς γένυας εἰσί, δι' οὓς οὗτοι μὲν, ἢ ἀεὶ πρίουσι τοὺς ὀδόντας, ἢ ἐπὶ μικραῖς προφάσεσιν. ἐκεῖνοι δὲ, διὰ παντὸς κινοῦσι τοὺς ὀφθαλμούς. τὸ μὲν γὰρ φύσει πρίειν τοὺς ὀδόντας, ὅμοιόν ἐστι τῷ κατὰ τοὺς ὀφθαλμοὺς πάθει συμβαίνοντι τισίν, ὃ προσαγορεύουσιν ἵππον. οὐ δυναμένων αὐτῶν ἑδραίων μεῖναι, χρόνον οὐδένα, σαλευομένων δὲ ἀεὶ τρομωδῶς. τὸ δὲ ἐν ταῖς πυρετώδεσι νόσοις, ἐπὶ τῷ τῆς ἀρχῆς πάθει γίνεσθαι τὸν σπασμὸν αὐτοῖς, ὅμοιόν ἐστι πάλιν ἐκείνῃ τῇ κατασκευῇ, τῶν κατὰ τοὺς ὀφθαλμοὺς μυῶν, ἐφ' ὧν εἶπεν, ἢ ἐναιωρούμενοι φαίνονται.

De dentium stridore delirij ac mortis signo.

SENTENTIA HIPPOCRATIS 21.

STridere autem dentibus, nisi quis à puero consueuerit, insaniam, & mortem portendit. Sed quantùm quidem ab vtroque periculi immineat, prædicendum. Si verò etiam delirans hoc agat, id iam valde perniciosum est.

COMMENTARIVS GALENI.

DEntium stridor prouenit musculis tum tēporum, tum maxillarum conuulsoriè motis. Idque interdum ipsis solis, vel à prima generatione, vel postea aliquam ob causam affectis, interdū verò neruorum principio in affectus eiusmodi consortium eos trahente, vndè, qui ab ipso nascuntur nerui, maximè conuelli possint. Cōtemplari enim & considerare oportet cuiusque particulę constructionē, quam ab initio peculiarem obtinuit, de qua quoniam alibi copiosius disputatum est, nunc vno verbo dixisse sufficiet, & monere, vt reliqua diligenter pensitemus, ne mirari subeat, quomodo cōmuni neruorum omnium principio affecto, musculus aliàs alius, aut tremore corripiatur, aut conuulsione. Nam sicut manifestò cernimus aliis quidem corporibus crura optimè composita esse, aliis verò statim ab ortu pessimè, sic vt illi quidē ocyssimè currant, isti verò vix pedibus cōsistant, atque alias firmiter corporis partes, Ad eundem modum quòd vel leuissima occasione in nonnullis crura promptè noxā sentiant, in aliis verò imi pedes aut oculi, aut caput, aut alia quæuis particula facilè offendatur, id certè à primo naturæ exordio ob vitiosam corporū constitutionem prouenit. Non igitur mirū si ex musculis quoq; nunc quidem illi, qui oculos agunt, nūc verò quibus maxillæ mouentur, quibusdam imbecilli sint, adeò vt horum quidem vitio vel semper vel exigua saltē de causa dentium stridor oriatur, illorum verò perpetuus sit oculorū motus. Dentibus enim à natura stridere persimile est affectioni illi oculorū, quā ἵππον hoc est equū appellāt, vnà cū quibusdā genitę & ex vtero simul prodeunti per quā nec tēporis quidē momēto oculi firmari, & quiescere nequeūt, sed quasi trementes perpetuò dimouētur. Cęterū per febriles morbos eos malè affecta sua origine cōuelli, persimile rursū est illi musculorū, qui in oculis sunt, constructioni, de quibus dixit, aut facti subliminiores sint.

Sunt

Sunt enim corpora quædam in quibus oculorum musculi procliuius affecta prima origine noxam participant, alia verò in quibus temporum aut maxillarum. Quare rectissimè dixit symptoma hoc insaniam, mortemque portendere. Insaniam quidem perinde, ac si maximam mentis desipientiam dixisset; mortem verò, quia prima origo læsa sit. Sed non absurdè quæri potest cur quum dixerit ab eo portendi insaniam, tamen subiungat, Si verò etiam delirans hoc agat, id iam valdè perniciosum esse. Nam si dentium stridor delirium denunciat, vbi iam delirare cœperit, non modo non desinet, sed etiam ingruet vehementius, præsertim quum alios insuper quosdam musculos idem malum peruaserit. Quamobrem, quod ait, sic intelligendum videtur. Dentium stridor, qui præter morem est, symptoma est futuri delirij. Quare si quando ad ægrum accesseris, & delirantem, stridentemque dentibus videris, iam morti propinquum esse coniicito. Verbis ergo prioribus, quando scilicet æger nondum delirans stridet dentibus, id solùm simpliciter indicatur, insaniam nimirum, mortémque significari. Quum verò iam delirat, simúlque stridet dentibus, haud procul abesse mortem. Id quod euidenter ipse ostendit addens, iam. Siquidem mortiferum hoc symptoma esse verbis etiam prioribus dixerat. Posterioribus autem addidit valdè, & iam, dicens, valdè iam perniciosum esse, hoc est, admodum perniciosum, quòd videlicet non multò post, sed perbreui æger interiturus sit.

A κατὰ τινὰ μὲν γὰρ σώματα, θᾶττον ἀπολαμβάνουσι τὴν τῆς ἀρχῆς παθημάτων οἱ κατὰ τοὺς ὀφθαλμοὺς μύες, κατά τινα δὲ οἱ κροταφῖται, καὶ οἱ μασητῆρες. εἰκότως οὖν ἔφη, τὸ σύμπτωμα τοῦτο καὶ μανικὸν εἶναι, καὶ θανατῶδες. μανικὸν μὲν, ὡς εἰ καὶ παρακοπτικὸν ἰσχυρῶς εἰρήκει. θανατῶδες δὲ, διὰ τὴν τῆς ἀρχῆς βλάβην. ἀλλ' ἐκεῖνό γε ζητήσεως ἄξιον, ὅπως εἰπὼν αὐτὸς, εἶναι μανικὸν αὐτὸ, μετὰ ταῦτά φησιν. ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιέῃ, ὀλέθριον κάρτα ἤδη γίγνεται. πρόδηλον γὰρ, ὡς εἴπερ ἀγγέλλει παραφροσύνην τὸ πρίειν τοὺς ὀδόντας, οὐκέτι παύσαιτ' ἂν, ἀλλὰ καὶ σφοδρότερον γένοιτο τῆς παραφροσύνης ἀφικνουμένης, σὺν B τῷ καὶ ἄλλους τινὰς μύας εἰς τὴν αὐτὴν ἀχθῆναι [illegible] διάθεσιν. ἔοικεν οὖν ἡ διάνοια τοῦ λόγου τοιαύτη τις εἶναι· τὸ πρίειν τοὺς ὀδόντας, οἷς οὐκ ἦν ἔθος ἐξ ἀρχῆς, παραφροσύνης ἐσομένης σύμπτωμά ἐστιν. εἰ μέντοι ποτὲ ἐπ' ἄρρωστον ἀφικόμενος, εὕροις αὐτὸν ἀμφότερα πάσχοντα, παραφρονοῦντά τε καὶ πρίοντα τοὺς ὀδόντας, ἐγγὺς ἤδη τοῦτον ἥκειν ὀλέθρου τεκμαίρου, ὥστε κατὰ μὲν τὸν πρότερον λόγον, ὅτε οὔπω παραπαίων ἔπρισεν ὁ κάμνων τοὺς ὀδόντας, ἁπλῶς αὐτὸ τοῦτο προδηλοῦσθαι μόνον, ὡς παρακοπτικόν τέ ἐστι, καὶ ὀλέθριον αὐτοῦ τὸ σημεῖον. ἡνίκα δ' ἤδη παραφρονεῖ, σὺν τῷ πρίειν τοὺς ὀδόντας, ὑπό- C γυον ἐνδείκνυται θάνατον. ἐδήλωσε δὲ τοῦτο σαφῶς αὐτὸς, ἐν τῷ προσθεῖναι τὸ ἤδη. ὅτι μὲν γάρ ἐστι θανατῶδες τὸ σύμπτωμα, καὶ κατὰ τὸν ἔμπροσθεν εἰρήκει λόγον. ἐν δὲ τῷ δευτέρῳ, τό τε κάρτα, καὶ τὸ ἤδη προσέθηκεν, εἰπὼν, ὀλέθριον ἤδη κάρτα γίγνεται, τουτέστι λίαν ὀλέθριον, ὅπερ ἐστὶν, οὐκ εἰς μακρὰν, ἀλλὰ διὰ ταχέων τεθνήξεσθαι τὸν κάμνοντα.

De prænotione ex vlcere.

SENTENTIA HIPPOCRATIS 22.

Nec verò ignorandum an vlcere, vel ante morbum vel in ipso morbo nato laboret. Nam si æger moriturus est, liuidum, & siccum, aut pallidum & siccum antè euadet.

Περὶ τῆς δι' ἕλκους προγνώσεως.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κβʹ.

D Ἕλκος δὲ ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχων, ἤν τε καὶ ἐν τῇ νούσῳ [τέλει] γένηται, καταμανθάνειν χρή. ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου πελιδνόν τε καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν.

COMMENTARIVS GALENI.

Siccum quidem omnino erit vlcus ob imbecillitatem corpus alentis facultatis. Color autem nunquam semper vnus erit, sed eum partim, quòd plurimùm corpora humoribus à se inuicem differant, partim ob noxæ magnitudinem immutari necesse est. Si namque humores biliosi exuperent, color erit pallidus; si verò melancholici, aut liuidus, aut altero τοῦ χλωροῦ significatu æruginosus. Diximus verò antea idem nonnunquam τὸ χλωρὸν significare, quod pallidum, aliquando verò colorem ferè ærugini similem, quo quidem significatu etiam brassicam homines Græci χλωρὰν dicere solent. Ad eundem modum ipsa quoque noxa maior quidem colorem liuidum (accedit enim is ad nigrum) minor verò rubrum, atque pallidum generat. Eámque obrem plerique extremum sententiæ scribunt, hoc modo, ἢ ὠχρόν τε καὶ ξηρὸν, id est aut pallidum & siccum, alij verò illo, ἢ χλωρόν τε καὶ ξηρόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ξηρὸν μὲν ἔσται πάντως τὸ ἕλκος, ἀρρωστίᾳ τῆς τρεφούσης τὸ σῶμα δυνάμεως. χρόα δὲ οὐδεμία διὰ παντὸς αὐτῷ γενήσεται, ἀλλὰ παρά τε τὸ διαφερόντως ἔχειν E τὰ σώματα πρὸς ἄλληλα τοῖς χυμοῖς, καὶ παρὰ τὸ ποσὸν τῆς βλάβης ἐναλλαχθήσεται. τῶν μὲν γὰρ χολωδῶν ἐπικρατούντων, ὠχρὸν ἔσται τὸ χρῶμα· τῶν δὲ μελαγχολικῶν, ἤτοι πελιδνὸν, ἢ κατὰ τὸ ἕτερον τῶν σημαινομένων χλωρόν. εἴπομεν δὲ ἔμπροσθεν, ὡς τὸ χλωρὸν, ἐνίοτε μὲν σημαίνει ταὐτὸν τῷ ὠχρῷ, ἐνίοτε δὲ τὸ οἷον ἰῶδες τῇ χρόᾳ, καθ' ὃ σημαινόμενον εἰώθασι, καὶ κράμβας χλωρὰς λέγειν οἱ ἄνθρωποι. οὕτω δὲ καὶ ἡ βλάβη, πελιδνὸν μὲν ἡ μείζων ἐργάζεται (πλησίον γάρ ἐστι τοῦτο τοῦ μέλανος) ἐρυθρὸν δὲ καὶ χλωρὸν ἡ ἐλάττων, διὸ καὶ τὴν τελευτὴν τῆς ῥήσεως, ἔνιοι μὲν οὕτως F γράφουσιν, ἢ ὠχρόν τε καὶ ξηρόν· ἔνιοι δὲ ἐκείνως, ἢ χλωρόν τε καὶ ξηρόν.

Περὶ τῆς τῶν χειρῶν φορᾶς

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κγʹ.

Περὶ δὲ χειρῶν φορῆς, τάδε γινώσκειν χρή. ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσι, ἢ περιπνευμονίῃσιν, ἢ ἐν φρενίτισι, καὶ ἐν κεφαλαλγίῃσι πρὸ τοῦ προσώπου φερομένας τὰς χεῖρας, καὶ ὡσανεὶ μυίας θηρευούσας διὰ κενῆς, καὶ ἀποκαρφολογούσας, καὶ κροκύδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας, καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς, καὶ θανατώδεας.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Αἱ τῶν χειρῶν φοραὶ, τουτέστιν ἐνέργειαί τε καὶ κινήσεις ἃς εἴρηκε νῦν, ἐπὶ φαντασίᾳ γίνονται, παραπλησίως τῇ τῶν ὑποχεομένων. ἐκεῖνοί τε γὰρ ὅσα κατὰ τὴν μεταξὺ χώραν ὁρῶσι, τοῦ τε κρυσταλλοειδοῦς ὑγροῦ, καὶ τοῦ περὶ τὴν κόρην κερατοειδοῦς χιτῶνος, ἐκτὸς ὑποκεῖσθαι δοξάζουσιν. ἐπειδὴ διὰ παντὸς εἰθίσθησαν, ἐν τῷ κατὰ φύσιν ἔχειν, ὁρᾶν τὰ πράγματα κατὰ τὸν ἔμπροσθεν ἑαυτῶν ἀέρα. τὸν αὐτὸν δὲ τρόπον οἱ νῦν οὗτοι. περὶ ὧν Ἱπποκράτης ἔγραψεν, ἐν πυρετοῖσιν ὀξέσι, καὶ περιπνευμονίῃσι, καὶ φρενίτισι, καὶ κεφαλαλγίῃσι. ὁρᾶν δοκοῦσιν, ὡς ἐκτὸς ὑποκείμενα, τὰ κατὰ τοὺς ὀφθαλμοὺς αὐτῶν ἔνδον ἐόντα. δέδεικται γὰρ, ὅτι τὸ πνεῦμα, τὸ ὀπτικὸν αὐγοειδὲς ὂν, ἑαυτῷ συνομοιοῖ τὸ μεταξὺ τοῦ τε κρυσταλλοειδοῦς, καὶ τῆς κόρης ὑγρὸν, λεπτὸν καὶ καθαρὸν ὑπάρχον. ὁμοιότατον τῷ περιεχομένῳ κατὰ τὰ ᾠὰ, ᾧ καὶ κατὰ τὰς ὀφθαλμίας χρώμεθα. δέδεικται δὴ, ὅτι καὶ διὰ τούτου τοῦ ὑγροῦ φέρεται τὸ πνεῦμα κατὰ τὸ τῆς κόρης τρῆμα, πρὸς τὸν ἀέρα τὸν ἐκτὸς συμπαγὲς αὐτῷ γινόμενον. ἀλλὰ καὶ ὅτι τούτῳ τῷ ἀέρι συμφωτισθέντι, χρῆται, καθάπερ ὀργάνῳ συμφύτῳ τοιοῦτο τὴν δύναμιν ὄντι, ὁποῖον ἐν τῷ σώματι τὸ νεῦρόν ἐστιν. ἐπιδέδεικται καὶ τοῦτο κατὰ τοὺς ἰδίους τῆς ὄψεως λόγους, ὡς ἐν τῷ τρισκαιδεκάτῳ περὶ ἀποδείξεως, καὶ τῷ ἑβδόμῳ περὶ τῶν Ἱπποκράτους, καὶ Πλάτωνος δογμάτων ἔγραψα. λέλεκται δὴ οὐκ ὀλίγα περὶ αὐτοῦ, καὶ κατὰ τὸ δέκατον τῶν περὶ χρείας μορίων. ὡς οὖν διὰ τοῦ νεύρου τῶν κατὰ τὸν δάκτυλον εἰ τύχοι, τοῦ ποδὸς αἰσθάνεται παθημάτων ὁ ἐγκέφαλος, οὕτω καὶ διὰ τοῦ πέριξ ἀέρος, τῶν ἐκτὸς ὑποκειμένων ὁρατῶν, ὅσα γε σύμμετρον ἀφέστηκεν αὐτοῦ. τὰ τοίνυν ὑποχύματα, κατὰ τοῦτο γίνεται τὸ ὑγρὸν, ὃ παραπλήσιόν ἐστιν, ὡς ἔφην, τῷ λευκῷ τε καὶ λεπτῷ τοῦ ᾠοῦ, ὃ μεταξὺ κεῖται τῆς κόρης, καὶ τοῦ κρυσταλλοειδοῦς. κατὰ τοῦτο δὲ καὶ τῶν ἀπεπτούντων ἐνίοις, φαντασίαι παραπλήσιαι τοῖς ὑποχεομένοις γίνονται. ὅπου γὰρ αὐτίς ᾖ τι μέλαν ὑγρὸν, ἢ παχὺ κωλῦον ἔξω διεκπίπτειν τὴν ὀπτικὴν αὐγὴν, ἐκεῖ φαντασίαι γίνονται, κατὰ τὴν τοῦ συνεστῶτος ὑγροῦ φύσιν. ἐνίοτε μὲν οἷον τριχῶν τινων, ἢ κρόκης, ἢ στήμονος, ἢ νήματος, ἐνίοτε δὲ κωνωπίων μελαινῶν, ἢ μυιῶν παραπέτασθαι δοκούντων. ἔστιν ὅτε δὲ καὶ φακοῖς ὅμοιον, ἢ κέγχροις μέλασιν. οὕτως οὖν συμβαίνει κατὰ τοὺς ὀξεῖς πυρετοὺς, καὶ κατὰ τὰς περιπνευμονίας, ἄγαν ἀναθυμιωμένων ἐπὶ τὴν κεφαλὴν τῶν ἐν τῷ σώματι χυμῶν, συναπολαύειν τῆς ἀναθυμιάσεως αὐτῶν, τὸ κατὰ τὴν κόρην ὑγρὸν ἐκεῖνο τὸ καθαρόν.

De manuum gestibus.

SENTENTIA HIPPOCRATIS 23.

CÆterùm de manuum gestibus sic statuendum est. Quoties in acuta febre, aut pulmonis inflammatione, aut insania, aut capitis dolore ægrum videris manus ante faciem attollere, & quasi muscas inani operâ venari, & festucas carpere, atque floccos à vestibus, vel ab adiuncto pariete, si qua minuta eminent vellere, ea omnia mala esse, & mortifera censendum.

COMMENTARIUS GALENI.

GEstus manuum, hoc est, actiones, & motus, quos hoc loco recensuit, eodem modo, atque in his, qui suffusione, quam ὑπόχυσιν Græci dicunt laborant, ab imaginatione proueniunt. Cuncta enim, quæ inter crystallo similem humorem, & corneam, quæ pupillam ambit, tunicam, hi vident, foris posita esse arbitrantur, propterea quòd dum rectè valerent, omnia soliti semper erant in aduerso aëre conspicere. Illi verò de quibus nunc Hippocrates scripsit, eodem modo in febre acuta, pulmonis inflammatione, insania, quæ Græcis φρενῖτις dicitur, & dolore capitis ea, quæ intra oculos sunt, quasi extra sint, videre sibi videntur. Ostensum enim est spiritum illum, quo videtur splendidum lucentémque, assimilare sibi humorem illum, qui inter tunicam crystallo similem, & pupillam medius continetur, tenuem proculdubiò purúmque, & illi persimilem, quem ouis inesse cernimus, quo etiam contra oculorum inflammationes vtimur. Demonstratum verò æquè est spiritum ipsum per humorem hunc, pérque pupillæ foramen in circunfusum nobis aërem, cui contiguum illud est, deferri. Quòd verò etiam aëre isto pariter lucente vtatur tanquàm congenito instrumento, eandem prorsus vim habente, qualem in corpore neruus habet, demonstratum est, conscripta priuatim de visu disputatione, libro nimirum decimotertio de demonstratione, & septimo de placitis Hippocratis & Platonis. Quinetiam decimo De vsu partium libro non pauca de ipso diximus. Itaque quemadmodum cerebrum affectus, verbi gratia, digiti pedis, per neruum sentit, sic per circunfusum aërem res visibiles foris positas quæ longius quàm par sit non distant. Ac suffusiones quidē in eo humore, quem candidæ, tenuiorique parti oui cōsimilem esse dicebamus, quiq; inter pupillam & alterum crystallo similem medius est, excitantur. In eodem verò nōnullis etiam, qui malè concoxerunt imaginationes suffusis, aut dissimiles oriūtur. Quum enim humor aliquis niger, aut crassus medium sese opponens vetarit quominus visiuus splēdor foras exeat, illic nascuntur imagines pro natura impacti humoris. Siquidem interdum velut pilos quosdam, vel tomentum, vel stamen, vel filum; interdum nigros culices, aut muscas præteruolantes videre se imaginantur, aliquando verò alia lentibus miliisve nigris similia. Sic certè quidem accidit per febres acutas, inflammationésque pulmonis, vt sublatis in caput humoribus, eorum vapore humor etiam ille purus, quem pupilla complectitur, inficiatur.

Quo

Quo autem ipse modo locóque turbibus effectus fuerit, prædictæ imagines oboriuntur. Verùm in vehementi dolore capitis, & insania, similiter illa eadem symptomata fiunt, partim ob capitis repletionem, partim etiam, quò humores in oculos conscenderint. Et indè quidem verba illa à Græcis medicis in phreniticis maximè vsurpari solita κροκυδίζειν atque καρφολογεῖν, quæ significant tomentum & festucas legere, originem acceperunt. Sedenim plerique nobis tomentorum, & stipularum eiusmodi imaginationem tum interim dum fieret, tum postea quam facta esset, eius etiamnum memores exposuêre. Habent autem duplicem differentiam. Alij namque sensifica facultate læsa delirarunt, incolumi saluóque iudicio, Alij verò sunt qui cùm iudicio parum vacillarint, ob eximiam tamen qua præditi sunt, prudentiam, non multò post iudicandi vim receperunt, & recuperarunt adeò, vt vincerent, profligarent, & intelligerent, quæcunque accidissent. Et illi quidem ipsi nobis indicarunt quibúsnam visis manus mouissent, sicut scribit Hippocrates. Vestium enim villi multis locis excedere illis videbantur, & stipulæ parietibus herere, sæpè verò etiam festucas plurimas per stragula sparsas cernere, atque ante oculos parua animalia præteruolare. Quæ dum sectari, & comprehendere conantur, circunferunt manus, Alia verò quæ ipsi eminere putant, partim à vestimentis tollere, partim ab adiuncto pariete auellere contendunt. Cęterùm graues sunt meritò affectus illi, qui pariunt eiusmodi symptomata. Nam febris quidem acuta, & pulmonis inflammatio & dolor capitis propter humorum abundantiam illa parit, Insania verò propter affectæ partis dignitatem. Hæc enim toto genere pestifera est, febres autem, & pulmonis, capitísque dolores, sicut antè dictum est, ob magnitudinem.

Ex respiratione ac spiritu denso, magno, frigidóque, prognosticum.

SENTENTIA HIPPOCRATIS 24.

Porrò autem spiritus, frequens quidem dolorem, aut partis alicuius supra septum transuersum inflammationem significat. Magnus verò, & longo tempore inspiratus delirium ostendit. Quòd si verò frigidus naribus, & ore exspiretur, id iam valdè perniciosum est.

COMMENTARIVS GALENI.

Totã hãc sententiã accuratissimè libro secundo de spirandi difficultate explicauimus, proindè sola nũc capita persequar. Spiritum hoc loco Hippocrates totã respirationẽ appellat, quã quidẽ si frequens sit, interdũ dolorẽ significare dicit, interdũ verò inflãmationẽ, quã φλόγωσιν Gręci nuncupãt, partiũ, quæ intra thoracẽ cõtinentur, cordis scilicet, & pulmonis, quæ sunt supra transuersũ septũ collocata. Siquidẽ φρένας, atq; διάφραγμα idẽ Gręci veteres appellabãt. Ac in doloribus quidem ostendit spiritum paruum frequentemque duci, in phlogosi autem (quam inflammationem interpretere, namque phlogosim veteres phlegmonas solent vocare) frequentem & magnum. Spiritus verò rarus, hoc est longis interuallis repetitus, cum magnitudine quidem delirium, cum paruitate verò extinctum calorem natiuum prodit. Sed

ὅπῃ δὴ μὲν καὶ ὅπως αὐτὸ θολωθῇ, τὰ προειρημένα γίνεται φαντάσματα. κατὰ δὲ τὰς ἰσχυρὰς κεφαλαλγίας, ὥσπερ οὖν καὶ κατὰ τὰς φρενίτιδας, διὰ τὸ πεπληρῶσθαι τὴν κεφαλὴν, ἀφικνουμένων τε τῶν χυμῶν ἐπὶ τοὺς ὀφθαλμοὺς, τῶν αὐτῶν συμπτωμάτων αἴτιον γίνεται. καὶ τό γε κροκυδίζειν, καὶ καρφολογεῖν εἰθισμένα τοῖς ἰατροῖς ἅπασι ῥήματα, μάλιστα κατὰ τῶν φρενιτιζόντων λέγεσθαι, τὴν θέσιν ἐντεῦθεν ἔλαβεν. ἔνιοι γοῦν ἡρμήνευσαν ἡμῖν, τήν τε τῶν κροκύδων, καὶ τὴν τῶν ἀχύρων φαντασίαν, ἐν αὐτῷ τε τῷ γίγνεσθαι, καὶ μετὰ ταῦθ' ὕστερον ἀπομνημονεύσαντες. ἔστι δὴ αὐτῶν ἡ διαφορὰ διττή. τινὲς μὲν γὰρ, ἐν αὐταῖς ταῖς αἰσθητικαῖς φαντασίαις τὸ παραφρονεῖν ἐκτήσαντο, τῆς κριτικῆς δυνάμεως ἐρρωμένης. ἔνιοι δὲ καὶ διὰ φρόνησιν ὑπερβάλλουσαν, ὅμως καίτοι πεπονθότες, ἐπὶ βραχὺ τὴν κριτικὴν δύναμιν, ἀντέσχον καὶ ἀνήνεγκαν, ὡς ἐκνικῆσαί τε καὶ ἀπομαχέσασθαι, καὶ παρακολουθῆσαι τοῖς γιγνομένοις. αὐτοὶ τοίνυν ἐδήλωσαν ἡμῖν, ἐπὶ τίσι φαντάσμασιν ἐκίνουν τὰς χεῖρας, ὡς Ἱπποκράτης ἔγραψεν. ἐξέχειν γὰρ αὐτοῖς ἐδόκουν, αἱ τῶν ἱματίων κροκύδες πολλαχόθι, καὶ τοῖς τοίχοις ἄχυρα προσκεῖσθαι, πολλάκις δὲ καὶ κάρφη πολλὰ κατὰ τὴν στρωμνὴν ἐπικεῖσθαι, καὶ παραπέτασθαι ζῶα μικρὰ πλησίον τῶν ὀφθαλμῶν. ταῦτα μὲν οὖν θηρεύειν ἐπιχειροῦσι, περιφέροντες τὰς χεῖρας, ὡς τι ληψόμενοι. τὰ δὴ ἄλλα ἐξέχειν φαινόμενα, τὰ μὲν ἀπὸ τῶν ἱματίων ἀφαιρεῖν ἐπιχειροῦσι, τὰ δὴ ἀποσπᾶν τοῦ τοίχου. χαλεπαὶ δὴ εἰσὶν εἰκότως αἱ ποιοῦσαι τὰ τοιαῦτα συμπτώματα διαθέσεις, ὡς αἱ τοῦ μὲν ὀξέος πυρετοῦ, καὶ τῆς περιπνευμονίας, καὶ τῆς κεφαλαλγίας διὰ μέγεθος χυμῶν ἐργασαμένων αὐτά. τῆς δὲ φρενίτιδος, διὰ τὸ κύριον τοῦ πεπονθότος μορίου· ταύτης μὲν γὰρ ὅλον τὸ γένος ὀλέθριον. οἱ πυρετοὶ δὲ, καὶ αἱ περιπνευμονίαι, καὶ αἱ κεφαλαλγίαι, κατὰ τὸ μέγεθος, ὡς εἴρηται.

περὶ

Ἐκ τῆς ἀναπνοῆς, καὶ πνεύματος πυκνοῦ, καὶ μεγάλου, καὶ ψυχροῦ προγνωστικόν.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΑΤΟΥΣ κδ'.

Πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι. μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται.

ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταύτην τὴν ῥῆσιν ὅλην, ἐν τῷ τρίτῳ τῶν περὶ δυσπνοίας ἐξήγημαι τελεώτατα, διὸ καὶ νῦν ἐρῶ μόνα τὰ κεφάλαια. πνεῦμα μὲν ὀνομάζει κατὰ τόνδε τὸν λόγον ὁ Ἱπποκράτης, ὅλην τὴν ἀναπνοήν. φησὶ δὲ πυκνὴν αὐτὴν γινομένην, ἐνίοτε μὲν ἄλγημα σημαίνειν, ἐνίοτε δὲ τῶν κατὰ θώρακα μορίων φλόγωσιν, ἅπερ ἐστὶ καρδία τε, καὶ πνεύμων ὑπὲρ τὸ διάφραγμα τὴν θέσιν ἔχοντα. φρένας γὰρ, καὶ διάφραγμα ἐκάλουν οἱ παλαιοὶ ταὐτό. ἐν μὲν οὖν τοῖς ἀλγήμασιν ἐδείχθη τούτῳ μικρὸν καὶ πυκνὸν γινόμενον τὸ πνεῦμα, κατὰ δὲ τὰς φλογώσεις, πυκνὸν καὶ μέγα. ταύτας γὰρ εἰώθασιν ὀνομάζειν φλεγμονάς. τὸ δὴ ἀραιὸν πνεῦμα, τουτέστι τὸ διὰ πολλοῦ, μετὰ μεγέθους μὲν παραφροσύνην σημαίνει· μετὰ δὲ σμικρότητος, σβέσιν τῆς ἐμφύτου θερμότητος. ἀλλὰ

ταύτην γε τὴν διάθεσιν, ἐκ τοῦ συμβεβηκότος ἐδήλωσεν εἰπών. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται. ὅτι δὲ τούτων τῶν δυσπνοιῶν ἐμνημόνευσε μόνον ἐν τῷ προγνωστικῷ, τὴν διδασκαλίαν περὶ τῶν ὀξέων νοσημάτων ποιούμενος· ἐπί τε κατὰ τὰ τῶν ἐπιδημιῶν, ὡς περὶ πλειόνων δυσπνοιῶν οὐσῶν ἐποιήσατο τὸν λόγον, ἐν τῷ τρίτῳ περὶ δυσπνοίας ἐπιδέδεικται.

& hanc sanè affectionem ex accidenti indicauit scribens. *Quòd si frigidus naribus & ore expiretur, id iam valdè perniciosum esse.* Quòd autem in Prognostico de morbis acutis disserens has tantum spirandi difficultates breuiter exposuerit, libris autem Epidemiωn de pluribus aliis fecerit mentionem, libro de difficultate spirandi tertio ostensum est.

Περὶ εὐπνοίας σωτηρίας· περὶ νοσημάτων ὀξέων, καὶ τῶν ἁπλῶς, καὶ τῶν ἐκ μεταπτώσεως.

De spirandi facilitate salutari; de morbis acutis simpliciter & deciduis.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κε'.

Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην, ἐν ἅπασι τοῖσιν ὀξέσιν νουσήμασιν, ὁκόσα ξὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

SENTENTIA HIPPOCRATIS 25.

Spirandi verò facilitatem existimare oportet valdè magnam vim ad salutem habere in omnibus acutis morbis, quibus coniuncta febris est, quique diebus quadraginta iudicantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὴν κατὰ φύσιν ἀναπνοὴν, εὔπνοιαν εἴρηκεν. ἐνδεικνυμένην μήτε θώρακα, μήτε καρδίαν, καὶ πνεύμονα, μήτε τὰς φρένας ὀδυνηρόν τι πάθος ἔχειν, ἀλλὰ μηδὲ τῶν συνημμένων αὐτοῖς μορίων τινά. κινούμενα γὰρ κατὰ τὰς ἀναπνοὰς ὀδυνᾶται, καὶ αὐτὰ φλεγμαίνοντά τε, καὶ ὁπωσοῦν ἔχοντά τι πάθος ὀδυνηρόν. ἔστι δὲ ταῦτα, κοιλία, σπλὴν, ἧπαρ. ὅταν οὖν μήτε τι τούτων πάσχῃ, μήτε θερμασίας πλῆθος ᾖ τοσοῦτον, ὡς διακαίεσθαί τε, καὶ φλέγεσθαι δοκεῖν, ἀλλὰ μηδὲ τοὐναντίον, ὡς ἤδη σβέννυσθαι τὴν ἔμφυτον θερμότητα, πῶς οὐκ ἂν τις φαίη τὸν κάμνοντα πολλὰς ἐλπίδας ἔχειν σωτηρίας; ἐπί γε τῶν ὀξέων νοσημάτων, ἐφ' ὧν ἤτοι διὰ τὸ μέγεθος τῶν πυρετῶν, ἢ διὰ τὴν ἰδίως ὀνομαζομένην φλεγμονὴν οἱ κίνδυνοι γίνονται. τὰ μέντοι χρόνια καὶ χωρὶς τούτων, τῷ καταλύειν τὴν δύναμιν, οὐκ ἀκίνδυνα. διὰ τοῦτ' οὖν ἐξεῖλεν αὐτὰ τοῦ λόγου, καὶ περὶ μόνων ἀπεφήνατο τῶν ὀξέων. ὄντων δὲ τούτων διττῶν, ἐπειδὴ τὰ μὲν ἁπλῶς τε καὶ πρώτως ἐστὶν ὀξέα, τὰ δὲ ἐκ μεταπτώσεως τούτων γίνεται, περὶ ἀμφοτέρων ἐδήλωσεν εἰπών· ὁκόσα σὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. τὸ μὲν οὖν σὺν πυρετοῖς προσθεὶς, ἵνα χωρίσῃ ταῦτα σπασμοῦ, καὶ τετάνου, καὶ χολέρας, ὅσα τἄλλα χωρὶς πυρετῶν ἐστιν ὀξέα. τὸ δὲ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεσθαι, χάριν τοῦ συγκαταριθμῆσαι τοῖς ἁπλῶς τε καὶ κυρίως λεγομένοις ὀξέσι, τὰ ἐκ μεταπτώσεως ὀξέα. γίνεται δὲ ταῦτα, κατ' ἀρχὰς μὲν ὀξέως νοσησάντων, ὕστερον δὲ κατὰ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, ἢ καὶ πρὸ αὐτῆς κριθέντων οὐ τελέως, ἀλλ' ὥστε (ἕως) τι λείψανον τῆς νόσου μέχρι τῆς τεσσαρακοστῆς ἡμέρας ἐκταθῆναι. μετάπτωσις μὲν γὰρ ἐν ταῖς ἐλλιπέσι κρίσεσι γίνεται τῶν ὀξέων νοσημάτων, οὐκ εἰς ταῦτα μόνον, ἀλλὰ καὶ τῶν χρονίων ἔνια, καὶ μάλιστα εἰς μαρασμὸν, καὶ τεταρταῖον, ἐμπύημά τε, καὶ φθόην, καὶ ὕδρωπας. ἀλλ' ὅ γε Ἱπποκράτης ἐξαιρεῖ τοῦ παρόντος λόγου κἀκεῖνα. μόνοις τοῖς ἁπλῶς ὀξέσιν, ὅσα σὺν πυρετῷ γίνεται, καὶ τοῖς ἐκ μεταπτώσεως αὐτῶν εἰς τεσσαρακοστὴν ἡμέραν ἀφικνουμένοις, ἄριστον εἶναι σημεῖον ἀποφηνάμενος τὴν εὔπνοιαν, οὔτε δὲ τοῖς ἄνευ πυρετῶν ὀξέσιν ἅπασιν, οὔτε τοῖς χρονίοις, ὡς εἶναι τὰ πάντα τρία γένη τῶν νοσημάτων, ἐν τῇ κατὰ χρόνον διαφορᾷ. ἓν μὲν τῶν ὀξέων τεσσαρεσκαίδεκα κρινόμενον ἡμέραις,

COMMENTARIVS GALENI.

Respirationem secundum naturam, spirandi facilitatem appellauit, ex qua nec thoracem, nec cor, nec pulmonem, nec præcordia, nec vllam aliam partem, quæ ipsis connexa sit, dolore vexari cognoscitur. Nam siue tententur phlegmone, siue alio quouis dolorifico affectu teneantur, dolent quum per respirationem mouentur. Hæ autem sunt, ventriculus, lien & iecur. Si quando igitur nulla earum laborat, nec caloris copia tanta est, vt exuri, atque ardere videatur, nec contrà penuria tanta, vt iam extinguatur natiuus calor, quis non fateatur, permultùm ægro spei esse ad recuperandam etiam ab acutis morbis sanitatem, à quibus vel ob magnitudinem febris, vel dictam propriè phlegmonen pericula imminent? Diuturni sanè morbi, quamuis horum expertes, quia tamen vires dissoluunt, non carent periculo, eámque ob causam ipsos excepit Hippocrates, solósque acutos morbos nominatim expressit. Quorum quum sit duplex differentia, sunt enim alij simpliciter primúmque acuti, alij autem ex istis decidui sunt, vtrumque ipse complexus est, scribens, quibus coniuncta febris est, quíque diebus quadraginta iudicantur. Vbi coniunctam quidem febrem esse addidit, quò eos separaret à conuulsione, distentione, cholera, atque aliis acutis morbis, qui febris expertes sunt. Addidit verò & diebus quadraginta iudicari, vt acutos morbos ex aliis deciduos, vnà cum his, qui simpliciter, & propriè acuti dicuntur, annumeraret. Sunt autem illi initiò quidem acuti, posteà verò decimo & quarto die, vel etiam maturius, crisim imperfectam experiuntur, atque ex ea reliquiæ quædam morbi ad diem quadragesimum supersunt. Morbi namque acuti, qui imperfectè iudicati fuêre, non in eos modò sed etiam in diuturnos, & maximè in marasmum, quartanam, suppurationem, phthoëm, atq; hydropas degenerant. Sed hos tamen impræsentiarum Hippocrates excludit, asserens solis simpliciter acutis quibus coniuncta febris est, atque aliis pariter deciduis qui ad quadragesimum diem perueniunt, signum optimum esse spirandi facilitatem, non autem acutis omnibus, qui febre carent, nec item lõgis, itáque tria sunt omnia morborũ genera tẽporum spatiis differentia. Acutum quidẽ vnũ, quod diebus quatuordecim iudicatur, cui

cui ex aduerso oppositi sunt diuturni. Tertium verò ambiguum, & veluti in vtriusque confinio positum, cuius extremus inter eos, qui iudicandi vi pollent quadragesimus dies est. Hæc quidem in ægris tam manifesta sunt, vt nemo illa non fateatur: quæ si quis diligentius in illis expenderit, intelliget planè rem se isto habere modo. Cæterùm, qui dicunt antiquum illum virum, quum scribit acutos morbos diebus quatuordecim iudicari, docere nos dierum iudicantium numerum, non modò non nouerunt, quæ maximè eos scire oportuit, sed ne dictiones quidem ipsas intelligunt. Si namque hoc ipsum diebus quatuordecim acutos morbos iudicari, designat dierum iudicantium multitudinem, certè, & quod nunc ait intra dies quadraginta iudicari, dierum iudicantium numerum significabit. Quærant igitur an quod in quatuordecim diebus faciunt vsque ad quadragesimum, idem in dictis quadraginta diebus efficere possint.

A ἀντικειμένων αὐτοῖς τῶν χρονίων. ἐπαμφοτερίζον δὲ καὶ οἷον ἐν μεθορίῳ τεταγμένον ἀμφοῖν ἄλλο τρίτον, οὗ πέρας ἐστὶ τῶν κρισίμων ἡμερῶν ἡ τεσσαρακοστή. ταῦτα μὲν οὖν ἐγὼ λέγω τοῖς ἐναργῶς φαινομένοις ἐπὶ τῶν νοσούντων ὁμολογοῦντα, καὶ ὅς τις αὐτὰ ἐπ᾽ ἐκείνων βασανίσει, γνώσεται τὴν τῶν πραγμάτων φύσιν οὕτως ἔχουσαν. ὅσοι δὲ καὶ τὸ ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι κρίνεσθαι τὰ ὀξέα νοσήματα, λέγουσιν εἰρῆσθαι τὸν ἀριθμὸν τῶν κρισίμων ἡμερῶν διδάσκοντος ἡμᾶς τοῦ παλαιοῦ, πρὸς τῷ μὴ γινώσκειν ἃ μάλιστα ἐχρῆν αὐτοὺς ἐπίστασθαι, καὶ τῶν λέξεων οὐκ ἀκούουσιν. B εἰ γὰρ καὶ τὸ τεσσαρεσκαίδεκα ἡμέραις κρίνεσθαι τὰ ὀξέα νοσήματα, δηλωτικόν ἐστι τοῦ πλήθους τῶν κρισίμων ἡμερῶν ὁπόσον ἐστὶ, καὶ τὸ ἐν τεσσαράκοντα ἡμέραις κρίνεσθαι, τὸν ἀριθμὸν δηλώσει τῶν κρισίμων ἡμερῶν. ζητησάτωσαν οὖν, ὥσπερ ἐν ταῖς τεσσαρεσκαίδεκα ποιοῦσι, τὰς ἕως τῆς τεσσαρακοστῆς, οὕτω καὶ τὰς νῦν εἰρημένας τεσσαράκοντα ποιῆσαι.

De sudoribus optimis ac pessimis.

SENTENTIA HIPPOCRATIS 26.

Sudores in omnib. acutis morbis optimi sũt, qui & diebus criticis proueniũt, & febrẽ prorsus auferũt. Boni quoq; qui toto corpore manãt, faciũtq; vt homo faciliùs ferat morbũ. Qui verò nihil eorũ effecerint, haudquaquã cõmodi videtur. Pessimi autẽ sũt frigidi, & qui circũ caput tãtũ, & faciẽ, & ceruicẽ oriũtur. Isti enim cũ febre quidẽ acuta mortẽ, cũ mitiori verò morbi lõgitudinẽ denũciãt. Similiter, & qui in toto corpore eodẽ, quo & in capite modo proueniunt. At qui milij instar prodeũt, quiq; solo in collo emergũt, mali sunt. Boni verò, qui guttatim stillãt, & vaporẽ tollũt. Cæterũ vniuersalẽ sudorũ rationẽ nouisse oportet. Alij nãq; exolutis corporibus, alij verò propter phlegmones vehemẽtiã solẽt excitari.

Περὶ ἱδρώτων τῶν ἀρίστων τε, καὶ κακίστων.

C ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κϛ'.

Οἱ ἱδρῶτες ἄριστοι μὲν εἰσὶν ἐν πᾶσι τοῖσιν ὀξέσι νουσήμασιν, ὁκόσοι ἂν ἐν ἡμέρῃσί τε κρισίμοισι γίνωνται, καὶ τελείως τὸν πυρετὸν ἀπαλλάξωσι. ἀγαθοὶ δὲ καὶ ὁκόσοι διὰ παντὸς τοῦ σώματος γινόμενοι, ἀπέδειξαν τὸν ἄνθρωπον εὐπετέστερον φέροντα τὸ νούσημα. οἱ δ᾽ ἂν μὴ τουτέων τι ἐξεργάσωνται, οὐ λυσιτελέες. κάκιστοι δὲ οἱ ψυχροί τε, καὶ μοῦνον περὶ τὴν κεφαλὴν γινόμενοι, καὶ τὸ πρόσωπον, καὶ τὸν αὐχένα. οὗτοι γὰρ ξὺν μὲν ὀξεῖ πυρετῷ θάνατον προσημαίνουσι, ξὺν δὲ πρηϋτέρῳ, μῆκος νόσου. καὶ οἱ κατὰ πᾶν τὸ σῶμα D ὡσαύτως γινόμενοι τοῖσι περὶ τὴν κεφαλήν. οἱ δὲ κεγχροειδέες, καὶ μοῦνον περὶ τὸν τράχηλον γινόμενοι, πονηροί. οἱ δὲ μετὰ σταλαγμῶν, καὶ ἀτμίζοντες, ἀγαθοί. κατανοεῖν δὲ χρὴ τὸ σύνολον τῶν ἱδρώτων. γίνονται γὰρ οἱ μὲν δι᾽ ἔκλυσιν σωμάτων, οἱ δὲ διὰ συντονίην φλεγμονῆς.

COMMENTARIVS GALENI.

Svdoris optimi duas notas scripsit, tertiam verò prætermisit, quasi necessariò priores consequatur. Qui enim tum criticis diebus fiunt, tum ægro febrem prorsus adimunt, toto profectò corpore manant. Verùm inter notas boni quidem, non tamen optimi sudoris scribens eum toto corpore prodire & partem aliquam morbi adimere, nihil præterea de diebus criticis adiecit, quasi id etiam necessariò sudores bonos concomitaretur. Porrò alius ordo tertius est sudorum, qui modicè mali sunt; de quibus dixit, Qui verò nihil eorum effecerint, haudquaquam commodi videntur; hoc est nisi toto corpore profluxerint, & æger postea morbum faciliùs ferat. Perspicuum autem est sudores illos, quibus nihil tale acciderit, deteriores esse, quibus verò alterum tantùm, meliores. Ex his rursum meliores illos esse, qui morbum reddunt tolerabiliorem, quamuis toto corpore non diffluant, deteriores verò à quibus ingrauescit morbus etsi toto corpore sudetur. Ac omnes quidem ij sudores calidi sunt, eámque ob causam dum tres eos ordines statueret, idipsum non expressit,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ μὲν τῶν ἀρίστων ἱδρώτων δύο γράψας γνωρίσματα, τὸ τρίτον παρέλιπεν, ὡς ἐξ ἀνάγκης ἑπόμενον οἷς εἶπεν. ὅσοι γὰρ ἐν ἡμέραις τε κρισίμοις γίνωνται, καὶ τελείως τῶν πυρετῶν E ἀπαλλάξωσι τὸν κάμνοντα, οὗτοι καὶ δι᾽ ὅλου τοῦ σώματός εἰσιν. ἐν δὲ τοῖς ἀγαθοῖς μὲν, οὐ μὴν ἀρίστοις γε, τὸ δι᾽ ὅλου τοῦ σώματος γίνεσθαι, καὶ τὸ καθελεῖν τι τῆς νόσου γράψας, οὐδὲν ἔτι προσέθηκε περὶ τῶν κρισίμων ἡμερῶν, ὡς ἐξ ἀνάγκης αὖ πάλιν, καὶ τούτου συνεπομένου τοῖς ἀγαθοῖς ἱδρῶσι. τρίτη δ᾽ ἄλλη τάξις ἱδρώτων ἐστὶ μετρίως κακῶν, ὑπὲρ ὧν εἶπεν, οἱ δ᾽ ἂν μηδὲν τουτέων ἐργάσωνται, οὐ λυσιτελέες, τουτέστι τό τε δι᾽ ὅλου τοῦ σώματος γίνεσθαι, καὶ τὸ μὴ τὸν κάμνοντα ποιεῖν εὐπετέστερον φέρειν τὴν νόσον. αὐτῶν δὲ τούτων, εὔδηλον ὅτι χείρους μὲν εἰσὶν οἱ μηδέτερον τούτων ἐργασάμενοι, μετριώτεροι δὲ F οἱ τὸ ἕτερον. αὖθις δὲ πάλιν αὐτῶν τούτων, οἱ μὲν εὐπετέστερον φέρειν τὴν νόσον ἐργασάμενοι, μετριώτεροι, κἂν μὴ δι᾽ ὅλου τοῦ σώματος γίνωνται· χείρους δ᾽ οἱ βαρύτερον ἀποδείξαντες τὸ νόσημα, κἂν εἰς ὅλον ἐκταθῶσι τὸ σῶμα. τούτοις μὲν οὖν ἅπασιν ὑπάρχει τοῖς ἱδρῶσι, θερμοῖς εἶναι, καὶ διὰ τοῦτ᾽ οὐδὲ κατὰ μίαν τῶν τριῶν τάξεων ἐδήλωσεν αὐτὸ, παραλείπειν εἰθισμένος,

ὅσα τε ἐξ ἀνάγκης ἕπεταί τισι, καὶ ὅσα διὰ τῆς τῶν ἐφεξῆς λεγομένων ἀντιθέσεως δηλοῦται. πᾶσι δὲ τοῖς προειρημένοις κατὰ τοῦτον τὸν λόγον ἱδρῶσιν ἀντιτίθησι τοὺς ψυχρούς, εἰπὼν ὧδε. κάκιστοι δὲ καὶ οἱ ψυχροί, καὶ αὐτοὺς αὖθις κακοὺς εἶναί φησιν, ὅσοι περὶ τὴν κεφαλὴν, καὶ τὸν αὐχένα γίνονται κἂν μὴ ψυχροὶ τυγχάνωσιν ὄντες, ἀπειλοῦσι γὰρ οὗτοι συγκοπήν. εἰ δὴ ἅμα τε περὶ ταῦτα γίνωνται τὰ μέρη, καὶ ψυχροὶ φαίνωνται, χείριστοι πάντων εἰσίν. οὐ γὰρ ἔτι μέλλειν, ἀλλ' ἄρχεσθαι δηλοῦσιν ἤδη τὴν συγκοπήν. ἐπιδιορίζονται δὲ τῇ σφοδρότητι τοῦ πυρετοῦ. εἰ μὲν γὰρ ὀξὺς ὑπάρχει, θάνατον οἴσουσι πάντως οἵ τε ψυχροί, κἂν δι' ὅλου γίνωνται τοῦ σώματος, οἵ τε περὶ τὸν τράχηλον καὶ κεφαλήν, εἰ καὶ θερμοὶ τύχοιεν ὄντες. εἰ δὲ καὶ πρᾶος ὁ πυρετὸς εἴη, δυνήσεταί ποτε πέψαι τοὺς μοχθηροὺς χυμούς, ἡ δύναμις ἐν τῷ χρόνῳ, μὴ φθάσασα προκαταλυθῆναι τῇ τοῦ πυρετοῦ ὀξύτητι. περὶ μέντοι τῶν κρισίμων ἡμερῶν, οὐκέτι οὐδὲν εἶπεν ἐπὶ τῶν ἄλλων ἱδρώτων, καίτοι γε ἐν τοῖς περὶ τῶν ἀρίστων εἶπεν ἐν ἀρχῇ. διότι τε μέλλει δύναμίν τινα τῶν κρισίμων, ἐν τῷ περὶ αὐτῶν λόγῳ διδάσκειν, ἐν αὐτῇ τε τῇ ῥήσει συνενεδείξατο. μία γὰρ αὐτῶν ἐστιν ἡ δύναμις, πιστὴν ἐργάσασθαι τὴν κρίσιν, ἄν τε εἰς ἀγαθὸν, ἐάν τε εἰς κακὸν τελευτήσῃ. γινώσκειν δὲ χρὴ τὴν τελευτὴν τῆς προκειμένης ῥήσεως ὑπὸ τῶν περὶ τὸν Διοσκουρίδην γεγραμμένην, κατὰ τήνδε τὴν λέξιν. κάκιστοι δὴ οἱ ψυχροί, καὶ μόνον περὶ τὴν κεφαλὴν γινόμενοι, καὶ τὸν αὐχένα, οὗτοι γὰρ θάνατον σημαίνουσιν, ἢ μῆκος νόσου. δῆλον δὴ, ὅτι καὶ ἡ τοιαύτη γραφὴ, συντομωτέρα μέν ἐστι τῆς προτέρας· δύναμιν δὲ τὴν αὐτὴν ἔχει, καὶ δεήσει προσθεῖναι τὸν ἐξηγητὴν, ὅπερ ἐπὶ τῆς προτέρας ἤδη γέγραπται, σὺν μὲν ὀξεῖ πυρετῷ θάνατον, σὺν δὲ πρᾳοτέρῳ, μῆκος νόσου. ἐφεξῆς δὲ τούτων γέγραπταί τινα περὶ ἱδρώτων, ἃ οὐκ εἰσὶν ἐν ἅπασι τοῖς ἀντιγράφοις, ἃ καλῶς ἄλλοι τέ τινες ἐξεῖλον, ὡς οὐχ Ἱπποκράτους, καὶ οἱ περὶ τὸν Ἀρτεμίδωρόν τε καὶ Διοσκουρίδην.

quippe qui ea, quę necessariò aliqua cōsequuntur, quæq; facilè ex eorū quæ subiiciuntur oppositione intelligi possunt, prætermittere cōsueuerit. Atqui sudoribus omnibus de quibus primùm hoc in loco dixit, frigidos opponit, scribens ad hunc modum, Pessimi autem sunt frigidi, atq; simul cum illis malos esse commemorat, qui circum caput tantùm, & faciem, & ceruicem oriuntur, etiam si frigidi non sint. Hi namque animi deliquium minitantur. Qui sanè partibus etiam istis, si frigidi videantur, omniū pessimi sunt. Neq; enim amplius futurā syncopē, sed iam incipientē ostendūt. Cæterùm ex febris vehemētia distinguuntur. Quippe si febris acuta est, tā frigidi illi sudores, etiam si toto ē corpore prodeant, quā alij, qui ceruicē tantū, atq; caput, quamuis fortè calidi occupant, certam perniciem adferunt. Sin autem mitis est, poterunt tandē vires vitiosos humores spatio coquere, modò ne priùs febris vehementiā peslundētur. Nullā verò Hippocrates quum de aliis sudoribus diceret, mentionem dierum criticorū fecit, de quibus tamen initio loquutus erat, cùm optimos describeret, tum quòd dierum iudicantium vim proprio libro explicaturus esset, tum quòd in hac ipsa, quam interpretamur sententia eos non obscurè subindicarit. Est enim eorum virtus vna crisim fidam proferre, siue bonus, siue malus exitus illam consequatur. Sciendum autem est propositæ nobis sententiæ extremum à Dioscoride scribi hunc in modum, *Pessimi autem sunt frigidi, & qui circum caput tantùm ceruicémque oriuntur. Mortem enim aut longitudinem morbi significant.* Quo quidē modo perspicuum est omnia dici compendiosius, quàm alioqui supra scriptum est, vim autē vtrinq; eandē esse, & interpreti addendū id, quod priore modo iam expressum est, scilicet, cum febre quidem acuta, mortē, cum mitiori verò, morbi lōgitudinem. Ascribuntur postea nonnulla de sudoribus, quæ in omnibus codicibus non reperias, & quæ rectè cùm alij, tum verò Artemidorus, & Dioscorides, tanquam notha, exemêre.

Περὶ ὑποχονδρίου τοῦ ἀρίστου

De optimo hypochondrio.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κζʹ.

Ὑποχόνδριον δὲ ἄριστον μέν ἐστιν εἰ ἀνώδυνόν τε ἐὸν, καὶ μαλθακὸν, καὶ ὁμαλὸν, καὶ ἐπὶ δεξιὰ, καὶ ἐπ' ἀριστερά. φλεγμαῖνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενον τὰ δεξιὰ πρὸς τὰ ἀριστερὰ, ἢ ἀριστερὰ πάλιν πρὸς τὰ δεξιὰ, ταῦτα πάντα φυλάσσεσθαι χρή.

SENTENTIA HIPPOCRATIS 27.

Optimum verò est si hypochondria sine vllo sensu doloris æqualiter mollia in vtraque parte sint. Sin autem phlegmone laborent, aut dolorem adferant, aut tensa sint, aut dextrū à sinistro varium, aut sinistrum à dextro, & inæquale, hæc omnia vereri conueniet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐνὶ μὲν λόγῳ βραχυτάτῳ, περιλαβὼν ἄν τις εἴποι τὸ τῷ κατὰ φύσιν ὁμοιότατον ὑποχόνδριον, ἄριστον εἶναι. κατὰ μέρος δὲ αὐτοῦ διδάσκων ὁ Ἱπποκράτης τὰ γνωρίσματα, τὸ μὲν πρῶτον αὐτῶν ἐκ τῶν οὐχ ὑπαρχόντων εἶπεν, ἃ δὴ καλεῖν ἔθος ἐστὶ τοῖς νεωτέροις ἀσυμβεβηκότα. τὰ δὲ ἐφεξῆς δύο γνωρίσματα τῶν συμβεβηκότων, ἐστὶ τοῖς ὑποχονδρίοις. ἀνώδυνον μὲν οὖν ὑποχόνδριον, ἐκ τοῦ μὴ συμβεβηκότος αὐτῷ λέλεκται, μαλθακὸν δὲ καὶ ὁμαλὸν, ἐξ ὑπαρχόντων τινῶν. ἀλλὰ τὸ μὲν μαλθακὸν, ἐκ τοῦ συμμέτρου τῆς ἀντιβάσεως γνωρίζεται. τὸ γὰρ ἀντικείμενον αὐτῷ, τὸ σφοδρῶς ἀντιβαῖνον, σκληρόν ἐστι. τὸ δὴ ὁμαλὸν, οὐ κατὰ μίαν μόνην τήνδε νοεῖται τὴν ποιότητα.

COMMENTARIVS GALENI.

Perbreui quidem oratione rem totam complectendo dici potest optimè præcordia se habere, quæ naturalibus quàm simillima sunt. Verùm Hippocrates sigillatim notas omnes persequitur, quarum primam ex his desumit, quæ non insunt, quæ recentiores medici ἀσυμβεβηκότα solent appellare. Reliquas autem duas ab his, quæ præcordiis accidunt. Doloris namq; expers esse, sumptū ab eo est quod non accidit; molle verò, & æquabile, ab illis, quæ insunt. Sed molle quidē ex moderato renixu cognoscitur. Huic enim contrarium, quod scilicet vehemēter renititur, durū est. Æquale verò non hac modò nota deprehenditur. Nam

Nam possunt quidem omnia æquè mollia esse; quæ tamen vel aliqua parte doloris erũt expertia, alia verò, dolore afficientur, vel alio loco calidiora, alio frigidiora, quàm debeant, aut sublimiora vno, & altero magis depressa sunt. Quare optimo & æquali opponens notas pessimi atque inæqualis, *Sin phlegmone, inquit, laborent, aut dolorem afferant, aut tensa sint, aut dextrum à sinistro, aut sinistrum à dextro varium & inæquale.* Vbi quod dixit phlegmone laborare, de hypochondrio intelligitur. Est autem phlegmone laborare, idem quod vri, inflammari, & succendi. Æquè verò & dolorem adferre de toto dicitur hypochondrio, quemadmodum & tensum, quod de ipso etiam toto dictum est. Dicitur verò inæqualiter affectũ esse, quoties totum hypochondrium eandẽ non habet vel caloris, vel frigoris, vel doloris, vel indolentiæ, vel gracilitatis, vel laxitatis, vel tensionis affectionem. Tenditur enim plerumque hypochondrium, vt tamen propriè dicta phlegmone nulla sit, idque vel ob insignem quandã siccitatem, non ipsius modò hypochõdrij, sed etiam membranæ costas succingentis, & septi transuersi, vel quòd musculi hypochondrij phlegmone, quæ tumorem excitet, nec tamen propriè phlegmone sit, quæ dolorificus tumor est, afficiantur.

A δύναται γὰρ ὁμοίως μὲν εἶναι μαλθακὸν ἅπαν. ἤτοι δὲ κατά τι μὲν ἀνώδυνον ὑπάρχειν, κατά τι δὲ ὀδυνώμενον, ἢ τὸ μὲν ἑαυτοῦ θερμότερον εἶναι, τὸ δὲ ψυχρότερον, ἢ τὸ μὲν ὑψηλότερον, τὸ δὲ ταπεινότερον. ὅθεν ἀντιτιθεὶς τῷ ἀρίστῳ, καὶ ὁμαλῷ τὰ τοῦ χείρονος, καὶ ἀνωμάλου γνωρίσματά φησι, φλεγμαῖνον δέ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενον τὰ δεξιὰ πρὸς τὰ ἀριστερά, ἢ ἀριστερὰ πρὸς τὰ δεξιά. τὸ μὲν φλεγμαῖνον εἶπε, καθ' ὅλου τοῦ ὑποχονδρίου. σημαίνει δὲ δηλονότι τοῦτο τὸ ῥῆμα, τὸ φλεγμαίνειν, ὡς εἰ καὶ διακαίεσθαι, καὶ φλέγεσθαι, καὶ πυροῦσθαι λέγοιτο. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ B τὸ τὴν ὀδύνην παρέχον ἐφ' ὅλου λέγεται τοῦ ὑποχονδρίου, καθάπερ γε καὶ τὸ τεταμένον, ἐφ' ὅλου γὰρ εἴρηται καὶ τοῦτο. τὸ ἀνωμάλως διακείμενον, ὅταν μὴ πᾶν ἔχῃ τὸ ὑποχόνδριον τὴν αὐτὴν διάθεσιν, ἢ κατὰ θερμασίαν, ἢ κατὰ ψύξιν, ἢ κατ' ὀδύνην τε καὶ ἀνωδυνίαν, ἢ κατ' ἰσχνότητα, καὶ χαλαρότητα, καὶ τάσιν. γίγνεται γάρ ποτε τάσις ὑποχονδρίου, χωρὶς τῆς ἰδίως ὀνομαζομένης φλεγμονῆς, ἤτοι διὰ ξηρότητά τινα σφοδράν, οὐ μόνον τῶν κατ' αὐτὸ μορίων, ἀλλὰ καὶ τῶν κατὰ τὸ ὑπεζωκότα τὰς πλευρὰς ὑμένα, καὶ τὰς φρένας, ἢ διὰ τὰς μετ' ὄγκου φλεγμονὰς αὐτῶν τῶν κατὰ τὸ ὑποχόνδριον μυῶν, ἔξω τῆς ἰδίως ὀνομαζομένης φλεγμονῆς καθεστώσης, ἥτις ἐστὶν ὄγκος ὀδυνηρός. C

De hypochondrio pulsante siue palpitante prognostieum.

Περὶ ὑποχονδρίου σφυγμώδεος ἢ παλμώδεος τὸ προγνωστικόν.

SENTENTIA HIPPOCRATIS 28.

QVod si in præcordiis pulsus quoque insit, perturbationis, vel delirij indicium est. Verùm oculos eorum intueri oportet. Si namque crebrò moueantur, expectanda insania est.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κη΄.

Ἢν δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην, ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν χρὴ τῶν τοιουτέων. ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτους ἐλπίς.

COMMENTARIVS GALENI.

IN quibusdam exemplaribus non pulsus, sed palpitatio scribitur. Eam autẽ à flatulento spiritu generari compertum habemus. Verùm plurima pulsum scriptum habent, siue ille sit, qui magnas inflammationes comitatur, siue ille ægro sensibilis motus arteriæ magnæ, quã spinam perreptat, vt vir ille dixit libro secundo Epidemiωn; *Quum vena, quæ in cubito est, pulsauerit, insanum furibundúmque est.* Certum enim est pulsum etiam ab eo appellari magnum illum, & vehementem arteriarum motum, quem vel solus æger, vel qui illi adsistunt, non admota etiam manu, manifestò percipiunt. Sed quicquid horum acciderit, non bonum signum est, siquidem tum magna arteria, tum ventriculus, tum iecur, atque ipsum adeò transuersum septum, inter partes principes habentur, quorum vnum necessariò affectum esse oportet, siue palpitationem, siue pulsum legerimus. Veruntamen transuersum septum delirium promptissimè suscitat, eámque ob causam φρένας, quod mentem interpretere, vocatum à veteribus esse dicunt, atque ipso non minus ventriculi os, si quando magna ipsum phlegmone inuadat. Reliquæ verò partes, quæ illic sunt, si aliquo ex prædictis affectibus corripiantur, plurimùm habent periculi. Itaque Hippocrates ab hoc symptomate, vel perturbationem, vel delirium impendere, haud temerè videtur affirmasse. Perturbationem quidem, quòd hæc pericula omnia ex æquo consequatur, quibus non ægri solùm,

D ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εὑρίσκεται μὲν ἔν τισι τῶν ἀντιγράφων, οὐ σφυγμός, ἀλλὰ παλμὸς γεγραμμένος. ἐμάθομεν δέ, ὅτι τὸ σύμπτωμα τοῦτο διὰ πνεῦμα γίνεται φυσῶδες, ἀλλ' ἐν τοῖς πλείστοις γέγραπται σφυγμός. ἤτοι γε, ὡς συνὼν ταῖς μεγάλαις φλεγμοναῖς, ἢ καὶ τῆς κατὰ ῥάχιν ἀρτηρίας τῆς μεγάλης ἡ αἰσθητὴ κίνησις τῷ κάμνοντι, ὥς που κἂν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν εἶπεν ὁ ἀνήρ· ὅταν ἡ φλὲψ ἡ κατ' ἀγκῶνα σφύζῃ, μανικὸς καὶ ὀξύθυμος. εὔδηλος γάρ ἐστι κἀνταῦθα τὸ σφύζειν E ἐπὶ τῆς μεγάλης, οὕτω καὶ σφοδρᾶς κινήσεως τῶν ἀρτηριῶν ἐπιφέρων, ὡς καὶ πρὸ τοῦ τὴν ἁφὴν ἐπιβάλλειν αὐταῖς, αἰσθητὴν εἶναι τὴν κίνησιν. ἐνίοτε μὲν αὐτῷ τῷ πάσχοντι μόνῳ, ἐνίοτε δὲ καὶ τοῖς ἔξωθεν ὁρῶσιν. ὅ, τι δ' ἂν ᾖ τούτων τῶν συμπτωμάτων, οὐκ ἀγαθόν ἐστι σημεῖον. καὶ γὰρ ἡ μεγάλη ἀρτηρία, τῶν κυριωτάτων μορίων ὑπάρχει, καὶ ἡ γαστήρ, καὶ τὸ ἧπαρ, ὥσπερ γε καὶ τὸ διάφραγμα. πάντως δὲ τούτων ἕν ἐστι τὸ πάσχον, εἴ τε παλμὸς εἴη γεγραμμένος, εἴ τε σφυγμός. ἀλλὰ τὸ μὲν διάφραγμα, παραφροσύνην ἑτοιμοτάτην φέρει, διόπερ καὶ προσαγορεύεσθαί φησιν αὐτὸ φρένας ὑπὸ τῶν F παλαιῶν, οὐχ ἥκιστα δὲ καὶ τὸ στόμα τῆς γαστρός, ὅταν μεγάλως φλεγμαίνῃ. τὰ δ' ἄλλα μόρια τὰ τῇδε, πάσχοντά τι τῶν εἰρημένων παθημάτων, ἐν ἐπικινδύνῳ γίγνεται διαθέσει. διὸ καὶ Ἱπποκράτης εἰκότως, ἤτοι θόρυβον ἔφη σημαίνεσθαι πρὸς τοῦ συμπτώματος, ἢ παραφροσύνην. θόρυβον μὲν ἐνὶ κοινῷ συμβεβηκότι πασῶν τῶν κινδυνωδῶν διαθέσεων, ἐφ' αἷς οὐ τοῖς κάμνουσι μόνον,

ἀλλὰ καὶ τοῖς ἰατροῖς θορυβεῖσθαι συμβαίνει. παραφροσύνην δὲ, διά τε τὸ διάφραγμα, καὶ τὸ τῆς γαστρὸς στόμα. περὶ μέντοι τῶν καθ' ὑποχόνδριον μυῶν ἐπισκεπτέον ἐστὶν, οὔτε γὰρ παραφροσύνην ἐξ ἀνάγκης, οὔτε κίνδυνον ἐπιφέρουσιν οὗτοι σφύζοντες, ἢ παλλόμενοι. μήτε οὖν ἰδιώτερον ἀκοῦσαι χρὴ, τοῦ, ἐνείη, ῥήματος ἐν τῇ λέξει, καθ' ἣν εἶπεν ὁ Ἱπποκράτης. εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, τὸν ἐν τῷ βάθει τοῦ ὑποχονδρίου γινόμενον παλμὸν, ἢ σφυγμὸν, ἐκ τῆς ἐνείη φωνῆς ἐνδείξασθαι βουληθέντος αὐτοῦ, ἀλλὰ καὶ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν χρὴ τῶν τοιούτων. ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτοις ἐλπίς. ἐπεὶ θόρυβον, ἢ παραφροσύνην ὑπὸ τοῦ συμπτώματος ἔφη δηλοῦσθαι, διορίζεται νῦν καὶ διδάσκει, πηνίκα μὲν παραφροσύνη, πηνίκα δὲ θόρυβος ἔσται μόνον. ὁ διορισμὸς δὲ ἀπὸ τῆς τῶν ὀφθαλμῶν κινήσεως, οὐκ ἐν τῷ νῦν μόνον, ἀλλὰ κἀπὶ τοῖς ἄλλοις ἅπασι νοσήμασιν, ἐφ' ὧν ὑποπτεύεις ἔσεσθαι παραφροσύνην, ἀκριβῶς ἐπισκέπτου. τὸ γὰρ ἀστήρικτον αὐτῶν, ἐκείνης ἐστὶ δηλωτικόν. ἐνταῦθα δὲ οὐχ ἁπλῶς ἔφη παραφρονῆσαι τὸν ἄνθρωπον, ἀλλὰ μανήσεσθαι, σφοδρὰν ἵνα παραφροσύνην ἐπὶ τῶν εἰρημένων σημείων γενήσεσθαι δηλώσῃ. ὅτι δὲ ἡ πυκνὴ κίνησις τῶν ὀφθαλμῶν τὴν ὑποψίαν τῆς παραφροσύνης βεβαιοῖ, δῆλον οἶμαί σοι κἀκ τῶν ἤδη λεγομένων ἐπινοεῖν, ἡνίκα τοὺς περὶ τοὺς ὀφθαλμοὺς μύας ἐλέγομεν αἰσθάνεσθαι πρώτως τῶν κατὰ τὸν ἐγκέφαλον παθῶν. αὐτὸς δὲ ὁ ἐγκέφαλος ἐπὶ διαφράγματι, καὶ στόματι κοιλίας πάσχει, καθότι κἀπὶ τοῖς ἄλλοις τοῖς νευρώδεσι. ἐξ ἐκείνου γὰρ ἁπάντων τῶν νεύρων πεφυκότων, ὅσα μόρια πλείστων αὐτῶν, ἢ μεγίστων μετέχει, ταῦτα εἰκότως εἰς συμπάθειαν ἄγει τὴν ἑαυτῶν ἀρχήν.

Ἐξ ὑποχονδρίου οἰδήματος προγνωστικὰ κάκιστα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κθ'.

Οἴδημα δὲ ἐν τῷ ὑποχονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρὰ πᾶν εἴη τὸ ὑποχόνδριον. εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀκινδυνώτερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οἴδημα μὲν οὖν εἴωθε καλεῖν τὸν παρὰ φύσιν ὄγκον ἅπαντα τῶν νεωτέρων ἰατρῶν, ἕνα μόνον οὕτως ὀνομαζόντων ὄγκον, ὃς ἐν τῷ πιέζειν ἀνώδυνός τε καὶ μαλακὸς ᾖ. ἣν δὲ πάλιν ἰδίως ὀνομάζουσι φλεγμονὴν οἱ νεώτεροι, ταύτην Ἱπποκράτης συνθέτῳ λέξει σκληρὸν, καὶ ἐπώδυνον οἴδημα καλεῖ. τὸ γὰρ τῆς φλεγμονῆς ὄνομα, κατὰ τῆς φλογώσεως ἔλεγεν. εὔδηλον δὲ ὅτι ἡ τοιαύτη διάθεσις ἐν ὑποχονδρίῳ γινομένη, χείρων μέν ἐστιν ἐν τοῖς δεξιοῖς, διὰ τὸ ἧπαρ. ἐπιεικεστέρα δὲ ἡ ἐν τοῖς ἀριστεροῖς διὰ τὸν σπλῆνα, χειρίστη δὲ ἡ ἐν ἀμφοτέροις ἅμα γινομένη.

Τὰ τῶν μυῶν τοῦ ὑποχονδρίου οἰδήματα μὴ κινδυνώδεα, τὰ δὲ τῶν ἔνδον θανάσιμα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λ'.

Σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα, ἐν ἀρχῇ μὲν κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθαι.

A verùm etiam Medici perturbari solent. Delirium verò propter septum transuersum, & os ventriculi. At verò de hypochondrij musculis considerandum est, hi enim nec pulsantes, nec palpitantes delirium, aut periculum necessariò accersunt. Quare non est vulgari sensu verbum, *insit*, interpretandum, quo vsus est hoc in loco Hippocrates scribens; Quòd si in præcordiis pulsus quoque insit. Quippe eo verbo palpitationem, aut pulsum, qui in ima præcordiorum sede fiat, designare voluit. Verùm oculos eorum intueri oportet. Si namque crebrò B moueantur, expectanda insania est. Nam cùm eo symptomate perturbationem, vel delirium portendi dixisset, nunc distinguit, & docet, quando delirium, quando perturbatio consequatur. Est autem distinctio ab oculorum motu, quos non nunc modò, sed aliis omnibus in symptomatis à quibus delirium fore metuis, diligentissimè contemplare. Ipsum enim instabiles illi præsagiunt. At hoc loco non solùm simpliciter delirium, sed insaniam expectandam esse pronunciauit, indicans ab his notis vehemens delirium venturum. Quòd autem creber oculorum motus delirij suspicionem confirmet, C potes, vt ego arbitror, facilè ex iis colligere, quæ modò retulimus, quum musculos affectiones cerebri primos sentire ostenderemus. Cerebrum verò ipsum cùm ab aliis neruosis partibus, tum à septo transuerso, & ore ventriculi afficitur. Quum enim ab eo nerui omnes oriantur, quæ partes neruos plures, aut maximos recipiunt, illæ principium suum in consortium mali haud sine ratione pertrahunt.

Ex hypochondrij tumoribus prognostica pessima.

D

SENTENTIA HIPPOCRATIS 29.

AT verò tumor in hypochondrio durus, & dolorificus pessimus est, si totum hypochondrium occuparit. Sin autem alteram tantũ partem peruaserit, periculi minus habet, qui sinistrã.

COMMENTARIVS GALENI.

Hippocrates οἴδημα (quo nomine hîc est vsus, nos tumorem vertimus) vocare consueuit E tumorem omnem præter naturam. Medici verò recentiores vnum tantùm, qui si comprimatur, nullum dolorem infert, & mollis est. Rursùm quam illi propriè appellant phlegmonen, eam Hippocrates composita dictione durum, & dolorificum tumorem vocat. Namq; phlegmones nomine pro phlogosi vtebatur. Perspicuum autem est huiusmodi affectum in præcordiis excitatum parte quidem dextra, propter iecur, deteriorem esse, sinistra verò mitiorem propter lienem, simul verò in vtroque latere consistentem, pessimum.

F Musculorum hypochondrij tumores haud periculosos, partium verò interiorum lethales esse.

SENTENTIA HIPPOCRATIS 30.

VErùm tumores eiusmodi per initia quidem nati mortem breui futurã significant.

COM-

COMMENTARIVS GALENI.

SCribit Hippocrates tumores illos duros, & dolorē cientes, quos recentiores medici propriè nomine phlegmonas appellant, qui præcordia occupare dicebantur, mortē breui futuram portendere. Quod sanè falsum est, nisi internarum quoque partium aliqua simul affecta fuerit. Internas verò esse nouimus iecur, ventriculū, lienem, & septum transuersum. Musculi namq; præcordiorū phlegmone obsessi tollere hominem è vita non possunt, nisi, quod rarò accidit, vel phlegmones magnitudo eximia fuerit, vel vires admodum imbecillæ, vel perperam curetur à medicis, vel ipse etiam æger deliquerit. Proindè confusè & indistinctè scripta hæc sententia est.

Suppurationis futuræ signa.

SENTENTIA HIPPOCRATIS 31.

SI verò febris vigesimū diē superet, nec tumor interea considat, in suppurationē vertitur.

COMMENTARIVS GALENI.

OMnes præter naturam tumores, resolutis, à quibus fiunt, humoribus, curantur, atque considunt. Quare si non consederint, humores proculdubiò remanent, eósque tandem secundum qualitatem immutari necesse est, & vel putrescere, si natura, veluti in morticino corpore, nullam eorum concoctionem præ imbecillitate moliatur, aut, si illa valida est, in pus conuerti. Quamobrem rectissimè dixisse videtur Hippocrates, *Si partes phlegmone laborantes non resederint, simúlque febris detineat, in pus mutari.* Sedata namque febre videndum ne phlegmone aliqua scirrhodes oboriatur. Sic enim plerunque accidere solet, quum tenuior quidem humorum portio, qui phlegmonen excitarunt, in ambientem euanuerit; crassa verò, lentáque in ipsis affectorum corporum maioribus spatiis minutatim impacta est. Cur verò vigesimum diem talium abscessuum suppurationis terminum statuerit, dicemus libro De diebus criticis secundo.

Signa profluuij sanguinis hypochondrij inflammationibus succedentis.

SENTENTIA HIPPOCRATIS 32.

ACcidit autē his, in primo circuitu, etiam sanguinis è naribus profluuium, & plurimùm confert, interrogare verò oportet, an capite doleant, aut hebetes sentiant oculos. Si quid enim eorum adsit, illuc fertur.

COMMENTARIVS GALENI.

QVòd quidē de precordiorū phlegmonis indistinctè loquutus sit, ex his etiā verbis perspicuū est, quibus eas ipse distinguit. Nā & in ipsis sanguinis è naribus profluuia dicit euenire, & indè iuuari plurimū. Quod certè illis presertim inflammationibus accidit, quæ iecur, & lienē occupāt. In quibus etiā alibi sāguinis κατ' ἴξιν, hoc est è directo fluxionē cōmēdāt, eā autē, quę ἀνάπαλιν, hoc est, è cōtrario fit, vituperat, exponēs quid per τὸ ἀνάπα-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ εἰρημένα καθ' ὑποχόνδριον οἰδήματα σκληρά, καὶ ἐπώδυνα, τὰ πρὸς τῶν νεωτέρων ἰατρῶν ἰδίως ὀνομαζόμενα φλεγμονάς, κίνδυνον φησὶ σημαίνειν θανάτου ταχέως ἐσομένου. τοῦτο δὲ, ἐὰν μὴ καὶ τῶν ἔνδον τι συνεπεπόνθοι, ψεῦδός ἐστι. τὰ δ' ἔνδον, ἴσμεν ὅτι τό θ' ἧπάρ ἐστι, καὶ ἡ γαστὴρ, καὶ ὁ σπλὴν, καὶ τὸ διάφραγμα, ὡς οἵ γε μύες οἱ καθ' ὑποχόνδριον φλεγμήναντες, οὐχ ἱκανοὶ θάνατον ἐπενεγκεῖν. εἰ μή τι ἄρα ποτὲ σπανίως, ἤτοι διὰ μέγεθος ὑπερβάλλουσης φλεγμονῆς, ἢ δι' ἀρρωστίαν δυνάμεως, ἢ καὶ τῶν ἰατρῶν κακῶς θεραπευόντων, ἢ τοῦ κάμνοντος ἁμαρτάνοντος. συγκεχυμένως οὖν, καὶ ἀδιορίστως ταύτην τὴν ῥῆσιν ἔγραψεν.

Τὰ διαπυήσεως ἐσομένης σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λα'.

ΗΝ δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΠαντες οἱ παρὰ φύσιν ὄγκοι, διαφορουμένων τῶν ἐργαζομένων αὐτοὺς χυμῶν, θεραπεύονται καὶ καθίστανται. πρόδηλον οὖν, ὡς ἐπειδὰν μὴ καθιστῶνται, διαμένουσιν οἱ χυμοὶ, καὶ πάντως ἐν τῷ χρόνῳ μεταβολή τις ἔσται αὐτῶν κατὰ ποιότητα, ποτὲ μὲν ἐπὶ τὸ σηπεδονῶδες, ὅταν ὡς ἐν νεκρῷ σώματι, μηδὲν εἰς τὴν πέψιν αὐτῶν ἡ φύσις ὑπ' ἀρρωστίας ἐνεργῇ, ποτὲ δὲ ἐκείνης ἰσχυούσης, εἰς πῦον ἡ μεταβολὴ γίγνεται. δεόντως οὖν εἶπεν ὁ Ἱπποκράτης, ἐὰν μήτε καθίστηται τὰ φλεγμαίνοντα, καὶ ὁ πυρετὸς ἔχῃ αὐτὰ, εἰς διαπύησιν τρέπεται. παυσαμένου γὰρ τοῦ πυρετοῦ, σκοπεῖσθαι χρὴ, μή τις σκιῤῥώδης φλεγμονὴ γίνηται. πολλάκις γὰρ εἴωθεν οὕτω συμβαίνειν, ὅταν τῶν ἐργασαμένων αὐτὴν χυμῶν, τὸ μὲν λεπτομερέστερον διαπνευσθῇ, τὸ δὲ παχὺ ἔτι καὶ γλίσχρον ἐν αὐταῖς ἐμπλασθῇ ταῖς κατὰ λεπτὸν εὐρυχωρίαις τῶν οὕτω παθόντων σωμάτων. διὰ τί δὲ τὴν εἰκοστὴν ἡμέραν ὅρον ἔθετο τῆς τῶν τοιούτων ἀποστημάτων ἐκπυήσεως, ἐν τῷ περὶ τῶν κρισίμων ἡμερῶν ἐροῦμεν λόγῳ, κατὰ τὸ δεύτερον ὑπόμνημα.

Τὰ τῆς αἱμοῤῥαγίας ταῖς τοῦ ὑποχονδρίου φλεγμοναῖς ἐπιγενησομένης σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λβ'.

ΓΙνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ, καὶ αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελεῖ, ἀλλ' ἐπανερωτᾷν χρὴ, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυώττουσιν, ἢν γάρ τι τουτέων εἴη, ἐνταῦθα ἂν ῥέποι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι τῶν καθ' ὑποχόνδριον φλεγμονῶν, ἀδιορίστως ἐμνημόνευσεν, καὶ διὰ τῆσδε τῆς ῥήσεως φαίνεται διορίζόμενος αὐτάς. αἱμοῤῥαγίας τε γὰρ ἐπ' αὐτῶν γίνεσθαί φησιν ἐκ ῥινῶν, ὠφελεῖσθαί τε πάνυ πρὸς αὐτῶν, ὅπερ ἐπὶ τῶν καθ' ἧπάρ τε καὶ σπλῆνα φλεγμονῶν συμβαίνει μάλιστα. περὶ ὧν ἀλλαχοῦ, καὶ τὸ κατ' ἴξιν αἱμοῤῥαγεῖν, ἐπαινεῖ, καὶ τὸ ἀνάπαλιν δὲ μέμφεται, διδάσκων αὐτὸς, τί δή ποτε λέγει τὸ ἀνάπαλιν,

οἷον τὸ ἐπὶ σπληνὶ μεγάλῳ αἷμα ἐκ δεξιοῦ μυκτῆρος ῥέειν. αἱμορραγίας ἐν τῇ πρώτῃ περιόδῳ γίνεσθαί φησι, τῶν κρισίμων ἡμερῶν δηλονότι, καὶ γέγραπται διττῶς ἡ λέξις, ἑνικῶς τε καὶ πληθυντικῶς. ἑνικῶς μὲν ἐν τῇ πρώτῃ περιόδῳ, πληθυντικῶς δὲ ἐν ταῖς πρώταις περιόδοις. εἰ μὲν οὖν ἑνικῶς εἴη γεγραμμένον, ἑβδομαδικὴν ἐνδείκνυται περίοδον. εἰ δὲ πληθυντικῶς, ἐγχωρεῖ μὲν καὶ τὴν ἑβδομαδικήν· ἐνίοις γὰρ αἱμορραγία κατὰ τὴν δευτέραν ἑβδομάδα γίνεται, μᾶλλον δ' ἀκουστέον ἐστὶ τὰς κατὰ τετράδα περιόδους. ἐν τῇ τοιαύτῃ γραφῇ. οἱ πλεῖστοι μὲν γὰρ αἱμορραγοῦσιν ἐν ταῖς πρώταις ἡμέραις ἑπτά, κατὰ δὲ τὴν ἐνάτην, καὶ ἑνδεκάτην ὀλίγοι, σπανιώτατοι δὲ οἱ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ. τῆς δ' ἄνω ῥοπῆς τῶν χυμῶν, ἐφ' ᾗ τὰς αἱμορραγίας γίνεσθαι συμβαίνει, προστίθησι σημεῖα, τό τε κεφαλὴν ἀλγεῖν, καὶ τὸ ἀμβλυώττειν. ἀλλ' ἐν τοῖς ἑξῆς τελεώτερον περὶ αὐτῶν διεξέρχεται, καθ' ὃν τόπον καὶ ἡμεῖς ὅλον ἐξεργασόμεθα τὸν περὶ αἱμορραγίας λόγον.

λιν, intelligat, sicut quum in magno liene sanguis è dextra nare diffluit. Scribit autem in primo circuitu, dierum videlicet criticorum, sanguinis accidere fluxiones, quod duobus scribitur modis, singulari, atque plurali numero. Singulari quidem, in primo circuitu, plurali verò in primis circuitibus. Si numero singulari scriptum est, septenarium circuitum indicat; Sin pluraliter, potest quidem & septenarius ipse significari. (Quibusdam enim secunda etiam septimana sanguis fluit.) Veruntamen quaternarij circuitus, videntur potiùs intelligendi. Siquidem plurimis sanguis profluit primis septem diebus, paucis nono, atque vndecimo, paucissimis decimoquarto. Porrò quòd sursum humores ferantur, ex quo sanguinis fluxiones fieri solent, notas adiicit, tum capitis dolorem, tum oculorum hebetudinem. Sed de his postea absolutius differet, quo loco nos etiam disputationem omnem de sanguinis fluxione absoluemus.

Ὁ περὶ τῆς αἱμορραγίας τε καὶ ἐκπυήσεως ἀπὸ τῆς ἡλικίας διορισμός.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λγ'.

Μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε, καὶ τριήκοντα ἐτέων τὴν τοῦ αἵματος ῥῆξιν χρὴ προσδέχεσθαι· τοῖς δὲ γεραιτέροισι τὴν ἐκπύησιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸν ἀπὸ τῆς ἡλικίας διορισμὸν, εἰς τὴν τῆς αἱμορραγίας πρόγνωσιν διδάσκει· μᾶλλον γὰρ ἐλπίζειν ἔσεσθαι χρὴ τὴν αἱμορραγίαν, ἐπὶ τῶν νεωτέρων πέντε καὶ τριάκοντα ἐτέων, ἐν ταύτῃ τε γὰρ αἷμά τε πλεῖστόν ἐστι, καὶ ἡ δύναμις ἰσχυροτάτη, καὶ ἡ θερμασία δαψιλής.

Profluuij sanguinis & suppurationis ab ætate distinctio.

SENTENTIA HIPPOCRATIS 33.

Verùm potius in iunioribus, qui trigesimũ quintum annum agunt, sanguinis profluuium expectandum; senioribus vero, suppuratio.

COMMENTARIVS GALENI.

Docet quomodo ex ætate fluxio sanguinis præuideri possit. Sperandas videlicet magis esse sanguinis fluxiones in iunioribus, qui quinque & triginta annos agunt. Siquidem id ætatis tum sanguinis plurimùm est, tum vires valentissimæ, tum calor exuberans.

Περὶ τῆς τῶν φλεγματικῶν οἰδημάτων σημειώσεως.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λδ'.

Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων, καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ πιεζόμενα, καὶ ὑπείκοντα, χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταῦτά ἐστιν ἃ καλοῦσιν ἰδίως οἱ νεώτεροι τῶν ἰατρῶν οἰδήματα, περὶ ὧν ἐνίοτε μὲν ἀρκοῦνται λέγοντες οἱ παλαιοὶ, τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων, ἐνίοτε δὲ καὶ τὰ ἀνώδυνα προστιθέασιν. ὁπότε γε μὴν αὐτὸ παραλίποιεν, ὡς συνεκφαινόμενον τοῖς μαλθακοῖς παραβαίνουσιν, ἀνώδυνα γάρ ἐστι τὰ μαλθακά. νῦν δ' ὁ Ἱπποκράτης, οὐ τοῦτο προσέθηκε μόνον, ἀλλὰ καὶ τὰ ὑπείκοντα, καὶ αὐτὰ περιέχεσθαι δοκοῦν, ἐν τῷ μαλθακά. πλὴν εἰ τὰ βοθρούμενα κατὰ τὴν πίεσιν, ἐνδείκνυται νῦν ὅπερ οὐχ ἁπλῶς ἅπασι συμβέβηκε τοῖς εἴκουσι, γίνεται δὲ ταῦτα, τοῦ δέρματος οἰδισκομένου. διότι δέ ἐστι φλεγματικὰ πάντα τὰ τοιαῦτα, διὰ τοῦτο καὶ χρονίζει, καὶ ἧττον ἐπιφέρει κινδύνους. χρονίζει μὲν οὖν, ὅτι ψυχρότερα, θερμῷ γὰρ αἱ πέψεις γίνονται. ἧττον δέ ἐστι κινδυνώδη, διότι καὶ ἀνώδυνα. καταλύουσι γὰρ αἱ ὀδύναι τὴν δύναμιν.

De tumorum pituitosorum significatione.

SENTENTIA HIPPOCRATIS 34.

Tumores verò molles, & doloris expertes, quíque digito, dum premuntur, cedunt, multò tardius iudicantur, súntque minùs quàm illi, perniciosi.

COMMENTARIVS GALENI.

Isti sunt quos recentiores medici œdemata propriè appellant, quos quum veteres nominare volunt, hoc tantùm dicunt, tumores molles; interdum verò addunt, doloris expertes; quod si quando omiserint, id tanquam a molli subindicatum omittunt. Mollia namq; non cient dolorem. Hippocrates autem non istud modò, sed & cedentes addidit, ratus mollis etiam nomine ista omnia comprehendi. Nisi fortè, quæ compressu cauantur, nunc intelligat, id quod non omnibus simpliciter accidit, quæ cedunt sed à quibus cutis ipsa intumuit. Quia verò omnes eiusmodi tumores pituitosi sunt, idcirco & diutius perseuerant, & minus habent periculi. Ac diuturniores quidem sunt, quia frigidiores. Calore namque concoctio perficitur. Minùs verò periculosi, quia nihil habent doloris. Dolor enim vires exoluit.

Suppura-

Suppurationis terminus.

SENTENTIA HIPPOCRATIS 35.

QVòd si febris vltra sexagesimũ diem detineat, & tumor interim non resideat, in suppurationem vertendum esse indicium est, nec eum quidem modò, sed illum similiter, qui in reliquo ventre constiterit.

COMMENTARIVS GALENI.

PRius dixerat in œdematis phlegmonosis, vt quæ calidiora sint, futuram suppurationem, si febris post vigesimum diem non desierit. Nunc verò in frigidioribus, suppurationis terminum, sexagesimum diem statuit. Sunt autem, & alij quidam inter istos medij, quorum terminus est quadragesimus dies. Sed de his quidem omnibus, donec de diebus decretoriis tractemus, dicere distuli. Cæterùm non eos modò tumores, qui diutius in præcordiis immorantur, in pus vertendos dicit, verùm illos etiam qui in reliquo ventre constiterint, quasi secundum aliquam significationem etiam præcordia inter ventris partes censeantur.

De tumoribus hypochondrij lethalibus & diuturnioribus prognosticon.

SENTENTIA HIPPOCRATIS 36.

ITaque qui tumores dolorem cient, & duri magnique sunt, mortis periculum haud longè abesse significant. Qui verò molles sunt, & expertes doloris, & digito compressi cedunt, illis diuturniores existunt.

COMMENTARIVS GALENI.

NIhil præterea his verbis docet, quàm quod docuerat superioribus, nisi quòd dolorem cientibus, & duris, adiecit magnitudinem, quam nos etiam antè adieceramus, quum diceremus musculorum hypochondrij inflammationes nihil prorsus adferre periculi, nisi supra modum magnæ fuerint.

Tumores qui supra vmbilicum sunt, magis; qui verò sub vmbilico, rariùs suppurari.

SENTENTIA HIPPOCRATIS 37.

QVi verò ventrem occupant tumores, non tam abscessus faciunt, quàm qui consistunt in præcordiis. Minimè verò omnium, qui sub vmbilico sunt in suppurationem vertuntur.

COMMENTARIVS GALENI.

TVmorũ, qui digesti non sunt, suppurationes non modò citius, sed etiam magis in hypochondrio contingunt, propterea quòd calidior locus ille sit, à quo quicunq; longiùs ad infernas partes recedunt, etiam serius, minúsque suppurant. Quare qui sub vmbilico est, rarò in pus conuertitur.

Ex tumoribus qui supra vmbilicum sunt, sanguinis profluuium fieri.

SENTENTIA HIPPOCRATIS 38.

SEd sanguinis profluuium è supernis partibus maximè expectare oportet.

Ὁ τῆς ἐκπυήσεως ὅρος.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λε'.

ΗΝ δὲ ὑπερβάλλοι τὰς ἑξήκοντα ἡμέρας ὅ,τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἔμπυον ἔσεσθαι σημαίνει καὶ τοῦτο, καὶ τὰ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τὸ αὐτό.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΜπροσθεν μὲν ἐπὶ τῶν φλεγμονωδῶν οἰδημάτων, ὡς ἂν θερμοτέρων ὄντων, εἰ μήθ' ὁ πυρετὸς παύοιτο μετὰ τὴν εἰκοστὴν ἡμέραν, ἔφη τὰς ἐκπυήσεις ἔσεσθαι. νυνὶ δὲ περὶ τῶν ψυχροτέρων, τὴν ἑξηκοστὴν ὅρον τίθεται τῆς ἐκπυήσεως. εἰσὶ δὴ δὲ καὶ ἕτερά τινα μεταξὺ τούτων, τὴν τεσσαρακοστὴν ἡμέραν ὅρον ἔχοντα. τὸν γε μὴν σύμπαντα λόγον ὑπὲρ τῶν τοιούτων ἁπάντων, εἰς τὸν περὶ τῶν κρισίμων ἡμερῶν τόπον ἀνεβαλλόμην, οὐ μόνον δὲ τὰ καθ' ὑποχόνδριον οἰδήματα χρονίζοντα, διαπυήσειν φησίν, ἀλλὰ καὶ τὰ κατὰ τὴν ἄλλην κοιλίαν, ὡς καὶ τῶν ὑποχονδρίων κατά τι σημαινόμενον, ἐκ τῶν τῆς κοιλίας μερῶν ὄντων.

Περὶ τῶν ὑποχονδρίου οἰδημάτων θανασίμων τε, καὶ χρονιωτέρων προγνωστικόν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λϛ'.

ΟΚόσα μὲν οὖν ἐπώδυνά τέ ἐστι, καὶ σκληρὰ οἰδήματα, καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτου ὀλιγοχρονίου ἔσεσθαι. ὁκόσα δὲ μαλθακά τε, καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΛέον οὐδὲν ἐν τῇδε τῇ ῥήσει διδάσκει τῶν προειρημένων, πλὴν ὅτι προσέθηκε τοῖς ἐπωδύνοις τε καὶ σκληροῖς οἰδήμασι, τὸ μέγεθος. ὅπερ ἡμεῖς ἔμπροσθεν εἰρήκαμεν, ἡνίκα ἐλέγομεν οὐδὲν ἔχειν κινδυνῶδες τὰς τῶν ἐν ὑποχονδρίῳ φλεγμονὰς μυῶν, εἰ μή τι πάνυ σφόδρα μεγάλαι γενηθεῖεν.

Τὰ μὲν ἄνω τοῦ ὀμφαλοῦ οἰδήματα, μᾶλλον· τὰ δὲ ὑποκάτω, σπανίως ἐκπυΐσκεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λζ'.

ΤΑς δὲ ἀποστάσιας, ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν, ἥκιστα δὲ τὰ ὑποκάτω τοῦ ὀμφαλοῦ ἐς ἀποπύησιν τρέπεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν μὴ διαφορηθέντων οἰδημάτων ἐκπυήσεις, οὐ μόνον θᾶσσον, ἀλλὰ καὶ μᾶλλον γίνονται κατὰ τὸ ὑποχόνδριον, ὅτι θερμότερόν ἐστι τὸ χωρίον. ὅσα δὴ ἂν ἀποχωρῇ τοῦδε πρὸς τὰ κάτω, καὶ τὸ θᾶττον, καὶ τὸ μᾶλλον ὑφαιρεῖ, καὶ διὰ τοῦτο τὸ κάτω τοῦ ὀμφαλοῦ, σπανίως ἐκπυΐσκεται.

Ἐκ τῶν ἄνω τοῦ ὀμφαλοῦ οἰδημάτων τὰς αἱμοῤῥαγίας γίνεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λη'.

ΑΙματος δὲ ῥῆξιν, μάλιστα τῶν ἀνωτάτω τόπων προσδέχεσθαι χρή.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ ἐνίοις μὲν ἀντιγράφοις, ἡ ῥῆσις γέγραπται μετὰ τοῦ, καὶ, συνδέσμου· συνεπιδείκνυται δὲ τὴν ἐκ τῶν ῥινῶν αἱμορραγίαν, οὐ μόνον ἐπὶ τοῖς ὑποχονδρίοις, ἀλλὰ καὶ τοῖς κατωτέρω γίνεσθαι. ἐνίοις δ' αὖ τοῦ, καὶ, συνδέσμου. ἐνδείκνυται μὲν καὶ τούτοις, ἀλλ' ἧττον. ἀλλ' ἐνίοις μὲν, χωρὶς τοῦ, μάλιστα, κατὰ τοιάνδε λέξιν. αἵματος δὲ ῥῆξιν τῶν ἀνωτάτω τόπων προσδέχεσθαι χρή. τὰ κάτωθεν ἐκείνων, οὐ βούλεται φέρειν αἱμορραγίας. ἔστι δὲ τὸ ἀληθὲς, ἐπὶ μὲν τῶν κατὰ τὸν ὀμφαλὸν γίνεσθαι τὰς αἱμορραγίας. αὐτῶν δὲ τούτων, ἐπὶ μὲν τοῖς ἄνω μᾶλλον, ἐπὶ δὲ τοῖς ἀνωτάτω, μάλιστα. λεχθήσεται δὲ καὶ περὶ αἱμορραγίας αὖθις, κἀπὶ τῆς ἑξῆς, ἡνίκα καὶ ἡμεῖς ἀναλαβόντες ὅλον τὸν λόγον ἐργασόμεθα τελεώτερον.

COMMENTARIVS GALENI.

IN quibusdam exemplaribus adscripta est coniunctio, *&*, per quam significatur sanguinis è naribus effluuium non affectis modò præcordiis, verùm aliis etiam partibus inferioribus, futurũ. Sunt autem, quæ coniunctioné, *&*, non habeant, quod illis quoque, sed minus significat. In aliis verò exẽplaribus aduerbium *maximè* non habetur, sed hũc in modũ legitur; *Sed sanguinis profluuium è supernis partibus expectare oportet.* Neq; enim tumores, qui infernas partes occuparũt cẽset sãguinis fluxiones excitare. Sic autẽ veritas habet, à tumoribus, qui vmbilicũ circunstãt, sãguinis fluxiones cõtingere, sed si illi quidẽ in superioribus partibus cõsistant, magis, si verò in supremis, maximè. Dicet autem etiam postea de sanguinis profluuio, quo sanè loco disputationem omnem retexemus, & absoluemus.

Τὰ τοῦ ὑποχονδρίου οἰδήματα χρονίζοντα ὑποσκέπτεσθαι χρή.

Contemplari oportet diuturnos hypochondrij tumores.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λθ'.

Απάντων δὲ χρὴ τῶν οἰδημάτων χρονιζόντων τῶν περὶ ταῦτα τὰ χωρία, ὑποσκέπτεσθαι τὰς ἐκπυήσιας.

SENTENTIA HIPPOCRATIS 39.

OMnium autem tumorum, qui diutius istis in partibus manserint, suppurationes contemplari oportet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ κεφαλαίῳ περιλαβὼν εἴρηκεν, ἃ καὶ διὰ τῶν ἔμπροσθεν ἐδήλωσε κατὰ μέρος, ὥστε οὐδὲν δεῖν νεωτέρας ἐξηγήσεως τῇ ῥήσει.

COMMENTARIVS GALENI.

VNo verbo complexus est omnia, quæ sigillatim antè explicauerat; Proindè non eget hic locus noua interpretatione.

Περὶ τῶν ἐξεμπυημάτων ἀρίστων τε καὶ κακίστων.

De optimis ac pessimis suppurationibus.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μ'.

ΤΑ δὲ διαπυήματα ὧδε χρὴ σκέπτεσθαι τὰ ἐντεῦθεν. ὁκόσα μὲν ἔξω τρέπεται ἄριστά ἐστι, μικρά τε ἐόντα, καὶ ὡς μάλιστα ἐκκλίνοντα ἔξω, καὶ ἐς ὀξὺ ἀποκορυφούμενα. τὰ δὲ μεγάλα τε ἐόντα, καὶ πλατέα, καὶ ἥκιστα ἐς ὀξὺ ἀποκορυφούμενα, κάκιστα.

SENTENTIA HIPPOCRATIS 40.

POrrò suppurationes, quæ ab ipsis prodeunt, expendes hoc modo. Quæ forâs quidem abscedũt, tũ quæ paruæ sũt, & permultũ prominẽt, atq; in acutũ attollũtur, optimæ sunt. Magnæ verò, & latæ, nec in acutum fastigiatæ, pessimæ.

Orationem de Oedematis in capita redigit, ac veluti sub compendium ponit. ἐκπυήσιας verò & διαπυήματα, idest suppurationes purulentiásq; appellat mutationem, quæ εἰς τὸ ἔμπυον, idest ad suppuratum fit. Duabus autem limitationibus oratio prius indiget, nimirum vt febris sit continua, & vt facultas non sit imbecilla: nam, si hæc non concurrant, suppuratio non fiet. Iudicat autem tumorem à loco, magnitudine, & à figura: à loco, si intus, vel extra: à magnitudine, si magnus, vel paruus: à figura, si acutus an planus sit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν οὖν ὅταν ἀθροισθὲν τὸ πῦον συστῇ, πεπονθότος τινὸς ὄγκου τὴν παρὰ φύσιν, ἐμπυήματά τε καὶ διαπυήματα καλεῖ τὸ τοιοῦτον σύμπτωμα, πρόδηλόν σοι γενήσεται, πάντα τοῦτον ἀναγνόντι τὸν λόγον αὐτοῦ, καθ' ὃν περὶ τῶν ἐν ὑποχονδρίοις οἰδημάτων ἐποιήσατο τὴν διδασκαλίαν. ἀθροίζεται δὲ τὸ καθ' αὑτὸ πῦον, ἐνίοτε μὲν ὑπὸ τῷ δέρματι, πολλάκις δὲ τῷ βάθει κατὰ διττὴν αἰτίαν· ἢ τῷ τὸ διαπυῆσαν μόριον ἐντὸς τοῦ περιτοναίου τὴν διάθεσιν ἔχειν, ἢ τῷ κἂν μῦς ὁ πεπονθὼς ᾖ, τὸ πῦον ὑπό τι τῶν ἀμφιεσμάτων αὐτοῦ καταλαμβάνεσθαι, μὴ φθάσαν εἰς τὴν ἐκτὸς χώραν ἀφικέσθαι διὰ γλισχρότητα, ἢ πάχος, ἢ τὴν τοῦ περιέχοντος χιτῶνος πυκνότητα. σπεύδει μὲν γὰρ ἡ φύσις ἐκκρῖναι τὸ πῦον ἀπωσαμένη τῶν πεπονθότων σωμάτων· καὶ τυγχάνει τούτου πολλάκις, ὅταν εὐτυχήσῃ πόρων ἐπιτηδείων εἰς ἔκκρισιν, οἷς ὀχετῶν τινῶν. οὐ μὴν ἀεί γε τούτων ἐπιτυγχάνουσα, συνωθεῖ τὸ πῦον εἰς τὰς παρακειμένας χώρας, καὶ ὅταν μικραὶ τυγχάνωσιν οὖσαι, ὑποδέρει τὸ περιέχον αὐτὰς σκέπασμα, τὴν ὑπ' αὐτὸ χώραν εὐρύνουσα. δῆλον οὖν ὅτι τῶν οὕτω διαπυησάντων, ἐπιεικέστερά ἐστιν τὰ τὴν ῥοπὴν ἔξω, καὶ οὐκ ἔσω ποιησάμενα, καὶ τούτων αὐτῶν, ὅσα μὴ πολὺν ἐπιλαμβάνει τόπον εἰς τὸ πλάτος ἐκτεινόμενα.

COMMENTARIVS GALENI.

QVòd quidem Hippocrates quum pus vniuersum, tumore aliquo præter naturam concocto, collectũ fuerit, symptomata eiusmodi ἐμπυήματα, atq; διαπυήματα, hoc est, suppurationes appellet, facilè intelliges, si totam eam sententiam perlegeris, qua ipse de præcordiorum tumoribus disseruit. Cæterùm puris in eo fit abscessio, interdum quidem sub cute, sæpe verò in profundo, idque geminam ob causam, quòd vel pars, quæ suppurat intra peritonæum posita sit, vel pus ipsum, etiamsi musculus sit, qui laborat, sub inuolucris eius detineatur, nec possit forâs propter lentorem, aut crassitiem, aut tunicæ, quæ ipsum comprehendit, densitatem egredi. Siquidem natura pus excernere, & ab afflictis partibus abigere nititur, idque persæpe illa efficit, quum idoneos ad excernendum meatus, ceu canales quosdam, nacta fuerit. Verùm quum tales non semper habeantur, in propinqua spatia pus propellit, quæ si exigua fuerint, integumentum eorum erodit, quódque illi subest spatium dilatat. Ex his igitur, quæ hoc modo suppurãt, illa multò leuiora esse perspicuum est, quæ forâs, & non intrò abscedunt, tum quæ non magnũ occupant locum, nec latè extenduntur, sed

sed ita contracta sunt, vt in fastigium tendant, & coni figuram representent. Hæc autem & robustam esse facultatem ostendunt quæ pus foras propellit, & non magnam corporũ, quæ exedunt, partem corrũpunt. Verùm siue hoc loco scriptũ sit ab Hippocrate εἰς ὀξὺ ἀποκυρτούμενα, siue εἰς ὀξὺ ἀποκορυφούμενα, palam est idem ab vtroque significari.

A συνεσταλμένα δ' ὅταν πρὸς ἕνα κορυφὴν ἀνατείνηται, κωνοειδῆ τῷ σχήματι γινόμενα. ταῦτα δὲ ἅμα μὲν ἐνδείκνυται ῥωμένην τὴν ὠθούσης ἔξω τὸ πῦον δυνάμεως, ἅμα δὲ οὐ πολὺ διαφθείρειν μέρος τῶν διαβιβρωσκομένων σωμάτων. εἴτε δὴ εἰς ὀξὺ ἀποκυρτούμενα, εἴτ' εἰς ὀξὺ ἀποκορυφούμενα γεγραμμένον εἴη, δῆλον, ὅτι μία κατ' ἀμφοτέρας τὰς λέξεις ἐστὶ, καὶ ἡ αὐτὴ διάνοια.

De non simpliciter optimis suppurationibus.

SENTENTIA HIPPOCRATIS 41.

Qvæ verò interius rũpuntur, optimæ quidẽ illæ sunt, quibus cũ externo spatio cõmunicatio est. Sunt autẽ ea cõtracta, & doloris expertia, totáq; loci facies exterior cõcolor apparet.

COMMENTARIVS GALENI.

Svppurationes istæ non sunt simpliciter optimæ, sed inter eas optimæ, quæ interius exteriúsque rumpuntur. Siquidem deteriores illæ sunt his, quæ foras exeunt. Namque illa in multò nobiliores præcordiorum cute partes eruptio fit. Prætereaque curent medicamenta intus ruptis æquè admouere non possumus, & pus dum per intestina vacuatur, ea mordet, & abradit, dysenteriámque concitat. Ac si fortè per ieiunum, aut tenuia intestina feratur, cibi in corpus digestionem vitiat, si verò per ventriculũ, etiam ipsi cõcoctioni detrimentũ adfert. Itaque perspicuum est eas omnium pessimas esse, quæ in partẽ vtramq; tum internam, tum externam erupére. Sic enim geminatum malũ est. Nullã namq; tũc habet natura sedẽ, nullũque, vt ita loquar, principium renutritionis, quò ruptis possit opitulari, & veluti in solo quodã firma iacere regenerandæ carnis fundamenta.

Περὶ τῶν οὐχ ἁπλῶς ἀρίστων ἐμπυημάτων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μα'.

B Ὁκόσα δὲ εἴσω ῥήγνυται, ἄριστά ἐστιν ἃ μηδὲν τῷ ἔξω χωρίῳ ἐπικοινωνέει, ἀλλ' ἐστὶ περιεσταλμένα, καὶ ἀνώδυνα, καὶ πᾶν τὸ ἔξω χωρίον ὁμόχροον φαίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ἁπλῶς ἐστιν ἄριστα τὰ τοιαῦτα τῶν ἐμπυημάτων, ἀλλὰ τῶν εἴσω ῥηγνυμένων ἄριστα, ἐπεί τοι χείρω ταῦτά ἐστι τῶν ἐκτὸς ῥηγνυμένων. αὕτη τε γὰρ ἡ ῥῆξις εἰς πολλῷ κυριώτερα μέρη γίνεται τοῦ καθ' ὑποχόνδριον δέρματος, ἔτι τε φάρμακον οὐχ ὁμοίως ἐπιτείναι δυνάμεθα C θεραπευτικὸν, ὅταν εἴσω συῤῥαγῶσιν, ἥ τ' ἔκκρισις τοῦ πύου διὰ τῶν ἐντέρων γινομένη, δάκνει καὶ ξύει ταῦτα, καὶ δυσεντερίαν ἐργάζεται, καὶ εἴ ποτε κατὰ τὴν νῆστιν, ἢ τὰ λεπτὰ τῶν ἐντέρων γένοιτο, τῇ τῆς τροφῆς ἀναδόσει λυμαίνεται, κατὰ δὲ τὴν γαστέρα, καὶ τῇ πέψει. πρόδηλον οὖν, ὡς χείριστα πάντων ἐστὶν ὅσα πρὸς ἀμφοτέροις ἐῤῥάγη τοῖς τόποις, ἔσω τε καὶ ἔξω. διπλασιάζεται γὰρ οὕτω τὸ κακόν. ἕδραν τε γὰρ, καὶ οἷον ἀρχὴν ἀναθρέψεως, οὐδεμίαν ἡ φύσις ἔχει τότε τοῦ προσποιήσασθαι τοῖς ἐῤῥωγόσιν, οὐδ' οἷον ἐπ' ἐδάφει τινὶ, βέβαια θεμέλια βάλλεσθαι τῆς σαρκώσεως.

D

De optimo ac pessimo pure.

SENTENTIA HIPPOCRATIS 42.

Est autẽ pus optimum, quod album, æquale, læuéque est, & minimè fœtidum; quod autem è contrario se habet, deterrimum est.

COMMENTARIVS GALENI.

Qvòd quidem pus minimè fœtidum esse oporteat, manifestum est. Namque immensus fœtor, putredinis potius, quàm concoctionis nota esse solet. Quòd verò etiam albũ esse debeat, si generationem eius noueris, ex iis, quæ alibi demonstrata sunt, intelliges. Omnia siquidẽ omnibus locis demonstrare, futilia potius dicentis est, quàm docentis. Sunt autem hæc aliis demonstrata libris, vt libro quidem de facultatibus naturalibus, earum vnam alteratricem esse, quæ alimentum tum in ventriculo, tum in iocinore concoquit, in hoc quidem, ipsum in sanguinem conuertens, in illo verò succum ex alimento gignens sanguini faciendo accommodum. Præterea singulas animalis partes in suam naturam succum ipsis proximum conuertere. Nouissima enim concoctio nutrientis appositione, cúmque eo, quod alitur, assimilatione perficitur. Quamobrem quò similitudo ista concilietur, non est dubium multò illud antè tẽpore præparari oportere. Diximus autẽ etiam in libris de semine, in vasorũ tunicis ex quibus testes nutrimentum hauriunt,

Περὶ τοῦ ἀρίστου τε καὶ κακίστου πύου.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μβ'.

Τὸ δὲ πῦον ἄριστον, λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες. τὸ δὲ ἐναντιώτατον τουτέου, κάκιστον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν ὡς ἥκιστα δυσῶδες εἶναι προσήκει τὸ πῦον, αὐτόθεν δῆλον. ἡ γὰρ ὑπερβάλλουσα δυσωδία, σηE ψεώς ἐστιν, οὐ πέψεως σημεῖον. ὅτι δὲ καὶ λευκὸν, ἐὰν μὲν τὴν γένεσιν αὐτοῦ μάθοις, ἐπιστήσει σε ὁ λόγος ἐπὶ τοῖς προαποδεδειγμένοις ἑτέρωθι. ἅπαντα γὰρ ἐν ἅπασιν ἀποδεικνύειν, ἀδολεσχίας ἐστὶ μᾶλλον, ἢ διδασκαλίας ἴδιον. ἔστι δὲ τὰ δι' ἑτέρων πραγματειῶν ἀποδεδειγμένα, ταυτί. κατὰ μὲν γὰρ τὴν περὶ τῶν φυσικῶν δυνάμεων βιβλίον, ὅτι μία τίς ἐστιν αὐτῶν, καὶ ἀλλοιωτικὴ δύναμις, ἣ δὶς καὶ τὴν ἐν γαστρὶ, καὶ τὴν ἐν ἥπατι ἐργάζεται πέψιν, μεταβαλλομένης τῆς τροφῆς, ἐν ἥπατι μὲν εἰς αἷμα, κατὰ δὲ τὴν κοιλίαν εἰς ἐπιτήδειον αἵματι χυμὸν, ὅτι τε τῶν F τοῦ ζώου μορίων ἕκαστον, εἰς τὴν ἑαυτοῦ φύσιν ἄγει τὸν αὐτῷ πλησιάζοντα χυμόν. ἡ γὰρ ἐσχάτη πέψις, ἐν τῷ προστίθεσθαί τε καὶ ἐξομοιοῦσθαι τὸ τρέφον τῷ τρεφομένῳ, γίνεται. δῆλον οὖν ὅτι προπαρασκευάζεται χρόνῳ πλείονι πρὸς ταύτην τὴν ὁμοίωσιν. ἐλέχθη δὲ καὶ ἐν τοῖς περὶ σπέρματος, ὡς ἐν τοῖς τῶν ἀγγείων χιτῶσιν, ὑφ' ὧν οἱ ὄρχεις τρέφονται,

πολλάκις φαίνεται ἐναργῶς προμεταβεβλημένον ἤδη τὸ αἷμα, πρὸς τὴν τοῦ σπέρματος γένεσιν. οὐ γὰρ οὐδ' αὐτοὺς τῶν ἀγγείων τοὺς χιτῶνας, εἰκὸς ὑπ' ἄλλου τινὸς τρέφεσθαι, καὶ καλοῦσιν ἔνιοι τῶν ἰατρῶν τὴν τοιαύτην ὑγρότητα θορώδη. διὸ καὶ τὸ σπέρμα αὐτὸ θορὸν ὀνομάζουσι, καὶ μάλιστα ὅσοι τὴν δύναμιν αὐτοῦ σπέρμα καλοῦσιν, οὐ τὴν σωματικὴν οὐσίαν. ἀλλὰ μὴν καὶ ὅτι τὰς φλεγμονὰς ἐργάζεται τὸ κατασκῆψαν αἷμα τοῖς φλεγμήνασι μορίοις, ὡς ἐν ἀρχῇ μὲν αὐτὰ μόνα τὰ ἀγγεῖα πληρῶσαί τε καὶ διατεῖναι· μετὰ ταῦτα δὲ, καὶ τὰς παρακειμένας αὐτοῖς κενὰς χώρας, πολλὰς καὶ μικρὰς οὔσας καθ' ἕκαστον μόριον, ἐν τῷ περὶ τῶν παρὰ φύσιν ὄγκων δέδεικται· λέλεκται δὲ κἀν τῷ περὶ τῆς ἀνωμάλου δυσκρασίας. τοῦτο γοῦν τὸ αἷμα κατὰ μικρὰ μόρια παρεσπαρμένον τοῖς φλεγμαίνουσι μορίοις, ὡς ἂν ἔξω τῶν ἰδίων ἀγγείων γεγενημένον, ἐπανελθεῖν μὲν εἰς τὴν ἀρχαίαν φύσιν οὐκέτι δύναται. μεταβάλλεται δὲ καὶ σήπεται, καθότι καὶ πάνθ' ὅσα θερμαίνεται σφοδρότερον ἐν ἀλλοτρίῳ χωρίῳ. ἐὰν μὲν οὖν ἐπὶ πλεῖστον ᾖ ἐξεστηκὸς τῆς οἰκείας εὐκρασίας τὸ ἔμφυτον θερμὸν, ὡς ἐν ἀψύχῳ σώματι σήπεται τὸ αἷμα. διασώζοντος δ' αὐτοῦ τινα δύναμιν, ἐπίμικτός τις αὐτοῦ ἡ μεταβολὴ πρός τε τῆς παρὰ φύσιν αἰτίας, καὶ τῆς κατὰ φύσιν ἀποτελεῖται. σηπούσης μὲν τῆς παρὰ φύσιν αἰτίας, πεττούσης δὲ τῆς κατὰ φύσιν. ὁποτέρα δ' αὐτῶν μᾶλλον κρατήσει, κατ' ἐκείνην αὐτὴν ἐξ ἀνάγκης καὶ τὰ γνωρίσματα προσέρχεται, τά τε τῆς χρόας καὶ ὀδμῆς, καὶ συστάσεως. ἐκ δὲ τούτων, ὡς ἔφην, ἀποδεδειγμένων ἐν ἑτέραις πραγματείαις, ἀκόλουθόν ἐστι συλλογίσασθαι τὸ καλῶς μεταβεβλημένον εἰς πῦον αἷμα. πρῶτον μὲν μὴ σεσῆφθαι, μᾶλλον δὲ πεπέφθαι, δεύτερον δὲ συνεμφαίνεσθαι μέν τι τῆς παρὰ φύσιν ἐν αὐτῷ σηπεδόνος, ὀλίγον δ' εἶναι τοῦτο, καὶ καθάπερ Ἱπποκράτης εἶπεν, ὡς ἥκιστα δυσῶδες. τὸ γὰρ, ὡς ἥκιστα, ταὐτὸν σημαίνει, τῷ ὡς ἐλάχιστα. πρὸς τούτοις δηλονότι, καὶ τὴν χρόαν αὐτοῦ παραπλησίαν, εἰκός ἐστι γίνεσθαι τῷ σπέρματι. λευκὴν μὲν, οὐ μὴν ἀκριβῶς γε τοιαύτην ὁποία τῆς χιόνος ἐστίν. εἰς γὰρ τὴν τῶν στερεῶν σωμάτων ἄγεται χρόαν ὑπὸ τῆς φύσεως, ἀκριβῶς μὲν τὸ σπέρμα, μετρίως δὲ τὸ πῦον. ἐπεὶ τῷ μὲν σπέρματι τῆς παρὰ φύσιν αἰτίας οὐδὲν μέμικται, τῷ πύῳ δ' οὐκ ἀεὶ μὲν ἴσον, ὡς ἐρρέθη· μέμικται δ' οὖν τι πάντως, ἔξω τῶν οἰκείων ὀργάνων γινομένου τοῦ αἵματος. αὕτη μὲν οὖν ἡ αἰτία τοῦ λευκὸν γίνεσθαι τὸ σπέρμα, καὶ τὸ πῦον. ὁμοιοῦται γάρ πως τοῖς στερεοῖς σώμασι, καὶ τὸ πῦον, ἅπερ ἐστὶν οἵ τε τῶν ἀγγείων χιτῶνες, καὶ τὰ νεῦρα, καὶ οἱ σύνδεσμοι, καὶ οἱ ὑμένες, οἵ τε χόνδροι, καὶ τὰ ὀστᾶ. ἡ δ' αὐτὴ, καὶ τοῦ τὸ ὑφιστάμενον ἐν τοῖς οὔροις λευκὸν ὑπάρχειν αἰτία. καὶ γὰρ καὶ τοῦτο, τῷ πύῳ τὴν γένεσιν ἀνάλογον ἔχει, μεταξὺ τεταγμένην ἐκείνου τε καὶ τῶν κατὰ φύσιν χυμῶν. ὅσον γὰρ τῆς τροφῆς, ἐν τῇ τοῦ αἵματος γενέσει τὴν ἀπὸ τῆς φύσεως ἐνέργειαν ἐξέφυγε, τοῖς οὔροις ὑφίσταται, οὔθ' ὡς τὸ αἷμα μεταβληθὲν ὑπ' αὐτῆς, οὔθ' ὡς τὸ πῦον τῆς παρὰ φύσιν αἰτίας ἐν τῇ γενέσει μεταλαβεῖν.

sæpenumero sanguinem iam antè in semen commutatum manifestò videri. Neque enim ipsas vasorum tunicas alio quodam nutriri verisimile est. Et eum quidem humorem ex Græcis medicis nonnulli θορώδη appellant, atque ob id semen etiam ipsum, θορὸν vocant, illi præsertim, qui σπέρματος, hoc est, seminis, nomine non corpoream quidem substantiam, sed ipsius vim facultatémque significari volunt. Enimuero phlegmonas quoque ostendimus sanguine in partes phlegmone laborantes decumbente excitari, qui primùm quidem ipsa solùm vasa repleat, & distendat, mox verò etiam vicina ipsis inania spatia, quæ singulis in partibus plurima exiguáque sunt occupet. Sunt autem ea à nobis demonstrata libello de tumoribus præter naturam, & dictum æquè de illis in eo, quem de inæquali intemperie scripsimus. Sanguis igitur ille, qui in partibus phlegmone afflictis per minimas particulas dispersus est, redire quidem in priorem naturam non potest, vt qui extra vasa sua sit, immutatur autem, & putrescit, non aliter quàm omnia, quæ alieno in loco vehementius incalescunt. Itaque si natiuus quidē calor à propria tempetie plurimùm recesserit, sanguis, vt in morticino corpore, putrescit. Sin autem ille vim adhuc aliquam retinet, mixta quædā sanguinis mutatio fit, partim quidem ab ea, quæ præter naturam, partim verò ab ea, quæ secundum naturam causa est. Quarum vt illa putrefacit, sic ista concoquit. Earum verò vtrauis præualuerit, protinus indicia tum in colore, tum in odore, tum in substantia necessariò consequuntur. Quum ergo ista aliis commentariis, quemadmodum dixi demonstrata sint, consequens est, an rectè sanguis in pus versus sit, ratione inuestigare. Cuius sanè rei primum testimonium est, quòd non computruerit, sed potius concoctum sit; Secundum, quòd tametsi notæ quædam putredinis præter naturam conceptæ in eo appareant, leues illæ quidem sint, & sicut ait Hippocrates, minimum fœteat. Nam quod ipse dixit ὡς ἥκιστα, significat idem, quod ὡς ἐλάχιστα. Ad hæc colore ipsum decet esse semini persimile, nec tamen tam exactè candidum, quàm nix ipsa videtur. Siquidem tum semini tum puri natura colorem solidorum corporum inducit, sed illi quidē exquisitum, huic verò ad certum quendam modum. Nulla namque in semine causa præter naturam est, quæ ipsum afficiat, in pure autem, vt non semper vis eius par, sicut diximus, ita certè aliquid prorsus inest, quum sanguis extra sua vasa iaceat. Et hæc quidē causa est, cur & semen, & pus alba fiant. Nam pus quoque solidis etiam corporibus quodammodo assimilatur, quæ sunt vasorum tunicæ, nerui, ligamenta, membranæ, cartilagines, & ossa. Est verò eandem etiam ob causam candidum, quod in vrinis subsidet. Habet enim puri similem originem, nimirum illius & humorum, qui secundum naturam sunt, mediam. Quicquid enim alimenti dum in sanguinem verteretur, naturæ actionem declinauit, subsidet in vrinis, non immutatum quidem à natura, sicut sanguis, nec tamen, vt pus, à causa præter naturam in ipsa generatione vitiatum.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ Β'.

GALENI IN PROGNOSTICVM HIPPOCRATIS COMMENTARIVS II.

De hydropibus acutis morbis superuenientibus.

SENTENTIA HIPPOCRATIS I.

HYDROPES ex acutis morbis omnes mali; neque enim febrem soluunt, & cum dolore sunt vehementi, ac lethales. Incipiunt autem plurimi ab ilibus, & lumbis; quidam verò à iecore.

COMMENTARIVS GALENI.

DIxerat Hippocrates initiò huius libri; Sunt autem hæc in acutis morbis consideranda, Primùm quidem an ægri facies similis sit, bene valentium. Ex quo plerique existimarunt non de mortifera facie tantùm in acuto morbo contracta, sed etiam de reliquis omnibus institutam ab eo disputationem fuisse. Sed non legêre, arbitror, quod ipse extremo libro subiunxit, his verbis; *Hæc autem dico de morbis acutis, atque aliis omnibus, qui ex ipsis habent originem.* Attamen, & de suppurationibus loquutum esse constat, non iis modò, quæ vigesimo die abrumpi debent, verùm illis etiam, quæ ad trigesimum, quadragesimum, & sexagesimum diem producuntur, atque item de morbis, qui vsque ad quadragesimum diem differuntur, vbi ait; *Spirandi verò facilitatem existimare oportet valdè magnam vim ad salutem habere in omnibus acutis morbis, quibus coniuncta febris est, quique diebus quadraginta iudicantur.* Et nunc quidem non de omni specie aquæ inter cutem, sed ea duntaxat, quæ acuto morbo superuenit, dicturum se manifestò pofitetur. Quinetiam de purulentis, & tabidis, atque insuper de quartanis postea dicet, quos sanè morbos nemo est, qui diuturnos non esse fateatur. Itaque aquam omnem inter cutem, quæ acuto morbo superuenit, malam esse dixit, vt quæ nec febrē discutiat, & dolorem perpetuò excitet. Eius autem ortum etiam ostēdit, dum & iecinoris nominatim facit mentionem, & illas quæ in ilibus continentur partes vno communi vocabulo complectitur, quæ sunt, ieiunum, lactes, tenuiáque intestina. Namq; verisimile est omnes eas partes ab Hippocrate κενεῶνας appellari, quę inter extremam thoracis costam, & coxendicis ossa continentur.

Περὶ ὑδρώπων τῶν τοῖς ὀξέσι νοσήμασιν ἐπιγινομένων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ α'.

ΟΙ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νουσημάτων, πάντες κακοί. οὔτε γὰρ τοῦ πυρετοῦ ἀπαλλάσσουσιν, ἐπώδυνοί τε εἰσὶ κάρτα, καὶ θανατώδεες. ἄρχονται δὲ οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος, οἱ δὲ ἀπὸ τοῦ ἥπατος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑτὰ μὲν τὴν ἀρχὴν τοῦ συγγράμματος αὐτὸς ἔφη, σκέπτεσθαι δὲ ὧδε χρὴ ἐν τοῖς ὀξέσι νοσήμασι, πρῶτον μὲν τὸ πρόσωπον τοῦ νοσέοντος, εἰ ὅμοιόν ἐστι τοῖσι τῶν ὑγιαινόντων. ὅθεν ἔνιοί φασιν, οὐ περὶ τοῦ νεκρώδους προσώπου μόνον, ὡς ἐν ὀξεῖ νοσήματι, ἀλλὰ περὶ τῶν ἑξῆς ἁπάντων γεγονέναι τὸν λόγον αὐτῷ, μηδὲ τὸ κατὰ τὴν τελευτὴν τοῦ συγγράμματος εἰρημένον ἀναγνόντες, ἔνθα φησί. ταῦτα δὲ λέγω περὶ τῶν ὀξέων νουσημάτων, καὶ ὅσα ἐκ τούτων γίνεται. καὶ μέντοι καὶ φαίνεται περί τε τῶν ἐμπυημάτων εἰρηκὼς ἔμπροσθεν, οὐ μόνον ἐκείνων ὅσα κατὰ τὴν εἰκοστὴν ἡμέραν ῥήγνυσθαι πέφυκεν, ἀλλὰ καὶ τῶν εἰς τὴν τριακοστήν τε, καὶ τεσσαρακοστὴν, καὶ ἑξηκοστὴν ἀφικνουμένων. ἔτι τε πρόσθεν ὑπὲρ τῶν ἄχρι τῆς τεσσαρακοστῆς ἡμέρας ἐκτεινομένων νοσημάτων, ἔνθα φησίν. εὔπνοιαν δὲ χρὴ κάρτα νομίζειν μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν, ἐν ἅπασι τοῖσιν ὀξέσι νουσήμασι, ὁκόσα σὺν πυρετοῖς τέ ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται. καὶ νῦν ἄντικρυς εἶπεν, οὐ περὶ πάντων ὑδρώπων ποιούμενος τὸν λόγον, ἀλλ' ὅσοι περ ἂν αὐτῶν ἐκ τῶν ὀξέων νοσημάτων γένωνται. καὶ περὶ μὲν τῶν ἐμπύων τε καὶ φθινωδῶν, καὶ ἐν τοῖς ἑξῆς ἐρεῖ, καὶ πρὸς τούτοις ἔτι καὶ περὶ τεταρταίων, ὁμολογουμένων καὶ τούτων χρονίων νοσημάτων. οἱ γοῦν ἐκ τῶν ὀξέων νοσημάτων ὕδρωπες, ὅτι πάντες εἰσὶ κακοὶ, μήτε τὸν πυρετὸν παύοντες, ὀδύνηρεῖ τε διαμένοντες, αὐτὸς εἶπεν. ἐδίδαξε δὲ καὶ τὰς γενέσεις αὐτῶν, ἥπατος μὲν ἄντικρυς ὀνόμασι μνημονεύσας, ἑνὶ δὲ κοινῷ λόγῳ τῶν ἐν τοῖς κενεῶσι μορίων, ἅπερ ἐστὶ νῆστις καὶ μεσεντέριον, ἔντερά τε λεπτά. προσαγορεύειν γὰρ εἰκός ἐστιν αὐτὸν ἐκεῖνα τὰ μόρια κενεῶνας, ὅσα μεταξὺ τῆς τε τοῦ θώρακος ἐσχάτης πλευρᾶς ἐστι, καὶ τοῦ τῆς λαγόνος ὀστοῦ.

καὶ γάρ τοι, καὶ κενὸν ἅπαν φαίνεται τοῦτο τὸ χωρίον, εἰ παραβάλλοις αὐτὰ τοῖς ἄνωθεν αὐτοῦ μέρεσι, καὶ κάτωθεν ὀστώδεσιν ὑπάρχουσιν ἀμφοτέροις. ἔστι δὲ καὶ λεπτὸν ἅπαν τοῦτο τὸ μόριον, ὅταν γε μὴ πρὸ ὀλίγου τις ἐμπεπλησμένος ᾖ, σιτίων τε καὶ ποτῶν. καί μοι δοκεῖ, καὶ ὁ ποιητὴς αὐτὰ ταῦτα τὰ μόρια τοῦ σώματος ὀνομάζειν λαπάρας. ὑδρώπων μὲν οὖν ἁπάντων ἡ κοινὴ γένεσις, ἀποτυχία τοῦ τῆς αἱματώσεως ἔργου ἐστί. καθάπερ γὰρ καὶ ἐν γαστρὶ πέττεται τὰ σιτία, κατὰ τὸν αὐτὸν τρόπον, ἐν ἥπατι, καὶ φλεψίν, ἡ ἐν τῇ κοιλίᾳ προπεφθεῖσα τροφή. καὶ μέντοι, καὶ ὡς ἐν τῇ κοιλίᾳ, ποτὲ μὲν ἧττον ἀποτυγχάνεται τὸ τῆς πέψεως ἔργον, ἔστιν ὅτε δὲ μᾶλλον, οὕτω κἀν τῷ ἥπατι. πάσχει γὰρ τὸ ἧπαρ, ἐνίοτε μὲν αὐτὸ καθ' αὑτὸ πρῶτον, ὥσπερ καὶ ἡ γαστήρ, ἐνίοτε δὲ κατὰ συμπάθειαν ἑτέρων μορίων. εὔδηλον οὖν ὅτι τὰ πάντα συμπαθοῦντα ἀλλήλοις, ἢ τὴν γειτνίαν, ἢ τὴν κοινωνίαν ἔχειν μεγάλην κατὰ τὰ ἀγγεῖα, καὶ νεῦρα πάσχει. οὕτω τοίνυν καὶ τὸ ἧπαρ, διά τε φλεβῶν μεγάλων, συνῆφθαι φαίνεται καὶ σπληνί, καὶ γαστρί, καὶ ἐντέροις. ἥ τε θέσις αὐτῶν οὕτω πλησίον, ὡς ἔνια μὲν ἅπτεσθαι, τινὰ δὲ ὀλίγου δεῖν ψαύειν αὐτοῦ. σπληνὸς μὲν οὖν οὐκ ἐμνημόνευσεν ὁ Ἱπποκράτης, ἐπειδὴ περὶ τῶν ὀξέων νοσημάτων ὁ λόγος ἦν αὐτῷ. φαίνεται δὲ τοῦτο τὸ σπλάγχνον, ὅταν ἐν χρονίοις νοσήμασι σκιρρώδη λάβῃ διάθεσιν, εἰς συμπάθειάν τε τὸ ἧπαρ ἄγειν, ὑδέροις τε δι' ἐκείνου μέσου, τῷ παντὶ σώματι κατασκευάζειν. ἥπατος δὲ καὶ τῶν κενεώνων μέμνηται, καὶ διδάσκει τὰς διαφορὰς τῶν ἐπ' αὐτῶν γινομένων ὑδέρων, ὡς διὰ τῆς ἑξῆς λέξεως ἔσται δῆλον.

Siquidem inanis tota illa regio videtur, si tam cum infernis, quàm cum superis partibus, vtrisque osseis, contuleris. Est verò etiam pars illa tota gracilis, modò quis non parum antè cibum potúmque sumpserit. Hásque ipsas propterea partes poëta λαπάρας (nam λαπαρὸν gracile significat) vocare videtur. Enimuero omnis inter cutem aqua vitiato sanguificationis opere æquè prouenit. Tanquam enim in ventre cibi coquuntur, sic in iocinore, & venis alimentum, quod priùs in ventriculo concoctionem adeptum fuerat. Quinetiam sicut in ventriculo plus minúsve vitiata concoctio est, ita & in iecinore. Nam vt venter, sic etiam iecur nunc per se primùm, nunc ex consensu cum aliis partibus afficitur. Est autem euidens, omnia, quæ mutuò sese afficiunt, vel propter vicinitatem, vel quòd magnum inter se habeant per vasa, & neruos commercium, affici. Sic quidem iecur cum liene, ventriculo, & intestinis, magnis venis connecti videtur, ac præterea illis esse tam vicinum, vt ex his aliqua annexa, aliqua propemodum contigua sint. Verùm Hippocrates nullam lienis mentionem fecit, quòd ipse de morbis acutis dicere proposuerit. Apparet tamen id viscus, si quando in veteri morbo scirrhosam aliquam affectionem contraxerit, tum iecur ipsum similiter afficere, tum eius occasione hydropas in corpore vniuerso excitare. Meminit autem iocinoris, & partium inanium, & aquarum inter cutem, quas illæ pariunt, differentias exponit, id quod erit ex iis, quæ sequuntur, dilucidum.

Περὶ ὑδρώπων οἷς πόδες οἰδέουσι, καὶ διάρροιαι πολυχρόνιοι.

De hydropib. quib. pedes tument; & diarrhœæ diuturnæ.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ β'.

Οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων, καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται τῶν ὑδρώπων, οἵ τε πόδες οἰδέουσι, καὶ διάρροιαι πολυχρόνιοι ἴσχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων τε, καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι.

SENTENTIA HIPPOCRATIS 2.

Qvibus ergo ab ilibus & lumbis principia fiunt hydropum, pedes tument, & diarrhœæ diuturnæ detinent, quæ neque dolores ex ilibus ac lumbis obortos soluunt, neque ventrem molliunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν οὖν οἰδεῖν τοὺς πόδας, ἁπάντων κοινὸν ὑδέρων· ἀμέλει καὶ τοῖς ἐφ' ἥπατι συνεδρεύειν αὐτό φησι. γινώσκομεν δέ, ὅτι καὶ τοῖς ἐπὶ σπληνί, καὶ ἁπλῶς ἅπασι τοῖς ἄλλοις. τὸ δὲ τῆς διαρροίας, ἴδιον ἐξαίρετόν ἐστι τοῖς ἐπὶ κενεῶσιν ὑδέροις, ὅσοι τῆς νήστεως, ἢ τοῦ μεσεντερίου φλεγμαινόντων γίνονται. μάλιστα γὰρ δὴ τούτοις ἀκρατεῖς αἱ φλέβες εἰσί, δι' ὧν ἕλκει τὸ ἧπαρ εἰς αὑτὸ τὴν τροφήν, ὡς οὔθ' ὑπηρετεῖν τῷ σπλάγχνῳ πρὸς τὴν ἀνάδοσιν, οὔτε μένειν ἐν τῇ νήστει, καὶ τοῖς λεπτοῖς ἐντέροις τὴν τροφήν. κἂν εἰ ἀρρωστοῦντα τύχῃ βαρυνόμενα πρὸς αὐτῆς, ὠθεῖ κάτω παραχρῆμα πᾶσαν αὐτήν· καὶ αὕτη τῆς διαρροίας αἰτία. καὶ δὴ καὶ διαφθείρεσθαι τὴν τροφήν, ἀθροίζεσθαί τε πολὺ τὸ χολῶδες εἰκός ἐστι, διὰ τὴν τῶν φλεγμαινόντων μορίων θερμότητα. δῆξις οὖν οὐ σμικρὰ γίνεται διὰ ταῦτα τοῖς ἐντέροις, ἐρεθίζουσα πρὸς τὴν ἀπόκρισιν τῶν περιεχομένων ἐν αὐτοῖς, καὶ αὕτη πάλιν αἰτία δευτέρα τῆς διαρροίας ἐστίν. εἰκότως δ' αὐτάς φησιν, οὔτε τὰς ὀδύνας παύειν, οὔτε λαπάττειν, τουτέστι κενοῦν, καὶ προστέλλειν τὰ τῆς γαστρὸς οἰδήματα, δηλῶν

COMMENTARIVS GALENI.

IN omni specie aquæ inter cutem æquè tument pedes. Nam id quoq; Hippocrates euenire dicit, vbi vitio iocinoris prouenit. Quòd autē etiam si à liene oriatur, atque aliis item omnibus, vt verbo vno dicamus, idem malū contingat, certò compertum nobis est. At ventris profluuium proprium peculiaréq; est eius aquæ inter cutē, quam inanes partes, ieiuno intestino, vel mesēterio phlegmone laborantibus, excitarint. His enim maximè imbecillæ venæ sunt, quibus iecur ad se trahit alimentū adeò, vt nec visceri ad digestionē subseruiant, nec alimētū in ieiuno, & tenuib. intestinis morari possit. Quæ si infirma quoq; fuerint grauata alimēto, id omne cōfestim deorsū propellūt. Et hæc fluxus vētris causa est. Sed & nutrimentū corrūpi, & plurimū excremēti biliosi aceruari, propter partium, quę phlegmone torquētur caliditatē verisimile est, & inde quidē vehemēter morderi intestina, & irritari ad excretionē eorū, quæ in ipsis cōtinētur. Est autē hæc altera fluxus ventris causa. Sed eū quidē haud temerè nec dolores sedare, nec vētrē subducere dixit (nā verbū λαπάττειν, quo vsus est Hippocrates, significat vacuare, & vētris tumorē ad ęqualitatē redigere) ex quibus etiā verbis ostendit eos,

qui

A qui sic affecti sunt, cum dolore reddere alui excrementa, & imum ventrem totum ipsis intumuisse. Quippe dolores excitari necesse est, tum propter phlegmonas, tum propter morsus. Ventrem autem totum intumescere, quòd intestina flatuoso spiritu plena sint, ex cruditatibus, vt est rationi consentaneum, originem ducente. Quòd autem intus non moretur, propter imbecillitatem retentricis facultatis intestinorum accidit.

κἂν τούτοις, ὅτι μετ' ὀδύνης ἐκκρίνουσιν, ὅτι τε τὸ ὑπογάστριον ὅλον αὐτοῖς εἰς ὄγκον ἐξαίρεται. τὰς μὲν γὰρ ὀδύνας ἀναγκαῖόν ἐστι γίνεσθαι, διά τε τὰς φλεγμονὰς, καὶ τὰς δήξεις. τὴν γαστέρα δ' ὅλην ἐξαίρεσθαι, τῶν ἐντέρων πληρουμένων πνεύματος φυσώδους, οὗ τὴν μὲν γένεσιν, εὔλογόν ἐστιν ἕπεσθαι ταῖς ἀπεψίαις. τὸ δὲ οὐ μένειν ἔνδον, ἀῤῥωστίᾳ τῆς περισταλτικῆς δυνάμεως τῶν ἐντέρων γίνεται.

De hydrope ab hepate.

Περὶ ὕδρωπος τοῦ ἀπὸ τοῦ ἥπατος.

B SENTENTIA HIPPOCRATIS 3.

QVibus verò ab hepate hydropes fiunt, tussis, & tussiendi cupiditas ipsis innascitur, nihilque effatu dignũ expuunt, ac pedes tument, ventérque non deiicit, nisi & dura & ad necessitatem, & circa ventrẽ tumores prodeunt, qui partim ad dextra, partim ad sinistra tum consistunt, tum desinunt,

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ γ'.

όσοι
Ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος οἱ ὕδρωπες γίνονται, βῆ-
ξαι
χές τε καὶ θυμὸς ἐγγίνεται αὐτέοισι, καὶ οὐδὲν ἀποπτύουσιν ἄξιον λόγου, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ σκληρά τε καὶ πρὸς ἀνάγκην, καὶ περὶ τὴν κοιλίην γίνεται οἰδήματα. τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δὲ ἐπ' ἀριστερὰ ἱστάμενά τε καὶ καταπαυόμενα.

COMMENTARIVS GALENI.

QVod Hippocrates θυμὸν dixit, (*nos cupiditatem vertimus*) ad tussim propensionem significat, ad quam illi tanquam aduersus symptoma irritantur, sed confestim, vix etiamnum tussire aggressi, conquiescunt. Nam iecinoris moles transuerso septo incumbens, pulmoni parit angustiam. Quæ quidem affectio, quum veræ illi angustiæ similis sit, qua pulmo tum phlegmone occupatus, tum distillatione, ex capite obrutus premitur, idcirco tussire quidem affectant, sperantes eo, quod molestum est, vacuato, angustiæ se mederi posse. Verùm protinus vt cœpere desistunt, experientia ipsa affectum suum certo agnoscentes, & ex seipsis intelligentes frustra se eam spem concepisse. Sed & ipsa per se natura, nobis etiam non molientibus, tussim solicitat, vt sæpe difficile sit resistere, & ne accidat, prohibere. Nunc igitur quando ob angustiam frustra ægri tussiculas mouent, tanquam malum aliqua ex parte leuaturi, tamen facultatis naturalis auxilio destituti, protinus desinunt. Siquidem ægros eam ob rem tussiendi cupiditas incessit, sed diu tussis non detinet, quòd nihil dictu dignum expuant, sed quantum modò serosi tenuisque humoris, ex vasis serosum sanguinem continentibus, in asperam arteriam, sudoris cuiusdam instar, exprimitur. Et his quidem notis aqua inter cutem à iecinore orta, distinguitur à prædictis. Præter has autem, aliud etiam discrimen est, à paucitate, siccitatéque eorum, quæ infra deiiciuntur. Illi enim affectis scilicet vel intestinis, vel mesenterio, crebrò irritantur. Quibus verò iecoris vitio aqua inter cutem prouenit, tanquam non malè affectis istis partibus, nec corrupto alimento, nec grauatis ab eo membris, (valent enim) venter non fluit, sed illic diutius alimenti reliquiæ immorantur, partim ad intima peritonæi spacia immissæ, partim verò à iecinoris phlegmone quodammodo adustæ. At verò etiam cutis vniuersa, quòd pituitoso sanguine alta sit, tumet, ac si digito eam compresseris, extemplo cauatur, parúmque postea ad pristinam æqualitatem redit. Quod tamen non accidit statim, vt morbus ex acuto degenerauit, sed pedes primùm, vt qui à calidissimis partibus absunt longissimè, tumorem contrahunt,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Θυμὸν εἴρηκε, νῦν τὴν προθυμίαν ἣν ἴσχουσι πρὸς τὸ βήττειν. ἐρεθιζόμενοι μὲν ὡς πρὸς τὸ σύμπτωμα, παραχρῆμα δὲ αὐτοῦ παυόμενοι, καὶ μόνον ἀρχῆς τοῦ βήττειν πειρώμενοι. ὁ γὰρ τοῦ ἥπατος ὄγκος ἐγκείμενος ταῖς φρεσὶ, στενοχωρίαν ἐργάζεται τῷ πνεύμονι. παραπλησίας οὖν διαθέσεως γινομένης, τῇ κατὰ τὰς ὄντως αὐτῷ στενοχωρίας, δι' ἃς φλεγμαίνων τε, καὶ καταῤῥοϊζόμενος ἐκ τῆς κεφαλῆς, πάσχει. προθυμοῦνται μὲν βήττειν, ἐλπίζοντες ἐκ τοῦ κενῶσαι τὸ λυποῦν, ἰάσασθαι τὴν στενοχωρίαν. ἀρξάμενοι δὲ αὐτοῦ, παραχρῆμα παύονται, διὰ τῆς πείρας αὐτῆς εἰς γνῶσιν ἀκριβεστέραν ἀφικνούμενοι τῆς διαθέσεως, αἰσθανόμενοί τε σφῶν αὐτῶν, ὅτι μάτην ἤλπισαν. ἀλλὰ D καὶ ἡ φύσις αὐτὴ καθ' αὑτὴν ἐπάγει βῆχα, τὰς ἐμφράξεις τοῦ πνεύμονος ἐκκαθαίρουσα, κἂν ἡμεῖς μὴ προαιρώμεθα βήττειν· ὡς ἐργῶδες εἶναι πολλάκις, ἀντισχεῖν τε καὶ κωλῦσαι τὸ σύμπτωμα. νῦν οὖν ὁπότε διὰ τὴν στενοχωρίαν ἐπὶ τὸ βήττειν οἱ κάμνοντες ἔρχονται μάτην, ὡς ὀνησόμενοί τι, τὴν ἐκ τῆς φυσικῆς δυνάμεως ὑπηρεσίαν οὐκ ἔχοντες, αὐτίκα παύονται. διὰ ταῦτα μὲν γὰρ, ἡ προθυμία γίνεται τοῖς οὕτω κάμνουσι τοῦ βήττειν. ἀπολείπει δ' αὐτοὺς ἐν τάχει τοὔργον, ὡς ἂν μηδὲν ἀποπτύοντας ἄξιον λόγου. ἀλλὰ τοσοῦτον ὅσον εἰς τὰς τραχείας ἀρτηρίας ὀῤῥῶδές τε καὶ λεπτὸν, ἐκ τῶν περιεχόντων ἀγγείων τὸ ὀῤῥῶδες αἷμα, συνθλί- E βεται δίκην ἱδρῶτός τινος. ταῦτ' οὖν οἱ ἀπὸ τοῦ ἥπατος ὕδρωπες ἀφορίζονται τῶν προειρημένων, ἔτι τε τῇ βραχύτητι, καὶ τῇ σκληρότητι τῶν ὑπερχομένων κάτω. διερεθίζονται γὰρ ἐκεῖνοι πεπονθότων αὐτοῖς, ἤτοι τῶν ἐντέρων, ἢ τοῦ μεσεντερίου. τοῖς δ' ἀπὸ τοῦ ἥπατος ὑδεριῶσιν, ὡς ἂν ἀπαθῶν ὄντων τούτων, οὔτε διαφθειρομένης τῆς τροφῆς, οὔτε βαρυνομένων ὑπ' αὐτῆς τῶν μορίων (ἔῤῥωνται γὰρ, καὶ οὐ γίνονται διάῤῥοιαι) μένει πλεῖον αὐτόθι τὰ τῆς τροφῆς λείψανα, τὸ μέν τι διαπέμποντα πρὸς τὴν ἐντὸς τοῦ περιτοναίου χώραν, τὸ δέ τι καὶ τῇ φλεγμονῇ τοῦ ἥπατος οἷον ἐξοπτώμενα. καὶ μέντοι καὶ τὸ δέρμα πᾶν αὐτοῖς, ὡς ἂν ὑπὸ F φλεγματώδους αἵματος τρεφόμενον, οἰδαλέον τε γίνεται, καὶ εἰ πιέσαις αὐτὸ τῷ δακτύλῳ, παραχρῆμα μὲν φαίνεται κοῖλον, ὀλίγον δ' ὕστερον εἰς τὴν ἔμπροσθεν ἐπανερχόμενον κατάστασιν. οὐ μὴν εὐθέως ἐξ ἀρχῆς ἅμα τῇ μεταπτώσει τῆς ὀξύτητος εἴωθε γίνεσθαι τὸ τοιοῦτον, ἀλλ' οἱ μὲν πόδες οἰδίσκονται πρῶτοι, ποῤῥωτάτω τῶν θερμοτάτων μορίων ὄντες.

ἐπιλαβόμενον δὲ τὸ σύμπτωμα, καὶ περὶ τὴν κοιλίαν πᾶσαν, τὴν αὐτὴν ἐργάζεται διάθεσιν, ὥστε εἰ πιέσαις τὸ οἴδημα τοῖς δακτύλοις, κοιλαίνεσθαί τε, καὶ οἷον βοθροῦσθαι τὸν τόπον, εἶτ' ὀλίγον ὕστερον εἰς τὴν ἔμπροσθεν ἐπανέρχεσθαι κατάστασιν. ὅπερ Ἱπποκράτης εἶπε, καὶ περὶ τὴν κοιλίην οἰδήματα γίνεται, ἱστάμενά τε καὶ καταπαυόμενα. δύναιτο δ' ἂν εἰρηκέναι τοῦτο, καὶ περὶ τῆς πρώτης γενέσεως αὐτῶν ἔτι. καὶ γὰρ ἀρχόμενα συνίστασθαι, καθίστανται πολλάκις, ὡς δόξαι τινὶ πεπαῦσθαι τελέως αὐτά. μετὰ ταῦτα δὲ αὖθις ἐπαίρεται, καὶ πάλιν δὲ καθίστανται, καὶ αὖθις πάλιν ἐπαίρεται. προελθόντος δὲ τοῦ χρόνου, μένει μηκέτι καθιστάμενα. διαφέρει γε μὴν ταῦτα, τῶν προειρημένων ἐν τοῖς κενεῶσι· τῷ κοιλαίνεσθαι πιεζόμενα, φλεγματικὴν ἔχοντα τὴν φύσιν, οὐκέτι φυσώδει πνεύματι, καθάπερ ἐκεῖνα γινόμενα.

à quibus sursum conscendẽs malum, totum etiam ventrem similiter occupat adeò, vt si tumorem digito premas, locus ipse cauus, quasique defossus appareat, deinde paulò pòst in priorem sedem reuerti videatur. Id quod Hippocrates dixit, scribens; *Atque circa ventrem tumores prodeunt, qui consistunt, & desinunt.* Quanquam hoc etiam possit ab eo dictum esse de primo ipsorum ortu. Nam quando emergere incipiunt, plerunque considunt, vt prorsus desiisse videantur, deinde verò exurgunt denuò, rursúmque considunt, atque iterum postea renouantur. Verùm temporis spatio permanent, nec ampliùs sidunt. Verùm isti ab illis differunt, quos ab inanibus prodire diximus, quòd ab humore pituitoso, non autem à flatuoso spiritu, sicut illi geniti compressu excauantur.

Ὅταν τῶν μέσων τεθερμασμένων καταψύχεται τὰ ἄκρα, κάκιστον.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ δ'.

Κεφαλὴ δὲ καὶ χεῖρες, καὶ πόδες ψυχρὰ ἐόντα, κακόν, τῆς τε κοιλίης, καὶ τῶν πλευρῶν θερμῶν ἐόντων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν μὲν τοῖς χρονίοις νοσήμασι, καὶ μάλιστα χειμῶνος, καὶ γέρουσιν, οὐ μόνον ἐν ταῖς εἰσβολαῖς τῶν πυρετῶν, ἃς ἐπισημασίας ὀνομάζουσιν, ἀλλὰ καὶ τοῖς διαλείμμασιν, οὐδὲν θαυμαστόν ἐστι περιψύχεσθαι τὰ ἄκρα τοῦ σώματος, ἄσαρκά θ' ὑπάρχοντα φύσει, καὶ πορρωτάτω κείμενα τῶν σπλάγχνων. ἀλλ' ἐν τούτῳ τῷ βιβλίῳ περὶ τῶν χρονίων νοσημάτων, οὐκ ἔστιν ὁ λόγος αὐτῷ. τὸ τοίνυν ἐν τοῖς ὀξέσι καταψύχεσθαι ταῦτα τὰ μόρια, κατὰ τὴν ἐναντίαν διάθεσιν, ὡς τὸ πολὺ γίνεται, τῆς ἐν τοῖς χρονίοις ἐργαζομένης τὸ σύμπτωμα τοῦτο. κατ' ἐκεῖνα μὲν γὰρ οὐκ ἐξικνεῖται μέχρι τῶν ἄκρων τοῦ ζώου μορίων ἡ ἔμφυτος θερμότης ὑπ' ἀρρωστίας. ἐν δὲ τοῖς ὀξέσι, διὰ μέγεθος τῆς τῶν σπλάγχνων φλεγμονῆς, ὀλίγον μὲν τι τῆς αἱματώδους οὐσίας, εἰς ὅλον ἥκει τὸ σῶμα. πλεῖστον δὲ αὐτῆς ἐν τοῖς φλεγμαίνουσι κατακλείεται, καὶ διὰ τοῦτο τὰ μέσα μόρια τοῦ σώματος, ἅπερ ἐστὶ θώραξ τε καὶ γαστήρ, ἱκανῶς φαίνεται θερμά. γίνεται γε μὴν ἐνίοτε ἐν τοῖς ὀξέσιν ἐπισημασία μετὰ ῥίγους, ἢ ψύξεως, οὐ μόνα τὰ ἄκρα τοῦ σώματος, ἀλλὰ αὐτὸ καὶ τὸ περὶ θώρακα, καὶ τὴν γαστέρα δέρμα ψυχρὸν ἐργαζομένη. αὕτη μὲν οὐδὲν ἐνδείκνυται κατὰ τὰ σπλάγχνα φαῦλον. ὅταν δὲ μενόντων θερμῶν τῶν κατὰ πλευράς τε, καὶ τὴν γαστέρα μορίων, ἢ καὶ τοῦ κατὰ φύσιν ἔτι θερμοτέρων γεγενημένων, ψύχηται τὰ τοῦ σώματος ἄκρα μόρια, μέγεθος φλεγμονῆς ἐνδείκνυται κατὰ τὰ σπλάγχνα, καὶ τάχα βέλτιόν ἐστιν, ἀκοῦσαι τὸ θερμῶν ἐόντων, ἐπί τε τῆς κοιλίας, καὶ τῶν πλευρῶν οὕτως εἰρημένον, ὡς ἐπιφανέστερον αὐτῶν τεθερμασμένων, ἢ ὁπότε κατὰ φύσιν εἶχον. ἴσμεν δ', ὅτι καὶ ὁ καλούμενος λειπυρίας πυρετός, ἐκ τῆς τοιαύτης ἰδέας ἐστίν.

Quum mediis partibus calefactis extrema refrigerantur, pessimum.

SENTENTIA HIPPOCRATIS 4.

QVòd si caput, & manus pedésq; frigeant ventre & lateribus calentibus, malum.

COMMENTARIVS GALENI.

IN longis morbis, per hyemem præsertim, & senibus, non solùm in principiis accessionum, ἐπισημασίας Græci vocant, verùm etiam quum morbus intermisit, si extremę corporis partes, quæ & minimè carnosæ sunt, & longissimè absunt à visceribus, refrigerantur, non debet mirum videri. Sed quum hoc libro Hippocrates non agat de morbis longis, necesse est aliam quandam subesse causam, cur in acutis morbis partes istæ refrigescant, illi contrariam, quæ per veteres morbos partibus his frigiditatem inducit. In longis quidem morbis natiuus calor propter imbecillitatem non potest vsque ad vltimas animalis partes deuenire. In acutis verò ob magnitudinem phlegmones qua viscera opprimuntur, paucus admodum sanguis in corpus vniuersum permeat, sed plurimus in partibus phlegmone affectis intercluditur. Quamobrẽ mediæ corporis partes thorax, & venter multùm calidæ sentiuntur. At prehendit tamen aliquando in acutis accessio, quũ horrore, aut refrigeratione tanta, vt non extremũ modò corpus, sed ipsa etiam thoracis, ventrísque cutis inalgescat. Verùm hæc nullum in visceribus vitium arguit. Si verò partes, quæ lateribus, & ventre cõtinentur, calidæ permaneant, vel etiam quàm naturâ esse solebãt calidiores euaserint; corpus autem extremum refrixerit, viscera iam ingenti phlegmone detineri indicium est. Præstiterit autẽ fortasse quod dixit Hippocrates, ventre, & lateribus calentibus, sic accipere, vt hæc longè calidiora, quàm cùm se haberent secundũ naturam intelligantur, cuiusmodi febrem illã esse nouimus, quæ à Græcis λειπυρίας dicitur.

Ἐκ τῆς ἀρίστης διαθέσεως τοῦ σώματος προγνωστικόν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ε'.

Ἄριστον δὲ καὶ ὅλον τὸ σῶμα θερμόν τε εἶναι, καὶ μαλθακὸν ὁμαλῶς.

Ex optima corporis affectione prognosticon.

SENTENTIA HIPPOCRATIS 5.

OPtimum verò totum corpus calidum, & molle æqualiter esse.

COM-

COMMENTARIVS GALENI.

Quum pessimo in statu morbum esse dixerit, quando medio corpore calente extrema algent, nunc ei ex aduerso optimum, qui nobis contingere potest, comparat, in quo totum corpus calidum æqualiter est, atque etiam æqualiter molle. Æqualiter enim amborum commune est. Nam calidum quidem æqualiter corpus est, vel in ardentissimis febribus, at tunc non molle, sed mordicans, & aridum manifestò videtur. Quòd si molle simul & calidum æqualiter sit, testatur corporis optimam esse affectionem.

Ex motu laborantis prognosticon.

SENTENTIA HIPPOCRATIS 6.

Oportet autem eum qui laborat facilè conuerti, & in assurgendo alacrem esse.

COMMENTARIVS GALENI.

Totius quidē præcognitionis eorum, qui ex morbo, vel interire, vel seruari debent caput est, magnitudinis morbi cum ægri viribus cōparatio. Morbo siquidē præualente, æger nullo modo effugere mortem possit. Sin autē vires illi sunt morbo superiores, modò nulla in re peccet, nunquam intereat. Id quod ipse illo etiam aphorismo prodidit, cuius initium est, *Coniectandū verò est an victus ægro sufficiat ad summum morbi vigorem.* Hęc igitur est prognosticæ considerationis summa. Verùm quum tres genere facultates sint in tribus positæ principiis, cerebro, corde, & iecinore, eorum tum infirmitatē, tum robur ex singularum actionibus deprehendes. Sunt autē ab illo quidem, quod in cerebro est, principio proficiscentes actiones, aliæ principes, quæ in memoria, & ratiocinatione versantur, aliæ verò ministræ, quæ sentiendo, & secundū appetitum mouendo, perficiuntur. Emanant autē ab eo, quod in corde est, motus illi, quos arteriæ edunt. Ad hoc autem cuius iecur sedes est, sanguis, & humores pertinent. Itaque quum in hęc summa capita Prognostica contemplatio sit diuisa, videndū etiam atq; etiam est, ad quod genus singula signa, quæ Hippocrates tradiderit, referre oporteat; veluti hoc de quo sermo nunc habetur; Eum qui laborat facilè cōuerti, & dum assurgit, se alacrē sibi videri. Sunt enim hæc virtutis, quæ secundū appetitum corpus mouet, testimonia. Nec verò hîc interest secundū appetitum, vel secundū electionē, aut voluntatē dicere. Erāt autem eiusdē generis & illa, quę antè dixit de decubitu, quorum initium est; *Cæterū medicus debet ægrū deprehendere in dextrum, aut sinistrū latus iacentē.* Ostendit enim hunc iacentis habitū, & illum æquè, qui rectus est, annitentibus musculis fieri. Hanc autē musculorū actionē, tonicam solent appellare, de qua plurima diximus in libro de musculorū motu. Dicebat autem & Diocles animalium corpora ex ferente, & eo, quod fertur, constare. Facultas quidem ipsa est quæ fert, corpus autē id, quod fertur. Tanquā igitur illi, qui onus portant, vel oppressi pondere, vix moueri possunt, vel leue esse ducentes sine molestia ferunt; sic facultas, si quidem robusta est, corporis pondus facilè sustinet, vt nihilo segnius deteriúsque moueatur, si verò infirma est, vix potest corporis partes pondere oppressa attollere.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Χείρίστην προειρηκὼς κατάστασιν νοσήματος εἶναι, ὅταν τῆς μέσης τεθερμασμένης καταψύχεται τὰ ἄκρα τοῦ σώματος· ἀντιπαραβάλλει νῦν αὐτῇ τὴν ἀρίστην ἐν ἡμῖν, ἐν ᾗ θερμὸν ὁμαλῶς ἐστιν ὅλον τὸ σῶμα, μετὰ τοῦ καὶ μαλθακὸν ὁμαλῶς εἶναι. τὸ γὰρ ὁμαλὸν ἀμφοτέρων ἐστὶ κοινόν. ὁμαλῶς μὲν οὖν θερμὸν γίνεται τὸ σῶμα, καὶ κατὰ τοὺς διακαεστάτους τῶν πυρετῶν, ἀλλ' ἀδακνῶδές τε, καὶ ξηρὸν φαίνεται κατὰ τὰς τοιαύτας διαθέσεις, οὐ μαλακόν. εἰ δὲ ἅμα τε μαλακὸν εἴη, καὶ θερμὸν ὁμαλῶς, ἀρίστην ἐνδείκνυται διάθεσιν τοῦ σώματος.

Ἐκ τῆς κινήσεως τοῦ ἀλγέοντος προγνωστικόν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ 5.

Στρέφεσθαι δὲ χρὴ ῥηϊδίως τὸν ἀλγέοντα, καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κεφάλαιον μὲν ἁπάσης προγνώσεώς ἐστι τῶν τεθνηξομένων, καὶ σωθησομένων ἡ παραβολὴ τῆς τοῦ νοσήματος ἰσχύος, πρὸς τὴν τοῦ κάμνοντος δύναμιν. ἰσχυροτέρου μὲν γὰρ ὄντος τοῦ νοσήματος, τεθνήξεται πάντως ὁ ἄνθρωπος. εἰ δ' ἀσθενέστερον εἴη τῆς τοῦ κάμνοντος δυνάμεως, οὐκ ἂν ἀποθάνοι, μηδενὸς ἁμαρτηθέντος· καὶ τοῦτο τὸ κεφάλαιον αὐτὸς ἔγραψε κατὰ τὸν ἀφορισμόν, οὗ ἡ ἀρχή· συντεκμαίρεσθαι δὲ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἐξαρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου. τὸ μὲν οὖν κεφάλαιον τοῦτο, τῆς προγνωστικῆς θεωρίας ἐστίν. οὐσῶν δὲ δυνάμεων τριῶν κατὰ γένος ἐπὶ τρισὶν ἀρχαῖς, ἐγκεφάλῳ, καὶ καρδίᾳ, καὶ ἥπατι, διὰ τῶν ἐνεργειῶν ἑκάστης αὐτῶν, ἥ τε ἀρρωστία, καὶ ἡ ῥώμη γνωρίζεται. ἐνέργειαι δὲ τῆς μὲν κατὰ τὸν ἐγκέφαλον ἀρχῆς, αἱ μὲν ἡγεμονικαί, κατά τε μνήμας γίνονται, καὶ διαλογισμούς. αἱ δ' ὑπηρετικαί, κατά τε τὰς αἰσθήσεις, καὶ τὰς καθ' ὁρμὴν κινήσεις. τῆς δὲ κατὰ τὴν καρδίαν, αἱ διὰ τῆς τῶν ἀρτηριῶν κινήσεως. τῆς δὲ κατὰ τὸ ἧπαρ, αἱ περὶ τὸ αἷμα καὶ τοὺς χυμούς. εἰς ταῦτ' οὖν τὰ κεφάλαια τῆς προγνωστικῆς θεωρίας τεμνομένης, ὅ τι περ ἂν ὑφ' Ἱπποκράτους ῥηθῇ σημεῖον, ἐπισκοπεῖσθαι τίνος ἐστὶ γένους. δῆλον καὶ νῦν ἐστι τοῦ ῥᾳδίως στρέφεσθαι τὸν κάμνοντα, καὶ διανιστάμενον ἐλαφρὸν ἑαυτῷ φαίνεσθαι. γνωρίσματα γάρ ἐστι ταῦτα, τῆς καθ' ὁρμὴν κινούσης τὸ σῶμα δυνάμεως. ἴσμεν δ' ὅτι καθ' ὁρμήν, ἢ κατὰ προαίρεσιν, ἢ βούλησιν ὀνομάζειν, οὐδὲν εἰς τὰ παρόντα διαφέρει· τούτου τοῦ γένους ἦν, καὶ τὰ περὶ τῆς κατακλίσεως ἔμπροσθεν εἰρημένα κατὰ τὴν ῥῆσιν, ἧς ἡ ἀρχή· κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα. δείκνυσι μὲν γὰρ ὅτι ἡ τοιαύτη κατάκλισις, ὥσπερ καὶ ἡ ἀνάρροπος, ἐνεργούντων γίνεται τῶν μυῶν. ὀνομάζειν δὲ αὐτὴν εἰώθασι τονικήν. εἴρηται δὲ περὶ αὐτῆς ἐπιπλέον, ἐν τοῖς περὶ μυῶν κινήσεων. ἔλεγε δὲ καὶ ὁ Διοκλῆς, ὅτι τὰ σώματα τῶν ζώων συνέστηκεν ἐκ τοῦ φέροντος καὶ τοῦ φερομένου. φέρον οὖν ἐστιν ἡ δύναμις, φερόμενον δὲ τὸ σῶμα. καθάπερ οὖν οἱ βαστάζοντες φορτίον, ἤτοι βαρυνόμενοι πρὸς αὐτοῦ κινοῦνται μόλις, ἢ κοῦφον εἶναι νομίζοντες, ἀλύπως φέρουσιν· οὕτω καὶ ἡ δύναμις, ἡ μὲν ἰσχυρά, ῥᾳδίως τὸ βάρος τοῦ σώματος φέρει, ὡς μηδὲν εἰς τὰς κινήσεις τοῦ σώματος βλάπτεσθαι· ἡ δ' ἀσθενὴς βαρυνομένη, μόγις ἐξαίρει τὰ μόρια τοῦ σώματος.

Ἐκ βαρύτητος τῶν μορίων τὸ προγνωστικόν.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΆΤΟΥΣ ζ'.

Εἰ δὲ βαρὺς ἐὼν φαίνοιτο τό τε ἄλλο σῶμα, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας, ἐπικινδυνώτερον ἐστιν.

ὙΠΌΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπιχειροῦντι κινεῖσθαι τὰς κατὰ προαίρεσιν ἐνεργείας, ἡ τῶν μορίων βαρύτης καταφανὴς γίνεται. σκελῶν μὲν ἐν τῷ διανίστασθαι, καὶ βαδίζειν, ἢ καὶ μεταφέρειν ὅλως αὐτὰ πειρᾶσθαι κατακείμενον, οὕτω δὲ καὶ χειρῶν ἐν τῷ λαμβάνειν τι, καὶ μεθιέναι, καὶ μεταφέρειν ἐπιχειρεῖν, ὡσαύτως καὶ τῶν κατὰ τράχηλον, καὶ ῥάχιν ἐν τῷ μετασχηματίζειν ἐπιχειρεῖν τὸ σῶμα κατὰ ταῦτα τὰ μόρια. καὶ μέγιστόν γε τοῦτ' ἐστι, καὶ κυριώτατον ἀρρωστίας δυνάμεως σημεῖον, ἡ βαρύτης τῶν μορίων, οὐ πάσης, ὡς εἴρηται πρόσθεν, ἀλλὰ τῆς κατὰ μόνα τὰ νεῦρα, καὶ τοὺς μῦς.

Ex partium grauitate prognosticum.

SENTENTIA HIPPOCRATIS 7.

SIn autẽ tũ reliquũ corpus, tũ manus, pedésque graues esse videatur, maius periculũ est.

COMMENTARIVS GALENI.

QVum æger voluntarias actiones obire conatur, partium grauitas tunc se manifestò prodit. Crurum quidem, ægro surgere cupiente, vel ambulare, vel ipsa etiam, dum iacet, transferre. Et manuum ad eundem modum, quum accipere aliquid, & dimittere, & loco mouere contendit. Æquè verò & colli, & spinæ dum molitur per has partes corpus in alium habitum inuertere. Est autem maximum, & præcipuum imbecillæ virtutis argumentum, partium grauitas, non omnis quidem, vt antè dictum est, sed eius modò, quæ in neruis, & musculis residet.

Τοὺς ὄνυχάς τε καὶ δακτύλους πελιδνοὺς γίνεσθαι, θανάσιμον.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΆΤΟΥΣ η'.

Εἰ δὲ καὶ πρὸς τῷ βάρει οἱ ὄνυχες, καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται, προσδόκιμος ὁ θάνατος παραυτίκα.

ὙΠΌΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δέδεικται μὲν δι' ἑτέρων ἡμῖν, ὅπως ἀλλήλαις αἱ διοικοῦσαι τὸ ζῶον δυνάμεις συναπόλλυνται, καὶ ὡς ἄχρις οὗ ἡτισοῦν αὐτῶν διασώζεται, ζῇ πάντως ὁ ἄνθρωπος. εἰρηκὼς οὖν ὁ Ἱπποκράτης γνωρίσματα τῆς καταλυομένης δυνάμεως, ὑφ' ἧς οἱ μύες κινοῦνται, νῦν αὖθις προστίθησιν ἑτέρας δυνάμεως σβεννυμένης ἴδια γνωρίσματα. τὸ γὰρ πελιδνοῦσθαι, σημεῖον τοῦ σβέννυσθαι τὴν ἔμφυτον θερμασίαν, ἥ τις ἀπὸ καρδίας ὁρμᾶται. διὰ τοῦτο τοιγαροῦν, οὐχ ἁπλῶς θάνατον ἔφησε δηλοῦν τὴν πελιδνότητα προσγινομένην τῷ βάρει τοῦ σώματος, ἀλλὰ παραχρῆμα, καὶ οὐκ εἰς ἀναβολὴν ἔσεσθαι τοῦτο. ἐπεὶ τῶν δυνάμεων ἀμφοτέρων νεκρουμένων, φαίνεται τὰ γνωρίσματα.

Vngues & digitos liuidos fieri, lethale.

SENTENTIA HIPPOCRATIS 8.

REs verò proxima iã periculo est, si præter grauitatẽ vngues digitiq; liuidi euaserint.

COMMENTARIVS GALENI.

QVòd quidem facultates, quæ vitam animalis moderantur simul intereant, & quandiu earum aliqua restat, superstitem prorsus esse hominem, alibi à nobis demonstratum est. Itaque post adducta exolutæ virtutis testimonia per quam musculi mouentur, nunc illis adiicit alterius facultatis extinctæ peculiares notas; liuiditas enim extincti caloris natiui, qui à corde proficiscitur, signum est. Quare non simpliciter ex liuiditate ad corporis grauitatem accedente, mortem portendi dixit, sed confestim, & absque mora id futurum, quòd iam vtriusque facultatis emortuæ manifesta signa appareant.

Πότερον μελαινόμενοι οἱ δάκτυλοι, καὶ οἱ πόδες ἧσσον ὀλέθριοι τῶν πελιδνῶν;

ῬΗΣΙΣ ἹΠΠΟΚΡΆΤΟΥΣ θ'.

Μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέθριοί τῶν πελιδνῶν εἰσιν. ἀλλὰ καὶ τὰ ἄλλα σημεῖα σκέπτεσθαι χρή. ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν, ἢ καὶ ἄλλο τι τῶν περιεστηκότων σημείων πρὸς τουτέοισι τοῖσι σημείοισι ἐπιδεικνύῃ, τὸ νούσημα ἐς ἀπόστασιν τρέπεσθαι ἐλπὶς, ὥστε τὸν μὲν ἄνθρωπον περιγενέσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν.

ὙΠΌΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐχ ἧσσον ὀλέθριοι τῶν πελιδνῶν, ἐχρῆν εἰπεῖν, ἀλλ' ὡς ἐνίοτε μὲν οὐδ' ὅλως, ἐνίοτε δὲ ἐσχάτως εἰσὶν ὀλέθριοι. καὶ ἴσως ἄν τις ὑπενόησεν ἀγνοεῖν αὐτὸν τοῦτο, διὰ τὸ μὴ κυρίως κεχρῆσθαι τῇ λέξει. προσθεὶς δὲ ἑξῆς τὸν διορισμὸν, καὶ διδάξας σαφῶς ἑκάτερον ὧν εἶπον, δῆλός ἐστι, γινώσκων μὲν τὸ ἀληθὲς, οὐκ ἀκριβῶς δὲ ἑρμηνεύσας. ἐνίοτε γὰρ ἀποσκήμ-

Vtrum digiti ac pedes nigri liuidis minus perniciosi.

SENTENTIA HIPPOCRATIS 9.

PEdes autem, digitique penitus nigri minus perniciosi sunt liuidis. Sed & alia signa cõsiderare conuenit. Nam si æger malũ leuiter ferre videatur, atq; signũ aliquod salubre præterea se ostẽtet, morbũ in abscessum versum iri spes est, ex quo homo quidẽ incolumis euadet, partes autem corporis, quæ nigredinẽ contraxere, decidẽt.

COMMENTARIVS GALENI.

NOn erat dicendum minus perniciosos esse liuidis, sed interdum quidem nullo modo, interdum verò maximè perniciosos esse. Quod tamen Hippocratem ignorasse fortè aliquis suspicabitur propterea, quòd dictione non propriè vsus sit. Verùm quum ipse postea distinctionem adiecerit, & apertè declarauerit vtrumque eorum, quæ dixi, palam est cognitam quidem ab eo veritatem fuisse, nec tamẽ disertè expressam. Nigrescit enim pars

pars aliqua aliàs fluxione in eum decumbente, aliàs verò extincto in ea calore. Quod quomodo deprehendi possit, manifestò ostendit. Nam si malum leuiter ferre videatur, hoc est, facilè æger toleret, vnáque aliud salutiferum signum accedat, defluxio est, sin autem contrà eueniat, demortuam partem esse indicium est.

De retractorum pudendorum signo.

SENTENTIA HIPPOCRATIS 10.

Testes, & pudenda retracta, vehementes dolores & mortis periculum significant.

COMMENTARIVS GALENI.

Videntur partes istæ tum dolore excruciatis, tum etiam morientibus conuelli. Neque id fieri sine ratione. Siquidem cùm facultas vitalis deperit, nec se potest eam ob rem ad extremas corporis partes extendere, sed perturbata, se ad suum principium recipit, necesse est vnà cum ipsa facultate partes quoque intrò se referre, & mediis corporis partibus adiungi. Quòd autem & dolores efficiant, vt se facultas in se ipsam contrahat, sæpe iam didicimus, vt non amplius dubitandum sit, etiam ob dolorem partes ad principium retrahi.

De somno secundum naturam, & consueto, optimo.

SENTENTIA HIPPOCRATIS 11.

Somnum inire oportet eodem modo, quo per naturam consueuimus, vt interdiu quidem vigilia, noctu verò somnus accedat. Quod si contrà fiat, malum est. Verùm minus incommodi attulerit, qui matutino tempore ad tertiam diei partem, deterior autem, qui ab eo tẽpore inuadit.

COMMENTARIVS GALENI.

Non solùm rectè de signis, quæ ex somno haberi possunt, Hippocrates dixit, verùm causam etiam ipsorum adiecit, omnium quidem, quæ prosunt causam ad naturalem habitum referens, contraria autem eam ob rem damnans, quòd præter naturam sint. Est autem & consuetudinis eadem ratio. Consuetum enim, bonum, malum verò quod præter consuetudinem est. Verùm Hippocratis seculo non aliud secundum naturam erat, & aliud ex consuetudine. Nunc cùm in aliis quibusdam, tum in somno præposterè diuites agunt. qui interdiu quidem dormiunt, noctes verò insomnes ducunt. Ergo in illis, vt qui præter naturam viuere consueuerint, non est verum quod nunc ab Hippocrate docetur. Consuetudo enim, istis quidem temporibus, non modò in diuitibus mulieribus, sed viris etiam non paucis, maioris est, quàm natura momenti.

Vigiliam, esse pessimum.

SENTENTIA HIPPOCRATIS 12.

Pessimum autem est, si somnus neque noctu, neque interdiu corripit. Id enim à dolore, laboréque prouenit, aut delirij futuri nota est.

ματος λόγῳ μελαίνεταί τι μόριον, ὁπότε δὲ, καὶ νεκρώσεως. ὅπως δὲ ἄν τις αὐτὸ τοῦτο διαγνοίη, σαφῶς ἐδήλωσεν. ἂν γὰρ εὐπετῶς φέρων φαίνηται τὸ κακὸν, τουτέστιν εὐφόρως ὁ κάμνων ἔχῃ, καί τι ἄλλο σημεῖον αὐτῷ παρῇ τῶν σωτηρίων, ἀποσκήμματά ἐστιν. εἰ δὲ τὰ ἐναντία, νέκρωσις.

Περὶ αἰδοίων ἀνεσπασμένων σημειώσεως.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ι'.

Ὄρχιες δὲ, καὶ αἰδοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει, καὶ κίνδυνον θανατώδεα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Φαίνεται τοῖς ὀδυνωμένοις ἀνασπώμενα ταῦτα τὰ μόρια, καθάπερ καὶ τοῖς ἀποθνήσκουσι, καὶ λόγον ἔχει. νεκρουμένης γὰρ ἤδη τῆς ζωτικῆς δυνάμεως, καὶ διὰ τοῦτ' αὐτὸ, ἀποτείνεσθαι μέχρι τῶν περάτων τοῦ σώματος ἀδυνατούσης. ὀκλαζούσης δὲ, καὶ ἐπὶ τὴν ἑαυτῆς ἀρχὴν συναγομένης, ἀναγκαῖόν ἐστιν ἕπεσθαι καὶ τὰ μόρια τῇ δυνάμει, καὶ συνέρχεσθαί τε, καὶ συνάπτεσθαι πρὸς τὰ μέσα τοῦ σώματος. ὅτι δὲ καὶ οἱ πόνοι συστολὴν ἐργάζονται τῆς δυνάμεως εἰς ἑαυτὴν, ἐμάθομεν ἤδη πολλάκις, ὥστε εἰκότως, καὶ δι' ἐκείνους ἀνασπᾶσθαι τὰ μόρια πρὸς τὴν ἀρχήν.

Περὶ ὕπνου τοῦ κατὰ φύσιν, καὶ τοῦ συνήθεος, ἀρίστου.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ια'.

Περὶ δὲ ὕπνων, ὥσπερ καὶ κατὰ φύσιν ξυνήθες ἡμῖν ἐστι, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρὴ, τὴν δὲ νύκτα, καθεύδειν. ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον. ἥκιστα δ' ἂν λυπέοιτο, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης. οἱ δ' ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι, πονηρότεροί εἰσι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ μόνον ὀρθῶς ἀπεφήνατο περὶ τῶν κατὰ τοὺς ὕπνους σημείων, ἀλλὰ καὶ τὴν αἰτίαν προσέθηκεν αὐτοῖς, εἰς μὲν τὸ κατὰ φύσιν, ἀναφέρων ὅσα χρηστά· τὰ δὲ ἐναντία, διότι παρὰ φύσιν εἰσὶ, διὰ τοῦτο μεμψάμενος. οὕτω δὲ καὶ κατὰ τὸ ἔθος ἔχει. τὸ μὲν γὰρ συνήθες, ἀγαθόν· τὸ δὲ ἀσυνήθες μοχθηρόν. ἀλλ' ἐπὶ τῶν Ἱπποκράτους χρόνων, οὐκ ἄλλο μὲν ἦν τὸ κατὰ φύσιν, ἄλλο δὲ τὰ ἔθη. νυνὶ δ' ἔμπαλιν, οἱ πλούσιοι δρῶσιν, ἐν ἄλλοις τέ τισι, καὶ κατὰ τοὺς ὕπνους. τῆς μὲν ἡμέρας κοιμώμενοι, νύκτωρ δὲ ἐγρηγορότες. ἐπὶ τούτων οὖν, ὡς ἂν παρὰ φύσιν εἰθισμένων ζῆν, οὐκ ἀληθής ἐστιν ἡ εἰρημένη πρὸς Ἱπποκράτους διδασκαλία. κυριώτερον γὰρ ἔν γε τοῖς νῦν χρόνοις ἐστὶ τὸ ἔθος τῆς φύσεως, οὐκ ἐπὶ τῶν πλουσίων γυναικῶν μόνον, ἀλλὰ καὶ ἀνδρῶν οὐκ ὀλίγων.

Ἀγρυπνίαν, τὸ κάκιστον εἶναι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιβ'.

Κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης, ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνίη, ἢ παραφροσύνη ἔσται ἀπὸ τουτέου τοῦ σημείου.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μήτε ἡμέρας, μήτε νυκτὸς κοιμᾶσθαι, τοῖς κατατεινομένοις ὑπό τινος ὀδύνης τε, καὶ πόνου γίνεται, καὶ τοῖς ἀρχομένοις παραφρονεῖν. ἀγρυπνίας γάρ ἐστι καὶ αὕτη ποιητική, διὰ ξηρότητα τῆς κατὰ τὸν ἐγκέφαλον κράσεως.

Περὶ διαχωρημάτων ἀρίστων τῶν τὴν κοιλίαν ὑγιαίνειν σημαινόντων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιγ'.

Διαχώρημα δὲ ἄριστόν ἐστι, τὸ μαλθακόν τε, καὶ ξυνεστηκὸς, καὶ τὴν ὥρην, ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει, πλῆθος δὲ, πρὸς λόγον τῶν εἰσιόντων. τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΠΟ συστάσεως, καὶ ποσότητος, καὶ χρόνου, καθ' ὃν ἐκκρίνεται τὰ διαχωρήματα, τὴν διάγνωσιν ἐποιήσατο τῶν ἀρίστων διαχωρημάτων. οὐ μὴν τῶν γε κακίστων, ἀπὸ τούτων μόνων, ἀλλὰ προσέθηκεν αὐτοῖς, τά τε ἀπὸ τῆς χρόας γνωρίσματα, καὶ τὰ ἀπὸ τῆς ὀσμῆς, ἔτι τε πρὸς τούτοις, τοῦ κατὰ τὴν ἀπόκρισιν συνεζευγμένου ψόφου. σύστασιν μὲν οὖν ἔχει τὴν κατὰ φύσιν, ὅσα μήτε σκληρὰ παντελῶς ἐστιν, ὡς λιθώδη, μήθ' ὑγρὰ τελέως, ὡς δύνασθαι διαῤῥεῖν, ἀλλὰ μέχρι τοσούτου μαλακά, μέχρι τοῦ μένειν ἔτι συνεστῶτα. ἔστω δ' αὐτῶν καὶ τὸ πλῆθος ἀνάλογον τῶν ἐδηδεσμένων, καὶ ὁ χρόνος ἐν ᾧ κενοῦνται, συνήθης τῷ κάμνοντι. προσκείσθω δὲ, ὅτι καὶ ἡ χροιά, καὶ ἡ ὀσμὴ φυλαττέσθω τὴν κατὰ φύσιν, ἅπερ αὐτὸς ὁ Ἱπποκράτης οὐ προσέγραψεν, ὡς ἐξ ὧν εἶπε παρὰ φύσιν, ἐπινοῆσαί σοι δυναμένῳ καὶ ταῦτα, συνήθες γὰρ αὐτῷ τοῦτο πολλάκις ἐδείξαμεν ὄν, ἐκ τῶν ἐναντίων ἐνδείκνυσθαι τὰ ἐναντία, παραλείποντι τὰς προσηγορίας αὐτῶν. ὑγιαίνειν δὲ τὴν κάτω κοιλίαν εἶπεν, ὡς πρὸς τὸν θώρακα παραβάλλων, ἵνα ἀκούσωμεν αὐτήν τε τὴν γαστέρα, καὶ τὴν νῆστιν ἅμα τῷ μετ' αὐτὴν ἐντέρῳ παντὶ, κάτω κοιλίαν. οὐ μὴν εὐθέως παρὰ φύσιν ἔχειν αὐτὴν ἐνδείξεται τἀναντία διαχωρήματα. τοῦτο γὰρ οὔτ' αὐτὸς εἶπεν, οὔτ' ἄλλως ἀληθές. ἐγχωρεῖ γοῦν, ὑγιαίνειν μὲν τὰ κατὰ τὴν κάτω κοιλίαν. ἤτοι δ' ἐξ ἥπατος, ἢ σπληνὸς, εἰς αὐτήν τι συῤῥέον, ἀλλοιοῦν οὐ μόνον τὸ χρῶμα τὸ κατὰ φύσιν, ἀλλὰ καὶ τὴν σύστασιν καὶ τὴν ὀσμὴν τῶν διαχωρουμένων. ὑπαλλαχθήσεται δ' ἐνίοτε καὶ τὸ πλῆθος αὐτῶν, ἐπιμιξίᾳ τῶν καταῤῥεόντων ὑγρῶν. οὐ φυλαχθήσεται δὲ οὐδ' ὁ συνήθης χρόνος τῆς ἀποκρίσεως. τὸ μὲν οὖν ὁμοιότατον τῷ κατὰ φύσιν διαχωρήματι, γνώρισμά ἐστιν οὐ μόνον τοῦ τὴν κάτω κοιλίαν ὑγιαίνειν, ὅπερ εἶπεν αὐτὸς, ἀλλὰ καὶ τοῦ, μηδὲν ἐκ τῶν εἰρημένων σπλάγχνων καταῤῥεῖν εἰς αὐτήν. τὸ δὲ παρὰ φύσιν ἔχον, ἔσθ' ὅτε μὲν αὐτὰ μόνα τὰ κατὰ τὴν κοιλίαν, ἐνδείκνυται πεπονθέναι. πολλάκις δὲ, καὶ τῶν ἄλλοθεν εἰς αὐτὴν συῤῥεόντων, ἔχει γνωρίσματα. καὶ πολυειδῆ γε ταῦτα, τῷ τὸ ἧπαρ οὐ μόνον ἑαυτοῦ τινα περιττώματα, καὶ ἰχῶρας, καὶ χυμοὺς, παρὰ φύσιν εἰς τὴν γαστέρα παραπέμπειν, ἀλλὰ καὶ τοῦ σώματος ὅλου. συνάπτεται γὰρ ἡ γαστὴρ δι' αὐτοῦ, πᾶσι τοῖς τοῦ ζώου μορίοις, καὶ δέχεται δι' ἐκείνου τὰ περιττώματα αὐτῶν. ἐνίοτε μὲν ὡς ἀποσκήμματα τὸ σύμπαν ἐκκαθαίροντα σῶμα, ἐνίοτε δὲ μορίου ἑνὸς, ἢ δυοῖν, ἢ πλειόνων ἅμα. πολλάκις δὲ ὡς συμπτώματα δηλωτικὰ τῶν παθημάτων, ἤτοι τοῦ σύμπαντος σώματος, ἢ μορίου τινὸς, ἢ τινῶν. προσέχωμεν τοίνυν ἐφεξῆς τοῖς λόγοις αὐτοῦ, περὶ τούτων διδάσκουσιν.

COMMENTARIVS GALENI.

NEque interdiu, neque noctu dormiunt, qui dolore aliquo diuexantur, quíque delirare incipiunt. Nam & delirium, ob siccum cerebri temperamentum, vigilias solet excitare.

De deiectionibus optimis, quæ aluum sanam esse significant.

SENTENTIA HIPPOCRATIS 13.

ALui excrementum optimum est, quod reddit venter molle, concretum, eodẽ ferè tempore, quo secunda valetudine assueuit, modóque conueniens his, quæ assumuntur. Talis enim deiectio inferiorem ventrem valere ostendit.

COMMENTARIVS GALENI.

DEiectionem optimam ab excrementorum concretione, & modo, & tempore, quo reddi solent, iudicat. Pessimam verò non ab his quidem solis, sed à colore etiam, & odore, & sono insuper, quem, dum excernitur, emittit. Concretionem igitur habent, eam quidem, quæ secundum naturam est, quæcunque nec prorsus dura sunt, velut lapidea, nec admodum liquida, vt diffluere possint, sed eatenus mollia, vt adhuc compacta permaneant. Esto autem & eorum modus his, quæ assumpta sunt, conueniens, ac tempus etiam, quo æger excernere consueuit. Adsint quoque & color, & odor qualis secundum naturam esse solet, quæ etsi Hippocrates disertè non expresserit, facilè tamen potes, ex iis notis, quas præter naturam esse dixit, intelligere. Id enim illi familiare esse sæpe à nobis ostensum est, vt ex contrariis, contraria, quorum nomina prætermiserit, indicet. Porrò inferiorem ventrem valere dixit, ad differentiam pectoris, vt nomine inferioris ventris, tum ipsum ventriculum, tum ieiunum, reliquaque intestina omnia audiamus. Veruntamen si fortè aliter reddita sit deiectio, non est protinus iudicandum præter naturam esse. Id enim nec ipse censet, nec est alioqui verum. Valere siquidem potest venter inferior, & tamen ex iecinore aut liene aliquid in eum deferri, à quo non ipse modò color, qui secundum naturam est, verùm etiam concretio, odórque excrementorum vitiatur. Quin & modus eorum sæpe non seruabitur, in mixtis aliis, qui affluunt humoribus. Vnde fieri quidem potest, vt nec illo etiam tempore ea reddat aluus, quo assueuerat. Itaque alui deiectio naturali quàm simillima, non ventrem modò inferiorem optima sanitate frui ostendit, sicut ipse dixit, sed nihil etiam ex illis visceribus in ipsum regurgitare. At quæ contra naturam est, significat quidem aliquando ventrem duntaxat affectum esse, sæpe verò confluentis in eum aliundè humoris notas habet. Et varia quidem eiusmodi deiectio est, propterea quòd iecur non sua modò excrementa, & saniem humorésque quos præter naturam continet, in ventrem refundit, sed vniuersi etiam corporis. Nam per ipsum venter omnibus corporis partibus annexus est, perq; ipsum eorum excrementa recipit, aliàs quidem decumbentis in eum fluxionis modo totum corpus expurgantia, aliàs verò ab vna parte, aut duabus, aut pluribus simul prodeuntia, sæpe verò tanquam symptomata, quæ vel corporis totius, vel partis alicuius, aut etiã pluriũ affectus testẽtur. Iam ergo animũ iis, quę deinceps de istis docet, aduertam⁹.

De

A

De malis ac periculosis deiectionibus.

SENTENTIA HIPPOCRATIS 14.

Verùm si alui excrementum liquidum est, id nec stridere, nec crebrò, & paulatim excerni expedit. Fessus enim homo ex continua exurrectione succumbens insomnis fit. si verò affatim sepe deijciat, defectus animi periculum est.

COMMENTARIVS GALENI.

Nemo est qui dubitet deiectionem liquidam fore, quum vel è ventre in iecur digestum non est alimentum, vel ex iecinore, aut liene humoris aliquid excrementitij in ipsum confluxerit. Sed commodum quidem id esse potest, si aut iecur, aut lien, & vniuersum corpus per iecur expurgetur. Incommodum autem, si id velut symptoma acciderit, non probè digesto cibo, vel humoribus, qui a iecinore in ventrem dilabuntur vitio aliquo infectis. Ea autem ipse discernes si non strideat, quod Hippocrates τρύζειν dixit, quod quidem, & cum σ & sine eo scribi potest, éstque verbum, vtrouis scribatur modo, à sono, qui editur, effictum. Adhæc si non cumulatè, & paulatim descenderit. Nam quæ sic exeunt, rationem habent symptomatis. Quæ verò longiori mora interposita cumulatè excernuntur, sæpenumero vtiliter excerni solent, quum natura ea modo, aut qualitate superflua deponit, aut totum animal, vel aliquam ipsius familiarem portionem vacuat siue expurgat. Voco autem familiarium quidem vacuationem, quando copia exuperant, Purgationem verò, eorum, quæ sunt aliena qualitate. Cæterùm eiusmodi deiectionibus alia quædam superueniunt, quæ his verbis declarauit Hippocrates. *Labor enim, qui hominem crebrò è cubili surgentem fatigat, vigilias inducit.* Quinetiam plurima sæpe excernere non probat, quòd inde vires exoluantur. Raro enim eiusmodi vacuationes frugiferæ sunt, quibus scilicet virium resolutio, quæ nunquam bona fuit, coniuncta est, æquè ac immoderatis, etiam si criticæ fuerint, sanguinis eruptionibus.

Deiectionum modus, tempus, & mensura.

SENTENTIA HIPPOCRATIS 5.

Sed oportet pro assumptorum copia, aut bis, aut ter interdiu deijcere, & noctu semel. Sed manè plurimum, vt naturalis homini consuetudo est.

COMMENTARIVS GALENI.

Et hoc quidem antè scripserat. Verùm præstaret ipsum de iis, quæ criticè quidem, sed cumulatè excernuntur hoc loco dixisse idem, quod ego modò dixi. Nec verò probare possum, quod scripsit, *Bis aut ter interdiu & semel noctu* & quæ postea subiunxit, quia superflua sint. Satis enim erat id modò dixisse, quod est positum ab eo in fine sententiæ, vt homini cõsuetudo erat, quod quidem in quibusdam codicibus scriptum inuenitur cum verbo ὑπείτω, in aliis verò absque eo, hunc in modum, πλέον ὑπὸ τὸ πρωῒ ὥσπερ σύνηθες ἦν τῷ ἀνθρώπῳ. i. *plus matutino tẽpore, vt hõi consuetudo erat.*

Περὶ πονηρῶν τε καὶ κινδυνωδέων διαχωρημάτων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιδ'.

Ἢν δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τι εἴη καὶ κατ' ὀλίγον ὑποχωρέειν. κοπιῶν γὰρ ἄνθρωπος ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσεως, ἀγρυπνοίη ἄν. εἰ δὲ ἀθρόον πολλάκις διαχωρέει, κίνδυνος λειποθυμῆσαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B

Ὅτι μὲν διὰ τὸ μὴ γεγλυῆσθαι τὴν ἐκ τῆς κοιλίας εἰς ἧπαρ ἀνάδοσιν, ἢ διὰ τὸ κατερρυηκέναι τι τῶν ἐξ ἥπατος, ἢ σπληνὸς περιττωμάτων εἰς αὐτήν, ὑγρὸν ἔσται τὸ διαχώρημα, πρόδηλον· ἀλλ' ἐγχωρεῖ μὲν τὸ τοιοῦτον, ἀγαθὸν μὲν ὑπάρχειν, ἐὰν ἐκκαθαίρηται τὸ ἧπαρ, ἢ ὁ σπλήν, καὶ τὸ σύμπαν σῶμα δι' ἥπατος. οὐκ ἀγαθὸν δ', ὅταν ἐν συμπτώματος λόγῳ γένηται, τῆς ἀναδόσεως ἀτυχηθείσης, ἢ τῶν ἐξ ἥπατος ἰόντων εἰς γαστέρα, διαθέσεως οὐκ ἀγαθῆς ἐχόντων γνωρίσματα. διορισμὸς δὲ τούτων ἐστίν, εἰ μή γε τρύζει. γέγραπται δὲ καὶ μετὰ τοῦ σίγμα, καὶ χωρὶς τοῦ σίγμα τοὔνομα, καθ' ἑκατέραν γραφήν, ἀπὸ τοῦ γινομένου ψόφου πεποιημένον. ἔτι τε εἰ μὴ πυκνῶς, καὶ κατ' ὀλίγον διαχωρέοι. τὰ γὰρ οὕτω διαχωροῦντα, συμπτώματος λόγον ἔχει. τὰ δὲ διὰ χρόνου πλείονος ἀθροώτερα, πολλάκις ἀγαθῆς ἐκκρίσεως γνωρίσματά ἐστιν, τῆς φύσεως ἀποτιθεμένης τὰ περιττά, κατὰ πλῆθος, ἢ ποιότητα, ἢ τὸ σύμπαν ζῶον, ἢ ἕν τι μόριον αὐτοῦ κενούσης, ἢ καθαιρούσης. ὀνομάζω δὲ κένωσιν τὴν τῶν οἰκείων, ὅταν ὑπερβάλλῃ τῷ πλήθει. κάθαρσιν δὲ τὴν τῶν ἀλλοτρίων κατὰ ποιότητα. συνακολουθεῖ δὲ καὶ ἄλλα τινὰ τοῖς τοιούτοις διαχωρήμασιν, ὧν ἐμνημόνευσεν ὁ Ἱπποκράτης εἰπών. κοπιῶν γὰρ ὁ ἄνθρωπος, ὑπὸ τῆς συνεχοῦς ἐξαναστάσιος, ἀγρυπνοίη ἄν. καὶ μὲν δὴ καὶ τὸ πολὺ πολλάκις ἐκκρίνειν, ὡς καταλυτικὸν τῆς δυνάμεως μέμφεται. καὶ γὰρ σπανίως ποτὲ γίνονται ἐκκρίσεις ἀγαθαὶ τοιαῦται. τὸ γὰρ καταλύεσθαι τὴν δύναμιν, οὐκ ἀγαθὸν ὄν, αὐταῖς συνέζευκται. καθάπερ καὶ ταῖς κριτικαῖς μέν, ἀμέτροις δ' αἱμορραγίαις.

Ὁ τῶν διαχωρημάτων τρόπος, καὶ χρόνος, καὶ τὸ μέτρον.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιε'.

Ἀλλὰ χρή, κατὰ τὸ πλῆθος τῶν εἰσιόντων, ὑποχωρέειν δὶς ἢ τρὶς τῆς ἡμέρης, καὶ τῆς νυκτὸς ἅπαξ. πλεῖστον δ' ὑπείτω τῷ πρωΐ, ὥσπερ κατὰ φύσιν συνήθες ἐστὶ τῷ ἀνθρώπῳ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο μὲν καὶ πρόσθεν ἐγεγράφει. βέλτιον δ' ἦν αὐτὸν εἰρηκέναι νῦν, τὸν περὶ τῶν κριτικῶν μέν, ἀθρόως δὲ ἐκκρινομένων λόγον, ὃν ἐγὼ διῆλθον ἄρτι. μέμφομαι δὲ ὡς περιττά, τὸ δὶς ἢ τρὶς τῆς ἡμέρας, καὶ τῆς νυκτὸς ἅπαξ, ὅσα τἄλλα πρὸς τούτοις ἔγραψεν. ἤρκει γὰρ μόνον εἰπεῖν, ὥσπερ συνήθες ἦν τῷ ἀνθρώπῳ, κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ὑπ' αὐτοῦ γεγραμμένον. ἔν τισι μὲν ἀντιγράφοις, μετὰ τοῦ ὑπείτω, κατ' ἔνια δέ, καὶ χωρὶς τούτου κατὰ τοῦτον τὸν τρόπον, πλέον ὑπὸ τὸ πρωΐ, ὥσπερ συνήθες ἦν τῷ ἀνθρώπῳ.

διαφέρει δὲ οὐδὲν, ἢ οὕτως, ἢ ἐκείνως γεγράφθαι, φυλάττεται γὰρ ἑκατέρως, ἄριστον εἶναι τὸ συνηθέστατον.

Verùm nihil interest hoc an illo modo scriptum sit, Seruatur enim vtrobique eadem sententia, optimum id esse cui maximè assueuimus.

Παχύνεσθαι τὰ πρὸς κρίσιν διαχωρήματα.

Deiectiones ad crisin crassiores fieri.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιϛ΄.

Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου.

SENTENTIA HIPPOCRATIS 16.

Crassiorem autem fieri deiectionem oportet procedente ad crisin morbo.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Παχύνεσθαι δηλονότι, τὸ ὑδατῶδες καὶ λεπτὸν, οὐ τὸ παχὺ, καὶ σκληρόν. ὥστ' ἂν εἴη ὁ λόγος αὐτῷ περὶ τῶν ἐξ ἀρχῆς ὑγρὰ διαχωρούντων. ἴδιον δὲ τοῦτο βραχυλογίας παλαιᾶς, καὶ μάλιστα συνήθες Ἱπποκράτους, τὸ διὰ τῶν ἀντικειμένων ἐνίοτε συνενδείκνυσθαί τινα, παραλείποντα μνημονεύειν αὐτῶν ὀνομαστί.

COMMENTARIVS GALENI.

Crassius quidem esse oportet id, quod aquosum dilutúmque, non quod crassum, durúmque erat. Itaque de iis nunc loquitur, qui incipiente morbo liquida deiiciunt. Verùm id antiquæ breuitatis est, & maximè Hippocrati familiare, vt quæ ipse nominatim non expresserit, per opposita nonnunquam significet.

Ὑπόπυῤῥα δὲ μὴ δυσώδεα πρὸς κρίσιν διαχωρήματα.

Deiectiones subfuluæ, nec ad crisin graueolentes.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιζ.

Ὑπόπυῤῥον δὲ ἔστω, καὶ μὴ λίην δυσῶδες.

SENTENTIA HIPPOCRATIS 17.

Sit etiam subfulua, neque admodum graueolens deiectio.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔπρεπε τοῦτον τὸν λόγον κατὰ τὴν ἀρχὴν εἰρῆσθαι, τῆς περὶ τῶν διαχωρημάτων διδασκαλίας, ὡς γίνεσθαι τὴν ῥῆσιν τοιαύτην. διαχώρημα δ' ἄριστόν ἐστι μαλθακόν τε καὶ συνεστηκὸς, καὶ τὴν ὥραν, ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει. πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων, ὑπόπυῤῥον δ' ἔστω καὶ μὴ λίαν δυσῶδες. ἵνα, ὡς ἔφην ὀλίγον ἔμπροσθεν, τήν τε σύστασιν αὐτοῦ, καὶ τὸ πλῆθος, καὶ τὸν καιρὸν τῆς ἀποκρίσεως, ἔτι τε τὰς ποιότητας ἀμφοτέρας, τήν τε ὁρατὴν καὶ τὴν ὀσφρητὴν, ᾖ διωρισμένος. ὅτι δὲ, τὸ κατὰ φύσιν ὑπόπυῤῥόν ἐστι, δεχόμενον τὴν ἐξ ἥπατος εἰς γαστέρα καταῤῥέουσαν χολὴν, σύμμετρον μὲν τῇ ποιότητι, ὀλίγην δὲ τῇ ποσότητι, πρόδηλόν τέ ἐστι, καὶ πᾶσιν ἰατροῖς ὁμολογούμενον. ἐὰν γὰρ ἄκρατος ἡ χολὴ καταῤῥέῃ, ξανθὸν ἢ πυῤῥὸν ἐργάζεται, μηδ' ὅλως ἀφικνουμένης αὐτῆς εἰς τὰ ἔντερα ὡς ἐπὶ τῶν ἰκτεριώντων, λευκὸν ἔσται τὸ διαχώρημα.

COMMENTARIVS GALENI.

Decebat hæc principiò dicta esse, quum de alui excrementis disserebat, & hunc in modum scribere. Excrementum optimum est, quod reddit venter molle, concretum, eodem ferè tempore, quo secunda valetudine assueuit, modóque conueniens his, quæ assumuntur, atque item subrufum, nec fœdi multum odoris. Vt, quemadmodum ego dicebam, ipsorum concretionem, & modum, & vacuationis tempus & vtrasque qualitates, quæ tum visu tum odore sentiuntur, simul definiret. Quòd verò secundum naturam se habens excrementum subrufum sit, bilem, quæ à iecinore in ventrem confluit, qualitate quidem moderatam, & quantitate exiguam excipiens, medicis omnibus apertum confessumque est. Nam si meracior, vel copiosior affluxerit, flauum aut rufum efficit. Sin autem nullo modo feratur in intestina, id quod descendit album erit, sicut in iis cernitur, qui regio morbo laborant.

Περὶ ἑλμίνθων στρογγύλων προγνωστικόν.

De teretibus lumbricis prognosticon.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιη΄.

Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας συνεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς τὴν κρίσιν ἰούσης τῆς νούσου.

SENTENTIA HIPPOCRATIS 18.

Sed & lumbricos teretes morbo iudicium subeunte, vnà cum excrementis prodire, vtile fuerit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν δὲ καὶ ταύτας ἡ φύσις ἅμα τοῖς ἄλλοις περιττοῖς ὠθῇ κάτω, βέλτιόν ἐστιν ἤπερ ἄνω. καὶ ὅταν ἄλλοις ἐπιφαίνονται, λόγῳ συμπτώματος. Εἴρηται δὲ ἐπὶ πλέον ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασιν, ἡ διαφορὰ πᾶσα τῶν κρισίμως ἐπιφαινομένων.

COMMENTARIVS GALENI.

Qvandò vnà cum reliquis excrementis lumbricos quoque istos natura deorsum pessundat, melius est, quàm si per superiora reiiciat. & simul cum aliis se prodant, vt symptomata. Verùm fusius in libris, qui de Crisibus conscripti sunt, differentiam omnem eorum, quæ criticè proueniunt exposuimus.

De proba ventris affectione.

SENTENTIA HIPPOCRATIS 19.

IN omni autem morbo ventrem mollem esse & proba mole donatum oportet.

COMMENTARIVS GALENI.

MOlle intento, aut pleno, modicè tumidum emaciato opponitur, vt primùm quidem eorum, quæ intra ventrem, alterum autem ventris ipsius habitum declaret, perinde ac si ita loquutus esset. In omni morbo vacuum iusto modo ventrem esse oportet, ipsum autem sua substantia modicè tumidum, nec nimis extenuatum.

Malarum deiectionum signa.

SENTENTIA HIPPOCRATIS 20.

AT valde aquosum, aut album, aut ex viridi pallidum, aut vehementer rubrum, aut spumans deijcere, mala hæc omnia.

COMMENTARIVS GALENI.

QVod descendit perliquidum, cruditatis signum est; Albidum autem, sicut dictum iam antè est, nihil pallidæ bilis à iecinore in partes ad ventrem attinentes descendisse significat. Quod verò colorem eum habet, quem χλωρὸν dicunt, quoniam id duorum colorum, sicut antè diximus, nomen est, altera quidem significatione pallidam bilem affatim immixtam esse, altera verò æruginosam denotat. Porrò spumans, aliàs quidem spiritum flatuosum humori vix solubili mixtum esse, aliàs verò caloris copiam ostendit. Nam in rebus etiam externis sic fieri animaduertimus, in mari quidem ob ventorum impetus, in lebetibus autem, qui aliquid coquunt, à multo calore.

De prauis deiectionibus.

SENTENTIA HIPPOCRATIS 21.

SEd malum quoque est, & exiguum & glutinosum, & album, & subpallidum & læue.

COMMENTARIVS GALENI.

DVas hoc loco excrementorum species explicat, quarum vtraque quidem ex colliquatione prouenit, differunt autem inter se, quòd exigua & glutinosa, & alba deiiciuntur, pinguedine à calore quidem igneo, sed non admodum maligno, liquata, subpallidum autem, & læue id, quod excernitur est, pinguedine quidem etiam liquata, sed vel propter calorem longè vehementiorem, vel quòd pinguedo ipsa vetus sit, & quodammodo semiputris. Nam non ipsa modò pinguedo, verùm etiam seuum temporis spatio pristinum suum colorem mutare, & subpallida fieri manifestò videntur. At si quidem id, quod descendit subpallidum fuerit propter æruginosam bilem (nàm vt ostēdimus id alterum est τοῦ χλωροῦ significatum) maximam prodit colliquationem. At verò læue fit, quicquid extra corpus emitti potest, vel quòd æqualiter coctum sit, ita vt nulla eius pars naturæ alterationem effugerit,

Περὶ ἀγαθῆς τῆς κοιλίας διαθέσεως.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιθʹ.

ΔΕΙ δὲ ἐν παντὶ τῷ νουσήματι λαπαρὴν τὴν κοιλίην εἶναι, καὶ εὔογκον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν, λαπαρὴν, ἀντίκειται τῷ, τεταμένην, ἢ πεπληρωμένην. τὸ δ' εὔογκον, τῷ, ἐκτετηκυῖαν· ἵνα τὸ μὲν πρότερον, ὑπὲρ τῶν ἐν αὐτῇ περιεχομένων διδάσκῃ, τὸ δὲ δεύτερον, ὑπὲρ αὐτῆς τῆς κοιλίας, ὡς εἰ καὶ οὕτως εἶπε. δεῖ δὲ ἐν παντὶ νοσήματι, συμμέτρως μὲν κενὴν εἶναι τὴν κοιλίην, εὔογκον δὲ κατὰ τὴν ἑαυτῆς οὐσίαν, καὶ μὴ λεπτήν.

Τὰ τῶν διαχωρημάτων πονηρῶν σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κʹ.

ΥΔαρὲς δὲ κάρτα, ἢ λευκὸν, ἢ χλωρὸν (ἢ ὠχρὸν), ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν οὖν ὑδαρὲς, ἀπεψίας ἐστὶ σημεῖον· τὸ δὲ λευκὸν, ὡς εἴρηται πρόσθεν ἤδη, τοῦ μὴ κατιέναι τὴν ὠχρὰν χολὴν ἐξ ἥπατος εἰς τὰ κατὰ γαστέρα χωρία. τὸ δὲ χλωρὸν ἰσχυρῶς, ἐπειδὴ δύο σημαίνει τὸ χλωρὸν, ὡς καὶ τοῦτο εἴρηται πρόσθεν. κατὰ μὲν τὸ ἕτερον τῶν σημαινομένων, τὴν ὠχρὰν χολὴν παμπόλλην μεμίχθαι δηλώσει, κατὰ δὲ τὸ ἕτερον, τὴν ἰώδη. τὸ δὲ ἀφρῶδες, ποτὲ μὲν πνεῦμα φυσῶδες ὑγρῷ δυσλύτῳ μεμίχθαι, ποτὲ δὲ θέρμης ἐστὶ πολλῆς σημεῖον. ὁρᾶται γοῦν κἀπὶ τῶν ἐκτὸς οὕτω γιγνομένων, ἐν μὲν τῇ θαλάσσῃ, διὰ τὰς τῶν ἀνέμων ἐμβολὰς, ἐπὶ δὲ τῶν ἑψομένων λεβήτων, διὰ τὴν πολλὴν θερμασίαν.

Περὶ πονηρῶν τῶν διαχωρημάτων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ καʹ.

ΕΤΙ δὲ πονηρὸν καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον, καὶ λευκὸν, καὶ ὑπόχλωρον καὶ λεῖον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΙττὴν ἰδέαν ἐν τῷδε τῷ λόγῳ διδάσκει διαχωρημάτων· ἀμφοτέρων μὲν ὑπὸ συντήξεως γινομένων, διαφερόντων δὲ, καθόσον ἡ μὲν μικρὰ, καὶ γλίσχρα, καὶ λευκὴ διαχώρησις, πιμελῆς τετηκυίας ὑπὸ πυρώδους μὲν θερμότητος, οὐ μὴν κακοήθους γε σφοδρῶς γίνεται. ἡ δὲ ὑπόχλωρος, καὶ λεία, πιμελῆς μὲν ἐστὶ καὶ ἥδε συντετηκυίας, ἀλλ' ἤτοι διὰ θερμασίαν ἢ αὐτῆς τῆς πιμελῆς παλαιᾶς τε, καὶ οἷον ἡμισαποῦς ὑπαρχούσης. ὁρᾶται γοῦν κἀκτὸς, οὐχ ἡ πιμελὴ μόνον, ἀλλὰ καὶ τὸ στέαρ, μεταβάλλοντα ἐν τῷ χρόνῳ τὸ πρόσθεν ἑαυτῶν χρῶμα, καὶ σαφῶς ὑπόχλωρα γινόμενα. εἰ δέ γε τὸ ὑπόχλωρον ὑπὸ τῆς ἰώδους χολῆς εἴη γεγεννημένον. ἔστι γὰρ ὡς ἐδείχθη, δεύτερον καὶ τοῦτο τῆς χλωρᾶς φωνῆς σημαινόμενον, ἰσχυρᾶς συντήξεως ἔσται σημεῖον. λεῖον δὲ γίνεται πᾶν ὁποῖον τῶν ἐκκενουμένων τοῦ σώματος, ἢ διὰ τὸ ὁμαλὴν πέψιν ἔχειν, ὥστε μηδὲν αὐτῶν διαπεφευγέναι μέρος τὴν ἐκ τῆς φύσεως ἀλλοίωσιν,

ἢ διὰ ἰσχυρὰν σύντηξιν, ὡς μηδὲν ἐνταῦθα μόριον τῆς ὕλης, ἀπαθὲς ὑπολειφθῆναι. ὥσπερ οὖν ὅσα χρηστά, βελτίω ταῦτ᾽ ἐστὶν ὁμαλῶς φαινόμενα· κατὰ τὸν αὐτὸν τρόπον, ὅσα μοχθηρά, χείρω καὶ ταῦτα πάντ᾽ ἐστίν, ὁμαλῶς ὄντα τοιαῦτα. δι᾽ ὅλων γὰρ ἑαυτῶν ἑκάτερα φαίνεται, τὰ μὲν τὸν τῆς φύσεως κόσμον δεδεγμένα, τὰ δὲ τὸ τῆς μοχθηρίας αἶσχος. τὸ δὲ γλίσχρον, ὅτι μὲν πολλάκις ἐπὶ τὸ πλέον ἤδη τεθερμασμένων γίνεται, πρόδηλον. ἐνίοτε δὲ καὶ ἡ τῶν ἐδεσμάτων ποιότης, ἀπεργάζεται τοιούτους χυμούς. ἀλλ᾽ οὗτοι μὲν ὅταν ἐπὶ τὴν ἔκκρισιν ὁρμήσωσιν, οὐκ εἰσὶν ὀλίγοι. τὸ δὲ κατ᾽ ὀλίγον ἐκκρινόμενον γλίσχρον, ἀποκεχώρηκε μὲν τούτων, ᾠκείωται δὲ συντήξεσι μετρίαις. ἐνίοτε δὲ αἱ σφοδραὶ συντήξεις, ἀθρόας γλίσχρας ἐργάζονται διαχωρήσεις. ἀλλ᾽ αἱ τοιαῦται πάντως εἰσὶ δυσώδεις, καὶ ταύτῃ διαφέρουσι τῶν ὠμῶν χυμῶν, οὐκ ὄντων δυσωδῶν.

vel à tam vehementi colliquatione, vt nulla humoris, qui illic sit, portio intacta remanserit. Itaque sicut omnia, quæ bona sunt, censentur meliora, si bona æqualiter sint; eodem modo quæcunque mala sunt, vt sunt æqualiter mala, sic peiora videntur. Eorum enim vtraque per se tota cernuntur, illa quidem naturæ ornamentis insignita, hæc verò præ malignitate turpia, atque fœda. Quòd verò glutinosum aliquid sæpe euadat, immodicè excalefactum, perspicuum est. Nonnunquam verò etiam ciborum qualitas succos tales efficit. Sed hi quidem haud exigui vacuantur. Quod verò glutinosum exiguum excernitur, non est quidem generis eiusdem, sed ad modicas colliquationes accedit. Quanquam interdum vehemens etiam colliquatio permulta glutinosa excrementa pariat. Sunt autem tales fœdi prorsus odoris, eóque discernuntur à crudis humoribus, qui nullam habent odoris fœditatem.

Περὶ θανατωδεστέρων τῶν διαχωρημάτων.

De magis lethalibus deiectionibus.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κβ'.

Τουτέων δὲ θανατωδέστερα ἂν εἴη τὰ μέλαινα, ἢ λιπαρά, ἢ πέλια, ἢ ἰώδεα καὶ κάκοσμα.

SENTENTIA HIPPOCRATIS 22.

His autem alui excrementis magis lethalia fuerint nigra, aut pinguia, aut liuida, aut æruginosa, aut fœtida.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ μέλανα μέν, ὑπὸ μελαίνης χολῆς ἀκράτου χρώζεται. τὰ πελιδνὰ δέ, μετρίας τε, καὶ μετρίως ἐπιμιγνυμένης αὐτοῖς, γίνονται τοιαῦτα. λιπαρὰ δὲ διαχωρεῖται, συντηκομένης πιμελῆς, ὑπὸ πυρώδους θερμασίας. τὰ δὲ κάκοσμα, σηπεδόνος ἐστὶ γνωρίσματα.

COMMENTARIVS GALENI.

Qvæ nigra deiiciuntur, ab atra bile immodica colorem eiusmodi contraxêre. Sin autem ea, & modica & modicè iis permixta fuerit, euadunt liuida. Pinguia autem excernuntur, colliquata pinguedine ab igneo calore. Quæ verò fœtent, putredinem arguunt.

Τὰ ποικίλα διαχωρήματα χρονιωτέρου τοῦ νοσήματος τὰ προγνωστικά.

Variæ deiectiones, diuturnioris morbi prognostica.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κγ'.

Τὰ δὲ ποικίλα χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧσσον. ἔστι δὲ τὰ τοιαῦτα ξυσματώδεα, καὶ χολώδεα, καὶ αἱματώδεα, καὶ πρασοειδέα, καὶ μέλανα, ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι, ποτὲ δὲ κατὰ μέρος.

SENTENTIA HIPPOCRATIS 23.

Vbi verò varia excrementa reijciuntur, longioris quidem morbi notæ sunt, nec tamen minus habent periculi. Sunt autem ea strigmentosa, & biliosa, & sanguinea, & porracea, & nigra, eáque aliâs vniuersa, aliâs particulatim aluus effundit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ ποικίλα, πολλὰς εἶναι διαθέσεις ἐνδείκνυται, διὸ καὶ χρόνου δεῖται πρὸς τὴν πέψιν. πολλῶν γὰρ οὐσῶν διαθέσεων, εἰκὸς μὲν εἶναι τινὰς ἐξ αὐτῶν χρονίας. εἰ δὲ μή, ἀλλὰ πάντως γε πρὸς τὴν φύσιν. δεῖ οὖν ὥσπερ ἀνταγωνισταῖς πολλοῖς διαγωνιζομένην, ἀναλίσκειν πλείονα χρόνον.

COMMENTARIVS GALENI.

Varia, multiplices affectus subesse produnt. Quare temporis spatium requirunt ad concoctionem. Quando inter tam multos affectus, aliquos diuturnos esse verisimile est, si non ex se, at certè quod ad naturam; quam quidem, vt contra multos aduersarios depugnantem, plurimùm temporis insumere oportet.

Περὶ φύσης ἄνευ ψόφου, καὶ σὺν ψόφῳ διελθούσης.

De flatu sine sono & cum sono prodeunte.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κδ'.

Φῦσαν δέ, ἄνευ ψόφου μὲν καὶ παρδήσιος διεξιέναι ἄριστόν ἐστι, κρέσσον δὲ καὶ ξὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ εἰλέεσθαι. καίτοι καὶ οὕτω διελθοῦσα, σημαίνει, ἢ

SENTENTIA HIPPOCRATIS 24.

Optimum autem est flatum absque sono & crepitu exire, sed eum tamen præstat cum sono prodire, quàm ibi reuolui. Et sic quidem prodiens hominem vel dolore

affligi

affligi, vel delirare arguit, nisi ipse fortaßis de industria crepitum emittat.

COMMENTARIVS GALENI.

Flatum aliqui cum crepitu, nulla verecundia expellunt, alij vel mortem perpeti malint, quàm pedere. Istos ergo, si quando crepitum plurimis audientibus ediderint, scire oportet duorum alterum, vel ad ea non aduertere, quæ agunt, vel propter doloris magnitudinem adigi, vt, quæ nolint, faciant. Quòd spectat ad alios quibus, eorum qui præsentes sunt, nulla cura est; non oportet putare aliquid sinistri ex crepitu portendi, sed vtilius tamen esse, in iis quoque absque sono flatum elabi. Ille enim vel spiritus flatuosi copiam, vel vasorum angustiam designat. Si verò flatus nec nimium abundat, & vasa, per quæ fertur admodum ampla sunt, in his ipse solet sine crepitu egredi.

De hypochondriorum doloribus ac tumoribus.

SENTENTIA HIPPOCRATIS 25.

Dolores, tumorésque præcordiorum, qui recentes sunt, & sine inflammatione, sonus in præcordiis excitatus dissoluit, magisque, si cum stercore, & vrina excessit; sin autem ipse non excesserit, at prodest tamen ad inferiores parteis euolutus.

COMMENTARIVS GALENI.

Quæ hypochondriorum κυρτώματα dixit, ea sunt, quæ antè οἰδήματα appellauit. Sunt autem illa omnes præter naturam tumores, qui si absque inflammatione fiant, solo flatu distenduntur, maximè quando recentes sunt. Eos autem dissolui dixit sonitu in præcordiis excitato. Is enim non modò flatus indicium est, sed eum etiam humori, corporíque solido permixtum esse ostendit. Itaque flatuosus ille spiritus in flatum versus, siue deorsum excedat, siue non excedens ad inferiores aliquas partes descendat, vtrumque symptoma & dolorem, & tumorem, præcordiis adimit, magísque si cum vrina, & stercore vacuetur. Talis enim vacuatio nihil prorsus superflui in præcordiis relinquit.

Breuioris, securioris, ac longioris morbi ex vrinis significatio.

SENTENTIA HIPPOCRATIS 26.

Optima autem vrina est, in qua per totum morbi curriculum donec ipse iudicatus sit, subsidet album, læue & æquale. Securitatem enim, & breuitatem morbi pollicetur. Si verò modò liquida, & pura est, modò habet quædam subsidentia alba, atque læuia, morbus longior erit, & minus securus.

πονέειν τι τὸν ἄνθρωπον, ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰς φύσας ἔνιοι μὲν ἐκκρίνουσι μετὰ ψόφου, μηδὲν ἀπαισχυνόμενοι. τινὲς δὲ ἀποθανεῖν ἂν ἕλοιντο μᾶλλον, ἢ τοῦτο πρᾶξαι. τούτοις μὲν οὖν, ὅταν ἀκουόντων πολλῶν παρείωνται φύσαι, εἰδέναι δεῖ δυοῖν θάτερον, ἢ μὴ παρακολουθεῖν τοῖς πραττομένοις, ἢ διὰ τὸ μέγεθος ὀδύνης κατηναγκάσθαι πρᾶξαί τι τῶν ἀβουλήτων. ἐπὶ δὲ τῶν ἄλλων, ὅσοι μηδ᾽ ὅλως φροντίζουσι τῶν παρόντων, οὐδὲν μὲν σημαίνειν ἄτοπον ὑποληπτέον τὴν μετὰ ψόφου φῦσαν. ἄμεινον δ᾽ εἶναι καὶ ἐπὶ τούτων ἄνευ ψόφου. πάντως γὰρ, ἤτοι πλῆθος ἐνδείκνυται τοῦ φυσώδους πνεύματος, ἢ στενοχωρίαν τῶν ὀργάνων, ὅταν δὲ τὸ πνεῦμα μὴ πάνυ πολὺ ᾖ, τὰ δ᾽ ὄργανα δι᾽ ὧν ἐκκρίνεται χαλαρὰ τελέως ᾖ, χωρὶς ψόφου τοῖς τοιούτοις ἡ τῆς φύσης ἀπόκρισις γίνεται.

Περὶ πόνων τε καὶ κυρτωμάτων τῶν ὑποχονδρίων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κε΄.

Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε, καὶ τὰ κυρτώματα, ἢν ᾖ νεαρὰ, καὶ μὴ σὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγινόμενος ἐν τῷ ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε, καὶ οὔρῳ καὶ φύσῃ. Εἰ δὲ μὴ, καὶ αὐτὸς διαπεραιωθεὶς μοῦνος ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κυρτώματα τῶν ὑποχονδρίων ὠνόμασεν, ἃ διὰ τῶν ἔμπροσθεν οἰδήματα προσηγόρευσεν. ἔστι δὲ ταῦτα πάντες οἱ παρὰ φύσιν ὄγκοι. χωρὶς μὲν φλεγμονῆς οὗτοι γινόμενοι, πνευματώδεις, καὶ μάλιστα ὅταν ὦσι πρόσφατοι. λύεσθαι δέ φησι, βορβορυγμοῦ ἐπιγινομένου κατὰ τὸ ὑποχόνδριον. ὁ γὰρ τοιοῦτος ψόφος, οὐ μόνον πνεύματός ἐστι σημεῖον, ἀλλ᾽ ὑγρῷ συμμιγοῦς, καὶ σώματι στερεῷ. ὅταν οὖν ἤτοι διεξέλθῃ κάτω τὸ φυσῶδες τοῦτο πνεῦμα, φῦσα γινόμενον, ἢ μὴ διεξελθὸν, ὑποκαταβῇ κάτω πρός τι τῶν κάτω, χωρίον, ἀπαλλάττει τὸ ὑποχόνδριον ἀμφοτέρων τῶν συμπτωμάτων, τῆς τ᾽ ὀδύνης καὶ τοῦ οἰδήματος. ἔτι δὲ μᾶλλον, εἰ καὶ σὺν οὔρῳ καὶ κόπρῳ κενωθείη. καταλείπει γὰρ οὐδὲν ἔτι περιττὸν ἡ τοιαύτη κένωσις ἐν τοῖς ὑποχονδρίοις.

Ὀλιγοχρονιωτέρου τε καὶ μᾶλλον ἀσφαλέος νοσήματος, καὶ πολυχρονιωτέρου ἐξ οὔρων σημείωσις.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κϛ΄.

Τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ὅταν λευκή τε εἴη ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ᾽ ἂν κριθῇ ἡ νοῦσος. σημαίνει γὰρ ἀσφάλειάν τε, καὶ νούσημα ὀλιγοχρόνιον ἔσεσθαι. εἰ δὲ διαλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐρέοι, ποτὲ δὲ ὑφίστηται τὸ λευκὸν, καὶ λεῖον, χρονιωτέρη γίνεται ἡ νοῦσος, καὶ ἧσσον ἀσφαλής.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὥσπερ ὀλίγον ἔμπροσθεν ἔφην, ἐκ μὲν τῶν κατὰ προαίρεσιν ἐνεργειῶν γνωρίζεσθαι μίαν δύναμιν, ὅπως ἔχει ῥώμης τε καὶ ἀῤῥωστίας, τὴν τῆς ἄνωθεν ἀρχῆς ἔλεγεν ὑπάρχειν, ἣν ἔδειξα δι᾽ ἑτέρων ἐν ἐγκεφάλῳ καθιδρυμένην. οὕτω δὴ νῦν ἄλλης δυνάμεως φυσικῆς, ὁ Ἱπποκράτης, σημεῖα τὰ μὲν ἤδη διῆλθεν, τὰ δὲ καὶ κατὰ τὸν νῦν ἐνεστῶτα λόγον διεξέρχεται· καλεῖται δὲ ἡ δύναμις, περὶ ἧς φημι προκεῖσθαι τὸν λόγον, ἀλλοιωτική τε, καὶ πεπτική. τὰ μὲν οὖν τῆς κατὰ γαστέρα δυνάμεως σημεῖα, διὰ τῶν ὑποχωρουμένων ὁσημέραι γνωρίζεται. τὰ δὲ τῆς καθ᾽ ἧπάρ τε, καὶ φλέβας, ἐκ τῶν οὔρων. ἔστι γὰρ καὶ ἐν τούτοις ἐναργέστατα τὰ σημεῖα, τὰ μὲν ἀκριβοῦς πέψεως, τὰ δὲ ἐλλιποῦς, τὰ δὲ καὶ τελέως ἀποτυγχανομένης, ὥσπερ καὶ ἐν τοῖς κατὰ γαστέρα. πρὸς τούτοις ἔξωθεν, ὥσπερ ἐκεῖ, συνεκκρίνεταί τινα γνωρίσματα διαθέσεων ἑτέρων, οὕτω κἀνταῦθα. τὴν μὲν οὖν ἀρχὴν τῆς διδασκαλίας, ὁ Ἱπποκράτης ἀπὸ τῶν τῆς πέψεως γνωρισμάτων ἐποιήσατο, συνάψει δ᾽ αὖθις ἐφεξῆς τἄλλα. πρότερον οὖν καὶ ἡμεῖς λέγωμεν, ἃ πρῶτον διῆλθεν ἐκεῖνος, ἐν τῇ προκειμένῃ ταύτῃ ῥήσει, τὰς ὑποστάσεις τῶν οὔρων σκέπτεσθαι κελεύων, εἰ λευκαί, καὶ λεῖαι, καὶ ὁμαλαὶ πᾶσαι τυγχάνουσιν οὖσαι, καὶ μή ποτε μὲν τοιαῦται, ποτὲ δὲ, ἕτεραι. γίνεται γὰρ καὶ τοῦτο συνεχέστατα. καί τις οὐρήσας ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν ἄμεμπτον, ἕτερον οὔρησε κατὰ τὴν ἑξῆς νύκτα μεμπτόν, εἶτ᾽ αὖθις ἄμεμπτον ἐπὶ τῆς τρίτης ἡμέρας ἕωθεν, εἶθ᾽ ἑσπέρας μεμπτόν. ἐκ μὲν δὴ τῶν τοιούτων οὔρων, ἐμφαίνεται τὸ μέν τι, πεττόμενόν τε, καὶ κρατούμενον ὑπὸ τῆς φύσεως τῶν ἐν τοῖς ἀγγείοις χυμῶν, τὸ δὲ, ἀπεπτούμενον. ἐὰν δὲ μηδαμοῦ παρεμπίπτῃ τῷ πεπεμμένῳ τὸ ἄπεπτον, ἄριστον οὖρόν ἐστι τὸ τοιοῦτον. εἰ μὲν οὖν ὑπόστασιν ἔχει, λευκήν τε εἶναι χρὴ ταύτην, καὶ ὁμαλήν, καὶ λείαν, διὰ παντὸς τοῦ χρόνου, μέχρι λύσεως τοῦ νοσήματος ὁμοίως γινομένην. εἰ δ᾽ οὐκ ἔχει, πάντως μὲν ἕξει τινὰ νεφέλην λευκήν. ἐξ ἀνάγκης δὲ, καὶ τῇ χροιᾷ συμμέτρως ὠχρὸν ἔσται, καὶ τῇ συστάσει, μεταξὺ τοῦ λεπτοῦ καὶ ὑδατώδους, καὶ τοῦ παχέος, ὁποῖόν ἐστι τὸ τῶν ὑποζυγίων. ἀλλὰ τὰ μὲν οὐδ᾽ ὅλως ἔχοντα τὰς ὑποστάσεις οὖρα, τοῖς λεπτῶς πάνυ διῃτημένοις γίνεται, τὰ δὲ πολλήν, τοῖς ἁδρῶς, τὰ δ᾽ ὀλίγην, τοῖς συμμέτρως. ἔτι δ᾽ ἐν μὲν τοῖς χολώδεσι νοσήμασιν, ἐπὶ τὸ ξανθότερον ῥέπει κατὰ τὴν χρόαν. ἐν δὲ τοῖς ἐξ ὠμῶν χυμῶν γινομένοις, ἐπὶ τὸ λευκότερον. ὑπόστασιν δὲ, τὰ μὲν ἐπὶ τοῖς ὠμοῖς χυμοῖς ἴσχει δαψιλῆ. τὰ δ᾽ ἐπὶ τοῖς χολώδεσιν, ἢ οὐδ᾽ ὅλως, ἢ παντάπασιν ἐλαχίστην, ἀλλ᾽ ἱκανόν ἐστιν αὐτοῖς ἐναιώρημα ἔχειν. ὀνομάζω δὲ ἐναιώρημα, τὸ παχύτερον μὲν, καὶ λευκότερον ἐν οὔρῳ, μήτ᾽ ἐπιπολῆς αὐτοῦ, μήτ᾽ ἐν τῷ πυθμένι τοῦ ἀγγείου, κατὰ δὲ τὴν μεταξὺ χώραν ἐναιωρούμενον, ἤτοι μέσον ἀκριβῶς, ἢ κάτω μᾶλλον, ἢ ἄνω. τὰ μὲν οὖν τοιαῦτα, σύνηθές μοι καλεῖν ἐναιωρήματα. πρὸς Ἱπποκράτους γε μὴν καὶ ταῦτα νεφέλαι προσαγορεύονται, τὴν αὐτὴν ἀναλογίαν ἔχουσαι περὶ τὸ οὖρον, ἣν αἱ ὄντως νεφέλαι, πρὸς τὸν ἀέρα. καὶ γὰρ καὶ ταῦτα, τοῦ πέριξ ἑαυτῶν ὑγροῦ παχύτερα, κἀκεῖναι τοῦ ἀέρος. πολλάκις οὖν, ὡς ἔφην, ἐφίσταταί τι τοῖς οὔροις ἄνωθεν, ὅπερ ἐγὼ νεφέλην ἰδίως ὀνομάζειν εἴωθα, ταῦτα μὲν οὖν ἐγνώσθω τέ σοι καὶ μνημονευέσθω πρῶτα, μετὰ δὲ ταῦτα πρόσεχε τὸν νοῦν οἷς ἔγραψεν ὁ Ἱπποκράτης.

COMMENTARIUS GALENI.

Sicut paulò antè dixi facultatis vnius, quam ipse supremi principij dicebat esse, quámque ego aliis commentariis in cerebro constitutam ostendi robur, aut imbecillitatem significari per voluntarias actiones, ita nunc Hippocrates alterius facultatis naturalis notas partim iam explicauit, partim verò præsenti oratione exponit. Vocatur autem virtus ea, de qua nunc agitur, alteratrix, atque concoctrix. Ac signa quidem illius, quæ ventrem regit, per ea, quæ aluus deiicit quotidie deprehenduntur; Eius autem, quæ in iecinore & venis est, ex vrinis. Habent enim & illæ apertissimas notas concoctionis vel exquisitæ, vel non perfectæ, vel etiam penitus nullæ, non aliter, quàm, quæ è ventre prodeunt. Adhæc vt illinc externi alterius affectus signa quædam, sic inde, simul exeunt. Fecit igitur Hippocrates docendi initium à signis concoctionis, ac ipsis deinde alia adiunget. Verùm de illis primùm dicamus, quæ ipse in proposita sententia, prima complexus est. Iubet eá, quæ subsident in vrinis, contemplari an alba, læuia, & æqualia cuncta sint, & an modò talia, modò diuersa. Id enim accidere solet frequentissimè. Et quidam secunda die probam vrinam reddidit, qui sequenti nocte vitiosam fecit, rursus die tertia manè vitio carentem, deinde vesperi malam emisit. Vrinæ quidem eiusmodi aliquam humorum, qui vasis continentur, portionem concoctam esse, & euictam à natura testantur, aliam verò carere coctione. Si verò inter coctas vrinas nulla cruda inciderit, ea demum optima vrina est. Quòd si ex ea aliquid desidet, album, & læue, & æquale perpetuò esse oportet, donec morbus integrè solutus sit. Sin autem nihil desideat, vtique nubes quædam alba pendebit, quam quidem necessariò tum colore modicè pallidam esse decet, tum substantia mediam inter tenuem, & aquosam, & crassam, qualem iumenta excernunt. Verùm vrinæ, quæ nulla prorsus habent sedimenta iis contingunt, qui tenuiter admodum victitant; quæ verò multa habent, iis qui liberaliter; quibus verò pauca insunt, iis qui moderato victu vtuntur. Præterea in biliosis morbis, quod subsidet, flauum magis est, in iis autem, quos crudi humores pariunt, magis ad album vergit. Porrò vrinæ, quæ ex crudis humoribus proueniunt, quamplurimùm habent sedimenti, quæ verò ex biliosis, aut nihil prorsus, aut certè perexiguum, vt quibus satis sit, si suspensa quædam, quæ Græcè ἐναιωρήματα dicuntur, contineant. Sic autem appello, quod crassius, & albidius, non in superficie quidem aut fundo vasis, sed medio spatio, vel exquisitè medium, vel supra magis, quàm infra perpendet in vrina. Hæc quidem ego ἐναιωρήματα appellare soleo. Vocantur autem hæc quoque ab Hippocrate nubes, vt quæ ita ad vrinam se habeant, quemadmodum veræ nubes ad aërem. Siquidem illa circumfuso humore, istæ aëre, crassiora sunt. Ac sæpè quidem aliquid in vrinis sursum ascendit quod ego propriè nubem consueui nominare. Hæc ergo primùm intelligas, & memineris, deinde his mentem adhibe, quæ Hippocrates scripsit.

Vrina enim, quæ perpetuò sedimentum habet, quale descripsit, tum securitatem pollicetur, hoc est, nihil periculi esse in morbo, & integrè solutum iri, vt nunquam postea reuertatur; tum morbum propediem finem habiturum adeò, vt si primo die, & proximè eum sequenti nocte, ac secundo etiam die, noctéque primi iudicantium dierum circuitus, similis perseueret, intra id tempus morbus sit conquieturus. Cæterùm hæc Hippocrates dicit de morbis, quibus adiuncta febris est, non de iis, qui sine febre consistunt, vel in cerebro, & eius membranis, aut in thorace, & pulmone, quòd eos aliis indiciis an salutares breuésque, an periculosi & longi sint, deprehendamus. Cur autem id quod in vrinis residet, album esse oporteat, in fine primi horum commentariorum, quum de pure ageretur, ostendimus.

Longioris magisque salutaris morbi ex vrina prognosticon.

SENTENTIA HIPPOCRATIS 27.

At si fuerit & vrina subrubra & sedimentum eius simile subrubrum & læue, hæc quidem diuturnior priore fit, sed admodum salutaris.

COMMENTARIVS GALENI.

Qvum serum sanguinis simul cum vrina elabitur, apparet quidem ea subrubra, verùm sanguinem non probè confectum redundare significat. Itaque quòd humor ille redundat, qui omnium optimus est, idcirco caret periculo; quia verò is humidior, atque serosior est, ob id concoqui debet. Quare si tempus ad concoctionem necessarium est, haud immeritò eiusmodi vrina seriùs solutum iri morbum, quàm prior ostendit.

Ex prauis vrinarum sedimentis prognostica.

SENTENTIA HIPPOCRATIS 28.

Malum verò si vrinarum sedimenta tanquam farinam crassiorem repræsentent, peius autem si quasi bracteolas. Tenuia quoque, atque alba sunt admodum vitiosa; omnium autem pessimum, si quod subsidet furfuraceum est.

COMMENTARIVS GALENI.

Κριμνὰ significant partes resiccati hordei grandiusculas reliquæ farinæ permixtas, quæ scilicet exactè frangi, conficíque à mola non potuerunt. Itaque si quando eiusmodi subsidere in vrina videbuntur, non est bonum signum. Nam in farina quidem id crassius est, quod in subtiles admodum partes confractum non est, in vrinis verò, non si quid cibi vnà cum reliquo digestum non fuit, id etiam durum est, sed crasso sanguine vehementer assato, aut carne inæqualiter contabescente, eiusmodi euadunt. Fit autem id inæqualiter, quum à febrili calore quicquid carnis molle est, & recens, in tenuem humorem soluitur, durum autem perinde, ac quæ in sartagine torrentur, arefactum constitit.

A τὸ γὰρ διὰ παντὸς ὑπόστασιν οἵαν εἴρηκε ποιούμενον οὖρον, ἀσφάλειάν τε σημαίνει, τουτέστιν ἀκίνδυνον εἶναι τὸ νόσημα, καὶ τελέως λυθησόμενον, ὡς μηκέτι ὑποστρέφειν. καὶ πρὸς τούτοις ἐπὶ ταχεῖαν αὐτοῦ γενέσθαι τὴν λύσιν, ὥστ' εἰ καὶ κατὰ τὴν πρώτην ἡμέραν, ἢ καὶ τὴν ἐχομένην αὐτῇ νύκτα φανέν, ὅμοιον διαμένοι, κατά τε τὴν δευτέραν ἡμέραν καὶ νύκτα, τῆς πρώτης περιόδου τῶν κρισίμων ἡμερῶν, οὐκ ἂν ἐξωτέρω προέλθοι τὸ νόσημα. λέγει δὲ ταῦτα δηλονότι, περὶ τῶν πυρετωδῶν νοσημάτων, οὐ τῶν ὅσα γε χωρὶς πυρετῶν, ἤτοι κατὰ τὸν ἐγκέφαλον καὶ τὰς μήνιγγας, ἢ κατὰ τὸν θώρακά τε καὶ πνεύμονα συνίσταται, δι' ἄλλων σημείων γνωριζόμενα, εἴτε B ἐπιεικῆ τε καὶ ταχύκρισιμά ἐστιν, εἴτε κινδυνώδη τε, καὶ χρόνια. διότι δὲ τὴν ὑπόστασιν τῶν οὔρων λευκὴν εἶναι χρή, ἔμπροσθεν ἐν τῷ περὶ πύου δέδεικται λόγῳ, κατὰ τὸ τέλος τοῦ πρώτου τῶνδε τῶν ὑπομνημάτων.

Πολυχρονιωτέρου καὶ μᾶλλον σωτηρίου τοῦ νοσήματος ἐκ τοῦ οὔρου τὸ προγνωστικόν.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΑΤΟΥΣ κζ΄.

C Εἰ δὲ εἴη τό τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις αὐτέου ὁμοίη, ὑπέρυθρή τε καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ προτέρου γίνεται, σωτήριον δὲ κάρτα.

ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν αἵματος ὀῤῥὸς συνεκκρίνηται τῷ οὔρῳ, φαίνεται μὲν καὶ κατὰ τὴν χρόαν ὑπέρυθρον, ἐνδείκνυται δὲ περιουσίαν αἵματος, οὐκ ἀκριβῶς κατειργασμένου. διότι μὲν οὖν τοῦ χρηστοτάτου τῶν χυμῶν ἐστιν ἡ πλεονεξία, διὰ τοῦτο ἀκίνδυνον ὑπάρχει. διότι δὲ ὑγρότερόν τε καὶ ὀῤῥωδέστερον τούτου ὄντος, διὰ D τοῦτο χρήζει πέψεως. εἴπερ οὖν ἐν τῷ χρόνῳ οἱ πεπασμοὶ γίνονται, δεόντως τὸ τοιοῦτον οὖρον, χρονιωτέραν ἔσεσθαι παρὰ τὸ πρότερον ἐνδείκνυται τὴν λύσιν τοῦ νοσήματος.

Ἐκ τῶν πονηρῶν ἐν τοῖς οὔροις ὑποστάσεων προγνωστικά.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΑΤΟΥΣ κη΄.

Κριμνώδεες δ' ἐν τοῖσιν οὔροισιν ὑποστάσιες πονηραί, τουτέων δέ εἰσι κακίους αἱ πεταλώδεες. λεπταὶ δέ, καὶ E λευκαὶ κάρτα φλαῦραι, τουτέων δέ εἰσι κακίους αἱ πιτυρώδεες.

ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κρίμνα καλεῖται τὰ τοῖς ἀλφίτοις ἐμφερόμενα τῆς πεφρυγμένης κριθῆς μόρια μεγάλα, διαπεφευγότα δηλονότι τὴν ἐν τῇ μύλῃ κατεργασίαν ἀκριβῆ. τοιαῦτα τοίνυν, ὅταν ἐμφέρηται ταῖς ὑποστάσεσι τῶν οὔρων, οὐκ ἀγαθόν ἐστι σημεῖον. ἐν μὲν γὰρ τοῖς ἀλφίτοις, τὸ μὴ καταθραυσθὲν εἰς ἄκρως λεπτὰ μόρια, γίνεται κρίμνον. ἐν δὲ τοῖς F οὔροις, οὐ δήπου τῶν σιτίων τι συναναδοθέν, ἔμενεν ἔτι σκληρόν, ἀλλ' ἐξ ὑπεροπτήσεως αἵματος πάχος, ἢ συντηκομένων ἀνωμάλως τῶν σαρκῶν, γίνεται ταῦτα. τὸ δὲ ἀνωμάλως ἐστίν, ὅταν ὑπὸ πυρετώδους θερμασίας, ὅσον μὲν ἁπαλόν τέ ἐστι καὶ νεοπαγὲς τῆς σαρκός, εἰς ἰχῶρα ἀναλυθῇ, τὸ σκληρὸν δὲ τοῖς πεφρυγμένοις ὑπὸ τηγάνου παραπλησίως συστῇ ξηρανθέν·

πρῶτον μὲν γὰρ, ἡ νέα καὶ ἁπαλὴ πιμελὴ, τήκεται κατὰ τοὺς τοιούτους πυρετοὺς, εἶθ' ἡ σκληροτέρα, καὶ παλαιοτέρα. καὶ μετὰ ταύτην, αἱ νέαι καὶ ἁπαλαὶ σάρκες, εἶθ' αἱ σκληραὶ, καὶ παλαιαί. καὶ τούτων ἐφεξῆς ἤδη, τὰ στερεὰ μόρια τοῦ σώματος, ὧν πάλιν ἀνωμάλως συντηκομένων, πεταλώδη μόρια τοῖς οὔροις συνεκκρίνεται. διὸ καὶ χείρω τὰ τοιαῦτά ἐστιν οὖρα, τῶν τὰ κριμνώδη μόνον ἐχόντων. ἕτεραι δ' εἰσὶν ὑποστάσεις λεπταὶ, τουτέστιν οὐκ ἔχουσαι πάχος, ἀλλ', ὡς ἂν εἴποι τις, ἀφρῷ παραπλήσιαι, εὐθέως δ' εἰσὶν αἱ τοιαῦται καὶ λευκαὶ, διότι δέχονται δι' ὅλων ἑαυτῶν τὴν τοῦ περιέχοντος αὐγὴν, μᾶλλον τῶν παχέων. ἡ γένεσις δ' αὐταῖς, ἐκ φυσώδους πνεύματος, ἀναμεμιγμένου δυσλύτως ἡμιπέπτῳ περιττώματι χυμῶν. ἴδιον γάρ ἐστιν αὐτῶν τῶν τελέως πεπεμμένων, ὃ καλεῖν εἴωθεν ὁμαλές. γίνεται δὲ τὸ τοιοῦτον, ὅταν ὁμοιομερὲς ὑπάρχῃ πᾶν, ὡς τό γε μεμιγμένον ἑτέρῳ σώματι, διάφορα τὰ μόρια κατά τε τὴν σύστασιν ἔχει καὶ τὴν χρόαν. αὐτῶν δὲ τῶν ἀνωμάλων τὰ κατὰ σμικρὰ μόρια, τῶν κατὰ μεγάλα τὴν ἀνωμαλίαν ἐχόντων, ἐστὶ χείρω. τὰ μὲν γὰρ κατὰ μεγάλα, μεγάλην τινὰ ῥώμην τῆς φύσεως ἐνδείκνυται, τοσαύτην ὅσον περ ἐστὶ τὸ μέγεθος τῆς οὐσίας ἀκριβῶς κατειργασμένης. τὰ δὲ κατὰ σμικρὰ, νικᾶσθαι πρὸς τῆς ὅλης τὴν δύναμιν ἐμφαίνει, καὶ διὰ μάχην τινὰ ἔχειν ἐν αὐταῖς ἰσοσθενῆ. τοῦτο μὲν δὴ κοινὸν ἐπὶ πάντων ἐστὶ τῶν ἀνωμάλων. αἱ δὲ κατὰ μέρος ἐν αὐταῖς διαφοραὶ, παρά τε τὴν τοῦ πεφθέντος ἀρετὴν γίνονται, καὶ τὴν κακίαν τοῦ μὴ πεφθέντος. ἐπὶ δὲ ταῖς εἰρημέναις οὖν τρισὶ διαφοραῖς τῶν ὑποστάσεων, ἄλλην τετάρτην λέγει, τὴν πιτυρώδη, χείρω τῆς τρίτης, ὡς ἂν καὶ αὐτὴν ἐνδεικνυμένην ὁμοίως τῇ τε πρώτῃ, καὶ τῇ δευτέρᾳ, τὴν θερμασίαν τοῦ πυρετοῦ φλογώδη καὶ συντηκτικὴν, ἣν οὐκ ἐχρῆν τετάρτην, ἀλλὰ τρίτην γεγράφθαι.

Primùm enim noua, & mollis pinguedo, per has febres colliquatur, deinde quæ durior est, & vetustior, mox recens, mollisque caro, & secundum hanc dura, & vetus; & postea iam solidæ corporis partes. Quibus rursum inæqualiter contabescentibus, vnà cum vrinis, bracteolis similia exeunt. Quare vrinæ eiusmodi peiores sunt, quàm in quibus id, quod subsidet, tanquam farinam crassiorem repræsentat. Desident verò & in vrinis alia tenuia, hoc est crassitie carentia, & quæ aliquis spumæ assimilare possit. Illa autem protinus etiam alba sunt, propterea quòd, multò magis quàm crassa, circunfusi aëris splendorem per se tota admittant. Ortum autem illæ habent à flatuoso spiritu, qui cum semicocto humorum excremento, indissolubili modo remixtus est. Nam quod ille æquale vocare solet, iis modò conuenit, quæ perfectam adepta sunt concoctionem. Id autem fit, quum vniuersa similium partium, existunt. Quod enim cum diuerso corpore mixtum est, habet vtique partes tum substantia tum colore differentes. Verùm ex iis, quæ inæqualia sunt, peiora censeri debent, quæ exiguis portionibus, quàm quæ maioribus, inæqualitatem habent. Hæc enim magnum esse robur naturæ ostendunt, & tantum, quanta est moles substantiæ perfectè elaboratæ. Illa verò, quæ in minutis partibus est, vires à tota vinci testantur, & velut æquali pugna cum ipsa contendere. Est id quidem omnium, quæ inæqualia sunt commune. Differentiæ verò, quæ particulatim esse possunt, partim ex humoris, qui concoctus est bonitate, partim eius, qui concoctus non est vitio sumuntur. Post has porrò tres sedimentorum differentias aliam quartam recenset, furfuraceam, tertiâ deteriorem. Nam ipsa æquè ac prima & secunda caloris febrilis ardentis, atque colliquantis testimonium est, eámque non quartam, sed tertiam collocatam esse oportuit.

Περὶ ἀγαθῶν τε, καὶ φλαύρων νεφελῶν τῶν οὔρων.

De probis prauisque vrinarum nubeculis.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κθ'.

Νεφέλαι δὲ ἐμφερόμεναι τοῖσιν οὔροισι, λευκαὶ μὲν ἀγαθαὶ, μέλαιναι δὲ φλαῦραι.

SENTENTIA HIPPOCRATIS 29.

Nubes verò, quæ in vrinis efferuntur, albæ quidem bonæ, nigræ verò malæ sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν ἐν ταῖς ὑποστάσεσι διαφορῶν εἰπὼν, ἑξῆς ἐπὶ τὰς νεφέλας μετέβη, δηλώσας ὅτι τὸ ἐναιώρημα, νεφέλην ὀνομάζει, τῇ προσθήκῃ, τοῦ ἐμφερόμεναι, ῥήματος, ὧν ὅτι τὰς μελαίνας εἰκότως μέμφεται, δῆλον. εἴγε δὴ τὸ μέλαν, ἢ διὰ ψύξιν ἰσχυρὰν γίνεται, καθ' ὃν λόγον καὶ τὸ αἷμα μελαίνεται θρομβούμενον, ὅσα τε νεκροῦται ψυχθέντα τελέως, ἢ δι' ὑπερβάλλουσαν θερμασίαν. καὶ γὰρ αὖ καὶ τὸ αἷμα μελαίνεται καιόμενον, ὥσπερ καὶ τὰ ἄλλα σύμπαντα σώματα, καὶ οἱ πολλῷ χρόνῳ διατρίψαντες ἐν ἡλίῳ θερινῷ, μέλανες γίνονται.

COMMENTARIVS GALENI.

Postquàm subsidentium in vrinis, differentias exposuit, transit ad nubeculas, quo quidem nomine ea, quæ pendent in vrinis, ἐναιωρήματα græci dicunt, significare manifestò videtur ex eo verbo, quod adiecit. Quarum nigras quidem meritò damnari certum est, si modò nigrum vel à vehementi frigiditate fiat, quomodo sanguis in grumos concretus, & quæcunque summè refrigerata intereunt, in atrum vertuntur, vel ab immodico calore. Nam & ipse quoque sanguis exustus nigrescit æquè, ac alia omnia corpora, quique in æstiuo sole moram diu traxere, nigri euadunt.

Τὸ τοῦ ἀπέπτου νοσήματος ἐξ οὔρου σημεῖον.

Crudi morbi ex vrina, signum.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λ'.

Ἔστ' ἂν δὲ πυῤῥόν τε εἴη τὸ οὖρον, καὶ λεπτὸν, σημαίνει τὸ νόσημα ἄπεπτον εἶναι.

SENTENTIA HIPPOCRATIS 30.

Quoad autem vrina fulua fuerit, & tenuis, crudum esse morbum significat.

COMMENTARIVS GALENI.

NAturalis vrina modicè pallida est, vt quæ ex humore concocto secreta sit, & parum flauæ bilis receperit. Cuius sanè si plus affluat, quàm conuenit, vel syncera admodum vrinæ misceatur, vrina rufa fit. Si ergo præter eiusmodi colorem etiam consistentiæ tenuitas accedat, morbum crudum esse ostendit. Nam vt colore eam modicè pallidam esse debere dicebamus, quæ secundum naturam se habet; Ita & consistentia mediocri præditam esse decet, nec instar aquæ tenuem, nec tam crassam, vt iumentorum vrinæ similis videatur. Enimuerò omnem vrinarum naturam differentiasque in libris de Crisibus absolutè explicauimus, ex quibus ille ea discat, qui Prognosticæ disciplinæ cupiditate tenetur. Nam interpretationis scopus is esse debet, vt quæ obscurè dicta videntur perspicua fiant, iudicium verò interponere quænam verè, & quæ falsò dicta sint, & singulis demonstrationem adhibere, ex abundanti est.

Vrina cruda periculosa.

SENTENTIA HIPPOCRATIS 31.

SI verò & morbus longus sit, & vrina talis, periculum est ne sufficere homo non poßit, quoad concocta sit vrina.

COMMENTARIVS GALENI.

SI longiori tempore morbus crudus perseueret, periculum est ne æger intereat, nisi robustissima sit illi natura, quæ morbo repugnet. Perspicuum igitur est, id esse reuocandum in memoriam, quod in Aphorismis ipse prodidit, considerandumque quantum sit robur facultatis, & quantam postulet morbus concoctionem. Itémque an æger ad summum vigorem morbi sufficiet.

De magis lethalibus vrinis.

SENTENTIA HIPPOCRATIS 32.

AT magis lethales sunt vrinæ fœtidæ, & aquosæ, & nigræ, & crassæ.

COMMENTARIVS GALENI.

AQuosæ vrinæ tenuem quidem consistentiam habent, colorem verò album. Indicant autem humorum maximam cruditatem, & coctricis facultatis imbecillitatem. De fœtidis, atque nigris antea diximus. Et hæ quidem tam per se, quàm cum aliis, mortiferæ sunt. Sed de crassis iure quæri potest, an eas quoque per se exitiales esse putandum sit, an cum præcedentibus, & nigris coniungere oporteat. De quo quidem ea dicemus, quæ nobis diligenter explorata, cognitáque sunt, vt qui ad ea attenderit, & veritatem intelligat & meliorem interpretationem sequatur. Vrinas nigras, quò fuerint crassiores, tãtò deteriores esse obseruauimus.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ κατὰ φύσιν οὖρον, μετρίως ἐστὶν ὠχρὸν, ὡς ἂν ἐκ τοῦ πεφθέντος ὑγροῦ γεγονὸς ὀλίγον τε τῆς ξανθῆς χολῆς προσειληφότος, ὅταν δὲ, ἤτοι πλεῖον ἢ αὐτὴ τοῦ δέοντος, ἢ ἄκρατος ἰσχυρῶς οὖσα, προσαναμιχθῇ τῷ οὔρῳ, πυῤῥὸν φαίνεται. ἐὰν οὖν πρὸς τῷ τοιοῦτον εἶναι κατὰ χρόαν, ἔτι καὶ λεπτὸν εἴη κατὰ τὴν σύστασιν, ἄπεπτον εἶναι σημαίνει τὸ νόσημα. χρὴ γὰρ ὥσπερ ἐν τῇ χρόᾳ μετρίως ὠχρὸν ἔφαμεν εἶναι δεῖν τὸ κατὰ φύσιν οὖρον, οὕτω καὶ κατὰ τὴν σύστασιν ἔχειν μετρίως,
B μήθ' οὕτω λεπτὸν ὑπάρχον ὡς ὕδωρ, μήθ' οὕτως γεγονὸς παχὺ, ὡς ἐοικέναι τοῖς τῶν ὑποζυγίων. Εἴρηται δὲ τελέως ἅπαντα, περὶ τῆς τῶν οὔρων φύσεώς τε, καὶ διαφορᾶς, ἐν τοῖς περὶ κρίσεων. ἐκεῖθεν οὖν αὐτὰ μανθανέτω, ὅστις ὄντως ἐραστὴς ἦ προγνωστικῆς θεωρίας. ἐν γὰρ ταῖς ἐξηγήσεσιν ὁ σκοπός ἐστι, σαφὲς ἐργάσασθαι τὸ δοκοῦν ἀσαφῶς εἰρῆσθαι. τὸ δὲ, καὶ διακρῖναι, τίνα μὲν αὐτῶν ὡς ἀληθῶς εἴρηται, τίνα δὲ οὔ, καὶ προσθεῖναι τὰς ἀποδείξεις ἑκατέροις, ἐκ περιουσίας γίνεται.

C

Τὸ ἄπεπτον οὖρον κινδυνῶδες.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λα'.

ΗΝ δὲ καὶ πολυχρόνιον εἴη τὸ νόσημα, τὸ δὲ οὖρον τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ τὸ οὖρον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΑν ἐπὶ πλείονα χρόνον, ἄπεπτον διαμείνῃ τὸ νόσημα,
D κίνδυνος ἀπολέσθαι τὸν ἄνθρωπον, εἰ μή γε ἄρα τὴν ἀντέχουσαν τῷ νοσήματι δύναμιν ἰσχυροτάτην ἔχει. δῆλον οὖν ὅτι κἀνταῦθα, τὸ κατὰ τοὺς ἀφορισμοὺς εἰρημένον μεμνημένος, ἐπισκέψαι, πηλίκη μέν ἐστιν ἡ ῥώμη τῆς δυνάμεως, ὁπόσης δὲ πέψεως δεῖται τὸ νόσημα. καὶ εἰ ὁ κάμνων ἐξαρκέσει μέχρι τῆς ἀκμῆς αὐτοῦ.

Περὶ θανατωδεστέρων τῶν οὔρων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λβ'.

E *ΘΑνατωδέστερα δὲ τῶν οὔρων, τά τε δυσώδεα, καὶ ὑδατώδεα, καὶ μέλανα, καὶ παχέα.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ ὑδατώδη, λεπτὰ μὲν τὴν σύστασίν ἐστι, λευκὰ δὲ τὴν χρόαν, ἀπεψίαν μὲν ἐσχάτην ἐνδεικνύμενα τῶν χυμῶν, ἀῤῥωστίαν δὲ τῆς φυσικῆς δυνάμεως. περὶ δὲ τῶν δυσωδῶν ἁπάντων, εἴρηται πρόσθεν, ὥσπερ γε καὶ περὶ τῶν μελαινομένων. ταῦτα μὲν οὖν, αὐτὰ καθ' ἑαυτὰ καὶ σὺν ἀλλήλοις, ἐστὶ θανατώδη. τὰ δὲ παχέα, πότερον αὐτὰ καθ' ἑαυτὰ
F καὶ ταῦτα θανατώδη νομιστέον, ἢ συμπλέξαι χρὴ τοῖς προειρημένοις αὐτὰ, καὶ τοῖς μέλασιν, ἄξιόν ἐστιν ἐπισκέψεως. ὅσα τοίνυν ἡμεῖς εἴδομεν, ἀκριβῶς παραφυλάξαντες ἐροῦμεν, ἵνα ὁ ἐξ αὐτῶν τις ὁρμώμενος, ἅμα μὲν ἐπίσηται τὸ ἀληθὲς, ἅμα δὲ καὶ τὴν βελτίω τῶν ἐξηγήσεων ἕληται. τὰ μέλανα τῶν οὔρων, ὅσῳ περ ἂν ᾖ παχύτερα, τοσούτῳ χείρω παρεφυλάξαμεν ὄντα.

τὰ δὲ τῆς κατὰ φύσιν χρόας μὴ ἐξιστάμενα, παχέα, διττὴν ἔχοντα τὴν ἔκβασιν, ἐνίοτε μὲν ἐπ' ὀλέθρῳ, ἐνίοτε δὲ εἰς ὑγείαν ὑπόγυον τελευτῶντα, καθάπερ καὶ ἄλλα πολλὰ τῶν παρὰ φύσιν, ὡς ἂν ἐκκαθαίρηται δι' αὐτῶν τὸ σῶμα. δῆλον δ' ὅτι παχέα πρὸς αὐτοῦ λέλεκται, τὰ πάνυ σφόδρα τοιαῦτα. τὰ γὰρ ἁπλῶς παχύτερα τῶν κατὰ φύσιν, οὐ πάντως ἐστὶν ὀλέθρια.

A Crassas autem, quę colorem naturalem retineant, aliàs in perniciem, aliàs in salutem non longo tempore desideratam, redditas esse, perinde, ac alia plurima, quæ præter naturam sunt, quòd per ea corpus expurgetur. Cæterùm crassas ab illo dictas esse manifestum est, quæ etiam atque etiam crassæ sunt. Nam quæ simpliciter crassiores sunt naturalibus, non sunt prorsus mortiferæ.

Περὶ κακίστων οὔρων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λγ'.

B

Ἔστι δὲ τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶ τὰ μέλανα τῶν οὔρων κάκιστα, τοῖσι δὲ παιδίοισι τὰ ὑδατώδεα.

De deterrimis vrinis.

SENTENTIA HIPPOCRATIS 33.

Sunt autem viris quidem & mulieribus vrinæ nigræ deterrimæ; pueris verò aquosæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν πάσαις μὲν ταῖς ἡλικίαις ὀλέθρια, τά τε μέλανα τῶν οὔρων ἐστὶ, καὶ τὰ ὑδατώδεα, ἀλλ' ἐπὶ μὲν τῶν ἀκμαζόντων, τὴν προτέραν ἔχει τάξιν, ὡς ἐν ὀλεθρίοις, τὰ μέλανα, ἐπὶ δὲ τῶν παιδίων τὰ ὑδατώδη. λέλεκται γὰρ ἔμπροσθεν αὐτῷ, τὰ ἐναντιώτατα τοῖς κατὰ φύσιν, ὀλεθριώτατα ὑπάρχειν. ἐναντιώτατα δὲ ἐστιν ἐπὶ τῶν παίδων, οὐχ οὕτως τὰ μέλανα τοῖς κατὰ φύσιν, ὡς τὰ λεπτά. κατὰ φύσιν γὰρ αὐτοῖς ἐστιν οὖρα παχέα τε, καὶ πολλὴν ὑπόστασιν ἔχοντα. τοῖς δ' ἀκμάζουσι, καὶ λεπτότατα, καὶ ὀλίγην ὑπόστασιν ἔχοντα γὰρ, διόπερ ἐπ' αὐτῶν ἐστιν ὀλεθριώτατα, τὰ μέλανα τῶν οὔρων. ἐπὶ δὲ τῶν παιδίων, καὶ δι' ἄλλην αἰτίαν ὀλέθρια τὰ ὑδατώδη. τάχιστα γὰρ ἐπ' αὐτῶν πέττεται πάντα, διὰ ῥώμην τῆς ἀλλοιωτικῆς δυνάμεως. αἱ πέψεις δὲ παχύνουσιν, οὐκ οὖρα μόνον, ἀλλὰ καὶ διαχωρήματα τοῖς ἀπεπτοῦσι κατὰ γαστέρα. καὶ πτύσματα περιπνευμονικοῖς τε καὶ πλευριτικοῖς, καὶ φλέγματα ἐν καταῤῥόοις καὶ κορύζαις, καὶ λήμας ἐν ὀφθαλμίαις, καὶ πῦον ἐν ἕλκεσιν. ἐὰν οὖν φαίνηται τοῖς παισὶ τὸ οὖρον ὑδατῶδες, ἐπὶ πλέονα χρόνον παραμένον, ὡς μηδεμίαν μεταβολὴν ἴσχειν ἐπὶ τὸ παχύτερον, ὀλέθριον γὰρ τὸ σημεῖον.

COMMENTARIVS GALENI.

In omni ætate lethales sunt vrinæ nigræ, & aquosæ, verùm in ætatis flore inter perniciosas primum locum tenent nigræ, in ætate autem puerili, aquosæ. Dictum enim antea est omnia, quæ naturalibus aduersissima sunt, deterrima C esse. At in pueris non tam nigræ vrinæ, quàm tenues ab iis dissident, quas secundum naturam excernunt. Excernunt enim ipsi secundum naturam crassas, & in quibus multa sedimenta sunt. Qui verò ætate florent, tenuissimas, & parum sedimenti habentes. Quare vrinæ in istis nigræ, præcipuè mortiferæ sunt, in pueris verò, & aliam quidem ob causam, exitiales sunt aquosæ. Omnia enim ipsi concoquunt celerrimè, ob robur alteratricis facultatis. Concoctio verò non vrinas modò, sed etiam alui excrementa iis, qui cruditate D laborant incrassat, & sputa similiter peripneumonicis, pleuriticisque, & pituitam, quæ catarrhum, atque grauedinem committit, & sordes in inflammationibus oculorum, & pus in vlceribus. Itaque si diu in pueris aquosa vrina permanet, nec vllam crassitiem comparat, mortiferum signum est.

Σημεῖον τῆς ἀποστάσεως ἐκ τῶν οὔρων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λδ'.

E

Ὁκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέωσι πολὺν χρόνον, ἢν τἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τουτέοισιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία.

Abscessus signum ex vrinis.

SENTENTIA HIPPOCRATIS 34.

Qui vrinas tenues & crudas meiunt multo tempore, sique cætera, vt superfuturis signa sint, his abscessum ad loca infra septum transuersum expectare oportet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀληθέστατα καὶ τοῦτ' εἴρηται τῷ Ἱπποκράτει. τὰ μὲν γὰρ δυσπεπτότερα τῶν νοσημάτων, ὡς ἂν ἐπὶ παχυτέροις καὶ ψυχροτέροις γινόμενα χυμοῖς, εἰς ἀπόστασιν εἴωθε κρίνεσθαι, τὰ δὲ ἐπὶ θερμοῖς καὶ λεπτοῖς ἐκκρίσεσιν. ὅταν οὖν ποτε χρόνῳ πλείονι παραμένῃ τὰ οὖρα μὴ πεττόμενα, διορίζεσθαι χρὴ, πότερον οὐκ ἐξαρκέσει τῷ μήκει τοῦ νοσήματος ὁ κάμνων, ἢ δι' ἀποστάσεως κριθήσεται. ὁ διορισμὸς δὲ ἀπὸ τῶν ἄλλων σημείων γενήσεται. τὰ μὲν γὰρ ὀλέθρια, θάνατον δηλοῦσι. τὰ δὲ ἀγαθὰ, σωτηρίαν. αἱ γοῦν ἀποστάσεις, ἐν μὲν τοῖς πάνυ χρονίζουσιν, ἐς τὰ κάτω χωρία γίνονται, διά τε τὴν ψυχρότητα,

COMMENTARIVS GALENI.

Hoc quoque verissimè dictum est ab Hippocrate. Morbi enim, qui ægerrimè concoquuntur, propterea quòd ex crassiore & frigidiore humore originem habent, plerunq; per abscessum iudicatur, quos verò calidus, & tenuis humor excitauit, per vacuationem. Itaque quum vrina incocta F diu permanet, discernedum an æger ferendo longo morbo sufficiet, an per abscessum iudicabitur. Id autem alia signa distinguent. Mortifera namque interitum portendunt. Bona verò sanitatem pollicentur. At verò abscessus in vetustis quidem multùm morbis tum propter frigiditatē, crassitiem-

crassitiémque humoris, tum naturæ imbecillitatem longo iam spatio fatigatæ, in inferioribus partibus oriuntur, in acutioribus verò iuxta aures. In his enim & humor minùs crassus, & caliditas multa & virtus robustior est. Qui verò horum medij morbi sunt, abscessus indifferentes committunt, nec in iis ex tempore coniectura esse potest, sursúmne, an deorsum potius erumpent, sed ex aliis signis id oportet diiudicare.

Colliquationis signum ex vrinis.

SENTENTIA HIPPOCRATIS 35.

QVi in pinguedines supra innatantes araneosæ, improbandæ; colliquationis enim signa sunt.

COMMENTARIVS GALENI.

VEluti in summo pinguis iusculi refrigerati superstat, quod à multis crusta dicitur, sic & in vrinis, quæ contabescente corpore redduntur, quarum nunc, & mentionem fecit, & causam etiam adiunxit.

De vrinarum nubeculis.

SENTENTIA HIPPOCRATIS 36.

SPectare autem oportet vrinarum nubeculas sursúmne, an deorsum fuerint, & quales hæ habeant colores; & quæ deorsum cum qui dicti sunt coloribus feruntur, eas esse bonas censere, ac laudare; quæ vero sursum cum dictis coloribus, eas prauas esse, talesque improbare decet.

COMMENTARIVS GALENI.

QVòd ea quæ ego in libris de Crisibus enæoremata sæpe vocaui, Hippocrates nubeculas appellare solitus sit, his etiam verbis apertè declarauit. Ipse tamen alio loco enæoremata geniture similia dixit; Itaque duorum alterum dicendum est, aut ἐναιώρημα generalioris cuiusdam rei nomen esse, quæ in nubeculas & alia geniture similia diuidatur, aut si id non est, nubeculas ἐναιωρήματα ab eo nuncupari. At verò omnia, quæ in vrinis deorsum feruntur tantò esse meliora, quantò magis deorsum subsiderint, tacitè videmur antea innuisse, quum diceremus nonnumquam cum talibus remixtum esse flatuosum spiritum. Itaque quod perfectè concoctum, secretum, æquale, similaréque est, id certè, quoniam nihil flatus habet, in fundum vasis vrinarij descendit; Quod verò magis est aëreum & vaporosum, id eam ob causam leuius, sursum magis minúsque fertur, pro modo eius, à quo subleuatur.

Vrinam vesicæ morbum significare.

SENTENTIA HIPPOCRATIS 37.

NE verò te fallat si vesica aliquo morbo laborans huiusmodi vrinas reddat; non enim totius corporis, sed ipsius per se indicium est.

A καὶ τὸ πάχος τῆς ὕλης, καὶ τὴν τῆς δυνάμεως ἀῤῥωστίαν, κεκμηκυίας διὰ τὸν χρόνον, ἐν δὲ τοῖς ὀξυτέροις παρὰ ὦτα. καὶ γὰρ καὶ οἱ χυμοὶ τούτοις, ἧττόν εἰσι παχεῖς, καὶ ἡ θερμασία πολλή, καὶ ἡ δύναμις ἐῤῥωστοτέρα. τὰ δὲ μεταξὺ τούτων νοσήματα, τὰς ἀποστάσεις ἐπαμφοτερίζούσας ἔχει. καὶ οὐδέν ἐστιν ὅσον ἐπὶ τῷ χρόνῳ ζητεῖν, ἄνω μᾶλλον, ἢ κάτω ῥέψουσιν, ἀλλ᾽ ἐκ τῶν ἄλλων σημείων διορίζεσθαι προσήκει.

Τὸ τῆς ἐξ οὔρων συντήξεως σημεῖον.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λε΄.

ΚΑὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας ἀραχνοειδέας μέμφεσθαι. ξυντήξεως γὰρ σημεῖα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟἹόν τι τοῖς λιπαροῖς ζωμοῖς ψυχθεῖσιν ἐφίσταται τὸ καλούμενον ὑπὸ τῶν πολλῶν γραῦς, τοιοῦτον καὶ τοῖς ἐκ τῆς συντήξεως οὔροις, ὑπὲρ ὧν νῦν ἐποιήσατο τὸν λόγον αὐτός, καὶ τὴν αἰτίαν προσθείς.

Περὶ νεφελῶν τῶν οὔρων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λς΄.

ΣΚοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσιν αἱ νεφέλαι, ἤν τε ἄνω, ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα ἴσχοισι. καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖσι χρώμασιν οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν, καὶ ἐπαινέειν, τὰς δὲ ἄνω ξὺν τοῖσιν χρώμασιν, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιαύτας.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι τὰ πρὸς ἐμοῦ κατὰ τὰ περὶ κρίσεων ὑπομνήματα, πολλάκις ἐναιωρήματα λελεγμένα, καλεῖν αὐτὸς εἴωθε νεφέλας, ἐδήλωσε καὶ διὰ τῆς ῥήσεως οὐκ ἀσαφῶς. ἀλλαχοῦ γε μὴν αὐτὸς ἐναιώρημα γονοειδὲς εἴρηκεν, ὡς εἶναι δυοῖν θάτερον, ἤτοι γενικωτέρου πράγματος ὄνομα τὸ ἐναιώρημα τὴν τομὴν ἔχοντος, εἴς τε τὰς νεφέλας, καὶ τὰ γονοειδῆ, ἢ μηδὲ ποτὲ τὰς νεφέλας ἐναιωρήματα καλεῖσθαι πρὸς αὐτοῦ. ὅτι δὲ πάντα τὰ τοῖς οὔροις ἐμφερόμενα κάτω χρηστά, καὶ ὅσῳ περ ἂν ὑφιζάνῃ E κάτω, τοσούτῳ βελτίω γίνεται, λέλεκται δυνάμει πρόσθεν, ἡνίκα ἐλέγομεν ἀναμεμίχθαι τοῖς τοιούτοις ἐνίοτε φυσῶδες πνεῦμα. τὸ τοίνυν ἀκριβῶς πεπεμμένον καὶ διακεκριμένον, ὁμαλές τε καὶ ὁμοιομερὲς ὄν, ὡς ἂν οὐδὲν ἔχον πνεύματος, εἰς τὸν πυθμένα καταφέρεται τοῦ τὸ οὖρον ἀγγείου περιέχοντος. ὅσον δ᾽ ἐπίμικτόν ἐστιν ἀερῶδες τινὶ καὶ ἀτμῶδει φύσει, τοῦτο κουφιζόμενον ὑπ᾽ ἐκείνης, ἀνάλογον τῇ ποσότητι τοῦ κουφίζοντος, ἧττόν τε καὶ μᾶλλον ἄνω φέρεται.

Οὖρον τὸ τῆς κύστιος νόσημα σημαίνει.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λζ΄.

ΜΗ ἐξαπατάτω δέ σε, ἤν τι ἡ κύστις νούσημα ἔχουσα τῶν οὔρων τοιαῦτα ἀποδιδῷ. οὐ γὰρ τοῦ ὅλου σώματος σημεῖόν ἐστιν, ἀλλ᾽ αὐτῆς καθ᾽ ἑωυτήν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κάλλιστα καὶ τοῦτο προσέγραψεν ἀναμιμνήσκων ἡμᾶς, ὃ κατέχ' ἂν ἐνίοτε παρελίπομεν ἐπὶ τῶν νοσούντων διασκέψασθαι· καὶ χρὴ δηλονότι, καὶ περὶ τῶν διαχωρουμένων κατὰ γαστέρα μεμνῆσθαι τοῦ νῦν εἰρημένου διορισμοῦ. κοινὸν μὲν γὰρ ἀμφοτέραις ταῖς ἐκκρίσεσιν, τό τε τοῦ παντὸς σώματος ὑποδέχεσθαι τὰ περιττώματα ταῦτα, καὶ τὸ τῶν μορίων ἐκείνων δι' ὧν ἐκκρίνεται. συμβέβηκε δὲ κατὰ φύσιν ἐχόντων ἡμῶν, τὰ μὲν τοῦ παντὸς σώματος ἐκκαθαίρεσθαι περιττώματα δι' οὔρων, τὰ δὲ τῶν κατὰ γαστέρα, συνεξέρχεσθαι τῇ κόπρῳ. παρὰ φύσιν δ' ἐχόντων, τοῖς μὲν οὔροις συνεκκρίνεσθαι τινὰ τῶν ἐν νεφροῖς, καὶ κύστει νοσημάτων γνωρίσματα, τῇ δὲ κόπρῳ τοῦ παντὸς σώματος. οὐκ ὀλιγάκις γοῦν ἐπὶ τῶν οὐρησάντων πυώδη, ζήτησις ἐγένετο πόθεν ἥκει τὸ πύον. οὕτω δὲ καὶ πεταλώδη ποτὲ οὐρηθέντα, τὴν αὐτὴν ζήτησιν ἔχει. καὶ δριμέα δὲ, καὶ δυσώδη, καὶ χολώδη τὰ οὖρα, πολλάκις μὲν ἐγένετο, διὰ κύστιν τε καὶ νεφρούς· οὐκ ὀλιγάκις δὲ, καὶ διὰ τὸ πᾶν σῶμα, τουτέστι τὴν ἐν ὅλῳ τῷ ζώῳ πεπτικὴν δύναμιν τῶν χυμῶν, ἥ τις, ὡς ἐδείξαμεν οἷον ἑστίας χωρουμένην, καὶ πηγὴν ἔχει τὸ ἧπαρ. ἐνίοτε δὲ ταύτης αὐτῆς μηδὲν πεπονθυίας, ἐκκαθαίρεται διὰ νεφρῶν, καὶ κύστεως ὅλον τὸ ζῶον, ἢ μορίων τινῶν τῶν ἐν αὐτῷ τινα περιττώματα ταῖς φλεψὶν ἐμπίπτοντα, ἐκκαθαιρομένου τοῦ αἵματος ὑπὸ τῶν νεφρῶν, συνεκκρίνεται, καθότι καὶ ἀποστήματα πολλαχόθι γινόμενα, δι' οὔρων ἐκκρίνεται.

COMMENTARIVS GALENI.

Hoc etiam pulcherrime scripsit Hippocrates, admonens nos eius, quod aliquando forte in ægris non animaduertimus. Neque id quidem in excrementis etiam, quæ aluus effundit negligendum est. Est enim vtrique vacuationi commune, vt à toto corpore hæc excrementa suscipiant, & ab iis partibus, per quas illa vacuantur. Accidit autem nobis omnibus, dum quidem valemus, excrementa totius corporis per vrinas expurgari, partium autem ad ventrem attinentium, vnà cum stercore descendere, quum verò malè habemus, cum vrinis quidem testimonia aliqua morborum, qui renes & vesicam tenent, simul exire, cum stercore verò totius corporis. Itaque non rarò de iis quæsitum est, qui purulenta eminxerunt, vndè pus ipsum veniret. Quæritur æquè de vrinis, in quibus quasi bracteolæ cernuntur, item de acribus, & fœtidis & biliosis. Id enim plerunque vitio vesicæ, & renum contingit, non rarò autem totius corporis, hoc est facultatis in toto animali succos concoquentis, cuius, sicuti ostendimus, velut focus ardens & fons iecur est. Quanquam interdum illa ipsa nullo modo affecta, totum animal per renes & vesicam expurgatur, aut partium eius aliquarum excrementa quædam in venas delapsa, purgato à renibus sanguine, simul vacuantur, sicut & abscessus pluribus locis geniti per vrinas abeunt.

Περὶ ἐμέτων ὠφελιμωτάτων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λη'.

Ἔμετος δὲ ὠφελιμώτατος, ὁ φλέγματός τε καὶ χολῆς ξυμμεμιγμένος, ὡς μάλιστα, καὶ μὴ παχὺς κάρτα, μήτε πολὺς ἐμείσθω. οἱ γὰρ ἀκρητέστεροι, κακίους εἰσίν.

De vtilissimis vomitibus.

SENTENTIA HIPPOCRATIS 38.

Vomitus autem vtilissimus bile & pituita quàm maximè permixtus, neque admodum crassus, neque multus vomatur. Synceriores enim deteriores sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ διὰ ταύτης τῆς λέξεως ἐδήλωσεν, ὁποῖόν τι καλεῖ τὸ ἄκρατον, ἀντιθεὶς αὐτῷ τὸ μεμιγμένον. δηλωτικὸν δ' οὐχ ἥκιστα τὸ αὐτὸ τοὔνομά ἐστι, τοῦ πρὸς αὐτοῦ σημαινομένου. καὶ γὰρ οἶνον ἄκρατον εἶναι λέγομεν, ᾧ μὴ μέμικται τὸ ὕδωρ, ἢ παντάπασιν ὀλίγον μέμικται. καὶ τῶν ἄλλων ἕκαστον, ἄκρατόν ἐστι τε καὶ λέλεκται πρὸς τῶν Ἑλλήνων, ὅταν αὐτὸ καθ' αὑτὸ μόνον ἀμιγὲς ἑτέρας οὐσίας ὑπάρχῃ. τὴν γοῦν ξανθὴν χολὴν, ποτὲ μὲν ἐστιν ἰδεῖν παχεῖάν τε καὶ ἄκρως ξανθὴν, ἐμουμένην τε καὶ κάτω διερχομένην, ἣν δὴ καὶ λεκιθώδη προσαγορεύουσιν ἔνιοι. πολλάκις δὲ ὑγροτέραν, καὶ ἧττον ξανθὴν, ἥτις ἰδίως ὠχρὰ προσαγορεύεται, μεμιγμένον ἔχουσα δι' ὅλης ἑαυτῆς φλεγματώδη χυμὸν λεπτὸν, ἢ ὑδατῶδές τι περίττωμα. βούλεται τοίνυν ὁ Ἱπποκράτης, μηδέτερον τῶν χυμῶν ἄκρατον φαίνεσθαι, μεμίχθαι δ' ἀλλήλοις πως αὐτούς. ὁ μὲν γὰρ χολώδης ἄκρατος, πολλὴν τὴν θερμασίαν· ὁ δὲ φλεγματώδης, τὴν ψύξιν ἐνδείκνυται. καὶ μέντοι καὶ παχυτέροις ὑπάρχει τοῖς ἀκράτοις εἶναι. τῷ μὲν φλεγματώδει, διὰ ψύξιν οἱονεὶ ἐπιπεπηγότι· τῷ δὲ χολώδει, διὰ τὴν τῆς θερμασίας ὑπερβολὴν ἐξικμασμένῳ τε, καὶ οἷον πεφρυγμένῳ. δύο γὰρ αἴτια ταῦτα ἐναντία τῶν παχυνομένων ἐστί. τὸ θερμὸν πάνυ, καὶ τὸ ψυχρόν, ἐξικμάζον μὲν τὸ θερμὸν, πηγνῦον δὲ τὸ ψυχρόν.

COMMENTARIVS GALENI.

Apertè hic exposuit, quid vocet purum, vt cui mixtum opposuerit, quanquam satis per se nota est huius nominis significatio. Vinum enim purum esse dicimus, cui aut nulla, aut perexigua mixta est aqua. Et alia æquè omnia pura sunt, & dicuntur à Græcis, quum ipsa per se sola sunt, & cum nullo altero mixta. Flauam ergo bilem videmus aliquando, & per vomitum & per aluum deiici crassam, & admodum flauam, quam plerique vitellinam nuncupant, sæpè verò liquidiorem, minúsque flauam, quæ propriè pallida appellatur, habentem pituitosum succum tenuem, aut aquosum aliquod excrementum per se totam remixtum. Neutrum igitur succum vult Hippocrates purum videri, sed eos quodammodo secum mixtos esse. Nam qui purè biliosus est, insignem calorem; pituitosus verò, frigiditatem significat. Sed & qui puri sunt, iidem videntur etiam crassiores esse. Pituitosus enim ob frigiditatem quasi concreuit. Biliosus verò à vehementia caloris aridus, & quasi torridus efficitur. Hæ namque duæ causæ sunt contrariæ eorum, quæ crassescunt, calor & frigiditas immodica, quarum hic quidem exsiccat, illa vero compingit.

Praui vomitus ex deiectionibus signum.

SENTENTIA HIPPOCRATIS 39.

SI verò quod vomitur porraceum, aut liuidũ, aut nigrum fuerit, quisquis horum colorum fuerit, eum malum esse existimare oportet.

COMMENTARIVS GALENI.

DE liuido, & nigro colore diximus antea. Nunc autem primùm porracei mentionem fecit, qui nomine quidem proprio caret, à porris autem ipsum mutuatur; nisi fortè quis è contrario dicat porrum à porraceo, non à porro porraceum nuncupatum fuisse. Nam in quibusdam deriuatio nominum tam manifesta est, vt quod primitiuum, sicut vocant grammatici, quódque ab eo deriuatum sit, dubitari non possit, veluti in lacteo colore. In aliis verò non item perspicuum est. Dici namque potest phœniceum non à phœnice nuncupationem sortitum esse, sed phœnicem à phœniceo. Æquè cyanum non magis à cyaneo, quàm cyaneum ab illo esse vocatum. Sic apud Græcos ὤχρα & color, quem ipsi ὠχρὸν appellant. Dico autem ὤχραν non accentu in vltima acuto, vt quum dicunt adolescentem ὠχρὸν & mulierem ὠχρὰν esse (sic enim pallidum significat) sed in penultima. Est enim ὤχρα terræ quoddam genus, in quo Attica præcipuè excellit. Sed hæc quidem semel à me dicta sint. Semper autem memineris, vt eatenus vaces dictionibus, quatenus ea, quæ dicuntur facilius ex ipsis intelligas. Si quam autem præterea operam hac in re impenderis, superfluè insumptam putato, in studiis autem melioribus tempus impende. Sanè vt in corpore bene habente pallida bilis nascitur, sic in eo, quod præter naturam affectum est, porracea alia generatur. Ea autem sæpè quidem in ipso ventre fieri ob cruditatem aliquorum ciborum, aut olerum videtur, qualia sunt betæ, cæpæ, atque brassicæ. Interdum verò, eiusmodi assumpto, per morbos in venis gignitur, & defluit modò in summum, modò in imum ventrem, ostendens proculdubiò calorem aliquem in corpore, præter naturam esse, & excrementi speciem ita temperati, vt succus olerum, quæ diximus.

Ἡ τῶν ἐκ χρωμάτων πονηροῦ ἐμέτου σημείωσις.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λθ'.

Εἰ δὲ εἴη τὸ ἐμούμενον πρασοειδὲς, ἢ πέλιον, ἢ μέλαν, ὅ,τι ἂν ᾖ τούτων τῶν χρωμάτων, νομίζειν χρὴ πονηρὸν εἶναι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ μὲν οὖν τοῦ πελιδνοῦ, καὶ μέλανος χρώματος, εἴρηται πρόσθεν. τοῦ πρασοειδοῦς δὲ νῦν πρώτως ἐμνημόνευσεν, οὐκ ἔχοντος μὲν οἰκεῖον ὄνομα, συγχρωμένου δὲ τῇ τῶν πράσων προσηγορίᾳ. εἰ μὴ ἄρα τις ἔμπαλιν, ἀπὸ τοῦ πρασοειδοῦς χρώματος ὀνομάζεσθαι φαίη τὸ πράσον, οὐκ ἀπὸ τοῦ πράσου τὸ πρασοειδές. ἐπί τινων μὲν γὰρ εὔδηλος ἡ παραγωγὴ τῶν ὀνομάτων, ὡς γνωρίζεσθαι τό τε πρωτότυπον ὑπὸ γραμματικῶν ὀνομαζόμενον, καὶ τὸ παρηγμένον ἀπ' αὐτοῦ, καθάπερ ἐπὶ τοῦ γαλακτοειδοῦς χρώματος. ἐπί τινων δὲ, οὐ δῆλον. ἔξεστι γὰρ λέγειν, οὐκ ἀπὸ τοῦ φοίνικος ὀνομάζεσθαι τὸ φοινικοῦν, ἀλλ' ἀπὸ τοῦ φοινικοῦ τὸν φοίνικα. καθάπερ γε καὶ τὸ κυανὸν, οὐκ ἀπὸ τοῦ κυανοῦ μᾶλλον, ἤπερ τὸ κυανοῦν ἀπ' ἐκείνου. καὶ ἡ ὤχρα δὲ καὶ τὸ ὠχρὸν χρῶμα, τῆς αὐτῆς ἐστι συζυγίας. ὤχραν δὲ εἴρηκα, οὐ τὴν ὀξυνομένην φωνήν, ὥσπερ ἂν εἴποι τις ὠχρὸν μὲν εἶναι τὸν νεανίσκον, ὠχρὰν δὲ τὴν γυναῖκα, ἀλλὰ τὴν προξυνομένην. ἔστι γὰρ εἶδός τι γῆς ὤχρα, καὶ μάλιστα ταύτης ἡ Ἀττικὴ καλλίστη. ταυτὶ μὲν οὖν ἅπαξ εἰρήσθω μοι. ἀεὶ γὰρ μέμνησο, τοῦ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι τοσοῦτον, ὅσον εἰς σαφῆ δήλωσιν ὧν λέγομεν ἐξ αὐτῶν ἐστιν ὀνήσασθαι. τὸ δ' ἐπέκεινα τοῦδε, περιττὸν ἡγοῦ, τὸν χρόνον εἰς τὴν τῶν βελτιόνων σπουδὴν καταθέμενος. γίνεται δή τις ἐν τῷ σώματι, καθάπερ ὠχρὰ χολὴ κατὰ φύσιν ἐχόντων, οὕτω καὶ πρασοειδὴς ἑτέρα παρὰ φύσιν. καὶ φαίνεται αὕτη πολλάκις μὲν ἐν αὐτῇ τῇ γαστρὶ γεννωμένη, διά τινων ἀπεψίας ἐδεσμάτων, ἢ λαχάνων, ὁποῖα καὶ τὰ τεῦτλά εἰσι, καὶ τὰ κρόμμυα, καὶ αἱ κράμβαι. φαίνεται δ' ἐνίοτε καὶ χωρὶς τούτου, τοιοῦτό τι προσγενέσθαι, τῷ λόγῳ τοῦ νοσήματος ἐν ταῖς φλεψὶ γεννᾶσθαι, καὶ καταρρεῖν, ἤτοι γε εἰς τὴν ἄνω κοιλίαν, ἢ εἰς τὴν κάτω, θερμασίαν γέ τινα ἐν τῷ σώματι παρὰ φύσιν δηλοῦσα, καὶ περιττώματος ἰδιότητα τοιούτου τὴν κρᾶσιν, οἷος ὁ τῶν εἰρημένων λαχάνων ἐστὶ χυμός.

De admodum exitiali vomitu.

SENTENTIA HIPPOCRATIS 40.

SI verò omnes idem homo colores vomat, id admodum exitiale iam est.

COMMENTARIVS GALENI.

SI quod, omnes, dixit, ad prædictos colores porraceum, liuidum, nigrúmque referre velis, siue ad alios etiam, qui præter naturam incidunt, certè vtroque modo perniciosissimum est, quòd plures in corpore graues esse morbos indicetur.

Περὶ τοῦ κάρτα ὀλεθρίου ἐμέτου.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μ'.

Εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέῃ, κάρτα ὀλέθριον τοῦτο ἤδη γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴτε περὶ τῶν προειρημένων χρωμάτων τοῦ πρασοειδοῦς, καὶ πελιδνοῦ, καὶ μέλανος εἴρηται τὸ, πάντα, εἴτε καὶ περὶ τῶν ἄλλων σὺν αὐτοῖς, ὁπόσα χρώματά ἐστι παρὰ φύσιν, ἑκατέρως ὀλεθριώτατόν ἐστιν, ἐνδεικνύμενον πολλὰς ἐν τῷ σώματι χαλεπὰς εἶναι διαθέσεις.

Lethalis vomitus.

SENTENTIA HIPPOCRATIS 41.

CElerrimam autem mortem prodit vomitio liuida, si grauiter oleat.

Ἔμετος θανάσιμος.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μα'.

Ταχὺν δὲ θάνατον σημαίνει τὸ πέλιον τῶν ἐμεσμάτων, εἰ ὄζοι δυσῶδες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σηπεδόνα γὰρ ἐνδείκνυται μετὰ νεκρώσεως τὸ τοιοῦτον, εἴ γε μεμνήμεθα τῶν προειρημένων.

COMMENTARIVS GALENI.

Talis enim putredinem vnà cum extinctione significat, si eorum sumus memores, quæ antè dicta sunt.

Ἔμετος ἀεὶ κακός.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μβ'.

Πᾶσαι δὲ αἱ ὑπόσαπροι καὶ δυσώδεες ὀδμαί, κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμουμένοισιν.

Vomitus semper malus.

SENTENTIA HIPPOCRATIS 42.

Omnes autem supputridi, fœdique odores in omni vomitu mali sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ γὰρ ἀεὶ διαθέσει μιχθῇ σηπεδών, χείρων αὐτὴ ἑαυτῆς φαίνεται.

COMMENTARIVS GALENI.

Nam si cuiuis affectui accedat putredo, is deterior quàm sit, euadet.

Περὶ πτυέλων ἀρίστων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μγ'.

Πτύελον δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πνεύμονα, καὶ τὰς πλευράς, ταχέως τε ἀποπτύεσθαι, καὶ εὐπετέως.

De sputis optimis.

SENTENTIA HIPPOCRATIS 43.

At sputum in omnibus doloribus pulmonem & costas obsidentibus, celeriter, ac facilè expui oportet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν ταχέως ἐν ἀρχῇ τῆς νόσου δηλοῖ, τὸ δὲ εὐπετέως, αὐτὸ τοῦ ῥαδίως τε καὶ ἑτοίμως, οἱ Ἕλληνες λέγουσι. συμβαίνει δὲ τοῦτο, ταχέως τε καὶ ἀπόνως ἀναπτυόντων. τὸ γάρ τοι ταχέως γίγνεσθαι, διττόν ἐστι. τὸ μὲν ἕτερον, ὅλου τοῦ νοσήματος τὸν πρῶτον καιρὸν ἐνδεικνύμενον, τὸ δὲ ἕτερον, τὸν ἐν ταῖς ἐνεργείαις ἐξεταζόμενον χρόνον. εὐπετὴς γὰρ ἀναγωγὴ πτυέλου, τουτέστιν ἑτοίμη τε καὶ ῥαδία γίγνεται, μήτ' ὀδύνης ἰσχυρᾶς οὔσης κατὰ τὸν θώρακα. (διακόπτει γὰρ αὕτη, καὶ καταπαύει μεταξύ, πρὶν ἐκτελεσθῆναι γινομένην ἔτι τὴν τοῦ θώρακος ἐνέργειαν.) ἀλλὰ μηδ' ἀσθενοῦς ὑπαρχούσης τῆς δυνάμεως· ὀκλάζει γὰρ καὶ αὕτη μεταξὺ κατὰ τὴν ἐνέργειαν, ὡς ἡμιτελὲς ἀπολιπεῖν τὸ ἔργον. αὐτό τε τὸ ἀναγόμενον ἐὰν μὲν ἰσχυρῶς ᾖ γλίσχρον, ἐμπλάττεται δυσαπολύτως τοῖς μορίοις, ἀναφερόμενόν τε πολλάκις, ἐνίσχεται προσκολλώμενον ταῖς σήραγξι τοῦ πνεύμονος· ὥσπερ γε, καὶ ἐὰν ἱκανῶς ᾖ παχὺ δυσχερῶς ἀναφερόμενον, ἐν χρόνῳ τε πλείονι, κακοπαθεῖν ἀναγκάζει, καί που καὶ σφηνοῦται κατά τινας τῶν στενοχώρων ὁδῶν, ὅθεν καὶ τὸ πνιγῆναί τισι συνέβη. καὶ μὲν δὴ καὶ τὸ λεπτὸν ἱκανῶς, ὡς ὑδατῶδες εἶναι, μόγις ἀναπτύεται, περιρρέον ἐν κύκλῳ τῷ πνεύματι. τοῦτο γάρ ἐστι τὸ πρῶτον αἴτιον τῆς ἀναγωγῆς, ὅπερ καὶ προσεχὲς ὀνομάζουσι. διττὸν γὰρ τὸ πρῶτον αἴτιον, ὡς ἐν τοῖς περὶ αἰτίων λόγοις διῄρηται, τό τε φαῦλον τῆς ὕλης, καὶ τὸ τὴν ἀρχὴν τῆς κινήσεως ἔχον. ἡ μὲν οὖν ἀρχὴ τῆς κινήσεως, ἐπὶ τῶν βηττόντων ἐκ τῆς τὸν θώρακα κινούσης δυνάμεώς ἐστιν. ἐδείχθη γὰρ τοῦτο ἐν ταῖς τῶν συμπτωμάτων αἰτίαις. ἡ συστολὴ δὲ αὐτοῦ βίαιος γινομένη, τὴν ἔξω φορὰν τοῦ πνεύματος ἐργάζεται σφοδράν. ἡ δὲ ταύτης σφοδρότης, ἑαυτῇ συναναφέρει τὰ κατὰ τὰς σήραγγας τοῦ πνεύμονος, αἵπερ εἰσὶν ἀρτηρίαι τραχεῖαι. ὅταν μὲν οὖν ὅ, τε θώραξ ἐνεργῇ ῥωμαλέως, τό τε ἐν ταῖς σήραγξι τοῦ πνεύμονος ὑγρὸν ὑπάρχῃ μετρίως παχύ, ῥαδίως ἀναπτύεται. μηδ' ἑτέρου δ' ὄντος τοιούτου, χαλεπῶς καὶ μόγις. εἰ δὲ τὸ μὲν εἴη τῶν εἰρημένων αἰτίων, τὸ δ' οὐκ εἴη, μεταξὺ τοῦ ἀρίστου τρόπου, καὶ τοῦ χείσου, τὴν κένωσιν τοῦ πτυέλου συμβήσεται γίγνεσθαι. καὶ ὅλως δὲ παρὰ τὸ μᾶλλόν τε καὶ ἧττον ἐπιτετάσθαι τι ἕκαστον τῶν αἰτίων, ἢ ἐκλύεσθαι, τινὲς μὲν αὐτῶν ῥᾷον, τινὲς δὲ χαλεπώτερον ἀναπτύουσι.

COMMENTARIVS GALENI.

Citò, hoc est, per initia morbi. Leuiter verò significat facilè, promptéque. Id autem contingit iis, qui citò, & sine difficultate excreant. Nam citò fieri geminum est, ex eo namque vel totius morbi primum tempus designatur, vel spatium illud, quo ipsa actio perficitur. Sputum enim leuiter, hoc est, promptè & facilè educitur, quando neque dolor vllus vehemens thoracem affligit, (siquidem hic interpellat, nec permittit thoracem opus, quod adhuc agit, absoluere) neque imbecilla est facultas; Nam ipsa quoque medio in opere desistit, opúsque imperfectum relinquit. Quod autem educitur si admodum lentum est, ita partibus adhærescit, vt indè non possit eximi, ac sæpè sublatum, intra pulmonis fistulas, glutinis modo adhærens, detinetur, sicut etiam, quod crassum valdè est, nec nisi magna difficultate attollitur, tum longiorem affectum necessariò inducit, tum in angustis quibusdam viis sic intercluditur, vt quosdam ad suffocationem adegerit. Sed & quod tenue multùm est, quia aquosum sit, ægrè expuitur, circum spiritum diffluens. Est enim hæc prima educendi sputi causa, quam etiam continentem vocant; Duplex namque prima causa est, sicut in libris de causis diuisa fuit, scilicet humoris vitium, atque id quod principium motus habet. Est autem principium motus in his, qui tussiunt, ab ea facultate, quæ thoracem mouet, sicut à nobis demonstratum est in libris de symptomatum causis. Huius autem vehemens compressio, spiritum violenter foras abire compellit. Sic verò ille abiens, ea secum ducit, quæ in pulmonis fistulis, quæ asperæ arteriæ sunt, continentur. Itaque si thorax robustùs est, & humor, qui fistulis pulmonis inest, modicè crassus, facilè expuitur; Sin autem neutrum adsit, ægrè & cum magna difficultate. Quòd si altera causa est, altera verò abest, sputũ medio inter optimum, pessimumque modo vacuabitur. Atque vt semel dicam, prout causa aliqua magis, minúsve vehemens, aut lãguida fuerit, quidam facilius, alij difficilius excreant.

Itaque

Itaque quid sit leuiter excreare, videor mihi dilucidè, & verè ostendisse. Quod si verum est, vt certè est, verum quoque est etiam citò. Non enim temporis spatium tussi coniunctum, sed primum morbi tempus significat, de quo etiam in Aphorismis dixit; *In pleuriticis sputum si citò appareat incipiente morbo, eum breuem fore ostendit.* Nam si quis de tempore, quo ipsa actio obitur, citò dictum esse intelligat (quod quidem in aduerbio, leuiter, designari ostendimus) geminum errorem committet, tum quod bis tempus ab eo indecorè dictum sit, tum quòd alterum cuius etiam in Aphorismis fecit mentionem, prætermissum sit, vires alioqui magnas habens. Quòd autem non propter hæc modò, sed etiam ea, quæ deinceps scripta sunt, sic intelligere oporteat, planum tibi fiet quum locum illum enarrabo.

De sputo flauo.

SENTENTIA HIPPOCRATIS 44.

ET valde commixtum sputo flauum apparere.

COMMENTARIVS GALENI.

VEhementer ad permixtum, non ad flauum referendum est, quasi hoc modo dixisset. Et flauum illi permixtum vehementer videri. Porrò vehementer idem significat, quod valdè & maximè. Ipse quidem priùs dixerat; Vomitum, si quis inciderit, vtilissimum esse, si maximè mixtus esset bile, & pituita, hoc autem loco de sputis dixit vehementer. Quòd autem id rectè interpretati simus, ex sequenti sententia intelliges.

Deterioris sputi signum.

SENTENTIA HIPPOCRATIS 45.

SI namque multo post doloris initium flauum expuatur, aut fuluum, aut quod multam tussim excitet, neque valde commixtum, deterius est.

COMMENTARIVS GALENI.

POllicitus eram me hoc loco demonstraturum vtramque interpretationem aduerbiorum citò, & vehementer veram esse. Nam ad contraria, sicut solet, transiens aduerbio citò opposuit; Nam si multò postquàm dolor cœperit excreet, & permixto vehementer, quod non vehementer permixtum est, & leuiter excreato quod multam tussim excitat. Nam quod sine difficultate, citóque effertur, exiguam tussim requirit. Ego enim antè ostendi longè præstare mixta quodammodo secum esse ea, quæ vacuantur, nihílque syncerum, & purum vacuari. Dictum etiam à me est in libris de Crisibus, & commentariis, quos scripsi in aphorismos de eo, quod expediat pleuriticis citò expuere.

τί μὲν οὖν ἐστι τὸ εὐπετέως ἀναπτύεσθαι, δοκῶ μοι δεδεῖχθαι σαφῶς τε ἅμα, καὶ ἀληθῶς. εἰ δ' ἀληθές ἐστι τοῦτο, καθάπερ οὖν καὶ ἔστιν, ἀληθὲς ἂν εἴη καὶ τὸ ταχέως. οὐ γὰρ τὸν ἐζευγμένον χρόνον αὐταῖς ταῖς βηξὶν, ἀλλὰ τὸν πρῶτον τοῦ νοσήματος σημαίνει καιρὸν, ὑπὲρ οὗ καὶ κατὰ τοὺς ἀφορισμοὺς εἶπεν. ἐν πλευριτικοῖσι πτύελον αὐτίκα ἢν ἐπιφαίνηται ἀρχομένου, βραχυνεῖ. ὡς εἴ γέ τις ἐπὶ τοῦ χρόνου τῆς ἐνεργείας, ἀκούσειεν εἰρῆσθαι τὸ ταχέως, ὅπερ ἐδείχθη κἀν τῷ εὐπετέως περιεχόμενον. διττῶς ἁμαρτήσεται, τῷ τὸ μὲν τὸν χρόνον ἀναξίως εἰρῆσθαι δὶς ὑπ' αὐτοῦ. τὸ δ' ἕτερον, οὗ κἀν τοῖς ἀφορισμοῖς ἐμνημόνευσε παραλελεῖφθαι, καίτοι μεγίστην ἔχοντα δύναμιν. ὅτι δ' οὐ διὰ ταῦτα μόνον, ἀλλὰ καὶ διὰ τὰ συνεχῶς εἰρημένα κατὰ τὴν ἑξῆς ῥῆσιν οὕτως ἀκούειν δεῖ, δειχθήσεταί σοι διὰ τῆς κατ' ἐκείνην αὐτὴν ἐξηγήσεως.

Περὶ πτυέλου ξανθοῦ.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μη'.

ΞΥμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν, ἰσχυρῶς τῷ πτυέλῳ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ ἰσχυρῶς, ἐπὶ τὸ ξυμμεμιγμένον, οὐκ ἐπὶ τὸ ξανθὸν φέρεσθαι χρὴ, ὡς εἰ καὶ οὕτως εἴρητο. φαίνεσθαι δὲ χρὴ τὸ ξανθὸν, συμμεμιγμένον ἰσχυρῶς τῷ πτυέλῳ. τό γε μὴν ἰσχυρῶς, αὐτῷ τῷ λίαν, καὶ μάλιστα, σημαίνει ταὐτόν. ὀλίγον μὲν οὖν εἶπεν ἔμπροσθεν, ἔμετος δὲ ὠφελιμώτατος, φλέγματός τε καὶ χολῆς συμμεμιγμένος μάλιστα. νυνὶ δὲ ἐπὶ τῶν πτυομένων, τὸ ἰσχυρῶς προσέθηκεν. ὅτι δὲ ὀρθῶς ἐξηγησάμεθα, τῆς ἑξῆς ῥήσεως ἀκούσας μαθήσῃ.

Τὸ τοῦ πτυέλου κακίονος σημεῖον.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ με'.

ΕΙ γὰρ πολλῷ ὕστερον, μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο ξανθὸν ἐὸν, ἢ πυρρὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑτὰ ταύτην τὴν ῥῆσιν ὑπεσχόμην ἀποδείξειν ἀμφοτέρας τὰς ἔμπροσθεν ἐξηγήσεις ἀληθεῖς, τήν τε τοῦ ταχέως, καὶ τὴν τοῦ ἰσχυρῶς διάνοιαν. ἐπὶ γάρ τοι τἀναντία μεταβὰς, ὡς εἴωθε, τῷ μὲν ταχέως, ἀντέθηκε τὸ, εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης ἀναπτύοιτο. τῷ δὲ συμμεμιγμένον ἰσχυρῶς, τὸ μὴ ἰσχυρῶς συμμεμιγμένον ἀντέθηκε, καὶ τῷ εὐπετέως πτυομένῳ, τὸ πολλὴν βῆχα παρέχον. τὸ γὰρ ἀνωδύνως τε, καὶ ταχέως ἀναφερόμενον, ὀλίγης δεῖται βηχός. εἴρηται γάρ μοι πρόσθεν, ἄμεινον εἶναι μεμίχθαι πως ἀλλήλοις τὰ κενούμενα, καὶ μηδὲν εἰλικρινὲς ἄκρατον ἐκκρίνεσθαι. λέλεκται δὲ καὶ περὶ τοῦ δεῖν ἐπιφαίνεσθαι ταχέως ἐν πλευριτικοῖς τὰ πτύσματα, κατά τε τὰ περὶ κρίσεων, καὶ τῶν ἀφορισμῶν ὑπομνήματα.

A

Τὸ σημεῖον πτυέλου κινδυνῶδές τε καὶ ἀλυσιτελέος.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μϛ'.

ΤΟ τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες, τὸ δὲ λευκὸν, καὶ γλίσχρον, καὶ στρογγύλον, ἀλυσιτελές.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥκ ἄλλο τι νῦν λέγει, τῶν πρόσθεν εἰρημένων. τὸ γὰρ μὴ συμμεμιγμένον, ἄκρατόν ἐστι. καὶ γίνεται ξανθὸν μὲν διὰ τὴν ξανθὴν δηλονότι χολήν. λευκὸν δὲ καὶ γλίσχρον, καὶ στρογγύλον, διὰ φλέγμα κατωπτημένον. ἐπιδέδεικται δὲ ἡμῖν πολλάκις, ὡς τὰ κατασκήπτοντα μέλεσί τισι ῥεύματα, καὶ φλεγμονὰς, καὶ ἐρυσιπέλατα, καὶ οἰδήματα, καὶ σκίρρους, καὶ καρκίνους ἐργαζόμενα, παρὰ τὰς διαφορὰς τῶν ἐπικρατούντων ἐν αὐτοῖς χυμῶν, εὐήθη τε καὶ κακοήθη γίνεται. τὰ μὲν γὰρ αἱματώδη καὶ φλεγματώδη, μέτρια. τὰ δὲ τῆς ξανθῆς, ἢ μελαίνης χολῆς, χαλεπά. διαβρωτικὰ μὲν γάρ ἐστιν ἄμφω τῶν σωμάτων, καὶ τοῦτ' αὐτοῖς κοινόν. ἴδιον δὲ ἑκατέρου, τοῦ μὲν τῆς ξανθῆς χολῆς, τὸ πυρετοὺς ὀξεῖς ἐπιφέρειν, τοῦ δὲ τῆς μελαίνης, τὸ δύσλυτον ἐργάζεσθαι τὴν διάθεσιν. ἅτε γὰρ παχὺς ὢν, καὶ γεώδης ὁ χυμὸς οὗτος, ἐμφράττεται τοῖς ὑποδεξαμένοις μέλεσιν αὐτὸν, ὡς δυσέκνιπτον εἶναι.

Periculosi ac inutilis sputi signum.

SENTENTIA HIPPOCRATIS 46.

FLauum enim si syncerũ fuerit, periculosũ; albũ autẽ, & viscidũ, & rotundũ, inutile.

COMMENTARIVS GALENI.

NOn aliud hîc dicit, quàm quod antea dixerat. Nam quod permixtum non est, purum est. Et flauum quidem fit propter flauam bilem, album verò, & lentum, & rotundum ab adusta pituita. Sæpe enim ostendimus fluxiones in partes aliquas decumbentes, quæ phlegmonas & erysipelata, & œdemata, & scirrhos, & cancros excitant, pro humorum varietate, qui in ipsis superant, faciles, & malignas euadere. Nam sanguineæ, atque pituitosæ, moderatæ sunt, quas autem flaua, aut atra bilis parit, molestæ. Earum enim vtraque corpora æquè exedit; Verùm hoc flaua bilis habet peculiare, quòd febres acutas inuehat; Atra autem quòd contumacem affectum generet. Illa enim crassa nimirum, & terrena, partibus, quæ ipsam exceperint adeò impingitur, vt ægrè detergeri possit.

Ἡ πτυέλου κακοῦ σημείωσις.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μζ'.

ΚΑκὸν δὲ, καὶ χλωρὸν ἐὸν κάρτα, καὶ ἀφρῶδες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙρηται πολλάκις, ὅτι τὸ χλωρὸν ἐπί τε τοῦ ὠχροῦ λέγειν εἴωθε, καὶ τοῦ καλουμένου πρός τινων ἰώδους. ὁπότερον δ' αὐτῶν ἄκρως ᾖ τοιοῦτον, ὅτι χαλεπόν ἐστιν, οὐδὲν ἔτι δέομαι λέγειν, εἰρηκὼς ἤδη περὶ πάντων τῶν ἀκράτων χυμῶν. πλὴν γὰρ τοῦ αἵματος, ὅς τις ἂν ἄκρατος ᾖ, μοχθηρὰν ἐνδείκνυται διάθεσιν, ἐπὶ θερμότητι φλογώδει τὴν γένεσιν ἔχων. ὁ μὲν ξανθὸς, ἐξοπτωμένης αὐτῆς τῆς ὀρρώδους ὑγρότητος, ἧς ἐπιμιγνυμένης ὠχρὸς ἐφαίνετο. ὁ δ' ἰώδης, ἐξ ὑπεροπτήσεως ταύτης. ὁ δὲ μέλας, ἤτοι τῆς αὐτῆς ὑπεροπτηθείσης, ἥπερ δὴ κακίστη τε, καὶ διαβρωτικωτάτη γίγνεται μέλαινα χολὴ, ἢ τοῦ παχέος αἵματος ὁμοίως ξηρανθέντος, ἢ λόγῳ νεκρώσεώς τε καὶ ψύξεως. τούτων οὖν χρὴ μεμνημένον σε, μὴ πολλάκις ἀξιοῦν ἀκούειν ὑπὲρ τῶν αὐτῶν τὰ αὐτά. τό γε μὴν ἀφρῶδες πτύελον, εἴρηται γὰρ καὶ τοῦτ' ἐπὶ τέλει τῆς ῥήσεως, ἐκ φλεγματικῆς τε ἅμα, καὶ ἀερώδους οὐσίας ἐστὶ συμμιγές. ἐκ τούτων γὰρ, καὶ ἡ γένεσίς ἐστιν ἀφρῷ παντί. κατὰ μὲν τὴν θάλασσαν, ὑπὸ βιαίας ἀνέμων ἐμπνεύσεως, εἰς πολλὰ καὶ μικρὰ μόρια θραυομένου τοῦ ὕδατος, ἐπὶ δὲ τῶν ἑψομένων, διὰ τὸ πλῆθος τῆς θερμασίας. κοινὸν δ' ἐν ἀμφοῖν ἐστι γένεσις πομφολύγων πολλῶν τε καὶ μικρῶν. γίνονται δ' αὗται δύσλυτοι, μάλιστα μὲν ἀμφοῖν συνελθόντων, ἀέρος τε θολεροῦ, καὶ ὁμιχλώδους ὑγρότητος, γλίσχρον ἐχούσης τι καὶ παχύ. τὸ γὰρ λεπτὸν ὑγρὸν οἷόν περ ἐστὶ τὸ ἀκριβῶς ὕδωρ, ὅταν ἀέρα περιλάβῃ καθαρὸν, οὐ στέγει μέχρι πλείονος, ἀλλ' αὐτίκα ῥαγεισῶν τῶν πομφολύγων, εἰς τὴν ἑαυτοῦ χώραν ἀναθεῖν ἐπιτρέπει. διὰ τοῦτο, καὶ κατὰ τὴν θάλατταν ἀφρὸς ἐν τάχει λύεται.

Sputi praui significatio.

SENTENTIA HIPPOCRATIS 47.

MAlum autem & quod viride admodum, & quod spumosum est.

COMMENTARIVS GALENI.

QVod nos pallidum vertimus, Hippocrates Græcè χλωρὸν dixit; de quo sæpe dictum est, & pallidum & quod à quodam æruginosum vocatur, significare; quorum vtrunque si supramodum tale est, dicere, quòd malum sit, non est necesse, quum iam de omnibus puris humoribus disseruerim. Omnis enim purus humor, excepto sanguine, vitium quoddam subesse testatur, quippe qui ab inflammato calore ducat originem, flauus enim humore ipso seroso torrefacto, pallidus immixto, æruginosus vehementer torrido generatur. Niger verò aut eodem supra modum torrefacto, qui sanè tunc nigra bilis pessima, & exedentissima euadit, aut crasso sanguine æquè resiccato, aut propter extinctionem, atque frigiditatem prouenit. Itaque horum te memorem esse decet, nec velle debes, vt eadem tibi sæpius iisdem de rebus dicantur. Cæterùm sputum quod spumosum est, hoc enim in extrema continetur sententia, ex pituitosa & aërea substantia secum mixtis componitur. Omnis enim spuma his constat, in pelago quidem aqua ipsa in minutas partes discissa vi & impetu ventorum, in iis verò, quæ elixantur, à caloris copia. Vtraque autem bullas plurimas, & exiguas gignit, & quæ haud facilè dissoluuntur, præsertim si aër turbidus, simulque nebulosus humor lentoris aliquid, & crassitiei habens, concurrerint. Humor namque tenuis, qualis vera aqua est, si aërem purum conceperit, eum non potest diu continere, sed protinus ruptis bullis finit in suum locum se recipere. Quò fit, vt in mari spuma citò soluatur.

Verùm

Verùm crassus, & lentus humor si turbidam, vt dictum est, & nebulosam substantiam intra se concluserit, longo spatio continet, quum nec ipsa, sicuti purus aër, sursum ferri conetur, & ille ægrè abrumpi possit. Nam veluti bullæ ipsæ ex humida substantia aërem intra se comprehendente excitantur, sic eadem disrupta exoluuntur. Rumpitur verò facilè, spiritu tenui sursum abeunte, non rumpitur autem si ille nec subtilis est, nec sursum rapitur. Talis autem nebulosus est, quippe qui nec sursum conscendat, nec tenuis sit, sed multùm humidus, vt circumfusum ipsum humorem sustinere queat. Eam quidem ob rem bullæ, quæ in aqua dum ipsa coquitur, emergunt, haud difficulter dissipantur, sed quas pinguis, & crassus humor suscitauerit, ex quo spiritus, qui prodit flatuosus vaporosúsque est, tum humor, qui desuper in lebete superstat, oleagineus, pinguis, atque lentus. Itaque in corporibus etiam animalium spumam eodem modo generari necesse est. Neque enim existimandum est vehementes ventorum procellas tanquam in mari sic in animantium corporibus ingruere posse, calorem tamen igneum posse, qui & consumat, & spiritum flatuosum pariat, quem vel ipsis etiam oculis in multis ægris licet vsurpare. Hæc quidem nos satis supérque diximus. Tu verò memoriæ manda quomodo vel sputa, vel quæ aluus reddit, vel vrinæ, spumam contrahant (nam in his quoque bullæ, quas diximus superstant) ne postea audire denuò eadem desideres.

A τὸ δὲ παχὺ, καὶ γλίσχρον ὑγρὸν, ὅταν, ὡς εἴρηται, θολερὰν καὶ ὁμιχλώδη τινὰ οὐσίαν ἔνδον ἑαυτοῦ κατακλείσῃ, μέχρι πλείστου κατέχει, μήτ' ἐκείνης ἐπειγομένης ἄνω, καθάπερ καὶ ὁ καθαρὸς ἀὴρ, αὐτό τε δύσρηκτον ὑπάρχον. ὥσπερ γὰρ ἡ γένεσις ταῖς πομφόλυξιν ἐξ ὑγρᾶς οὐσίας γίνεται, κατακλειούσης ἔνδον ἑαυτῆς ἀέρα, κατὰ τὸν αὐτὸν τρόπον ἡ λύσις αὐταῖς, ἐν τῷ ῥαγῆναι τὴν ὑγρὰν οὐσίαν ἐστί. ῥήγνυται μὲν οὖν ῥᾳδίως ὑπὸ τῆς ἄνω φορᾶς, τοῦ λεπτοῦ πνεύματος. οὐ ῥήγνυται δὲ, ὅταν μήτε λεπτὸν ᾖ, μήτ' ἄνω φέρηται. τοιοῦτον δ' ἐστὶ τὸ ὁμιχλῶδες, οὔτε ἀναθέον εἰς ὕψος, οὔτε λεπτὸν ὂν, ἀλλ' ἱκανῶς B ὑγρὸν, ὡς βαστάζειν δύνασθαι τὸ περιτεθὲν ὑγρὸν ἐν αὐτῷ. διὰ τοῦτ' οὖν οὐδ', ὅταν ὕδωρ ἕψηται, δύσλυτος γίνεται πομφόλυξ, ἀλλ' ἐπειδὰν ᾖ παχὺς, ἢ λιπαρὸς ὁ χυμὸς, ἐξ οὗ τό, τε γεννώμενον πνεῦμα, φυσῶδές τε καὶ ἀτμῶδές ἐστι, τό τ' ἐπιπολῆς τοῦ λέβητος ὑγρὸν, ἐλαιῶδές τε καὶ λιπαρὸν, καὶ γλίσχρον. οὕτως οὖν ἀναγκαῖόν ἐστι, καὶ κατὰ τὰ τῶν ζώων σώματα γίνεσθαι τὸν ἀφρόν. οὐ γὰρ δὴ σφοδράς γέ τινας ἀνέμους, ὥσπερ ἐν τῇ θαλάττῃ καταιγίδας ὑπολαβεῖν ἐγχωρεῖ, θερμασίαν μέντοι πυρώδη, συντήκουσάν τε ἅμα, καὶ πνεῦμα φυσῶδες ἐργαζομένην, μονονοῦ καὶ αὐτοῖς ὀφθαλμοῖς ἐπὶ πολλῶν ἐστιν C ἀρρώστων θεάσασθαι. ταῦθ' ἡμῖν μὲν αὐτάρκως εἰρήσθω. καί σοι δὲ μνημονευέσθω περὶ γενέσεως ἀφρωδῶν, εἴτ' ἐπὶ πτυσμάτων, εἴτε διαχωρημάτων, εἴτ' οὔρων, ἐφίσταται γάρ ποτε καὶ τούτοις ἡ καλουμένη πομφόλυξ, πρὸς τὸ μηκέτι ποθεῖν αὖθις ἀκούειν ὑπὲρ τῶν αὐτῶν.

Signum sputi magis perniciosi.

SENTENTIA HIPPOCRATIS 48.

AT si adeo syncerum fuerit, vt & nigrum appareat, hoc deterius est. Malum quoque si nihil expurgetur, neque proiiciat pulmo, sed plenus in gutture ferueat.

COMMENTARIVS GALENI.

DIximus antè in vniuersum de puris omnibus, & quædam etiam speciatim de nigris. Quorum si te obliuio ceperit, ea denuò relege, quod quidem ipse commodius feceris, quàm si ego eadem sæpius iisdem de rebus scribam.

Σημεῖον δεινοτέρου τοῦ πτυέλου.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μη'.

D Εἰ δὲ εἴη οὕτως ἄκρητον, ὥστε καὶ μέλαν φαίνεσθαι, δεινότερόν ἐστι τοῦτο ἐκείνων. κακὸν δὲ κἢν μηδὲν ἀνακαθαίρηται, μηδὲ προΐῃ ὁ πνεύμων, ἀλλὰ πλήρης ἐὼν ζέῃ ἐν τῇ φάρυγγι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται πρόσθεν ἤδη περὶ τῶν ἀκράτων ἁπάντων κοινῇ, καὶ περὶ τῶν μελαίνων ἰδίως τι, καὶ εἰ μὴ μέμνησαι τῶν εἰρημένων, αὖθις ἀνάγνωθι τὰ αὐτά. βέλτιον καὶ τοῦτο, τοῦ πολλάκις ἐμὲ γράφειν περὶ τῶν αὐτῶν τὰ αὐτά.

E

De grauedine, catarrho, & sternutamento.

SENTENTIA HIPPOCRATIS 49.

IN omnibus autem morbis qui pulmonem exercent, malum est grauedines, atque sternutamenta præcessisse, & cõsequi. In aliis verò maximè exitialibus morbis, sternutamẽta vtilia sunt.

COMMENTARIVS GALENI.

HVmorem illum tenuem, & crudum, qui per nares excernitur, veteres omnes medici grauedinem vocare consueuerunt; vti & similem vbi per palatum descendit, catharrum *distillationem* appellant. Sed miror quomodo Hippocrates non distillationem, sed sternutamenta cum grauedine coniunxerit. Ipsa quidem grauedo vno modo nocere solet, si his morbis superuenerit, distillatio verò gemino. Et dictum sæpè à nobis antè est nonnulla noxia, per

Περὶ κορύζης, καὶ καταῤῥόου, καὶ πταρμοῦ.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μθ'.

Κορύζας δὲ, καὶ πταρμοὺς ἐπὶ πᾶσι τοῖσι περὶ τὸν πνεύμονα νουσήμασι, καὶ προγεγονέναι, καὶ ἐπιγίνεσθαι κακὸν, ἀλλ' ἐν τοῖσιν ἄλλοισι νουσήμασιν τοῖσι θανατωδεστάτοισιν, οἱ πταρμοὶ λυσιτελέουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

F Τὸ διὰ τῶν ῥινῶν ἐκκρινόμενον ὑγρὸν, λεπτὸν καὶ ἄπεπτον, ὀνομάζειν εἰώθασι κόρυζαν, πάντες οἱ παλαιοὶ ἰατροὶ, καθάπερ τὸ δι' ὑπερῴας τοιοῦτο καταῤῥόουν. καὶ θαυμάζω γε, πῶς ὁ Ἱπποκράτης, οὐ τοὺς καταῤῥόους, ἀλλὰ τοὺς πταρμοὺς ταῖς κορύζαις προσέθηκεν. αἱ μὲν οὖν κόρυζαι καθ' ἕνα λόγον εἰσὶ μοχθηραὶ, τοῖς τοιούτοις ἐπιγινόμεναι νοσήμασιν· οἱ κατάῤῥοι δὲ, κατὰ δύο. καὶ λέλεκται πολλάκις ἡμῖν ἔμπροσθεν ἔνια μὲν μοχθηρὰ, κατὰ

συμβεβηκὸς ἐν τοῖς κακοῖς ἀριθμεῖσθαι σημείοις. ἄλλα δὲ αὐτὸ πικρῶς· αὐτὸ δὴ τοῦτο μόνον εἶναι σημεῖα μοχθηρά, μηδὲν μὲν αὐτὰ κακὸν ἐργαζόμενα, δηλοῦντα δὲ τινα χαλεπὴν διάθεσιν, ἐφ' ἧ γέγονεν. ἄλλα δὲ πρὸς τούτοις εἶναι τρίτα τὰ κατ' ἄμφω μοχθηρά, καὶ ὡς σημεῖα, καὶ ὡς αἴτια. σημεῖα μὲν, ὅταν ὑπὸ χαλεπῶν γίνηται διαθέσεων, αἴτια δὲ, ὅταν αὐτὰ πάλιν ἑτέρας ἐργάζηται μοχθηρὰς διαθέσεις. ἐπιγίνονται μὲν οὖν κατάρροι, καὶ κόρυζαι τοῖς περὶ τὸν πνεύμονα νοσήμασι, θερμοὺς ἀτμοὺς δεχομένης τῆς κεφαλῆς. ἀδικεῖται δὲ οὐχ ὑπ' ἀμφοτέρων ὁ πνεύμων, ἀλλ' ὑπὸ τῶν καταρρόων μόνων. ἔξω γὰρ ἐκκρίνεται τὸ διὰ τῶν ῥινῶν φερόμενον ἐν ταῖς κορύζαις, διὸ δὴ καὶ χείρους εἰσὶν οἱ κατάρροι τῶν κορυζῶν. οὐκ οἶδα οὖν ὅπως ἐν τῷ προκειμένῳ λόγῳ παρελείφθησαν ὑπὸ τοῦ Ἱπποκράτους, εἰ μή τι ἄρα συνεπινοεῖν ἡμᾶς ἀξιοῖ ταῖς κορύζαις αὐτούς. ἴσως δὲ ἐν ἀρχῇ πρὸς τοῦ βιβλιογράφου παρελείφθησαν. μυρία γὰρ ὁρῶ, καὶ νῦν γινόμενα τοιαῦτα. κορύζας μὲν οὖν καὶ κατάρρους, ἀεὶ χρὴ νομίζειν οὐκ ἀγαθὰ σημεῖα. προγινομένους μὲν, ὡς ἂν πληροῦντας τὸν πνεύμονα κακοχυμίας, προήκοντος δὲ τοῦ νοσήματος ἐπιφαινομένους, ὡς ἂν τήν τε τοῦ πνεύμονος διάθεσιν ἐνδεικνυμένους μεγάλην, ὑπ' αὐτῆς τε τὴν κεφαλὴν βεβλάφθαι σημαίνοντας. οἵ γε μὴν πταρμοὶ ταῖς κορύζαις ἕπονται τὰ πολλά, καὶ μὲν δὴ καὶ σείοντες σφοδρῶς ὅλον τὸν θώρακα, λυμαίνονταί τι καὶ τὸν πνεύμονα. ἐν μέντοι τοῖς ἄλλοις νοσήμασιν οὐ συνεισβάλλοντες οὐδέ ποτε, καθάπερ οὐδ' ἄλλο οὐδὲν σύμπτωμα, προήκουσι δὲ ἐπιφαινόμενοι, σωτηρίαν σημαίνουσι, κἂν θανατώδης ὅσον ἐπὶ τοῖς ἄλλοις σημείοις ἡ νόσος ὑπάρχῃ. πέψεώς τε γάρ εἰσι γνωρίσματα, καὶ ῥώμης τῆς κατὰ τὸν ἐγκέφαλον ἀποκριτικῆς δυνάμεως, ὑφ' ἧς εἰς τὴν ῥῖνα τῶν φυσωδῶν πνευμάτων ἐκκρινομένων, ἅμα τισὶν ὑγρότησιν, ἐνίοτε μὲν αἰσθηταῖς τε καὶ σαφέσιν, ἐνίοτε δὲ ἀμυδραῖς τε καὶ δυσφωράτοις, οἱ πταρμοὶ γίνονται.

accidens inter mala signa numerari, alia autem nihil aliud, quàm mala esse signa, vt quæ noxam nullam inferant, sed grauem quendam affectum à quo prodierint, testentur, alia verò esse ab his tertia, vtroque modo mala, & sicut signa & tanquam causas. Signa quidem, quum grauis aliquis affectus ea excitauerit, causas verò, quum ab his rursus malignus alius affectus oritur. Itaque distillationes, & grauedines morbis pulmonis superueniunt, vbi caput calidos vapores susceperit, lædunt autem pulmonem non ambæ quidem, sed sola distillatio. Quod enim ex grauedine descendit, per nares foras exit. Quare distillationes grauedinibus deteriores sunt. Itaque non video cur illas Hippocrates in proposita sententia prætermiserit, nisi quis eas velit sub grauedine comprehensas esse. Fortè verò, qui primus librum hunc transcripsit, eas omisit. Nam sexcenta hoc modo deprauata nunc video. Grauedines igitur & distillationes non est putandum bona vnquam signa esse, vt quæ, si quidem præcesserint, pulmonem vitioso humore impleant, sin autem trahente iam morbo superuenerint, tum pulmonis vehementem affectum prodant, tum ab eo offensum esse caput testentur. At verò grauedinem sternutamenta sæpenumero consequuntur. Sed hæc quidem pulmonem etiam aliquo modo offendunt propterea, quòd thoracem totum vehementer concutiant. Nunquam autem illa si simul cum quouis morbo inuaserint, vti nec aliud vllum symptoma, salutaria esse possunt, si verò procedente morbo superuenerint, securitatem pollicentur, etiam si eum, lethalem esse alia signa declarent. Sunt enim concoctionis argumenta, & cerebri facultatem expultricem robustam esse ostendunt, quæ deiectis in nares flatuosis spiritibus cum quadam humiditate, interdum quidem sensu perceptibili, & manifesta, interdum obscura, & insensili, sternutamenta commouet.

Περὶ πτυέλου ξανθοῦ αἵματι συμμεμιγμένου.

De sputo flauo sanguini commixto.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ν'.

Αἵματι δὲ ξυμμεμιγμένον μὴ πολλῷ πτύελον ξανθὸν, ἐν τοῖσι περιπνευμονικοῖσιν, ἐν ἀρχῇ μὲν τῆς νούσου πτυόμενον περιεστηκὸς, καὶ κάρτα ὠφελέει. ἑβδομαίῳ δὲ ἐόντι, ἢ παλαιοτέρῳ, ἧσσον ἀσφαλές.

SENTENTIA HIPPOCRATIS 50.

Sputum verò flauum mixtũ cum pauco sanguine, in peripneumonicis, si inter initia edatur, salutare est, & valde confert, si verò septimo die, vel etiã serius procedat, securitatis minus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κοινὸς καὶ οὗτος ὁ λόγος ἐστὶν ἐπὶ πασῶν φλεγμονῶν, ἤδη πολλάκις ἡμῖν ἐν πολλοῖς εἰρημένος, ὡς τοῦ κατασκήψαντος εἰς τὰ φλεγμαίνοντα μόρια χυμοῦ, διιδροῦται τὸ λεπτότερον, ὅταν ἡ περιέχουσα τὸ φλεγμαῖνον ἐπιφάνεια, μὴ πυκνὴ τὴν φύσιν ὑπάρχῃ, καθάπερ τουτὶ τὸ ἐκτὸς δέρμα. καὶ διὰ τοῦτο αἵ τε κατὰ τοὺς πόρους τῆς ῥινὸς, ἢ τοὺς ὀφθαλμοὺς, ἢ τὸ στόμα φλεγμονὴ γίνηταί τις, ἀπορρέουσιν αὐτῆς ὑγρότητες λεπταί, παραπλήσιαι τοῖς ἐπὶ τῶν ἑλκῶν ἰχῶρσιν. οὕτως οὖν καὶ ὁ πνεύμων φλεγμήνας, ἀποκρίνει τινὰς ὑγρότητας εἰς τὰς ἐντὸς ἑαυτοῦ κενὰς χώρας, αἵπερ εἰσὶν, αἱ τῶν τραχειῶν ἀρτηριῶν, αἵ τινες ὑπὸ τῶν βηχῶν ἀναφερόμεναι πτύονται, τὰ γνωρίσματα φέρουσαι τοῦ τὴν περιπνευμονίαν ἐργαζομένου ῥεύματος. ἐκείνου γάρ εἰσιν οἷον ὀῤῥός τις.

COMMENTARIVS GALENI.

Communis omnium inflammationum sententia hæc est, quam iam sæpè multis in locis vsurpauimus; Omnis humoris, qui in aliquam partem decumbens phlegmonen commiserit, portionem tenuiorem exudare, modò ne quod partem phlegmone obsessam contegit, tam densum natura sit, quàm exterior hæc cutis densa est. Et eam quidem ob causam siue narium meatus, siue oculos, siue os phlegmone occupauerit, tenuis humiditas ab ea delabitur, haud dissimilis à sanie, quæ ex vlceribus manat. Sic pulmo phlegmone prehensus humiditatem quandam in integra sua spatia (quæ asperæ arteriæ sunt) effundit, eámque tussi sublatam excreat, indicium fluxionis eius, quæ peripneumoniam excitauit. Est enim illius veluti serum.

Itaque

Itaque si admodum biliosus humor est, ea flaua tantùm erit, si verò sanguineus, rubra, sin autem ex vtroque mixtus, rubra simul & flaua. Ista quidem humiditas bona est. Ab ea verò non longè abest syncerus sanguis per sputa emissus. Sed hoc tamen signum formidabile aliquas ob causas fortè videbitur, vt quum vlcus rupto vase, in pulmone est; nam tunc quoque sanguinem excreant. Quinetiam quibusdam peripneumonicis sanguis admodum exiguus efferri videtur eodem prorsus modo, ac si per diapedesim, quam medici vocant, reiiceretur. Id enim symptoma prouenit, vbi sanguis quidem substantiâ tenuis in os profluxerit, gingiuæ verò rarefactæ sunt, vt eum continere non possint. Nonnunquam verò eandem ob causam etiam ex gutture serosus sanguis æquè prorumpit. Ergo si & pulmoni idem contingat, non debet absurdum videri. Verùm id facilè discernes tum ex sanguinis consistentia, tum ipsius multitudine. Hic enim neque crassus, neque multus est, qui ita excreatur. Non oportet autem symptoma ad diem septimum perseuerare, sed præcipuè quidem intra primos quatuor dies mutari, & concoqui, sin minus, at certè ante septimum. Quòd si qualis ab initio erat, perduret, non est dubium quin ostendat morbum longius tempus habiturum. Vbi enim vsque ad septimum diem nullum principium coctionis accedit, longo vtique post spatio integram concoctionem fore indicium est. Atqui spatio in tanto quum multa sinistrè accidere solent, vel ægri errore, vel eorum, qui ipsi seruiunt, vel ab externis etiam rebus, quæ præter spem eueniunt, vel aliquando ab ipso etiam medico, tum verò periculum est, quamuis nihil eorum interuenerit, ne priùs, quàm morbus concoctus sit, vires exoluantur. Has quidem ob causas scribit, minus securitatis esse, si sputa eiusmodi in plures dies porrigantur.

Sputa dolorem sedantia, optima; nigra & dolorem non-sedantia, pessima.

SENTENTIA HIPPOCRATIS 51.

Omnia autem sputa mala sunt, quæ dolorem non sedant; pessima verò nigra, vt descriptum est; omnium autem, quum excreantur, optima, quæ dolorem sedant.

COMMENTARIVS GALENI.

ET hæc quidem sententia ad omnia æquè pertinet, quæ è corpore excernuntur, quam cùm in libris aliis tum in Aphorismis ipse citauit; Spectãdum inquiens quàm facilè æger ferat. Nam sæpe natura potuit, praua affectione superata, corpus expurgare; idque multis terrorem incutit, qui quum excretorum prauitatem intueantur, incerti sunt, an symptomatis modo vacuatio illa contingat, an naturâ vitiosos humores pellẽte. Sed in Aphorismis quidẽ facilè ferre tantùm dixit, hîc verò dolorem non sentire, ob quod sputa illa maximè commendat, quibus ipse dolor tollitur. Paulò autem postea notas omnes morborum, qui leuiores fiunt, ordine recensebit, quas sub ferendi facilitate complexus est. Deinde verò iubet diligenter expendi omniũ, quæ ipse persequutus est, signorũ vires, vt qui ea inter se contulerit, intelligat quantũ vel in melius corpus profecerit, vel versum sit in deterius.

A ἔσονται τοιγαροῦν, ἐὰν μὲν χολώδης ἱκανῶς ὁ χυμὸς εἴη, ξανθαὶ μόνον· ἐὰν δὲ αἱματώδης, ἐρυθραί. ἐὰν δὲ ἐξ ἀμφοῖν μικτὸς, ἐρυθραί τε ἅμα καὶ ξανθαί. αὗται μὲν οὖν αἱ ὑγρότητες ἀγαθαί. βραχὺ δὲ ἀπολείπονται αὐτῶν, καθ' ἃς ἀναπτύουσιν εἰλικρινὲς αἷμα, καὶ τάχα τινὰ καταπλήξεται τὸ σημεῖον, ὥσπερ ὅταν ἕλκος ἐν πνεύμονι γίνηται ῥαγέντος ἀγγείου· καὶ γὰρ καὶ τότε πτύουσιν αἵματος. ἀλλὰ καὶ τὸ κατά τινας τῶν περιπνευμονικῶν ἐπιφαινόμενον αἷμα, παντελῶς ὀλίγον ὅμοιον γάρ τῇ κατὰ διαπήδησιν ὀνομαζομένῃ πρὸς τῶν ἰατρῶν αἵματος πτύσει. γίνεται γὰρ καὶ τοῦτο τὸ σύμπτωμα, κατασκήψαντος μὲν αἵματος εἰς τὸ στόμα B λεπτοῦ τὴν σύστασιν, ἀραιῶν δὲ τῶν οὔλων ὑπαρχόντων, ὡς μὴ στέγειν αὐτό. καὶ μέντοι κατὰ τὴν φάρυγγα δι' αἰτίαν τὴν αὐτὴν, γίνεταί ποτε τοιαύτη τις ἔκκρισις αἵματος ὀῤῥώδους. οὐδὲ οὖν ἄτοπόν ἐστιν οὐδὲν, ὅταν ἐν τῷ πνεύμονι γίνηταί τι τοιοῦτον. διαγνώσῃ δ' αὐτὸ ῥᾳδίως, ἔκ τε τῆς συστάσεως τοῦ αἵματος, καὶ αὐτοῦ τοῦ πλήθους. οὔτε γὰρ παχὺ τὴν σύστασίν ἐστι τὸ οὕτως ἀναπτυόμενον, οὔτε πολύ. χρὴ δὲ μὴ παραμένειν τὸ σύμπτωμα, μέχρι τῆς ἑβδόμης ἡμέρας, ἀλλὰ μάλιστα ἐντὸς τῆς πρώτης τετράδος ἀλλοιωθῆναι πεττόμενον. εἰ δὲ μὴ, ἀλλὰ πάντως γε πρὸ τῆς ἑβδόμης. εἰ δὲ διαμένει C τοιοῦτον οἷον ἐξ ἀρχῆς ἦν, εὔδηλον, ὡς εἰς χρόνον πλείονα δηλοῖ τὸ νόσημα προήξειν. ὅπου γὰρ οὐδέπω μέχρι τῆς ἑβδόμης ἤρξατο πέττεσθαι, χρονιωτάτην ἔσεσθαι δηλοῖ τὴν τελείαν πέψιν. ἐν δὲ τῷ μακρῷ χρόνῳ, πολλὰ μὲν καὶ τῶν ἄλλων ἀτόπων εἴωθε συμπίπτειν, ὅσα τε διὰ τὸν κάμνοντα, καὶ τοὺς ὑπηρετοῦντας αὐτῷ, τά τε ἄλλως ἔξωθεν ἀδοκήτως γινόμενα συμβαίνει. καὶ μέντοι καὶ διὰ τὸν ἰατρὸν αὐτὸν ἐνίοτε, κἂν τούτων μηδὲν γίνηται, κίνδυνός ἐστι πρὸ τοῦ πεφθῆναι τὸ νόσημα, καταλυθῆναι τὴν δύναμιν. καὶ διὰ τοῦτο οὖν ἧττον ἀσφαλές φησι, διαμένειν τὰ τοιαῦτα πτύσματα D μέχρι πλειόνων ἡμερῶν.

Πτύελα τὰ μὲν τὴν ὀδύνην παύοντα, ἄριστα· τὰ δὲ μέλανα, καὶ μὴ ὀδύνην παύοντα, κάκιστα.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΑΤΟΥΣ να'.

ΠΑντα δὲ τὰ πτύελα πονηρά ἐστιν, ὁκόσα ἂν τὴν ὀδύνην μὴ παύῃ· κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται· τὰ παύοντα δὲ τὴν ὀδύνην, πάντων ἀμείνω ἀναπτυόμενα.

E ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΟινὸς καὶ οὗτος ὁ λόγος ἐστὶν ἐπὶ πάντων τῶν ἐκκρινομένων ἐκ τοῦ σώματος. ὑπὲρ οὗ καὶ κατὰ τὰ ἄλλα βιβλία, καὶ κατὰ τοὺς ἀφορισμοὺς εἶπεν αὐτὸς, ὡς τὴν εὐφορίαν μάλιστα θεάσασθαι χρή. πολλάκις γὰρ ἴσχυσεν ἡ φύσις νικήσασα τὴν μοχθηρὰν διάθεσιν, ἐκκαθᾶραι τὸ σῶμα· κἂν τούτῳ καταπλήττονται πολλοὶ θεώμενοι τὴν κακίαν τῶν ἐκκρινομένων, οὐκ εἰδότες, εἴτε συμπτώματος λόγῳ γίγνεται τὸ τοιοῦτον, εἴτε τῆς φύσεως ὠθούσης ἔξω τὰ μοχθηρά. κατὰ μὲν οὖν τοὺς ἀφορισμοὺς, τὴν τῆς εὐφορίας προσηγορίαν ἔγραψε μόνην. ἐνταυθοῖ δὲ τὴν ἀνωδυνίαν ἐνεδείξατο, δι' ἣν ἐπαινεῖ τὰ παύοντα τὴν ὀδύνην F πτύσματα. μετ' ὀλίγον δὲ, πάνθ' ἑξῆς ἐρεῖ τὰ γνωρίσματα τῶν ἐπὶ τὸ βέλτιον ἰόντων νοσημάτων, ἃ τῷ τῆς εὐφορίας ὀνόματι περιέλαβε. καὶ μέντοι καὶ κατωτέρω κελεύει τῶν εἰρημένων ὑπ' αὐτοῦ σημείων ἁπάντων, ἀκριβῶς ἐξητακέναι τὰς δυνάμεις, ὅπως ἀλλήλοις αὐτὰ παραβάλλων τις, ἱκανὸς εἴη στοχάζεσθαι τὸ μέγεθος τῆς ἐπὶ τὸ χεῖρόν τε καὶ βέλτιον, ὅλου τοῦ σώματος ῥοπῆς.

ὅπερ κἀν τῷδε τῷ λόγῳ, τῷ νῦν ἡμῖν προκειμένῳ πεποίηκεν αὐτός. εἰ γὰρ ἐπὶ τοῖς πτυέλοις αἱ ὀδύναι μὴ λύονται, οὐκ ἀγαθὸν τὸ σημεῖον. οὐ μὴν ἀρκέσει γέ σοι μόνον τοῦτο γνῶναι πρὸς ἀκριβῆ τοῦ μέλλοντος ἔσεσθαι πρόγνωσιν, ἀλλὰ θεάσασθαι χρὴ καὶ τὰ ἄλλα συμπτώματα· τοῦτο γὰρ ἐνεδείξατο, τῶν μελάνων πτυσμάτων μνημονεύσας. ὄντος γοῦν τοῦ κοινοῦ σημείου τοῦ μὴ παύεσθαι τὴν ὀδύνην, εἰ μὲν ὠχρὸν εἴη τὸ ἐκπτυόμενον, ἢ ἐρυθρὸν, ἧττόν ἐστι κινδυνῶδες· εἰ δὲ μέλαν, ὀλεθριώτατον. ὥσθ' ἅπαντα ἐπισκεψάμενος, οὐ μόνον τὰ εἰρημένα, κεφάλαιον ἓν ἐξ αὐτῶν ἀθροίσῃς ἀκριβοῦς προγνώσεως. καὶ αὐτὸς δὲ ἐφεξῆς ὁ Ἱπποκράτης, ἁπάντων τῶν ἀγαθῶν τε καὶ κακῶν σημείων ἔγραψε κατάλογον, ἀναμιμνήσκων τῶν προειρημένων.

Quod & ipse in hac sententia, quam nunc explicamus, effecit. Nam si sputo dolores non leuantur, haud bonum signum est. Nec id tamen nouisse satis est, vt futura optimè præsagias, sed alia quoque symptomata consideranda veniunt; quod ipse proculdubio significauit, de sputis nigris faciens mentionem. Itaque quum dolorem non desinere commune signum sit, si pallidum quidem, aut rubrum fuerit, quod excreatur, minus habet periculi, sin autem nigrum, perniciosissimum est. Quare si non prædicta modò, sed etiam vniuersa spectaueris, ex ipsis facultatem optimè præsagiendi consequeris. Quin & ipse Hippocrates signa omnia tam bona, quàm mala postea descripsit, repetitis iis de quibus antè dixerat.

Τὰ τῆς ἐκπυήσεως ἐσομένης ἐκ τῶν ἀλγημάτων σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ νβʹ.

ΟΚόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύεται, μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε, καὶ διαίτας, καὶ φαρμακείας, εἰδέναι δεῖ ἐκπυήσοντα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΣα τῶν ἀλγημάτων, ἐκ τῶν κατὰ θώρακα καὶ πνεύμονα χωρίων, οὐ παύονται πρὸς τὰ βοηθήματα, καὶ τοῦτ' ἔχει μόνον ἄτοπον, οὐδενὸς ὀλεθρίου συνιόντος ἑτέρου γνωρίσματος, ἐκπυῆσαι αὐτὰ προσδοκᾶν. μέσα γάρ πώς ἐστι ταῦτα τῶν τε λυομένων ἐν τάχει, καὶ τῶν ἀνιάτων.

Suppurationis futuræ ex doloribus signa.

SENTENTIA HIPPOCRATIS 52.

QVicunque verò dolores ex his locis neque per sputorum expurgationes, neque per alui deiectionem, neque per venæ sectiones, & victus rationes, & purgationes sedantur; eos suppurationem concitaturos esse sciendum est.

COMMENTARIVS GALENI.

OMnes dolores pectoris, & pulmonis, qui remediis non cedunt, & in quibus id modò malum apparet, neque aliud mortiferum signum accedit, vomicas aliquas pollicentur. Medij enim illi quodammodo sunt inter eos, qui citò desinunt, & eos, qui discuti non possunt.

Περὶ ἐμπυημάτων τῶν ὀλεθρίων κάρτα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ νγʹ.

ΤΩν δὲ ἐμπυημάτων, ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύηται, ἤν τε ὁμοῦ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩν ἐν τοῖς φανεροῖς μέρεσι τοῦ σώματος ἐκπυϊσκόντων, ὅσα τοιαῦτ' ἐστίν, ὡς ἐν μέρει μὲν τινὶ πῦον ἔχειν, ἐν μέρει δ' εἶναι τὸ λοιπὸν, ἄπεπτον καὶ λεπτὸν, οὐδὲν εὐίατόν ἐστιν. εἰ δὲ καὶ πρὸς τῷ μηδέπω τὸ πῦον ἔχειν ἔτι, καὶ κακόηθές τι σημεῖον αὐτοῖς συνείη, πολὺ μᾶλλόν ἐστι μοχθηρά. τούτων δὲ πολὺ μᾶλλον ὑποληπτέον εἶναι μοχθηρὰ, τὰ κατὰ τοὺς κυρίους τόπους γινόμενα. δηλοῦται γὰρ ἀγριώτατός τις ὢν ὁ λυπῶν χυμὸς, ὅπου τῆς φύσεως ἐνδειξαμένης ὅπως ἔχει τῆς εἰς τὸ πέττειν παρασκευῆς, οὐδὲν ὅλως εἶξεν αὐτῆς.

De suppurationibus admodum perniciosis.

SENTENTIA HIPPOCRATIS 53.

QVæcunque purulenta etiamnum bilioso quidem existente sputo suppurant, admodum exitiosa, siue biliosum illud sputum separatim, siue cum pure expuatur.

COMMENTARIVS GALENI.

QVæ in manifestis corporis partibus suppurationes excitantur, si seorsum pus, & reliquum humorem crudum tenuémque seorsum contineant, non facilè iis curatio adhiberi potest. Si verò nec quicquam puris confectum sit, & malignum aliquod signum præterea accedat, multo deteriores sunt. Has verò etiam malignitate superant illæ, quæ principes partes occuparunt. Est enim infestantis humoris ferocissimi indicium, si cùm natura accinctam se ad concoctionem ostendat, ipsi tamen nullo modo ille cesserit.

Ὅπως τὰ ἐμπυήματα ἢ ὀλέθρια κάρτα, χρόνον τῆς νόσου ὁρίζεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ νδʹ.

ΜΑλιστα δὲ, ἢν ἄρξηται χωρέειν τὸ ἔμπύημα ἀπὸ τουτέου τοῦ πτυέλου ἑβδομαίου ἐόντος τοῦ νουσήματος, ἢ παλαιοτέρου.

Quum suppurationes sunt valde perniciosæ, tempus morbi definiri.

SENTENTIA HIPPOCRATIS 54.

MAximè verò si ab hoc sptuo septimo aut vetustiore prodeunte morbi die, suppuratio procedere cœperit.

COM-

COMMENTARIVS GALENI.

HOc etiam æquè omnibus commune est, quæ diebus decernẽtibus proueniunt. Dies namque decernens præcognitionem facit certiorem. At bonúmne, an malum sit, quod euenit, aliis argumentis deprehendes. Nam siue sudor die septimo prouenerit, siue aluus descenderit, siue profluxerit sanguis, bona signa sunt, si ex his æger melius habet, si verò deterius, mala sunt. Et horum quidem vtrunque certissimum est, incertum alioqui si alio die accidisset. Verùm de his copiosè disserui in libris de diebus criticis, & de crisibus, in quibus primùm exercitatum esse oportet eum, qui cupit ea, quæ Hippocrates dixit, optimè assequi.

Ex sputo purulento signum lethale.

SENTENTIA HIPPOCRATIS 55.

EVm autem qui talia expuerit, mortem decimo quarto die obiturum spes certa est, nisi ipsi aliquid interea boni obtigerit.

COMMENTARIVS GALENI.

VOs reipsa horum veritatem comperistis, me prædicentem experti. Quare debetis diligenter animum his aduertere, quæ dicit Hippocrates, nec putare illa paria iis esse, quæ plerique medici scripserunt, quæ intra literas quidem, & verba verisimilitudinem habent, sed facto ipso in morbis falsa esse deprehenduntur. Namque si ad scopum respicias, quem ille inter omnia alia bona, atque mala medium proposuit, poteris diem prædicere, in quo aliquis morietur. Esto enim expuerit æger die septimo purulentum, nec quidem syncerum, nec toto die sequenti, sed vel cum illo biliosum, vel ipsum solum, sine purulento. Sint verò & alia omnia in ipso media, ætas, natura, anni tempus, regio & vires nec robustissimæ, nec debilissimæ. Similiter temperamentum, nec temperatissimum, nec intemperatissimum. Ac tempus anni æquè, & regionem, & aëris constitutionem, & ægri ætatem inter optima, pessimáque ponamus. Sic verò, & signa cuiusque generis in ægro media statuantur. Eum die decimoquarto periturum existima, est enim terminus hic mortis vtrinque medius. Verùm si alia signa accesserint, bona quidem terminum mortis vlterius producunt, mala verò mortem ante diem quartum, & decimum accelerant. Quænam verò bona sint, & quænam mala, ipse postea tum nominatim, tum per capita recensuit. Quibus omnibus ne putes pares esse vires, sed tu memor eorum, quæ ipse scripsit, quæque nos annotauimus, & numerum ipsum, & facultatem obserua. Ac primo quidem in ordine id colloca, quod ille valdè salutare, & valde exitiale dicit, quorum illud inter bona, hoc verò inter mala refertur. Similiter vbi proximam esse mortem dixit, aut perniciosissimum adiecit, nec simpliciter dixit perniciosum. Quin & in signis salutaribus, quum scribit magnam vim habere ad salutem, & rursus securitatem, breuitatémque morbi pollicetur, aut aliquid eiusmodi adiecit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ τοῦτο κοινὸν ἁπάντων ἐστὶ, τῶν ἐν ταῖς κρισίμοις ἡμέραις γινομένων. Εἰς γὰρ τὸ βέβαιον τῆς προγνώσεως ἡ κρίσιμος συντελεῖ. πότερον δ' ἀγαθόν ἐστιν, ἢ κακὸν τὸ γινόμενον, ἐξ ἄλλων τεκμηρίων ἡ διάγνωσις. ἐάν τε γὰρ ἱδρὼς γίνηται κατὰ τὴν ἑβδόμην ἡμέραν, ἐάν τε διαχώρησις γαστρὸς, ἐάν θ' αἱμορραγία, βελτίονα μὲν ἐργασάμενα τὸν κάμνοντα, τῶν ἀγαθῶν ἐστι σημείων, χείρω δὲ τῶν κακῶν. καὶ πιστῶς γε δηλοῖ τούτων ἑκάτερον, οὐχ ὡς εἰ κατ' ἄλλην ἡμέραν ἐγένετο. γέγραπται δέ μοι περὶ τούτων ἐπὶ πλεῖστον, ἔν τε τοῖς περὶ κρισίμων ἡμερῶν, καὶ τοῖς περὶ κρίσεων, ἐν οἷς χρὴ προγεγυμνάσθαι τὸν βουλόμενον ἀκριβῶς παρακολουθῆσαι τοῖς ὑφ' Ἱπποκράτους εἰρημένοις.

Ἐκ τοῦ πτυέλου τοῦ ἐμπυήματος, σημεῖον θανάσιμον.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ νε'.

ἘΛπὶς δὲ τὸν τὰ τοιαῦτα πτύοντα ἀποθανεῖσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτέῳ ἐπιγένηται ἀγαθόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ἜΡγῳ τὴν τούτων ἀλήθειαν μεμαθήκατε, προλέγοντος ἐμοῦ πειραθέντες, ὥστε προσέχειν ὑμᾶς χρὴ τὸν νοῦν τοῖς λεγομένοις ὑφ' Ἱπποκράτους, μὴ τοιαῦτα νομίζοντας αὐτὰ ταῖς δυνάμεσιν ὑπάρχειν, ὁποῖα τοῖς πολλοῖς τῶν ἰατρῶν γέγραπται, μέχρι γραμμάτων, καὶ λόγων τὸ πιθανὸν ἔχοντα, τοῖς δ' ἐπὶ τῶν νούσων ἔργοις ἐλεγχόμενα. πρὸς γάρ τοι τὸν εἰρημένον ὑπ' αὐτοῦ σκοπὸν, ὄντα μέσον ἁπάντων τῶν ἄλλων κακῶν τε καὶ ἀγαθῶν ἀποβλέπων, δυνήσῃ προλέγειν τὴν ἡμέραν, ἐν ᾗ τεθνήξεταί τις. ὑποκείσθω γὰρ ὁ κάμνων ἑβδομαῖος ἐπτυκὼς τὸ πυῶδες, οὐ μὴν εἰλικρινὲς μόνον, οὐδὲ δι' ὅλης ἡμέρας ἐφεξῆς, ἀλλ' ἤτοι σὺν αὐτῷ τὸ χολῶδες, ἢ μόνον ἐκεῖνο, χωρὶς τοῦ πυώδους. ἔστω δ' αὐτῷ καὶ τἄλλα πάντα μέσα, ἀπό τε τῆς ἡλικίας, καὶ τῆς φύσεως, καὶ τῆς ὥρας, καὶ τῆς χώρας, καὶ τῆς οἰκείας δυνάμεως, ὡς μήτε ἰσχυροτάτην εἶναι τὴν δύναμιν, μήτ' ἀσθενεστάτην. ὡσαύτως δὲ καὶ τὴν κρᾶσιν αὐτοῦ τοῦ κάμνοντος, μήτε τὴν εὐκρατοτάτην εἶναι, μήτε τὴν δυσκρατοτάτην. οὕτως δὲ, καὶ ὥραν, καὶ χώραν, καὶ κατάστασιν, καὶ ἡλικίαν τοῦ κάμνοντος ἐν τῷ μέσῳ τετάχθαι τῶν ἀρίστων τε, καὶ χειρίστων ὑποθώμεθα. κατὰ δὲ τὸν αὐτὸν λόγον ἑκάστου γένους σημείων, ὑπάρχειν ὑποκείσθω τῷ κάμνοντι τὰ μέσα. τοῦτον ἔλπιζε τεθνήξεσθαι τεσσαρεσκαιδεκαταῖον, ὡς ταύτης μέσης οὔσης προθεσμίας τοῦ θανάτου. προσγινομένων δὲ σημείων, ἀγαθῶν μὲν ἐπὶ πλέονα χρόνον ἐκταθήσεσθαι τὴν προθεσμίαν τοῦ θανάτου, κακῶν δὲ θᾶττον, ἢ τεσσαρεσκαιδεκαταῖον τεθνήξεσθαι. τίνα δέ ἐστι τὰ ἀγαθὰ, καὶ τίνα τὰ κακὰ, διῆλθεν αὐτὸς ἐφεξῆς, τὰ μὲν ὀνομαστὶ, τὰ δὲ ἐπὶ κεφαλαίων. ἀλλά σύ γε μηδὲ περὶ τούτων ἀκούσῃς ἁπλῶς, ὡς ὁμοτίμων ἁπάντων, ἀλλ' ἀναμνησθεὶς ὧν αὐτὸς ἔγραψε, καὶ ὧν ἡμεῖς προσεθήκαμεν, εἴς τε τὸν ἀριθμὸν αὐτῶν ἀπόβλεπε, καὶ τὴν δύναμιν. ὅπου μὲν αὐτὸς εἶπε σωτήριον κάρτα, καὶ ὀλέθριον κάρτα, τὸ πρώτης τοῦτο δυνάμεως τιθείς. τὸ μὲν ἐν τοῖς ἀγαθοῖς, τὸ δὲ ἐν τοῖς κακοῖς. ὡσαύτως δὲ καὶ ὅπου τὸν θάνατον ὑπόγυον ἔφησεν ὑπάρχειν, ἢ θανατωδέστατον προσέγραψεν, οὐχ ἁπλῶς εἶπε θανατώδη. καὶ μὲν δὴ κἀπὶ τῶν ὑγιεινῶν σημείων, ὅταν εἴπῃ μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίην, καὶ πάλιν, ἀσφάλειάν τε γὰρ σημαίνει, καὶ τὸ νόσημα ὀλιγοχρόνιον, ἤ τι τοιοῦτον προσέθηκε,

τὰ δὲ ἁπλῶς θανατώδη, καὶ πάλιν ἁπλῶς περιεστηκότα λεγόμενα, μέσης ἐστὶ τάξεως ἀμφότερα κατὰ τὴν ἑαυτῶν φύσιν. ἐφ᾽ ἑκάτερα δὲ τούτων, ὅσα παραβλητικῶς εἶπεν, ἤτοι θανατωδέστερα, ἢ περιεστηκότερα, ἢ τὸ μᾶλλόν τε, καὶ ἧττον ἑκατέροις προσέθηκεν. ἐὰν μὲν γὰρ ἐπιφανῇ τι τοῖς κατὰ τὴν πέμπτην, ἢ ἑβδόμην ἡμέραν εἰρημένοις ὀλεθρίοις πτύσμασι τῶν τῆς πρώτης τάξεως κακῶν σημείων, οὐκ ἂν οὐδ᾽ εἰς τὴν ἑνδεκάτην ἡμέραν ὁ κάμνων ἐξίκοιτο, καὶ μᾶλλον ἐὰν ἑνὸς πλείω γίνηται ταῦτα. κατὰ δὲ τὸν αὐτὸν τρόπον, ἐὰν τῶν ἱκανῶς ἀγαθῶν ἐπιφανῇ τινα, μέχρι τῆς τρίτης ἑβδομάδος ἐκταθήσεται τὸ νόσημα. μιχθέντων δ᾽ ἀλλήλοις, ὀλεθρίων τε καὶ περιεστηκότων, ἢ τῶν μᾶλλον ἐν ἑκατέρῳ τοῦ γένους τοῖς ἧττον, ἢ ὁπωσοῦν ἄλλως· ἐπὶ μὲν τοῖς πλείοσί τε καὶ ἰσχυροτάτοις ἀγαθοῖς σημείοις, ἐλπὶς τὸν κάμνοντα πλείονα ζήσεσθαι χρόνον, ἐπὶ δὲ τοῖς ἐναντίοις, ἐλάττονα. κατὰ ταῦτα δὲ κἂν ἤτοι γέρων, ἢ ἀσθενὴς τὴν δύναμιν, ἢ ἐν ὥρᾳ, καὶ χώρᾳ, καὶ καταστάσει μοχθηρᾷ, καὶ δυσκράτῳ νοσῇ τις, ἐπιταθήσεσθαι τοῦ θανάτου τὸ τάχος προσδοκᾶν, μεγίστην πάλιν ἔχειν ἐν τούτοις ἰσχὺν ἡγούμενος τὸν ἀπὸ τῆς δυνάμεως σκοπόν.

A Quæ verò simpliciter mortifera, vel rursus simpliciter salutaria dicuntur, hæc pro natura sua medio in ordine censentur. Quæ verò in eorum confinio posita per comparationem protulit, ea vel perniciosiora, vel salutaria dixit, aut magis & minus vtrisque addidit. Nam si cum mortiferis illis sputis, quæ septimo die prodiisse diximus, malum aliquod primæ classis signum se proferat, nemo vtique æger est, qui vel ad vndecimum diem peruenire possit, maximéque illa vno plura fuerint. Ad eundem verò modum, si quædam multùm bona signa apparent, morbus prorogabitur in tertiam septimanam. Quòd si & mortifera, B & salutaria mixta secum fuerint, aut ea, quæ in vtroque genere plus habent virium cum iis, quæ imbecilliora sunt, aut alio quouis modo, si plura quidem valentioráque sint bona signa, spes aliqua est ægrum tempus vitæ longius habiturum, sin autem contrà acciderit, interiturum citius. Æquè si senex est aut imbecillus æger, aut tempus anni, & regio, & aëris constitutio praua, atque distemperata, maturius mortem expectabis. In quo crede plurimum valere illam, quæ à viribus sumitur indicationem.

Ἐκ τοῦ πτυέλου τὰ τοῦ ἐμπυήματος σωτηρίου τε, καὶ θανασίμου σημεῖα. C

Empyematis lethalis & salutaris signa ex sputo.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ νε΄.

Ἔστι δὲ τὰ μὲν ἀγαθὰ τάδε, εὐπετέως φέρειν τὸ νούσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τό τε πτύελον ῥηιδίως ἀναβήσσειν, τό τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε καὶ μαλθακὸν, καὶ δίψαν μὴ ἔχειν, οὖρά τε καὶ διαχωρήματα, καὶ ὕπνους, καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ταῦτα καὶ ἐπιγίνεσθαι. οὕτω μὲν γὰρ ἁπάντων τουτέων ἐπιγινομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος. ἢν δὲ τὰ μέντοι αὐτέων ἐπιγίνοιτο, τὰ δὲ μὴ, οὐ πλείονα χρόνον ζήσας, ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ᾽ ἂν ὁ ἄνθρωπος. κακὰ δὲ τἀναντία τουτέων, δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον μόλις ἀναβήσσειν, διψῆν κάρτα, τό τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι, καὶ τὴν μὲν κοιλίην, καὶ τὰς πλευρὰς θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον, καὶ τὰς χεῖρας, καὶ τοὺς πόδας ψυχρούς. οὖρα δὲ καὶ διαχωρήματα, καὶ ὕπνους, καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι κακὰ ἐόντα. οὕτως γὰρ εἰ ἐπιγίνοιτό τι τῷ πτυέλῳ τουτέων, ἀπόλοιτ᾽ ἂν ὁ ἄνθρωπος πρὶν, ἢ ἐς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος. οὕτως οὖν ξυμβάλλεσθαι χρὴ, ὡς τοῦ πτυέλου τουτέου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος τὸν νοσέοντα ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας. τὰ δὲ ἐπιγινόμενα κακά τε καὶ ἀγαθὰ ξυλλογιζόμενον, ἐκ τουτέων χρὴ τὰς προρρήσιας προλέγειν· οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα.

SENTENTIA HIPPOCRATIS 56.

Sunt autem hæc bona, morbum ipsum non difficulter ferre, ex facili spirare, dolorem sedatũ esse, facilè excreare, corpus æqualiter molle, & calidum, sitis nulla, vrinæ, deiectiones, somni, sudores quales à nobis dicti sunt; singula intelligere bona succedere. Hæc enim omnia si superuenerint, æger ex toto tutus est. Quòd si alia D *quidẽ ex his apparẽt, alia autẽ non; is quartũdecimũ diem non euadet, quin intra illũ pereundũ sit. Mala verò his cõtraria sunt, si morbũ non facilè sustinet, si spiritus magnus, & frequens est, si dolor non desinit, si sputũ difficulter edit, si valdè sitit, si corpus à calore inæqualiter affectum est, si ventre & lateribus vehemẽter calentibus, frons, manus, pedésq; refrixerunt, si vrinæ, & deiectiones, & sõni, & sudores quales descripsimus prouenerint, hæc omnia mala esse sciendũ est. Nã si* E *aliquod ex his cũ sputo se ostẽderit, certa mors est nono, vel vndecimo die, priusquã æger ad decimũquartũ perueniat. Ista igitur ratio cõiecturę debet esse in hoc sputo, quod admodũ mortiferũ est, nec ad diẽ decimũquartũ perducit ægrotãtẽ, atq; bona maláq; signa quæ superueniũt, reputãtẽ, ex ipsis presagire oportet: sic enim verissimè presagias.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐντεῦθεν ἄρχεται τοῦ καταλόγου τῶν ἀγαθῶν τε καὶ κακῶν σημείων, ὑπὲρ ὧν ἔμπροσθεν εἴρηται· καὶ διὰ τοῦθ᾽ ὑπερβὰς αὐτὰ, τὰ ἑξῆς προχειριοῦμαι. πρὸς μὲν οὖν τὸ περιγίνεσθαι, πάντων δεῖ παρόντων τῶν ἀγαθῶν. πρὸς δὲ τὸ ἀπολέσθαι, ἀρκεῖ καὶ ἓν παρεῖναι τῶν κακῶν, μόνου τοῦ θᾶττον καὶ βράδιον ἀπολέσθαι, ἐκ τοῦ πλείω, ἢ ἐλάττω ἀγαθὰ, ἢ κακὰ παρεῖναι δηλουμένου.

COMMENTARIVS GALENI.

F Hic incipit bona, maláque signa recensere, de quibus ante dictum est; quare his omissis, reliqua quæ sequuntur aggrediar. Ergo vt seruetur quidẽ æger, omnia bona signa adesse necesse est. At si vel vnum malũ sit, certa mors esse potest, quę maturiúsne, an serius occupatura sit, ex multitudine, vel paucitate bonorũ, aut malorum indicatur.

A

Quando suppurationes rumpuntur.

SENTENTIA HIPPOCRATIS 57.

AT aliæ suppurationes rũpuntur, plurimæ vigesimo die, aliæ trigesimo, aliæ quadragesimo, aliæ ad sexaginta dies perueniunt.

COMMENTARIVS GALENI.

INcertum est, quas alias intelligat. Potest enim de vomicis nunc dicere, quæ aliis in partibus excitantur, relicto thorace, & pulmone de quibus hactenus disseruit, vel de ipsis etiam dicere potest, quæ iisdem in partibus consistunt, sed à prædictis dissimiles sunt. Fortè verò etiam de vtrisque loquitur. Sed quum dissimiles à prædictis dixerim, id oportet interpretari. Dico enim non de omnibus suppurationibus eum, sed de iis, vt ipse dixit, quæ habeant permixtam bilem, hactenus fecisse doctrinam; nec de his quidem omnibus, sed quæ circa septimum diem ruptæ sunt. Verùm id perrarum est. Siquidem plurimæ vigesimo rumpuntur, & quædam etiam tardius, de quibus nunc verba facit. Differentiæ autem omnium duæ communes sunt, quibus à se inuicem etiam spatio discrepant, scilicet ab affecta parte, & redundante humore. Partes enim, quæ calidiores sunt, & molliores, maturiùs suppurant, frigidiores autem, sicciorésque tardiùs. Sic & humores calidi citiùs, frigidi seriùs. Has quidem differentias ipsa rei substantia subministrat, quibus accedunt externæ ab ætate, natura, tempore anni, regione, & aëris constitutione, & præterea ægri viribus. In illis autem omnibus humores quidem calidiores promptiùs, frigidiores autem pigriùs in suppurationem vertuntur. Hæc quidem omnibus suppurationibus communia nouisse operæpretium est. Mihi verò videtur de iis adhuc dicere, quæ thoracem, & pulmonem occuparunt.

De principij suppurationum obseruatione.

SENTENTIA HIPPOCRATIS 58.

SPectare autẽ oportet principium suppurationis, & numerare ab eo die, quo primũ homo febricitauit, aut si rigor eum præhendit, aut si pro dolore grauitatẽ sibi factam esse dixerit, in eo quo dolebat loco. Hæc enim per initia fiũt suppurationũ. Ex his igitur tẽporibus ruptionẽ oportet spectare suppurationũ ad prædicta tẽpora fore.

COMMENTARIVS GALENI.

ID vnum medici omnes confitentur propterea, quòd manifestò cernatur, Phlegmonas omnes, quæ principes partes tenent, nisi præsidiis digerantur, sed in suppurationem vertantur, horrorem, ῥῖγος Græci dicunt, & secundum hunc febrem excitare. Demonstratum autem est eo in libro, qui περὶ ῥίγους scriptus est, nascentis puris acrimoniam mordentem, & exedentem vicina corpora, horrorem producere, eo modo, quo solent acria medicamenta. Quę si aliquãdo malignis vlceribus aut affectui cuidã carioso adhibeantur, horrorem,

Ὅτι ἐκπυήσιες ῥήγνυνται.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιζ΄.

ΑΙ δ᾽ ἄλλαι ἐκπυήσιες ῥήγνυνται, αἱ πλεῖσται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΣαφές ἐστιν ὁποίας ἄλλας λέγει. δυνατὸν μὲν γάρ ἐστι, καὶ περὶ τῶν ἐν ἑτέροις μέρεσι γινομένων ἐκπυήσεων, τὸν λόγον αὐτὸν ποιεῖσθαι, καταλιπόντα θώρακα, καὶ πνεύμονα, περὶ ὧν ἄχρι δεῦρο διείλεκται. δυνατὸν δὲ, καὶ περὶ τῶν ἐν αὐτοῖς μὲν τοῖς ὀργάνοις, ἀλλ᾽ οὐχ ὁμοίων ἐκπυήσεων ταῖς προειρημέναις, ἐνδέχεται δὲ καὶ περὶ ἀμφοτέρων. ἐπεὶ δὲ οὐχ ὁμοίων ταῖς προειρημέναις εἶπον, ἐξηγήσασθαι χρὴ τοῦτο. φημὶ γὰρ, οὐ περὶ πασῶν ἐκπυήσεων αὐτὸν, ἀλλὰ τῶν, ὡς αὐτὸς εἶπεν, χολώδες ἐχουσῶν τι μεμιγμένον, ἄχρι δεῦρο ποιεῖσθαι τὴν διδασκαλίαν. οὐδὲ τούτων ἁπασῶν, ἀλλ᾽ ὅσαι κατὰ τὴν ἑβδόμην ἡμέραν ἐῤῥάγησαν. ἔστι δὲ τοῦτο σπάνιον. αἱ πλεῖσται γὰρ εἰκοσταῖαι ῥήγνυνται. τινὲς δὲ, καὶ μέχρι πλείονος ἀφικνοῦνται χρόνου, περὶ ὧν νῦν διέρχεται. διαφοραὶ δὲ πασῶν εἰσι δύο κοιναὶ, δι᾽ ἃς καὶ τῷ χρόνῳ παραλλάττουσιν ἀλλήλων, ἔκ τε τοῦ πάσχοντος μορίου, καὶ τοῦ πλεονάζοντος χυμοῦ. τὰ μὲν γὰρ θερμότερα, καὶ μαλακώτερα μόρια, θᾶττον ἐκπυΐσκεται, τὰ ψυχρότερα δὲ, καὶ σκληρότερα, βραδύτερον. οὕτω δὲ καὶ τῶν χυμῶν, οἱ μὲν θερμότεροι θᾶττον, οἱ δὲ ψυχρότεροι βραδύτερον. αὗται μὲν αἱ κατὰ τὴν τοῦ πράγματος οὐσίαν εἰσὶ διαφοραὶ, προσέρχονται δὲ ἔξωθεν, αἱ παρὰ τὴν ἡλικίαν τε καὶ τὴν φύσιν, ὥραν τε καὶ χώραν, καὶ κατάστασιν, ἔτι δὲ καὶ δύναμιν τοῦ κάμνοντος. ἐν ἁπάσαις δ᾽ αὐταῖς, οἱ μὲν θερμότεροι χυμοὶ θᾶττον, οἱ δὲ ψυχρότεροι, βραδύτερον ἐκπυΐσκονται. ταῦτα μὲν οὖν κοινῇ περὶ πασῶν ἐκπυήσεων ἐπίστασθαι καλόν. ἐμοὶ δὲ δοκεῖ νῦν ἔτι περὶ τῶν κατὰ τὸν θώρακα, καὶ τὸν πνεύμονα διέρχεσθαι.

Περὶ ἐπισκέψιος ἀρχῆς τῶν ἐμπυημάτων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ νη΄.

ΕΠισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενος ἀπὸ τῆς ἡμέρης ἧς ὁ πρῶτον ἄνθρωπος ἐπύρεξεν, εἴ ποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβεν, καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης βάρος αὐτῷ γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεε. ταῦτα γὰρ ἐν ἀρχῇσι γίγνεται τῶν ἐμπυημάτων. ἐξ οὖν τουτέων τῶν χρόνων, τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ τι τῶν ὁμολογουμένων ἐστὶν ἅπασι σχεδὸν τοῖς ἰατροῖς, ἐπειδὴ καὶ φαίνεται σαφῶς, ὡς ὅταν αἱ κατὰ τὰ κύρια μέρη φλεγμοναὶ, μὴ διαφορηθῶσιν ὑπὸ τῶν βοηθημάτων, ἀλλ᾽ ἐκπυΐσκωνται, ῥῖγος γίνεσθαι τηνικαῦτα καὶ πυρετὸν ἐπ᾽ αὐτῷ. δέδεικται δὲ ἐν τοῖς περὶ ῥίγους λόγοις, ὡς ἡ δριμύτης τοῦ γινομένου πύου, δάκνουσα καὶ διαβιβρώσκουσα τὰ παρακείμενα σώματα, ῥῖγος ἐργάζεται παραπλησίως τοῖς δριμέσι φαρμάκοις. ὧν ἐνίοτε προσενεχθέντων ἕλκεσι κακοήθεσιν, ἤ τινι σηπεδονώδει διαθέσει, ῥιγῶσαί τε,

καὶ πυρέξαι συνέπεσεν. ἀκολουθεῖ δὲ τῷ τοιούτῳ ῥίγει πυρετός. ἀμέλει καὶ ὁ Ἱπποκράτης ἀμφοτέρων ἐμνημόνευσε, καὶ προτέρου γε τοῦ πυρετοῦ λέγων, ἀπὸ τῆς ἡμέρης ἧς τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, οὐκ ἐκείνην ἑρμηνεύων τὴν ἡμέραν, ἣ τις ὅλου τοῦ νοσήματος ἐγένετο πρώτη, ἀλλὰ καθ' ἣν τὸ ῥῖγος ἅμα τῷ πυρετῷ συνέπεσεν, ἐναργῶς σφοδροτέρῳ δηλονότι τοῦ πρόσθεν ὄντος γινομένῳ. ἀλλὰ καὶ βάρους αἴσθησις γίνεται τηνικαῦτα τοῖς κάμνουσι, τοῦ κατὰ πολλὰ καὶ σμικρὰ μόρια παρεσπαρμένου τοῖς φλεγμαίνουσι σώμασι χυμοῦ, μετὰ τὴν εἰς πῦον μεταβολὴν ἀθροιζομένου, πρός τινα μίαν χώραν κενὴν, συνεχῆ τῷ φλεγμαίνοντι παντί. ἐκ τούτων οὖν, φησὶ, τῶν χρόνων ἐν οἷς ταῦτα πρῶτον ἐγένετο, προσδέχεσθαι χρὴ, τὰ μὲν εἰκοσταῖα, τὰ δὲ τριακοσταῖα, τὰ δὲ τεσσαρακοσταῖα, τὰ δὲ ἑξηκοσταῖα ῥήγνυσθαι τῶν ἐμπυημάτων. ἃ δ' εἶπε γνωρίσματα, τρία τὸν ἀριθμόν ἐστι, βάρος, καὶ ῥῖγος, καὶ πυρετὸς τοῦ πρόσθεν, ὡς ἔφην, σφοδρότερος πολλῷ.

A febrémque inuehunt. Febris autem horrori illi semper succedit. Sed Hippocrates quidem vtriusque meminit, & febrem priorem nominauit, scribens; Ab eo die, quo primùm febricitauit æger; non eum quidem diem significans, qui totius morbi primus fuit, sed quo horror, febrísque multò sanè, quàm quæ præcessit vehementior, prehenderunt. Quin & ægri tunc grauitatem manifestò sentiunt, quòd humor, qui per corpora phlegmone laborantia multis & exiguis partibus sparsus erat, posteaquam in pus versus est, in vacuum aliquod spatium parti omni in qua phlegmone est, con-B tinuum, abscedat. Itaque ab his diebus in quibus hæc primùm acciderunt, expectandum est suppurationes ruptum iri, alias die vigesimo, alias trigesimo, alias quadragesimo, alias autem sexagesimo. Indicia autem, quibus illi cognoscantur, tria sunt, grauitas, horror, & febris præcedente, vti dixi, multò vehementior.

Τὰ τοῦ πλευροῦ τῷ ἐμπυήματι νοσέοντος σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ νθ'.

Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ τουτέοισι μή τι ἔχει ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ, καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, καὶ κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾶν εἴ τι αὐτῷ δοκέει βάρος ἐκκρέμασθαι ἐκ τοῦ ἄνωθεν. εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμπύημα ἐπὶ ὁκοῖον ἂν πλευρὸν βάρος ἐγγίνηται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι διαφράττουσιν ὑμένες τὸν θώρακα, διήκοντες ἀπὸ τοῦ στέρνου μέχρι τῆς ῥάχεως, ὡς δύο ποιεῖν αὐτοῦ κοιλότητας, ἐν ταῖς ἀνατομαῖς ἐμάθομεν. ὅθεν οὐδὲ κοινωνεῖ τὰ κατὰ τὸ ἕτερον μέρος ἐμπυήματα τοῖς κατὰ θάτερον, ὥσπερ ἐπὶ τῶν ἐντὸς τοῦ περιτοναίου. κατ' ἐκεῖνο μὲν γὰρ ἐν κύκλῳ πᾶσι τοῖς ἐντέροις περιρρεῖ τὸ πῦον, ἐνταῦθα δ' οὔτε τὸ κατὰ τὰ δεξιὰ μέρη τοῦ θώρακος εἰς τὰ ἀριστερὰ δύναται μετελθεῖν, οὔτ' ἔμπαλιν ὅσον ἐν τοῖς ἀριστεροῖς ἐστιν, εἰς τὰ δεξιὰ μεταρρυῆναι. διὰ ταῦτ' οὖν ἀξιοῖ καταμανθάνειν, εἴ τε ἐξ ἀμφοτέρων τῶν μερῶν ἔχει τὸ πῦον ὁ κάμνων, εἴ τε κατὰ τὸ ἕτερον μόνον. ἐν μὲν γὰρ ταῖς περιπνευμονίαις εἰς ἐμπύημα τρεπομέναις, κατ' ἄμφω μᾶλλον, ἢ κατὰ θάτερον ἀθροίζεται τὸ πῦον. ἐν δὲ ταῖς πλευρίτισι κατὰ τὸ ἕτερον μέρος μᾶλλον, οὐ κατ' ἄμφω. διάγνωσις δὲ τοῦ πεπονθότος, ἔκ τε τοῦ τῆς θερμασίας διαφόρου. θερμότερον γάρ ἐστι τὸ πεπονθὸς, κἀκ τοῦ κατακλινόμενον τὸν ἄνθρωπον ἐπὶ τὸ ἀντικείμενον πλευρὸν, αἰσθάνεσθαι βάρους ἐγκειμένου τῷ ὑψηλοτέρῳ μέρει. δῆλον γὰρ, ὅτι τὸ πῦον ἠθροισμένον ἐν τούτῳ τῷ μέρει, τὴν τοῦ βάρους αἴσθησιν ἐργάζεται.

Lateris empyemate obsessi signa.

C SENTENTIA HIPPOCRATIS 59.

Si verò suppuratio fuerit in altero latere solùm, & vertere & condiscere oportet in his num aliquem habeat dolorem in altero latere, & an alterum altero sit calidius; & ægro in latus sanum decumbente, interrogare ipsum, siquod ei pondus desuper impendere videatur. Si enim hoc fuerit, in altero latere suppuratio est, in quo pondus affuerit.

D COMMENTARIVS GALENI.

Exploratum habemus per anatomen, membranas à pectore ad spinam protensas, thoracem distinguere sic, vt geminos sinus producant. Quò fit, vt vomicæ, quæ alteram partem infestant, reliquam peruadere non possint, vti fieri in illis solet, quæ intra peritonæum constitêre. Siquidem in eo pus circum omnia intestina diffunditur, hic autem nec à dextra thoracis parte ad sinistram, nec rursus, quòd in sinistra continetur, in dextram permeare potest. Quare præcipit ip-E se, vt sciatur, an pus vtraque in parte sit, an modò in altera. Namque vbi peripneumonia in suppurationem conuertitur, pus vel vtraque in parte, vel in altera colligitur, per pleuritides autem alteram potius partem, quàm ambas occupat. Cæterùm latus affectum deprehenditur, tum ex caloris differentia (in quo enim malum est, id calidius est) tum quòd homo in oppositum latus decumbens, pondus in superiori parte sentiat. Nam dubium non est, quin pus illa in parte collectum, ponderis sensum inuehat.

Suppu-

Suppuratorum signa.

SENTENTIA HIPPOCRATIS 60.

AT purulẽtos omnes hisce signis cognoscere oportet. Primũ quidẽ si febris non dimittit, verùm interdiu tenuis detinet, noctu verò maior, & multi sudores oboriuntur, tussesq; & tussiendi cupiditas ipsis inest, & nihil effatu dignũ expuunt, oculiq; caui fiunt, malas rubores obsidẽt, & vngues quidẽ manuũ adunci euadunt, digiti verò summi maximè incalescunt, & in pedibus tumores fiunt, & cibos non appetunt, & phlyctænæ per totum corpus nascuntur.

COMMENTARIVS GALENI.

QVi pus cumulatum intra corpus habent, siue adhuc in parte phlegmone laborante detinetur prius, quàm ipsa rumpatur, siue etiam iam rupta suppuratione effusum est, dici quidem rectè possunt, ἔμπυοι, hoc est suppuratione affecti, verùm apud medicos receptum est eos duntaxat, aut potissimum ἐμπύους appellari, quibus in thorace, & pulmone affectus iste constiterit. Porrò post ruptionem, pus illud in medio thoracis, pulmonísque spatio continetur, ac nisi protinus excreetur, ægros tabe consumit. Hi autem leuiter quidem febricitant, attamen calor noctu incrementum accipere videtur. Id quod omnibus accidere solet, qui febre hectica prehensi sunt, non quòd nox febrem ipsis affectus ergo adaugeat, sed ex aliquo accidenti, quod est eiusmodi in iis febribus, quæ hecticæ nuncupantur, partes ipsæ animalis solidæ ignem feruorémque concipiunt. Febris itaque sibi similis perpetuò manet, eiúsque calor, vt & calcis, ad tactum obtusus est, cibo autem sumpto, & potu, multò euadit vehementior, sicuti calx, cui affusa aqua est, quod quidem manifestò illi sentiunt, qui manum admouerint. Hoc autem sæpè vobis in ægris ostendi, qui febre illa correpti erant, diuersis temporibus cibum ipsis exhibens, vt crederetis id à cibo, non à morbo procedere. Cernitur enim euidenter febrilis calor ad cibi tempora inclinari & nutare, quippe qui dum ipse cibus sumitur, increscere, dum digeritur in corpus, seipso vehementior fieri videatur. Cæterùm propter imbecillitatem virium, sudores frequenter oriuntur, per halitum abeunte alimento, quod digestum fuit. Quinetiam tussis, & tussiendi cupiditas infestant, & penè nihil expuunt. Nam si spuerent, non essent purulenti. Quòd autem nihil propè sputi reiiciant, causa triplex est, lentor & crassities ipsius puris, densitas membranæ, quæ pulmonem complectitur, & præterea virium ægrotantis imbecillitas. Sed & oculos dicit cauos fieri, id quod febribus omnibus inueteratis commune est, & iis maximè, quæ vehementer exsiccant. Malæ quoque rubent à calore pulmonis, & tussi. Hæc enim ambo tum faciem, tum caput vniuersum excalefaciunt. Ad hæc vapores in eas feruntur ex fluxione, quæ in pulmonem decubuit. Fiunt autem adunci vngues, absumpta qua firmantur vtrinque carne.

Σημεῖα τῶν ἐμπύων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξ.

ΤΟὺς δὲ ξύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσι δὲ τοῖς σημείοισι. πρῶτον μὲν εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων, καὶ ἱδρῶτες πολλοὶ ἐπιγίνονται, βηχός τε θυμὸς ἐγγίνεται αὐτέοισι, καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου. καὶ οἱ μὲν ὀφθαλμοὶ ἔγκοιλοι γίνονται, αἱ δὲ γνάθοι ἐρυθήματα ἴσχουσι, καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν γρυποῦνται, οἱ δὲ δάκτυλοι θερμαίνονται, καὶ μάλιστα ἄκροι. καὶ ἐν τοῖσι ποσὶν οἰδήματα γίνονται, καὶ σιτίων οὐκ ἐπιθυμέουσι, καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΣοι πῦον ἀθρόον ἔχουσιν ἔνδον τοῦ σώματος, εἴτ' οὖν ἔτι περιεχόμενον ἐν τῷ φλεγμαίνοντι μορίῳ πρόσθεν, εἴτε καὶ μετὰ τὸ ῥαγῆναι, δυνατόν ἐστιν ὀνομάζεσθαι τούτους ἐμπύους. ἀλλ' εἴθισται παρὰ τοῖς ἰατροῖς μόνους, ἢ μάλιστα τοὺς κατὰ θώρακα, καὶ πνεύμονα τὸ τοιοῦτον ἔχοντας πάθος, ἐμπύους ὀνομάζεσθαι. περιέχεται δὲ μετὰ τὴν ῥῆξιν ἐν τῇ μεταξὺ θώρακός τε καὶ πνεύμονος χώρᾳ τὸ πῦον τοῦτο, καὶ εἰ μὴ διὰ ταχέων ἀναπτυσθείη, φθινωδῶς ἀπόλλυνται, πυρέττοντες λεπτῶς μὲν, ἀεὶ δέ πως αὐξανομένης τῆς θερμασίας εἰς νύκτα. καὶ γίνεται τοῦτο πᾶσι τοῖς ἑκτικῶς πυρέττουσιν, οὐ τῷ τῆς διαθέσεως λόγῳ τῆς νυκτὸς αὐξανούσης αὐτοῖς τὸν πυρετὸν, ἀλλὰ κατά τι συμβεβηκὸς, ὅπερ ἐστὶ τοιοῦτον ἐν τοῖς καλουμένοις ἑκτικοῖς πυρετοῖς, αὐτὰ τοῦ ζώου τὰ στερεὰ μόρια διάπυρα γίνεται. κατὰ τοῦτ' οὖν αὐτὸ, ἀεὶ παραπλήσιος ὁ πυρετὸς ἐν ἑαυτῷ μένει, τὴν θερμασίαν ἔχων, οἵαν περ ἡ τίτανος ἀμυδρὰν τοῖς ἁπτομένοις. ὅταν γοῦν φάγωσί τε καὶ πίωσιν, ὅμοιόν τι συμβαίνει τοῖς γινομένοις κατὰ τὴν τίτανον ὕδατι βραχείσαν, ὥστε τοὺς ἁπτομένους ἔξωθεν, αἰσθάνεσθαι πολὺ θερμοτέρου τοῦ κάμνοντος. ἔδειξα δὲ τοῦτο πολλάκις ὑμῖν ἐπὶ τῶν ἀρρώστων, ἄλλοτ' ἄλλῳ καιρῷ θρέψας τοὺς οὕτω πυρέξαντας, ἵνα πεισθῆτε διὰ τὴν τροφὴν γίνεσθαι τοῦτ' αὐτοῖς, οὐ τῷ τῆς διαθέσεως λόγῳ. ἐναργῶς γὰρ φαίνεται συμμεταπίπτειν ἡ πυρετώδης θερμασία τοῖς καιροῖς τῆς τροφῆς. αὐτίκα μὲν ἐπὶ ταῖς προσφοραῖς τῶν σιτίων αὐξανομένη, σφοδροτάτη τε ἑαυτῆς φαινομένη κατὰ τὴν ἀνάδοσιν αὐτῶν. διὰ δὲ τὴν ἀρρωστίαν τῆς δυνάμεως, ἱδρῶτες ἐπιγίνονται συνεχεῖς, διαφορουμένης τῆς ἀναδοθείσης τροφῆς. ἀλλὰ καὶ βηχὸς, φησὶ, θυμὸς αὐτοῖς γίνεται, τουτέστι προθυμία, καὶ ἀναπτύουσιν οὐδὲν ἄξιον λόγου. εἰ γὰρ ἔπτυον, οὐκ ἂν ἔμπυοι διέμενον. αἰτία δὲ τοῦ μηδὲν ἀναπτύειν ἄξιον λόγου, τριττή. τοῦ πύου μὲν αὐτοῦ ἡ γλισχρότης καὶ πάχος· τοῦ δὲ περιέχοντος ὑμένος τὸν πνεύμονα, πυκνότης· ἀρρωστία δ' ἐπὶ τούτοις, τῆς τοῦ κάμνοντος δυνάμεως. ἀλλὰ καὶ οἱ ὀφθαλμοὶ, φησὶν, ἔγκοιλοι γίνονται, κοινόν τι τοῦτο τῶν χρονίων ἁπάντων πυρετῶν, καὶ μάλιστα τῶν ξηραινόντων ἐπιφανῶς. ἐρυθραίνονταί τε τὰ μῆλα, διὰ τὴν ἐν τῷ πνεύμονι θερμότητα, καὶ διὰ τὰς βῆχας. ἄμφω γὰρ ταῦτα θερμαίνει, τό τε πρόσωπον, καὶ ὅλην τὴν κεφαλήν. ἀπό τε τοῦ κατασκήψαντος εἰς τὸν πνεύμονα ῥεύματος, ἀτμῶν ἀναφερομένων εἰς αὐτά. οἱ δ' ὄνυχες γρυποῦνται, τῶν στηριζουσῶν αὐτοὺς ἑκατέρωθεν σαρκῶν ἐκτηκομένων.

οἱ μὲν τῶν δάκτυλοι, καίτοι καταψυχόμενοι πίπτουσιν ἐπὶ τῶν χρονίως νοσούντων, ὅμως ἐν πᾶσι τοῖς ἑκτικοῖς πυρετοῖς θερμοὶ διαμένουσιν, ἐπεὶ κατειλήφασιν οὗτοι τὰ στερεὰ μάλιστα μόρια τοῦ σώματος· καὶ τά γε μὴν ἄκροις ἑαυτῶν σαρκωδέστερα φαίνονται θερμότερα. οὐκ ἐκ τῶν ἔξω μερῶν, ἀλλ' ἐκ τῶν ἔνδον, ἔνθα τὸ σαρκῶδες αὐτῶν ἐστι. καὶ ἡ αἰτία πρόδηλος, εἴ γε μεμνήμεθα τῶν ἐπὶ ταῖς προσφοραῖς εἰρημένων. ἔνθα γὰρ ὑγρότης ἡ δαψιλεστέρα, σαφέστερον ἐν τούτοις χωρίοις ἡ θερμασία φαίνεται. προήκοντός γε μὴν τοῦ χρόνου, καὶ οἱ πόδες αὐτῶν οἰδίσκονται. τῆς τοῦ σώματος ὅλου νεκρώσεως, ἐκεῖθεν ἀρχομένης, ὡς ἂν πορρωτάτω κειμένων μορίων τῆς ἀρχῆς. τηνικαῦτα ἤδη καὶ ἀνόρεκτοι γίνονται, νεκρουμένης δηλονότι τῆς ὀρεκτικῆς δυνάμεως, ἅμα ταῖς ἄλλαις· καὶ φλύκταιναί τινες ἐπιγίνονται, διαβρωτικῶν ἰχώρων ἀθροιζομένων ἐν σώματι. τοιαύτην γὰρ αὐτῶν ὁ Ἱπποκράτης ἐδίδαξε τὴν γένεσιν εἶναι, ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν ὧδέ πως φάσκων· ἐπιγίνονται μὲν ἐν τῷ δέρματι ἰχῶρες, ἐγκαταλαμβανόμενοι δὲ, θερμαίνονται. οἱ γὰρ ἰχῶρες οὗτοι, τὸ μὲν ἄλλο τοῦ δέρματος ὅσον μανότερόν ἐστι διεξερχόμενοι, κατὰ τὸ ἔξω πέρας αὐτοῦ πυκνότερον ὂν ἴσχονται. διϊστᾶσι δὲ τοῦτο, καὶ ἀφιστᾶσιν ἀπὸ τοῦ ἔνδον, ἀθροιζόμενοί τε κατ' αὐτὸ, τὰς φλυκταίνας ἐργάζονται.

Digiti verò quamuis per omnes veteres morbos refrigerentur, attamen in omnibus febribus hecticis calidi permanent, propterea, quòd illæ solidas corporis partes maximè occuparunt. Et hi sanè extrema sui parte, non extra quidem, sed intra vbi ipsorum caro est, sentiuntur manifestò calidiores. Cuius rei perspicua protinus causa est, si eorum, quæ de exhibitione cibi diximus, recordamur. Nam quo loco plus est humiditatis, illic etiam calor copiosius exuberat. Porrò in pedibus morbo trahente, tumores excitantur, quòd ab illis primùm totius corporis incipiat interitus, vt à partibus longissimè à principio distantibus. Iam tum ipsis concidit appetitus, extincta scilicet vna cum aliis, appetendi facultate. Pustulæ etiam aliquæ oriuntur, rodenti sanie in corpore coaceruata. Sic enim eas libro secundo Epidemiωn Hippocrates docuit generari, hunc in modum scribens; *Sanies quidem in cute superuenit, illic autem detenta incalescit. Hæc enim sanies quum rarissimam cutis partem pertransierit, in extima ipsius superficie, quæ densior est, impingitur, hanc autem illa ab illa interna cute dirimit, & seiungit, atque in ea collecta, pustulas suscitat.*

Περὶ σημείων τῶν πολυχρονίων τε καὶ ὀλιγοχρονίων ἐμπυημάτων.

De diuturnarum ac breuium suppurationum signis.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξα'.

Ὁκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημεῖα ταῦτα, καὶ πιστεύειν αὐτέοισι χρὴ κάρτα. ὁκόσα δὲ ὀλιγοχρόνιά ἐστιν, ἐπισημαίνεσθαι τουτέων ἤν τι ἐπιφαίνηται, οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν, ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος.

SENTENTIA HIPPOCRATIS 61.

Quæcunq; igitur diuturnæ sunt suppurationes ista habēt signa, & iis admodū fidendū est; quæ verò pauci sunt tēporis, his signis deprehendere oportet, siquid eorū appareat, qualia & iis quæ inter initia fiunt; simul autem & si aliquantò difficiliùs spiret homo.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καλῶς εἶπε πιστεύειν χρῆναι τοῖς τῶν χρονιζόντων ἐμπυημάτων σημείοις. οὕτω γάρ ἐστιν ἰσχυρὰ τὴν δύναμιν, ὡς μηδεμίαν ἀμφιβολίαν ἑαυτοῖς ἀπολείπεσθαι. τὰ δὲ ὀλιγοχρόνια γνωρίζεσθαι, διὰ τῶν ἔμπροσθεν εἰρημένων· ἢν δ' ἐκεῖνα, τὸ ῥῖγος, καὶ ὁ πυρετὸς, καὶ τὸ βάρος, εἴ τέ τι τῶν ἐπὶ τοῖς χρονίοις εἰρημένων ἤδη φαίνοιτο, καὶ εἰ δυσπνούστερος ὁ κάμνων γένοιτο παρὰ τὸ πρόσθεν, ἀνάγκη γὰρ τοῦτο συμβαίνειν, διὰ τὴν στενοχωρίαν τοῦ πνεύμονος, ὅταν καταλάβῃ τὰς κενὰς χώρας τοῦ θώρακος τὸ πῦον.

COMMENTARIVS GALENI.

Rectè dixit veterum suppurationum signis fidem adhibendam esse. Nam vires tantas habent, vt nullam dubitandi ansam relinquant. Quæ verò breues sunt, aliis antè dictis cognoscuntur, nempe horrore, febre, & grauitate; & iis præterea, quæ iam de longis explicata sunt; Adhæc si æger spiritum difficiliùs, quàm antè trahat. Id enim necessariò accidit propter pulmonis angustiam, quam pus vacua thoracis spatia occupans, parit.

Σημεῖα τῆς ταχυτέρας τε καὶ βραδυτέρας τῶν διαπυήσεων ῥήξεως.

Signa celerioris aut tardioris ruptionis suppurationum.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξβ'.

Τὰ δὲ ταχύτερον αὐτέων καὶ βραδύτερον ῥηγνύμενα, τοῖσδε γινώσκειν χρή· ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γένηται, καὶ ἡ δύσπνοια, καὶ ἡ βὴξ, καὶ ὁ πτυελισμὸς διατελέῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων, προσδέχεσθαι τὴν ῥῆξιν, ἢ καὶ ἔτι ἔμπροσθεν. ἢν δὲ ἡσυχέστερος ὁ πόνος εἴη, καὶ τἄλλα πάντα κατὰ λόγον, τουτέοισι προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕστερον, προγίνεσθαι δ' ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυελισμὸν πρὸ τῆς τοῦ πύου ῥήξεως.

SENTENTIA HIPPOCRATIS 62.

At ex his quæ celerius aut tardius rūpuntur, his signis cognoscere oportet; si dolor quidē per initia oriatur, & spirandi difficultas, ac tussis, & sputatio perseuerās ad vigesimū diē obsideat, expectare ruptionem vel etiamnū priùs oportet, si verò quietior sit dolor, & pro huius ratione cætera omnia, istis expectare ruptionē posteriùs. Præterea verò & dolorē & dyspnœam, & sputationē ante puris eruptionē oboriri necesse est.

COM-

COMMENTARIVS GALENI.

EX iisdem notis, quæ vomicæ ruptionem periculosam esse ostendunt, intelliges etiam, an serius erumpere debeat. Sunt autem istæ: dolor, spiritus difficultas, tussis, & screatus. Quæ quidem si & perpetuò & vehementer infestant, citò futuram solutionem portendunt. Si verò nec perpetuò, nec vehementer vrgent, tardius. Cæterùm dum puri vicinum corpus ipsum acrimonia eroditur, dolorem excitari necesse est, sanie autem aliqua iam tenui per corpus id in quo conclusum pus est, transeunte, tussim, & screatum. Spiritum autem illi difficulter trahunt quum per totam morbi constitutionem, quum maximè propter recens obortum dolorem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐξ ὧν ὅτι ῥαγῆναι κίνδυνός ἐστι τὸ διαπυΐσκόμενον, ἔνεστί σοι προγινώσκειν, ἐκ τούτων, καὶ ὅτι θᾶττον. ἔστι δὲ ταῦτα, πόνος, καὶ δύσπνοια, καὶ βὴξ, καὶ πτυελισμός. ἐὰν μὲν οὖν συνεχῆ τε γίνηται, καὶ ἰσχυρά, ταχεῖαν ἔσεσθαι σημαίνει τὴν ῥῆξιν. ἐὰν δὲ μήτε συνεχῆ, μήτε ἰσχυρά, χρονιωτέραν. ἀνάγκη δὲ διαβιβρωσκομένου τοῦ παρακειμένου τῷ πύῳ σώματος, ὑπὸ τῆς δριμύτητος αὐτοῦ, πόνον μὲν γενέσθαι δι᾽ αὐτὸ τοῦτο, βῆχα δὲ καὶ πτυελισμὸν ἰχῶρός τινος ἤδη λεπτοῦ διεξερχομένου τὸ περιέχον σῶμα. δυσπνοοῦσι δὲ καὶ διὰ ὅλην μὲν τοῦ νοσήματος τὴν κατάστασιν, ἐξαιρέτως δὲ διὰ τὴν προσγινομένην ὀδύνην.

Suppuratorum qui salui euadunt, qui intereunt, quíque diu ægrotant, signa.

SENTENTIA HIPPOCRATIS 63.

Supersunt autē ex his potißimū, quos febris eodē post ruptionē die dimiserit, & qui cibos celeriter appetāt, & siti liberati sint; & venter tū exigua, tū cōpacta deiiciat, & pus albū, & leue, & eiusdē coloris sit, & à pituita liberū, & citra dolorē, & tußim vehementē expurgetur. Sic quidē optimè & celerrimè liberantur, sin minùs, hi quibus proxima his cōtigerint. Intereūt verò quos & febris eodē die nō dimiserit, sed quū videntur dimisisse, iterū recalescēs appareat, & sitim quidē habuerint, cibos verò non appetiuerint, & aluus liquida fuerit, pusq; ex viridi pallidū, & liuidū expuerint, aut pituitosū aut spumosū. Si hæc omnia cōtigerint, intereunt. At quibus ex his quædā acceßerint, quædā nō, ipsorū quidā intereūt, quidam etiam multo post tēpore superstites euadunt. Verùm ex omnibus signis quæ adsunt, tum in his, tum in aliis omnibus, coniecturā facere oportet.

Σημεῖα τῶν ἐμπύων περιγινομένων τε, καὶ ἀπολλυμένων, καὶ ἐν πολλῷ χρόνῳ νοσεόντων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξγ'.

Περιγίνονται δὲ τουτέων, μάλιστα μὲν οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθημερὸν μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως ἐπιθυμέωσι, καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ὑποχωρέῃ, καὶ τὸ πύον λευκόν τε καὶ λεῖον καὶ ὁμόχροον ᾖ, καὶ φλέγματος ἀπηλλαγμένον, καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαίρηται. ἄριστα μὲν οὖν οὕτως, καὶ τάχιστα ἀπαλλάσσονται. ἢν δὲ μή, οἷσιν ἂν ἐγγύτατα τουτέων γίνονται. ἀπόλλυνται δὲ οἷσιν ἂν ὅ,τε πυρετὸς αὐθημερὸν μὴ ἀφείῃ, ἀλλὰ δοκέων αὐτέους ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος, καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι, ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ τὸ πύον χλωρὸν, καὶ πέλιον πτύῃ, ἢ φλεγματῶδες, καὶ ἀφρῶδες. ἢν ταῦτα πάντα γίνηται, ἀπόλλυνται. ὁκόσοισι δ᾽ ἂν τουτέων, τὰ μὲν ἐπιγένηται, τὰ δὲ μή, οἱ μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. ἀλλ᾽ ἐκ πάντων τῶν τεκμηρίων τῶν ἐόντων ἐν τουτέοισι, σημαίνεσθαι καὶ τοῖσιν ἄλλοισιν ἅπασιν.

COMMENTARIVS GALENI.

TOta hæc sententia ab hac dictione incipiens planè perspicua est iis, qui, quæ antè dicta sunt, memoria tenent. Quare ea omissa, ad reliqua progrediar.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὗτος ἅπας ὁ λόγος, ὁ ἀπὸ ταύτης τῆς λέξεως ἀρχόμενος, ὅλος ἐστὶ σαφὴς τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων. ὑπερβὰς οὖν αὐτόν, ἐπὶ τὰ συνεχῆ μεταβήσομαι.

De abscessibus peripneumonicis succedentibus.

SENTENTIA HIPPOCRATIS 64.

Quibuscunq; ex peripneumonicis morbis abscessus ad aures fiunt, & ad inferiores partes suppurant, fistulámque gignunt; hi superstites euadunt.

Περὶ ἀποστάσεων τοῖς περιπνευμονικοῖς ἐπιγινομένων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξδ'.

Ὁκόσοισι δὲ ἀποστάσιες γίνονται ἐκ τῶν περιπνευμονικῶν νοσημάτων παρὰ τὰ ὦτα, καὶ ἐκπυοῦσιν ἐς τὰ κάτω χωρία, καὶ συριγγοῦνται, οὗτοι περιγίνονται.

COMMENTARIVS GALENI.

Fistulæ solùm nomen in hac sententia obscurum est, dicitur autem per metaphoram. Nam quæ fistulæ propriè vocantur, illæ inquam, quibus vtuntur musici, longos habent sinus; quibus si qui similes in corporibus animantium oriantur, eodem designantur nomine. Et mihi quidem Hippocrates propter viæ, qua pus fertur, longitudinem, fistulæ nomen videtur vsurpasse.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ συριγγοῦνται, μόνον ἀσαφές ἐστιν ἐν ταύτῃ τῇ ῥήσει κατὰ μεταφορὰν εἰρημένον. αἱ γάρ τοι σύριγγες, αἱ κυρίως ὀνομαζόμεναι, ταῦτα δὴ τὰ μουσικὰ ὄργανα, περιμήκεις ἔχουσι κοιλότητας· αἷς ὅταν ἐν τοῖς τῶν ζώων σώμασιν ὁμοίαι παρὰ φύσιν γίνωνται, διὰ τῆς αὐτῆς προσηγορίας δηλοῦνται. δοκεῖ δή μοι καὶ νῦν ὁ Ἱπποκράτης, διὰ τὸ τῆς διεξόδου περίμηκες, κεχρῆσθαι τῷ συριγγοῦνται ῥήματι.

τὸ δὲ σύμπαν τοῦ λόγου κεφάλαιόν ἐστι περὶ τῶν ἐπιγινομένων τοῖς περιπνευμονικοῖς ἀποστάσεων, ἐνίοτε μὲν εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἐνίοτε δὲ εἰς τὰ κάτω τοῦ θώρακος χωρία.

A Est autem totius sententiæ caput de abscessibus, qui peripneumonicis superueniunt, interdum in adenas, qui sub auribus sunt, interdum in partes thoraci subiectas.

Τὰ τῆς ἀποστάσεως ἐσομένης προγνωστικὰ σημεῖα.

ῬΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξε'.

Ὑποσκέπτεσθαι δὲ χρὴ καὶ τὰ τοιαῦτα ὧδε, ἢν ὅ τε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ, καὶ τὸ πτύελον μὴ ἐκχωρέῃ κατὰ λόγον, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, μηδὲ εὔλυτοί τε καὶ ἄκρητοι γίνωνται, καὶ μηδὲ τὸ οὖρον κάρτα πουλύ τε, καὶ παχὺ, καὶ πολλὴν ὑπόστασιν ἔχον. ὑπηρετεῖται δὲ περιεστηκῶς ὑπὸ τῶν λοιπῶν πάντων τῶν περιεστηκότων σημείων. τουτέοισι χρὴ τὰς τοιαύτας ἀποστάσιας ἐλπίζειν ἔσεσθαι.

Abscessus venturi signa prognostica.

SENTENTIA HIPPOCRATIS 65.

Ista verò hunc in modum cōsideranda sunt. Si febris detineat, neque dolor sedatus sit, neque sputum ex ratione procedat, neque biliosæ alui de- B *iectiones, neq; solutu faciles, neque synceræ fiant, neque vrina admodum multa, & crassa, & copiosum habens sedimentum. Obseruatur autem superstes futurus ab omnibus reliquis salutaribus signis; his oportet tales abscessus futuros sperare.*

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰς προειρημένας ἀποστάσεις, ὅπως ἄν τις προγινώσκῃ, διδάσκει, διχῇ τεμὼν τὸν λόγον. ὡς τὸ μὲν πρῶτον αὐτοῦ μέρος εἶναι, διδασκαλίαν τοῦ γενήσεσθαι τὴν ἀπόστασιν. τὸ δὲ δεύτερον, διορίζεσθαι, πότερον ἄνωθεν τοῦ θώρακος, εἰς τοὺς ὑπὸ τοῖς ὠσὶν ἀδένας, ἢ κάτω τῶν φρενῶν. ἀρξόμεθα οὖν καὶ ἡμεῖς ἀπὸ τοῦ προτέρου μέρους, ἐν ᾧ κεφάλαιόν ἐστι, δυσπεπτότερον μὲν εἶναι τὸ νόσημα, μὴ μέντοι θανατῶδες. οὔτε γὰρ ἐὰν εὔπεπτον ᾖ, δι' ἀποστάσεως, ἀλλ' ἤτοι δι' ἐκκρίσεως, ἢ κατὰ βραχὺ λυθήσεται πεφθέν. οὔτε ἂν ὀλέθριον ὑπάρχῃ, γενήσεταί τις ἀπόστασις ἀγαθή. μέσον οὖν αὐτὸ χρὴ τῶν τε ἐπιεικῶν εἶναι, καὶ τῶν ὀλεθρίων. ὅθεν εἰκότως ὁ Ἱπποκράτης, ἔνια μὲν αὐτῶν τῶν γνωρισμάτων ἔγραψεν ἐκ τῶν κακῶν σημείων, ἔνια δὲ ἐκ τῶν ἀγαθῶν, ἃ κατὰ μέρος ἤδη σοι δίειμι, τὴν ἀρχὴν ἀπὸ τοῦ πρώτου ποιησάμενος, ὑπὲρ οὗ πρώτου κατὰ λέξιν οὕτω φησίν· ἢν ὁ πυρετὸς ἔχῃ, τουτέστι κατείληφε τὸν ἄνθρωπον, ὡς εἰς ἀπυρεξίαν μηδέ ποτε ἀφικνεῖσθαι, καὶ ἡ ὀδύνη μὴ πεπαυμένη ᾖ· παυσαμένης γὰρ αὐτῆς, οὐκ ἀποστάσεώς ἐστι χρεία τις ἔτι πρὸς τὴν λύσιν, ὡς ἐπιεικοῦς τοῦ νοσήματος ὄντος. καὶ τὸ πτύελον, φησί, μὴ ἐγχωρέῃ κατὰ λόγον, οὐδὲ γὰρ ὅλως ἀποστάσεως δεηθήσεται τὸ νόσημα, διὰ τῶν πτυσμάτων ἀεὶ ἐκκαθαιρόμενον. εἶτ' ἐφεξῆς, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες. εἴρηται γάρ σοι καὶ πρόσθεν, ὡς ἐν τοῖς χολώδεσι νοσήμασιν, αἱ ἀποστάσιες οὐ γίνονται. χρὴ γὰρ ὠμὴν καὶ παχεῖαν εἶναι τὴν τῶν χυμῶν ὕλην, ἵν' εἰς τε χρόνον πλείονα ἐκπέσῃ τὸ νόσημα, καὶ μὴ δι' ἐκκρίσεως, ἀλλ' ἤτοι δι' ἀποστάσεως, ἢ μόνης πέψεως ἰαθῇ. τὸ δὲ ἐφεξῆς τῷδε, τινὲς μὲν οὕτω γράφουσι· μηδ' εὔλυτοι καὶ ἄκρητοι γίνωνται, ὥσπερ ἔφη, μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, οὕτω μηδὲ εὔλυτοι, καὶ ἄκρητοι γίνωνται· τοῦ μὲν ἀκρήτου, πρὸς τὰς ἀμίκτους τῶν ἄλλων χυμῶν ἀναφερομένου, διὰ τὸ μίαν ἔχειν αὐτὰς ποιότητα τὴν τῶν χολωδῶν. τοῦ δὲ μηδ' εὔλυτοι, πρὸς τὸ πλῆθος τῶν ἐκκρίσεων, ὡς εἴτε χολώδεις εἶεν, καὶ εὔλυτοι δι' ἐκκρίσεως μᾶλλον, ἢ δι' ἀποστάσεως ἐσομένης τῆς κρίσεως. ἔνιοι δὲ ἐναντίως γράφουσι τὴν λέξιν ὧδε· μηδὲ χολώδεες αἱ τῆς κοιλίης διαχωρήσιες, εὔλυτοι δὲ καὶ ἄκρητοι γίνωνται· εὐλύτους μὲν εἶναι βουλόμενοι, τὰς συμμέτρως ὑποχωρούσας, ἀκρήτους δὲ τὰς ὑδατώδεις καὶ ἀμίκτους. ἐρρέθη γὰρ ἔμπροσθεν, ὡς τὸ ἄκρητον, ἐπὶ τῆς ἀμίκτου λέγεται ποιότητος.

COMMENTARIVS GALENI.

Docet quomodo antè dicti abscessus præuideri possint diuisa in duas partes demonstratione, quarum priore quidem futurum ab- C scessum ostendit, posteriore verò distinguit suprane thoracem in adenas, qui sub auribus sunt, an sub transuerso septo debeat excitari. Et nos igitur priorem partem tractemus, in qua hoc caput est, morbum ægrè quidem concoqui posse, nec tamen esse mortiferum. Nam si facilè concoquatur, non per abscessum, sed per vacuationem, aut paulatim concoctus desinet, si verò mortiferus est, non potest vllus abscessus bonus exoriri. Itaque illum inter faciles, & perniciosos medium esse oportet, eámque ob rem Hippocrates notas alias quidem D bonas, alias verò malas assignauit, quas ego iam tibi sigillatim exponam, à prima exorsus, quam ille initiò proposuit his verbis; *Si febris detinet*, id est, prehendit hominem, vt integrum nunquam corpus dimittat. *Et si dolor finitus non est*; hic enim si cessauit, vtique abscessu non est opus, quò morbus placidus & facilis abigatur. Atque *si sputum*, inquit, *bono modo non editur*, neque enim oportebit abscessum ex eo morbo fieri, quem sputa perpetuò repurgant. Scribit deinde; *Si aluus biliosa non descendit*. In morbis enim biliosis non E nasci abscessus antè tibi ostendimus. Siquidem humores crudos, & crassos esse oportet, vt in longum tempus porrigatur morbus, nec vacuatione, sed vel abscessu, vel sola concoctione remedium inueniat. Quod autem postea sequitur, alij scribunt hunc in modum; *nec solutu facilis, nec syncera descendit*, vt quemadmodum dixit, *nec biliosa, sic nec solutu facilis, nec syncera descendat*. Interpretantur autem synceram, quæ nullius alterius humoris est particeps, propterea quòd vnam modo qualitatem habeat, quæ biliosis inest; facilem autem solutu de copia vacuationis intelligunt, F adeò vt si aluus biliosa sit, & solutu facilis, crisis per vacuationem potiùs, quàm per abscessum expectari debeat. Alij verò contrà scribunt, hunc in modum. *Si aluus non biliosa, sed solutu facilis, & syncera descendit*, solutu quidem facilem appellantes, quæ modò conuenientia reddit, synceram verò aquosam, atque impermixtam. Diximus enim anteà impermixtam qualitatem synceram vocari.

Itaque,

Itaque, aiunt illi, quum Hippocrates aluum biliosam à syncera, hoc est, immixta & vnà tantùm qualitate insigni seiunxerit, non est dubium, quin aquosam, quæ cruda sanè est, & spatium, quo abscessus creari solent, ad concoctionem requirit, intelligat. Morbi namque acuti potius per vacuationem, longi verò per abscessum iudicari consueuere. Verùm vtriusque lectionis differentiam potes rursus in ocio expendere. Nunc autem tibi totius sententiæ argumentum, quò vsum, quem ad medendum præstat, consequaris, breuiter proponam. Instituit quidem Hippocrates morbos, qui in abscessus vertuntur, præsagire. Sed hos quidem humoribus crudis, crassísque constare necesse est, nec tamen mortiferis. Hi enim si diutius trahant, abscessus committunt, nisi prius per concoctionem, quam σύμπεψιν Hippocratis sectatores nuncupare solent, soluatur. Cæterùm concoctionis testimonium erit vrina copiosa, & quæ plurima habet subsidentia. At in qua multa subsidunt, naturali vtique crassior est. Quare locus hic haud temerè gemino scriptus est modo. Sic enim quidam scripsere; *Si vrina nec admodum multa, nec crassa est, nec plurima habet sedimenta.* Alij verò ita; *Si vrina nec admodum multa est, nec plurima habet sedimenta.*

A ἀποφήσας οὖν ὁ Ἱπποκράτης, φασὶ, τὰς χολώδεις διαχωρήσεις, ἐπὶ τῶν ἀκράτων, ὅπερ ἐστὶν ἀμίκτους, καὶ τὴν ἄκρας κατὰ μίαν ποιότητα, δῆλός ἐστι τὰς ὑδατώδεις λέγων, αἳ περ ἄπεπτοί εἰσι, καὶ διὰ τοῦτο χρόνου δέονται πρὸς τὴν πέψιν, ἐν ᾧ καὶ αἱ ἀποστάσεις γίνονται. τὰ μὲν γὰρ ὀξέα, δι᾽ ἐκκρίσεων μᾶλλον εἴωθε κρίνεσθαι, τὰ δὲ χρονίζοντα, δι᾽ ἀποστάσεως. ἀλλὰ περὶ μὲν τῆς ἐν ταῖς εἰρημέναις γραφαῖς διαφορᾶς, ἔνεστί σοι καὶ αὖθις ἐπισκέψασθαι κατὰ πολλὴν σχολήν. ἐν δὲ τῷ παρόντι, τὴν ὅλην τοῦ λόγου σύνοψιν, ὡς εἰς τὰ τῆς τέχνης ἔργα λαβεῖν ἐξ αὐτῆς τὸ χρησιμώτατον, ἐγώ σοι δίδωμι.

B προῄκειται μὲν οὖν αὐτῷ, τεκμήρασθαί τι περὶ τῶν εἰς ἀπόστασιν ὁρμησάντων νοσημάτων. εἶναι δὲ ταῦτα χρὴ, πάντως μὲν ἐξ ὠμῶν καὶ παχέων χυμῶν, οὐ μὴν ὀλεθρίων γε. τὰ γὰρ τοιαῦτα χρονίζοντα, ποιεῖσθαι δεῖ τὰς ἀποστάσεις, εἴ γε μὴ κατὰ σύμπεψιν, οὕτω γὰρ ὀνομάζειν ἔθος ἐστὶ τοῖς ὑφ᾽ Ἱπποκράτους, ἡ λύσις αὐτῶν γενέσθαι φθάσει. γνώρισμα δέ σοι τῆς πέψεως ἔσται τὸ οὖρον, αὐτό τε πολὺ γινόμενον, ὑπόστασίν τε πολλὴν ἔχον. ᾧ δ᾽ ὑπόστασίς ἐστι πολλὴ, τοῦτο πάντως ἐστὶ, καὶ αὐτὸ παχύτερον τοῦ κατὰ φύσιν. εἰκότως οὖν ἐγένετο διττὴ γραφὴ κατὰ λέξιν. ἐνίων μὲν οὕτω γραψάντων, μηδ᾽ οὖρον πολύ τε

C καὶ παχὺ, καὶ ὑπόστασιν ἔχον πολλήν. ἐνίων δ᾽ μηδ᾽ οὖρον πολὺ κάρτα, καὶ ὑπόστασιν πολλὴν ἔχον.

Abscessuum in superioribus, ac inferioribus partibus nascentium signa.

SENTENTIA HIPPOCRATIS 66.

AT oboriuntur abscessus hi quidē ad inferiores regiones quibus circa hypochōdria phlegmatis aliquid affuerit; illi verò ab superiores quibus hypochondriū molle & doloris expers permanserit; & quum difficultas spirandi aliquādiu facta, citra aliā euidētē causā quieuerit.

COMMENTARIVS GALENI.

EVidentes causas Hippocrates προφάσεις solet appellare. Itaque si quando oborta repente in his affectibus spirandi difficultas, rursus subitò conquiescit, atque vt cœpit, sic etiam sine euidenti causa desinit, humores in caput repere ostendit, sicut rursus in partes inferas descendere testatur calor aliquis in præcordiis apertè excitatus. Sic enim interpretari oportet, nec putare pituitosum humorem designari τοῦ φλέγματος nomine, quo vsus est Hippocrates hoc loco, scribens istum in modum, *quibus aliquid phlegmatis circa hypochondria adsit.* Siquidem magis conuenit τὸ φλέγμα calorem præternaturam conceptum significare. Hunc autem vel erysipelas, vel propriè dicta phlegmone accendit. Si verò contrà acciderit, & præcordia quidem gracilia dolorísque expertia sint, humores autem sursum efferantur (id quod prædicta spirandi difficultas declarat) in superioribus partibus abscessum expecta.

Τὰ τῶν ἀποστάσεων τῶν ἐς τὰ ἄνω τε, καὶ τῶν ἐς τὰ κάτω γιγνομένων σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξϛ΄.

ΓΙνόνται δὲ αἱ μὲν ἐς τὰ κάτω χωρία, οἷσιν ἂν περὶ τὰ ὑποχόνδρια τοῦ φλέγματός τι ἐγγίνηται· αἱ δὲ

D ἄνω, οἷσιν ἂν τὸ μὲν ὑποχόνδριον λαπαρόν τε, καὶ ἀνώδυνον διατελέῃ· δύσπνοον δέ τινα χρόνον γενόμενοι, παύσηται ἄτερ φανερῆς προφάσιος ἄλλης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡοφάσεις εἴωθεν ὀνομάζειν ὁ Ἱπποκράτης τὰς φανερὰς αἰτίας. ὅταν οὖν ἐξαίφνης γενομένη δύσπνοια κατὰ τὰς προειρημένας διαθέσεις, ἐξαίφνης πάλιν παύσηται, καὶ τὸ γενέσθαι, καὶ τὸ παύσασθαι χωρὶς φανερᾶς αἰτίας

E ἔχουσα, τὴν ἐπὶ κεφαλὴν ῥοπὴν ἐνδείκνυται τῶν χυμῶν, ὥσπερ πάλιν τὴν ἐπὶ τὰ κάτω, θερμασία τις ἐν τοῖς ὑποχονδρίοις ἐπιφανής. οὐ γὰρ δὴ τὸν χυμόν γε τὸν φλεγματικὸν ἡγεῖσθαι χρὴ νῦν ὑπ᾽ αὐτοῦ λέγεσθαι, κατὰ τὴν λέξιν ἐν ᾗ φησιν, οἷς δ᾽ ἂν κατὰ τὸ ὑποχόνδριον τοῦ φλέγματος ἐγγένηται. πολλῷ γὰρ ἄμεινον ἀκούειν, ἐπὶ τῆς παρὰ φύσιν θερμασίας τῆς φλογώδους εἰρῆσθαι τὸ φλέγμα. γίνεται δὲ αὐτὸ δι᾽ ἐρυσίπελας, ἢ τὴν ἰδίως ὀνομαζομένην φλεγμονήν. εἰ δὲ γε τοὐναντίον εἴη, λαπαρὸν μὲν καὶ ἀνώδυνον τὸ ὑποχόνδριον. ἡ δ᾽ ἄνω ῥοπὴ τῶν χυμῶν, ὑπὸ τῆς προειρημένης

F δυσπνοίας δηλουμένη, τὴν ἀπόστασιν γενήσεσθαι ἄνω προσδέχου.

A

Περὶ ἀποστασίων τῇ περιπνευμονίᾳ ἐπιγινομένων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξζ΄.

Αἱ δὲ ἀποστάσιες, αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπνευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν πᾶσαι· ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἤδη ἐόντος γινόμεναι. εἰ γὰρ τὸ οἴδημα, καὶ ἡ ὀδύνη γίνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γινομένου, καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα, ὅ τε ἄνθρωπος περιγίνοιτο· καὶ ἡ ἀπόστασις ἀνώδυνος τάχιστα ἂν παύσαιτο. ἢν δὲ τὸ B πτύελον μὴ ἐκχωρέῃ καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πρήγματα παρασχεῖν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ τῶν ἰσχυρῶν περιπνευμονιῶν, ἀποστάσεις ἐς τὰ σκέλη γίνεσθαι, πάντως μὲν ἀγαθόν ἐστιν. εἴ γε δὴ παντὸς μᾶλλον ἀληθὲς ὑπάρχει, τὸ κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν, ὑπὲρ τῶν ἀγαθῶν ἀποστάσεων εἰρημένον, ὡς ἄρισται πασῶν εἰσιν, αἱ μάλιστα κάτω, καὶ πορρωτάτω τῆς C νόσου, μᾶλλον δὲ, ὅταν ἅμα πέψει γίνωνται. καὶ γὰρ καὶ τοῦτ᾽ ἐπῄνεσεν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν εἰπών· πεπασμοὶ ταχυτῆτα κρίσιος, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ἐνδείκνυται δὲ τὴν πέψιν, ἥ τε μεταβολὴ τοῦ πτυέλου, καὶ ἡ κένωσις ἄλυπός τε καὶ δαψιλὴς γινομένη. τοῦτο γὰρ ἐδήλωσεν εἰπών· ἔτι τοῦ πτυέλου ἐκχωρέοντος ἔξω. εἰ δὲ καὶ χωρὶς τοῦ πεφθῆναι τὴν νόσον, ἀπόστασις ἐς τὰ σκέλη γένοιτο, ῥύσαιτο μὲν ἂν καὶ οὑτωσὶ ἐκ τοῦ κατὰ τὴν περιπνευμονίαν κινδύνου τὸν ἄνθρωπον. αὐτὸ δὲ τὸ ἄρθρον εἰς ὃ κατέσκηψε, δυσίατον ἕξει τὸ ἀπόσκημμα, καὶ τάχ᾽ ἂν D ἐνίοτε χωλωθείη κατὰ τοῦτο ὁ ἄνθρωπος. εἴρηται δ᾽ αὐτῷ πάλιν ἐνταυθοῖ, οὐχ ἓν τῆς ἀπεψίας σημεῖον, ὥσπερ τῆς πέψεως. ἀλλὰ προσέθηκε τοῖς πτύσμασι, καὶ τὴν ἀπὸ τῶν οὔρων διάγνωσιν. ἐπ᾽ αὐτῶν γε μὴν τῶν κακοήθων πτυσμάτων, οὐκέτι προσέθηκε, τὸ μὴ πεπέφθαι, καί τοι γε ἀντέκειτο τοῦτο τῷ πεπαίνεσθαι· μόνῳ δ᾽ ἠρκέσθη τῷ μὴ ἐκχωρεῖν, ἱκανὸν εἶναι γνώρισμα αὐτὸ τῆς κακοηθείας τοῦ νοσήματος ὑπολαβών, ὡς τό γε πτύεσθαι μόνον, ἢ πέττεσθαι μόνον, οὐδέτερον ἱκανόν. ὅτι καὶ πτύεται πολλάκις αὐτάρκως, ἔτι ἀπέπτου τοῦ νοσήματος ὄντος, καὶ πέττεται μὲν E ἐνίοτε τὸ νόσημα, πτύεται δ᾽ οὐκ αὐτάρκως τὸ πτύελον· ποτὲ μὲν ἐπ᾽ ἀρρωστίᾳ τῆς κινούσης τὸν θώρακα δυνάμεως, ἐνίοτε δὲ διὰ πάχος, ἢ γλισχρότητα τοῦ πτυέλου, καί ποτε δι᾽ ἀμφότερα συνελθόντα, τήν τε τῆς δυνάμεως ἀρρωστίαν, καὶ τοῦ πτύου τὴν ποιότητα. χρὴ τοίνυν, καὶ πέπτεσθαι τὸ νόσημα, καὶ πτύεσθαι καλῶς τὰ πτύελα, κατὰ τὰς ὑγιάζεσθαι μελλούσας διαθέσεις. κατὰ μέντοι τὰς ἐναντίας, ἱκανὸν γνώρισμα, καὶ τὸ μὴ πτύεσθαι μόνον. ἐκ περιουσίας δ᾽ ἂν ἐν αὐταῖς ταύταις ἡ διάγνωσις γένοιτο τῆς κακοηθείας τοῦ νοσήματος, εἰ σὺν τῷ μὴ πτύεσθαι καλῶς, F μηδὲ κενοῦσθαι τὰ κατὰ τὸν πνεύμονα καὶ θώρακα, προσείη τινὰ καὶ τῆς ἀπεψίας τοῦ χυμοῦ γνωρίσματα. πρόδηλον γὰρ ὅτι χαλεπωτέρα μέν ἐστιν ἡ διάθεσις, ἐφ᾽ ἧς οὔτε πτύουσιν, ἥ τ᾽ ἀπεψία διαμένει· μετριωτέρα δὲ καθ᾽ ὧν πέττεται μὲν, οὐχ ἱκανῶς δ᾽ ἀποπτύουσιν, οὐδὲ καθαίρονται τελέως.

De abscessibus peripneumoniæ succedentibus.

SENTENTIA HIPPOCRATIS 67.

At abscessus qui ad crura fiunt peripneumonicis tum vehementibus tum periculosis, omnes sane vtiles sunt. Optimi verò qui quum sputum in mutatione iam est, fiunt. Si namque & œdema & dolor suboriatur, ac sputum pro flauo purulentum sit, ac foràs prodeat, ita securissimè & homo superstes euadet, & abscessus citra dolorem celerrimè sedabitur. At si sputum non probè excernatur, neque vrina bonum sedimentum habere videatur, periculum est claudum fieri articulum, aut multum molestiarum exhibiturum.

COMMENTARIVS GALENI.

Per vehementes peripneumonias aliquid in crura abscedere, bonum quidem certè est, si modò verissimum est, quod libro secundo Epidemiωn de bonis abscessibus dicitur; Illos omnium optimos censeri, qui deorsum, & longissimè à morbo discedunt, præsertim si cum his concoctio accessit. Id namque ipse libro primo Epidemiωn commendauit his verbis; *Concoctiones iudicij celeritatem, & tutam valetudinem pollicentur.* Est autem concoctionis argumentum sputi mutatio, & facilis largáque vacuatio; id enim ipse declarauit scribens; *& sputum foras prodeat.* Si verò etiam minimè cocto morbo abscessus in cruribus oriatur, ille quidem hominem à periculo eximet, quod peripneumonia minabatur, at articulus in quem humor procubuit, curatu prorsus difficilem abscessum sustinebit, & ex eo fortè homo ipse interdum claudicabit. Cæterùm Hippocrates hoc loco non vnam cruditatis sicuti concoctionis notam designauit, sed præter sputa etiam vrinas in testimonium citauit. Enimuero ipse perniciosa sputa describens non dixit minimè cocta esse, etiam si illa concoctis opponerentur, sed tantùm dixit non extussiri, ratus id satis magnum esse maligni morbi argumentum. Neque enim satis est duntaxat extussiri, vel duntaxat concoqui, quoniam & multùm sæpè crudo adhuc morbo extussitur, & nonnunquam morbus concoquitur, nec tamen sputi satis prodit, siue ob imbecillitatem facultatis thoracem mouentis, siue ob crassitiem, & lentorem sputi, quæ duæ etiam causæ aliquando possunt concurrere. Itaque per eos affectus ex quibus secunda valetudo speratur, decet & concoctum esse morbum & optimè sputa edi. In contrariis autem affectibus abundè id modò sit ad cognitionem, sputum non extussiri. Verùm ex abundanti, illi iidem affectus maligni poterunt iudicari, si præterquàm quòd sputum non probè reiicitur, nec quæ pulmonem & thoracem infestant, euacuantur, accedant etiam aliqua crudi humoris testimonia. Est enim euidens affectum illum grauiorem esse, in quo nec ægri spuunt, & cruditas perseuerat, mitiorem verò vbi coctio quidem est, sed non quantum expedit exscreatur, nec integra purgatio succedit.

Quòd

Quod verò maximè in articulos abſceſſus eiuſmodi decumbant, quod & in Epidemiis ipſe ſcripſit, hoc loco obiter ſignificauit, dicens *periculum eſſe ne articulus claudicet.* Eſt autem horum abſceſſuum cauſa, articulorum amplitudo irruentes fluxiones excipiens. Ad hoc autem poteſt etiam eorum motus conducere. Siquidem ad partes motas, & calentes promptius humores omnes confluunt.

ὅτι δ᾽ εἰς ἄρθρα μάλιστα τὰς ἀποστάσεις γίνεσθαι συμβέβηκεν, ὅπερ κἀν ταῖς ἐπιδημίαις ἔγραψεν, ἐδήλωσε κἀνταῦθα, κατὰ τὸ πάρεργον εἰπὼν, κίνδυνος γενέσθαι χωλὸν τὸ ἄρθρον. αἰτία δὲ τῶν τοιούτων ἀποστάσεων, ἡ εὐρυχωρία τῶν ἄρθρων ἐστὶν, ὑποδεχομένη τὰ κατασκήπτοντα ῥεύματα. δύναται δέ τι, καὶ ἡ κίνησις αὐτῶν συντελεῖν. πρὸς γὰρ τὰ κινούμενά τε, καὶ θερμαινόμενα, ῥᾷον ἀφικνοῦνται πάντες οἱ χυμοί.

Abſceſſus ſubſidentes ac recurrentes periculoſos eſſe.

Τὰς ἀποστάσιας ἀφανιζούσας καὶ παλινδρομεούσας, κινδυνώδεας εἶναι.

SENTENTIA HIPPOCRATIS 68.

SI verò diſpareant abſceſſus, & intrò recurrant ſputo non prodeunte, & febre obſidente, graue; periculum enim eſt ne deliret & intereat homo.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξη΄.

Ἢν δ᾽ ἀφανίζωνται καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες, τοῦ πτυέλου μὴ ἐκχωρέοντος, τοῦ τε πυρετοῦ ἔχοντος, δεινόν· κίνδυνος γὰρ μὴ παραφρονήσῃ, καὶ ἀποθάνῃ ὁ ἄνθρωπος.

COMMENTARIVS GALENI.

NOn idem eſt tumores præter naturam ſubſediſſe, & finitos eſſe. Etenim finitos eſſe, generalius quiddam ſignificat, ſubſediſſe verò, citò deſiſtere & quaſi derepente. Quod fieri quidem ſolet propter humoris tenuitatem, partis raritatem, circunfuſi nobis aëris caliditatem, admoti medicamenti potentiam, & ægri virium robur. Hæc enim omnia ſi concurrerint, tumor, qui præter naturam ortus eſt, protinus digeretur. At illi vt plurimùm ſubſidunt, humoribus, qui eos pariunt, refluentibus in eadem loca vnde venerant (id quod Hippocrates παλινδρομεῖν, reuerti, propriè appellat) vel in quædam alia, quæ imo in corpore habentur, loca. Itaque quemadmodum à cauſis maximè contrariis tumores præter naturam ſubſidunt, ſic etiam maximè contrarios exitus ſortiuntur. Siquidem ex eo conſtat vel infeſta omnia prorſus diſcuſſa eſſe, vel affectus acerbioris metum imminere, vitioſis humoribus in principes partes remeantibus. Et hæc quidem cunctis abſceſſibus communia ſunt. Sed & diſcriminis ratio illis quoque communis eſt, qui ſubſidunt. Verùm præter hæc, alia quoque ſigna ſpectare conuenit, ea præſertim, quæ ſunt affectis partibus peculiaria. Id autem nunc Hippocrates ſpeciatim in inſtrumentis ad reſpirationem pertinentibus docuit diſtinguere, ex formula videlicet, quæ ad omnes æquè ſpectat. Scribit autem hunc in modum. *Si quæ etiam abſceſſere ſubſidunt, ſputo non exeunte & manente adhuc febre, malum eſt.* Nam minimè dubium eſt, quin corpus in imum ad partes nobiles ſe receperint. Si enim per halitum digeſti eſſent, febris quoque nulla eſſet, & facilè expuereat. Quare probabile eſt fluxionem totam in pulmonem reuertiſſe, vnde futurum etiam delirium rationi videtur conſentaneum; quum id vnum ex illis ſit, quæ ſic affecto pulmoni accidere conſueuerunt. Quod autem ſpiritum difficulter trahentes morituri ſint, non dixit, quippe qui ſciat id nos facilè ex prædictis cognituros eſſe.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ ἀφανισθῆναί τινα τῶν παρὰ φύσιν ὄγκων εἰπεῖν, οὐ ταὐτὸν σημαίνει τῷ παύσασθαι φάναι. γενικώτερον μὲν γάρ τι δηλοῖ τὸ παύσασθαι. τὸ δὲ ἀφανισθῆναι, τὸ διὰ τάχεος παύσασθαι, καὶ οἷον ἐξαίφνης, ἐστὶ δηλωτικόν. ἐνίοτε μὲν οὖν γίνεται τοῦτο διὰ λεπτότητα χυμοῦ, καὶ ἀραιότητα μορίου, καὶ τοῦ περιέχοντος ἡμᾶς ἀέρος θερμότητα, καὶ τὴν ἰσχὺν τοῦ προσαχθέντος φαρμάκου, καὶ τῆς τοῦ κάμνοντος δυνάμεως τὴν ῥώμην. ἐὰν γὰρ ἅμα πάντα συνέλθοι τὰ εἰρημένα, διαφορηθήσεται τάχεως ὁ παρὰ φύσιν ὄγκος. ὡς τὰ πολλὰ δὲ τὸ ἀφανίζεσθαι τὰ τοιαῦτα, εἴωθε συμβαίνειν, μεταῤῥεόντων τῶν ἐργαζομένων αὐτὰ χυμῶν, ἤτοι γε εἰς τοὺς αὐτοὺς τόπους ὅθεν ὡρμήσαντο, ὅπερ ἰδίως ὁ Ἱπποκράτης ὀνομάζει παλινδρομεῖν, ἢ καί τινας ἄλλους ἐν τῷ βάθει τοῦ σώματος ὄντας. ὥσπερ οὖν ὑπὸ τῶν ἐναντιωτάτων αἰτίων τὸ ἀφανίζεσθαι τοὺς παρὰ φύσιν ὄγκους γινόμενος, ἐναντιωτάτην ἔχει καὶ τὴν τελευτήν. ἤτοι γε ἀπαλλαγὴν ταχίστην ἐνδεικνύμενον τῶν λυπούντων, ἢ χειρίστην διάθεσιν ἐπανερχομένων αὐτῶν ἐπὶ τὰ κύρια μέρη. ταῦτα μὲν οὖν κοινὰ πασῶν ἀποστάσεων. ὁ διορισμὸς δὲ, κοινὸς μὲν καὶ αὐτὸς ἐστὶ τῶν ἀφανιζομένων. ἐπισκέπτεσθαι δὲ χρὴ τἄλλα σημεῖα, καὶ μάλιστα τὰ τῶν πεπονθότων μορίων οἰκεῖα. νυνὶ δὲ τῶν ἀναπνευστικῶν ὀργάνων ὁ ἴδιος εἴρηται διορισμὸς πρὸς Ἱπποκράτους, ἐχόμενος δηλονότι τῶν κοινῶν. ἔφη γοῦν οὕτως, ἢν δὲ ἀφανίζωνται αἱ ἀποστάσιες τοῦ πτυέλου μὴ ἐκχωρέοντος, τοῦ πυρετοῦ τε ἔχοντος, δεινόν. δῆλον γὰρ, ὅτι εἰς τὸ βάθος ἀπεχώρησαν εἰς τόπους κυρίους, ὡς εἴ γε διεφορήθησαν, οὔτ᾽ ἂν ἐπύρεττον ἔτι, καὶ ῥᾳδίως ἔπτυον. εὔλογον οὖν ἐστὶν ἐπὶ τὸν πνεύμονα τούτοις πάλιν ὑποχωρῆσαι τὸ ῥεῦμα, διὸ καὶ παραφρονεῖν αὐτοὺς εἰκός ἐστιν. ἐπεὶ καὶ τοῦτο ἕν τι τῶν ἐπὶ πνεύμονι τὰ τοιαῦτα πάθη πάσχοντι συμβαινόντων ἐστίν. ὅτι δὲ δυσπνοοῦντες τεθνήξονται, παρέλιπεν εἰπεῖν, εἰδὼς αὐτὸ νοηθησόμενον ἡμῖν ἐκ τῶν προειρημένων.

A

Διὰ τίνων ἀποστάσεων οἱ γεραίτεροι καὶ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ξθʹ.

ΤΩν δ' ἐμπύων, τῶν ἐκ τῶν περιπνευμονικῶν νουσημάτων, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται, ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΓΕραιτέρους οὐχ ἁπλῶς τοὺς γέροντας, ἀλλὰ παραβλητικῶς, ἢ συγκριτικῶς, ἢ ὅπως ἄν τῳ φίλον ὀνομάζειν ἀκουστέον ἐστὶν, ὡς πρὸς νέους. οἱ μὲν γὰρ ἤδη παρηκοντες ἰσχυρῶς κατὰ τὴν ἡλικίαν, οὐδὲ ἐξ ἑνὸς νοσήματος, μᾶλλον τῶν νεωτέρων διασώζονται. τοὺς δὲ μεταξὺ τούτων τε καὶ τῶν ἀκμαζόντων, οἵπερ εἰσὶν οἱ μεσαιπόλιοί τε καὶ ὠμογέροντες ὀνομαζόμενοι, διασωζομένους ἐστὶν ἰδεῖν ἐνίοτε μᾶλλον τῶν ἀκμαζόντων. ὥσπερ αὐτὸς ὁ Ἱπποκράτης ἐδίδαξεν, ἐπί τε τῶν ἐν τοῖς ὠσὶ φλεγμονωδῶν διαθέσεων, καὶ νῦν ἐπὶ τῶν ἐκ περιπνευμονίας ἐμπύων. ἐν μὲν γὰρ τούτοις, ἐπειδὴ διὰ τὸ πτύειν ἡ ἴασις ἐστὶν ἰσχυρᾶς δυνάμεως δεομένη, διὰ τοῦτο μᾶλλον οἱ νεώτεροι τῶν πρεσβυτέρων διασώζονται. κατὰ δὲ τὰ ἄλλα συμβαίνει φθάνειν ἀποθανεῖν τοὺς νεωτέρους ἐπὶ τοῖς πόνοις τε καὶ πυρετοῖς, ὅπερ αὐτὸς εἶπεν ἐπὶ τῶν ὤτων. οἵ τε γὰρ πυρετοὶ, καὶ αἱ παραφροσύναι ἧσσον αὐτοῖσιν ἐπιγίνονται, καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυηθέντα. οἱ δὲ νεώτεροι, φησὶ, πρὶν ἐμπυηθῆναι τὸ οὖς, οἱ πολλοὶ ἀπόλλυνται. ἐπεὶ ἤν γε ῥυῇ πύον ἐκ τοῦ ὠτὸς, ἐλπὶς περιγενέσθαι. κἀπὶ τῶν ἄλλων οὖν ἐμπυημάτων, κατ' αὐτὸν τὸν τοῦ διαπυΐσκεσθαι χρόνον, οἱ νεώτεροι φθάνουσιν ἀποθνήσκειν, ὑπὸ μεγέθους τῶν πυρετῶν καὶ τῆς ὀδύνης.

Quibus abscessibus seniores ac iuniores magis intereunt.

SENTENTIA HIPPOCRATIS 69.

AT suppuratorum ex peripneumonicis morbis seniores magis intereunt, ex cæteris autem suppurationibus iuniores potius moriuntur.

COMMENTARIVS GALENI.

B SEniores accipere oportet non simpliciter senes, sed per collationem, vel comparationem, aut si aliter appellare libet, cum iis, qui adhuc ætate iuuenili sunt. Nam qui annis iam multùm prouecti sunt, ex nullo morbo faciliùs, quàm natu minores seruantur. At qui inter hos, & florentes ætate medij sunt, quibus dimidia canities, & cruda senectus est, Græci μεσαιπολίους atque ὠμογέροντας vocant, à morbo interdum facilius, quàm ætate florentes liberari videmus, sicut ipse Hippocrates docuit, quum in phlegmonosis aurium affectibus, tum isto loco de suppurationibus, quas pulmonum C morbi inuexere. Nam quia in his curatio, quæ expuendo perficitur, vi magna indiget, propterea iuniores potius, quàm seniores euadunt. Ex cæteris verò iuniores magis periclitantur, ob dolores, & febres, quæ, vt ipse ait, ex aurium suppurationibus nascuntur. Febres enim, & deliria illis minus accidere solent, eámque ob rem in suppurationem aures vertuntur. At quibus ætas iuuenilis est, prius sæpè intereunt, quàm auris suppurare potuerit. Nam si pus ex aure profluat, spes salutis est. Et ex aliis quoque suppurationibus, eo tempore, quo suppurant, iuniores potius præ maD gnitudine febrium & doloris intereunt.

Ἐκ τῶν περὶ τὴν ὀσφύν τε, καὶ τὰς φρένας ὀδυνῶν, σὺν πυρετῷ, τὰ τοῦ κινδύνου, ἢ ἐμπυήματος σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ οʹ.

ΑΙ δὲ ξὺν πυρετῷ γινόμεναι ὀδύναι περὶ τὴν ὀσφὺν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται τὰ κάτω ἐκλείπουσαι, ὀλέθριαι κάρτα. προσέχειν οὖν δεῖ τὸν νόον τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων πονηρὸν ἐπιφαίνηται, ἀνέλπιστος ὁ ἄνθρωπος. ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν μὲν καθαρὸν τὸ πύον ᾖ, καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται. οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται. εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος, ὡς πρὸς τὰς φρένας, τἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι πολλαὶ ἐλπίδες τοῦτον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ τῶν φρενῶν ἅπτεσθαι, τινὲς μὲν ἐπὶ τοῦ παραφρονεῖν ἤκουσαν, ὡς εἰ καὶ οὕτως εἶπεν. αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι περὶ τὴν ὀσφύν τε, καὶ τὰ κάτω χωρία, ἐὰν ἐπαναβᾶσαι παραφροσύνην ἐργάζωνται, χαλεπαί. τινὲς δ' ἄμεινον τούτων, τὸ μόριον τοῦ σώματος φρένας εἰρῆσθαί φασιν, ὃ δὴ καὶ διάφραγμα προσαγορεύεται. μαρτύριον δὲ τῆς ἀληθείας τοῦ λόγου, τὸ κατὰ τὴν τελευτὴν τοῦ λόγου εἰρημένον, ἔνθα φησὶν, ἔμπυον γενέσθαι πολλαὶ ἐλπίδες τοῦτον. βούλεται γὰρ

Ex doloribus lumborum, ac septi transuersi cum febre, periculi aut suppurationis signa.

SENTENTIA HIPPOCRATIS 70.

AT qui cũ febre fiunt dolores circa lũbos & inferos locos, si septũ transuersũ attingãt, infera relinquẽtes, exitiales sunt admodũ. Adhibere igitur animũ oportet cæteris signis, vt si quod E *aliorũ signorũ prauũ appareat, desperatus homo est. Quicunq; verò suppuratorũ vruntur, quibus purum quidem pus fit, & album, nec fœtidum, iĩ seruantur; at quibus subcruentum, & cœnosum, pereunt. Si verò resiliente ad septum transuersum morbo & cætera signa non praua superueniant, suppuratum hunc fore multa spes.*

COMMENTARIVS GALENI.

TRansuersum septum occupare, aliqui pro delirare, interpretati sunt, perinde ac si hunc in modum scripsisset, *si dolor cum febre, ilia & in-* F *fernas partes diuexans sursum ascendat, & delirium excitet, acerbum est.* Sed melius alij, qui particulam corporis Hippocratem φρένας dixisse aiunt; quæ sanè etiam διάφραγμα, *transuersum septum* appellatur. Et hanc quidem sententiam planè confirmat, quod sub finem dicitur, id spem magnam futuræ suppurationis ostendere. Namque morbo

morbo in thoracem conscendente, censet vel hominem repente interiturum, vel si spes melior affulget, suppurationem prorsus perpessurum esse. Verùm id ex aliis signis distinguendum. Nam si non mala sunt, excitabitur suppuratio; si verò aliquod malum interuenit, mors minimè dubia esse potest.

De exitialibus vesicæ inflammatæ signis.

SENTENTIA HIPPOCRATIS 71.

AT vesicæ & duræ & dolentes, graues omnino ac exitiales; sed exitiosissimæ quæcunque cum febre continua fiunt. Etenim qui ab ipsis vesicis dolores prodeunt interimere sufficiunt, & alui in talibus, ac eo tempore nihil nisi durum, ac ad necessitatem excernunt.

COMMENTARIVS GALENI.

DIctum sæpè à me est Hippocratē phlegmones nomen pro phlogosi vsurpare, verbo ipso indicare eam, quam Erasistratus, & eius sectares vno nomine phlegmonen appellant, vt & nunc ipse vtique accepit. Verùm cur vesica dura, & dolens affectus eiusmodi tam graues inuehat, præsertim si febris acuta superuenerit, id ipse apertè indicauit, in magnitudinem doloris, & suppressas alui deiectiones causam referens. Hæ autem tum propter recti intestini angustiam, tum ob vesicæ dolorem supprimuntur. Namque vbi aluum ægri reddere aggrediuntur, si repente dolorem excitari contigerit, ipsi ab opere desistunt; id quod est omnibus doloribus commune. Dolor autem ob phlegmonen instrumentorū, quæ actionem edunt, aut partium ipsis annexarum prouenire solet. Sic enim, quibus phlegmone lienem, aut ventrem, aut iecur, & præcordiorum musculos obsedit, respirando dolorem sentiunt, eámque ob rem spirandi illa difficultate necessario laborant, quæ spiritum paruum, & frequentem trahit. Huius autem dyspnœæ causam, & aliarum æquè omnium reddidimus libro de spirandi difficultate primo.

Vesicæ inflammatæ sanescentis signa.

SENTENTIA HIPPOCRATIS 72.

SOluit autem vrina purulenta micta, album & læue habens sedimentum.

COMMENTARIVS GALENI.

COncocta phlegmone, quæ vesicam affecerat, in internum ipsius spatium concocti humores confluunt, & cum vrinis proculdubiò excernuntur, probæ concoctionis notas vbi subsederint, præ se ferentes.

Ex vesicæ inflammatione interitus signum.

SENTENTIA HIPPOCRATIS 73.

SI verò neque quicquā vrina cōcesserit, neq; vesica mollescat, & febris cōtinua sit, ne in primis morbi circuitibus æger intereat, metus est.

ἀνελθόντος τοῦ νοσήματος ἐπὶ τὸν θώρακα, δυοῖν θάτερον, ἢ εὐθέως ἀπολέσθαι τὸν ἄνθρωπον, ἢ εἰ εἰς τὰ βέλτιστα τραπείη, πάντως γοῦν ἔμπυον ἔσεσθαι· διακρίνεται δὲ ταῦτα τοῖς ἄλλοις σημείοις. εἰ μὲν γὰρ εἴη μὴ πονηρά, γένοιτο ἂν ἔμπυος· εἰ δὲ καί τι μοχθηρὸν ἐπιφανείη, τεθνήξεται πάντως.

Περὶ σημείων τῶν τῆς κύστιος φλεγμαινούσης ὀλεθρίων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ οα'.

ΚΥστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, δειναὶ μὲν παντελῶς, καὶ ὀλέθριοι. ὀλεθριώταται δέ, ὁκόσαι ξὺν πυρετῷ συνεχεῖ γίνονται. καὶ γὰρ οἱ ἀπ' αὐτέων τῶν κύστεων πόνοι, ἱκανοὶ ἀποκτεῖναι. καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐπὶ τῶν τοιούτων, καὶ ἐν τουτέῳ χρόνῳ εἰ μὴ σκληρόν τι, καὶ πρὸς ἀνάγκην.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕἼρηταί μοι πολλάκις, ὡς τὸ τῆς φλεγμονῆς ὄνομα, κατὰ τῆς φλογώσεως ὁ Ἱπποκράτης ἐπιφέρει, λόγῳ δηλῶν, ἣν ὁ Ἐρασίστρατός τε, καὶ οἱ μετ' αὐτὸν ὀνομάζουσι μιᾷ προσηγορίᾳ φλεγμονήν. ὥσπερ ἀμέλει, καὶ νῦν εἶπε, κύστιες δὲ σκληραὶ καὶ ἐπώδυνοι. διὰ τί δὲ τὰς τοιαύτας ἔφη χαλεπὰς εἶναι διαθέσεις, καὶ μάλιστα ὅταν ὁ πυρετὸς ὀξὺς ᾖ, σαφῶς αὐτὸς ἐδήλωσε, τό τε μέγεθος αἰτιασάμενος τῶν πόνων, καὶ τὴν τῶν διαχωρημάτων, καὶ τῶν οὔρων ἐπίσχεσιν. ἐπέχεται δὲ διὰ τὴν στενοχωρίαν τοῦ ἀπευθυσμένου, καὶ τὴν ὀδύνην τῆς κύστεως. ἀφίστανται γὰρ οἱ κάμνοντες τῆς ἐνεργείας, ὅταν εὐθέως ἀρξαμένης αὐτῆς, ὀδυνᾶσθαι συμβῇ, καὶ τοῦτο κοινὸν ἁπάντων τῶν πόνων ἐστί. τό γε μὴν ὀδυνᾶσθαι, ποτὲ μὲν αὐτῶν τῶν ἐνεργούντων ὀργάνων φλεγμαινόντων, ἐνίοτε δὲ τῶν συνεχῶν αὐτοῖς γίνεται. οὕτω γοῦν ἀναπνέοντες ἀλγοῦσιν ἐπὶ φλεγμονῇ σπληνός, ἢ γαστρός, ἢ ἥπατός τε, καὶ τῶν ἐν ὑποχονδρίῳ μυῶν, καὶ διὰ τοῦτο ἀναγκάζονται δυσπνοεῖν, εἶδος δυσπνοίας ἐκεῖνο, καθ' ὃ μικρὸν καὶ πυκνὸν γίνεται τὸ πνεῦμα. εἴρηται δὲ καὶ ταύτης τῆς δυσπνοίας, ἀλλὰ καὶ τῶν ἄλλων ἁπασῶν ἑκάστης ἡ αἰτία, κατὰ τὸ περὶ τῆς δυσπνοίας πρῶτον.

Τὰ τῆς κύστιος φλεγμαινούσης ὑγιαζομένης σημεῖα.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ οβ'.

ΛΥει δὲ οὖρον πυῶδες οὐρηθέν, λευκὴν καὶ λείην ἔχον ὑπόστασιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤαν ἡ τῆς κύστεως φλεγμονὴ πεφθῇ, συρρέουσιν εἰς τὴν ἔσω χώραν αὐτῆς οἱ πεφθέντες χυμοί, καὶ συνεκκρίνονται δηλονότι τοῖς οὔροις, τὸ γνώρισμα τῆς ἀγαθῆς πέψεως ἐν ταῖς ὑποστάσεσιν ἔχοντες.

Ἐκ τῆς κύστιος φλεγμονῆς τὸ τοῦ θανάτου σημεῖον.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ογ'.

ΗΝ δὲ μήτε τὸ οὖρον μηδὲν ἐνδιδοίη, μήτε ἡ κύστις μαλθάσσοιτο, ὅ, τε πυρετὸς ξυνεχὴς ᾖ, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νουσήματος, ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι.

A

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν μήτε τὴν κύστιν μαλαχθῆναι, καὶ τὸν πυρετὸν διαμένειν, εὔδηλον. τὸ δὲ οὖρον μηδὲν ἐνδοῦναι, τῶν ἀσαφῶς εἰρημένων ἐστίν. εἴωθε γὰρ ἐπί τε τῶν διαθέσεων, καὶ τῶν συμπτωμάτων φέρειν τοὔνομα. καθάπερ καὶ οἱ ἄλλοι πάντες οἱ μετ' αὐτὸν, ἐνδοῦναι τὴν φλεγμονὴν, καὶ τὸν ὄγκον, καὶ τὴν σκληρότητα, καὶ τὴν τάσιν, καὶ τὴν ὀδύνην λέγοντες. οὐ μὴν τό γε οὖρον ἐνδοῦναί τις εἶπεν. ἴσως οὖν ἀπὸ τῶν προειρημένων ὁ Ἱπποκράτης μετήνεγκε τὴν προσηγορίαν ἐπὶ τὸ οὖρον, ἵνα τὴν ἐπὶ τὸ βέλτιον αὐτοῦ μετάστασιν, οὕτως ἀκούσωμεν. ὅπερ εἰ συγχωρηθείη, καὶ τὴν ἐξ ἐπισχέσεως κένωσιν εἰρῆσθαι πρὸς αὐτοῦ δυνατόν ἐστιν· ἵνα συνεπινοήσωμεν, ἐπὶ τῆς φλεγμαινούσης κύστεως ἐπίσχεσθαι τὸ οὖρον. εἴωθε γὰρ καὶ τοῦτο ἐνίοτε συμβαίνειν, ὁπότε καὶ δεινῶς ὀλέθριόν ἐστι τὸ νόσημα, καὶ σπανίως ἐξ αὐτοῦ διασώζονται. αὕτη μὲν ἡ γραφὴ τῆς ῥήσεως ἐν ἄλλοις τέ τισίν ἐστι, καὶ τοῖς κατὰ τὸν Ἀρτεμίδωρόν τε, καὶ Διοσκουρίδην ἀντιγράφοις. ἐν ἑτέροις δὲ, ἡ λέξις οὕτως ἔχει. ἢν δὲ μήτε οὖρον ἢ μηδὲν, μήτ' ἐνδιδοίη ὁ πόνος, ὥστε μηδὲν ἔχειν ζήτημα, μηδ' ἀμφίβολον εἶναι τὸ λεγόμενον.

COMMENTARIVS GALENI.

VRinam quidem non esse molliorem effectam, & febrem perseuerare, perspicuæ sunt significationis. Sed *οὖρον μηδὲν ἐνδοῦναι*, *vrinam nihil remittere*, obscurè profectò dictum est. Id namque verbum in ipsis affectibus, & symptomatis vsurpare consueuit, vt & alij post eum omnes, qui phlegmonen, tumorem, duritiem, tensionem, & dolorem remitti dicunt. Sed nemo vnquam dixit vrinam remitti. Ergo fortassis Hippocrates ab istis verbum hoc transtulit ad vrinam, vt sic eam meliorem affectam esse intelligeremus.
B Quod si admiserimus, ille vtique potuit vrinæ antè suppressæ vacuationem significasse, vt simul cum vesicæ phlegmone vrinam quoque suppressam fuisse intelligamus. Sic enim interdum euenire solet. Sed morbus hic tunc summam habet perniciem, & rarò ex eo seruantur ægri. Hoc quidem modo scriptum habent tum pleraque alia exemplaria, tum ea, quibus Artemidorus, & Dioscorides vsi sunt. In aliis autem hunc in modum. *At si nec vrina quicquam sit, nec dolor remissus est*, vt nihil quæri nec de aliquo dubitari possit.

C

Τὰ παιδία τὴν κύστιν πονέειν.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΑΤΟΥΣ οδ'.

Ὁ δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἕως ἂν ἐς τὰ πεντεκαιδεκαταῖα γένωνται.

Vesicæ morbis pueros affici.

SENTENTIA HIPPOCRATIS 74.

HIc autem modus potissimùm attingit septennes pueros, donec ad decimum quintum annum peruenerint.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τὰς ἀκαιρίας τε καὶ πολλὰς ἐδωδὰς, ἀθροίζεται πλεῖστος ὁ καλούμενος ὠμὸς χυμὸς ἐν τοῖς τῶν παίδων σώμασιν. ὅστις οὖν διὰ τῶν νεφρῶν ἐκκαθαιρόμενος ὁσημέραι, καὶ μέντοι καὶ διὰ τῶν οὐρητήρων εἰς τὴν κύστιν ἀθροιζόμενος, ἐνίοτε μὲν λίθους ἐν αὐτῇ γεννᾶσθαι ποιεῖ, πολλάκις δὲ καὶ φλεγμονὰς, ὅταν ποτὲ ἡ κύστις τύχῃ σφοδρότερον ὑπὸ τῆς συνεχοῦς τῶν τοιούτων χυμῶν διεξόδου, κακωθεῖσα.

COMMENTARIVS GALENI.

PRopterea quòd intempestiuè, & multùm pueri comedunt, plurimùm crudi humoris cumulant, qui quum per renes quotidie expurgetur, & per vreteras dimissus in vesicam coaceruetur, modò calculos in ea parit, sæpè verò phlegmonas, vbi vesica assiduo eiusmodi humorum transitu vehementius diuexata fuerit.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΟΓΝΩΣΤΙΚΟΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ Γ'.

GALENI IN PROGNOSTICVM HIPPOCRATIS COMMENTARIVS TERTIVS.

De febrium crisibus.

SENTENTIA HIPPOCRATIS 1.

FEBRES diebus numero iisdem iudicantur, ex quibus homines tum seruantur, tum etiam intereunt.

COMMENTARIVS GALENI.

DVos libros habetis, (hoc enim vobis dico, ô sodales, qui me nihil tale meditantem coëgistis commentarios in libros Hippocratis scribere) in quibus cuncta de Criticis diebus, & Crisibus explicata sunt. Et hos quidem scitis à me, non vt ederentur, sed in gratiam tantùm vestram conscriptos esse. Exciderunt tamen illi, & in manus multorum peruenerunt, sicut & pleraque alia à nobis scripta. Quamobrem non institueram commentarios vllos in libros Hippocratis componere. Nam quæ ab eo discere expediebat ad artem vtilia, ea sæpè multis in locis adduxi, & interpretatus sum. Sed quum sententias aliquot obscuriores plerique perperam interpretati sint, & neminem ex iis probetis, qui commentarios edidere, ego autem vobis viderer melius assequi Hippocratis mentem, ideò efflagitastis, vt illa mandarem literis, quæ vos aliquando ex studiorum nostrorum colloquiis audiueratis. Hoc ego vobis præfatus sum propterea, quòd necesse est inæquales esse, nec omnes sibi similes sententiarum enarrationes. Nam de quibus nihil prorsus à nobis dictum est aliis voluminibus, illa accuratiùs explicare conuenit; quæ autem iam sunt in illis tradita, de his dicere compendiosius, ne sæpius iisdem de rebus scribere compellamur. Itaque quum iam omnem de diebus criticis disputationem, atque iam de Crisibus aliquot libris absoluerimus, hîc summa tantùm capita eorum, quæ illic scripta sunt, recensebo. Indè autem exordiar. Iudicij seu crisis quod morbi subeunt appellatio à causis, quæ in foro

Περὶ κρίσεων τῶν πυρετῶν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ α.

A ΟΙ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι καὶ ἐξ ὧν ἀπόλλυνται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΥο πραγματείας ἔχετε (πρὸς ὑμᾶς γὰρ λέγω τοῦτο τοὺς ἑταίρους, ὅσοι κατηναγκάσατέ με μὴ προῃρημένον, ἐξηγήσεις γράψαι τῶν Ἱπποκράτους συγγραμμάτων) ἐν αἷς ἅπαντα, περί τε κρισίμων ἡμερῶν εἴρηται, καὶ κρίσεων. ἴστε δὲ ὅτι καὶ αὐταὶ οὐκ ἐκδοθησομένας, ἀλλ᾽ ὥσπερ ὑμῖν μόνοις ἐσομένας ἔγραψα. B συνέβη δ᾽ ἐκπεσεῖν αὐτὰς, καὶ παρὰ πολλοῖς εἶναι, καθάπερ καὶ ἄλλα πολλὰ τῶν ἡμῖν γεγραμμένων. ὅθεν οὐδ᾽ ἐξηγεῖσθαι προῃρούμην ἐν ὑπομνήμασιν οὐδὲν τῶν Ἱπποκράτους βιβλίων. ὅσα γὰρ εἰς τὴν τέχνην χρήσιμα παρ᾽ αὐτοῦ μαθεῖν ἔδει, γέγραπται μοι κατὰ πολλὰς πραγματείας, ἅμα ταῖς οἰκείαις ἐξηγήσεσιν. ἐπεὶ δ᾽ ἔνιαι τῶν λέξεων ἀσαφέστερον εἰρημέναι μοχθηρᾶς ἐξηγήσεως ἔτυχον, ὡς ἀρέσκειν ὑμῖν μηδένα τῶν γραψάντων ὑπομνήματα, βέλτιον δὲ αὐτῶν στοχάζεσθαι τῆς Ἱπποκράτους γνώμης ἐδόκουν ὑμῖν ἐγὼ. διὰ τοῦτό με, καὶ διὰ γραμμάτων ἠξιώσατε παραδοῦναι ὑμῖν ἅπερ ἐν ταῖς διὰ λόγων συνουσίαις ἠκούσατε. τοῦτ᾽ αὐτὸ κἀγὼ C προεῖπον ὑμῖν, ὡς ἀναγκαῖον ἔσται τὰς ἐξηγήσεις ἀνωμάλους ἔσεσθαι, ἤτοι μὴ πάσας ὁμοίως ἐξηγουμένου μου τὰς λέξεις, ἀλλὰ τελεώτερον μὲν, ὑπὲρ ὧν οὐδαμόθι τῶν ἐμῶν πραγματειῶν ἐμνημόνευσα. διὰ κεφαλαίων δὲ, περὶ ὧν ἤδη τελέως ἐν ἐκείναις διῆλθον, ἵνα μὴ πολλάκις ὑπὲρ τῶν αὐτῶν πραγμάτων ἀναγκαζώμεθα γράφειν. ἐπεὶ τοίνυν ἅπαντα τὸν περὶ κρισίμων ἡμερῶν λόγον, ὡσαύτως δὲ καὶ τὸν περὶ κρίσεων τρισὶ πραγματείαις διῆλθον, ἐνταυθοῖ μόνα τὰ κεφάλαια τῶν ἐκεῖ γεγραμμένων ἀναμνήσω, τὴν ἀρχὴν ἐνθένδε ποιησάμενος. ἡ γὰρ κατὰ τὰ νοσήματα κρίσις, ἀπὸ τῶν ἐν τοῖς δικα-

στερεοῖς μετενήνεκται, σημαίνουσα τὴν ὀξύῤῥοπον ἐν νόσῳ μεταβολὴν γινομένην κατὰ τέτταρας τρόπους. ἢ γὰρ ἀπαλλάττονται τῶν νοσημάτων εὐθέως, ἢ μεγάλην μεταβολὴν ἐπὶ τὸ βέλτιον ἴσχουσιν, ἢ ἀποθνήσκουσιν εὐθέως, ἢ χείρους γίνονται πολλῷ. τὰς μὲν οὖν προτέρας δύο κρίσεις, ἁπλῶς ὀνομάζουσι κρίσεις. τὰς δὲ δευτέρας δύο, τὰ πολλὰ μὲν ἅμα προσθήκῃ, κακὴν κρίσιν, ἢ μοχθηρὰν κρίσιν, ἢ τι τοιοῦτον τῷ τῆς κρίσεως ὀνόματι προστιθέντες, ἔστιν ὅτε δὲ καὶ χωρὶς προσθήκης ἁπλῶς. ἐμάθετε δὲ καὶ ὡς αἱ κρίσεις ἅπασαι, μετά τινος φανερᾶς γίνονται κενώσεως, ἢ ἀποστάσεως. ἐν γὰρ τῷ σπανίῳ, παιδία μόνα δι' ὕπνων βαθέων, καὶ μακρῶν ὀξείας ἐποιήσαντο μεταβολὰς, ὡς ἐπὶ τὸ βέλτιον, ἃς ἔνιοι μὲν ἀξιοῦσι, καὶ αὐτὰς ὀνομάζειν κρίσεις, ἔνιοι δὲ οὐ συγχωροῦσιν, ἡμέρας δὲ κρισίμους καλοῦσιν, ἐν αἷς αἱ τοιαῦται μεταβολαὶ πισταί τε ἅμα καὶ πλεῖσται γίνονται. κατὰ γὰρ τὰς ἄλλας ἡμέρας, οὔτε πιστὰς ὁρῶμεν γινομένας τὰς κρίσεις, οὔτε πολλάς. κατενόησε δὴ οὐ πρῶτος μόνον, ἀλλὰ καὶ μάλιστα τὴν τῶν κρισίμων ἡμερῶν φύσιν, ὁ θαυμάσιος Ἱπποκράτης, ἐνεδείξατό τε τὴν αἰτίαν τῆς γενέσεως αὐτῶν, ἣν καὶ ἡμεῖς ἐν τῇ περὶ τῶν κρισίμων ἡμερῶν πραγματείᾳ διήλθομεν, ἰσχυροτέραν μὲν ἐπιδεικνύντες εἶναι περίοδον ἡμερῶν κρισίμων τὴν ἑβδόμην. δευτέραν δὲ τῇ δυνάμει, τὴν τετράδα γινομένην ἐκ τοῦ δίχα τμηθῆναι τὴν ἑβδόμην. σημαίνεσθαι δὲ τὰς μελλούσας ἔσεσθαι κρίσεις ἐν ταῖς ἑβδομαδικαῖς περιόδοις, ὑπὸ τῶν τετράδων. τὴν μὲν γὰρ τετάρτην ἡμέραν, τῆς ἑβδόμης εἶναι δηλωτικὴν, τὴν ἑνδεκάτην δὲ τῆς τεσσαρεσκαιδεκάτης· ὀνομάζει δὴ αὐτὰς ὁ Ἱπποκράτης ἐπιδήλους, καὶ θεωρητάς. ἀριθμεῖσθαι δὲ τὰς μὲν ἑβδομάδας τοιῷδε τρόπῳ γε βούλεται, δύο μὲν ἐφεξῆς ἀλλήλων τὰς πρώτας, κατὰ διάζευξιν, ἕπεσθαι δὴ αὐταῖς τὴν τρίτην κατὰ συνάφειαν. διάζευξις μὲν οὖν ἐστὶν, ὅταν ἐφ' ἑτέραν ἡμέραν ληξάσης τῆς προτέρας ἑβδομάδος, ἡ μετὰ ταύτην ἀφ' ἑτέρας ἄρξηται. συνάφεια δὲ, ὅταν ἡμέρα μία κοινὴ τῶν ἑβδομάδων ἀμφοτέρων γένηται, τελευτώσης μὲν εἰς αὐτὴν τῆς προτέρας, ἀρχομένης δὲ τῆς δευτέρας ἀπ' αὐτῆς, καὶ διὰ τοῦτο τὴν εἰκοστὴν ἡμέραν ἐσχάτην εἶναι τῆς τρίτης ἑβδομάδος, ὡς εἴ γε καὶ αὐτὴ κατὰ διάζευξιν ἠριθμεῖτο, τὴν πρώτην καὶ εἰκοστὴν ἡμέραν, οὐ τὴν εἰκοστὴν ἰσχυροτέραν ἐχρῆν εἶναι, φαίνεται δὴ οὐχ οὕτω γινόμενον. ἡ γὰρ εἰκοστὴ, καὶ πλεῖστα, καὶ βεβαίως ὁρᾶται κρίνουσα. τριῶν οὖν ἑβδομάδων τὰς εἴκοσιν ἡμέρας συμπληρουσῶν, εἶτα τῆς τετάρτης ἑβδομάδος ἀρχομένης κατὰ τὴν εἰκοστὴν πρώτην ἐκ τῶν ἐφεξῆς τριῶν ἑβδομάδων, εἴκοσιν ἡμερῶν συμπληρουμένων, εἰκότως ὁ Ἱπποκράτης τὴν τεσσαρακοστὴν ἡμέραν, οὐ τὴν τεσσαρακοστὴν δευτέραν κρίσιμον εἶναί φησιν. οὕτως δὲ καὶ τὴν ἑξηκοστὴν, καὶ τὴν ὀγδοηκοστὴν, οὐ τὴν ἑξηκοστὴν τρίτην, οὐδὲ τὴν ὀγδοηκοστὴν τετάρτην. αὕτη μὲν οὖν σοι τῶν ἑβδομαδικῶν περιόδων ἡ συναρίθμησις. ἡ δὲ κατὰ τετράδας, ἀκόλουθος τῆσδε. τεμνομένης γὰρ ἑκάστης ἑβδομάδος εἰς τὰς ἐν αὐτῇ δύο τετράδας, ἡ τετάρτη μετὰ τὴν εἰσβολὴν τοῦ νοσήματος ἡμέρα, τελευτὴ μὲν ἔσται τῆς πρώτης τετράδος, ἀρχὴ δὲ τῆς δευτέρας. ἡ δὲ ἐφεξῆς τῇδε τρίτη τετρὰς, ἀπὸ τῆς ὀγδόης ἡμέρας ἄρξεται, διότι καὶ ἡ δευτέρα τῶν ἑβδομάδων· ὥστε συμβήσεται τὴν ἑνδεκάτην ἡμέραν, τελευτὴν μὲν εἶναι τῆς τρίτης τετράδος, ἀρχὴν δὲ τῆς τετάρτης. ἡ δὲ πέμπτη τετρὰς, ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας ἄρξεται, διότι καὶ ἡ τρίτη τῶν ἑβδομάδων. ἀφίξεται τοιγαροῦν εἰς τὴν ἑπτακαιδεκάτην αὐτῆς τὸ τέλος.

aguntur translata est, & subitam illam, quæ morbo accidit mutationem significat. Est autem illa quadruplex. Nam vel morbus repente soluitur, vel multò mitior euasit, vel statim interficit, vel multò factus est deterior. Sed duas quidem priores crises appellant simpliciter crises, reliquis autem sæpè addunt aliquid, malam, aut prauam crisim, aut alio simili nomine appellantes. Interdum verò simpliciter crisim vocant, nec quicquam adiiciunt. Scitis autem etiam cunctas crises cum insigni aliqua vacuatione, aut abscessu prouenire. Soli namque pueruli rarò admodum ex somno profundo, longóque mutationem in melius adepti sunt, sed eam quidem, vt plerique crisis nomine dignantur, sic alij crisim appellari nolunt. Dies autem criticos vocant, in quibus mutationes eiusmodi minimè dubiæ, & quàm plurimæ proueniunt; in aliis verò diebus crises certas, & frequentes non videmus euenire. Nec primus quidem modò, verùm etiam excellenter dierum criticorum naturam admirandus ille Hippocrates deprehendit, eorúmque causam demonstrauit, quam & nos in libris de diebus criticis explicauimus. Illic autem à nobis ostensum est septimum dierum criticorum circuitum reliquis valentiorem esse, & ab eo secundum esse facultate quaternarium, quòd in duo septimus diuidatur; Crises verò per circuitus septenarios futuras à quaternariis indicari. Quartum namque diem indicem esse septimi, vndecimum decimi quarti. Hos autem Hippocrates indices & contemplabiles appellat. Censet autem hoc modo hebdomadas numerandas esse. Duas quidem priores sibi proximas per disiunctionem, tertiam autem, quæ has consequitur, per connexionem. Est autem disiunctio, quum hebdomas prior in diem vnum definit, & quæ illam proximè sequitur, ab altero incipit. Connexio autem est quum dies vnus vtrique hebdomadi communis est, sic vt in eundem prior desinat, & ab eodem posterior incipiat. Et hanc ob causam diem vigesimum statuit extremum tertiæ hebdomadis. Nam si per disiunctionem hæc quoque numeraretur, oporteret vtique vigesimum primum diem facultate præstare vigesimo. At non ita rem se habere deprehenditur. Nam vigesimus, & plurimùm & certò videtur iudicare. Itaque quum tres hebdomadæ viginti dies contineant, deinde quarta à vigesimo primo die incipiat, & tres, quæ sequuntur, viginti dies complectantur, haud temerè Hippocrates diem quadragesimum iudicare dixit, non autem quadragesimum secundum. Similiter & sexagesimum, & octogesimum, non sexagesimum tertium, nec octogesimum quartum. Hi quidem in modum septenarij circuitus enumerantur. Cæterùm ipsis diuisio, quæ per quaternarios fit, respondet. Nam si singulas hebdomadas in duos, quos continent quaternarios secueris, quartus ille à primo, quo morbus inuasit, dies, finis quidem erit primi quaternarij, ab eo autem secundus incipiet. Mox qui hunc sequitur tertius quaternarius, ab octauo die inchoabit, quia secunda hebdomas ab eo ducit initium. Quare fiet, vt dies vndecimus finis quidem tertij quaternarij, origo autem tertij sit. At quintus quaternarius principium habebit à decimo quarto die, quòd tertia etiam hebdomas ad eum perueniat. Ipse igitur decimoseptimo die finē accipit; qui

qui dies rursus duobus quaternariis quinto, sextóque communis est; in quos tertia hebdomas diuisa erat. Sic vigesimus morbi dies, finis trium hebdomadum & sex quaternionum est. Hi quidem dies sic per circuitus distincti iudicant. Verùm in ipsos etiam alij per morbos acutos incidunt, cuius rei causam exposui in libris de diebus Criticis. Sunt autem hi, tertius, quintus, nonus. Incidit autem inter eos interdum etiam sextus, malus profectò iudex, tum quòd aliquando cum periculo plenis symptomatis iudicet, tum quòd ὑπόκρισιν quam vocant, inducat; tum quòd non planè, sed imperfectè morbos dissoluat, aut si quando perfectè soluerit, recidiuas prorsus excitet. Sed de his, & aliis plerisque dictum à nobis est in libris de diebus Criticis, quæ quidem ferè omnia his, & illis libris Hippocrates scripsit; nos autem in vnum librum, qui dies criticos explanat congessimus, simúlque, quæ non erant explicata, explicauimus; & perfectè ea sumus persequuti quæ ab Hippocrate minùs absolutè scripta esse videbantur. Itaque qui volet certò præsagire, libros illos legat oportet, qui tum de diebus criticis, tum de Crisibus compositi sunt. Hîc enim tantùm instituimus eorum, quæ ab Hippocrate hoc in libello dicta sunt, sensum enarrare. Quod ergo scriptum est, ex quibus homines tum seruantur, tum etiam intereunt, vel de crisibus, vel de diebus criticis dicitur. Verùm commodius est non de diebus, sed de Crisibus intelligere. Nam quanquam id vel maximè possit ad dies referri, primùm tamen crisibus ipsis conuenit; & per eas, diebus. Quod autem dictum est ex his homines seruari, aut interire, ostendit planè Crisim ab eo vocari repentinam omnem mutationem, non eam modò, quæ salutem attulit.

Febrium mitissimarum ac malignissimarum Crises iisdem diebus fieri.

SENTENTIA HIPPOCRATIS 2.

Nam & mitissimæ febres, & quæ in securissimis incedunt signis, die quarto, aut ante desinũt; maximè verò malignæ & quę cũ grauissimis fiunt signis, quarto, vel priùs interficiũt.

COMMENTARIVS GALENI.

Dicuntur autem mites homines etiam maligni simulatione quadam; sicuti simia, formosa. Dicuntur autẽ & ij, qui bonis moribus præditi sũt. Sed prima quidẽ significatio apud Gręcos frequens est, secunda autẽ minus est vsitata. Nec verò τὸν εὐήθη solũ hoc vsurpãt modo, sed & ipsam τὴν εὐήθειαν, pro illa animi affectione accipiunt, quę mores optimè cõpositos habet. Siquidẽ Dinarchus in oratione, quã in Daonẽ habuit, sic ait; *Fortunas autem suas Cephalion iuueniliter administrans natura probus erat, & simplex.* Demosthenes autem in oratione contra Æschinem, his verbis iudices alloquitur. *Nunc verò ob vestram simplicitatem, & facilitatem quæstiones, etiam quando libet, exercet.* At Plato libro tertio de Republica ait; *Honestus igitur sermo, & congruentia, & condecentia, & concinnitas consequentia sunt simplicitatis, & bonitatis morum.* Neq; nũc eam dico simplicitatẽ, bonitatẽque, quã amentiam reuera existentẽ nos specioso nomine sic vocamus, tanquam à bonis moribus manet;

ἥτις ἐστὶ πάλιν κοινὴ τῶν δύο τετράδων τῆς πέμπτης, καὶ τῆς ἕκτης, εἰς ἃς ἡ τρίτη τῶν ἑβδομάδων ἐτμήθη, καὶ οὕτως εἰκοστὴ τοῦ νοσήματος ἡμέρα, τέλος μὲν τριῶν ἑβδομάδων, ἓξ δὲ τετράδων. αὗται μὲν οὖν αἱ κατὰ περιόδους εἰσὶ κρίσιμοι. παρεμπίπτουσι δὲ αὐταῖς, καὶ ἕτεραι κατὰ τὰς ὀξείας νόσους, ὧν τὴν αἰτίαν τῆς παρεμπτώσεως, ἐν τοῖς περὶ κρισίμων ἡμερῶν εἶπον. εἰσὶ δὲ αὗται τρίτη, καὶ πέμπτη, καὶ ἐννάτη. παρεμπίπτει δέ ποτε, καὶ ἡ ἕκτη κακὴ κρίσιμος οὖσα, τῷ τε μετὰ συμπτωμάτων ἐνίοτε ποιεῖσθαι τὴν κρίσιν ἐπισφαλῶν, εἴς τε τὴν καλουμένην ὑπόκρισιν ἐκπίπτειν, καὶ μέντοι, καὶ τῷ μὴ τελέως ἀπαλλάττειν τῶν νοσημάτων, ἀλλ᾽ ἐλλιπῶς, ἢ εἴ ποτε, καὶ τελέως ὑποστροφὰς πάντως ποιεῖσθαι. εἴρηται δὲ καὶ ταῦτα, καὶ ἄλλα πολλὰ ἐν τοῖς περὶ κρισίμων ἡμερῶν ὑφ᾽ ἡμῶν, ἃ σύμπαντα σχεδὸν Ἱπποκράτης ἔγραψεν, ἄλλοτε κατ᾽ ἄλλο βιβλίον. ὑπ᾽ ἐμοῦ δ᾽ εἰς ἓν ἠθροίσθαι κατὰ τὴν περὶ κρισίμων ἡμερῶν πραγματείαν, ἅμα τῷ καὶ διωρίσθαι τὰ μὴ διωρισμένα, καὶ τελέως ῥηθῆναι τὰ δοκοῦντα ἐλλιπέστερον ὑφ᾽ Ἱπποκράτους γεγράφθαι. τῷ μὲν οὖν θέλοντι προγινώσκειν ἀκριβῶς, ἀναγνωστέον ἐστὶ τὰς δύο πραγματείας ἐκείνας, τήν τε περὶ κρισίμων ἡμερῶν, καὶ τὴν περὶ κρίσεων. ἐν δὲ τῷ παρόντι, τὴν λέξιν μόνην ἐξηγήσασθαι πρόκειται τῶν εἰρημένων ὑφ᾽ Ἱπποκράτους, κατὰ τὸ προκείμενον βιβλίον, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. τὸ μὲν ἐξ ὧν ἤτοι τῶν κρίσεων, ἢ τῶν ἡμερῶν λέγει, καὶ βέλτιον μὴ τῶν ἡμερῶν ἀκούειν, ἀλλὰ τῶν κρίσεων. εἰ γὰρ καὶ ὅτι μάλιστα δυνατόν ἐστι, κἀπὶ τῶν ἡμερῶν λέγεσθαι, τὸ ἐξ ὧν, ἀλλὰ πρώτως ταῖς κρίσεσιν ὑπάρχει, καὶ δι᾽ ἐκείνας, καὶ ταῖς ἡμέραις. τὸ δὲ ἐκ τούτων, ἤτοι περιγίνεσθαι τὸν ἄνθρωπον, ἢ ἀπόλλυσθαι, δηλωτικόν ἐστι τοῦ τὴν κρίσιν ὀνομάζειν αὐτὸν ἐπὶ πάσης τῆς ὀξυῤῥόπου μεταβολῆς, οὐ μόνης τῆς ἐπὶ σωτηρίαν.

Τοὺς εὐηθεστάτους τῶν πυρετῶν τε, καὶ ἀσφαλεστάτοις ἐν αὐταῖς ἡμέραις κρίνεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ β΄.

Οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται, ἢ πρόσθεν, οἵ τε κακοηθέστατοι, καὶ ἐπὶ σημείων δεινοτάτων γινόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εὐήθεις ἄνθρωποι, λέγονται μὲν καὶ οἱ κακοήθεις ἐν ὑποκρίσει τινί· καθάπερ καὶ ὁ πίθηκος, καλλίας. λέγονται δὲ, καὶ οἱ ἐπαινετὸν ἔχοντες τὸ ἦθος. ἀλλὰ τοῦ μὲν προτέρου παμπόλλη χρῆσίς ἐστι παρὰ τοῖς Ἕλλησι, τοῦ δὲ δευτέρου σπανιωτέρα. λέγουσι δ᾽ οὖν ποτε, καὶ οὕτως οὐ τὸν εὐήθη μόνον, ἀλλὰ καὶ τὴν εὐήθειαν ἐπὶ τῆς εὖ τὸ ἦθος ἐχούσης διαθέσεως. Δείναρχος μὲν οὖν ἐν τῷ πρὸς Δάωνα, οὕτως εἶπε. διῳκηκὼς δὲ τὴν οὐσίαν αὐτοῦ Κεφαλίων μειρακιωδέστερον, καὶ φύσει χρηστὸς ἦν καὶ εὐήθης. ὁ δὲ Δημοσθένης, ἐν τῷ κατ᾽ Αἰσχίνου τοῖς δικασταῖς διαλεγόμενος ἔφη. νῦν δὲ διὰ τὴν ὑμετέραν εὐήθειαν, καὶ πρᾳότητα εὐθύνας δίδωσι, καὶ ταῦτα ὁπηνίκα βούλεται. Πλάτων δὲ ἐν τῷ τρίτῳ τῆς πολιτείας φησίν. εὐλογία ἄρα, καὶ εὐαρμοστία, καὶ εὐσχημοσύνη, καὶ εὐρυθμία, καὶ εὐηθείᾳ ἀκολουθεῖ. οὐχ ἣν ἄνοιαν οὖσαν ὑποκοριζόμενοι καλοῦμεν εὐήθειαν,

ἀλλὰ τὴν, ὡς ἀληθῶς, εὖ τε, καὶ καλῶς, τὸ ἦθος κατεσκευασμένην διάνοιαν. οὕτως οὖν καὶ τὸν εὐήθη, κατὰ τὸν Εὐθύδημον, εἶπεν ἐπὶ τοῦ τὸ ἦθος ἔχοντος ἁπλοῦν, καὶ κεκοσμημένον, καὶ ὡς ἐθαύμασεν, οὗτος ἐστὶ νέος τε καὶ εὐήθης. ἀρκεῖ ταῦτα παραδείγματος ἕνεκεν πρὸς τὸ γνῶναί σε τὴν τῶν Ἑλλήνων συνήθειαν ἐπί τε τῷ τῆς εὐηθείας ὀνόματι, καὶ τοῦ εὐήθους, κατὰ διττὸν σημαινόμενον γεγενημένην. καὶ νῦν ὁ Ἱπποκράτης κατὰ τὸ ἕτερον αὐτῶν, εἶπε τοὺς πυρετοὺς εὐηθεστάτους ἐν ἴσῳ τῷ ἐπιεικεστάτους, καὶ ἁπλουστάτους, καὶ μηδὲν ἔχοντας κακόηθες. καὶ ὅταν τὰ τῆς ἀσφαλείας σημεῖα παρῇ, τῆς πρώτης τετράδος οὐκ ἂν ἐξωτέρω προέλθοιεν, ἀλλ' ἤτοι κατ' αὐτὴν, ἢ θᾶσσον παύσονται. κατὰ δὲ τὸν αὐτὸν τρόπον, καὶ οἱ κακοήθεις πυρετοί, καὶ μετὰ σημείων ὀλεθρίων γινόμενοι, τεταρταῖοι κτείνουσιν, ἢ πρόσθεν. εὔδηλος οὖν ἐστὶ, καὶ τὴν τρίτην ἡμέραν ἐν ταῖς κρισίμοις τάττων, ἐν τῷ φάναι· τεταρταῖοι παύονται, ἢ πρόσθεν. οὕτω δὲ κἀν τῷ πρώτῳ τῶν ἐπιδημιῶν ἐγίνωσκεν, ἐν ταῖς κρισίμοις ἡμέραις, πρώτην γράψας τὴν τρίτην. ἀσφαλέστατα δὲ σημεῖα λέγει, τὰ κατὰ μέρος ἐπῃνημένα πρὸς αὐτοῦ μεγάλως, ὧν καὶ μετ' ὀλίγον ὀνομαστὶ μνημονεύσει παραδείγματος ἕνεκα.

sed eam dico bonitatem, quæ ob id ita dicta est, quasi mentem rectè, beneque constitutam habeat. Sic & in Euthydemo τὸν εὐήθη accepit pro eo, qui mores habet simplices, & honestos, his verbis. Καὶ ὡς ἐθαύμασεν οὗτός ἐστι νέος τε καὶ εὐήθης. Satis eiusmodi exemplorum est, ex quibus intelligas Græcos τῆς εὐηθείας, & εὐήθους nominibus gemina significatione vti solitos. Et nunc quidem Hippocrates εὐηθεστάτους πυρετοὺς dixit pro mitissimis, simplicissimis, & nullam morum prauitatem habentibus. Quæ sanè, si præterea signa ex quibus securitas sperari solet, accesserint, vltra priores quatuor dies haud porriguntur, sed vel quarto ipso die, vel etiam maturiùs desinunt. Si verò malignæ fuerint, & signa habuerint exitialia, quarto æquè die, vel antè eum occidunt. Itaque inter criticos dies etiam tertium censeri perspicuum est, quum dicit quarto die, vel etiam ante quartum desinere. Id quod illi etiam libro primo Epidemiōn visum est, tertium diem inter criticos dies primùm enumeranti. Porrò signa ipse securissima intelligit, quæ particulatim maximè commendauit, & quorum paulò postea nomina proferet, & pro exemplo citabit.

Κριτικαὶ τῶν πυρετῶν ἔφοδοι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ γ'.

Ἡ Μὲν οὖν πρώτη ἔφοδος αὐτέων, οὕτω τελευτᾷ· ἡ δὲ δευτέρη, ἐς τὴν ἑβδόμην παράγεται· ἡ δὲ τρίτη, ἐς τὴν ἑνδεκάτην· ἡ δὲ τετάρτη, ἐς τὴν τεσσαρεσκαιδεκάτην· ἡ δὲ πέμπτη, ἐς τὴν ἑπτακαιδεκάτην· ἡ δὲ ἕκτη, ἐς τὴν εἰκοστήν. αὗται μὲν οὖν ἐκ τῶν ὀξυτάτων νουσημάτων διὰ τεσσάρων εἰς τὰς εἴκοσιν ἐκ προσθέσιος τελευτῶσιν.

Critici febrium insultus.

SENTENTIA HIPPOCRATIS 3.

Primus itaque earum insultus sic desinit; secundus ad septimum perducitur; tertius autem ad vndecimum; quartus ad decimũ quartum; quintus ad decimũ septimum; sextus ad vigesimum. Hi ergo insultus ex acutissimis morbis per quatuor ad viginti ex additione terminãtur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πολλάκις εἰρημένην εὑρήσεις παρὰ τοῖς Ἕλλησιν ἔφοδον πολεμίων, ἢ λῃστῶν, ἀφ' οὗ νῦν οὕτως Ἱπποκράτης, μετενήνοχε τὴν προσηγορίαν ἐπὶ τὰς τῶν κρισίμων ἡμερῶν περιόδους. τὰ δ' ἐφεξῆς πάντα, καὶ καθ' ἑαυτὰ μέν ἐστι σαφῆ, καὶ πολὺ δὲ μᾶλλον τοῖς μεμνημένοις ὧν ἄρτι προεῖπον.

COMMENTARIVS GALENI.

Sæpè scriptum inuenies apud Græcos ἔφοδον, incursum hostium, aut latronum, à quo nunc Hippocrates similitudine quadam nomen hoc transtulit ad circuitus dierum criticorum. Reliqua omnia cùm per se nota sunt, tum maximè illis, qui eorum quæ modò dixi meminere.

Κριτικὰς τὰς ἐφόδους οὐχ ὅλαις ἡμέραις ἀριθμεῖσθαι, μηδὲ τοὺς μῆνας, μήτε τὸν ἐνιαυτόν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ δ'.

Οὐ δύναται δὲ ὅλῃσιν ἡμέρῃσιν οὐδὲν τουτέων ἀριθμεῖσθαι ἀτρεκέως, οὐδὲ γὰρ ὁ ἐνιαυτός τε, καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσι πεφύκασιν ἀριθμεῖσθαι.

Criticos insultus integris diebus haud numerari, neque menses, neque annos.

SENTENTIA HIPPOCRATIS 4.

Neque verò horũ quicquã integris diebus exactè numerari potest. Neq; enim annus, neq; mẽses integris diebus numerari solent.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ τὰς τρεῖς ἑβδομάδας εἰς τὴν εἰκοστὴν ἡμέραν περιήγαγε, διὰ τοῦτ' ἔφη, οὐ δύναται πλήρεσιν ἡμέραις ἀριθμεῖσθαι τὰ τοιαῦτα. μηδὲ γὰρ τὸν ἐνιαυτὸν, μηδὲ τοὺς μῆνας ὅλαις ἡμέραις ἀριθμεῖσθαι, καὶ ἀληθῶς γε αὐτὰ εἶπεν. ὁ μὲν γὰρ ἐνιαυτὸς, οὐ τριακοσίων ἑξήκοντα πέντε μόνον ἡμερῶν ἐστὶν, ἀλλὰ καὶ τετάρτου μέρους ἡμέρας, ἔτι δὲ πρὸς αὐτῷ μορίου τινὸς ἐγγύς πως ἑκατοστοῦ. τῶν μηνῶν δὲ ἕκαστος ἐλάττων μέν ἐστι τριάκοντα ἡμερῶν, μείζων δὲ ἐννέα καὶ εἴκοσιν. ὠνομάζετο δὲ καὶ παρὰ τοῖς παλαιοῖς Ἕλλησι μὴν, ὡς καὶ νῦν ἔτι κατὰ πολλὰς

COMMENTARIVS GALENI.

Qvoniam tres hebdomadas vigesimo die conclusit, ob id dixit hæc non posse diebus integris numerari. Nam nec annum nec menses, dies integros habere; Id quod ab eo verissimè proditum est. Siquidem annus non trecentorum modò, & quinque dierum est, verùm etiam tertiam diei partem continet, & præterea ferè centesimam. Mensis autem vnusquisque minor quidem est triginta diebus, sed vigesimum annum excedit. Vocabatur autem à veteribus Græcis μὴν *mensis*, vt & plurimæ nunc in

in Græcia ciuitates faciunt, tempus illud medium inter duas Solis, atque Lunæ coitiones, quod si quis volet per proprias demonstrationes expendere quantum sit, librum habet integrum ab Hipparcho scriptum, vt & alium à me de Anno. Et hoc quidem modo Hippocrates hebdomada accepit. Perspicuum verò est nec quaternionem quidem absolutis constare diebus, sed deesse portionem tantam, vt tres hebdomadas dies viginti absoluant. Horum autem causam in tertio de diebus criticis libro conati sumus ostendere, quum tamen nemo antea vel aggressus sit de ea dicere.

τῶν Ἑλληνίδων πόλεων, ὁ μεταξὺ χρόνος δυοῖν συνόδοιν ἡλίου καὶ σελήνης, καὶ ὅστις βούλεται τὸν χρόνον τοῦτον ἀκριβῶς ἐκμαθεῖν, ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν ὁπηλίκος ἐστὶν, ὅλον ἔχει βιβλίον Ἱππάρχου γεγραμμένον, ὥσπερ γε καὶ περὶ τοῦ ἐνιαυσίου χρόνου σύγγραμμα ἡμέτερον. οὕτως οὖν καὶ τὴν ἑβδομάδα φησὶν ὁ Ἱπποκράτης, καὶ δῆλον, ὅτι καὶ τὴν τετράδα μὴ εἶναι τελείων ἡμερῶν, ἀλλ' ἐνδεῖν τι μόριον τηλικοῦτον, ὡς τὰς τρεῖς ἑβδομάδας εἴκοσιν ἡμέρας περιγράφεσθαι. τίς δὲ ἐστὶν ἡ αἰτία τούτων, πεπειράμεθα ἡμεῖς εἰπεῖν ἐν τῷ τρίτῳ τῶν κρισίμων ἡμερῶν, οὐδενὸς τῶν ἔμπροσθεν οὐδ' ἐπιχειρήσαντος εἰπεῖν.

De criticis dierum periodis.

SENTENTIA HIPPOCRATIS 5.

Postea verò eadem ratione iuxta eandem additionem primus circuitus est quatuor & triginta dierum; secundus quadraginta dierum; tertius sexaginta dierum.

COMMENTARIVS GALENI.

NOn id dicit Hippocrates hoc loco nullum diem cui iudicandi vis insit, medium inter vigesimum & trigesimum quartum interuenire. Nam & ipse secum pugnaret, qui medios quosdam dies iudicantes in epidemiis recensuit, & quæ manifestò ægris vsu venire videntur, ipsum falsi conuincerent. Sed quia tres hebdomades, quæ mutuò sese consequentes vigesimo die concluduntur, non eodem componuntur modo; namque secunda disiuncta est à prima, & eam ob rem die decimoquarto desiit, tertia verò illi connexa est, & propterea finem capit vigesimo. Idcirco & illas quæ vigesimum diem sequuntur hebdomadas eodem modo procedere volens ita, vt ex duabus quidem disiunctis, tertia verò connexa, viginti diebus absoluantur, diem quidem quadragesimum trium posteriorum hebdomadum terminum extremum posuit; ipsis autem duabus terminum circumscripsit quartum & trigesimum diem, eámque ob causam ipsum antè quadragesimum nominauit. Fit autem similiter vt tres, quæ postea veniunt hebdomades ad sexagesimum deuoluantur. Sed & octogesimum, non octogesimum quartum in obseruatione vulgarium morborum iudicare vidit. Sic tres hebdomades numerum viginti dierum complectuntur, quod fit duabus quidem primis per disiunctionem computatis, vt intra diem decimumquartum desinant; tertia autem connexa secundæ, vt & ipsa die vigesimo concludatur.

Περὶ κριτικῶν περιόδων ἡμερῶν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ε'.

Μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ, κατὰ τὴν αὐτέην πρόσθεσιν, ἡ μὲν πρώτη περίοδος, τεσσάρων καὶ τριήκονθ' ἡμερέων· ἡ δὲ δευτέρη, τεσσαράκοντα ἡμερέων· ἡ δὲ τρίτη, ἑξήκοντα ἡμερέων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥ τοῦτο λέγει νῦν ὁ Ἱπποκράτης, ὅτι μετὰ τὴν εἰκοστὴν ἡμέραν, ἄχρι τῆς τριακοστῆς τετάρτης, οὐδεμία παρεμπίπτει κρίσιμος. ἑαυτῷ τε γὰρ οὕτω μάχεται, μεταξὺ τινῶν ἡμερῶν κρινουσῶν ἐν ἐπιδημίαις μεμνημένος, τά τε φαινόμενα κατὰ τοὺς ἀρρώστους, ἐξελέγχει τὸν λόγον αὐτοῦ, ἀλλ' ἐπειδὴ τριῶν ἑβδομάδων, ἄχρι τῆς εἰκοστῆς ἡμέρας ἐφεξῆς ἀλλήλων ἠριθμημένων, οὐχ ἡ αὐτὴ γέγονε σύνθεσις. ἡ μὲν γὰρ δευτέρα διεζεύχθη τῆς πρώτης, καὶ κατὰ τοῦτο εἰς τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν ἐτελεύτησεν· ἡ τρίτη δὲ ταύτῃ συνήφθη, καὶ κατὰ τοῦτο τὴν εἰκοστὴν ἔσχε τέλος. διὰ τοῦτο καὶ τὰς μετὰ τὴν εἰκοστὴν ἑβδομάδας ὁμοίως περιιέναι βουλόμενος, ὡς ἐκ δυοῖν μὲν διεζευγμένων, τῆς τρίτης δὲ συνημμένης εἴκοσιν ἡμέρας συμπληροῦσθαι, τὴν μὲν τεσσαρακοστὴν ὅρον ἔσχατον ἔθετο τῶν δευτέρων τριῶν ἑβδομάδων· ἐν αὐταῖς δὲ ταῖς δυσὶ περιέγραψε τὸν ὅρον, τὴν τριακοστὴν τετάρτην, καὶ κατὰ τοῦτο ταύτης ἐμνημόνευσε πρὸ τῆς τεσσαρακοστῆς, καὶ κατά γε τὸν αὐτὸν λόγον, αἱ μετὰ ταῦτα τρεῖς ἑβδομάδες, εἰς τὴν ἑξηκοστὴν περιάγονται. καὶ τὴν ὀγδοηκοστὴν δὲ κρίνουσαν οἶδεν, οὐ τὴν πδ'. ἐν τοῖς τῶν ἐπιδημιῶν, οὕτως αἱ τρεῖς ἑβδομάδες εἴκοσιν ἡμερῶν ἀριθμὸν συμπληροῦσι, καὶ γὰρ τοῦτο τῶν δύο μὲν τῶν πρώτων κατὰ διάζευξιν ἐν αὐταῖς ἀριθμουμένων, ὡς εἰς τὴν ιδ'. ἡμέραν τελευτᾶν· τῆς τρίτης δὲ συναπτομένης τῇ δευτέρᾳ, ὡς καὶ ταύτην εἰς τὴν εἰκοστὴν ἡμέραν περιέρχεσθαι.

Difficillimam esse per initia, diuturnorum morborum prænotionem.

SENTENTIA HIPPOCRATIS 6.

AT per horũ initia difficilius est eos prænoscere, qui intra longißimũ tempus iudicari debeant, similia namque sunt eorum principia. Verùm à primo die animaduertendum est; & ad quemque quaternarium additum considerandum, nec latebit quo se versurus sit morbus.

Τὴν τῶν νοσημάτων πολυχρονίων ἐν ἀρχαῖς χαλεπωτάτην εἶναι πρόγνωσιν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ς'.

ΤΟυτέων δ' ἐν ἀρχῇσιν, ἐστὶ χαλεπώτερον προγινώσκειν, τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι. ὁμοιόταται γὰρ αἱ ἀρχαὶ εἰσὶν αὐτέων. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι, καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην ἐπισκέπτεσθαι, καὶ οὐ λήσει ὅπη τρέψεται τὸ νόσημα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑνταῦθα πάλιν ἐπὶ ἀμφοτέρων ἔταξε τὸ κρίνεσθαι, τῶν τ' ἐπ' ἀγαθῷ, καὶ τῶν ἐπὶ κακῷ τὴν μεταβολὴν ποιουμένων, καί φησιν, ἐν ἀρχῇ τῶν νοσημάτων, ὅσα μὲν ὀλιγοχρονίως μέλλει διακριθήσεσθαι, ῥᾴστην εἶναι τὴν διάγνωσιν αὐτῶν εἰς ὅ,τι τελευτήσει. καθάπερ ὀλίγον ἔμπροσθεν ἔφη, περὶ τῶν ἐν τῇ πρώτῃ τετράδι μελλόντων κρίνεσθαι. τῶν τε γὰρ πυρετῶν αὐτῶν, ὁ μὲν ἀπαλλάττεσθαι μέλλων, ἐπιεικέστερός ἐστιν· ὁ δ' ἀναιρεῖν τὸν κάμνοντα, κακοηθέστατός ἐστιν, ὅσα τε συνέπεται ἑκατέρῳ σημεῖα, τὰ μὲν ἐν τῷ προτέρῳ πολύ τ' εἶναι κάλλιστα, τὰ δ' ἐν τῷ δευτέρῳ χείριστα. συμβήσεται γὰρ οὕτω, μηδέτερον αὐτῶν ὑπερβῆναι τὴν τετάρτην ἡμέραν. ἐπειδὴ μεμαθήκαμεν ἀεὶ γίγνεσθαι τὴν κρίσιν, ἤτοι τῆς φύσεως ἐπικρατούσης τοῦ νοσήματος, ἢ νικηθείσης ὑπ' αὐτοῦ. τῶν μὲν οὖν ἐπιεικεστάτων νοσημάτων, ἡ φύσις τάχιστα κρατεῖ· νικᾶται δὲ ὑπὸ τῶν χαλεπωτάτων τάχιστα. κατὰ τοῦτ' οὖν ἐναντιώτατα μὲν ἀλλήλοις ἐστὶ, τὰ διὰ ταχέων κρινόμενα. παραπλήσια δὲ, τὰ παραπόλλου χρόνου δεόμενα πρὸς τὴν λύσιν. ὥσπερ γὰρ ἐν τοῖς ὀλιγοχρονίοις ὑπεροχὴ μεγάλη, ποτὲ μὲν τῆς φύσεώς ἐστι, ποτὲ δὲ τοῦ νοσήματος, οὕτως ὅταν μηδέτερον ὑπερέχῃ μεγάλως θατέρου, ἀλλ' ὥσπερ ἀνταγωνισταί τινες ἰσόρροποι διαμάχονται, χρόνου δεῖ πλείονος εἰς τὴν θατέρου νίκην. οὕτω καὶ τοὺς παλαίοντας, οἱ παλαιστρικῆς ἔμπειροι διαγινώσκουσιν. εἰ μὲν ὑπεροχὴν θεάσονται πολλὴν, αὐτίκα νικήσειν τὸν ἕτερον ἐλπίζοντες· εἰ δὲ μηδέτερος ὑπερέχει μεγάλως, ὅτι μὲν ἐν χρόνῳ πλείονι διαπαλαίσουσι, βεβαίως εἰδότες. ὅστις δ' ὁ νικήσων ἔσται, μηδέπω γινώσκοντες. ἀλλ' ἐν τῷ χρόνῳ προϊόντι, καὶ τοῦτο πρότεροι τῶν ἰδιωτῶν καταμανθάνουσιν, ὡς ἂν καὶ τῶν μικρῶν ὑπεροχῶν ὄντες διαγνωστικώτεροι. ᾧ γὰρ ὁ τεχνίτης ἀτέχνου διαφέρει μάλιστα, τουτέστιν αὐτὸ, τὸ μικρῶν αἰσθάνεσθαι διαφορῶν. ἀλλ' ἐπεί τινες οὐδ' ὅλως εἰσὶν αἰσθηταὶ διὰ σμικρότητα, τῶν τοιούτων οὐδ' ὁ τεχνίτης ἐστὶ γνωριστικός. ὅταν οὖν πρῶτον αἰσθηταὶ γίγνωνται, τηνικαῦτα γνωρίζονται. διὰ τοῦτ' οὖν ὁ Ἱπποκράτης ἐκέλευσε καθ' ἑκάστην τετράδα διασκοπεῖσθαι τὴν μεταβολήν. οὐ γὰρ λήσει ὅπῃ τρέψεται, τουτέστι πότερον εἰς ὑγείαν τε καὶ σωτηρίαν τοῦ κάμνοντος, ἐπικρατησάσης τῆς φύσεως, ἢ κρατηθείσης ἐπὶ θάνατον. τουτὶ μὲν τοῦ λόγου τὸ κεφάλαιον. ὅπως δ' ἄν τις αὐτὸ πράττοι κάλλιστα, διὰ τῶν περὶ κρίσεων ὑπ' ἐμοῦ γεγραμμένων ἐστί σοι μαθεῖν.

COMMENTARIVS GALENI.

HOc etiam loco rursus nomen Crisis mutationi vtrique accommodauit, ex qua æger tum meliùs, tum etiam deteriùs habet. Dicit autem per initia morborum facilè intelligi quemnam illi qui intra paucos dies iudicari debent, exitum habituri sint. Id enim ipse paulò antè ostendit, de illis disserens qui primo dierũ quaternione iudicandi sunt. Nam quæ discuti debet febris, mitior est, quę verò vitam ægro adeptura est, solet esse malignissima. Quinetiam signa quæ vtramque comitantur, omnia quidẽ in illa optima, in hac autem pessima sunt. Ex quo fit, vt neutra diem vltra quartum progrogetur. Id enim certò compertum habemus, iudicia semper vel vincente natura morbum, vel victa à morbo contingere. At morbos natura facilè superat mitissimos, eadẽ sæuissimis protinus succũbit. Sic quidẽ maximè à se inuicem dissident morbi, qui breui iudicantur. His autem respondent & illi, quibus longa mora, quò soluantur necessaria est. Nam sicuti in breuibus morbis interdũ natura, interdum morbus lõgè excellit, ita quum neque illa, neque hic multũ præualent, sed veluti aduersarij quidã robore inter se æquales dimicant, etiam tẽpore opus est lõgiori ad alterius victoriam. Sic eos qui luctantur dignoscunt illi, qui artis palæstricæ periti sunt. Eum quidem extemplo victurum sperantes, quem multò validiorem aspexerint; aut si neuter viribus longè præcellit, certi longam inter eos fore luctam. Necdum tamen ipsi cõpertum habent vter victoriam consequetur. Verùm id quoque postea, qui è plebe primi sunt intelligunt, vt qui ea, quæ vel minimo excedunt promptissimè discernant. Eò siquidem potissimùm peritus artis ab imperito differt, quòd vel minima rerum discrimina persentiat, quarũ tamen aliquæ cùm propter sui paruitatem nullo modo sensibus percipi possint, etiam eius, qui peritus artis est cognitionem effugiunt, mox autem, vbi cadere sub sensum possunt, tum demum veniunt in notitiam. Quamobrem Hippocrates iussit eas, quæ singulis mensibus accidunt mutationes animaduertere, nam te non latebit, quò se vertet, hoc est salutémne, & incolumitatem ægri, natura vtique vincente, an ad interitum, eadem succumbente. Hoc quidem est sententiæ caput. Quod qua ratione consequi quis possit, discere potes ex nostris, quos de crisibus scripsimus commentariis.

Τὸν τεταρταῖον ἐν ταῖς περιόδοις κρίνεσθαι· καὶ περὶ κόσμου.

Quartanam febrem periodis iudicari; ac de ordine.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ζ'.

ΓΙνεται δὲ καὶ ἡ τῶν τεταρταίων κατάστασις ἐκ τοῦ τοιούτου κόσμου.

SENTENTIA HIPPOCRATIS 7.

FIt autem quartanarum constitutio ex huiusmodi concinnitate.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΓνόηται καὶ τοῦτο τοῖς πλείστοις, καὶ διὰ τοῦτο θαυμάζουσιν, ἐκ μαντικῆς τέ τινος οἴονται προλέγεσθαι πολλάκις ὑφ' ἡμῶν, ὡς οὔτε τις τεταρταῖον ἔχων πυρετὸν ἀπαλλαγήσεται μεθ' ἡμέρας, εἰ τύχοι πεντεκαίδεκα, καίτοι γε ἐπὶ τῶν τριταίων οὐ θαυμάζουσι τὴν πρόρρησιν. ἔστι δὲ κοινὸς ἀμφοῖν ὁ λόγος. ὥσπερ γὰρ ἐπὶ τῶν συνεχῶν πυρετῶν, ἀριθμοῦμεν ἁπάσας ἐφεξῆς τὰς ἡμέρας εἰς πρόγνωσιν τῆς ἐσομένης κρίσεως, οὕτως ἐπὶ τῶν διαλειπόντων τὰς ἐπισημασίας,

COMMENTARIVS GALENI.

IGnorant & id permulti, eamque ob rem admirantur & nos sæpè ex diuinatione quadam prædixisse existimant eum, qui quartana febre laboraret, post dies, exempli gratia, quindecim minimè à febre liberum fore. Atqui in tertianis id presagiri febribus haud dignum ducunt admirationē, quũm tamen sit vtriusq; febris ratio eadem. Nam veluti in febribus continuis dies omnes cõsequentes numeramus, quò certò crisim futuram possimus pręuidere, sic in intermittentibus accessiones,

vt quod in continuis septimus dies potest, idem in intermittentibus septimus circuitus valeat. Quare exquisita tertiana septem circuitibus non diebus, solet iudicari. Quinetiam quam habet quartus à primo dies ad septimum rationem, eandem prorsus & quartus circuitus ad septimum circuitum. Quartus namque dies index est septimi, & quarta quoque periodus septimam commonstrat. Est autem de his omnibus dictum in libris de Crisibus, proinde id modò sufficiet intelligere, febrium quartanarum iudicia non dierum numero, sed circuitum exerceri. Porrò per concinnitatem eandem, dierum iudicantium ordinem intellexit. Vt enim inconcinnitatis proprium est inordinatio, sic concinnitatis proprius ordo est. Vndè & hoc vniuersum κόσμον appellarunt, propterea quòd omnia quæ eo continentur, ornatam sortita sunt concinnitatem. Terra quidem sita in medio, ipsique exterius circumfuso mari, aëre verò ipsum vndique ambiente, & hunc rursus æthere, deinde verò cælo hæc omnia circulo comprehendente. Sed & ipsæ fixarum stellarum motiones, quid attinet dicere, quantum habeant ornamenti? quippe quæ perpetuò eædem sint; errantium verò syderum motus etiamsi quotidie æquales non sint, at certi sunt, & definiti æqualibus temporum interuallis dum semper eadem Zodiaci loca percurrunt.

Qui morbi citissimè iudicantur, eos facilius prænosci.

SENTENTIA HIPPOCRATIS 8.

Qui verò breuissimo tempore iudicandi sunt, facilius prænoscuntur; maximè namque ab initio inter se dissident. Qui enim superfuturi sunt, facilè spirant, dolore vacant, noctu dormiunt, aliáque securissima habent signa. Qui verò pereunt, difficilè spirant, delirant, vigilant, cæteráque signa habent pessima.

COMMENTARIVS GALENI.

Hippocrates etiam antè vsus est verbo εὐπετέως quod promptè & facilè significat; nunc quod dicit εὐπετέστερα, vtique faciliora significat, & cognitu promptiora. Dixerat ergo paulò antè, febres enim simplicissimæ & signis securissimis comitatæ quarto die vel etiam antè desinunt. Id quod ipse nunc repetiit, quò euidenter doceat exemplis quænam optima signa sint. Ait enim, *Nam qui morbum euasuri sunt, tum ex facili spirant, tum vacant dolore, tum noctu dormiunt. At qui moriuntur, difficiliter spiritum trahunt, delirant, vigilant.* Deinde vtrique adiecit sententiæ, priori quidem, *Aliáque signa habent securissima*; alteri verò, *Et reliqua signa possident pessima.* Ex quibus planè ostendit se quò exempla proferret, signorum vtriusque generis meminisse. Hoc autem etiam rectè videtur adiecisse, *Siquidem ab illis statim ab initio quàm maximè dissident*, de quo & à me dictum antea est, nempe morbos illos permultùm à se inuicem differre, qui dies intra paucos mor-

ἢ, ὅπερ ἐπὶ τῶν συνεχῶν ἡ ἑβδόμη τῶν ἡμερῶν, τοῦτ' ἐπὶ τῶν διαλειπόντων ἡ ἑβδόμη περίοδος ἐργάσηται. κατὰ τοῦτό γέ τοι ὁ ἀκριβὴς τριταῖος, ἐν ἑπτὰ περιόδοις, οὐχ ἡμέραις ἑπτὰ κρίνεσθαι πέφυκε, καὶ μὲν δὴ καὶ ὅπερ ἡ τετάρτη τῶν ἡμερῶν, ἀπ' ἀρχῆς ἀριθμουμένη πρὸς τὴν ἑβδόμην ἐστὶ, τοῦθ' ἡ τετάρτη περίοδος, ὡς πρὸς τὴν ἑβδόμην περίοδον. ἐπίδηλος μὲν γὰρ ἡ τετάρτη τῶν ἡμερῶν ἐστι τῆς ἑβδόμης, ἐπίδηλος δὲ καὶ ἡ τετάρτη περίοδος τῆς ἑβδόμης περιόδου. λέλεκται δὲ καὶ περὶ τῶν τοιούτων ἁπάντων, ἐν τοῖς περὶ κρίσεων. ὅθεν ἀρκέσει νῦν ἀκηκοέναι τό γε τοσοῦτον, ὡς καὶ τῶν τεταρταίων πυρετῶν αἱ κρίσεις, κατὰ τὸν ἀριθμὸν γίνονται τῶν περιόδων, οὐ τῶν ἡμερῶν. ἐκ τοιούτου τοῦ κόσμου. κόσμον εἴρηκε τὴν τάξιν τῶν κρινουσῶν ἡμερῶν. ὥσπερ γὰρ ἀκοσμίας ἴδιόν ἐστιν ἡ ἀταξία, οὕτως ἡ τάξις τοῦ κόσμου. κατὰ τοῦτό γέ τοι, καὶ τόδε τὸ πᾶν ὠνόμασαν οἱ ἄνθρωποι κόσμον, ἐπεὶ τέτακται τὰ κατ' αὐτόν· ἐν μέσῳ μὲν αὐτοῦ τῆς γῆς κειμένης, ἔξωθεν δὲ ταύτης περικεχυμένης τῆς θαλάττης, περιέχοντος δὲ ταύτην ἀέρος, ἐκεῖνον δὲ αἰθέρος, εἶτ' οὐρανοῦ πᾶσι τούτοις κύκλῳ περιβεβλημένου. καὶ μὲν δὴ καὶ αἱ κινήσεις τῶν μὲν ἀπλανῶν ἀστέρων, τί δεῖ καὶ λέγειν εἰς ὅσον ἥκουσι κόσμον, διὰ παντὸς ὡσαύτως ἔχουσαι; τῶν πλανωμένων δ' εἰ μὴ καὶ καθ' ἑκάστην ἡμέραν εἰσὶν ἴσαι, τό γε τεταγμένον ἔχουσιν ἐν ἴσαις χρόνου περιόδοις, ἀεὶ τοὺς αὐτοὺς τόπους τοῦ ζωδιακοῦ διεξερχομένων αὐτῶν.

Τὰ νοσήματα τάχιστα κρινόμενα, τὰ εὐπετέστερα προγινώσκεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ η'.

Τὰ δὲ ἐν ἐλαχίστῳ χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα προγινώσκεσθαι. μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέοισίν ἐστιν. οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι, καὶ κοιμώμενοι τὰς νύκτας, τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα. οἱ δὲ ἀπολλύμενοι, δύσπνοοι γίνονται, ἀλλοφάσσοντες, ἀγρυπνέοντες, τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν εὐπετέως, ἐρρέθη καὶ πρόσθεν, ἑτοίμως τε καὶ ῥᾳδίως σημαῖνον. τὸ δ' εὐπετέστερα, ῥᾷονα δηλονότι λέγει, καὶ πρὸς τὴν διάγνωσιν ἑτοιμότερα. πρὸ ὀλίγου μὲν οὖν εἶπεν, οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ ἐπὶ σημείων ἀσφαλεστάτων βεβῶτες, τεταρταῖοι παύονται, ἢ πρόσθεν. ἀλλὰ νῦν γε ἐπανέλαβεν αὐτὸ, χάριν τοῦ διὰ παραδειγμάτων ἐνδείξασθαι σαφέστερον, ὁποῖα τὰ σημεῖα τὰ κάλλιστά ἐστιν. αὐτὸς γοῦν ἐπιφέρων φησὶν, οἱ μὲν γὰρ περιεσόμενοι εὔπνοοι, καὶ ἀνώδυνοι, καὶ κοιμώμενοι τὰς νύκτας. οἱ δ' ἀπολλύμενοι, δύσπνοοι, ἀλλοφάσσοντες, ἀγρυπνέοντες. εἶθ' ἑκατέρῳ τῷ λόγῳ προσέθηκε, τῷ μὲν προτέρῳ, καὶ τἄλλα σημεῖα ἔχοντες ἀσφαλέστατα· τῷ δὲ δευτέρῳ, καὶ τἄλλα σημεῖα κάκιστα ἔχοντες. ἐπιδεικνύμενος σαφῶς, ὅτι παραδειγμάτων ἕνεκεν ἐμνημόνευσεν ἐξ ἑκατέρου τοῦ γένους τῶν σημείων. εἰκότως δὲ, καὶ τοῦτο προσέθηκε τῷ λόγῳ. μέγιστα γὰρ τὰ διαφέροντα αὐτέοισιν ἀπ' ἀρχῆς ἐστιν, ὅπερ εἴρηταί μοι καὶ πρόσθεν, ὡς παμπόλλη τίς ἐστιν ἡ διαφορὰ πρὸς ἄλληλα, τῶν μελλόντων ἐν ἐλαχίστῳ χρόνῳ κρίνεσθαι νο-

σημείων, ἐπ' ὀλέθρῳ τε καὶ σωτηρίᾳ, καθάπερ τῶν εἰς πλεῖον χρόνον ἐκτεινομένων, ὅτι παραπλήσια καὶ ταῦτα ἔχει ἐστὶ τὰ σημεῖα. τὸ δὲ ἀλλοφάσσοντες, εἴρηται μὲν καὶ ὅτι τοὔνομα κατὰ τὴν ῥῆσιν, οὐ πάνυ τι σύνηθες ὄν, ἤτοι τοὺς παραφρονοῦντας, ἢ τοὺς μεταρριπτοῦντας ἑαυτοὺς, ὅπερ ἐστὶν ἀλυομένους, ἐνδείκνυται. βέλτιον δὴ, ὅσον ἐξ αὐτῆς τῆς φωνῆς δεῖ τε τεκμαίρεσθαι τὸ πρότερον, ἵν' ᾖ γεγενημένον τοὔνομα τὸ, ἀλλοφάσσοντες, ἐκ τοῦ ἄλλοτε φάσκειν ἄλλα. τινὲς δὲ ἀπὸ τοῦ μεταβάλλειν ἄλλοτε εἰς ἄλλο σχῆμα τὰ φάη, τουτέστι τοὺς ὀφθαλμοὺς, γεγονέναι φασὶ τὴν προσηγορίαν.

Ἑκάστην τὴν τῆς νόσου τετράδα ἐπισκέπτεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ θ'.

Ως δὴ τουτέων οὕτω γιγνομένων, ξυμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην, ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νουσημάτων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ωσπερ ὅσα περὶ τῆς πρώτης τετράδος εἶπε κατὰ τὴν ἀρχὴν, ἐπανέλαβε μετὰ τοῦ προσθεῖναι καὶ παραδείγματα. κατὰ τὸν αὐτὸν τρόπον αὖθις ἐν τῇδε τῇ ῥήσει διέρχεται τὰ κατ' ἐκείνην αὐτῷ προγεγραμμένα, δι' ἧς φησιν. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρας ἐνθυμεῖσθαι, καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην ἐπισκέπτεσθαι, καὶ οὐ λήσει ὅπῃ τρέψεται.

Ταῖς παιδοτόκοις, τὰς κρίσεις ἐπιγίνεσθαι· περὶ τῶν ὀξέων νοσημάτων, καὶ τοῦ ἐμπυήματος τὰ πολλά.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ι'.

Κατὰ δὲ τὸν αὐτὸν λόγον (τρόπον), καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καθ' ἣν αἱ ἡμέραν ἀποκυήσῃ, ἡ ἀρχὴ τῆς ἐξαριθμήσεως γινέσθω σοι, μὴ καθ' ἣν ἤρξατο πυρέττειν. ἔνιαι γοῦν ἤτοι περὶ δευτέραν, ἢ τρίτην ἡμέραν ἄρχονται μετὰ τὸν τόκον, ἀφ' ἧς ἀριθμοῦσιν οἱ πολλοὶ τὴν ἐσομένην κρίσιν. ἔχει δὲ οὐχ οὕτως, ἀλλ' ἀφ' ἧς ἀποκυήσει, τὴν συναρίθμησιν δεῖ γίνεσθαι τῶν ἡμερῶν. ὁπότ' οὖν ταῦτα ἅπαντα περὶ τῶν κρισίμων ἡμερῶν ἐπὶ κεφαλαίων διῆλθεν ὁ Ἱπποκράτης, ἀναμνῆσαί σε βούλομαι τοῦ πολλάκις ἐν πολλοῖς ὑπ' ἐμοῦ λεγομένου. τὸ δ' ἐστὶ τοιοῦτο, ὅτι τῶν ζητουμένων, ἔνια μηδὲν εἰς τὰ τῆς τέχνης ἔργα συμβαλλόμενα, λογικὴν ἔχει τὴν σκέψιν. ἡ μὲν γὰρ χρεία τῆς προγνώσεως, ἐστὶν ἐν τῷ γνῶναι τὴν ἡμέραν ἐν ᾗ κριθήσεται τὸ νόσημα. τὸ δὲ, εἴ τε ὀξὺ κλητέον, εἴ τε κάτοξυ τὸ τοιοῦτον, εἴ τε χρόνιον, εἴ τε ὀξὺ παρηυξημένον, εἴ τε κατὰ μετάπτωσιν ὀξὺ, περὶ ὀνομάτων ἐστὶ μᾶλλον, ἢ περὶ πραγμάτων ζητεῖν. εἰ δὲ καὶ περὶ πραγμάτων ἐθέλοι τις εἶναι τὴν τοιαύτην ζήτησιν, ἀλλ' οὔτι γε περὶ τοιούτων πραγμάτων ἐστὶν, ἐξ οἵων ἄν τις ὁρμώμενος, ἢ προγνοίη τὸ γενησόμενον, ἢ θεραπεύσειεν ὀρθῶς. ὑποκείσθω γοῦν ἡμῖν προεγνῶσθαι ἀληθῶς τὸν νοσοῦντα, κατὰ τὴν εἰκοστὴν ἡμέραν ἀπαλλαγήσεσθαι τοῦ νοσήματος· εἶτα γενομένου τοῦ πράγματος, ὡς ἠλπίσθη, τὸν μέν τινα λέγειν ὀξὺ νόσημα γεγονέναι τὸν ἄνθρωπον· τινὰ δ' οὐκ ἐπιτρέπειν ὀξὺ προσαγορεύειν αὐτό, πέρας γὰρ εἶναι τῶν ὀξέων τὴν ιδ'. ἡμέραν.

tis, vel salutis iudicium subire debent, sicut eorum, qui tempus in longum protrahunt, signa esse similia. Cæterùm delirant, Hippocrates dixit, dictione apud Græcos haud multùm vsitata. Significat autem vel eos, qui delirant, vel qui huc & illuc sese disiiciunt, quos aliter ἀλυομένους appellant. Sed prior quantum ex ipsa voce licet coniicere, magis probanda est interpretatio, vt verbum ἀλλοφάσσειν, ab alia atque alia loquendo, deriuetur. Alij verò quòd subinde oculos huc illuc circunferant, deductum esse verbum prodidere.

Vnumquemque quaternarium morbi diem obseruari.

SENTENTIA HIPPOCRATIS 9.

His igitur sic contingentibus coniectare oportet tum ex tempore, tum ex vnaquaque additione, morbis ad crisim prodeuntibus.

COMMENTARIVS GALENI.

Qvemadmodum omnia, quæ antè de primo quaternione dixerat, repetiit, adiectis etiam exemplis, sic denuò tractat hoc loco eadem, quæ illic scripta sunt, vbi dicit, Verùm à primo statim die diligenter animum attendere conuenit, & quaterniones singulos, qui accesserint obseruare, nec te latebit, quò se morbus vertet.

Puerperis crises contingere, de morbis acutis & empyemate multa.

SENTENTIA HIPPOCRATIS 10.

Ad eundem verò modum etiam mulieribus crises à partu contingunt.

COMMENTARIVS GALENI.

A Quo die mulier pepererit, ab eo numerare incipias, non à quo cœpit febricitare. Nam aliquæ secundo tertióve die, postquam pepererint, in febrem incidunt, atque ab eo plerique futuram crisim enumerant. Verùm res secus habet, quum oporteat à die, quo fœtum edet, enumerationem exordiri. Sed quum hæc omnia de diebus criticis Hippocrates breuiter persequutus sit, subiit mihi admonere te eius rei, de qua sæpè me differentem audiuisti, est autem eiusmodi. Vtique nonnulla de quibus quæritur, nihil prorsus ad artis opera conferre, sed logicam habere speculationem. Est enim is præcognitionis vsus diem certò nosse, quo morbus iudicabitur, qui acutúsne vocandus sit, an peracutus, an longus, an acutus productus, an acutus commutatus, de nominibus potius litigare est, quàm res contemplari. Quas tamen quæstiones siquis etiam de rebus esse contenderit, at non de illis certè sunt, quæ vel ad præcognitionem, vel ad rectam curationem pertinent. Pone enim certò præcognitum esse à nobis ægrum vigesimo die morbo solutum iri, deinde quum res secundum spem euenerit, aliquem dicere ægrum acuto morbo conflictatum fuisse, alium autem non ferre morbum hunc acutum nuncupari, acutos namque morbos die decimo quarto desinere.

Deinde

Deinde inter se contendere, & ab altero quidem morbum planè longum vocari, quòd acutorum fines excesserit; neque enim aliam vllam arbitrandum esse tertiam in morbis differentiam, quæ à temporis modo petatur. Ab altero autem morbum hunc acutum commutatum appellari; Ab alio verò acutum productum dici; Alium verò non sic planè, sed acutum parum productum nominare. Si quis ergo iam cupit audire singulorum rationes, quibus illi inter se dissidentes opinionem suam tuentur, & postea iudicare quis melius peiúsve sentiat, non paruam quidem temporis iacturam faciet, nec interim vlla in re artem ipsam promouebit. Similiter qui præuidere potest morbum vigesimo septimo die discussum iri, non tamen decernere acutúsne vocandus sit, an longus, an acutus productus, an acutus commutatus, nulla ille quidem in re, minùs est ad artem aptus. Conuenit enim maximè tot numero esse morborum penes tempus differentias, quot circuitus sunt iudicandi facultate præditi; vt morbus ille breuissimus sit, qui primo quaternione concluditur; post eum, qui secundo; deinde qui tertio, mox qui quarto, demum qui quinto; deinceps autem qui sexto, id quod die accidit vigesimo; Postea verò quaterniones aboleri & crises esse hebdomadicas, & eas quoque progressu temporis tandem supprimi, vt per viginti dierum spatia morbi soluantur, & tandem in mensium numerum transire. Sunt enim definita duo morborum tempora, vt vel acuti, vel diuturni dicantur. Verùm quò clarius intelligamur, hoc modo persæpè appellamus. Deinde res ipsæ nos cogunt inter eos ponere alios medios, qui per commutationem acuti sunt, & differentias omnes triplices facere, & rursus earum singulas diuidere. Vt inter acutos primos, ne longè abeas, alius simpliciter acutus, alius peracutus etiam ab ipso Hippocrate nuncupatur. Quorum hîc quidem dicitur, qui vltra diem septimum non procedit, sed vel illo ipso die, vel etiam maturiùs iudicatur, ille verò, qui in diem decimum septimum protrahitur; cui si morula etiam aliqua accesserit, vt crisis in diem septimum & decimum differatur, hæsitamus, quónam morbum hunc nomine appellemus, quum proprio careamus, & illum æquè cuius iudicium die vigesimo exercetur, vt hac in re dubitatio illa, quam soriticam vocant, oriatur. Quò fit, vt interdum probabile esse putem acutis morbis vigesimo potius, quàm decimo quarto finem statuere. Est autem & alia non parua super hac re dubitatio. Morbus enim acutus non sine febris magnitudine, & assiduitate animo concipitur, quando eum, qui non est eiusmodi non ita censemus nuncupandum, etiam si decimo quarto die, aut celerius etiam discussus fuerit. Hæc quidem sunt & tot præfiniti acutorum morborum finis differentiæ. Sunt verò & aliæ dierum post vigesimum, quibus inest iudicandi vis, qui & ipsi magnam habent latitudinem. Arbitror autem maximè conuenire, vt qui ad diem vsque quadragesimum perueniunt, peculiarem quandã differentiam constituant, & secundũ hos aliam, qui in septimum mensem porriguntur. Similiter autẽ & annuos in alia esse differẽtia, & illos præterea, quos annorũ non mẽsium spatiis dimetimur. Sũt autem hæc, vti ego semper admonui, prætermittẽda, & danda sedulò opera, vt tempus, quo soluendus morbus est, sciamus præsagire.

εἶθ᾽ αὖθις πάλιν ἀλλήλοις διαφέρεσθαι, τοῦ μὲν τινος, ἐπεὶ τῶν ὀξέων ἐξέπεσεν ἡ νόσος, ἀντικρὺς αὐτὴν ὀνομάζοντος χρονίαν· εἶναι γὰρ οὐδεμίαν ἄλλην τρίτην διαφορὰν ἀπὸ χρόνου ποσότητος, ἐν τοῖς νοσήμασιν ὑποληπτέον. ἑτέρου δὲ ἐκ μεταπτώσεως, ὀξὺ τὸ τοιοῦτον νόσημα καλοῦντος· ἄλλου δὲ παρηυξημένον, ὀξὺ προσαγορεύοντος· ἄλλου δ᾽ οὐχ ἁπλῶς οὕτως, ἀλλὰ παρηυξημένον ἐπ᾽ ὀλίγον, ὀξὺ καλοῦντος. ἵνα γοῦν τις ἀκούσῃ, πρῶτον μὲν ἐκ τίνων πιθανῶν ἕκαστος τῶν διαφωνούντων ὁρμᾶται, διακρίνῃ δ᾽ ἐφεξῆς, ὅστις ἄμεινον αὐτῶν, ἢ χεῖρον γινώσκει, κατατρίψει μὲν οὐκ ὀλίγον χρόνον, ὀνήσεται δ᾽ οὐδὲν εἰς τὴν τέχνην. οὕτως δὲ, καὶ ὅστις μὲν οἶδε προγνῶναι κατὰ τὴν εἰκοστὴν ἑβδόμην λυθησόμενον τὸ νόσημα, μὴ δύναται δ᾽ ἀποφαίνεσθαι πότερον ὀξὺ κλητέον, ἢ χρόνιον, ἢ παρηυξημένον ὀξὺ, ἢ ἐκ μεταπτώσεως ὀξὺ, βέβλαπταί τι πρὸς τὴν τέχνην οὐδὲ ὅσον οὐδέν. ἄριστον μὲν γάρ ἐστιν ἐν ταῖς κατὰ χρόνον διαφοραῖς τῶν νοσημάτων, τοσοῦτον αὐτῶν ὑπολαμβάνειν εἶναι τὸν ἀριθμὸν, ὅσος περ καὶ τῶν κρινουσῶν περιόδων, ὡς εἶναι τὸ μὲν ὀλιγοχρονιώτατον ἐν τῇ πρώτῃ τετράδι περιγραφόμενον· ἐφεξῆς δὲ τούτῳ, τὸ κατὰ τὴν δευτέραν, εἶθ᾽ ἑξῆς τὸ κατὰ τὴν τρίτην, εἶτα τὸ κατὰ τὴν τετάρτην, καὶ μετὰ τοῦτον, τὸ κατὰ τὴν πέμπτην. ἐφεξῆς δὲ τούτῳ τὸ κατὰ τὴν ἕκτην, ἥτις εἰς τὴν εἰκοστὴν ἡμέραν ἀφικνεῖται. μετὰ δὲ ταύτην, ἐκλύεσθαι μὲν τὰς τετράδας, ἑβδομαδικὰς δὲ γίνεσθαι κρίσεις. εἶτα καὶ ταύτας ἐκλύεσθαι τοῦ χρόνου προϊόντος, ὡς δι᾽ εἴκοσιν ἡμερῶν τὰς λύσεις τῶν νοσημάτων ἀποτελεῖσθαι, καὶ μετὰ ταῦτα εἰς ἀριθμὸν μεταβαίνειν μηνῶν. δύο γὰρ προθεσμίαι χρόνων εἰσὶ τοῖς νοσήμασιν, ὡς τὰ μὲν ὀξέα, τὰ δὲ χρόνια λέγεσθαι. ἀλλ᾽ ἕνεκα σαφοῦς διδασκαλίας, πολλάκις οὕτως ὀνομάζομεν, εἶθ᾽ ὑπὸ τῶν πραγμάτων αὐτῶν ἀναγκαζόμεθα, μεταξὺ πάλιν αὐτῶν ἕτερα τιθέναι τὰ ἐκ μεταπτώσεως ὀξέα, καὶ ποιεῖν τρεῖς τὰς πάσας διαφοράς. αὖθις δὲ τούτων ἑκάστην τέμνειν, οἷον εὐθὺς ἐπὶ πρώτων τῶν ὀξέων, τὸ μὲν ἁπλῶς ὀξὺ, τὸ δὲ κάτοξυ πρὸς αὐτοῦ τοῦ Ἱπποκράτους ὠνόμασται. κάτοξυ μὲν τὸ τῆς ἑβδόμης ἡμέρας οὐκ ἐξωτέρω προϊὸν, ἀλλ᾽ ἤτοι κατ᾽ αὐτὴν, ἢ καὶ προϊαίτερον κρινόμενον. ὀξὺ δὲ τὸ μέχρι τῆς τεσσαρεσκαιδεκάτης ἐκτεινόμενον, εἶτα καὶ τούτῳ πάλιν αὐτῷ βραχύ τι προστιθέμενον ὁρῶντες ἀποροῦμεθα, προσηγορίαν ἰδίαν οὐκ ἔχοντες θέσθαι, τῷ κατὰ τὴν ἑπτακαιδεκάτην ἡμέραν κρινομένῳ νοσήματι. καθάπερ οὐδὲ τῷ κατὰ τὴν εἰκοστὴν, τῆς καλουμένης σωρειτικῆς ἀπορίας κατὰ τὸ πρᾶγμα φαινομένης, ὥστ᾽ ἐνίοτε πιθανὸν ἡμῖν δοκεῖ τὴν εἰκοστὴν ἡμέραν ὅρον θέσθαι τῶν ὀξέων, οὐ τὴν τεσσαρεσκαιδεκάτην, οὔσης καὶ ἄλλης, οὐ σμικρᾶς ἀπορίας κατὰ τὸ πρᾶγμα. τὸ γὰρ ὀξὺ νόσημα, μετὰ μεγέθους τινὸς νοεῖται, καὶ συνεχείας πυρετοῦ. τὸ γάρ τοι μὴ τοιοῦτον, εἴ γε καὶ περὶ τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, ἢ καὶ θᾶττον λυθείη, τῆς αὐτῆς προσηγορίας οὐκ ἀξιοῦμεν. αὗται μὲν οὖν αἱ διαφοραὶ, καὶ τοσαῦται περὶ τῶν ὀξέων νοσημάτων εἰσὶ τῆς προθεσμίας, ἄλλαι δὲ περὶ τῶν μετὰ τὴν εἰκοστὴν ἡμέραν κρισίμων, εἰς πλάτος ἱκανὸν ἐκτεταμένων. κἀκείνων δ᾽ εὔλογον οἶμαι, τὰ μὲν ἄχρι τῆς τεσσαρακοστῆς ἡμέρας προϊόντα, κατά τινα διαφορὰν ἰδίαν τίθεσθαι. τὰ δὲ ἀπὸ τούτων, ἄχρι μηνῶν ἑπτὰ κατ᾽ ἄλλην διαφοράν. ὥσπερ γε καὶ τὰ ἐνιαύσια, κατ᾽ ἄλλην αὖ πάλιν καὶ ταῦτα· καὶ πρός γε τούτοις ἔτι, τὰς συναριθμήσεις ἐτῶν οὐ μηνῶν ἔχοντα, ὅπερ οὖν ἀεὶ λέγω, τὰ μὲν τοιαῦτα παραλειπτέον ἐστὶν· ἀσκητέον δὲ αὐτὸν ἱκανὸν εἶναι προγινώσκειν, ὁπότε λυθήσεται τὸ νόσημα.

φαίνεται γοῦν ὁ Ἱπποκράτης, ἐφ' ἑνὸς εἴδους νοσήματος, ὃ καλεῖν εἴωθεν ἐμπύημα, τισὶ μὲν αὐτῶν τὴν εἰκοστὴν ἡμέραν ὅρον τῆς ῥήξεως τιθέμενος, ἐνίοις δὲ τὴν τριακοστὴν, ἢ τεσσαρακοστὴν, ἢ ἑξηκοστήν· ἐπιτρέψας οὖν τὰς προσηγορίας ἑτέροις ἐπ' αὐτῶν τίθεσθαι, τοῖς περὶ τὰ τοιαῦτα δεινοῖς, αὐτὸς σπούδαζε προγινώσκειν, εἰς τήν τινα τῶν προειρημένων ἡμερῶν, ἡ προθεσμία τῆς ῥήξεως ἀφίξεται. τοῦτο δὲ εὑρήσεις, διὰ δυοῖν ὥσπερ ὀργάνων, ἐμπειρίας τε καὶ λόγου. τῆς μὲν ἐμπειρίας, ἓν καὶ δεύτερον ἐμπύημα διδαξάσης ἐρρωγὸς, ἑκάτερον ἰδίᾳ προθεσμίᾳ. τοῦ λόγου δὲ γινώσκοντος τήν τε τῆς ὕλης τῶν ἐμπυημάτων οὐσίαν, τό τε δραστικὸν αἴτιον αὐτῆς, τά τε τούτῳ συνεργοῦντα. θεασάμενος γάρ τις τὸ πρῶτον ἐμπύημα κατὰ τὴν τεσσαρακοστὴν ἡμέραν εἰ τύχοι ῥαγὲν, ὑπὸ τοῦ τοιοῦδε χυμοῦ γεγονὸς, δηλονότι μετρίως ψυχροῦ, καὶ καθ' ὥραν ὡσαύτως μετρίως ψυχρὰν, ἡλικίαν τε καὶ χώραν, καὶ φύσιν ὅλου τοῦ σώματος, καὶ τοῦ πεπονθότος μορίου, καὶ πάλιν ἕτερον θεασάμενος ἑξηκοσταῖον διερρωγὸς, ἐπὶ ψυχροτέροις ἅπασι τοῖς προειρημένοις, εἶτ', εἰ οὕτως ἔτυχεν, εἰκοσταῖον ἐπὶ θερμοτέροις. ἐκ τούτων ὁρμώμενος, ἱκανὸς ἔσται περὶ τῶν ἄλλων ἐμπυημάτων στοχάζεσθαι. σκοποῖς μὲν χρώμενος τοῖς ἐμπείρως ὁραθεῖσι; παραβάλλων δὲ ἐκείνοις τὰ νῦν γινόμενα κατὰ θερμότητα, καὶ ψύξιν αὐτῶν τε τῶν μεταβαλλομένων χυμῶν, καὶ τῆς ἀλλοιούσης αὐτοὺς αἰτίας δραστικῆς, ἥτις ἐστὶ τὸ ἔμφυτον θερμὸν, ὅσα τ' ἄλλα ταύτῃ συνεργεῖ κατὰ χώραν καὶ ὥραν, καὶ κατάστασιν. αὐτῆς δὲ τῆς δραστικῆς αἰτίας τὸ μέγεθος ἔκ τε τῆς ἡλικίας τεκμαιρόμενος, ἔτι τε τῆς ἰδίας φύσεως αὐτοῦ, καὶ τοῦ μορίου καθ' ὃ συνέβη τὴν ἐκπύησιν γίνεσθαι, καὶ τῶν ἄλλων σημείων, ὅσα ῥώμην τε καὶ ἀρρωστίαν ἐνδείκνυται τῆς κατὰ τὰς ἀρτηρίας τε καὶ φλέβας δυνάμεως. ὁ γὰρ μηδὲν τούτων ἐπιστάμενος, ἀλλὰ περιμένων ἐκ παρατηρήσεως διδαχθῆναι περὶ πάντων τῶν ἐμπυημάτων, ἐτῶν εἰς τοῦτο χιλίων χρόνος οὐκ ἐξαρκέσει. ὥσπερ αὖ πάλιν ὁ πρὸς τὴν ἔμφυτον ἀποβλέπων θερμασίαν, ὁπόση τίς ἐστι, καὶ ταύτῃ παραβάλλων τὴν φύσιν τῶν πεφθησομένων χυμῶν, ὁδὸν ἔχει τῆς εὑρέσεως, οὗ ζητῶν τυγχάνει πράγματος. οὗτος οὖν ἐστιν ὁ δυνάμενος ἐξ ὧν οἶδε, καὶ περὶ ὧν οὐκ οἶδε, τεκμαίρεσθαι τεχνικῶς. οὗτος ἐρεῖ μόνος, ὡς περὶ μὲν τὴν εἰκοστὴν ἡμέραν ἐκπυήσει τόδε τι, περὶ δὲ τὴν τριακοστὴν τόδε τι, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, οὐδὲν ἔτι προστιθέναι δεόμενος, εἴτ' ὀξὺ χρὴ καλεῖν, εἴτε χρόνιον, εἴτ' ἐκ μεταπτώσεως ὀξὺ τὸ νόσημα. ταῦτα γὰρ ἔργον ἐστὶ διακρίνειν, οὐκ ἰατρῶν, νὴ Δία, περὶ τὰ τῆς τέχνης ἔργα σπευδόντων, ἀλλὰ σοφιστῶν λόγοις σχολαζόντων, καὶ διὰ τοῦτο περὶ μὲν τῶν τοιούτων προβλημάτων, ἐφ' ὑψηλοῦ θρόνου καθήμενοι, σεμνῶς πάνυ καταντλοῦσι λόγοις οἱ πολλοὶ τοὺς μαθητάς. ὁποῖον δέ τι γενήσεται τῷ κάμνοντι, μᾶλλον αὐτοὺς λέληθεν, ἢ τῆς θαλάττης χοαί. ἕτεροι δ' ἔμπαλιν, ἱκανοὶ μὲν εἰσὶ καὶ διαγνῶναι τὰ νοσήματα, καὶ προγνῶναι τὰ γενησόμενα, λέγειν δ' οὐδὲν ἔχουσιν εἰς τὰ λογικὰ ζητήματα κἀκ ταύτης τῆς αἰτίας. ἄλλοι μὲν ἰατροὶ νομίζονται παρὰ τοῖς ἀνθρώποις, ἕτεροι δὲ σοφισταὶ, καὶ λογιατροί. καλοῦσι γὰρ αὐτοὺς οὕτως· κἂν θεάσωνταί τινα βιβλίον ἀναγινώσκοντα, καὶ λόγῳ χρώμενον, εἰς ἑρμηνείαν τῶν χρησίμων φαρμάκων, ὑποπτεύουσι τοῦτον ἐκ τῶν λογιατρῶν εἶ[ναι].*

Perspicuum enim est Hippocratem in vno morbi genere, quod ille suppurationem solet appellare, ruptionis diem statuere interdum vigesimum, aliquando trigesimum, aut quadragesimum, aut sexagesimum. Itaque alios quidem, qui optimè id callent, finito nomina, vt volent, iis indere, & disce præsagire, quónam die vomica rumpi debet. Id autem tibi duo, veluti quædam instrumenta indicabunt, experientia, & ratio. Quarum illa quidem docet vnum, atque alterum empyema, certo vtrunque tempore disruptum fuisse. Hæc verò & materiæ, quæ committit empyema, substantiam intelligit, tum causam, quæ ipsam efficit, quæque vnà cum illa agunt. Nam qui considerauit primum empyema, quod die, vt exempli gratia dicamus, quadragesimo ruptum est, ab humore parum frigido, & tempore similiter, & ætate, & regione, & natura totius corporis, partísque affectæ moderatè frigidis ortum habuisse, & rursus alterum vidit ruptum die sexagesimo, quum essent omnia supradicta calidiora; & aliud fortassis die vigesimo adapertum fuisse, quòd essent calidiora, si hæc sequatur, potest aliorum omnium empyematum coniecturam facere, scopos quidem illos attendens, quos per experientiam obseruauit, conferens autem cum ipsis eum, qui nunc est calorem & frigus non humorum modò, qui alterationem subeunt, verùm etiam agentis causæ (quæ quidem calor ipse natiuus est) à qua illi alterantur, tum ea æstimans, quibus ipsa iuuatur, regionem, anni tempus, cælíque statum, ipsius verò causæ agentis magnitudinem perpendens, tum ex ætate, tum ex propria ipsius natura, & partis in qua obortum est empyema, tum signis aliis, quæ robur, & imbecillitatem facultatis in arteriis, venísque sitæ testantur. Qui enim nihil eorum nouit, sed expectat donec omnium empyematum cognitionem per obseruationem, sit consequutus, vix illi annorum mille tempus sufficiet. Sicut is rursus, qui natiuum calorem quantus est considerat, & cum eo confert humorum, qui concoqui debent, naturam, viam sequitur ad inueniendum id, quod inuestigat, compendiosam. Ille quidem ipse est, qui ex his, quæ nouit potest eorum etiam, quæ non nouit, artificiose facere coniecturam. Ille solus dicet, hoc quidem circa diem vigesimum, illud circa trigesimum suppuraturum esse, & de aliis ad eundem modũ nihil præterea additurus, ánne acutum hunc morbum, an longum, an ex cõmutatione acutum vocare oporteat. Hæc enim non medici quidẽ diiudicant, qui artis opera persequuntur, sed sophistæ potius, qui tempus, & operam in verbis inaniter collocant, proindéque multi in alto sedentes solio venustè admodum de huiuscemodi problematis disserentes discipulos suos fabulis perfundunt, qui autem casus ægrum maneat magis, quàm maris congios ignorant. Alij rursus valent quidem & discernere morbos, & futura præsagire, de logicis verò quæstionibus dicere non possunt. Quò fit, vt alij quidem apud homines habeantur medici, alij verò sophistæ, & λογιατροί. Sic enim eos appellant, atque si quem viderint in libro legentem, & rationem in explicandis vtilibus medicamentis adhibentem, eum statim ex logiatris aliquem esse suspicantur.

textu xiii.* ὁκόσοις ἐν πυρετοῖσι κοιλίη ὑγρὴ καὶ γνώμη τεταραγμένη, καὶ οἱ πολλοὶ τῶν τοιούτων κροκύδας ἀφαιρέουσι, καὶ τὰς ῥῖνας σκάλλουσι, καὶ κατὰ βραχὺ μὲν ἀποκρίνονται τὸ ἐρωτώμενον. αὐτοὶ δ' ἀφ' ἑωυτῶν οὐδὲν λέγουσι κατηρτισμένον. δοκέει οὖν μοι τὰ τοιάδε μελαγχολικὰ εἶναι. ἢν δὲ τοιώνδε [illegible] ἡ κοιλίη ὑγρὴ ἔῃ καὶ συντύχῃ, δοκέει μοι τὰ ῥοφήματα ψυχρότερα καὶ παχύτερα προσφέρειν, καὶ τὰ πόματα στυπτικὰ καὶ οἰνωδέστερα ἔῃ καὶ στυπτικώτερα.

Febris

A

Febriles capitis dolores vehementes & continuos perniciosissimos esse, ac hæmorrhagiæ, aut abscessus prognostica.

SENTENTIA HIPPOCRATIS 11.

Capitis autẽ dolores & vehemẽtes & continui cũ febre, si quod certè lethaliũ signorũ præterea accesserit, exitiosũ admodũ. Si verò sine eiusmodi signis, dolor vigesimũ diẽ superet, & febris detineat, sanguinis è naribus eruptionẽ, aut aliũ quendã abscessũ ad inferas partes expectare oportet. Verùm quoad dolor recens fuerit, eodem modo sanguinis ex naribus eruptionem, aut suppurationem expectare conuenit, cùm aliàs, tum si dolor circa tempora & frontem fuerit.

COMMENTARIVS GALENI.

Hoc quidẽ inordinatè expositũ est, cuius tamen maxima est in præsagiendo vtilitas. Sic autem poterit ordinatè dici. Capitis dolores vehemẽtes & cõtinui cum febre, si quidẽ aliquod mortiferũ signũ præterea accesserit, supra modũ perniciosi sunt. Verũ si ex his, quæ didicisti speras ægrũ tandẽ cõualiturum, principio quidẽ vsque ad diem septimũ sanguinẽ per nares fluxurũ existima, morbo verò veterascente, etiam hoc idem, quanquam & pus per nares, vel aures cõmodè excerni potest. Sin autẽ capitis dolor etiam vigesimo die detinet, tunc quoque tametsi rariùs, sanguinis profluuium contingere potest, at frequentius suppuratio, aut abscessus in partibus inferis oriuntur. Cæterùm quo tempore futuri profluuij sanguinis suspicio est, fidem tibi maiorem faciet vehemens dolor, tempora frontémque obsidens.

Κεφαλαλγίας τὰς πυρετώδεις καὶ συνεχεῖς εἶναι ὀλεθρίους κάρτα· καὶ τὰ τῆς αἱμοῤῥαγίας, ἢ τῆς ἀποστάσεως προγνωστικά.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ια'.

Κεφαλῆς δὲ ὀδύναι, ἰσχυραί τε καὶ ξυνεχέες ξὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων σημείων προσγίγνοιτο, ὀλέθριον κάρτα. Εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ,τε πυρετὸς ἔχοι, ὑποσκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν ἐς τὰ κάτω χωρία. ἔστ᾽ ἂν δὲ καὶ ἡ ὀδύνη ᾖ νεαρὰ, προσδέχεσθαι χρὴ ὡσαύτως αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν, ἄλλως τε κἢν ὀδύνη περὶ τοὺς κροτάφους τε, καὶ τὸ μέτωπον ᾖ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ατακτότερον ἡρμήνευται, χρησιμώτατον εἰς πρόγνωσιν ὂν πρᾶγμα. κατὰ τάξιν δ᾽ ἂν οὕτως ῥηθείη. κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ συνεχεῖς σὺν πυρετῷ, εἰ μέν τι τῶν θανατωδῶν σημείων προσγένηται, τελέως ὀλέθριον. Εἰ δ᾽ ἐξ ὧν ἔμαθες, ἐλπίζοις τι περὶ τοῦ νοσοῦντος, ὡς σωθησομένου, κατ᾽ ἀρχὰς μὲν ἄχρι τῆς ἑβδόμης ἡμέρας, αἱμοῤῥαγίαν διὰ ῥινῶν προσδέχου. προελθόντος δὲ τοῦ χρόνου, καὶ τοῦτο μὲν ἔτι. πῦον δ᾽ ἂν ἔλθῃ διὰ ῥινῶν, ἢ δι᾽ ὤτων ἐπὶ σωτηρίᾳ τοῦ κάμνοντος. εἰ δὲ ἄχρι τῶν εἴκοσι ἡμερῶν ἐκταθείη τὸ σύμπτωμα τῆς κεφαλαλγίας, ἔτι καὶ τότε τὴν αἱμοῤῥαγίαν σπανιωτέραν ἔλπιζε. μᾶλλον δ᾽ ἐκπύησιν, ἢ ἀπόστασιν εἰς τὰ κάτω χωρία προσδέχου. κατ᾽ ἐκεῖνον δὲ τὸν χρόνον, καθ᾽ ὃν ἂν τὴν αἱμοῤῥαγίαν ἐλπίσῃς, αὐξήσει σου τὴν ἐλπίδα, κατὰ τοὺς κροτάφους τε καὶ τὸ μέτωπον ὀδύνη σφοδρὰ παραμένουσα.

D

Hæmorrhagiam in iunioribus, suppurationem in senibus expectari.

SENTENTIA HIPPOCRATIS 12.

Magis autem expectanda est sanguinis quidem eruptio iunioribus quinque & triginta annis; at senioribus suppuratio.

COMMENTARIVS GALENI.

Nota est ab ætate, an sanguinis per nares profluuium sperari magis debeat. Causa autem euidens est, & sæpè antè dicta, ætatem videlicet, quæ annis quinque & triginta inferior est, sanguinem affatim gignere, atque etiam tum ætatis sanguinem esse calidiorem, & biliosiorem. Id quod supra etiam diximus ad eruptiones sanguinis, quas per se natura molitur, accommodatissimum esse; At verò in senioribus qui triginta quinque annos excesserunt, suppuratio magis expectanda est.

Τὴν μὲν αἱμοῤῥαγίαν τοῖς νεωτέροις, τὴν δὲ ἐκπύησιν γεραιτέροις προσδέχεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιβ'.

Μᾶλλον δὲ χρὴ προσδέχεσθαι τοῦ αἵματος μὲν τὴν ῥῆξιν τοῖσι νεωτέροισι πεντεκαιτριήκοντα ἐτέων· τοῖσι δὲ γεραιτέροισι, τὴν ἐκπύησιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Από τῆς ἡλικίας ὁ διορισμὸς, εἰς τὸ μᾶλλον ἐλπίζειν διὰ ῥινῶν αἱμοῤῥαγίαν. ἡ δ᾽ αἰτία πρόδηλος εἰρημένη πολλάκις, ὡς ἡ μέχρι πέντε καὶ τριάκοντα ἐτῶν ἡλικία, πλεῖστον αἷμα γεννᾷ. πρόσεστι δὲ καὶ τοῦτο, καὶ τὸ θερμότερόν τε καὶ χολωδέστερον εἶναι ἐν ταύτῃ τῇ ἡλικίᾳ τὸ αἷμα. λέλεκται δὲ καὶ πρόσθεν, εἰς τὰς ὑπὸ τῆς φύσεως γινομένας αἱμοῤῥαγίας, τὸ τοιοῦτον ἐπιτήδειον ὑπάρχειν· ἐπὶ δὲ τῶν γεραιτέρων, τῶν παραιτέρω τῶν τριάκοντα καὶ πέντε ἐτῶν, μᾶλλον προσδοκῆσαι τὴν ἐκπύησιν.

De aurium dolore cum continua febre.

SENTENTIA HIPPOCRATIS 13.

F

Auris dolor acutus cum febre continua & vehementi, grauis. Periculum enim est hominem delirare, ac interire. Proinde quum hic motus minimè tutus sit, citò mentem aduertere oportet etiam aliis signis, à primo statim die.

Περὶ ὀδύνης ὤτων σὺν πυρετῷ συνεχεῖ.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιγ'.

Ωτὸς δὲ ὀξεῖη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ ἰσχυρῷ δεινόν. κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. ὡς οὖν τουτέου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον, καὶ τοῖσιν ἄλλοισι σημείοισι πᾶσιν ἀπὸ τῆς πρώτης ἡμέρης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐδέποτε γὰρ ὀδύνη σφοδρὰ ἐπὶ τῶν φαινομένων τούτων ὤτων, οὔτ᾽ εἰ καὶ γένοιτο, κίνδυνος ἀκολουθήσει, μήτ᾽ αὐτοῦ γε τοῦ μορίου κῦρος ἔχοντος, μήτε κυρίῳ τινὶ συνεχοῦς ὄντος. ἀλλ᾽ εἰώθασιν ὠταλγίας ὀνομάζειν, ὅταν ἐν τῷ βάθει κατὰ τὸν ἀκουστικὸν πόρον, ἡ τῆς ὀδύνης αἴσθησις γίνηται. τηνικαῦτα γὰρ αὐτὸ πάσχει τὸ ἀκουστικὸν ὀνομαζόμενον νεῦρον, οὐ διὰ μακροῦ συνάπτον τῷ ἐγκεφάλῳ. εἰκότως οὖν ἀπόλλυνται πολλοὶ κατὰ τὰς σφοδρὰς ὠταλγίας, εἰς συμπάθειαν ἐρχομένου τοῦ ἐγκεφάλου, διὸ καὶ παραφρονοῦσι τῶν καμνόντων ἔνιοι, καὶ μέντοι καὶ ἀποθνήσκουσιν αὐτῶν τινες ἐξαίφνης, ὃν τρόπον οἱ ἀπόπληκτοι, ὅταν ἐπὶ τὸν ἐγκέφαλον ἀφίκηται ἀθρόως τὸ τὴν ὠταλγίαν ἐργαζόμενον ῥεῦμα.

COMMENTARIVS GALENI.

Nunquam magnus dolor externam hanc visuque conspicuam auriculam inuadit, nec si quando inuaserit, periculi quicquam habet, quòd & particula hæc nullius penè dignitatis sit, nec vlli principi parti continua esse videatur. At aurium dolores, Græci ὠταλγίας dicunt, vocari solitum est, quum in imo meatu audiendi doloris sensus excitatus fuerit. Tunc enim neruus ipse, quem auditorium appellant, afficitur, qui cum cerebro non parum cohæret adeò, vt plurimi non præter ratione præ vehementia doloris aurium interierint, cerebro in doloris consortium perducto. Quare multi ægri & delirãt, & derepente quidã etiam moriuntur, perinde atque apoplectici, vbi fluxio, quæ dolorẽ auriũ cõcitabat, cerebrũ cõfertim peruaserit.

Ταῖς ὠταλγίαις τοὺς νεωτέρους θᾶσσον ἀπόλλυσθαι.

Aurium doloribus iuniores celerius interire.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιδ'.

Ἀπόλλυνται δὲ, οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον ὑπὸ τοῦ νουσήματος τουτέου, οἱ δὲ γέροντες, πολλῷ βραδύτερον. οἵ τε γὰρ πυρετοὶ, καὶ αἱ παραφροσύναι, ἧσσον αὐτέοισιν ἐπιγίγνονται, καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι. ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃσιν ὑποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι, ἀποκτείνουσι τοὺς πλείστους. οἱ δὲ νεώτεροι πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται. ἐπὴν γε ῥυῇ τὸ πῦον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς περιγενέσθαι τῷ νέῳ, ἤν τι καὶ ἄλλο χρηστὸν αὐτέῳ ἐπιγένηται σημεῖον.

SENTENTIA HIPPOCRATIS 14.

Intereunt autẽ ex hoc morbo, iuniores quidem homines septimo die, aut etiam citiùs, seniores verò multò tardiùs. Nam & febres & deliria minus eis superueniunt; auresque ob eam causam suppuratio præoccupat. Verũ his quidẽ ætatibus succedentes morbi reuersiones plurimos enecant. Iuniores verò priusquam auris suppurarit intereunt. Quum quidem pus album ex aure fluxerit, iuniorem superfuturum spes est, si quidem & aliud quoddam ei bonum signum superuenerit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῖς νέοις τῶν ἀνθρώπων, οἵ τε πυρετοὶ, καὶ αἱ παραφροσύναι μᾶλλον γίνονται, διὰ τὸ χολῶδες, καὶ θερμὸν τῆς κράσεως. εἰκότως οὖν ἀπόλλυνται θᾶσσον, ἢ ἐκπυΐσκονται τὰ ὦτα. τοῖς δὲ πρεσβύταις, ὅσον μὲν ἐπὶ τούτοις, ἧττον ὑπάρχει κινδυνεύειν, καὶ ὑποστροφαὶ δὲ αὖθις γίνονται τῶν παθημάτων, ὅτι μὴ τελέως ἐκπέττεται, διὰ τὴν ψυχρότητα τῆς κράσεως, ὁ τὴν ὀδύνην ἐργαζόμενος χυμός. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως ἱκανῶς ἐστι σαφῆ.

COMMENTARIVS GALENI.

Iuuenes vehementius febricitant, & in furorem facilius vertuntur, propter biliosum, calidúmque temperamentum. Quare haud præter rationem celerius moriuntur, quàm aures suppurent. Senibus hæc quidem minus adferunt periculum. Morbus verò reuerti solet, quoniam humor, qui parit dolorem, non absolutè concoquitur, propter temperamenti frigiditatem. Reliqua satis manifesta sunt.

Περὶ φάρυγγος τῆς ἑλκουμένης σὺν πυρετῷ.

De faucium vlceribus cum febre.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιε'.

Φάρυγξ δὲ ἑλκουμένη σὺν πυρετῷ, δεινὸν, ἀλλ᾽ ἤν τι καὶ ἄλλο σημεῖον ἐπιγένηται, τῶν προκεκριμένων πονηρῶν εἶναι, προλέγειν, ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου.

SENTENTIA HIPPOCRATIS 15.

Fauces autem exulceratæ cum febre, graue; sed siquod aliud etiam signum fuerit ex his quæ ante praua esse iudicata sunt, hominem in periculo versari prædicendum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἑλκουμένη φάρυγξ, σημεῖόν ἐστι κακοχυμίας διαβρωτικῆς. αἴτιον δὲ δυσχολίας οὐ σμικρᾶς, διὰ τὸ μετὰ πόνου καταπίνειν. ἐπιβλέπειν οὖν χρὴ καὶ τὰ ἄλλα σημεῖα, πρὸς ἀκριβεστέραν γνῶσιν τοῦ ζητουμένου. κοινὸν δὲ ἐπὶ πάντων ἔστω σοι παράγγελμα, μάλιστα δ᾽ ἐπὶ τῶν μήτ᾽ ἀκριβῶς ἀρίστων, μήτε χειρίστων. ἐφ᾽ ὧν καὶ αὐτὸς ὁ Ἱπποκράτης, εἴωθεν ἀξιοῦν συνεπισκέπτεσθαι καὶ τἆλλα σημεῖα.

COMMENTARIVS GALENI.

Fauces vlceratæ mali succi erodentis indicio sunt; eædémque non paruum exhibent negotium, propterea quòd nonnisi ægrè transglutire possunt. Itaque quò sit euentus magis absoluta cognitio, oportet notas alias contemplari. Hoc autem præceptum habe in omnibus notis commune, sed in his maximè, quæ inter bonas, & pessimas medio se habent modo. In quibus etiam ipse Hippocrates alia quoque signa consideranda censet.

De angina grauissima non conspicua.

SENTENTIA HIPPOCRATIS 16.

Anginæ grauissimæ quidem sunt, & celerrimè interimunt, quæcunque neque in faucibus, neque in ceruice quicquam conspicuum faciunt, plurimùm verò dolorem exhibent, & orthopnœam; hæ namq; & eodem die, & secundo, & tertio, & quarto strangulant.

COMMENTARIVS GALENI.

Hippocrates φάρυγγα haud dubiè appellauit spatium illud, quod ante gulam, gutturque situm est. Id quod vel ex hoc loco perspicuum est, vbi scribit, Anginas illas sæuissimas esse, ex quibus neque in faucibus, neque in ceruice vel color, vel calor, vel tumor præter naturam apparet. Siquidem per αὐχένα collum intelligit; φάρυγγα autem vocat eam capacitatem, quæ adaperto ore linguáque depressa cernitur. In qua duo ostia, vnum gulæ, alterum gutturis apparent. Itaque si nec in faucibus, nec in ceruice aliquid præter naturam se videndum præbet, corpus aliquod eorum, quæ intra guttur habentur, putare oportet phlegmone affectum esse, quæ spiritum elidit. Cuius quum perangusta naturaliter via sit, si eam phlegmone circumpositorum corporum prorsus occludat, strangulari necesse est. Quamobrem coguntur ægri rectâ ceruice spiritum trahere, quò vel tantillum meatum patefaciant. Supinus enim decubitus eum penitus obturat, prioribus corporibus in colli vertebras plus iusto procumbentibus. Et eam quidem ob causam, quódque gutturis musculi inflammatione tententur, haud temerè dolore cruciantur.

Περὶ κυνάγχης τῆς δεινοτάτης μὴ ἐκδήλης.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιϛʹ.

Αἱ δὲ κυνάγχαι, δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀναιροῦσιν, ὁκόσαι μήτ' ἐν τῇ φάρυγγι, μηδὲν ἔκδηλον ποιέουσι, μήτ' ἐν τῷ αὐχένι, πλεῖστον δὲ πόνον παρέχουσι, καὶ ὀρθόπνοιαν. αὗται γὰρ καὶ αὐθημερὸν ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι φάρυγγα τὴν προκειμένην χώραν στομάχου τε καὶ λάρυγγος, ὀνομάζει, δῆλόν ἐστι κατὰ ταύτην ἣν νῦν ἔγραψεν, ἐκείνας τὰς κυνάγχας δεινοτάτας εἶναι λέγων, ὅσαι μήτ' ἐν τῇ φάρυγγι, μήτε κατὰ τὸν αὐχένα διάθεσίν τινα παρὰ φύσιν ἐνδείκνυνται, κατὰ χροιάν τε καὶ θερμότητα, καὶ ὄγκον. αὐχένα μὲν γὰρ τὸν τράχηλον λέγει. φάρυγγα, δὲ τὴν ἐν τῷ διανοῖξαι τὸ στόμα, καὶ πιλῆσαι τὴν γλῶσσαν, κάτω φαινομένην εὐρυχωρίαν, ἐν ᾗ τὰ δύο στόματά ἐστι, τό, τε τοῦ στομάχου, καὶ τὸ τοῦ λάρυγγος. ὅταν οὖν ἐν μηδετέρῳ τούτων ἐπίδηλον ᾖ τι παρὰ τὸ κατὰ φύσιν, ἡγεῖσθαι χρή, τῶν ἔνδον τοῦ λάρυγγος σωμάτων εἶναι φλεγμονήν, ἐφ' ᾗ πνίγονται. στενῆς δ' οὔσης φύσει τῆς ὁδοῦ τοῦ πνεύματος, ἀναγκαῖόν ἐστι πνίγεσθαι κλειομένης αὐτῆς τελέως διὰ τὴν φλεγμονὴν τῶν περιεχόντων σωμάτων. ἀναγκάζονται τοιγαροῦν ὀρθοῦντες τὸν τράχηλον ἀναπνεῖν, ὑπὲρ τοῦ διοῖξαι κἂν ἐπὶ βραχύ, τὸν πόρον. αἱ γὰρ ὕπτιαι κατακλίσεις, ἀποκλείουσιν ἐσχάτως αὐτὸν, καταπιπτόντων μᾶλλον τῶν πρόσω σωμάτων, ὡς ἐπὶ τοὺς τοῦ τραχήλου σπονδύλους. διά τε οὖν τοῦτο, καὶ ὅτι φλεγμαίνουσιν οἱ κατὰ τὸν λάρυγγα μύες, εἰκότως ὀδυνῶνται.

De anginis admodum exitialibus licet tumentibus.

SENTENTIA HIPPOCRATIS 17.

Quæcunque verò in cæteris quidē similiter dolorē exhibent, tument autē & in faucibus tumores excitant, admodū exitiales, prioribus tamen diuturniores, si ingens rubor fuerit.

COMMENTARIVS GALENI.

Alteram anginæ differentiam exponit, in qua & ceruix intumescit, & fauces rubent. Nec tamen minor hos, quàm illos dolor exercet, nisi quòd rectâ ceruice spirare non coguntur, hoc est non magna premuntur spirandi difficultate, quòd musculi gutturis non vehementi phlegmone vrgeantur. Rectè ergo has quidem pestiferas esse dicit, attamen non esse tam præcipitem, vt à prioribus pestem.

Περὶ κυναγχῶν τῶν ὀλεθρίων κάρτα, καίτοι ἐπαιρουσῶν.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιζʹ.

Ὁκόσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δέ, καὶ ἐν τῇ φάρυγγι ἐρυθήματα ποιέουσιν, ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γίνηται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δευτέρας διαφορᾶς μέμνηται κυνάγχης, ἐν ᾗ συνεπαίρεται μὲν τὰ κατὰ τὸν αὐχένα, καὶ ἡ φάρυγξ ἐρυθραίνεται. πονοῦσι δ' ὁμοίως τοῖς προειρημένοις, οὐ μὴν ὀρθόπνοιά τις αὐτοῖς ἐστιν, ὅπερ ἐστὶν, οὐ δυσπνοοῦσι σφοδρῶς, ὅτι μηδὲ φλεγμαίνουσιν ἰσχυρῶς οἱ κατὰ τὸν λάρυγγα μύες. εἰκότως οὖν αὐτὰς ὀλεθρίους εἶναί φησιν, οὐ μὴν ὁμοίως ταῖς πρὸ αὐτῶν, ἀναιρεῖν ὀξύτατα.

A

Περὶ τρίτης συνάγχης τῆς μὲν, χρονιωτέρας τε, καὶ ἀσφαλεστέρας.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιη'.

Ὁκόσοισι δὲ ξυνεξαιρέθη ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται χρονιώτεραι, καὶ μάλιστα ἐξ αὐτέων περιφεύγουσιν, ἢν ὅ τε αὐχὴν, καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ, καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας εἴσω.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τρίτην ταύτην διαφορὰν ἑρμηνεύει κυνάγχης, ἣν ἔνιοι διὰ τοῦ σ. γράμματος, ὀνομάζουσι συνάγχην, οὐ διὰ τοῦ κ. κυνάγχην. ἐφ᾽ ᾗ γὰρ ἰσχυρῶς μὲν πνίγονται, φαίνεται δ᾽ οὐδὲν οὔτε φλεγμονῶδες, οὔτ᾽ ἐρυσιπελατῶδες, ἤτοι κατὰ τὸν τράχηλον, ἢ τὴν φάρυγγα, κυνάγχην διὰ τοῦ κ. τὴν τοιαύτην διάθεσιν ὀνομάζουσιν. ἀλλ᾽, ὅπερ ἀεὶ λέγω, φαίνεται καὶ ὁ Ἱπποκράτης ποιῶν, οὐ μικρολογούμενος ἐν ὀνόμασιν, ὡς δ᾽ ἂν ἐπέλθοι, καλῶν. ἀμέλει γέγραπται κατά τινα τῶν παλαιῶν ἀντιγράφων ἡ ἀρχὴ τῆς ῥήσεως, διὰ τοῦ σ. γράμματος· αἱ δὲ συνάγχαι, ᾧ καὶ δῆλον, ὡς οὐδὲν ὠφελεῖ τὸ περὶ τοῦ κ. καὶ σ. διαφέρεσθαι, καθάπερ οἱ νεώτεροι πράττουσι τῶν ἰατρῶν. ὅπου γὰρ ὁμολογεῖται τὸ πρᾶγμα, σκαιόν ἐστι τὸ περὶ τῶν ὀνομάτων ἐρίζειν. ὡμολόγηται δὲ τὸ πρᾶγμα, τοῖς γινώσκουσι τὰ τῆς τέχνης ἔργα. τῶν γὰρ ἰσχυρῶς πνιγομένων, ὡς ἀνακαθίζειν ἀναγκάζεσθαι, χείριστα διάγουσιν, οἱ σφοδρῶς μὲν ὀδυνώμενοι, μηδὲν δὲ ἔχοντες ἐν τῷ τραχήλῳ, καὶ τῇ φάρυγγι σύμπτωμα. τούτων δ᾽ ἐφεξῆς, οἱ μὴ δυσπνοοῦντες μὲν, ὀδυνώμενοι δὲ σφόδρα, μετὰ τοῦ συνεξῆρθαι μὲν αὐτοῖς τὸν τράχηλον, ἐρυθροτέραν δὲ φαίνεσθαι τὴν φάρυγγα. τρίτοι δ᾽ ἐπ᾽ αὐτοῖς εἰσιν, περὶ ὧν, κατὰ τὴν προκειμένην ῥῆσιν ὁ Ἱπποκράτης διῆλθεν, οἱ μήτε ὀδυνώμενοι σφοδρῶς, μήτε δυσπνοοῦντες. ἀπαθοῦς μὲν αὐτοῖς διαμένοντος τοῦ λάρυγγος, ἤτοι δὲ εἰς τὴν φάρυγγα, τοῦ ῥεύματος, ἢ εἰς τὸν τράχηλον, ἢ εἰς ἄμφω ταῦτα τραπέντος. ἔσται δὲ τοὐπίπαν τὸ ῥεῦμα τοῦτο χολωδέστερον, ὡς ἤτοι ἄντικρυς ἐρυσίπελας, ἢ φλεγμονὴν ἐρυσιπελατώδη ποιεῖν, ὅθεν καὶ αὐτὸς ἔφη, εἰ μὴ παλινδρομέῃ τὸ ἐρυσίπελας εἴσω. φλεγματῶδες δὲ, εἴ ποτ᾽ αὐτοῖς γένοιτο τὸ οἴδημα, τάχιστα θεραπεύεται, καὶ τὴν ἀρχὴν, οὐδὲ τῶν ὀξέων ἐστὶ τὸ τοιοῦτον πάθημα. τὰ δ᾽ ἄλλα τῆς ῥήσεως δῆλα.

B C D E

Περὶ ἐρυσιπέλατος τοῦ κινδυνώδους.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ιθ'.

Ἢν δὲ, μήτε ἐν ἡμέρῃσι κρισίμοισιν, ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πῦον ἀποβήσσῃ ῥηιδίως τε, καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν, ἄνευ φύματος, ἢ πτυσμάτων εὐπετῶς ἀναγομένων, ἀφανισθῆναι τὸ ἐρυσίπελας, ἢ τὸ ἔρευθος, ἑκατέρως γὰρ γέγραπται, πρόδηλον ὅπως ἔσται μοχθηρόν. τὸ δὲ μήτ᾽ ἐν ἡμέρῃσι κρισίμοισι, ἄξιον ἐπισκέψασθαι, πότερον οὕτως ἀκουστέον ἐστὶν ὡς ἂν ἐν κρισίμοις ἡμέραις ἀφανίζηται, μηδενὸς ἑπομένου μοχθηροῦ σημείου αὐτῷ, ἢ εὖ (ἐξηγήσομαι γὰρ

F

De tertia angina diuturniore ac securiore.

SENTENTIA HIPPOCRATIS 18.

Qvibuscunque verò fauces & ceruix simul rubuerint, hæ anginæ diuturniores sunt, & ex ipsis maxime euadunt si & ceruix & pectus ruborem habeat, neque intrò erysipelas recurrat.

COMMENTARIVS GALENI.

Tertiam hanc anginam proponit, quam græcorum plerique synanchen, non autem cynanchen appellari volunt. Nam quod Hippocrates ait eos suffocari, & dolere nihilque vel phlegmones, vel erysipelatis simile, neque in ceruice, neque in faucibus videri, id cynanchen vocant. Sed quod ego perpetuò testatus sum Hippocrates manifestò facere videtur, non est de nominibus scrupulosè solicitus, appellat, vt succurrit. Et scriptum sanè est in vetustis aliquot exemplaribus sermonis huius initium, quem de Anginis instituit, hunc in modum, αἱ δὲ συνάγχαι. Ex quo perspicuum est, quàm sit inutile de κ & σ litteris, quemadmodum recentiores medici faciunt, litigare. Nam quando de re conuenit, absurdum est contendere de nominibus. At verò res ipsa iis manifesta est, qui artis opera intelligunt. Siquidem eorum, quos tanta suffocatio premit, vt residere cogantur, pessimè illi affecti sunt, qui quum acerbissimo dolore vexentur, nihil tamen in ceruice, & faucibus præ se ferunt, quod præter naturam accidisse videatur. Secundum hos, qui non spirant quidem difficulter, sed grauiter dolent, simúlque ceruicem intumuere, faucésque habent plurimo rubore perfusas. Deinde verò isti, de quibus hoc loco Hippocrates verba fecit, qui nec magnopere dolent, nec difficilem habent respirationem, nulla in re affecto gutture, sed vniuersa fluxione, vel in fauces, vel in ceruicem, vel in vtrunque decumbente. Hanc autem fluxionem prorsus biliosam esse necesse est, vt repente aut erysipelas, aut phlegmonem erysipelati similem excitare possit. Qua de re ipse dixit, nec se erypelas intrò recipiat. Si quando verò œdema phlegmonodes obortum fuerit, celerrimè curatur, neque verò ab ipsis etiam primordiis morbus hic acutus est. Cætera manifesta sunt.

De Erysipelate periculoso,

SENTENTIA HIPPOCRATIS 19.

Si verò neque diebus criticis euanescat Erysipelas, neque tuberculum ad exteriorē partem conuersum sit, neque pus extussiat, facileque ac sine dolore habere videatur, mortem significat, aut ruboris reuersionem.

COMMENTARIVS GALENI.

Qvàm noxium sit erysipelas vel ruborem (vtroque enim modo scriptum est) sine tuberculo, aut sputis facilibus aboleri, perspicuum est. Quod autem dicit, nec in diebus criticis, dijudicandum videtur, an hoc modo intelligi debeat, vt diebus criticis aboleatur, siue nullum adsit signum malum, siue aliquod adsit (sic enim aliqu

aliqui interpretati sunt) an id sequentibus coniungere oporteat, quasi illa velit Hippocrates in die critico fieri, quò plus sit in illis fiduciæ. Hæc mihi videtur verior esse opinio. Nam si criticis in diebus materia in pulmonem transferatur, recurrente intrò erysipelate non discusso per exteriorem cutem, non modò non bonum est, sed ingens etiam malum, quod ex fiducia, quam ex ipso die haberi oportuit, malitiam suam multò magis confirmarit. Si verò & tuberculum quidem foràs prodeat, & facilè extussiat, ipsúmque erysipelas rubórve euanescat, tunc nihil minus, quàm ægri mortem sperare conuenit.

Oedema ac ruborem foràs verti, securius, intrò verò, periculosum.

SENTENTIA HIPPOCRATIS 20.

At securius est tumorē & ruborem quàm maximè foràs verti; Quod si ad pulmonem vertatur, & dementiam parit, & ex his nonnulli suppurati plerumque euadunt.

COMMENTARIVS GALENI.

Et hæc & quæ postea sequuntur nota sunt iis, qui præcedentia meminere.

Gargareonem incidere & scarificare & vrere periculosum esse.

SENTENTIA HIPPOCRATIS 21.

Gurguliones verò periculosè incidūtur, & scarificantur, & vruntur, quandiu rubri & magni fuerunt. His enim inflāmationes, & sanguinis eruptiones succedunt. Sed hos aliis machinamentis eo tempore extenuare conandū est. Vbi verò separatum iam fuerit id totum quod vuam vocant, & summa quidē gurgulionis pars & maior, & rotunda; superior autē & tenuior extiterit, per id tempus manū admouere tutū est. Præstat autem & aluo subducta, manus hac vti chirurgia, si & tēpus sinat, & nō suffocetur æger.

COMMENTARIVS GALENI.

Hippocrates præsagiendi theorema exponens, aliquid etiam inseruit, quod ad curationem pertineret, sine quo non poterat tutò præsagium explicari. Gurgulionem inflammatum si dissecueris, vel scarificaris, sanguinis profusiones, & phlegmonæ consequuntur. Quum verò id, quod vuam appellant, separatum est, parsque ima gurgulionis crassior, rotundaque, superior autem gracilis euasit, tunc manu aliquid audere tutum est, maximè si vel sponte, vel medici cura aluus cita antecesserit.

Quando febres recidiuæ expectandæ sunt.

SENTENTIA HIPPOCRATIS 22.

Quibus autem febres cessant, neque apparentibus solutionis signis, neque in diebus criticis, iis recidiua expectanda est.

A αὐτὸ οὕτω τινὲς,) ἢ συνάψαι χρὴ τοῦτο τοῖς ἐφεξῆς, ... να βουλομένου τοῦ Ἱπποκράτους, ἐν ἡμέρᾳ γίνεσθαι κρισίμῳ χάριν τῆς βεβαίας πίστεως, ὅπερ ἀληθέστερόν ἐστιν. ἐὰν γὰρ ἐν κρισίμοις ἡμέραις ἡ μετάστασις εἰς τὸν πνεύμονα γένηται, παλινδρομοῦντος ἔσω τοῦ ἐρυσιπέλατος, οὐ διαφορουμένου κατὰ τὸ ἐκτὸς ἐπιφαίνεσθαι, οὐ μόνον οὐκ ἀγαθόν ἐστι τὸ τοιοῦτον, ἀλλὰ καὶ μέγιστον κακὸν, ἐκ τοῦ τῆς ἡμέρας πιστοῦ, τὸ βέβαιον τῆς κακίας προσλαμβανόμενον. εἰ δὲ μετὰ τοῦ, φῦμα μὲν ἐκτὸς γενέσθαι, ῥᾳδίως δ᾽ ἀποβήττειν, ἀπόλλυται τὸ ἐρυσίπελας, ἢ τὸ ἐρύθημα, τηνικαῦτα θάνατον οὐκέτι προσδοκᾶν χρὴ τὸν κάμνοντα γενέσθαι.

B

Τὸ οἴδημα καὶ τὸ ἐρύθημα ἔξω τρέπεσθαι, ἀσφαλέστερον· ἔσω δὲ, κινδυνῶδες.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κ΄.

Ἀσφαλέστερον δὲ, τὸ οἴδημα, καὶ τὸ ἐρύθημα, ὡς μάλιστα ἔξω τρέπεσθαι. ἢν δὲ ἐς τὸν πνεύμονα τράπηται, παράνοιαν τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων τινὲς γίνονται, ὡς τὰ πολλά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C

Καὶ ταῦτα, καὶ τὰ τούτων ἐφεξῆς, δῆλα τοῖς μεμνημένοις τῶν ἔμπροσθεν.

Τὸν γαργαρεῶνα ἀποτάμνεσθαι, καὶ ἀποχάζεσθαι καὶ καίεσθαι κινδυνῶδες εἶναι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κα΄.

Οἱ δὲ γαργαρεῶνες, ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι, καὶ ἀποχάζεσθαι, καὶ καίεσθαι, ἔστ᾽ ἂν ἐρυθροί τε ὦσι, καὶ D μεγάλοι, καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι, καὶ αἱμορραγίαι. ἀλλὰ χρὴ τὰ τοιαῦτα, τοῖσιν ἄλλοισι μηχανήμασι κατισχναίνειν πειρᾶσθαι ἐν τουτέῳ τῷ χρόνῳ. ὁκόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσιν, καὶ γένηται τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος μεῖζόν τε, καὶ περιφερὲς, τὸ δὲ ἀνώτερον, λεπτότερον, ἐν τουτέῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν. ἄμεινον δὲ, καὶ ὑποκενώσαντα τὴν κοιλίην, τῇ χειρουργίῃ χρέεσθαι, ἢν ὅ τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

E

Προγνωστικῷ θεωρήματι μέμικται θεραπευτικόν τι σμικρὸν οὗ χωρὶς, οὐχ οἷόν τε ἦν ἀσφαλῶς διδαχθῆναι τὸ προγνωστικόν. τοὺς γάρ τοι γαργαρεῶνας εἰ φλεγμαίνοντας ἀποτέμνοις, ἢ ἀποσχάζοις, ἀκολουθήσουσιν αἱ αἱμορραγίαι τε, καὶ φλεγμοναί. ὅταν δ᾽ ἀποκριθῇ, ὃ δὴ σταφυλὴν καλοῦσι, καὶ γένηται, τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος, μεῖζόν τε καὶ περιφερὲς, τὸ δ᾽ ἄνω, λεπτότερον, ἐν τούτῳ τῷ καιρῷ ἀσφαλὲς διαχειρίζειν, καὶ μάλιστα τῆς κοιλίας προϋπελθούσης δαψιλῶς, εἴτ᾽ οὖν αὐτομάτως, εἴτε κατὰ πρόνοιαν τοῦ ἰατροῦ.

F

Ὅτε τὰς ὑποστροφὰς τῶν πυρετῶν προσδέχεσθαι χρή.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κβ΄.

Ὁκόσοισι δ᾽ αὖ οἱ πυρετοὶ παύονται, μήτε σημείων γινομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμοισι, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν μηδέτερον, ὧν εἶπε, γένηται, τότε χρὴ προσδέχεσθαι τὴν ὑποστροφήν, οὐχ ὅταν θάτερον μὲν αὐτῶν γένηται, τὸ δ' ἕτερον, μή. τὰ γὰρ ἀλόγως ῥαστωνήσαντα, φιλυπόστροφα, κἂν ἐν ἡμέραις κρισίμοις γένηται τοῦτο. δῆλον δ' ὅτι ταῦτ' ἀλόγως ῥαστωνῆσαι λέγει αὖ, ὅσα μήτε μετὰ σημείων λυτηρίων, μήτ' ἐν κρισίμοις ἡμέραις ἔδοξε πεπαῦσθαι.

COMMENTARIVS GALENI.

Qvum neutrum adest eorum quæ dixit, tunc recidiuam timere conuenit, non quum vnum adest, alterum deest. Nam quæ sine ratione desierunt, reuerti solent, etiamsi diebus criticis desierint. Perspicuum autem est ea dici sine ratione desinere, quæ & sine bonis signis, nec in diebus criticis finita esse videntur.

Πολυχρονίοις τοῖς πυρετοῖς εἰς τι τῶν ἄρθρων ἀποστάσιας ἐπιγίνεσθαι.

Diuturnis febribus abscessus ad articulos succedere.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κγ'.

Ὅστις δ' ἂν τῶν πυρετῶν μηκύνῃ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονήν τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίαν ἐμφανέα, τούτῳ προσδέχεσθαι ἀπόστασιν, μετ' οἰδήματός τε καὶ ὀδύνης, εἰς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον τῶν κάτω.

SENTENTIA HIPPOCRATIS 23.

Qvæcunque verò febris longior fiat affecto ad salutem homine, neque dolore detinente ob inflammationem aliquam, neque ob vllã aliam euidentẽ causam, huic abscessus cũ tumore & dolore ad articulum aliquem, maximéque in inferioribus partibus expectandus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Διὰ τῶν ἔμπροσθεν εἶπε κατὰ μέρος, περὶ πρώτων μὲν τῶν καθ' ὑποχόνδρια, δευτέρων δέ, τῶν κατὰ θώρακα, καὶ πνεύμονα. ταῦτα νῦν ἐπαναλαβών, ἀπεφήνατο καθόλου. τριττῆς γὰρ οὔσης τῆς αἰτίας τοῦ μηκύνειν τοὺς πυρετούς, ἢ διά τι μόριον πεπονθὸς δυσιάτως, ἢ διὰ χυμοὺς ὠμούς, καὶ παχεῖς, καὶ ἀπέπτους, ἢ διά τι τῶν ἡμαρτημένων, ἐὰν μήτε μόριον ἢ πεπονθός, ἢ ἄλλο τι μηδὲν αἴτιον, ἤτοι τοῦ κάμνοντος ἁμαρτάνοντος, ἢ τῶν θεραπευόντων αὐτόν, ἢ διά τι τῶν ἔξωθεν, οἷον ὥραν, χώραν, κατάστασιν, οἴκησιν μοχθηράν, ὀχλήσεις, φροντίδας, λύπας, λείπεται τοῦτον ἐπὶ χυμοῖς ὠμοῖς καὶ δυσπέπτοις μηκύνειν. τούτους οὖν εἴωθεν ἡ φύσις, εἰς τὴν τῶν ἀκυρωτέρων μορίων ἀποτίθεσθαι χώραν, ὅταν μὴ δυνηθῇ, δι' ἐκκρίσεως ἔξω τοῦ σώματος ἀπώσασθαι. λέλεκται γὰρ ἤδη πολλάκις, ὡς οἱ θερμότεροί τε, καὶ λεπτότεροι τοῦ σώματος χυμοί, πρὸς τὰς ἐκκρίσεις εἰσὶν ἐπιτηδειότατοι. τοὺς δ' ὠμούς, καὶ παχεῖς, ἤτοι δι' ἀποστάσεως, ἢ κατὰ σύμπεψιν, ἡ φύσις ἰᾶται, καὶ αὐτὸ δὲ τοῦτο τὸ κατὰ σύμπεψιν, ἔκκρισίς τίς ἐστι, δι' οὔρων γινομένη τὰ πολλά, σπανίως δέ ποτε καὶ κατὰ γαστέρα.

COMMENTARIVS GALENI.

De quibus antè dixit particulatim, primùm quidem his, qui in præcordiis oriuntur, deinde verò illis, qui in pectore, & pulmone consistunt, nunc vniuersim disserit. Nam quum tribus de causis febres omnes longæ sint, aut propter aliquam partem malè affectam, difficultérque curabilem, aut propter humores crudos, crassos, & incoctos, aut errorem aliquem commissum, si nec pars malè affecta est, nec vlla alia subest causa, quam vel ægri, vel famulorum error attulerit, vel aliquid eorum, quæ exterius posita sunt, vt tempus anni, regio, temporis constitutio, habitatio mala, molestiæ, curæ, tristitia, consequens est febrem non aliam ob causam diutius trahi, quàm quòd eam humores crudi, concoctúque difficiles pariant. Hos ergo natura solet in aliquam ignobilium partium capacitatem deponere, quando vacuatione extra corpus propellere non potest. Iam enim aliàs sæpe diximus calidiores, tenuioresque corporis humores ad vacuationẽ esse quàm aptissimos, crudos autem, & crassos naturam vel per abscessum, vel per concoctionem, curare solitam. Est autem ea concoctio vacuatio quędam, quæ vt plurimùm per vrinas, rarius aũt per aluũ succedit.

Τὰς ἀποστάσιας τοῖς νεωτέροις γίνεσθαι μᾶλλον.

Abscessus iunioribus magis accidere.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κδ'.

Μᾶλλον δὲ γίνονται καὶ ἐν ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες τοῖσι νεωτέροισι τριήκοντα ἐτέων.

SENTENTIA HIPPOCRATIS 24.

Magis aũt oboriũtur, & breuiori tẽpore huiusmodi abscessus, annis triginta iuniorib.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηται πολλάκις, ὡς αἱ μὲν ἐκ τῶν θερμοτέρων χυμῶν νόσοι, μετὰ τῆς τοῦ κάμνοντος δυνάμεως ἰσχυροτέρας, δι' ἐκκρίσεως κρίνονται. ταύταις δέ εἰσιν ἐναντίαι διαθέσεις, ἐφ' ὧν ἥ τε δύναμις ἀσθενής, οἵ τε χυμοὶ ψυχροί, μήτ' ἐκκρίσει, μήτ' ἀποστάσει κρινόμεναι, ἀλλ' ἤτοι διαφθείρουσαι τοὺς κάμνοντας, ἢ χρόνῳ παμπόλλῳ μόλις πεττόμεναι. μέσαι δ' ἀμφοῖν εἰσιν, αἱ δι' ἀποστάσεως κρινόμεναι. καθ' ἃς τῶν εἰρημένων ἀντιθέσεων δυοῖν, τὸ μὲν ἕτερον ἐκ τῆς ἑτέρας ἐστί, τὸ δ' ἕτερον, ἐκ τῆς λοιπῆς. αἱ μὲν γὰρ ἀντιθέσεις αἱ δύο, κατὰ μὲν τὴν τῶν χυμῶν φύσιν ἐστὶν ἡ ἑτέρα, κατὰ δὲ τὴν δύναμιν, ἡ ἑτέρα. καθ' ἑκάτερον δ' αὐτῶν, ἀλλήλοις ἀντίκεινται δύο, κατὰ μὲν τὴν τῶν χυμῶν, οἱ θερμοί, τοῖς ψυχροῖς, κατὰ δὲ τὴν τῆς δυνάμεως, ἡ ἀσθενής, τῇ ἰσχυρᾷ.

COMMENTARIVS GALENI.

Dictum sæpe est morbos, qui à calidioribus humoribus ortum habent, si vires ægri validæ sunt, vacuatione iudicari. Sunt autem his contrarij, quum & vires imbecillæ sunt, & humores frigidi, nec per vacuationem, aut abscessum soluuntur, sed vel ægros perimunt, vel longissimo temporis spatio vix tandem concoquuntur. Medij verò existunt, qui abscessu finiuntur. Inest illis ex propositis duabus oppositionibus alterum quidem ab vna, alterum verò à reliqua. Duas enim diximus esse oppositiones, vnam ex humorum natura, alteram ex viribus desumptam. In quarum vtraque duo inter se opponuntur. In humoribus quidem calidi frigidis, in viribus autem infirmæ, & valentes.

Itaque

Itaque si humores calidi sunt, non oportet vires esse robustas, si fieri abscessus debet. Si verò frigidi, robustas vires ad generationem abscessus necessariò requirunt. Cæterùm vires qua ratione dijudicentur, antea quidem per maximè propria signa ab actionibus desumpta explicatum est, nunc autem ab ætate cognoscendas proponit Hippocrates iuuenili, & senili. Dicitque iuniores triginta annis huiusmodi abscessibus magis obnoxios esse, atque in his celerius perfici. Seniores autem istis, necdum tamen senes, minus seriúsque corripi. Senibus autem eos minimè omnium accidere. Qua in re meminisse illa oportet, quæ sermonis istius initio Hippocrates proloquutus est. Si febres longæ, sed tamen salubres sine dolore remanent, quem vel inflammatio, vel alia manifesta causa attulerit. Quæ ille nobis in memoriam reuocans, dixit eiusmodi abscessus in iunioribus magis fieri solitos.

Signum futuri abscessus.

SENTENTIA HIPPOCRATIS 25.

SVspectandum verò his statim de abscessu est, si viginti dies febris detinens superet.

COMMENTARIVS GALENI.

ET iam antea disserens de longis morbis, diem vigesimum nominauit, quasi ipsi non ante diem hunc longi existerent. Nos autem causam priùs reddidimus, quare non possit certus morborum acutorum terminus assignari. Itaque minimè mirum est Hippocratem interdum dicere acutos morbos die quartodecimo iudicari, & rursus vigesimi facere mentionem. Nam & in ipsis Aphorismis vbi dixit acutos morbos die ad summum quartodecimo iudicium subire, meminit etiam decimiseptimi. Est autem initium quidem illius Aphorismi, *Morbi acuti quartodecimo die iudicantur.* Finis autem, *Est verò & decimus septimus contemplandus*; quippe qui quartus est à quartodecimo, septimus autem, ab vndecimo.

Senioribus abscessus minus accidere.

SENTENTIA HIPPOCRATIS 26.

SEnioribus autem minus fiunt, quum febris diuturnior existit.

COMMENTARIVS GALENI.

REctè, nam si morbus in abscessum verti debet, necesse est aliquod virium robur esse, nec ipsas ad extremum concidisse. Itaque quantò ægri ætate prouectiores erunt, eò minus ad generandum abscessum apti videbuntur. Senes autem non minus, sed omnium minimè. Cæterùm hoc loco non dixit simpliciter senes, sed comparans cum triginta annis, qui hoc excedunt seniores vocauit. Quod autem senioris nomen ad hunc modum vsurpet, supra demonstratum est, & in sequentibus æquè patebit.

ἐὰν μὲν οὖν οἱ χυμοὶ θερμοὶ τύχωσιν ὄντες, οὐ χρὴ τὴν δύναμιν ὑπάρχειν ἰσχυρὰν εἰ μέλλει γενήσεσθαι τις ἀπόστασις. εἰ δὲ ψυχροί, δυνάμεως ἰσχυρᾶς αὖθις δεῖ πρὸς τὰς ἀποστάσεις. ἡ διάγνωσις δὲ τῆς δυνάμεως, ἡ μὲν οἰκειοτάτη, καθ' ἑκάστην αὐτῶν, εἴρηται πρόσθεν, ἀπὸ τῶν ἐνεργειῶν. ἡ δὲ ἀπὸ τῆς ἡλικίας, κατὰ νεότητά τε, καὶ γῆρας ἐστι, περὶ ἧς νῦν ὁ Ἱπποκράτης διορίζεται, καί φησι, μᾶλλον δὲ γίνεσθαι, καὶ θᾶσσον, τὰς τοιαύτας ἀποστάσεις τοῖς νεωτέροις ἐτῶν τριάκοντα, τοῖς δὲ τούτων πρεσβυτέροις, οὐ μὴν ἤδη πω γέρουσιν, ἧττόν τε γίνονται, καὶ χρόνῳ πλείονι. τοῖς δὲ γέρουσιν, ἥκιστα γίνονται, μεμνημένων ἡμῶν τῆς ἀρχῆς ὅλου τοῦ λόγου, καθ' ὃν ὁ Ἱπποκράτης εἶπεν, ὅστις δ' ἂν τὸν πυρετὸν μηκύνῃ, περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μήτε ὀδύνης ἐχούσης διὰ φλεγμονὴν, ἢ δι' ἄλλην τινὰ πρόφασιν ἐμφανέα. τούτων οὖν ἡμᾶς ἀναμιμνήσκων, ἔφη τὰς τοιαύτας ἀποστάσεις ἔσεσθαι τοῖς νεωτέροις μᾶλλον.

Τὸ τῆς ἐσομένης ἀποστάσιος σημεῖον.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κε΄.

ΥΠοσκέπτεσθαι δὲ χρὴ τουτέοισιν εὐθέως περὶ τὰ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων ὑπερβάλλῃ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑΙ διὰ τῶν ἔμπροσθεν ἤδη περὶ τῶν χρονιζόντων νοσημάτων διαλεγόμενος, ἐμνημόνευσε τῆς κ΄. ἡμέρας, ὡς ἄχρι ταύτης, μηδέπω χρονίων ὑπαρχόντων αὐτῶν. εἴρηται δὲ πρόσθεν ἡ αἰτία, τοῦ μὴ δύνασθαι τινὰ βέβαιον ὅρον ἕνα θέσθαι νοσημάτων ὀξέων, ὥστ' οὐδὲν θαυμαστόν ἐστι, ἐν τεσσαρεσκαίδεκά τε λέγειν αὐτὸν ἡμέραις κρίνεσθαι τὰ ὀξέα τῶν νοσημάτων, αὖθίς τε τῆς εἰκοστῆς μνημονεύειν. καὶ γὰρ καὶ κατ' αὐτοὺς τοὺς ἀφορισμοὺς, ἔνθα τὴν τεσσαρεσκαιδεκάτην ἡμέραν, ὅρον ἔσχατον ἔθετο τῆς κρίσεως τῶν ὀξέων νοσημάτων, ἐμνημόνευσε καὶ τῆς ιζ΄. ἔστι δ' ἀρχὴ μὲν ἐκείνου τοῦ ἀφορισμοῦ, τὰ ὀξέα τῶν νοσημάτων, κρίνεται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι. τελευτὴ δὲ, θεωρητὴ πάλιν ἡ ιζ΄. αὕτη γάρ ἐστι τετάρτη μὲν ἀπὸ τῆς ιδ΄. ἑβδόμη δὲ ἀπὸ τῆς ια΄.

Γεραιτέροις ἀποστάσιας ἧσσον γίνεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κϛ΄.

ΤΟῖσι δὲ γεραιτέροισιν ἧσσον γίνονται, πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΕόντως, ἐπειδὴ καὶ τοῖς ἀποστάσεσι τισὶ μέλλουσι κρίνεσθαι, τὴν δύναμιν τόνον ἔχειν τινὰ προσήκει, καὶ μὴ παντάπασιν εἰς ἐσχάτην ἀτονίαν καταπεπτωκέναι. διὰ τοῦτ' οὖν, εἰς ὅσον ἂν ἡλικίας προήκοιεν, τὰς ἀποστάσεις ἧττον γίνεσθαι συμβαίνει. τοῖς γέρουσι δὲ, οὐχ ἧττον, ἀλλ' ἥκιστα. νυνὶ δ' οὐ τοὺς γέροντας ἁπλῶς εἶπεν, ἀλλὰ τοῖς τριάκοντα ἔτεσι παραβάλλων, γεραιτέρους ὠνόμασε τοὺς τούτων πρεσβυτέρους. ὅτι δ' οὕτω χρῆται τῇ τοῦ γεραιτέρου προσηγορίᾳ, καὶ διὰ τῶν ἔμπροσθεν ἐδείχθη, καὶ διὰ τῶν ἑξῆς οὐδὲν ἧττον φανεῖται.

Πυρετὸν τὸν μὲν συνεχῆ, ἐς τὴν ἀπόστασιν· διαλείποντα δὲ εἰς τεταρταῖον καταστήσεσθαι.

Febrem continuam in abscessum, intermittentem verò in quartanam desinere.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κζ'.

ΧΡΗ δὲ καὶ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι συνεχέος ἐόντος τοῦ πυρετοῦ· ἐς δὲ τεταρταῖον καταστήσεσθαι, ἢν διαλείπῃ τε καὶ καταλαμβάνῃ πεπλανημένον τρόπον, καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ.

SENTENTIA HIPPOCRATIS 27.

HViusmodi autem abscessus expectandus est, quum febris continua est, in quartanam verò cessuram, si & intermiserit, & erratico modo prehenderit, atque hæc faciens ad autumnum accesserit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙρηται κἀν τοῖς περὶ τῆς διαφορᾶς τῶν πυρετῶν, ὡς ἐπὶ τῷ μελαγχολικῷ χυμῷ γίνονται τεταρταῖοι. λέλεκται δὲ καὶ περὶ τῆς γενέσεως τοῦ χυμοῦ τοῦδε, διττῆς ὑπαρχούσης, ἔκ τε τοῦ παχέος αἵματος, ὅπερ ἀνάλογόν ἐστιν ἐν ταῖς φλεψὶ τῇ κατὰ τοὺς πίθους τῶν οἴνων τρυγί, καὶ τῆς ξανθῆς ὑπεροπτηθείσης. αὕτη μὲν οὖν ἡ μέλαινα χολή, τά τ' ἄλλα κακοήθης ἐστί, καὶ διαβιβρώσκει τὰ μόρια καθ' ἅπερ ἂν τύχῃ πλείων ἀθροισθεῖσα. ἡ δ' ἑτέρα μέλαινα, πρᾳοτέρα τε ταύτης ἐστί, καὶ μάλιστα ἐπειδὰν μήπω τύχῃ κεχρονικυῖα κατὰ τὸ ζῶον, ἢ τινὶ θερμασίᾳ πλείονι, καὶ παρὰ φύσιν, ὡμιληκυῖα. τούτων οὖν οὕτως ἐχόντων, ὅταν ὁ πυρετὸς ᾖ συνεχής, ὅπερ ἐστὶ μὴ παυόμενος εἰς ἀπυρεξίαν, εἰς τὰς προειρημένας ἀποστάσεις τρέπεται χρονίζων. ἐὰν δὲ διαλείπῃ, καὶ τοῦτ' αὐτὸ μάλιστα γίγνηται κατὰ τὴν τελευτὴν τοῦ θέρους, εἰκός ἐστι μεταπεσεῖν τὴν νόσον εἰς τεταρταίαν περίοδον. ὅσον γὰρ ἂν τῶν χυμῶν, ζέσαν ὥρᾳ θέρους ἐν συνεχέσι πυρετοῖς, ἐτελεύτησεν εἰς μέλαιναν χολήν, ἐσβέσθη τρόπον τινά, καὶ κατὰ τοῦτο, τῆς πυρετώδους θερμότητος ὁ κάμνων ἀπηλλάγη, καὶ μάλισθ' ὅταν ἱδρῶτες ἐπιγίνωνται. ἀλλ' ἐὰν μὴ φθάσῃ πως ἡ φύσις, ἐκκρίνασα τὴν οἷον τέφραν τῶν ὑπεροπτηθέντων χυμῶν, αὕτη πάλιν μένουσα κατὰ τὸ σῶμα, καὶ θερμαινομένη, τινὰ σηπεδονώδη διάθεσιν ἐπικτᾶται, καὶ τοῦθ' ὅταν αὐτῇ γένηται ζέσασα, πυρετὸν ἤγειρεν. ἐφ' ᾧ πάλιν ἱδρῶτος γινομένου, συνδιέπνευσε τούτῳ τὸ ζέσαν τῆς μελαίνης, εἶτ' αὖθις ἕτερον ὑπόλειμμα ζέσαν, αὖθις ἕτερον ἀνήγειρε πυρετόν. ἅτ' οὖν μή πω μίαν ἔχοντος πάντος τοῦ σώματος διάθεσιν, ἀλλ' ἔν τισι μὲν μορίοις κινουμένης ἔτι τῆς μελαίνης, ἔν τισι δ' ἀκινήτου κειμένης, ἐν ἄλλοις δὲ σηπομένης, ἢ ζεῖν ἀρχομένης, ἀτάκτους ἀναγκαῖόν ἐστι γίνεσθαι τοὺς πυρετούς. ὅταν δὲ ἐν ἁπάσαις ταῖς φλεψὶν ἡ αὐτὴ διάθεσις γένηται, κρατούσης τῆς μελαίνης, ὁ τεταρταῖος συνίσταται πυρετός, καὶ μάλισθ' ὅταν εἰς τὸ φθινόπωρον, ἐκ τοῦ θέρους ἡ μεταβολὴ γινομένη, τῆς μὲν ἔξω φορᾶς τε καὶ διαπνοῆς ἐπίσχῃ τοὺς χυμούς, ἔσω δ' ἀποστρέφῃ πρὸς τὸ βάθος, ἥν τινα διάθεσιν ὁ χειμὼν διαδεξάμενος, ὡς ἂν ἐπιτείνων διὰ τὸ κρύος τὴν ἔσω φορὰν τῶν χυμῶν, ἄχρι πάλιν ἑτέρας μεταβολῆς γινομένης ἐπὶ τὸ θερμότερον, ἐν ᾧ κατέλαβε νόσημα, φυλάττει τὸ σῶμα.

COMMENTARIVS GALENI.

DIctum est etiam in libris, qui sunt scripti de febrium differentiis, quartanas ab humore melancholico excitari. Dictum quoque est huius humoris originem geminam esse, partim ex crasso sanguine, qui in venis existens similitudinem habet cum vini fæce in doliis desidenti, partim verò ex bile flaua supra modum exusta. Et hæc quidem nigra bilis cùm multis nominibus maligna est, tum partes etiam erodit in quibus redundarit. Illa verò mitior est, præsertim si in corpore animalis non diu manserit, nec illam plurimus præter naturam calor accenderit. Quum igitur hæc ita se habeant, si febris continua est, id est, si nunquam integrum corpus dimittit, illa veterascens vertitur in supradictos abscessus. Sin autem intermittit, idque æstate desinente, verisimile est morbum in febrem quartanam mutatum iri. Nam qui humores postquam æstate ferbuerunt, per continuas febres versi sunt in atram bilem, extincti sunt quodammodo, eamque ob causam sentit æger febrilem calorem leuatum esse, & maximè posteaquam sudores eruperint. Verùm si natura illum veluti cinerem humoris supra modum exusti non properè vacuarit, ille rursus manens in corpore, & concalefactus, magnam quandam propensionem ad putredinem acquirit, quam simul atque nactus est, feruidus febrem excitauit, deinde sudore iterum oborto in ambientē euanuit quicquid atræ bilis ferbuerat. Rursum aliæ reliquiæ concepto feruore aliam febrem denuò suscitarunt. Quoniam igitur non est vna corporis vniuersi dispositio, sed nonnullis quidem in partibus atra bilis adhuc mouetur, in aliquibus verò immobilis manet, in aliis autem putrescit, aut efferuere incipit, inconstantes febres oriri necesse est. Quum verò venas omnes atra bilis abundans æquè afficit, febris quartana prouenit, eo præsertim tempore, quo æstas in autumnum commigrans humores extrà ferri, & transpirare prohibet, sed introrsum potius repellit. Ac siquidem affecto corpore, hyems sequens, vt quæ recursum humorum ad interna suo frigore adiuuet, etiam calorem alium maiorem inuehit, & corporis ægritudinem, quam deprehendit, conseruat.

Τοῖς νεωτέροις τὰς ἀποστάσιας, γεραιτέροις δὲ τεταρταίους μᾶλλον γίνεσθαι.

Iunioribus abscessus, senioribus quartanas magis accidere.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κη'.

ΩΣπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριηκονταέτεσι, καὶ γεραιτέροισι.

SENTENTIA HIPPOCRATIS 28.

QVemadmodum autem iunioribus triginta annis abscessus fiunt; ita quartanæ magis his qui triginta sunt annorum, & senioribus.

COMMENT.

COMMENTARIVS GALENI.

De mutatione ætatis dictum est alibi copiosius. Nunc satis erit summatim dicere. Pueruli plurimùm habent sanguinis, eúmque solum humorem si ætatis temperamentum spectemus, deberent possidere. Verùm quum & affatim, & sine ordine cibos ingerant, aliquos etiam humores crudos reponunt. Quum verò ad adolescentiam peruenerint, aliqui ex his meliùs educati victu vtuntur bono, eámque ob causam solus sanguis in illis redundat. Alij verò longè peiorem, quàm parui pueri rationem victus sequuntur. Quare cumulata humorum crudorum copia, assiduis, & vehementibus morbis conflictantur. Ætate verò sequenti biliosus humor gignitur, his potissimùm, qui prauis cibis victitarunt adeò, vt non modò sanguis redundet, sed humor etiam ille, qui & pallida, & flaua bilis nuncupatur. Id autem fit vsque ad annum trigesimum, vel vsque ad trigesimum quintum. Est enim primum aduenientis frigoris initium annus trigesimus, extremum trigesimus & quintus. Multis verò medij inter hos anni tum propter naturam ab ipso ortu contractam, tum propter alia omnia, quæ circunstantiis, aut consuetudinum, vel studiorum varietate adolescentiam immutant, caloris in frigus mutationem primi attulere. Et hanc quidem ob causam Hippocrates plerumque trigesimum dicit, vt hoc loco, sæpè trigesimum quintum nominat. Neque enim certò constitui potest vnus omnium communis modus, quòd aliæ aliis mutationes incidant. Verùm huius tu mihi de quo etiam priùs dictum est in libro tertio de diebus criticis perpetuò recordare. Quod si feceris, & præcedentibus coniunxeris, non erit difficile eorum causam, quæ hoc loco scripsit Hippocrates reperire. Nam quemadmodum in ipsis anni temporibus necesse est humores plus iusto per æstatem excalefactos, atque vt ita dicam, ferueफactos, in atram bilem conuerti, quam in corpore coaceruatam autumnus excipiens, quoniam frigidus est, non patitur æquè difflari nec facilè vacuari, ita & in ætatibus declinatio. Quæ totum illum humorem, qui per vigorem ætatis feruens in atram bilem transiit, difficulter exhalans, multò est ad febres quartanas propensior. Et illi quidem qui hanc ætatem degunt, longè maius spatium ad vacuationem huiusmodi humoris desiderant. Quamobrem dum ab ea ad senectutem itur, quidam magis, alij autem minus morbis omnibus melancholicis scatent, vt elephantis, cancris, lepris, melancholiis, & febribus quartanis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῆς καθ' ἡλικίαν μεταβολῆς, εἴρηται μὲν ἐπὶ πλέον ἑτέρωθι, διὰ κεφαλαίων δὲ νῦν εἰπεῖν ἀρκέσει. τὰ μὲν παιδία, πλεῖστον ἔχει τὸν τοῦ αἵματος χυμόν. καὶ μόνον γε τοῦτον εἶχεν ἄν, ὅσον ἐπὶ τῇ κατὰ τὴν ἡλικίαν κράσει. πολλὰ δ' ἐσθίοντα, καὶ μέντοι καὶ ἀτακτότερα ὑπάρχοντα, ἀποτρέφει τι καὶ τῶν καλουμένων ὠμῶν χυμῶν. ὁπόταν δ' εἰς τὴν τῶν μειρακίων ἡλικίαν ἀφίκηται, τινὰ μὲν ἤδη καλῶς διαιτᾶται, βελτίονος ἀγωγῆς εὐτυχήσαντα, καὶ οὕτως αὖθις αἷμα πλεονάζει μόνον. ἔνια δὲ τῶν μειρακίων, πολὺ χεῖρον, ἢ οἱ σμικροὶ παῖδες, καὶ τοίνυν νοσεῖ ταῦτα συνεχῶς τε ἅμα καὶ σφοδρῶς, ἀθροίζοντα πλῆθος ὠμῶν χυμῶν. τοῖς ἐφεξῆς δὲ τῇδε τῇ ἡλικίᾳ, καὶ μάλιστα τοῖς κακῶς διαιτωμένοις, ὁ πικρόχολος ἀποτρέφεται χυμός, ὥστε πλεονάζειν τούτοις, οὐχ αἷμα μόνον, ἀλλὰ κἀκεῖνον, ὥσπερ ὠχρά τε, καὶ ξανθὴ χολὴ προσαγορεύεται, καὶ γίνεται τοῦτο, τισὶ μὲν ἄχρι τριάκοντα ἐτῶν, ἐνίοις δὲ, ἄχρι πέντε καὶ τριάκοντα. πρῶτος μὲν γὰρ ὅρος ἐστὶ τῆς ἐπὶ τὸ ψυχρὸν μεταβολῆς, ὁ τῶν λ΄. ἐτῶν. ἔσχατος δὲ, ὁ τῶν πέντε καὶ τριάκοντα. πολλοῖς δὲ ἐν τῷ μεταξὺ, διά τε τὴν ἐξ ἀρχῆς φύσιν, ὅσα τε κατὰ τὰς περιστάσεις, ἢ ἐθῶν, ἢ προαιρέσεων διαφορὰς ὑπαλλάττεται, τὴν ἀκμαστικὴν ἡλικίαν παρέγραψε. διὰ τοῦτο οὖν, καὶ ὁ Ἱπποκράτης, ἐνίοτε μὲν τοῦ τριακοστοῦ μνημονεύει, καθάπερ ἄρτι, πολλάκις δὲ πέμπτου καὶ τριακοστοῦ. τῷ γὰρ ἄλλας ἄλλοις γίνεσθαι μεταβολὰς, οὐχ οἷόν τε ὁρίσαι βεβαίως, ἓν ἐφ' ἅπασι μέτρον κοινόν. ἀλλὰ τούτου μὲν ἀεί μοι μέμνησο, λελεγμένου καὶ πρόσθεν, ἐν τῷ τρίτῳ περὶ κρισίμων ἡμερῶν λόγῳ, μεμνημένος γε μὴν αὐτοῦ, καὶ προσθεὶς τοῖς προειρημένοις, οὐ χαλεπῶς εὑρήσεις τὴν αἰτίαν, ὧν κατὰ τήνδε τὴν ῥῆσιν ὁ Ἱπποκράτης ἔγραψεν. ὥσπερ γὰρ ἐν ταῖς ὥραις, τοὺς ἐν τῷ θέρει θερμανθέντας ἐπὶ πλέον χυμοὺς, καὶ ὡς ἂν εἴποι τις, ζέσαντας, ἀναγκαῖον ἦν γεννῆσαι τὸν μελαγχολικὸν χυμὸν, ὃν διαδεξάμενον ἢ ἀθροισμένον ἐν τῷ σώματι τὸ φθινόπωρον, ἅτε ψυχρὸν ὂν, οὐκ ἐπιτρέπει διαπνεῖν ὁμοίως ἐκτὸς, οὐδὲ κενοῦσθαι ῥᾳδίως, οὕτως ἐν ταῖς ἡλικίαις ἡ παρακμή. ὅσον γὰρ ἐν τῇ ἀκμῇ ζέσαν τῶν χυμῶν, εἰς μέλαιναν χολὴν μετέβαλε, τοῦτο δυσκόλως αὐτὴ διαφοροῦσα, τοῖς τεταρταίοις μᾶλλον ἐργάζεται πυρετοὺς, καὶ χρόνου γε πλείονος δεῖται, τοῖς κατὰ τὴν ἡλικίαν ταύτην, πρὸς τὸ καθαρθῆναι τὸ σῶμα τῆς τοιαύτης χολῆς, ὅθεν ἄχρι τοῦ γήρως ἐν τῷ μεταξὺ, τὰ μελαγχολικὰ πάντα νοσήματα, τοῖς μὲν μᾶλλον πλεονάζει, τοῖς δ' ἧττον, ἐλέφαντες, καρκῖνοι, λέπραι, μελαγχολίαι, καὶ τεταρταῖοι πυρετοί.

Abscessus hyeme magis fieri.

SENTENTIA HIPPOCRATIS 29.

Scire autem conuenit abscessus hyeme magis contingere, tardiusque cessare, & minus recurrere.

Ἀποστάσιας τοῦ χειμῶνος μᾶλλον γίνεσθαι.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ κε΄.

Τὰς δὲ ἀποστάσιας, εἰδέναι χρὴ τοῦ χειμῶνος μᾶλλον γινομένας, χρονιώτερόν τε παυομένας, ἧσσόν τε παλινδρομούσας.

COMMENTARIVS GALENI.

Tres de abscessibus enunciationes hac oratione Hippocrates confecit. Quarum prima est, eos potissimùm per hyemem excitari. Secunda tardius desinere. Tertia minus reuerti.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τρεῖς ἀποφάσεις ἐποιήσατο περὶ τῶν ἀποστάσεων ὁ Ἱπποκράτης κατὰ τὸν ἐνεστῶτα λόγον. μίαν μὲν καὶ προτέραν, ὅτι γίνονται μᾶλλον ἐν χειμῶνι, δευτέραν δὲ, ὅτι χρονιώτερον παύονται, καὶ τὴν τρίτην, ὅτι παλινδρομοῦσιν ἧττον,

ὅτι μὲν οὖν ἐν τῷ χειμῶνι γίνονται μᾶλλον, ὁ πλεονάζων ἐν αὐτῷ χυμὸς ἐνδείκνυται. λέλεκται γὰρ ἤδη καὶ πρόσθεν ἐν κρίσεσι μὲν, τοὺς θερμοὺς, ἀποστάσεσι δὲ, τοὺς ψυχροὺς κινεῖσθαι χυμούς. ὅτι δὲ καὶ χρονιώτερον παύονται, τήν τε τοῦ χυμοῦ φύσιν αἰτιατέον ἐστὶ, καὶ τὴν τοῦ περιέχοντος ψυχρότητα. διαφορηθῆναι μὲν γὰρ δεῖ πάντως τὸν κατασκήψαντα χυμὸν, ἵνα θεραπευθῇ τὸ ἀπόστημα. δυσδιαφορητότεροι τέ εἰσιν οἱ παχεῖς, καὶ ψυχροὶ, καὶ μάλιστα ὅταν ᾖ καὶ τὸ περιέχον ψυχρόν. διὰ δὲ τὰς τοιαύτας αἰτίας, καὶ παλινδρομοῦσιν ἧττον, ἐπειδὴ κίνησίν τινα τοῖς παλινδρομοῦσι προσεῖναι χρὴ, δυσκίνητοι δ᾽ οἱ ψυχροί.

Quòd quidem magis hyeme generentur, humor in ipsa exuperans indicat. Dictum enim etiam antè fuit, calidos excerni, frigidos autem abscedere. Quod autem tardius desinant, ad naturam humoris, & ambientis frigiditatem causa referenda est. Namque necesse est humorem digeri, qui abscessit, vt ipse abscessus curetur. Atqui difficillimè digeruntur crassi, frigidique, præsertim si ambiens frigidus est. Sed & frigidi haud facilè mouentur, quas quidem ob causas etiam reuerti non solent.

Περὶ τῶν αὐτομάτως γινομένων ἐμέτων.

De vomitionibus sponte factis.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λ΄.

Ὅστις δ᾽ ἂν ἐν πυρετῷ μὴ θανατώδει φήσῃ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, εἰ καὶ καρδιωγμὸς τουτέῳ προσγένηται, χολώδης ἔμετος παρέσται. ἢν δὲ καὶ ῥῖγος προσγένηται, καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται. ἢν δέ τι πίῃ, ἢ φάγῃ, ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα τοῦτο ταχέως ἐμεῖται.

SENTENTIA HIPPOCRATIS 30.

Qvicunque verò in febre nō lethali dixerit caput dolere, aut etiā præ oculis tenebrosum quiddam apparere, aut oris ventriculi morsus accesserit, ei biliosa vomitio aderit; Si verò etiam rigor accesserit, & inferiores hypochondrij partes frigidas habuerit, & adhuc citius vomitus aderit; At si quid sub id tempus biberit, aut ederit, id perquam celeriter euomet.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν αὐτομάτως γινομένων ἐμέτων, κρίσεως λόγῳ, διδάσκει νῦν ὁ Ἱπποκράτης. ἔστι δ᾽ αὐτοῦ πρῶτος μὲν διορισμὸς, ἀπὸ τοῦ μὴ θανατῶδες εἶναι τὸ νόσημα, κέκληκε δὲ ἤδη περιεστηκὸς οὐκ ὀλιγάκις τὸ τοιοῦτον. δεύτερον δὲ ἀπὸ τοῦ τὴν κεφαλὴν ἀλγοῦντι τῷ κάμνοντι, προφαίνεσθαι τι πρὸ τῶν ὀφθαλμῶν ὀρφνῶδες, ὅπερ σημαίνει τὸ μέλαν, ἐξ ἀναθυμιάσεως χολῆς ξανθῆς ἀκράτου γινόμενον. αὕτη γὰρ ἐπὶ πλέον θερμανθεῖσα, καὶ ὡς ἂν εἴποι τις ὑπεροπτηθεῖσα, μέλαιναν ἀναθυμίασιν, οἷον λιγνύν τινα πρὸς τὴν κεφαλὴν ἀναπέμπει, δι᾽ ἣν αἱ κεφαλαλγίαι γίνονται. ὅσον δ᾽ ἂν αὐτῆς ἐπὶ τοὺς ὀφθαλμοὺς ἀφίκηται, θολερώτερον ἐργάζεται τὸ κατ᾽ αὐτοὺς ὑγρὸν, λαμπρὸν φύσει καὶ καθαρὸν ὑπάρχον, ὡς γίνεσθαι τινα κατάστασιν, ὁμοίαν τῇ περὶ τὸν καθαρώτατόν τε καὶ φανώτατον ἀέρα, δεχόμενον ἐξαίφνης εἰς ἑαυτὸν, ἤτοι καπνώδη τινὰ ἢ λιγνυώδη μελανότητα. ταύτης οὖν τῆς ἀναθυμιάσεως αἰσθανόμενον, τὸ ἀπ᾽ ἐγκεφάλου παραγινόμενον εἰς τοὺς ὀφθαλμοὺς ὀπτικὸν πνεῦμα, καθάπερ ἐπὶ τῶν ὑποχεομένων, τὴν φαντασίαν ὧν εἶπεν ὀρφνωδῶν ἀποτελεῖ. γινομένης δ᾽ ἐνίοτε κἀκ τῶν κατὰ τὸν πνεύμονα τόπων ἀναθυμιάσεως τοιαύτης, διακρίνομεν αὐτὴν τῆς ἀπὸ στομάχου, τῇ καρδιαλγίᾳ. πνεύμονα μὲν γὰρ οἱ τοιοῦτοι χυμοὶ λανθάνουσιν, ἤτοι δυσαίσθητον, ἢ παντελῶς ἀναίσθητον ὄντα. τὸ δὲ τῆς γαστρὸς στόμα, καλεῖται δὲ τοῦτο, ὡς ἴσμεν, καὶ καρδία, διὰ τὸ μέγεθος ὧν ἔχει νεύρων αἰσθητικῶν, οὐδὲν λανθάνει τῶν κατ᾽ αὐτό. δακνόμενον οὖν ὑπὸ τοῦ πικροχόλου χυμοῦ, τὸν καλούμενον οὕτω καρδιωγμὸν ἐργάζεται, διὸ καὶ χολώδης ἔμετος αὐτοῖς γίνεται. τοιοῦτον γὰρ καὶ ὁ Θουκυδίδης ἐδήλωσεν, ἔνθα φησί, καὶ ὁπότε ἐς τὴν καρδίαν στηρίξε, ἀνέστρεφέ γε αὐτὴν, καὶ ἀποκαθάρσεις χολῆς, ὁπόσαι ὑπὸ τῶν ἰατρῶν ὠνομασμέναι εἰσὶν, ἐπῄεσαν. τὸ γὰρ ἀνέστρεφεν, ἐπὶ τῆς πρὸς ἔμετον ὁρμῆς εἶπεν, αὐθέως γε καὶ καρδίαν ὀνομάσας τὸ στόμα τῆς γαστρός. διὸ δὴ καὶ τὰς δήξεις αὐτοῦ, καρδιωγμούς τε, καὶ καρδιαλγίας ὀνομάζουσι,

COMMENTARIVS GALENI.

De vomitibus sponte per crisim excitatis nunc disserit Hippocrates. Qua in re geminam adhibet distinctionem. Primam quidem, ne sit lethalis morbus, quem Hippocrates non rarò antea morbum salubrem appellauit. Secundam verò, vt æger capitis dolore vexatus nigra quædam, quæ Hippocrates ὀρφνώδη dixit, ante oculos versari putet. Id quod accidit flaua bile syncera vaporem emittente. Hæc enim vbi supra modum incaluerit, & vt ita loquar, superadusta fuerit, atrum quendam vaporem non dissimilem fuligini exhalat in caput, à quo capitis dolores proueniunt. Quod autem ex eo peruenit in oculos, id humorem, quem hi splendentem purúmque natura continent, offuscat adeò, vt purissimo & splendidissimo aëri, qui fit repentè præ fumo aut fuligine obscuratus, similis esse videatur. Quem vaporem ille videndi spiritus, qui à cerebro in oculos proficiscitur hauriens, nigra illa, quæ dixit Hippocrates, sicut per suffusiones, imaginatur. Sed quum vapor ille possit etiam ex pulmone efferri, cordis dolore discernimus ab eo, quem ventriculus mittit. Hi nanque humores pulmonem latent, quòd vel non facilè ipse sentiat, vel nullam prorsus possideat sentiendi vim. At verò ventriculi os (quod etiam cor dici neminem fugit) propter neruorum quos habet sentientium magnitudinem, nihil non percipit, quod in ipso est. Itaque demorsum ab humore bilioso cordis dolores inuehit, vndè & bilis vomitus procedunt. Id enim etiam Thucydides indicauit scribens hunc in modum. *Atque vbi inhæsit cordi, ipsum subuertit, & subsequutæ sunt bilis vacuationes, quas Medici prodidere.* Nam quod ait cor subuersum fuisse, de illo vomendi conatu intellexit. Ecce autem & cor vocant ventriculi os; propterea, quòd illius morsus cordis dolores dici solitum est.

Scripsit

Scripsit autem alio in loco Hippocrates in his, qui isto affecti sunt modo idem à labro inferiore non quieto, sed motu vehementer agitato indicari. Namque interna ventriculi tunica à bile demorsa talis in labro motus concitatur. Didicimus enim ex anatome hanc totam tunicam omni ex parte continuam esse tum vniuerso ventriculo, tum gulæ; tum linguæ, tum paato, tum toti ori. Hæc igitur est, quæ labra mcu exagitat, si quando ab acri bile in ore venticuli collecta mordeatur. Solet enim is humo præ leuitate emergere. Eámque ob causam relicto ventriculi fundo in os ipsius conscendt, & vomitu facilè educitur. Quòd si tunc etiam horror hominem inuaserit, ille bilem multò non modò citiùs, verùm etiam abundantiùs euomet. Horror enim sæpè vomitum bilis prouocat, quemadmodum in libro, qui de ipso scriptus est, ostendimus. Si verò aliquid sub hoc tempus æger ederit, vel biberit, multò etiam celeriùs vomet, quòd illa quæ sumpta sunt, bilis in ventriculo contenta corrumpat.

A ἑτέρωθι δ' Ἱπποκράτης ἔγραψεν, ὡς τὸ κάτω χεῖλος, τὸ αὐτὸ ἐπισημαίνει τοῖς οὕτως ἔχουσιν, οὐχ ἡσυχάζον, ἀλλὰ διασειόμενόν πως, ἐπειδὰν δακνόμενος ὑπὸ τῆς χολῆς ὁ ἔνδον τοῦ στομάχου χιτών, τὴν τοιαύτην τὸ χεῖλος λαμβάνει κίνησιν. ἐμάθομεν γὰρ ἐκ τῆς ἀνατομῆς, ἕνα τοῦτον ὅλον εἶναι τὸν χιτῶνα συνεχῆ, κατὰ πᾶν ἑαυτῷ, τῆς δ' ὅλης γαστρὸς, καὶ τοῦ στομάχου, καὶ γλώττης, καὶ οὐρανίσκου, καὶ ὑπερῴας, ὅλου τε τοῦ στόματος. ἔστιν οὖν αὐτὸς ἐστιν, ὁ καὶ τὰ χείλη διασείων, ὅταν ὑπὸ δριμείας χολῆς ἠθροισμένης ἐν τῷ στόματι τῆς γαστρὸς, δάκνηται. πέφυκε γὰρ οὗτος ὁ χυμὸς ἐπιπολάζειν, ὑπὸ κουφότητος, καὶ
B διὰ τοῦτο, ἐπὶ τὸν στόμαχον ἀνέρχεται, καταλιπὼν τὸν πυθμένα τῆς γαστρὸς, ἐμεῖταί τε ῥᾳδίως. ἂν δὲ καὶ ῥῖγος ἐπιλάβῃ τηνικαῦτα τὸν ἄνθρωπον, ἔτι δὴ καὶ μᾶλλον ὁ ἔμετος, οὐ θᾶττον μόνον, ἀλλὰ καὶ πλείονος ἔσται χολῆς, εἰωθότος ὡς τὰ πολλὰ τοῦ ῥίγους ἐμέτον χολῆς ἐργάζεσθαι, καθότι κἀν τῷ περὶ αὐτοῦ δέδεικται λόγῳ. καὶ μὲν δὴ καὶ εἰ πίῃ τι, καὶ φάγῃ κατὰ τὸν καιρὸν ἐκεῖνον ὁ ἄνθρωπος, ἔτι δὴ καὶ μᾶλλον ἐμεῖται ταχέως, ἐπειδὰν συνδιαφθείρεται τὰ ληφθέντα, κατὰ τὴν γαστέρα, χολῇ.

Tres doloris capitis differentiæ ac termini.

C Τρεῖς διαφοραὶ τοῦ ἀλγήματος κεφαλῆς, καὶ προθεσμίαι τρεῖς.

SENTENTIA HIPPOCRATIS 31.

QVibus autem horum inceperit dolor primo die fieri, ij quarto die premuntur maxime, & quinto; at septimo liberantur. Quin eorum plerique tertio die dolere incipiunt, iactantur autem maximè quinto, verùm nono, aut vndecimo liberantur. Qui verò quinto die dolere cœperit, & cætera pro ratione prioribus ipsis accidunt, ad 14. diem iudicatur morbus.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λα'.

ΤΟυτέων δὲ, οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, τεταρταῖοι πιέζευνται μάλιστα καὶ πεμπταῖοι· ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται. οἱ μέντοι πλείονες αὐτῶν ἄρχονται μὲν πονέεσθαι τριταῖοι, χειμάζονται δὲ μάλιστα πεμπταῖοι, ἀπαλλάσσονται δὲ ἐνναταῖοι, ἢ ἑνδεκαταῖοι. οἱ δ' ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τἄλλα κατὰ λόγον αὐτέοισι τῶν πρόσθεν γίνονται, ἐς τὴν τεσ-
D σαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος.

COMMENTARIVS GALENI.

TRes doloris capitis in tempore differentias expressit, totidémque præscripsit dies in quibus singulæ iudicantur. Quarum prima est doloris capitis primo die, quo cœpit morbus, inuadentis. Secunda tertio. Tertia autem quinto. Horum quidem dolorum omnium commune est die ferè septimo postquàm corripuerint desinere. Ergo qui primo inchoauit, septimum habet decretorium, qui tertio cœpit, decimum, si numerum quidem septenarium spectemus. At quia decimus non solet iudicare, nono vel vndecimo iudicium fiet, vno scilicet die celeriùs, vel tardiùs definito illo per hebdomadas tempore. Velim autem memineris adductum esse hoc loco diem nonum, vt iudicantem, quemadmodum & prius, sicut ostendi, tertium, non quòd hi dies ex quaternis septenisve circuitibus vim iudicandi possideant, sed quòd ratio in hunc ordinem eos inserat, sicut in libris de diebus decretoriis demonstrauimus. At verò tertia doloris capitis differentia, die quinto exoriens ad quartumdecimum protenditur propterea quòd nec caliditas magna est, nec vehementia. Perspicuum autem est, quòd quum dolor die quinto prehenderit, & prioribus illis quinque diebus septem alij accedant, omnes effici duodecim, diem verò duodecimum non esse decretorium, nec verò posse iudicium die vno maturiùs fieri. Hoc enim acutissimis morbis proprium esse ostensum est. Iure itaque ad quartumdecimum peruenit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΡεῖς διαφορὰς εἴρηκε κατὰ χρόνον, ἀλγήματος κεφαλῆς, καὶ τρεῖς προθεσμίας τῆς κρίσεως αὐτῶν. πρώτη μὲν οὖν ἐστι διαφορὰ, τῆς κατὰ τὴν πρώτην ἡμέραν τοῦ νοσήματος, ἀρχομένης τῆς κεφαλαλγίας, δευτέρα δὲ, τῆς κατὰ τὴν τρίτην, τρίτη δὲ, τῆς κατὰ τὴν ε'. ἁπάσαις γε μὴν αὐταῖς κοινόν ἐστιν εἰς τὴν ζ'. πως ἡμέραν ἀφ' ἧς ἤρξαντο, τελευτᾶν. ἡ μὲν οὖν κατὰ τὴν πρώτην ἀρξαμένη, τὴν ἑβδόμην ἔχει αὐτὴν κρί-
E σιμον. ἡ δὲ κατὰ τὴν τρίτην, ὅσον ἐπὶ τῷ τῆς ἑβδομάδος ἀριθμῷ, τὴν δεκάτην. ἐπεὶ δὲ οὐκ ἔστιν αὕτη κρίσιμος, εἰς τὴν θ'. ἢ ἑνδεκάτην, ἡ κρίσις ἀφικνεῖται, τῆς ἑβδομαδικῆς προθεσμίας, ἤτοι πρωϊαίτερον, ἢ ὀψιαίτερον ἡμέραν μίαν. καί μοι μέμνησο πάλιν, ὅτι καὶ τῆς θ'. ἡμέρας ὡς κρινούσης ἐμνημόνευσε νῦν καθάπερ καὶ πρόσθεν, ὡς ἔδειξα, τῆς τρίτης, οὐ κατὰ τετράδων, ἢ ἑβδομάδων περίοδον ἐχουσῶν τὸ κρίνειν, ἀλλὰ τῷ λόγῳ παρεμπιπτουσῶν, ὡς ἐν τοῖς περὶ κρισίμων ἐδείχθη. καὶ μὲν δὴ, καὶ ἡ τρίτη διαφορὰ τῆς κεφαλαλγίας, ἡ κατὰ τὴν πέμπτην ἡμέραν ἀρχομένη, ἄχρι τῆς ιδ'. ἐκτείνεται, διὰ τὸ μὴ
F πάνυ θερμή τις εἶναι, καὶ κατεπείγουσα. δηλοῖ δὲ ἐκ τοῦ κατὰ τὴν ε'. ἡμέραν ἄρξασθαι, καὶ διὰ τὸ τῆς ἑβδομάδος προστεθείσης, ταῖς πρώταις πέντε, ταὶ πάσας γίνεσθαι ιβ'. κρίσιμον δὲ οὐκ εἶναι τὴν ιβ'. οὐ μὴν οὐδὲ προλαβεῖν οἷόν τ' ἐστὶ τὴν μίαν ἡμέραν. ἐδείχθη γὰρ τοῦτο τῶν ὀξύτατα κινουμένων ἴδιον. εἰκότως οὖν εἰς τὴν ιδ'. ἐξέπεσε.

Τοῖς ἀνδράσι, καὶ ταῖς γυναιξὶν ἐν τριταίοις τε, καὶ τοῖς συνεχεστέροις πυρετοῖς τὰς κεφαλαλγίας γίνεσθαι.

Viris & mulieribus, in tertianis ac continuis febribus dolores capitis accidere.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λβ'.

Γίνεται δὲ ταῦτα τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶν, ἐν τοῖσι τριταίοισι μάλιστα. τοῖσι δὲ νεωτέροισι, γίνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ καὶ ἐν τοῖσι ξυνεχεστέροισι πυρετοῖσι, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισι.

SENTENTIA HIPPOCRATIS 32.

Ista autem viris quidem & mulieribus, in tertianis maximè contingunt. Iunioribus verò fiunt quidem & in his, verùm magis & in perassiduis febribus, & in legitimis tertianis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῖς μὲν ἤδη τελείοις, ἐφ' ὧν εἴωθε φέρειν τὴν τῶν ἀνδρῶν, καὶ γυναικῶν προσηγορίαν, ἐν πᾶσι τοῖς τριταίοις πυρετοῖς, γίνεται τὰ τοιαῦτα, διὰ τὸ χολωδεστάτην εἶναι τὴν ἡλικίαν. ἐν δὲ τοῖς νεωτέροις αὐτῶν, οὐκ ἐν πᾶσιν, ἀλλ' ἐν μόνοις τοῖς ἀκριβέσι τριταίοις, οἵπερ εἰσὶ χολωδέστατοι. γίνεται δὲ κἀν τοῖς ὀξυτάτοις νοσήμασι, χολωδέστατα γὰρ καὶ ταῦτα, καὶ δῆλον, ὅτι καὶ τοῖς τελείοις πολλῷ μᾶλλον. ἀκόλουθον γὰρ ὂν τοῦτο τοῖς προειρημένοις, οὐκέτι προσέγραψεν, ὡς καὶ πρὸς ἡμῶν νοεῖσθαι δυνάμενον.

COMMENTARIVS GALENI.

His quibus ætas integra est, quos Hippocrates virorum & mulierum nomine solet designare, hæc eueniunt per omnes febres tertianas, propter bilem, quæ tum ætati copiosissima est. Natu verò minoribus non per omnes, sed exquisitas duntaxat, quæ biliosissimæ sunt. Fiunt autem & per morbos acutissimos, nam & illi sunt maximè biliosi. Et multò quidem magis in ipso ætatis vigore. Id quod non est adscriptum, quia & ex præcedentibus consequitur, & facilè à nobis intelligi potest.

Νεωτέροις τὰς αἱμορραγίας, γεραιτέροις ἐμέτους μᾶλλον γίνεσθαι.

Iunioribus hæmorrhagias, senioribus vomitiones magis accidere.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λγ'.

Οἷσι δὲ ἂν ἐν τοιουτοτρόπῳ πυρετῷ κεφαλὴν ἀλγέουσιν, ἀντὶ μὲν τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωγμὸς γίνεται, ἢ μαρμαρυγαὶ προφαίνονται, ἀντὶ δὲ τοῦ καρδιώσσειν ἐν τῷ ὑποχονδρίῳ, ἢ ἐπὶ δεξιὰ, ἢ ἐπ' ἀριστερὰ ξυντείνεταί τι, μήτε ξὺν ὀδύνῃ μήτε σὺν φλεγμονῇ, αἷμα δὴ διὰ ῥινῶν τουτέοισι ῥυῆναι προσδόκιμον, ἀντὶ τοῦ ἐμέτου, μᾶλλον δὲ καὶ ἐνταῦθα, τοῖσι νέοισι (νεωτέροισι), τοῦ αἵματος τὴν ῥῆξιν (ῥύσιν) προσδέχεσθαι, τοῖσι δὲ τριήκοντα ἔτεσι, καὶ γεραιτέροισιν, ἧσσον, ἀλλὰ τοὺς ἐμέτους τούτοισι προσδέχεσθαι.

SENTENTIA HIPPOCRATIS 33.

At quibus per huiusmodi febrem caput dolentibus pro tenebris ante oculos apparentibus visus hebetudo contingit, vibrantesque splendores obuersantur, & pro oris ventriculi morsu in hypochondrio ad dextra aut ad sinistra aliquid contenditur, neque cum dolore, neque cum inflammatione, iis pro vomitu sanguinem è naribus fluxurum expectandum est. Magis verò & hîc iuuenibus sanguinis eruptionem expectare oportet; at trigesimum annum agentibus, aut etiam senioribus minùs: sed his vomitiones expectandæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοιουτότροπον εἴρηκε πυρετὸν, ὃν κατὰ τὴν ἀρχὴν τοῦ λόγου, διὰ τῆσδε τῆς λέξεως ἐδήλωσεν. ὅτῳ δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φησὶ τὴν κεφαλὴν ἀλγέῃ. τοῦτο οὖν κοινὸν ἀμφοτέροις φυλάξας τοῖς πυρετοῖς, κοινὸν αὖθις ἔτι ἔσεσθαι τὸ κριθῆναι δι' ἐκκρίσεως, ἔφη, τὸ ἴδιον δ' ἑκατέρῳ προσέθηκεν, ἐν τῷ τῆς ἐκκρίσεως εἴδει. χολώδη μὲν ἔμετον τῷ προτέρῳ, αἱμορραγίαν δ' ἐν τῷ δευτέρῳ. τὰ δὲ τούτων δηλωτικὰ σημεῖα, τῷ μὲν προτέρῳ, τά τε φανταζόμενα θεάματα ὀρφνώδη, καὶ τὸν καρδιωγμόν. τῷ δὲ δευτέρῳ, ἀμβλυωπίαν τε, καὶ μαρμαρυγὰς, καὶ σύντασιν ἐν ὑποχονδρίῳ, χωρὶς ὀδύνης καὶ φλεγμονῆς, γνωρίσματα μέγιστα τῆς ἄνω ῥοπῆς τῶν χυμῶν. εἰρήκει δὲ καὶ ἔμπροσθεν, αἱμορραγίας ἐπιφέρεσθαι κρισίμως ταῖς καθ' ὑποχόνδριον φλεγμοναῖς, καὶ μᾶλλον τοῖς νεωτέροις, ἐφ' ὧν αἷμα πλεονάζει, καὶ αὖθις αὐτό τε τοῦτο νῦν προσέγραψε, καὶ ὡς οἱ χολώδεις ἔμετοι τοῖς ἀκμάζουσι γίνονται. κατὰ δὲ τὸ πρῶτον τῶν ἐπιδημιῶν, καὶ δακρύειν ἀκουσίως ἔφη τοὺς μέλλοντας αἱμορραγήσειν ἐκ ῥινῶν.

COMMENTARIVS GALENI.

Per febrem eiusmodi, intelligit illam, quam initio huius sermonis designauit, his verbis. *Si cui in febre non lethali caput dolet.* Quod quidem febri vtrique commune retinens, hoc insuper illis commune dicit esse, iudicari vacuatione. Verùm vtrique peculiarem quandam vacuationis speciem assignauit. Priori quidem vomitum biliosum, alteri verò sanguinis profusionem. Et priori quidem notas vomitum indicantes, spectra quædam mente concepta, & dolorem cordis; Alteri verò oculorum hebetudinem, splendores, tensionem præcordiorum citra dolorem, & inflammationem, maxima profectò humoris sursum ascendentis documenta. Est autem priùs quoque dictum ex inflammationibus præcordiorum, sanguinem decretoriè profundi solitum, præsertim iunioribus, in quibus sanguinis abundantia est. Quod & ipse nunc denuò adiecit, atque etiam vomitus biliosos esse in ipso ætatis vigore. Sed & primo libro Epidemiôn inuitos illachrymare dicit, quibus sanguis per nares exiturus est.

Quæ

Quæ omnia si componas, atque his præterea adiungas, quæ sunt ab eo libris aliis prodita, futurum sanguinis profluuium nunquam non præsagies, & maximè si vacuationis signum, quod pulsus exhibent, quódque semper decretorias sanguinis profusiones pręcedit, eo tempore deprehenderis.

De conuulsionibus in febre oborientibus.

SENTENTIA HIPPOCRATIS 34.

At verò pueris conuulsiones accidunt si febris acuta fuerit, & venter non deijciat, & vigilent, & perterreantur, & eiulēt, & colorem immutent, & ex viridi pallidum, aut liuidum, aut rubrum induant. Hæc autem puerulis quidem recens natis ad septimum vsque annum promptissimè eueniunt. Adultiores autem pueri & viri non iam per febres conuulsionibus prehenduntur, nisi vehementissimorum ac pessimorum signorum quæ phrenitidi oboriuntur, quoddam accesserit.

COMMENTARIVS GALENI.

NVnc de conuulsionibus edisserit, non illis quidem, quæ partem modò vnam occupant, sed quæ totius corporis sunt. Excitantur autem hæ in pueris promptissimè, sed præsertim lactantibus, cùm alias ob causas, tùm maximè propter lac ipsum, eóque magis, quò crassius extiterit, tum quòd multo, atque intempestiuo vtantur alimento, quippe qui non aliud ex his, quæ in vita aguntur, norint, quàm manducare. Est enim illis omne genus neruosum infirmum. Nam quum tres existant facultates, quibus corpus regitur, duas quidem pueri, quàm aliis magis validas possident, vnam autem, quæ per neruos est, habent imbecilliorem. Et eam quidem ob causam facillimè conuelluntur, rursúmque in statum naturalem haud difficulter redeunt. At quibus iam ætas integra est, neque facilè conuulsio superuenit, neque discedit, propter robur in neruis sitæ facultatis. Fit igitur conuulsio etiam citra febrem à vehementi admodum refrigeratione, & copia crudorum, crassorúmque humorum, præterea neruorum, atque tendinum inflammationibus, si quando malum ad ipsum principium ascenderit. Cæterùm hoc loco verba ipse facit de conuulsionibus, quæ per febres generantur, sicuti ab initio instituerat præsagiendi rationem tam in acutis morbis, quàm aliis, qui ex ipsis degenerant, explicare. Conuulsiones igitur, quæ talibus in morbis proueniunt, in adultis quidem notæ illæ testantur potissimum, quæ per graues phrenitidas apparent, sed maximè partium faciei tortu, aut stridore dentium, aut oculorum mobilitate, vel inuersione produntur. In pueris verò vigilare modò satis est. Interdum verò & supra modum timuisse, quod Hippocrates græcè ἐκπλαγῆναι, hoc est, expauisse, dixit similiter, & fleuisse magna cum vehementia, & aluum non descendisse. Hæc quidem causarū rationē obtinēt. Præter has verò causas futuræ cōuulsionis signa sūt colores præter naturā ex quibus humorū prauitas qui conuulsionē adferre solent, declaratur. Nam pallidus quidē aut liuidus humorem maligna imbutū qualitate significat, ruber verò sāguinis abūdantiā patefacit.

ταῦτ' οὖν συνθεὶς πάντα, ἔτι τε προσθεὶς αὐτοῖς ἃ δι' ἑτέρων εἶπεν, ἀεὶ προγνώσῃ γενησομένην αἱμορραγίαν, καὶ μάλιστ' ἐὰν ἐναργῶς σοι φανήσεταί ποτε τὸ κατὰ τοὺς σφυγμοὺς σημεῖον ἐκκρίσεως, ὃ πανταχοῦ προηγεῖται τῶν κρισίμων αἱμορραγιῶν.

Περὶ σπασμῶν ἐν πυρετοῖς γινομένων.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λδ'.

Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὁ πυρετὸς ὀξὺς ᾖ, καὶ ἡ γαστὴρ μὴ διαχωρέῃ, καὶ ἀγρυπνέωσί τε, καὶ ἐκπλαγέωσι, καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ χλωρὸν, ἢ πέλιον, ἢ ἐρυθρὸν ἴσχωσι. γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισιν, ἐς τὰ ἑπτὰ ἔτεα. τὰ δὲ πρεσβύτερα τῶν παιδίων, καὶ οἱ ἄνδρες, οὐκέτι ἐν τοῖσι πυρετοῖσιν ὑπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μή τι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε, καὶ κακίστων, οἷά περ ἐπὶ τῇσι φρενίτισι γίνεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ σπασμῶν αὐτῷ ὁ λόγος νῦν ἐστιν, οὐ τῶν ἐν ἑνὶ μέρει τοῦ σώματος γινομένων, ἀλλὰ τῶν ὅλον αὐτὸ καταλαμβανόντων, οἵτινες ἐπὶ μὲν τῶν παιδίων ἑτοιμότατα γίνονται, καὶ μᾶλλον ἐπὶ θηλαζόντων. οὐχ ἥκιστα δὲ, καὶ δι' αὐτὸ τὸ γάλα, καὶ μᾶλλον ὅταν ᾖ λίαν παχὺ, καὶ διότι πλείστῃ τε χρῶνται, καὶ ἀκαίρῳ τροφῇ, μηδὲν εἰδότες τῶν κατὰ τὸν βίον ἄλλο, πλὴν τοῦ ἐσθίειν. πᾶν γὰρ τὸ νευρῶδες αὐτῶν γένος, ἀσθενές ἐστι. τριῶν γὰρ οὐσῶν κατὰ γένος δυνάμεων, ἐφ' ὧν διοικεῖται τὸ σῶμα, ταῖς δυσὶ μὲν εἰσὶν ἰσχυρότερα τὰ παιδία τῶν ἄλλων, ἀσθενέστερα δὲ τῇ μιᾷ, τῇ κατὰ τὰ νεῦρα, διὸ καὶ σπῶνται μὲν ἑτοιμότατα. πάλιν δὲ εἰς τὸ κατὰ φύσιν ἐπανέρχεται ῥᾳδίως. τοῖς δὲ τελείοις, οὔτε γίνεται ῥᾳδίως, οὔτε καθίσταται τὰ σπασμώδη πάθη, διὰ τὴν ἰσχὺν τῆς κατὰ τὰ νεῦρα δυνάμεως. γίνεται μὲν οὖν σπασμὸς, καὶ χωρὶς πυρετῶν, ἐν ταῖς σφοδραῖς πάνυ ψύξεσι, καὶ πλήθει χυμῶν ἀπέπτων τε, καὶ παχέων, ἔτι τε φλεγμοναῖς ἐν νεύροις, καὶ τένουσιν, ὅταν εἰς συμπάθειαν ἄγωσι τὴν ἀρχήν. ἀλλὰ νῦν ὁ λόγος αὐτῷ, περὶ τῶν ἐν πυρετοῖς γινομένων σπασμῶν ἐστιν, ὥσπερ ἐξ ἀρχῆς προὔθετο διελθεῖν προγνώσεις, ἐπί τε τῶν ὀξέων νοσημάτων, καὶ ὅσα τούτων μεταπιπτόντων γίνεται. τοὺς μὲν οὖν ἐν τοῖς τοιούτοις νοσήμασι σπασμοὺς, ἐπὶ τῶν ηὐξημένων, ἐκεῖνα τὰ σημεῖα δηλοῖ, τὰ μάλιστα ταῖς χαλεπαῖς ἐπιφαινόμενα φρενίτισι, καὶ μάλισθ' ὅσα διαστρεφομένων γίνεται τῶν ἐν τῷ προσώπῳ μορίων, ἢ ὀδόντων πριομένων, ἢ ὀφθαλμῶν ἀστηρίκτων, ἢ διεστραμμένων. ἐπὶ δὲ τῶν παίδων, ἀρκεῖ καὶ τὸ ἀγρυπνῆσαι μόνον. ἐνίοτε δὲ καὶ φοβηθῆναι σφοδρῶς, ὅπερ ὠνόμασεν ἐκπλαγῆναι, καὶ τὸ κλαῦσαι μετ' ἐντάσεως σφοδροτέρας, καὶ τὸ τὴν γαστέρα μὴ διαχωρῆσαι. ταῦτα μὲν οὖν ὡς αἴτια, σημεῖα δὲ τοῦ σπασθήσεσθαι πρὸς τοῖς τοιούτοις αἰτίοις, τὰ παρὰ φύσιν χρώματα, δηλοῦντα τῶν χυμῶν τὴν μοχθηρίαν, ἐφ' οἷς εἴωθε σπᾶσθαι. χλωρὸν μὲν γὰρ ἢ πελιδνὸν, μοχθηρὸν τῇ ποιότητι δηλοῖ τὸν χυμὸν, ἐρυθρὸν δὲ, πλῆθος αἵματος ἐνδείκνυται.

Σημεῖα τοῦ σπασμοῦ εἶναι σωτήριά τε καὶ θανάσιμα.

Conuulsionis salutaria ac lethalia dari signa.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λε'.

Τοὺς δὲ ἀπολλυμένους τε, καὶ περιεσομένους τῶν παιδίων, καὶ τῶν ἄλλων, τεκμαίρεσθαι τοῖσι ξύμπασι σημείοισιν, ὡς ἐφ' ἑκάστοισιν διαγέγραπται.

SENTENTIA HIPPOCRATIS 35.

Morituros autem & superfuturos tum pueros, tum alios ex omnibus signis cōijcies, prout in singulis singula descripta sunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τοῦτο καὶ πρόσθεν εἴρηκε, καὶ νῦν ἀναμιμνήσκει, καὶ μετ' ὀλίγον αὖθις ἐρεῖ, διότι χρησιμώτατόν ἐστι, καὶ ὅμως οὐκ ἀκούουσιν αὐτοῦ πολλοὶ τῶν ἰατρῶν. ἀλλ' ἐνίοτε θεασάμενοί τι τῶν κακῶν σημείων, ἐφ' ὧν συνέβη ζῆσαι τὸν ἄνθρωπον, ἐπεγκαλοῦσιν ὡς ψευσαμένῳ, καθάπερ αὖθις, ἀγαθῶν φανέντων, ἀπολλυμένου τοῦ κάμνοντος, οὐκ ἀληθεύειν φασὶ τὸν Ἱπποκράτην, μηκέτι ὁρῶντες, ὡς ἐνίοτε μὲν ὑπὸ πολλῶν ἀγαθῶν σημείων ἓν νικᾶται κακὸν ἰσχυρόν, ἐνίοτε δὲ ἔμπαλιν ὑπὸ πολλῶν κακῶν, ἓν ἀγαθόν, τὸ ἰσχυρόν.

COMMENTARIVS GALENI.

Hoc etiam supra dixerat, & nunc repetit, & paulò post rursum dicet. Quare non parum habet vtilitatis. Verumtamen plerique medicorum id parui pendunt, qui siquando signum aliquod malum cōspexerint, & ægrū postea incolumem euasisse, Hippocratē falsi insimulant; eundē rursus, si visis aliquot bonis indiciis æger mortem obierit, nō vera loquutū vociferantur, nequaquā animaduertentes signū vnū malum etiā valentissimū à multis salutaribus superari, & multas cōtra exitiales notas vni bonæ, vel maximæ præpollere.

Τὰ προγνωστικὰ περὶ ὀξέων νοσημάτων εἶναι.

Prognostica hæc de morbis acutis esse.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λϛ'.

Ταῦτα δὲ λέγω περί τε τῶν ὀξέων νουσημάτων, καὶ ὅσα ἐκ τουτέων γίνεται.

SENTENTIA HIPPOCRATIS 36.

Hæc autem dico & de morbis acutis, & cæteris quæ ex his oriuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τοῦτο καθάπερ καὶ τὸ πρότερον, ἔγραψεν Ἱπποκράτης, ἀπομαντευσάμενος τῆς ἀμελείας τε ἅμα, καὶ προπετείας τῶν ἀναγνωσομένων αὐτοῦ τὰ βιβλία, καὶ ζητησόντων ἄν, ὅπως ἐν αὐτῷ μνημονεύει τεσσαρακοστῆς τε, καὶ ἑξηκοστῆς ἡμέρας, ἐμπύων τε, καὶ ὑδερικῶν, καὶ τεταρταίων πυρετῶν. ὅπου γὰρ καὶ γράψαντος αὐτοῦ σαφῶς, ὅτι μὴ περὶ μόνων τῶν ὀξέων, ἀλλὰ καὶ τῶν ἐκ μεταπτώσεως τούτων, εἰς χρόνου μῆκος ἐκτεινομένων, ὁ λόγος αὐτῷ γέγονεν, ὅμως τοιαῦτα ζητοῦσι, τί ποτ' ἐξεπράξαντ' ἄν, εἰ μὴ τοῦτ' ἐποίησε.

COMMENTARIVS GALENI.

Istam quoque, sicut & superiorem sententiam Hippocrates ascripsit, diuinans fore quosdam, qui & negligenter, & inconsideratè libros suos lecturi essent, & quæsituri, quamobrem in isto fecisset quadragesimi, & sexagesimi diei, ac suppuratorum & aqua inter cutem laborantium, febriúmque quartanarum mentionem. Nam quum ipse apertè scripserit se non modò de acutis, verùm etiam aliis, qui ex horum mutatione vetustatem acquirunt, verba habuisse, qui tales nihilominus quæstiones agitant, facturi viderentur, si hoc ipse non expressisset?

Εἰς τὴν πρόγνωσιν τὰ σημεῖα πάντα διακρίνειν τε, καὶ πρὸς ἄλληλα λογίζεσθαι χρή.

Ad prænotionem signa omnia discernenda & inter se comparanda esse.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λζ'.

Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τοὺς περιεσομένους, καὶ τοὺς ἀποθανουμένους, ὅσοισί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νούσημα, καὶ ὅσοισιν ἂν ἐλάσσους, τὰ σημεῖα ἐκμανθάνοντα πάντα, διακρίνειν λογιζόμενον τὰς δυνάμεις αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων, ὅταν ὁμοῦ πῦόν τε ἀναβήσσῃ καὶ χολήν.

SENTENTIA HIPPOCRATIS 37.

Oportet autem, qui rectè præcogniturus sit superstites futuros, & morituros, & quibus plures dies, & quibus pauciores permansurus est morbus, eum signa omnia ediscentem, ac eorum vires inter se conferentem discernere quemadmodum præscriptum est, ac de cæteris tum vrinis, tum sputis, vbi vnà pus ac bilem extußit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν ἀεὶ χρὴ πάντα θεάσασθαι τὰ σημεῖα καὶ μὴ πιστεύειν ἑνί, καὶ διὰ τῶν ἔμπροσθεν εἴπεν, ἀλλὰ νῦν γε προσέθηκε τὸ χρησιμώτατον τοῦ λόγου. φησὶ δ' εἶναι τοῦτο, τὸ τὰς δυνάμεις ἐκλογίζεσθαι τῶν σημείων, οὐχ ἁπλῶς οὐδὲ ταύτας, ἀλλὰ μετὰ τοῦ παραβάλλειν ἀλλήλαις. ἔστι

COMMENTARIVS GALENI.

Quòd signa omnia considerare oporteat, nec vni adhibere fidem, etiam antè dictum est. Verùm hoc loco adiecit, quod est in primis ad hanc rem vtile. Id autem est, vt ait, signorum vires expendere, nec id quidem modò, verùm etiam inter se comparare. Sunt enim

enim pleraque signa, quæ ex se mala magis, minusque sunt, quorum vires metiri oportet verbis, sicut & antè prodidit. Vocat enim vel perniciosum, vel perniciosus, vel oppidò quàm perniciosum, & alicubi, iam, adiicit. Similiter quum bona signa recenset, aut salutiferum appellat, aut simpliciter salutare, aut magnam vim habens, aut oppidò quàm magnam. Plus enim est dicere oppidò quàm magnam vim habere ad salutem, quàm nudè & solùm vim habere magnam. At nunc porrò censet inter se conferendas esse signorum vires, non eorum modò, quæ sunt eiusdem generis, vt bona cum bonis, & mala cum malis, sed etiam bona cum malis. Per hanc enim contentionem, illa etiam innuit, quæ præter rationem eueniunt. Siquidem primùm nosse conueniet, id præter rationem accidisse. Deinde non terreri. Postea dijudicare vnde acciderit, aut quid natum sit designare. Quæ omnia quanquam persequuti sumus in libris nostris, & maximè in his, qui de Crisibus scripti sunt, attamen non erit inutile, si quædam exempli gratia repetamus, à communi principio totius artis prognosticæ exorsi. Ante omnia considerare oportet, an pars vna præcipuè malè affecta sit, an vitium sit humorum, qui intra vasa continentur. Deinde à qua potissimùm facultate periculum ægro impendeat. Has autem tres esse dictum est. Mox quas bonas malásve notas facultas illa præ se ferat. Pone enim illam, quæ à cerebro est, facultatem innocuam existere, partes item corporis carere vitio, sed ex putrescentibus solis humoribus excitatum totum eiusmodi morbum, hoc est, febrem, sustinere. Deinde his ita se habentibus omnia in vrinis bona signa ab initio videri. Hic quidem, vt intereat, fieri non potest. Itaque si quod formidolosum symptoma interuenerit, non modò non terrebere, sicut medicorum vulgus, sed etiam crisim ab eo nunciari existimabis. Namque per crisim capitis dolore tentantur, delirant, nigra, flauáque intuentur, hebescunt oculi, cordis dolor inuadit, spiritus vix trahitur, distenduntur præcordia. Deinde verò deiectiones pessimæ, sputáque, & vomitus consequentes, adhæc partes nigrescentes, putrescentes & emortuæ, hominem reddunt prorsus meliorem. Nam & spirandi facilitatem, & appetentiam ægri recuperant, meliùs dormiunt, minùs sentiunt doloris, surgunt alacrius, atque, vt vno dicam verbo, sæpè post eiusmodi vacuationes leuius omnino habent. Qua in re expurgari corpus ea, quæ vacuantur, manifestò ostendunt, natura præter opinionem ea profligante, à quibus propè victa antè videbatur. Hæc verò cuncta libro isto potestate prædicta sunt, & definita, atque eas modò, quæ à pulsibus sumuntur notas oportet adiicere. Quas omnes in libris de pulsibus apertè explicauimus, nullis vsquam propositis Sphingis ænigmatibus, qualia Archigenes sexcenta conscripsit. Hæc igitur omnia memoria promptâ complectens considera, & inter se comparato. Ex his enim poteris illa etiam, quæ ægri omittunt prædicere, quæ interdum ne ipsi quidem domestici planè cognouerunt; veluti me sæpenumero dicentem vidistis de his quidem qui dentibus stridebant, per naturam,

A μὲν γὰρ ἔνια τῶν σημείων, καὶ αὐτὰ καθ᾽ ἑαυτὰ μοχθηρὰ μᾶλλόν τε, καὶ ἧττον, ὧν τὰς δυνάμεις ἐκμετρεῖσθαι χρὴ τοῖς ῥήμασιν, ὡς καὶ πρόσθεν ἐδείκνυεν, ἢ θανατῶδες εἰπών, ἢ θανατωδέστερον, ἢ ὀλέθριον κάρτα. καί που προσθεὶς τὸ ἤδη, κἀπὶ τῶν ἀγαθῶν πάλιν ὁμοίως, ἢ σωτήριον, ἢ περιεστηκὸς ἁπλῶς, ἢ μεγάλην δύναμιν ἔχον, ἢ καὶ μετὰ τοῦ κάρτα. πλέον γάρ ἐστι τὸ φάναι τὸ, κάρτα μεγάλην δύναμιν ἔχειν εἰς σωτηρίαν, τοῦ ψιλοῦ, καὶ μόνου τοῦ μεγάλην δύναμιν ἔχειν. ἀλλά νῦν γε, πρὸς ἀλλήλας φησὶ χρῆναι παραβάλλειν τὰς δυνάμεις, οὐ τῶν ὁμογενῶν μόνων σημείων, οἷον, ἀγαθῶν πρὸς ἀγαθὰ, καὶ B κακῶν πρὸς κακὰ, ἀλλὰ καὶ τῶν ἀγαθῶν πρὸς κακά. διὰ γὰρ τῆς παραβολῆς ταύτης, καὶ τὰ παρὰ λόγον γινόμενα ἠνίξατο. πρῶτον μὲν γὰρ γνωριοῦμεν, ὅτι παρὰ λόγον ἐγένετο, δεύτερον δὲ, οὐ καταπλαγησόμεθα, καὶ τρίτον ἐπισκεψόμεθα, διὰ τί γέγονεν, ἢ τί δηλοῦν πέφυκεν. εἴρηται μὲν οὖν ἅπαντα ταῦτα, κατὰ τὰς ἡμετέρας πραγματείας, καὶ μάλιστα τὴν περὶ κρίσεων. οὐ χεῖρον δὲ καὶ νῦν, ἕνεκα παραδείγματος, ἀναμνῆσαί τινων ἀπὸ κοινῆς ἀρχῆς ἀρξαμένων, ἁπάσης τῆς προγνωστικῆς τέχνης. ἐπισκέπτεσθαι C γάρ σε χρὴ πρῶτον ἁπάντων, εἴθ᾽ ἓν ἐξαιρέτως πέπονθε μόριον, εἴτε τῶν ἐν τοῖς ἀγγείοις χυμῶν ἐστι τὸ νόσημα. δεύτερον δὲ κατὰ τίνα μάλιστα δύναμιν ὁ κίνδυνός ἐστι τῷ κάμνοντι. προείρηται δ᾽ ὅτι τρεῖς εἰσιν. εἶθ᾽ ἑξῆς, τὰ τῆς δυνάμεως ἐκείνης ἀγαθά τε καὶ κακὰ γνωρίσματα. φέρε γὰρ ἀπαθῆ μὲν εἶναι τὴν ἀπ᾽ ἐγκεφάλου δύναμιν, ἀπαθῆ δὲ καὶ τὰ μόρια τοῦ σώματος, ἐπὶ τοῖς χυμοῖς δὲ μόνοις σηπομένοις, ἔχοντος τὴν ὑπόθεσιν ὅλου τοῦ νοσήματος, ὅπερ ἐστὶ πυρετώδους ὄντος. εἶτα τούτων οὕτως ἐχόντων, ἀπ᾽ ἀρχῆς φαίνεσθαι πάντα ἐν τοῖς οὔροις ἀγαθὰ D σημεῖα, τοῦτον τὸν ἄνθρωπον ἀδύνατον ἀποθανεῖν, ὥστε, κἂν ἐπιφαίνηταί τι σύμπτωμα φοβερὸν, οὐ μόνον οὐ καταπλαγήσῃ, καθάπερ πολλοὶ τῶν ἰατρῶν, ἀλλὰ καὶ κρίσεως αὐτὸ μηνυτικὸν ἡγήσῃ. καὶ γὰρ ὀδυνῶνται κεφαλὴν, καὶ παρανοοῦσι, καὶ βλέπουσιν ὀρφνώδη τε, καὶ ξανθὰ, καὶ ἀμβλυώττουσι, καὶ καρδιαλγοῦσι, καὶ δυσπνοοῦσιν, ὑποχόνδριά τε συντείνονται λόγῳ κρίσεως, αὖθις δὲ διαχωρήματα κακοήθη, καὶ πτύσματα, καί τινες ἔμετοι γινόμενοι, καὶ μόρια μελαινόμενα, καὶ σηπόμενα, καὶ νεκρούμενα, τὸν ἄνθρωπον ἀποφαίνει κατὰ πάντα βελτίω. καὶ γὰρ εὐπνούστεροι, E καὶ εὐορεκτότεροι, καὶ εὐυπνότεροι, καὶ ἀνωδυνώτεροι, καὶ κατὰ τὰς ἀναστάσεις κουφότεροι, καὶ τὸ σύμπαν εὐφορώτεροι, πολλάκις ἐπὶ ταῖς τοιαύταις ἀποκρίσεσιν οἱ κάμνοντες ἐγένοντο, φανερῶς ἐνδεικνυμένων τῶν κενουμένων, ἐκκαθαίρεσθαι τὸ σῶμα, τῆς φύσεως, ἐκ παραδόξου, τὴν ἔμπροσθεν ἧτταν ἀναμαχομένης. ἅπαντα δὲ ταῦτα δυνάμει προείρηται, καὶ διώρισται κατὰ τὸ βιβλίον τοῦτο, καὶ μόνα τὰ παρὰ τῶν σφυγμῶν, αὐτοῖς γε χρὴ προσθεῖναι, γεγραμμένα πρὸς ἡμῶν ἐν τῇ περὶ τῶν σφυγμῶν πραγματείᾳ σαφῶς πάντα, μηδαμόθεν παρακειμένων Σφιγ- F γὸς αἰνιγμάτων, οἷα μυρία γεγράφασιν οἱ περὶ τὸν Ἀρχιγένην. ταῦτ᾽ οὖν ἅπαντα πρόχειρα, τῇ μνήμῃ φυλάττων, ἐπίβλεπε παραβάλλων ἀλλήλοις. ἐξ αὐτῶν γὰρ δυνήσῃ προλέγειν, καὶ τὰ παραλειπόμενα πρὸς τῶν ἀρρώστων, ἐνίοτε μηδ᾽ αὐτοῖς τοῖς οἰκείοις αὐτῶν ἀκριβῶς γινωσκόμενα, ὥς ἐμὲ πολλάκις ἐθεάσασθε, τοῦτο μὲν ἐπὶ τῶν πριόντων τοὺς ὀδόντας εἰπόντα,

φύσει τὸ σύμπτωμα τοῦθ' ὑπάρχειν αὐτοῖς, ὡς νομίσαι τοὺς ἀκούοντας οἰκείους, οὐκ ἐξ ἰατρικῆς, ἀλλ' ἀπὸ μαντικῆς τέχνης γεγονέναι τὴν πρόρρησιν. ἐνίοτε δ' ἐπὶ τῶν κοιμωμένων παρεῳγμένοις τοῖς ὀφθαλμοῖς, ὅτι καὶ τοῦθ' ὑπάρχει φύσει. καί τινος ἐπὶ τὰ στέρνα κατακειμένου, καὶ τοῦτο ἀναγκαῖον ὑπάρχειν αὐτῷ φύσει. γυναικὸς δέ τινος, ὤφθη ποθ' ἡμῖν εἰσελθοῦσιν, ὁ δεξιὸς ὀφθαλμὸς ὑπερέχειν θατέρου πολλῷ δή τινι, περὶ ἧς ἔφην, ἔμπροσθεν τῆς νόσου γεγονέναι τὴν προπέτειαν. ἐπ' ἄλλου δὲ, κοιλότητα τῶν κροτάφων μεγίστην, ὁρωμένου κἀκείνου πρόσθεν τότε, κατὰ φύσιν ὑπάρχειν ἔφην αὐτήν, ἄλλου δὲ ὑφαίμους τοὺς ὀφθαλμοὺς εἶναι φύσει. περιεσπασμένον δ' ἐφ' ἑτέρου τινὸς μέρος ὀφρύων, ἢ ὀφθαλμῶν, ἢ χειλῶν εἶπον. ἔνια δὲ, καὶ πρὸ τοῦ νοσήματος, ἔκ τινος ἔξωθεν αἰτίας γεγονέναι, καὶ μὲν δὴ καὶ διαλείποντα σφυγμὸν ἑτεροσφυξίαν τε καὶ τοιαῦθ' ἕτερα, φύσει τισὶν ὑπάρχειν ἔφην, ἀγνοούμενα καὶ τοῖς κάμνουσιν αὐτοῖς, ἐνίοτε καὶ σωθέντων αὐτῶν, ὤφθησαν παραμένοντα, φωνάς τε τραχείας, ἢ βραγχώδεις, ἢ κλαγγώδεις, τῷ μὲν φύσει, τῷ δὲ πρὸς τῆς νόσου γινομένας, περὶ ὧν ἐπὶ πλέον, ἐν τῇ περὶ τοῦ προγινώσκειν πραγματείᾳ διεληλυθὼς οὐδὲν δέομαι ἐπαναλαμβάνειν νῦν, ἀλλὰ τὸ κεφάλαιον ἀρκεῖ τῆς τῶν τοιούτων εὑρέσεως εἰπόντα, καταπαῦσαι τὸν λόγον. ὅταν γὰρ ἐκ τῶν ἄλλων ἁπάντων, ἀκίνδυνον φαίνεται τὸ νόσημα, τὸ τοιοῦτον φοβερὸν σύμπτωμα φύσει ὑπάρχειν γίνωσκε, ἢ πάντως γε πρὸ τῆς νόσου γεγονέναι, διὰ φανεράν τινα αἰτίαν, ὥστε καὶ ἐμοὶ, καὶ Ἱπποκράτει πιστεύσαντες, ἐπισκέπτεσθε καθότι προείρηται, τὰς τῶν σημείων δυνάμεις ἐκλογιζόμενοι, καθάπερ, φημὶ, προεῖπεν. αὐτὸς γὰρ τοῦ παραδείγματος ἐμνημόνευσεν, ὅταν ὁμοῦ τε πῦον ἀναβήσσῃ, καὶ χολήν. εἴρηται δ' αὐτῷ τοῦτο, κατά γε τὴν ῥῆσιν ἐκείνην, ἧς ἡ ἀρχή. τῶν δὲ ἐμπυημάτων ὅσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκονται, ὀλέθρια κάρτα, εἴτ' ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύοιτο, εἴτε ὁμοῦ. κατὰ ταύτην γὰρ τὴν ῥῆσιν, ἠξίωσε θεωρεῖν ἀκριβῶς ἅπαντα τὰ τῷ κάμνοντι συνυπάρχοντα, καὶ διῆλθέν γε ἔνια αὐτῶν, τῶν μὲν ἀγαθῶν οὕτως ἀρξάμενος. ἔστι δὲ τὰ μὲν ἀγαθὰ ταῦτα, εὐπετέως φέρειν τὸ νόσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύελον ῥηϊδίως ἀναβήσσειν. εἶτα ἐφεξῆς αὐτὰ διελθὼν πάντα, τῶν κακῶν αὖθις ἀρξάμενός φησι. κακὰ δὲ, τὰ ἐναντία τούτων, δυσπετέως φέρειν τὸ νόσημα, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον μόγις ἀναβήσσειν, διψῆν κάρτα, τὸ σῶμα ὑπὸ τοῦ πυρὸς ἀνωμάλως ἔχεσθαι. αὕτη σοι καὶ ἡ τῶν μοχθηρῶν σημείων ἀρχὴ τῆς διδασκαλίας ἔμπροσθεν ὑπ' αὐτοῦ γεγυμνασμένης, κατὰ τὴν προειρημένην ἐπὶ τῶν πτυσμάτων ὧν ἔγραψεν ὑπόθεσιν. ὡς οὖν, φησὶν, ἐπὶ τούτων εἶπον, οὕτως ἐπὶ πάντων πρᾶττε, μηδὲν παραλείπων, ἀλλὰ κατὰ μέρος ἐκλογιζόμενος ἑκάστου σημείου τὴν δύναμιν, εἶθ' οὕτως παραβάλλων ἀλλήλοις αὐτά.

ſic ſtridere ſolitos adeo, vt qui me ex domeſticis audirent, id non quidem per artem medicam, ſed per vaticinationem prædictum fuiſſe arbitrarentur. Interdum verò de his, qui oculis apertis dormiebant, hoc quoque ſecundum naturam eſſe. Et de quodam, qui in ventrem iacebat, talem decubitum neceſſariò illi eſſe à natura. Sed & cuiuſdam mulieris, ad quam ego adibam, dexter oculus altero viſus eſt multò prominentior, de qua dixi priuſquàm morbus hic inuaderet, procidentia laboraſſe. In alio ingentem temporum cauitatem aſpiciens, hanc quoque illi naturalem eſſe iudicaui. Aliorum verò rubentes ſanguine oculos ſecundum naturam ſe habere. Conuulſam verò in alio ſupercilij partem, aut oculorum, aut labrorum etiam ante morbum fuiſſe externam aliquam ob cauſam. Quinetiam pulſum intermittentem, & varium aliáque eiuſmodi dixi quibuſdam ſecundum naturam eſſe, quæ aliquando ne ipſi quidem ægri ſciebant, ſed videbant, poſteaquam priſtinæ ſanitati reſtituti erant, perſeuerare: Vocem item aſperam, aut raucam, aut clangoſam, huic quidem ſecundum naturam eſſe, in illo verò ex morbo natam fuiſſe. De quibus quum ego abundè diſſeruerim illo libro, quem de præcognitione edidi, non eſt neceſſe rurſus hoc loco dicere, ſed ſummo explicato capite per quod inueniri hæc poſſunt, finem dicendi faciam. Nam vbi omnibus aliis ex notis morbum periculo vacare deprehenderis, exiſtima ſymptoma illud formidoloſum ſecundum naturam eſſe, aut certè euidentem aliquam ob cauſam ante morbum, genitum eſſe. Itaque & mihi, & Hippocrati adhibentes fidem, conſiderate, vti ſupra dictum eſt, & ſignorum inquam vires quemadmodum ipſe præmonuit, expendite. Quod enim ait, quando ſimul pus, bilémque extuſſit, pro exemplo adductum eſt. Id autem ſcriptum ab eo fuit, quo loco ait hunc in modum, Inter ſuppurationes verò illæ valde pernicioſæ ſunt, quæ ſputo adhuc linoſo ſuppurant, ſiue bilioſum ſputum, atque pus à ſe inuicem ſeparata, ſiue etiam mixta excreentur. His enim verbis cenſuit omnia diligentiſſimè expendenda eſſe, quæ in ægro ſimul concurruut, quorum aliqua, & bona quidem recenſuit, vbi ſcribit: Sunt autem hæc bona, morbum ipſum non difficulter ferre, ex facili ſpirare, dolorem ſedatum eſſe, facilè excreare. Quibus omnibus enumeratis ſic incipit de malis dicere. Mala verò his contraria ſunt, ſi morbum non facilè ſuſtinet, ſi ſpiritus magnus, & frequens eſt, ſi dolor non deſinit, ſi ſputum difficulter edit, ſi valde ſitit, ſi corpus à calore inæqualiter affectum eſt. Hoc quidem initium eſt de malis ſignis priùs inſtitutæ ab eo diſputationis, in qua ſputa pro exemplo, ſicuti dictum eſt, ſubiecit. Ergo, ait, quod in his feci idem agas in reliquis nullo ſigno prætermiſſo, ſed ſigillatim expenſa cuiuſque facultate, deinde illorum inter ſe contentionem facito.

A

Populares morbos, ac tempestatis constitutionem considerare oportet.

SENTENTIA HIPPOCRATIS 38.

QVin etiam morborum semper in vulgus grassantium impetus, & tempestatis constitutionem citò animo concipere oportet.

COMMENTARIVS GALENI.

VT nosse possis ventura ægris symptomata ante, quàm fiant, maximè conducit popularium morborum cognitio, non eorum modò, qui iam grassantur, sed qui etiam grassaturi sunt. Est autem ipse breuibus sententiis complexus in Aphorismis, tum qui singuli anni temporibus frequentiùs nascuntur, tum quos vel præsens, vel præterita tempestas parit. Dixit enim verè frequentes esse affectus atræ bilis, & insanias, atque alia, quæ deinceps connumerauit, quæ & verno tempori propria sunt, atque aliis in temporibus oriuntur, si suam seruarint naturam. Quam quidem si non seruarint, aduentare dicit morbos alios præcedenti tempestati congruentes. Et eorum quidem, quinam postea nascituri sint, qui verò simul cum prima ipsa tempestate prodeant, explicauit. De his quidem sic prodidit, qui posteà oriuntur. *Si hyems sicca septentrionales ventos habuit, ver autem austros, & pluuias exhibet*, & reliqua, quæ deinceps scripta sunt. De his autem, qui ipsa tempestate adhuc vigente excitantur, sic ait, *Et anni tempestatibus, salubriores in totum sunt siccæ quàm pluuiæ*, & alia quæ deinceps ab eo scribuntur. Itaque in Aphorismis quidem compendiosè populares morbos persequutus est, libris autem Epidemiῶn, de ipsis particulatim disseruit. Quorum librorum quanta sit vtilitas, etsi quodammodo in his, quæ vniuersim scripta sunt videntur contineri, exponam in ipsis Epidemiῶn commentariis, quos ego statim post istos aggrediar. Nunc totius præcognitionis argumentum breuiter proponam, de quo Hippocrates sermonem hoc loco facere instituit. Nam præter notas ipsorum morborum proprias, quas in hoc de præcognitione libro descripsit, habendam etiam censet rationem aëris ambientis. Pone enim apparuisse notas quasdam, si ita ratio morbi ferat, profusionis sanguinis, esse verò & tempus vernum, multò certè magis expectanda sanguinis profusio est. Si verò præsens etiam tempestas calida, humidáque est, multò sanè magis & duorum triúmve anni temporum constitutiones generando sanguini idoneæ præcesserint, fluxuri sanguinis spem multò adhuc firmiorem habemus. Cæterùm quod dicimus de profusione sanguinis, reliquis etiam omnibus conuenit. Ac dictum satis esse videbitur, si vnum exemplum de futuris sudoribus adduxero. Per æstus siccos, febres, vt plurimùm sine sudore sunt, si verò cùm æstu minutula pluuia decidit, sudores faciliùs eliciuntur. Itaque perspicuum est, si præter alias notas, quæ sunt morbi propriæ venturum sudorem prodentes, alia etiam à cæli statu testimonia accesserint, futuræ rei expectationem longè haberi certiorem.

Τὰ νοσήματα ἐπιδήμιά τε καὶ ὥρης κατάστασιν ἐνθυμεῖσθαι χρή.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λη´.

ΧΡὴ δὲ, καὶ τὰς φορὰς τῶν νουσημάτων τῶν ἀεὶ ἐπιδημεόντων, ταχέως ἐνθυμεῖσθαι, καὶ μὴ λανθάνειν τὴν τῆς ὥρης κατάστασιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B ΕΙς τὸ προεγνωκέναι τὰ γενησόμενα τοῖς κάμνουσι συμπτώματα, μέγιστον συντελεῖ καὶ ἡ τῶν ἐπιδημούντων νοσημάτων γνῶσις, ἤδη τε ἐνεστῶτα καὶ μέλλοντα ἔσεσθαι. διείλεκται δ᾽ αὐτὸς ἐν κεφαλαίοις βραχέσι, κατὰ τοὺς ἀφορισμοὺς, τά τε καθ᾽ ὥραν ἑκάστην πλεονάζοντα, καὶ τὰ τῇ προὐούσῃ τε, καὶ προγεγονυίᾳ καταστάσει συνεπόμενα. τοῦ μὲν γὰρ ἦρος, ἔφη πλεονάζειν τὰ μελαγχολικὰ, καὶ τὰ μανικὰ, καὶ τὰ ἄλλα ἐφεξῆς ὅσα κατέλεξεν, ἅ τε τοῦ ἦρος εἰσὶν ἴδια, καὶ τῶν ἄλλων ὡρῶν, ὅταν δηλονότι φυλάττωσι τὰς οἰκείας φύσεις. Εἰ δὲ μὴ φυλάττοιεν, ἐπιδημήσειν φησὶν ἕτερα νο-
C σήματα, τῇ γενομένῃ καταστάσει προσήκοντα· καὶ τούτων, ἐδίδαξε τίνα μὲν ἐξ ὑστέρου γενήσεται, τίνα δὲ εὐθὺς ἅμα τῇ πρώτῃ καταστάσει. περὶ μὲν οὖν τῶν ὕστερον ἐπιγινομένων, ὧδέ πως ἐδίδαξεν. ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς, καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον, καὶ νότιον, καὶ τὰ ἄλλα ὅσα τούτων ἐφεξῆς φησι. περὶ δὲ τῶν ἐν αὐταῖς ταῖς παρούσαις καταστάσεσιν, ἐν οἷς φησι. τῶν δὲ καταστάσεων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ, τῶν ἐπομβρίων εἰσὶν ὑγιεινότεροι, καὶ τἄλλα ὅσα τούτων ἐφεξῆς. ἐν ἀφορισμοῖς μὲν οὖν, διὰ κεφαλαίων ἐδίδαξε περὶ τῶν ἐπιδημίων νοση-
D μάτων. ἐν δὲ τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ἐπὶ τὰ κατὰ μέρος ἦκεν. ὁπόση δ᾽ ἐστὶ καὶ τούτων αὐτῶν ἡ χρεία, καί τοι δοκούντων ἐν τοῖς καθόλου περιέχεσθαι, λεχθήσεται κατὰ τὰ τῶν ἐπιδημιῶν ὑπομνήματα, τούτοις ἀκολούθως γραφησόμενα. νυνὶ δὲ τὸ κεφάλαιον ἐρῶ τῆς ὅλης προγνώσεως, ὑπὲρ οὗ τὸν λόγον ὁ Ἱπποκράτης ἐποιήσατο κατὰ τὴν προκειμένην ῥῆσιν. οἷς γὰρ εἴρηκε σημείοις, ἐν τῷ προγνωστικῷ τούτῳ βιβλίῳ, τῶν νοσημάτων αὐτῶν ἰδίοις, τούτοις ἀξιοῖ προστίθεσθαι τὰ διὰ τὸ περιέχον γινόμενα. φέρε γὰρ ὦφθαί τινα σημεῖα, κατὰ τὸν λόγον τοῦ νοσήματος, αἱμορραγίας. εἶναι δὲ καὶ τὴν
E ὥραν ἐαρινὴν, ἔτι μᾶλλον ἐλπὶς ἔσεσθαι τὴν αἱμορραγίαν. εἰ δὲ καὶ ἡ παροῦσα κατάστασις εἴη θερμὴ, καὶ ὑγρὰ, πολλῷ δὴ μᾶλλον, καὶ ἡ τῶν προγεγενημένων δυοῖν, ἢ τριῶν ὡρῶν κατάστασις, εἰ αἵματος εἴη γεννητικὴ, ἔτι καὶ μᾶλλον ἐλπὶς ἔσεσθαι τὴν αἱμορραγίαν. ὥσπερ οὖν ὁ λόγος ἐπὶ τῆς αἱμορραγίας, οὕτω καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων. ἀρκέσει δὲ εἰπεῖν ἓν ἔτι παράδειγμα γενησομένων ἱδρώτων. ἐν καύμασιν αὐχμηροῖς, πυρετοὶ ἀνίδρωτες τὰ πλεῖστα, τοῖς δὲ ἐπιψακάσιν, ἱδρωτικώτεροι γίνονται. δῆλον οὖν ὅτι πρὸς τοῖς ἄλλοις σημείοις, ὅσα τοῦ νοσήματός ἐστιν ἴδια, δηλωτικὰ
F γενησομένων ἱδρώτων, ἔτι καὶ τοῦ περιέχοντος ἡ κατάστασις προσερχομένη, τὴν ἐλπίδα τοῦ γενησομένου βεβαιοτέραν ὑπογράφει.

Τὰ σημεῖα κακὰ, κακὸν, καὶ τὰ χρηστὰ, ἀγαθὸν σημαίνεσθαι· περὶ τεκμηρίων τε καὶ σημείων.

Signa mala malum, & bona bonum portendere; de signis ac tecmeriis.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ λθ'.

Εὖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων, καὶ τῶν ἄλλων σημείων, καὶ μὴ λανθάνειν, ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ, τά τε κακὰ κακὸν σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν.

SENTENTIA HIPPOCRATIS 39.

Probè sanè nosse oportet de certis indiciis, ac cæteris signis, nec ignorare quod quouis anno, & quauis anni tempestate, mala malum, & bona bonum denunciant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ παρὰ τοῖς ἰατροῖς μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ῥήτορσιν ἐζήτηται, τίνι διαφέρει σημείου, τεκμήριον, οὐκ ἐν σημαινομένοις μόνον, ὡς ἄλλοι, τοῦ προβλήματος ἔχοντος τὴν σύστασιν, ἀλλὰ καὶ πραγμάτων ἐφαπτομένου. χρὴ γὰρ εὑρεῖν τινα φύσιν διττὴν πραγμάτων, ἀφ' ὧν οἱ μὲν ἰατροὶ προγινώσκουσιν, οἱ δὲ ῥήτορες ἀποδεικνύουσιν, ἢ πείθουσιν. ἐπὶ μὲν οὖν τῶν εἰς τὰς ἀποδείξεις λαμβανομένων, εἴτ' ἐπιστημονικὰς οὔσας, εἴτε πιθανάς, ἡ διαφορὰ μὲν μία ἐστὶν ἀναγκαία τε, καὶ διὰ παντὸς ἔχουσα τὸ ἕτερον, τῷ ἑτέρῳ ἑπόμενον, ἐξ ὧν ἡ πρότασις σύγκειται. ἄλλη δ' οὐκ ἀναγκαίως, οὐδὲ διὰ παντός, ἀλλ' ὡς τὸ πολὺ μόνον. ἔτι δὲ κατ' ἄλλην διαφοράν, ἡ μὲν ἐκ τηρήσεώς ἐστιν ἐμπειρικῆς, ἡ δὲ ἐξ ἀκολουθίας λογικῆς, ὅπερ ἐστὶν ἔνδειξις. αὕτη μὲν ἐστὶ τῶν πραγμάτων ἡ διαφορά. τοῖς δ' ὀνόμασιν, ἐπ' αὐτῶν οὐχ ὁμοίως ἐχρήσαντο πάντες, ἀλλ' οἵ γε χαριέστεροι (παρίημι γὰρ ἑκὼν τοὺς ἄλλους) ἐπὶ μὲν τῇ προτέρᾳ τομῇ, κατὰ τοῦ διηνεκῶς μὲν ἓν ὁτιοῦν δηλοῦντος, ἀξιοῦσι χρῆσθαι τῇ τοῦ τεκμηρίου προσηγορίᾳ, σημεῖον δ' ὀνομάζουσι τὸ ἕτερον. ἐπὶ δὲ τῇ δευτέρᾳ, τὸ μὲν ἐκ τηρήσεως, σημεῖον, τὸ δ' ἐξ ἐνδείξεως, τεκμήριον. ὅτι μὲν οὖν οὕτω χρῶνται τοῖς ὀνόμασιν οἱ Ἕλληνες, οὐκ ἰατροῖς μόνον ἐπίστασθαι χρήσιμον, ἀλλὰ κἀκείνοις, ὅσοις τῇ τέχνῃ προσήκει τὸ ἑλληνίζειν. ὅτι δὲ εἴς τε τὰς ἀποδείξεις καὶ τὰς προγνώσεις, ἡ εἰρημένη διαφορὰ τῶν πραγμάτων ἐγνῶσθαι χρησιμωτάτη, πρόδηλον εἶναι παντὶ νομίζω. τὸ γε μὴν ἀμφότερα τὴν ἑαυτῶν ἀεὶ διαφυλάττειν δύναμιν, ὅσα τε ἀγαθόν τι δηλοῖ, καὶ ὅσα τι κακόν, ἄξιον ἐπισκέψεώς ἐστιν. ἐν γοῦν τοῖς ἀφορισμοῖς αὐτὸς εἶπεν, ἐν τῇσι νούσοισιν, ἧττον κινδυνεύουσιν οἱ νοσέοντες, οἷς ἂν οἰκείη τῆς φύσεως, καὶ τῆς ἡλικίας, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων. τοῦτ' οὖν πρὸς τὸ νῦν εἰρημένον, οὐ διαφέρεται, κακὸν μὲν γάρ τι σημαίνειν ἔφη, τὰ κακὰ διὰ παντός, οὐ μὴν ὅτι γε ὡσαύτως, ἢ οὐχ ὡσαύτως ἔτι προσέγραψεν, ὁ εἰρημένος ἀφορισμός. οὐδέτερον δὲ μετατίθησιν εἰς τὴν ἐναντίαν φύσιν, ἀλλ' ἧττον καὶ μᾶλλον ὑπάρχειν αὐτοῖς τοῦτό φησι, παρά τε τὰς φύσεις, καὶ τὰς ἡλικίας, καὶ τὰ ἄλλα ὅσα κατέλεξεν, ὥστε κατὰ τοῦτο μὲν οὐκ ἂν ἐναντία λέγοιτο πρὸς Ἱπποκράτους. κατ' ἐκεῖνο δὲ μᾶλλον, ὅταν εἴπῃ, τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν, οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παρὰ λόγον· τὰ γὰρ πολλὰ τῶν τοιουτέων ἐστὶν ἀβέβαια, καὶ οὐ πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθεν. διὰ τοῦτο γοῦν αὐτὸ, προσέγραψεν ἐν τῷ προγνωστικῷ τὴν νῦν ἡμῖν προκειμένην ῥῆσιν. ἐν μὲν γὰρ τοῖς συμπτώμασι γίνεταί τις μετάπτωσις, ἔκ τε τῶν πονηρῶν, εἰς ἀγαθά, κἀκ τῶν ἀγαθῶν, εἰς πονηρά. τῶν δὲ σημείων, οὐδὲν εἰς τοὐναντίον μεταπίπτειν πέφυκεν, ἀλλ' ἧττον μὲν καὶ μᾶλλον ἤτοι κακόν τι σημαίνειν, ἢ ἀγαθόν,

COMMENTARIVS GALENI.

Qværitum est non modò à medicis, sed etiam à rhetoribus, quid inter τεκμήριον, & σημεῖον interesset (quibus duobus nominibus vsus est hoc loco Hippocrates, nos autem argumenta, & notas vertimus) quæ quidem quæstio, vt alia quæpiam, non solùm ea, quæ significantur, inquirit, verùm etiam de rebus ipsis est. Namque inuenienda est gemina rerum natura, ex quibus Medici quidem præsagiunt, rhetores verò demonstrant, aut persuadent. Eorum quidem, quæ ad demonstrationem assumuntur, siue illa certam afferat sciētiam, siue probabilis sit, vna quidem differentia est, alia necessaria esse, atque ad ea alterum semper consequi ex quibus propositio componitur, alia verò neque necessariò, neque semper, sed vt plurimùm concludere. Altera verò quòd quædam per empiricam obseruationem, quædam per consequutionē logicam, hoc est, demonstrationē, ostendunt. Hoc quidē est in ipsis rebus discrimē. His autē non omnes similiter nomina indiderūt, sed qui loquuntur disertius (alios enim lubens omitto) in prima quidē differentia id, quod perpetuò aliquid ostendit, τεκμήριον nuncupari volunt, alterum verò σημεῖον appellant. In secunda verò, quod ab obseruatione est, σημεῖον quod autem per demonstrationem concludit, τεκμήριον. Ac quòd nominibus quidem Græci hoc modō vtantur, nō solùm Medicis conducit scire, sed etiam omnibus quos ex arte decet Græcè loqui. Quòd autē eiusmodi rerum discrimen nouisse maximè, & ad demonstrandum, & ad præsagiendum expediat, arbitror omnibus esse perspicuum. At verò vtraque eandē semper habere vim, siue bonum significēt, siue malum, iure videtur disquirēdum. Ipse enim scripsit in Aphorismis, *Morbos minus periculosos esse, qui magis cum natura, ætate, habitu corporis, annique tempore consentiunt, quàm qui nihil habent cum aliquo horum affinitatis.* Quod sanè ab hoc non discrepat, quod modò dixit. Namque mala ait malū perpetuò designare, nec tamen aut æquè, aut non æquè adiectū est in eo, quem citauimus Aphorismo. Neutrum autem in contrariā transit naturam, verùm id magis, minusque vtrique eorum inesse dicit pro ratione naturæ, & ætatis, atq; aliorū omnium, quæ recensuit. Itaque non videtur hac in re Hippocrates sibi contrarius esse. At eo loco magis secum pugnare videatur, vbi scribit, *non esse admodum his fidendū, qua morbum sine ratione leuiorē exhibent, nec valdè metuenda mala, quæ præter rationem oborta sunt, horum enim pleraque sunt incerta, nec permanere, diuque perseuerare solita.* Et eam quidem ob causā videtur hāc, quam nūc explicamus, in Prognostico inseruisse sententiā. Nanq; symptomata & ex malis quodammodò fiunt bona, & ex bonis, mala. Signa verò nunquā in contrariā naturā vertuntur, sed maioris, minorisq; mali, aut boni testi-

 monia

monia sunt. Nec tamen quod nunc bonum est, postea malum erit, aut quod nunc malum, postea bonum. Ergo quæ in vrinis mala esse signa docuit, nunquam bona euadent, vti nec bona fient vnquàm mala. Sic quæ sputa, aut alui excrementa bona, vel mala esse dixit, nunquam in contrarium degenerant. Ad eundem modum nec quas notas in facie descripsit ex colore, aut tumore, aut figura, nec quæ dixit de iacentium habitu, nec quæ de liuore & nigredine partis, aut vllo alio eiusmodi affectu. Cuncta enim vim propriam retinent, non parem quidem magnitudine (quippe dictum ante fuit illa intendi, atque remitti) sed eandem genere. Namque nihil quod bonum sit, in malorum genus migrat, nec horum quicquam in bonorum genus desciscit, si modo propriæ distinctiones in dijudicando adhibeantur. Verùm non sic habet in symptomatis. Nam plerique & magna cum difficultate spirant, & insaniunt, & præcordiorum contractionem sentiunt, & splendores cernere se putant, & atra quædam oculis obseruari per crisim. Adhæc cordis dolor corripit, labrum inferius crebro agitatur motu, parotides, aut alij quidam abscessus proueniunt. Hæc enim omnia partim, vt dictum est, vis ipsa, ratioque crisis producit, partim verò increscentibus morbis succedere videntur. Quare haud absurdè id quoque dictum ab illo fuit, *Quæ iudicandi vi prædita, non iudicant, alia mortem, alia difficilem crisim minari.* Verùm hæc omnia cùm aliis quibusdam in libris, tum in his, quos de Crisibus scripsimus tam sunt apertè à nobis explicata, vt iam nihil ad præcognitionem deesse videatur. Quamobrem, quod ego semper consilium do, nunc etiam dare non pigebit. In primis quidem potissimúmque ediscendis medicæ artis operibus studium impendendum esse censeo, alias verò eiusmodi de voce & significatione quæstiones, quæque logicam habent contemplationem, postremò & magno in otio tractanda. Quemadmodum hoc etiam loco facimus de nominum τεκμηρίου atque σημείου significatione. Quum enim quicquid ad artem videtur conducere exposuerim, aliam nunc à priore adferam istorum interpretationem. Est autem eiusmodi. In symptomatis quæ vim habent iudicandi, licet aliquando τοῦ σημείου nomen damnare, verùm τὸ τεκμήριον non licet. Nam illa tantummodò à Græcis σημεῖα simul, & τεκμήρια vocantur, ex quibus salus ægri, aut pernicies certa est. Quæ si quis vno nomine complecti velit, dicet esse facultatum, quibus corpus gubernatur testimonia, quàm imbecillæ sint, aut robustæ, inter quæ etiam cruditatis, coctionísque signa continentur. At nulla symptomata, quæ iudicandi vim possident, tali prædita sunt natura, sed futuram quidem crisim per excretionem, vel abscessum ostendunt, & præterea excretionis, vel abscessus speciem, veluti sanguinis profusionem, aut vomitus, aut parotidas. An verò bona crisis erit, an mala, fieri non potest, vt per hæc signa intelligas. Namque crises eiusmodi bonum æquè ac malum exitum consequuntur. Verum enimverò certissimam dijudicandi rationem nos docuit, non ex quibusdam symptomatis, sed notis, atque argumentis. *Concoctio enim*, inquit, *citò futuram crisim, & tutam valetudinem pollicetur: Cruda verò, atque incocta, quæque in malos versa sunt abscessus, aut nullam, aut seram crisim, vel dolores, vel mortem*

A οὐ μὴν ἀγαθὸν μὲν νῦν, αὖθις δὲ κακόν· ἢ κακὸν μὲν νῦν, αὖθις δ' ἀγαθόν. ὅσα γοῦν ἐν τοῖς οὔροις εἶπεν εἶναι κακὰ σημεῖα, ταῦτ' οὐκ ἄν ποτε ἀγαθὰ γένοιτο, καθάπερ οὐδὲ τῶν ἀγαθῶν οὐδὲν, κακόν. οὕτως δὲ καὶ ὅσα περὶ τῶν πτυσμάτων, ἢ διαχωρημάτων, ὡς ἀγαθῶν, ἢ κακῶν εἴρηκεν, οὐδὲν εἰς τοὐναντίον μεταπίπτει. κατὰ δὲ τὸν αὐτὸν τρόπον, οὐδὲ ὅσα περὶ τὸ πρόσωπον εἶπε γίγνεσθαι σημεῖα, κατὰ χρόαν, ἢ ὄγκον, ἢ σχῆμα, καὶ περὶ κατακλίσεων δὲ, καὶ τοῦ πελιδνοῦσθαι, καὶ μελαίνεσθαι μόριον, ἢ ὁποῖον ἄλλο τοιοῦτον πάσχειν. ἅπαντα γὰρ διαφυλάττει τὴν οἰκείαν δύ-

B ναμιν, οὐ κατὰ τὸ μέγεθος δηλονότι, προείρηται γὰρ ὅτι τὸ μᾶλλον δέχεται καὶ ἧττον, ἀλλὰ κατὰ γένος. ἐπεὶ μήτε τῶν ἀγαθῶν οὐδὲν, εἰς τὸ τῶν κακῶν μεταπίπτει γένος, ἐκείνων τε οὐδὲν, εἰς τὸ τῶν ἀγαθῶν. ὅταν γε δηλονότι μετὰ τῶν οἰκείων ἐξετάζηται διορισμῶν, οὐ μὴν ἐπί γε τῶν συμπτωμάτων οὕτως ἔχει. καὶ γὰρ δυσπνοοῦσιν ἔνιοι καὶ παραφρονοῦσι, καὶ ὑποχόνδριον ἀνασπῶνται, καὶ μαρμαρυγὰς ὁρᾷν οἴονται, καί τινα ὀρφνώδη προφαίνεσθαι κρίσεως λόγῳ, καὶ μὴν καὶ καρδιαλγεῖν, καὶ χεῖλος τὸ κάτω σείεσθαι, καὶ παρωτίδας, καί τινα ἑτέραν ἀπόστασιν ἔχειν. ἅ-

C παντα γὰρ φαίνεται ταῦτα, ποτὲ μὲν, ὡς εἴρηται, κρίσεως λόγῳ γινόμενα, ποτὲ δὲ αὐξανομένοις νοσήμασιν ἑπόμενα, καθὸ κἀκεῖνο δεόντως εἴρηται πρὸς αὐτοῦ. τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ, δύσκριτα. διώρισται δ' ἡμῖν ὑπὲρ ἁπάντων τῶν τοιούτων, ἐν ἄλλοις τέ τισι κἀν τοῖς περὶ κρίσεων, ὥστε μηδὲν εἰς τὸ προγνώσκειν ἐνδεῖν, καὶ διὰ τοῦτο, ὅπερ ἀεὶ συμβουλεύω, καὶ νῦν διελθεῖν οὐκ ὀκνήσω. πρῶτα μὲν καὶ μάλιστα σπουδάζειν φημὶ μαθεῖν ὅσα τῆς ἰατρικῆς ἐστιν ἔργα· τὰ δ' ἄλλα ὅσα τοιαῦτα, τινὰ μὲν, ἐν φωνῇ καὶ σημαινομένῳ τὴν ζή-

D τησιν ἔχοντα, τινὰ δὲ, λογικῆς ἐχόμενα θεωρίας, ὕστερόν ποτε, καὶ κατὰ πολλὴν σχολὴν μεταχειρίζεσθαι, καθάπερ καὶ νῦν ἐπὶ τῶν σημαινομένων, ἔκ τε τοῦ, τεκμήριον, ὀνόματος, καὶ τοῦ, σημεῖον. ἐπειδὴ γὰρ ὅσον ἐστὶ χρήσιμον εἰς τὴν τέχνην εἴρηταί μοι, προσκείσθω τι καὶ τῆς τούτων ἐξηγήσεως ἐχόμενον, ἕτερον ὧν ἔμπροσθεν εἶπον. ἔστι δὲ τοῦτο τοιόνδε· τῶν κρισίμων συμπτωμάτων, ἐγχωρεῖ κατηγορῆσαι τὸ, σημεῖον, ὄνομα, τὸ μέντοι τεκμήριον οὐκ ἐγχωρεῖ. μόνα γὰρ ἐκεῖνα, σημεῖά τε ἅμα καὶ τεκμήρια καλοῦσιν οἱ Ἕλληνες, ἐξ ὧν ἔνεστι τεκμήρασθαί τι περὶ τῆς σωτηρίας, ἢ ἀπωλείας τοῦ

E κάμνοντος, ἃ περιλαβὼν ἄν τις ἑνὶ κεφαλαίῳ, φαίη γνωρίσματ' εἶναι τῶν διοικουσῶν τὸ σῶμα δυνάμεων, ὅπως ἔχωσιν ἀρρωστίας, ἢ ῥώμης, ἐν οἷς δηλονότι, καὶ τὰ τῆς ἀπεψίας τε, καὶ τῆς πέψεως σημεῖα. τῶν δὲ κρισίμων συμπτωμάτων, οὐδὲν ἔχει τοιαύτην φύσιν· ἀλλ' ὅτι μὲν ἔσται κρίσις, δηλοῦται πρὸς αὐτῶν, ὥσπερ ὅτι δι' ἐκκρίσεως, ἢ ἀποστάσεως, ἔτι τε πρὸς τούτοις διά τινος ἐκκρίσεως, ἢ ἀποστάσεως οἷον αἱμορραγίας, ἢ ἐμέτων, ἢ παρωτίδων. εἴτε δὲ ἀγαθὴ γενήσοιτο κρίσις ἢ κακὴ, διὰ τῶν τοιούτων σημείων οὐκ ἔνεστι τεκμήρασθαι. φαίνονται γὰρ οὐδὲν ἧττον, ἢ εἰς ἀγαθὸν, ἢ εἰς

F κακὸν, αἱ τοιαῦται κρίσεις ἅπασαι τελευτῶσαι. καὶ διορισμὸν αὐτῶν ἐδίδαξεν ἡμᾶς βεβαιότατον, οὐκ ἐκ συμπτωμάτων τινῶν γινόμενον, ἀλλ' ἐκ σημείων τε, καὶ τεκμηρίων τινῶν. πεπασμοὶ γὰρ, φησὶ, ταχυτῆτα κρίσιος, ἀσφάλειαν ὑγιεινὴν σημαίνουσιν. ὠμὰ δὲ, καὶ ἄπεπτα, ἢ ἐς κακὰς ἀποστάσιας τρεπόμενα, ἢ ἀκρισίας, ἢ χρόνους, ἢ πόνους, ἢ θανάτους.

ἢ τὰς αὐτέων ὑποστροφάς. ὥσθ' ὅτι μὲν ἔσται κρίσις, ἐκ τῶν κρισίμων συμπτωμάτων, ἃ δὴ καὶ σημεῖα κρίσιμα καλεῖν ἐγχωρεῖ, προεγνωκέναι δυνατόν ἐστιν, εἴ τε δὲ εἰς ἀγαθὸν, εἴτ' εἰς κακὸν αὐτὴ τελευτήσει, ἐκ τῶν πεπασμένων ἡ γνῶσις, ἐν οἷς πάλιν, οὐ τοῦ γενήσεσθαι κρίσιν ἡ δήλωσις, ἀλλὰ τοῦ σωθήσεσθαι τὸν ἄνθρωπον, ἢ τεθνήξεσθαι. ἔστω δέ σοι καὶ ἥδε πρὸς ταῖς εἰρημέναις ἔμπροσθεν, ἐξήγησις τῶν προσηγοριῶν, ἅμα χρησίμοις πράγμασιν εἰς τὴν τέχνην εἰρημένη. μέμνησο δ', ὅτι καὶ τὰ κρίσιμα σημεῖα, συμπτώματά ἐστι τῶν ὅλων, δηλοῦντα τὰς ἐσομένας ἐκκρίσεις, ἢ ἀποστάσεις. αὗται δὲ τοῦ λῦσαι τὴν νόσον, ἢ καταλῦσαι τὴν δύναμιν, αἴτια μὲν πρώτως, κατὰ συμβεβηκὸς δὲ, καὶ σημεῖα γίνονται.

vel eorum recidiuas minitantur. Itaque fore quidem crisim ex iudicantibus symptomatis, quæ etiam iudicantes notas licet appellare, præsciri potest, an verò benè, an malè cedet, ex his, quæ concocta sunt, sumenda cognitio est. Sed hæc rursus futuram crisim non produnt, salutis autem, aut interitus documenta præbent. Ista quidem est præter supradictas nominum interpretatio, vnà cum iis, quæ ad artem conducunt explicata. Nec verò te lateat notas etiam vim iudicandi habentes genere symptomata esse, quæ futuras excretiones, aut abscessus denunciant. Hæ autem causæ quidem primùm sunt abigendi morbi, aut exoluendarum virium; per accidens verò etiam inter signa censentur.

Παραδείγμασι δοκιμάζει τὰ σημεῖα κακὰ, κακὸν, καὶ τὰ χρηστὰ, ἀγαθὸν σημαίνειν.

Exemplis probat bona signa bonum, & mala malum portendere.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μ'.

Ἐπεὶ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ, φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα.

SENTENTIA HIPPOCRATIS 40.

Quandoquidem & in Libya, & in Delo, & in Scythia prius scripta signa vera esse comprobantur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ κατὰ τὴν ἑαυτοῦ συνήθη βραχυλογίαν, τὸν περὶ τῶν χωρῶν ἐποιήσατο λόγον. ἐκείνῃ γὰρ αὐτοῦ τῇ περὶ ταύτης ῥήσει δύο συλλαβὰς προσθέντι, μηδὲν ἔτι δεῖσθαι ταύτης. προσθεὶς οὖν αὐτὰς ἐγὼ, δείξω ἐναργῶς, ὁποῖός τις ἂν ὁ λόγος ἐγεγόνει. εὖ μέντοι χρὴ εἰδέναι περὶ τῶν τεκμηρίων, καὶ σημείων, καὶ μὴ λανθάνειν, ὅτι ἐν παντὶ ἔτει, καὶ πάσῃ ὥρῃ, καὶ χώρῃ, τά τε κακὰ, κακόν τι σημαίνει, καὶ τὰ χρηστὰ, ἀγαθόν. ἐν ταύτῃ τῇ ῥήσει, τὸ χώρῃ προσθεὶς, ἔδειξά σοι περιττὴν εἶναι τὴν νῦν προκειμένην ῥῆσιν. οὐδὲν γὰρ ἄλλο δι' αὐτῆς ἐδιδάχθη, ἢ τὰ σημεῖα, τά τε ἀγαθὰ καὶ τὰ κακὰ, ταὐτὸν ἑαυτοῖς σημαίνειν ἑκάτερα ἐν ἁπάσῃ ὥρῃ, κἂν θερμὴ, κἂν ψυχρὰ, κἂν εὔκρατος ᾖ. Λιβύης μὲν γὰρ, ὡς θερμῆς, Σκυθίας δὲ ὡς ψυχρᾶς, Δήλου δ', ὡς εὐκράτου, καὶ μέσης ἀμφοῖν, ἕνεκα παραδείγματος ἐμνημόνευσε.

COMMENTARIVS GALENI.

Dicens de regionibus non est vsus ea, qua solet breuitate. Nam si priori sententiæ duas modò syllabas adiecisset, non fuisset necesse hanc ascribere. Ego verò illas addam, quò planè intelligatis qualis fuisset oratio. Nec verò latere quemquam debet, sed certò tenendum est, & argumenta, & rerum notas, mala quidem malum, bona verò bonum cùm in omni anno, tum in omnibus anni temporibus, tum regionibus designare. Cui sententiæ inserens regionum nomen, superflua esse proposita nunc verba tibi apertè ostendi. Hæc enim non aliud docent, quàm vtraque signa tam bona, quàm mala aliquid sui simile indicare, in omni regione siue calida, siue frigida, siue temperata sit. Africam enim, tanquam calidam, Scythiam, vt frigidam; Delum pro temperata, & inter vtramque media exempli causa adduxit.

Πῶς αἱ τῶν ἰατρῶν προγνώσεις κατὰ τὰ νοσήματα ὀνομαζόμεναι.

Quo pacto prænotiones medicorum in morbis ratæ sint.

ΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ μα'.

Εὖ οὖν χρὴ εἰδέναι, ὅτι ἐν τοῖς αὐτοῖσι χωρίοισιν, οὐδὲν δεινὸν τὰ πολλαπλάσια αὐτῶν ἐπιτυγχάνειν, τὸν ἐκμαθόν τις αὐτὰ, κρίνειν τε, καὶ λογίζεσθαι ὀρθῶς ἐπίστηται.

SENTENTIA HIPPOCRATIS 41.

Probè itaque sciendum est, quòd in his regionibus longè plura his assequi haud arduum sit si quis ea cognitione complexus rectè tum iudicare, tum rectè ratione colligere sciat.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅπερ ἡμεῖς ἔμπροσθεν εἰρήκαμέν που, κατὰ τὴν τοῦ λόγου χρείαν, τοῦτο νῦν ἔγραψεν ὁ Ἱπποκράτης, ὅτι τὸν καλῶς ἐκμαθόντα τὰς δυνάμεις τῶν σημείων, ὑπάρξει κἂν εἰ μὴ διὰ παντὸς ἀκριβῶς προγινώσκειν τὰ γενησόμενα, τὸ γοῦν ἐπιτυγχάνειν πολλαπλάσιον τῶν ἀποτυγχανομένων, ἐν ᾧ δὴ καὶ βελτίων ἕτερος ἑτέρου τῶν ὁπωσοῦν προγινωσκόντων ἐστί.

COMMENTARIVS GALENI.

Quod nos priùs quodam loco diximus, prout oratio postulare videbatur, id nunc Hippocrates ipse ascripsit; Qui rectè callueri signorum vires, si non perpetuò possit futura certò præsagire, multa tamen sæpius vera dicturum esse, quàm secus eueniat, atque prædixerit. Qua quidem in re alter alteri præsagiendo excellit. Quippe

Quippe nunquam errare, supra hominem est; rarissimè autem solius est artificis. Sed in hoc quidem magna etiam est diuersitas. Nam qui vigesima modò prædictione aberrat, non parum illi præstat, qui decima quaque semel fallitur, atque is rursus illi ipsi, qui centesima quaque semel duntaxat, decipitur, quemadmodum & hic rursus ab illo vincitur, qui ducentesima. Itaque non rectè videntur Empirici nos percontari, Ecquod tandem theorema magna ex parte verum, rationis accessione firmum, perpetuúmque effecimus. Quod quum ostendere non possimus, sibi videntur conuicisse adiectam frustra à nobis fuisse rationem. Nos enim quamuis non perpetuò, sæpius tamen quàm illi, vt futura præsagiendo, sic ægros curando finem artis consequimur.

A τὸ μὲν γὰρ μηδέποτε ἁμαρτάνειν, μεῖζον ἢ κατ᾽ ἄνθρωπον. τὸ δ᾽ ὡς ἥκιστα, τεχνίτου μόνου. πολλῆς δὲ οὔσης, καὶ κατ᾽ αὐτὸ τοῦτο διαφορᾶς, ὁ μὲν ἐν ταῖς εἴκοσιν ἅπαξ ἀποτυγχάνων, οὐκ ὀλίγῳ τινὶ βελτίων ἐστὶ, τοῦ κατὰ δέκα διαμαρτάνοντος ἅπαξ. αὐτοῦ δὲ τούτου πάλιν, ὁ ἐν ταῖς ἑκατὸν, ἅπαξ ἀποτυγχάνων, ὥσπερ γε καὶ τούτου πάλιν, ὁ ἐν ταῖς διακοσίαις. οὐκ οὖν ὀρθῶς ἡμᾶς ἐρωτῶσιν οἱ ἐμπειρικοὶ, τί ἡμῖν τῶν, ὡς τὸ πολὺ, θεωρημάτων ἐκ τῆς τοῦ λόγου προσθήκης ἀδιάπτωτόν τε, καὶ διηνεκὲς ἐποιησάμεθα. εἶτ᾽ οὐκ ἔχοντες δεῖξαι, δοκοῦσιν ἐλέγχειν, ὡς ἐκ περιττοῦ τὸν B λόγον προστιθέντας. εἰ γὰρ μὴ διηνεκῶς, ἀλλὰ πλεονάκις γ᾽ ἐκείνων, τοῦ τέλους τῆς τέχνης τυγχάνομεν, ὥσπερ ἐν τῷ προγινώσκειν τὰ μέλλοντα γενήσεσθαι τοῖς κάμνουσιν, οὕτω κἀν τῷ θεραπεύειν αὐτούς.

De morbis omnibus ac signis se disseruisse concludit.

Περὶ τῶν ἁπάντων νοσημάτων καὶ σημείων εἰρῆσθαι αὐτῷ συμπεραίνει.

SENTENTIA HIPPOCRATIS 42.

AT nullius morbi nomen, quod hîc scriptum non sit expetendum est. Omnes enim qui in prædictis temporibus iudicantur, ijsdem signis cognosces.

ῬΗΣΙΣ ἹΠΠΟΚΡΑΤΟΥΣ μβ΄.

C ΠΟθέειν δὲ χρὴ οὐδενὸς νουσήματος ὄνομα, ὅ, τι μὴ τυγχάνει ἐνθάδε γεγραμμένον, πάντα γὰρ ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισιν κρίνεται, γνώσῃ (γινώσκειν) τοῖσι αὐτέοισι σημείοισιν.

COMMENTARIVS GALENI.

HOc mihi videtur extremò libro adiecisse propterea quòd in isto de morbis acutis, atque aliis, qui ab ipsis nascuntur se disseruisse professus est. Itaque memor pleraque signa tam bona, quàm mala simpliciter à se proposita fuisse, vt morbis omnibus communia: pauca autem certis quibusdam morbis assignata, id nobis reuocauit in memoriam: simulque addidit nullum prorsus prætermissum fuisse. Quod fortè nobis falsum esse videatur, quum nonnullos quidem ipse nominatim expresserit, alios autem minimè. Hoc enim non temerè, nec nullam ob causam sic factum ab eo fuisse declarat. Nam quia morbi quidam præter cæteros peculiarem disciplinam postulare videbantur, ideò mentionem illorum nominatim fecit, alij verò omnes quorum nomina tacuit, sub communibus signis comprehenduntur. Et ne longè abeas, quæ primùm ab eo depicta est mortifera, vt vocant, facies, in omni morbo acuto rectè dicitur perniciosa esse. Æquè verò & omnia, quæ scripta sunt de iacentium habitu, de respiratione, de somno, de vigilia, & aliis, quæ passim omnibus in morbis accidunt, qui antedictis temporibus iudicantur. Neque enim de longis morbis scriptus ab eo liber est, sed, quemadmodum ipse dixit, acutis, & qui ab his prodeunt. Quorum spatia ipse quoque explicauit: nonnullis quidem extremum diem vigesimum, aliis verò quadragesimum, aut sexagesimum, præscribens.

ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟῦτό μοι δοκεῖ προσθεῖναι κατὰ τὴν τελευτὴν τοῦ λόγου, διότι περὶ τῶν ὀξέων νοσημάτων, καὶ ὅσα ἐκ τούτων γίγνεται, τὴν διδασκαλίαν ἔφησε πεποιῆσθαι κατὰ τοῦτο. μεμνημένος οὖν, ὅτι τὰ μὲν πλεῖστα τῶν εἰρημένων ὑπ᾽ D αὐτοῦ σημείων, ἀγαθῶν τε, καὶ κακῶν, ἁπλῶς εἴρηται κατὰ πάντων κοινῇ τῶν νοσημάτων, ὀλίγα δ᾽ ἐπ᾽ ἐνίων ἀφωρισμένων, ἀνέμνησε καὶ ἡμᾶς αὐτοῦ μετὰ τοῦ προσθεῖναι τὸ μηδὲν παραλελεῖφθαι κατὰ τὸν λόγον, ὃ τάχα ἂν ἡμεῖς ᾠήθημεν εἶναι ψευδές. ἐπειδὴ τινῶν μὲν ἐμνημόνευσεν ὀνομαστὶ, τινῶν δ᾽ οὔ. τοῦτο γὰρ αὐτὸ δηλοῖ, μὴ μάτην ὑπ᾽ αὐτοῦ γεγονέναι, μηδ᾽ ἄνευ τινὸς αἰτίας, ἀλλ᾽ ἐπειδὴ παρὰ τὰ ἄλλα, διδασκαλίας ἐξαιρέτου, τινὰ τῶν νοσημάτων ἐδεῖτο, διὰ τοῦτο, αὐτῶν ἐμνημόνευσεν ἰδίᾳ. τὰ δ᾽ ἄλλα πάντα τὰ παραλελειμμένα, τοῖς κοινοῖς ὑποπέπτωκε σημείοις, εὐ- E θέως γε τοῦτο πρῶτον ὑπ᾽ αὐτοῦ γεγραμμένον, ὃ προσαγορεύουσι, νεκρῶδες πρόσωπον ἐπὶ παντὸς νοσήματος ὀξέως, ὀλέθριον ἀληθῶς εἴρηται. κατὰ δὲ τὸν αὐτὸν λόγον, ὅσα περὶ κατακλίσεως ἔγραψεν, ἢ ἀναπνοῆς, ἢ ὕπνων, ἢ ἀγρυπνίας, ἢ τῶν ἄλλων, ὅσα κοινὰ πάντων ἐστὶ τῶν ἐν τοῖς προγεγραμμένοις χρόνοις κρινομένων. οὐ γὰρ δή γε περὶ τῶν χρονίων, αὐτῷ τὸ σύγγραμμά ἐστιν, ἀλλ᾽ ὡς αὐτὸς εἶπεν, ὀξέων τε, καὶ τῶν ἐκ τούτων γινομένων, ὧν καὶ τοὺς χρόνους αὐτὸς ἐδήλωσεν· ἐπ᾽ ἐνίων μὲν, εἰκοστὴν ἡμέραν, ἐπ᾽ ἐνίων δὲ, τεσσαρακοστὴν, ἢ ἑξηκοστὴν, ὅρον θέμενος.

Γαληνοῦ ὑπόμνημα εἰς τὸ πρῶτον προρρητικῶν Ἱπποκράτους

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΤΙΚΩΝ ΒΙΒΛΙΑ ΔΥΟ, ΚΑΙ ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ, ΥΠΟΜΝΗΜΑΤΑ ΤΡΙΑ. ΠΡΩΤΟΝ.

HIPPOCRATIS PRAEDICTIONVM LIBRI DVO, ET GALENI IN PRIMVM LIBRVM COMMENTARII TRES. PRIMVS.

ΚΕΦΑΛΑΙΟΝ.

Τὰ καθ' ἅπαντα σχεδὸν τὰ νοσήματα, ἀγαθά τε καὶ σωτήρια, κακά τε καὶ ὀλέθρια τοῖς νοσέουσιν ἐπιγινόμενα, ταῖς θείαις προρρήσεσιν ἐπαγγέλλεται· ἀλλ' αὐτό γε τοῦτο τὸ πρῶτον ὑπόμνημα, τὰς τῆς φρενίτιδός τε καὶ τοῦ σπασμοῦ προρρήσεις ἐξηγεῖται.

ARGVMENTVM.

Quæcunque in morbis propè omnibus bona ac salutaria, mala ac perniciosa ægrotantibus oboriuntur, ea diuinis prædictionibus enunciantur; verùm hic primus commentarius delirij & spasmi prædictiones explicat.

ΠΡΟΟΙΜΙΟΝ.

Περὶ προρρήσεως τῇ προγνώσει ἑπομένης.

Οὐ μὴν οὐδὲ τὴν Ἡροφίλου νομοθεσίαν ἀποδεκτέον, ἐπιχειροῦντες διωρίσθαι πρόγνωσιν προρρήσεως, τῷ βεβαίῳ τε, καὶ οὐ βεβαίῳ. καὶ γὰρ καὶ προγινώσκομεν ἑκατέρως, καὶ προλέγομεν, ὥσπερ καὶ τἄλλα πάντα κατὰ πάσας τὰς τέχνας. ὄμβρους γοῦν, καὶ αὐχμούς, καὶ κρύος, καὶ θάλπος, ἀνέμους τε, καὶ νηνεμίας, ἔκ τινων σημείων προγινώσκουσι, καὶ κυβερνῆται, καὶ γεωργοί, καί ποτε μὲν ἀκριβῶς τε καὶ βεβαίως, ποτὲ δ' ἄχρι πιθανῆς ἐλπίδος. καὶ γέγραπται περὶ τῶν τοιούτων σημείων, ἄλλοις τε πολλοῖς, καὶ Ἀράτῳ κατὰ τὰ τελευταῖα τοῦ τῶν ἐν ἀέρι φαινομένων βιβλίου. πῶς δ' ἂν δύναιτό τις, ἑτέρως προειπεῖν ὁτιοῦν ὡς ἐσόμενον, ἀλλ' ἢ τοῦ πρότερον αὐτὸς γνῶναι; τοῦτο γοῦν αὐτὸ καὶ Ἱπποκράτης ἐδήλωσεν ἐν ἀρχῇ τοῦ προγνωστικοῦ γράψας ὧδε. προγινώσκων γὰρ, καὶ προλέγων παρὰ τοῖσι νοσέουσιν. ἀλλ' ἡ μὲν πρόγνωσις, ἐν ταῖς ψυχαῖς ἡμῶν, ἡ δὲ τῶν προγνωσθέντων τοῖς πολλοῖς, πρόρρησις, διὰ τῆς φωνῆς γίγνεται, καὶ δῆλον, ὡς οὐκ ἄλλα μὲν ἐν τῇ ψυχῇ δοξάζομεν, ἄλλα δὲ προλέγομεν. ἀλλὰ γὰρ ὅπως ἂν ἔχῃ τὰ τῆς ἐπιγραφῆς τοῦ βιβλίου, καταλιπόντες ἑτέροις ἐπιζητεῖν, ὅσοι τῶν ἔργων τῆς τέχνης οὐ πάνυ τι πεφροντίκασιν, αὐτοὶ τῶν γεγραμμένων κατὰ τὸ βιβλίον, ἕκαστον ἐπισκεψώμεθα, καθότι κἀπὶ τῶν ἄλλων ἐποιήσαμεν, ἃ προεξηγησάμεθα, τοῖς μὲν διορισμούς τινας ἀναγκαίους προστιθέντες, οὐκ εἰρημένους ὑπὸ τοῦ γράψαντος, ἔνια δὲ δεικνύντες οὐκ εἶναι καθόλου κἂν τῷ χαρακτῆρι τῆς λέξεως, ὡς περὶ τοιούτων ὁ συγγραφεὺς φαίνηται διαλεγόμενος.

PROOEMIVM.

De prædictione prænotionem subsequente.

A NON equidem Herophili sententiã, qui prænotionem à prædictione, certo & incerto distinguere conatur, probare oportet; prænoscimus siquidem modo vtroque, & prædicimus, veluti & cætera omnia, omni in arte. Imbres siquidem, siccitatesque, & frigora, & æstus, & ventos, & ventorum tranquillitates, quibusdam ex signis prænoscunt, tum nauium rectores, tum rustici, atque interdum quidem, tum exactè, tum certò, interdum & ad probabilem vsque expectationem. De signis autem huiusmodi cùm alij plerique, tum Aratus in libri eorum quæ in aëre conspiciuntur calce scripsit. At quonam quis pacto B futura prædicere valebit, nisi ea præcognouerit? Quod sanè demonstrauit etiam Hippocrates in exordio prognostici, ita scribens; *Prænoscens enim & prædicens apud ægros.* Prænotio autem in anima est nostra; Prædictio verò eorum, quæ sunt præcognita, per vocem efficitur; constatque non alia quidem in anima nos opinari, alia verò prædicere. Cæterùm, quonam pacto liber inscribatur; cæteris, qui opera artis non valde curauerint, peruestigandum relinquentes, quæ in libris singulis sunt conscripta, ipsi contemplemur, quo modo in aliis quoque fecimus, quæ antea exposuimus, aliis quidem distinctiones aliquas necessarias à scriptore prætermissas adiicientes; alia verò, non esse vniuersalia demonstrantes, quamuis dictionis charactere formáve, tanquam de eiusmodi, author disserere videatur.

De phrenitide, lethargo, comate, & è naribus stillatione.

HIPPOCRATIS PRÆDICTIO 1.

Qui soporati sunt in principiis cum capitis, lumborum, hypochondrij & ceruicis dolore, vigilantes, num phrenitici sunt? Nasus in his distillans, perniciosum tum aliàs, tum si quarto die cœperit.

COMMENTARIVS GALENI.

Plurima veterum exemplaria verbo, *phrenitici*, verbum, *existant*, non habent adiectum. Hinc exorta est quæstio, vtrumne eos, qui ita habent quis iam phreniticos appellabit, an fore expectabit. Adiecto verò verbo *existant*, atque in hunc modum simul scripta oratione, phrenitici ne existant? quæstio est, an, qui ita affecti sunt, iam phrenitici sint, vel no sint. Quæstioni autem eiusmodi iam & alia quædam non momentanea annectitur quæstio, quam & de febrilium accessionũ principio mouerunt. Nēpe in illis rationi consentaneum esse videtur, non postea venturam præcognoscere nos accessionem, sed incipientē iam dignoscere ex alteratione pulsuum. Quoniam verò nondum insignē acceperit magnitudinē vt ægro quidē tanquam dicenda conspicuè videatur, à nobis verò, vt tanquā iam facta cognoscatur; quæ res eodem se modo habet ac cognitio plantarũ recēs è terra ortarũ quas rusticus quidā, vel qui in plātis omnibus dignoscēdis est peritus, confestim internoscit. cæteris verò incognitæ manent. Agros siquidē herbas germinatione simillimas sæpius ferre conspicimus; quas nos quidem non internoscimus, rustici verò internouerunt, quidnam scilicet ex his herba sit, quid triticum nuper enatum, quid hordeũ, quid zea, & quidnam aliorum vnũquodque. Ad hunc quoque modum res habet in arboribus, nempe & eas, quum omnibus suis partibus absolutæ sunt, vniuersi cognoscimus; [q]uum verò incipiunt enasci, omninò à paucis cognoscuntur. Sermo igitur hic, veluti admodũ probabilis, recipiendus est. Sed deinceps est inquirendũ, quidnā per phrenitim oporteat intelligere. Nēpe Hippocrates in libris epidemiorũ, vt in eorũ docuimus commentariis, *continuam eam, quæ cum acuta febre est, dementiam, phrenitim appellare videtur*, continuā autem dixi, quia nonnunquam in vehementiũ febrium vigoribus desipientiæ superueniunt, sed in declinationibus confestim sedantur. Μαίνεσθαι siquidem, *insanire*, omnes homines dicunt eos, qui desipiunt citra febrem; φρενιτίζειν verò, qui cum febre id patiuntur; quod verò in febris vehementis vigore accidit, appellant & παρακόψαι, & παραχθῆναι, & παραληρῆσαι, & παραφρονῆσαι: phrenitim verò non appellant, nisi febriat æger & continuè deliret. Continuitate igitur dementiæ, quódque simul cum febre fiat, phrenitim agnoscemus; nihilo verò minus phreniticos esse dicimus, quicunque, comatosi quum sint, non sapiunt, sed delira loquuntur atque à præsentibus expergefacti stupefactis similes videntur. Sic itaque, & in epidemiorum tertio ita ait, *Nullus autem phreniticorũ vehemēter insaniuit, vt in aliis; sed alia quadā veternosa in somnũ delatione capite grauati moriebātur.*

Περὶ φρενίτιδός τε, καὶ ληθάργου, καὶ κώματος, καὶ τῆς ἀπὸ τῶν ῥινῶν στάξεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ α'.

Οἱ κωματώδεες ἐν ἀρχῇσι γενόμενοι, μετὰ κεφαλῆς, ὀσφύος, ὑποχονδρίου, τραχήλου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί εἰσιν; μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων, ὀλέθριον ἄλλως τε, καὶ ἢν τεταρταίοισιν ἀρχομένοισιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ πλεῖστα τῶν παλαιῶν ἀντιγράφων, οὐκ ἔχει προσκείμενον τῷ φρενιτικοὶ, τὸ, εἰσί. διὸ καὶ ζήτησις ἐγένετο, πότερον ἤδη φρενιτικούς τις ὀνομάσει τοὺς οὕτως ἔχοντας, ἢ γενήσεσθαι προσδοκήσει. προσκειμένου μέντοι τοῦ, εἰσὶ, καὶ γεγραμμένης ὁμοῦ τῆς λέξεως, ἆρά γε φρενιτικοί εἰσιν; ἡ ζήτησίς ἐστι, πότερόν εἰσιν, ἢ οὐκ εἰσὶν οἱ οὕτως ἔχοντες, ἤδη φρενιτικοί. ταύτῃ δὲ τῇ ζητήσει, καὶ ἄλλη τις οὐ σμικρὰ συνάπτεται ζήτησις, ἣν καὶ περὶ τῆς ἀρχῆς τῶν πυρετικῶν παροξυσμῶν ἐποιήσαντο. καὶ γὰρ ἐν ἐκείνοις, εὔλογον εἶναι φαίνεται, μὴ τὸν ἐσόμενον ὕστερόν ποτε παροξυσμὸν προγινώσκειν ἡμᾶς, ἀλλὰ τὸν ἀρχόμενον ἤδη, διαγινώσκειν ἐκ τῆς τῶν σφυγμῶν ἀλλοιώσεως. ἐπεὶ δὲ, οὐδέπω μέγεθος ἀξιόλογον εἴληφεν, ὡς καὶ τῷ νοσοῦντι φαίνεσθαι σαφῶς, ἐκείνῳ μὲν, ὡς μέλλον ἔτι, λέγεσθαι, γινώσκεσθαι δὲ ὑφ' ἡμῶν, ὡς ἤδη γεγενημένον· ὁμοίου τοῦ πράγματος ὄντος, τῇ διαγνώσει τῶν ἄρτι τῆς γῆς ἀνισχόντων φυτῶν, ἃ γεωργὸς μέν τις, ἢ διαγνωστικὸς ἁπάντων φυτῶν, εὐθέως γνωρίζει, τοῖς δ' ἄλλοις, ἄγνωστά ἐστι. πολλάκις γοῦν ὁρῶμεν ἀρούρας, ὁμοιοτάτας τὴν βλάστησιν ἐχούσας πόας, ἃς ἡμεῖς μὲν οὐ διαγινώσκομεν, οἱ γεωργοὶ δὲ ἴσασιν. τί μὲν ἐξ αὐτῶν ἐστι πόα, τί δὲ, πυρὸς ἄρτι γεννώμενος, τί δὲ κριθὴ, τί δὲ ζειὰ, τί δὲ τῶν ἄλλων ἕκαστον. οὕτω δὲ κἀπὶ τῶν δένδρων ἔχει. καὶ γὰρ καὶ ταῦτα, συμπεπληρωμένα πᾶσι τοῖς οἰκείοις μορίοις, ἅπαντες γνωρίζομεν, ἀρχόμενα δὲ φύεσθαι, παντάπασιν ὀλίγοις γνωρίζεται. τοῦτόν τε οὖν τὸν λόγον, ὡς πάνυ πιθανὸν, ἀποδεκτέον, ἐφεξῆς δὲ ζητητέον ἐστὶ, περὶ τῆς κατὰ τὴν φρενῖτιν ἐννοίας. ἐν γὰρ τοῖς τῶν ἐπιδημιῶν βιβλίοις, ὡς ἐπιδέδεικταί μοι διὰ τῶν εἰς αὐτὰ γεγραμμένων ὑπομνημάτων, ὁ Ἱπποκράτης φαίνεται τὴν ἐν ὀξεῖ πυρετῷ συνεχῆ παραφροσύνην, φρενῖτιν ὀνομάζων. συνεχῆ δὲ εἶπον, ἐπεὶ ταῖς ἀκμαῖς τῶν σφοδρῶν πυρετῶν, ἐνίοτε παραφροσύναι ἐμπίπτουσιν, ἐν ταῖς παρακμαῖς εὐθέως παυόμεναι. μαίνεσθαι μὲν γὰρ ὀνομάζουσι πάντες ἄνθρωποι, τοὺς ἄνευ πυρετοῦ παραφρονοῦντας, φρενιτίζειν δὲ, τοὺς ἐν πυρετῷ. τὸ δ' ἐν ἀκμῇ σφοδροῦ πυρετοῦ παραφρονῆσαι, παρακόψαι τε, καὶ παραχθῆναι, καὶ παραληρῆσαι, καὶ αὐτὸ δὴ τοῦτο, παραφρονῆσαι καλοῦσι. φρενῖτιν δ' οὐκ ὀνομάζουσιν, ἄνευ τοῦ πυρέσσειν, καὶ τοῦ συνεχοῦς τῆς παραφροσύνης. τῷ συνεχεῖ δὲ τῆς παραφροσύνης, ὅτ' ἂν ἅμα πυρετῷ γένηται, τὴν φρενῖτιν γνωριοῦμεν. οὐδὲν δὲ ἧττον ὁρῶμεν εἶναι φρενιτικοὺς ὅσοι κωματώδεις ὄντες οὐ σωφρονοῦσιν, ἀλλὰ παράφορά τε φθέγγονται, καὶ πρὸς τῶν παρόντων διεγερθέντες, ἐκτεθαμβημένοις ἐοίκασιν. οὕτω γοῦν κἀν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἔφη, οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ὥσπερ ἐπ' ἄλλων, ἀλλ' ἄλλῃ τινὶ νωθρῇ καταφορῇ καρηβαρέες ἀπώλλυντο.

καὶ τοῦτον οὖν τὸν λόγον ἐγὼ, ὡς πιθανώτατον προσδέχομαι, καὶ καλεῖσθαι πάντας ὑφ' Ἱπποκράτους ἡγοῦμαι φρενιτικοὺς, ὅσοι τὰς φρένας βεβλαμμένοι συνεχῶς ὦσιν, ὥσπερ οἱ μαινόμενοι, μόνῳ τῷ πυρέττειν, αὐτῶν διαφέροντες. ἐπεὶ δ', ὡς τὰ πολλὰ τούτοις ὑπάρχει, καὶ τῶν βλεφάρων ἀνεῳγότων ἀγρυπνεῖν, οἱ πλεῖστοι τῶν ἰατρῶν, ἐν τοῖς παθογνωμονικοῖς φρενίτιδος, καὶ τὴν τοιαύτην ἀγρυπνίαν ἔγραψαν. εἶπον δὲ τοιαύτην, ἐπεὶ καὶ μετὰ κώματος ἀγρυπνίαι γίνονται, καθάπερ αὐτὸς ἐδήλωσεν ἐν τῷ γ'. τῶν ἐπιδημιῶν εἰπών. ἦν δὲ ἢ τὸ κῶμα συνεχὲς, οὐχ ὑπνῶδες, ἢ μετὰ πόνων ἄγρυπνοι. ὡς εἶναι τὸ κῶμα, τὴν εἰς ὕπνον καταφορὰν, οὐ δυναμένων τῶν ἐχομένων τῷ συμπτώματι, τὰ τῶν ἐγρηγορότων πράττειν, ἀλλὰ κλείειν τε τὰ βλέφαρα δεομένων, ἐλπιζόντων τε κοιμηθῆναι. συμβαίνει δ' ἐνίοτε, τούτων τισὶ, μὴ δύνασθαι κοιμηθῆναι, κλεισθέντων τῶν βλεφάρων, ἀλλ' ἀγρυπνεῖν ἐπὶ πλεῖστον, ὅπερ ὠνόμασεν ὁ Ἱπποκράτης οὐχ ὑπνῶδες κῶμα. περὶ μὲν οὖν τοῦ κατὰ κῶμα σημαινομένου, βιβλίον ὅλον ἔχεις ἡμέτερον, ἐν ᾧ διὰ πλειόνων μαρτυριῶν ἐπιδέδεικται, πᾶσαν ὀνομάζων καταφορὰν ὁ Ἱπποκράτης κῶμα, καὶ νῦν οὐδὲν θαυμαστὸν, τοὺς αὐτοὺς, ἅμα τε κωματώδεις εἰρῆσθαι, καὶ ἀγρυπνοῦντας. ὡς εἴγε κωματώδεις μὲν ἦσαν, ἀγρυπνίας δὲ χωρὶς, οὐδ' ἂν ἐζήτησεν, εἰ φρενιτικοὺς ὀνομαστέον αὐτοὺς, εἴτε ὄντας, ἢ γενησομένους. ἀεὶ γὰρ οὕτως ἄκουέ μου, διὰ τὰ προηγούμενα τῆς πρώτης γενέσεως ἁπάντων πραγμάτων, οὐ μόνον τῶν παθῶν, οὐ μὴν οὐδ' εἰ τὰ νευρώδη μέρη κακῶς διέκειτο μετ' ἀγρυπνίας, ἐν ἀρχῇ τοῦ νοσήματος, οὐκ ἂν οὐδ' οὕτως ἐζήτησεν, εἰ φρενιτικοὺς ὀνομαστέον αὐτούς. οἵ τε γὰρ ἄνευ τῆς ἀγρυπνίας κωματώδεις, οὐδ' ὅλως φρενιτικοὶ, οἵ τε ἄγρυπνοι χωρὶς κώματος, ἐπὰν ἐν ἀρχῇ τοῦτο πάσχωσι, μετὰ τῆς τῶν εἰρημένων μορίων ὀδύνης, ἐξ ἀνάγκης φρενιτικοί. μιχθείσης δ' ἀγρυπνίας τῷ κώματι, ἀμφιβολία γίνεται, καὶ διὰ τοῦτο, τῷ λόγῳ, τὸν, ἆρα, σύνδεσμον προσέθηκεν, ὃν περισπῶντες τῷ τόνῳ λέγομεν, ὅταν περί τινων πραγμάτων ἀποροῦντες τύχωμεν. ὃ δὲ, κἀν τοῖς ἐφεξῆς, ἐστὶ μεμνῆσθαι χρήσιμον, ἀκούσαντας ἅπαξ, δεῖ ἀεὶ πρόχειρον ἔχειν, ἀφορίζοντας τὰ, διά τι τῶν ἔξωθεν αἰτίων γεγονότα, καὶ τὰ κατὰ τὸν τοῦ νοσήματος λόγον ἐπιφαινόμενα. ἐὰν γὰρ ὁδοιπορήσας τις συντόνως, ἢ κατ' ἄλλας τινὰς ἐνεργείας κοπωθεὶς, ἢ καὶ σὺν αὐτοῖς ἐγκαυθεὶς, ἅμα τε πυρέττειν ἄρξηται, καὶ κεφαλὴν ἀλγεῖν, καὶ ὀσφὺν, καὶ ὑποχόνδριον, καὶ τράχηλον, μηδὲν ἐκ τούτων ἔλπιζε μέγα λήψεσθαι γνώρισμα, πρὸς διάκρισιν τῶν ἐσομένων, ἢ γινομένων ἤδη παθῶν. εἰ δ' ἄνευ τῆς ἔξωθεν αἰτίας, ὀδύνη τῶν εἰρημένων εἴη μορίων, εἰ μὲν ἀγρυπνίαι, τῷ κάμνοντι, χωρὶς καταφορᾶς συμβαίνοιεν, ἔλπιζε παραφρονήσειν αὐτόν. εἰ δὲ μετὰ κώματος συμβάλλει, κατὰ τὸ πρῶτον, ἀναμένειν ἡμέραν μίαν, ἐν ᾗ τὴν κίνησιν τοῦ νοσήματος διαγνώσῃ. φρενῖτις μὲν γὰρ ἡ ἀκριβὴς, καὶ ἄμικτος ἑτέρῳ νοσήματι, γίνεται χολῆς ξανθῆς καταλαβούσης τὸν τόπον, ἐν ᾧ τὸ τῆς ψυχῆς ἡγεμονοῦν ἐστι. λήθαργος δὲ τὸν αὐτὸν τόπον ὑγράναντός τε, καὶ διαβρέξαντος φλέγματος. αἱ γὰρ, ἐν ἑτέροις τισὶ μέρεσι δυνάμεναι εἰς συμπάθειαν ἀγαγεῖν τὸν ἐγκέφαλον, ἐκ χολῆς καὶ φλέγματος, βλάβαι, τὸ συνεχὲς οὐκ ἔχουσιν.

Sermonem itaque hunc tanquam maximè probabilem recipio, vocarique omnes ab Hippocrate phreniticos existimo, qui mente læsi continuè fuerint, quo modo & qui insaniunt, sola febre ab his discrepantes. Sed quoniam his magna ex parte insit, vt palpebris apertis vigilent, ob id quamplurimi medicorum vigiliam etiam huiusmodi inter ea, quæ phrenitidem indicant, scripserunt. Dixi, *huiusmodi*, quoniam & cum comate vigiliæ fiant, vt Hippocrates ipse in epidemiorum tertio ostendit, inquiens, *Prehendebat autem eos, vel coma continuum non somniculosum, vel peruigilium laboriosum.* Vt coma sit in somnum delatio, nequeuntibus, qui ab hoc occupantur symptomate, vigilantium munia obire, sed tum palpebras claudere cupientibus, tum dormire sperantibus. Contingit autem interdum horum quibusdam, vt clausis palpebris dormire nequeant, sed plurimum vigilent; quod Hippocrates *coma non somnolentum* appellauit. De eo autem, quod per vocabulum coma significatur, librum habes integrum nostrum; in quo pluribus testimoniis Hippocratem cataphoram omnem, coma appellare demonstrauimus. Quo fit vt in præsentia eosdem comatosos, & vigilantes dici mirum non sit. Si enim comatosi quidem, sed absque vigiliis fuissent, non quæsiisset, phreniticosne eos vocare oporteat, vel iam existentes, vel futuros. Perpetuò siquidem ita me audias, ob ea, quæ primam rerum omnium generationem, non solarum affectionum, prægrediuntur. Iam verò, si neruosæ partes malè cum vigilia sine comate inter morbi initia affectæ fuissent, nec ita quidem quæsijsset, an phreniticos eos appellare opus sit. Nempe, qui sine vigilia comatosi existunt, nullo pacto sunt phrenitici: at qui sine comate peruigilant, si id per initia cum prædictarum partium dolore perpessi fuerint, necessariò phrenitici existunt. Si verò vigilia comati annexa fuerit, ambiguitatem res habet, atque ob id in oratione, ἆρα, coniunctionem, id est, *ne*, adiecit: quam accentu circũflexo pronunciamus, quum de quibusdam rebus dubitamus. Quod autem & in sequentibus memoria tenere commodum existit, id semel intellectum, perpetuò habere in promptu debemus; & quæ propter causarum externarum aliquam facta sint, & quæ morbi ratione superueniant, distinguentes. Nam si quis vbi contentè ambulauerit, vel alia ex actione lassitudinem senserit, vel & vnà cum his exustus fuerit, simul febrire cœperit, capite item dolere, & lumbis, hypochondrio, & ceruice, nullam magnam profectò ex his acceptorum te vel ad futurarum, vel iam natarum affectionum discretionem sperauerisnotam. Verùm si absque externa causa prædictas partes infestauerint dolores; si vigiliæ quidem ægro contigerint, absque ea, quæ in somnum fit, delatione; deliraturum eum sperabis. Quòd si vnà cum comate coniungantur, tunc diem vnum expectes, in quo, motionem morbi dignoscas oportet. Phrenitis siquidem, quæ exquisita est, & nulli alteri morbo permiscetur, fit quum bilis flaua locum, in quo princeps animæ pars residet, prehenderit; Lethargus verò quum locum eundem humectarit, perfuderitque pituita; nam quæ partibus in aliis ex bile, & pituita noxæ cerebrum ipsum ad sympathiam trahere possunt, continuæ hæ non sunt.

Quoties

Quoties igitur vterque humor cerebro molestus fuerit, prehendunt contraria hominem symptomata, ita vt tum vigilet, tum leniter in somnum deferatur. Quum verò & ad somnum defertur, simul & desipit, mixtam ipsi permanere affectionem est putandum. Nonnunquam & in horum alterum res ita deflexit, vt vel bilis, vel pituita superior sit, ægerque reddatur, aut phreniticus exquisitè, aut lethargicus. Ego verò, quoties ad finem vsque, tum desipientia, tunc coma persistunt, affectionem hanc ex phrenitide, & lethargo mixtam appello (quidam typhomaniam vocauerunt) vt & in libro de morbis ab Hippocrate scriptum est. In tertio verò epidemiorum (vt paulo ante dixi) phreniticos omnes appellat, qui continuè desipiunt cum febre. Iam reliquum est, vt quæramus, quàm ob causam dictionis principio dixerit, qui comatosi inter initia fiunt; in calce autem, Tum aliàs, tum si quarto cœperit die. Nempe principij nomen indicat quidem, & primum morbi insultum, indicatque & eum, qui secundum latitudinem ad tertium vsque, vel quartum extenditur diem; indicat præterea, & primum morbi tempus, quum morbum in quatuor partes diuidentes constare ex principio, incremento, statu, & declinatione, pronunciamus. Quod autem hæc nomine principij significentur, in primo De crisibus est demonstratum. Nunc autem, in quo significatu dictum hoc nomen sit, consideremus. Arbitror equidem, Hippocratem in prima dictionis parte principium dixisse, morbi totius insultum, qui secundum latitudinem intelligitur, in calce autem quum ait, tum aliàs, tum si quarto cœperit die, dicere tunc incipere prædicta sola symptomata, ægro iam quatuor ante diebus febre correpto, vt in eo, quod secundum latitudinem sumitur, principio generentur tum coma, tum vigilia, tum partium neruosarum dolores. Nempe primo, vel secundo die præ copia sanguinis, qui propter bilis permixtionem acrimoniam quandam mordacem habeat, potest reddi idem æger, tum comatosus, tum vigilans grauata quidem ob sanguinis copiam cerebri facultate, sed à bile vsque adeo irritata, vt somnus inhibeatur. Quarto verò die copia iam imminuta, & præsertim si medicus eam vacuare præuerterit, atque acrimonia cocta, desinere vtrunque symptoma, tum coma, tum vigilias, par est. Si ergo, quo tempore cessasse debuerunt, ea fieri videantur, bilem vel pituitam cerebrum inuasisse, non sanguinis copiam, id commonstrat. De potentia autem quarti diei in libris De diebus decretoriis est dictum, quum inibi mentem Hippocratis explicaremus, quomodo & in prognostici commentariis; Nempe hunc ait, *indicem septimi esse*, quod est, eam habere naturam, vt qualisnam septimus futurus sit, indicet. Quum ergo signum malum quarto apparuerit die, malus necessariò septimus est futurus; si verò salubre & bonum, septimus bonus erit, nam proportione virtutis signi, tum magis, tum minùs, vel bonum, vel malum fore septimum sequens est. Quæ autem signa magis minusque tum perniciosa, tum salutaria existunt, in prognostico ostensum est. Septimum igitur proportione quarti, magis minusque tum bonum, tum malum fieri continget.

A ὅταν οὖν ὑπ' ἀμφοτέρων τῶν χυμῶν ἐνοχλεῖσθαι συμβαίνῃ τὸν ἐγκέφαλον, ἐναντία συμπτώματα καταλαμβάνει τὸν ἄνθρωπον, ὡς ἀγρυπνεῖν τε ἅμα, καὶ καταφέρεσθαι κατ' ὀλίγον. ὅταν δὲ καὶ καταφέρηται ἅμα, καὶ παραφρονῇ, τὴν μικτὴν διάθεσιν διαμένειν αὐτοῖς νομιστέον. ἐνίοτε δὲ ἐπὶ θάτερον ἔρρεψεν, ὡς ἤτοι τὴν χολὴν, ἢ τὸ φλέγμα νικῆσαι, καὶ γίνεσθαι τὸν ἄνθρωπον, ἤτοι φρενιτικὸν ἀκριβῶς, ἢ ληθαργικόν. ἐγὼ μὲν οὖν, ὅταν ἄχρι τέλους, ἥ τε παραφροσύνη, καὶ τὸ κῶμα διαμείνῃ, μικτὸν ὀνομάζω τοῦτο τὸ πάθος, φρενίτιδός τε καὶ ληθάργου. τινὲς δὲ τυφομανίαν ἐκάλεσαν, ὡς κἀν τῷ περὶ νούσων Ἱπποκράτει γέγραπται, B κατὰ μέν τοι τὸ γ'. τῶν ἐπιδημιῶν, ὡς ἔφην ἀρτίως, ἅπαντας ὀνομάζει φρενιτικοὺς ὁ Ἱπποκράτης, ὅσοι διηνεκῶς παραφρονοῦσι πυρέττοντες. ὑπόλοιπον δέ ἐστι ζητῆσαι, διὰ τί, τῆς ῥήσεως ἀρχόμενος μὲν εἶπεν, οἱ κωματώδεες ἐν ἀρχῇσιν, τελευτῶν δὲ πάλιν, ἄλλως τε, καὶ τεταρταίοισιν ἀρχομένοισι. τὸ γὰρ τῆς ἀρχῆς ὄνομα, δηλοῖ μὲν καὶ τὴν πρώτην εἰσβολὴν τοῦ νοσήματος, δηλοῖ δὲ καὶ τὴν ἐν πλάτει νοουμένην ἄχρι τῆς τρίτης, ἢ τετάρτης ἡμέρας, δηλοῖ δὲ καὶ τὸν πρῶτον καιρὸν τοῦ νοσήματος, ὅταν εἰς τέσσαρα μέρη διελόντες αὐτὸν, εἴπωμεν, ἐξ ἀρχῆς τε καὶ ἀνα- C βάσεως, ἀκμῆς τε, καὶ παρακμῆς σύγκεισθαι. περὶ μὲν οὖν τοῦ σημαίνεσθαι ταῦτα παρὰ τοῦ τῆς ἀρχῆς ὀνόματος, ἐν τῷ πρώτῳ τῶν περὶ κρίσεων, ἐπιδέδεικται. νυνὶ δὲ ἐπισκεψώμεθα, κατὰ ποῖον αὐτῶν σημαινόμενον, εἴρηται τοὔνομα. δοκεῖ δέ μοι κατὰ μὲν τὸ πρῶτον μέρος τῆς ῥήσεως, ἀρχὴν εἰρηκέναι, τὴν κατὰ πλάτος εἰσβολὴν ὅλου τοῦ νοσήματος. ἐπὶ δὲ τῆς τελευτῆς, ἔνθα φησὶν, ἄλλως τε, καὶ τεταρταίοισιν ἀρχομένοισιν, ἄρχεσθαι τηνικαῦτα λέγειν μόνα τὰ προειρημένα συμπτώματα, φθάνοντος ἤδη πυρέττειν ἐκ τεττάρων ἡμερῶν, τοῦ νοσοῦντος, ἵν' ἐν τῇ κατὰ πλάτος ἀρχῇ, τὴν γένεσιν ἴσχει τό, τε κῶμα καὶ ἡ D ἀγρυπνία, καὶ τὰ τῶν νευρωδῶν μορίων ἀλγήματα. κατὰ μὲν γὰρ τὴν πρώτην, ἢ δευτέραν ἡμέραν, ἐκ πλήθους αἵματος, ἔχοντός τινα δριμύτητα δακνώδη, δι' ἐπιμιξίαν χολῆς, δύναται γίνεσθαι κωματώδης τε, καὶ ἄγρυπνος ὁ αὐτὸς ἄνθρωπος, ὑπὸ μὲν τοῦ πλήθους τοῦ αἵματος, βαρυνομένης τῆς κατὰ τὸν ἐγκέφαλον δυνάμεως, ὑπὸ δὲ τῆς χολῆς, ἐρεθιζομένης, ὡς ὕπνου κωλύεσθαι, κατὰ δὲ τὴν τετάρτην ἡμέραν, τοῦ πλήθους ἤδη συνῃρημένου, καὶ μάλιστα, ἐὰν ὁ ἰατρὸς αὐτὸ φθάσῃ κενῶσαι, καὶ τῆς δριμύτητος πεπεμμένης, χρὴ ἀμφότερα παύεσθαι τὰ συμπτώματα, καὶ τὸ κῶμα, καὶ τὴν ἀγρυπνίαν. E ὅταν οὖν ἐν ᾧ χρόνῳ πεπαῦσθαι ἐχρῆν αὐτὰ, γινόμενα φαίνηται, χολὴν ἢ φλέγμα, δηλοῖ κατειληφέναι τὸν ἐγκέφαλον, οὐχ αἵματος πλῆθος. εἴρηται δὲ ἐν τῷ περὶ κρισίμων ἡμερῶν, ἡ τῆς τετάρτης δύναμις, ἐξηγουμένων ἡμῶν ἐν αὐτοῖς τὴν Ἱπποκράτους γνώμην, ὥσπερ κἀν τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασιν. ἐπίδηλον γὰρ εἶναι φησὶν αὐτὴν, τῆς ἑβδόμης, ὅπερ ἐστὶ προδηλοῦν πεφυκέναι ὁποία τις ἡ ἑβδόμη γενήσεται. μοχθηροῦ μὲν οὖν ἐν τῇ τετάρτῃ φανέντος σημείου, μοχθηρὰν ἀναγκαῖον ἔσεσθαι καὶ τὴν ἑβδόμην· σωτηρίου δὲ, καὶ ἀγαθοῦ, καὶ τὴν ἑβδόμην ἀγαθὴν γενήσεσθαι. F κατὰ γὰρ τὴν ἀναλογίαν τῆς τοῦ σημείου δυνάμεως, τὸ ἧττόν τε, καὶ μᾶλλον ἀγαθὴν, ἢ κακὴν γίνεσθαι τὴν ἑβδόμην ἡμέραν ἀκόλουθον. δέδεικται γὰρ ἐν τῷ προγνωστικῷ, τὰ μὲν μᾶλλον, τὰ δὲ ἧττον ὀλέθριά τε καὶ σωτήρια τῶν σημείων. καὶ τὴν ἑβδόμην οὖν, ἀνάλογον κατὰ τὴν τετάρτην, ἤτοι μᾶλλον, ἢ ἧττον ἀγαθήν τε καὶ κακὴν γίνεσθαι συμβήσεται.

τῆς οὖν ἀπὸ τῶν ῥινῶν στάξεως, οὔσης ἀεὶ κακοῦ σημείου, τελεωτάτη κακία δηλοῦται τοῦ νοσήματος, ἐὰν ἐν τῇ τετάρτῃ τῶν ἡμερῶν γίνηται. φαίνεται γὰρ ἐγκεχειρηκέναι μὲν ἡ φύσις, ἀπορρίψασθαι τὸ κατὰ τὴν κεφαλὴν ἠθροισμένον πλῆθος, οὐ δεδυνῆσθαι δέ. πρόδηλον δ', ὅτι κάκιστόν ἐστι τὸ γένος τῶν τοιούτων σημείων. καὶ γὰρ ὅσα φύματα, καὶ ἐξανθήματα, πρὸς τὸ δέρμα τοῦ βάθους ἐξανθήσαντα, παλινδρομῇ, χαλεπώτατα πάντων ἐστί. καὶ οἱ ἀρξάμενοι μὲν ἱδρῶτες, εὐθέως δὲ παυσάμενοι, καὶ οὗτοι μοχθηροί, καὶ τὰ διαχωρήματα δ' ὁμοίως, ὅσα τε δι' αἱμορροΐδων, ἢ μήτρας, ἐπὶ γυναικῶν κενοῦται. πάντα γὰρ ταῦτα χείρω τῶν B μηδ' ὅλως ἐπιφανέντων, ὅταν ἀρξάμενα παύσηται. ἐνίοτε γὰρ συμβαίνει, πέττουσαν ἔτι τὰ λυποῦντα τὴν φύσιν, οὐδέπω τῆς ἀποκρίσεως αὐτῶν ἔχεσθαι. τῶν δ' ἀρξαμένων μὲν, εὐθέως δὲ παυσαμένων, ὥσπερ ὁρμή τις ἐμφαίνεται, τῆς φύσεως ἐκκρῖναι τὰ λυποῦντα σπευδούσης, καὶ οὕτω δι' ἀσθένειαν, μὴ δυναμένης ὃ προὔθετο κατεργάσασθαι.

A Quum itaque stillatio è naribus semper malum signum sit, absolutissima morbi malitia significatur, si quarto fiat die; videtur siquidem natura collectam in cerebro abundantiam conata esse, vt expelleret, sed non potuisse. Talium autem signorum genus deterrimum esse constat; nempe quæ vel tubercula, vel pustulæ ex imo ad cutem enata recurrerunt, grauissima omnium existunt, sudores quoque, qui cœperunt quidem, sed protinus cessauerunt, praui sunt; deiectiones item, & quæ per hæmorrhoidas, vel in mulieribus per vterum vacuantur; omnia siquidem hæc deteriora his sunt, B quæ nullo apparent pacto, si vbi cœperint, cessent. Contingit enim interdum coquentem adhuc contristantia naturam nondum ad horum expulsionem excitari; in illis verò, quæ cœperunt quidem, sed protinus desierunt, apparet veluti excitatio quædam, conante natura excernere, quæ molesta sunt, atque ita ob imbecillitatem, quod proposuerat, perficere nequeunte.

Περὶ διαχωρημάτων τῶν ὑγρῶν καὶ ἐξερύθρων.

C

De liquidis iisque rubris deiectionibus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ β'.

Κοιλίης περίπλυσις ἐξέρυθρος, κακὸν μὲν ἐν πᾶσι τοῖσι νουσήμασι, οὐχ ἥκιστα δὲ ἐπὶ τοῖς προειρημένοις.

HIPPOCRATIS PRÆDICTIO 2.

Alui proluuies admodum rubra, malum quidem in omnibus morbis, non minimè verò in prædictis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὁ μὲν οὖν Ἱπποκράτης, ἔν τε τῷ προγνωστικῷ συγγράμματι, τῶν σημείων ἑκάστου διδάσκει τὴν δύναμιν, ἐπὶ τέλει τε τοῦ βιβλίου, συμβουλεύει τὰς δυνάμεις D τῶν εἰρημένων σημείων ἐκλογιζόμενον, ὅπερ ἐστὶν, ἀλλήλοις παραβάλλοντα, τὴν πρόγνωσιν οὕτω ποιεῖσθαι. τινὰ μὲν γὰρ ὁμοειδῆ τῶν σημείων ἐστὶ, ἄκουε δέ μου νῦν, οὕτως ὁμοειδῆ λέγοντος, ὡσεὶ καὶ ὁμογενῆ φθάσας εἶπον. ἔνια δὲ, οὔτε γένος ἔχει ταὐτὸν, οὔτε εἶδος. ὁμοειδῆ μὲν οὖν ἐστι τὰ καθ' ἕν τι πάθος γιγνόμενα. τὰ μὲν ἀναπτυόμενα, τῆς κατὰ πνεύμονα, καὶ θώρακα, καὶ τραχεῖαν ἀρτηρίαν, καὶ λάρυγγα, συνελόντα δὲ φάναι, τῶν ἀναπνευστικῶν ὀργάνων διαθέσεως ἐστὶ σημεῖα. τῶν δ' αὐτῶν τούτων, ὅσα κἀπὶ τῆς ἀναπνοῆς πλημμελεῖται πρώ- E τως· ἔξωθεν γὰρ αὐτῶν ἐστι τὰ κατὰ συμπάθειαν. ἐγκεφάλου δὲ, καὶ μηνίγγων, ὅπως διάκειται σημεῖα, διὰ μὲν τῶν ἐκκρινομένων, οἷα, τὰ διὰ μυκτήρων, ἢ ὑπερώας κενοῦται. διὰ δὲ τῶν βεβλαμμένων ἐνεργειῶν, ἐν καταφοραῖς, ἢ ἀγρυπνίαις, ἢ παραφροσύναις, ἢ σπασμοῖς, ἢ τρόμοις ὅλου τοῦ σώματος. ἐὰν οὖν ἅμα παραφρονῇ, καὶ σπᾶταί τις, εὔδηλον ὅτι μείζων ἐστὶν ἡ διάθεσις, ἢ εἰ τὸ ἕτερον ἦν μόνον. οὕτω δὲ κἂν δυσπνοῶν εὐθὺς, καὶ πτύει μέλανα. καὶ ταῦτα μὲν οὖν ἴσως, οὐκ ἄν τις ὀρθῶς ἀλλήλοις ἐπιπλέκει, διὰ τῆς ἐν τοῖς βι- F βλίοις διδασκαλίας, ἀρκεῖ γὰρ, ἑκάστου τὴν δύναμιν εἰπεῖν, ἐπιτρέψαντα τῷ μανθάνοντι, σκοπεῖσθαι πάντα ἐπὶ τῶν ἀρρώστων. ἡ δὲ τῶν ἑτερογενῶν σημείων ἐπιπλοκὴ, παντάπασιν ἄχρηστος, ἔν βιβλίοις τε γραφομένη, καὶ διὰ τῆς ἐν τοῖς λόγοις συνουσίας εἰς γυμνασίαν ἥκουσα.

COMMENTARIVS GALENI.

Signorum singulorum vires docet in prognostico Hippocrates; vultque in calce libri, viribus dictorum signorum æstimatis, perpensisque id est inter se collatis, fieri ita prænotionem. D Nempe signorum quædam speciei eiusdem existunt (quum autem eiusdem speciei dico, quasi & eiusdem generis, iam dixerim, ita me audias) alia verò neque genus habent idem, neque speciem. Speciei ergo eiusdem sunt, quæ in vna aliqua fiunt affectione. Quæ quidem per sputa excernuntur, affectionis tum pulmonum, tum thoracis, tum asperæ arteriæ, tum gutturis, atque (vt in summa dicam) respirationi subseruientium instrumentorum signa sunt; horum autem ipsorum, quæ & in respiratione vitium per se, & primum E contraxerunt; nam ab his separantur, quæ per consensum afficiuntur. Cerebri quoque, & membranarum ipsum tegentium, quonam afficiantur modo, signa sunt, per ea quidem, quæ excernuntur, quæ per nares & palatum vacuantur, per functionum verò læsionem, quæ in cataphoris, vel vigiliis, vel desipientiis, vel conuulsionibus, vel totius corporis tremoribus visuntur. Siquis igitur simul tum desipiat, tum conuellatur, quòd affectio ea grauior sit quàm alterum illorum duntaxat fuerit, liquidò constat omnibus: pari modo si difficulter spirans protinus, & nigra expuat. Sed forsan hæc non rectè inter se quis permiscuerit F iuxta eam, quæ in libris esse debet, doctrinam; sufficit enim cuiuslibet virtutem recensere, permissa discentis arbitrio omnium in ægrotantibus contemplatione. Signorum autem diuersi generis connexio prorsus inutilis est, & quum in libris scribitur, & quum in exercitationem per eam, quæ sermonibus fit, conuentionem venit,

Nempe

Nempe definita cuiusque simplicium virtute satis est, postea semel duntaxat dicere, quod dixit Hippocrates, perpendendas scilicet signorum vires, conferendásque inter se, vt de ægrotantibus quippiam enuncietur. Si quis autem signum malum esse vrinas nigras dixerit; adiecerítque & peius esse, si nigra quoque expuerit; & deinceps hoc rursum peius, si & nigra deiecerit, atque si inter initia id contigerit; præterea & peius adhuc esse, si quarto id fuerit die; adiecerítque & his, tum quod in exordio prognostici est scriptum, tum faciem illam, quam priuatim cadauerosam medici appellant; vanam sanè signorum permixtionem scripserit. Nullus siquidem ita amens est, vt non intelligat minùs malè eum habere, cuius pulmonem, vel thoracem morbosa vrget affectio; deterius verò eum, cuius partem vtranque fatigat; sicuti & adhuc deterius, quem vnà cum his ventris exercet affectio; atque adhuc deterius, quem vel iecoris, vel cerebri affectus premit. Quæ igitur vniuersi vel non scripta norunt, ea frustra, temeréque scribuntur; nisi quis, vel chartas, vel tempus perdere voluerit; quod perpetua seruari memoria velim. Sed ad institutum redeamus. Capite dolentibus non absque ratione lumborum dolores, ceruicísque, & hypochondrij adiecit; nempe pluribus generis eiusdem simul factis signis, non solùm species, vel genus affectionis compertius erit, verùm quoque & magnitudo ipsius dignoscetur. Quum autem desipientiæ coma adiunctum fuerit, eáque cerebrum malè habere demonstrent, securior nostra erit cognitio, videbitúrque affectio maior. Quum verò & è naribus stillatio accesserit, iam non securiorem cognitionem esse dixerim, sed scientificam & certam, quum signa victam à morbo cerebri facultatem commonstrent. Quod si & quarto die factum esse id, adiectum fuerit, certissimè ita cerebrum in magna quidem esse affectione constabit, sed perniciosè hominem habere. Quibus si adiecerit quis frigidum cùm è naribus, tum ex ore expiratum, perniciosum quidem in omnibus est, non minimè autem in prædictis; & verum quidem aliquid enunciabit, sed doctrinæ, quâ liber pollere debet, superuacaneum. Quo modo & si his adiecerit nigra sputa, nempe & hæc quidem mala sunt, sed alteram à prædictis commonstrant affectionem, veluti & vrinæ; nam & hæ si nigræ fuerint, vitiosam præstant notam, affectionem tamen aliam ostendunt. In prognostico igitur seorsum signorum singulorum virtus declaratur; atque eorum, quæ affectionem vnam indicant, concursus aliquando est scriptus, vt in exordio quidem in ea facie, quæ mortem portendit; infra verò in suppurationibus, hydropibus, & aliis quibusdam; in hoc autem libro sæpius in vna diuersi generis signorum cócursione complura superuacuè implicantur. Valde rubens igitur proluuies, quæ in iecoris fit affectionibus, perperam hoc in loco, cerebri vitiis adiuncta est; est sanè & ea per se non bonum signum, iecinoris scilicet imbecillitatem ostendens; sed adiecta cerebri affectioni, duas ob valentes affectiones periclitari hominem prænunciabit. Sed quidnam hoc? nam si pleuritis, & peripneumonia vno fiant tempore, periculosius id existit, quàm si horum alterum duntaxat factum sit; nec minùs, si præter hæc, dysenteriâ quoque æger vexetur, aut quæuis alia cum his oboriatur affectio. Sed nemo permixtiones huiusmodi, in libris docet.

μετὰ γὰρ τὴν ἁπλῶν ἑκάστου δύναμιν ὁρισθεῖσαν, ἀρκεῖ μόνον ἐφεξῆς ἅπαξ εἰπεῖν, ὅπερ εἶπεν ὁ Ἱπποκράτης, ὡς ἐκλογίζεσθαι δεῖ τῶν σημείων τὰς δυνάμεις, καὶ παραβάλλειν ἀλλήλοις εἰς τὴν περὶ τῶν καμνόντων ἀπόφασιν. ἐὰν δέ τις εἰπὼν, κακὸν εἶναι σημεῖον οὖρα μέλανα, προσθῇ τούτῳ κάκιον εἶναι κἂν πτύῃ μέλανα. καὶ τούτου πάλιν ἐφεξῆς φησὶ, κἂν διαχωρήσῃ δὲ μέλανα, εἰ δὲ, καὶ κατ' ἀρχὰς, ἔτι κάκιον. ἐφεξῆς τε πάλιν ἔτι κάκιον εἶναι φησὶ, τεταρταίῳ συμβῆναι τοῦτο, προσθῇ δὲ τούτοις, καὶ τὸ κατ' ἀρχὴν τοῦ προγνωστικοῦ γεγραμμένον, καὶ τὸ πρόσωπον νεκρῶδες, ὅπερ ἰδίως ὀνομάζουσιν οἱ ἰατροὶ, ματαίαν ἐπιπλοκὴν γράφει σημείων. οὐδεὶς γὰρ οὕτως ἐστὶν ἀδιανόητος, ὡς μὴ νοεῖν, ἧττον μὲν ἔχειν κακῶς, ᾧ περὶ πνεύμονα μόνον, ἢ θώρακα διάθεσίς ἐστι νοσώδης, ᾧ δ' ἐν ἀμφοτέροις χεῖρον, ᾧ δὲ πρὸς τούτοις, καὶ κατὰ γαστέρα, μᾶλλον. εἰ δὲ καὶ καθ' ἧπαρ, ἢ ἐγκέφαλον, ἔτι καὶ μᾶλλον. ἅπερ οὖν ἅπαντες νοοῦσι, καὶ χωρὶς τοῦ γράφειν, μάτην ταῦτα γράφεται, πλὴν εἰ χάρτας τις, ἢ χρόνον ἀπολλύναι βούλεται. τούτου μὲν οὖν ἀεί μοι μέμνησο. πρὸς δὲ τὸ προκείμενον ἐπανέλθωμεν. τοῖς κεφαλὴν ὀδυνωμένοις, ὀσφύος μὲν ἀλγήματα, καὶ τραχήλου, καὶ ὑποχονδρίου προσθεῖναι λόγον ἔχει. πλειόνων γὰρ ὁμοειδῶν σημείων γινομένων ἅμα, οὐ μόνον τὸ τῆς διαθέσεως εἶδος, ἢ γένος ἀσφαλέστερον, ἀλλὰ καὶ τὸ μέγεθος αὐτοῦ γνωσθήσεται. προστεθέντος τε κώματος ἅμα παραφροσύνῃ, καὶ αὐτῶν ἐνδεικνυμένων τὰ κατὰ τὸν ἐγκέφαλον ἔχειν κακῶς, ἥ τ' ἡμετέρα γνῶσις ἀσφαλεστέρα γενήσεται, καὶ ἡ διάθεσις μείζων φανεῖται. προσελθούσης δὲ τῆς ἀπὸ ῥινῶν στάξεως, οὐκ ἀσφαλεστέραν ἂν ἔτι φαίην διάγνωσιν εἶναι, ἀλλ' ἐπιστημονικὴν, καὶ βεβαίαν, ἐνδεικνυμένων τῶν σημείων νενικῆσθαι τὴν κατὰ τὸν ἐγκέφαλον δύναμιν ὑπὸ τοῦ νοσήματος. εἰ δὲ καὶ τὸ τῆς τετάρτης ἡμέρας προστεθῇ, βεβαιότατα ἂν οὕτως εἰδείημεν, ἐν μεγάλῃ μὲν εἶναι διαθέσει τὸν ἐγκέφαλον, ὀλεθρίως δὲ τὸν ἄνθρωπον ἔχειν. ἐὰν δέ τις τούτοις προσθῇ, ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν, καὶ τοῦ στόματος, ὀλέθριον μὲν ἐν πᾶσιν, οὐχ ἥκιστα δὲ ἐν τοῖς προειρημένοις, ἀληθὲς μέν τι φησι, περιττὸν δὲ πρὸς τὴν ἐν συγγράμμασι διδασκαλίαν. ὥσπερ εἰ καὶ τούτοις προσθείη μέλανα πτύσματα· κακὰ μὲν γὰρ καὶ ταῦτα, διαθέσεως δ' ἄλλης ἐστὶ παρὰ τὰς προειρημένας γνωρίσματα· καθάπερ καὶ τὰ οὖρα. καὶ γὰρ καὶ ταῦτα μελαινόμενα, φαῦλόν ἐστι σημεῖον, ἀλλ' ἑτέραν διάθεσιν ἐνδείκνυται. κατὰ μὲν οὖν τὸ προγνωστικὸν, ἑκάστου τῶν σημείων ἡ δύναμις ἰδίᾳ δηλοῦται, καὶ σύνοδος αὐτῶν ἐνίοτε γέγραπται, μίαν ἐνδεικνυμένων διάθεσιν. ὡς ἐν ἀρχῇ μὲν ἐπὶ τοῦ νεκρώδους προσώπου, κατωτέρω δὲ, ἐπί τε τῶν ἐμπυημάτων, καὶ ἐπὶ ὑδέρων, καί τινων ἄλλων. ἐνταυθοῖ δὲ πολλάκις ἐν μιᾷ συνδρομῇ τῶν ἑτερογενῶν ἐπιπλέκεται πολλὰ περιττῶς. ἐξέρυθρος οὖν περίπλυσις ἐν ταῖς ἡπατικαῖς διαθέσεσι γινομένη, κακῶς ἔζευκται νῦν τοῖς κατὰ τὸν ἐγκέφαλον. ἔστι μὲν οὖν καὶ αὐτὴ καθ' αὑτὴν οὐκ ἀγαθὸν σημεῖον, ἀρρωστίαν ἥπατος ἐνδεικνυμένη, προστεθεῖσα δὲ τῷ κατὰ τὸν ἐγκέφαλον πάθει, κατὰ δύο διαθέσεις ἰσχυρὰς ἐνδείξεται τὸν ἄνθρωπον κινδυνεύειν. ἀλλὰ τί τοῦτο; καὶ γὰρ ἐὰν πλευρῖτις καὶ περιπνευμονία καθ' ἕνα γένηται χρόνον, ἐπικινδυνώτερόν ἐστιν, ἢ εἰ θάτερον αὐτῶν μόνον ἐγεγόνει. κἂν δυσεντερικὸς ἐπὶ τούτοις ὁ αὐτὸς ἄνθρωπος γένηται ἔτι, κἂν ὁτιοῦν ἄλλο σὺν αὐτοῖς πάθη, ἀλλ' οὐδεὶς ἐν συγγράμματι, τοιαύτας ἐπιπλοκὰς διδάσκει.

περίπλυσις δὲ ὀνομάζει κοιλίας τὰς τὴν λεπτὴν κατὰ τὴν σύστασιν ὑγρῶν διαχωρήσεις, ὥσπερ καὶ πλύνας τις ὕδατι κοιλίαν αἱμαχθεῖσαν, ἐκχέῃ τὸ ὕδωρ. οὕτω δὲ καὶ χολώδης λέγεται περίπλυσις, ὅταν οἷον ἂν ἐξ ὕδατος ἐγένετο, καὶ χολῆς ὀλίγης μιχθέντων, τοιοῦτον φαίνηται διαχωρούμενον. ἀρρωστία δὲ τῆς καθεκτικῆς δυνάμεως τοῦ ἥπατος, ὡς τὰ πολλὰ δὲ σὺν αὐτῇ, καὶ τῆς αἱματοποιητικῆς, τὸ σύμπτωμα τοῦτο ἐστὶ, τοῖς ἐμουμένοις περιττώμασιν ἀνάλογον. ὅταν γὰρ ἡ κατὰ τὴν γαστέρα πέψις ἄμεμπτος γίνηται, τοιοῦτον οὐδὲν ἕπεται σύμπτωμα. βαρυνθείσης δὲ ὑπὸ πλήθους, ἢ διαφθορᾶς αὐτῆς, ἢ καὶ περιττῶν ὑγρῶν ὑπολειφθέντων ἐν τῷ στόματι τῆς κοιλίας, οὐ πάνυ τι χρηστῶν, ἐπὶ τὴν ἀπόκρισιν αὐτῶν ἐξορμῶσα, τοὺς ἐμέτους ἐργάζεται. τοιοῦτον δή τι καὶ κατὰ τὴν τοῦ αἵματος γένεσιν ἐν ἥπατι συμβαίνει. καὶ διὰ τοῦτό ποτε μὲν αἱματώδεις γίνονται διαχωρήσεις, ἐνίοτε δ' ἐξέρυθροι περιπλύσεις, ἐξ αὐτοῦ τοῦ ἥπατος ὑδατώδους ἅμα, καὶ αἱματώδους ἰχῶρος εἰς τὴν γαστέρα συρρέοντος, ἢ βραχέος αἵματος, δριμέος καὶ δακνώδους, ὡς ἂν ἡμιπέπτοις λεπτοῖς, καὶ ὑδατώδεσιν ὑγροῖς ἀναμεμιγμένου, καὶ χρωννύντος αὐτά.

Ventris autem proluuiem valdè rubentem, appellat tenuium substantia humiditatum deiectiones, vt si quis ventrem sanguine conspersum aqua abluerit, aquámque excreuerit; sic & biliosa dicitur proluuies, quum quod excernitur, tale apparet, quasi ex aqua, & pauca bile mixtis fiat. Imbecillitas autem retentricis facultatis est hepatis, atque vt plurimum sanguificæ symptoma comitatur; hoc autem excrementis, quæ vomuntur, proportione respondet. Nam quum ventris concoctio inculpata fuerit, nullum symptoma huiusmodi subsequitur; quum verò ob copiam, vel corruptionem, vel & superfluas humiditates non valdè vtiles in ore ventris relictas, grauatus venter, ad horum excretionem insurgit, vomitum facit. Tale quippiam, & quum sanguis in iecinore generatur, contingit; atque ob id cruentæ interdum fiunt deiectiones; interdum autem & impensè rubens proluuies, aquoso scilicet simul & cruento ichore ex hepate in ventrem confluente; vel modico sanguine tum acri, tum mordente, & velut semicocto tenuibus & aquosis humiditatibus permixto, atque colorem illis præbente.

Περὶ τῆς τραχείας τε καὶ καταξήρου γλώσσης.

De lingua aspera & arida.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ γ'.

HIPPOCRATIS PRÆDICTIO 3.

Αἱ δασεῖαι γλῶσσαι, καὶ κατάξηροι, φρενιτικαί.

Densæ linguæ, asperæ, & aridæ, phreniticæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἄμεινον ἦν τραχείας γεγράφθαι. σύμφυτον γὰρ ἐχούσης ὑγρότητα τῆς γλώττης, τὴν ἐκ τῶν ὀνομαζομένων σιαλοχόων ἀγγείων τε καὶ ἀδένων, ἡ μὲν πρώτη ταύτης ἔνδεια, δασεῖαν αὐτὴν, ἡ δ' ἐπὶ πλέον, τραχεῖαν ἐργάζεται. ἡ δ' ἀμετροτέρα ξηρότης, ῥήγνυσιν αὐτὴν, τουτέστι τὴν κάθυγρον, ὥσπερ τὴν λιπαρὰν γῆν ὁ πολυχρόνιος αὐχμός. οὐχ οἷόν τε καταξήρους ἅμα, καὶ δασείας εἶναι τὰς γλώττας. ἀλλ' ἄμεινον, ὡς ἔφην, γεγράφθαι τραχείας, ὥστε δυοῖν θάτερον, ἢ αὐτὸς ὁ συγγραφεὺς ἀμελῶς ἡρμήνευσεν, ἢ ὁ πρῶτος ἐγγραφόμενος τὴν ῥῆσιν, ἥμαρτεν. ἀλλά γε ἡ τοιαύτη γλῶττα, ξηρότητός ἐστιν ἀμέτρου γνώρισμα, διὸ καὶ τοῖς καυσώδεσι πυρετοῖς ἐπιγίνεται. καὶ ἤρκει τοῦτο διδάξαι τῷ κατὰ τὸν ἐν τῷ προγνωστικῷ νόμον, ἐπὶ τὴν διδασκαλίαν ἀφικνουμένῳ. νοεῖ γὰρ ὁ μανθάνων κατὰ τὸν αὐτὸν λόγον, ἔν τε τοῖς τοιούτοις πυρετοῖς γίνεσθαι, κἂν τῷ φρενιτικῷ τὴν κατάξηρον γλῶτταν, ἐπεὶ καὶ τὸ φρενιτικὸν πάθος, ὑπὸ τῆς ξανθῆς χολῆς γενόμενον, θερμὸν καὶ ξηρόν ἐστιν. ἐμοὶ μὲν οὖν ἄμεινον δοκεῖ τὴν λέξιν ἡμαρτῆσθαι φάναι, καθάπερ καὶ ἄλλας πολλὰς, ἐν πολλοῖς τῶν παλαιῶν ἐπεδείξαμεν ἡμαρτημένας τῶν πρὸ ἐμοῦ γεγονότων, οὐκ ἰατρῶν μόνον, ἀλλὰ καὶ φιλοσόφων, καὶ γραμματικῶν, καὶ ῥητορικῶν. ἔνιοι δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἐπεχείρησαν αὐτῷ βοηθεῖν, γλώττας εἰρῆσθαι φάσκοντες δασείας, τὰς ποιητικὰς τῆς δασείας φωνῆς. εἶναι γὰρ τινάς φασιν οὕτως ὀνομαζομένας φωνὰς, ἀφ' ὧν τοὺς φθεγγομένους αὐτὰς δασυστόμους ὀνομάζεσθαι. τὰς οὖν τοιαύτας φωνὰς μετὰ καταξήρου γλώττης, φρενιτικὰς εἶναι φασιν, ὥσπερ οὐ δυνηθέντος μὲν εἰρηκέναι τοῦ συγγραφέως, αἱ δασεῖαι φωναὶ μετὰ καταξήρου γλώττης φρενιτικαί. τὸ δ' ἀντὶ τῶν φωνῶν γλώττας εἰπεῖν, ἀλλόκοτόν ἐστιν. οὕτω γὰρ ἄν τις εἴπῃ, καὶ βαρείας, καὶ ὀξείας, καὶ μεγάλας, καὶ μικρὰς γλώττας, ὅταν ὀξεῖαν, ἢ βαρεῖαν, ἢ μικρὰν, ἢ μεγάλην ἐθέλῃ δηλῶσαι φωνήν.

COMMENTARIVS GALENI.

Scriptum esse asperæ, non densæ, erat melius. Nam quum lingua connatam tum ex vasis, tum ex glandulis, quas saliuam fundentes appellant, humiditatem habeat; primus quidem ipsius defectus densam eam facit; maior verò asperam; immoderatior autem siccitas perrumpit eam non secus, quàm pinguem terram diutini squalores; quapropter, vt lingua sicca simul & densa sit, fieri non potest. Melius est igitur, vt retuli, asperam scribere. Quare alterum est è duobus; nempe aut scriptor neglectim enunciauit; aut qui primus adscripsit dictionem, corrupit. Talis verò lingua siccitatis immoderatæ nota est; quò fit, vt & ardentibus superueniat febribus. Hócque docuisse, ei qui secundum prognostici legem ad doctrinam accedit, fuerit satis; nam qui discit, siccam linguam ratione eadem fieri intelligit tum in huiusmodi febribus, tum in phrenitico; siquidem & phrenitica affectio, quam flaua bilis parit, calida & sicca est. Præstat igitur, mea sententia, dictionem corruptam esse affirmare, quomodo & alias multas ita corruptas esse demonstrauimus apud plerosque me superiores veteres, non medicos modò, verùm quoque & philosophos, & grammaticos, & rhetoricos. Sunt tamen ex libri expositoribus, qui hoc ipsum defendere sunt conati, linguas densas dici, quæ densam efficerent vocem; affirmantes; nempe voces quasdam ita appellari aiunt, à quibus qui eas proferunt, δασυστόμοι, idest densi oris, appellitari dicunt. Voces ergo huiusmodi cum sicca lingua phreniticas esse aiunt, perindè quasi scriptor dicere non potuisset, densæ voces cum sicca lingua phreniticæ. Sed pro vocibus linguam dicere extraneum est; nempe & hoc pacto quis dixerit, tum graues, tum acutas, tum paruas, tum magnas linguas, vbi vel grauem, vel acutam, vel magnam, vel paruam indicare vocem voluerit.

Adde

Adde quòd neque voces vllas densas appellari audierim, quemadmodum nigras & albas audiui, per metaphoram quibusdam ita appellantibus; proinde nec noui quidem, quasnam vocent densas. Raucas quidem & nigras, in libro de voce, propter vocalium instrumentorum humiditatem, fieri ostendi. Densas verò si alias quasdam præter has dicant, explicare debuerunt; & si ex his aliquas voces, sanè eiusmodi ob humiditatem potius, non ob siccitatem fiunt; sicuti tum acutæ, tum clangentes, ob vocalium instrumentorum, quæ circa guttur sita sunt, ariditatem. Cæterùm linguam non vocis, sed loquutionis instrumentum esse constat; atque ob id, quum ea patitur, balbutiem blæsitatémque in loquutionibus fieri contingit, & non raucam habere vocem, vel nigram; cuius generis esse quosdam suspicor eas existimare, quas ipsi appellant densas. Ego enim, vt retuli, neminem, qui ita vocaret, audiui; tametsi plerosque medicos audiuerim dicentes, palpebras densas, quæ asperitatem quandam exiguam haberent, sicuti est densa lingua; nempe absolutas densitates in palpebris non ampliùs densitates appellant, sed asperitates; proportione igitur linguæ asperitati hæc respondent.

πρὸς τὸ μηδ' ἀκηκοέναι με τινὰς ὀνομαζομένας φωνὰς δασείας, ὥσπερ ἤκουσα μελαίνας τε καὶ λευκὰς ἐκ μεταφορᾶς ὀνομαζόντων ἐνίων, ὥστ' οὐδὲ τίνας λέγουσι δασείας, οἶδα. τὰς μὲν γὰρ βραγχώδεις, καὶ μελαίνας ἐν τοῖς περὶ φωνῆς, ἔδειξα δι' ὑγρότητα τῶν φωνητικῶν ὀργάνων γιγνομένας. τὰς δασείας δὲ εἰ μὲν ἄλλας τινὰς παρὰ ταύτας λέγουσιν, ἐχρῆν ἑρμηνεύειν αὐτούς. εἰ δ' ἐκ τούτων τινὰς εἶναι, δι' ὑγρότητα μᾶλλον, οὐ διὰ ξηρότητα τοιαῦται γίνονται φωναί, καθάπερ ὀξεῖαι καὶ κλαγγώδεις ἐπὶ ξηρότητι τῶν φωνητικῶν ὀργάνων, ἅπερ ἐστὶ τὰ κατὰ τὸν λάρυγγα. τὴν γλῶτταν δὲ οὐ φωνητικόν, ἀλλὰ διαλεκτικὸν ὄργανον ἴσμεν οὖσαν, καὶ διὰ τοῦτο παθούσης αὐτῆς, τραυλίζειν τε καὶ ψελλίζειν συμβαίνει κατὰ τὰς διαλέκτους, οὐ βραγχώδη φωνήν, ἢ μέλαιναν ἴσχειν, οὗ γένους ὑπονοῶ τινας εἶναι νομίζειν, ἃς αὐτοὶ καλοῦσι δασείας φωνάς. ἐγὼ μὲν γάρ, ὡς ἔφην, οὐκ ἤκουσα καλοῦντος οὕτως οὐδ' ἑνός, καίτοι πολλῶν ἀκούσας ἰατρῶν λεγόντων, δασέα βλέφαρα τὰ τραχύτητα ἔχοντά τινα μετρίως, καθάπερ ἡ δασεῖα γλῶττα. τὰς γὰρ ὁλοκλήρους δασύτητας ἐν τοῖς βλεφάροις, οὐκέτι δασύτητας, ἀλλὰ τραχύτητας καλοῦσιν. ἀνάλογα οὖν πάλιν, καὶ ταῦτα τῇ κατὰ τὴν γλῶτταν τραχύτητι.

Ex vrinis phreniticorum prædictio.

HIPPOCRATIS PRÆDICTIO 4.

IN perturbatis vigilantibus vrinæ decolores, nigræ, suspẽsa ferẽtes cũ sudorib. phreniticæ.

COMMENTARIVS GALENI.

SOlœco in dictione participãt non paucæ libri huius orationes; vt ob eam rem iure suspicati quidã sint librum Hippocratis non esse: ob sermonis enim breuitatẽ reiectus erat is qui de mochlicis liber, quamuis & ex iis sit quos Hippocratis esse fatemur, neque solũ ille, sed & is qui est aphorismorũ; qui quanquã maxima cũ breuitate enuncientur, non tamẽ, quod solœci particeps sit, in ipsis reperias; adde quòd enũciationes adeo excellunt, vt planè dicãt grauẽ eius libri authorẽ esse. Præsens verò liber alienã in multis orationibus habet enũciationem; vt quum in præsenti dictione de vrinis ait; nẽpe hoc pacto impropriè dictũ est, suspensæ, quum quę vrinis inuehuntur, dici ita debeant, non vrinæ ipsæ. Ob eam causam nõnulli permutata dictione ita scripserũt; *Vrinæ in turbulẽtis, vigilibúsq; decolores, nigris suspensis.* Sed proculdubio reperitur, & in ea scriptura solœcismus, etsi quã maximè vitare ipsum videantur, qui dictionem permutant; nempè hæc oratio, sublime petentes, manifestã ad vrinas relationem habet. Hæ igitur ipsæ & phreniticæ dicuntur, id est phrenitim, vel significantes, vel facientes; quòd faciant, non consentaneum videtur; quòd significent, non vacat ratione. Quòd si significent, phrenitidem cum effectrice causa quadantenus communicare significant. Demonstratum autem est, nigras vrinas ob serum bilis atræ vnà cum excrementis aquosis emissum, procreari. Gemina verò bilis atræ existit generatio; nempe vel flaua bile supra modum adusta, vel crasso sanguine; supra modum autem assatur, propter vehementem caliditatem. Iure ergo in febribus, quæ causi appellantur, & phrenitidibus, tales meiuntur, quum tum calidæ, tum siccæ affectiones eiusmodi existant. Inter vri-

Ἐκ τῶν οὔρων τῶν φρενιτικῶν πρόρρησις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ δ'.

ΤΑ ἐπὶ ταραχώδεσιν ἀγρύπνοισιν, οὖρα ἄχροα, μέλανα, ἐναιωρεύμενα, ἐφ' ἱδρῶτι φρενιτικά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΣΟλοικώδεις κατὰ τὴν λέξιν εἰσὶν οὐκ ὀλίγαι τῶν ἐν τούτῳ τῷ βιβλίῳ ῥήσεις, ὡς καὶ διὰ τοῦθ' ὑποπτεύειν αὐτὸ τινὰς εὐλόγως, Ἱπποκράτους οὐκ εἶναι. διὰ βραχυλογίαν μὲν γὰρ ἀποκεχωρηκέναι τοῦ μοχλικοῦ, ὄντος τῶν ὁμολογουμένων Ἱπποκράτους βιβλίων οὐ μόνον τούτου, ἀλλὰ καὶ τῶν ἀφορισμῶν. καίτοι διὰ βραχυτάτης λέξεως ἑρμηνευομένων κἀκείνων, οὐ μὴν σολοικώδης γέ ἐστιν ἡ ἑρμηνεία κατ' αὐτό, μετὰ καὶ τοῦ περιγίνεσθαι τῶν ἑρμηνευομένων, ὡς λέγειν δεινὸν ὄντα τὸν γεγραφότα τὸ βιβλίον ἐκεῖνο. τουτὶ δὲ τὸ προκείμενον ἡμῖν ἀλλόκοτον ἐν πολλαῖς ῥήσεσιν ἔχει τὴν ἑρμηνείαν, ὥσπερ ἐπὶ τῶν οὔρων ἐν τῇδε τῇ νῦν προκειμένῃ. οὕτω γὰρ ἀκύρως λέλεκται τὸ, ἐναιωρεύμενα γὰρ τὰ οὖρα, τῶν ἐμφερομένων αὐτοῖς ὀνομαζομένων οὕτως, οὐκ αὐτῶν τῶν οὔρων, διὸ καί τινες ὑπαλλάξαντες τὴν λέξιν οὕτως ἔγραψαν. τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοισιν οὖρα ἄχροα, μέλασιν ἐναιωρεύμενα. ἔνι γοῦν καὶ κατὰ τήνδε τὴν γραφὴν τὸ σολοικοφανές, κἂν ὅτι μάλιστα δοκῶσιν αὐτὸ φεύγειν, ὑπαλλάττοντες τὴν λέξιν. τὸ γὰρ ἐναιωρεύμενα, φανερῶς ἐπὶ τὰ οὖρα τὴν ἀναφορὰν ἔχει. ταῦτα οὖν αὐτὰ καὶ φρενιτικὰ λέγεται, τουτέστιν ἤτοι σημαίνοντα φρενῖτιν, ἢ ποιοῦντα. τὸ μὲν οὖν ποιεῖν, οὐκ εὔλογον, τὸ δὲ σημαίνειν, οὐκ ἄλογον. εἰ δὲ σημαίνει, αὐτῇ τῇ ποιούσῃ αἰτίᾳ τὴν φρενῖτιν κατά τι κοινωνεῖ αὐτά. δέδεικται δὲ τὰ μέλανα, διὰ τὸν ὀρρὸν τῆς μελαίνης χολῆς τοῖς ὑδατώδεσι συναποκρινόμενον περιττώμασι, γίνεσθαι. διττὴ δ' ἐστὶν ἡ γένεσις τῆς μελαίνης χολῆς, ἢ τῆς ξανθῆς ὑπεροπτημένης, ἢ τοῦ παχέος αἵματος. ὑπεροπτᾶται δὲ διὰ θερμασίαν ἰσχυράν. εἰκότως οὖν ἔν τε τοῖς καύσοις ὀνομαζομένοις πυρετοῖς οὐρεῖται, κἂν ταῖς φρενίτισι ταῦτα τοιαῦτα. θερμὰ γὰρ καὶ ξηρά, τὰ πάθη ταῦτα. χείρω δὲ τῶν οὐ-

ρων ἐστὶ, τὰ δὲ ὅλως αὐτῶν μέλανα, τῶν ἐναιώρημα μόνον ἐχόντων μέλαν. ἀλλὰ κατὰ τὴν προκειμένην λέξιν, οὐδὲ τοῦτο διήρθρωται σαφῶς, εἴ θ' ὅλα λέγει τὰ οὖρα μέλανα, εἴ τε μόνα τὰ ἐναιωρήματα. βούλεται οὖν ὁ γράψας τὴν προκειμένην ῥῆσιν ὅστις ἂν ᾖ, τὰ τοιαύτην ἔχοντα χροιὰν, οὖρα γινόμενα ταραχώδεσί τε καὶ ἀγρύπνοις, φρενῖτιν σημαίνειν. ταραχώδεις ἀκουόντων ἡμῶν τοὺς ἀλόγως ταραττομένους, ὃ γὰρ βεβλαμμένης μετ' ὀλίγον τῆς διανοίας. αὐξηθείσης δὲ τῆς ὀλίγης ταύτης βλάβης, οὐ ταραχώδεις ἁπλῶς, ἀλλ' ἤδη παραφρονοῦντες λέγονταί τε καὶ γίνονται. περὶ δὲ τῆς ἀγρυπνίας, τί δεῖ καὶ λέγειν, ὡς ἕν τι τῶν φρενιτικῶν ἐστὶ συμπτωμάτων; ἐκ περιττοῦ δὲ πρόσκειται κατὰ τὴν ῥῆσιν, τὸ ἄχροον ἐπὶ τῶν οὔρων, συνεδηλοῦτο γὰρ τοῖς μέλασιν. τὸ δ' ἐφ' ἱδρῶσι, δηλοῖ μὲν ἱδρῶτας γίνεσθαι περὶ τὴν κεφαλὴν, σημαίνοντας αὐτὴν ὑπὸ πλήθους ἐνοχλεῖσθαι. καὶ εἴη ἂν, καὶ ἐν τοῖς ἄλλοις, καὶ τοῦτο φρενιτικὸν σημεῖον. ἀκύρως δ' ἡρμήνευται, μὴ δυναμένων ἡμῶν ἐφευρεῖν τί νοῆσαι δεῖ ἐφ' ἱδρῶτι, πότερον οὖρα. πιθανώτατον γοῦν τοῦτο δόξειεν ἀκούεσθαι, κατὰ τὴν ἀκολουθίαν τῆς ὅλης ἑρμηνείας, ἢ τὰ πεπονθότα σώματα, καὶ πρὸς τούτοις ἔτι τὰ πάθη. ὅπως δ' ἄν τις ἀκούοι, τό γε τῆς ἑρμηνείας ἄκυρον, οὐκ ἔστιν ἐκφυγεῖν, ἀλλὰ καταλιπόντες ταύτην, ὅπως ἂν ἔχῃ, περὶ τῶν γεγραμμένων ἐπισκεψώμεθα. τὰ μὲν οὖν τῆς ἀγρυπνίας τε, καὶ ταραχῆς τῶν καμνόντων, ὄντως φρενιτικὰ, τὰ δὲ τῶν οὔρων τε καὶ ἐφιδρώσεως, οὐδαμῶς. τῶν γὰρ κατὰ τὰς ἀρτηρίας τε, καὶ τὰς φλέβας χυμῶν, ὅπως ἔχουσι, γνωρίσματ' ἐστὶ τὰ οὖρα. τὰ δὲ φρενιτικὰ σημεῖα, τὴν περὶ τὸν ἐγκέφαλον ἐνδείκνυται διάθεσιν. ὥσπερ γε καὶ τὰ κατὰ τοὺς ἱδρῶτας, ἄλλων μὲν τινῶν ἐστι διαθέσεων γνωρίσματα, περὶ ὧν εἴρηται πολλάκις. οὐ μὴν, ὅπως ἔχει τὰ κατὰ τὸν ἐγκέφαλον ἱκανὰ δηλοῦν ἐστιν. ἔνιοι δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον, ἐκ τῶν ἐν ταῖς ἐπιδημίαις γεγραμμένων ἀρρώστων, ἐκλέγουσι τοὺς παραφρονήσαντας, οἷς συνέβη, ἔχειν τι τῶν ἐνταῦθα λεγομένων συμπτωμάτων τε καὶ σημείων, ἢ ἐν διαχωρήμασιν, ἢ ἐν οὔροις, ἢ ἐμέτοις, ἢ ἱδρῶσιν, ἢ ἐξανθήμασιν, ἢ πτύσμασιν, ἢ κατά τι μέρος ἐνοχλούντων. μὴ μέντοι γε ὄντων φρενιτικῶν τῶν τοιούτων σημείων, ὑπαρχόντων δὲ τοῖς ἀρρώστοις ἐξ ἀνάγκης. ἀδύνατον γὰρ ἦν ἐν αὐτοῖς μηδ' ὅλως εὑρεῖν, ἢ τοῖον, ἢ μὴ τοῖον οὖρον. ὡσαύτως δὲ κἀπὶ τῶν διαχωρημάτων, καὶ πτυσμάτων, καὶ τῶν ἄλλων ἁπάντων. ἐὰν οὖν ἅμα τοῖς φρενιτικοῖς σημείοις ἐπ' ἀρρώστου τινὸς ὀφθῇ διαχώρημα τοῖον, ἢ τοῖον ἄλλοτε, κἄπειτα φρενιτικὸς ὁ ἄνθρωπος γένηται, μοχθηρῶς ἄν τις ἀποφαίνηται τὰ γινόμενα σημεῖα πάντα φρενίτιδος εἶναι δηλωτικά. δυοῖν γὰρ θάτερον ὑπάρχειν δεῖ τοῖς ἰδίοις τῶν νοσημάτων σημείοις, ἤτοι διὰ παντὸς, ἢ μόνοις συμβαίνειν. ὅταν δὲ μήτε μόνοις ὑπάρχῃ, μήτε διὰ παντὸς, οὐκ ἔστιν ἐκείνων ἴδια. καὶ τοίνυν καὶ τὰ φρενιτικὰ σημεῖα, βεβαιότατα μὲν ἐστιν, ὅσα διὰ παντός τε, καὶ μόνοις ὑπάρχει τοῖς φρενιτικοῖς. εἶθ' ἑξῆς ὅσα διὰ παντὸς μὲν, ἀλλ' οὐ μόνοις. ὑφ' ἡμῶν μὲν οὖν ἐν ταῖς περὶ τούτων πραγματείαις διώρισται ταῦτα, καὶ δέδεικται μήτ' ἐν οὔροις, μήτ' ἐν διαχωρήμασι, μήτ' ἐν ἱδρῶσι, μήτ' ἐν πτύσμασι, μήτ' ἐν τοῖς ἐμουμένοις φρενιτικὰ γίνεσθαι σημεῖα. τοῖς δ' ἐξηγησαμένοις τὸ βιβλίον, ὀλίγου δεῖν ἅπασιν ἔθος ἐστὶν, ὡς ἔφην, παραγράφειν, τοὺς ἐκ τῶν ἐπιδημιῶν ἀρρώστους, οὐ μόνον ἐπὶ τῆς προκειμένης ῥήσεως, ἀλλὰ καὶ τῶν ὁμοίων αὐτῇ πασῶν.

A nas autem, quæ per se totas nigræ sunt, deteriores his habentur, quæ enæorema duntaxat nigrum habent; in præsenti tamen dictione, neque hoc apertè distinctum est, an vrinas totas nigras dicat, an sola enæoremata. Vult autem dictionis huius author, quicunque fuerit, vrinas huiusmodi, quum in turbulentis, vigilibúsque apparuerint, phrenitidem indicare; vt turbulentos eos intelligamus, qui præter rationem turbantur, quod offensa leuiter mente fieri consueuit; adaucta verò huiusmodi, quę exigua fuerat, offensa, non *perturbati* ταραχώδεις simpliciter, sed iam παραφρονοῦντες *desipientes*, tum dicuntur, tum sunt. B De vigilia autem quid attinet dicere, quòd ex phreniticis symptomatis vnum sit? Superuacaneum præterea in dictione est verbum hoc, *decolores*, in vrinis, quum per nigras consignificatum sit. Quod verò dictum est, in sudoribus ostendit quidem sudores circa caput fieri, præ copia ipsum conflictari indicantes; sitque inter cætera, & hoc phreniticum signum; impropriè tamen enunciatum est, quum quidnam intelligere oporteat, excogitare nequeamus, vbi dicitur, in sudoribus, an vrinas, quâquam ipsa totius enunciationis sequela hoc videatur maximè verisimile intellectu; an affecta corpora; an C præter hæc, & affectiones. Sed quouis modo quis intellexerit, quòd enunciatio impropria non sit, effugi non potest. Omissa igitur ea, quouis modo habuerit, scripta consideremus. Vigiliæ igitur, & perturbationes ægrotantium reuera sunt phreniticæ; vrinæ verò, & sudores, nullo pacto. Nempe quomodo succi tum arteriarum, tum venarum habeant, vrinæ indicant; signa verò phrenitica, cerebri ostendunt affectionem. Pari modo sudores, aliarum quarundam affectionum notæ existunt, de quibus mentionem sæpius fecimus, non tamen cerebri affectionem sufficienter monstrare possunt. D Sunt sanè nonnulli ex iis, qui librum hunc exposuerunt, qui ex scriptis in libris epidemiorum ægris desipientes colligant, quibus aliquod habere contigit eorum, quæ hîc referuntur, tum symptomatum, tum signorum, vel in deiectionibus, vel vrinis, vel vomitibus, vel sudoribus, vel pustulis, vel sputis, vel partem aliquam infestantium; quum sanè talia signa phrenitica non sint, quanquam ægris & ex necessitate insint, fieri siquidem non poterat, vt talis, vel non talis vrina in his non inueniretur: Pari modo, & de sputis, deiectionibúsque, & cæteris omnibus est dicendum. E Si igitur in ægro quopiam deiectio eiusmodi, vel tale aliud quippiam vnà cum signis phreniticis visum fuerit, atque deinde æger phreniticus reddatur, perperam quis ea omnia phrenitidis indicatoria esse pronunciauerit. Necesse est enim, vt propriis morborum signis alterum è duobus insit; nempe vt vel perpetuò, vel solis, contingant; quum autem neque solis insint, neque perpetuò, propria illorum non sunt. Ob eam causam phreniticorum signorum ea sunt certissima, quæ perpetuò, & solis insunt phreniticis. Deinde ab his, quæ perpetuò quidem, sed non solis; quæ in suis tractationibus distinctè F sunt tradita à nobis; demonstratúmque, neque in vrinis, neque in deiectionibus, neque in sudoribus, neque in sputis, neque in vomitibus phrenitica esse signa. Consueuerunt autem libri interpretes propemodum omnes, vt dixi, adnotare ex epidemiis ægros, neque solùm in præsenti dictione, verū quoque & similibus huic omnibus.

Eam

Eam ob causam, qui sese eorum æmulos præstant, ij apud ægros quotidie multa quidem effutiunt; sed quantum ad prænotionem attinet, idiotis conspiciuntur similes; nempe quod in omnibus prognosticis speciei morborum signis in affectorum locorum methodo exercitati esse debeant, est perpetuum. De ea autem methodo à me seorsum scriptum est, veluti & de iis, quæ iudicationes significant. In quibus parum exercitati quidam, veterum libros exponere audent, planè ignorantes, quòd bonum enarratorem oporteat esse idoneum, priùs iudicare, quæ benè, & quæ perperam ab authore dicta sunt, ne iis quæ perperam dicta sunt, patrocinatus, opinionem, vel ignorantiæ vel contentionis reportet. Verùm quoniam non in hac dictione solùm, sed etiam per librũ totum inserunt, quos ex epidemiis collegerunt ægros, præsentem sermonem totum ad finem vsq; perducere satius esse arbitror. Quòd si quis prolixitatem molestè tulerit, proprium dictionis huius sermonem, non libri totius communem esse existimans, vbi à nobis audierit, quonam pacto expositoribus quidem in omnibus ferè dictionum expositionibus, quas perperam in medium afferunt, non prolixus modò, sed ediscentibus etiam ipsis nocuus sermo sit; quæ verò à me nunc semel dicta & commodissima sint, & dicendorum omnium breuem cõpendiosámque faciant explanationem; desinet certè prolixitatem incusare, habebítque mihi gratiam tum ob eorum, quæ ostensa sunt, vtilitatem; tum ob eorum, quæ dicentur, breuitatem. Erit autem sermo, tanquam in exemplo phrenitidis, sed morborum omnium cõmunis. Quoniam igitur phrenitica signa omnia methodo inuenire proposuimus, ab affectionis notione exordiemur; nempe quòd optimũ omnium dicendorũ principium sit, rei quæ inquiritur, notio, in libris de demõstratione est ostensum. Quum ergo phrenitim mortales omnes eam appellitent affectionem, in qua φρένας *mentem* læsam esse videant, quam intellectum, & intelligentiam etiam vocant; priùs qua corporis in parte animæ intelligentia sit, inuenire oportet; id quod primùm in libris de Hippocratis, & Platonis placitis demonstrauimus; quare ab ipsis nunc exorsi summatim quandam velut epitomen eorum, quæ in libro de affectis locis descripta sunt, recenseamus. Necesse etenim dico esse, vt affectio, siue quum incipit, siue quum absoluta iam est, ex functionũ partis affectæ noxa, & ex iis, quæ in ea apparent, reperiatur; dixi autem & ante, exordientis affectionis notas, prognostica signa esse eius, quæ iam completa est. Qui igitur cerebri naturaliter habentis munia nouerit, is ex offensa horum, primùm quòd perpessum sit, deinde, qualisnam is morbus sit, inuenire valebit; inuenta autem à nobis sunt hæc, arbitraria functio, intelligentia, sensus, & memoria. Offensæ igitur horum cerebrum ipsum tali vexari malo, qualis fuerit offensæ species demonstrabunt; Verbi gratia, Functionum arbitrariarum instrumenta musculi existunt. Fiunt autem hę tum iis, qui per manus crurá que agunt munera; tum iis, qui caput spinámque mouent; atque iis, qui loquuntur, vociferantur, & respirant: demonstrata est enim, & hæc functio primum motionis initium habere per neruos à cerebro ad thoracis musculos peruenientes. Quum igitur functio quædam ex dictis læsa esse videbitur, inquirendum est tibi, an affectio ea propria sit eorum, qui functionem hanc obeunt, musculorum,

διὰ τοῦτ' οὖν αὐτῶν οἱ ζηλωταὶ πολυλόγοι μὲν γίνονται καθ' ἑκάστην ἡμέραν ἐπὶ τῶν ἀρρώστων, ἰδιώταις δὲ ὅμοιοι φαίνονται προγνώσεως ἕνεκα. τὸ γὰρ συνεχές ἐστιν ἐν ἅπασι τοῖς προγνωστικοῖς τῆς τῶν νοσημάτων ἰδέας σημείοις, ἐν τῇ περὶ τῶν πεπονθότων τόπων μεθόδῳ γεγυμνάσθαι, περὶ ἧς ἰδίᾳ μοι γέγραπται, καθάπερ γε καὶ περὶ τῶν τὰς κρίσεις σημαινόντων, ὧν ἀγύμναστοί τινες ὄντες, ἐξηγεῖσθαι τολμῶσι τὰς τῶν παλαιῶν ἀνδρῶν βίβλους, οὐκ εἰδότες, ὅτι τὸν ἀγαθὸν ἐξηγητὴν, ἱκανὸν εἶναι χρὴ κρίνειν πρότερον αὐτὸν ὅσα καλῶς, ἢ μὴ καλῶς εἶπεν ὁ συγγραφεὺς, ἵνα μὴ τοῖς κακῶς εἰρημένοις συναγορεύων, ἀγνοίας, ἢ φιλονεικίας ἀπενέγκηται δόξαν. ἐπεὶ δὲ οὐ μόνον ἐν αὐτῇ τῇ ῥήσει τῇ νῦν προκειμένῃ, παρατίθενται τοὺς ἐκ τῶν ἐπιδημιῶν ἀρρώστους, ἀλλὰ καὶ δι' ὅλου τοῦ βιβλίου τούτου παρατίθεασιν, ἄμεινον εἶναί μοι δοκεῖ τέλεον ὅλον ἐκπληρῶσαι τὸν ἐνεστῶτα λόγον. ἐὰν δέ τις ἄχθηται τῷ μήκει, νομίζων τῆς προκειμένης ῥήσεως ἴδιον αὐτὸν, οὐ κοινὸν ὑπάρχειν ὅλου τοῦ βιβλίου, παρ' ἡμῶν ἀκούσας, ὡς τοῖς μὲν ἐξηγηταῖς ἐν ἁπάσαις σχεδὸν ταῖς ἐξηγήσεσιν, ἐξ ὧν κακῶς παρατίθενται ῥήσεων, οὐ μόνον μακρὸς, ἀλλὰ καὶ βλαβερὸς τοῖς μανθάνουσιν ὁ λόγος γίνεται· τὰ δ' ὑπ' ἐμοῦ νῦν ἅπαξ ῥηθέντα χρησιμώτατά ἐστι, καὶ τὴν τῶν μελλόντων ἁπάντων ἐξήγησιν σύντομον ποιεῖται, παύσεται μὲν ἐγκαλῶν τῷ μήκει, χάριν δ' εἴσεταί μοι τῆς τῶν διδαχθέντων ὠφελείας ἕνεκα, καὶ τῆς τῶν μελλόντων λεχθήσεσθαι συντομίας. γενήσεται δ' ὁ λόγος, ὡς ἐπὶ παραδείγματος τῆς φρενίτιδος, ἁπάντων νοσημάτων κοινὸς ὤν. ἐπεὶ τοίνυν πρόκειται μεθόδῳ τὰ φρενιτικὰ σημεῖα πάνθ' εὑρεῖν, ἀπὸ τῆς τοῦ πάθους ἐννοίας ἀρξώμεθα. δέδεικται γὰρ ἐν τοῖς περὶ ἀποδείξεως, ἀρίστη πάντων τῶν ῥηθήσεσθαι μελλόντων ἀρχὴ, τοῦ ζητουμένου πράγματος ἡ ἔννοια. φρενῖτιν οὖν ὀνομαζόντων πάντων ἀνθρώπων τὴν τοιαύτην διάθεσιν, ἐν ᾗ τὰς φρένας ὁρῶσι βεβλαμμένας, ἃς δὴ καὶ νοῦν, καὶ διάνοιαν ὀνομάζουσιν, εὑρῆσθαι χρὴ πρότερον ἐν ᾧ τοῦ σώματος μορίῳ τὸ φρονοῦν τῆς ψυχῆς ἐστιν. ἐπιδέδεικται δ' ἡμῖν πρῶτον τοῦτο, ἐν τοῖς περὶ τῶν Ἱπποκράτους, καὶ Πλάτωνος δογμάτων, ὥστε ἀπ' αὐτῶν νῦν ἀρξάμενοι, διὰ κεφαλαίων εἴπωμεν, οἷον ἐπιτομήν τινα τῶν ἐν τῇ περὶ τῶν πεπονθότων τόπων πραγματείᾳ γεγραμμένων. ἀναγκαῖον γὰρ εἶναί φημι, τῇ τε βλάβῃ τῶν ἐνεργειῶν τοῦ πεπονθότος μορίου, καὶ τοῖς κατ' αὐτὸ φαινομένοις εὑρίσκεσθαι τὴν διάθεσιν, ἤτοι γ' ἀρχομένην, ἢ συντετελεσμένην. εἴρηται δέ μοι καὶ πρόσθεν, ὡς τὰ τῆς ἀρχομένης γνωρίσματα, προγνωστικὰ σημεῖα τῆς ἤδη συμπεπληρωμένης ἐστί. τίνα τοίνυν ἔργα τοῦ ἐγκεφάλου κατὰ φύσιν ἔχοντός ἐστιν, ὁ γνοὺς, ἐκ τῆς βλάβης αὐτῶν εὑρίσκειν δυνήσεται, πρῶτον μὲν, ὅτι πέπονθεν, εἶθ' ὁποῖόν τι τὸ πάθος ἐστὶν αὐτοῦ. εὑρέθη δὲ ἡμῖν ταῦτα, ἥ τε κατὰ προαίρεσιν ἐνέργεια, καὶ διανόησις, αἴσθησίς τε καὶ μνήμη. τούτων οὖν αἱ βλάβαι τὸν ἐγκέφαλον ἐνδείξονται πάσχοντα τοιοῦτον πάθος, οἷον ἂν εἴη τὸ τῆς βλάβης εἶδος, οἷον αὐτίκα τῶν κατὰ προαίρεσιν ἐνεργειῶν, ὄργανα μὲν οἱ μύες εἰσί. γίνονται δ' αὗται τοῖς διά τε τῶν χειρῶν, καὶ σκελῶν ἐνεργοῦσι, καὶ τὴν κεφαλὴν, καὶ ῥάχιν κινοῦσιν, διαλεγομένοις τε, καὶ φωνοῦσι, καὶ ἀναπνέουσιν. ἐδείχθη γὰρ καὶ ἥδε ἡ ἐνέργεια, τὴν πρώτην ἀρχὴν τῆς κινήσεως ἔχουσα, διὰ τῶν ἀπ' ἐγκεφάλου νεύρων ἐπὶ τοὺς τοῦ θώρακος μῦς ἀφικνουμένων. ὅταν οὖν τις ἐνέργεια τῶν εἰρημένων φαίνηται βεβλαμμένη, ζητητέον ἐστί σοι, πότερον τὸ ἴδιον πάθος ἐστὶ τῶν ἐργαζομένων αὐτὴν μυῶν,

ἢ διὰ τὴν ἀπὸ τῆς ἀρχῆς ἀφικνουμένην ἐν αὐτοῖς δύναμιν, ἡ βλάβη γίγνεται. εἶτ᾽ ἂν εὕρῃς, ὅτι διὰ τὴν ἀπὸ τῆς ἀρχῆς, ὑπονόει εὑρῆσθαί τι νόσημα τῆς ἀρχῆς αὐτοῦ, ἐὰν ἡ φαινομένη βλάβη, μὴ μικρὰ, καὶ τὴν αὔξησιν ἀξιόλογον ἔχῃ, οἷον, ἵνα σαφὴς ὁ λόγος γένηται, τῆς ἀναπνοῆς ὑπὸ τῶν κατὰ τὸν θώρακα μυῶν γινομένης, ὅταν ἀπαθεῖς ὦσιν οἱ τοιοῦτοι, ζήτησαι μήτι τῶν ἄλλων μορίων πέπονθε, δι᾽ ὧν τὸ πνεῦμα κατὰ τὰς ἀναπνοὰς, εἴσω τε καὶ ἔξω φέρηται, καὶ μηδὲν εὑρὼν ἐκείνων βεβλαμμένον, ὑπονόει τὸν ἐγκέφαλον πεπονθέναι. ἵνα δὲ ἀκριβὴς ὁ διορισμὸς ᾖ, καὶ τὰ συγκινούμενα τῷ θώρακι μόρια συνεπίσκεψαι. δέδεικται γὰρ ἐν τῷ περὶ δυσπνοίας, καὶ ταῦτα βλάπτοντα τὴν ἀναπνοήν. ἐὰν οὖν ἅπαντα εὕρῃς αὐτὰ τελέως ἀπαθῆ, τηνικαῦτα τὸ τῆς δυσπνοίας εἶδος ἐπίσκεψαι. τίνα δύναται διάθεσιν ἐνδείξασθαι τῶν κατὰ τὸν ἐγκέφαλον, οἷον, ἵνα πλῆρες ᾖ τὸ παράδειγμα, φησὶν Ἱπποκράτης ἐν τῷ προγνωστικῷ. πνεῦμα δὲ πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν ἐν τοῖς ὑπὲρ τῶν φρενῶν χωρίοις, μέγα δὲ ἀναπνεόμενον, καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. ὀνομάζει δὲ τὸ διὰ πολλοῦ τοῦτο πνεῦμα, καὶ ἀραιὸν αὐτὸς, ὡς ἐπιδέδεικταί μοι, κατὰ τὰ περὶ δυσπνοίας ὑπομνήματα. τὸ μὲν γὰρ ἀραιὸν, ἴδιόν τε ἅμα καὶ ἀχώριστον παραφροσύνης σημεῖον. ἐπιδέδεικται δὲ, καὶ κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία, ὡς ἅπαντες οἱ μέγα καὶ ἀραιὸν ἀναπνέοντες παρεφρόνησαν. εἰ μὲν οὖν τις ἐν οὔροις, ἢ διαχωρήμασιν, ἢ πτύσμασιν, ἢ ἐμέτοις, ἢ ἱδρῶσιν, ἢ τινι τῶν ἄλλων δύναται δεῖξαί τι σημεῖον, εἴ τε ἴδιον μόνης τῆς παραφροσύνης ἐστὶν ἴδιον, ἢ εἴ τε μὴ καὶ μόνης, ἀλλ᾽ ἀχώριστον αὐτῆς, εἰκότως ἂν τοῖς φρενιτικοῖς συναριθμήσειε σημείοις. εἰ δ᾽ οὔτ᾽ ἐκ τῆς τῶν πραγμάτων φύσεως, ἀπόδειξιν εἰπεῖν αὐτῷ τινα δυνατόν ἐστιν, οὔτ᾽ ἐν τοῖς τῶν ἐπιδημιῶν, δεῖξαι παραφροσύναις πάσαις, ἤτοι διὰ παντὸς ὑπάρχον, ἢ εἰ μὴ διὰ παντὸς, ἀλλὰ μόναις ὑπάρχον αὐταῖς. οὐκ εὐλόγως τὸ τοιοῦτον σημεῖον ἐν τοῖς φρενιτικοῖς τάττει, τοῦτ᾽ ἔχων ἓν μόνον εἰπεῖν, ὅτι τεθέαταί ποτε φρενιτικοῖς τισιν ὑπάρξαν αὐτό. κατὰ γοῦν τὸν αὐτὸν λόγον τἀναντία τοῖς φρενιτικοῖς νοοῦμεν σημεῖα εἶναι. φέρε γὰρ εἰκὸς ἡμῖν ἑωρᾶσθαι φρενιτικοὺς, ὧν τοῖς μὲν, τὰ κατὰ τὴν κοιλίαν ἐπισχεῖσθαι, τοῖς δὲ ἄλλοις, καὶ πλείω τῶν κατὰ φύσιν ἐκκρίνεσθαι. ἔγραψε δή πού τις, σὺν τοῖς φρενιτικοῖς σημείοις, καὶ τὴν τῆς γαστρὸς ἐπίσχεσιν, εἶτά τινα τούτου μαρτύριον εἶναι νομίζει τῶν φρενιτισάντων ἐκείνους, οἷς προσεπεσχέθη γαστήρ. προπετοῦς γάρ τινος ἐν ταῖς ἀποφάσεσι γράψαντος, ἐπισχεθεῖσαν κοιλίαν φρενιτικὸν εἶναι σημεῖον, ἔνεστιν ἄλλῳ προπετεῖ, μὴ μαρτυρεῖν τῷ λόγῳ φάσκοντι, καὶ τούσδε φρενιτικοὺς, ὧν ἐκταραχθεῖσαν ἐθεάσατο τὴν γαστέρα. γράφοντος οὖν Ἱπποκράτους ἐπὶ τῶν ἐπιδημιῶν ἅπαντα τὰ συμβαίνοντα τοῖς ἀρρώστοις, ἀναγκαῖόν ἐστιν, ὥσπερ τοῖς φρενιτικοῖς, οὕτω καὶ τοῖς περιπνευμονικοῖς, καὶ τοῖς κυναγχικοῖς, ἅπασί τε τοῖς ἄλλοις, ἤτοι γ᾽ ἐπισχεθείσης τῆς γαστρὸς, ἢ ὑπελθούσης, ἐκεῖνον μὲν γράψαι, σὺν τοῖς ἰδίοις τῶν παθῶν, καὶ ταῦτα. τοὺς δ᾽ ἐξηγητὰς, ἡγεῖσθαι τοῦ νοσήματος αὐτὰ εἶναι σημεῖα, μὴ γινώσκοντας ἄλλα μὲν εἶναι τὰ παθογνωμονικὰ, καὶ προγνωστικὰ νοσήματος ἴδια· ἄλλα δὲ καὶ ἀχώριστα σημεῖα. καθάπερ ὀλίγον ἔμπροσθεν ἔφην, ἐπὶ τῆς ἀναπνοῆς μεγάλης, καὶ ἀραιᾶς γινομένης. ὅταν δὲ τούτων μὴ εὐπορῶμεν, τὸ μήτ᾽ ἴδιόν τι ζητεῖν, ἢ ἀχώριστον τοῦ πάθους γνώρισμα,

an ob eam, quæ à principio in ipsos procedit, virtutem, offensa hæc oriatur. Deinde si læsam, ob eam, quæ à principio est, facultatem, esse inueneris, morbum quempiam qui principium infestet, reperiendum esse puta, si, quæ apparet, offensa non leuis fuerit, incrementúmque effatu dignum habuerit, Verbi gratia, vt sermo conspicuus fiat, vbi thoracis musculi, à quibus respiratio perficitur, affectione vacauerint, peruestiga, num quædam cæterarum partium, per quas spiritus in respirationibus tum intrò, tum foras feratur, affecta sit; nam si nullam ex his læsam inueneris; cerebrum læsum esse existimabis. Vt autem & res exquisitè definiatur, considera quoque, & quæ vnà cum thorace moueantur partes; nempè & eas respirationem lædere in libro de difficultate spirandi est demonstratum. Si ergo hæ omnes planè morbi expertes inuentæ fuerint, tunc difficultatis spirandi speciem inspice, quamnam scilicet cerebri affectionem indicare possit; quomodo vt exemplum integrum sit, ait in prognostico Hippocrates; *Spiritus frequens quidem significat dolorem, aut inflammationem, quæ partes septo transuerso superiores fatiget; magnus verò & ex longis interuallis, delirium.* Vocat autem spiritum ex longis interuallis, etiam rarum, vt in commentariis de difficultate spirandi ostendimus; nam magnus & rarus proprium simul & inseparabile desipientiæ est signum; demonstrauimus quoque & in libris epidemiorum, omnes quibus magna & rara respiratio fuerit, desipuisse. Siquis igitur in vrinis, vel deiectionibns, vel sputis, vel vomitibus, vel sudoribus, vel aliorum quopiam, signum aliquod demonstrare possit, quod seorsum desipientiæ soli proprium insit; vel si non soli quidem, ab ea tamen inseparabile; iure id phrenitica inter signa collocauerit. Si verò neque ex rei natura demonstrationem aliquam expromere possit, neque in libris epidemiorum, desipientiis omnibus inesse, vel perpetuò; vel si non perpetuò, saltem his solis ostendere queat; non rationabiliter signum huiusmodi inter phrenitica constituit; hoc siquidem vnum duntaxat asserere potest, quòd phreniticis quibusdam adfuisse visum sit. Eadem verò ratione contraria phreniticis signa esse intelligimus. Iam age, ponamus visos à nobis phreniticos, quorum aliis supprimi aluum; aliis plura, quam naturæ iustum sit, excerni contigerit; nempè & cum signis phreniticis scribat aliquis alui suppressionem; deinde existimet aliquis huius rei testimonium esse, eos phreniticos, quibus aluus suppressa sit. Nam si proteruus quidam in suis enunciationibus suppressam aluum phreniticum esse signum scripserit, potest sanè & alter, qui etiam proteruus sit, sermoni non subscribere, eósque asserere phreniticos esse, quibus perturbatam aluum conspexerit. Sanè quum Hippocrates in epidemiis scribat omnia, quæ ægris contingunt, necesse est, quo modo in phreniticis, ita & peripneumonicis, & anginosis, aliisque omnibus, vt his quidem si aluus suppressa sit, vel fluat, vnà cum propriis morbi indiciis, & hæc scribat; expositores verò ea morbi esse signa existiment, non cognoscentes alia quidem esse pathognomonica, prognosticaque morbi propria; alia verò & inseparabilia; veluti paulò ante dixi in ea, quæ magna & rara est, respiratione. At quum de his non dubitamus, quòd nullũ inquiramus proprium, vel inseparabile morbi indicium,

sed

sed an perniciosè salubritérue æger habeat, tunc necessaria consideratio ipsi erit omnium, quæ in corpore apparent, signorum, & symptomatum. Continentur autem in his, & quæ iudicationes præmonstrant. Sed rursus orationem ad principium reuocantes, dicamus, quomodo author in proposita dictione, *vrinæ in turbulentis, vigilibúsque decolores, nigræ, sublime petentes, atque in sudoribus, phrenitica*, propria & inseparabilia phrenitidis signa scripsit, quum inquit, in turbulentis vigilibúsque; non inseparabilia verò neque ei soli propria, quum ait, atque in sudoribus; quanquam sudor, quum affectum occupauerit locum, vnà cum prædictis demonstrare possit. Quæ de vrinis dicta sunt, à phreniticis quidem separata sunt; sed ad inspiciendum, vtrum perniciosè, an salubriter æger habuerit, conducunt. Imò verò, quum ad ægros introducimur, primùm inueniri conuenit, an laborante vno ex principiis tribus, vel duobus, vel etiam omnibus, æger perniciosè ægrotet; vel principiorum quidem nullũ affectũ sit, sed quippiam eorum, quæ ab horum aliquo enata sunt, vel quouis modo societate coniuncta obstrictáque. Si ergo quum in turbulentis, vigilibúsque vrinas inspicis, nullum in ipsis prauum signum videatur, neque etiam in pulsibus (nempè & id dignotionis exactissimæ gratia adiecisse est necesse) nihilo quidem minùs ita affectũ hominem, phreniticum fieri posse contingit, vbi phrenitidis signa huic affuerint; verùm inter hos periclitantur minùs, qui principes facultates reliquorum duorum principiorum illæsas habent. Hæc, vt dixi, semel à me sint dicta; totóque libro memoria non excidant, velim, ne sæpius ea cogar repetere.

ἀλλ᾽ ἆ πότερον ὀλεθρίως, ἢ σωτηρίως ὁ κάμνων ἔχει, τότε πάντων τῶν κατὰ τὸ σῶμα φαινομένων αὐτῷ σημείων τε καὶ συμπτωμάτων, ἡ ἐπίσκεψις ἀναγκαία ἐστί. περιέχεται δὲ ἐν αὐτοῖς, καὶ τὰ τῶν κρίσεων δηλωτικά. πάλιν δὲ οὖν ἐπὶ τὴν ἀρχὴν ἀναγαγόντες τὸν λόγον, εἴπωμεν, ὡς κατὰ τὴν προκειμένην ῥῆσιν, ὁ γράψας τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοις οὖρα ἄχροα, μέλανα, ἐναιωρεύμενα, ἐφ᾽ ἱδρῶσι φρενιτικά, τὰ μὲν ἴδιά τε καὶ ἀχώριστα φρενίτιδος ἔγραψεν ἐν τῷ φάναι, τὰ ἐπὶ ταραχώδεσιν ἀγρύπνοις. τὸ δὲ οὔτ᾽ ἀχώριστον, οὔτε μόνης αὐτῆς ἴδιον, τὴν ἐφ᾽ ἱδρῶσιν, ἀλλ᾽ ὅμως αὐτὸ κατὰ τὸν πεπονθότα κατειλημμένη τόπον, συνενδείκνυσθαι δύναται τοῖς προειρημένοις. τὰ δὲ περὶ τῶν οὔρων εἰρημένα, κεχώρισται μὲν τῶν φρενιτικῶν. εἰς χρεῖαν δὲ τὴν ἐπίσκεψιν τοῦ πότερον ὀλεθρίως, ἢ σωτηρίως ὁ κάμνων ἔχει, συντελεῖ. εἴ γε προσήκει πρῶτον ἁπάντων ἐν ταῖς πρὸς τοὺς ἀσθενοῦντας εἰσόδοις εὑρεῖν, εἴτε μιᾶς ἐκ τῶν τριῶν ἀρχῶν νοσούσης, εἴτε δυοῖν, ἢ καὶ πασῶν ὁ κάμνων ἔχει μοχθηρῶς, ἢ τῶν μὲν ἀρχῶν οὐδεμία πέπονθε, τῶν δὲ ἀπό τινος αὐτῶν ἐκπεφυκότων, ἢ ὁπωσοῦν συνημμένων. διὰ τοῦτο ἐπὶ ταραχώδεσιν ἀγρύπνοις ἐπισκεπτομένῳ σοι τὰ οὖρα, μηδὲν ἐν αὐτοῖς σημεῖον μοχθηρὸν φαίνηται, ἀλλὰ μηδ᾽ ἐν τοῖς σφυγμοῖς (ἕνεκα γὰρ ἀκριβεστάτης διαγνώσεως, ἀναγκαῖόν ἐστι καὶ τοῦτο προσθεῖναι) φρενιτικὸν μὲν οὐδὲν ἧττον ἐγχωρεῖ γενέσθαι τὸν οὕτως διακείμενον ἄνθρωπον, ὅταν τὰ τῆς φρενίτιδος αὐτῷ παρέσῃ σημεῖα. κινδυνεύουσι δὲ ἧττον ἐκεῖνοι, ἀβλαβεῖς τὰς κυριωτάτας ἐνεργείας τῶν ὑπολοίπων δυοῖν ἀρχῶν ἔχοντες. ταῦθ᾽, ὡς ἔφην, ἅπαξ μὲν εἰρήσθω μοι. μνημονευέσθω δὲ καθ᾽ ὅλον τὸ βιβλίον, ἵνα μὴ πολλάκις ἀναγκάζωμαι λέγειν τὰ αὐτά.

De insomniis conspicuis phreniticorum.

HIPPOCRATIS PRÆDICTIO 5.

INsomnia quoque in phreniticis conspicua.

COMMENTARIVS GALENI.

SAtyrus Quinti discipulus, quem ante Pelopem habui præceptorem, dictionem hanc ita exposuit; *Eorum quæ in phreniticis conspicuè videntur, atque ab ipsis fiunt, quæcunque & cerni, & fieri nobis videntur, reuera non existunt; sed insomnia omnia conspicua.* Quòd ergo & alij quidam è somno surgentes obambulent, dormientes quidem, sed apertos, vigilantium instar, oculos habentes, in multis est narratum, scriptúmque. Si verò talia sint, quæ à phreniticis fiunt, inter ea, quæ nobis manifesta non sunt, reponuntur. Sed quouis modo verum hoc sit, ita tamen exposuisse nihil ad prænotionem contulerit. Si verò ego antecedentia phreniticorum insomnia conspici dico euidenter ita vt exturbentur è somno, exilientes, vel loquentes propter visorum conspicuitatẽ, prænotioni morbi huius adiumentum id confert; nempè siccitas ipsa vigiliæ causa est, & conspicuitatis somniorũ. Sic sanè & melancholicis ob siccitatem prorsus cõspicua videntur in somnis phantasmata; atque ex sanorum genere, his quidem, qui ieiunè parciúsque sunt cibati, somnia conspicua fiunt; repletis verò temulentísque, ita vt sine visis esse videantur, phantasmatibus propter obscuritatem paruitatémque, ita effluentibus, vt ne reliquias quidem, & vestigia in memoria relinquant:

Περὶ ἐνυπνίων ἐναργῶν τῶν φρενιτικῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ε.

Ἐνύπνιά τε τὰ ἐν φρενιτικοῖσιν ἐναργῆ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ δὲ Σάτυρος ὁ Κοΐντου μαθητής, ὃν ἐγὼ πρότερον ἔσχον διδάσκαλον Πέλοπος, οὕτως ἐξηγεῖτο. τῶν ἐν τοῖς φρενιτικοῖς ἐναργῶς ὁρωμένων τε καὶ πραττομένων πρὸς αὐτῶν, ὅσα ὁρᾶσθαί τε καὶ πράττεσθαι δοκεῖ ἡμῖν, οὐκ ἔστι κατ᾽ ἀλήθειαν ὕπαρ, ἀλλ᾽ ἐνύπνια πάντα ἐναργῆ. ὅτι μὲν οὖν καὶ ἄλλοι τινὲς ἐκ τῶν ὕπνων ἀνιστάμενοι περιέρχονται, κοιμώμενοι μέν, ἀναπεπταμένους δὲ τοὺς ὀφθαλμοὺς ἔχοντες ὁμοίως τοῖς ἐγρηγορόσιν, ἐν πολλοῖς εἴρηταί τε καὶ γέγραπται. εἰ δὲ τοιαῦτά ἐστι τοῖς φρενιτικοῖς τὰ πραττόμενα, τῶν ἀδήλων ἡμῖν ἐστιν. ὅπως δ᾽ ἂν ἔχει τὸ ἀληθές, οὐδὲν εἰς πρόγνωσιν ὀνίνησιν ἡ ἐξήγησις αὕτη. εἰ δὲ ἐγὼ τὰ προηγούμενα τῶν φρενιτικῶν ἐνύπνια βλέπεσθαι λέγω σαφῶς οὕτως, ὡς ἐκταράττεσθαι τῶν ὕπνων αὐτούς, ἀναπηδῶντας, ἢ φθεγγομένους διὰ τὴν ἐνάργειαν τῶν φαντασμάτων, χρήσιμον εἰς τὴν τοῦ πάθους τούτου πρόγνωσιν. ἡ γὰρ ξηρότης αὐτὴ τῆς ἀγρυπνίας ἐστὶν αἰτία, καὶ τῆς τῶν ὀνειράτων ἐμφάσεως. οὕτω γοῦν καὶ τοῖς μελαγχολικοῖς, διὰ τὴν ξηρότητα πάντη ἐναργῆ φαίνεται τὰ κατὰ τοὺς ὕπνους φαντάσματα. καὶ τῶν ὑγιαινόντων δέ, τοῖς μὲν ἐνδεῶς διαιτηθεῖσιν, ἐναργεῖς οἱ ὄνειροι γίνονται. τοῖς δ᾽ ἐμπεπλησμένοις, ἢ μεθύουσιν οὕτως ἀφαντασίοι δοκοῦσιν εἶναι, διαρρεόντων αὐτοῖς τῶν φαντασμάτων ὑπὸ ἀμυδρότητος, ὡς μηδὲ ἴχνος αὐτῶν καταλιπεῖν εἰς μνήμην.

οὕτω καὶ τῶν παθῶν, ὅσα μεθ' ὑγρότητος ἐγκεφάλου γίνηται, κωματώδη τέ εἰσι, καὶ ὑπνώδη, καὶ ἀφάντασα. μοχθηρὸς οὖν ἐστιν ὁ λόγος τῶν οἰομένων, οὐδ' ἐνύπνιον ὁρᾶσθαι τοῖς φρενιτικοῖς ἐναργές. εἴ γε φασιν, ὡς μηδ' ὅλως ὁρῶσιν ἐνύπνιον, ὡς ἂν μὴ κοιμώμενοι. πρῶτον μὲν γὰρ ἑτοίμως λαμβάνουσι τὸ, τὰ συμπεπληρωμένα σὺν τοῖς οἰκείοις μεγέθεσι πάθη, μόνα καλεῖσθαι ταῖς ἰδίαις προσηγορίαις, ὑπεριδόντες οὐ σμικροῦ λόγου τοῦ κατ' ἀρχὰς ἡμῖν ῥηθέντος, ὡς οὐδὲ προγινώσκεταί τι τοῖς ἰατροῖς μέλλον πάθημα. τῶν δὲ ἤδη μὲν ἀρχὴν γενέσεως ἐχόντων, οὐδέπω δὲ τοῖς πολλοῖς διὰ τὴν σμικρότητα γνωριζομένων, ἡ γινομένη τοῖς τεχνίταις γνῶσις ἐπαγγελθεῖσα τοῖς ἰδιώταις, πρόγνωσις, ὡς πρὸς ἐκείνους ἐστὶ, ὥστε καὶ τοὺς φρενιτικοὺς, ἤδη τοῖς τεχνίταις γνωρίζεσθαι τῆς κατὰ τὸν ἐγκέφαλον διαθέσεως ἄρτι συνισταμένης. ἔπειτα δὲ εἰ καὶ μὴ συγχωρεῖ τις ὀνομάζειν φρενιτικοὺς ἤδη τοὺς μηδέπω σαφῶς παρακόπτοντας, ἀλλ' ὅτι γε φρενιτικοὶ γενήσονται, προεγνῶναι δυνατόν ἐστιν ἐκ τῶν ἐνυπνίων, ὡς κατὰ τὴν προκειμένην ῥῆσιν ἐγχωρεῖ λελέχθαι, τὰ ἐν τοῖς φρενιτικοῖς ἐσομένοις ἐνύπνια προηγούμενα, πᾶσιν αὐτοῖς ἐναργῶς ὁρᾶσθαι.

Περὶ ἀναχρέμψεως πυκνῆς τῶν φρενιτικῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϛʹ.

Ἀνάχρεμψις πυκνὴ, ἢν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Βέλτιον ἦν ἴσως προσκεῖσθαι τῷ λόγῳ τὸ, μηδενὸς ἀποπτυομένου κατ' αὐτὴν, ὡς εἴ τι ἀποπτύοιτο, καθάπερ ἐν καταῤῥόοις ἐνίοτε συμπίπτει, διὰ τὸ συῤῥέον εἰς τὸ στόμα διὰ τῶν εἰς τὴν ῥῖνα συντρήσεων, εἴωθε γίνεσθαι τοῦτο. συμβαίνει δ' ἐνίοτε, καί τινος ἔξωθεν τῇ ῥώμῃ τῆς ἀναπνοῆς ἑλχθέντος, εἶτ' ἐν αὐτοῖς τοῖς κατὰ τὴν σύντρησιν πόροις ἐμπλασθέντος, ἢ σφηνωθέντος, ἀνάχρεμψιν γίνεσθαι πυκνήν. ἀλλ', ὅπερ ἔμπροσθεν ἔφην, ὑπὲρ τῶν ἀμελέστερον, ἢ ἁπλοϊκώτερον ἑρμηνευόντων ἄνευ διορισμοῦ, χρὴ μεμνῆσθαι, τὰ λεγόμενα πάντα κατὰ τὰς τοιαύτας διδασκαλίας, ὑπεξῃρημένων τῶν ἔξωθεν αἰτιῶν λέγεσθαι. διὰ τοῦτο οὖν, καὶ ἡ ἀνάχρεμψις ἕν τι τῶν προαιρετικῶν οὖσα ἔργων, γίγνεται πυκνὴ βλαβέντος τοῦ λογισμοῦ, καθάπερ καὶ ἄλλη τις τῶν προαιρετικῶν ἐνεργειῶν, ὡς ἔνιοι μέν γε μετὰ ψόφου φῦσαν ἐκκρίνουσι, περὶ παντὸς ἄνωθεν ποιούμενοι, τοῦτο δρᾷν ἀκούοντός τινος. ἔνιοι δὲ χεῖρα κινοῦσιν ἀλόγως, ἢ σκέλος, ἢ ὁποιοῦν ἄλλο τοιοῦτον πράττουσιν, ἢ λέγουσι. κατὰ τὸν κοινὸν οὖν λόγον, ἁπασῶν τῶν προαιρετικῶν ἐνεργειῶν ἀλόγως πλεοναζουσῶν, ἢ ἐλλειπουσῶν, καὶ ἡ ἀνάχρεμψις ἐν τοῖς φρενιτικοῖς σημείοις ἐστίν. οὐ μὴν οὕτω γε ἰσχυρὸν, ὡς ἡ ἀγρυπνία, καὶ μάλιστα ἡ ταραχώδης, αὕτη γὰρ ἡ ἴδιος τῶν φρενιτικῶν. ἔστι δὲ ταραχώδης, ὡς ἔφην, εἰ ἐν φαντασίαις ἐκβοῶσιν, ἢ ἀναπηδῶσι, καὶ μόλις γνωρίζωσι τοὺς οἰκείους. καλῶς οὖν προσέθηκεν ἐπὶ τῆς ἀναχρέμψεως, εἰ δέ τι καὶ ἄλλο σημεῖον προσῇ· μικρὰν γὰρ ἔχον τὴν δύναμιν τοῦτο τὸ σημεῖον, ἑτέρων δεῖται μαρτυρούντων αὐτῷ. γιγνομένης δέ ποτε πυκνῆς ἀναχρέμψεως, διὰ γλίσχρον πτύελον ἐμπεφραγμένον τοῖς εἰς τὸ στόμα πόροις ἐκ τῆς ῥινὸς, οὐκ ἀδύνατον οὐδ' οὕτως

sic & affectiones, quæ cum cerebri humiditate fiunt, comatosæ sunt, somniculosæ, & sine visis. Prauus itaque est eorum sermo. qui neque somnium phreniticis videri conspicuum putant, quòd vtique, vt dicunt, ij veluti somno destituti, somnia prorsus non videant. Primum siquidem promptè illud assumunt, solos videlicet eos morbos, qui cum suis magnitudinibus absoluti sint, propriis nominibus appellari, refutantes non parum sermonem eum, qui inter initia à nobis dictus est; nempe quòd nullum futurum pathema à medicis prænoscatur; verùm eorum, quæ iam principium quidem generationis habent, sed nondum multis propter paruitatem cognita sint, facta ab artificibus cognitio, idiotisque pronunciata, prænotio apud illos existit ita vt & phrenitici iam ab artificibus cognoscantur; affectione in cerebro nuper consistente; postea verò, etiam siquis non permiserit iam phreniticos appellari eos, qui nondum conspicuè delirant, tamen quòd phrenitici fient, prænoscere ex insomniis est possibile; vt dici in præsenti dictione potuerit, in futuris phreniticis somnia antecedentia omnibus his conspicua videri.

De screatu frequenti phreniticorum.

HIPPOCRATIS PRÆDICTIO 6.

Screatus frequens, si sanè quoddam & aliud signum affuerit, sunt phrenitica.

COMMENTARIVS GALENI.

Commodius forsan erat, si sermoni adiectum fuisset, nullo per eũ exeunte sputo. Nã si quid expueretur, quomodo in distillationibus interdũ vsu euenit, ob id, quod in os cõfluit per foramina, quæ in nares perueniunt, fieri id consueuit. Cõtingit autẽ, & aliquando frequens huiusmodi screatus, vbi respirandi facultas externum quippiam attraxerit, ipsisque, qui secundũ foramina sunt, meatibus, vel adhæserit, vel impactũ fuerit. Sed quod antea dixi, propter eos, qui vel negligẽtiùs, vel simpliciùs citra distinctionẽ, enarrant, quæcunque in huiusmodi doctrinis dicuntur, quòd ea omnia seclusis externis dicãtur, meminisse oportet. Ob eã igitur causam screatus, qui ex arbitrariis functionibus vnà existit, frequens redditur oblæsa ratione, quomodo & arbitraria alia quæuis functio. Nonnulli quidẽ cum strepitu flatũ excernũt, qui quum extra morbum sunt, summopere sibi cauent, ne id agant, idq; præsertim si quis audiat; alij manũ absque ratione mouent, vel crus, aut quiduis aliud simile faciunt vel dicũt. Cõmuni igitur ratione functionũ voluntariarũ omnium præter rationẽ, vel exuperantium, vel deficientium phrenitica inter signa screatio annumeratur; quanquam non vsque adeo valens sit, vt vigilia, & potissimũ quæ turbulenta existit; nẽpe propria hæc phreniticorum est. Turbulenta autẽ existit, vt dixi, quum per visiones vel exclamãt, vel exiliunt, & vix familiares agnoscunt. Bene itaque in screatione adiecit, *& si aliud quodaã signũ adfuerit* nempe signũ hoc, quòd parũ momenti habeat, alia quæ subscribãt patrocinenturq; expostulat. Quando igitur frequens screatio cõtigerit, & ob glutinosum sputũ, quod in canalibus à naribus ad os pertingentibus infarctum sit,

vt

vt ea deliraturis quibusdam propter calidam, & A siccam cerebri affectionem pariter obtingat, impossibile non est. Quòd autem in orationis calce dictum est non singulariter, phreniticum, sed pluraliter, phrenitica, vel ad signa, vel ad morbos prorsus referetur; modo verò vtroque absurdam facit enunciationem.

ὥστε τὴν φρενιτίζειν μελλόντων συμπίπτειν αὐτήν, διὰ τὴν κατὰ τὸν ἐγκέφαλον διάθεσιν, ξηρὰν καὶ θερμὴν οὖσαν. τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, οὐχ ἑνικῶς φρενιτικόν, ἀλλὰ πληθυντικῶς φρενιτικά, πάντως πρὸς τὰ σημεῖα τὴν ἀναφορὰν ἢ πρὸς τὰ πάθη λήψεται, καθ' ἑκάτερον δὲ τὴν ἑρμηνείαν ἀλλόκοτον ἐργάζεται.

De hypochondrij ardoribus cum sudoribus.

Περὶ τῶν τοῦ ὑποχονδρίου καυμάτων ἐφ' ἱδρῶσιν.

HIPPOCRATIS PRÆDICTIO 7.

QVi in hypochondrio refrigerata febre ardores relinquuntur, tum aliàs, tum in sudoribus, malum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ζ'.

B ΤΑ ἐγκαταλιμπανόμενα καύματα ἐν ὑποχονδρίῳ, πυρετοῦ περιψυχθέντος, κακόν. ἄλλως τε κἂν ἐφ' ἱδρῶσιν.

COMMENTARIVS GALENI.

SEcurè protulit, refrigerata febre, non enim verè dixisset, sedata; nempe in præcipuis manet partibus quanquā in superficie placata fuerit. Febrire siquidē existimamus non eum modò, qui in cute, & superficie exteriori igneā habet caliditatē, verùm etiam & hoc magis eos, qui in corporis imo & visceribus eam cōtinent. Lethalis igitur causus interna quidē extorret, externa verò mediocriter quidē calefacit. Febrē similē recensuit Hippocrates in aphorismis, quum inquit, *Si in febre non intermittente frigida exteriora fuerint, & interna exurantur, sitimq; æger habuerit, lethale.* Cæterū quum orationē hanc, in sudoribus, dicere cōsueuerit interdū de iis, qui ex capitis, thoracisq; sedibus oriuntur, sudoribus; interdū quoque & de iis, qui per totum corpus, sed exigui effluunt; vtrū in præsentia dixerit, signū bonū non est. Nempe qui per totum corpus ita fiunt sudores, sed exigui, quòd non flāmeam illam, quæ hypochondrium fatigat, soluant caliditatem, ob id boni non sunt; nempe etiam boni sunt, qui in superioribus oriuntur partibus, quum geminam ob causam fiant, neque ob vel languentem, vel præ copia grauatam facultatem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΣφαλῶς εἶπε, πυρετοῦ περιψυχθέντος, οὐ γὰρ ἀληθὲς ἦν φάναι, πυρετοῦ παυσαμένου. διαμένει γοῦν ἐν τοῖς κυρίοις μέρεσιν, εἰ καὶ κατὰ τὴν ἐπιφάνειαν ἐπαύσατο, πυρέττειν ἡμῶν λεγόντων, οὐ μόνον τὸν κατὰ τὸ δέρμα, καὶ τὴν ἐκτὸς ἐπιφάνειαν ἔχοντα πυρώδη θερμασίαν, ἀλλὰ καὶ πολὺ μᾶλλον, C τούτου τοὺς ἐν τῷ βάθει τε, καὶ τοῖς σπλάγχνοις. ὁ μὲν οὖν ὀλέθριος καῦσος, τὰ μὲν ἔνδον ἐκκαίει· τὰ δ' ἔξωθεν, οὐδὲ μετρίως θερμαίνει. καὶ μέμνηται τοῦ τοιούτου πυρετοῦ, κατὰ τοὺς ἀφορισμοὺς αὐτὸς ὁ Ἱπποκράτης ἐν ᾧ φησιν, ἢν ἐν μὴ διαλείποντι πυρετῷ, τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δ' ἔνδον καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον. τὸ δ' ἐφ' ἱδρῶσιν, ἐπειδή ποτε μὲν ἐπὶ τοῖς κατὰ κεφαλήν, ἢ θώρακα χωρίοις ἱδρώτων γινομένων εἰώθασι λέγειν. ἐνίοτε δὲ ἐπὶ τῶν δι' ὅλου μὲν τοῦ σώματος, ἀλλ' ὀλίγων· ὁπότερον δ' ἂν εἴη νῦν εἰρημένον, οὐκ ἀγαθόν ἐστι σημεῖον· οἱ μὲν γὰρ δι' ὅλου τοῦ σώματος ἱδρῶτες ἐπ' ὀλίγον οὕτω γινόμενοι, διότι μὴ D λύουσι τὴν καθ' ὑποχόνδριον φλόγωσιν, οὐκ ἀγαθοί. οἱ δ' ἐν τοῖς ἄνω μέρεσιν, ἐπεὶ κατὰ διττὸν γίνονται τρόπον, ἢ ἀρρωστούσης τῆς δυνάμεως, ἢ βαρυνομένης ὑπὸ πλήθους.

De imbecillimorum desipientiis.

Περὶ τῶν παραφροσυνῶν τῶν προεξαδυνατησάντων.

HIPPOCRATIS PRÆDICTIO 8.

PRædebilitatorum desipientiæ pessimæ; vt & Thrasynonti.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ η'.

ΑΙ προεξαδυνατησάντων παραφροσύναι, κάκισται, οἷαι καὶ Θρασύνοντι.

COMMENTARIVS GALENI.

E

PEssimæ prædebilitatorū desipientiæ ita sunt, vt nullū ex ipsis sanari speraueris; sed de iis intelligendū desipientiis, quæ ex sapientis in nobis partis morbosa affectione fiunt. Tēporariæ siquidē aliæ quædam ab externis eueniunt causis, vt ex carbonū caliditate, vel vini potione, vel domo calcis seruante qualitatem; noxiæ enim ac periculosæ tales sunt, si prædebilitatis accidant; sed lethales planè sunt eorū, qui ex phrenitica cerebri affectione desipiunt. Nempe magnitudinē quandā in virtutis debilitate ostendit nomen προεξαδυνατησάντων prædebilitatorum, propter adiectā ἐξ præpositionē nomini huic προαδυνατησάντων, quod etiam per se sufficientem virtutis læsionem ostendit; atque in exemplaribus quibusdam ita scriptum reperitur. Non solùm autem desipientiæ virtutem expostulant robustam, vt æger sufficere morbi coctioni possit; verùm quoque & peripneumonia, &

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥτως εἰσὶν αἱ προεξαδυνατησάντων παραφροσύναι κάκισται, ὡς οὐκ ἂν ἐλπίσῃς σωθῆναί τινα ἐξ αὐτῶν, ἀκούειν δηλονότι περὶ τῶν παραφροσυνῶν ἐκείνων προσῆκον, ὅσαι κατὰ διάθεσιν νοσώδη γίγνονται, τοῦ φρονοῦντος ἐν ἡμῖν μορίου. πρόσκαιροι γὰρ ἕτεραί τινες συμπίπτουσιν ἀπὸ τῶν ἔξωθεν αἰτιῶν, οἷαι ἀνθράκων θέρμης, ἢ οἴνου πόσεως, ἢ οἴκου τοῦ ἐκ τῆς τιτάνου διασώζοντος ποιότητα. βλαβεραὶ μὲν γὰρ, καὶ κινδυνώδεις εἰσίν, καὶ αἱ τοιαῦται προεξαδυνατηκόσι συμπίπτουσαι. παντάπασι δ' ὀλέθριαι τῶν κατὰ διάθεσιν ἐγκεφάλου φρενιτικὴν παρακοπτόντων. μέγεθος γάρ τι τῆς κατὰ F τὴν δύναμιν ἀρρωστίας ἐνδείκνυται, τὸ προεξαδυνατησάντων ὄνομα, προσκειμένης τῆς, ἐξ, προθέσεως, τῷ προαδυνατησάντων, ὃ καὶ αὐτὸ καθ' αὑτὸ βλάβην ἱκανὴν σημαίνει τῆς δυνάμεως, καὶ κατά τινα τῶν ἀντιγράφων οὕτως εὑρίσκεται γεγραμμένον. οὐ μόνον δ' αἱ παραφροσύναι δέονται δυνάμεως ἐρρωμένης, ἵνα κάμνων ἐξαρκέσῃ τῇ πέψει τοῦ νοσήματος, ἀλλὰ καὶ περιπνευμονία, καὶ

πλευρίτις, καὶ κυνάγχη, καὶ τἄλλα τὰ μεγάλα πάθη. προέρχεται δὲ ἐξ ἐπιμέτρου τῇ παραφροσύνῃ, καὶ ἀγρυπνία καταλύουσα τὴν δύναμιν, οὐδὲν ἧττον τῶν αἰσθητῶν ἐκκρίσεων, ἥ τ' ἐν κινήσεσι πολλαῖς, καὶ ἀτάκτως γινομέναις πλημμέλεια. τὸ δ' οἷον καὶ Θρασύνοντι, μᾶλλον ὑπομνήματι πρέπον ἐστὶν, ἢ συγγράμματι. κατὰ γοῦν τὸ προγνωστικὸν, καὶ τοὺς ἀφορισμοὺς, καὶ τὸ περὶ ἀγμῶν, καὶ ἄρθρων, ὁμοίως δὲ καὶ κατὰ τὸ περὶ διαίτης ὀξέων. ἔτι τε τὸ περὶ τῶν ἐν κεφαλῇ τραυμάτων, οὐδαμόθι φαίνεται μεμνημένος ὀνόματος. ὥσπερ γε οὐδ' ἐν τοῖς ἄλλοις, ὅτι μὴ μόνοις τοῖς τῶν ἐπιδημιῶν, ἐν οἷς αὐτὸ τοῦτο προκείμενόν ἐστιν, ἐξετάσαι τὰ καθόλου διδαχθέντα, διὰ τῶν κατὰ μέρος φαινομένων, ἐφ' ἑκάστης ἀρρωστίας.

pleuritis, & angina, & graues aliæ affectiones, id deſiderant. Præcedit autem & ex abundanti deſipientiam tum vigilia, quæ virtutẽ non minùs exoluit, quàm ſenſibiles euacuationes: tum qui in motionibus multis, inordinatiſque cõmittitur error; quod autem dicitur, vt & Thraſynonti, commentarium magis quàm opus, id decet: neque enim in prognoſtico, aphoriſmiſque, & libris de fracturis articuliſque, neque in libro de victus ratione in morbis acutis, neque in libro de capitis vulneribus, vllo pacto nominis meminiſſe videtur, ſicuti neque in aliis, præterquam in libris epidemiorum; in quibus duntaxat propoſitum eſt, generatim tradita per ea confirmare, quæ particulariter in vnoquoque morbo videntur.

Περὶ τῶν τρομωδέων φρενιτικῶν.

De phreniticis tremulis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ θ'.

HIPPOCRATIS PRÆDICTIO 9.

ΤΑ φρενιτικὰ νεανικῶς, τρομώδεα τελευτᾷ.

PHrenitica vehementer affectiones tremulæ deſinunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ νεανικῶς δηλονότι ἀντὶ τοῦ γενναίως, ἢ σφοδρῶς, ἢ ἰσχυρῶς εἴρηκε. μέσον δὲ τεταγμένον τοῦ τε φρενιτικὰ, καὶ τοῦ τρομώδεα, δύναται μὲν (ὅσον ἐπὶ τῇ τάξει) μεθ' ἑκατέρου λέγεσθαι. κατὰ δὲ τὴν τῶν πραγμάτων ἀλήθειαν ἐξεταζόντων τὸν λόγον, οὐ δύναται τῷ τρομώδεα συντάττεσθαι. γενήσεται γὰρ ἡ διάνοια τοιαύτη, ὅτι τὰ φρενιτικὰ πάθη τελευτᾷν εἴωθεν εἰς τρόμον σφοδρὸν, ὃ προφανῶς ψευδές ἐστι, μόναις ταῖς σφοδροτάταις φρενίτισιν ἑπομένου τοῦ συμπτώματος. αἱ γὰρ ἀτονίαι τῶν νεύρων, διὰ τὴν τοῦ πάθους ξηρότητα τοῖς φρενιτικοῖς ὑπάρχουσιν ἄχρι πλείστου. καταλυθείσης δὲ τῆς δυνάμεως ἀγρυπνίαις τε καὶ πολλαῖς κινήσεσιν, ἅμα δὲ καὶ τῶν νεύρων ὑπερξηρανθέντων, οἱ τρόμοι γίνονται.

COMMENTARIVS GALENI.

ADuerbiũ νεανικῶς pro γενναίως vel σφοδρῶς vel ἰσχυρῶς, ideſt generoſè, vel vehementer, vel validè, dixit. In medio autem horum nominum, phrenitica & trementia, ordinatum, poteſt (quantum ex ordine eſt) cum vtroq; enunciari, ſed ſi ſecundum rei veritatem ſermo pendatur, non poteſt cum hoc nomine, trementia, ordinari, fieret ſiquidem talis ſenſus. Phreniticæ affectiones in tremorem vehementẽ finiri conſueuerunt; quod manifeſtè falſum exiſtit, quum ſolas vehementiſſimas phrenitidas conſequatur hoc ſymptoma. Nempe neruorũ imbecillitates, propter affectionis ſiccitatẽ, phreniticis diutiſſimè inſunt; exoluta autem virtute tum vigiliis, tũ motionibus multis, ſimul verò & neruis ſupra modum reſiccatis, tremores fiunt.

Περὶ τῆς ταχείας παραφροσύνης.

De citâ inſaniâ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ι'.

HIPPOCRATIS PRÆDICTIO 10.

ΤΑ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα, μετὰ κωφώσιος ἀγρυπνώδεα, ταχὺ ἐκμαίνει.

IN capitis doloribus æruginoſi vomitus cũ ſurditate & peruigilio, citam inſaniã ſignificant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΜΕμνημένῳ σοι τῆς τῶν χυμῶν, τῶν τε ἄλλων, καὶ τῆς μελαίνης χολῆς, οὐ χαλεπὸν ἐννοῆσαι περὶ τῶν ἰωδῶν ἐμεσμάτων, ὡς κατὰ τὴν ἐπὶ τὸν μέλανα χυμὸν ὁδοιπορίαν γίγνεται. μεμάθηκας γὰρ ἔκ τε τῆς ξανθῆς χολῆς ὑπεροπτηθείσης, καὶ τοῦ παχέος αἵματος γεννᾶσθαι τὴν μέλαιναν. ἡ ξανθὴ χολὴ δ' ὑπεροπτωμένη, πρῶτον μὲν εἰς τὸν ἰώδη τρέπεται χυμὸν, ἔπειτα εἰς τὸν μέλανα. ὑπεροπτᾶται δὲ, διὰ μέγεθος πυρετοῦ. κατειληφυίας οὖν τὸν ἐγκέφαλον χολῆς ξανθῆς ἐν τοῖς φρενιτικοῖς πάθεσι, ὅταν ἡ τοῦ πυρετοῦ σφοδρότης, ὀπτῶσα τὸν χυμὸν τοῦτον, ἐργάζηται μελαγχολικὸν, αἱ παραφροσύναι γίγνονται σφοδραὶ, διὰ τὴν κακοήθειαν τῆς μελαίνης χολῆς, ἃς μανιώδεις κἀν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις Ἱπποκράτης ὠνόμασεν. αὐτὸς οὖν ὁ ἰώδης χυμὸς ἄν τε δι' ἐμέτων, ἄν τε διὰ τῆς κάτω γαστρὸς, ἄν τε διὰ πτυσμάτων, ἄν τε δι' οὔρων ἐπιφαίνηται, τόν τε χυμὸν ἐξ οὗ γεννᾶται δηλώσει, καὶ τὸ νόσημα θερμόν τ' ἔτι, καὶ ξηρὸν ἰσχυρῶς. ἀδήλου δ' ὄντος, ὅσον ἐπὶ τῷ κενουμένῳ χυμῷ, πότερον αὐτοῦ τόπου πεπονθότος τινὸς ἐξαιρέτου,

COMMENTARIVS GALENI.

SI generationem humorum cùm aliorum, tum atræ bilis in memoria tenueris, quòd æruginoſi vomitus progreſſu ad nigrum humorẽ fiant, mente concipere difficile non eſt; nempe atram bilem ex flaua ſupra modũ aſſata & craſſo ſanguine fieri nouiſti. Flaua autem bilis, quum ſupra modum aſſatur, primùm quidẽ in æruginoſum migrat ſuccum, deinde nigrum; ſupra modum autem aſſatur propter febris magnitudinẽ. Quum igitur flaua bilis in phreniticis affectionibus cerebrum prehenderit, febriſque vehementia aſſatum hunc ſuccum melancholicum reddiderit, propter atræ bilis malignitatem vehementes fiunt inſaniæ, quas furioſas, in libris epidemiorum appellauit Hippocrates. Æruginoſus igitur humor, ſiue per vomitum, ſiue per ventrem inferiorem, ſiue per ſputa, ſiue per vrinas apparuerit, & ſuccum, ex quo ortum habet, & morbum vehementer tum calidum tum ſiccum eſſe, demonſtrabit. At quum perſpicuum non ſit, quantum ex humore eſt, qui vacuatur, an is progenitus ſit non affecto præcipuo aliquo loco,

an

an principe aliqua parte phlegmonem erysipelatosam habente, coniunctis id dignoscitur, distinguitúrque symptomatis. Nã & ob iecur ita phlegmone affectum æruginosus generatur succus, cuius nunc meminit. Per communionem igitur aliorum symptomatum, quæ prædictarum cùm particularum, tum affectionum propria sunt, dignotio ipsorum facienda est. Nam & vigilia, & capitis dolor, & surditas, morbũ in capite esse demonstrant. Grauiter autem affecto cerebro, ventris os excitari ad vomitum nouimus; nempe de his dictum sæpius. Ratione igitur optima homo hic ex sicca, & calida capitis intemperie, propter flauæ bilis supra modum assatæ redundantiam, vehementer insaniet. Citò autem id fiet tum propter affectionis magnitudinem, tum propter speciem redundantis humoris. Nam quæ ex frigidis, vel crassis, vel lentis, vel omnino difficulter mobilibus affectiones oriuntur, tardiùs hæ ad vigorem ascendunt. Verùm quæ ex tenuibus substantia, & temperie calidis, & qualitate mordacibus procreantur, non multùm hæ cunctantur: Sicuti neque quæ Philisto scripto in tertio epidemiorum facta sunt, quem vomuisse quidem biliosa pauca, flaua primùm, mox æruginosa plura, deinde simul accidisse homini surditatem, atque demum vehementer insaniuisse eum pronunciauit. Rectè igitur nunc non solùm, quòd insanient ita affecti, verùm quoque & quòd vehementer insanient, ostendit, quum verbum hoc, ἐκμήνῃ, adiecit, quod magnæ desipientiæ indicatorium existit.

A ἢ μετά τινος κυρίου μορίου φλεγμονὴν ἐρυσιπελατώδη ἔχοντος, ἡ γένεσις αὐτοῦ γέγονε, διαγινώσκεται καὶ διορίζεται τοῦτο, τοῖς συνεζευγμένοις συμπτώμασι. καὶ γὰρ καὶ δι' ἧπαρ οὕτω φλεγμαῖνον, ἰώδης γίνεται χυμός, οὗ νῦν μνημονεύει. τῇ κοινωνίᾳ γοῦν τῶν ἄλλων συμπτωμάτων, ὅσα τῶν εἰρημένων μορίων τε καὶ παθῶν ἐστὶν ἴδια, τὴν διάγνωσιν αὐτῶν ποιητέον. ἥ τε γὰρ ἀγρυπνία, καὶ ἡ κεφαλαλγία, καὶ ἡ κώφωσις, ἐν τῇ κεφαλῇ δηλοῖ τὴν διάθεσιν εἶναι. χαλεπῶς δ' ἔχοντος τοῦ ἐγκεφάλου, πρὸς ἔμετον ὁρμᾶν τὸ στόμα τῆς γαστρὸς ἴσμεν, εἴρηται γὰρ ὑπὲρ τούτων πολλάκις. εὔλογον οὖν ἐστιν παραφρονῆσαι σφοδρῶς τὸν τοιοῦτον ἄνθρωπον ἐπὶ ξηρᾷ, καὶ θερμῇ

B κατὰ τὴν κεφαλὴν δυσκρασίᾳ, διὰ ξανθῆς χολῆς πλεονεξίαν ὑπεροπτωμένης. ἐν τάχει δὲ γενήσεσθαι τοῦτο, διά τε τὸ μέγεθος τῆς διαθέσεως, καὶ τὴν ἰδέαν τοῦ πλεονεκτοῦντος χυμοῦ. ὅσα μὲν γὰρ ἐπὶ ψυχροῖς, ἢ παχέσιν, ἢ γλίσχροις, ἢ ὅλως δυσκινήτοις χυμοῖς παθήματα γίνεται, βραδεῖαν ἴσχει τὴν ἐπὶ τὴν ἀκμὴν ἀνάβασιν. ὅσα δ' ἐν λεπτοῖς μὲν τῇ συστάσει, θερμοῖς δὲ τῇ κράσει, δακνώδεσι δὲ τῇ ποιότητι, χρόνον οὐ περιμένει πλείονα. καθάπερ οὐδὲ τὰ Φιλίστῳ γενόμενα, τῷ γεγραμμένῳ κατὰ τὸ τρίτον τῶν ἐπιδημιῶν, ὃν ἐμέσαι μὲν ἔφη χολώδεα ὀλίγα,

C ξανθὰ πρότερον, μετὰ δὲ ταῦτα ἰώδεα πλείω. εἶτα εἰπὼν, ὅτι κώφωσις αὐτῷ συνέπεσεν, ἐφεξῆς φησι, ἐξεμάνη. καὶ νῦν οὖν ὀρθῶς, οὐ μόνον ὅτι παρακόψουσιν οἱ οὕτως ἔχοντες, ἀλλὰ καὶ ὅτι σφοδρῶς, ἐδήλωσε προσθεὶς τὸ ἐκμήνῃ, μεγάλης παρακοπῆς δηλωτικὸν ῥῆμα.

De phrenitide ex faucibus affectis.

HIPPOCRATIS PRÆDICTIO II.

IN acutis faucium partes dolentes, strigosæ, paruæ, & suffocantes, quũ æger hiauerit, non facile os tũ cogere, tũ claudere possit, deliria portendunt. Ex his phrenitici, ac perniciosè laborant.

COMMENTARIVS GALENI.

QVòd ex symptomatis huiusmodi phrenitis interdũ oriatur, quódque si fit, prorsus perniciosa sit, rectè est pronunciatum. Neque tamen, quòd ex dictis symptomatis necessariò futura sit phrenitis, intellexeris; nihil enim eorum, quæ affectum cerebrum commonstrant, concursui adiacet. Ex quo autem æger is malè in faucibus absque tumore aliquo præter naturam affectus, quum hiauerit, promptè tum maxillam reducere, tum os aperire nequeat, conijcere quis possit principium neruorum aliquando affectum esse. Nempe vt in conspicuis nobis partibus affectiones exordium aliquod sumunt, & non vniuersim totæ, vel inflammantur, vel œdema, vel erysipelata contrahunt, sed in vno aliquo harum loco, ita & his, quæ in imo corporis positæ sunt, fieri est verisimile. Quum igitur cerebrũ ipsum magnitudinem insignẽ habeat, multásq; neruorũ propagines, phlegmonẽ ipsius aliàs ab aliis earum primum exordiri par est; qua verò parte membrum affectum fuerit, ea & neruorum propagines affectæ, musculos, quibus inseruntur, mouere non possunt. Quum igitur maxillam inferiorem musculi quidem alij aperiant, alij verò claudant, quum in aperientium musculorũ neruis affectio fuerit, difficulter aperiunt;

Περὶ τῆς, ἐκ τῆς πεπονθυίας φάρυγγος, φρενίτιδος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ια'.

D ΤΑ ἐν ὀξέσι κατὰ φάρυγγα ὀδυνώδεα, ἰσχνὰ, σμικρὰ, πνιγώδεα, ὅτε χανὼν μὴ ῥηϊδίως συνάγειν τε, καὶ ἐγκλείειν τὸ στόμα, παρακρουστικὰ, ἐκ τοιουτέων φρενιτικοὶ, καὶ ὀλέθριοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι μὲν οὖν ἐπὶ τοιούτοις συμπτώμασιν ἐνίοτε γίνεται φρενῖτις, ὅτι τε γενομένη πάντως ἐστὶν ὀλέθριος, ὀρθῶς εἴρηται. μὴ μέντοι γε ὑπονοήσαις, ἔσεσθαι τοῖς εἰρημένοις συμπτώμασιν ἐξ ἀνάγκης φρενῖτιν, οὐδὲν γὰρ πρόσκειται τῇ συνδρομῇ τῶν συνενδεικνυμένων πεπονθέναι τὸν ἐγ-

E κέφαλον. ἐκ δὲ τοῦ τὰ κατὰ τὴν φάρυγγα κακῶς διακείμενα, τὸν τοιοῦτον ἄνθρωπον ἔχειν ἄνευ τινὸς ὄγκου παρὰ φύσιν, οὐ δυνάμενον, ὁπότε χάνῃ συνάγειν ἑτοίμως τὴν γένυν, καὶ ἐγκλείειν τὸ στόμα, τεκμήραιτ' ἄν τις ἐνίοτε πεπονθέναι τὴν ἀρχὴν τῶν νεύρων. ἄρχεσθαι γὰρ εἰκός ἐστιν, ὡς ἐπὶ τῶν φαινομένων μορίων τὰς διαθέσεις, οὐκ ἀθρόως ὅλων ἤτοι φλεγμαινόντων, ἢ οἰδισκομένων, ἢ ἐρυσιπέλατα ἰσχόντων, ἀλλὰ ἐφ' ἑνός τινος αὐτῶν τόπου, κατὰ τὸν αὐτὸν τρόπον ἐπὶ τῶν ἐν τῷ βάθει κειμένων. μέγεθος οὖν ἀξιόλογον ἔχοντος τοῦ ἐγκεφάλου, καὶ πολλὰς νεύρων ἐκφύσεις, εἰκός ἐστιν,

F ἄλλοτ' ἀπ' ἄλλων αὐτοῦ μερῶν ἄρχεσθαι τὴν φλεγμονὴν αὐτοῦ. καθ' ὃ δ' ἂν μέρος πάθῃ, κατ' ἐκεῖνο, καὶ τὰς τῶν νεύρων ἐκφύσεις πασχούσας, ἀδυνάτους γίνεσθαι κινεῖν τοὺς μῦς εἰς οὓς ἐμφύονται. τὴν τοίνυν κάτω γένυν, ἑτέρων μὲν μυῶν ἀνοιγόντων, ἑτέρων δὲ κλειόντων, ὅταν μὲν ἐν τοῖς τῶν διανοιγόντων μυῶν νεύροις, ἡ διάθεσις γένηται, δυσχερῶς ἀνοιγνύουσιν·

ὅταν δ' ἐν τοῖς τῶν κλειόντων, οὐ ῥᾳδίως κλείουσιν. ἐνδεχομένου δὲ ὄντος αὐτοὺς μόνους ἐνίοτε τοὺς μῦς πεπονθέναι, χωρὶς τῆς τῶν νεύρων ἀρχῆς, οὐκ ἀναγκαῖόν ἐστι, τοῖς εἰρημένοις συμπτώμασιν ἀκολουθεῖν φρενῖτιν. οὐδὲ γὰρ ὃ μάλιστα αὐτὸν ἔπεισεν, ὑποπτεῦσαι πεπονθέναι τὴν ἀρχὴν τῶν μυῶν (ἔστι δὲ τοῦτο τῶν κατὰ τὴν φάρυγγα χωρίων ἡ ἰσχνότης) τῶν ἀναγκαίων ἐστὶ μορίων. ἐγχωρεῖ γὰρ τοὺς ἐν τῇ φάρυγγι μῦς φλεγμαίνοντας, τὸ πνιγῶδες ἐργάζεσθαι σύμπτωμα, μὴ δυναμένους φανῆναι, μηδ' ἂν ἐπὶ πλεῖστόν τις διανοίξῃ τὸ στόμα, ὥς, εἴ γε χωρὶς τῆς τούτων φλεγμονῆς γένοιτο τὰ εἰρημένα συμπτώματα, σκοπεῖσθαι χρὴ μή τις τῶν μυῶν μόνων τῶν κινούντων τὴν κάτω γένυν, ἰδία τίς ἐστι διάθεσις. ἐὰν γὰρ μήθ' οὗτοί τι πεπονθότες ὦσι, μήθ' οἱ τοῦ λάρυγγος, εὐλόγως ἄν τις αἰτιάσαιτο τὴν ἀρχὴν τῶν νεύρων. ἐὰν μέντοι διὰ τὴν ἀρχὴν ἢ τὰ τοιαῦτα συμπτώματα γεγονότα, χαλεπωτάτην εὔλογον εἶναι τὴν διάθεσιν, ὡς καὶ σπασμὸν ἀκολουθῆσαι. μεμαθήκαμεν γὰρ ἐπὶ ταῖς τῶν μυῶν τάσεσι διὰ τὴν ἀρχὴν γινομέναις, ἕπεσθαι σπασμόν. οὐκ ἐμνημόνευσα δὲ ἐν ᾧ διῆλθον λόγῳ, τῶν ἐπὶ τοῖς τοῦ τραχήλου σπονδύλοις εἰς τὸ πρόσω ῥυεῖσι κυναγχικῶν, διά τε τὸ σπάνιον τῆς διαθέσεως, ὅτι τέ μοι δοκοῦσι, καὶ τότε συμφλεγμαίνειν, οἱ τοῦ λάρυγγος μύες.

vbi verò in claudentium, non facilè claudunt. At quum fieri possit, vt soli ipsi musculi interdũ absq; neruorũ principio sint affecti, quòd phrenitis prædicta symptomata subsequatur, necesse non est. Neq; enim quod ipsum maximè adduxit, vt affectũ esse musculorũ principiũ suspicaretur (est autẽ hoc locorũ quæ in faucibus sũt gracilitas) inter necessaria cẽsetur; fieri siquidẽ potest, vt fauciũ musculi inflãmatione laborantes, strangulationis efficiant symptoma, nequeant tamen videri, etiam si plurimũ quis os aperuerit. Si igitur absq; horũ inflãmatione prædicta fiant symptomata, inspiciendũ est, an solorũ musculorũ maxillã inferiorẽ mouentium propria quædã sit affectio; nã si neque hi, neq; qui in gutture existũt, aliquatenus affecti fuerint, ratione optima læsũ esse neruorũ principium quis pronũciauerit. Quòd si ob principiũ neruorũ oborta sint huiusmodi symptomata, grauissimã esse talẽ affectionẽ rationi cõsonũ est, adeo vt & cõuulsionẽ secuta fuerit; nẽpe eas musculorũ, quę ob principium fiunt tẽsiones, conuulsionẽ sequi didicimus. Non feci autẽ in eo, quẽ percurri, sermone mentionẽ eorum, qui angina ex colli vertebris in anteriorem partem luxatis corripiuntur, tum quòd rarò contingat affectio, tum quòd gutturis musculi tunc quoque simul inflammari mihi videantur.

Περὶ τῶν ἐπιεικῶν ἠθῶν τε, καὶ πτυελισμοῦ.

De moderatis moribus ac sputatione.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ιβʹ.

ΕΝ τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇ τὸ ἐπιεικές, πυκνὰ δὲ μεταπίπτειν, κακὸν τὸ τοιοῦτον. καὶ πτυελισμός, κακόν.

HIPPOCRATIS PRÆDICTIO 12.

IN phreniticis per initia moderatum esse, sed crebrò permutari, malum id est, sputatio quoque, malum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥδὲν ἐξαίρετον ἐπὶ φρενίτιδος ὁ λόγος ἔχει. καὶ γὰρ κἀπὶ τῶν ἄλλων παθῶν εἰ μεταπέσῃ τὸ ἐπιεικές, ἐνδείκνυται τὴν δύναμιν ὑπὸ τοῦ νοσήματος νικᾶσθαι. τὸ δ' ἐν ἀρχῇ, πρόσκειται τάχα μηδ' ἄλλως γενήσεσθαι δυναμένου. ἐν ἀρχῇ γὰρ ὁρῶνται συνεχεῖς μεταπτώσεις, οὐχ ὅταν χρονίζῃ τὰ νοσήματα, καὶ ταῦτ' εἰκὸς συμβαίνειν ἐν ταῖς κατὰ πλῆθος, ἢ ποιότητα μοχθηρῶν χυμῶν διαθέσεσι, ἄλλοτ' εἰς ἄλλο μόριον, ἐνίοτε μὲν εἰς κύριον μεθισταμένων, ἐνίοτε δὲ εἰς ἄκυρον. αἱ μὲν οὖν εἰς τὰ κύρια μέρη μεταῤῥοπαί, διαφθείρουσι τὸ ἐπιεικές. αἱ δ' ἐς τὰ μὴ κύρια, δηλοῦσιν ἐν ᾧ καιρῷ μάλιστα χρὴ τὸν ἰατρὸν ἐπὶ τὰς κενώσεις ἰέναι τῶν λυπούντων χυμῶν, ἢ κατὰ πλῆθος, ἢ ποιότητα. τοῦτο μὲν οὖν, ὡς ἔφην, ἁπάντων νοσημάτων κοινόν. ὁ πτυελισμὸς δὲ γίνεται μὲν καὶ διὰ τὸ στόμα τῆς γαστρὸς ἀῤῥωστοῦν ἐφ' ὑγρότητι. γίνεται δὲ καὶ διὰ τὸν ἐγκέφαλον ἐμπεπλησμένον ὑγρῶν, ἐξ ὧν συῤῥεῖ τι καὶ εἰς τὸ στόμα παραπλησίως τῷ κατὰ τοὺς φλεγμαίνοντας ὀφθαλμοὺς δακρύῳ λεπτῷ. νῦν οὖν ἐπὶ τοῖς φρενιτικοῖς ἔφη γίνεσθαι τὸν πτυελισμόν, ἐγκεφάλου κακοπραγοῦντος ἐστὶ σημεῖον, τουτέστι πεπληρωμένου ὄντος.

COMMENTARIVS GALENI.

NIhil quod phrenitidi peculiare sit, sermo hic habet; nempe & in cæteris affectionibus, si permutetur clementia, vires vinci à morbo significatur. Adiecit autem, *in principio*, quia nec forsan alias fore potest; nempe in principio permutationes assiduas videmus, non autem quum morbi protracti fuerint. Contingúntq; hęc ex ratione in his affectibus qui ex copia, vel qualitate fiunt prauorum humorum in aliam aliàs partem, interdum quidem in principem, interdum verò in ignobilem transmigrantium. Qui igitur in principes partes confluxus fiunt, clementiam corrumpunt; qui verò in ignobiles, quo maximè tempore medicis ad infestantium, vel copia, vel qualitate humorum vacuationes procedendum sit, ostendunt; quod sanè morborum omnium, vt dixi, commune existit. Cæterùm sputatio, & propter os ventriculi ex humiditate imbecillum, & propter cerebrum humiditatibus refertum, oritur; ex quibus nonnihil & in os confluit, lachrymæ tenui, quæ ex inflammatis oculis manat, simile. Nunc ergo, quòd phreniticis sputationem fieri ait, cerebri malè affecti, id est, repleti, signum existit.

Περὶ λευκῆς διαχωρήσεώς τε, καὶ νωθρότητος, καὶ ῥίγους τῶν φρενιτικῶν.

De alba deiectione, torpore, & rigore phreniticorum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ιγʹ.

ΕΝ φρενιτικοῖσι λευκὴ διαχώρησις, κακόν· ὡς καὶ Ἀρχεκράτει. ἆρά γε ἐπὶ τούτοισι καὶ νωθρότης γίνεται; ῥῖγος ἐπὶ τούτοισι κάκιστον.

HIPPOCRATIS PRÆDICTIO 13.

IN phreniticis alba deiectio, malum; quemadmodum & Archecrati. An & his torpor succedat? Rigor in his, pessimum.

COM-

COMMENTARIVS GALENI.

QVòd albæ deiectiones, & ob ciborum colorem fiant, liquidò constat; videmus siquidem eos, qui lac solùm ingesserunt, vel panem purum, vel chondrum, vel lupinos, vel tale quippiam, deiectionem habere albam, si his comparentur, qui lenticulam ederunt, vel brassicas, vel decoctum leporinum sanguinem, vel ius nigrum eorum, quæ cum multa conficiuntur sapa. At certè iis, qui alba ingesserunt edulia, flauæ bilis quiddam adueniens deiectionem colorat, ita vt ingestis pallidior efficiatur. Quum igitur medicum quempiam audieris dicentem, albas esse ictericorum deiectiones, ad naturales eas comparare, & ad collationem harum sermonem ipsi esse oportet. Atque quo modo plerique alij medici deiectiones in ictericis albas fieri dixerunt, ita & nunc in phreniticis dixit; quasi eas prorsus flaua carere bile dixerit. Fit autem id, quum ea non amplius in ventrem confluat, sed vnà cum sanguine, qui in vniuersum corpus distribuitur, sursum fertur; idque vel propter adstrictionem quandam eius, qui bilem ad ventrem defert, canalis, veluti in morbo regio laborantis vsu euenit; vel propter vehementem ardorem, qui in superioribus iecoris partibus existens, sanguinem vnà cum bile sursum rapit. Priore igitur modo delata in totum corpus bile, cerebrum læditur, iam & antea bile ipsa affectum; posteriore modo bilis distributio non solùm causa noxia, verùm quoque & caliditatis multæ, quæ in ipso esse demonstratur, signum erit. Oratio autem hæc, vt Archecrati, operi quidem non admodum conuenit, vt retuli, sed commentarium magis decet, & potissimùm quando scriptor se ipsum admonere voluerit. Inter ea, quæ consequenter dicta sunt, oratio hæc, an & in his torpor fiat? videtur mihi adscripta esse, perinde atque Archecrates ita affectus fuerit; sed non congruenter quidem, quoniam non perpetuò dici debere in his segnitiem, demonstrant tum experientia, tum ratio. Nempe ignauia ex frigidis, crassisque, & glutinosis, & omnino moueri contumacibus humoribus, & non ex calidis, tenuibúsque, & acribus, cuiusmodi est flaua bilis, fieri consueuit, nisi æger morti ita propinquus fuerit, vt ob extinctionem virtutis iam conquiescat; nempe desidia huiusmodi non propter humorem, sed propter virtutis extinctionem, facta est; fieri autem nequit, vt, qui ita desides facti sint, seruentur; estque id symptoma cõmune omnium ob immoderatam intemperiem morientium, & non proprium phreniticorum. Si igitur torpor Archecrati factus sit, hac occasione factus est, atque prorsus obiit; non quòd alba deiecerit, torpore, vel morte accita, sed propter morbi magnitudinem, cuius signum alba deiectio fuit. Rigorem verò ipsis contingere pessimum, non simpliciter est intelligendum; nempe & interdum criticus rigor super apparet phreniticis, morbum sudoribus soluens; sed sanè rigorem perniciosum dici eo tempore est existimandum, quo alba excernunt. Nempe in libris de crisibus, in morbo crudo crisim bonam fieri non posse est demonstratum; crudus autem est, in quo vnà cum sanguine bilis sursum fertur, quocunque tempore id fiat; magísque quum tale quiddam ex igneæ caliditatis in cerebro collectæ immoderatione contingit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

A Αἱ λευκαὶ διαχωρήσεις, ὅτι καὶ δι' ἐδεσμάτων χρόας γίνονται, πρόδηλον. ὁρῶμεν γὰρ ὅσοι γάλα προσενηνέγκαντο μόνον, ἢ ἄρτον καθαρὸν, ἢ χόνδρον, ἢ θέρμους, ἢ τι τοιοῦτον, τὴν διαχώρησιν αὐτῶν λευκὴν γινομένην, εἰ παραβάλλοιτο τοῖς φακῆν ἐδηδοκόσιν, ἢ κράμβας, ἢ ἑφθὸν αἷμα λαγωοῦ, ἢ ζωμὸν μέλανα τῶν διὰ σιραίου πολλοῦ σκευαζομένων. ἀλλ' ὅμως καὶ τοῖς ἐδέσματα λευκὰ προσενηνεγμένοις προσαπερχόμενόν τι τῆς ξανθῆς χολῆς, χρώννυσι τὴν διαχώρησιν, ὡς ὠχροτέραν φαίνεσθαι τῶν ἐδηδεσμένων. ὅταν οὖν ἀκούσῃς τινὸς τῶν ἰατρῶν B ἐπὶ τῶν ἰκτεριώντων, λέγοντος λευκὰ γίνεσθαι τὰ διαχωρήματα, δεῖ πρὸς τὰ κατὰ φύσιν ἔχοντα αὐτὰ παραβάλλειν, καὶ πρὸς παραβολὴν τούτων, γεγονέναι τὸν λόγον αὐτῷ, καὶ καθάπερ ἄλλοι πολλοὶ τῶν ἰατρῶν ἔγραψαν, λευκὰ διαχωρήματα γίγνεσθαι τοῖς ἰκτεριῶσιν. οὕτω καὶ νῦν οὕτως ἐπὶ τῶν φρενιτικῶν εἶπεν, ὡς εἰ καὶ μηδ' ὅλως ἔχοντα τὴν ξανθὴν χολὴν εἰρήκει. γίνεται δὲ τοῦτο μηκέτ' αὐτῆς εἰς τὴν γαστέρα συρρεούσης, ἀλλὰ τῷ πρὸς ὅλον τὸ σῶμα φερομένῳ κατὰ τὴν ἀνάδοσιν αἵματι συναναφερομένης, διὰ στέγνωσίν τινα τοῦ καταφέροντος αὐτὴν εἰς τὴν γα- C στέρα πόρου, καθάπερ ἐπὶ τῶν ἰκτεριώντων, ἢ διὰ σφοδρὰν πύρωσιν, ἐν τοῖς ἄνω τοῦ ἥπατος μορίοις ἀναρπάζουσαν τὸ αἷμα σὺν τῇ χολῇ. κατὰ μὲν οὖν τὸν πρότερον τρόπον ἀναφερομένης εἰς ὅλον τὸ σῶμα τῆς χολῆς, ἡ βλάβη γίνοιτ' ἂν ἐξ αὐτῆς τοῖς κατὰ τὸν ἐγκέφαλον, ἤδη καὶ πρόσθεν ἐκκεχολωμένοις. κατὰ δὲ τὸν δεύτερον τρόπον, οὐ μόνον αἴτιον βλαβερὸν ἡ τῆς χολῆς ἀνάδοσις, ἀλλὰ καὶ σημεῖον ἔσται θερμασίας παμπόλλης, ἐνδεικνυμένης ὑπάρχειν ἐν αὐτῷ. τὸ δή, ὡς καὶ Ἀρχεκράτει, πρόσκειται, συγγράμματι μὲν οὐ πάνυ προστιθέμενον, ὡς ἔφην, ὑπομνήματι δὲ πρέπον, καὶ μάλιστα ὅταν ἑαυτὸν ὁ γράφων ἀναμιμνήσκειν ἐθέλῃ. τῶν δ' D ἑξῆς εἰρημένων, τὸ μὲν, ἆρά γε ἐπὶ τούτοις καὶ νωθρότης γίνεται; δοκεῖ μοι προσγεγράφθαι, ὡς τοῦ Ἀρχεκράτους οὕτως διατεθέντος. ἀλλ' ἐπεὶ μὴ διὰ παντὸς, ἥ τε πεῖρα δείκνυσι, ὅ, τε λόγος ἐνδείκνυται, λέγεσθαι δεῖν ἐπὶ τοῖς εἰρημένοις νωθρότητα [ἀεὶ] οὐ προσηκόντως. νωθρότης γὰρ ἐπὶ ψυχροῖς, καὶ παχέσι, καὶ γλίσχροις, καὶ ὅλως δυσκινήτοις χυμοῖς, οὐκ ἐπὶ θερμοῖς καὶ λεπτοῖς, καὶ δριμέσιν, οἷος ὁ τῆς ξανθῆς χολῆς εἴωθε γίγνεσθαι, πλὴν εἰ θανάτῳ πλησίον ἥκοιεν, ὡς διὰ νέκρωσιν ἤδη τῆς δυνάμεως ἡσυχάζειν. καὶ γὰρ διὰ νέκρωσιν τῆς δυνάμεως, οὐ διὰ τὸν χυμὸν γέγονεν. ἀδύνατον δὲ τοὺς οὕτω γινομένους, νω- E θροὺς σωθῆναι, καὶ κοινὸν τοῦτό ἐστι σύμπτωμα τῶν κατὰ δυσκρασίαν ἀμέτρον ἀποθνησκόντων ἁπάντων, οὐκ ἴδιον τῶν φρενιτικῶν. εἴπερ οὖν ἐγένετο νωθρότης τῷ Ἀρχεκράτει, κατὰ τοῦτον ἂν ἐγένετο τὸν λόγον, καὶ πάντως ἀπέθανεν, οὐχ ὅτι λευκὰ διεχώρησεν, ἢ τῆς νωθρότητος, ἢ τοῦ θανάτου συμβάντι, ἀλλὰ διὰ τὸ μέγεθος τοῦ νοσήματος, οὗ σημεῖον ἡ λευκὴ διαχώρησις ἦν. τὸ μέντοι ῥῖγος αὐτοῖς εἶναι κάκιστον, οὐχ ἁπλῶς ἀκουστέον. ἐπιφαίνεται γὰρ ἐνίοτε καὶ κρίσιμον ῥῖγος τοῖς φρενιτικοῖς, ἱδρῶσι λῦον τὴν νόσον. ἀλλὰ καὶ τὸ κατ' ἐκεῖνον τὸν χρόνον, ῥῖγος εἰρῆσθαι χρὴ νομίζειν ὀλέθριον, ἐν ᾧ διαχωροῦσι λευκά. δέ- F δεικται γὰρ ἐν τοῖς περὶ κρίσεων, ἐν ἀπέπτῳ νοσήματι μὴ δύνασθαι γίνεσθαι κρίσιν ἀγαθήν. ἄπεπτον δέ ἐστιν ἐν ᾧ συναναφέρεται τῷ αἵματι χολὴ, καθ' ὃν ἂν χρόνον τοῦτο γίνηται, καὶ μᾶλλόν γε, ὅταν ἀμετρία πυρώδους θερμασίας ἠθροισμένης ἐν ἐγκεφάλῳ, συμβαίνῃ τι τοιοῦτον.

A

Περὶ τῆς ἐκστάσεως ἧ ἐπιγίνεται ὁ τρόμος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ιδ'.

Τοῖσιν ἐξισταμένοισι μελαγχολικῶς, οἷσι τρόμοι ἐπιγίνονται, κακόηθες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μελαγχολικὴν ἔκστασιν ἀκουστέον τὴν σφοδρὰν, καὶ θηριώδη· γίνεται δ᾽ αὕτη διαβρεχούσης τὸν ἐγκέφαλον ξανθῆς χολῆς κατοπτηθείσης· ἐμάθομεν δὲ ἐν τῷδε, τὴν μεταβολὴν αὐτῆς εἰς τὸ μέλαιναν ποιεῖσθαι. ὅταν οὖν ἐπὶ τῇ τοιαύτῃ διαθέσει τρόμος γίνηται, μεγάλως ὑπεξηράνθαι δηλοῖ τὰ νεῦρα, καὶ διὰ τοῦτο τὸν ἄνθρωπον ὀλεθρίως ἔχειν. οὐ καλῶς οὖν ἡρμήνευσεν, εἰπὼν κακόηθες. ἐσχάτως γὰρ ὀλέθριον ὂν τὸ σύμπτωμα, προσηγορίας ἑτέρας ἐδεῖτο. τὸν γοῦν ἐκστάντα μελαγχολικῶς ἐπιγινομένου τρόμου, βεβαίως τις ἀποθανεῖσθαι λέγων, οὐκ ἂν ἁμάρτοι. κακοήθη δὲ νοσήματα καλοῦμεν, ὅσα κίνδυνον ἀπειλοῦντα τοῖς κάμνουσιν, οὐκ ἀποκόπτει τὴν τῆς σωτηρίας ἐλπίδα. βέλτιον οὖν εἰρῆσθαι τὴν γεγραμμένην συνδρομὴν ὀλέθριον, ἢ θανατικὴν, ἤ τι τοιοῦτον.

De ecstasi cui tremor superuenit.

HIPPOCRATIS PRÆDICTIO 14.

Mente ob melancholiam oberrantibus, quibus tremores superueniũt, malignũ.

COMMENTARIVS GALENI.

Melancholicam ecstasin mentis motionem oberrationémque, intelligere oportet vehementē & ferinam, quæ irrigante cerebrũ assatâ B flauâ bile oritur; nempe & ex hoc cōmentario permutari eam in nigrā didicimus. Quum igitur talem ob affectionem tremor fiat, vehementer exiccatos ostendit neruos; atque ob id hominē lethaliter habere. Non rectè ergo enunciauit, quum dixit, malignũ; nam quod summè perniciosum existit symptoma, aliam exigebat appellationē. Qui ergo ex atra bile mēte aberrantē, superueniente tremore, certò moriturum affirmat, non fallitur, morbos autem malignos appellamus, quicunque periculum minantes, spem salutis non adimunt. Melius igitur erat scriptam concursionem dici, vel perniciosam, vel mortiferam, vel quiddam huiusmodi. C

Περὶ τῆς σὺν τῇ ὑποστροφῇ τε, καὶ ἱδρῶσιν ἐκστάσεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ιε'.

Οἱ ἐκστάντες ὀξέως, ἐπιπυρέξαντες σὺν ἱδρῶτι, φρενιτικοὶ γίνονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀσύμφωνον μὲν καλοῦμεν τὴν τοιαύτην ἑρμηνείαν. ἀσαφὴς δ᾽ αὐτῶν ἡ διάνοια γίνεται, δυναμένων ἀλλήλοις ἁπάντων τῶν ὀνομάτων συνάπτεσθαί τε καὶ χωρίζεσθαι. μία μὲν γάρ ἐστι σύνθεσις αὐτῶν, οἱ ἐκστάντες ὀξέως, εἶτ᾽ ἀπ᾽ ἄλλης ἀρχῆς ἐπιπυρέξαντες ὀξέως. ἄλλη δ᾽ αὖ πάλιν σύνθεσις τὸ, σὺν ἱδρῶτι, ποτὲ μὲν τῷ πρὸ αὐτοῦ, ποτὲ δὲ τῷ μετ᾽ αὐτὸ συντατιθέμενον. δύναται γὰρ καὶ οὕτως ἡ ῥῆσις ἀναγνωσθῆναι, ἐπιπυρέξαντες σὺν ἱδρῶτι. κᾄπειτα ἀφ᾽ ἑτέρας ἀρχῆς, φρενιτικοὶ γίνονται. δύναται δὲ, καὶ σὺν ἱδρῶτι φρενιτικοὺς αὐτοὺς γίνεσθαι λέγειν ὁ γράψας ταῦτα. δῆλον οὖν ἐστιν ὃ περ ἀεὶ λέγω τὰς ἀσαφεῖς ἑρμηνείας οὐδὲν διδάσκειν. ἐννοήσαντας γὰρ ἡμᾶς τὸ ἀληθὲς, ἐφαρμόσαι χρὴ δυναμένῃ λέξει προσέσθαι τὸν λόγον, ἢ κατατρῖψαι μὲν χρόνου πάμπολυ, οὐδὲν δ᾽ ἡμᾶς ἐπιμαθεῖν. ἐν ᾗ γὰρ χρήσει παρ᾽ αὐτοῦ χρὴ φέροντα τὸ ἀληθὲς, ἐφαρμόζειν πειρᾶσθαι ταῖς κατὰ μέρος λέξεσιν, ἐν ταύτῃ βοήθεια μέν τις ἐξ ἡμῶν τῇ ῥήσει γίνεται, κινδυνευούσῃ φανῆναι μοχθηρᾷ, διδασκόμεθα δὲ οὐδὲν ἐξ αὐτῆς. ἀλλὰ καίτοι τούτων οὕτως ἐχόντων, καὶ φαινομένης ἐναργῶς τῆς τῶν ἀσαφῶν ἀχρηστίας, ὅμως οὐκ ὀλίγοι τῶν σαφῶν συγγραμμάτων, διανομίλουσι τοῖς ἀσαφέσι. μὴ τοίνυν ἐμὲ τοῦ μήκους τῆς ἐξηγήσεως μέμψαιτό τις αὖθις, ἀλλὰ τὴν ἑαυτῶν ἄλογον ἐπιθυμίαν, ὅσοι τὰ τοιαῦτα βιβλία προθύμως ἀναγινώσκουσιν. ἐγὼ μὲν γὰρ, ὅτι F οὐχ ἑκὼν ἐπὶ τὰς ἐξηγήσεις αὐτῶν ἥκω, οἱ ἑταῖροι πάντες ἴσασι, καὶ μάλιστα οἱ τῶν νῦν γραφομένων αἴτιοι. μοχθηρῶς δὲ πάντων ἐξηγησαμένων τὸ σύγγραμμα τοῦτο, κᾀγὼ τοῖς ἀναγκάσασί με πεισθεὶς, ἐπὶ τὴν ἐξήγησιν ἧκον, ἧς αὖθις ἀρξάμενοι λέγομεν. ἐὰν μὲν συνάψαντες ἀλλήλοις, τό τ᾽ ἐκστάντες,

De insania cum recidiua febre, & sudoribus.

HIPPOCRATIS PRÆDICTIO 15.

Insanientes acutè in febrem relapsi cum sudore, phrenitici fiunt.

COMMENTARIVS GALENI.

A Consonantia alienam talē dicimus enunciationem; sed obscura huius intelligentia ideo D fit, quòd nomina inter se omnia, tum cōiungi, tum separari possunt. Componuntur si quidem vno tali hæc modo, *mente oberrantes acutè*; deinde altero principio, *superfebrientes acutè*. Rursus quoque & alia est orationis huius, *cum sudore*, compositio, quæ aliquando quidē præcedenti, aliquando verò & sequenti, coordinatur. Potest enim & ita dictio legi, *superfebrientes cum sudore*, deinde altero principio, *phrenitici fiunt*; potest etiam & qui hæc scripsit, quòd cum sudore phrenitici hi fiunt, enunciare. Constat itaque, quod semper dico, nihil obscuras enunciationes docere; siquidē nos, excogitata veritate, eam dictioni, quæ rationē admittere potest, E accommodare oportet, aut tēporis plurimum conterere, nihilque addiscere; quatenus enim singulis dictionibus ab authore acceptis veritas accommodanda nobis est, eatenus iuuamen quoddam à nobis dictioni accedit periclitanti, ne videatur vitiosa, cæterũ nihil ab ea docemur. Quāquā verò hæc ita habeant, videatúrq; conspicua esse obscurorum inutilitas, non pauci tamen libentiùs in obscuris, quā manifestis, versantur operibus. Nemo igitur expositionis prolixitatē mihi obiiciat, sed irrationabile accuset eorum desiderium, qui libros huiusmodi legunt alacriter. Nempe quod inuitus ad horum explanationes veniam, familiares mei omnes nouerunt; & potissimum qui me ad ea, quæ nunc scribuntur, incitauerunt. Quum igitur librum hunc perperam omnes exposuerint, aggressus sum, & ipse expositionem, ab iis persuasus, qui me impulerunt; à qua rursus incipientes, dicimus; si quidē simul coniunxerimus, & mente aberrantes,

& aduerbium , acutè ; deinde silentio facto dicamus , superfebrientes cum sudore, & deinceps, phrenitici fiunt , talem faciemus expositionem. Sed primùm quidem lectionum omnium commune dubium consideremus. Nam mente aberrantes acutè dixit per exordia ; quos in calce dictionis phreniticos fieri dixit ; tanquam mente aberrantes non iam phrenitici existant. Distrahi ergo dictionem dicimus per verbum ; superfebrientes , quod ostendit priùs eos, qui mente aberrarunt acutè , febrientes ; postea desinere : deinde rursum ex recidiua febrire cum sudore ; hos itaque phreniticos fieri ait ; quòd phrenitici quidem fient , ex vehementi ea, quæ ipsis antè facta est desipientia, quam per orationem , mente aberrantes, indicauit, arbitratus ; ex eo verò, quod cum sudore recidiua fiat, confirmans suspicionem ; quoniam tales febrium inuasiones , siue ab initio , siue cum recidiua fiant, plenitudinem significare nobis constat. Quoniam igitur, quæ ex humoribus, vel quantitate, vel qualitate superflua in corpore colliguntur, fluere in affectos locos consueuerunt ; affectum autem fuerat cerebrum ; non enim mente moti fuissent acutè , si superfebrierint , & præsertim cum sudore ; ratione sanè optima phreniticos ita fore est sperandum. Nota siquidem tota horum affectio ita euadet , quæ talis est. Copia biliosorum acrium protinus ab initio ad cerebrum fluente , mente moueri cuipiam contingit ; quæ si rursus aliam in partem transfluat, desinit mentis motio ; si verò hi superfebrierint , cum sudore in affectum locum recurret biliosorum copia , ita vt phrenitici fiant. Si verò aduerbium , acutè , nomini , superfebrientes , composuerimus , talis erit sermo ; mente aberrantes, deinde desinentes , & rursum superfebrientes acutè cum sudore , phrenitici fiunt. Sed prædictio tum hæc , tum antedicta, quod perpetuum sit non habet, sed quòd maxima ex parte fit, veluti & aliæ multæ. Verùm si orationi huic, cum sudore, orationem hanc, phrenitici fiunt, coniunxerimus, sermo secundum alteram earum , quæ in capite enarrationis dictæ sunt , lectionem talis erit ; secundum priorem quidem ; *mente aberrantes acutè , deinde superfebrientes , phrenitici cum sudore fiunt* ; secundum verò alteram ; *mente aberrantes , deinde, acutè superfebrientes , phrenitici cum sudore fiunt.* Potest quidem , & qui hæc scripsit, talem ægrum vidisse, sed quod sæpius prædictum sit, non habebit. Multa verò , & alia ex his, quæ in hoc libro scripta sunt, non magna ex parte fiunt, quum author quidem huius libri nonnullos tales ægros viderit, nondum verò cognouerit an id quod semper fit, an quod magna ex parte , habuerint. Nempe ex obseruatione magis, non ex peculiari affectionum conditione, author has enunciationes velle facere est visus. Qui autem medicam speculationem ita congerit, is non centum, sed mille annis, opus habet ; atque ob id paruam humilémque eam plurimùm adauxit Hippocrates, iis, quæ & ex historia dicidit, & ipse inspexit, logicam adiiciens censuram. Ex multis igitur opus Hippocratis librum hunc non esse quis existimauerit ; multa siquidem loquitur, quæ empiricè composuit, nec theoremata ad vniuersale rationabiliter reducere valens.

καὶ τὸ, ὀξέως, ἔπειτα δὴ σιωπήσαντες, εἴπωμεν, ἐπιπυρέξαντες σὺν ἱδρῶτι, καὶ πάλιν ἐφεξῆς, φρενιτικοὶ γίνονται, τὴν ἐξήγησιν ποιησόμεθα τοιάνδε. πρῶτον μὲν ἐπισκεψώμεθα τὸ κοινὸν ἄπορον, ἁπασῶν τῶν ἀναγνώσεων. ἐκστάντας γὰρ ὀξέως εἶπεν ἐν ἀρχῇ, οὓς κατὰ τὴν τελευτὴν τῆς ῥήσεως ἔφη φρενιτικοὺς γίνεσθαι, ὥσπερ οὐχὶ, καὶ τῶν ἐκστάντων ἤδη φρενιτικῶν ὄντων. ἐροῦμεν οὖν κατεσπᾶσθαι τὴν λέξιν, ἐνδεικνυμένην διὰ τοῦ ἐπιπυρέξαντες, τὸ, καὶ πρότερον αὐτοὺς, οἳ παρ᾽ ἐξέστησαν, ὀξέως πυρέττοντας ὕστερον παύεσθαι, κἄπειτα πάλιν ἐξ ὑποστροφῆς πυρέξαι σὺν ἱδρῶτι. τούτους οὖν φησὶ φρενιτικοὺς γίνεσθαι. τὸ μὲν οὖν ὅτι γενήσονται φρενιτικοὶ, λογισάμενος ἐκ τῆς ἔμπροσθεν αὐτοῖς γενομένης παρακοπῆς σφοδρᾶς, ἣν διὰ τῆς, ἐκστάντες, ἐδήλωσε φωνῆς. ἐκ δὲ τοῦ σὺν ἱδρῶτι τὴν ὑποστροφὴν γίνεσθαι, βεβαιούμενος τὴν ὑπόνοιαν, ἐπειδὴ τὰς τοιαύτας εἰσβολὰς τῶν πυρετῶν, αἵ τ᾽ ἐξ ἀρχῆς, αἵ τε μεθ᾽ ὑποστροφῆς γίνωνται, πλῆθος ἴσμεν ἐνδεικνυμένας. ἐπεὶ τοίνυν ὅσα περιττὰ κατὰ τοὺς χυμοὺς, ἢ ἐν ποσότητι ἐν αὐτοῖς, ἢ ἐν ποιότητι ἀθροίζεται κατὰ τὸ σῶμα, ταῦτα ἐπὶ τοὺς πεπονθότας εἴωθε ῥεῖν τόπους, ἐπεπόνθει δὲ τούτοις ὁ ἐγκέφαλος, οὐκ ἂν γὰρ ἐξέστησαν ὀξέως ἂν ἐπιπυρέξωσι, καὶ μάλιστα μεθ᾽ ἱδρῶτος. εὔλογον οὖν ἐστιν ἐλπίσαι φρενιτικοὺς οὕτως ἔσεσθαι. γνωσθήσεται γὰρ ἡ διάθεσις αὐτῶν ὅλη τοιάδε τις οὖσα, πλήθους χολωδῶν δριμέων εὐθὺς ἐν ἀρχῇ ῥυέντος ἐπὶ τὸν ἐγκέφαλον, ἔκστασίν τινι συμβαίνει. τούτου δ᾽ αὖθις εἰς ἕτερόν τι μόριον μεταρρυέντος, παύσασθαι τὴν ἔκστασιν. ἂν δ᾽ ἐπιπυρέξωσιν οὗτοι μεθ᾽ ἱδρῶτος, ἐπὶ τὸ πεπονθὸς αὖθις παλινδρομήσει τὸ χολῶδες πλῆθος, ὡς γενέσθαι φρενιτικούς. ἐὰν δὲ τὸ ὀξέως, τῷ ἐπιπυρέξαντες συντάξωμεν, ὁ λόγος ἔσται τοιοῦτος. οἱ ἐκστάντες, εἶτα παυσάμενοι, καὶ πάλιν ἐπιπυρέξαντες ὀξέως σὺν ἱδρῶτι, φρενιτικοὶ γενήσονται, τῆς προρρήσεως, καὶ ταύτης, καὶ τῆς προειρημένης, οὐκ ἐχούσης τὸ διηνεκὲς, ἀλλ᾽ ὥσπερ καὶ ἄλλαι πολλαὶ, τὸ πλειστάκις. ἐὰν δὲ τῷ, σὺν ἱδρῶτι, τὸ, φρενιτικοὶ γενήσονται, συντάξωμεν, ὁ λόγος ἔσται καθ᾽ ἑτέραν ἀνάγνωσιν τῶν προειρημένων κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως, τοιόσδε. κατὰ μὲν τὴν προτέραν, οἱ ἐκστάντες ὀξέως, εἶτα ἐπιπυρέξαντες, φρενιτικοὶ σὺν ἱδρῶτι γίνονται. κατὰ δὲ τὴν β᾽. οἱ ἐκστάντες φρενιτικοὶ σὺν ἱδρῶτι γίνονται. καὶ δυνατὸς μὲν ὁ γράψας ταῦτα τοιοῦτον ἄρρωστον ἑωρακέναι, τὸ, πολλάκις δὲ, προειρημένος οὐχ ἕξει. πολλὰ μέντοι καὶ ἄλλα τῶν κατὰ βιβλίον τοῦτο γεγραμμένων, οὐκ ἔστιν ὡς ἐπὶ τὸ πολὺ γινόμενα, τοῦ γράψαντος αὐτὰ, τεθεασαμένου μὲν τινὰς ἀρρώστους τοιούτους, οὔπω δὲ γεγνώσκοντος, εἴ τε τὸ διηνεκὲς ἔχουσιν, εἴ τε τὸ πλειστάκις. ἔοικε γὰρ ἐκ τηρήσεως μᾶλλον, οὐ τῆς τῶν παθῶν οἰκείας κατασκευῆς ὁ γράψας ταύτας ἀποφάνσεις ἐθέλειν ποιεῖσθαι. τῷ δ᾽ οὕτως ἀθροίζοντι τὴν ἰατρικὴν θεωρίαν, οὐχ ἑκατὸν, ἀλλὰ χιλίων ἐτῶν ἐστι χρεία, καὶ διὰ τοῦτο τὴν μικρὰν, καὶ ταπεινὴν ὁ Ἱπποκράτης ηὔξησεν ἐπὶ πλεῖστον, οἷς ἔκ τε τῆς ἱστορίας ἔμαθε, καὶ αὐτὸς ἐθεάσατο τὴν λογικὴν κρίσιν προσθείς. ἐκ πολλῶν οὖν ὑπονοήσαιμεν ἄν τις, οὐκ εἶναι τοῦ Ἱπποκράτους σύγγραμμα τὸ βιβλίον τοῦτο, πολυλογεῖ γὰρ ἐμπειρικῶς αὐτὸ συνθεὶς, μὴ δυνάμενος εἰς τὸ καθόλου, λογικῶς ἀναγαγεῖν τὰ θεωρήματα.

Περὶ τῶν βραχυποτῶν φρενιτικῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ιϛ'.

ΟΙ φρενιτικοὶ βραχυπόται, ψόφου καθαπτόμενοι, τρομώδεες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥχ αὐτοὶ ψόφου καθαπτόμενοι, βέλτιον ἦν εἰπεῖν, ἀλλ' ὧν ὁ ψόφος καθάπτεται. τὸ μέντοι λεγόμενον ἀληθές ἐστι, ὑπὸ γὰρ τῶν ψόφων θορυβοῦνται, παραπλησίως τοῖς δειλοῖς, ὅταν ἐξαίφνης ἀκούσωσι μεγάλης βροντῆς, ἢ θηρίον τι θεάσωνται πλησίον. ἀλλὰ καὶ βραχυπόται πάντως εἰσὶν οἱ φρενιτικοὶ, καίτοι διάθεσιν ἔχοντες θερμὴν, καὶ ξηρὰν, ὥστε καὶ τὴν γλῶτταν ἔχειν διὰ τὴν πολλὴν ξηρότητα τραχεῖαν. ἐδίδαξε δὲ ὁ Ἱπποκράτης ἡμᾶς, ὅτι τούτοις ἡ γνώμη νοσεῖ, κατὰ τὸν ἀφορισμὸν, ἐν ᾧ φησιν, ὁκόσοι πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων μὴ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσεῖ. καὶ μέντοι κἀν τῷ τρίτῳ τῶν ἐπιδημιῶν, ἐν τῇ λοιμώδει καταστάσει, περὶ τῶν φρενιτικῶν αὐτὸς εἶπεν, ἄδιψοι δὲ οὗτοι πάνυ ἦσαν. τρομώδεις δὲ οὐ πάντες γίνονται οἱ φρενιτικοὶ, ἀλλ' οἱ χείριστα διακείμενοι, καθάπερ εἴρηται καὶ πρόσθεν. ἔνιοι δὲ βραχυϋπόπται γράψαντες, ἀξιοῦσιν ἀκούειν τοὺς ὑποπτευομένους τὰ βραχύτατα, καὶ τούτῳ μαρτυρεῖν φασι, τὸ, ψόφου καθαπτόμενοι, τουτέστι ταραττόμενοι, διὰ τὸ, καὶ βραχύτατα ὑποτοπεῖσθαι, τουτέστιν ὑποπτεύειν.

De phreniticis pauculum bibentibus.

HIPPOCRATIS PRÆDICTIO 16.

PHrenitici, pauculum bibentes, leui strepitu quum turbantur, tremuli.

COMMENTARIVS GALENI.

NOn hi strepitū tētantes, sed quos strepitus tētat, dicere erat melius. Quod verò dicitur, verū existit; nēpe ob strepitus tumultuantur, non secus quā timidi, quum magnū aliquod tonitruū de repente audierint, vel ferā aliquā propiùs conspexerint. Prorsus itē paucibibæ sunt phrenitici, quāquam affectionē habeant calidā & siccam, ita vt & linguam præ multa siccitate asperam habeant; sed docuit nos Hippocrates mentē his ægrotare, in eo aphorismo, qui ita habet: *Quicunq; parte aliqua corporis dolēt, atq; vt plurimū dolores nō sentiunt, his mēs ægrotat.* Præterea in tertio epidemiorū, vbi de pestifero agit statu, de phreniticis idem inquit: Valde autē hi sine siti erant. Non autē phrenitici omnes tremorē incurrunt, sed qui deterrimè habēt, vt dictū etiam est supra. Quidam verò qui βραχυϋπόπται, *parum suspicantes*, scripserunt, volunt intelligi metuentes, ea quæ maximè sunt exigua; aiúntque rei huic fidē facere, quod dicitur, ψόφου καθαπτόμενοι, id est, ταραττόμενοι, *turbati*, propterea quòd ea, quæ maximè exigua sunt, ὑποτοπεῦνται, idest, ὑποπτεύουσι, *suspicantur*.

Περὶ τῆς κλαγγώδους φωνῆς σὺν ἀσώδει ἐμέτῳ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ιζ'.

ΤΑ ἐξ ἐμέτου ἀσώδεος, κλαγγώδης φωνὴ, ὄμματα ἐπίχνοιαν ἔχοντα, μανικά· οἷα καὶ ἡ Ἑρμοζύγου ἐκμανεῖσα ὀξέως, ἄφωνος ἀπέθανε.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙ τινάς που θέρεος ὥρᾳ καύματος ἰσχυροτάτου, διὰ κόνεως ὁδοιπορήσαντας, τεθέασαι ξηροὺς ἰχνώδεις ἔχοντας τοὺς ὀφθαλμοὺς, ὡς δοκεῖν τῆς καθημένου χνοῦ μεστοὺς εἶναι, τούτους ἐν νῷ λαβὼν, νοήσεις ὃ βούλεται δηλοῦν ἡ προκειμένη ῥῆσις. ἔστι γὰρ τῶν κατ' αὐτὴν εἰρημένων, τὸ κυριώτατον τοῦτο. κοινὸν μὲν οὖν τῶν τε μαραινομένων, καὶ τῶν σφοδρότατα φρενιτιζόντων, οὐ μὴν δυσχερὴς τὴν γνῶσιν ἐχόντων τῶν μαραινομένων ἑωρακότι ποτὲ κἂν ἕνα. τοῖς μὲν γὰρ μαραινομένοις ἐκτέτηκε πᾶν ὅσον ἐστὶ κατὰ τὸ πρόσωπόν τε, καὶ τοὺς κροτάφους σαρκῶδες, ἅμα τῷ καὶ τοὺς ὀφθαλμοὺς κοίλους ἰχνώδεις γίγνεσθαι. οἱ φρενιτικοὶ δὲ, χωρὶς τούτων τὸν ὀφθαλμὸν ἐπίχνοιαν ἔχουσι, πρὸς τῷ καὶ τὸ βλέμμα θρασὺ μὲν τοῖς φρενιτικοῖς, δειλὸν δ' εἶναι τοῖς μαραινομένοις. ὁ δὲ ἀσώδης ἔμετος κοινὸν μὲν σύμπτωμα τοῖς τοιούτοις φρενιτικοῖς ἐστι, πρός τινας τῶν κακοηθῶν πυρετῶν, ὥσπερ καὶ ἡ κλαγγώδης φωνή. γίνεται δὲ ὁ μὲν ἀσώδης ἔμετος, ἐπί τε χολώδει καὶ δακνώδει χυμῷ· ἡ φωνὴ δὲ κλαγγώδης, διὰ ξηρότητα φωνητικῶν ὀργάνων, ὡς ἐν τοῖς περὶ φωνῆς ὑπομνήμασι δέδεικται. ὅταν οὖν τοῖς φρενιτικοῖς ταῦτα συμπέσοι, μανιωδῶς παραπαίουσι, ὅπερ ταὐτὸν βούλεται σημαίνειν τῷ σφοδρῶς, καὶ γὰρ τοῦτο διά τε τὴν κακοήθειαν τοῦ χυμοῦ, καὶ τὴν ἄμετρον ξηρότητα, διὸ καὶ ἄφωνοι γίνονται.

De voce clangente cum vomitu fastidioso.

HIPPOCRATIS PRÆDICTIO 17.

EX vomitu fastidioso vox clangens, oculique sordes habentes, insaniam portendunt; vt Hermozygæ vxori, quæ vehementi insania acutè correpta, muta obiit.

COMMENTARIVS GALENI.

SI æstiuo tēpore per vehementissimū æstū, via puluerulenta proficiscentes quosdā videris, resiccatis ita oculis, vt puluere pleni videantur, eósq; animo fueris cōplexus, quid præsens dictio indicare velit, intelliges, nēpe id eorū, quæ in ea dicūtur, maximè propriū existit, cōmune nimirū & tabescentium, & vehementissima phrenitide laborantium, neque ei cognitu difficile, qui ex tabescentibus vnum aliquando etiam cōspexerit. Nempe tabescentibus colliquatum est id omne, quod tum in facie, tum in tēporibus carnosum existit, factis vnà & cauis admodum oculis. Phrenitici verò absque his oculum habent puluerulentum. Præterea phreniticis aspectus audax, feroxque; marcescentibus, timidus existit. Vomitus autem fastidiosus, commune quidem symptoma talibus est phreniticis cum malignis quibusdam febribus, veluti & vox clangorosa. Fit autem huiusmodi vomitus ex humore, tum bilioso, tum mordenti; vox verò clangorosa, propter siccitatem voci afferuientium instrumentorum, vt in commentariis de voce ostendimus. Quum igitur phreniticis hæc obtigerint, ferinè desipiunt, quod idem cum vehementer, vult significare; fitque tum propter humoris malignitatem, tum propter immoderatam siccitatem; quo fit, vt & muti euadant.

A

De echô, cum visus hebetudine in causo.

HIPPOCRATIS PRÆDICTIO 18.

IN ardente febre, si aurium tinnitus cum visus hebetudine fuerit, proueneritque in naribus grauitas, mente ex melancholia aberrant.

COMMENTARIVS GALENI.

FEbris ardens, tum ob alias causas, tum propter cerebri inflammationem æquè fit; nempe & huic succedit ex propriis phrenitidis signis continua desipientia. Ex ea verò, quæ in capite redundat, humiditate, spiritus flatuosus procreatur, quapropter & aurium tinnitus fiunt; pari modo caligo, quum crassus quidam humor, vel spiritus oculos inuadit. Naribus præterea ingruens humoris copia sensum grauitatis in ipsis facit. Probabile est autem, & nonnunquam dictorum symptomatum concursionem propter assiduam fieri febrem ex biliosa materia, quæ per venas fertur, inibíque est condita; à qua flatuosi spiritus ad caput mittuntur, adque aures & oculos, atque ad nares humoris copia. Quòd si flaua bilis quodammodo exusta siue in capite, siue in toto corpore fuerit, ad id, quod melancholicum magis est, vergit, atque hinc in cerebrum ipsum emittitur; ob idque mente ex melancholia mouentur.

Περὶ τοῦ μετὰ ἀμβλυωγμοῦ ἐν καυσώδει πυρετῷ ἤχου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ιη'.

ΕΝ πυρετῷ καυσώδει ἤχων προσγινομένων μετὰ ἀμβλυωγμοῦ, καὶ κατὰ τὰς ῥῖνας προσελθόντος βάρεος, ἐξίστανται μελαγχολικῶς.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B

ΓΙνεται μὲν ὁ καυσώδης πυρετὸς, καὶ δι' ἄλλας αἰτίας, ὡσαύτως δὲ καὶ διὰ τὸν ἐγκέφαλον φλεγμαίνοντα. τούτῳ γὰρ ἕπεται, καὶ ἡ διηνεκὴς παραφροσύνη, ἐκ τῶν οἰκείων τῆς φρενίτιδος σημείων. ἐκ δὲ τοῦ πλεονάζοντος ὑγροῦ τῇ κεφαλῇ, γεννᾶται πνεῦμα φυσῶδες, διὸ καὶ οἱ ἦχοι γίνονται. ὡσαύτως καὶ ἀμβλυωγμὸς παχέος τινὸς ὑγροῦ, ἢ πνεύματος ἐμπίπτοντος τοῖς ὀφθαλμοῖς. ἀλλὰ καὶ κατὰ τὰς ῥῖνας ἐμπεσὸν ὑγροῦ πλῆθος, αἴσθησιν ποιεῖ βάρους ἐν αὐταῖς. εἰκὸς δ' ἐστὶν ὅτε γίνεσθαι τὴν τῶν εἰρημένων συμπτωμάτων συνδρομὴν, καὶ διὰ συνεχῆ πυρετὸν χολώδους ὕλης ἐμφερομένης ταῖς φλεψὶ, καὶ στεγομένης ἐκεῖσε, ἐξῆς καὶ πνεύματα φυσώδη πρὸς τὴν κεφαλὴν

C

πέμποντα, πρὸς ὦτά τε καὶ ὀφθαλμοὺς, πλῆθός τε κατὰ τὰς ῥῖνας ὑγροῦ. εἰ δέ που ἐγκαυθῇ, εἴ τ' ἐν τῇ κεφαλῇ ἡ ξανθὴ χολὴ, εἴ τ' ἐν ὅλῳ τῷ σώματι, πρὸς τὸ μελαγχολικώτερον ῥέπει, κἀκεῖθεν πρὸς αὐτὸν ἐκπέμπεται, καὶ διὰ τοῦτο ἐξίστανται μελαγχολικῶς.

Quæ mentis alienationem portendunt.

HIPPOCRATIS PRÆDICTIO 19.

DEsipientiæ cum voce clangente, linguæque conuulsiones tremulæ, & voces ipsæ tremulæ euadentes, mentis indicant alienationem, duritiésque his perniciosa.

COMMENTARIVS GALENI.

QVanquam ex phrenitide, quæ calida & sicca est affectio, desipientia proficiscatur; atque ex ipsius siccitate, quæ asperæ arteriæ communicata est, vox clangosa fiat, veluti & ex humiditatibus imbibitis rauca; non tamen propria phrenitidis existunt, nempe & aliis in morbis reperiuntur, & non perpetuò simul phrenitidi insunt. Tremor igitur linguæ accidit, debilitata, propter siccam prædictæ affectionis intemperiem, animali facultate; conuulsiones verò siccitatem musculorum ipsius, vnà cum capite affectorum consequuntur; sicuti & vox obtremiscit propter infirmitatem, quæ ab horum contracta est intemperie. Prædicta autem hæc omnia symptomata, quæ ob siccitatis capitis intensionem fiunt, mentis motionem fieri indicant. Vniuersis autem his induratis, perniciosum propter immoderatam eam, quæ in cerebro facta est, siccitatem.

Τίνα ἐπισημαίνει τὴν ἔκστασιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ιθ'.

D

ΑΙ παρακρούσιες σὺν φωνῇ κλαγγώδει, γλώσσης σπασμοὶ τρομώδεες, καὶ αὗται τρομώδεες γινόμεναι, ἐξίστανται, σκληρυσμὸς τουτέοισιν ὀλέθριον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤαν ἐπὶ φρενίτιδι παραφροσύνη γίνηται θερμὸν οὔσῃ, καὶ ξηρὸν πάθος, τῇ ἐν αὐτῇ δὲ ξηρότητι μεταδοθείσῃ τῇ τραχείᾳ ἀρτηρίᾳ, γίνεται ἡ φωνὴ κλαγγώδης, ὥσπερ παρὰ ταῖς ὑγρότησιν ἀναποθείσαις, βραγχώδης, ἀλλ' οὐχ, ὡς ἴδια τῆς φρενίτιδος. γίνονται γὰρ καὶ ἑτέροις νοσήμασιν, οὐδὲ γὰρ συνυπάρχουσι διηνεκῶς τῇ φρενίτιδι. ὁ γοῦν τρόμος γίνεται

E

τῇ γλώσσῃ, διὰ τὴν ἐκ τοῦ προειρημένου πάθους ξηρὰν δυσκρασίαν, ἀτονησάσης τῆς ψυχικῆς δυνάμεως. σπασμοὶ δὲ τῇ τῶν ἐν αὐτῇ μυῶν ξηρότητι ἕπονται, τῇ κεφαλῇ συμπαθούντων. ὥσπερ καὶ ἡ φωνὴ τρομώδης δι' ἀτονίαν, ὑπὸ τῆς αὐτῆς δυσκρασίας. ταῦτα δὲ σύμπαντα τὰ προειρημένα συμπτώματα δι' ἐπίτασιν γινόμενα, τῆς ἐν τῇ κεφαλῇ ξηρότητος, ἔκστασιν δηλοῦσι γίνεσθαι. τούτοις δὲ πᾶσι σκληρυνθεῖσιν, ὀλέθριον, διὰ τὴν ἐν τῷ ἐγκεφάλῳ ἄμετρον γεγονυῖαν ξηρότητα.

F

De lingua tremula.

HIPPOCRATIS PRÆDICTIO 20.

LInguæ tremulæ signum non constantis mentis.

Περὶ τῆς τρομώδεος γλώσσης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κ'.

ΑΙ τρομώδεες γλῶσσαι, σημεῖον οὐχ ἱδρυμένης γνώμης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηταί μοι πολλάκις, ὡς αἱ τρομώδεις γλῶσσαι, δι᾽ ἀσθένειαν τῆς ψυχικῆς δυνάμεως γίνονται. σημεῖον δ᾽ ἐστὶν οὐχ ἱδρυμένης γνώμης, διὰ τὸ ἐπὶ τῇ φρενίτιδι γίνεσθαι. πάσχοντος γὰρ τοῦ ἐγκεφάλου, καὶ τοῦ πάθους ὄντος θερμοῦ, ἠρεμεῖν οὐ δύναται. ὥσπερ γὰρ τοῦ ψυχροῦ τὸ ποιεῖν στάσιμα, δυσκίνητά τε καὶ ἀκίνητα ἐν οἷς ἐμφιλοχωρήσει, οὕτως τοῦ θερμοῦ τὸ κινεῖν ἀεί, καὶ μὴ ἐᾶν ἠρεμεῖν. μέλλων οὖν ὁ Ἱπποκράτης δηλῶσαι τὴν ἐν τῇ κεφαλῇ διάθεσιν ὁποία τίς ἐστιν, οὐχ ἱδρυμένην γνώμην ὠνόμασεν. οὐκ ἔστι δὲ ἡ τρομώδης γλῶσσα τῆς οἰκείας τῆς φρενίτιδος σημεῖον ἐνταῦθα, ἀλλὰ τὴν κατὰ συμπάθειαν παρὰ τῶν ἑτέρῳ τινὶ προτοπαθούντων, ἢ διὰ γειτνίασιν, ἢ διὰ κοινωνίαν τῶν ἐν αὐτῇ μορίων.

COMMENTARIVS GALENI.

Dixi sæpius, linguas ob facultatis animalis imbecillitatem contremiscere, estque signũ non constantis mentis, quòd ex phrenitide fiat; patiente siquidem cerebro, calidaque existente affectione, quiescere non potest. Nempe vt frigidi est, tum stabilia, tum difficilè mobilia, tum immobilia ea efficere, in quibus moram facit; sic calidi, mouere semper, & non sinere quiescere. Ostensurus igitur Hippocrates, qualisnam capitis affectio sit, non constantem mentem nominauit. Non est autem hic tremor linguæ peculiare phrenitidis signum; sed per sympathiam compatientium alteri cuidam primum patienti, vel propter vicinitatem, vel propter societatem, quæ in ea sunt, partium.

Περὶ τῶν χολωδῶν τε, καὶ ἀκρήτων, καὶ ἀφρωδῶν διαχωρημάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κα΄.

Ἐπὶ τοῖσι χολώδεσι ἀκρήτοισι διαχωρήμασι, τὸ ἀφρῶδες ἐπάνθισμα κακόν. ἄλλως τε καὶ ὀσφὺν προηλγηκότι, καὶ παρενεχθέντι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μὲν ὁ ἀφρὸς γίγνεται διά τε ψύξιν, καὶ διὰ θερμότητα, δῆλον ἔκ τε τοῖς ἀνέμοις ἀφρὸς ἐμποιεῖν τοῖς ὕδασι, καὶ τὴν ἐν τῷ λέβητι ζέουσαν θερμασίαν. τὸ γοῦν ἐν τοῖς χολώδεσι διαχωρήμασιν ἀφρῶδες ἐπάνθισμα, οἷον ἄνθος ἄνωθεν ἐπικείμενον, ζέσιν οὐ μικρὰν ἐνδείκνυται τῆς τοιαύτης χολῆς. προοδυνῶνται δὲ τὴν ὀσφύν, διὰ τὸ δριμεῖαν εἶναι καὶ δακνώδη τὴν ἐν τοῖς ἐντέροις διερχομένην χολήν. τοῦ γὰρ τοιούτου διαχωρήματος παρενεχθέντος τοῖς ἐντέροις, οὐ τοῖς κατ᾽ ὀσφὺν μόνον, ἀλλὰ καὶ τοῖς λοιποῖς, ὀδύναι τούτοις ἐπακολουθοῦσιν.

De biliosis meracisque deiectionibus spumantibus.

HIPPOCRATIS PRÆDICTIO 21.

In biliosis syncerisque deiectionibus spumosa efflorescentia, malum; tum aliàs, tum ei, qui lumbis ante doluerit, & desipuerit.

COMMENTARIVS GALENI.

Qvod spuma, tum propter frigiditatem, tum propter caliditatem fiat, indicium faciunt, tum venti, in aquis ipsis spumam concitantes; tum efferuescens ea, quæ in lebete est, caliditas. In biliosis igitur deiectionibus spumosa efflorescentia veluti flos supernè incũbens, bilis huiusmodi feruoré non modicũ ostendit. Sed lũbis ante dolent, propterea quòd bilis per intestina penetrans, acris sit & mordax; tali siquidem excremento per intestina deducto, translatóque non lumbos modo, verũ quoq; & reliquas partes, dolores subsequuntur.

Περὶ ἀραιῶν τῶν κατὰ τὰ πλευρὰ ἀλγημάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κβ΄.

Τὰ ἀραιὰ κατὰ πλευρὴν ἐν τουτέοισιν ἀλγήματα, παραφροσύνην σημαίνει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐλλιπῶς οὕτως καὶ ἀπροσδιορίστως ῥηθεὶς ὁ περὶ τῶν ἀλγημάτων τῶν πλευρῶν λόγος, ἀσάφειαν οὐ τὴν τυχοῦσαν ἐμποιεῖ. ἀλλ᾽ ἡμεῖς σπουδάζοντες ἐν σαφεῖ διδασκαλίᾳ, τὰ παρ᾽ αὐτοῦ ἀσαφῶς εἰρημένα διδάξαι, τῆς ἐξηγήσεως ἐφαψόμεθα. ἀραιὰ ὀδύνη γίνεται ἐν πλευραῖς, ὅταν τι φυσῶδες πνεῦμα γεννᾶται ἐν αὐταῖς. τοῦτ᾽ οὖν καὶ λεπτυνθὲν καὶ διαφορηθέν, παύει τὴν ὀδύνην, εἶθ᾽ ὕστερον πάλιν ἕτερον γεννηθέν, αὔξει ταύτην. ἡ γοῦν οὕτως ἀραιὰ γινομένη ὀδύνη, παραφροσύνην οὐ σημαίνει. ὅταν δὲ φλεγμαίνῃ ἡ πλευρά, καὶ ποτὲ μὲν συνεχῶς αἰσθάνεται τῆς ὀδύνης ὁ κάμνων, ποτὲ δὲ διὰ χρόνου, δείκνυσι τὴν γνώμην νοσεῖν, οὐχὶ παντελῶς σημεῖον γοῦν τὸ τοιοῦτο παραφροσύνης.

De laterum doloribus raris.

HIPPOCRATIS PRÆDICTIO 22.

Rari in his laterum dolores delirium significant.

COMMENTARIVS GALENI.

Imperfectè hoc pacto indistinctéque prolata de laterum doloribus oratio, obscuritatem non vulgarem efficit. Nos verò, qui obscurè ab eo dicta, perspicuè docere omni ope affectamus, explanationem attingemus. Dolor rarus in lateribus progignitur, quum spiritus quidam flatuosus in ipsis procreatur; nempe is, tum extenuatus, tum discussus dolorem sedat; deinceps rursus procreatus alter, dolorem ipsum inaugebit; quo modo si rarus fiat dolor, desipientiam non significat. Quum verò latus inflammatum fuerit, & interdum quidem continuè dolorem sentit æger, interdum verò, & per interuallum, mentem ægrotare indicat. Hoc itaque non planè est signum desipientiæ.

Περὶ ἀφωνίας καὶ λυγμοῦ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κγ΄.

Αἱ μετὰ λυγμοῦ ἀφωνίαι, κάκιστον.

De aphonia, & singultu.

HIPPOCRATIS PRÆDICTIO 23.

Vocis interceptiones cum singultu, pessimum.

COM-

COMMENTARIVS GALENI.

VOcis priuationes, fiunt quidē & propter voci inseruientium instrumentorum læsionem, & propter principiū neruorū affectū. Singultus autē est veluti conuulsiua quædam oris ventriculi affectio, quòd ex humorū copia grauatur; vel mordetur, vel propter frigiditatem contristatur. Quam ergo vocalium instrumentorum læsionem subsequutus est singultus? Relinquitur itaq; aut copiam humiditatis, quę vocis priuationē procreauit, in os ventris defluxisse, aut quòd acris sit, aut frigida.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

A Ἀφωνίαι γίνονται μὲν, καὶ διὰ τὴν τῶν φωνητικῶν ὀργάνων βλάβην, καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν. ἡ δὲ λύγξ ἐστὶ σπασμώδης τίς ἐστι τοῦ στόματος τῆς γαστρὸς διάθεσις, ἐπὶ πλήθει ὑγρῶν βαρυνομένου, ἢ δακνομένου, ἢ διὰ ψύξιν ἀνιωμένου. τίνι παθόντων οὖν τῶν φωνητικῶν ὀργάνων, λύγξ ἐπηκολούθησεν; λείπεται οὖν, ἢ πλῆθος ὑγροῦ τοῦ καὶ τὴν ἀφωνίαν ἐμποιήσαντος, παραῤῥυῆναι εἰς τὸ στόμα τῆς γαστρὸς, ἢ διὰ τὸ εἶναι δριμὺ, ἢ ψυχρόν.

B

De aphonia cum exolutione.

Περὶ τῆς μετ' ἐκλύσιος ἀφωνίας.

HIPPOCRATIS PRÆDICTIO 24.

CVm exolutione vocis interceptiones, pessimum. In vocis defectione spiritus, veluti his qui strangulantur, promptus, malum; an & tale delirium portendat?

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κδ'.

AI μετ' ἐκλύσιος ἀφωνίαι, κάκιστον. ἐν ἀφωνίῃ πνεῦμα οἷον τοῖσι πνιγομένοισι πρόχειρον, πονηρόν. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον;

COMMENTARIVS GALENI.

STrangulantur iure optimo, quoniam aëris copia non sit; estque ipsi consuetudo, vt talem spiritum apparentem dicat. Videntur autem omnes, qui talem inspirant inspirationem, scapulas mouere totas, ita vt per vestimenta motio conspicuè appareat; tanquam validè ipsi superioribus thoracis partibus operentur. Non igitur absque ratione hoc in loco talem spiritum promptum appellauit, quem in secundo epidemiorum dixit sublimem; promptum quidem, quoniam promptè id est tum paratè, tum facilè his, qui ægrum cernunt, videtur; quoniam & nos ipsi consueuimus absconditis, & non apparentibus, promptum opponere; sublimem verò vocauit, quoniam, qui ita respirant, sublimes thoracis partes mouere videntur. Potest sanè respiratio huiusmodi & propter respirationi destinatorum instrumentorum fieri angustiam, & ob affectum neruorum principium; quòd si læsum fuerit, magnam efficere respirationem rectè Hippocratem existimare ostendimus. Quum ergo possit & vocis priuatio contingere, tum ipsis vocalibus instrumentis læsis, tum ob affectum neruorum principium; pariterque spiritus promptus; incertum erat, quantum ad hæc, an futurum esset, vt desiperent; atque ob eam rem ambiguè protulit, *an & tale delirium portendat?* Quòd verò malum signum sit, non vt dubitans, sed vt certò sciens pronunciauit. Si enim non affecto neruorum principio, sed oblæsis, tum respirationi, tum voci deputatis organis talis respiratio cum vocis priuatione facta sit, periculum non qualecunque adfert, quum qui ita affecti sint, celeriter strangulentur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΝίγονταί τε εἰκότως, διότι ἀέρος πλῆθος οὐχ ὑπάρχει, φαινόμενόν τε λέγειν αὐτῷ ἔθος ἐστὶν τὸ τοιοῦτον πνεῦμα. C φαίνονται γὰρ οὗτοι πάντες οἱ τὴν τοιαύτην εἰσπνοὴν εἰσπνέοντες, ὅλας κινεῖν τὰς ὠμοπλάτας, ὡς καὶ διὰ τῶν ἀμφιεσμάτων ἐναργῶς ὁρᾶσθαι τὴν κίνησιν, ὡς ἂν ἰσχυρῶς ἐνεργούντων αὐτῶν τοῖς ἄνω μέρεσι τοῦ θώρακος. εἰκότως οὖν ἐνταῦθα μὲν ὠνόμασε πρόχειρον τὸ τοιοῦτον πνεῦμα, κατὰ δὲ τὸ δεύτερον τῶν ἐπιδημιῶν, μετέωρον. πρόχειρον μὲν, ἐπειδὴ φαίνεται προχείρως, ὅπερ ἐστὶν ἑτοίμως τε, καὶ ῥᾳδίως τοῖς τὸν κάμνοντα θεωμένοις εἰωθότων ἡμῶν αὐτῶν ἀντιδιαιρεῖν τοῖς ἀποκεκρυμμένοις, καὶ μὴ φαινομένοις τὸ πρόχειρον. μετέωρον δὲ, ἐπειδὴ τὰ μετέωρα D μέρη τοῦ θώρακος, οἱ οὕτως ἀναπνέοντες φαίνονται κινοῦντες. δύναται τοίνυν τὸ τοιοῦτο πνεῦμα, καὶ διὰ τὴν τῶν ἀναπνευστικῶν ὀργάνων στενοχωρίαν γίνεσθαι, καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν, ἣν ἐδείξαμεν ὀρθῶς τὸν Ἱπποκράτην, βλαβεῖσαν ἡγεῖσθαι μεγάλην δύσπνοιαν ἐργάζεσθαι. δυναμένης οὖν καὶ τῆς ἀφωνίας, αὐτῶν τε τῶν φωνητικῶν ὀργάνων βεβλαμμένων, καὶ διὰ τὴν ἀρχὴν τῶν νεύρων πεπονθυῖαν γίνεσθαι, καὶ τοῦ προχείρου πνεύματος ὁμοίως. ἄδηλον ἦν ὅσον ἐπὶ τούτοις, εἰ παραφρονήσουσι, καὶ διὰ τοῦτο ἀμφιβάλλων εἶπεν, ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον; περὶ μέντοι τοῦ πο- E νηρὸν εἶναι τὸ σημεῖον, οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὡς βεβαίως ἐπιστάμενος ἀπεφήνατο. εἰ γὰρ μὴ τῆς ἀρχῆς τῶν νεύρων πεπονθυίας, ἀλλ' αὐτῶν τῶν ἀναπνευστικῶν τε καὶ φωνητικῶν ὀργάνων βεβλαμμένων, ἡ ἀναπνοὴ τοιαύτη μετ' ἀφωνίας ἐγγένηται, κίνδυνον οὐ τὸν τυχόντα φέρει, πνιγομένων ἐν τάχει τῶν οὕτω διακειμένων.

De ferinis desipientiis.

Περὶ τῶν θηριωδῶν παρακρούσεων.

HIPPOCRATIS PRÆDICTIO 25.

QVæ pauco tēpore feroces fiunt desipientię, F ferinæ sunt; nec solū si pauco tēpore fiant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κε'.

AI ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες θηριώδεές εἰσιν· οὐ μόνον ἐὰν ἐπ' ὀλίγον χρόνον γίνωνται.

COMMENTARIVS GALENI.

NOn solùm, si pauco tempore fiunt feroces desipientiæ, ferinæ sunt, forsan dixerit quis-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

TΑχα ἂν εἴποι τις ἐγκαλῶν τῷ λόγῳ, τὰς ἐπὶ πολὺ γινομένας θρασείας παρακρούσεις μᾶλλον, τῶν ἐπ' ὀλί-

γον εἶναι θηριώδης, ἀλλὰ καὶ ταύτας μὲν οὐδὲ δεόμεθα ἐπιγνῶναι. τὰς δὲ ἐπ' ὀλίγον γινομένας θρασείας, εἶτα παυσαμένας, ὑποπτεύειν συμβουλεύει, καὶ μὴ πιστεύειν αὐταῖς, ὡς οὐκ ἐπανελευσομέναις. αἱ μὲν γὰρ ἐπὶ πυρετοῖς θερμοῖς γινόμεναι παρακρούσεις, οὐκ ἔχουσι τὸ θρασύ. ταῖς δὲ φρενιτικαῖς λεγομέναις, τοῦθ' ὑπάρχει. ἡ δύναμις τοιγαροῦν ὁ λόγος ἐστὶ τοιοῦτος. ὅταν ἴδῃς τινὰ θρασέως παρακρούσαντα, κἂν ὀλίγον ὕστερον παύσηται, γίνωσκε τοῦτον οὐ πυρετοῦ λόγῳ βλαβέντα τὴν γνώμην, ἀλλὰ τῇ φρενιτικῇ ὑποστρέφεσθαι διαθέσει, ἣ τῆς ὕστερον αὐξηθεῖσα, θηριώδης σοι φανεῖται. θηριώδεις δὲ ὀνομάζει παραφροσύνας ἐν αἷς καὶ πατοῦσι, καὶ λακτίζουσι, καὶ δάκνουσιν, καὶ χολῶσιν, ὡς ἐπιβούλους τοὺς εἰσιόντας νομίζοντες.

Περὶ τῶν φρενιτικῶν τε καὶ ὀλεθρίων δυσφοριῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κϛʹ.

ΑΙ μετὰ καταψύξιος, οὐκ ἀπυρέτῳ ἐφιδρώσει τὰ ἄνω, δυσφορίαι φρενιτικαί, ὡς καὶ Ἀρισταγόρῃ, καὶ μέντοι καὶ ὀλέθριαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τινὰ μὲν, ὡς καὶ πρόσθεν ἔφην, βέβαια γνωρίσματα ἀρχομένων γίνεσθαι νοσημάτων, τινὰ δὲ ἐστὶ μὲν, ὡς τὸ πολὺ, ἀλλ' ἐγγὺς τῶν βεβαίων. ἔνια δὲ οὐκ ἐγγὺς μὲν, οὐ μὴν ἤδη γε πόρρω. τινὰ δὲ ἀμφίδοξα, καὶ τινὰ τούτων ἤδη κατωτέρω, περὶ ὧν ὅταν γράφῃ, ποτὲ μὲν ἀπορεῖν ὁμολογεῖ, ποτὲ δὲ ὀνομαστὶ μνημονεύει τῶν ἀνθρώπων, ἐφ' ὧν ἐθεάσατο γινόμενόν τι τοιοῦτον, ὥσπερ καὶ νῦν ἅπαντα ἃ διῆλθε συμπτώματα, καὶ ἄλλων ἐστὶ πυρετῶν. ἐγχωρεῖ γε μὴν, καὶ φρενῖτιν ἐπ' αὐτοῖς, μάλιστα διὰ τὴν ἐφίδρωσιν τῶν ἄνω. τὸ δὲ ὀλεθρίας εἶναι τὰς τοιαύτας διαθέσεις, ἐάν τε φρενῖτιν ἐνέγκωσιν, ἐάν τε μὴ, δῆλόν ἐστι τοῖς τε τῶν ἄχρι δεῦρο λελεγμένων, μὴ παρέργως ἀκηκοόσι, καὶ μεμνημένοις τῶν ἐν τῷ προγνωστικῷ.

Περὶ σπασμῶν τῶν τοῖς φρενιτικοῖς ἐπιγινομένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κζʹ.

ΤΑ ἐν φρενίτισι πυκνὰ μεταπίπτοντα, σπασμώδεα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εμπροσθεν μὲν εἴρηκε τὸ ἐπιεικὲς, ἐπὶ τῶν ἐν ἀρχῇ τῆς νόσου μεταπιπτόντων, οὐκ ἀγαθὸν σημεῖον εἶναι. νυνὶ δὲ προσέθετο, περὶ τίνων μεταπιπτόντων ὁ λόγος ἐστὶν αὐτῷ, διαρθρῶσαι. δύναται γὰρ καὶ συμπτώματα ταῖς δυνάμεσιν ἐναντία, μεταβάλλειν εἰς ἄλληλα, καθάπερ ἐν τοῖς ἐφεξῆς αὐτὸς εἶπεν, ἄκρεα ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα, κακόν· καὶ ἡ δίψα δὲ ἡ τοιαύτη, κακόν. ἐπ' ἀμφοτέρων γὰρ ἀκουστέον, ἐπὶ μὲν τῶν ἀκρέων ἐκθερμαινομένων σφοδρῶς, καὶ πάλιν ψυχομένων ἰσχυρῶς. ἐπὶ δὲ τῆς δίψης γινομένης σφοδρᾶς, καὶ μετ' ὀλίγον οἰχομένης τελέως. οὐ ταὐτὸν δὲ τοῦτ' ἐστὶ τῷ ἐπιεικὲς ταχὺ μεταπίπτειν. ἐπ' ἐκείνου μὲν γὰρ ἐξ ἀγαθοῦ πρὸς τὸ μοχθηρὸν, αὖθις δὲ ἐξ ἐκείνου πρὸς τὸ κατὰ φύσιν ἐπάνοδος γίνεται. κατὰ δὲ τὴν νῦν εἰρημένην ῥῆσιν, μετάπτωσις ἐκ μοχθηρῶν συμπτωμάτων, εἰς μοχθηρὰ δηλοῦται, αἱ τοιαῦται δὲ ἅπασαι μεταπτώσεις, ἐπὶ χυμοῖς μεταρρέουσι γίνονται. τοῖς μὲν γὰρ ἑνὶ μορίῳ στηριχθεῖσιν, ἓν εἶδος ἕπεται συμπτώματος οἰκεῖον, τῇ τε τοῦ μορίου φύσει,

piã, orationẽ vitio vertẽs, existimãs eas desipiẽtias, quæ multo tẽpore feroces sunt, magis esse ferinas, quã illæ, quæ pauco tẽpore sunt. Sed neque vt has cognoscamus, opus habemus; eas verò, quæ pauco tẽpore fiunt feroces, deinde desinũt, suspectas haberi admonet, ipsisq; tãquã non redituris, haud fidẽdũ esse. Nã quæ in calidis febribus fiũt desipiẽtiæ, ferocitatẽ nõ habẽt; sed phreniticis appellatis desipientiis id inest. Talis igitur potẽtia sermo erit; quũ videris quẽpiã cum ferocitate desipientẽ, etsi paulò post sedetur, cognosces mẽtẽ eius nõ febris ratione lęsam esse, sed quia phrenitica subalitur affectio, quæ post adaucta, ferina tibi videbitur. Ferinas autẽ desipientias vocat, in quibus ægri calcitrãt, pedibus feriũt, mordicus impetũt, & excãdescũt, eos qui ingrediũtur, tãquã hostes, existimãtes.

De iactationibus phreniticis ac perniciosis.

HIPPOCRATIS PRÆDICTIO 26.

IActationes cum perfrictione non febris experti superioribus partibus parcè sudãti, phreniticæ, vt & Aristagoræ, atque etiã perniciosæ.

COMMENTARIVS GALENI.

NOnnulla quidẽ, vt & antea dixi, incipientium morborũ indicia certa sunt; alia autẽ magna quidẽ ex parte sunt, sed certis propè accedentia; alia verò, etsi non propè quidẽ accedãt, non tamẽ iã lõgè recedũt; alia prӕterea ambigua; & alia his iã inferiora. De quibus quum scribit, interdũ sese addubitare confitetur, interdũ quoq; & nominatim mẽtionẽ ęgrorũ facit, in quibus tale fieri cõspexit; sicut & nũc omnia, quæ percurrit symptomata, aliarũ quoq; sunt febriũ; phrenitim certè, & ex ipsis fieri est possibile, & potissimũ propter partiũ superiorũ sudores. Quòd autem tales affectiones, siue phrenitim inferãt, siue non, perniciosę sint, his cõstat qui nõ incuriosè hucúsq; dicta intellexerunt, atq; eorũ meminere quę in prognostico recẽsẽtur.

De conuulsionibus phreniticis successuris.

HIPPOCRATIS PRÆDICTIO 27.

CRebræ in phreniticis permutationes conuulsionem denunciant.

COMMENTARIVS GALENI.

SVprà quidẽ clementiam in iis, qui circa morbi initia permutantur, non bonũ signũ esse dixit; nunc verò, de quorum agat permutationibus, explanare proposuit. Possunt siquidẽ, & symptomata viribus cõtraria inuicẽ transmigrare, vt in sequentibus ipse dixit; *summæ corporis partes si celeriter in vtranq; conditionẽ transeant, malum; sitisq; huiusmodi mala.* Nempe in vtranque cõditionem intelligere oportet, in summis quidem corporis partibus, vt vehementer calefiant, deinde rursum refrigescant validè; in siti verò, vt vehemens sit, & post paulo prorsus restinguatur. Non idem autem cum hoc est clementiam citò transmutari, nempe in illo ex bono ad prauum est transitus, & rursus ex illo ad naturalem habitum fit regressus; in nunc verò proposita dictione ex prauis symptomatis ad praua ostenditur permutatio. Permutationes autem huiusmodi ex migrantibus fiunt humoribus; nempe firmatos stabilitósq; vna in parte species vna symptomatis, tum naturæ partis, tum

tum humoris virtuti peculiaris, consequitur. Atqui quòd phrenitis in ipsis perduret, ex eo firmatum in capite eum, qui affectionem parit, humorem quis fuerit suspicatus. Verè igitur in cerebro ipso transfluxio est, aliàs in alia quapiam ipsius parte orta, speciem quidem affectionis seruans, sed pro parte affecta symptomata ipsa permutans. Et sanè libri huius author nunc de huiusmodi permutationibus agit, vt scilicet vel floccos euellentes, vel festucas colligentes in quiete multa, post paulo exiliant, vel etiam quippiam violentius agant, deinde rursus conquiescant; aut externum quippiam, quod præsens non sit, incusent, quomodo & expelli iubent tubicinas, tybicinásque quanquam ex his adsit nemo. Vt enim floccos euellere, & festucas colligere sensus videndi est offendiculum, ita hoc, audiendi. Fit quoque & in olfactu symptoma non dissimile, quum scilicet graueolentes quosdam odores, qui non adsunt, accusant. Sunt qui incumbens quippiam sustolli iubent, tanquam graue admodum, vel calefaciens, vel mordens vel refrigerans portent, sensu tactus in huiusmodi symptomatis oblæso. Quòd igitur libri huius author permutationes symptomatum, permanente phrenitide, culpet, consentaneum est. Vidimus siquidem sæpenumero tales dementias perpetuò quidem delirante adhuc ægro, sed modis secundum vniuersa functionum animalium genera variante. Quo autem modo in sensitiuis percurri, ita in ratione, mente, memoria, & cogitatione, permutationes phreniticis fieri videmus, ita vt nunc excandescant, nunc lætentur desipientes ipsi, vel studiosa quadam detineantur cogitatione. Nempe & Rhetorem, quum desiperet, meditantem audiui; grammaticúmque librum legere putantem Bacchylidion, vel Sapphicon; alium Arithmeticum, vel Geometram theoremata suæ artis narrantem. Si igitur hæc grauiter, castéque proferentes, post paulo turpia, obscœnáque commemorent, quod in epidemiis turpia loqui, vocauit, permutatio hæc non ex vitiosis ad clementia, sed ex prauis ad praua est. Quo pacto audacissimi interdum tempore aliquo visi desipientes, post paulo timidi, & perterriti videntur. Talia siquidem circa ipsos videntur symptomata, ita vt interdum ne horrendissima quidem timeant, interdum verò & minimis perterreantur. Talium permutationum exemplum scripsisse mihi videtur, & in sequenti dictione, quum inquit, *Mictus in non admonitis perniciosi.* Imaginare itaque mihi & ægrum aliquem dictas permutationes omnes habuisse, & circa vrinas, & circa alia, quibus memoria in nonnullis offenditur; imaginator item & in sensibilibus repræsentationibus vicissim offensas fieri, pari modo, & intellectualibus; in tali, causa quidem in cerebro existit, sed aliàs alium ipsius locum infestat, quod transfluit. Demonstrauimus autem transfluxiones huiusmodi fieri, vnaquaque partium suscipientium in alteram à sese, quod superuacuum est, expellente. Si igitur ex alia cerebri parte in aliam defluens, qui contristat humor, ab omnibus reiiciatur, vt enatis ab ipso neruis aliquando obrepens conuulsionem inferat, est verisimile, nempe affectionem hanc à repletione, & inanitione fieri dixit Hippocrates.

καὶ τῇ τοῦ χυμοῦ δυνάμει, καὶ μὴν ἐκ τοῦ διαμένειν ἐπ' αὐτῶν τὴν φρενῖτιν, ἐστηρίχθαι τις ἂν ἐν τῇ κεφαλῇ τὸν τὸ πάθος ἐργαζόμενον ὑπονοήσειε χυμόν. ὄντως οὖν κατ' αὐτὸν τὸν ἐγκέφαλον ἡ μετάρρευσίς ἐστιν, ἄλλοτε κατ' ἄλλο μέρος αὐτοῦ τι γινομένη, τὴν μὲν ἰδέαν τοῦ πάθους φυλάττουσα, κατὰ μέρος δ' ὑπαλλάττουσα τὰ συμπτώματα. καὶ νῦν ὁ γράψας τὸ προκείμενον βιβλίον, ἐπὶ τῶν τοιούτων μεταπτώσεων ποιεῖται τὸν λόγον, ἵνα κροκυδίζοντες, ἢ καρφολογοῦντες ἐφ' ἡσυχίας πολλῆς ὀλίγον ὕστερον ἀναπηδῶσιν, ἢ καί τι μανιῶδες πράξωσιν, εἶτ' αὖθις ἡσυχάσωσιν, ἢ μέμφωνταί τι τῶν ἔξωθεν οὐ παρόν. ὥσπερ οὖν κελεύουσιν ἀπενεχθῆναι τοὺς σαλπιγκτάς, ἢ τοὺς αὐλητάς, οὐδ' ἑνὸς τοιούτου παρόντος. ὡς γὰρ τὸ κροκυδίζειν, καὶ τὸ καρφολογεῖν, βλάβη τῆς ὀπτικῆς ἐστιν αἰσθήσεως, οὕτω ταῦτα τῆς ἀκουστικῆς. καὶ κατὰ τὴν ὀσφραντικὴν δὲ παραπλήσιον γίγνεται σύμπτωμα, δυσώδεις τινὰς ὀσμὰς οὐ παρούσας αἰτιωμένων αὐτῶν. εἰσὶ δ' οἳ καὶ τῶν ἐπικειμένων τι κελεύουσιν αἴρειν, ὡς βαρῦνον σφοδρῶς, ἢ θερμαῖνον, ἢ δάκνον, ἢ ψῦχον βαστάζοντες, τῆς ἁπτικῆς αἰσθήσεως, ἐν τοῖς τοιούτοις συμπτώμασι βεβλαμμένης. εἰκὸς οὖν ἐστι τὸν συγγραφέα τοῦ βιβλίου τούτου, τὰς τῶν συμπτωμάτων μεταπτώσεις αἰτιᾶσθαι, διαμένοντος τοῦ φρενιτίζειν. ἑώρανται γὰρ ἡμῖν οὐκ ὀλιγάκις αἱ τοιαῦται παρακοπαί, διὰ παντὸς μὲν ἐν τῷ παρεῖναι ἔτι ὄντος τοῦ κάμνοντος, ὑπαλλαττομένου δὲ τοῖς τρόποις κατὰ πάντα τὰ γένη τῶν ψυχικῶν ἐνεργειῶν. ὡς γὰρ ἐπὶ τῶν αἰσθητικῶν διῆλθεν, οὕτω κἀπὶ τῶν κατὰ λόγον, καὶ γνώμην, μνήμην τε καὶ νόησιν ὁρῶμεν, ἐνίοτε τοῖς φρενιτικοῖς μεταπτώσεις γιγνομένας, ὥστε ποτὲ μὲν ὀργίζεσθαι, ποτὲ δ' ἥδεσθαι, ἢ σπουδαίου τινὸς ἔχεσθαι λόγου παραφρονοῦντας αὐτούς. καὶ γὰρ ῥήτορος ἤκουσα μελετῶντος ἐν παρακοπῇ, καὶ γραμματικοῦ βιβλίον ἀναγινώσκειν οἰομένου Βακχυλίδειον, ἢ Σαπφικόν. ἀριθμητικοῦ δέ τινος, ἢ γεωμέτρου, θεωρήματα διερχομένου τῆς αὐτῆς τέχνης. ἐὰν οὖν ταῦτα σεμνῶς λέγοντες, ὀλίγον ὕστερον, αἰσχρῶν καὶ ἀσελγῶν πραγμάτων μνημονεύσωσιν, ὅπερ ἐν ταῖς ἐπιδημίαις αἰσχρομυθεῖν ἐκάλεσεν, ἡ μετάπτωσις, οὐκ ἐκ φαύλων εἰς ἐπιεικῆ, ἀλλ' ἐκ μοχθηρῶν εἰς μοχθηρὰ γίγνεται. καθάπερ ἐνίοτε θρασύτατοι κατά τινα χρόνον ὀφθέντες οἱ παραφρονοῦντες, ὀλίγον ὕστερον φαίνονται δειλοὶ καὶ καταπεπληγότες. ὁρᾶται γὰρ τὰ τοιαῦτα περὶ αὐτοὺς συμπτώματα, ποτὲ μὲν μηδὲ τὰ φοβερώτατα φοβουμένους, ἐνίοτε δ' ἐπὶ τοῖς σμικροτάτοις ἐκπληττομένους. τῶν γοῦν τοιούτων μεταπτώσεων, δοκεῖ μοι, καὶ κατὰ τὴν ἑπομένην ῥῆσιν γεγραφὼς παράδειγμα, καθ' ἥν φησι τὰ οὐρούμενα, μὴ ἀπομνημονευόντων ὀλέθρια. νόει οὖν μοί τινα τὰς εἰρημένας μεταβολὰς ἁπάσας ἐσχηκότα, περί τε τὴν οὔρησιν, καὶ τὰ ἄλλα, ὅσα κατὰ τὴν μνήμην σφάλλονταί τινες, νόησον δὲ καὶ κατὰ τὰς αἰσθητικὰς παρατυπώσεις ἀνὰ μέρος σφαλλόμενον· ὡσαύτως καὶ κατὰ τὰς διανοητικάς, ἐπὶ τοῦ τοιούτου, κατὰ μὲν τὸν ἐγκέφαλόν ἐστι τὸ αἴτιον, ἀλλ' ἄλλοτ' ἄλλον αὐτοῦ τόπον ἐνοχλεῖ μεταρρέον. ἐδείχθησαν δ' ἡμῖν αἱ τοιαῦται μεταρρύσεις γινόμεναι, τῶν δεχομένων μορίων ἑκάστου, τὸ περιττὸν ὠθοῦντος εἰς ἕτερον ἀφ' ἑαυτοῦ. καὶ τοίνυν εἰκός ἐστιν, ἐὰν ἄλλοτ' ἐξ ἄλλου μέρους τοῦ κατὰ τὸν ἐγκέφαλον, εἰς ἄλλο καταρρέων ὁ λυπῶν χυμὸς ὑπὸ πάντων ὠθῆται, τοῖς ἀποπεφυκόσιν αὐτοῦ νεύροις ἐμπεσών, ποτὲ σπασμὸν ἐπενεγκεῖν. εἴρηκε γὰρ αὐτὸς ὁ Ἱπποκράτης ὑπὸ πληρώσεως, καὶ κενώσεως τὸ πάθος τοῦτο γίγνεσθαι.

Περὶ τῶν φρενιτικῶν τε καὶ ὀλεθρίων οὔρων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κη'.

Τὰ οὐρήματα, μὴ ὑπομνησθέντων, ὀλέθρια. ἆρά γε τουτέοισιν οὐρέεται, οἷον εἰ τὴν ὑπόστασιν ἀναταράξειας;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπὶ φρενιτικῶν, ἄκουε τοῦ λεγομένου, παραβάλλοντος αὐτοῦ τοὺς μετὰ τῆς ὑπὸ τῶν παρόντων ἀναμνήσεως οὐροῦντας, τοῖς χωρὶς ταύτης. οἵτινες οὐδὲ ἀμίδα αἰτοῦσιν, ἀλλ' ἀτάκτως, καὶ ἀλόγως εἰς τὴν στρωμνὴν προΐενται τὸ οὖρον. εὔδηλον οὖν, ὅτι πολὺ χεῖρον ἔχουσιν οὗτοι τῶν μηδ' ὅλως οὐρούντων, εἰ μή τις αὐτοὺς ὑπομνήσειεν. ἐπ' ἐκείνων μὲν γὰρ ἓν γοῦν τι σώζεται τῶν κατὰ φύσιν ἔργων τῆς διανοίας, φυλαττομένων οὖρον εἰς τὴν στρωμνὴν ἀποκρίνειν, ἐπὶ τούτων δ' ἀπόλωλε καὶ τοῦτο. τὸ δὲ προσκείμενον ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως, ἔνθα φησὶν, ἆρά γε τούτοισιν οὐρέεται, οἷον εἰ τὴν ὑπόστασιν ἀναταράξειας; διὰ τοῦτό μοι δοκεῖ προστεθεικέναι, διότι τοιαύτην ἰδέαν οὔρων, ἐφ' ἑνὸς, ἢ δυοῖν ἐθεάσατο τῶν οὕτως οὐρούντων. ἀδύνατον οὖν ἐκ τῆς τοῦ πράγματος φύσεως, ἐνδεικτικῶς ἀποφήνασθαι τὸ καθόλου, μετὰ τοῦ μηδ' ἐκ τῆς ἐμπειρίας ἐσχηκέναι τι πιστὸν ὀλιγάκις ἑωραμένου τοῦ πράγματος, εἰκότως τὸν τῆς ἀπορίας δηλωτικὸν προσέθηκε σύνδεσμον, τὸν ἆρα. τολμήσωμεν οὖν ἡμεῖς ἀποφήνασθαι τὸ καθόλου, καθάπερ ἔμπροσθεν ἐπ' ἄλλων ἐποιησάμεθα, ὡς τοῦ τῶν ὠμῶν χυμῶν πλήθους, ἤτοι πεττομένων, ἢ πνευματωθέντων, ἡ τοιαύτη τῶν οὔρων ἰδέα, σύμπτωμά ἐστιν, οὐ φρενίτιδος. ἀλλὰ καὶ τοῦτο καὶ γενέσθαι ποτὲ δύναται τοῖς φρενιτικοῖς, καὶ μὴ γενέσθαι, καθάπερ τι καὶ ἄλλο σύμπτωμα τῶν οὔτ' οἰκείων φρενίτιδι, οὔτ' ἐναντίων αὐτῇ.

De phreniticis ac perniciosis vrinis.

HIPPOCRATIS PRÆDICTIO 28.

Quæ vrinæ non recordantibus, nec admonitis effluunt, perniciosæ. Num & ab his meiuntur, ac si sedimentum conturbaueris?

COMMENTARIVS GALENI.

De phreniticis, quod dicitur, intellige. Cõparat si quidẽ author meientes ex præsentium admonitione, cũ iis, qui absq; illa meiunt; qui sanè neq; matellã petũt, sed citra ordinẽ, rationẽq; vrinã in lectũ effundũt. Quòd igitur lõgè hi deteriùs habeant, quã qui nullo pacto, nisi admoniti, vrinã excernũt, liquere arbitror; in his enim seruatur naturaliũ intellectus functionũ vna, quum vrinam in lectũ excernere auersentur, in illis autẽ periit & ea. Quod autẽ in fine orationis adiacet, vbi, inquit, excernaturne, & his, tanquã subsidẽtiam returbaueris? ob id adiecisse arbitror, quòd talem vrinæ speciem in vno, vel duobus ita meientium conspexerit. Quum igitur ex rei natura fieri non possit, vt indicatiuè vniuersaliter hoc pronuncietur, neque præter hoc probabile quippiam experimento ipso habuerit, propterea quòd res ipsa rarò visa sit, iure coniunctionem dubitandi ἆρα. i. num, adiecit. Audebimus itaque nos vniuersaliter pronunciare, vt antea in aliis fecimus, quòd copiæ crudorum humorum, qui vel coquuntur, vel in flatum versi sunt, talis vrinæ species symptoma sit, & non phrenitidis; verùm & hoc phreniticis aliquando fieri potest, & non fieri, veluti, & symptoma aliud quoddam eorum, quæ phrenitidi neque propria, neque contraria existunt.

Περὶ παλμωδῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ κθ'.

Οἱ παλμώδεες δι' ὅλου, ἆρά γε ἀφώνως τελευτῶσιν;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δῆλός ἐστι πάλιν ἐνταῦθα παλμώδη τινὰ τεθεαμένος, ἤτοι δι' ὅλου τοῦ σώματος, ἢ τῷ τυχόντι μέρει. ἄδηλον γὰρ, πότερον εἶπε τὸ δι' ὅλου, κἄπειτα πλησίον τοῦ θανάτου γενόμενον ἄφωνον ἰδὼν ὄντα, οὐ δυνάμενος ἐμπειρικῶς, οὔτε λογικῶς εὑρεῖν ἐξ ἀνάγκης ἀφωνίαν ἑπομένην τῷ παλμώδει παθήματι, καὶ διὰ τοῦτο ἐπιζητῶν, καὶ ἀπορῶν, προστεθεικέναι τῷ λόγῳ, τὸν ἆρα σύνδεσμον. ἡμεῖς οὖν πάλιν ἀποφαινόμεθα κἀνταῦθα τὸν παλμὸν, καθότι δέδεικται, διὰ πνεῦμα φυσῶδες γιγνόμενον, τοῦ φυσώδους ἀθροιζομένου πνεύματος διὰ ψύξιν. ὅταν οὖν ὅλον τὸ σῶμα παλμῶδες γένηται, δυνατὸν τὸν οὕτως ἔχοντα, διὰ ψύξιν ἀποθανεῖν ἄφωνον, μηκέτι τῶν τὸν λάρυγγα κινούντων μυῶν, ἢ τῶν εἰς τούτους ἐμβαλλόντων νεύρων ἐνεργεῖν δυναμένων. διὰ τοῦτ' οὖν αὐτὸ βέλτιόν ἐστιν ἀκούειν, τοὺς δι' ὅλου τοῦ σώματος παλμώδη κίνησιν ἔχοντας. οὔτε γὰρ ἡ πεῖρα τοῦτο ἔδειξεν, οὔτ' εὔλογόν ἐστι, τῷ τυχόντι μέρει παλμώδει γενομένῳ συμπάσχειν τὰ φωνητικὰ μόρια.

De palpitantibus.

HIPPOCRATIS PRÆDICTIO 29.

Palpitantes per totum, an voce capti intereant?

COMMENTARIVS GALENI.

Constat quòd & hic palpitantem aliquem viderit, vel toto corpore, vel quauis parte, non etenim liquet vtrum dicat oratio hæc, per totum, deinde ægrum proximè mortem voce priuatum videns, neque empiricè, neque logicè, quòd vocis priuatio palpitationem de necessitate sequatur, reperire valens, ob id quærens, & addubitans, sermoni cõiunctionem, *an*, adiecit. Nos sanè rursum & in præsentia pronunciabimus, palpitationem, quatenus demonstratum est, flatuosum ob spiritum fieri, congesto ob frigiditatem flatuoso spiritu. Quum igitur corpus totum palpitauerit, fieri potest, vt qui ita affectus sit, propter frigiditatem voce destitutus pereat, non amplius musculis, qui laryngem mouent, aut iis, qui in eos proruunt, neruis suo fungi munere queuntibus. Quare vt hi per totum corpus palpitantem motum habeant, intelligere est melius; neque enim vt cuiuis parti, voci asseruientes partes compatiantur, experientia demonstrauit, neque rationi est consentaneum.

De nigrorum vomitu in phreniticis.

HIPPOCRATIS PRÆDICTIO 30.

QVum crebræ in phreniticis cum perfrigeratione sputationes fiũt, nigra reuomũtur.

COMMENTARIVS GALENI.

QVoniam nihil aliud suspicari liceat per vocem sputare significari, quàm sæpius spuere, vel os ipsum assiduè sputo plenum esse, ob id tum ego, tum cæteri omnes, qui librum exposuerunt, ita intelleximus. Adde quod & os ipsum vomituris sputo tenui plenum esse videatur, propter tunicæ communitatem, quæ vna est, ori toti interno continua, faucibúsque & stomacho, & ventriculo. Hinc fit vt labrum inferius interdum concutiatur, ventris ore ad vomitum excitato, nempe labij concussio tunicam eam, quæ ab ore in ventrem extenditur, tum morderi, tum vellicari, tum concuti ostendit. In his igitur, qui suam affectionem recensere possunt, cardiogmus, idest, *cordis, seu stomachi morsus*, futuri vomitus signum exiguum non est; dolent præterea & hi capite, & atra quædam ante oculos obseruantur; quo fit, vt in prognostico dictum sit; *Si quis per febrem non lethalem, ait se capite dolere, & atrum quippiam ante oculos cernere, stomachi quoque morsus huic aduenerit, biliosus aderit vomitus. In phreniticis verò, qui affectionem sermone aperire nequeunt, solis iis, quæ cernimus, prænotionem adstruimus.* Cernimus autem in phreniticis tenue substantia sputum maximè idoneum, vt vomitum indicet; non enim aliàs in phrenitide, quæ siccus morbus est, in qua & sæpius lingua siccissima est, superfluere in ore ipso videretur tenuis humiditas; perfrigeratio autem huic adueniens, vomendi humoris qualitatem ostendit. Quod ergo ob sputationem vomitus fiet, quódque ob perfrigerationem nigra reuomentur, licet prænoscere.

Quæ prauam mentis emotionem portendunt.

HIPPOCRATIS PRÆDICTIO 31.

SVrditas & vrinæ non subsidentes, prærubræ, cum suspensis, mẽtis emotionẽ portẽdũt. His icterũ oboriri, malũ. Mala verò & ictero fatuitas succedens; Hos quidẽ voce priuari, verũ sentientes esse cõtingit. Quũ & arbitror his aluus prorũpit, vt Hermippo contigit, ac mortuus est.

COMMENTARIVS GALENI.

DIxi antea, quòd in quibus morbis neque obseruationem in multis ægris habebat, neque certam naturæ rei indicationem, in his consueuit homines nominatim perstringere, in quibus symptomata conspexit; aut de his vbilibet enarrationem fecit, peruestigare adhuc, & addubitare sese fatetur, quatenus veritatem habeat. Videtur igitur & nunc, quæ in præsenti recensentur dictione, symptomata in quodam conspexisse Hermippo, qui & mente aberrarat, & morbo regio fuerat correptus, cum surditate, & vrinis prærubris non subsidentibus. Surditas autem vnum est ex signis, quæ cerebrum affectũ indicant. Prærubræ verò vrinæ

Περὶ τῶν μελαίνων ἐν τοῖς φρενιτικοῖς ἐμέτου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λ'.

ΤΑ ἐν τοῖσι φρενιτικοῖσι, μετὰ καταψύξεως πτυελίζοντα, μέλανα αἰεμεῖται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠεὶ μηδέν ἐστιν ἄλλο τι ὑπονοῆσαι σημαίνειν τὴν πτυελίζουσαν φωνὴν, ὅτι μὴ τὸ πτύειν πολλάκις, ἢ πληροῦσθαι συνεχῶς πτυέλου τὸ στόμα, διὰ τοῦτο κἀγὼ, καὶ οἱ ἄλλοι πάντες οὕτως ἤκουσαν ὅσοι τὸ βιβλίον ἐξηγήσαντο. καὶ μέντοι καὶ φαίνεται πληρούμενον σιάλου λεπτοῦ τὸ στόμα τοῖς μέλλουσιν ἐμεῖν, διὰ τὴν κοινωνίαν τοῦ χιτῶνος, ἑνὸς ὄντος αὐτοῦ συνεχοῦς, τοῦ τε τὸ στόμα πᾶν ἔνδον ὑπαλείφοντος τῇ φάρυγγι, καὶ τοῦ κατὰ τὸν στόμαχόν τε καὶ τὴν γαστέρα· καὶ διὰ τοῦτο ἐνίοτε τὸ κάτω σείεται χεῖλος, εἰς ἔμετον ὁρμῶντος τοῦ στόματος τῆς γαστρός. ἐνδείκνυται γὰρ ἡ σεῖσις τοῦ χείλους, δάκνεσθαί τε, καὶ σπαράττεσθαι, καὶ κλονεῖσθαι τὸν ἐκτεταμένον ἀπὸ τοῦ στόματος ἐπὶ τὴν γαστέρα χιτῶνα. ἐπὶ μὲν οὖν τῶν δυναμένων εἰπεῖν ἃ πάσχουσιν, καὶ καρδιωγμός ἐστι σημεῖον οὐ σμικρὸν ἐμέτου μέλλοντος, ἀλγοῦσί τε καὶ κεφαλὴν, καί τι καὶ τοῖς ὀφθαλμοῖς φαντάζονται ὀρφνώδες. εἴρηται γοῦν ἐν τῷ προγνωστικῷ ταῦτα. ὅς τις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει, φησὶ κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἢν καρδιωγμὸς τουτέων ἔτι προσγένηται, χολώδης ἔμετος παρέπεται. τῶν φρενιτικῶν δ' οὐ δυναμένων ἃ πάσχουσι λόγῳ δηλοῦν, ἐξ ὧν αὐτοὶ θεώμεθα μόνων, ἐπιχειροῦμεν τῇ προγνώσει. θεώμεθα δὲ ἐπὶ τῶν φρενιτικῶν τὸ λεπτὸν τῇ συστάσει πτύελον, ἱκανώτατον ἐνδείξασθαι τὸν ἔμετον. οὐ γὰρ ἂν ἄλλως ἐν ξηρῷ νοσήματι φρενίτιδι, καθ' ὃ καὶ ἡ γλῶττα πολλάκις γίνεται ξηροτάτη, περιττὸν ἐν τῷ στόματι φαίνοιτο τὸ λεπτὸν ὑγρόν. ἡ δὲ κατάψυξις αὐτῷ προσερχομένη, τὴν ποιότητα δηλοῖ, τοῦ μέλλοντος ἐμεῖσθαι χυμοῦ. διὰ μὲν οὖν τὸν πτυελισμὸν, ὅτι γενήσεταί τις ἔμετος, διὰ δὲ τὴν κατάψυξιν, ὅτι μελάνων, ἔνεστι προγνῶναι.

Τίνα παρακρουστικά.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λα'.

ΚΩφωσις καὶ οὖρα ἀκατάστατα, ἐξέρυθρα, ἐναιωρεύμενα, παρακρουστικά. τοῖσι τουτέοισιν ἰκτεροῦσθαι κακόν. κακὴ δὲ καὶ ἡ ἐπὶ ἰκτέρῳ μώρωσις. τούτοις ἀφώνοις μὲν, αἰσθανομένοις δὲ συμβαίνει γίνεσθαι. οἶμαι δὲ καὶ κοιλίαι καταῤῥήγνυνται τουτέοισιν, οἷα ἐγένετο Ἑρμίππῳ, καὶ ἀπέθανεν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙρηταί μοι καὶ πρόσθεν, ὡς ἐν οἷς πάθεσιν, οὔτε τήρησιν ἐπὶ πολλῶν εἶχεν ἀῤῥώστων, οὔτε τῆς τοῦ πράγματος φύσεως ἔνδειξιν βεβαίαν, ἐπὶ τούτων εἴωθεν ἤτοι τοῖς ἀνθρώποις ὀνόμασι γράφειν, ἐφ' ὧν ἐθεάσατο τὰ συμπτώματα, ἢ περὶ ὧν ἑκάστοτε πεποίηται τὴν διήγησιν, ἢ ζητεῖν ἔτι, καὶ ἀπορεῖν ὁμολογεῖ, πῇ ποτ' ἔχει τὸ ἀληθές. ἔοικεν οὖν καὶ νῦν, ἐπί τινος Ἑρμίππου θεάσασθαι τὰ κατὰ τὴν προκειμένην ῥῆσιν εἰρημένα συμπτώματα παρακρουσθέντος τε καὶ ἰκτερωθέντος ἐπὶ κωφώσει, καὶ οὔροις ἐξερύθροις ἀκαταστάτοις. ἡ μὲν δὴ κώφωσις, ἕν τι τῶν ἐνδεικνυμένων ἐστὶ πεπονθέναι τὸν ἐγκέφαλον. ἐξέρυθρα δὲ οὖρα, διαφέρει

μὲν δή που τῶν ὑπερύθρων, ἃ κατὰ τὸ προγνωστικὸν εἴρηται, χρονίου μὲν εἶναι σημεῖα, μὴ μέντοι κινδύνου. τίνα δ' ἄλλα νοήσειέ τις ἐξέρυθρα, ἢ τὰ καλούμενα πρὸς ἁπάντων αἱματώδη, πολλοῖς τῶν νεφριτικῶν οὐρούμενα; καὶ εἴπερ ταῦτα βούλεται δηλοῦν, ἀνάλογόν τι σημαίνει τῷ πρόσθεν εἰρημένῳ, κοιλίης περίπλυσις ἐξέρυθρος. ὥσπερ οὖν ἐκείνην ἔφαμεν ἥπατος ἀρρωστοῦντος γίνεσθαι, κατὰ τὸν αὐτὸν τρόπον, ἐπὶ νεφροῖς κακοπραγοῦσιν, οὖρον ἐξέρυθρον ἐροῦμεν γίνεσθαι. τὸ δ' ἀκατάστατον αὐτοῦ μετὰ τοῦ φαίνεσθαί τινα παχύτερα τῆς ὅλης οὐσίας τῶν οὔρων ἐναιωρούμενα, ταραχὴν ἐνδείκνυται κατὰ τὰς φλέβας ὑπάρχειν, ἅμα θερμασίᾳ τινὶ παρὰ φύσιν, οὐκ ὀλίγου πνεύματος ἠθροισμένου φυσώδους. ὥσπερ οὖν ἐνδεχόμενόν ἐστιν, ἐπὶ τῶν εἰρημένων συνόδων παρακροῦσαι τὸν ἄνθρωπον, οὕτως οὐκ ἀναγκαῖον. ἡ γὰρ ἐπιπλοκὴ τῶν σημείων, οὐχ ἁπάντων ἐστὶν ὁμογενής, τῆς μὲν κωφώσεως τὴν κεφαλὴν ἐνδεικνυμένης πεπονθέναι, τῶν δ' ἐξερύθρων οὔρων τοὺς νεφρούς, τῶν δὲ ἀκαταστάτων οὔρων ἐν τοῖς ἐναιωρήμασι. πρῶτον μὲν ἐν ταῖς φλεψὶν ἀπέπτων χυμῶν ταραχὴν ἐνδεικνυμένων, κατὰ συμβεβηκὸς δέ, καὶ τῇ τῆς παρακρούσεως γενέσει συντελούντων. τὸ δ' ἐφεξῆς τῶν εἰρημένων γεγραμμένον, τὸ τοῖς τοιούτοις ἰκτερώδης κακόν, ἀληθὲς μέν ἐστιν. ἀλλ' ὅτι συνδρομὰς ἑτερογενῶν σημείων οὐ χρὴ ποιεῖσθαι κατὰ τὰς τοιαύτας διδασκαλίας, ἔμπροσθεν δέδεικται. καὶ μὲν δὴ καὶ περὶ τοῦ κακὸν εἶναι μώρωσιν ἐπὶ τοῖς ἰκτέροις, εἴρηται πρόσθεν, ἡνίκα προειπὼν ἐν φρενιτικοῖς λευκὴ διαχώρησις, κακόν, ἐπήνεγκεν, ἆρά γε καὶ ἐπὶ τούτοισι νωθρότης γίνεται; καὶ γὰρ μεταλαμβάνει τὸν λόγον εἰς ἑτέρας φωνάς, ἀντὶ μὲν τῆς λευκῆς διαχωρήσεως, ἥτις ἐστὶν ἴδιον τῶν ἰκτερικῶν σύμπτωμα, τοῦ πάθους αὐτοῦ μνημονεύσας, ἀντὶ δὲ τῆς νωθρότητος, τὴν μώρωσιν εἰπών. τούτοις οὖν, φησίν, ἀφώνοις μὲν αἰσθανομένοις δὲ συμβαίνει γίνεσθαι. φαίνονται δὲ τῶν ἀφώνων ἐν ὀξέσι νοσήμασι γινομένων, ἔνιοι μὲν οὐδ' αἰσθανόμενοι, διὰ τὸ τῆς ἀρχῆς πάθος ἀμφοτέρων αὐτοῖς τῶν συμπτωμάτων ἑπομένων. ἔνιοι δὲ μόνον ἄφωνοι γινόμενοι, καὶ τούτων οἱ μὲν ἅμα ταύτῃ καὶ τὰς ἄλλας κινήσεις ὅσαι κατὰ προαίρεσιν γίνονται, βεβλάφθαι πάσας, οἱ δὲ τὴν φωνὴν μόνην. ἐὰν οὖν ἅμα τῇ φωνῇ, καὶ τῶν ἄλλων ἐνεργειῶν ἡ βλάβη γένηται, τῆς ἀρχῆς τῶν νεύρων ἐστὶ τὸ πάθος. ἐὰν δὲ μόνης τῆς φωνῆς, μόνων τῶν φωνητικῶν ὀργάνων. ἀλλ' ἐπί γε τῆς προειρημένης συνδρομῆς, ὅταν πλησίον ἤδη ἥκωσι τοῦ θανάτου, τὸ τῆς ἀφωνίας αὐτῆς ἀκολουθεῖ σύμπτωμα. τὸ δ' ἐπὶ τῷ τέλει τῆς ὅλης ῥήσεως εἰρημένον, καὶ κοιλίαι καταρρήγνυνται, οἷον ἐγένετο καὶ Ἑρμίππῳ, καὶ ἀπέθανεν, οὕτως αὐτὸν εἰκὸς εἰρηκέναι, διότι μήτε ἐπεθεάτο πολλάκις ἑπόμενον τὸ σύμπτωμα τοῦτο τῇ προκειμένῃ συνδρομῇ, μήτ' αὖ λογικῶς εὑρεῖν ἠδυνήθη.

μὴ τεθέαται

A à ſubrubentibus, quas in prognoſtico diuturnitatis, non periculi ſigna eſſe pronunciauit, diſcrepāt. Quas verò alias intelligat quis prærubras, quàm quæ à cunctis vocantur cruentæ, quales in nephriticis multis excernuntur? quas ſi indicare voluerit, analogum quippiam ſignificant ei, quod antea eſt dictum. Ventris valde rubens proluuies. Quo igitur modo ventris valde rubram proluuiem affecto iecinore fieri diximus, ita prærubram vrinam ex renibus ſuo perperam fungentibus munere effici affirmamus. In vrina verò ſubſidentiæ priuatio, cum qua craſſiora quædam tota vrinarum ſubſtan- B tia ſublime petentia appareant, perturbationem in venis eſſe demonſtrant, vnà cum caliditate præter naturam non pauco aceruato flatuoſo ſpiritu. Vt igitur in dicto ſymptomatum concurſu delirare ægrum contingens eſt; ſic & non neceſſarium; nempe ſignorum permixtio non omnium eiuſdem generis exiſtit. Surditas etenim caput affectum indicat; prærubræ vrinæ, renes; priuatio ſubſidentiæ, & ſublime petentia, primùm quidem & per ſe crudorum humorum in venis perturbationem ſignificant; per accidens verò & ad deſipientiæ generationem conferunt. Quod autem poſtea ſcriptum eſt, morbum regium his malo eſſe, C verum quidem eſt; ſed quod ſignorum diuerſi generis concurſiones facere in talibus diſciplinis non oporteat, ſupra eſt demonſtratum. Præterea quòd ex morbo regio mala ſit fatuitas, dictum eſt antea, quum vbi in phreniticis dixiſſet, deiectio alba malum, ſubintulit, An & ex his veternus fiat? Nempe ſermonem in alias transfert voces, pro alba quidem deiectione, quæ ictericorum peculiare ſymptoma eſt, affectionem ipſam commemorans; pro veterno verò fatuitatem. Hos igitur, inquit, voce quidem priuari, ſed ſentientes, contingit. Qui autem in acutis morbis ſine voce fiunt, quidam D horum non ſentiunt, propter principij affectionem vtriſque ipſos ſequentibus ſymptomatis; alij duntaxat voce priuantur; atque horum quidam læſis quoque & aliis omnibus, quæ ex arbitrio ſunt, functionibus, alij ſola voce oblæſa. Si igitur, tum vocis, tum functionum aliarum oblæſio fiat, principij neruorum affectio eſt, ſi verò ſolius vocis, ſolorum voci inſeruientium organorum. Sed in prædicta concurſione, quum iam prope mortem ventum ſit, aphoniæ conſequitur ſymptoma. Quòd item in orationis fine dicitur, ventérque, arbitror, his prorumpit, vt Her- E mippo factum eſt, & obiit, ita authorem dixiſſe probabile eſt, quoniam neque ſæpius ſymptoma hoc præſentem concurſionem ſequi viderit, neque ratione inueniri potuerit.

Περὶ κωφώσεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λβ'.

Κώφωσις ἐν ὀξέσι, καὶ ταραχώδεσι παρακολουθοῦσα, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γίνεται μὲν καὶ διά τινα χυμὸν κατὰ τοὺς ἀκουστικοὺς πόρους σφηνωθέντα, κώφωσις οὐδὲν ἔχουσα κακόηθες. γίνεται δὲ ἐνίοτε, καὶ τῆς ἀκουστικῆς δυνάμεως νενεκρωμένης, ἣν ἐν τοῖς ὀξέσιν ἅμα, καὶ ταραχώδεσι νοσήμασιν ὁρῶμεν συμπίπτουσαν, ὑπὲρ ἧς νῦν ἀπεφήνατο, κακὸν εἶναι λέγων αὐτὴν σύμπτωμα, οὔτε τὸ ἆρα προσθείς, οὔτ' αὐτὸ τὸ ὄνομα τοῦ νοσήσαντος οὕτως, ἐπειδὴ ἔξεστιν ἀποφήνασθαι περὶ τῶν τοιούτων συμπτωμάτων.

De ſurditate.

HIPPOCRATIS PRÆDICTIO 32.

Surditas in acutis, & turbulentis conſectaria, malum.

COMMENTARIVS GALENI.

F Fit ſurditas, & ob humorem quendā in auditoriis meatibus impactum, infarctúmque nihil, quod malignum ſit, habens. Fit quoque interdum emortua audiendi facultate, quā in acutis turbulētíſq; morbis cōtingere cernimus; quā nūc pronunciauit, malū eſſe ſymptoma, neque adiecit coniunctionem, an, neque nomen ipſum ęgroti, quoniam certo de tali ſymptomate pronunciare licet.

De

De desipientiis admodum phreniticis.

HIPPOCRATIS PRÆDICTIO 33.

Tremulæ, obscuræ, & contrectabiles desipientiæ, valdè phreniticæ; vt Didymarcho in Co.

COMMENTARIVS GALENI.

Fit & talis quædam desipientiæ species non rarò, vt æger quietus iaceat, neque solùm non tumultuosè exclamet, exiliátque, vt antea, sed neque prorsus loquatur, neque figuram decubitus permutet; sæpiúsque, qui ita affecti sunt, familiaribus præbent opinionem, quòd mox sint, si quod fiat silentium, dormituri. Clausis itaque fenestris conquiescunt custodes, tempúsque in his interdum longum conterunt, dormire ægrum, quòd neque loquatur, neque moueatur, arbitrati, ægro ipso non dormiente; & manus quiete mouente, non secus, quam qui per leuem contrectationem aliquid, vel tangere, vel inuenire volunt. Deinde his ita se habentibus, quidam clausis palpebris hæc agunt; & siquis accedens cum eis loquatur, quidam neque prorsus oculos aperiunt; alij posteaquam aperuerunt, aut paulo post clauserunt, aut immotos seruant. Alij neque, si quis eos inclinauerit, vel stimulauerit, palpebras aperiunt. De phreniticis huiusmodi Hippocrates in tertio epidemiorum, ita scripsit; *Nullus verò phreniticorum vehementer insaniuit, veluti aliis usu venit; sed alia quadam veternosa cataphora capite grauati peribant*. Cæterùm hos ipsos in præsenti dictione phreniticos, obscuros, nominauit, perinde atque multis cognitu difficiles dixisset, néque idiotis solùm, verùm quoque & medicis. Nempe solos illos opinantur esse phreniticos, qui exclament, vel exiliant, Hippocrate mente oblæsos ita appellante, tametsi in quadam cataphora perpetuò fuerint. Desipientia igitur vnà cum comate statim ab initio aliquando simul inuadit; nempe in libro de comate apud Hippocratem, ad idem vtrasque appellationes, tum cataphoræ, tum comatis referre ipsum demonstrauimus. Atqui tales phrenitides quietis obscuritatem non habent; sed obscura, vt dictum nunc est, phrenitidis species ex procedente tempore efficitur; omnésq; quos ita affectos viderim, languidum durúmque & angustum, & exiguum habuerunt pulsum, ita vt quies fieri ipsis, fatigata virtute, coniiciatur, qui scilicet validius moueri nequeant. Quidam horum, vt manus quiete pacatéque mouent, sic & breuissimè loquuntur; id quod multos latet, solísque illis patescit, qui propiores facti sese in eos inclinauerunt; sunt autem, qui aurem prope faciem ipsorum deponere tentant, vt manifestè audiant. Præterea manuum motio his exigua, & tremula existens multos etiam latet, solis his, qui diligenter inspiciunt, conspicua. Hoc igitur arguit virtutem horum languere atque hecticam quandam esse affectionem phrenitidis, veluti febrium earum, quas ob id hecticas appellamus. Sed de his dictum est in commentariis De differentiis febrium, atque in libris De methodo medendi, præterea, & in libro De marasmo, solidas animalis partes prehendisse tales febres, non ex putredinoso humore fieri indicantes.

Περὶ τῶν πάνυ φρενιτικῶν παρακρούσεων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λγ'.

Αἱ τρομώδεες, ἀσαφέες, καὶ ψηλαφώδεες παρακρούσιες, πάνυ φρενιτικαὶ, ὡς καὶ τῷ Διδυμάρχῳ ἐν Κῷ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Γίνεται καί τι τοιοῦτον παραφροσύνης εἶδος οὐκ ὀλιγάκις, ὡς ἡσυχάζοντα κατακεῖσθαι τὸν νοσοῦντα, μὴ ὅτι θορυβωδῶς κεκραγότα καὶ ἀναπηδῶντα, καθάπερ ἔμπροσθεν, ἀλλὰ μηδὲ φθεγγόμενον ὅλως, μηδὲ τὸ τῆς κατακλίσεως σχῆμα μεταβάλλοντα, καὶ πολλάκις γε τοῖς οἰκείοις οὗτοι παρέσχον δόξαν, ὡς εἰ γένοιτό τις σιγὴ κοιμηθησομένοις. συγκλείσαντες οὖν τὰς θυρίδας, ἡσυχάζουσιν ἐπιτηροῦντες· ἐν τούτοις τε τρίβεται χρόνος ἐνίοτε μακρός. τῶν μὲν οἰκείων τῶν καμνόντων ἐκ τοῦ μὴ φθέγγεσθαί τι, μηδὲ κινεῖσθαι τὸν νοσοῦντα τεκμαιρομένων κοιμᾶσθαι τὸν ἄνθρωπον. αὐτοῦ δὲ τοῦ νοσοῦντος μήτε κοιμωμένου, καὶ τὰς χεῖρας κινοῦντος ἀτρέμα, ὁμοίως τοῖς διὰ ψηλαφίας ἠρεμαίας ἅπτεσθαί τινος, ἢ εὑρεῖν τι βουλομένοις. ἔπειτα τούτων οὕτως ἐχόντων, ἔνιοι μὲν κεκλεισμένων τῶν βλεφάρων ταῦτα πράττουσιν, καὶ εἰ προσελθών τις αὐτοῖς διαλέγοιτο, τινὲς μὲν οὐδ' ὅλως ἀνοίγουσι τοὺς ὀφθαλμοὺς, ἔνιοι δὲ ἀνοίξαντες, ἤτοι μικρὸν ὕστερον ἔκλεισαν, ἢ ἀκινήτους φυλάττουσιν. ἔνιοι δ' οὐδ' ἂν ἐμβοήσῃ τις αὐτοῖς, ἢ νύξῃ, τὰ βλέφαρα διανοίγουσιν. περὶ τοιούτων οὖν φρενιτικῶν ὁ Ἱπποκράτης κατὰ τὸ γ'. τῶν ἐπιδημιῶν οὕτως ἔγραψεν, οὐδ' ἐξεμάνη τῶν φρενιτικῶν οὐδεὶς, ὥσπερ ἐπ' ἄλλοις, ἀλλ' ἄλλῃ τινὶ καταφορῇ νωθρῇ, καρηβαρέες ἀπώλλυντο. τοὺς δ' αὐτοὺς τούτους φρενιτικοὺς κατὰ τὴν προκειμένην ῥῆσιν ὠνόμασεν ἀσαφεῖς, ὡς εἰ καὶ δυσγνώστους εἶπε τοῖς πολλοῖς, οὐ μόνον τῶν ἰδιωτῶν, ἀλλὰ καὶ τῶν ἰατρῶν. οἴονται γὰρ ἐκείνους μόνους εἶναι φρενιτικοὺς, ὅσοι κεκράγασιν, ἢ ἀναπηδῶσιν, Ἱπποκράτους τοὺς βεβλαμμένους τὰς φρένας οὕτως ὀνομάζοντος, κἂν διὰ παντὸς ἐν καταφορᾷ τινι τύχοιεν ὄντες. συμβάλλει μὲν οὖν ἐξ ἀρχῆς παραφροσύνη κώματι. δέδεικται γὰρ ἐν τῷ περὶ τοῦ παρ' Ἱπποκράτει κώματος, ἐπὶ ταὐτὸν ἀναφέρων ἀμφοτέρας τὰς προσηγορίας, τήν τε τῆς καταφορᾶς, καὶ τὴν τοῦ κώματος. ἀλλὰ τὸ μὲν τῆς ἡσυχίας ἀσαφὲς, αἱ τοιαῦται φρενίτιδες οὐκ ἔχουσιν. τὸ δ', ὡς εἴρηται νῦν ἀσαφὲς εἶδος φρενίτιδος, ἐπὶ προήκοντι τῷ χρόνῳ γίνεται, καὶ πάντας οὓς εἶδον οὕτω παθόντας, ἄρρωστον, καὶ σκληρὸν, καὶ στενὸν, καὶ βραχὺν εἶχον τὸν σφυγμὸν, ὡς τεκμαίρεσθαι κεκμηκυίας τῆς δυνάμεως αὐτοῖς γίνεσθαι τὴν ἡσυχίαν, οὐ δυναμένοις ἰσχυρότατα κινεῖσθαι. τινὲς δ' αὐτῶν, ὥσπερ τὰς χεῖρας ἠρέμα κινοῦσιν, οὕτω καὶ φθέγγονται βραχύτατα· καὶ τοῦτο λανθάνει τοὺς πολλοὺς, καὶ μόνοις γίνεται κατάδηλον, ὅσοι περ ἂν ἐγγυτέρω γινόμενοι κατακύψωσιν εἰς αὐτούς. ἔστι δ' ὅτε πειρᾶταί τις πρὸς τὸ κατακούειν σαφῶς, πλησίον αὐτῶν τοῦ προσώπου καταθεῖναι τὸ οὖς, ἀλλὰ καὶ ἡ τῶν χειρῶν κίνησις αὐτοῖς βραχεῖα, τρομώδης οὖσα, λανθάνει τοὺς πολλοὺς, μόνοις τοῖς ἀκριβῶς κατασκεψαμένοις φαινομένη. τεκμήριον μὲν οὖν τοῦτ' ἔστιν, τοῦ τὴν δύναμιν αὐτῶν ἀρρωστεῖν. ἑκτικὴν δέ τινα διάθεσιν εἶναι φρενίτιδος, ὥσπερ πυρετῶν ἐκείνων, οὓς δι' αὐτὸ τοῦτο προσαγορεύομεν ἑκτικούς. εἴρηται δὲ περὶ αὐτῶν ἔν τε τοῖς περὶ τῆς διαφορᾶς τῶν πυρετῶν ὑπομνήμασι, καὶ τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, καὶ μέντοι κἂν τῷ περὶ μαρασμοῦ, τὰ στερεὰ τοῦ ζώου μόρια κατειληφέναι τοὺς τοιούτους πυρετοὺς ἐνδεικνυμένοις, οὐκ ἐπὶ χυμῷ σηπεδονώδει γίνεσθαι.

καὶ τῆς φρενίτιδος οὖν ἐπὶ χολώδει χυμῷ τὴν γένεσιν ἐχούσης, ὅταν ἐπὶ τὸν ἐγκέφαλον αὐτοῦ κατασκήψῃ, κατ' ἀρχὰς μὲν οὐδέπω τῆς ποιότητος αὐτοῦ κεκραμένης ὅλῳ τῷ σώματι τοῦ ἐγκεφάλου, θορυβώδεις παραφροσύναι γίνονται. προήκοντος δὲ τοῦ χρόνου, παραπλήσιόν τι πάσχει τοῖς ὑπὸ τῶν καλουμένων βαφέων ἐρίοις βαπτομένοις. καὶ γὰρ καὶ ταῦτα δυσσποιά γίνεται, τοῖς κατ' ἀρχὰς ἴδιον ἔχουσι τὸ χρῶμα παραπλησίως. καὶ ἡ τοιαύτη τίνων οὖν βαφὴ τοῦ ἐγκεφάλου, τὴν παραφροσύνην ἑκτικὴν ἴσχει. καὶ διὰ τοῦτ' ἐστιν ἡ διάθεσις αὐτῶν μοχθηρὰ τοῖς ἑκτικοῖς πυρετοῖς ὡσαύτως, οὓς ἐδείκνυμεν ἀρχομένους μὲν συνίστασθαι μόγις λυομένους. συστάντας δὲ ἀκριβῶς, καὶ ἐκπληρωθέντας, οὐκέτι δύνασθαι λυθῆναι. ὀρθῶς οὖν εἴρηται τὰς τοιαύτας παρακρούσεις, πάνυ φρενιτικὰς εἶναι. ταύτην τὴν ῥῆσιν, ὥσπερ καὶ ἄλλας τινὰς τῶν ἰατρῶν παρατρέχοντες οἱ ἐξηγηταί, χρονίζουσιν ἐν τοῖς σοφιστικοῖς ζητήμασιν. ὀνομάζω δέ, ὡς ἴστε, σοφιστικά, τὰ μηδὲν εἰς τὸ βέλτιον ἰατρεύειν συντελοῦντα. τοιαῦτα δὲ οὐκ ὀλίγα, καὶ κατὰ τὰς ἐξηγήσεις εὑρίσκεται. τινὰ μὲν μᾶλλον ἀποκεχωρηκότα τοῦ πρὸς τὰς θεραπείας χρησίμου. τινὰ δὲ ἧττον, ὥσπερ ἀμέλει, καὶ τὸ ζητῆσαι τὴν αἰτίαν, δι' ἣν προσέθηκεν ἐπὶ τῷ τέλει τῆς προκειμένης ῥήσεως, οἷον τῷ Διδυμάρχῳ ἐν Κῷ. δέδεικται γὰρ ἐν τῷ πρὸ τούτου λόγῳ, προσγράφειν ὀνομαστὶ τοὺς νοσήσαντας, ἐπ' ἐκείνων τῶν ῥήσεων ἐν αἷς οὐ τολμᾷ καθόλου τοῦ πράγματος, ὑπὲρ οὗ ποιεῖται τὸν λόγον, ἕν τι κοινὸν ἀποφήνασθαι. νυνὶ δὲ ἀληθές γε φαίνεται λέγων, καθόλου κατὰ πάντων τῶν οὕτως ἐχόντων ἀποφαινόμενος, οὐχ ὡς ἀμφιβάλλων, ἀλλ' ὡς πάνυ πεπεισμένος. προσέθηκε γοῦν τῷ λόγῳ, καὶ πάνυ φρενιτικαί, καίτοι δυνάμενος ἁπλῶς φρενιτικαὶ εἰπεῖν. δοκεῖ δέ μοι μαρτύριον τῷ λόγῳ προσγράψαι τὸν ἄρρωστον ὀνομαστί, διὰ τὸ πολλούς, οὐ μόνον τῶν ἰδιωτῶν, ἀλλὰ καὶ τῶν ἰατρῶν ἐπὶ τῶν τοιούτων ἐξαπατᾶσθαι. καί μοι γοῦν ποτέ τις ἠμφισβήτησε περί τινος οὕτω φρενιτίζοντος, οὔτ' ὀλεθρίως ἔχειν αὐτόν, οὔθ' ὅλως φρενιτικὸν εἶναι νομίζων. ἴσως δὲ καὶ αὐτῷ, τὸ προρρητικὸν τοῦτο γράψαντι, τοιαύτη τις ἀμφισβήτησις ἐγένετο πρός τινα, διὸ τοῦ παθόντος ἐμνημόνευσεν ὀνομαστί.

Phrenitide igitur ipsa ex bilioso succo generationem habente, quum is in cerebrum decubuerit, principio quidem qualitate ipsius nondum toti cerebri corpori permixta, tumultuosæ fiunt desipientiæ; procedente verò tẽpore simile quippiam contrahitur lanis; quæ à tinctoribus appellatis tincturam accipiunt; nempe & hæ vix eluibiles redduntur, non secus, quàm quæ proprium ab initio colorem habent. Talis igitur cerebri veluti tinctura desipientiam hecticam habet; atque ob id affectio horum, vt febrium hecticarum, praua est; quas quidem, quum incipiunt, constitui, vix solui; exquisitè verò constitutas, absolutasque solui non amplius posse demonstrauimus. Rectè igitur pronunciatum est, tales desipientias phreniticas esse. Dictionem hanc, veluti, & alias quasdam medicorum, prætercurrentes expositores, in sophisticis quæstionibus cunctantur: voco autem, vt scitis, sophistica, quæ nihil ad melius sanandum cõferunt. Talia autem non pauca, & in expositionibus reperiuntur; quorum nonnulla ab eo, quod sanationi cõmodat, recesserunt magis, alia verò minus quomodo profectò, & causam peruestigare, ob quam in calce præsentis dictionis adiecit, *vt Didymarcho in Co*, nempe in eo, qui præcedit, sermone quòd author nominatim ægros in illis adscribat dictionibus, in quibus non audet rei, de qua agit, vnum quippiam, quod cõmune sit, vniuersaliter pronunciare, est demonstratũ. Nunc autem verum dicere videtur de omnibus ita habentibus vniuersaliter pronuncians, non tãquam dubius, sed tanquã valde persuasus. Adiecit autẽ sermoni, valde phreniticæ, tanquã simpliciter phreniticæ dicere potuisset. Videtur autẽ mihi testimonium sermoni adscripsisse ægroti nomen, quòd multos non idiotarum modò verũ etiam & medicorũ, in talibus falli contingat. Imò & de quodam aliquando quis mihi quæstionem mouit ita desipiente, neque hunc perniciosè habere, neque prorsus phreniticum esse existimans; & forsan huic, qui prorrheticũ hoc scripsit, talis quæpiam dubitatio cum aliquo facta est, ideóque nominatim ægrum memorauit.

Περὶ τῆς τῷ ῥίγει ἐπιγινομένης νωθρότητος.

De torpore rigori succedente.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λδ'.

Αἱ ἐκ ῥίγεος νωθρότητες, οὐ πάνυ παρ' ἑωυτοῖσιν.

HIPPOCRATIS PRÆDICTIO 34.

Ex rigore torpores nõ valde apud sese existũt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ οἶδ' ὅπως ὁ γράψας τοῦτο τὸ βιβλίον, ἐν πολλαῖς ταῖς ῥήσεσιν ἀλλοκότῳ χρῆται τῇ λέξει, μεταβαίνων ἐνίοτε μὲν ἀπὸ τῶν παθῶν ἐπὶ τοὺς πάσχοντας ἀνθρώπους, ἐνίοτε δὲ ἀπὸ τῶν πασχόντων ἐπὶ τὰ πάθη. καὶ νῦν γοῦν προειπών, αἱ ἐκ ῥίγεος νωθρότητες, ἐπήνεγκεν, οὐ πάνυ παρ' ἑωυτοῖσιν, καίτοι δυνάμενος εἰπεῖν, οἱ ἐκ ῥίγεος νωθροί, οὐ πάνυ παρ' ἑωυτοῖσιν. ὃ δ' οὖν λέγει, τοιοῦτόν ἐστιν. ὅταν ἀκολουθήσῃ ῥίγει νωθρότης, οὐ πάνυ τὴν διάνοιαν οὗτοι ἀβλαβεῖς γίνονται, δηλοῦται γὰρ ἐκ τοῦ συμβαίνοντος ἐψῦχθαι τὸ σῶμα μεγάλως. ἐμάθομεν δ', ὅτι ταῖς καθ' ὅλον τὸ σῶμα δυσκρασίαις ἕπεται πολλάκις ἡ τῆς διανοίας βλάβη, παθόντος ὁμοίως τῷ παντὶ σώματι τοῦ ἐγκεφάλου.

COMMENTARIVS GALENI.

Haud scio, cur libri huius author orationibus in multis aliena vtatur dictione; qui interdum ab affectibus ad affectos homines pertranseat, interdum verò, & ab affectis ipsis ad affectus. Præfatus igitur & nunc, ex rigore desidiæ, subintulit, non valdè apud se existunt, quum dicere potuisset, Ex rigore desides non sibi admodum constant. Quod ergo inquit, tale est; quum rigorem consequetur desidia, ignauiáque, hi non admodum incolumi mente existunt; nempe corpus vehementer refrigeratum ex eo, quod contingit, ostenditur. Constat autem, quod totius corporis intemperiem magnam consequitur mentis læsio, affecto non secus, quàm totum corpus, cerebro.

De vmbilici doloribus palpitantibus.

HIPPOCRATIS PRÆDICTIO 35.

Dolores circa vmbilicũ palpitantes, habent quidẽ aliquid mentis efferatum, sub iudicationem verò his spiritus cumulatè cum vehementi contensione prodit. Suræ quoque dolores in his, mentis alienationem significant.

COMMENTARIVS GALENI.

Qvidam non solùm ἅλις, idest, *satis*, quod ἀθρόον, idest, *simul*, totum vniuersimque significat, scribunt: verùm quoque & multum, verbo ἅλις adiiciunt; alij γόνῳ, per γ scribunt, & non per τ τόνῳ, adiiciúntque γόνῳ, simile, totam dictionem talem facientes, γόνῳ εἴκελον διέρχεται, idest, genituræ similis prodit; alij pro spiritus, φλέγμα, *pituita*, scribunt. Palpitationem ergo flatuoso à spiritu proficisci demonstrauimus. Ideo secundum septum transuersum collectus lædit nonnihil & mentem, propterea quòd neruosis partibus principium compati assueuit: quum verò aliam quandam earum, quæ inibi sunt, partium occupauerit, mens quidem incolumis manet, sed criticè his pituita multa cum tensione, idest, cum vehementi cupiditate, qualis in tenesmis fieri solet, deorsum agit. Tales tensiones euenire consueuerunt ex crassis lentísque humoribus, vix ad internas intestinorum sedes commeantibus. In exemplaribus quibusdam non est scriptum per τ τόνῳ διέρχεται τὸ κενούμενον, sed per γ γόνῳ εἴκελον, *genituræ simile*: si verò vel substantia, vel colore, vel vtroque velit genituræ simile esse, quod vacuatur, non constat nobis. Qui autem à Praxagora vitreus appellatur humor, quòd vitro fuso similis sit, eiusmodi est, vt maximos tensiuos inferat dolores, quum per intestinorum meat tunicas; est autem temperamento omnium, qui in corpore generantur, humorum frigidissimus. Quòd autem ex crassioribus humoribus spiritus flatuosus oriatur, id etiam antea audiuisti, quum de palpitatione ageremus. Non tamen, qui suram infestant dolores, desipientiam in ipsis indicant. Vnde fit, vt qui dictioni opem præstant, subaudiri velint, absque ratione derepente occultati; citántque scriptum in tertio epidemiorum ægrum, qui in Dealcis horto iacebat, in quo præfatus Hippocrates, quòd genibus & tibiis doluerit, sedatis ipsis consequutam ait desipientiam. Sed dixi antea, expositiones faciendas non esse per talium ægrorum citationem; omnia siquidem omnium signa hac ratione erunt. Præterea suræ dolores mentis perturbationem indicaturos, quòd sese occultauerint, quum in oratione non sit appositum eiusmodi cessasse dolores, absurdissimam habet enarrationem. Nam hoc pacto liceret, quicquid vellemus, in contrarium trahere, vt si & capitis dolorem scriptum alicubi inuenerimus, non qui existit, sed qui placatus sit, audire oporteat; tussim item, & spirandi difficultatem, aurium etiam strepitum, atque quodcunque aliud.

Περὶ πόνων τῶν περὶ τὸν ὀμφαλὸν παλμωδῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λε΄.

Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες, ἔχουσι μέν τι καὶ γνώμης παράφορον. περὶ κρίσιν δὲ, τουτέοισι πνεῦμα ἅλις ξὺν τόνῳ διέρχεται· καὶ οἱ κατὰ γαστροκνημίην πόνοι ἐν τούτοισι, γνώμης παράφοροι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τινὲς οὐ μόνον τὸ ἅλις, ὅπερ ἀθρόον σημαίνει, γράφουσιν, ἀλλὰ καὶ τὸ συχνὸν αὐτῷ προστιθέασιν, ἕτεροι δὲ τὸ, τῷ γόνῳ διέρχεται, διὰ τοῦ γ γράφουσιν, οὐ διὰ τοῦ τ, καὶ προστιθέασιν αὐτῷ εἴκελον, ὅλην τὴν λέξιν ποιοῦντες τοιάνδε, γόνῳ εἴκελον διέρχεται. ἔνιοι δὲ ἀντὶ τοῦ πνεῦμα, φλέγμα γράφουσι. τὸν μὲν οὖν παλμὸν ἐδείξαμεν ὑπὸ φυσώδους πνεύματος γίνεσθαι, διὰ τοῦτο κατὰ μὲν τὸ διάφραγμα συστὰν, παραβλάπτει τι καὶ τὴν γνώμην, ἐπεὶ τοῖς νευρώδεσι μορίοις ἡ ἀρχὴ συμπάσχειν εἴωθεν. ὅταν δὲ κατ' ἄλλο τι τῶν ἐνταῦθα μερῶν γένηται, τὰ μὲν τῆς γνώμης ἀβλαβῆ μένει, διέρχεται δ' αὖθις κριτικῶς φλέγμα συχνὸν κάτω μετὰ τόνου, τουτέστι μετὰ προθυμίας ἰσχυρᾶς, ὁποία κατὰ τοὺς τεινεσμοὺς γίνεται. τοιαῦται δὲ τάσεις εἰώθασι συμβαίνειν ἐπὶ τοῖς παχέσι, καὶ γλίσχροις χυμοῖς μόγις διερχομένοις εἰς τὰ εἴσω χωρία τῶν ἐντέρων. ἐν τισὶ δ', ὡς ἔφην, τῶν ἀντιγράφων, οὐ διὰ τοῦ τ γέγραπται, τόνῳ διέρχεται τὸ κενούμενον, ἀλλὰ διὰ τοῦ γ γόνῳ εἴκελον, τουτέστι γόνῳ ὅμοιον. εἴτε δὲ κατὰ τὴν σύστασιν, εἴτε κατὰ τὴν χρόαν, εἴτ' ἄμφω βούλεται γόνῳ παραπλήσιον εἶναι τὸ κενούμενον, ἄδηλον ὑπάρχον ἐστίν. ὅ γε μὴν ὑπὸ Πραξαγόρου καλούμενος ὑαλώδης χυμὸς, ὅμοιος ὢν ὑέλῳ κεχυμένῳ, τοιοῦτός ἐστιν, ὡς ὀδύνας μεγίστας τονώδεις παρέχειν, ὅταν διεξέρχηται τοὺς χιτῶνας τῶν ἐντέρων. ἔστι δὲ τῇ κράσει ψυχρότατος ἁπάντων τῶν κατὰ τὸ σῶμα γεννωμένων χυμῶν. ὅτι δ' ἐκ τῶν παχυτέρων χυμῶν τὸ φυσῶδες πνεῦμα τὴν γένεσιν ἴσχει, καὶ τοῦτ' ἔμπροσθεν ἤκουσας ἐν τοῖς περὶ τοῦ παλμοῦ λόγοις, οὐ μὴν οἵ γε κατὰ γαστροκνημίαν πόνοι παραφροσύνην ἐν τούτοις σημαίνουσι, διὸ κελεύουσιν ἡμᾶς οἱ βοηθοῦντες τῇ ῥήσει, προσυπακοῦσαι καταπαυσαμένους, τουτέστιν ἀλόγως ἐξαίφνης ἀφανισθέντες, καὶ παρατίθενται τὸν ἐν τῷ γεγραμμένον ἄρρωστον, ἐν τῷ τρίτῳ τῶν ἐπιδημιῶν ἐν τῷ Δεάλκους κήπῳ κατακείμενον, ἐφ' οὗ προειπὼν ὁ Ἱπποκράτης, ὅτι γούνατα, καὶ κνήμας ἐπωδύνως εἶχεν, λωφησάντων αὐτῶν, ἀκολουθῆσαι παραφροσύνην φησί, εἴρηται δέ μοι πρόσθεν, ὡς οὐ χρὴ διὰ τοιούτων ἀρρώστων παραθέσεως ἐξηγήσεις ποιεῖσθαι. πάντα γὰρ ἔσται πάντων σημεῖα κατὰ τοῦτον τὸν λόγον. ἀλλὰ καὶ τὸ τοὺς κατὰ γαστροκνημίας πόνους, γνώμης γενέσθαι παραφόρους, ἐπειδὰν ἀφανισθῶσιν, οὐ προκειμένου κατὰ τὴν ῥῆσιν. τοῦ παύσασθαι τοὺς τοιούτους πόνους, ἀτοπωτάτην ἔχει τὴν ἐξήγησιν. οὕτω γὰρ ἔξεσι, πᾶν ὅτι ἂν βουληθῶμεν εἰς τοὐναντίον ἕλκειν, ὥς τε κἂν κεφαλαλγίαν εὕρωμέν που γεγραμμένην, οὐ τὴν οὖσαν, ἀλλὰ παυσαμένην ἀκούειν ἡμᾶς, καὶ βῆχα, καὶ δύσπνοιαν, καὶ ἦχον ὤτων, κἂν ὁποιοῦν ἄλλο.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ ΤΩΝ ΠΡΟΡΡΗΤΙΚΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ ΥΠΟΜΝΗΜΑ Β'.

GALENI IN PRIMVM LIBRVM PRAEDICTIONVM HIPPOCRATIS, COMMENTARIVS SECVNDVS.

Ἐξ οὔρου σὺν τῷ ἐναιωρήματι παράκρουσις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λϛ'.

Ην ἐναιωρηθῇ τι τῷ οὔρῳ, τοῦ κατὰ τὸν μηρὸν ἀλγήματος ἀφανισθέντος, παρακρουστικόν, καὶ οἷα περὶ ἤχους τοιαῦτα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔστι μὲν οὐκ ὀλίγον ἐν ὅλῳ τῷ βιβλίῳ τὸ ἀσαφές. τὸ δὲ τῆς διανοίας ἐφεξῆς ἴδωμεν. ἐὰν ἐναιωρηθῇ τι τῷ οὔρῳ τοῦ κατὰ τὸν μηρὸν ἀλγήματος, ὡς οἱ ἐξηγηταὶ λέγουσιν, ἀφανισθέντος, ἀσφαλέστερόν τε, καὶ βεβαιότερον ἀποφαινόμεθα περὶ τῆς ἐσομένης παραφροσύνης. οὐ μὴν γ' ἀληθές ὃ λέγουσιν, ἐὰν ὡς καθόλου λέγηται. τὸ γὰρ λευκὸν, καὶ λεῖον, καὶ ὁμαλὸν ἐναιώρημα, κάλλιστόν ἐστιν. οὔκουν ἁπλῶς χρὴ λέγειν, ἐὰν ἐναιωρηθῇ τι τῷ οὔρῳ, τοῦ κατὰ τὸν μηρὸν ἀλγήματος ἀφανισθέντος, ἔσεσθαι παραφροσύνην, ἀλλ' ἐὰν μοχθηρὸν ᾖ τὸ ἐναιώρημα, καὶ οὐδὲ τοῦτο αὔταρκες, ἀλλ' εἴ τι κἂν ἓν ἅμα τοῖς εἰρημένοις γενήσεται παρακρουστικὸν σημεῖον. ἐνδέχεται γὰρ τοῦ κατασκήπτοντος εἰς τὸν μηρὸν χυμοῦ παλινδρομήσαντος, ἄλλο τι κατωτέρω τῆς κεφαλῆς μόριον ὑποδεξάμενον αὐτὰ μὲν παθεῖν, κωλῦσαι δὲ βλαβῆναι τὴν κεφαλήν· ἐὰν ἀφανισθῇ μὲν τὸ κατὰ τὸν μηρὸν ἄλγημα, ἐναιώρημα δὲ φαίνηται, μηδὲν τῆς κεφαλῆς πασχούσης· ἐπεί ἐστιν οὖρον ἄμεμπτον, μὴ ἔχον ἐναιώρημα· μόνον γὰρ ἕν ἐστιν ἄμεμπτον, ὅπερ ἂν ᾖ, κατὰ μὲν τὴν χρόαν ὑπόχλωρον μετρίως, κατὰ δὲ τὴν σύστασιν σύμμετρον, ἐν τῷ μεταξὺ δηλονότι τοῦ τε παχέος οὔρου, καὶ λεπτοῦ. ἐγὼ μὲν οὖν ἀεὶ προσδιορίζομαι τὰ κατὰ τὸ βιβλίον ἀδιορίστως εἰρημένα. καὶ διὰ τοῦτο μέλλοντα βλάψαι τοὺς ἀναγινώσκοντας αὐτά. τοῖς δ' ἐξηγηταῖς ἀδιόριστος ἡ διδασκαλία γινομένη βλάπτει μᾶλλον, ἢ ὠφελεῖ τοὺς νέους. ἀρετὴν γὰρ ἐξηγήσεως νομίζουσιν εἶναι, συναγορεύειν τοῖς γεγραμμένοις ἐξ ἅπαντος τρόπου, κἂν προφανῶς ὑπάρχῃ ψευδῆ. ὅπου δὲ καὶ τοῦτο πράττουσιν ἑτοίμως ἐπὶ τῶν προφανῶν, πολὺ δήπου μᾶλλον ἐπὶ τῶν ἀφανῶν, οὐδὲν αὐτοῖς μέλει τῆς ἀληθείας. τὸ δὲ ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον,

Ex vrina cum enæoremate delirium.

HIPPOCRATIS PRÆDICTIO 36.

SI quid in vrina innatarit, dissipato femoris dolore, delirium portendit; & quæ circa aurium sonitus talia existũt.

COMMENTARIVS GALENI.

MVlta quidem in libro toto carent perspicuitate; sed quem sensum habeant deinceps videamus. Si occultato (vt interpretes dicunt) coxarum dolore, quippiam in vrina sublime petierit, nos securiùs, certiúsque de futura desipientia pronunciabimus. Non tamen verum est, quod dicunt, si tanquam vniuersale proferatur; nempe enæorema, optimum est, tum album, tum læue, tum æquale. Non est igitur simpliciter dicendum futuram esse desipientiam, si quippiam in vrina sublime petierit, occultato coxarum dolore, sed si enæorema prauum fuerit. Neque hoc satisfacit, sed si aliquod, & vnum delirij signum simul cum dictis apparuerit. Nam fieri potest, vt si delapsus in coxam humor recurrerit, pars, quædam alia capite inferior, eo recepto, ipsa quidem afficiatur, caput verò lædi inhibeat, si coxæ dolor apparere desierit, atque enæorema comparuerit, capite nihil patiente; quoniam est vrina inculpata, quæ enæorema non habet. Sola quidem vna est inculpata, quæ colore quidem subflauo mediocriter fuerit, & substantia moderata, quæ scilicet tum crassæ, tum tenuis vrinæ medium obtinet. Ego sanè, quæ in libro indistinctè prolata sunt, atque ob id legentes offensura, perpetuò distinguo; nam quæ indistincta est expositoribus doctrina, nouitios ea lædit magis, quàm iuuat. Virtutem siquidem expositionis existimant esse, si scripta omni ope, omníque pacto, etiam si conspicuè falsa fuerint, defendant. Quod vbi in manifestis conspicuísque studiosè faciant, multo vtique magis in obscuris absconditísque nihil ipsis curæ est veritatis. Quod in fine dictionis dictũ est,

&

& quæ circa aurium sonitus talia existunt, bene per se scriptum fuisse, sine vrinarum consideratione, vt sermo particularis esset, quem paulo ante vniuersalem dixi; nempe dolores coxæ, si qui eos fecit humor recurrerit, possunt aliquando desipientiam inferre, si ad caput humor peruenerit. Ascensus igitur humoris ad caput signum erunt ea, quę in eo apparent symptomata; quo è numero habentur, & sonitus. Scribunt autem nonnulli, & quæ in vesica talia; aiunt siquidem orationem hanc ostendere non solùm consideranda esse vrinarum enæoremata, tanquam delirij signum, verùm quoque & si aliud quippiam tale videatur ex his, quæ ex vesica excernuntur, tanquam citra hoc affirmare, quod scriptor enunciare hoc pacto voluerit, nequeuntes. *Præsertímque si vrina enæorema habuerit, & quæcunque alia in ea fiunt desipientiæ signa.* Rursus & in præsentia memoria tenere tyrones ipsos oportet, nullum in vrinis esse signum, quod delirium portendat. Nempe hæ partium hepatis, renúmque, & vesicæ affectionem indicant, vasorúmque sanguinem continentium, & facultatis succos generantis tum robur, tum imbecillitatem; Affectionum verò cerebri alia sunt tum symptomata, tum signa, de quibus antea audiuisti.

δ, καὶ οἷα περὶ ἤχους τοιαῦτα. καλὸν τὸ αὐτὸ καθ' ἑαυτὸ γεγράφθαι, χωρὶς τῆς τῶν οὔρων ἐπισκέψεως, ἵν' ὁ λόγος ᾖ μερικὸς, ὃν μικρὸν ἔμπροσθεν εἶπον ἐγὼ καθόλου. τὰ γὰρ κατὰ μηρὸν ἀλγήματα, παλινδρομήσαντος τοῦ ποιήσαντος αὐτὰ χυμοῦ, δύναταί ποτε παραφροσύνην ἐνεγκεῖν, ἐπὶ τὴν κεφαλὴν ἀφικνουμένου τοῦ χυμοῦ. σημεῖον δὲ τὴν ἔσται τῆς ἐπὶ τὴν κεφαλὴν ἀνόδου, τὰ ἐν αὐτῇ συμπτώματα, ὧν εἰσι, καὶ οἱ ἦχοι. γράφουσι δ' ἔνιοι, καὶ ὅσα περὶ κύστιν τοιαῦτα, καί φασι δηλοῦν τὴν λέξιν, οὐ μόνον ἐναιωρήματα σκοπεῖσθαι τῶν οὔρων, ὡς παρακρουστικὸν σημεῖον, ἀλλὰ καὶ εἴ τι ἄλλο τοιοῦτον φαίνοιτο τῶν ἐκ τῆς κύστεως ἀποκρινομένων, ὥσπερ οὐ δυνηθέντες αὐτὸ τούτου εἰπεῖν, ὃ ὁ συγγραφεὺς ἠβουλήθη κατὰ τόνδε τὸν τρόπον ἑρμηνεῦσαι. ἄλλως τε καὶ τὴν οὖρον ἐναιωρηθῇ, καὶ ὅσα ἄλλα κατ' αὐτὸ γίγνεται, παρακρουστικὰ σημεῖα. πάλιν κἀνταῦθα τοὺς νέους ἀναμνῆσαι ἀναγκαῖον, μηδὲν τῶν ἐν οὔροις σημείων γίγνεσθαι παρακρουστικόν. ἐνδείκνυται γὰρ ταῦτα διαθέσιν μορίων ἥπατος, καὶ νεφρῶν, καὶ κύστεως, καὶ τῶν τὸ αἷμα περιεχόντων ἀγγείων, ῥώμην τε καὶ ἀρρωστίαν, τῆς τοὺς χυμοὺς γεννώσης δυνάμεως. τῶν δὲ κατὰ τὸν ἐγκέφαλον παθῶν, ἄλλα συμπτώματά ἐστι, καὶ σημεῖα, περὶ ὧν ἔμπροσθεν ἤκουσας.

De ecstaseos futuræ signis.

HIPPOCRATIS PRÆDICTIO 37.

In aluo liquidâ, lassitudine laborāti, caput dolenti, siticuloso, vigilāti, obscurè loquēti, impotēti; quibus talia sunt, mētis emotio metuēda est.

Περὶ τῶν τῆς ἐσομένης ἐκστάσεως σημείων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λζ'.

Ἐπὶ κοιλίῃ ὑγρῇ, κοπώδει, κεφαλαλγικῷ, διψώδει, ἀγρύπνῳ, ἀσαφεῖ, ἀδυνάτῳ, οἷσι τὰ τοιαῦτα, ἐλπὶς ἐκστῆναι.

COMMENTARIVS GALENI.

Liquida aluus (ita autem appelletur, in qua liquida deiiciantur) & lassitudinis sensus, qui scilicet ægro fit, morbosa quidem sunt symptomata; sed delirium non portendunt, si quæ ante dicta sunt, memoria non exciderint; vbi quonam pacto singulorum morborum signa, atque alia omnia, quæ in ægri corpore appareant, cognoscere oporteat, percurrimus. Quædam enim sunt, vt morborum singulorum differentiæ inter se separentur; alia verò vt singularum affectionum mores cognoscantur, vel futura cognoscatur crisis, qualisnam futura sit, & quando. De singulis porrò tum symptomatis, tum signis ita docendum esse ostendimus, quomodo Hippocrates in prognostico fecit, singulorum vires per se edocens, aut cum pluribus eiusdem generis; quo modo libri huius author capite dolentes commemorauit, vigilésque, & obscuros. Nam si obscuros dici intellexerimus eos, qui obscurè loquuntur, propter vocalium organorum offensam, quam ex neruorum vitio contraxerunt, vel propter mentis læsionem, tria eiusdem generis erunt signa. Dolor quidem capitis, ferè locum affectum demonstrabit; Vigilia verò, quæ in diuersis cerebri affectionibus fiunt, vigiliam somnúmque, & vigilias comáque, cognoscenti ostendet. De asaphia (quam obscuritatem diximus) quo sensu intelligentibus delirium portendat, nuper egi. Hæc igitur, vel genere, vel specie, vel quouis modo quis appellare voluerit, inter phreniticа connumerantur signa. At quoniam phreniticam affectionem maximè siccam cernimus, quæ-

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ μὲν ὑγρὰ κοιλία, λέγοιτο δ' ἂν οὕτως ἐφ' ἧς ὑγρὰ διαχωρεῖται, καὶ ἡ κοπώδης αἴσθησις ἡ αὐτῷ τῷ κάμνοντι δηλονότι γιγνομένη, νοσώδη μέν ἐστι συμπτώματα, παρακρουστικὰ δὲ οὐκ ἔστιν, εἴ τι μεμνήμεθα τῶν ἔμπροσθεν εἰρημένων, ἔνθα δῆλον, ὅπως χρὴ γνωρίζειν τὰ δηλωτικὰ τῶν νοσημάτων ἑκάστου σημεῖα, καὶ τἆλλα πάντα, τὰ κατὰ τὸ σῶμα τοῦ νοσοῦντος φαινόμενα. ἵνα μὲν ἕνεκα τοῦ τὰς ἐν ἑκάστῳ νοσήματι διαφορὰς ἀπ' ἀλλήλων χωρίσαι, ἵνα δὲ χάριν τοῦ γνῶναι τὸ ἦθος ἑκάστου τῶν παθῶν, ἢ τὴν ἐσομένην κρίσιν, ὁποία τέ τις ἔσοιτο, καὶ ὁπότε. τὴν γε μὴν διδασκαλίαν ἑκάστου τῶν συμπτωμάτων τε καὶ σημείων, ἐδείκνυον οὕτω χρῆναι ποιεῖσθαι. καθάπερ ὁ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ πεποίηκε, ἑνὸς ἑκάστου κατὰ μόνας ἐκδιδάσκων τὴν δύναμιν, ἢ πάλιν ἅμα πλειόνων ὁμοειδῶν, ὥσπερ καὶ νῦν ὁ ταῦτα γράψας ἐμνημόνευσε κεφαλαλγικῶν, ἀγρύπνων, ἀσαφῶν. ἐὰν μὲν γὰρ ἀσαφεῖς ἀκούσωμεν εἰρῆσθαι τοὺς διαλεγομένους ἀσαφῶς, ἤτοι διὰ τὴν τῶν διαλεκτικῶν ὀργάνων βλάβην, ἣν ἐκ τῆς τῶν νεύρων κακώσεως ἔσχον, ἢ διὰ τὴν τῆς διανοίας αὐτῆς, εἴη ἂν ὁμογενῆ τὰ τρία σημεῖα, κεφαλαλγία μὲν ἄντικρυς δηλοῦσα τὸν πεπονθότα τόπον. ἀγρυπνία δὲ τῷ γινώσκοντι κατὰ διαφερούσας ἐγκεφάλου διαθέσεις, ἐγρήγορσίν τε, καὶ ὕπνον, ἀγρυπνίαν τε, καὶ κῶμα γιγνόμενα. περὶ δὲ τῆς ἀσαφείας ἀρτίως εἶπον, ὅπως ἀκουόντων ἐστὶ παρακρουστική. ταῦτα μὲν οὖν ἐκ τοῦ γένους, ἢ εἴδους, ἢ ὅπως ἂν ἐθέλει ὀνομάζειν, τῶν φρενιτικῶν ἐστι σημείων. ἐπεὶ δὲ ξηρὸν μάλιστα τὸ φρενιτικὸν πάθος ὁρῶμεν ὑπάρχον, ὅσα συμπτώ-

ματα ξηρότητος ἐν τοῖς πλησίον τῆς κεφαλῆς ὀργάνοις ἐστὶν, ἢ καθ' ὁντιναοῦν αὐτῇ τρόπον κοινωνοῦσι, καὶ ταῦτα συνενδείκνυται τὴν μέλλουσαν ἔσεσθαι παραφροσύνην, ὧν σημείων κατὰ τὴν ἐν τῇ προκειμένῃ ῥήσει νόσον εἴρηται, τὸ διψῶδες, τὸ κοπῶδες, διὰ τὸ πολλαχῶς γίγνεσθαι τὸν κόπον, ὡς ἐν τοῖς ὑγιεινοῖς δέδεικται, σαφὲς ἡμῖν οὐδὲν ἄλλο δηλοῖ. τοῦ μὲν οὖν ἑλκώδη τὴν αἴσθησιν ἔχοντος κόπου, διὰ χυμοὺς δακνώδεις τε καὶ δριμεῖς γινομένου, τοῦ δὲ τονώδη, διὰ πλῆθος, τοῦ δὲ φλεγμονώδη, δι' ἄμφω. εἰ μὲν ἑλκώδης, ἢ φλεγμονώδης ὁ κόπος εἴη, συντελέσει τι πρὸς τὴν ἐλπίδα τῆς γενέσεως τοῦ παρακοπτικοῦ πάθους, εἰ δὲ τονώδης, οὐδέν. οὕτω δὲ καὶ ἡ ὑγρὰ κοιλία, χολῆς μὲν ξανθῆς ἀκράτου κενουμένης, ἢ καὶ τὸ ἐκ συντήξεων συνενδείξεταί τι περὶ τῆς τοῦ φρενιτικοῦ πάθους γενέσεως, καὶ μᾶλλον ἐὰν ἀφρώδη τὰ διαχωρήματα γίνηται. μὴ προστεθείσης δ' ἐν τῷ λόγῳ τῆς ποιότητος τῶν ἐκκρινομένων, ἀλλ' ἁπλῶς ὑγρᾶς κοιλίας ῥηθείσης, οὐδὲν ἂν ἔχοιμεν ἐξ αὐτῆς λαβεῖν εἰς πρόγνωσιν τοῦ τοιούτου νοσήματος. ὡς γὰρ εἴρηται καὶ πρόσθεν ἐπὶ τοῖς ἰδίοις τοῦ πάθους σημείοις, ὅσα τοῦ γένους ἐν ᾧ τὸ πάθος ἐστὶ δηλωτικὰ, ἐνδείξεταί τι, πρῶτον μὲν γὰρ οὐ τοῦ πάθους αὐτοῦ δηλωτικὰ τὰ τοιαῦτά ἐστιν, ἀλλὰ τοῦ γένους ἐν ᾧ περιέχεται τὸ πάθος, ὅ ἐστι θερμὸν, καὶ ξηρόν. ἐπεὶ δὲ ἕκαστον γένος ᾠκείωται τοῖς εἴδεσιν, χρήσιμον εἰς τὴν τῶν εἰδῶν γὰρ πρόγνωσιν, ὅταν τῶν ἰδίων τοῦ γένους σημείων φαίνηταί τινα. τὸ δὲ, ἀδυνάτῳ, προσκείμενον ἐν τῇ συνδρομῇ τῶν εἰρημένων σημείων, οὐδὲν ὅλως εἰς τὴν τοῦ παρακοπτικοῦ πάθους πρόγνωσιν συντελεῖ, καθάπερ οὐδ' εἰς τὴν τοῦ μεγέθους αὐτοῦ γνῶσιν. εἰπὼν γὰρ, ἐλπὶς ἐκστῆναι, παρακοπτικὸν μὲν ἐδήλωσεν ἔσεσθαι πάθος, οὐ μὴν δὲ μικρὸν, ἢ μέγα τοῦτο. πόθεν οὖν ἔλαβεν αὐτοῦ τὸ μέγεθος; οὔτε γὰρ ἰώδης ἔμετος, οὔτε μέλας, οὔτ' οὖρον, οὔτε διαχώρημα τοιοῦτον φαίνεται γεγονός. ὥσπερ οὐδὲ τῶν ἄλλων, ὅσα προείρηκεν αὐτὸς ἐκστάσεως σημεῖα. οὐ τοίνυν τὴν εἰρημένην ἄρτι συνδρομὴν ἐλπίζομεν, εἰς φρενῖτιν τελευτῆσαι, καὶ κινδυνώδη φρενῖτιν, ἐπεὶ προσέθηκεν ἀδυνάτῳ, τοιαύτην δ' ἔπεσθαι φρενῖτιν, ὡς ἐξίστασθαι. μήτ' αὐτὸς προσδοκήσεις, μήτ' ἄλλῳ προειπεῖν τολμήσεις. ἐνδέχεται γὰρ ποτε μὲν γενέσθαι καὶ τοιαύτην, ἀλλ' οὐκ ἐκ τῶν σπανίων σημείων ἡ πρόγνωσις· ἀλλ' ἐκ τῶν ἤτοι διηνεκῶν, ἢ πλειστάκις ἀληθευόντων γάρ. βουλόμεθα γὰρ ἐν ταῖς προρρήσεσι, μάλιστα μὲν εἰ οἷόν τε διὰ παντὸς ἐπιτυγχάνειν, ὡς ἐάν γέ τις ὀκτάκις ἀποτυχὼν, ἐπιτύχῃ δὶς, ἰδιώτου φαυλότερός ἐστιν. δύναται γοῦν ἰδιώτης ἐπὶ τῶν νοσούντων ἀποφαινόμενος ἀεὶ τὸ ἐπελθὸν, ἐὰν ἐπιτύχῃ πλεονάκις, ἀληθεύειν, ἢ ψεύδεσθαι.

cũq; ſiccitatis ſymptomata in vicinis capiti inſtrumẽtis, aut quacũq; cũ eo habeãt ſocietatẽ, exiſtũt, ea quoq; & futurã deſipientiã coindicãt. Quo ſignorũ in genere in præſẽtis dictionis morbo dictũ eſt, Sitis. Laſſitudo autẽ, quòd multis modis fiat, vt in cõmentariis de tuenda valetudine demõſtratũ eſt, nihil aliud nobis manifeſti indicat. Quũ enim laſſitudo, quæ vlceroſũ ſenſũ habet, ob mordaces, acreſq; humores fiat; quæ tẽſiuum, ob copiã, quæ phlegmonoſũ, ob vtrunque; ſi ſanè ea, vel vlceroſa, vel phlegmonoſa fuerit, ad ſpẽ deſipientiæ generandæ quippiam cõferet; ſi tenſiua, nihil. Sic & aluus liquida, bile quidẽ flaua ſincera exeunte, vel & ex colliquamentis, de generatione phreniticæ affectionis quippiã coindicabit; magiſq; ſi ſpumoſæ fuerint deiectiones. Quũ verò nõ adiecta ſit in dictione exeuntiũ qualitas, ſed dicta ſimpliciter aluus liquida, nihil ad morbi huius prænotionẽ ex ea aſſumere valebimus. Nẽpe vt antea dictũ eſt, poſt propria affectionis ſigna, quæcunq; generis, in quo affectio eſt, indicatoria exiſtũt, ea quippiam indicabũt. Primũ ſiquidẽ non affectionis ipſius indicatoria talia exiſtũt, ſed generis, in quo affectio cõtinetur, quæ calida, & ſicca eſt. Quoniã verò vnumquodque genus ſpeciebus familiare eſt, ad præcognitionẽ ſpecierũ cõferet, ſi ſignorũ generis propriorũ quædã apparuerint. Verbũ autẽ, impotẽtia, in dictorũ ſignorũ cõcurſione adiectũ, nihil prorſus ad affectionis delirij præcognitionẽ affert auxilij, ſicuti neque ad magnitudinis ipſius cognitionem. Nempe, inquiens, vt hi mente moueantur ſpes eſt, delirij quidem affectionem fore oſtendit, non tamen hanc, vel paruam, vel magnam. Vnde igitur magnitudinem ipſius accepit? neque enim æruginoſus, neque niger vomitus factus videtur, non vrina, non deiectio talis, ſicuti neque alia, quæ ecſtaſeos, ideſt, cõmotionis mentis, ſigna priùs recenſuit. Non igitur dictam nuper ſyndromen in phrenitim finiturã ſperamus, & periculoſam phrenitim, propterea quòd verbũ, impotentia, adiecit; talem autem ſequi phrenitim, vt mente moueatur, neque ipſe ſperabis, neque alteri prædicere audebis. Talis ſiquidẽ fieri quãdoq; poteſt; Sed prænotio non ex his, quæ rarò cõtingunt, ſignis fit, ſed ex his, quæ cõtinua ſunt, vel maxima ex parte veritatẽ habent. Volumus ſiquidẽ in prædictionibus ipſis perpetuò, ſi fieri poſſit, voti cõpotes eſſe; ita vt, ſi quis octies animi ſententia fruſtretur, bis verò ei ſuccedat ex voto, is quàm idiota, abiectior, & contemptibilior ſit. Poteſt ſiquidẽ idiota de ægris pronuncians ſemper, quod euenit, ſi ſæpius aſſequatur quod velit, vera loqui, vel falſa.

Περὶ τοῦ ἱδρῶτος λεπτοῦ τε, καὶ μελαίνων οὔρων, καὶ θολεροῦ πνεύματος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λη'.

Οἱ ἐφιδροῦντες, καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσιν ἀποδύσφοροι, κακόν. ἄλλως τε καὶ ἐπ' οὔροισι μέλασι, καὶ τὸ θολερὸν ἐπὶ τουτέοισι πνεῦμα, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ χωρὶς μὲν τῶν ἄλλων, ὀλέθριόν ἐστι τὸ μέλαν οὖρον. εἰ δὲ κἀκεῖνα προστεθῇ, συνεπαυξήσει τὸ πλεῖον τῆς προγνώσεως. τὸ δὲ θολερὸν πνεῦμα, τί ποτε δηλοῖ, τῶν ἀσαφῶν ἐστι, καὶ μάλιστα, ὅτι μήτ' ἐν τῷ προγνωστικῷ,

---

De leui ſudore, nigris vrinis, & turbido ſpiritu.

HIPPOCRATIS PRÆDICTIO 38.

Exudãtes, ac potiſſimũ circa caput in acutis, ſubmoleſtè ferẽtes, malũ, tũ alias, tũ in vrinis nigris; turbidus quoq; & in his ſpiritus, malũ.

COMMENTARIVS GALENI.

Pernicioſa quidem, & abſque aliis eſt nigra vrina, verùm ſi & illa adiecta fuerint, præcognitionem valdè augebunt. Sed quidnam indicet turbidus ſpiritus, inter obſcura collocare oportet; & potiſſimum, quòd neque in prognoſtico, neque

neque in aphorismis, neque in legitimo alio libro, spiritum turbidum dixerit, quemadmodum vrinam. Sed quænam vrina sit turbida, non nos modò ex iis, qui turbidas aquas perpetuò dicunt, intelligimus, verùm quoque & Hippocrates ipse docuit, quum inquit, Tanquam sedimentum returbaueris, assimilat quoque & eam iumentorum vrinis; non tamen, quid per spiritum turbidum intelligere oporteat, liquet; quoniam nullus dicat, vt aquam turbidam, ita & aërem turbidum; nisi quis vapore plenum intellexerit, quomodo expositores quidam huius orationis intellexerunt. Quo etenim pacto sudorem, in syncope foràs effundi conspicimus; ita effluuium humiditatum in iis, qui intus diuaporantur, ægris internum fieri dicunt; atque ob id per expirationem vaporem effundi perquam multum, idque turbidum scriptum esse. Si verò, vt nonnulli, primam syllabam non per o θολερὸν, sed per α θαλερὸν scripseris, non amplius, qualisnam sit spiritus θαλερὸς coniectura est colligendum. Faciem enim θαλερὰν forsan quis intellexit, veluti benè habitam, & benè coloratam; sed quidnam significet spiritus θαλερὸς, nosse non est, nisi vehementer magnum indicare voluerit. Nominũ siquidẽ alienus vsus, causam præbet iis, qui volunt, quoquo pacto euenerit, intelligendi. Proinde quidam per o scriptum θολερὸν, graueolentem intellexerũt, vt alij raucum; alij rursus turbatum, vt difficultatem spirandi ab eo significari velint, veluti ac si ita dixisset; *Spirandi quoque difficultas in his mala.* Neque tamẽ libri huius author posse simpliciter spirandi difficultatem indicare videtur, sed vnam quamdam eius differentiam; siue enim per α θαλερὸν, siue per o θολερὸν scriptum sit, videtur ea appellatione speciem vnam difficultatis spirandi, non simpliciter difficultatem spirandi omnem, indicare voluisse.

A μήτ' ἐν ἀφορισμοῖς, μήτε ἐν ἄλλῳ τινὶ τῶν γνησίων, ὁ Ἱπποκράτης συγγραμμάτων εἴρηκε πνεῦμα θολερὸν, ὥσπερ οὖρον. ἀλλὰ τὸ μὲν οὖρον ὁποῖόν ἐστι τὸ θολερὸν, ἡμεῖς τε νοοῦμεν ἀκούοντες ἑκάστοτε τῶν ἀνθρώπων λεγόντων θολερὸν ὕδωρ, καὶ ὁ Ἱπποκράτης ἐδίδαξεν αὐτὸ εἰπὼν, οἷον εἰ τὴν ὑπόστασιν ἀναταράξειας. εἰκάζει δὲ αὐτὸ, καὶ τοῖς τῶν ὑποζυγίων. οὐ μὴν ὁποῖον δή τι τὸ θολερὸν πνεῦμα χρὴ νοῆσαι, δῆλόν ἐστιν, ἐπεὶ μηδεὶς λέγει, ὥσπερ ὕδωρ θολερὸν, οὕτω καὶ ἀέρα. πλὴν εἴ τις ἀτμοῦ μεστὸν ἀκούσειε, ὥσπερ καὶ ἤκουσάν τινες τῶν ἐξηγησαμένων τὴν προκειμένην ῥῆσιν, καὶ λέγουσί γε, ὥσπερ ἐκτὸς
B ἀποχεόμενον ἱδρῶτα κατὰ τὰς συγκοπὰς ὁρῶμεν, οὕτως ἔσω τὴν ῥύσιν τῶν ὑγρῶν, ἐπὶ τῶν ἔσω διαφορουμένων ἀρρώστων γίνεσθαι. καὶ διὰ τοῦτο πάμπολυν ἀτμὸν ἐκπέμπεσθαι διὰ τῆς ἐκπνοῆς, καὶ τοῦτ' εἶναι τὸ θολερὸν πνεῦμα. εἰ δ', ὡς ἔνιοι τὴν πρώτην συλλαβὴν, οὐ διὰ τοῦ ο γράφουσι θολερὸν, ἀλλὰ διὰ τοῦ α θαλερὸν, οὐκέτι τεκμήρασθαι ποῖόν τι τὸ θαλερὸν πνεῦμά ἐστι. πρόσωπον μὲν γὰρ θαλερὸν, ὥσπερ εἴρηται, τάχ' ἄν τις ἤκουσε τὸ οἷον εὐεκτικὸν, καὶ εὔχροον. πνεῦμα δὲ θαλερὸν οὐκ ἔστι νοῆσαι τί σημαίνει. πλὴν εἰ τὸ σφόδρα μέγα βούλεται δηλοῦν. ἡ γὰρ τῶν ὀνομάτων ἀλλόκοτος χρῆσις, ἀφορμὴν παρέχει
C τοῖς βουλομένοις νοεῖν, ὡς ἂν ἐπέλθοι. τοιγαροῦν καὶ διὰ τοῦ ο γεγραμμένον θολερὸν, τὸ δυσῶδες ἤκουσαν ἔνιοι, καθάπερ ἄλλοι τὸ βραγχῶδες. ἄλλοι δ' αὖ τὸ τεταραγμένον, ὡς δύσπνοιαν ὑπ' αὐτοῦ δηλοῦσθαι, καθάπερ κἂν εἰ οὕτως εἶπεν, καὶ δύσπνοια δὲ ἐπὶ τούτοις, κακόν. οὐ μὴν ἔοικεν ὁ συγγραφεὺς ἁπλῶς δύνασθαι δηλῶσαι δύσπνοιαν, ἀλλά τινα μίαν ἐν αὐτῇ διαφοράν. εἴτε γὰρ διὰ τοῦ α θαλερὸν, εἴτε διὰ τοῦ ο θολερὸν εἴη γεγραμμένον, ἐμφαίνεται τῇ προσηγορίᾳ, δηλῶσαι βουλόμενος ἓν εἶδος δυσπνοίας, οὐχ ἁπλῶς πᾶσαν δύσπνοιαν.

D

De functionum impotentiis citra euacuationem.

HIPPOCRATIS PRÆDICTIO 39.

Præter vacuationis vasorũ rationẽ impotentiæ, nõ existẽte vasorũ vacuatione, malum.

COMMENTARIVS GALENI.

Quod dicitur, neque obscurum est, neque ipsius causa inuentu est difficilis; nempe quod dicitur, tale est; Inualidos, imbecillósque in actionibus, sicuti plurimùm vacuatos, in periculo esse existima, si nulla in ipsis facta fuerit insignis vacuatio. Nam si facultas sine vlla manifesta vacuatione imbecilla fuerit, grauantem ostendit copiam, vel vnius principiorum intemperiem. Quum verò tria sint, vt didicisti, principia, cerebrum quidem functionum earum, quæ ex voluntate oriuntur; cor, vitalium appellatarum; iecur verò earum, quæ alimoniæ inseruiunt, quas & naturales vocant; naturalis facultatis, vitalísque imbecillitas deterrima est, & citò hominem tollit; nempe & vnà cum ea, quæ à cerebro est, confestim exoluitur; quæ si afficiatur, non protinus cor ipsum læditur. Sed de huiusmodi cunctis in multis nostris lucubrationibus didicisti.

Περὶ ἀδυναμιῶν τῶν ἐνεργειῶν ἐπὶ μηδεμιᾷ κενώσει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ λθ'.

Αἱ παρὰ λόγον κενεαγγικὸν ἀδυναμίαι, οὐκ ἐούσης κενεαγγείης, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὔτε τὸ λεγόμενον ἀσαφὲς, οὔτε τὴν αἰτίαν αὐτοῦ χαλεπὸν εὑρεῖν. αὐτὸ μὲν γὰρ τὸ λεγόμενον, ἐστι τοιοῦτον· τοὺς
E ἀδυνάτους καὶ ἀρρώστους κατὰ τὰς ἐνεργείας, ὁμοίως τοῖς ἐπὶ πολὺ κεκενωμένοις, ἐν κινδύνῳ καθεστάναι νόμιζε, μηδεμιᾶς αὐτῆς γεγενημένης ἀξιολόγου κενώσεως. ἡ δὲ κατὰ τὴν δύναμιν ἀρρωστία, ὅταν ἐπὶ μηδεμιᾷ φανερᾷ κενώσει γίνηται, πλῆθος ἐνδείκνυται βαρῦνον, ἢ δυσκρασίαν μιᾶς τῶν ἀρχῶν. τριῶν δὲ οὐσῶν, ὡς ἔμαθες, τῶν ἀρχῶν, τῆς μὲν τῶν προαιρετικῶν ἐνεργειῶν, ἐγκεφάλου· τῆς δὲ τῶν ζωτικῶν ὀνομαζομένων, καρδίας· τῆς δὲ περὶ τὴν τροφὴν, ἃς δὴ καὶ φυσικὰς ὀνομάζουσιν, ἧπατος. ἡ τῆς φυσικῆς δυνάμεως καὶ ζωτικῆς ἀρρωστία, χείριστέ ἐστι, καὶ διὰ ταχέων ἀναιρεῖ. συγκαταλύεται
F γὰρ αὐτῇ, καὶ ἡ κατὰ τὸν ἐγκέφαλον εὐθέως. ἐκείνης μέντοι παρούσης, οὐκ εὐθέως ἡ καρδία βλάπτεται. μεμάθηκας δὲ περὶ τῶν τοιούτων ἁπάντων, ἐν πολλαῖς τῶν ἡμετέρων πραγματειῶν.

Περὶ κοιλίας τῆς τοῖς σπυράθοις ἀπολελαμμένης σὺν τῇ αἱμοῤῥαγίᾳ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ μ′.

Κοιλίαι ἀπολελαμμέναι, σμικρὰ δὲ μέλανα σπυραθώδεα πρὸς ἀνάγκην χαλῶσαι, μυκτὴρ ἐπὶ τουτέοισι ῥηγνύμενος, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Σπυράθους ὀνομάζουσι, τὰ τῶν αἰγῶν διαχωρήματα. ξηρὰ δέ ἐστι ταῦτα, καὶ περιφερῆ κατὰ περιγραφὴν ἰδίαν ἑκάστου ἐκκρινόμενον. ὅταν οὖν τις ὁμοίως ξηρὰ, καὶ περιγεγραμμένα διαχωρήσῃ, σπυραθώδη καλεῖται, καὶ γίνεται τοιαῦτα, διά τε τὸ χρόνῳ πλείονι κατέχεσθαι, καὶ διὰ θερμασίας πυρώδους πλῆθος. ἐὰν οὖν πρὸς τῷ τοιαῦτα εἶναι, καὶ μέλανα γίνηται, καυσώδη διάθεσιν ἐνδείκνυται περὶ τὰ μέσα τοῦ σώματος εἶναι, καὶ διὰ τοῦτ' ἔστι κακά. πρόσκειται δὲ τῷ λόγῳ, τὸ, μυκτὴρ ἐπὶ τούτοις ῥηγνύμενος, κακὸν, ὥσπερ ἐν ἄλλαις πολλαῖς ῥήσεσι, τὸ κοινὸν πολλῶν, ὡς ἴδιον γράφοντος αὐτοῦ, διὰ τὸ μὴ δύνασθαι περιλαβεῖν ἑνὶ λόγῳ καθόλου τὴν διδασκαλίαν. ἔστι δὲ τὸ κοινὸν ἐν αὐτοῖς τοιοῦτον, χολῆς πολλὴν κένωσιν, ὡς κλόνον σφοδρὸν κρισίμως ἐπὶ πολλῶν γινόμενον νοσημάτων, οὐ φέρουσιν οἱ καταξηρανθέντες, οὔτε ῥῖγος, οὔτε γαστρὸς ἔκκρισιν, οὔτε ἱδρῶτας, οὔτε παρωτίδας μεγάλας, ἤ τι τῶν ἄλλων ἀποσκημμάτων. οὕτω γὰρ τοι τὰς ἐν τοῖς τῶν ἐπιδημιῶν μεμφόμεθα γινομένας ἀποστάσεις, ἢ μείους, ὡς ἔφην, ὡς μηδὲν ὠφελεῖν, ἢ μείζους, ὡς μὴ δύνασθαι φέρειν. οὕτως οὖν καὶ τὰς αἱμοῤῥαγίας, οὐ φέρουσιν οἱ προεξηραμμένοι. τοιαύτη δέ ἐστιν ἡ προειρημένη διάθεσις, οὐδ' ἑνὶ κατ' ἀρχὴν τῆς νόσου σπυραθωδῶν διαχωρημάτων ἐκκρινομένων, καὶ τούτων οὐχ ἁπλῶς, ἀλλὰ μετὰ τοῦ πραγματεύεσθαί τι τὸν ἰατρὸν, ἢ διὰ κλυστῆρος, ἢ διὰ βαλάνου. τὸ γὰρ πρὸς ἀνάγκην, τοιοῦτόν τι σημαίνει.

De aluo intercepta spiris cum hæmorrhagia.

HIPPOCRATIS PRÆDICTIO 40.

Alui interceptæ, sed parua, nigra, caprinis stercoribus similia, ad necessitatem deiicientes; nasus in his sanguinem fundens, malum.

COMMENTARIVS GALENI.

Σπυράθους vocãt caprarum deiectiones; sunt autem hæ siccæ, atque id quod excernitur, propria circunscriptione rotundũ, circũductúmq; existit. Quum igitur quis hoc pacto sicca, & circunducta deiecerit, in spiras voluta appellantur; fiúntque talia, & quòd plusculo tempore retineantur. & propter copiam igneæ caliditatis. Si igitur, prçterquam, quòd talia existant, nigra quoque fuerint, flagrantẽ, ardentémq; circa medium corporis affectionẽ esse declarant; atque ob id mala existunt. Sermoni adiectũ est, *& per nares eruptio fiat, malũ*; veluti in aliis multis dictionibus scribente, quod multorũ cõmune est, tanquam proprium, authore; quòd sermone vno vniuersali doctrinam comprehendere non possit. Est autem cõmune in ipsis tale. Bilis vacuationem multam tanquam quassationem vehementẽ, atque multis in morbis cõmodè factam, non sustinent præsiccati, neque rigorem, neque alui excretionem, neque sudores, neque parotidas insignes, vel quempiam decubitum alium. Ita enim eos, qui in epidemiis facti sunt, abscessus incusamus, vel minores (vt dixi) tanquam nihil iuuantes; vel maiores, tanquam sustineri nequeant. Sanguinis itaq; eruptiones hoc modo non ferunt, qui ante sunt arefacti. Talis autẽ est prædicta affectio, quum ne vni quidem per morbi initia, in spiras circunducta exeant excrementa; neq; ea simpliciter, sed cum medici diligentia, & operatione, vel per clysterem, vel per glandem; nempe hæc oratio, ad necessitatem, tale quippiam ostendit.

Περὶ τῶν τῆς ὀσφύος ἀλγημάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ μα′.

Οἷσιν ὀσφύος ἄλγημα ἐπὶ πολὺ, μετὰ καύματος ἀσώδεος, ἐφιδροῦντες οὗτοι, κακόν. ἆρά γε τουτέοισι τρομώδεα γίνεται; καὶ φωνὴ δὲ, ὡς ἐν ῥίγει αὐτοπτική;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πάλιν ἡ συνδρομὴ τῶν εἰρημένων συμπτωμάτων αὐτοπτική ἐστιν, οὐ λογική. διὰ τοῦτο, καὶ αὐτὸς ἀπορῶν περὶ γε τούτου λέγει, ἆρά γε τούτοις τρομώδεα γίνεται; κακὴν μέντοι φησὶ τὴν συνδρομὴν, οὐκ ἀπορῶν περὶ ταύτης, διὰ τὸ μετὰ καύματος ἀσώδους ἐπὶ πολὺ παραμένειν τὸ τῆς ὀσφύος ἄλγημα. καὶ ἡ ἐφίδρωσις δὲ τούτοις προσελθοῦσα, βεβαιοτέραν ἐργάζεται τὴν πρόγνωσιν. ἐάν τε γὰρ ὀλίγον ἱδρῶτα, καθ' ὅλου τοῦ σώματος γινόμενον, ὑπὸ τοῦ τῆς ἐφιδρώσεως ὀνόματος δηλοῦσθαι νοήσωμεν, οὐκ ἀγαθὸν τὸ σημεῖον. ἐχρῆν γὰρ ὑπ' αὐτοῦ, κἂν εἰ μὴ τὸ τῆς ὀσφύος ἄλγημα, τό γε ἀσῶδες καῦμα λυθῆναι. ἤν τε περὶ θώρακα, καὶ κεφαλὴν ἱδρῶτας γινομένους, ἐμάθομεν ὅτι διὰ παντὸς εἰσὶ μοχθηροί, δυνάμεως ἀῤῥωστίαν, ἢ πλῆθος ἐν τοῖς τοιούτοις μορίοις ἐνδεικνύμενοι. διὰ μὲν δὴ ταῦτα πάντα, ἡ εἰρημένη συνδρομὴ τῶν σημείων ὑπ' αὐτοῦ κακή.

De lumborum dolore.

HIPPOCRATIS PRÆDICTIO 41.

Quibus lũborũ dolor diuturnus cũ æstu fastidioso, hi si exudent, malũ. Num & his tremores fiunt? Sed & vox vt in rigore cõspicua.

COMMENTARIVS GALENI.

Rursus concursio dictorum symptomatum ex proprio constat intuitu, non logica est; atque ob id ipse quoque de hoc addubitans inquit, an & his tremor fit? Malam verò ait concursionem de ea re non dubitans, quod lumborum dolor vnà cum æstu fastidioso diutius maneat: sudatiuncula autem his adueniens certiorem efficit præcognitionem. Siue namque sudorem exiguum toto fieri corpore ab ἐφιδρώσεως nomine significari intellexerimus, signum bonum non est, quum ab eo, & si non lumborum dolorem, certè fastidiosum æstum, solui oportebat; siue sudores eos, qui circa thoracem, capútque fiunt, intellexerimus, quòd perpetuò hi mali sint, constat, facultatis imbecillitatem, vel in his partibus copiam indicantes. Ob hæc quidem omnia, prædicta signorum concursio mala est.

Quum

Quum verò multæ in lũbis sint partes, non liquet ex authoris verbis, quænam afficiatur, in qua dolor diu perseueret, & æstus fastidiosus non desinat, sed signis aliis diiudicare conuenit. Si igitur renes fuerint affecti, scis horũ affectiones per vrinas cognoscẽdas esse; si verò aliquis, vel eorũ, qui inibi sunt, vel dorsalis medullæ, musculorũ passus fuerit, iam tibi, & cum alio adiecto signo cõstat; nempe affecta dorsali medulla, sensus torporis erit in his partibus, quæ ex ea affecta enascuntur. Didicisti autẽ ex dissectione neruorum dorsalis medullæ, & qui ab vnaquaq; vertebra enascantur nerui, & partes corporis, ad quas dispertiantur. Si igitur signum aliquod affectæ dorsalis medullæ tibi adfuerit, tum tremorem, tum aliam omnem neruorum affectionem fore expecta; quas inter vna existit, tremulæ vocis oblæsio. Nempe oratio hæc, vt in rigore, vocem tremulam indicat.

πολλῶν δὲ κατὰ τὴν ὀσφὺν κειμένων μορίων, ἄδηλον ὅσον ἐπὶ τοῖς εἰρημένοις τὸ πεπονθός ἐστιν, ἐφ' ᾧ τὸ ἄλγημα διαμένει μέχρι πολλοῦ. καὶ τὸ καῦμα τὸ ἀσῶδες, οὐ παύεται· διακρίνειν οὖν προσήκει τοῖς ἄλλοις σημείοις. εἰ μὲν οὖν οἱ νεφροὶ πεπόνθασιν, ἔμαθες ὅπως χρὴ γινώσκειν δι' οὔρων τὰ κατ' αὐτούς. εἰ δέ τις τῶν ἐνταῦθα μυῶν, ἢ κατὰ τὸν νωτιαῖον αὐτόν, ἔτι δῆλον ἅμα τῷ προσγίνεσθαί τι γνώρισμα, καὶ ἄλλο. τοῦ γὰρ νωτιαίου παθόντος αἴσθησις ἔσται ναρκώδης ἐν τοῖς μορίοις ἐκείνοις, ὅσα τοῦ πεπονθότος ἐκφύεται. ἔμαθες δὲ ἀπὸ τῆς τῶν τοῦ νωτιαίου νεύρων ἀνατομῆς, τά τε καθ' ἕκαστον σπόνδυλον ἐκφυόμενα νεῦρα, τά τε τοῦ σώματος μόρια εἰς ἃ διασπείρεται· ἐὰν οὖν τί σοι γνώρισμα τοῦ νωτιαίου πεπονθότος γίνηται, καὶ τρόμον ἔλπιζε, καὶ πᾶν ἄλλο πάθος ἔσεσθαι νεύρων, ἓν δέ τι τούτων ἐστί, καὶ ἡ τῆς τρομώδους φωνῆς βλάβη. τὸ γάρ, ὡς ἐν ῥίγει, τὴν τρομώδη φωνὴν δηλοῖ.

De extremarum partium in vtrasque qualitates contrarias mutatione.

Περὶ τῆς τῶν ἄκρων ἐπ' ἀμφοτέρας τὰς ἐναντίας ποιότητας μεταβολῆς.

HIPPOCRATIS PRÆDICTIO 42.

Extrema corporis, quæ ad vtraque contraria citò permutantur, malum; Sitis quoque huiusmodi, malum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ μβʹ.

Ἄκρεα ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα, κακόν. καὶ δίψα τοιαύτη, πονηρόν.

COMMENTARIVS GALENI.

Quidnam cum præscripta dictione præsentem annectunt; atque ob id eam cum coniunctione, *autem*, hoc scribunt pacto; *Extrema autem corporis, si celeriter in vtranque conditionem permutentur, malum.* Sed quæ in ea dicuntur, ab ante dicta concursione distinguuntur; quapropter & scriptor, qui cum illis ea scripsit, veluti & multa alia, inter se coniunxit, quanquam nullam habeant communitatem. Nos igitur horum expositionem seorsum moliri oportet. Nam si summæ corporis partes, facilè in vtranque permutentur conditionem, malum signum est. Summæ corporis partes pedes sunt, manus, aures, & nasus, quæ & in his, quæ cum frigore fiunt accessionum inuasionibus, primæ omnium frigescunt. Quòd autem oratio hæc, in vtranque conditionem, caliditatem dicat, & frigiditatem, liquidò constat omnibus. Quum igitur secundum naturam habemus, temperatè habent summæ corporis partes, nulla repentina facta in his mutatione. Nam tametsi quammaximè hyeme frigidæ, & æstate calidæ fuerint, paulatim tamen talem assequuntur permutationem; non celerem quidem, nec vsque adeo validam, vt vel hyeme similiter glacie refrigerentur, vel æstate iis, quæ ab igne multo calefacta sint, assimilentur. In morbis autem summè malignis permutatio harum hora vna ad contraria efficitur, interdum quidem vt tanquam hyeme, perfrigescant, interdum verò, tanquam æstate, calescant. Id autem contingit, quum propriam caliditatem non habuerinr, atq; à febrili calefiant; quæ à corporis medio incipiens, flammæque similis corpus totum depascens, extrema cõcalefacit; quæ & quum transpirauerit, statim ea refrigescunt, extincta naturali caliditate. Sitis quoque huiusmodi (inquit) mala est; vbi verbum, huiusmodi, quòd eam dicat, quæ celeriter in contraria permutatur, veluti de summis dictum est partibus, nemo ignorat. Permutatio, aut sitis ad contraria fit, quum paulo ante sitiens, confestim sine

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνιοι τῇ προγεγραμμένῃ ῥήσει συνάπτουσι τὴν νῦν εἰρημένην, καὶ διὰ τοῦτο μετὰ τοῦ, δὲ, συνδέσμου γράφουσιν αὐτὴν κατὰ τόνδε τὸν τρόπον. ἄκρεα δὲ, ἐπ' ἀμφότερα ταχὺ μεταπίπτοντα, κακόν. ἔστι δὲ τὰ κατ' αὐτὴν λεγόμενα τῆς προειρημένης συνδρομῆς ἀφωρισμένα. διὸ καὶ ὁ συγγραφεὺς ἅμα ἐκείνοις αὐτὰ γεγραφώς, καθάπερ καὶ ἄλλα πολλὰ συνῆψεν ἀλλήλοις οὐκ ἀναγκαίαν ἔχοντα κοινωνίαν. ἡμᾶς οὖν, αὐτῶν τὴν ἐξήγησιν ἰδίᾳ χρὴ ποιεῖσθαι· μεταπίπτοντα γὰρ ἐπ' ἀμφότερα, ῥᾳδίως τὰ τοῦ σώματος ἄκρεα, πονηρόν ἐστι σημεῖον. ἄκρεα δὲ δηλονότι πόδες, καὶ χεῖρές εἰσιν, καὶ ὦτα, καὶ ῥίς, ἃ δὴ κἂν ταῖς μετὰ καταψύξεως εἰσβολαῖς τῶν παροξυσμῶν ἁπάντων, πρῶτα ψύχεται. τὸ δ' ἐπ' ἀμφότερα, δῆλον ὅτι θερμασίαν τε, καὶ ψύξιν λέγει. κατὰ φύσιν μὲν οὖν ἐχόντων ἡμῶν, εὐκράτως διάκειται τὰ τοῦ σώματος ἄκρεα, μηδεμιᾶς ἐξαιφνιδίου γινομένης μεταβολῆς ἐν αὐτοῖς. εἰ γὰρ καὶ ὅτι μάλιστα χειμῶνος μὲν εἴη ψυχρά, θέρους δὲ θερμά, κατὰ βραχὺ τὴν τοιαύτην ἴσχει μεταβολήν, οὐ διὰ ταχέων, οὐδ' ἰσχυράν, ὡς ἤτοι κρυστάλλῳ παραπλησίως, ἐψῦχθαι χειμῶνος, ἢ τοῖς παρὰ πυρὶ πολλῷ θαλφθεῖσιν ἐοικέναι τοῦ θέρους. ἐν δέ γε ταῖς κακοηθεστάταις νόσοις, ἡ μετάπτωσις αὐτῶν ἐν ὥρᾳ μιᾷ γίνεται πρὸς τἀναντία, ποτὲ μέν, ὡς ἐν χειμῶνι, ψυχρῶν γινομένων, ποτὲ δέ, ὡς ἐν θέρει θερμῶν. καὶ συμβαίνει τὸ τοιοῦτον τὴν μὲν οἰκείαν θερμασίαν οὐκ ἐχόντων αὐτῶν, ὑπὸ δὲ τῆς πυρετικῆς θερμαινομένων, ἥ τις ἀπὸ τῶν μέσων τοῦ σώματος ἀρξαμένη, παραπλησίως φλογὶ πᾶν ἐπινεμομένη τὸ σῶμα, συνεκθερμαίνει τὰ πέρατα. διαπνευσάσης δ' αὐτῆς, εὐθέως ψυχρὰ γίνεται, τῆς ἐμφύτου θερμασίας ἐσβεσμένης. καὶ δίψα δέ, φησίν, ἡ τοιαύτη, κακόν. εὔδηλον δ' ὅτι τοιαύτην λέγει, τὴν ἐπὶ τἀναντία μεταπίπτουσαν ἐν τάχει, παραπλησίως τοῖς ἄκροις. ἐπὶ δὲ τἀναντία μετάπτωσις γὰρ δίψης, ὅταν διψῶν ὀλίγον ἔμπροσθεν,

ἄδιψος ἐν τῷ παραυτίκα γενήσεται, καὶ μετ' ὀλίγον, αὖθις διψῶν ἔσται, μὴ παυομένης δηλονότι τῆς διψώδους διαθέσεως. ἀδύνατον γὰρ ὀλίγον ἔμπροσθεν ἰσχυρῶς ἐξηραμμένον τὸν ἄνθρωπον, ὑγρανθῆναι τελέως, ὡς ἄδιψον γενήσεσθαι. τί ποτ' οὖν ἐστι τὸ συμβαῖνον ἐπὶ τῶν οὕτως ἐχόντων; ὅπερ κἀπὶ τῶν δι' ὅλης ἡμέρας τε καὶ νυκτὸς, ἐνίοτε οὐδ' ὅλως οὐρησάντων. πρότερον μὲν γὰρ, οὔτε παρηκολούθησε τοῖς κατὰ τὸ σῶμα παθήμασιν ἡ γνώμη τοῦ ἀνθρώπου, τό, τ' ἀθροιζόμενον οὖρον, οὔπω διέτεινεν ἰσχυρῶς τὴν κύστιν. ἐπεὶ δὲ ἥ τε διάνοια παρηκολούθησεν, ἥ τε κύστις ἐπληρώθη, δι' ἄμφω ταῦτα τοῦ παθήματος ὁ κάμνων ᾔσθετο. καθάπερ οὖν τοῦτο παραφροσύνης ἐστὶ σημεῖον, οὕτω καὶ τὸ κατὰ τὴν δίψαν· ἐχόντων μὲν αὐτῶν ἀεὶ τὴν τοῦ διψῆν διάθεσιν, οὐκ αἰσθανομένων δὲ πρὶν τήν τε ψυχὴν αὐτῶν αἰσθητικωτέραν γενέσθαι, τήν τε τοῦ διψῆν διάθεσιν εἰς ἄκρον αὐξηθῆναι. τὴν μὲν οὖν τῶν ἄκρων μετάπτωσιν ἐπὶ τἀναντία, κακὸν εἶναι νομιστέον, ἐνδεικνυμένην ἀρρωστίαν μὲν τῆς ἐμφύτου θερμασίας, εὐρωστίαν δὲ τῆς παρὰ φύσιν. τὴν δὲ τῆς δίψης μετάπτωσιν, ἀμαύρωσιν μὲν τῆς αἰσθητικῆς δυνάμεως, ἰσχὺν δὲ τῆς διψώδους διαθέσεως.

siti reddatur; & rursum post paulo sitiens erit, non desinente scilicet siticulosa affectione; fieri siquidem non potest, vt æger paulo ante valenter exiccatus ita perfectè humectetur, vt sine siti fiat. Quidnam ergo est, quod in ita affectis contingit? sanè quod his, qui toto die, totáque nocte interdum nullo pacto secernunt vrinam. Priùs siquidem neque corporis affectiones mens ægri consequuta est, collectaque vrina nondum valenter vesicam distendit; at posteaquam mens consequuta est, & vesica impleta, ob hæc ambo sensit affectionem æger. Quo igitur modo id desipientiæ est signum, sic & quod in siti dictum est; quum ægri quidem sitiendi affectionem semper habeant, sed non sentiant, donec eorum anima sensu prædita magis reddatur, & sitiendi affectio ad summum augeatur. Summarum igitur corporis partium ad contraria permutationem malum esse putandum, vtpotè quæ caloris natiui imbecillitatem ostendat, & eius, qui præter naturam est, robur. Sitis verò permutationem, languorem quidem sensificæ facultatis, robur verò siticulosæ affectionis.

Περὶ θρασείας ἀποκρίσεως

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ μγ'.

ΕΚ κοσμίου θρασεῖα ἀπόκρισις, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ τούτου τοῦ λόγου γενικώτερος ἄλλος ἐστὶ περιέχων οὐ τοῦτον μόνον, ἀλλὰ καὶ τινας ἄλλους πολλούς. τὸ γὰρ παρὰ τὴν οἰκείαν φύσιν ἅπαν κακὸν, γένος τούτων καὶ ἄλλων πολλῶν τῶν λόγων ἐστίν. ὅτῳ μὲν γὰρ ἡ οἰκεία φύσις κόσμιος, οὗτος οὐ μόνον ἐν ἀκόσμῳ παραφρενήσας, ὀλεθρίως ἔχειν ἐνδείκνυται τὴν διάθεσιν, ἀλλὰ καὶ θρασέως ἀποκρινόμενος ἐγγὺς ἥκει φρενίτιδος. ὅτῳ δ' ἔμπαλιν ἀπόκρισις κόσμιος ἐν τῇ φύσει θρασεῖ, τοῦτο καταφορὰν, ἢ λήθαργον ἐλπίζειν ἔσεσθαι.

De sermone feroci.

HIPPOCRATIS PRÆDICTIO 43.

EX moderato ferox responsio, malum.

COMMENTARIVS GALENI.

SErmone hoc generalior existit alius, qui non solum hunc continet, verùm & alios quosdam non paucos. Omne siquidem, quod præter naturam propriam, malum, genus horum est, atq; multorum aliorum sermonum. Cui enim propriè natura composita est, is non solùm, quum incompositus desipit, perniciosè affectionē habere demonstrat; verùm quoque, & cum ferocitate respondēs propè ad phrenitidem accessit; cui verò vice versa responsio in feroci natura cōposita est, vt is, vel in cataphoram, vel lethargum venturus sit, spes est.

Περὶ τῆς ὀξείας φωνῆς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ μδ'.

ΦΩνὴ ὀξέα, ὑποχόνδρια τουτέοισιν εἴσω εἰρύαται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑτὰ φύσιν μὲν οὖν ἦν, εἰπεῖν, οἷς ὀξύνεται νοσοῦσιν ἡ φωνὴ, τούτων ἕλκεται τὰ ὑποχόνδρια πρὸς τὴν ἔσω χώραν. ἀλλ' οὐκ οἶδ' ὅπως χαίρει ταῖς ἀλλοκότοις ἑρμηνείαις, ὁ τοῦ βιβλίου συγγραφεύς. ἐάσαντες οὖν τὴν περὶ τούτων σπουδὴν, ἐπὶ τὴν τῶν εἰρημένων διάνοιαν ἔλθωμεν, οὐδ' αὐτὴν μὲν οὖσαν καθόλου παραπλησίως ταῖς πολλαῖς τῶν κατὰ τοῦτο τὸ βιβλίον εἰρημένων· ἀληθῆ δ' ἂν ὧδέ πως λεχθησομένην, πολλοῖς τῶν ὀξυφωνούντων ἐν ταῖς νόσοις, τὰ ὑποχόνδρια πρὸς τὴν ἔσω χώραν ἕλκεται. τοῦτο γὰρ δηλονότι σημαίνει τὸ εἰρύαται, οὐκ αὐτοῦ τοῦ ὑποχονδρίου περιτρέχοντος τοῖς εἴσω, κατά τινα διάθεσιν ἰδίαν, ἀλλ' ἐκείνων ἑλκόντων αὐτὸ μᾶλλον. τὸ γάρ τοι διάφραγμα, τοῦ τοιούτου συμπτώματος αἴτιόν ἐστιν, ἤτοι φλεγμαῖνον, ἢ ξηραινόμενον ὑπὸ τῆς πυρώδους θερμότητος, ἢ ἀνασπώμενον ὑπὸ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος,

De voce acuta.

HIPPOCRATIS PRÆDICTIO 44.

VOx acuta, his hypochōdria intrò trahūtur.

COMMENTARIVS GALENI.

SEcundum naturam sanè dicendum erat, Quibus in morbis vox acuitur, trahuntur his hypochondria ad internam sedem. Sed nescio, quo modo oblectatur libri huius author ita enuntiationibus alienis. Relicto igitur de hac re studio, ad eorum, quæ dicuntur, intelligentiam veniamus; quæ neque ipsa vniuersalis est, vt aliæ multæ eorum, quæ in hoc libro dicuntur; vera tamen ita enuncietur, quòd plerisque, qui in morbis vocem mittunt acutam, ad internam sedem trahantur hypochondria. Nempe id verbum εἰρύαται significat, neque quòd hypochondrium ipsum propria quadam affectione intrò accurrat, sed quòd interna magis ipsum trahant. Nempe septum transuersum symptomatis eiusmodi causa est, quum vel inflammatur, vel arescit propter igneam caliditatē, vel à membrana costas succingente retrahitur;

quum

quum rursus, & ea ipsa ob phlegmonem, & ob siccitatem tendatur. Súntque ex medicis plerique, qui retractum hypochondrium inter ea, quæ simul cùm phrenitide assident, scripserunt; nam pleriq; phrenitici ita affici videntur; sed præsens oratio retrahi hypochondria non dicit, sed ad interna trahi. Tu autem, si verũ prorsus loqui lubet, ex dimidio vtrũque cõpones, dicésque, intrò sursúmque trahi hypochondrium, neque immeritò id fieri propter obliquum septi transuersi situm. Incipit enim ab ossis pectoris, quod sternum appellatur, extremo; atque hinc sensim obliquè descendens, tum intrò, tum infra ad lumbos peruenit, ita vt plurimum quidem totius ipsius substantiæ profundis hypochondriis subiaceat, supernum verò principium altius sit. Ob hæc igitur ad internam, supernámque sedem trahi videtur. Quòd si hæc inter se comparaueris, plus intrò, quàm sursum, transpositum esse tibi videbitur. Relicta itaque ea, quæ præter naturam ob instrumentorum siccitatem, phlegmonémque musculorum acuitur, voce, quoniam angina hæc affectio vocetur, de ea quæ aliis in morbis acuitur, voce pronunciauit, inquiens, his hypochondria intrò trahuntur. Vocem itaque acutam ex vocalium instrumentorum angustia in commentariis De voce demonstrauimus; atque ob id tum spadones, tum pueri, tum mulieres, vocem reddunt acutam; in febribus verò siccitas horum angustiam efficit.

αὐτοῦ πάλιν ἐκείνου διὰ φλεγμονὴν, ἢ ξηρότητα τεινομένου· καὶ οἱ μὲν πολλοὶ τῶν ἰατρῶν ἐν τοῖς συνεδρεύουσι τῇ φρενίτιδι, καὶ τὸ ἀνεσπασμένον ὑποχόνδριον ἔγραψαν. καὶ γὰρ καὶ φαίνεται τοῖς τῶν φρενιτικῶν πλείστοις, οὕτω διακείμενον. ἀλλ' ἡ προκειμένη ῥῆσις, οὐκ ἀνεσπᾶσθαι τὰ ὑποχόνδριά φησιν, ἀλλ' εἴσω ἕλκεσθαι. σὺ δ' εἰ βούλει τελέως ἀληθεύειν, ἐξ ἡμίσεος ἀμφότερα συνθεὶς, ἐρεῖς εἴσω τε καὶ ἄνω τὸ ὑποχόνδριον ἕλκεσθαι. καὶ τοῦτο εἰκότως γίνεσθαι, διὰ τὴν τοῦ διαφράγματος θέσιν, λοξὴν οὖσαν. ἄρχεται γὰρ ἀπὸ τοῦ κατὰ τὸ στέρνον πέρατος. ἐντεῦθεν δὲ κατὰ βραχὺ λοξούμενον, εἴσω τε καὶ κάτω πρὸς τὴν ὀσφὺν ἀφικνεῖται, ὥστε τὸ πλεῖστον μὲν αὐτοῦ τῆς ὅλης οὐσίας ὑποκεῖσθαι κατὰ τὸ βάθος τῶν ὑποχονδρίων, τὴν δ' ἄνωθεν ἀρχὴν ὑψηλοτέραν εἶναι. καὶ τοίνυν διὰ ταῦτα φαίνεται πρὸς τὴν εἴσω τε, καὶ ἄνω χώραν ἑλκόμενον. εἰ δὲ παραβάλλοις ἀλλήλοις ταῦτα πλέον εἴσω μεθεστὸς, ἢ ἄνω, σοι φανεῖται. τὴν οὖν φωνὴν παρὰ φύσιν ὀξυνομένην, διά τε τὴν τῶν ὀργάνων ξηρότητα, καὶ φλεγμονὴν τῶν μυῶν καταλιπὼν, ἐπεὶ κυνάγχη τοῦτο τὸ πάθος προσαγορεύεται, περὶ τῆς ὀξυνομένης ἐν ταῖς ἄλλαις νόσοις φωνῆς ἀπεφήνατο λέγων, εἰρύαται κατὰ ταύτας εἴσω τὰ ὑποχόνδρια. δέδεικται μὲν οὖν ἐν τοῖς περὶ φωνῆς, ἐπεὶ στενότητι τῶν φωνητικῶν ὀργάνων ὀξυνομένη φωνή. καὶ διὰ τοῦτο εὐνοῦχοί τε καὶ παῖδες, καὶ γυναῖκες ὀξυφωνοῦντές εἰσιν. ἀλλ' ἐν τοῖς πυρετώδεσι νοσήμασιν ἡ ξηρότης ἐργάζεται τὴν στένωσιν αὐτῶν.

De oculo hebescente, fixo, ac caliginoso.

HIPPOCRATIS PRÆDICTIO 45.

Oculus hebescens, prauum; & fixus, & caliginosus, malum.

COMMENTARIVS GALENI.

Oculus hebescens, sicuti caliginosus, tum ipsi ægro, tum videntibus, fit manifestus; Ægro quidem, quum non ampliùs conspicuè videt, quomodo antea, in hebescentibus cõspectibus; quemadmodum in caliginosis, præter id, quòd obtusè respicit, adhuc per quandam caliginem videre putat; vocant autem ἀχλὺν, aëris turbationem, quæ medium tum nubis tum nebulæ habet crassamentum, ita vt quàm nebula quidem, magis concreuerit, quàm nubes verò, minus. Fit autem tale in oculis pathema, & non paucis, qui febre carent, veluti & ἀμαύρωσις, quæ obscura, imbecilláque instrumentorum sensio existit, sine turbamenti apparitione; iam verò, & laborantibus multis. Est autem ἀμαύρωσις, turbido aspectu generalior; nempe quum in vtroque obscurè cernatur, ægris quidem ipsis sensio veluti turbationis cuiusdam in caliginosis conspectibus euenit; extrinsecus verò videntibus oculus hebescens nullam humidi præter naturam habere videtur consistentiam; periit autem ex eo tum splendidum, tum lucidum, quod in acutè videntibus oculis inest. Hebescentes item mortuorum oculis similes existunt; multísque morientium, atque adhuc tamen viuentium, tales oculi videntur, veluti & his, quos extrema habet senectus; caliginosi verò non omnibus, sed solis iis, quibus turbidum in pupilla videtur humidum, quod sanitatis tempore tum lucidum, tum albicans erat. Ex dictis itaque affectiones oculorum vtrasque prauas esse manifestò liquet;

Περὶ τοῦ ἀμαυρουμένου τε καὶ πεπηγότος, καὶ ἀχλυώδους ὄμματος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ με'.

Ὄμμα ἀμαυρούμενον, φλαῦρον, καὶ τὸ πεπηγὸς, καὶ ἀχλυῶδες, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ ἀμαυρούμενον ὄμμα, καθάπερ γε καὶ τὸ ἀχλυῶδες, αὐτῷ τε τῷ κάμνοντι, καὶ τοῖς ὁρῶσι γίνεται δῆλον. αὐτῷ μὲν τῷ κάμνοντι, μηκέτ' ἐναργῶς ὁρῶντι, καθάπερ ἔμπροσθεν ἐν ταῖς ἀμαυρουμέναις ὄψεσιν, ὥσπερ ἐν τοῖς ἀχλυώδεσι πρὸς τὸ βλέπειν ἀμαυρὸν, ἔτι καὶ διά τινος ἀχλύος οἰομένῳ βλέπειν. ἀχλὺν δ' ὀνομάζουσι θόλωσιν ἀέρος, ἐν τῷ μεταξὺ νέφους τε καὶ ὁμίχλης ἔχουσαν τὸ πάχος, ὡς ὁμίχλης μὲν μᾶλλον πεπιλῆσθαι, νέφους δ' ἧττον. καὶ γίνεται τὸ τοιοῦτον πάθημα κατὰ τοὺς ὀφθαλμοὺς, καὶ τῶν ἀπυρέτων μὲν οὐκ ὀλίγοις. ὥσπερ καὶ ἡ ἀμαύρωσις, ἀμυδρὰ τῶν ὀργάνων αἴσθησις οὖσα, χωρὶς τῆς κατὰ τὴν ταραχὴν φαντασίας, ἤδη καὶ τῶν νοσούντων πολλοῖς. ἔστι δὲ γενικώτερον ἡ ἀμαύρωσις, τῆς ἀχλυώδους ὄψεως. ἀμυδρῶς γὰρ ἀμφοτέρων ὁρώντων, προσέρχεται τοῖς μὲν κάμνουσιν αὐτοῖς αἴσθησις οἷον ἀχλύος τινὸς, ἐν ταῖς ἀχλυώδεσιν ὄψεσι· τοῖς δ' ἔξωθεν ὁρῶσιν τῶν ὀφθαλμῶν, ὁ μὲν ἠμαυρωμένος οὐδεμίαν ἔχων φαίνεται σύστασιν ὑγροῦ παρὰ φύσιν· ἀπόλωλε δ' ἐξ αὐτοῦ τὸ λαμπρὸν, καὶ στίλβον, ἐν τοῖς ὀξέως ὁρῶσιν ὀφθαλμοῖς ὑπάρχον, καί εἰσιν οἱ ἀμαυρούμενοι παραπλήσιοι τοῖς τῶν νεκρῶν. καὶ πολλοῖς τῶν ἀποθνησκόντων, ἔτι ζῶσιν οἱ ὀφθαλμοὶ τοιοῦτοι φαίνονται, καθάπερ καὶ τοῖς ἐν ἐσχάτῳ γήρᾳ, ἀχλυώδεις δ' οὐ πᾶσιν, ἀλλ' οἷς μόνοις τεθολῶσθαι φαίνεται τὸ κατὰ τὴν κόρην ὑγρὸν, ὃ λαμπρόν τε καὶ λευκὸν ἦν ὅθ' ὑγίαινεν. ἐκ γοῦν τῶν εἰρημένων εὔδηλον μοχθηρὰς τὰς διαθέσεις ἀμφοτέρας εἶναι τῶν ὀφθαλμῶν.

τὸ δὲ πεπηγὸς ὄμμα, διὰ τὴν ἀκινησίαν γίνεται τῶν κινούντων τὸν ὀφθαλμὸν μυῶν, ἡ δ' ἀκινησία διὰ παράλυσιν, ἢ τάσιν ἰσόρροπον ἁπάντων αὐτοῦ γίνεται τῶν μυῶν, ἢ διὰ τελείαν ἀρρωστίαν τῆς κινούσης αὐτοὺς δυνάμεως, ἐναντίας τῆς τοιαύτης καταστάσεως οὔσης τῇ τῶν ἐνδεδινημένων ὀφθαλμῶν. ἀστήρικτοι γάρ εἰσι παραπλησίως ἐκείνοις, τοῖς τὸν καλούμενον ἵππον ἔχουσιν, ὡς μηδέποθ' ἡσυχάζειν. ἔμπαλιν δ' αὖθις, οἱ πεπηγότες οὐδέ ποτε κινοῦνται. τὰς οὖν αἰτίας ἀκηκοότι σοι τῆς τοιαύτης καταστάσεως τῶν ὀφθαλμῶν, εὔδηλόν ἐστι καὶ τὸ μοχθηρὰς αὐτὰς εἶναι. γράφουσι δ' ἔνιοι, καὶ τὸ πεπηγὸς ἀχλυῶδες, κακόν, ἀχλύν τινα παραπεπηγέναι βουλόμενοι τοῖς ὀφθαλμοῖς, κατὰ τὴν τῆς διαθέσεως ξηρότητα καὶ θερμότητα.

fixus verò oculus, propter mouētium oculos musculorum immobilitatem, fit; immobilitas autem ea propter omnium ipsius musculorum, vel resolutionē, vel æquam, & quæ in neutram partem vergat tensionē, proficiscitur; vel propter exactā mouentis musculos facultatis imbecillitatē. Talis constitutio ei, qua oculi in gyrum vertuntur, ex aduerso pugnat; nempe instabiles sunt, non secus, quàm qui equum appellatū habet, ita vt nunquam conquiescant; contra autem, fixi nunquam mouentur. Si igitur causas talis constitutionis oculorum intellexeris, constat & eas prauas esse. Scribunt aliqui in dictione, & fixum caliginosum malum, caliginem quandam concreuisse in oculis volentes ex affectionis tum siccitate, tum caliditate.

Περὶ τῆς κλαγγώδους φωνῆς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ μϛ'.

Ὀξυφωνίη κλαγγώδης, πονηρόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνιοι μὲν κλαγγώδης, ἔνιοι δὲ κλαυθμώδης γράφουσιν. λέλεκται δὲ ὅτι κλαγγώδης γίνεται φωνή, τῆς ξηρότητος ἐπιτεινομένης τῶν φωνητικῶν ὀργάνων. ἡ κλαυθμώδης δὲ κατὰ τὴν αὐτὴν ταύτην ἐπίτασιν νοεῖται, καὶ ἔστι χαλεπωτέρα τῆς κλαγγώδους, ὅσῳ καὶ τὴν διάθεσιν ἐνδείκνυται μείζονα.

De voce clangente.

HIPPOCRATIS PRÆDICTIO 46.

Vox acuta clangorosa, malum.

COMMENTARIVS GALENI.

Nonnulli quidē clangorosa, alii querula, plorabundáq; scribūt. Quòd autē clāgorosa vox fiat, quum siccitas vocalium organorū intenditur, est demonstratū. Plorabunda verò secundū eandem noscitur intensionē; sed difficilior, quàm clāgorosa, existit, quanto maiorē indicat affectionē.

Περὶ τῆς τῶν ὀδόντων πρίσεώς τε, καὶ τοῦ πνιγμοῦ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ μζ'.

Ὀδόντων πρίσις ὀλέθριον, οἷσι μὴ συνήθες καὶ ὑγιαίνουσιν· πνιγμὸς ἐν τούτοισι, πάνυ κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τῶν ἐν τῷ προγνωστικῷ γεγραμμένων οὐκ εἰωθὼς μνημονεύειν ὁ τὸ βιβλίον τοῦτο γράψας, ἐμνημόνευσε νῦν τῆς τῶν ὀδόντων πρίσεως. ἔτι προσθεὶς κατὰ τὸ τέλος αὐτοῦ, τὸ πνιγμὸς ἐν τούτοισι πάνυ κακόν. ἔμαθες δὲ καὶ περὶ πρίσεως ὀδόντων ὅπως γίνεται, καὶ περὶ πνιγμοῦ, ὥστε οὐδὲν ἔτι κατὰ τήνδε τὴν ῥῆσιν λέγεσθαι ἀναγκαῖον περιττότερον, αὐτὸς γὰρ ἐξ ἐκείνων νοήσεις ἅπαντα.

De dentium stridore, & suffocatione.

HIPPOCRATIS PRÆDICTIO 47.

Dentium stridor, perniciosum, quibus non est per sanitatem assuetus; suffocatio quoque in his, pessimum.

COMMENTARIVS GALENI.

Qvum libri huius author memorare non consueuerit, quæ in prognostico scripta sunt, nunc tamen de stridore dentium mentionē fecit; adiecitq; in fine, quòd suffocatio in his valde mala fit. At quum didiceris, quonam pacto stridor dentium procreetur, quonam item modo suffocatio, nihil in hac etiam dictione fusiùs recensere est necesse; nempe ex illis vniuersa ipse cognosces.

Περὶ τῆς εὐχροίας τοῦ προσώπου τε, καὶ σκυθρωποῦ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ μη'.

Προσώπου εὔχροια, καὶ τὸ λίην σκυθρωπόν, πονηρόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐπειδὴ πολλάκις ἐξαπατᾶσθαι συμβαίνει διὰ τὴν εὔχροιαν τοῦ προσώπου, καὶ νομίζουσιν, ἤτοι γε αἱμορραγίας κρισίμου τῆς ἐκ τῶν ῥινῶν, ἢ παρωτίδων αὐτὴν εἶναι δηλωτικήν, εἰκότως ἔγραψεν, ὅταν ἅμα σκυθρωπότητι πολλῇ γίνηται, μοχθηρὸν εἶναι σημεῖον αὐτήν. εὐχροεῖν γὰρ ἐν νοσήμασιν, ὁμοίως τοῖς ὑγιαίνουσιν ἄριστα, κατὰ μὲν τὴν αὐτὴν ἐκείνοις διάθεσιν οὐκ ἐνδέχεται. καταλείπεται δ' ὑπὸ θερμασίας πολλῆς ἐξερύθρους αὐτοὺς γενομένους, ὁμοίους τοῖς εὐχροοῦσι φαίνεσθαι. τὸ δ' ἐξέρυθρον ἐν τῷ δευτέρῳ τῶν ἐπιδημιῶν, ἐπιτήδειον εἰς μελαγχολίαν εἶναι φησιν, ἧς σημεῖον ἡ σκυθρωπότης ἐστίν.

De facie bene colorata, & tetrico vultu.

HIPPOCRATIS PRÆDICTIO 48.

Probus faciei color, & vultus vehementer tristis, malum.

COMMENTARIVS GALENI.

Qvòd sæpius fallat coloratior facies, putentque hanc vel sanguinis per nares eruptionis criticæ, vel abscessuum post aures, significatoriam esse, ob id iure etiam, si cùm multa tristitia fiat, malum esse signum scripsit. Fieri siquidem nequit, vt ægri ita benè colorentur, vt qui optimè valent, pro ea quidem, quæ in illis est, affectione; sed ob caliditatem multam impensè rubros ipsos factos, & benè coloratis similes videri, relinquitur. Quod autem valdè rubrum est, id ad melancholiam idoneum esse ait in epidemiorum secundo; cuius signum mœstitia existit; atque

atque, si multa ipsi adfuerit, multo magis. Quum itaque florida quidem apparuerit facies, æger autẽ valde tristis fuerit, quædã in cerebro valdè calida affectio esse videtur, quæ sanguinẽ exurit; eámq; ob causam bilem atram, vt demonstratũ est gignit. Sed forsan alienum non erit, vt quædã per totum librum sensu carentia simpliciter commemoraui, ita, & nunc faciam, scribámque ex enarrationibus sensu, & intelligentia carentibus, aliquam gratia exempli. Neque sanè eum, qui primus de his dixit, sum admiratus; cõmune siquidem id omnium est vitium, vt, quomodo filios, ita & quæ ab illis excogitantur, diligant, nisi quis valdè securus Æsopi fabulam perpetua in memoria habuerit, quæ duas nos gestare manticas ait, anteriorem quidem vitiorum alienorum plenam, posterioré nostrorum; atque ob id delicta aliorũ videre nos, nostra verò non cernere; is etenim solus ad verorum cognitionem sese exercebit. Non igitur, vt dixi, eum, qui primus expositionẽ scripsit, demiror, sed eos, qui dicta priùs ineptè laudant; quomodo & nunc quidam laudibus extollit eorum explicationem, qui intelligendum esse aiunt faciei quidem bonũ colorem, in ægrotantis ipsius colore; mœstitiam verò multam, in medico colorem bonum præter naturam, vt signum malum, cernente. Nam si id docere voluisset prorrhetici author, ita dixisset; *Faciei color bonus valdè mœstum signum medico*; aut, si non, ita, *Faciei color bonus valdè mœstum reddit medicum*; neq; ad hoc in fine postea adscripsisset, malum. Absurdum siquidem admodũ, atque ab omni intelligentia alienum, dicere; Faciei colorẽ bonum valdè mœstum signum medico, malum; vel rursum hoc pacto; Faciei color bonus valdè mœstum reddit medicum, & est signum malum. Nempe vel id, mœstum reddit medicum, & signum est malum, vel malum esse colorem bonum, duntaxat dictum sat fuerit; sed, vt vtrumque simul dicatur, fieri nequit. Adde quòd etiam coniunctio, *&*, apposita, clarè indicat in ægroto hæc ambo contigisse, tum coloratam faciem, tum vehementem tristitiam. Vt ergo quis prætermissa huius lectionis indicatione, ad id, quod recensetur, veniat, falsus est eorum, qui exposuerunt, sermo. Non enim de necessitate color faciei bonus valdè mœstum reddit medicum, sed interdũ lætiorem, quam antea, reddit, quum scilicet faciei colorem bonum, vel sanguinis eruptionis, vel abscessuum post aures criticorum, signum esse sperauerit. Si itaque dictione ipsa summè tum ambigua, tum obscura existente, talia quędam excogitarent, veniam hi à nobis mererentur; sed quoniam rem cõmodissimam, clarè distinguens docet, quando sanè quidem bonum existat signum benè colorata facies, quandò verò non bonũ, quisnam ipsis ignosceret? Sicuti & his, qui præsentem sermonem de mutua inter se transmutatione boni faciei coloris, & mœstitiæ esse dicunt. Existimant siquidem, quum hæc sibi inuicem succedunt, quando scilicet colore bono desinente æger valdè mœstus reddatur, rursúsque, & mœstitiam illam subsequatur color bonus, difficile signum esse, ac si ambo simul esse nequeant, vel ipse de contrariis antea non dixerit, mutuam in se se transmutationem non bonum signum esse; inibi siquidem generatio alterius, tollit alterius essentiam, quo fit, vt simul esse nequeant; sed quòd mœstitia simul cum colore bono consistat, non est impossibile. Si igitur, quæ in vnaquaque oratione ab aliquibus perperam dicta sunt, redarguamus,

A ὅταν δὲ καὶ τὸ λίαν αὐτῇ προσῇ, πολὺ δή που μᾶλλον, ὥσθ' ὅταν εὐανθὲς μὲν φαίνηται τὸ πρόσωπον, ὁ δ' ἄνθρωπος ᾖ λίαν σκυθρωπὸς, ἐμφαίνεταί τις εἶναι κατὰ τὸν ἐγκέφαλον ἱκανῶς θερμὴ διάθεσις ἐκκαίουσα τὸ αἷμα, καὶ διὰ τοῦτο γεννῶσα τὴν μέλαιναν χολὴν, ὡς ἐπιδέδεικται. εὔδηλον δ' ἴσως ἐστὶν, ὥσπερ τινῶν εἰς ὅλον τὸ βιβλίον ἀδιανοήτων ἁπλῶς ἐμνημόνευσα, καὶ νῦν οὕτω ποιήσω, καὶ γράψω τινὰ τῶν ἀδιανοήτων ἐξηγήσεων ἕνεκα παραδείγματος, ὑφ' ὧν οὐχὶ τὸν εἰπόντα πρῶτον ἐθαύμασα. κοινὸν γὰρ ἁμάρτημα τοῦτο πάντων, ὥσπερ τοὺς υἱοὺς, οὕτω καὶ τὰ πρὸς ἑαυτῶν ἐπινοούμενα στέργειν, πλὴν εἴ τις ἀσφαλὴς ἱκανῶς ὑπάρχων, B ἐν μνήμῃ διὰ παντὸς ἔχει τὸν Αἰσώπειον μῦθον, ἐξῆφθαι δύο πήρας ἡμᾶς εἰπόντα, ἔμπροσθεν μὲν τὴν τῶν ἀλλοτρίων κακῶν μεστὴν, ὄπισθεν δὲ τὴν τῶν ἰδίων· καὶ διὰ τοῦτο τὰ μὲν τῶν ἄλλων ἁμαρτήματα θεᾶσθαι, τὰ δὲ ἑαυτῶν μὴ βλέπειν. οὗτος γὰρ μόνος ἑαυτὸν ἀσκήσει πρὸς τὴν τῶν ἀληθῶν γνῶσιν. οὐκοῦν, ὡς ἔφην, θαυμάζω τοῦ πρώτου γράψαντος τὴν ἐξήγησιν, ἀλλὰ τῶν ἀδιανοήτως τὰ ἐκείνου ἐπαινούντων, ὥσπερ καὶ νῦν τις ἐπαινεῖ τὴν ἐξήγησιν τῶν εἰπόντων, ἀκούειν χρῆναι προσώπου μὲν εὔχροιαν, πρὸς τὴν τοῦ C νοσοῦντος αὐτοῦ. τὸ δὲ λίαν σκυθρωπὸν ἐπὶ τοῦ ἰατροῦ γενομένου τὴν παρὰ φύσιν εὔχροιαν, ὡς κακὸν σημεῖον. εἰ γὰρ τοῦτ' ἐβούλετο διδάσκειν ὁ γράψας τὸ προρρητικὸν, οὕτως ἂν εἰρήκει, προσώπου εὔχροια, λίαν σκυθρωπὸν ἐργάζεται τὸν ἰατρόν. ἐπὶ τούτῳ δὲ πονηρόν, οὐκ ἂν ἐπι προσεγέγραπτο κατὰ τὸ τέλος. ἀδιανόητον γὰρ ἱκανῶς, προσώπου λέγειν εὔχροιαν, λίαν σκυθρωπὸν σημεῖον ἰατρῷ πονηρόν. ἢ πάλιν οὕτω, προσώπου εὔχροια, λίαν σκυθρωπὸν ἐργάζεται τὸν ἰατρὸν, καὶ πονηρόν ἐστι σημεῖον. ἤτοι γὰρ τὸ σκυθρωπὸν ἐργάζεσθαι τὸν ἰατρὸν, καὶ πονηρόν ἐστι σημεῖον, ἢ πονηρὸν εἶναι τὴν εὔχροιαν, ἤρκει D λελέχθαι μόνον. ἀμφότερα δ' ἅμα λέγειν, οὐκ ἐγχωρεῖ, μετὰ τοῦ, καὶ τὸν σύνδεσμον προσκείμενον, ἐνδείκνυσθαι σαφῶς, ἐν τῷ κάμνοντι ταῦτ' ἄμφω συμβεβηκέναι, τήν τε εὔχροιαν τοῦ προσώπου, καὶ τὸ λίαν σκυθρωπόν. ἵνα δέ τις ἐάσας τὴν ἀπὸ τῆς λέξεως ἔνδειξιν ἐπὶ τὸ λεγόμενον ἔλθοι, ψευδής ἐστιν ὁ λόγος τῶν οὕτως ἐξηγησαμένων. οὐ γὰρ ἐξ ἀνάγκης ἡ εὔχροια τοῦ προσώπου, λίαν ἐργάζεται σκυθρωπὸν τὸν ἰατρὸν, ἀλλ' ἔστιν ὅτε καὶ φαιδρότερον, ἢ πρόσθεν, ὅταν αἱμορραγίας, ἢ παρωτίδων κρισίμων ἐλπίσῃ σημεῖον εἶναι τὴν εὔχροιαν. εἰ μὲν οὖν ἀπόρου, καὶ ἀσαφοῦς ἑκατέρως τῆς ῥήσεως οὔσης, E ἐπενόουν τοιαῦτά τινα, ἴσως ἂν αὐτοῖς συνέγνωμεν. ἐπεὶ δὲ χρησιμώτατον πρᾶγμα διδάσκει σαφῶς διοριζόμενον, πότε μὲν ἀγαθόν ἐστι σημεῖον ἡ εὔχροια τοῦ προσώπου, ἡνίκα δὲ οὐκ ἀγαθόν, τίς αὐτοῖς συγγνώμη; καθάπερ τοῖς λέγουσι περὶ τῆς εἰς ἄλληλα μεταπτώσεως, τῆς τ' εὐχροίας τοῦ προσώπου, καὶ τῆς σκυθρωπότητος εἶναι τὸν ἐνεστῶτα λόγον. ἡγοῦνται μὲν γὰρ, ὅταν ἄλληλα διαδέχεται ταῦτα, καὶ τῆς μὲν εὐχροίας παυσαμένης, ὁ κάμνων γένηται λίαν σκυθρωπὸς, αὖθις δὲ τὴν σκυθρωπότητα γινομένην, εὔχροια διαδέχηται, χαλεπὸν εἶναι σημεῖον, ὡς οὐ δυναμένων ἀμφοτέρων ἅμα γί- F γνεσθαι, ἢ οὐ περὶ τῶν ἐναντίων ἔμπροσθεν εἰρηκότος αὐτοῦ, τὴν εἰς ἄλληλα μετάπτωσιν οὐκ ἀγαθὸν εἶναι σημεῖον, ἐκεῖ μὲν γὰρ ἡ θατέρου γένεσις ἀναιρεῖ τὴν ὕπαρξιν θατέρου, καὶ διὰ τοῦτο ἀδύνατον αὐτοῖς ὑπάρχειν ἅμα. τῇ δ' εὐχροίᾳ τοῦ προσώπου σκυθρωπότητα συνυπάρχειν ἅμα, οὐκ ἀδύνατον. ἐὰν μὲν οὖν ἐφ' ἑκάστῃ τῶν ῥήσεων, ὅσα κακῶς εἴρηταί τισιν ἐξελέγχωμεν,

μέμψονται πολλοὶ τῷ μήκει τῶν ὑπομνημάτων. ἐὰν δ᾽ αὖ ἐλεγκτέα παραλίπωμεν, συμβήσεταί τινας ἐφεξῆς ἀκούσαντας ἐξηγήσεως ξένης, ὡς παραλελειμμένης ὑπ᾽ ἐμοῦ μέμφεσθαι, καὶ μάλισθ᾽ ὅταν διακρίνειν οὐδέπω δύνανται κακίαν, καὶ ἀρετὴν ἐξηγήσεως. ἐπεὶ τοίνυν ἀδύνατόν ἐστιν ἐκφυγεῖν τὴν μέμψιν, ἢ ὡς μηκύναντα περιττῶς, ἢ ὡς παραλιπόντα τι τῶν χρησίμων, εἱλόμην θάτερον, ὃ τοῖς ἀναγνωσομένοις τὰς ὑπ᾽ ἐμοῦ γεγραμμένας ἐξηγήσεις ὠφελιμώτερον ἔσεσθαι, πέπεισμαι.

commentariorum prolixitatem non pauci incusabunt; si verò non reprehensa prætermittamus, iam postea erunt, qui auditam peregrinam expositionem, tanquam à me prætermissam, vitio vertant, & maximè quum expositionis tum vitium, tum virtutem nondum discernere queant. Quum ergo fieri non possit, vt incusationem deuitemus, qua vel superuacuè sermonem protrahamus, vel vtile quippiam prætermittamus, ad alterum diuertam, quod lecturis scriptas à me explanationes commodius fore credidi.

Περὶ τῶν ἀφρωδῶν τε, καὶ ἀκρήτων διαχωρημάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ν᾽.

ΤΑ τελευτῶντα ὑποχωρήματα εἰς ἀφρώδεα ἄκρητα, παροξυντικά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥκ οἶδ᾽ ὅπως οἱ ἐξηγησάμενοι τὸ βιβλίον, ὥσπερ ἄλλων πολλῶν παρακηκόασι λέξεων, οὕτω καὶ τῆσδε. τελευτῶντα γὰρ εἰπόντος αὐτοῦ τὴν ἐξήγησιν οὗτοι ποιοῦνται, διαχωρημάτων ἀφρωδῶν ἀκράτων. οὐ ταὐτὸν δέ ἐστιν, ἢ οἷς τὰ τοιαῦτα διαχωρεῖται, παροξυνθήσεσθαι τὴν νόσον, ἢ οἷς τελευτήσονται αἱ διαχωρήσεις εἰς τὰ τοιαῦτα. μοχθηρᾶς μὲν οὖν ἐστι διαθέσεως γνωρίσματα τὰ ἀφρώδη, καὶ τὰ ἄκρητα, μεμνημένων ἡμῶν ἄκρατα καλεῖσθαι διαχωρήματα, τὰ μόνον ἕνα τὸν ἀποκρινόμενον ἔχοντα χυμὸν ἄμικτον ἑτέροις. οὐ μὴν τοῖς ἐκκρίνουσι τὰ τοιαῦτα, παροξυνθῆναι τὴν νόσον ἀναγκαῖόν ἐστι, ἀλλ᾽ ἐγχωρεῖ καὶ λωφῆσαι κατὰ βραχὺ πεττομένης τῆς διαθέσεως, ἐφ᾽ ᾗ τὰ τοιαῦτα ἐξεκρίνετο. πότε οὖν ἀναγκαῖον παροξυνθήσεσθαι τὴν νόσον; ὅταν τὰ διαχωρήματα πρὸς τῷ μὴ παύεσθαι, τὴν μεταβολὴν εἰς ἀφρώδη τε καὶ ἄκρατα ποιήσηται. χείρονα γὰρ ὄντα τῶν ἔμπροσθεν ἐκκρινομένων, ταῦτα παροξυνθήσεσθαι δηλοῖ.

De spumosis ac meracis deiectionibus.

HIPPOCRATIS PRÆDICTIO 50.

DEiectiones in spumosas, sincerasque desinentes, exarcebant.

COMMENTARIVS GALENI.

CAusa cur qui librum exposuerunt, vt multas dictiones alias, ita & hanc, perperam obaudierunt, non noui. Nempe quum ipse dixerit, definentes, expositionem hi faciunt deiectionum spumosarum sincerarúmque; at idem non est, aut, cui talia deiiciuntur, exacerbandum morbum; aut cui desinent deiectiones in talia. Prauæ igitur affectionis signa sunt spumosæ, & sinceræ, si memoria tenuerimus, deiectiones sinceras appellari, quæ duntaxat vnum, qui excernitur, humorem cæteris impermixtum habent; non est tamen, vt talia excernentibus morbus exacerbetur, necesse; quum fieri possit, vt conquiescat, paulatim cocta affectione, in qua talia excernebantur. Quando igitur necesse est, vt morbus exacerbetur? quum scilicet deiectiones præter id, quòd non cessent, in spumosas quoque, sincerásque permutabuntur; nempe hæ aliis, quæ ante excernebantur, deteriores, exacerbandum morbum indicant.

Περὶ τῆς ἐκ καταψύξεως, τῶν οὔρων ἀπολήψεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ να᾽.

ΑΙ ἐκ καταψύξιος ἐν ὀξέσι, οὔρων ἀπολήψιες, κάκισται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΑ ὀξέα νοσήματα γίνονται ἐπὶ θερμοτέραις ὕλαις. εἰ οὖν ἐπίσχεσις τῶν οὔρων ἐκ καταψύξεως γένηται τῆς κύστεως, κακόν. δηλοῖ γὰρ ἐκ τῆς τοιαύτης δυσκρασίας, ἀτονίαν γεγενῆσθαι τῆς ἀποκριτικῆς ἐν τῇ κύστει δυνάμεως, ἢ ἀναισθησίαν, διὰ τὸ καταψυχθῆναι τὸ ἐν αὐτῇ νεῦρον, καὶ μὴ αἰσθάνεσθαι τῆς ἀνίας. ἡ δὲ κατάψυξις ἐν τῇ κύστει γίνεται τοῦ κατὰ φύσιν ἐν αὐτῇ θερμοῦ ὑπὸ τῆς παρὰ φύσιν θερμασίας διαφορηθέντος. ἴσως δ᾽ ἄν τις εἴποι, διὰ ποίαν αἰτίαν, τοῦ πυρετοῦ ἐν ὅλῳ τῷ σώματι ὄντος, ἐψύχθη ἡ κύστις; λύσις δὲ τούτων ἐστὶν ἡ τοῦ μορίου ἐπιτηδειότης, οὐ γὰρ ἅπαντα ὡσαύτως τῆς αὐτῆς ἔτυχε φύσεως.

-De vrinis ex refrigeratione interceptis.

HIPPOCRATIS PRÆDICTIO 51.

VRinarum in morbis acutis ex refrigeratione interceptiones pessimæ.

COMMENTARIVS GALENI.

MOrbi acuti ex calidiore materia ortum habent. Si ergo vrinarum retentio ex vesicæ refrigeratione fiat, malum; nempe ex tali intemperie, secretricis, quæ in vesica est, facultatis factam imbecillitatem, vel sensus ob refrigeratum ipsius neruum priuationē, neruúmq; ipsum quod cōtristat haud quaquā sentire, ostēdit; Refrigeratio autē vesicæ fit dissoluto ab eo, qui præter naturam est, naturali vesicæ calore. Sed forsan quis obiecerit, quam ob causam, si febris totum occupauerit corpus, vesica refrigerata est? quæstionem sanè diluit partis aptitudo; non enim omnia naturam eandem pariter sortita sunt.

Περὶ τῶν ἀσήμως ῥᾳστωνησάντων ὀλεθρίων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νβ᾽.

ΤΑ ὀλέθρια ἀσήμως ῥᾳστωνήσαντα, θάνατον σημαίνει.

De perniciosis sine signis leuationibus.

HIPPOCRATIS PRÆDICTIO 52.

PErniciosa sine signis leuantia mortem significant.

COM-

COMMENTARIVS GALENI.

SIne signis, inquit, vel excretionis, vel cõcoctionis; nõ autẽ aliud docet, quã vniuersale illud in aphorismis ita scriptum: *Quæ non ex ratione leuant, his fidendum non est; neque valdè formidanda mala, quæ præter rationẽ eueniunt.* Præsens siquidẽ dictio ab vniuersali recedens, eorũ quæ vniuersali subiecta sunt, quippiam edocet; de perniciosis siquidẽ duntaxat pronunciat, non de prauis omnibus; neque enim prorsus quicquid prauum fuerit, mox idem, & perniciosum existit. Demonstrauimus siquidẽ in prognostico malorũ signorũ differentias non paucas dictas esse, in quibus Hippocratem ipsum ex nominũ propriorum adiectione magnitudinẽ horum indicare ostendimus. De prauis igitur simpliciter, & non perniciosis nosse id duntaxat satis est, non esse his fidendum, si absque signis desierint; redibunt siquidẽ, sed non tollent hominẽ. Quæ verò eo prauitatis deuenerũt, vt & inter perniciosa cẽseantur, quòd hæc quidem mediocriter prauis infida magis sint, nequeántque securè, & cum fiducia sine manifestis signis sedari, in libris De crisibus est latissimè à me demonstratũ. Nempe vbi talia tractu temporis læsionem habitualem, indissolubilémque confecerint, reuertentur pro malitiæ suæ magnitudine, periculi magnitudinem afferentes. Nam causæ aliquæ eorum, quæ in corpore procreantur, potentia, virtutéque tum virus rabidorũ canum, tum lethalia ea medicamenta, representant, quæ & si in affecto loco nullum protinus, quod notabile sit, pariant symptoma, post quatuor tamen, vel sex menses, vel longinquiorem temporis moram hominem perimunt. Scimus autem nonnullos, & à cane rabido morsos, qui postea tum aquas formidauerunt, tum interierunt, à primo principio, in quo morsi fuerant, post duos, vel tres, vel quatuor, vel multo plures menses. Noui sanè, & quendam, qui exacto anno eum incurrit affectũ, quem hydrophobum, idest, *aquæ timorem* vocant; de quo medicis omnibus summa in solidis animalis partibus siccitas fieri videbatur, atque vnà adaucta naturalis caliditas, in igneam conuersa. Affectionem hanc caninum virus parit longo tẽpore, hoc est paulatim; atque ob id immedicabilior existit, quòd partium solidarum substãtia in aliam transeat conditionem; veluti in vitiliginibus, leucis appellatis, fieri consueuit, nempe & altiùs descendit hæc præter naturã affectio. Quum autem hæc alterent quidem solida corpora, sed nondũ alterauerunt, simul vt vacuata sunt, solidorum quoque alteratio cessat; interdúmq; die vno, interdum verò citiùs etiam, ad naturalem redeunt habitum. Nempe quum affectio fit, & nondum facta est, breuiter, separata efficiente ipsam causa, sedatur; si verò completa ea fuerit, etiam si vacuata fuerint, quæ affectionem procreauerint humida, nihil in sanationis ratione ampliùs existit. Simile enim quippiam contingit, quemadmodum in lignis euenit, quæ proximè mollem ignem sunt apposita; calefiunt siquidem valdè, sed nondum inuruntur; quæ si priùs ab igne separaueris, quàm inuri incipiant, celeriter contractam caliditatem deponunt; si verò tantum in se exceperint, vt inuri incipiant, etiam si ab igne tollantur, nihilo minus inuruntur. Quòd si lignum humidum in ignem eundem coniiciatur, non protinus accenditur, vt si vel stuppã, vel calamũ siccum, vel ellychnium cõieceris; & si post paulo lignũ huiusmodi sustuleris,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Χωρὶς σημείων, ἤτοι ἐκκρίσεως, ἢ πέψεως. ταὐτὸν δὲ δηλοῖ τῷ καθόλου ἐν ἀφορισμοῖς εἰρημένῳ τῷδε, τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως. ἡ γὰρ νῦν προκειμένη ῥῆσις ἀποχωρήσασα τοῦ καθόλου, τῶν ὑποπεπτωκότων αὐτῷ τι διδάσκει. περὶ γὰρ τῶν ὀλεθρίων ἀποφαίνεται μόνον, οὐχ ἁπλῶς τῶν μοχθηρῶν. οὐκ ἐξ ἅπαντος δὲ, πᾶν ὅτι περ ἂν ᾖ μοχθηρὸν, ἤδη τοῦτο καὶ ὀλέθριόν ἐστιν. ἀπεδείξαμεν γὰρ ἐν τῷ προγνωστικῷ, διαφορὰς πολλὰς τῶν μοχθηρῶν εἰρημένας, ἐφ' ὧν αὐτὸν τὸν Ἱπποκράτην, προσθήκῃ τῶν οἰκείων ὀνομάτων, ἐνδείκνυσθαι τὸ μέγεθος αὐτῶν. περὶ μὲν οὖν τῶν ἁπλῶς μοχθηρῶν, οὐ μὴν ὀλεθρίων γε, ἀρκεῖ τοῦτο μόνον γινώσκειν, ὡς οὐ χρὴ πιστεύειν αὐτοῖς ἀσήμως παυσαμένοις, ἐπανήξει μὲν γὰρ αὖθις, οὐ μὴν ἀποκτενεῖ γε τὸν ἄνθρωπον. ὅσα δὲ εἰς τοσοῦτον προήκει μοχθηρίας, ὡς ἐν τοῖς ὀλεθρίοις εἶναι, ταῦθ' ὅτι μὲν ἀπιστότερα τῶν μετρίως μοχθηρῶν ἐστιν, οὐ δυνάμενα πιστῶς παύσασθαι, χωρὶς ἐπιφανῶν σημείων, ἐν τοῖς περὶ κρίσεων ἐπὶ πλέον μοι δέδεικται. κατασκευάσαντα γὰρ ἐν τῷ χρόνῳ τὰ τοιαῦτα, βλάβην ἑκτικὴν, καὶ ἄλυτον ἐπανήξει κατὰ τὸ μέγεθος τῆς αὐτῶν κακίας τὸ τοῦ κινδύνου φέροντα μέγεθος. ἔνια γὰρ αἴτια τῶν κατὰ τὸ σῶμα γινομένων, παραπλησίαν ἔχει δύναμιν, τῷ τε τῶν λυττώντων κυνῶν ἰῷ, καὶ τῶν θανασίμων φαρμάκων ἐκείνοις, ὅσα κατὰ τὰ πεπονθότα, ἐπίδηλον οὐδὲν ἐν τῷ παραυτίκα σύμπτωμα ἐργάζεται, μετὰ δὲ τέτταρας, ἢ ἓξ μῆνας, ἢ καὶ πλείονα χρόνον ἀναιρεῖ τὸν ἄνθρωπον. ἴσμεν δὲ ἐνίους καὶ τῶν ὑπὸ κυνὸς λυττῶντος δηχθέντων, ὕστερόν ποτε δείσαντάς τε τὸ ὕδωρ, καὶ τελευτήσαντας, ἀπὸ τῆς πρώτης ἀρχῆς ἐν ᾗ δηχθέντες ἔτυχον, μετὰ δύο μῆνας, ἢ τρεῖς, ἢ τέτταρας, ἢ πολὺ πλείους. οἶδα γοῦν τινα καὶ μετ' ἐνιαυτὸν εἰς τοῦτο δὴ τὸ πάθος, ὃ καλοῦσιν ὑδροφόβον, ἐμπεσόντα, περὶ οὗ πᾶσι τοῖς ἰατροῖς ἔδοξεν ἐσχάτη γίνεσθαι ξηρότης ἐν τοῖς στερεοῖς τοῦ ζώου μορίοις, ἅμα τῷ καὶ τὴν κατὰ φύσιν θερμασίαν ἐπηυξῆσθαι, τετραμμένην ἐπὶ τὸ πυρῶδες. ταύτην οὖν τὴν διάθεσιν ὁ τοῦ κυνὸς ἰὸς ἐργάζεται, πολλῷ χρόνῳ κατὰ βραχὺ δηλονότι, καὶ διὰ τοῦτ' ἔστιν ἀνιατώτερον, διότι τῶν στερεῶν μορίων ἡ οὐσία μεταβάλλεται, καθάπερ εἴωθε κἀν ταῖς καλουμέναις λεύκαις γίνεσθαι. ἄχρι μὲν γὰρ ἐντὸς ἐστὶν ἡ παρὰ φύσιν διάθεσις, ἀλλοιούντων μὲν αὐτῶν τὰ στερεὰ σώματα, μηδέπω δὲ αὐτῶν ἠλλοιωκότων ἅμα τῷ κενωθῆναι ταῦτα, καὶ ἡ τῶν στερεῶν ἀλλοίωσις παύεται, ποτὲ μὲν ἡμέρᾳ μιᾷ, ποτὲ δὲ καὶ θᾶττον εἰς τὸ κατὰ φύσιν ἐπανερχομένων. γινομένη γὰρ ἡ διάθεσις, καὶ οὔπω γεγονυῖα, συντόμως ἀποκαθίσταται τοῦ ποιοῦντος αὐτὴν αἰτίου χωρισθέντος. συμπληρωθείσης δὲ αὐτῆς, κἂν ἐκκενωθῇ τὰ ποιήσαντα τὴν διάθεσιν ὑγρὰ, πλέον οὐδὲν εἰς ὑγείας λόγον. ὅμοιον γάρ τι συμβαίνει τῷ γινομένῳ περὶ τὰ ξύλα, τὰ πλησίον τοῦ μαλθακοῦ κειμένου πυρός. θερμαίνεται μὲν γὰρ μέχρι πολλοῦ, καίεται δὲ οὐδέπω, κἂν φθάσῃς ἀποχωρίσαι τοῦ πυρὸς αὐτὰ πρὶν ἄρξασθαι καίεσθαι, ταχέως ἀποτίθεται τὴν γεγονυῖαν αὐτοῖς θερμότητα. δεξάμενα δὲ εἰς ἑαυτὰ τοσοῦτον, ὡς ἄρξασθαι καίεσθαι, κἂν ἀπαχθῇ τοῦ πυρὸς, οὐδὲν ἧττον καίεται. κἂν εἰς αὐτὸ δὲ τὸ πῦρ ὑγρὸν ξύλον ἔλθοι, οὐκ εὐθέως ἅπτεται, καθάπερ εἰ στυππεῖον ἐνθείης, ἢ κάλαμον ξηρὸν, ἢ θρυαλλίδα, καὶ εἰ μετὰ βραχὺ βαστάσας τὸ τοιοῦτον ξύλον,

ἀποθήσεται τὴν ἐκ τοῦ πυρὸς ἐν αὐτῷ γενομένην ἀλλοίωσιν οὐ μετὰ πολὺν χρόνον. οὔκουν ἀπεικὸς, καὶ γεννηθῆναι κατὰ βραχὺ τοιοῦτον ἐν τῷ σώματι χυμὸν, ὁποῖος ὅ, τε τῶν λυττώντων κυνῶν ἐστι, καὶ τῶν ἐν χρόνῳ πλείονι διαφθειρόντων φαρμάκων, ὡς καὶ λανθάνειν τοὺς πολλοὺς τῶν ἰατρῶν, ὡς ἐπὶ τοῦ διὰ κόπον, ὡς ἔδοξε, μετριώτατον πυρέξαντος, ὃς μετὰ τὴν τετάρτην ἡμέραν ἀπέκρινεν οὖρον, τῇ μὲν συστάσει λεπτὸν, τῇ χροιᾷ δὲ μέλαν, ὡς ἐοικέναι κατ' ἄμφω τῇ γινομένῃ κράσει μέλανος ὀλίγου γραφικοῦ μιχθέντος ὕδατι πολλῷ, καὶ ἄλλως γε, εἰ μὴ τὸ μέλαν αὐτὸ νοήσαιμεν μεμιγμένον, ἀλλὰ κἂν τὴν καλουμένην ὑπὸ τῶν πολλῶν ἀσβόλην, ἣν ἄσβολον οἱ Ἕλληνες ὀνομάζουσιν. ὁ ἄνθρωπος οὗτος ἔδοξεν ἔχειν καλῶς κατὰ τὴν τετάρτην ἡμέραν, ὡς καὶ λούσασθαι ταῖς ἑξῆς ἡμέραις, εἶτα κατὰ τὴν ἑβδόμην ἡμέραν εἰς ἑσπέραν ἀρξάμενος πυρέττειν, ἀπέθανε μαρανθείς. τοῦτο αὐτὸ κατὰ τὴν προκειμένην ῥῆσιν διδάσκεται, τοῖς ἀρίστοις τῶν ἰατρῶν ὠφέλειαν φέρειν, οὐ τοῖς ἐπιτυχοῦσιν. οὗτοι γὰρ, οὐδὲ γινώσκουσι τὰ τῶν ὀλεθρίων νοσημάτων σημεῖα. νεανίσκος γοῦν τις ἐξέκρινεν ἅμα πυρετῷ βληχρῷ περίπλυσιν ἐρυθρὰν οὐκ ὀλίγην πολλάκις ἐν ἡμέρᾳ μιᾷ, καὶ νυκτὶ μετὰ χλιαροῦ πυρετοῦ, τοὐντεῦθεν ἔδοξε μετριώτερον ἔχειν, ὡς τῇ γ'. τῶν ἡμερῶν ἀπύρετος εἶναι δοκεῖν. ἐγὼ μὲν οὖν ἐπισκοπούμενος αὐτοῦ τὰ οὖρα, λεπτὰ καὶ λευκὰ, καθάπερ ὕδωρ ὄντα, τὴν κατὰ τὸ ἧπαρ ἀτονίαν ἐτεκμηράμην διαμένειν, ἐκέλευόν τε τοῖς πρὸς αὐτὴν ἁρμόττουσιν ἐπιθέμασί τε καὶ βρώμασι, καὶ συμπάσῃ τῇ διαίτῃ χρῆσθαι. καταγελάσας δέ μου τῶν ἀπὸ Θεσσαλοῦ τις ἰατρῶν, οὐ μόνον αὐτὸς οὐδέποτε τὴν δι' οὔρων ἐπίσκεψιν πεποιημένος, ἀλλὰ καὶ τοὺς ἐπισκεπτομένους αὐτοὺς γναφέας ἀποκαλῶν, κεκώλυκε βοηθεῖσθαι τὸν ἄνθρωπον, ἀναθρέψεως μόνης ἐπὶ κενώσει χρῄζειν εἰπών. ἀλλὰ καὶ τοῦτο κατὰ τὴν ἑβδόμην ἀπὸ τῆς ἀρχῆς ἡμέραν ἐπελθὸν τὸ νόσημα, φανερὸν ἐγένετο πᾶσιν ἡπατικὸν ὑπάρχειν. τὰ μὲν οὖν τοιαῦτα πάντα παρατρέχουσιν οἱ ἐξηγηταὶ μεγάλως ὄντα χρήσιμα, κατατρίβονται δ' ἐνίοτε περὶ λεξίδια μηδ' ὅλως χρήσιμα.

breui post interuallo deponet eam, quam ab igne contraxerat, alterationem. Non est igitur absurdum, vt talis in corpore paulatim progenitus sit humor, qualis est, & rabientium canum, & medicamentorum tractu temporis longiore corrumpentium, ita vt plerosque medicos lateant. Quomodo in eo, qui ob lassitudinem, vt videbatur, moderatissimè febriit, qui post quartum diem vrinam secreuit substantia quidem tenuem, sed colore nigram, vt in vtroque eam, quæ ex pauco atramento scriptorio aquæ multæ diluto consurgit, mixturam repræsentaret; atque modo alio, si non atramentum ipsum dilutum intellexerimus, certè eam, quæ à multis fuligo appellatur, quam ἄσβολον appellant Græci. Visus est æger hic quarto die bene habere ita, vt sequentibus diebus lauaret; deinde die septimo vesperi, quum febrire cœpisset, tabefactus obiit. Docetur autem in præsenti dictione id, quod optimis medicis opem affert, non vulgaribus; neque enim perniciosorum morborum signa hi nouerunt. Adolescens prætерea quidam excernebat cum febre imbecilla rubidam proluuiem non paucam; sæpiúsque die vno nocteque cum tepida febre; qui hinc moderatiùs habere est visus, ita vt tertio die à febre immunis esse videretur. Ego itaque vrinas ipsius, quæ tum tenues, tum albæ instar aquæ essent, conspiciens, iecinoris infirmitatem permanere conieci; præcepique, vt occurrerent huic idoneis tum epithematis, tum esculentis, & ratione viuendi vniuersa. Deridens verò me medicus quidam à Thessalo edoctus, qui non solùm ipse nunquam vrinas contemplatus erat, sed & contemplantes fullones appellabat, prohibuit, ne homini præsidium ferretur, sola post inanitionem refectione vtendum esse inquiens; sed morbus, septimo à principio die superueniens, patuit omnibus esse hepaticus. Talia igitur omnia, quæ valdè vtilia sunt, prætermittunt expositores, tempúsque interdum circa dictiunculas nullo pacto vtiles conterunt.

Περὶ τῶν ἐκλεύκων τε, καὶ ἀφρωδῶν, καὶ χολωδῶν διαχωρημάτων, καὶ οὔρων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νβ'.

Τὰ ἐν ὀξέσι χολώδεσιν ἔκλευκα, ἀφρώδεα, περίχολα διαχωρήματα, κακόν. κακὸν δὲ, καὶ οὖρα τοιαῦτα· ἆρα τουτέοισιν ἧπαρ ἐπώδυνον;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ πολλάκις ἤδη καὶ πρόσθεν εἰρημένον, ἐρῶ καὶ νῦν. ὁ συνθεὶς τὸ βιβλίον τοῦτο, φαίνεται μὲν ἀπὸ τῆς αὐτῆς ὢν Ἱπποκράτει τῷ μεγάλῳ τέχνης. ἀπολείπεται δ' αὐτοῦ πάμπολλα, καὶ διὰ τοῦτο ἐνίοις μὲν ἔδοξε τοῦ Δράκοντος Ἱπποκράτους, ἐνίοις δὲ, τοῦ Θεσσαλοῦ τὸ σύγγραμμα τοῦτο εἶναι. δύο γὰρ υἱεῖς τοῦ μεγάλου Ἱπποκράτους ὁμολογοῦνται γεγενῆσθαι, Δράκων, καὶ Θεσσαλὸς, ὧν ἑκατέρου πάλιν Ἱπποκράτης. εἴτ' οὖν ὑπὸ θατέρου τούτων, εἴτε καὶ ὑπ' ἄλλου τινὸς ἐγράφη τὸ βιβλίον, εἴτ' ἔφθασεν ὁ γράψας αὐτὸ πρὶν ἐκδοῦναι τοῖς Ἕλλησιν ἀποθανεῖν, περιττόν ἐστιν ἔργον ζητεῖν. ἱκανὰ γὰρ καὶ τὰ νῦν εἰρημένα περὶ αὐτοῦ. σπούδασμα δ' ἔστω τοῖς ἀναγινώσκουσιν αὐτὸ, τὴν διάνοιαν τῶν λεγομένων ἐξετάζειν. ἡ δὲ ἐξέτασις ἔστω διττὴ, πρός τε τὴν τῶν ὁμολογουμένων Ἱπποκράτους βιβλίων, καὶ πρὸς τὴν τῶν πραγμάτων ἀλήθειαν ἀναφερόντων ἡμῶν, ὅ, τι περ ἂν αὐτῷ λέγηται. καὶ νῦν αὐτὸ τὸ προκείμενον οὕτως ἐξετάσωμεν, ὡς ἐπιπλέκοντος ἐνίοτε

De albis, spumosis, & biliosis tum deiectionibus, tum vrinis.

HIPPOCRATIS PRÆDICTIO 52.

In acutis biliosis albicātes, spumosæ, & circū biliosæ deiectiones, malū; malū quoque, & vrinæ huiusmodi; an & his iecur dolore affectum?

COMMENTARIVS GALENI.

Qvòd sæpius iam, & antea dictum est, dicam & nunc. Qui librum hunc composuit, videtur quidem eiusdem cum magno Hippocrate esse artis; sed ipso longè est inferior; atque ob id quidā librum hunc, Draconis Hippocratis, alij Thessali, esse putauerunt. Duo siquidem magni Hippocratis filij fuisse perhibentur, Draco, & Thessalus; quorum vtriusque rursus filius Hippocrates. Siue igitur ab horum altero, siue ab alio quodam, scriptus sit liber; siue qui scripsit, priusquam Græcis publicaret, obierit; peruestigare superuacuum videtur; nam quæ de ipso dicta nunc sunt, sufficiunt. At legentes conquirere intelligentiam eorum, quæ dicuntur, studeant, sitque gemina inquisitio, id quod ab ipso dicatur, tum ad librorum Hippocratis confessorum, tum ad rerum veritatem, referentibus nobis. Et nunc sanè quod proponitur, ita inuestigabimus, quòd author plerunque symptomata

ſymptomata implicet, quorum vniuſcuiuſq; vires per ſe in prognoſtico didicimus. Nempe quòd deiectiones tum albicantes, tum ſpumoſæ, malæ ſint, dictum eſt in libro illo. Quòd præterea minùs periclitentur, quorum naturæ conuenit morbus, ex aphoriſmis conſtat; quare quibus non conuenit, hi magis periclitantur. Bilioſæ igitur deiectiones, & bilioſa veſicæ excrementa, cum bilioſis hominibus, & morbis, familiaritatem habent, & cognationem; non bilioſa autem, & albicantia his præter naturam ſunt, atque ob id praua cenſentur. Spumoſa verò deiectio naturis omnibus mala eſt. Quæ ſi tantummodo in oratione dicantur, nulla oborietur quæſtio; Verùm ſi adieceris circumbilioſa, maximam mouebis quæſtionem; quo etenim pacto fieri poteſt vt albicantia ſimul, & bilioſa deiiciantur? Vitiatam equidem, & hanc dictionem, veluti, & alias multas, exiſtimo; nempe cōmodius fuit, vt in ea ſcriberetur, non circum bilioſæ, vel omnino omiſſa fuiſſet hæc dictio, circum bilioſæ. Si verò dictionē, tanquam vitio carentē exiſtimare cogimur, è duobus alterum vt ſit, oportet; Nam vel vno tēpore albicantia, in altero circum bilioſa, deiici eſt putandū; vel ſi tēpore vno ſecerni vtraque quis aſſerere voluerit, albicantia quidem tum conſtantium, tum durorum excrementorum colorem indicabunt; circum bilioſa verò, ea quæ circa ipſa ſunt, bilem ſubſtantia tenuem habere. Conſueuerunt autem tales excretiones circum coloratas appellare. Vrinæ autem permiſceri quidem hoc pacto non poſſunt, ſed in his alterum eorum, quæ dicta ſunt, vel alterum, intelligere eſt neceſſe; atque vtraque eſſe mala, & albicans, & circum bilioſum. In vrinis autem circum bilioſum, quod ſuperfluè bilioſum eſt, de neceſſitate eſt intelligēdū; neque enim fieri poteſt, vt quomodo in deiectionibus circū bilioſa cum albicantibus fieri poſſe retuli, ita & in vrinis intelligatur. Quod autē in fine dictionis ſcriptū eſt, an & his iecur dolore affectū? rectè eſt dictū: nempe aliis doloroſum fit, & aliis non, propterea quòd hæc ob tum phlegmonem, tum obſtructionem, tum inflammatoriam quandam affectionem, & per ventrem, & per veſicam excernantur. Sed de talibus omnibus vnà cum peculiaribus demonſtrationibus in noſtris tractationibus diximus; vt neque nunc ſingulis in dictionibus phyſicas audire demonſtrationes conueniat, ſed ſolis his, quæ ex ipſis demonſtrata ſunt, vnumquenque contentum eſſe oporteat.

συμπτώματα τοῦδε τοῦ ἀνδρὸς, ὧν ἑκάστου καθ' ἑαυτὸ τὴν δύναμιν ἐμάθομεν ἐν τῷ προγνωστικῷ. τὰ γὰρ ἔκλευκα, καὶ τὰ ἀφρώδη διαχωρήματα, μοχθηρὰ λέλεκται κατ' ἐκεῖνο τὸ βιβλίον. ἀλλὰ καὶ ὅτι κινδυνεύουσιν ἐν ταῖς νόσοις ἧττον, οἷς ἂν οἰκείη τῆς φύσεως ἡ νόσος ᾖ, μεμαθήκαμεν ἐν τοῖς ἀφορισμοῖς, ὥσθ' ὅσοις ἂν μὴ οἰκεία τύχῃ, μᾶλλον οὗτοι κινδυνεύουσι. τοῖς οὖν χολώδεσιν, εἴτ' ἀνθρώποις, εἴτε νοσήμασι, χολώδες διαχωρεῖν, ἢ οὐρεῖν, οἰκεῖον. ἄχολα δὲ καὶ λευκὰ παρὰ τὴν φύσιν αὐτῶν ἐστι, καὶ διὰ τοῦτο μοχθηρά. ἀφρώδη δὲ διαχωρεῖν, ἁπάσαις φύσεσι κακόν. εἰ μὲν δὴ ταῦτ' εἴρητο μόνα κατὰ τὴν προκειμένην ῥῆσιν, οὐδὲν ἂν ἦν ζήτημα, προσκειμένου δὲ τοῦ περίχολα μέγιστον γίνεται ζήτημα. πῶς γὰρ ἂν χολώδεά τε ἅμα, καὶ ἔκλευκα διαχωρεῖσθαι δυνατόν ἐστι; ἐγὼ μὲν οὖν νομίζω, καὶ ταύτην τὴν λέξιν ἡμαρτῆσθαι, καθάπερ καὶ ἄλλας πολλάς. ἄμεινον γὰρ ἦν, ἢ μὴ περίχολα γεγράφθαι κατὰ αὐτὴν, ἢ μηδ' ὅλως γεγράφθαι τὰ ἔκλευκα, εἰ δέ περ ἀναγκαζόμεθα τὴν λέξιν, ὡς ἀναμάρτητον ἡγεῖσθαι, δυοῖν θάτερον, ἢ τὸν μὲν ἕνα καιρὸν, ἔκλευκα διαχωρεῖσθαι νομιστέον, ἐν ἑτέρῳ δὲ περίχολα, ἢ εἴ περ ἐνὶ χρόνῳ βούλοιτό τις ἀμφότερα λέγειν ἐκκρίνεσθαι, τὰ μὲν ἔκλευκα τῶν ἑστώτων τε, καὶ σκληρῶν διαχωρημάτων τὴν χρόαν δηλώσει, τὰ περίχολα δὲ, τὰ πέριξ αὐτῶν ἔχοντα χολὴν τῇ συστάσει λεπτήν. εἰώθασι δὲ ὀνομάζειν τὰς τοιαύτας ἐκκρίσεις περιχρόους. τά γε μὴν οὖρα, τοιοῦτον μὲν ἔχειν οὐδὲν δύναται μεμιγμένον, ἤτοι δὲ θάτερον τῶν εἰρημένων ἐπ' αὐτῶν, ἢ τὸ ἕτερον ἀκούειν ἀναγκαῖόν ἐστιν. ἄμφω δὲ μοχθηρὰ, τό τε ἔκλευκον καὶ τὸ περίχολον. ἀκοῦσαι δὲ ἐπὶ τῶν οὔρων, τὸ περίχολον ἀναγκαῖόν ἐστιν, αὐτὸ τὸ περιττῶς χολῶδες. οὐ γὰρ οἷόν τε κατὰ τὸν αὐτὸν τρόπον, ὃν ἐπὶ τῶν διαχωρημάτων εἶπον ἐγχωρεῖν γενέσθαι τὰ περίχολα μετὰ τῶν ἐκλεύκων, οὕτω κἀπὶ τῶν οὔρων ἀκούειν. ὃ ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψεν, ἆρά γε τούτοισι ἧπαρ ἐπώδυνον; ὀρθῶς εἴρηται. τισὶ μὲν γὰρ αὐτῶν ἐπώδυνον γίνεται, τισὶ δὲ οὔ, διὰ φλεγμονὴν, καὶ δι' ἔμφραξιν, καὶ διάθεσιν φλογώδη, κατά τε τὴν γαστέρα, καὶ διὰ τῆς κύστεως ἐκκρίνεσθαι. λέλεκται δέ σοι περὶ τῶν τοιούτων ἁπάντων, ἅμα ταῖς οἰκείαις ἀποδείξεσιν, ἐν ταῖς ἡμετέραις πραγματείαις, ὥστε οὐ χρὴ νῦν καθ' ἑκάστην ῥῆσιν ἀποδείξεις ἀκούειν φυσικὰς, ἀλλ' ἀρκεῖσθαι μόνοις τοῖς ἐξ αὐτῶν ἀποδεδειγμένοις.

De vocis interceptionibus conuulſiuis.

Περὶ τῶν ἀφωνιῶν σπασμωδῶν.

HIPPOCRATIS PRÆDICTIO 53.

SI vocis interceptiones in febribus, conuulſiuo modo obortæ, mentis alienationem cum ſilentio adferant, pernicioſum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νγʹ.

Αἱ ἐν πυρετοῖσιν ἀφωνίαι σπασμώδεα τρόπον, ἐξίσανται σιγῇ, ὀλέθριον.

COMMENTARIVS GALENI.

QVanquam vetera omnia exemplaria ita ſcripta ſint, librique interpretes omnes hoc pacto recipiant, quidam tamen ex iis, qui tum heri, tum nudius tertiùs nati ſunt, in eam, quæ expoſitu ipſis facilis ſit, tranſcribunt dictionem. Ego verò eum, qui de expoſitione dubitans, vitiatam eſſe dictionem ſuſpicetur, & ad id, quod verum appareat, tranſcribat, non increpo; ſed quòd expoſitionem faciat, vt ipſe tranſcribere eſt auſus, perinde atque ab initio, ita ſcriptum ſit, increpatione dignum eſſe arbitror. Quum verò plurimis in dictionibus

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἁπάντων μὲν τῶν παλαιῶν ἀντιγράφων τὴν γραφὴν ταύτην ἐχόντων, ἁπάντων δὲ τῶν ἐξηγησαμένων τὸ βιβλίον δεχομένων αὐτὴν, ἔνιοι τῶν χθὲς καὶ πρώην γεγονότων, μεταγράφουσιν εἰς τοιαύτην λέξιν, ἣν ἐξηγήσασθαι ῥᾷστον αὐτοῖς. ἐγὼ δὲ τὸν μὲν ἀποροῦντα περὶ τῆς ἐξηγήσεως, ὑπονοῆσαί τε τὴν λέξιν ἡμαρτῆσθαι, καὶ μεταγράψαι πρὸς τὸ φαινόμενον ἀληθὲς, οὐ μέμφομαι. τὸ δ' οὕτω γεγραμμένον ἐξ ἀρχῆς, ὡς αὐτὸς ἐτόλμησε μεταγράψαι τὴν ἐξήγησιν ποιεῖσθαι, μέμψεως ἄξιον εἶναι νομίζω. πεποιηκότων δ' ἐνίων τοῦτο κατὰ

πολλὰς λέξεις, ἐπὶ πάντων μεμνῆσθαι τῆς ῥᾳδιουργίας αὐτῶν, μακρὸν εἶναι νομίζω. ὥσπερ δὲ καὶ ἄλλα πολλὰ τῶν καθ' ὅλον τὸ βιβλίον γεγραμμένων, ἅπαξ, ἢ δὶς ἐπεσημηνάμην, οὕτω καὶ τοῦτο. λέλεκται μὲν οὖν μοι ταῦτα, διὰ τοὺς ὅλον ἀφελόντας τῆς προκειμένης ῥήσεως, τὸ, σιγῇ ὀλέθριον. ἐγὼ δὲ, ἡγοῦμαι τὴν διάνοιαν εἶναι τοιαύτην. αἱ ἐν πυρετοῖς ἀφωνίαι, ὅσαι κατὰ σπασμώδη τρόπον γίνονται, τελευτῶσιν εἰς τὴν μετὰ σιγῆς ἔκστασιν ὀλέθριον. τὸ δὴ, εἴτε πάθος, ἢ σύμπτωμα, προσυπακούσαι δεῖ τοῦτο, συνήθως οὕτως ἑρμηνεύοντος τοῦ γράψαντος τὸ βιβλίον. χρὴ τοίνυν τὸ, σιγῇ, κατὰ δοτικὴν πτῶσιν ἀκούειν, συντάττοντας τὸ, ἐξίστανται τῷ σιγῇ. κατὰ δοτικὴν δὲ πτῶσιν ἀκουόμενον τὸ, σιγῇ, οὐκέτι αὐτὸ σημαίνει μόνον τὸ, ἐξίστανται μετὰ σιγῆς, πάνυ κακόν. δῆλος γάρ ἐστι, πάλιν ὑποτάξας τῷ σιγῇ, τὸ ὀλέθριον, ὅπερ ἀκουστέον αὐτὸ τοῦ λεληθότως τε, καὶ ἀδήλως τοῖς πολλοῖς. γιγνομένων οὖν ἀφωνιῶν κατὰ πολλοὺς τρόπους, ὡς δέδεικται νῦν, ταύτας φησὶ, τὴν σπασμώδη τρόπον γινομένην ἀφωνίαν, εἰς τὴν μετὰ σιγῆς ἔκστασιν τελευτᾶν. τίνων τοίνυν σπασμώδη τρόπον ἀκουσόμεθα; εἴπῃ τις τῶν φωνητικῶν ὀργάνων, ἃ καὶ τῷ παραλελύσθαι, καὶ τῷ μηδ' ὅλως ὑπὸ τῆς προαιρέσεως κινεῖσθαι, τῆς ἀφωνίας αἴτια γίγνεται. τούτων οὖν τὴν διάθεσιν ἀφορίζων τὴν σπασμώδη, διὰ τοῦτο εἶπεν, αἱ ἐν πυρετοῖς ἀφωνίαι, σπασμώδεα τρόπον. αὗται τοίνυν, οὐ μετὰ θορύβου καὶ κραυγῆς, οὐ γὰρ δύνανται φωνεῖν οἱ ἄφωνοι γεγονότες, ἀλλὰ μετὰ σιγῆς εἰς ἔκστασιν ἀφικνοῦνται, καὶ ζήτημα οὐδέν ἐστι, πῶς ἐξίστανται μετὰ σιγῆς, οἱ μηδ' ὅλως φωνεῖν δυνάμενοι. πόθεν οὖν, φασὶ, γνωσόμεθα αὐτοὺς ἐξισταμένους; γελοιότατον ἐρωτῶντες ἐρώτημα, μόνοις πρέπον ἐκείνοις ἐρωτᾶν, ὅσοι μηδέ ποτε ἑωράκασι βεβλαμμένους τὴν διάνοιαν ἀνθρώπους. κἂν γὰρ μὴ φθέγγωνται, τῷ μὴ βλέπειν αὐτοὺς προσηκόντως τοὺς συνήθεις, μήτ' ἐρωτωμένους ἃ πεπόνθασι λέγειν, ἢ διὰ γραφῶν, ἢ νευμάτων ἐνδείκνυσθαι τι κινήσεις ἀλόγους, ἀναπηδῶντας, ἢ ἐσπασμένους ἀτάκτως, ἐνδεικτικόν ἐστι τῆς παραφροσύνης αὐτῶν, κἂν ἰσχυρὰς ἐκστατικὸν τούτων γὰρ τὸ πάθος, οὐ παραφροσύνην ἁπλῶς, ἀλλ' ἔκστασιν εἰκότως ὀνομάζομεν.

fecerint id nonnulli, malam ipsorum in omnibus adulterationẽ memorate longũ esse puto. Quo autem modo, & alia multa hoc toto libro scripta semel, aut bis annotaui, ita & hoc. Dicta igitur à mẽ sunt hæc propter eos, qui prorsus à præsenti oratione auferunt verba hæc duo, cum silentio perniciosum. Ego autem sensum talem esse autumo. Si in febre vocis priuationes, quæ conuulsiuo modo fiunt, desinant in eam, quæ cum silentio fit, ecstasim, perniciosum; perniciosum autẽ, vel pathema, vel symptoma subaudire oportet, libri authore ita ex cõsuetudine enunciante. Nomen igitur σιγῇ, idest, *cum silentio*, in casu dandi est intelligendũ; & cum verbo ἐξίστανται, idest, *mente mouentur*, construendũ, ordinandũque. In casu autẽ dandi intellectũ non amplius hoc significat solùm, si in mẽtis motionẽ transeant, cum silentio, valdè malũ; nam rursus eum nomini, silentio, verbũ, perniciosum, subiecisse constat; quod sanè intelligendũ pro latenter & obscurè vulgò. Quum ergo vocis interceptiones multis fiant modis, vt dictũ est, nũc eam, quæ conuulsiuo modo fit, in eam, quæ cum silẽtio efficitur, ecstasim desinere ait. Sed quorumnam cõuulsiuum modũ intelligemus? dixerit quis, vocaliũ instrumentorũ, quæ tum quòd resoluta sunt, tũ nullo pacto à volũtate moueantur, interceptionis vocis causa existunt. Ab his ergo affectionibus conuulsiuam distinguens inquit, *si in febribus vocis interceptiones conuulsiuo modo*. Non hæ igitur cũ tumultu & clamore (non enim vociferari possũt, qui voce sũt destituti) sed cũ silẽtio in ecstasim perueniunt; & nulla sanè quæstio est, quonã modo cũ silẽtio mẽte moueantur, qui nullo pacto vocẽ emittere possint. Vnde igitur (inquiunt) mẽte aberrantes eos cognoscimus? ridiculã admodũ interrogãtes interrogationẽ, solisq; iis interrogari dignã, qui nunquã ægros mente læsos conspexerint. Nempe & si non loquantur, quòd domesticos conuenienter ipsi non videant, neque quum interrogentur, affectionem dicant, vel scripto, vel nutibus; quòd item motus ostendant à ratione alienos, exilientes, vel inordinatè conuulsi, hæc desipientiam ipsorum indicant; & si valenter horum affectio excedat, iam non desipientiam simpliciter, sed ecstasim, idest, *insaniam*, iure appellamus.

Περὶ τῆς ἐκ πόνου ἀφωνίας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νδ'.

Αἱ ἐκ πόνου ἀφωνίαι, δυσθάνατοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ δυσθάνατοι, σημαίνει μὲν ποτὲ, καὶ τὸ βραδυθάνατοι. σημαίνει δὲ καὶ τὸ σὺν ὀδύνῃ θνήσκειν, ὅπερ εὔλογόν ἐστι, κατὰ τὴν προκειμένην ῥῆσιν εἰρῆσθαι, καὶ μάλιστα, ὅτι τοιαύτης ἀφωνίας ἐμνημόνευσεν ἐν τῇ περὶ αὐτῆς, ὀδυνηρὸν γὰρ πάθος, σπασμός.

De vocis ex dolore interceptione.

HIPPOCRATIS PRÆDICTIO 54.

Vocis ex dolore interceptiones, cum cruciatu lethales.

COMMENTARIVS GALENI.

Verbũ δυσθάνατοι, idest, *difficiles ad moriendũ*, modò qui tardiùs moriuntur, modò qui cum dolore, significat; quòd optima ratione in præsenti oratione dicitur; & maximè, quia vocis interceptionẽ huiusmodi in antecedẽte dictione memorauit; nempe conuulsio doloris plena est affectio.

Περὶ τῶν ἐξ ἀλγημάτων τῶν ὑποχονδρίων, κακοηθέων πυρετῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νε'.

Οἱ ἐξ ὑποχονδρίων ἀλγημάτων πυρετοὶ, κακοήθεες.

De febribus ex hypochondriis dolentibus malignis.

HIPPOCRATIS PRÆDICTIO 55.

Febres ex hypochondriorum doloribus, maligna.

COMMENTARIVS GALENI.

ORationem hanc, siue libri huius author, siue alius scripserit, non laudo; nisi etenim distinguatur, bifariam falsa est, quòd & gemina indigeat distinctione. Quum ergo non paucæ in hypochondriis sitæ sint partes, febres non sunt ex omnibus his malignæ; sed ex septo transuerso, ventriculo, & iecinore; scimus quoque, & musculos quosdã, qui inibi iacent, si inflãmentur, febrẽ accendere. Quin imò neque, vbi in iecore, vel ventre, vel septo transuerso, phlegmone oriatur, febris hæc cõtinuò maligna est; sed acuta forsan fuerit, quanquam ne hoc quidem perpetuò, nondũ verò maligna. Quòd autem neque acutam perpetuò fieri dicam, testatur experientia, & ratio demonstrat, ab externis inflammationibus conspicuam reportans fidem. Nam quum inflammationum magnitudinem perpetuò febris ex proportione sequatur, vt in hypochondriis non perpetuò partem aliquam ex præcipuis valenter inflammari est necesse, sic neque febrem inferri acutam. Orationem igitur his dimitto, qui & falsè dictorum causas falsas, tanquam veras, pronunciant. Ego verò, vt retuli, neque veterum cuiquam patrocinari, neque illis pertinaciter contradicere proposui; sed quæ verè tum fieri, tum apparere in ægris vidi, ea iis, qui medicam exercent artem, narrare.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴθ' ὁ συνθεὶς τὸ βιβλίον, εἴτ' ἄλλος ἔγραψεν αὐτὸς τήνδε τὴν ῥῆσιν, οὐκ ἐπαινῶ. χωρὶς γὰρ διορισμοῦ λεγομένη, διττῶς ἐστὶ ψευδής, ὅτι καὶ διττοῦ διορισμοῦ δεῖται. πολλῶν γὰρ ὄντων ἐν τοῖς ὑποχονδρίοις κειμένων μορίων, οὐκ ἐπὶ πᾶσιν αὐτοῖς οἱ πυρετοὶ κακοήθεις εἰσὶν, ἀλλ' ἐπὶ διαφράγματι, καὶ γαστρὶ, καὶ ἥπατι. γινώσκομεν δὲ, ὅτι καὶ τῶν μυῶν ἔνιοι τῶν ἐνταῦθα φλεγμαίνοντες, ἀνάπτουσι πυρετούς. οὐ μὴν, οὐδ' ὅταν ἐφ' ἥπατος, ἢ γαστρὸς, ἢ διαφράγματος φλεγμονὴ γίγνηται, πυρετὸς εὐθὺς οὗτος ἐστὶ κακοήθης, ἀλλ' ὀξὺς ἴσως ἂν εἴη, καίτοι γε οὐδὲ τοῦτο, κακοήθης δὲ οὐδέπω. διότι δὲ μηδ' ὀξὺν ἀεί φημι γίγνεσθαι, μάρτυρες μὲν καὶ ἡ πεῖρα, καὶ ὁ λόγος δὲ ἀποδείκνυσιν, ἀπὸ τῶν ἐκτὸς φλεγμονῶν ἐναργῆ κομιζόμενος πίστιν. ἀνάλογοι γὰρ ἀεὶ τοῖς μεγέθεσι τῶν φλεγμονῶν τῶν πυρετῶν ἀκολουθούντων. ὥσπερ οὐκ ἔστιν ἀναγκαῖον, καὶ φλεγμαίνειν ἰσχυρῶς τῶν ἐν ὑποχονδρίοις τι κυρίων μορίων, οὕτως οὐδὲ πυρετὸν ὀξὺν ἐπιφέρειν. ἀφίημι τοιγαροῦν τὴν λέξιν τοῖς, καὶ τῶν ψευδῶς εἰρημένων αἰτίας ψευδεῖς, ὡς ἀληθεῖς λέγουσιν. ἐμοὶ δὲ, ὡς ἔφην, οὔτε συναγορεύειν τινὶ πρόκειται τῶν παλαιῶν, οὔτε φιλονείκως αὐτοῖς ἀντιλέγειν, ἀλλ' ἅπερ ἀληθῶς οἶδα γιγνόμενά τε, καὶ φαινόμενα κατὰ τοὺς ἀρρώστους, ταῦτα καὶ τοῖς ἀσκοῦσι τὴν ἰατρικὴν τέχνην διέρχεσθαι.

De siti præter rationem soluta.

HIPPOCRATIS PRÆDICTIO 56.

Sitis præter rationem soluta in acutis, malum.

Περὶ τῆς παραλόγως λυθείσης δίψης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νς'.

Δίψα παραλόγως λυθεῖσα ἐν ὀξέσι, κακόν.

COMMENTARIVS GALENI.

EST & hic sermo pars illius vniuersalis, qui omnia non ex ratione leuantia, primùm quidem suspecta esse ait; deinde & periculosa sæpius, quum & ea ipsa, quæ præter rationẽ leuant symptomata, periculosa existant. Dictus autẽ & alius quidam in aphorismis vniuersalis sermo, in quo & id, quod nunc dicitur, est pronunciatum: *Qui etenim parte aliqua corporis dolent, & magna ex parte dolorem non sentiunt, his mens ægrotat.* Quòd igitur in acutis morbis sitim præter rationẽ solui signũ malum sit, declarat abundè, quæ præter rationem fit, solutio; quòd verò mentis læsio significetur, ex eo patet, quòd æger manentẽ adhuc affectionẽ non sentit, quanquã affectio doloris expers non sit. Quodnã autem παραλόγως, idest, *præter rationem*, indicet, tametsi sæpius plerisq; in locis dixerim, non perperam tamen, & in præsentia dicetur. Quum igitur neque per vomitum, neque per sudorem, neq; per deiectionem, neq; etiam per abscessum criticum, solui sitim cõtingat; non quòd affectio sedata fuerit, sed quòd sensus hebetatus fuerit; id si fiat, signum bonum non est. Quòd si & lingua sicca manente, vrinisque crudis existentibus sitis tollatur, certiùs adhuc malitiam affectionis dignoueris; atque adhuc, si medicus nihil tum refrigerantium, tum humectantium exteriùs adhibuerit; quandoquidem talia in acutis morbis magis sitim non tollere, sed mitigare, nata sunt. Prorsus autem in acutis morbis malum, si sitis perfectè tollatur. Atque hæc, quæ nuper dicta sunt, in exemplo eius, quæ præter naturam est, solutionis, memoria teneri velim, ne sæpius eadem audire tibi opus sit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Μέρος ἐστὶ καὶ τοῦτο τοῦ καθόλου λόγου, καθ' ὃν πάντα τὰ παρὰ λόγον ῥηΐζοντα, πρῶτον μὲν ἄπιστά φησιν ὑπάρχειν, εἶτα καὶ κινδυνώδη πολλάκις, ὅταν καὶ αὐτὰ παρὰ λόγον ῥηΐζοντα, τὰ κινδυνώδη συμπτώματα. εἴρηται δέ τις καὶ ἄλλος ἐν ἀφορισμοῖς καθόλου λόγος, ἐφ' ᾧ καὶ αὐτὸ λέλεκται τὸ νῦν εἰρημένον. ὁκόσοι γὰρ πονέοντές τι τοῦ σώματος, τὰ πολλὰ τῶν πόνων οὐκ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσεῖ. τὸ τοίνυν ἐν ὀξέσι νοσήμασι παραλόγως λυθῆναι δίψαν, ὅτι μὲν κακόν ἐστι σημεῖον αὐτὸ τὸ παρὰ λόγον λυθῆναι, διδάσκει ἱκανῶς. ὅτι δὲ καὶ τῆς γνώμης βλάβην σημαίνει, ἐκ τούτου δῆλόν ἐστιν, ὅτι τῆς διαθέσεως ἔτι μενούσης, ἀναίσθητός ἐστιν αὐτὸς, καίτοι γε ὀδυνηρᾶς οὔσης διαθέσεως. τὸ δὲ παραλόγως, ὁποῖόν τι δηλοῖ, πολλάκις μὲν ἐν πολλοῖς εἶπον, οὐ χεῖρον δὲ καὶ νῦν ἀναμνῆσαι· ὅταν μήθ' ἱδρῶτος γενομένου, μήτε ἐμέτου, μήτε διαχωρήσεως, ἀλλὰ μηδὲ ἀποστήματος κρισίμου, λυθῆναι συμβῇ τὴν δίψαν, οὐ τῷ πεπαῦσθαι τὴν διάθεσιν, ἀλλὰ τῷ τὴν αἴσθησιν ἠμαυρῶσθαι. τοῦτο γιγνόμενον, οὐκ ἀγαθόν ἐστι σημεῖον. ἐὰν δὲ γλώσσης ξηρᾶς μενούσης, καὶ τῶν οὔρων ἀπέπτων ὄντων, ἡ δίψα παύσηται, βεβαιότερον ἔτι διαγνώσῃ τὴν κακίαν τῆς διαθέσεως. ἐὰν δὲ, καὶ χωρὶς τοῦ τὸν ἰατρὸν ἐπιθεῖναί τι τῶν ψυχόντων τε καὶ ὑγραινόντων ἔξωθεν· ἐπειδὴ καὶ μᾶλλον τὰ τοιαῦτα τὴν ἐν ὀξέσι νοσήμασι δίψαν οὐ παύειν, ἀλλὰ πραΰνειν πέφυκεν, παντοίως δὲ κακὸν τὸ παύεσθαι τελέως τὴν δίψαν ἐν ὀξέσι νοσήμασι, καί μοι μέμνησο τῶν εἰρημένων ἄρτι, τοῦ τοῦ παραλόγως λύεσθαι παραδείγματι, ὅπως μὴ πολλάκις αὐτῶν χρήζῃς ἀκούειν.

Περὶ πολλοῦ ἐπὶ τῶν ὀξέων ἱδρῶτος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νζ'.

ΙΔρὼς πολὺς, ἅμα πυρετοῖσιν ὀξέσι γιγνόμενος, φλαῦρος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΩι πολὺς, μάλιστα πρόσεχε τὸν νοῦν, ἐπεί τοι πολλάκις ἐν ὀξέσι νοσήμασιν ἱδροῦντες ἀεὶ μετρίως, χρονίζουσι μὲν, οὐ μὴν ἀποθνήσκουσιν. εἰ δὲ καὶ πολὺς ἱδρὼς γένοιτο, μὴ λύων τὸν πυρετὸν, εὔδηλον ὅτι καταλυθήσεται ταχέως ἡ τοῦ κάμνοντος δύναμις.

De ſudore multo in acutis.

HIPPOCRATIS PRÆDICTIO 57.

SVdor multus, cum febribus acutis oboriens, malus.

COMMENTARIVS GALENI.

AD nomen, multus, mentem potiſſimum conuerte; quoniam ſæpius, qui in acutis morbis aſſiduè ſudāt mediocriter, quanquam cunctentur quidam trahántque, non tamen moriuntur. Si verò multus fuerit ſudor, qui febrem non ſoluat, quòd ægri virtus citò exoluetur, liquidò oſtendit.

Περὶ τῶν ἐπιπόνων οὔρων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νη'.

ΚΑὶ οὖρα δ' ἐπίπονα, πονηρόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑτὰ τὰ πλεῖστα τῶν ἀντιγράφων, οὖρα πέπονα γέγραπται, καὶ οἱ ἐξηγησάμενοι τὸ βιβλίον, οὕτως ἴσασι γεγραμμένον, ὅτι μὴ Ῥοῦφος ὁ Ἐφέσιος, ἀνὴρ, φυλάττειν μὲν ἀεὶ πειρώμενος τὰς παλαιὰς γραφάς. ἐνταυθοῖ δὲ ἐπιτιμῶν Ζεύξιδι, τῷ παλαιοτάτῳ ἐμπειρικῷ, τῷ εἰς ἅπαντα τὰ Ἱπποκράτους βιβλία γεγραφότι ὑπομνήματα, τάδε φησὶν αὐτοῖς ὀνόμασι. Ζεῦξις δὲ, εἰ ἄρα δεῖ καὶ τούτου μνημονεῦσαι, κατὰ πολὺ διαφεύγων τὸ ἀσύνετον, ἐνταῦθα διαπέφηνεν. ἐπιπεσὼν γὰρ ἁμαρτήματι, ἐφύλαξεν αὐτό. βούλεται γὰρ γεγράφθαι τὸ οὖρα πέπονα, ὡσεὶ καὶ οὖρα πυώδη, καὶ πάχος ἔχοντα μοχθηρὸν, οὐκ εἰδὼς τοῦθ', ὅτι ταῦτ' ἐν τοῖς μεγίστοις βοηθήμασι καταριθμεῖται. ταῦτα μὲν ὁ Ῥοῦφος οὐκ ἀγεννῶς ἔγραψε πρὸς τὸν Ζεῦξιν, ἡμαρτῆσθαι λέγων τὴν πέπονα γραφήν. ταύτης δὲ, τὴν, τὰ ἐπίπονα προελόμενος, ἵνα σημαίνῃ τὰ μετὰ πόνου ἀποκρινόμενα. τοῖς δὲ προσιεμένοις τὴν πέπονα γραφὴν, εἴρηταί τινα μὲν ἀπίθανα, μηδὲ τοῦ μνημονεύειν αὐτῶν ἄξια. πιθανὸν δέ τι δυνάμενον παρακρούσασθαι τοὺς πολλοὺς, τοιοῦτον· ἐπειδὴ φαίνεται λέγων ὁ Ἱπποκράτης, τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. διὰ τοῦτό φησι, καὶ τὰ πέπονα οὖρα, ὅταν μὴ λύῃ τὴν νόσον, οὐκ ἀγαθὸν εἶναι σημεῖον. ἀγνοοῦσι δ' οὗτοι κρίσιμα μὲν ὑφ' Ἱπποκράτους ὀνομαζόμενα, συμπτώματά τε καὶ σημεῖα, τὰ σημαίνοντα κρίσιν, ἢ καὶ ποιοῦντα παρ' ἑαυτῶν, καθάπερ αἱμορραγία, ἡ διὰ γαστρὸς κένωσις, οὔρων τε πλῆθος, ἔμετος, ἐπιμήνια, αἱμορροΐς, παρωτίδες, ἀποσκήμματα, πᾶν ἄλλο. τούτων δὲ ἕτερα, τὰ τῆς πέψεως σημεῖα περὶ ὧν αὐτὸς εἶπεν ἐν τῷ πρώτῳ τῶν ἐπιδημιῶν. οἱ δὲ πεπασμοὶ ταχύτητα κρίσεως, ἀσφάλειαν εἰς ὑγίειαν σημαίνουσιν, καὶ μέντοι κἀν τῷ προγνωστικῷ, ἐπὶ τῶν οὔρων αὐτὸς ἔγραψεν. οὖρον δὲ ἄριστον μέν ἐστιν, ὅταν ἡ ὑπόστασις λευκή τε εἴη, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἔστ' ἂν κριθῇ ἡ νοῦσος, σημαίνει τε γὰρ ἀσφάλειαν, καὶ τὸ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι. πάρεστι δέ σοι καὶ τήνδε τὴν τῶν νοσημάτων διήγησιν, ἐν τοῖς τῶν ἐπιδημιῶν βιβλίοις ἀναγνόντα μαθεῖν, ὡς οὐδεὶς τῶν ἀποθανόντων οὔρησε πέπονα. χρὴ δὲ γινώσκειν σε κατὰ πολλὰ τῶν ἀντιγράφων ἁπλῶς γεγραμμένον, καὶ οὖρα πέπονα μὴ προσκειμένου τοῦ πονηρά. ἐπενήνεκται γὰρ ὀλίγον ὕστερον, καὶ τούτοις, καὶ τοῖς ἐφεξῆς εἰρημένοις οὔροις, τὸ πονηρά.

De vrinis laborioſis.

HIPPOCRATIS PRÆDICTIO 58.

ATque vrinæ laborioſæ, malum.

COMMENTARIVS GALENI.

IN non paucis exemplaribus vrinæ coctæ, ſcriptum eſt; librique interpretes ita ſcriptum norunt; niſi quod Rufus vir Epheſius veteres ſcripturas obſeruare conatus, hoc in loco Zeuxidem increpet, tum vetuſtiſſimum empiricum, tum qui in omnes Hippocratis libros commentaria ſcripſit, his vſus verbis; Zeuxis autem (ſi vtique & ipſius meminiſſe oportet) quum diu effugiſſet inſcitiæ opinionem, hîc aperuit; obuiam enim vitio factus, in ipſo immoratus eſt. Vult enim vrinas coctas ſcriptas eſſe vt purulentas, & prauum continentes craſſamentum, nequaquam quòd hæ inter præſentiſſima numerarentur auxilia, conſpicatus. Hæc Rufus non ingeneroſè aduerſus Zeuxim ſcripſit, vitiatam quidem ſcripturam, qua vrinæ coctæ, ſcribatur, aſſerens, atque huic vrinæ, quæ cum labore excernuntur, præferens. Qui ſcripturam *πέπονα* recipiunt, hi nonnulla quidem tum improbabilia, tum memoratu indigna effutiunt; ſed probabile quiddam, quod vulgus in errorem pellere poſſit, hoc eſt; videtur ſiquidem dicere Hippocrates; *Criticorum non iudicantium alia lethalia, alia difficilem faciunt iudicationem.* Ob eam cauſam, & coctas vrinas, vbi morbum non ſoluunt, non bonum eſſe ſignum ait. Ignorant autem hi iudicatoria quidem ab Hippocrate appellari tum ſymptomata, tum ſigna, quæ iudicationem indicant, vel ex ſeſe etiam faciunt; vt eſt ſanguinis eruptio, per ventrem vacuatio, vrinarum copia, ſudores, vomitus, menſtrua, hæmorrhois, parotides, collectiones, & quodcunque aliud; quorum alia coctionis ſigna exiſtant, de quibus in primo epidemiorum ait; *Coctiones celeritatem portendunt iudicationis, ſecurámque ſanitatem.* Quin & in prognoſtico de vrinis ipſe ſcripſit; *Vrina optima eſt, ſi quod ſubſidet, album fuerit, læue & æquale per totum tempus, donec morbus iudicetur; ſecuritatem enim morbúmque breuem fore oſtendit.* Tibi autem, qui in epidemiorum libris morborum enarrationem legeris, conſtat nullum ex iis, qui mortem obierunt, coctas vrinas excreuiſſe. Cæterùm te latere non debet exemplaribus in multis ſimpliciter ſcriptum eſſe, vrinæ etiamnum coctæ, non adiecto nomine, malæ, nempe paulo poſt tum his, tum deinceps dictis vrinis adiectum eſt nomen, malæ.

De

De vrinis prauis.

HIPPOCRATIS PRÆDICTIO 59.

Rubræ quoque ex his efflorescentiæ retentæ, ac æruginosæ, malæ; paruas quoque veluti stillas apparere, malum.

COMMENTARIVS GALENI.

De vrinis iam dictis est sermo; sed claritatis gratia copulanda sunt hæc, vt tota dictio talis fiat; *Vrinæ etiamnum laboriosæ, & rubræ ex his efflorescentiæ si retinentur, & æruginosæ, malæ.* Oratio autem hæc, ex his, vult significare, ex vrinis, quæ cum labore excernuntur, & non ex coctis; nunquam enim ex coctis vrinis efflorescentiæ colore rubræ, neque æruginosæ superueniunt. Verbum si retinentur, adiectum est talibus vrinis, vel quòd ægrè excernantur, vel quòd prorsus detineantur, indicans. Sed forsan quis dixerit, fieri non posse, vt cuiusnam coloris sint, cognoscatur, si retinentur; verùm quum talia priùs minxerint, & post retentionem excreta fuerint, vbi vel ægri vi expresserint, vel arte sua medici prouocauerint, atque vnà cognitis tum colore tum retentione quisquis ita excerni dixerit, nequaquam mentietur. Ex eo autem, quòd sermoni adiectum sit, atque exigua paruáque velut stillæ, superapparentia, adhuc quoque coloris ipsorum notitia euidentior erit, & retentionis veritas. Volo autem, vt memoriæ mandes, quæ de subrubentibus vrinis in prognostico dicta sint, his verbis; *Vrina subrubens si fuerit, sedimentúmque tum subrubrum, tum læue, hæc priore quidem diuturnior, sed valde salubris.* Subrubrens igitur vrina, cuius meminit in prognostico, à prærubra de qua nunc agit, valde distat. Nempe quòd prærubra ex incoctis sit, supra ostendi; subrubentem verò commendat quidem tanquam salubrem, sed diuturnioris temporis signum esse ait. Quòd verò rubens vrina in medio tum prærubræ, tum subrubentis constituta, medium tum laudis tum vituperij obtineat, palam est omnibus.

Περὶ πονηρῶν οὔρων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ νθ'.

Καὶ τὰ ἐρυθρὰ ἐκ τούτων ἐπανθίσματα κατεχόμενα, καὶ τὰ ἰώδεα πονηρά. καὶ τὸ μικρὰ ἐπιφαίνεσθαι οἷον στάξιας.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περὶ τῶν εἰρημένων οὔρων ὁ λόγος. συνάψαι δὲ χρὴ ταῦτα σαφηνείας ἕνεκα, ὡς γενέσθαι τὴν ὅλην ῥῆσιν τοιάνδε. τὰ οὖρα ἐπίπονα, καὶ τὰ ἐρυθρὰ ἐκ τούτων ἐπανθίσματα κατεχόμενα, καὶ τὰ ἰώδεα, πονηρά. τὸ τοίνυν ἐκ τούτων, ἐκ τῶν ἐπιπόνων οὔρων βούλεται σημαίνειν, οὐκ ἐκ τῶν πεπόνων. οὐδὲ γὰρ ἐφίσταταί ποτε πεπανθεῖσιν οὔροις, οὔτε ἐπανθίσματα κατὰ χροιὰν ἐρυθρά, οὔτ' ἰώδη. τὸ δὲ κατεχόμενα πρόσκειται τοῖς τοιούτοις οὔροις, ἤτοι μόγις ἐκκρινόμενα δηλοῦν, ἢ καὶ τελείως ἰσχόμενα. φαίη δ' ἄν τις ἴσως ἀδύνατον εἶναι, τὰ κατεχόμενα διαγνῶναι τίνος ἐστὶ χροιᾶς, ἀλλ' ὅταν φθάνῃ τε πρότερον οὐρεῖσθαι τοιαῦτα, καὶ μετὰ τὴν ἐπίσχεσιν ἐκκριθῇ, βιασαμένων τῶν ἀρρώστων, ἢ καὶ πραγματευσαμένων τῶν ἰατρῶν, ἅμα τε τὰς χρόας αὐτῶν ἐγνῶσθαι, καὶ τὸ κατέχεσθαι, καὶ οὕτως ἀποκρίνεσθαι λέγων ἄν τις, οὐ ψεύσηται. προσκειμένου δὲ τῷ λόγῳ, καὶ τοῦ μικρὰ ἐπιφαίνεσθαι οἷον στάξιας, ἔτι καὶ μᾶλλον, ἥ τε τῆς χροιᾶς αὐτῶν γνῶσις ἐστὶ σαφής, καὶ ἀληθὲς τὸ κατέχεσθαι. μεμνῆσθαι δέ σε βούλομαι τῶν κατὰ τὸ προγνωστικὸν εἰρημένων, ἐπὶ τῶν ὑπερύθρων οὔρων κατὰ τήνδε τὴν λέξιν. εἰ δὲ εἴη τὸ οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις ὑπέρυθρός τε καὶ λείη, πολυχρονιώτερον μὲν τοῦτο τοῦ πρόσθεν γίνεται, σωτήριον δὲ κάρτα. τῶν τοίνυν ἐξερύθρων οὔρων ὧν νῦν μέμνηται, πάμπολυ διαφέρει τὸ κατὰ τὸ προγνωστικὸν ὑπέρυθρον λελεγμένον. τὸ μὲν γὰρ ἐξέρυθρον, ὅτι τῶν ἀπέπτων ἐστὶ, καὶ πρόσθεν ἐδήλωσα, τὸ δ' ὑπέρυθρον ἐπαινεῖ μὲν, ὡς σωτήριον· χρόνου δὲ πλείονος εἶναί φησι σημεῖον. ὅτι δὲ καὶ τὸ ἐρυθρὸν οὖρον ἐν τῷ μέσῳ τοῦ τ' ἐξερύθρου, καὶ τοῦ ὑπερύθρου τεταγμένον, ἐν τῷ μεταξὺ καθ' ἑκάτερον αὐτῶν ἐστὶν ἐπαίνου τε, καὶ ψόγου πρόδηλον.

De vomitibus variatis.

HIPPOCRATIS PRÆDICTIO 60.

Vomitus quoque cum varietate, malum, tum aliàs, tum si prope inter se prodeant.

COMMENTARIVS GALENI.

Permutauerit quis interpretationis absurditatem, qua libri author delectari videtur; erit autem sermo talis; Vomitus quoque cum varietate eorum, quæ vomuntur, malum signum existit, tum aliàs, tum vbi, quæ vomuntur propiùs, idest, non multo post tempore, sese consequantur. Atq; propter adiectum illud, *cum varietate*, corum quæ vomuntur, mentionem fecit; neque enim omnium quæ in prognostico dicuntur, videtur meminisse, nisi quis adiicere maluerit. Nempe in prognostico de vomitibus ita scriptum reperitur; *Si verò, quod vomitur, porri colorem repræsentet, vel liuens, vel nigrum fuerit, quicunque horum fuerit color, malũ esse est existimandum; si colores omnes idem homo vomuerit, valde perniciosũ existit.* Clarè quidẽ in prognostico

Περὶ τῶν ποικίλων ἐμέτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξ'.

Καὶ ἔμετοι μετὰ ποικιλίας, κακόν. ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὑπαλλάξειεν ἄν τις τὸ τῆς ἑρμηνείας ἀλλόκοτον, ᾧ φαίνεται χαίρων ὁ γράψας τὸ βιβλίον. ὁ δὲ λόγος ἔσται τοιοῦτος, καὶ ἔμετοι κατὰ ποικιλίας τῶν ἐμουμένων, κακὸν σημεῖόν ἐστιν, ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων τῶν ἐμουμένων, ὅπερ ἐστὶν οὐ μετὰ πολὺν χρόνον, καὶ διὰ τοῦ προσθεῖναι τοῦτο, τῆς ποικιλίας τῶν ἐμουμένων ἐμνημόνευσε. φαίνεται γὰρ οὐ πάντων τῶν ἐν τῷ προγνωστικῷ μνημονεύειν, εἰ μή τις προσθεῖναι βούλοιτο. γέγραπται δὲ ἐν τῷ προγνωστικῷ περὶ τῶν ἐμέτων οὕτως. εἰ δὲ εἴη τὸ ἐμούμενον πρασοειδές, ἢ πελιδνὸν, ἢ μέλαν, ὅ τι ἂν εἴη τούτων τῶν χρωμάτων, πονηρὸν χρὴ νομίζειν εἶναι. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἄνθρωπος ἐμέοι, κάρτα ὀλέθριον γίνεται. τὰ μὲν ἐν τῷ προγνωστικῷ

σαφῶς εἴρηται, μεμφομένου τοῦ Ἱπποκράτους τὴν ποικιλίαν τῶν ἐμουμένων, ἐπεὶ πολλὰς διαθέσεις μοχθηρὰς κατὰ τὸ σῶμα τοῦ κάμνοντος ἐνδείκνυται. κατὰ δὲ τὴν προκειμένην ἐνταῦθα ῥῆσιν, ὡς ἔφην ἄρτι, πρόσκειται, τὸ συνεχῶς ἐπ᾽ ἀλλήλοις ἐμεῖσθαι, τοὺς παρὰ φύσιν ἐν τῷ σώματι πλεονάζοντας χυμούς. ὅτι δὲ οἱ συνεχῶς κενούμενοι χείρους εἰσὶ τῶν διαλειπόντων, εὔδηλον παντί. πολλοὶ μέντοι τῶν ἐξηγησαμένων τὸ βιβλίον τοῦτο, μίαν ῥῆσιν ἐξ ἁπάντων ποιοῦνται τῶν ἀπὸ τῆσδε τῆς ἀρχῆς προειρημένων. ἱδρὼς πολὺς ἅμα πυρετοῖς ἐν ὀξέσι γινόμενος, φλαῦρον. ἀλλήλοις ἅπαντα συνῆφθαι βουλόμενοι ἄχρι τοῦ, ἄλλως τε καὶ ἐγγὺς ἀλλήλων ἰόντων, ὡς ἐφ᾽ ἑνὸς ἀῤῥώστου, μίαν συνδρομὴν ἡγεῖσθαι τῶν γεγραμμένων, μεταξὺ τῆς ἀρτίως ἀρχῆς εἰρημένης, καὶ τῆς ἐν τῇ προκειμένῃ ῥήσει τελευτῆς, καὶ δυνατόν ἐστι κατὰ τὴν διάνοιαν ταύτην ὑπὸ τοῦ γράψαντος τὸ βιβλίον, ἐζεῦχθαι ταῦτα τὰ εἰρημένα συμπτώματα· φαίνεται γάρ, ἐξ ἀνομοιογενῶν ἐνίοτε συνδρομὰς ποιούμενος.

dicta sunt hæc, varietatem eorum, quæ vomuntur, accusante Hippocrate, quòd affectiones multas in ægri corpore, quæ praue sint, demonstret. At in præsenti dictione, vt modò dixi, adiectum est, redundantes præter naturam in corpore humores continenter vicissim euomi. Quòd autem, qui continenter vacuantur, deteriores iis sunt, qui intermittunt, cuiuis patet. Plerique verò eorum, qui librum hunc exposuerunt, dictionem vnam ex omnibus conficiunt, quæ ante dicta sunt, ab hoc principio; *Sudor multus, si cum febribus acutis fiat; malus*; copulata esse omnia volentes ad vsque orationem hanc; Tum aliàs, tum si propiùs sese consequantur, vt in ægro vno concursionem scriptorum in medio nuper dicti principij, & finis huiusce præsentis dictionis comprehensorum, existiment. Fieríque potest, vt hoc sensu ab authore libri coniuncta fuerint prædicta hæc symptomata; nempe & ex dissimilibus genere concursiones interdum facere videtur.

Περὶ τοῦ μετὰ τῆς περιψύξεώς τε καὶ ῥίγους, ἀνιδρώτος ἀλυσμοῦ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξα΄.

ΟΚόσα ἐν κρισίμοις ἀλυσμῷ ἀνιδρωτὶ περιψύχεται, κακόν· καὶ τὰ ἐπιῤῥιγώσαντα ἐκ τουτέων, κακά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΤι καὶ τῶν κατὰ τὴν ῥῆσιν ταύτην, ἐκ τῶν ὑφ᾽ Ἱπποκράτους κατὰ μόνας εἰρημένων ἠθροισε τὴν συνδρομὴν εὔδηλόν ἐστιν. ὅ, τε γὰρ ἀλυσμὸς ἀεὶ κακόν, ὡσαύτως δὲ καὶ τὸ περιψύχεσθαι, ὡς πρὸς τοῦτον, κακόν ἐστιν. τὸ δὲ κατὰ τὰς κρισίμους ἡμέρας τὰ φαινόμενα πάντα, πιστότερα τῶν ἄλλων εἶναι, παρ᾽ ἐκείνου μεμαθήκαμεν. ἐνταυθοῖ δὲ πρόσκειται κακῶς τῷ ἀλυσμῷ, τὸ ἀνιδρωτί· δόξει μὲν γὰρ ὁ μεθ᾽ ἱδρῶτος ἀλυσμὸς οὐκ εἶναι κακός, ἢ εἴπερ ἐστίν, οὐδὲν ἧττον, ἀλλὰ καὶ μᾶλλον κακός, οὐ μόνον ἐκ περιττοῦ φανεῖται. τὸ γὰρ ἀνιδρωτὶ προσκείμενον, ἀλλὰ καὶ πρὸς κακοῦ τῶν ἀναγινωσκόντων τὸ βιβλίον, ἡγησομένων τὸν χωρὶς ἱδρῶτος ἀλυσμόν, κακοηθέστερον εἶναι τοῦ σὺν ἱδρῶτι. καὶ μέντοι καὶ τὸ κατὰ τὴν τελευτὴν εἰρημένον, καὶ τὰ ἐπιῤῥιγώσαντα ἐκ τούτων κακά, ψεῦδός ἐστιν ἁπλῶς οὕτως ῥηθέν, ὡς εἴρηται νῦν. ἐὰν μὴ προστεθῇ, καθάπερ τῷ ἀλυσμῷ, οὕτως καὶ τῷ ῥίγει, τό, χωρὶς ἱδρῶτος, καὶ μᾶλλον ἐπὶ τοῦ ῥίγους ἡ προσθήκη γνώριμός τε καὶ χρήσιμος. ὁ μὲν γὰρ ἱδρῶτος χωρὶς ἀλυσμός, ἧττον κακόν ἐστι. τὸ δὲ μὴ μεθ᾽ ἱδρῶτος ῥῖγος, μεῖζον κακόν, ὡς ἐάν γε κρίσιμον ῥῖγος ἐπ᾽ ἀλυσμῷ γένηται, λύει τὴν νόσον, καὶ ἱδρώτων ἐπιγινομένων, ἢ ἐμέτων χρηστῶν, ἢ γαστρὸς ὑπελθούσης.

De iactatione cum perfrigeratione, & rigore citra sudorem.

HIPPOCRATIS PRÆDICTIO 61.

QVæcunque in diebus iudicatoriis, cũ anxietate absq; sudore perfrigerantur, malum; & quæ ex his insuper riguerint, mala sunt.

COMMENTARIVS GALENI.

QVòd concursionem orationis huius ex his aceruauerit, quæ seorsum ab Hippocrate dicta sunt, nemo ignorat; nempe quòd anxietas semper mala sit: pari modo, & perfrigerationes tanquam consequentes, malæ sunt. Quòd verò omnia, quæ criticis diebus apparent, cæteris fideliora sint, ab ipso Hippocrate didicimus; hoc autem in loco anxietati, perperam adiacet, *absque sudore*; nempe anxietas cum sudore non mala esse videbitur: aut, si est, nihilominus, imò mala magis. Non solùm autem superuacuè oratio hæc, absque sudore, adiecta videbitur, verùm quoque & in detrimentum librum legentium, qui eam, quæ sine sudore est, anxietatem, ea, quæ cum sudore est, maligniorem esse existimabunt. Præterea quod in fine orationis dicitur, atque ex his superuenientes rigores mali, falsum est simpliciter ita dictum, vt nunc dictum est; nisi vt anxietati, ita, & rigori, adiectum fit, absque sudore, magísque rigori tum familiaris tum commoda adiectio existit; nam quæ sine sudore anxietas est, minùs mala est; rigor verò sine sudore maius malum; nam si criticus rigor ex anxietate fiat, morbum soluit, superuenientibus sudoribus, vel vomitionibus commodis, vel aluo subducta.

Περὶ τοῦ ἀκρήτου τε καὶ ἀσώδεος ἐμέτου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξβ΄.

ΕΜέσματα ἄκρητα, ἀσώδεα, πονηρά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΣΥγκειται πάλιν ἐνταῦθα δύο σημεῖα τῶν Ἱπποκράτους εἰρημένων πονηρῶν. ἐμάθομεν γὰρ ἐν τῷ καθόλου διδάσκοντος, καὶ τὰς ἀκράτους τῶν χυμῶν κενώσεις μοχθηράς, καὶ πᾶσαν ἄσην ἐν νόσοις. οὐ μόνον οὖν ἐμέσματα ἄκρητα, ἀσώδη, πονηρά, ἀλλὰ καὶ διαχωρήματα, καὶ πτύσματα, καὶ οὖρα, καὶ ὁποιοῦν ἄλλο.

De vomitu sincero, ac fastidioso.

HIPPOCRATIS PRÆDICTIO 62.

VOmitiones sinceræ atque fastidiosæ, malæ.

COMMENTARIVS GALENI.

COmposita sunt rursus hoc in loco signa duo ex iis, quæ ab Hippocrate mala esse dicta sũt; népe & quum vniuersaliter sinceras humorum vacuationes, & fastidium omne in morbis mala esse doceret, didicimus. Non solùm igitur vomitiones sinceræ, & fastidiosæ, malæ sunt; verùm quoque & deiectiones, & sputa, & vrinæ, & quiduis aliud.

De

De sopore.

HIPPOCRATIS PRÆDICTIO 63.

Sopor an vbique malus?

COMMENTARIVS GALENI.

AMbiguitatem nobis mouet dictio, quia significatum ex voce κάρυ, idest, *soporis*, non clarè dictum sit. Neque enim quum ex liberaliore vini potu soporatum quempiam dicamus (vt Plato in conuiuio de Poro dixit) morbosam vllam affectionem ostendimus; soporem autem, quem quis interpretando dixerit oratione longiore, profundum ægréque excitabilem somnum, hic videtur significare non bonum. Preterea quæstio non parua de morboso sopore oborta est, an eandem genere causam habens cum eo, qui ob vini potionem obortus est, difficilem solutionem assumpserit, an alterum genus causæ existat. Iure igitur ambigit de sopore, quærens, an omnino esse malum existimandum sit, an interdum, & bonum, & medium inter ea, quæ bona, & quæ mala dicuntur. Si enim & profundus, & excitatu difficilis somnus, sopor intelligitur, nullámque genere dissidentem affectionem sopor morbosus habeat, erit sanè aliquando sopor bona tum causa, tum signum. Vidimus enim in ægris quibusdam, qui tribus, vel quatuor deinceps diebus vigiles permanserant, difficilem excitatu somnum superuenientem; qui prorsus nocte diéque perseuerans, magnum attulit auxilium; Sæpius quoque & in infantibus somnum eiusmodi superuenientem non vno die solum, verùm quoque & duobus ex ordine diebus, magno ipsis fuisse commodo conspexi. Si verò morbosi soporis alia genere fuerit affectio, somnum profundum à caro discrepare asseremus, atque quòd soporosum sit, vbique malum esse. Demonstrauimus autem vigilias quidem fieri propter tum siccitatem, tum caliditatem primæ sentientis partis, idest, cerebri; somnum verò ex contrariis, quum scilicet ex humidi vtilis copia grauetur corpus, quo modo ex crapula profundus somnus oritur, quem soporem, si lubet, appellare potes. Non discrepante autem affectione, in nomine solùm controuersia est. Quum verò cerebrum ob pituitam tum humectetur, tum refrigeretur, in lethargicis affectionibus coma erit; quod & ipsum, si lubet, soporem appellare poteris. Sunt qui vbi æger tum motu, tum sensu tempore aliquo priuatur, etiam si vel stimules vel ferias, vel inclamites, soporem appellant; qualis in quibusdam visitur, vbi temporalibus in musculis vehementer percussi fuerint. Videtur quoque sæpius, & in febrilium morborum accessionibus, in quibus neque stimulantes, neque ferientes, nedum inclamitantes, sentiunt ægri. Si ergo pathema eiusmodi quis soporem appellauerit; difficilem vero excitatu constitutionem, & coma, & cataphoram; tertius autem ab ipsis somnum profundum, cuius primum meminimus; nunquam quòd coma bonum sit, nedum quòd sopor, dicere oportet. Si verò quis de recensitis affectionibus dubitauerit, alias eas esse affirmans, vel non, vt ego nunc dico, in re controuersus erit, si verò, vt dictum est, fieri concesserit, nominibus aliter vsus, in his solùm à nobis dissidebit.

Περὶ κάρου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξγʹ.

ΤΟ καρῶδες, ἆρά γε πανταχοῦ, κακόν;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΠορίαν ἡμῖν ἡ ῥῆσις κινεῖ, διὰ τὸ μὴ σαφῶς εἰρῆσθαι τὸ σημαινόμενον ἐκ τῆς κάρου φωνῆς. ὅταν οὖν ἐν οἴνου πόσει πλείονι κεκαρωμένον τινὰ λέγωμεν, ὥσπερ ὁ Πλάτων ἐπὶ τοῦ Πόρου κατὰ τὸ συμπόσιον εἶπεν, οὐδεμίαν ἐνδεικνύμεθα νοσώδη διάθεσιν. ὃ δ' αὖ εἴποι τις ἑρμηνεύων λόγῳ μακροτέρῳ, βαθὺν καὶ δυσέγερτον ὕπνον, κάρος ἐνταῦθα φαίνεται σημαίνειν οὐ χρηστόν. ἀλλὰ καὶ ζήτησις οὐ σμικρὰ γέγονε περὶ τοῦ νοσώδους κάρου, πότερον τὴν αὐτὴν κατὰ γένος αἰτίαν ἔχων, τῷ διὰ τὸν οἶνον κάρῳ, τὸ δύσλυτον προσείληφεν, ἢ γένος ἕτερόν ἐστι τῆς αἰτίας. εἰκότως οὖν ἀπορεῖ περὶ τοῦ κάρου, ζητῶν εἴ τε παντελῶς εἶναι χρὴ νομίζειν κακόν, εἴ τέ ποτε καὶ ἀγαθόν, καὶ μέσον ἀγαθῶν τε καὶ κακῶν. ἐὰν γὰρ ὁ βαθύς τε καὶ δυσδιέγερτος ὕπνος ἀκούηται κάρος, οὐκ ἔχοντος ἑτέραν τῷ γένει διάθεσιν τοῦ νοσώδους κάρου, γένοιτ' ἂν ποτε ἀγαθὸν αἴτιόν τε καὶ σημεῖον ὁ κάρος. ἑωράκαμεν οὖν ἐπ' ἐνίων ἀρρώστων, ἠγρυπνηκότων ἐφεξῆς ἡμέραις τρισὶν, ἢ τέτταρσι, δυσδιέγερτον ὕπνον γενόμενον, ὡς ὅλας ἡμέρας τε, καὶ νύκτας ὠφελῆσαι μεγάλως. ἐπὶ δὲ παιδίων εἶδον πολλάκις, οὐ μιᾶς μόνον, ἀλλὰ καὶ δυοῖν ἡμερῶν ἐφεξῆς, ἐπ' ὠφελείᾳ μεγάλῃ γενόμενον τοιοῦτον. ἐὰν δ' ἑτέρα τῷ γένει διάθεσις εἴη τοῦ νοσώδους κάρου, διαφέρειν μὲν ἐροῦμεν ὕπνον βαθὺν τοῦ κάρου. τὸ δὲ καρῶδες, πανταχοῦ κακὸν εἶναι. δεδειγμένου δ' ἡμῖν, ἐγρήγορσιν μὲν γίνεσθαι, διά τε ξηρότητα, καὶ θερμότητα τοῦ πρώτου αἰσθητικοῦ μορίου, τουτέστι τοῦ ἐγκεφάλου. τὸν δ' ὕπνον ἐπὶ τοῖς ἐναντίοις, ὅταν ὑπὸ πλήθους ὑγροῦ χρηστοῦ βαρύνηται τὸ σῶμα, καθάπερ ἐν ταῖς μέθαις ὕπνος ἐστὶ βαθύς, ὃν ἔξεστι τῷ βουλομένῳ κάρον ὀνομάζειν. ὁμολογηθείσης δὲ τῆς διαθέσεως, ἐν ὀνόματι μόνον ἡ διαφωνία γίνεται. ὅταν δ' ὑπὸ φλέγματος ὁ ἐγκέφαλος ὑγρανθῇ, καὶ ψυχθῇ, τὸ κατὰ τὰς ληθαργικὰς διαθέσεις ἔσται κῶμα, καὶ καλεῖν ἔξεστι τῷ βουλομένῳ, καὶ τοῦτο κάρον. ἔνιοι δ', ὅταν ἀκίνητος καὶ ἀναίσθητος ὁ ἄνθρωπος ἐπὶ χρόνον τινὰ γένηται, κἂν νύττῃς αὐτόν, κἂν πλήττῃς, κἂν ἐκβοᾷς ὀνομάζουσι κάρον, ὁποῖος ἐνίοις γίνεται τῶν πληγέντων σφοδρῶς τὴν κεφαλὴν, κατὰ τοὺς κροταφίτας μῦς. ὁρᾶται δὲ πολλάκις ἡμῖν, καὶ κατὰ τὰς πυρετώδεις νόσους ἐν ἐπισημασίαις, καθ' ἃς οὔτε νυττόντων, οὔτε θλώντων οἱ κάμνοντες αἰσθάνονται, καὶ πολλῷ μᾶλλον βοώντων. ἐὰν οὖν τις τὸ μὲν τοιοῦτον πάθημα κάρον ὀνομάζῃ, τὴν δὲ δυσδιέγερτον κατάστασιν, κῶμά τε, καὶ καταφορὰν· τὸ δὲ τρίτον ἐπ' αὐτοῖς, ὑφ' οὗ πρῶτον ἦλθον, ὕπνον βαθύν· οὔτε κῶμά ποτε ἀγαθόν, οὔτε πολὺ μᾶλλον αὐτὸν τὸν κάρον λέγεσθαι χρή. ἐὰν οὖν δή τις ἀμφισβητεῖ περὶ τῶν εἰρημένων διαθέσεων, ἑτέροις γίνεσθαι λέγων αὐτὰς, ἢ οὐχ, ὡς ἐγὼ νῦν λέγω, ἐν πράγματι μὲν οὐ διαφωνήσει, συγχωρῶν δὲ, ὡς εἴρηται γίνεσθαι, τοῖς ὀνόμασιν ἑτέρως χρώμενος, ἐν τούτοις μόνον ἡμῖν διενεχθήσεται.

Περὶ τῆς ἀγνοίας μετὰ ῥίγεός τε καὶ λήθης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξδ'.

Μετὰ ῥίγεος ἄγνοια, κακόν. κακὸν δὲ, καὶ λήθη.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴ τε μετὰ ῥίγεος γεγραμμένον εἴη, ὡς γενικὴν δηλοῦσθαι πτῶσιν, εἴ τε μετὰ ῥῖγος, ὡς αἰτιατικὴν, ἐγγὺς ἀλλήλων εἰσὶν αἱ διάνοιαι τῶν λόγων ἑκατέρων, νενικῆσθαι γὰρ δηλοῖ τὴν ἔμφυτον θερμασίαν, ὑπὸ τῆς κατὰ τὸ σύμπτωμα ψύξεως, ἡ μετὰ ῥίγους ἄγνοια καὶ λήθη. ἐμάθομεν γὰρ, ὅτι καὶ τὸ μὴ γνωρίζειν τοὺς συνήθεις, καὶ τὸ μὴ μεμνῆσθαι τῶν πεπραγμένων, ἐπὶ τῇ κατὰ τὸν ἐγκέφαλον γίνεται ψύξει. καὶ πρόδηλον, ὡς ἑκάτερον, καὶ καθ' ἑαυτὸ μοχθηρόν ἐστι σύμπτωμα, καὶ εἰ ἄμφω γένηται, διπλασίως ἄτοπον.

De ignorantia cum rigore, & obliuione.

HIPPOCRATIS PRÆDICTIO 64.

Ignorãtia cũ rigore malũ; malũ quoq; & obliuio.

COMMENTARIVS GALENI.

Siue cum rigore in gignendi casu, siue post rigorem in casu accusandi scriptum sit, non admodum dissident inter se sermonis vtriusque intelligentiæ; nam cum rigore ignorantia, & obliuio victum calorem natiuum ab ea, quæ symptomatica est, refrigeratione indicant. Quòd enim non cognoscant familiares, neque factorum recordentur, ex cerebri refrigeratione enasci id constat. Patétque vtrunque per se malum symptoma esse, & si ambo simul fiant, geminari prauitatem.

Περὶ τῶν μὴ ἀναθερμαινομένων καταψύξεων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξε'.

Αἱ ἐκ ῥίγεος καταψύξιες, μὴ ἀναθερμαινόμεναι, κακαί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀσθένειαν δηλοῖ, καὶ νέκρωσιν τῆς ἐμφύτου θερμασίας, ἡ τοιαύτη κατάψυξις.

De perfrigerationibus non recalescentibus.

HIPPOCRATIS PRÆDICTIO 65.

Ex rigore perfrigerationes, non recalescentes, malæ.

COMMENTARIVS GALENI.

Inopiam caloris natiui, extinctionémque talis refrigeratio indicat.

Περὶ πονηρῶν ἱδρώτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξς'.

Οἱ ἐκ καταψύξεως ἱδρώδεες ἀναθερμαινόμενοι, κακόν· ἐπὶ τούτοις ἐν πλευρῇσι καῦμα ὀδυνῶδες, καὶ τὸ ἐπιρριγῶσαι, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀναθερμαινομένους ἀκοῦσαι νῦν χρὴ, τοὺς ἀναπυρέττοντας. ἔστι δὲ ὁ λόγος τοιοῦτος, ἐὰν ἱδρώσας τις ἐν νόσῳ, ψυχρότερος μὲν ἐν τῷ παραχρῆμα γένηται τοῦ κατὰ φύσιν, ἀναπυρέξῃ δ' αὖθις, οὐκ ἀκινδύνως διάκειται. τοῦτο μὲν οὖν, ὅτι καὶ αὐτὸ κακόν ἐστι, πρόδηλον πᾶσι. συνάπτει δ' αὐτῷ, καθάπερ ἐπ' ἄλλων, συμπτώματά τινα, διαφερούσαις ἑπόμενα διαθέσεσι. τὸ γὰρ ἐν τῇ πλευρᾷ καῦμα ὀδυνῶδες, σημεῖόν ἐστι τῆς ἐν ἐκείνῳ τῷ μορίῳ φλεγμονῆς, δι' ἣν αὖ ἐπύρεξεν. ἐὰν δὲ καὶ ῥῖγος αὐτοῖς ἐπιγένηται, καὶ διαπυῆσαι προσδόκα τὴν φλεγμονήν. ὥσπερ δὲ ἐπὶ πλευρᾷ φλεγμαινούσῃ, δυνατὸν ἀναπυρέξαι τὸν ἄνθρωπον, οὕτω καὶ διὰ πνεύμονα, καὶ δι' ἧπαρ, ἢ κοιλίαν, ἢ ὁποιονοῦν ἄλλο. μερικὸς οὖν καὶ αὐτὸς ὁ λόγος, καὶ οὐ καθόλου, καὶ μέντοι καὶ κατὰ σύνθεσιν οὐχ ὁμοιογενῶν σημείων.

De sudoribus prauis.

HIPPOCRATIS PRÆDICTIO 66.

Sudantes ex perfrictione recalescentes, malum: in his laterum æstus cum dolore, & rigor superueniens, malum.

COMMENTARIVS GALENI.

Recalescẽtes, nunc intelligere oportet eos, qui rursus febricitant. Sermo autẽ talis est; Si in morbo quis, posteaquã sudauerit, frigidior quidẽ protinus, quã naturæ cõueniat, fiat; rursúsq; febricitet, nõ sine periculo afficitur. Quòd autẽ, & id ipsum malũ sit, cuiuis patet. Cõnectit autẽ huic, veluti & in aliis, symptomata quædam, quæ diuersas comitãtur affectiones; lateris siquidẽ æstus dolorosus, signũ est phlegmones, quę partẽ eã infestet, ob quã febricitauit; si verò, & rigor ipsis superuenerit, suppuratũ expecta phlegmonẽ. Quo autẽ modo fieri potest, vt ex latere phlegmone obsesso æger rursum febriat, sic & ex pulmone, ex hepate, vel vẽtre, vel quauis alia parte. Particularis igitur sermo, & is est, non vniuersalis, præterea & secũdum compositionem dissimilis generis signorum.

Περὶ καυματωδῶν τε, καὶ κωματωδῶν ῥιγέων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξζ'.

Τὰ καυματώδεα ῥίγεα, ὑπό τι ὀλέθρια, καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος, ἐν τούτοις κακὸν, ἐπὶ τούτοις ἡ ψύξις τῶν ὄπισθεν, σπασμὸν ἐπικαλέεται.

De æstuosis & comatosis rigoribus.

HIPPOCRATIS PRÆDICTIO 67.

Æstuosi rigores quadantenus perniciosi, & flammea cum sudore facies in his, mala; ex his posteriorum partium refrigeratio, conuulsionem accersit.

COM-

COMMENTARIVS GALENI. A ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Siue καυματώδεις. i. *æstuosi*, prima syllaba per α & υ, scriptum fuerit, siue κωματώδεις *comatosi* per ω, difficilem grauemque verbum vtrunque indicat affectionem. Nam qui vniuersaliter de rigore intellexerunt, perpetuò eos meminisse oportet, Quòd in tertiana vel in quartana eueniens, talium febrium peculiare est symptoma. In morbis verò postea apparens, si crisim non intulerit, deterrimum existit. Scis etenim, quòd iudicatoriorum non iudicantium quædam lethalia sint, & quædam difficilis iudicij. Rursum huic symptomata alia coniunxit affectionum, quæ non necessariò cum rigore fiunt. Dictum autem antea, quòd quanto plura periculosa homini fiant symptomata, tanto fideliorem in eo efficiant prædictionem; quomodo, si & signorum salubrium multa appareant, eo certior fit salutis expectatio. Non ignoramus autem, quòd etiam sine rigore flammea cum sudore facies, malum est signum, quoniam & vnum ex iudicatoriis sudor sit. Quum igitur non iudicauerit, malignitatem morbi ostendit. Ex his autem refrigeratis posterioribus partibus conuulsionem non absque ratione speraueris, quoniam & partes neruosæ sint, & frigus conuulsionem pariat.

Εἴτε καυματώδεα, γεγραμμένον εἴη, τῆς πρώτης συλλαβῆς διὰ τοῦ α καὶ υ γεγραμμένης, εἴτε κωματώδεα, διὰ τοῦ ω, χαλεπὴν ἑκάτερον ἐνδείκνυται τὴν διάθεσιν. οἱ γὰρ τῷ καθόλου, περὶ ῥίγους ἐγνωκότες, καὶ μεμνῆσθαι διὰ παντὸς, ὡς ἐν μὲν τριταίῳ καὶ τεταρταίῳ γινόμενον, οἰκεῖόν ἐστι σύμπτωμα τῶν τοιούτων πυρετῶν, ἐν νόσοις δ' ἐπιφαινόμενον, ἐὰν μὴ κρίσιν ἐπενέγκῃ, κάκιστον. ἔμαθες γὰρ ὡς τὰ κρίσιμα, μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. πάλιν καὶ τούτῳ συνῆψεν ἕτερα συμπτώματα διαθέσεων οὐκ ἀναγκαίως ἅμα ῥίγει γίγνεσθαι. B λέλεκται δὲ καὶ πρόσθεν, ὡς ὅσῳ ἂν πλείονα συμπτώματα κινδυνώδη περὶ τὸν ἄνθρωπον γίγνηται, τὴν ἐν αὐτῷ πρόρρησιν ἀξιοπιστοτέραν ἐργάζεται τοῖς ἰατροῖς, ὥσπερ εἰ καὶ τῶν σωτηρίων σημείων πολλὰ φαίνοιτο· καὶ γὰρ καὶ οὕτω βεβαιοτέρα ἡ τῆς σωτηρίας ἐλπίς. ἴσμεν δ', ὅτι καὶ χωρὶς τοῦ ῥίγους, τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος, κακόν ἐστι σημεῖον, ἓν γάρ τι τῶν κρισίμων, καὶ ὁ ἱδρώς ἐστιν. ὅταν οὖν μὴ κρίνῃ, τὴν κακοήθειαν ἐνδείκνυται τοῦ νοσήματος, ἐπὶ τούτοις δὲ καταψυχθέντων τῶν ὀπίσω, σπασμὸν οὐκ ἄν τις ἀλόγως ἐλπίσειεν, ὅτι καὶ τὰ μέρη νευρώδη, C καὶ ἡ ψύξις, σπασμοῦ ποιητική.

De sudantibus vigilibus, recalescentibus.

Περὶ τῶν ἐφιδρώντων ἀγρύπνων ἀναθερμαινομένων.

HIPPOCRATIS PRÆDICTIO 68.

Parum sudantes vigiles, recalescentes, malum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξη'.

Οἱ ἐφιδρῶντες ἄγρυπνοι, ἀναθερμαινόμενοι, κακόν.

COMMENTARIVS GALENI. ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Si, quod de ita complicatis dictum est, memoria non excidit, non est, quod amplius nostra indigeatis explicatione. Nempe talia omnia subiacent tantulo huic vniuersali; *Iudicatoriorum non iudicantium quædam lethalia, & quædam difficilis sunt iudicij.*

D Εἰ μέμνησθε τοῦ πολλάκις εἰρημένου περὶ τῶν οὕτω συμπλεκομένων, τῆς παρ' ἡμῶν ἐξηγήσεως οὐκέτι χρῄζετε. ὑπάγεται γὰρ ἐν ὀλίγῳ καθόλου, πάντα τὰ τοιαῦτα, τῷ τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδη, τὰ δὲ δύσκριτα.

De oculi distortione ex dolorum è lumbis recursu.

Περὶ τῆς ἰλλώσεως ὀφθαλμοῦ ἐκ τῆς τῶν ἐξ ὀσφύος ἀλγημάτων ἀναδρομῆς.

HIPPOCRATIS PRÆDICTIO 69.

Ex lumborum recursu oculi peruersio malum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ξθ'.

Ἐξ ὀσφύος ἀναδρομῆς, ὀφθαλμοῦ ἴλλωσις κακόν.

COMMENTARIVS GALENI. E ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Fieri non potest, vt aliud quippiam intelligatur, quàm quòd lumborum doloribus ad superiorem transeuntibus regionem, principium quoque neruorum affici contingit, cuius symptoma est oculorum peruersio. Nam, quæ à cerebro neruorum propaginem assumunt partes, quum spinalis medulla talem non patitur affectum, suas affectiones demonstrant. Hic autem sermo iis similis est, quæ in prognostico, ita dicta sunt, *Qui cum febre circa lumbos, & infernas sedes fiunt dolores, si septum transuersum relictis infernis regionibus attigerint, lethales admodum existunt.*

Οὐδὲν ἄλλο νοῆσαι δυνατόν ἐστιν, ἢ ὅτι τῶν κατ' ὀσφὺν ἀλγημάτων, εἰς τὴν ἄνω χώραν μεταστάντων, ἐγχωρεῖ καὶ τὴν ἀρχὴν τῶν νεύρων παθεῖν, ἧς σύμπτωμά ἐστιν, ἡ τῶν ὀφθαλμῶν διαστροφή. τὰ γὰρ ἀπ' ἐγκεφάλου λαμβάνοντα μόρια τὴν τῶν νεύρων ἔκφυσιν, τοῦ νωτιαίου πάσχοντός τι τοιοῦτον πάθος, ἐνδεικτικὰ τῶν ἐν αὐτοῖς διαθέσεών ἐστιν. ὅμοιος δὲ ὁ λόγος οὗτος ὑπάρχει τοῖς κατὰ τὸ προγνωστικὸν ὧδέ πως εἰρημένοις. αἱ δὲ ξὺν πυρετῷ ὀδύναι γινόμεναι, περὶ τὴν ὀσφύν τε, καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ F κάτω ἐκλείπουσαι, ὀλέθριον κάρτα.

De fixo pectoris dolore cum torpore & febre.

Περὶ τῆς σὺν νωθρότητι καὶ πυρετῷ ἱδρυνθείσης ἐς στῆθος ὀδύνης.

HIPPOCRATIS PRÆDICTIO 70.

Dolor ad pectus firmatus, cum torpore, malum; hi suborta febre exæstuantes acutè, intereunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ο'.

Ὀδύνη ἐς στῆθος ἱδρυνθεῖσα σὺν νωθρότητι, κακόν. ἐπιπυρετήναντες οὗτοι καυσικοὶ, ὀξέως ἀποθνήσκουσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔμιξε πάλιν ἐνταῦθα, διαθέσεων συμπτώματα δυοῖν, ἡ μὲν γὰρ ἱδρυνθεῖσα, τουτέστι στηριχθεῖσα δυσλύτως κατὰ τὸ στῆθος ὀδύνη, τὴν τοῦ θώρακος ἐνδείκνυται φλεγμονήν. ἡ δὲ νωθρότης, ὑγρότητα κατὰ τὸν ἐγκέφαλον, ἢ ψύξιν, ἢ ἄμφω. δῆλον δὲ, ὅτι κατὰ τοὺς τοιούτους ἅπαντας λόγους, μεμνῆσθαί σε χρὴ τοῦ συνδέσμου, τοῦτο σημαινόμενον ἔχοντος, ὡς παρὰ διαζευκτικοῦ, οὐ μὴν ἀναγκαῖόν γε τοὺς οὕτω πάσχοντας, καυσικοὺς ὀξέως γινομένους, ἀποθανεῖν, εἴ γε τὸ καυσικοὶ, τὸ δὴ καυσώδεις σημαίνει. τινὲς μέν τοι νωθρότητα, τὴν δυσκινησίαν τοῦ σώματος ἤκουσαν, ὅπερ γὰρ εἴρηταί μοι πολλάκις, ἐν ταῖς ἀσαφέσι ῥήσεσιν, ὡς ἂν ἐθέλοι τις ἀκούειν, ἔξεστιν.

COMMENTARIVS GALENI.

Miscuit rursus hoc in loco duarum affectionum symptomata. Dolor etenim pectori insitus .i. firmatus, & ægrè solubilis, thoracis indicat phlegmonem, torpor verò, cerebri humiditatem, vel frigus, vel vtrunque. Quòd autem in talibus sermonibus omnibus meminisse te oportet coniunctionis disiunctiuè significantis, cuius patere potest. Non est tamen necesse, ita affectos, si caustrici acutè fiant, mori; si vtique nomen καυσικοὶ idem, quod velut ardentes, significat. Quidam verò torporem, mouendi difficultatem corporis intellexerunt, nempe (quod sæpius dixi) in obscuris, & luce carentibus dictionibus, cuipiam, vt lubet, intelligere conceditur.

Τίνας δεῖ μὴ φαρμακεύειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ οα'.

Οἱ ἐπανεμέοντες μέλανα, ἀπόσιτοι, παράφοροι, καθ' ἥβην μικρὰ ὀδυνώδεες, ὄμμα θρασὺ κεκλεισμένον, τούτους μὴ φαρμακεύειν, ὀλέθριον γάρ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν ὀλεθρίως ἔχειν ἅπαντας τούτους, ὅπερ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἴρηκεν, ἀληθές ἐστιν, ὥσπερ δή γε καὶ τὸ μὴ δεῖν φαρμακεύειν αὐτοὺς, ὅπερ ἐστὶ, καθαίρειν. ἐδείχθη γὰρ ἤδη πολλάκις ἐπὶ τούτου λεγόμενον τὸ, φαρμακεύειν, ἀλλ' ὅμοιός ἐστιν ὁ λόγος ὅδε τῷ τοιούτῳ λόγῳ. τοὺς τετρωμένους καρδίαν, οὐ χρὴ θεραπεύειν ἐπαγγέλλεσθαι, τεθνήξονται γάρ. εἴτ' οὖν ἕκαστον, ὧν εἴρηκε κατὰ τὴν προκειμένην ῥῆσιν αὐτὸ καθ' αὑτό τις ἀκούσει, μοχθηρᾶς διαθέσεώς ἐστι σημεῖον. εἴ τε πολλὰ ἅμα, παραπλησίως ἂν εἴη ὀλέθριον. τὸ γοῦν πρῶτον αὐτῶν εἰρημένον, τὸ ἐπανεμεῖν μέλανα, τῶν ὀλεθριωτάτων ἐστὶ σημείων, εἰ καὶ χωρὶς τῶν ἄλλων μόνον εἴη. ἐφεξῆς δὲ αὐτῷ γέγραπται τὸ, ἀπόσιτοι, τουτέστι τὸ, ἀόρεκτοι. πολὺ γε μὴν ἧττον ἐκείνου κακὸν, ὅμως γε μὴν κακὸν καὶ αὐτό. καθάπερ καὶ τὸ, παράφοροι, τουτέστι παρανοοῦντές τε, καὶ παραπαίοντες. τὸ δὲ, καθ' ἥβην σμικρὰ ὀδυνώδεες, οὐδὲ σαφές ἐστι, τῶν ἐξηγησαμένων τὸ βιβλίον, οὐχ ὡσαύτως αὐτὸ νοησάντων. ἔνιοι μὲν γὰρ διελόντες ἑκάτερον ἰδίᾳ, τὸ μὲν καθ' ἥβην αὐτὸ, τὸ κατὰ τὴν ἡβικὴν ἡλικίαν, ἤκουσαν. τὸ δὲ σμικρὰ ὀδυνώδεες, ἕν τι καὶ αὐτὸ τῶν συμπτωμάτων, ὧν ἐποιήσατο κατάλογον. ἔνιοι δὲ, καὶ καθ' ἥβην ὀδυνώδεες, ἐπὶ τοῦ μέρους εἰρῆσθαί φασιν, ἐν ᾧ καὶ ἡ κύστις κεῖται. βούλεται γὰρ αὐτὸς ἐνδείξασθαι, πεπονθέναι μὲν αὐτὴν μεγάλως, παραφόρους δὲ ὄντας, τῷ τοὺς πάσχοντας, σμικρὰν αἴσθησιν ἔχειν ἀπ' ἀρχῆς αὐτῆς. ἐφεξῆς δὲ πάλιν, ἄλλα δύο συμπτώματα γράψας σαφῶς φρενιτικὰ, τό τε θρασὺ, καὶ τὸ κεκλεισμένον ὄμμα. δύο γάρ ἐστι ταῦτα, κἂν ἐφ' ἑνὸς μορίου λέγηται δύναταί γε μὴν καθ' ἑαυτὸ συστῆναι τὸ ἕτερον αὐτῶν μόνον, ὥσπερ καὶ φαίνεται θρασὺ μέν ποτε γινόμενον, οὐ μὴν κεκλεισμένον γε τὸ ὄμμα, ποτὲ δὲ κεκλεισμένον μὲν, οὐ μὴν καὶ θρασύ. τὸ γὰρ κεκλεῖσθαι, συμβαίνει τοῖς κατ' ὀφθαλμοὺς βλεφάροις, ἤτοι διὰ τάσιν σπασμώδη τῶν κλειόντων αὐτοὺς μυῶν, ἢ δι' ἀρρωστίαν τῶν ἀνοιγνύντων αὐτούς. τὸ τοίνυν, τοὺς οὕτως ἔχοντας ἐπιχειρεῖν φαρμακεύειν, ἀμαθοῦς ἐστι, καὶ τελέως ἰδιώτου τέχνης ἰατρικῆς, οὐχ ὁ συμβουλεύων δὲ μὴ φαρμακεύειν, σοφὸς, οὐ μὴν οὐδὲ τὸ γνῶναι, μέγα τι, τοὺς ὀλεθρίως ἔχοντας. ὡς οὐδὲν ἡμᾶς διδάσκει θεώρημα τεχνικὸν, ἡ ῥῆσις ἄξιον συγγράμ-

Qui purgandi non sunt.

HIPPOCRATIS PRÆDICTIO 71.

Qui nigra reuomunt, cibos auersantur, deliri sunt, ad pubem nonnihil dolent, oculum ferocem, aut clausum habent, eos medicamentis purgare nõ oportet; perniciosũ enim est.

COMMENTARIVS GALENI.

Quod hi omnes perniciosè habeãt, vt in fine dictionis retulit, verũ est, sicuti & quod eos non oporteat medicari, quod est purgare; sæpius enim iam demõstratum est de hoc dici medicari. Hic autem sermo illi dissimilis non est. *Corde vulneratis promittenda curatio non est, morientur enim.* Siue igitur singula ea, quę in dictione continẽtur, seorsum quis intelligat prauæ affectionis signa ea sunt; siue multa quoque simul, æquè perniciosa fuerint. Quod ergo primo dictũ est, reuomere nigra, inter perniciosissima censetur signa, etiam si absque aliis solùm fuerit. Deinde scriptũ est ἀπόσιτοι, quod est ἀόρεκτοι, i. *cibos auersantes*, quod quanquam minus, quàm illud, malum existat, verumtamen, & ipsum malũ. Pari modo παράφοροι, quod est παρανοοῦντες, & παραπαίοντες, i. deliri. Verùm oratio hæc, parum in pube dolentes, neq; luculenta existit, neq; qui librum exposuerunt, idẽ censuerunt. Quidam enim vtranque seorsum explicantes, nomine pubis, pubertatis ætatẽ intellexerunt, parum verò dolentes, vnum & ipsum ex symptomatis, quorũ catalog: fecit. Alij autem, in pube parum dolentes, de parte dictũ esse aiunt, in qua vesica sita est; vult siquidẽ partẽ eam grauiter esse affectã ostendere, sed eos desipere, quòd exiguam habent à principio ipso sensionem. Deinceps autem duo alia scripsit symptomata, manifestè phrenitica, ferocẽ inquam oculũ, & clausum, duo siquidem sunt hæc, quanquã de parte vna dicuntur. Potest quidem alterum ipsorũ per se solùm constare, vt oculus ferox quidem interdum existat, non tamen clausus, interdum verò clausus quidem, non tamen & ferox: claudi siquidẽ oculorum palpebras contingit, vel propter conuulsiuam claudentium oculos musculorum tensionẽ, vel propter aperientium imbecillitatem. Qui igitur ita affectos medicari ingreditur, is indoctus est, & artis medicinalis planè inscius, neque sanè, qui non medicari consulit, sapiens est, nec verò, quòd hi perniciosè habeant, nosse magnum quippiam existit. Nullam itaque artificiosam speculationem, quæ libro digna sit, nos docet dictio; quodam-

quomodo nos vniuersaliter docuit in aphorismis vna, in qua inquit; *In acutis morbis rarò, & in principiis medicamentis purgantibus uti*, atque alia, in qua dicitur, *In acutis medicari; si turgeant, eodem die.* Hæc siquidem medico insigni digna sunt, vt in horum explicatione demonstrauimus. Quæ verò nunc dicuntur, superuacua: nullus etenim ita affectos purgare ingreditur, vt dictio ostendit, cum hoc, quòd procedente morbo fieri hæc commonstret, & non circa principia; quando in acutis solum purgandi est occasio.

Qui purgandi non sunt.

HIPPOCRATIS PRÆDICTIO 72.

Neque eos qui intumescunt, tenebricosa vertigine laborant, leui motu deficiunt, cibum auersantur, decolores, purgare oportet.

COMMENTARIVS GALENI.

AC si libri scriptor luculentum quippiam promere sit veritus, ita tum propria, tum perspicua nomina pertransiens, aliis vti studio sibi habet. Nempe si per orationem hanc *in errando deficientes* hos significare voluerit, qui quanquam quietè leuiterque moueantur, forti tamen animi deliquio corripiantur, is per nomina, quæ nunc dico, clarè explicare poterat. Præter hæc quoque satius erat, ita vniuersum, quod medicis omnibus est confessum, & non minimè idiotis notum, dixisse, Imbecillas habentes vires medicari non oportere. Nempe ex eo, quòd intumescant, sintque vertiginosi, quod est, si in motionibus obtenebrentur, purgatione indigere videbuntur, qui per præsentem significantur dictionẽ, ex eo verò quòd vires collapsæ sint, vacuationẽ non ferent.

Febre exolutos non purgandos esse.

HIPPOCRATIS PRÆDICTIO 73.

Neque in febre si soporati sint prostratos purgare oportet; perniciosum enim.

COMMENTARIVS GALENI.

PRostratos in hac dictione rursus propter obscuritatem dicere maluit, quoniam clarè dicere potuisset, exolutos. Subiacent etenim hi vniuersali sermoni omnibus planè cognito; quis enim non nouit, aut quis non dixit exolutos purgandos non esse? Superuacuè igitur est adiectum verbum comatosos, bifariam scripta prima syllaba & per κ, & ω, & per κ, & α, & υ. Quum enim in confesso sit nullum exolutorum medicari oportere, licebit nobis hinc vnumquemque affectum assignando, mille particulares sermones conficere.

De cardialgia cum hypochondrio distento, dolore capitis, & suspirioso affectu.

HIPPOCRATIS PRÆDICTIO 74.

Cordis dolor cum hypochondrio distento, dolorque capitis, malignum, & suspiriosum aliquid. An repente hi moriantur? vt in Dysode; huic & vrinæ fermentatæ erant vehementer, & faciei vehemens rubor.

μαθὼς. ὥσπερ κατὰ τοὺς ἀφορισμοὺς ἡμᾶς ἐδίδαξεν ἐν τῷ καθόλου μὲν μία ῥῆσις, ἐν ᾗ φησιν· ἐν τοῖς ὀξέσι παθήμασιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι, τῇσι φαρμακίῃσι χρέεσθαι. δεύτερον δὲ καθ' ἣν λέγει, τὰ ὀξέα φαρμακεύειν ἢν ὀργᾷ, αὐθημερόν. ἄξια γὰρ ἰατροῦ μεγάλου ταῦτα, καθότι δέδεικται διὰ τῆς ἐξηγήσεως αὐτῶν. τὰ δὲ νῦν εἰρημένα περιττά. καθαίρειν γὰρ οὐδεὶς ἐπιχειρεῖ τοὺς οὕτω διακειμένους, ὡς ἡ ῥῆσις ἐδήλωσε μετὰ τοῦ καὶ συνενδείκνυσθαι προήκοντος τοῦ νοσήματος ταῦτα γίνεσθαι, καὶ μὴ κατ' ἀρχὰς ἐοίκασι μόνον τοῖς ὀξέσι τοῦ καθαίρειν ὁ καιρός.

Τίνας δεῖ μὴ φαρμακεύειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ οβ'.

Μηδὲ τοὺς ἐποιδέοντας, σκοτώδεας, ἐν τῷ πλανᾶσθαι ἐκλείποντας, ἀποσίτους, ἀχρόους.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΩΣπερ δεδιὼς ὁ τοῦ βιβλίου συγγραφεὺς εἰπεῖν τι σαφὲς, οὕτως ἐπιτηδεύει πανταχοῦ, τὰ κύρια, καὶ σαφῆ τῶν ὀνομάτων ὑπερβαίνων, ἑτέροις χρῆσθαι. τοὺς γὰρ ἐν τῷ πλανᾶσθαι ἐκλείποντας, εἴπερ τούτους βούλεται σημαίνειν, τοὺς ὅσοι κἂν ἠρέμα κινοῦνται, λειποψυχοῦσιν ἰσχυρῶς, ἐκεῖνον αὐτὸν, δι' ὧν νῦν ὀνομάτων ἐγὼ λέγων ἐτύγχανον, ἑρμηνεῦσαι σαφῶς. ἔτι δ' ἄμεινον, εἰπεῖν οὕτως, ἐν τῷ καθόλου, τὸ πᾶσιν ἰατροῖς ὁμολογούμενον, οὐχ ἥκιστα δὲ καὶ τοῖς ἰδιώταις γινωσκόμενον, ὡς οὐ χρὴ φαρμακεύειν τοὺς ἀσθενῆ τὴν δύναμιν ἔχοντας. ὅσον μὲν γὰρ ἐπὶ τῷ, οἰδαλέους τε εἶναι, καὶ σκοτώδεις, ὅπερ ἐστὶν ἐν ταῖς κινήσεσι σκοτουμένοις, δόξαιεν δεῖσθαι καθάρσεως οἱ κατὰ τὴν προκειμένην δηλούμενοι ῥῆσιν. ὅσον δ' ἐπὶ τῷ καταπεπτωκέναι τὴν δύναμιν αὐτῶν, οὐκ οἴσουσι τὴν κένωσιν.

Τοὺς ἐν πυρετῷ κατακεκλιμένους χρῆναι μὴ φαρμακεύειν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ογ'.

Μηδὲ τοὺς ἐν πυρετῷ εἰ κωματώδεες, κατακεκλιμένους, ὀλέθριοι γάρ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟὺς κατακεκλιμένους μᾶλλον, ἐνταῦθα πάλιν εἰπεῖν εἵλετο διὰ τὴν ἀσάφειαν, ἐπεὶ σαφὲς ἦν, ἐκλύτους εἰπεῖν. ὑποπεπτώκασι δ' οὗτοι τῷ κοινῇ πᾶσι γινωσκομένῳ καθόλου λόγῳ. τίς γὰρ οὐκ οἶδεν, ἢ τίς οὐκ εἴρηκεν, ὡς τοὺς ἐκλύτους οὐ χρὴ καθαίρειν; ἐκ περιττοῦ τοίνυν, τὸ, εἰ κωματώδεις, πρόσκειται, διττῶς γραφομένης τῆς προτέρας συλλαβῆς, διά τε τοῦ κ καὶ ω, καὶ διὰ τοῦ κ καὶ α καὶ υ. ὅπου γὰρ ὡμολόγηται, τὸ μηδένα τῶν ἐκλύτων φαρμακεύειν, ἔξεστιν ἡμῖν τῶν παθῶν ἕκαστον προστιθεῖσιν αὐτῷ, μυρίους ἐργάζεσθαι κατὰ μέρος λόγους.

Περὶ τῆς ἅμα τῷ συντόνῳ ὑποχονδρίῳ τε, καὶ κεφαλαλγίῃ καὶ ἀσθματώδει διαθέσει καρδιαλγίας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ οδ'.

ΚΑρδίης πόνος, ἅμα ὑποχονδρίῳ συντόνῳ, καὶ κεφαλαλγίῃ, κακόηθες, καί τι ἀσθματῶδες. ἆρά γε ἐξαίφνης οὗτοι τελευτῶσιν; ὡς ἐν Δυσώδει, τούτῳ καὶ οὖρα ἐζυμωμένα ἐγένετο βιαίως ἐξέρυθρα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Δῆλός ἐστιν, ὡς ἐπὶ τοῦ Δυσώδη ταῦτα εἶδε γινόμενα, ζητεῖν, εἴ τε καθόλου περὶ αὐτῶν ἀποφήνασθαι προσήκεν, εἴ τε μή. λέλεκται δέ μοι περὶ τῶν τοιούτων ἔμπροσθεν, ἐπιδεικνύντι, τὰ μὲν ἐπὶ μιᾷ διαθέσει γινόμενα συμπτώματα προσηκόντως ἐφεξῆς ἀλλήλων διδάσκεσθαι, τὰ δ' ἐπὶ διαφερούσαις, οὐκ ὀρθῶς συνάπτεσθαι, μηδεμιᾶς διδασκαλίας τεχνικῆς, ἐκ τῆς μίξεως αὐτῶν γινομένης. ἐπὶ μὲν τοι τῶν νοσούντων, τῶν χρησιμωτάτων ἐστὶν, ἅπαντα σκοπεῖσθαι, καὶ μηδὲν παραλιπεῖν, ὥσπερ ἀμφότερα πεποίηκεν ὁ Ἱπποκράτης, ἐν μὲν τῷ προγνωστικῷ, καὶ τοῖς ἀφορισμοῖς, τὰς προγνώσεις διὰ τῶν καθόλου ποιούμενος, ἐν δὲ τοῖς τῶν ἐπιδημιῶν, ἅπαντα γράφων τὰ συμβαίνοντα τοῖς ἀρρώστοις. ἔγκειται δέ τινα καὶ κατ' αὐτὰ τὰ βιβλία τῶν καθόλου, χωρὶς ἀρρώστων διδασκόμενα. κατὰ μέν τοι τὸ προρρητικὸν τοῦτο σύγγραμμα, πολλαχόθι συγκέχυται τὰ τῆς διδασκαλίας, τῶν φαινέντων κατὰ τοὺς νοσοῦντας, ἁπάντων εἰς μίαν ἀθροιζομένων συνδρομὴν, κἂν ἐπὶ διαθέσεσιν ἑτερογενέσι γίνηται, καθάπερ καὶ νῦν ἐπὶ τοῦ Δυσώδους, καρδίας πόνον εἰπὼν, τουτέστι στόματος τῆς γαστρὸς, ἅμα ὑποχονδρίῳ συντόνῳ, καὶ κεφαλαλγίας, προσέθηκε τὸ ἀσθματῶδες. εἶτα μετὰ ταῦτα, ἐπὶ τῇ τελευτῇ, καὶ οὖρα ἐζυμωμένα βιαίως, πρόσκειται γὰρ τῷ λόγῳ, καὶ τὸ βιαίως ἵνα κἀνταῦθα ζητῶμεν, εἴτε βιαίως ἐζυμωμένα φησὶ γεγενημένα τὰ οὖρα, τὸ βιαίως ἀντὶ τοῦ, σφοδρῶς εἰπὼν, εἴ τε προσυπακοῦσαι δεῖ τὸ, βιαίως, τῷ, οὐρούμενα, δηλοῦντος αὐτοῦ τὸ μόγις, καὶ μετὰ βίας οὐρεῖν. ἀλλὰ καὶ τὰ ἐζυμωμένα κατὰ τὸν λόγον εἴρηται, μήτε κατὰ τὸ προγνωστικὸν γεγραμμένα, μήτε ἐν τοῖς τῶν ἐπιδημιῶν, εἴθ' ὅταν ἅπαντα διεξέλθωμεν, οὐδὲν ἡμῖν ἐστι πλέον. ὅμως δ' οὖν, ἐπεὶ κατέστημεν ἐπὶ τὸ σαφηνίζειν αὐτὰ, καὶ περὶ τῶν ἐζυμωμένων εἴπωμεν. ὅταν τοίνυν κατὰ τῆς γῆς ὄξος ἐκχυθῇ δριμὺ, πνευματούμενον αὐτίκα, συναναφέρει τινὰ τῆς γῆς αὐτῆς μόρια, καὶ γίνεταί τι σύνθετον ἔκ τε τῆς γεώδους οὐσίας, καὶ τῆς ὑγρᾶς τοῦ ὄξους, καὶ τοῦ γεννηθέντος ἀτμώδους πνεύματος. ὅμοιον δ' αὐτῷ συμβαίνει, κἀπειδὰν καὶ μέλαινα χολὴ κατὰ τῆς γῆς ἐκχυθῇ, καὶ σαφῶς γε φαίνεται. πνευματώδης τις κίνησις ἐπ' ἀμφοτέροις γινομένη, παραπλησία τῇ κατὰ τὸ ζέον γλεῦκος. ὅμοιον δὲ τούτοις, κἀπὶ τῶν ἐζυμωμένων ἄρτων ὁσημέραι φαίνεται γινόμενον. ὅταν γὰρ ἀναμίξαντες ὕδατι τὸ τῶν πυρῶν ἄλευρον, μίξαντες αὐτῷ καὶ τὴν ζύμην, ἐάσωσι διαφυσηθῆναι μετρίως, ἡ ζύμωσις φαίνεται γινομένη, χεομένης τε ἅμα, καὶ πνευματουμένης τῆς ζυμουμένης οὐσίας. ὥστε καὶ τὰ ζυμούμενα τῶν οὔρων, πάντως πάχος μὲν ἔχειν χρὴ ἀξιόλογον, εἶτα τούτου βραχεῖάν τινα ζέσιν ἐν ταὐτῷ καὶ κίνησιν λαβὸν τὸ πνευματῶδες, μείζονα τὸν ὄγκον ἔχειν, οὗ κατὰ τὴν ἔκκρισιν εἶχεν. οὖρα δέ, ὅτι τοιαῦτα γὰρ, τῶν ὠμῶν χυμῶν ταραχωδῶς κινουμένων, ἐν τοῖς περὶ κρίσεων ἐμάθομεν. ὁ δ' ὃς προρρηθεὶς ἄρρωστος, μετ' οὐ πολὺ ἴσως ἐξαίφνης τελευτήσας, ζήτησιν αὐτῷ παρέσχεν, εἴ τε πάντας χρὴ τοὺς οὕτως ἔχοντας ἐξαίφνης φάσι τελευτᾶν, εἴ τε μή. πρόδηλον δὲ, καὶ ὅπως ἡμᾶς ἀποκρίνασθαι προσήκει τοῖς οὕτως ἐρωτῶσιν, ὡς ὁ γράψας εἶπεν, ἆρά γε ἐξαίφνης οὗτοί γε τελευτῶσιν; ἀποκρινόμεθα γὰρ, ὡς εἰκὸς μὲν ἐστὶν, ἀποθανεῖν ἐξαίφνης αὐτὸν πνιγέντα. τοῦτο γὰρ ἐκ τοῦ ἄσθματος δηλοῦται. τίς δ' ἦν ἡ διάθεσις, ἐφ' οὗ τοῦτο γὰρ τὸ σύμπτωμα, μαντείας δεῖσθαι, μηδὲν εἰπόντος αὐτοῦ συγγραφέως.

A COMMENTARIVS GALENI.

Quòd quærat, an, sicut vidit hæc in Dysode accidere, ita de ipsis vniuersaliter pronunciare conueniat, necne, clarè ostendit. De talibus autem antea dixi, quum ostenderem, quæ in vno affectu fiunt symptomata, commodè continuo inter se ordine doceri, quæ verò in diuersis, non rectè copulari, quum nulla, quæ artificiosa sit doctrina, ex eorum miscella fieri soleat. In ægris itaque vtilissimum est omnia contemplari, nihilque prætermittere, B quod vtrunque fecit Hippocrates, tum in prognostico, tum in aphorismis, prænotiones per vniuersalia efficiens; in epidemiis verò, quæ ægris contigerunt, omnia scribens; docentur quoque & in his ipsis libris quædam citra ægrotantium mentionem vniuersalia. In hoc verò prorrhetico sæpius confusa est doctrina, his omnibus, quæ in ægris videntur, vnam in congeriem reductis, quamquam in diuersi generis affectibus fiant, quomodo & nunc in Dysode inquiens cordis, hoc est oris ventriculi, dolor, cum hypochondrio contento, & capitis dolor, adiecit & suspiriosum; deinde post hæc in dictionis calce, & C vrinæ fermentatæ erant βιαίως, nam βιαίως sermoni adiectum est, vt hic instigemus, an fermentatas vehementer vrinas factas dicat, βιαίως pro σφοδρῶς *vehementer*, accipiendo, an cum aduerbio βιαίως subintelligere oporteat, excretæ, ostendente authore vrinas, tum ægrè, tum cum violentia excerni. Quin etiam in oratione dictum est, fermentatæ, quod neque in prognostico dictum est, neque in libris epidemiorum. Præterea, iam quum omnia percurrerimus, nihil ampliùs nobis accedit, sed, quia explicare instituimus, de fermentatis quoque dicamus. D Quum igitur in terram acetum acre effusum fuerit, protinus intumescens, sursum quasdam terræ partes simul tollit, fitque compositum quoddam ex terrestri substantia, & aceti humiditate, & ex facto vaporoso spiritu. Simile rei huic contingit, quum atra bilis in terram effusa fuerit, nempe in vtroque spirituosa quædam motio euidenter fieri videtur, ei similis, quæ in feruente musto apparet. Simile quoque & in panibus quotidie fieri videtur; quum enim remixta aquæ tritici farina, mixto illis, & fermento, mediocriter macerari permiserint, fermentatio fieri videtur, fusa simul & intumes- E cente, quæ fermentatur, substantia. Quapropter & vrinæ, quæ fermentantur, vt prorsus crassitiem notabilem habeant, oportet; deinde & in ea leuem quandam efferuescentiam, quódque pars spirituosa motionem nacta, tumorem habeat maiorem, quam quum excerneretur, habebat. Quòd autem vrinæ eiusmodi fiant perturbatis agitatisque crudis humoribus, in commentariis De crisibus didicimus. Præterea ante dictus æger forsan non multo post repente defunctus, quæstionem scriptori mouit, An omnes ita affectos repentè morituros dicere oporteat, necne. Con- F stat verò, & quonam pacto nos respondere oporteat ita interrogantibus, vt pronuntiauit scriptor, *An hi repentè moriantur*, respondebimus enim verisimile esse hominem mori repente strangulatum, nempe id ex asthmate significatur. Sed quænã fuerit affectio, in qua efficitur hoc symptoma, est diuinandũ, quòd nihil fuerit loquutus author.

Nempe

Nempe & ob flatus, pituitæque multæ ex capite in pulmonis bronchia per asperam arteriam delapsum, atque ex pleuritide in ea translata, & pure multo propter affectionem aliam medium instrumentorum duorum occupante locum, asthmatica acuta oritur spirandi difficultas, crebrescente admodum respiratione, & valdè sese dilatante thorace. Quum igitur fuerit talis difficultatis spirandi species, rubens iure optimo reddetur facies. Si verò & capitis dolor simul fuerit, nil miri, si valde rubens fuerit; omnes siquidem in morbis eiusmodi capitis dolores cum caliditate multa fieri consueuerunt.

A καὶ γὰρ ὑπό τε πνεύματος, καὶ φλέγματος κατενεχθέντος πολλοῦ, διὰ τῆς τραχείας ἀρτηρίας, ἐκ κεφαλῆς εἰς τὰ τοῦ πνεύμονος βρόγχια, καὶ μεταστάσεως εἰς αὐτὰ γενομένης ἐκ πλευρίτιδος, διά τε πάθος ἕτερον, πύου πολλοῦ τὴν μεταξὺ χώραν τῶν δυοῖν καταλαβόντος ὀργάνων, ἀσθματώδης ὀξεῖα γὰρ δύσπνοια, πυκνουμένης τε πάνυ τῆς ἀναπνοῆς, καὶ τοῦ θώρακος ἐπὶ πολὺ διαστελλομένου. ὅταν οὖν τοιοῦτον γένηται δυσπνοίας εἶδος, ἐρυθρὸν εἰκότως ἀποτελεῖται τὸ πρόσωπον. ὅπου δὲ καὶ κεφαλαλγία συνέστιν, οὐδὲν θαυμαστὸν, ἐξέρυθρον αὐτὸν γενέσθαι. πᾶσαι γὰρ αἱ κατὰ τὰ τοιαῦτα νοσήματα κεφαλαλγίαι, μετὰ θερμασίας B πολλῆς εἰώθασι γίγνεσθαι.

De ceruicis dolore in febre.

Περὶ πόνου τοῦ τραχήλου ἐν πυρετῷ.

HIPPOCRATIS PRÆDICTIO 75.

Ceruicis dolor malum quidem in omni febre, sed pessimũ, quib. insania speratur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ οε´.

Τραχήλου πόνος, κακὸν μὲν ἐν παντὶ πυρετῷ, κάκιστον δὲ, οἷς ἐκμανῆναι ἐλπίς.

COMMENTARIVS GALENI.

Particulare & hoc quoque tanquam vniuersale, scripsit. Nam si dolor, vel propter affectum cerebrum, vel spinalem medullam, vel ipsas cerebri membranas oriatur, malum est signum; si verò affectis, quæ extrinsecus circa vertebras iacent, partibus enascatur, malum non est. In quibus autem insaniæ spes est, quænam affectio deterior esse potest, quàm ea, quæ cũ insania existit?

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

C Καὶ τοῦτο τῶν κατὰ μέρος ὂν, ἔγραψεν ὡς καθόλου. ὁ γὰρ πόνος, ἐὰν μὲν ἤτοι διὰ τὸ κακῶς ἔχειν τὸν ἐγκέφαλον, ἢ τὸν νωτιαῖον, ἢ τὰς περὶ αὐτὸν μήνιγγας γίνηται, μοχθηρόν ἐστι σημεῖον. ἐὰν δὲ τῶν ἔξωθεν περικειμένων τοῖς σπονδύλοις σωμάτων, οὐ κακόν. ἐφ᾽ ὧν δὲ ἐλπὶς ἐκμανῆναι, τί δὴ ἔτι χεῖρον γένοιτ᾽ ἂν οὗτοι πάθος, ἢ τοῦ ἐκμανῆναι;

De febribus malignis.

Περὶ τῶν κακοηθέων πυρετῶν.

HIPPOCRATIS PRÆDICTIO 76.

Febres cum comate, lassitudine, lucis caligine, vigilus, & leuib. sudoribus, malignæ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ος´.

D Κωματώδεες, κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, ἐφιδροῦντες πυρετοὶ, κακοήθεες.

COMMENTARIVS GALENI.

Ex supradictis manifesta sunt, quæ hic dicuntur, nempe catalogum malorum symptomatum efficiunt; nullamque, vt simul fiant, habent necessitatem.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐκ τῶν ἔμπροσθεν εἰρημένων, καὶ ταῦτ᾽ ἐστὶ δῆλα, κατάλογος ὄντα συμπτωμάτων κακῶν, οὐδεμίαν ἀνάγκην ἔχοντα ἅμα γίγνεσθαι.

De crebris ex dorso doloribus.

Περὶ τῶν ἐκ νώτου ὀδυνῶν πυκνῶν.

HIPPOCRATIS PRÆDICTIO 77.

Crebri ex dorso horrores frequentes celeriter recidentes, molesti; vrinæ interceptionem dolorem inferentem significant.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ οζ´.

E Ἐκ νώτου φρίκαι πυκναὶ, ὀξέως μεταπίπτουσαι, δύσφοροι, οὔρου ἀπόληψιν ἐπώδυνον σημαίνουσιν.

COMMENTARIVS GALENI.

Præfinita in verbo, molesti, priore dictionis parte, secundam efficere licet, vrinæ interceptionem dolorem inferentem indicant, quasi ita dixerit, *Ex dorso frequentes horrores celeriter recidentes molesti sunt*, atque adhuc vrinæ interceptionem, quòd est, suppressionem, indicant. Sed melius est, quòd vrinarum retentio ex dictis omnibus significetur, protulisse. Constat siquidem vidisse ægrum quendam affecta dorsali medulla, quæ in lumbis est, vel membranis, quæ circa ipsam sunt, vel vtroque, deinde affectus participatione vrinarum interceptionem dolorosam habuisse; nempe, quòd qui celeriter recidunt horrores molesti, ex dictarum partium phlegmone fiant, verisimile est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνεστι καὶ μέχρι τοῦ, δύσφοροι, τὸ πρῶτον μέρος τῆς ῥήσεως περιγράψαντα, δεύτερον ἐπ᾽ αὐτῷ λόγον ποιήσασθαι, τὸ, οὔρου ἀπόληψιν ἐπώδυνον σημαίνουσι, ὡς εἰ καὶ οὕτως εἶπεν, ἐκ νώτου φρίκαι πυκναὶ, ὀξέως μεταπίπτουσαι, δύσφοροί τέ εἰσι, καὶ προσέτι σημαίνουσι ἀπόληψιν, ὅπερ ἐστὶν ἐπίσχεσιν οὔρου ἐπώδυνον. ἀλλ᾽ ἄμεινον ἐπὶ πᾶσιν τοῖς εἰρημένοις, τὴν τῶν F οὔρων ἐπίσχεσιν αὐτὸν εἰρηκέναι σημαίνεσθαι. δῆλος γάρ ἐστιν ἑωρακώς τινα πεπονθότα τὸν κατὰ τὴν ὀσφὺν νωτιαῖον, ἢ τὰς ἀμφ᾽ αὐτὸν μήνιγγας, ἢ ἀμφότερον, κἄπειτα κατὰ συμπάθειαν οὔρων ἀπόληψιν ἐπώδυνον ἐσχηκότα. πιθανὸν γὰρ καὶ τὰς ταχὺ μεταπιπτούσας φρίκας, τὰς δυσφόρους, ἐπὶ φλεγμονῇ τῶν εἰρημένων μορίων γίγνεσθαι.

Περὶ τῆς ἀεμέτου ἄσης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ οη'.

ΚΑΙ οἱ ἀσώδεες, ἀεμέτως παροξυνόμενοι, κακοί.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐχρῆν αὐτὸν προσθεῖναι, πότερον ναυτιώδεις ὄντες, ἢ οὔ. τινὲς μὲν γὰρ, οὐκ ἐμοῦσι ναυτιῶντες, ἔνιοι δὲ ἀσώδεις ὄντες, οὐδ' ὅλως ἐναυτίασαν, οὓς καὶ δοκεῖ μοι διὰ τῆς προκειμένης ῥήσεως ἐνδείκνυσθαι. διττῶς γὰρ γινομένων ἀσωδῶν τῶν καμνόντων, ἕνα μὲν τρόπον, ὅταν ἡ δύναμις ὑπὸ τοῦ σώματος βαρύνηται, καὶ μηδὲν φέρῃ σχῆμα ῥᾳδίως. ἕτερον δὲ, ὅταν τὸ στόμα τῆς γαστρὸς, ὑπὸ μοχθηρῶν δάκνηται χυμῶν· οἱ πρότεροι μὲν ὀλεθρίως διάκεινται, ναυτιώδεις δ' εἰσὶν οἱ δεύτεροι.

De iactatione citra vomitum.

HIPPOCRATIS PRÆDICTIO 78.

QVi cum iactatione, & sine vomitu exacerbantur, malè habent.

COMMENTARIVS GALENI.

DEbuit author adiecisse, an nausearent, necne; quidam enim nauseant, & non vomunt; alij fastidio correpti, nunquam nauseauerunt, quos per præsentem dictionem significare mihi videtur. Bifariam enim quum iactatione premantur ægri, vno modo, quum facultas à corpore grauatur, nullámque figuram facilè sustinet; altero modo quum os ventris à prauis mordetur humoribus, priores perniciosè afficiuntur, nauseabundi sunt posteriores.

Περὶ τῆς μετὰ σκληρυσμοῦ καταψύξεως.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ οθ'.

ΚΑτάψυξις μετὰ σκληρυσμοῦ, σημεῖον ὀλέθριον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑτὰ διττὸν τρόπον σκληρύνεται τὰ σώματα, ποτὲ μὲν διὰ βάθος ὅλα σφοδρῶς ψυχόμενα, ποτὲ δὲ ἰσχυρῶς ξηραινόμενα. καὶ ἡ κατάψυξις δὲ, εἰ οὕτως εἴη βίαιος, ὡς ὅλα δι' ὅλων ψῦξαι τὰ σώματα, καὶ σκληρῦναι, νεκρώσεώς ἐστι σημεῖον. εἰ δὲ καὶ ξηρότητα προσλάβοι, κατ' ἄμφω ἐστὶν οὐκ ἀγαθὸν σημεῖον. ἐὰν μὲν οὖν ἐν μόναις ταῖς ἐπισημασίαις γίγνοιτο τοῦτο, μετριώτερον ἐνδείκνυται τὸ κακὸν, ἐὰν δὲ ἄχρι πολλοῦ παραμένῃ, μεῖζον. ἐὰν δὲ καὶ διὰ παντὸς, ἐγγὺς ὁ θάνατος.

De perfrigeratione cum duritie.

HIPPOCRATIS PRÆDICTIO 79.

PErfrigeratio cum duritie signum perniciosum.

COMMENTARIVS GALENI.

DVobus modis corpora indurantur, interdū quidem quum in imo tota vehementer refrigerantur, interdum quum valenter exiccantur. Refrigeratio autem, si ita violenta fuerit vt tota omninò refrigerentur corpora, indurescantque, extinctionis signum existit; si verò & siccitatem, acceperint, nomine vtroque signū graue est. *Quod si in solis accessionibus id fiat, moderatius indicat malum; si diutius permaneat, maius; si verò perpetuò, propè mors est.*

Περὶ λεπτῶν τῶν διαχωρημάτων τῶν τῷ μὴ αἰσθανομένῳ κάμνοντι διιόντων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ π'.

ΑΠΟ κοιλίης, λεπτὰ μὴ αἰσθανομένῳ διιέναι, ἐόντι παρ' ἑωυτῷ κακὸν, οἷον τῷ ἡπατικῷ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑλῶς ἐποίησεν αὐτὸς, προσθεὶς οἷον τῷ ἡπατικῷ. καὶ γὰρ ἡμεῖς ἱστορήσαμεν, ἐνίοις τῶν ἡπατικῶν ἄδηκτα διαχωρήματα λεπτὰ γιγνόμενα, καί τοι δακνόντων ὡς τὸ πολὺ, τῶν τοιούτων διαχωρημάτων. ἔοικεν οὖν ἐπ' αὐτῶν, ἢ μὴ δύνασθαι χολώδεις χυμοὺς, ἀρρωστίᾳ τῆς ἐν ἥπατι θερμασίας, ἢ μὴ καταρρεῖν εἰς τὰ ἔντερα. ἐὰν δὲ κυρίως ἀκούσωμεν τοῦ, μὴ αἰσθανομένῳ, καὶ φῶμεν ἐπὶ τῶν ἀπροαιρέτως ἐκκρινομένων, τὸν λόγον αὐτῷ γεγονέναι νῦν, οὐ περὶ τῶν ἀδήκτων, ἄτοπόν τι συμβήσεται. κατὰ διττὸν γὰρ τρόπον ἀπροαιρέτως ἐκκρινόντων, ἢ διὰ τὸ τὴν γνώμην νοσεῖν, ἢ δι' ἀναισθησίαν τῶν μορίων, δι' ὧν ἡ ἔκκρισις γίνεται. τὸ μὲν μὴ νοσεῖν τὴν γνώμην, ἐδήλωσεν, εἰπὼν, ἐόντι παρ' ἑωυτῷ, τουτέστι, κατανοοῦντι,

De tenuibus deiectionibus non sentienti ægro prodeuntibus.

HIPPOCRATIS PRÆDICTIO 80.

AB aluo tenuia non sentienti prodire, ei qui apud se sit, malum, vt hepatico.

COMMENTARIVS GALENI.

BEne fecit author, quum adiecit, vt hepatico; nempe & nos tenuia excrementa morsu carentia hepaticis nonnullis fieri narrauimus; quanquam talia excrementa, magna ex parte mordeant. Videtur igitur in his, vel non generari biliosos humores ob caloris qui in hepate est imbecillitatē, vel non defluere ad intestina. Si verò propriè orationē, non sentienti ægro, intellexerimus, dixerimusque nunc ab authore factū esse sermonem de iis, quæ inuoluntariè excernuntur, & non de morsu carentibus, absurdū quippiam continget. Nempe quum duobus modis inuoluntariè excernat æger, aut quòd mens ægrotet, aut quòd partes per quas excretio fit, minimè sentiant; quòd mens quidem non ægrotet, explicauit, inquiens *si apud se fuerit*, hoc est, cognouerit & sapuerit;

puerit; reliquum verò non verisimile existimandum; frustra enim in sermone dixerit de excrementis, *tenuia*, quum partes insensibiles in omnibus, quæ per ipsas transeunt, insensibiliter se habeant; nullúmque aliud in dictione scriptum sit symptoma, quod neruorum affectum indicare possit. Nempe hæc oratio, vt hepatico, aliis quidem tenuibus excrementis iuncta esse potest; neruorum verò noxam inferre per sympathiam non potest, quòd solùm tum cerebro, tum spinali medullæ, neruorum propagines condolere videantur. Neque enim sympathiam huiusmodi hepati succedere vidimus, neque id natura commonstrat visceris, quod minimos neruos obtineat.

De vomitionibus exiguis, biliosis, cum vigiliis.

HIPPOCRATIS PRÆDICTIO 81.

VOmitus exigui, biliosi, malum, tum aliàs, tum si peruigilia superuenerint, nasus in his stillans, perniciosum.

COMMENTARIVS GALENI.

EXcerni pauca in ægris vnum quoddam ex signis est, quæ ex toto prauitatem habent, siue sanguis per nares excernatur, siue deorsum per ventrem; siue per vomitus tale quippiam, quod superfluum fit, excernatur; idem & in sudoribus est, & iis quæ per vterum excernuntur; nihil etenim eorum, quæ decretoria existunt, exiguè secerni conuenit. Sed quæ ita vacuantur, omnia duorum alterum subeunt: nam vel, quòd non queant tolerari ob copiam, ab affectis effunduntur partibus, vel imbecillitatem ostendunt naturæ, quæ proponit quidem superflua excernere, sed nequit. Hoc igitur vniuersali intellecto particularia inuenire oportet, idque est, quod nunc de biliosis pronunciatur, cui adiecta est ex signis propriis vigilia, quæ biliosos consequitur humores, & non pituitosos, nempe cataphoræ in talibus fiunt, & non vigiliæ. Quum igitur pituitosi exiguum vomatur, longiúsque & tardius solito dormire videantur, ex cataphoricis morbis quempiam expecta, seruans in memoria aphorismum illum: *Somnus & vigilia, vtraque si modum excedant, malum.*

De Lochiis retentis.

HIPPOCRATIS PRÆDICTIO 82.

QVibus ex partu alba purgamenta retinentur tum febre, surditas oboritur, & acutus lateris dolor, hæ perniciosè insaniunt.

COMMENTARIVS GALENI.

QVod item nunc dicitur, veluti & quod antea est dictum, atque alia multa quæ in hoc libro scripta sunt, vniuersalibus subiecta sunt theorematis. Non enim in albis solum, si eorum, quæ à partu vacuantur, retentio fiat, praua est tum causa tum nota, verùm quoque in biliosis, & sanguine ipso, nempe lochia purgatio est, atque etiã

καὶ σωφρονοῦντι. τὸ δ᾽ ὑπόλοιπον, οὐ πιθανὸν ὑπολαβεῖν· μάτην γὰρ ἔσται κατὰ τὸν λόγον εἰπὼν, ἐπὶ τῶν διαχωρημάτων, τὰ λεπτὰ, τῶν ἀναισθήτων μορίων ἐπὶ πᾶσι τοῖς διεξερχομένοις αὐτῶν, ἀναισθήτως ἐχόντων, οὐδ᾽ ἑνός τε συμπτώματος ἄλλου γεγραμμένου κατὰ τὴν ῥῆσιν, ὃ δύναται νεύρων ἐνδείξασθαι πάθος. τὸ γὰρ, ὥσπερ τῷ ἡπατικῷ, τοῖς μὲν ἄλλοις λεπτοῖς διαχωρήμασιν ἐζεῦχθαι δύναται· νεύρων ἐπενεγκεῖν βλάβην κατὰ συμπάθειαν, οὐ δύναται, διὰ τὸ μόνῳ ἐγκεφάλῳ τε, καὶ νωτιαίῳ, τὰς τῶν νεύρων ἀποφύσεις ὁρᾶσθαι συμπασχούσας. ἥπατι γὰρ οὐκ οἴδαμεν ἑπομένην τὴν τοιαύτην συμπάθειαν, οὔτε ἡ φύσις ἐνδείκνυται, τοῦ σπλάγχνου, νεύρων ἐλαχίστων μετέχοντος.

Περὶ ἐμέτων σμικρῶν, χολωδῶν, μετ᾽ ἀγρυπνιῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πα΄.

ΤΑ μικρὰ ἐμέσματα χολώδεα, κακὸν, ἄλλως τε καὶ ἢν ἐπαγρυπνήσωσιν· μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων, ὀλέθριον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠΙ τῶν νοσούντων, ἕν τι καὶ τοῦτο τῶν καθόλου μοχθηρῶν ἐστι σημείων, ἀποκρίνεσθαι σμικρὰ, εἴθ᾽ αἷμα διὰ μυκτήρων, εἴτε κάτω διὰ τῆς γαστρὸς εἴ τε δι᾽ ἐμέτων ὁμοίως περίττωμα. ταὐτὸ δὲ τοῦτο, κἀπὶ τῶν ἱδρώτων ἐστὶ, καὶ τῶν διὰ μήτρας ἐκκρινομένων. οὐδὲν γὰρ τῶν κρισίμων, σμικρὸν ἐκκρίνεσθαι προσήκει, ἀλλὰ πάντα τὰ οὕτω κενούμενα, δυοῖν θάτερον, ἢ μὴ στεγόμενα, διὰ τὸ πλῆθος ἀποχεῖται τῶν πεπονθότων μορίων, ἢ τῆς φύσεως ἀσθένειαν ἐνδείκνυται, προαιρουμένης μὲν ἐκκρίνειν τὰ περιττὰ, μὴ δυνηθείσης δέ. τοῦτο οὖν καθόλου γινώσκοντας, ἐχρῆν τὰ κατὰ μέρος ἐξ αὐτῶν ἐξευρίσκειν, καὶ τοῦτ᾽ ἔστι τὸ νῦν εἰρημένον ἐπὶ τῶν χολωδῶν. πρόσκειται δ᾽ αὐτῷ τῶν ἰδίων γνωρισμάτων ἡ ἀγρυπνία, χολώδεσι μὲν ἑπομένη χυμοῖς, φλεγματώδεσι δ᾽ οὐχ ἑπομένη. καταφοραὶ γὰρ, ἐπὶ τῶν τοιούτων, οὐκ ἀγρυπνίαι γίνονται. καὶ τοίνυν ὅταν μὲν ὀλίγον ἐμῶσί τε φλεγματώδες, μακρότερον δὲ καὶ βραδύτερον τοῦ συνήθους ὑπνοῦντες φαίνωνται, τῶν καταφορικῶν τι νοσημάτων προσδόκα, μεμνημένος τοῦδε τοῦ ἀφορισμοῦ, ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, κακόν.

Περὶ τῶν ἐπιστάντων λοχίων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πβ΄.

ΑΙΣ ἐκ τόκου γε λευκὰ, ἐπιστάντα δ᾽ ἅμα πυρετῷ, κώφωσις, καὶ εἰς πλευρὸν ὀδύνη ὀξείη, ἐξίστανται ὀλεθρίως.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑΙ τὸ νῦν εἰρημένον, ὥσπερ καὶ τὸ πρὸ τούτου, καὶ ἄλλα πολλὰ τῶν ἐν τούτῳ τῷ βιβλίῳ γεγραμμένων, ὑποπέπτωκε καθολικοῖς θεωρήμασιν. οὐ μόνον γὰρ ἐπὶ λευκῶν τῶν ἐπὶ τῷ τόκῳ κενουμένων, εἰ ἐπίστασις γίνηται, μοχθηρόν ἐστιν αἴτιον, καὶ σημεῖον, ἀλλὰ καὶ ἐπὶ χολωδῶν, καὶ αὐτοῦ τοῦ αἵματος. ἡ γάρ τοι λοχία κάθαρσίς ἐστιν, ἀλλὰ καὶ

κατὰ τοὔνομα κάθαρσις τῶν ἀλλοτρίων, ἃ κατὰ τὸν τῆς κυήσεως χρόνον ἠθροίσθη ἐν ταῖς φλεψί, δαπανωμένου μὲν εἰς τροφὴν τοῦ κυουμένου τοῦ κατ' αὐτὰς χρηστοῦ αἵματος, μένοντος δὲ τοῦ φαυλοτέρου, ὃ καθ' ἕκαστον μῆνα πρότερον ἐξεκρίνετο διὰ τῆς μήτρας. ὅταν οὖν τοῦτο μὴ κενωθῇ, τεκούσης τῆς γυναικός, ἤτοι τὰς μήτρας εἰς φλεγμονὴν ἐξαίρει μεγάλην, ἢ πρός τινα τῶν ἀνωτέρω τόπων ἐνεχθέν, οἰκεῖον τοῦ δεξαμένου τό τε πάθος ἐπιφέρει, καὶ τὸν κίνδυνον, ἐς ὅ, τι δὲ ἥκει, διὰ τῶν ἐπιφαινομένων συμπτωμάτων εἴσῃ, καθάπερ καὶ νῦν, ὅ τε θώραξ, καὶ ἡ κεφαλή, τὸ ἀπὸ τῶν ὑστέρων ἀναφερόμενον, ἐδέξατο πονηρὸν αἷμα.

ex nominis ratione purgatio alienoruum, quæ gestationis vteri tempore in venis aceruata sunt, absumpto quidem in fœtus alimentum vtili, qui in ipsis erat, sanguine, sed permanente vitiosiore, qui singulis mensibus antea per vterum excernebatur. Quum igitur is vacuatus non fuerit à mulieris puerperio, aut vterum ipsum in phlegmonem agit magnam, aut ad superiorem aliquam sedem vectus, parti excipienti proprium affectum, periculumque infert; ad quam autem peruenerit, mox apparentia symptomata indicabunt, quomodo & nunc, tum thorax, tum caput, vitiosum sanguinem ab vtero sursum delatum exceperunt.

Περὶ καυσωδῶν πυρετῶν σὺν τοῖς χαλεπωτάτοις συμπτώμασιν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πγ'.

Ἐν πυρετοῖσι καυσώδεσιν ὑποπεριψύχοισι, διαχωρήμασιν, ὑδατοχόλοις, συχνοῖσιν, ὀφθαλμῶν ἴλλωσις, σημεῖον κακόν, ἄλλως τε, καὶ ἢν κάτοχοι γίνωνται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κατάλογον πάλιν ἐνταῦθα, σημείων τε, καὶ συμπτωμάτων ἐποιήσατο μοχθηρῶν, ὧν ἕκαστον ἰδίᾳ καθ' ἑαυτό, παρ' Ἱπποκράτους μεμαθήκαμεν εἶναι μοχθηρόν. ἐν μὲν τοῖς πάθεσι τὸν καῦσον πυρετόν, ἐν δὲ τοῖς διαχωρήμασι, τὰ ὑδατόχολα. τῶν δ' ἐν τοῖς ὀφθαλμοῖς μοχθηρῶν σημείων, ἓν ἐστι καὶ ἡ ἴλλωσις. περὶ δὲ τῆς κατοχῆς, τί δεῖ καὶ λέγειν; εἰ μὲν οὖν ἠθέλησεν ἅπαντα εἰπεῖν τὰ ὀνόματα τῶν μοχθηρῶν σημείων, πάμπολλα πλείω παραλέλοιπεν ὧν εἶπεν. εἰ δ' ὡς μίαν συνδρομήν, οὐκ ἔστιν ὁμογενῆ τὰ εἰρημένα. καῦσος μὲν γάρ, πυρετὸς σὺν τῇ περιψύξει, χαλεπώτατον σύμπτωμά ἐστι, τά τε διαχωρούμενα, καὶ ὅλως τὰ κατὰ τοὺς ὀφθαλμούς, ταῦτα μὲν ἑτερογενῆ. ἡ κατοχὴ δέ, αὐτὴ μὲν γένους ἄλλου συμπτωμάτων ἐστίν. ἡ δὲ συστροφὴ τῶν βλεφάρων, πάλιν ἑτέρας διαφορᾶς.

De ardentibus febribus cum grauissimis symptomatibus.

HIPPOCRATIS PRÆDICTIO. 83.

In febribus ardētibus cum aliqua perfrigeratione, & aqueis biliosisque deiectionibus crebris, oculorum distortio, signum malum, tum alias, tum si stupore prehensi detineantur.

COMMENTARIVS GALENI.

Rursus hoc in loco malorum, tum signorum, tum symptomatum catalogum fecit, quorum singula seorsum, & per se ab Hippocrate praua esse didicimus, in morbis quidem febrem ardentem, in deiectionibus verò aquosæ bilis excrementa. Signorum autem malorum, quæ oculis obuenire solent, vnum existit, & peruersio. De catoche quid dicere attinet? Si igitur signorum prauorum nomina omnia recensere voluit, longè plura prætermisit, quàm recensuit. Si verò tanquam congeriem vnam, non sunt generis eiusdem, quæ dicta sunt. Nam febris ardens cum refrigeratione, grauissimum est symptoma; Quæ verò deijciuntur, & planè omnia quæ in oculis contingunt, diuersi hæc sunt generis: Catoche verò generis alterius symptomatum existit: Palpebrarum peruersiones rursus alterius sunt differentiæ.

Περὶ τῶν ἐξαίφνης ἀποπληκτικῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πδ'.

Τὰ ἐξαίφνης ἀποπληκτικὰ λελυμένως, ἐπιπυρετήναντι χρονίως, ὀλέθρια, οἷόν τι ἐπεπόνθη ὁ Νουμηνίου υἱός.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κἀνταῦθα μὲν ἐδήλωσεν, εἰπὼν ἑαυτὸν ἐπὶ καθολικὴν ἀπόφασιν ἀφικνούμενον ἐξ ἑνὸς ἀρρώστου, μετὰ τοῦ καὶ τὴν συνήθων τι περὶ τὴν λέξιν πρᾶξαι. τὸ γὰρ ἐπιπυρετήναντι λελυμένως, εἶπεν, ἀφίστασθαι προῃρημένος τῶν κυρίων ὀνομάτων, ἵνα ἔχωσιν ὕλην οἱ σοφισταὶ περιέργων ἐξηγήσεων. ἀμέλει καὶ νῦν, ἔνιοι μὲν ἐπὶ τῶν ἀποπληκτικῶν ἀκούουσι, τὸ λελυμένως, ἀντὶ τοῦ μετρίως. ἔνιοι δὲ ἐπὶ τὰς ἰδίως παραπληγίας λεγομένας μεταφέρουσιν, ἐφ' αἷς εἰς ἀκινησίαν, καὶ ἀναισθησίαν μορίων τινῶν κατασκήπτει τὸ νόσημα. ταύτας μὲν γὰρ καὶ νῦν βούλονται ἀποπληξίας εἰρηκέναι, καταχρησάμενον αὐταῖς.

De repentina apoplexia.

HIPPOCRATIS PRÆDICTIO 84.

Repentinæ apoplexiæ solutè superfebrienti diutinè, perniciosæ; quale quiddam passus est Numenij filius.

COMMENTARIVS GALENI.

Declarauit quidem & hîc sese ex ægro vno ad vniuersalem peruenire enunciationem vnáq; ex consuetis quippiā circa dictionem facit. Nam solutè superfebriēti, dixit, à propriis nominibus discedere constituens; vt curiosarum expositionum materiam sophistæ haberent. Porrò & in hoc loco sunt, qui in apoplecticis aduerbium λελυμένως pro μετρίως, id est mediocriter, intelligunt, alij transferunt in propriè dictas paraplegias, in quibus ad partium aliquarum immobilitatem, sensusque priuationem decumbit morbus. Nempe & has apoplexias nunc dixisse volunt per abusum;

abusum; postea, quum hæ bifariam fiant, vt Erasistratus in commentariis de resolutione ait (nam hæ articulos contrahunt contenduntque, aliæ verò exoluunt laxantque) speciem paraplegiæ in neruosorum corporum exolutione, & relaxatione consistentem ab eo nunc dici aiunt. Sed in talibus omnibus neruosi generis affectibus, quum ob pituitosos, & frigidos fiant humores; vt sunt tum apoplexiæ, tum paraplegiæ, febris calida superueniens, non modico adest iuuamento. Quæ igitur in aphorismis dicta sunt, hîc nos docet: *Febrem scilicet à conuulsione fieri melius, quàm à febre conuulsionem.* Item: *Si ebrius quisquam repentè obmutuerit, conuulsus moritur, nisi febris prehenderit, vel vbi in horam, qua crapulæ soluuntur, venerit, loquatur.* Accidit itaque vt dictio ostendit, Numenij filio, quòd oborta apoplexia, non acuta, & calida, sed debilis, & diuturna subsecuta febris nihil profuerit.

Εἶτα διττῶς αὐτῶν γιγνομένων, ὡς Ἐρασίστρατος ἐν τοῖς περὶ παραλύσεως εἶπεν, αἱ μὲν γὰρ συνάγουσι, καὶ συντείνουσιν, αἱ δὲ ἐκλύουσί τε καὶ χαλῶσι τὰς διαρθρώσεις, εἰρῆσθαί φασι νῦν ὑπ' αὐτοῦ, τὸ κατ' ἔκλυσίν τε, καὶ χάλασιν τῶν νευρωδῶν σωμάτων, εἶδος τῆς παραπληγίας. ἀλλ' ἐπί γε τῶν τοιούτων ἁπάντων παθῶν, ὅσα τοῦ νευρώδους ἐστὶ γένους, ὅταν ὑπὸ ψυχρῶν τε καὶ φλεγματικῶν γένηται χυμῶν, ὥσπερ αἵ τε ἀποπληξίαι, καὶ αἱ παραπληγίαι, πυρετὸς ἐπιγινόμενος θερμὸς, οὐ σμικρὸν γὰρ βοήθημα. τὰ γοῦν ἐν ἀφορισμοῖς εἰρημένα, ἐνταῦθα ἡμᾶς διδάσκει. τό γε, πυρετὸν ἐπὶ σπασμῷ βέλτιον γενέσθαι, ἢ σπασμὸν ἐπὶ πυρετῷ, καὶ τὸ, ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβοι, ἢ εἰς τὴν ὥραν ἐλθὼν καθ' ἣν αἱ κραιπάλαι λύονται, φθέγξηται. συνέβη τοίγαρουν, ὡς ἡ ῥῆσις ἐνδείκνυται, τῷ τοῦ Νουμηνίου υἱῷ γενομένης ἀποπληξίας, οὐκ ὀξὺν, καὶ θερμὸν, ἀλλὰ βληχρὸν, καὶ χρόνιον ἀκολουθήσαντα πυρετὸν, μηδὲν ὠφελῆσαι.

De lumborum dolore & aliis symptomatis.

HIPPOCRATIS PRÆDICTIO 85.

EX lumborum dolore ad os ventriculi recursiones febriles cum horrore, aquosa, tenuia, & multa reuomentes, mente aberrantes, voce priuatæ, nigra vomentes, moriuntur.

COMMENTARIVS GALENI.

COngesta sunt, & hoc loco praua, & multa symptomata, atque vnà ineptè pronunciata. Nam recursiones dixit, & vomentes, & mente aberrantes, vbi ægros, & vomentes, & mente aberrantes dicere debuisset. Tu verò, qui symptomatum singulorum vires nouisti, non magno negotio inuenies ad quantum periculum æger veniat; hoc verò in fine prognostici sufficienter admonuit Hippocrates.

Περὶ τῶν τῆς ὀσφύος ἀλγημάτων, καὶ τῶν ἄλλων συμπτωμάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πε'.

ΕΞ ὀσφύος ἀλγήματος, ἀναδρομαὶ εἰς καρδίην πυρετώδεες, φρικώδεες, ἀπεμοῦσαι ὑδατώδεα, λεπτὰ, πλέονα, παρενεχθεῖσαι, ἄφωνοι, ἐμέσασαι μέλανα, τελευτῶσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΘροισται κἀνταῦθα συμπτώματα πολλὰ μοχθηρὰ, μετὰ τοῦ καὶ τὴν ἑρμηνείαν εἶναι κακόζηλον. αἱ γὰρ ἀναδρομαὶ, φησὶν, ἐμέσασαί τε, καὶ παρενεχθεῖσαι, δέον αὐτοὺς ἐμέσαντάς τε καὶ παρενεχθέντας εἰπεῖν. ἀλλὰ σύ γε, καὶ τῶν συμπτωμάτων ἑκάστου τὴν δύναμιν εἰδὼς, οὐ χαλεπῶς εὑρήσεις εἰς ὅσον ὁ κάμνων ἥκει κινδύνου. τοῦτο δ' ἐπὶ τέλει τοῦ προγνωστικοῦ παραινέσας ὁ Ἱπποκράτης, ἠρκέσθη.

De oculi clausione.

HIPPOCRATIS PRÆDICTIO 86.

OCuli clausio in acutis mala.

COMMENTARIVS GALENI.

IAm supra inter plurium signorum aceruationes (quas syndromas empirici vocant) oculi clausionem scripsit. Sunt, qui κατάκλασιν per α, & non κατάκλεισιν per ει scribunt, non magno sanè circa amborum significata existente discrimine; vult enim ostendere palpebram, vel confractam, vel clausam; in quo duorum alterum, nam vel robur contentionémque claudentium ipsam partium, vel imbecillitatem aperientium, sequitur affectio.

Περὶ τῆς κατακλείσεως τοῦ ὄμματος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πς'.

ΟΜματος κατάκλασις ἐν ὀξέσι, κακόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΔΗ καὶ πρόσθεν ἐν ἀθροίσμασι πλειόνων σημείων, ἃς συνδρομὰς ὀνομάζουσιν οἱ ἀπὸ τῆς ἐμπειρίας, ὄμματος κατάκλασιν ἔγραψεν. ἔνιοι δὲ διὰ τοῦ α οὐ διὰ τοῦ ει κατάκλασιν γράφουσιν, οὐ μεγάλης οὔσης διαφορᾶς περὶ τὸ σημαινόμενον ἐξ ἀμφοῖν. βούλεται γὰρ δηλῶσαι τὸ κατακεκλασμένον, ἢ τὸ κατακεκλεισμένον βλέφαρον, ἐφ' ᾧ, δυοῖν θάτερον, ἢ τῇ συντονίᾳ τῶν κλειόντων αὐτὸ μορίων, ἢ ἀῤῥωστίᾳ τῶν ἀνοιγόντων, ἕπεται τὸ πάθος.

De iactatione citra vomitum.

HIPPOCRATIS PRÆDICTIO 87.

NVm anxiè se iactantibus non vomentibus, & lumbos dolentibus, ferociter delirauerint, spes sit nigra per aluum prodire?

Περὶ τῆς ἀνεμέτου ἄσης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πζ'.

ΑΡά γε τοῖς ἀσώδεσιν ἀνεμέτοις, ὀσφυαλγέσιν, ἢν θρασέως παρακρούσωσιν, ἐλπὶς μέλανα διελθεῖν;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀποκρινούμεθά σοι, καὶ πρὸς τοῦτο ῥᾳδίως, ὅτι μὴ πᾶσιν, ἀλλά τισιν αὐτῶν ἔσται τοῦτο, καθάπερ δέδεικται πρόσθεν.

COMMENTARIVS GALENI.

AD hoc quoque promptè tibi respondemus quòd non omnibus, sed quibusdam id erit, vt supra est demonstratum.

Περὶ τῶν δεινοτάτων κυναγχῶν.

De anginis grauissimis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πη΄.

Φάρυγξ ἐπώδυνος ἰσχνὴ, μετὰ δυσφορίης, πνιγώδης, ὀλεθρίη ὀξέως.

HIPPOCRATIS PRÆDICTIO. 88.

Fauces dolentes, graciles cum iactatione strangulantésque acutè, perniciosæ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀναμνήσθητί τι τῆς ἐν τῷ προγνωστικῷ ῥήσεως, ἧς ἡ ἀρχὴ αἱ δὲ κυνάγχαι δεινόταται μέν εἰσι, καὶ τάχιστα ἀναιρέουσαι, ὅσαι μήτ' ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ἐμποιέουσι, μήτ' ἐν τῷ αὐχένι, πλεῖστόν τε πόνον παρέχουσι, καὶ ὀρθόπνοιαν· ἔνθα σοι καὶ παραβάλλειν ἔξεστιν ἑρμηνείαν ἐπιστήμονος ἀνδρὸς ὧν λέγει πραγμάτων, τῇ τοῦ πλανωμένου κατὰ τὰς συνδρομὰς ἀδυναμίᾳ τοῦ πρὸς τὸ καθόλου ποιεῖσθαι τὴν συναγωγήν. ὁ μὲν γὰρ Ἱπποκράτης, τό τε τοῦ πάθους ὄνομα προεῖπεν, καὶ τὰς διαφορὰς ἁπάσας ἐφεξῆς εἶπεν, ἀρξάμενος ἀπὸ τῆς χαλεπωτάτης αὐτῶν, ἧς νῦν παρέγραψα τὴν ῥῆσιν. ὁ δὲ τοῦτο τὸ βιβλίον γράψας, πρῶτον μὲν ἥμαρτεν, εἰπὼν τὴν φάρυγγα πνιγώδη, δέον τὴν κυνάγχην. οὐδὲ γὰρ τοῦτ' ἔστιν εἰπεῖν, ὡς ἀντὶ τοῦ πάθους τῷ πεπονθότι μορίῳ κατεχρήσατο. τὴν ἀρχὴν γὰρ οὐδὲ πέπονθέ τι τοῖς οὕτως ἔχουσι, φάρυγξ, ὡς Ἱπποκράτης ἐδήλωσε, δεινοτάτας εἰπὼν εἶναι κυνάγχας, ὅσαι μήτε ἐν τῇ φάρυγγι ἔκδηλον μηδὲν ποιοῦσι, μήτ' ἐν τῷ αὐχένι. ὁ δὲ τὸ προρρητικὸν τοῦτο γράψας, ἔφη, φάρυγξ ἐπώδυνος ἰσχνή. τὸ γὰρ ἰσχνὴ, ταὐτὸν τῷ, μηδὲν ἔκδηλον ἔχειν δύναται. προσέθηκε δὲ οὗτος μάτην, τὸ μετὰ δυσφορίας, ἐξ ἑτέρου γένους ὑπάρχον συμπτωμάτων, εἶτα καὶ τὸ, πνιγώδης. ὁ μὲν τοῦτο τὸ βιβλίον γράψας, ἀδιορίστως τε, καὶ κοινῶς εἶπεν. ὁ Ἱπποκράτης δὲ, οἰκείῳ τῆς διαφορᾶς ὀνόματι προσηγόρευσεν εἰπὼν, ὀρθόπνοιαν ἐπιφέρειν αὐτήν. ὀνομάζει δὲ καὶ αὐτὸς καὶ ἄλλοι πάντες, ὀρθόπνοιαν, ἐκεῖνο τὸ τῆς δυσπνοίας εἶδος, ἐν ᾧ πνίγονται κατακείμενοι, καὶ μόλις ἐξαρκοῦσιν ὄρθιον ἔχοντες τὸν θώρακα, κατὰ μηδενὸς ἐρηρεισμένου μεταφρένου. καταςχιζομένης γὰρ εἰς τὸν πνεύμονα τῆς τραχείας ἀρτηρίας, τὴν ἀρχὴν ἀπὸ τοῦ λάρυγγος ἐχούσης, ὅταν μὲν ἀνατείνωμεν ὄρθιον τὸν θώρακα, σὺν τῷ τραχήλῳ τὴν τραχεῖαν ἀρτηρίαν ἐξευρύνεσθαι συμβαίνει, καὶ τὰς ἐξ αὐτῆς ἀποφύσεις ἁπάσας, τὰς εἰς τὸν πνεύμονα καταςχιζομένας, εὐρύνεσθαι, καὶ τούτῳ τὴν ἔνδον αὐτῶν χώραν αὐξάνεσθαι. διὰ τοῦτο μὲν οὖν, κἀπὶ τῆς περιπνευμονίας ἡ ὀρθόπνοια γίνεται, κἀν τοῖς καλουμένοις ἀσθματικοῖς πάθεσι. δι' αὐτὸ δὲ τοῦτο κἀπὶ τῆς χαλεπωτάτης κυνάγχης, ἐν ᾗ φλεγμαίνοντες οἱ τοῦ λάρυγγος ἔνδον μύες, ἀποφράττουσι τὴν ὁδὸν τῆς ἀναπνοῆς. ἐπιτείνεται γὰρ καὶ τοῦτο τὸ πάθημα κατακειμένων, αὐξανομένης τῆς στενοχωρίας. ἀλλὰ καὶ τῆς ἄλλης κυνάγχης διαφορὰς ὁ Ἱπποκράτης ἔγραψεν ἐν τῷ προγνωστικῷ, σαφέστατά τε, καὶ ἀκριβέστατα κατ' ἐκεῖνο τοῦ βιβλίου τὸ χωρίον, ἐν ᾧ καὶ ἡ ῥηθεῖσά μοι νῦν εἴρηται ῥῆσις.

COMMENTARIVS GALENI.

MEmineris, velim, eius orationis, quæ in prognostico est, hoc principio: *Anginæ grauissimæ sunt, & celerrimè enecant, quæ neque in faucibus, neque in ceruice conspicuum quippiam habent, plurimum verò doloris inferunt, ac spirandi, quæ non nisi recta ceruice fit, difficultatem.* Nempe hinc viri docti interpretationem rerum earum, quas promit, comparare poteris cum interpretatione errantis in concursionibus, propterea, quòd eas ad vniuersale reducere nequeat. Nam Hippocrates, & nomen affectionis priùs dixit, & differentias omnes continuata serie recensuit, à grauissima earum exorsus, cuius nunc dictionem annotaui. Qui verò librum hunc scripsit, primùm quidem peccauit, fauces strangulantes inquiens, quum angina strangulans dicere debuisset. Neque enim est dicendum, quod parte affecta pro affectu sit abusus; primo enim neque ita affectis affectæ quippiam sunt fauces, vt Hippocrates ostendit grauissimas inquiens esse anginas, quæ neque in faucibus, neque in collo conspicuum quid efficiunt; qui autem prorrheticum hoc scripsit, ait, *fauces dolentes graciles*, nempe vox, ἰσχνὴ id est, *graciles*, idem potest, quod nihil conspicuum habere. Adiecit modò hoc frustra, cum iactatione, quod alterius symptomatum generis existit; deinde & verbum strangulantes. Qui quidem librum hunc scripsit, indistinctè, & communiter est loquutus. Hippocrates verò proprio differentiæ nomine appellauit, inquiens, orthopnœam inferre ipsas. Vocant autem cùm ipse, tum cæteri omnes orthopnœam, illam difficultatis spirandi speciem, in qua iacentes suffocantur, & vix recto thorace sufficiunt nulli rei innixo dorso. Nam quum aspera arteria principium à gutture habens in pulmonem diuidatur, quoties quidem thoracem cum collo rectè extendimus, arteriam ipsam dilatari contingit, atque etiam, quæ ex ea in pulmones distribuuntur, propagines omnes; atque interim regionem augeri eis internam. Ob id sanè, & in peripneumoniis orthopnœa fit, & in appellatis asthmaticis affectibus, ob id ipsum & in grauissima angina, in qua phlegmone obsessi interni musculi gutturis, viam respirationis intercludunt. Intenditur autem & huiusmodi affectio cubantibus, suscipiente augmentum angustia. Præterea & anginarum differentias alias in prognostico scripsit Hippocrates, tum euidentissimè, tum accuratissimè in ea libri parte, in qua dicta à me nunc, recensetur dictio.

In

In hoc autem prorrhetico, & si faucium sæpius meminit libri author, nihil tamen nos, quod manifestum articulatumque sit, de his, qui inibi sunt, morbis docuit.

ἐν δὲ τῷ προρρητικῷ τούτῳ, καίτοι πολλάκις φάρυγγος μνημονεύσας ὁ γράψας τὸ βιβλίον, οὐδὲν ἡμᾶς σαφές, οὐδὲ διηρθρωμένον ἐδίδαξε, περὶ τῶν κατ' αὐτὰ παθῶν.

De dyspnœa lethali.

HIPPOCRATIS PRÆDICTIO 89.

QVibus spiritus sursum trahitur, vox autem suffocans est, & vertebra intrò considet, his in fine velut contrahentis cuiuspiam spiritus redditur.

Περὶ δυσπνοίας τῆς θανατώδεος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ πθ'.

ΟΙΣ πνεῦμα ἀνέλκεται, φωνὴ δὲ πνιγώδης, ὁ σπόνδυλος ἐγκάθηται, τουτέοισιν ἐπὶ τὴν τελευτήν, ὡς συσπῶντός τινος, τὸ πνεῦμα γίνεται.

COMMENTARIVS GALENI.

DE spirandi difficultate commentarios scripsi, quot in singulis ipsarum differentiæ omnes sint, demonstrans; quænam item causæ cuiusque effectrices, & quid significare natæ sint. Demonstraui quoque & in eisdem commentariis eas, quæ ab Hippocrate in legitimis ipsius libris dictæ sunt, spirandi difficultates, neque sanè differentiam vllam reperi, qua spiritus retrahitur, neque ab Hippocrate didici, atque ob eam causam, quodnam difficilis respirationis genus dicat libri author, peruestigaui. Sunt sanè & aliæ duæ orationis huius scripturæ, quarum hæc quidem significat, ab altera parum quidem voce euarians, sed intellectu eodem. Nempe in ea, vocem ἀνέλκεται, i. *retrahitur*, littera ω interiacet post duas primas litteras α & ν vt dictio talis sit, *quibus spiritus* ἄνω ἕλκεται, i. *sursum trahitur*, valde recedentes. Recentiores autem quidam ἀνέρχεται scribunt, nullo ex antiquioribus agnoscente scripturam, de qua quidem circa finem agemus, de prioribus verò, quæ tum certorum, tum confessorum sunt, considerabimus, de quibus qui, quod probabile esset, diceret, ne vnum quidem reperi; alios verò palam conuiciantes, quemadmodum eos, qui in vocem ἀνέρχεται transcripserunt, siquidem quasi priores scripturæ sine præsidio essent, ad transcribendas eas accesserunt. Videtur autem mihi author, spiritum retrahi, vel sursum trahi, dicere, quem superius, tum promptum, tum sublimem dici asserui; quum videlicet thorax inter inspirandum partibus superioribus magnam efficit respirationem, ita vt scapulæ moueri videantur, & quam ob causam, qui suffocantur, omnes hoc respirent pacto, demonstraui. De iis item qui strangulatione afficiuntur non propter pulmonis angustiam, neque propter musculorum gutturis inflammationem, sed propter eorum, qui gutturi quidem & stomacho subiacent, anterioribus autem partibus spinalium musculorum superiacent; tum supra in hoc ipso prorrhetico libro recensui, tum in iis, quibus secundum epidemiorum librum exposui, vbi inquit; *Erant autem angina laborantium affectiones eiusmodi; Ceruicis vertebræ ad interna vertebantur, aliis quidem magis, aliis verò minus, exteriusque ceruix euidentem ostendebat cauitatem, doloremque qui hac parte tangebatur, sentiebat. Erat etiam cuidam sub ea vertebra, quam dentem nominant, sed non adeo est acuta.* Quòd autem vertebram secundam totam à parte dentem appellauit, vel solam ipsius propaginem illam, quam nonnulli dentiformem, alij planè dentem, quòd canino denti appellato similis quodammodo videatur, constat omnibus. Quia

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕρὶ δυσπνοίας ὑπομνήματα γέγραπταί μοι, δεικνύντι, πόσαι μὲν αἱ πᾶσαι διαφοραὶ κατ' αὐτάς εἰσιν ἑκάστων. τίνες δὲ αἰτίαι αἱ γεννῶσαι ἑκάστην, ὅ τι τε σημαίνειν πεφύκασιν. ἐπιδέδεικται δὲ διὰ τῶν αὐτῶν ὑπομνημάτων, καὶ περὶ τῶν ὑφ' Ἱπποκράτους εἰρημένων δυσπνοιῶν, ἐν τοῖς ὁμολογουμένοις αὐτοῦ γνησίοις βιβλίοις. οὔτ' οὖν ἐγὼ, διαφοράν τινα ἀνελκομένου πνεύματος εὗρον, οὔτε παρ' Ἱπποκράτους μαθὼν, ἐζήτουν οὖν, ἥν τινά που λέγει τὴν δύσπνοιαν ταύτην, ὁ γράψας τὸ βιβλίον τοῦτο. εἰσὶ μὲν οὖν καὶ ἄλλαι δύο γραφαὶ τῆς αὐτῆς λέξεως, ὧν ἡ μὲν σημαίνει ἑτέρας, βραχὺ παραλλάττουσα κατὰ τὴν φωνὴν, οὐ μὴν τήν γε διάνοιαν ὑπαλλάττουσα. πρόσκειται γὰρ ἐν αὐτῇ κατὰ τὴν, ἀνέλκεται, φωνὴν, τὸ ω γράμμα μετὰ τὰ πρῶτα δύο, τό, τε α καὶ τὸ ν, ὡς γενέσθαι τὴν λέξιν τοιάνδε. οἷς πνεῦμα ἄνω ἕλκεται. πολὺ δὲ ἀποχωρήσαντες ἔνιοι τῶν νεωτέρων, ἀνέρχεται, γράφουσιν, οὐδ' ἑνὸς τῶν παλαιοτέρων ἐπισταμένου τὴν γραφήν. ταύτης μὲν οὖν τελευταῖον μνημονεύσω, περὶ προτέρας δὲ διασκεψόμεθα τῶν ὁμολογουμένων, εἰς ἃ οὐδὲν εὗρον, οὐδ' ἕνα, πιθανὸν εἰπόντα, τινὰς δὲ καὶ μεμψαμένους ἄντικρυς, ὥσπερ καὶ τοὺς μεταγράψαντας εἰς τὴν, ἀνέρχεται φωνήν. ὥσπερ γὰρ ἀβοηθήτων οὐσῶν τῶν προτέρων γραφῶν, ἐπὶ τὸ μεταγράφειν αὐτὰς ἀφίκοντο. δοκεῖ δέ μοι τὸ ἀνελκόμενον πνεῦμα, ἢ τὸ ἄνω ἑλκόμενον λέγειν, ἐφ' οὗ, κατὰ τὸν ἔμπροσθεν λόγον, ἔφην εἰρῆσθαι τό τε πρόχειρον, καὶ τὸ μετέωρον, ὅταν τοῖς ἄνω μέρεσιν ὁ θώραξ, μεγάλην ποιῇ τὴν ἀναπνοὴν εἰσπνεόντων, ὡς φαίνεσθαι κινουμένας τὰς ὠμοπλάτας, καὶ διά τι, τὸν τρόπον τοῦτον ἀναπνέουσιν οἱ πνιγόμενοι πάντες, ἐδήλωσα. καὶ μέντοι καὶ περὶ τῶν πνιγωδῶς ἐνοχλουμένων, οὐ διὰ τὴν ἐν πνεύμονι στενοχωρίαν, οὔτε διὰ τὴν φλεγμονὴν τῶν ἐν τῷ λάρυγγι μυῶν, ἀλλὰ διὰ τὴν τῶν ἐπικειμένων μὲν τῷ λάρυγγι, καὶ τῷ στομάχῳ. τοῖς πρόσω δὲ μέρεσι τῶν ῥαχιτῶν μυῶν ἐπιβεβλημένων, ἔμπροσθέν τε, καὶ κατ' αὐτὸ τοῦτο τὸ προρρητικὸν βιβλίον εἴρηταί μοι, καὶ δι' ὧν ἐξηγησάμην τὸ δεύτερον βιβλίον τῶν ἐπιδημιῶν, ἔνθα φησίν. ἦν δὲ τῶν κυναγχικῶν τὰ παθήματα τοιάδε. τοῦ τραχήλου οἱ σπόνδυλοι, εἴσω ἔρρεπον, τοῖσι μὲν ἐπὶ πλέον, τοῖσι δὲ ἐπ' ἔλαττον. καὶ ἔξωθεν δ' ἦν δῆλος, ἐγκοίλως ἔχων ὁ τράχηλος, καὶ ἤλγει ταῦτα ψαυόμενος. ἦν δὲ κατωτέρω τινὶ τοῦ ὀδόντος καλουμένου, ὃ οὐχ ὁμοίως ὀξύ ἐστι. πρόδηλον δ' ὅτι τὸν δεύτερον σπόνδυλον ὅλον, ἀπὸ μέρους, ὀδόντα κέκληκεν, ἢ μόνην αὐτοῦ τὴν ἀπόφυσιν ἐκείνην, ἣν οἱ μὲν ὀδοντοειδῆ προσαγορεύουσιν, οἱ δὲ ἄντικρυς ὀδόντα, διότι παραπλήσιός πως φαίνεται τῷ καλουμένῳ κυνόδοντι. ἐπεὶ

δὲ μετὰ τὸ εἰπεῖν, ἦν δὲ κατωτέρω τινὶ τοῦ ὀδόντος καλεομένου, A προσέθηκεν, ὃ οὐχ ὁμοίως ὀξύ ἐστιν, ἐδήλωσε κίνδυνον οὐχ ὁμοίως ἐπιφέρειν ὀξὺν, ὁ γράψας ταῦτα, τὸν σπόνδυλον τοῦτον, ὥσπερ κἀπειδὰν ἐν τοῖς ἀφορισμοῖς καταλέγων τὰ λεγόμενα πάθη τῶν παίδων εἴπῃ, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, οὐκ ἄλλον σπόνδυλον ἀκούειν χρὴ παρὰ τὸν εἰρημένον. ὅταν γὰρ οἱ ἐπικείμενοι μύες, ἐν τοῖς πρόσω μέρεσιν αὐτοῦ, φλεγμήναντες, ἢ ὁπωσοῦν ἐνταθέντες, πρὸς ἑαυτοὺς ἐπισπάσωνται ὅλον τὸν σπόνδυλον, ἡ μὲν ὀπίσω χώρα, κοιλοτέρα φαίνεται, θλίβεται δ' ὁ λάρυγξ, καὶ κατὰ τοῦτο πνίγονται. σπανιωτάτη δὲ ἡ τοιαύτη κυνάγχη γίνεται. καὶ νῦν οὖν ὁ σπόνδυλος αὐτὸς εἴσ- B καθιδρῦσθαι λέλεκται. τὸ δὲ κινδυνῶδες τοῦ πάθους, δεδήλωται διὰ τῆς προκειμένης ῥήσεως, ἔνθα φησί, τούτοισιν ἐπὶ τῶν τελευτῶν, ὡς συσπῶντός τινος, τὸ πνεῦμα γίνεται. τὸ γὰρ ἐπὶ τῶν τελευτῶν, ὅταν ἀποθνήσκουσι δηλοῖ· τὸ δ' ὡς συσπῶντος, ἐπεὶ σπασμώδης αὐτοῖς ἡ ἀναπνοὴ γίνεται, τελευτῶσιν, σφοδρῶς μὲν ἕλκοντος τοῦ θώρακος, ὁδὸν δ' οὐκ ἔχοντος αὐτάρκη τοῦ πνεύματος. ἀλλὰ διὰ τῆς στενῆς ὀπῆς, βιαίως εἰσπνεομένου. τοῦτ' οὖν ἡγούμενοι δηλοῦσθαι, κἀκ τῆς, ἀνέχεται, φωνῆς, ἔγραψάν τινες, οἷς πνεῦμα ἀνέχεται.

autem vbi dixerat, *erat autem cuidam sub ea vertebra quam dentem nominant*; adiecit, *quòd non similiter acuta est*, ostendit, qui hæc scripsit, vertebram hanc periculum non similiter inferre acutum; Veluti & quum in aphorismis puerorum affectiones recensens dixit, *Vertebræ, quæ in occipitio, ad interna luxationes*; non aliam intelligere oportet vertebram, quàm eam quæ dicta est. Quum enim adiacentes partibus anterioribus musculi, vel inflammati, vel quouis modo intensi vertebram totam ad se traxerint, posterior sedes caua magis videtur, comprimitur autem guttur, & ob id strangulantur ægri. Talis autem angina rarissimè cernitur. Nunc igitur vertebra ipsa intrò fugere, dicta est. Periculum autem affectus per propositam dictionem est demonstratum, quum inquit, *his in fine veluti contrahentis cuiuspiam spiritus efficitur*. In fine autem, quum moriuntur, significat; velut verò contrahentis, quòd morientibus his conuulsiua efficiatur respiratio, vehementer quidem trahente thorace, spiritu verò viam sufficientem non habente, sed per angustum foramen violenter inspirato. Id igitur & ex voce ἀνέχεται quidam significari putantes, scripserunt, quibus spiritus ἀνέχεται. i. *cohibetur*.

C

Περὶ τῶν ὀπισθοτόνου μέλλοντος σημείων.

De opisthotoni venturi signis.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ Ϟ'.

OI κεφαλαλγικοί, κατόχως παρακρούοντες, κοιλίης ἀπολελαμμένης, ὄμμα θρασυνόντες, ἀνθηροί, ὀπισθοτονώδεες γίνονται.

HIPPOCRATIS PRÆDICTIO 90.

CAput dolentes, cum catoche delirantes, intercepta aluo, oculo ferocientes, & florescentes, opisthotono corripiuntur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΔείχθη καὶ πρόσθεν, ὁ ἀνὴρ οὗτος, ἐξ ἀνομοιογενῶν σημείων γράφων συνδρομάς, ἃς ἐφ' ἑνός, ἢ δυοῖν ἐθεάσατο, καὶ διὰ τοῦτο, πολλάκις αὐτῷ προστίθησι τὸν, ἄρα, σύνδεσμον, ὃν καὶ νῦν ἄμεινον ἦν αὐτῷ συντεθεικότι, φάναι, ἆρά γε ἐπισθοτονώδεες γίνονται; ἡ μὲν γὰρ κεφαλαλγία, δηλοῖ πεπονθέναι τὴν κεφαλὴν αὐτήν, τὸ δὲ κατόχως, τὸν ἐγκέφαλον αὐτόν, ὥσπερ δὴ καὶ τὸ, παρακρούοντες. ἐδείχθη δὲ καὶ πρότερον, ὡς οὐ μάχεται τὰ τοιαῦτα συμπτώματα, καθάπερ οἴονταί τινες, ἀδύνατον εἶναι φάσκοντες, ἅμα τε κατέχεσθαι, καὶ παρακρούειν τὸν ἄνθρωπον. ἀλλὰ περὶ μὲν τῶν τοιούτων, διὰ τῶν ἔμπροσθεν εἶπον, ὁπηνίκα τὴν πρώτην ἁπασῶν ἐξηγούμην ῥῆσιν, καὶ τήνδε, τρομώδεες, ψηλαφώδεες παρακρούσιες, D πάνυ φρενιτικαί· ὥστε οὐδὲν ἔτι χρὴ νῦν αὖ λέγειν περὶ αὐτῶν. βέλτιον δ' ἐπισημήνασθαι δύο ταῦτα, τὰ λοιπὰ τῶν προγεγραμμένων ἐν τῇ προκειμένῃ ῥήσει, τὸ μὲν ἕτερον, ἔνθα φησί. κοιλίης ἀπολελαμμένης, τὸ δ' ἕτερον, ὄμμα θρασυνόντες. αἱ μὲν γὰρ ἀπολελαμμέναι κοιλίαι, τουτέστιν ἐπεχόμεναι, τῆς κατὰ τὸν ἐγκέφαλον διαθέσεως οὐκ εἰσὶν οἰκεῖον σημεῖον. αὐξάνουσι μέντοι, καὶ χείρονα ποιοῦσιν αὐτήν. τὸ δ', ὄμμα θρασυνόντες, ἀναγκαίως πρόσκειται τῇ συνδρομῇ. τοὺς γὰρ ἰδίως κατόχους καλουμένους, καὶ οἱ περὶ τὸν Ἀρχιγένην, καὶ Φίλιππον ἴσασιν ἀναπεπταμένους ἔχοντας τοὺς ὀφθαλμούς, οὐχ ὡς οἱ κωματώδεις, καὶ οἱ καταφορικοί, κεκλεισμένους. ἐπ' ἐκείνων μὲν γὰρ ὑγρότης αἰτία τοῦ παθήματος, ἐκλύουσα τὸν τόνον τῶν νεύρων, ἐπὶ τούτων δέ, διὰ ξηρότητα τάσις γίνεται, καί τις τῶν ἡμετέρων συμφοιτητῶν, κάμνων συνεχῶς ποτε περὶ μαθήματα, ἔπαθε τὸ πάθος τοῦτο.

SVpra demonstrauimus virum hunc signorum diuersi generis concursiones, quas in D ægro vno vel duobus conspexerit, scribere; atque ob eam rem sæpenumero coniunctionem, an, adijcit, quam si & in hac dictione adiecisset, satius fecisset dicendo, *an opisthotono corripiuntur?* Nempe capitis dolor caput ipsum affectum ostẽdit, κατόχως verò *cum catoche*, cerebrum ipsum, quomodo & verbum, delirantes. Demonstratum est quoque antea symptomata huiusmodi nequaquam controuersa esse, quo pacto existimant quidam, fieri non posse asserentes, vt æger catocho laboret simul, & mente vacillet. Sed de his antea egi, quum primam omnium enarraui di- E ctionem, atque eam, vbi dicitur, *Tremulæ, obscuræ, blandæque & contrectabiles desipientiæ, valde phreniticæ*: quocirca nihil ampliùs de his dicendum videtur, satiusque est exponere reliqua duo hæc quæ præsenti in dictione sunt ascripta, vnũ quidem quo ait, *intercepta aluo*, alterum verò quo dicitur, *oculo feroci*. Nempe aluus intercepta, hoc est retenta, affectionis cerebri signum proprium non est, auget tamen, & deteriorem ipsam reddit. Oratio verò, oculo feroci, de necessitate concursioni adiecta est; nam quòd catoche correpti propriè appellati tensos apertosque F habeant oculos, norunt tum Archigenes, tum Philippus; non, vt comatosi, & cataphorici, clausos; in his siquidem humiditas affectionis causa est neruorum dissoluens firmitatem robúrque; in illis verò, propter siccitatem tensio oritur. Quidã etiã ex nostris condiscipulis, quum assiduo disciplinarũ studio se fatigaret, malo hoc correptus est

Iacebat

Iacebat enim veluti lignum prorsus inflexus, rigidusque atque extensus, videbaturque oculis apertis nos ita intueri, vt ne conniueret quidem, nihil tamen loquebatur. Is quoque tempore eodem, quæ loqueremur, audire se dixit, quáquam non euidenter, caréque nonnulla item; & memoria tenens referebat, præsentesque omnes sese conspicere dixit, ita, vt quorundam actiones recordatus exponeret, sed neque loqui posse, neq; membrum vllum mouere. Quare in dicta cócursione exoritur ambiguitas, quonam modo adiectum sit, delirantes. Nam quod in ea dictione dicitur; *Tremulæ, obscuræ, & contrectabiles desipientiæ*, non prorsus immotos esse eos, qui ita affecti sunt, significat; quemadmodum sané neque eos, qui in comate delirant: at in catochis, in quibus nulla prorsus adest motio, nec delirium cognosci potest. Fortè igitur vidit catoches speciem, vt immotum quidem, & concretum corpus totum esset, exiguum tamen homo quippiam loqueretur, vnde dignosci poterat desipientia; vel desipientiam, veluti ducem subsequuta est catoche, scribendumque secundum eam expositionem, *Capite dolentes, cum catoche delirantes.* Fieri etiam potest, vt secundum primam ipsius constitutionem loquentibus ipsis declararetur desipientia, completa verò catoche, non ampliùs loquerentur ægri, florescentes verò vocauit eos, vt par est, sicut paulò ante impensè rubentes, nominauit, quod copiæ in capite vnà cum caliditate collectæ signum fuerit: huic & antecedens capitis dolor, atque ab hoc sequens in posteriorem partem inflexio corporis à conuulsione, sed & hæc quidem in ipsorum generationem quispiam prius signum acceperit, posterius verò interceptam aluum semper capitis symptomata exacerbantem.

A κατέκειτο γὰρ οἷον περ ξύλον ὅλον (ὅλως) ἄκαμπτος ἀποτεταμένος, ἐφαίνετό τε βλέπων ἡμᾶς, ἀνεῳγότων τῶν ὀφθαλμῶν, ὡς μηδὲ σκαρδαμύττειν, οὐ μὴν ἐφθέγγετό τι. ἔφη μέντοι καὶ ἀκούειν ἔφη κατὰ τὸν καιρὸν ἐκεῖνον, ὅσα διαλεγοίμεθα (διαλεγομένων) ἐτύγχανομεν, οὐ μὴν ἐναργῶς τε, καὶ σαφῶς, ἔλεγε δέ τινα ἀναμεμνημένος. ἐμβλέπειν τε ἔφη τοὺς παρόντας ἅπαντας, ὡς καὶ τὰς ἐνεργείας ἐνίων ἀπομνημονεύων διηγεῖσθαι. μήτε δὲ φθέγγεσθαι δύνασθαι, μήτε τι μέλος κινεῖν. διὸ καὶ νῦν ἐστιν ἀπορῆσαι τὸ κατὰ τὴν εἰρημένην συνδρομήν, τό, παρακρούοντες, ὅπως προσέκειται. τὸ μὲν γὰρ ἐπὶ τῆς ῥήσεως, αἱ τρομώδεες,

B ἀσαφώδεες, ψηλαφώδεες παρακρούσιες, οὐ παντελῶς ἀκινήτους εἶναι τοὺς οὕτω διακειμένους σημαίνει, ὥσπερ οὖν οὐδὲ τοὺς ἐν κώματι παραφρονοῦντας. ἐπὶ δὲ τῶν κατοχῶν, οὐδεμίαν κίνησιν κινουμένων, οὐδὲ τὴν παραφροσύνην ἐστὶ γνωρίσαι. τάχ' οὖν οὗτος εἶδε κατόχου εἶδος, ὡς ἀκίνητον μὲν εἶναι, καὶ πεπηγὸς ὅλον τὸ σῶμα, βραχὺ δέ τι φθεγγόμενον τὸν ἄνθρωπον, ἐξ οὗ δυνατὸν ἦν γνωρίσαι καὶ (τὴν) παραφροσύνην, ἢ προηγησαμένης τῆς παραφροσύνης, παρηκολούθησεν ἡ κατοχή, καὶ γραπτέον ἐστὶ κατ' αὐτὴν τὴν ἐξήγησιν. οἱ κεφαλαλγικοί, καὶ κατόχως παρακρούοντες. ἐγχωρεῖ δέ, καὶ κατὰ τὴν

C πρώτην αὐτοῦ σύστασιν ἐπιφθεγγομένων (ἔτι) αὐτῶν, δηλοῦσθαι τὴν παραφροσύνην. συμπληρωθείσης δὲ τῆς κατοχῆς, μηκέτι φθέγγεσθαι τοὺς κάμνοντας. ἀνθηροὺς δὲ ὠνόμασεν, ὡς εἰκὸς αὐτούς, οὕσπερ ὀλίγον ἔμπροσθεν ἐξερυθρους ἐκάλεσεν. σημεῖον δ' ἂν εἴη τοῦτο, τοῦ κατὰ τὴν κεφαλὴν πλήθους ἠθροισμένου μετὰ θερμότητος, ἐφ' ᾧ καὶ ἡ προηγησαμένη κεφαλαλγία, καὶ ὁ μετ' αὐτὴν ἀκολουθῶν ὀπισθότονος. ἀλλὰ καὶ ταῦτα μὲν εἰς τὴν γένεσιν αὐτῶν πρότερον ἄν τις λάβοι σημεῖον. δευτέρως δὲ τὴν ἀπολελαμμένην κοιλίαν παροξύνουσαν ἀεὶ τὰ τῆς κεφαλῆς συμπτώματα.

D

De rigore pernicioso, & malo comate.

Περὶ ῥίγεος ὀλεθρίου, καὶ τοῦ κώματος πονηροῦ.

HIPPOCRATIS PRÆDICTIO 91.

IN oculorum peruersione febriculoso, lassato, rigor, perniciosus, & comatosi in his malum.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϙα'.

ΕΓ' ὀμμάτων διαστροφῇ πυρετώδει, κοπιώδει, ῥῖγος ὀλέθριον. καὶ οἱ κωματώδεες ἐν τούτοισι, πονηρόν.

COMMENTARIVS GALENI.

DEmonstrauimus etiam supra, libri huius authorem permiscere inuicem grauia symptomata, de quorum singulis, per se dicendum semel erat, quum, quoties plura inter se permisceantur, grauius ægris quidem ex ipsis periculum reddi, nobis verò certiorem effici prænotionem, intelligere valeamus. Nihil igitur noui nunc dictum est, nempe, quónam in affectu peruersio oculorum fiat, quænam item lassitudinum differentiæ, & quando rigorem commodè apparere oporteat, præterea qualenam coma sit, & quænam cerebri affectio ipsum pariat, didicimus.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΔείχθη κἀν τοῖς ἔμπροσθεν, ὁ ἀνὴρ οὗτος, ἐπιπλέκων ἀλλήλοις χαλεπὰ συμπτώματα, περὶ ὧν ἑκάστου κατὰ μόνας ἐχρῆν ἅπαξ εἰπεῖν ὡς ἡμῶν δυναμένων ἐννοεῖν, ὡς ἐπειδὰν ἀλλήλοις ἐπιπλέκηται πλείω, σφοδρότερον μὲν ἀποτελεῖσθαι κίνδυνον ἐξ αὐτῶν τοῖς κάμνουσι. βεβαιοτέραν δ' ἡμῖν γίνεσθαι τὴν πρόγνωσιν, οὐδὲν οὖν εἴρηται καινόν. μεμαθήκαμεν γάρ, τήν τε τῶν ὀμμάτων διαστροφήν, κατὰ τίνα γίνεται διάθεσιν, τίνες τε τῶν κόπων αἱ διαφοραί, καὶ πότε χρὴ ῥῖγος ἐπιφαίνεσθαι χρησίμως, ὁποῖόν τε τὸ κῶμα, καὶ ἥ τις αὐτὸ διάθεσις ἐγκεφάλου γεννᾷ.

E

De malignis hypochondrij doloribus.

Περὶ κακοηθέων πρὸς ὑποχόνδριον ὀδυνῶν.

HIPPOCRATIS PRÆDICTIO 92.

IN febribus ad hypochondrium dolores sine voce, si sudore non soluuntur, maligni, his ad coxas dolores cum ardente febre, & si aluus affatim proruperit, perniciosum.

F

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϙβ'.

ΑΙ ἐν πυρετοῖσι πρὸς ὑποχόνδριον ὀδύναι ἄναυδοι, ἱδρῶτι λυόμεναι, κακοήθεες, τούτοισιν ἐς ἰσχία ἀλγήματα ἅμα καυσώδει πυρετῷ. καὶ ἢν κοιλίη καταρραγῇ, ὀλέθριον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀπορίαν τοῖς ἀναγινώσκουσιν, αἱ ἀσαφεῖς τῶν ῥήσεων ἐργάζονται, καὶ τῶν σαφῶν ὅσαι τοῖς ἐναργῶς φαινομένοις ἐναντίως ἀποφαίνονται. τινὲς δὲ, καὶ κατ᾽ ἀμφοτέρους τοὺς τρόπους, τὴν ἀπορίαν ἐπιφέρουσιν, ὥσπερ καὶ ἡ νῦν προκειμένη. πλέον δὲ ἐν αὐτῇ, τὸ μὴ συμφωνεῖν τοῖς φαινομένοις ἐπὶ τῶν νοσούντων, τὰ κατ᾽ αὐτὴν λελεγμένα. προχείρως μὲν οὖν δοκεῖ, τοιόνδε τὸν λόγον τινὰ δηλοῦν ἡ προκειμένη ῥῆσις. αἱ ἐν πυρετοῖς πρὸς ὑποχόνδρια ὀδύναι, ἅμα ἀφωνίῃ, ἱδρῶτι λυόμεναι, κακοήθεες. ψευδοῦς δ᾽ εἶναι φαινομένου τοῦ, τὰς μεθ᾽ ἱδρῶτος λύσεις, κακοήθεις εἰρῆσθαι, κατ᾽ αὐτὸ τοῦτο πρῶτον, ἀπορία τις ἡμᾶς καταλαμβάνει. τὰ μὲν γὰρ ἄνευ τινὸς, ἤτοι τεχνικοῦ βοηθήματος, ἢ φυσικοῦ, παυσάμενα παθήματα, προσηκόντως ὡμολόγηται, τὴν λύσιν ἄπιστον ἔχειν. τὰ δὲ μετὰ τοιούτου τινὸς, ὁποῖον καὶ νῦν ὁ ἱδρὼς εἴρηται, βεβαίως λελύσθαι φαίνεται. τοὐναντίον γὰρ ἁπάντων, ὅταν ἱδρῶτος, ἢ τινος ἄλλου φυσικοῦ βοηθήματος γινομένου, μὴ λύηται, τὸ νόσημα κακόηθες νομίζεται. διὸ καὶ πιθανῶς τις, ἐπ᾽ αὐτῆς τῆς ῥήσεως ἔλεγε λείπειν ἀπόφασιν τὴν, μὴ, παραλελειμμένην ὑπὸ τοῦ πρώτου τὸ βιβλίον μεταγράψαντος, καθάπερ καὶ ἄλλα πολλὰ πολλάκις ἐν πολλοῖς βιβλίοις, ὡμολόγηται τὰ μὲν παραλελεῖφθαι, τὰ δὲ ὑπηλλάχθαι μηδενὸς ὕστερον ἐπανορθῶσαι τὰ ἡμαρτημένα τολμήσαντος. ἀληθὴς γὰρ ὁ λόγος, ἐὰν οὕτω γράψωμεν, ἔσται, αἱ ἐν πυρετῷ πρὸς ὑποχόνδρια ὀδύναι ἀναύδως, ἱδρῶτι μὴ λυόμεναι, κακοήθεες. ἀλλὰ τὰ σαφῆ καὶ γνώριμα καταλιπόντες οἱ πολλοὶ τῶν ἀνθρώπων, χαίρουσι τοῖς αἰνιγματωδῶς εἰρημένοις. ἔνιοι δὲ, καὶ τοῖς προφανῶς ἡμαρτημένοις συναγορεύειν ἐπίδειγμα σοφίας ἡγοῦνται, παραπλησίως τοῖς κατὰ τὰ δικαστήρια ῥήτορσιν, οἱ τοὺς φανερῶς, ἤτοι φόνον ἐργασαμένους, ἤ τι τοιοῦτον κακὸν, εἰρύσαντο τῆς προσηκούσης κολάσεως, ἐξαπατήσαντές τε, καὶ παρακρουσάμενοι τοὺς δικαστὰς, ὅταν ἰδιῶται λόγων ὦσι, καὶ τὰς ἐν αὐτοῖς πανουργίας ἀγνοῶσιν. οὕτως οὖν κἀπὶ τῆς προκειμένης ῥήσεως ἐπενόησάν τινες, ἀναύδως εἰρῆσθαι, τὸ, ἀλόγως, ἐπειδήπερ ὁ λόγος μὲν ἐν τῷ γένει τῆς φωνῆς ἐστι. λέγεται δὲ ἡ φωνὴ παρὰ τοῖς παλαιοῖς, οὐχ οὕτω μόνον, ἀλλὰ καὶ αὐδή. κατὰ δὲ τὴν μετάβασιν ταύτην τὸ ἀλόγως, φασὶν ἐκ τοῦ ἀναύδως σημαίνεσθαι. τὰ δ᾽ ἀλόγως παυσάμενα, πάντα ἐστὶν ἄπιστα. μαχομένων δὲ καὶ τούτῳ τῷ λόγῳ τοῦ τε κακοήθεις εἰρῆσθαι τὰς τοιαύτας ἐκκρίσεις, οὐκ ἀπίστους, καὶ τοῦ μηδ᾽ ἀλόγως λύεσθαι σὺν ἱδρῶσιν, ὡς αὐτὸς εἶπεν· ἕτεροί τινες ὑπερβαλλόμενοι τῇ σοφίᾳ τούτους, ἀλόγως λύεσθαί φασιν, οὐ μόνον ὅσα χωρὶς τοῦ γίνεσθαί τι βοήθημα τεχνικὸν ἢ φυσικὸν ἐρρᾳστώνησεν, ἀλλὰ καὶ ταῦτα τὰ γινόμενα μὲν, οὐ μὴν κατ᾽ ἀξίαν τοῦ νοσήματος, ὥσπερ εἰρηκότος τοῦ συγγράψαντος, ὀλίγον γενέσθαι τὸν ἱδρῶτα, καὶ μὴ χωρὶς ἁπάσης προσθήκης γράψαντα, ἱδρῶτι λυόμενα, ἀλλὰ προσυπακοῦσαί φησι, τὸ, ὀλίγῳ. τάχα δέ τις καὶ ἄλλος, ἀναφανείς ποτε τούτων τολμηρότερος, ἀξιώσει τὸ, πολλῷ καὶ ἀμέτρῳ προσυπακούειν, εἶτα περὶ συμμετρίας, ἀμαθέσι παισὶ καὶ ἀγυμνάστοις πάσης παιδείας, ληρήσας μακρὰ, δόξει τις εἶναι σοφός. Εἰ δ᾽ ὅλως οἷόν περ ἔξεστι, τῷ, ἱδρῶτι λυόμεναι προστιθέναι τοιοῦτον, πολλῷ βέλτιον ἦν προστιθέντας μίαν συλλαβὴν, τὴν, μὴ, γράψαντας μὴ λυόμεναι, πραγμάτων ἀπηλλάχθαι. αἱ γὰρ σὺν πυρετῷ τῶν ὑποχονδρίων ὀδύναι, ἃς ἱδρὼς μὴ λύει, κακοήθεις εἰσίν.

ἠρύσαντο

COMMENTARIVS GALENI.

Dubitationem legentibus pariunt non obscuræ dictiones modò, verùm quoque & ex perspicuis, quæ contra euidenter apparentia pronunciantur quædam modo vtroque ambiguitatem inferunt; in quo genere præsens dictio collocatur; exuperat tamen in ea, quòd quę in ipsa dicta sint, minimè his consentiant, quæ in ægris cernuntur. Promptè igitur talem quendam sermonem ostendere præsens dictio videtur. *In febribus ad hypochondria dolores cum vocis priuatione, sudore si soluuntur, maligni.* At quum falsum esse videatur, vt solutiones cum sudore malignæ dicantur, in hoc ipso primo ambiguitas quędã nos occupat. Nam quæ absque vllo auxilio, vel artis, vel naturæ cessauerunt affectiones, quòd infidã habeant solutionem in confesso est, quæ verò cũ tali quodam, qualis nunc sudor dictus est, nõ firmiter solutæ esse vidẽtur, contrario siquidẽ prorsus modo, quoties sudore, vel aliquo alio naturæ auxilio non soluãtur, morbus malignus existimatur. Atque ob eam rem probabiliter quis deficere in ea dictione negationem *non*, aiebat, atque ab eo qui primus librum transcripserat, prætermissam, quomodo & alia multa multoties in multis libris nemo negat, alia quidem prætermissa, alia verò permutata esse quum nullus postea erratũ ausus fuerit emendare. Verus siquidem erit sermo, si ita scripserimus; *In febribus ad hypochondria dolores sine voce sudore si non soluuntur, maligni.* Sed pleriq; hominũ relictis tum claris, tum notis, ænigmaticè pronunciatis oblectãtur. Sunt etiam, qui patrocinari manifestis erratis, specimen sapientiæ arbitrentur, eorum instar, qui apud tribunalia rhetoris obeuntes munus, manifestè, vel cædis, vel talis cuiuspiam flagitij conuictos à iusta liberant pœna, iudices ipsos, quum sermonum rudes fuerint, & subdolas eorum astutias ignorauerint decipientes, & mente vacillare facientes. Sic sanè nonnulli in præsenti oratione *sine voce*, pro *sine sermone*, dici putauerunt; quia sermo, in vocis genere fit. Dicitur autem apud veteres φωνὴ, non ita solum, verùm quoque αὐδὴ, atque hoc translatu ἀλόγως ex ἀναύδως, significari dicunt, quæ autem ἀλόγως. i. *absque ratione*, desierunt, infida omnia & suspecta existunt. At quum sermoni huic aduersentur, & quod tales excretiones malignæ dicantur, non infidæ; & quod non absque ratione cum sudoribus soluantur, vt ipse dixit; quidam alij sapientia validiores, sine ratione solui dicunt, non solùm quæ nullo auxilio vel artis, vel naturæ facilitata sunt, verùm quoque & hæc facta quidem, sed non pro magnitudine morbi, tanquam scriptor exiguum factum sudorem dixerit, etsi absque nulla adiectione scripserit, *sudore si soluuntur*, subintelligendum autem *modico*, aiunt. Forsitan verò & alius quispiam audacius cæteris pronuncians, multo, & immoderato, subintelligendum volet, deinde pueris tum rudibus indoctisque tum disciplinæ omnis inexercitatis, multa de symmetria nugatus, aliquis sapiens videbitur. Quòd si prorsus his licet orationi, sudore si soluuntur, eiusmodi dictionem adiicere, multo melius erat adiecta syllaba, non scripta oratione, si non soluuntur, à negotiis nos extricare; nam hypochondriorum cum febre dolores, quos sudor non soluit, maligni existunt.

Reipsa

Re ipsa igitur ostendi & nunc, quomodo iam sæpius in obscuris multis dictionibus nihil quidem eorum, quæ non nouimus, ab ipsis doceri, sed insumi tempus veluti in ænigmatis, si quæ nouimus, dictioni accommodauerimus. Itaque & quod in fine dictionis recensetur, non paruam habuit quæstionem, quare, si venter καταῤῥαγῇ, quod est ἀθρόως ἐκκριθῇ πολλὰ .i. *confertim multa excreuerit* lethalem morbum indicabit. Nam, vt inquit Hippocrates. *Deiectiones multitudine æstimandæ non sunt, sed si talia deijciantur, qualia conueniunt, & æger facile ferat.* Hic quidem sermo, quòd & manifestus sit, & vniuersaliter quippiam doceat, contemnitur; quæ verò ænigmaticè dicuntur, sophistis quidem iure affectantur, vt discipulos mirum quippiam docere videantur; discipulis verò, propter primarum disciplinarum, in qubus antiqui pueros alebant, ruditatem, inexercitata autem horum cogitatio neque, quæ dicuntur, assequitur, neque veritatem in ipsis discernere potest. Nam quis sine distinctione de erumpente aluo pronunciationem aliquam audiens, non continuò sermonem incusat, tanquam nihil docentem? Nempe aluus in quouis morbo erumpens, sine quidem coctionis signis, quæ sæpius audiuisti, nihil iuuat; si verò implacidiùs operata fuerit, præter id, quòd nihil iuuat, noxam etiam attulit; cum his verò iuuat, magisque, si contristans humor vacuetur; atque adhuc magis, si æger post vacuationem placidior fit, certiusque quum in die iudicatorio apparuerit quippiam, quod per indicem significatum fuerit. Qui ergo hæc nouit, dictam dictionem neglectui habet, atque alias omnes, quæ particularium symptomatum, vel morborum mentionem faciunt. Nempe, in quibus aluus erumpit, vel morbis, vel symptomatis, si cum eis, quas nuper dixi, fiat limitationibus, securam efficit cognitionem, absque eis autem limitationibus nunquam verus erit sermo, qui erumpentem aluum, vel iuuare, vel nocere asserit. In omnibus siquidem vtrumque fit, at in definitis distinctionibus nihil est dicere, in hepatis quidem inflammatione vitiosum esse symptoma erumpentem aluum, in alio verò quodam bonum, verùm in omnibus (vt dictum est) & bonum, & malum fit cum propriis distinctionibus.

A ἔργῳ τοίνυν ἐδείχθη μοι, καὶ νῦν, ὥσπερ ἤδη πολλάκις, τὴν ἐπὶ πολλῶν ἀσαφῶν ῥήσεων, οὐδὲν μὲν ὧν οὐκ ἴσμεν παρ' αὐτῶν διδασκόμενον, ἀπολλύμενον δὲ χρόνον, ὥσπερ ἐπὶ τῶν αἰνιγμάτων, εἰ ἐφαρμόσωμεν ἃ γινώσκομεν τῇ λέξει. καὶ γὰρ οὖν, καὶ τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, οὐ μικρὰν ἔσχε ζήτησιν αὐτῶν, διά τι, ἐὰν ἡ κοιλία καταῤῥαγῇ, τουτέστιν ἀθρόως ἐκκριθῇ πολλά, θανατῶδες εἶναι τὸ νόσημα δηλώσει. τὰ γὰρ χωρέοντα, μὴ τῷ πλήθει τεκμαίρεσθαι φησὶν ὁ Ἱπποκράτης, ἀλλ' ὡς ἂν χωρέῃ οἷα δεῖ, καὶ φέρει εὐφόρως. οὗτος μὲν ὁ λόγος, ὅτι καὶ σαφής ἐστι, καὶ καθόλου τι διδάσκει, B καταφρονεῖται. τὰ δ' αἰνιγματωδῶς εἰρημένα, σπουδάζεται τοῖς μὲν σοφισταῖς εἰκότως, ἵνα τι θαυμαστὸν διδάσκειν δόξωσι τοὺς μαθητάς, αὐτοῖς δὲ τοῖς μαθηταῖς, διὰ τὴν ἀπαιδευσίαν τῶν πρώτων μαθημάτων, ἐν οἷς οἱ παλαιοὶ τοὺς παῖδας ἔτρεφον. ἀγύμναστος δὲ ὢν ὁ λογισμὸς αὐτῶν, οὔθ' ἕπεται τοῖς λεγομένοις, οὔτε κρῖναι τὴν ἐν αὐτοῖς ἀλήθειαν δύναται· ἐπεί τις ἀκούσας ἄνευ διορισμοῦ, ἐπὶ καταῤῥηγνυμένης κοιλίας ἀπόφασιν τοιαύτην, οὐκ εὐθέως μέμφεται τὸν λόγον, ὡς μηδὲν διδάσκοντα. κοιλία μὲν γὰρ, ἐν ὁτῳοῦν νοσήματι καταῤῥαγεῖσα, χωρὶς μὲν τῶν τῆς πέψεως C σημείων ἃ πολλάκις ἀκήκοας, οὐδὲν ὀνίνησιν. ἐὰν δὲ δυσφορώτερον ἐργάσηται, πρὸς τῷ μηδὲν ὠφελεῖν ἔτι, καὶ βλάβην ἤνεγκεν. ἅμα δὲ τούτοις ὠφελεῖ, καὶ μᾶλλον ἐὰν ὁ λυπῶν ἐκκενῶτο χυμός. ἔτι δὲ μᾶλλον, ἐὰν εὐφορώτερος ὁ κάμνων, ἐπὶ τῇ κενώσει γίγνηται. καὶ βεβαιότερον, ὅταν ἐν ἡμέρᾳ κρισίμῳ φανῇ τι προδεδηλωμένον διὰ τῆς ἐπιδήλου. ταῦτ' οὖν ὁ ἐπιγινώσκων, καὶ τῆς εἰρημένης ῥήσεως καταφρονεῖ, καὶ τῶν ἄλλων ἁπασῶν, ὅσαι τῶν συμπτωμάτων τῶν κατὰ μέρος, ἢ νοσημάτων μνημονεύουσιν. ἐφ' οἷς γὰρ ἂν ἡ κοιλία καταῤῥαγῇ νοσήμασιν, ἢ συμπτώμασιν, ἐν D οἷς μεθ' ὧν εἶπον ἄρτι γίνηται διορισμῶν, ἀσφαλῆ τὴν γνῶσιν ἐργάζεται. χωρὶς δὲ τούτων τῶν διορισμῶν, οὐδέποτε ἀληθὴς ὁ λόγος ἔσται, κοιλίαν λέγων καταῤῥηγνυμένην ὠφελεῖν, ἢ βλάπτειν. ἐπὶ πάντων γὰρ ἑκάτερον γίνεται. κατὰ δὲ τοὺς ὡρισμένους διορισμοὺς οὐδέν ἐστιν εἰπεῖν, ἐπὶ μὲν ἥπατος φλεγμονῇ, φαῦλον εἶναι σύμπτωμα, καταῤῥαγεῖσαν κοιλίαν, ἐπὶ δ' ἄλλου τινὸς, ἀγαθόν. ἀλλ' ἐπὶ πάντων ὡς εἴρηται, καὶ ἀγαθὸν, καὶ κακὸν γίνεται μετὰ τῶν οἰκείων διορισμῶν.

De vocis defectu post crisin.

E

Περὶ τῆς ἐκλείψεως φωνῆς μετὰ τὴν κρίσιν.

HIPPOCRATIS PRÆDICTIO 93.

Quibus voces cum febre deficiunt post iudicationem, hi trementes ac soporati pereunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϟγʹ.

Οἷσι φωναὶ ἅμα πυρετοῖσιν ἐκλείπουσαι μετὰ κρίσιν, τρομώδεες, καὶ κωματώδεες τελευτῶσιν.

COMMENTARIVS GALENI.

HÆc item dictio iis, quæ obscuritatem de industria sectantur, similis existit. Quidam enim verbum, deficiunt, de solis vocibus intellexerunt, alij verò, & febres vocibus adiecerunt, dictum esse asserentes, quòd vtræque deficiant, & voces, & febres, vt sermo talis sit: *quibus apparente soluta febre vocis interceptio fit, & post iudicationem, hi trementes & comatosi pereunt*, febribus scilicet, non sine signis, sed cum mala iudicatione, visis desiisse.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑΙ ἥδε ἡ ῥῆσις, ὁμοία ταῖς εἰς ἀσάφειαν ἐξεπίτηδες ἐπιτετηδευμέναις ἐστί. τὸ γοῦν, ἐκλείπουσαι, ἔνιοι μὲν ἐπὶ τῶν F φωνῶν μόνων ἤκουσαν, ἔνιοι δὲ, καὶ τοὺς πυρετοὺς αὐταῖς προσέθηκαν, ἄμφω λέγοντες εἰρῆσθαι ἐκλείπειν, καὶ τὰς φωνὰς καὶ τοὺς πυρετούς. ὡς εἶναι τὸν λόγον τοιοῦτον, οἷς, δοξάντων λελύσθαι τῶν πυρετῶν, ἀφωνία γίνεται, καὶ μετὰ τὴν κρίσιν, οὗτοι τρομώδεες τελευτῶσιν, καὶ κωματώδεες, δηλονότι τῶν πυρετῶν, οὐκ ἀσήμως, ἀλλὰ μετὰ κακῆς κρίσεως δοξάντων πεπαῦσθαι.

κακὰς δ' ἴσμεν κρίσεις ἐκείνας λεγομένας, ὅσαι γινόμεναι μετὰ φυσικῶν κενώσεων, ἢ ἀποστάσεων, οὐ μόνον οὐδὲν ὠφέλησαν τοὺς κάμνοντας, ἀλλὰ καὶ χεῖρον ἔχειν ἢ πρόσθεν ἐποίησαν. ἕτεροι δὲ οὐδὲ τὰς φωνὰς ἅμα τοῖς πυρετοῖς, ἀλλὰ μόνας αὐτὰς νομίζοντες ἐκλείπειν, ὅλον τὸν λόγον τοιόνδε ποιοῦσιν. οἷσιν ἐκλείπουσι φωναὶ, μενόντων τῶν πυρετῶν, εἰ τοῦτο γένοιτο, μετὰ κρίσιν οὗτοι τρομώδεές τε ἅμα, καὶ κωματώδεες τελευτῶσιν, καίτοι κἀνταῦθα πάλιν ἑτέρα διαφωνία τοῖς ἐξηγουμένοις ἐγένετο. τινὲς μὲν γὰρ, ὅταν ἐπὶ τοῖς εἰρημένοις τρομώδεις γένωνται, τελευτᾶν φασι τούτους, καὶ κωματώδεις ἅμα, καὶ τρομώδεις. τινὲς δὲ κωματώδεις γενομένους οὕτως ἀπόλλυσθαι, οὐδεὶς δ' αὐτῶν, οὔτ' ἐκ τῆς τῶν πραγμάτων φύσεως ἀπόδειξιν ἔγραψε λογικὴν, οὔτε τὴν ἐμπειρίαν ἔχει δεῖξαι μαρτυροῦσαν. οὔτε γὰρ τρομώδεις, οὔτε κωματώδεις ἐπὶ τοῖς προειρημένοις, ὡς τὸ πολὺ φαίνονται τελευτῶντες. Εἰ δέ τινες ἐν τῷ σπανίῳ γένονται τοιοῦτοι, τοῦ προγνωστικοῦ τε, καὶ προρρητικοῦ μέρους τῆς τέχνης ἐκπεπτώκασιν, οὐ γὰρ τῶν τοιούτων, ἀλλὰ τῶν, ἢ διηνεκῶς, ἢ ὡς τὸ πολὺ γινομένων, εἰς τὰς προρρήσεις χρήζομεν. εἰ δὲ βούλει καὶ τῶν ἀμφιδόξως ἀποβαινόντων, οὐ μὴν γε σπανίων. οὐδεὶς γὰρ βούλεται, πολλάκις ἀποτυχὼν, ἅπαξ ἐπιτυχεῖν.

Constat autem malas dici iudicationes, quæ cum naturalibus vacuationibus, vel abscessibus factæ, non solùm ægros nihil iuuerunt, verùm quoque & deterius habere, quàm antea, fecerunt. Alij autem non vocem cum febre, sed solam vocem, deficere existimantes, totum sermonem ita efficiunt; *quibus voces manente febre deficiunt, si id fit post iudicationem, hi trementes simul & comatosi moriuntur.* Atqui rursus in præsentiarum discordia alia inter expositores orta est. Quidam enim aiunt, quando ex prædictis trementes fiunt perire hos tum comatosos, tum trementes: alij autem comatosos factos ita interire. Nemo autem inter eos ex natura rerum logicam scripsit demonstrationem, neque attestantem experientiam ostendere potest, neque enim ex prædictis, & trementes, & comatosi magna ex parte interire videntur. Quòd si quidam rarò tales fiant, ab artis parte tum prorrhetica desciuerunt; non enim ad prædictiones talibus vtimur, sed iis, quæ vel assiduè, vel vt plurimùm fiunt; imò verò & iis, quæ ambiguè contingunt, non tamen raris; nullus enim vult, sæpius animi voto frustratus, semel assequi, quod petiit.

Περὶ τῆς λυγγὸς γινομένης.

De singultu venturo.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϟδʹ.

Οἷσι καυστικὰ, μεμωρωμένα, κάτοχα, ποικίλλοντα ὑποχόνδρια, καὶ κοιλίην ἐπηρμένοι, σιτῶν ἀπολελαμμένων, ἐφ' ἱδρῶσι, ἆρα τούτοις τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, λύγγα διασημαίνει, καὶ κοιλίη δὲ ἔπαφρα, χολώδεα προσδιέρχεται; τὸ λαμπῶδες ἐν τούτοισιν ὠφελέει οὐρηθὲν, κοιλίη γὰρ τούτοισιν ἐπιταράσσεται.

HIPPOCRATIS PRÆDICTIO 94.

QVibus deurentia, fatuitatem inferentia, inducentia catochen, variatia hypochondria, vetre tumidi, cibis interclusis cum sudatiunculis, an his turbidus spiritus, & genituræ quid simile superueniens, singultum indicet, ventrique spumosa, tum biliosa prodeant? Emictum in his splendidum iuuat, & venter his perturbatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἤθροισε πάλιν ἐνταῦθα συμπτώματα διαθέσεων οὐχ ὁμογενῶν, ἐφ' ὧν ἐδείχθη πρόσθεν, οὐδεμία διδασκαλία γινομένη τεχνική. πάντα μὲν γὰρ ἐπισκέψασθαι δεῖ τὰ κατὰ τὸν νοσοῦντα, καὶ μηδὲν μήτε παρορᾶν, μήτ' ἀργῶς ὁρᾶν. ἑκάστου δ' αὐτῶν ἰδίᾳ μεμαθηκέναι τὴν δύναμιν, οἷον εὐθέως, τὰ καυστικὰ πρῶτα πάντων εἴρηται, δυναμένων μὲν ἀκούεσθαι καὶ παθῶν καυστικῶν, ὡς εἰ θερμῶν, καὶ διακαῶν εἰρήκει. δυναμένων δὲ καὶ διαχωρημάτων νοεῖσθαι τοιούτων, ὧν ἡ δύναμίς ἐστιν, ὀξύ τε τὸ νόσημα, καὶ ταχύκρισιμον ἐργάζεσθαι, καὶ μέντοι καὶ κινδυνῶδες, ἐὰν ἰσχυρῶς γένηται καυστικά. μεμωρωμένα δὲ καλεῖ, τὰ μώρωσιν ἐμποιοῦντα τῇ διανοίᾳ. αὕτη δὲ ἐστι χωρὶς παραφροσύνης σύμπτωμα, τοῖς φύσει μωροῖς ὁμοίως ἀποφαῖνον τοὺς νοσοῦντας, ὁποίους καὶ τῶν λεγομένων ἀπογηρᾶν ἐνίους ἴσμεν γινομένους. ᾧ παθήματι παραπλήσιον μέν ἐστιν, οὐ μὴν ταὐτὸν, ὅπερ ὀνομάζουσιν ἄγνοιαν, ὑπὲρ ἧς καὶ ὁ Θουκυδίδης ἔγραψεν ἐπὶ τῶν ἐκ τοῦ λοιμοῦ διασωθέντων ὧδε, καὶ ἠγνόησαν σφᾶς τε αὐτοὺς, καὶ τοὺς ἐπιτηδείους. ᾧ τινι δὲ διαφέρει τῆς λήθης, οὐκ ἀναγκαῖον εἰς τὰ παρόντα σκοπεῖσθαι. τὰ γε μὴν κάτοχα, τὰ τὴν καλουμένην κατοχὴν ἐπιφέροντα, νοσούντων ἡμῶν, ἕτεροί φασι τὰ βεβαίως ἱδρυμένα,

COMMENTARIVS GALENI.

ACeruauit iterum hoc in loco affectionũ diuersi generis symptomata, in quibus nullam artificiosam doctrinã esse suprà demõstrauimus. Omnia siquidẽ, quæ in ægro sunt, cõtemplari, nihilque neque negligere neque ociosè inspicere, oportet; singulorum verò horũ vires seorsum discere conuenit. Vt verbi gratia, verbi καυστικὰ .i. *deurentia*, quod primum omnium dictum est, nẽpe intelligi possunt affectiones causticæ. i. *deurentes*, quasi calidas & vrentes dixerit; possuntq; & eiusmodi intelligi excrementa, quorum facultas est, morbum & acutũ, & velocis iudicationis reddere, præterea & periculosum, si vehementer talia fuerint. Μεμωρωμένα autem .i. *fatuitatem inducentia*, vocat, quæ μώρωσιν .i. *fatuitatem*, menti inducunt: ea autem est symptoma citra deliriũ ægros naturalibus fatuis similes reddẽs, quales etiam ex iis, qui dicuntur consenescere, nõnullos fieri nouimus. Cui pathemati simile quidẽ est, quanquã non idem, quod vocant *ignorantiam*, de qua & Thucydides scripsit in iis, qui ex peste seruati sunt, hoc pacto; *Ignorauerunt que tum se ipsos, tum familiares.* Quo autem modo differat ab obliuione, non est, vt in præsentia cõsideremus, necesse. Quum autem κάτοχα .i. *quæ catochen* vocatam *inferant*, intelligamus, alij morbos stabiles firmosque,

&

& veluti κατεχομένους. i. *detinentes*, appellata eſſe catocha dicunt. Variantia item, aſſiduas contraria in ſymptomata permutationes facientia, quidam intellexerunt; ſeparanteſque à voce hac, hypochondria, vno contextu legunt, ventre tumidi. Alij autem vno etiam contextu legentes, variantia hypochondria, per ſe rurſus legunt, ventre tumidi, aiuntque variantia, de hypochondriis dici; nam, vt antea in his, quæ in toto corpore ad contraria fiunt, trãſmutationibus dixerunt, ſic in hypochondriis fecerunt. Qui verò totam hanc copulant dictionem, hypochondria ventre tumidi, ſignificari aiunt eos, qui præter naturam his partibus intumuerunt. Quomodo & per orationem σίτων ἀπολελαμμένων. i. cibis interclusis, cuius deinceps meminit, nonnulli quidem ἀνορέκτους. i. cibum auerſantes, dictos eſſe aiunt, ac ſi dixiſſet, à ciborum exhibitione ἀποκεκλεισμένους. i. excluſos. Alij eos qui ſunt ἐπεχομένοι τὴν γαστέρα. i. ventrem habent retentum, nempe & in libro de victus ratione in morbis acutis vocem hanc de deiectionibus dictam eſſe aiunt. Præfatus igitur hæc omnia, qui librum hunc ſcripſit, adiectoque in fine ſudatiunculam, quod & ipſum totius corporis ſudorem exiguum veluti νοτίδα. i. *humiditatem* ſignificare poteſt, vel eum, qui thoracem & caput ſolum occupat, his ſuperintulit ænigmaticam adhuc magis, quàm ea ipſa, dictionem, inquiens, An his turbidus ſpiritus, & geniture quippiam ſimile ſuperueniens, ſingultum indicet? nempe & hic θολερὸν πνεῦμα. i. turbidum ſpiritum, veluti iam antea, ambiguũ habere ſenſum reperimus. At in ea quidem dictione, turbidum ſpiritum; ab eo de expiratione dictũ eſſe, vt enarratũ eſt, veriſimile videbatur. nunc autẽ & ipſum de ructibus dictum eſſe quidam nos exiſtimare iubent, quomodo alij de flatibus. Diximuſq; antea verbum θολερὸν à quibuſdam δυσῶδες. i. *graueolens*, & ab aliis ἀτμῶδες. i. *vaporoſum* intelligi, quomodo & θαλερὸν quidam per α ſcribentes. i. veluti θάλλον. i. *germinans*. & ἀκμάζον. i. *florens*. & μέγα. i. *magnum*, dictum eſſe aiunt. Prædixi quoque & Hippocratẽ ſæpius in libris, qui omnium doctorum conſenſu ipſius legitimi cenſentur, alias alibi difficultatis ſpirandi differentias quum enarrarit, in ſecundo & ſexto epidemiorũ omnes deinceps, nuſquam tamen turbidum nominaſſe ſpiritum, ſicuti neque turbidum ſingultum, neque turbidum flatum, neque aliud quippiam tale. Magis etiam ænigmaticè & hoc, genituræ quippiam ſimile ſuperueniens, dictum eſt, ſiue vrina fuerit, ſiue deiectio. Poſt hæc, & quam ob cauſam adiecerit, ſingultum ſignificare & turbidum ſpiritum, & genituræ quippiam ſimile ſuperueniens, difficile eſt reperire, nempe in ſymptomatum cauſis ſingultum fieri demonſtrauimus, quum venter ad excernẽda ea humida, quæ tunicis ipſis pertinacius adhærent, mordenteſque habent vires, excitatur. Non cõtentus autem author ſymptomatum multitudine, deinceps adiecit: ventrique tum ſpumoſa tum biliosa προσδιέρχεται. i. procurrant? quod & ipſum rurſus bifariam ſcribunt, alij quidem in prima ſyllaba σ adiicientes alij auferentes; quod ſi adijciendum ſit, tempus prædicto ſuccedens ſignificabit, ſi verò auferendum, quod præcedit. Non eſt tamen par, neque ſimile alterum alteri ſuccedere, aut præcedere, nempe quod præcedit, ſignum erit futuræ excretionis; quod verò excernitur, à præcurrente nunciabitur.

A καὶ τὰ κατεχόμενα νοσήματα, κεκλῆσθαι κάτοχα. καὶ μέντοι καὶ ποικίλλοντα, τὰ συνεχῶς ἐπὶ τἀναντία συμπτώματα τὰς μεταβολὰς ποιούμενα, τινὲς ἤκουσαν, ἀποχωρίζοντες δὲ τῆς λέξεως ταύτης τὰ ὑποχόνδρια, ὑφ' ἓν αὐτὸ πάλιν ἀναγινώσκουσι, τὸ, κοιλίην ἐπηρμένοι. τινὲς δὲ ὑφ' ἓν, ἀναγινώσκοντες τὰ ποικίλλοντα ὑποχόνδρια, καθ' ἑαυτὸ πάλιν ἀναγινώσκουσι, τὸ, κοιλίην ἐπηρμένοι, καί φασιν, ἐπὶ τῶν ὑποχονδρίων εἰρῆσθαι τὰ ποικίλλοντα· καθάπερ γὰρ εἴρηται ἔμπροσθεν, ἐπὶ τῶν καθ' ὅλον τὸ σῶμα γιγνομένων ἐπὶ τἀναντία μεταπτώσεων, οὕτως B ἐπὶ τῶν ὑποχονδρίων ἐποίησαν, καὶ μὴν καὶ οἱ συνάπτοντες ὅλην τήνδε τὴν λέξιν, ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι, τοὺς παρὰ φύσιν ὀγκουμένους τὰ μέρη ταῦτα δηλοῦσθαί φασιν. ὥσπερ καὶ σίτων ἀπολελαμμένων, ὧν ἐφεξῆς ἐμνημόνευσεν, ἔνιοι μὲν τοὺς ἀνορέκτους φασὶν εἰρῆσθαι νῦν, ὡς εἰ καὶ ἀποκεκλεισμένους εἰρήκει τῆς τῶν σιτίων προσφορᾶς, ἔνιοι δὲ τοὺς ἐπεχομένους τὴν γαστέρα. καὶ γὰρ κἀν τῷ περὶ διαίτης ὀξέων, ἐπὶ τῶν διαχωρουμένων εἰρῆσθαί φασι τὴν φωνὴν ταύτην. ἅπαντα οὖν ταῦτα προειπὼν, ὁ γράψας τόδε τὸ βιβλίον, εἶτα ἐπὶ τῷ τέ- C λει προσθεὶς ἐφίδρωσιν, ὃ καὶ αὐτὸ πάλιν, ὅλου τοῦ σώματος ὀλίγον ἱδρῶτα, καθάπερ νοτίδα δύναται δηλοῦν, ἢ τὸν περὶ θώρακα καὶ κεφαλὴν μόνην, ἐπήνεγκεν αὖθις, αἰνιγματωδεστέραν ἔτι καὶ τούτων αὐτῶν ῥῆσιν, εἰπὼν, ἆρα τούτοισι τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, λύγγα σημαίνει; πάλιν γὰρ ἐνταῦθα, τὸ θολερὸν πνεῦμα, καθάπερ ἤδη καὶ πρόσθεν, εὕρομεν ἀμφισβητουμένην ἔχον τὴν νόησιν. ἀλλ' ἐν ἐκείνῃ μὲν τῇ ῥήσει, τὸ κατὰ τὴν ἐκπνοὴν θολερὸν πνεῦμα εἰρῆσθαι ὑπ' αὐτοῦ, ὡς λέλεκται πιθανὸν ἐφαίνετο. νῦν δὲ καὶ τὸ κατὰ τὰς ἐρυγὰς, ἔνιοι κε- D λεύουσιν ἡμᾶς ἡγεῖσθαι λελέχθαι, καθάπερ ἄλλοι τὸ κατὰ τὰς φύσας. εἴρηται δὲ καὶ πρόσθεν, ὅτι θολερὸν, οἱ μὲν τὸ δυσῶδες, οἱ δὲ τὸ ἀτμῶδες ἤκουσαν, ὥσπερ καὶ τὸ θαλερὸν. ἔνιοι διὰ τοῦ α γράψαντες, τὸ οἷον θάλλον καὶ ἀκμάζον, καὶ μέγα λέγουσιν εἰρῆσθαι. προείρηται δέ μοι καὶ ὅτι πολλάκις ἐν τοῖς ὁμολογουμένοις γνησίοις συγγράμμασιν, ὁ Ἱπποκράτης εἰρηκὼς, ἄλλοτε ἄλλας δυσπνοίας διαφορὰς, ἐν τῷ δευτέρῳ καὶ ἕκτῳ, πάσας ἐφεξῆς, οὐδαμόθι θολερὸν ὠνόμασε πνεῦμα, καθάπερ οὐδὲ λύγγα θολερὰν, οὐδὲ φῦσαν, οὐδὲ ἄλλο τι τῶν τοιούτων. ἔτι δὲ μᾶλλον αἰνιγ- E ματωδῶς εἴρηται, τὸ γονοειδὲς ἐπελθὸν, εἴτε οὖρον, εἴτε διαχώρημα. καὶ μετὰ ταῦτα διά τι προσέθηκεν τὸ, λύγγα σημαίνει, καὶ τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐπελθὸν, ἄπορον εὑρεῖν. ἐν γὰρ ταῖς τῶν συμπτωμάτων αἰτίαις, ἡ λύγξ ἐδείχθη γινομένη, τῆς γαστρὸς ὁρμώσης ἐκκρῖναι τὰ τοῖς χιτῶσιν αὐτῆς, οἷον ἐμπεπλασμένα δυσλύτως ὑγρὰ, δύναμιν ἔχοντα δακνώδη, οὐκ ἀρκεσθεὶς δὲ τῷ πλήθει τῶν συμπτωμάτων, ἑξῆς προσέθηκεν, κοιλίῃ ἔπαφρα χολώδεα προσδιέρχεται, ὃ πάλιν καὶ αὐτὸ, διττῶς γράφουσιν. ἔνιοι μὲν ἐπὶ τῆς πρώτης συλλαβῆς τὸ σίγμα F προστιθέντες, ἔνιοι δὲ ἀφαιροῦντες. ἀλλ' εἰ μὲν προστεθείη, τὸν ἐφεξῆς χρόνον δηλώσει τῷ προειρημένῳ. εἰ δ' ἀφαιρεθείη, τὸν ἔμπροσθεν, οὐ μὴν ἴσον γε, οὐδ' ὅμοιον προδιεξέρχεσθαι τὸ ἕτερον θατέρου λέγειν, ἢ ἐπιδιεξέρχεσθαι. τὸ μὲν γὰρ προδιερχόμενον, σημεῖον ἔσται τοῦ μέλλοντος ἐκκρίνεσθαι, τὸ δ' ἐκκρινόμενον, ὑπὸ τοῦ προελθόντος ἀγγελθήσεται.

ἐφιδρῶσιν

τοσαύτης οὖν ἀσαφείας ἐν ἅπασι τούτοις ὑπαρχούσης, οὐδ' ἐκ τῶν ἐπιφερομένων αὖθις, ἔνεστί τι πρὸς τὴν τῶν παρόντων ἐξήγησιν λαβεῖν, ὥσπερ οὐδ' εἰς ἐκεῖνα. φησὶ γὰρ, τὸ λαμπῶδες ἐν τούτοισιν οὐρηθὲν, ὠφελεῖ. διττὴ δὲ καὶ κατὰ τοῦτον τὸν λόγον ἐστὶν ἡ ἀσάφεια, μία μὲν ἡ, τοῦ λαμπώδες, τί σημαίνει, γραφομένου πρός τινων μὲν διὰ τῶν δυοῖν ππ, πρὸς ἄλλων δὲ διὰ τοῦ μ καὶ π, μία δ' ἄλλη, τὸ ἐν τούτοισιν, ἐν τίσι γὰρ λέγει; πότερον ἁπασι τοῖς προειρημένοις, ἢ τοῖς ἐσχάτοις, καὶ ποίοις ἐσχάτοις; δύναται γὰρ ἔσχατα λέγεσθαι, καὶ πάνθ' ὅσα μετὰ τὴν ἀρχὴν εἶπεν; ἆρα τούτοισι τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐλθὸν, λύγγα σημαίνει, ἢ μόνα ταῦτα ἔσχατα εἴρηκε, κοιλίη ἔπαφρα χολώδεα προσδιέρχεται; καὶ μέντοι καὶ τούτοις ἅπασιν, ἐπὶ τῷ τέλει προσθεὶς, κοιλίαι τουτέοισιν ἐπιταράσσονται, καὶ καταπαύσας ἐνταῦθα τὸν λόγον, οὐδ' ἑνὸς ἕνεκα, φαίνεται τῶν ἐν ἀρχῇ μνημονεύσας. τὰ γὰρ τοι μεμωρωμένα, καὶ τὰ κάτοχα, μεγάλην βλάβην ἐνδεικνύμενα, τοῦ τὸ τῆς ψυχῆς ἡγεμονικὸν ἔχοντος μορίου, μάτην εἰρῆσθαι φαίνεται καὶ χωρὶς μὲν τῶν καυσικῶν ἀποκτεῖναι δυνάμενα, σὺν ἐκείνοις δὲ μᾶλλον, ἀλλ' ὅμως οὐδ' ἓν εἴρηται περὶ θανάτου, καθάπερ ἐπ' ἄλλων ἔμπροσθεν οὐκ ὀλίγων, ἀλλὰ μετὰ τὸ προσθεῖναι ποικίλον τὸ ὑποχόνδριον, καὶ κοιλίην ἐπηρμένην, σίτων ἀπολελαμμένων. συνάψας δ' αὖθις, καὶ τὴν ἐφίδρωσιν, ἆρα τούτοισι, φησὶ, τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς ἐλθὸν, λύγγα σημαίνει τίσι τούτοισιν, οἷς ἅπαντα τὰ προειρημένα συμπτώματά εἰσι. καὶ μὴν, εἰ μετ' ἐκείνων ἁπάντων τὸ θολερὸν πνεῦμα γινόμενον, ἅμα ταῖς γονοειδέσιν ἐκκρίσεσι λύγγα σημαίνει, κἂν ἓν ὁποιοῦν λείπει τῶν εἰρημένων, ἡ λύγξ οὐκ ἔσται, καὶ τάχα πού τις ἅπαξ ἐν ἔτεσι πολλοῖς ἄρρωστον ὄψεται τοιοῦτον. ὃ δὲ πάντων τῶν εἰρημένων ἐστὶν ἀτοπώτατον, ἤδη σοι φράσω. πολλοὺς μὲν ἀρρώστους τεθεαμένος, μυρία δὲ προειρηκὼς τῶν ἐσομένων, οὔτε διὰ τῆς πείρας ἔγνων, ἐκ τῶν τοιούτων σημείων λύγγα προσεσομένην, οὔτ' ἐκ τῆς τῶν πραγμάτων φύσεως, ἐνδεικτικῶς ἢ αὐτὸς εὗρον, ἢ τινος γράψαντος ἀνέγνων. ἀλλ' ἔστιν ἡ προκειμένη ῥῆσις, ἐοικυῖα τῇ κατὰ τὴν παροιμίαν ἐν παιδιᾷ λεγομένῃ. ὤδινεν ὄρος, καὶ ἔτεκε μῦν. πολλὰ γὰρ εἰπὼν παθήματα, τινὰ μὲν ἐσχάτως ὀλέθρια, τινὰ δ' ἧττον ἐκείνων, ἔνια δὲ μέτρια, λυγμοῦ πρότερον ἔγραψε πρόρρησιν. ἐφεξῆς δὲ, τὸ λαμπῶδες, φησὶν, ἐν τούτοισιν οὐρηθὲν, ὠφελέει. τίσι φησὶ τούτοις; τοῖς καυσικοῖς, τοῖς μεμωρωμένοις, ἢ τοῖς κατόχοις, ἢ οἷς ὑποχόνδρια ποικίλα, καὶ ἡ γαστὴρ ἐπηρμένη, ἢ τοῖς ἀνορέκτοις, ἢ τοῖς ἐπεσχημένοις τὴν κοιλίαν, ἢ οἷς ἐφίδρωσις, ἢ οἷς τὸ πνεῦμα θολερὸν, ἢ οἷς αὖ ἔκκρισις γονοειδὴς, ἢ τοῖς λύζουσιν, ἢ οἷς ἡ γαστὴρ ἔπαφρα, καὶ χολώδεα προσδιῆλθεν, ἐπεὶ καὶ τοῦτο αὐτὸ διττῶς γέγραπται, μετά γε τοῦ σ καὶ χωρὶς τοῦ σ, ἕκαστον τῶν εἰρημένων προσήκει. ἤτοι γὰρ οἷς ἕκαστον τῶν εἰρημένων, ἢ οἷς ἅπαντα, εἰρῆσθαι προσήκει δέξασθαι. τὸ γὰρ, τούτοισιν, ἀκόλουθόν ἐστι τοῖς καθ' ἕκαστα, ὥστε συνεπινοεῖσθαι πάντως, εἰ μὴ τύχῃ λεχθέν. καὶ γὰρ ἓν ἕκαστον αὐτῶν ὠφελέει, τὸ λαμπῶδες οὐρούμενον, κἂν δύο, κἂν τρία, κἂν πλείω συνέλθοι, τὴν ὠφέλειαν αὐτοῖς παρέχει. θαυμαστὸν δ' ἂν εἴη, τοσαῦτα παθήματα διαφερούσαις ἑπόμενα διαθέσεσιν ἄλλων καὶ ἄλλων μορίων, μετὰ τοῦ λαμπώδεος ὠφελεῖσθαι. πάντως μὲν ἀφρώδους ὄντος, εἴ γε λάμπειν ἴσμεν τὸ τοῖς οὔροις ἐποχούμενον λευκόν.

Quum igitur tanta in his omnibus existat obscuritas, neque ex iis, quæ post ipsa inferuntur, licet quippiam ad præsentium explanationem accipere, sicut neque ad illa; inquit enim. *Emictum in his splendidum iuuat.* Duplex autem & in hoc sermone est obscuritas, vna quidem est, quidnam λαμπῶδες, i. *splendidum*, significet, scriptum quidē ab aliquibus per duplex π π, ab aliis verò per μ & π, altera verò in hac oratione, in his, nempe in quibus dicit? an prædictis omnibus accommodabit, an vltimis? & quibusnam vltimis? possunt siquidem etiam vltima dici omnia, quæcũque post principium dixit, an his turbidus spiritus, & genituræ quippiam simile procurrens, singultum significat? an sola hæc vltima dixit, ventrique tum spumosa, tum biliosa procurrant? Præterea his omnibus in fine adiiciens, *venter his perturbatur*, atque hic sermonem absoluens, nullius gratia videtur eorum, quæ in principio sunt, meminisse. Nempe fatuitatem inferentia, & inducentia catochen, magnam partis principem animæ facultatem habentis, noxam indicantia, frustra dici videntur; & sine deurentibus quidem interficere valentia, cum illis verò magis. At certè nihil de morte dictum est, sicut in aliis antea non paucis: sed adiectis variante hypochondrio, ventre tumido, & cibis interclusis, coniuncta insuper cum his sudatiuncula, An his (inquit) turbidus spiritus, & genituræ quippiam simile superueniens singultũ indicet? quibusnam his? quibus prædicta omnia symptomata insunt. Atqui cum his omnibus turbidus spiritus factus vnà cum excretionibus genituræ similibus singultum indicat? quodcunque ergo vel vnum ex dictis deficit, singultus non erit? Et forsan quis semel in annis pluribus talem cernet ægrum. Quod autem dictorum omnium est absurdissimum, iam tibi referam. Quum multos ægros sim contemplatus, & mille futura præfatus, neque tamen experimento signis ex talibus singultum adfuturum noui, neque ex rerum natura indicatiuè vel ipse inueni, vel in scriptore aliquo legi. Sed præsens dictio ei, quod in ludo prouerbialiter dicitur, similis est. Parturiebat montem, & murem edidit. Multa siquidem vbi recensuit pathemata, alia quidem summè perniciosa, alia his minùs, alia verò mediocria singultus prædictionem priùs scripsit, deinceps splendidum, inquit, in his emictum iuuat. Sed quibusnam, his, inquit? deurentibus scilicet, fatuitatem inferentibus, vel inducentibus catochen, vel quibus variantia hypochondria, & venter intumuit, vel cibos auersantibus, vel quibus aluus retenta est, vel quibus sudatiuncula, vel quibus turbidus spiritus, vel quibus excretio genituram repræsentans, vel singultientibus, vel quibus vēter spumosus & biliosus προσδιῆλθεν, i. *procurrit*, quoniam & hoc ipsum bifariam scriptum est, cum σ & sine σ. Nam siue quibus vnumquodque dictorum, siue quibus omnia dicta, esse asseritur, admittere est consentaneum; nempe vox, his, singulis aptè cohæret; quapropter omninò simul intelliguntur, etsi dictum non fuerit. Nempe & vnumquodque horum iuuat splendidum emictum, atque etiam, si duo, & tria, & plura concurrerint, auxilium his præbet. Mirum autem fuerit tot pathemata diuersas aliarum, atque aliarum partium sequentia affectiones cum splendido iuuari, prorsus quidem spumoso existente, si vtique album, quod in vrinis detinetur, splendere nouimus.

Omnes autem ſpumoſum inquiunt appellari, facta vtique ſpuma, cum flatuoſa ſubſtantia, vel crudis, pituitoſiſque humoribus, vel pinguedinis liquationi remixta fuerit; vt & præterea eandem hæc enunciatio diſtinctionem requirat, quam & in ea, quæ hanc præcedit, dictione in iis, quæ criticè excernuntur dixi. Omnia ſiquidem, tum bonarum, tum malarum iudicationum communia diſtinguuntur, præſertim quidem & primo coctionis ſignis, quæ perpetuò bonum quippiam indicant, ſed cum ipſis, vt dixi, facili ſcilicet tolerantia, contriſtantis humoris vacuatione, & diei, quo hæc fiunt, fiducia & ſecuritate, prætermiſſa à nobis inueſtigatione ſi non λαππῶδες ſcriptum per duplex ππ ſignificat λαμπῶδες, quod per μ & π quidam ſcribunt: vt enim per eos ſcriptum ἀπὸ τῆς λαμπῆς, ita λαππῶδες, ἀπὸ τοῦ λάππειν appelletur. Hæc igitur omnia congeſta ſunt, veluti ænigmata, etiamſi quis omnia percurrerit. Scriptæ etiam in fine veluti inſinuationis, & venter his perturbatur, ratio afferenda non eſt, neque enim ratio neque experientia eorum, quæ vt plurimum dicta conſequuntur, ventrem perturbari oſtendunt.

A οἱ δ᾽ ἀφρώδεις πάντες φασὶν ὀνομάζεσθαι, γινομένου δὴ τοῦ ἀφροῦ, πνευματικῆς οὐσίας ἀναμιγνυμένης, ἢ τοῖς ὠμοῖς, καὶ φλεγματώδεσι χυμοῖς, ἢ τηκεδόνι πιμελῆς, μετὰ καὶ τοῦ διορισμοῦ δεῖσθαι τὴν ἀπόφασιν οἷον καὶ κατὰ τὴν πρὸ ταύτης ῥῆσιν, ἐπὶ τῶν κρισίμως ἐκκρινομένων εἶπον. ἅπαντα γάρ ἐστιν ἀγαθῶν τε καὶ κακῶν κρίσεων κοινὰ διοριζόμενα, μάλιστα μὲν καὶ πρότερον τοῖς τῆς πέψεως σημείοις, ἃ διὰ παντὸς ἀγαθόν τι σημαίνει. σὺν αὐτοῖς δ᾽ ὡς ἔφην, τῇ εὐφορίᾳ, καὶ τῷ τὸν λυποῦντα χυμὸν ἐκκενοῦσθαι, καὶ τῷ τῆς ἡμέρας, ἐν ᾗ ταῦτα γίγνεται, πιστῷ, παραλελειμμένου ζητεῖν ἡμᾶς, εἰ B μὴ λαππῶδες, ἐπιγεγραμμένον διὰ τῶν δυοῖν ππ, σημαίνει τὸ λαμπῶδες, ὃ διὰ τοῦ μ καὶ π γράφουσί τινες. ὥσπερ γάρ ἐστι γεγραμμένον, διὰ τῶν αὐτῶν ἀπὸ τῆς λαμπῆς, οὕτω λαππῶδες, ἀπὸ τοῦ λάππειν ὠνόμασται. ταῦτ᾽ οὖν ἅπαντα συμπεφόρηται καθάπερ αἰνίγματα, κἂν διεξέλθοι τις αὐτὰ πάντα. τοῦ κατὰ τὸ τέλος, ὥσπερ ἐπῳδοῦ γεγραμμένου, καὶ κοιλίαι δὲ τούτοισιν ἐπιταράσσονται, τὸν λογισμὸν οὐκ ἔστιν εἰπεῖν, οὔτε γὰρ ὁ λόγος, οὔθ᾽ ἡ πεῖρα τῶν ὡς ἐπὶ τὸ πολὺ τοῖς εἰρημένοις ἑπομένων, ἔδειξε κοιλίαν ἐπιταρασσομένην.

ΓΑΛΗΝΟΥ ΕΙΣ ΤΟ ΠΡΩΤΟΝ ΒΙΒΛΙΟΝ ΤΩΝ ΠΡΟΡΡΗΤΙΚΩΝ ΙΠΠΟΚΡΑΤΟΥΣ, ΥΠΟΜΝΗΜΑ Γ.

GALENI IN PRIMVM LIBRVM PRAEDICTIONVM HIPPOCRATIS, COMMENTARIVS TERTIVS.

De comate febrem exacerbari prænunciante.

HIPPOCRATIS PRÆDICTIO 95.

Quibus coma, ſpumoſis prodeuntibus, oritur, febris exacerbatur acuta.

COMMENTARIVS GALENI.

Primam omnium præſentis libri dictionem dum exponerem, libellum, cui titulus eſt, De comate ſecundum Hippocratem, ſcripſi; in quo ſignificatum vocis huius, delationem in ſomnum, eſſe oſtendi, vigilare quidem apertis oculis nequeuntibus comatoſis; at non prorſus dormientibus, vbi eos clauſerint; imò interdum etiam vigilantibus. Docui autem id ſignificari per ea, quæ Hippocrates in confeſſis germanis libris, tum primo, tum tertio legitimorum epidemiorum recenſuit,

Περὶ κώματος τοῦ τὸν πυρετὸν παροξύνεσθαι σημαίνοντος.

C ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϟε'.

ΟΙΣ κῶμα γίνεται ἐπάφρων παρεξελθόντων, πυρετὸς παροξύνεται ὀξύς.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΗΝ πρώτην ἁπασῶν ῥῆσιν ἐξηγησαμένῳ τοῦ προκειμένου βιβλίου, γέγραπταί μοι βιβλίδιον ἐπιγεγραμμένον D περὶ τοῦ παρ᾽ Ἱπποκράτει κώματος, ἐν ᾧ ἐπιδέδεικται, τὸ σημαινόμενον ὑπὸ τῆς φωνῆς ταύτης, εἶναι τὴν εἰς ὕπνον καταφοράν, ἐγρηγορέναι μὲν ἀναπεπταμένοις τοῖς ὀφθαλμοῖς, οὐ δυναμένων τῶν κωματωδῶν οὐκ ἐξ ἅπαντος δὲ κοιμωμένων ἐπειδὰν μύσωσιν αὐτούς, ἀλλ᾽ ἔστιν ὅτε καὶ ἀγρυπνούντων. ἔδειξα δὲ σημαίνεσθαι τοῦτο, δι᾽ ὧν εἶπεν ὁ Ἱπποκράτης ἐν ὁμολογουμένοις γνησίοις βιβλίοις, ἔν τε πρώτῳ καὶ ἐν τρίτῳ τῶν γνησίων ἐπιδη-

μιῶν, ἐκ τῶν συμφραζομένων, ἢ φαινομένων, ἢ ὅπως ἄν τις ὀνομάζειν ἐθέλοι, τῷ τοῦ κώματος ὀνόματι. μόνως γὰρ οὕτως, εὑρίσκεται τὸ σημαινόμενον ὑφ' ἑκάστης φωνῆς, οὐ μὴν ἐν τούτῳ γε τῷ βιβλίῳ, δυνατὸν ἐγένετό μοι μέχρι δεῦρο, διὰ τῶν συμφραζόντων, εὑρεῖν τὸ σημαινόμενον ἐκ τοῦ κώματος. ἁπασῶν δὲ τῶν ῥήσεων αἰνιγματωδῶς ἑρμηνευομένων, ἀλλ' οὐδ' ἐν τοῖς ἐφεξῆς, οἷόν τε διὰ τῶν συντεταγμένων ὀνομάτων αὐτῷ, τὸ δηλούμενον εὑρεῖν, ὅθεν ὡς ἐν ἀσαφέσι πάσαις ταῖς ῥήσεσιν, ἀσφαλέστερον ὑπέλαβον εἶναι τῆς φωνῆς ἀκούειν ταύτης, ὡς Ἱπποκράτης ἐχρήσατο. γίγνεσθαι δὲ καταφορὰν αὖ, ὡς ἐν ἄλλοις τέ τισιν ὑπομνήμασι, κἀν τοῖς περὶ τῶν πεπονθότων τόπων ὑπέδειξα. τὸ μὲν, ὑπὸ πλήθους χρηστοῦ βαρυνομένου τοῦ ἐγκεφάλου, καθάπερ ἐπὶ τῶν μεθυσθέντων. ἔστι δ' ὅτε διὰ φλεγματικὸν χυμὸν, ἢ καὶ χωρὶς τοῦ χυμοῦ, δύσλυτον ψύξιν. ὅταν δ' ἀγρυπνία ζευχθῇ τὸ κῶμα, δακνώδους μίξει χυμοῦ, τὴν τοιαύτην διάθεσιν ἐδείκνυον γίνεσθαι. κατὰ μὲν οὖν τὰ τῶν ἐπιδημιῶν βιβλία, εἴτ' ἐκ τῶν συντεταγμένων, εἴτ' ἐκ τῶν συμφραζομένων ἐθέλοι τις ὀνομάζειν, ἐδηλοῦτο τοῦ κώματος ἡ διαφορά. μετὰ τοῦ, καὶ αὐτὸν τὸν Ἱπποκράτην διορίζεσθαι, ποτὲ μὲν βαθὺ κῶμα λέγοντα, ποτὲ δὲ ὑπνῶδες, ποτὲ δὲ ἄγρυπνον, ἤ τι τοιοῦτον. κατὰ δὲ τοῦτο τὸ βιβλίον, ὃ νῦν ἡμῖν πρόκειται, μηδ' ἐκ τῶν τοιούτων διορισμῶν, μηδ' ἐκ τῶν συμφραζομένων, ἡμῶν δυναμένων νοεῖν τὴν διαφορὰν τοῦ κώματος, οὐδὲ τὴν ἐξ αὐτῶν πρόγνωσιν οἷόν τε καταστήσασθαι βεβαίως. ἔνθα μὲν οὖν, ἤτοι παραφροσύνην, ἢ φρενῖτιν, ἢ μώρωσιν, ἢ κατοχὴν, ἐξ ἧς ἔγραψε συνδρομῆς προλέγει, χρήσιμόν ἐστι, τὴν διαφορὰν τοῦ κώματος ἐπίστασθαι. ἐν δὲ τῇ νῦν προκειμένῃ, παντάπασιν ἄχρηστός ἐστιν ἡ τοιαύτη γνῶσις. ὥσπερ γὰρ ἐπ' ἄλλων συνδρομῶν, οὐκ ὀλίγα συμπτώματα προσέθηκεν, ὁ γράψας τὸ βιβλίον, οὐδὲν εἰς ἣν ἀποφαίνεται πρόρρησιν συντελοῦντα, κατὰ τὸν αὐτὸν τρόπον, καὶ νῦν ἄχρηστός ἐστι πρὸς τὴν ἐνεστῶσαν κρίσιν τοῦ κώματος ἡ μνήμη. παραπαροξυνόμενον γὰρ τὸν πυρετὸν ἐπὶ τοῖς ἀφρώδεσι διαχωρήμασιν, ἐγὼ μὲν συνεχῶς εἶδον. ἕκαστος δὲ τῶν ἄλλων, ἀναμιμνησκέσθω τῆς ἰδίας αὐτοψίας, οὐ μὴν ἐπί γε τοῖς κώμασιν οἱ πυρετοὶ παροξύνονται πάντως. ἀλλ' ἴσως ἐθεάσατό τινα, κωματώδη ἅμα τε γενόμενον, ἀφρώδη τε διαχωρήσαντα, κἄπειτα παροξυνόντα, καὶ διὰ τοῦτ', ᾠήθη συντελέσαι τι τῷ κώματι, τῷ γινομένῳ τοῦ πυρετοῦ παροξυσμῷ. καθάπαξ οὖν ἐγὼ μὲν ἀφρῶδες ὠνόμασα τὸ διαχώρημα, καθάπερ Ἱπποκράτης ἐν τῷ προγνωστικῷ λέγων, ὑδαρὲς δὲ κάρτα, ἢ λευκὸν, ἢ χλωρὸν ἰσχυρῶς, καὶ ἀφρῶδες διαχωρέειν, πονηρὰ ταῦτα πάντα, καὶ κατὰ τῶν ἐπιδημιῶν, οὐκ ὀλιγάκις. ἐξηγητὴς δέ τις τοῦ προκειμένου συγγράμματος, ἔπαφρα καλεῖν ἔφη, τὰ τὸν ἀφρὸν ἄνωθεν ἐποχούμενον ἔχοντα, ὥσπερ ῥυτῶν τινων ὄντων, ἢ διαχωρημάτων, ἢ οὔρων, ἢ χυμῶν, ἐφ' ὧν ἐν ἄλλῃ τάξει θέασθαι ὁ ἀφρὸς φαίνεται. διότι δὲ τοῖς πυρικαέσι πυρετοῖς μόνοις ἀφρώδεις διαχωρεῖται, λέλεκταί μοι πολλάκις, ὥσπερ γε καὶ ὅτι τὰ συνήθη τῶν ὀνομάτων ἐξαλλάττειν, ὁ τοῦ προκειμένου βιβλίου συγγραφεὺς ἔργον πεποίηται, κἂν μὴ δύνηται τοῦτο πρᾶξαι. τὰ σημαινόμενα γοῦν ὑπαλλάττειν μετὰ τοῦ καὶ τὴν σύνταξιν αὐτῶν ἐπιτηδεύειν ἐν σολοικώδεσι ποιεῖσθαι σχήμασιν. εἰ δὲ οὐ βούλει σύνταξιν ὀνομάζειν, ἔξεστί σοι σύνθεσιν αὐτὴν καλεῖν.

ex iis, quæ simul cum comatis nomine explicantur, vel apparent, vel quouis modo quis nominare voluerit; solùm enim hoc pacto significatum ab vnaquaque voce reperitur. Nec tamen hoc in libro fieri potuit hucusque vt quod à comate significatur, per coënunciantia inuenirem; dictionibus nempe omnibus ænigmaticè pronuntiatis; imò neque in sequentibus fieri potest, vt quod significatur, per coordinata ipsi nomina inueniatur. Quo fit, vt in obscuris dictionibus securiùs existimauerim vocem eam ita intelligendam, vt vsus est Hippocrates. Fieri autem cataphoram, (vt in quibusdam docui commentariis, atque iis, quos de affectis locis confeci) interdum quidem grauato ab vtilis succi copia cerebro, vt in ebriosis; interdum verò & propter pituitosum humorem; vel & propter ægrè separabilem absque humore frigiditatem. Quum autem vigiliæ coma iunctum fuerit, succi mordentis permixtione fieri affectionem hanc ostendi. In libris igitur epidemiorum, siue ex coordinatis, siue ex iis, quæ simul enuntiantur, quis nominare voluerit, demonstratæ sunt comatis differentiæ, atque vnà demonstratum est Hippocratem distinctè interdum quidem profundum coma, interdum verò somniculosum, & interdum vigilans, vel quippiam tale dixisse. In præsenti verò libro, neque ex huiusmodi distinctionibus, neque ex coënunciantibus, differentiam comatis intelligere, neque ex his firmiter constituere prænotionem valemus. Vbi igitur, vel desipientiam, vel phrenitim, vel fatuitatem, vel catochen, in ea, quam scripsit, concursione prædicit, differentiam comatis scire commodum existit, in præsenti verò concursione prorsus inutilis existit talis notitia. Vt enim libri huius author in cæteris concursionibus non pauca symptomata in eam, quam pronunciat prædictionem, nihil conferentia adiecit, pari modo & nunc inutilis est ad præsentem iudicationem mentio comatis. Nempe febrem ex spumosis deiectionibus proritari ego quidem continuè vidi, singuli verò alij eorum, quæ ipsimet viderunt, reminiscantur, non tamen in comatibus febres omninò exacerbantur. Sed fortasse quendam vidit comatosum simul & spumosa deiicientem, deinde febrem exacerbatam, atque ob id coma inuadenti febris exacerbationi conducere putauit. Vocaui autem planè spumosam deiectionem, quomodo fecit Hippocrates in prognostico inquiens; *Deiectio autem si valdè aquosa fuerit, vel alba, vel pallida, vel admodum rubens, vel spumosa, mala hec sunt omnia*; atque in epidemiis sæpiuscule. Quidam interpres libri huius dicebat, Hippocratem vocare ἔπαφρα, quæ spumam sursum vectam habent, tanquam fluxibus quibusdam existentibns, vel deiectionibus, vel vrinis, vel succis; in quibus spuma poni alio ordine apparet. Quare autem in solis febribus, ad instar ignis vrentibus, spumosum deiiciatur, dixi sæpius; Sicuti & quòd vsitata nomina permutare studiosè contendat, qui librum hunc scripsit, quanquam id facere nequiuerit. Significata itaque permutando, simul & horum syntaxin, id est constructionem, suo arbitrio statuendo, figuras committit solecismos. Quòd si non syntaxin appellare Iubet, potes eam compositionem vocare.

Ex

A

Ex capitis dolore vocis interceptiones.

HIPPOCRATIS PRÆDICTIO 96.

SI ex capitis dolore vocis interceptiones fiant, atque cum sudoribus febrientes laxentur in se ipsos, & mala repetant, diutius perdurant; & superrigere his malum non est.

COMMENTARIVS GALENI.

B

DIscordia quædam non parua inter dictionis huius expositores orta est, aliis aliter eam exponentibus. Ego verò quæ ex dictis in ea veritati adaptare potero, facere id conabor. Quod autem reliquum est, non mea, sed obscuritatis scriptoris, culpa existit; nempe, quòd viri eiusmodi, qui adhibita multa diligentia, quæ dicuntur, & declarare, & defendere volunt, omnes malè creduli videantur, scriptoris est culpa. Videntur autem mihi ex dolore capitis vocis interceptiones ob id dici, quòd capitis dolorem velit signum esse affecti neruorum principij, non autem localem ipsius interceptionis vocis affectionem, quales fieri sæpius consueuerunt, vel propter tensionem vehementem, vel propter exolutionem, & laxamentum vocem efformantium, tum musculorum, tum neruorum. Oratio autem hæc, cum sudoribus, tenuis humiditatis copiam, vel retentricis facultatis exolutionem, indicat. Hæc autem, χαλῶνται ἐφ' ἑαυτοὺς, i. *laxentur in se ipsos* (si quidem, vt quamplurimi expositorum intellexerunt, de iis scilicet, quæ præter voluntatem excernuntur, ita & nos intellexerimus,) vel mentis ostendet læsionem, vel claudentium sedem, tum musculorum, tum neruorum. Si verò verbum χαλᾶν (vt nonnulli existimant) de affectione exponatur, quod est moderatiorem ipsam efficere, ob sudores quidem, inquiunt illi, morbum diuturniorem fieri continget. Ob eam causam prætermittunt hi verbi ἐπανιέντα. i. *& mali repetant*, expositionem, quoniam idem dicere cogerentur, quod in verbo χαλᾶν antea dixerunt. Ob id igitur permutantes ε litteram, scribentesque ον, in ea, quæ finem præcedit syllaba, ἐπανιόντα, dici aiunt, indicantes per id verbum recurrentes morbos: vocant autem ita morbos, qui paulum quidem moderatiores fiunt, sed rursus exacerbantur. Porrò si oratio χαλῶνται ἐφ' ἑαυτοὺς de inuoluntariis deiectionibus dicatur, totus sermo talis erit; *Si ex capitis dolore vocis interceptio fiat, febriente ægro cum sudore, & absque arbitrio superflua excernunt*; & si repetitio quædam symptomatum pari modo fiat, in longius excidunt eiusmodi morbi tempus. Quòd autem in dictis grauibus symptomatis non dicendum erat solùm, quod morbi protraherentur, sed ante hoc, an sperandum esset seruandos, qui ita ægrotant, an morituros, constat omnibus; prætermittens autem hæc scriptor, de diuturnitate tantùm explicauit. Sed rursus rei huic aduersatur, quod in fine dictionis narratur, superrigere his malum non est, in quo quidam erratum esse dicunt; nam *malum*, sine negatione, non cum ea, *non malum* scribendum fuit. Concessâ verò ea, quæ in exemplaribus omnibus cum negatione reperiatur scripturâ,

Περὶ τῆς ἐκ κεφαλαλγίης ἀφωνίας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϞϚʹ.

ΑΙ ἐκ κεφαλαλγίης ἀφωνίαι, ἅμα ἱδρῶσι πυρετώδεες, χαλῶνται ἐφ' ἑαυτοὺς, ἐπανιέντα, χρονιώτερα. ἐπιῤῥιγῶσαι τούτοισιν οὐ πονηρόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΙαφωνία τις οὐ σμικρὰ γέγονε πρὸς ἀλλήλοις, καὶ κατ' αὐτὴν τὴν ῥῆσιν, ἄλλων ἄλλως ἐξηγησαμένων αὐτήν. ἐγὼ δὲ, ὅσα μὲν δυνατόν ἐστί μοι τῶν εἰρημένων ἐν αὐτῇ, προσάγειν τοῖς ἀληθέσι, πειράσομαι τοῦτο πρᾶξαι. τὸ δ' ὑπόλοιπον, οὐκ ἐμὸν, ἀλλὰ τῆς τοῦ γράψαντος ἀσαφείας ἔγκλημα. τὸ γὰρ, τοιούτων ἀνδρῶν μετὰ πολλῆς σπουδῆς σαφηνίσαι τὰ λεγόμενα, καὶ συναγορεῦσαι προελομένων, ἅπαντας ἀπιθάνους φαίνεσθαι, αὐτοῦ τοῦ συγγραφέως ἐστὶν ἔγκλημα. δοκεῖ δέ μοι, τὸ μὲν ἐκ κεφαλαλγίης ἀφωνίαι, διὰ τοῦτο εἰρῆσθαι, διότι σημεῖον εἶναι βούλεται τὴν κεφαλαλγίαν, τοῦ πεπονθέναι τὴν ἀρχὴν τῶν νεύρων, οὐ τοπικὴν εἶναι διάθεσιν τῆς ἀφωνίας, οἵας γίνεσθαι πολλάκις εἰώθασι, ἢ διὰ τὴν τάσιν σφοδρὰν, ἢ ἔκλυσίν τε, καὶ χάλασιν τῶν τὴν φωνὴν ἐργαζομένων μυῶν τε καὶ νεύρων. τὸ δ' ἅμα ἱδρῶσι, πλῆθος ὑγρότητος λεπτῆς, ἢ τῆς καθεκτικῆς δυνάμεως ἔκλυσιν ἐνδείκνυται. τὸ δὲ χαλῶνται ἐφ' ἑαυτοὺς εἰ μὲν ὡς οἱ πλεῖστοι τῶν ἐξηγητῶν ἤκουσαν, ὡς ἐπὶ τῶν ἀκουσίως διαχωρουμένων, οὕτω καὶ ἡμεῖς ἀκούσομεν, ἤτοι τῆς διανοίας ἐνδείξεται βλάβην, ἢ τῶν κλειόντων τὴν ἕδραν μυῶν τε, καὶ νεύρων. εἰ δ' ὡς ἔνιοι νομίζουσι, δηλοῦται τὸ χαλᾶν, ἐπὶ τῆς διαθέσεως, ὅπερ ἐστὶ μετριωτέραν αὐτὴν ἐργάζεσθαι. διὰ μὲν τοὺς ἱδρῶτας φασὶν ἐκεῖνοι, συμβήσεται χρονιώτερον ἐργάζεσθαι τὸ νόσημα, διὰ τοῦτο παραλείπουσιν οὗτοι τὴν τοῦ ἐπανιέντος ἐξήγησιν, ἐπεὶ ταὐτὸν ἀναγκασθήσονται λέγειν, ὅπερ ἐπὶ τοῦ χαλῶντος προειρήκασιν. διὰ τοῦτ' οὖν ὑπαλλάξαντες τὸ ε γράμμα, καὶ γράψαντες τὸ ον, κατὰ τὴν πρὸ τέλους συλλαβὴν, ἐπανιόντα φασὶν εἰρῆσθαι, δηλοῦντες δι' αὐτοῦ, τὰ ἐπανερχόμενα νοσήματα. καλοῦσι δὲ ἐπανερχόμενα νοσήματα, τὰ μετριάσαντα μὲν ἐπ' ὀλίγον, αὖθις δὲ παροξυνθέντα. εἰ μέντοι τὰ χαλῶνται ἐφ' ἑαυτοὺς, ἐπὶ τῶν διαχωρουμένων ἀπροαιρέτως εἴρηται, ὁ σύμπας λόγος ἔσται τοιοῦτος. αἱ ἐπὶ κεφαλαλγίᾳ ἀφωνία γίνηται, τοῦ κάμνοντος πυρέττοντος σὺν ἱδρῶτι, καὶ χωρὶς προαιρέσεως ἀποκρίνωνται τὰ περιττώματα, κἂν ἐπάνεσίς τις γίνηται τῶν συμπτωμάτων ὁμοίως, εἰς χρόνον πλείονα ἐκπίπτει τὰ τοιαῦτα νοσήματα. πρόδηλον δὲ ὅτι χαλεπῶν συμπτωμάτων εἰρημένων, οὐκ ἐχρῆν εἰπεῖν μόνον, ὅτι χρονιώτερον γίνεται, ἀλλὰ καὶ πρὸ αὐτοῦ, πότερον ἐλπίζειν χρὴ σωθήσεσθαι, τοὺς οὕτω νοσοῦντας, ἢ τεθνήξεσθαι, παραλιπὼν ὁ γράψας αὐτὰ, περὶ τοῦ χρονίσαι μόνον ἐδήλωσε. ἀλλὰ τούτῳ πάλιν ἐναντιοῦται, τὸ κατὰ τὴν τελευτὴν εἰρημένον, ἐπιῤῥιγῶσαι τούτοισιν οὐ πονηρὸν, ὅπερ ἔνιοί φασιν ἡμαρτῆσθαι. χρὴ γὰρ ἄνευ τῆς ἀποφάσεως πονηρὸν, οὐ μετ' αὐτῆς, οὐ πονηρὸν γεγράφθαι. συγχωρηθείσης δὲ τῆς ἐν ἅπασι τῶν ἀντιγράφων διεσωσμένης γραφῆς, ἥ τίς ἐστι μετὰ τῆς ἀποφάσεως,

C

D

E

F

εἰκότως φασὶν εἰρῆσθαι τὸ, ῥῖγος οὐ πονηρὸν εἶναι διὰ τὴν φύσιν ἐκλελυμένην, ἐπεχείρησαν. ὅτι δὲ ἐκλέλυται, τήν τε ἀφωνίαν, καὶ τὴν ἀκούσιον ἀπόκρισιν τῶν περιττῶν, καὶ τοὺς ἱδρῶτας, δηλοῦν.

iure inquiunt rigorem dici non malum esse, propterea, quòd exolutam excitet naturam; quòd autem exoluta sit, tum vocis interceptionem, tum inuoluntariam superfluorum excretionem, tum sudores id ostendere.

Περὶ τρομωδέων χειρῶν σὺν τῇ κεφαλαλγίᾳ τε, καὶ τῇ τοῦ τραχήλου ὀδύνῃ.

De manibus tremulis cum capitis & ceruicis doloribus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϞΖʹ.

Χεῖρες τρομώδεες, κεφαλαλγέες, τραχήλου ὀδυνώδεες, ὑπόκωφοι, οὐρέοντες μέλανα δεδασυμένα, οἷσι ταῦτα μέλανα προσδέχεσθαι ἥξειν, ὀλέθριον.

HIPPOCRATIS PRÆDICTIO 97.

Manus tremulæ, caput dolentes, ceruicem dolentes, surdastri, nigra densata meientes, quibus hæc sunt, his nigra ventura esse expectare oportet, perniciosum.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἡ μὲν κεφαλαλγία τούτοις, τὴν κεφαλὴν ἐνδείκνυται πάσχειν, ὥσπερ γε καὶ ἡ τῆς ἀκουστικῆς αἰσθήσεως βλάβη, τὸν ἐγκέφαλον αὐτὸν, ὥστε καὶ τὴν ὀδύνην τοῦ τραχήλου, καὶ τὰς τρομώδεις χεῖρας, τὴν τῶν νεύρων ἀρχὴν πεπονθυῖαν βεβλάφθαι. τὰ δ' οὖρα μέλανα, πολλάκις εἴρηται τῆς ἑτέρας ἀρχῆς εἶναι πάθος, καὶ γὰρ τοῦτο, διὰ σφοδροτάτην θερμότητα. τὰ δ' οὖρα δεδασυμένα, τῶν εἰς ἀσάφειαν εἰσιν ἐπιτετηδευμένων, ὥσπερ καὶ ἄλλα πολλὰ κατὰ τοῦτο τὸ βιβλίον, ἵνα κἀνταῦθα φλυαρεῖν ἔχωσιν οἷς φίλον τοῦτο. κατὰ γοῦν τὸ προγνωστικὸν, ἁπάσας τῶν οὔρων τὰς διαφορὰς, αἳ γίνονται τοῖς ὀξέως νοσοῦσι διερχόμενος, οὐκ ἐμνημόνευσε δασέων οὔρων, ὥσπερ οὐδ' ἐν τοῖς τῶν ἐπιδημιῶν, ἢ κατὰ τοὺς ἀφορισμούς. ἀλλ' οἵ γε τὰ τοιαῦτα μὲν ἀποφαίνεσθαι τολμηροὶ, περὶ ὧν οὐ τὴν γνῶσιν ἀκριβῆ λαβεῖν ἐστιν, οὔτ' εἰ λάβοιμεν, ἔχειν τι πλέον ὧν ἐπιστάμεθα· τὰ δ' ὄντως χρήσιμα μὴ γινώσκοντες, ἀνώμαλον ἔχειν φασὶ τὴν ἐπιφάνειαν, τὰ δασέα τῶν οὔρων, ἐξοχαῖς βραχείαις τε, καὶ λευκαῖς, οἷον περ θριξὶ τετραχυσμένα. καί τινες μὲν αὐτῶν, ἀφρώδη φασὶν εἶναι τὰ τοιαῦτα τῶν οὔρων, ἀφρὸν λεπτὸν ἐπιπολῆς ἀνωμάλως διεσπαρμένον ἔχοντα. τινὲς δὲ παχέα μὲν αὐτὰ, κατὰ τὴν ἐπιφάνειαν, ἔχοντα σκληρότητα πάνυ λεπτὴν, ὡς ψάμμον, ἀλλά γε ταῦτα πάντα διελθοῦσιν ἡμῖν, οὐδὲν πλέον. αὐτὸς γὰρ ἐπὶ τῷ τέλει τῆς ῥήσεως ἔγραψε μέλανα προσδέχεσθαι ἥξειν, καὶ τούτῳ γε πάλιν αὐτῷ, προσέθηκεν ὀλέθριον. εἴρηκε δὲ ἔμπροσθεν, αὐτὸν οὐρεῖν μέλανα. τὸ γοῦν, ἐλπὶς μέλανα ἥξειν, ἀπολείπεται περὶ τῶν διαχωρουμένων, ἢ ἐμουμένων ἀκοῦσαι. περιττὸν δὲ ἀναμένειν ἐκεῖνα προρρήσεως ἕνεκεν, ὀλεθριώτερα αὐτὸν ἑωρακότα σημεῖα οὖρα μέλανα, πρὸς τῷ μήτε διὰ παντὸς, μήθ' ὡς τὸ πολὺ, μελαινῶν οὔρων γινομένων, ἔκκρισιν διὰ γαστρὸς, ἢ ἔμετον ἕπεσθαι διὰ παντὸς μέλανα. διό μοι δοκεῖ, καὶ ὁ Διοσκορίδης, ὑπομέλανα γράψαι τὰ τοιαῦτα οὖρα, προσθεὶς τὴν, ὑπὸ, πρόθεσιν, ἵνα προρρητικόν τι κἂν ὀλίγον, ὁ λόγος ἔχῃ. περιττὴ δὲ παντοίως ἔσται τῶν ἄλλων συμπτωμάτων ἡ προσθήκη. τὰ γὰρ ὑπομέλανα οὖρα, ῥοπὴν ἔχοντα πρὸς τὸ μέλανα γενέσθαι, τῆς ἰδέας δεῖται τοῦ πυρετοῦ, διορίζομένης ἀσφαλεστέραν πρόρρησιν, ἑτέρου δὲ οὐδενός. ἐὰν γὰρ ἱκανῶς ᾖ δριμὺς καὶ πυρώδης ὁ πυρετὸς, ἡ μετάπτωσις εἰς τὸ μέλανα, τῶν ὑπομελαινῶν οὔρων ἔσται ῥᾳδίως. ἐὰν δὲ μὴ τοιοῦτος, οὐ πάνυ τι πυρώδης, τούτῳ τρομώδεις αἱ χεῖρες, ὥσπερ καὶ ἡ κεφαλαλγία, καὶ τὸ ὑπόκωφον, καὶ τὸ τοῦ τραχήλου ὀδυνῶδες. ταῦτα γὰρ ἅπαντα φρενιτικὰ σημεῖα.

COMMENTARIVS GALENI.

Capitis dolor, caput his affici, veluti & sensus auditorij læsio, cerebrum ipsum, ostendit; quo fit vt & colli dolor, & manus tremulæ neruorum principium læsum esse portendant. Quòd verò nigræ vrinæ principij alterius affectionem indicent, sæpe est dictum, fitque hoc propter vehementissimam caliditatem. Vrinæ verò densatæ ex eorum sunt numero, quæ ad obscuritatem tendunt, veluti & alia libri huius multa, adeò vt impræsentiarum quoque nugari possint, quibus id placet. Nempe Hippocrates in prognostico differentias vrinarum omnes, quæ in acutis morbis fiunt, enarrans, nullam de densis mentionem fecit, sicuti neque in epidemiis, neq; in aphorismis. At qui talia quidem pronunciare audent (de quibus notitiam exquisitam habere non possumus; neque si habuerimus, plus aliquid iis, quæ scimus, habemus) verè autem commoda non agnoscunt, inæqualem habere superficiem aiunt vrinas densas, eminentiis scilicet, tum paruis, tum albis veluti capillis, exasperatas. Suntque inter hos nonnulli, qui spumosas tales vrinas esse dicant, spumam scilicet tenuem in superficie inæqualiter dispersam habentes, alij verò crassas quidem eas, duritiem in superficie, sabuli instar, valde tenuem obtinentes. Sed sanè percurrentibus omnia hæc nobis nihil commodi accedit. Nempe author ipse ad dictionis finē, ventura expectare nigra, scripsit; & huic rursum ipsi adiecit, perniciosum. Dixit verò antea nigra meiere ægrum; quare spes venturorum nigrorum de his relinquitur, quæ vel deijciūtur, vel vomuntur, intelligenda, superfluum autem existit illa expectare in gratia prędictionis eum, qui perniciosiora vidit signa, vrinas scilicet nigras. Adde quòd neque perpetuò, neque vt plurimū nigrarum vrinarum excretionem consequuntur per ventrem, vel vomitum nigra. Eámque ob causam mihi videtur Dioscorides subnigras tales scripsisse vrinas, sub, præpositionem adiiciens, vt prorrheticum quippiam; tametsi exiguum, sermo haberet. Superuacanea autem prorsus erit cæterorum symptomatum adiectio. Nam subnigræ vrinæ, vt nigræ fiant inclinationem habentes, febris speciem expostulant, quæ certiorem definiat prędictionem, aliud verò nihil. Si enim abundè, tum acris, tum ignea febris fuerit, subnigræ vrinæ in nigras promptè transibunt, si verò non talis neque magnopere ignea fuerit, huic tremulæ manus erūt, veluti & dolor capitis, subsurditas, & ceruicis dolor. Hæc etenim omnia phrenitica sunt signa.

A

De vocis interceptionibus perniciosis.

HIPPOCRATIS PRÆDICTIO 98.

Quæ cum exolutione & catoche fiunt vocis interceptiones, perniciosæ.

COMMENTARIVS GALENI.

Rursus in hoc loco particularem scripsit sermonem, veluti & antea, quum dixit, desipientiæ pessimæ. Communiter autem talibus omnibus inest, quod & idiotis ipsis patet, vt magnæ affectiones virtute præfatigatis perniciosæ fiant: sed quod ibi, prædebilitatorũ, dixit, id impræsentiarum, cum exolutione, dicit. Potest autem quispiã & cum exolutione, vel infirmitate, vel imbecillitate inquiens, multitudini indoctisque, quasi aliud quippiam dicat, præbere opinionem, potest quoq; & de particularibus affectionibus ita agere vt interim aliàs alia dicere videatur. Nã & peripneumoniæ, & pleuritides, quæ cũ facultatis fiũt imbecillitate, omnis itẽ huiusmodi fortis affectio, perniciosa est, si enim neque ex ipsis, qui viribus valent omnes seruãtur, quòd nemo ex iis, qui imbecillã habent facultatẽ, seruari possit, liquido cõstat omnib. Hoc igitur in loco duo symptomata, quæ cerebri læsionẽ concomitantur, memorauit, quorũ, qui vel alterutrũ tantùm dicit, vera loquitur, nã catochæ cũ exolutione prauæ sũt, vocis interceptiones itẽ cũ exolutione similiter his habẽt.

De lateris dolore in ecstasin mutato.

HIPPOCRATIS PRÆDICTIO 99.

Lateris dolor ex sputis biliosis, si absque ratione euanuerit, in furorem aguntur.

COMMENTARIVS GALENI.

Sermonis quoque huius vniuersale sæpius est dictum, Quod omnia sine ratione euanescentia malum quippiam portendant. In hoc loco autem adiectum etiam est aliquod ex particularibus malum, quod ex biliosis sputis in pleuriticis affectionibus repente euanescentibus fit, neque tamen perpetuò, neque sæpius, sed quum biliosi humoris ad caput ipsum transitus fuerit, tunc solum ægri ἐξίσανται. i. *in furorem aguntur.* Atqui consueta iam enunciatione vsus, qui librum scripsit, alienam fecit dictionem, quum non habeamus, cuinam orationem, in furorem aguntur, ordinemus, componamusque. Nempè quantum quidem ex dictione est, lateris dolori ordinamus, dicente vtique ipso, lateris dolor absque ratione si euanuerit, in furorem aguntur, Valdè verò impropriè dictum fuerit, lateris dolor absque ratione si euanuerit, in furorem aguntur; nam etsi pro ἐξίσανται. i. *in furorem aguntur*, scribamus ἐξίσαται. i. *in furorem agitur*, sine, ν, syllaba, quæ finem præcedit, per sola τ & α scripta, non minùs, & sic absurda fuerit interpretatio, atque priore deterior longè, nempe in illa ab affectionibus ad ægrum per solœcismum transitur. Hoc autem ἐξίσαται, tametsi absque ν enuncietur, ne sic tamen prorsus, quid priùs illud significet, inuenire queas, nam secundum naturam dixisse licebat, lateris dolore ex biliosis sputis absque ratione occultato ægri ἐξίσανται, verbo illo videlicet significante, dementiam vehementem, & maniæ participem.

Περὶ τῶν ὀλεθρίων ἀφωνιῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϟη'.

Αἱ μετ' ἐκλύσιος κατόχους ἀφωνίαι, ὀλέθριαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πάλιν κἀνταῦθα λόγον ἔγραψε κατὰ μέρος, ὥσπερ καὶ πρόσθεν ἡνίκα ἔλεγεν, αἱ παραφροσύναι κάκισται. κοινὸς πᾶσι τοῖς τοιούτοις εἰσὶν, ὃ καὶ τοῖς ἰδιώταις δῆλον ὑπάρχει, τὸ, τὰ μεγάλα πάθη τοῖς προκεκμηκόσι τὴν δύναμιν ὀλέθρια γίνεσθαι. ἀλλ' ὅπερ ἐκεῖ προεξαδυνατησάντων, τοῦτο ἐνταῦθα μετὰ ἐκλύσεως εἶπε. δύναται δέ τις καὶ μετὰ ἐκλύσεως, ἢ ἀσθενείας, ἢ ἀῤῥωστίας εἰπὼν, ἐκπέμψαι φαντασίαν τοῖς πολλοῖς καὶ ἀμαθέσιν, ἄλλο τι λέγειν. δύναται καὶ τῶν κατὰ μέρος παθῶν μνημονεύειν, ἵνα ἐν τῷδε δόξῃ λέγειν ἄλλοτε ἄλλα. καὶ γὰρ αἱ περιπνευμονίαι, καὶ αἱ πλευρίτιδες, ἐν ἀσθενείᾳ δυνάμεως γιγνόμεναι, καὶ πᾶν ὁποιοῦν πάθος ἰσχυρὸν, ὀλέθριόν ἐστιν. ὅπου γὰρ οὐδὲ οἱ τὴν δύναμιν ἰσχυροὶ, διασώζονται πάντες ἐξ αὐτῶν, εὔδηλον ὡς τῶν ἀσθενῶν οὐδένα σωθῆναι δυνατόν ἐστι. νῦν μὲν οὖν ἐμνημόνευσε δύο συμπτωμάτων, ἑπομένων τῇ βλάβῃ τοῦ ἐγκεφάλου, καὶ θάτερον δὲ αὐτῶν μόνον εἰπών τις, ἀληθεύει. καὶ γὰρ αἱ μετ' ἐκλύσεως κατοχαὶ, μοχθηραὶ, καὶ αἱ μετ' ἐκλύσεως ἀφωνίαι, παραπλησίως αὐταῖς.

Περὶ ἀλγήματος πλευροῦ εἰς τὴν ἔκστασιν μεταβληθέντος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ϟθ'.

Πλευροῦ ἄλγημα, ἐπὶ πτύσεσι χολώδεσιν, ἀλόγως ἀφανισθὲν, ἐξίσανται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τούτου τοῦ λόγου τὸ καθόλου, πολλάκις εἴρηται, πάντων τῶν ἀλόγων ἀφανισθέντων κακόν τι σημαινόντων, καὶ ἐνταῦθα δὲ πρόσκειται, τῶν κατὰ μέρος τι κακὸν γιγνόμενον ἐπὶ χολώδεσι πτύσμασιν, ἐν πλευριτικοῖς πάθεσιν ἐξαίφνης ἀφανισθεῖσιν, οὐ μὴν διὰ παντὸς, ἢ πλειστάκις, ἀλλ' ὅταν ἡ μετάστασις τοῦ χολώδους, ἐπὶ τὴν κεφαλὴν γένηται, τηνικαῦτα μόνον οἱ κάμνοντες ἐξίστανται. τῇ μέντοι συνήθει τῆς ἑρμηνείας ἤδη χρησάμενος ὁ γράψας τὸ βιβλίον, ἀλλόκοτον ἐποίησε τὴν λέξιν, οὐκ ἐχόντων ἡμῶν, τίνι, τὸ ἐξίσανται, συντάξομεν. ὅσον μὲν γὰρ ἐπὶ τῇ λέξει, τῷ τῆς πλευρᾶς ἀλγήματι, φάντος γε αὐτοῦ, πλευροῦ ἄλγημα ἀλόγως ἀφανισθὲν, ἐξίσανται. πάνυ δ' ἀκύρως ἂν εἴη λεγόμενον, τὸ τοῦ πλευροῦ ἄλγημα ἀλόγως ἀφανισθὲν, ἐξίσανται. κἂν γὰρ ἀντὶ τοῦ ἐξίσανται, ἐξίσαται γράφωμεν χωρὶς τοῦ ν τῆς πρὸ τέλους συλλαβῆς διὰ μόνου τοῦ τ καὶ α, καὶ οὕτως ἄτοπος ἡ ἑρμηνεία γίνεται, καὶ πολὺ χείρων αὐτῆς. τὸ μὲν γὰρ ἀπὸ τῶν παθῶν ἐπὶ τὸν κάμνοντα, σολοικώδης ἡ μετάβασις γίνεται. τὸ δ' ἄνευ τοῦ ν λεγόμενον, ἐξίσαται, τὴν ἀρχὴν οὐδ' οὕτως, τί πρότερον σημαίνει δυνατὸν εὑρεῖν. κατὰ φύσιν γὰρ ἦν εἰρηκέναι πλευροῦ ἀλγήματος ἐπὶ πτύσμασι χολώδεσιν ἀλόγως ἀφανισθέντος, οἱ κάμνοντες ἐξίσανται. σημαίνοντος δηλονότι τοῦ, ἐξίσανται, παρακοπὴν σφοδρὰν, καὶ μανιώδη.

Περὶ τραχήλου ἀλγήματος μετὰ κώματός τε, καὶ ἱδρῶτος καὶ τῶν ἄλλων συμπτωμάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρ.

ΕΠΙ τραχήλου ἀλγήματι κωματώδει, ἱδρώδει, κοιλίη φυσηθεῖσα, εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, ὑποπεριπλυθεῖσα, ἐκ τουτέων ἄχολα ἐξίστανται. τὰ τοιαῦτα διασωζόμενα, μακροτέρως διανοσεῖ. ἆρά γε εἰσὶν ἄχολοι περιπλύσιες εὐηθέστεραι, καὶ τὸ φυσῶδες ὄγκῳ προσωφελέει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑΙ κατὰ τήνδε τὴν ῥῆσιν, ἀνομοιογενῶν ἐστι συμπτωμάτων ἄθροισμα. τραχήλου μὲν γὰρ ἄλγημα μετὰ κώματος, ἐν τῇ κεφαλῇ νοσώδη διάθεσιν εἶναι σημαίνει. ὁ δ' ὡς σύμπτωμα, καὶ μὴ κριτικὸς ἱδρὼς, ἤτοι πλῆθος, ἢ ἀρρωστίαν ἐνδείκνυται τῆς ἑλκτικῆς τε, καὶ καθεκτικῆς ὀνομαζομένης δυνάμεως. ἐμφυσηθεῖσα δ' ἡ γαστὴρ, αὐτὸ δὴ τοῦτο πεπονθέναι τὸ μόριον δηλοῖ, τὴν γαστέρα. τὸ δὲ πρὸς ἀνάγκην ὑγρὰ χαλᾶν, ὑποπεριπλυθεῖσαν δὲ τοῦτο ποιεῖν, τὸ ἧπαρ ἐνδείκνυται πεπονθέναι. ἐξίστασθαι δὲ, ὅπερ ἐστὶ παρακόπτειν σφοδρῶς, τούτοις φησὶ, καίτοι μηδενὸς σημείου γενομένου τῆς ἐκστάσεως. τὸ γὰρ κωματῶδες εἴρηται μόνον ἐγκεφάλου πάθος, ἐναντίον ὑπάρχον ἐκστάσει. πλὴν εἰ τὸ τραχήλου τις ἄλγημά φησι τῆς ἐκστάσεως εἶναι σημεῖον, ὃ μηδὲ τὴν ἁπλῆν παραφροσύνην σημαίνειν δύναται μόνην, ἄνευ γε τοῦ καὶ ἄλλα προσελθεῖν αὐτῷ σημεῖα, οἷον ἀγρυπνίαι, κεφαλαλγίαι, ὄμμα θρασὺ, θρασεῖαι ἀποκρίσεις, ὕπνοι ταραχώδεις, ἤ τι κατὰ τὰς αἰσθήσεις, ἢ προαιρετικὰς κινήσεις βεβλαμμένον. Εἰκότως οὖν, ἀντὶ τοῦ ἐξίστανται, ἔνιοι ἐφίστανται, ἐπὶ τῶν διαχωρημάτων εἰρῆσθαι φάσκοντες αὐτὰ, καὶ συνῆφθαι μᾶλλον ἐκείνοις, ὡς εἶναι τὸ συνεχὲς τῆς λέξεως τοιόνδε, κοιλίη φυσηθεῖσα. Εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα ὑποπεριπλυθεῖσα, ἐκ τουτέων ἄχολα ἐφίστανται. τούτοις οὖν ἐφεξῆς εἰπὼν, τὰ τοιαῦτα διασωζόμενα, μακροτέρως διανοσεῖ. τελευταῖον ἔγραψεν, ἆρά γε ἄχολοι περιπλύσιες εὐηθέστεραι, καὶ τὸ φυσῶδες ὄγκῳ προσωφελέει, ὡς εἰ καὶ οὕτως εἶπε. καὶ φυσῶδες οἴδημα προσωφελοῦσι. τοῦτο δ' αὐτὸ πάλιν ἴσον δύναται, τῷ τοὺς φυσώδεις ὄγκους ὠφελεῖν. εἰ δὲ ἀλλόκοτος σοι ἡ σύνταξις εἶναι δοκεῖ, χρὴ συγγινώσκειν τοῖς οὕτως ἐξηγουμένοις. πάμπολλα γὰρ ἐν τῷ βιβλίῳ τούτῳ τοιαῦτα φαίνεται ἀσυνήθεσι τῶν ὀνομάτων ἑρμηνευόμενα. εἰκότως δὲ φαίνεται ζητεῖν, εἰ ἄχολοι περιπλύσεις τοὺς τοιούτους ὄγκους ὠφελέουσι, τεκμηράμενος τοὺς φυσώδεις, οὐχ ὑπὸ χολῆς, ἀλλ' ὑπὸ ψυχρῶν ὑγρῶν ὑδατωδῶν κατὰ τὴν σύστασιν, ἅμα πνεύματι φυσώδει γίγνεσθαι. κατ' αὐτὴν μὲν οὖν τὴν ἐξήγησιν, ὁμολογεῖν ἀλλήλοις φαίνεται ταῦτα, καὶ καλῶς ὑπό τινων γέγραπται τὸ, συνίστανται, ἢ ἐφίστασθαι κατὰ τῶν διαχωρημάτων, καὶ μᾶλλόν γε αὐτὸ τὸ ἐφίστασθαι, διότι γὰρ ἐστιν ἄχολα, διὰ τοῦτο ἐφίστασθαι καὶ πρὸς ἀνάγκην μόγις χαλᾶται, τουτέστι μετὰ τοῦ πραγματεύσασθαί τι τὸν ἰατρόν. ἐκ περιττοῦ δὲ πάλιν φαίνεται, τὸ κατὰ τὴν ἀρχὴν, ἐπὶ τραχήλου ἀλγήματι κωματώδει συνῆφθαι, κατὰ μηδὲν συνημμένον τοῖς περὶ τὴν κοιλίαν συμπτώμασιν. ἔοικεν οὖν, ὥσπερ ἄλλας πολλὰς συνδρομὰς ἐφαίνετο τεθεαμένος ἐφ' ἑνὸς ἢ δυοῖν, ἐπὶ τὸ γράφειν ἀφῖχθαι, καὶ νῦν οὕτω πεποιηκέναι, χωρὶς τοῦ προσγράψαι τὸν ἄρρωστον ὀνόματι, καθάπερ ἐπ' ἄλλων ἐποίησε.

De ceruicis dolore cum comate, sudore & aliis symptomatis.

HIPPOCRATIS PRÆDICTIO 100.

EX *ceruicis dolore comatoso, & sudante aluus inflata, si ad necessitatem liquida demiserit infuso subluta, ex his bile carentia in ecstasin aguntur. Talia autem si seruentur, diutius ægrotat; an & his non biliosæ proluuies benigniores sint, & flatuoso tumori profuerint?*

COMMENTARIVS GALENI.

ACeruantur quoque in hac dictione dissimilis generis symptomata. Ceruicis etenim dolor cum comate morbosam in cerebro affectionem esse ostendit. Sudor verò, tanquam symptoma, & non iudicatorius, aut redundantiam, aut retentricis facultatis imbecillitatem indicat. Aluus autem inflata eam ipsam partem affectam esse indicat, ventrem scilicet. Ad necessitatem autem liquida demittere sublutumque id facere, iecur ostendit affectum. Ἐξίστασθαι autem, quod est παρακόπτειν σφοδρῶς. i. *valde desipere*, eos ait, etsi nullum fortis desipientiæ, quam ἔκστασιν vocant, signum effectum fuerit, dictum est enim comatosum tantum, quæ est affectio cerebri, contraria ecstasi, nisi quis ceruicis dolorem signum ecstasis esse dicat; quod neque simplicem desipientiam absque signorum aliorum coniunctione significare potest, vt sunt vigiliæ, capitis dolores, ferox oculus, responsio audax, somni turbulenti, aut aliqua in sensibus, vel motionibus arbitrariis læsio. Iure igitur quidam, pro ἐξίστανται, legunt ἐφίστανται. i. cohibentur, de alui excrementis dici affirmantes, atque melius copulari illis; vt ita continuetur dictio; *Venter inflatus si ad necessitatem liquida demiserit sublutus, ex his bile carentia excrementa cohibentur.* Post hæc verò inquiens, *Talia autem si seruentur, diutiùs æger ægrotabit*, tandem scripsit, *An his bile carentes proluuies, mitiores melioresque moris existunt, & quod flatuosum est tumoris adiuuerint*, quasi ita dixerit, *& flatuosum tumorem adiuuerint?* quod rursus idem in significatu potest, quod & flatuosis tumoribus opem ferre. Quòd si aliena tibi videatur constructio, ignoscendum est iis, qui ita enarrant; permulta siquidem talia libro in hoc videntur pronunciari nominibus inusitatis. Iure autem optimo inuestigare videtur an bile carentes proluuies tales iuuent tumores flatuosos, non à bile, sed à frigidis humoribus substantia aquosis, & flatuoso spiritu fieri coniiciens. Secundum hanc igitur expositionem consentire hæc inter se videntur; & non perperam à quibusdam scriptum est συνίστανται; vel ἐφίστανται. i. consistunt, vel cohibentur, de deiectionibus, & magis ipsum ἐφίστανται. i. cohibentur; nam quia ἄχολα. i. *bile carent*, ob id cohibentur, atque ad necessitatem vix deponuntur, hoc est cum medici auxilio. Superfluè autem inter initia coniunctum esse videtur, *ex ceruicis dolore comatoso. & sudante* nullo pacto ventris symptomatis cohærens, quadransque. Quo igitur modo concursiones alias multas in vno, vel duobus contemplatus, ad eas scribendas peruenisse est visus, ita & nunc fecisse est verisimile, nō præscripto ægrotantis nomine, vt in aliis fecit.

Et

Et si res ita habet, fieri potest, vt in principio quidem morbi copia quædam humorum, & temperamento frigidorum, & substantia tenuium, particulas circa caput ceruicemque infestauerit; defluensq; in ventrē, & flatuosam in eo molē peperit, & deiectiones tum tenues, tum aquosas fecerit, atque ob id manentes in ventre & non penetrantes, quo penetrant modo, quę tum biliosæ tum mordentes existunt. Cæterū non parum interest, an authore libri, quæ cuipiam euenerunt, narrāte, causas nos reddere eorum probabiles tentemus, quemadmodū in opere epidemiorum fecimus; an veluti vniuersales sermones indagare. A capite enim ad ventrē defluere potest humor, veluti & in fauces, guttúrque, & pulmonē, & thoracem, & septum transuersum, & lienem, & hepar, & quiduis aliud; veluti & ex vno quoque horū rursus ad caput aduehi; sed vel perpetuò, vel magna ex parte in vnū dictorum permeatio fiat, falsum existit; id quod plurimæ libri huius dictiones ostendunt, in quibus simpliciter enunciatur absque adiectione coniunctionis dubitatiuæ, vel nominis ægrotantis. Verùm in hac dictione inquiens, an & his bile carentes proluuies εὐηθέστεραι, idest, *melioris moris* existant? sese haudquaquā sermoni vniuersali cōfidere declarauit. Εὐηθέστεραι autem significat quidē, & κακοηθέστεραι, idest, maligniores, & sæpius in hoc significato pleriq; veterum vsi videntur; verùm & εὔτροποι significat, idest, mitiores, &, vt vertantur, promptiores. Vsi siquidem sunt & hoc significato quidam ex antiquis, iuxta quod & nunc dictum esse videtur, nempe id commonstrat, quod in fine sententiæ dictum est, adiuuerint.

A καὶ εἴπερ τοῦθ' οὕτως ἔχει, δυνατόν ἐστιν ἐν ἀρχῇ μὲν τῆς νόσου, πλῆθός τι χυμῶν, ψυχρῶν μὲν τῇ κράσει, λεπτῶν δὲ τῇ συστάσει, τὰ περὶ κεφαλὴν, καὶ τράχηλον ἐνοχλῆσαι μόρια. μεταῤῥυὲν δὲ ἐπὶ τὰ κατὰ τὴν γαστέρα, τόν τε φυσώδη κατ' αὐτὴν ἐργάσασθαι ὄγκον, καὶ τὰ διαχωρήματα λεπτὰ, καὶ ὑδατώδη ποιῆσαι, καὶ διὰ τοῦτο μένοντα κατὰ τὴν γαστέρα, καὶ μὴ διεξερχόμενα, καθάπερ τὰ χολώδη καὶ δάκνοντα. διαφέρει δὲ οὐ σμικρὸν, ἢ τὰ συμβάντα τινὶ διηγουμένου τοῦ τὸ βιβλίον γράψαντος, αἰτίας αὐτῶν ἡμᾶς ἀποδιδόναι πιθανὰς, ὡς ἐν τοῖς τῶν ἐπιδημιῶν ἐποιήσαμεν, ἢ ὡς καθολικοὺς τοὺς λόγους ἐξετάζειν. ἀπὸ μὲν γὰρ τῆς κεφαλῆς εἰς τὴν γαστέρα μεταῤῥυῆναί τις δύναται χυμὸς, ὥσπερ γε καὶ εἰς τὴν φάρυγγα, καὶ λάρυγγα, καὶ πνεύμονα, καὶ εἰς θώρακα, καὶ διάφραγμα, καὶ σπλῆνα, καὶ ἧπαρ, καὶ ὁτιοῦν ἄλλο, καθάπερ γε κἀξ ἐκείνων γε ἑκάστου πάλιν ἐπὶ τὴν κεφαλὴν αἴρεσθαι. τὸ δ' ἤτοι διαπαντὸς, ἢ πλειστάκις, εἰς ἓν τῶν εἰρημένων τὴν μετάστασιν γενέσθαι, ψεῦδος, ὅπερ αἱ πλεῖσται τῶν κατὰ τοῦτο τὸ βιβλίον ἐνδείκνυνται ῥήσεις, ἐφ' ἧς ἁπλῶς ἀποφαίνεται χωρὶς τοῦ προσθεῖναι τὸν ἐπαπορητικὸν σύνδεσμον, ἢ τὸν ἄῤῥωστον αὐτὸν ὀνόμασι. ἀλλά γε κατὰ τὴν προκειμένην ῥῆσιν εἰπὼν, ἆρά γε

B

C εἰσιν αἱ ἄχολοι περιπλύσιες εὐηθέστεραι; δῆλος ἐγένετο μὴ θαῤῥεῖν, ὡς καθολικῷ τῷ λόγῳ. τὸ δὲ εὐηθέστεραι ῥῆμα, σημαίνει μὲν καὶ τὸ κακοηθέστεραι, καὶ πολλάκις κατὰ τοῦτο τὸ σημαινόμενον τούτῳ φαίνονται κεχρημένοι πολλοὶ τῶν παλαιῶν. σημαίνει δὲ καὶ τὸ εὔτροποι. κέχρηνται γὰρ καὶ τούτῳ τινὲς παλαιῶν, καθὸ καὶ νῦν ἔοικεν εἰρῆσθαι. συνεμφαίνει γὰρ τὸ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως εἰρημένον, προσωφελέειν.

De alui distentione quæ deiectis liquidis citò intumescit.

Περὶ κοιλίης περιτάσεως τῆς μετὰ τὴν ὑγρῶν διαχώρησιν ταχὺ ὀγκουμένης.

HIPPOCRATIS PRÆDICTIO 101.

Alui circuntentio ad necessitatē liquida demittens, citò intumescens, cōuulsiuū quiddā habet; vt & Aspasij filio. Superrigere his perniciosum; ex his cōuulsus & inflatus quis quum diutius ægrotauerit, in ore putredo viridis oboritur.

D

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρα.

Κοιλίης περίτασις πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, ταχὺ ὀγκουμένη, ἔχει τι σπασμῶδες, οἷον καὶ τῷ Ἀσπασίου υἱῷ, τὸ ἐπιῤῥιγοῦν τούτοις ὀλέθριον. ἐκ τουτέων σπασμώδης γενηθεὶς, καὶ ἐμφυσηθεὶς, μακρότερον διανοσήσας, στόματι σῆψις χλωρὴ ἐπεγένετο.

COMMENTARIVS GALENI.

Dictum à me etiam superius est, quòd medicæ speculationis doctrina ab Hippocrate in legitimis omnibus libris per vniuersalia facta sit, expromente etiam aliquando particularia quædam, gratia exempli, ad eorum, qui discunt, perspicuitatem. Sed quoniam non satis est præcepta vniuersalia condiscere, vt ea promptè in operibus dignoscantur, absque exercitatione, ob id gratia exercitationis ægros in epidemiis scripsit, in quibus nihil eorum, quæ his contigerunt, est omissum. Quòd verò, quæ à prorrhetici authore emanauit doctrina, non habeat vniuersale, nisi vtique rarò, iam sæpius est ostensum. Deficit quoque & ea ab exquisita illa particulari enarratione, quæ in epidemiorum ægris descripta est. Vbi primum quidem, si insignis aliqua sit ex causis procatarcticis, indicat, recensens, siquis, verbi gratia, vel ex laboribus, vel exercitationibus intempestiuis, vel ebrietate, ægrotare cœperit; deinde quòd primo quidem die hæc circa ægrum contigerunt, & secundo alio,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἴρηταί μοι καὶ πρόσθεν, ὡς ἡ διδασκαλία τῆς ἰατρικῆς θεωρίας, ὑφ' Ἱπποκράτους διὰ τῶν καθόλου γέγονεν ἐν ἅπασι τοῖς γνησίοις βιβλίοις, προχειριζομένου ποτὲ, καὶ τῶν κατὰ μέρος ἔνια, παραδείγματος ἕνεκα πρὸς σαφήνειαν τῶν μανθανόντων. ἐπεὶ δ' οὐκ ἀπόχρη τὰ καθόλου θεωρήματα μαθεῖν, εἰς τὸ διαγινώσκειν ἑτοίμως

E

ἐπὶ τῶν ἔργων αὐτὰ, χωρὶς τοῦ γυμνάζεσθαι, διὰ τοῦτο γυμνασίας ἕνεκα, ἔγραψε τοὺς ἐν τοῖς τῶν ἐπιδημιῶν ἀῤῥώστους, ἐφ' ὧν οὐδὲν παρέλιπε τῶν συμβάντων αὐτοῖς. ἡ δ' ὑπὸ τοῦ τὸ προῤῥητικὸν γράψαντος ἀνδρὸς γινομένη διδασκαλία, δέδεικται μὲν ἤδη πολλάκις οὐκ ἔχουσα τὸ καθόλου, πλὴν εἴ που σπανίως. ἀπολειπομένη δὲ καὶ

F τῆς κατὰ μέρος ἀκριβοῦς διηγήσεως, ὁποῖα γέγραπται κατὰ τοὺς ἐν τοῖς ἐπιδημιῶν ἀῤῥώστοις, ἔνθα πρῶτον μὲν ἐὰν ἐπίσημόν ἐστι τι τῶν προκαταρξάντων αἰτίων, δεδήλωκε λέγων, οἷον εἴ τις ἐκ κόπων, ἢ γυμνασίων ἀκαίρων, ἢ μέθης ἤρξατο νοσεῖν, εἶθ' ὅτι τὴν μὲν προτέραν τῶν ἡμερῶν ἐγένετο ταυτὶ περὶ αὐτὸν, ἐν δὲ τῇ δευτέρᾳ ταυτὶ,

καὶ οὕτως κατὰ τὴν τρίτην, καὶ τὴν τετάρτην· καὶ τὰ ἐφεξῆς ἅπαντα διηγεῖται τὰ γινόμενα, τοῖς πρὸ αὐτοῦ μεμαθηκόσι τὴν καθόλου θεωρίαν, ἐφαρμόττειν προτρέπων τοῖς πεφηνόσι κατὰ τοὺς ἀρρώστους, μετὰ τοῦ καὶ αὐτὸν ποδηγεῖν ἐνίοτε πρὸς τὴν γυμνασίαν, ὡς ἐπιδέδειχταί μοι κατὰ τὰς ἐξηγήσεις αὐτῶν. ὁ δὲ τοὺς ἐν τούτῳ τῷ βιβλίῳ γράφων ἀρρώστους, ἀπὸ τῆς τοιαύτης διηγήσεως ἐπί τισι τῶν ὀφθέντων ἅπαξ, ἤδη βούλεται καθόλου θεωρήματα συνίστασθαι, σφαλλόμενος ἐν πολλοῖς οὐ σμικρά, καθάπερ ἐν τῷ ἑτέρῳ γινόμενον, ἑτέρῳ προσνέμειν, ὥσπερ καὶ νῦν. τῷ γοῦν Ἀσπασίου υἱῷ, τὰ περὶ τὴν γαστέρα συμπτώματα γράψας μόνον, σπασμῶδές τι φησὶν ἔχειν αὐτά. τρία δ᾽ ἐστὶν ἃ ἔγραψε συμπτώματα, πρῶτον μὲν κοιλίης περίτασις, ἐφεξῆς δ᾽ αὐτῆς, τὸ πρὸς ἀνάγκην ὑγρὰ χαλᾷν, ὅπερ ἐν τισὶ διαχωρεῖν εἴωθε λέγειν. καὶ τρίτον ἐπ᾽ αὐτοῖς, τὸ ταχέως ὀγκοῦσθαι. συνεκφαίνει δὲ τούτῳ καὶ τὸ μειοῦσθαι τὴν αὐτὴν ἴσως, ἐπὶ τοῖς ὑγροῖς διαχωρήμασι. καὶ γὰρ ἐφεξῆς αὐτῶν εἴρηται τὸ, ταχὺ ὀγκουμένη. τούτοις δὲ τοῖς συμπτώμασι μόνοις ἐζεῦχθαι σπασμῶδές τι, ἐάν τις ἐπὶ νοσοῦντος οὕτως ἀνθρώπου προείπῃ, σφαλήσεται μὲν πάνυ πολλάκις, ἐπιτύχοι δ᾽ ἄν ποτε κἂν ἅπαξ ἐν τῷ ὀλίγῳ. καὶ αὐτὸς δὲ ὁ ταῦτα γράψας, ὅμοια τοῖς νῦν εἰρημένοις συμπτώματα κατὰ τὴν γαστέρα προειρηκὼς ἐν τῇ πρὸ ταύτης ῥήσει, περὶ σπασμοῦ λόγον πεποίηται οὐδένα, καίτοι τραχήλου πόνον εἰρηκὼς γεγονέναι μετὰ κώματος. ἔχει δ᾽ ἡ ῥῆσις ὧδε· ἐπὶ τραχήλου ἀλγήματι κωματώδει ἱδρώδει, κοιλίη φυσηθεῖσα εἰ δέ τι πρὸς ἀνάγκην ὑγρὰ χαλάσασα, ὑποπεριπλυθεῖσα. δῆλον οὖν, ὅτι τὰ μὲν κατὰ τὴν κοιλίαν συμπτώματα, παραπλήσια τοῖς νῦν εἰρημένοις εἰσίν, ἔξωθεν δ᾽ αὐτῶν ἄλγημα τραχήλου πρόσκειται, νευρώδους μορίου, καὶ πλησίον ἐγκεφάλου κειμένου, καὶ τὸν νωτιαῖον περιέχοντος, μετὰ τοῦ καὶ τὸν ἐγκέφαλον ἤδη πεπονθέναι. τὸ γὰρ κωματῶδες ἐκείνου σύμπτωμα, πιθανώτερον οὖν ἐπὶ τοῦ κάμνοντος οὕτως γεγράφθαι τὸ ἔχειν τι σπασμῶδες, οὐκ ἐπὶ τοῦ νῦν. ἐφ᾽ οὗ δυνατόν ἐστιν ἕτερόν τι σύμπτωμα γεγονέναι τοῦ σπασμοῦ δηλωτικόν, ὃ παρέλιπεν ἐν τῇ διηγήσει. εἰ μὴ ἄρα τὸ ἐπιρριγοῦν αὐτὸ, εἰρημένον ἐν αὐτῇ νομίζει τις σπασμοῦ σημεῖον. εἴρηται γὰρ καὶ τοῦτο, τῶν ἐξηγητῶν ἐνίοις. οὐδὲ τὰς ὁσημέραι τριταίας τε, καὶ τεταρταίας περιόδους ὁρῶσι, μετὰ σφοδροτάτου ῥίγους ἐνίοις γινομένας, οὐδὲν ἐχούσας σπασμῶδες. ἀλλ᾽ οὕτως εἰσὶ σοφώτατοι τὰ τῆς ἰατρικῆς οἱ τὰ τοιαῦτα γράφοντες, ὡς ἡγεῖσθαι νεύρων εἶναί τι πάθος τὸ ῥῖγος, ὡς σπασμὸν, καὶ τρόμον. οὔτε δὲ διότι σπασμώδης ὁ τοῦ Ἀσπασίου υἱὸς ἐγένετο, δύναιτ᾽ ἄν τις εἰπεῖν, ἁπάντων μὴ γεγραμμένων τῶν συμβάντων αὐτῷ, οὔτε διότι χλωρὰ σηπεδὼν, ἐν τοῖς κατὰ τὸ στόμα τόποις ἐγένετο. κακοχυμίας μὲν γὰρ ἔκγονα τὰ τοιαῦτα παθήματα. πόθεν δ᾽ ἤθροισέ ποτ᾽ αὐτὴν, ἄδηλον, οὐκ εἰδότων ἡμῶν ὅπως διῃτήθη. οὐ μὴν οὐδὲ τὰ κατὰ τὴν κοιλίαν αὐτοῦ γενόμενα, σηπεδονώδεις, καὶ κακοχυμίας σημεῖον, πρὸς τῷ μηδὲ, τίνα λέγει τὴν χλωρὰν σηπεδόνα γινώσκεσθαι σαφῶς, ἐπειδὴ χλωρὰ, καὶ τὰ τὴν ἰώδη χροιὰν ἔχοντα καλοῦσι, καὶ τὰ τὴν ὠχράν.

& ita tertio, & quarto, & aliis deinceps diebus, omnia quæ fuerunt, explicat, iis qui ab ipso didicerint, præceptionem vniuersalem consentaneam iis esse, quæ in ægris apparuerunt, ostendens; ducitque simul interdum is ad exercitationem, vt in horum explicationibus ostendimus. Qui verò ægros in hoc scribit libro, ab huiusmodi enarratione ex quibusdam semel visis iam vniuersalia præcepta constituere intendit, non parum in multis errans, vt in hoc, quod alteri factum sit, alteri attribuere, quomodo & nunc. Nempe vbi Aspasij filij ventris symptomata solùm scripsit, ea conuulsiuum quippiam habere ait. Tria autem sunt ab eo scripta symptomata, vnum quidem est ventris distentio; alterum ad necessitatem liquida demittere, quod pro διαχωρεῖν, idest deiicere, dicere consueuit; tertium ab ipsis est, citò intumescere. Significat autem cum hoc & quòd venter minuatur forsan ex liquidis deiectionibus, nempe mox post ipsas dictum est, citò intumesciens. Solis autem his symptomatis iunctum, conuulsiuum quiddam, si quis in ita ægrotante homine prædixerit, falletur sæpissimè: verùm aliquando, vel etiam in paucis semel, voti fiet compos. Is quoque, qui hæc scripsit, vbi dictis nunc ventris symptomatis similia, in antecedente dictione commemorauit, de conuulsione nullum fecit sermonem, etsi ceruicis dolorem factum cum comate dixerit. Ita autem habet oratio; *Ex ceruicis dolore comatoso & sudante, venter inflatus, si ad necessitatem humida demiserit sublutus.* Quòd igitur symptomata ventris hæc similia iis sint, quæ nunc sunt dicta, liquidò constat omnibus; sed præter hæc, ceruicis adiectus est dolor, neruosæ partis, & prope cerebrum sitæ, & dorsalem medullam continentis, cum hoc quòd cerebrum iam erat affectum; nempe comatosum, cerebri est symptoma; verisimilius autem erat in ita laborante scriptum fuisse, habere aliquid conuulsiuum, non autem in præsenti; in quo fieri potest, vt symptoma aliquod aliud conuulsionis indicatorium factum sit, quod in enarratione omisit; nisi ipsum supertigere, in ea dictum, quis conuulsionis signum esse existimauerit; quod sanè & ipsum à quibusdam expositoribus est dictum, qui quotidie tertianos, quartanósque circuitus quibusdam cum vehementissimo rigore fieri, nihil conuulsiuum habentes, non vident. Verùm qui talia scribunt, adeò in re medica sapientissimi sunt, vt rigorem, neruorum affectionem esse, vt conuulsionem, tremorémque existiment. Neque sanè, cur Aspasij filius conuulsiuus factus sit, poterit quis dicere, non scriptis omnibus, quæ ipsi contigerunt; neque cur viridis putredo in oris locis facta sit; succi etenim vitiosi soboles sunt eiusmodi pathemata, quam vnde aliquando aceruauerit, est incertum, quum quánam victus ratione sit vsus, ignoremus; neque verò, quæ in ipsius ventre facta sunt, putridæ cacochymiæ signum præferunt; adde quòd neque quámnam dicat putredinem viridem, manifestè cognoscitur, quoniam χλωρὰ, & quæ ærugineum, & quæ pallidum habent colorem, vocitant.

A

De doloribus irretientibus.

HIPPOCRATIS PRÆDICTIO 102.

Lumborũ tenues, & diuturni dolores qui ad hypochondrium irretientes ciborum fastidium inuehunt, vnà cũ febre, his ad caput dolor vehemẽs appulsus, acutè conuulsiuo modo perimit.

COMMENTARIVS GALENI.

Siue ὑπὸ λεπτὸν, siue κατὰ λεπτὸν, idest tenues, scribatur (vtroque enim modo scribunt) multam habet obscuritatem. Eam ob causam quidam ὑπὸ πλευρὸν, idest, sub costam, scripserunt. Qui ergo vel ὑπὸ λεπτὸν, vel κατὰ λεπτὸν, scripserunt, sententiis sunt diuisi; nempe alij tenue intestinum dici asserunt; alij latum os, & sacrum appellatum. Sunt qui horum tertium quippiam fecerunt, ita vt simul vtrumque dicant, rationémque simul iis, quæ inferuntur, adiungant; nempe à vena, quæ ad portas iecoris est, propagines, scissurásque plurimas in mesaræo fieri aiunt, atque illis affectis lumborum dolores non continuos, sed tenuibus quibusdam interuallis infestantes, succedere; quas ad dextrum hypochondrium in iecinoris portas, tum reduci, tum contrahi, & veluti conuelli aiunt; vbi velut radicem esse affectionis supponunt, quum hæc vena vnà cum propaginibus phlegmone laboret Quare autem ita intelligendum sit verbum γριφόμενα idest griphorum modò euntes, prætermittunt quidem hi, sed quidam alij παρὰ τὸν γρῖφον, nomen accepisse aiunt; vocatur autem ita rete quoddam piscatorium, non, vt hi existimant, per φ scriptum (nempe aliud vocis huius significatum existit) sed per π. Quare quidam in præsenti sententia scribunt γριπόμενα; Alij inuolutas membranas γριφομένους dici ex consuetudine inquiũt, quũ quis digito descripserit, discreueritque; atque ob id per metaphoram dolores, qui morsis descriptísque fiunt, γριφομένους vocatos; alij & à principio dictionis dictum esse aiunt, lumborum tenues diuturnósque dolores, quasi hoc pacto dixisset; dolores exigui, minutíque, quod est imbecilli. Condonantes igitur tum iis, qui ita exponunt, tum iis, qui portas iecoris pati asserunt, rectè dicta esse omnia (nam ciborum auersionem argumentum quoddam affecti iecoris esse inquiunt) ab eo, quodnam ex sic dictis futurum sit nobis emolumentum, audiamus. Inquit enim orationis scriptor, dolor his valens, contentúsque ad caput perueniens, acutè conuulsiuo modo perimit. Nunquid igitur consulent nobis, vt prædicamus omninò hæc sequi? Nempe quòd infestantium commutatio non solùm in caput, verùm quoque & in quamlibet aliam partem, siue mesenterium, siue & hepar pati velint, fieri queat, condonet quis; at certè, quonam pacto commutatio fiet, prænosse possibile non est, priusquam peculiaria parti symptomata adsint, quanquam facta cognosci queat; & præsertim quum, quæ prius infestabant, sedata fuerint. Quinetiam commutationes eiusmodi in ægrotis, in epidemiorum libris scriptæ sunt. Et sanè, si nunc quoque ita scriptum fuisset, eiuscemodi quibusdam symptomatis in ventriculo obortis, ac postea repente occultatis, doluit vehementer in capite æger, diceremus in ipsum transmutationem factam fuisse;

Περὶ ἀλγημάτων τῶν γριφομένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρβ.

ΤΑ κατ' ὀσφὺν κατὰ λεπτὸν, χρόνια ἀλγήματα πρὸς ὑποχόνδριον γριφόμενα, ἀποσιτικὰ, ἅμα πυρετῷ, τούτοισιν εἰς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν, κτείνει ὀξέως τρόπῳ σπασμώδει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

B ΕΙ θ' ὑπὸ λεπτὸν, ἢ κατὰ λεπτὸν, ἑκατέρως γὰρ γράφουσιν, ἀσάφειαν ἔχει πολλὴν, διό τινες ἔγραψαν ὑπὸ πλευρόν. οἱ δ' οὖν ὑπὸ λεπτὸν, ἢ κατὰ λεπτὸν γράψαντες, ἐσχίσθησαν ταῖς γνώμαις. ἔνιοι μὲν ἔντερον λεπτὸν εἰρῆσθαι λέγοντες, ἔνιοι δὲ τὸ πλατὺ, καὶ ἱερὸν ὀνομαζόμενον ὀστοῦν. εἰσὶ δ' οἳ καὶ τρίτον τι τούτων ἐποίησαν, ὡς λέγειν ἄμφω ἅμα, καὶ συνάπτουσι τὸν λόγον τοῖς ἐπιφερομένοις. φασὶ γὰρ ἀπὸ τῆς ἐπὶ πύλαις ἥπατος φλεβὸς ἀποφύσεις τε, καὶ καταχίσεις παμπόλλας κατὰ τὸ μεσάραιον γίγνεσθαι. τούτων οὖν πασχουσῶν, ὀδύνας ἕπεσθαι κατὰ τὴν ὀσφὺν, οὐ συνεχεῖς, ἀλλὰ κατὰ C λεπτάς τινας διαστάσεις, ἅς τινας ἀνάγεσθαί τε, καὶ συνάγεσθαι, καὶ οἷον συσπᾶσθαι πρὸς τὸ δεξιὸν ὑποχόνδριον, ἐπὶ τὰς πύλας τοῦ ἥπατος. ἔνθα τὴν οἷον ῥίζαν εἶναι τοῦ πάθους ὑποτίθενται, φλεγμαινούσης τῆς φλεβὸς ταύτης ἅμα ταῖς ἀποφύσεσιν ἁπάσαις. διὰ τί δ' οὕτως ἀκούειν χρὴ τοῦ γριφόμενα, παραλείπουσι μὲν οὗτοι. λέγουσι δ' ἄλλοι τινὲς παρὰ τὸν γρῖφον ὀνομάζεσθαι. καλεῖται δ' οὕτως τι τῶν ἁλιευτικῶν δικτύων, οὐχ ὡς οὗτοι νομίζουσι διὰ τοῦ φ γραφόμενον. ἕτερον γὰρ τὸ τῆς φωνῆς σημαινόμενον ταύτης, ἀλλὰ διὰ τοῦ π, διὸ καί τινες ἐν τῇ προκειμένῃ ῥήσει γριπόμενα γράφουσι. τινὲς δὲ τοὺς ἐνει- D λουμένους ὑμένας, γριφομένους φασὶ λέγεσθαι συνήθως, ὅταν τις διαγράφῃ τε καὶ διαγινώσκῃ τῷ δακτύλῳ. ἐκ μεταφορᾶς οὖν τὰ τοῖς δακνομένοις τε, καὶ διαγραφομένοις ἀλγήματα γιγνόμενα, κεκλῆσθαι γριφόμενα. τινὲς δὲ καὶ κατὰ τὴν ἀρχὴν τῆς ῥήσεως, εἰρῆσθαί φασι τὰ κατὰ τὴν ὀσφὺν, καὶ κατὰ λεπτὸν χρόνια ἀλγήματα, ὡς εἰ καὶ κατὰ τόνδε τὸν τρόπον εἰρήκει, τὰ κατὰ σμικρὸν ἀλγήματα γινόμενα, τουτέστι τὰ ἀσθενῆ. συγχωρήσαντες οὖν καὶ τοῖς οὕτως ἐξηγουμένοις, καὶ τοῖς τὰς πύλας τοῦ ἥπατος πάσχειν ὑποχομένοις ὀρθῶς εἰρῆσθαι πάντα. καὶ γὰρ τὸ ἀποσιτεῖν κατὰ τῶν ἀνορέκτων εἰρημένον, ἕν τι E τῶν τεκμηρίων εἶναί φασι τοῦ πεπονθέναι τὸ ἧπαρ, ἀκουσώμεθα παρ' αὐτοῦ, τίς ἐκ τῶν οὕτως εἰρημένων ἡμῖν ὠφέλεια γενήσεται. φησὶ γὰρ ὁ γράψας τὴν ῥῆσιν, τούτοισιν εἰς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν, κτείνει ὀξέως τρόπῳ σπασμώδει. ἆρ' οὖν συμβουλεύουσιν ἡμῖν, προλέγειν ἑπόμενα πάντα ταῦτα. τὸ μὲν γὰρ, ὅτι δύναται μετάστασις, οὐ μόνον ἐπὶ κεφαλὴν, ἀλλὰ καὶ πρὸς ὁτιοῦν ἄλλο μόριον γίνεσθαι τῶν λυπούντων, εἴτ' οὖν τὸ μεσεντέριον, εἴτε καὶ τὸ ἧπαρ πάσχειν βούλονται, συγχωρήσειεν ἄν τις. τὸ δ' ὅπως μεταστήσεται, πρὶν γίνεσθαί τινα τῶν ἰδίων τοῦ μορίου συμπτωμάτων, τοῦτ' οὐχ οἷόν τε προγνῶναι. γινομένην μέντοι F γνωρίσαι τὴν μετάστασιν, καὶ μάλισθ' ὅταν παύσηται τὰ πρότερον λυποῦντα. καὶ μέντοι καὶ τοιαῦται μεταστάσεις ἐπὶ ἀρρώστων ἐν τοῖς τῶν ἐπιδημιῶν γεγραμμέναι εἰσί, καθάπερ καὶ νῦν ἐγέγραπτο τῶν δέ τινων εἰρημένων κατὰ τὴν κοιλίαν συμπτωμάτων, εἶτα ἀφανισθέντων ἐξαίφνης, ἤλγησεν ὁ κάμνων σφόδρα κατὰ κεφαλῆς, ἔφαμεν ἂν εἰς ταύτην γεγονέναι τὴν μετάστασιν.

οὐ μὴν ὅ,τι περ ἂν ἐργάζηται βεβαίως ἦν εἰπεῖν, πρὶν ἄλλο τι φανῆναι σημεῖον, ἢ καταφορᾶς, ἢ παραφροσύνης, ἢ σπασμοῦ. δυνατὸν μὲν γὰρ καὶ τοῦτο γίγνεσθαι, δυνατὸν δὲ καὶ τὴν φύσιν ἰσχυροτέραν τοῦ νοσήματος εὑρεθεῖσαν, αἱμορραγίας ἐργάσασθαι διὰ ῥινῶν, ἢ παρωτίδας ἐγεῖραι. μεμαθήκας γάρ, τούτων ἁπάντων ἀρχομένων γίνεσθαι σημεῖον. πρὶν δ' ἄρξασθαι, τὸ τῆς κεφαλῆς ἄλγημα μόνον ὑπάρχον, ὑποψίαν μὲν πάντων παρέχειν, βεβαίαν δὲ πρόγνωσιν οὐδενὸς ἐξ αὐτῶν.

neque tamen quid faceret, certò licebat dicere, priusquam aliquod aliud signum cõpareret vel cataphoræ, vel delerij, vel conuulsionis, nempe & id fieri potest; potest quoque & natura morbo robustior proritata, sanguinis per nares eruptionẽ moliri, vel parotidas suscitare. Didicisti siquidem horum omnium incipientium esse signum; sed priusquam incipiant, capitis dolorem solùm existentem suspicionem quidem omnium præbere, certam verò nullius ex ipsis prænotionem.

Περὶ ῥιγέων τῶν ἐς σπασμοὺς κωματώδεας ἀποτελευτόντων.

De rigoribus qui in comatosas conuulsiones finiuntur.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ργ′.

ΤΑ ἐπιρριγοῦντα καὶ ἐς νύκτα μᾶλλόν τι παροξυνόμενα, ἄγρυπνα, φλεβοδονώδεα ὄντα ἐν τοῖς ὕπνοις, ἔστιν ὅτε οὖρα ὑφ' ἑωυτοὺς χαλῶντα, ἐς σπασμοὺς ἀποτελευτᾷ κωματώδεας.

HIPPOCRATIS PRÆDICTIO 103.

SVperuenientes rigores, & nocte magis quodammodo exacerbãtes, cum vigiliis, & venarum agitationibus in somnis, atque vrinas in se ipsos laxantes, in comatosas aliquando finiuntur conuulsiones.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΡγον ὁ ταῦτα γράψας πεποίηται καθ' ἑκάστην ῥῆσιν, ἢ ὄνομά τι τῶν ἀήθων, ἢ σύνθεσιν ἐξευρίσκειν, ὥσπερ καὶ νῦν ἄμφω πεποίηκεν. ἀλλὰ τὸ μὲν τῆς ἀήθους συνθέσεως ἐν ἑκάστῃ ῥήσει γενόμενον, ἀπὸ τῶν παθῶν μεταβαίνοντος αὐτοῦ πρὸς τοὺς πάσχοντας, ἢ ἀπ' ἐκείνων, ἐπὶ τὰ πάθη παραλειπτέον ἡμῖν ἐστιν, ὅταν ὅσον ἐπὶ τούτων μηδεμίαν ἀσάφειαν ὁ λόγος ἔχῃ. τὸ δὲ φλεβοδονώδεα, καινὸν καὶ ξένον ὄνομα κατὰ τὴν προκειμένην ῥῆσιν ἐποίησεν, ἐμφαίνων ὅσον ἐπὶ τῇ φωνῇ φλέβας δονουμένας. εἴτε δέ, ὥς τινες ἔγραψαν αὐτὸ διὰ τοῦ φλεβοτονώδεα, τὰς τεινομένας φλέβας, εἴτε τὰς κυρίως ὀνομαζομένας φλέβας, εἴτε καὶ τὰς ἀρτηρίας, ὅτι ταύτας ἐνίοτε φλέβας ὀνομάζουσιν οἱ παλαιοί, δονουμένας, ἢ τεινομένας ἀκούειν χρή, θαυμαστὸν ὅπως νῦν πρῶτος αὐτῶν ἐμνημόνευσε. τὰς μὲν γὰρ ἀρτηρίας εἴπερ βούλεται σημαίνειν, ἤτοι τεινομένας, ἢ δονουμένας, ὅπερ ἐπὶ τῆς κλονώδους κινήσεως ἀκούειν χρή, κατὰ πολλὰ τῶν ἀρρώστων, ἐχρῆν αὐτὸν εἰρηκέναι τι περὶ αὐτῶν. εἰ γὰρ ἦν οὕτως ἐπιμελὴς ὁ ἀνήρ, περὶ τὴν τῶν ἀρτηριῶν κίνησιν, ὥστε καὶ κλονουμένας αὐτὰς, καὶ τεινομένας παραφυλάττειν, οὐ δή που τὰς ἄλλας διαφορὰς τῶν σφυγμῶν ἠγνόει, πῶς οὖν οὐδὲν ὑπὲρ αὐτῶν ἔγραψεν; εἰ δὲ τῶν κυρίως ὀνομαζομένων φλεβῶν μνημονεύει τεινομένων, πῶς οὐχὶ καὶ τούτου τοῦ συμπτώματος ἤδη πρότερον ἐμνημόνευσεν, ἐν κεφαλαλγίαις σφοδραῖς γινομένου; φαίνονται γὰρ ἐν αὐταῖς, καὶ μάλιστα ὅταν μετὰ πολλῆς θερμασίας γίνωνται, σφύζουσαι, καὶ οἱονεὶ κλονούμεναι αἱ κατὰ τοὺς κροτάφους φλέβες. πολλάκις δὲ καὶ τὰς ἐν τραχήλῳ σφαγίτιδας, τὰς ἐπιπολῆς δηλονότι, δονουμένας ἐθεασάμεθα σφυγμῷ τινι παραπλήσιον κίνησιν, καὶ δοκεῖ, καὶ ἐν τοῖς κροτάφοις, ἐκ τῶν ὑποκειμένων ἀρτηριῶν ἡ κίνησις προσγίνεσθαι, καθ' ὃν καιρὸν ἐκεῖναι μέγιστον σφύζουσι. ταύτας οὖν ἀπορίας ἔνιοι φεύγειν βουληθέντες, ἀντὶ τοῦ φλεβοδονώδεα, φλεδονώδεά φασι, ποιήσαντες ἀπὸ τῶν φλεδόνων τοὔνομα. φλεδόνας δέ, ὅτι φλυαρίας, καὶ λήρους ὠνόμασαν ἔνιοι τῶν παλαιῶν, οἶσθα. τὰ οὖν ἄγρυπνα ὄντα πάθη φησί, καὶ παραληροῦνται κατὰ τοὺς ὕπνους ἀπροαιρέτως οὖρον χαλῶντες, ὅπερ ἐστὶν ἀποκρίνοντες. ἀπὸ γὰρ τῶν παθῶν ἐπὶ τοὺς πάσχοντας μετέβη, καὶ πάλιν ἐπανελθὼν ἐπὶ τὸ πάθος φησίν, ἔστιν ὅτε εἰς σπασμοὺς τελευτᾷ κωματώδεας. εἰπών, ἔστιν ὅτε πραγμάτων ἡμᾶς ἀπήλλαξε.

COMMENTARIVS GALENI.

LIbri huius author, vt in singulis dictionibus, vel nomen aliquod insuetatũ, vel compositionem inueniret, magnopere laborauit; quomodo & nunc vtrumque fecit. At quæ in singulis dictionibus insuetata fit cõpositio, transeunte eo, vel ab affectionibus ad affectos, vel ab affectis ad affectiones, prætereunda nobis est, propterea quod, quantum in ipsis est, nullam sermo sit habiturus obscuritatem. In præsenti verò dictione φλεβοδονώδεα, nouum peregrinúmque nomen fecit, venas agitari, quantum ex voce est, ostendens; vel etiam, vt quidam nomen scripserunt, per φλεβοτονώδεα, venas extendi. Siue igitur propriè appellatas venas, siue arterias ipsas, quòd has interdum venas antiqui appellent, agitari, vel extendi audire oporteat, mirari licet, quomodo nunc primùm eas memorauerit. Nã si arterias indicare voluerit, vel tendi, vel agitari, quod de vibratitia motione est intelligendum, de ipsis aliquid in multis ægrotantibus dixisse oportebat. Nam si author circa arteriarum motiones vsque adeò diligens erat, vt & vibrari eas, & tendi obseruaret, nequaquam alias pulsuum differentias ignorauit. Quomodo igitur de ipsis nihil scripsit? Si verò propriè appellatas venas tendi memorauit, quomodo & non huius symptomatis iam antea mentionẽ fecit, quod scilicet in vehementibus capitis doloribus fieri consueuit? Videntur siquidem in his, & præsertim vbi cum multa caliditate fiunt, pulsantes, & quasi vibrari temporum venæ. Sæpius autem & colli iugularias, quæ videlicet in superficie collocantur, motione pulsui cuidam non dissimili agitari vidimus. Videtur quoque & in temporibus ex subiacentibus arteriis motio accidere quo tempore illæ maximè pulsant. Ambiguitates ergo huiusmodi quidam effugere volentes pro φλεβοδονώδεα, φλεδονώδεα inquiunt, nomen ἀπὸ τῶν φλεδόνων facientes; quòd autem φλεδόνας & φλυαρίας, & λήρους idest nugas, & deliramenta, quidam veteres nominauerint, non te præterit. Affectiones igitur (inquit) cum vigiliis existentes, & in somnis delirantes, vrinam inconsultò laxantes, quod est ἀποκρίνοντες, idest, excernentes. Nempe ab affectionibus ad ægrotantes transiit; & rursum ad affectionem reuertens inquit, in comatosas aliquando finiuntur conuulsiones. Inquiens autem, aliquando, nos à molestiis liberauit;

principio

principio siquidem neruorum affecto, vt vigiliæ, nugæ, & vrinarum inuoluntaria excretio ostendunt, nil mirum inde phrenitim fieri, & coma, & conuulsionem, & vocis priuationem, & quoduis aliud tale pathema. Superfluum itaque fuerit, ad hanc prædictionem, tum superrigere, tum nocte magis exacerbari; sed quod iam sæpius est demonstratum, scribit etiam, quæ prædictionibus ab ipso dictis minimè conueniunt, communia à propriis separare nescius.

De sudatiunculis in principio cum coctis vrinis, & aliis symptomatis.

HIPPOCRATIS PRÆDICTIO 104.

A Principio leuiter exudantes vrinis concoctis, æstuantes, qui citra crisin perfrigescunt, & celeriter peruruntur, torpidi, soporati, conuulsi, perniciosi.

COMMENTARIVS GALENI.

Rursus hoc in loco, qui principio leuiter sudãt vrinis coctis, superuacaneum est. Nempe & deuri, & absque iudicatione refrigerari, perimere hominẽ sufficiunt; deinde & celeriter peruri; veluti & quæ sunt alterius principij, nimirum cerebri, per se ipsa ægrum corrumpere queunt; de quibus ita scripsit, torpidi item, comatosique, & conuulsiui perniciosè habent. Ab his ergo vtrisque, principio leuiter sudantes cum vrinis coctis scripsit, quod perindè est, atque quispiam dicat in periculo mortis videri hominem, quoniam & cerebri membrana perforata sit, & thorax confossus, atque in coxa vlcusculum æger habuerit; aut siquis periclitari hominem dicat propter hydropem, & vnguium abscessum. Quidnam proinde adhuc desideremus, quasnam dicat vrinas coctas? de quibus antea dixi à Rufo Ephesio Zeuxidem empiricum increpatum fuisse; nempe falsum esse id, neque malum esse aliquod, vbi tales vrinæ factæ fuerint; verum autem esse, quòd laboriosæ vrinæ malum aliquod significent; nempe eas indicari, quæ cum labore excernuntur. Secundo verò loco scriptum hoc de vrinis coctis in vtraque sententia, æquè sermonem vitiasse non ampliùs credibile est, vt Rufus censuit Zeuxin redarguens. Sed forsan author coctas vrinas crassas, & albas vocauit, quoniam sedimentum huiusmodi, & in verè coctis vrinis vidit; quæ verò returbatæ iumentorum modo, non coctas.

De capitis doloribus qui grauidis mali sunt.

HIPPOCRATIS PRÆDICTIO 105.

VTerũ gerẽtibus capitis dolores, cũ sopore & grauitate oborientes, mali sunt; fortassis autẽ & his conuulsiuũ quid pati cõtingit.

COMMENTARIVS GALENI.

QVidam rursus præsentem nominũ constructionẽ solœcismũ habere videntes, verbũ, his, permutauerunt, talem efficientes dictionem; forsitan verò, & hæc conuulsionum aliquid pati iuuat; verùm vt antea retuli, dum intelligentia ipsa

πεπονθυίας γὰρ τῆς ἀρχῆς τῶν νεύρων, ὡς ἥ τε ἀγρυπνία, καὶ ἡ παραλήρησις, ἥ τε τῶν οὔρων ἀπροαίρετος κίνησις δηλοῖ, θαυμαστὸν οὐδέν ἐστι, καὶ φρενῖτιν ἐπ' αὐτῆς γενέσθαι, καὶ κῶμα, καὶ σπασμὸν, καὶ ἀφωνίαν, καὶ πᾶν ὁποιοῦν ἄλλο πάθημα τοιοῦτον. περιττὰ τοίνυν ἐστὶ, καὶ πρὸς τὴν προῤῥησιν ταύτην, τό τε ἐπιῤῥιγοῦν, καὶ τὸ εἰς νύκτα παροξύνεσθαι. ἀλλ' ὅπερ ἤδη πολλάκις ἐδείχθη, καὶ τὰ μηδὲν προσήκοντα τῶν ὑφ' ἑαυτοῦ λεγομέναις προῤῥήσεσι, γράφει μὴ δυνάμενος ἀπὸ τῶν ἰδίων χωρίσαι τὰ κοινά.

Περὶ ἐφιδρώσεων. ἐξ ἀρχῆς οὔροις πέποσι, μετ' ἄλλων συμπτωμάτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρδ'.

ΟΙ ἐξ ἀρχῆς ἐφιδροῦντες, οὔροισι πέποσι, καυστικοὶ, ἀκρίτως περιψύχοντες, διὰ ταχέως περικαέες, νωθροὶ, κωματώδεες, σπασμώδεες, ὀλέθριοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΑλιν ἐνταῦθα, τὸ ἐξ ἀρχῆς, ἐφιδροῦντες σὺν οὔροις πέποσι, περιττόν. ἱκανὰ γὰρ ἀποκτεῖναι τὸν ἄνθρωπον τὰ καυστικὰ μετὰ τοῦ περιψύχειν ἀκρίτως, ἔπειτα διὰ ταχέων γίνεσθαι διακαῆ. καθάπερ γε καὶ τὰ τῆς ἑτέρας ἀρχῆς τοῦ ἐγκεφάλου, ἱκανὰ πάλιν αὐτὰ καθ' αὐτὰ διαφθεῖραι τὸν νοσοῦντα, περὶ ὧν οὕτως ἔγραψε. νωθροὶ, κωματώδεες, σπασμώδεες. ἐπὶ τούτοις οὖν ἑκατέροις, τοὺς ἐξ ἀρχῆς ἐφιδροῦντας ἅμα πέποσιν οὔροις ἔγραψεν, ὃ τοιοῦτόν ἐστιν, οἷον εἴ καί τι λέγοι κινδυνεύειν ἀποθανεῖν τόνδε τινὰ τὸν ἄνθρωπον, ἐπεὶ τήν τε μήνιγγα τέτρηται, καὶ τὰ κατὰ τὸν θώρακα συντέτρηται, καὶ κατὰ τὸν μηρὸν ἑλκύδριον ἔχει σμικρόν. ἢ εἴ τις λέγοι κινδυνεύειν ἀποθανεῖν τόνδε τινὰ διὰ τὸν ὕδερον, καὶ τὴν παρωνυχίαν. τί οὖν ἔτι ζητοῦμεν ἅττα ποτ' οὖρα λέγει πέπονα; περὶ ὧν ἔμπροσθεν ἔφην, ἐπιτιμῆσαι τὸν Ἐφέσιον Ῥοῦφον Ζεύξιδι τῷ ἐμπειρικῷ. ψεῦδος μὲν γὰρ εἶναι τοῦτο; μηδέποτε κακόν τι τῶν τοιούτων οὔρων γινομένων, ἀληθὲς δὲ τὸ τὰ ἐπίπονα οὖρα κακόν τι σημαίνειν. δηλοῦσθαι γὰρ τὰ μετὰ πόνου κενούμενα. δεύτερον μέντοι τοῦτο τὸ γεγραμμένον, τὸ τῶν πεπόνων οὔρων, οὐκέτι πιθανόν ἐστιν, ὁμοίως κατ' ἀμφοτέρας τὰς ῥήσεις ἡμαρτῆσθαι τὴν λέξιν, ὡς ὁ Ῥοῦφος ἠξίου μεμφόμενος τὸν Ζεῦξιν. ἀλλ' ἴσως αὐτὸς ὁ γράψας τὰ παχέα, καὶ λευκὰ, πέπονα κεκληκώς ἐστιν, ἐπειδὴ τοιαύτην ὑπόστασιν ἑώρα, καὶ ἐν τοῖς ἀληθῶς πέποσιν οὔροις. τὰ δ' ἀνατεταραγμένα, παραπλησίως τοῖς τῶν ὑποζυγίων, οὐ πέπονα.

Περὶ κεφαλαλγιῶν τῶν ταῖς ἐπιφόροις γινομένων, φλαύρων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρε'.

ΤΗσιν ἐπιφόροισι κεφαλαλγικὰ, καρώδεα μετὰ βάρεος γινόμενα, φλαῦρα, ἴσως δὲ ταύτῃσι, καὶ σπασμῶδές τι παθεῖν ὀφείλει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΑλιν κἀνταῦθα τὴν σύνταξιν τῶν ὀνομάτων εἰδότες σολοικώδη, μετέγραψαν ἔνιοι τὴν, ταύτῃσι, τοιάνδε ποιησάμενοι τὴν λέξιν, ἴσως δὲ ταῦτα, καὶ σπασμῶδές τι παθεῖν ὀφείλει. ἀλλ', ὡς ἔφην καὶ πρόσθεν, ὅταν ἡ αὐτὴ σώζηται

διάνοια, γραφὴν ἐπιτρέψαντες, ὡς ἂν ἕκαστος ἐθέλοι, περὶ τῆς ἀληθείας τῶν εἰρημένων σκοπῶμεν. ἀλλ' οὐδὲ περὶ ταύτης ἤδη σκοπεῖν ἐπιτρέπει προεγκείμενον τῇ ῥήσει τοὔνομα τὸ, ἐπιφόροισιν ἐξηγήσεως δεόμενον. οὐ γὰρ μόνον ἀήθη σύνθεσιν ὀνομάτων ὁ συγγραφεὺς εὑρίσκειν πειρᾶται καθ' ἑκάστην ῥῆσιν, ἀλλὰ καὶ τῶν ὀνομάτων αὐτῶν, ἐν μὲν τοῖς πλείστων, ἔστι δ' ὅτε καὶ δύο που, καὶ τρία παρεντίθησιν, ἤτοι ξένα παντάπασιν, ἢ μὴ κατ' αὐτὸ τὸ σημαινόμενον, ὅπερ παρὰ τοῖς Ἕλλησιν εἴθισο. τὰς δ' οὖν ἐπιφόρους, ἔνιοι μὲν ἤκουσαν τὰς ἐγκυμονούσας, ὅσαι πλησίον εἰσὶ τῆς ἀποκυήσεως, ἔνιοι δὲ τὰς ῥᾳδίως συλλαμβανούσας, καὶ συνεχῶς κυούσας. ταῦτ' οὖν φησι κεφαλαλγικὰ καρώδη βαρέος μετὰ γινόμενα, φλαῦρα. τὸ κοινὸν δὲ ἁπάντων, τῶν οὕτως ἐχόντων τὸ ἐπιφόρους, ὄνομα προσέρριψέν πως, τὰ, μετὰ βαρέος ἐνταῦθα, ἵνα ζητῶμεν, ἆρά γε μετὰ τοῦ τὸ σύμπαν σῶμα φαίνεσθαι βαρὺ τῇ καμνούσῃ, τοῦτο προσέθηκεν, ἢ κεφαλαλγικὰ μετὰ τοῦ βαρύνεσθαι τὴν κεφαλὴν, ἢ καρώδη μετὰ βάρους. ἀλλὰ καὶ ταῦτα πάντα διεξελθών τις, οὐδὲν ἕξει πλέον εἰς πρόρρησιν, οὐδὲ κατ' αὐτὸν τὸν γράψαντα. φησὶ γοῦν, ἴσως γε ταύτῃσι, καὶ σπασμῶδές τι παθεῖν ὀφείλει. ὅταν δ' ἀκούσῃς ἀνθρώπου λέγοντος ἴσως περὶ τῶν κατὰ μέρος, ὡς καθόλου τὴν ἀπόφασιν πεποιημένου προπετῶς, γίνωσκε σαφῶς σπάνιον εἶναι τὸ πρᾶγμα. λέλεκται δέ σοι πολλάκις, ἐκπεπτωκέναι τὰ σπάνια τῆς προρρητικῆς θεωρίας. ἐὰν γὰρ, ὡς ἐνδεχόμενα γενέσθαι λέγει τις, ἀκήκοας ἤδη πολλάκις ἐγκέφαλον παθόντα, ἐνδέχεσθαι σύμπτωμα πᾶν ὁτιοῦν ἀκολουθῆσαι τῶν κατὰ τὰς αἰσθήσεις, ἢ προαιρετικὰς κινήσεις. ἐὰν δ', ὡς πολλάκις γινόμενον, οὐ μόνον, οὐ γὰρ πολλάκις, ἀλλ' οὐδὲ ἀμφιδόξως, ὃ νῦν εἶπεν.

maneat, scribere vnicuique suo arbitratu concedentes, de eorum, quæ referuntur, veritate disseramus. At de ea certè iam disserere non sinit dictioni adiacens nomen ἐπιφόροισι, idest, *vterum gerentibus*, quod explicatione eget. Non solùm etenim nominum inusitatam compositionem dictionibus in singulis excogitare contendit author, verùm quoque & ex nominibus ipsis vnum duntaxat, atque interdū & duo, & tria inserit, vel planè peregrina, vel non in eo significatu, qui apud Græcos vsui fuit; Quidam igitur ἐπιφόρους, grauidas eas, quæ non longè à conceptione absunt intellexerunt; alij promptè concipientes, atque assiduè vterum gerentes. Inquit igitur; *Si capitis dolores soporésque cum grauitate fiant, vitiosi existunt.* Sed cōmune omnium ita habentium nomen ἐπιφόρους adiecit; quomodo & orationem, cum grauitate, vt peruestigemus, vtrum ne præter id, quòd laboranti totum corpus graue videatur, id adiecerit, vel capitis dolores cum capitis grauitate, vel soporem cum grauitate. Sed vbi quis vniuersa hæc transcurrerit, ad prædictionem nihilo plus assequetur, neque secundum hunc scriptorem, inquit ergo, *forsitan verò, & his conuulsiuum quid pati contingit.* Quum autem virum audieris dicentem, forsitan, atque ex particularibus tanquam vniuersalem inconsulto fecisse orationem, raro rem vsu euenire liquidò cognoscas; quæ verò raro contingunt, à prorrhetica speculatione desciuisse sæpius tibi diximus. Nam si tanquam contingentia fieri quis dixerit, sæpius iam audiuisti affectum cerebrum posse quoduis symptoma, vel in sensibus, vel voluntariis motionibus, comitari; si verò tanquam sæpius fieri, non solùm non fit sæpius, sed neque ambiguè, quod nunc dixit.

Περὶ τῶν ἐν φάρυγξι ἰσχνῇ ἀλγημάτων πνιγωδέων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρϛ'.

ΤΑ ἐν φάρυγγι ἰσχνῇ, ἀλγήματα πνιγώδεα, ἔχει τι σπασμῶδες, ἄλλως τε, καὶ ἀπὸ κεφαλῆς ὁρμῶντα, οἷα καὶ τῇ Θρασύνοντος ἀνεψιῇ.

De doloribus faucium gracilium suffocantibus.

HIPPOCRATIS PRÆDICTIO 106.

Dolores in faucibus gracilibus suffocātes, cōuulsiuū quid habēt, tū aliàs, tū à capite oborti; vt & Thrasynontis consobrinæ obtigit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ κατὰ τοῦτ' ἄν τις οὐκ εἶναι γνήσιον Ἱπποκράτους ὑπολάβοι τὸ σύγγραμμα, καθ' ὃ ἔγραψε φάρυγξι ἰσχνῇ. ταύτην γὰρ ἔχει τὴν γραφὴν τά τε παλαιὰ τῶν ἀντιγράφων πάντα, καὶ τὰ τῶν ἐξηγησαμένων ὑπομνήματα, πλὴν εἰ καὶ τοῦ γραφέως ἐστὶν ἁμάρτημα, καθάπερ καὶ ἄλλα πολλὰ κατὰ πολλὰ τῶν ἀντιγράφων εὑρίσκεται. οἵ γε μὴν περὶ τὸν Ἀρτεμίδωρον, καὶ Διοσκουρίδην, ἄντικρυς ἔγραψαν τὰ ἐν φάρυγξι ἰσχνῇ. καὶ γὰρ τοῖς ἀρχαιοτέροις πᾶσιν ὁμολογουμένη ἡ γραφὴ τῆς φάρυγγος ὡς θηλυκῶς λεγομένης. εὑρίσκεται καὶ κατὰ τήνδε τὴν λέξιν, φάρυγξ ἐπώδυνος ἰσχνὴ, μετὰ δυσφορίης, πνιγώδης. ὅτι δ' ἀρρώστους θεώμενος ἔγραψεν αὐτῶν τὰς συνδρομὰς, οὐκ ἐξ ὧν ἐθεάσατο τεχνώσας ἑαυτὸν, οὐδ' εἰς τὸ καθόλου τὰ κατὰ μέρος ἀνάγων, εὔδηλός ἐστι κἀκ τούτου. φάρυγγος γὰρ οὐχ ἅπαξ ἐμνημόνευσε, καθάπερ ἐν τῷ προγνωστικῷ ἐποίησεν ὁ Ἱπποκράτης, ἅπαντα τὰ κατ' αὐτὴν διελθὼν ἐφεξῆς, οὐ πολλάκις, ἄλλοτε ἐν ἄλλῳ μέρει τοῦ συγγράμματος. ὃ δ' οὖν λέγει κατὰ τὴν προκειμένην ῥῆσιν ὁ συγγραφεὺς, εἰ τῶν πολλάκις εἰρημένων ἰδίᾳ μέμνησαι, καὶ κατὰ ταύτην νοήσεις, ὅπως ἐκ τοῦ κατὰ μέρος

COMMENTARIVS GALENI.

EX hac quoque dictione librum hunc non esse legitimum Hippocratis quis dixerit, vbi inquit φάρυγγι ἰσχνῇ, idest, *faucibus gracilibus*. Nempe scripturam hanc habent tum antiqua exemplaria omnia, tum interpretum commentarij; nisi scribentis vitio id vertatur, quomodo & alia multa in exemplaribus multis vitiata reperiuntur. Artemidorus tamen & Dioscorides manifestè φάρυγγι ἰσχνῇ scripserunt, nempe quòd φάρυγξ fœmineo scribatur genere, superioribus omnibus est confessum. Reperitur quoque & in hac dictione φάρυγξ ἐπώδυνος, ἰσχνὴ, μετὰ δυσφορίης πνιγώδης, idest, *fauces graciles dolentes cum iactatione, strangulantes.* Quòd autem ægros cernens, concursiones horum scripserit, neque ex iis, quæ viderit, seipsum instruxerit, neq; ad vniuersale particularia reduxerit, vel ex hoc palàm fecit. Fauces enim non semel memorauit (veluti in prognostico Hippocrates fecit, omnia, quę de eis sunt, cōtinuata serie, & non sæpius, percurrens) aliàs in alia libri parte. Quod ergo in præsenti dictione ait author, si sæpius seorsum dictorum memor fueris, etiam in hac cognosces, quonam pacto ex inuento particulari

particulari, in enunciationem ire vniuersalem ausus sit, nominatim Thrasynontis fratris filiam perstringens; in qua scriptam concursionem conspexit.

εὑρεθέντος, ἐπὶ τὴν καθολικὴν ἀπόφασιν ἐτόλμησε μεταβῆναι, μεμνημένος ὀνομαστὶ τῆς Θρασύωνος ἀνεψιῆς, ἐφ᾽ ἧς τὴν γεγραμμένην συνδρομὴν ἐθεάσατο.

De tremoribus conuulsiuis.

HIPPOCRATIS PRÆDICTIO 107.

Tremores conuulsiui contingentes in sudoribus reuerti solent; his iudicatio euenit, vbi superriguerint; superrigent hi ardore circa ventrem prouocati.

COMMENTARIVS GALENI.

Dictionem hanc quidam in duas dispertiunt orationes, vnam quidem, quæ ita habeat; Τὰ τρομώδεα σπασμώδεα γινόμενα, idest, *tremula conuulsoria facta*; fatentur verò hi orationem hanc mancam esse; subaudiendúmque aliquid, de quo paulo post dicam, volunt. Alteram orationem principio altero efficiunt, Τὰ ἐφ᾽ ἱδρῶσι, idest, *cum sudoribus*, redire consueta, iudicatio his euenit, si superriguerint. Qui verò orationem vtramque connectunt, sine articulo τὰ scribunt, tremula conuulsoria facta, cum sudoribus, redire consueuerunt; id quod, quia falsum sit, ab expositoribus est damnatum; alterum verò, quòd mancum. At quod dictioni deest, scribentis delicto id accidisse potest; falsitas autem ipsa nullam admittit excusationem. Nempe quòd tremula conuulsoria facta cum sudoribus redire consueuerint, falsum est; quum redire non consueuerint, sed lethalia existant; siue cum sudore fiant, siue non. Considerabimus igitur ea quæ hi dicunt, tremula conuulsoria facta mortem inferunt; aut tremula, vel conuulsoria, per se legi præcipientes. Nempe & hoc intelligi pacto posse inquiunt, tremula conuulsoria facta mortem inferunt; posse autem & in hunc modum; tremula, vel conuulsoria si fuerint, praua existunt; vt priùs quidem planè perfectam, absolutámque ex tremulis, in conuulsoria degenerationem doceat; posterius verò, tremulis pathematibus vbi superuenerit conuulsorium, sequi mortem. Vtrumque siquidem est lethale; sed prius quidem tanquam tremulis ad conuulsoria ante hominis mortem transmigrantibus; posterius verò tanquam planè cum hoc factis, atque vbi firma fuerint, mortem inferentibus. Cui verò hæc placent, ipsis licet vti. Ego autem ad eos pergam, qui principio altero sententiam cum articulo τὰ legunt, Τὰ ἐφ᾽ ἱδρῶσι φιλυπόστροφα, idest, *cum sudoribus redire consueta*; deinde subticentibus nobis, & postea legentibus, iudicatio his euenit, si superriguerint, vt sermo huiusmodi sit; cum sudore quiescere visa pathemata, rursúmque reuertentia, & rursum ignescentia, ac iterum sudoribus solui visa, veram, certámque habent solutionem, iudiciúmque, vbi superriguerint. Quod autem deinde dicitur, superrigent hi præcluso in ventre ardore, eiusmodi habebit sententiam; ventris æstus antecedit, si præmemoratis superuenturus sit rigor.

Περὶ τρόμων τῶν σπασμωδέων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρζ´.

Τὰ τρομώδεα, σπασμώδεα γινόμενα, ἐφ᾽ ἱδρῶσι, φιλυπόστροφα, τούτοις ἡ κρίσις ἐπιρριγώσασιν. οὗτοι ἐπιρριγέουσι περὶ κοιλίην καύματι προσκληθέντες.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ταύτην τὴν ῥῆσιν ἔνιοι διαιροῦσιν εἰς δύο λόγους, ἕνα μὲν τόνδε· τὰ τρομώδεα σπασμώδεα γινόμενα· καὶ μέντοι καὶ ὁμολογοῦσιν αὐτοὶ κολοβὸν εἶναι τὸν λόγον τοῦτον, καὶ κελεύουσι προσυπακούειν αὐτῷ τι, περὶ οὗ μικρὸν ὕστερον ἐρῶ. δεύτερον δὲ, ἀφ᾽ ἑτέρας ἀρχῆς ποιοῦσι, τὰ ἐφ᾽ ἱδρῶσι φιλυπόστροφα· τούτοις ἡ κρίσις ἐπιρριγώσασιν. οἱ δέ γε συνάπτοντες ἀμφοτέρους τοὺς λόγους, χωρὶς τοῦ ἄρθρου τοῦ τὰ, γράφουσι τὰ τρομώδεα σπασμώδεα γινόμενα, ἐφ᾽ ἱδρῶσι φιλυπόστροφα. τοῦτο μὲν ὅτι ψεῦδός ἐστι, διὰ τῶν ἐξηγητῶν κατέγνωσται· τὸ δ᾽ ἕτερον, ὅτι κολοβόν. ἀλλὰ τὸ μὲν ἐλλιπὲς τῆς λέξεως, καὶ διὰ τὴν τοῦ γραφέως ἁμαρτίαν δύναται γεγονέναι· τὸ δὲ ψεῦδος, οὐδεμίαν ἔχει παραμυθίαν. τὰ γὰρ τρομώδεα σπασμώδεα γινόμενα τοῖς ἐφ᾽ ἱδρῶσι φιλυπόστροφα λέγεσθαι, ψεῦδός ἐστιν, οὐ φιλυποστρόφων ὄντων, ἀλλ᾽ ὀλεθρίων ὑπαρχόντων, ἐάν τε ἐφιδρῶσιν αὐτοῖς, εἴ τε καὶ μή. σκεψώμεθα οὖν αὐτὰ ἃ λέγουσιν οὗτοι, τὰ τρομώδεα σπασμώδεα γινόμενα, θάνατον ἐπιφέρει. δύναται δὲ καὶ οὕτως τὰ τρομώδεα, ἢ σπασμώδεα καθ᾽ ἑαυτὰ κελεύοντες ἀναγινώσκειν. δύνασθαι μὲν γάρ φασι, καὶ οὕτω νοεῖσθαι. τὰ τρομώδεα, σπασμώδεα γινόμενα, θάνατον ἐπιφέρει. δύνασθαι δὲ, καὶ οὕτω. τὰ τρομώδεα, ἢ σπασμώδεα γινόμενα, μοχθηρά. ἵνα τὸ μὲν πρότερον, τὴν πάνυ τελείαν μετάπτωσιν, ἐκ τῶν τρομωδῶν εἰς τὰ σπασμώδη διδάσκῃ. τὸ δὲ δεύτερον, ὅταν τοῖς τρομώδεσι πάθεσιν ἐπιγίνηται τὸ σπασμῶδες, ἕπεσθαι θάνατον, ἑκάτερον μὲν γὰρ ὀλέθριον. ἀλλὰ τὸ μὲν πρότερον, ὡς μεταπιπτόντων τῶν τρομωδῶν εἰς τὰ σπασμώδη, πρὶν ἀποθνήσκειν τὸν ἄνθρωπον, τὸ δὲ δεύτερον, ὡς πάντως μὲν μετὰ τούτου γινομένων. ὁπότε δὲ γίνηται, βέβαιον θάνατον ἐπιφερόντων. οἷς δὲ ταῦτα φίλα, πάρεστιν αὐτοῖς χρῆσθαι. ἐγὼ δὲ μεταβήσομαι πρὸς τοὺς ἀφ᾽ ἑτέρας ἀρχῆς ἀναγινώσκοντας ἅμα τῷ ἄρθρῳ τὴν ῥῆσιν. τὰ ἐφ᾽ ἱδρῶσι φιλυπόστροφα, εἶτα διασιωπησάντων ἡμῶν, καὶ μετὰ ταῦτα ἀναγνόντων, τούτοις ἡ κρίσις ἐπιρριγώσασιν, ἵνα ὁ λόγος γίνηται τοιοῦτος. τὰ ἐφιδρῶσι πεπαῦσθαι δόξαντα πάθη, καὶ πάλιν ὑποστρέψαντα, καὶ πάλιν ἀναπυρώσαντα, καὶ πάλιν ἱδρῶσι δόξαντα λυθῆναι τὴν ἀληθῆ, καὶ βεβαίαν ἴσχει λύσιν καὶ κρίσιν, ὅταν ἐπιρριγώσωσι. τὸ δ᾽ ἑξῆς εἰρημένον, οὗτοι ἐπιρριγέουσι περὶ τὴν κοιλίαν καύματι προσκληθέντες, ἔχει διάνοιαν τοιάνδε. καῦμα κατὰ τὴν κοιλίαν προηγεῖται, μέλλοντος ἐπιγίνεσθαι τοῖς προειρημένοις τοῦ ῥίγους.

Περὶ τοῦ τῆς ὀσφύος πόνου, κεφαλαλγίας τε, καὶ καρδιαλγίας, σπασμώδεις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρη'.

Ὀσφύος πόνος, καὶ κεφαλαλγικὸς, καὶ καρδιαλγικὸς μετ' ἀναχρέμψιος βιαίας, ἔχει τι σπασμῶδες. τὸ ὑπάφωνον ἅμα κρίσει ῥῖγος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔνιοι μὲν, ὡς ἅπαξ γεγραμμένου τοῦ, καὶ, συνδέσμου, τὴν ῥῆσιν ἐξηγοῦνται, βουλόμενοι τὸ ἔχειν τι σπασμῶδες, οὐκ ἐπὶ τοῖς προειρημένοις τέσσαρσι γινόμενον, ἀλλὰ πᾶσιν ἀληθῶς προλέγεσθαι. τέτταρα δὲ λέγω, τόν τε τῆς ὀσφύος πόνον, καὶ τὴν κεφαλαλγίαν, καὶ τὴν καρδιαλγίαν, καὶ τὴν βιαίαν ἀναχρέμψιν, διόπερ οὕτω γράφουσιν, ὀσφύος πόνος κεφαλαλγικῷ, καὶ καρδιαλγικῷ. τινὲς δὲ γράφουσι τὸν, καὶ, σύνδεσμον δὶς, ὡς κἀγὼ τὴν ἀρχὴν εὐθέως ἔγραψα, διότι τὰ πλεῖστα τῶν ἀντιγράφων οὕτως ἔχει. δηλώσει δὲ πάλιν ἡ διαγραφὴ, τοιόνδε τι τὸ τῆς ὀσφύος ἄλγημα. ἐάν τε καὶ κεφαλαλγικός τις, ἐάν τε καὶ καρδιαλγικός τις, ἢ μετ' ἀναχρέμψιος βιαίας ἔχει τι σπασμῶδες. καίτοι καὶ οὕτω γραφόμενον, ἐνδέχεται δηλοῦν αὐτὸ, συναμφότερον γεγονέναι τῷ κάμνοντι, καὶ τὸν τῆς ὀσφύος πόνον, καὶ τὴν κεφαλαλγίαν. ἐγὼ δὲ οὐδὲ ἐκ τῆς πείρας, ἀλλ' οὐδὲ ἐκ τῆς τῶν πραγμάτων φύσεως, ἀκόλουθον τοῖς εἰρημένοις σπασμὸν ἀποφήνασθαι δύναμαι. καὶ μέντοι καὶ αὐτὸς ὁ γράψας ταῦτα προσέθηκεν, ἔχει τι σπασμῶδες, ὅπερ οὐ ταὐτόν ἐστι τῷ φάναι σπασμώδη τὰ τοιαῦτα συμπτώματα ὑπάρχειν. εἴρηται δέ μοι καὶ πρόσθεν, ὡς οὐχ ὁμοίως ἀκούειν προσήκει, λέγοντος εὐλαβοῦς ἀνθρώπου τὰς τοιαύτας φωνὰς, καὶ τοῦ ῥαδίως ἀποφαινομένου περὶ τῶν κατὰ μέρος, ὡς καθολικῶν. ὅταν γὰρ ὁ προπετὴς ἀμφιβάλλων εἴπῃ, ἔχει τι σπασμῶδες, ἐνδείκνυται σμικρὸν, ἢ σπανίως γινόμενον εἶναι τὸ λεγόμενον. περὶ δὲ τῆς δυνάμεως ἑκάστου τῶν εἰρημένων συμπτωμάτων, ἐν ταῖσδε ταῖς ῥήσεσιν ἁπάσαις, ὅσας κατὰ τὸ τρίτον ὑπόμνημα τοῦτο μεταχειρίζομαι, λέλεκταί μοι διὰ βραχέων μὲν ἐν τῷ πρώτῳ καὶ δευτέρῳ τῶνδε τῶν ὑπομνημάτων, κατὰ διέξοδον δὲ, ἔν τε τοῖς εἰς τὸ προγνωστικὸν ὑπομνήμασι, καὶ μᾶλλον ἔτι κατά γε τὰ περὶ κρίσεων, καὶ τὰς τῶν συμπτωμάτων αἰτίας. οὐκ ὀλίγα δὲ καὶ ἐν τοῖς τῶν ἐπιδημιῶν εἴρηται περὶ αὐτῶν. ἀρκέσει τοίνυν ἐνταῦθα μόνην τὴν λέξιν ἐξηγεῖσθαι μετὰ τοῦ προσεπιφθέγγεσθαι, πότερον ἀληθὲς, ἢ ψευδές ἐστι τὸ λεγόμενον, καὶ πότερον, ὡς τὸ πολὺ, ἢ ἀμφίδοξον, ἢ σπάνιον. ἐφεξῆς δὲ τῷ, ἔχει τι σπασμῶδες, γέγραπται τὸ ὑπάφωνον ὄνομα, τινῶν μὲν συναπτόντων αὐτὸ τοῖς προειρημένοις, ὡς γίνεσθαι τοιαύτην τὴν λέξιν, ἔχει τι σπασμῶδες ὑπάφωνον. τινῶν δὲ ἀρχὴν ἡγουμένων τῆς ἐπιφερομένης ῥήσεως, καὶ τούτων αὐτῶν πάλιν ὑπαλλαττόντων τὴν γραφήν. ἔνιοι μὲν γὰρ ἄνευ τοῦ ἄρθρου γράφουσιν, ἔνιοι δὲ προστιθέασιν ἄρθρον οὐδέτερον, τοιάνδε ποιοῦντες τὴν λέξιν. τὸ ὑπάφωνον ἅμα κρίσει ῥῖγος ἀπὸ κοιλίης ὑπόπελια, ταραχώδεα, καὶ οὖρα λεπτά. τινὲς δὲ καὶ καθ' ἑαυτὸ μόνον ἀναγινώσκουσι τὸ ἅμα κρίσει ῥῖγος, οὔτε τοῖς προειρημένοις συντάττοντες, οὔτε τοῖς ἑπομένοις. ἔνιοι δὲ ὅλην ὑπαλλάξαντες τὴν λέξιν, οὕτως ἔγραψαν. ὑπόφοβον ἅμα κρίσει ῥῖγος. ἐφεξῆς οὖν σοι τὴν ἐξήγησιν ἑκατέρων ἀκριβῶς κατὰ μόνας γράψω, ἅμα κρίσει ῥῖγος. τοῦθ', ὡς ἔφην, ἔνιοι καθ' αὐτὸ γεγράφθαι βούλονται σημαῖνον κρίσεις πολλὰς γίνεσθαι σὺν ῥίγει. ὑπό-

De lumborum, capitis & cordis dolore conuulsionem significante.

HIPPOCRATIS PRÆDICTIO 108.

Lumborũ dolor, & capitis dolor, & cordis dolor, cũ excreatu violẽto, conuulsiuũ quiddã habet, submutúmq; cum iudicatione rigorem.

COMMENTARIVS GALENI.

Quidam sententiam coniunctione, &, semel scripta exponunt, conuulsiuum quippiam habere non ex prædictis quatuor fieri, sed ad veritatem de omnibus prædici, volentes; quatuor dico, lumborum dolorem, cephalalgiam, & cardialgiam, & violentum excreatum, ita fit, vt hoc scribant modo; *lumborum dolor, capite, & stomacho dolenti*. Alij coniunctionem, &, bis scribunt; quo ego modò protinus ab initio scripsi, propterea quòd exemplaria complura ita habeant. Descriptio autem tale quippiam indicabit; *lumborum dolor, si & capite doluerit quis, & stomacho; vel cum screatu violento, conuulsiuum quippiam habet*; quanquam & sententia ita scripta vtrumque simul ægrotanti factum significare possit, & lumborum dolorem, & cephalalgiam. Ego autem, neque experientia, neque rei natura, conuulsionem prædictis consequentem esse pronunciare possum. Quinetiam author adiecit, conuulsiuum quippiam habet, quod non idem est, ac si dicas symptomata huiusmodi conuulsiua esse. Docui porrò antea, quòd non similiter audire conueniat, cautum hominem tales expromentem voces; & eum, qui facilè de particularibus, tanquam vniuersalibus, pronunciat. Nam quum temerarius ille hæsitans dicat, conuulsiuum quippiam habet; vel exiguum esse, vel raro contingere, quod dicitur, ostendit. De singulorum autem, quæ in omnibus tertij huius commentarij dictionibus referuntur, symptomatum virtute, paucis quidem docui in horum commentariorum primo, & secundo; longè autem latéque in prognostici commentariis; vberiùs item, ac fusiùs in libris de crisibus, & symptomatum causis: non pauca quoque de his in libris epidemiorum sunt enarrata. Satis ergo hoc loco fuerit solam sententiam explicare, atque insuper, verúmne, an falsum sit, quod enunciatur, aut frequens, aut ambiguum, aut rarum, sententiam adiungere. Post orationem, conuulsiuum quippiam habet, scriptum est ὑπάφωνον nomen, idest, *submutum*; quod quidam cum prædictis connectunt, ita vt fiat talis dictio, conuulsiuum quippiam habet submutum. Alij principium sententiæ, quæ infertur, esse existimant, commutántque iterum hi ipsi sententiam; nempe alij sine articulo scribunt; alij neutrum articulum adiungunt, talem fabricantes dictionem, Τὸ ὑπάφωνον, idest submutus cum iudicatione rigor, vẽtris deiectiones sublividæ, turbationis plenæ, & vrinæ tenues. Quidã legunt per se, cum iudicatione rigor, neque cum prædictis neque cum sequentibus ordinantes. Alij totam sententiam cõmutant, atq; ita scribunt, ὑπόφοβον ἅμα κρίσει ῥῖγος idest, *subterrefaciens cum iudicatione rigor*. Consequenter autẽ tibi vtrorũq; expositionẽ per se exactè scribã. Quidã igitur ἅμα κρίσει ῥῖγος, idest, cum iudicatione rigor, per se scriptã esse volũt, multásq; fieri cũ rigore iudicationes significare. Orationẽ verò ὑπό-

φοβον

φοβον ἅμα κρίσει ῥῖγος, dixi iam antea quosdam permutare, & pro ὑπάφωνον, ὑπόφοβον scribere; geminamque faciunt expositionem, alij quidem pro φοβερὸν ἅμα κρίσει ῥῖγος, dici putantes; alij pro μετρίως φοβερὸν, quasi mediocriter terrificum dixeris, vt τὸ ὑπάφωνον simile sit τῷ ὑπόφοβον. Fuerit autem & tertia quædam scripturæ huius expositio talis. Componere quouis modo rigorem bonum non est; veluti, si, dum vel per sanguinis eruptionem quis, vel vomitum, vel ventris vacuationem, vel sudores, vel hæmorrhoidem iudicatur, vel mulier per menstruam purgationem, rigeat. Sæpius certè fieri videtur, vt bonam aliquam vacuationem antecedat rigor: quum verò iam excernunt, rigorem incipere malum. Quòd autem id verùm sit, qui multos ægros diligenter contemplati sunt, norunt; si verò prorrhetici author ita censuerit, est diuinandum; principio siquidem neque an ab illo scriptum τὸ ὑπόφοβον sit, nouimus, in antiquis enim exemplaribus plurimis non ita scriptum est.

De deiectionibus, & vrinis suspectis.

HIPPOCRATIS PRÆDICTIO 109.

A Ventre subliuida, turbulenta; & lotia tenuia aquosáque, suspecta.

COMMENTARIVS GALENI.

DE his vtrisque seorsum in prognostico disseruit Hippocrates, tum liuentes ventris deiectiones prauas esse inquiens, tum vrinas tenues aquosásque; nunc suo more diuersi generis notas complectens, nihilo plus docet. Potuit sanè & his author praua sputa coniungere, vel spirandi difficultatem, vel aliud quoduis malum signum. Quidam verò expositores dictionem hanc, huic, submutus cum iudicatione rigor, cõiungunt, vnámq; totã efficientes, super dictis omnibus illatũ esse ab authore dicunt, id quod in calce dicitur, ὕποπτα, idest, suspicionem habent; nempe & his subliuentibus scilicet ventris deiectionibus, vrinísque tenuibus & aquosis, non absque ratione infertur, suspicionem habent. Si verò quispiam his addiderit, & τὸ ὑπάφωνον, idest submutum, non suspectam solùm ait esse concursionem, verùm quoque & euidenter malam.

De signis ac symptomatis molestis.

HIPPOCRATIS PRÆDICTIO 110.

FAuces leuiter exasperatæ, & aluus inanibus surrectionibus obmurmurãs, & frõtis dolores; palpantes, fatigati, in stragulis ac vestimẽtis dolentes, quæ ex his augentur, molesta sunt, somnus multus in his conuulsiuus, & dolores in frontem graues, & mictio difficilis.

COMMENTARIVS GALENI.

VEntre murmurante cum inanibus surrectionibus, quidã phreniticũ esse symptoma contendunt, nẽpe duobus modis errare eos, vel quòd quæ sub sensum cadũt, non sentiant, quãquã cum dolore persæpe fiant, vel quòd quæ sub sensũ non

φοβον ἅμα κρίσει ῥῖγος, εἶπον ἤδη καὶ πρόσθεν ὑπαλλάξαντας ἐνίους τὴν ὑπάφωνον γραφὴν, ὑπόφοβον γράψαι, τὴν ἐξήγησιν αὐτῆς διττὴν ποιοῦντας. τινὲς μὲν ἀντὶ τοῦ φοβερὸν ἅμα κρίσει ῥῖγος, εἰρῆσθαι νομίζοντες. ἔνιοι δὲ τὸ μετρίως φοβερὸν, ἵν' ὅμοιον ᾖ τὸ ὑπάφωνον ἅμα κρίσει ῥῖγος, τῷ ὑπόφοβον. εἴη δ' ἂν καὶ τρίτη τις ἐξήγησις τῆς γραφῆς ταύτης τοιάδε. τὸ συντίθεσθαι καθ' ὁντιναοῦν τρόπον ῥῖγος, οὐκ ἀγαθόν ἐστιν, οἷον, ἐὰν ἤτοι δι' αἱμορραγίας τις, ἢ ἐμέτου, ἢ γαστρὸς κενώσεως, ἢ ἱδρώτων, ἢ αἱμορροΐδος κρινόμενος, ἢ γυνὴ διὰ καταμηνίων ἐν ῥίγει γίνηται, τὸ μὲν προηγήσασθαι ῥῖγος ἐκκρίσεώς τινος ἀγαθῆς, πολλάκις φαίνεται γινόμενον. τὸ δὲ ἐκκρινόντων ἤδη, ῥῖγος ἄρξασθαι, φαῦλον. τοῦτο δ' ὅτι μὲν ἀληθές ἐστιν, οἱ πολλοὺς ἀρρώστους τεθεαμένοι ἐπιμελῶς, γινώσκουσιν. εἰ δ' ὁ γράψας τὸ προρρητικὸν οὕτως ἐνόησε, μαντείας δεῖται. τὴν ἀρχὴν γὰρ οὐδ' εἰ γέγραπται πρὸς ἐκείνου τὸ ὑπόφοβον, ἴσμεν. ἐν γοῦν τοῖς πλείστοις τῶν παλαιῶν ἀντιγράφων, οὐχ οὕτως γέγραπται.

Περὶ διαχωρημάτων τε, καὶ οὔρων ὑπόπτων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρθʹ.

Ἀπὸ κοιλίης ὑποπέλια, ταραχώδεα, καὶ οὖρα λεπτὰ, καὶ ὑδατώδεα, ὕποπτα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΕρὶ τούτων ἑκατέρων κατὰ μόνον ἐδίδαξεν Ἱπποκράτης ἐν τῷ προγνωστικῷ, τά τε κατὰ κοιλίαν ὑποχωρήματα πελιὰ, μοχθηρὰ λέγων εἶναι, καὶ τὰ οὖρα τὰ λεπτὰ, καὶ ὑδατώδεα. νυνὶ δ' οὕτως, ὥσπερ αὐτῷ σύνηθες, ἑτερογενῆ σημεῖα συμπλέκων, οὐδὲν πλέον διδάσκει. ἐξῆν γοῦν αὐτῷ, καὶ τούτοις ἐπισυνάψαι περὶ πτυσμάτων πονηρῶν, ἢ δυσπνοίας, ἢ τινος ἄλλου τῶν φαύλων σημείων. ἔνιοι μέντοι τῶν ἐξηγητῶν ταύτην τὴν ῥῆσιν ἐπισυνάπτουσι, τῷ ὑπάφωνον ἅμα κρίσει ῥῖγος, καὶ μίαν ὅλην ποιήσαντες ἐπὶ πᾶσι τοῖς εἰρημένοις, φασὶν ἀπόφασιν γεγονέναι τῷ συγγραφεῖ, τὸ κατὰ τὸ τέλος εἰρημένον, ὕποπτα· καὶ τούτοις μὲν γὰρ τοῖς ἀπὸ κοιλίης ὑποπελίοις, καὶ οὔροις λεπτοῖς ὑδατώδεσιν, οὐκ ἀλόγως ἐπιφέρεται τὰ ὕποπτα. τούτοις δ' ἄν τις προσθῇ, καὶ τὸ ὑπάφωνον, οὐχ ὕποπτον φησὶ τὴν συνδρομὴν, ἀλλὰ καὶ κακὴν εἶναι σαφῶς.

Περὶ σημείων καὶ συμπτωμάτων τῶν δυσκόλων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριʹ.

ΦΑρυγξ τρηχυνθεῖσα ἐπ' ὀλίγον, καὶ κοιλίη διαβορβορύζουσα κεναῖς ἐξαναστάσεσι, καὶ μετώπου ἀλγήματα, ψηλαφώδεες, κοπιώδεες, ἐν στρώμασι, καὶ ἱματίοις ὀδυνώδεες, τὰ ἐκ τούτων αὐξανόμενα δύσκολα, ὕπνος πολὺς ἐν τούτοισι σπασμώδης, καὶ τὰ εἰς μέτωπον ἀλγήματα βαρέα, καὶ οὔρησις δυσκολαίνουσα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ τὴν διαβορβορύζουσαν κοιλίαν κεναῖς ἐξαναστάσεσιν, ἔνιοί φασι φρενιτικῶν εἶναι σύμπτωμα. δῆλον γὰρ ἁμαρτάνειν τρόπον διττόν, ἢ τῶν αἰσθητῶν οὐκ αἰσθανομένους, καίτοι σὺν ὀδύνῃ γιγνομένων πολλάκις, ἢ τῶν μὴ αἰσθητῶν

ἀἰσθάνεσθαι δοκοῦντας. κατὰ δὴ τὸν δεύτερον τρόπον, φασὶν ἐξανίστασθαι μὲν, ὡς δακνομένους, μὴ ἐνεργεῖν δὲ, ἐπεὶ μηδὲ τὸ δάκνον ἦν τι, δάκνεσθαι γὰρ οἴονται μὴ δακνόμενοι. τὸ δὲ ἐν στρώμασι, καὶ ἱματίοις ὀδυνώδεες, κατὰ τὸ συνήθες αὐτῷ εἶδος τῆς ἑρμηνείας, ἀλλοκότως εἴρηται, διάνοιαν ἔχον τοιάνδε. μὴ φέροντες τὴν ψαῦσιν τῶν ὑποβεβλημμένων τε, καὶ ὑπεστορεσμένων αὐτοῖς, ἀλλ' ὀδυνώμενοι, πότερον μὲν διὰ τὸ βαρύνεσθαι ὑπὸ τῶν ἐπικειμένων. σκληρὰ γὰρ εἶναι δοκεῖ, ἢ δακνώδη τὰ ὑποβεβλημμένα, καὶ ὅσα περίκειται, δυσχεραίνουσι τοῖς ἱματίοις, ἢ δι' ἄλλο τι, τοῦτο αὐτοῖς συμβαίνει, παντάπασιν ἄδηλον. μετὰ δὲ τοῦτο, καὶ τῶν ἄλλων κατὰ λόγον ἐφεξῆς εἰπών, ὕπνος πολλὰ ἐν τούτοισι σπασμώδης, ἀφορμὴν παρέχει ζητήσεως τοῖς σοφισταῖς, εἰ δύναταί ποτε βλάπτειν ὕπνος. ἢ γὰρ ὠφελεῖν αὐτόν φασιν, ἢ εἰ μηδὲν ὠφελεῖ, οὐ μὴν βλάπτει ποτέ. λέλεκται δέ μοι περὶ τούτου πρόσθεν, ἐν τοῖς εἰς τοὺς ἀφορισμοὺς ὑπομνήμασιν. οὐ μὴν οὐδ' εἰ βλάπτει ὁ πολὺς ὕπνος, δοκεῖ σπασμῶν εἶναι ποιητικὸς, ἀλλὰ μόνον ὅτι κινδυνῶδές ἐστι τὸ νόσημα, δηλοῖ. τὸ δὲ οὔρησις δυσκολαίνουσα, θαυμαστῶς εἰς ἀσάφειαν ἐπινενόηται τῷ συγγραφεῖ. ἵν' ὁ μέν τις εἴπῃ τῶν ἐξηγητῶν, τὴν μετ' ὀδύνης εἰρῆσθαι δυσκολαίνουσαν, ὁ δέ τις τὴν ἐπεχομένην, ἄλλος δέ τις τὴν μόγις γινομένην, καὶ τὴν συνεχῶς, καὶ τὴν κατὰ στραγγουρίαν, τὴν δάκνουσαν δ' ἰσχυρῶς, ἄλλος. ὅταν δὲ δὴ πάντα διεξέλθωμεν, οὐδὲν ἀξιόλογον εἰς πρόγνωσιν εἰσόμεθα δι' ἣν πολλάκις εἶπον αἰτίαν, ἐπιπλέκοντος αὐτοῦ πάμπολλα τῶν ἀνομοιογενῶν συμπτωμάτων. ἀπόδειξις δὲ τούτου μεγίστη, καὶ τὸ τῶν ἐξηγησαμένων βιβλίον, ἐνίοις μὲν ἄχρι τοῦ ὕπνος πολὺς ἐπὶ τοῖς σπασμώδεσιν ἐξήκειν οἴεσθαι τὴν ῥῆσιν, ἀπ' ἄλλης ἀρχῆς κελεύοντας ἀναγινώσκειν τὰ μετὰ ταῦτα, τινὰς δὲ συνάπτειν, καὶ τῶν συναπτόντων ἄλλους ἐπ' ἄλλῳ μέρει τῶν ἐφεξῆς εἰρημένων, ἀξιοῦν περιγράφεσθαι τὴν ῥῆσιν. ἐὰν οὖν ἅπαντα διέρχηταί τις, οἷα καθ' ἑκάστην ὑπόνοιαν ἰδίως εἰρήκασιν οἱ ἐξηγηταὶ, μακρὸν μέντοι ἐργάσεται τὸν λόγον, ὀνήσει δ' οὐδὲν τοὺς ἐντυγχάνοντας.

Περὶ οὔρου ἐπιστάσεως πρὸ ῥίγους.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρια.

Οὔρου ἐπίστασις, καὶ οἷσι ῥίγεα ἐπὶ τούτοισι σπασμώδεσι, οἷα καὶ αὐτὴ φρίξασα, ἐφίδρωσεν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἂν μεταθῶμεν τὸ, καὶ, σύνδεσμον, ὁ λόγος ἔσται σαφέστερος, τοιοῦτος γινόμενος, οὔρου ἐπίστασις οἷσι ῥίγεα, καὶ ἐπὶ τούτοισι σπασμώδεα. τὸ μὲν οὖν, οἷσι ῥίγεα, κἀν τοῖς τῶν ἐπιδημιῶν εἴρηται κατὰ τήνδε τὴν λέξιν, περὶ ῥίγους αἱ σχέσιες τῶν οὔρων. ὅτι δὲ κἀπὶ τοῖς σπασμώδεσι πάθεσιν ἴσχεται τὰ οὖρα, προσέθηκεν ἐστὶν ἐν τῇ προκειμένῃ ῥήσει. τὰ δ' εἰρημένα ματαίως ἐνίοις τῶν ἐξηγησαμένων τήνδε τὴν ῥῆσιν, ἄμεινον σιωπᾶν. ἐγὼ δὲ ζήτησιν εἴπω (εἶπον) ὠφελεῖν εἰς πρόγνωσιν ἱκανήν· καὶ οὕτως φρίξασα ἐφίδρωσεν. καὶ ὁ Κόϊντος μὲν μόνην εἰδὼς τὴν γραφὴν ταύτην, ἣν εὗρεν ἐν παλαιοῖς ἀντιγράφοις, ὥς φησιν, ὁμολογεῖ μὴ νοεῖν. ἐν δὲ τοῖς πλείστοις τῶν ἀντιγράφων γέγραπται, καὶ αὐτὴ φρίξασα ἐφίδρωσεν, ἵνα γυναικὸς ὄνομα τὴν αὐτὴν φωνὴν ἀκούσωμεν, ἧς φριξάσης ἐφιδρῶσαι συνέβη.

A cadunt, sentire videntur; altero autẽ modo resurgere quidẽ eos tanquã morsos aiunt, sed nihil operari, quoniam neq; quod morderet, erat; morderi siquidẽ sese putant, sed non mordẽtur. Oratio autẽ, in stragulis vestimentisque dolentes, ex assueto sibi enunciandi modo, absurdè dicta est, quæ talẽ habet sensum; tactum eorum, quæ ipsis substernuntur, non ferentes, sed dolentes. An ne quidem & ob id, quòd ab incumbentibus grauentur (dura siquidẽ esse arbitrantur, vel mordentia, quæ substrata sunt, atq; inuisam habent. quæ circunfunditur, vestẽ stragulam) an si ob aliud quippiam ipsis contingit, prorsus est incertũ. Deinde & alia deinceps B recensens, quum inquit, somnus multus in his conuulsiuus, sophistis præbet peruestigandi occasionem, an possit aliquando somnus lædere; nam aut iuuare ipsum inquiunt; aut si non iuuet nequaquã tamen vnquã lædere. De ea re autẽ in aphorismorum cõmentariis antea disserui. Neq; verò, si somnus multus lædit, conuulsionẽ efficere videtur, at solũ periculosum esse morbũ ostendit. Mictio autẽ δυσκολαίνουσα, idest, *difficilis* miro modo ab authore in obscuritatẽ est excogitata; ita vt inter expositores alius dicat δυσκολαίνουσαν, eam quæ fit cum dolore, esse dictã; alius eam, quæ retinetur; C alius eam, quæ ægrè fit, & eam quæ cõtinuè, & eã quæ in strãguria fieri solet; eã verò, quæ prępotenter mordet, alius. Vbi verò omnia percurrerimus, nihil quod effatu dignũ sit, ad prædictionẽ consequemur propter eã, quã sæpe retuli causam, quòd scilicet permulta diuersi generis permiscet symptomata. Argumẽtũ rei huius maximũ est vel hoc, quòd interpretũ nonnulli eo quidem ierint, vt dictionẽ pertingere ad hanc vsq; orationẽ, somnus multus in his conuulsiuus, existimarent, principio alio, quæ cõsequuntur, legi præcipientes; alij verò cõiungãt; atque ex cõiungentibus alij alia in parte D cõsequenter dictorũ circunscribi dictionẽ velint. Si igitur omnia ad finẽ vsq; quis persequatur, quæ in singulis suspicionibus separatim expositores dixerunt, longum sanè efficiet sermonem, nihilque eos, qui in hunc incident librum, iuuabit.

De vrinæ suppressione ante rigorem.

HIPPOCRATIS PRÆDICTIO III.

Vrinæ suppressio quibus rigores & in his conuulsoriis affectionibus; vt & ipsa vbi inhorruit, leuiter sudauit.

E

COMMENTARIVS GALENI.

SI cõiunctionẽ, &, permutauerimus, sermo erit dilucidior, talis redditus; *vrinæ retentio quibus rigores, & ex his conuulsiones.* Hęc particula, quibus rigores, dicta est, & in libris epidemiorũ in hac dictione; *ante rigorem vrinarũ retentiones.* Quòd autẽ & ex conuulsiuis affectionibus vrinæ retineantur, præposuit author in pręsenti dictione. Quæ autem temerè à quibusdam sententiæ huius explanatoribus dicta sunt subticere est melius. Ego autem explanationẽ ad eam, quæ idonea sit, prænotionem; F dico. Sequitur & ita, *vbi inhorruit, sudauit.* Quintus quidem, solam hanc quum sciret scriptionem, quam in antiquis, vt ait, exemplaribus reperit, fatetur se non intelligere. Verum in compluribus exemplaribus scriptum est, & ipsa vbi inhorruit, sudauit, vt mulieris nomen ea voce intelligamus, quam, vbi inhorruit, parum sudasse contigit.

De

De sinceris purgationibus exacerbationum & parotidum prænunciis.

HIPPOCRATIS PRÆDICTIO III.

Sinceræ desinentes purgationes, alibi quidem in omnibus exacerbant; his vero etiam valde; ex talibus quoq; circa aure abscessus exurgũt.

COMMENTARIVS GALENI.

VT pro purgationibus vacuationes diceretur, præstabat. Nẽpe quum excerni contigerit quæ corrupta sunt, purgatio est corporis; quũ *vero* excernantur quæ vi morbi fiunt, *euacuatio*. Cuiuis autem, quòd de his dicatur, patet ex verbo, desinentes, quòd expurgantes corpus vacuationes, principium quidem à synceris interdum habent, sed desinunt in benignas, mitesque deiectiones. His verò & valde tales exacerbantes esse vacuationes, ad ea, quæ prius dicta sunt relationẽ habet. Antea autem dictum est, *vrinæ retentio, quibus rigores, & conuulsiones*. Prænotio autem in ea re est, quòd parotis suscitari possit; atque ob id scribitur, quòd ægro cuidam ex iis, quæ in dicta syndrome relata sunt, parotida habere contigerit; non tamen perpetuò sed magna ex parte parotidas prædictam sequi syndromen est rationi consentaneum; didicimus siquidem talium abscessuum notas.

Περὶ ἀκράτων καθάρσεων τῶν τοῖς παροξυσμοῖς τε, καὶ τὰς παρωτίδας σημαινουσῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριβʹ.

Αἱ ἄκρητοι τελευτῶσαι καθάρσιες, τῇ μὲν ἐν πᾶσι παροξυντικαί, τούτοισι δὲ, καὶ πάνυ. ἐκ τοιούτων, καὶ παρ' οὖς ἀνίσταται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἀντὶ τοῦ καθάρσιες, ἄμεινον ἦν εἰρῆσθαι κενώσιες. ὅταν μὲν γὰρ ἐκκρινόμενα τύχῃ τὰ διεφθαρμένα, κάθαρσις γίνεται τοῦ σώματος, ὅταν δ' ἐκκρίνηται τὰ παρὰ λόγον τῆς νόσου γινόμενα. τίνι δὲ ὅτι περὶ τούτων λέγεται, δῆλόν ἐστιν ἐκ τοῦ φάναι, τελευτῶσαι, ὡς αἱ ἐκκαθαίρουσαι τὸ σῶμα κενώσεις, τὴν ἀρχὴν μὲν ἴσχουσιν ἀπὸ τῶν ἀκρήτων ἐνίοτε, τελευτῶσι δὲ εἰς εὔχροα διαχωρήματα. τὸ δὲ ἐν τούτοισι δὲ καὶ πάνυ, τὰς τοιαύτας κενώσεις εἶναι παροξυντικάς, ἐπὶ τὰ προειρημένα τὴν ἀναφορὰν ἔχει. προείρηται δὲ, οὔρου ἐπίστασις, οἷσι ῥίγεα, καὶ ἐπὶ τοῖς σπασμώδεσι σφοδροῖς. ἡ πρόγνωσις δὲ ἐπὶ τούτου, τὴν παρ' οὖς ἀνίστασθαι δυνάμενον μέν ποτε γενέσθαι, καὶ διὰ τοῦτο γράφων, ἐπειδὴ τινι παθόντι τὰ κατὰ τὴν εἰρημένην συνδρομὴν, συνέβη ἔχειν παρωτίδα. οὐ μὴν διὰ παντὸς, ἀλλ' ὡς τὸ πολὺ τὴν προειρημένην συνδρομὴν τὰ παρ' οὖς, ἀκολουθεῖν εὔλογον. ἐμάθομεν γὰρ τὰ τῶν τοιούτων ἀποστάσεων σημεῖα.

De turbulentis ferocissimis è somno excitationibus.

HIPPOCRATIS PRÆDICTIO 113.

Turbulentæ, ferocissimæ è somno excitationes, cõuulsiuæ, tum aliàs, tum cum sudore.

COMMENTARIVS GALENI.

IAm antea concursiones huiusmodi explanauimus, nihil sanè, neque quod necesse sit, neque magna ex parte, habentes; atque ob id præsentem sententiam quidam iis, quæ inferuntur, nectunt, cæteri autem distrahunt.

Περὶ ταραχωδέων θρασυτάτων ἐπεγερσίων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριγʹ.

Αἱ ταραχώδεες θρασύταται ἐπεγέρσιες, σπασμώδεες, ἄλλως τε καὶ μεθ' ἱδρῶτος.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔμπροσθεν ἤδη τοιαύτας συνδρομὰς ἐξηγησάμεθα, οὐδὲν οὔτ' ἐξ ἀνάγκης ἐχούσας, οὔθ' ὡς τὸ πολὺ, καὶ διὰ τοῦτο, καὶ τὴν προκειμένην ταύτην, οἱ μὲν συνάπτουσι τοῖς ἐπιφερομένοις, οἱ δὲ διασπῶσι.

De perfrictionibus ceruicis ac dorsi.

HIPPOCRATIS PRÆDICTIO 114.

Tum ceruicis, tũ dorsi perfrictiones apparẽtes, sed & per totũ corpus; in his & spumosæ mictiones cum animæ deliquio, atque oculorum hebetudo, conuulsionem propè esse indicant.

COMMENTARIVS GALENI.

IN multis quidem exemplaribus dictio ita scripta est, *perfrictiones apparentes*, in aliis verò meliùs hoc pacto, *apparentes per totum corpus*, tanquam fieri non possit, vt totum simul refrigeratum sit corpus, atque ob id bene adiectum sit, *apparentes*. Quod deinceps dicitur, non paruam habet in scriptura controuersiam; quidam enim scribunt ἀφρώδεες, idest, *spumosæ* mictiones; alij autem πυώδεες, idest, *purulentæ*. Sed ad totum rei sensum verbum, spumosæ, est magis rationi consonum;

Περὶ καταψύξεων τραχήλου καὶ μεταφρένου.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριδʹ.

Καὶ αἱ τραχήλου, καὶ αἱ μεταφρένου καταψύξιες, δοκέουσαι, καὶ ὅλου δὲ τοῦ σώματος· ἐν τούτοισι, καὶ ἀφρώδεες οὐρήσιες ἅμα λειποψυχίῃ, καὶ ὀμμάτων ἀμαυρώσιες, σπασμὸν ἐγγὺς σημαίνει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἐν πολλοῖς μὲν τῶν ἀντιγράφων, ἡ ῥῆσις γέγραπται οὕτως, καταψύξιες δοκέουσαι. κατ' ἔνια δὲ, ἄμεινον ὧδε, δοκέουσαι δι' ὅλου τοῦ σώματος, ὡς ἀδύνατον ὅλον ἅμα κατεψῦχθαι τὸ σῶμα· καὶ διὰ τοῦτ' αὐτὸ, καλῶς προσκείμενόν ἐστι τὸ, δοκέουσαι. τὸ δ' ἐφεξῆς εἰρημένον, οὐ μικρὰν διαφωνίαν ἔσχηκεν ἐν τῇ γραφῇ, ἐνίων μὲν, ἀφρώδεες διαχωρήσιες γραφόντων, ἐνίων δὲ, πυώδεες. εὐλογώτερον δὲ, ὡς πρὸς τὴν ὅλην διάνοιαν ἐστὶ τὸ ἀφρώδεες

αἱ μὲν γὰρ πυώδεις διαχωρήσεις, ἐάν γε κυρίως ἀκούσωμεν, καὶ μὴ καθάπερ εἴωθεν ὁ τοῦ βιβλίου συγγραφεὺς, ἀκύροις μεταφοραῖς ὀνομάτων χρῆσθαι, πῦον ἐπιμεμίχθαι τοῖς οὔροις δηλοῦσι. πύου δὲ γένεσις, οὐ μόνον οὐ δύναται σημαίνειν σπασμὸν, ἀλλὰ καὶ ὑποπτευομένῳ τινὶ σπασθήσεσθαι, σημεῖον ἀγαθόν ἐστι, πέττεσθαί γε δηλοῦσα τὴν νόσον. αἱ δὲ ἀφρώδεες, εἴ τε διὰ σύντηξιν, εἴ τε διὰ ταραχήν τινα καὶ πνεῦμα γίγνοιντο, φυσώδεες, ἑκατέρως ὕποπτοι πρὸς σπασμόν. οὐ μὴν αἱ πυώδεις ὁμοίως ταύταις. εἰ δ᾽ ἀκύρως πυώδεις εἴρηκε τὰς τῶν ὠμῶν, καὶ παχέων οὔρων ἐκκρίσεις, οὐδ᾽ οὕτως ὕποπτοι, οὐδὲ συντελεῖ πρὸς τὴν τοῦ σπασμοῦ γένεσιν. ἡ δ᾽ ἀψυχία, καὶ ἡ τοῦ ὄμματος ἀμαύρωσις, ἀρρωστούσης τῆς ψυχικῆς δυνάμεώς εἰσι σημεῖα. τὸν οὖν σπασμὸν, οὐκ αὐτὰ τὰ συμπτώματα προσγενόμενα τοῖς εἰρημένοις, ἀλλ᾽ ἐκεῖνα μόνα δύναται δηλῶσαι. λέγω δ᾽ ἐκεῖνα, τραχήλου, καὶ μεταφρένου κατάψυξιν, ἅμα τῷ παντὶ σώματι, καὶ πρὸς τούτοις, οὖρον ἀφρῶδες, ἢ ὠμὸν, καὶ ἄπεπτον. ἡ δὲ τοῦ ὄμματος ἀμαύρωσις, κατὰ συμβεβηκὸς ἐπιμαρτυρήσει τῇ προσδοκίᾳ τοῦ σπασμοῦ, διότι τὴν ἀρχὴν τῶν νεύρων πεπονθέναι σημαίνει. γνωστέον δὲ καὶ ταύτην τὴν συνδρομὴν τῶν δυναμένων ἐνεργεῖν σπασμὸν, οὐ μὴν συνεχῶς, ἢ ὡς τὸ πολύ. μᾶλλον δὲ ἀμφιδόξως, ἐὰν ἀφρώδη γράψωμεν, οὔτε πυωδῶν γραφέντων, ἔμπαλιν, ὡς εἴρηται τῆς προσδοκίας ἔσται, διὰ μέσου δ᾽ ἀμφοῖν ὑπνωδῶν γραφέντων. ἐπὶ μᾶλλον δὲ τούτων εἰ ὠμὰ, καὶ ἄπεπτα φαίνοιτο. τοῖς δ᾽ ἀναπαυσαμένοις ἐξ αὐτῶν ἐγγὺς εἶναι τὸν σπασμὸν, καὶ τὸν θάνατον, ἥ τε ἀμαύρωσις τῶν ὀφθαλμῶν, καὶ ἡ ἀψυχία σημαίνει. λέγει δὲ δηλονότι τὴν λειποψυχίαν. Διοσκορίδης δὲ, ἀντὶ τῆς ἀψυχίας, ἅμα ἀποψυχῇ γράφει.

nam purulentæ mictiones, si propriæ vtique intellexerimus, & non vt libri huius author impropriis nominum metaphoris vti consueuit, pus vrinis permixtum esse indicant; puris autem generatio, tantum abest, vt conuulsionem significare possit, vt etiam in aliquo, qui conuulsionis incurrit suspicionem, signum bonū sit, morbū concoqui ostendens; spumosæ verò, siue ob colliquationem, siue ob perturbationem quandam, flatuosúmque spiritum exoriantur, suspectæ vtroque modo ad conuulsionem existūt; non tamen purulentæ his similiter. Si verò impropriè purulētas dixit vrinarum tum crudarum, tum crassarum excretiones, neque ita suspectæ sunt, neque ad conuulsionis generationem proficiunt. Animi autem deliquium, & oculi hebetudo, imbecillæ animalis facultatis signa existunt. Conuulsionem igitur non ea symptomata dictis adiecta, sed sola illa possunt indicare; illa dico, ceruicis dorsique perfrictiones vna cum toto corpore; vrinam item spumosam, aut crudam, aut incoctam. Oculi autem hebetudo per accidens conuulsionis expectationi fidem faciet, quòd principium neruorum affectum significet. Nosse autem oportet & concursionem hanc eorum quæ possunt inferre conuulsionem; non tamen perpetuò, vel vt plurimū, sed ambiguè magis, si ἀφρώδη, idest, spumosæ scripserimus; neque si scribatur πυώδη, idest, *purulenta*, expers, vt dictum est, expectationis erit; medium vtriusque obtinente, si ὑπνώδεις, *somniculosa*, scriptum sit; sed illis adhuc magis, si crudæ & incoctæ videantur, Quibus autem hæc cessauerint, his propè esse tum conuulsionem, tum mortem indicant, oculorum hebetudo & apsychia. Intelligit autem proculdubio, animi defectionem. Dioscorides pro ἀψυχίη scribit ἀποψυχῇ.

Περὶ πήχεως καὶ τραχήλου ἀλγημάτων, τοὺς σπασμοὺς σημαινόντων.

De doloribus cubiti & ceruicis conuulsionem præsagientibus.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριε'.

ΠΗχεως ἀλγήματα, μετὰ τραχήλου, σπασμώδεα. ἀπὸ προσώπου δὲ ταῦτα, καὶ κατὰ φάρυγγα, ἦχοι συχνοὶ σιελίζοντες, ἐν τούτοισιν, ἐν ὕπνοις ἱδρῶτες, ἀγαθοί. ἆρά γε καὶ τοῦ ἱδρῶτος κουφίζεσθαι τοὺς πλείστους οὐ πονηρόν;

HIPPOCRATIS PRÆDICTIO 115.

CVbiti, & ceruicis dolores cōuulsiui; à facie autē hi; atq; in faucibus sonitus crebri cum saliuatione; his in somnis sudores, boni; an & sudore quamplurimos leuari non malum?

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ ἀπὸ προσώπου δὲ ταῦτα, πάντες ἤκουσαν ἐν ἴσῳ τῷ ἀπὸ κεφαλῆς. καὶ γὰρ πρόσθεν εἴρηκε κατ᾽ ἄλλην ῥῆσιν, ἄλλως τε καὶ κεφαλῆς ὁρμῶντα. διὰ τί δὲ σπασμώδεα λέγει ταῦτα τὰ συμπτώματα, τοῖς μεμνημένοις τῶν ἔμπροσθεν εἰρημένων, οὐκ ἄδηλον. ἔνιοι μέντοι τὸ πρῶτον μέρος τῆς ῥήσεως, αὐτὸ καθ᾽ αὑτὸ γράφουσί τε, καὶ ἀναγινώσκουσιν, ἵν᾽ ὁ λόγος ᾖ τοιοῦτος, πήχεως ἀλγήματα μετὰ τραχήλου σπασμώδεα, ἀπὸ προσώπου δὲ ταῦτα· μηκέτι δεομένων ἡμῶν, εἰς τὴν πρόγνωσιν τοῦ σπασμοῦ τῶν ἐφεξῆς εἰρημένων. οὗτοι δὲ τὸν, καὶ, σύνδεσμον ἀφελοῦντες, ἀρχὴν τῶν ἐφεξῆς γεγραμμένων ταύτην ἐποιήσαντο. κατὰ φάρυγγα ἦχοι συχνοί. τινὲς δὲ ἀντὶ τοῦ ἦχοι γράφουσι κατὰ φάρυγγα ὄχλοι συχνοὶ, ὥσπερ ὁ Διοσκορίδης. ὁ δὲ Καπίτων οὕτως ἔγραψεν. ἴσως, καὶ κατὰ φάρυγγα ὠχροὶ ἰσχνοί. προχείρως γὰρ, ὡς εἴρηται πολλάκις, οἱ νεώτεροι ἐπὶ τὸ μεταγράφειν ἧκον, ὡς βούλονται τὰς παλαιὰς γραφὰς ἐν τοῖς ἀσαφέσι βιβλίοις. ἀλλὰ ταῦτα μὲν

COMMENTARIVS GALENI.

ORationem, à facie autem hi, intellexerunt omnes, vt æquam habeat conditionem cum hac, à capite, nempe & supra in alia dictione dixit, tum aliàs, tum à capite orti. Quare autem conuulsiua hæc dicat symptomata, non est incertum iis, qui antedictorum meminerunt. Quidam verò primam dictionis partem per se tum scribunt, tum legunt, vt sermo talis sit; *cubiti ceruicisque dolores conuulsiui; à facie autem hi*; non amplius indigentibus nobis ad conuulsionis prænotionem consequente oratione. Hi autem coniunctionem, atque, tollentes, principium consequenter scriptorum hoc fecerunt, in faucibus sonitus frequentes. Quidā pro ἦχοι, idest, *sonitus*, scribunt ὄχλοι, idest, *tumultus*, ita, in faucibus tumultus multi, vt Dioscorides. Capito autē ita scripsit; *atq; in faucibus* ὠχροί, idest, *pallores frequentes*; promptè siquidē (vt persæpe est dictū) recētiores in obscuris libris veteres scripturas pro arbitratu mutabunt. At hæc quidē, quoquo

quoquo modo habeant, symptomata mala sunt; videntúrque ad præsentis dictionis veritatē quippiam conferre. Sed iusta est quæstio, quam ob causam adiecit, sudores per somnos in his boni, nihil enim est peculiare hoc pacto laborantibus, vt à sudoribus per somnos duntaxat iuuentur. Nempe commune est commodis sudoribus tum in dictis affectionibus, tum in cunctis aliis distinctiones habere alias, vt si ex morbi coctione fuerint, si per vniuersum corpus, si diebus iudicatoriis, si febres & symptomata sedauerint. Sudores autem, qui in somnis fiunt, vigilantibus fieri superuacaneum. Quidam verò sermoni opem ferre cupientes, sudores in iis, qui conuelluntur, ob morbi robur fieri aiunt. Si igitur corpore tum exoluto, tum relaxato, quod in somnis fit, id oriatur, sudare hos secundum naturam est existimandum. Quod deinceps dicitur, maiorem adhuc habet dubitationem, scribente ipso, *an & sudore quamplurimos leuari non malum?* nullam siquidem ambiguitatem habet, quum manifestè sit bonum; sin minus, at prorsus certè non malum.

A ὅπως ἂν ἔχῃ τὰ συμπτώματα μοχθηρὰ, καὶ δοκεῖ τι συντελεῖν εἰς τὴν τῆς προκειμένης ῥήσεως ἀλήθειαν. ἄξιον δὲ ζητήσεως, διὰ τί προσέθηκεν, οἱ ἐν ὕπνοις ἱδρῶτες, ἐν τούτοισιν ἀγαθοί. οὐδὲν γὰρ ἐξαίρετον τοῖς οὕτω νοσοῦσιν, ἀπὸ τῶν ἐν τοῖς ὕπνοις ἱδρώτων ὠφελουμένων μόνοις. κοινὸν γάρ ἐστι τὸ τῶν ὠφελίμων ἱδρώτων, ἐπί τε τοῖς εἰρημένοις παθήμασι, καὶ τοῖς ἄλλοις ἅπασιν, ἑτέρων διορισμῶν δεομένων, οἷον εἰ ἐπὶ πέψει τοῦ νοσήματος, εἰ δι' ὅλου τοῦ σώματος, εἰ ἐν ἡμέραις κρισίμοις, εἰ παύσουσι τούς τε πυρετοὺς, καὶ τὰ συμπτώματα. τὸ δὲ ἐν ὕπνοις τοὺς ἱδρῶτας ἐγρηγορόσι γίνεσθαι, περιττόν. B ἔνιοι μέντοι βουλόμενοι τῷ λόγῳ βοηθεῖν, φασὶν ἐπὶ τῶν σπωμένων ἱδρῶτας γίνεσθαι, διὰ τὴν σφοδρότητα τοῦ παθήματος. ἐὰν οὖν ἐκλελυμένου, καὶ κεχαλασμένου τοῦ σώματος, ὅπερ ἐν τοῖς ὕπνοις συμβαίνει γένηται τοῦτο, κατὰ φύσιν ῥητέον ἱδροῦν αὐτούς. τὸ δ' ἐφεξῆς εἰρημένον, ἔτι μείζονα τὴν ἀπορίαν ἔχει, γράψαντος αὐτοῦ, ἆρά γε καὶ τῷ ἱδρῶτι κουφίζεσθαι τοῖσι πλείστοισιν οὐ πονηρόν; οὐδεμίαν γὰρ ἀμφιβολίαν ἔχει τοῦτο, προφανῶς ὑπάρχον ἀγαθόν. εἰ δὲ μὴ, ἀλλὰ πάντως γε οὐ πονηρόν.

C

Dolores toleratu faciles.

Περὶ πόνων τῶν εὐφόρων.

HIPPOCRATIS PRÆDICTIO 116.

DOlores, *si ad inferas dilabuntur partes, his toleratu faciles.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριϛ΄.

ΟΙ εἰς τὰ κάτω μέρη πόνοι, τούτοισιν εὔφοροι.

COMMENTARIVS GALENI.

QVòd quasnam inferas dicat, non adiecit, ptopterea geminam expositores fecerunt scripturam; alij siquidem εὔφοροι, idest, *faciles toleratu*, scripserunt; alij autem δύσφοροι, idest, *difficiles toleratu*. Nam si ad partes, quę circa thoracem, & os ventriculi sunt, peruenerint dolores, maiorem inducent tolerandi difficultatē, quàm quum in ceruice cubitóque essent; si ad crura, morbosam totam affectionem insigniter iuuabunt.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΟῖα κάτω λέγει, μὴ προσθέντος αὐτοῦ, συνέβη διττὴν ποιήσασθαι τοὺς ἐξηγητὰς τὴν γραφὴν, ἐνίους μὲν εὐφόρους γράψαντας, ἐνίους δὲ δυσφόρους. ἐὰν μὲν γὰρ εἰς τὰ περὶ θώρακα, καὶ στόμα γαστρὸς ἀφικνῶνται πόνοι, δυσφορίαν ἐνθήσουσι μείζονα τῷ τραχήλῳ τε, καὶ πήχεσιν. D ἐὰν δὲ εἰς τὰ σκέλη, μεγάλως ὀνήσουσιν ὅλην τὴν νοσώδη διάθεσιν.

Prognosis conuulsionis.

Ἡ πρόγνωσις σπασμοῦ.

HIPPOCRATIS PRÆDICTIO 117.

IN *febribus exudantes, caput dolentes, intercepta aluo, conuulsi fiunt.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριζ΄.

ΟΙ ἐν πυρετοῖσιν ἐφιδροῦντες, κεφαλαλγέες, κοιλίης ἀπολελαμμένης, σπασμώδεες.

COMMENTARIVS GALENI.

E

EX breuissima interdum expectatione conuellendos scribit; nempe forsan semel quendam ita habentem conuulsum vidit, non sæpius. Liber autem ferè totus ad delirij conuulsionísque prædictionem expenditur. Si quis igitur authori crediderit, & in febre capite dolentes cum sudatiunculis, & alui retentione conuulsione correptos iri enunciare ausus fuerit, sępius admodum aberrans, semel petitum assequetur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΠὸ βραχυτάτης προσδοκίας, ἐνίοτε γράφει σπασμώδεις ἔσεσθαι. θεασάμενος γὰρ ἴσως ἅπαξ τινὰ τῶν οὕτως ἐχόντων σπασθέντα, πολλάκις δὲ οὐκ ἰδὼν ὅλον ὀλίγου δεῖν τὸ βιβλίον, εἰς παραφροσύνης, καὶ σπασμοῦ πρόρρησιν ἀνάλωσεν. ἐὰν οὖν πιστεύσας αὐτῷ τις, τοὺς ἐν πυρετῷ κεφαλαλγοῦντας μετ' ἐφιδρώσεως, καὶ κοιλίας ἐπεχομένης, ἀποφήνασθαι τολμήσῃ, σπασθήσεσθαι πάνυ πολλάκις ἀποτυχὼν, ἅπαξ που τεύξεται.

De subarenulentis liquidis deiectionibus prauis.

Περὶ τῶν ὑποψαθύρων ὑγρῶν διαχωρημάτων φλαύρων.

F

HIPPOCRATIS PRÆDICTIO 118.

ARenulentæ *liquidæ deiectiones, perfrigerationésque, prauæ; Rigores ex his tū vesicā, tum ventrem prehendentes, dolorem inferunt, An & in his comatosum aliquid conuulsionis habet? non fuerim admiratus.*

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριη΄.

ΤΑ ὑποψάθυρα ὑγρὰ διαχωρήματα περιψύχοντα, οὐκ ἀπύρως, φλαῦρα, τὰ ἐπὶ τούτοισιν ῥίγεα, κύστιν καὶ κοιλίην ἐπιλαμβανόμενα, ὀδυνώδεα. ἆρα τὸ κωματῶδες τούτοισιν ἔχειν τι σπασμῶδες; οὐκ ἂν θαυμάσαιμι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ψαθυρὰ διὰ μὲν τοῦ δ, οἱ Ἀττικοὶ γράφουσιν. διὰ δὲ τοῦ θ ἅπαντες οἱ ἄλλοι, τὰ κρέα, τὰ τοῖς σκληροῖς, καὶ ἰνώδεσι, καὶ δυσδιαλύτοις, καὶ δυσμασσήτοις ἐναντίως διακείμενα. μάλιστα δὲ γίνεται τοιαῦτα, τὰ καλούμενα πρὸς τῶν πολλῶν σαχνὰ, μίαν ἡμέραν, ἢ δύο, τεθέμενα μετὰ τὸ σφαγιάσαι τὸ ζῶον. ἕωλα δὲ εἰώθασι καλεῖν αὐτὰ οἱ Ἕλληνες, ἑωλίζειν τε, τὸ οὕτως προσήπειν. ὅθεν καὶ σιτίον νέον ἄκρως εἴρηται, τὸ ἐπὶ βραχὺ προσεωλισμένον. τοῦτο δῆλον γὰρ ἐκ τοῦ μετ' αὐτὸ ῥηθέντος ὧδε. γέρουσι δὲ ἐς τέλος μεταβεβληκός. ἐγὼ μὲν οὖν ἐδήλωσα, τίνα λέγουσιν οἱ ἄνθρωποι ψαθυρὰ, ἐπ' ἐδεσμάτων, οὐ διαχωρημάτων ποιούμενοι τὸν λόγον. ὁ δὲ τοῦ βιβλίου συγγραφεὺς, αὐτὸς ἦν δίκαιον εἰπεῖν ἡμῖν, τίνα λέγει διαχωρήματα ὑπόψαθυρα. δῆλον γὰρ ὅτι τὰ μετρίως ψαθυρὰ, πάντως γὰρ ἦν ἐκεῖνον χρεία ἡμῖν δηλῶσαι, τίνα λέγει τὰ ὑπόψαθυρα. τῶν προφητῶν δ' αὐτῶν διενεχθέντων ἀλλήλοις, ἔτι μείζων ἡμῖν ἀπορία γίνεται τοῖς μὴ προφήταις. ὁ μὲν γάρ τις, τὰ ὑγρὰ φησὶν ἁπλῶς εἰρῆσθαι νῦν, ὁ δὲ, τὰ ὑδατωδῶς ὑγρὰ, πάχος καὶ σύστασιν οὐδεμίαν ἔχοντα. τινὲς δὲ, τὰ οἷον ἀλιπῆ, τινὲς δὲ, τὰ οἷον ἄγλισχρα. τινὲς δὲ, οὐκ οἶδ' ὅ,τι δόξαν αὐτοῖς, τὰ μὴ μιγνύμενά φασιν ἑτέροις ὑγροῖς, ὥσπερ τοὔλαιον, ἄλλοι δὲ τὰ ἐν ὑγρῷ διαχωρήματι χολώδη, καὶ ἄπεπτα συστρέμματα, τινὲς δὲ, τὰ εὐδιάλυτα. καθάπερ εἰ καὶ ψάμμον ὕδατι δεύσας, εἶτα σφίγξας τοῖς δακτύλοις καταθεὶς, διαλυθεῖσαν εἴποις, καὶ δοκοῦσιν οὗτοι πιθανώτεροι τῶν ἄλλων εἶναι. τὰ δ' αὐτὰ λέγουσιν αὐτοῖς δυνάμει, καὶ οἱ τὰ μὴ γλίσχρα φάντες, ἅπερ εἴποι τις ἂν μιᾷ συνθέτῳ φωνῇ ἄγλισχρα. εἰ γὰρ ἀπὸ τῶν ψαθυρῶν ἐδεσμάτων, ἐπὶ διαχωρήματα μεταφέρειν χρὴ τὴν ὁμοιότητα, πιθανώτερον ἂν εἴη λέγειν ψαθυρὰ, τὰ εὐδιάλυτα, καὶ μηδεμίαν ἕνωσιν ἔχοντα δύσλυτον. ἀλλὰ τά γε τοιαῦτα διαχωρήματα, γίνοιτ' ἂν καὶ ἀπ' ἐδεσμάτων, ψαθυρὰν καὶ εὐδιάλυτον ἐχόντων τὴν οὐσίαν. εἶδον οὖν ἐγὼ ἐν ἀγρῷ, παιδία κηπουρῶν, σίτου μὲν ἀπορούμενα, ἀπίων δ' εὐποροῦντα, ἐκ τῆς ἐκείνων ἐδωδῆς τοιαῦτα διαχωροῦντα, διὰ τὴν κέγχρον, καὶ τὸν ἔλυμον ἐσθίοντες, ἢ τοὺς κριθίνους ἄρτους, ὅμοια τούτοις ἀποπατοῦσιν. εἰ δ' ἄρτους τις ἐκ πυρῶν ἐσθίων, τοιαῦτα διαχωρήσειεν, ὑπονοήσειν χρὴ λεπτὴν, καὶ διαλυτικὴν ὑγρότητα μεμίχθαι τοῖς ἀποπατήμασιν αὐτοῦ, κωλύουσαν ἀλλήλοις ἑνοῦσθαι. Διοσκουρίδης δὲ, ὥσπερ ἄλλα πολλὰ, προχείρως ἐν τοῖς ἀσαφέσι βιβλίοις ὑπήλλαξεν, οὕτω καὶ τὰ ὑπόψαθυρα μεταγράψας, ἐποίησεν ὑπόψεφαρα, καί φησιν αὐτὸς οὕτως ὀνομάζεσθαι τὰ ὑπομελανίζοντα. τὸ γὰρ σκότος, ψέφας εἰρῆσθαι καὶ παρὰ Πινδάρῳ. μετὰ δὲ τὴν τῶν ψαθυρῶν μαντείαν, ἢ εἰκασίαν, ἢ προπέτειαν. ὅ,τι γὰρ ἄν τις ἐν τοῖς τοιούτοις, ὡς βεβαίως ἐγνωκὼς ἀποφαίνηται, προπετές ἐστιν· ἐπὶ τὰς ἑξῆς ἴωμεν λέξεις, ἐν αἷς ἐστι πρώτη περιψύχοντα οὐκ ἀπύρως. ὅπερ αὖ καὶ αὐτὸ βεβαίως γνῶναι τί βούλεται, προπετοῦς ἐστιν ἀνθρώπου. στοχαζόμενοι δὲ, ὥσπερ ἐπὶ πολλῶν ἄλλων ἐποιήσαμεν ἐν τῷδε τῷ βιβλίῳ, καὶ περὶ τούτου φήσομεν εἰρῆσθαι περιψύχοντα μὴ ἀπύρως, τὰ κατὰ μὲν τὴν ἐκτὸς ἐπιφάνειαν περιψύχοντα, διὰ βάθους δὲ τοῦ σώματος αἴσθησιν ἔχοντα πυρώδους θερμασίας. ταῦτ' οὖν φησιν εἶναι φαῦλα. τίς δ' οὐκ οἶδεν, ὅτι περιψυχόμενος μέν τις τὸ δέρμα,

COMMENTARIVS GALENI.

Ψαθυρὰ per δ Attici scribunt, per θ verò cæteri omnes, vocántque ψαθυρὰς carnes, quæ duris fibrosisque, & ægrè dissolubilibus, atque mandi contumacibus contrario habent modo; tales autem maximè sunt quæ à multis σαχναὶ appellantur, diem vnum vel duos à iugulato animali repositæ; ἑώλας autem eas Græci vocare consueuerunt, quasi biduanas, vel triduanas dixeris; & ἑωλίζειν ita ante putrefacere; hinc edulium summè recens ἐπὶ βραχὺ προσεωλισμένον, idest, parum ad putrefactum mortificatúmque dicitur. Constat autem ex eo, quod postea ita dictum est, Senibus exquisitè mutatum. Ego igitur ostendi, quænam dicant homines ψαθυρὰ, in eduliis, & non in excrementis; orationem habentes. Sed libri huius authorem æquum erat nobis dicere, quænam excrementa ὑπόψαθυρα, idest, subarenosa vocet; nempe quòd mediocriter ψαθυρὰ, idest, arenida, constat. Prorsus siquidem ad eum spectabat nobis ostendere, quænam dicat ὑπόψαθυρα. Quum autem prophetæ ipsi à sese dissideant inuicem, maior adhuc nobis, qui prophetæ non sumus, existit dubitatio. Nempe est, qui liquida nunc simpliciter dici ait; alius cum aquositate liquida, crassitiémque, & substantiam nullam habentia; alij ea tanquam pinguitudine vacua; alij veluti non glutinosa; alij (nescio quod ipsis visum sit) aiunt ea quæ humidis aliis, olei instar, non miscentur; alij in liquida deiectione biliosos; & incoctos globos; alij autem, quæ facilè dissoluuntur, vt si arenam aqua consperseris, deinde digitis componens constrinxeris, & mox vbi solueris, dissolutam dixeris, videntúrque hi cæteris probabiliores esse. Eadem verò potestate dicunt, qui non glutinosa esse aiunt, quæ quis composita, & vna voce dixerit ἄγλισχρα, idest, *non glutinosa*; si enim ab arenulentis eduliis ad deiectiones transferre similitudinem liceat, probabilius fuerit dicere, ψαθυρὰ alui excrementa esse, quæ de facili dissoluuntur, nullámque habent ægrè dissolubilem vnionem. Talia verò excrementa fiunt & à cibis, qui arenulentam & solutu facilem habent substantiam. Vidi ego, quum in agro essem, hortulani pueros frumenti quidem indigos, pyris verò abundantes, talia deiicere. Qui milium, panicúmque edunt, vel hordeaceos panes, similia his excernunt. Si verò triticeos panes quis edens talia deiecerit, quod tenuis, & dissoluens humiditas excrementis permixta sit, quæ mutuam prohibeat vnitionem, est suspicandum. Dioscorides, vt multa alia in obscuris libris promptè commutauit, ita & verbum ὑπόψαθυρα permutauit, fecitque ὑπόψεφαρα, appellarique is ita ait subnigrantia; nempe & tenebras ψέφας dictas esse apud Pindarum. Post verò ψαθυρῶν vaticinium, vel coniectationem, vel temeritatem (nempe quòd quis in talibus, tanquam certè nouerit, enunciet, temerarium existit) ad consequentes pergamus dictiones; ex quibus prima est, perfrictionésque non sine ardore, quod rursus ipsum certò nosse, quid sibi velit, temerarij est hominis. Coniicientes verò & in hac re, vt in aliis libri huius multis fecimus, perfrictiones non sine ardore dici asseremus, quum quis superficie quidem perfrixerit, in imo autem corpore sentiat igneam caliditatem. Has igitur prauas esse ait; quis enim cute quidem perfrigescentem,

intus verò ardore sitiente, prauè habere, nō nouit, etiā nō querētibus nobis, an subarenida deiecerit? Nēpe scriptis in prognostico cōtēti ad dignotionē tū bonarū, tū malarū deiectionū nō fallemur. Deinceps autē in præsenti dictione scriptū est ita; *Rigores ex his, tuſsicula, titubantes, prehendentes, dolorosi.* Quærere igitur rursus nos hoc loco vult scriptor, quidnā significet verbū ἐπιλαμβάνοντα, idest, *prehēdētes.* Nēpe antea ipsas ἐπισχέσεις, idest, *retētiones*, vocauit, ἀπολήψεις, idest, *interceptiones*; nunc autē, qui ἐπιλαμβάνοντα scripsit, aliis quidem in re eiusmodi nomē ferre videtur de interceptionibus, retētionibusq; quas ἀπολήψεις vocāt; aliis verò quòd veluti admodū extēdātur, indicare. Quod verò dicitur, ὀδυνώδεα, idest dolorosi, sufficit ostendere ægrotationē quandā significari per vocē ἐπιλαμβάνοντα. In cæteris quidē operibus plurima eorū, quæ dubitationē afferūt, ex illatis dignoscūtur; in hoc verò libro maior perpetuò priore infertur quæstio. Quomodo & nunc, quum inquit, an & in his comatosum, nempe vel tale est, quod ait in his memoratis, vel tum omnibus, tum postremis: nam & id patet, comatosum pathema habere quippiam simul existens & conuulsiui; veluti in quo quidem ipsum etiam simul extitit, quòd prædicta comatosum sequatur. Sed neutrum horum neque est necessarium, neque vt plurimum euenit; & quidem author ipse consentit; adiecit enim coniunctionem dubitandi, an; deinde ipsi acclamauit, quum dixit, non admiratus fuerim, nempe ita in compluribus & fide dignis exemplaribus est scriptum, veluti & in aliis quibusdam nullo pacto scriptum reperitur.

A πυρώσεως δὲ αἰσθανόμενος ἐν τῷ βάθει, φαύλως ἔχει, καὶ χωρὶς τοῦ ζητῆσαι ἡμᾶς, εἰ διεχώρησεν ὑπόπαθυρα; τοῖς γὰρ ἐν τῷ προγνωστικῷ γεγραμμένοις ἀρκούμενοι, πρὸς τὴν διάγνωσιν ἀγαθῶν τε, καὶ κακῶν διαχωρημάτων, οὐ σφαλησόμεθα. τούτοις δὲ ἐφεξῆς, γέγραπται κατὰ τὴν προκειμένην ῥῆσιν ὧδε. τὰ ἐπὶ τούτοις ῥίγεα, κύσιν, καὶ κοιλίην ἐπιλαμβάνοντα, ὀδυνώδεα. ζητεῖν οὖν πάλιν ἐνταῦθα ἡμᾶς ὁ συγγραφεὺς βούλεται, τί σημαίνει τὸ, ἐπιλαμβάνοντα. διὰ μὲν γὰρ τῆς ἔμπροσθεν, ἀπολήψεις τὰς ἐπισχέσεις ὠνόμασε. νυνὶ δὲ τὰ ἐπιλαμβάνοντα γράψας, ἐνίοις μὲν ἐπὶ τούτου φέρειν δοκεῖ τοὔνομα, τὸ, ἐπιλαμβάνοντα ταῖς ἀπολήψεσιν. ἐνίοις δὲ, τὸ, οἷον
B ἐπὶ πλέον ἐκτεινόμενα δηλοῦν. τὸ δέ γε ὀδυνώδεα προσκείμενον, ἱκανὸν ἐνδείξασθαι, καὶ νόσον τινὰ δηλοῦσθαι διὰ τῆς, ἐπιλαμβάνοντα, φωνῆς. ἐπὶ οὖν μὲν τῶν ἄλλων συγγραμμάτων τὰ πλεῖστα τῶν ἀπορουμένων, ἐκ τῶν ἐπιφερομένων γινώσκεται. κατὰ δὲ τὸ βιβλίον τοῦτο, μεῖζον ἀεὶ τοῦ πρόσθεν ἐπιφέρεται ζήτημα, καθάπερ καὶ νῦν εἰπόντος αὐτοῦ, ἆρα τὸ κωματῶδες; ἤτοι γὰρ τοιοῦτόν ἐστιν ὅ φησιν ἐν τούτοις τοῖς εἰρημένοις, ἢ ἅπασί τε καὶ τοῖς ὑστέροις. καὶ γὰρ καὶ τοῦτο δῆλον, τὸ κωματῶδες πάθημα συνυπάρχον τι ἔχειν, καὶ σπασμῶδες, ὡς ἐν ᾧ μὲν αὐτὸ καὶ συνυπῆρξεν, ὅτι τοῖς εἰρημένοις ἕπεται τὸ
C κωματῶδες. ἀλλ' οὐδ' ἕτερον τούτων, οὔτ' ἀναγκαῖόν ἐστιν, οὔθ' ὡς ἐπὶ πολύ. καὶ μέντοι καὶ αὐτὸς ὁμολογεῖ. προσέθηκε γὰρ τὸ ἀπορητικὸν, ἆρα, σύνδεσμον, οὔτ' ἐπιπεφώνηκεν αὐτῷ τὸ, οὐκ ἂν θαυμάσαιμι. γέγραπται γὰρ οὕτως ἐν τοῖς πλείοσι, καὶ ἀξιοπίστοις ἀντιγράφοις, ὥσπερ οὖν καὶ κατ' ἄλλα τινὰ, μηδ' ὅλως γεγραμμένον εὑρίσκεται.

De vomitionibus & deiectionibus prauis ac difficilibus.

Περὶ ἐμέτων τε καὶ διαχωρήσεων φλαύρων, καὶ δυσκόλων.

HIPPOCRATIS PRÆDICTIO 119.

Quæ in acutis morbis vomitoriè trahuntur, vitiosa; atque albæ deiectiones, difficiles, lętore carētia ex his prodeuntia multo cum æstu in mētis eunt aberrationē; an ex his comatosi torpidique postea fiūt? morbus ex talibus diutiùs manet; an & circa iudicationem arescentes difficulter spirent?

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ριθ'.

D Τὰ ἐν ὀξέσι ἐμετωδέως ἑλκόμενα, φλαῦρα, καὶ αἱ λευκαὶ διαχωρήσιες δύσκολοι. ἄγλιχρα ἐκ τούτων διεξελθόντα, ἐξίστανται καύματι πολλῷ. οἱ ἐκ τούτων κωματώδεες νωθροί, ἀπογίνονται. τὰ ἐκ τοιούτων μακροτέρως ἐπινοσεῖ. ἆρα περὶ κρίσιν οὗτοι ξηρώδεες δύσπνοοι;

COMMENTARIVS GALENI.

Qvæ in acutis, inquit, morbis vomitione trahuntur, vitiosa sunt; tale autem quippiam & antea est scriptum; nósque in similibus similia dicere cogimur. Adiiciam verò nunc & illud, quod ante dictum non fuit, quum nauseam fieri dicebā, quando ad expurganda, quæ contristant, venter cietur. Quidam & ob phlegmonen ipsius, nauseabundam fieri affectionē dixerunt; quod in supradicto vniuersali sermone cōtinetur. Nam si phlegmone sua propria ratione nauseam pariat, nūquam venter phlegmone obsideri citra nauseam reperietur. Incidit autem huic symptoma eiusmodi, quum phlegmone obsidetur, quandoque duobus modis; altero quidem, quum tenues quidam ichores ex inflammatis partibus ad interiorem ipsius capacitatem decumbentes, collecti que in eo loco, os ipsius contristauerint; altero autem, quum permixtio affectionum fuerit. Duabus siquidem inter se complicatis affectionibus, per se in vtraque fieri solet. Permixta igitur ea, quæ nauseam parit, affectione cum phlegmone, propter alterā earum nauseantes ægri fiunt, non propter phlegmonen.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰ ἐν ὀξέσι, φησὶν, ἐμετωδῶς ἑλκόμενα, φλαῦρα. τοιοῦτον δέ τι καὶ πρόσθεν ἐγέγραπτο, καὶ ἡμεῖς ἐπὶ
E τῶν ὁμοίων ὅμοια λέγειν ἀναγκαζόμεθα. προσθήσω δὲ νῦν κἀκεῖνο πρότερον οὐκ εἰρημένον, ἡνίκα ἔφασκον ἀποτείνεσθαι τὰ λυποῦντα τῆς γαστρὸς ὁρμώσης, γίγνεσθαι τὴν ναυτίαν. τινὲς δὲ καὶ διὰ φλεγμονὴν αὐτῆς εἰρήκασι, ναυτιώδη γίγνεσθαι διάθεσιν, ὅπερ ἐμπεριέχεται τῷ πρόσθεν εἰρημένῳ λόγῳ τῷ καθόλου. φλεγμονὴ γὰρ εἰ κατὰ τὸν ἑαυτῆς λόγον ἐποίει ναυτίαν, οὐκ ἂν εὑρίσκετό ποτε φλεγμαίνουσα χωρὶς ναυτίας. συμπίπτει δὲ αὐτῇ τὸ σύμπτωμα τοῦτο φλεγμαινούσῃ ποτὲ κατὰ διττὸν τρόπον, ἕνα μὲν, ὅταν ἀπορρέοντές τινες ἰχῶρες ἐκ τῶν φλεγμαινόντων μορίων, εἰς τὴν ἐντὸς
F εὐρυχωρίαν ἀθροιζόμενοί τε κατ' αὐτὸ τὸ χωρίον, ἀνιῶσιν αὐτῆς τὸ στόμα. καθ' ἕτερον δὲ, ὅταν ἐπίμικτος ἡ διάθεσις γένηται, δυοῖν ἀλλήλαις ἐπιπλεκομένων διαθέσεων, ἐν ἑκατέρᾳ καθ' ἑαυτὴν γίνεται. τῆς οὖν τὸ ναυτιῶδες σύμπτωμα ποιούσης διαθέσεως ἐπιπλακείσης τῇ φλεγμονῇ, διὰ τὴν ἑτέραν αὐτῶν, οἱ κάμνοντες γίνονται ναυτιώδεις, οὐ διὰ τὴν φλεγμονήν.

συμβαίνει δ᾽ ἐνίοτε μὲν ἐπὶ μετρίαις ναυτίαις, ἔμετον αὐτίκα συμπίπτειν. ἐνίοτε δὲ συνταράττεσθαι μὲν ἐπὶ πλεῖστόν τε καὶ πυκνὸν, ἐμεῖν δ᾽ ἤτοι μηδὲν, ἢ παντάπασιν ὀλίγον, ὅπερ ἐστὶν εἰκάσαι, τὸ ἐμετώδεις ἑλκόμενα δηλοῦν, ὅπερ εἴρηται κατὰ τὴν προκειμένην ῥῆσιν ἐν ἀρχῇ. μοχθηρὸν δ᾽ ἐστὶν, οὐχ ὡς σημεῖον μόνον, ἀλλὰ καὶ ὡς αἴτιον τὸ τοιοῦτον σύμπτωμα. καθ᾽ ὅσον μὲν γὰρ ἐνδείκνυται κακοχυμίαν δυσέκκριτον ἐν τῷ στόματι τῆς κοιλίας περιέχεσθαι, κατὰ τοῦτο σημεῖόν ἐστι μοχθηρόν. ὅτι δὲ συνεχέσι σπαραγμοῖς ἀνιᾷ τὴν γαστέρα, κατὰ τοῦτο πάλιν, ὡς αἴτιον αὐτῆς γενήσεται, τῆς μὲν οὐκ οὔσης φλεγμονῆς, ὡς γενέσθαι νῦν, τῆς δ᾽ ἔμπροσθεν οὔσης, ὡς αὐξηθῆναι. ἀλλὰ καὶ αἱ λευκαὶ διαχωρήσεις, φησὶ, δύσκολοι. τοῦτο δ᾽ ἔνιοι μὲν ἀπὸ τοῦ προειρημένου χωρίζουσιν, ἔνιοι δ᾽ ἐκείνῳ συνάπτουσιν. εἴρηκα μὲν δὲ ὅπερ ἐπὶ τῶν προειρημένων διὰ τὴν ἔμπροσθεν, αὖθις καὶ περὶ τούτων. λευκαὶ γὰρ αἱ διαχωρήσεις γίνονται, μὴ καταρρεούσης ἐξ ἥπατος εἰς τὴν γαστέρα χολῆς. ἀλλὰ τοῦτό γε καὶ καθ᾽ ἑαυτὸ δύναται, καὶ μετὰ τοῦ προειρημένου συστῆναι. διὰ μέντοι τὸ μιγνύειν αὐτὸν ἀλλήλοις πολλὰ τὴν ἑτερογένειαν, ἔξεστι τοῖς ἀναγινώσκουσι συνάπτειν αὐτὰ, καὶ χωρίζειν ἀπ᾽ ἀλλήλων. ἀλλὰ τό γ᾽ ἐφεξῆς ταῖς λευκαῖς διαχωρήμασι γεγραμμένον, ἄγλισχρα ἐκ τούτων διεξελθόντα ὀξέσιν τοῖς καύματι πολλῷ, τὴν ἅπαξ ἴσως, ἢ δὶς ἑωραμένων ἐστὶν αὐτῷ, μηδεμίαν ἀναγκαίαν ἔχοντα τῆς ἀκολουθίας αἰτίαν, ἀλλ᾽ ὡς εἴρηται πολλάκις ἤδη, γίνεσθαι δυνάμενα, ποτὲ μὲν τῷ μεθίστασθαι τοὺς λυποῦντας χυμοὺς, ποτὲ δὲ τῷ μερίζεσθαι, ποτὲ δὲ τῷ πλείονας ἐπιλαμβάνειν τόπους, αὐξανομένης τῆς διαθέσεως. ἔτι δὲ μᾶλλον οὐδὲ κωματώδεις αὐτοὺς γενέσθαι τῶν ἀναγκαίων ἐστὶν, ἀλλὰ τῶν ἐνδεχομένων. τοῦτο δὲ καὶ αὐτὸς ὡμολόγησεν εἰπὼν, ἆρά γε ἐκ τοιούτων κωματώδεες; ἐφάνη γοῦν αὐτὸ διὰ τὴν ἔμπροσθεν ἀεὶ προσγράφων, ἐφ᾽ ὧν οὐδ᾽ αὐτὸς ἀποφήνασθαί τι τολμᾷ. καὶ μέντοι καὶ τἄλλα τὰ ἐφεξῆς ἄχρι τέλους τῆς ῥήσεως, ὁμοίως ἔχει τὴν ἀτοπίαν, ὡς ἴσως ἐχρῆν ἡμᾶς ἤδη πεπαῦσθαι τῆς ἐξηγήσεως τῶν ὑπολοίπων ἐν τῷ βιβλίῳ ῥήσεων. τοῖς μὲν γὰρ ἀκριβῶς ἐκμεμαθηκόσι, τίνα τε ἐν τοῖς Ἱπποκράτους γέγραπται βιβλίοις, ὅσα τε κατὰ τὰς ἐξηγήσεις αὐτῶν ὑπ᾽ ἐμοῦ λέλεκται, γινώσκειν ὑπάρχει τίνα μέντοι τῶν σημείων ἔγραψεν, ἵνα ἔχῃ τὴν προγνωστικὴν ὡσαύτως ἔχουσαν ἀεὶ, τίνα δ᾽ ὡς τὸ πολύ. τίνα δ᾽ ἀμφίβολον, ἢ σπάνιον, ἔτι τε τὰς ἐν τούτοις αὖθις, ἐν τῷ μᾶλλόν τε καὶ ἧττον διαφορὰς, ὥστ᾽ οὐδὲν ἐμοῦ πρὸς τὰ παρόντα δέονται. τοῖς δὲ πρὶν ἐκεῖνα μαθεῖν, ἐπὶ ταῦτα ἐλθοῦσι, μακροῦ πάνυ λόγου καθ᾽ ἕκαστον αὐτῶν ἐστι χρεία, ὥστε μὴ τριῶν, ἀλλὰ τριάκοντα δεηθῆναι βιβλίων. ἐγὼ μὲν οὖν τὰς ἐν τοῖς πιστοῖς τῶν ἀντιγράφων ὁμολογουμένας γραφὰς ἐν τῇ προκειμένῃ ῥήσει διῆλθον. εἰσὶ δὲ καὶ ἄλλαι πολλαὶ γραφαὶ, ἄλλαι ἄλλως ὡς ἂν ἐθελήσωσιν, ἀλλ᾽ εἰς ἄπειρον, ὡς ἔφην, μῆκος ἐκπεσεῖν ἀναγκασθήσομαι πασῶν μνημονεύων.

Contingit autem nonnunquam, vt ex moderatis nauseis vomitus statim incidat; nonnunquam sanè & conturbatio quidem plurima, & frequens fiat, vomatur verò, vel nihil, vel prorsus paucum; quod coniicere licet his verbis, vomitoriè trahuntur, ipsum velle significare, quæ in præsentis dictionis capite sunt posita. Prauum autē est, non vt signum tantum, verùm etiam vt causa, symptoma huiusmodi. Nempe quatenus succi malitiam, excerni contumacem, contineri in ventris ore ostendit, eatenus signū prauum est; quòd verò continuis lacerationibus vellicationibusq; ventrē cruciet, ob id rursum tanquam causa ipsius erit, phlegmones quidem nondū existentis tanquam modò futuræ; eius verò quæ iam adest, tanquā incrementū suscepturæ. Præterea inquit, albicantes deiectiones, difficiles, quod quidam ab ante dicto separant, cæteri copulant. Cæterùm quod de prædictis antea diximus, idem & de his nunc dicimus; albæ etenim deiectiones fiunt non defluente ex hepate in vētrem bile; quod sanè & per se, & cum ante dicto cōstare potest; quia verò author dissimilia multa inter se commisceat, legentes ob id ea & copulare, & separare ab inuicem possunt. Sed quod mox post albicantes deiectiones scriptū est, lentore carentia ex his percurrentia multo cum æstu, in mentis eunt aberrationē, inter ea, quæ semel forsan, vel bis visa sunt authori, est, nullam, quæ necessaria sit, habentia cōsequentiæ causam, sed (vt sæpius iam dictum est) quæ fieri possint, interdū quidem quòd infesti trāsmittantur humores, interdū verò quòd diuidantur, atque aliquando, quòd increscente affectione plures occupent locos. Adde quòd neq; comatosos eos fieri inter necessaria sit, sed inter contingentia; quod & ipse confessus est, quum inquit, an ex talibus comatosi? visus est siquidem & id supra perpetuò ascribere, vbi enunciare quippiam non audet. Cætera quæ deinceps ad finē vsque dictionis dicuntur, similem habent absurditatem, vt forsan iam ab earum, quæ huic libro supersunt, dictionum explanatione temperandum sit. Nempe qui exactè didicerunt, tum quæ in libris Hippocratis scripta sunt, tum quæ in ipsorum explicationibus sunt à me dicta, hi cognoscere possunt, quænam sanè ex signis scripsit, quæ vim præsagiendi æqualiter perpetuò habētem obtineant, quænam magna ex parte, & quæ ambiguè, vel rarò; atque amplius quæ in ipsis pro maioris, minorisve ratione sunt, differentiæ; vt nihil ope mea ad præsentia indigeant. Cæteris verò, qui priusquam illa didicerint, sese ad hæc conferunt, prolixissimę in horum singulis orationis est necessitas, vt non tribus, sed triginta opus sit libris. Ego verò comprobatas fide dignorum exemplarium scripturas in præsenti percurri dictione. Sunt verò & aliæ multæ scripturæ, alię aliter pro cuiusque arbitratu; sed ad infinitam, vt dixi, prolixitatem incidere cogar, si omnes memorauero.

Ἆρα παραπληγία τῷ σπασμῷ λύεται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρκ´.

ΤΑ ἐξ ὀσφύος εἰς τράχηλον, καὶ κεφαλὴν ἀναδιδόντα, καὶ παραλύοντα (λύοντα), παραπληκτικὸν τρόπον σπασμώδεα παρακρουστικὰ, ἆρά γε καὶ λύεται τὰ τοιαῦτα σπασμῷ; ἐκ τῶν τοιούτων ποικίλως διανοσέουσι, καὶ διὰ τῶν αὐτῶν ἰόντες.

An paraplegia conuulsione soluatur.

HIPPOCRATIS PRÆDICTIO 120.

QVæ ex lumbis ad collum, caputque redundant, resoluúntque paraplectico modo, conuulsiua & mentis vacillationem parientia; an & talia conuulsione soluantur? Ex his variè ægrotant, & per ea profecti.

COM-

COMMENTARIVS GALENI.

IN hac quoque sententia est incertum; quonam pacto legere nos voluerit, qui librum hunc scripsit; an ex ordine vniuersa connectentes symptomata, deinde ab his dicentes, an & talia conuulsione soluantur? an ad hanc vsque orationem, resoluúntque paraplectico modo, serie continuata legere, mox silentes, rursum postea dicere, conuulsiua & vacillationem mentis parientia, nempe quidam hoc modo, alij illo legerunt; deinceps etenim inquit, an & talia conuulsione soluantur? Conuulsiua certè conuulsione solui, inter absurda est; prædicta verò solui conuulsione probabilius quis intellexerit: sunt autem, quæ prædicta sunt, hæc; quæ ex lumbis ad collum, capútque redundant, resoluúntque paraplectico modo, postea facta fuisse cōuulsiua, & talia reddita paraplegiam soluisse. Hæc siquidem sensum quendam habere videtur, propterea quòd paraplegia affectio vnius partis corporis talis sit, qualis est paraplexia totius, huicque aduersissimum sit secundum motionem pathema conuulsio. Nempe quum partes affectas motu priuet paraplegia, conuulsio ad motionem agi naturali vehementiorem, ita vt violenter hæ concutiantur; quòd si obstructio, vel humidorum, aut crassorum, aut glutinosorum impactio, in neruis fuerit, ob id paraplegiā iuuare videbitur. Quod verò in calce orationis dictum est, ex talibus variè ægrotant per ea profecti, in quopiam id factum conspexisse mihi videtur. Nempe & semel ego quendam, qui ita affectus erat, permutationémq; variè sese mutuò excipientium symptomatum habebat, vidi. Fiebant autem & illi hæc, prægressis lumborum collíque & capitis doloribus, post quos manus tota ęgrè tum sentiebat, tum mouebatur, sicuti & in dictione dictum est, paraplectico modo, quum non esset exacta paraplegia; mox superueniens conuulsio sensiliorem eam atque ad motiones expeditiorem fecit; placata autem conuulsione, sensim rursum deterior reddebatur; deinde rursus tum lumborum, tum colli, tum capitis, dolore correptus vniuersam, subitámque habebat paraplegiæ in manu adauctionem; atque rursus postea non parum conuellebatur.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ κατὰ ταύτην τὴν ῥῆσιν, ἄδηλόν ἐστιν ὅπως ἀναγινώσκειν ἡμᾶς ὁ γράψας ἠβουλήθη, πότερον ἐφεξῆς ἅπαντα συνάπτοντας τὰ συμπτώματα, κἄπειτα ἐπ᾽ αὖθις λέγοντας, ἆρά γε καὶ τὰ τοιαῦτα λύεται σπασμῷ, ἢ μέχρι τοῦ παραλύονται παραπληκτικὸν τρόπον ἐφεξῆς ἀναγνῶναι, εἶτα διασιωπήσαντας, πάλιν ἐφεξῆς εἰπεῖν, σπασμώδεα παρακρουστικά. τινὲς μὲν γὰρ οὕτως, τινὲς δ᾽ ἐκείνως ἀνέγνωσαν. ἐφεξῆς γάρ φησι, ἆρά γε καὶ τὰ τοιαῦτα λύεται σπασμῷ; τὸ μὲν οὖν τὰ σπασμώδη λύεσθαι σπασμῷ, τῶν ἀτόπων ἐστί. τὰ δὲ προειρημένα λύεσθαι σπασμῷ, πιθανώτερον ἄν τις ἀκούσειεν. ἔστι δὲ τὰ προειρημένα ταυτί, τὰ ἐξ ὀσφύος εἰς τράχηλον, καὶ κεφαλὴν ἀναδιδόντα, παραλύονται παραπληκτικὸν τρόπον, ὕστερον γίνεσθαι σπασμώδη, καὶ γινόμενα τοιαῦτα λῦσαι τὴν παραπληγίαν. ταῦτα γὰρ ἔχειν τινὰ νοῦν φαίνεται, διὰ τὸ τὴν παραπληγίαν τοιοῦτον πάθος ὑπάρχειν ἑνὸς μορίου τοῦ σώματος, ὁποῖόν ἐστιν ἡ παραπληξία τοῦ παντός. τούτῳ γ᾽ ἐναντιώτατον εἶναι κατά γε τὴν κίνησιν αὐτὴν πάθημα, τὸν σπασμόν. ἀκίνητα γὰρ ἐργαζομένης τὰ πεπονθότα μόρια τῆς παραπληγίας, ὁ σπασμὸς εἰς κίνησιν ἄγων σφοδροτέραν τῆς κατὰ φύσιν, ὡς διασείεσθαι αὐτὰ βιαίως, εἰ ἔμφραξις, ἢ σφήνωσις ὑγρῶν, ἢ παχέων, ἢ γλίσχρων ἐν τοῖς νεύροις εἴη, κατὰ τοῦτο δόξειεν ὠφελεῖν τὴν παραπληγίαν. τὸ δ᾽ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον· ἐκ τῶν τοιούτων ποικίλως διανοσέουσι, καὶ διὰ τῶν αὐτῶν ἰόντες, θεάσασθαί μοι δοκεῖ γεγονὸς ἐπί τινος. εἶδον οὖν ἅπαξ κἀγὼ παραπλησίως τινὰ διατεθέντα, καὶ μετάπτωσιν ἔχοντα ποικίλως ἀλλήλα διαδεχομένων τῶν συμπτωμάτων, ἐγίνετο δὲ κἀκείνῳ ταῦτα, προηγησαμένων ἀλγημάτων ὀσφύος, καὶ τραχήλου, καὶ κεφαλῆς, ἐφ᾽ οἷς ἡ χεὶρ ὅλη δυσαίσθητός τε, καὶ δυσκίνητος ἦν, ὥσπερ γε καὶ κατὰ ταύτην τὴν ῥῆσιν εἴρηται παραπληκτικὸν τρόπον, οὐκ οὔσης ἀκριβοῦς παραπληγίας, εἶτα σπασμὸς ἐπιγινόμενος, αἰσθητικωτέραν τε, καὶ πρὸς τὰς κινήσεις ἑτοιμοτέραν αὐτὴν εἰργάσατο. παυσαμένου δὲ τοῦ σπασμοῦ, κατὰ βραχὺ πάλιν ἐγένετο χείρων, εἶτα καὶ τὰ κατ᾽ ὀσφὺν, καὶ τράχηλον, καὶ κεφαλὴν αὖθις ἀλγήσας, ἀθρόαν ἔσχεν αὔξησιν τῆς κατὰ τὴν χεῖρα παραπληγίας, εἶτ᾽ αὖθις σπασμὸν εἶχε πάλιν οὐ σμικρόν.

De conuulsionibus hystericis facilibus.

HIPPOCRATIS PRÆDICTIO 121.

Conuulsiones in hystericis sine febre faciles sunt; vt etiam Dorcadi contigit.

Περὶ σπασμῶν ἐν ὑστερικαῖς εὐχερῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρκα´.

Οἱ ἐν ὑστερικαῖς ἀπύρως σπασμοὶ εὐχερέες, οἷον καὶ Δορκάδι.

COMMENTARIVS GALENI.

ET in hoc loco, quod à nobis cognoscitur, sententiæ adaptabimus, nihil ab ea discentes. Nomen siquidem εὐχερὲς, quod facile dixi, ambiguum, quantum in se est, existit; potest enim quis intelligere ex eo rationabilem earum, quæ in hystericis affectionibus fiunt, conuulsionum generationem; potest quoque & dici securitas ipsarum, & à periculo recessus. Nihil itaque dictio nos docet, sicuti neque alius, qui ambiguus sit sermo. Qui autem in rebus, quæ dicuntur, veritatem scire præuertunt, vni ambiguitatis parti conueniunt, interdum autem, & duabus; quo pacto & nunc hi legunt. Nempe mulieribus hystericis appellatis, quæ strangulationibus vteri capiuntur, fiunt &

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κἀνταῦθα τὸ γινωσκόμενον ἡμῖν ἐφαρμόζομεν τῇ ῥήσει, μηδὲν ἀπ᾽ αὐτῆς διδασκόμενοι. τὸ γὰρ εὐχερὲς ὄνομα, τῶν ἀμφιβόλων ἐστὶν, ὅσον ἐφ᾽ ἑαυτῷ. δύναται γοῦν τις ἀκούειν ἐξ αὐτοῦ, καὶ τὸ εὔλογον τῆς γενέσεως τῶν ἐπὶ ὑστερικοῖς παθήμασι γινομένων σπασμῶν. δύναται δὲ καὶ τὸ ἀκίνδυνον αὐτῶν εἰρῆσθαι, ὥστε αὐτὴ μὲν ἡ ῥῆσις οὐδὲν διδάσκει, καθάπερ οὐδ᾽ ἄλλος τις λόγος ἀμφίβολος. οἱ φθάνοντες δ᾽ ἐπίστασθαι τὴν ἐν τοῖς λεγομένοις πράγμασιν ἀλήθειαν, ἐφαρμόττουσιν ἑνὶ μέρει τῆς ἀμφιβολίας, ἐνίοτε δὲ καὶ δυσὶν, ὥσπερ καὶ νῦν ἀναγινώσκουσιν οὗτοι. ταῖς γὰρ ὀνομαζομέναις ὑστερικαῖς γυναιξὶν, αἳ ταῖς ὑστερικαῖς πνίξεσιν ἁλίσκονται, καὶ γίνονται

συνεχεῖς ὅλου τοῦ σώματος συνολκαὶ σπασμώδεις, καὶ οὐχ ὁμοίως ἔχουσι τοῖς ἄλλοις σπασμοῖς κίνδυνον. ἐπεὶ δὲ καὶ ταῖς μεγάλαις τῆς μήτρας φλεγμοναῖς ἐνίοτε σπασμοὶ συνεδρεύουσι, τούτων ἀφώρισε τοὺς νῦν εἰρημένους, προσθεὶς τῇ ῥήσει τὸ ἀπύρως, ὅπερ ἐστὶ χωρὶς πυρετοῦ. πρόδηλον γὰρ, ὅτι ταῖς φλεγμοναῖς τῆς μήτρας μεγάλαις ἕπονται πυρετοὶ, ἀλλ' οὐδὲ γίνονται πολλάκις, ἐπὶ φλεγμονῇ τῆς μήτρας οἱ σπασμοὶ γινόμενοι κινδυνώδεις εἰσί.

Τὴν κύστιν ἀποληφθεῖσαν ἔχειν τι σπασμῶδες.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρκβ'.

ΚΥστις ἀποληφθεῖσα, ἄλλως τε καὶ μετὰ κεφαλαλγίης, ἔχει τι σπασμῶδες. τὰ ναρκωδῶς ἐν τούτοισιν ἐκλυόμενα δύσκολα, οὐ μὴν ὀλέθρια. ἆρά γε καὶ παρακρουστικὸν τὸ τοιοῦτον;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΠόληψιν οὔρων, ὥσπερ καὶ διαχωρημάτων, εἴωθεν αὐτὶ τῆς ἐπισχέσεως ὀνομάζειν. ἔχειν οὖν φησίν τι σπασμῶδες αὐτὴν, ἐν ἴσῳ τῷ δύνασθαι σπασμόν ποτε ἐργάσασθαι, καὶ μάλιστα ὅταν ἄλγημα προσγένηται κεφαλῇ, δηλοῖ γὰρ ἐν συμπαθείᾳ τῆς κύστεως, τὴν τῶν νεύρων ἀρχὴν γεγονέναι. τὸ δ' ἐπιφερόμενον τούτῳ κατὰ τὴν ῥῆσιν, ἐν ᾧ τὰ ναρκωδῶς ἐν τούτοισιν ἐκλυόμενα γέγραπται, διττῶς ἐξηγήσαντο. τινὲς μὲν ἐπ' αὐτῶν τῶν οὔρων εἰρῆσθαι φάσκοντες, ὡς εἰ ἐκ τῆς ἐπισχέσεως ναρκωδῶς ἐκκριθῇ. βούλονται γὰρ ἀντὶ τοῦ ἐκκρινόμενα, ἐκλυόμενα λελέχθαι. τινὲς δὲ ἐπὶ μορίων τοῦ σώματος ἤκουσαν φάναι ἐκλύεσθαι, τινὲς δ' ἐφ' ὅλου τοῦ σώματος, ἵνα φήσωμεν αὐτὸ, κατὰ μὲν τὴν αἴσθησιν ναρκῶδες, κατὰ δὲ τὴν προαιρετικὴν κίνησιν, ἔκλυτον γεγονέναι. ταῦτ' οὖν βούλονται, δύσκολα μὲν ἐν ἴσῳ τῷ ἀκίνδυνα λελέχθαι, οὐ μὴν ὀλέθριά γε εἰ δὲ κατὰ τὴν τελευτὴν τῆς ῥήσεως, ἀπορώτερον ἀποφαίνεται, παρακρουστικὸν εἶναι τὸ τοιοῦτον, ἢ μὴ, πολλάκις μεμαθήκαμεν αὐτοῦ τὴν γνώμην ἐν οἷς ἀπορεῖ.

Περὶ ὀστέων τῶν κροτάφων διακοπῶν σπασμωδέων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρκγ'.

ΑΡά γε καὶ περὶ κρόταφον ὀστέων διακοπαὶ, σπασμὸν ἐπικαλέονται; ἢ τὸ, μεθύοντα πληγῆναι, ἢ τὸ, ῥυῆναι πολὺ ἐν ἀρχῇσι; εἰ τοῦτο ποιεῖ σπασμώδεα;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ μὲν ἐπὶ τῷ τέλει τῆς ῥήσεως εἰρημένον, σπασμώδεα, κατά τινα τῶν ἀντιγράφων οὐ πρόσκειται, διαφέρει δ' οὐδὲν, ὡς πρὸς τὴν διάνοιαν, εἰ καὶ μὴ προσκέοιτο, συνυπακούεται τῷ κατ' ἀρχὴν εἰρημένῳ, σπασμὸν ἐπικαλέονται. προφανῶς οὖν ἐδήλωσεν ἐνταῦθα τὸ φανὲν αὐτῷ καθ' ἕκαστον ἄρρωστον, ὅταν ἄξιον εἶναι αὐτῷ δόξῃ γραφῆς ἑρμηνεύειν, εἶτα ἐνίοτε μὲν ἀποφαινόμενος, ὡς καθολικὸν, ἐνίοτε δὲ διαπορῶν, ὥσπερ καὶ νῦν ἐπί τινος διακοπέντος ὀστοῦ τῆς κεφαλῆς κατὰ κρόταφον, ὃς ἐμέθυσε μὲν ἡνίκα ἐπλήγη, παραχρῆμα δὲ αἱμορραγήσας ἰσχυρῶς, ὕστερον ἐσπάσθη. τριῶν οὖν αὐτῷ προσγινομένων, ἑνὸς μὲν τῆς κατὰ τὸν κρόταφον διακοπῆς, δευτέρου δὲ τοῦ μεθύοντος γίνεσθαι τοῦτο, καὶ τρίτου τῆς αἱμορραγίας, ζητεῖ, διά τι τούτων ὁ σπασμὸς ἐγένετο.

continuè totius corporis contractiones cõuulsiuæ, nec simile cæteris conuulsionibus periculum habent. Sed quoniam & in magnis vteri inflammationibus conuulsiones interdum assident, ab iis nunc dictas separauit, adiiciens dictioni, ἀπύρως, quod est sine febre. Nempe quòd magnas vteri inflammationes febres consequantur, neminem latet; & non sæpius fiunt ex vteri inflammatione conuulsiones; si fiunt, periculosæ sunt.

Vesicam interceptam conuulsiuum quid habere.

HIPPOCRATIS PRÆDICTIO 122.

VEsica intercepta tum aliàs, tum cum capitis dolore, conuulsiuum quid habet, quæ in his cùm stupore exoluuntur, difficilia existunt; non tamen perniciosa; Num & id mentem emouet, quod eiusmodi est?

COMMENTARIVS GALENI.

INterceptionem tum vrinarum, tum deiectionum pro retentione appellare consueuit. Conuulsiuum autem quippiam habere ait; quod idem cum hoc est, posse aliquando conuulsionẽ prouocare, & præsertim quum dolor capiti aduenerit; fuisse siquidem neruorum principium in societate affectus vesicæ ostendit. Quod verò postea scriptũ est, quæ ex his cum stupore exoluuntur, bifariam est expositum. Nempe quidam de vrinis dictum inquiunt, tanquam ex retentione cum stupore excretæ sint; volunt siquidem quæ exoluuntur, dictum esse pro quæ excernuntur; alij verbum, exoluuntur, de corporis partibus dictum esse intellexerunt; alij de vniuerso corpore, quasi sensione quidem torpens ipsum, voluntaria verò motione exolutum, fuisse dixerimus. Volunt igitur hæc quidem difficilia, pro periculosa, non tamen perniciosa. An verò in sententiæ fine dubitanter enunciet, in dementiam pellere, quod tale est, nec ne, sæpius mentem ipsius didicimus, in quibus addubitat.

De ossium temporalium præcisionibus conuulsoriis.

HIPPOCRATIS PRÆDICTIO 123.

AN & ossium, quæ in temporibus sita sunt, discissiones, conuulsionem accersant? vel temulentum sauciari, vel sanguinem valenter erumpere, in principiis, si id faciunt, cõuulsiua?

COMMENTARIVS GALENI.

QVod in fine orationis dictũ est, cõuulsiua, in exẽplaribus quibusdã adiectũ non est; neq; si non adiectũ sit, quantũ ad intelligẽtiam rei spectat, quippiã refert, quia sub eo intelligatur, quod principio dictũ est, cõuulsionẽ accersant? Dilucidè igitur hoc in loco id ipsum, quod in vnoquoq; ægrotãte apparuit, demõstrauit; quũ iustũ esse sibi scripturã interpretari visum fuerit, interdũ quidẽ tanquã vniuersale enũcians, interdũ verò addubitans; sicuti & nũc in aliquo, cui os capitis positũ in tẽporibus, discissum fuit, qui temulẽtus sauciatus est, confestimq; erupit vehementer sanguis, & tandem est conuulsus. Quum ergo tria ipsi euenerint; vnum quidẽ ossis tẽporalis discissio; alterum quòd temulento id factũ sit; tertium verò sanguinis eruptio; inquirit à quonam horum sit orta conuulsio.

Cui respondebo facilè; nam de ossis temporalis discissione ait Hippocrates; *Quòd plagæ temporibus inflictæ graues sunt, & soporem inducentes*; quòd item in conuulsionibus distentionibúsque téporum musculi primi patiuntur. De ebrietate verò aphorismum illum dixit: *Si ebrius quispiam repente obmutuerit, conuulsus moritur*. De sanguinis autem eruptione; *Quòd conuulsio à repletione fiat, vel vacuatione, non autem totius corporis, sed neruorum ipsorum; quo fit, vt ex sanguinis eruptione haudquaquam conuellantur, nisi refrigeretur, vel propter præsentium incuriam, vel quod sedare velint fluxionem sanguinis per refrigerantia remedia.*

καὶ τοίνυν ἀποκρινοῦμαι αὐτῷ ῥᾳδίως. περὶ μὲν τῆς κατὰ τὸν κρόταφον διακοπῆς Ἱπποκράτης λέγει, ὅτι καὶ πληγαὶ χαλεπαὶ καὶ καρώδεις αἱ κροτάφιαι γίνονται, καὶ μέντοι καὶ ὅτι ἐν τοῖς σπασμοῖς καὶ τετάνοις οἱ κροταφῖται μύες πρῶτοι πάσχουσι. περὶ δὲ τῆς μέθης τὸν ἀφορισμὸν ἐκεῖνον εἴρηται, ἢν μεθύων τις ἐξαίφνης ἄφωνος γένηται, σπασθεὶς ἀποθνήσκει. περὶ δὲ τῆς αἱμορραγίας, ὅτι σπασμὸς γὰρ ὑπὸ πληρώσιος, ἢ κενώσιος, ἀλλ' οὐχὶ τοῦ παντὸς σώματος, ἀλλὰ τῶν νεύρων αὐτῶν, ὅθεν ἐφ' αἱμορραγίαις οὐ σπῶνται, πλὴν εἰ καταψυχθείη, ἤτοι διὰ τὴν τῶν παραμυθούντων ἀμέλειαν, ἢ ὅ κατὰ παῦσαι ἐθέλοιεν τὴν αἱμορραγίαν διὰ τῶν ψυκτηρίων βοηθημάτων.

De sputis in sudore.

HIPPOCRATIS PRÆDICTIO 124.

IN *sudore sputa defluentia febrienti ægro, leuia insueta; an ad dies aliquot ventres humectentur? arbitror; an his abscessus ad articulum futurus?*

COMMENTARIVS GALENI.

QVidã sententiæ antecedẽtis finẽ principium huius efficiunt bifariã; alij quidẽ cũ articulo, τὰ σπασμώδεα, idest, *conuulsiua* in sudore sputa præterfluentia; verũ quod ad intelligentiã ipsã attinet, nihil interest, siue adiectus, siue adẽptus fuerit articulus; qui verò deinceps dictis cõuulsiua, præordinãt, magnã faciunt sensus permutationẽ; atque adhuc magis scriptura alia, quam recẽtiores quidam moliti sunt, pro ἐν ἱδρῶτι, idest, *in sudore*, nomẽ cõpositum ἀνιδρωτὶ, idest, non in sudore, & absque sudore, facientes. Si igitur non sæpius in sententiis multis ea, quæ nihil cõferant ad prædictionẽ, pro conferentibus adscripsisset, confestim culpassem eos, qui dictioni, cõuulsiua, præscribunt, præordinantque. Quum verò & ipse adiecerit, quod nihil cõferret, ignosco iis, qui cõscripserunt, cõuulsiua; quanquã ad præsentia nihil, quod effatu dignũ sit, conferat; siquidẽ in febribus cum sudoribus non criticis defluentia sputa, ob copiam immoderatã, vel facultatis imbecillitatem oriuntur; atque ob id sunt ἀνώδη, idest leuia, quasi εὔτροπα, idest, non contumacia, & versu facilia, dixerit. Absurdior autem fuerit intelligẽtia, si ἀνιδρωτὶ, idest, non cum sudore scripserimus; quanquã qui scripturã antiquã permutauerunt, tanquã sapientius quippiam inuenissent, ita scripserunt, pro ἐν ἱδρῶτι, ἀνιδρωτὶ facientes; Orationẽ autem hanc, an ad dies aliquot ventres humectentur? in ægro factũ id videlicet conspicatus ita scripsit, an multis euenire id possit, inquirens. Nihil autem certi, quantum ex dictis est quòd ipsi respondeamus, habemus; nempe quo pacto tali in ægroto cætera habeant, limitare oportet, de quibus dixit nihil. Modus idem est de futuris in articulos abscessibus; constat enim quibusnam ex signis talia definire oporteat; de quibus in præsentia nihil dictum est.

Περὶ τῶν ἐν ἱδρῶτι πτυέλων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ. ρκδ΄.

ΕΝ ἱδρῶτι πτύελα παραῤῥέοντα πυρεταίνοντι ἐόντι, ἀνώδεα. ἆρά γε τουτέοισιν ἐπὶ τινὰς ἡμέρας κοιλίαι καθυγραίνονται; οἶμαι. ἆρά γε τούτοισιν εἰς ἄρθρα ἀπόστημα ἔσεσθαι;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΙνὲς τὸ πέρας τῆς προτέρας ῥήσεως, ἀρχὴν ταύτης ποιοῦνται διπλῶς, ἔνιοι μὲν μετὰ τοῦ ἄρθρου, τὰ σπασμώδεα ἐν ἱδρῶτι πτύελα παραῤῥέοντα, διαφέρει δ' οὐδὲν, ὡς πρὸς τὴν διάνοιαν, ἐάν τε προστεθῇ, ἐάν τε ἀφέλῃ τις τὸ ἄρθρον. τὸ μέντοι προστάξαι τῶν ἐφεξῆς λεγομένων τὰ σπασμώδεα, μεγάλην ἐξαλλαγὴν ποιεῖ τῆς διανοίας. καὶ ταύτης γε ἔτι μᾶλλον κατὰ τὴν ἑτέραν γραφὴν, ἣν τινὲς τῶν νεωτέρων ἔγραψαν, ἀντὶ τοῦ ἐν ἱδρῶτι ποιήσαντες ὄνομα σύνθετον ἀνιδρωτὶ, τουτέστι τὸ μὴ ἐν ἱδρῶτι, ἢ ἄνευ τοῦ ἱδρῶσθαι. εἰ μὲν οὖν πολλάκις ἐν πολλαῖς ῥήσεσι, τὰ μηδὲν εἰς τὴν πρόῤῥησιν συντελοῦντα τοῖς συντελοῦσιν ἀντέγραφεν, εὐθὺς ἂν ἐμεμψάμην τοὺς προγράψαντας, ἢ προστάξαντας τῇ ῥήσει τὰ σπασμώδεα. προστεθέντος δ' αὐτοῦ, καὶ τοῦ μηδὲν συντελοῦντος, συγγινώσκω τοῖς γράψασι τὰ σπασμώδεα, καίτοι μηδὲν ἀξιόλογον εἰς τὰ παρόντα συντελοῦν. τὰ γὰρ ἐν πυρετοῖς ἅμα τοῖς ἀκρίτοις ἱδρῶσι παραῤῥέοντα πτύελα, διὰ πλῆθος ἄμετρον, ἢ διὰ ἀῤῥωστίαν τῆς δυνάμεως γίνεται, καὶ διὰ τοῦτό ἐστιν ἀνώδη, καθάπερ εἰ καὶ εὔτροπα τις εἴπῃ. ἀλογωτέρα δὲ τις γίνοιτ' ἂν ἡ διάνοια, γραφόντων ἡμῶν ἀνιδρωτί. καίτοι οἱ μεταθέντες τὴν παλαιὰν γραφὴν, ὡς τι σοφώτερον εὑρηκότες οὕτως ἔγραψαν, ἀντὶ τοῦ ἐν ἱδρῶτι ποιήσαντες αὐτό. τὸ δὲ, ἆρά γε τούτοισιν ἐπὶ τινὰς ἡμέρας κοιλίαι καθυγραίνονται; τεθεαμένος ἐπ' ἀῤῥώστου δηλονότι γενόμενον οὕτως ἔγραψε, ζητῶν εἰ πολλοῖς δύναται τοῦτο συμβαίνειν, ἀποκρίνασθαι δ' αὐτῷ βεβαίως, ὅσον ἐπὶ τοῖς εἰρημένοις οὐδὲν ἔχομεν. ὅπως γὰρ ἔχει τὰ ἄλλα τῷ τοιούτῳ ἀῤῥώστῳ, χρὴ προσδιορίσασθαι, περὶ ὧν οὐδὲν εἴρηκε. κατὰ τὸ αὐτὸν εἶπεν, καὶ περὶ τῶν ἀποστησομένων εἰς ἄρθρα, μεμάθηκας γὰρ ἐκ τίνων σημείων χρὴ τὰ τοιαῦτα διορίζεσθαι, περὶ ὧν οὐδὲν εἴρηται νῦν.

De melancholica desipientia.

HIPPOCRATIS PRÆDICTIO 125.

QV*æ modicè ferociter mẽtem concutiunt, melancholica sunt; si verò à muliebribus*

Περὶ παραχρουστικοῦ μελαγχολικοῦ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ. ρκε΄.

ΤΑ ἐπ' ὀλίγον θρασέως παρακρούοντα, μελαγχολικά. ἢν δὲ ἀπὸ γυναικείων ᾖ, θηριώδεα. ἐπὶ πλεῖω

δὲ ταῦτα συμπίπτῃ, ἆρά γε καὶ σπασμώδεες αὗται; ἆρά γε καὶ αἱ μετὰ κλαγγῆς ἀφωνίαι, σπασμώδεες αὗται; οἷα τῇ τοῦ Σκυτέως θυγατρὶ, ἤρξατο γυναικείων παρεόντων.

retentis fuerint, ferina; multoties autem hæc accidũt; an & hæ cõuulsiuæ? an cum raro quoque vocis interceptiones cõuulsiuæ? quomodo coriarij filiæ obuenit, cœpit autẽ malũ præsentibus mẽstruis.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τινὰ μὲν ὀνομάζει μελαγχολικὴν παραφροσύνην, ἔμπροσθεν εἶπον, αὐτῆς ταύτης ἧς νῦν εἶπε ῥήσεως, τὴν ἀρχὴν αὐτοῦ γράψαντος. ὁ δὲ ἐνεστὼς λόγος ἐστὶν, ὡς αὐτὸς ὡμολόγησεν, ἑωρακότος αὐτοῦ τὴν τοῦ Σκυτέως θυγατέρα, ἐξ ἐπιμηνίων ἐπισχέσεως παρακρούσασαν θηριωδῶς. ἐνεδείξατο δὲ διὰ τῆς φωνῆς ταύτης, ἐπίτασιν τοῦ μελαγχολικοῦ. ἑτοίμων γὰρ ὄντων εἰς τὸ κακουργεῖν τοὺς πέλας, τῶν μελαγχολικῶς παρακρουόντων, ὅταν μεγάλας ποιῶνται τὰς κακουργίας, θηριώδεις αὐτὰς ὀνομάζει. ἀλλὰ τὸ ἐξ ἐπισχέσεως τῆς ἐμμήνου καθάρσεως, τοιαύτην γίνεσθαι παραφροσύνην, οὔτε παντελῶς ἀληθὲς, οὔθ' ὡς τὸ πολύ. μελαγχολικοῦ γὰρ ὄντος τοῦ αἵματος, ἐπὶ τὸν ἐγκέφαλον ἰέναι τοιαύτην ἐργάζεται παρακοπὴν, πικροχόλου δὲ οὐκέτι τοιαύτην, ἀλλὰ τὴν συνήθως γινομένην. εἰ δὲ φλεγματῶδες ἦ τὸ πλῆθος, καταφορὰν καὶ λήθαργον μᾶλλον ἐργάσεται, μικτὸν δὲ εἴπερ ἐκ τούτων εἴη, μικτὴν καὶ τὴν διάθεσιν ἐκ καταφορᾶς, καὶ ἀγρυπνίας, ἢ παρακοπῆς ἀποτελέσει. ὥσπερ δὲ οὐδὲν τούτων ἐστὶ καθολικὸν αὐτοῖς, οὕτως οὐδὲ τῶν ἐφεξῆς εἰρημένων οὐδὲν, ὅσα τῇ τοῦ Σκυτέως ἔγραψε συμβῆναι θυγατρί.

COMMENTARIVS GALENI.

Qvamnam appellet melancholicam desipientiam, dixi antea; nam is dictionis eiusdem, quam nunc retulit, scripsit principium. Præsens verò sermo (vt author fatetur) est, quod coriarij filiam ex menstruorum retentione ferinè delirasse conspexerit; demonstrauit autem per vocem hanc, melancholica, intensionem; prompti siquidem sunt ad inferenda propinquis mala, qui ex melancholia delirant; vbi autem ingentia mala faciunt, ferinas desipientias appellat. Sed quòd ex purgationis menstruorum retentione talis oriatur desipientia, neque prorsus verum, neque magna ex parte. Nam si melancholicus fuerit sanguis, atque in cerebrum ierit, desipientiam huiusmodi parit; si verò biliosus, non talem, sed consuetam familiarémque, si copia pituitosa fuerit, cataphoram, lethargúmque magis efficiet; si verò mixtum ex his, mixtam etiam affectionem ex cataphora, & vigilia, vel desipientia conficiet. Vt autem horum nihil vniuersale ipsis inest; sic neque consequentium aliud, quæ coriarij filiæ euenisse scripsit.

Περὶ σπασμωδέων οἷς ὀφθαλμοὶ ἐκλάμπουσιν.

De conuulsis quibus oculi relucent.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρκϛʹ.

Οἷσιν ἐν σπασμώδεσιν, ὀφθαλμοὶ ἐκλάμπουσιν ἀτενέως, οὔτε παρ' ἑωυτοῖσίν εἰσιν, διανοσέουσί τε μακροτέρως.

HIPPOCRATIS PRÆDICTIO 126.

Qvibus conuulsis oculi fixè relucent, non apud se hi sunt, diutiúsque ægrotant.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ παρ' ἑωυτοῖσιν ἔνιοι γράφουσι, παρὰ σφίσιν αὐτοῖς εἰσιν, εὔδηλον δὲ ὅτι περὶ τῶν σωφρονούντων ἀμφότερα λέγεται, τό τε παρὰ σφίσιν αὐτοῖς εἶναι, καὶ παρ' ἑαυτοῖσιν εἶναι. τὸ δὲ οὐκ εἶναι παρ' ἑαυτοῖσιν, τουτέστι μὴ κατανοεῖν, ἀλλὰ περιφέρεσθαι τῇ γνώμῃ τὴν διάγνωσιν. ἀγνοοῦσι δὲ, ὥσπερ ἐξ ἄλλων τινῶν, οὕτω καὶ τῶν ἀτενῶς ἐκλαμπόντων ὀφθαλμῶν ἴσχειν. ἤρκει δὲ εἰς τοῦτο τὸ ὑπ' αὐτοῦ λελεγμένον, ὄμματος θράσος παρακρουστικὸν, ὡς καὶ τοῖς ἰδιώταις ἐστὶ δῆλον, ὅσοι γε μὴ παντάπασιν ἠλίθιοι. πρόδηλον γὰρ, ὅτι τοῦτο προσυπακούειν ἀεὶ χρή. καλοῦμεν γὰρ εἰς τὰ τοιαῦτα πάντα μάρτυρας ἰδιώτας, ἀδιανοήτους ὄντας τε καὶ ὀνομαζομένους, ἀλλὰ μάλιστα μὲν εἰ οἷόν τε τοὺς φύσει συνετοὺς, εἰ δὲ μὴ, ἀλλά γε μὴ τοὺς νωθροὺς τὴν διάνοιαν. ἐν μέντοι τῷ νῦν λόγῳ, πρόσκειται τὸ ἐκλάμπειν τοὺς ὀφθαλμοὺς, ὅπερ ἦν αὐτὸ καθ' αὐτὸ τῶν θυμουμένων γνώρισμα, ὃ τάχα συνελθὸν τῷ ἀτενεῖ ὄμματι, τουτέστι τῷ θρασεῖ, σφοδροτέραν ἐνδείξεται γενήσεσθαι τὴν παραφροσύνην. ἐκ περιττοῦ δὲ, ὡς πρὸς τὴν τοῦ παραφρονῆσαι αὐτοὺς τοιούτους πρόρρησιν, ἐμνημόνευσε τῶν σπασμωδῶν. καὶ γὰρ καὶ χωρὶς αὐτῶν δύναται γενέσθαι παραφροσύνη, καὶ παρόντων αὐτῶν μὴ γενέσθαι. τὸ δὲ διανοσήσειν αὐτοὺς μακροτέρως, ἔτι καὶ μᾶλλον εἰκῆ λέλεκται, οἷς γὰρ σπασμώδεσιν ἐκλάμπουσιν ἀτενὲς οἱ ὀφθαλμοὶ, τούτους εὔλογον ὀξέως νοσῆσαι μᾶλλον, οὐ χρονίως.

COMMENTARIVS GALENI.

Qvidam pro παρ' ἑωυτοῖσι scribunt παρὰ σφίσιν αὐτοῖς; sed quòd vtraque oratio, & παρὰ σφίσιν αὐτοῖς εἶναι, & παρ' ἑαυτοῖσιν εἶναι, de his dicatur qui sapiunt, cuiuis patet. Οὐκ εἶναι παρ' ἑαυτοῖσιν autem, est non intelligere, sed mente circumagi, distrahíque iudicium. Sed quòd nota habeatur ex oculis fixè relucentibus, vt ex aliis quibusdam, ignorant, satis verò fuerit in eam rem, quod ab eo dictum est; *Oculi ferocitas desipientiam indicat*; quomodo & idiotis ipsis dilucet, qui non prorsus stupidi existunt; nempe quòd id semper subaudire oporteat, constat omnibus. Vocamus siquidem in eiusmodi omnia testes idiotas, qui rudes tum existunt, tum vocantur; sed maximè quidem, si fieri possit, natura prudentes; si non, at non mente desides ignauósque. In præsenti verò sermone supra modum relucere oculi ponuntur, quod per se ipsum signum irascentium erat; sed forsan id oculo ἀτενεῖ, idest, *fixo* contentóque quod est θρασεῖ, idest, *feroci*, concurrens, vehementiorem indicabit fore desipientiam. Superuacuè autem ad prædicendum, quòd deliraturi tales sint, conuulsorum meminit; nam & sine his procreari potest desipientia, & præsentibus his, non procreari. Ægrotaturos autem diutiùs, adhuc etiam temerè magis dictum est; nempe in quibus conuulsis fixè, ferocitérque relucent oculi, hos acutè ægrotaturos, non diuturniùs, rationi est consentaneum.

De

De eruptionibus sanguinis malis.

HIPPOCRATIS PRÆDICTIO 127.

Sanguinis eruptiones ex contrario, malæ: vt in liene magno, si dextra ex nare fluat: Atque res in hypochondriis ita se habet; verùm cum sudore id deterius existit.

COMMENTARIVS GALENI.

SI quippiam aliud sæpius contingere ipse vidi, ita & hoc. Videtur autem Hippocrates ex multa experientia, quam ex particularibus sibi fecit, vniuersalia collegisse. Nempe & in epidemiorum libris ægrotos scripsit multos, alios quidem, quibus sanguis salubriter erupit; alios verò, quibus insalubriter. Causam horum alibi enunciantes considerauimus. Nunc id nosse satis fuerit, quòd qui afferunt quomodo ex hepate caua vena sursum per thoracem fertur, ita & ex liene aliam ortam partibus distribui sinistris, non vera dicant: quum vna sola vena sit, quæ ex partibus septo transuerso inferioribus ascendit. Quæritur autem non sine ratione ab expositoribus, quam ob causam verbo, lien, adiecerit, magnus; aiuntque qui maximè probabilia dicere visi sunt, in paruo liene non admodum manifestam esse in vtraque, vel præsidij vel offensæ inclinationem. Ego verò sermoni adiectum esse existimauerim verbum magnus, quasi vel tumefactus vel in molem assurgens, vel phlegmone obsessus adscripserit. Nam si, lien, simpliciter scripsisset, rursus alia oriretur quæstio, quonam vitio lienem affici dicat. Si igitur hoc non inquiramus, sed nobis constet in omni tumore præter naturam lienem fatigante, in latus diuersum sanguinis eruptionem nocuam esse, distinctionis gratia verbum, magnus, adscripsit. Exemplum autem hoc ipsum, videlicet de liene, omnium commune est, quibus ad latus diuersum sanguis erumpit; atque ob id sermoni additur aduerbium, vt, perinde atque si ita dixisset; vt si quum iecur magnum fuerit, ex sinistra nare erumpat sanguis; cæterùm ita à liene, tanquam exemplo, ad iecur transire in promptu esse arbitratus, iecoris non meminit. Quòd autem à viscere ad viscus migratio fieri possit, adiecit hypochondrium, inquiens; atque res in Hypochondriis ita habet, ne tantum ex visceribus directas sanguinis eruptiones bonas esse existimemus, vel malas, quæ in latus diuersum fiant, sed etiam ex hypochondriis ipsis. Quum autem vitiosa sit, quæ in latus diuersum fiat sanguinis eruptio, deterius adhuc fuerit signum, si cum sudatiuncula contingat, sudatiunculam autem iam sæpius quidem in hoc scripsit libro, sed nusquam ita lucidè, vt cognoscamus, nunquid sudores circa thoracem, capútque apparentes ita appellet, an eos, qui toto emanant corpore, vbi tum pauci, tum nihil conferentes sint. Prauum autem vtrumque horum est; deterius autem, quod in superis fit partibus. Nempe quum omnis sudatiuncula demonstret, vel copiam in sudantibus partibus, vel facultatis retentricis imbecillitatem; vtrumcunque eorum in locis tum thoracis, tum capitis fuerit, deterius est signum, quàm si in alia quapiam parte fuerit.

Περὶ τῶν ἀνάπαλιν αἱμορραγιῶν κακῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρκζ΄.

ΤΑ ἀνάπαλιν αἱμορραγέοντα, κακόν, οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ δεξιοῦ ῥέειν, καὶ τὰ καθ' ὑποχόνδριον ὡσαύτως. ἐφ' ἱδρῶτι δέ, κάκιον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙ τι καὶ ἄλλο πολλάκις αὐτὸς ἀποβαῖνον εἶδον, οὕτω καὶ τοῦτο. φαίνεται δὲ καὶ Ἱπποκράτης, ἐκ πολλῆς πείρας ἠθροικέναι τὰ καθόλου, ἐκ τῆς ἐπὶ μέρους αὐτῷ γενηθείσης. καὶ γὰρ κατὰ τὰ τῶν ἐπιδημιῶν βιβλία, πολλοὺς ἔγραψεν ἀρρώστους αἱμορραγήσαντας ἐπ' ἀγαθῷ, τοὺς δ' αὖ πάλιν ἐπὶ κακῷ. τὴν δ' αἰτίαν τούτων ἀποφηνάμενοι ἑτέρωθι σκεψόμεθα. νυνὶ δ' ἀρκέσει τοῦτο γινώσκειν, ὡς οἱ φάσκοντες, ὥσπερ ἐξ ἥπατος ἡ κοίλη φλὲψ ἀναφέρεται διὰ τοῦ θώρακος, οὕτω καὶ ἐκ σπληνὸς ἑτέραν ἀρξαμένην διανέμεσθαι τοῖς ἀριστεροῖς μέρεσιν, οὐκ ἀληθεύουσι. μία γὰρ ἐστὶ μόνη φλέψ, ἐκ τῶν κάτω τοῦ διαφράγματος ἀνερχομένη. ζητεῖται δ' οὐκ ἀλόγως ὑπὸ τῶν ἐξηγητῶν, διὰ τί προσέθηκε τὸ ἐπὶ σπληνὶ τὸ μεγάλῳ, καί φασιν, οἱ τὰ πιθανώτατα δόξαντες λέγειν, ἐπὶ μικροῦ σπληνὸς, οὐ πάνυ σαφῆ γίνεσθαι τὴν ἐφ' ἑκάτερα ῥοπὴν ὠφελείας, ἢ βλάβης. ἐμοὶ δὲ δοκεῖ προσθεῖναι τῷ λόγῳ, τὸ, μεγάλῳ, ὡς εἰ καὶ ἐξηρμένῳ, ἢ ὠγκωμένῳ, ἢ φλεγμαίνοντι προσέγραψεν. εἰ γὰρ ἁπλῶς ἐπὶ σπληνὶ ἐγεγράφει, ζήτησις πάλιν ἂν ἦν ἑτέρα, τί πάσχοντος λέγει τοῦ σπληνός. εἰ οὖν τοῦτο μὴ ζητοῦμεν, ἀλλ' εἰδῶμεν ἐπὶ παντὸς ὄγκου τοῦ παρὰ φύσιν ἐν σπληνὶ τὴν ἀνάπαλιν αἱμορραγίαν βλαβερὰν οὖσαν, ἕνεκεν τοῦ διορισμοῦ προσέγραψε τὸ, μεγάλῳ. παράδειγμα δὲ ἐστὶ τοῦτο αὐτὸ δηλονότι τὸ, ἐπὶ σπληνὸς ἁπάντων τῶν ἀνάπαλιν αἱμορραγούντων, καὶ διὰ τοῦτο πρόσκειται τῷ λόγῳ τὸ, οἷον, ὡς εἰ καὶ οὕτως εἰρήκει, οἷον ἐφ' ἥπατι μεγάλῳ, ἐξ ἀριστεροῦ μυκτῆρος αἱμορραγία γινομένη, ἀλλ' οὕτως ἐπὶ σπληνὶ, ὡς παραδείγματι, ἐφ' ἧπαρ μεταβῆναι, προφανὲς εἶναι δοκήσας, οὐκέτ' ἐμνημόνευσε τοῦ ἥπατος. ὅτι δ' αὖ ἀπὸ σπλάγχνου πάλιν ἐπὶ σπλάγχνον ἡ μετάβασις ἐγίνετο, προσέθηκε τὸ ὑποχόνδριον, εἰπών, καὶ τὰ καθ' ὑποχόνδριον ὡσαύτως, ἵνα μὴ μόνον ἐπὶ τοῖς σπλάγχνοις τὰς κατ' ἴξιν αἱμορραγίας ἀγαθὰς εἶναι νομίζωμεν, ἢ κακὰς τὰς ἀνάπαλιν, ἀλλὰ καὶ τοῖς ὑποχονδρίοις. οὔσης δὲ κακῆς τῆς ἀνάπαλιν αἱμορραγίας, ἔτι μοχθηρότερον γίνεται τὸ σημεῖον, ἐὰν μετ' ἐφιδρώσεως συμβαίνῃ. ἐφίδρωσιν δὲ πολλάκις μὲν ἤδη κατὰ τὸ βιβλίον ἔγραψεν, οὐδαμόθι δὲ σαφῶς οὕτως, ὡς γνῶναι, πότερον τὴν περὶ θώρακα, καὶ κεφαλὴν γινομένων ἱδρώτων ἐπιφάνειαν οὕτως ὠνόμασεν, ἢ καὶ τὴν δι' ὅλου τοῦ σώματος, ὅταν ὀλίγοι τε, καὶ μηδὲν ὠφελοῦντες γίνωνται. μοχθηρὸν μὲν οὖν ἑκάτερον αὐτῶν ἐστι, μοχθηρότερον δὲ ἐν τοῖς ἄνω μέρεσι γινόμενον. σημαινούσης γὰρ ἁπάσης ἐφιδρώσεως, ἤτοι πλῆθος ἐν τοῖς ἐφιδροῦσι μορίοις, ἢ τῆς καθεκτικῆς δυνάμεως ἀρρωστίαν, ὁπότερον ἂν ᾖ τούτων, ἐν τοῖς περὶ θώρακα, καὶ κεφαλὴν τόποις μοχθηρότερόν ἐστι σημεῖον, ἢ κατ' ἄλλο τι μέρος γεγονότα.

Περὶ αἱμοῤῥαγίας σὺν ἱδρῶσι, καὶ περιψύξει τοῦ σώματος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρκη'.

ΕΚ ῥινῶν μικροῖς (ψυχροῖς) ἱδρῶσιν περιψυχόμενα, κακοήθεα, μοχθηρά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Κἀνταῦθα πάλιν ἑρμηνείᾳ κέχρηται, μὴ προσθεὶς τὸ ἐκ ῥινῶν ἀεὶ αἱμοῤῥαγοῦντι, προσυπακοῦσαι δὲ ἡμᾶς ἐξ ἀνάγκης αὐτὸ χρή, διὰ τὸ μηδὲν ἔχειν ἄλλο νοῆσαι. γίνεται γοῦν ὁ λόγος ὁλόκληρος ἑρμηνευθεὶς, τοιόσδε. γινομένης ἐκ ῥινῶν αἱμοῤῥαγίας, ὅταν ἱδρῶτες, ἢ ὦσιν, ἢ ἐπιγίγνωνται, περίψυξιν μὲν φέρουσι, μηνύουσαν κακὸν εἶναι τὸ νόσημα. περιψύξεως δὲ τῆς μὲν ἐν τοῖς ἄκροις γινομένης, τῆς δὲ καθ᾽ ὅλον τὸ σῶμα, χαλεπωτέρα δηλονότι περίψυξίς ἐστιν, ἡ καθ᾽ ὅλον τὸ σῶμα.

Περὶ τῶν μετὰ τὴν αἱμοῤῥαγίαν, διαχωρήσεων κακῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρκθ'.

ΜΕθ᾽ αἱμοῤῥαγίαν, μελαίνων διόδος, κακὸν, πονηρὰ δὲ καὶ τὰ ἐξέρυθρα. εἰ δὲ ἄρα γε τεταρταίοισι ταῦτα αἱμοῤῥαγεῖ, κωματώδεες, ἐκ τοιούτων σπασμῷ τελευτῶσιν; ἆρα μελαίνων προδιελθόντων, καὶ κοιλίης ἐπαρθείσης.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συνέχεε πάλιν κἀνταῦθα, καθάπερ ἐν ἄλλοις πολλοῖς λόγον σαφῆ, καὶ χρήσιμον ὑφ᾽ Ἱπποκράτους εἰρημένον. ἔστι δὲ αὐτοῦ τὸ μὲν πρῶτον καθόλου τοιόνδε. τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδεα, τὰ δὲ δύσκριτα. πολλῶν δὲ ὄντων κρισίμων, καθ᾽ ἕκαστον αὐτῶν πάλιν ἴδιος ὁ λόγος, ἐπὶ μέρους μὲν, ὡς πρὸς τὸ εἰρημένον, ἐν τῷ καθόλου δὲ, ὡς πρὸς τοὺς ὑποτεταγμένους, οἷος περ καὶ ὁ τοιόσδε. αἱμοῤῥαγία μὴ κρίνουσα θανατώδης, ἢ δύσκριτος. οὕτω δὲ καὶ ἱδρὼς, ἢ πλῆθος οὔρων, ἢ διαχωρημάτων, ἢ ἐμέτων, ἢ τὰ καθ᾽ αἱμοῤῥοΐδας, καὶ μήτρας ἐκκενούμενα, καὶ παρωτίδες ἅμα τοῖς ἄλλοις ἀποσκήμμασιν. ἅπαντα γὰρ ταῦτα μὴ κρίνοντα, ποτὲ μὲν θανατώδη, ποτὲ δὲ δύσκριτα γίνεται, τουτέστιν ἄκριτα ποιεῖ τὰ νοσήματα. κοινότατος δὲ ἐπ᾽ αὐτοῖς ἐστὶ λόγος, καὶ καθολικώτατος, καὶ γενικώτατος. ὀνομαζέτω γὰρ ἕκαστος, ὡς ἂν ἐθέλῃ, τὰ κρίσιμα μὴ κρίνοντα, τὰ μὲν θανατώδη, τὰ δὲ δύσκριτα. χρήσιμα δὲ ἐνταῦθα διορίσασθαι, πότε θανατώδη, καὶ πότε δύσκριτα. δέδεικται δὲ καὶ τοῦθ᾽ ὑφ᾽ Ἱπποκράτους αὐτοῦ. τὰ μὲν γὰρ ἐπὶ τοῖς κρισίμοις οὐδὲν ὠφελοῦντα, δύσκριτα, τὰ δὲ καὶ πρὸς τοὐναντίον ῥέποντα, θανατώδεα. μαρτυρεῖται δὲ τὰ πρὸς τοὐναντίον ῥέποντα, ἐκ τῶν ἄλλων σημείων, ὥσπερ καὶ νῦν ἔγραψε τὰ κακοήθη διαχωρήματα. γένοιτο δὲ ἄλλως ἄν τι τοιοῦτον ἕτερον πάθος κακόηθες, οἷον ἔμετος, ἢ οὖρα μοχθηρά, καθάπερ γε καὶ περίψυξις δυσεκθέρμαντος, ἢ ὅλου τοῦ σώματος, ἢ τῶν ἀκρωτηρίων μόνων. οὕτω δὲ καὶ δίψος διὰ βάθους, καὶ καῦμα, καὶ ἀχλὺς, καὶ δυσφορία, καὶ ἀγρυπνία, καὶ τῶν ἄλλων τι τῶν μοχθηρῶν. ἔμαθες δὲ ταῦτα αὐτὰ πάντα κατὰ τὰ περὶ κρίσεων ὑπομνήματα, καὶ τὰ τοῦ προγνωστικοῦ, ἔνια δὲ κἀν τοῖς τῶν ἐπιδημιῶν. ἔγραψε γοῦν κἀνταῦθα τὸν καθόλου λόγον, ἑνὸς εἴδους τῶν κατὰ μέρος μνημονεύσας.

De hæmorrhagia cũ sudore & corporis perfrigeratione.

HIPPOCRATIS PRÆDICTIO 128.

EX naribus effluente sanguine tenuibus cũ sudorib. perfrigescẽtia, maligna prauáque.

COMMENTARIVS GALENI.

RVrsus hoc loco interpretatione est vsus, non adiecto orationi ex naribus perpetuò erũpẽti sanguine, quod nos de necessitate subaudire oportet, propterea quod nihil aliud intelligere valeamus. Fiet autem sermo integer, si ita interpretari liceat; si ex naribus sãguis erũpat, quum sudores, vel fuerint, vel superuenerint, perfrictionem quidem ferunt, quæ indicat malum esse morbũ. At quum perfrictio tũ in extremis fiat, tum per totũ corpus, grauior certè difficiliórq; quæ per totũ corpus est.

De deiectionibus prauis post hæmorrhagiam.

HIPPOCRATIS PRÆDICTIO 129.

A Sanguinis eruptione nigrorũ per aluum transitus, malum; praua autẽ & prærubra, nũ verò & quarto die hæc sanguinis eruptio fiat? comatosi ex his conuulsione moriuntur; an nigris prægressis, & tumefacto ventre?

COMMENTARIVS GALENI.

RVrsum, & hoc loco, vt in aliis multis, sermonẽ manifestũ, vtilemq; ab Hippocrate dictũ cõfudit. Est autẽ ipsius primũ quidem vniuersale huiusmodi; *Indicatoriorũ non indicãtium alia quidẽ lethalia, alia verò indicatu difficilia.* Quũ autẽ indicatoria multa sint, in horum singulis suus est sermo, particularis quidẽ ad eũ, qui dictus est, relatus, vniuersalis verò ad subiectos, subordinatósque qualis est talis; sanguinis eruptio non iudicãs, vel lethalis, vel iudicatu difficilis. Ita sudor, vel copia tũ vrinarũ, tũ deiectionũ, tum vomituum, vel quæ per hæmorrhoidas, vel vterũ excernuntur, & parotides, & cæteri abscessus. Omnia siquidẽ hæc, si non iudicãt, interdũ quidẽ lethalia, interdũ verò & iudicationis difficilis, hoc est, morbos iudicationis expertes faciũt. Cõmunissima autẽ ex his efficitur oratio vniuersalissima, generalissimáq; (vocet enim vnusquisq; pro suo arbitratu) iudicatoriorũ nõ iudicãtium alia quidẽ lethalia, alia iudicatu difficilia. Præstat autẽ hoc loco, quãdo sint lethalia, & quãdo iudicatu difficilia, definiuisse; id quod ab Hippocrate ipso est demõstratũ. Quę nãq; ex iudicatoriis nihil iuuãt, sũt iudicatu difficilia; quæ verò etiam in cõtrariũ repunt, sũt lethalia. Iã quæ ad cõtrarium inclinãt, aliis ex signis certitudinẽ capiũt; quomodo & malignas scripsit hoc in loco deiectiones; acciderit quoq; aliter cuipiã altera talis affectio maligna, vt vomitus, vel prauæ vrinæ, veluti & perfrictio, quæ cùm difficultate excalefieri possit, aut totius corporis, aut extremarũ tantũ partiũ sic etiam profũda sitis, æstúsq; & caligo & iactatio, & vigilia, atq; prauorũ aliorũ quippiã. Didicisti verò hęc eadem omnia ex cõmentariis de iudicationibus, atque ex prognostico, quædam item ex epidemiis. Scripsit certo, & hoc loco sermonem vniuersalem, particularium speciem vnam cõmemorans.

Nempe

Nempe qui modò artem discit, putat sola hæc maligna esse, de quibus audiuit; si verò acri est ingenio, potest & alia quædam talia esse suspicari, tempúsque expectare aliud, in quo & ipsa perdiscat. Quòd si *non* ita didicerit, sed ea quæ particularia existunt, rursus expectabit, inscius, quantum doctrinæ adhuc ipsi desit; qui verò vniuersale didicerit, particularia omnia cognoscit. At qui prorrheticum hoc scripsit, in particulari versatur; atque ob id interdum quidem ex diuersi generis symptomatis concursionem aceruat, interdum verò ex vno ægro, aut duobus vniuersaliter pronunciat; atque aliquando addubitat, ambigítque, quomodo & nunc inquiens, an & quarto die talis eruptio fit? Nempe quòd quempiam viderit, cui quarto die sanguis erupit, omisso nomine sermonem fecit, quamquam dies ipsi vniuersalem in prognostico habeant doctrinam. Rursus autem particularia enuncians prorrhetici author non tanquam particularem, sed tanquam vniuersalem fecit sermonem, scribens ita, comatosi ex his conuulsione finiuntur, non necessariò fieri inquiens, sed interdum contingere, veluti & aliud quippiam inutile, quod habet generationem, sed id quidem simpliciter enunciauit. De nigris autem prodeuntibus, & ventre tumefacto, respondemus ipsi, & hic posse quidem & ea fieri, sed neque perpetuò, neque vt plurimùm.

De vulneribus malignis.

HIPPOCRATIS PRÆDICTIO 130.

SAnguinem profundentia cum sudatiunculis vulnera, maligna; Loquentes ita affecti occultè pereunt.

COMMENTARIVS GALENI.

QVidam τρώματα *vulnera* per τ, & ρ, & ω primam syllabam scripserunt, alij autem τρωμώδεα per τ, ρ, & ο; & vsitatissimæ quidem scripturæ hæ sunt tum expositoribus, tum scriptoribus, sed concursionibus raræ existunt; veluti & quæ primam scriptam habet per τ, ρ, α, & υ. Exordiendum igitur est & nobis à consueta vsitatáque, quam per τ, ρ, & ω scriptam reperimus; & quæ idem significat cum ea, quæ per τ, ρ, α, & υ scribitur. Nempe τρώματα læsiones eas appellat etiam Hippocrates, quæ ab externis inferuntur causis. Fecisse igitur in præsentia sermonem non solùm in vulneribus, vel exanthematis, vel abscessibus, vel diuisionibus, verùm quoque, & in sanguinis eruptionibus par est; quin in vulneribus consonant magis, quum sola hæc sanguinem profundant. Quidam scriptorem hunc etiamnum de sanguinis è naribus eruptionibus nunc agere dicunt, non in febribus solùm, verùm quoque, & in nuper dictis affectionibus interficere. Siue igitur de omnibus his sermo sit, siue & vulneribus duntaxat, sanguinis cum sudatiuncula eruptiones malignæ sunt; nec dissimili modo, si & τρωμώδεα, idest, *tremores*, scriptum fuerit. Illud autem, loquentes autem eos occultè perire, tale quippiam indicare aiunt, quòd tales nihil mali habere videantur, sed tanquam extra periculum constituti, & præsentibus loquentes, repente pereant. Quòd si aduerbium λαθραίως,

ὁ γὰρ ἄρτι μανθάνων τὴν τέχνην, οἴεται ταῦτα μόνα κακοήθη εἶναι, περὶ ὧν ἤκουσε. εἰ δὲ καὶ φύσει δριμὺς ἐστὶ, ὑπονοῆσαι ἐνδέχεται τινὰ καὶ ἄλλα τοιαῦτα εἶναι, καὶ περιμένειν χρόνον ἄλλον ἐν ᾧ κἀκεῖνα μαθήσεται, κἂν οὕτω τύχῃ μαθὼν, ἀλλὰ τὰ κατὰ μέρος αὖθις περιμενεῖ, μὴ γινώσκων ὁπόσον ἔτι λείπει τῆς διδασκαλίας αὐτῷ. ὁ δὲ τὸ καθόλου μαθὼν, ἅπαντα γινώσκει τὰ κατὰ μέρος. ἀλλ' ὁ τὸ προρρητικὸν τοῦτο γεγραφὼς, ἐν τοῖς κατὰ μέρος φέρεται, καὶ διὰ τοῦτο, ποτὲ μὲν ἐξ ἀνομοιογενῶν συμπτωμάτων ἀθροίζει συνδρομὴν, ποτὲ δὲ ἐξ ἑνὸς, ἢ δυοῖν ἀρρώστοιν, ἀπόφασιν ποιεῖται καθόλου, ποτὲ δὲ ἀπορεῖ, καὶ ἀμφιβάλλει, καθάπερ καὶ νῦν εἰπὼν, ἆρά γε τεταρταίοισι ταῦτα αἱμορραγεῖ; ὡς γὰρ ἑωρακώς τινα τεταρταῖον αἱμορραγήσαντα, παραλιπὼν δὲ τοὔνομα γράψαι, τὸν λόγον ἐποιήσατο, καίτοι τὰ περὶ τῶν ἡμερῶν καθόλου διδασκαλίαν ἔχει ἐν τῷ προγνωστικῷ. πάλιν δὲ τὰ κατὰ μέρος ἀποφαινόμενος ἐστὶν ὁ τὸ προρρητικὸν γράψας, οὐχ ὡς κατὰ μέρος, ἀλλ' ὡς καθόλου τὸν λόγον ἐποιήσατο, γράψας ὧδε, κωματώδεες, ἐκ τούτων σπασμῷ τελευτῶσιν, οὐκ ἀναγκαίως γινόμενον εἰπὼν, ἀλλ' ἔσθ' ὅτε συμβαῖνον, ὥσπερ καὶ ἄλλο τι τῶν ἀχρήστων ἐχόντων γένεσιν, ἀλλὰ τοῦτο μὲν ἁπλῶς ἀπεφήνατο. περὶ δὲ τῶν μελαινῶν προσδιελθόντων, καὶ κοιλίης ἐπαρθείσης· ἀποκρινόμεθα τοῖς ἐρωτῶσιν αὐτῷ κἂν ταῦτα, δύνασθαι μὲν καὶ ταῦτα γενέσθαι, ἀλλ' οὔτε διὰ παντὸς, οὔθ' ὡς τὸ πολύ.

Περὶ τρωμάτων κακοηθέων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλ'.

ΤΑ αἱμορραγέοντα, ἐφιδροῦντα, τρώματα, κακοήθεα. οὗτοι διαλεγόμενοι, λαθραίως τελευτῶσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝιοι μὲν ἔγραψαν τρώματα, διὰ τοῦ τ καὶ ρ καὶ ω τὴν πρώτην συλλαβὴν, ἔνιοι δὲ τρωμώδεα, διὰ τοῦ τ καὶ ρ καὶ ο. συνηθέσταται μὲν αἱ γραφαὶ αὗται, τοῖς τε ἐξηγηταῖς ἐγένοντο, καὶ τοῖς γράφουσι, σπάνιαι δὲ ταῖς συνδρομαῖς, ὥσπερ καὶ ἡ διὰ τοῦ τ καὶ ρ καὶ α καὶ υ τὴν πρώτην συλλαβὴν ἔχουσα γεγραμμένην. ἀρκτέον οὖν ἐστὶ καὶ ἡμῖν ἀπὸ τῆς συνήθους, ἣν διὰ τοῦ τ καὶ ρ καὶ ω γεγραμμένην εὑρίσκομεν, ταὐτὸν σημαίνουσαν τῇ διὰ τοῦ τ καὶ ρ καὶ α καὶ υ γεγραμμένῃ. τρώματα γὰρ, τὰς ἀπὸ τῶν ἔξωθεν αἰτίων βλάβας ὀνομάζει καὶ Ἱπποκράτης. εἰκὸς οὖν ἐστὶ καὶ νῦν τοῦτον τὸν λόγον, οὐ μόνον ἐπὶ τραυμάτων, ἢ ἐξανθημάτων, ἢ ἀποστημάτων, καὶ διαστάσεων γεγονέναι, ἀλλὰ καὶ ἐπὶ τῶν αἱμορραγιῶν. συμφωνότεραι γὰρ εἰσὶν αἵδε ἐπὶ τοῖς τραύμασι, ταῦτα γὰρ αἱμορραγοῦσι μόνον. τινὲς δὲ φασὶν, ὅτι περὶ τῶν ἐκ ῥινὸς αἱμορραγιῶν, ἔτι καὶ νῦν ὁ λόγος ἐστὶν αὐτῷ γινόμενος, οὐκ ἐν πυρετοῖς μόνον, ἀλλὰ καὶ τοῖς ἄρτι λελεγμένοις πάθεσι θανατοῦν. ἐάν τ' οὖν περί τε πάντων αὐτῶν ὁ λόγος, ἐάν τε καὶ περὶ τραυμάτων μόνον, αἱ μετ' ἐφιδρώσεως αἱμορραγίαι, κακοήθεις εἰσὶν, ὡσαύτως δὲ κἂν τρωμώδεα γεγραμμένον ᾖ. τὸ δὲ διαλεγομένους αὐτοὺς, ἐν ἄλλῳ τραυματώδεα λαθραίως τελευτᾶν, τοιοῦτόν τι δηλοῦν φασι, μηδὲν ἔχειν δοκοῦντες οἱ τοιοῦτοι κακὸν, ἀλλ' ὡς ἐν ἀκινδύνῳ καθεστῶτες, καὶ διαλεγόμενοι τοῖς παροῦσιν, ἐξαίφνης τελευτῶσιν. εἰ δὲ τοῦτο αὖθις βούλεται σημαίνειν, τὸ λαθραίως,

ἄκρως φαίνονται οἱ σπουδάζοντες ἐξαλλάττειν τὴν κατὰ φύσιν ἑρμηνείαν, ἀλλοκότοις μεταφοραῖς. ἡγοῦνται γὰρ ἀρετὴν εἶναι λόγου, τὸ διὰ παντὸς ἀφίστασθαι συνήθους, ὡς οὐδὲν διαφέρον, εἰ καὶ πρὸς τὸ χεῖρον τις ἀφίσταται.

Περὶ κωφώσεως κακῆς.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλα΄.

Η μεθ᾽ αἱμορραγίαν βραχεῖαν, καὶ μελαίνων διαχώρησιν, ἐν ὀξέσι κώφωσις, κακόν· αἵματος διαχώρησις ἐν τούτοισιν ὀλέθριον· κώφωσιν δὲ λύει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Περιέχεταί τι κατὰ τὴν συνδρομὴν ταύτην ἀληθὲς καθολικόν, ἐπεὶ γάρ τοι τοῖς μέλασι διαχωρήμασιν ἐν τοῖς ὀξέσι νοσήμασιν, ἂν αἷμα διαχωρήσωσιν, ὀλέθριον ὄντως ἐστί. καὶ γὰρ καὶ ἡμεῖς εἴδομεν τοῦτο, καὶ ἄλλοι γεγηρακότες ἐν τοῖς τῆς τέχνης ἔργοις. καί μοι φαίνεται γίνεσθαι τὸ σύμπτωμα, κατὰ τὸν αὐτὸν λόγον, καθ᾽ ὃν ἐν ταῖς ὑπερκαθάρσεσιν ὕστατον ἐκκρίνεται τὸ αἱματῶδες. ἀλλὰ τῶν κατὰ μέρος ἐστίν, ἐν οἷς ὁ συγγραφεὺς ὠνόμασεν.

Περὶ σημείων αἱμορραγωδέων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλβ΄.

Ὀσφύϊ ἐπωδύνῳ καρδιαλγικὰ προσεόντα, σημεῖα αἱμορραγώδεα, οἶμαι καὶ προγεγενημένον σημεῖον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐ καλῶς τὴν ῥῆσιν ταύτην ἐξηγήσαντο πολλοὶ τῶν γεγραφότων εἰς τὸ βιβλίον ὑπομνήματα, μετὰ τοῦ καὶ διενεχθῆναι πρὸς ἀλλήλους. ἐμοὶ δ᾽ αὖ τις αὐτὴν δοκεῖ χρησίμως τοῖς μανθάνουσιν ἐξηγήσασθαι, κατὰ τόνδε τὸν τρόπον. οὐκ ἐμνημόνευσεν ἐν τῷ λόγῳ πυρετῶν, ἢ ὀξέος νοσήματος, ὥσπερ εἴωθεν. εἰκὸς οὖν ἐστιν, ἐπὶ τῶν ἀπυρέτων αὐτοῦ γίνεσθαι τὸν λόγον, ἐπ᾽ οὐδεμιᾷ προφάσει φανερᾷ, πλείοσιν ἡμέραις ἐφεξῆς ὀδυνωμένων ὀσφύν, καὶ καρδιαλγούντων. ἐπὶ τούτων οὖν προσδοκᾶν χρή, δι᾽ αἱμορροΐδων κενώσεως. δύναιο δ᾽ ἄν, οὐ μόνον, ὅτι γενήσεται τοῦτο προλέγειν, ἀλλὰ καὶ δι᾽ ἐπίσχεσιν αἱμορροΐδων αὐτὰ γενέσθαι τεκμαίρεσθαι, καὶ μᾶλλον εἰ βλέποις τὴν κρᾶσιν τοῦ ταῦτα πάσχοντος, μελαγχολικήν, ὥστε σοι τὴν ἐκ τῶν εἰρημένων πρόρρησιν, οὐ μόνον μέλλοντος, ἀλλὰ καὶ προγεγονότος εἶναι, καὶ τρίτον γε τοῦ ἐνεστῶτος. ὅταν γὰρ ἀπὸ τῶν ἄλλων διορισθῇ τὸ τῆς ὀσφύος ἄλγημα, καὶ ἡ καρδιαλγία, προγεγονότος μὲν ἔσται πρόγνωσις ἐκ τοῦ γνῶναι, καὶ πρόσθεν αὐτῷ γεγονέναι δι᾽ αἱμορροΐδος κένωσιν. μέλλοντος δέ, ὅτι καὶ νῦν ἔσται, ἐνεστώσης δὲ τῆς διαθέσεως αὐτῆς, σαφῆ τὰ συμπτώματα. πλήθους γὰρ ἠθροισμένου κατὰ τὰς φλέβας, λεπτὸς μέν τις ὀρρὸς αὐτοῦ συρρέων εἰς τὴν γαστέρα, τὰς καρδιαλγίας ἐργάζεται, προσαναβαίνων ἐπὶ τὸ κατ᾽ αὐτὴν στόμα, πάντων σχεδὸν αἰσθητικώτατον ὑπάρχον τῶν μορίων. τὸ δὲ πλεῖστον τοῦ πλήθους εἰς τὸ κάτω χωρίον ῥέπον, ἐφ᾽ ὃ καὶ πρότερον εἰώθασί γε φέρεσθαι, τὰ τῆς ὀσφύος ἀλγήματα γενήσεται.

idest, *occultè*, hoc velit ipsi significare, naturalē interpretationē alienis metaphoris permutare summopere studere videtur; putāt nāque virtutē esse orationis sēper à cōmuni loquēdi cōsuetudine recedere, perinde, ac si nihil referret, si quis vel ad deterius recedat.

De surditate mala.

HIPPOCRATIS PRÆDICTIO 131.

Post modicam sanguinis eruptionem, & nigrorum deiectionem, in acutis surditas, malum: sanguinis deiectio in his perniciosa. Surditatem verò soluit.

COMMENTARIVS GALENI.

Continetur in hac syndrome verum quippiam, & vniuersale. Nempe in acutis morbis, nigris ex deiectionibus si sanguinem deiecerint, perniciosum verè existit; id quod, & nos scimus, & cæteri, qui in artis operibus consenuerunt. Atqui symptoma esse videtur secundum eam rationem, qua in superpurgationibus vltimum excernitur, quod sanguineum est; sed particularium est, in quibus scriptor nominauit.

De signis eruptionis sanguinis per hæmorrhoidas.

HIPPOCRATIS PRÆDICTIO 132.

Lumbis dolentibus cardialgiæ accedentes, signa eruptionis sanguinis puto, notámque progressam.

COMMENTARIVS GALENI.

Non rectè explanauerunt sententiam hanc plerique qui in hunc librum commentarios scripserunt, simúlque, & pugnantia dixerunt. Videtur autem mihi quidam eam in discentium vtilitatem exposuisse; sed hoc modo non meminit febrium, vel acuti morbi, vt consueuit. Vt ergo sermo eius in non febrientibus sit, verisimile est, ex nulla manifesta causa consequentes dies lumbis dolentibus, atque ore ventris; In his igitur vacuationem per hæmorrhoidas expectare oportet. Posses autem non solùm id fore prædicere, sed & propter hæmorrhoidum retentionem ea fuisse coniicere; magísque si eius, qui hæc patitur, temperiem videas melancholicam, vt tibi ex dictis prædictio non solùm futuri, verùm & præteriti, & tertio præsentis fit. Nempe quum ab aliis distinctus fuerit lumborum dolor, & cardialgia, præteriti quidem erit prænotio, quòd & antea fuisse illi per hæmorrhoidas vacuationem noueris; futuri quòd & nunc erit; præsentis autem affectionis perspicua sunt symptomata, nempe copia in venis aceruata tenue quoddam serum in ventrem confluens cardialgias parit, in os ipsius ascendens, quod omnium ferè partium maximè sentiendi facultate præstat. Plurima autem abundantiæ portio ad inferum repens locum, in quem & primum deferri consueuerat, lumborum dolores efficiet.

De

A

De periodica vacuatione sanguinis suppressa.

HIPPOCRATIS PRÆDICTIO 133.

QVi statis temporibus sanguinem fundunt, siticulosi hi, difficiles, & exoluti, si non fuderint, epileptici moriantur.

COMMENTARIVS GALENI.

HOc rursum loco satis erat vniuersaliter dicere, primùm quidem, quibus vacuatio sanguinis consueta retenta fuit, his morbos fore plethoricos, manante ipso ad eas corporis partes, quæ retentis excretionibus propinquæ sunt, vel ad eas, quæ imbecilliores existunt; particulatim verò de iis, qui ex hæmorrhoide, vtpotè excremẽtis exeũtibus melancholicis, alunt vel melancholiam, vel phthisin, vel hyderum, vel varices, vel cactum, vel elephantem; præter hos autem vnicuiq; ea parte fore affectionem, quæ cæteris manifestè imbecillior existit. Non rectè autem duorum symptomatum concursionem adiecit, sitis, & exolutionis, in sanguinis retentione; nam sitis nullo pacto retentionis sanguinis proprium existit; exolutio autem immoderatas excretiones, non retentiones consequitur; & rectè dictum est in secundo epidemiorum; *Sanguine multo fluente lassescere*, vbi & quod ex voce exolutionis significatur, exposui.

B

De signis hæmorrhagiæ vberis.

HIPPOCRATIS PRÆDICTIO 134.

QVi cõpositi perturbantur, peruigilant, è naribus sanguinẽ stillát, sexto die leuatur, noctè laborát, postridie leuiter sudant, in somnũ ferũtur, delirántque, abundè sanguinẽ profundent; An, & aquosa vrina tale quiddam indicat?

C

COMMENTARIVS GALENI.

DIlucidè rursus hoc loco ostendit, quod in particularibus apparet cõcursionibus. Nempe profluuij sanguinis peculiaria sunt signa clarè in commentariis de crisibus deinceps scripta; nunc autem in homine, qui abundè sanguinem profudit, omnia quæ sanguinis profusionem præcedunt, scripsit.

D

De sanguinis euacuatione copiosiore.

HIPPOCRATIS PRÆDICTIO 135.

QVibus sanguinis eruptiones plures fuerint, procedente tẽpore alui malè afficiuntur, nisi vrinæ concoctæ fuerint.

E

COMMENTARIVS GALENI.

DIxit in aphorismis Hippocrates; *Quibus in febribus sanguinis quacunque ex parte copia eruperit, quum restituuntur, alui his humectantur*; hic autem simpliciter inquit, πονηρεύονται, id est, *malè afficiuntur*, forsan in verbo, *malè afficiuntur*, complecti volens, & *humectantur*, & quæcunque in ventre perperam fiunt, aliis quidem morsis, aliis inflatis, vel ructu acido correptis, vel prorsus non concoquentibus. Omnia autem caloris natiui inopiam consequuntur; ob quam & vrina aquosa videtur.

F

Περὶ τῆς περιοδικῆς αἱμορραγίας ἐπισχεθείσης.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλγ.

ΤΑ τεταγμένοισι χρόνοισιν αἱμορραγέοντα, διψώδεα, δύσκολα, ἐκλυόμενα, μὴ αἱμορραγήσαντα, ἐπιληπτικὰ τελευτᾷ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑνταῦθα πάλιν ἤρκει καθόλου φάναι, πρῶτον μὲν οἷς ἂν συνήθης κένωσις αἵματος ἐπίσχηται, τούτοις ἔσεσθαι νοσήματα πληθωρικά, ῥυέντος αὐτοῦ πρὸς ἐκεῖνα τὰ μόρια τοῦ σώματος, ὅσα πλησίον ἐστὶ τῶν ἐπεσχημένων ἐκκρίσεων, ἢ τῶν ἄλλων ἀσθενέστερα. κατὰ μέρος δὲ περὶ τῶν ἐξ αἱμορροΐδος, ὡς ἂν μελαγχολικὰ περιττώματα, τρεφόντων ἤτοι μελαγχολίαν, ἢ φθίσιν, ἢ ὕδερον, ἢ κιρσούς, ἢ καρκίνον, ἢ ἐλέφαντα. τούτων δὲ ἔξωθεν ἑκάστῳ κατ' ἐκεῖνο τὸ μόριον ἔσεσθαι τὸ πάθος, ὃ τῶν ἄλλων ἐστὶν ἐπιφανῶς ἀσθενέστερον. οὐκ ὀρθῶς δὲ προσέθηκεν ἐν τῇ προκειμένῃ ῥήσει δυοῖν συμπτωμάτων, τῆς δίψης, καὶ τοῦ ἐκλύεσθαι τὴν ἐπίσχεσιν. τὸ μὲν γὰρ τῆς δίψης, οὐδ' ὅλως ἴδιον ἐπισχέσεως αἵματός ἐστι. τὸ δὲ ἐκλύεσθαι ταῖς ἀμέτροις ἐκκρίσεσι τοῦ αἵματος, οὐ ταῖς ἐπισχέσεσιν ἕπεται. καὶ καλῶς εἴρηται κατὰ τὸ δεύτερον τῶν ἐπιδημιῶν αἵματος πολλοῦ ῥυέντος ἀνοχλεῖσθαι, ἔνθα καὶ τὸ σημαινόμενον ἐξηγησάμην ἐκ τῆς, ἐκλύεται, φωνῆς.

Περὶ σημείων τῆς λαύρας αἱμορραγίας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλδ.

ΤΑ εὔθετα ταραχώδεα, ἄγρυπνα, ἀποστάξαντα, ἑκταῖα κουφισθέντα, νύκτα πονήσαντα, εἰς τὴν αὔριον ἐφιδρώσαντα, κατενεχθέντα, παρακρούσαντα, αἱμορραγήσει λαύρως. ἆρά γε τὸ ὑδατῶδες οὖρον, τοιοῦτόν τι σημαίνει;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΔήλωσε πάλιν ἐνταῦθα σαφῶς, αὐτὸ ἐν τῷ κατὰ μέρος συνδρομαῖς φαινόμενον. αἱμορραγίας γὰρ εἰσὶν ἴδια σημεῖα, τὰ γεγραμμένα σαφῶς ἐφεξῆς ἐν τοῖς περὶ κρίσεων ὑπομνήμασι, νῦν δὲ ἐπ' ἀνθρώπου λαύρως αἱμορραγήσαντος, πάντα τὰ προηγούμενα τῆς αἱμορραγίας ἔγραψε.

Περὶ αἱμορραγιῶν τῶν πλειόνων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλε.

ΟΙσιν αἱμορραγίαι πλείους, προεληλυθότος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ τὰ οὖρα πεπανθῇ.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ μὲν τοῖς ἀφορισμοῖς, ὁ Ἱπποκράτης εἶπεν· οἷσιν ἐν πυρετοῖσιν αἱμορραγέει πλῆθος ὁκόθεν οὖν, ἐν τῇσιν ἀναλήψεσιν, ἐν τούτοισιν αἱ κοιλίαι καθυγραίνονται. ἐνταῦθα δὲ ἁπλῶς ἔφη, πονηρεύονται, τάχα περιλαβεῖν τῷ, πονηρεύονται, ῥήματι, βουληθεὶς καὶ τὸ, ἐξυγραίνονται, καὶ τὰ ἄλλα ὅσα κατὰ κοιλίαν πλημμελεῖται. τινῶν μὲν δακνομένων, τινῶν δὲ ἐμφυσωμένων, ἢ ὀξυρεγμίαις ἁλισκομένων, ἢ ὅλως ἀπεπτούντων. ἅπαντα δὴ ἕπεται τῇ τῆς ἐμφύτου θερμασίας ἐνδείᾳ, δι' ἣν καὶ τὸ οὖρον ὑδατῶδες φαίνεται.

Περὶ κακίστων αἱμορραγιῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλϛ'.

ΕΝ κρισίμοισι περιψύξεσι τῶν αἱμορραγιῶν αἱ νεανικαὶ, κάκισται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΣΑφὴς ὁ λόγος ἐστὶ, καὶ ζήτημα οὐδὲν ἔχων, νεανικαὶ, καὶ κάκισται γεγραμμένον. εἰ δὴ, ὡς ἔνια τῶν ἀντιγράφων, ἀντὶ τοῦ, κάκισται, τὸ, κράτισται γεγραμμένον ἔχει, μέγιστον τὸ ζήτημα. καί τινες αὐτὸ συναγορεύοντες, φασὶ τὸ δηλούμενον εἶναι τοιοῦτον. ὅσαι αἱμορραγίαι νεανικαὶ, περιψύχονται ἐν κρισίμοις ἡμέραις, ἄρισταί εἰσιν, ὡς ἂν ἐπισχοῦσαι τὰς αἱμορραγίας. οὗτοι δὲ οὐ τὴν γεγραμμένην ἐξηγοῦνται ῥῆσιν, ἀλλ' ἑτέραν, ἧς ἔδει τὴν λέξιν εἶναι τοιαύτην. αἱ ἐν κρισίμοις περιψύξιες τῶν νεανικῶν αἱμορραγιῶν κράτισται, πρὸς τῷ καὶ μάτην προσκεῖσθαι, τὸ κρισίμοις. ἐν ᾗ γὰρ ἡμέρᾳ, νεανικαῖς αἱμορραγίαις περιψύξιες ἐπιγίνονται, τὰς αἱμορραγίας ἱστῶσιν.

Πρόῤῥησις τῆς αἱμορραγίας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλζ'.

ΟΙ καρηβαρικοὶ, κατὰ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι, αἱμορραγικοὶ, ἄλλως τε, καὶ ἢν τι ἐν τραχήλῳ ἐντείνει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΙμορραγοῦσι μὲν, καὶ κατὰ τὰς τοιαύτας συνδρομὰς, οὐ μὴν πολλάκις γε.

Πρόῤῥησις τῆς ἐξαίφνης αἱμορραγίας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλη'.

ΤΑ ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ αἱμορραγεῖ, ἄλλως τε, καὶ ἢν μή τι προεῤῥύη, ἆρά γε φρίξαντα;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ ταύτῃ τῇ συνδρομῇ τὸν αὐτὸν προσθήσω λόγον, ὡς ἔνιοι καὶ τούτων αἱμορραγοῦσι κατὰ τὰ κεφαλαλγικά.

Τὰ τῆς αἱμορραγίας σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρλθ'.

ΤΡαχήλου ὀδυνώδεα, ὄμματα ἐξέρυθρα, αἱμορραγικά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΝτως ταῦτα συνελθόντα πολλάκις αἱμορραγίας ἤνεγκε. τὰ δ' ἄλλα τὰ προειρημένα, ὀλιγάκις. ἐν αὐτοῖς δὲ μεγίστην δύναμιν ἔχει τὰ ἐξέρυθρα ὄμματα.

Περὶ αἱμορραγίας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμ'.

ΟΙσι κοιλίης ἐπίστασις αἱμορραγέει, καὶ ἐπιρριγέει. ἆρα κοιλίη λειεντεριώδης, καὶ ἐπισκληρὸς, ἢ ἀσκαρίδες, ἢ ἀμφότερον;

De sanguinis eruptionibus pessimis.

HIPPOCRATIS PRÆDICTIO 136.

IN iudicatoriis perfrictionibus sanguinis eruptiones vehementes, pessimæ.

COMMENTARIVS GALENI.

COnspicuus est sermo nullãq; quæstionẽ habet, si vehementes & pessimæ scriptũ fuerit. Si verò, vt nonnulla exẽplaria habẽt, pro κάκισται, idest, *pessimæ*, scriptum fuerit κράτισται, idest, *optimæ*, maxima oritur quæstio; quod defendẽtes nõnulli tale quippiam significari aiunt; *Quæcunque sanguinis eruptiones vehemẽtes refrigerantur in iudicatoriis diebus, optimæ sunt*, tãquam refrigeratio sanguinis eruptiones retineat. Hi autẽ non scriptã enarrant sententiam, sed alterã, qua ita dici oportebat; *Quæ in iudicatoriis fiunt eruptionum sanguinis vehementium refrigerationes, optimæ sunt*. Adde quòd frustra additum sit, *iudicatoriis*, nempe quocunque die sanguinis eruptionibus vehementibus perfrictiones aduenerint, sanguinis eruptiones sistunt.

Prædictio hæmorrhagiæ.

HIPPOCRATIS PRÆDICTIO 137.

CApite grauati, ad sinciput dolẽtes, insomnes, sanguinem profundunt, tum aliàs, tum siquid in ceruice contendat.

COMMENTARIVS GALENI.

SAnguinem profundunt quidem, & in huiusmodi concursionibus, sed non multoties.

Prædictio repentinæ hæmorragiæ.

HIPPOCRATIS PRÆDICTIO 138.

VIgiliis vexati, derepente cum iactatione sanguinem profundunt, tum aliàs, tum siquid nõ ante fluxerit; num, & vbi inhorruerint?

COMMENTARIVS GALENI.

COncursioni quoque huic sermonem adiiciam eundem, quòd quidam horum sanguinem profundunt in capitis doloribus.

Signa hæmorrhagiæ.

HIPPOCRATIS PRÆDICTIO 139.

CErnicis dolores, valdè rubri oculi, sanguinis eruptionem significant.

COMMENTARIVS GALENI.

VEre hæc, quòd sæpius ad sanguinis eruptiones concurrant, intulit; cætera verò, quæ ante dicta sunt, raro concurrunt. In re eiusmodi magna pręstant virtute impensè rubri oculi.

De hæmorrhagia.

HIPPOCRATIS PRÆDICTIO 140.

QVibus aluus est suppressa, sanguinem hi profundunt, superrigẽtque; an aluus lienterica ac obdura fiat, vel ascarides adsint, vel vtrunque?

COMMENTARIVS GALENI.

VErbum αἱμοῤῥαγέειν, idest, *sanguinem profundere*, videtur sæpius, non semel, author intelligere, sanguinē è naribus fluere; arbitrórque eum adnotasse aliquem, qui suppressā aluo sanguinem profuderit, deinde superriguerit, & postea lienteria correptus sit. Sed quòd aluus cum lienteria indurverit, controuersiam habet manifestā. Nempe quidam duritiem in ipso ventris corpore intellexerunt, non in excrementis. Alij nihil id prohibere inquiunt, aliis quidem ita sanguinem profundentium adhuc magis quàm antea, superinduratū esse ventrem; aliis verò contractam intestinorum læuitatē, veluti & habere ascaridas. Alij fieri posse inquiunt lienteriam durā, si, quæ permeauerint, non solùm qualitate, vel quæ cōuerti non possint, vel immutabilia secundū qualitates manserint, verùm quoque, & dura, qualia deuorata sunt, citra vllam madefactionē. Dioscorides, præsentē prædictionē in duo secans seorsum quidē scripsit; *Quibus venter tenditur, sanguinē hi profundunt, & superrigent; an ad sanguinis profusionem tale consequatur?* deinde principio altero, inquit, Venter intestinorū læuitate correptus, vel durus, vel ascarides, vel vtrunque. Scribit autem non ἐπίσκληρος, sed ἐπίσκληρον per ν, & iuxta illud supernè imponens λ, vtrinque punctis includit; vult autem per vocem hanc ἐπίσκληρον, corpus induratum significari.

ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΤΟ αἱμοῤῥαγέειν, ἐμφαίνεται πολλάκις οὐχ ἅπαξ αἷμα ῥυῆναι ἐκ τῆς ῥινὸς ἀξιοῦν ἀκούειν. ἑωρακέναι δέ μοι δοκεῖ τινα, ὡς ἐπισχεθείσης τῆς γαστρὸς, αἱμοῤῥαγέειν, εἶτ' ἐπιῤῥιγοῦν, καὶ μετὰ ταῦτα ἐγένετο λειεντεριώδης. τὸ δὲ καὶ ἐπίσκληρον, ἅμα τῇ λειεντερίᾳ γενέσθαι τὴν γαστέρα, μάχην ἐμφαίνει. ὅτι δέ τινες μὲν ἐπ' αὐτοῦ τοῦ σώματος τῆς γαστρὸς αὐτὸ ἐπήκουσαν, τὸ ἐπίσκληρον, οὐκ ἐπὶ τῶν διαχωρημάτων. ἔνιοι δ' οὐδὲν τοῦτο κωλύειν φασὶ, τινὰς μὲν τῶν οὕτως αἱμοῤῥαγούντων ἔτι μᾶλλον, ἢ πρόσθεν ἐπισκληρυνθῆναι τὴν γαστέρα, τινὰς δὲ λειεντεριώδεις γενέσθαι, καθάπερ γε καὶ ἔχειν ἀσκαρίδας. ἔνιοι δὲ δύνασθαί φασι λειεντερίαν ἐπίσκληρον γενέσθαι τῶν διερχομένων, οὐ μόνον ἀτρέπτων, ἢ ἀμεταβλήτων κατὰ ποιότητα μεινάντων, ἀλλὰ καὶ σκληρῶν οἷα κατεπόθη μενόντων ἄνευ τοῦ διαβραχῆναι. Διοσκουρίδης δὲ τὴν προκειμένην ῥῆσιν ταύτην δίχῃ ἑλὼν, ἰδίᾳ μὲν ἔγραψε τὸ, οἷσι κοιλίης ἐπίτασις αἱμοῤῥαγέει, καὶ ἐπιῤῥιγώσασι, ἆρά γε, καὶ πρὸς τὸ αἱμοῤῥαγέει τοιοῦτον. μετὰ ταῦτα δὲ ἀφ' ἑτέρας ἀρχῆς, κοιλίη λειεντεριώδης, ἢ ἐπίσκληρος, ἀσκαριδες, ἢ ἀμφότερον. γράφει δὲ οὐκ ἐπίσκληρος, ἀλλ' ἐπίσκληρον διὰ τοῦ ν καὶ κατ' αὐτοῦ τὸ λ ἄνωθεν ἐπιθεὶς, ἑκατέρωθεν ἐπιστίζει, βούλεται σημαίνειν τὴν ἐπίσκληρον ταύτην φωνὴν, τὸ κατεσκληρυκὸς σῶμα.

De indiciis vehementis eruptionis sanguinis.

HIPPOCRATIS PRÆDICTIO 141.

QVibus ad caput manúsque ex lumbis fit recursus, stupefacti hi, ventriculi ore dolentes, & saniosi, sanguinem abundè profundunt, ventérque turbatis his copiosè fluit.

Περὶ σημείων τῆς αἱμοῤῥαγίας λάβρας.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμα'.

ΟΙσιν ἐξ ὀσφύος, ἀναδρομὴ ἐς κεφαλὴν, καὶ χεῖρας, ναρκώδεες, καρδιαλγικοὶ, ἰχωρώδεες, αἱμοῤῥαγέουσι λάβρως, καὶ κοιλίη δὲ καταῤῥήγνυται, τούτοισι ταραχώδεσιν.

COMMENTARIVS GALENI.

DIligenter rursum hoc cōsideres loco authorē, qui cōcursiones ita scribit, vt in quibusdā sanguinē profundētibus vidit; & si quæ à me sunt demōstrata, memoria tenueris, iudicare ipse, quænā superfluè scripta sint sanguinē profundentibus facta indicia, poteris. Cætera quidē sentētiæ similiter quāplurimi scribūt; quidā verò non ἰχωρώδεες, idest, *saniosi*, sed χολώδεες idest, *biliosi*, scripserūt. Si verò eorum, quæ supra dicta sunt, memor fueris, quonā modo vtrunq; defendi possit, non ignoras.

ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠὶ πολὺ πρόσεχε πάλιν ἐνταῦθα ταῖς συνδρομαῖς αὐτῷ γράφοντι, καθὼς ἐθεάσατό τινας αἱμοῤῥαγήσαντας, καὶ εἰ μέμνησαι τῶν ὑπ' ἐμοῦ διδαχθέντων, αὐτὸς κρίνειν δυνήσῃ, τίνα περιττῶς γέγραπται γενόμενα τοῖς αἱμοῤῥαγήσασι τὰ σημεῖα. τὰ μὲν οὖν ἄλλα τῆς ῥήσεως, ὡσαύτως οἱ πλεῖστοι γράφουσι. τὸ δὲ ἰχωρώδεες, ἔνιοι χολώδεες ἔγραψαν, πρόδηλον δὲ ἐστιν εἰ μέμνησαι τῶν ἔμπροσθεν, ὅπως ἑκάτερα δύναται συναγορεύεσθαι.

Signa hæmorrhagiæ cum alui doloribus.

HIPPOCRATIS PRÆDICTIO 142.

QVibus ex copiosa sanguinis eruptione, & frequēti, nigrorū multorū est deiectio, & alui cōtentio ac suppreßio, sanguinem hi profundūt aluo dolentes; Cum quadā verò fluxione facilè ferunt. An hi sudatiunculas frigidas habeant multas? Returbata his vrina mala non est, neque quod residet genituræ simile; Frequentius verò hi meiunt aquosa.

Σημεῖα τῆς αἱμοῤῥαγίας σὺν ταῖς τῆς κοιλίας ὀδύναις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμβ'.

ΟΙς ἐφ' αἱμοῤῥαγίῃ λάβρως πυκνῇ, μελάνων, συχνῶν διαχώρησις, ἐπίτασις, διαιμοῤῥαγοῦσιν οὗτοι, κοιλίης ὀδυνώδεες, ἅμα δέ τινι ῥύσει εὐφοροῦσι. ἆρα οὗτοι ψυχροῖς ἐφιδροῦσι πολλοῖς; τὸ ἀνατεταραγμένον ἐν τούτοισιν οὖρον οὐ πονηρὸν, οὐδὲ τὸ ὑφιστάμενον γονοειδές. ἐπίσυχνον δὲ, οὗτοι ὑδατώδεα οὐρέουσιν.

COMMENTARIVS GALENI.

COnspicatus quoq; hæc omnia, vniuersale inde cōprehendisse ostēdit, quòd singulorum, quæ dicta sunt, vires non cognouerit; quæ tibi cōstant, si es memor eorū, quæ dicta sunt tū in his cōmentariis, tum in iis, quos in prognosticū fecimus,

ὙΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΚΑὶ ταῦτα πάντα δῆλός ἐστι τεθεαμένος, τὸ καθόλου συλλαβεῖν ἐπ' αὐτοῖς, διὰ τὸ μὴ γινώσκειν ἑκάστου τῶν εἰρημένων τὴν δύναμιν, ἣν ἔμαθες, εἰ μέμνησαι τῶν ἔν γε τούτοις τοῖς ὑπομνήμασιν εἰρημένων, καὶ τῶν εἰς τὸ προγνωστικὸν,

ἔτι τε ἐν τοῖς περὶ κρίσεων, ἀλλὰ καὶ τὴν ἐν αὐτοῖς ἄσκησίν τε, καὶ γυμνασίαν ἐκ τῶν ἐπιδημιῶν ἔμαθες. οὐ χρὴ δὲ ἅπαξ, ἢ δὶς ἀναγνόντα τῶν τοιούτων οὐδὲν, ἐὰν σε τὸ λοιπὸν θαρρήσαντα τῇ μνήμῃ. μόλις γὰρ ἄν τις ἑτοίμην τε, καὶ πρόχειρον ἕξει τὴν χρείαν, συνεχῶς μεταχειριζόμενος ἕκαστα τῶν ὑπομνημάτων.

tum in libris De crisibus; meditationẽ quoque eorum, exercitationẽmq; in epidemiis perdidicisti. Lectis autem aut semel, aut bis talibus, vt memoriæ tuæ confisus à reliquo temperes, non oportet; vix enim eam tum facilem, tum promptam habebit, qui etiam assiduè in omnibus versetur cõmẽtariis.

Περὶ μικρᾶς τῆς ἀποστάξεως τοῦ αἵματος.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμγ'.

Οἷς αἱ ἀπὸ ῥινῶν ἐπικωφώσεις, καὶ νωθρείη μικρὴ ἡ ἀπόσταξις, ἔχει τι δύσκολον αἵματος, ἔμετος τούτοις συμφέρει, καὶ κοιλίης ταραχή.

De parua stillatione sanguinis.

HIPPOCRATIS PRÆDICTIO 143.

QVibus è naribus in surditate & torpore pauca sanguinis est destillatio, molestũ quid habet; vomitus his confert, aluique perturbatio.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ οἶδα ὅπως ἐκ μικροῦ κακοῦ τῆς ἐκ τῶν ῥινῶν ἀποστάξεως, φησί. τὸ γὰρ, ἔχει τι δύσκολον, ἐπὶ τῶν μικρῶν εἰώθασι λέγειν οἱ ἄνθρωποι. τὸ δὲ, ἐστὶν οὐ σμικρὸν κακὸν, εἰ καὶ χωρὶς κωφώσεως, καὶ νωθρότητος γένοιτο· σὺν τούτοις δηλωτικοῖς οὖσι τοῦ πεπονθέναι τὸν ἐγκέφαλον, ὀλέθριον ἔσται σημεῖον ἡ ἀπὸ ῥινῶν στάξις. εἰ δὲ ἔμετος, ἢ κοιλίας ταραχὴ συμφέρει τούτοις, δυνατὸν οὐκ ἐστὶν ἁπλῶς ἀποφήνασθαι χωρὶς διορισμοῦ. διορισμὸς δέ ἐστιν ἐνίοισιν ἐν ἀρχῇ τοῦ νοσήματος εἰ τὴν δύναμιν ἰσχυρὰν, ἢ αἵματος ἔχον πλῆθος, ἢ φλέγματος, ἢ χολῆς ὁποτερασοῦν. εἰ γὰρ ἰσχυρῶς κενοῖ πλῆθος αἵματος ἔχοντες, εὔδηλον, ὅτι φλεβοτομίας, οὐκ ἐμέτων, ἢ γαστρὸς ταραχῆς δέονται. καὶ τὸ τε αὖθις κατὰ τοὺς ἐμέτους, καὶ τὴν τῆς γαστρὸς ταραχὴν, δῆλόν ἐστιν, ὅπερ εἴρηται πρότερον, τὸν ἰατρὸν ἀξιοῦντα αὐτὸν κινεῖν ἔμετον, καὶ τὴν γαστέρα ταράττειν, μὴ περὶ τῶν ὑπὸ τῆς φύσεως γινομένων ἀποφαινόμενον.

COMMENTARIVS GALENI.

NEscio quomodo paruum malũ esse intelligat sanguinẽ è naribus, stillicidij instar, fluentem; nempe orationem ἔχει τι δύσκολον, idest, *difficile quippiam habet* in paruis dicere homines consueuerunt. Sed non paruum id malum existit, & si absq; surditate ignauiáq; fuerit; cum his, quæ cerebrum affectum esse indicant, lethale signũ erit sanguinis è naribus, stillicidij instar, fluor. An verò vomitus, vel ventris perturbatio his cõferat, non potest simpliciter absq; distinctione pronunciari. Distinctio autem est, quibusdam morbi in principio, si vires valentes, vel sanguinis redundantiam habeant, vel pituitæ, vel alterutrius bilis. Nam si valenter excernant, sanguinísque redundantiam habeant, quòd sectione venæ, non vomitu, vel ventris perturbatione, indigeant, neminem latet. Quod verò in vomitibus, ventrísque perturbationibus antea est dictum, patescit, quum medicum vomitum ciere, & ventrem perturbare velit; non de iis quæ à natura fiunt, enunciet.

Τὰ τῶν γυναικείων, ἢ τῆς αἱμορραγίας σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμδ'.

Οἷσιν ἐκ ῥίγεος πυρετοὶ κοπώδεες, γυναικεῖα καταρρέει, τράχηλος δὲ ἐν τούτοις ὀδυνώδης, αἱμορραγικόν.

Menstruorum muliebrium aut hæmorrhagiæ signa.

HIPPOCRATIS PRÆDICTIO 144.

QVibus ex rigore febres cũ lassitudine fuerint, muliebria his mẽstrua decurrũt; ceruix autẽ in his dolẽs sanguinis eruptionem portendit.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ χωρὶς τοῦ ῥιγῶσαι μετὰ τοῦ πυρετοῦ, ταῖς ὑγιαινούσαις γυναιξὶν ἡ ἔμμηνος κάθαρσις, εἴ τε μετά τινος αἰσθήσεως κοπώδους. ὅταν οὖν καὶ ῥίγη γένηται, μείζονα τὴν κίνησιν ἐργαζόμενα ὅλου τοῦ σώματος, καὶ τοῦ κατ᾽ αὐτὸ πλεονάζοντος αἵματος ἐπεγείρει τὴν φύσιν εἰς ἀπόκρισιν τοῦ περιττοῦ, μᾶλλόν γ᾽ ἐλπὶς γενέσθαι τὴν κένωσιν τῶν γυναικείων, ὅπερ ἐστὶ τῶν καταμηνίων, ἐὰν καὶ ἡ προθεσμία τῆς κατὰ περίοδον καθάρσεως ἐμπέφυκεν. ἐὰν μέντοι τράχηλος ὀδυνώδης ἐπὶ τοῖς προειρημένοις γένηται τῆς ἄνω ῥοπῆς, αὐτὸ τίθεται γνώρισμα.

COMMENTARIVS GALENI.

MVlieribus quoque rectè valentibus, etiam citra rigorem cum febre, menstrua fit purgatio, cum sensione quadã lassitudinis. Quum igitur, & rigores fuerint, maiorem totius corporis motionem patientes; & sanguine in eo redundante naturam ad superflui vacuationem excitent; magis vtique muliebrium, idest, *menstruarum purgationum*, vacuationem fore spes est, si & purgationis, quæ per circuitum repetit, tempus adfuerit. Si verò ceruix ex prædictis doluerit, vergentis ad superas partes humoris signum constituitur.

Τὰ διὰ ῥινῶν, ἢ μήτρας, ἢ ἐντέρων αἱμορραγίας σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμε'.

Καὶ διὰ ῥινῶν αἱμορραγῆσαι, ἐλπίζειν τὰ σείοντα κεφαλὴν, καὶ τὰ ἠχώδεα, αἱμορραγέειν, ἢ γυναικεῖα καταβιβάζειν, ἄλλως τε, καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθήσῃ. ἴσως δὲ, καὶ δυσεντερικόν.

Eruptionis sanguinis vel per nares, vel per vterum, vel per intestina, signa.

HIPPOCRATIS PRÆDICTIO 145.

ET per nares sanguinẽ profũdere sperandũ est ea, quæ caput cõcutiunt, & quæ aurium sonitũ faciunt, sanguinẽ profundunt, vel muliebria deducũt, tum aliàs, tum si ad spinã æstus insequetur; fortaßis verò, & dysenteriã cõcitabũt,

COM-

COMMENTARIVS GALENI.

RVrsus hoc loco nomẽ vnũ adscripsit, anceps ambiguũque, totã sentẽtiæ seriem quęstionis cuiusdã opus habere efficiens; nẽpe quęnã sint caput σείοντα, cõcutientia, obscurũ admodũ videtur. Quidam enim capitis symptomata omnia ita dicta esse inquiunt, inuenta generali quadã hac voce ab eo; vt antea quum de vẽtre ageret, vocẽ hanc πονηρεύεσθαι, idest, malè affici, inuenerat. Alij in palpitationibus, pulsationibúsq; tẽporalium venarũ, vel tremulis, vel quodãmodo vibrantibus, motionem quandam totius corporis. Hæc igitur caput cõcutientia mouent interdũ, & sanguinis è naribus eruptiones veluti & mẽstrua. Sperat autẽ id fore magis, si mulier sensionẽ æstus citra spinam habuerit. Potes etiam iudicare humores noxios, qui ad inferiora impetum faciunt, nisi per vterum vacuati fuerint, dysenteriam esse facturos.

Signa eruptionis sanguinis cum horrore.

HIPPOCRATIS PRÆDICTIO 146.

VEntris quoq; palpitationes cũ hypochondrij tẽsione sublonga, & tumente, sanguinis eruptionẽ significant; inhorrescunt autem hi.

COMMENTARIVS GALENI.

INcertũ est, de quonã symptomate dictũ sit palpitationũ nomen. Nẽpe præter id, quòd neque appellationes antiquorũ apertè discretæ sunt, vt & ostẽdit liber de palpitatione in quo de arteriarum pulsibus disseritur, sic & libri huius author ad nomina cõstituenda, vel ex abusu, vel ex metaphora prõptus existit. Non ignoramus autẽ, quòd quum Hippocrates in prognostico diceret; *Si verò pulsus in hypochondrio insit*; subintulit, *Perturbationem aut dementiam indicat*. Cæterùm & hi quidam intellexerunt pro pulsu palpitationem dictam esse; nonnulli verò propriè de vehementi spinam perreptantis arteriæ motione. Quanquam autem, & hi palpitationem scripserunt, non tamen sanguinis profundendi signum indicatorium pulsum hunc esse enunciauit in prognostico Hippocrates; sed postea de hypochondrij inflammationibus scribens, sermoni adiecit; *Fit autem his, & sanguinis per nares eruptio, & valde iuuat*. Atque vt magis fore quis ex naribus sanguinis eruptionem speret, interrogandos esse ait, an capite doleant, aut oculi caligent; nam si horum quippiam fuerit, in eam partem sanguis repet. Vt autem benè Hippocrates in hypochondrij inflammationibus dixit; Fit autem his, & sanguinis per nares eruptio; sic hoc loco sermonem ex vniuersali in particularem transtulit, inquiens; Cum hypochondrij tensione sublonga. Fit autem sublonga tensio ea mediorum musculorum, qui à thorace ad pubis ossa pertinent; Fit autem, & lienis sublonga phlegmone. Sed nemo phlegmonas huiusmodi, quæ cum palpitatione fiant, hæmorragicas esse dixerit; phlegmonas verò hepatis cæterorúmque hypochondrij musculorum (sex enim reliqui à duobus prædictis existunt) benè quis hæmorrhagicas affirmauerit. Quòd ergo in dictionibus multis libri authorem redarguerim, redarguere quoque, & nunc non pertimescam, qui scilicet particularium enunciationem multam fecerit, beuem autem,

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡοσέγραψεν ἐνταῦθα πάλιν ἓν ἀμφίβολον ὄνομα, πᾶσαν ῥῆσιν ἔχειν ἔργου πεποιημένος τι ζήτημα. τίνα γάρ ἐστι τὰ σείοντα τὴν κεφαλὴν, ἀσαφὲς πάνυ. τινὲς μὲν ἅπαντα τὰ κατὰ τὴν κεφαλὴν συμπτώματά φασιν οὕτως εἰρῆσθαι, γενικήν τινα φωνὴν ταύτην εὑρόντος αὐτοῦ, καθάπερ ἔμπροσθεν ἐπὶ τῆς κοιλίας τὸ πονηρεύεσθαι. τινὲς δὲ κατὰ τοὺς παλμοὺς, ἢ σφυγμοὺς τῶν ἐν κροτάφῳ φλεβῶν, κίνησίν τινα τῆς ὅλης κεφαλῆς, ἤτοι τρομώδης, ἢ πως κλονώδης. ταῦτ' οὖν τὰ σείοντα κεφαλὴν, κινοῦντά ποτε καὶ τὰς ἐκ τῶν ῥινῶν αἱμοῤῥαγίας, ὥσπερ γε καὶ καταμήνια. μᾶλλον δ' ἐλπίζει τοῦτ' ἔσεσθαι, καύματος αἴσθησιν ἐχούσης ἐν τοῖς κατὰ ῥάχιν χωρίοις τῆς γυναικὸς; εἰκάζειν τε δύνασαι τὴν ἐπὶ τὴν κεφαλὴν ῥοπὴν τῶν λυπούντων; εἰ μὴ διὰ τῆς μήτρας κενωθείη, καὶ δυσεντερίαν εἰργάσασθαι.

Τὰ τῆς αἱμοῤῥαγίας φρικώδεος σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμϛ'.

ΚΑὶ οἱ κατὰ κοιλίην παλμοὶ, ὑποχονδρίου ἔντασις ὑπομάκρῳ ὀγκώδης, αἱμοῤῥαγικοὶ, φρικώδεες οὗτοι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΔηλόν ἐστιν, ἐπὶ τίνος συμπτώματος εἴρηται τὸ τῶν παλμῶν ὄνομα. πρὸς γὰρ τὸ μηδὲ διακεκρίσθαι σαφῶς τὰς προσηγορίας τῶν παλαιῶν, ὡς δηλοῖ, καὶ τὸ περὶ παλμοῦ βιβλίον, ἐν ᾧ περὶ τῶν κατὰ τὰς ἀρτηρίας σφυγμῶν διαλέγεται, οὕτως καὶ ὁ γράψας τοῦτο τὸ βιβλίον, εὐχερής ἐστιν εἰς θέσιν ὀνομάτων ἐκ καταχρήσεως, ἢ μεταφορᾶς. ἴσμεν δ', ὅτι κατὰ τὸ προγνωστικὸν εἰπὼν Ἱπποκράτης· εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, ἐπήνεγκε, θόρυβον σημαίνει, ἢ παραφροσύνην. ἤκουσαν δὲ κἀκεῖ, τινὲς μὲν ἀντὶ τοῦ σφυγμοῦ, παλμὸν εἰρῆσθαι, τινὲς δὲ κυρίως, ἐπὶ τῆς σφοδρᾶς κινήσεως τῆς κατὰ ῥάχιν ἀρτηρίας. ἐπεὶ δὲ καὶ οἱ παλμὸν ἔγραψαν, οὐ μὴν αἱμοῤῥαγικὸν εἶναι σημεῖον, ἀπεφήνατο κατὰ τὸ προγνωστικὸν ὁ Ἱπποκράτης τὸν σφυγμὸν τοῦτον ὑπάρχειν. ἀλλ' ἐφεξῆς περὶ τῶν καθ' ὑποχόνδριον φλεγμονῶν γράψας, προσέθηκε τῷ λόγῳ, γίνεται δὲ τούτοισι, καὶ αἵματος ῥῆξις διὰ ῥινῶν, καὶ κάρτα ὠφελέει. καὶ ἵνα γε μᾶλλον ἐλπίσῃ ἔσεσθαι τὴν ἐκ τῶν ῥινῶν αἱμοῤῥαγίαν, ἐπανέρεσθαί φησιν, εἰ κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυώττουσιν. εἰ γὰρ εἴη τούτων τι, ἐνταῦθα ἂν ῥέποι. καλῶς δ' εἰπόντος Ἱπποκράτους, ἐπὶ τῶν καθ' ὑποχόνδριον φλεγμονῶν, γίνεται δὲ τούτοισι καὶ αἵματος ῥῆξις διὰ ῥινῶν, οὕτω κἀνταῦθα τὸν λόγον, ἐκ τοῦ καθόλου μετήγαγεν ἐπὶ τὸ κατὰ μέρος, εἰπὼν, ὑποχονδρίου ἔντασις ὑπομάκρῳ. ἡ δὲ ὑπόμακρος ἔντασις αὕτη τῶν μυῶν ἂν εἴη τῶν μέσων, οἵτινες ἀπὸ τοῦ θώρακος ἐπὶ τὰ τῆς ἥβης ὀστᾶ καταφέρονται. γίνεται δὲ καὶ σπληνὸς ὑπόμακρος φλεγμονή, ἀλλ' οὐκ ἄν τις φαίη μετὰ παλμοῦ γινομένου, ταύτας τὰς φλεγμονὰς αἱμοῤῥαγικὰς εἶναι, τὴν δ' ἥπατος φλεγμονὴν τῶν ἄλλων μυῶν τῶν καθ' ὑποχόνδριον, ἓξ γάρ εἰσιν ὑπόλοιποι τῶν εἰρημένων δύο μυῶν, εἶναι καὶ αὐτὰς τὰς αἱμοῤῥαγίας. ὅπερ οὖν ἐν πολλαῖς ῥήσεσιν ἐμεμψάμεθα τοῦ βιβλίου τοῦτο γράψαντος, οὐκ ἂν ὀκνήσαιμι, καὶ τανῦν μέμψασθαι, περὶ ὧν κατὰ μέρος ἀπόφασιν πολλὴν ποιησαμένου, σύντομον δὲ,

καὶ ἀληθῆ διδασκαλίαν διὰ τὴν καθόλου παραλιπόντος. καὶ γὰρ καὶ κατὰ τὸ τέλος τῆς ῥήσεως οὗτοι προσέθηκαν, φρικώδεες, ὡς καθόλου καὶ τοῦτο συμβαῖνον αὐτοῖς, καίτοι γ' οὐκ ἀεὶ καθόλου. γίνεται μὲν γὰρ ἐπὶ ταῖς τοιαύταις συνδρομαῖς ἐνίοτε καὶ τουτὶ τὸ σύμπτωμα, διὰ παντὸς δὲ, ἢ πλειστάκις οὐ γίνεται. χρὴ δὲ ταῦτα γράφειν ἐν τῇ προῤῥητικῇ διδασκαλίᾳ, ὅσα διὰ παντὸς, ἢ πλειστάκις γίνεται. εἰ δὲ νῦν ἐπὶ τοῦ προκειμένου, καθάπερ ἐπὶ παραδείγματος ὁ λόγος γένηται σαφὴς, εἴ τις φαίη τῶν κατ' ἐπιγάστριον μυῶν, ἐξ τὸν ἀριθμὸν ὄντων, τοὺς μέσους, τοὺς ὀρθίους αἱμοῤῥαγικωτέρους τῶν ἄλλων εἶναι, πλέον τι διδάξει, τοῦ αἱμοῤῥαγίας ἐπιγίνεσθαι λέγοντος. εἰ δὲ ἁπλῶς μόνους τούτους εἴπῃ φλεγμαίνοντας, εἴπερ καὶ ἄλλο τι τῶν αἱμοῤῥαγικῶν αὐτοῖς ἐπιγένηται σημείων, ἐπιφέρει αἱμοῤῥαγίαν.

Διὰ τὴν ὑπερκένωσιν σπασμός.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμζ'.

Ἐκ ῥινῶν λάβρα, βίαια, πολλὰ ῥυέντα, ἑτοῖμον εἰς σπασμοὺς προσάγεται, φλεβοτομία λύει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Εἰ ἁπλῶς εἰρήκει σπασμὸν προσάγεσθαι ταῖς τοιαύταις αἱμοῤῥαγίαις, ἐμεμψάμεθα ἂν αὐτὸν, ὥσπερ ἐν ἄλλοις πολλοῖς, οὕτω κἀνταῦθα, τὸ κατὰ μέρος ἀποφηνάμενον, ὡς καθόλου. ἐπεὶ δὲ προσέθηκεν, ἔστιν ὅτε, ἐπαινοῦμεν ἀληθεύεται. καὶ γὰρ ἡμεῖς, ὡς εἴδομεν πολλάκις ἐπὶ τοιαύταις αἱμοῤῥαγίαις σπασθέντας τινὰς, οὐ μόνον διὰ τὴν ὑπερκένωσιν, ἀλλὰ καὶ διὰ τὴν ψύξιν ἣν ψύχουσιν οἱ ἰατροὶ τὴν κεφαλὴν, ἐπισχεῖν βουλόμενοι τὴν αἱμοῤῥαγίαν. τὸ δὲ ἐπὶ τῇ τελευτῇ τῆς ῥήσεως εἰρημένον, φλεβοτομία λύει, τοιόνδε τι φαίνεται δηλοῦν. τὰς τοιαύτας διαθέσεις, ἐφ' αἷς σφοδρῶς αἱμοῤῥαγοῦσι, φλεβοτομία λύει, πρὸ τῆς αἱμοῤῥαγίας παραληφθεῖσα. δῆλον ὅτι βαρυνομένη τῷ πλήθει τοῦ αἵματος, ἡ φύσις ὥρμησε μὲν ἐπὶ τὴν ἀπόκρισιν αὐτοῦ, κρατῆσαι δὲ τοῦ συμμέτρου μὴ δυνηθεῖσα, τὴν καλουμένην ὑπὸ τῶν νεωτέρων ἰατρῶν ὑπέρκρισιν εἰργάσατο. δύναται δὲ καὶ αὐτῆς τῆς σφοδρᾶς αἱμοῤῥαγίας βοήθημα, τὴν φλεβοτομίαν εἰρηκέναι. καὶ γὰρ καὶ ἡμεῖς πολλάκις ἐπειράθημεν τοῦ βοηθήματος, ἐναργῶς ἱστάντος τὴν ἄμετρον φορὰν τοῦ αἵματος. εὔδηλον δὴ ὅτι τὴν κατ' εὐθὺ χεῖρα τέμνειν χρὴ τοῦ μυκτῆρος, ἐξ οὗ ῥεῖ τὸ αἷμα λάβρως, καὶ ταύτης αὐτῆς τῆς χειρὸς τὴν ὠμιαίαν φλέβα διαιρεῖν, εἰ δὴ ἐξ ἀμφοτέρων, οὐδὲν κωλύει διαιρεῖν ἀμφοτέρας. οὐ γὰρ ὑπὲρ τοῦ κενῶσαι δι' αὐτῶν, ἀλλ' ἀντισπάσεως ἕνεκα τὴν τομὴν ποιούμεθα.

Τὰ τῆς αἱμοῤῥαγίας σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμη'.

Αἱ πυκναὶ, καὶ κατὰ μικρὰ διαναστάσιες, ὑπόξανθοι, γλίσχραι, ἔχουσαι μικρὰ κοπρώδεα μεθ' ὑποχονδρίου ἀλγήματος, καὶ πλευροῦ, ἰκτερώδεες. ἆρα δὲ ἐπισχόντων αὐτῶν οὗτοι ἐκλύονται, ἅμα τε καὶ αἱμοῤῥαγέει; τούτοις τάσις ὀσφύος, ἀλγήματα ἐν τούτοισιν αἱμοῤῥαγικά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Συνεφόρησε πάλιν ἐνταῦθα συμπτωμάτων πλῆθος οὐχ ὁμογενῶν, ὑπὲρ ὧν ἑώρα, οὐδ' αὐτὸς διατείνεται· ἑκά-

A & veram doctrinam vniuersalium reliquerit. Præterea in fine prædictionis adiecit, inhorrescũt autẽ hi, tanquam vniuersaliter his contingens, quanquam vniuersale non sit; fit enim ex talibus cõcursionibus interdum & hoc symptoma; perpetuò autem, vel magna ex parte non fit. Scribenda verò sunt in prorrhetica doctrina, quæcunque vel perpetuò, vel magna ex parte fiunt; vt si in proposito veluti exemplo sermo manifestus fiat. Si quis dixerit inter musculos abdominis octo numero existentes, medios rectos hæmorrhagiæ indicantiores cæteris esse, plus edocebit, quàm qui hæmorrhagias superuenire dicunt; si verò simpliciter solos hos dixerit inflammari, si & aliud quoddam B hæmorrhagicorum signorum his superuenerit, hæmorrhagiam infert.

Ob vacuationem immoderatiorem conuulsio.

HIPPOCRATIS PRÆDICTIO 147.

Quæ è naribus copiosa, violenta, multa fluxerint, ad conuulsiones interdum deducunt; venæ sectio soluit.

COMMENTARIVS GALENI.

C Si in huiusmodi sanguinis eruptionibus cõuulsionẽ asciscì simpliciter dixisset, hominem reprehendissemus, quòd vt in cæteris multis, ita & nũc particulare, tanquã vniuersale, pronunciasset; quia verò, *interdũ*, apposuit, laudamus & vera loquitur. Nempe & nos sæpius vidimus in hæmorrhagiis huiusmodi cõuulsos aliquos non solũ ob exuberantẽ vacuationẽ, sed etiam propter refrigerationem, si medici caput refrigerauerint, sanguinis profusionẽ retinere volẽtes. Quod autẽ in sententiæ fine dictũ est, *venæ sectio soluit*, tale quippiam D indicare videtur. Tales affectiones in quibus vehementer sanguinẽ profundũt, venæ sectio soluit, ante sanguinis profusionẽ adhibita; constat autẽ, quòd grauata sanguinis multitudine natura, excitata quidẽ fit ad ipsius euacuationẽ, sed modũ obtinere non valens, vocatã à recentioribus medicis excretionem immodicam, fecerit. Potest autem & vehementis ipsius hæmorrhagiæ auxilium sectionem venæ dixisse; nempe & nos sæpius auxilium experti sumus, perspicuè immoderatam sanguinis lationem sistentes. Quòd autem manum recto tramite nari, vnde sanguis abundè fluit, respondentem secare, manúsq; eiusdem humeralem venam E ferire oporteat, liquidò constat omnibus; si verò ex nare vtraque fluxerit sanguis, secare ambas nihil prohibebit; non enim per eas vacuationis, sed reuulsionis gratia, sectionem facimus.

Eruptionis sanguinis signa.

HIPPOCRATIS PRÆDICTIO 148.

Frequẽtes, & paucæ surrectiones, subflauæ, lẽtæ, stercoracea pauca habẽtes, cum hypochondrij, & lateris dolore, morbum regium præ- F *nũciant. Num autẽ his suppreßis hi exoluuntur, simúlque sanguinem profundunt? lumborũ tensio his, & dolores sanguinis eruptionem significant.*

COMMENTARIVS GALENI.

Congessit rursus hoc loco symptomatum diuersi generis multitudinem, quam vidit, nec ipse

ipse affirmat; singulorum autem vires didicisti in iis, quos paulo ante dixi, Hippocratis libris, & nostris commentariis.

Significatio eruptionis sanguinis.

HIPPOCRATIS PRÆDICTIO 149.

Hypochondrij tensio cum capitis grauitate, & surditate; & quæ splendores perturbant, sanguinis denunciant profusionem.

COMMENTARIVS GALENI.

Vult sanè, quæ circa aspectũ Hippocrates tenebrosa dixit, in dicta symptomatũ concursione hæmorrhagica ostendere, sicuti per cõmentarios nostros didicisti. Nempe rursus admonere, quæ nuper sæpius memorauimus, commentarios in sermonis prolixitatem est extendere.

De sanguinis stillicidiis difficilibus.

HIPPOCRATIS PRÆDICTIO 150.

Vndecimo die sanguinis stillicidia difficilia; tum aliàs, tum si superstillauerint.

COMMENTARIVS GALENI.

Verbũ quidẽ, superstillauerint, superuacuum existit; nam si & quarto & quinto, similiter absurdũ. Quum autẽ omnes è naribus stillationes difficiles sint, quoties crassæ & nigrę destillationes fuerint, maximè perniciosas has reperies. Si verò tale quippiã diebus quibusdã, vel indicatoriis, vel iudicatoriis cõtingat, certius prẹostẽdisse licet; vndecimus autem decimi quarti est index. Vbi ergo theoremata vniuersalia diximus, nunc libri huius author particulare aliquod vnum dixit, vndecimi diei in ipsis mentionẽ faciens. In vniuersali autem de indicibus, & iudicatoriis id dixisse par erat.

Significatio sanguinis eruptionis futuræ.

HIPPOCRATIS PRÆDICTIO 151.

Qui in horrorib. simul iudicatoriè sudarũt, postridie verò vbi inhorruerint, præter rationẽ vigilãt, hos sanguinẽ effusuros esse arbitror.

COMMENTARIVS GALENI.

Rectè dixit, *puto*, prædictionis eorum quæ neque assiduè, neque magna ex parte fiunt, affirmationem adimens.

Rigor sanguinis fluxionem sistit.

HIPPOCRATIS PRÆDICTIO 152.

Quibus ab initio largæ sanguinis eruptiones, rigor fluxionem sistit.

COMMENTARIVS GALENI.

Est quando rigorem moderatum videmus prægressum sanguinis profusionem in corporis plenitudine; turbationem etenim in ipso faciens, naturam ad excernendum, quod infestat, irritat. Magna igitur ex parte sudores, vomitúsque bilio-

σου τὴν δύναμιν ἔμαθες ἐν οἷς ὀλίγον ἔμπροσθεν εἶπον Ἱπποκρατείοις μὲν συγγράμμασιν, ἡμετέροις δὲ ὑπομνήμασιν.

Ἡ τῆς αἱμορραγίας σημείωσις.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρμθʹ.

Ὑποχονδρίου ἔντασις μετὰ καρηβαρίης, καὶ κωφώσεως, καὶ τὰ περὶ τὰς αὐγὰς ὀχλέοντα, αἱμορραγικά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Βούλεται δηλοῦν, ἅπερ Ἱπποκράτης σκοτώδεα περὶ τὰς ὄψεις εἴρηκεν, ὄντως ἐν τῇ εἰρημένῃ συνδρομῇ τῶν συμπτωμάτων αἱμορραγικὴ, καθὼς διὰ τῶν ἡμετέρων ὑπομνημάτων ἔμαθες. ἀναγινώσκειν γὰρ ἄρτι πάλιν ὧν πολλάκις ἐμνημονεύσαμεν, εἰς μῆκος λόγου ἐκτείνειν ἐστὶ τὰ ὑπομνήματα.

Περὶ σταξίων τῶν δυσκόλων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρνʹ.

Ἐνδεκαταίοισι στάξιες δύσκολοι, ἄλλως τε, καὶ ἢν ἐπιστάξις.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὸ μὲν, ἐπιστάξις, περιττόν· εἰ γὰρ καὶ τοῖς δʹ, καὶ εʹ, ὁμοίως ἄτοπον. ἁπασῶν δὲ οὐσῶν τῶν ἀπὸ ῥινὸς στάξεων χαλεπῶν, ὅταν παχεῖαι καὶ μέλαιναι ἀποστάξῃς, ταύτας ὀλεθριωτάτας εὑρήσεις. εἰ δὲ κατά τινας τῶν ἐπιδημιῶν, ἢ κρισίμων ἡμερῶν συμβαίνει τὸ τοιοῦτον, βεβαιότερον ἔξεστι προδηλῶσαι. ἐπίδηλος δὲ καὶ ἡ ιαʹ. τῆς ιδʹ. ὥστε τοῦ λελεγμένου καθόλου θεωρήματος ὑπ᾽ ἐμοῦ, νῦν ὁ γράψας τὸ βιβλίον, ἕν τι τῶν κατὰ μέρος εἶπεν, ἐνδεκάτης μνημονεύσας ἐν αὐτοῖς ἡμέρας. ἐν δὲ τοῖς καθόλου περὶ τῶν ἐπιδήλων τε, καὶ κρισίμων εἰρηκέναι τοῦτο.

Ἡ τῆς αἱμορραγίας ἐσομένης σημείωσις.

ΠΡΟΡΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ρναʹ.

Τὰ ἐν φρίκῃσιν ἅμα ἱδρώσαντα κρισίμως, εἰς δὲ τὴν αὔριον φρίξαντα παραλόγως, ἀγρυπνέοντα, αἱμορραγήσειν οἴομαι.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καλῶς εἶπεν, οἴομαι, διατείνεσθαι περὶ τῆς προρρήσεως, τῶν μήτε συνεχῶς, μήθ᾽ ὡς τὸ πολὺ γινομένων ἀφελών.

Ῥῖγος ῥύσιν τοῦ αἵματος ἵστησι.

ΠΡΟΡΡΗΣΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ ρνβʹ.

Οἷσιν ἐξ ἀρχῆς αἱμορραγίαι λάβραι, ῥῖγος ἵστησι ῥύσιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ῥῖγος ἐστὶν ὅτε μέτριον ἐθεασάμεθα προηγησάμενον αἱμορραγίας ἐν πλήθει σώματος. ταραχὴν γὰρ ἐν αὐτῷ ποιῆσαν, ἐπεγείρει τὴν φύσιν ἀποκρῖναι τὸ λυποῦν, ὡς τὸ πολὺ μὲν οὖν, ἱδρῶτες, ἔμετοί τε χολωδῶν, καὶ δια-

χωρήσεις ἐπὶ τοῖς ῥίγεσι γίνονται. συμβαίνει δὴ, ὡς ἔφην, ἐνίοτε καὶ δι' αἱμοῤῥαγίαν κενωθῆναι τὸ πλῆθος.

sorum, & deiectiones, ex rigore fiunt; contingit verò & interdum, vt dixi, per sanguinis profusionem, copiam vacuari.

Περὶ αἱμοῤῥαγίας ἀντισπάσεως, καὶ ἐξ αἱμοῤῥαγίας ῥίγεα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρνγ'.

Ἐὰν δὲ ἐπιγένηται λαύρα αἱμοῤῥαγίη, ἀντισπᾶται. ἐξ αἱμοῤῥαγίας, ῥίγεα μακρά.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅταν μὴ παύσῃ τὴν νόσον ἡ αἱμοῤῥαγία, διαδέξεται δὴ αὐτὴν ῥῖγος, ἑκάτερον γὰρ μακρὸν ἐκ τοῦ δυσεκθέρμαντον εἶναι, καὶ τοῦ περιμένειν ἐπὶ πλείοσιν ἡμέραις, γινόμενον ἐκ περιόδου μὲν, ὡς τὸ πολὺ, συμβαίνει δέ ποτε καὶ πεπλανημένως.

De hæmorrhagiæ reuulsione, & ex hæmorrhagia rigores.

HIPPOCRATIS PRÆDICTIO 153.

Si in copiosa superuenerit sanguinis profusio, in contrarium reuellitur. Ex hæmorrhagia rigores longi.

COMMENTARIVS GALENI.

Vbi morbum non sudauerit sanguinis eruptio, exceperítque eam rigor, vtrumque longum redditur, ex eo, quòd corpus difficulter calefiat; quòd pluribus superueniat diebus, ex circuitu quidem plurimum; contingit autem interdum, & errabundè.

Τὰ τὰς αἱμοῤῥαγίας λύοντα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρνδ'.

Οἷσι κεφαλαλγίαι, καὶ τραχήλου πόνοι, καὶ ὅλου δὲ τις ἀκρατεία τοῦ σώματος τρομώδης, αἱμοῤῥαγικαὶ λύουσιν. ἀτὰρ καὶ χρόνῳ οὕτω λύονται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πολλὰς ἐν τούτῳ τῷ λόγῳ παντὶ, συνδρομὰς ἐφεξῆς ἀλλήλων ἔγραψεν, καὶ μὴ δυνάμενος ἐν ὀλίγῳ περιγράψαι τὴν καθόλου μέθοδον ἐπὶ τῶν αἱμοῤῥαγησόντων. ἐπισκέπτεσθαι δὲ χρὴ δύο ταῦτα πρῶτον, πυρετὸν θερινὸν ἰσχυρῶς, ὥσπερ οἱ καῦσοι, καὶ τὰ περὶ τῆς κεφαλῆς, καὶ τοῦ τραχήλου συμπτώματα, καὶ μάλιστα αὐτῶν, τὰ πληθωρικά. συναριθμεῖν δὲ δηλονότι τῇ κεφαλῇ, καὶ τὸ κατὰ τὸ πρόσωπον, εἶθ' ἑξῆς αἵματος πλήθους ἐστὶν ἐν ὅλῳ τῷ σώματι σημεῖα. καὶ τούτων οὐδὲν ἧττον ἐφ' ὥρα θέρους, ἢ ἐαρινῇ χώρα τε τῶν εὐκράτων, ἢ τῶν θερμοτέρων, καθ' ὑποχόνδρια φλεγμονή τις. ἐφεξῆς δὲ τούτων, τὰ περὶ τὴν κεφαλὴν, καὶ τὸ πρόσωπον αἱμοῤῥαγικὰ σημεῖα, καὶ εἴ τι κατὰ θώρακα, καὶ ὑποχόνδρια τῆς ἄνω ῥοπῆς γνώρισμα. ταῦτα γὰρ ἅπαντα διὰ τῶν περὶ κρίσεων ὑπομνημάτων ἐξηγησάμην, καὶ μέντοι καὶ τῶν εἰς τὸ προγνωστικὸν, καὶ τὸ πρῶτον ἐπιδημιῶν, ἐν οἷς καὶ διώρισται τά τε μελλούσης ὅσον οὔπω γενήσεσθαι τῆς αἱμοῤῥαγίας σημεῖα, καὶ τὰ μὴ τοιαῦτα.

Quæ soluunt sanguinis eruptiones.

HIPPOCRATIS PRÆDICTIO 154.

Quibus capitis dolores, & ceruicis labores, atque totius corporis cum tremore imbecillitas quædam sanguinis eruptiones soluunt; sed & tempore ita soluuntur.

COMMENTARIVS GALENI.

Multas in hoc toto sermone concursiones ex ordine scripsit, methodum vniuersalem in iis, qui sanguinem profundunt, paucis describere non valens. Considerare autem oportet duo hæc prima, febrem valde æstiuam, cuiusmodi causi sunt; symptomata item tum capitis, tum ceruicis, & præsertim plethorica; connumeranda quoque haud dubiè sunt, & cum symptomatis capitis, quæ circa faciem fiunt; deinde & quæ toto in corpore abundantiæ sanguinis signa existunt; hisque nihilo minus ex anni tempore æstiuo, vel regione verna, vel commoderatis, vel calidioribus, si in hypochondriis phlegmone quædam fuerit; postea quæ circa caput, faciémque sunt hæmorrhagica signa, & si aliquod in thorace, hypochondriísque conuersionis ad superas partes signum fuerit. Hæc siquidem omnia in commentariis De crisibus exposui, præterea in prognostici, primíque epidemiorum; in quibus distincta sunt, & quæ iamiam venturæ sanguinis profusionis sunt signa, & quæ talia non sunt.

Περὶ οὔρων τῶν φλαύρων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρνε'.

Οὖρα τοῖσι παρ' ὦτα, ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμενα, φλαῦρα. καὶ τὸ καταψύχεσθαι, ὧδε πονηρόν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Καὶ τὸ κατὰ ταύτην τὴν ῥῆσιν εἰρημένον ἐπὶ μέρους ἐστὶν ὑποπεπτωκὸς καθολικῷ λόγῳ, τὰ οὖρα, κατὰ πᾶν νόσημα, ταχὺ καὶ ἐπ' ὀλίγον πεπανθέντα, μετὰ ταῦτα δὲ παυσάμενα, φλαῦρόν τι σημαίνει. πρόδηλον δὴ, ὅτι καὶ τὸ καταψύχεσθαι πονηρὸν, οὐκ ἐν τούτοις μόνον, ἀλλὰ καὶ πᾶσιν. οὐδὲ γὰρ ἐπὶ τῶν κοινῶν προσέσεστιν ἐξαίρετόν τι, καθάπερ ἐπὶ τῶν καύσων. οὗτοι γὰρ ὅταν διακαίοντες, οὐκ ἐκθερμαίνωσι τὰ ἄκρα, κακοήθεις εἰσὶ, τῶν ἐπιεικῶν ὅλον τὸ σῶμα διαθερμαινόντων ὁμαλῶς.

De vrinis vitiosis.

HIPPOCRATIS PRÆDICTIO 155.

Vrinæ, quibus abscessus post aures fiunt, si celeriter, & exiguè concoquantur, vitiosæ; & ita refrigescere, malum.

COMMENTARIVS GALENI.

Qvod in hac quoque oratione recésetur particulare, est sermoni vniuersali subiectū: nēpe, Vrina in morbo omni celeriter & exiguè concocta, deinde verò cessans, vitiosum quippiam indicat. Liquet autem quòd & refrigerari malum sit, non in his solū, verū & omnibus. Neque enim in cōmunibus adest quippiam peculiare, veluti in ardētibus febribus; nēpe quòd vrentes hæ, summas partes non calefaciant, malignæ existūt, benignis mansuetísque totum corpus æqualiter vrentibus.

De

De affectibus quibus superueniunt parotides.

HIPPOCRATIS PRÆDICTIO 156.

Aliquãtulum soporati, icterici, non admodũ sentientes, quibus singultus aluus his erũpit, fortaßis & suppreßio, hi exoluuntur; An & his parotides fiant?

COMMENTARIVS GALENI.

SI ex nobis propria parotidum signa didicisti, perniciosè item habentium signa, facilè, quæ nunc dicuntur, propria non esse tibi constabit.

De suppressis vrinis cum rigore & parotidibus.

HIPPOCRATIS PRÆDICTIO 157.

SVppressæ cum rigore vrinæ, malæ, tum aliàs, tum si antea soporatos parotides prehenderint; An spes ex his?

COMMENTARIVS GALENI.

IN his quidem, quæ antecedunt hãc, sententiis, futurarum sanguinis eruptionum concursiones scribere voluit, sed complecti, quæ propria essent, paucis, vt dixi, nequiuit. Rursus quoque & alteram hanc dictionem ad prædictionem futurarum parotidum scripsit; sed quod peculiare sit, nihil habet & ipsa, præter id, quòd permixta sint quædam perniciosa symptomata, ex quibus rarò parotides fiant. Quòd autem neque ipse de parotidum generatione enunciare ausus sit, id sanè ex adiectione coniunctionis, an, planè constat.

De aluo, hypochondriis, parotidibus.

HIPPOCRATIS PRÆDICTIO 158.

EX torminoso sedimẽtũ limosum subliuidũque, malũ; An ex hypochondriis dextrũ dolere videatur, exoluanturque? atque his parotides parum dolorificæ? Aluus copiosè fluens his in omnibus, perniciosum.

COMMENTARIVS GALENI.

IN cæteris omnibus exemplaribus scriptum in principio dictionis reperi, torminoso, præterquam in exemplaribus Dioscoridis, & Capitonis. Nempe hi scripserunt ἐκ στροφώδεων, dictáq; apud eos est de vrinis oratio; atque ob id sedimenta harum tum ab Hippocrate, tum ab ipsis, considerari, & non deiectionum, inquiunt. Dioscorides igitur στροφώδεα οὖρα recenseri ait, quæ πεπηγότα, idest, concreta, quædam per ipsas inuecta habent, facto nomine à verbo διαστρέφεσθαι, quod est πήγνυσθαι, idest, concrescere. Neque enim ignoramus poëtam ita dixisse, ἡ περιστρέφεται κυκλώδης, quod est περιπήγνυται, idest circulariter concrescit. Cæteri ferè omnes expositores limosas, subliuidásque in deiectionibus subsidentias dici nũc aiunt, quoties humectetur aluus, putántq; torminosas conuenire; nẽpe eiusmodi deiectiones cum torminibus prorsus fiunt. Subsidere autem inquiunt ita deiectis liquidis subsidentias tum limosas, tum subliuidas, vbi praua affectio fuerit, in qua talia excernuntur;

Περὶ διαθέσεων αἷς παρωτίδες ἐπιγίνονται.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρνϛ.

ΤΑ κωματώδεα, ἰκτερώδεα, οὐ πάνυ αἰσθανόμενα, οἶσι λύγγες κοιλίη καταῤῥήγνυται, ἴσως δὲ καὶ ἐπίστασις, οὗτοι ἐκλύονται· ἆρα τούτοισι, καὶ τὰ παρὰ τὰ ὦτα;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΙ ὑφ' ἡμῶν μεμάθηκας τά τε τῶν παρωτίδων ἴδια σημεῖα, καὶ τὰ τῶν ὀλεθρίως ἐχόντων γνωρίσματα, γνώσῃ ῥᾳδίως, τὰ νῦν εἰρημένα τὴν ἰδίαν οὐκ ὄντα.

Περὶ τῶν ἐπεχομένων μετὰ ῥίγεος οὔρων καὶ τῶν παρωτίδων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρνζ.

ΤΑ ἐπισχημένα μετὰ ῥίγεος οὖρα, πονηρά, ἄλλως τε καὶ προκαρωθέντα πρὸ οὖς. ἆρα ἐπὶ τούτοισιν ἐλπίς;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ μὲν ταῖς πρὸ ταύτης ῥήσεσι γράφειν ἐβούλετο αἱμοῤῥαγιῶν μελλουσῶν συνδρομάς, οὐ δυνάμενος, ὡς ἔφην, ἐν ὀλίγῳ περιλαβεῖν αὐτῶν τὰ ἴδια. πάλιν ἤδη δεύτερον ἔγραψε ῥῆσιν ταύτην, εἰς πρόῤῥησιν ἐσομένων παρωτίδων. ἔχει δ' οὐδὲν οὐδ' αὕτη τὸ ἴδιον, μετά τινων καὶ ἄλλα τῶν ὀλεθρίων μεμίχθαι συμπτωμάτων, ἐφ' οἷς σπανίως γίνονται παρωτίδες. ὅτι δ' οὐδ' αὐτὸς ἐτόλμησεν ἀποφήνασθαι περὶ τῆς τῶν παρωτίδων γενέσεως, ἀλλὰ τὸ περίδηλον, διὰ τοῦ προσθεῖναι τ', ἆρα, σύνδεσμον.

Περὶ κοιλίης, καὶ ὑποχονδρίων, παρωτίδων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρνη.

ΕΚ στροφώδεος, ὑπόστασις ἰλυώδης, ὑποπέλιος, κακόν· ἆρά γε ἐκ τῶν ὑποχονδρίων ὀδυνᾶται, δοκέω δὲ δεξιόν; ἐκλύεται ἆρα τὰ παρ' ὦτα τοιούτοισιν, ὀδυνώδεα ἐπ' ὀλίγῳ; κοιλίη καταῤῥαγεῖσα τούτοισιν ἐν ἅπασιν, ὀλέθριον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ ἅπασι τοῖς ἄλλοις ἀντιγράφοις, εὗρον ἐκ στροφώδεος ἐν ἀρχῇ τῆς ῥήσεως γεγραμμένον, ὅτι μὴ τοῖς Διοσκορίδου, καὶ Καπίτωνος. οὗτοι γὰρ ἔγραψαν ἐκ στροφωδέων, ὡς ὁ λόγος ἐπ' οὔρων λέλεκται, καὶ διὰ τοῦτο τὰς ὑποστάσεις Ἱπποκράτει τε, καὶ τοῖς ὑπ' αὐτῶν σκοπεῖσθαι, μὴ τῶν διαχωρημάτων. αὐτὸς μὲν οὖν ὁ Διοσκορίδης, τὰ στροφώδεα οὖρα λέγεσθαί φησι, τὰ ἔχοντά τινα ἐν αὐτοῖς ἐμφερόμενα πεπηγότα, παρὰ τὸ διαστρέφεσθαι, ὅ ἐστι πήγνυσθαι γεγονότος τοῦ ὀνόματος. ἴσμεν γὰρ ὅτι καὶ ὁ ποιητὴς εἶπε τόδε. ὃ καὶ περιστρέφεται κυκλώδης, δηλονότι περιπήγνυται. οἱ δ' ἄλλοι σχεδὸν ἅπαντες ἐξηγηταί, τὰς ἐν τοῖς διαχωρήμασιν ἰλυώδεις, καὶ ὑποπελίους ὑποστάσεις εἰρῆσθαί φασι νῦν, ὁπόταν ὑγραίνηται γαστήρ, καὶ τὰ στροφώδη συμφωνεῖν ἡγοῦνται. τοὐπίπαν γάρ, αἱ τοιαῦται διαχωρήσεις μετὰ στρόφων γίνονται. ἐφίστασθαι δή φησι τοῖς οὕτω διαχωρουμένοις ὑγροῖς οὖσιν, ὑποστάσεις ἰλυώδεις ὑποπελίους, ὅταν μοχθηρὰ διάθεσις ᾖ, καθ' ἣν ἐκκρίνεται τὰ τοιαῦτα,

καὶ τοὐπίπαν γε τοῖς τὰ τοιαῦτα διαχωροῦσι τὸ ἧπαρ πεπονθέναι φησί, καὶ διὰ τοῦτο καὶ αὐτὸν τὴν γραφὴν προστεθεικέναι τῇ ῥήσει· ἆρα ἐκ τῶν ὑποχονδρίων ὀδυνᾶται, δοκέω δεξιόν; ἀεὶ μὲν γὰρ ἡπατικὰ τοιαῦτα διαχωρήματα, οὐ μὴν μετὰ φλεγμονῆς ἀεὶ τοῦ σπλάγχνου, διότι τῷ λόγῳ προσέθηκε τὸ, ἆρα, ἐνδεικνύμενος, ὡς οὐ δυνάμενον διατείνεσθαι, ὅτι μὲν τὸ δεξιὸν ὑποχόνδριον ἀεὶ ὀδυνᾶται τοῖς οὕτω πάσχουσιν. ἀλλὰ καὶ τὸ τούτοις ἐφεξῆς εἰρημένον τὸ ἐκλύεσθαι, πρόδηλον ἡπατικὸν ἐστὶ σύμπτωμα, καθότι δέδεικται διὰ τοῦ δευτέρου τῶν ἐπιδημιῶν. μετὰ ταῦτα προσέγραψε περὶ τῶν παρ' ὦτα. φαίνεται δὲ ταύταις ἁπάσαις ταῖς ῥήσεσιν, ἐπὶ συνδρομαῖς τισι προγνώσεις αὐτῶν γράφειν, καὶ τοῦτ' ἔστι μάλιστα καὶ κατὰ τὸ προκείμενον αὐτῷ, καὶ κατὰ τὴν ἐνεστῶσαν ῥῆσιν, ἀλλ' οὐκ ἐτόλμησεν ἀποφήνασθαι περὶ αὐτῶν, καίτοι γε εἰωθὼς ἐπὶ τῶν κατὰ μέρος, ὡς πολλάκις καθόλου ἀποφάσεις γράφειν. ἀλλὰ νῦν γέ φησι, καὶ τὰ παρ' ὦτα τούτοισιν ὀδυνώδεα ἐπ' ὀλίγον, ἐμφαίνων πάλιν, ὡς ἑωρακὼς ἦν τινα τοιοῦτον ἄρρωστον, ἐφ' οὗ ὑπὸ τῆς φύσεως ὁρμή τις ἐγένετο πρὸς γένεσιν παρωτίδων, οὐ μὴν ἐξίσχυσέ γε ἀποθέσθαι ταύτῃ τὰ λυποῦντα, καὶ συνέβη τὸν νοσοῦντα κοιλίης καταρραγείσης ὀλέθριον ἔχειν, ὡς ἂν μὴ κρίσεως λόγῳ τῆς φύσεως ἐκκρινούσης κάτω τοὺς λυποῦντας χυμούς, ἀλλὰ δι' ἀρρωστίαν τῆς ἐν ἥπατι δυνάμεως.

Τὰ τῶν ἐσομένων παρωτίδων σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρνθʹ.

ΕΝ ἴσιν ἀσώδεσιν ἀγρυπνίῃσι, τὰ παρ' οὖς μάλιστα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΡοσέθηκεν ἐνταῦθα διὰ τὸ πολλάκις ἑωρακέναι ταῦτα, καὶ οὐχ ἅπαξ, ὥστε κατὰ τὴν πρὸ ταύτης ῥῆσιν, ἀληθές ἐστιν ἀσώδεις εἶναι, οἷς ἀνίστανται παρωτίδες, ἀλλ' οὐχ ἱκανὸν τοῦτο. καὶ γὰρ ὅτι παραφροσύνην ἀναγγέλλει τὰ τοιαῦτα συμπτώματα, διὰ τῶν ἔμπροσθεν ἐδήλωσε. ἐὰν οὖν ἅπερ ὁ Ἱπποκράτης ἡμᾶς ἐδίδαξε, προδιεσκεψάμενος, ἐλπίσῃς ἔσεσθαι παρωτίδας, εἶτ' ἀσώδη, καὶ ἄγρυπνον ἴδῃς τὸν κάμνοντα, γενήσεσθαι τὰς παρωτίδας. δι' ὧν δὲ σημείων ἐλπίσεις ἔσεσθαι τὰς παρωτίδας, ἔστι ταῦτα. πρῶτον μέντοι τὸ κοινὸν ἁπασῶν ἀποστάσεων, ὅτι χρονίζοντι περιέστηκε τῷ κάμνοντι, εἶθ' ἑξῆς, εἰ ἀργὴ καὶ κατάρροπος ἡ νόσος, ἢ θερμὴ καὶ ἀνάρροπος, ἢ τὰ περὶ τράχηλον καὶ κεφαλὴν βάρη, καὶ τὰς ὀδύνας, καὶ τὸ ἔρευθος τοῦ προσώπου. διὰ τοῦτο γάρ τοι προελπίσαντι παρωτίδας ἔσεσθαι, βεβαιοτέρα πρόγνωσις ἔσται τῶν κατὰ τήνδε τὴν ῥῆσιν εἰρημένων, ἐπιφανέντων. ἐκείνου μὲν πρὸ πάντων μέμνησο τοῦ λόγου. μετὰ ταῦτα τοίνυν, πάντα τὰ σημεῖα καθ' ἕκαστον ἃ εἶπον πρὸς Ἱπποκράτους αὐτὰ γεγραμμένα δυοῖν ἤδη βιβλίοιν. ἐπιτάσσειν δ' αὖθις ὅσα διὰ σφυγμῶν εἰς ἑκάστου πρόγνωσιν συντελεῖ, παραλέλειπται μὲν πρὸς Ἱπποκράτους, ἔχεις δὲ καὶ ταῦτα γεγραμμένα πρὸς ἡμῶν, ἐν τῇ περὶ σφυγμῶν πραγματείᾳ.

Περὶ παρωτίδων τῶν κτεινουσῶν.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξʹ.

ΕΠὶ εἰλεοῖσι δυσώδεσι πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ μετεώρῳ χρονιωτέρῳ, τὰ παρ' οὖς ἐπαρθέντα κτείνει.

prorsúsque iis, qui talia deiiciunt, affectum esse hepar aiunt, atque ob id authorem adiecisse dictioni, an ex hypochondriis dextrum dolere videatur? Nempe quanquam deiectiones eiusmodi perpetuò hepaticæ existant, non tamen semper sunt cum visceris inflammatione, quo fit, vt orationi adiecerit coniunctionē, an, quòd ita affectis dextrū hypochondrium perpetuò dolere asserere non potuerit. Præterea quod deinceps dictū est, exoluantur, hepaticum proculdubio symptoma est, vt in secundo epidemiorū est demonstratū. Post hæc de parotidibus scripsit. Videtur autem in his omnibus dictionibus ex concursionibus quibusdā prænotiones harum scribere, atque id esse maxime in eo, quod ipsi proponitur, & in præsenti prædictione; sed de his enunciare ausus non est, quanquam in particularibus persæpe vniuersales enunciationes scribere consueuerit. Præterea inquit, *atque his parotides parum dolorificæ?* rursus quendam talem ægrum vidisse sese ostendens, in quo à natura, impetus quidam factus sit ad parotidum generationem, à qua tamen illuc deponi non potuerunt, quæ contristarent; contigitque ægrum copiosè fluente aluo perniciosè habere, non iudicationis scilicet ratione, natura contristantes humores deorsum excernente, sed propter facultatis, quæ in hepate est, imbecillitatem.

Signa futurarum parotidum.

HIPPOCRATIS PRÆDICTIO 159.

IN anxiis quibusdam peruigiliis parotides maximè.

COMMENTARIVS GALENI.

ADiecit in præsentia hæc, quòd sæpius viderit, & non semel. Quocirca per eam, quę subsequenti succedet, sententiam, verum est anxios esse, quibus excitentur parotides, sed id sufficiens non est; nempe quòd dementiam denuncient talia symptomata, supra declarauit. Si igitur, quæ Hippocrates nos docuit antè cōtemplatus parotidas fore speraueris; deinde ægrum si anxium aut vigilem videris, parotidas excitandas expecta. Signa autem, per quæ parotidas fore sperabis, sunt hæc. Primum sanè abscessuum omnium commune est, quod diutius trahenti euenit ægro, deinde si morbus deses fuerit, & deorsum vergat, vel calidus, & sursum repat, vel ceruicis capitísque grauitates fuerint, & dolores, & faciei rubor. Nam per hoc, si parotidas fore ante sperauerīs, certior prænotio erit, quum quæ in dictione relata sunt, apparuerint. Sermonem quidem illum ante omnia teneri velim. Post hæc verò signa omnia sigillatim dixi ab Hippocrate duobus iam libris scripta ipsa; quibus apponenda sunt, quæcunque per pulsus in singulorum prænotionem conferunt; quæ & si prætermissa quidem ab Hippocrate existant, habes tamen scripta ea à nobis in pulsuum libris.

De parotidibus enecantibus.

HIPPOCRATIS PRÆDICTIO 160.

EX volulis graueolentibus, cum febre acuta, hypochondrióque sublimi diutiùs permanente, parotides exurgentes enecant.

COMMENTARIVS GALENI.

In hac oratione facta quidē est obscuritas quędā, & ob scriptorē, facta quoque & ob interpretes quosdam, incertum esse existimantes, vtrúmne ex vnoquoq; dictorum symptomatū vir nos sperare velit, vt parotides fiant, an omnia vnà concurrere. In principio quidē libri huius, quum mēs authoris adhuc ignoraretur, congruenter incerta talia esse quis existimare potuerit; vbi verò in toto libro propositi ipsius experientiam habuimus idoneam, cognoscamúsque prenotiones ex eorum, quæ ipse vidit, cōcursione scribere, constat & nunc ex omnibus, quæ scripsit, simul factis, nos sperare, vt parotides fiant, velle. Quòd verò lethales sint si fiant, est manifestū, quòd & nunc viderit in ita laborantibus factas parotidas sequutā mortē, quæ ob parotidas facta non est; quódq; talia videantur, constat ex iis quæ scripsit; nēpe quòd febris acuta erat non sine periculo, quódque veluti perniciosa affectio. Quoniam verò amplius nihil scripsit, sed graue olentem hunc esse vult, multo sanè magis; quonam siquidem pacto graue olentem intelliges voluulum perniciosiorem esse non graue olente? Fieri autem potest, vt graue olens intelligatur, primùm quidem in quo stercus euomatur, signum maximè lethale; deinde si graue olens fuerit respiratio; tertiò si ructus graue olens; quartò si flatus talis; & quintò si graue olens corpus; nempe talis voluulus aliquando à nobis visus est.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΝ ταύτῃ τῇ ῥήσει γέγονε μέν τις ἀσάφεια, καὶ δι' αὐτὸν τὸν γράψαντα· γέγονε δὲ διά τινας ἐξηγητὰς ἡγουμένους ἄδηλον εἶναι, πότερον καθ' ἕκαστον τῶν εἰρημένων συμπτωμάτων, ὁ ἀνὴρ ἐλπίζειν ἡμᾶς ἀξιοῖ γενέσθαι παρωτίδας, ἢ πάντα συνελθόντα. ἐν ἀρχῇ μὲν τούτου συγγράμματος, ἔτ' ἀγνοουμένης τῆς γνώμης αὐτοῦ, προσηκόντως ἄδηλα τὰ τοιαῦτα ἄν τις εἶναι νομίσῃ, ἐν ὅλῳ δὲ τῷ βιβλίῳ, πεῖραν ἱκανὴν ἐσχηκότων ἡμῶν τῆς προαιρέσεως αὐτοῦ, καὶ γινωσκόντων ὅτι κατὰ συνδρομὴν ὧν εἶδε τὰς προγνώσεις γράφει. δῆλός ἐστι καὶ νῦν ἐπὶ πᾶσιν οἷς ἔγραψεν ἅμα γινομένοις, ἀξιῶν ἡμᾶς ἐλπίζειν τὰς παρωτίδας ἔσεσθαι. ἀλλ' ὅτι θανατώδεις εἰσὶν εἰ γένοιντο, πρόδηλον, ὡς καὶ νῦν ἑωρακὼς τῶν οὕτω νοσούντων, ὡς παρωτίδων γινομένων ἠκολούθησε θάνατος, ὃς διὰ τὰς παρωτίδας οὐκ ἐγενήθη ἴσασθαι, ὅτι δὲ ἰδεῖν ἐστι τοιαῦτα, δῆλον ἐξ ὧν ἔγραψεν, ὅτι ὁ ὀξὺς πυρετὸς ἦν οὐκ ἀκίνδυνος. ὅτι δ', ὡς ὀλέθριον πάθος, ἐπεὶ δ' οὐδέν, ὡς πλέον ἔγραψεν, ἀλλὰ δυσώδη τοῦτον εἶναι βούλεται, πολὺ δὴ μᾶλλον. ὅπως γὰρ ἂν ἀκούσῃς δυσώδη τὸν εἰλεόν, ὀλεθριώτερός ἐστι τοῦ μὴ δυσώδους. ἀκοῦσαι δ' ἐγχωρεῖ δυσώδεα, πρῶτον μὲν καθ' ὃν ἐμεῖται κόπρος, ὀλεθριώτατον σημεῖον. εἶτ' εἰ δυσώδης ἐστὶν ἡ ἐκπνοή, καὶ τρίτον, εἰ δυσώδης ἡ ἐρυγή, καὶ τέταρτον, εἰ δυσώδης ἡ φῦσα, καὶ πέμπτον, εἰ δυσῶδες τὸ σῶμα, καὶ γὰρ ὁ τοιοῦτος εἰλεὸς ὤφθη ποθ' ἡμῖν.

De parotidibus leniter oborientibus.

HIPPOCRATIS PRÆDICTIO 161.

EX surditate moderate parotides fiunt, tum aliàs, tum siqua iactatio superuenerit, & comatosis magis.

COMMENTARIVS GALENI.

QVoniam aduerbium ἐπιεικῶς, idest, *mansuetè*, in medio dictum est eorum, quæ multam, & eorum quæ paucam, habent spem in omnibus symptomatis: sic & hominem vocamus ἐπιεικῆ moderatum, & à quo nihil per vitam fit nimis. Totus itaque sermo talis quidem est. Si surditas accidat, parotidas fore mediocriter spera. Adiectione autem orationis, fastidiosum quippiam, sperat fastidioso facto ægro, fore; ídque magis, si comatosus ipse fuerit. Verùm tum hæc, tum antedicta non minus desipientiæ, & phrenitidis signa sunt, quàm parotidum, quum non præfinitè dicat, in biliosis quidem humoribus ab initio morbi desipientiæ ipsius potius esse signum, procedente verò morbo, in crudis, crassioribúsque, & magis vbi iam occupasse parotidum generatio apparuerit; hoc siquidem vniuersale caput est in parotidibus, si non amplius lateat, quod inuasit, ita vt æger impetum infestantium humorum caput petere sentiat. Potest itaque quis hic denuo hallucinatus in vnoquoque eorum, quæ ad supernas partes motum indicant, scribere, tanquam ex prædictione, parotidas sequuturas; sunt verò & modò dicta impetus ad caput signa. Dico sanè surditatem, & comatosum, non magis horum, quàm eorum, qui ventre, & thorace laborant, esse symptoma; cum vtriscunque autem fuerit, horum simul præcognitionem augebit.

Περὶ παρωτίδων ἐπιεικῶς γινομένων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξα΄.

ΕΚ κωφώσιος ἐπιεικῶς τὰ παρ' ὦτα, ἄλλως τε, καὶ ἢν ἀσῶδές τι ἐπιγένηται, καὶ τοῖσι κωματώδεσιν, ἐπὶ τούτοισι μᾶλλον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΕΠεὶ τὸ ἐπιεικῶς, ἐν τῷ μεταξὺ τῶν πολλὴν ἐλπίδα, καὶ τῶν ὀλίγην ἐχόντων, ἐπὶ πάντων συμπτωμάτων λεγόμενόν ἐστιν· οὕτω καὶ ἄνθρωπον ἐπιεικῆ καλοῦμεν τὸν μέτριον, ᾧ μηδὲν ἄγαν πράττεται κατὰ τὸν βίον. ὁ τοίνυν ὅλος λόγος, τοιόσδε τίς ἐστιν. ἐὰν κώφωσις γένηται παρ' οὖς, ἀποστάσεσθαι μετρίως ἔλπιζε. προσθήσει δέ, τι ἐλπίζει τοῦ κάμνοντος ἀσώδους γινομένου, καὶ μᾶλλον ὅταν καὶ κωματώδης ὁ αὐτὸς ἄρρωστος ᾖ. ἀλλὰ καὶ ταῦτα, καθάπερ καὶ τὰ πρὸ τούτων, οὐ μᾶλλόν ἐστι παραφροσύνης, καὶ φρενίτιδος, ἢ παρωτίδων σημεῖα, μὴ προσδιορισαμένως εἰπών, ἐπὶ μὲν χολώδεσι χυμοῖς ἐν ἀρχῇ νοσήματος, αὐτῆς παραφροσύνης μᾶλλον εἶναι σημεῖον, προϊόντος δὲ τοῦ νοσήματος, ἐπὶ χυμοῖς ἀπέπτοις, καὶ παχυτέροις, καὶ μᾶλλον ὅταν φαίνηται προεστηκυῖα ἡ τῶν παρωτίδων γένεσις. αὐτὸ γάρ τοι καθόλου κεφάλαιόν ἐστιν ἐπὶ τῶν παρωτίδων εἰ μὴ χρονίζοιτο πάθος καὶ προεστηκὸς ᾖ, ὡς κάμνων τὴν ῥοπὴν τῶν ἐνοχλούντων χυμῶν εἰς τὸν περὶ τὴν κεφαλὴν ἔχει τόπον, ὥστε πάλιν ἐνταῦθα δύναταί τις πλανώμενος, ἐφ' ἑκάστῳ τῶν τὴν ῥοπὴν ἄνω σημαινόντων γράφειν, ὡς ἐκ προρρήσεως παρωτίδας ἑπομένας. ἔστι δὲ καὶ τὰ νῦν εἰρημένα, τῆς ἐπὶ τὴν κεφαλὴν ῥοπῆς σημεῖα. λέγω δὴ τήν τε κώφωσιν, καὶ τὸ κωματῶδες, οὐ τούτων μᾶλλον, ἢ τῶν κατὰ τὴν γαστέρα, καὶ θώρακα πασχόντων ὑπάρχειν σύμπτωμα, ἀλλ' ὁπότερον ἂν γένηται, συνεπαύξει τὴν ἐκείνων πρόγνωσιν.

Περὶ φλαύρων τῶν παρωτίδων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξβʹ.

ΤΑ παρ' ὦτα φλαῦρα τοῖσι παραπληγικοῖς.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Τὰς παραπληγίας ἔμαθες εἶναι τοῖς ὑπὸ πάθους ἐνίοις τῶν ἐν τῷ ζώῳ μορίων, ὁποῖον τοῦ παντὸς σώματός ἐστι πάθος ἀποπληξία. δοκεῖ δή μοι τεθεαμένον ἴσως, καὶ δύο καὶ τρεῖς παραπληγικοὺς, μηδὲν ὠφεληθέντας ὑπὸ παρωτίδων, ἀποφήνασθαι φλαῦρον εἶναι σημεῖον αὐτάς. ἐγὼ δ' οὐκ ἂν ἁπλῶς ἀποφηναίμην, μοχθηρὸν εἶναι σημεῖον ἐπιγινομένας τοῖς παραπληγικοῖς παρωτίδας, ἀλλ' ἀρκεῖ τοῦτο μόνον εἰπεῖν, ὡς ἔλαττόν ἐστιν ἡ ἀπόστασις ἥδε τοῦ νοσήματος. ἐμάθομεν δὲ παρ' Ἱπποκράτους εἰπόντος ἀγαθὰς ἀποστάσεις εἶναι, ἀξίως τῆς περιβολῆς τοῦ νοσήματος εἰς τὰ κάτω τοῦ σώματος γινομένης, ὧν οὐδέτερον αἱ παρωτίδες ἔχουσι. καὶ γὰρ σμικρότεραι τοῦ πάθους εἰσὶ, καὶ οὐ κάτω. τοῦτ' οὖν εἰ ἀρκεῖ μόνον ὀλέθριον ἀποφήνασθαι.

De prauis parotidibus.

HIPPOCRATIS PRÆDICTIO 162.

Paraplegicis parotides vitiosæ.

COMMENTARIVS GALENI.

Paraplegias quibusdam corporis partibus accidere ab affectu didicisti, qualis est totius corporis affectus apoplexia. Videtur autem mihi visis forsan, vel duobus, vel tribus paraplegicis, nihil à parotidibus adiutis, signum vitiosum eas esse pronunciasse. Ego autem non simpliciter dixerim malum signum esse superuenientes paraplegicis parotidas; sed quòd is abscessus morbo minor sit, referre fuerit satis. Constat siquidem ex Hippocrate *abscessus bonos esse, quum morbi circuitus ad inferas corporis partes insigniter deuoluitur*, quorum neutrum parotides habent; Nempe & affectu minore sunt, & ad inferas partes non fit deuolutio; quare si id duntaxat, perniciosum pronunciare satis erit.

Τὰς παρωτίδας τῷ σπασμῷ τε, καὶ κατόχῳ ἐπιγίνεσθαι.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξγʹ.

ΤΑ σπασμώδη τρόπον παροξυνόμενα κατόχως, τὰ παρ' οὖς αἴρησιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ἔργῳ πάρεστί σοι μαθεῖν ὅπως ἐπὶ συνδρομῇ τήρησις, οὐδὲν εὑρίσκει. χωρὶς γὰρ τοῦ τὴν φύσιν ἐπισκέψασθαι τοῦ πράγματος, ἐφ' οὗ τὴν πρόγνωσιν εἰπεῖν θεραπείαν ποιησόμεθα, τὴν δύναμιν οὐκ ἔστι τῶν σημείων ἑκάστου κρῖναι. χωρὶς δὲ τοῦ γνῶναι τῶν πραγμάτων ἑκάστου τὴν δύναμιν, ἀδύνατόν ἐστιν ἐπ' αὐτοῖς συστήσασθαι, καὶ τοῦθ' ὑμᾶς ἐδίδαξα κατὰ πάσας τὰς τέχνας γινόμενον, οὐ μόνον κατὰ τὴν ἰατρικήν. καὶ διὰ τοῦτο, καὶ Ἱπποκράτης ὅσον ὑπερεβάλλετο τῶν πρὸ αὐτοῦ, τῶν ἁπλῶν φαρμάκων ἑκάστου τὴν δύναμιν ἐξευρὼν, ὡς ἐν ἅπασιν αὐτοῦ δέδεικται τοῖς συγγράμμασι. τοῦτο μὲν οὖν ἀεὶ μεμνῆσθαι χρή. πρὸς δὲ τὸν ἐνεστῶτα λόγον ἐπὶ μέρους ὄντα, τοσοῦτον πάλιν ἐκ τοῦ καθόλου προσήκει λαβεῖν, ὅσον εἰς τὸ νῦν εἰρημένον ἐστίν. αἱ μὲν γὰρ κατοχαὶ, πάθη εἰσὶν, ὡς ἔμαθες, ἐγκεφάλου, καθάπερ γε καὶ οἱ δι' ὅλου τοῦ σώματος σπασμοί, περὶ ὧν νῦν αὐτὸν εἰπεῖν εἰκός ἐστιν. οὐ γὰρ δὴ περὶ χειρὸς, ἢ σκέλους, ἢ τινος ἄλλου μορίου τὴν ἀπόφασιν ποιήσασθαι ἁπλῶς, ἐπί τε τὰ σπασμώδη τρόπον παροξυνόμενα, καίτοι ἦν. τὸν δὲ σπασμὸν ἐπὶ πληρώσεως, κακὸν γίνεσθαι, φησὶν Ἱπποκράτης. ἴσμεν δ' ὅτι τὰ σπασμώδη πάθη καλεῖται, ἐφ' ὧν ἐξ ἀρχῆς, ἢ οὐ μετὰ πολύ γε ἀρξάμενα γίνεσθαι, σπασμοὶ διαμένουσιν ὑπὸ πληρώσεως ἔχοντες τὴν γένεσιν, ὥσπερ αὖ πάλιν ὑπὸ κενώσεως, οἱ μεθ' ἱδρῶτας πολλοὺς, ἢ ἐμέτους, ἢ διαχωρήσεις, ἢ αἱμορραγίας, ἢ λιμὸν, ἢ ἀγρυπνίας, ἢ κινήσεις πολλὰς, καὶ σφοδράς. οἱ μὲν γὰρ τοῖς σπασμοῖς, κενώσεσιν ἕπονται μᾶλλον, οἱ δ' εὐθὺς ἐξ ἀρχῆς, πληρώσεσι. καὶ τοίνυν καὶ τὰς παρωτίδας εὔλογόν ἐστιν ἐπὶ τοῖς σπασμώδεσί τε, καὶ κωματώδεσι χρονίζουσι γίνεσθαι, μέλλοντος τοῦ κάμνοντος.

Parotides conuulsioni & catochæ succedere.

HIPPOCRATIS PRÆDICTIO 163.

Quæ conuulsiuo modo cum catoche exacerbantur, parotidas mouent.

COMMENTARIVS GALENI.

Quòd ex concursione nihil obseruatio reperiat, rerum fide didicisse in promptu est; nisi enim naturam rei, in qua prænotionem dicendo curationem faciemus, fuerimus contemplati, de singulorum signorum vi iudicare nequaquam licebit. Et nisi rerum singularum vires noueris, conflari ex iis quippiam nequit; id quod vos edocui in omni arte fieri, nedum in medicinali. Atq; hinc, quantum Hippocrates superiores suos in virium cuiuslibet simplicis medicamenti inuentione euicerit, in omnibus suis est demonstratum libris; id quod memoria tenere oportet. Ad præsentem autem sermonem, qui particularis est, tantum rursus ex vniuersali accepisse conuenit; quantum ad quod nunc dicitur, congruit. Catochæ etenim cerebri affectus sunt, vt didicisti, veluti & per totum corpus conuulsiones; de quibus nunc ipsum dixisse par est, non enim simpliciter de manu, vel crure, vel alia quapiam parte pronunciauit, inquiens, Quæ conuulsiuo modo exacerbantur; quanquam licebat. Conuulsionem autem ex repletione malam esse inquit Hippocrates. Constat autem conuulsiuos affectus appellari, in quibus principio, aut non multo postquam fieri cœperint, conuulsiones perseuerant, ex repletione ortum habentes. Veluti vice versa, quæ ex vacuatione, post sudores multos, vel vomitus, vel deiectiones, vel sanguinis eruptiones, vel inediam, vel vigilias, vel motiones tum multas, tum vehementes, fiunt. Nempe ex conuulsionibus aliæ, vacuationes consequuntur magis, aliæ statim à principio repletiones. Propterea, vt parotides ex conuulsiuis comatosisque, vbi protrahunt, fiant, est rationi consentaneum cunctante ægro.

Qui affectus parotidas prænunciant ac proritant.

HIPPOCRATIS PRÆDICTIO 164.

Conuulsio, tremor, iactatio cum catacho paruo, circa aures abscessus proritant.

COMMENTARIVS GALENI.

NOn in exemplaribus omnibus, quibus scripta est hæc oratio, eadem habet verba. At in quibusdam prædicto verborum scripta est tenore. In aliis autem tali; *Quæ conuulsiuo tremulóque modo accedunt, cum catoche abscessus post aures suscitant.* Laudo eos qui in suis exemplaribus sententiam non scripserunt; abundè siquidem nobis erat, permiscente eo symptomata multa multis dissimilis generis, hucusque peruenisse, & non ab ægris recessisse. Nempe symptomatum Græcis ignotorum permixtionem facere summè absurdũ per se existit. Non autem fermè apparent in conuulsione tremoris symptomata: fieri siquidem non potest, vt ægris ipsis in conuulsionibus tremores deprehendantur: nisi vtique talem sit author contemplatus symptomatum vicissitudinẽ, vt quum conuulsiones quidem relinquerent, tremulus fieret homo. Vbi verò conuulsio inciderit, non posse dignosci tremorem arbitrantur. Symptomatum implicatio eiusdem generis quædam existit, verùm superuacua. Nempe ex catoche parotidas fieri abundè à nobis dictum, augente simul, & generationis expectationem fastidioso ipso. Imò verò vrinarum affectiones expectationem simul adaugebunt. Nomen præterea σπασμοτρομῶδες, idest, *conuulsiuum tremulúmque*, prauum existit.

Symptomata parotides significantia.

HIPPOCRATIS PRÆDICTIO 165.

AN primũ capite doleant? an & superiori parte leuiter sudẽt, & superrigeant? deinde & venter deiiciat, & comatosum quippiam fuerit? an & aquosæ vrinæ suspensa alba habentes? & variè albæ, graueolentes quodammodo, deinde post aures abscessus? an & quibus eædem vrinæ, stillationes è naribus frequentes? an & lingua his læuis?

COMMENTARIVS GALENI.

SI, vt dixi, prænotionem ab his exordiretur, quæ scripsit Hippocrates tum in prognostico, tum in epidemiis, de abscessibus omnibus vniuersale quoddam fieret, & ex iis, quæ ab ipso dicta sunt, ad securiùs pronunciandum adiumentum. Nam si abscessum fore speraueris, humorum considera inclinationem, ad quam videlicet fiat partem; atque ita, vbi singulorum capitis symptomatum vires adnotaueris, parotidas fore tum magis, tum minùs sperabis. Exempli igitur gratia de iis, quæ nunc ante oculos posuit, sermonem facere non malum fuerit. Capitis dolor ex eorum est numero, quæ humorum ad caput inclinationem significant. Sed quòd leuiter sudent, pusillam ad eiusmodi prænotionem facultatem habet; sed maiorem habet, quòd superriguerit.

Παθήματα τὰ τὰς παρωτίδας σημαίνοντα καὶ παροξυνόμενα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξδ'.

ΤΟ σπασμῶδες, τρομῶδες, ἀσῶδες, κατόχως μικρὸν, παρ' οὖς ἐπιπαροξυνόμενα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΥκ ἐν πᾶσι τοῖς ἀντιγράφοις ἥδε ἡ ῥῆσις γέγραπται, τὴν αὐτὴν ἔχει λέξιν. ἀλλὰ κατά τινα μὲν ἐν αὐτῇ τῇ νῦν εἰρημένῃ γέγραπται λέξει, κατά τινα δὲ ἐν τῇδε· τὰ σπασμοτρομώδεα τρόπον παροξυνόμενα κατόχως τὰ παρ' οὖς. ἐπαινῶ τοὺς μὴ γράψαντας ἐν τοῖς ἰδίοις ἀντιγράφοις τὴν ῥῆσιν. αὔταρκες γὰρ ἡμῖν, ἐπιπλέκοντος αὐτοῦ συμπτώματα πολλὰ πολλοῖς ἀνομοιογενέσιν, ἄχρι δεῦρο παραμεῖναι, καὶ μὴ κάμνουσιν ἀποστῆναι. τὸ δὲ κατὰ τὴν λέξιν τὴν ἐπιπλοκὴν ποιεῖσθαι τῶν συμπτωμάτων ἀγνώστων τοῖς Ἕλλησιν, ἐσχάτως ἀλλόκοτον κατ' αὐτό, μηδὲ πάνυ τι φαινόμενα κατὰ σπασμὸν τρομώδη συμπτώματα. ἐν γὰρ τοῖς σπασμοῖς ἀδύνατόν ἐστι φωραθῆναι τοὺς τρόμους κάμνουσιν, εἰ μή τι ἄρα τοιαύτην τεθέαται συμπτωμάτων ἀμοιβὴν, ὡς ἡνίκα μὲν οἱ σπασμοὶ διαλίποιεν, τρομώδη γίνεσθαι τὸν ἄνθρωπον. ἡνίκα δ' ἐπιπέσοι σπασμὸς, ἀδιάγνωστον εἶναι τὸν τρόμον ἡγοῦνται. ἐπιπλοκὴ τῶν συμπτωμάτων ὁμογενὴς μέν ἐστιν, περιττὴ δέ. τὸ γὰρ ἐπὶ κατόχῳ γίνεσθαι τὰς παρωτίδας, ἱκανὸν ἡμῖν εἰρῆσθαι συνεπαύξοντος τὴν ἐλπίδα τῆς κενώσεως αὐτοῦ τοῦ ἀσώδους. εἰ δὲ βούλει, καὶ τὰ τῶν οὔρων πάθη συνεπαυξέτω τὴν προσδοκίαν. ἀλλά τό γε σπασμοτρομῶδες ὄνομα, μοχθηρόν.

Τὰ συμπτώματα τὰς παρωτίδας σημαίνοντα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξε'.

ΑΡά γε εἰσὶ τὰ πρῶτα κεφαλαλγικοί; ἆρά γε καὶ ἐφιδροῦσι τὰ ἄνω, καὶ ἐπιρριγοῦσιν; εἶτα καὶ κοιλίη καταρρήγνυται, καί τι κωματῶδες; ἆρά γε καὶ ὑδατώδεα οὖρα ἐναιωρεύμενα λευκοῖς, καὶ ποικίλως ἔκλευκα, δυσώδεά πως, εἶτα παρ' οὖς; ἆρά γε εἰσὶ τὰ αὐτὰ οὖρα στάξιες πυκναί; ἆρά γε καὶ γλῶσσα τούτοις λείη;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΑΝ, ὡς ἔφην, ἄρξηται τῆς προγνώσεως, ἀφ' ὧν Ἱπποκράτης ἔγραψεν ἐν τῷ προγνωστικῷ, καὶ τοῖς ἐπιδημίαις, ὑπὲρ πασῶν ἀποστάσεων, καθόλου γενήσεται, κἀκ τῶν εἰρημένων αὐτοῦ, τῆς εἰς ἀσφαλεστέραν ἀπόφασιν ὠφέλεια. ἐὰν γὰρ ἐλπίσῃς ἀπόστασιν ἔσεσθαι, σκέπτου τὴν ῥοπὴν τῶν χυμῶν εἰς ὅ,τι μόριον ποιοῦνται, καὶ οὕτως ἑκάστου τῶν περὶ τὴν κεφαλὴν συμπτωμάτων τὴν δύναμιν ἐκλογισάμενος, ἧττόν τε καὶ μᾶλλον ἐλπίσεις ἔσεσθαι τὰς παρωτίδας. ἕνεκα τοίνυν παραδείγματος, οὐ χεῖρον ἐπ' αὐτῶν, ὧν νῦν προεχειρήσατο ποιήσασθαι τὸν λόγον. κεφαλαλγία αὖ τῶν σημαινόντων ἐστὶν, ἐπὶ τὴν κεφαλὴν γίνεσθαι τὴν ῥοπὴν τῶν χυμῶν. τοῦ δὲ ἐφιδροῦντος, μικρὰν δύναμιν εἰς τὴν τοιαύτην πρόγνωσιν ἔχει, μείζονα δ' αὐτοῦ, τὸ ἐπιρριγοῦν.

τὸ δὲ καταῤῥήγνυσθαι τὴν κοιλίαν, οὐκ οἶδα ὅπως ἄν τις φαίη δηλωτικὸν εἶναι τῆς τῶν παρωτίδων γενέσεως, ἀλλὰ τοὐναντίον ἐπὶ τὰ κάτω τὴν ῥοπὴν ἐργάζεσθαι τοῖς λυποῦσι χυμοῖς. τὸ κωματῶδες, ἀξιόλογόν ἐστι σημεῖον εἰς παρωτίδων γένεσιν. ἀλλὰ καὶ τὰ ὑδατώδη τῶν οὔρων, οἷς ἐναιωρεῖται λευκὰ συντελεῖ κατὰ συμβεβηκὸς εἰς τὴν πρόγνωσιν, ἐπειδὴ τὰ μὲν ὑδατώδη χωρὶς ἐναιωρημάτων λευκῶν, ἄπεπτον εἶναι τὸ νόσημα δηλοῖ. τὰ δὲ καὶ τὴν σύστασιν κατὰ φύσιν ἔχοντα, καὶ πρὸς τούτῳ ἐναιωρήματα ἴσχοντα λευκά, πεπέφθαι δηλοῖ τὴν νόσον χωρὶς ἀποστάσεως. χρὴ τοίνυν αὐτὰ μήτ᾽ ἄπεπτα παντάπασιν εἶναι, μήτε πεπέφθαι τελέως, ἵνα ἡ φύσις ἀπόστασιν ἐργάσηται. τὰ δὲ ποικίλως ἔκλευκα, καὶ δυσώδεα, σπανίως μὲν ἀπόστασιν ἔχει γινομένην· εἰ δέ ποτε σχοίη, κακὴν ἕξει. καλῶς οὖν προσέθηκεν ἀπορῶν, ἆρά γε οἷσι τὰ τοιαῦτα οὖρα στάξιες πυκναί; κακοήθεσι γὰρ ἐν τοῖς χυμοῖς οὖσιν ἀπέπτοις, κἂν ἐπὶ τὴν κεφαλὴν ἀνενεχθῶσιν, οὗτοι στάξεις μᾶλλον ἐκ ῥινῶν ποιοῦσι κακοήθεις, οὐ παρωτίδας. τὸ δέ, ἆρά γε καὶ ἡ γλῶττα τούτοισι λείη; ἀπορητικόν ἐστι. ἐπὶ γὰρ τοῖς προειρημένοις εὐλογώτερόν ἐστι, τὸ πυρετοὺς κακοήθεις γίγνεσθαι, καὶ γλῶτταν τραχύνεσθαι.

Τὰ μεγάλας τὰς παρ᾽ ὦτα ἀποστάσιας εἰσφερόμενα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξϛʹ.

Οἷσι πνευματουμένοισιν ἐοῦσιν ἴκτεροι, καὶ πυρετοὶ ὀξέες μεθ᾽ ὑποχονδρίων σκληρῶν κατεψύχθαι, εἰ τὰ παρ᾽ ὦτα μεγάλα ἵστανται;

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Πνευματουμένους τοὺς μέγα, καὶ πυκνὸν ἀναπνέοντας εἰρηκέναι δοκεῖ, ἐπειδὴ κἂν τῷ περὶ διαίτης ὀξέων οὕτως αὐτοὺς ὠνόμασεν ὁ Ἱπποκράτης. εἰκότως οὖν ἐλπίζει τὰ παρ᾽ οὖς ἀνασπᾶσθαι, καὶ γὰρ λόγον ἔχει, καὶ γινόμενον αὐτὸ πολλάκις εἴδομεν. εἰ δὲ τοὺς ἐμπνευματουμένους τοὺς κατὰ τὴν κοιλίαν, ὥς τινες ἤκουσαν, οἵπερ καὶ πνευματώδεις γράφουσι, καὶ πνεύματα, οὐδὲν ἂν εἴη τοῦτο πρὸς τὴν τῶν παρωτίδων γένεσιν, ὥσπερ καὶ οἱ ἴκτεροι. περὶ δὲ πυρετῶν ὀξέων, καὶ μάλιστα τῶν καύσων εἴρηται πρόσθεν, ὡς αἱμορραγίας κινοῦσιν χέοντές τε τὸ αἷμα, καὶ πρὸς τὴν κεφαλὴν ἀναφέροντες. καὶ μέντοι καὶ τὰ ὑποχόνδρια τὰ σκληρά, τίνα μὲν λέγει, σαφῶς οὐκ ἔστι γνῶναι, διὰ τὸ μὴ προσκεῖσθαι ἐπώδυνα. τούτου γὰρ προσκειμένου φλεγμονὴν αὐτῶν ἤδη, μὴ προσκειμένου δὲ τὸν ὑπόψυχρον ὄγκον δηλώσει σκιῤῥώδη μᾶλλον, ἢ φλεγμαίνοντα. λύεται δὲ τὰ τοιαῦτα μᾶλλον ἀποστάσεσιν οὐχ αἱμορραγίαις. ἐπὶ γὰρ τῶν φλεγμαινόντων, τὰς αἱμορραγίας ὁρῶμεν μάλιστα γινομένας. ἀλλὰ διὰ τὴν ἀλλόκοτον ἑρμηνείαν τοῦ συγγραφέως, οὐκ ἔστιν ἀκριβῶς γνῶναι, πότερον λέλειπται τὸ τῆς ὀδύνης, ἀσαφέστερον ἡρμηνευκότος αὐτοῦ ἅμα τε γράψαντος, ἢ ὄντως σκιῤῥώδη βούλεται τὴν ὑποχονδρίων σκληρότητα. τὸ δὲ κατεψύχθαι, εἴρηται γὰρ καὶ τοῦτο, δύναται σημαίνειν οὐ τὸ λελύσθαι τὸν πυρετόν, ἀλλὰ τὰ κάτω μόρια τοῦ σώματος ἧττον εἶναι θερμά, παραβαλλόμενα τοῖς ἄλλοις, ἵνα τὴν ἀναστροφὴν τῆς θερμασίας ἐκ τούτου τεκμαιρώμεθα. τὸ δὲ μεγάλα τὰ παρ᾽ οὖς, ἐπὶ τῶν αὐτῶν γίνεσθαι, δοκεῖ μοι τεθεαμένος ἐπί τινος, οὕτως ἀποφήνασθαι περὶ τῶν κατὰ μέρος, ὡς καθόλου τὴν ἀπόφασιν ποιησάμενος. ἤρκει γὰρ καὶ χωρὶς τοῦ, μεγάλα, ἀπόφασιν γεγράφθαι.

Deiectionē verò alui quonam quis pacto generationis parotidū signū demōstratiuum esse dixerit, haud scio, quum potius modo cōtrario vexantium humorū ad infernas partes inclinationē operetur. Comatosum ad parotidū generationē signū effatu dignū existit. Aquosæ præterea vrinæ, in quibus alba sublime petūt, ad prænotionē per accidēs cōferunt; quoniam aquosæ quidē absq; albis suspensis incoctū esse morbū significant; quæ verò substantiam secundū naturā habent, atque præter id suspensum albū cōtinent, coctū morbū esse indicant absq; abscessu. Oportet igitur eas neq; prorsus incoctas, neq; absolute cōcoctas esse, vbi natura abscessum factura sit. Quæ verò variè albæ, & graueolentes fuerint, rarò quidē abscessū, qui fiat, habēt; quòd si aliquādo habuerint, malū habebūt. Bene igitur adiecit addubitās, an & quibus eiusmodi vrinæ, stillationes è naribus frequētes? malignitates siquidē in succis incoctis, & si ad caput ferantur, stillationes magis è naribus malignas faciunt, non parotidas. Oratio præterea, an & lingua his læuis? dubitatiua est; nempe in prædictis, & febres malignas fieri, & linguam exasperari rationi magis consentaneum.

Quæ magnos abscessus secundum aures adferunt.

HIPPOCRATIS PRÆDICTIO 166.

Quibus magnum ac crebrum spiritum ducentibus icteri, & febres acutæ cū duris hypocondriis refrigeratæ fuerint; num his abscessus magni secundum aures suscitantur?

COMMENTARIVS GALENI.

Πνευματουμένους eos, quibus magna est, & frequēs respiratio, dixisse videtur, quoniam & in libro de victus ratione in morbis acutis hoc pacto eos nominauit Hippocrates. Iure optimo suscitādos post aures abscessus sperat, nēpe & ratione non caret, atque hoc sæpius fieri vidēmus. Si verò πνευματουμένους eos dixerit, qui vētre inflantur, vt nō nulli intellexerūt, qui & πνευματώδεις scribūt, & πνεύματα, nihil hoc ad parotidū generationē cōtulerit, sicuti neq; morbus regius. De febribus autē acutis, & præsertim ardētibus dictū est antea, sanguinis eruptiones mouere, sanguinē tū fundentes, tū ad caput sursum ferentes. Quænā præterea dura hypochondria dicat, non clarè cognoscere possumus, propterea quòd dolentia non adiecerit; nēpe hoc adiecto iam phlegmonen horū indicabit; non adiecto verò, frigidiusculū tumorē scirrhosū magis, quā phlegmonosū. Soluūtur verò talia abscessibus magis, non sanguinis eruptionibus; nēpe in iis quæ inflāmantur, sanguinis eruptiones maximè fieri conspicimus. Propter alienam verò authoris enunciationē cognoscere exquisitè nō possumus, an pretermissum sit nomen doloris, obscurius tum pronunciante, tum scribente ipso; an hypochondriorū duritiem verè scirrhosam intellexerit. Verbū verò, *refrigeratæ fuerint*, nēpe & id dictū est; potest significare non solutā esse febrem, sed partes corporis inferiores, cū aliis collatas minùs calidas esse; vt caliditatis reuersionē ex ea re coniiciamus. Quum verò magnos abscessus in eisdē fieri dixit, pone aures videtur mihi in aliquo vidisse; & ita de particularibus pronunciasse, tanquam vniuersaliter pronuncians; satis siquidem fuerit pronunciationem sine nomine, *magni*, scriptam fuisse.

Sympto-

Symptomata parotidas adferentia.

HIPPOCRATIS PRÆDICTIO 167.

Qvibus comatosa, cum iactatione, hypochondria dolẽtia, vomitoria pauca, in his parotides exurgunt; antea autẽ & faciei signa.

COMMENTARIVS GALENI.

Qvòd futurus quidam abscessus ex iis quæ Hippocrates scripsit, sperabis, deinde in qua corporis fiet parte, vtilem habebis dictam concursionem; nam comatosum. si & aliud symptoma, parotidas præcedit. Dolentia verò hypochondria phlegmonem habẽt, si quis animaduerterit. Quum autem hæc ita habeant, ad generationem conferent, & fastidiosa, & vomitoria symptomata. Quod verò in calce orationis dictum est, *antea autem & faciei signa*, valde vtile existit, si quis conuenienter orationem intellexerit; conuenit autem hoc pacto intelligere, vt verus fiat sermo: verus autem erit, vbi intelligi hoc sensu intellexerimus. Ante parotidum generationem faciei signa cõsiderare oportet, sunt autem hæc, rubor, tumor præter naturam, oculorum humiditas, caliginosa visio, & quæcunque talia. Si quis verò non omnia, quæ circa faciem apparent, intelligere voluerit, saltem tumorem præter naturam prorsus intelligere oportet. Postquam enim dixisset, *in his parotides exurgunt*, deinde serie continuata dicens, *antea autem & faciei signa*, videbitur enunciare à communi intelligendum verbum, exurgunt.

Συμπτώματα τὰ τὰς παρωτίδας σημαίνοντα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξζ'.

Τὰ κωματώδη, ἀσώδη, ὑποχόνδρια ὀδυνώδεα, ἐμετώδεα μικρὰ ἐν τούτοισι τὰ παρ' οὖς ἐπανίστανται, πρόσθεν δὲ καὶ τὰ περὶ πρόσωπον.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Ὅτι μέλλει γίνεσθαί τις ἀπόστασις, ἐλπίσεις ἐξ ὧν Ἱπποκράτης ἔγραψεν. ἐφεξῆς δὲ, ἤτοι τὸ μέρος τοῦ σώματος εἰς ὃ γενήσεται χρήσιμον ἕξεις τὴν εἰρημένην συνδρομήν. τὸ μὲν γὰρ κωματῶδες, εἴπερ καὶ ἄλλο σύμπτωμα, προηγεῖται παρωτίδων. τὰ δὲ ὀδυνώδη ὑποχόνδρια, φλεγμονὴν ἔχει, ἐάν τις ἐπινοήσειε. τούτων δ' οὕτως ἐχόντων, συντελέσει πρὸς τὴν γένεσιν τά τε ἀσώδη, καὶ τὰ ἐμετώδη συμπτώματα. τὸ δ' ἐπὶ τῆς τελευτῆς εἰρημένον, τὸ, ἔμπροσθεν τὰ περὶ πρόσωπον, ἱκανῶς χρήσιμον, εἰ ὡς προσήκει, τις ἀκούσειε τῆς λέξεως. προσήκει δ' οὕτως ἀκούειν, ὡς ἀληθῆ γίνεσθαι τὸν λόγον. ἀληθὴς δ' ἔσται, νοησάντων ἡμῶν νοεῖσθαι κατὰ τήνδε τὴν διάνοιαν αὐτὸν, πρὸ τῆς τῶν παρωτίδων γενέσεως, τὰ περὶ πρόσωπον σημεῖα προσήκει σκοπεῖσθαι. ταῦτα δ' ἐστὶν ἔρευθος, ὄγκος παρὰ φύσιν, ὑγρότης ὀφθαλμῶν, ἀχλυῶδες ὁρᾶν, ὅσα τἄλλα τοιαῦτα. εἰ δὲ καὶ μὴ πάντα τις ἀκούειν ἐθέλοι περὶ τὸ πρόσωπον, ἀλλὰ τόν γε παρὰ φύσιν ὄγκον ἀκούειν πάντως. εἰρηκὼς γὰρ ἐν τούτοισι παρ' οὖς ἐπανίστανται, ἔπειτα ἐφεξῆς εἰπὼν, πρόσθεν δὲ τὰ περὶ πρόσωπον, ἐμφαίνειν ἂν δόξειε ἀπὸ κοινοῦ δεῖν ἀκούειν τὸ, ἐπανίστανται.

De parotidum ortu ex comate.

HIPPOCRATIS PRÆDICTIO 168.

Alvo nigra, & stercorosa deiiciente, coma superueniens parotidas excitat.

COMMENTARIVS GALENI.

Haud rectè scripsere quidam, ventre nigra, stercorosáque biliosa deiiciente, neque in antiquis reperi exemplaribus, neque quisquam eorum, qui librum enarrauerunt, hanc nouit scripturam. Quin & biliosa, quæ de pallida bile ab antiquis medicis dici consueuerunt, non sanè dicta essent eodem sensu, quo nigra. Hac de causa biliosa expunxi, scripta; nigra quidem à Capitone in ipso contextu, in margine verò à Dioscoride. Videtur autem mihi libri huius author concursionem hanc in ægro contemplatus, totam voluisse explicare, non distinguens ea, quæ casu quodam parotidas præcesserunt ab eo, quod verè parotidas significat. Sufficiens namque ipsi signum est coma.

Περὶ γενέσεως τῶν ἐκ τοῦ κώματος παρωτίδων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξη'.

Κοιλίης μέλανα κοπρώδεα διείσης, κῶμα ἐπιφανὲν, τὰ παρ' οὖς αἴρησιν.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

Οὐκ ὀρθῶς ἔγραψαν ἔνιοι κοιλίης μέλανα, κοπρώδεα χολώδεα διείσης, οὔτ' ἐν τοῖς παλαιοῖς ἀντιγράφοις εὗρον, οὔτε τις τῶν ἐξηγησαμένων τὸ βιβλίον ἐπίσταται τὴν γραφὴν ταύτην, ἀλλ' ἃ καὶ χολώδεα κατὰ τῆς ὠχρᾶς χολῆς ἔθος τοῖς παλαιοῖς ἰατροῖς λέγειν, οὐκ ἂν εἴρηται κατὰ τὴν αὐτὴν ῥῆσιν, εἰς ἣν τὰ μέλανα διαχωρεῖ. τοῦ τοιούτου ἕνεκα, τὰ χολώδεα ταῦτα περιεξῄρησα τὰ γεγραμμένα, μέλανα μὲν ὑπὸ Καπίτωνος ἐν αὐτῷ τῷ ἐδάφει, κατὰ δὲ τὸ μέτωπον ὑπὸ τοῦ Διοσκορίδους. δοκεῖ δέ μοι καὶ τήνδε τὴν συνδρομὴν ὁ γράψας τὸ βιβλίον ἐπ' ἀρρώστου τεθεαμένος, ὅλην θελῆσαι διηγήσασθαι, μὴ διορίσας τὰ κατά τινα συντυχίαν προηγησάμενα τοῦ σημαίνοντος τὰς παρωτίδας, ἱκανὸν γὰρ αὐτὸ σημεῖον, τὸ κῶμα.

Tussiculis vacuari parotidas.

HIPPOCRATIS PRÆDICTIO 169.

Tvssiculæ cum spiratione existentes, abscessum post aures euacuant.

Βήχια τὰς παρωτίδας ἀπαλλάσσει.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρξθ'.

Βήχια μετὰ πτυελισμοῦ ὄντα, τὰ παρ' οὖς ἀπαλλάσσει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΔΥναται καὶ θώρακος γράφειν. ἐγχωρεῖ γὰρ ἔσω ῥοπῆς γενομένης, διὰ τοῦ φυσικοῦ πόρου ἐκρεῖν τὸ λεπτότερον τῶν τὰς παρωτίδας ἐργασαμένων χυμῶν, εἰς τὴν τοῦ στόματος εὐρυχωρίαν, καὶ οὕτως τὸν πτυελισμὸν γίνεσθαι. καθισταμένων δὲ οὕτως, εὔλογον μὲν ἑτέρας φαίνεσθαι τὰς παρωτίδας. τὸ γὰρ ἀπαλλάσσειν, κυρίως κενοῦν σημαίνει, τῷ κενοῦσθαι δὲ ἕπεται τό τε συστέλλεσθαι, καὶ τὸ μαλακώτερον γίνεσθαι.

COMMENTARIVS GALENI.

POtest, & thoracem scribere; fieri siquidem potest, vt facta intrò inclinatione, per canalem naturalem effluat, quod tenuius est ex conficientibus parotidas succis, ad oris capacitatem, & ita sputationem fieri; consistentibus autem ita rationabile quidem alias apparere parotidas. Nempe verbum ἀπαλλάσσειν propriè vacuare significat, ipsum autem vacuari consequuntur, & contrahi in se ipsum, & mollius fieri.

Τὰ τῶν παρωτίδων σημεῖα.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ρθʹ.

ΕΝ κεφαλαλγίῃ κῶμα, καὶ κώφωσις, παρ' οὖς τι ἐξερεύγεται.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΟΝτως ἀεὶ ταῦτα σημεῖα παρωτίδων, ἐπεὶ προσηλπίσαμεν οὕτω γενήσεσθαί τινα ἀπόστασιν. οἱ γὰρ εἰς τὴν κεφαλὴν ἀναδραμόντες χυμοί, θερμοὶ μὲν ὄντες, καὶ λεπτοί, παραφροσύνας, καὶ αἱμορραγίας φέρουσι, παχεῖς δέ, καὶ ψυχροί, κώματα, καὶ παρωτίδας. ἡ κεφαλαλγία δὲ κοινὸν ἀμφοῖν, ὥσπερ καὶ ἡ κώφωσις, ἀλλὰ μᾶλλον μὲν τῶν θερμῶν ἡ κεφαλαλγία. τῶν δὲ ψυχρῶν, ἡ κώφωσις. ἀρκεῖ δὲ ὁ συγγραφεὺς τῷ τοῦ κώματος ὀνόματι, μηδαμόθι γράψας ἐν ὅλῳ τῷ βιβλίῳ τὴν τοῦ ληθάργου προσηγορίαν.

Signa parotidum.

HIPPOCRATIS PRÆDICTIO 170.

IN capitis dolore coma, & surditas abscessum aliquem post aures eructant.

COMMENTARIVS GALENI.

VEre semper hæc signa sunt parotidum, quoniam ita fore abscessum quendam ante sperauimus. Succi enim ad caput recurrentes, calidi quidem, & tenues, desipientias, & sanguinis eruptiones procreant; crassi autem, & frigidi, comata, & parotidas. Capitis dolor vtrisque communis existit, veluti & surditas; sed calidis magis capitis dolor, frigidis verò surditas. Comatis verò nomen scriptori satis fuit, qui scilicet lethargi appellationem toto subticuit libro.

Σημεῖα τῆς γενέσεως τῶν παρωτίδων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ροαʹ.

ΥΠοχονδρίου σύντασις μετὰ κώματος ἀσώδεος, καὶ κεφαλαλγίης, τὰ παρ' οὖς ἐπαίρει.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΠΑλιν κἀνταῦθα τὸ μὲν κῶμα μετὰ τῆς κεφαλαλγίας, ἀξιόλογόν ἐστι σημεῖον, ἐνδείξασθαι γένεσιν παρωτίδων. συνενδείκνυται δὲ καὶ ἡ τοῦ ὑποχονδρίου σύντασις. ἡ μὲν σὺν φλεγμονῇ δηλοῦται διὰ τῆς προσηγορίας ταύτης, οὐ μεγάλη γὰρ αὐτῆς ἡ ἔνδειξις. εἰ δὲ ἄνευ φλεγμονῆς ἡ σύντασις γένοιτο κατὰ τὴν ἄνω ῥοπὴν τῶν χυμῶν, ἀξιόλογόν ἐστι σημεῖον εἰς παρωτίδων γένεσιν, καὶ τὴν αἱμορραγίαν σημαίνει. τὸ δὲ ἀσῶδες, αὐτὸ μὲν καθ' ἑαυτὸ παρωτίδας οὐδ' ὅλως δηλοῖ, τῇ δὲ εἰρημένῃ συνδρομῇ μαρτυρεῖ συνεπιφαινόμενον.

Signa generationis parotidum.

HIPPOCRATIS PRÆDICTIO 171.

HYpochondrij contentio, cum comate & iactatione, & capitis dolore parotidas attollunt.

COMMENTARIVS GALENI.

RVrsus & hoc loco coma vnà cum capitis dolore signum indicandę parotidum generationis effatu dignũ existit, coindicat autem, & hypochondrij cõtentio. Per hanc itaque appellationem phlegmone indicatur, neque enim magna est ipsius indicatio. Si verò absque phlegmone contentio fiat, in humorum ad superas partes inclinatione signum ad parotidum generationem notabile existit, sanguinísque ostendit eruptionem. Anxium verò per se quidem parotidas nullo pacto indicat, sed simul apparens, dictæ concursioni fidẽ addit.

Περὶ παρωτίδων τῶν φλαύρων.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΣΙΣ ροβʹ.

ΤΑ ἐπώδυνα παρ' οὖς ἀκρίτως καταμωλυνθέντα, φλαῦρα.

ΥΠΟΜΝΗΜΑ ΓΑΛΗΝΟΥ.

ΗΔη πολλάκις ὁ λόγος οὗτος εἴρηται, καὶ κατὰ μέρος, καὶ καθόλου, καὶ βέλτιόν γε δηλοῦται προσκειμένου τοῦ ἐξαίφνης, καὶ τοῦ ἀφανισθέντος. τὸ γὰρ καταμωλυνθέντα, τὴν κατὰ βραχὺ λύσιν ἐνδείκνυται. τὸ δὲ ἐξαίφνης ἀφανισθῆναι τὰς ὀδυνηρὰς διαθέσεις, ἄνευ τοῦ κατ' ἄλλο τι μέρος τῶν προφανῶν ἀπόστασιν γενέσθαι, πρὸς τὰ σπλάγχνα δηλοῖ τὴν μετάστασιν τῶν λυπούντων γεγονέναι.

De parotidibus damnosis.

HIPPOCRATIS PRÆDICTIO 172.

DOlorem concitantes aurium abscessus citra crisim sensim dißipati, damno sunt.

COMMENTARIVS GALENI.

IAm sæpius sermo hic tum particulariter, tum vniuersaliter dictus est; meliúsque ostenditur, si adiiciatur, repentè occultati; nam καταμωλυνθέντα solutionem, quæ sensim fit, significat. Repente verò occultari dolorificas affectiones absque hoc, quòd in alia quadam, quæ manifesta sit, parte abscessus fiat, transmigrationem infestantium succorum ad viscera ipsa factam ostendit.

HIPPO-

ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΡΟΡΡΗΤΙΚΩΝ ΒΙΒΛΙΟΝ Β.

HIPPOCRATIS PRAEDICTIONVM LIBER SECVNDVS.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι Β' ΒΙΒΛΙΩι.

Τοὺς τῶν ἀρχαίων προῤῥητικοὺς τρόπους προλέξας, τό τε τὰς μεγάλης εἰς τέχνην δυνάμεως εἶναι τὰς ἐν τοῖς νοσήμασι μελλόντων προῤῥήσιας, καὶ σημεῖα τὰ ἀγαθά τε καὶ πονηρὰ κατὰ μέρος συγγράφει.

ARGVMENTVM LIBRI SECVNDI.

Præfatus veterum prædicendi modos, tum magni ad artem momenti esse futurorum in morbis prædictiones, ac signa tum bona, tum praua sigillatim conscribit.

CAPVT PRIMVM.

Varij veterum prædicendi modi; quales Hippocratis prædictiones; delirij ex diæta cognitio, & ex hæmorrhoidibus prædictiones, in quibus prudentia adhibenda.

A PRÆDICTIONES *Medicorum enunciantur permultæ, tum præclaræ, tum admirandæ, quales ego quidem neque ipse prædixi, neque alium qui prædiceret audiui. Ex ipsis verò quædam sunt huiusmodi. Hominem videri perniciose affectum esse tum Medico eius curam habenti, tum cæteris; ingressum verò alium Medicum dixisse, hunc hominem non periturum, verùm oculis captum fore. Et ad alium qui prorsus malè affectus existimabatur, ingressum prædixisse, hominem quidem euasurum esse, verùm manum* B *mancã habiturũ. Et alteri superstitem se non fore arbitranti, pronunciasse ipsum quidẽ sanũ fore, at pedũ digitos denigratos putrilaginẽ cõtracturos. Atque alia huiuscemodi prędicta in tali specie narrãtur. Alius autẽ prædictionis modus est, ementibus & negocia tractantibus prædicere, aliis quidẽ mortẽ, aliis verò insaniam, aliis alios morbos, & ad hæc omnia etiã quæ prioribus tẽporibus facta sunt vaticinari ac omnia vera narrare. Alia præterea prædictionũ forma dicitur, athletas eósq; qui propter morbos sese exercẽt & laboribus fatigant cognoscere siquid aut circa cibum deliquerint, aut quid*

ΚΕΦΑΛΑΙΟΝ Α'.

Οἱ ποικίλοι παλαιῶν προῤῥητικοὶ τρόποι· ποῖαι τοῦ Ἱπποκράτους προῤῥήσιες· ἡ τῆς παραφροσύνης ἐκ διαιτημάτων γνῶσις, καὶ αἱ ἐξ αἱμοῤῥοΐδων προῤῥήσιες, καθ' ἃς τὴν φρόνησιν παρέχειν χρή.

A ΤΩΝ ἰητρῶν προῤῥήσιες ἀπαγγέλλονται συχναί τε, καὶ καλαί, καὶ θαυμασταί· οἵας ἐγὼ μὲν, οὔτ' αὐτὸς προεῖπον, οὔτ' ἄλλου του ἤκουσα προλέγοντος. εἰσὶ δὲ αὐτῶν, αἱ μὲν τοιαίδε. ἄνθρωπον δοκέειν ὀλέθριον εἶναι, καὶ τῷ ἰητρῷ τῷ μελεδαίνοντι αὐτέου, καὶ τοῖσιν ἄλλοισιν. ἐπεισιόντα δὲ ἰητρὸν ἕτερον εἰπεῖν, ὅτι ὁ μὲν ἄνθρωπος οὐκ ἀπολεῖται, ὀφθαλμῶν δὲ τυφλὸς ἔσται. καὶ παρ' ἕτερον δοκέοντα παγκάκως ἔχειν, εἰσελθόντα προειπεῖν, τὸν μὲν ἄνθρωπον ἀναστήσεσθαι, B χεῖρα δὲ χωλὴν ἕξειν. καὶ ἄλλῳ τῷ δοκέοντι οὐ περιέσεσθαι, εἰπεῖν, αὐτὸν μὲν ὑγιέα ἔσεσθαι, τῶν δὲ ποδῶν τοὺς δακτύλους μελανθέντας, ἀποσαπήσεσθαι. καὶ τἄλλα τοιουτότροπα προῤῥήματα λέγεται ἐν τοιουτέῳ τῷ εἴδει. ἕτερος δὲ τρόπος προῤῥήσεως ὠνεομένοισί τε, καὶ διαπρησσομένοισι προειπεῖν, τοῖσι μὲν θανάτους· τοῖσι δὲ μανίας· τοῖσι δὲ ἄλλας νόσους· ἐπὶ πᾶσι τουτέοισί τε, καὶ τοῖσι προτέροισι χρόνοισι, προφητίζειν, καὶ πάντα ἀληθεύειν. ἄλλο δὲ σχῆμα προῤῥήσεων τόδε λέγεται, τοὺς ἀθλητὰς γινώσκειν, καὶ τοὺς τῶν νούσων ἕνεκα γυμναζομένους τε, καὶ ταλαιπωρέοντας, ἤν τι, ἢ τοῦ σιτίου ἀπολίπωσιν, ἢ ἑτεροῖόν τι

φάγωσιν, ἢ ποτῷ πλέονι χρήσωνται, ἢ τῶν περιπάτου ἀπολίπωσιν, ἢ ἀφροδισίων τι πρήξωσι. τούτων πάντων οὐδὲν λανθάνει, οὐδ᾽ εἰ σμικρόν τι εἴη ἀπειθήσας ὥνθρωπος, οὕτως ἐξηκριβῶσθαι. οὗτοι πάντες οἱ τρόποι λέγονται τῶν προρρήσιων. ἐγὼ δὲ τοιαῦτα μὲν οὐ μαντεύσομαι· σημεῖα δὲ γράφω, οἷσι χρὴ τεκμαίρεσθαι τούς τε ὑγιέας ἐσομένους τῶν ἀνθρώπων, καὶ τοὺς ἀποθανουμένους. τούς τε ἐν ὀλίγῳ χρόνῳ, ἢ ἐν πολλῷ ὑγιέας ἐσομένους, ἢ ἀπολουμένους. γέγραπται δέ μοι καὶ περὶ ἀποστασίων, ὡς χρὴ ἐπισκέπτεσθαι ἑκάστας. δοκέω δὲ καὶ τοὺς προειπόντας περί τε τῶν χωλώσιων, καὶ τῶν ἄλλων τῶν τοιουτέων ἤδη ἀποστηριζομένου τοῦ νοσήματος προειπεῖν, καὶ δήλου ἐόντος, ὅτι οὐ παλινδρομήσει ἡ ἀπόστασις, εἴπερ νόον εἶχον πολὺ μᾶλλον, ἢ πρὶν ἄρχεσθαι τὴν ἀπόστασιν γινομένην. ἐλπίζω δὲ καὶ τἄλλα προειπεῖν ἀνθρωπινωτέρως, ἢ ὡς ἐπαγγέλλεται (ἃ δὲ τοῖσιν ὠνεομένοισί τε καὶ περναμένοισι λέγεται προρρηθῆναι) θανάτους τε καὶ νοσήματα, καὶ μανίας. ταῦτα δέ μοι δοκέει τοιαῦτα γίνεσθαι, καὶ οὐδέν τι δοκέει χαλεπὰ εἶναι προειπεῖν τῷ βουλομένῳ τὰ τοιάδε διαγωνίζεσθαι. πρῶτον μὲν γὰρ τοὺς ἐφύδρους τε καὶ φθινώδεας τίς, οὐκ ἂν γνοίη; ἔπειτα τοὺς παραφρενήσοντας ἔστι μὴ πολὺ λανθάνειν, εἴ τις εἰδείη οἷσι τὸ νόσημα τοῦτο, ἢ ξυγγενές ἐστιν, ἢ πρόσθεν πότ᾽ ἐμάνησαν. εἰ γὰρ οὗτοι οἱ ἄνθρωποι οἰνοφλύγες εἶεν, ἢ κρεηφαγοῖεν, ἢ ἀγρυπνοῖεν, ἢ τῷ ψύχει, ἢ τῷ θάλπει ἀλογίστως ὁμιλοῖεν, πολλαὶ ἐλπίδες ἐκ τουτέων τῶν διαιτημάτων, παραφρονῆσαι αὐτούς. τούς τε αἱμορροΐδας ἔχοντας, εἴ τις ὁρῴη τοῦ χειμῶνος πολυποτέοντάς τε καὶ εὐχρόους ἐόντας, ἔστι προειπεῖν ἀμφὶ τούτων. ἐς γὰρ τὸ ἔαρ καταρραγῆναι τὸ αἷμα πολλαὶ ἐλπίδες, ὥστε ἀχρόους τε καὶ ὑδαλέους ὑπὸ τὴν θερείην τούτους εἶναι. ἀλλὰ χρὴ προλέγειν καταμανθάνοντα πάντα ταῦτα, ὅστις τῶν τοιουτέων ἐπιθυμέει ἀγωνισμάτων. ἔστι γὰρ ἐκ τῶν γεγραμμένων προειπεῖν, καὶ θάνατον, καὶ μανίην, καὶ εὐεξίην. εἴποιμι δ᾽ ἂν καὶ ἄλλα πάμπολλα τοιαῦτα, ἀλλὰ τὰ εὐγνωστότατα ἔδοξέ μοι γράψαι. συμβουλεύω δὲ, ὡς σωφρονεστάτους εἶναι, καὶ ἐν τῇ ἄλλῃ τέχνῃ, καὶ ἐν τοῖσι τοιούτοισι προρρήμασι γνόντας ὅτι ἐπιτυχὼν μὲν ἄν τις τοῦ προρρήματος, θαυμασθείη ὑπὸ τοῦ ξυνιόντος ἀλγέοντος. ἁμαρτὼν δ᾽ ἄν τις, πρὸς τῷ μισεῖσθαι, τάχ᾽ ἂν καὶ μεμηνέναι δόξειεν. ὧν δὴ ἕνεκα κελεύω, σωφρόνως τὰ προρρήματα ποιέεσθαι, καὶ τἄλλα πάντα, καὶ ταῦτα, καίτοι γε ἀκούω, καὶ ὁρῶ οὔτε κρίνοντας ὀρθῶς τοὺς ἀνθρώπους τά λεγόμενά τε καὶ ποιεύμενα ἐν τῇ τέχνῃ, οὔτ᾽ ἀπαγγέλλοντας.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ἄδηλον ὑπάρχειν τὴν τῶν γυμναζομένων πρόρρησιν· ἐν τοῖσι νόσοισιν εὐπετὲς τὰ ἁμαρτήματα γινώσκειν· τούς τε τῷ σιτίῳ τε καὶ τῷ ποτῷ πλέονι χρησαμένους, οὐ δὲ τὰ ἤθεα τῶν νοσημάτων τε καὶ τῶν ἀλγεόντων τοῖς ἀσφαλέσι σημείοις ἐκμανθάνεσθαι.

Ἀμφὶ δὲ τῶν γυμναζομένων, καὶ ταλαιπωρεόντων, τὰς μὲν ἀτρεκείας τὰς λεγομένας, ὡς λέγουσιν

A *alienũ ederint, aut potu pleniore vsi fuerint, aut deambulationem intermiserint, aut res quasdam venereas exercuerint. Horum omnium nihil eos latet, ne vel si pusillum quid extiterit in quo homo non paruerit, id exactè cognoscant. Hi omnes narrantur prædictionum modi. Ego verò talia quidem non vaticinabor; verùm signa scribam, quibus & sanos futuros homines, & morituros coniectare oportet; ac tum breui tempore, tum longiore, sanos futuros, aut perituros. Scriptum est autem à me & de abscessibus, quomodo singulos* B *considerare conueniat. Arbitror autem & eos, qui de claudicationibus prædixerunt, aliisque eiusmodi, confirmato iam morbo prædixisse, & quum iam manifestum esset, quòd abscessus non esset recursurus; si modo intelligentiam habuerunt, multo sanè magis, quàm priusquam abscessus fieri inciperet. Spero quoque & alia prædixisse, magis humano more, quàm refertur (quæ videlicet ementibus, & vendentibus prædixisse dicuntur) mortes, & morbos, & insanias. Atque hæc mihi videntur talia facta esse, & nulla videtur esse* C *difficultas prædicendi ei qui circa talia studium, ac curam adhibere velit. Primùm etenim hydropicos, & tabidos quis non cognouerit? Deinde delirаturi non diu latere possunt, si quis nouerit, quibus hic morbus cognatus est, aut priùs aliquando insaniuerunt. Si enim hi homines ebriosi fuerint, aut carnes vorauerint, aut vigilauerint, aut in frigore, aut calore inconsideratè versati fuerint, multus timor est ex tali victus ratione ipsos deliraturos esse. Et eos, qui hæmorrhoidas habent, si quis hyeme multo potu vti viderit, &* D *bono colore præditos, de his prædicere licet, quòd ad ver multa spes sit sanguinis eruptionis, & vt decolores, & aquosi sub æstatem fiant. Verùm omnia hæc addiscere, ac prædicere oportet, si quis in talibus studiis palmam ferre expetat. Licet enim ex scriptis prædicere, & mortem, & insaniam, & bonum habitum. Possem autem referre & alia multa huiusmodi, sed quæ facillima cognitu sunt, visum est mihi scribere. Consulo autem, vt quàm prudentissimè agant, tum in reliqua arte, tum in huiusmodi prædictionibus, illius* E *probè memores, quod si cui successerit prædictio, is apud ægrotum intelligentia præditum in admiratione fuerit. Si verò quis aberrarit, supra hoc, quod odio habetur, fortasse etiam insanire videbitur. Quaproptèr iubeo, vt tum alias omnes, tum has prædictiones prudenter faciat; quanquam sanè & audiam, & videam, neque iudicare rectè homines ea quæ dicuntur, ac fiunt in arte, neque narrare.*

CAPVT II.

F Incertam de exercitatis prædictionem dari; errata in morbis facilè cognosci; vberiore potu, ac cibo vsos, non autem morborum & ægrotantium mores certis signis deprehendi.

De his autem qui exercentur, ac laboribus se fatigant, eas assertiones, quas afferũt hi, qui ipsas

proferunt,

proferunt, neque esse puto, neque si quis existimet, prohibeo: à nullo enim signo neque bono, neque malo, lædũtur suspiciones, cui signo fide habita quis sciat, an rectè pronunciatũ sit, aut secus; alioqui per me licet, vt si quis velit, credat; non enim ego impedimento sum. Arbitror autem si quid veri ab ipsis dicatur, aut iis, qui de his, qui exercentur, asseuerant; aut illis, qui priùs scripti sunt, primùm quidem hunc, qui cognouit ex signis cõiectasse; deinde verò ambiguè, & humaniter prædixisse, simulq; eos, qui id narrant, prodigiosius, quàm factũ fuit recensere; nam neque in morbis facile est errata cognoscere, etiam si decumbant homines, & victu parum nutriente vtantur, vt non adeò multa intueri opus sit eum, qui hęc considerandi curam suscepit; alij enim bibunt solũ; alij ad hoc quod bibunt, aut sorbitionem, aut cibum paucissimum assumũt. Necesse igitur est eos, qui vberiore potu vsi sunt, difficiliùs spirare, & plus vrinę eiicere; eos verò, qui sorbitionẽ, aut cibum auxerunt, magis & sitire, & febrire. Si verò quis vtrisque & potu, & cibo immodicè vsus fuerit; ad hoc quod febrit, & difficulter spirat, etiam ventrẽ circũtentum, & maiorẽ habebit. Licet porrò & hæc, & alia omnia experimẽtis optimè explorare, quæ & habemus, & omnibus rectè vtimur. Primùm equidẽ & intelligentia, & oculis cognoscere facile est, hominẽ in eodem loco decumbẽtem, & exacta victus ratione vtentẽ, si non paruerit, aut obambulãdo, aut multa edendo. Deinde qui manibus contrectauit ventrẽ, ac venas, minùs falli potest, quàm qui non contrectauit. Et nares in febrientibus quidẽ & multa, & bene significant; odores enim multùm inter se differunt. At verò in sanis, & recto victu vtentibus, haud scio, qua re vel in hoc experimẽto faciendo vti possim. Postea audiendo vocem, & spiritũ auribus cognoscere datur, quæ in sanis non similiter sunt manifesta, sed qualiter etiam antea. Quòd si etiam mores morborũ, ac ægrotorũ didicerit medicus, non tamẽ quicquã prædicere oportet: non enim difficiliùs spirabit homo, morbo adhuc errante, & febriet acutiore febre, & vẽter intentus fuerit. Quare propter hæc non tutũ est prædicere, priusquã statũ accipiat morbus; verùm post hoc tempus, quicquid præter rationẽ acciderit, dicere oportet. Manifesta verò sunt mala, quæ propter ęgrũ refragarium fiunt; nam & spirandi difficultates, & alia huiusmodi postridie sedabuntur; si ob erratũ fiunt. Si igitur quis hanc iudicationẽ considerans dixerit; non delinquet. Atque ego quidem hunc considerandi modum nunc consulo tum de his, qui domi manent, tum de his, qui exercentur, itémque de aliis omnibus, qualia errata cõmittant. At exactam illam narrantes rationem & audio, & derideo. Quum enim aliquantulum non obedientes fuerint homines, haud scio, quomodo id deprehendere possim. Si verò maiora fuerint errata, quem in modum considerare oporteat, scribam.

A οἱ λέγοντες, οὔτε δοκέω εἶναι, οὔτ' εἴ τις δοκεῖ, κωλύω δοκέειν. ὑπὸ σημείου μὲν γὰρ οὐδενὸς βλάπτεται τὰ ὑπονοήματα, οὔτε καλοῦ, οὔτε κακοῦ, ὧν χρὴ πιστεύσαντα εἰδέναι, εἴτε ὀρθῶς ἀπήγγελται, εἴτ' οὔ. ἄλλως δὲ ἐκποιεῖ τῷ βουλομένῳ πιστεύειν· οὐ γὰρ ἐμποδὼν ἵσταμαι. δοκέω δὲ αὐτῶν εἴ τι ἀληθὲς λέγεται, ἢ τῶν δὲ τῶν περὶ τοὺς γυμναζομένους, ἢ ἐκείνων τῶν πρότερον γεγραμμένων, πρῶτον μὲν τῶν σημείων τεκμήρασθαι τοῦτον γνόντα. ἔπειτα ἐνδοιαστῶς τε καὶ ἀνθρωπίνως προειπεῖν, ἅμα δὲ καὶ τοὺς ἀπαγγέλλοντας τερατωδεστέρως διηγεῖσθαι, ἢ ὡς ἐγένοντο. B ἐπεὶ οὐδὲν τῇσι νούσοισιν εὐπετὲς γινώσκειν τὰ ἁμαρτήματα, καίτοι κατακεῖνταί γε οἱ ἄνθρωποι, καὶ διαιτήμασιν ὀλιγοτρόφοισι χρέονται. ὥστε μὴ πάμπολλα δεῖ ὁρᾶσθαι ὑποσκεπτόμενον τὸν μελεδαίνοντα. οἱ μὲν γὰρ πίνουσι μόνον, οἱ δὲ πρὸς τῷ πίνειν, ἢ ῥόφημα, ἢ σιτίον βέλτιστον ἐπιφέρονται. ἀνάγκη οὖν ἐν τῷ τοιούτῳ, τοὺς μὲν τῷ ποτῷ πλέονι χρησαμένους, δυσπνοωτέρους γίνεσθαι, καὶ οὐρέοντας πλέον φαίνεσθαι. τοὺς δὲ τῷ ῥοφήματι, ἢ τῷ σιτίῳ πλεονάσαντας, διψᾶν τε μᾶλλον καὶ πυρεταίνειν. εἰ δέ τις ἀμφοτέροις καὶ τῷ ποτῷ, καὶ τοῖσι περὶ τὰ σιτία ἀμέ- C τρως χρήσαιτο, πρὸς τῷ πυρεταίνειν, καὶ δυσπνοεῖν, καὶ τὴν γαστέρα περιτεταμένην ἂν καὶ μείζω ἔχειν. ἔξεστι δὲ καὶ ταῦτα πάντα καταβασανίζειν κάλλιστα, καὶ τἄλλα τοῖσιν δοκιμίοισι, οἷσιν ἔχομέν τε καὶ χρεόμεθα εὖ πάντα. πρῶτον μὲν γὰρ τῇ γνώμῃ τε καὶ τοῖσιν ὀφθαλμοῖσιν ἄνθρωπον κατακείμενον ἐν τῷ αὐτῷ, καὶ ἀτρεκέως διαιτώμενον, ῥᾷόν ἐστι γνῶναι, ἤν τι ἀπειθήσῃ, ἢ περιοδοιπορέοντα, καὶ πάμπολλα ἐσθίοντα. ἔπειτα τῇσι χερσὶ ψαύσαντα, τῆς γαστρός τε, καὶ τῶν φλεβῶν, ἧσσόν ἐστιν ἐξαπατᾶσθαι, ἢ μὴ ψαύσαντα. αἵ τε ῥῖνες, ἐν μὲν τοῖσι πυ- D ρεταίνουσι, πολλά τε καὶ καλῶς σημαίνουσιν. αἱ γὰρ ὀδμαὶ, μέγα διαφέρουσιν. ἐν δὲ τοῖσιν ἰσχύουσί τε καὶ ὀρθῶς διαιτωμένοισιν, οὐκ οἶδα τί ἂν χρησαίμην, οὐδ' ἐν τούτῳ τῷ δοκιμίῳ. ἔπειτα τοῖς ὠσὶ, τῆς φωνῆς ἀκούσαντα, καὶ τοῦ πνεύματος, ἔστι διαγινώσκειν, ἃ ἐν τοῖσιν ἰσχύουσιν, οὐχ ὁμοίως ἐστὶ δῆλα· ἀλλ' οἵως πρόσθεν. ἢν τὰ ἤθεα τῶν νοσημάτων τε, καὶ τῶν ἀλγεόντων ἐκμάθῃ ὁ ἰητρὸς, οὐ χρὴ προλέγειν οὐδέν. οὐ γὰρ ἂν δυσπνούστερος ὤνθρωπος γένοιτο, ἔτι πλανωμένης τῆς νόσου, καὶ πυρετήνειεν ὀξυτέρῳ πυρὶ, καὶ ἡ γαστὴρ ἐπιταθείη. ὥστε διὰ ταῦτα, οὐκ E ἀσφαλὲς προλέγειν πρόσθεν, πρὶν ἂν κατάστασιν λαβεῖν τὸ νόσημα. μετὰ δὲ τοῦτον τὸν χρόνον ὅ,τι ἂν παράλογον γένηται, λέγειν χρή. δῆλα δὲ τὰ διὰ τὴν ἀπειρίην γενόμενα κακά. αἵ τε γὰρ δύσπνοιαι, καὶ τἄλλα τοιαῦτα, τῇ ὑστεραίῃ πεπαύσεται, ἢν δι' ἁμαρτάδα γένηται. ἢν οὖν τις τοιαύτην τὴν κρίσιν προειδὼς λέγῃ, οὐχ ἁμαρτήσεται. ἐγὼ μὲν νῦν τόνδε τὸν τρόπον ἐσηγέομαι τῆς ἐπισκέψιος, καὶ περὶ τῶν οἴκοι μενόντων, οἷα ἐξαμαρτάνουσιν. καὶ περὶ τῶν γυμναζομένων τε, καὶ τῶν ἄλλων πάντων. τὰς δ' ἀκριβείας κείνας ἀκούω τε, καὶ καταγελῶ τῶν ἀπαγγελλόντων. F σμικρὰ μὲν γὰρ ἀπειθησάντων τῶν ἀνθρώπων, οὐκ οἶδ' ὅπως ἂν ἐλέγξαιμι. εἰ δ' εἴη μείζονα τὰ ἁμαρτήματα, ὅντινα τρόπον ὑποσκέπτεσθαι χρή, γράφω.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὅπως, πότε, τίνα, δι' ὧν αἰσθήσεων τοὺς ἀνθρώπους τε, καὶ τὰ αὐτῶν ἁμαρτήματα περὶ σιτία τε, καὶ ποτὰ, καὶ γυμνάσια, καὶ ἀφροδίσια ὑποσκέπτεσθαι χρή.

Χρὴ δὲ πρῶτον μὲν τὸν ἄνθρωπον ἐν ᾧ μέλλει τις γνώσεσθαι τὰ ἀπειθεύμενα, ἅπασαν ἡμέρην ὁρᾷν, ἐν τῷ αὐτῷ τε χωρίῳ, καὶ τὴν αὐτὴν ὥρην, μάλιστα τ' ἦμος ἥλιος νεωστὶ καταλάμπει. τοῦτον γὰρ τὸν χρόνον ὑποκεκενωμένος ἂν εἴη, καὶ νῆστις ἂν ἔτι εἴη, καὶ τεταλαιπωρηκὼς οὐδὲν, πλὴν τῶν ὀρθρινῶν περιπάτων ἐν οἷς ἥκιστα ἀπειθεῖ· ἤν γε ἐπεγερθεὶς ὥνθρωπος ἐς τὴν περίοδον καταστῇ. ὥστε ἀνάγκη τὸν δικαίως διαιτώμενον μάλιστα ταύτην τὴν ὥρην ὁμαλῶς ἔχειν τὴν κατάστασιν τοῦ χρώματός τε, καὶ τοῦ ξύμπαντος σώματος, διὸ καὶ ὁ ἐπιμελούμενος ὀξύτατός τ' ἂν εἴη, καὶ τὸν νόον, καὶ τοὺς ὀφθαλμοὺς, ὑπὸ τοῦτον τὸν χρόνον. ἐνθυμέεσθαι δὲ χρὴ καὶ τοῦ ἀνθρώπου τὴν γνώμην, τοὺς τρόπους, τοῦ σώματος τὴν δύναμιν. ἄλλοι γὰρ ἄλλα ῥηϊδίως ἐπιτελοῦσι τῶν προστασσομένων, καὶ χαλεπῶς. πρῶτον μὲν οὖν ὁ λιμαγχεόμενος εἰ πλείονα φάγῃ τε καὶ πίῃ, τούτοισι δῆλος ἔσται· καὶ ὀγκηρότερον αὐτοῦ τὸ σῶμα φανεῖται, καὶ λιπαρώτερον, καὶ εὐχρούστερον ἔσται. ἢν μὴ κακῶς διακεχωρήκῃ τὰ ἀπὸ τῆς γαστρὸς αὐτῷ. ἔσται δὲ καὶ εὐθυμότερος ἐν τῇ ταλαιπωρίῃ. σκεπτέον δὲ καὶ ἤν τι ἐρυγγάνῃ, ἢ ὑπὸ φύσης ἔχηται. ταῦτα γὰρ προσήκει γίνεσθαι, τοῖσιν ὧδε διακειμένοισιν, ἐπὶ ταύτῃ τῇ ἁμαρτάδι. ἢν δὲ ἐσθίειν τε ἤδη ἀναγκαζόμενος συχνὰ, καὶ ταλαιπωρέειν ἰσχυρῶς, ἢ τὸ σιτίον μὴ καταφάγῃ, ἢ θωρηχθῇ, ἢ μὴ περιέλθῃ ἀπὸ τοῦ δείπνου συχνόν. ὧδε ὑποσκέπτεσθαι. τὸ μὲν δεῖπνον εἰ μὴ καταφάγοι, περιπατῆσαι δὲ τὰ μεμαθηκότα, ἡδίων τε ἂν προσιδεῖν, ὀξύτερός τε καὶ ἐργασιμώτερος, ἐν τοῖσι γυμνασίοισιν. ὁ δ' ἀπόπατος σμικρότερός τε καὶ ξυνεστηκὼς μάλιστ' ἂν τούτῳ γένοιτο. ἢν δὲ τὸ δεῖπνον καταφαγὼν μὴ περιπατήσῃ, ἐρυγγάνοι τ' ἂν, καὶ φυσώδης εἴη, καὶ πλῆθος οὐκ ἔλασσον φαίνοιτο, καὶ ἱδρώσῃ ἂν μᾶλλον, ἢ πρόσθεν ἐν τῇ ταλαιπωρίῃ, καὶ δύσπνοος ἂν εἴη, καὶ βαρύς. αἵ τε διέξοδοι τῆς κοιλίης, μέζονές τε καὶ ἧσσον γλίσχραι τουτέων γένοιντ' ἄν. εἰ δὲ μήτε τὸ σιτίον κατωμαλώσειε, μήτε περιπατήσειε, νωθρότερος ἂν εἴη καὶ ὀγκωδέστερος. εἰ δὲ μεθυσθείη, ἱδρώῃ τ' ἂν μᾶλλον, ἢ πρόσθεν, καὶ δύσπνοος ἂν εἴη, καὶ βαρύτερος αὐτὸς ἑωυτοῦ καὶ ὑγρότερος. εἴη δ' ἂν καὶ εὐθυμότερος, ἢν μή τι αὐτῷ ἡ κεφαλὴ ἀνιῷτο. γυναικὶ δὲ χρησάμενος ἅπαξ, ὀξύτερός τ' ἂν εἴη καὶ λελυμένος μᾶλλον. εἰ δὲ πλειστάκις διαπρήξαιτο, σκληρότερος ἂν γένοιτο, καὶ αὐχμηρόν τι ἔχων· καὶ ἀχρούστερός τε, καὶ κοπιώδης μᾶλλον.

CAPVT III.

Quomodo, quando, quæ, quibus ſenſibus homines eorumque errores in cibo, potu, exercitio, ac venere ſpectare deceat.

Oportet autem primum hominem, in quo quis refractaria commiſſa cognoſcere volet, per totum diem intueri, & in eodem loco, & eadem hora, ſole præſertim recens orto; hoc enim tempore aliquantulum euacuatus fuerit, & adhuc ieiunus eſt, & nullo labore fatigatus eſt, præterquam matutinis deambulationibus, in quibus minimè refractarius eſt; ſi ſanè, vbi de ſomno ſurrexit homo; ad deambulandum prodierit. Quare neceſſe eſt eum, qui iuſta victus ratione vtitur, hac hora maximè æqualiter habere, & coloris, & totius corporis conſtitutionem. Quapropter & is, qui huius conſiderationis curam gerit acutiſſimus fuerit & mente, & oculis, eo tempore. Contemplari præterea oportet hominis mentem, & mores, & corporis vires. Alij enim alia faciliùs, aut difficiliùs imperata faciunt. Primùm igitur is, cui inedia imperata eſt, ſi plura comederit, & biberit; per hæc manifeſtiùs fiet, & tumidius corpus ipſius apparebit, & plenius, ac coloratius erit, ſi non excrementa alui male ipſi proceſſerint. Erit item animoſior ad ferendum larem. Conſiderandum etiam, an ructum edat, aut à flatibus vrgeatur; hæc enim fieri ſolent his, qui ita affecti ſunt, propter hoc erratum. Si verò, dum edere multa cogitur, & fortiter laborare, aut cibum imperatum non ederit, aut ebrius factus fuerit, aut à cœna larga non obambulauerit; hoc modo explorare oportet. Si quidem cœnam non ederit, ſolito autem more deambulauerit; iucundiorem aſpectum præſe feret, & vegetior, ac operoſior in exercitiis erit. Verùm alui egeſtio modica, & compacta maximè in hoc fuerit. Si verò cœna ſumpta non deambulauerit; ructum vtique edet, & flatuoſus fuerit, & plenitudo non minor apparebit, & inter laborandum magis, quàm antea ſudabit, & difficulter ſpirabit, ac grauis erit, & tranſitus alui maiores, ac minùs viſcoſi his fuerint. Quod ſi neque cibum conſumpſerit, neque deambulauerit; pigrior vtique fuerit, ac tumidior. Si verò ebrius factus fuerit, ſudabit magis, quàm antea, & difficulter ſpirabit, & ipſe ſeipſo grauior erit, ac humidior; ſed & lætior erit, ſi non caput ipſi affligatur. Quod ſi vxore ſemel vſus fuerit, vegetior vtique erit, & magis ſolutus. Si verò ſæpius rem peregerit; & durior euadet, & ſqualorem quendam habebit, & decoloratior, ac magis laſſatus erit.

A

CAPVT IV.

Ex deiectionibus & vrinis decumbentium errores in cibo, potu, exercitio, ac venere commissos deprehendi.

Porrò deiectiones alui procedere oportet his, qui laboribus exercentur, quandiu parum ederint, ac parum potauerint, modicas, & duras, atque hoc quotidie. Si verò tertio quoque die, aut quarto, aut ex longiore interuallo prodierint; periculũ est aut febre, aut alui profluuio corripiendos esse. Quæcunque verò deiectiones liquidiores sunt, quàm vt in transitu cõformentur, hæ sanè omnes peiores sunt. At verò his, qui multũ edunt, & multum laborant, egestionis transitum mollẽ, oportet esse siccum, & copiam ciborum ingestorum pro ratione laboris. Procedunt autem ab æquali ciborũ copia, his quidem, qui minimum laborant, plurimæ deiectiones; his verò, qui plurimum laborant, modicè: si sani fuerint, & iusta victus ratione vtantur: nam ad hæc coniecturam facere oportet. Liquidiores autẽ deiectiones, & sine febribus contingentes, & quæ septima die, aut citiùs iudicantur, cõmodæ sunt; si semel vna vice omnes fiant, & non reuertantur. Si verò insuper febrierint homines, aut alui profluuia redierint; si longa fuerint, penitus mala sunt, siue biliosa fuerint, siue pituitosa, siue cruda; & victus ratione propria, singula opus habent, itémque medicamentis alia aliis. Cæterùm vrinam iuxta potionis copiam mingere oportet, & semper æqualẽ, & quàmaxime aceruatim, & momento paulò crassiorem, quàm id, quod in potu acceptum fuit. Si verò fuerit aquosa, & copiosior, quàm pro eo, quod bibi imperatum est; significat hominem non obedire, sed copiosiore potu vti, aut non posse renutriri, quamdiu talia vrinam faciunt. Si verò paulatim stridat vrina; aut medicamentis hominem opus habere significat, aut morbũ aliquẽ circa vesicam habere. At sanguinẽ mingere, rarò quidem, & sine febre, ac dolore, nihil mali significat, sed lassitudinum solutio fit. Si verò sæpius mingat, & aliquid ex his accesserit, malũ est. Verũ prædicere oportet, siue cum dolore mingatur, siue cum febre, fore, vt insuper pus mingat, atque ita dolores, ac afflictiones quiescant. Crassa verò vrina albã subsidẽtiam habẽs, aut circa articulos dolorẽ aliquem, aut tumorem significat. Aliæ vero omnes subsidentiæ in vrinis eorum qui exercentur, à morbis circa vesicã fiunt, id quod ipsi manifestũ facient; cum doloribus enim erunt, & tales, vt difficulter quis ab ipsis liberari poßit. Atque hæc quidẽ de his scribo, & huiusmodi alia dico. Cæterũ ex his, qui exactam, ac certam prædictionũ rationem prædicant, cum aliquibus ipse conuersatus sum, cum aliquorum verò filiis, ac discipulis rem contuli, quorundam verò scripta accepi. Quare quum probè sciam, qualiter quisque ipsorum sentiat, & exactas certitudines nusquam compererim; hæc scribere aggressus sum.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἐξ ὑποπάτων τε καὶ οὔρων τῶν κατακειμένων διαγινώσκεσθαι τὰ ἁμαρτήματα περί τε τὰ σιτία, καὶ ποτὰ, καὶ γυμνάσια, καὶ ἀφροδίσια.

Ἀποπάτους δὲ χρὴ διαχωρέειν τοῖσι ταλαιπωρέουσιν, ἐς ὃ ἂν ὀλιγοσιτέωσί τε καὶ ὀλιγοποτέωσι, σμικρούς τε καὶ σκληρούς. τὴν δὲ πᾶσαν ἡμέρην, ἢν τε καὶ διὰ τρίτης, ἢ τετάρτης, ἢ διὰ πλέονος χρόνου διαχωρέῃ, κίνδυνος, ἢ πυρετὸν, ἢ διαῤῥοίην ἐπιλαβεῖν. ὅσα δὲ ὑγρότερά ἐστι τῶν διαχωρημάτων, ἢ ὥστε ἐκτυποῦσθαι ἐν τῇ διεξόδῳ, ταῦτα δὲ πάντα τοῖσι κακίω. τοῖσι δὲ συχνὰ ἐσθίουσιν ἤδη, καὶ πολλὰ ταλαιπωρέουσι, τὴν διέξοδον χρὴ μαλθακὴν ἐοῦσαν, ξηρὴν εἶναι. πλῆθός τε τῶν εἰσιόντων κατὰ λόγον τῆς ταλαιπωρίης. διαχωρέει δὲ ἀπὸ τῶν ἴσων σιτίων, τοῖσι μὲν ἐλάχιστα ταλαιπωρέουσι, πλεῖστα· τοῖσι δὲ ταλαιπωρέουσι πλεῖστα, σμικρὸν, ἢν ὑγιαίνωσί τε, καὶ δικαίως διαιτῶνται· ἀλλὰ πρὸς ταῦτα συμβάλλεσθαι. αἱ δὲ ὑγρότεραι τῶν διαχωρήσεων, καὶ ἄτερ πυρετῶν γινόμεναι, καὶ ἑβδομαῖαι, καὶ θᾶσσον κρινόμεναι, λυσιτελέες ἐς ἅπαξ πᾶσαι γινόμεναι, καὶ μὴ ὑποστρέφουσαι. εἰ δ' ἐπιπυρεταίνοιεν οἱ ἄνθρωποι, ἢ ὑποστρέφοιεν αἱ διάῤῥοιαι, εἰ μακραὶ γίγνοιντο, πάντως πονηραὶ, εἴ τε χολώδεες ἦσαν, εἴ τε φλεγματώδεες, εἴ τε ὠμαὶ, καὶ διαιτημάτων τε ἰδίων προσδεόμεναι ἕκασται, καὶ φαρμακειῶν ἄλλαι ἄλλων. οὖρον δὲ χρὴ κατά τε τὸ τοῦ πινομένου πλῆθος διουρέεσθαι, καὶ ἴσον αἰεὶ, καὶ ἀθρόον, ὡς μάλιστα, καὶ ῥοπῇ ὀλίγον παχύτερον, ἢ ὃ ἐπόθη. εἰ δὲ εἴη ὑδατῶδές τε, καὶ πλέον τοῦ προστασσομένου πίνεσθαι, σημαίνει μὴ πείθεσθαι τὸν ἄνθρωπον, ἀλλὰ πλέονι ποτῷ χρῆσθαι, ἢ οὐ δύνασθαι ἀνατραφῆναι, ἐς ὃ ἂν τὰ τοιαῦτα ποιέῃ τὸ οὖρον. εἰ δὲ κατ' ὀλίγον τρύζοι τὸ οὖρον, σημαίνει, ἢ φαρμακεύσιος δεῖσθαι τὸν ἄνθρωπον, ἢ νόσημά τι τῶν περὶ κύστιν ἔχειν. αἷμα δὲ οὐρῆσαι, ὀλιγάκις μὲν, καὶ ἄτερ πυρετοῦ, καὶ ὀδύνης οὐδὲν κακὸν σημαίνει, ἀλλὰ κόπων λύσις γίνεται. εἰ δὲ πολλάκις οὐρέοι, ἢ τι τούτων προσγίνοιτο, δεινόν. ἀλλὰ προλέγειν ἤν τε ξὺν ὀδύνῃσιν οὐρέηται, ἤν τε ξὺν πυρετῷ πῦον ἐπιδιουρήσειν, καὶ οὕτω παύεσθαι τῶν ἀλγεόντων. παχὺ δὲ οὖρον λευκὴν ὑπόστασιν ἔχον, σημαίνει, ἢ περὶ τὰ ἄρθρα τινὰ ὀδύνην καὶ ἔπαρσιν. αἱ δ' ἄλλαι ὑποστάσιες, αἱ ἐν τοῖσιν οὔροισι τῶν γυμναζομένων πᾶσαι, ἀπὸ τῶν νοσημάτων γίνονται τῶν περὶ τὴν κύστιν. δῆλον δὲ ποιήσουσι, ξὺν ὀδύνῃσί τε γὰρ ἔσονται, καὶ δυσαπάλλακτοι. καὶ ταῦτα μὲν γράφω περὶ τούτων, καὶ λέγω τοιαῦτα ἕτερα. ὧν δὲ δι' ἀκριβείας κατηγορέονται τῶν προῤῥήσεων, τοῖσι μὲν αὐτῶν, αὐτὸς ξυνεγενόμην, τῶν δὲ παισί τε καὶ μαθητῇσιν ἐλεσχηνευσάμην· τῶν δὲ ξυγγράμματα ἔλαβον. ὥς τε εὖ εἰδὼς οἷα ἕκαστος αὐτῶν ἐφρόνει, καὶ τὰς ἀκριβείας οὐδαμοῦ εὑρὼν, ἐπεχείρησα τάδε γράφειν.

A

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ ὕδρωπος ἰατοῦ τε καὶ ἀνιάτου προῤῥήσιες.

Περὶ δὲ ὑδρώπων τε καὶ φθισίων, καὶ τῶν ποδαγρώντων, τῶν τε λαμβανομένων ὑπὸ τῆς ἱερῆς νόσου καλεομένης, τάδε λέγω. κατὰ μὲν τι περὶ πάντων, τὸ αὐτό. τὸ γὰρ ξυγγενέα, τουτέων τῶν νουσημάτων ἐστὶν εἰδέναι δυσαπάλλακτον ἐόντα. τὰ δὲ ἄλλα καθ' ἕκαστον γράφω. χρὴ δὲ τὸν ὑπὸ τοῦ ὕδρωπος ἐχόμενον, καὶ μέλλοντα περιέσεσθαι, εὔσπλαγχνόν τε εἶναι, καὶ ἀνατείνεσθαι, καὶ φῦσιν ἅμα πέσσεσθαί τε εὐπετέως, εὔπνοόν τε ἐόντα, ἀνώδυνον εἶναι καὶ χλιαρόν. ὁμαλῶς πᾶν τὸ σῶμα ἔχειν, καὶ μὴ περιτετηκὸς περὶ τὰ ἔσχατα. κρέσσον δὲ ἐπάρματα μᾶλλον ἔχειν ἐν τοῖσιν ἀκρωτηρίοισιν. ἄριστον δὲ μηδὲ ἕτερον τούτων, ἀλλὰ μαλακά τε χρὴ καὶ ἰσχνὰ εἶναι τὰ ἀκρωτήρια. καὶ τὴν γαστέρα μαλθακὴν εἶναι ψαυομένην. βῆχα δὲ μὴ προσεῖναι, μηδὲ δίψαν, μηδὲ τὴν γλῶσσαν ἐπιξηραίνεσθαι, ἔν τε τῷ ἄλλῳ χρόνῳ, καὶ μετὰ τοὺς ὕπνους. γίνεται δὲ ταῦτα, κάρτα. τὰ δὲ σιτία ἡδέως δέχεσθαι, καὶ ἐσθίοντα ἱκανά, μὴ πονέεσθαι. τὴν δὲ κοιλίην πρὸς μὲν τὰ φάρμακα ὀξέην εἶναι. τὸν δ' ἄλλον χρόνον διαχωρέειν μαλθακὸν ἐκτετυπωμένον. τὸ δὲ οὖρον φαίνεσθαι διαιρούμενον πρὸς τὰ ἐπιτηδεύματα, καὶ τῶν οἴνων τὰς μεταβολάς. τὴν δὲ ταλαιπωρίην εὐπετῶς φέρειν, καὶ ἄκοπον εἶναι. ἄριστον μὲν οὕτω πάντα διακεῖσθαι τὸν ἄνθρωπον, καὶ ἀσφαλέστατ' ἂν γένοιτο ὑγιής. εἰ δὲ μή, ὡς πλεῖστα τουτέων ἐχέτω. ἐν ἐλπίδι γὰρ ἔσται περιγενέσθαι. ὃς δ' ἂν μηδὲν τούτων ἔχῃ, ἀλλὰ τὰ ἐναντία, ἀνέλπιστον ἐόντα εἰδέναι. ὃς δ' ἂν τούτων ὀλίγα ἔχῃ, ἅ φημι χρηστὰ εἶναι τῷ ὑδρωπιῶντι προσεόντα, ὀλίγαι ἐλπίδες αὐτῷ. ᾧ δ' ἂν αἱμοῤῥαγέῃ πολλὸν ἄνω καὶ κάτω, καὶ πυρετὸς ἐπιλήψηται, ὕδατος ἐμπλησθῆναι πολλαὶ ἐλπίδες τούτῳ, καὶ τῶν ὑδρώπων, οὗτος ὀλιγοχρονιώτατός τε, καὶ ἐν τοῖσιν ἀφυκτοτάτοισιν. ἄλλῳ δὲ προσσημαίνειν περὶ τούτου. οἷσι δὲ οἰδήματα μεγάλα γινόμενα καταμαραίνεται, καὶ αὖθις ἐπαίρεται, οὗτοι δὲ μᾶλλον περιγίνονται τῶν ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος ἐμπιπραμένων. ἐξαπατέουσι δὲ τοὺς ἀλγέοντας οὗτοι οἱ ὕδρωπες, ὥστε ποιέουσιν αὐτοὺς ἀπιόντας τοῖσιν ἰητροῖσιν ἀπόλλυσθαι.

CAPVT V.

De hydrope sanabili, ac insanabili prædictiones.

AT verò de hydropibus, & tabidis, & podagris, & his, qui à morbo sacro appellato corripiuntur: hæc dico; ex aliqua quidem parte de omnibus idem, nam qui hos morbos congenitos habet, is ægrè ab ipsis liberari potest. Reliqua verò singulatim scribam de singulis. Eum qui ab hydrope correptus est, & superstes est futurus, bonis visceribus præditum esse oportet, ita vt natura se exerat, simulque facilè concoquat, & bene spiret, sitque sine dolore, & totum corpus æqualiter tepidum habeat, & non circa extremas partes colliquatum. Melius est autem, vt tumores potius habeat in extremis partibus. Optimum verò est neutrum horum habere; nam molles, ac graciles esse conuenit extremas partes, itémque ventrem ad contactum mollem. Tussim verò adesse non oportet, neque sitim, neque linguam resiccari tum reliquo tempore, tum post somnos; quando hæc valde fieri solent. At cibos libenter accipere oportet, & vbi multũ satis comedit; non affligi. Aluum verò ad medicamenta quidem celerem habere, reliquo autem tempore egerere recrementum molle efformatum. Vrinam autem apparere conuenit, pro studiorum ratione, & vinorum mutatione transeunte. Laborem verò ferre oportet facilè, & lassitudinis exortem esse. Ac optimum quidem est hominem ita per omnia dispositum esse, & sic securissimè sanus fieri poterit; sin minus, plurima ex his habeat; nam spes erit, vt superstes euadat. Qui verò nihil horum habuerit, sed contraria; eum desperatum esse scito. Qui autem pauca horum habuerit, quæ bona esse dixi, si hydrope laboranti adsint; huic exiguæ spes restant. Cui verò multum sanguinis sursum, ac deorsum eruperit, & febris insuper accesserit, eum multa aqua repletum iri timor est, atque hic hydrops breuissimi temporis est, & ex quo paucissimi euadunt. Verùm de hoc alteri priùs significare oportet. At quibus magni tumores facti emarcescunt, ac rursus attolluntur, hi magis conualescunt, quàm illi, qui ex sanguinis eruptione implentur. Verùm fallunt hi hydropes ipsos ægrotos, faciúntque, vt ipsi à medicis discedant, ac pereant.

ΚΕΦΑΛΑΙΟΝ ς'.

Περὶ τῶν φθινόντων τε καὶ τῶν ἐμπύων περιεσομένων τε καὶ ὀλεθρίων, προῤῥήσιες.

Περὶ δὲ τῶν φθινόντων, κατὰ μὲν τὸ πτύελον καὶ τὴν βῆχα, ταὐτὰ λέγω, ἅπερ περὶ τῶν ἐμπύων ἔγραψα. χρὴ γὰρ τὸ πτύελον τῷ μέλλοντι καλῶς ἀπαλλάξειν, εὐπετέως τε ἀναβήσσεσθαι, καὶ εἶναι λευκόν, καὶ ὁμαλόν, καὶ ὁμόχροον, καὶ ἀφλέγμαντον. τὸ δ' ἀπὸ τῆς κεφαλῆς καταῤῥέον, εἰς τὰς ῥῖνας τρέπεσθαι· πυρετὸν δὲ μὴ λαμβάνειν, ὥστε τῶν δείπνων

CAPVT VI.

De tabe laborantibus ac suppuratis tum conualituris, tum interituris prædictiones.

DE tabescentibus quod ad sputum, ac tussim attinet, eadem dico, quæ de pectore suppuratis scripsi; oportet enim eum, qui probè liberari volet, facilè sputum per tussim reiicere, & id esse album, & æquale, & eiusdem coloris, & ab inflammatione alienum. Quod verò à capite defluxit, ad nares conuerti; febrem autem non inuadere, vt ne à cœnis prohibeatur,

prohibeatur, neque sitiat. Venter autem egerat quotidie, & id, quod egerit, sit durum, copia pro ratione ciborum ingestorum. Hominem verò quam minimè tenuem esse oportet. Pectus autem laudare conuenit quadratum, & hirsutum, & os ipsius paruum sit, & robustè carnosum: quicunque enim hæc omnia habuerit, maximè superstes erit. Qui verò nihil horum habet, interitui proximus. Quicunque verò pectore suppurati facti fuerint, dum iuuenes sunt, ex humorum illapsu, aut fistula, aut alio quopiam huiuscemodi, aut ex abscessus recursu, hi non euadunt; nisi valdè multa bona signa ipsis accesserint. Pereunt autem homines hi ad autumnum. Sed & ex aliis morbis longis plerique ad hoc tempus maximè moriuntur. Cæterùm ex aliis minimè superstites manent, & virgines, & mulieres, quibus ex suppressis mensibus tabes oborta est. Si verò aliqua virgo, aut mulier euasura est; & aliorum signorũ bonorum multa accedere oportet, & menses splendidè, ac purè apparere, aut nulla spes est. Qui verò ex sanguinis eruptione, pectore suppurati fiunt & viri, & mulieres, & virgines, non minùs euadunt. Verùm signis omnibus tum suppuratorum, tum tabescentium collectis, & superstitem futurum, & periturum prædicere oportet. Maximè verò euadunt ex sanguinis eruptione, hi quibus dolores sunt melancholici, & in dorso, & in pectore, & qui post eruptionem minus dolent; nam & tusses non valdè insuper accedunt, & febres pleræque perseuerant, sitim facilè ferentes. At reuersiones eruptionis sanguinis maximè fiunt his; si non abscessus succedant. Optimi verò sunt abscessus sanguinolentißimi. Quibus autem in pectoribus dolores insunt, & per tempus attenuantur, & tußiunt, ac difficulter spirant, neque febribus insuper corripientibus, neque suppurationibus succedentibus; eos interrogare oportet, quum tussiant, & difficulter spirent, an & compactum quiddam, & modicum odorem habens tussiendo reiiciant.

A μὴ κωλύεσθαι, μηδὲ διψῆν. ἡ δὲ γαστὴρ ὑποχωρείτω πᾶσαν ἡμέρην, καὶ τὸ ὑποχωρέον ἔστω σκληρόν· πλῆθος δὲ κατὰ τὰ εἰσιόντα. τὸν δ' ἄνθρωπον, ὡς ἥκιστα λεπτὸν εἶναι. τὸ δὲ στῆθος ἐπαινεῖν χρὴ, τετράγωνόν τε ἐὸν, καὶ λάσιον. καὶ ὁ χόνδρος αὐτοῦ μικρὸς ἔστω, καὶ περισαρκωμένος ἰσχυρῶς· ὅστις μὲν γὰρ ταῦτα πάντα ἔχει, περιεστηκότατος γίνεται· ὃς δ' αὖ μηδὲν τούτων ἔχει, ὀλεθριώτατος. ὅσοι δ' αὖ ἔμπυοι γίνωνται, νέοι ἐόντες ἐξ ἀποσκήψιος, ἢ σύριγγος, ἢ ἀπ' ἄλλου τινὸς τῶν τοιούτων, ἢ ἐκ παλινδρομίης ἀποστάσιος, οὐ περιγίνονται, ἢν μὴ B πολλὰ κάρτα αὐτοῖσιν ἐπιγίνηται τῶν ἀγαθῶν σημείων. ἀπόλλυνται δὲ οἱ ἄνθρωποι οὗτοι, ἐς τὸ φθινόπωρον ἰσχυρῶς δὲ καὶ ἐκ τῶν ἄλλων νοσημάτων μακρῶν, ἐς τὴν ὥρην ταύτην τελευτῶσιν οἱ πλεῖστοι. τῶν δ' ἄλλων ἥκιστα περιγίνονται, αἵ τε παρθένοι, καὶ αἱ γυναῖκες, ᾗσιν ἀπολήψει ἐπιμηνίων ἡ φθίσις γίνηται. εἰ δὲ μέλλοι τις περιέσεσθαι τῶν παρθένων, ἢ τῶν γυναικῶν, τῶν τε ἄλλων σημείων, τῶν τε ἀγαθῶν δεῖ πολλὰ ἐπιγίνεσθαι, καὶ τὰ ἐπιμήνια λαμπρῶς τε καὶ καθαρῶς ἐπιφαίνεσθαι, ἢ οὐδεμία ἐλπίς. οἱ δὲ ἐκ τῶν αἱμάτων τῆς ἀναρ- C ῥήξιος ἔμπυοι γινόμενοι τῶν τε ἀνδρῶν καὶ τῶν γυναικῶν, καὶ τῶν παρθένων, περιγίνονται μὲν οὐχ ἧσσον. τὰ δὲ σημεῖα χρὴ πάντα ἀναλογισάμενον τά τε περὶ τῶν ἐμπύων, καὶ τῶν φθινόντων προλέγειν, τόν τε περιεσόμενον, καὶ τὸν ἀπολλύμενον. μάλιστα δὲ περιγίνονται, ἐκ τῶν αἵματος ἀναρρήξεων, οἷσιν αὖ ἀλγήματα ὑπάρχει μελαγχολικὰ, ἔν τε τῷ νώτῳ, καὶ ἐν τῷ στήθει. καὶ μετὰ τὴν ἀνάρρηξιν ἀνωδυνώτεροι γίνωνται. βῆχές τε γὰρ οὐ κάρτα ἐπιγίνονται, καὶ πυρετοὶ οἱ πλεῖστοι διατελέουσιν ἐόντες, δίψαν εὐπετέως φέροντες. ὑποστροφαὶ δὲ τῆς ἀναρ- D ῥήξιος μάλιστα γίνονται τούτοισιν, εἰ μὴ ἀποστάσιες ἐπιγίνωνται. ἄρισται δὲ τῶν ἀποστασίων, αἱ αἱματηρόταται. ὁκόσοι δὲ ἐν τοῖσι στήθεσιν ἀλγήματα ἔνεστι, καὶ διὰ χρόνου λεπτύνονταί τε καὶ βήσσουσι, καὶ δύσπνοιαι γίνονται, οὔτε πυρετῶν ἐπιλαμβανόντων, οὔτε ἐμπυημάτων ἐπιγινομένων, τούτους ἐπανέρεσθαι, ὁκόταν βήσσωσί τε καὶ δύσπνοοι ἔωσι, καὶ ξυνεστραμμένον τι καὶ μικρὴν ὀδμὴν ἔχον, ἐκβήσσωσι.

E

CAPVT VII.

De podagricis, & epilepticis conualituris, aut interituris prædictiones.

DE podagricis hæc dico. Quicunque aut senes sunt, aut circa articulos callos tofaceos concretos habent, aut ærumnosè viuunt, ac siccam aluum habent, hi omnes sani fieri non possunt humana arte, quãtum ego noui. Sanant quidem hos optimè, dysenteriæ si successerint. Sed & aliæ eliquationes valde prosunt, quæ ad infernos locos repunt. Qui verò iuuenis est, & circa articulos nondum tofaceos callos concretos habet, & accuratè viuit, & laboris amans est, & aluum bonam habet ad obediendũ pro studiorum ratione: hic sanè medicum intelligentiam habentem nactus, sanus fieri poterit. Ex his porrò qui à sacro morbo corripiuntur, difficillimè quidem liberantur hi, quibus à puero

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τῶν ποδαγριώντων τε καὶ τῶν ἐπιληπτικῶν περιεσομένων, ἢ ἀποθανουμένων προῤῥήσιες.

ΠΕρὶ δὲ ποδαγριώντων τάδε. ὅσοι μὲν, ἢ γέροντες, ἢ περὶ τοῖσιν ἄρθροισιν ἐπιπωρώματα ἔχουσιν, ἢ τρόπον ταλαίπωρον ζῶσι κοιλίας ξηρὰς ἔχοντες, οὗτοι μὲν πάντες ἀδύνατοι ὑγιέες γίνεσθαι ἀνθρωπίνη τέχνη, ὅσον ἐγὼ οἶδα. ἰῶνται μὲν τούτους, ἄριστα μὲν δυσεντερίαι, ἢν ἐπιγίνωνται, ἀτὰρ καὶ ἄλλαι ἐκτήξιες ὠφε- F λέουσι κάρτα, αἱ ἐς τὰ κάτω χωρία ῥέπουσαι. ὅστις δὲ νέος ἐστὶ, καὶ ἀμφὶ τοῖσιν ἄρθροισιν οὔπω ἐπιπωρώματα ἔχει, καὶ τὸν τρόπον ἐστὶν ἐπιμελής τε καὶ φιλόπονος, καὶ κοιλίας ἀγαθὰς ἔχων, ὑπακούειν πρὸς τὰ ἐπιτηδεύματα, οὗτος δὴ ἰητροῦ γνώμην ἔχοντος ἐπιτυχὼν, ὑγιὴς ἂν γένοιτο. τῶν δ' ὑπὸ τῆς ἱερῆς νόσου λαμβανομένων, χαλεπώτατοι μὲν ἐξίστασθαι, ὁκόσοισι δ' αὖ ἀπὸ παιδὸς

ξυμβήσεται, καὶ συνανδρωθῇ τὸ νόσημα. ἔπειτα δὲ ὅσοισιν ἂν γένηται ἐν ἀκμάζοντι τῷ σώματι τῆς ἡλικίης. εἴη δ' ἂν ἀπὸ εἴκοσι, καὶ πέντε ἐτέων, ἐς πέντε καὶ τεσσαράκοντα ἔτεα. μετὰ δὲ τούτους, ὅσοις ἂν γένηται τὸ νούσημα μηδὲν προσημαῖνον, ὁκόθεν ἄρχεται τοῦ σώματος. οἷσι δὲ ἀπὸ τῆς κεφαλῆς δοκέει ἄρχεσθαι, ἢ ἀπὸ τοῦ πλευροῦ, ἢ ἀπὸ τῆς χειρὸς, ἢ ποδὸς, εὐπετέστερα ἰᾶσθαι. διαφέρει γὰρ καὶ ταῦτα. τὰ γὰρ ἀπὸ τῆς κεφαλῆς, τούτων χαλεπώτατα· ἔπειτα τὰ ἀπὸ τοῦ πλευροῦ· τὰ δὲ ἀπὸ τῶν χειρῶν τε, καὶ τῶν ποδῶν μάλιστα οἷά τε ἐξυγιαίνεσθαι. ἐπιχειρέειν δὲ χρὴ τουτέοισι τὸν ἰητρὸν, εἰδότα τὸν τρόπον τῆς ἰήσιος, ἢν ἔωσιν οἱ ἄνθρωποι νέοι τε καὶ φιλόπονοι. πλὴν ὅσον αἱ φρένες τι κακὸν ἔχουσιν. ἢ εἴ τις ἀπόπληκτος γένοιτο, αἱ μὲν γὰρ μελαγχολικαὶ αὗται ἐκστάσιες, οὐ λυσιτελέες. αἱ δὲ ἄλλαι, αἱ εἰς τὰ κάτω τρεπόμεναι, πᾶσαι ἀγαθαί. ἄρισται δὲ καὶ ἐνταῦθα πολλῷ, αἱ αἱματηρόταται. ὁπόσοι δὲ γέροντες, ἤρξαντο λαμβάνεσθαι, ἀποθνήσκουσί τε μάλιστα, καὶ ἢν μὴ ἀπόλλωνται, τάχιστα ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου. ὑπὸ δὲ τῶν ἰητρῶν ἥκιστα ὠφελέονται. οἷσι δὲ τῶν παιδίων ἐξαπίνης οἱ ὀφθαλμοὶ διεστράφησαν, ἢ μεῖζόν τι κακὸν ἔπαθον, ἢ φύματα ὑπὸ τὸν αὐχένα ἔφυ, ἢ ἰσχνοφωνότεροι ἐγένοντο, ἢ βῆχες ξηραὶ χρόνιοι προσέχουσιν, ἢ ἐς τὴν γαστέρα μείζοσι γινομένοισιν ὀδύνη φοιτᾷ, καὶ οὐκ ἐπαρδέεται. ἢ ἐν τοῖσι πλευροῖσι διαστρέμματα ἔχουσιν, ἢ φλέβας παχείας περὶ τὴν γαστέρα κιρσώδεας. ἢ ἐπίπλοον καταβαίνει. ἢ ὄρχις μέγας γένοιτο, ἢ χεὶρ λεπτὴ, καὶ ἀκρατὴς, ἢ πούς, ἢ κνήμη ξύμπασα ἐχωλώθη, ἄτερ προφάσιος ἄλλης, τούτοισι πᾶσιν εἰδέναι ὅτι ἡ νοῦσος προεγένετο πρὸ τούτων ἁπάντων. καὶ οἱ μὲν πλεῖστοι τῶν τρεφόντων τὰ παιδία, ἐρωτώμενοι ὁμολογήσουσι, τοὺς δὲ καὶ λανθάνει. καὶ οὔ φασιν εἰδέναι τοιοῦτον οὐδὲν γινόμενον.

cōtigit morbus, & simul ad virilē ætatē peruenit; deinde hi, quibus corpore in vigore ætatis cōstituto factus est, & fuerit à viginti quinq; annis vsq; ad annū quadragesimū quintū. Post hos autē, quibus factus fuerit morbus, nullā significationē præbens, ex qua corporis parte initiū sumat. At quibus ex capite initiū capere videtur, aut à latere, aut à manu, aut pede, facilius curatur. Verū differūt etiam hæc morbi genera. Qui enim à capite initiū sumūt, ex his grauissimi sūt; deinde qui à latere. Qui verò à manibus, ac pedibus, maximè sanari possūt. Cæterū horū curā aggredi oportet medicū, qui medēdi modū nouit, si homines fuerint iuuenes, & laboris amātes, nisi mēs mali aliquid habuerit, aut quis stupore attonito sideratus fuerit; nā hæ atrabiliariæ mentis emotiones nō sūt cōducibiles. Alij verò, qui ad infernas partes cōuertuntur abscessus, boni sunt. Longe verò optimi & hic sūt, qui sūt sanguinolētissimi. Quicūq; verò senes apprehendi incipiunt, maximè moriuntur. Et si non pereant, statim celerriméq; per se liberantur, à medicis autē minimè opē ferūt. At quibus pueris oculi repentè distorti fuerūt, aut maius quoddā malū perpessi sūt, aut tubercula sub ceruicē oborta sunt, aut loquelā impeditā vocē graciliorē *adepti sunt, aut tusses siccæ diuturnæ adhærent, aut maioribus factis dolor procedit ad vētrem, & non exturbatur, aut in lateribus distortiones habent, aut venas crassas circa ventrem varicosas, aut omentum descendit, aut testis magnus factus est, aut manus tenuis, & impotens, aut pes, aut tibia tota clauda facta est, citra aliam causam; his omnibus morbum antea factum fuisse, scire oportet, præ his vniuersis. Et plurimi, qui pueros educant, si interrogentur, confitebuntur; quosdam verò etiam res latet, negantque se scire quicquam tale factum esse.*

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ ἑλκῶν καὶ τῶν παρὰ φύσιν φυμάτων εὐιάτων τε, καὶ δυσιάτων, καὶ ἀνιάτων προῤῥήσις.

ΤΟν δὲ περὶ τῶν ἑλκέων μέλλοντα γνώσεσθαι, ὅκως ἕκαστα τελευτήσῃ, πρῶτον μὲν χρὴ τὰ εἴδεα τῶν ἀνθρώπων ἐξεπίστασθαι, τά τε ἀμείνω πρὸς τὰ ἕλκεα, καὶ τὰ κακίω. ἔπειτα τὰς ἡλικίας εἰδέναι, ὅποι ἧσιν ἕκαστα τῶν ἑλκέων, δυσαπάλλακτα γίνεται. τά τε χωρία ἐπισκέψασθαι τὰ ἐν τοῖσι σώμασιν, ὅσον διαφέρει θάτερα θατέρων. τά τε ἄλλα ὁκοῖα τὰ ἐφ' ἑκάστοισιν ἐπιγίνεται ἀγαθά τε καὶ κακὰ εἰδέναι. εἰδὼς μὲν γὰρ ἄν τις ταῦτα πάντα εἰδείη ἂν καὶ ὅκως ἕκαστα ἀποβήσεται. μὴ εἰδὼς δὲ ταῦτα, οὐκ ἂν εἰδείη, ὅπως αἱ τελευταὶ ἔσονται ἀμφὶ τῶν ἑλκέων. εἴδεα μὲν καὶ ἀγαθά ἐστι τὰ τοιάδε. ἐλαφρά, καὶ ξύμμετρα, καὶ εὐσπλαγχνα, καὶ μήτε σαρκώδεα ἰσχυρῶς, μήτε σκληρά. κατὰ δὲ χρῶμα ἔστω λευκὸν, ἢ μέλαν, ἢ ἐρυθρὸν, ταῦτα γὰρ πάντα ἀγαθὰ, ἄκρητα ἐόντα· εἰ δ' εἴη μιξόχλωρον, ἢ χλωρὸν, ἢ πελιδνὸν τὸ χρῶμα, κάκιον γίνεται. τὰ δὲ εἴδεα ὅσα ἂν τοῖσι προγεγραμμένοισι τἀναντία πεφύκῃ, εἰδέναι χρὴ κακίω ἐόντα.

CAPVT VIII.

De vlceribus ac tumoribus præter naturam curatu facilibus, ac difficilibus, ac insanabilibus prædictiones.

QVi porrò de vlceribus cognoscere volet, quomodo singula finient, eum primùm hominum species perscrutari oportet, tum eas, quæ meliores sunt ad vlcera, tum quæ deteriores; deinde ætates nosse, in quibus singula vlcera curatu difficilia existunt. Locos item in corporibus perspectos habere, quantum alij ab aliis differunt. Sed & alia qualia in singulis accedunt tum bona, tum mala, nosse oportet; si quis enim omnia hæc nouerit, is sanè sciet etiam, quomodo singulorum euentus continget. Qui verò non nouerit hæc, non nosse poterit, quales fines vlcerum erunt. Species equidem bonæ sunt hæ. Leues & commoderatæ, & bonis visceribus præditæ, & neque valde carnosæ, neque duræ. Iuxta colorem verò sit species alba, aut nigra, aut rubens; hæ enim omnes bonæ sunt; si puræ sunt. Si verò pallidus color admixtus fuerit, aut color ipse pallidus, aut liuidus fuerit, peius est. Species verò, quæ præscriptis contrariæ sunt, eas deteriores esse scito.

At

At verò quod ad ætates attinet, tubercula quidem suppurata fiunt, & strumosa hæc plurimos pueros occupant, & facillimè ex ipsis liberantur. Senioribus verò pueris, & adolescētibus, minus quidē oriūtur, verū difficilius ab ipsis liberantur. Viris autē talia quidē tubercula nō valdè fiūt, verū ceria Græcis dicta, admodū faui cōcreta, & horrenda, & cācri occulti, submersi, & ex pustulis nocturnis herpetes, donec sexaginta annos trāsmiserint. Senibus autē nihil talium tuberculorum accedit, verùm cancri, & occulti, & summas partes occupantes, & commoriuntur. Cæterùm ex locis subalares difficiliores curatu sunt, & laterum mollitudines, ac femora; nam & moræ in ipsis fiunt, & recidiuæ. Ex articulis periculo maximè obnoxij sunt magni digiti, & præsertim pedum. Quibus autē in obliqua linguæ parte vlcus fit diuturnum, in his dentes considerare oportet, an quis iuxta illam vlceris partem acutior sit.

περὶ δὲ ἡλικιῶν, φύματα μὲν ἔμπυα γὰρ, καὶ τὰ χοιρώδεα ταῦτα πλεῖστα τῶν παιδίων ἴσχουσι, καὶ ῥᾷστα ἐξ αὐτέων ἀπαλλάσσει. τοῖσι δὲ γεραιτέροισί τε τῶν παιδίων, καὶ νεηνίσκοισιν, φύεται μὲν ἐλάσσω, χαλεπώτερον δὲ ἐξ αὐτέων ἀπαλλάσσουσι. τοῖσι δὲ ἀνδράσι, τὰ μὲν τοιαῦτα φύματα, οὐ κάρτα ἐπιγίνεται· τὰ δὲ κηρία, δεινά. καὶ οἱ κρυπτοὶ καρκῖνοι οἱ ὑποβρύχιοι, καὶ οἱ ἐκ τῶν ἐπινυκτίδων ἕρπητες ἐς ἂν ἑξήκοντα ἔτεα συχνῷ ὑπερβάλλωσι. τοῖσι δὲ γέρουσι τῶν μὲν τοιουτοτρόπων φυμάτων, οὐδὲν ἐπιγίνεται. οἱ δὲ καρκῖνοι οἱ κρυπτοί, καὶ οἱ ἀκρόπαθοι γίνονται, καὶ ξυναποθνήσκουσι. τῶν δὲ χωρίων, μασχάλαι δυσιητότεραι, καὶ κενεῶνές τε καὶ μηροί. ὑποστάσιές τε γὰρ ἐν αὐτοῖσι γίνονται, καὶ ὑποστροφαί. τῶν δὲ περὶ ἄρθρα ἐπικινδυνώτατοι οἱ μεγάλοι δάκτυλοι, καὶ μᾶλλον οἱ τῶν ποδῶν. οἷσι δὲ τῆς γλώσσης ἐν τῷ πλαγίῳ ἕλκος γίνεται πολυχρόνιον, καταμαθεῖν τῶν ὀδόντων, ἤν τις ὀξὺς ᾖ τῶν κατ' αὐτό.

CAPVT IX.

De vulneribus ratione partium, ac symptomatum febris, inflammationis, delirij, hæmorrhagiæ, doloris, dyspnœæ magis aut minus lethalibus; de nomis lethalibus, putredinibus, herpetibus; de nerui ac ossis corruptione, prædictiones.

VUlnera magis lethalia sunt, quę in venas crassas in collo, ac inguinibus infligūtur; deinde quæ in cerebrū, & in hepar; postea quæ in intestinū & vesicā. Sunt autē hæc omnia pernitiosa valde, non tamen ita vt nemo ex his euadat, velut putatur; nam & loci, qui hæc nomina habent, multū inter se differunt, & iidē modi. Multū etiam differt corporis ipsius hominis structura; aliquando enim neq; febricitat, neq; inflammatur sauciatus. Aliquādo etiam citra causam febricitat, & aliqua corporis pars omnino inflāmatur. At quādo is, qui vlcus habet, delirat, & facile fert vulnus; tunc vulnus aggredi oportet, velut iuxta medicinæ, & accedentium rationem, euentū habiturum; moriuntur enim homines ab omnis generis vulneribus. Multæ enim venæ sunt & tenues, & crassæ, quæ sanguinē fundentes occidunt, si turgere, ac eò ferri ipsas contigerit; quas alia tēporis occasione si quis pertundat, corporibus prodesse sentiat. Multa verò vulnera in locis vilibus, ac non malis esse, & nulla re grauia vidētur, & tamen sic dolore affligit plaga, vt respirare nō posit. Alij verò præ vulneris dolore, quod sanè graue nulla re erat, spiritū quidē duxerūt; verū delirarūt, & febrientes mortui sunt; quicunque enim aut corpus febricitans habēt, aut mentē turbatā, talia patiuntur. Sed neq; hæc admirari oportet, neq; formidare, illud expendēdo, quòd & animæ, & corpora hominū plurimū differunt, & vim maximā habēt. Quæcunq; igitur vulnera tēpus nancisc ūtur, aut corpus, & mentē huiusmodi; aut ita turgētē sanguinē, aut magnitudine tāta fuerint, vt homo ad curationem adduci ab eius contemptu non posit, ab his quidem discedere oportet, qualiacunque tandē fuerint;

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τρωμάτων τῶν κατὰ μέρη, καὶ συμπτώματα πυρετοῦ τε, καὶ φλεγμονῆς, καὶ παραφροσύνης, καὶ αἱμορραγίας, καὶ ὀδύνης, καὶ δυσπνοίας, μᾶλλόν τε καὶ ἧττον θανατωδῶν· περὶ θανατωδῶν νομῶν, σηπεδόνων, ἑρπήτων· περὶ σφακελισμοῦ νεύρου τε, καὶ ὀστοῦ προῤῥήσεις.

ΤΑ δὲ τρώματα θανατωδέστερα μὲν τὰ ἐς τὰς φλέβας τὰς παχείας, τὰς ἐν τῷ τραχήλῳ τε καὶ τοῖς βουβῶσιν· ἔπειτα ἐς τὸν ἐγκέφαλον, καὶ ἐς τὸ ἧπαρ· ἔπειτα τὰ ἐς ἔντερον, καὶ ἐς κύστιν. ἔστι δὲ ταῦτα πάντα ὀλέθρια ἐόντα ἰσχυρῶς, οὐχ οὕτως ἄφυκτα, ὡς δοκεῖ. τά τε γὰρ χωρία ὀνόματα ἔχοντα ταῦτα, μέγα διαφέρει, καὶ οἱ αὐτοὶ τρόποι. πολὺ δὲ διαφέρει, τοῦ αὐτοῦ ἀνθρώπου, τοῦ σώματος ἡ παρασκευή. ἔστι μὲν γὰρ ὅτε οὔτ' ἂν πυρετήνειεν, οὔτε φλεγμήνειεν τρωθείς. ἔστι δὴ ὅτε καὶ ἄνευ προφάσιος ἐπυρέτηνεν ἄν, καὶ φλεγμανθείη τι τοῦ σώματος πάντως. ἀλλ' ἢν ὅ τε ἕλκος ἔχων παραφρονέῃ, εὐπετέως τε φέρῃ τὸ τρῶμα, ἐγχειρέειν χρὴ τῷ τρώματι, ὡς ἀποβησομένῳ κατὰ λόγον τῆς ἰητρείης τε, καὶ τῶν ἐπιγινομένων. ἀποθνήσκουσι μὲν γὰρ οἱ ἄνθρωποι ὑπὸ τρωμάτων παντοίων. πολλαὶ μὲν γὰρ φλέβες εἰσί, καὶ λεπταὶ καὶ παχεῖαι. αἵτινες αἱμορραγέουσαι ἀποκτείνουσιν, ἢν αὐταὶ τύχωσιν ὀργῶσαι. ἃς ἐν ἑτέρῳ καιρῷ διακόπτοντες, ὠφελέουσι τὰ σώματα. πολλὰ δὲ τῶν τρωμάτων, ἐν χωρίοισί τε εἶναι εὐήθεσι, καὶ οὐδὲν τι δεινὰ φαινόμενα, οὕτως ὀδυνώσειν ἡ πληγή, ὥστε μὴ δύνασθαι ἀναπνεῦσαι. ἄλλοι δὲ ὑπὸ τῆς ὀδύνης τοῦ τρώματος, οὐδὲν δή τι δεινοῦ ἐόντος, τὸ μὲν πνεῦμα ἀνήνεγκαν· παρεφρόνησαν δὲ καὶ πυρετήναντες ἀπέθανον. ὅσοι γὰρ ἂν ἢ τὸ σῶμα πυρετώδες ἔχουσιν, ἢ τὰς γνώμας θορυβώδεας, τὰ τοιαῦτα πάσχουσιν. ἀλλὰ χρὴ μήτε ταῦτα θωμάζειν, μήτε ὀρρωδέειν, κεῖνα εἰδότα, ὅτι αἵ τε ψυχαί τε καὶ τὰ σώματα πλεῖστον διαφέρουσιν αἱ τῶν ἀνθρώπων, καὶ δύναμιν ἔχουσι μεγίστην. ὅσα μὲν οὖν τῶν τρωμάτων καιροῦ ἔτυχεν, ἢ σώματός τε καὶ γνώμης τοιαύτης, ἢ ὀργῶντος οὕτω τοῦ σώματος, ἢ μέγεθος τοσαῦτα ᾖ, ὥστε μὴ δύνασθαι καταστῆναι τὸν ἄνθρωπον εἰς τὴν ἴησιν καταφρονέοντα, τοῖσι μὲν ἐξίστασθαι χρὴ ὁποῖα ἂν ᾖ,

πλὴν τῶν ἐφημέρων λειποθυμιῶν. τοῖσι δ' ἄλλοισι πᾶσιν ἐπιχειρέειν, νεοτρώτοισι ἐοῦσιν, ὡς αὖ τούς τε πυρετοὺς διαφεύγωσιν οἱ ἄνθρωποι, καὶ τὰς αἱμορραγίας τε καὶ τὰς νομὰς, περιεσομένων. ἀτρεκέστατα δὲ καὶ ἐπὶ πλεῖστον χρόνον τὰς φυλακὰς αἰεὶ τῶν δεινοτάτων ποιέεσθαι. καὶ γὰρ δίκαιον οὕτως. αἱ δὲ νομαὶ θανατωδέσταται μὲν, ὧν αἱ σηπεδόνες βαθύταται, καὶ μελάνταται, καὶ ξηρόταται. πονηραὶ δὲ καὶ ἐπικίνδυνοι, ὅσαι μέλανα ἰχῶρα ἀναδιδοῦσιν. αἱ δὲ λευκαὶ καὶ μυξώδεες τῶν σηπεδόνων, ἀποκτείνουσι μὲν ἧσσον· ὑποστρέφουσι δὲ μᾶλλον· καὶ χρονιώτεραι γίνονται. οἱ δ' ἕρπητες ἀκινδυνώτατοι πάντων ἑλκέων ὅσα νέμεται. δυσαπάλλακτοι δὲ μάλιστα, κατά γε τοὺς κρυπτοὺς καρκίνους. ἐπὶ πᾶσι δὲ τοῖσι τοιουτέοισι, πυρετόν τε ἐπιγενέσθαι ξυμφέρει μίην ἡμέρην, καὶ πῦον, ὡς λευκότατον, καὶ παχύτατον. λυσιτελεῖ δὲ καὶ σφακελισμὸς νεύρου, ἢ καὶ ὀστέου, ἢ καὶ ἀμφοῖν, ἐπί τε τῇσι βωθείῃσι σηπεδόσι καὶ μελαίνῃσι. πῦον γὰρ ἐν τοῖσι σφακελισμοῖσι ῥεῖ πουλὺ, καὶ λύει τὰς σηπεδόνας.

A *diariis animi deliquiis exceptis; alia verò omnia aggredi, quæ recens sunt incussa, quo & febres effugiant homines, & sanguinis eruptiones, & nomas vlcerum proserpentes, hi qui euadent. Exactissimè verò & ad plurimũ tẽpus eorũ, quæ grauissima sunt, custodiam facere oportet; nam ita facere iustum est. At verò nomæ lethalissimæ sunt, quarum putredines profundißimæ, & nigerrimæ, ac siccissimæ existunt. Prauæ etiam sunt ac periculosæ, quæ nigram saniem remittũt. Albæ verò, ac mucosæ putredines, minus quidem occidunt, magis autẽ* B *reuertuntur, & diuturniores sunt. Herpetes autẽ minimè omnium vlcerum, quæ depascendo proserpunt, periculosi sunt; verùm maximè difficulter submoueri possunt, quemadmodum cancri occulti. In omnibus autem talibus febrem superuenire vna die confert, & pus quàm albissimum, ac crassissimum. Cõmodat & corruptio nerui, aut etiam oßis, aut etiam amborum, tum in profundis, tum in nigris putredinibus. Nam in corruptionibus pus multum fluit, & putredines soluit.*

C

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Περὶ τῶν ἐν κεφαλῇ τρωμάτων καθ' αὐτά τε, καὶ κατὰ τὸ χωρίον, καὶ τὴν θέσιν, καὶ τὰ συμπτώματα, καὶ τὸν χρόνον, θανατωδεστάτων τε, καὶ ἀσφαλεστάτων· περὶ φλεγμονῆς, καὶ πύου συμφερόντων· περὶ πυρετοῦ τῇ τρώσει συμπτωματικοῦ θανατώδους, μὴ θανατώδους.

ΤΩν δὲ ἐν κεφαλῇ τρωμάτων, θανατωδέστατα μὲν, τὰ ἐς τὸν ἐγκέφαλον, ὡς καὶ προγέγραπται. δεινὰ δὲ καὶ τὰ τοιαῦτα πάντα. ὀστέον ψιλὸν μέγα, ὀστέον ἐμπεπλασμένον, ὀστέον κατερρωγός. εἰ δὲ καὶ τὸ στόμα τοῦ D ἕλκεος σμικρὸν εἴη, ἡ δὲ ῥωγμὴ τοῦ ὀστέου ἐπὶ πολὺ παραμείνοι, ἐπικινδυνωδέστερόν ἐστι. ταῦτα δὲ πάντα δεινότερα γίνεται, καὶ κατὰ ῥαφὴν τε ὄντα. καὶ τῶν χωρίων αἰεὶ, τὰ ἐν τοῖσιν ἀνωτάτω τῆς κεφαλῆς. πυνθάνεσθαι δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀξίοις λόγου τρώμασιν, ἢν ἔτι νεότρωτοι αἱ πληγαὶ ἔωσιν, ἢ βλήματα εἴη, ἢ κατέπεσεν ὥνθρωπος, ἢ εἰ ἐκαρώθη. ἢν γάρ τι τούτων ᾖ γεγονὸς, φυλακῆς πλείονος δεῖναι, ὡς τοῦ ἐγκεφάλου ἐπαικούσαντος τοῦ τρώματος. εἰ δὲ μὴ νεότρωτος εἴη, ἐς τἄλλα σημεῖα σκέπτεσθαι καὶ βουλεύεσθαι. ἄριστον μὲν οὖν E μήτε πυρετῆναι, τὸν τὸ ἕλκος ἔχοντα ἐν τῇ κεφαλῇ, μήθ' αἷμα ἐπιπαρραγῆναι αὐτῷ, μηδὲ φλεγμονὴν, μήθ' ἅμα μηδεμίην ὀδύνην ἐπιγίνεσθαι. εἰ δέ τι τούτων ἐπιφαίνοιτο, ἐν ἀρχῇσί τε γίνεσθαι ἀσφαλέστατον, καὶ ὀλίγον χρόνον παραμένειν. ξυμφέρει δὲ ἐν τῇσιν ὀδύνῃσιν, καὶ τὰς φλεγμονὰς, τὰς ἐπὶ τοῖσιν ἕλκεσιν ἐπιγίνεσθαι. τῇσι δ' αἱμορραγίῃσι, πῦον ἐπὶ τῇσι φλεψὶ φαίνεσθαι. τοῖσι δὲ πυρετοῖσιν ἃ ἐν τοῖσιν ὀξέσι νοσήμασιν ἔγραψα, ξυμφέρει ἐπὶ τούτοισι γίνεσθαι ταῦτα. καὶ ἐνθάδε λέγω ἀγαθὰ εἶναι. τὰ δ' ἐναντία, F κακά. ἄρξασθαι δὲ πυρετὸν ἐπὶ κεφαλῆς τρώσει τεταρταίῳ, ἢ ἑβδομαίῳ, ἢ ἑνδεκαταίῳ, θανατῶδες μάλα. κρίνεται δὲ τοῖσι πλείστοισιν. ἢν μὲν τεταρταίου ἐόντος τοῦ ἕλκεος πυρετὸς ἄρξηται, ἐς τὴν ἑνδεκάτην. ἢν δ' ἑβδομαῖος ἐὼν πυρετήνῃ, ἐς τὴν τεσσαρεσκαιδεκάτην,

CAPVT X.

De capitis vulneribus per se, ac ratione loci, situs, symptomatum, ac temporis maximè lethalibus, ac securissimis; de inflammatione, & pure vtilibus; de febre vulneri symptomatica lethali, non lethali.

P*Orrò ex capitis vulneribus lethalißima sunt, quæ ad cerebrum pertingunt, velut etiam antea scriptũ est. Grauia sunt & huiusmodi omnia, os nudũ* D *magnũ, os infarctũ, os diffractũ. Si verò etiam osculum vlceris paruum fuerit, fissura verò oßis aliquandiu permanserit, periculosius est. Hæc autem omnia grauiora fiunt, si & iuxta suturã sunt, & ex locis semper periculosiores summi in capite existũt. Ceterũ in omnibus memorabilib. vulneribus interrogare oportet, si adhuc recentes fuerint plagæ, aut etiam iactus fuerint, an conciderit homo, aut an in soporẽ altiorẽ collapsus sit. Si enim horũ quippiam factũ fuerit, ampliore custodia opus habet, nimirum quum cerebrum vulnus tũc perceperit. Si* E *verò non recens sauciatus fuerit, ad alia signa respicere oportet, ac consilium capere. Optimum quidem igitur est, neque febrire eum qui vlcus in capite habet, neque sanguinem insuper ipsi erupisse, neque inflammationẽ, neque simul vllum aliquem dolorem accessisse. Si verò quid horum apparuerit, securißimum est, vt in principio fiat, & modico tempore permaneat. Conducit autem in doloribus etiam inflammationes ex vlceribus accedere; In sanguinis autem eruptionibus pus in venis apparere. Quæ verò in acutis morbis conferre fe-* F *bribus scripsi, ea etiam in his fieri conducit, & eadem hic quoque bona esse assero, contraria verò mala. At incipere febrem in capitis vulnere quarta die, aut septima, aut vndecima, valde lethale est. Iudicatur autem plerisque, si quidẽ quarta vulneris die febris inceperit, ad vndecimã; si verò septima die febris inchoarit, ad decimã-*

quartam,

quartam, aut decimam septimam; si verò vndecimo febrire inceperit, ad vigesimam; quemadmodum in febribus descriptum est, quæ absque manifestis causis fiunt. Cæterùm in principiis febrium, siue delirium accesserit, siue alicuius membri sideratio, periturum hominem sciendum est, si non omnino aut ex optimis signis aliquod accedat, aut corporis vires adsint, verùm cōsiderabis modum, nam homini adhuc spes salutis est, sed claudum fieri articulum, in quem incubuit, necesse est, etiam si superstes maneat homo.

ἢ ἑπτακαιδεκάτην. ἢν δὲ τῇ ἑνδεκάτῃ ἄρξηται πυρεταίνειν, ἐς τὴν εἰκοστὴν, ὡς ἐν τοῖσι πυρετοῖσι διαγέγραπται, τοῖς ἄνευ προφάσιων ἐμφανέων γινομένοισι. τῇσι δὲ ἐν ἀρχῇσι τῶν πυρετῶν, ἤν τε παραφροσύνη ἐπιγένηται, ἤν τε ἀποπληξίς τῶν μελέων τινὸς, εἰδέναι τὸν ἄνθρωπον ἀπολλύμενον, ἢν μὴ παντάπασι, ἢ τῶν καλλίστων τι σημεῖον ἐπιγένηται, ἢ σώματος ἀρετὴ ὑπόκειται, ἀλλ' ὑποσκέπτεσθαι τὸν τρόπον. τῷ ἀνθρώπῳ ἔτι γὰρ αὐτῇ ἐλπὶς τῆς σωτηρίας. χωλὸν δὲ γενέσθαι τὸ ἄρθρον ἐς ὃ ἀπεστήριξεν, ἀναγκαῖόν ἐστιν, ἢν ἄρα καὶ περιγένηται ὁ ἄνθρωπος.

CAPVT XI.

De articulorum, neruorum, ac medullæ spinalis vulneribus prædictiones.

POrrò vulnera in articulis, quæ quidem magna sunt, & neruos coniungentes penitus præsecant, clarum est, quòd claudos efficient. Si verò ambiguum fuerit de neruis, quomodo se habeant, si quidem fuerit acutum telum quod rectum vulnus fecit; melius est obliquo. Si verò graue, & obtusum fuerit id, quod vulnerauit, nihil refert. Sed plagæ profunditatem, & alia signa considerare licebit. Sunt autem hæc. Pus si insuper accedat ad articulum, duriorem fieri necesse est. Si verò etiam tumores simul permanserint; hunc locum ad multum tempus durum esse necesse est: & quum sanum iam est vlcus tumorem permanere necessarium est, simúlque flecti, ac extendi, quæcunque, dum articulus incuruus est, curantur. Quibus verò etiam neruus elapsurus esse videtur, securiùs de claudicatione prædicere licet, tum aliàs, tum si inferiorum neruorum aliquis fuerit exolutus. Ex his autem cognosces neruum, qui excidet. Pus albū & crassum, multo tempore defluit, doloresque, ac inflammationes circa articulum in principiis fiunt. Eadem fiunt etiam si os elabetur. At verò dissectiones in cubiti gibbis, præsertim quæ sunt cum inflammatione, ad suppurationem perueniunt, ad sectionésque, ac vstiones. Medulla verò spinæ si ægrotarit, siue ex lapsu, siue ex alia aliqua causa, siue sua sponte, homo & cruribus impotens fit, vt neque si tangatur, percipiat, & ventre, ac vesica, vt circa prima tempora, neque stercus, neque vrinam egerat, nisi ad necessitatem. Quum autem vetustior factus fuerit morbus; non vrgente homine, & stercus prodit, & vrina. Moritur autem postea, non multo interposito tempore.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Περὶ τῶν ἐν τοῖσιν ἄρθροισί τε, καὶ νεύροισι, καὶ νωτιαίῳ μυελῷ τρωμάτων, προῤῥήσεις.

ΤΑ δὲ τρώματα τὰ ἐν τοῖσιν ἄρθροισι, μεγάλα μὲν ὄντα καὶ τελέως ἀποκόπτοντα τὰ νεῦρα τὰ συνέχοντα, εὔδηλον ὅτι χωλοὺς ἀποδείξει. εἰ δὲ ἐνδοιαστὸν εἴη ἀμφὶ τῶν νεύρων, ὅπως ἔχοι, ὀξέος μὲν ἐόντος τοῦ βέλεος τοῦ ποιήσαντος, ὀρθὸν τὸ τρῶμα εἶναι ἄμεινον ἐπικαρσίου. εἰ δὲ εἴη βαρύ τε καὶ ἀμβλὺ τὸ τρῶσαν, οὐδὲν διαφέρει· ἀλλ' ἔσται βάθος τε τῆς πληγῆς σκέπτεσθαι, καὶ τἄλλα σημεῖα. ἔστι δὲ τάδε, πῦον ἢν ἐπιγένηται ἐπὶ τὸ ἄρθρον, σκληρότερον ἀνάγκη γενέσθαι· ἢν δὲ καὶ οἰδήματα συμπαραμείνῃ, σκληρὸν ἀνάγκη πουλὺν χρόνον τοῦτο τὸ χωρίον γίνεσθαι. καὶ τὸ οἴδημα ὑγιέος ἐόντος τοῦ ἕλκεος παραμένειν ἀνάγκη, συγκάμπτεσθαί τε καὶ ἐκτείνεσθαι ὁκόσα ἂν τοῦ ἄρθρου καμπύλου ἐόντος θεραπεύηται. οἷσι δ' αὖ καὶ νεῦρον δοκέει ἐκπεσεῖσθαι, ἀσφαλεστέρως τὰ περὶ τῆς χωλώσιος ἢ προλέγειν, ἄλλως τε καὶ ἢν τῶν κάτωθεν νεύρων ᾖ τὸ ἐκλυόμενον. γνώσῃ δὲ τοῖσι νεῦρον μέλλον ἐκπίπτειν· πῦον λευκόν τε καὶ παχὺ, καὶ πουλὺν χρόνον ὑποῤῥεῖ· ὀδύναι τε καὶ φλεγμοναὶ γίνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. τὰ δ' αὐτὰ ταῦτα γίνεται, καὶ ὀστέου μέλλοντος ἐκπεσεῖσθαι. τὰ δὲ ἐν τοῖσιν ἀγκῶσι διακόμματα ἐν φλεγμονῇ μάλιστα ἐόντα, ἐς διαπύησιν ἀφικνέεται, καὶ τομάς τε καὶ καύσιας. ὁ δὲ νωτιαῖος μυελὸς ἢν νοσέῃ, ἤν τε ἐκ πτώματος, ἤν τε ἐξ ἄλλης τινὸς προφάσιος, ἤν τε ἀπὸ αὐτομάτου, τῶν τε σκελέων ἀκρατὴς γίνεται ὁ ἄνθρωπος, ὥστε μηδὲ θιγγανόμενος ἐπαΐειν, καὶ τῆς γαστρὸς, καὶ τῆς κύστιος. ὥστε τοὺς μὲν πρώτους χρόνους, μήτε κόπρον, μήτε οὖρον διαχωρέειν, ἢν μὴ πρὸς ἀνάγκην. ὅταν καὶ παλαιότερον γένηται τὸ νούσημα οὐκ ἐπιόντι τῷ ἀνθρώπῳ, ἥ τε κόπρος διαχωρέει, καὶ τὸ οὖρον. ἀποθνήσκει δὲ μετὰ ταῦτα, οὐ πολλῷ ὕστερον χρόνῳ.

CAPVT XII.

De faucibus sanguine impletis; de oculorum inflammationibus, lachrymis, sordibus, tumoribus, rupturis, læsionibus, cicatricibus, nubeculis & caliginibus prædictiones.

QVòd si verò cuipiam fauces implētur sanguine sæpe singulis diebus, ac noctibus, cui neq; caput antea doluit, & qui neq; tussim habuit, neque vomuit,

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Περὶ τῆς τοῦ αἵματος ἐμπιπλαμένης φάρυγγος· περὶ φλεγμονῶν τῶν ὀφθαλμῶν. δακρύων, λημῶν, οἰδημάτων, ῥωγμῶν, βλαβῶν, νεφελῶν, ἀχλύων προῤῥήσεις.

ΩΝ δὲ ἐμπίπλαται αἵματος ἡ φάρυγξ, πολλάκις τῆς ἡμέρης τε καὶ τῆς νυκτὸς ἑκάστης, οὔτε κεφαλὴν προαλγήσαντι, οὔτε βηχὸς ἐχούσης, οὔτε ἐμέοντι,

οὔτε πυρετοῦ λαμβάνοντος, οὔτε ὀδύνης ἐχούσης, οὔτε τοῦ στήθεος, οὔτε τοῦ μεταφρένου, τούτου καλῶς ἰδεῖν ἐς τὰς ῥῖνας καὶ τὴν φάρυγγα, ἢν ἕλκος τι ἔχων φαίνηται ἐν τῷ χωρίῳ τούτῳ, ἢ βδέλλαν. Ὀφθαλμοὶ δὲ λημῶντες ἄριστα ἐπαλλάσσουσιν, ἢν τό τε δάκρυον, καὶ ἡ λήμη, καὶ τὸ οἴδημα ἄρξηται ὁμοῦ γινόμενα. ἢν δὲ τὸ μὲν δάκρυον τῇ λήμῃ μεμιγμένον ᾖ, καὶ μὴ θερμὸν ἰσχυρῶς, ἡ δὲ λήμη λευκή τε ᾖ καὶ μαλθακή, τό τε οἴδημα ἐλαφρόν τε καὶ λελυμένον· εἰ γὰρ οὕτω ταῦτ᾽ ἔχοι, ξυμπλάσοιτ᾽ ἂν ὀφθαλμὸς ἐς τὰς νύκτας, ὥστε ἀνώδυνος εἶναι, καὶ ἀκινδυνότατον οὕτως ἂν εἴη, καὶ ὀλιγοχρονιώτατον. εἰ δὲ τὸ δάκρυον χωρέει πουλὺ καὶ θερμὸν ξὺν ὀλιγίστῃ λήμῃ, καὶ σμικρῷ οἰδήματι, εἰ μὲν ἐκ τοῦ ἑτέρου τῶν ὀφθαλμῶν, χρόνιον μὲν κάρτα γίνεται, ἀκίνδυνον δέ· καὶ ἀνώδυνος ἐστὶν ὁ τρόπος. ἐν τοῖσι μάλιστα τὴν δὲ κρίσιν ὑποσκέπτεσθαι, τὴν μὲν προτέρην, ἐς τὰς εἴκοσι ἡμέρας. ἢν δ᾽ ὑπερβάλλῃ τοῦτον τὸν χρόνον, ἐς τὰς τεσσαράκοντα προσδέχεσθαι· ἢν δὲ μηδ᾽ ἐν ταύτῃσι παύηται, ἐν τῇσιν ἑξήκοντα κρίνεται. παρὰ δὲ πάντα δὲ τὸν χρόνον τοῦτον, ἐνθυμεῖσθαι τὴν λήμην, ἢν ἐν τῷ δακτύλῳ τε μίσγηται, καὶ λευκή τε καὶ μαλθακὴ γίνεται. μάλιστα δ᾽ ὑπὸ τοὺς χρόνους τοὺς κρισίμους· ἢν γὰρ μέλλῃ παύεσθαι, ταῦτα ποιήσει. εἰ δὲ οἱ ὀφθαλμοὶ ἀμφότεροι ταῦτα πάθοιεν, ἐπικινδυνότεροι γίνονται ἑλκωθῆναι. ἡ δὲ κρίσις ἐλάσσονος χρόνου ἔσται. λῆμαι δὲ ξηραί, ἐπώδυνοι κάρτα. κρίνονται δὲ ταχέως, ἢν μὴ τρῶμα λάβῃ ὁ ὀφθαλμός. οἴδημα δὲ ἢν μέγα ᾖ, ἀνώδυνόν τε καὶ ξηρόν, ἀκίνδυνον. εἰ δὲ εἴη ξὺν ὀδύνῃ, κακὸν μὲν ξηρὸν ἐόν, καὶ ἐπικίνδυνον ἑλκῶσαί τε τὸν ὀφθαλμόν, καὶ ξυμφῦσαι. δεινὸν δὲ καὶ ξὺν δακρύῳ τε ὂν καὶ ὀδύνῃ. εἰ γὰρ δάκρυον χωρέει θερμὸν καὶ ἁλμυρόν, κίνδυνος τῇ τε κόρῃ ἑλκωθῆναι, καὶ τῇσι βλεφάροισιν. εἰ δὲ τὸ μὲν οἴδημα καταστάιη, δάκρυον δὲ πολὺ ἐπιχέεται πολλὸν χρόνον, καὶ λῆμαι ἔωσι, τοῖσι μὲν ἀνδράσι βλεφάρων ἐκτρόπιον προλέγειν. τῇσι δὲ γυναιξί, καὶ τοῖσι παιδίοισιν, ἕλκωσιν, καὶ τῶν βλεφάρων ἐκτρόπιον. ἢν δὲ λῆμαι χλωραὶ καὶ πελιδναὶ ἔωσι, καὶ δάκρυον πουλύ, καὶ θερμόν, καὶ ἐν τῇ κεφαλῇ καῦμα ᾖ, καὶ διὰ τοῦ κροτάφου ὀδύναι ἐς τὸν ὀφθαλμὸν κατασκήψωσι, καὶ ἀγρυπνίη τουτέοισιν ἐπιγίνηται, ἕλκος ἀνάγκη γενέσθαι ἐν τῷ ὀφθαλμῷ. ἐλπὶς δὲ καὶ ῥαγῆναι τὸ τοιοῦτον. ὠφελέει δὲ καὶ πυρετὸς ἐπιγινόμενος, ἢ ὀδύνη, ἐς τὴν ὀσφὺν σκήψασα. προλέγειν δὲ δεῖ τούτοισι τὰ ἐσόμενα, ἔς τε τὸν χρόνον σκεπτόμενον, ἔς τε τὰ ἐκ τοῦ ὀφθαλμοῦ ῥέοντα, ἐς τὰς περιωδυνίας τε καὶ ἀγρυπνίας. ἐπὴν δὲ καὶ τὸν ὀφθαλμὸν οἷόν τε ᾖ καλῶς ἰδεῖν, ἢν μὲν εὑρεθῇ ἐρρωγώς τε, καὶ διὰ τῆς ῥωγμῆς ὑπερέχουσα ἡ ὄψις, πονηρὸν καὶ χαλεπὸν καθιδρῦσαι. εἰ δὲ καὶ σηπεδὼν ὑπῇ τῷ τοιούτῳ, τελέως ἄχρηστος ὁ ὀφθαλμὸς γίνεται. τοὺς δ᾽ ἄλλους τρόπους τῶν ἑλκέων ἐς τὰ χωρία σκεπτομένους προλέγειν, καὶ τάς τε σηπεδόνας, καὶ βαθύτητας, ἀναγκαῖον κατὰ τὴν ἰσχὺν τῶν ἑλκέων τὰς οὐλὰς γίνεσθαι. οἷσι μὲν οὖν ῥήγνυνται οἱ ὀφθαλμοί, καὶ μετὰ ταῦτα ὑπερίσχουσιν ὥστε ἔξω τὴν ὄψιν τῆς χώρης εἶναι, ἀδύνατον ὠφελέεσθαι, καὶ χρόνῳ, καὶ τέχνῃ εἰς τὸ βλέπειν. τὰ δὲ σμικρὰ μετακινήματα τῶν ὄψεων οἷά τε καθιδρύεσθαι, ἢν μήτε κακὸν ἐπιγίνηται μηδέν, ὅ τε ἄνθρωπος νέος ᾖ. αἱ δὲ ἐκ τῶν ἑλκέων οὐλαί,

neque febre correptus fuit, neque dolorem habuit, nec pectoris, nec dorsi, huius considerandæ sunt nares, & fauces, an vlcus aliquod habere compareat in hoc loco, aut hirudinem. Oculi porrò lippientes optimè permutantur, si & lachryma, & sordes, & tumor, simul fieri inceperint. Si verò lachryma sordi fuerit permixta, & nõ valde calida, sordes autem alba fuerit, & mollis, & tumor leuis solutus: Si ita hæc se habuerint, oculus conglutinabitur ad noctem, vt doloris expers sit, atque hoc modo res minimè periculosa fuerit, ac minimè diuturna. Si verò lachryma procedit multa, & calida, cum paucissima sorde, ac paruo tumore, atque hoc ex altero oculo tantùm, tunc diuturnum valde fit malum, verùm non periculosum, & doloris exors est hic modus. Et iudicationem in his maximè expectare oportet, primam quidem ad vigesimum diem. Si verò hoc tempus transmittat, ad quadragesimum expectãda est. Si verò neque in his diebus sedetur; in sexaginta iudicatur. Per totum autem tempus hoc, sordem considerare oportet, an in digito misceatur & alba, ac mollis fiat, maximè sub iudicationis tẽpus, si enim desinet, hæc faciet. At si vtrique oculi hæc perpetiãtur, in maiori periculo sunt, ne vlcerentur. Verùm iudicatio breuioris temporis erit. Sordes autem siccæ valdè dolorosæ sunt, sed citò iudicantur: si non vulnus acceperit oculus. Si verò tumor magnus fuerit, dolorisq; expers & siccus periculo vacat. Si verò cũ dolore fuerit, malus est, si siccus sit, & periculum est, ne vlceretur oculus, ac concrescat. Sed & grauis est tumor, si lachrymam coniunctam habeat, itémque dolorem; si enim lachryma procedit calida, ac salsa, periculum est, & pupillam exulcerari, & palpebras. Si verò tumor consederit, sed lachryma multa multo tẽpore effundatur, & sordes fuerint, viris quidem palpebrarum euersionẽ prædicere oportet, mulieribus autem & pueris exulcerationem ac euersionem palpebrarum. At si sordes pallidæ, aut liuidæ fuerint, & lachryma multa, ac calida, & in capite ardor fuerit, & de tẽpore dolores in oculum decubuerint, & vigiliæ his accesserint, necesse est vlcus in oculo factum esse, & timor est quoque, vt talis rumpatur. Prodest autem febris accedens, aut dolor ad lumbos innixus. Prædicere verò his futura oportet, ita vt respectus, & ad tempus habeatur, & ad ea quæ ex oculo fluunt, & ad dolores, itémque vigilias. Postquam verò & oculum contueri datum fuerit, si quidem compertus fuerit ruptus, & per fissuram prominuerit oculus, malum est, & difficile, vt sedetur. Si verò & putredo tali subierit, penitus inutilis oculus redditur. At verò alios vlcerũ modos prædicere oportet, locos considerando, & putredines, & profunditates, necessarium enim est iuxta vlcerum vehementiam cicatrices fieri. Quibus igitur rũpũtur oculi, & postea prominent, vt extra locũ oculus sit; his & tempore, & parte, opem ferre non datur, ad hoc vt videant. Paruæ verò oculorũ trãsmotiones sedari possunt, si nihil mali accesserit, & homo iuuenis fuerit. At vlcerũ cicatrices,

quibus

quibus nihil aliud mali affuerit, omnes & à tẽporibus, & ab arte, opẽ ferre posse putandũ est, maximè recẽtissimæ, & in iuuenũ corporibus. Cęterũ ex locis maximè oculi lędũtur, si exulcerãtur, deinde pars, quæ est supra supercilia, postea quicquid vicissimũ his locis fuerit. Pupillæ verò glaucescẽtes, aut argẽti speciem referẽtes, aut ceruleæ, non bonæ sunt. His autem paulò meliores sunt, quæ aut minores apparent, aut ampliores, aut angulos habẽtes, siue ex causis tales factæ fuerint, siue sua sponte. Caligines, & nubeculæ, & cicatrices subalbicantes læuigantur, ac delentur; si non vulnus aliquod in eo loco accesserit, aut priùs cicatricem habuerit in hoc loco, aut vnguem pterygion dictum. Si verò splendicans cicatrix in nigra oculorum parte fiat, partem aliquam nigredinis dealbat, adeo vt si multo tempore permaneat, & aspera, & crassa, etiam memoriam sui relinquat. Porrò iudicationes quemadmodum in febribus scripsi, ita & hic se habent. Verùm signa edoctum, iuxta differentias lippitudinum prædictionem facere oportet, quum pessima signa accesserint, diuturnarum lippitudinum, velut de singulis præscriptum est; quum verò apparuerint optima signa, breuium, tunc enim septima die desituras esse prædicendum est, aut prope hoc tempus, & alioqui securas esse putandum est. Recidiuas autem expectare oportet his, quibus melius habere contingit, neque in diebus iudicatoriis, neque signis bonis conspectis. Omnium verò maximè vrinæ statum in oculorum affectionibus considerare oportet, nam temporum occasiones repentinæ sunt.

οἷσιν ἂν μὴ κακόν τι ἄλλο προσῇ, πᾶσαι οἴεσθαι ὠφελέεσθαι, καὶ ὑπὸ τῶν χρόνων, καὶ ὑπὸ τῆς τέχνης. μάλιστα δὲ αἱ νεώταταί τε, καὶ ἐν τοῖσι νεωτάτοισι τῶν σωμάτων. τῶν δὲ χωρίων, μάλιστα μὲν αἱ ὄψιες βλάπτονται ἑλκούμεναι. ἔπειτα δὲ ὑπεραίω τῶν ὀφρύων· ἔπειτα δὲ καὶ ὅ,τι ἂν ἄγχιστα ᾖ τούτων τῶν τόπων. αἱ δὲ κόραι γλαυκούμεναι, ἢ ἀργυροειδέες γινόμεναι, ἢ κυάνεαι, οὐδὲν χρηστόν. τουτέων δὲ ὀλίγαι ἀμείνους, ὁκόσαι ἢ σμικρότεραι φαίνονται, ἢ εὐρύτεραι, ἢ γωνίας ἔχουσαι, εἴτ' ἐκ προφασίων τοιαῦται γενοίατο, εἴτ' αὐτόμαται. ἀχλύες, καὶ νεφέλαι, καὶ αἰγίδες ἐκλεαίνονταί τε καὶ ἀφανίζονται. ἢν μὴ τρῶμά τι ἐπιγένηται ἐν τούτῳ τῷ χωρίῳ, ἢ πρόσθεν τύχῃ οὐλὴν ἔχων ἐν τῷ χωρίῳ τούτῳ, ἢ πτερύγιον. ἢν δὲ περίληψις γένηται, ἀπολευκαίνει τοῦ μέλανος μόριόν τι, εἰ πουλὺν χρόνον παραμείνῃ, καὶ τρηχεῖν τε καὶ παχεῖν, καὶ μνημόσυνον ὑποκαταλιπεῖν. καὶ δὲ κρίσιες, ὡς ἐν τοῖσι πυρετοῖσιν ἔγραψα, οὕτω καὶ ἐνθάδε ἔχουσιν. ἀλλὰ χρὴ τὰ σημεῖα ἐκμαθόντα προλέγειν. τὰς μὲν διαφορὰς τῶν ὀφθαλμιῶν, ὅταν τὰ κάκιστα τῶν σημείων ἐπιγένηται, τὰς δὲ πολυχρονίους τῶν ὀφθαλμιῶν, ὡς διαγέγραπται ἐφ' ἑκάστῃσι. τὰς δὲ ὀλιγοχρονίους, ὅταν τὰ σημεῖα προφαίνηται τὰ ἄριστα, τότε προλέγειν ἑβδομαίας παύσασθαι, ἢ ἐγγὺς τουτέων, καὶ ἄλλως ἀσφαλέας νομίζειν εἶναι. τὰς δὲ ὑποστροφὰς προσδέχεσθαι, οἷσιν ἂν ῥαστῶναι γένωνται, μήτ' ἐν ἡμέρῃσι κρισίμοισι, μήτε σημείων ἀγαθῶν ἐπιφανέντων. πάντων δὲ χρὴ μάλιστα τὴν κατάστασιν τοῦ οὔρου, ἐν τῇσι περὶ τοὺς ὀφθαλμοὺς ἐνθυμεῖσθαι. οἱ γὰρ καιροὶ ὀξέες.

CAPVT XIII.

De dysenteriis, lienteriis, aliisque leuioribus alui profluuiis, ac ani procidentia, prædictiones.

Dysenteriæ si quidem cum febre inuaserint, aut variis alui egestionibus, aut cum hepatis inflãmatione, aut præcordij, aut ventris, aut quæ dolorosæ fuerint, aut cibos intercipiunt, sitimque inducunt; hæ omnes malæ sunt. Et qui sanè plurima horum malorum habuerit, citissimè peribit. Cui verò paucissima talium affuerint, huic plurimæ spes sunt. Moriuntur autem ex hoc morbo maximè pueri quinquennes, & seniores adhuc decennes, reliquæ verò ætates minus. At quæ dysenteriæ commodæ sunt, hæ mala hæc non inducunt. Verùm sanguine, & ramentis egestis, desiuerunt septima die, aut decima quarta, aut vigesima, aut quadragesima, aut intra hæc tempora; huiusmodi enim egestiones etiam eos, qui priùs sunt in corporibus, morbos sanant, antiquiores quidem diutiore tempore, recentiores autem in paucis diebus submouere possunt; nam & quæ vterum gestant, etiam ipsæ euadunt superstites magis ad partum, & ex partu, & fœtus conseruant, sanguine, & ramentis egestis, etiam per multos menses; nisi dolor ipsis affuerit, aut aliud quoddam malum signum, ex his, quæ in dysenteriis fieri scripsi, accesserit. Si verò aliquod illorum apparuerit, & fœtui perniciem significat,

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Περὶ δυσεντεριῶν τε καὶ λειεντεριῶν, καὶ τῶν ἄλλων εὐηθεστέρων διαῤῥοιῶν, καὶ τῆς ἐκτρεπούσης ἕδρας, προῤῥήσεις.

Αἱ δὲ δυσεντερίαι ξὺν πυρετῷ μὲν ἢν ἐπίωσιν, ἢ ποικίλοισί τε διαχωρήμασιν, ἢ ξὺν φλεγμονῇ ἥπατος, ἢ ὑποχονδρίου, ἢ γαστρὸς, ἢ ὅσαι ἐπώδυνοι, ἢ ὅσαι τῶν σιτίων ἀπολαμβάνουσιν, δίψαν τε παρέχουσιν, αὗται μὲν πᾶσαι πονηραί. καὶ ὃς ἂν πλεῖστα ἔχῃ τούτων τῶν κακῶν, τάχιστα ἀπόλλυται. ᾧ δ' ἂν ἐλάχιστα τῶν τοιούτων προσῇ, πλεῖσται αὐτῷ ἐλπίδες. ἀποθνήσκουσι δὲ ὑπὸ ταύτης τῆς νούσου μάλιστα παιδία τὰ πενταετέα, καὶ γεραίτερα ἔς τε τὰ δεκαετέα· αἱ δ' ἄλλαι ἡλικίαι ἧσσον. ὅσαι δὲ τῶν δυσεντεριῶν λειοτελέες, τὰ μὲν κακὰ ταῦτα οὐκ ἐμποιέουσιν. αἷμα δὲ καὶ ξύσματα διαχωρήσαντα, ἐπαύσαντο ἑβδομαῖα, ἢ τεσσαρεσκαιδεκαταῖα, ἢ εἰκοσταῖα, ἢ τεσσαρακονθήμερα, ἢ ἐντὸς τούτων τῶν χρόνων. τὰ τοιαῦτα γὰρ διαχωρήματα, καὶ ὑπάρχοντα πρόσθεν ἐν τοῖσι σώμασι, νοσήματα ὑγιάζει. τὰ μὲν παλαιότερα, ἢν πλείονι χρόνῳ· τὰ δὲ νεώτερα, δύναται καὶ ἐν ὀλίγῃσιν ἡμέρῃσιν ἀπαλλάσσειν. ἐπεὶ καὶ ἐν γαστρὶ ἔχουσαι καὶ αὗται περιγίνονται, μᾶλλον ἔς τοὺς τόκους τε καὶ ἐκ τῶν τόκων, καὶ τὰ ἔμβρυα διασώζουσιν, αἵματός τε καὶ ξύσματος διαχωρεόντων, καὶ πολλοὺς μῆνας, ἢν μή τις ὀδύνη αὐτῇσι προσῇ, ἢ ἄλλο τι τῶν πονηρῶν ὧν ἔγραψα σημείων εἶναι ἐν τῇσι δυσεντερίῃσιν, ἐπιγένοιτο. εἰ δέ τι κείνων ἐπιφαίνοιτο, τῷ τε ἐμβρύῳ ὄλεθρον σημαίνει,

καὶ τῇ ἐχούσῃ κίνδυνον, ἢν μὴ μετὰ τοῦ ἐμβρύου τὴν ἀπόφυξιν, καὶ τοῦ ὑστέρου τὴν ἀπόλυσιν, ἡ δυσεντερίη παύσηται αὐθημερὸν, ἢ μετ' ὀλίγον χρόνον. αἱ δὲ λειεντερίαι, ξυνεχέες μὲν καὶ πολυχρόνιοι, καὶ πᾶσαν ὥρην ξὺν ψόφοισί τε καὶ ἄνευ ψόφων ἐκταρασσόμεναι. καὶ ὁμοίως νυκτός τε καὶ ἡμέρης ἐπικείμεναι, καὶ τοῦ διαχωρήματος ὑπιόντος, ἢ ὠμοῦ ἰσχυρῶς, ἢ μέλανός τε καὶ λείου, καὶ δυσώδεος. αὗται μὲν πᾶσαι πονηραί. καὶ γὰρ δίψαν παρέχουσι, καὶ τὸ ποτὸν οὐκ ἐς τὴν κύστιν τρέπουσιν, ὥστε διουρέεσθαι. καὶ τὸ στόμα ἐξελκοῦσι, καὶ ἔρευθος ἐξηρμένον, ἐπὶ τῷ προσώπῳ ποιέουσι· καὶ ἐφηλίδας παντοῖα χρώματα ἐχούσας· ἅμα δὲ καὶ τὰς γαστέρας ἀποξόμους τε καὶ ῥυπαρὰς ἀποδεικνύουσι, καὶ ῥυτιδώδεας. ἐκ δὲ τῶν τοιούτων, ἐσθίειν τε ἀδύνατοι γίνονται οἱ ἄνθρωποι, καὶ τῇσι περιόδοισι χρῆσθαι, καὶ τἄλλα τὰ προσαγόμενα ποιέειν. τὸ δὲ νούσημα τοῦτο δεινότατον μὲν τοῖσι πρεσβυτέροισιν. ἰσχυρὸν δὲ γίνεται, καὶ τοῖσιν ἀνδράσιν, τῇσι δὲ ἄλλῃσιν ἡλικίῃσι, πολλῷ ἧσσον. ὅς τις δὲ μήτε ἐν τῇσιν ἡλικίῃσίν ἐστι ταύτῃσιν ἧσι φημὶ, ὑπὸ τοῦ νοσήματος τούτου κακῶς περιέπεσθαι, ἐλάχιστά τε τῶν σημείων ἔχει τῶν πονηρῶν ἃ ἔγραψα εἶναι, ἀσφαλέστατα διάκειται οὗτος. θεραπείης δὲ προσδεῖται ἡ νοῦσος αὕτη, ἔστ' ἂν τό τε οὖρον χωρέηται τοῦ πινομένου κατὰ λόγον, καὶ τὸ σῶμα τῶν σιτίων εἰσιόντων αὔξηται, καὶ τῶν χροιῶν τῶν πονηρῶν ἀπαλλαχθῇ. αἱ δὲ ἄλλαι διάῤῥοιαι ὅσαι ἄνευ πυρετῶν, καὶ ὀλιγοχρόνιοί τε καὶ εὐήθεες. ἢ γὰρ κατολμιφθεῖσαι πεπαύσονται, ἢ ἀπὸ τοῦ αὐτομάτου. προσαγορεύειν δὲ χρὴ παύσεσθαι τὴν ὑπέξοδον, ὅταν τῇ τε χειρὶ ψαύοντι τῆς γαστρὸς, μηδεμία κίνησις ὑπῇ, καὶ φῦσα διέλθοι ἐπὶ τελευτῇ τοῦ διαχωρήματος. ἕδραι δὲ ἐκτρέπονται, ἀνδράσι μὲν, οἷς ἂν διάῤῥοια λάβῃ ἔχοντας αἱμοῤῥοΐδας. παιδίοισι δὲ λιθιῶσί τε καὶ ἐν τῇσι δυσεντερίῃσι τῇσι μακρῇσί τε, καὶ ἀκρήτοισι. πρεσβυτάτοισι δὲ, οἷς ἂν προσπήγματα μύξης ἐνῇ.

A & prægnanti periculum, si non post fœtus effugium, & secundæ exolutionem, ipsa dysenteria eadem die, aut post modicum tempus desinat. At lienteriæ quidem continuæ, & diuturnæ, & per omnem horam, & cum strepitibus, & sine strepitibus exturbantur, & similiter noctu, ac interdiu incumbentes, & deiectione subeunte aut valde cruda, aut nigra, & laui, ac graueolente; hæ omnes malæ sunt, nam & sitim inducunt, & potum non ad vesicam promouent, vt per vrinam eiiciatur, B & os exulcerant, & ruborem eleuatum in facie efficiunt, & maculas solares varios colores habentes. Simul autem & ventres emollitos, & sordidos, ac rugosos reddunt. Ex talibus autem homines impotentes fiunt ad cibum capiendum, ad deambulandum, ad faciendum alia, quæ facere debent. Estque morbus hic grauissimus senioribus. Vehemens est etiam viris. Reliquis autem ætatibus multo minor. Quisquis autem neque in ætatibus his est, quas malè tractari ab hoc morbo dixi, & pau- C cissima ex signis habet, quæ mala esse scripsi; hic securissimè dispositus est. Indiget autem curatione hic morbus; donec & vrina pro ratione eius quod in potu acceptum est, procedat, & corpus ab ingestis cibis augmentum capiat, & à malis coloribus liberatum fuerit. At verò alia alui profluuia, quæ sine febre sunt, & breui tempore durant, & mitia existunt, aut enim eluta sedabuntur, aut sua sponte. Prædicere autem oportet excretionem subtus erumpentem desituram esse, quum tangenti ven- D trem manu nullus motus occurrerit, & in fine deiectionis flatus penetrarit. Sedes autem euertuntur, ac procidunt, viris quidem, quos vbi hæmorrhoidas habent, alui profluuium corripit, pueris autem calculo laborantibus, & in dysenteriis longis, ac meracis; senibus verò, quibus muci agglutinati insunt.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Περὶ γυναικῶν τῶν μᾶλλόν τε καὶ ἧσσον ἐν γαστρὶ λαμβανουσῶν· περὶ τῶν συλλήψιος αἰτίων, καὶ κωλυμάτων· καὶ περὶ συλλήψιος τοῦ ἄρρενός τε, ἢ θήλεος, καὶ σημείων τῶν ἐν γαστρὶ ἔχειν δοκουσῶν καίτοι οὐκ ἐχουσῶν.

Τῶν δὲ γυναικῶν ὅσαι μᾶλλον καὶ ἧσσον ἐν γαστρὶ λαμβάνειν πεφύκασιν ὧδε ὑποσκέπτεσθαι, πρῶτον μὲν τὰ εἴδεα. σμικραί τε γὰρ μειζόνων ἀμείνονες ξυλλαμβάνειν, λεπταὶ παχειῶν, λευκαὶ ἐρυθρῶν, μέλαιναι πελιδνῶν. φλέβας ὅσαι ἐμφανέας ἔχουσιν, ἀμείνονες, ἢ ὅσῃσι μὴ καταφαίνονται. σάρκα δὲ ἐπιθρεπτὸν ἔχειν πρεσβυτικῇ πονηρόν. μαζοὺς δὲ ὀγκηρούς τε καὶ μεγάλους, ἀγαθόν. ταῦτα μὲν πρὸς τῇ ὄψει δῆλά ἐστι. πυνθάνεσθαι χρὴ καὶ περὶ τῶν καταμηνίων, ἢν πάντας φαίνονται. καὶ ἢν πλῆθος ἱκανόν. καὶ ἢν εὔχροα τε καὶ ἴσα ἐν ἑκάστοισι τῶν χρόνων, καὶ ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τῶν μηνῶν.

CAPVT XIV.

E De mulieribus quæ liberalius aut parciùs concipiunt, de conceptionis causis, ac obstaculis; ac de maris aut fœminæ conceptione, ac falsæ conceptionis signis prædictiones.

Verũ ex mulierib. quæ magis, aut minus in vtero cõcipere solẽt, ita consideratione facere cõuenit, primũ quidẽ specierũ: paruæ enim ad conceptionẽ præstãtiores sunt maioribus, tenues crassis, albæ rubicũdis, nigræ liuidis. Quæ item venas conspicuas habẽt, meliores sunt quã quibus non apparent. Carnem autem vberiorẽ F habere, aniculæ malum est; mammas autem tumidas, ac magnas, bonum. Atque hæc quidem ad visum exposita sunt. Verùm interrogare oportet etiam de menstruis purgationibus, an omnibus mensibus compareant, & an copia satis magna, & an boni coloris sint, & æquales in singulis temporibus, & in iisdem mensium diebus;

sic enim has fieri optimum est. Locum verò, in quo conceptio fit, quem sanè vterum nominamus, sanum esse oportet, & siccum, ac mollem. Sit item neque retractus, neque pronus, neque os ipsius sit auersum, neque conclusum, neque euersum; fieri enim non potest, vt conceptio fiat, quodcunque tandem talium impedimentorum affuerit. Quæcunque igitur mulieres in vtero concipere non possunt, verùm pallidæ apparent, neque febre, neque visceribus in causa existentibus, hæ capite se dolere dicent, & menses sibi malè, ac meracos prodire. Siue autem breui, siue longo tempore, ipsis sic affectis menses non comparuerint: vteri in his purgatione opus habent. Quæcunque verò bene coloratæ sunt, & carnem multam, ac pinguem habent, & venulas occultatas, & dolore carent, & menses his aut omnino non apparent, aut modici, & meraci prodeunt, hic modus difficillimus est ad cogendum, vt concipiant. Si verò mensibus comparentibus inculpatè, & mulier sic corpore disposita fuerit, & non conceperit, locus, in quo est vterus, in causa est, vt fœcunda fœtu fieri non possit; aut enim reuulsus est, aut euersus; nam & alia, quæ istic fiunt, cum doloribus, decolorationéque, ac colliquatione fiunt. Quibus porrò vlcus factum fuerit in vtero, siue ex partu, siue ex tuberculo, siue ex alia quadam causa, his febres, & inguinum tumores succedere necesse est, & dolores in his locis. Si verò & puerperij purgamenta simul fuerint intercepta, hæc mala si fuerint, omnino meraciora sunt, & diuturniora. Et ad hæc præcordiorum, ac capitis dolores. Vlcere autem facto, & sanato, locum hunc leuiorem, ac duriorem fieri necesse est, & minus concipere posse. Si verò solum in sinistra parte fiat vlcus, & mulier in vtero concipiat, siue dum adhuc habet vlcus, siue vbi iam sana est, masculum magis enixuram esse spes est. Si verò in dextra parte vlcus fiat, & mulier concipiat, fœmineum magis fore fœtum expectandum est. At si febres corripiant concipere non potentem, & attenuata sit muliercula, interrogare oportet, an vteri vlcus aliquod habeant, aut aliud quippiam ex malis, de quibus scripsi; si enim in hoc loco nihil mali subesse apparuerit, quod causa sit attenuationis, & quod concipere non possit, sanguinem vomituram esse mulierem expectandum est, menses autem tali necessariò euanuerunt. Si verò febris soluta fuerit à sanguinis eruptione, & menses comparuerint, in vtero concipiet. Si verò priusquam sanguis erumpat, alui excrementa liquida facta fuerint prauo modo, periculum est perituram esse mulierem antea, quàm sanguinem vomat. Quæcunque in vtero se concepisse putant, & non conceperunt; & per multos menses falluntur, menstruis purgationibus non apparentibus, & ventres augeri, ac moueri vident, hæ & caput dolent, & collum, & præcordia, & in mammis lac ipsis non

οὕτω γὰρ ταῦτα γίνεσθαι ἄριστον. τὸ δὲ χωρίον ἐν ᾧ ἡ σύλληψις ἐστιν, ὃ δὴ μήτρην ὀνομάζομεν, ὑγιές τε χρὴ εἶναι, καὶ ξηρὸν, καὶ μαλθακὸν, καὶ μήτ' ἀνεσπασμένον ἔστω, μήτε προπετὲς, μήτε τὸ στόμα αὐτοῦ ἀπεστράφθω, μήτε ξυμμεμυκέτω, μήτ' ἐκπεπλήχθω. ἀμήχανον γὰρ ὅ,τι ἂν ᾖ τῶν τοιούτων κωλυμάτων σύλληψιν γενέσθαι. ὁκόσαι μὲν οὖν τῶν γυναικῶν, μὴ δύνανται ἐν γαστρὶ λαμβάνειν, φαίνονται δὲ χλωραὶ, μήτε πυρετοῦ, μήτε τῶν σπλάγχνων αἰτίων ἐόντων, αὗται φήσουσι κεφαλὴν ἀλγέειν, καὶ τὰ καταμήνια πονηρῶς τε σφίσι καὶ ἀκρήτως γίνεσθαι. καὶ ὀλίγως δὲ καὶ πολὺν χρόνον ἐν τῇσιν οὕτω διακειμένῃσιν ἀφανέα ᾖ, αἱ μῆτραι καθάρσιος ταύτῃσι προσχρήζουσιν. ὁκόσαι τε εὔχροοί τέ εἰσι, καὶ σάρκα πολλήν τε καὶ πιηρὰν ἔχουσι, καὶ φλέβια κεκρυμμένα, ἀνώδυνοί τε εἰσι, καὶ τὰ καταμήνια ταύτῃσιν, ἢ παντάπασιν οὐ φαίνεται, ἢ ὀλίγα τε καὶ ἀκρήτως γίνεται· τῶν τρόπων τοῦτο ἐν τοῖσι χαλεπωτάτοισίν ἐστι καταναγκάσαι, ὡς ἐν γαστρὶ λαμβάνειν. ἢν δὲ ἐπιφαινομένων τῶν καταμηνίων ἀπροφασίστως, τό τε σῶμα ὧδε διάκειται ἡ γυνὴ, κἂν μὴ συλλαμβάνῃ, τὸ χωρίον ἐν ᾧ ἡ μήτρη αἴτιον, ὥστε μὴ δύνασθαι γίνεσθαι ἔκγονα. ἢ γὰρ ἀνεσπασμένον ἐστὶν, ἢ ἐκπεπληγμένον. τὰ γὰρ ἄλλα καταγινόμενα ἐνταῦθα ξὺν ὀδύνῃσί τε γίγνεται, καὶ ἀχροίῃσί τε καὶ τήξει. ἢν δὲ αὖ ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν, εἴτε ἐκ τόκου, εἴτε ἐκ φύματος, εἴτε ἐξ ἄλλης τινὸς προφάσιος, πυρετούς τε καὶ βουβῶνας ταύτῃσιν ἀνάγκη ἐπιγίνεσθαι, καὶ ὀδύνας ἐν τοῖσι χωρίοισι τούτοισιν. εἰ δὲ καὶ τὰ λοχεῖα συναπολειφθείη, ταῦτα ὑπάρχοντα κακὰ πολύ τι ἀκρητότερά τε καὶ χρονιώτερα· καὶ πρὸς τούτοισιν ὑποχονδρίων τε, καὶ κεφαλῆς ὀδύναι. ἕλκεος δὲ γινομένου, καὶ ἐξυγιασθέντος, τὸ χωρίον τοῦτο ἀνάγκη λειότερον καὶ σκληρότερον γίνεσθαι, καὶ ἧσσον δύνασθαι ἐν γαστρὶ λαμβάνειν. εἰ δὲ μοῦνον ἐν τοῖσιν ἐπ' ἀριστερὰ γένοιτο ἕλκος, ἡ δὲ γυνὴ ἐν γαστρὶ λάβοι, εἴτε τὸ ἕλκος ἔτι ἔχουσα, εἴτε λοιπὸν ἤδη ὑγιὴς ἐοῦσα, ἄρσεν μᾶλλον τεκεῖν αὐτὴν ἐλπίς ἐστιν. εἰ δὲ ἐν τοῖσιν ἐπὶ δεξιὰ τὸ ἕλκος γένοιτο, ἡ δὲ γυνὴ ἐν γαστρὶ ἔχοι, θῆλυ μᾶλλον τὸ ἔκγονον χρὴ δοκέειν ἔσεσθαι. ἢν δὲ πυρετοὶ γένωνται, οὐ δυναμένῃ ἐν γαστρὶ λαβεῖν, καὶ λεπτῆς βιῆς ἐχούσης, πυνθάνεσθαι χρὴ, μή τι αἱ μῆτραι ἕλκος ἔχουσιν, ἢ ἄλλο τι τῶν πονηρῶν ὧν ἔγραψα. εἰ γὰρ ἐν τῷ χωρίῳ τούτῳ μηδὲν ὑπεὸν κακὸν, φαίνοιτο αἴτιον τῆς λεπτύνσιός τε καὶ τοῦ μὴ συλλαμβάνειν δύνασθαι, αἷμα ἐμέσαι τὴν γυναῖκα προσδόκιμον. τὰ δὲ καταμήνια τῇ τοιαύτῃ ἠφανίσθαι ἀνάγκη. ἢν δὲ ὁ πυρετὸς λυθῇ ὑπὸ τῆς ῥήξιος τοῦ αἵματος, καὶ τά τε καταμήνια φανῇ, ἐν γαστρὶ λήψεται. ἢν δὲ τὰ τῆς γαστρὸς πρὶν, ἢ τὸ αἷμα ἀναρραγῆναι, ὑγρὰ γένηται πονηρὸν τρόπον, κίνδυνος ἀπολέσθαι τὴν γυναῖκα ἔμπροσθεν, ἢ τὸ αἷμα ἐμέσαι. ὁκόσαι δὲ ἐν γαστρὶ δοκέουσιν ἔχειν, οὐκ ἔχουσαι, καὶ πολλοὺς μῆνας ἐξαπατῶνται τῶν καταμηνίων οὐ φαινομένων, καὶ τὰς γαστέρας ὁρῶσιν αὐξανομένας τε καὶ κινεομένας, αὗται κεφαλήν τε ἀλγέουσι, καὶ τράχηλον, καὶ ὑποχόνδρια, καὶ ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ

ἐγγίνεται σφίσιν, εἰ μὴ ὀλίγον τι καὶ ὑδαρές. ἐπὴν δὲ τὸ κύρτωμα τὸ τῆς γαστρὸς ἀπολυθῇ, καὶ λαπαραὶ γένωνται, αὗται ἐν γαστρὶ λήψονται, ἢν μή τι ἄλλο κώλυμα γένηται σφίσιν, ἐπεὶ τὸ πάθος γε τοῦτο ἀγαθόν ἐστι, μεταβολὴν ποιῆσαι ἐν τῇ ὑστέρῃ, ὥστε μετὰ τοῦτον τὸν χρόνον ἐν γαστρὶ λαμβάνειν. τῇσι δ᾽ ἐχούσῃσιν ἐν γαστρὶ τὰ ἀλγήματα ταῦτα οὐ γίνεται ἢν μὴ ξυνήθεα ἔωσι ταύτῃσιν αἱ κεφαλαλγίαι, καὶ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται. τὰς δὲ ὑπὸ τοῦ ῥόου τῶν πολυχρονίων ἐχομένας ἐρωτᾶν, εἰ κεφαλὴν ἀλγέουσι, καὶ ὀσφὺν, καὶ τὸ κάτω τῆς γαστρός. ἔρεσθαι δὲ καὶ περὶ αἱμωδίας, καὶ ἀμβλυωσμοῦ, καὶ ἤχων. ὁκόσαι δὲ νήστιες ἐοῦσαι, ὑπόχολα ἐμέουσι πολλὰς ἡμέρας, μήτε ἐν γαστρὶ ἔχουσαι, μήτε πυρεταίνουσαι, πυνθάνεσθαι ἕλμινθας στρογγύλας εἰ ξυμμέουσιν. ἢν γὰρ μὴ ὁμολογέουσι, προλέγειν αὐτῇσι τοῦτο ἔσεσθαι. γίνεται δὲ μάλιστα μὲν, τῇσι γυναιξὶ τὸ νόσημα τοῦτο. ἔπειτα δὲ καὶ παρθένοις. τοῖσι δ᾽ ἄλλοισιν ἀνθρώποισιν ἧσσον.

est, nisi modicum quiddam; atque id aquosum. Postquam verò ventris tumiditas exoluta fuerit, ac molles factæ fuerint, in vtero concipient, si non aliud quoddam impedimentum ipsis fiat, nam hæc affectio bona est ad mutationem in vtero faciendam, vt post hoc tempus in vtero concipiant. At his, quæ conceperunt, dolores hi non fiunt, nisi familiares his fuerint capitis dolores, & lac mãmis gignitur. At verò eas, quæ à diuturnis muliebribus fluoribus vexantur, interrogare oportet, an caput doleant, & lumbos, & infernam ventris partẽ. Interrogandæ sunt etiam de dẽtium stupore, & visus hebetudine, & aurium sonitu. Quæcunque autem dũ ieiunæ sunt, subbiliosa vomũt per multos dies, quum neque vterũ gestẽt, neq; febricitẽt, eas interrogare oportet, an lũbricos rotundos simul vomant; si enim hoc non cõfitentur, prædicendũ est ipsis futurum esse. Fit autem hic morbus maximè quidem mulieribus; deinde verò etiam virginibus, aliis autem hominibus minùs.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'.

Περὶ διαφόρων τῶν ἄνευ πυρετοῦ ὀδυνῶν· περὶ κορυζῶν, ναρκῶν, κνιδώσεων, καὶ τῶν σὺν ὀδύναις σκοτοδίνων προῤῥήσεις.

Ὅσαις δὲ ἄνευ πυρετῶν ὀδύναι γίνονται, θανάσιμοι μὲν οὐκ ἐξεργάζονται· πολυχρόνιοι δὲ αἱ πλείους εἰσί, καὶ πολλὰς μεταστάσιας ἔχουσι, καὶ ὑποστροφάς. οἱ δὲ τρόποι πρῶτον μὲν, τῶν περὶ τὴν κεφαλὴν ἀλγημάτων, τὰ μὲν εὐήθεα, τὰ δὲ χαλεπώτερα πολλῷ. χρὴ δὲ ὑποσκέπτεσθαι ἑκάτερα αὐτῶν, ὧδε. ὁκόσοι δὲ αὐτῶν ἀμβλυώσσουσι καὶ ἔρευθός τι ἔχουσιν, ἐπὶ τῶν ὀφθαλμῶν αὐτοῖσι γίνεται καὶ κνησμὸς ἔχει τὸ μέτωπον, τούτοισιν ἀρήγει αἷμα ῥυὲν ἀπὸ τοῦ αὐτομάτου, καὶ ἐξ ἀνάγκης. ἁπλοῦς ἐστιν ὁ τρόπος. οἷσι δὲ ὀδύναι περὶ τὴν κεφαλὴν, καὶ τὸ μέτωπον, ἔκ τε τῶν ἀνέμων τῶν μεγάλων γίνονται, καὶ ἐκ τῶν ψυχέων ὅταν θαλφθῶσιν ἰσχυρῶς, τούτοις δὲ κόρυζαι μὲν τελείως μάλιστα ἀπαλλάσσουσιν, ὠφελέουσί τε καὶ πταρμοὶ, καὶ βλένναι ἐν τῇσι ῥισὶ γινόμεναι, μᾶλλον μὲν ἀπὸ τοῦ αὐτομάτου· εἰ δὲ μὴ, ἐξ ἀνάγκης. κόρυζαι γίνονται τελέως, ὥστε καὶ βῆχας ἐπιγίνεσθαι. οἵ τε πταρμοὶ ἐπιγινόμενοι, τὰς ὀδύνας ἢν μὴ παύωσι, φύματα ἀνάγκη ἐπιγίνεσθαι καὶ ἀχροίας τούτοισιν. ὁκόσοισι δὲ ὀδύναι ἄνευ προφασίων τε γίνονται, καὶ πολυχρόνιοι, καὶ ἐν πάσῃ τῇ κεφαλῇ ἰσχνοῖσί τε ἐοῦσι καὶ ἀμβλυώσσουσι, προσέρχεσθαι τούτοισιν τὸ νόσημα, πολλῷ χαλεπώτερον τοῦ πρόσθεν. ἢν δὲ καὶ ἐς τὸν τράχηλόν τε, καὶ ἐς τὸν νῶτον ἡ ὀδύνη καταβαίνῃ τὴν κεφαλὴν ἀπολιποῦσα, καὶ αὖθις πάλιν, παλινδρομέει εἰς τὴν κεφαλὴν, καὶ ἔτι χαλεπώτερον γίνεται. τούτων δὲ πάντων δεινότατον, εἰ ξυντείνοι ἐκ τῆς κεφαλῆς ἐς τὸν τράχηλόν τε καὶ τὸν νῶτον. τὰς δὲ ὠφελείας τουτέοισι προσδέχεσθαι ἐξ ἀποστασίων ἔσεσθαι, ἢ πῦον βήξασιν, ἢ αἱμοῤῥοΐδας ἔχουσιν, ἢ ἐξανθήματα ἐν τοῖς σώμασι. λυσιτελέει δὲ καὶ πιτυρωθεῖσα ἡ κεφαλή. νάρκαι καὶ κνιδώσιες οἷσι διὰ τῆς κεφαλῆς διαΐσσουσι, τότε μὲν διὰ πάσης, τότε δὲ διὰ

CAPVT XV.

De variis citra febrem doloribus; de grauedinibus, torporibus; pruriginibus; ac doloribus cum vertiginibus, prædictiones.

Qvibuscunque verò sine febribus dolores fiunt, mortem quidem non inducunt, verùm plerique diuturni sunt, & multas mutationes, ac recidiuas habent. Modi autem hi sunt. Primùm quidem ex capitis doloribus aliqui sunt leues, aliqui multo grauiores. Vtrosque verò hoc modo considerare oportet. Quicunque hebetem visum habent, & rubor quidam ipsis fit in oculis, & pruritus frontem vexat; his sanguis sua sponte manans opitulatur. Atque hic modus necessario simplex est. Quibus verò dolores circa caput, & frontem ex magnis ventis fiunt, & ex frigoribus quum vehementer calefacti fuerint; eos grauedines quidem maximè perfectè liberant; prosunt autem & sternutationes, & muci in naribus oborti, magis quidem sua sponte; sin minus; coactè. Grauedines autem fiunt perfectè, adeo vt & tusses succedant: & sternutationes succedentes si dolores non sedauerint; necesse est tubercula, & decolorationes his succedere. Quibus autem dolores sine manifestis causis fiunt, & diuturni, & in toto capite, súntque ipsi & graciles, & debiles; his prædicendum est morbum longè grauiorem priore esse. Si verò etiam ad collum, & ad dorsum dolor descendat, caput relinquens, & rursus ad caput recurrat; adhuc grauior fit. Verùm omnium horum grauißimus est, si ex capite ad collum, ac dorsum tendat. Vtilitates autem his ex abscessibus fore expectandum est; aut vbi pus per tußim reiecerint, aut hæmorrhoidas habent, aut pustulas in corporibus enatas. Confert etiam caput furfures habens. Torpores, & puncturæ pruriginosæ velut ab vrtica, quibus per caput discurrunt, aliquando per totum, aliquando per

aliquam partem; sæpe verò & frigiditas aliqua ab ipsis sentiri putatur, velut per caput discurrere, hos interrogare oportet, an etiam ad summam linguam punctura illa procedat: si enim hoc fecerit, perfectus morbus fit, & qui difficiliùs submoueri possit. Verùm absque hoc facilis est. Modi verò vtilitatum consequendarum ex abscessibus contingent, veluti antea scriptum est. Sed tamen abscessus minùs in his succedunt, quàm in illis. Quoscunque verò vnà cum doloribus vertigines corripiunt, malum ægrè exolubile, ac furiosum existit. Senibus autem maximè hic modus fit. At alij morbi circa caput, & viris, & mulieribus, cum securitate vehementissimi sunt, & diuturniores: fiunt autẽ & adolescentibus, & virginibus, in ea pubertatis ætate, & maximè circa mensium progressum. Mulieribus verò in capitis doloribus, alia quidem omnia fiunt, quæ & viris. Verùm puncturæ illæ pruriginosæ, & affectiones atrabiliariæ his minùs, quàm viris; si non menses penitus aboliti fuerint.

μέρεος τινός, πολλάκις δὲ καὶ ψυχρόν τι δοκέει αὐτοῖσιν, εἰ διαχωρέει διὰ τῆς κεφαλῆς, τούτους ἐπερωτέεσθαι, εἰ καὶ ἐς τὴν γλῶσσαν ἄκρην ἀφικνέεται ἡ κνίδωσις. εἰ γὰρ τοῦτο ποιέοι, τέλεον τὸ νούσημα γίνεται, καὶ χαλεπώτερον ἀπαλλάξαι. εὐπετὲς δὲ αὐτοῦ τούτου. οἱ δὲ τρόποι τῆς ὠφελείας ἐκ ἀποστασίων οἷς περ προγέγραπται. ἧσσον μὲν τοι ἐπιγίνονται ἀποστάσιες ἐπὶ τούτοισιν, ἢ ἐκείνοισιν. ὁκόσους δὲ ξὺν τῇσιν ὀδυνῇσιν σκοτόδινοι λαμβάνουσι, δυσαπάλλακτον καὶ μανικόν. γέρουσι δὲ ὁ τρόπος οὗτος μάλιστα γίνεται. αἱ δὲ ἄλλαι νοῦσοι, αἱ ἀμφὶ κεφαλὰς ἀνδράσι τε καὶ γυναιξὶν, ἀσφαλῶς ἰσχυρόταται καὶ πολυχρονιώτεραι. γίνονται δὲ καὶ νεανίσκοισί τε, καὶ παρθένοισι τῇσιν ἐν ἡλικίῃ, καὶ μάλιστα τὴν καταμηνίων ἐς τὴν πρόοδον. τῇσι δὲ γυναιξὶν, ἐν τῇσι κεφαλαλγίῃσι, τὰ μὲν ἄλλα πάντα γίνεται, ἃ καὶ τοῖσιν ἀνδράσιν. αἱ κνιδώσιες δὲ καὶ τὰ μελαγχολικὰ, ταύτῃσιν ἧσσον, ἢ τοῖσιν ἀνδράσιν, ἢν μὴ τὰ καταμήνια τελέως ἠφανισμένα ᾖ.

CAPVT XVI.

De prauis iuuenum coloribus, cum virore pallidis; de nyctalopibus, & lienosis, prædictiones.

QVibus iuuenibus colores praui sunt ad multum tempus, & continenter, non tamen morbi regij modo; hi siue viri sint, siue fœminæ, caput dolent, & lapides ac terram comedunt, & hæmorrhoidas habent. Pallidi verò cum virore colores, qui diuturni sunt, & morbus regius vehemens non est, alia quidem eadem facere solent; verùm pro lapidum, ac terræ esu, præcordia hos magis affligunt quàm alteros. Quicunque verò multo tempore pallidi apparent, & facies in tumorem eleuatas habent, eos caput dolere sciendum est, aut circa viscera dolorem habere, aut in sede malum aliquod in seipsis. Ex his autem apparentibus, plerisque non vnum aliquod horum malorum apparet; sed plerunque multa, aut etiam omnia. Qui nocte vident, quos sanè nyctalopas vocamus, hi morbo corripiuntur iuuenes, aut pueri, aut etiam adolescentes, & liberantur sua sponte, aliqui in quadraginta diebus, aliqui septimo mense; quibusdam verò & per totum annum permansit. Quapropter de tempore coniectare oportet, ita vt & ad morbi robur, & ad ægri ætatem respicias. Abscessus autem his prosunt insuper apparentes, & ad infernas partes fluentes. Verùm non valde accedunt, propter iuuentutem. At mulieres non corripiuntur ab hoc morbo, neque virgines, quibus menses cõparent. Quibus autem lachrymarum fluxiones diuturnæ fuerint, & hi nyctalopes fiunt, eos interrogare oportet, an caput doluerint, antea quàm hæc reuelarunt. Quicunque dum neque febricitant, neque decolores sunt, sæpe & verticem, & tempora dolent, si non alium manifestum habuerint abscessum in facie, aut grauiter loquantur, aut dentes doleant; his sanguinem per nares erupturum esse expectandum est.

ΚΕΦΑΛΑΙΟΝ Ις.

Περὶ τῶν ἐν τοῖς νέοις πονηρῶν χρωμάτων χλωρῶν· περὶ νυκταλώπων τε καὶ σπληνωδῶν προῤῥήσεις.

Οἷσι δὲ τὰ χρώματα νέοις ἐοῦσι πονηρά ἐστι πολὺν χρόνον, ξυνεχέως δὲ μὴ ἰκτεριώδεα τρόπον, οὗτοι καὶ τῶν ἀνδρῶν, καὶ τῶν γυναικῶν, κεφαλὴν ἀλγέουσι, καὶ λίθους τε, καὶ γῆν τρώγουσι, καὶ αἱμοῤῥοΐδας ἔχουσι. τὰ δὲ χλωρὰ χρώματα ὅσα χρόνιά εἰσι, καὶ μὴ ἰσχυρῶς ἰκτερώδεά εἰσι, τὰ μὲν ἄλλα τὰ αὐτὰ ποιέειν αὐτοῖσιν ξυμβαίνει. ἀντὶ δὲ τῶν λίθων τούτους, καὶ τῆς γῆς τρώξιος τὰ ὑποχόνδρια λυπέει μᾶλλον, ἢ τοὺς ἑτέρους. ὁκόσοι δὲ πολὺν χρόνον ὠχροὶ φαίνονται, καὶ τὰ πρόσωπα ἐπηρμένα ἔχοντες, εἰδέναι χρὴ τούτους τὴν κεφαλὴν ὀδυνωμένους, ἢ περὶ τὰ σπλάγχνα ἀλγήματα ἔχοντας, ἢ ἐν τῇ ἕδρῃ κακόν τι ἐν ἑωυτοῖσι. τοῖσι δὲ πλείστοισι τῶν τοιούτων φαινομένων, οὐχ ἕν τι τούτων τῶν κακῶν φαίνεται, ἀλλ' ἔστιν ὅτε πολλὰ, ἢ καὶ πάντα. οἳ δὲ τῆς νυκτὸς ὁρῶντες, οὓς δὴ νυκτάλωπας καλέομεν, οὗτοι ἁλίσκονται ὑπὸ τοῦ νοσήματος νέοι, ἢ παῖδες, ἢ καὶ νεανίσκοι. καὶ ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου. οἱ μὲν, τεσσαρακονθήμεροι· οἱ δὲ, ἑπτάμηνοι· τισὶ δὲ καὶ ἐνιαυτὸν ὅλον παρέμεινε. σημαίνεσθαι χρὴ περὶ τοῦ χρόνου, ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντα, ἔς τε τὴν ἡλικίην τοῦ νοσέοντος. αἱ δὲ ἀποστάσιες, ὠφελέουσι μὲν τούτους ἐπιφαινόμεναί τε, καὶ ἐς τὰ κάτω ῥέουσαι. ἐπιγίνονται δὲ οὐ κάρτα, διὰ τὴν νεότητα. αἱ δὲ γυναῖκες οὐχ ἁλίσκονται ὑπὸ τοῦ νοσήματος τούτου οὐδὲ παρθένοι ᾗσι τὰ ἐπιμήνια φαίνονται. οἷσι δὲ ῥεύματα δακρύων πολυχρόνια ᾖ, νυκτάλωπες γίνονται, τούτους ἐπανερωτᾷν, ἢν τὴν κεφαλὴν τι προηλγηκότες ἔωσι, πρὸ τῶν ἀποκρυσμάτων τουτέων. ὁκόσοι μήτε πυρετήναντες, μήτε ἄχροιοι ἐόντες, ἀλγέουσι πολλάκις τήν τε κορυφὴν καὶ τοὺς κροτάφους. ἢν μὴ τὴν ἄλλην φανερὴν ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ, ἢ βαρὺ φθέγγωνται, ἢ ὀδόντας ἀλγέωσι, τούτοισιν αἱμοῤῥαγίην διὰ τῶν ῥινῶν προσδέχεσθαι.

οἷσι δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, δοκέουσιν οἷοι ὑγιαίνειν τἆλλα. τούτοις δὲ, ἢ σπλῆνα εὑρήσεις ἐπηρμένον ἔχοντας, ἢ τὴν κεφαλὴν ἀλγέοντάς τε καὶ μαρμαρυγῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαινόμενον σφίσι. τοῖσι δὲ πλείστοισι τῶν τοιούτων ἅμα, καὶ τὰ ἀπὸ τῆς κεφαλῆς οὕτως ἔχοντα φαίνεται, καὶ τὰ ἀπὸ τοῦ σπληνός. οὖλα δὲ πονηρὰ καὶ στόματα δυσώδεα, οἷσι σπλῆνες μεγάλοι. ὁκόσοι δὲ ἔχουσι σπλῆνας μεγάλους, μήτε αἱμοῤῥαγίαι γίνονται, μήτε στόμα δυσῶδες, τουτέων αἱ κνῆμαι ἕλκεα πονηρὰ ἴσχουσι, καὶ οὐλὰς μελαίνας. ἣν δὲ ἄλλην φανερὴν ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ, ἢ βαρὺ φθέγγωνται, ἢ ὀδόντας ἀλγέωσι, τουτέοισιν αἱμοῤῥαγίην διὰ ῥινῶν προσδέχεσθαι. οἷσι δὲ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἐπαίρεται ἰσχυρῶς, τούτους σπλῆνας μεγάλους εὑρήσεις ἔχοντας. εἰ δὲ καὶ ἐν τοῖσι ποσὶν οἰδήματα προσγίνονται, καὶ ὕδωρ φανήσονται ἔχοντες, ἀλλὰ καὶ τὴν γαστέρα, καὶ τὴν ὀσφὺν ἐπικατιδεῖν.

Quibus verò ex naribus sanguis fluit, hi alioqui sani esse videntur, hos autem vel splenem in tumorem eleuatum habere comperies, vel caput dolere, & splendicans quiddam ipsis ob oculos obuersatur. Plerisque verò horum simul & caput, & splen hoc modo se habere apparent. Gingiuæ vitiatæ, & ora graueolentia his, quibus sunt splenes magni. Quicunque verò habent splenes magnos & neque sanguinis eruptiones ipsis contingunt, neque oris graueolentia; horum tibiæ vlcera praua habent, & cicatrices nigras. Si verò vel grauiter loquuntur, vel manifestum alium habeant abscessum in facie, vel dentibus dolent, his sanguinis fluxio ex naribus expectanda. Quibus partes sub oculis vehementer attolluntur; eos magnos habere lienes comperies. Si verò etiam in pedibus tumores accesserint; aquam etiam habere videbuntur. Verùm & ventrem & lumbos inspicere oportet.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

Περὶ τῶν ἐν τοῖσι προσώποισι διαστρεμμάτων, ἢ σπασμοῦ κυνικοῦ, καὶ τῶν ἐν ὤμοις ὀδυνῶν προῤῥήσιος.

Τὰ δὲ ἐν τοῖσι προσώποισι διαστρέμματα ἣν μηδενὶ ἄλλῳ τοῦ σώματος ἐπικοινωνέῃ, ταχέως παύεται, καὶ αὐτόματα καὶ πρὸς ἀνάγκας. οἱ δὲ ἄλλοι ἀπόπληκτοι, οἷσι μὲν τῷ μὴ δύνασθαι κινέειν, λεπτύνεται δὲ νοσηρὸν τοῦ σώματος· οὗτοι ἀδύνατοι εἰς τοῦτο καθίστασθαι. οἷσι δὲ ξυντήξιες μὴ ἐπιγένωνται, οὗτοι δὴ ἔσονται ὑγιέες. περὶ δὲ τοῦ χρόνου ὁπότε ἔσονται, προλέγειν ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντα, καὶ ἐς τὸν χρόνον, καὶ ἐς τὴν ἡλικίην τοῦ ἀνθρώπου, καὶ ἐς τὴν ὥρην, εἰδὼς ὅτι τὰ παλαιότατα τῶν νοσημάτων, καὶ τὰ κάκιστα καὶ κυλινδούμενα, βαρύτατα ὑπακούει, καὶ τὰ ἐν τοῖσι γεραιτάτοισι τῶν σωμάτων. ἔστι δὲ καὶ τὸ φθινόπωρόν τε καὶ ὁ χειμὼν, τοῦ ἦρός τε καὶ τοῦ θέρεος, ἀνεπιτηδειότερος ταῦτα τὰ νοσήματα ἀφιέναι. αἱ δὲ ἐν τοῖσιν ὤμοισι γινόμεναι ὀδύναι, ὁκόσαι μὲν ἐς τὰς χεῖρας ἐπικαταβαίνουσαι, νάρκας τε καὶ ὀδύνας παρέχουσιν, ταύτῃσιν ἀποστάσιες μὲν οὐκ ἐπιγίνονται. ὑγιάζονται δὲ, μέλαινας χολὰς ἐμέοντες. ὁκόσαι δὲ αὐτοῦ μένουσιν ἐν τοῖσιν ὤμοισιν, ἢ καὶ ἐς τὸν νῶτον ἀφικνέονται, ταύτας πῦον ἐμέσαντες, ἐκφυγγάνουσιν, ἢ μέλαιναν χολήν. καταμανθάνειν δὲ περὶ τουτέων ὧδε. ἣν μὲν γὰρ εὔπνοοι ἔωσι καὶ ἰσχνοὶ, μέλαιναν χολὴν αὐτοὺς μᾶλλον ἐλπὶς ἐμέσαι. εἰ δὲ αὖ δυσπνοώτεροι, καὶ ἐπὶ τοῦ προσώπου ἐπιτρέχῃ τι αὐτοῖσι χρῶμα, ὃ πρόσθεν οὐκ ἐπῆλθεν, ὑπέρυθρον, εἴτε μέλαν, τούτους πῦον ἐλπὶς μᾶλλον πτύσειν. σκέπτεσθαι δὲ πρὸς τούτοισι, καὶ εἰ ἐν τοῖσι ποσὶν οἰδήματα ἔνεστι. καὶ γὰρ τοῦτο τὸ σημεῖον, τούτοισιν ὁμολογέον ἐστί. τὸ δὲ νόσημα τοῦτο, τοῖσιν ἀνδράσι προσγίνεται ἰσχυρότατον, τοῖσιν ἀπὸ τεσσαράκοντα ἐτέων, ἐς τὰ ἑξήκοντα. τὴν ἡλικίην δὲ ταύτην μάλιστα ἰσχιάδες βιάζονται.

CAPVT XVII.

De faciei distortionibus seu conuulsione canina, ac de humeri doloribus prædictiones.

At verò distortiones in facie, si nulli alij corporis parti communicent, citò sedantur, aut sua sponte, aut ad necessitatem coactæ; reliqui verò syderati fiunt. Quibus vnà cum hoc quod mouere non possunt, morbosa corporis pars attenuatur, hi in sanitatem restitui non possunt. Quibus autem colliquationes non accesserint, hi sani euadent. Cæterùm de tempore quando sani erunt prædicendum est, respectu habito ad vim morbi, & ad tempus, & ad ætatem hominis, & ad anni tempus, ita vt eius rei memor sis, quod vetustissimi morbi, & pessimi, & qui reuoluuntur, grauissimè obediunt; itémque hi qui sunt in vetustißimis corporibus. Sed & autumnus, & hyems, ad tales morbos submouendos minorem commoditatem exhibent, quàm ver, & æstas. Dolores porrò in humeris oborientes, qui quidem ad manus descendunt, torporesque, ac dolores inducunt, his abscessus non succedunt, verùm nigram bilem vomentes sanantur. Qui verò isthic in humeris manent, aut etiam ad dorsum progrediuntur; eos puris, aut atræ bilis vomitu effugiunt. Verùm de his ita considerationem facere oportet. Si quidem enim facilè spirauerint, ac graciles fuerint; atram bilem ipsos vomituros esse spes est. Si verò difficilius spirauerint, & in faciem ipsis color incurrit, qui priùs non erat, siue rubicundus, siue niger; eos magis pus sputuros esse sperandum est. Ad hæc verò considerandum est etiam, an in pedibus tumores sint: nam & hoc signum in his consentit. Atque hic morbus viris vehementissimus esse solet, à quadragesimo anno vsque ad sexagesimum; qua ætate etiam coxendicum morbus maximè affligit.

A

CAPVT XVIII.

De coxendicum, lumborum, ac crurum morbis prædictiones.

PORRO de coxendicum morbo sic considerationem facere oportet. *Quibuscunque senioribus & torpores vehementißimi sunt, & perfrigerationes tũ lumborũ, tum crurum; & qui pudendum arrigere non possunt: & quibus aluus non egerit, nisi ad neceßitatẽ coacta, & prodit ipsis multus stercoraceus: his maximè diuturnus morbus erit, prædicendumq; est, annũ vt minimum duraturũ esse morbum ab eo tempore, quo incæpit, & opẽ ad ver, & æstatem expectandam esse. At verò iuuenibus non quidẽ minus doloris inducit coxendicum morbus: verũ breuior est; nam quadragesimo die liberantur. Sed neq; torpores vehementes accedunt, neque perfrigerationes crurum, ac lumborum. Quibus autem hic morbus est quidẽ in lumbis, ac cruribus, non autem affligit adeò, vt decũbant; considerare oportet, an alicubi sint collectiones in coxa, & interrogare, an ad inguen dolor progrediatur; si enim ambo hæc habet, diuturnus fit morbus. Interrogandũ insuper est, an in femore torpores insint, & ad poplitẽ progrediantur; & si hoc confiteatur; rursus interrogandũ, an & per tibiam ad summum pedem procedant; quicunque enim pleraq; horum confeßi fuerint, his dicendum est, quod crura ipsis aliquando calida, aliquando frigida fiant. Quòd si morbus hic lumbos relinquens, aliquibus ad infernas partes vertatur; eos confidentes esse iube. Quibuscunque verò coxas, & lumbos non relinquens, ad supernas partes conuertitur, malum id esse prædicendum est.*

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'.

Περὶ τῶν ἰσχιάδων τε καὶ τῆς ὀσφύος, καὶ τῶν σκελέων ἐπωδυνέων προῤῥήσιες.

ΣΚέπτεσθαι δὲ δεῖ ὧδε περὶ ἰσχιάδων. ὁκόσοισι γὰρ τῶν γεραιτέρων αἵ τε νάρκαι ἰσχυρόταται, καὶ καταψύξιες τῆς ὀσφύος τε καὶ τῶν σκελέων, καὶ τὸ αἰδοῖον ἐπαίρειν ἀδυνατέουσι, καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ πρὸς ἀνάγκην, καὶ κοπροειδὴς μύξα πολλὰ διεξέρχεται, τουτέοισι χρονιώτατον τὸ νούσημα ἔσται. καὶ προλέγειν ἐνιαυτὸν τὸ ἐλάχιστον, ἀφ' οὗ χρόνου ἤρξατο τὸ νούσημα γίνεσθαι. καὶ τὰς ὠφελείας ἐς τὸ ἦαρ τε καὶ τὸ θέρος προσδέχεσθαι. τοῖσι δὲ νεανίσκοισιν, ἐπώδυνοι μὲν οὐχ ἧσσον αἱ ἰσχιάδες, βραχύτεραι δέ· καὶ γὰρ τεσσαρακονθήμεροι ἀπαλλάσσονται. ἀλλ' οὐδὲ αἱ νάρκαι ἐπιγίνονται ἰσχυραὶ, οὔτε αἱ καταψύξιες τῶν σκελέων τε καὶ τῆς ὀσφύος. οἷσι δὲ τὸ νούσημα τοῦτο ἐστὶ μὲν ἐν τῇ ὀσφύϊ καὶ τῷ σκέλεϊ, βιάζεται δὲ οὐχ οὕτως ὥστε κατακέεσθαι, ξυρρέμματα σκέπτεσθαι μὲν ἤπου ἐν τῷ ἰσχίῳ. καὶ ἐπανερέεσθαι, εἰ εἰς τὸν βουβῶνα ἡ ὀδύνη ἀφικνέεται. ἢν γὰρ ταῦτ' ἔχῃ ἄμφω, χρόνιον τὸ νούσημα γίνεται. ἐπανερέεσθαι δὲ καὶ εἰ ἐν τῷ μηρῷ νάρκαι ἐγγίνονται, καὶ ἐς τὴν ἰγνύην ἀφικνοῦνται. καὶ ἢν φῇ, αὖθις ἐρέεσθαι, καὶ ἢν διὰ τῆς κνήμης, ἐπὶ τὸν ταρσὸν τοῦ ποδός. ὁπόσοι δ' ἂν τουτέων τὰ πλεῖστα ὁμολογέωσι, εἰπεῖν αὐτοῖσιν, ὅτι τὸ σκέλος σφιν τοτὲ μὲν θερμὸν γίνεται, τοτὲ δὲ ψυχρόν. ἡ δὲ νοῦσος αὕτη ὁκόσοισι μὲν ἀνὰ τὴν ὀσφὺν ἐκλείπουσα ἐς τὰ κάτω τρέπεται, θαρσυνέειν. ὁκόσοισι δὲ τά τε ἰσχία, καὶ τὴν ὀσφὺν μὴ ἐκλείπουσα εἰς τὰ ἄνω τρέπεται, προλέγειν δεινὰ εἶναι.

B C D

CAPVT XIX.

De articulorum, ac alui doloribus; de impetiginibus, lepris, ac leucis prædictiones.

AT *quibus circa articulos dolores fiunt, & tumores, & sedantur, non podagrico modo: in his comperies viscera magna, & in vrina subsidentiam albam; & talis si tempora eleuarit, dicet se sæpe dolere, dicet etiam sudores sibi nocturnos oboriri. Si verò neque in vrina subsidet talis subsidentia, neque sudores fiunt; periculum est, ne aut claudi fiant articuli, aut affectio abscessus humore melli similis, quem melicerida vocant, sub ipsis nascatur. Fit autem hic morbus his, quibus in pueritia, & iuuentute sanguis ex naribus fluere solitus desiit. Proinde interrogandum est de sanguinis eruptione, an in iuuentute facta fuerit, & an pruriginosæ velut ab vrtica puncturæ, & in pectore, & in dorso insint; & quibus alui dolores fortes inducant, citra exturbationes, & quibus hæmorrhoides fiant: hoc enim horum morborum principium est. Si verò etiam malo colore præditi sint hi homines, interrogandum est, an caput doleant; hoc enim fatebuntur. Quibus verò ex his alui dolores in dextris*

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Περὶ τῶν περὶ τὰ ἄρθρα τε καὶ τὴν κοιλίαν ὀδυνέων· περὶ λειχήνων, λεπρῶν, λευκῶν προῤῥήσιες.

ΟΙσι δὲ περὶ τὰ ἄρθρα, ὀδύναι τε γίνονται, καὶ ἐπάρσιες καὶ καταπαύονται, οὐκ ἐν τῷ ποδαγρικῷ τρόπῳ, εὑρήσεις τά τε σπλάγχνα μεγάλα, καὶ ἐν τῷ οὔρῳ λευκὴν ὑπόστασιν. καὶ τοὺς κροτάφους ἢν ἐπαίρῃ, φήσει πολλάκις ἀλγέειν. φήσει δὲ καὶ ἱδρῶτας αὐτῷ γίνεσθαι νυκτερινούς. ἢν δὲ μήτε ὑπὸ τῷ οὔρῳ ὑφίσταται ἡ ὑπόστασις αὕτη, μήτε οἱ ἱδρῶτες γίνονται, κίνδυνος, ἢ χωλωθῆναι τὰ ἄρθρα, ἢ ὃ δὴ μελικηρίδα καλέουσι γίνεσθαι ὑπ' αὐτοῖσι. γίνεται δὲ τὸ νούσημα τοῦτο, οἷσιν ἐν τῇ παιδίῃ τε καὶ νεότητι ξυνήθες ἐὸν, αἷμα ῥεῖν ἐκ τῶν ῥινῶν πέπαυται. ἐπανερέεσθαι οὖν περὶ τῆς τοῦ αἵματος ῥήξιος, εἰ ἐῤῥύετο ἐν τῇ νεότητι. καὶ αἱ κνησμώσιες ἔν τε τῷ στήθει, καὶ τῷ μεταφρένῳ εἰ ἔνεισι. καὶ ὁκόσοις αἱ κοιλίαι ἰσχυρὰς ὀδύνας παρέχουσιν ἄνευ ἐκταράξιων, καὶ ὁκόσοισιν αἱμοῤῥοΐδες γίνονται. αὕτη γὰρ ἡ ἀρχὴ τῶν νουσημάτων τούτων. ἢν δὲ κακόχροοι οἱ ἄνθρωποι οὗτοι φαίνονται, ἐπανερέεσθαι καὶ κεφαλὴν εἰ ὀδυνῶνται, φήσουσι γάρ. τούτων δὲ ὁκόσοισιν αἱ κοιλίαι ἐπώδυνοι, ἔν τε τοῖς δεξιοῖς

E F

εἴη, τὰ ἀλγήματα ἰσχυρότερα γίγνεται· καὶ μάλιστα ὅταν πρὸς τῷ ὑποχονδρίῳ κατὰ τὸ ἧπαρ τὸ ὑπόλειμμα τῆς ὀδύνης ᾖ. ὠφελέει δὲ ταύτας τὰς ὀδύνας, ὁ παραυτίκα ψόφος ἐν τῇ γαστρὶ γινόμενος. ὁκόταν δὲ ἡ ὀδύνη παύσηται, τὸ οὖρον παχὺ καὶ χλωρὸν οὐρέουσιν. ἔστι δὲ θανατώδης μὲν οὐδαμῶς ὁ τρόπος οὗτος, χρόνιος δὲ κάρτα. ὁκόταν δὲ παλαιὸν ἤδη ᾖ τὸ νούσημα, ἀμβλυώσσουσιν οἱ ἄνθρωποι ὑπ᾽ αὐτοῦ. ἀλλ᾽ ἐπανερέσθαι περὶ τοῦ αἵματος, εἰ νέῳ ἐόντι ἐρρύη, καὶ περὶ τοῦ ἀμβλυωσμοῦ, καὶ περὶ τοῦ οὔρου τῆς κενώσιος χλωρότητος, καὶ ἀμφὶ τῶν ψόφων εἰ ἐγγίνονταί τε καὶ ὠφελέουσιν ἐπιγινόμενοι. φήσουσι γὰρ πάντα ταῦτα, εἴ τε ἐρυθρόν τε, εἴ τε μέλαν, τουτέοισι πῦον ἐλπίζειν μᾶλλον, ἢ πτύειν. σκέπτεσθαι δὲ τουτέοισι, καὶ ἐν τοῖσι ποσὶν οἰδήματα. τοῦτο τὸ σημεῖον τουτέοισιν ὁμόλογόν ἐστιν. λειχῆνες δὲ καὶ λέπραι καὶ λεῦκαι, οἷσι μὲν νέοισιν, ἢ παισὶν ἐοῦσιν ἐγένετό τι τούτων, ἢ κατὰ μικρὸν φανέν, αὔξεται ἐν πολλῷ χρόνῳ, τούτοισι μὲν οὐ χρὴ ἀπόστασιν νομίζειν τὸ ἐξάνθημα, ἀλλὰ νόσημα. οἷσι δὲ ἐγένετο τούτων τι πολύ τε καὶ ἐξαπίνης, τοῦτο ἂν εἴη ἀπόστασις. γίνονται δὲ λεῦκαι μὲν, ἐκ τῶν θανατωδεστάτων νοσημάτων οἷον καὶ ἡ νοῦσος, ἡ φοινικὴ καλεομένη. αἱ δὲ λέπραι καὶ οἱ λειχῆνες, ἐκ τῶν μελαγχολικῶν. ἰᾶται δὲ τουτέων εὐπετέστερά ἐστιν, ὅσα νεωτάτοισί τε γίγνεται, καὶ νεώτατά ἐστι, καὶ τοῦ σώματος ἐν τοῖσι μαλθακωτάτοισι, καὶ σαρκωδεστάτοισι φύεται.

A *fuerint; dolores his vehementiores fiunt, & præsertim quum ad præcordium iuxta hepar, reliquiæ doloris fuerint. His autem doloribus prodest strepitus statim in aluo obortus. Postquam autem dolor quieuerit; vrinam crassam, ac cum virore pallidam mingunt. Atque hic modus nequaquam lethalis est, verùm valde diuturnus. Quum autem iam vetustus fuerit morbus, homines ab ipso cæcutiunt. At de sanguine interrogare oportet, an in iuuentute fluxerit, & de visus hebetudine, & de vrinæ euacuationis pallore, itémque de strepitibus an insint, & succedentes prosint; hæc enim omnia fatebuntur; siue rubrum, siue etiam nigrum, his pus sperare magis quam spuere oportet.* B *Consideranda verò his etiam sunt in pedibus œdemata; hoc enim signum his consentit. Impetigines, & lepræ, & vitiligines albæ, quibus quidem iuuenibus, aut pueris aliquid horum factũ est, aut paulatim conspectũ in multo tẽpore augescit; his non putare oportet abscessum esse, eam papularũ eruptionem, sed morbũ. Quibus verò horũ aliquid factũ est multum, & derepentè, hoc sanè fuerit abscessus. Fiunt leucæ quidẽ ex lethalissimis morbis, qualis est & morbus tabidus appellatus. Lepræ verò & impetigines, ex morbis ab atra bile factis. Ex his autem faciliùs sanantur ea, quæ in maximè iuuenibus fiunt, & quæ recentissima sunt, & in mollissimis, ac carnosissimis corporis partibus producuntur.*

ΓΑΛΗΝΟΥ

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΤΟΥ ΠΡΟΓΙΝΩΣΚΕΙΝ ΠΡΟΣ ΕΠΙΓΕΝΗΝ ΒΙΒΛΙΟΝ.

GALENI DE PRAENOTIONE AD POSTHVMVM LIBER.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Τὸν ἰατρὸν δύνασθαι τὰ καθ' ἑκάστους κάμνοντας ἐσόμενα προγινώσκειν.

ARGVMENTVM LIBRI.

Medicum posse, quid singulis ægris euenturum sit, prædicere.

CAPVT PRIMVM.

Quales medicos Galenus offenderit quum Romam primùm se contulit.

VT sanè vulgus medicorũ est, ô Posthume, nemo potest ea, quæ ægris per singulos morbos eueniunt, prænoscere. Ex quo enim ij, qui videri potius quàm esse, docti non in medica tantũ, sed etiam aliis artibus studuerũt, numero vicere, optima quæq; artiũ neglecta sunt: ea verò in vsu habita, vnde aliquis sermone hominũ celebretur; nẽpe apud vulgus dicere aliquid, & facere ad gratiam: itẽ adulari blandè, opulẽtos & potentes in ciuitatibus quotidie salutare, & simul cum eis incedere, ac domũ redeuntes deducere, in cœnis latus eorũ cingere & scurriliter nugari. Quidã ipsorũ non hæc modò, sed etiam vestium & annulorum sumptu, comitũ multitudine, & vasorum argenteorum apparatu idiotis persuadent, magni se pretij esse homines, & imitatione dignos. Ex his igitur omnibus partim allicientes, partim attonitos reddẽtes homines veri in rebus iudicij imperitos, vt quidẽ hi existimãt multis bonis fruuntur: vt autẽ ego dixerim, quum verè bona non sint, ipsi falsò opinantur. Quum itaq; tales existant, præter alia cõtra leges facere non dubitant, breuissimóq; tẽpore artes se docturos polliciti, cõplures discipulos cõparant, à quibus etiam ipsi potestatẽ in ciuitatibus in quibus degũt, accipiunt. Hæc igitur cõmunis omnium artium infelicitas præsentẽ vitam occupauit. Medicinæ autẽ varia quidẽ est: sed vnũ aliquod ex iis quę in illa accidũt, statui promere, vt quod ad me potissimũ pertineat. Quãdo enim medicus aliquis ex iis, qui legitimè eã didicerũt, aut deliriũ futurũ in ægrotãte, aut rigorẽ, aut cataphorã, aut sanguinis profluuium, aut parotidas, aut abscessum aliquẽ in quacunque parte, aut vomitum, aut sudorem, aut alui turbationem, aut syncopen,

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὁποίους ἂν ἰατροὺς εὕρισκοι ὁ Γαληνὸς ὁπότε τὸ πρῶτον ἐν Ῥώμῃ ἐγένετο.

ΟΣΟΝ μὲν ἐπὶ τοῖς πολλοῖς τῶν ἰατρῶν, ὦ Ἐπίγενες, ἀδύνατόν ἐστι προγινώσκειν τὰ τοῖς κάμνουσιν ἐσόμενα καθ' ἑκάστην νόσον. ἀφ' οὗ γὰρ οἱ τὸ δοκεῖν μᾶλλον ἢ εἶναι σπουδάσαντες, οὐ κατὰ τὴν ἰατρικὴν μόνον, ἀλλὰ καὶ κατὰ τὰς ἄλλας τέχνας ἐπλεόνασαν, ἠμέληται μὲν τὰ κάλλιστα τῶν τεχνῶν, ἤσκηται δὲ ἐξ ὧν ἄν τις εὐδοκιμήσειεν παρὰ τοῖς πολλοῖς, εἰπεῖν τι καὶ πρᾶξαι πρὸς ἡδονήν, κολακεύεσθαι, θωπευτικῶς προσαγορεύειν ἑκάστης ἡμέρας, τοὺς πλουτοῦντάς τε, καὶ δυναμένους ἐν ταῖς πόλεσι συμπροέρχεσθαι, παραπέμπειν προερχομένους οἴκαδε, δορυφορεῖν ἐν τοῖς δείπνοις, βωμολοχεύεσθαι. τινὲς δ' αὐτῶν οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τῇ τῶν ἱματίων, καὶ δακτυλίων πολυτελείᾳ, καὶ τῷ πλήθει τῶν ἀκολουθούντων, καὶ σκευῶν ἀργυρῶν παρασκευῇ τοὺς ἰδιώτας ἀναπείθουσιν, ὡς ἀξιοζήλωτοί τινες ὄντες. ἐκ τούτων οὖν ἁπάντων, τὰ μὲν ἥδοντες, τὰ δ' ἐκπλήττοντες ἀνθρώπους ἀπείρους ἀληθινῆς κρίσεως πραγμάτων, ὡς μὲν οὗτοι νομίζουσιν, ἀγαθῶν πολλῶν τυγχάνουσιν, ὡς δ' ἐγὼ φαίην ἂν οὕτως ὄντων ἀγαθῶν ἄλλων, αὐτοὶ ψευδῆ ὑπειλήφασιν. ἅτε δ' ὄντες τοιοῦτοι, τἄλλα παρανομεῖν οὐκ ὀκνοῦσιν, ἐλαχίστῳ τε χρόνῳ τὰς τέχνας ἐπαγγελλόμενοι διδάσκειν, ἀθροίζουσι πλῆθος μαθητῶν, ἐξ ὧν καὶ αὐτοὶ προσλαμβάνουσι τὸ δύνασθαι κατὰ τὰς πόλεις, ἐν αἷς διατρίβουσιν. αὕτη μὲν οὖν κοινὴ τῶν τεχνῶν ἁπασῶν δυστυχία, κατείληφε τὸν νῦν βίον. ἡ δὲ τῆς ἰατρικῆς ἐστι μὲν πολυειδής, ἀλλ' ἕν τι τῶν κατ' αὐτὴν ἔγνωκα προχειρίσασθαι τῶν ἐμοὶ μάλιστα διαφερόντων. ὅταν γάρ τις ἰατρὸς τῶν νόμῳ μεμαθηκότων αὐτήν, ἢ παραφροσύνην ἐσομένην ἐπινοσοῦντος, ἢ ῥῖγος, ἢ καταφοράν, ἢ αἱμορραγίας, ἢ παρωτίδας, ἢ ἀπόστασιν ἄλλην ἐς ὁτιοῦν μέρος, ἢ ἔμετον, ἢ ἱδρῶτας, ἢ κοιλίαν ταραχθησομένην,

ἢ συγκοπήν, ἢ τι τῶν τοιούτων προείπῃ ἄλλο, ξένον τε, καὶ τέρας τοῖς ἰδιώταις ὑπ᾽ ἀηθείας φαίνεται, καὶ τοσοῦτον ἀποδεῖ τοῦ θαυμάζεσθαι παρ᾽ αὐτοῖς ὁ προειπών, ὥστε ἀγαπήσειεν ἄν, εἰ μὴ καὶ γόης τις εἶναι δόξειεν. ὀλίγοι δέ τινες αὐτῶν οὐκ ἀπογινώσκουσι μέν, ὡς ἀδυνάτου τῆς τοιαύτης θεωρίας· ἐρωτῶσι δ᾽ εὐθέως καὶ αὐτὸν τὸν προειπόντα, καὶ τοὺς ἄλλους ἰατρούς, εἰ καὶ τοῖς ἔμπροσθεν εὕρηταί τι τοιοῦτον, ἢ μόνον αὐτοῦ τοῦ προειπόντος ἐστὶν εὕρημα. τοὐντεῦθεν οὖν ἀναγκαῖον γίνεται, τοὺς μὲν ἰατροὺς ἀποκρυπτομένους σφετέραν ἀμαθίαν, ἴσως δέ τινας καὶ ὄντως ἀγνοοῦντας, οὐδενὶ φάναι τῶν ἔμπροσθεν οὐδὲν τοιοῦτο γεγράφθαι, γόητα δ᾽ εἶναι τὸν ἐπιδεικνύμενον τοιαύτην πρόρρησιν. αὐτὸν δὲ τὸν προειπόντα, μήθ᾽ ὅτι γέγραπται πολλοῖς τῶν ἔμπροσθεν, καὶ μάλιστα τῷ Ἱπποκράτει τῷ πάντων ἡμῖν τῶν καλῶν ἡγεμόνι τολμᾶν εἰπεῖν, αἰδοῖ τε ἅμα τῶν παρόντων ἰατρῶν, καὶ μίσους ὑποψίᾳ, μήθ᾽ ὡς αὐτὸς εὑρηκὼς εἴη, ψεύδεσθαι γὰρ οὕτως, καὶ μᾶλλον μισηθήσεσθαι πρὸς αὐτῶν. ἄπορον δὴ πανταχόθεν ἐρώτημά τις ὑπεχόμενος, ὀκνῶν, οἶμαι, καὶ διαβουλευόμενος, αὔξει μὲν τὴν τῆς γοητείας ὑποψίαν αὐτῷ τῷ μέλλειν ἀεί, τελευταῖον δὲ φθόνον ἐφ᾽ ἑαυτὸν ἤγειρεν, ὥστ᾽ ἐπιβουλεύεσθαι πρὸς αὐτῶν. πρώτη μέντοι τῆς φαρμακείας ἐνέδρα· δευτέρα δὲ ᾗ Κόϊντος ἥλω, βελτίων μὲν ὢν ἰατρὸς τῶν καθ᾽ ἑαυτόν, ἐκβληθεὶς δὲ τῆς πόλεως, ὡς ἀναιρῶν τοὺς νοσοῦντας, ὥστε δυοῖν θάτερον ἀναγκαῖον γίνεται, παθεῖν τὸν φιλοσόφως τὴν τέχνην μετιόντα καὶ τῶν Ἀσκληπιαδῶν ἀξίως, ἢ παραπλησίως Κοΐντῳ φυγαδευθέντων, λαμπρὰ τῆς αἰσθήσεως τὰ ἐπίχειρα κομίσασθαι, ἢ διαβαλλόμενόν γε φανερῶς, εἰ μὲν ἀτολμότερος εἴη, τὰ μὲν ἀπολογούμενον, τὰ δ᾽ ὑποπτήσσοντα, λαγῶ βίον ζῆν, ἀεὶ τρέμοντα, καὶ τί πείσεσθαι προσδοκῶντα, πρὸς τῷ καὶ τὴν τῆς γοητείας ὑποψίαν αὐξάνειν. εἰ δ᾽ εὐτονώτερος ὢν ὁμόσε χωροίη, καὶ διαμάχηται μόνος πολλοῖς πανούργοις ἀνθρώποις, καὶ πολλοὺς ἀδοκιμωτάτους τρόπους ἠσκηκόσιν αὐτὸς ἐκ παιδείας, καὶ μαθημάτων ὁρμώμενος, καὶ τῶν τοιούτων ἄπειρος κακῶν, ἤτοι κατὰ κράτος ἁλόντα, γενέσθαι τὸ λοιπὸν ἐπ᾽ ἐκείνοις, ὅ,τι ἂν αὐτῷ χρῆσθαι βουληθῶσιν, ἢ εἴπερ ἐπὶ πλέον ἀντέχοι, καὶ διαγωνίζοιτο, τύχῃ τινὶ χρησάμενος θαυμαστῇ. τὸ μὲν οὖν ἀεὶ πολεμεῖν τε, καὶ πολεμεῖσθαι τὸν χείριστον τῶν πολέμων, ὃν ὀνομάζουσιν ἐμφύλιον, ἐκφυγεῖν μὴ δύνασθαι. συμβαίνει οὖν ἀναγκαῖον πολλοῖς τῶν οὕτως παρεσκευασμένων, καὶ τῶν ἄλλων ὅσοι τετιμήκασιν ἀλήθειαν εἰλικρινῶς, οὐ διά τι τῶν ἔξωθεν, ἀλλ᾽ αὐτὴν δι᾽ ἑαυτήν, ὅταν ἅπαξ πειραθῶσι τῆς κατεχούσης τὸν νῦν βίον ἀδικίας, καὶ γνῶσι σαφῶς, ὡς οὐδὲν ἔσονται τοῖς ἀνθρώποις ὄφελος, ἐξαναχωρεῖν τοῦ τῶν πολλῶν συρφετοῦ, καὶ ὥσπερ ἐν χειμῶνι μεγάλῳ, καὶ ζάλῃ πνευμάτων, ἑαυτοὺς γοῦν σῶσαι σπεύδοντας. οὗτοι δὴ τοῖς πολλοῖς μὲν ἄγνωστοι, γνώριμοι δὲ καὶ φίλοι μάλιστα μὲν καὶ πρῶτον θεοῖς, εἶτα τῶν ἀνθρώπων τοῖς ἀρίστοις ἐν ἡσυχίᾳ βιοῦσιν, ἐπιτρέψαντες τοῖς πανούργοις εὐδοκιμεῖν παρὰ τοῖς πολλοῖς ἀνθρώποις. ἁπάντων δὲ τούτων τὰ αἴτια τοῖς ἀνθρώποις ἐστί, τῶν πλουτούντων ἐν ταῖς πόλεσι, καὶ δυναμένων ἡ τρυφή. οἱ προαιρετέραν ἡδονὴν ἀρετῆς τετιμηκότες, ἐν οὐδενὶ λόγῳ τίθενται τοὺς τι καλὸν ἐγνωκότας, τοῖς τε ἄλλοις ὑφηγήσασθαι δυναμένους. ὅλοι δ᾽ ἐπὶ τοῖς τὰς ἡδονὰς ἐκπορίζουσιν εἰσί, καὶ τούτους πλουτίζουσι, καὶ θαυμάζουσι, καὶ ὑψηλοὺς αἴρουσιν, ὥστε τῶν μὲν ὀρχηστῶν, καὶ τῶν ἡνιόχων εἰκόνας ποιοῦνται, τοῖς τῶν θεῶν ἀγάλμασι συνέδρους.

aut aliud quid huiusmodi prædixerit, & peregrinum & monstrum præ dissuetudine idiotis apparet: ac tantum abest, vt qui prædixerit in admirationem apud illos veniat, vt benè actum secum putauerit, si non etiam præstigiator aliquis esse videatur. Pauci autem quidam ipsorum huiusmodi speculationem non damnat quidem, ceu quæ haberi nequeat: sed interrogant statim & ipsum qui prædixit, & alios medicos, num etiam tale quid à maioribus inuentum sit, an solum ipsius prædicentis sit inuentio? Hinc itaque necessarium est, quosdam sanè medicos inscitiam suam occultantes, forsan autem nonnullos etiam verè ignorantes, dicere, à nullo maiorum tale quid esse proditum: sed præstigiatorem esse, qui huiusmodi prædictionem ostendit. Ipse verò prædicens, neque quòd à pluribus maioribus scriptum sit, & præsertim ab Hippocrate, omnium nobis bonorum authore & duce, audet fateri, metu simul præsentium medicorum & odij suspicione, neque quòd ipse inuenerit: mentiretur enim ita, & magis odio ab eis haberetur. Quæstionem itaque sustinens, ad quam quid prorsus respondere debeat, ambigit: si detrectet & deliberandum censeat, meo iudicio augebit sanè præstigij suspicionem in futurum: postremò autem inuidiam in se concitabit, vt insidias ab eis experiatur: primum sanè, per pharmaca, deinde quibus Quintus captus fuerat, præstantissimus quidem sui temporis medicorum, vrbe autem eiectus, tanquam ægrotantes interimeret. Quare necesse est vt ei qui artem philosophicè & vt Asclepiadis dignum est, exercet, alterutrum contingat, aut vt Quinto similiter in exilium relegatus, præclara sensus præmia reportet: aut calumnias sustinens & manifestò, si quidem timidior fuerit, partim respondens, partim subticens, leporis vitam degat, semper tremens, & vt patiatur aliquid expectans, præterquam quod præstigij suspicionem augeat. Sin autem animosior cominus procedat solúsque cum multis versutis hominibus, ac in plerisque improbatissimis fraudum generibus exercitatis decertet, ipse eruditione & disciplinis fretus, ac talium malignitatum imperitus, vel omnino victus obtemperet in posterum ad omnia illa in quibus eo vti voluerint: vel si diutius resistat, certétque, mirabili quadam fortuna vsus, semper certè bellum longè deterrimum, quod intestinum nominant, gerere cogetur, quum effugere non possit. Accidet igitur necessariò, multos ita fraudibus oppressos, & alios qui veritatem syncerè, non propter aliquod exterius, sed ipsam propter se honorant, vbi semel iniquitatem præsentis seculi fuerint experti, nouerintque manifestò, quàm nulli sint mortalium commodo futuri, ex vulgi consortio discedere, tanquam in tempestate magna & agitatione ventorum seipsos saltem seruare conantes. Hi sanè vulgo quidem incogniti, noti verò & amici maximè quidem & primùm diis ipsis, deinde hominū præstantissimis in quiete vitam agentibus, permittentes fraudulentis istis gloriam apud vulgus aucupari & inclarescere. Omnium horum causa hominibus, diuitū in vrbibus & potentum deliciæ existūt; qui voluptatem virtuti preponentes in nullo honore habēt eos, qui aliquid honesti nouerunt, quique alios docere quid possint. Toti autē illis diditi sunt qui voluptates suppeditāt, hos ditant, hos admirantur, & in cælum efferunt, necnon histrionum, & adulatorum imagines, deorum statuis asseclas cōstituunt,

eruditos

eruditos autem tanti faciunt, quantum opera ipsorum indigent. Nam in vnoquoque honestum non respiciunt, neque peritos ipsos sustinent, sed geometriam quidem & arithmeticen, quantum ad impensarum rationem, & domus constructionem attinet; astronomiam verò & diuinatoriam, quantum ad prænoscendum, quorum hæredes futuri sint, opus est, vsurpant; quemadmodum & musicen, quatenus auditum oblectare velint. Philosophiæ autem, quæ horum omnium præcipuum continet, demonstratoriæ speculationis nullam habent rationem, nisi quantum vsus cogit, quosdam rhetoricorum virorum instrumento subdito sophistica dicta speculatione vti. Philosophiæ enim ipsius nulla mentio, sed omnium disciplinarum inutilissimam hanc instar milij perforati arbitrantur. Hi igitur sunt, qui etiam medicinæ vsum necessarium vident duntaxat, neque hunc rectè, sed, vt Plato alibi dicit, si de medico & coquo à pueris aut stultis hominibus sententia ferri debeat, coquus vtique non paulo plus laudis reportabit.

CAPVT II.

Quomodo Galenus quartanam à prima inuasione in Eudemo cognouerit, & quomodo intempestiuus theriacæ vsus ipsam quartanam duplicem faciat.

HÆc igitur ego ignorans in priori meo Romam aduentu, nihilque suspicans, indicaui non verbis nudis, sed operibus futurorum prænotionem, curationémque; donec tale quippiam accideret, vt tu nouisti, qui potissimùm per totius morbi Eudemi Peripatetici philosophi curriculum adfuisti. Itaque die quodam nonnulla ipsum post lauacrum inuasit inæqualitas, horror autem ab hora octaua; propter quem à cibo abstinere coactus, postridie inculpatè agens, putauit tutius esse eum post octauam horam differre. Quum autem nihil eadem hora molestum occurreret inedia vso vsque ad nonam, ac vlterius nulla permutatio appareret, lotus & modico cibo assumpto, tertio die pro consuetudine nobiscum versabatur. Securitatis autem gratia visum ei est etiam in illo die cibum post horas suspectas differre. Lauit itaque post octauam, & cibo sumpto leui, credidit nihil ei molestum accessurum. Quarto die quo nobiscum versatus, ad balneum discessit, ridens simul & respiciens te; Vtrum, inquit, etiam in hoc quarto die tutius est octauam horam inedia excedere, an balneo vtendum iam est? Tu igitur tanquam nihil molesti futurum esset, lauacrum accedere iussisti, alíique omnes qui aderant, ego autem solus subticebam. Roganti verò ipsi cur tacerem, respondi non omnino me citra suspicionem esse, initium quarti circuitus secundum primi diei rationem, quo me pulsum tangere iussisti, accidisse. Quum autem prænouissem naturalem tuum pulsum qualis erat, sine quo non licet exiguas ipsius mutationes in statum præter naturam, deprehendere, manifestò nihil pronunciaui; quemadmodum neque nunc magis possum aliquid de suspicione tunc mihi oborta proferre. Lauit igitur ex facili, & mediocriter nutritus est. Deinde cùm circa vesperam vocasset me, ac rursus pulsum eius tangere iussisset, idem quod ante balneum pronunciaui, audiuit,

A τοὺς δ' ἀπὸ τῶν μαθημάτων τοσαῦτα τιμῶσιν, ὅσα τῆς χρείας αὐτῶν δέονται. τὸ γὰρ ἐν ἑκάστῳ καλὸν οὐ θεωροῦσιν, οὔτε τὴν δύναμιν αὐτῶν αἱροῦνται, ἀλλὰ γεωμετρίας μὲν, καὶ ἀριθμητικῆς, ὅσον εἰς ἀναλωμάτων λογισμοὺς, καὶ οἰκίας κατασκευήν. ἀστρονομίας δὲ καὶ μαντικῆς, ὅσον εἰς τὸ προγνῶναι τίνων κληρονομήσουσι, χρήζουσιν, ὥσπερ γε καὶ μουσικῆς, ὅσον εἰς ἡδονὴν ἀκοῆς. τὴν δὲ τούτων συμπάντων τὸ κῦρος ἔχουσαν φιλοσοφίαν, ἀποδεικτικῆς θεωρίας οὐδὲν αὐτοῖς μέλει πλὴν ὅσον ἡ χρεία προσάγει τινὰς τῶν ῥητορικῶν ἀνδρῶν, ὀργάνῳ ὑπουργῷ, τῇ σοφιστικῇ καλουμένῃ χρῆσθαι θεωρίᾳ. B φιλοσοφίας γὰρ αὐτῆς οὐδὲν ἐπαΐουσιν, ἀλλὰ πάντων μαθημάτων ἀχρηστότατον τοῦτο νενομίκασιν ὁμοίως τῷ κέγχρον τρυπᾶν. οὗτοι τοίνυν εἰσὶν, οἳ καὶ τῆς ἰατρικῆς τὴν ἀναγκαίαν χρείαν ὁρῶσιν μόνην, οὐδὲ ταύτην ὀρθῶς. ἀλλ' ὥς Πλάτων πού φησιν, εἰ δέοι κρίνεσθαι παρὰ παισὶν, ἢ ἀνθρώποις ἄφροσιν ἰατρὸν καὶ μάγειρον, ὁ μάγειρος ἂν οὐκ ὀλίγῳ δή τινι πλέον ἐνέγκαιτο.

ΚΕΦΑΛΑΙΟΝ Β'.

C Ὅπως ὁ Γαληνὸς ἀπὸ πρώτης εἰσβολῆς διαγινώσκοι ἂν τὸν Εὐδήμου τεταρταῖον πυρετὸν, καὶ ὅπως ἡ ἄκαιρος τῆς θηριακῆς χρῆσις διπλοῦν ἐργάζηται τὸν τεταρταῖον.

Ταῦτ' οὖν ἐγὼ ἀγνοῶν, κατὰ τὴν προτέραν ἐπιδημίαν ἐν Ῥώμῃ μοι γενομένην οὐδὲν ὑφορώμενος, ἐπεδεικνύμην οὐ διὰ λόγων ψιλῶν, ἀλλὰ τοῖς ἔργοις τάς τε τῶν ἐσομένων προγνώσεις, καὶ τὰς θεραπείας ἄχρι τοῦ γενέσθαι τι τοιοῦτον, ὡς ἐπίστασαι σὺ ὁ μάλιστα παρὼν τῇ νόσῳ πάσῃ, μέχρι τέλους ἀπ' ἀρχῆς Εὐδήμου τοῦ Περιπατητικοῦ φιλοσόφου. ἤρξατο μὲν γὰρ ἡμέρα τινὶ μετὰ λουτρὸν ἀνωμαλία τις αὐτῷ, φρίκη δ' ἀπὸ D ὥρας ὀγδόης, δι' ἧς ἀναγκασθεὶς ἀσιτῆσαι, κατὰ τὴν ὑστεραίαν ἀμέμπτως διάγων, ὑπέλαβεν ἀσφαλέστερον εἶναι τὴν ὀγδόην ὥραν ὑπερβάλλειν, ὡς δ' οὐ κατ' αὐτὴν ἀπήντησέ τι δυσχερὲς, ἀσιτήσαντί γε μέχρι τῆς ἐννάτης καὶ πρόσω, οὐδεμία παραλλαγή τις ἐφαίνετο. λουσάμενός τε καὶ βραχέα προσενεγκάμενος, ἐπὶ τῇ τρίτῃ ἡμέρᾳ συνεγένετο μὲν, ὡς ἔθος ἡμῖν, ἀσφαλείας δ' ἕνεκεν ἔδοξεν αὐτῷ, καὶ κατ' ἐκείνην ὑπερβάλλειν τὰς ὑπόπτους ὥρας. ἐλούσατο οὖν μετὰ τὴν ὀγδόην, καὶ τραφεὶς εὐφόρως ἐπέπειστο μηδὲν αὐτῷ γενήσεσθαι δυσχερές. ἐν τῇ τετάρτῃ δὲ τῶν ἡμερῶν, ἐν ᾗ συγγενόμενος ἡμῖν ἐπὶ τὸ βαλανεῖον ἐστέλλετο, μειδιάσας τε ἅμα, καὶ ἀποβλέψας πρός σε, E πότερα, ἔφη, καὶ κατὰ τήνδε τὴν ἡμέραν τετάρτην οὖσαν, ἀσφαλέστερόν ἐστιν ὑπερβάλλειν τὴν ὀγδόην ὥραν, ἢ τῷ λουτρῷ χρηστέον ἤδη. σὺ μὲν οὖν, ὡς οὐδενὸς ἐσομένου δυσχεροῦς, ἐκέλευσας ἐπιέναι λουσόμενον, οἵ τ' ἄλλοι πάντες οἱ παρόντες, ἐγὼ δ' ἐσιώπων μόνος. ἐρομένῳ δὲ αὐτῷ περὶ τῆς σιωπῆς ἀπεκρινάμην, οὐκ εἶναί μοι τελέως ἀνύποπτον ἀρχὴν γεγονέναι τεταρταίας περιόδου, κατὰ τὴν πρώτην ἡμέραν, ἡνίκα με τὸν σφυγμὸν ἐκέλευσας ἅψασθαι. τῷ δὲ μὴ προεγνωκέναι μέ ποτε τὸν κατὰ φύσιν σου σφυγμὸν ὁποῖός τις ἦν, οὗ χωρὶς οὐχ F οἷόν τε τὰς βραχείας αὐτοῦ μεταβολὰς εἰς τὸ παρὰ φύσιν ἐπιγνῶναι, σαφῶς οὐδὲν ἀπεφηνάμην, ὥσπερ οὐδὲ νῦν πλέον ἔχω τι τῆς τότε μοι γενομένης ὑποψίας εἰπεῖν. ἐλούσατό τε οὖν εὐφόρως καὶ ἐτράφη μετρίως, εἶτα περὶ τὴν ἑσπέραν μετακαλεσάμενός με, καὶ πάλιν τὸν σφυγμὸν αὐτοῦ κελεύσας ἅψασθαι, τὴν αὐτὴν ἀπόφασιν ἤκουσεν ἣν πρὸ τοῦ λουτροῦ,

καὶ μᾶλλον ἔτι θαῤῥαλεώτερον, ἢ τότε. διὰ τοῦτο οὖν ἔδοξε τὴν ἑξῆς ἡμέραν, ἑβδόμην μὲν ἀπὸ τῆς ἀρχῆς ἐσομένην, τετάρτην δὲ ἀπ᾽ ἐκείνης, ἀκριβέστερον παραφυλάξαι, καὶ διατρίψας ἐπὶ τῆς οἰκίας, ἐλούσατό τε καὶ σιτίων προσενήνεγκατο πλειόνων, ὡς οἶσθα, τελέως ἀπύρετον αὐτὸν εἶναι φασκόντων. ἐγὼ μὲν οὖν ἐρομένῳ σοι, μέμνησαι γὰρ πάντως καὶ τοῦτο, τὴν ὑποψίαν μοι νῦν φήσας, ὡς μικροτάτης τινὸς αὐτῷ τεταρταίας περιόδου προοίμιον εἴη συμβαῖνον. ἐχωρίσθην ἔχων ἐπισκέπτεσθαί τινα περὶ τὴν ἑσπέραν ἄῤῥωστον, οὐκ ἐγγὺς οἰκοῦντα. λουσάμενος δ᾽ Εὔδημος, ἐτράφη μὲν εὐθέως. οὐ μετὰ πολὺ δὲ, θερμασίας ᾔσθετο δι᾽ ὅλου τοῦ σώματος, ἣν ἐν τῷ ποθέντι πόματι γεγονέναι νομίσας. οἴνου γὰρ παλαιοῦ προσενήνεγκατο, κατὰ τὴν ὑστεραίαν αὐτὸ τοῦτο διηγήσατο τοῖς συνήθεσιν ἰατροῖς, αἰτιασαμένων τε κἀκείνων ἑτοίμως τὸν οἶνον, οὐδὲν ἔτι νομίσας ἔσεσθαι δυσχερὲς, ἐν τῇ τετάρτῃ μετὰ τὴν γενομένην θερμασίαν, ἐλούσατό τε, καὶ διῃτήθη τῷ συνήθει τρόπῳ, σαφῶς δὲ πυρέττειν ἀρξάμενος, ἐπείσθη τεταρταίου μὲν εἶναι τὴν περίοδον. ἐπῄνει δὲ τοὐντεῦθεν ἐμὲ μόνον, ὡς ἀκριβῶς ἁπτόμενον σφυγμοῦ κατὰ τὸν ἔμπροσθεν χρόνον, ἐν φιλοσοφίας θεωρίᾳ μόνῃ πεπεισμένος ἀξιόλογον ἕξιν εἶναί μοι. τῆς δὲ κατὰ τὴν ἰατρικὴν, ἐν παρέργῳ πεφροντικέναι. καὶ γὰρ ἐπεπείκει τοῦ πατρὸς ἐπὶ φιλοσοφίαν ἄγοντός με, προσταχθὲν αὐτῷ δι᾽ ὀνείρων ἐναργῶν, ἐκδιδάξαι καὶ τὰ τῆς ἰατρικῆς, οὐχ ὡς πάρεργόν τι μάθημα τοῦτο. συνέβη μοι γεγονέναι τότε κατά τινα τύχην, ὡς οἶσθα καὶ αὐτὸς, νενοσηκότος τινὸς ἀνθρώπου κατὰ τὴν ἀρχὴν τοῦ φθινοπώρου νόσον ὀξεῖαν, εἶτα κατὰ τὴν ἀνάληψιν, ἀρξαμένου περὶ πέμπτην ὥραν πυρέττειν, θεασάμενον τὸν ἄνθρωπον ἀποφήνασθαί σοι παρόντι σαφεστάτην εἰσβολὴν εἶναι τεταρταίου περιόδου. ὁπότε γὰρ κατὰ τὴν ἀναλογίαν, ἡ διὰ τὴν τετάρτην ἀνταπόδοσις ἐγίνετο, πυθόμενος παρά σου τὴν γενομένην πρόῤῥησιν ὁ Εὔδημος, ἔτι μᾶλλον ἐπείσθη προσέχειν ἐμοί· ὥστε ἐπεὶ προὔβαινεν ὁ κατὰ τὴν περίοδον παροξυσμὸς εἰς μέγεθος, ἀθροίσας τοὺς ἀρίστους τῶν κατὰ τὴν πόλιν ἰατρῶν, ἠξίωσε σκέψασθαι περὶ τῆς θεραπείας τοῦ νοσήματος. ἐγὼ δὲ ἑκὼν ἀπελείφθην, οὐ βουλόμενος ἁμιλλᾶσθαι διὰ λόγων αὐτοῖς. ὡς δὲ τοῖς ἐνδοξοτάτοις αὐτῶν ἔδοξε τῆς θηριακῆς αὐτὸν πιεῖν, ἕωθεν ἐκείνῃ τῶν ἡμερῶν, ἐν ᾗ προσδοκώμενος ἦν ὁ διὰ τῆς τετάρτης παροξυσμὸς ἔσεσθαι, χωρισθέντων αὐτῶν, ὡς οἶσθα σοῦ παρόντος, ἐπυνθάνετό μου, τίνα τὴν ἐλπίδα τῆς τοῦ φαρμάκου χρήσεως ἔχοιμι. γινώσκεις οὖν ὅπως ἀπεκρινάμην αὐτῷ μηδὲν ἀμφιβάλλων, ὡς οὐ μόνον οὐδὲν ὀνήσει τὸ φάρμακον, ἀλλὰ καὶ διπλοῦν ἐργάσεται τὸν τεταρταῖον. καὶ τὴν γ᾽ αἰτίαν ἐρωτήσαντος αὐτοῦ, δι᾽ ἣν οὕτως ἀπεκρινάμην, ἄπεπτον ἔφην ἔτι εἶναι τὸ νόσημα, τότε φάρμακον τοῦτο κακοχυμίαν ἄπεπτον, καὶ μάλιστα ἐν χειμῶνος ἀρχῇ, μέχρι μὲν τοῦ ταράξαι δύνασθαι προσαγαγεῖν, οὐ μὴν οὔτε πέψαι τελέως, οὔτε διαφορῆσαι. ταῦτα μὲν οὖν ἀπεκρινάμην ἐγὼ τῷ Εὐδήμῳ. κατὰ δὲ τὴν ὑστεραίαν ἕωθεν ἀφικόμενοι πρὸς αὐτὸν, οὐδέ πω παρόντων ἡμῶν, ἔδοσαν τὸ φάρμακον, αἰδεσθέντος διηγήσασθαι τὰ ὑπ᾽ ἐμοῦ λεγόμενα αὐτῷ, καὶ ἅμα θεασάμενος μετ᾽ ἐνστάσεως, ὡς ὑπισχνουμένους τοὺς ἀφικνουμένους ἰατροὺς ἅπαντας, ὀνήσειν αὐτὸν οὐ σμικρὰ, τὴν τοῦ φαρμάκου προσφοράν. γενομένου δὲ τοῦ παροξυσμοῦ κατὰ τὴν αὐτὴν ὥραν, ἐνίοτε συμβαίνειν οὕτως ἔφασαν ἐπὶ τῆς πρώτης πόσεως, ὡς κινεῖσθαι, καὶ μοχλεύεσθαι τὸ νόσημα.

ac magis adhuc confidentius quàm tunc. Iccircò visum est sequentem diem, qui septimus ab initio futurus erat, quartus autem ab illo, exactius obseruare: ac quum domi fuisset commoratus, lauit, cibósque assumpsit, quum plures, vt nosti, omnino absque febri ipsum esse dicerent. Ego igitur quærenti tibi (meministi enim omnino & hoc) suspicionem mihi nunc esse dixi, minimæ scilicet cuiusdam quartanæ circuitionis initium ei oboriri. Discessi igitur visitaturus quendam circa vesperam ægrotum, non propè habitantem. Interim lauatus Eudemus statim quidem cibum sumpsit, non multo pòst calorem per totum corpus sensit, quam ex potu hausto prouenisse arbitratus (vinum enim vetus postridie assumpserat) hoc ipsum consuetis medicis recensuit: quúmque & illi statim vinum causarentur, nihil hîc adhuc molesti in quarto die post calorem obortum fore ratus, lauit, & consueto more cibo vsus est, manifestò autem febricitare orsus, persuasum habuit quartanæ esse circuitum. Me verò solum inde commendauit, tanquam exactè pulsum priore tempore tangentem, persuasus mihi soli habitum esse in philosophica speculatione mentione dignum, medicinæ verò obiter rationem habuisse. Etenim audierat quum pater me ad philosophiam duceret, iniunctum ei per somnia euidentia, vt me medicinam edoceret, non vt superfluam quandam disciplinam mihi futuram. Contigit etiam tunc forte-fortuna, vt nouisti & ipse, laborante quodam homine per initia autumni morbo acuto, deinde per tempus refectionis, circa horam quintam febricitare exorso, pronunciasse me tibi præsenti quum hominem illum vidissem, manifestissimum quartani circuitus esse insultum. Quum enim iuxta proportionem per quartum diem repetitio fieret, Eudemus factam prædictionem abs te audiens, multo magis attendere mihi persuasus est; quare quum secundum circuitum accessio in magnitudinem procederet, conuocatis præstantissimis quibusque vrbis medicis, de morbi curatione considerandum censuit. Ego autem sponte relictus sum, vt qui nollem verbis cum ipsis contendere. Quum verò celeberrimis ipsorum Theriacen ægro propinare visum esset, manè, eo die quo accessio quarto repetens, futura expectaretur; digressis illis, vt nosti, te præsente interrogabat me, quam spem de medicamenti vsu haberem. Nosti igitur quomodo ei responderim nihil ambigens, medicamentum scilicet non modò nihil præsidij illaturum, sed etiam duplicem effecturum quartanam. Ac quum ipse causam quæreret, cur ita responderem, Crudum adhuc esse morbum dixi; ac medicamentum hoc adhiberi, quatenus vitiosum humorem crudum, præsertim per hyemis initia perturbare possit, non tamen vel perfectè concoquere vel discutere. Hæc igitur ego Eudemo respondi. Subsequenti die manè venientes ad ipsum medici, nobis nondum præsentibus, medicamentum propinarunt reuerito narrare eis, quæ ego ipsi dixeram: vt qui simul omnes medicos discedentes confidenter promittere videret, medicamentum assumptum non parum ipsi profuturum. Quum autem eadem hora accessio inuaderet, dicebant ita nonnunquam accidere in prima potione, vt morbus moueretur, agitaretúrque;

Secundo

Secundo autem potu in totum discuti, si die quo accessio quarto repetens, futura expectatur, similiter manè ex eo assumeret. Illi quidem ita loquuti cum bona spe discesserunt. At quartana, non expectato proximo circuitu, præter opinionem hora octaua inuasit, idque fortior quàm die primo fuerat. Venientibus itaque manè medicis, vt nosti, iterum ex medicamento propinare visum est. Qúmque pro proportione prioris accessionis exhibuissent, discessere; ac quæ secundo post ipsam superuenit accessio, priori in ipsa respondebat; cuius rei gratia circa vesperam me rogabat, quid expectarem futurum. Ego vt nosti, arteriarum motum ipsius explorans, nunc sanè, dicebam, respondere tibi quippiam ad quæstionem tutò non possum; manè autem forsan potero, intuitus omnem quæ noctu redditur, vrinam. Reuersus itaque sub auroram intuitúsque lotium, sinere iussi, ac rediturum me dixi circiter horam quartam, si quid interea mingeret. Ac sanè iam eò profectus, postquam vrinas inspexissem, pulsúmque diutius tetigissem, pronunciaui ei tertiam quartanæ accessionem circiter eandem horam adfuturam, quo dicto iam discessi. Paulopost, Sergius & Paulus, qui non multo pòst vrbis præfectus creatus est, & Flauius Consularis, iam & ipse in Aristotelis philosophia exercitatus, sicut & Paulus, Eudemum visitatum venerunt: quibus ille omnia quæ à me audierat, recensens, tristitia se afficere dicebat hodie factam de futura accessione prædictionem, obseruare autem quomodo eueniret. Quum iam & illa circa eandem horam vt præteritæ, accideret, Eudemus sanè admirabatur, & inuisentibus ipsum omnibus meas prædictiones indicabat. Erant autem hi propè omnes qui Romæ & dignitate & eruditione præcellebant. Quum igitur Boëthus in Anatomica speculatione me summè esse exercitatum audiuisset, rogabat iam me vt aliquid de voce & respiratione, quomodo fieret & per quæ instrumenta, ostenderem. Vt igitur cognouit nomen meum, etiam hoc ipsum Paulo narrauit, qui & ipse postquam innotuisset me rogabat, vt etiam sibi quid ostenderem; Dicebat enim omnino se speculatione eorum, quæ in dissectionibus apparent, indigere. Similiter & Barbarus auunculus regis Lucij, qui Mesopotamiæ dictæ præerat, ipse quoque sicut Paulus disciplinam desiderabat. Postea & Seuerus consulatum tunc gerens, in Aristotelis philosophia etiam versatus. Quomodo igitur dissectiones successerint quum ipse scias, paucis commemorare opus erit, & breuiter paulopost repetemus.

CAPVT III.

Quomodo Galenus Eudemi curatione suscepta, prædixit quo die à tribus quartanis liberaretur.

NVnc autē ad Eudemū reuertor. Quum enim tribus quartanis laboraret, medici de salute eius desperarūt, hyeme iam ferè media. Ego verò primum tanquam præceptori meo, deinde quòd fortè fortuna prope ipsum habitabam, necesse

δεύτερον δὲ πόντα ἀπαλλάττεσθαι τελέως, εἰ κατὰ τὴν ἡμέραν ἐν ᾗ προσδοκᾶται γενησόμενος ὁ διὰ τετάρτης παροξυσμὸς, ὁμοίως ἕωθεν αὐτοῦ προσενέγκαιτο. ἐκεῖνοι μὲν οὖν οὕτως εἰπόντες, ἐχωρίσθησαν εὐέλπιδες. οὐ περιμείνας δὲ τὴν ἑξῆς περίοδον ὁ τεταρταῖος, ἀπροσδοκήτως ἐνέβαλε τὴν ὀγδόην ὥραν, ἰσχυρότερος, ἢ κατὰ τὴν προτέραν ἡμέραν ἐγεγόνει. ἐλθοῦσιν οὖν ἕωθεν αὖθις, ὡς οἶσθα, δεύτερον ἐδόκει διδόναι τοῦ φαρμάκου. καὶ δὴ καὶ δόντες ἐπὶ τῆς ἡμέρας ἀνάλογον τῷ προτέρῳ παροξυσμῷ τὸ φάρμακον, ἐχωρίσθησαν. ὁ γοῦν ἀνάλογος τῷ προτέρῳ παροξυσμῷ, κατ' αὐτὸν ἀπήντησε, καὶ ὁ μετ' αὐτὸν ἐπιγενόμενος, δεύτερον· ἐφ' ᾧ κατὰ τὴν ἑσπέραν ἐπυνθάνετό μου, ἵνα προσδοκίαν ἔχοιμι τῶν μελλόντων. ἐγὼ δὲ, ὡς οἶσθα, καταμαθὼν αὐτοῦ τὴν κίνησιν τῶν ἀρτηριῶν, νῦν μὲν, ἔφην, ἀποκρίνασθαί σοί τι πρὸς τὴν ἐρώτησιν ἀσφαλῶς, ἀδύνατος ὑπάρχω· ἕωθεν δὲ τάχα ἂν δυνηθείην, θεασάμενος ἅπαντα τὰ διὰ τῆς νυκτὸς οὐρηθησόμενα. παραγενόμενος οὖν ὑπὸ τὴν ἕω, καὶ θεασάμενος αὐτὰ, ἐᾶσαί τε κελεύσας αὖθις, ἐὰν οὐρήσῃ τι μεταξὺ, περὶ τετάρτην ὥραν ἔφην ἀφίξεσθαι. καὶ μὴν καὶ παραγενόμενος, ὡς ἐθεασάμην τε τὰ οὖρα, καὶ τῶν σφυγμῶν ἐπὶ πλέον ἡψάμην, ἀπεφηνάμην αὐτῷ τρίτον τεταρταίου γενήσεσθαι παροξυσμὸν, ὡς περὶ τὴν αὐτὴν ὥραν· ἐγὼ μὲν οὖν ἐχωρίσθην. ὀλίγον δὲ ὕστερον ἐπισκεψόμενοι τὸν Εὔδημον, ἀφίκοντο Σέργιός τε καὶ ὁ Παῦλος, ὃς οὐ μετὰ πολὺν χρόνον ὕπαρχος ἐγένετο τῆς πόλεως, καὶ Φλάβιος ὑπατικὸς μὲν ὢν ἤδη καὶ αὐτὸς, ἐσπουδακὼς δὲ περὶ τὴν Ἀριστοτέλους φιλοσοφίαν, ὥσπερ καὶ ὁ Παῦλος, οἷς διηγησάμενος ἅπαντα ὁ Εὔδημος τὰ κατ' ἐμὲ, λυπεῖν ἔφη τὴν σήμερον ἐσομένην πρόρρησιν ἐπὶ τοῦ μέλλοντος παροξυσμοῦ, παραφυλάττειν δὲ ὅπως ἀποβήσοιτο. γενομένου δὲ κἀκείνου περὶ τὴν αὐτὴν ὥραν τοῖς προγεγενημένοις, ὁ μὲν Εὔδημος ἐθαύμαζέ τε, καὶ τοῖς ἐπισκεπτομένοις αὐτὸν ἅπασιν ἐδήλου τὰς ἐμὰς προρρήσεις. ἦσαν δὲ οὗτοι σχεδὸν ἅπαντες, οἱ κατὰ τὴν Ῥωμαίων πόλιν ἀξιώματί τε, καὶ παιδείᾳ προὔχοντο. ὁ δὲ οὖν Βοηθὸς, ἀκηκοὼς εἰς ἄκρον ἠσκῆσθαί με τὴν ἀνατομικὴν θεωρίαν, ἔτυχεν ἤδη παρακαλῶν ἐπιδεῖξαί τι περὶ φωνῆς τε καὶ ἀναπνοῆς, ὅπως τε γίγνοιτο, καὶ διὰ τίνων ὀργάνων. ὡς οὖν ἔγνω εἰσέ μου τὸ ὄνομα, καὶ τοῦτ' αὐτὸ τῷ τε Παύλῳ διηγήσατο, καὶ μετὰ τὴν πεῖραν, ἔφη παρακαλῶν με, δεῖξαί τι καὶ αὐτῷ. πάνυ γὰρ ἔφη δεῖσθαι τῆς θέας τῶν κατὰ τὰς ἀνατομὰς φαινομένων, ὁ Παῦλος. ὁμοίως δὲ καὶ Βάρβαρος ὁ θεῖος τοῦ βασιλεύοντος Λουκίου, κατὰ τὴν Μεσοποταμίαν ὀνομαζομένην ὄντος ὑπάρχου, ἐδεῖτο τοῦ μαθήματος καὶ αὐτὸς, ὥσπερ ὁ Παῦλος. ὕστερον δὲ καὶ Σεβῆρος ὕπατος μὲν ὢν, ἐσπουδακὼς δὲ καὶ περὶ τὴν Ἀριστοτέλους φιλοσοφίαν. ὅπως μὲν οὖν τὰ κατὰ τὰς ἀνατομὰς ἐγένετο, γινώσκοντί σοι βραχείας ἀναμνήσεως δεήσει, μικρὸν ὕστερον ἐσομένης.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Ὅπως ὁ Γαληνὸς ἐπιχειρήσας τὴν θεραπείαν τοῦ Εὐδήμου, προεῖπεν ἐν τίνι ἡμέρᾳ τῶν τριῶν τεταρταίων ἀπαλλάξαιτ' ἄν.

Ἔτι δὲ τὰ κατὰ τὸν Εὔδημον ἐπάνειμι. καταπονούμενος γὰρ ὑπὸ τῶν τριῶν τεταρταίων, ἀπήλπιστο πρὸς τῶν ἰατρῶν ὄντος ἤδη που μέσου χειμῶνος. ἐγὼ δὲ οἷα διδασκάλῳ μὲν, ἀλλὰ καὶ κατὰ τύχην οἰκῶν αὐτοῦ πλησίον, ἀνάγκην

εἶχον ὑπακούειν δὶς τῆς ἡμέρας καλοῦντι. καταγελῶν δέ μου κατὰ τὸν χρόνον ἐκεῖνον, Ἀντιγένης εἷς τῶν Κοΐντου μαθητῶν, συγγεγονὼς δὲ καὶ Μαρίνῳ, πρωτεύειν τε τῶν ἰατρῶν πεπιστευμένος, ἅπαντάς τε τοὺς πολὺ δυναμένους ἰώμενος, οὐκ οἶδ' ὅ τι δόξας αὐτῷ τοῖς ἐπαινοῦσι καταγελῶν ἔφασκεν, ὀλίγον ὕστερον αὐτοὺς γνώσεσθαι τίνα τυγχάνουσιν ἐπαινοῦντες, ὅταν ἐκφερόμενον ἴδωσιν Εὔδημον. καὶ ταῦτα λέγων πρὸς τοὺς παρόντας ἰδιώτας, ἀποστρέφων ἐνίοτε μὲν τὸν λόγον, ἀποβλέπων τε πρὸς τοὺς ἰατροὺς ἔφασκεν, Εὔδημον ἑξηκοστὸν καὶ τρίτον ἔτος ἄγοντα, τρεῖς ἔχοντα τεταρταίους ἐν μέσῳ χειμῶνος, θεραπεύειν ὑπισχνεῖται Γαληνός. σὺ μὲν οὖν, Ἐπίγενες φίλτατε, τάς τε μετὰ ταῦτα γενομένας προρρήσεις ἐπ' αὐτοῦ, καὶ τὴν θεραπείαν, οἶδ' ὅτι κηρύττων διετέλεσας. ἐμοὶ δ' ἀρχὴ φθόνου τότε πρῶτον ἐγένετο, θαυμαζομένῳ ἐπί τε βίου σεμνότητι, καὶ τοῖς κατὰ τὴν τέχνην ἔργοις. ἐκ γὰρ τῶν τριῶν τεταρταίων, τὸν μὲν πρῶτον ἀρξάμενον ἐν τῇδε παύσασθαι τῇ ἡμέρᾳ προειπὼν, ἐθαυμάσθην· ἐπεὶ δὲ καὶ τοῦ δευτέρου τὴν προθεσμίαν τῆς λύσεως ἠλήθευσα, ἅπαντες μὲν ἐξεπλάγησαν· ἐπὶ τοῦ τρίτου γοῦν ἀποτυχεῖν με τοῖς θεοῖς ηὔχοντο. παυσαμένου δὲ κἀκείνου, κατὰ τὴν ὑπ' ἐμοῦ προρρηθεῖσαν ἡμέραν, οὐκ ἐπὶ ταῖς προρρήσεσι μόνον, ἀλλὰ καὶ τῇ θεραπείᾳ δόξαν ἔσχον οὐ σμικράν. ὁ γοῦν Ἀντιγένης μονονοὺ κατὰ γῆς ἐδύετο, διὰ τὰς προπετῶς αὐτῷ γενομένας εἰς ἐμὲ βλασφημίας· ὁμοίως δ' αὐτῷ καὶ Μαρτιανός, οὗ καὶ αὐτοῦ κατά τε τὸν χρόνον ἐκεῖνον, ἔτι τε πρότερον, ὡς ἀνατομικωτάτου, δόξα μεγάλη παρὰ τοῖς ἰατροῖς νεανίσκοις ἦν. ἐσπουδάζετο δὲ δύο βιβλία τῶν ὑπ' αὐτοῦ γεγραμμένων ἀνατομῶν. ἀνιαθεὶς δὲ καὶ αὐτὸς ἐφ' οἷς Εὔδημος οὐ μόνον ἐπαινεῖσθαι χρῆναί με πρὸς ἅπαντα δικαίως, ἀλλὰ καὶ θαυμάζεσθαι δεῖν ἔφασκεν, οὐκ ἐξ ἰατρικῆς τὰς προρρήσεις, ἀλλ' ἐκ μαντικῆς γίνεσθαι ταύτας ὑπ' ἐμοῦ διέβαλε. καὶ τήν γε μαντικὴν ἥν τινα λέγοι ἂν, πυνθανομένων τινῶν, ἐνίοτε μὲν οἰωνιστικὴν ἔφασκεν, ἐνίοτε δὲ θυτικὴν, ἔστι δ' ὅτε συμβολικὴν, ἢ μαθηματικήν. ὕστατον δέ τι παρὰ τῷ Εὐδήμῳ τοιοῦτον ἐγένετο, τοῦ τρίτου τῶν τεταρταίων τῆς ἡμέρας ἐνστάσης, ἐν ᾗ τελείαν ἀπαλλαγὴν αὐτῷ προειρήκειν ἔσεσθαι. παραγενόμενος ὁ Μαρτιανὸς πρὸς τὸν Εὔδημον ὥρας ἐνάτης, οὐ σμικρῷ σφοδρότερον, ἀλλὰ καὶ πάνυ πολλῷ τοῦ προγεγενημένου παροξυσμοῦ τὸν νῦν ὄντα φήσας ὑπάρχειν, ἐχωρίσθη παραχρῆμα φαιδρῷ τῷ προσώπῳ, φανερῶς ἐνδεικνύμενος ἐπιχαίρειν, ὡς ἀποτετευγμένης τῆς προρρήσεως. αἰσθανόμενος δὲ ὁ Εὔδημος εὐφορίας ὁποίας οὔπω πρότερον ᾔσθετο, καὶ μέντοι καὶ θαρρῶν, ὡς οὐ σφαλησομένῳ μοι κατὰ τὴν πρόρρησιν, ἀναμείνας ἀφικέσθαι τινὰ καὶ ἄλλον ἰατρόν· ἀφικομένου δὲ οὐχ ἑνὸς μόνον, ἀλλὰ καὶ δυοῖν καὶ τριῶν (ἐπετήρουν γὰρ ἅπαντες ὅπως ἀποβῇ τὰ κατὰ τὴν πρόρρησιν, εὐχόμενοι κἂν ἐπί γε τοῦ τρίτου τῶν τεταρταίων ἀτυχῆσαί με τῆς τε προρρήσεως καὶ τῆς ἀπ' αὐτοῦ θεραπείας.) ὁ μὲν Εὔδημος ἠξίωσε κἀκείνους ἀποφήνασθαι, πῶς ἔχειν αὐτοῖς τὰ κατ' αὐτὸν δοκοίη. τὴν δ' αὐτὴν ἀπόκρισιν ἀκούσας ἣν ὁ Μαρτιανὸς πεποίηται, καὶ προσχὼν ὁμοίως κἀκείνοις, ὡς Μαρτιανῷ, φαιδροτέροις γεγονόσιν, ἐνόησε μὲν καὶ αὐτοὺς ἐπιχαίρειν αὐτοῖς, ὡς ἀποτετευγμένης τῆς προρρήσεώς τε, καὶ θεραπείας. ἐπεὶ δ' ἐχρόνιζον ἐγὼ παρὰ τὸ ἔθος, ἐν ἐπισκέψει τινὶ κατεχόμενος, ἔπεμπε συνεχῶς πρός με πλησίον οἰκοῦντα, καθάπερ ἔφην, ἐπικριθῆναι τὴν εὐφορίαν ἣν εἶχεν ὑπ' ἐμοῦ βουλόμενος.

habui obtemperare bis die vocanti. At Antigenes eo tempore me deridebat, vnus ex Quinti discipulis, qui & Marino conuixerat, principatúmque inter medicos obtinere creditus omnes potentes medicabatur; haud scio qua opinione ductus, laudantibus me ridendo dicebat, paulopost ipsos cognituros, quem commendarent, cùm Eudemum efferri viderint. Atque hæc ad præsentes idiotas dicens, nonnunquam sermone auerso, respiciénsque ad medicos aiebat, Eudemum sexagesimum & tertium annum agentem, tribus laborantem quartanis in media hyeme, Galenus se curaturum promittit. Tu igitur, Posthume charissime, & prædictiones de eo postea factas, & curationem noui quanto præconio extuleris; mihi autem primùm tunc inuidiæ initium obortum est, vt qui tum propter grauitatem vitæ, tum artis opera essem admirationi. Etenim ex tribus quartanis quum primam quidem exorsam, hoc finitum iri die præsagiissem, visus sum admirabilis; quum autem & secundæ statum solutionis tempus verè protulissem, omnes sanè fuerunt attoniti; in tertia certè, Deos precabantur, vt successu frustrarer. Quum autem & illa in die à me prædicto cessaret, non ob prædictiones tantum, sed etiam curationem, haud mediocrem gloriam sum consequutus. Antigenes igitur ferè in terram se coram me dimisit, propter temerarias ipsius in me obloquutiones habitas; similiter & Martianus, qui ipse quoque tum per illud tempus, tum antea adhuc ceu maximus Anatomicus, in magno honore & gloria apud adolescentes medicos extitit. Legebantur autem duo eius libri de dissectionibus scripti. Is ipse quoque dolore affectus, eo quòd Eudemus non modo iure in omnibus laudari me oportere, sed etiam pro miraculo haberi dicebat; non ex medicina prædictiones, sed ex vaticinatoria has à me fieri calumniabatur. At vaticinatoriam quam tandem diceret quum nonnulli quærerent, interim auguratricem dicebat, interim ex sacrificio petitam, aliquando symbolicam, aut mathematicam. Postremò tale quid apud Eudemum accidit, tertiæ quartanæ die instante, qua perfectè eum liberatum iri dixeram. Martianus hora nona ad Eudemum profectus præsentem accessionem non paulo, sed etiam multo vehementiorem præterita esse dixit, ac statim abiit vultu læto: manifestò indicans se gaudere, tanquam prædictio non successerit. Eudemus autem sentiens facilitatem morbi tolerandi qualem necdum antea perceperat, quinetiam confidens mihi tanquam non erraturo in prædictione, expectans dum alius etiam quidam medicus accederet; quúmque non vnus tandem adueniret, sed duo & tres (obseruabant enim omnes quomodo prædictio succederet, optantes saltem in tertia quartana frustrari me & prædictione & curatione ipsius) Eudemus sanè voluit & illos pronũciare, quam ipsi de morbo suo opinionem haberent. Quúmque eandem responsionem audiuisset quam Martianus protulerat, & attendens similiter etiam illis, ceu lætioribus Martiano redditis, intellexit sanè & ipse gaudere illos, quasi & prædictio & curatio improsperè successerit. Quoniam autem diutius morabar præter consuetudinem, in visitando quodam occupatus, misit continuè ad me iuxtà habitantem, vt dixi, cupiens, vt de facilitate ipsius quam habebat, ferrem iudicium,

Vt igitur accessi ne sedere quidem me permittens, manum exporrexit, iubens vt pulsum tangerem. Quum autem explorassem studiosè, quærebat, quidnam nunciarem. Ac ego ridens, quid aliud, inquam, quàm bona? qualia, ait, hæc particulatim mihi edicito. Ego rursus, non satis, inquam, erit tibi summam ipsam vniuersim audienti, gaudere ob ea quæ futura sunt. Nequaquam, inquit; audire enim desidero particulatim. Audito iam. Hac nocte tota dispositione morbosa perfectè liberaberis; quibus factis etiam symptomatum omnium, & superuenientium, & futurorum solutio comitabitur. Atque hoc dicebam nuper mihi ex pulsibus indicasse naturam, quæ corpus tuum dispensat, excitatam iam, motámque, vt omnem humorum corporis prauitatem ex corpore tuo expellat. Quomodo igitur iam à natura hoc tibi indicatum esse dicis? non enim loquens hæc tibi dixit; responde. Omnino enim nouisti me quæ dices intellectu magis assequuturum, quàm omnes hos miserabiles medicos. Quoniam motum, dixi, arteriarum elatius extulit, quàm ad alteram dimensionem: quod semper facere consueuit, vbi id quod noxium est excernere è corpore nititur. Post hæc dicta Eudemus iterato sermone intulit. Verùm quia multæ excretionis viæ à natura distributæ sunt (etenim vomitus, aluus profluens, forsan & vrinarum copia, sudorum multorum eruptiones, sanguinis profluuium, & consueta hæmorrhois adaperta, vacuationem subitam efficit) proprium artis tuæ munus fuerit, vacuationis speciem interpretari. Sanguinis igitur profluuium futurum, hæc & illa signa præcedunt, quemadmodum etiam sudores, hæc. Adieci autem inter dicendum & ea quæ vomitus præcedunt. At vacuationis per ventrem subitæ crisim fatentis, nullum peculiare eximium signum habemus. Verùm si nullum ex aliis adsit, reliquum est, vt speremus in te hoc futurum. Dialecticè, inquit, collegisti eius, quod fiet, inuentionem. Hæc sanè quum aduesperasceret iam inter nos disserebamus. Quum itaque mane accederem, tuipse audiuisti summam prædictionis à philosopho, qui non sustinebat moderatè loqui vt consueuerat, sed vociferabatur ad omnes nos ingredientes amicos, Pythium Apollinem per Galeni os voluisse oracula ægrotantibus dicere, necnon curare ipsos liberaréque in totum die prædicto. Nam quum factam morbi solutionem (persuasum enim habeo iam ex toto me esse sanum) longo tempore antea prænunciasset, & curationem & prædictionem sum cõsequutus. Liberauit autem me tribus quartanis, in quas ex intempestiuo theriacæ medicamenti potione incidi, quando tempus ipsius esset non illis eloquentibus; hic propinans me liberauit, derisus ab eis, quòd senem hyberno tempore laborantem tribus quartanis, leuaturum se putaret.

CAPVT IV.

Eudemus exponit mores medicorum qui tum Romæ degebant.

IMperiti sanè artis medicæ quum hæc audirent, commune bonum me Romæ degentibus futurum existimãtes, omnes gaudebant. At Martianus, qui non medicũ modò, sed etiam amicũ esse se testabatur, quum audiuisset quid superiori die

ὡς δ' οὖν ἀφικόμην, οὐδὲ καθίσαι με περιμείνας, ὤρεγε τὴν χεῖρα, κελεύων ἅψασθαι τῶν σφυγμῶν. ἁψαμένου δὲ μετὰ σπουδῆς, ἐπυνθάνετο τί ποτε ἀγγέλλοιμι. κἀγὼ μειδιάσας, τί ἄλλο, ἔφην, ἢ ἀγαθά; ποῖα, εἶπε, ταῦτα ἰδικῶς μοι φράσον. ἐγὼ δ' οὐκ ἀρκέσει, ἔφην, σοὶ τὸ κεφάλαιον αὐτὸ ἀθρόως ἀκηκοότι, χαίρειν ἐπὶ τοῖς ἐσομένοις; οὐδαμῶς, εἶπεν. ἀκοῦσαι γὰρ ποθῶ, καὶ τὰ κατὰ μέρος. ἄκουε δή. ἀπαλλαγήσῃ τῇ νυκτὶ ταύτῃ τελέως ἁπάσης τῆς νοσώδους διαθέσεως, ἧς ἀπαλλαγείσης, τῶν τε ἐπιγινομένων καὶ τῶν ἐσομένων αὐτῇ συμπτωμάτων ἁπάντων, ἡ λύσις ἀκολουθήσει. καὶ τοῦτ' ἔφην ἄρτι μοι διὰ τῶν σφυγμῶν δεδηλωκέναι, τὴν διοικοῦσάν σου τὸ σῶμα φύσιν, ἐπεγηγερμένην ἤδη, καὶ κινουμένην, ὡς ἐκβαλεῖν ἐκ τοῦ σώματος ἅπασαν ὅσην ἐν σοὶ μοχθηρίαν τὴν ἐν τοῖς κατὰ τὸ σῶμα χυμοῖς. πῶς οὖν δὴ παρὰ τῆς φύσεως τοῦτο λέγεις σοι δεδηλῶσθαι; οὐ γὰρ δὴ φθεγξαμένη γε ταῦτ' εἶπεν, ἀπόκριναί μοι. πάντως γὰρ οἶσθα παρακολουθήσοντά με τῷ λόγῳ μᾶλλον ἁπάντων τούτων τῶν καλῶν ἰατρῶν: ὅτι τὴν κίνησιν, ἔφην, τῶν ἀρτηριῶν εἰς ὕψος ἀνήγαγεν, ἐπὶ πλέον τῆς ἐφ' ἑκάτερον διαστάσεως, ὅπερ ἀεὶ ποιεῖν εἴωθεν ἐγχειροῦσα τὸ λυποῦν ἐκκρίνειν τοῦ σώματος. ἐπὶ τούτοις ῥηθεῖσιν ὁ Εὔδημος ὑπολαβών, ἔφη. ἀλλ' ἐπεὶ πολλαὶ τῆς ἐκκρίσεως ὁδοὶ τετάχαται τῇ φύσει, καὶ γὰρ ἔμετος, καὶ γαστὴρ καταρρήξασα, τάχα δὲ καὶ οὔρων πλῆθος, ἱδρώτων τε πολλῶν ἐκκρίσεις, αἱμορραγία τε, καὶ συνήθης αἱμορροῒς ἀναστομωθεῖσα, κένωσιν ἀθρόαν ἐργάζεται· τῆς σῆς ἂν εἴη τέχνης ἔργον οἰκεῖον, ἑρμηνεῦσαί μοι τὸ τῆς κενώσεως εἶδος. αἱμορραγίας μὲν οὖν, ἔφην, ἐσομένης, τάδε, καὶ τάδε προηγεῖται σημεῖα, καθάπερ γε καὶ ἱδρώτων ταυτί. προσέθηκα δ' ἐν τῷ λόγῳ, καὶ τὰ τῶν ἐμέτων προηγούμενα. τῆς δὲ διὰ τῆς κάτω γαστρὸς κενώσεως ἀθρόας κριτικῆς, οὐδὲν ἔχομεν ἴδιον ἐξαίρετον σημεῖον. ἀλλ' ἐκ τοῦ μηδὲν τῶν ἄλλων παρεῖναι, καταλείποιτ' ἂν ἐλπίζειν ἐπὶ σοῦ γενήσεσθαι τοῦτο. διαλεκτικῶς, ἔφη, συνελογίσω τὴν εὕρεσιν τοῦ γενησομένου. ταῦτα μὲν ἑσπέρας οὔσης ἤδη διελέχθημεν ἀλλήλοις. παραγενόμενος δ' ἕωθεν, ἤκουσας αὐτὸς σύ, τοῦ κεφαλαίου τῆς προρρήσεως, οὐχ ὑπομένοντος μετρίως φθέγγεσθαι τοῦ φιλοσόφου, καθάπερ εἴωθε· κεκραγότος δὲ πρὸς ἅπαντας ἡμᾶς τοὺς εἰσιόντας φίλους, ὡς ὁ Πύθιος Ἀπόλλων, διὰ τοῦ Γαληνοῦ στόματος, ἐβουλήθη θεσπίζειν τοῖς νοσοῦσι μετὰ τοῦ θεραπεύειν αὐτούς, ἀπαλλάττειν τε τελέως αὐτοὺς ἐν ἡμέρᾳ τῇ προρρηθείσῃ. τὴν γοῦν γεγενημένην λύσιν τοῦ νοσήματος, πέπεισμαι γὰρ ἤδη τελέως ὑγιαίνειν, ἐπαγγειλάμενος ἐκ πολλοῦ, καὶ τῆς θεραπείας, καὶ τῆς προρρήσεως ἔτυχον. ἀπήλλαξε δέ με τριῶν τεταρταίων, οἷς δι' ἀκαίρου πόσεως τοῦ θηριακοῦ φαρμάκου περιέπεσον, ὁπότε καιρὸς αὐτῆς ἐγένετο, μηδὲν ἐκείνων φθεγγομένων, δοὺς οὗτος ἀπήλλαξέ με καταγελώμενος ὑπ' αὐτῶν, εἴ γε νομίζει γέροντα χειμῶνος ὥρᾳ κάμνοντα τρισὶ τεταρταίοις ἀπαλλάξειν.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Ἐξηγεῖται ὁ Εὔδημος τοὺς τρόπους τῶν ἐν Ῥώμῃ ἰατρῶν.

ΟΙ μὲν οὖν ἰδιῶται τῆς ἰατρικῆς τέχνης ἀκούοντες ταῦτα, κοινὸν ἀγαθὸν ἡγούμενοί με τοῖς ἐν Ῥώμῃ γενήσεσθαι, πάντες ἔχαιρον. ὁ δ' οὐκ ἰατρὸς μόνον, ἀλλὰ καὶ φίλος εἶναι προσποιούμενος Μαρτιανός, ἀκούσας τήν τε κατὰ τὴν προτεραίαν ἡμέ-

ξαι ἀπόφασίν μου, περὶ τῆς ἐν ταῖς ἀρτηρίαις κινήσεως, ἣν ἐκεῖνοι θορυβώδη νομίζοντες, οὐ κριτικὴν, ἐδεδίεσαν, εὑρόντες κατὰ φύσιν ἀκριβῶς ἔχοντα τὸν Εὔδημον, ἐπαινέσαι μὲν οὐδὲ ἄχρι ῥήματος ἑνὸς ὑπέμεινέ με. καταβὰς δὲ εἰς τὸ Σανδαλάριον, ἀπήντησέ μοι κατὰ τύχην, εὐθέως δὲ μήτε προσαγορεύσας, ὡς ἔθος εἶχεν, ἐπύθετο πότερον ἀνεγνωκὼς εἴην τὸ δεύτερον τῶν Ἱπποκράτους προρρητικῶν, ἢ ὅλως ἀγνοοίμι τὸ σύγγραμμα, κᾄπειτα ἀκούσας, ὡς ἀνεγνωκὼς εἴην, καί μοι δοκοῖεν ὀρθῶς, ἔνιοι τῶν ἰατρῶν, οὐκέτι εἶναι τῶν γνησίων Ἱπποκράτους βιβλίων αὐτὸ, καὶ προσηκόντως ἀποφήνασθαι. πάντως γοῦν γινώσκεις, ἔφη, τῶν γεγραμμένων ἐν αὐτῷ; ἐγὼ δὲ τοιαῦτα μὲν οὐ μαντεύομαι, πρὸς τί δὲ, ἔφην, εἴρηταί σοι νῦν τοῦτο. καὶ ὡς ἄρτι κεχωρίσθαι παρ' Εὐδήμου θαυμάζοντος, ἔλεγεν, ὅτι τῇ χθὲς ἑσπέρας, ἁψάμενόν σε τοῦ σφυγμοῦ, προειπεῖν ἔκκρισιν ἔσεσθαι διὰ τῆς κάτω γαστρὸς, ἐφ' ἧς μηκέτι πυρέξειν. εἰπόντος οὖν αὐτοῦ ταῦτα, μόνον ἀποκρινάμενος ἐγὼ, παρ' Εὐδήμου ταῦτ' ἀκήκοας οὐ παρ' ἐμοῦ, παρῆλθον αὐτίκα· πορευθείς τε πρὸς τὸν Εὔδημον, ἀπήγγελλα τὸ γεγονὸς, ἐθαύμαζόν τε τὴν κακόνοιαν τῶν εὐδοκιμωτάτων ἰατρῶν ἐν τῇ Ῥωμαίων πόλει. ὁ δὲ κατὰ λόγον ἔφη μοι τοῦτο πεπονθέναι, ἀπεικάζων τοῖς ἐν πατρίδι τοὺς τῇδε, κατὰ πλείους αἰτίας εἰς ἄκρον ἥκοντας κακοηθείας. καὶ διῆλθεν ἁπάσας ἑξῆς ὧδέ πως. μὴ νόμιζε τοὺς ἀγαθοὺς ἄνδρας ἐν ταύτῃ τῇ πόλει γίνεσθαι πονηροὺς, ἀλλ' ὅσοι φθάνουσιν εἶναι πονηροὶ, πραγμάτων ὕλην εὑρόντες ἐνταῦθα, καὶ κέρδη πολὺ μείζονα τῶν ἐν ταῖς ἔξω πόλεσιν ἔχουσιν. ὁρῶντές τε πεπλουτηκότας ὁμοίους αὐτοῖς πολλοὺς, ἐμιμήσαντο τὰς πράξεις αὐτῶν πολυειδεῖς οὔσας, καὶ ἐκ πλειόνων αἰτιῶν, εἰς ἔσχατον ἥκουσι πονηρίας. ἐρῶ δέ σοί τινας αὐτῶν, ὡς ἂν ἐκ πολλοῦ χρόνου πεπειραμένος. οὐ γὰρ μόνον ἡ φύσις, οὐδὲ ἡ τῶν κερδαλέων πραγμάτων ὕλη τὴν πονηρίαν ηὔξησε τῶν φύσει πονηρῶν, ἀλλὰ καὶ μάθησις ἠκολούθησε πανουργίας ὁδῶν, ἃς ἑώρων ὁσημέραι γινομένας ὑπὸ τῶν ὁμοίων ἑαυτοῖς· εἶτα ἐν τῷ μιμεῖσθαι ταύτας διετρίβησαν. κᾂν φωραθῶσιν ὑπό τινος πανουργοῦντες, ἐπ' ἄλλους ἔχειν ἀγνοοῦντας ἑαυτοὺς μεταβαίνειν, οἷς ἐκ τῆς πρώτης πείρας ὧν πράττοντες κακῶς ἐγνώσθησαν, ἀσφαλέστερον προσφέρονται, οὐ σμικρὰν ἔχει δύναμιν, οὐδὲ αὐτὸ πρὸς τὸ μηδέποτε παύεσθαι πανουργοῦντας. οἱ δ' ἐν ταῖς σμικραῖς πόλεσιν, οὔθ' ὑπὸ μεγέθους κερδῶν δελεαζόμενοι, καθάπερ οἱ τῇδε, γινωσκόμενοί τε ῥᾳδίως ὑπὸ τῶν πολιτῶν, εἰ καὶ μικρὸν ἁμάρτοιεν, ἀγύμναστον ἔχουσι τὴν θεωρίαν. ἐνταῦθοῖ δὲ, καὶ τὸ μὴ γινώσκεσθαι πρὸς ἁπάντων, ἃ πράττουσιν ἑκάστοτε πανουργοῦντες, αὔξει τὴν κακίαν τῆς φύσεως αὐτῶν. ἐπιτίθενται γὰρ τοῖς ἀγνοοῦσιν αὐτοὺς ἀπροσδοκήτοις, καὶ μάλιστα ὅσοι δι' ἁπλότητα γνώμης μὴ δύνανται ἀντιδακεῖν αὐτοὺς, καθάπερ αὐτοὶ δάκνουσιν ἀλλήλους, ἐάν τι καὶ σμικρὸν ἀδικηθῶσιν. ὡς οὖν οἱ παρ' ἡμῖν λῃσταὶ, βοηθοῦσι μὲν ἀλλήλοις ἐπὶ τῇ τῶν ἄλλων ἀδικίᾳ, ἑαυτῶν δὲ φείδονται, κατὰ τὸν αὐτὸν δὴ τρόπον, οἱ τῇδε καθ' ἡμῶν ποιοῦντες τὰς συνωμοσίας, μόνῳ τούτῳ διαφέροντες τῶν λῃστῶν τῷ κατὰ τὴν πόλιν, οὐκ ἐν τοῖς ὄρεσι κακουργεῖν. ἀλλὰ τό γέ μοι προκείμενον, ἔφην, ἀκήκοας ἤδη πολλάκις, ὡς ἐπειδὰν ἡ κατὰ τὴν πατρίδα μου στάσις παύσηται, παραχρῆμα θάσσω με τῆς πόλεως τῆσδε χωριζόμενον, καὶ ὀλιγοχρόνιον ἔτι ποιήσω τὴν ἐνταῦθα διατριβὴν, ὥστε θᾶττον ἀπαλλαγῆναι τῆς πανουργίας τῶν μοχθηρῶν τούτων ἀνθρώπων. ἀλλ' αὐτὸ γινώσκειν, ὁ Εὔδημος ἔφη, δεδογμένον σοι τοῦτο

A pronunciassem de arteriarum motu, quem illi turbulentum, non decretorium nominantes extimuerunt, etsi Eudemum secundum naturam prorsus habere offenderent, ne verbo quidem vno laudari me sustinebat. Digressus autem in Sandalarium fortè mihi occurrit, ac statim neque salutans, vti solebat, rogauit num secundum Hippocratis Prorrheticorum librum legissem, an omnino mihi esset incognitus. Ac deinde vbi audiuisset me legisse, ac mihi videntur, inquit, nonnulli medicorum rectè & conuenienter pronunciasse, ex germanis Hippocratis libris ipsum non esse. Omnino igitur nouisti, inquit, quæ B in eo scripta sunt? Ego verò huiusmodi non vaticinor; quorsum autem hoc nunc dictum ab eo esset, quæsiui. Quòd quum ab Eudemo te admirante digressus esses, aiebat, heri vesperi ex pulsus tactu prædixeris excretionem per aluum futuram, post quam non amplius febricitaret. Quæ vbi ipse protulisset, ego tantum respondens, ab Eudemo hæc audiuisti non à me, statim discessi; profectúsque ad Eudemum, quid accidisset nunciaui, demirabárque medicorum in Romanorum vrbe celebrium maleuolentiam. Ille secundum rationem hoc mihi accidere dixit, conferens cum C patriæ nostræ medicis eos qui in hac vrbe versantur, pluribus de causis ad summum malitiæ tendentes; ac deinde mihi omnes in hunc modum recensuit. Ne arbitreris bonos viros hac in vrbe fieri malos, sed qui mali iam sunt, rerum materiam hîc, & quæstum multo vberiorem quàm ij qui in externis vrbibus agunt, inueniunt. Ac dum multos ipsis similes locupletatos vident, actiones eorum varias imitantur, atque hinc ex pluribus causis in extremam prauitatem delabuntur. Dicam autem tibi nonnullas ipsorum prauitates, ceu longo tempore expertus. Non enim solum natura, neque quæstuosarum rerum materia, malitiam D eorum qui naturâ praui sunt, adauxit; sed etiam disciplina viarum imposturæ secuta est, quas quotidie à sui similibus iniri conspiciebant: deinde in his imitandis tunc versantur. Et si ab aliquo maleficij arguantur, ad alios ignotos transgrediuntur; quibus illa quæ prima experientia perperam facere sunt deprehensi, tutius offeruntur; id quod non parum eos mouet vt nunquam à maleficiis desistant. Qui autem paruas vrbes inhabitant, neque magnitudine quæstus alliciuntur, quemadmodum hujus incolæ, cognoscuntúrque facilè à ciuibus, & si etiam parum deliquerint, E inexercitatam habent speculationem. Hic autem & quòd non ab omnibus cognoscantur quæ frequenter maleficia moliuntur, naturæ ipsorum malignitatem auget. Nam ingerunt se ignorantibus ex improuiso, & præsertim iis qui propter animi simplicitatem ipsos contrà mordere nequeunt, sicut ipsi se inuicem conuitiis lacerant, si quam etiam paruam iniuriam intulerint. Vt igitur latrones apud nos ob maleficium aliquod se mutuò iuuant, sibíque parcunt: eodem modo qui hic agunt aduersus nos coniurati, sola hac re à latronibus differunt, quòd in vrbe, non in mon- F tibus facinora sua perpetrent. Sed iam quod proposueram, inquit, sæpe audiuisti: quare quamprimum seditio, ac belli tumultus in patria mea cessauerit, conspicies me ex hac vrbe discessurum, & breuem adeò hîc moram facturum, quò citius ab improbis istis nebulonibus liberer. Sed ignorant, Eudemus ait, hoc tibi institutum esse: &

& si nouerint, quemadmodum ipsi mentiuntur, omnes te similiter vt ipsos mentiri censebunt. Et quemadmodum ipsi rerum indigi, & imperiti, quum in patria manere nequeant, eo quòd præter alia quæ dixi, vafritiam subdolam imbrobámque exercere cognoscuntur, in hanc vrbem migrarunt; ita quoque alios huc profectos arbitrantur, & nolle prius discedere, quàm pecuniam aceruauerint. Et si à ciuibus genus tuum, possessionémque tuam audiant, quòd non sis ex eorum numero qui rerum inopia laborent, effictum omnino abs te esse dicent, vt auditoribus imponas; quæ enim ipsi fecerint, ea de omnibus suspicantur. Quum igitur hæc aliáque id genus Eudemus dixisset, addidissétque eos, nisi improba vafritie nos lædere poterint, ad insidias per pharmaca descendunt; qúmque retulisset idem inter narrandum adolescentem quendam ante annos circiter decem in hanc vrbem profectum, qui operibus similiter ac ego tractationem artis indicabat, pharmacis fuisse sublatum, cum famulis duobus qui vnà cum ipso aduenerant; Gratiam tibi habeo, dixi, præceptor charissime, qui omnem ipsorum prauitatem mihi recensueris. Ego enim securè me ipsum tuebor, digressus ab eis procul; claráque inscitia eorum facta, à magna hac & populosa ciuitate, in paruam, paucorúmque hominum migrabo, vbi omnes inter nos nouimus, ex quibus orti simus, quam eruditionem habeamus, possessionem, & mores, quámque vitæ rationem ineamus. Eò igitur animum conuertens, inscitiam ipsorum & vafritiem redarguere non studui.

CAPVT V.

Destitutos alios ægros ad sanitatem reuocauit Galenus; & quibus instrumentis vox fiat, per anatomen demonstrauit.

SEd commemoratum adolescentem, ad quem profectus, primo statim die dixi quartanæ febris accessionis insultum fore, vbi accepissem, curaui, statum morbi solutionis tempus, vt in Eudemo, præfatus; qúmque à te vocatus essem, vt hominem quendam inuiserem Charilampi cubicularium quidem, vt omnes nunc Græci nominant, corporis verò custodem quemadmodum & ij qui perperam Atticos imitantur; in neruo vulneratum persanaui, id quod nullus aulicorum medicorum præstare potuerit. Ac post ipsum in Sandalario Diomedem Rhetorem, cuius nec ipsius quoque morbi affectionem celeberrimi inter aulicos medicos inueniebant, sed etiam secus quàm decens erat curationem moliebantur, paucis diebus quum morbum admodum diuturnum prænouissem, restitui. Ac æstate appetente in primatibus Romæ & prædictiones, vt curationes magna laude dignas, molitus sum; ac in multo honore & gloria apud omnes eram, vt scis, noménque Galeni celebre. Ac cum gloria crescebat inuidia eorum qui & ipsi putabantur esse aliquid, tanquam in omni artis parte à me vincerentur, adhibebántque vrbem circumcurrentes alius aliam calumniam; hic, quòd casu illum curauerim, periculoso curationis modo vsus; ille, quòd ex vaticinatrice, non ex medica speculatione prædictiones fierent. Accessit etiam his quæstio, quam cum Stoicis & Peripateticis habebam,

καὶ εἰ γνῶσιν, ὥσπερ αὐτοὶ ψεύδονται, πάντες σε νομιοῦσιν ὁμοίως αὐτοῖς ψεύδεσθαι. καὶ ὥσπερ αὐτοὶ τῶν ἀπόρων τε, καὶ ἀπαιδεύτων ὄντες, ἐν ταῖς πατρίσιν οὐ δυνάμενοι διαμένειν, διὰ τὸ γινώσκεσθαι τἄλλα ὅσα προείρηκα πανουργοῦντες μαθεῖν, εἰς τήνδε τὴν πόλιν ἧκον· οὕτω καὶ τοὺς ἄλλους οἴονται παραγεγονότας εἰς αὐτήν, καὶ οὐκ ἂν ἐθελῆσαι πρὶν ἀθροίσωσιν ἀργύριον ἀπαλλαγῆναι. κἂν ἀκούσωσιν ὑπὸ τῶν πολιτῶν σου τὸ γένος, καὶ τὴν κτῆσιν, ὡς οὐκ ἐκ τῶν ἀπόρων εἴης, κατεσκευάσθαι πάντως ὑπὸ σοῦ φήσουσιν, ἕνεκα τῆς τῶν ἀκουόντων ἀπάτης· ἃ γὰρ αὐτοὶ πεπράχασιν, περὶ πάντων ὑπονοοῦσιν. Εἰπόντος οὖν Εὐδήμου ταῦτα, καὶ τοιαῦθ' ἕτερα, καὶ προσθέντος, ὡς εἰ μὴ ταῖς πανουργίαις ἡμᾶς βλάψαι δυνηθεῖεν, ἐπὶ τὴν διὰ τῶν φαρμάκων ἐπιβουλὴν ἔρχονται· καὶ φάντος γε ἐν τῇ διηγήσει νεανίσκον τινὰ πρὸ ἐτῶν, ὡς δέκα, παραγενόμενον εἰς τὴν πόλιν, ἐπιδεικνύντα τε δι' ἔργων, ὁμοίως ἐμοὶ τὴν ἐν τῇ τέχνῃ παρασκευήν, ὑπὸ φαρμάκων ἀναιρεθῆναι μεθ' ὧν ἧκε δυοῖν οἰκετῶν· χάριν, ἔφην, γινώσκω σοι φίλτατε διδάσκαλε, πάντα μοι διηγησαμένῳ τὰ τῆς πονηρίας αὐτῶν. ἐγὼ γὰρ ἀσφαλῶς ἐμαυτὸν φυλάξω, χωρήσας αὐτοῖς ὁμόσε, κατάφωρόν τε τὴν ἀμαθίαν αὐτῶν ἐργασάμενος, ἀπαλλάξομαι τῆς μεγάλης τῆσδε, καὶ πολυανθρώπου πόλεως, εἰς τὴν ὀλιγάνθρωπόν τε, καὶ σμικράν, ἐν ᾗ πάντες ἴσμεν ἀλλήλους, ἐκ τίνων τε γεγόναμεν, ὅπως τε παιδείας ἔχομεν, καὶ κτήσεως, καὶ τρόπου, καὶ βίου. τραπόμενος οὖν ἐπὶ τοῦτο τὴν ἀμαθίαν αὐτῶν, καὶ τὴν πονηρίαν αὐτῶν ἐλέγχειν οὐκ ἐφρόντισα.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἀνελπίστους ἄλλοις τοὺς νοσοῦντας ἐθεράπευσεν ὁ Γαληνός· καὶ δι' ὧν τῶν ὀργάνων ἡ φωνὴ γίνεται, διὰ τῆς ἀνατομῆς ἀπέδειξεν.

Ἀλλὰ τόν τε προειρημένον νεανίσκον, ᾧ παραγενόμενος εὐθέως κατὰ τὴν πρώτην ἡμέραν, ἔφην εἰσβολὴν παροξυσμοῦ τεταρταίου πυρετοῦ γεγονέναι παραλαβών, ἐθεράπευσα, τὴν προθεσμίαν τῆς λύσεως τοῦ νοσήματος, ὡς ἐπ' Εὐδήμου προειπών, ὑπό σου τε παρακληθείς, ἄνθρωπόν τινα Χαριλάμπους τοῦ κοιτωνίτου μέν, ὡς ἅπαντες οἱ νῦν Ἕλληνες ὀνομάζουσι, σωματοφύλακος δέ, ὡς οἱ περιέργως ἀττικίζοντες, νευρότρωτον γενόμενον ἐθεράπευσα, μηδενὸς τῶν κατὰ τὴν αὐλὴν ἰατρῶν δυναμένου τοῦτο ποιῆσαι. καὶ μετ' αὐτὸν ἐν τῷ Σανδαλαρείῳ ῥήτορος Διομήδους, οὗ μηδ' αὐτοῦ τῶν ἐκ τῆς αὐλῆς οἱ εὐδοκιμώτατοι τὴν διάθεσιν τοῦ νοσήματος εὕρισκον, ἀλλὰ διὰ τῶν ἐναντίων ἢ προσῆκεν, ἐποιοῦντο τὴν θεραπείαν. ἡμέραις ὀλίγαις προγνωσάμενος, ἰασάμην τελέως χρόνιον τὸ νόσημα. καὶ τοῦ θέρους ἐπιστάντος, ἐπὶ τῶν πρωτευόντων ἐν τῇ ῥώμῃ προρρήσεις τε, καὶ θεραπείας ἐποιησάμην, ἀξίας ἐπαίνου μεγάλου, καὶ ἐν πολλῇ δόξῃ παρὰ πᾶσιν ἦν, ὡς οἶσθα, καὶ μέγα ἦν τοὔνομα Γαληνοῦ. συνηύξανετό τε τῇ δόξῃ φθόνος, ἐκ τῶν οἰομένων εἶναί τι καὶ αὐτῶν, ὡς ἂν ἐν παντὶ μέρει τῆς τέχνης ὑπ' ἐμοῦ νικωμένων, ἔλεγόν τε περιθέοντες τὴν πόλιν, ἄλλος ἄλλο τι διαβάλλων· ὁ μέν, ὡς κατὰ τύχην ἰασάμην τόνδε τινά, ῥιψοκινδύνῳ τρόπῳ θεραπείας χρησάμενος· ὁ δ', ὡς ἐκ μαντικῆς αἱ προρρήσεις, καὶ οὐκ ἐκ θεωρίας ἰατρικῆς γίγνοιντο. προσεγένετο δὲ καὶ τὸ κατὰ τὴν ζήτησιν ἣν πρὸς τοὺς Στωϊκούς τε καὶ Περιπατητικοὺς ἐποιησάμην,

ἀλλ' ἐθεάσαντος αὐτὸ τοῦ Βοηθοῦ· καὶ μετὰ ταῦτα τῆς Ἰούστου γυναικός, ἧς συντηκομένης, ἄνευ τοῦ φαίνεσθαί τι μόριον πεπονθέναι, ἐξεῦρον οὐ μόνον ἐρῶσαν, ἀλλὰ καὶ τίνος ἤρα, καὶ μικρὸν ὕστερον, ὅπως εὗρον τοῦτο, λεχθήσεται. τὸν δὲ κατὰ τὸν πρὸς τοὺς Στωϊκούς τε καὶ Περιπατητικοὺς ἀγῶνα, παρόντων καὶ ἄλλων τινῶν ἅμα αὐτοῖς, ἰατρῶν τε καὶ φιλοσόφων ἀναμνήσω σε, πρότερον ὅθεν ἤρξατο διελθών. ἵν' εἰ καί τινων τῶν ἀξίων κοινωνίας τοιούτων λόγων, ἐθελήσαις μεταδοῦναι τουτὶ τὸ γράμμα, τὴν ἀκολουθίαν ἁπάντων ἴδοις τῶν γενομένων· καὶ μὴ διὰ παντὸς ἀγνοίας ἔχοις αὐτὸς διηγούμενος, ὅσα διά τε τῶν ἔργων τῆς ἰατρικῆς τέχνης, ἀνατομῶν τε, καὶ τῶν ἐπ' αὐταῖς λόγων ἐπεδείχθη μοι τοὺς φθονεροὺς ἰατρούς τε καὶ φιλοσόφους ἐλέγχοντι. προεπηλακιζόμενος γὰρ ὑπ' αὐτῶν, ἐπὶ τοῦτ' ἦλθον, Ὁμήρου με παιδεύσαντος

Ἄνδρ' ἐπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.

τοιαύτην οὖν ἀρχὴν ἔσχεν ἡ πρὸς αὐτοὺς συνουσία. Φλάβιος Βοηθὸς ὑπατικὸς ἀνήρ, ὅπως μὲν ἦν φιλόκαλός τε καὶ φιλομαθής, οἶδα καὶ σύ. διδασκάλῳ δ' ἐχρῆτο τῶν Περιπατητικῶν δογμάτων Ἀλεξάνδρῳ τῷ Δαμασκηνῷ, γινώσκοντι μὲν καὶ τὰ τοῦ Πλάτωνος, ἀλλὰ τοῖς Ἀριστοτέλους προσκειμένῳ μᾶλλον. ὁπότ' οὖν παρεκάλεσέ με, διδάξαι διὰ τῶν ἀνατομῶν, ὅπως ἀναπνοή τε, καὶ φωνὴ γίνεται, παρεσκεύασεν ἐρίφους τε, καὶ χοίρους πλείονας· πιθήκων γὰρ οὐδὲν ἔφην δεῖσθαι τὴν ἀνατομήν, ὁμοίως τε τὴν κατασκευὴν ἐχόντων οὐ μόνον τούτων τῶν ζώων, ἀλλὰ καὶ τῶν πεζῶν σχεδὸν ἁπάντων· ὅσα δὲ φωνὴν ἔχει μεγάλην, ἐπιτηδειότερα τῶν μικροφώνων εἶναι, πρὸς λαβεῖν ἀποδεικτικὰ λήμματα πρὸς τὴν τοῦ προκειμένου πίστιν. παρῆσαν δ' ἐν τῇ μελλούσῃ γενήσεσθαι δείξει, καὶ ἄλλοι μέν τινες, ἀτὰρ οὖν καὶ Ἀδριανὸς ὁ ῥήτωρ, οὔπω σοφιστεύων, ἀλλ' ἔτι συνὼν τῷ Βοηθῷ· καὶ Δημήτριος Ἀλεξανδρεὺς ἑταῖρος Φαβωρίνου, δημοσίᾳ λέγων ἑκάστης ἡμέρας εἰς τὰ προβαλλόμενα, κατὰ τὴν ἰδέαν τῆς Φαβωρίνου λέξεως. ἐμοῦ δὲ πρὶν ἀνατέμνειν εἰπόντος, ὡς αὐτὸς μὲν δείξαιμι τὰ ἐκ τῆς ἀνατομῆς φαινόμενα, συλλογίσασθαι δὲ τὰ ἐξ αὐτῶν φαινόμενα, οὐκ ἐμοῦ μόνον, ἀλλὰ καὶ τῶν ἁπάντων μᾶλλον ἐλπίζοιμι δύνασθαι τὸν διδάσκαλον Ἀλέξανδρον· οἱ μὲν ἄλλοι πάντες, ὡς ἐπιεικῆ τὸν λόγον ἀπεδέξαντο, τιμὴν εἰς τὸν Ἀλέξανδρον ἔχοντες, καὶ ἅμα προὔτρεπον εἰς τὴν ὅλην οὐσίαν, ἄνευ φιλονεικίας γενέσθαι. γινώσκεις γάρ, ὡς ἐπὶ τούτῳ τῷ πάθει, πρὸς ἁπάντων καὶ Ἀλέξανδρος ἐγινώσκετο, καθάπερ καὶ τότε σαφῶς ἐδήλωσε. δείξειν γὰρ ὑπισχνουμένου μου νεύρων λεπτοτάτων, ὡς εἶναι τριχώδη συζυγίαν τινὰ τοῖς τοῦ φάρυγγος μυσὶν ἐμφυομένην, τοῖς μὲν ἐκ τῶν ἀριστερῶν μερῶν, τοῖς δὲ ἐκ τῶν δεξιῶν· ἐφ' οἷς βρόχῳ διαληφθεῖσιν, ἢ τμηθεῖσιν, ἄφωνον γίνεται τὸ ζῶον, οὔτ' εἰς τὴν ζωήν τι βλαπτομένου, οὔτ' εἰς τὴν ἐνέργειαν· ὁ Ἀλέξανδρος ὑπολαβὼν πρὶν δειχθῆναι, τοῦτο πρῶτον, ἔφη, ἄν σοι συγχωρηθῇ, τοῖς διὰ τῶν αἰσθήσεων φαινομένοις πιστεύειν ἡμᾶς δεῖν. ἀκούσας δ' ἐγὼ ταῦτα, καταλιπὼν αὐτοὺς ἐχωρίσθην, ἓν μόνον φθεγξάμενος, ὡς ἐσφάλην οἰόμενος οὐκ εἰς τοὺς ἀγροικοπυρρωνείους ἥκειν, ἢ οὐκ ἂν ἀφικέσθαι. ἐμοῦ δὲ χωρισθέντος, οἵ τ' ἄλλοι τοῦ Ἀλεξάνδρου κατέγνωσαν, ὅ, τ' Ἀδριανός, καὶ ὁ Δημήτριος, ἐχθρῶς ἀεὶ διακείμενοι πρὸς τὴν φιλονεικίαν αὐτοῦ, πιθανὴν ἀφορμὴν εἶχον ἐπιτιμῆσαι σφοδρῶς. ἐπεὶ δὲ καὶ τοῖς φιλολόγοις ἅπασιν, ὅσοι κατὰ τὴν τῶν Ῥωμαίων πόλιν ἦσαν, ἐγνώσθη τοῦτο, καὶ τῷ Σεβήρῳ, καὶ τῷ

quos Boëthus ipse conuocarat; Adde quæ in Iusti vxore fecerim, quam contabescentem citra vllius partis affectum euidentem; non solum amare deprehendi, sed etiam quem amaret, & paulopost quomodo inuenerim, aperiam. Sed primum certaminis, quod cum Stoicis & Peripateticis gessi, præsentibus etiam aliis simul cum ipsis & medicis & philosophis, mentionem sum facturus, simulatque vnde incepit percensuero, vt si etiam alicui ex iis, qui huiusmodi sermonum communicatione digni sunt, librum hunc voles impertire, omnem iam factorum ordinem habeas; & ne semper narrando occuperis quæ & in artis medicæ operibus, dissectionibúsque, & in disputationibus ipsorum fecerim, inuidos & medicos & philosophos redarguens. Quum enim prouocarer ab eis, ad hoc descendi, Homerum imitatus, qui me docuerit

Hominem viriliter impetere, quum quis prior molestus fuerit.

Tale igitur initium conuersatio cum eis habuit. Flauius Boëthus, vir consularis, quàm fuerit & honesti studiosus, & doctrinæ cupidus, tu quoque nosti. Vtebatur autem præceptore sectæ Peripateticæ Alexandro Damasceno; qui quidem & Platonis scita nouerat, sed Aristotelicis magis adhærens. Quum igitur rogasset me vt per dissectiones docerem quomodo respiratio & vox fieret, comparauit & hœdos & porcos complures; simias enim dicebam non desiderare dissectionem, quum non solùm hæc animalia similem habeant constructionem, sed etiam pedestria ferè omnia, quæ autem magnam edunt vocem, aptiora exili voce præditis esse, quæ sumptiones demonstratorias ad fidem de re proposita faciendam præbeant. Aduenerant spectatum quæ ostensurus essem cùm alij quidam, tum & Adrianus Rhetor, nondum rhetoricas institutiones docens, sed cum Boëtho adhuc agens; item Demetrius Alexandreus Fauorini familiaris, publicè quotidie exponens ea quæ secundum Fauorinæ dictionis speciem proponebantur. Quum autem ego ante dissectionem dicerem me quidem ea quæ in dissectione apparerent ostensurum, quæ verò inde sequantur, non meum esse tantum colligere, sed etiam omnium præceptorem Alexandrum magis posse sperare; omnes sanè reliqui tanquam modestum sermonem receperunt, honorem Alexandro deferentes; ac simul adhortabátur eum vt toti negotio citra cõtentionem incũberet. Quippe non latet te Alexandrum hoc affectu ab omnibus nosci, quem admodũ & tunc manifestò indicauit. Quum enim ostensurum me pollicerer neruulorũ tenuissimorum, quasi capillarem coniugationem quandam gutturis musculis inseri, aliis ex sinistris partibus, aliis ex dextris, ob quos funiculo interceptos, vel sectos, animal mutum redditur, ita vt nec vita, neq; actio ipsius offendatur; Alexander commodum respondens, priusquam ostendatur, hoc primum, inquit, vtique tibi concedetur, sed iis quę sensu apparent, credere nos oportet. Quæ vbi ego audiuissem, relictis ipsis discessi, vnum hoc loquutus, errasse me qui putarem ad rusticos Pyroneos venire, aut non certè venturum fuisse. Postquam iam discessissem, cùm alij Alexandrum increpabant, tum Adrianus, Demetriúsque malè semper erga contentionem ipsius affecti, probabilem occasionem habebant, qua vehementer eum corriperent. Quum verò studiosi etiam omnes qui in vrbe Romanorum erant, & Seuerus, Paulúsque,

Paulúsque, & Barbarus id resciuerunt; omnes certè grauiter ipsum accusarunt: voluerúntque præsentibus ipsis dissectiones fieri, congregatis ad hoc aliis vniuersis qui in medicina & philosophia erant celebres. Durante igitur conuentu pluribus diebus, ostendi inspirationem quidem fieri thorace dilatato, expirationem verò contracto; præterea musculos indicaui à quibus dilatatur; ad hæc neruos, qui in ipsos inseruntur, ex spinali medulla proficisci: insuper quomodo non coacta spiritus foràs delatio expirationem sine strepitu efficiat; violentam verò esse diuersam ab ea cum strepitu accidentem, quam efflationem nominamus. Quum autem monstrassem etiam talem solam dum per arteriam asperam exit à cartilaginibus ictam, vocem efficere, & à musculis has moueri, neruósque hos mouentes affectos vocis abolitionem moliri: & obloquutoribus hæc vbi indicassem omnibus conuictis, Boëthus rogauit me, vt eorum commentaria sibi darem. Ac quum misisset ipse, qui notis celeriter scribere nouerunt, dictitaui omnia & ostensa à me & dicta, non præuidens an ea multis esset communicaturus. Et hactenus ô Posthume, nemo ausus est refragari, quindecim interea annis præteritis; quamuis multi contradicere nitantur, vt hoc solùm apud vulgus audiant, nempe Galeno se contradixisse, non tamen audent scripta ad doctorum hominum iudicium referre.

CAPVT VI.

Quomodo mulieris amorem, & serui solicitudinem Galenus ex pulsu inuestigauit.

Reliquum igitur quod pollicitus sum, deinceps tibi enarrabo; modò & hoc apponere sermoni præsenti oporteat; præsertim quum & sophistarum medicorum nonnulli, ignorantes qua ratione Erasistratus adolescentis erga ancillam patris cognouit amorem, scribant arteriis pulsus iuuenis amatorios edentibus ipsum inuenisse, nunc autem non amplius vt quis ex pulsibus inuentum esse dicat, sustinent. Ego sanè quomodo Erasistratus id deprehenderit, dicere non possum; quomodo autem ipse cognouerim, iam tibi aperiam. Vocatus sum ad mulierem inuisendam, quæ noctu vigiliis torquebatur, & aliàs in aliam decubitus figuram se transmutabat. Hanc dum febri carentem inuenio, rogo de singulis particulatim ei obortis, vnde vigilias accidere deprehendimus. Ipsa autem vix, aut nequaquam respondebat, ceu frustra interrogaretur, indicans; denique vultu auerso vestimentis superiniectis vniuerso corpori, totam se contegit, ac alteri cuipiam exiguo puluino caput inclinabat, quemadmodum ij qui somno indigent. Digressus itaque ego, inde alterutrum ipsam pati existimabam, aut melancholicè animo torqueri, aut qua tristitia afficeretur, nolle fateri. Differebam itaque in subsequentem diem exactius de ipsa considerare, ac quum venissem, primùm audiui ab ancilla astante, fieri non posse vt ipsam viderem. Iterum reuersus postquam idem audiuissem, tertio redij: ac cùm famula mihi diceret, vt discederem, nolle enim mulierem molestari; quúmque nouissem ipsam me egresso & lotam & solita assumpsisse,

A Παύλῳ, καὶ τῷ Βαρβάρῳ, πάντες οὖν σφοδρῶς ἐπετίμησαν αὐτῷ, καὶ παρόντων αὐτῶν, ἠξίωσαν γενέσθαι τὰς ἀνατομάς, ἀθροίσαντες εἰς αὐτὸ τοὺς ἄλλους ἅπαντας, ὅσοι κατὰ τὴν ἰατρικήν τε, καὶ φιλοσοφίαν ἦσαν ἔνδοξοι. γινομένης δὲ πλείοσιν ἡμέραις τῆς συνουσίας, καὶ δείξαντος ἐμοῦ τὴν μὲν εἰσπνοὴν γίνεσθαι, διαστελλομένου τοῦ θώρακος· τὴν δ' ἐκπνοήν, συστελλομένου· δείξαντος δὲ καὶ τοὺς μῦς ὑφ' ὧν τε διαστέλλονται, καὶ πρὸς τοῦτό γε τὰ εἰς αὐτοὺς κατεχημένα νεῦρα, τὴν ἔκφυσιν ἐκ τοῦ νωτιαίου μυελοῦ ποιούμενα, καὶ ὡς μὴ ἀβίαστος ἔξω φορὰ τοῦ πνεύματος, ἐκπνοὴν ἄψοφον ἐργάζοιτο, βιαίαν δ' εἶναι τὴν ἑτέραν αὐτῆς γινομένην μετὰ ψόφου, ἣν ἐκφύσησιν ὀνομάζομεν. ἐπιδείξαντος δὲ, καὶ ὡς B ἡ τοιαύτη μόνη κατὰ τὴν διὰ τοῦ φάρυγγος ἔξοδον ὑπὸ τῶν κατὰ τὸν χόνδρον πληττομένη, τὴν φωνὴν ἐργάζοιτο, καὶ ὡς ὑπὸ μυῶν οὗτοι κινοῖντο, καὶ ὡς τὰ νεῦρα τὰ τούτους κινοῦντα κακωθέντα, τὴν ἀφωνίαν ἐργάζοιτο, καὶ τῶν παραφθεγξαμένων ὁπότε ἐδείκνυον ταῦτα πάντων ἐλεγχθέντων, ὁ Βοηθὸς ἐδεήθη μου γράφειν αὐτῷ ὑπομνήματα. καὶ πέμψαντός γε αὐτοῦ τοὺς διὰ σημείων ἠσκημένους εἰς τάχη γραφήν, ὑπηγόρευσα πάντα τά τε δειχθέντα, καὶ λεχθέντα μὴ προορώμενος εἰ μέλλει δώσειν αὐτὰ πολλοῖς. καὶ μέχρι γε νῦν, ὦ Ἐπίγενες, οὐδὲν ἐτόλμησέ τις ἀντειπεῖν αὐτοῖς, ἐτῶν ἐν τῷ μεταξὺ γεγονότων ιε'. καίτοι γε διαβουλευομένων γε πολλῶν ἀντειπεῖν, ὅπως ἀκουσθῶσιν αὐτὸ τοῦτο μόνον, C ὡς ἀντειρήκασιν, οὐ μὴν τολμώντων γε εἰς κρίσιν, ἐπὶ φιλολόγων ἀνδρῶν ἀγαγεῖν τὰ γραφέντα.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Ὅπως ὁ Γαληνὸς διὰ τοῦ σφυγμοῦ ἐγνώρισε τόν τε ἔρωτα τῆς γυναικὸς, καὶ τὴν λύπην τοῦ δούλου.

D Λοιπὸν οὖν ὅπερ ὑπεσχόμην ἐφεξῆς σοι διηγήσομαι, ἣν λέξιν καὶ προσθεῖναι δεῖ τῷ παρόντι λόγῳ, μάλιστ' ἐπεὶ καὶ τῶν σοφιστῶν ἰατρῶν ἔνιοι, ἀγνοούμενοι τίνι λόγῳ τὸν ἔρωτα τῆς παλλακῆς τοῦ πατρὸς Ἐρασίστρατος ἐγνώρισεν, ἔγραψαν τῶν ἀρτηριῶν τοὺς σφυγμοὺς τοῦ νεανίσκου, σφυζουσῶν ἐρωτικῶς ἐξευρεῖν αὐτόν, οὐκέθ' ὑπομείναντες εἰπεῖν ἐκ τῶν σφυγμῶν εὑρεθῆναι. ἐγὼ δ' ὅπως μὲν Ἐρασίστρατος ἔγνω, τοῦτο λέγειν οὐκ ἔχω. ὅπως δὲ αὐτὸς ἔγνων, ἤδη σοι φράσω. παρεκλήθην μὲν εἰς τὴν ἐπίσκεψίν τινος γυναικὸς, ὡς ἀγρυπνούσης ἐν ταῖς νυξὶ, καὶ μεταβαλλούσης ἑαυτὴν ἄλλοτε E εἰς ἄλλο σχῆμα κατακλίσεως, εὑρὼν δ' ἀπύρετον, ἐπυθόμην ὑπὲρ ἑκάστου τῶν κατὰ μέρος αὐτῇ γεγονότων, ἐξ ὧν ἴσμεν ἀγρυπνίας συμβαινούσας. ἡ δὲ μόγις, ἢ οὐδ' ὅλως ἀπεκρίνετο, ὡς μάτην ἐρωτωμένη ἐνδεικνυμένη. καὶ τὸ τελευταῖον ἀποστραφεῖσα, τοῖς μὲν ἐπιβεβλημένοις ἱματίοις ὅλῳ τῷ σώματι σκεπάσασα πᾶσαν ἑαυτὴν, ἄλλῳ δέ τινι μικρῷ ταραντινιδίῳ τὴν κεφαλὴν, ἔκειτο καθάπερ οἱ χρῄζοντες ὕπνου. χωρισθεὶς οὖν ἐγὼ, δυοῖν θάτερον αὐτὴν ἐνόησα πάσχειν, ἢ μελαγχολικῶς δυσθυμεῖν, ἢ τι λυπουμένην, οὐκ ἐθέλειν ὁμολογεῖν. εἰς τὴν ὑστεραίαν οὖν ἀνεβαλλόμην ἀκριβέστερον διασκέψασθαι περὶ αὐτῆς, καὶ πορευθεὶς, τὸ μὲν πρότερον ἤκουσα F τῆς παραμενούσης οἰκέτιδος, ὡς ἀδύνατον αὐτὴν ἄρτι θεάσασθαι. δεύτερον δ' ἐπανελθὼν, ὡς ἤκουσα πάλιν ταὐτὸ, τρίτον πάλιν ἧκον. εἰπούσης δέ μου τῆς θεραπαίνης ἀπαλλάττεσθαι, μὴ βούλεσθαι γὰρ ἐνοχλεῖσθαι τὴν γυναῖκα, καὶ γνοὺς αὐτὴν ἐμοῦ χωρισθέντος λελουμένην τε, καὶ τὰ συνήθως προσενηνεγμένην,

ἧκον τῇ ὑστεραίᾳ, καὶ μόνος διαλεχθεὶς τῇ θεραπαίνῃ πολυειδῶς, ἔγνων σαφῶς τινὶ λύπῃ πιεζομένην, ἣν ἐξεῦρον κατὰ τύχην, ὁποίαν οἶμαι καὶ Ἐρασιστράτῳ γενέσθαι. προεγνωσμένου γάρ μοι τοῦ μηδὲν εἶναι κατὰ τὸ σῶμα πάθος, ἀλλὰ ἀπὸ ψυχικῆς τινος ἀηδίας ἐνοχλεῖσθαι τὴν γυναῖκα, συνέβη κατὰ τὸν αὐτὸν καιρὸν ὃν ἐσκόπουν αὐτὴν βεβαιωθῆναι τοῦτο, παραγενομένου τινὸς ἐκ τοῦ θεάτρου, καὶ φάντος ὀρχούμενον ἑωρακέναι Πυλάδην· ἠλλάγη γὰρ αὐτῆς τό τε βλέμμα, καὶ τὸ χρῶμα τοῦ προσώπου, κἀγὼ θεασάμενος τοῦτο, τῷ καρπῷ τῆς γυναικὸς ἐπιβαλὼν τὴν χεῖρα, τὸν σφυγμὸν εὗρον ἀνώμαλον ἐξαίφνης πολυειδῶς γενόμενον, ὅς τις δηλοῖ τὴν ψυχὴν τεθορυβῆσθαι· ὁ αὐτὸς οὖν καὶ τοῖς ἀγωνιῶσι περί τι πρᾶγμα συμβαίνει. κατὰ τὴν ὑστεραίαν οὖν εἰπὼν ἀκολούθῳ τινὶ τῶν ἐμῶν, ὅταν ἐπισκεψάμενος ἔλθω πρὸς τὴν γυναῖκα, μετ' ὀλίγον ἀφικόμενος ἀπάγγελόν μοι, Μόρφον ὀρχεῖσθαι σήμερον, εἶθ' ὡς ἤγγειλεν, ἄτρεπτον εὗρον τὸν σφυγμόν. ὁμοίως δὲ καὶ κατὰ τὴν ἑξῆς ἡμέραν ποιήσας ἀγγελθῆναι περὶ τοῦ τρίτου τῶν ὀρχηστῶν, ὁμοίως μείναντος ἀτρέπτου τοῦ σφυγμοῦ. κατὰ τὴν τετάρτην ἠκρίβωσα νύκτα πάνυ παραφυλάξας, ἡνίκα Πυλάδης ὀρχούμενος ἠγγέλθη, ταραχθέντα πολυειδῶς αὐτὸν ὁρῶν, εὗρον οὕτως ἐρῶσαν τοῦ Πυλάδου τὴν γυναῖκα, καὶ τοῦτο παραφυλαχθὲν ἀκριβῶς ἐν ταῖς ἐφεξῆς ἡμέραις, εὑρέθη βεβαίως. καθάπερ γε καί τινος ἄλλου τῶν πλουσίων δοῦλος οἰκονόμος, ὁμοίως κάμνων ἐγνώσθη μοι. λυπούμενος γὰρ ἐν τῷ μέλλειν ἀποδιδόναι λογισμοὺς ὧν διῴκησεν, ἐν οἷς ἠπίστατο λεῖπον οὐκ ὀλίγον ἀργύριον, ὑπὸ τῆς φροντίδος ἠγρύπνει τε καὶ λυπούμενος ἐτήκετο. προειπὼν δὲ αὐτοῦ τῷ δεσπότῃ, μηδὲν εἶναι σωματικὸν πάθημα τῷ πρεσβύτῃ, σκέψασθαι συνεβουλευσάμην, ὅτι φοβοῖτο μέλλοντος αὐτοῦ τοὺς λόγους ὧν ἐνεχείρισεν ἀπαιτεῖν, καὶ διὰ τοῦτο λυποῖτο, γινώσκων οὐκ ὀλίγον ἐν αὐτοῖς εὑρήσεσθαι λεῖπον. ἐπεὶ καλῶς ἔφη με στοχάζεσθαι, τοῦτο συνεβούλευσα, βεβαίας ἕνεκεν διαγνώσεως, εἰπεῖν αὐτῷ, ὅσον ἔχει παρακείμενον ἀργύριον, αἰτῆσαι τοῦτο, μή πως ἐξαιφνιδίου τελευτήσαντος ἀπόληται, μεταστάσης εἰς ἄλλον οἰκέτην τῆς διοικήσεως, οὗ μήπω πεῖραν ἔχει· ὑπὲρ γὰρ ἐκείνου μὴ χρῄζειν ἀπαιτήσεως λογισμῶν. ὡς δὲ ὁ δεσπότης αὐτῷ ταῦτα διελέχθη, πεισθεὶς οὐκ ἐξετασθήσεσθαι, καὶ διὰ τοῦτο γενόμενος ἄλυπος, ἐν τῇ τρίτῃ τῶν ἡμερῶν τὴν κατὰ φύσιν ἕξιν τοῦ σώματος ἀνεκτήσατο. τί δή ποτ' οὖν ἐλάνθανε τοὺς ἔμπροσθεν ἰατρούς, τήν τε προειρημένην γυναῖκα, καὶ τὸν προειρημένον οἰκέτην ἐπισκοπουμένους· ἐκ γὰρ κοινῶν ἐπιλογισμῶν εὑρίσκεται τὰ τοιαῦτα, κἂν βραχεῖαν ἐπιστήμην ἔχῃ τῆς ἰατρικῆς θεωρίας. ἐγὼ μὲν ἡγοῦμαι διότι μηδεμίαν ἔχουσι διάγνωσιν, ὧν τὸ σῶμα διὰ τῆς ψυχῆς πάθη πάσχειν εἴωθεν· ἴσως δὲ ὅτι οὐδὲ διὰ τοὺς ἀγῶνας, καὶ τοὺς φόβους ἐξαίφνης τὴν ψυχὴν ταράξαντας, οἱ σφυγμοὶ τρέπονται γινώσκουσιν. ὅπερ Ἐρασίστρατος ἐπιστάμενος, ἐπὶ τῆς αὐτῆς οἰκίας τῷ νοσοῦντι τῆς γυναικὸς παρούσης, εὐκολώτερον ἐξεῦρεν, ὡς ἂν δυναμένου αὐτοῦ συνεχέστερον ὁρᾶσθαι τὸν νεανίσκον, μὴ διὰ πλειόνων ἡμερῶν, καθάπερ ὁ Πυλάδης· οὐ μὴν οὐδὲ τότε φαινομένου, ἀλλ' ἀκουομένου, ἐξετάραττε τὴν γυναῖκα. λῆρος οὖν μακρὸς ἐρωτικῶς κινούμενοι σφυγμοὶ τῶν οὐ γινωσκόντων ἔρωτος μὲν οὐδένα δηλωτικὸν σφυγμὸν εἶναι· θορυβουμένης δὲ ψυχῆς τοὺς σφυγμοὺς ἀλλοιοῦσθαι, μήτε τὴν κατὰ φύσιν ὁμαλότητα, μήτε τὴν τάξιν ἀποσώζοντας.

A veni postridie ac solus cum ancilla multifariam disserens, cognoui manifestò tristitia quadam affectam, quam casu inueni, vt etiam Erasistrato accidisse puto. Nam quum certus essem nullum in corpore affectum existere, sed animali quadam molestia mulierem torqueri, contigit eodem tempore, quo ipsam inuisebam, id confirmari, aduentante quodam ex theatro, ac nunciante se Pyladem vidisse saltantem; mutatus enim ipsius visus est, & faciei color: quod ego contemplatus, manu mulieris brachiali iniecta pulsum deprehendi inæqualem, subitò, ac multis modis agitatum, qui animam turbatam esse indicat: B idem igitur & de re quadam contendentibus obuenit. Postridie dixi cuidam ex iis qui sequebantur me quum mulierem visitatum accederem, vt paulopost adueniens nunciaret mihi Morphum hodie saltare; id vbi factum est, pulsum nihil offendi mutatum. Similiter & sequenti die quum curassem vt de tertio saltatore nunciaretur, similiter pulsus haud mutatus est. Quarta rem diligenter examinaui nocte; qua obseruans pulsum, quum Pylades saltare nunciaretur, turbatum multifariam ipsum videns, deprehendi ita mulierem Pyladem amare: atque hoc exactè obseruatum, C diebus subsequentibus confirmatum est. Quemadmodum etiam diuitis cuiusdam seruus œconomus similiter cognitus est mihi ægrotare. Quum enim angeretur de reddendis rationibus eorum quæ dispensarat, in quibus non parum argenti desiderari sciens, præ curis vigilabat, & tristitia contabescebat. Quum autem prædixissem domino ipsius, nullum esse affectum corporeum seni, inspicere consului, quî timeret, quum ipse rationes eorum quæ administrauit esset repetiturus, nam idcirco tristitia afficiebatur, quòd sciret non exiguum in eis de-D sideratum iri. Quoniam rectè, dixit, coniecisti hoc, consului firmæ agnitionis gratia, vt ei diceret quantam haberet famulus repositam pecuniam, hanc postularet, ne derepente eo mortuo periret, dispensatione in alium domesticum translata, quem nondum esset expertus; ab illo enim non desideraret rationes. Postquam dominus hæc seruo dixisset, is persuasus se non examinatum iri postea, eóque euadens lætior, tertio die naturalem corporis habitum recuperauit. Curnam igitur priores medicos & prædictam mulierem prædictúmque famulum visitantes, hæc latebant? E Nam ex communibus ratiocinationibus huiusmodi inueniuntur, etiam si exiguam speculationis medicæ scientiam habeant. Ego sanè puto, eo quòd nullam habent cognitionem eorum quæ corpus propter animi affectus pati consueuit; forsan etiam quòd neque ob contentiones & metus subitò animum turbantes, pulsus mutari, cognoscunt. Quod Erasistratus intelligens, quando mulier in eadem domo cum ægrotante esset, faciliùs inuenit, vt quæ ab adolescente frequentius videri poterat, non pluribus diebus quemadmodum Pylades, qui neque tunc apparens, sed auditus tantum mulierem F turbaret. Nugæ igitur sunt pulsus amatoriè moti, eorum qui ignorant nullum quidem pulsum amoris esse indicem; sed animâ turbatâ ob quamcunque tandem rem pulsus alterari, neque naturalem æqualitatem, neque ordinem conseruantes.

CAP.

CAPVT VII.

Quibus artibus Cyrillum Boëthi filium clam cibum sumere deprehendit.

ITaque quum vnum adhuc adiecero, ob quod statim sanè obstupuit Boëthus, vbi autem quomodo esset inuentum, audisset, admirari non amplius se dicebat, sed ignorantes speculationem tanquam indoctos damnare, ad aliud quid digrediar. Quum itaque alter filiorum ipsius ægrotasset, deinde conualuisset; quúmque mox recidiuam morbus fecisset, iterúmque cessasset, & post hæc rursus puer febricitasset, dixi eum clanculum comedere. Nam quæ manifestò ei dabantur, præterquam quòd qualitatibus essent idonea, etiam quantitate moderata fuerant. Quapropter matrem pueri, vbi diligenter se ipsum obseruaturam promitteret, constituit custodem, quæ toto die assideret, prohiberétque domum illam ingrediuntes, in qua ipse dormiebat, occlusam interius ab ipsa exactè. Posteaquam quatuor iam diebus ita obseruaretur, noctu incaluit; ob quod Boëthus mihi indignatus, & acceptum domum suam deduxit ad puerum; Sequuti autem sunt ipsum etiam qui in via occurrebant, inter quos & tu eras. Puerum deprehendi ex cubiculo vnà cum matre ad aliud domicilium digressum, vbi etiam lectus erat in quo mater pueri decumbebat; lectica verò quædam exigua inter duos lectos inferius, iuncta in quam puerum collocans obseruabat ne quis eum accederet. Porrò sedile vnum lecticæ mediocre ad ceruicem eius habebatur. E regione iuxta superiores lecti terminos, duo ordine sedilia vicina erant: super quæ Boëthus nos collocans, ipse vxori assidens; Adduxi Galenum, inquit, hunc, vt audiat abs te quàm diligenter hisce diebus puerum custodieris, ne quicquam in victus ratione peccaretur; videátque num reuera nocte febricitarit, an tu, quum calidiorem ipsum factum esse diceres, desipueris præ timore, quæ putaris febrem esse calorem ob aliam fortè causam obortum; vt deinde quomodo habeat manifestò nobis indicet, símulque omnem ipsius victus rationem te doceat. Quum itaque arteriam pueri in brachiali tetigissem absque febri ipsum esse dixi, sed præbere me conuitiorum occasionem iis, qui me vaticinatorem appellant. Interloquens itaque Boëthus ait; Et ego apud illos te vocare, vt nosti, consueui vatem, quum huiusmodi diceres, quale hostes tui fieri non posse dictitant, ut ex medicinæ speculationibus cognoscatur. Atqui hactenus omnia (dicebam) ostendi tibi talia ex speculatione medica inueniri, & quosdam medicorum ea scripsisse. Dicere igitur iam vaticinium omnes mihi iussistis; ac ego precatus vos semel adhuc vt permitteretis mihi pueri pulsum tangere, posteaquam hoc fecissem, testaberis, dixi, ô Boëthe, nullum mihi proficiscenti tecum, quum tota via nos dissereremus accessisse, qui futurum vaticinium prædicauerit. Postquam itaque ipse dixisset se attestaturum, Nouisti, inquám, quomodo ridens ego aduertere & audire vos iussi vatis oraculum, tale quoddam esse loquutus. Cyrillo huic in domo ista aliquid ex esculentis occultatum est, quod quum mater ipsius ad balneum proficiscens, domum clauserit;

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Διὰ τίνων τεχνῶν τὸν Κύριλλον τὸν Βοηθοῦ υἱέα κατέλαβε ἐσθίειν λάθρα.

ΕΝ οὖν ἔτι προσθεὶς, ἐφ' οὗ παραχρῆμα μὲν ἐξεπλάγη Βοηθὸς, ἀκούσας δ' ὅπως εὑρέθη, θαυμάζειν οὐκέτι ἔφασκεν, ἀλλὰ τὴν ἀγνοούντων τὸ θεώρημα καταγινώσκειν, ὡς ἀμαθῶν, ἐπ' ἄλλο τι μεταβήσομαι. νοσήσαντος γὰρ αὐτῷ θατέρου τῶν υἱῶν, εἶτα ῥωσθέντος, ὑποστρέψαντός τε τοῦ νοσήματος, εἶτ' αὖθις παυσαμένου, καὶ μετὰ τοῦτο πάλιν ἐπιπυρέξαντος τοῦ παιδὸς, ἐμοῦ τε λέγοντος ἐσθίειν αὐτὸν λάθρα. τὰ γὰρ ἐν τῷ φανερῷ διδόμενα, πρὸς τῷ ταῖς ποιότησιν ὑπάρχειν ἐπιτήδεια, καὶ τῇ ποσότητι σύμμετρα εἶναι, τὴν μητέρα τοῦ παιδὸς ὑπισχνουμένην ἀκριβῶς αὐτὸν φυλάξαι ἐπέστησε φύλακα, παρακαθημένην τε δι' ὅλης τῆς ἡμέρας, ἀποκωλύουσάν τε τοὺς εἰς τὸν οἶκον ἐκεῖνον εἰσιόντας, καθ' ὃν οἶκον αὐτοῦ κοιμωμένου, ἀποκεκλεισμένον ἔνδοθεν ἀκριβῶς ἀπ' αὐτῆς. ἐπεὶ δὲ τέτρασιν ἡμέραις οὕτω φυλαττόμενος, ἐθερμάνθη διὰ τῆς νυκτὸς, ὁ Βοηθὸς ἀναρτήσας με, καὶ παραλαβὼν, ἦγεν εἰς τὴν οἰκίαν ἐπὶ τὸν παῖδα, συνηκολούθησαν δ' αὐτῷ, καὶ οἱ κατὰ τὴν ὁδὸν ἀπαντῶντες, ἐν οἷς ἦσθα καὶ σύ. κατέλαβον δὲ ἐκ μὲν τοῦ κοιτῶνος ἅμα τῇ μητρὶ προεληλυθότα τὸν παῖδα πρὸς ἕτερον οἴκημα, ἐν ᾧ καὶ κλίνη, καθ' ἧς ἡ μήτηρ τοῦ παιδὸς ἐκαθέζετο· σκίμπους δέ τις ἔζευκτο μικρὸν τῶν μέσων αὐτοῦ κατωτέρω, καθ' οὗ τὸν παῖδα κατακλίνασα, παρεφύλαττεν, ὡς μηδεὶς αὐτῷ προσέρχοιτο. καθέδρα δὲ ἦν μία τοῦ σκίμποδος, οἷα σύμμετρον ἐφ' ἑαυτῇ ἐπ' αὐχένι ἔχουσι. κατάντικρυς δὲ τοῦ σκίμποδος, πρὸς τοῖς ἀνωτέρω πέρασι τῆς κλίνης, ἐφεξῆς ἀλλήλων ἔκειντο δύο βάθραι, καθ' ὧν ὁ Βοηθὸς ἡμᾶς καθίσας, αὐτὸς τῇ γυναικὶ παρακαθεσθεὶς, ἤγαγον Γαληνὸν, ἔφη, τοῦτον ὅπως ἀκούσῃ παρὰ σοῦ περὶ τῆς ἀκριβοῦς φυλακῆς, ἐν ταύταις ταῖς ἡμέραις γεγενημένης τοῦ παιδὸς, ὡς οὐδὲν ἐν τῇ διαίτῃ πλημμελοῖτο· θεασάμενός τε πότερον ὄντως ἐπύρεξε διὰ τῆς νυκτὸς, ἢ σὺ φάσκουσά μοι θερμότερον αὐτὸν γεγονέναι, παρελογίσθης ὑπὸ δειλίας, ὡς οἰηθῆναι πυρετὸν εἶναι, τὴν θερμότητα δι' ἄλλην ἴσως αἰτίαν γενομένην· ἵνα μὲν ὅπως διάγει σαφῶς ἡμῖν δηλώσειεν, ἅμα δὲ καὶ τὰ τῆς διαίτης αὐτῷ πάντα σε διδάξειεν. ἁψάμενος οὖν ἐγὼ τῆς κατὰ τὸν καρπὸν ἀρτηρίας τοῦ παιδὸς, ἀπύρετον μὲν αὐτὸν ἔφην εἶναι, παρέχειν δέ μοι σκωμμάτων ἀρχὴν τοῖς ὀνομάζουσί με μάντιν. ὑπολαβὼν οὖν ὁ Βοηθὸς ἔφη· κἀγὼ πρὸς ἐκείνους, ὡς οἶσθα, καλεῖν εἴωθά σε μάντιν ὄντα, ὅταν τοιοῦτον εἴπῃς, ὁποῖον οἱ ἀντίτεχνοί σου φάσκουσιν ἀδύνατον εἶναι, διὰ τῶν τῆς ἰατρικῆς θεωρημάτων γνωσθῆναι. ἀλλά τοι μέχρι δεῦρο, πάντ', ἔφην, ἔδειξά σοι τὰ τοιαῦτα διὰ θεωρίας ἰατρικῆς εὑρισκόμενα, καί τινας τε τῶν ἰατρῶν αὐτὰ γεγραφότων. λέγειν οὖν ἐκελεύετε πάντες ἤδη τὸ μάντευμα· κἀγὼ δεηθεὶς ἅπαξ ἔτι συγχωρῆσαι μοι τῶν σφυγμῶν ἅψασθαι τοῦ παιδὸς, ἐπεὶ τοῦτ' ἔπραξα, μαρτυρήσεις, ἔφην, ὦ Βοηθὲ, μηδένα μοι παραγινόμενον μετὰ σοῦ, διαλεγομένων ἡμῶν δι' ὅλης τῆς ὁδοῦ προσεληλυθότα, τὸ μέλλον λέγεσθαι μάντευμα μεμηνυκέναι. φάντος οὖν αὐτοῦ μαρτυρήσειν, οἶσθα ὅπως γελάσας ἐγὼ προσέχειν τε, καὶ ἀκούειν ὑμᾶς ἐκέλευσα τὸ τοῦ μάντεως θέσπισμα τοιόνδε τι φήσας εἶναι. τῷ Κυρίλλῳ τούτῳ κατὰ τὸν οἶκον τοῦτον ἀποκέκρυπταί τι τῶν ἐδωδίμων, ὅπως ὅταν εἰς τὸ βαλανεῖον ἡ μήτηρ αὐτοῦ πορευομένη κλείσῃ τὸν οἶκον,

εἶτα ὑπὲρ ἀσφαλείας εἰς γλωττόκομον ἐμβάλλουσα τὴν κλεῖν κατασημήνηται, τοῦτο γὰρ ἀκούω ποιεῖν αὐτὴν ἑκάστοτε, καταχεκρυμμένον ἀνελόμενος ὁ υἱὸς αὐτῆς οὕτως προσενέγκηται. ταῦτ' ἀκούσας ὁ Βοηθὸς, εὐθέως ἐξορμήσας πρὸς τὸν παῖδα συναρπάζει τε, καὶ μετακομίσας ἐπὶ τὴν κλίνην, ἀναστορεσθῆναι τὸν σκίμποδα κελεύσας, ἐπειρᾶτο τὸ καταχεκρυμμένον, ὡς αὐτίκα φανησόμενον. ἐπεὶ δὲ τὰ τ' ἐπιβλήματα πάντα, καὶ τὸ ὑπεστορεσμένον αὖθις ἀνετινάχθη, τὸ γνάφαλον ἑξῆς ἀνετίναξεν. εἶτα τὴν καθέδραν ἐπάρας, ἐπεσκόπειτο μή τι καταχεκρυμμένον ὑπ' αὐτῇ φαίνοιτο. ὡς δ' οὐδὲν οὐδ' οὕτως ἐφάνη, μετακομίσας ἀπὸ τῆς κλίνης τὸ παιδίον ἐπὶ τὸν σκίμποδα, τὴν κλίνην ὅλην ἀναστρέψας, ἐκέλευσεν αὖθις στρώννυσθαι, γελάσας τε, τί, φησὶν, ὁ μάντις λέγει; θαυμάσας δ' ἐγὼ διότι μηδὲν εὗρεν ἐφ' ὧν ᾤετο καταχεκρυμμένον, ὃ μόνον ἀζήτητον, ὡς οὐδενὸς ὑποπτεύοντος ἐν αὐτῷ περιέχεσθαι τὸ ζητούμενον ἐπάρας ἀνέσειον· ἦν δὲ τοῦτο παντελῶς μικρὸν τῆς μητρὸς αὐτοῦ ταραντινίδος, ἐπικείμενον τῇ καθέδρᾳ, σεισθέντος δ' αὐτοῦ, μέρος ἄρτου τὸ περιεχόμενον ὑπ' αὐτῷ κατὰ γῆς ἔπεσε, καὶ ὑμεῖς πάντες ἀνακεκράγατε μέγιστον, ἅμα τῷ Βοηθῷ γελῶντες, καὶ τὴν μαντικὴν ἐπαινοῦντες. ὁ δ' οὖν Βοηθὸς ὑπὲρ πάντας γελῶν ἐθαύμαζε, πῶς ὁ σφυγμὸς, εἰ καὶ τὸ καταχεκρυμμένον ἐδώδιμον, ἱκανός ἐστι δηλοῦν. ἀλλά τό γε μέλλον ὑπὸ τοῦ παιδὸς ἔσεσθαι λουομένης τῆς μητρὸς, ἐμήνυσα· κἀγὼ πρὸς αὐτὸν ἔτι ἔφην, ὦ δριμύτατε, μὴ δηλωσάντων τοῦτο τῶν σφυγμῶν, ὁ Γαληνὸς ἐτεκμήρατο. κλεισθείσης γὰρ ἀκριβῶς τῆς θύρας κατὰ πολλὴν σχολὴν, τὴν ἐδωδὴν αὐτῷ τῷ παιδὶ γίνεσθαι δυναμένην ἀδεῶς, οὐ χαλεπὸν ἦν τεκμήρασθαι. ἀλλὰ καὶ ὅτι καταχεκρυπταί τι, καὶ τὸ καταχεκρυμμένον, ἐδώδιμόν ἐστιν, ὁ μὲν σφυγμὸς οὐκ ἤγγελέ μοι· τεταραγμένον δ' αὐτὸν θεασάμενος ἐνόησα, καθάπερ ἐπὶ τῆς ἐρώσης γυναικὸς, καὶ τοῦ φοβουμένου δούλου τὴν ταραχὴν, ἐπὶ ψυχικῷ τινι πάθει γίνεσθαι, ἀπυρέτου τελέως γε ὄντος τοῦ παιδός. ἐρωτήσεις οὖν ἴσως ἐκ τίνος ἐτεκμηράμην ἐδώδιμον εἶναι τὸ καταχεκρυμμένον, ἄκουε δὴ καὶ περὶ τούτου τὴν ταραχὴν τῆς ψυχῆς. οὔτε δίκην μέλλων ἐρεῖν ὁ παῖς, οὔτε παλαίειν, ἢ παγκρατιάζειν, ἢ ὅλως ἐπιδείκνυσθαι πλεονέκτημά τι σωματικὸν, ἢ ψυχικὸν, οὐχ ὅλως ἐγκαλούμενός τι διαμαρτάνουσιν ἴσχειν. ἀκούσας οὖν ὁ Βοηθὸς ταῦτα, νὴ τοὺς θεοὺς ἔφη θαυμάζειν, εἰ οὕτως εὔγνωστα φάρμακα τῶν ἰατρῶν οὐδεὶς οἶδεν. εὔδηλον γὰρ, ὅτι μήτ' αὐτοὶ τοιοῦτον ἔργον ἐπεδείξαντο πώποτε· καί σε πάντα μᾶλλον, ἢ ἐξ ἰατρικῆς αὐτὰ πράττειν φασίν. ἐοίκασι δ', ἔφη, μὴ μόνον ἀγνοεῖν ὁποῖός ἐστι τῶν ἀγωνιώντων ὁ σφυγμὸς, ἀλλὰ μηδ' εἴπερ ἔγνω τις αὐτῶν κατὰ τύχην ἃ προσεπιλογίσω, προσεπιλογίσασθαι δύνασθαι. διὰ τὸ μήτε φῦναι συνετοὶ, μήτε μαθήσει γεγυμνάσθαι τὸν λογισμόν. ἀλλά γε τῆς κακοηθείας, ἔφην, ἔργα γεγυμνασμένοι τέ εἰσι καὶ σοφοί.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Τὴν γυναῖκα τοῦ Βοηθοῦ τῷ γυναικείῳ ῥῷ περιπεσοῦσαν ἰᾶται παρὰ τὴν ἄλλων δόξαν.

Τούτων μὲν οὖν, ὦ Ἐπίγενες, αὐτὸν ἔχω μάρτυρά σε. πολλῶν δ' ἄλλων ἑτέρους, ἁπάντων τῶν πραχθέντων μοι κατὰ τὴν προτέραν ἐπιδημίαν. ἤκουες δ' αὐτὰ παρ' αὐτῶν τῶν ὑπ' ἐμοῦ θεραπευθέντων. ἓν οὖν ὄντως θαυμάσιον πραχθὲν, οὐ μόνον με παραδοξολόγον, ὡς ἔμπροσθεν οἱ πολλοὶ τῶν ἰατρῶν ὠνόμαζον, ἀλλὰ καὶ παράδοξα ποιοῦν ἐποίησε κληθῆναι, σιωπήσω. ἡ γὰρ τοῦ Βοηθοῦ γυνὴ τῷ καλουμένῳ ῥῷ γυναικείῳ περιπεσοῦσα, κατ' ἀρχὰς μὲν

deinde securitatis gratia claui seræ iniecta obsignauerit (hoc enim audio ipsam frequenter facere) absconsum filius accipiens, ita ingerat. Postquam hoc Boëthus audiuisset, statim prosiliens ad puerum, corripit ipsum, & in lectum transferens, lecticámque sterni iubens, sperabat occultatum quamprimum appariturum. Vbi operimenta omnia, & substernicula excussa essent, pannum deinde perscrutatus est. Postea sedili sublato, obseruabat num aliquid sub eo occultatum appareret. Quum autem nihil ita apparuisset, translato puero à lecto ad lecticam, lectum totum iterum sterni iussit, ac in risum solutus, quid, ait, vaticinator dicit? Ego autem admiratus quod nihil inuenisset, vbi occultatum putabatur, id quod solùm indiscussum remanserat, tanquam nullo quod quærebatur in eo contineri suspicante, in altum attollens commouebam; erat autem hoc exiguum matris ipsius velamentum sedili impositum, quo discusso pars panis in eo contenta, in terram decidit, ac vos omnes altissimè clamastis, vnà cum Boëtho ridentes, vaticinatoriámque commendantes. Boëthus verò supra omnes ridens admirabatur, quomodo pulsus esculentum reconditum indicare possit. Sed quid puer facturus esset, matre lauante, indicaui; dixique præterea, ó vir acerrime, pulsibus hoc non indicantibus, Galenus coniecit. Nam ostio exactè clauso puerum sine metu comedere potuisse, haud erat difficile coniectu. Imò etiam quòd aliquid occultatum esset, idque esculentum, pulsus sanè non indicauit; verum turbatum ipsum puerum conspicatus, intellexi vt in muliere amante & seruo timente, turbationem ex animali quodam affectu obortam, quum puer omnino febri vacaret. Rogabis igitur forsan, vnde id quod occultatum erat esculentum esse coniecerim. Audi iam de hoc quoque turbationem animi. Quum puer neque causam esset dicturus in iudicio, nec luctaturus, neque certamen solemne initurus, aut denique à quoquam reprehensus fuisset, ob rem corpoream magis quàm animalem turbari eum ratio indicat. Quæ quum audiuisset Boëthus, Per deos, inquit, mirandum est tam nota medicamenta nullum medicorum cognouisse. Vnde clarè constat, & ipsos huiusmodi opus nunquam ostendisse; ac te omnia aliunde potius, quàm ex medicina, facere dictitant. Videntur autem, aiebat, non modò ignorare qualis sit contendentium pulsus, sed neque si fortè aliquis ipsorum nouit, quæ tu ratione disquisieris, posse disquirere: eo quòd nec natura prudentes, nec disciplina mentem exercuerunt. At in malignitatis (aiebam) operibus & exercitati & sapientes sunt.

CAPVT VIII.

Boëthi vxorem vteri profluuio laborantem præter spem aliorum sanat.

Horum igitur, ô Posthume, teipsum testem habeo; aliorum autem multorum, quæ in prima profectione omnia à me gesta sunt, alios. Audiuisti autem ea ab illis, qui à me sunt curati. Vnū igitur reuera mirabile, non tantū me præter omnium opinionē dicentē, vt antea pleriq; medicorum nominabant, sed etiam præter opinionem facientē, appellari effecit. Nam Boëthi vxor fluore muliebri vt appellant infestata, quum per initia celebres

celebres medicos, è quorum numero & ego iam vnus esse omnibus videbar, reuereretur, consuetis obstetricibus optimis quibusque in vrbe seipsam concredidit. Postquam verò nihil iuuaretur, Boëthus congregatos nos omnes consulebat, quid esset faciendum. Quum itaque inter nos conuenisset, vt secundum scriptam ab Hippocrate, & præstantissimis post ipsum curationem vniuersa fierent; qúmque ipse Boëthus cuperet me frequenter famulantibus ipsi mulieribus adesse, ac materias particularium præsidiorum vniuersalem scopum respicientium, intueri; quæ huc potissimum spectabant, vt siccarent quidem, non modò vteri regiones, sed etiam totum corpus, ita vt & vnctiones astrictoriæ muliebribus locis adferrentur, sic faciebam. Verùm quum hæc agendo, dispositio deterior fieri appareret, dubitatio vt verisimile est, omnes nos inuasit; ac quærentibus aliam curationis rationem ad quam digrederemur, non ex ratione aliquis inuenit, neque ab experientia suggerebat meliorem ea, quæ apud optimos medicos in confesso est. Interea & tumor aliquis in ventre visus est similis ei, qui grauidis accidit, quem nonnullæ mulieres ex iis, quæ ipsi inseruiebant, existimarunt reuera ob conceptum accidisse, non tamen aliorum medicorum quisquam arbitrabatur. Nam muliebris fluxus notæ, quæ quotidie excernebantur, opinioni huic repugnabant. Qum itaque mulier eam obseruans, quam præstantissimam esse crediderat, tum alia faceret, vt in grauida, tum quotidie lauaret, accidit in prima balnei domo, vt vehementissimo dolore oborto, quales parientibus accidere consueuerunt, aqueus humor euacuaretur tantus, vt animo defecto mulier è balneo exportaretur. Dum autem famulæ ipsius lugerent, clamarentque omnes, nulla verò nec pedes, nec manus, nec os ventriculi, quod sanè & stomachum consueto vocabulo appellant, perfricaret, ego forte-fortuna ante externum balnei ostium stans, clamore exaudito insilij; ac intuitus ipsam perfrixisse, nardino vnguento in manus sumpto stomachū fricui, iussique præsentibus, ne frustra vociferantes, otiosæ consisterent, sed aliæ pedes excalefacerent, aliæ manus; nonnullæ odoramenta naribus offerrent, atque his tunc statim ipsam recollegimus. Lætabatur autem mirificè obstetrix, ventre ob euacuationem compresso, non adeò quòd falsa esset quæ parere ipsam opinaretur: sed quòd dispositioni nobis non credentibus contradixerit, ceu rem scientificè noscens. Porrò dum ambigimus quid faciendum esset, similíne, vt prius, scopo mulierem medicari auderemus, an ad alium transire, solicito mihi per noctem tale quid in mentem venit: Ac memini, deliquio animi, vt dicebam, orto, quando etiam mulieres nihil quidē auxiliari dicebam, astare autem plorantes, ego verò vnguento nardino in manus sumpto, os ventriculi & præcordia perfricarē, tantam in his regionibus mollitiem musculorum per præcordia inuenisse, vt quum per initia violentius ea infricare statuissem, timens postea ne carne pressa partem quandam liuidam efficerem, à violentia destiti. Vt enim quis per summa voluerit assimilare omnia præcordiorum loca, similia lacti sanè in casei generationē coalescenti, non tamē iam cōcreto mihi apparuerunt. Itaque immoderatam affectus casei modo aquosi humiditatem siccare omnes statuimus, ac curationis modum inuenire,

A αἰδουμένη τοὺς ἀξιολόγους ἰατρούς, ὧν εἷς ἤδη κἀγὼ πᾶσιν ἐδόκουν εἶναι, ταῖς συνήθεσι μαίαις, ἀρίσταις οὔσαις τῶν κατὰ τὴν πόλιν, ἑαυτὴν ἐπέτρεπεν. ὡς δ' οὐδὲν ὠφελεῖτο, πάντας ἡμᾶς ὁ Βοηθὸς ἀθροίσας, ἐπεσκοπεῖτο τί χρὴ ποιεῖν. ὡς δὲ συνωμολογήθη κατὰ τὴν γεγραμμένην ὑφ' Ἱπποκράτους τε, καὶ τῶν ἀρίστων μετ' αὐτὸν ἰατρῶν θεραπείαν ἅπαντα πράττειν, ἀξιώσαντος αὐτοῦ, καὶ συνεχῶς ἐπιφαίνεσθαί με ταῖς ὑπηρετούσαις αὐτῇ γυναιξὶν, ὁρᾶν τε τὰς ὕλας τῶν κατὰ μέρος βοηθημάτων πρὸς τὸν καθόλου σκοπὸν ἀποβλέποντα, κεφάλαιον ἔχοντα, ξηραίνειν μὲν οὐ μόνον τῆς μήτρας τὰ χωρία, ἀλλὰ καὶ σύμπαν τὸ σῶμα, B προσφέρειν τε καὶ ἀλειμμάτων στυφόντων τοῖς γυναικείοις τόποις, ἐποίουν οὕτως. ἐπεὶ δὲ ταῦτα πραττόντων, ἐφαίνετο χείρων ἡ διάθεσις ἀποτελουμένη, κατὰ τὸ εἰκὸς ἀπορία πᾶσιν ἡμῖν ἐγίνετο, καὶ ζητοῦσιν ἑτέραν ἀγωγὴν θεραπείας, ἐφ' ἣν μεταβαίνομεν, οὔτ' ἐκ λογισμοῦ τις εὕρισκεν, οὔτ' ἐκ πείρας ὑπεμιμνήσκετο βέλτιον τῆς ὑπὸ τῶν ἀρίστων ἰατρῶν ὁμολογουμένης. ἐν τούτῳ δὲ καὶ ὄγκος τις ὤφθη κατὰ τὴν γαστέρα, παραπλήσιος τῷ γινομένῳ ταῖς κυούσαις, ὡς ἔνιαι τῶν θεραπευουσῶν αὐτὴν γυναικῶν ᾠήθησαν ὄντως ἐπὶ κυήσει γενέσθαι, οὐ μὴν τῶν γε ἄλλων ἰατρῶν τις ἐπείθετο. τὰ γὰρ ἐκκρινόμενα γνωρίσματα C ὄντα τοῦ ῥοῦ τοῦ γυναικείου, καθ' ἑκάστην ἡμέραν ἀντιμαρτυρήσει τῇ δόξῃ ταύτῃ. τῆς φυλαττούσης οὖν αὐτὴν, ἣν ἐπεπιστεύκειμεν ἀρίστην εἶναι, τά τ' ἄλλα πραττούσης, ὡς ἐπὶ κυούσης, λουούσης τε καθ' ἑκάστην ἡμέραν, συνέβη κατὰ τὸν πρῶτον οἶκον τοῦ βαλανείου, σφοδροτάτης ὠδῖνος γενομένης, οἵας ταῖς τικτούσαις εἰώθασι συμπίπτειν, ὑδατῶδες ὑγρὸν ἐκκενωθῆναι τοσοῦτον, ὡς λειποθυμήσασαν ἐξενεχθῆναι τοῦ βαλανείου τὴν γυναῖκα. καλουσῶν δὲ καὶ κεκραγυιῶν τῶν ἀμφ' αὐτὴν, οὐδεμιᾶς δὲ, οὐδὲ πόδας, οὐδὲ χεῖρας, οὐδὲ τὸ στόμα τῆς γαστρὸς, ὃ δὴ καὶ στόμαχον ὀνομάζουσι κατὰ τὸ σύνηθες, ἀνατριβούσης, D ἐγὼ κατὰ τύχην ἑστὼς πρὸ τῆς ἔξω θύρας τοῦ βαλανείου, κραυγῆς ἀκούσας, εἰσεπήδησα καὶ θεασάμενος ἀπεψυγμένην αὐτὴν, εἰς χεῖρας λαβὼν ναρδίνου μύρου, τὸν στόμαχον ἀνατρίβειν ἐγκελευσάμενος ταῖς παρούσαις, μὴ μάτην ἑστάναι κεκραγυίας· ἀλλὰ τὰς μὲν τοὺς πόδας ἐκθερμαίνειν, τὰς δὲ τὰς χεῖρας· ἐνίας δ' ὀσφραντὰ προσφέρειν τῇ ῥινί· τότε μὲν ἀνεκτησάμεθα ταχέως αὐτήν. ἥδετο δὲ μεγάλως ἡ μαῖα, προσταλείσης ἐπὶ τῇ κενώσει τῆς γαστρὸς, οὐχ οὕτως ἐπὶ τῷ σφαλῆναι ἐπὶ τῇ τοῦ τίκτειν δόξῃ. ἀλλ' ἐπὶ τὸ διατεταγμένον ἀπιστοῦσιν ἡμῖν ἀντιλέγειν, ὡς ἐπιστημονικῶς E εἰδυῖα τὸ πρᾶγμα. ἀποροῦντος δ' ἑκάστου ὅ,τι δεῖ πράττειν, καὶ μὴ κατὰ τὸν αὐτὸν σκοπὸν τῷ πρόσθεν ἰᾶσθαι τὴν γυναῖκα, κατατολμῶντας ἐφ' ἕτερον μεταβῆναι, φροντίζοντι νύκτωρ ἐπῆλθε τοιόνδε τι. λειποψυχίας αὐτῇ γενομένης, ὡς ἔφην, ὁπότε καὶ τὰς γυναῖκας εἶπον οὐδὲν μὲν βοηθεῖν, ἑστάναι δὲ κλαιούσας, ἐμαυτόν τε μύρον νάρδινον εἰς τὰς χεῖρας λαβόντα, τὸ στόμα τῆς γαστρὸς, καὶ τὸ ὑποχόνδριον διατρίβειν, ἀνεμνήσθην ὅτι τοσαύτην εὗρον ἐν τοῖς χωρίοις τούτοις μαλακότητα τῶν ὑποχονδρίων μυῶν, ὡς ἐμὲ γοῦν ἐν ἀρχῇ, βιαιότερον ἀνατρίβειν αὐτὰ διεγνωκότα, φοβηθέντα μὴ θλίψας τὴν F σάρκα, πελιδνόν ἐργασαίμην τι μόριον, ἀποστῆναι τοῦ βιαίου. ὡς γὰρ ἄν τις ἄκρως εἰκάσαι βουληθείη παραπλήσια γάλακτι μὲν πηγνυμένῳ εἰς τυροῦ γένεσιν, οὐ μὴν ἤδη γε πεπηγότι, κατεφαίνη μοι κατὰ τὸ ὑποχόνδριον ἅπαντα. τοῦ μὲν οὖν ξηραίνειν τὴν ἄμετρον ὑγρότητα τοῦ πάθους ὑδατώδους ὄντος τυροῦ, πάντες ἔχεσθαι διεγνώκαμεν, ἐξευρεῖν δὲ τρόπον ἰάσεως,

forte leg. τῷ διατεταγμένως ἀπιστοῦσιν

οὐ διὰ ξηραινούσης ὕλης μόνον, ἀλλὰ καὶ θερμαινούσης ὅπως μὴ τήκοιτο τὸ σῶμα, ψυχρᾶς κράσεως ἀμέτρως ὑπάρχον· καὶ μάλιστ' ἐπὶ τῇ θέρους ὥρᾳ κατ' ἐκεῖνον τὸν καιρὸν ἡμεῖς τοὐναντίον ἐπράττομεν, ἐν θαλαττίᾳ ψάμμῳ θερμῇ κατακλίναντες αὐτήν· λογισάμενος δέ τι καὶ ἄλλο κοινότερον ἁμάρτημα, κατὰ τὰ πλεῖστα τῶν παθῶν ἑκάστοτε γιγνόμενον ὑπὸ τῶν ἰατρῶν, κενούντων μὲν τὸ περιττὸν, ὅπως δὲ μὴ γένοιτο παραπλήσιον τῷ κενωθέντι παραλειπόντων· ἐνενόησα τὸν σκοπὸν τῆς διαίτης ποιήσασθαι. διά τε πόματος ἐλαχίστου, καὶ τρίψεως ὅλου τοῦ σώματος, ἔτι τε χρίσεως οὕτω σκευαζομένης, οὐ διὰ πίττης τε καὶ ῥητίνης, ἀλλὰ διὰ μέλιτος μόνου μέχρι πλείονος μὲν ἑψηθέντος, ἀποψυχθέντος δ' εἰς τοσοῦτον, ὡς τούτῳ δὴ τῷ κατὰ τὰς κρήνας ὕδατι θέρους ὥρᾳ παραπλήσιον εἶναι. καθάπερ δὲ διὰ τοῦ δέρματος ἔγνων ἄμεινον εἶναι διαφορεῖν τὴν περιττὴν ὑγρότητα, τὸν αὐτὸν τρόπον οὐρητικοῖς τε φαρμάκοις ἐπὶ τὴν κύστιν αὐτὴν ποδηγεῖν· ἐπιμελεῖσθαι δὲ τοῦ καὶ διὰ κάτω γαστρὸς ὑπάγεσθαι. πειραθεὶς δ' ἐν ταῖς μετὰ τὴν ἀθρόαν ἔκκρισιν ἡμέραις ἐφεξῆς, ὡς ἑπτὰ, καθ' ἃς ὁ μὲν Βοηθὸς ἅπαντας ἡμᾶς ἰδίᾳ τε, καὶ κοινῇ παρεκάλει σκοπεῖσθαί τινα θεραπείας τρόπον, ἀπαγαγὼν αὐτὸν ἀπὸ τῶν παρόντων οἰκετῶν τε, καὶ φίλων ἰδίᾳ ἐπὶ τῆς οἰκίας διελέχθην. οὐδὲν, εἰπὼν, ἄχρι τῆς σήμερον οὐδὲ καθ' ἕν με σφαλέντα τῶν ἰατρικῶν ἔργων ἐπιστάμενος, ἐπίσκεψαι κατὰ σαυτὸν εἰ συγχωρεῖς δέκα ταῖς πάσαις ἡμέραις, ἃς βούλομαι πρᾶξαι περὶ τὴν γυναῖκά σου· κἂν μὲν ἄμεινον ἔχειν ἑκάστοτε φαίνηται, μετὰ ταῦτα ἄλλαις τοσαύταις ἐπιτρέψῃς μοι πράττειν τι περὶ αὐτήν· εἰ δὲ μή, τότε κἀγὼ χωρισθήσομαι τελέως αὐτῆς. ἑτοίμως δέ μοι συγχωρήσαντος αὐτοῦ, πρῶτον μὲν ὑδραγωγῷ φαρμάκῳ διὰ τῆς κάτω γαστρὸς ἐκένωσα. μετὰ ταῦτα δὲ, πίνειν ὕδωρ ἐναφεψηθέντος ἀσάρου τε καὶ σελίνου. ἐπεὶ δὲ ταῖς πρώταις ἡμέραις δύο, τούτων γινομένων οὐδὲν ἐφαίνετο τοῦ ῥοῦ, κατὰ τὴν τρίτην ἔδωκα πάλιν οὐ πολὺ τοῦ διὰ τῆς κάτω γαστρὸς ἐκκενοῦντος τὸ ῥέπον ἔμπροσθεν εἰς τὴν μήτραν, οὐ μόνον δι' οὔρων, ἀλλὰ καὶ διὰ τῆς κάτω γαστρὸς παροχετεύειν βουλόμενος. καὶ μετ' αὐτὸ, ἔχριόν τε τῷ μέλιτι καθ' ἑκάστην ἡμέραν, ἀνέτριβόν τε τὸ σῶμα, τὰ μὲν πρῶτα, διὰ σινδόνων μαλακωτάτων, εἶτα διὰ σκληροτάτων· ἐδίδουν τε κρέα τῶν ὀρείων ὀρνίθων, ἰχθύων δὲ πετραίων. ὡς δὲ διὰ τούτων ἡμέραις πεντεκαίδεκα τῆς θεραπείας γινομένης, οὐδὲν ὅλως ἐφαίνετο τοῦ πάθους γνώρισμα, γνοὺς ὁ Βοηθὸς μεῖζον, ἢ κατὰ τὴν ὑπόσχεσιν εἰργασμένον με, τελέως ἐκθεραπεῦσαι τὴν διάθεσιν ἐδεῖτο, ὑποθήκας τε δοῦναι πρὸς τὸν λοιπὸν χρόνον, ὅπως μηκέθ' ὁμοίως νοσήσῃ. ἐπεὶ δὲ πληρωθέντος τοῦ μηνὸς, εὔχροος τε ἦν ἀκριβῶς, ὡς μηδὲν ἀποδεῖν ἀκριβῶς τῆς κατὰ φύσιν ἕξεως, οὐδὲν δὲ τοῦ ῥεύματος ἐπεφαίνετο, τετρακοσίους μὲν ἔπεμψέ μοι χρυσοῦς, ηὔξησέ τε τὸν φθόνον τούτων τῶν γενναίων ἰατρῶν, ἐφ' οἷς ἐτύγχανεν ἐπαινῶν με. καὶ μέντοι καὶ αὐτὸς ἑτοίμως ἦν, ὥσπερ ὅ, τε Σεβῆρος, τὰ γενόμενα κατ' ἐμὲ, τῷ τε κατὰ τὴν τῶν Ῥωμαίων πόλιν ὄντι Μάρκῳ Αὐρηλίῳ Ἀντωνίνῳ αὐτοκράτορι. Λούκιος γὰρ ἀπεδήμει τῆς πόλεως, ἕνεκα τοῦ Παρθικοῦ πολέμου γενηθέντος ὑπὸ Βολογέσου.

ex materie quæ non tantùm ſiccet, ſed etiam calefaciat ne corpus contabeſcat frigida temperie immoderatè præditum; præſertim quum æſtiuo tempore contrarium tunc nos moliamur maritimæ arenæ calidæ eam immittentes. Ratiocinatus autem etiam aliud quoddam communius peccatum in pleriſque affectibus frequenter à medicis committi, qui ſuperfluum quidem inaniunt, vt autem inanito ſimile generetur, dicere omittunt; cogitaui victus rationis conſilium inſtituere ex potione pauciſſima; totius corporis frictione, præterea vnctione ita præparata, non ex pice & reſina, ſed ex melle ſolo largius quidem cocto, ſed refrigerato tantùm, vt aquæ fontanæ æſtiuis horis ſit perſimile. At quemadmodum ſatius eſſe noui ſuperfluam humiditatem per cutem diſſipare, eodem modo vrinam mouentibus medicamentis ipſam ad veſicam deducere; cæterùm vt aluus ſubducatur cura habenda eſt. Facto autem diebus poſt ſubitam excretionem circiter ſeptem ſubſequentibus, experimento, ſecundum quos Boëthus omnes nos & priuatim & communiter rogabat, vt aliquem curationis modum proſpiceremus, abduxi tum eum à præſentibus & familiaribus & amicis in domo ſeorſim, ac cum eo diſſerui. In nullo, inquiens, ne in vno quidem opere medico hactenus erraſſe me quum ſcias, tu conſiderato apud te, an decem in totum diebus permiſſurus ſis ea quæ circa vxorem tuam facere inſtituo; & ſi melius habere quolibet die videatur, poſtea aliis totidem diebus aliquid ei facere concedes; ſin minus tunc & ego prorſus ab ea diſcedam. Quod quum promptè ille annuiſſet, primùm ſanè medicamento aquam ducente per aluum euacuaui; poſtea bibere aquam in qua decoctum ſit aſarum & apium. Vbi verò primis diebus duobus his adminiſtratis nihil ex fluore appaiuiſſet, tertio rurſus exhibui, non copioſè per aluum euacuans id quod prius in vterum vergebat, non modò per vrinas, ſed etiam per ventrem inferiorem deriuare cupiens. Poſt hæc corpus melle ſingulis diebus illeui, ac perfricui, primùm ſanè linteis molliſſimis, deinde duriſſimis; dedíque carnes auium montanarum, & piſces ſaxatiles exhibui. Poſtquam verò his remediis quintodecimo curationis die adueniente, nulla prorſus affectus nota appareret, Boëthus intelligens plus à me quàm eſſem pollicitus præſtitum, rogabat vt in totum diſpoſitionem perſanarem, præceptiones darem in reliquum tempus ne amplius ſimiliter ægrotaret. Quoniam verò menſe completo colorata exactè erat, vt nihil planè è naturali habitu deſideraretur, nihil quoque ex fluore conſpiceretur, quadringentos aureos ad me miſit, auxítque generoſorum horum medicorum inuidiam, inde quòd me laudibus extolleret. Quinetiam ipſe quemadmodum & Seuerus, opera à me geſta haud detrectabat indicare Romanorum vrbis Imperatori Marco Aurelio Antonino. Lucius enim ab vrbe diſceſſerat Parthici belli gratia, quod à Bologeſo ortum erat.

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Γαληνοῦ ἐπάνοδος εἰς τὴν πατρίδα, καὶ ἡ πρὸς τῶν αὐτοκρατόρων ἐπανάκλησις αὐτοῦ.

Κἀγὼ θεασάμενος αὐτῶν τὴν ὁρμὴν, καὶ δείσας μὴ φθασάντων τι πρᾶξαι, κωλυθῶ τῆς εἰς Ἀσίαν ἐπανό-

CAPVT IX.

Galeni reditus in patriam, eiuſque ab Imperatoribus reuocatio.

AC ego intellecta ipſorũ prõpta voluntate, ac veritus ne dũ hoc illi agerẽt à reditu in Aſiã impedirent,

impedirent, rogaui eos vt pauco tempore id differrent. Ego enim dicebam me tempus ipsis nunciaturum, quum hoc in gratiam meam fieri vellem. Quando igitur bellum cessasse intellexi, statim ex Romanorum vrbe discessi, ceu nimirum in Campaniam iturus, famulo videlicet vno relicto, qui domum obseruaret; cui iniunxi, vt nauigio ex iis quæ in Asiam proficiscuntur, inuestigato, vna die adducto quodam institorio ex Bebura emptore venderet ea, quæ in domo haberentur, exirétque protinus vrbem, & nauim ingressus, Siciliam adiret, inde in patriam reuerteretur. Hæc igitur paulopost gesta sunt. Ego autem per Campaniam profectus, illinc postea ad Brundusium contendi; quò perueniens statui prima quaque naui siue in Dyrrhachium, siue in Græciam nauigaret, permeare; veritus ne quis præpotentum virorum, vel etiam Imperator, cognito discessu, tanquam fugitiui, militem mitteret, quo me Romam iuberet reuerti. Ego itaque post vnum diem Cassiopen nauigaui. Amici autem Romæ dum me quærerent, & à famulo relicto sciscitarentur vbinam essem, audirent autem me in Campania agere, primùm sanè id quod factum erat suspicabantur; At procedente tempore, quum neque me, neque famulum meum Romæ viderent, intellexerunt ea quæ ab initio dicebam esse facta; atque tunc vix persuasum habebant omnes qui prius non credebant, reuera mihi institutum fuisse Romam relinquere, quoniam non falsò sed verè id dicebam. Haud multo tempore pòst Lucius reuersus est, sed alterius belli, quod contra Germanos susceptum erat, initium constitutum. Porrò vbi mentio de his, qui operibus non verbis medicinam philosophiámque ostenderent, fieret, haud pauci ex familiaribus ipsius talem me esse nominabant. Egressi igitur iam ex vrbe ad bellum, statuentésque per hyemem in Aquileia degere, ac præparato maturatóque exercitu mittunt ad me, iubentes, vt ad ipsos venirem. Verùm quum Lucius media hyeme fatis concessisset, frater ipsius corpore Romam translato, factísque ei iustis, profectionem ad Germanos suscepit, iniungens & me ipsum comitari. Quoniam autem benignus erat & humanus, potui, vt nosti, ab eo impetrare, vt Romæ manerem, quia statim erat rediturus. Toto igitur quo ipse aberat tempore, memor ego consuetæ vrbis medicorum & philosophorum improbitatis, decreui inde recedere aliàs in alium locum, vbicunque filius ipsius Commodus esset, qui à Pitholao educabatur; cui Imperator ipse Antoninus iniunxerat, vt si quando puer ægrotaret, me ad curationem eius accerseret. Quum autem ipse diutius in bello Germanico, quàm putarat, moraretur, vniuerso hoc tempore multa opera conscripsi & philosophica & medica, quæ rege Romam reuerso amicis petentibus exhibui, sperans ipsa apud solos illos fore. Nam si indignis communicatum iri sciuissem, ne illis quidem dedissem. Voco autem indignos, qui animo praui non vt discant aliquid ad lectionem se conferunt, sed vt quædam ex ipsis possint calumniari. In his igitur libris tota speculatio prænotionis ex pulsibus, & aliorum præsagiendi modorum tradita est. Quam igitur prænotionem in altero Quintiliani filio molitus sum, si inde voles discere, ex

A δου, παρεκάλεσα βραχὺν ἐπισχεῖν χρόνον. ἐγὼ γὰρ ἔφην ἐρεῖν αὐτοῖς τὸν καιρὸν, ὁπότ' ἂν βουληθῶ τοῦτό μοι γενέσθαι. καὶ τοίνυν ὅτ' ἂν ἐπυνθανόμην πεπαῦσθαι τὴν στάσιν, ἄφνω τῆς Ῥωμαίων πόλεως ἐξῆλθον, ὡς δῆθεν εἰς Καμπανίαν ἀπιὼν, ἕνα καταλιπὼν οἰκέτην φυλάττοντα τὰ κατὰ τὴν οἴκησιν· ᾧ προσέταξα πλοῖον ἐπιτηρήσαντι τῶν εἰς Ἀσίαν ἐξιόντων, ἡμέρᾳ μιᾷ τῶν ἐκ τῆς Βηβούρας κερκώπων παραλαβόντα τινὰ πωλῆσαί τε τὰ κατὰ τὴν οἰκίαν, ἐξελθεῖν τε παραχρῆμα, καὶ τῆς νεὼς ἐπιβάντα, κατὰ τὸν ἐπὶ Σικελίας πλοῦν εἰς τὴν πατρίδα παραγενέσθαι. ταῦτα μὲν οὖν ὀλίγον ὕστερον ἐπράχθη. ἐγὼ δ' ἀνὰ

B Καμπανίαν γενόμενος, εἶτ' ἐκεῖθεν ἐπορευσάμην εἰς τὸ Βρεντήσιον· ἀφικόμενος δὲ ὥρισα κατὰ τὴν πρώτην ἀναγομένην ναῦν, εἴτ' ἐς Δυρράχιον, εἴτ' ἐπὶ τῆς Ἑλλάδος πλέοι, διαπεραιωθῆναι· δεδιὼς μή τις ἄρα τῶν πολὺ δυναμένων ἀνδρῶν, ἢ καὶ αὐτὸς ὁ αὐτοκράτωρ γνούς μου τὴν ἔξοδον, ὡς δραπέτου πέμψας στρατιώτην εἰς Ῥώμην ἐπανελθεῖν κελεύσειεν. ἐγὼ μὲν οὖν οὕτως μετὰ μίαν ἡμέραν εἰς Κασσιόπην ἔπλευσα. ζητοῦντες δέ με οἱ ἐν Ῥώμῃ φίλοι, παρά τε τοῦ καταλειφθέντος οἰκέτου πυνθανόμενοι πού ποτ' εἴην, ἀκούοντες δὲ ἐν τῇ Καμπανίᾳ διατρίβειν με, τὸ μὲν πρῶτον ὑπώπτευον τὸ γεγονός· προϊόν-

C τος δὲ τοῦ χρόνου, μήθ' ὁρῶντες, μήτε τὸν ἐμὸν ἄνθρωπον ἐν Ῥώμῃ, ἔγνωσαν πεποιηκότα με τὰ ἐξ ἀρχῆς λεγόμενα· καὶ τότε μόγις ἐπείσθησαν ἅπαντες οἱ πρόσθεν ἀπιστοῦντες ὄντως προκεῖσθαί μοι καταλιπεῖν τὴν Ῥώμην, ὅτι μὴ ψευδῶς, ἀλλ' ἀληθῶς ἔφασκον τοῦτο. μετὰ χρόνον δ' οὐ πολὺν, ἐπανεληλυθότος τοῦ Λουκίου, πολέμου δ' ἑτέρου τοῦ πρὸς Γερμανοὺς πολεμηθέντος αὖθις ἀρχὴ καθεστήκει. γενομένου δὲ λόγου περὶ τῶν ἔργοις, οὐ λόγοις ἐπιδεικνυμένων ἰατρικήν τε, καὶ φιλοσοφίαν, οὐκ ὀλίγοι τῶν περὶ αὐτοὺς, ὠνόμαζον ἐμὲ τοιοῦτον ὑπάρχειν. ἐξωρμηκότες οὖν ἤδη τῆς πόλεως, ὡς ἐπὶ τὸν πόλεμον, ὡρι-

D κότες τε τοῦ χειμῶνος ἐν Ἀκυληΐᾳ διατρίψαι, παρεσκευακότες τε, καὶ συγκροτοῦντες τὸ στράτευμα, πέμπουσιν ὡς ἐμὲ κελεύοντες ἥκειν ὡς αὐτούς. ἀλλὰ τοῦ Λουκίου κατὰ μέσον τοῦ χειμῶνος μεταστάντος εἰς θεοὺς, ὁ ἀδελφὸς αὐτοῦ κομίσας εἰς Ῥώμην τὸ σῶμα, καὶ ποιήσας ἀμφ' αὐτῷ τὰ νομιζόμενα, τῆς ἐπὶ τοὺς Γερμανοὺς ὁδοιπορείας εἴχετο κελεύων ἕπεσθαι κἀμέ. χρηστὸν δ' ὄντα καὶ φιλάνθρωπον αὐτὸν, ἐδυνήθην, ὡς οἶσθα, πεῖσαι καταλιπεῖν ἐν τῇ Ῥώμῃ με, καὶ γὰρ διὰ ταχέων ἐπανήξειν. παντὶ δ' οὖν τῷ τῆς ἀποδημίας αὐτοῦ χρόνῳ, μεμνημένος τῆς συνήθους κακοηθείας τῶν κατὰ τὴν πόλιν ἰατρῶν τε καὶ φιλο-

E σόφων, ἔγνων ἀναχωρεῖν αὐτῆς ἄλλοτε εἰς ἄλλο χωρίον, ἐν ᾧπερ ἂν ὁ υἱὸς αὐτοῦ Κόμμοδος, ὑπὸ Πειθολάῳ τρεφόμενος ἐντολὰς ἔχοντι παρ' αὐτοῦ τοῦ αὐτοκράτορος Ἀντωνίνου, καλεῖν πρὸς τὴν ἐπιμέλειαν ἐπὶ παιδὸς εἰ νοσήσειέ ποτε. παρὰ προσδοκίαν δ' αὐτοῦ χρονίσαντος ἐν τῷ Γερμανικῷ πολέμῳ, παντὶ τούτῳ τῷ χρόνῳ πολλὰς πραγματείας ἔγραψα, φιλοσόφους τε καὶ ἰατρικὰς, ἃς ὑποστρέψαντος τοῦ βασιλέως εἰς τὴν Ῥώμην, αἰτήσασι τοῖς φίλοις ἔδωκα, παρὰ μόνοις ἐκείνοις ἐλπίσας αὐτὰς ἔσεσθαι. ὡς εἴ γε ἠπιστάμην ἐκδοθήσεσθαι τοῖς ἀναξίοις, οὐκ ἂν οὐδ' ἐκείνοις ἔδωκα. καλῶ δ'

F ἀναξίους, ὅσοι μοχθηροὶ τὴν ψυχὴν, οὐκ ἕνεκα τοῦ μαθεῖν τι πρὸς τὴν ἀνάγνωσιν ἥκουσιν, ἀλλ' ὅπως ἐπηρεάσαι τινὰ δυνηθῶσιν ἐξ αὐτῶν. ἐν τούτοις οὖν τοῖς βιβλίοις ἡ θεωρία πᾶσα γέγραπται, τῆς τε διὰ τῶν σφυγμῶν προγνώσεως, καὶ τῶν ἄλλων προγνωστικῶν σημείων. ἣν οὖν πρόγνωσιν ἐποιησάμην ἐπὶ θατέρου τῶν Κυιντιλιανοῦ υἱῶν ἐξ αὐτῶν βουληθέντι σοι μαθεῖν,

ἐκ τίνος θεωρίας ἐλέγετο, ῥᾳδία καὶ καταφανὴς ἔσται, τὴν περὶ κρίσεων πραγματείαν ἀναγνόντι, γεγυμνασμένῳ τὸν λογισμὸν ἐκ παιδὸς ἐν γεωμετρίᾳ τε καὶ διαλεκτικῇ. τοῖς πολλοῖς δὲ τούτοις ἰατροῖς, ὅσοι τῆς μὲν ἐν τοῖς ἔργοις γυμνασίας ἀπέστησαν, εἰς πανουργίαν δ' ἐκτραπόμενοι, τὴν ἐπ' αὐτῇ τέχνην ἤσκησαν, οὔτε γνωσθῆναί τι τῶν γεγραμμένων δύνανται, οὔτε ἀκουσθῆναι.

A qua speculatione facta sit, facilis & perspicua tibi erit, quum opus de crisibus perlegeris, ingeniúmque à puero exercueris in geometria & dialectica. At vulgares hi medici, qui ab operum exercitio destiterunt, ad imposturas autem conuersi, artem in eis exercuere, neque intelligere quippiam ex iis quæ sunt scripta, possunt, nec audire.

ΚΕΦΑΛΑΙΟΝ Ι'.

Πρόγνωσις ὑποστροφῆς πυρετοῦ, καὶ λύσις αὐτῆς δι' ἱδρῶτος.

B Σέξτος οὖν Ἀντωνίνου υἱὸς, ἤρξατο μὲν ὀξύτατα νοσεῖν, ὡς μὴ δύνασθαι τὴν ἑβδόμην ἡμέραν ὑπερβαλεῖν, ἄνευ κρίσεως. ἥτις δ' αὐτοῦ τούτου πρόγνωσίς ἐστι, διὰ τῶν περὶ κρίσεως ὑπομνημάτων γέγραπται, δι' ὧν καὶ ὅτι προεκρήγνυται πολλάκις ἡ κρίσις, οὐ περιμείνασα τὴν πιστῶς κρίνουσαν, δεδήλωται. συμβῆναι δὲ τοῦτο τῷ Σέξτῳ δυνάμενον, ἔγνων κατὰ τὴν τετάρτην ἡμέραν, ὡς προειπεῖν ἐρομένῳ Πιθολάῳ τῷ κοιτωνίτῃ, ὅ,τι θεσπίζοιμι περὶ τῶν μελλόντων. ἤρετο γὰρ οὗτος, ἐπεί προεπειρᾶτό μου, πολλὰ τῶν δοκούντων τοῖς σοφωτάτοις ἰατροῖς ἀδυνάτων εἶναι, προειρηκότος. ἀπεκρινάμην οὖν C αὐτῷ γελάσας, τῆς μὲν ἑβδόμης ἡμέρας ἐξωτέρω μὴ δύνασθαι προελθεῖν τὸ νόσημα· κριθήσεσθαι δὲ πάντως, ἢ ἑκταῖον, ἢ ἑβδομαῖον. ἑκταῖον μὲν οὖν κριθὲν ὑποστρέφειν αὐτό· ἑβδομαῖον δὲ βεβαίαν ἕξειν τὴν κρίσιν· ἔσεσθαι μέντοι τὴν κρίσιν ἐξ ἀνάγκης δι' ἱδρῶτος. ἐπεὶ δὲ κατὰ τὴν ἕκτην ἡμέραν οὕτως γε ἐκρίθη, φιλόνεικος ὢν ἐσχάτως ὁ Σέξτος, ὅπως ἐλέγξῃ ἐμὲ μὴ γενομένης ὑποστροφῆς, ἐλούετο μὲν καθ' ἑκάστην ἡμέραν· οὔτε δ' οἶνον ἔπινεν, οὔτε προσηνέγκατό τι πλὴν χυλοῦ πτισάνης, ἢ αὐτὴν, ἢ μετὰ ψίχας ἄρτου· πολλάκις δὲ, καὶ αὐτὸς τὸν ἄρτον ἐν ὕδατι βρέξας ἠρκεῖτο μόνον. ταῦτα ποιήσας D ἄχρι τῆς δωδεκάτης ἡμέρας ἐκαυχήσατο κατ' αὐτὴν νενικηκέναι μου τὴν πρόγνωσιν. ἔπιε δὲ κατὰ τὴν τρισκαιδεκάτην ἡμέραν, τρίτῃ ὥρᾳ ὑδατώδους οἴνου βραχύ τι, σὺν τῷ καὶ τὴν ὅλην δίαιταν ἁδροτέραν βραχὺ ποιήσασθαι τῆς ἔμπροσθεν, ἔτι μέντοι φυλάττων λεπτήν· ἀλλὰ κατά τε τὴν ἑξῆς ἡμέραν ἀπὸ τῆς πρώτης κατακλίσεως τεσσαρεσκαιδεκάτην οὖσαν ἀρξάμενος πυρέττειν, ἐκέλευσε μηδένα μοι δηλῶσαι, νομίζων μηδὲ σφοδρὸν ἔσεσθαι τὸν πυρετὸν, μηδὲ πλέον ἡμέρας μιᾶς ἐκταθήσεσθαι αὐτόν. ἐπεὶ δὲ προϊούσης τῆς ἡμέρας, ἀεὶ καὶ μᾶλλον ἐφαιδρωύετο, Κλαύδιος Σεβῆρος ὑποστρέφων E εἰς τὴν ἑαυτοῦ οἰκίαν πλησίον οὖσαν τῆς ἐκείνου, πυθόμενος αὐτὸν πυρέττειν, ἐπορεύθη πρὸς αὐτὸν, ὁρῶν τε σφοδρῶς ἤδη πυρέττοντα, πρῶτον μὲν ἐπύθετο, τίνα γνώμην ἐγὼ περὶ τῆς ἀρχῆς τοῦ γεγενημένου πυρετοῦ νῦν αὐτῷ φαινοίμην ἔχων, ἀκούσας δὲ παρ' αὐτοῦ τὸ ἀληθὲς, ὡς διὰ φιλονεικίαν οὐκ ἐδήλωσε πορευθῆναί τινα πρός με, ἐκέλευσεν παρακαλεῖν με εἰς τὴν ἐπίσκεψιν τοῦ Σέξτου, καὶ μετὰ ταῦτα πρὸς αὐτὸν ἀφικέσθαι. τούτων γενομένων ἐπυνθάνετο, τί μοι δοκεῖ περὶ τῆς ὑποστροφῆς τοῦ νοσήματος. ἀπεκρινάμην οὖν αὐτῷ, ὅπερ καὶ τῷ Σέξτῳ προειρήκειν, μετὰ τρεῖς ἡμέρας λυθήσεσθαι τὴν ἐπιβολὴν ταύτην, ἱκανῶς θερμοῦ γενομένου τοῦ πυρετοῦ κατὰ αὐτάς· εἶτα κριθησομένου κατὰ τὴν ἑπτακαιδεκάτην ἀπὸ τῆς ἀρχῆς ἡμέραν. Σέξτος οὖν ἡδέως ἀκούσας τὴν ἐν τάχει γενησομένην λύσιν, ἑτοίμως ἐπίστευσεν· ὁ γὰρ ἕκαστος βούλεται δηλονότι, τοῦτο καὶ οἴεται γενήσεσθαι. Σεβῆρος δ' ὅτι οὐκ ἂν σφαλείην ὑπὸ τοῦ

CAPVT X.

Recidiuæ febris prænotio, & illius per sudorem discessus.

Sextus igitur Antonini filius, acutissimè cœpit laborare, vt septimum diem citra crisim egredi non posset. Quæ verò huius ipsius prænotio sit, commentariis de crisi proditum est; quibus etiam crisim frequenter anteuertere ac prærumpi, dum non expectat diem fideliter decernentem, ostendimus. Hoc autem quum Sexto posset accidere, statui in quarto die ceu prædicere Pitholao, roganti quid de futuris augurarer. Interrogabat autem hic, quum præsciret me multa ex his, quæ sapientissimi medici fieri non posse arbitrantur, præsagiisse. Respondi igitur ipsi ridens, extra septimum quidem diem morbum progredi non posse, sed omnino aut sexto aut septimo crisim experturum. Quòd si igitur sexto fuerit iudicatus, recidiuam eius esse timendam; sin autem septimo, firmam habiturum crisim, eámque fore necessariò per sudorem. Postquam verò sexto die crisim ita expertus esset Sextus, natura admodum contentiosus, vt me corriperet, recidiua non facta, lauabat sanè quotidie, neque vinum bibebat, neque aliquid præter ptisanæ cremorem, vel solum, vel cum micis panis assumebat; frequenter & pane ipso in aqua macerato contentus erat. His ad duodecimum vsque diem factis iactitabat, in eo prænotionem meam se vicisse. Bibit autem tertiodecimo die horâ tertiâ vini aquosi pauxillulum, necnon totam victus rationem pleniorem paulo priori instituit, seruans tamen adhuc tenuem. Sequenti die à primo decubitu quartodecimo, febricitare orsus, iussit vt nemo mihi indicaret, putans neque vehementem fore febrem, neque die diutius vno duraturam. Vbi verò procedente die semper etiam magis incrudesceret, Claudius Seuerus reuertens in suam ipsius domum illi vicinam, quum audiret ipsum febricitare, ad ipsum profectus est, ac vehementer iam affligi offendens, primùm sanè rogabat quam sententiam ego de ortæ febris initio nunc habere ei viderer, auditáque ab ipso veritate, quòd ob contentionem noluerit quenquam ad me qui indicaret, accedere, Claudius ipse iussit vt Sextum inuiserem, ac postea ad ipsum accederem. Quibus factis rogabat, quid mihi de morbi recidiua videretur. Respondi igitur ei quod & Sexto prædixeram, post tres dies accessionem hanc solutum iri, febri in ipsis admodum calida reddita; deinde crisim septimodecimo post initia die expertura. Sextus igitur libenter audiens solutionem breui futuram, promptè credidit: quod enim nimirum vnusquisque cupit, id etiam futurum putat. Seuerus autem quòd quidẽ

non errassem in Sexto seruando, fidem mihi adhibuit; veruntamen diem quo prorsus à morbo liberaretur non credidit; difficile esse autumans, vt non expectato vel sequenti die certi aliquid de his, quæ quarto die futura erant, pronunciarem. Atque sic affectus misit multo manè ad domum Sexti, dicens se expectare vt me vocet, quò postquam illum inuisissem ad se venirem. Vt igitur inuisi Sextum, ad ipsum sum profectus. Contradices, inquit, iis quę heri protulisti? aut in iisdem perfistes? Postquam verò nunc magis quàm heri eadem ac consentanea prioribus pronunciare me dixissem, à prandio rursus aduocatum interrogabat denuo, an firmiter crisim Sexto futuram persuasum haberem. Audiuit igitur me id magis quàm heri affirmare. Item secundo die rogabat, eandem ne sententiam cum prædictis seruarem, an aliquid ex prolatis immutarem; Imò, inquam, tantùm abest vt quid ex illis immutem, vt etiam nonnihil commemoratis adiiciam. Quo audito ille quærebat, quid id esset; dixi, nocte septimadecima præterita, sudorem circa horam secundam noctis incepturum. Num igitur hęc quoque narrasti Pitholao ait? Respondi & me dixisse, & illum habere persuasum nihil à me vel in prædictione, vel curatione esse erratum. Omnino igitur (inquit ille) etiam Imperatori Pitholaus hæc indicauit? Ad quod ego respondi, pro arbitrio Pitholaus agat, gloriam ex huiusmodi non admodum venor; quippe non obambulo, prænotiones meas, ac curationes præconio efferens, quò magis tum medici, tum philosophi me odio prosequantur, præstigiatorem, & vatem appellantes, aliáque id genus, conuitia in nomen meum proclamantes. Vobis autem amicis, qui artem medicam ex horum inscitia damnastis, ostendo sanè eam & Apolline & Æsculapio dignam, medicos autem hos ipsam dehonestare; sicut etiam philosophos, philosophiam, qui quum ne vllo quidem idiota incorruptius viuant, venerando philosophiæ nomine se appellari patiuntur. Hæc quidem Seuero dixi. Tu autem ô Posthume, medicorũ ferè omnium malitiam nouisti, qui me successu prospero frustari manifestò optant, mittúntque toto die qui quid accidat indipiscantur, eisq; nuncient. Non enim sciuerant me Seuero & Pitholao prædixisse, vesperi crisis futurum principium conspectum iri. Postquam autem circa septimam horam accessionem Sextum inuasisse intellexerunt, in cachinnos soluti; palámque gauisi omnibus qui occurrebant, conuitiosè dixerunt, mirandam Galeni diuinationem contrario modo euenisse. Oborta verò crisi, vt prædixeram pridie, vice versa omnes pudore suffusi sunt; quum tamen hæc prænotio nihil haberet admiratione dignum, vt ostendi tibi cùm in cõmentariis in primũ de morbis publicè grassantibus, tum præterea in opere de crisibus. At hi medici non modò quæ à veteribus scripta sunt, ignorant, sed ne dies quidem adhuc post septimũ numerare possunt, præsertim si æger à febri immunis, rursus ex recidiua febricitet. Attamẽ Hippocrates in Epidemiorum libris omnes dies in singulis ęgrotantibus adusque solutionẽ extremã, non solũ eam quę quartodecimo die; sed etiam quæ sexagesimo, aut octogesimo accidit, memoriæ prodidit. Hæc igitur prædictio, vt dixi, tãquã admirãda etiam vulgaribus istis medicis putabatur, sed talis reuera non erat; sicut nec curatio pueri ipsius Cõmodi, quæ iis, qui aderant consciis, peregrè illo agẽte fuit administrata.

A σωθήσεσθαι τὸν Σέξτον ἐπίστευσέ μοι· τὸ δὲ τῆς ἡμέρας ἐν ᾗ τελέως ἀπαλλαγείη τοῦ νοσήματος, οὐκ ἐπίστευε, δύσκολον εἶναι νομίζων, αὐτὸν τοῦ περιμεῖναι κἂν τὴν ἑξῆς ἡμέραν, ἀποφήνασθαί τι βέβαιον περὶ τῶν εἰς τετάρτην ἡμέραν ἐσομένων. ἅτε δὴ οὕτως διακείμενος, ἔπεμψεν ὄρθρου βαθέος ἐπὶ τὴν οἰκίαν Σέξτου περιμένοντά τε, καὶ πρὸς αὐτὸν ἄξοντα, μετὰ τὴν ἐσομένην ἐπίσκεψιν. ὡς δὲ θεασάμενος τὸν Σέξτον ἐπορεύθην πρὸς αὐτὸν, ἀντιφήσεις, ἔφη, οἷς χθὲς εἶπες; ἢ διαμένεις ἐπὶ τῶν αὐτῶν; ἐπεὶ δὲ νῦν μᾶλλον ἔφην, ἢ χθὲς ἀποφήνασθαί μοι τὰ αὐτὰ, μετ᾽ ἄριστον αὖθις με καλέσας, ἤρετο πάλιν εἰ βεβαίως εἴην πεπεισμένος Σέξτῳ ἐσομένην κρίσιν. ἤκουεν οὖν B παρ᾽ ἐμοῦ, μᾶλλον ἢ χθὲς ἔχειν διατείνασθαι. ὡς δὲ καὶ τὴν δευτέραν ἡμέραν ἐπύθετό μου, πότερον φυλάττοιμι τὴν αὐτὴν γνώμην ἐπὶ τοῖς προειρημένοις, ἤ τι καὶ μετακινοίμι τῶν ῥηθέντων, ἤκουσεν οὐδὲν μὲν ἐκείνων κινεῖν, προστίθεσθαι δέ τι τοῖς εἰρημένοις ἔχων. καὶ ὃς αὖθις ἤρετο, τί τοῦτό ἐστιν; ἤκουσεν ὅτι διελθούσης τῆς ἑπτακαιδεκάτης ἡμέρας, ἄρξασθαι τὸν ἱδρῶτα περὶ δευτέραν ὥραν νυκτερινήν. ἆρ᾽ οὖν, ἔφη, καὶ Πειθολάῳ ταῦτ᾽ εἶπας; εἰρηκέναι τε ἔφην αὐτῷ, καὶ πεπεῖσθαί γε ἐκεῖνον, ὡς οὐκ ἂν σφαλείην ἐν τῇ προρρήσει, καὶ θεραπείᾳ. C πάντως οὖν ἔφη, καὶ τῷ αὐτοκράτορι δεδηλωκέναι Πειθόλαον. ἴσως, ἔφην, οὕτως ἔφη· ἐμοὶ δὴ, οὐ μέλει τῆς ἐπὶ τοῖς τοιούτοις δόξης, οὐ γὰρ περιέρχομαι κηρύττων τὰς ἐμὰς προγνώσεις τε καὶ θεραπείας, ἵνα μᾶλλον οἱ ἰατροί τε καὶ φιλόσοφοί με μισῶσι, γόητά τε καὶ μάντιν, ἕτερά τε κατ᾽ ἐμοῦ τοιαῦτα θρυλλοῦντες. ὑμῖν δὲ τοῖς φίλοις, ὅσοι κατεγνώκατε τῆς ἰατρικῆς τέχνης ἐκ τῆς τούτων ἀμαθίας, ἐπιδείκνυμι τὴν μὲν τέχνην ἀξίαν Ἀπόλλωνός τε καὶ Ἀσκληπιοῦ· τοὺς δὲ ἰατροὺς τούτους ὑβρίζειν αὐτήν· ὥσπερ καὶ τοὺς φιλοσόφους φιλοσοφίαν, οἵ γε μηδενὸς ἰδιώτου βέλτιον βιοῦντες, ὀνομάζουσιν αὐτοὺς ὀνό- D ματι σεμνῷ τῷ τῆς φιλοσοφίας. ταῦτα μὲν εἶπον τῷ Σεβήρῳ. σὺ δὲ, ὦ Ἐπίγενες, ἔγνως τὴν κακοήθειαν τῶν ἰατρῶν σχεδὸν ἁπάντων εὐχομένων φανερῶς ἀποτυχεῖν με, πεμπόντων τε δι᾽ ὅλης ἡμέρας τοὺς γνωσομένους τε, καὶ ἀγγέλλοντας αὐτοῖς τὸ γινόμενον, οὐ γὰρ εἴδεσαν μὲν τῷ Σεβήρῳ καὶ Πειθολάῳ προειρηκότα, δείλης ὄψεσθαι ἐσομένην τὴν ἀρχὴν τῆς κρίσεως. ἐπεὶ δὲ περὶ τὴν ἑβδόμην ὥραν ἐπιπαροξυνθέντα τὸν Σέξτον ἐπύθοντο, καταγελῶντες, καὶ φανερῶς ἐπιχαίροντες, ἅπασι τοῖς ἀπαντῶσιν ἔλεγον κερτομοῦντες, ὡς ἡ θαυμαστὴ μαντεία τοῦ Γαληνοῦ, κατὰ τοὐναντίον ἀπέβη. γενομένης μέντοι τῆς κρί- E σεως, ὡς προειρήκειν κατὰ τὴν προτεραίαν (ἔφασαν ἑπομένην ἐναλλάξ) ἐτρέποντο πάντες αἰσχυνόμενοι, καὶ ταῦτα τῆς προγνώσεως οὐδὲν ἐχούσης θαυμαστόν, ὡς ἔδειξά σοι διά τε τῶν εἰς τὸ πρῶτον ἐπιδημιῶν ὑπομνημάτων, ἔτι τε τὴν περὶ τῶν κρίσεων πραγματείαν. τούτοις μέντοι τοῖς ἰατροῖς, οὐ μόνον ἀγνοεῖν ὑπάρχει τὰ γεγραμμένα τοῖς παλαιοῖς, ἀλλὰ μηδὲ τὰς ἡμέρας ἀριθμεῖν ἔτι μετὰ τὴν ἑβδόμην, καὶ μάλιστα ἐὰν ἀπύρετος γενόμενος ὁ κάμνων, αὖθις ἐξ ὑποστροφῆς πυρέττῃ. καίτοι παρ᾽ Ἱπποκράτους, κατὰ τῶν ἐπιδημιῶν βιβλία γεγραμμένων ἁπασῶν τῶν ἡμερῶν ἐφ᾽ ἑκάστῳ τῶν ἀρρώστων, ἄχρι τῆς ἐσχάτης λύσεως, F οὐ μόνον εἰ κατὰ τὴν ιδ´. ἡμέραν. ἀλλὰ καὶ κατὰ τὴν ξ´. ἢ π´. τύχῃ γενομένη. αὕτη μὲν οὖν ἡ πρόρρησις, ὡς ἔφην, εἰ καὶ θαυμαστὴ τοῖς πολλοῖς τούτοις ἰατροῖς ἔδοξεν, ἀλλ᾽ οὐ τοιαύτη γε κατ᾽ ἀλήθειαν ἦν· ὥσπερ οὐδὲ ἡ μετὰ γνώσεως τῶν ἐνεστώτων θεραπεία τοῦ παιδὸς αὐτοῦ Κομμόδου, κατὰ τὴν ἐπιδημίαν ἐκείνου γενομένη.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Διάγνωσις τῆς κοιλίας παθούσης ὑπὸ τῆς εἰσβολῆς τοῦ πυρετοῦ.

Θαυμαστὴ δ' ὄντως, ἡ νῦν ἐπ' αὐτοῦ τοῦ βασιλέως συμβᾶσα. δόξαντος μὲν καὶ αὐτοῦ, καὶ τῶν ἀμφ' αὐτὸν ἰατρῶν, ὅσοι συναπεδήμησαν αὐτῷ, παροξυσμόν τινα πυρετικὸν ἄρξασθαι· σφαλέντων δὲ πάντων, καὶ τῆς δευτέρας, καὶ τρίτης ἡμέρας ἕωθεν, καὶ περὶ τὴν ὀγδόην ὥραν. εἰλήφει δὲ τῆς προτεραίας τοῦ διὰ τῆς ἀλόης πικροῦ φαρμάκου περὶ πρώτης ὥρας, εἶτα τῆς θηριακῆς, ὡς ἔθος ἦν αὐτῷ καθ' ἑκάστην ἡμέραν προσφέρεσθαι, καὶ τότε προσενεγκαμένου περὶ ὥραν ἕκτην, εἶτα λουσαμένου περὶ δυσμὰς ἡλίου, καὶ βραχὺ τραφέντος, καὶ ἐπιγενομένων ὅλης τῆς νυκτὸς στρόφων, ἅμα τῇ διὰ τῆς κάτω γαστρὸς κενώσει· καὶ διὰ τοῦτο πυρέξαντος αὐτοῦ, καὶ τῶν ἀμφ' αὐτὸν ἰατρῶν θεασαμένων, ἡσυχάσαι τε κελευσάντων, εἶτα ῥοφήματι θρεψαμένων ὥρας ἐνάτης· ἐμοῦ δὲ μετὰ ταῦτα κληθέντος, ὅπως καὶ αὐτὸς ἐν τῷ Παλατίῳ κοιμηθείην, ἧκέ τις καλῶν ἡμᾶς, ἄρτι λύχνων ἡμμένων ὑπὸ τοῦ αὐτοκράτορος στελλόμενος. ὡς δὲ τριῶν ὄντων τῶν ἕωθέν τε, καὶ περὶ τὴν ἕω ἑωρακότων αὐτὸν, ἁψαμένων τε δυοῖν τῶν σφυγμῶν, ἐπισημασίας ἀρχή τις εἶναι πᾶσιν ἐφαίνετο, σιωπῶν δὲ εἱστήκειν ἐγώ. προσβλέψας με πρῶτον ἐπύθετο, διὰ τί τῶν ἄλλων ἁψαμένων, ἐγὼ μόνος οὐχ ἡψάμην. εἶπον οὖν αὐτῷ, ὅτι δύο ἤδη τούτων ἡμμένων, ἤδη δὲ ἴσως καὶ κατὰ τὴν μετὰ σοῦ γεγενημένην αὐτοῖς ἀποδημίαν, ἐγνωσμένης τῇ πείρᾳ τῆς ἰδιότητος τῶν σφυγμῶν σου, μᾶλλον αὐτοὺς ἐλπίζω διαγινώσκεσθαι τὴν ἐνεστῶσαν ἄρτι διάθεσιν. ὡς δ' εἰπόντος μου ταῦτα, καὶ αὐτὸν ἐμὲ κελεύσαντα ἅψασθαι, φανέντος μου τοῦ σφυγμοῦ περὶ τὸ κοινὸν μέτρον ἁπάσης ἡλικίας τε, καὶ φύσεως, ἀφεστηκέναι τοῦ δηλοῦντος ἀρχὴν ἐπισημασίας, ἀπεφηνάμην εἰσβολὴν μὲν οὐδεμίαν εἶναι πυρετοῦ, θλίβεσθαι δὲ αὐτοῦ τὸν στόμαχον ὑπὸ τῆς εἰλημμένης τροφῆς, φλεγματωθείσης μὲν πρὸ τῆς ἐκκρίσεως. ἐμφαινούσης δ' ἔπαινόν τινα τῆς διαγνώσεως αὐτῇ λέξει τῇδε, τρὶς ἐφεξῆς εἰπὼν αὐτό ἐστιν, αὐτὸ τοῦτο, ὃ εἶπες, ἐστίν. αἰσθάνομαι γὰρ ὑπὸ ψυχροτέρας τῆς τροφῆς βαρυνόμενος. καὶ ἤρετο τί ποιεῖν χρή. ἐγὼ δ' ἀπεκρινάμην ἅπερ ἔγνων, καὶ ἐλέχθη μοι πρὸς αὐτὸν, ὡς εἰ ἄλλος τις ἦν ὁ διακείμενος οὕτως, ἔδωκα ἂν αὐτῷ, καθάπερ εἴωθα, πιεῖν οἶνον πεπέρεως ἐπιπάσας. ἐφ' ὑμῶν δὲ τῶν βασιλέων, ἀσφαλεστάτοις βοηθήμασιν εἰωθότων χρῆσθαι τῶν ἰατρῶν, ἀρκεῖ ναρδίνῳ μύρῳ θερμῷ δεύσαντα μᾶλλον ἔριον ἐπιθεῖναι κατὰ τοῦ στόματος τῆς κοιλίας. ὁ δὲ καὶ ἄλλως εἰπὼν ἔθος ἐκείνῳ ὅταν ποτὲ μέμφηται τὸν στόμαχον, εἰλημμένον πορφυρέῳ ἐρίῳ τὸ νάρδινον μύρον ἐπιτιθέναι θερμόν. κελεύσας τε Πειθολάῳ πρᾶξαι τοῦτο, καὶ ἡμᾶς ἀπολῦσαι· ἐπιτεθέντος δ' αὐτοῦ, καὶ τῶν ποδῶν ἐκθερμανθέντων, ὑπὸ τῶν ἀνατριβόντων θερμαῖς ταῖς χερσὶν, ᾔτησεν οἴνου Σαβίνου, καὶ πεπέρεως ἐπιβαλὼν, ἔπιε. καὶ εἰπὼν τῷ Πειθολάῳ μετὰ τὸ πιεῖν, ὡς ἰατρὸν ἔχων ἕνα, καὶ τοῦτον ἐλεύθερον, πάνυ διετέλει τε περὶ ἐμοῦ λέγων ἀεὶ, καθάπερ οἶσθα καὶ σὺ, τῶν μὲν ἰατρῶν, πρῶτον εἶναι, τῶν δὲ φιλοσόφων, μόνον· ἐπεπείρατο γὰρ ἤδη πολλῶν, οὐ μόνον φιλοχρημάτων, ἀλλὰ καὶ φιλονείκων, καὶ φιλοδόξων, καὶ φθονερῶν, καὶ κακοήθων. ὅπερ οὖν ἔφην ἐγὼ, ταύτης τῆς ἐπισκέψεως, οὐδεμίαν ἄλλην ἡγοῦμαί μοι γεγονέναι θαυμαστοτέραν. ἐζητημένου γὰρ ἅπασι τοῖς ἄριστα τὴν περὶ τοὺς σφυγμοὺς τέχνην ἀσκήσασιν, ὧν εἷς καὶ Ἀρχιγένης ἐγένετο, τί σημεῖον ἴδιον ἐπισημασίας

CAPVT XI.

Ventriculi laborantis ab inuasione febris dignotio.

Illa porrò verè admirabilis, quæ in ipso Rege accidit; dum ipse quidem, ipsiúsque medici qui cum eo peregrinati fuerant, accessionem quandam febrilem incepisse opinarentur; errarent autem omnes, & in secundo & tertio die, manè, & circa horam octauam. Sumpserat pridie medicamentum ex aloë amarum hora prima; deinde Theriacen, vt consueuit quotidie assumere. Ac quum circa horam sextã ingessisset, mox sole occiduo lauisset, cibóque vsus esset modico, oborta sunt tota nocte tormina, necnon alui inanitio; eóq; ipse febri correptus est. Quod quum medici ipsius vidissent, conquiescere iusserunt, deinde sorbitione ad horam nonam aluerunt; post illa ego vocatus sum vt & ipse in Palatio dormirem; quo facto ecce venit aliquis qui nos lucernis accensis iussu Imperatoris accersiuit. Iam circiter tribus præsentibus, qui in diluculo ipsum inuiserant explorarántque pulsum, initium quoddam accessionis omnibus esse apparebat; ego autem, tacitus astabam. Intuitus me Imperator, primùm interrogabat, cur aliis pulsum tangentibus, ego solus non tangerem. Respondi igitur tunc in hunc modum. Quum hi bis iam tetigerint, & fortè iam pulsuum tuorum proprietatem vsu ac experientia cognitam habeant, vt qui tecum peregrinati fuerint, magis ipsos spero affectionem præsentem modò agnoscere. Quæ quum dixissem, iussissétque ipse me pulsum tangere, ísque appareret iuxta communem omnis & ætatis & naturæ mensuram, plurimùm abesse ab eo qui accessionis initium indicaret pronunciaui; inuasionem quidem nullam esse febris, sed stomachum assumpto alimento comprimi, quod in pituitam versum esset, antequam excerneretur. Quæ dignotio quum laudem aliquam mereretur, ipsis his verbis ter ordine Imperator dixit, Ipsum est, hoc ipsum quod dixisti est, sentio enim à frigidiore alimento me grauari. Rogabat igitur quid esset faciundum. Ego sanè respondi quæ sensi, dixíque ad eum; Quòd si alius quispiam ita esset affectus, darem ei, quemadmodum consueui, vinum potui, cui piper esset inspersum. In vobis autem regibus, quum medici præsidiis securissimis vti soleant, abundè est lanam potius nardino vnguento calido imbutam, ventriculi orificio imponere. Ille alioquin etiam sibi consuetudinem esse dixit, quum aliquando de stomacho conquereretur, nardinum vnguentum calidũ purpurea lana exceptũ, applicare. Quod quum Pitholao facere iussisset, ac nos dimitteret, imposita ea, & pedibus manuum calidarum confricatu excalfactis, vinum Sabinum postulauit, piperéque iniecto bibit; ac post potionẽ Pitholao dicebat, se medicũ vnum, eumq; admodum liberũ habere, ac nunquã, sicut & tu nouisti, me prædicare destitit; primũ sanè medicorũ esse, philosophorum autem, solũ; quippe expertus erat iã multos non modò pecuniæ studiosos, sed etiam cõtentiosos, gloriæ cupidos, inuidos, & malignos. Quod igitur ego dixi, hac inuestigatione nullã puto mihi magis admirabilẽ obtigisse. Quum enim quæratur ab omnibus, qui optimè in pulsuum arte exercitati sunt, quorum vnus etiam Archigenes extitit, signum aliquod accessionis peculiare;

&

& in quibusdā per initia arteriæ systolen inueniri ipsi dicant, nōnulli verò neutiquam sensibilē esse systolen, ego bona quadā fortuna, quid enim aliud dixeris, cui tactus etiam in exigua pulsuum differentia percipienda exactissimus cōtigerit? Medicorū aliquos adeò aberrantes sum expertus, vt qui accessionē habere inciperēt, relegarent in balneū, aut cibū assumere iuberēt, ego prohibui. Perpetuò igitur exactè expertus me cognoscere accessionis initium, præcipitātius forsan, attamē ausus sum asseuerāter Regi dicere ex primo pulsus tactu aliam sententiam, quam & ipse apud se opinabatur, & à medicis audierat. Quod porrò in Commodo præstiti, maximè aiunt mirandum esse, at reuera permultum ab hoc abest.

καὶ τινῶν μὲν, ἐν ἀρχῇ τῆς κατὰ τὴν ἀρτηρίαν συστολῆς εὑρίσκεσθαι φασκόντων αὐτὴν, τινῶν δὲ, μηδόλως αἰσθητὴν εἶναι τὴν συστολὴν, εὐτυχήσας ἐγὼ, τί γὰρ ἄλλο φαίη τις αἰσθητικωτάτην ἁφὴν τῆς παρὰ μικρὸν ἐν τοῖς σφυγμοῖς διαφορᾶς, ἁμαρτανόντων εἰς τοσοῦτον ἐνίων ἰατρῶν ἐπειράθην, ὡς ἀρχομένοις ἐπισημαίνεσθαί τινας εἰς τὸ βαλανεῖον ἐκπέμπειν, ἢ τροφὴν αἱ κελεύειν ἐκώλυσα. διαπαντὸς οὖν ἀκριβῶς ἐμαυτοῦ πεπειραμένος διαγνόντος ἀρχὴν παροξυσμοῦ προπετέστερον μὲν ἴσως, ὅμως δ' ἐτόλμησα βασιλεῖ διατεινάμενος, εἰπεῖν ὅτι τὴν πρώτην ἡψάμην ἐναντίαν ἀπόφασιν, ἧς αὐτός τε καθ' ἑαυτὸν ἐδόξαζε, καὶ τῶν ἰατρῶν ἤκουε. τὸ μέντοι κατὰ Κόμμοδον ἔχειν μέν φασί τι μέγιστον, τῇ δ' ἀληθείᾳ πάμπολυ λείπεται τοῦδε.

CAPVT XII.

Faucium inflammationem ex pulsu cognoscit.

NAm à palæstra reuersum, ante cibum ingestum, hora octaua, febris admodum calida inuasit; mihi autem pulsu explorato pars quædam inflammationem sustinere videbatur. Quibus auditis Pitholaus admirari se dixit, si tonsillarum inflāmatio pueri pulsum immutaret; nulla enim alia ipsius pars inflāmatione tentabatur; atque interea ore ipsius adaperto inspicere iubet. Vbi iam loci apparerent asperi, multúmq; rubentes, non tamen magnū haberet inflammatio tumorem, rogabam quis confricuerit eam medicamento stomatico, quod vehementiorē quàm puero conueniat, astrictionē repræsentat. Vbi seipsum respōdit fricuisse ex melle & rhu medicamento, iussi vt ad mulsam, in qua rosæ decoctæ essent, digrederetur; atque hac sola vteretur nocte & sequenti die toto frequenter simul & nocte succedanea. Tertio die manè postquā inflāmatio cessasset, ac puer paulo minus tota febri careret, persuasi Pitholao, vt eum in balneas vicinas cubiculo, in quo decūbebat, introduceret, ita vt solij aqua copiosè vteretur; qua omnes quidē aliæ partes irrigarentur, solū autē caput superfunderetur abundè. Cæterū cibo ad horam tertiam assumpto, Ania Faustina cognata Imperatori è proximo accessit, excusans se quòd altero die ipsum non inuiserit, heri inquiens de febri oborta certior facta sum; atque his adhuc adiiciebat, manifestum esse, nos octauam horam, qua inuadebat accessio, egredi debere. Ridens igitur Pitholaus, ait; Quidni Thessalicam diatriton eramus egressuri? Verùm Galenus hic, inquit, speculatus manè gracilem, siccúmque puerum, dixit non febricitaturum; quin etiam rursus in balneum deducere vesperi iussit, cœnámque præbere, quali sanus vtebatur. Hæc audiens Faustina paulisper ibi morata, manu me prehendens, medicum quendam, ex his qui eum erant comitati, Methodicum secum eduxit, iocánsque, Galenum, inquit, hunc nouisti non verbis, sed operibus cum vobis Methodicis pugnare. Frequenter enim iam multos febricitare incipientes lauit, vinúmque potui dedit; nonnullos etiam primo, quosdam tertio die ad consueta munia relegauit, in quo omnes vos primis diebus duobus inediam præscribitis, ac suspectas horas egredi decumbentes obseruatis. Ac nunc ideo, inquit, scientiæ certitudo indicatur in regio puero, qui patre peregrè agenti in primis duobus diebus vehementer febricitauit, vt

---

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'.

Ἐκ τῶν σφυγμῶν διαγινώσκει τὴν φλεγμονὴν τῶν παρισθμίων.

ΤΗς παλαίστρας γὰρ ἀπαλλαγέντος αὐτοῦ πρὶν σιτίων, ὥρας ὀγδόης εἰσέβαλε θερμὸς ἱκανῶς πυρετός· ἁψαμένῳ δέ μοι τῶν σφυγμῶν, φλεγμαίνειν τι μόριον ἐφαίνετο, καὶ ταῦτα ἀκούσας ὁ Πειθόλαος, θαυμάζειν ἔφησεν εἰ τῶν παρισθμίων ἡ φλεγμονὴ τὸν σφυγμὸν ἠλλοίωσε τοῦ παιδὸς, οὐδὲν γὰρ ἄλλο μέρος αὐτοῦ φλεγμαίνει· κἂν τούτῳ διανοίξας αὐτοῦ τὸ στόμα, κελεύει μοι θεάσασθαι. φανέντων δὲ τόπων τραχέων, καὶ λίαν ἐρυθρῶν, οὐ μέντοι μέγαν ὄγκον ἐχούσης τῆς φλεγμονῆς, ἠρόμην τίς ὁ ἀνατρίψας εἴη στοματικῷ φαρμάκῳ, σφοδροτέραν τῆς ἁρμοζούσης τῷ παιδὶ στύψιν ἔχοντι. τοῦ δὲ φάντος ἑαυτὸν εἶναι τὸν ἀνατρίψαντα τῷ διὰ μέλιτος, καὶ ῥοῦ φαρμάκῳ, μεταβῆναι μὲν ἐπὶ μελίκρατον ἐναφεψημένων ῥόδων ἐκέλευσα, καὶ τούτῳ μόνῳ χρῆσθαι, διά τε τῆς νυκτὸς, καὶ τῆς ἐχομένης ἡμέρας ὅλης πολλάκις, ἅμα τῇ μετ' αὐτὴν νυκτί. τῇ δὲ τρίτῃ τῶν ἡμερῶν ἕωθεν, ἐπειδή τά τε τῆς φλεγμονῆς ἐπέπαυτο τελέως, ἀπύρετός τε ἦν μικροῦ δεῖν ὁ παῖς, ἔπεισα δ' οὖν τὸν Πειθόλαον εἰς βαλανεῖον, ἐγγὺς ὂν τοῦ κοιτῶνος εἰσαγαγόντα, μεθ' οὗ πολὺ τῷ κατὰ τὴν πύελον ὕδατι χρήσασθαι, διαβρεχομένων μὲν ἁπάντων τῶν ἄλλων μορίων, μόνης δὲ τῆς κεφαλῆς καταντλουμένης δαψιλῶς. τραφέντι αὐτῷ περὶ τρίτην ὥραν, ἧκεν Ἀνία Φαυστῖνα συγγενὴς οὖσα τῷ αὐτοκράτορι ἔγγιστα, παραιτουμένη διότι δευτεραῖον αὐτὸν οὐκ οἶδε· χθὲς γὰρ ἔφη μετ' ἄριστον ἐγνωκέναι περὶ τοῦ γενομένου πυρετοῦ· καὶ τούτοις ἔτι προσετίθει δῆλον εἶναι, μέλλοντας ἡμᾶς ὑπερβάλλειν τὴν ὀγδόην καθ' ἣν εἰσέβαλεν ὁ παροξυσμός. μειδιάσας οὖν ὁ Πειθόλαος, πῶς δὲ οὐ μέλλομεν, ἔφη, τὸν Θεσσαλὸν ὑπερβάλλειν διάτριτον; ἀλλὰ Γαληνὸς οὗτος, ἔφη, θεασάμενος ἕωθεν ἰσχνόν τε, καὶ ξηρὸν, μὴ πυρέξειν ἔφη· καὶ μέντοι καὶ λούειν αὖθις ἑσπέρας ἐπηγγείλατο, καὶ δεῖπνον παρέχειν ὁποῖον ὑγιαίνων δειπνεῖ. ταῦτα ἀκούσασα βραχύ τι χρόνου αὐτόθι διατρίψασα ἡ Φαυστῖνα, λαβομένη τῆς χειρὸς αὐτῇ συνεξήγαγεν, ἰατρόν τινα τῶν συνηκολουθηκότων αὐτῇ μεθοδικὸν παίζουσα, Γαληνὸν, ἔφη, τοῦτον ἴσθι, μὴ λόγοις, ἀλλ' ἔργοις ὑμῖν τοῖς μεθοδικοῖς πολεμεῖν. πολλάκις γὰρ ἤδη πολλοὺς τῶν ἀρχομένων πυρέττειν ἔλουσέ τε, καὶ ἔδωκεν οἴνου πιεῖν· ἐνίους δὲ, καὶ κατὰ τὴν πρώτην, ἐνίους τῇ τρίτῃ τῶν ἡμερῶν ἀπέλυσεν ἐπὶ τὰς συνήθεις πράξεις· ἐν ᾗ πάντες ὑμεῖς, ταῖς πρώταις ἡμέραις δύο παρασιτῆσαι κελεύοντες, ὑπερβάλλειν τὰς ὑπόπτους ὥρας κατακειμένους φυλάττεσθαι. καὶ νῦν οὖν, ἔφη, τὸ τῆς ἐπιστήμης βέβαιον ἐπιδείκνυται, βασιλικοῦ παιδὸς, ἀποδημοῦντος τοῦ πατρὸς, ἐν ταῖς πρώταις δύο πυρέξαντος, σφο-

φρασὶ ὡς καὶ ὑμεῖς χθὲς ἠκούσατε, κατὰ τὴν τρίτην ἡμέραν, οὐχ ὑπερβάλλειν, ὡς ὑμεῖς ἀξιοῦτε τὴν ὀγδόην ὥραν ἀναμείνας, ἀλλ᾽ ἤδη λούσας τε καὶ θρέψας· ὅ, τε τροφεὺς αὐτοῦ Πειθόλαος ἀκριβέστατος ὢν περὶ τὰ τοιαῦτα, ὡς δειλίαν εἶναι τὴν ἀκρίβειαν αὐτοῦ, διὰ τὸ προπειρᾶσθαι τῆς τέχνης τοῦ ἀνδρὸς ἐπείσθη, καὶ λοῦσαι, καὶ θρέψαι πρὸ τῆς ὑποπτου. ἡ μὲν τοιαῦτα ἔλεγε, διαβαδίζουσα μέχρι τοῦ ὀχήματος· ἐγὼ δὲ μελλούσης αὐτῆς ἐπιβαίνειν αὐτοῦ, χωριζόμενος εἶπον· ἐποίησας με πολὺ μᾶλλον, ἢ πρόσθεν ὑπὸ τῶν ἰατρῶν μισεῖσθαι. χωρισθείς τε, τῷ Πειθολάῳ διηγούμενος αὐθις. καὶ μέντοι καὶ ὅτι διὰ τοὺς τοιούτους ἰατροὺς, ἔναγχος ἔγραψα τὰς πραγματείας, μίαν μὲν τὴν περὶ τὰς διαφορὰς τῶν πυρετῶν· ἑτέραν δὲ τὴν περὶ τῶν κρισίμων ἡμερῶν· καὶ τρίτην τὴν περὶ τῶν κρίσεων· ἐπιδεικνὺς ὑφ᾽ Ἱπποκράτους γεγράφθαι τὴν θεωρίαν, ἐφ᾽ ἧς ἄν τις προγινώσκοι τὰ γινόμενα περὶ τοὺς ἀρρώστους. οἱ δ᾽ οὕτως εἰσὶν ἀφυεῖς, ὥστε μηδὲ μετὰ τῆς ἐμῆς ἐξηγήσεως δύνασθαι αὐτὰ μαθεῖν. αὐτὸς γὰρ σὺ, Ἐπίγενες φίλτατε, τὰ γεγραμμένα μοι περὶ τούτων ἁπάντων ὧν ἐθεάσω με προλέγοντα, γινώσκεις ἐπιδεδειγμένα πρὸς Ἱπποκράτους εἰρῆσθαι, μόνην αὐθις προσθέντος τὴν περὶ τοὺς σφυγμοὺς θεωρίαν, ἥνπερ καὶ μόνην οὐκ ἐξειργάσατο· καθάπερ οἱ μετ᾽ αὐτὸν ἄλλος ἄλλο τι προσθεὶς αὐτῇ, μέχρι καθ᾽ ἡμᾶς χρόνον ἐπεκόσμησαν. καὶ γὰρ ἡ γνῶσις τῶν τοῦ σώματος διαθέσεων ἐκ θεωρίας γίνεται, ὥσπερ ἐκ τούτων ἀκριβοῦς γνώσεως, ἡ τῶν μελλόντων ἔσεσθαι πρόγνωσις.

etiam vos heri audiuistis; tertio die non differre cibum, vt vos præcipitis, post horam octauam sustinuit, sed iam lauit nutriuítque; & educator ipsius Pitholaus in huiusmodi rebus exactissimus, vt diligentia ipsius timiditas sit, eo quòd viri artem prius esset expertus, persuasus est vt & lauaret puerum, & ante horam suspectam aleret. Huiusmodi sanè dicebat vsque ad vehiculum pergens, ego verò quum illa esset ipsum conscensura, recedens dixi; Fecisti me multo magis quàm antea à medicis odio haberi; ac digressus Pitholao ipse narraui. Quinetiam propter huiusmodi medicos opera conscripsi, vnum de febrium differentiis, alterum de diebus decretoriis, ac tertium de crisibus; ostendens ab Hippocrate traditam esse speculationem, ex qua quis ea quæ ægrotis superuenient prænoscit. Hi autem tam sunt malè nati, ac rudes, vt ne mea quidem expositione adiuti ea possint intelligere. Nam tu ipse nosti, Posthume charissime, conscripta à me de his omnibus, quæ vidisti me prædicere, fateri ab Hippocrate esse indicata, præter solam pulsuum speculationem; quam etiam vnam non elaborauit; sicut qui eum ætate sequuti sunt, alius aliud ei adiiciens, ad hunc vsque diem exornarunt. Etenim corporis affectuum cognitio ex speculatione petitur; sicut rursus ex accurata horum cognitione, futurorum præcognitio.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

Πρόγνωσις τῆς ἐσομένης κρίσεως διὰ τῆς, κατὰ τοὺς μυκτῆρας, αἱμορραγίας.

ΚΑὶ τό γε σοῦ παρόντος γινόμενον, ἡνίκα περὶ φλεβοτομίας ἐσκέπτοντο τῶν ἐν Ῥώμῃ πρωτευόντων ἔνιοι, διὰ τῶν ὑπομνημάτων ὧν ἐποίησα δείκνυται, δεδειγμένων ὑφ᾽ Ἱπποκράτους τελεώτατα. πέμπτην γὰρ ἡμέραν ἦγε τοῦ νοσήματος ὁ νεανίσκος, ἐφαίνετο δὲ παραλελεῖφθαι τὸ τῆς φλεβοτομίας βοήθημα, δεομένου τοῦ πάθους ἐν ἀρχῇ γεγονέναι περὶ δευτέραν, ἢ τρίτην, ἢ πάντως γε τὴν τετάρτην ἡμέραν αὐτήν. εἶτ᾽ ἐπεὶ μήθ᾽ ἡ ὥρα τοῦ ἔτους, μήθ᾽ ἡλικία τοῦ κάμνοντος, ὥσπερ γε μήθ᾽ ἡ κατὰ τὴν ζωτικὴν δύναμιν ἀσθένεια, μήθ᾽ ἡ προγεγενημένη δίαιτα τοῦ νοσήματος ἀντεδείκνυτο· πάντα δ᾽ ἀλλήλοις ὁμολογεῖ τὴν φλεβοτομίαν ἐνδεικνύμενα, συνεβούλευσαν οἱ ἰατροὶ τέμνειν τὴν φλέβα, προσηκόντως φρονοῦντες. ἐγὼ δὲ περινοήσας ἀκριβῶς ἅπαντα τὰ φαινόμενα, τὰ πρὸς Ἱπποκράτους εἰρημένα τῶν αἱμορραγήσειν μελλόντων σημεῖα· καλῶς μὲν ἔφην αὐτοὺς ὁρίζειν τὴν ἀφαίρεσιν τοῦ αἵματος, ἔρχεσθαι δὲ ἐπὶ τοῦτο καὶ τὴν φύσιν, ἐπειγομένην ἀποκρῖναι τὸ βαρῦνον αὐτήν· καὶ τοῦτο αὐτίκα μάλα γενήσεσθαι, κἂν ἡμεῖς μὴ ποιῶμεν. οἱ μὲν οὖν ἰατροὶ ταῦτ᾽ ἀκούσαντες, ἐθαύμαζον δῆθεν. ἐξαναστάντος δ᾽ ἐπὶ τῆς κλίνης τοῦ νοσοῦντος, ὡς ἀναπηδῆσαι θέλοντος, ἐρωτηθέντος δὲ τίνος ἕνεκεν ἀνεπήδησε, μηδενὸς φοβεροῦ παρόντος, φάντος δὲ τὸν ἐρυθρὸν ὄφιν ἐξέρποντα τῆς ὀροφῆς θεασάμενον αὐτὸν δεῖσθαι, μή πως ἀποσφαλεὶς ἐπ᾽ αὐτὸν κατενεχθείη. καὶ διὰ τοῦτο, φυγεῖν τὸν τόπον ἐν ᾧ κατέκειτο. τοῖς μέντοι, οὐδὲν τι συντελεῖν ἐδόκει τοῦτο πρὸς τὴν μέλλουσαν αἱμορραγίαν. ἐμοὶ δὲ τά τ᾽ ἄλλα διασκεψαμένῳ πάντα, καὶ τὸ κατὰ τὸ δεξιὸν μέρος τῆς ῥινὸς ἄχρι τοῦ μήλου θεασαμένῳ, τὴν τέως ἀμυδρὰν ἐρυθρότητα, πολὺ δή τι νῦν ἐμφανέστερον γινομένην, ἐπίδοξον ὅσον οὔπω κατὰ τὸν δεξιὸν μυκτῆρα, τὸ τῆς αἱμορραγίας ἔσεσθαι,

CAPVT XIII.

Futuræ crisis per sanguinis fluxum è naribus, prænotio.

IAm quod te præsente factum est *in iuuene quodam*, quũ nonnulli medicorũ, qui Romæ principatũ obtinent, de sanguinis missione cõsiderarent, cõmentariis quæ cõscripsi indicatur, ab Hippocrate absolutissimè ostensum. Etenim quintum iam diem morbi iuuenis agebat, videbatúrque medicis venæ sectionis præsidium esse assumendum, quum affectus in principio eam secundo, aut tertio, aut saltem quarto die fieri desideraret. Deinde quum neque anni tempus, neque ægrotantis ætas, quemadmodum neque facultatis vitalis imbecillitas, neque præcedens victus ratio, indicationem morbo contrariam præberet, omnia verò inter se consentirent, sanguinis missionem indicantia, consuluerunt medici venam incidere, vt par est, sapientes. Ego autem omnibus quæ apparent exactè consideratis ab Hippocrate proditis indiciis, eorum quibus sanguis erumpet; Rectè dixi ipsos sanguinis detractionem definire, sed naturam eò impelli, coactam id quod se grauat excernere, atque hoc statim adeò futurum esse, etiamsi nos non faciamus. Medici his auditis admirabantur nimirum. Vbi verò ægrotus in lecto insurrexisset tanquam vellet exilire, rogatus autem qua de causa exiliret, quum nihil adesset metuendum, dixit rubrum serpentem ex tegula irrepentem, se videntem, timere, ne aberrans super ipsum dilaberetur, atque ideo locum in quo decumbebat. His sanè medicis id nihil conferre ad futuram sanguinis eruptionem videbatur; mihi autem cùm alia omnia speculato, tum in dextra nasi parte vsque ad malas obscuram tunc rubedinem, multo nunc factam illustriorem, credibile propemodum iam videbatur ex dextra nare sanguinem profluxurum manifestò.

manifestò. Ac nonnulli ex his qui aderant ægroti famulis clanculum iniunxi vas in promptu haberet sub veste, sanguini excipiendo idoneum; Ac deinde omnibus medicis audientibus loquutus, si pauxillulum manserimus, hominem ex dextra nare sanguinem fundentem conspiciemus. At quum illi riderent, quòd in prædicendo adiecerim dextram narem; atqui, dicebam, aut ambo oportet fieri, aut in altero me errare. Nam à speculatione vtraque prænotionem habent, tum quòd æger sanguinem fundet, tum quòd ex dextra nare, à quo me coniecisse aduertendum consului. Quum igitur viderem ægrum indicem digitum, tanquam prurientem naso demittere, famulo vas occultanti mentem ei quod accideret aduertere iussi, vt quum sanguinem è nare erumpentem videret, accurrens vas supponeret. Simulatque igitur hæc dicebam, digitum è nare cruentum extraxit, famulúsque accurrens vas ei subiecit; propter quod maximo, vt nosti, clamore orto omnes medici aufugerunt. Ego autem roganti tibi prænotionis speculationem indicaui vniuersam, ex his quæ Hippocrates memoriæ prodidit edoctus; præterea hoc adieci, vehementem sanguinis eruptionem esse expectandam. Etenim impetus naturæ valens est, & morbus non coctus, cuiusmodi causas immoderatæ sanguinis vacuationes comitari consueuerunt. Quare morari aliquandiu apud ægrotum satius esse ratus, puerum me comitantem misi, qui adferret cucurbitam magnam multis insciis; Ac quum subitò copiosus sanguis in vase colligeretur, aliud postulaui; ac accipiens sanguinem, ac pondus, vidi euacuati libras quatuor & dimidias, ægrúmque sublimem figuraui, ac frigidam poscam nare haurire iussi, imposuíque fronti spongiam frigida mulsa imbutam, ac artubus deligatis, quum nihil hæc omnino proficerent, cucurbitula in dextris præfixa præcordiis statim sanguinis fluorem cohibui; quod & ipsum ex Hippocratis arte sumi tibi indicaui, atque à me idcirco tum hæc, tum alia omnia quæ in ipsis operibus ostendi conscripta sunt. Etenim rigorem futurum quomodo prænoscere oporteat, tradidi; alui profluuium, vomitum, copiam vrinarum immoderatam, aut retentionem, sudores, parotidásque euenturas; humorum decubitus, delirium, mentis alienationem, aliáque omnia accidentia; quibusdam autem, vt dixi, antea cognitis, hæc præterea apud se consideret, quemadmodum ego in Boëthi filio ratione collegi, ac in amante muliere, & seruo ex metu tristi ac dolente.

σαφῶς ἐφαίνετο. καί τινι τῶν παρόντων οἰκετῶν τοῦ κάμνοντος ἠρέμα διαλεχθεὶς, ἀγγεῖον ἔχειν ἕτοιμον ὑπὸ τὴν ἐφεστρίδα, τῶν ἐπιτηδείων δέξασθαι τὸ αἷμα, κἄπειτα φθεγξάμενος εἰς ἐπήκοον πάντων ἰατρῶν, ἐὰν βραχύτατον προσμείνωσι, θεάσασθαι τὸν ἄνθρωπον ἐκ δεξιοῦ μυκτῆρος αἱμορραγοῦντα. τῶν δὲ γελασάντων ἐν τῷ προειρῆσθαι, προσκεῖσθαι κατὰ τὸν λόγον, τὸν δεξιὸν μυκτῆρα· καὶ μὴν, ἔφην, ἢ ἀμφότερα δεῖ γενέσθαι, ἢ περὶ θάτερόν με σφαλῆναι. ὑπὸ γὰρ τῆς θεωρίας ἀμφότερα τὴν πρόγνωσιν ἔχει, τό θ' αἱμορραγῆσαι τὸν νοσοῦντα, τό θ' ἐκ δεξιοῦ μυκτῆρος, ἐφ' ᾧ τεκμήρασθαι, προσέχειν ἠξίωσα. θεασάμενος οὖν νοσοῦντα τὸν δάκτυλον, ὡς κνίζοντι τῷ μυκτῆρι ἐνερείδοντα, προσέχειν ἠξίωσα τῷ γινομένῳ τὸν κρύπτοντα τὸ ἀγγεῖον, ὅπως ἐπειδὰν ἴδῃ τὸ αἷμα τοῦ μυκτῆρος ἐκχεόμενον, προσδραμὼν ὑπόθῃ τὸ σκεῦος. ἅμα τε οὖν ἔλεγον ταῦτα, καὶ τὸν δάκτυλον ἡμαγμένον ἐξείλκυσεν, ὅ,τε οἰκέτης προσδραμὼν, ὑπέθηκεν αὐτῷ τὸ ἀγγεῖον. ἐφ' ᾧ μεγίστης κραυγῆς, ὡς οἶσθα, γινομένης, οἱ μὲν ἰατροὶ πάντες ἔφυγον. ἐγὼ δ' ἐρομένῳ σοι, τὴν θεωρίαν τῆς προγνώσεως ἐδήλωσα πᾶσαν, ἐκ τῶν ὑφ' Ἱπποκράτους εἰρημένων δεδιδαγμένος· ἔτι δὲ καὶ τοῦτο προσέθηκα, σφοδρὰν ἔσεσθαι προσδοκᾶν τὴν αἱμορραγίαν. ἥ τε γὰρ ὁρμὴ τῆς φύσεώς ἐστιν ἰσχυρὰ, καὶ ἡ νόσος ἄπεπτος· εἰώθασι δὲ τοῖς τοιούτοις αἰτίοις ἄμετροι κενώσεις γίγνεσθαι. διὸ καὶ παραμεῖναι ὀλίγον χρόνον τῷ κάμνοντι κάλλιον εἶναι νομίσας, ἔπεμψα τὸν ἀκόλουθόν μου παῖδα, κομίσοντα σικύαν μεγάλην ἀφανῶς τοῖς πολλοῖς· ἐν τάχει τε αἵματος πολλοῦ κατὰ τὸ ἀγγεῖον ἀθροισθέντος ἕτερον αἰτήσας δεξάμενος τὸ αἷμα, καὶ τὸν σταθμὸν ἰδὼν τοῦ κενουμένου λιτρῶν ὄντα δ'. καὶ ἡμισείας, ἀνάρροπόν τε τὸν κάμνοντα σχηματίσας, καὶ ψυχρὸν ὀξύκρατον ἀναρροφεῖν τῷ μυκτῆρι κελεύσας, ἐπιθείς τε τῷ μετώπῳ σπόγγον ἐκ ψυχροῦ βεβρεγμένον μελικράτου, καὶ τὰ κῶλα διαδήσας, ὡς οὐδὲν ὅλως ὠνοῦσι ταῦτα, τὴν σικύαν κατὰ τὸ δεξιὸν ὑποχόνδριον ὑποβαλὼν, εὐθέως ἔστησα τὴν αἱμορραγίαν· ὅπερ ὅτι καὶ αὐτὸ τῆς Ἱπποκράτους ἐστὶ τέχνης, ἐδήλωσά σοι· καί μοι διὰ τοῦτο, καὶ ταῦτα, καὶ τἄλλα πάνθ' ὅσα διὰ τῶν ἔργων ἐπεδειξάμην, ἐγράφη. καὶ γὰρ ῥῖγος ἐσόμενον ὅπως χρὴ προγινώσκειν, ἔγραψα. καὶ διαρροίας γαστρὸς, ἔμετόν τε, καὶ πλῆθος οὔρων ἀμέτρων, ἢ ἐπίσχεσιν, ἱδρῶτάς τε καὶ παρωτίδας ἐσομένας· ἀποσκήμματά τε, παραφροσύνην τε, καὶ παραφοράν, ἅπαντά τε ἄλλα συμπτώματα· τινὰ δὲ, ὡς ἔφην, καὶ πρόσθεν, ὁ προμαθὼν ταῦτα, προσεπιλογίζεται πρὸς ἑαυτοῦ, καθάπερ ἐπὶ τοῦ Βοηθοῦ παιδὸς προσεπιλογισάμην ἐγὼ, ἐπί τε τῆς ἐρώσης, καὶ τοῦ διὰ φόβου ἀθυμοῦντος.

CAPVT XIV.

Intermittentis, sed naturalis pulsus dignotio.

NVper, vt nosti, etiam quum tale quippiam prædicerem, vulgares istos attonitos reddidit prænotio. Nam œconomus quidam omnia domini negotia rectè administrans, ac ideo in precio habitus, quum alij medici ipsum curarent, crisim per sudorem septimo die expertus est. Postridie pulsum ipsius deficientem inuenientes, malignam in corpore dispositionem latitare opinati sunt, magno errore; deinde adolescente vnà cum domino domum egresso, casu mihi occurrerunt, narratis symptomatis quæ præcesserant, & in præsentia vrgerent, quidnam id quod præter

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'.

Διάγνωσις τοῦ διαλιπόντος μὲν, ἀλλά γε κατὰ φύσιν σφυγμοῦ.

ΕΝαγχος, ὡς οἶσθα, καὶ τοιόνδε τι προειπόντος μου, τοὺς πολλοὺς ἐξέπληξεν ἡ πρόγνωσις. οἰκονόμος γάρ τις, ἅπαντα διοικῶν ὀρθῶς τὰ τοῦ δεσπότου, καὶ διὰ τοῦτο τιμώμενος, ἑτέρων αὐτὸν ἰατρῶν ἰωμένων, ἐκρίθη μὲν ἑβδομαῖος ἱδρῶτι. τῇ δ' ὑστεραίᾳ διαλείποντα τὸν σφυγμὸν εὑρόντες αὐτοῦ, κακοήθη διάθεσιν ἐν τῷ σώματι φωλεύειν ἔδοξαν, σφαλέντες μεγάλως. εἶτα τῆς οἰκίας ἐξελθόντος ἅμα τῷ δεσπότῃ τοῦ νεανίσκου, κατὰ τύχην ἀπηντήσαν μοι, διηγησάμενοι τὰ προγεγονότα, καὶ τὰ παρόντα συμπτώματα, τί ποτε σημαίνει τὸ κατὰ τὸ

σφυγμὸν ἀλόγως γεγονός, ἐδέοντο μαθεῖν. κἀγὼ πυθόμενος πλησίον εἶναι τὴν οἰκίαν ἐν ᾗ κατέκειτο, συνῆλθον αὐτοῖς, ἁψάμενός τε σφυγμὸν τοῦ νεανίσκου. κατὰ γὰρ αὐτὴν τὴν αἰσθητικὴν διάθεσιν, εἶπόν σοι πολλάκις, οὐκ ὀλίγα σφάλλονται, καὶ τῶν ἀξιολόγων ἰατρῶν ἔνιοι, μέγαν ἡγούμενοι, τὸν οὐ μέγαν σφυγμόν· ὥσπερ γε ἐνίοτε καὶ ταχύν, τὸν οὐ ταχύν· ἢ βραδύν, τὸν μὴ βραδύν. ὡσαύτως δὲ περὶ τῶν ἀμυδρῶν τε, καὶ σφοδρῶν, καὶ σκληρῶν, καὶ μαλακῶν σφυγμῶν διάγνωσιν σφάλλονται· καὶ μᾶλλον ἔτι περὶ τὴν τῶν ἀτάκτων τε καὶ τεταγμένων, ὁμαλῶν τε καὶ ἀνωμάλων ἐν ἀθροίσματί τε, καὶ κατὰ μίαν διαστολήν, δι' οὓς κἀγὼ τέτταρα περὶ τῆς διαγνώσεως τῶν σφυγμῶν ἔγραψα βιβλία, προηγούμενα τεττάρων ἑτέρων, ἃ περὶ τῶν ἐν σφυγμοῖς αἰτιῶν ἐπιγέγραπται. δεῖται γὰρ ἀμφοτέρων τῶν πραγματειῶν, ἡ περὶ τῆς διὰ τῶν σφυγμῶν προγνώσεως, ἐν τέτρασί τε καὶ αὐτὴ γεγραμμένη βιβλίοις, δι' ἣν καὶ αἱ προειρημέναι δύο τυγχάνουσιν οὖσαι. χρησιμωτάτης δὲ τῆς καθ' ἕνα σφυγμὸν ἀνωμαλίας οὔσης, γυμνασίας ἰσχυροτέρας δεομένης εἰς διάγνωσιν, ὡς ἐπιδέδεικται, ὡς ἂν πολλὰς ἐχούσης διαφοράς. ὅταν ὁ σφυγμὸς ὅ,τε κατὰ μίαν ἐνέργειαν, ὅ,τε κατὰ πλείους ἐφεξῆς ἀλλήλων μηδὲν ἔχῃ παρὰ φύσιν ἄλλο, πλὴν τοῦτο μόνον ὃ κατὰ διάλειψιν γίνεται. γινώσκειν οὖν χρὴ τὸ τοιοῦτον ἐκ γενετῆς εἶναι σύμπτωμα, διαγινώσκεσθαι δὲ χαλεπώτατόν ἐστι· μᾶλλον δ' ἀδύνατον, ἄνευ τῶν πασῶν τῶν κατὰ τοὺς σφυγμοὺς διαφορῶν ἀκριβῶς αἰσθάνεσθαι. θεασάμενος οὖν τὸν ἄνθρωπον οὕτως ἔχοντα, συνεβούλευσά τε τοῖς ἰατροῖς ἀναληπτικῶς ἄγειν αὐτὸν ἀσφαλῶς κεκριμένον, εἶθ' ὅταν προέρχηται ἤδη, καὶ τὰ συνήθη πράττοι, τότε τῶν σφυγμῶν ἁψάμενος αὐτοῦ, διαλείποντας εὑρήσειν ἔφην, ὡς καὶ νῦν. τοῦτο γὰρ αὐτοῦ φύσει συμβεβηκέναι, οὐκ ἐξ ὑποπιπτούσης αἰτίας τινὸς νοσώδους, ἐν μὲν οὖν τῷ παραχρῆμα, τὸ ῥηθὲν αὐτοῖς ἄπιστον ἐφαίνετο· κατὰ δὲ τὸν ἑξῆς λόγον ἅπαντα, διαλείποντα μίαν πληγὴν τὸν σφυγμὸν εὑρίσκεσθαι, ἄλλοτε κατ' ἄλλον ἀριθμόν. ὕστερον δέ ποτε προσελθόντες μοι, παρεκάλουν ἀκοῦσαί μου, διὰ τίνος σημείου τὴν φύσιν ἐγνώρισα τοῦ νεανίσκου τοιαύτην οὖσαν· ἀπεκρινάμην οὖν αὐτοῖς, ὅπερ ἤκουσά ποτε εἰπεῖν Ἰσοκράτην τὸν ῥήτορα, τινὶ τῶν ἑταίρων πυνθανομένῳ περὶ τριῶν ἐτῶν ἀσκήσεως, εἰ δυνήσεται, καὶ ἀσκήσας ἐν τοσούτῳ χρόνῳ, ἕκαστον τῶν προβαλλομένων εἰπεῖν, ὡς ἑώρα λέγοντα τὸν Ἰσοκράτην· φασὶ γὰρ ἀποκρίνασθαι τῷ μειρακίῳ τὸν ἄνδρα· σὲ μὲν ἄν, ὦ παῖ, συνευξάμην κἂν ἐν ἡμέρᾳ μιᾷ δύνασθαι μαθεῖν ὅπερ πυνθάνῃ· αὐτὸς δ' ἂν ἐμοὶ τοῦ κατὰ γνώμην ἀφυΐαν, ἔτεσι πολλοῖς ἀσκήσας αὐτήν. γνώσεσθαι δὲ ἔφην ὅσαι παρὰ φύσιν εἰσὶν ἐν τοῖς σφυγμοῖς διαφοραί, τουτὶ τὸ βιβλίον ἀναγνόντας. ἣν δὲ τὸ πρῶτον, περὶ τοῦ τὰς τῶν σφυγμῶν διαφορὰς ἁπάσας διαγινώσκειν, ἐπαγγελμένων ἀσκήσεως τὴν ὁδὸν ἐν τέτταρσι γεγράφθαι βιβλίοις. ἃ λαβεῖν ἔξεστιν ὑμῖν, ὅταν ἀπὸ στόματός μου τὰς γεγραμμένας ἐν τῷδε τῷ βιβλίῳ διαφορὰς εἴπητε. τοῦτ' οὖν, ὦ Ἐπίγενες, ἀξιόλογον ἔργον ἰατρικῆς προγνώσεώς ἐστιν, ὥσπερ καὶ τὸ κατὰ τὸν αὐτοκράτορα τῆς δοκούσης αὐτῷ εἰσβολῆς γενήσεσθαι τοῦ παροξυσμοῦ. τῶν δ' ἄλλων, ὅσα θαυμάζουσιν οἱ πολλοὶ τῶν ἰατρῶν, οὐδὲν οὐδ' ἐγγὺς ὅμοιόν ἐστι. τοῖς δὲ θαυμαστὸν γὰρ εἶναι φαίνεται διὰ τὴν τῶν πολλῶν ἄγνοιαν, οὐ δι' ἑαυτὰ τοῖς νομίμως ἠσκηκόσι τὰ κατὰ τὴν τέχνην, οὐκ ἔχοντα δύσκολον τὴν πρόγνωσιν.

A rationem in pulsu euenerat, indicaret, postulabant discere. Ac ego audiens domum, in qua decubuerat esse in propinquo, cum ipsis ingressus sum, tetigique adolescentis pulsum. Nam in ipsa sensibili dispositione frequenter etiam illustrium medicorũ nonnulli haud mediocriter, vt dixi tibi, errant, dũ pulsum non magnũ censent magnũ, quemadmodũ interim & citatum, non citatum, vel tardũ non tardum. Pari modo in languidis, & vehementibus, duris & mollibus pulsibus dignoscendis falluntur, ac magis adhuc in ordinatis, & inordinatis, æqualibus, & inæqualibus; tum in collectione, tum in vna diastole, propter quos ego etiam quatuor de B pulsuum dignotione libros conscripsi, alios præcedentes quatuor, qui de pulsuum causis titulum habent. Requirit enim vtrosque commentarios opus de prænotione ex pulsibus, & ipsum in quatuor libros distinctum, propter quod etiam commemorata duo existunt. At quum quæ in vno pulsu consistit inæqualitas, maximum vt ostensum est, vsum afferat; vehementiori exercitio ad dignotionem sui indiget, vt quæ multas habeat differentias. Pulsus autem & qui vna actione, & qui in pluribus ordine subsequentibus inæqualis est, nihil habet præter naturam aliud, præterquam hoc solum, C quod per intermissionem accidit. Huiusmodi igitur symptoma ab origine esse, scire conuenit, sed quod difficillimè dignosci queat; imò non potest, nisi omnes pulsuum differentias exactè sentias. Intuitus igitur hominem ita habentem consului medicis, vt refectoria victus ratione eum securè crisim expertum alerent, addens quòd quum iam egreditur & consueta obit munia, pulsu ipsius tunc explorato, deficientem inuenirent, quemadmodum etiamnum. Hoc enim ei naturâ accidisse non ex coincidente aliqua causa morbosa, statim id quod dixeram ipsis incredibile videbatur; toto autem subsequenti tempore deficientem in vno D ictu pulsum aliàs in alio numero inuenturos affirmaui. Postea aliquando accedentes me postulabant audire, quo signo adolescentis naturam talem cognouissem; respondi igitur ipsis quod Isocratem rhetorem discipulo cuidam suo quandoque dixisse audiui; qui quum rogaret an tribus annis exercitatus posset de vnaquaque re proposita dicere, vt Isocratem orantem videbat, respondisse virum adolescenti ferunt; Te sanè, ô puer, optarem etiam vno die posse discere quod quæris; verùm pro ingenij infelicitate pluribus ad discendum opus est. Cæterùm cognoscetis, di- E xi, omnes præter naturam pulsuum differentias hoc libro perlecto. Erat autem primus qui de omnibus pulsuum differentiis dignoscendis tractat, eorum qui introducuntur exercitij viam tradens, quatuor libris comprehensus. Inde namque vos eas discere potestis, quoties ex nostro sensu depromptas, descriptásque pulsuum differentias agnoscere volueritis. Hoc igitur ô Posthume, medicæ prænotionis opus est memoratu dignum, sicut & id quod in Imperatore ostendi, cui accessionem ipsum inuasisse videbatur; reliquorum au- F tem quæ vulgares isti medici admirantur, nullum vel propè simile est. His enim admiranda esse apparent propter multorum ignorantiam, non iis, qui quæ in arte difficilem habent prænotionem, propter se legitimè exercuerunt.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΚΩΑΚΑΙ ΠΡΟΓΝΩΣΕΙΣ.

HIPPOCRATIS COACÆ PRÆNOTIONES.

ΚΕΦΑΛΑΙΟΝ ΤΩΝ ΕΝ ΤΩι ΒΙΒΛΙΩι.

Εν τῷ ἱερωτάτῳ τῆς ἰατρικῆς θεάτρῳ τὰ τῶν πυρετῶν τε, καὶ ἄλλων νοσημάτων ἄνευ πυρετοῦ τε, καὶ σὺν πυρετῷ τὴν τοῦ σώματος ὁλομελίην, ἢ τὰ μέρη περικαθημένων συμπτώματα ἐπιφαινόμενά τε, καὶ ἐπιγινόμενα τοῖς θεωρήμασιν ἐμφαίνονται, δι᾽ ὧν ὁκόσα τὰ σωτήρια καὶ ὀλέθρια τοῖς νοσέουσιν ἐπιγενήσονται, τούτων αἱ προγνώσεις γράφονται.

ARGVMENTVM LIBRI.

Hoc in augustißimo Medicinæ theatro tum febrium, tum aliorum morborum citra febrem & cum febre corporis vniuersitatem, aut partes obsidentium symptomata ἐπιφαινόμενα καὶ ἐπιγινόμενα *theorematis explicantur, quibus quæcunque salutaria, aut perniciosa ægrotantibus obortura sint, eorum prænotiones traduntur.*

1. *QVI ex rigore perfrigent, caput* A *ac ceruicem dolentes, voce capti, leuiter exudantes, vt se recollegerint, moriuntur.*

2. *Iactationes cum frigore, pessimæ.*

3. *Frigus cum duritie, perniciosum.*

4. *Ex frigore metus, & mæror præter rationem in conuulsionem finit.*

5. *Ex frigore vrinarum suppressiones, pessimum.*

6. *A rigore ignoratio, malũ; malũ autẽ & obliuio.*

7. *Soporati rigores aliquantulum perniciosi; ac flammeus in facie color, cum sudore, in his malignus* B *est; ad hæc posteriorum partium frigus conuulsionem accersit; atque omnino posteriorum partium conuulsiua est.*

8. *Crebri ex dorso horrores, & acute recidentes, vix feruntur; etenim vrinæ suppreßionem, & laboriosum affectum significant; his leuiter exudare, peßimum.*

9. *Rigor in assiduitate, corpore iam imbecillo existente, lethale.*

10. *Qui crebro tenuiter exudant, ac subinde rigent, perniciosum: ac sub finem empyema habere deprehenduntur, aluosque perturbatas.*

α΄. ΟΙ ἐκ ῥίγεος περιψυχόμενοι, κεφαλαλγέες, τράχηλον ὀδυνώδεες, ἄφωνοι, ἐφιδρώοντες, ἐπανενέγκαντες θνήσκουσιν.

β΄. Αἱ μετὰ καταψύξιος δυσφορίαι κάκισται.

γ΄. Κατάψυξις μετὰ σκληρυσμοῦ, ὀλέθριον.

δ΄. Ἐκ καταψύξιος φόβος καὶ ἀθυμίη ἄλογος, ἐς σπασμὸν ἀποτελευτᾷ.

ε΄. Αἱ ἐκ καταψύξιος οὔρων ἀπολήψιες, κάκιστον.

ϛ΄. Μετὰ ῥίγεος ἄγνοια, κακόν· κακὸν δὲ καὶ λήθη.

ζ΄. Τὰ κωματώδεα ῥίγεα, ὑπολέθρια· καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ᾽ ἱδρῶτος, ἐν τουτοῖσι κακόηθες. ἐπὶ τουτέοισι ψῦξις τῶν ὄπισθεν, σπασμὸν ἐπικαλέεται. καὶ ὅλως δὲ ψῦξις τῶν ὄπισθεν, σπασμώδες.

η΄. Αἱ ἐκ νώτου φρίκαι πυκναὶ, καὶ ὀξέως μεταπίπτουσαι, δύσφοροι· οὔρου γὰρ ἀπόληψιν, καὶ ἐπώδυνον σημαίνουσι· τὸ ἐφιδροῦν, τούτοισι κάκιστον.

θ΄. Ῥῖγος ἐν συνεχείᾳ τοῦ σώματος ἀσθενέος ἤδη ἐόντος, θανάσιμον.

ι΄. Οἱ πυκνὰ ἐφιδρώοντες καὶ ἐπιρριγέοντες, ὀλέθριον· καὶ ἐπὶ τῇσι τελευτῇσιν ἀναφαίνονται ἐμπύημα ἔχοντες, καὶ κοιλίας ταραχώδεας.

ια'. Τὰ ἐκ νώτου ῥίγεα, δυσφορώτερα· ὃς δ' αὖ ἑπτακαιδεκάτῃ ῥιγώσας, τετάρτῃ καὶ εἰκοστῇ ἐπιῤῥιγοῖ, δύσκολον.

ιβ'. Οἱ φρικώδεες, κεφαλαλγικοὶ, ἐφιδροῦντες, κακοήθεες.

ιγ'. Οἱ φρικώδεες, ἐφιδροῦντες πολλῷ, δύσκολοι.

ιδ'. Τὰ πολλὰ νωθρώδεα ῥίγεα, κακοήθεα.

ιε'. Οἷσιν ἑκταίοισι ῥίγεα γίνεται, δύσκριτον.

ιϛ'. Ὁκόσοισι φρίκαι πυκναὶ, ὑγιαίνουσιν, οὗτοι ἐξ αἵματος ῥύσιος ἐκπυΐσκονται.

ιζ'. Τὸ φρικῶδες καὶ τὸ δύσπνουν ἐν τοῖσι πόνοισι, σημεῖα φθινώδεα.

ιη'. Ἐξ ἐμπυήσιος πλεύμονος, καὶ μετὰ κοιλίην, ἐνίοτε ἀλγήματα, καὶ κληῗδα, καὶ τὸ ὑποῤῥέγχειν ἀσώδεα, σημαίνει πτυέλου πλῆθος ἐν τῷ πλεύμονι.

ιθ'. Οἱ φρικώδεες, ἀσώδεες, κοπιώδεες, ὀσφυαλγέες, κοιλίας καθυγραίνονται.

κ'. Τὰ ἐπιῤῥιγέοντα ἐς νύκτα μᾶλλόν τι παροξυνόμενα, ἄγρυπνα, φλεγματώδεα, ἐν τοῖσιν ὕπνοισιν, ἔστιν ὅτε, οὖρον ὑφ' ἑαυτοὺς χαλῶντα, φλεβοδονώδεα, ἐς σπασμὸν ἀποτελευτᾷ.

κα'. Τὰ ξυνεχέα ῥίγεα ἐν ὀξέσι, πονηρόν.

κβ'. Αἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλύσιες, ὀλέθριον. τὰ αἱματώδεα οὖρα ἐν τούτοισι, πονηρόν.

κγ'. Ῥῖγος ὀπισθοτονῶδες κτείνει.

κδ'. Τὰ φρικώδεα καὶ ἀνιδρώδεα κρισίμως, ἐς δὲ τὴν αὔριον φρίξαντα, παραλόγως μὴ ἀγρυπνέοντα, μετὰ πεπαινόμενον αἱμοῤῥαγήσειν οἴομαι.

κε'. Τὰ μετὰ ῥίγεος ἐπισχόμενα οὖρα, πονηρὰ καὶ σπασμώδεα, ἄλλως τε καὶ προκαρωθέντι· ἐλπὶς δὲ ἐπὶ τούτοισι καὶ τὰ παρὰ τὰ ὦτα.

κϛ'. Τριταιοφυέα ῥίγεα, ἢν ἐν μέσῳ παροξυνόμενα πυρετῷ ἀτάκτῳ, πάνυ κακοήθεα· τἀναντία δὲ παροξυνόμενα τῶν σπώντων, τῶν μετὰ ῥίγεος καὶ πυρετοῦ, ὀλέθριον.

κζ'. Αἱ ἐκ ῥίγεος ἀφωνίαι, τρόμῳ λύονται· καὶ τοὺς ἐπιῤῥιγέοντας, τρομώδεα γινόμενα κρίνει.

κη'. Οἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλυόμενοι, σφαλεροί· τὸ αἱματῶδες οὖρον τουτέοισι, κακόν.

κθ'. Οἷσι ῥῖγος, οὔρου ἐπίστασις.

λ'. Σπασμὸς ἐν πυρετῷ, χειρῶν καὶ ποδῶν πόνοι, κακόηθες· κακόηθες δὲ καὶ ἐκ μηροῦ ὁρμὴ ἀλγήματος, ἀλλ' οὐδὲ γουνάτων πόνος κρήγυον· ἀτὰρ καὶ γαστροκνημιῶν πόνοι, κακοήθεες, καὶ γνώμης παραφορὴ, ἄλλως τε καὶ οὖρον ἢν ἐναιωρηθῇ.

λα'. Οἱ δὲ ἐξ ὑποχονδρίου ἀλγήματος πυρετοὶ, κακοήθεες· τὸ καρῶδες ἐπὶ τούτοισι κάκιστον.

λβ'. Οἱ μὴ διαλείποντες, ἐφιδροῦντες πυκνὰ, μετὰ ὑποχονδρίου ἐντάσεως, ὡς ἐπιτοπολὺ κακοήθεες· καὶ ἐς ἀκρώμιον καὶ κληῗδα στηρίζοντα ἀλγήματα, ἐν τούτοισι πονηρά.

λγ'. Οἱ τριταιοφυέες ἀσώδεες πυρετοὶ, κακοήθεες.

λδ'. Αἱ ἐν πυρετῷ ἀναυδίαι, κακόν.

λε'. Κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, κωματώδεες, ἐφιδροῦντες ἀναθερμαινόμενοι, κακόν.

11. *Rigores ex dorso molestiores; qui verò decimoseptimo riguit, & vigesimoquarto insuper rigeat, permolestum est.*

12. *Horrore affecti, caput dolentes, leuiter exudantes, malignè habent.*

13. *Horrore affecti multũ exudãtes, molestè laborãt.*

14. *Multi cum torpore rigores, maligni.*

15. *Quibus sexto die rigores fiũt, ij difficilè iudicãtur.*

16. *Quibus sanis horrores crebri sunt, ij ex sanguinis profluuio purulenti fiunt.*

17. *Horror, & spirandi difficultas in doloribus tabis signa sunt.*

18. *Ex pulmonis suppuratione, & circa ventrem interdum ac clauiculam dolores, & anxiè stertere, sputi copiam in pulmone significat.*

19. *Horrore affecti cum iactatione, ac lassitudine, lumbos dolentes, profusiore sunt aluo.*

20. *Quibus superueniunt rigores, & qui ad noctem aliquanto magis exacerbantur, cum vigiliis exæstuant, in somnis interdũ vrinã sub se elaxant, ac venarum agitationibus delirantes in conuulsionẽ abeunt.*

21. *Continui rigores in acutis, prauum.*

22. *Ex rigore cum capitis dolore virium exolutiones, perniciosum. Cruentæ in his vrinæ, prauum.*

23. *Rigor cum opisthotono, enecat.*

24. *Qui inhorruerunt, & exudarunt criticè, postridie verò horruerunt, præter rationem non peruigilarunt, his à pepasmo venturã hæmorrhagiam arbitror.*

25. *Vrinæ cum rigore suppressæ, prauæ, & conuulsoriæ, tum aliàs, tum priùs soporato; sed spes in his, fore parotidas.*

26. *Tritæophyei rigores si in medio exacerbentur inordinata febre, valde maligni; si verò contrario modo conuulsis cum rigore & febre exacerbentur, perniciosum.*

27. *Vocis interceptiones ex rigore, tremore soluuntur, & insuper rigentes, tremores succedentes iudicant.*

28. *Qui ex rigore cum cephalalgia exoluuntur, periculosè laborant; cruenta vrina his mala est.*

29. *Quibus rigor, iis vrinæ suppressio est.*

30. *Conuulsio in febre, manuum ac pedum dolores, malignũ; sed & malignum ex femore doloris impetus; imò neque genuum dolor, bonum; Quin & surarum dolores, maligni sunt, ac mentis emotio, tum aliàs, tum si vrina suspensum habuerit.*

31. *Ex hypochondriorum dolore febres, malignæ; carus in his, pessimus.*

32. *Qui febre non intermittente crebrò exudant, cum hypochondrij tensione, plerunque malignè habent; & qui dolores in acromium, ac clauiculam incumbunt, in iis praui sunt.*

33. *Tritæophyæ febres cum iactatione, malignæ.*

34. *Vocis interceptiones in febre, malum.*

35. *Lassati, caligantes, peruigilantes, soporati, exudantes, recalescentes, malum.*

36. *Lassati cum horrore si exudarint criticè, recalefacti in acuto morbo, malum; tum aliàs, tum si circa hæc sanguinem stillarint.*

37. *Auriginosi abundè colorati moriuntur; album his alui recrementum procedit.*

38. *Tertianariæ febres erraticæ in pares mutatæ, molestæ.*

39. *Criticis diebus iactationes sudoris expertes, perfrigerationibus comitatæ; & qui omnes citra sudorem haud criticè perfrigerantur, malum.*

40. *Et qui insuper riguerunt, posthæc sincera vomuerunt, anxij, tremuli in febre, malum; & à rigore vocis interceptio.*

41. *Qui ex rigoribus paruis sudoribus perfrigescunt, malum.*

42. *Exudantes, peruigiles, recalescentes, malum.*

43. *Exudantes in febre malignè habent.*

44. *Quibus biliosa deiectione prodeunte circa pectus morsus, ac amaritudo, malum.*

45. *In febribus inflata aluo, flatum non erumpere, malum.*

46. *Lassati singultuosi, & catoche correpti, malum.*

47. *Qui ex dorso crebris ac tenuibus horroribus exudant, molestè laborant: vrinæ interceptio dolorem significat; ac exudare his, malum.*

48. *Præter consuetudinem aliquid facere, vt aliquid in animum inducere, priùs minimè consuetum, aut contrarium, prauum, ac delirio proximum.*

49. *In prauis signis quæ leuant, quæque in bonis non remittunt, contumacia.*

50. *Qui leuiter exudant, & maximè capite, in morbis acutis submolestè ferentes, malũ, tum aliàs, tum si vrinæ nigræ sint; atque turbidus in his spiritus malum.*

51. *Extrema corporis si in vtrumque celeriter permutantur; sed & sitis huiusmodi, malum.*

52. *Ex homine moderato temeraria responsio, malũ.*

53. *Vox acuta, malum; hypochondria his intrò trahuntur.*

54. *Qui ex perfrigeratione sudabunda citò recalescunt, malum*

55. *Qui in acutis leuiter exudant submolestè ferentes, malum.*

56. *Qui præter rationem nulla existente vasorum vacuatione prostratis sunt viribus, malum.*

57. *In febre tractus velut à vomitu, in screationem desinens, malum.*

58. *Torpor in contraria citò translabens, malum.*

59. *Sanguinis stillæ pusillæ malæ.*

60. *In acuto autem morbo sitis præter rationem soluta, malum.*

61. *Qui ad manum exiliunt, malè habent.*

62. *Quibus cum febre ardente, tumores somnolenti torpidi fiunt, his dolor in latus superueniens paraplectico modo occidit.*

63. *Suffocatio in acutis, ægris attenuatis, perniciosa.*

λϛ΄. Οἱ κοπιώδεες μετὰ φρίκης ἐφιδρώσαντες κρισίμως, ἀναθερμανθέντες ἐν ὀξεῖ, κακόν· ἄλλως τε καὶ ἢν αἷμα ἐπιστάζωσι περὶ ταῦτα.

λζ΄. Ἰκτερώδεες καταχορέες, θνήσκουσι· λευκὸν διαχώρημα τουτέοισι προσδιέρχεται.

λη΄. Οἱ τριταιοφυέες πλανώδεες, ἐς ἀρτίας μεταπεσόντες, δύσκολοι.

λθ΄. Οἱ ἐν κρισίμοισιν ἀλυσμοὶ ἀνίδρωτες περιψυχόμενοι, καὶ ἅπαντες δὲ οἱ ἄνευ ἱδρῶτος περιψυχόμενοι ἀκρίτως, κακόν.

μ΄. Καὶ οἱ ἐπιρριγώσαντες, ἐκ τούτων ἐμέσαντες ἄκρητα, ἀσώδεες, τρομώδεες, ἐν πυρετῷ, κακόν· καὶ φωνὴ δὲ ἐκ ῥίγεος ἐκλείπουσα.

μα΄. Τὰ δὲ ἐκ ῥιγῶν μικροῖσιν ἱδρῶσι περιψύχοντα, κακόν.

μβ΄. Οἱ ἐφιδροῦντες, ἄγρυπνοι, ἀναθερμαινόμενοι, κακόν.

μγ΄. Οἱ ἐφιδροῦντες ἐν πυρετῷ, κακοήθεες.

μδ΄. Οἷσι χολώδεος διαχωρήσιος ἐούσης, περὶ στῆθος δῆξις καὶ πικρότης, κακόν.

με΄. Ἐν πυρετοῖσι κοιλίης ἐμφυσωμένης, πνεῦμα μὴ διεκπίπτον, κακόν.

μϛ΄. Κοπιώδεες, λυγγώδεες, κάτοχοι, κακοί.

μζ΄. Ἐκ νώτου πυκινῇσι καὶ λεπτῇσι φρίκῃσιν ἐφιδροῦντες, δύσφοροι· οὔρου ἀπόληψιν ἐπώδυνον σημαίνει. Τὸ ἐφιδροῦν τούτοισι, κακόν.

μη΄. Τὸ παρὰ τὸ ἔθος ποιέειν τι, οἷον προσθυμέεσθαί τι πρότερον μὴ εἰθισμένον, ἢ τοὐναντίον, πονηρὸν, καὶ πλησίον παρακοπῆς.

μθ΄. Τὰ ἐν πονηροῖσι σημείοισι κουφίζοντα, καὶ τὰ ἐν χρηστοῖσι μὴ ἐνδιδόντα, δύσκολα.

ν΄. Οἱ ἐφιδροῦντες, καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσιν ὑποδύσφοροι, κακόν· ἄλλως τε καὶ ἐπ' οὔροισι μέλασι· καὶ τὸ θολερὸν ἐπὶ τούτοισι πνεῦμα, κακόν.

να΄. Ἄκρεα ταχὺ ἐπ' ἀμφότερα μεταπίπτοντα, καὶ δίψα δὲ τοιαύτη, πονηρόν.

νβ΄. Ἐκ κοσμίου θρασεῖα ἀπόκρισις, κακόν.

νγ΄. Φωνὴ ὀξεῖα, κακόν· ὑποχόνδρια τουτέοισιν εἴσω εἰρύαται.

νδ΄. Τὰ ἐκ καταψύξιος ἱδρώδεος ταχὺ ἀναθερμαινόμενα, κακόν.

νε΄. Οἱ ἐν ὀξέσιν ἐφιδροῦντες ὑποδύσφοροι, κακόν.

νϛ΄. Οἱ παραλόγως, κενεαγγείης μὴ ἐούσης, ἀδύνατοι, κακόν.

νζ΄. Ἐν πυρετῷ ἕλξις οἷον ἀπὸ ἐμέτου, ἐς ἀνάχρεμψιν τελευτῶσα, κακόν.

νη΄. Νάρκη ἐς ἀμφότερα ταχὺ μεταπίπτουσα, κακόν.

νθ΄. Στάξιες αἱ ἐλάχισται, κακαί.

ξ΄. Κακὸν δὲ πάντως ἐν ὀξεῖ, δίψα παραλόγως λυθεῖσα.

ξα΄. Οἱ πρὸς χεῖρα ἀναΐσσοντες, κακοί.

ξβ΄. Οἷσιν ἅμα πυρετῷ καυσώδει, οἰδήματα ὑπνώδεα νενωθρωμένα, ἐς πλευρὸν ὀδύνη ἐπελθοῦσα, παραπληκτικῶς κτείνει.

ξγ΄. Πνιγμὸς ἐν ὀξέσι νοσοῦσιν ἰσχνοῖσιν, ὀλέθριον.

ξδ'. Ἐπὶ τοῖσιν ἤδη ὀλεθρίοισι τὰ σμικρὰ τρομώδεα, καὶ ἰώδης ἔμετος, θανάσιμα. A

ξε'. Οἱ ἐν τοῖσι ποτοῖσιν ὑποψοφέοντες, καὶ ὑποβορβορύζοντες ξηροῖσι, καὶ οἱ χαλεπῶς καταβροχθίζοντες πνεύματι βηχώδει, ὀλέθριοι ἐν ὀξέσι κατεψυγμένοισι.

ξϛ'. Τὰ ἐν χερσὶ καὶ ποσὶν ἐρυθήματα, ὀλέθρια.

ξζ'. Οἱ ἐκφυσῶντες, καὶ ἀνακεκλασμένοι, ἐν τοῖσιν ὕπνοισιν ὑποβλέποντες, ἰκτερώδεες κατακορέες θνήσκουσι· λευκὸν διαχώρημα τούτοισι προέρχεται.

ξη'. Αἱ ἐν πυρετοῖσιν ἐκστάσιες σιγῶσαι μὴ ἀφώνῳ, ὀλέθριαι. B

ξθ'. Τὰ πελιδνὰ γινόμενα ἐν πυρετῷ, συντόμως θάνατον σημαίνει.

ο'. Οἷσιν ἐν πυρετῷ, ἀλγήματος πλευροῦ γινομένου, κοιλίης ὑδατόχολα πολλὰ διαδιδούσης, ῥηΐζει· ἀσιτίαι δὲ παρακολουθοῦσι, καὶ ἱδρῶτες μετὰ προσώπου εὐχροίης, καὶ κοιλίης ὑγρῆς, καί τι καὶ καρδιαλγίης, οὗτοι μακροτέρως νοσήσαντες περιπλευμονικῶς τελευτῶσι.

οα'. Πυρέσσοντι, ἐν ἀρχῇ μέλαινα χολὴ ἄνω, ἢ κάτω διελθοῦσα, θανάσιμον. C

οβ'. Οἱ μετὰ καταψυξίων οὐκ ἀπύρων ἐφιδροῦντες ἄνω, δύσφοροι, φρενιτικοί τε καὶ ὀλέθριοι ἐν ὀξεῖ.

ογ'. Τὰ ἐπ' ὀλίγον ὀξέα ἀλγήματα εἰς κληῖδα, καὶ τὰ ἄνω πίπτοντα, ὀλέθρια.

οδ'. Ἐν μακροῖσι ὀλεθρίοισιν, ἕδρης ἄλγημα θανάσιμον.

οε'. Τοῖσιν ἀσθενέως ἤδη διακειμένοισι, μὴ βλέπειν, ἢ μὴ ἀκούειν, ἢ διαστρέφεσθαι χεῖλος, ἢ ὀφθαλμὸν, ἢ ῥῖνα, θανάσιμον. D

οϛ'. Ἐν πυρετοῖσι, βουβῶνος ἄλγημα, νούσου χρονίην σημαίνει.

οζ'. Αἱ ἐν πυρετοῖσιν ἀκρισίαι, χρόνους μὲν ἐμποιέουσιν, ἀτὰρ οὐχὶ ὀλέθριαι.

οη'. Οἱ ἐξ ἀλγημάτων ἰσχυρῶν πυρετοὶ, πολυχρόνιοι.

οθ'. Αἱ τρομώδεες, ψηλαφώδεες παρακρούσιες, φρενιτικαί· καὶ οἱ κατὰ γαστροκνημίην πόνοι ἐν τούτοισι, γνώμης παράφοροι. E

π'. Ὅσοι ἐν ξυνεχεῖ ἄφωνοι κείμενοι, μύοντες σκαρδαμύσσουσιν, ἢν αἵματος ῥυέντος ἐκ ῥινῶν, ἐμέσαντες φθέγξωνται, καὶ παρ' αὐτοῖσι γένωνται, σώζονται· μὴ γινομένων δὲ τούτων, δύσπνοοι γινόμενοι, θνήσκουσι συντόμως.

πα'. Οἱ λαβόντες, ἐς τὴν αὔριον παροξυνθέντες, κακόν. τρίτην ἐπισχόντες, τετάρτην παροξυνθέντες, κακόν. ἆρά γε καὶ φρενιτικοὶ οἱ τοιοῦτοι παροξυσμοί;

πβ'. Ὁκόσοισιν ἐκλείπουσιν οἱ πυρετοὶ μὴ κατὰ κρισίμους, ὑποστροφικόν. F

πγ'. Οἱ ἐν ἀρχῇ λεπτοὶ μετὰ κεφαλῆς σφυγμοῦ, καὶ οὔρου λεπτοῦ, πρὸς κρίσιν παροξύνονται, θαῦμα δὲ οὐδὲν εἰ καὶ παρακοπὴ, καὶ ἔτι ἀγρυπνίη γένοιτο.

πδ'. Ἐν ὀξέσι κίνησις, ῥιπτασμὸς, ὕπνος ταραχώδης, σπασμὸν ἐνίοισι σημαίνει.

64. In perniciosis iam parui tremores, & vomitus æruginosus, lethales.

65. Qui in potibus substrepunt, & submurmurant in siccis; & qui difficulter deglutiant spiritu tussiente, perniciosè habent in acutis perfrigeratis.

66. Rubores in manibus ac pedibus, perniciosi.

67. Efflantes & refracti, in somnis leuiter suspicientes, morbo regio abundè colorati moriuntur; album alui recrementum in his præcedit.

68. In febribus mentis emotiones taciturnæ, in eo qui voce priuatus non est, perniciosæ sunt.

69. Liuores oborientes in febre, breui mortem affore significant.

70. Quibus in febre dolore lateris oboriente, aluo multa aquosa ac biliosa deiiciente, hi alleuantur; quibus verò inediæ consequenter accedunt, ac sudores cum bono faciei colore, & aluo liquida, atque etiam aliqua cardialgia, hi vbi longius ægrotarunt, peripneumonicorum modo moriuntur.

71. Febrienti si atra bilis in principio sursum aut deorsum prodierit, lethale est.

72. Qui cum perfrigerationibus, non sine febre, supernè exudant, molestè ferentes, & phrenitici, in acuto morbo & perniciosè habent.

73. Dolores modicè acuti, ad claniculam ac sursum transeuntes, perniciosi.

74. In longis perniciosis morbis sedis dolor lethalis est.

75. Si debiliter iam affecti, non videant, aut non audiant, aut labium, aut oculus, aut nasus ipsis distorqueatur, lethale est,

76. In febribus, inguinis dolor, morbum diuturnum significat.

77. In febribus indicationes impeditæ ac sublatæ, tẽporis quidẽ diuturnitatẽ inducũt, nõ autẽ perniciosę sunt.

78. Febres ex doloribus vehementibus, diuturnæ.

79. Mentis emotiones tremulæ, palpatoriæ, phreniticæ sunt; & dolores circa suram, in his mentem emouent.

80. Quicunque in febre continua, voce destituti iacentes, oculis conniuentes nictant; hi si postquam sanguis ipsis ex naribus fluxit, & vbi vomuerunt loquantur, & ad seipsos redeant, seruantur; si verò hæc non fiant, difficulter spirantes facti breui moriuntur.

81. Qui melius habuerũt, si postridie exacerbentur, malũ est. Si tertio die cohibiti, quarto exacerbẽtur, malũ est. Num & tales exacerbationes phreniticæ sunt?

82. Quibuscunque desinunt febres, non in diebus indicatoriis, his recidiuæ fiunt.

83. Qui in principio tenues, cum capitis pulsu, & vrina tenui, ad iudicationem exacerbantur, his nihil miri est si & mentis emotio insuperq; vigiliæ accedant.

84. In morbis acutis, motus, iactatio, somnus turbulentus, quibusdam conuulsionem significat.

85.

85. *Turbulentæ cum ferocia excitationes mentem emouentes, malæ sunt, itémque conuulsoriæ, tum alias tum cum sudoribus; Conuulsoriæ etiam videntur colli ac dorsi perfrigerationes, imò etiam totius corporis. In his mictiones sunt membraneæ.*

86. *Deliria cum sopore, conuulsoria.*

87. *Mentis emotiones modicè feroces, ferinæ sunt, sed & conuulsiones prænunciant.*

88. *In morbis longis, ventris præter rationem tumores, conuulsorij.*

89. *Affectiones statim turbulẽtæ, vigilias inducentes, sanguinẽ de naribus stillantes, sexta die alleuantes per noctẽ, verũ postridie rursus affligentes, exudantes, in somnũ delatæ, mentẽ emouentes, largè sanguinem fundũt, & morbos soluunt. Aquosa vrina talia significat.*

90. *Qui cùm relatis, ab atra bile mente moti, tremuli fiunt, malignè habent.*

91. *Delirium in spiritu & sudore, lethale est. Lethale est & in spiritu ac singultu.*

92. *Insomnia in phrenitide euidentia, bona fiunt.*

93. *In phrenitide deiectiones alui albæ, & torpor, malum. Rigor his pessimus est.*

94. *In phreniticis, in principiis affectiones mãsuetæ, ac frequenter transmutationem habentes, malæ sunt.*

95. *Quibus ab atra bile mente motis, tremores fiunt, malum est.*

96. *Qui ab atra bile mente moti, tremuli fiunt, ac saliuam fundunt, num sanè phrenitici sunt?*

97. *Mente moti, acutè insuper febrientes, phrenitici fiunt.*

98. *Phrenitici parum bibentes, strepitum valde percipientes, tremuli, aut conuulsi.*

99. *In vehemẽter phreniticis, tremores lethales sunt.*

100. *Deliria circa necessaria, pessima; quæ ex his exacerbantur, lethalia sunt.*

101. *Mentis perculsiones, voces clangentes, linguæ conuulsæ, ac ipsi quoque tremuli facti, mentem alienam denunciant. Duricies in his perniciosa est.*

102. *Prædebilitatorum deliria, pessima.*

103. *Affectiones in phreniticis frequenter transmutationem habentes, conuulsoriæ, prauæ.*

104. *Phrenitici cum perfrigeratione saliuam fundentes, vomitum nigrum indicant.*

105. *Qui variè ægrotant, & frequenter soporosi mente mouentur, his nigrum vomitum expectandum esse dicito.*

106. *Quæ conuulsorio modo exacerbantur, catochen inducunt.*

107. *Tumores iuxta aurem, in morbis longis parui sunt; sanguinis fluxiones ac vertigines insuper apparentes, perniciosæ.*

108. *Febres vertiginosæ, & cum volulis, & sine volulis, perniciosæ.*

109. *Anhelatoribus febris postea acuta. Cum hypochondrio intento perfrigeratis, magnus circa aurem tumor.*

πε'. Αἱ ταραχώδεες θρασύτητι ἐγέρσιες, παράφοροι, πονηρὸν, καὶ σπασμώδεες· ἄλλως τε καὶ μεθ' ἱδρώτων· σπασμώδεες δὲ καὶ τραχήλου, καὶ μεταφρένου δοκέουσι ψύξιες, ἀτὰρ καὶ ὅλου τοῦ σώματος, ἐν τούτοισιν ὑμενώδεες οὐρήσιες.

πϛ'. Αἱ ἐν κώματι παρακρούσιες, σπασμώδεες.

πζ'. Αἱ ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες, θηριώδεες· καὶ σπασμοὺς δὲ προσημαίνουσιν.

πη'. Ἐν τοῖσι μακροῖσι, κοιλίης ἄλογοι ἐπάρσιες, σπασμώδεες.

πθ'. Τὰ εὐθὺ ταραχώδεα, ἄγρυπνα, ἐπιστάζοντα ἐκ ῥινῶν, ἑκταῖα κουφισθέντα νύκτα, πονήσαντα δὲ ἐς τὴν αὔριον, ἐφιδρώσαντα, κατενεχθέντα, παρακρούσαντα, αἱμοῤῥοεῖ λαύρως, καὶ λύει τὰ πάθεα. Τὸ ὑδατῶδες οὖρον τοιαῦτα σημαίνει.

ϙ'. Μετὰ τῶν εἰρημένων, τῶν ἐξισταμένων μελαγχολικῶς, οἱ τρομώδεες γενόμενοι, κακοήθεες.

ϙα'. Παραφροσύνη ἐν πνεύματι, καὶ ἱδρῶτι, θανατώδης. θανατώδης δὲ καὶ ἐν πνεύματι, καὶ λυγμῷ.

ϙβ'. Ἐνύπνια τὰ ἐν φρενίτιδι ἐναργῆ, ἀγαθόν.

ϙγ'. Ἐν φρενίτιδι διαχωρήσιες λευκαὶ, καὶ νωθρότης, κακόν. ῥῖγος τουτέοισι κάκιστον.

ϙδ'. Ἐν τοῖσι φρενιτικοῖσιν, ἐν ἀρχῇσι, τὰ ἐπιεικῶς ἔχοντα, πυκνά τε μεταπίπτοντα, κακόν.

ϙε'. Τῶν ἐξισταμένων μελαγχολικῶς, οἷσι τρόμοι ἐπιγίνονται, κακόν.

ϙϛ'. Οἱ ἐξιστάμενοι μελαγχολικῶς, τρομώδεες γινόμενοι, καὶ πτυαλίζοντες, ἦρά γε φρενιτικοί.

ϙζ'. Οἱ ἐκστάντες, ὀξέως ἐπιπυρέξαντες, φρενιτικοὶ γίνονται.

ϙη'. Οἱ φρενιτικοὶ βραχυπόται, ψόφου καθαπτόμενοι, τρομώδεες, ἢ σπασμώδεες.

ϙθ'. Τὰ ἐν φρενιτικοῖσι νεανικῶς τρομώδεα, θανάσιμα.

ρ'. Αἱ περὶ ἀναγκαῖα παραφροσύναι, κάκισται· αἱ ἐκ τούτων παροξυνόμεναι, ὀλέθριοι.

ρα'. Αἱ παρακρούσιες, φωνὴ κλαγγώδεες, γλῶσσαι σπασμώδεες, καὶ αὐτοὶ τρομώδεες γενόμενοι, ἐξίστανται. σκληρυσμὸς τουτέοισιν, ὀλέθριον.

ρβ'. Αἱ προεξαδυνατησάντων παραφροσύναι, κάκισται.

ργ'. Τὰ ἐν φρενιτικοῖσι πυκνὰ μεταπίπτοντα, σπασμώδεα, πονηρά.

ρδ'. Οἱ ἐν φρενιτικοῖσι μετὰ καταψύξιος πτυαλίζοντες, μέλαινα ἔμετον δηλοῦσι.

ρε'. Τοῖσι ποικίλως διανοσέουσι καὶ παρακρούουσι, πυκνὰ κωματώδεσι, προσδέχεσθαι λέγε μέλαινα ἔμετον.

ρϛ'. Τὰ παροξυνόμενα τρόπον σπασμώδεα, κάτοχα.

ρζ'. Τὰ παρ' οὖς ἐπάρματα ἐν μακροῖσι μικρά· αἱμοῤῥώδεα, καὶ σκοτώδεα ἐπιφαινόμενα, ὀλέθρια.

ρη'. Οἱ ἰλιγγώδεες πυρετοὶ, καὶ ἄνευ ἰλέων, καὶ μετὰ ἰλέων, ὀλέθριοι.

ρθ'. Τοῖσι πνευματίῃσιν ἐοῦσι, πυρετὸς ὕστερον ὀξὺς, μετὰ ὑποχονδρίου ξυντόνου καταψυχθεῖσι, παρ' οὖς μέγα ἔπαρμα.

ρι΄. Οἷσιν αἱ ἐν πυρετῷ ὀδύναι γινόμεναι περὶ ὀσφὺν καὶ τὰ κάτω χωρία, φρενῶν ἅπτονται, ἐκλείπουσαι τὰ κάτω, ὀλέθρια, ἄλλως τε κἢν ἄλλο τι σημεῖον προσγίνηται πονηρόν. ἢν δὲ τἄλλα σημεῖα μὴ πονηρὰ γίνηται, ἔμπυον γενήσεσθαι ἐλπίς.

ρια΄. Παιδίοισιν ὀξὺς πυρετὸς, καὶ κοιλίης ὑπόστασις μετ' ἀγρυπνίης, καὶ τὸ ἐκλακτίζειν, καὶ τὸ χρῶμα μεταβάλλειν, καὶ ἴσχειν ἔρευθος, σπασμώδεες.

ριβ΄. Τὰ εὐθὺ ταραχώδεα, ἄγρυπνα, μέλανα δὲ τὰ συνθετα, αἱμορροεῖ ἔνια.

ριγ΄. Τὰ ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ, αἱμορροεῖ, ἄλλως τε καὶ ἤν τι προσερρυήκῃ. ἆρά γε καὶ μεταφρίξαντες οἱ ἐπ' ὀλίγον περιψύχοντες;

ριδ΄. Περὶ δὲ τοὺς παροξυσμοὺς βήσσοντες, καὶ ἐφιδροῦντες μικρὸν, κακοήθεες.

ριε΄. Ες πλευρὸν ὀδύνης καὶ πνιγμοῦ προσγινομένου, οὗτοι ἐμπυοῦνται.

ρις΄. Οἷσιν ἐν συνεχέσι φλυζάκια κατὰ πᾶν τὸ σῶμα ἐκφύει, θανάσιμον, μὴ γινομένου πυώδεος ἀποστήματος· μάλιστα δὲ εἴθισται γίνεσθαι τούτοισι παρ' οὖς.

ριζ΄. Εν ὀξεῖ τὰ μὲν ἔξωθεν περιψύχεσθαι, τὰ δὲ εἴσωθεν καίεσθαι, καὶ διψῆν, κακόν.

ριη΄. Οἱ συνεχέες διὰ τρίτης ἐπιτείνοντες, ἐπικίνδυνοι. οἷσι δ' ἄν ποτε πυρετὸς διαλίπῃ, ἀκίνδυνοι.

ριθ΄. Εν μακροῖς πυρετοῖσιν, ἢ φύματα, ἢ ἐς ἄρθρα πόνοι ἐγγίνονται· καὶ ἢν γίνωνται, οὐκ ἄχρηστοι.

ρκ΄. Κεφαλαλγίη ἐν ὀξεῖ, ὑποχόνδριον ἀνεσπασμένον, μὴ ῥυέντος αἵματος ἐκ ῥινέων, ἐς φρενιτικὸν περιίσταται.

ρκα΄. Τὰ λειπυρικὰ, μὴ χολέρας ἐπιγινομένης, οὐ λύεται.

ρκβ΄. Ικτερος πρὸ μὲν τῆς ἑβδόμης ἡμέρης ἐπιγινόμενος, κακόν. ἑβδόμῃ δὲ, καὶ ἐνάτῃ, καὶ ἑνδεκάτῃ, καὶ τεσσαρεσκαιδεκάτῃ, κρίσιμον μὴ σκληρυνθέντων ὑποχονδρίων· ἢν δὲ μὴ, ἐνδοιαστόν.

ρκγ΄. Αἱ πυκναὶ διὰ τῶν αὐτῶν ὑποστροφαὶ, περὶ κρίσιν αἱματώδεες, μελαινῶν ἔμετον ποιέουσι· γίνονται δὲ καὶ τρομώδεες.

ρκδ΄. Τὰ ἐν τριταίοισι πυρετοῖσιν ἀλγήματα παροξυνόμενα, τριταιογενῆ ποιέεται, καὶ θρομβώδεα αἵματα διαχωρέει.

ρκε΄. Εν πυρετοῖσι, κατὰ φλέβα τὴν ἐν τῷ τραχήλῳ, σφυγμὸς καὶ πόνος, ἐς δυσεντερίην ἀποτελευτᾷ.

ρκς΄. Τὸ μεταβάλλον πολλάκις χρῶμα κατὰ θερμασίην, χρήσιμον.

ρκζ΄. Τοῖσι χολώδεσι, πνεῦμα μέγα, καὶ πυρετὸς ὀξὺς μετ' ὑποχονδρίου ἐντάσιος, παρ' οὖς ἀφίστησιν.

ρκη΄. Οἱ ἐκ μακρῶν ἀναλαμβάνοντες, εὔσιτοι, μηδὲν ἐπιδιδόντες, ἐπιστρέφουσι κακοήθως.

ρκθ΄. Οἷσιν ἐν πυρετοῖσι φλέβες αἱ ἐν κροτάφοισι, σφυγματώδεες, καὶ πρόσωπον ἐρρωμένον, καὶ ὑποχόνδριον μὴ λαπαρὸν, χρόνιον· καὶ οὐ παύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινῶν πολλῆς, ἢ λυγμοῦ, ἢ σπασμοῦ, ἢ ὀδύνης ἰσχίων.

ρλ΄. Εν καύσῳ κοιλίη καταρραγεῖσα, θανάσιμον.

110. *Quibus in febre dolores circa lũbos & infernas partes oborti, septum transuersum contingunt, infernas partes relinquentes, perniciosi sunt tum aliàs, tum si aliud quoddam signum prauum accedat. Si verò alia signa non fuerint praua, suppuratum fore timor est.*

111. *Pueris febris acuta, & aluus suppressa cum vigiliis, & calcitrare & colorem mutare, & ruborem habere, conuulsorium est.*

112. *Affectiones statim turbulentæ, vigilias inducẽtes, & nigra cõpacta deiicientes, interdũ sanguinẽ fundũt.*

113. *Affectiones cũ vigiliis & anxietate repẽtina, sãguinẽ fundũt, tũ aliàs, tũ si quid etiam antea profluxerit. Nũ & qui modicè perfrigerati postea horruerũt?*

114. *At qui circa exacerbationes tussiunt, & parum exudant, malignè habent.*

115. *Ad latus dolore ac suffocatione accedente, hi suppurantur.*

116. *Quibus in febribus continuis pustulæ per totum corpus erumpunt, lethale, si non purulentus abscessus fiat: maximè autem circa aurem his fieri solet.*

117. *In morbo acuto externas quidem partes perfrigerari, internas autem ardere, & sitire, malum est.*

118. *Febres continuæ quæ tertio die intenduntur, periculosæ. Quibus verò febris aliquando intermittit, periculo vacat.*

119. *In febribus longis, aut tubercula, aut dolores, in articulis fiunt; & si facti fuerint, non sunt inutiles.*

120. *Capitis dolor in morbo acuto hypochondrium reuulsum, non profluente ex naribus sanguine, ad phrenitidem deuenit.*

121 *Febres lipyriæ, bilis effusione non accedente, non soluuntur.*

122 *Morbus regius ante septimum diem accedens, malum; septimo verò ac nono, & vndecimo ac decimoquarto, iudicatorius est, si non hypochondria induret; sin minus, ambigua res est.*

123. *Frequentes per eadem recidiuæ, circa iudicationem sanguinolentæ, nigrorum vomitum faciunt; fiunt autem & tremulæ.*

124. *Dolores qui in tertianis febribus exacerbantur, tertianarum generis morbum faciunt, & grumosum sanguinem egerunt.*

125. *In febribus secundum venam quæ est in collo, pulsus ac dolor, in dysenteriam desinit.*

126. *Color qui sæpe in calore transmutatur, vtilis est.*

127. *In biliosis spiritus magnus, & febris acuta, cũ hypochondrij intentione, iuxta aurem abscessum facit.*

128. *Qui ex morbis lõgis se refocillãtes bene cibũ accipiũt, & nihil proficiũt, hi malignè in recidiuã incidũt.*

129. *Quibus in febribus venæ in temporibus pulsant, & facies sana est, & hypochondrium non molle, diuturnum morbum significat: & non desinentem citra multi sanguinis ex naribus fluxum, aut singultum, aut conuulsionem, aut coxendicum dolorem.*

130. *In febre ardente, si aluus eruperit, mortale est.*

131. *In*

131. *Ex alui dolore laborioso, febris ardens, perniciosa.*

132. *In febribus ardentibus, si aurium sonitus accedant, cum visus hebetudine, & grauitate secundum nares, melancholico modo mente mouentur, sanguine ipsis non erumpente.*

133. *Tremores in febribus ardentibus, delirium soluit.*

134. *In febre ardente fluxio sanguinis ex naribus, quarto die, mala est, si non aliud quid boni conciderit: verùm quinto, minus periculosa est.*

135. *Qui ex febribus ardentibus aliquantulum perfrigerantibus, cum deiectionibus alui aquosis ac biliosis ac crebris laborant, oculis malum est, tum alias, tum si catochi fiant.*

136. *Febris ardens rigore superueniente soluitur.*

137. *Febres ardentes recurrere solent, & vbi per dies quatuor significationem de se præbuerunt, postea exudant; sin minus, septimo die.*

138. *Febres ardentes quatuordecim dies diiudicant, aut alleuantes, aut perimentes.*

139. *Ex febre ardente, abscessu purulento circa aurem non oborto, non valde seruantur.*

140. *Lethargici, tremuli ex manibus, somnolenti, decolores, tumidi, pulsibus tardi sunt, & partes sub oculis eleuatas habent, & sudores insuper accedunt, & aluos biliosas, intemperatas & subtumidas habent: Si verò resiccatas habuerint, vrina & deiectiones alui latenter ipsis progrediuntur; vrina velut iumentorum est; potum non expetunt, neque aliud quicquam. Postquam verò resipuerint, collum dolens se habere dicunt, & sonitus per aures transire.*

141. *Qui verò ex lethargicis seruantur, plerunque pectore suppurati fiunt.*

142. *Quibuscunque in febribus tremores citra iudicationem cessant, his temporis progressu, abscessus cum dolore suppuratus in sedem fit, & vesica dolet.*

143. *Febrientibus quibus quidem rubores sunt in facie, & dolor capitis fortis, & venarum pulsus, his sanguinis fluxio plerunque contingit. Quibus autem anxietates sunt, & oris ventriculi morsus, & crebræ saliuæ, his vomitus fit. Quibus verò ructus adsunt, & flatus, strepitus ac eleuationes ventris, his fit alui exturbatio.*

144. *Qui diutius securè ex febre continua laborant, citra dolorem aut inflammationem, aut aliam causam, his abscessus expectandus est cum dolore ac tumore, & magis in inferis partibus. Expectare autem oportet abscessus, his magis qui trigesimum annum egressi sunt, & tunc expectare abscessus oportet, vbi viginti dies febris transmiserit; senioribus autem minus fiunt, & vbi multo tempore febres durant. At intermittentes & erraticæ, autumno maximè in quartanam leniter transeunt, & hoc magis his qui triginta annos excesserint. Abscessus autem hyeme magis fiunt, & tardius desinunt, & minus recurrunt.*

A ρλα'. Ἐκ κοιλίης ἀλγήματος ἐπιπόνου, πυρετὸς καυσώδης, ὀλέθριον.

ρλβ'. Ἐν τοῖσι καυσώδεσιν ἤχων προσγινομένων μετ' ἀμβλυωγμοῦ, καὶ κατὰ ῥῖνας βάρους, ἐξίστανται μελαγχολικῶς, μὴ αἱμοῤῥαγήσαντες.

ρλγ'. Τοὺς ἐν καύσοισι τρόμους, παρακοπὴ λύει.

ρλδ'. Ἐν καύσῳ ῥύσις ἐκ μυκτήρων τεταρταίῳ κακὸν, ἢν μή τι ἄλλο ἀγαθὸν ξυμπέσῃ· πεμπταίῳ δὲ ἧσσον B κινδυνῶδες.

ρλε'. Οἱ ἐν τοῖσι καυσώδεσιν ὑποπεριψύχοισι, διαχωρήμασιν ὑδατοχόλοισι, πυκνοῖσιν, ὀφθαλμοῖσι κακὸν, ἄλλως τε κἢν κάτοχοι γίνωνται.

ρλϛ'. Καῦσος, ῥίγεος ἐπιγινομένου λύεται.

ρλζ'. Καῦσοι ὑποτροπιάζειν εἰώθασι, καὶ ἡμέρας τέσσαρας ἐπισημήναντες, ἔπειτα ἐφιδροῦσιν· εἰ δὲ μὴ, τῇ ἑβδόμῃ, καὶ δεκάτῃ.

ρλη'. Τοὺς καυσώδεας διακρίνουσιν αἱ τεσσαρεσκαίδεκα C ἡμέραι, κουφίζουσαι, ἢ ἀναιρέουσαι.

ρλθ'. Ἐκ καύσου, μὴ γινομένου πυώδεος περὶ οὖς ἀποστήματος, οὐ πάνυ σώζονται.

ρμ'. Οἱ ληθαργικοὶ, τρομώδεες ἀπὸ χειρῶν, ὑπνώδεες, δύσχροοι, οἰδηματώδεες, σφυγμοῖσι νωθροῖσι, καὶ μετάρσια τὰ ὑποφθάλμια, καὶ ἱδρῶτες ἐπιγίνονται, καὶ κοιλίας ὑποδιδοῦσι χολώδεας καὶ ἀκρατέας· ἢν δὲ καταξήρους ἔχωσιν, οὖρα καὶ διαχωρήματα προσιόντα λαθραίως, τὸ οὖρον ὑποζυγίου, πιεῖν τε οὐκ αἰτέουσιν, οὐδὲ ἄλλο οὐδέν. ἔμφρονες δὲ γινόμενοι D τράχηλον ἐπώδυνον φασὶν ἔχειν, καὶ διὰ τῶν οὐάτων ἤχους διαΐσσειν.

ρμα'. Ὁκόσοι δὲ σώζονται τῶν ληθαργικῶν, ἔμπυοι ὡς ἐπὶ τὸ πολὺ γίνονται.

ρμβ'. Ὁκόσοισιν ἐν πυρετοῖσιν ἀκρίτως τὰ τρομώδεα παύεται, τουτέοισι χρόνῳ ἐς ἕδρην ἀπόστασις ὀδυνώδης ἐκπυοῦσα, καὶ κύστις ἐπώδυνος.

ρμγ'. Τῶν πυρεσσόντων, οἷσι μὲν ἐρυθήματα ἐπὶ πρόσωπον, καὶ πόνος κεφαλῆς ἰσχυρὸς, καὶ σφυγμὸς φλεβῶν, αἵματος ῥύσις τὰ πολλὰ γίνεται. οἷσι E δὲ ἆσαι, καὶ καρδιωγμοὶ, καὶ πτυαλισμοὶ, ἔμετος. οἷσι δὲ ἐρυγμοὶ, φῦσαι, ψόφοι κοιλίης, καὶ ἐπάρσιες, καὶ ἐκτάραξις κοιλίης.

ρμδ'. Τοῖσι χρονίζουσιν ἀσφαλέως ἐν πυρετῷ ξυνεχεῖ, χωρὶς πόνου, ἢ φλεγμονῆς, ἢ ἄλλης προφάσιος, ἀπόστασιν προσδέχεσθαι, μετὰ πόνου καὶ οἰδήματος, καὶ μᾶλλον ἐς τὰ κάτω χωρία. προσδέχεσθαι δὲ δεῖ τὰς ἀποστάσιας, τοῖσιν ὑπὲρ τριήκοντα ἔτεα μᾶλλον· ὑποσκέπτεσθαι δὲ τουτέοισι τὰς ἀποστάσιας, ἢν τὰς εἴκοσιν ἡμέρας πυρετὸς ὑπερβάλλῃ· τοῖσι δὲ πρεσβυτέροισιν F ἧσσον γίνονται, καὶ πολλῷ χρόνῳ γινομένων τῶν πυρετῶν. οἱ δὲ διαλείποντες καὶ λαμβάνοντες πεπλανημένως, φθινοπώρου μάλιστα, ἐς τεταρταῖον ἐπιεικέως μεθίστανται, καὶ μᾶλλον τοῖσιν ὑπὲρ τὰ τριήκοντα ἔτεα γεγονόσιν. αἱ δὲ ἀποστάσιες, τοῦ χειμῶνος γίνονταί τε μᾶλλον, καὶ παύονται βραδύτερον, καὶ ἧσσον παλινδρομέουσι.

ρμε'. Τοῖσι δὲ πολλάκις ὑποστρεφθεῖσιν, ἢν ἑξάμηνον ὑπερβάλλωσιν, ἰσχιαδικὴ φθίσις ἐπιεικέως γίνεται.

ρμϛ'. Ὁκόσα πυρετῷ ἀντιδίδοται, καὶ μὴ ἀποστηματώδεα σημεῖα, κακοήθεα.

ρμζ'. Τῶν πυρετῶν, οἱ μήτε ἐν ἡμέρῃσι κρισίμῃσι, μήτε μετὰ σημείου λυτηρίου ἀφιέντες, ὑποστρέφουσι.

ρμη'. Τὰ ὀξέα τῶν νοσημάτων, ἐν ἡμέρῃσι κρίνεται τεσσαρεσκαίδεκα.

ρμθ'. Τριταῖος ἀκριβὴς ἐν πέντε, ἢ ἐν ἑπτὰ περιόδοισιν, ἢ, τὸ μακρότατον, ἐν ἐννέα κρίνεται.

ρν'. Οἷσιν ἀρχομένοισι πυρέσσειν αἵματος στάξιες ἐκ ῥινῶν, πταρμοῦ γινομένου, λευκὴν ὑπόστασιν τὸ οὖρον ἴσχει ἐν τῇ τετάρτῃ, λύσιν ἐν τῇ ἑβδόμῃ σημαίνει.

ρνα'. Τὰ δὲ ὀξέα κρίνεται αἵματος ἐκ ῥινῶν ῥυέντος ἐν κρισίμῃ, καὶ ἱδρῶτος πολλοῦ γινομένου, καὶ οὔρου πυώδεος, καὶ ὑαλώδεος γινομένου, ὑπόστασιν χρηστὴν ἔχοντος, καὶ ἀθρόου γινομένου· καὶ ἀποστήματος ἀξιολόγου, καὶ κοιλίης μυξώδεος, καὶ αἱματώδεος, καὶ ἐξαπίνης καταρραγείσης, καὶ ἐμέτων οὐ μοχθηρῶν κατὰ κρίσιν.

ρνβ'. Ὕπνοι βαθέες, μὴ ταραχώδεες, βεβαίαν κρίσιν σημαίνουσιν· οἱ δὲ ταραχώδεες μετὰ ἀλγήματος σώματος, ἀβέβαιοι.

ρνγ'. Ἑβδομαίοισιν, ἢ ἐναταίοισιν, ἢ τεσσαρεσκαιδεκαταίοισι ῥύσιες ἐκ ῥινέων, λύουσιν, ὡς ἐπιτοπολὺ τοὺς πυρετούς· ὁμοίως δὲ καὶ κοιλίης ῥύσις χολώδης, καὶ δυσεντεριώδης, καὶ πόνος γουνάτων, ἢ ἰσχίων, καὶ οὖρον πεπεμμένον πρὸς τὴν κρίσιν· ἐν γυναιξὶ δὲ καὶ ἐπιμηνίων ῥύσις.

ρνδ'. Οἱ ἐν πυρετοῖσιν αἱμορραγήσαντες ἱκανῶς ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι κοιλίας καθυγραίνονται.

ρνε'. Οἱ ἐν πυρετοῖσιν ἐφιδρώοντες, κεφαλαλγέες, κοιλίην ἀπολελαμμένοι, σπασμώδεες.

ρνϛ'. Αἱ ἐπ' ὀλίγον θρασεῖαι παρακρούσιες, καὶ θηριώδεες, καὶ σπασμὸν σημαίνουσι.

ρνζ'. Σπασμὸς ἐν πυρετῷ γινόμενος, καὶ παυόμενος αὐθημερὸν, ἀγαθόν.

ρνη'. Σπασμὸς ἐν πυρετῷ γινόμενος, παύει τὸν πυρετὸν αὐθημερὸν, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ· ὑπερβάλλων δὲ τὴν ὥρην ἐν ᾗ ἤρξατο, καὶ μὴ παυόμενος, κακόν.

ρνθ'. Οἱ διαλείποντες, ἀνωμάλως δὲ χλιαινόμενοι, κοιλίης ἐμφυσωμένης, μικρὰ διαδιδούσης, ὀσφυαλγήσαντες μετὰ κρίσιν, ποτέοισι κοιλίαι καταρρήγνυνται. οἱ δὲ περικαέες πρὸς χεῖρα, νωθροὶ, διψώδεες, ἀσώδεες, κοιλίης ἀπειλημμένης βαρυνόμενοι ἐκλύονται. ἔστι δὴ ὅτε καὶ τὰ ἐξέρυθρα ἐν ποσὶ κατακαύματα, τὰ αὐτὰ σημαίνει.

ρξ'. Οἱ χειμερινοὶ τεταρταῖοι πυρετοὶ, ἐπιεικέως μεθίστανται ἐς τὰς ὀξείας νούσους.

ρξα'. Κεφαλῆς πόνος συντονος μετ' ὀξέος πυρετοῦ, καὶ ἄλλου σημείου τῶν δυσκόλων, θανάσιμον. ἄνευ δὲ σημείου φαύλου, ὑπερβάλλων τὰς εἴκοσιν ἡμέρας,

145. *Quibus verò sæpe recidiua contigit, his si semestre tempus transmiserint, tabes coxendicum leniter accedit.*

146. *Quæcunque signa febri se opponunt, & non abscessus significationem habent, maligna sunt.*

147. *Febres quæ neque in diebus indicatoriis, neque post solutorium signum decesserunt, reuertuntur.*

148. *Acuti morbi in diebus quatuordecim iudicantur.*

149. *Tertiana exquisita in quinque aut septem circuitibus, aut ad summum in nouem iudicatur.*

150. *Quibus febrire incipientibus, sanguis de naribus sternutatione contingente destillat, & vrina sedimentum album quarto die habet, his in septimo die solutionem significat.*

151. *Morbi acuti iudicantur, sanguine de naribus fluente, in die iudicatorio; & sudore multo oborto, & vrina purulenta ac vitrea prodeunte, & bonum sedimentum habente, & aceruatim exeunte; Abscessu item memorabili oboriente, & aluo mucosa & cruenta derepente egerente, & vomitibus non prauis contingentibus circa iudicationem.*

152. *Somni profundi, non turbulenti, firmam iudicationem significant; turbulenti verò cum dolore corporis, inconstantes sunt.*

153. *Septimo die, aut nono, aut decimoquarto, fluxiones sanguinis à naribus contingentes, plerunque febres soluunt; similiter & alui fluxio biliosa, & qualis in dysenteria fieri solet; & genuum ac coxendicum dolor, & vrina concocta ad iudicationem; in muliere verò etiam menstruæ purgationis fluxus.*

154. *Quibus in febribus sanguis abundè vndecunq; profluxit, his in refectionib. à morbo alui humectatur.*

155. *Qui in febribus exudant, caput dolentes, aluo suppressa, conuulsi fiunt.*

156. *Mentis emotiones modicè feroces, & ferina, & conuulsionem significant.*

157. *Conuulsio in febre oboriens, & eodem die desinens, bona est.*

158. *Conuulsio in febre oboriens, sedat febrem eodem die, aut postero, aut tertio; si verò tempus in quo incepit transgrediatur, & non desinat, malum est.*

159. *Febres intermittentes, verùm inæqualiter calescentes, aluo inflata, pauca egerente, in his post iudicationem lumborum dolore sequuto, alui prorumpunt. At amburentes ad manum, torpidæ, siticulosæ, anxiosæ, in his aluo suppressa grauati exoluuntur. Quandoque verò & rubicundæ in pedibus ambustiones eadem significant.*

160. *Hybernæ febres quartanæ, leniter in acutos morbos transeunt.*

161. *Capitis dolor vehemens cum febre acuta, & alio signo maligno, lethale est. Cæterùm sine signo malo, transgrediens vigesimum diem,*

sanguinis

sanguinis aut puris fluxum è naribus, aut abscessus ad inferas partes significat; fluxiones quidem iunioribus trigintaquinque annis: senioribus verò, abscessus; si verò circa frontem ac tempora fuerit dolor ille vehemens, fluxiones.

162. *Quibus capitis sunt dolores, & sonitus aurium, citra febrem, & vertigo, & vocis tarditas, & manuum torpor, eos aut apoplecticos, aut comitiales, aut obliuiosos fore expecta.*

163. *Qui caput dolent, stupore correpti, delirantes, aluo suppressa, oculo ferociente, floridi, hi opisthotono corripiuntur.*

164. *Capitis succussiones, oculi rubicundi, mentem manifestè emouentes, perniciosæ sunt. Non commoriuntur hæc, sed circa aurem tumorem faciunt.*

165. *Capitis dolor, cum sedis & pudendorum dolore, & torporem, & impotentiam inducit, & vocem resoluit. Hæc horrenda non sunt, verùm somnolenti ac singultientes fiunt nono mense, ex quibus soluta voce, in idem restituuntur.*

166. *Qui in capitis dolore ascaridas habent, his surditas & sopor cõsequẽs, abscessus circa aurẽ exuscitat.*

167. *Qui caput dolent, catoche detenti, cum dolore, oculum rubicundum habentes, sanguinem effundunt.*

168. *Capitis concussiones, & aurium sonitus, sanguinem effundunt; aut mulieri menses deducunt, tum aliàs, tum si iuxta spinam dolor consequatur; fortassis autem & dysenterica.*

169. *Capite grauati, iuxta sinciput dolentes, vigiliis infestati, sanguinem effundunt, tum aliàs, tum siquid ad collum se extendat.*

170. *Vomitus in capitis doloribus æruginosus, cum surditate, vigilantibus, citò insaniam excitant.*

171. *Quibus capitis ac colli dolor est, sed & totius corporis tremula quædam impotentia, sanguinis eruptio soluit. Quin & tempore sic soluuntur. Verùm vesicæ in hoc supprimuntur.*

172. *In acutis capitis doloribus, & in torpidis cum grauitate, conuulsiones fieri solent.*

173. *Capitis dolorem soluit pus per nares, aut sputa crassa, & non olentia. Soluit quoque vlcerum eruptio; quandoque & somnus, & alui fluxus.*

174. *Capitis dolor moderatus cum siti cibum capiente, aut cum sudore non soluente febrem, abscessus in gingiuis, aut circa aurem significat, aluo non exturbata.*

175. *Capitis dolor comatosus cum grauitate, conuulsorium quid facit.*

176. *Caput dolentes, siticulosi, aliquatenus vigilantes, obscuri, impotentes, ex aluo liquida delassati, num mente mouentur?*

177. *Caput dolentes, surdastri, manibus tremuli, collum dolentes, mingentes nigra condensata, vomentes nigra, perniciose habent.*

178. *Caput dolentes, exudantes, aluum suppressam habentes, conuulsioni obnoxij sunt.*

179. *Sopor, vbique malum.*

A αἵματος ῥύσιν, ἢ πῦον ἐκ ῥινὸς, ἢ ἀποστάσιας ἐς τὰ κάτω σημαίνει· μάλιστα μὲν νεωτέροισι τῶν τριήκοντα πέντε, τὰς ῥόσιας· τοῖσι δὲ πρεσβυτέροισι, τὰς ἀποστάσιας προσδέχεσθαι· περὶ μέτωπον δὲ καὶ κροτάφους ὄντος τοῦ πόνου, καὶ συντόνου, τὰς ῥύσιας.

ρξβ'. Οἷσι κεφαλαλγίαι καὶ ἦχοι ἀπυρέτοισι, καὶ σκοτοδινίη, καὶ φωνῆς βραδύτης, καὶ νάρκη χειρῶν, ἢ ἀποπλήκτους, ἢ ἐπιληπτικοὺς προσδέχου τούτους ἔσεσθαι, ἢ καὶ ἐπιλήσμονας.

ρξγ'. Οἱ κεφαλαλγέες, κατόχως παρακρούοντες, B κοιλίης ἀπολειφθείσης, ὄμμα θρασυνθέντες, ἀνθηροὶ, ὀπισθοτονώδεες γίνονται.

ρξδ'. Τὰ ἐκσεσεισμένα κεφαλῆς, ὄμματα ἐξέρυθρα, παρακρούοντα σαφῶς, ὀλέθρια. οὐ ξυναποθνήσκει τοῦτο, ἀλλὰ περὶ οὖς οἴδημα ποιέει.

ρξε'. Κεφαλαλγίαι μετ' ἕδρης, καὶ αἰδοίων ἀλγήματος, καὶ νωθρότητα, καὶ ἀκρησίην παρέχει, καὶ φωνὴν παραλύει. ταῦτα οὐ χαλεπά· ὑπνώδεες δὲ, καὶ λυγγώδεες γίνονται ἐνάτῳ μηνί· ἐκ τούτων φωνῆς λυθείσης, ἐς τὸ αὐτὸ καθίστανται.

C ρξς'. Ἀσκαριδώδεες δὲ γλυκόπνοοι ἐν κεφαλαλγίῃ, κώφωσις καὶ κῶμα παρακολουθοῦντα, τὰ περὶ οὖς ἐπαίρει.

ρξζ'. Οἱ κεφαλαλγέες, κατόχως ὀδυνώδεες, ὄμματα ἐξέρυθροι, αἱμορροεῖ.

ρξη'. Τὰ σείοντα κεφαλὴν, τὰ ἠχώδεα, αἱμορροεῖ· ἢ γυναικὶ τὰ γυναικεῖα καταβιβάζει, ἄλλως τε καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθέῃ. ἴσως δὲ καὶ δυσεντερικά.

ρξθ'. Οἱ καρηβαρικοὶ, κατὰ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι, αἱμορραγέουσιν, ἄλλως τε καὶ ἢν τις ἐς τράχηλον D συντείνῃ.

ρο'. Τὰ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα μετὰ κωφώσιος, ἀγρύπνοισι, ταχὺ ἐκμαίνει.

ροα'. Οἷσι κεφαλῆς, καὶ τραχήλου πόνος, καὶ ὅλου δὲ τις ἀκρατίη τρομώδης, αἱμορραγίη λύει. ἀτὰρ καὶ * οὕτω χρόνῳ λύονται. αἱ δὲ κύστιες ἐν τουτέῳ ἀπολαμβάνονται.

ροβ'. Ἐν τῇσιν ὀξείῃσι κεφαλαλγίῃσι, καὶ τῇσι ναρκώδεσι μετὰ βάρεος, ἐθέλει σπασμώδεα γίνεσθαι.

ρογ'. Κεφαλαλγίην λύει πῦον διὰ ῥινῶν, ἢ πτύελα E παχέα καὶ ἄοσμα, λύει δὲ καὶ ἑλκέων ἔκθυσις· ποτὲ δὲ καὶ ὕπνος, καὶ κοιλίης ῥύσις.

ροδ'. Κεφαλῆς ἄλγημα μέτριον μετὰ δίψης ἐνδυούσης, ἢ μεθ' ἱδρῶτος μὴ λύοντος τὸν πυρετὸν, ἀποστάσιας ἐν οὔλοισιν, ἢ περὶ οὖς σημαίνει, μὴ κοιλίης ἐκταραχθείσης.

ροε'. Κεφαλαλγίη καρώδης μετὰ βάρεος, ποιεῖ τι σπασμῶδες.

ρος'. Οἱ κεφαλαλγικοὶ, διψώδεες, ὑπαγρυπνοι, ἀσαφέες, ἀδύνατοι, ἐπὶ κοιλίῃ ὑγρῇ κοπιώδεες, ἦρά γε ἐξαΐστανται.

F ροζ'. Κεφαλαλγέες, ὑπόκωφοι, χεῖρας τρομώδεες, τράχηλον ὀδυνώδεες, οὐρέοντες μέλανα δεδασυσμένα, ἐμέοντες μέλανα, ὀλέθριοι.

ροη'. Οἱ κεφαλαλγέες, ἐφιδροῦντες, κοιλίην ἀπολελημμένοι, σπασμώδεες.

ροθ'. Τὸ καρῶδες, πανταχοῦ κακόν.

ρπʹ. Οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι, μετὰ κεφαλῆς, ὀσφύος, τραχήλου, ὑποχονδρίου ὀδύνης, ἀγρυπνέοντες, ἆρά γε φρενιτικοί; μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων, ὀλέθριον, ἄλλως τε καὶ τεταρταίοισιν ἐοῦσιν, ἢ ἀρχομένοισι. κακὸν δὲ, καὶ κοιλίης περίπλυσις ἐξέρυθρος.

ρπαʹ. Οἱ κωματώδεες ἐξ ἀρχῆς ἐφιδρώσαντες, οὔρεσι πέποσι, καυστικοὶ, ἀκρίτως δὲ περιψύχοντες, διὰ ταχέων περικαέες, νωθροὶ, κωματώδεες, σπασμώδεες, ὀλέθριοι.

ρπβʹ. Οἱ κωματώδεες ὕπνοι, καὶ αἱ καταψύξιες, ὀλέθριον.

ρπγʹ. Κωματώδεας, κοπιώδεας, κεκωφωμένους, κοιλίης καταῤῥωγείσης, ἐρυθρὰ διελθόντα περὶ κρίσιν, ὠφελέει.

ρπδʹ. Κωματώδεες, ἀσώδεες, ὑποχόνδριον ὀδυνώδεες, σμικρὰ ἐμετώδεες, τὰ παρ᾽ οὖς ἴσχουσι· πρόσθεν δὲ, περὶ τὸ πρόσωπον ἐπάρματα μετὰ κώματος.

ρπεʹ. Τὰ ἐξαίφνης παρακρούσαντα ἀλυσμῷ, αἱμοῤῥαγικά.

ρπϛʹ. Τὰ κωματώδεα, ἀσώδεα, ὀδυνώδεα ὑποχόνδρια, θαμινὰ σμικρὰ πτύοντα, τὰ παρ᾽ οὖς ἐπάρματα, κωματώδεες, ἆρά τι ἔχει σπασμῶδες;

ρπζʹ. Κωματώδεα, μεμωρωμένα, κάτοχα, ποικίλλοντα ὑποχόνδρια, καὶ κοιλίην ἐπηρμένοι, ἀπόσιτοι, ἀπολελαμμένοι, ἐφιδροῦντες, ἆρα τουτέοισι τὸ θολερὸν πνεῦμα, καὶ τὸ γονοειδὲς διελθὸν, λύγγα σημαίνει; κοιλίη δὲ, ἆρα χολώδης προσδιέρχεται; τὸ λαμπρῶδες ἐν τουτέοισιν οὐρηθὲν ὠφελέει, καὶ κοιλίαι δὲ τουτέοισιν ἐπιταράσσονται.

ρπηʹ. Εγκεφάλου σφακελίσαντος, οἱ μὲν ἐν τῇσι τρίτῃσιν ἡμέρῃσιν, οἱ δὲ ἐν τῇσιν ἑβδόμῃσι τελευτῶσι. ταύτας δὲ διαφυγόντες, σώζονται. οἷσι δὲ ἀνατμηθεῖσι τῶν τοιουτέων, διεστηκὸς εὑρεθῇ τὸ ὀστέον, ἀπόλλυνται.

ρπθʹ. Τοῖσι κεφαλαλγικοῖσιν ὀστέα ῥαγεῖσιν ἐκ τῶν ὄπισθεν, ῥύσις ἐκ μυκτῆρος λάβρος, παχεῖα, κακόν. ὀφθαλμὸν προαλγήσαντες οὗτοι, ῥιγέουσιν. ἆρα αἱ κατὰ κρόταφον ὀστέων διαῤῥαγαὶ, σπασμώδεες;

ρϙʹ. Ωτὸς πόνος συντονος, μετὰ πυρετοῦ ὀξέος, καὶ ἄλλου τοῦ σημείου τῶν ὑποδυσκόλων, τοὺς μὲν νέους ἑβδομαίους κτείνει, καὶ συντομώτερον παραφρενήσαντας, μὴ ῥυέντος πολλοῦ πύου ἐκ τοῦ ὠτὸς, ἢ ἐκ ῥινῶν αἵματος, μηδὲ ἄλλου τοῦ σημείου χρηστοῦ γινομένου· τοὺς δὲ πρεσβυτέρους βραδύτερον καὶ ἧσσον ἀναιρεῖ. τά τε γὰρ ὦτα φθάνει ἐκπυέειν, καὶ παραφρονέουσιν ἧσσον. ὑποστρέφουσι δὲ οἱ πολλοὶ τουτέων, καὶ οὕτως ἀπόλλυνται.

ρϙαʹ. Κώφωσις ἐν ὀξέσι καὶ ταραχώδεσι παρακολουθοῦσα, κακόν. κακὸν δὲ καὶ ἐν τοῖσι μακροῖσιν. ἀλλὰ δὲ τουτέοισι καὶ ἐς ἰσχία πόνους.

ρϙβʹ. Εν πυρετοῖσι κώφωσις, κοιλίην ἐφίστησιν.

ρϙγʹ. Ωτα ψυχρὰ καὶ διαφανέα, καὶ συνεσταλμένα, ὀλέθριον.

ρϙδʹ. Βόμβος ἐν ὀξέσι, καὶ ἦχος ἐν ὠσὶ, θανάσιμον.

A 180. *Comatosi in principiis euadentes, cum capitis, lumborum, colli, hypochondrij dolore, vigilantes, nam phrenitici sunt? Nasus in his distillans, perniciosus, tum aliàs, tum quarto die, aut morbi initio; mala est etiam alui proluuies valde rubra.*

181. *Comatosi ab initio exudantes, vrinis concoctis, ardentes, verùm citra iudicationem perfrigescentes, & breui rursus ardentes, torpidi, soporosi, conuulsi, perniciosè habent.*

B 182. *Somni comatosi, & perfrigerationes, perniciosi sunt.*

183. *Comatosis, delassatis, surdis factis, aluo erumpente si rubicunda deiecta fuerint circa iudicationem, prosunt.*

184. *Comatosi, anxij, hypochondrium dolentes, parum vomentes, abscessus iuxta aurem habent; antea verò circa faciem tumores cum sopore.*

185. *Morbi derepente mentem percellentes cum anxietate, sanguinem profundunt.*

C 186. *Comatosa, anxia, dolentia hypochondria, frequenter parum spuentia; tumores circa aurem habent. Comatosi, num aliquid conuulsorij habent?*

187. *Affectiones comatosæ, fatuitatem inducentes, & catochen inferentes, hypochondria variantia, & ventrem tumidum habentes, cibum fastidientes, aluo suppressa, exudantes, num his turbidus spiritus, & genituræ simile quid pertransiens, singultum significat? Num & aluus biliosa insuper egerit? Splendidum in his mictum prodest. Ventres quoque his insuper turbantur.* D

188. *Cerebro corrupto alij in tribus diebus, alij in septem moriuntur. Has verò si effugerint, seruantur. Quibus autem ex his resectis, os disparatum, repertum fuerit, hi pereunt.*

189. *Caput dolentibus ex posteriore parte ossa rupta habentibus, fluxio è nare larga, crassa, mala est. Hi vbi oculum antea doluerint, rigent. Num & iuxta tempora ossium diruptiones conuulsoriæ sunt?*

190. *Auris dolor intensus, cum febre acuta,* E *& alio quodam signo aliquantum maligno, iuuenes quidem septimo die occidit, & citius delirio correptos, si non multum pus effluxerit ex aure, aut sanguis è naribus, neque aliud quoddam bonum signum compareat; seniores autem tardiùs & minùs tollit. Nam & aures suppurare præueniunt, & minùs delirant. Verùm multi ex his recidunt, atque sic pereunt.*

191. *Surditas in acutis ac turbulentis consequens, malum. Malum etiam in longis. In his autem dolores* F *etiam ad coxas deducit.*

192. *In febribus surditas, aluum sistit.*

193. *Aures frigidæ, & pellucidæ, & contractæ, perniciosæ.*

194. *Tinnitus in acutis, & sonitus in auribus, lethale.*

195.

195. *Sonitus aurium, cum visus hebetudine, & narium grauedine, mentem emouet, & sanguinem profundit.*

196. *Quibus surditas cum capitis grauitate, & hypochondrij intensione, & ad splendorem turbatio, sanguinem profundit.*

197. *In febre acuta aures obsurdescere, furiosum est.*

198. *Valde surdi, in accipiendo tremuli, linguam resoluti, torpidi, malum.*

199. *Procedente morbo surditas, & vrina subrubra citra sedimentum, sed id quod in medio innatat, mentem emouet. Morbo regio corripi, in his malum est. Mala est & ex morbo regio fatuitas. Hos voce priuatos, sentientes tamen suffocari contingit. Fortassis autem & aluus malè his afficitur.*

200. *Quæ circa aurem cum dolore excitantur tubercula, perniciosa sunt.*

201. *Rubores circa aurem ex prægresso dolore, in febribus oborientes, signum quidem sunt erysipelatis in facie futuri; sed & conuulsiones ex talibus fiunt, cum vocis interceptione ac exolutione.*

202. *Tumores circa aurem ex plurimis graueolentibus cum febre acuta, & hypochondrio intento, tardiùs excitati, occidunt.*

203. *Tumores circa aurem paraplecticis, mali.*

204. *Tumores circa aurem in longis morbis non suppurantes, lethales. Alui verò his deorsum feruntur. Num quibus abscessus sunt iuxta aures, caput dolent? Num & superis partibus exudant? Num & insuper rigent? Num & alui erumpunt, & quid soporosum habent? Num & aquosa est vrina, alba innatantia habens, & aliquantum varia, exalbida, graueolentia?*

205. *Abscessus iuxta aurem emolliunt tussiculæ, tum spumationibus contingentes.*

206. *Vrina in abscessibus retro aures citò & modicè maturescentes, malæ sunt; & sic perfrigerari, malum est.*

207. *Ascessus circa aurem in morbis diuturnis suppurati, non valde albo & nihil olente pure, occidunt, & maximè mulieres.*

208. *Abscessus iuxta aurem, ex acutis morbis maximè in febribus ardentibus fiunt, & si non iudicationem fecerint, & maturescant, aut ex naribus sanguis fluxerit, aut vrinæ sedimentum crassum habuerint, ægri pereunt. Plerique verò talium tumorum antea subsidunt. Verùm considerare oportet insuper etiam ipsas febres, siue augescant, siue remittant, atque sic pronunciare.*

209. *In surditate ac torpore, de naribus aliquid substillare, difficultatis aliquid habet. Vomitus his conueniet & alui turbatio.*

210. *Ex surditate leniter abscessus iuxta aures fiunt, tum aliàs, tum si quid nauseæ accedat; sed & comatosis ex his etiam magis abscessus ad aurem fiunt.*

211. *Surditatem ex febribus sanguinis è naribus fluxio soluit; itémque alui turbatio.*

ρϟε'. Ἦχοι μετ' ἀμβλυωσμοῦ, καὶ κατὰ ῥῖνας βάρεος, παρακρουστικὸν, καὶ αἱμορραγές.

ρϟϛ'. Οἷσι κώφωσις μετὰ καρηβαρίης, καὶ ὑποχονδρίου ἐντάσιος, καὶ πρὸς αὐγὰς ἐνοχλεῖν, αἱμόρροος.

ρϟζ'. Ἐν ὀξεῖ πυρετῷ, ὦτα κωφοῦσθαι, μανικόν.

ρϟη'. Οἱ δύσκωφοι, ἐν τῷ λαμβάνειν τρομώδεες, γλῶσσαν παραλελυμένοι, ναρκώδεες, κακόν.

ρϟθ'. Προηκούσης ἀρρωστίης κώφωσις, καὶ οὖρον ὑπέρυθρον, ἀκατάστατον, ἐναιωρεύμενον, παρακρουστικόν. τὸ ἰκτεριῶδες ἐν τούτοισι, κακόν. κακὸν δὲ καὶ ἐπὶ ἰκτέρου μώρωσις. τούτοις ἀφώνοις αἰσθανομένοις ξυμβαίνει πνίγεσθαι. τάχα δὲ καὶ κοιλίη πονηρεύεται τούτοισι.

σ'. Τὰ δὲ ὀδυνηρὰ παρ' οὖς ἐπαιρόμενα, ὀλέθρια.

σα'. Τὰ παρ' οὖς ἐκ τοῦ ἔμπροσθεν ἀλγήματος ἐρυθήματα ἐν πυρετοῖσι γινόμενα, σημεῖον μὲν ἐρυσιπέλατος ἐπὶ προσώπου ἐσομένου· ἀτὰρ καὶ σπασμοὶ ἐκ τῶν τοιούτων γίνονται μετὰ ἀφωνίης καὶ ἐκλύσιος.

σβ'. Τὰ παρ' οὖς ἐπὶ πλείστοισι δυσώδεα, πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ συντόνῳ, χρονιωτέρως ἀρθέντα, κτείνει.

σγ'. Τὰ παρ' οὖς φαῦλα τοῖσι παραπληκτικοῖσι.

σδ'. Τὰ παρ' οὖς ἐν μακροῖσι μὴ ἐκπυοῦντα, θανάσιμον. κοιλίαι δὲ τοῖσι τουτέοισι τάχα φέρονται. ἆρά γε οἷσι τὰ παρ' ὦτα κεφαλαλγικοῖσι; ἆρά τι ἐφιδροῦσι τὰ ἄνω; ἆρά τι καὶ ἐπιρριγέουσιν; ἆρά γε αἱ κοιλίαι καταρρήγνυνται, καίτοι καὶ κωματώδεες; ἆρα καὶ τὸ ὑδατῶδες οὖρον, ἐναιωρεύμενον λευκοῖσι, καὶ τὰ ὑποποίκιλα, ἔκλευκα, δυσώδεα;

σε'. Τὰ παρ' οὖς λαπάσσει, βηχία μετὰ πτυαλισμῶν ἰόντα.

σϛ'. Οὖρα, τοῖσι παρ' ὦτα, ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμενα, φλαῦρα· καὶ τὸ καταψύχεσθαι ὧδε πονηρόν.

σζ'. Τὰ παρ' οὖς, ἐν τοῖσι χρονίοισιν ἐκπυϊσκόμενα, μὴ λευκῷ σφόδρα καὶ ἀόδμῳ, κτείνει, καὶ μάλιστα γυναῖκας.

ση'. Τὰ παρ' οὖς, μάλιστα ἐκ τῶν ὀξέων, ἐν τοῖσι καυσώδεσι γίνεται, κἢν μὴ κρίσιν ποιήσῃ καὶ ἐκπεπαίνηται, ἢ ἐκ ῥινῶν αἷμα ῥυῇ, ἢ οὖρα ὑπόστασιν παχεῖαν λάβῃ, ἀπόλλυνται. τὰ πολλὰ δὲ τῶν τοιούτων οἰδημάτων προαποκαθίστανται. προσεπιθεωρέειν δὲ καὶ τοὺς πυρετοὺς ἤν τε ἐπιτείνωσιν, ἤν τε ἀνιῶσι, καὶ οὕτως ἀποφαίνεσθαι.

σθ'. Ἐπὶ κωφώσει, καὶ ναρθρίῃ, ἐκ ῥινῶν ὑποστάζειν, ἔχει τι δύσκολον. ἔμετος τουτέοισιν ἁρμόσει, καὶ κοιλίης ταραχή.

σι'. Ἐκ κωφώσιος ἐπιεικέως τὰ παρ' ὦτα, ἄλλως τε καὶ ἢν ἀσῶδές τι γίνηται· ἀτὰρ καὶ τοῖσι κωματώδεσιν ἐπὶ τουτέοισι, καὶ μᾶλλόν τι τὰ παρ' ὦτα.

σια'. Κώφωσιν ἐκ πυρετῶν ῥύσις ἡ ῥινῶν λύει, καὶ κοιλίης ταραχή.

σιβ'. Πρόσωπον ἐκ μετεώρου ταπεινούμενον, καὶ φωνὴ λεπτοτέρη καὶ ἀσθενεστέρη γινομένη, καὶ πνεῦμα μανότερον καὶ λεπτότερον, ἄνεσιν ἐς τὴν ἐπιοῦσαν σημαίνει.

σιγ'. Προσώπου διαφθορὴ, θανάσιμον. ἧσσον δ' εἰ δι' ἀγρυπνίην, ἢ λιμὸν, ἢ κοιλίης ἐκταραξιν γένηται· καθίσταται δὲ ἐν ἡμέρῃ, καὶ νυκτὶ τὸ διὰ ταῦτα διαφθαρέν. γένοιτο δ' ἂν τοιοῦτον, ὀφθαλμοὶ κοῖλοι, ῥὶς ὀξεῖα, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ καὶ συνεσταλμένα, δέρμα σκληρὸν, χρῶμα ὠχρὸν, ἢ μέλαν. πελιαινόμενον δὲ ἐπὶ τουτέοισι βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, συντόμως θανάσιμον.

σιδ'. Προσώπου εὐχροια, καὶ σκυθρωπότης ἐν ὀξεῖ, κακόν. μετώπου ξυναγωγὴ ἐπὶ τουτέοισι, φρενιτικόν.

σιε'. Περὶ πρόσωπον εὔχροια, καὶ ἱδρῶτες ἀπυρέτοισι, κόπρανα παλαιὰ ὑπεόντα οἱ σημαίνει, ἢ διαίτης ἀταξίην.

σιϛ'. Τὰ κατὰ ῥῖνας ἐρυθήματα, κοιλίης ὑγραινομένης σημεῖα.

σιζ'. Τοῖσι κατὰ τὰ ὑποχόνδρια, ἢ τὸν πλεύμονα πόνοισι ἐμπυομένοισι, κακόν.

σιη'. Ὀφθαλμῶν καθαρότης, καὶ τὰ λευκὰ αὐτέων ἐκ μελαίνων, ἢ πελίων καθαρὰ γίνεσθαι, κρίσιμον. ταχέως μὲν οὖν καθαιρομένων, ταχεῖαν σημαίνει κρίσιν, βραδέως δὲ βραδυτέραν.

σιθ'. Τὸ ἀχλυῶδες τῶν ὀφθαλμῶν, ἢ τὸ λευκὸν ἐρυθραινόμενον, ἢ πελιαινόμενον, ἢ φλεβίων μελαίνων πληρούμενον, οὐκ ἀστεῖον. φλαῦρον δὲ, καὶ τὸ τὴν αὐγὴν φεύγειν, ἢ δακρύειν, ἢ διαστρέφεσθαι, καὶ τὸν ἕτερον ἐλάσσω γίνεσθαι, πονηρόν· καὶ τὸ τὰς ὄψιας πυκνὰ διαῤῥίπτειν, ἢ λήμια μικρὰ περὶ αὐτὰς, ἢ αἰγίδα λεπτὴν ἴσχειν· ἢ τὸ λευκὸν μέζω γίνεσθαι, τὸ δὲ μέλαν ἐλάσσω· ἢ κρύπτεσθαι τὸ μέλαν ὑπὸ τὸ ἄνω βλέφαρον. πονηρὸν δὲ καὶ κοιλότης ὀμμάτων, καὶ ἔκθλιψις ἔξω σφοδρά· καὶ λαμπηδόνος ἔκθλιψις, ὥστε μὴ δύνασθαι τὴν κόρην ἐκτείνεσθαι. καὶ βλεφαρίδων καμπυλότης, καὶ πῆξις ὀμμάτων, συνεχέως τε μύειν, καὶ χρώματα μεταβάλλειν, καὶ βλέφαρα μὴ συμβάλλειν ἐν τῷ καθεύδειν, ὀλέθριον. κακὸν δὲ καὶ ἰλλαίνων ὀφθαλμός.

σκ'. Ὀφθαλμῶν ἔρευθος ἐν πυρετῷ γινόμενον, κοιλίης πονηρίην χρονίην σημαίνει.

σκα'. Αἱ περὶ ὀφθαλμῶν ἐπαναστάσιες ἐν τῇσιν ἀνακομιδῇσι, κοιλίην καταῤῥηγνύουσιν.

σκβ'. Ἐπὶ ὀμμάτων διαστροφῇ, κοπιώδει, πυρετώδει, ῥῖγος ὀλέθριον· καὶ οἱ κωματώδεες ἐν τουτέοισι, κακόν.

σκγ'. Ὀφθαλμιῶντι ἀνδρὶ, πυρετοῦ ἐπιγινομένου, λύσις· εἰ δὲ μὴ, κίνδυνος τυφλωθῆναι, ἢ ἀπολέσθαι, ἢ ἀμφότερα.

σκδ'. Οἷσιν ὀφθαλμιῶσι κεφαλαλγίη προσγίνεται, καὶ παρακολουθεῖ χρόνον πουλὺν, κίνδυνος τυφλωθῆναι.

σκε'. Ὀφθαλμιῶντι διάῤῥοια ἀπὸ ταὐτομάτου, χρήσιμον.

σκϛ'. Ὀμμάτων ἀμαύρωσις, καὶ τὸ πεπηγὸς ἀχλυῶδες, κακόν.

212. *Facies quæ ex tumida subsidet, & vox lenior ac debilior euadens, & spiritus rarior ac leuior, remissionem in sequentem diem significat.*

213. *Faciei corruptio, lethalis. Verùm minùs, si propter vigilias, aut famem, aut alui exturbationem fiat; si quid verò propter hæc corruptum est, restituitur per noctem ac diem. Talis autem fuerit, oculi caui, nasus acutus, tempora collapsa, aures frigidæ ac contractæ, cutis dura, color pallidus aut niger. Liuescens verò ex his palpebra, aut labium, aut nasus, breui lethale est.*

214. *Faciei bonus color, & toruitas, in morbo acuto, malum est. Frontis ex his contractio, phrenitidis signum est.*

215. *Circa faciem color bonus, & sudores non febrientibus, stercora vetusta subesse significat, aut victus rationem inordinatam.*

216. *Rubores circa nasum, alui humescentis signa sunt.*

217. *Dolores circa hypochondria, aut pulmonem si suppurentur, malum est.*

218. *Oculorum puritas, & albas ipsorum partes, ex nigris aut liuidis puras fieri, iudicatorium est. Si igitur citò purgentur, celerem iudicationem significat; si tardè, tardiorem.*

219. *Caligo oculorũ, aut si alba ipsorum pars rubescat, aut liuescat, aut venulis nigris impleatur, bonũ nõ est. Malũ est etiam lucis splendorẽ fugere, aut lachrymari, aut distorqueri. Et alterũ minorẽ fieri, malũ est; & oculos frequenter agitare, ac iactare, aut paruas lemas ac sordes circa ipsos, aut concretionẽ tenuem albicantẽ habere; aut albam partem maiorem fieri, nigram verò minorẽ; aut nigram sub palpebram supernam occultari. Mala est etiam oculorũ cauitas & expressio valde foràs, & splendoris expressio, vt pupilla extendi non poßit. Et extremitatum palpebrarum curuitas, & oculi fixi, & aßiduè nictare, & colores permutare, & palpebras inter dormiendum non cõmittere, perniciosum est. Malus est, & oculus distortus.*

220. *Oculorum rubor in febre oboriens, alui diuturnam malignam affectionem significat.*

221. *Circa oculos pustularum eruptiones in virium refectionibus, aluum prorumpere faciunt.*

222. *In oculorum distortione, febrienti, lassato, rigor perniciosus: & comatosi in his malè habent.*

223. *Viro lippienti, febre superueniente, solutio; sin minus periculum est ne cæcus fiat, aut pereat, aut vtrunque.*

224. *Quibus lippientibus capitis dolor accedit, & ad multum tempus concomitatur, periculum est ne cæci fiant.*

225. *Lippienti alui profluuium sua sponte prodiens, vtile est.*

226. *Oculorum obscuratio, & oculus fixus caliginosus, malum.*

227.

227. *Oculorum obscuratio, cum animi deliquio, breui conuulsionem inducit.*

228. *Oculorum rectitado in morbo acuto, & motus velox, & somnus turbulentus, & vigilia, & quandoque sanguinis è naribus stillationes, nihil boni.*

229. *Qui febres ad tactum non adurentes habent, phrenitici fiunt; & magis si sanguis fluxerit.*

230. *Lingua quæ in principio quidem inhorruit, in colore verò permanet; progressu autem temporis exasperatur, & liuescit, & rumpitur, lethalis est; si verò valde nigrescat, in quartodecimo die iudicationem fore significat. Periculosissima autem est nigra, & cum virore pallida.*

231. *Linguam circa bifidam sui partem, velut saliua alba obduci, febris remissionis signum est, si quidem id quod superinductum est, crassum fuerit, eadem die; si verò tenuius, postridie; si verò adhuc tenuius, tertia die. Eadem significant, etiam huiusmodi, si circa summam linguam fiant, verùm minùs.*

232. *Lingua tremula cũ rubore iuxta nasum, & aluo liquida. si reliqua sine signis sint circa pulmonẽ, malũ est; & celeres purgationes, perniciosas significant.*

233. *Lingua citra rationem tenera euadens, & fastidiosa, cum frigido sudore, ex aluo liquida, nigrorum vomituum signum est: lassitudo in his mala est.*

234. *Linguæ tremulæ quibusdam etiam aluum liquidam quandoque faciunt; denigratæ verò in his celerem mortem significant. Num lingua tremula mentem non firmam significat?*

235. *Linguæ asperæ, & resiccatæ, phreniticæ sunt.*

236. *Dentes collidere, aut stridere, quibus non familiare id est à pueris, furiosum ac lethale est; iam verò delirans si hoc faciat, penitus lethale est. Perniciosum autem est resiccari dentes.*

237. *Dentis corruptio abscessum circa gingiuam factum soluit.*

238. *Ex dentis corruptione vehemens febris accedens, & delirium, lethale est. Si verò seruentur, vlcera suppurabunt, & ossa abscedent.*

239. *Quibus circa palatum humoris collectio fit, plerunque suppuratur.*

240 *Dolores vehementes circa maxillas, periculum est ne ad ossis eductionem deueniant.*

241. *Labiũ cõtractũ, alui biliosæ eruptionẽ significat.*

242. *Sãguis de gingiuis, ex aluo liquida, perniciosus.*

243. *Sputi excreationes in febre, liuidæ, nigræ, biliosæ. si quidem supprimantur, malæ sunt; secedentes verò pro ratione, vtiles.*

244. *Quibus salsuginosa sputa, ac tussis supprimuntur, his corpus velut à pustulis rubescit; verùm ante obitum exasperatur.*

245. *Screatio frequens, si sanè & aliud quoddam signum affuerit, phrenitidem indicat.*

246. *Vocis interceptiones cum exolutione, pessimæ.*

247. *Modicè feroces mentis emotiones, malæ & ferinæ sunt.*

σκζ'. Ὀμμάτων ἀμαύρωσις ἅμα ἀψυχίῃ, σπασμώδεες συντόμως.

σκη'. Ὀμμάτων ὀρθότης ἐν ὀξεῖ, καὶ κίνησις ὀξείη, καὶ ὕπνος ταραχώδης, ἀγρυπνίη, ποτὲ δὲ καὶ στάξιες ἐκ ῥινῶν, οὐδὲν ἀγαθόν.

σκθ'. Πρὸς τὴν ἁφὴν μὴ περικαέες, φρενιτικοὶ γίνονται, καὶ μᾶλλον ἢν αἷμα ῥυῇ.

σλ'. Γλῶσσα δὲ κατ' ἀρχὰς μὲν πεφρικυῖα, τῷ δὲ χρώματι διαμένουσα, περιϊόντος δὲ τοῦ χρόνου τραχυνομένη, καὶ πελιαινομένη, καὶ ῥηγνυμένη, θανάσιμον. σφόδρα δὲ μελαινομένη, ἐν τεσσαρεσκαιδεκάτῃ κρίσιν γενέσθαι δηλοῖ. χαλεπωτάτη δέ ἐστιν ἡ μέλαινα, καὶ χλωρή.

σλα'. Γλῶσσαν περὶ τὸ δικρόον, ὥσπερ σιάλῳ λευκῷ καταλείφεσθαι, σημεῖον ἀνέσιος πυρετοῦ, παχέος μὲν ἐόντος τοῦ ἐπιγενήματος, αὐθημερόν· λεπτοτέρου δὲ, ἐς τὴν ὑστεραίην· ἔτι λεπτοτέρου, τριταίην. τὰ δὲ αὐτὰ σημαίνει, καὶ ἐπ' ἄκρην τὴν γλῶσσαν γινόμενα, ἧσσον δέ.

σλβ'. Γλῶσσα τρομώδης μετ' ἐρυθήματος κατὰ ῥῖνας, καὶ κοιλίης ὑγρῆς, τὰ δὲ ἄλλα ἀσήμως ἐχόντων κατὰ πλεύμονα, πονηρὰ, καὶ ὀξείας καθάρσιας ὀλεθρίους σημαίνει.

σλγ'. Γλῶσσα παρὰ λόγον ἁπαλυνομένη, καὶ ἀσώδης μεθ' ἱδρῶτος ψυχροῦ, ἐπὶ κοιλίῃ ὑγρῇ, μελάνων ἐμέτων ἐστὶ σημεῖον· τὸ κοπιῶδες ἐν τουτέοισι κακόν.

σλδ'. Αἱ τρομώδεες γλῶσσαι, τισὶ καὶ κοιλίην ὑγρὴν ποτὲ ποιέουσι· μελανθεῖσαι δὲ ἐν τουτέοισι, ταχὺν θάνατον σημαίνουσιν· ἆρά γε τρομώδης γλῶσσα σημαίνει οὐχ ἱδρυμένην γνώμην.

σλε'. Αἱ δασεῖαι καταξηραὶ, φρενιτικαί.

σλϛ'. Ὀδόντας συνερείδειν, ἢ πρίειν, ᾧ μὴ συνήθες ἐκ παιδίου, μανικὸν καὶ θανάσιμον· ἤδη καὶ παραφρονέων ἢν ποιέῃ τοῦτο, παντελῶς ὀλέθριον. ὀλέθριον δὲ καὶ ξηραίνεσθαι τοὺς ὀδόντας.

σλζ'. Ὀδόντος σφακελισμὸς, ἀπόστημα περὶ οὖλον γινόμενον λύει.

σλη'. Ἐπὶ ὀδόντος σφακελισμῷ πυρετὸς ἐπιγινόμενος σφοδρὸς, καὶ παραφροσύνη, θανάσιμον. ἢν δὲ σώζωνται, ἕλκεα ἐκπυήσει, καὶ ὀστέα ἀφίσταται.

σλθ'. Οἷσι περὶ τὴν ὑπερῴην ὑγροῦ σύστασις γένηται, ὡς τὰ πολλὰ πυοῦται.

σμ'. Τὰ περὶ γένυας ἀλγήματα σφοδρὰ, κίνδυνος εἰς ὀστέου ἀνάπλευσιν ἐλθεῖν.

σμα'. Χεῖλος συνεσπασμένον, σημαίνει κοιλίης χολώδεος καταῤῥῆξιν.

σμβ'. Τὰ ἀπὸ οὔλων αἵματα ἐπὶ κοιλίῃ ὑγρῇ, ὀλέθρια.

μγ'. Πτυάλου ἀναχρέμψιες ἐν πυρετῷ πελιδναὶ, μέλαιναι, χολώδεες, ἐπιστᾶσαι μὲν, κακόν· ἀποχωρέουσαι δὲ κατὰ λόγον, χρήσιμον.

σμδ'. Οἷσιν ἁλμώδεα πτύελα, καὶ βὴξ ὑφίσταται, τουτέοισι χρὼς ἐρυθραίνεται οἷον ἐξανθίσμασι. πρὸ δὲ τῆς τελευτῆς τραχύνεται.

σμε'. Ἀνάχρεμψις πυκνὴ, ἢν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικόν.

σμϛ'. Αἱ μετ' ἐκλύσιος ἀφωνίαι, κάκισται.

σμζ'. Αἱ ἐπ' ὀλίγον θρασέες παρακρούσιες, πονηρὸν καὶ θηριώδεες.

σμη'. Οἷσι φωνὴ ἅμα πυρετῷ ἐκλείπει, μετὰ ἀκρισίας, τρομώδεες θνήσκουσιν.

σμθ'. Αἱ ἐν πυρετῷ ἀφωνίαι σπασμώδεα τρόπον, ἐκστᾶσαι σιγῇ, ὀλέθριον.

σν'. Αἱ ἐκ πόνου ἀφωνίαι, δυσθάνατοι.

σνα'. Αἱ μετ' ἐκλύσιος κατόχως ἀφωνίαι, ὀλέθριοι.

σνβ'. Αἱ κατακεκλασμέναι φωναὶ μετὰ φαρμακείην, ἆρα πονηρόν; τουτέων οἱ πλεῖστοι ἐφιδροῦσι, καὶ κοιλίας καθυγραίνονται.

σνγ'. Ἐν ἀφωνίῃ πνεῦμα οἷον τοῖσι πνιγομένοισι παρέχον, πονηρόν. ἆρά γε καὶ παρακρουστικόν;

σνδ'. Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶτι πυρετώδεες, χαλῶντα ἐφ' ἑαυτούς, ἀνιέντα χρονιώτερα· ἐπιρριγοῦντα τουτέοισιν, οὐ πονηρόν.

σνε'. Αἱ μετὰ ἀφωνίης ἐκστάσιες, ὀλέθριαι.

σνς'. Αἱ τοῖσιν ἐπιρριγέουσιν ἀφωνίαι, θανάσιμον. Εἰσὶ δὲ κεφαλαλγέες οἱ τοιοῦτοι ἐπιεικέως.

σνζ'. Αἱ μετ' ἐκλύσεως ἀφωνίαι, ἐν πυρετῷ ὀξεῖ ἀνιδρωτί, εἰσὶ μὲν θανάσιμοι, ἧσσον δὲ τῷ ἐφιδροῦντι, χρόνον δὲ σημαίνει· ἴσως δὲ καὶ οἱ ἐξ ἐπιστροφῆς παθόντες τι τοιοῦτον, ἀσφαλέστατοι. ὀλεθριώτατοι δὲ τῶν τοιούτων, οἷσι τὰ ἐκ ῥινέων, καὶ οἷσι κοιλίαι καθυγραίνονται.

σνη'. Ἡ ὀξυφωνίη κλαυθμώδης, καὶ ὀμμάτων ἀμαύρωσις, σπασμώδες. οἱ ἐς τὰ κάτω πόνοι τουτέοισιν, εὔφορον.

σνθ'. Ἅμα φωνῇ τρομώδει, λύσις κοιλίης παράλογος, ἐν τουτέοισι διεστηκόσι χρονίοισιν, ὀλέθριον.

σξ'. Αἱ πυκναὶ ὑποκαρώδεες ἀφωνίαι ξυστᾶσαι, φθινώδεα προσημαίνουσι.

σξα'. Πνεῦμα πυκνὸν μὲν καὶ σμικρὸν ἐόν, φλεγμονὴν καὶ πόνον ἐν τοῖσι καιρίοισι τόποισι σημαίνει. μέγα δὲ καὶ διὰ πολλοῦ, παραφροσύνην, ἢ σπασμόν. ψυχρὸν μὲν θανάσιμον· θανάσιμον δέ, καὶ πυρετῶδες, καὶ λιγνυῶδες πνεῦμα· ἧσσον δὲ τοῦ ψυχροῦ. καὶ τὸ μέγα ἔξω πνεόμενον· σμικρὸν δὲ εἴσω. καὶ τὸ μικρὸν ἔξω, μέγα δὲ εἴσω· κάκιστον δὴ καὶ πλησίον θανάτου. καὶ τὸ ἐκτεῖνον, καὶ κατεπεῖγον, καὶ ἀμαυρόν, καὶ διπλῆ εἴσω ἐπανάκλησις ὁποῖον ἐπεισπνέουσιν. εὔπνοια δὲ ἐν πᾶσιν, ὁκόσα ἐν πυρετῷ ὀξεῖ, κἢν ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, μεγάλην ἔχει ῥοπὴν ἐς σωτηρίην.

σξβ'. Τράχηλος σκληρὸς καὶ ἐπώδυνος, καὶ γνάθων συνδέσεις, καὶ φλεβῶν σφαγιτίδων παλμὸς ἰσχυρός, καὶ τενόντων ξύντασις, ὀλέθριον.

σξγ'. Τὰ ἐν φάρυγγι ἰσχνῷ ἀλγήματα πνιγώδεα, ἀπὸ κεφαλῆς ἀλγηδόνος ὁρμώμενα, σπασμώδεα.

σξδ'. Αἱ τραχήλου καὶ μεταφρένου ψύξιες δοκέουσαι, καὶ ὅλου δὲ τοῦ σώματος, σπασμώδεες· ἐν τουτέοισι κριμνώδεες οὐρήσιες.

σξε'. Οἷσι κατὰ φάρυγγα ἐρεθισμοί, ἐπιεικέως τὰ περὶ οὖς ἐπάρματα.

σξς'. Φάρυγξ ἐπώδυνος, ἰσχνή, μετὰ δυσφορίης, ὀλέθριον ὀξέως.

248. Quibus vox cum febre deficit, & cum iudicatione intercepta, tremuli moriuntur.

249. Vocis interceptiones in febre conuulsorio modo contingentes, quæ ad mentis emotionem cum silentio deueniunt, perniciosum.

250. Vocis ex dolore interceptiones, cum doloribus mortem inducunt.

251. Vocis interceptiones cum exolutione stupefactorio modo, perniciosæ sunt.

252. Voces confractæ post medicamenti sumptionem, num prauæ sunt? Plerique horum exudant, & ventres humectos habent.

253. In vocis interceptione spiritus, velut his qui strãgulãtur, visui expositus malus est. Nũ & mẽte emouet?

254. Ex capitis dolore vocis interceptiones si sint, febricitãtes cũ sudore, laxãtur in seipsos, fiũtq; morbi reuertẽtes diutius durãtes; his in super rigere, malũ nõ est.

255. Mẽtis emotiones cũ vocis interceptione, perniciosę.

256. Vocis interceptiones in super rigentibus, lethales; tales autem leniter caput dolent.

257. Vocis interceptiones cũ exolutione, in febre acuta, sine sudore, sunt quidẽ lethales, minus verò quã cũ sudore, verũ diuturnitatem tẽporis significant; fortassis autem & qui ex recidiua tale quid patiuntur, tutißimi sunt. Perniciosißimè autem ex talibus habent quibus sanguis ex naribus fluit, & quibus alui humectantur.

258. Vox acuta eiulabunda, & oculorum hebetudo, conuulsorium est; dolores his ad infernas partes, toleratu faciles sunt.

259. Cum voce tremula, solutio alui præter rationẽ, in his moram trahentibus diuturnis, pernicies est.

260. Frequentes subsoporatæ vocis interceptiones consistentes, tabem prænunciant.

261. Spiritus qui dẽsus quidẽ & paruus est, inflãmationẽ & dolorẽ in locis principalibus significat; magnus autẽ & per multũ tẽpus, deliriũ aut cõuulsionẽ. Et frigidus quidẽ lethalis est; lethalis autẽ est, & febriculosus & fuliginosus; verũ minus quã frigidus. Et qui magnus foràs exspiratur, paruus verò intrò; & paruus foràs, magnus verò intrò, peßimus sanè est, & morti propinquus. Itẽq; extẽdẽs, & vrgẽs, & obscurus, & dupla intrò reuocatio, veluti superinspirãtib. Bona autẽ spiratio in omnib. morbis qui cũ febre acuta sũt, & in quadraginta diebus iudicãtur, magnũ momẽtũ ad salutẽ habet.

262. Collum durum & dolens, & maxillarum colligatio, & venarum iugularium palpitatio fortis, & tendinum distentio, perniciosum.

263. Dolores in faucibus gracilibus strangulatorij, à capitis dolore originem trahentes, conuulsorij sunt.

264. Frigiditates colli ac dorsi apparentes; sed & totius corporis, conuulsoriæ; In his mictiones fiunt, craßiorem farinam referentes.

265. Quibus circa fauces irritamenta sunt, his tumores circa aurem leniter erumpunt.

266. Fauces dolentes, graciles, cum ægrè tolerabili molestia, perniciosæ acutè sunt.

267. *Quibus spiritus retrahitur, & vox strangulatoria est, & vertebra intrò considet; his in fine velut contrahente quodam spiritus fit.*

268. *Fauces modicè exasperatæ, & aluus vanis conatibus nitens, frontis dolores, ægri palpando contrectantes, cum dolore; quæ ex his augescũt, difficilia sunt.*

269. *Dolores fortes circa fauces, tumores circa aurẽ, & conuulsiones efficiunt; colli item ac dorsi dolores.*

270. *Cum febre acuta conuulsiones, perniciosæ.*

271. *Colli & cubitorum dolores, conuulsorij. A facie autem hi, & secundum fauces.*

272. *Pallidi, graciles, saliuam sputantes; in his in somnis sudores, boni sunt. Num & sudore leuari, plurimis non malum est? Dolores ad infernas partes his toleratu faciles sunt.*

273. *In dorsi ac pectoris dolore, mictio cruenta suppressa, cum cruciatu perniciosa est.*

274. *Colli dolor, malum quidem in omni febre, pessimum autem his quibus metus est, ne etiam insaniant.*

275. *In pectoris dolore febriculoso, aluus turbata, torpida, nigrarum deiectionum signa sunt.*

276. *Dolores parui in acutis iuxta fauces graciles, in gracili vbi hiarit, non facilè os contrahente, mentem emouent. Ex his phrenitici perniciosè habent.*

277. *Fauces exulceratæ in febre, cum alio signo ex his quæ difficilia sunt, periculosæ sunt.*

278. *In febribus derepente suffocari, & deglutire non posse, citra tumorem, malum est.*

279. *Collum conuertere non posse, neque deglutire, vt plurimum lethale est.*

280. *Hypochondrium molle esse conuenit, & doloris expers, & æquale; at inflammatum, aut inæqualiter se habẽs, aut dolens, signũ est ægritudinis non leuis.*

281. *Tumor verò in hypochondriis durus & dolorosus, pessimus quidem est, si iuxta omnes partes fuerit. Ex his autem qui ab vna parte sunt, minùs periculosus est qui à sinistris est. Significant autem in principio quidem tales mortem citam; Si verò viginti dies transmittant, febre manente, suppurationem. Contingit autem his in primo circuitu, etiam sanguinis eruptio è naribus, & valde prodest. Plerunque enim hi caput dolẽt, & visus obscuratur, & magis in his sanguinis eruptionem affore expecta. In ætatibus autem annorum potissimum trigintaquinque; senioribus verò minùs.*

282. *At verò molles & doloris expertes tumores, diuturniores quidẽ iudicationes faciunt, at minus periculosi sunt. Sed & hi sexaginta dies trãsgredientes, febre manente, suppurantur. Consimilia verò significant, & tumores circa ventrem, his qui sunt in hypochondriis, nisi quòd minùs suppurantur hi quàm illi; minimè verò qui sub vmbilico consistunt; & fiunt etiam hi quidẽ in tunica, illi verò sursum diffusi. Lethales autem sunt ex ipsis, quicunque intrò rupti fuerint; ex reliquis autẽ suppurationibus, quæ quidẽ foràs rumpũtur, optimum est, vt in breuissimam & acutissimam molem colligantur; quæ verò intrò, vt neque mole, neque dolore,*

σξζ'. Οἷσι πνεῦμα ἀνέλκεται, καὶ φωνὴ πνιγμώδης, σπόνδυλός τε ἐγκάθηται, τουτέοισιν ἐπὶ τῇσι τελευτῇσιν οἷον συσπῶντός τινος, τὸ πνεῦμα γίνεται.

σξη'. Φάρυγξ τρηχυνθεῖσα ἐπ' ὀλίγον, καὶ κοιλίη κενεῇσιν ἀναστάσεσι, μετώπου ἀλγήματα, ψηλαφώδεες, ὀδυνώδεες· τὰ ἐκ τουτέων αὐξανόμενα, δύσκολα.

σξθ'. Τὰ κατὰ φάρυγγα ἰσχυρὰ ἀλγήματα, τὸ περὶ οὖς ἔπαρμα καὶ σπασμοὺς ἐργάζεται, καὶ τραχήλου, καὶ νώτου ἀλγήματα.

σο'. Μετὰ πυρετοῦ ὀξέος, σπασμοὶ, ὀλέθριον.

σοα'. Τραχήλου καὶ πήχεων ἀλγήματα, σπασμώδεα. ἀπὸ προσώπου δὲ ταῦτα, καὶ κατὰ φάρυγγα.

σοβ'. Ὠχροὶ, ἰσχνοὶ, πτυαλίζοντες, ἐν τουτέοισιν, ἐν ὕπνοισιν ἱδρῶτες ἀγαθοί. ἆρά γε καὶ τῷ ἱδρῶτι κουφίζεσθαι, τοῖσι πλείστοισιν οὐ πονηρόν; οἱ ἐς τὰ κάτω πόνοι τουτέοισιν, εὔφοροι.

σογ'. Ἐν ἀλγήματι νώτου καὶ στήθεος, αἱματώδης οὔρησις ἐπιστᾶσα, ὀλέθριος ἐπιπόνως.

σοδ'. Τραχήλου πόνος, κακὸν μὲν ἐπὶ πυρετῷ παντί· κάκιστον δὲ ἐν οἷσιν, καὶ ἐκμανῆναι ἐλπίς.

σοε'. Ἐπὶ στήθεος ἀλγήματι πυρετώδει, καὶ κοιλίη ταραχώδης, ναρκώδης, σημεῖα μελαινέων ὑποχωρησίων.

σοϛ'. Τὰ ἐν ὀξέσι κατὰ φάρυγγα ἰσχνὴν, μικρὰ, ὀδυνώδεα, ὅτε χάνοι μὴ ῥηϊδίως συνάγοντι ἰσχνῷ, παρακρουστικά. ἐκ τουτέων φρενιτικοὶ, ὀλέθριον.

σοζ'. Φάρυγξ ἑλκουμένη ἐν πυρετῷ μετ' ἄλλου σημείου τῶν δυσκόλων, κινδυνῶδες.

σοη'. Ἐν πυρετοῖσιν ἐξαπίνης πνίγεσθαι, καὶ καταπίνειν μὴ δύνασθαι, χωρὶς οἰδήματος, κακόν.

σοθ'. Τράχηλον ἐπιστραφῆναι μὴ δύνασθαι, μηδὲ καταπίνειν, θανάσιμον, ὡς τὰ πολλά.

σπ'. Ὑποχόνδριον δὲ χρὴ μαλθακὸν εἶναι, καὶ ἄπονον, καὶ ὁμαλές. φλεγμαῖνον δὲ, ἢ ἀνωμάλως ἔχον, ἢ ἀλγεόμενον, σημεῖον ἀρρωστίης ἐστὶν οὐκ εὐήθεος.

σπα'. Οἴδημα δὲ ἐν ὑποχονδρίοισι σκληρόν τε ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν εἰ παρὰ πάντων εἴη τῶν μερέων. τῶν δὲ ἐκ τοῦ ἑνὸς μέρεος, ἀκινδυνώτερον τὸ ἐκ τῶν ἀριστερῶν. σημαίνει δὲ ἐν ἀρχῇ μὲν τὰ τοιαῦτα θάνατον σύντομον· ὑπερβάλλοντα δὲ τὰς εἴκοσι, τοῦ πυρετοῦ μένοντος, ἐμπύησιν. γίνεται δὲ τούτοις ἐν τῇ πρώτῃ περιόδῳ ῥῆξις αἵματος διὰ ῥινῶν, καὶ κάρτα ὠφελέει. τὰ γὰρ πολλὰ κεφαλὴν οὗτοι πονέουσι, καὶ ὄψις ἀμαυροῦται, καὶ μᾶλλον εἰς ταῦτα προσγίνεσθαι προσδέχου τὴν ῥῆξιν. ἡλικίῃσι δὲ μᾶλλον πέντε, καὶ τριήκοντα ἐτέων. τοῖσι δὲ πρεσβυτέροισιν, ἧσσον.

σπβ'. Τὰ μαλθακὰ δὲ καὶ ἀνώδυνα τῶν οἰδημάτων, χρονιωτέρας μὲν τὰς κρίσιας ποιέεται, καὶ ἧσσον δὲ ἐστὶν ἐπικίνδυνα. τὰς δὲ ἑξήκοντα ἡμέρας καὶ ταῦτα ὑπερβάλλοντα, τοῦ πυρετοῦ μένοντος, ἐκπυοῦνται. παραπλήσια δὲ σημαίνει τοῖσιν ἐν ὑποχονδρίοισι, καὶ τὰ περὶ κοιλίην, πλὴν ἧσσον ἐκπυοῦνται ταῦτα ἐκείνων, ἥκιστα δὲ ὑπ' ὀμφαλόν· καὶ γίνεται δὲ ταῦτα μὲν ἐν χιτῶνι, τὰ δὴ ἄνω κεχυμένα. θανάσιμα δή ἐστιν αὐτῶν, ὅσα ἂν εἴσω ῥαγῇ· τῶν δὲ λοιπῶν ἐμπυημάτων, τὰ μὲν ἔξω ῥηγνύμενα, βέλτιστον μὲν ὡς εἰς ἐλάχιστον, καὶ ὀξύτατον συλλέγεσθαι. τὰ δὲ εἴσω, μήτε ὄγκῳ, μήτε πόνῳ,

μήτε χρώματι διάδηλον ἔξω ποιέῃ. τὸ δὲ ἐναντίον κάκιστον. ἔνια δὲ τούτων διὰ πάχος πύου, οὐ διασημαίνει. τὰ δὲ πρόσφατα τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν ἐπάρματα, ἢν μή που φλεγμονὴ ᾖ, καὶ τοὺς ἀπ' αὐτῶν πόνους λύει βορβορυγμὸς ἐγγινόμενος ἐν ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διεξελθὼν δι' οὔρων καὶ διαχωρημάτων. εἰ δὲ μὴ, καὶ αὐτὸς διαπεραιωθείς. ὠφελεῖ δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

σπγʹ. Σφυγμὸς ἐν ὑποχονδρίῳ μετὰ θορύβου, παρακρουστικὸν, καὶ μᾶλλον ἢν ὄψιες πυκνὰ κινέωνται.

σπδʹ. Καρδίης πόνος, καὶ σφυγμὸς ὑποχονδρίων, πυρετοῦ περιψυχθέντος, κακὸν, ἄλλως τε κἢν ἐφιδρώσιν.

σπεʹ. Ἐς ὑποχόνδριον ἐμπίπτοντα ἀλγήματα, ἄλλως τε πονηρὸν, καὶ ἢν κοιλίας καθυγραίνῃ. κάκιω δὲ ἐν ὀλίγῳ γινόμενα· καὶ τὰ περὶ οὖς τε ἀνιστάμενα ἐκ τούτων, κακοήθεα· καὶ τὰ ἄλλα ἐκπυήματα.

σπϛʹ. Καρδιαλγικὰ καὶ μετὰ στρόφου, κοιλίης θηρία καταρρήγνυται.

σπζʹ. Καρδίης ἄλγημα πρεσβυτέρῳ πυκνὰ ἐπιφοιτέον, θάνατον ἐξαπίναιον σημαίνει.

σπηʹ. Οἷσιν ὑποχόνδρια μετεωρίζεται, κοιλίης ὑπόστασις, κακόν· μάλιστα δὲ φθινώδεσι τοῖς μακροῖς, καὶ οἷσι κοιλίαι ὑγραίνονται.

σπθʹ. Ἐν ὑποχονδρίῳ φλεγμονὴ, ἀποπυητικόν ἐστιν, οἷς πρὸ τῶν θανάτων μέλανα διαχωρεῖ.

σϟʹ. Ὑποχονδρίων σύντασις μετὰ κώματος ἀσώδεος, κεφαλαλγικῷ, τὰ περὶ οὖς ἐπαίρει.

σϟαʹ. Μετὰ ὑποχονδρίων ἔπαρσιν, τοῖσι χολώδεσι πνεῦμα μέγα καὶ πυρετὸς ὀξὺς, τὰ περὶ οὖς ἐπαίρει.

σϟβʹ. Ἐν ὑποχονδρίων ἀλγήματι ὑποβορβορύζοντι, ὀσφύος ἄλγημα ἐπιγινόμενον ἐν πυρετοῖς, κοιλίας ἐπιπολὺ καθυγραίνει, ἢν μὴ φῦσα καταρραγῇ, ἢ οὔρου πλῆθος ἔλθῃ.

σϟγʹ. Ἐπὶ ὑποχονδρίῳ χρονίῳ, καὶ κοιλίῃ δυσώδει, περὶ οὖς ἀπόστημα κτείνει.

σϟδʹ. Τοῖσιν ἀπὸ ὑποχονδρίων ἀλγήμασι κοιλίη, κατὰ μικρὸν ὑπόγλισχρα διαδιδοῦσα, βραχέα κοπρώδεα ἐκχέοι, ἆρα καὶ αἱμορραγεῖ;

σϟεʹ. Οἷσιν ἐξαίφνης ἀπυρέτοισιν ἐοῦσιν, ὑποχονδρίου καὶ καρδίης πόνος, καὶ περὶ σκέλεα, καὶ κάτω μέρεα, καὶ κοιλίη ἐπῆρται, λύει φλεβοτομίη, καὶ κοιλίης ῥύσις. πυρέξαι βλαβερὸν τούτοισι. μακροὶ γὰρ οἱ πυρετοὶ καὶ ἰσχυροὶ γίνονται, καὶ βῆχες, καὶ πνεῦμα, καὶ λυγμοὶ γίνονται. λύεσθαι δὲ μελλόντων τούτων, πόνος ἰσχυρὸς ἰσχίων, ἢ σκελέων, ἢ πύου πτύσις, ἢ ὀφθαλμῶν στέρησις ἐπιγίνεται.

σϟϛʹ. Οἷσιν πόνοι ὑποχονδρίων, καρδίης, ἥπατος, τῶν περὶ ὀμφαλὸν μερῶν, αἵματος διαχωρήσαντος, σώζονται· μὴ διαχωρήσαντος δὲ, θνήσκουσιν.

σϟζʹ. Οἷσιν ὑποχόνδρια λαπαρὰ, πρόσωπον ἐρρωμένον, οὐ λύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινῶν πολλοῦ, ἢ σπασμοῦ, ἢ ὀδύνης ἰσχίων.

σϟηʹ. Αἱ πρὸς ὑποχόνδρια ἐν πυρετῷ ὀδύναι ἄναυδοι, ἀνιδρωτὶ λυόμεναι, κακόν. τούτοισιν ἐς ἰσχία ἀλγήματα.

neque colore, foris se manifestas faciant. Contrarium autem pessimum est. Quædam verò ex his propter puris crassitudinem nullam de se significationem præbent. Porrò recentes in præcordiis tumores, si non cum inflãmatione fuerint, & dolores ab ipsis soluit murmur in hypochondrio obortũ, & maximè quidẽ si pertransierit per vrinas, & alui deiectiones. Sin minus, si etiam ipsũ pertrãsierit. Prodest autẽ & deuolutus ad inferos locos.

283. Pulsus in hypochondrio cum tumultu, mentem emouet, & magis si oculi frequenter moueantur.

284. Oris ventriculi dolor, & pulsus hypochondriorum febre perfrigerata, malum, tum aliàs, tum si insuper exudarint.

285. Dolores ad hypochondrium irruentes, tum aliàs mali sunt, tum si aluos humectent. Peiores autem sunt, si breui fiant; & tumores circa aurem ex his emergentes, maligni sunt, & aliæ suppurationes.

286. Oris ventriculi dolores cum tormine, ventris animalcula erumpere faciunt.

287. Oris ventriculi dolor seniorem frequenter impetens, mortem repentinam significat.

288. Quibus hypochondria leuantur, aluo suppressa, malum est; maximè autem in morbis tabidis longis, & quibus alui humectantur.

289. In hypochondrio inflammatio, suppuratoria est quibus ante mortem nigra per aluum subeunt.

290. Hypochondriorum distentio cum sopore anxioso, in caput dolente, abscessus circa aurem attollit.

291. Post hypochondriorũ tumorẽ, biliosis spiritus magnus & febris acuta, abscessus circa aurẽ attollit.

292. In dolore hypochondriorum submurmuranti, lumborum dolor superaccedens in febribus, ventres vt plurimum humectat, si non flatus eruperit, aut vrinæ copia prodierit.

293. Ex hypochondrio diutius afflicto, & aluo graueolenti abscessus circa aurem occidit.

294. Quibus ab hypochondriorum doloribus, aluus paulatim subuiscosa egerens, pauca stercoracea effundit, num etiam sanguinem profundit?

295. Quibus derepente dum sine febre sunt, hypochondrij & oris ventriculi dolor, & circa crura, ac inferas partes, & aluus in tumorem eleuata est; soluit venæ sectio, & alui fluxio. His febrire nocuum est. Longæ enim & vehementes febres fiunt, & tusses, & spiritus & singultus fiunt. His autem ad solutionem tendentibus, dolor fortis coxarum, aut crurum, aut puris sputum, aut oculorum priuatio succedit.

296. Quibus dolores hypochondriorum, oris ventriculi, hepatis, partium circa vmbilicum, hi sanguine per aluum deiecto, seruantur; non autẽ deiecto, moriuntur.

297. Quibus hypochondria non mollia, facies sana, non liberantur citra multi sanguinis ex naribus fluxum, aut conuulsionem, aut coxendicum dolorem.

298. Dolores ad hypochondria in febre, voce intercepta, sine sudore soluti, malum est. His ad coxendices dolores fiunt.

299. *Iuxta ventrem in febre palpitationes, mentis emotiones inducunt; sanguinis autem fluxio horrorem efficit.*

300. *Dolores in febre ad hypochondria exilientes, sine sudore soluti, maligni sunt. His ad coxendices dolores fiunt, & ipsis vnà cum febre ardente, aluus deorsum erumpens, perniciosum est.*

301. *Dolores circa vmbilicum palpitatorij, habent quidem & aliquid mentis emotorium, verùm circa iudicationem pituita his aceruatim copiosa cum dolore penetrat.*

302. *Post aluum suppressam, hypochondria sublata, malum, maximè tabescentibus iam diu & quibus alui humectantur.*

303. *Anxietatem in hypochondrio sentientibus, tumores circa aurem oborti, ipsos occidunt.*

304. *Durities circa ventrem cum dolore, in febrientibus cum horrore, cibum auersantibus, si aluo insuper parum humectata, purgationem non faciant, ad suppurationem peruenient.*

305. *Dolor supra vmbilicum, & lumborum dolor, si medicamentis non soluantur, in hydropem siccum desinunt.*

306. *Dolores ex lumbis diuturniores, qui febre, tertianæ generis modo exacerbantur, grumosum sanguinem deiicere faciunt.*

307. *Dolores in lũbis, sanguinis fluxionem inducunt.*

308. *Ex lũborũ dolore sãguinis fluxiones largæ fiũt.*

309. *Quibus ex lumborum dolore, recursus ad caput, & manus torpidæ, & cardialgia, & aurium sonitus, his sanguis largè profluet. Sed & alui his deorsum erumpunt, & mens turbata est vt plurimum.*

310. *Ex dorsi dolore morborum principia difficilia sunt.*

311. *In lumborum dolore intenso, & ampliore alui subductione, à veratro vomere spumosa multa, prodest.*

312. *Spinæ distortionem ac spirandi difficultatem, sanguinis fluxus soluit.*

313. *In lũbis dolentibus cardialgiæ insuper accedentes signa sanguinis fluxionis sunt, etiam prægressæ.*

314. *Affectiones ex lũbis ad collũ & caput trãseuntes, paraplectico modo resoluentes, conuulsoriæ, mentis emotoriæ sunt. Num tales etiam soluuntur cõuulsionibus? Aut talium alui ægrotant per eadem prodeuntia?*

315. *Ex lumborum doloris recursu, oculorum distortio, malum.*

316. *Dolor in pectus firmatus cum torpore, malus in febre est. Hi repentè pereunt.*

317. *Ex lumborum dolore recursiones ad os ventriculi febriculosæ, horrorem inducentes; reuomentes tenuia, aquosa, mente moti, voce destituti nigrorum vomitu facto moriuntur.*

318. *Diuturni circà lumbos, & tenue intestinum dolores, & ad hypochondria dolores, si ægri cibos auersentur vnà cum febre, his dolor intentus ad caput progressus repente ipsos occidit conuulsorio modo.*

σϟθ'. Οἱ κατὰ κοιλίην ἐν πυρετῷ παλμοὶ, ἐκστατικὰ ποιέουσιν· αἱμοῤῥοίη δὲ φρικώδης.

τ'. Αἱ ἐς ὑποχόνδρια ἐν πυρετῷ ὀδύναι ἀναΐσσουσαι, ἀνίδρωτι λυόμεναι, κακοήθεες· τούτοισιν ἐς ἰσχία ἀλγήματα ἅμα πυρετῷ καυσώδει, κοιλίη καταῤῥαγεῖσα, ὀλέθριον.

τα'. Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες, ἔχουσι μὲν τι καὶ γνώμης παράφορον· περὶ κρίσιν δὲ τούτοισι φλέγμα ἅλις συχνὸν σὺν πόνῳ διέρχεται.

τβ'. Μετὰ κοιλίης ὑπόστασιν ὑποχόνδρια μετέωρα, κακόν· μάλιστα δὲ τοῖσι φθινώδεσι τῶν μακρῶν, καὶ οἷσι κοιλίαι ὑγραίνονται.

τγ'. Τοῖσιν ἀλυσμώδεσιν ἐν ὑποχονδρίῳ, τὰ περὶ οὖς ἐπαρθέντα κτείνει.

τδ'. Τὰ κατὰ κοιλίην σκληρύσματα μετὰ πόνου πυρετοῖσι φρικώδεσιν, ἀποσίτοισι, σμικρὰ ἐφυγραινομένης, κάθαρσιν οὐ διδόντα, ἐς ἐμπύησιν ἥξει.

τε'. Ὑπὲρ ὀμφαλὸν πόνος, καὶ ὀσφύος ἄλγημα, φαρμακείῃ μὴ λυόμενα, ἐς ὑδρωπιώδες ξηρὸν ἀποτελευτᾷ.

τϛ'. Τὰ ἐξ ὀσφύος ἀλγήματα χρονιώτερα, πυρετῷ προξυνούμενα τριταιοφυῶς, ποιέει τὰ θρομβώδεα αἵματα διαχωρέειν.

τζ'. Τὰ ἐν ὀσφύϊ ἀλγήματα, αἱμοῤῥοϊκά.

τη'. Αἱ ἐξ ὀσφύος ἀλγήματος αἱμόῤῥοιαι, λαῦραι.

τθ'. Οἷσιν ἐξ ὀσφύος ἀλγήματος ἀναδρομὴ ἐς κεφαλὴν, καὶ χεῖρες ναρκώδεες, καὶ καρδιαλγικὰ, καὶ ἠχώδεα, αἱμοῤῥαγικὰ λάβρως. καὶ κοιλίαι καταῤῥήγνυνται τούτοισι, καὶ γνῶμαι ταραχώδεες ἐπιπολύ.

τι'. Αἱ ἐκ νώτου ἀλγήματος ἀῤῥωστίης ἀρχαὶ, δύσκολοι.

τια'. Ἐν ὀσφύος ἀλγήματι συντόνῳ, καὶ ὑποφορῇ πλέονι, ἀπ' ἐλλεβόρου ἐμέσαι ἀφρώδεα, συχνὰ, ὠφελεῖ.

τιβ'. Ῥάχιος διαστροφὴν καὶ δύσπνοιαν, αἵματος ῥύσις λύει.

τιγ'. Ἐν ὀσφύϊ ἐπωδύνῳ καρδιαλγικὰ προσελθόντα σημεῖα αἱμοῤῥοώδεα, ἢ καὶ προγεγενημένα.

τιδ'. Τὰ ἐξ ὀσφύος ἐς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα, παραλύοντα παραπληκτικὸν τρόπον, σπασμώδεα, παρακρουστικὰ. ἆρα καὶ λύεται τὰ τοιαῦτα σπασμοῖσιν; ἢ τῶν τοιούτων κοιλίαι νοσέουσι διὰ τῶν αὐτῶν ἰόντων.

τιε'. Ἐξ ὀσφύος ἀναδρομῆς πόνου, ὀφθαλμῶν ἴλλωσις, κακόν.

τιϛ'. Πόνος ἐς στῆθος ἱδρυνθεὶς νωθρότητι, κακὸν ἐπὶ πυρετῷ. οὗτοι ὀξέως ἀπόλλυνται.

τιζ'. Ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαὶ ἐς καρδίην πυρετώδεες, φρικώδεες, ἀνεμέοντες λεπτὰ, ὑδατώδεα, παρενεχθέντες, ἄφωνοι, ἐμέσαντες μέλανα, τελευτῶσι.

τιη. Τὰ κατ' ὀσφὺν, καὶ τὸ λεπτὸν, χρόνια ἀλγήματα, καὶ πρὸς ὑποχόνδρια πόνοι, ἀπόσιτοι ἅμα πυρετῷ· τούτοισιν ἐς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν, κτείνει ὀξέως τρόπον σπασμώδεα.

τιθ'. Οἷσιν ὀσφύος ἄλγημα, οὗτοι κακοί. ἆρα τούτοισι τρομώδεα γίνεται, καὶ φωΐδες ἐν ῥίγει; ἆρα τοῖς ὀσφυαλγέσιν, ἀσώδεσιν, ἀνεμέτοισιν, ὀλίγα θρασέως παρακρούουσιν, ἐλπὶς μέλανα διελθεῖν;

τκ'. Ὀσφύος πόνος καρδιαλγικῷ, μετ' ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες.

τκα'. Ὑπόφωνον ἅμα κρίσει ῥῖγος.

τκβ'. Ὀσφύος ἄλγημα, ἄνευ προφάσιος πυκνὰ ἐπιφοιτέον, κακοήθεος ἀῤῥωστίης σημεῖον.

τκγ'. Ὀσφύος ἄλγημα μετὰ κώματος ἀσώδεος, πονηρόν.

τκδ'. Ὀσφύος σύντασις ἐκ γυναικείων πλήθεος, ἐκπυητικόν· καὶ τὰ ποικίλως ἰόντα, γλίσχρα, δυσώδεα, πνιγώδεα ἐπὶ τοῖσι προειρημένοισιν, ἐκπυητικόν. οἶμαι δὲ καὶ παρακρούειν τὰς τοιαύτας.

τκε'. Οἷσιν ὀσφύος ἄλγημα, καὶ πλευροῦ, ἄνευ προφάσιος, ἰκτερώδεες γίνονται.

τκϛ'. Αἱ ἐν κρισίμοισιν ἐκ τῶν αἱμοῤῥαγιῶν περιψύξιες νεανικαὶ, κάκισται.

τκζ'. Τὸ ἀνάπαλιν αἱμοῤῥαγέειν, πονηρὸν, οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ τῶν δεξιῶν· καὶ τὰ ὑποχόνδρια ὡσαύτως.

τκη'. Τὰ αἱμοῤῥαγεῦντα, ἐπιῤῥιγοῦντα πρώματα, κακοήθεα, διαλεγόμενοι λαθραίως τελευτῶσι.

τκθ'. Τὰ πεμπταῖα αἱμοῤῥαγοῦντα λάβρως, ἑκταῖα ἐπιῤῥιγώσαντα, ἑβδόμῃ περιψυχθέντα, ἀναθερμανθέντα ὀξέως, τούτοισι κοιλίαι πονηρεύονται.

τλ'. Μεθ' αἱμοῤῥαγίην μελάνων διαχώρησις, κακόν. πονηρὸν δὲ καὶ τὰ ἐξέρυθρα ἰώδεα. τεταρταίοισιν αἱ τοιαῦται αἱμοῤῥαγίαι. κωματώδεες ἐκ τοιούτων σπασθέντες θνήσκουσι, μελάνων προδιελθόντων, καὶ κοιλίης ἐπαρθείσης.

τλα'. Μεθ' αἱμοῤῥοΐας καὶ μελάνων διαχωρήσιας, ἐν ὀξεῖ κώφωσις, κακόν. αἵματος διαχώρησις τούτοισιν ὀλέθριον· κώφωσις δὲ λύει.

τλβ'. Οἷσιν αἱμοῤῥαγίαι πλείους, προϊόντος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ οὖρον πέπον ἔλθῃ. ἆρά γε καὶ ὑδατώδεες οὖρον τοιοῦτόν τι σημαίνει;

τλγ'. Οἷσιν ἐπὶ αἱμοῤῥαγίῃ λάβρῃ, μετὰ μελάνων συχνὴ διαχώρησις, ἐπιστάσης δὲ αἱμοῤῥόοι· οὗτοι κοιλίας ὀδυνώδεες, ἅμα δὲ τισὶ φύσησιν εὐφοροῦσι. ἆρα οἱ τοιοῦτοι ἐφιδροῦσι πολλοῖσι ψυχροῖσι; καὶ ἀνατεταραγμένον οὖρον ἐν τούτοισιν οὐ πονηρὸν, οὐδὲ τὸ ἐφιστάμενον γονοειδές. ἐπιπολὺ δὲ οὗτοι ὑδατώδεα οὐρέουσιν.

τλδ'. Οἷσιν ἐκ ῥινῶν, ἐπὶ κωφώσει καὶ νωθρότητι, μικρὰ ἀποστάζει, ἔχει τι δύσκολον. ἔμετος τούτοισι συμφέρει, καὶ κοιλίης ταραχή.

τλε'. Αἱ ἐν ἀρχῇσι μεγάλαι αἱμοῤῥαγίαι, περὶ ἀνακομιδὴν κοιλίας καθυγραίνουσι.

τλϛ'. Τὰ ἐκ ῥινῶν λάβρα, βίῃ ἀποληφθέντα, ἔστιν ὅτε σπασμὸν ἐπικαλεῖται· φλεβοτομίη λύει.

A

319. Quibus lumborum dolor est, hi male habent. Num his tremores fiunt, & circuli rubicundi in tibiis in rigore? Num lumbos dolentibus, cibos fastidientibus, non vomentibus, modicè censeriter mente motis, spes est, nigra proditura esse?

320. Lumborum dolor in cardialgico, cum excreatione violenta, habet quid conuulsorium.

321. Rigor vnà cum iudicatione aliquatenus horrendus est.

322. Lumborum dolor sine causa manifesta sæpe inuadens maligni morbi signum est.

B

323. Lumborum dolor cum comate anxioso, malus est.

324. Lumborum distentio ex muliebrium mensium multitudine, ad suppurationem tendit; & variè prodeuntes, viscosi, graueolentes, strangulatorij menses ex prædictis, ad suppurationem tendunt. Arbitror autem tales etiam aliquantum delirare.

325. Quibus lumborum dolor, & lateris, sine causa manifesta; hi regium morbum incurrunt.

C

326. Perfrigerationes ex sanguinis eruptionibus in diebus indicatoriis vehementes, pessimæ sunt.

327. Vice versa sanguinem erumpere, malum est; veluti in splene magno ex dextris; & circa hypochondria eodem modo se res habet.

328. Vulnera sanguinẽ fundentia, insuper rigentia, maligna. Sic affecti loquentes latenter moriuntur.

329. Affectiones quæ quinto die sanguinem largè fundunt, sexto insuper riguerunt, septimo perfrigeratæ fuerunt & vehementer recalefactæ, in his alui malè afficiuntur.

D

330. Post sanguinis eruptionem nigrorũ per aluum deiectio, mala. Mala autem sunt & ribicunda valde & æruginosa. Quarto die tales fiunt sanguinis eruptiones. Comatosi ex talibus conuulsi moriuntur, nigris prægressis, & ventre tumefacto.

331. Post sanguinis eruptiones, & nigrorum deiectiones, in acuto surditas, malum. Sanguinis deiectio his perniciosa; surditas autem soluit.

332. Quibus sanguinis eruptiones plures, his tẽporis progressu alui malè afficiuntur, si non vrina concocta prodierit. Num & aquosa vrina tale quid significat?

E

333. Quibus ex sanguinis eruptione larga, frequenti, multa fit alui cum nigris deiectio, ea autem suppressa, sanguinis fluxiones; hi aluum dolent; vnà verò cum quibusdam flatibus, facilè tolerant. Num tales multis frigidis sudoribus exudant? Conturbata in his vrina, mala non est; neque id quod genituræ simile in ipsa residet; verùm plerunque hi aquosa mingunt.

334. Quibus de naribus in surditate ac torpore pauca destillant, habent quid difficultatis. Vomitus his conducit, & alui perturbatio.

F

335. Magnæ in principiis hæmorragiæ, circa refectionem aluos humectant.

336. Fluxiones ex naribus largæ per vim suppressæ, quandoque conuulsionem prouocant; venæ sectio soluit.

337. *Vndecimo die contingentes sanguinis distillationes, difficiles sunt, tum aliàs, tum si bis superstillauerint, & rursus stillauerint.*

338. *In sanguinis fluxione multa, aut singultus, aut conuulsio, mala est.*

339. *In his qui decolores vsque ad septem annos vires recolligunt, & spiritus in viis aceruatus, & terræ concupiscentia, sanguinis corruptionem ac exolutionem significat.*

340. *In morbis longis paruæ apparentes sanguinis fluxiones perniciosæ sunt.*

341. *Vertigines ab initio sanguinis è naribus fluxus soluit.*

342. *Ex naribus erumpente sanguine, cum exiguis sudoribus perfrigescentia, maligna sunt.*

343. *Sanguinis detractio in perfrigeratione torpida mala est.*

344. *Qui aluo suppressa sanguinem effundunt, & vnà cum sanguinis effusione insuper rigent, his aluum velut ex lienteria lubricam hæc faciunt, duramque, & ascaridas, aut ambo.*

345. *Sanguinis fluxiones statis temporibus contingentes, siticulosæ, si sanguinem non effuderint, epileptici moriuntur.*

346. *Ex hæmorrhoide parum apparente, vertigines obortæ, paruam ac modicam siderationem significant; soluit venæ sectio; & quicquid hoc modo apparuerit, mali aliquid significat.*

347. *Palpitantes per totum, num etiam voce capti moriuntur?*

348. *Tremores conuulsorij oborientes in sudoribus reuerti solent. Iudicatio his fit, vbi superriguerint. Superrigent autem hi ardore circa ventrem prouocati. Somnus multus in his conuulsorius, & ad frontem grauitates, & mictio difficilis.*

349. *Conuulsiones antea non cognitæ in strangulatis ab vtero, faciles sunt.*

350. *Conuulsoria sine sudore sputa defluentia in febriente, leuia sunt; his insuper alui aliquantum humectantur, fortassis autẽ & ad articulos aliquid abscedet.*

351. *Quibus conuulsis oculi intentè relucent, neque apud seipsos sunt, & diutiùs ægrotant.*

352. *Quæ conuulsorio modo exacerbantur cum catoche, abscessus iuxta aurem excitant.*

353. *Tremulis, anxiosis parui iuxta aurem tumores conuulsionem significant, aluo malè affecta.*

354. *Conuulsiones & tetanos febris accedens soluit.*

355. *Conuulsio ex vulnere lethalis est.*

356. *Conuulsio in febre contingens perniciosa est; minimè verò pueris.*

357. *Seniores septem annis in febre non corripiuntur conuulsione; sin minus, perniciosum est.*

358. *Conuulsionem soluit febris superueniens acuta, quæ priùs non fuit; si verò fuit priùs, iam exacerbata. Prodest & transitus vrinæ vitreæ copio-*

A τλζ'. Αἱ ἑνδεκαταῖαι στάξιες, δύσκολοι, ἄλλως τε κἢν δὶς ἐπιστάξῃ, καὶ αὖ ἐπιστάξῃ.

τλη'. Ἐπὶ αἵματος ῥύσει πολλῇ, ἢ λυγμὸς, ἢ σπασμὸς, κακόν.

τλθ'. Τοῖσιν ἕως ἐτῶν ἑβδόμων δύναμιν μετ' ἀχροίης, καὶ πνεῦμα ἀλιζόμενον ἐν τῇσιν ὁδοῖσι, καὶ γῆς ἐπιθυμίη, αἵματος φθορὴν καὶ ἔκλυσιν σημαίνει.

τμ'. Ἐν τοῖσι μακροῖσι τὰ μικρὰ ἐπιφαινόμενα αἱμορροώδεα, ὀλέθρια.

B τμα'. Τὰ σκοτώδεα ἐξ ἀρχῆς αἱμορροίη ῥινὸς λύει.

τμβ'. Τὰ ἐκ ῥινῶν σμικροῖς ἱδρῶσι περιψυχόμενα, κακοήθεα.

τμγ'. Αἵματος ἀφαίρεσις, ἐν καταψύξει νενωθρευμένῃ, κακόν.

τμδ'. Ὅσοι κοιλίης ἐπιστάσης αἱμορροέουσι, καὶ ἐπιρριγοῦσιν ἅμα τῇ αἱμορροίῃ, τούτοισι κοιλίην λειεντερώδεα ποιέει, καὶ ἐπίσκληρον, καὶ ἀσκαρίδας, ἢ ἀμφότερα.

C τμε'. Τὰ τεταγμένοισι χρόνοισιν αἱμορροώδεα, διψώδεα, μὴ αἱμορραγήσαντα, ἐπιληπτικῶς θνήσκει.

τμς'. Ἐξ αἱμορροΐδος ὀλίγον ἐπιφανείσης σκοτώδεα ἐλθόντα, παραπληγικὸν μικρὸν, καὶ ἐπ' ὀλίγον σημαίνει· λύει φλεβοτομίη· καὶ πᾶν δὲ οὕτως ἐπιφαινόμενον, κακόν τι σημαίνει.

τμζ'. Οἱ παλμώδεες δι' ὅλου, ἆρα καὶ ἄφωνοι τελευτῶσι;

D τμη'. Τὰ τρομώδεα, σπασμώδεα γινόμενα, ἐφ' ἱδρῶσι, φιλυπόστροφα. τούτοισι κρίσις ἐπιρριγώσασιν. ἐπιρριγοῦσι δὲ οὗτοι ἐπὶ κοιλίην καύματι προσκληθέντες. ὕπνος πολὺς ἐν τούτοισι σπασμώδεες, καὶ τὰ ἐς μέτωπον βαρέα, καὶ οὔρησις δυσχεραίνουσα.

τμθ'. Οἱ ἐν ὑστερικοῖσιν ἄπειροι σπασμοὶ, εὐχερέες.

τν'. Τὰ σπασμώδεα ἀνιδρωτὶ, πτύελα παραφέρεοντα πυρετώδεϊ ἐόντι, εὐήθεα. τούτοισιν ἔπειτα κοιλίαι τι καθυγραίνονται. τάχα δὲ τι καὶ ἐς ἄρθρα ἀποστήσονται.

E τνα'. Οἷσιν ἐν σπασμώδεσιν ὀφθαλμοὶ ἐκλαμπρύνουσιν ἀτενέες, οὔτε παρ' ἑωυτοῖσιν εἰσι, διανοσέουσί τε μακροτέρως.

τνβ'. Τὰ σπασμώδεα τρόπον παροξυνόμενα κατόχως, τὰ παρ' οὖς ἐπαίρει.

τνγ'. Τρομώδεσιν, ἀσώδεσι, μικρὰ τὰ παρ' οὖς ἐπάρματα, σπασμὸν σημαίνει κοιλίης πονηρευομένης.

τνδ'. Τὰ σπασμώδεα, καὶ τετανώδεα, πυρετὸς ἐπιγενόμενος λύει.

τνε'. Σπασμὸς ἐπὶ τρώματι, θανάσιμον.

τνς'. Σπασμὸς ἐπὶ πυρετῷ γενόμενος, ὀλέθριον· F ἥκιστα δὲ παιδίοισιν.

τνζ'. Οἱ πρεσβύτεροι ἑπτὰ ἐτέων, ἐν πυρετῷ οὐχ ἁλίσκονται ὑπὸ σπασμοῦ· εἰ δὲ μὴ, ὀλέθριον.

τνη'. Σπασμὸν λύει πυρετὸς ἐπιγενόμενος ὀξὺς, μὴ πρότερον γενόμενος· εἰ δὲ εἴη πρότερον γενόμενος, παροξυνθείς. ὠφελέει δὲ καὶ οὔρων διέξοδος ὑαλοειδὴς

πολλή, καὶ ῥύσις κοιλίης, καὶ ὕπνοι. τῶν δὲ ἐξαπίνης σπασμῶν λυτικὸν, πυρετὸς, κοιλίης ῥύσις.

τνθ'. Ἐν τοῖσι σπασμοῖσιν ἀναυδίη ἐπὶ πολὺ, κακόν· τὸ δὲ ἐπὶ μικρὸν, ἤτοι γλώσσης ἀποπληξίην, ἢ βραχίονος, καὶ τῶν ἐπὶ δεξιὰ, σημαίνει. λύεται δὲ οὔροισιν ἐξαπίνης ἐλθοῦσιν, πολλοῖσιν, ἀθρόοισιν.

τξ'. Ἱδρῶτες δὲ, οἱ μὲν μετὰ μικρὸν, ὠφελέουσιν· οἱ δὲ ἀθρόοι, καὶ αἱ τῶν αἱμάτων ἀφαιρέσιες αἱ ἀθρόοι, βλάπτουσιν.

τξα'. Ἐν τοῖσι τετάνοισι καὶ ὀπισθοτόνοισι, γένυες λυόμεναι, θανάσιμον. θανάσιμον δὲ καὶ ἱδροῦν ἐν ὀπισθοτόνῳ, καὶ τὸ σῶμα διαλύεσθαι, καὶ ἀνεμεῖν ὀπισθοτόνῳ διὰ ῥινῶν, ἢ ἐξ ἀρχῆς ἄφωνον ἐόντα βοᾶν, ἢ φλυηρεῖν. ἐς γὰρ τὴν ὑστεραίην θάνατον σημαίνει.

τξβ'. Πυρετώδεα ὀπισθοτονώδεα, γονοειδέες οὐρήσιες λύουσι.

τξγ'. Τὰ κυναγχικὰ, τὰ μήτε ἐν τῷ τραχήλῳ, μήτε ἐν τῇ φάρυγγι, μηδὲν εὔδηλον ποιέοντα, πνιγμὸν δὲ νεανικὸν, καὶ δύσπνοιαν παρέχοντα, αὐθημέρους καὶ τριταίους κτείνει.

τξδ'. Τὰ δὲ, ἐπάρματα καὶ ἔρευθος, ἐν τῷ τραχήλῳ λαμβάνοντα, τὰ μὲν λοιπὰ παραπλήσια, χρονιώτερα δέ.

τξε'. Ὅσοισι δὲ συνεξερευθείη ἥ τε φάρυγξ, καὶ ὁ αὐχὴν, καὶ τὸ στῆθος, χρονιώτερα· καὶ μάλιστα ἐξ αὐτῶν σώζονται, ἢν μὴ παλινδρομέῃ τὰ ἐρυθήματα· ἢν δὲ ἀφανίζηται, μήτε φύματος συστραφέντος ἔξω, μήτε πύου ἀναχρεμπτομένου ῥηϊδέως καὶ ἀπόνως, ἐν ἡμέρῃσι κρισίμῃσιν, ὀλέθρια γίνεται. ἆρά γε ἔμπυοι γίνονται; ἀσφαλέστατον δὲ τὸ ἔρευθος καὶ τὰς ἀποστάσιας, ὅτι μάλιστα ἔξω τρέπεσθαι.

τξς'. Ἐρυσίπελας δὲ ἔξωθεν μὲν ἐπιγίνεσθαι, χρήσιμον· εἴσω δὲ τρέπεσθαι, θανάσιμον. τρέπεται δὲ εἴσω, ὅταν ἀφανιζομένου τοῦ ἐρυθήματος, βαρύνηται τὸ στῆθος, καὶ δυσπνοώτερος γίνηται.

τξζ'. Οἷσι δὲ κυνάγχης ἐς τὸν πλεύμονα τρέπεται, οἱ μὲν ἐν ἡμέρῃσιν ἑπτὰ ἀπόλλυνται· οἱ δὲ διαφυγόντες, ἔμπυοι γίνονται, μὴ γινομένης αὐτοῖς ἀναγωγῆς φλεγματώδεος.

τξη'. Οἷσι διὰ σφοδρότητος σφυγμοῦ, κόπριον ἐξαπίνης διαχωρέει, θανάσιμον.

τξθ'. Ἐν τοῖσι κυναγχικοῖσι, τὰ ὑπόξηρα πτύσματα ἰσχνῶν, κακόν.

το'. Τὰ κυναγχικὰ ἐν γλώσσῃσιν οἰδήματα, ἀσήμως ἀφανιζόμενα, ὀλέθρια. καὶ τὰ ἀλγήματα ἀφανιζόμενα χωρὶς προφάσιος, ὀλέθρια.

τοα'. Ἐν τοῖσι κυναγχικοῖσιν, οἱ μὴ ταχὺ ἀναπτύοντες πέπονα, ὀλέθριοι.

τοβ'. Ἐν κυνάγχῃ, ἀσήμως εἰς κεφαλὴν ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια.

τογ'. Ἐν κυνάγχῃ, ἀσήμως ἐς σκέλη ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια.

τοδ'. Ἐκ κυναγχικῶν ἀκρίτως ὑποχονδρίου ἄλγημα, μετὰ ἀκρασίης καὶ νωθρότητος γινόμενον, κτείνει λαθραίως, εἰ καὶ πάνυ δοκοῖεν ἐπιεικῶς ἔχειν.

sus, & alui fluxus, & somni. At repentinas conuulsiones soluit febris, alui fluxus.

359. *In conuulsionibus vocis interceptio diu durans, mala est; parua autem, aut linguæ sideratione, aut brachij, aut dextrarum partium significat. Soluitur autem vrinis multis aceruatis derepente prodeuntibus.*

360. *Sudores autem paulatim orientes, prosunt: aceruati verò, sanguinisque detractiones aceruatæ, lædunt.*

361. *In tetanis & opisthotonis, si maxillæ soluantur, lethale est. Lethale est etiam sudare in opisthotono, & corpus dissolui, & in eadem affectione reuomere per nares, aut clamare, aut nugari, si ab initio vox intercepta fuit. In posteram enim diem mortem significat.*

362. *Febriles opisthotonos vrinæ genituræ similes soluunt.*

363. *Anginæ quæ neque in collo, neque in faucibus, quicquam conspicuum faciunt, verùm suffocationem vehementem ac dyspnœam inducunt, eadem die & tertia occidunt.*

362. *Quæ verò tumores & ruborem in collo accipiunt, in cæteris quidem consimiles sunt, verùm diuturniores.*

365. *Quibuscunque verò & fauces, & ceruix, & pectus, simul rubuerint, diuturniores sunt; & ex ipsis maximè seruantur, si non recurrerint rubores. Si verò dissipentur, neque tuberculo foràs conuerso ac collecto, neque pure leuiter ac sine dolore excreato, neque in diebus iudicatoriis, perniciosæ sunt. Num etiam suppurati fiunt? Securissimum autem est ruborem & abscessus quàm maximè foràs verti.*

366. *Erysipelas verò foris quidem accedere, commodum est; intrò autem conuerti, lethale; conuertitur autem intrò, quum disparente rubore pectus grauatur, & difficilius spirat æger.*

367. *Quibus verò anginæ ad pulmonem vertuntur, partim septem diebus pereunt, partim euadentes suppurati fiunt, si non eductio pituitosa sursum ipsis fiat.*

368. *Quibus per pulsationis venarum vehementiam, stercus derepente per aluum secedit, lethale est.*

369. *In anginis sputa gracilium subarida, malum.*

370. *Anginosi in linguis tumores, citra signa disparentes, perniciosi, & dolores disparentes citra manifestam causam, perniciosi sunt.*

371. *In anginis, qui non breui concocta expuunt, perniciosè habent.*

372. *In angina dolores ad caput, citra notas cum febre, perniciosi.*

373. *In angina dolores ad crura, citra notas, cum febre, perniciosi.*

374. *Ex anginis citra iudicationem hypochondrij dolor, cum impotentia ac torpore oboriens, occidit occultè, etiamsi valde mansuetè se habere putent.*

375. *Ex anginosis citra notas attenuatis, dolor ad pectus, & ad aluum progressus intensus, pus deiicere facit; aliàs autem eius qui exoluitur tale est.*

376. *In anginis omnia perniciosa sunt, quæ non manifestum dolorem faciunt. Sed & ad crura dolores diuturni procedunt, & difficulter suppurantur.*

377. *Ex angina sputa viscosa, crassa, valde alba, quæ violenter educuntur, mala sunt. Et omnis eiusmodi maturatio, mala. Purgatio multa deorsum, tales paraplectico modo perimit.*

378. *Ex angina, subarida, frequentia sputa, cum tussi, lateris dolorem inducentia, perniciosa; atque ea quæ inter potandum per tussim reiiciuntur; & deglutitio violenta, mala.*

379. *Pleuritici quibus in principio sputationes penitus purulentæ sunt, tertio die moriuntur, aut quinto. Si verò has effugerint, non multo melius habentes, septimo, aut nono, aut vndecimo suppurari incipiunt.*

380. *Quibus pleuriticis supra aurem rubor, & similiter calescunt, & aluus biliosis ac graueolentibus exturbatur, hi vigesima ac quadragesima die periclitantur, vbi verò has effugerint, seruantur.*

381. *Pleuritides siccæ ac sine sputo, difficillimæ sunt. Horrendæ quoque hæ in quibus dolores supernè sunt.*

382. *Pleuritides sine conuulsionibus, grauiores sunt his quæ cum conuulsionibus fiunt.*

383. *Quibus pleuriticis in principio lingua biliosa fit, hi septima die iudicantur; quibus autem tertia aut quarta die, circa nonam.*

384. *Bulla subliuida oriente in lingua, in principio, qualis est ferri tincti in oleum, difficilior solutio contingit; & iudicatio quidem ad decimumquartum diem peruenit, sanguinem autem plerunque spuunt.*

385. *Sputum in pleuriticis tertia die maturari ac expui incipiens, celeriores solutiones facit; verùm posterius, tardiores.*

386 *In doloribus pleuriticorum commodum est aluum molliri, sputa colorari, strepitus in pectore non fieri, vrinam bene procedere: His autem contraria, difficilia sunt; itémque sputum dulce fieri.*

387. *Biliosæ simul & sanguineæ pleuritides, plerunque nono aut vndecimo die iudicantur, & maximè sanantur. Quibus autem pleuriticis in principio quidem dolores molles sunt, quinto verò aut sexto die exacerbantur, hi magis ad duodecimum perueniunt, & non valde seruantur; periclitantur autem maximè septimo die ac duodecimo. Vbi verò bis septem dies effugerint, seruantur.*

388. *Quibus pleuriticis strepitus sputi multus in pectore est, & facies tristis, & oculus morbi regij colore infectus, ac caliginosus, hi pereunt.*

389. *Qui ex pleuritide suppurati fiunt, in quadraginta à ruptione diebus expuunt.*

τοε'. Ἐκ κυναγχικῶν ἀσήμως ἰσχναινθέντων, ἐς στῆθος ἄλγημα, καὶ ἐς κοιλίην ἐλθὸν σύντονον, ποιέει πυώδεα διαχωρέειν, ἄλλως καὶ λυομένου, τὸ τοιοῦτον.

τος'. Ἐκ κυναγχικῶν πάντα ὀλέθρια, ὅσα μὴ ἔκδηλον ἐποίησεν ἄλγημα. ἀτὰρ καὶ ἐς σκέλεα ἀλγήματα χρόνια φοιτᾷ, καὶ ἐκπυοῦται δυσκόλως.

τοζ'. Τὰ ἐκ κυνάγχης πτύαλα γλίσχρα, παχέα, ἔκλευκα, βιαίως ἀναγόμενα, κακόν. καὶ πᾶς ὁ τοιοῦτος πεπασμὸς, κακόν. κάθαρσις πολλὴ κάτω τοὺς τοιούτους παραπληκτικῶς ἀπόλλυσιν.

τοη'. Ἐκ κυνάγχης ὑπόξηρα πυκνὰ πτύελα, βηχώδεα, πλευροῦ ὀδυνώδεα, ὀλέθρια. καὶ τὰ ἐν τοῖσι ποτοῖσιν ὑποβήσσοντα· καὶ κατάποσις βιαία, πονηρόν.

τοθ'. Τῶν πλευριτικῶν, οἷσιν ἐν ἀρχῇ πάμπυοι αἱ πτύσιες, τριταῖοι θνήσκουσιν, ἢ πεμπταῖοι. φυγόντες δὲ ταύτας, μὴ πολὺ ῥᾷον ἔχοντες, τῇ ἑβδόμῃ, ἢ ἐνάτῃ, ἢ ἑνδεκάτῃ, ἄρχονται ἐμπυοῦσθαι.

τπ'. Οἷσι δὲ ἄνω ὠτὸς ἔρευθος τῶν πλευριτικῶν, καὶ ὁμοίως θερμαίνονται, καὶ κοιλίη ταράσσεται χολώδεα καὶ δυσώδεα· εἰκοσταῖοι καὶ τεσσαρακοσταῖοι κινδυνεύουσι· φυγόντες δὲ ταύτας σώζονται.

τπα'. Αἱ ξηραὶ τῶν πλευριτίδων, καὶ ἄπτυστοι, χαλεπώταται. φοβεραὶ δὲ ἐν οἷσιν ἄνω τὰ ἀλγήματα.

τπβ'. Αἱ ἄνευ σπασμάτων πλευρίτιδες, χαλεπώτεραι τῶν μετὰ σπασμάτων.

τπγ'. Τῶν πλευριτικῶν, οἷσιν ἐν ἀρχῇ γλῶσσα χολώδης γίνεται, ἑβδομαῖοι κρίνονται· οἷσι δὲ τρίτῃ, ἢ τετάρτῃ, περὶ τὴν ἐνάτην.

τπδ'. Πομφόλυγος δὲ ὑποπελίου γενομένης ἐπὶ τῆς γλώσσης ἐν ἀρχῇ, οἵη σιδηρίου βαφέντος ἐς ἔλαιον, χαλεπωτέρη ἡ ἀπόλυσις γίνεται, καὶ ἡ μὲν κρίσις ἐς τὴν τεσσαρεσκαιδεκάτην ἀφικνέεται· αἷμα δὲ, ὡς ἐπὶ τὸ πολὺ πτύουσι.

τπε'. Πτύαλον δ' ἐν τῇσι πλευρίτισι, τρίτον μὲν ἀρχόμενον πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους ποιέει τὰς ἀπολύσιας· ὕστερον δὲ βραδυτέρας.

τπς'. Τὰ δὲ ἀλγήματα, τοῖσι πλευριτικοῖσι, χρήσιμον κοιλίην μαλάσσεσθαι, πτύαλα χρωματίζεσθαι, ψόφους ἐν τῷ στήθει μὴ γίνεσθαι, τὸ οὖρον εὐοδεῖν. τὰ δὲ τούτων ἐναντία δυσχερέα, καὶ πτύαλον γλυκαινόμενον.

τπζ'. Αἱ δὲ χολώδεες ἅμα καὶ αἱματώδεες πλευρίτιδες, ὡς ἐπὶ τὸ πολὺ κρίνονται ἐναταῖαι, ἢ ἑνδεκαταῖαι, καὶ μάλιστα ὑγιάζονται. οἷσι δὲ τῶν πλευριτικῶν ἐν ἀρχῇ μὲν οἱ πόνοι μαλθακοὶ, πέμπτῃ δὲ, ἢ ἕκτῃ προσοξύνονται, μᾶλλον πρὸς τὰς δώδεκα ἀφικνέονται, καὶ οὐ πάνυ σώζονται· κινδυνεύουσι δὲ μάλιστα ἑβδομαῖοι, καὶ δωδεκαταῖοι. τὰς δὲ δὶς ἑπτὰ φυγόντες, σώζονται.

τπη'. Ὅσοισι τῶν πλευριτικῶν, ψόφος τοῦ πτυάλου πολὺς ἐν τῷ στήθει, καὶ πρόσωπον κατηφὲς, καὶ ὀφθαλμὸς ἰκτερώδης, καὶ ἀχλυώδης, ἀπόλλυνται.

τπθ'. Οἱ ἐκ πλευριτικοῦ, ἔμπυοι γενόμενοι, ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσιν ἀνακαθαίρουσιν ἀπὸ τῆς ῥήξιος.

τϟ'. Πτύαλον δὲ χρὴ πᾶσι τοῖσι πλευριτικοῖσι καὶ περιπλευμονικοῖσιν εὐπετέως τε καὶ ταχέως ἀναπτύεσθαι, μεμίχθαι τε τὸ ξανθὸν τῷ πτυάλῳ. τὸ δ' ὕστερον πολλῷ τῆς ὀδύνης ἀναγόμενον ξανθὸν, ἢ μὴ μεμιγμένον, καὶ πολλὴν βῆχα παρέχον, πονηρόν· πονηρὸν δὲ πάντως καὶ τὸ ξανθὸν ἄκρητον, καὶ τὸ γλίσχρον, καὶ τὸ στρογγύλον, καὶ τὸ χλωρὸν σφόδρα, καὶ τὸ ἀφρῶδες, καὶ τὸ πελιῶδες, καὶ ἰῶδες. χεῖρον δὲ καὶ τὸ οὕτως ἄκρητον, ὥστε μέλαν φαίνεσθαι. αἵματι δὲ μὴ πολλῷ συμμεμιγμένον τὸ ξανθὸν, ἐν ἀρχῇ μὲν σωτήριον, ἑβδομαίῳ δ', ἢ παλαιοτέρῳ ἧσσον ἀσφαλές· αἱματῶδες δὲ λίην, ἢ πέλιον εὐθέως ἐν ἀρχῇ, κινδυνῶδες. πονηρὰ δὲ καὶ τὰ ἀφρώδεα, καὶ τὰ ξανθὰ, καὶ μέλανα, καὶ ἰώδεα, καὶ ἰξώδεα, καὶ ὅσα ταχέως χρωματίζεται. τὰ δὲ μυξώδεα, καὶ λιγνυώδεα, καὶ χρωματίζεται ταχέως, καὶ ἐστὶν ἀσφαλέστερα. τὰ δ' ἐντὸς πέμπτης ἐς πέψιν χρωματιζόμενα, βελτίω.

τϟα'. Πᾶν δὲ πτύαλον, μὴ λῦον τὴν ὀδύνην, πονηρόν· λῦον δὲ, χρήσιμον.

τϟβ'. Οσοι δὲ μετὰ τοῦ χολώδεος πυῶδες ἀνάγουσιν, ἢ χωρὶς, ἢ μεμιγμένον, ὡς ἐπιτοπολὺ τεσσαρεσκαιδεκαταῖοι θνήσκουσιν, ἢν μή τι κακὸν, ἢ ἀγαθὸν ἐπιγένηται τῶν προγεγραμμένων· εἰ δὲ μὴ, κατὰ λόγον· μάλιστα δὲ οἷσιν ἑβδομαίοισιν ἄρχεται τὸ τοιοῦτον πτύαλον.

τϟγ'. Εστι δὲ ἀγαθὸν μὲν καὶ τούτοισι, καὶ πᾶσι τοῖσι περὶ πλεύμονα, φέρειν ῥηϊδίως τὸ νόσημα, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύαλον εὐπετέως ἀνάγειν, εὔπνοον εἶναι καὶ ἄδιψον, τὸ σῶμα ἅπαν ὁμαλῶς θερμαίνεσθαι, μαλθακὸν εἶναι· καὶ πρὸς τοῖσιν ὕπνους, ἱδρῶτας, οὔρων διαχώρησιν χρηστὰ γίνεσθαι· κακὰ δὲ τἀναντία τούτων. Εἰ μὲν οὖν πάντα προσγένοιτο τῷ πτύσματι τούτῳ τὰ χρήσιμα, σώζοιτ' ἄν. Εἰ δὲ τὰ μὲν, τὰ δὲ μὴ, οὐ πλείους τῶν τεσσαρεσκαίδεκα βιώσας, ἀπόλλοιτο· τῶν δ' ἐναντίων σημείων ἐπιγινομένων, συντομώτερον.

τϟδ'. Οσα δὲ τῶν ἀλγημάτων, ἐν τοῖσι τόποισι τούτοισι μὴ παύσηται, μήτε πρὸς τὰς ἀναπτύσιας, μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ διαίτας, ἐμπυοῦνται.

τϟε'. Οσοισι δὲ ἐκ περιπλευμονίης ἀποστάσιες παρ' οὖς, ἢ ἐς τὰ κάτω γίνονται, καὶ ἐκπυοῦσί τε, καὶ ἐκσυριγγοῦνται. περιγίνονται δὲ, οἷσιν ἂν ὅ,τε πυρετὸς, καὶ ὁ πόνος παρακολουθῇ, καὶ τὸ πτύαλον χωρέῃ κατὰ λόγον· μηδὲ χολώδεες αἱ διαχωρήσιες, εὔλυτοί τε καὶ ἄκρητοι γίνονται, μηδὲ οὖρον παχύ τε σφόδρα, καὶ πολλὴν ὑπόστασιν ἔχον, τά τε ἄλλα σωτηρίας ἔχοιεν. γίνονται δὲ, αἱ μὲν ἐς τὰ κάτω, οἷσιν ἂν περὶ ὑποχόνδρια φλεγμονὴ γίνηται· αἱ δὲ ἐς τὰ ἄνω, οἷσιν ἂν, τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον ᾖ· δύσπνοοι δέ τινα χρόνον γενόμενοι, παύσωνται χωρὶς προφάσιος.

τϟϛ'. Αἱ δ' ἐς τὰ σκέλεα τῶν ἀποστασίων, ἐν τῇσιν ἐπικινδύνοισι περιπλευμονίῃσι, λυσιτελέες μὲν πᾶσαι· βέλτισται δὲ αἱ τοῦ πτυέλου πυώδεος ἀντὶ ξανθοῦ γινομένου. μὴ χωρέοντος δὲ τοῦ πτυέλου κατὰ λόγον, μηδὲ τοῦ οὔρου χρηστὴν ὑπόστασιν ἔχοντος, κίνδυνος χωλωθῆναι τὸν ἄνθρωπον, ἢ καὶ πολλὰ πρήγματα παρασχεῖν. ἢν δὲ παλινδρομέωσιν αἱ ἀποστάσιες, πυρετοῦ παρακο-

390. Sputum in omnibus pleuriticis ac peripneumonicis facilè ac citò expui conuenit, & flauum sputo permixtum esse. Quod verò longè post dolorem educitur flauum, aut non mixtum, & multam tussim inducens, malum est. Prauum autem penitus est flauum purum, & lentum, & album, & rotundum, & cum vitore pallidum valde, & spumosum, & liuidum, & æruginosum. Peius autē aliquanto est id quod ita purum est, vt nigrum appareat. At sanguine non multo permixtum flauum, in principio quidem salutare est, septimo verò die, aut posterius, minus tutum. Cruentum verò valde, aut liuidum, statim in principio periculosum est. Praua sunt etiam sputa spumosa, & flaua, & nigra, & æruginosa, ac lenta, & quæcunque citò colorantur. At mucosa ac fuliginosa, & citò colorantur, & securiora sunt. Quæ verò intra quintum diem ad coctionem colorantur, meliora sunt.

391. Omne porrò sputum non soluens dolorem, malum est; soluens autem, bonum.

392. Quicunque verò cum bilioso purulentum educunt, aut seorsim, aut permixtum, plerunque decimoquarto die moriuntur, si non mali aut boni quippiam ex præscriptis superueniat; sin minus, pro ratione; maximè autem his quibus eiusmodi pus septimo die incipit.

393. Bonum verò est & in his & in omnibus circa pulmonē morbis, facilè ferre morbū, à dolore liberatum esse, sputum facilè educere, bene spirare, & sine siti esse; & totum corpus æqualiter calescere, ac molle esse, & ad hæc somnos, sudores, vrinas, alui deiectiones, bonas esse. Mala autem sunt his contraria. Siquidem igitur omnia bona ad hoc sputum accesserint, seruari homo poterit. Si verò partim affuerint, partim non, non vltra decimumquartum vita producta peribit; quòd si contraria signa accedant, citiùs etiam.

394. Quicunque verò dolores in his locis non sedantur, neque ad expuitiones, neque ad venarum sectiones, ac victus rationes, suppurantur.

395. Quibuscunq; autē ex peripneumonia abscessus circa aurē, aut ad inferas partes fiūt; & suppurātur ac fistulātur. Superstites autē fiūt hi quibus, & febris, & dolor affuerit, & sputum pro ratione prodierit; neque biliosæ alui deiectiones, solutúq; faciles, ac meracæ fiūt, neq; vrina crassa valde, & multū sedimentū habēs & alia salutaria habuerit. Fiunt autē ad infernas quidem partes, his, quibus circa hypochondria inflāmatio fit; ad supernas verò, quibus hypochondria mollia & doloris expertia fuerint; & vbi per tempus aliquod difficulter spirauerint, ac citra manifestam causam cessauerint.

396. At abscessus ad crura in periculosis inflammationibus pulmonis, omnes quidem vtiles sunt; optimi autem, sputo purulento pro flauo existente. Non procedente verò sputo secundum rationem, neque vrina bonum sedimentum habente, periculum est claudum fore hominem, aut multum molestiarum rem exhibituram. Si verò recurrerint abscessus, febre conse-

quente,

quente, & sputo non procedente, periculum est ne moriatur ac deliret. Quicunque verò peripneumonici non purgati sunt iudicatoriis diebus, sed mente moti quatuordecim dies effugerunt, eos periculum est suppuratos fieri.

397. Peripneumoniæ ex pleuritide transmutatæ, securiores sunt his quæ ab initio fiunt.

398. Corpora exercitata ac densa citiùs à pleuriticis ac peripneumonicis morbis pereunt quàm inexercitata.

399. Grauedines, & sternutationes in morbis circa pulmonem, & antecessisse, & succedere, malum est. Reliquis autem sternutatio non incommoda est.

400. Peripneumonicis quibus lingua tota alba ac aspera fit, ambæ pulmonis partes inflāmatæ sunt; quibus verò dimidium, vna, iuxta quam apparet. Et quibus ad vnam clauiculā dolor fit, his superna pulmonis ala vna ægrotat; quibus autem ad ambas clauiculas dolor fit, ambæ supernæ pulmonis alæ ægrotāt; quibus iuxta mediam costam, media; quibus ad discriminationem, inferna; at totam vnam partem dolentibus, omnia iuxta hanc partem dolent. Si quidem igitur aortæ appellatæ, vtrinque appendentes pulmonis partes, valde inflāmatæ sunt, vt ad latus assideant, hac corporis parte resoluuntur, & liuores foris circa costam habent. Hos autem veteres ictos, siue syderatos vocabant. Si verò non valde inflāmatæ sunt, vt non assideant, dolor quidem fit per totum, non tamen resoluuntur, neque liuores habēt.

401. Quibus verò totus pulmo inflammatus fuerit, vnà cum corde, vt ad latus allabatur, hi toti resoluuntur, & iacet æger frigidus, sensus expers, moritúrque secundo aut tertio die. Si verò etiam sine corde contigerit, minùs diu viuunt. Quidam autem etiam seruantur.

402. Qui suppurati fiunt maximè ex pleuritide ac peripneumonia, eos calores comitantur, interdiu tenues, noctu vehementiores, & nihil memoratu dignū spuunt, & circa collum ac clauiculā sudant, & oculi caui fiunt, maxillæ verò rubent, digiti summi deteriùs calescunt ac asperantur, vngues curuantur, ac perfrigerantur, & circa pedes tumores habent, & circa corpus pustulas, & abstinent à cibis. Diuturnæ igitur suppurationes, signa hæc habent. Quæ verò breui rumpuntur, ex notis ad eas consequentibus cognoscere oportet, & ex doloribus in principio; simul autē, & si aliquanto difficiliùs spirauerit homo. Rumpuntur autem plurimæ suppurationes, partim vigesimo die, partim quadragesimo, partim sexagesimo. Quibus igitur dolor in principio incumbit intentus, & spirandi difficultas, & tussis cum sputatione, ad vigesimum diem, aut citiùs, eruptionem expecta; quibus autem leuiora hæc sunt iuxta rationem. Supputare autē oportet tempus, à quo primum doluit, aut grauatus fuit, aut febriit, aut si quādo rigor corripuit. Necesse est autem præcedere & dolorem, & spirandi difficultatem, & sputationem, ante ruptionem. Quibus igitur & febris statim post ruptionem discedit, & cibum appetunt, & pus facilè educitur album, inodorum, læue,

λευθοῦντος, καὶ τοῦ πτυάλου μὴ χωρέοντος, κίνδυνος θανεῖν καὶ παραφρενῆσαι. ὅσοι δὲ τῶν περιπλευμονικῶν μὴ ἀνεκαθάρθησαν ἐν τῇσι κρισίμοισιν ἡμέρῃσιν, ἀλλὰ παρακόψαντες διέφυγον τὰς ιδ', κίνδυνος ἐμπύους γενέσθαι.

τλζ'. Τῶν περιπλευμονιῶν, αἱ ἐκ πλευριτικοῦ μεταστᾶσαι, τῶν ἐξ ἀρχῆς γινομένων ἀσφαλέστεραι.

τλη'. Τῶν δὲ σωμάτων, τὰ γεγυμνασμένα καὶ πυκνὰ θᾶσσον ὑπὸ τοῦ πλευριτικοῦ, καὶ περιπλευμονικοῦ ἀπόλλυται, τῶν ἀγυμνάστων.

τλθ'. Κορύζας καὶ πταρμοὺς τοῖσι περὶ πλεύμονα, καὶ προηγέεσθαι καὶ ἐπιγίνεσθαι, πονηρόν. τοῖσι δὲ λοιποῖσι πταρμὸς οὐκ ἀλυσιτελής.

υ'. Τοῖσι περιπλευμονικοῖσιν οἷσι γλῶσσα πᾶσα λευκὴ καὶ τρηχεῖα γίνεται, ἀμφότερα φλεγμαίνει τὰ μέρεα τοῦ πλεύμονος· οἷσι δὲ τὸ ἥμισυ, ἓν καθ' ὃ φαίνεται. καὶ οἷσι μὲν πρὸς τὴν κληῖδα ὁ πόνος γίνεται, ἡ ἄνω πτέρυξ τοῦ πλεύμονος ἡ μία νοσεῖ· οἷσι δὲ πρὸς ἄμφω τὰς κληῖδας ὁ πόνος γίνεται, αἱ ἄνω πτέρυγες τοῦ πλεύμονος ἄμφω νοσέουσιν· οἷσι δὲ κατὰ μέσην τὴν πλευρὴν, ἡ μέση· οἷσι δὲ πρὸς τὴν διάτασιν, ἡ κάτω· οἷσι δὲ πᾶν τὸ ἓν μέρος πονέουσι, πάντα τὰ κατὰ τοῦτο μέρος νοσεῖ. ἢν μὲν οὖν σφόδρα φλεγμαίνωσιν αἱ ἀορταὶ, ὥστε προσκαθῆσθαι πρὸς τὸ πλευρὸν, παραλύονται τὰ κατὰ τοῦτο τὸ μέρος τοῦ σώματος, καὶ πελιώματα περὶ τὴν πλευρὴν ἔξω γίνεται. τούτους δὲ ἐκάλεον οἱ ἀρχαῖοι βλητούς. ἢν δὲ μὴ σφόδρα φλεγμαίνωσιν, ὥστε μὴ προσκαθῆσθαι, ἀλγηδὼν μὲν γίνεται περὶ ὅλον, οὐ μέντοι παραλύονταί γε, οὐδὲ πελιώματα ἴσχουσιν.

να'. Οἷσι δ' ἅπας ὁ πλεύμων φλεγμήνῃ μετὰ τῆς καρδίης, ὥστε καὶ προσπεσεῖν πρὸς τὴν πλευρὴν, παραλύεται πᾶς ὁ νοσέων, καὶ κεῖται ψυχρὸς ὁ νοσέων ἀναίσθητος, θνήσκει δὲ δευτεραῖος, ἢ τριταῖος. ἢν δὲ καὶ χωρὶς τῆς καρδίης συμβῇ, καὶ ἧσσον, πλείονα χρόνον ζῶσιν· ἔνιοι δὲ καὶ διασώζονται.

νβ'. Τοῖσιν ἐμπύοισι γινομένοισι, μάλιστα δὲ ἐκ πλευριτικοῦ καὶ περιπλευμονικοῦ, θέρμαι παρακολουθοῦσι, τὴν μὲν ἡμέρην λεπταὶ, τὴν δὲ νύκτα συντονώτεραι, καὶ πτύουσιν οὐδὲν ἄξιον λόγου, ἱδροῦσί τε καὶ τράχηλον, καὶ κληῖδα, καὶ τοὺς μὲν ὀφθαλμοὺς κοιλαίνονται, τὰς δὲ γνάθους ἐρυθαίνονται. χεῖρον δὲ, θερμαίνονται μὲν δακτύλους ἄκρους καὶ τραχύνονται, γρυποῦνται δὲ ὄνυχας καὶ καταψύχονται, περί τε τοὺς πόδας ἐπάρματα ἴσχουσι, καὶ κατὰ τὸ σῶμα φλυκταινίδας, σιτίων τε ἀφίστανται. τὰ μὲν οὖν χρονίζοντα τῶν οἰδημάτων ἴσχει τὰ σημεῖα ταῦτα. τὰ δὲ συντόμως ῥηγνύμενα, σημειοῦσθαι τούτων τε τοῖσιν ἐπιγινομένοισι, καὶ τοῖσιν ἐν ἀρχῇ πόνοισι· ἅμα δὲ καὶ ἤν τι δυσπνοώτερος γίνηται. ῥήγνυται δὲ τὰ πλεῖστα τῶν ἐμπυημάτων, τὰ μὲν εἰκοσταῖα, τὰ δὲ τεσσαρακοσταῖα, τὰ δὲ πρὸς τὰ ἑξήκοντα. οἷσι μὲν οὖν ὁ πόνος ἐν ἀρχῇ ἔγκειται συντόνως, καὶ δύσπνοια, καὶ βὴξ μετὰ πτυαλισμοῦ, πρὸς τὰς εἴκοσιν, ἢ συντομώτερον προσδέχου τὴν ῥῆξιν· οἷσι δὲ ἐλαφρότερα ταῦτά ἐστιν κατὰ λόγον. λογίζεσθαι δὲ τὸν χρόνον ἀφ' οὗ πρῶτον ἤλγησεν, ἢ ἐβαρύνθη, ἢ ἐπύρεξεν, ἢ εἴ ποτε ῥῖγος ἔλαβε. προγίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυαλισμὸν, πρὸ τῆς ῥήξιος. οἷσι μὲν οὖν ὅ, τε πυρετὸς εὐθέως ἀπογίνεται μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ἐπιθυμέουσι, καὶ τὸ πῦον ἀνάγεται ῥηϊδίως λευκὸν ἐὸν, καὶ ἄοσμον, καὶ λεῖον,

καὶ ὁμόχροον, καὶ ἄφλεγμαντον, κοιλίη τε μικρὰ συνεστηκότα ὑποχωρέει· ὡς ἐπὶ τὸ πολὺ σῴζονται συντόμως. οἷσι δὲ πυρετοί τε παρακολουθοῦσι, καὶ δίψα, καὶ ἀποσιτίη, καὶ τὸ πῦον πελιὸν, ἢ χλωρὸν, ἢ φλεγματῶδες, ἢ ἀφρῶδες, κοιλίη τε ἐφυγραίνεται, τελευτῶσιν· οἷσι δὲ τὰ μὲν ἐπιγίνεται ἐκ τῶν προειρημένων, τὰ δὲ μὴ, τούτων οἱ μὲν ἀποθνήσκουσιν, οἱ δὲ πολλῷ χρόνῳ σῴζονται.

υγ'. Οἱ δὲ μέλλοντες ἔμπυοι γίνεσθαι, πτύουσιν τὸ μὲν πρῶτον, ἁλμυρὸν, εἶτα γλυκύτερον.

υδ'. Οἷσι δ' ἐν πλεύμονι φύματα γίνεται, τὸ πῦον ἀνάγουσιν ἐς τεσσαράκοντα ἡμέρας μετὰ τὴν ῥῆξιν. ταύτας δὲ ὑπερβάλλοντες, ὡς τὰ πολλὰ φθισικοὶ γίνονται.

υε'. Ἐπὶ πλευροῦ ἀλγήματι, στάξις ἀπὸ ῥινῶν αἵματος, κακόν.

υς'. Οἷσιν ἐμπύοισιν ἐπιεικέστερον ἔχουσιν, δυσωδίαι τῶν πτυσμάτων παρακολουθοῦσι, τούτους ὑποστροφὴ κτείνει.

υζ'. Οἱ ἐν πλευριτικοῖσιν ἀναπτύοντες πυώδεα, ὑπόχολα, στρογγύλα, ἢ πυώδεα ὕφαιμα, προεληλυθότος χρόνου, ὀλέθριοι. ὀλέθριοι δὲ καὶ οἱ τὰ μέλανα λιγνυώδεα πτύοντες, ἢ οἷσιν ἀπὸ οἴνου μέλανος γίνεται πτύσματα.

υη'. Ὅσοι αἷμα ἀφρῶδες πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι, καὶ οἱ πολλοὶ ἀπόλλυνται.

υθ'. Οἷσι σειομένοισι, πῦον βορβορῶδες ἔρχεται καὶ δυσῶδες, ἀπόλλυνται, ὡς τὰ πολλά.

υι'. Οἷσιν ἀπὸ τοῦ πύου, ἡ μήλη χρωματίζεται, καθάπερ ἀπὸ πυρὸς, ἀπόλλυνται, ὡς τὰ πολλά.

υια'. Μετὰ πλευροῦ ἀλγήματος, μὴ πλευριτικοῦ δὲ, καὶ ταραχωδέων λεπτῶν ἐπιεικῶν, οὗτοι φρενιτικοὶ ἀποβαίνουσιν.

υιβ'. Ἐν τοῖσι κατὰ πλεύμονα, αἱ λίην ἐξέρυθροι ἀποστάξιες, πονηρόν.

υιγ'. Μετὰ βράγχου πτύελα γλίσχρα, ἁλμυρώδεα, κακόν. ἢν δέ τι καὶ ἐπαίρηται κατὰ στῆθος, ἐπὶ τούτοισι κακόν. τὰ ἐς τράχηλον ἀλγήματα, τούτων ἰσχνανθέντων, ὀλέθριον.

υιδ'. Βράγχος μετὰ βηχὸς καὶ κοιλίης ὑγρῆς, πῦον ἀνάγει.

υιε'. Οἷσιν ἐν περιπλευμονίῃ οὖρα παχέα ἐν ἀρχῇ, εἶτα πρὸ τῆς τετάρτης λεπτύνεται, θανάσιμον.

υις'. Οἱ ἐν ξηροῖσιν περιπλευμονικοῖσιν ὀλίγα πέπονα ἀνάγοντες, φοβεροί.

υιζ'. Τὰ ἐν τοῖσι στήθεσιν ἐρυθήματα ὑποπλατέα, γὰρ τοῖς τοιούτοισιν ὀλέθρια.

υιη'. Πλευροῦ ἄλγημα ἐν πτύσει χολώδει ἀλόγως ἀφανισθὲν, ἐξίσταται.

υιθ'. Οἱ δ' ἐμπύησιν πυρετοὶ διαλείποντες, ἐφιδροῦντες οἱ πολλοί εἰσι.

υκ'. Τοῖσιν ἐμπύοισι κώφωσις γινομένη, αἱματώδεα διαχώρησιν σημαίνει. τούτοισι πρὸς τὴν τελευτὴν μέλανα διαχωρέει.

υκα'. Πλευροῦ ἄλγημα μετὰ πυρετοῦ χρονίου, σημαίνει πῦον ἀνάξειν.

eiusdem coloris, & sine pituita, & aluus parua compacta deiicit, plerunque breui seruantur; quos verò & febres sequuntur, & sitis, & cibi fastidium, & pus liuidũ, aut cum virore pallidum, aut pituitosum, aut spumosum, & aluus insuper liquida fit, moriuntur. At quibus aliqua ex prædictis accesserint, aliqua non, horum aliqui pereunt, aliqui multo tempore seruantur.

403. *Qui suppurati futuri sunt, primùm salsuginosum spuunt, deinde dulcius.*

404. *Quibus in pulmone tubercula fiunt, pus educunt ad dies quadraginta post ruptionem. Has verò transgredientes plerunque tabidi fiunt.*

405. *In lateris dolore, stillatio sanguinis de naribus, mala est.*

406. *Quos suppuratos mitiùs habentes, sputorum graueolentiæ sequuntur, eos recidiua occidit.*

407. *Qui ex pleuriticis expuunt purulenta, subbiliosa, rotunda, aut purulenta subcruenta progressu temporis, perniciosè habent; perniciosè quoque qui nigra fuliginosa spuunt, aut quibus velut à vino nigro sputa fiunt.*

408. *Quicunque spumosum sanguinem spuunt, dextrum hypochondrium dolentes, de hepate spuunt, & multi pereunt.*

409. *Quibus dum concutiuntur, pus cænosum, & graueolens prodit, plerunque pereunt.*

Quibus à pure specillum coloratur, velut ab igne, plerunque pereunt.

411. *Cum lateris dolore, non tamen pleuritico, & turbulentis tenuibus lenibus, hi phrenitici fiunt.*

412. *In morbis pulmonis valde rubicundæ sanguinis stillæ, malæ sunt.*

413. *Cum raucedine, sputa lenta, salsuginosa, mala; si verò etiam quid attollatur iuxta pectus, in his malum est. Dolores ad collum his attenuatis, perniciosi.*

414. *Raucedo cum tussi & aluo liquida pus educit.*

415. *Quibus in peripneumonia vrinæ crassæ in principio, deinde ante quartũ diem attenuantur, lethale est.*

416. *Qui in peripneumoniis siccis pauca concocta educunt, metuendi sunt.*

417. *Rubores in pectoribus sublati, talibus perniciosi sunt.*

418. *Lateris dolor in sputo bilioso, præter rationem euanescens, mentem emouet.*

419. *Febres intermittentes ob suppurationem, pleræque sudorificæ sunt.*

420. *Suppuratis surditas oborta, cruentam deiectionem significat. His ad finem nigra prodeunt.*

421. *Lateris dolor cum febre diuturna, puris eductionem fore significat.*

422. *Horrore affecti frequenter ad suppurationem deueniunt. Sed & febris tales ad suppurationem perducit.*

423. *Quos ex lateris dolore cibi fastidia sequuntur, cardialgici sunt ac sudore aliquantulum vexantur. Facie flores habente, & aluo liquidiore, suppurationes circa pulmonem habent.*

424. *Orthopnœam facit hydrops siccus.*

425. *Conuulsiones omnes quidem molestæ sunt, & dolores in principio intentos inducunt, & postea quoque aliquos commonefaciunt. Verùm difficillimæ sunt circa thoracem, & maximè periculosæ.*

426. *Quibus est vomitus sanguinis, febris multa, & dolor circa mammam, thoracem, & dorsum; quibus hæc omnia fiunt, breui moriuntur; quibus autem non omnia, neque valde, tardiùs. Inflammati autem sunt diebus quatuordecim ad summum.*

427. *Sanguinem spuentibus confert, vt sint sine febre, & tussiant, ac doleant leuiter, & vt sputum tenue fiat ad dies bis septem. Febrire verò, & tussire, ac dolere vehementer, & sanguinem recentem semper spuere, incommodum est.*

428. *Quibus latus sublatum in tumorem ac calidius est, & inclinatis in alterum, grauitas aliqua impendere videtur, his pus ex vna parte est.*

429. *Suppuratis pulmonem per aluum pus secedere, lethale est.*

430. *Quicunque vulnerati in thoracem, externa vulneris parte sanati sunt, interna non, periclitantur ne suppurati fiant. Quibus autem debilis inducta est intus cicatrix, facilè rescinditur.*

431. *Ex peripneumonicis suppurationibus seniores magis pereunt, ex reliquis iuniores.*

432. *Quibus suppuratis dum concutiuntur, multus strepitus de humeris fit, minus puris habent hi, quàm quibus paucis, si difficiliùs spirent & meliorem colorem habeant. Quibus autem strepitus quidem nullus fit, verùm difficultas spirandi fortis, & vngues liuidi, hi pleni sunt pure, & perniciosè habent.*

433. *Qui spumosum sanguinem vomunt, dolore infra septum transuersum non existente, de pulmone vomunt. Et quibus quidem magna in ipso vena rumpitur, multum vomunt & in periculo versantur; quibus verò minor, minus educunt, & securiores sunt.*

434. *Quibus tabidis sputum in igne grauem nidorem olet, & capilli de capite fluunt, pereunt.*

435. *Quibus tabidis in mare expuentibus, pus ad fundum sidit, breui pereunt. Sit autem mare in æneo vase.*

436. *Quibus tabidis capilli ex capite defluunt, ab alui profluuio moriuntur. Et quibus tabidis alui profluuia accedunt, moriuntur.*

437. *In tabescentibus sputa suppressa, mentem ad nugas emouent. His spes est hæmorrhoidem apparere posse.*

υκβ΄. Οἱ φρικώδεες, πυκνὰ ἐς ἐμπύησιν ἔχονται, ἀτὰρ καὶ πυρετὸς ὁ τοιοῦτον ἄγει ἐς ἐμπύησιν.

υκγ΄. Οἷσιν ἐκ πλευροῦ ἀλγήματος ἀσίτιαι παρακολουθοῦσιν, ὑπό τι καρδιαλγικοὶ, ἱδρώδεες. ἔχοντος δὲ προσώπου ἄνθη, καὶ κοιλίης ὑγροτέρης, ἐκπυήματα περὶ πλεύμονα ἴσχουσι.

υκδ΄. Τὰ ὀρθοπνοϊκὰ, ποιέει ὑδρωπιώδεα σκληρά.

υκε΄. Τὰ σπάσματα μὲν πάντα ὀχληρά ἐστι, καὶ πόνοις τε ἐν ἀρχῇ συντόνοις περιέχει, καὶ ἐς ὕστερον ἐνίοις ὑπομιμνήσκει. δυσκολώτατα δὲ τὰ περὶ θώρηκα, μάλιστα δὲ κινδυνώδεα.

υκϛ΄. Οἷσιν ἔμετος αἵματος, πυρετὸς πολὺς, καὶ πόνος περὶ μαζὸν, καὶ θώρηκα, καὶ μετάφρενον· οἷσι γὰρ ἐστὶ πάντα ταῦτα, συντόμως θνήσκουσιν· οἷσι δὲ μὴ πάντα, μηδὲ σφόδρα, βραδύτερον. φλεγμαίνουσι δὲ τὸ μακρότατον ἡμέρας τεσσαρεσκαίδεκα.

υκζ΄. Τοῖσιν αἷμα πτύουσιν ἀπυρέτοις εἶναι συμφέρει, καὶ βήσσειν, καὶ πονέειν ἐλαφρῶς, καὶ τὸ πτύαλον λεπτύνεσθαι πρὸς τὰς δὶς ἑπτά. πυρέσσειν δὲ καὶ βήσσειν, καὶ πονέειν συντόνως, καὶ αἷμα πρόσφατον αἰεὶ πτύειν, ἀσύμφορον.

υκη΄. Ὅσοισι τὸ πλευρὸν μετέωρον καὶ θερμότερον, ὅταν ἐγκεκλισμένοισιν ἐπὶ θάτερον, βάρος ἐξηρτῆσθαι δοκέῃ, τούτοισι τὸ πῦον ἐκ τοῦ ἑνὸς μέρεός ἐστιν.

υκθ΄. Τοῖσιν ἐμπύοισι τὸν πλεύμονα, κατὰ κοιλίην πῦον ὑποχωρέει, θανάσιμον.

υλ΄. Ὅσοι τρωθέντες ἐς τὸν θώρηκα, τὸ μὲν ἔκτοσθε τοῦ τρώματος ὑγιάσθησαν, τὸ δὲ ἐντὸς μὴ, κινδυνεύουσιν ἔμπυοι γενέσθαι. ὅσοις δὲ ἂν ἀσθενὴς ἔνδοθεν ἡ οὐλὴ γένηται, ῥηϊδίως ἀναρρήγνυται.

υλα΄. Ἀπόλλυνται δὲ ἐκ μὲν τῶν περιπλευμονικῶν ἐμπυημάτων, οἱ γεραίτεροι μᾶλλον· ἐκ δὲ τῶν λοιπῶν, οἱ νεώτεροι.

υλβ΄. Τῶν ἐμπύων οἷσι σειομένοισιν, ἀπὸ τῶν ὤμων πολὺς γίνεται ψόφος, ἔλασσον ἔχουσι πῦον, ἢ οἷσιν ὀλίγον, δυσπνοώτεροισιν ἐοῦσι καὶ εὐχροωτέροισιν. οἷσι δὲ ψόφος μὲν μηδὲ εἷς ἐγγίνεται, δύσπνοια δὲ ἰσχυρὴ, καὶ ὄνυχες πέλιοι, πλήρεες οὗτοί εἰσι πύου, καὶ ὀλέθριοι.

υλγ΄. Ὅσοι ἀφρῶδες αἷμα ἐμέουσι, πόνου μὴ ἐόντος κάτω τοῦ διαφράγματος, ἀπὸ τοῦ πλεύμονος ἐμέουσι, καὶ οἷσι μὲν ἡ μεγάλη φλὲψ ἐν αὐτῷ ῥήγνυται, πολύ τε ἐμέουσι καὶ εἰσὶν ἐπικίνδυνοι. οἷσι δὲ ἡ ἐλάσσων, ἔλασσόν τε ἀνάγουσιν, καὶ εἰσὶν ἀσφαλέστεροι.

υλδ΄. Τῶν φθισικῶν οἷσιν ἐπὶ τοῦ πυρὸς ὄζει τὸ πτύαλον κνίσσης βαρὺ, καὶ αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ἀπόλλυνται.

υλε΄. Τῶν φθισικῶν, οἷσιν ἐπὶ θάλασσαν πτύουσιν, ἐς τὸν πυθμένα βαδίζει τὸ πῦον, ὀλέθριον συντόμως. ἔστω δὲ ἐν χαλκῷ ἡ θάλασσα.

υλϛ΄. Ὅσοισι τῶν φθισικῶν αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ὑπὸ διαρροίης ἀπόλλυνται. καὶ ὅσοισι φθισικοῖσιν ἐπιγίνονται διάρροιαι, θνήσκουσιν.

υλζ΄. Αἱ ἐν φθινώδεσιν ἐπισχέσιες πτυάλων, ἐξιστᾶσι ληρωδῶς. αἱμορροΐδα τούτοισιν ἐλπὶς ἐπιφανῆναι.

υλη'. Φθίσιες ἐπικινδυνώταται, αἵ τε ἀπὸ ῥήξιος φλεβῶν τῶν παχέων, καὶ ἀπὸ καταῤῥόου τοῦ ἀπὸ κεφαλῆς.

υλθ'. Τῶν δὲ ἡλικιῶν ἐπικινδυνώταται πρὸς φθίσιν ἀπὸ ιη' ἐτέων, μέχρι ε' καὶ λ'.

υμ'. Τὰ κνησμώδεα σώματα, μετὰ κοιλίης στάσιν ἐν φθισικοῖσι, κακόν.

υμα'. Ἐπὶ τοῖσι φθινώδεσιν ἕξεσι, μετὰ πυρετοῦ ἐς οὖλα καὶ ὀδόντας ῥεύματα ἐπιφαινόμενα, κακόν.

υμβ'. Ἐπὶ πᾶσιν ὑποχόνδρια μετέωρα, κακόν· κάκιστον δὲ ἐπὶ τοῖσι φθισικοῖσι τῶν μακρῶν.

υμγ'. Ἐπὶ τοῖσι τετηκόσιν ὀλεθρίοισιν, ἔνιοι πρὸ τῆς τελευτῆς ἐπιῤῥιγοῦσι.

υμδ'. Τὰ ἀμυχώδεα ἐξανθίσματα, φθίσιν ἕξιος σημαίνει.

υμε'. Οἱ δύσπνοοι ξηρῶσι, πολλὰ ἄπεπτα ἀνάγοντες ἐν φθίσει, ὀλέθριοι.

υμς'. Οἷσιν ἡπατικοῖσιν πολὺ πτύαλον αἱματῶδες, εἴτε ὑπόσαπρον, εἴτε χολῶδες ἄκρητον, ὀλέθριον εὐθέως.

υμζ'. Ἐφ' ἡπατικῷ τῆξις ἅμα βράγχῳ, κακὸν, ἄλλως τε κἢν ὑποβήσσῃ.

υμη'. Οἱ καθ' ἧπαρ ὀδυνώδεες, καρδιαλγικοὶ, καρώδεες, ῥιγώδεες, κοιλίαν ταραχώδεες, λεπτοὶ, ἀπόσιτοι, ἐφιδρῶντες πολλῷ, πυώδεα κατὰ κοιλίην προΐενται.

υμθ'. Τοῖσιν ἧπαρ ἐξαπίνης περιωδυνοῦσιν, πυρετὸς ἐπιγενόμενος λύει.

υν'. Ὅσοι δὲ ἀφρῶδες αἷμα πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι, καὶ θνήσκουσιν.

υνα'. Οἷσιν ἧπαρ καυθεῖσιν, οἷον ἀμόργη ἔρχεται, θανάσιμον.

υνβ'. Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων, ἐπίπονοι γίνονται καὶ ὀλέθριοι. ἄρχονται δὲ οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. τοῖσι μὲν οὖν ἀπὸ τῶν κενεώνων ἀρχομένοισιν, οἱ πόδες οἰδέουσι, καὶ διάῤῥοιαι πολυχρόνιοι παρακολουθοῦσιν, οὔτε λαπάσσουσαι κοιλίην, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐξ ὀσφύος, καὶ κενεώνων. ὅσοις δὲ ἀπὸ τοῦ ἥπατος, βὴξ ἔτ' ἐτύμως ἐγγίνεται, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ κοιλίη σκληρὰ διαδίδωσι, καὶ πρὸς ἀνάγκην, οἰδήματά τε καὶ περὶ αὐτὴν γίνεται, τὰ μὲν ἐπὶ δεξιὰ, τὰ δὲ ἐπ' ἀριστερὰ, καὶ πάλιν καταπαύεται.

υνγ'. Ἐπὶ τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι τὰ στραγγουρικὰ, μοχθηρόν. φλαῦρα δὲ καὶ τὰ μικρὰς ὑποστάσιας ἔχοντα.

υνδ'. Τοῖσιν ὑδρωπιώδεσιν ἐπιληπτικὰ ἐπιγινόμενα, ὀλέθριον, ἀλλήλων σημείων μοχθηρῶν· καὶ κοιλίας ἐξυγραίνουσιν.

υνε'. Ἐν τοῖσι χολώδεσι, κοιλίη ταραχώδης, διαδιδοῦσα σμικρὰ γονώδεα, μυξώδεα, καὶ πόνον περὶ ἦτρον ἐμποιέοντα, καὶ οὖρα οὐκ εὐλύτως ἰόντα, ἐς ὕδρωπα ἀποτελευτᾷ ἐκ τῶν τοιούτων.

υνς'. Ὑδεριῶντι πυρετώδει, οὖρον μικρὸν καὶ τεταραγμένον, ὀλέθριον.

υνζ'. Ἐπὶ δὲ ὕδρῳ ἀρχομένῳ διάῤῥοια γινομένη ὑδατώδης, χωρὶς ἀπεψίης, λύει τὸ νόσημα.

438. *Tabes periculosissimæ sunt, à ruptione venarum crassarum, & à destillatione capitis.*

439. *Ætates periculosissimæ sunt ad tabem, ab anno decimooctauo, vsque ad trigesimumquintum.*

440. *Pruriginosa corpora post aluum suppressam, in tabidis mala sunt.*

441. *In habitibus tabescentibus cum febre, fluxiones ad gingiuas & dentes comparentes, malæ sunt.*

442. *In omnibus in tumorem eleuata hypochondria, mala sunt, in tabidis autē ex longo interuallo pessima.*

443. *Ex his qui diutina tabe perniciose consumpti sunt, aliqui ante finem rigore apprehenduntur.*

444. *Pustularum eruptiones velut ferro lancinatæ, habitus tabem significant.*

445. *Difficulter spirantes ex putredine, multa cruda educentes in tabe, perniciosè habent.*

446. *Quibus hepaticis multum est sputum cruentum, siue subputridum, siue biliosum meracum, statim perniciosum est.*

447. *In hepatico colliquatio cum raucedine, malum, tum aliàs, tum si aliquantum tussiat.*

448. *Hepar dolentes, cardialgici, soporosi, rigorem habentes, & aluum turbatam, tenues, cibum auersantes, multùm exudantes, purulenta per aluum deiiciunt.*

449. *Hepar derepente circumcirca dolentibus febris accedens dolorem soluit.*

450. *Qui spumosum sanguinem spuunt, hypochondrium dextrū dolētes, de hepate spuunt, & moriuntur.*

451. *Quibus hepar vstis, velut amurca prodit, lethale est.*

452. *Hydropes ex morbis acutis molesti fiunt, ac perniciosi. Incipiunt autem plerique à laterum mollitudine, aliqui etiam ab hepate. His igitur quibus à laterum mollitudine initium sumunt, pedes tument, & alui profluuia diuturna sequuntur, aluum non mollientia, neque dolores ex lumbis & laterum mollitudine soluentia. Quibus verò ab hepate, tussis adhuc promptè oboritur, & pedes tument, & aluus dura egerit, eáque ad necessitatem coacta, & tumores circa ipsam fiunt, partim in dextra, partim in sinistra & rursus sedantur.*

453. *In hydropicis siccis, vrinæ stillicidia, mala. Malæ etiam vrinæ parua sedimenta habentes.*

454. *Hydropicis comitialis morbi affectiones accedentes, perniciosæ sunt, & inter se signa, praua sunt, & aluos humectant.*

455. *In biliosis aluus turbata, deiiciens parua genituræ similia, mucosa, & dolorem circa pubem inducentia, & vrinæ non facilè solubiles prodeuntes, ex talibus in hydropem desinunt.*

456. *Hydropico febrienti, vrina parua & turbata, perniciosa est.*

457. *In hydrope incipiente, alui profluuium aquosum oboriens, citra cruditatem, morbum soluit.*

458. *In hydrope sicco sui significationem præmittente, tormina circa intestinum tenue incidentia, mala sunt.*

459. *Ex hydropicis comitiales, perniciosi.*

460 *Hydrops qui ad curationem remisit recurrens, desperatus est.*

461. *Hydropicis, circa venas aqua in aluum prolapsa, solutio fit.*

462. *Dysenteria intempestiuè suppressa, abscessus in costis, aut visceribus, aut in articulis facit. Num igitur biliosus abscessus in articulis, sanguineus in costis aut visceribus fit?*

463. *Dysentericis vomitus biliosus in principio, malus est.*

464. *Quibus ex dysenteria acuta, humor ad purulentiam deuenit, his id quod superstat, valde album ac multum erit.*

465. *Dysentericæ, subrubræ, limosæ, largæ deiectiones alui, in flammeis valde rubicundis coloribus solutæ, insaniæ timorem inducunt.*

466. *Dysenteria non longa splenicis commoda est, longa verò mala: desinente enim, si hydropes, aut lienteriæ fiunt, lethale est.*

467. *In lientericis cum animalculis, dolores tormine soluti, partes circa articulos tumefaciunt; ex talibus squamulæ rubicundæ pustulosæ; hi vbi exudarunt, velut flagris cæsi rubesiunt.*

468. *Qui in longis lienteriis, vnà cum animalculis, tormina patiuntur, & doloribus afficiuntur, his solutis intumescunt. Insuper rigere his malum est.*

469. *Lienteria cum spirandi difficultate, & lateris punctura, in tabem desinunt.*

470. *Ileosis vomitus, & surditas, malum.*

471. *Vesicæ duræ & dolentes, omnino quidẽ malæ sunt, pessimæ verò cum febre continua. Nam dolores ab ipsis vesicis, ad occidendũ sufficiunt, & alui his non valde deiiciunt. Soluit autẽ hos vrina purulenta prodiens, album ac læue sedimentum habens. His verò non solutis, neque vesica mollescente, in primis circuitibus, ægrũ moriturum esse timor est. Fit autem hoc maximè à septem annis, vsque ad decimumquintum.*

472. *Calculosi ita figurati, vt lapis ad vrinarium meatum non illabatur, facilè mingunt.*

473. *Quibus tuberculum est circa vesicam, quod dysuriam inducit, ad omnis generis figuras vexantur; huius autem solutio fit, pure erumpente.*

474. *Quibus incogitantibus vrina procidit ad pudendum, exoluuntur desperati.*

475. *In stranguria volulus accedens, septima die perimit, si non febre accedẽte vrina aceruatim prodeat.*

476. *Torpores, & sensus stupiditates præter morem contingentes, futuræ syderationis signum sunt.*

477. *Qui ex vulnere impotentes fiunt corpore, febre quidem accedente citra rigorem, saliuntur: non autem accedente, apoplectici fiunt dextra aut sinistra parte.*

A υνη'. Τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι προσημαίνουσι, στρόφοι περὶ τὸ λεπτὸν ἐμπίπτοντες, κακόν.

υνθ'. Τὰ ἐξ ὑδρωπικῶν ἐπιληπτικὰ, ὀλέθρια.

υξ'. Ὕδερος πρὸς θεραπείην ἐνδιδοὺς παλινδρομέων, ἀνέλπιστος.

υξα'. Τοῖσιν ὑδρωπιώδεσι κατὰ φλέβας ἐς κοιλίην ῥαγέντος τοῦ ὕδατος, λύσις.

υξβ'. Δυσεντερίη ἀκαίρως ἐπισχεθεῖσα, ἀποστάσιν ἐν πλευρῇσιν, ἢ σπλάγχνοισιν, ἢ ἐν ἄρθροισιν ποιέει. ἆρ' οὖν B ἡ μὲν χολώδης ἐν ἄρθροισιν, ἡ δὲ αἱματώδης ἐν πλευρῇσιν, ἢ σπλάγχνοισι;

υξγ'. Δυσεντερικοῖσιν ἔμετος χολώδης ἐν ἀρχῇ, κακόν.

υξδ'. Οἷσιν ἐκ δυσεντερίης ὀξείης ἐς πυώδεα ἥκει τὸ ὑγρὸν, τὸ ἐφιστάμενον ἔκλευκον ἔσται καὶ πολύ.

υξε'. Τὰ δυσεντεριώδεα, ὑπέρυθρα, ἰλυώδεα, λάβρα διαχωρήματα, ἐπὶ φλογώδεσιν, ἐξερύθροισι χρώμασι λυόμενα, ἐλπὶς ἐκμανῆναι.

C υξϛ'. Δυσεντερίη σπληνώδεσι μὴ μακρὴ, χρήσιμον, μακρὴ δὲ, πονηρόν· ληγούσης γὰρ, εἰ ὕδρωπες, ἢ λειεντερίαι γίνονται, θανάσιμον.

υξζ'. Εν λειεντερικοῖσι μετὰ θηρίων, ὀδύναι στρόφῳ λυόμεναι, τὰ περὶ ἄρθρα μετεωρίζουσιν· ἐκ τοιούτων λέπια ἐξέρυθρα, φλυκταινούμενα· ἐφιδρώσαντες οὗτοι διαφοινίσσονται οἷα μάστιξιν.

υξη'. Οἱ ἐν λειεντεριώδεσι μακροῖσι ἅμα θηρίοισι στροφώδεες, ὀδυνώδεες, λυομένων ἐποιδέουσι. τὸ ἐπιῤῥιγοῦν τούτοισι, κακόν.

D υξθ'. Λειεντερικὰ μετὰ δυσπνοίης, καὶ πλευροῦ τῆς κνήσιος, ἐς φθίσιν ἀποτελευτᾷ.

υο'. Εἰλεώδεσιν ἔμετος καὶ κώφωσις, κακόν.

υοα'. Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, πάντως μὲν κακόν· κάκιστον δὲ ξὺν πυρετῷ συνεχεῖ. καὶ γὰρ οἱ ἀπ' αὐτέων πόνοι, ἱκανοὶ ἀνελεῖν, καὶ κοιλίαι τουτέοισιν οὐ πάνυ διαχωρέουσιν. λύει δὲ τούτους οὖρον πυῶδες ἐλθὸν, λευκὴν καὶ λείην ἔχον ὑπόστασιν. μὴ λυομένων δὲ τούτων, μηδὲ τῆς κύστιος λαπασσομένης ἐν τῇσι πρώτῃσι περιόδοισι, ἐλπὶς ἀπολέσθαι τὸν νοσέοντα. μάλιστα δὲ γίνεται τοῦτο τοῖσιν E ἀπὸ ἑπτὰ ἐτέων, μέχρι πεντεκαίδεκα.

υοβ'. Οἱ λιθιῶντες σχηματισθέντες, ὥστε τὸν λίθον μὴ προσπίπτειν πρὸς τὸν οὐρητῆρα, ῥηϊδίως οὐρέουσιν.

υογ'. Οἷσι δὲ φῦμα περὶ τὴν κύστιν ἐστὶ, τὸ παρέχον τὴν δυσουρίην, παντοίως σχηματισθέντες ὀχλέονται· λύσις δὲ τούτου γίνεται, πύου ῥαγέντος.

υοδ'. Οἷσι λανθάνει τὸ οὖρον προσπίπτον, καὶ τὸ αἰδοῖον ἕλκονται, ἀνέλπιστοι.

υοε'. Επὶ στραγγουρίῃ εἰλεὸς ἐπιγενόμενος ἑβδομαῖος ἀπόλλυσιν, ἢν μὴ πυρετοῦ ἐπιγενομένου ἀθρόον οὖρον ἔλθῃ.

F υοϛ'. Νάρκαι καὶ ἀναισθησίαι γινόμεναι παρὰ τὸ ἔθος, ἀποπληκτικῶν συμβησομένων σημεῖον.

υοζ'. Οσοι ἐκ τρώματος ἀκρατέες γίνονται τοῦ σώματος, πυρετοῦ μὲν ἐπιγενομένου χωρὶς ῥίγεος, ὑγιάζονται· μὴ γενομένου δὲ, ἀποπληκτικοὶ γίνονται τὰ δεξιὰ, ἢ τὰ ἀριστερά.

υοη'. Ἀποπληκτικοῖσιν αἱμοῤῥοΐδες ἐπιγινόμεναι, χρήσιμον· ψύξιες δὲ καὶ ναρκώσιες, πονηρόν.

A

υοθ'. Ἐν τοῖσιν ἀποπληκτικοῖσιν ἐπὶ τῇ δυσφορίῃ τοῦ πνεύματος, ἱδρὼς ἐπιγινόμενος, θανάσιμον. ἐν αὐτοῖσι δὲ πάλιν τουτοισιν ἢν πυρετὸς ἐπιγένηται, λύσις.

υπ'. Τὰ ἐξαίφνης ἀποπληκτικά, λελυμένως ἐπιπυρετήναντα χρόνῳ, ὀλέθρια.

υπα'. Οἷσιν ἔκ τινος ἀῤῥωστίης ἐς ὕδερον περιίσταται, τούτοισι κοιλίαι ξηραὶ αἰγοπρωδέες ἔρχονται, μετὰ περιτήξιος μυξώδεος καὶ οὖρον οὐ καλόν· διατάσιές τε περὶ ὑποχόνδρια, καὶ πόνοι καὶ ἐπάρματα περὶ κοιλίην, καὶ πόνοι περὶ κενεῶνας, καὶ περὶ τοὺς ῥαχιαίους μύας προσαπίπλουσι. πυρετοί τε καὶ δίψαι, καὶ βῆχες ξηραὶ παρακολουθοῦσι, καὶ δύσπνοια περὶ τὰς κινήσιας, καὶ σκελέων βαρύτης, σιτίων τε ἀφιστᾶσι, καὶ προσενεγκάμενοι μικρὰ πληροῦνται.

B

υπβ'. Τοὺς λευκοφλεγματίας διάῤῥοια παύει. αἱ μετὰ σιγῆς ἀθυμίαι, καὶ ἀπανθρωπίαι, ἐπιεικῶς αὐτῶν κατεργαστικαί.

υπγ'. Οἷσιν ἐκ φόβου μετὰ καταψύξιος ἐξίστανται, πυρετοὶ μεθ' ἱδρώτων, καὶ ὕπνοι ὑπόναυδοι ταῦτα λύουσιν.

C

υπδ'. Ἐκ μανίης ἐς βράγχον μετὰ βηχὸς ἀπόστασις.

υπε'. Ἐν τοῖσι μανικώδεσι σπασμὸς προσγινόμενος, ἀμαύρωσιν ἴσχει.

υπϛ'. Αἱ σιγῶσαι ἐκστάσιες οὐχ ἡσυχάζουσαι, ὄμμασι περιβλέπουσαι, πνεῦμα ἔξω διαφέρουσαι, ὀλέθριαι. ποιοῦσαι δὲ παραπληκτικὰ χρόνια. ἀτὰρ καὶ ἐκμαίνονται οὗτοι. οἷσι δὲ ἐπὶ ταραχῇ κοιλίης οὕτω παροξύνονται, περὶ κρίσιν μέλαινα διέρχεται.

υπζ'. Οἷσιν ὑγιαίνουσι, χειμῶνος ἐόντος, περὶ τὴν ὀσφὺν ψυχρότης, καὶ βάρος ἀπὸ βραχείης προφάσιος, καὶ κοιλίης ἐπίστασις, τῆς ἄνω καλῶς ὑπηρετούσης, ἰσχιάς, ἢ νεφρῶν πόνος, ἢ στραγγουρίη τάχα ἂν συμβαίνῃ.

D

υπη'. Οἷσι τὰ κάτω κακοῦται, κνησμῶν ἐγγινομένων ἔμπροσθεν ἰσχυρῶν, τούτοισιν ἀμμώδεες οὖρα γίν., καὶ ἐφίσταται· τοῖσι δὲ ὀλεθρίοισιν αὐτῶν ἡ διάνοια ἀποναρκοῦται.

υπθ'. Οἱ τὰ ἄρθρα φλυκταινούμενοι ἐξερυθρήσιν ἐπιπολαίοις, ἐπιῤῥιγώσαντες, οὗτοι κοιλίας καὶ βουβῶνας διαφοινίσσονται, οἷα πληγῇσιν ἐπωδύνοισι, καὶ ἀποθνήσκουσι.

E

υϙ'. Τὰ ἰκτερώδεα, οὐ πάνυ τι ἐπαισθανόμενα, οἷσι λύγγες, κοιλίαι καταῤῥήγνυνται· ἴσως δὲ καὶ ἐπίστασις· οὗτοι ἐκχλοιοῦνται.

υϙα'. Τὰ κατὰ πλευρὸν ἀλγήματα ἐν πυρετοῖσιν ἰσχνῶς ἑστηκότα, ἄσημα, φλεβοτομίη βλάπτει, κἢν ἀπόσιτος ᾖ, κἢν ὑποχόνδριον μετέωρον καὶ ἐν καταψύξει, ἐν ἀπυρέτοις νενωθρωμένοις, αἵματος ἀφαίρεσις βλάπτει· καὶ δοκέοντες δὲ ἐπιεικέστερον ἔχειν, οὗτοι θνήσκουσι.

υϙβ'. Κεφαλὴν, καὶ πόδας, καὶ χεῖρας καταψύχεσθαι, κοιλίης καὶ πλευρῶν θερμῶν ἐόντων, κακόν. βέλτιστον δὲ πᾶν ὁμοίως τὸ σῶμα θερμόν τε εἶναι, καὶ μαλθακόν.

F

υϙγ'. Στρέφεσθαι δὲ ῥηϊδίως χρὴ τὸν νοσέοντα. καὶ ἐν τοῖσι μετεωρισμοῖσιν ἐλαφρὸν εἶναι. βαρύτης δὲ ὅλου τοῦ σώματος, καὶ χειρῶν, καὶ ποδῶν, πονηρόν. Εἰ δὲ καὶ πρὸς τῷ βάρει πέλιοι γίγνονται οἱ δάκτυλοι, καὶ οἱ ὄνυχες, πλησίον

478. *Apoplecticis si hæmorrhoides accedant, vtile est; si verò frigiditates & torpores, malum.*

479. *In apoplecticis ex spiritus molestia, sudor accedens, lethale. Rursus autem in his ipsis si febris accedat, solutio fit.*

480. *Apoplexiæ derepente exolutorio modo contingentes, febre insuper temporis progressu accedente, perniciosæ sunt.*

481. *Quibus ex aliqua ægritudine, ad hydropem res deuenit, his alui siccæ excrementa caprini stercoris pilulis similia deiiciunt, cum eliquatione mucosa. & vrina non bona; & distentiones circa hypochondria, & dolores ac tumores circa ventrem, & dolores circa laterum mollitudinem. & iuxta spinæ musculos accidũt; febres quoque & sitis, & tusses siccæ sequuntur, & circa motus spirandi difficultas, & crurum grauitas, & à cibis abstinent, & paucis ingestis explentur.*

482. *Hydropas (leucophlegmatias appellatos) alui profluuium sedat. At tristitiæ cum silentio, & hominum auersationes, leniter eos occidunt.*

483. *Qui ex timore cum perfrigeratione mente mouentur, febres cum sudoribus, & somni vocem aliquantùm intercipientes, hæc soluunt.*

484. *Ex insania ad raucedinẽ, cum tussi, fit abscessus.*

485. *In furiosis conuulsio accedẽs, dissipationẽ facit.*

486. *Mẽtis emotiones taciturnæ, nõ quiescẽtes, oculis circũspicientes, spiritũ extra efferẽtes, perniciosæ sunt. Faciũt autẽ & diuturnas paraplegias. Sed & ita affecti vehemẽter insaniũt. Qui verò in vẽtris turbatione ita exacerbantur, his nigra circa iudicationẽ prodeunt.*

487. *Quib. sanis hyeme circa lũbos frigus, & grauitas ex leui causa, & aluus suppressa, superiore vnetriculo probè officiũ suũ prestãte, his coxẽdicũ morbus aut renum dolor, aut vrinæ stillicidium fortassis contigerit.*

488. *Quib. infernæ partes affligũtur, pruritib. antea fortibus obortis, his arenosa vrina fit & supprimitur; qui verò ex his perniciosè habent, his mens obtorpescit.*

489. *Qui circa articulos prærubras pustulas habent, insuperque rigorem; hi circa ventrem & inguina rubefiunt, velut ex plagis cum dolore, & moriuntur.*

490. *Morbo regio affecti, non ita subtili sensu prædití, quibus singultus sunt, his alui erũpunt, fortassis autem & suppressio fit; hi viridi pallore inficiuntur.*

491. *Dolores iuxta latus, in febribus tenuiter consistẽtes, citra notas, venæ sectio lædit, siue cibũ auersetur æger, siue hypochondrium elatum habuerit; & in perfrigeratione, non sine febre torpidos sanguinis detractio lædit; & putantes se melius habere hi moriuntur.*

492. *Caput & pedes, & manus perfrigerari, aluo & lateribus calidis, malum est. Optimum autem est, totum corpus similiter calidum ac molle esse.*

493. *Conuerti autem conuenit facilè ægrotum, & in attollendo se leuem esse. At grauitas totius corporis, & manuum ac pedum, mala est. Si verò etiam ad grauitatem liuidi fiant digiti ac vngues, mors propin-*

propinqua est. Si verò penitus nigrescant, minus perniciosi sunt liuidis. Verùm etiam alia considerare oportet. Si enim facilè fert morbum, & aliud quoddam ex bonis signis subindicat, morbus ad abscessum vertitur, & partes corporis nigrefactæ decidunt.

494. *Testes & pudẽda reuulsa, malũ significant.*

495. *Flatũ sine strepitu ac crepitu prodire, optimũ est. Melius autem est & cum strepitu exire, quàm isthic reuolui, etiam si tali modo progressus, dolorem, & desipientiam significet: nisi sponte homo vltro flatum ita emittat.*

496. *Vlcus liuidum & siccum, aut cum virore pallidum, lethale est.*

497. *Decubitus optimus est, velut quis sanus solitus fuit; at supinum iacere, cruribus extensis, bonũ non est. Si verò etiam delabatur pronus ad pedes, deterius est. Lethale autẽ est & hiare, & dormire semper; & crura supinè iacentis valde incuruata esse ac cõplicata. In ventrem autem decumbere, si quis non consueuit, delirium significat, & dolores circa ventrem. At pedes nudos habere & manus, si quis non vehementer calidus sit, & crura disiecta, malum est; anxietatem enim significat. Cæterùm erectum sedere velle malum est in acutis, pessimum autem peripneumonicis ac pleuriticis. Dormire verò oportet noctu, interdiu vigilare, contrarium autem, malum est. Minimè verò lædi æger poterit, si dormiat manè ad tertiam diei partem; verùm postea somni mali sunt. Pessimum autem est non dormire, neque die, neque nocte; aut enim præ dolore & afflictione vigilarit, aut ab hoc signo delirabit.*

498. *Quibus tempora secantur, conuulsio ex contrariis sectioni partibus oboritur.*

499. *Quibus cerebrum cõcussum fuerit & doluerit percussis, aut aliàs lapsis, hi statim voce priuantur, & neque vident, neque audiunt, & plerunque moriuntur.*

500. *Quibus cerebrum vulneratur, febris plerunque ac bilis vomitus accedit, & corporis syderatio, atque tales perniciosè habent.*

501. *Ex ruptis capitis ossibus, difficillima cognitu sunt ea, quæ circa suturas rumpuntur. Rumpuntur autem maximè à grauibus ac rotundis telis, & ex his quæ ex subcõtrario feruntur, & non ex plano loco. At verò de quibus ambiguum est, ruptane sint an non, iudicare oportet, exhibito ad manducandum in vtranque maxillam asphodeli caule, aut ferula, ita vt animaduertere iubeas, an os aliquod ipsi strepere videatur; nam fracta strepere videntur. Progressu verò temporis fracta partim septimo, partim decimoquarto, partim etiam aliter significationem præbent. Nam & carnis ab osse abscessus fit, & os liuidum, & dolores saniè effluente. Hæc autem ægrè iam auxilium admittunt.*

502. *Quibus omentũ excidit, necesse est putrefieri.*

503. *Si intestinum quoddam ex gracilibus dissectum fuerit, non coalescit.*

504. *Neruus dissectus, aut genæ tenuis pars, aut præputium, non coalescit.*

ὁ θάνατος. μελαινόμενα δὲ παντελῶς, ἧσσον ὀλέθρια τῶν πελίων. ἀλλὰ τὰ λοιπὰ θεωρεῖν. ἢν γὰρ εὐπετέως φέρῃ τὸ νόσημα, καὶ ἄλλο τι τῶν χρησίμων προσδεικνύῃ, τὸ νόσημα ἐς ἀπόστασιν τρέπεται, καὶ τὰ μελανθέντα τοῦ σώματος ἀποπίπτει.

υϟδ'. Ὄρχιες καὶ αἰδοῖον ἀνεσπασμένα, πονηρὸν σημαίνει.

υϟε'. Φῦσαν δὲ ἄνευ ψόφου καὶ περδήσιος διεξιέναι, βέλτιστον. κρέσσον δὲ καὶ σὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ ἀνειλέεσθαι, καίτοι τὸ τοιοῦτον τρόπον διελθοῦσα, σημαίνει πονηρὸν καὶ παραφροσύνην, ἢν μὴ ἑκὼν τοῦτο ποιέηται τὴν ἄφεσιν τῆς φύσης.

υϟϛ'. Ἕλκος πέλιον καὶ ξηρὸν, ἢ χλωρὸν γινόμενον, θανάσιμον.

υϟζ'. Ἀνάκλισις βελτίστη μὲν, ὡς εἴθισταί τις ὑγιαίνων· ὕπτιον δὲ κεῖσθαι, τὰ σκέλεα ἐκτεταμένον, οὐκ ἄριστον. εἰ δὲ καὶ καταρρέοι προπετὴς ἐπὶ πόδας, χεῖρον. θανάσιμον δὲ καὶ κεχηνέναι, καὶ καθεύδειν ἀεί· καὶ τὰ σκέλεα ὑπτίου κειμένου συγκεκαμμένα τε εἶναι ἰσχυρῶς, καὶ διαπεπλεγμένα. τὸ δὲ ἐπὶ γαστέρα κεῖσθαι οἷσι μὴ σύνηθες, παραφροσύνην σημαίνει, καὶ πόνους περὶ κοιλίην. πόδας δὲ γυμνοὺς ἔχειν καὶ χεῖρας, μὴ θερμοὺς ἐόντας ἰσχυρῶς, καὶ τὰ σκέλεα διερρίφθαι, κακόν· ἀλυσμὸν γὰρ σημαίνει. ἀνακαθίζειν δὲ βούλεσθαι, κακὸν ἐν τοῖσιν ὀξέσι· κάκιστον δὲ ἐν περιπλευμονικοῖσι. καθεύδειν δὲ χρὴ τὴν νύκτα, τὴν δὲ ἡμέρην ἐγρηγορέναι· τὸ δὲ ἐναντίον, πονηρόν. ἥκιστα δ' ἂν βλάπτοι τὸ πρωῒ κοιμώμενος, ἕως τοῦ τρίτου τῆς ἡμέρης· οἱ δὲ μετὰ ταῦτα ὕπνοι, πονηροί. κάκιστον δὲ μὴ καθεύδειν, μήτε ἡμέρης, μήτε νυκτός· ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνου ἀγρυπνοίη ἂν, ἢ παραφρονήσει ἀπὸ τούτου τοῦ σημείου.

υϟη'. Ὁκόσοισι κρόταφος τάμνεται, σπασμὸς ἐκ τῶν ἐναντίων τῆς τομῆς ἐπιγίνεται.

υϟθ'. Ὅσοισιν ἂν ὁ ἐγκέφαλος σεισθῇ, καὶ πονέσῃ πληγεῖσιν, ἢ ἄλλως πίπτουσι, παραχρῆμα ἄφωνοι γίνονται, καὶ οὔτε ὁρῶσιν, οὔτε ἀκούουσι, καὶ τὰ πολλὰ θνήσκουσιν.

φ'. Οἷσιν ἐγκέφαλος τιτρώσκεται, πυρετὸς ὡς ἐπὶ τὸ πολὺ, καὶ χολῆς ἔμετος ἐπιγίνεται, καὶ ἀποπληξίη σώματος, καὶ ὀλέθριοι οἱ τοιοῦτοι.

φα'. Τῶν ῥηγνυμένων κεφαλῆς ὀστέων, χαλεπώτατα γνῶναι τὰ κατὰ τὰς ῥαφὰς ῥηγνύμενα. ῥήγνυται δὲ ὑπὸ τῶν βαρέων καὶ στρογγύλων βελέων μάλιστα, καὶ ἐκ τῶν ἐξ ὑπεναντίου φερομένων, καὶ μὴ ἐξ ἰσοπέδου. τὰ δὲ ἀπορούμενα, πότερον ἔρρωγεν, ἢ οὐ, κρίνειν δεῖ, διαμασᾶσθαι διδόντα ἐφ' ἑκατέρην τὴν σιαγόνα ἀσφόδελον, ἢ νάρθηκα, καὶ προσέχειν κελεύειν, εἴ τι ψοφεῖν αὐτῷ δοκέει τὸ ὀστέον· τὰ γὰρ κατεηγότα δοκέει ψοφεῖν. προϊόντος δὲ τοῦ χρόνου τὰ ἐρρωγότα τὰ μὲν ἑβδόμῃ, τὰ δὲ τεσσαρεσκαιδεκάτῃ, τὰ δὲ καὶ ἄλλως διασημαίνει· τῆς τε γὰρ σαρκὸς ἀπόστασις ἀπὸ τοῦ ὀστέου γίνεται, καὶ τὸ ὀστέον πέλιον, καὶ πόνοι, ἰχῶρος ἀπορρέοντος. ταῦτα δὲ ἐστι τὰ ἤδη δυσβοήθητα.

φβ'. Ὅσοισιν ἐπίπλοον ἐκπίπτει, ἀνάγκη ἀποσαπῆναι.

φγ'. Ἢν ἔντερον διακοπῇ τῶν λεπτῶν, οὐ συμφύεται.

φδ'. Νεῦρον διακοπὲν, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὐ συμφύεται.

φε'. Ὅ,τι ἂν ἐν τῷ σώματι ὀστέον ἀποκοπῇ, ἢ χόνδρος, οὐκ αὔξεται. **A**

φϛ'. Ἐπὶ τρώματι σπασμὸς ἐπιγινόμενος, κακόν.

φζ'. Ἐπὶ τρώματι χολῆς ἔμετος ἐπιγινόμενος, κακὸν, καὶ μάλιστα ἐπὶ τοῖσι κεφαλικοῖσι.

φη'. Νεῦρα ὅσα παχέα τιτρώσκεται, ὡς ἐπιτοπολὺ χωλοῦνται, καὶ λοξὰ τιτρωσκόμενα μάλιστα, καὶ τῶν μυῶν αἱ κεφαλαὶ, μάλιστα τῶν ἐν μηροῖσιν.

φθ'. Ἀποθνήσκουσι δὲ μάλιστα ἐκ τῶν τρωμάτων, ἤν τις ἐγκέφαλον τρωθῇ, ἢ ῥαχίτην μυελὸν, ἢ ἧπαρ, ἢ φρένας, ἢ καρδίην, ἢ κύστιν, ἢ φλέβα τῶν παχειῶν. **B** Θνήσκουσι δὲ, κἢν ἐς ἀρτηρίην καὶ πλεύμονα μεγάλαι σφόδρα αἱ πληγαὶ γίνωνται, ὥστε τοῦ πλεύμονος πληγέντος, ἔλασσον τὸ διερχόμενον πνεῦμα κατὰ στόμα γίνεσθαι, ἢ τὸ ἐκπίπτον ἐκ τοῦ τρώματος. Θνήσκουσι δὲ καὶ οἱ ἐς τὰ ἐντὸς νεῦρα, ἤν τέ τι τῶν λεπτῶν τιτρωθῶσιν, ἤν τε τῶν παχέων, ἢν ἐπικάρσιος ἡ πληγὴ γένηται καὶ μεγάλη. Εἰ δὲ μικρὴ καὶ εὐθεῖα, περιγίνονται ἔνιοι. ἥκιστα δὲ θνήσκουσιν οἱ τιτρωσκόμενοι ἐν οἷσι ταῦτα μὴ ἔνι τῶν τοῦ σώματος μερέων, ἢ τούτων προσωτάτω.

φι'. Τὴν δὲ ὄψιν ἀμαυροῦνται ἐν τοῖσι τρώμασιν ἐς τὴν ὀφρὺν, καὶ μικρὸν ἐπάνω. ὅσῳ δ᾽ ἂν τὸ τρῶμα νεώτερον ᾖ, μάλιστα βλέπουσι· χρονιζομένης δὲ τῆς οὐλῆς, ἀμαυροῦσθαι μᾶλλον συμπίπτει. **C**

φια'. Αἱ σύριγγες χαλεπώταταί εἰσιν, ὅσαι ἐν τοῖσι χονδρώδεσί τε καὶ ἀσάρκοισι τόποισι πεφύκασιν, εἰσί τε κοῖλαι, μολοῦνταί τε, καὶ ἰχωρροοῦσιν αἰεὶ, σαρκίον τε ἐπὶ τῷ στόματι ἔπεστιν αὐταῖς. εὐθεραπευτότεραι δὲ, ὅσαι ἐν τοῖσι μαλθακοῖσι τόποισι καὶ σαρκώδεσί τε καὶ ἀνεύροισι πεφύκασι.

φιβ'. Τὰ δὲ πρὸ ἥβης οὐ γίνεται νοσήματα, περιπλευμονικὰ, πλευριτικὰ, ποδαγρικὰ, νεφρῖτις, κιρσὸς περὶ κνήμην, ῥοῦς αἱματηρὸς, καρκῖνος μὴ σύμφυτος, λεύκη μὴ συγγενὴς, καταῤῥοῦς νωτιαῖος, αἱμοῤῥοῒς, μὴ σύμφυτος, χορδαψός. **D** τούτων τῶν νοσημάτων πρὸ ἥβης οὐ χρὴ προσδέχεσθαι γινόμενον οὐδὲν, ἀπὸ ιδ'. μέχρι β'. καὶ μ' ἐτέων, πάμφορος ἡ φύσις νοσημάτων ἤδη τοῦ σώματος γίνεται. πάλιν δὲ ἀπὸ ταύτης τῆς ἡλικίης μέχρι ξγ'. ἐτέων, οὐ γίνονται χοιράδες, οὐδὲ λίθος ἐν κύστει, ἢν μὴ τύχῃ πρότερον ὑπάρχων, οὐδὲ καταῤῥοῦς νωτιαῖος, οὐδὲ νεφρῖτις, ἢν μὴ παρακολουθῶσιν ἐξ ἄλλης ἡλικίης· **E** οὐδὲ αἱμοῤῥοΐδες, οὐδὲ ῥοῦς αἱματηρὸς, ἢν μὴ πρότερον τύχῃ γεγενημένος. ταῦτα μέχρι γήρως ἀπέχεται νοσήματα.

φιγ'. Ἐν γυναικείοισι τὰ πρὸ τῶν τόκων ἰόντα ὑδατώδεα, κακάν.

φιδ'. Στόματα ἀφθώδεα, τῇσιν ἐπιφορεούσῃσιν οὐ χρηστόν. ἆρα καὶ κοιλίαι καθυγραίνονται;

φιε'. Ἐκ κενεώνων μεθιστάμενα ἀλγήματα ἐς τὸ λεπτὸν ἐν μακροῖσιν, ἐκ διαφθορῆς, καὶ μὴ λίην καθαρθείσης, ὀλέθριον. **F**

φιϛ'. Τὰ ἐκ τόκου καὶ διαφθορῆς πολλὰ ὀξέως ὁρμησάμενα, ἐπιστάντα, δύσκολα. ῥῖγος ταύτῃσι πολέμιον, καὶ κοιλίης ταραχὴ, ἄλλως τε καὶ ὑποχονδρίου ὀδυνώδεες.

φιζ'. Τῇσιν ἐπιφορεούσῃσι κεφαλαλγικὰ καρώδεα, μετὰ βάρεος γινόμενα καὶ σπασμοῦ, φλαῦρα ὡς ἐπιτοπολύ.

505. *Quodcunque os in corpore resectum fuerit, aut cartilago, non augescit.*

506. *Ex vulnere conuulsio accedens, mala est.*

507. *Ex vulnere bilis vomitus accedens, malum; & maximè in capitis vulneribus.*

508. *Nerui crassi si vulnerantur, plerunque claudi fiunt, maximéque si obliqui vulnerantur, & si musculorum capita, maximè in femoribus.*

509. *Moriuntur maximè ex vulneribus, si quis cerebrum sauciatus fuerit, aut spinalẽ medullã, aut hepar, aut septũ transuersum, aut cor, aut vesicam, aut venam crassam. Moritur autẽ etiam, si in arteriam & pulmonem valde magnæ plagæ fiant, ita vt pulmone percusso, paucior spiritus per os procedat, quàm is est qui ex vulnere elabitur. Moriuntur autẽ ij quibus interiores nerui vulnerati sunt, siue ex tenuibus aliquis, siue ex crassis vulneratus fuerit, si per transuersum fiat plaga, & magna; si verò parua & recta, quidam euadunt. Minimè verò moriuntur vulnerati in partibus corporis vbi hæc non sunt, aut ab his quàm longissimè absunt.*

510. *At verò visus obscuratur in vulneribus incussis in supercilium, & paulo altius. Prout autem vulnus recentius est, maximè vident: cicatrice verò diutius tardante ac senescente, magis obscurari contingit.*

511. *Fistulæ difficillimæ sunt, quæ in cartilaginosis & excarnibus locis sunt, & caua sunt, & procedunt ac sanie manant semper, & caruncula in osculo ipsis inest. Curatu autem faciliores sunt, quæ in mollibus & carnosis & non neruosis existunt.*

512. *Morbi hi ante pubertatem non fiunt, peripneumonia, pleuritis, podagra, nephritis, varix circa tibiam, fluxus sanguineus, cancer non congenitus, leuce non à natura insita, defluxus medullæ spinalis, hæmorrhois, voluulus (chordapsus appellatus) non cognatus. Horum morborum nullum ante pubertatem fore expectandum est. Verùm ab anno decimoquarto, vsque ad quadragesimum secundum, natura corporis morborum omnis generis ferax fit. Rursus ab hac ætate, vsque ad annos sexaginta tres, non fiunt strumæ, neque lapis in vesica, nisi prius existat, neque defluxus medullæ spinalis, neque nephritis, nisi ex alia ætate comitentur, neque hæmorrhoides, neque fluxus sanguineus, nisi prius adfuerit. Hi vsque ad senectutem absunt morbi.*

513. *In mensibus muliebribus, qui aquosi ante partus prodeunt, mali sunt.*

514. *Ora aphthis vlcerata, vterum gestantibus, non sunt bona. Num & alui humectantur?*

515. *Dolores ex ilibus, ad intestinum tenue transeuntes, in morbis longis, ex abortu, neque valde purgata muliere, perniciosi sunt.*

516. *Quæ ex partu ac abortu multa repente concitata, supprimũtur, difficilia sunt. Rigor his infestus est, & alui turbatio, tum aliàs, tũ si hypochõdrium doleant.*

517. *Vterùm gestãtibus dolores capitis cum caro & grauitate oborti ac conuulsione, plerunque mali sunt.*

518. *Quibus dolores intensi ex mensibus, circa supernam partem, & intestinum tenue, aluos humectant, aliquantum cibos auersantur. His circa iudicationem cataphoræ fiunt, & impotentes ex capitis dolore exudant, ac perfrigerantur. Tales recidiuæ plerisque contingentes post remissionem, citò occidunt.*

519. *Spiritus qui cum suspiriis extra feruntur, & colliquatio præter rationem in vterum gestantibus abortum facit.*

520. *Dolor ventris post partum, in his purulenta purgat.*

521. *Torpidæ, & præsertim in motibus, cum impotentia fractæ, circa iudicationem vexatæ, anxiæ, multum exudant. Alui his humectæ, malum.*

522. *Menses non supprimi cõmodum est; ex talibus comitiales morbi fiunt, vt arbitror; quibusdã verò ventris subductiones diuturnæ, quibusdam hæmorrhoides.*

523. *Prægnantibus hypochondrij dolor, malum; & alui his subeuntes, malum; & insuper rigere, his malum. Dolor ventris in talibus, minùs malum, si limosa purgentur. Quæ ex talibus facilè pariunt, post partum vehementer molestantur.*

524. *Prægnantibus tabescentibus quibus rubor in facie fit, stillationes de naribus obortæ hunc auertunt.*

525. *Quibus ex partu prodeunt alba, his verò suppressis cum febre surditas, & dolor acutus ad latus fit, mente mouentur, & perniciosè habent.*

526. *In gestantibus vterum salsuginosa, significant post partum molestias ex albis mordacibus. Tales purgationes indurant; singultus in his, malum; & vterorum procidentia quæ & vnà interficit.*

527. *Ad pedes & ad lumbos distentiones ex mensibus, suppurationem inducunt, itemque ea quæ de aluo viscosa, graueolentia cum dolore prodeunt. Strangulationes quoque ex præscriptis suppurationem faciunt.*

528. *Vterinæ in ventriculis duricies cum dolore, acutè perniciosum.*

529. *Vterum iam gestantibus in aphthas versæ fluxiones cum dolore, malum. Hæmorrhois his pessimum.*

530. *Quibus aluo tumefacta, ad pudendum rubor deuenit, mensibus albis humidis derepente progressis, in longis febribus moriuntur.*

531. *Conuulsionis, si menses in principio apparuerint, febre non accedente, solutio fit.*

532. *Vrinæ tenues cum aliquantula nubecula in medio consistente, rigorem significant.*

533. *Si à quarto die sanguinis fluxus fiat, diuturnitatem significat, & aluus erumpit, & crurum tremores.*

534. *Vterum gerentibus capitis dolores cum caro & grauitate contingentes, mali sunt; fortassis autem his etiam conuulsorium quid pati prodest.*

535. *Quæ ante partum, in modum choleræ morbi, doluerunt, facile quidem pariunt; verùm si febricitent, malignè habẽt; tum aliàs, tũ si circa fauces quid vexet, aut aliquod signum in febre malignum appareat.*

φιη'. Ἧσιν ἐκ γυναικείων, περὶ τὸ αἰδοῖον, καὶ τὸ λεπτὸν πόνοι σύντονοι, κοιλίας καθυγραίνουσιν, ὑπασώδεες· ταύτῃσι περὶ κρίσιν καταφοραὶ, καὶ ἀδύνατοι, κεφαλαλγικῶς ἐφιδροῦσι καὶ περιψύχουσιν· αἱ τοιαῦται ὑποστροφαὶ τῇσι πλείστῃσι γινόμεναι, μετὰ τὴν ἄφεσιν, ταχέως κτείνουσι.

φιθ'. Τὰ μετὰ μυχθισμοῦ ἔξω ἀναφερόμενα πνεύματα, καὶ τῆξις παράλογος, τῇσιν ἐπιφόροισιν ἐκτιτρώσκει.

φκ'. Ὀδύνη κοιλίης μετὰ τόκον, ἐπὶ ταύτῃσι πυώδεα καθαίρει.

φκα'. Αἱ ναρκώδεες καὶ μάλιστα ἐν τῇσι κινήσεσι μετὰ ἀδυναμίης κατακεκλασμέναι, περὶ κρίσιν ἐνοχληθεῖσαι, ἀσώδεες, ἐφιδροῦσι πολλῷ. κοιλίαι καθυγρανθεῖσαι ταύτῃσι, κακόν.

φκβ'. Τὰ δὲ γυναικεῖα μὴ ἐπιστῆναι, χρήσιμον· ἐπιληπτικὰ ἐκ τῶν τοιούτων, οἶμαι· ἐνίῃσι δὲ ὑποφοραὶ μακραὶ, ἐνίῃσι δὲ αἱμοῤῥοΐδες.

φκγ'. Τῇσιν ἐπιφόροισιν ὑποχονδρίου ἄλγημα κακόν· καὶ κοιλίαι ταύτῃσι φερόμεναι, κακόν· καὶ τὸ ἐπιρριγοῦν ταύτῃσι κακόν. ὀδύνη κοιλίης ἐν τῇσι τοιαύτῃσιν, ἧσσον κακὸν, ἢν ἰλυώδεα καθαίρηται· ᾗσι ῥηϊδίως τῶν τοιούτων τίκτεται, μετὰ τόκον δύσφορα σφόδρα.

φκδ'. Τῇσι κυούσῃσι φθινώδεσιν, ᾗσιν ἔρευθος ἐπὶ προσώπου γίνεται, αἱ ἀπὸ ῥινῶν ἀποστάξιες τοῦτο ἀποτρέπουσι γινόμεναι.

φκε'. Ἧσιν ἐκ τόκου λευκὰ, ἐπιστάντων δὲ, ἅμα πυρετῷ κώφωσις, καὶ ἐς πλευρὸν ὀδύνη ὀξέα, ἐξίστανται ὀλέθριοι.

φκς'. Τὰ ἐν τῇσιν ἐπιφόροισιν ἁλμυρώδεα, σημαίνει μετὰ τόκον δύσκολα λευκοῖσιν δακνώδεσιν. αἱ τοιαῦται καθάρσιες ἀποσκληρύνουσι. λὺγξ ἐπὶ τούτοισι φλαῦρον, καὶ πτῶσις ὑστερῶν, καὶ συγκτείνει.

φκζ'. Ἐς πόδας, καὶ ἐς ὀσφὺν συντάσιες ἐκ γυναικείων ἐκπυητικὸν, καὶ τὰ ἀπὸ κοιλίης γλίσχρα, δυσώδεα ἐπιπόνως ἰόντα. πνιγμοὶ ἐπὶ τοῖσι προγεγραμμένοισιν, ἐκπυητικόν.

φκη'. Τὰ ὑστερικὰ ἐν κοιλίῃσι σκληρύσματα ἐπώδυνα, ὀξέως ὀλέθριον.

φκθ'. Τῇσιν ἐπιφόροισιν ἤδη ἀφθώδεα ῥεύματα ἐπώδυνα, πονηρόν. αἱμοῤῥοῒς ταύτῃσι κάκιστον.

φλ'. Ἧσι κοιλίης ἐπαρθείσης ἐς αἰδοῖον ἔρευθος ἦλθε, γυναικείων λευκῶν ὑγρῶν κατελθόντων ἐξαπίνης, ἐν μακροῖσι πυρετοῖσι τελευτῶσι.

φλα'. Σπασμῷ, γυναικείων ἐν ἀρχῇσι φανέντων, πυρετοῦ μὴ ἐπιγινομένου, λύσις.

φλβ'. Οὖρα λεπτὰ ὑπονέφελα ἐν μέσῳ ἐρευμένα, ῥῖγος σημαίνει.

φλγ'. Ἢν ἀπὸ τῆς τετράδος αἵματος ῥύσις γένηται, χρόνια σημαίνει, καὶ κοιλίη καταῤῥήγνυται, καὶ σκελέων οἰδήματα.

φλδ'. Τῇσιν ἐπιφόροισι κεφαλαλγικὰ, καρώδεα μετὰ βάρεος γινόμενα, φλαῦρα· ἴσως δὲ ταύτῃσι καὶ ἅμα σπασμῶδές τι ὠφελεῖ.

φλε'. Αἱ προαλγήσασαι τρόπον χολερώδεα περὶ τῶν τόκων, τίκτουσι μὲν ῥηϊδίως· πυρέξασαι δὲ, κακοήθεες, ἄλλως τε καὶ ἤν τι κατὰ φάρυγγα ὀχλῇ, ἤ τι τῶν ἐν πυρετῷ κακοήθων ἐπιφανῇ σημεῖον.

φλϛ'. Τὰ πρὸ τῶν τόκων ῥηγνύμενα ὑδατώδεα, φλαῦρα.

φλζ'. Τῇσιν ἐπιφόροισι κατὰ φάρυγγα ἁλμυρώδεες ῥύσιες, πονηρόν.

φλη'. Τὸ πρὸ τῶν τόκων ἐπιῤῥιγοῦν, καὶ τὰ ἀνωδύνως τικτόμενα, κινδυνώδεα.

φλθ'. Τῇσιν ἐπιφόροισι τὰ ἀφθώδεα ῥεύματα, πονηρόν· σπασθεῖσαι, ἐκλυθεῖσαι, μετακαταψυχθεῖσαι, ἐκθερμαίνονται ὀξέως. καὶ μέντοι καὶ δύσκολα ἀποβαίνει τῇσιν ἐπιφόροισι τὰ περὶ τὸ λεπτὸν οἰδήματα, οἷα τὰ περὶ τὰς ὀχίας γίνεται, ἀπολαμβανόμενα ὀρθοπνοίῃσιν. ἆρα τὰ τοιαῦτα οἰδήματα διδυμοτοκεῖ; ἆρα καὶ σπασμώδεες τὰ τοιαῦτα οἰδήματα ποιέει.

φμ'. Τὰ μυξώδεα ἐξαναφέροντα πνεύματα ἐν πυρετοῖσιν, ἐκτιτρώσκονται.

φμα'. Φρικώδεσι, κοπιώδεσι, καρηβαρικοῖσι, γυναικεῖα καταῤῥήγνυται.

φμβ'. Αἱ πρὸς χεῖρα νωθραί, καταξηροί, ἄδιψοι, γυναικεῖα πολλὰ χαλῶσαι, ἐκπυητικαί.

φμγ'. Τὰ ἐξαίφνης λευκὰ καταπεσόντα ἐπὶ τρωσμῷ, ἢν τι ῥιγῇ, καὶ ἐς μηρὸν ὁρμαί, τρόμος δύσκολον.

φμδ'. Τὰ ἀφθώδεα στόματα τῇσιν ἐπιφόροισι κοιλίας καθυγραίνει.

φμε'. Αἱ δὲ τῶν κυουσέων, προνοσεῦσαι πρὸ τῶν τόκων, ἐπιῤῥιγοῦσι.

φμϛ'. Αἱ ναρκώδεες ἐκλύσιες, δύσκολοι μὲν ἐκ τῶν τόκων ἀποβαίνουσι καὶ παρακρουστικαί, οὐ μέντοι ὀλέθριοι. ἀτὰρ καὶ πλῆθος γυναικείων προσημαίνουσι.

φμζ'. Αἱ ἐν τόκῳ καρδίην προαλγήσασαι, ὀλίγῳ ὕστερον ἀποβάλλουσι.

φμη'. Τὰ φρικώδεα, κοπιώδεα, καρηβαρικά, τραχήλου ὀδυνώδεα γυναικεῖα καταῤῥήγνυσι. περὶ κρίσιν δὲ τὸ τοιοῦτον γινόμενον μετὰ βηχίου ἐπιῤῥιγεῖ.

φμθ'. Ἧσι κόρῃσιν ὀρθόπνοια συμβαίνει ἐν τῇσιν ἐπιφόροισι, τιτθοὶ ἐκπυοῦνται· γυναικεῖα ἐπιφαίνεσθαι ἐν ἀρχῇ, κακόν.

φν'. Τὰ μανικὰ, πυρετοὺς ὀξέας ταραχώδεας ἀχόλῳ καρδιαλγικῷ λύουσι.

φνα'. Τῇσιν ἀτόκοισιν, αἵματος ἔμετος πρὸς τὸ συλλαβεῖν ὠφελεῖ.

φνβ'. Τὰ ἀχλυώδεα γυναικείων συχνῶν ἐπιφανέντων λύεται.

φνγ'. Ὁκόσῃσι γυναιξὶν ἐκ πυρετῶν ἄλγημα τιτθῶν γίνεται, πτύσις αἱματώδης οὐ τρυγώδης γινομένη, λύει τοὺς πόνους.

φνδ'. Οἱ ἐν ὑστερικῇσιν ἀπύρεξοι σπασμοὶ εὐχερέες, οἷς καὶ Δορκάδι.

φνε'. Ἧσιν ἐκ ῥίγεος πυρετὸς κοπιώδης, γυναικεῖα κατέρχεται. τράχηλος ἐν τούτοισιν ὀδυνώδης, αἱμοῤῥαγικόν.

φνϛ'. Ἔμετος δὲ ἀλυπότατος φλέγματος καὶ χολῆς συμμεμιγμένων· μὴ πολὺς δὲ κάρτα ἐμείσθω. τὰ δὲ ἀκρητέστερα τῶν ἐμουμένων κακίω. πρασοειδὴς δὲ ἔμετος, καὶ μέλας, καὶ πελιός, πονηρόν. εἰ δὲ καὶ πάντα τὰ χρώματα ὁ αὐτὸς ἐμέοι, ὀλέθριον. τάχιστον δὲ θάνατον σημαίνει ὁ πελιὸς καὶ κακώδης. ἔστι δὲ θανάσιμος ὁ ἐρυθρὸς ἔμετος, καὶ μάλιστα εἰ μετ' ἀνάγκης ἐμέοιτο ἐπωδύνου.

536. *Aquosa ante partus erumpentia, mala.*

537. *Vterum gestantibus salsuginosæ iuxta fauces fluxiones, malum.*

538. *Ante partum rigorem habere, & partus citra dolorem, periculosi.*

539. *Vterum gerentibus cum aphthis fluxiones, malum; conuulsæ, exolutæ, & postea perfrigeratæ, excalescunt acutè. Sed & difficiles fiunt prægnantibus tumores circa tenue intestinum, quales circa eminentias osculi vteri fiunt, erectæ ceruicis spirationem inducentes. Num tales tumores gemellorum partum significant? Num & conuulsionem tales tumores faciunt?*

540. *Quæ suspiriosum efferunt spiritum in febribus, abortiunt.*

541. *Horrorem habentibus, lassitudine affectis, capite grauatis, menses erumpunt.*

542. *Ad manum torpidæ, obaridæ, sitis expertes, menses multos emittentes, suppuratæ fiunt.*

543. *Alba derepētè ex abortu decurrētia, si aliquātū riguerit, & ad femur impetus, in his tremor difficilis est.*

544. *Ora aphthosa vterum gestantibus aluos humectant.*

545. *Prægnantes ægrotantes ante partus, insuper rigent.*

456. *Cum torpore exolutiones, difficiles quidem ex partubus cōtingunt, & mentem emouentes, non tamen perniciosæ. Sed & mensium copiam præsignificant.*

547. *Quæ in partu os ventriculi prædoluere, paulopost eiiciunt.*

548. *Horrores, lassitudines, capitis grauitates, colli dolores, menses extrudunt. Circa iudicationem tale contingens cum tussicula rigorem insuper inducit.*

549. *Quibus puellis orthopnœa contingit vterum gestantibus, his mammæ suppurantur; & menses apparere in principio, malum est.*

550. *Insaniæ febres acutas turbulentas non bilioso cardialgico soluunt.*

551. *In sterilibus, sanguinis vomitus ad conceptionem prodest.*

552. *Caligines mensibus multis comparentibus soluuntur.*

553. *Quibus mulieribus ex febribus dolor mammarum fit, sputatio cruenta non faculenta oborta, soluit dolores.*

554. *Conuulsiones ex vtero affecto sine febre faciles sunt, velut etiam Dorcadi.*

555. *Quib. ex rigore febris cū lassitudine adest, mēses decurrūt; collū in his dolēs sanguinis eruptionē inducit.*

556. *Vomitus minimè molestus, est ex pituita ac bile permixtus, verū ne valde multus vomatur. At vomitus meraciores deteriores sūt. Prasinus vomitus, & niger, & liuidus, malus est. Si verò etiā omnes colores idē vomuerit, perniciosum est. Celerrimā autē mortē significat liuidus, & male olens. Est etiam lethalis ruber vomitus, & maximè si cū necessitate & dolore vomatur.*

557.

557. *Qui anxiè se iactãtes, citra vomitũ exacerbantur, malè habẽt, itemq; qui lancinantur citra vomitum.*

558. *Parui vomitus, biliosi, mali sunt, tum aliàs, tum si vigilauerint.*

559. *In nigris vomitibus surditas non nocet.*

560. *Pauci, celeres, biliosi, meraci vomitus, mali sunt in alui subductione vberiore, & intenso lumborum dolore.*

561. *Ex vomitibus anxietates, clangores, oculi puluerulenti, furiosa. Acutè insania correpti, voce capti moriuntur.*

562. *In vomitu siquis siticulosus sit, & sitis expers fiat, malum est.*

563. *Abscessus iuxta aurem maximè fiunt anxiosis vigilantibus.*

564. *Anxiis alui turbatæ suppressio, breui velut culicum puncturæ erumpunt, & ad oculos lachrymosus abscessus deuenit.*

565. *In meracis vomitibus singultus, malus; mala etiam conuulsio. Similiter etiam in nimiis purgationibus ex medicamentis.*

566. *Qui vomituri sunt, antea sputationes faciunt.*

567. *Ex veratro conuulsio, perniciosa.*

568. *In omni purgatione redundante, frigus cum sudore, perniciosum; & qui insuper vomũt siticulosi in his, malũ. Anxiosi verò lumbos dolentes, aluo humectãtur.*

569. *Purgationes prærubrorum, nigrorum, à veratro, malæ sunt; & cum talibus exolutio, mala.*

570. *A veratro vomere rubicunda, spumosa, pauca, prodest; facit tamẽ duritias, & suppurationes magnas abducit. Sunt autẽ hi qui talia vomunt, aliàs & pectus dolentes, & in rigoribus exudantes, & testes intumescunt; quod si contigerit, insuper rigent, & gracilescũt.*

571. *Frequentes per eadẽ recidiuæ vomitoriæ, circa crisim nigrorũ vomitum faciunt: fiunt itẽ & tremulæ.*

572. *Sudor optimus quidem est, qui febrem in die iudicatorio soluit; vtilis autem est & qui leuat; frigidus verò, & circa caput solùm ac collum contingens, malus est. Nam & temporis diuturnitatem, & periculum significat.*

573. *At frigidus in febre quidem acuta, lethalis est; in mitiore vero diuturnitatem significat.*

574. *Sudor vnà cũ febre in acuto morbo, malus est.*

575. *Vrina in febre albũ habens & leue sedimentũ firmatũ, celerem dimißionem significat. Celerẽ etiam ea quę ex indiscreta, pinguedinem quandam habens, exaquescit. At subrubra, & sedimentũ subrubrum habens & leue, si quidem ante septimum diem prodeat, septimo die liberat; post septimum verò, tardius, aut omnino post tempus aliquod diuturnius. Et quæ in quarto die nubeculam subrubram habet, septimo liberat, si reliqua iuxta rationem habeant. Cæterùm tenuis & biliosa, & vix tenue ac exiguum sedimẽtum habens, & quæ ad melius, ac deterius mutatur, diuturna est. Hæc autem diutius consequens, aut temporis diuturnitate circa indicationem trahente, periculo non vacat.*

φνζ'. Οἱ ἀσώδεες ἀνεμέτως προξυνόμενοι, κακὸν, καὶ οἱ σπαραττόμενοι ἀνεμέτως.

φνη'. Τὰ μικρὰ ἐμέσματα, χολώδεα, κακὸν ἄλλως τε κἢν ἀγρυπνέωσιν.

φνθ'. Ἐπὶ μελαίνων ἐμέτων κώφωσις, οὐ βλάπτει.

φξ'. Οἱ κατὰ μικρὰ ταχεῖς, χολώδεες, ἄκρητοι ἔμετοι, κακὸν, ἐν ὑποφορῇ πλείονι καὶ ὀσφύος ἀλγήματι συντόνῳ.

φξα'. Τὰ ἐξ ἐμέτων ἀσώδεα κλαγγώδεα, ὄμματα ἐπίχνουν ἴσχοντα, μανικά. ὀξέως μανέντες θνήσκουσιν ἄφωνοι.

φξβ'. Ἐν ἐμέτῳ διψώδεα ἐόντα, ἄδιψον γενέσθαι, κακόν.

φξγ'. Ἐν ἀσώδεσιν ἀγρύπνοις, τὰ παρ' οὖς μάλιστα.

φξδ'. Τοῖσιν ἀσώδεσι, κοιλίης ταραχώδεος ἐπίστασις, διὰ ταχέων ἐξανθεῖ οἷα κωνώπων κεντήματα, καὶ ἐς ὄμματα δακρυώδης ἀπόστασις ἔρχεται.

φξε'. Ἐπὶ ἀκρήτοις ἐμέτοις λυγμὸς, κακόν. κακὸν δὲ καὶ σπασμός. ὁμοίως δὲ καὶ ἐν τῇσιν ὑπερκαθάρσεσι τῇσιν ἐκ τῶν φαρμακειῶν.

φξς'. Οἱ μέλλοντες ἐμεῖν, πτυαλίζουσιν ἔμπροσθεν.

φξζ'. Ἐπὶ ἐλλεβόρῳ σπασμὸς, ὀλέθριον.

φξη'. Ἐπὶ πάσῃ καθάρσει πλεοναζούσῃ, ψύξις μεθ' ἱδρῶτος, ὀλέθριον· καὶ οἱ ἐπανεμέοντες διψώδεες ἐν τούτοισι, κακόν. οἱ δὲ ἀσώδεες ὀσφυαλγέες, κοιλίην καθυγραίνονται.

φξθ'. Αἱ ἐξερύθρων, μελαίνων, ὑπὸ ἐλλεβόρου καθάρσιες, πονηραί· καὶ ἔκλυσις δὲ μετὰ τοιούτων, κακόν.

φο'. Ἀπὸ ἐλλεβόρου ἐμέσαι ἐρυθρὰ, ἀφρώδεα, ὀλίγα, ὠφελέει. ποιέει μέντοι σκληρύσματα, καὶ ἐμπυήσιας μεγάλας ἀφίστησιν. εἰσὶ δὲ οἱ τοιαῦτα ἐμέοντες ἄλλως τε καὶ στῆθος ἐπώδυνοι, καὶ ἐν τοῖς ῥίγεσιν ἐφιδροῦντες, καὶ ὄρχιας ἐπαίρονται· τούτου προσγενομένου, ἐπιρρίγουσι καὶ ἰσχναίνονται.

φοα'. Αἱ πυκναὶ διὰ τῶν αὐτῶν ὑποστροφαὶ ἐμετώδεες, περὶ κρίσιν μέλαινα ἔμετον ποιέουσι. γίνονται δὲ καὶ τρομώδεες.

φοβ'. Ἱδρὼς ἄριστος μὲν ὁ λύων τὸν πυρετὸν ἐν ἡμέρῃ κρισίμῳ· χρήσιμος δὲ καὶ ὁ κουφίζων· ὁ δὲ ψυχρὸς καὶ μοῦνον περὶ κεφαλὴν καὶ τράχηλον γινόμενος, φλαῦρος. καὶ γὰρ χρόνον, καὶ κίνδυνον σημαίνει.

φογ'. Ἱδρὼς δὲ ψυχρὸς, ἐν ὀξεῖ μὲν πυρετῷ, θανάσιμος, ἐν πρηϋτέρῳ δὲ, χρόνον σημαίνει.

φοδ'. Ἱδρὼς ἅμα πυρετῷ γενόμενος ἐν ὀξεῖ, φλαῦρον.

φοε'. Οὖρον ἐν πυρετῷ λευκὴν ἔχον καὶ λείην ὑπόστασιν ἱδρυμένην, ταχεῖαν ἄφεσιν σημαίνει. ταχεῖαν δὲ καὶ τὸ ἐξ ἀκρίτου λίπος ἴσχον τι ἐξυδατούμενον. τὸ δὲ ὑπέρυθρον, καὶ τὴν ὑπόστασιν ἔχον ὑπέρυθρόν τε καὶ λείην, πρὸ μὲν τῆς ἑβδόμης γενόμενον, ἑβδομαῖον ἀπολύει· μετὰ δὲ τὴν ἑβδόμην, χρονιώτερον, ἢ πάντως χρόνιον. τό τε ἐν τετάρτῃ λαβὸν ἐπινέφελον ὑπέρυθρον, ἑβδομαῖον ἀπολύει, τῶν λοιπῶν κατὰ λόγον ἐχόντων. τὸ δὲ λεπτὸν καὶ χολῶδες, καὶ τὸ μόλις γλίσχρον ἔχον ὑπόστασιν, καὶ τὸ μεταβάλλον ἐπὶ τὸ βέλτιον, καὶ χεῖρον, χρόνιον. ἐπιπλέον δὲ τοῦτο ἐπακολουθοῦν, ἢ περὶ κρίσιν χρόνων γενομένων, οὐκ ἀκίνδυνον.

φοϛ'. Ὑδατῶδες δὲ καὶ λευκὸν διατελέως ἐν χρονίοισι, δύσκριτον γάρ, καὶ οὐκ ἀσφαλές.

φοζ'. Νεφέλαι δὲ ἐν οὔροισι λευκαὶ μὲν καὶ κάτω, λυσιτελέες. ἐρυθραὶ δὲ καὶ μέλαιναι, καὶ πέλιαι, δύσκολοι.

φοη'. Κινδυνῶδες τῶν οὔρων ἐστὶ τὸ χολῶδες, μὴ ὑπέρυθρον, ἐν τοῖσιν ὀξέσι, καὶ τὸ κριμνῶδες, λευκὰς ἔχον ὑποστάσιας, καὶ τὸ ποικίλον χροιῇ καὶ ὑποστάσει, καὶ μάλιστα τοῖσιν ἀπὸ τῆς κεφαλῆς ῥευματισμοῖσι. κινδυνῶδες δὲ καὶ τὸ ἐκ μέλανος μεθιστάμενον ἐς λεπτὸν χολῶδες, καὶ τὸ ἐξ ὑποστάσιος διασπώμενον, καὶ τὸ ἐκ ξυστροφιώδεος ὑπόστασιν ἴσχον ὑπόπελιον, ἰλυώδεα. ἆρα ἐκ τοιούτων ὑποχόνδριον ὀδυνῶνται; δοκέω δεξιόν. ἢ καὶ χλώδεες γίνονται; καὶ τὰ περὶ οὖς ὀδυνώδεες; τούτοισιν ἐπὶ βραχὺ κοιλίη καταρραγεῖσα ὀλέθριον.

φοθ'. Οὖρα ἐξαίφνης παραλόγως ἐπ' ὀλίγον πεπαινόμενα, φλαῦρα. καὶ ὅλως τὸ παραλόγως πέπον ἐν ὀξεῖ, φλαῦρον. φλαῦρον δὲ καὶ τὸ ἐξέρυθρον ἐκ τούτων, ἐπανθισμα ἰῶδες κατεχόμενον. λευκὸν δὲ καὶ καταχεόμενον διαφανὲς οὖρον, πονηρόν· μάλιστα ἐν φρενιτικοῖσιν ἐπιφαίνεται. πονηρὸν δὲ καὶ τὸ μετὰ ποτὸν ταχέως διουρεόμενον, καὶ μάλιστα πλευριτικοῖσι καὶ περιπλευμονικοῖσι. πονηρὸν δὲ καὶ τὸ πρὸ ῥίγεος ἐλαιῶδες οὐρεόμενον. πονηρὸν δὴ ἐν τοῖσιν ὀξέσι, καὶ τὰ χλοιώδεα μὴ ἐπὶ χροιῇ ἐόντα.

φπ'. Ὀλέθριον δ' ἐστὶ τῶν οὔρων τό, τε μέλαιναν τὴν ὑπόστασιν ἔχον, καὶ τὸ μέλαν. μᾶλλον δ' ἐν τοῖσι παισὶ τὸ λεπτὸν τοῦ παχέος· τοῖσι δὲ λεπτοῖσι, τὸ ἀνάπαλιν τοῖσι συνεστραμμένοις. καὶ τὸ χαλαζῶδες γονοειδὲς διακεχυμένον. ὁ δ' αὐτὸ καὶ ἐπίπονον. ὀλέθριον δ' ἐστὶ καὶ πᾶν τὸ λαθραίως οὐρεόμενον. περιπλευμονικοῖσι δ' ἐστὶν ὀλέθριον, καὶ τὸ ἐν ἀρχῇ μὲν πέπον, μετὰ δὲ τὴν τετράδα λεπτυνόμενον.

φπα'. Πλευριτικοῖσιν οὖρον αἱματῶδες, ζοφῶδες, μεθ' ὑποστάσιος ποικίλης, ἀδιακρίτου, θανάσιμον ἐν δ'. καὶ ι'. ἡμέρῃσιν, ὡς ἐπὶ τὸ πολύ. θανάσιμον δὲ καὶ ἐν τοῖσι πλευριτικοῖσι συντόμως, καὶ τὸ πρασοειδὲς μέλαιναν ἔχον ὑπόστασιν, ἢ πιτυρώδεα. καυσώδεσι δὲ κατόχως, κάκιστον οὖρόν ἐστι τὸ ἔκλευκον.

φπβ'. Οὖρον δὲ ὠμόν, πλεῖον χρόνον γινόμενον, τῶν ἄλλων σωτηρίων ἐόντων, ἀπόστασιν καὶ πόνον σημαίνει, καὶ μᾶλλον ἐν τοῖσιν ὑπὸ φρένα. ἀλγημάτων δὲ ἐν ὀσφύϊ πλανωμένων, ἐς ἰσχίον, καὶ ἐν πυρετῷ, καὶ ἄνευ πυρετοῦ. τὸ δὲ ἐκπεμπόμενον λίπος ἴσχον οὖρον ὑπόστασιν, σημαίνει πυρετόν· τὸ δὲ αἱματῶδες ἐν ἀρχῇ οὐρηθέν, χρόνιον· τὸ δ' ἀνατεταραγμένον μεθ' ἱδρῶτος, ὑποστροφήν· τὸ δὲ λευκὸν οἷον τῶν ὑποζυγίων, κεφαλαλγίην· τὸ δ' ὑμενῶδες, σπασμόν· τὸ δὲ πτυαλώδεας ἔχον ὑποστάσιας οὖρον, ἢ ἰλυώδεας, ῥίγεος δηλωτικόν· τὸ δὲ ἀραχνιῶδες, συντήξιος· τὰ δ' ἐν πλανώδεσι πυρετοῖσι μέλανα νεφέλια, τεταρταίου· τὰ δ' ἄχροα μέλασιν ἐναιωρεύμενα μετ' ἀγρυπνίης καὶ ταραχῆς, φρενιτικά· τὰ δὲ κονιώδεα μετὰ δυσπνοίης, ὑδατώδεα.

φπγ'. Οὖρον ὑδατῶδες, ἢ τεταραγμένον ψαφερῇ τρηχύτητι, κοιλίην ὑγρὴν ἐσομένην σημαίνει. τὸ δὲ ἔκλεπτον οὖρον δασυνόμενον, ἆρα ἱδρῶτα μέλλοντα δηλοῖ; γεγενημένον δέ, ἀφρῶδες ἐφ' αὐτὸ ἐφιστάμενον.

576. *Aquosa verò & alba perpetuo, in diuturnis morbis difficilè iudicat, & secura non est.*

577. *Nubeculæ in vrinis albæ quidē & infernæ, cōmodæ sunt; rubicūdæ verò, & nigræ, ac liuidæ, difficiles sūt.*

578. *Periculosa vrina est biliosa, non subrubra, in acutis; & quæ crassiores farinæ partes refert, albas habens hypostases, & quæ varia est colore ac sedimēto, & maximè in fluxionibus de capite. Periculosa est & quæ ex nigra in tenuē biliosā trāsmutatur, & quæ ex sedimēto diuellitur: & quæ ex cōpactis quibusdā innatantibus, sedimentū habet subliuidū, limosum. Nū ex talibus hypochondrium dolēt? dextrū arbitror, aut etiam cum virore pallidi fiunt? & abscessus circa aurē dolentes? His paululum erumpens aluus, perniciosa est.*

579. *Vrinæ quæ derepente citra rationem paulatim concoquuntur, malæ sunt; & in summa, quæ citra rationem matura est, in morbo acuto, mala est. Mala est etiam valde rubicunda ex his efflorescentiam auriginosam continens. Alba verò & diffusa pellucida vrina, mala est; maximè in phreniticis comparet. Mala est quoque quæ post potum citò mingitur & præsertim pleuriticis ac peripneumonicis. Mala est & quæ ante rigorem oleosa mingitur. Malæ sunt & in acutis viridantis palloris, non existentes in colore.*

580. *Perniciosa est vrina nigrum sedimentum habens, & nigra. In pueris verò tenuis, magis quàm crassa; verùm in tenuibus vice versa quàm in crassis. Et grandinosa genituræ similis diffusa, eademque cum dolore. Perniciosa etiam est omnis quæ occultè mingitur. At peripneumonicis perniciosa est quæ in principio quidem cocta est, post quartum verò diem attenuatur.*

581. *Pleuriticis vrina cruenta, caliginosa, cum hypostasi varia, indiscreta, lethalis est plerunque in quatuordecim diebus. Lethalis est item in pleuriticis breui prasina, nigram subsidentiam habens, aut furfuraceam. Verùm ardenti febre cum catocho detentis, pessima est vrina valde alba.*

582. *Vrina cruda multo tēpore manens, aliis signis salutaribus existentibus, abscessum & dolorē significat, & magis in partibus sub septo transuerso. Si verò dolores in lūbis oberrarint, ad coxam, & in febre, & sine febre. At quæ emittitur vrina pinguedinē habēs in sedimēto, febrē significat; cruenta vero in principio micta, diuturnā; turbata cum sudore, recidiuā; alba velut iumentorū, cephalalgiam; pellicea, conuulsionem. Quæ sputo similia sedimenta, aut limosa habet, rigorem indicat; quæ aranei telis similia, colliquationem; at in febribus erraticis nigræ nubeculæ quartanam indicant; decolores autem, nigra innatantia in medio habentes, cum vigiliis & turbatione, phrenitidem; puluerulentæ cum spirandi difficultate, hydropem.*

583. *Vrina aquosa aut turbata friabili asperitate, aluum liquidam fore significat. Verùm tenuis valde vrina si densa fiat, num sudorem futurum indicat? iam verò factum, spumosa in seipsam considens.*

584. *In tertianis cum horrore velut nubeculæ nigræ, horroris inconstantis indicia sunt. Et pelliceæ vrinæ, & cum horrore subsidentes, conuulsoriæ sunt.*

585. *Vrina bonum habens sedimentum, derepente non habens, dolorem & mutationem significat; at sedimentũ habens, turbata desiuens, rigorẽ circa iudicationẽ; fortassis autẽ & in tertianã aut quartanã transitũ.*

586. *In pleuriticis vrina subrubra, habens læue sedimentum, securam iudicationem significat; cum leui virore ac pallore florida, album sedimentum habens, & celere. At rubicunda valde & florulenta, sedimentum cum virore pallidum, læue, sincerum habens, diuturnum, valde turbulentum morbum qui in alium transmutatur, non tamen perniciosum. Alba verò aquosa, sedimentum crassas farinæ partes referens, fuluum habens, dolorem & periculum significat; & quæ cum virore pallida est, fuluum, crassas farinæ partes referens sedimentum habens, tempus & periculum significat.*

587. *Vrinæ quæ in his qui iuxta aures abscessus habent, citò & modicè concoquuntur malæ sunt; & perfrigerari hoc modo, malum est.*

588. *Vesica intercepta tum aliàs, tum cum capitis dolore, habet quid conuulsorium. Quæ in his cum torpore exoluuntur, difficilia sunt, non tamen perniciosa. Num & aliquantum mente mouentur?*

589. *Renũ dolor repentinus, cum vrinæ suppressione, calculorũ aut vrinarũ crassarum mictionẽ significat.*

590. *Tremores senioribus in febre fiunt, atq; sic comparentes, fortassis calculos per vrinam eiiciunt.*

591. *Vrinæ suppreßio, & grauitas in imo ventre, plerunque stillicidium vrinæ significat futurum; sin minus, alium morbum ex quo ægrotare solet.*

592. *In biliosis vrinæ interceptio, breui occidit.*

593. *Vrina in febre densitatem habens diuulsam, recidiuam aut sudorem significat.*

594. *In febribus longis, tenuibus, erraticis, vrinarum tenuium mictiones, splenicæ sunt.*

595. *In febre aliàs aliarum vrinarum mictiones morbum producunt.*

596. *Vrinæ quæ minguntur à non sentientibus, aliàs perniciosæ sunt. Num his minguntur veluti si sedimentum conturbasses?*

597. *Quibus vrinæ paucæ, grumosæ, non sine febre, copia ex his progressa tenuis prodest. Prodit autem talibus ab initio, aut breui sedimentum habet.*

598 *Quibus vrinæ citò sedimentum habent, hi citò iudicantur.*

599. *Epilepticis vrinæ tenues & crudæ, præter morem, sine repletione, morbi inuasionem significant, tum aliàs, tum si quis dolor, aut conuulsio in summum humerum, aut collum, aut dorsum incidat, aut torpor corporis fiat, aut turbulentũ insomnium viderit.*

600. *Parua comparere, veluti sanguinis stillas, & vrinam, & vomitum, & alui deiectiones, penitus quidem malum est; pessimum verò si propiùs inter se prodeant.*

A φπδ'. Τὰ δ' ἐν τριταίοισι μετὰ φρίκης οἷα νεφέλια μέλανα, φρίκης ἀκαταστάτου δηλωτικά· καὶ ὑμενώδεες οὐρήσιες, καὶ αἱ μετὰ φρίκης ὑφιστάμεναι, σπασμώδεες.

φπε'. Οὖρον χρηστὴν ἔχον ὑπόστασιν, ἐξαπίνης μὴ ἔχον, πόνον καὶ μεταβολὴν σημαίνει· τὸ δὲ ὑπόστασιν ἔχον, ἐπιταραχθὲν καθιστάμενον, ῥῖγος περὶ κρίσιν· τάχα δὲ καὶ ἐς τριταῖον, ἢ τεταρταῖον, μετάστασιν.

φπς'. Ἐν πλευριτικοῖσιν οὖρον ὑπέρυθρον, ἔχον λείην ὑπόστασιν ἀσφαλέα κρίσιν σημαίνει· τὸ δὲ ὑπό-

B χλωρον ἀνθηρὲς, λευκὴν ἔχον ὑπόστασιν, καὶ ταχεῖαν. τὸ δὲ ἐρυθρὸν σφόδρα καὶ ἀνθηρὲς, ὑπόστασιν χλωρὴν ἔχον λείην, εἰλικρινέα, πολυχρόνιον, σφόδρα ταραχώδεα νοῦσον μεταβάλλουσαν ἐς ἄλλην, οὐ μὴν ὀλέθριον. τὸ δὲ λευκὸν ὑδατῶδες, κριμνώδεα, πυῤῥὴν ἔχον ὑπόστασιν, πόνον καὶ κίνδυνον σημαίνει· καὶ τὸ χλωρὸν πυῤῥὴν ἔχον ὑπόστασιν, κριμνώδεα, χρόνον καὶ κίνδυνον σημαίνει.

φπζ'. Οὖρα τοῖσι παρ' ὦτα, ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμενα, φλαῦρον· καὶ τὸ κατεψῦχθαι ὧδε, πο-

C νηρόν.

φπη'. Κύστις ἀποληφθεῖσα, ἄλλως τε καὶ μετὰ κεφαλαλγίης, ἔχει τι σπασμῶδες. τὰ ναρκώδεα ἐν τοιούτοισιν ἐκλυόμενα, δύσκολα, οὐ μὴν ὀλέθρια. ἆρά τι καὶ παρακρούουσι;

φπθ'. Νεφρῶν ἐξαπίναιον ἄλγημα, μετ' οὔρου ἐπισχέσιος, λιθιδίων οὔρησιν, ἢ παχέων οὔρων, σημαίνει.

φϟ'. Τρομώδεα πρεσβυτέροισιν ἐν πυρετῷ, καὶ οὕτως ἐπιφαινόμενα, λιθίδια που διουρέει.

φϟα'. Οὔρου ἀπόληψις καὶ βάρος ἐν νειαίρῃ, σημαίνει

D ὡς τὰ πολλὰ στραγγουρίην ἐσομένην· εἰ δὲ μὴ, ἄλλην ἀῤῥωστίην ἣν εἴωθεν ἀῤῥωστεῖν.

φϟβ'. Ἐν χολώδεσιν οὔρου ἀπόληψις κτείνει συντόμως.

φϟγ'. Οὖρον ἐν πυρετῷ δάσος ἔχον διεσπασμένον, ὑποστροφικὸν, ἢ ἱδρῶδες.

φϟδ'. Ἐν μακροῖσι πυρετοῖσι, λεπτοῖσι, πλανώδεσι, λεπτῶν οὔρων οὐρήσιες, σπληνώδεες.

φϟε'. Ἐν πυρετῷ ἄλλοτε ἀλλοίων οὐρήσιες, μηκύνουσι.

φϟς'. Τὰ οὐρούμενα μὴ ὑπομνησθέντων, ἄλλως

E δὲ ὀλέθρια. ἆρα τούτοισιν οὐρεῖται οἷον εἴ τις ὑπόστασιν ταράξειας;

φϟζ'. Οἷσιν οὖρα ὀλίγα, θρομβώδεα, οὐκ ἀπυρέτοις, πλῆθος ἐκ τούτων ἐλθὸν λεπτὸν, ὠφελεῖ. ἔρχεται δὲ τοιούτοις ἐξ ἀρχῆς, ἢ διὰ ταχέων ὑπόστασιν ἔχει.

φϟη'. Οἷσιν οὖρα ταχέως ὑπόστασιν ἴσχει, ταχέως οὗτοι κρίνονται.

φϟθ'. Ἐπιληπτικοῖς οὖρα λεπτὰ καὶ ἄπεπτα παρὰ τὸ ἔθος ἄνευ πλησμονῆς, ἐπίληψιν σημαίνει, ἄλλως τε κἢν ἐς ἀκρώμιον, ἢ τράχηλον, ἢ μετάφρενον πόνος, ἢ σπα-

F σμὸς ἐμπεπτώκῃ, ἢ νάρκη περιγίνηται τοῦ σώματος, ἢ ταραχῶδες ἐνύπνιον ἑωράκῃ.

χ'. Τὸ μικρὰ ἐπιφαίνεσθαι, οἷον στάξιας, καὶ οὖρον, καὶ ἔμετον, καὶ διαχωρήματα, κακὸν μὲν πάντως· κάκιστον δὲ, ἐγγὺς ἀλλήλων ἰόντα.

χα΄. Διαχώρημα κοιλίης βέλτιστον, μαλθακὸν, συνεστηκὸς, ὑπόπυῤῥον, μὴ σφόδρα δυσῶδες, διαχωρέον τὴν εἰθισμένην ὥρην· πλῆθος δὲ πρὸς λόγον τῶν εἰσιόντων. παχυνέσθω δὲ πρὸς τὴν κρίσιν. χρήσιμον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι, πρὸς κρίσιν προσάγον.

χβ΄. Εν ὀξέσι τὸ ἀφρῶδες, περίχολον διαχώρημα, κακόν· κακὸν δὲ καὶ τὸ ἔκλευκον· ἔτι δὲ καὶ κάκιον τὸ ἀλητῶδες, κοπριῶδες. κάρος ἐπὶ τούτοισι κακὸν, καὶ αἱματώδης διαχώρησις, καὶ κενεαγγίη παράλογος.

χγ΄. Κοιλίης ἀπόληψις μικρὴ, μέλαινα, σπυραθώδεα, πρὸς ἀνάγκην χαλῶσα, μυκτὴρ τούτοισι ῥηγνύμενος, κακόν.

χδ΄. Γλίσχρον, ἄκρητον, ἢ λευκὸν διαχώρημα, φλαῦρον. φλαῦρον δὲ καὶ τὸ ἅλις ἐζυμωμένον, ὑποφλεγματῶδες. πονηρὸν δὲ καὶ ἐκ τρυφιωδέων ὑπόστασις ὑποπέλιος, πυώδης μετὰ χολώδεος;

χε΄. Αἷμα λαμπρὸν διαχωρέειν, κακὸν, ἄλλως τε κἢν τις ὀδύνη παρῇ.

χς΄. Τὸ ἀφρῶδες περίχολον διαχώρημα, φλαῦρον· καὶ ἰκτεριῶνται δὲ ἐκ τοιούτων.

χζ΄. Επὶ τοῖσι χολώδεσι τὸ ἀφρῶδες ἐπάνθισμα, κακόν· μάλιστα δὲ ὀσφὺν πεπονηκότι, καὶ παρενεχθέντι. ἆρα δὲ τούτοισι τὰ ἀλγήματα;

χη΄. Λεπτὸν, ἔπαφρον διαχώρημα, ὑδατόχλοον ἔχον ὑπόστασιν, πονηρόν. πονηρὸν δὲ καὶ τὸ πυῶδες, καὶ τὸ μέλαν αἱματῶδες πονηρὸν σὺν πυρετῷ, καὶ ἄλλως· καὶ τὸ ποικίλον κατακορὲς διαχώρημα, φλαῦρον· καὶ χεῖρον ὅσῳ φοβερώτερον τῇ χροιῇ, πλὴν ἐν φαρμακείῃσιν· ἐν δὲ ταύτῃσιν ἀκίνδυνον μὴ πλήθει ὑπερβάλλον. καὶ τὸ ψαφαρὸν μαλθακὸν ἐν πυρετῷ διαχώρημα. φλαῦρον δὲ καὶ τὸ ξηρὸν, ψαθυρὸν, ἄχροον, καὶ ἄλλως, κἢν τὴν κοιλίην καθυγραίνῃ. μελαίνων δὲ προδιελθόντων, κτείνει.

χθ΄. Υγρὸν διαχώρημα, καὶ ἀθρόον κατὰ μικρὸν, κακόν· τὸ μὲν γὰρ κακὸν, καὶ ἀγρυπνίην· τὸ δὲ ἔκλυσιν τάχ᾽ ἂν ποιήσῃ.

χι΄. Ενυγρον ὑπόψαφαρον διαχώρημα περιψυχόμενον μὴ ἀπύρῳ, φλαῦρον. τὰ ἐπὶ τούτοισι ῥίγεα κύστιν, καὶ κοιλίην ἐπιλαμβάνει. ὑδατῶδες δὲ σφόδρα διαχώρημα μὴ παυόμενον ἐν ὀξέσι, κακόν· καὶ μᾶλλον εἰ καὶ ἀδιψήσει.

χια΄. Εξέρυθρον ἐν περιπλύσει διαχώρημα, φλαῦρον. φλαῦρον δὲ καὶ τὸ σφόδρα χλωρὸν, ἢ λευκὸν, ἢ ἀφρῶδες, ἢ ὑδαρές· καὶ τὸ μικρόν τε καὶ γλίσχρον, καὶ λεῖον, καὶ ὑπόχλωρον, κακόν. καὶ τὸ κωματώδεσι νενωθρευμένοισιν ὑγρὸν διαχώρημα, κάκιστον. θανατῶδες δὲ καὶ αἱμόῤῥοον αἱματῶδες πολὺ θρομβῶδες· λευκόν τε καὶ ὑγρὸν μετὰ κοιλίης μετεώρου.

χιβ΄. Διαχώρημα μέλαν οἷον αἷμα, καὶ σὺν πυρετῷ, καὶ ἄνευ πυρετοῦ, πονηρόν. πονηρὸν δὲ καὶ πάντα τὰ ποικίλα, καὶ τὰ κατακορέα πονηρά.

χιγ΄. Τὰ ἐς ἀφρώδεα ἄκρητα τελευτῶντα διαχωρήματα, παροξυντικὰ μὲν πᾶσι, τοῖσι δὲ σπασμώδεσι καὶ πάνυ. ἐκ τοιούτων τὰ παρ᾽ οὖς ἀφίστανται. τὰ δὲ ἐξυγραινόμενα, καὶ πάλιν συνιστάμενα, ἄκρητα, κοπρώδεα, μῆκος νούσου σημαίνει. τὸ δὲ ἐξέρυθρον ἐν πυρετῷ, παρα-

601. Alui deiectio optima est mollis, cohærens ac cōpacta, subfulua, non valde graueolens, prodiens hora consueta; copia pro ratione ciborū ingestorum. Spissum autem fiat ad iudicationem. Cōmodum est & lumbricos rotundos exire simul, vbi ad iudicationem tendit.

602. In acutis spumosa, circumbiliosa alui deiectio, mala est; mala itē valde alba; adhuc verò peior est quæ farinę ac sterquilinij speciē refert. Sopor in his malus est & cruēta deiectio, & vasorū vacuatio præter rationē.

603. Alui interceptio parua, nigra, velut caprarum stercora, ad necessitatem coacta emittens, na sus his erumpens, malum.

604. Lenta, meraca, aut alba alui deiectio, mala est. Mala est & abundè multum fermentata, subpituitosa. Prauum quoque ex compactis quibusdam innatantibus, sedimentū subliuidū, purulentū cum bilioso.

605. Sanguinem splendidum deiicere, malum est, tum aliàs, tum si quis dolor affuerit.

606. Spumosa, circumbiliosa alui deiectio, mala est: sed & morbum regium ex talibus incurrunt.

607. In biliosis alui deiectionibus spumosa efflorescentia, mala est; maximè ei cui lumbi doluerint, & mente motus fuerit. Num autem his dolores?

608. Tenuis, spumosa alui deiectio, aquosam cum virore pallidam habens hypostasin, mala est. Mala etiam purulenta: & nigra cruenta, mala, cum febre, & aliàs; & varia, abundè bile colorata deiectio, mala est; tantòque deterior quantum colore magis horrenda est, præterquam in medicamentorum vsu; in hoc enim periculo vacat, si non copia excedat; & tenuis, mollis deiectio, in febre mala est. Mala quoque sicca, friabilis, decolor, tum aliàs, tum si aluum humectet. Nigris verò antea egressis occidit.

609. Liquida alui deiectio, & aceruatim, & paulatim contingens, mala est: altera enim vigilias, altera exolutionem facere poterit.

610. Liquida subtenuis alui deiectio perfrigescens, non sine febre, mala est. Rigores in his vesicam & ventrem corripiunt. Valde verò aquosa deiectio non desinens in acutis, mala; & magis si etiam sitim non habuerit.

611. Valde rubra deiectio in alui proluuie, mala est. mala quoque valde cum virore pallida, aut alba, aut spumosa, aut aquosa; & parua, & lenta, & lævis, & cum virore subpallida, mala est Et comatosis torpefactis liquida deiectio, pessima est. Lethale autem & aluum sanguinē deiicere, multa grumosa deiectione, itēque alba ac liquida cum ventre in tumorem eleuato.

612. Deiectio alui nigra velut sanguis, & cum febre, & sine febre mala est. Malæ quoque omnes variæ, abundè ex bile coloratæ.

613. Deiectiones desinentes in spumosas synceras, omnes quidem exacerbant, conuulsos autem etiam valde. Ex talibus abscessus iuxta aurem emergunt. At quæ valde liquidæ fiunt & rursus compactæ, synceræ, stercoraceæ deiectiones, longitudinē morbi significant:

Valde

Valde verò rubicunda, in febre delirium. Alba stercoracea morbo regio difficilis est, ac liquida quæ seposita ruborem capit.

614. *In sanguinis eruptionibus lenta deiectio nigris variegata, maligna est, maximè autem valde albidis.*

615. *Valde alba deiectio in febre, non bene iudicat.*

616. *Aluus turbata paruis frequentibus ad deiiciendum progreßibus, maxillas intendit. Soluit etiam rubores in facie obortos.*

617. *Stercoracea cum tensione deiectio, alui afflictionem significat; pituitosa verò acutè cum cardiogmo, dysenteriam: fortaßis autem & lumborum dolorem. Talibus alui circumtensio, ad neceßitatem liquida demittens, citius intumescens, habet quid conuulsorium. Insuper rigere his perniciosum est.*

618. *Quibus nigra per aluum prodeunt, frigidum sudorem emittunt.*

619. *Quibus aluus ab initio turbatur, vrinæ verò paucæ sunt, & progressu temporis aluus quidem siccatur, vrina verò tenuis redundat, his abscessus ad articulos fiunt.*

620. *Progressus ad deiiciendum paulatim contingentes, rigorem inducunt: & quibus larga fit deiectio, difficillimum est quartanis incipientibus.*

621. *Frequentes ad deiiciendum progressus paulatim cõtingentes, pauca stercoracea subuiscosa habentes, cum hypochondrij & lateris dolore, morbum regium denotant. Nũ his suppreßis hi cum virore pallidi fiunt? Arbitror autem & hos sanguinem effundere. At dolores in lumbis in his sanguinem fundentibus, sanguinem deiiciunt splendidum. Cum sopore, & capitis dolore, calescere insuper, perniciosum est.*

622. *Lętæ, biliosæ, magis abscessus iuxta aurẽ faciũt.*

623. *Quicunque tumores aluo humecta eleuantur cum doloribus, malum: Aluo verò suppressa, & nulla alia renouata, citò rumpuntur, & malignius est. Vomitiones in his, malæ & ferinæ.*

624. *Quibus & flãmeis & valde rubicundis solutis, graueolẽs, larga, subrubra fit, hi ne insaniant timor est.*

625. *Corpus squallidum aluum malè affectam significat; in his prærubræ, velut purulentæ caruunculæ, deiectiones maximè prodeunt.*

626. *Ad aluũ biliosam, mollẽ, stercoracea deiicientem ardores cõparentes, tumorẽ iuxta aurem faciunt.*

627. *Biliosas deiectiones surditas sedat, & surditatem sedat biliosa alui deiectio.*

628. *Pustulæ serpentes supra inguina, ad laterum mollitudinem ac pubem oborientes, aluum malè affectam significant.*

629. *Exolutio dolorem soluens aluum maximè humectant.*

630. *Iuxta sedem cum dolore suppurationes aluum turbant.*

631. *Lethales deiectiones sunt, pinguis, nigra, liuida cum graueolentia, & biliosa, habens in se simile quiddam ciceri aut fabis fresis, aut veluti*

κοπιῶ. τὸ δὲ λευκὸν κοπρῶδες, ἰκτέρῳ δύσκολον. τὸ δ' ὑγρὸν ἐν τῷ τεθῆναι λαβὸν ἔρευθος.

χιδ'. Αἱμοῤῥαγέσι γλίσχρον διαχώρημα, μέλασι διαποίκιλον, κακόηθες, μάλιστα δὲ ἐκλεύκοις.

χιε'. Ἔκλευκον διαχώρημα ἐν πυρετῷ, οὐκ εὔκρινές.

χις'. Κοιλίη ταραχώδης σμικρῇσι πυκνῇσιν ἀναστάσεσι, σιηγόνας ἐντείνει. λύει δὲ καὶ ἐπὶ προσώπου γινόμενα ἐρυθήματα.

χιζ'. Κοπρώδης μετὰ τόνου διαχώρησις, κοιλίης πονηρίην σημαίνει· φλεγματώδης δὲ ὀξέως μετὰ καρδιωγμοῦ, δυσεντερίην· τάχα δὲ καὶ ὀσφυαλγίην. τοῖσι τοιούτοισι κοιλίης περίτασις πρὸς ἀνάγκην ὑγρὰ χαλῶσα, τάχιον κυλλουμένη, ἔχει τι σπασμῶδες. τὸ ἐπιῤῥιγοῦν τούτοισιν ὀλέθριον.

χιη'. Οἷσι μέλανα διαχωρέει, ἐφιδροῦσι ψυχροῖς.

χιθ'. Οἷσι κοιλίη κατ' ἀρχὰς ταράσσεται, τὰ δὲ οὖρα μικρὰ, προσαγόντων κοιλίη μὲν ξηραίνεται, τὸ δ' οὖρον πληθύει λεπτὸν, τούτοισιν ἀποστάσιες ἐς ἄρθρα.

χκ'. Αἱ κατὰ μικρὰ ἀναστάσιες ῥιγώδεες. καὶ οἷς φλαῦρον διαχώρημα, δυσκολώτατον τεταρταίοισιν ἀρχομένον.

χκα'. Αἱ πυκναὶ κατὰ μικρὰ ἀναστάσιες ὑπόγλισχροι, ἔχουσαι μικρὰ κοπρώδεα, μεθ' ὑποχονδρίου καὶ πλευροῦ ἀλγήματος, ἰκτερώδεες. ἆρα ἐπιστάντων τούτων ἐκχλοιοῦνται. οἶμαι δὲ καὶ αἱμοῤῥοεῖν τούτους. τὰ δ' ἐς ὀσφὺν ἀλγήματα ἐν τούτοισιν αἱμοῤῥοοῦσιν, αἷμα διαχωρέει λαμπρόν. μετὰ κάρου καὶ κεφαλαλγίης, τὸ ἐπιχλιαίνεσθαι, ὀλέθριον.

χκβ'. Τὰ γλίσχρα, χολώδεα, μᾶλλόν τι τὰς ἀποστάσιας παρ' οὖς ποιέει.

χκγ'. Ὅσα κοιλίης καθυγραινομένης οἰδήματα μετεωρίζεται μετὰ ἀλγημάτων, κακόν· κοιλίης δ' ἐπιστάσης, ἄλλου δέ τινος μὴ νεωτερισθέντος, ταχέως καταῤῥήγνυται, καὶ κακοηθέστερον. τὰ ἐμούμενα ἐπὶ τούτοισι πονηρὰ καὶ θηριώδεα.

χκδ'. Οἷσιν ἐπὶ φλογώδεσι καὶ ἐξερύθροις λυομένοις, δυσώδες, λάβρον, ὑπέρυθρον· ἐλπὶς ἐκμανῆναι.

χκε'. Ὁ αὐχμώδης χρὼς σημαίνει κοιλίην πονηρευομένην· ἐπὶ τούτοισιν ἐξέρυθρα σαρκόπυα μάλιστα δίεισιν.

χκς'. Ἐπὶ κοιλίῃ χολώδει, μαλθακῇ, κοπρώδει, καύματα ἐπιφανέντα, παρ' οὖς ἔπαρμα ποιέει.

χκζ'. Χολώδεα διαχωρήματα κώφωσις παύει· κώφωσιν δὲ παύει χολῶδες διαχώρημα.

χκη'. Τὰ ἑρπυστικὰ ὑπὲρ βουβῶνος, περὶ κενεῶνα καὶ ἥβην γινόμενα, σημαίνει κοιλίην πονηρευομένην.

χκθ'. Ἔκλυσις ὀδύνην λύουσα, κοιλίην μάλα καθυγραίνει.

χλ'. Τὰ καθ' ἕδρην ὀδυνώδεα ἐκπυήματα, κοιλίην ἐπιταράσσει.

χλα'. Θανατώδεά ἐστι τῶν διαχωρημάτων τὸ λιπαρὸν, καὶ τὸ μέλαν, καὶ τὸ πέλιον μετὰ δυσωδίης, καὶ τὸ χολῶδες ἔχον ἐν ἑωυτῷ φακῶν, ἢ ἐρεβίνθων ἐρέγμασι παραπλήσια, ἢ οἷον

θρόμβοις αἵματος ἐξανθεῖς, κατὰ τὴν ὀδμὴν ὅμοιον τῷ τῶν νηπίων, καὶ τὸ ποικίλον, τὸ δ' αὐτὸ καὶ χρόνιον. γίνοιτο δ' ἂν τοιοῦτον αἱματῶδες, ξυσματῶδες, χολῶδες, μέλαν, πρασοειδὲς, καὶ ὁμοῦ, καὶ ἐναλλάξ. θανατῶδες δὲ ὅτι καὶ πρὸ τὸ αἰσθητικὸς διεξιόν.

χλβ'. Ποτὸν χαλεπῶς καταβροχθίζοντι πνεύματι βηχώδει, ἐρευγμὸς ὑποσπώμενος, εἴσω κατειλούμενος, σημαίνει πόνον κοιλίης. πονηρὸν δὲ καὶ ἐξέρυθρα ἰώδεα τεταρταίοισι· καὶ αἱ τοιαῦται αἱμόῤῥοιαι κωματώδεες ἐκ τούτων σπασμῷ τελευτῶσι, μελαίνων προδιελθόντων.

χλγ'. Οἷσι μέλανα διαχωρέει, ἐφιδροῦσι ψυχροῖς.

χλδ'. Αἱ ἐξαίφνης παράλογοι ἐκλύσιες κοιλίης, ἐν τοῖσι πεπτηκόσι χρονίοισιν, ἅμα ἀφωνίῃ τρομώδει, ὀλέθριοι.

χλε'. Αἱ λεπταὶ μελαίνων διαχωρήσιες αἱ φρικώδεες, βελτίους τοῖσι τοιούτοισιν. αἱ τοιαῦται ὠφελοῦσι μάλιστα κατὰ τὴν ἡλικίην ἢ πρὸς ἀκμάζουσι.

χλϛ'. Πᾶσι τὰ κνησμώδεα μελαίνων διαχώρησιν σημαίνει, καὶ ἔμετον θρομβώδεα. καὶ τρομώδεα σὺν δηγμῷ μετὰ κεφαλαλγίης, τὰ μέλανα διαχωρήματα πρὸ τῶν τοιούτων ἔμετος διέρχεται, καὶ ἐμέσασι συχνὰ τοιαῦτα προσκατασπᾶται.

χλζ'. Οἷσι δὲ ἐπὶ ταραχῆς κοιλίης, παροξύνεται περὶ κρίσιν, κάτω μέλανα διέρχεται.

χλη'. Ἐπὶ κοιλίῃ μακρῇ ἐμετώδεσι, χολώδεσιν, ἀποσίτοις, ἱδρὼς πολὺς μετὰ ἀδυναμίης, ἐξαπίνης κτείνει.

χλθ'. Ἐν φαρμακείῃσιν ἐν περιῤῥόῳ, λεπτὸν συχνὸν αἷμα ἐκτηκόμενον, φλαῦρον.

χμ'. Τὰ κατὰ κοιλίην σκληρύσματα μετὰ πόνου, πυρετοῖσιν ἅμα φρικώδεσιν, ἀποσίτοις, σμικρὰ ἐφυγραινομένης ἐς κάθαρσιν κοιλίης, οὐ τὰ ἐς ἐμπύησιν.

χμα'. Ἅμα πυρετῷ κοιλίη ταραχώδης, τρόπον ἁλμυρώδεα, κωματώδεσι νωθροῖς οὐ πάνυ προσέπεται.

χμβ'. Ἐπὶ κοιλίῃ ὑγρῇ, κοπιώδει, κεφαλαλγικῷ, διψώδει, ἄγρυπνοι, ἐξερύθρῳ χρώματι λυομένοις, ἐλπὶς ἐκμανῆναι, ἢν δύσπνοοι ἔωσι. πρὸς δὲ ἐκχλοιοῦσθαι εὔπνοον, σινόν τε κοιλίης ἐπεισελθούσης.

χμγ'. Τὰ καυματώδεα διαχωρήματα τόνον ἔχοντα, κοιλίην πονηρευομένην σημαίνει.

χμδ'. Τοῖσι χολώδεσι κοιλίη ταραχώδης, μικρὰ πυκνὰ διαδιδοῦσα, τονώδεα μικροῖσι μυξώδεσι, πόνον περὶ τὸ λεπτὸν ποιέουσι, καὶ οὖρον οὐκ εὐλύπως ἰὸν, ἐς ὕδρωπα ἐκ τοιούτων ἀποτελευτᾷ.

χμε'. Αἱ τρομώδεες γλῶσσαι σημεῖον ἐνίοισι κοιλίης καταῤῥαγησομένης.

χμϛ'. Οἷσι καῦμα γίνεται, ἐφιδροῦσι δὲ ἐλθόντων, πυρετὸς παροξύνεται.

χμζ'. Ἐπὶ κοιλίῃσιν ὑγρῇσι κατάψυξις μεθ' ἱδρῶτος, φλαῦρον.

χμη'. Ἐπὶ κοιλίῃσιν ὑγρῇσι τὰ ἀπὸ οὔλων αἵματα ἐπιῤῥέοντα, θανατῶδες.

χμθ'. Διαχώρημα καθαρὸν ἐπιγινόμενον, λύει πυρετὸν ὀξὺν μεθ' ἱδρῶτος.

floridos sanguinis grumos, & quæ odore similis est deiectioni infantium, & varia eadémque diuturna Talis autem fuerit cruenta, ramentosa, biliosa, nigra, prasina, & simul, & permutatis vicibus. Lethalis quoque omnis est quæ sensum ægri fugiens exit.

632. *Qui potum ægre deglutiunt spiritu tussiente, eructatio subtracta, intro reuoluta, dolorem ventris significat. Malæ sunt etiam deiectiones valde rubræ æruginosæ in quartanis; & tales sanguinis fluxiones comatosæ sunt; ex his conuulsione moriuntur, nigris antea egressis.*

633. *Qui nigra deiiciunt, ii frigida exudant.*

634. *Exolutiones alui repentinæ præter rationem, in diuturnitate temporis consumptis, vnà cum vocis tremula interceptione, perniciosè habent.*

635. *Tenues nigrorum deiectiones horrificæ, meliores talibus sunt. Tales prosunt maximè in ætate ante vigorem.*

636. *Pruriginosæ affectiones omnibus nigrorum deiectionem significant, & vomitum grumosum. Et tremulæ affectiones cum morsu ac capitis dolore, nigras deiectiones significant. Ante tales, vomitus prodit; & vbi vomuerunt, multæ tales insuper detrahuntur.*

637. *Quibus in alui turbatione exacerbatur morbus circa indicationem, nigra infernè prodeunt.*

638. *Ex aluo diutinè affecta vomentibus, biliosis, cibum fastidientibus, sudor multus cum impotentia repentina, occidit.*

639. *In medicamentorum vsu, in defluxione, tenuis, abundè sanguis eliquescens, malum est.*

640. *Duricies circa ventrem cum dolore, in febribus cum horrore, cibos auersantibus, aluo parum ad purgationem humectata, non suppurantur.*

641. *Vnà cum febre aluus turbata, salsuginoso modo, comatosos torpidos non valde comitatur.*

642. *Ex aluo liquida lassatos, caput dolentes, siticulosos, vigilantes, valde rubro colore solatos, timor est ad insaniam deuenturos esse, si difficulter spirauerint. Ad hoc vbi quis cum virore pallescit, bene spirare noxium non est aluo insuper probè deiiciente.*

643. *Adustæ deiectiones contentionem habentes, aluum malè affectam significant.*

644. *Biliosis aluus turbata, parua, frequenter deiiciens distendentia cum paucis mucosis, dolorem circa tenue intestinum hæc faciunt, & vrinam non facile prodeuntem, ex talibus ad hydropem desinunt.*

645. *Linguæ tremulæ quibusdam alui eruptionis futuræ signum sunt.*

646. *Quibus ardor fit, & ad egressas deiectiones alui insuper exudant, his febris exacerbatur.*

647. *Ex aluis liquidis perfrigeratio cum sudore, mala.*

648. *Ex aluis liquidis, sanguis de gingiuis defluens, lethalis est.*

649. *Alui deiectio pura superueniens, soluit febrem acutam cum sudore.*

GALENI

ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΠΡΟΓΝΩΣΕΩΣ ΒΙΒΛΙΟΝ.

GALENI DE PRÆNOTIONE LIBELLVS.

IAM verò de prænotione deinceps dicamus, quum nobis vtilis tùm ad alia, tùm ad ipsam curationem non parum videatur. Primùm igitur qui artē prognosticam velit constituere, eum necesse est priùs animaduertere, num vt vnumquodque animal proprium vitæ, ita & vnusquisque morbus proprium tempus habuerit, adeo vt quatuor diebus eum solui morbum, sit impossibile, cuius stata naturalis periodus mensium est duorum, soluíque citissimè non potest. Nunc autem quoniam plures recentiorum medicorum artem prænoscendi te nuerūt, iam non amplius quęritur à vulgo, an eius quod futurum est, aliquam possimus instituere prænotionem, an sit impossibile. Sed quum iam id fieri posse omnes existiment, quánam in stata periodo morbus soluetur, à medico sciscitantur. Ad præsentem igitur tractationē haud erit inutile supponere, iam nos primùm artem præsagiendi constituere, etenim & ratione alia sic exposuimus omnia: id enim vnum in primis necessarium, siquæ sit ars præsagiendi, esse quædam venturo tempore certò futura; postea verò quomodo quis inueniat, & quænam eiusmodi, & quot sint, est animaduertendum; nec enim certè omnia quę circa ægrum futura sunt, generationem habēt necessariam. Obstreperi igitur noctē vicini, aut canes oblatrantes, & ingrata quædā nuntia, peruigiles ægros efficiunt; quorū nullū aut necessariā habet generationē aut certam prænotionē. An igitur quæcūq; fiunt iuxta ipsius morbi rationē, definitā generationē & certā prænotionē habēt, vel etiam neq; hæc omnia? potest enim repente confluere quispiā humor superuacaneus intra corpus ipsum; alia si quidē est pars ad vitā necessaria, quēadmodū rursus alius humor à principe potest in ignobilē trāsmitti, humoris autē in partē principē decubitum, periculū sequetur extremū, eum verò qui repente & præter expectationē trāsit, incolumitas ægri. In his igitur cōstitutionibus id solū licet præsagire, quod incertū est ac periculosū, sed ad quid tandē deueniet, possibile est accuratè adinuenire, in quibus etiamnum excrementa non confluant; quum autē in locum aliquem decubuerint, in his licet quod futurum est, aut non futurū præsagire; quòd & facultates habeat natura quibus ipsum animal moderatur; qualis autē sit ipsarū differentia, atque etiam quænam sint excrementa, quæ in

A ΠΕΡΙ προγνώσεως τοίνυν ἐφεξῆς λεγώμεθα, ἐπειδὴ χρήσιμος ἡμῖν εἴς τε ἄλλα τε, καὶ οὐχ ἥκιστα πρὸς τὴν θεραπείαν ἐφάνη. τῷ μὲν οὖν πρῶτον βουλομένῳ συστῆσαι τέχνην προγνωστικὴν, ἀναγκαῖόν ἐστιν ἐπισκέψασθαι πρότερον, ὥσπερ ἑκάστου ζώου ἕκαστον ἴδιον χρόνον ἔχει ζωῆς, οὕτω καὶ τῶν νοσημάτων ἕκαστον, καὶ ἀδύνατον εἶναι τέτταρσιν ἡμέραις λυθῆναι νόσον, ἧς ἡ φυσικὴ προθεσμία δυοῖν ἐστι μηνοῖν, καὶ ἀδύνατόν ἐστι λυθῆναι τάχιστα. νυνὶ μέντοι διὰ τὸ πολλοὺς ἤδη προγνωστικοὺς γεγονέναι τῶν ἐσομένων ἰατροὺς, οὐκ B ἔτ' οὐδὲν τοῖς ἰδιώταις ζητεῖται, πότερον ἐγχωρεῖ τινα ποιεῖσθαι τοῦ μέλλοντος ἀποβήσεσθαι πρόγνωσιν, ἢ ἀδύνατόν ἐστιν. ἀλλ' ἑξῆς ἅπαντες, ὡς περὶ δυνατοῦ τε τοῦ πράγματος ἔχοντες, πυνθάνονταί τε τοῦ ἰατροῦ ἐν ᾗ τινι προθεσμίᾳ λυθήσεται τὸ νόσημα. πρὸς μέντοι τὴν ἐνεστῶσαν πραγματείαν, οὐδὲν ἂν εἴη χεῖρον ὑποθέσθαι, νῦν πρῶτον ἡμᾶς συνίστασθαι τέχνην προγνωστικήν· καὶ γὰρ τἄλλα πάντα κατὰ λόγον οὕτω διήλθομεν. ἓν μὲν δὴ καὶ πρῶτον ἀναγκαῖον, εἴπερ τις εἴη πρόγνωσις, εἶναί τινα βεβαίως ἐσόμενα κατὰ τὸν μέλλοντα χρόνον· ἑξῆς δὲ σκεπτέον ὅπως ἄν τις εὕροι τίνα τε ταῦτα, καὶ C πόσα ἐστίν· οὐ γὰρ δὴ ἅπαντά γε τὰ γινόμενα περὶ τὸν κάμνοντα τὴν γένεσιν ἀναγκαίαν ἔχει. θόρυβος οὖν ἐκ γειτόνων διὰ νυκτὸς ἐξεγειρόμενος, ἢ κύνες ὑλακτοῦντες, ἢ ἀγγελίαι τινὲς ἀηδεῖς, ἀγρύπνους ἐργάζονται τοὺς νοσοῦντας· ὧν οὐδὲν οὔτε ἀναγκαίαν ἔχει τὴν γένεσιν, οὔτε βεβαίαν τὴν πρόγνωσιν. ἆρ' οὖν ὅσα κατὰ τὸν τοῦ νοσήματος ἀποτελεῖται λόγον, ὡρισμένην τε τὴν γένεσιν ἔχει, καὶ βεβαίαν πρόγνωσιν, ἢ οὐδὲ ταῦτα σύμπαντα; δύναται γὰρ ἐξαίφνης ἐπιρρυῆναί τι περιττὸν ὑγρὸν ἔνδον τοῦ σώματος· ἄλλο μὲν ἐστί τι μόριον ἀναγκαῖον εἰς τὴν ζωὴν, ὥσπερ αὖ πάλιν ἕτερον ἐκ μορίου κυρίου μεταστῆναι πρὸς ἄκυρον· ἀκολουD θήσει δ' ἐξ ἀνάγκης τῷ μὲν εἰς τὸ κύριον ἐνεχθέντι μέρος ἔσχατος κίνδυνος, τῷ μεταστάντι δὲ αἰφνιδίως τε καὶ ἀπροσδοκήτως, τοῦ κάμνοντος σωτηρία. τῶν μὲν οὖν δὴ τοιούτων καταστάσεων, αὐτὸ τοῦτο ἔνεστι προγνῶναι τὸ ἀβέβαιόν τε καὶ σφαλερόν· οὐ μὴν εἰς ὅ, τι γε τελευτήσει, δυνατὸν ἀκριβῶς ἐξευρεῖν, ἐφ' ὧν οὐκέτι διαρρεῖ τὰ περιττώματα· κατασκήψαντα δ' εἰς τινα τόπον, ἐπὶ τούτων ἐγχωρεῖ προγνῶναι τὸ μέλλον ἔσεσθαι, ἢ μή· ὅτι καὶ δυνάμεις εἰσὶ τῆς φύσεως, καθ' ἃς διοικεῖται τὸ ζῶον, ὁποία τέ τίς ἐστιν αὐτῶν ἡ διαφορὰ, καὶ μέντοι γε καὶ ὅσα καθ' ὅλον τὸ

ζόν ἐμφέρεται τῷ σώματι περιττὰ χωρὶς πλήθους ἀμέτρου, καὶ ταῦτα προθεσμίαν ἔχει πέψεως ἰδίαν ἑκάστου. ἐάν γε μόνον ἑκάστου περιττώματος ἐξεύρωμεν τὴν φύσιν, οὕτω γὰρ ἐγχωρήσει τι καὶ περὶ πέψεως αὐτῶν στοχάσασθαι τεχνικῶς, ἁπάντων δὲ δηλονότι τῶν περὶ τὸν κάμνοντα πραττομένων ὀρθῶς, ὅσα γὰρ ἁμαρτάνεται πρός τινος, ἢ τοῦ βραδῦναι τὴν λύσιν τοῦ νοσήματος, ἢ τοῦ φθάσαι τὸν θάνατον αἴτια καθίσταται. καὶ μέλλει μεμνῆσθαι τοῦδε παρ' ὅλον τὸν λόγον, εἴπερ τινὸς ἄλλου· μόναι γὰρ αἱ προγνώσεις ἀποβήσονται τοῦ ἀρίστου ἰατροῦ θεραπεύοντος αὐτοῦ τὸν κάμνοντα, μὴ ἁμαρτάνοντος δέ. τὸ δὲ οἴεσθαι τοιαύτην εἶναι τοῖς ἰατροῖς πρόγνωσιν, οἵαν οἱ μάντεις ἐπαγγέλλονται, γελοῖον· ἐκεῖνοι γάρ φασι θᾶττον εἰ οὕτως ἔτυχε, σωθήσεσθαι τὸν ἄνθρωπον, οὐκέτι προστιθέντες εἰ πάντων ὀρθῶς γιγνομένων. καὶ γὰρ καὶ αὐτοὶ ἐπαγγέλλονται τὰ πάντα ὀρθῶς γενέσθαι περὶ τοὺς νοσοῦντας· ὁ δὲ ἰατρὸς οὐδ' οὕτως ἁπλῶς ἐρεῖ τὸ μέλλον· ἀλλ' εἰ πάντα γίνοιτο δεόντως, ἐ * ἔτυχε λυθήσεσθαι τὸ νόσημα· προσγινομένου δέ τινος ἁμαρτήματος, εἰ μὲν μικρὸν εἴη τοῦτο, δύνασθαι μεταπεσεῖν τὴν λύσιν ἐκ τῆς ἑβδόμης εἰς τὴν ἐνάτην· εἰ δὲ μεῖζον, εἰς τὴν ἑνδεκάτην· εἰ δὲ πολὺ μεῖζον, εἰς τὴν τεσσαρεσκαιδεκάτην· εἰ δὲ πάνυ σφόδρα, μέγας κίνδυνος ἐπακολουθήσει ἀντὶ σωτηρίας ἀσφαλοῦς· προσέχει γὰρ ὁ ἰατρὸς δύο τούτοις, ὥσπερ ἀντιπάλοις, τῷ τε νοσήματι καὶ τῇ φύσει. καὶ πρῶτον μὲν τοῦ σωθήσεσθαι τὸν ἄνθρωπον, ἢ ἀπολέσθαι τὴν πρόγνωσιν, ἐν τῷ διαγνῶναι τὸ ἰσχυρότερον· ἔπειτα δὲ καὶ τὴν προθεσμίαν ἐκ τοῦ πόσον θάτερον ἰσχυρότερόν ἐστι, ποιεῖται· καὶ οὐ χρὴ θαυμάζειν, εἰ κατασκεψάμενος ἐκείνου τὴν ῥώμην, ἐξευρήσει τὸ νικῆσον· ὁρῶμεν γὰρ οὐκ ὀλίγους τῶν γυμναστῶν, ἐκ τῶν πρώτων κινήσεων αἷς κινοῦνται πρὸς ἀλλήλους οἱ παλαισταὶ, προλέγοντας τὸν νικήσοντα, καὶ πολλάκις τε καὶ πρὸ τῆς νίκης, καὶ ὅτι ταχέως ὑποχείριον ἕξει τὸν ἀνταγωνιστήν. πράττουσι δὲ τὸ τοιοῦτον, ὅταν ὁρῶσιν ἀξιολόγῳ τινὶ τὸν ἕτερον ἰσχυρότερον ὄντα θατέρου, προγνώσεται μὲν οὖν ὁ ἰατρὸς ὑγείαν τε καὶ θάνατον, οὐκ ἐξ ἄλλων ἀσκημάτων, ἀλλ' ἐκ τοῦ γνωρίζειν ἀκριβῶς ἰσχὺν νοσημάτων τε καὶ φύσεως· ἐκ δὲ τῶν αὐτῶν, καὶ τὴν ἑκατέρου προθεσμίαν ἐξευρήσει· ταχεῖα γὰρ καὶ ἡ λύσις τοῦ νοσήματος, ὅταν ἡ δύναμις εὐρωστῇ. θάνατος δὲ διὰ ταχέων, ἂν αὕτη μὲν ἀσθενήσῃ, ἰσχυρὸν δ' εἴη τὸ νόσημα· τὸ δὲ τῆς ὑπεροχῆς μέγεθος ἐνδείκνυται τῆς προθεσμίας τὸν χρόνον. ἀπὸ τούτων μὲν τῶν σκοπῶν ὁ ἰατρός ἐστι προγνωστικός· ἐξ οἵων δὲ διασκεμμάτων αὐτῷ πάρεστι διαγινώσκειν τοὺς σκοπούς, εἴρηται μὲν ἐν τοῖς περὶ κρίσεων ἐπιπλέον, εἰρήσεται δὲ καὶ νῦν ἡ καθόλου μέθοδος. τὴν μὲν τῆς φύσεως δύναμιν ἐκ τῶν οἰκείων ἐνεργειῶν γνωρίσαι, καὶ μάλιστα τῶν κατὰ τοὺς σφυγμούς· ἐπειδὴ τῆς ζωτικῆς οὗτοι δυνάμεως ἔργον εἰσί· τὸ δὲ μέγεθος τοῦ νοσήματος ἐκ τῶν ἰδίων συμπτωμάτων· τὸ δ' ὅσῳ θάτερον ὑπεράγει θατέρου, ταῖς ἀπεψίαις καὶ πέψεσιν· αὐτὰς δὲ ταύτας ἐκ τῶν ἰδίων περιττωμάτων· τὰς μὲν ἐν γαστρὶ, διὰ τῶν ὑπιόντων κάτω· τὰς δ' ἐν τοῖς ἀγγείοις, διὰ τῶν οὔρων· τὰς δ' ἐν τῷ ὅλῳ σώματι, διὰ τῶν ἱδρώτων. οὕτω δὲ καὶ τὰς ἄλλας ἁπάσας ὅσαι κατά τι μέρος, ἢ ἐν πλείοσι συνίστανται· τὰς μὲν κατὰ θώρακα καὶ πνεύμονα, διὰ τῶν ἀναβηττομένων· ὅσαι δὲ κατὰ κύστιν, ἢ νεφρούς, διὰ τῶν τοῖς οὔροις ἐμφαινομένων· ἧπατος δὲ σιμὰ, καὶ μεσεντέριον ὅπως ἔχει δυνάμεως, ἐκ τῶν ὑπιόντων * τοῖς ἐμουμένοις κατὰ τὴν ἄνω γαστέρα καὶ στόμαχον. ὅσα δὲ ἐκκρίνεται διὰ ῥινῶν καὶ ὤτων, ἐγκέφαλος ὅπως ἔχει

A omni animali per totum corpus diffluunt, quāuis non immoderatiùs exuperēt, & hæc ſtatam habebūt propriam quamq; coctionis periodū. Sin autē ſolū vniuſcuiuſq; excrementi naturā adinuenerimus; ſic enim licebit & aliquid de ipſarū cōcoctione artificioſè cōiicere, omnibus ritè videlicet circa ipſum ægrotū peractis: quæcumq; enim vel in vno perperā fiunt, cauſa ſunt, cur aut ipſius morbi ſolutio prorogetur, aut mors anticipet. Atq; huius, ſi cuiuſquā alius, per totū librum oportet meminiſſe. Solæ nāque prænotiones illæ contingūt, quum optimus medicus, & nihil peccās, ipſi ægro fecerit medicinā; exiſtimare autē ipſos medicos talē inſti-
B tuere prænotionē, qualē vates ipſi pollicentur, ridiculū eſt; hi enim dicunt celerius iri ſeruatū hominē, exempli gratia, haud etiam addentes omnibus rite peractis, etenim & ipſi circa ægros omnia rectè fieri pollicētur; ipſi verò medici, non ita ſimpliciter pronūciant id quod futurū eſt, ſed ſi cōuenienter facta fuerint omnia,* iri ſolutū morbū ipſum cōtinget; errore verò aliquo prius admiſſo; ſi quidē is fuerit exiguus, poſſe ipſam ſolutionem in nonū à ſeptimo trāſire; ſin autē maior fuerit, in vndecimū; ſi verò multo maior, in decimūquartū; ſed ſi maximus pro tuta ſalute, ſequetur periculum in-
C gēs; hęc enim duo quaſi inter ſe pugnātia medicus debet animaduertere, morbū videlicet ac naturā. Ac primū quidē ſalutē ipſius hominis aut mortem præſagire, quum cognouerit alterum eſſe validius; inſuper autē ſtatam dicit eſſe periodū, ex eo quod videat quātū alterū fuerit validius, neq; igitur mirum eſt, ſi quum illius robur obſeruaueris, id ſuperius euaſurū inuenias. Gymnaſtarū enim non paucos, ex primis motibus quibus in ſeſe inſultant inuicē Athletæ, eum videmus prædicentes, qui victor ſit euaſurus; ac ſæpe etiam ante certamē eum qui celeriter hoſtē ſit proſtraturus; id autē faciunt
D quum alterū viderint altero validiorē. Præſagiet igitur medicus ſanitatem vel mortem, non ex alia exercitatione, ſed ex eo quod morborum & naturæ vires perfectè cognoſcat; ex his autem ipſis, & vtriuſque ſtatam periodum inueniet: celeris enim fiet morbi ſolutio quum ipſa facultas fuerit vegeta; mors autem cita, quum ipſa quidem fuerit imbecilla, morbus verò validus; ipſius autem exceſſus magnitudo, ſtatæ periodi tempus indicabit. Ex his autem indicationibus medicus præſagiet; ſed quibus ex rationibus ipſe poſſit indicationes agnoſcere, dictum quidem pluribus eſt in libris de criſibus, dicetur autem & nunc generalis methodus.
E Ipſius naturæ vires ex propriis functionibus cognoſci, atque maximè ex pulſibus, quum & ipſi facultatis vitalis ſint opus. Ipſius autem morbi magnitudinem, ex propriis ſymptomatis; quantum verò vnum ſuperet alterum, ex ipſis cruditatibus & coctionibus, has autem ipſas ex propriis excrementis, eas quidem quæ in ventre ſunt, ex iis quæ per inferiora deiiciuntur, eas verò quæ in venis, ex vrinis, eas autem quæ in toto corpore, ex ſudoribus. Ita & aliàs omnes quæ circa partem aliquam, vel in pluribus perficiuntur, eas quæ in thorace & pulmone, ex iis quæ tuſſi reiiciuntur, eas ve-
F rò quæ in renibus, ex iis quæ cum vrinis; hepatis autem ſima, aut meſenterium quomodo facultates habeant affectas ex iis quæ deiiciuntur * * * ex iis autem quæ vomuntur, eam quæ in ventre ſuperiori & ſtomacho: quæcumque verò tum per nares, tum per aures excernuntur, indicant quomodo ſe cerebri

facultas

facultas habeat. Cõmune autem omnibus est non posse morbum soluere, prius quàm in iis quæ excernuntur * videris signum tale coctionis, ac si malè habeant aures, * pharynx, & vt verbo dicam, coctiones crisis celeritatem & tutam significant sanitatem; cruda verò, & incocta, & in malos abscessus conuersa, aut dolores, aut diuturnitates, aut mortem, vel horum recidiuas: hæc in præsenti de prænotione sufficiunt; omnis enim de ipsa sermo in propriis tractationibus fuit habitus; eas verò, quæ sigillatim magnæ sunt, ac fermè omnia theoremata complectuntur, exposuimus in tractationibus de pulsibus atque de crisibus, ex quibus enim maximè quis præsagiat, in iis tribus ostensum est. Ac mihi videtur omnis curandi methodus suum finem assequuta, quum & à morbo liberatos in sanam quandam firmitatẽ adduci, & quos morbi minantur, eos à morbis cõueniat præseruari; & eos qui inculpata sanitate fruuntur, in ea cõseruari. Atque tres hæ supersunt ipsius artis partes. Enitendum igitur quantũ in nobis est, breuiter & aliquid de harum constitutione dicere. Quum igitur, vt prius dictũ est, tria quasi sint omnium quę præter naturam sunt, genere, causæ videlicet, affectus, & symptomata; quęnam est ea pars medicinæ quæ præseruat, quam quidem propriè prophylacticen appellant, in primo genere cõstituta? quãdo enim vel humorum quædam exuperantia, vel prauitas, aut obstructio, vel vis quædam inest ipsi corpori deleteria, periculum est non leue, ne is homo incidat in morbum; est & quum maximè periclitatur, difficilè autẽ eiusmodi causæ cognoscuntur quum nondum hominem afficiunt; quemadmodũ enim & rabidi canis venenum nihili ducimus, cuius nullum in corpore signum elucescit, donec propè rabies demorsum inuadat, ac sanè has ob causas ipsum medicum oportet ægros interrogare, de his quæ illis contigerunt omnibus. Quum igitur vel plethora vel cacochymia delitescens, circa tumorem ipsius corporis eluserit, aut viscus obstruxerit aliquod, id ex quibusdam symptomatis deprehendere licet, quæ quasi media sunt, inter ea quæ sanis adsunt, & ea quæ cõtingunt ægrotis; etenim quæ sanis insunt, secundum naturam omnia sunt, & inculpata; quæ verò contingunt ægrotis, præter naturam sunt & vitiosa; quæ verò horũ sunt in medio, ex genere quidem eorum sunt quæ contingunt ægrotis, sed ita magnitudine parua & viribus imbecillia, vt nullo modo ab ipsis solitæ functiones impediantur; siue enim dolor capitis, aut alicuius partis alterius adsit exiguus adeo vt decumbere hominem non cogat, siue grauitas circa hypochondria, vel caput, vel partem quampiam aliam, aut viscus; id autem non sufficiat vt solitas functiones intercipiat, insuper autem magis corporis tumor, vel gracilitas vel decoloratio, vel segnities ad motus, vel somnolentus affectus, vel vigiliæ, quæ haud sufficiant vt vitæ consuetas functiones interpellẽt; atque multo magis inappetentia, vel intensa ciborum appetentia, vtrumq; enim fit corpore accuratè sano; quemadmodum & præter rationem non sitientes, aut siticulosi, vel morsus ipsius ventriculi, & stomachi, aut lassitudinum ipsarum sensus. Sic enim somnus est ex iis, quæ in morbum præcipitant, eorum verò quæ ipsum producunt affectum, emendatio; vt verbo dicam per contraria fit vt priùs fuit ostensum, sigillatim verò si quid superfluum superuenerit, illud educere cõuenit, quum prius definiuerimus qua id ratione

ANte omnia Lunam considerare oportet, num ea moueatur addendo an demendo numeris, non luminibus, sicuti decepti sunt quidam. Si ergo, vbi quis decubuerit, Luna in aliquo duodecim Zodiacũ constituentiũ signorũ incipiat propriæ magnitudini addendo & propriis numeris moueri, progrediens ad æquipartium; est autem Æquipartium idem quod diameter, maximam faciet episemasiam. Maximè verò, si etiam coniunctionalis fuerit, vbi scilicet coniunctione soluta tendit in plenilunium, & feratur in cursus quantitatem maiorem, sub centesimum, & octogesimum gradũ interficit. Si verò, vbi quis decubuerit, Luna demendo moueatur, morbus vsque ad oppositum faciet commotionem; *post oppositũ verò*, morbum in magis salubre conuertit. Aduerte autem animum ad motus testimoniáque stellarum. Si enim, vbi quis decubuerit Luna in maius moueatur, *Marti Solique* configurata, augebit morbum, & periculosum reddet. Si verò luminibus, numerisque augeatur, circa Martem oppositum, periculum proculdubio afferet. Si verò phaëtonti Ioui quocunque modo fuerit configurata, morbos sine periculo faciet: vel in quadrato facta commotione incolumes reddet ad oppositum. Si verò phlegethonti Saturno configuretur numeris demens, circa nonagesimum gradum instabiles reddit, ac periculosos. Quòd si coniunctione soluta ad minora feratur, circa centesimum, & octogesimum gradum absque vllo dubio interimet. Si verò Soli vel Marti in decubitu configuretur, numeris demens, vel etiam lumine deficiens, minuetur morbus ad gradum nonagesimum, & facta commotione ad sanitatem conuertetur. Quòd si coniunctionem soluerit, & adhuc minuatur, circa centesimum, & octogesimum gradum incolumitati restituet. Verùm assumere reliquas etiam stellas oportebit, per singula signa, quo pacto se habent, illinc etenim, duodecim signa Luna permeante, causæ morborum cognoscuntur. Ante omnia autem scire oportet, si quis negligenter se in calculis gesserit, nihil ei secundum verum esse successurum; si verò non succedat, in ipso, non in re, causam erroris meritò futuram. Numeri autem non secus, ac in ipsa natiuitate disquirantur, ex hisce enim veritas certa cognoscetur.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ τοῦ τῆς ☽ κατὰ ♈ σχηματισμοῦ.

ΕΑν γένηται κατάκλισις, ☾ οὔσης ἐν ♈ πρὸς ♂ ἢ ☉ σχηματιζομένη, ἔσται ἡ νόσος ἀπὸ κεφαλῆς ἐξ ἐγκαύσεως, καὶ τὴν μήνιγγα ἀλγήσει. καὶ ἔσονται πυρετοὶ συνεχεῖς. καὶ ἀγρυπνίαι. καὶ καῦσος. καὶ δίψα. καὶ τραχώδης ἡ γλῶσσα. καὶ τοῦ θώρακος ἐκπύρωσις. ἢ ἥπατος πόνος. καὶ σφυγμοὶ ἐπηρμένοι, καὶ ἄτακτοι, τούτοις ὠφέλιμος ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ προσαγωγὴ πάντων τῶν δυναμένων ψύχειν, καὶ παρηγορεῖν. ἔσται γὰρ παρακοπὴ, καὶ φρενῖτις.

CAPVT III.

De Configuratione Lunæ in Ariete.

SI factus fuerit decubitus, quando Luna est in Ariete, & Marti vel Soli configuratur, morbus à capite erit à Solis æstu, atque meninges dolebunt, & erunt continuæ febres, & vigiliæ, & ardor, & sitis, & aspera lingua, & thoracis incendium, vel hepatis dolor, & pulsus elati, ac inordinati. His vtile fuerit sanguinem educere, & adhibere omnia, quæ frigefacere queant, & mitigare, nam erit delirium, atque phrenitis.

Quòd

Quòd si nulla benefica Lunæ complicetur, habeâtque Saturnus eandem figuram vsque ad diem septimum, interibit in primo quadrato, & Maximè si Luna numeris, vel lumine augeatur. Si autem factus decubitus fuerit, vbi Luna est in Ariete, & aliqua maleficarum ex opposito, vel quadrato ei configuratur, vel cum ipsa apparet, stellam ipsam videre oportebit, quænam sit. Ac si quidem fuerit Saturnus, causæ in capite sunt, lethargus, sine sensu, alto somno oppressi, infrigidati, adhuc autem inæquales, nunc quidem remisso morbo, nunc verò intenso. Quòd si illa quoque luminibus, vel numeris, vel vtrisque demat, vt tibi antea dixi, ad dictum gradum nonagesimum, maximam habebit commotionem. Sed & reliquas quoque adiunge. Nam si Iupiter, vel Sol aliqua annuerit configuratione, in summum veniet discrimen, at oppositum prætergressus seruabitur. Si autem solus Mercurius propositæ constitutioni, configuretur, absque dubio morietur. Et si igneus quoque Mars propositæ figuræ configuretur, redemptores tu potius existimabis. Quare oportebit te omni prudentia vti, scientem huiusce stellæ frigidiores esse affectus, atque rheumaticos. Si verò Luna configuretur Marti, vel Soli numeris addens, vel etiam lumini, inducet ea in capite affectus alienationes mentis, phrenitides, dolores, inflammationes, incendia, cruentationes. Oportet igitur in cunctis, vti illis, quæ frigefacere valeant & discutere, atque hisce quidem maximè circa quadratum; nam post tertium diem augeri incipit morbi magnitudo; affectus verò periculosi erunt, & acutissimi vsque ad oppositum. Si autem Mercurius propositæ figuræ configuretur, periclitatus seruabitur; namque hic consentit cum Marte, è contra verò à Saturno dissentit. Si verò vbi factus fuerit decubitus, Ioui, vel Mercurio, & Veneri, vel etiam alteri ipsorum tantum Luna configuretur, morbos quidem facit inæquales, & in diuersos affectus deuoluuntur, sed omnino seruantur. Te ergo oportet diætis adhibere animum, & gestationibus, & deambulationibus, & balneis, & vino exhibendo: qui enim Saturno configurante decubuere, & balnea cupient, & quietem, & lectum, cibúmque multum, & calentem potum. Qui autem Marte, potum frigentem, motum, vinum, ventos. Oportet ergo te à proprio iuxta quamlibet stellam desiderio haudquaquam retrahere; quælibet enim stella, quibus rebus delectatur, & optat, his etiam iuuat. Vt enim mihi videtur, optimè Aphrodisi, ne putato huiuscemodi curationes medicæ rationi aduersari. Ego enim, qui cognitas habeo stellarum naturas, effatus sum tibi, quibus rebus quælibet delectetur, vt in cunctis, labi non possis.

CAPVT IV.

De configuratione Lunæ in Tauro.

SI quis verò decubuerit, quando Luna est in Tauro, & Saturnus in eius est quadrato, vel opposito, vel cum ipsa vnà, præsertim vbi ea, & lumini, & numeris demit, morbus etiam in principio à crapula erit, & ferculis, & plenitudine; & erunt febres astrictæ, & hypochondriorum dolor,

Ἀγαθοποιοῦ δὲ μηδενὸς παρεμπλεκομένου τῇ ☾, καὶ ♄ τὸ αὐτὸ σχῆμα ἔχοντος, μέχρι τῆς ζ'. ἡμέρας τελευτήσει ἐν τῷ α'. τετραγώνῳ, καὶ μάλιστα ἐὰν τοῖς ἀριθμοῖς αὐξαίνῃ ἢ τῷ φωτὶ ἡ ☾. Ἐὰν γένηται κατάκλισις ☾ οὔσης ἐν ♈, σχηματίζεται δέ τις αὐτῇ τῶν κακοποιῶν διαμέτρως ἢ □. ἢ σὺν αὐτῇ, φάσιν ποιούμενος, δεήσει τὸν ἀστέρα αὐτὸν ἐφορᾶν ποῖός τίς ἐστι. κἂν μὲν ᾖ ♄, τὰ περὶ τὴν κεφαλὴν αἴτια γίνεται· λήθαργος, ἀναίσθητοι, καταφορικοί, κατεψυγμένοι, ἔτι δὲ ἀνώμαλοι, τῆς νόσου ποτὲ μὲν ἀνιεμένης, ποτὲ δὲ ἐπιτεινομένης. Ἐὰν δὲ καὶ τοῖς φωσὶν ἀφαιρῇ, ἢ τοῖς ἀριθμοῖς, ἢ τὸ συναμφότερον ὡς προεῖπόν σοι, εἰς τὴν εἰρημένην Ϛ'. μοῖραν ἐπισημασίαν μεγίστην ἕξει. προσλάμβανε δὲ καὶ τὰς λοιπάς. Ἐὰν γὰρ ♃. ἢ ἥλιος προσνεύσῃ κατὰ τὸ σχῆμα, μέχρι τοῦ ἄκρου κινδύνου ἐλεύσεται, καὶ παραλλάξας τὴν διάμετρον, σωθήσεται. Ἐὰν δὲ Ἑρμῆς μόνος σχηματισθῇ τῷ προκειμένῳ ὅρῳ, ἀπαραλλάκτως τελευτήσει. Εἰ δὲ καὶ πυρόεις Ἄρης, πρὸς τὸ προκείμενον σχηματισθείη σχῆμα, ἀντιλήπτορές σοι μᾶλλον νομιζέσθωσαν. διὸ δεήσει σε πάσῃ συνέσει προσάγειν, εἰδότα ὅτι τοῦ ἀστέρος ψυχικώτερα τὰ πάθη, καὶ ῥευματωδέστερά ἐστιν. Ἐὰν δὲ Ἄρης συσχηματίζεται ἢ τῷ ☉ προστιθεῖσα τοῖς ἀριθμοῖς, ἢ καὶ τῷ φωτὶ, ποιήσει τὰ περὶ τὴν κεφαλὴν πάθη· παρακοπάς· φρενίτιδας· περιωδυνίας· φλεγμονάς· πυρώσεις· αἱμαγμούς. δεήσει οὖν ἐν πᾶσι χρῆσθαι τοῖς δυναμένοις ψύχειν, καὶ διαφορεῖν. καὶ τούτοις μάλιστα περὶ τὸ □. Ἐπειδὴ ἀπὸ τῆς διὰ τρίτου ἄρχεται τοῦ αὔξειν τὸ μέγεθος τῆς νόσου· ἐπισφαλῆ δὲ καὶ ὀξύτατα πάθη, μέχρι τῆς διαμέτρου γενήσεται. Ἐὰν δὲ Ἑρμῆς συσχηματισθῇ τῷ προκειμένῳ ὅρῳ, σωθήσεται κινδυνεύσας, μετὰ γὰρ ♂ συμφωνεῖ, μετὰ δὲ ♄ τοὐναντίον. Ἐὰν δὲ γινομένης κατακλίσεως σχηματισθῇ ἡ ☾ τῷ Διῒ ἢ τῷ Ἑρμῇ, καὶ τῇ ♀. κἂν ὁποτέρῳ αὐτῶν μόνῳ ἀνωμάλους μὲν τὰς νόσους ποιεῖ, καὶ εἰς ἕτερα πάθη μετακυλίονται. σώζονται δὲ ἀπαραβάτως. χρὴ οὖν σε προσέχειν ταῖς διαίταις, αἰώραις τε, καὶ περιπάτοις, καὶ βαλανείοις, καὶ οἴνου δόσει. Οἱ μὲν γὰρ πρὸς ♄ κατακλιθέντες, ἐπιθυμήσουσι καὶ βαλανείων, καὶ ἠρεμίας ἐπὶ κλίνης· πολυτροφίας τε, καὶ θερμοποσίας. Οἱ δὲ πρὸς Ἄρεως, ψυχροποσίας. κινήσεως. οἴνου. ἀνέμων. Χρὴ οὖν σε καθ' ἕκαστον ἀστέρα, ἰδιοτρόπως τῆς ἐπιθυμίας μὴ ἀποσπᾶν. ἕκαστος γὰρ τῶν ἀστέρων οἷς ἥδεται, καὶ ἐπιθυμεῖ, τούτοις καὶ ὠφελεῖται. ὡς γὰρ ἐμοὶ δοκεῖ, κράτιστε Ἀφροδίσιε, μὴ νομίσεις ταύτας τὰς θεραπείας ἐναντιώματα εἶναι κατὰ τὸν ἰατρικὸν λόγον. ἐγὼ γὰρ γνοὺς τὰς φύσεις τῶν ἀστέρων, προσεφώνησά σοι ᾧτινι ἕκαστος ἥδεται ἵνα ᾖς ἐν πᾶσιν ἀδιάπτωτος.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ σχηματισμοῦ τῆς ☾ κατὰ τὸν ♉.

ΕΑΝ δὲ τῆς ☾ οὔσης ἐν ♉. κατακλιθῇ τις, Κρόνου ὄντος ἐν τῷ □. ἢ διαμέτρῳ, ἢ συνόντος τῇ ☾. μάλιστα ἀφαιρούσης καὶ τῷ φωτὶ, καὶ τοῖς ἀριθμοῖς, ἔσται ἡ νόσος καὶ ἐν τῇ καταρχῇ, ἀπὸ κραιπάλης, καὶ περιφορῶν, καὶ πλήθους, καὶ ἔσονται στεγνοὶ πυρετοὶ, καὶ τῶν ὑποχονδρίων ἄλγησις,

καὶ τῶν ἄρθρων πόνος, καὶ σφυγμοὶ ἐπηρμένοι, καὶ ἄτακτοι· καὶ ὅλου τοῦ σώματος φλεγμονὴ, καὶ περὶ τὸν πνεύμονα βάρους αἴσθησις, καὶ εὐωνύμου πλευροῦ· τούτοις βοηθεῖ ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ πάντων τῶν δυναμένων καθελεῖν τὴν ἕξιν. ἀγαθοποιῶν οὖν μὴ παρεμπλεκομένων μέχρι τῆς διαμέτρου, ἀπαραβάτως τελευτήσει. ἐὰν δὲ καὶ τοῦ πυρόεντος τὸ αὐτὸ σχῆμα ἐπισχῇ, ἢ ☍, ἐν τῷ πρώτῳ □ τελευτήσει. ἀγαθοποιῶν δὲ παρόντων, καὶ τὴν πανσέληνον ἐπιθεωρούντων, κινδυνεύσας σωθήσεται. ἐὰν δὲ τῆς ☾ πανσελήνου οὔσης ἐν τῷ ταύρῳ, κατακλιθῇ τις μάλιστα ἡμέρας οὔσης, ♂ συνόντος αὐτῇ ἢ διαμέτρως ἢ □, ἔσται ἡ νόσος ἐκ πλήθους αἵματος, καὶ στέγνωσις, καὶ ἐκπύρωσις, καὶ τοῦ τραχήλου καὶ ὀστέων ἄλγησις, καὶ ἀγρυπνία ὑπερβάλλουσα, καὶ ἐπιθυμία πολλὴ οἴνου, καὶ ψυχροῦ· τούτοις οὖν ἡ τοῦ αἵματος ἀφαίρεσις ὠφέλιμος, καὶ πάντα τὰ ἀναχαλῶντα. ♄ δὲ τὸ αὐτὸ σχῆμα ἐπέχοντος τῇ πανσελήνῳ, μηδενὸς ἀγαθοποιοῦ παρεμπλεκομένου, τὴν ἐννάτην ἡμέραν οὐχ ὑπερβήσονται. ἀγαθοποιῶν δὲ παρόντων, ἢ συσχηματιζομένων, κινδυνεύσας μέχρι τῆς ὀγδόης ἡμέρας σωθήσονται. ἐὰν δὲ τῆς σελήνης οὔσης ἐν ♉. κατακλιθῇ τις κατὰ τὸν προκείμενον ὅρον μειουμένης αὐτῆς, καὶ τοῖς φωσὶ, καὶ τοῖς ἀριθμοῖς, αὐτῇ δὲ σχηματισθῇ ♄ καθ' οἷον δήποτ' οὖν τρόπον, μάλιστα ἐὰν ὁ ♀ συμπεριειλημμένος ᾖ, τὰ πάθη κατ' ἰδιοτροπίαν μὲν τοῦ ζωδίου, κατὰ τὰς ἀρχὰς ἔσται βραδυκίνητα, δυσσύνοπτα, ὡς μὴ ὑπαρχούσης νόσου, νωχελεῖς τε τοῖς σώμασι, καὶ τὰς λαλιὰς τεθραυσμένοι· ἀνόρεκτοι δὲ τῷ στομάχῳ, καὶ τὰς ἐν βάθει θερμασίας ὑποφαίνοντες, τοῖς τε ἄρθροις ἐπαλγεῖς, καὶ τὸ ὅλον σῶμα παρειμένοι. ταῦτα δέ σοι τὰ σημεῖα προστίθημι ἐπὶ παντὸς ζωδίου. καὶ ἐάν τι τῶν εἰρημένων φαίνεται, εὐσυνοπτος ἡ περὶ τοὺς κάμνοντας ἀπόφασις ἂν εἴη. φύσει γὰρ τὸ ζώδιον τοῦτο, ἔχον ἐπισημασίας τῶν ὑδάτων, ἄγει χειμῶνας, καὶ κατὰ γῆν τε, καὶ κατὰ θάλασσαν, καὶ πνευμάτων παντοίων ἐπισημασίας κινεῖ, διὸ δεῖ σε τῆς κεφαλῆς ἐπιμέλειαν ποιεῖν. ὑποφανεῖ γάρ σοι ἀπαθὲς τὸ αἴτιον τῆς καταρχῆς τῆς νόσου, διὸ καὶ τὸ νευρῶδες ὅλον συμπαθήσει, καὶ τὰ τοῦ στομάχου παρακολουθήσει αἴτια. οἵ τε γὰρ σφυγμοὶ ἐνδεδυκότες, καὶ μυρμηκίζοντες μάλιστα περὶ τὴν ἡμέραν, διὸ χρὴ τρέφειν μὲν, μὴ εὐλαβεῖσθαι δὲ, ὡς ὑπερβάλλουσαν ἀσθένειαν ὅσον διὰ τὴν μικροψυχίαν, τάς τε τοῦ αἵματος ἀφαιρέσεις, καὶ τῆς κοιλίας τὴν ὑπαγωγὴν ποιεῖσθαι πάντα ἀφαιροῦντα. ἀπὸ δὲ τῆς □, ἐπὶ τὴν ☍ παρατηρεῖσθαι. ἐὰν γὰρ σύνδεσμον λύσασα τῆς σημασίας ἐπὶ τὸ βέλτιον κινήσῃ, ἔσται ἐπὶ τῆς ☍ ἡ κατάλυσις τῆς νόσου. ἐὰν δὲ λύσασα τὸν σύνδεσμον ἐπισημασίας ἐπὶ τὸ χεῖρον ποιήσει, μάλιστα μηδενὸς ἀγαθοποιοῦ ἐπὶ τῆς κατακλίσεως παρεμπλακέντος τὴν ☍ οὐχ ὑπερβήσεται. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♉ κατακλιθῇ τις, καὶ σχηματισθῇ τῷ ♂ ἢ τῷ ☉ μάλιστα ἐπὶ πανσέληνα, ἢ ἀμφίκυρτα, αὔξουσα τοῖς ἀριθμοῖς, ἔσται τὰ αἴτια περὶ τὸν τράχηλον, καὶ τὰ ὑποχόνδρια, ἐκ πλησμονῆς· οἵ τε πυρετοὶ καυσώδεις, καὶ ἐστεγνωμένοι· καὶ περὶ τὴν γλῶσσαν τραχύτης· καὶ πικρία στόματος· αὐτοί τε τοὺς ὀφθαλμοὺς ταυρηδὸν σχηματίζοντες, πᾶσά τε ἀπειλὴ περὶ τὸ πρόσωπον, τάς τε λαλιὰς θρασείας, καὶ πυκνότερον ἀναπηδῶσι, πικραινόμενοι πρὸς τοὺς οἰκείους, διψαλέοι τε. χρὴ οὖν τῆς κοιλίας ποιεῖσθαι ἐπιμέλειαν, πρὸς τὸ στεγνῶσαι, τάς τε τοῦ αἵματος ἀφαιρέσεις μάλιστα προσάγειν, καὶ μὴ πολὺ ἀποσπᾷν τῆς ἐπιθυμίας τοῦ ψυχροποτεῖν. αἱ γὰρ νόσοι, ἀπὸ τῆς ἀρχῆς ὀξύτεραι μέχρι τῆς διὰ πέμπτης ἕως τῆς ζ. προσεκτέον δὲ χρή. ἐὰν γὰρ ἴδῃς τὸν ♌ κατὰ τὸν δ'. ἔσται καρδιακὴ διάθεσις.

A & labor articulorum, & pulsus elati, ac inordinati, & totius corporis inflammatio, & in pulmone ac latere sinistro sensus grauitatis. Hos iuuat sanguinis detractio, eáque omnia, quæ valent habitum demoliri. Si igitur beneficæ vsque ad oppositum, non complicentur, proculdubio morietur. Quòd si etiam Mars eandem figuram, aut oppositum, retineat, in primo quadrato interibit. At si beneficę adsint, Lunamque aspiciant, periclitatus seruabitur. Si verò quis decubuerit, quando Luna est in Tauro, præcipuè vbi dies est, Mars autem cum ea est simul, vel in eius opposito aut quadrato, morbus erit ex plenitudine B sanguinis, & adstrictio, & incendium, & dolor colli ossiúmque, immodicæ vigiliæ, & magnum vini desiderium, & frigidæ. His ergo sanguinis detractio conducit, & omnia quæ relaxant. Quòd si Saturnus eandem cum Luna obtineat figuram, nulláque benefica complicetur, nonum diem non superabit; si autem beneficæ præsentes adsint, vel configurentur, periclitatus vsque ad vigesimum diem seruabitur. Si verò quis decubuerit, quando Luna est in Tauro, ac iuxta propositam constitutionem, & lumina, & numeros imminuit, ipsi verò Saturnus quomodocunque configura- C tur, præsertim si Venus vnà comprehendatur, affectus iuxta sanè signi proprietatem in ipsis initiis tardè mouebuntur, & ægrè innotescent, veluti si non adsit morbus: & corporibus imbecilli, & interrupti loquelis, & stomacho nihil appetentes, & calefactiones quæ sunt in profundo ostendentes, & articulis dolentes, & toto corpore resoluti. Hæc autem ego tibi signa totius Zodiaci propono, vt si quod ex illis appareat, facilè videas quid de infirmis sit pronunciandum. Naturâ enim ipse Zodiacus, quum habeat significationes aquarum, inducit & terra, & mari tempestates, & excitat diuersorum turbationes ventorum. Quare te ca- D pitis curam gerere oportet; hoc enim ostendet tibi principij fixam morbi causam; vnde & neruosum omne compatietur, & noxæ stomachi consequentur, pulsúsque abditi, & formicantes, præcipuè per diem. Quamobrem nutrire quidem oportet, non autem vereri ob pusillanimitatem, & detractiones sanguinis, & ventris subductionem, omniáque quæ euacuant, vt quæ magnam admodum debilitatem inducant; à quadrato autem vsque ad oppositum diligentius seruare. Si enim coniunctione soluta significationes mutabit in melius, morbus in opposito E dissoluetur; ac si coniunctione soluta, in deterius significationes faciet, præsertim si nulla benefica in decubitu fuerit complicata, oppositum non prætergredietur. Si verò quis decubuerit, quando Luna est in Tauro, & Marti, vel Soli configuratur, præsertim si plena sit; vel gibba vtrinque, numeris augescens, in collo & hypochondriis erunt causæ ex plenitudine, & febres ardentes ac constrictæ, & in lingua asperitas, & oris amaror; ipsi verò oculis toruè intuentes, faciésque prorsus minabunda, ac verbis temerarij, & frequentius in domesticos amarulenti insultant, F & sunt siticulosi. Oportet itaque ventris curam gerere, ne sit adstrictus, atque in primis sanguinis detractionibus vti, neque à desiderio frigidi potus admodum retrahere, nam morbi à principio vsque ad quintum, siue septimum erunt acutiores. Oportet autem esse attentum. Si enim videris Leonem in quarto, erit affectus cardiacus. Quare

Quare oportet in septimo singulis horis esse attentum, & ad vini ac frigidæ potionem præparari. A septimo autem, si ad deterius vertatur, eius salus est desperanda, nam ineuitabiliter morietur. Inspicere autem oportet & horas in hac commotione, quo pacto possis horam adaptare ad beneficas, & nutriendo, vel lauando, vel vinum exhibendo, opitulari. Si enim in hac commotione cibus detur, medicæ id rationi aduersabitur; at si in hora detur beneficarum, magnopere iuuerit. Quòd si Lunæ, dum ad eum, qui dictus est, se habet modum, Iupiter vel Mercurius, vel Venus cõfiguretur, siue addat illa numeris, siue demat, vsq; ad oppositum manifesta fiet ad salutem conuersio. Oportet ergo citra omnem adiectionem diminuendo cibare.

CAPVT V.

De configuratione Lunæ in Geminis.

Si verò aliquis decubuerit, quando Luna est in Geminis, & Saturnus est cum ipsa, vel ex opposito, aut quadrato aspicit, origo morbi à labore, & vigilia erit, vel in primis ab itinere, si Luna lumini demat & numeris, habebit enim in articulis dolorem; & paulatim se retegit morbus, & à tertio die incipit augeri vsque ad vigesimum, febres enim tenues erunt, & corporis totius extenuationes ob eas, quæ frequentius noctu fient, intensiones; & dolor splenis. Quòd si nulla benefica complicetur, & eandem igneus Mars figuram obtineat, post trigesimum diem morietur. Sed si adfuerint beneficæ, ac Lunam intueantur, in diuturnos, & periodicos delapsus affectus seruabitur. Si verò aliquis decubuerit, quando Luna est in Geminis, & Mars vel cum ipsa est, vel ex opposito, seu quadrato aspicit, tum autem numeris luminéque augescit, instabilis morbus ac periculosus erit. Nam continuæ erunt febres adstrictæque ac ardentes, & pulsus elati, ac inordinati. His igitur conducet detractio sanguinis. Quòd si nulla benefica Lunam aspiciat, & eandem Saturnus figuram obtineat, vsque ad diametrum morietur. Sed si eam benefica aspiciat, periclitatus seruabitur. Si verò aliquis decubuerit, quando Luna est in Geminis, procatarctica morbi causa à labore erit & balneis; atque omnis humiditas morbum retinebit. Quòd si configuretur splendens Saturnus scintillantem Mercurium assumens; præcipuè si Luna coniunctione numeris demat, scapulas dolebit, & lumbos, & totum corpus erit ignitum, ac in superficie veluti ex adustione dolens. Erunt autem inutiles sanguinis detractiones, quod quidem ipsi exoptabunt; & contraria erit frigidæ potio vsque ad septimum. Quum autem ea coniunctionem soluit, & ad minora mouetur, proculdubio interibit. Si verò in proposita constitutione aliqua beneficarum in decubitu configuretur, ab aliis in alios decidunt affectus, vt ischiadas, & alios quosdam in ipsis articulis dolores. Quantitas autem temporis innotescet tibi ex ipsa Lunæ copulatione, hoc est ex ipso stellæ beneficæ progressu, nam proculdubio seruantur. Eadem autem ratio in omni signo. Si verò decubitus fiat omnium carens configuratione stellarum, inæquales morbi sunt, sub oppositum autẽ liberantur. Inæqualitas verò ita tibi statuatur; quocunque in signo Luna extiterit, in eo ipsam imperiũ assumere:

A διὸ χρὴ τῇ ἑβδομαίᾳ προσεδρεύειν πᾶσαν τὴν ὥραν, καὶ παρασκευάσασθαι πρός τε τὸν οἶνον, καὶ ψυχρὸν ὕδωρ. ἀπὸ δὲ τῆς ἑβδομαίας, ἐὰν ἐπὶ τὸ χεῖρον τράπῃ, χρὴ ἀπογινώσκειν, ἀπαραιτήτως γὰρ τελευτήσει. συνορᾶν δὲ χρὴ καὶ τὰς ὥρας ἐπὶ ταύτης τῆς ἐπισημασίας, πῶς δυνηθείης ἂν πρὸς τοὺς ἀγαθοποιοὺς σχηματίζειν τὴν ὥραν καὶ βοηθεῖν πρὸς τὸ προσφέρειν, ἢ λούειν, ἢ οἰνοποτεῖν. ἐὰν γὰρ κατὰ τὴν ἐπισημασίαν δοθῇ τροφή, ὅταν ἐστὶ κατὰ τὸν ἰατρικὸν λόγον ἐναντίωμα, πρὸς δὲ ἀγαθοποιὸν ὥραν φερομένη, μεγάλως βοηθήσει. Ἐὰν δὲ τῆς ☽ οὔσης κατὰ τὸν προειρημένον τρόπον, σχηματισθῇ ὁ ♃ ἢ ὁ ☿ ἢ ἡ ♀, ἐάν τε προστιθῇ τοῖς
B ἀριθμοῖς, ἐάν τε ἀφαιρῇ ἡ ☽ μέχρι τοῦ ☍, τῆς σωτηρίας πρόδηλος ὁ τρόπος. χρὴ οὖν ἄτερ πάσης προσαγωγῆς διὰ τῆς ἀφαιρέσεως διαιτᾶν.

ΚΕΦΑΛΑΙΟΝ Ε΄.

Περὶ τοῦ κατὰ ♊ σχηματισμοῦ τῆς ☽.

Ἐὰν δὲ τῆς ☽ ἐν ♊ οὔσης κατακλιθῇ τις, συνόντος ♄ ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου, ἀπὸ κόπου καὶ ἀγρυπνίας, ἢ ὁδοιπορίας μάλιστα, ἐὰν ἡ ☽ ἀφαιρῇ τῷ φωτί, καὶ τοῖς ἀριθμοῖς. ἕξει γὰρ ἐνοχλῆσαν τὰ ἄρθρα, καὶ κατὰ μικρὸν ἡ νόσος
C ἐκφαίνει, καὶ ἀπὸ τῆς τρίτης ἡμέρας ἄρχεται αὔξειν μέχρι τῆς εἰκοστῆς. ἔσονται γὰρ λεπτοὶ οἱ πυρετοί, καὶ καταρρεῖς παντὸς τοῦ σώματος, νυκτεριναῖς ἐπιτάσεσι πονηροτέραις, καὶ σπληνὸς ἀλγήσεις. ἀγαθοποιοῦ δὲ μηδενὸς ἐμπεριπλεκομένου, πυρόεντος τοῦ ♂ τὸ αὐτὸ σχῆμα ἐπέχοντος, μετὰ τὴν λ΄ ἡμέραν τελευτήσει. ἀγαθοποιῶν δὲ παρόντων, καὶ τὴν ☽ ἐπιθεωρούντων, εἰς χρονίων πάθη, καὶ περιοδικὰ ἐμπεσὼν σωθήσεται. Ἐὰν δὲ ☽ οὔσης ἐν ♊, ἀνακλιθῇ τις πυρόεντος ♂, ἢ συνόντος, ἢ □ ἢ ☍ αὐξούσης τοῖς ἀριθμοῖς, καὶ τῷ φωτί, ἔσται ἡ νόσος ἐπισφαλής, καὶ ἐπικίνδυνος.
D ἔσονται γὰρ πυρετοὶ συνεχεῖς, καὶ στεγνοί, καὶ καυσώδεις, καὶ σφυγμοὶ ἐρρημένοι, καὶ ἄτακτοι· τούτοις οὖν ὠφέλιμος ἔσται ἡ τοῦ αἵματος ἀφαίρεσις. Ἐὰν δὲ ἀγαθοποιὸς μηδεὶς τὴν ☽ θεωρῇ, τοῦ ♄ τὸ αὐτὸ σχῆμα ἔχοντος, μέχρι τῆς ☍ τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιὸς ἐπιθεωρῇ τὴν ☽, κινδυνεύσας σωθήσεται. Ἐὰν δὲ τῆς ☽ οὔσης ἐν ♊ κατακλιθῇ τις, ἔσται ἀπὸ κόπου καὶ βαλανείων τὸ προκαταρκτικὸν αἴτιον, πᾶσά τε ὑγρότης καθέξει τὸ πάθος. Ἐὰν δὲ συσχηματισθῇ φαίνων ὁ ♄ συμπαραλαβὼν στίλβοντα ☿, τῆς ☽ μάλιστα ἐκ τῆς ☌ ἀφαιρούσης τοῖς ἀριθμοῖς, ἔσται
E ἐπαλγὴς τὰς ὠμοπλάτας, καὶ περὶ τὰς ψόας, ὅλον τε τὸ σῶμα διάπυρον, καὶ περὶ τὴν ἐπιφάνειαν, ὡς ἐκ κατακαύσεως ἀλγῶν. ἔσονται δὲ ἀνωφελεῖς αἱ τοῦ αἵματος ἀφαιρέσεις, ὅπερ αὐτοὶ ἐπιθυμήσουσιν· ἐναντιώσεται δὲ καὶ ψυχροποσίᾳ μέχρι τῆς ἑβδόμης. συνδεσμὸν δὲ λυούσης, καὶ κινουμένης αὐτῆς ἐπὶ τὰ ἥττονα ἀπαραβάτως ἀναιρεθήσεται. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ σχηματισθῇ τις τῶν ἀγαθοποιῶν κατὰ τὴν κατάκλισιν, εἰς ἕτερα ἀφ' ἑτέρων πάθη περιπίπτουσιν, οἷον, ἰσχιάδας, καὶ ἄλλα τινὰ ἀλγήματα περὶ αὐτὰ τὰ ἄρθρα, ἡ δὲ ποσότης σοι τοῦ χρόνου, δηλωθήσεται ἐξ
F αὐτῆς τῆς συναφῆς τῆς ☽, τουτέστι τῆς προσβάσεως τοῦ ἀγαθοποιοῦ ἀστέρος· σώζονται γὰρ ἀπαραβάτως. ὁ δ' αὐτὸς ὅρος καὶ ἐπὶ παντὸς ζῳδίου. Ἐὰν δὲ ἀσχημάτιστος ἅπασι τοῖς ἄστρασιν ἡ κατάκλισις γένηται, ἀνώμαλοί εἰσιν αἱ νόσοι, ἐπὶ δὲ τῆς ☍ ἀπαλλάσσονται. κείσθω δέ σοι ἡ ἀνωμαλία οὕτως· ἐφ' ᾧ ἂν ζῳδίῳ γένηται ἡ ☽, τὴν οἰκοδεσποτείαν λάμβανε

σημαίνει γάρ σοι αὐτὸς ὁ ἀστὴρ τὴν δι᾽ ἡμέρων, πότερον ἐπιταθήσεται, ἢ ἀνεθήσεται. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ τῆς κατακλίσεως τῆς ☾ οὔσης ἐν ♊, συσχηματισθῇ ♂ ἢ ☉ καθ᾽ ὃν δή ποτ᾽ οὖν τρόπον, ἢ καὶ ἀμφότεροι, καὶ μάλιστα ἐὰν πλησιλήνη ἢ ἀμφίκυρτος τύχοι, φέρεται δὲ ἐπὶ τὰ μεγάλα κινουμένη, ἔσται μὲν ἐν παντὸς τρόπου πρόληψις τῷ κάμνοντος, ἐπὶ τὸ ἀπελπίζειν τὸ ἑαυτοῦ· καὶ δακρύουσιν ἐπὶ τῷ οὕτως διατίθεσθαι. ἐκπάλλονται δέ, καὶ θρασεῖς ταῖς λαλιαῖς γίνονται, εἰδώλων φαντασίαις ἐναλλόμενοι· κατὰ αὔξησιν τῶν ὅλων, τὸ πάθος κινούμενον. ἐπὶ δὲ τῆς ἡμέρας, καὶ στομάχου ἀσθενείας, καὶ περὶ τὴν μήνιγγα διαθέσεις, ὥστε καὶ ἐκλύτους, καὶ ἀσφύκτους γίνεσθαι. χρὴ οὖν τῶν ἄκρων ἐπιμελεῖσθαι, διασμένοντας, καὶ πυριῶντας, τὰς τε τοῦ αἵματος ἀφαιρέσεις εὐθέτους ἡγεῖσθαι κατὰ δὲ τὸ ζώδιον, μᾶλλον δὲ ὀρεγομένων αὐτῶν πρὸς τὰς τροφάς, ἐπιδιδόναι· ἀπὸ γὰρ τοῦ συνδέσμου γνώσῃ τὸ σημεῖον, καὶ τὸ παρακούσῃς λύειν τὴν νόσον, ἢ καὶ τὰ περὶ τοῦ στομάχου εὐτονώτερόν σοι φανήσεται, ἢ ὁ μήνιγξ ἀποθέμενος, σώζονται οὗτοι ἀναμφιβόλως. Ἐὰν δὲ ἀπὸ τῆς ☍ ἐπὶ τὸ μεῖζον τραπῇ ἡ νόσος, καὶ κατὰ τὴν κοιλίαν λεπτὰ ἀνενεχθῶσι, ἀναμφιβόλως ἀπολοῦνται. βοηθεῖ δὲ μεγάλα ἡ προσαγωγὴ τῶν εἰωθότων. Ἐὰν δὲ τῷ προκειμένῳ ὅρῳ οἱ ἀγαθοποιοὶ συσχηματισθῶσι κατὰ τόδε τὸ ζώδιον, ἢ ἡ ☾ ἐάν τε ἀφαιρῇ, ἐάν τε προσθῇ, πᾶσαν μὲν φαρμακείαν παραιτεῖσθαι δεῖ, διαιτᾶν δὲ ἁπλοῖς καὶ εὐκαίροις βαλανείοις, καὶ αἰώραις, καὶ γυμνασίαις ταῖς διὰ τῶν χειρῶν ἀναμφιβόλως γὰρ σώζονται. τινὲς δὲ ἐπὶ αὐτῆς τῆς □ ἀπαλλάττονται τῆς νόσου.

indicat enim tibi ipsa stella per singulos dies, vtrum intendetur, an remittetur. Si verò in proposita decubitus constitutione Luna fuerit in geminis, & configuretur ei quocunque modo Mars, aut Sol, aut vterque, ac præcipuè si ipsa plena fuerit, vel gibba vtrinque, feratur autem in magna suo motu, erit quidem ægroti ea præsumptio, suam vt salutem desperet, & lachrymantur, quòd tali statu sint; exiliunt autem, & sunt in loquendo audaces, simulachrorum imaginationibus insilientes; quibus omnibus augescentibus, augescit affectus. Interdiu autem & stomachi est debilitas, & affectus circa meningem, vt fiant & prostrati, & sine pulsu. Oportet ergo colligando, atque fouendo curam gerere extremorum, & cogitare opportunas esse sanguinis detractiones; iuxta autem signum, & præcipuè si ipsi appetant, adaugere cibos: à coniunctione enim cognosces signum, & soluere morbum audies, si & stomachus validior tibi esse videbitur, & meninx ab affectu liberata, seruabuntur hi proculdubio. Quòd si ab oppositione morbus tendat ad incrementum & per ventrem tenuia reddantur, proculdubio intereunt. Magnopere autem conducit, si, quæ consueta sunt, exhibeantur. Si autem beneficæ iuxta hoc signum propositæ constitutioni configurentur, ac si Luna, vel demat, vel addat, omnia quidem medicamina abdicare oportet, regere autem balneis simplicibus, & tempestiuis, & gestationibus, & exercitamentis, quæ per manus fiunt, nam absque dubio seruantur. Quidam autem in ipso quadrato, morbo liberantur.

ΚΕΦΑΛΑΙΟΝ ϛ'.

Περὶ τοῦ κατὰ ♋ σχηματισμοῦ.

ΕΑΝ δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις, ♄ συνόντος τε, ἢ ☍, ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ βαλανείων, καὶ περιψύξεως, καὶ περὶ τὸν θώρακα ῥευματισμός, καὶ βῆχες, καὶ σύγκρουσις τοῦ σώματος, καὶ πυρέτια λεπτὰ καὶ κακοήθη, καὶ σφυγμοὶ λεπτοὶ καὶ ἀσθενεῖς, καὶ πλευροῦ ἄλγησις. τούτοις οὖν πάντα τὰ θερμαίνοντα ἁρμόσει. Ἐὰν δὲ ἀγαθοποιὸς μὴ ἐπιθεωρήσῃ τὴν ☾, παρελκύσας τὴν νόσον ἕως τελευτήσει μέχρι τεσσαράκοντα ἡμερῶν. Ἐὰν δὲ ἀγαθοποιὸς τὴν ☾ ἐπιθεωρήσῃ, πολλὰ κακοπαθήσας σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ ἢ ♂ συνόντος αὐτῇ, ἢ □, ἢ ☍, κατακλιθῇ τις, ἔσται ἡ καταρχὴ τῆς νόσου ἀπὸ ἐμέτων, καὶ χολέρας, καὶ τῆς τοῦ στομάχου ἀνατροπῆς. τούτοις οὖν ἁρμόσει, πάντα ψύχοντα, καὶ στύφοντα. Ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾, ἐν τῇ α΄. □, τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιὸς ἐπιθεωρήσῃ τὴν ☾ ἐν τῇ α΄. □ σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♋ κατακλιθῇ τις, ἔσται ἡ νόσος ἐκ πλησμονῆς οἴνου, καὶ ἐμφορήσεως. ἄρξεται δὲ ἀπὸ διατάσεως, καὶ ὑψηλώσεως τῶν μελῶν συγκαμνόντων, καὶ διαλογιστικοὶ ἀποφαίνουσι τὸ νοσοῦν. ἔσται δὲ ἀπὸ ἐμέτων πυκνοτέρων, καὶ χολῆς πλεονασμοῦ. δυσπνοοῦσιν οὖν, καὶ τὰ πλευρὰ ἐπιπαθαίνονται ῥιπταζόμενοι πάνυ, καὶ ἐν ἀέρι ψυχρῷ βουλόμενοι εἶναι ἀεί, ὥστε καὶ τὰ περιβόλαια ἀπορρίπτειν, καὶ περὶ τὰ κῶλα ἐναλγεῖς μετεωριζόμενοι πυκνότερον, μάλιστα ἀπὸ ☍, διὸ δεῖ μὴ μόνον ἀφεστάναι τῆς τοῦ ψυχροῦ δόσεως, ἀλλὰ καὶ προσάγειν τὰ δυνάμενα ψύχειν, καὶ διαφορεῖν, καὶ μάλιστα κατὰ τὰς ἀρχάς.

CAPVT VI.

De configuratione Lunæ in Cancro.

SI verò aliquis decubuerit, quando Luna est in Cancro, & ei iungitur Saturnus, vel ex opposito, aut quadrato aspicit, morbi origo à balneis erit, & frigefactione. In thorace erit fluxio & tusses, & corporis adstrictio, & febriculæ tenues, ac malignæ, & pulsus tenues debilesque, & lateris dolor. His igitur conuenient calefacientia omnia. Quòd si benefica Lunam non aspexerit, morbo producto hic obibit vsque ad diem quadragesimum. Si autem benefica Lunam aspexerit, multis vexatus malis seruabitur. Si verò aliquis decubuerit, quando Luna est in Cancro, & cum ea est Mars, vel ex opposito, aut quadrato aspicit, morbi origo à vomitibus erit, & cholera ac stomachi subuersione. His igitur conuenient frigefacientia, & adstringentia omnia. Quòd si beneficæ Lunam haud aspexerint, in primo quadrato interibit; at si benefica Lunam aspexerit, in primo quadrato seruabitur. Si verò quis decubuerit, quando Luna est in Cancro, morbus erit ex vini ingurgitatione, ac vsu immoderato. Incipiet autem à distentione, & eleuatione membrorum collaborantium; & ægri disserendo declarant locum affectum. Erit autem à frequentioribus vomitibus, atque abundantia bilis: Ægrè igitur respirat, & costas dolent proiectantes se valdè, ac volentes frigido in aëre esse continenter, vt etiam operimenta abiiciant, & circa artus dolentes frequentius exurgent, præcipuè ab opposito. Quare oportet non solum absistere à frigida exhibenda, sed adhibere etiam quæ valeant frigefacere, & discutere, præcipuéq; in principiis.

Si

Si verò Marti, aut Soli, aut vtrisque, quocunque aspectus modo Luna configuretur, erunt febres per additionem, & augmentum, & pulsus inæquales, aliàs quidem aucti, aliàs autem attenuati. Quare sanguinis detractio conducit, à quinto enim gradu vsque ad nonagesimum hoc est quadratum lateris, successiui & maligni affectus consequentur. Quòd si nulla benefica complicetur, quousque soluerit coniunctionem, in neruoso patiuntur, & delirant acclamantes, ac vociferantes. Naturaliter autem iuxta hoc signum in noctibus superueniunt affectus. Si autem coniunctionem soluerit, & ad minora moueatur, ac beneficæ copuletur, in periodicum affectum veluti quartanarium delapsus seruabitur. At si maleficæ copuletur, modò nihilominus periodico perdetur. Si verò in prædicta constitutione, nulla fuerit media vsque ad oppositum, si Luna coniunctionem soluat, & tendat ad minora, seruabitur. At si à coniunctione ad maiora moueatur, malefica autem media fuerit, Saturnus inquam, vsque ad oppositum periclitatus seruabitur. Naturaliter autem qui hoc in signo decubuerunt, morbis laborabunt, qui ægrè intermittant, atque malignis; & quæ illis conferre medicationes videntur, aduersantur. Conuenit autem & vini exhibitio, & balnea, & cibi qui celeriter valeant distribui. Si verò in proposita constitutione Saturnus, aut Venus configurentur, morbi quidem remittentur, vt ostensum est tibi, sed restabunt magis dolores in articulis, auribúsque; quidam autem in pulmone, vel hepate retinent affectus; ita autem diuturnæ erunt ægritudines. Si ergo in hac figura Luna numeris demens moueatur, diu durant affectus, & nihilominus in affectu morientur. Quòd si Luna augendo, & numeris addat, & lumini, ac Iupiter quocunque modo aduocetur, decumbent tamdiu, dum Luna ad decimum à decubitu signum deuenerit. Si verò nec à maleficis nec à beneficis aspiciatur, in ipso signo morbo liberabuntur. Quod si beneficæ tantum, atque Mercurius quocunque modo configurentur, vsque ad quadratum ipsos soluunt affectus. Oportet ergo à frequentioribus balneis abstinere, conuerti autem ad exercitationes, gestationésque, namq; hoc modo morbi mitigabũtur.

A Ἐὰν δὲ καὶ τῷ ♂ ἢ ☉ ἢ καὶ ἑκατέροις σχηματισθῇ καθ' ὁπότερον φάσεως τρόπον, οἱ πυρετοὶ κατ' ἐπίθεσιν καὶ αὔξησιν, οἵ τε σφυγμοὶ ἀνώμαλοι, ποτὲ μὲν αὐξάνοντες, ποτὲ δὲ διαλεπτυνόμενοι. διὸ συμφέρει ἡ τοῦ αἵματος ἀφαίρεσις. ἀπὸ γὰρ τῆς διὰ πέμπτου μέχρι τῆς ς. μοίρας, τουτέστι τῆς τοῦ □ πλευρᾶς ἐπακολουθήσει ἐπάλληλα καὶ κακοήθη πάθη. μηδενὸς δὲ παρεμπλακέντος ἀγαθοποιοῦ, μέχρις οὗ τὸν σύνδεσμον λύσῃ, περὶ δὲ νευρώδεις πάσχουσι, καὶ παρακόπτονται, ἐπιβοῶντες, καὶ κραυγάζοντες. Φυσικῶς δὲ, καὶ κατὰ τόδε τὸ ζώδιον, ἐν ταῖς νυξὶ τὰ πάθη ἐπιγίνεται. ἐὰν δὲ τὸν σύνδεσμον λύσῃ, καὶ ἐπὶ B τὰ ἧττον κινῆται, συνάψῃ δὲ ἀγαθοποιῷ, εἰς περιοδικὸν πάθος, οἷον τεταρταῖον ἐμπεσὼν, σωθήσεται. Ἐὰν δὲ κακοποιῷ συνάψῃ, οὐδὲν ἧττον τῷ περιοδικῷ τρόπῳ ἀναιρεθήσεται. Ἐὰν δὲ ἐν τῷ προειρημένῳ τρόπῳ μηδεὶς τύχοι μέσος μέχρι τῆς ☍, τῆς ☾ σύνδεσμον λυούσης, καὶ κινουμένης ἐπὶ τὰ ἥττονα, σωθήσεται. Ἐὰν δὲ ἐπὶ τὰ μείζονα ἀπὸ συνδέσμου κινῆται, μέσος δὲ τύχοι κακοποιός, λέγω δὴ ♄, μέχρι τῆς ☍ κινδυνεύσας, σωθήσεται. Φύσει δὲ οἱ κατακλιθέντες ἐν τῷδε τῷ ζωδίῳ, δυσεκλείπτους τὰς νόσους ἕξουσι, καὶ κακοήθεις. καὶ τὰ δοκοῦντα αὐτοῖς βοηθεῖν θεραπεύματα, ἐναντιοῦνται. ἁρμόζει δὲ καὶ οἴνου δόσις, καὶ βαλανεῖα, καὶ τροφαὶ δυνάμεναι ταχέως ἀναδίδοσθαι. C Ἐὰν δὲ ἐν τῷ προκειμένῳ ὅρῳ ♄ ἢ ♀ σχηματισθῶσιν, ἀνεθήσονται μὲν αἱ νόσοι, καθώς σοι ἀποδέδεικται. περιοδικώτεροι δὲ περὶ τὰ ἄρθρα ἕξουσι πόνους, καὶ περὶ τὰ ὦτα. τινὲς δὲ περὶ τὸν πνεύμονα, ἢ περὶ τὸ ἧπαρ, τὰ πάθη ἴσχουσιν. οὕτως δὲ καὶ πολυχρόνιοι αἱ νόσοι. ἐὰν οὖν τούτῳ τῷ σχήματι κινῆται ἡ ☾ ἀφαιροῦσα τοῖς ἀριθμοῖς, χρονίζουσι τὰ πάθη. καὶ οὐδὲν ἧττον ἐν τῷ πάθει τελευτήσουσιν. Ἐὰν δὲ κατ' αὔξησιν τοῖς ἀριθμοῖς προσθῇ καὶ τῷ φωτὶ ἡ ☾, καὶ ὁ ♃ καθ' οἷον δή ποτ' οὖν τρόπον προσκληθῇ, κατακλιθήσονται μέχρις οὗ ἡ ☾ παραγένηται D ἐπὶ τὸ ι'. ζώδιον τῆς κατακλίσεως. Ἐὰν δὲ ἀνεπιθεώρητος εἴη ἀπό τε κακοποιῶν, καὶ ἀγαθοποιῶν, ἐν αὐτῷ τῷ ζωδίῳ τῆς νόσου λυθήσονται. Ἐὰν δὲ ἀγαθοποιοὶ μόνοι καὶ ☿ καθ' οἷον δή ποτ' οὖν τρόπον σχηματισθῶσι μέχρι τῆς □ τὰ πάθη λύουσι. χρὴ οὖν τῶν πυκνοτέρων βαλανείων ἀπέχεσθαι. ἐπὶ τὰ γυμνάσια δὲ, καὶ τὰς αἰώρας τρέπεσθαι. οὕτω γὰρ παραμυθήσονται αἱ νόσοι.

CAPVT VII.

De configuratione Lunæ in Leone.

SI verò quis decubuerit quando Luna est in Leone, & Mars cum ea est vel ex opposito, aut quadrato aspicit, morbi initium erit ex plenitudine, & cruditate. Erit enim in pectore, ac hypochondriis dolor, & erunt intensæ febres, & caliditas in profundo, quam in superficie maior, & aluus adstricta. His igitur omnia conuenient, quæ excalefaciunt, & relaxant. Quòd si beneficæ Lunam haud aspexerint, vsque ad oppositum interibit. At si beneficæ Lunam aspexerint, multa passus mala, seruabitur. Si verò quis decubuerit quãdo Luna est in Leone, & simul cum ea est Mars, vel ex opposito aspicit, aut quadrato, morbi initium à sanguinis plenitudine erit. Et erunt febres fluidæ, & pulsus debiles, atque abditi, & animi defectus, & appetentiæ collapsæ, & grauitas, & cataphora, & totius corporis languor, & cardiaca dispositio. His igitur conuenient astringentia, & refrigerantia cuncta.

ΚΕΦΑΛΑΙΟΝ Ζ'.

Περὶ τοῦ κατὰ ♌ σχηματισμοῦ.

E ΕΑΝ δὲ τῆς ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις ♂ συνόντος, ἢ ☍, ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου, ἐκ πλήθους, καὶ ὠμότητος. ἔσται γὰρ περὶ τὸν θώρακα αἴσθησις, καὶ τὰ ὑποχόνδρια. καὶ πυρετοὶ ἐπιτεταμένοι γενήσονται. καὶ ἡ ἐν βάθει θερμασία μᾶλλον, ἢ τῇ ἐπιφανείᾳ, καὶ κοιλία στεγνή. τούτοις οὖν ἁρμόσει πάντα τὰ ἀναθερμαίνοντα, καὶ ἀναχαλῶντα. Ἐὰν δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾, μέχρι τῆς ☍ τελευτήσει. Ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☾ ἐπιθεωρήσωσι, πολλὰ κακοπαθήσας, σωθήσεται. F Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♌ κατακλιθῇ τις, ♂ συνόντος, ἢ ☍, ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου, ἀπὸ πλήθους αἵματος, καὶ ἔσονται πυρετοὶ ῥοώδεις, καὶ σφυγμοὶ ἄτονοι, καὶ ἐνδεδυκότες, καὶ λειποθυμίαι, καὶ ἀνορεξίαι, καὶ βάρος, καὶ καταφορά, καὶ πάρεσις παντὸς τοῦ σώματος. καὶ καρδιακὴ διάθεσις. τούτοις οὖν ἁρμόσει πάντα τὰ στεγνοῦντα, καὶ ψύχοντα.

Ἐὰν δὲ μηδεὶς ἀγαθοποιὸς ἐπιθεωρῇ τὴν ☾, μέχρι τῆς ἐννάτης τελευτήσει. ἀγαθοποιῶν δὲ ἐπιθεωρούντων τὴν ☾, ἀπὸ ☍ κινδυνεύσας, σωθήσεται. Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♌, κατακλιθῇ περὶ ἣν ἄν ποτ' οὖν μοῖραν, τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων ζῳδίων νοείσθω, ὡς θέμις, συγκρίνοντός μου, ἢ ὡροσκοποῦντος ♌, ἔσται ἡ νόσος ἀπὸ ψυχικῶν τόπων, λυπηρῶν ἢ πραγμάτων καὶ δι' ἄλλων μεριμνῶν. πυρουμένου μὲν τοῦ θώρακος, τῶν δὲ ἄκρων ψυχομένων. καὶ περὶ τὴν κεφαλὴν τῶν αἰτιῶν γινομένων καὶ τῶν ὀφθαλμῶν κοιλουμένων, περιτεινομένης τε τῆς ῥινὸς, καὶ ἀσφύκτων φαινομένων τῶν καμνόντων, καὶ ἀποφαινόντων πολυχρόνιον νόσον. εὐτονοῦσι δὲ ὅσον κατὰ τὸ πλῆθος. χρὴ οὖν αἵματος εὐθέως ἀφαίρεσιν ποιεῖσθαι, εἰ μὲν δυνατὸν, ἐν αὐτῷ τῷ ζῳδίῳ κινουμένης τῆς σελήνης, μάλιστα μέν τοι ἐὰν ἄρξηται τὰ μεγάλα κινεῖσθαι. εἰ δὲ μὴ, ἕως τῆς διατρίτης ἀνατρίβειν τε τὰ ἄκρα, καὶ διαφορεῖν πάντα τὰ ἀπὸ τοῦ θώρακος. Ἐὰν δὲ ♂ τε καὶ ☉ ἀμφοτέροις κατὰ πρόσθεσιν οὔσῃ τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ σχηματισθεῖεν, καρδιακὴ περίστασις ἀπαραβάτως ἔσται μέχρι τῆς διαπέμπτου. Ἐπὶ δὲ τὴν □ πλευρὰν ἐὰν λήγῃ τοῖς ἀριθμοῖς, ἢ καὶ ἐπαύξῃ, σχηματισθῇ δὲ τῷ ♄, σωθήσεται. Ἐὰν δὲ ♃, ἢ ♀ σχηματίζων ἐπὶ τῆς κατακλίσεως, ἐλθούσης αὐτῆς τῆς ☾ εἰς τὸ □ σωθήσονται. Ἐὰν δὲ καὶ αὐτὴ μόνη κατὰ ἀφαίρεσιν τοῖς ἀριθμοῖς, κινῆται, σωθήσεται. εὔχρηστοι δὲ αἱ τοῦ οἴνου δόσεις, καὶ τὰ βαλανεῖα, καὶ μετὰ τὴν διάτριτον, ἢ διάπεμπτον, αἰῶραι. Ἐὰν δὲ ἐν τῷ προκειμένῳ σχήματι τῆς ☽ οὔσης ἐπὶ τῆς κατακλίσεως ἐν ♌, κινουμένης τε αὐτῆς ἐπὶ τὰ μεγάλα, ἢ καὶ τῷ φωτὶ προστιθείσης, σχηματισθῇ αὐτῇ ♄, καὶ ♀ μεσουρανήσῃ· ἢ καὶ εἷς τῶν ἀγαθοποιῶν, καὶ μέχρι μὲν τῆς □ τὰ προκείμενα λύσεται, οὐδὲν δὲ ἧττον περὶ τὴν κύστιν ἀλγήματα ἔσται, καὶ ἐμπνευματώσεις στομάχου πλὴν σώζονται. Ἐὰν δὲ τὰ μείζονα ἀπὸ τοῦ συνδέσμου τρέχῃ, ἀπαραβάτως σωθήσονται. Ἐὰν δὲ τῷ προκειμένῳ σχήματι ♄ καὶ ♂ καὶ ἕτερός τις σχηματισθῇ ἐπὶ τὸ βόρειον αὐτῆς φερομένης, ἀπαραβάτως ἐπὶ τὴν τῆς ☍ ἐλθούσης, λύσις ἔσται τῆς νόσου. Χρὴ δὲ μὴ θάλπειν, μηδὲ ἐν σκοτεινοῖς κατακλίναι· ἀεὶ δὲ τῆς ἐπιθυμίας μακρὰν ἀπάγειν. εὔχρηστος δὲ καὶ ἡ τοῦ ψυχροῦ δόσις· τροφαὶ δὲ αἱ δυνάμεναι ὀγκοῦν, καὶ μὴ ἀφαιρεῖν. Ἐὰν δὲ αὐτὴ ἡ ☾ ἀνεπιθεώρητος πάντη ᾖ, κινῆται δὲ ἐπὶ τὰ μεγάλα, ἐπὶ τὴν ☍ ἐλθοῦσα ἐπὶ τὴν κρίσεως, σημασίαν ποιησαμένη λύει τὴν νόσον. Ἐὰν δὲ ἐπὶ τὰ ἥσσονα κινῆται, μέχρις παρέλθῃ τὴν ☌ ἀνωμάλως νοσήσας, καὶ πυκνότερον ὑποτροπιάζων, σωθήσεται.

Quod si benefica nulla Lunam aspiciat, vsque ad nonum interibit. At si beneficæ eam aspiciant, post oppositum periclitatus seruabitur. Si verò quis decubuerit, quando Luna est in Leone quocunque in gradu (hoc autem ipsum in aliis etiam signis aduertatur, licet ego de illis non decernam) in horoscopo existente Leone, erit morbus ab animali parte, & molestis laboribus, aut negociis, & aliis sollicitudinibus. Pectus quidem erit ardens, extrema autem frigentia, & causæ in capite erunt, & oculi cauati, & naris contracta, & videbuntur sine pulsu esse ægrotantes, & morbum ostendent diuturnum, & quantum ad plenitudinem, viribus valebunt. Oportet ergo è vestigio sanguinem detrahere (si quidem fieri potest) dum Luna in ipso signo mouetur, & præcipuè quidem si inceperit ad maiora moueri; sin minus, vsque ad tertium, & extrema fricare, ac exagitare omnia, quæ sunt infra thoracem. Quod si Mars, & Sol, Lunæ addenti vtrisque, nempe numeris, ac lumini, configurentur, cardiacus erit affectus proculdubio vsque ad quintum diem; sub quadratum verò latus si cesset à numeris, aut etiam adaugeat, Saturno autem configuretur, saluus fiet. Si verò Iupiter, aut Venus Lunæ in decubitu configurentur; vbi ipsa Luna ad tetragonum venerit, seruabitur. Si verò ipsa quoque sola numeris demens moueatur, saluus fiet. Vtiles autem fuerint ipsæ vini exhibitiones, & balnea, & post tertium aut quintum gestationes. Si verò in proposita figura, quando in decubitu Luna est in Leone, ac ad magna mouetur, vel lumini addit, Saturnus ipsi configuretur ac Venus fuerit in medio cæli, vel beneficarum vna, ea quidem, quæ sunt prædicta, vsque ad quadratum euenient, nihilo autem minus dolores in vesica erunt, & stomachi inflationes, verùm seruantur. Quòd si ea à coniunctione maiora percurrat, proculdubio seruabuntur. Quòd si propositæ figuræ Saturnus, & Mars, aut alius quispiam configuretur, ipsaque borealem versus tendat, vbi ea ad appositum venerit, morbi omnino solutio fiet. Oportet autem haud fouere, neque in locis tenebrosis habere decumbentes; continenter verò longè à cupiditate retrahere. Est verò vtile frigidam exhibere; & vtiles cibi qui implere valeant, non autem imminuere. Si verò ipsa Luna cunctis sit inconspecta, ad magna autem moueatur, vbi venerit ad oppositum, facta crisis commotione morbum soluet. Quòd si ad minora moueatur, ægrotus, quoad illa coniunctionem sit prætergressa, inæquali morbo detentus, frequentiúsque in morbum relapsus, seruabitur.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τοῦ κατὰ ♍ σχηματισμοῦ.

Ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις, ♄ συνόντος αὐτῇ ἢ ☍ ἢ □, ἔσται ἡ καταρχὴ τῆς νόσου, ἐκ βραδύτητος καὶ ὠμότητος περὶ τὴν κοιλίαν, καὶ τῶν ἐντέρων πόνος, καὶ τῶν ὑποχονδρίων φλεγμονὴ, καὶ πυρετοὶ στεγνοὶ, καὶ ἀνώμαλοι ἐν ἀνέσει καὶ ἐπιτάσει. καὶ σφυγμοὶ ἐνδεδυκότες, πυκνοὶ, καὶ ἄτακτοι· τούτοις οὖν ἁρμόσει πάντως τὰ θερμαίνοντα καὶ χαλῶντα. ἐὰν δὲ ἀγαθοποιοὶ τὴν ☾ μὴ θεωρήσωσι, κινδυνεύει περὶ τὴν τεσσαρακοστήν.

CAPVT VIII.

De configuratione Lunæ in Virgine.

Si verò aliquis decubuerit, quando Luna est in Virgine, & Saturnus cum ipsa est, vel ex opposito, aut quadrato aspicit, morbi origo erit ex tarditate, & cruditate ventris, & dolor intestinorum, & hypochondriorum inflammatio; & febres adstrictæ, & in remissione, & intensione inæquales; & pulsus abditi, crebrique, ac inordinati. His ergo conuenient calefacientia omnia, & relaxantia. Quòd si beneficæ Lunam non aspexerint, circa quadragesimum periclitabitur.

Si

Si autem beneficæ Lunam aſpexerint, longum A paſſus morbum ſeruabitur. Si verò aliquis decubuerit, quando eſt in Virgine Luna, & cum ipſa eſt Mars, vel oppoſito, aut quadrato aſpicit, erit morbus à fluxu ventris, & in affectum vertetur dyſentericum, & erit ſanguinis fluor, vlceratióque in inteſtinis, febres tenues fluidæ, & pulſus debiles crebríque, & collapſæ appetentiæ, & ſtomachi ſubuerſio. Hiſce conuenient omnia, quæ conſtringunt. Quòd ſi beneficæ Lunam non aſpexerint, trigeſimo die interibit. Si autem beneficæ Lunam aſpexerint, ſeruabitur. Si verò aliquis decubuerit, quando Luna eſt in Virgine, B erit morbus à diſpoſitione cœliaca, doloribúſque, ac inflatione ventris; atque incipient veluti ex læſa coctione alia quidem per ventrem acria effluere, alia verò per vrinas ferri viridia, & male olentia; præcipuè verò punctiones tanquam in diaphragmate fiunt, ac ſtomachus reſoluitur, totum verò neruoſum collaborat, ab initio enim ſtatim oculi ſunt aſſiduè vigilantes. Quòd ſi ea ex minimo etiam curſu impulſa ad maiora moueatur, configuretur autem illi Mars, vel Mercurius, vel etiam Sol, delirabunt quoque loquelis impediti. Oportet ergo illis vti, quæ denſare, & contrahere humida poſſint; inutilis autem frigidæ ex- C hibitio, & omnis ſuccus frigidus. Quòd ſi à quadrato ad maiora vertatur, accuratiùs à quocunque frigefaciente arceantur, etenim vſque ad diametrum periclitati in affectum cœliacum, vel dyſenteriam deuoluuntur, atque ita protracto morbo deficiunt. Si autem huic conſtitutioni Saturnus configuretur cum Mercurio, vel Venere, vel Ioue ſolo, nihilominus erit diuturnus morbus, & ſplenici affectus, atque renales, niſi quòd etiam ſic quoque protracto morbo, atque illo afflicti, ſeruantur. Si verò aliquis decubuerit, quando Luna ſola mouetur, neque aſpicitur, ſiue addat, ſiue D demat, ſiue quocunque alio figuræ modo ſe habeat, ſanguinis fluxum patietur. Soluit autem hoſce morbos Luna circuitione peracta. Pallidi autem & caloris atri multo tempore ægrotantes fiunt, nihilo tamen minùs ſeruantur. Si verò Iupiter, vel Venus, vel Mercurius, vel quilibet ipſorũ, vel etiam omnes, in decubitu annuant, nihilominus, quæ ſunt in ventre, fluxu laborabunt; in ipſo autem ſigno vſque ad quintum ægritudines ſoluunt. Oportet verò vini quidem vſum indulgere, balneorum autem deuitare.

ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾. πολυχρόνιον πάθος ἔχων σωθήσεται. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις ὄντος ♂ σὺν αὐτῇ, ἢ □ ἢ ☍, ἔσται ἡ νόσος ἀπὸ κοιλίας ῥύσεως, καὶ περιστήσεται εἰς δυσεντερικὸν πάθος, καὶ ἔσται αἵματος ῥύσις καὶ ἕλκωσις περὶ τὰ ἔντερα. πυρετοὶ λεπτοὶ ῥυώδεις, καὶ σφυγμοὶ ἄτονοι, καὶ πυκνοί, καὶ ἀνορεξίαι, καὶ στομάχου ἀνατροπή. τούτοις ἁρμόσει πάντα τὰ στεγνοῦντα. εἰ δὲ ἀγαθοποιοὶ μὴ ἐπιθεωρήσωσι τὴν ☾, τῇ τριακοστῇ ἡμέρᾳ τελευτήσει. ἐὰν δὲ ἀγαθοποιοὶ ἐπιθεωρήσωσι τὴν ☾, σωθήσεται. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♍ κατακλιθῇ τις, ἔσται ἡ νόσος ἐπὶ κοιλιακῆς διαθέσεως, πό- B νων τε τῆς κοιλίας, καὶ ἐμπνευματώσεως. καὶ ἄρξεται ὡς ἂν ἐξ ἀπεψίας τὰ μὲν κατὰ τὴν κοιλίαν ῥεῖν δριμέα. τὰ δὲ ἐπὶ τὰ οὖρα φέρεσθαι χλωρά, καὶ δυσώδη. μάλιστα δὲ νυγμῶν γινομένων ὡς ἐπὶ τὸ διάφραγμα, καὶ τοῦ στομάχου ἀναλυομένου· συγκάμνοντος δὲ τοῦ νευρώδους ὅλου. κατ᾽ ἀρχὴν γὰρ εὐθὺς ἀγρυπνοῦσι τὰς ὄψεις διηνεκῶς. ἐὰν δὲ καὶ ἀπὸ τοῦ ἐλαχίστου δρομήματος ὁρμηθεῖσα ἐπὶ τὰ μείζονα κινῆται, σχηματισθῇ δὲ αὐτῇ ♂ ἢ ☿ ἢ καὶ ☉, καὶ παρακόψουσι ταῖς λαλιαῖς ἐμποδιζόμενοι. χρὴ οὖν τοῖς δυναμένοις πυκνοῦν τε καὶ συστέλλειν τὰ ὑγρὰ χρῆσθαι. ἄχρηστος δὲ ἡ τοῦ ὑγροῦ προσαγω- C γὴ καὶ πᾶς χυλὸς κατάψυχρος. ἐὰν δὲ ἀπὸ τῆς ☾ ἐπὶ τὰ μείζονα τρέπηται, περιεσσοτέρως παντὸς τοῦ ψύχοντος ἀπεχέσθωσαν. μέχρι γὰρ τῆς ☍ κινδυνεύσαντες, εἰς διάθεσιν κοιλιακὴν ἢ δυσεντερίαν περικυλίονται, καὶ οὕτως δὲ χρονίσαντες ἐλαττῶσι. ἐὰν δὲ τούτῳ τῷ οὔρῳ ὁ ♄ σχηματισθῇ μετὰ ☿ ἢ ♀ ἢ τοῦ ♃ μόνου, οὐδὲν ἧσσον πολυχρόνιος ἡ νόσος, καὶ σπληνικὰ πάθη, καὶ νεφριτικά. καὶ οὕτως δὲ χρονίσαντες, καὶ μοχθήσαντες ἐν τῷ πάθει, διασώζονται. ἐὰν δὲ τῆς ☾ μόνης κινουμένης καὶ ἀνεπιθεωρήτου οὔσης, ἢ κατὰ πρόσθεσιν, ἢ ἀφαίρεσιν, ἢ κατ᾽ ἄλλον δήποτ᾽ οὖν τρόπον σχήμα- D τος κατακλιθῇ τις, αἱμορροήσει. τούτοις δ᾽ ἡ ☾ περιοδεύουσα τοῦ πάθους λύει. ὠχροὶ δὲ καὶ μελάγχροοι ἐπὶ πολὺν χρόνον νοσήσαντες γίνονται, οὐδὲν δὲ ἧττον διασώζονται. ἐὰν δὲ ♃ ἢ ♀ ἢ ☿ καὶ ὁπότερος αὐτῶν, ἢ καὶ οἱ πάντες κατὰ τὴν κατάκλισιν προσνεύσωσιν, οὐδὲν ἧττον τὰ κατὰ τὴν κοιλίαν ῥευματίζονται. ἐν αὐτῷ δὲ τῷ ζῳδίῳ μέχρι τῆς διὰ πέμπτου λύουσι τὰς νόσους. χρὴ δὲ τὰς μὲν τοῦ οἴνου δόσεις προσάγειν, τὰς δὲ τῶν βαλανείων παραιτεῖσθαι.

E

CAPVT IX.

De configuratione Lunæ in Libra.

SI verò aliquis decubuerit, quando Luna eſt in Libra, & Saturnus cũ ipſa eſt, vel ex oppoſito, aut quadrato aſpicit, morbi origo erit ex potu vini, & maximè ex crapula, ſi lumini numeriſq; Luna demat, fiátque in nocte decubitus; affectus autẽ in capite, & thorace erũt, defluxus & tuſſes à principio, & in capite ſopor, & inappetentiæ, & duplices intẽtiones, & cõtinuæ febres, & crebræ atque imbecilles. His ergo cõuenient calefacientia omnia. F Quòd ſi cum Marte quoq; eandẽ retineat figurã, proculdubio, in oppoſito morietur. Si verò aliquis decubuerit, quãdo Luna eſt in Libra, & Mars cum ipſa eſt, vel ex oppoſito, aut quadrato aſpicit, erit morbus ex ſanguinis abũdãtia, & erũt febres intẽſæ, & elati pulſus, & mentis alienatio, & phrenitis,

ΚΕΦΑΛΑΙΟΝ Θ'.

Περὶ τοῦ κατὰ ♎ σχηματισμοῦ.

ἘΑΝ δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις, ♄ συνόντος ἢ ☍ ἢ □ ἔσται ἡ καταρχὴ τῆς νόσου, ἐξ οἰνοποσίας καὶ κραιπάλης μάλιστα. ἐὰν ἡ ☾ ἀφαιρῇ τῷ φωτὶ καὶ τοῖς ἀριθμοῖς, καὶ ἐν νυκτὶ γένηται ἡ κατάκλισις, ἔσται δὲ τὰ περὶ τὴν κεφαλὴν καὶ τὸν θώρακα πάθη, ῥευματισμοί, καὶ βῆχες κατ᾽ ἀρχήν· καὶ κάρος περὶ τὴν κεφαλήν, καὶ ἀνορεξίαι, καὶ διπλαῖ ἐπιτάσεις. καὶ συνε- F χεῖς πυρετοί, καὶ πυκνοί, καὶ ἄτονοι. τούτοις οὖν ἁρμόσει πάντα τὰ θερμαίνοντα. ἐὰν δὲ καὶ μετὰ ♂ τὸ αὐτὸ σχῆμα ἐπισχῇ, ἀπαραβάτως ἐν τῇ ☍ τελευτήσει. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις ὄντος ♂ σὺν αὐτῇ ἢ διαμέτρου ἢ □ ἔσται ἡ νόσος ἐκ πλήθους αἵματος, καὶ ἔσονται πυρετοὶ ἐπιτεταμένοι. καὶ σφυγμοὶ ἐπηρμένοι, καὶ παρακοπή, καὶ φρενῖτις,

καὶ ἀγρυπνία ὑπερβάλλουσα, καὶ περὶ ὅλον τὸ σῶμα, φλεγμονή. τούτοις ἁρμόσει ἡ τοῦ αἵματος ἀφαίρεσις, καὶ πάντα τὰ δυνάμενα καθαίρειν τὴν ἕξιν. ἀγαθοποιοῦ δὲ μὴ ἐπιθεωροῦντος τὴν ☾, ἐν ταῖς ι΄. ἡμέραις τελευτήσει. ἀγαθοποιῶν δὲ ἐπιθεωρούντων, μέχρι τῆς ☍ κινδυνεύσας σωθήσεται. ἐὰν δὲ τῆς ☾ οὔσης ἐν ♎ κατακλιθῇ τις, ἔσται τὸ αἴτιον εἰς τὰ ἄκρα. ἐπαλγῆ γὰρ ἔσται αὐτὰ, καὶ πυρώδη. καὶ τὴν ἐν βάθει μᾶλλον θερμασίαν ὑπεμφαίνονται. εὐθὺς δὲ καρηβαροῦνται, καὶ μᾶλλον τοὺς ὀφθαλμοὺς ὡς εἰς ὕπνον τρέπουσι. καὶ ἀποκρίνονται ἀόρεκτοι. οὕτω μὲν οὖν φυσικῶς, ἐπὶ τούτου τοῦ ζωδίου αἱ νόσοι γίνονται, ὅπερ καταψεύδονταί τινες, αἰτιώμενοι τὸ ἀεὶ φέρειν. ἐὰν δὲ καὶ αὐτῆς κινουμένης ἐπὶ τὰ ἥττονα ♄. ἢ ♀ ἢ ☿ ἢ καὶ ὁπότερος αὐτῶν προσέλθηται, μέχρι τῆς ☍ φρενιτίζουσιν ἀπαραβάτως. διὸ δεῖ θάλπειν, καὶ τοῖς δυναμένοις διαφορεῖν κεχρῆσθαι, καὶ ἀποκρούεσθαι, καὶ ἐν ἠρεμίᾳ καὶ δεσμοῖς φυλάττειν, μήποτε κλέψαντες ὑδροποτήσωσιν. οὕτω γάρ τε τὰ κατὰ τὴν κοιλίαν ἐκκριθέντα, μέχρι τῆς ☍ διαφόρησιν ποιήσονται τῆς νόσου. οὐδὲν δὲ ἧσσον εἰς χρονιώτερα καὶ ἀνώμαλα πάθη περικυλιαθέντες οἱ περιοδικὰ, οὕτως διασωθήσονται. ἐὰν μόνος δὲ ♄ ᾖ, ἀπόλλυνται. ἐὰν δὲ τὰ μεγάλα ἐργάζῃ τῷ προειρημένῳ τρόπῳ τῆς ☍ πολλὰ παθόντες, κατὰ ἄνεσιν καὶ ἐπίτασιν τῶν πυρετῶν διασώζονται. ἐὰν δὲ ☾ οὔσης ἐν ♎ καὶ ὁ ♂, καὶ ὁ ☉ διαμετρήσωσι, ἔσται τὰ περὶ τὴν κεφαλὴν αἴτια. κεφαλαλγία, καὶ ῥευματισμὸς, καὶ ἡμικρανία. Ἐὰν δὲ ☿ παρέλθηται, τὰ περὶ τοὺς ὀφθαλμοὺς αἴτια, ὑποχύσεις, γλαυκώσεις, μυδριάσεις. χρὴ οὖν ὡς ἐπὶ τὸ πλεῖστον τὴν τοῦ αἵματος ἀφαίρεσιν προσάγειν. εὔχρηστοι δὲ, καὶ αἱ κατὰ τὴν κοιλίαν ἐκκρίσεις. οὕτω δὲ πολυχρονίσαντες οὐδὲν ἧττον κινδυνεύσουσιν, ἐπὶ τῆς αὐτῆς διαθέσεως μένοντες. Ἐὰν δὲ ♃ ἢ ♀ παρεπιπλακῶσι καθ᾽ οἱονδήποτ᾽ οὖν τρόπον σχηματισμοῦ διασωθήσονται μένοντες ἐπὶ τῶν αὐτῶν παθῶν. ἀνεπιθεωρήτου δὲ αὐτῆς οὔσης, εἴτε μειουμένης, κακοήθεις μὲν αἱ νόσοι; καὶ ἡ περὶ τοὺς ὀφθαλμοὺς ἀταξία, δυσκατάληπτος, οὐδὲν δὲ ἧττον ἐπὶ τὸ διάμετρον ἐλθοῦσα ἡ ☾ λύει τὴν νόσον. ἐπὶ πάντων δὲ τῶν τροπικῶν καὶ ἰσημερινῶν τῶν ζωδίων νοείσθωσαν κακοήθεις εἶναι τὰς νόσους.

